Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

BIBLIOTECA NAZ.
ROMA
VITTORIO EMANUELE

ALDVS M. R.

* aα bβ cγ dδ eε fζ gη hθ iι kκ lλ mμ nν oξ pο qϖ rρ ſσ tτ uυ xφ yχ zψ
aaαα bbββ ccγγ ddδδ eeεε ffζζ ggηη hhθθ iiιι kkκκ llλλ mmμμ nnνν ooξξ ppοο
qqϖπ rrρρ ſſσσ ttττ uuυυ. Oēs Quaterniones ꝑter * Duernionem, & uu Quinternum.

VENETIIS IN AEDIBVS ALDI,
ET ANDREAE SOCERI,
MENSE AVGVSTO.
M. D. XIX.

εἶναι τῶν εὐαγόρᾳ πεπραγμένων, πότερον τὰς περὶ μελείας, καὶ τὰς παρασκευὰς τὰς πρὸς λακε-
δαιμονίους, δι' ὧν τὰ προειρημένα γέγονεν, ἢ τὸν τελευταῖον πόλεμον, ἢ τὴν κατάληψιν τῆς βασι-
λείας, ἢ τὴν ὅλην τῶν πραγμάτων διοίκησιν, εἰς πολλὴν ἀπορίαν ἂν καταστάιην. ἐκεῖνο γάρ μοι δο-
κεῖ μέγιστον εἶναι καὶ θαυμαστότατον, καθ' ὅτι ἂν αὐτῶν ἐπιστήσω τὴν γνώμην, ὥστ' εἴ τινες τῶν προγε-
γενημένων δι' ἀρετὴν ἀθάνατοι γεγόνασιν, οἶμαι κἀκεῖνον ἠξιῶσθαι ταύτης τῆς δωρεᾶς. σημείοις χρώμε-
χρώμενος
νος, ὅτι καὶ τὸν ἐνθάδε βίον, εὐτυχέστερον καὶ θεοφιλέστερον ἐκείνων διαβεβίωκε. τῶν μὲν γὰρ ἡμι-
θέων τοὺς πλείστους καὶ ὀνομαστοτάτους εὑρήσομεν, ταῖς μεγίσταις συμφοραῖς περιπεσόντας, εὐαγό-
ρας δὲ οὐ μόνον θαυμαστότατος ἐξ ἀρχῆς ὢν διετέλεσεν, ἀλλὰ καὶ μακαριστότατος. τί γὰρ ἀπέλιπεν
εὐδαιμονίας, ὃς τοιούτων μὲν προγόνων ἔτυχεν, οἵων οὐδεὶς ἄλλος πλὴν εἴ τις ἀπὸ τῆς αὐτῆς ἐκείνῳ
γέγονε. τοσοῦτον δὲ καὶ τῷ σώματι τῶν ἄλλων καὶ τῇ ῥώμῃ διήνεγκεν, ὥστε μὴ μόνον σαλαμῖνος, ἀλ-
λὰ καὶ τῆς ἀσίας ἁπάσης ἄξιος εἶναι τυραννεῖν. κάλλιστα δὲ κτησάμενος τὴν βασιλείαν, ἐν ταύτῃ τὸν
διετέλεσε
βίον διετέλεσε, θνητὸς δὲ γενόμενος ἀθάνατον τὴν περὶ αὐτοῦ μνήμην κατέλιπε. τοσοῦτον δὲ ἐβίω χρό-
νον, ὥστε μήτε τοῦ γήρως ἄμοιρος γενέσθαι, μήτε τῶν νοσημάτων μετασχεῖν τῶν διὰ ταύτην ἡλικίαν γι-
νομένων. πρὸς δὲ τούτοις ὃ δοκεῖ σπανιώτατον εἶναι καὶ χαλεπώτατον εὐπαιδίας τυχεῖν ἅμα, καὶ
πολυπαιδίας, οὐδὲ τούτου διήμαρτεν, ἀλλὰ καὶ τοῦτ' αὐτῷ συνέπεσε καὶ τὸ μέγιστον ὅτι τῶν ἐξ αὐ-
τοῦ γενομένων, οὐδένα κατέλιπεν ἰδιωτικοῖς ὀνόμασι προσαγορευόμενον, ἀλλὰ τὸν μὲν, βασιλέα κα-
λούμενον, τοὺς δὲ, ἄνακτας. τὰς δὲ, ἀνάσσας, ὥστ' εἴ τινες τῶν ποιητῶν περί τινος τῶν προγεγενημένων
ὑπερβολαῖς κέχρηνται λέγοντες, ὡς ἦν θεὸς ἐν ἀνθρώποις ἢ δαίμων, ἀλλ' οὐ θνητὸς, ἅπαντα τὰ
τοιαῦτα περὶ τὴν ἐκείνου ῥηθῆναι φύσιν μάλιστ' ἂν ἁρμόσειε. τῶν μὲν οὖν εἰς εὐαγόραν πολλὰ μὲν οἴο-
μαι παραλιπεῖν. ὑστερίζω γὰρ τῆς ἀκμῆς τῆς ἐμαυτοῦ. μεθ' ἧς ἂν ἀκριβέστερον καὶ φιλοπονώτερον ἐξειρ-
γασάμην ἂν τὸν ἔπαινον τοῦτον. οὐ μὴν ἀλλὰ καὶ νῦν ὅσον ἦν κατὰ τὴν ἐμὴν δύναμιν οὐκ ἀνεγκω-
μίαστός ἐστιν. ἐγὼ δὲ ὦ νικόκλεις ἡγοῦμαι μὲν εἶναι καλὰ μνημεῖα, καὶ τὰς τῶν σωμάτων εἰκόνας. πο-
λὺ μέντοι πλείονος ἀξίας τὰς τῶν πράξεων καὶ τῆς διανοίας, ἃς ἐν τοῖς λόγοις ἄν τις μόνον τοῖς τε-
χνικῶς ἔχουσι θεωρήσειε. προκρίνω δὲ ταύτας, πρῶτον μὲν εἰδὼς τοὺς καλοὺς καὶ ἀγαθοὺς τῶν ἀν-
δρῶν οὐχ οὕτως ἐπὶ τῷ κάλλει τοῦ σώματος σεμνυνομένους, ὡς ἐπὶ τοῖς ἔργοις καὶ τῇ μνήμῃ φι-
λοτιμουμένους. ἔπειθ' ὅτι τοὺς μὲν τύπους ἀναγκαῖον παρὰ τούτοις εἶναι μόνον παρ' οἷς ἂν σταθῶσι,
τοὺς δὲ λόγους ἐξενεχθῆναι οἷόν τ' ἐστὶν εἰς τὴν ἑλλάδα διαδοθέντας ἐν ταῖς τῶν εὖ φρονούντων διατρι-
βαῖς ἀγαπᾶσθαι, παρ' οἷς κρεῖττόν ἐστιν, ἢ παρὰ τοῖς ἄλλοις ἅπασιν εὐδοκιμεῖν. πρὸς δὲ τούτοις ὅτι
τοῖς μὲν πεπλασμένοις καὶ τοῖς γεγραμμένοις, οὐδεὶς ἂν τὴν τοῦ σώματος φύσιν ὁμοιώσειε. τοὺς δὲ
τρόπους τοὺς ἀλλήλων καὶ τὰς διανοίας τὰς ἐν τοῖς λεγομένοις ἐνούσας, ἐκ τούτων ῥᾴδιόν ἐστι μιμεῖσθαι,
τοῖς μὴ ῥαθυμεῖν αἱρουμένοις, ἀλλὰ χρηστοῖς εἶναι βουλομένοις. ὧν ἕνεκα καὶ μᾶλλον ἐπεχείρησα γρά-
φειν τοῦτον τὸν λόγον, ἡγούμενος καὶ σοὶ καὶ τοῖς σοῖς παισὶ καὶ τοῖς ἄλλοις τοῖς ἀπ' εὐαγόρου γεγο-
νόσι, πολὺ καλλίστην ἂν γενέσθαι ταύτην τὴν παράκλησιν, εἴ τις ἀθροίσας τὰς ἀρετὰς τὰς ἐκείνου καὶ
τῷ λόγῳ κοσμήσας, παραδοίη θεωρεῖν ὑμῖν, καὶ συνδιατρίβειν αὐταῖς, τοὺς μὲν γὰρ ἄλλους προτρέ-
πομεν ἐπὶ τὴν φιλοσοφίαν, ἑτέρους ἐπαινοῦντες, ἵνα ζηλοῦντες ἐκ τούτων τοὺς εὐλογουμένους, τῶν
αὐτῶν ἐκείνοις ἐπιτηδευμάτων ἐπιθυμῶσιν ἐγὼ δὲ σὲ καὶ τοὺς σοὺς, οὐκ ἀλλοτρίοις παραδείγμασι
χρώμενος, ἀλλ' οἰκείοις παρακαλῶ, καὶ συμβουλεύω προσέχειν τὸν νοῦν, ὅπως καὶ λέγειν, καὶ πράτ-
τειν μηδενὸς ἧττον δυνήσῃ τῶν ἑλλήνων. Καὶ μὴ νόμιζέ με καταγινώσκειν ὡς νῦν ἀμελεῖς. ὅτι πολ-
λάκις σοι διακελεύομαι περὶ τῶν αὐτῶν. οὐ γὰρ οὔτε ἐμὲ λέληθεν, οὔτε τοὺς ἄλλους, ὅτι καὶ μόνος
καὶ πρῶτος τῶν ἐν τυραννίδι καὶ πλούτῳ, καὶ τρυφαῖς ὄντων φιλοσοφεῖν καὶ φιλοπονεῖν ἐπιχεί-
ρησας. οὐδ' ὅτι πολλοὺς τῶν βασιλέων ποιήσεις, ζηλώσαντας τὴν σὴν παίδευσιν, τούτων τῶν διατρι-
βῶν ἐπιθυμεῖν, ἀφεμένους ἐφ' οἷς νῦν λίαν χαίρουσιν, ἀλλ' ὅμως ἐγὼ ταῦτα εἰδὼς, οὐδὲν ἧττον, καὶ
ποιῶ, καὶ ποιήσω ταυτὸν ὅπερ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν οἱ θεαταί. καὶ γὰρ ἐκεῖνοι παρακελεύονται
τῶν δρομέων, οὐ τοῖς ἀπολελειμμένοις, ἀλλὰ τοῖς περὶ τῆς νίκης ἀγωνιζομένοις. ἐμὸν μὲν οὖν ἐστι καὶ
τῶν ἄλλων φίλων, τοιαῦτα καὶ λέγειν καὶ γράφειν, ἐξ ὧν μέλλομέν σε παροξυνεῖν ὀρέγεσθαι τούτων,
ὧν περ καὶ νῦν τυγχάνεις ἐπιθυμῶν σοὶ δὲ προσήκει μηδὲν ἐλλείπειν, ἀλλ' ὥσπερ ἐν τῷ παρόντι
καὶ τὸν ἄλλον χρόνον ἐπιμελεῖσθαι, καὶ τὴν ψυχὴν ἀσκεῖν. ὅπως ἄξιος ἔσῃ καὶ τοῦ πατρὸς καὶ τῶν ἄλ-
λων προγόνων. ὡς ἅπασι μὲν προσήκει περὶ πολλοῦ ποιεῖσθαι τὴν φρόνησιν. μάλιστα δὲ ὑμῖν τοῖς πλεί-
στων κυρίοις οὖσι. χρὴ δὲ οὐκ ἀγαπᾶν εἰ τῶν παρόντων τυγχάνεις ὢν ἤδη κρείττων, ἀλλ' ἀγανακτεῖν. εἰ
τοιοῦτος μὲν αὐτὸς ὢν τὴν φύσιν, γεγονὼς δὲ τὸ μὲν παλαιὸν ἀπὸ διὸς, τὸ δ' ὑπογυιότατον ἐξ ἀνδρὸς
τοιούτου τὴν ἀρετὴν, εἰ μὴ πολὺ διοίσεις καὶ τῶν ἄλλων καὶ τῶν ἐν ταῖς αὐταῖς σοι τιμαῖς ὄντων.
ἔστι δὲ ἐπὶ σοὶ μὴ διαμαρτεῖν τούτων. ἐὰν γὰρ ἐμμένῃς τῇ φιλοσοφίᾳ, καὶ τοσοῦτον ἐπιδίδως, ὅσον περ
νῦν, ταχέως γενήσῃ τοιοῦτος, οἷόν σε προσήκει.

πεζὸν στρατόπεδον καταστήσαιντο, καὶ τούτῳ περιγένοιντο, τὰ περὶ τὴν ἤπειρον μόνην καλῶς ἕξειν. εἰ δὲ κατὰ θάλατταν κρατήσειαν, πᾶσαν τὴν Ἑλλάδα τῆς νίκης ταύτης μεθέξειν. ὅπερ συνέβη. πεισθέντων γὰρ ταῦτα τῶν στρατηγῶν καὶ ναυτικοῦ συλλεγέντος, Λακεδαιμόνιοι μὲν κατεναυμαχήθησαν, καὶ τῆς ἀρχῆς ἀπεστερήθησαν. οἱ δὲ Ἕλληνες ἠλευθερώθησαν. ἡ δὲ πόλις ἡμῶν τῆς τε παλαιᾶς δόξης μέρος τι πάλιν ἀπέλαβε, καὶ τῶν συμμάχων ἡγεμὼν κατέστη, καὶ ταῦτ' ἐπράχθη, Κόνωνος μὲν στρατηγοῦντος, Εὐαγόρου δὲ αὐτόν τε παρασχόντος, καὶ τῆς δυνάμεως τὴν πλείστην παρασκευάσαντος. ὑπὲρ ὧν ἡμεῖς μὲν αὐτοὺς ἐτιμήσαμεν ταῖς μεγίσταις τιμαῖς, καὶ τὰς εἰκόνας αὐτῶν ἐστήσαμεν. οὗπερ τὸ τοῦ Διὸς ἄγαλμα τοῦ σωτῆρος πλησίον ἐκείνου τε καὶ σφῶν αὐτῶν, ἀμφοτέρων ὑπόμνημα καὶ τοῦ μεγέθους τῆς εὐεργεσίας, καὶ τῆς φιλίας τῆς πρὸς ἀλλήλους. βασιλεὺς δὲ οὐ τὴν αὐτὴν γνώμην εἶχε περὶ αὐτῶν, ἀλλ' ὅσῳ μείζω καὶ πλείονος ἄξια κατειργάσαντο, τοσούτῳ μᾶλλον ἔδεισεν αὐτούς. περὶ μὲν οὖν Κόνωνος ἄλλος ἡμῖν ἔσται λόγος. ὅτι δὲ πρὸς Εὐαγόραν οὕτως ἔχων, οὐδ' αὐτὸς λαθεῖν ἐζήτησε. φαίνεται γὰρ μᾶλλον μὲν σπουδάσας περὶ τὸν ἐν Κύπρῳ πόλεμον, ἢ περὶ τοὺς ἄλλους ἅπαντας. μείζω δὲ καὶ χαλεπώτερον ἐκεῖνον ἀνταγωνιστὴν νομίσας, ἢ Κῦρον τὸν περὶ τῆς βασιλείας ἀμφισβητήσαντα. καὶ τούτου μέγιστον τεκμήριον. τοῦ μὲν γὰρ ἀκούων τὰς παρασκευάς, τοσοῦτον κατεφρόνησεν, ὥστε διὰ τὸ μὴ φροντίζειν μικροῦ δεῖν ἔλαθεν αὐτὸν ἐπὶ τὸ βασίλειον ἐπιστάς. πρὸς δὲ τοῦτον οὕτως ἐκ πολλοῦ περιδεῶς ἔσχεν, ὥστε μεταξὺ πάσχων εὖ, πολεμεῖν πρὸς αὐτὸν ἐπεχείρησε. δίκαια μὲν οὐ ποιῶν. οὐ μὴν παντάπασιν ἀλόγως βουλευσάμενος. ἠπίστατο μὲν γὰρ πολλοὺς καὶ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων ἐκ ταπεινῶν καὶ φαύλων πραγμάτων μεγάλας δυναστείας κατεργασαμένους. ᾐσθάνετο δὲ τὴν Εὐαγόρου μεγαλοψυχίαν καὶ τὰς ἐπιδόσεις αὐτοῦ καὶ τὰς δόξας τῶν πραγμάτων οὐ κατὰ μικρὸν γιγνομένας, ἀλλὰ καὶ τὴν φύσιν ἀνυπέρβλητον ἔχοντα, καὶ τὴν τύχην αὐτῷ συναγωνιζομένην. ὥστε οὐχ ὑπὲρ τῶν γεγενημένων ὀργιζόμενος, ἀλλὰ περὶ τῶν μελλόντων φοβούμενος. οὐδὲ περὶ Κύπρου μόνον δεδιώς, ἀλλὰ πολὺ περὶ μειζόνων, ἐποιήσατο τὸν πόλεμον πρὸς αὐτόν, οὕτω δ' οὖν ὥρμησεν, ὥστε εἰς τὴν στρατιὰν ταύτην πλέον ἢ πεντάκις μύρια τάλαντα κατηνάλωσεν, ἀλλ' ὅμως Εὐαγόρας ἀπολελειμμένος ταῖς δυνάμεσιν, ἀντιτάξας τὴν ἑαυτοῦ γνώμην πρὸς τὰς οὕτως ὑπερμεγέθεις παρασκευάς, ἐπέδειξεν αὑτὸν ἐν τούτοις πολὺ θαυμαστότερον, ἢ τοῖς ἄλλοις τοῖς προειρημένοις. ὅτε μὲν γὰρ αὐτὸν εἴων ἄγειν εἰρήνην, τὴν ἑαυτοῦ μόνην πόλιν εἶχεν. [εἴων] ἐπειδὴ δὲ ἠναγκάσθη πολεμεῖν, τοιοῦτος ἦν καὶ τοιοῦτον εἶχε Πρωταγόραν τὸν υἱὸν τὸν ἑαυτοῦ συναγωνιστήν, ὥστε μικροῦ μὲν ἐδέησε Κύπρον ἅπασαν κατασχεῖν. Φοινίκην δὲ ἐπόρθησε. Τύρον δὲ κατὰ κράτος εἷλε. Κιλικίαν δὲ βασιλέως ἀπέστησε. τοσούτους δὲ τῶν πολεμίων ἀπώλεσεν, ὥστε πολλοὺς τῶν Περσῶν πενθοῦντας τὰς ἑαυτῶν συμφορὰς, μεμνῆσθαι τῆς ἀρετῆς τῆς ἐκείνου. τελευτῶν δ' οὕτως ἐνέπλησεν αὐτοὺς τοῦ πολεμεῖν, ὥστε εἰθισμένων τὸν ἄλλον χρόνον τῶν βασιλέων μὴ διαλλάττεσθαι τοῖς ἀποστᾶσι πρὶν κύριοι γένοιντο τῶν σωμάτων, ἄσμενοι τὴν εἰρήνην ἐποιήσαντο λύσαντες μὲν τὸν νόμον τοῦτον. οὐδὲν δὲ κινήσαντες τῆς Εὐαγόρου τυραννίδος. καὶ Λακεδαιμονίων μὲν τῶν καὶ δόξαν καὶ δύναμιν μεγίστην ἐχόντων κατ' ἐκεῖνον τὸν καιρόν, ἐντὸς τριῶν ἐτῶν ἀφείλετο τὴν ἀρχήν. Εὐαγόρᾳ δὲ πολεμήσας ἔτη δέκα τῶν αὐτῶν κύριον κατέλιπεν, ὧνπερ ἦν καὶ πρὶν εἰς τὸν πόλεμον εἰσελθεῖν. ὃ δὲ πάντων θαυμαστότατον. τὴν γὰρ πόλιν ἣν Εὐαγόρας ἑτέρου τυραννεύοντος μετὰ πεντήκοντα ἀνδρῶν εἷλε, ταύτην βασιλεὺς ὁ μέγας τοσαύτην δύναμιν ἔχων, οὐχ οἷός τ' ἐγένετο χειρώσασθαι. καίτοι πῶς ἄν τις τὴν ἀνδρίαν ἢ τὴν φρόνησιν, ἢ σύμπασαν τὴν ἀρετὴν Εὐαγόρου φανερώτερον ἐπιδείξειεν, ἢ διὰ τοιούτων ἔργων καὶ κινδύνων. οὐ γὰρ μόνον φανεῖται τοὺς ἄλλους πολέμους, ἀλλὰ καὶ τὸν τῶν ἡρώων ὑπερβαλόμενος, τὸν ὑπὸ πάντων ἀνθρώπων ὑμνούμενον. οἱ μὲν γὰρ μετὰ πάσης Ἑλλάδος, Τροίαν μόνον εἷλον. ὁ δὲ μίαν πόλιν ἔχων πρὸς ἅπασαν τὴν Ἀσίαν ἐπολέμησεν. ὥστ' εἰ τοσοῦτοι τὸ πλῆθος ἐγκωμιάζειν αὐτὸν ἐβουλήθησαν, ὅσοιπερ ἐκείνους, πολὺ μεῖζον ἂν καὶ τὴν δόξαν αὐτῶν ἔλαβε. τίνα γὰρ ἂν εὑρήσομεν τῶν τότε γενομένων. εἰ τοὺς μύθους νῦν ἀφέντες, τὴν ἀλήθειαν σκοπῶμεν, τοιαῦτα διαπεπραγμένον. ἢ τίνα τοσούτων μεταβολῶν ἐν τοῖς πράγμασιν αἴτιον γεγενημένον. ὃς ἑαυτὸν μὲν ἐξ ἰδιώτου, τύραννον κατέστησε, τὸ δὲ γένος ἀπεληλαμένον ἅπαν τῆς πολιτείας, εἰς τὰς προσηκούσας τιμὰς πάλιν ἐπανήγαγε. τοὺς δὲ πολίτας, ἐκ βαρβάρων μὲν Ἕλληνας ἐποίησεν. ἐξ ἀνάνδρων δὲ πολεμικούς. ἐξ ἀδόξων δὲ ὀνομαστούς. τὸν δὲ τόπον ἄμικτον ὅλον παραλαβών, καὶ παντάπασιν ἐξηγριωμένον, ἡμερώτερον καὶ πρᾳότερον κατέστησεν. ἔτι δὲ πρὸς τούτοις, εἰς ἔχθραν μὲν βασιλεῖ καταστάς, οὕτως αὐτὸν ἠμύνατο καλῶς, ὥστε ἀείμνηστον γενέσθαι τὸν πόλεμον τὸν περὶ Κύπρον. ὅτε δὲ ἦν αὐτῷ σύμμαχος, τοσούτῳ χρησιμώτερον ἑαυτὸν παρέσχε τῶν ἄλλων, ὥστε ὁμολογουμένως μεγίστην αὐτῷ συμβαλέσθαι δύναμιν, εἰς τὴν ναυμαχίαν τὴν περὶ Κνίδον. ἧς γενομένης βασιλεὺς μὲν ἁπάσης τῆς Ἀσίας κύριος κατέστη. Λακεδαιμόνιοι δὲ, ἀντὶ τοῦ τὴν ἤπειρον πορθεῖν, περὶ τῆς ἑαυτῶν κινδυνεύειν ἠναγκάσθησαν. οἱ δὲ Ἕλληνες ἀντὶ δουλείας, αὐτονομίαν ἔσχον. Ἀθηναῖοι δὲ τοσοῦτον ἐπέδοσαν, ὥστε τοὺς πρότερον αὐτῶν ἄρχοντας, ἐλθεῖν ὡς αὐτοὺς τὴν ἀρχὴν παραδώσοντας. ὥστ' εἴ τις ἔροιτό με τί νομίζω μέγιστον

πάντας τυγχάνειν τῶν προσηκόντων. οὐ γὰρ ἐξ ὧν ἑτέρων ἤκουεν, οὔτε ἐκόλαζεν οὔτε ἐτίμα τοὺς πολίτας, ἀλλ' ἐξ ὧν αὐτὸς συνῄδει, τὰς κρίσεις ἐποιεῖτο περὶ αὐτῶν. ἐν ταῖς τοιαύταις δὲ ἐπιμελείαις ἑαυτὸν καταστήσας, οὐδὲ περὶ τῶν κατὰ τὴν ἡμέραν ἑκάστην προσπιπτόντων, οὐδὲ περὶ ἓν παρημελημένως ἔχων, ἀλλ' οὕτω θεοφιλῶς καὶ φιλανθρώπως διῴκει τὴν πόλιν, ὥστε τοὺς ἀφικνουμένους μὴ μᾶλλον Εὐαγόραν τῆς ἀρχῆς ζηλοῦν, ἢ τοὺς ἀρχομένους τῆς ὑπ' ἐκείνου βασιλείας. ἅπαντα γὰρ τὸν χρόνον διετέλεσεν οὐδένα μὲν ἀδικῶν, τοὺς δὲ χρηστοὺς τιμῶν, καὶ σφόδρα μὲν ἁπάντων ἄρχων, νομίμως δὲ τοὺς ἐξαμαρτάνοντας κολάζων, οὐδὲν μὲν συμβούλων δεόμενος, ὅμως δὲ τοῖς φίλοις συμβουλευόμενος. πολλὰ μὲν τῶν ὁμιλούντων ἑταίρων χρωμένων ἡττώμενος. ἅπαντα δὲ τῶν ἐχθρῶν περιγιγνόμενος. σεμνὸς ὢν οὐ ταῖς τοῦ προσώπου συναγωγαῖς, ἀλλὰ ταῖς τοῦ βίου κατασκευαῖς. οὐδὲ πρὸς ἓν ἀτάκτως, οὐδὲ ἀνωμάλως διακείμενος, ἀλλ' ὁμοίως τὰς ἐν τοῖς λόγοις ὁμολογίας, ὥσπερ τὰς ἐν τοῖς ὅρκοις διαφυλάττων. μέγα φρονῶν οὐκ ἐπὶ τοῖς διὰ τύχην, ἀλλ' ἐπὶ τοῖς δι' αὑτὸν γιγνομένοις ἀγαθοῖς. τοὺς μὲν φίλους ταῖς εὐεργεσίαις ὑφ' αὑτῷ ποιούμενος, τοὺς δ' ἄλλους τῇ μεγαλοψυχίᾳ καταδουλούμενος. φοβερὸς ὢν οὐ τῷ πολλοῖς χαλεπαίνειν, ἀλλὰ τῷ πολὺ τὴν φύσιν τῶν ἄλλων ὑπερβάλλειν. ἡγούμενος τῶν ἡδονῶν, ἀλλ' οὐκ ἀγόμενος ὑπ' αὐτῶν. ὀλίγοις πόνοις πολλὰς ῥᾳστώνας κτώμενος, ἀλλ' οὐ διὰ μικρὰς ῥᾳθυμίας, μεγάλους πόνους ὑπολειπόμενος, ὅλως δὲ οὐδὲν παραλιπὼν ὧν προσεῖναι τοῖς βασιλεῦσι πρέπει, ἀλλ' ἐξ ἑκάστης πολιτείας ἐκλεξάμενος τὸ βέλτιστον, καὶ δημοτικὸς μὲν ὢν τῇ τοῦ πλήθους θεραπείᾳ, πολιτικὸς δὲ τῇ τῆς πόλεως διοικήσει. στρατηγικὸς δὲ τῇ πρὸς κινδύνους εὐβουλίᾳ. τυραννικὸς δὲ τῷ πᾶσι τούτοις διαφέρειν. καὶ ταῦθ' ὅτι προσῆν Εὐαγόρᾳ, καὶ πλείω τούτων, ἐξ αὐτῶν τῶν ἔργων ῥᾴδιον καταμαθεῖν. παραλαβὼν γὰρ τὴν πόλιν ἐκβεβαρβαρωμένην, καὶ διὰ τὴν Φοινίκων ἀρχὴν οὔτε τοὺς Ἕλληνας προσδεχομένην, οὔτε τέχνας ἐπισταμένην, οὔτ' ἐμπορίῳ χρωμένην, οὔτε λιμένα κεκτημένην, ταῦτά τε πάντα διώρθωσε, καὶ πρὸς τούτοις καὶ χώραν πολλὴν προσεκτήσατο, καὶ τείχη προσπεριεβάλετο, καὶ τριήρεις ἐναυπηγήσατο, καὶ ταῖς ἄλλαις παρασκευαῖς οὕτως ηὔξησε τὴν πόλιν, ὥστε μηδεμιᾶς τῶν Ἑλληνίδων πόλεων ἀπολελεῖφθαι, καὶ δύναμιν τοσαύτην ἐνεποίησεν, ὥστε φοβεῖσθαι πολλοὺς τῶν πρότερον καταφρονούντων αὐτῆς, καίτοι τηλικαύτας ἐπιδόσεις τὰς πόλεις λαμβάνειν, οὐχ οἷόν τ' ἐστὶν, ἂν μή τις αὐτὰς διοικῇ τοιούτοις ἤθεσιν, οἵοις Εὐαγόρας μὲν εἶχεν, ἐγὼ δὲ ὀλίγῳ πρότερον ἐπειράθην διελθεῖν. ὥστε οὐ δέδοικα μὴ φανῶ μείζω λέγων τῶν ἐκείνῳ προσόντων, ἀλλὰ μὴ πολὺ λίαν ἀπολειφθῶ τῶν πεπραγμένων αὐτῷ. τίς γὰρ ἂν ἐφίκοιτο τοιαύτης φύσεως, ὃς οὐ μόνον τὴν αὑτοῦ πόλιν πλείονος ἀξίαν ἐποίησεν, ἀλλὰ καὶ τὸν περιέχοντα τόπον τὴν νῆσον ἐπὶ πραότητα καὶ μετριότητα προήγαγε. πρὶν μὲν γὰρ λαβεῖν Εὐαγόραν τὴν ἀρχὴν, οὕτως ἀπροσοίστως καὶ χαλεπῶς εἶχον, ὥστε καὶ τῶν ἀρχόντων τούτους ἐνόμιζον εἶναι βελτίστους, οἵτινες ἂν ὠμότατα πρὸς τοὺς Ἕλληνας διακείμενοι τυγχάνοιεν. νῦν δὲ τοσοῦτον μεταπεπτώκασιν, ὥσθ' ἁμιλλᾶσθαι μὲν, οἵτινες αὐτῶν δόξουσι φιλέλληνες μᾶλλον εἶναι, παιδοποιεῖσθαι δὲ τοὺς πλείστους αὐτῶν, γυναῖκας λαμβάνοντας παρ' ἡμῶν. χαίρειν δὲ καὶ τοῖς κτήμασι καὶ τοῖς ἐπιτηδεύμασι τοῖς ἑλληνικοῖς μᾶλλον, ἢ τοῖς παρὰ σφίσιν αὐτοῖς. πλείους δὲ καὶ τῶν περὶ τὴν μουσικὴν, καὶ τῶν περὶ τὴν ἄλλην παίδευσιν, ἐν τούτοις τοῖς τόποις διατρίβειν, ἢ παρ' οἷς πρότερον εἰώθεσαν, καὶ τούτων ἁπάντων οὐδεὶς ὅστις οὐκ ἂν Εὐαγόραν αἴτιον εἶναι ὁμολογήσειεν. μέγιστον δὲ τεκμήριον καὶ τοῦ τρόπου καὶ τῆς ὁσιότητος τῆς ἐκείνου. τῶν γὰρ Ἑλλήνων πολλοὶ καὶ καλοὶ κἀγαθοὶ τὰς ἑαυτῶν πατρίδας ἀπολιπόντες, ἦλθον εἰς Κύπρον οἰκήσοντες, ἡγούμενοι κουφοτέραν εἶναι, καὶ νομιμωτέραν τὴν Εὐαγόρου βασιλείαν τῶν οἴκοι πολιτειῶν. ὧν τοὺς μὲν ἄλλους ὀνομαστὶ διελθεῖν, πολὺ ἂν ἔργον εἴη. Κόνωνα δὲ τὸν διὰ πλείστας ἀρετὰς πρωτεύσαντα τῶν Ἑλλήνων, τίς οὐκ οἶδεν ὅτι δυστυχησάσης τῆς πόλεως, ἐξ ἁπάντων ἐκλεξάμενος, ὡς Εὐαγόραν ἦλθε, νομίσας καὶ τῷ σώματι βεβαιοτάτην εἶναι τὴν παρ' ἐκείνου καταφυγὴν καὶ τῇ πόλει τάχιστ' ἂν αὐτὸν γενέσθαι βοηθόν. πολλὰ δὲ πρότερον ἤδη κατωρθωκὼς, οὐδὲ περὶ ἑνὸς πώποτε πράγματος ἔδοξεν ἄμεινον ἢ περὶ τούτων βεβουλεῦσθαι. συνέβη γὰρ αὐτῷ διὰ τὴν ἄφιξιν τὴν εἰς Κύπρον, καὶ ποιῆσαι καὶ παθεῖν πλεῖστα ἀγαθά. πρῶτον μὲν, οὐκ ἔφθησαν ἀλλήλοις πλησιάσαντες, καὶ περὶ πλείονος ἐποιήσαντο σφᾶς αὐτοὺς ἢ πρότερον οἰκείους ὄντας. ἔπειτα περί τε τῶν ἄλλων ὁμονοοῦντες, ἅπαντα τὸν χρόνον διετέλεσαν, καὶ περὶ τῆς ἡμετέρας πόλεως τὴν αὐτὴν γνώμην εἶχον. ὁρῶντες γὰρ αὐτὴν ὑπὸ Λακεδαιμονίοις οὖσαν, καὶ μεγάλῃ μεταβολῇ κεχρημένην, λυπηρῶς καὶ βαρέως ἔφερον, ἀμφότεροι προσήκοντα ποιοῦντες. τῷ μὲν γὰρ ἦν φύσει πατρίς. τὸν δὲ καὶ διὰ πολλὰς καὶ μεγάλας εὐεργεσίας, νόμῳ πολίτην ἐπεποίηντο. σκοπουμένοις δὲ αὐτοῖς, ὅπως τῶν συμφορῶν αὐτὴν ἀπαλλάξωσι, ταχὺ τὸν καιρὸν Λακεδαιμόνιοι παρεσκεύασαν. ἄρχοντες γὰρ τῶν Ἑλλήνων καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν εἰς τοῦτ' ἀπληστίας ἦλθον, ὥστε καὶ τὴν Ἀσίαν κακῶς ποιεῖν ἐπεχείρησαν, λαβόντες δὲ ἐκεῖνοι τοῦτον τὸν καιρὸν, καὶ τῶν στρατηγῶν τῶν βασιλέως ἀπορούντων ὅ τι χρήσωνται τοῖς παροῦσιν, ἐδίδασκον αὐτοὺς μὴ κατὰ γῆν, ἀλλὰ κατὰ θάλατταν τὸν πόλεμον τὸν πρὸς Λακεδαιμονίους ποιεῖσθαι. νομίζοντες εἰ μὲν

κινδύνων ἠξίωσεν, ἀλλ' οἱ μὲν ὡς περὶ θεῶν συνακολουθήσαντες ἅπαντες ἐνέμειναν τοῖς ὁμολογημένοις. ὁ δὲ ὡς περὶ στρατόπεδον ἔχων κρεῖττον τῶν ἀντιπάλων, ἢ προειδὼς τὸ συμβησόμενον, οὕτω διέκειτο τὴν γνώμην. δῆλον δὲ ἐκ τῶν ἔργων. ἀποβὰς γὰρ εἰς τὴν νῆσον οὐχ ἡγήσατο δεῖν χωρίον ἐχυρὸν καταλαβὼν, καὶ τὸ σῶμα ἐν ἀσφαλείᾳ καταστήσας, περιιδεῖν εἴ τινες αὐτῷ τῶν πολιτῶν βοηθήσουσιν, ἀλλ' εὐθὺς ὥσπερ εἶχε ταύτης τῆς νυκτὸς, διελὼν τοῦ τείχους πυλίδα, καὶ ταύτῃ τοὺς μεθ' ἑαυτοῦ διαγαγὼν, προσέβαλε πρὸς τὸ βασίλειον, καὶ τοὺς μὲν θορύβους τοὺς ἐν τοῖς τοιούτοις καιροῖς συμβαίνοντας, καὶ τοὺς φόβους τῶν ἄλλων, καὶ τὰς παρακελεύσεις τὰς ἐκείνου, τί δεῖ λέγοντα διατρίβειν. γενομένων δὲ αὐτῷ, τῶν μὲν περὶ τὸν τύραννον ἀνταγωνιστῶν, τῶν δὲ ἄλλων πολιτῶν θεατῶν, δεδιότες γὰρ τοῦ μὲν τὴν ἀρχὴν, τοῦ δὲ τὴν ἀρετὴν, ἡσυχίαν ἦγον, οὐ πρότερον ἐπαύσατο μαχόμενος καὶ μόνος, καὶ πρὸς πολλοὺς καὶ μετ' ὀλίγων πρὸς ἅπαντας τοὺς ἐχθροὺς, πρὶν ἑλεῖν τὸ βασίλειον, καὶ τοὺς ἐχθροὺς ἐτιμωρήσατο, καὶ τοῖς φίλοις ἐβοήθησεν. ἔτι δὲ τῷ γένει τιμὰς πατρίους ἐκομίσατο, καὶ τύραννον αὐτὸν τῆς πόλεως κατέστησεν. ἡγοῦμαι μὲν οὖν εἰ καὶ μηδενὸς ἄλλου μνησθείην, ἀλλ' ἐνταῦθα καταλίποιμι τὸν λόγον, ῥᾴδιον ἐκ τούτων εἶναι γνῶναι, τήν τε ἀρετὴν τὴν εὐαγόρου, καὶ τὸ μέγεθος τῶν ἐκείνῳ πεπραγμένων. οὐ μὴν ἀλλ' ἔτι γε σαφέστερον περὶ ἀμφοτέρων τούτων ἐκ τῶν ἐχομένων οἶμαι δηλώσειν. τοσούτων γὰρ τυράννων ἐν ἅπαντι τῷ χρόνῳ γεγενημένων, οὐδεὶς φανήσεται τὴν τιμὴν ταύτην κάλλιον ἐκείνου κτησάμενος. εἰ μὲν οὖν πρὸς ἕκαστον αὐτῶν τὰς πράξεις τὰς εὐαγόρου παραβάλλοιμεν, οὔτ' ἂν ὁ λόγος ἴσως τοῖς ἀκούουσιν ἁρμόσειεν, οὔτ' ἂν ὁ χρόνος τοῖς λεγομένοις ἀρκέσειεν. ἐὰν δὲ προελόμενοι τοὺς εὐδοκιμωτάτους, ἐπὶ τούτων σκοπῶμεν, οὐδὲν μὲν χεῖρον ἐξετάσομεν, πολὺ δὲ συντομώτερον διαλεχθησόμεθα περὶ αὐτῶν. τῶν μὲν οὖν τὰς πατρικὰς βασιλείας παραλαβόντων, τίς οὐκ ἂν τοὺς εὐαγόρου κινδύνους προκρίνειεν; οὐδεὶς γάρ ἐστιν οὕτω ῥᾴθυμος ὅστις ἂν δέξαιτο παρὰ τῶν προγόνων τὴν ἀρχὴν ταύτην παραλαβεῖν μᾶλλον, ἢ κτησάμενος ὥσπερ ἐκεῖνος, τοῖς παισὶ τοῖς ἑαυτοῦ καταλιπεῖν. καὶ μὴν τῶν γε παλαιῶν καθόδων αὗται μάλιστα εὐδοκιμοῦσιν ἃς παρὰ τῶν ποιητῶν ἀκούομεν. οὗτοι γὰρ οὐ μόνον τῶν προγεγενημένων τὰς καλλίστας ἡμῖν ἀπαγγέλλουσιν, ἀλλὰ καὶ παρ' αὑτῶν καινὰς συντιθέασιν. ἀλλ' ὅμως οὐδεὶς αὐτῶν μεμυθολόγηκεν, ὅστις οὕτω δεινοὺς καὶ φοβεροὺς ποιησάμενος κινδύνους, εἰς τὴν ἑαυτοῦ κατῆλθεν, ἀλλ' οἱ μὲν πλεῖστοι πεποίηνται διὰ τύχην λαβόντες τὰς βασιλείας, οἱ δὲ μετὰ δόλου καὶ τέχνης περιγενόμενοι τῶν ἐχθρῶν. ἀλλὰ μὴν τῶν γε ἔπειτα γεγενημένων, ἴσως δὲ καὶ τῶν ἁπάντων, κῦρον τὸν μήδων μὲν ἀφελόμενον τὴν ἀρχὴν, πέρσαις δὲ κτησάμενον οἱ πλεῖστοι καὶ μάλιστα θαυμάζουσιν. ἀλλ' ὁ μὲν τῷ περσῶν στρατοπέδῳ, τὸ μήδων ἐνίκησεν. ὃ πολλοὶ καὶ τῶν ἑλλήνων καὶ τῶν βαρβάρων ῥᾳδίως ἂν ποιήσειαν. ὁ δὲ διὰ τῆς ψυχῆς τῆς ἑαυτοῦ καὶ τοῦ σώματος, τὰ πλεῖστα φαίνεται τῶν προειρημένων διαπραξάμενος. ἔπειτα ἐκ μὲν τῆς κύρου στρατείας οὔπω δῆλον ὅτι καὶ τοὺς εὐαγόρου κινδύνους ἂν ὑπέμεινεν. ἐκ δὲ τῶν τούτῳ πεπραγμένων, ἅπασι φανερὸν ὅτι ῥᾳδίως ἂν κἀκείνοις τοῖς ἔργοις ἐπεχείρησε. πρὸς δὲ τούτοις, τῷ μὲν ὁσίως καὶ δικαίως πέπρακται ἅπαντα. τῷ δὲ οὐκ εὐσεβῶς ἔνια συμβέβηκεν. ὁ μὲν γὰρ τοὺς ἐχθροὺς ἀπώλεσε, κῦρος δὲ τὸν πατέρα τῆς μητρὸς ἀπέκτεινεν. ὥστ' εἴ τινες βούλοιντο μὴ τὸ μέγεθος τῶν συμβάντων, ἀλλὰ τὴν ἀρετὴν ἑκατέρου κρίνειν, δικαίως ἂν εὐαγόραν καὶ τούτου μᾶλλον ἐπαινέσειαν. εἰ δὲ δεῖ συντόμως καὶ μηδὲν ὑποστειλάμενον μηδὲ δείσαντα τὸν φθόνον, ἀλλὰ παρρησίᾳ χρησάμενον εἰπεῖν, οὐδεὶς οὔτε θνητὸς, οὔτε ἡμίθεος, οὔτε ἀθάνατος εὑρεθήσεται κάλλιον, οὐδὲ λαμπρότερον, οὐδ' εὐσεβέστερον λαβὼν ἐκείνου τὴν βασιλείαν. καὶ τούτοις ἐκείνως μάλιστ' ἄν τις πιστεύσειεν, εἰ μὴ σφόδρα τοῖς νῦν λεγομένοις ἀπιστήσας, ἐξετάζειν ἐπιχειρήσειεν, ὅπως ἕκαστος ἐτυράννησε. φανήσομαι γὰρ οὐκ ἐκ παντὸς τρόπου μεγάλα λέγειν προθυμούμενος, ἀλλὰ διὰ τὴν τοῦ πράγματος ἀλήθειαν, οὕτω περὶ αὐτοῦ θρασέως εἰρηκώς. εἰ μὲν οὖν ἐπὶ μικροῖς διήνεγκε, τοιούτων ἂν καὶ τῶν λόγων αὐτὸν προσῆκεν ἀξιοῦσθαι. νῦν δὲ πάντες ἂν ὁμολογήσειαν, τυραννίδα καὶ τῶν θείων ἀγαθῶν καὶ τῶν ἀνθρωπίνων, μέγιστον καὶ σεμνότατον καὶ περιμαχητότατον εἶναι. τὸν δὴ τὸ κάλλιστον τῶν ὄντων κάλλιστα κτησάμενον, τίς ἂν ἢ ῥήτωρ, ἢ ποιητὴς, ἢ λόγων εὑρετὴς, ἀξίως τῶν πεπραγμένων ἐπαινέσειεν; οὐ τοίνυν ἐν τούτοις ὑπερβαλόμενος, ἐν τοῖς ἄλλοις εὑρεθήσεται καταδεέστερος γεγονὼς, ἀλλὰ πρῶτον μὲν εὐφυέστατος ὢν τὴν γνώμην, καὶ πλεῖστα κατορθοῦν δυνάμενος, ὅμως οὐκ ᾠήθη δεῖν ὀλιγωρεῖν, οὐδ' αὐτοσχεδιάζειν περὶ τῶν πραγμάτων, ἀλλ' ἐν τῷ ζητεῖν καὶ φροντίζειν καὶ βουλεύεσθαι, τὸν πλεῖστον χρόνον διέτριβεν, ἡγούμενος μὲν εἰ καλῶς τὴν ἑαυτοῦ φρόνησιν παρασκευάσειε, καλῶς αὐτῷ καὶ τὴν βασιλείαν ἕξειν. θαυμάζων δὲ ὅσοι τῆς μὲν ψυχῆς ἕνεκα, τῶν ἄλλων ποιοῦνται τὴν ἐπιμέλειαν, αὐτῆς δὲ μηδὲν τυγχάνουσι φροντίζοντες. ἔπειτα καὶ περὶ τῶν πραγμάτων τὴν αὐτὴν διάνοιαν εἶχεν. ὁρῶν γὰρ τοὺς ἄριστα τῶν ὄντων ἐπιμελουμένους ἐλάχιστα λυπουμένους, καὶ τὰς ἀληθινὰς τῶν ῥᾳθυμιῶν οὐκ ἐν ταῖς ἀργίαις, ἀλλ' ἐν ταῖς εὐπραγίαις καὶ ταῖς καρτερίαις οὔσας, οὐδὲν ἀνεξέταστον παρέλειπεν, ἀλλ' οὕτως ἀκριβῶς καὶ τὰς πράξεις ᾔδει, καὶ τῶν πολιτῶν ἕκαστον ἐγίνωσκεν, ὥστε μήτε τοὺς ἐπιβουλεύοντας αὐτῷ φθάνειν, μήτε τοὺς ἐπιεικεῖς ὄντας λανθάνειν, ἀλλὰ

θον οἱ προεστῶτες τῶν πόλεων ἱκετεύοντες αὐτόν. νομίζοντες διὰ τῆς εὐγενείας καὶ τῆς εὐσεβείας τῆς ἐκείνου, τάχιστ᾽ ἂν εὑρέσθαι παρὰ τῶν θεῶν τῶν παρόντων κακῶν ἀπαλλαγήν. σωθέντες δὲ καὶ τυχόντες πάντων ὧν ἐδεήθησαν, ἱερὸν ἐν αἰγίνῃ κατεστήσαντο κοινὸν τῶν ἑλλήνων, οὗπερ ἐκεῖνος ἐποιήσατο τὴν εὐχήν, καὶ κατ᾽ ἐκεῖνόν τε τὸν χρόνον, ἕως ἦν μετ᾽ ἀνθρώπων, μετὰ καλλίστης δόξης ὢν διετέλεσεν. ἐπειδὴ δὲ μετήλλαξε τὸν βίον, λέγεται παρὰ πλούτωνι καὶ κόρῃ, τιμὰς μεγίστας ἔχων παρεδρεύειν ἐκείνοις. τούτου δὲ παῖδες ἦσαν, τελαμὼν καὶ πηλεύς. ὧν ὁ μὲν ἕτερος μεθ᾽ ἡρακλέους ἐπὶ λαομέδοντα στρατευσάμενος, τῶν ἀριστείων ἔτυχε. πηλεὺς δὲ ἐν τῇ μάχῃ τῇ πρὸς κενταύρους ἀριστεύσας, καὶ κατὰ πολλοὺς ἄλλους κινδύνους εὐδοκιμήσας, θέτιδι τῇ νηρέως θνητὸς ὢν, ἀθανάτῳ συνῴκησε, καὶ μόνου τούτου φασὶ τῶν προγεγενημένων ὑπὸ θεῶν ἐν τοῖς γάμοις ὑμέναιον ᾀσθῆναι. τούτοιν δ᾽ ἑκατέροιν. τελαμῶνος μὲν αἴας καὶ τεῦκρος ἐγενήθη. πηλέως δὲ ἀχιλλεύς. οἳ μέγιστον καὶ σαφέστατον ἔλεγχον ἔδοσαν τῆς αὑτῶν ἀρετῆς. οὐ γὰρ ἐν ταῖς αὑτῶν πόλεσιν ἐπρώτευσαν μόνον, οὐδὲ ἐν τοῖς τόποις, ἐν οἷς κατῴκουν, ἀλλὰ στρατείας τοῖς ἕλλησιν ἐπὶ τοὺς βαρβάρους γενομένης, καὶ πολλῶν μὲν ἑκατέρωθεν ἀθροισθέντων, οὐδενὸς δὲ τῶν ὀνομαστῶν ἀπολειφθέντος, ἐν τούτοις τοῖς κινδύνοις, ἀχιλλεὺς μὲν ἁπάντων διήνεγκεν. αἴας δὲ μετ᾽ ἐκεῖνον ἠρίστευσε. τεῦκρος δὲ τῆς τε τούτων συγγενείας ἄξιος. καὶ τῶν ἄλλων οὐδενὸς χείρων γενόμενος, ἐπειδὴ τροίαν συνεξεῖλεν ἀφικόμενος εἰς κύπρον, σαλαμῖνά τε κατῴκισεν ὁμώνυμον ποιήσας τῆς πρότερον αὐτῷ πατρίδος οὔσης, καὶ τὸ γένος τὸ νῦν βασιλεῦον κατέλιπε.

Τὰ μὲν οὖν ἐξ ἀρχῆς εὐαγόρᾳ παρὰ τῶν προγόνων ὑπάρξαντα τηλικαῦτα τὸ μέγεθός ἐστι. τὸν τρόπον δὲ τὸν τρόπον τῆς πόλεως οἰκισθείσης, κατὰ μὲν ἀρχὰς οἱ γεγονότες ἀπὸ τεύκρου, τὴν βασιλείαν εἶχον. χρόνῳ δὲ ὕστερον ἀφικόμενος ἐκ φοινίκης ἀνὴρ φυγάς, καὶ πιστευθεὶς ὑπὸ τοῦ βασιλεύοντος τότε, καὶ δυναστείας μεγάλας λαβών, οὐ χάριν ἔσχε τούτων, ἀλλὰ κακὸς μὲν γενόμενος περὶ τὸν ὑποδεξάμενον, δεινὸς δὲ πρὸς τὸ πλεονεκτῆσαι, τὸν μὲν εὐεργέτην ἐξέβαλεν, αὐτὸς δὲ τὴν βασιλείαν κατέσχεν. ἀπιστῶν δὲ τοῖς πεπραγμένοις καὶ βουλόμενος ἀσφαλῶς καταστήσασθαι τὰ περὶ αὑτόν. τήν τε πόλιν ἐξεβαρβάρωσε, καὶ τὴν νῆσον ὅλην βασιλεῖ τῷ μεγάλῳ κατεδούλωσεν, οὕτω δὲ τῶν πραγμάτων καθεστώτων εὐαγόρας γίνεται. περὶ οὗ τὰς μὲν φήμας καὶ τὰς μαντείας καὶ τὰς ὄψεις τὰς ἐν τοῖς ὕπνοις γενομένας, ἐξ ὧν μείζων ἂν φανείη γεγονὼς ἢ κατὰ ἄνθρωπον, αἱροῦμαι καταλιπεῖν. οὐκ ἀπιστῶν τοῖς λεγομένοις, ἀλλ᾽ ἵνα πᾶσι ποιήσω φανερὸν, ὅτι τοσούτου δέω πλασάμενος εἰπεῖν τι περὶ τῶν ἐκείνῳ πεπραγμένων, ὥστε καὶ τῶν ὑπαρχόντων ἀφίημι τὰ τοιαῦτα. περὶ ὧν ὀλίγοι τινὲς ἐπίστανται, καὶ μὴ πάντες οἱ πολῖται συνίσασιν. ἄρξομαι δὲ ἐκ τῶν ὁμολογουμένων λέγειν περὶ αὐτοῦ. παῖς μὲν γὰρ ὢν ἔσχε κάλλος καὶ ῥώμην καὶ σωφροσύνην. ἅπερ τῶν ἀγαθῶν πρεπωδέστατα τοῖς τηλικούτοις ἐστὶ, καὶ τούτων ἄν τις μάρτυρας ποιήσαιτο, τῆς μὲν σωφροσύνης τοὺς συμπαιδευθέντας τῶν πολιτῶν, τοῦ δὲ κάλλους ἅπαντας τοὺς ἰδόντας. τῆς δὲ ῥώμης τοὺς ἀγῶνας. ἐν οἷς ἐκεῖνος τῶν ἡλικιωτῶν ἐκρατίστευσεν. ἀνδρὶ δὲ γενομένῳ, ταῦτά τε πάντα συνηυξήθη, καὶ πρὸς τούτοις ἀνδρία προσεγένετο, καὶ σοφία καὶ δικαιοσύνη, καὶ ταῦτα οὐ μέσως, οὐδ᾽ ὥσπερ ἐν ἑτέροις τισὶν, ἀλλ᾽ ἕκαστον αὐτῶν πρὸς ὑπερβολήν. τοσοῦτο γὰρ καὶ ταῖς τοῦ σώματος, καὶ ταῖς τῆς ψυχῆς ἀρεταῖς διήνεγκεν, ὥστε ὁπότε μὲν αὐτὸν ὁρῷεν οἱ τότε βασιλεύοντες, ἐκπλήττεσθαι καὶ φοβεῖσθαι περὶ τῆς ἀρχῆς. ἡγουμένους οὐχ οἷόν τ᾽ εἶναι τὸν τοιοῦτον τὴν φύσιν, ἐν ἰδιώτου μέρει διαγαγεῖν. ὁπότε δὲ εἰς τοὺς τρόπους ἀποβλέψαιεν, οὕτω σφόδρα ἐπίστευον, ὥστε καὶ εἴ τις ἄλλος τολμῴη περὶ αὐτοὺς ἐξαμαρτάνειν νομίζειν εὐαγόραν αὐτοῖς ἔσεσθαι βοηθὸν, καὶ τοσοῦτον τῆς δόξης παραλλαττούσης, οὐδετέρου τούτων ἐψεύσθησαν. οὔτε γὰρ ἰδιώτης ὢν διετέλεσεν. οὔτε περὶ ἐκείνους ἐξήμαρτεν, ἀλλὰ τοσαύτην ὁ δαίμων ἔσχεν αὐτοῦ πρόνοιαν, ὅπως καλῶς λήψεται τὴν βασιλείαν, ὥσθ᾽ ὅσα μὲν ἀναγκαῖον ἦν παρασκευασθῆναι δι᾽ ἀσεβείας, ταῦτα μὲν ἕτερος ἔπραξεν. ἐξ ὧν δ᾽ οἷόν τ᾽ ἦν ὁσίως καὶ δικαίως λαβεῖν τὴν ἀρχὴν, εὐαγόρᾳ διεφύλαξεν. εἷς γὰρ τῶν δυναστευόντων ἐπιβουλεύσας, τόν τε τύραννον ἀπέκτεινε, καὶ συλλαβεῖν εὐαγόραν ἐπεχείρησεν. ἡγούμενος οὐ δυνήσεσθαι κατασχεῖν τὴν ἀρχὴν, εἰ μὴ κἀκεῖνον ἐκποδὼν ποιήσειε. διαφυγὼν δὲ τὸν κίνδυνον καὶ σωθεὶς εἰς σόλους τῆς κιλικίας, οὐ τὴν αὐτὴν γνώμην ἔσχε τοῖς ταῖς τοιαύταις συμφοραῖς περιπίπτουσιν. οἱ μὲν γὰρ ἄλλοι, κἂν ἐκ τυραννίδος ἐκπέσωσι, διὰ τὰς παρούσας τύχας, ταπεινοτέρας τὰς ψυχὰς ἔχουσιν. ἐκεῖνος δὲ εἰς τοσοῦτο μεγαλοφροσύνης ἦλθεν, ὥστε τὸν ἄλλον χρόνον ἰδιώτης ὢν, ἐπειδὴ φυγεῖν ἠναγκάσθη, τυραννεῖν ᾠήθη δεῖν, καὶ τοὺς μὲν πλανοὺς τοὺς φυγαδικοὺς καὶ τὸ δι᾽ ἑτέρων ζητεῖν τὴν κάθοδον, καὶ θεραπεύειν τοὺς αὑτοῦ χείρους, ὑπερεῖδε. λαβὼν δὲ ταύτην τὴν ἀφορμὴν, ἥνπερ χρὴ τοὺς εὐσεβεῖν βουλομένους ἀμύνεσθαι καὶ μὴ προτέρους ὑπάρχειν, καὶ προελόμενος ἢ κατορθώσας τυραννεῖν, ἢ διαμαρτὼν ἀποθανεῖν, παρακαλέσας ἀνθρώπους ὡς οἱ πλεῖστοι λέγουσι περὶ πεντήκοντα, μετὰ τούτων παρεσκευάζετο ποιεῖσθαι τὴν κάθοδον. ὅθεν καὶ μάλιστ᾽ ἄν τις τὴν φύσιν τὴν ἐκείνου καὶ τὴν δόξαν ἣν εἶχε παρὰ τοῖς ἄλλοις θεωρήσειε. μέλλων τε γὰρ πλεῖν μετὰ τοσούτων ἐπὶ τηλικαύτην πρᾶξιν τὸ μέγεθος, καὶ πάντων τῶν δεινῶν πλησίον ὄντων, οὔτ᾽ ἐκεῖνος ἠθύμησεν, οὔτε τῶν παρακληθέντων οὐδεὶς ἀποστῆναι τῶν

ΕΥΑΓΟΡΑΣ ΙΣΟΚΡΑΤΟΥΣ.

ὁ

ρῶν ὦ Νικόκλεις τιμῶντά σε τὸν τάφον τοῦ πατρὸς, οὐ μόνον τῷ πλήθει καὶ τῷ κάλλει τῶν ἐπιφερομένων, ἀλλὰ καὶ χοροῖς καὶ μουσικῇ καὶ γυμνικοῖς ἀγῶσιν, ἔτι δὲ πρὸς τούτοις, ἵππων τε καὶ τριηρῶν ἁμίλλαις, καὶ λείποντα οὐδεμίαν τῶν τοιούτων ὑπερβολὴν, ἡγησάμην Εὐαγόραν εἴτις ἐστὶν αἴσθησις τοῖς τετελευτηκόσι περὶ τῶν ἐνθάδε γιγνομένων, εὐμενῶς μὲν ἀποδέχεσθαι καὶ ταῦτα, καὶ χαίρειν ὁρῶντα τήν τε περὶ αὐτὸν ἐπιμέλειαν, καὶ τὴν σὴν μεγαλοπρέπειαν. πολὺ δ' ἂν ἔτι πλείω χάριν ἔχειν, ἢ τοῖς ἄλλοις ἅπασιν, εἴτις δυνηθείη περὶ τῶν ἐπιτηδευμάτων αὐτοῦ καὶ τῶν κινδύνων ἀξίως διελθεῖν τῶν ἐκείνῳ πεπραγμένων. εὑρήσομεν γὰρ τοὺς φιλοτίμους καὶ μεγαλοψύχους τῶν ἀνδρῶν, οὐ μόνον ἀντὶ τῶν τοιούτων ἐπαινεῖσθαι βουλομένους, ἀλλ' ἀντὶ τοῦ ζῆν ἀποθνήσκειν εὐκλεῶς αἱρουμένους, καὶ μᾶλλον περὶ τῆς δόξης, ἢ τοῦ βίου σπουδάζοντας, καὶ πάντα ποιοῦντας, ὅπως ἀθάνατον τὴν περὶ αὐτῶν μνήμην καταλείψωσιν. αἱ μὲν οὖν δαπάναι τῶν μὲν τοιούτων οὐδὲν ἐξεργάζονται. τοῦ δὲ πλούτου σημεῖόν εἰσιν. οἱ δὲ περὶ τὴν μουσικὴν καὶ τὰς ἄλλας ἀγωνίας ὄντες, οἱ μὲν τὰς δυνάμεις αὐτῶν, οἱ δὲ τὰς τέχνας ἐπιδειξάμενοι, σφᾶς αὐτοὺς ἐντιμοτέρους κατέστησαν. ὁ δὲ λόγος εἰ καλῶς διέλθοι τὰς ἐκείνου πράξεις, ἀείμνηστον ἂν τὴν ἀρετὴν τὴν Εὐαγόρου παρὰ πᾶσιν ἀνθρώποις ποιήσειεν. ἐχρῆν μὲν οὖν καὶ τοὺς ἄλλους ἐπαινεῖν τοὺς ἐφ' ἑαυτῶν ἄνδρας, ἀγαθοὺς γεγενημένους, ἵνα οἵ τε δυνάμενοι τὰ τῶν πολλῶν ἔργα κοσμεῖν, ἐν εἰδόσι ποιούμενοι τοὺς λόγους ταῖς ἀληθείαις ἐχρῶντο περὶ αὐτῶν. οἵ τε νεώτεροι φιλοτιμοτέρως διέκειντο πρὸς τὴν ἀρετὴν, εἰδότες ὅτι τούτων εὐλογηθήσονται μᾶλλον, ὧν ἂν ἀμείνους σφᾶς αὐτοὺς παράσχωσι. νῦν δὲ τίς οὐκ ἂν ἀθυμήσειεν, ὅταν ὁρᾷ τοὺς μὲν περὶ τὰ Τρωικὰ καὶ τοὺς ἐπέκεινα γενομένους ὑμνουμένους, καὶ τραγῳδουμένους, ἑαυτὸν δὲ προειδῇ, μὴδ' ἂν ὑπερβάλληται τὰς ἐκείνων ἀρετὰς, μηδέποτε τοιούτων ἐπαίνων ἀξιωθησόμενον. Τούτων δ' αἴτιος ὁ φθόνος, ᾧ τοῦτο μόνον πρόσεστιν ἀγαθὸν, ὅτι μέγιστον κακὸν τοῖς ἔχουσίν ἐστιν. οὕτω γάρ τινες δυσκόλως πεφύκασιν, ὥσθ' ἥδιον εὐλογουμένων ἀκούειν, οὓς οὐκ ἴσασιν εἰ γεγόνασιν, ἢ τούτων ὑφ' ὧν εὖ πεπονθότες αὐτοὶ τυγχάνουσιν ἀποδέχεσθαι. οὐ μὴν δουλευτέον τούς γε νοῦν ἔχοντας, τοῖς οὕτω κακῶς φρονοῦσιν, ἀλλὰ τῶν μὲν τοιούτων ἀμελητέον, τοὺς δὲ ἄλλους ἐθιστέον ἀκούειν περὶ ὧν καὶ λέγειν δικαιότερόν ἐστιν, ἄλλως τ' ἐπειδὴ καὶ τὰς ἐπιδόσεις ἴσμεν γιγνομένας καὶ τῶν τεχνῶν καὶ τῶν ἄλλων ἁπάντων οὐ διὰ τοὺς ἐμμένοντας τοῖς καθεστῶσιν, ἀλλὰ διὰ τοὺς ἐπανορθοῦντας καὶ τολμῶντας ἀεί τι κινεῖν τῶν μὴ καλῶς ἐχόντων. οἶδα μὲν οὖν, ὅτι χαλεπόν ἐστιν ὃ μέλλω ποιεῖν, ἀνδρὸς ἀρετὴν διὰ λόγων ἐγκωμιάζειν. σημεῖον δὲ μέγιστον, περὶ μὲν γὰρ ἄλλων πολλῶν, καὶ παντοδαπῶν λέγειν τολμῶσιν, οἱ περὶ τὴν φιλοσοφίαν ὄντες, περὶ δὲ τῶν τοιούτων οὐδεὶς πώποτε αὐτῶν συγγράφειν ἐπεχείρησε, καὶ πολλὴν αὐτοῖς ἔχω συγγνώμην, τοῖς μὲν γὰρ ποιηταῖς πολλοὶ δέδονται κόσμοι, καὶ γὰρ πλησιάζοντας τοῖς ἀνθρώποις τοὺς θεοὺς οἷόν τ' αὐτοῖς ἐστι ποιῆσαι, καὶ διαλεγομένους καὶ συναγωνιζομένους οἷς ἂν βουληθῶσι, καὶ περὶ τούτων δηλῶσαι, μὴ μόνον τοῖς τεταγμένοις ὀνόμασιν, ἀλλὰ τὰ μὲν ξένοις, τὰ δὲ καινοῖς, τὰ δὲ μεταφοραῖς, καὶ μηδὲν παραλιπεῖν, ἀλλὰ πᾶσι τοῖς εἴδεσι διαποικῖλαι τὴν ποίησιν. τοῖς δὲ περὶ τοὺς λόγους οὐδὲν ἔξεστι τῶν τοιούτων, ἀλλ' ἀποτόμως καὶ τῶν ὀνομάτων τοῖς πολιτικοῖς, καὶ τῶν ἐνθυμημάτων τοῖς περὶ αὐτὰς τὰς πράξεις ἀναγκαῖόν ἐστι χρῆσθαι. Πρὸς δὲ τούτοις οἱ μὲν μετὰ μέτρων, καὶ ῥυθμῶν ἅπαντα ποιοῦσιν, οἱ δὲ οὐδενὸς τούτων κοινωνοῦσιν. ἃ τοσαύτην ἔχει χάριν, ὥστ' ἂν καὶ τῇ λέξει, καὶ τοῖς ἐνθυμήμασιν ἔχῃ κακῶς, ὅμως ταῖς γε εὐρυθμίαις, καὶ ταῖς συμμετρίαις, ψυχαγωγοῦσι τοὺς ἀκούοντας. καταμάθοι δ' ἄν τις ἐκεῖθεν τὴν δύναμιν αὐτῶν. ἢν γάρ τις τῶν ποιημάτων τῶν εὐδοκιμούντων, τὰ μὲν ὀνόματα καὶ τὰς διανοίας καταλίπῃ, τὸ δὲ μέτρον διαλύσῃ, φανήσεται πολὺ καταδεέστερα τῆς δόξης ἧς νῦν ἔχομεν περὶ αὐτῶν, ὅμως δὲ καίπερ τοσοῦτον πλεονεκτούσης τῆς ποιήσεως, οὐκ ὀκνητέον, ἀλλ' ἀποπειρατέον ἐστὶ τῶν λόγων. εἰ καὶ οὗτοι δυνήσονται τοὺς ἀγαθοὺς ἄνδρας εὖ λέγειν μηδὲν χεῖρον, τῶν ἐν ταῖς ᾠδαῖς καὶ τοῖς μέτροις ἐγκωμιαζόντων. Πρῶτον μὲν οὖν περὶ τῆς φύσεως τῆς Εὐαγόρου καὶ τίνων ἦν ἀπόγονος, εἰ καὶ πολλοὶ προεπίστανται, δοκεῖ μοι πρέπειν καὶ ἐμὲ τῶν ἄλλων ἕνεκα διελθεῖν περὶ αὐτῶν. ἵνα πάντες εἰδῶσιν, ὅτι καλλίστων αὐτῷ καὶ μεγίστων παραδειγμάτων καταλειφθέντων, οὐδὲν καταδεέστερον ἑαυτὸν ἐκείνων παρέσχεν. ὁμολογεῖται μὲν γὰρ τοὺς ἀπὸ Διὸς, εὐγενεστάτους τῶν ἡμιθέων εἶναι. τούτων δὲ αὐτῶν οὐκ ἔστιν ὅστις οὐκ ἂν Αἰακίδας προκρίνειεν. ἐν μὲν γὰρ τοῖς ἄλλοις γένεσιν εὑρήσομεν τοὺς μὲν ὑπερβάλλοντας, τοὺς δὲ καταδεεστέρους ὄντας. οὗτοι δὲ ἅπαντες, ὀνομαστότατοι τῶν καθ' ἑαυτοὺς γεγόνασι. τοῦτο μὲν γὰρ Αἰακὸς ὁ Διὸς μὲν ἔκγονος, τοῦ δὲ γένους τοῦ Τευκριδῶν πρόγονος, τοσοῦτον διήνεγκεν, ὥστε γενομένων αὐχμῶν ἐν τοῖς Ἕλλησι, καὶ πολλῶν ἀνθρώπων διαφθαρέντων, ἐπειδὴ τὸ μέγεθος τῆς συμφορᾶς ὑπερέβαλεν, ἦλ-

ἀποσφάξειν, εἰ μὴ παραμενοῦσιν, ἀλλ' οἰχήσονται τὸν αὐτοκράτορα καταλιπόντες. πάλιν οὖν προῆλθεν ὑπὲρ τῶν ἀνδρῶν φοβηθεὶς, καὶ τοὺς στρατιώτας οὐκέτι δεητικὸς οὐδὲ πρᾶος, ἀλλὰ τραχὺς ὀφθεὶς καὶ μετ' ὀργῆς εἰς τὸ θορυβοῦν μάλιστα διαβλέψας, ἀπελθεῖν ἐποίησεν εἴξαντας καὶ διαλυθέντας. ἤδη δὲ ἑσπέρας οὔσης, ἐδίψησε καὶ πιὼν ὀλίγον ὕδατος, δυεῖν ὄντων αὐτῷ ξιφῶν, ἑκατέρου κατεμάνθανε τὸ ἀκμαῖον πολὺν χρόνον. καὶ τὸ ἕτερον ἀπέδωκε. θάτερον δὲ εἰς τὰς ἀγκάλας ἀναλαβὼν, τοὺς οἰκέτας προσεκαλεῖτο. καὶ φιλοφρονούμενος διένεμε τῶν χρημάτων, τῷ μὲν πλέον. τῷ δὲ, ἔλαττον. οὐχ ὥσπερ ἀλλοτρίων ἀφειδῶν, ἀλλὰ τὸ κατ' ἀξίαν καὶ τὸ μέτριον ἀκριβῶς φυλάττων. ἀποπέμψας δὲ τούτους, ἤδη τὸ λοιπὸν ἀνεπαύετο τῆς νυκτός. ὥς τε τοὺς κατευναστὰς αἰσθάνεσθαι βαρέως αὐτοῦ καθεύδοντος. ὄρθρου δὲ καλέσας ἀπελεύθερον, ᾧ συνδιῴκησε τὰ περὶ τοὺς συγκλητικοὺς μαθεῖν προσέταξε, καὶ πυθόμενος γεγονέναι τοῖς ἀπιοῦσιν ὧν ἕκαστος ἔχρῃζε. ἴθι τοίνυν ἔφη σὺ καὶ ποίει τοῖς στρατιώταις ἐμφανῆ σεαυτὸν, εἰ μὴ θέλεις κακῶς ὑπ' αὐτῶν ἀποθανεῖν, ὡς ἐμοὶ συμπράξας τὸν θάνατον. ἐξελθόντος δὲ τοῦ ἀνθρώπου τὸ ξίφος ὑποστήσας ὀρθὸν ἀμφοτέραις ταῖς χερσὶ καὶ περιπεσὼν ἄνωθεν, ὅσον ἅπαξ στενάξαι μόνον, ᾔσθετο τοῦ πόνου, καὶ τοῖς ἐκτὸς αἴσθησιν παρέσχεν. ἀραμένων δὲ τῶν παίδων οἰμωγὴν εὐθὺς ἅπαν τὸ στρατόπεδον καὶ τὴν πόλιν ἐπεῖχε κλαυθμὸς, καὶ μετὰ βοῆς οἱ στρατιῶται εἰσέπεσον ἐπὶ τὰς θύρας καὶ ὠλοφύροντο, περιπαθοῦντες καὶ λοιδοροῦντες ἑαυτοὺς μὴ φυλάξαντας τὸν αὐτοκράτορα μηδὲ κωλύσαντας ἀποθανεῖν ὑπὲρ αὐτῶν. ἀπέστη δὲ οὐδεὶς τῶν καθ' ἑαυτὸν ἐγγὺς ὄντων τῶν πολεμίων, ἀλλὰ κοσμήσαντες τὸ σῶμα καὶ πυρὰν κατασκευάσαντες, ἐξεκόμιζον ἐν τοῖς ὅπλοις οἱ φθάσαντες ὑποδῦναι καὶ βαστάσαι τὸ λέχος ἐπιγαυρούμενοι. τῶν δὲ ἄλλων, οἱ μὲν τὸ τραῦμα τοῦ νεκροῦ κατεφίλουν προσπίπτοντες, οἱ δὲ ἥπτοντο τῶν χειρῶν, οἱ δὲ προσεκύνουν πόρρωθεν. ἔνιοι δὲ τῇ πυρᾷ λαμπάδας ὑφέντες, ἑαυτοὺς ἀπέσφαξαν, οὐδὲν ἐκδήλως, οὔτε πεπονθότες χρηστὸν ὑπὸ τοῦ τεθνηκότος, οὔτε πείσεσθαι δεινὸν ὑπὸ τοῦ κρατοῦντος δεδιότες. ἀλλ' ἔοικε μηδενὶ τῶν πώποτε τυράννων ἢ βασιλέων δεινὸς οὕτως ἔρως ἐγγενέσθαι καὶ περιμανὴς τοῦ ἄρχειν, ὡς ἐκεῖνοι τοῦ ἄρχεσθαι καὶ ὑπακούειν Ὄθωνος ἠράσθησαν. οὕς γε μηδ' ἀποθανόντος, ὁ πόθος προὔλιπεν, ἀλλὰ παρέμεινεν εἰς ἀνήκεστον ἔχθος Οὐιτελλίῳ τελευτήσας. τὰ μὲν οὖν ἄλλα καιρὸν οἰκεῖον ἔχει λεχθῆναι. κρύψαντες δὲ τῇ γῇ τὰ λείψανα τοῦ Ὄθωνος, οὔτε μεγέθει σήματος, οὔτ' ἐπιγραφῆς ὄγκῳ τὸν τάφον ἐποίησαν ἐπίφθονον. εἶδον δὲ ἐν Βρεξιάλῳ γενόμενος, καὶ μνῆμα μέτριον, καὶ τὴν ἐπιγραφὴν οὕτως ἔχουσαν. εἰ μεταφρασθείη δηλώσει, Μάρκου Ὄθωνος. ἀπέθανε δὲ Ὄθων ἔτη μὲν ἑπτὰ καὶ τριάκοντα βιώσας, ἄρξας δὲ τρεῖς μῆνας, ἀπολιπὼν δὲ μὴ χείρονας μηδ' ἐλάττους τῶν τὸν βίον αὐτοῦ ψεγόντων, τοὺς ἐπαινοῦντας τὸν θάνατον. βιώσας γὰρ οὐδὲν ἐπιεικέστερον Νέρωνος, ἀπέθανεν εὐγενέστερον. οἱ δὲ στρατιῶται, Πολλίωνος τοῦ ἑτέρου τῶν ἐπάρχων, ὀμνύειν εὐθὺς εἰς τὸν Οὐιτέλλιον κελεύσαντος, ἐδυσχέραινον, καὶ πυθόμενοι τῶν συγκλητικῶν ἐνίους ἔτι παρεῖναι, τοὺς μὲν ἄλλους ἀφῆκαν. Οὐεργινίῳ δὲ Ῥούφῳ πράγματα παρέσχον ἅμα τοῖς ὅπλοις ἐλθόντες ἐπὶ τὴν οἰκίαν, καὶ καλοῦντες αὖθις καὶ κατακελεύοντες ἄρχειν, ἢ πρεσβεύειν ὑπὲρ αὐτῶν. ὁ δὲ τὴν ἡγεμονίαν ἡττωμένων παραλαβεῖν νενικηκότων πρότερον μὴ θελήσας, μανικὸν ἡγεῖτο. πρεσβεύειν δὲ πρὸς Γερμανοὺς δεδιὼς, τοὺς πολλὰ βεβιάσθαι παρὰ γνώμην ὑπ' αὐτοῦ δοκοῦντας, ἔλαθε δι' ἑτέρων θυρῶν ἐκποδὼν ποιήσας ἑαυτόν. ὡς δὲ τοῦτ' ἔγνωσαν οἱ στρατιῶται, τούς τε ὅρκους ἐδέξαντο, καὶ τοῖς περὶ τὸν Κεκίναν προσέθεντο συγγνώμης τυχόντες.

ἐλευθερίας. τὰ γὰρ ἄλλα κοινὴν ἡ τύχη παρέχουσα πᾶσιν ἑαυτὴν, οὐκ ἀφαιρεῖται τῶν ἀγαθῶν τὸ κἂν πταίσωσιν εὐλογιστεῖν πρὸς τὰ συντυγχάνοντα. Ταῦτα λέγων ἔπειθε τοὺς ἡγεμονικούς, ἐπεὶ δὲ πειρώμενοι τοὺς στρατιώτας ἑώρων εἰρήνης δεομένους, καὶ τιτιανὸς ἐκέλευε πρεσβεύειν ὑπὲρ ὁμονοίας, ἔδοξε κέλσῳ καὶ γάλλῳ βαδίζειν καὶ διαλέγεσθαι τοῖς περὶ τὸν κεκίναν καὶ οὐάλεντα. βαδίζουσι δὲ αὐτοῖς ἀπήντησαν ἑκατοντάρχαι, τὴν μὲν δύναμιν ἤδη κεκινημένην λέγοντες ἔρχεσθαι ἐπὶ τὸ βητριακὸν, αὐτοὶ δὲ ὑπὸ τῶν στρατηγῶν ἀποστέλλεσθαι περὶ ὁμονοίας. ἐπαινέσαντες οὖν οἱ περὶ τὸν κέλσον, ἐκέλευσαν αὐτοὺς ἀναστρέψαντας πάλιν, ἀπαντᾶν μετ' αὐτῶν τοῖς περὶ τὸν κεκίναν. ἐπεὶ δὲ ἐγγὺς ἦσαν, ἐκινδύνευσεν ὁ κέλσος. ἔτυχον γὰρ οἱ περὶ τὴν ἐνέδραν ἡττημένοι, πρότερον ἱππεῖς προεξελαύνοντες, ὡς οὖν προσιόντα τὸν κέλσον κατεῖδον, εὐθὺς βοήσαντες, ὥρμησαν ἐπ' αὐτόν. οἱ δὲ ἑκατοντάρχαι, προέστησαν ἀνείργοντες. καὶ τῶν ἄλλων λοχαγῶν φείδεσθαι βοώντων, οἱ περὶ τὸν κεκίναν πυθόμενοι καὶ προσελάσαντες, τὴν ἀκοσμίαν ταχὺ τῶν ἱππέων ἔπαυσαν, τὸν δὲ κέλσον ἀσπασάμενοι φιλοφρόνως ἐβάδιζον μετ' αὐτῶν εἰς τὸ βητριακόν. ἐν δὲ τούτῳ μετάνοια τιτιανὸν ἔσχεν ἐκπέμψαντα τοὺς πρέσβεις, καὶ τῶν στρατιωτῶν τοὺς θρασυνομένους, αὖθις ἀνεβίβαζεν ἐπὶ τὰ τείχη καὶ τοὺς ἄλλους παρεκάλει βοηθεῖν. τοῦ δὲ κεκίνα προσελάσαντος τῷ ἵππῳ καὶ τὴν δεξιὰν ὀρέγοντος, οὐδεὶς ἀντέσχεν. ἀλλ' οἱ μὲν ἀπὸ τῶν τειχῶν ἠσπάζοντο τοὺς στρατιώτας, οἱ δὲ τὰς πύλας ἀνοίξαντες, ἐξῄεσαν καὶ ἀνεμίγνυντο τοῖς προσήκουσιν. ἠδίκει δὲ οὐδεὶς, ἀλλὰ καὶ φιλοφροσύναι καὶ δεξιώσεις ἦσαν. ὤμοσαν δὲ πάντες ὑπὲρ τοῦ οὐιτελλίου, καὶ προσεχώρησαν. οὕτω μὲν οἱ πλεῖστοι τῶν παραγενομένων ἀπαγγέλλουσι γενέσθαι τὴν μάχην, οὐδὲ αὐτοὶ σαφῶς ὁμολογοῦντες εἰδέναι τὰ καθ' ἕκαστα διὰ τὴν ἀταξίαν καὶ τὴν ἀνωμαλίαν. ἐμοὶ δὲ ὕστερον ὁδεύοντι διὰ τοῦ πεδίου, μέστριος φλῶρος ἀνὴρ ὑπατικὸς τῶν τότε μὴ κατὰ γνώμην, ἀλλ' ἀνάγκῃ μετὰ τοῦ ὄθωνος γενομένων, νεὼν ὄντα παλαιὸν ἐπιδείξας, διηγεῖτο μετὰ τὴν μάχην ἐπελθὼν ἰδεῖν νεκρῶν σωρὸν τηλικοῦτον, ὥστε τοὺς ἐπιπολῆς ἅπτεσθαι τῶν ἀετιδῶν, καὶ τὴν αἰτίαν ἔφη ζητῶν, οὔτε αὐτὸς εὑρεῖν, οὔτε παρ' ἄλλου του πυθέσθαι. θνήσκειν μὲν γὰρ παρὰ τοῖς ἐμφυλίοις πολέμοις, ὅταν τροπὴ γένηται, πλείονας εἰκός ἐστι, τῷ μηδένα ζωγρεῖν. χρῆσθαι γὰρ οὐκ ἔστι τοῖς ἁλισκομένοις. ἡ δ' ἐπὶ τοσοῦτον σωρεία καὶ συμφόρησις οὐκ ἔχει τὴν αἰτίαν εὐσυλλόγιστον. τῷ δὲ ὄθωνι πρῶτον μὲν ἀσαφὴς ὥσπερ εἴωθε περὶ τῶν τηλικούτων, προσέπιπτε λόγος. ἐπεὶ δὲ καὶ τετρωμένοι τινὲς ἧκον ἐκ τῆς μάχης ἀπαγγέλλοντες, τοὺς μὲν φίλους, ἧττον ἄν τις ἐθαύμασεν, οὐκ ἐῶντας ἀπαγορεύειν, ἀλλὰ θαρρεῖν παρακελευομένους. τὸ δὲ τῶν στρατιωτῶν πάθος ἅπασαν ὑπερέβαλε πίστιν, ὡς οὐδεὶς ἀπῆλθεν, οὐδὲ μετέστη πρὸς τοὺς κρατοῦντας, οὐκ ὤφθη τὸ καθ' αὑτὸν ζητοῦν ἀπεγνωσμένου τοῦ ἡγεμόνος, πάντες δὲ ὁμαλῶς ἐπὶ θύρας ἦλθον. ἐκάλουν αὐτοκράτορα, προελθόντες ἐγίνοντο πάσῃ μετὰ βοῆς, ἱκεσίας χειρῶν ἥπτοντο, προσέπιπτον, ἐδάκρυον, ἐδέοντο μὴ σφᾶς ἐγκαταλιπεῖν, μὴ προδοῦναι τοῖς πολεμίοις, ἀλλὰ χρῆσθαι μέχρις ἂν ἐμπνέωσι καὶ ψυχαῖς καὶ σώμασιν ὑπὲρ αὐτοῦ. ταῦτα ὁμοῦ πάντες ἱκέτευον. εἷς δὲ τῶν ἀφανεστέρων ἀνατείνας τὸ ξίφος, καὶ εἰπὼν ἴσθι καῖσαρ οὕτως ὑπὲρ σοῦ παρατεταγμένους ἅπαντας, ἀπέσφαξεν ἑαυτόν. ἀλλὰ τούτων οὐδὲν ἐπέκλασε τὸν ὄθωνα. φαιδρῷ δὲ καὶ καθεστῶτι προσώπῳ πανταχόσε τὰς ὄψεις περιαγαγὼν, ταύτην εἶπεν ὦ συστρατιῶται τὴν ἡμέραν ἐκείνης, ἐν ᾗ με πρῶτον ἐποιήσατε αὐτοκράτορα, μακαριωτέραν ἡγοῦμαι, τοιούτους ὁρῶν ὑμᾶς, καὶ τηλικούτων ἀξιούμενος. ἀλλὰ μὴ μείζονος ἀποστερεῖτε τοῦ καλῶς ἀποθανεῖν ὑπὲρ τοσούτων καὶ τοιούτων πολιτῶν. εἰ τῆς ῥωμαίων ἡγεμονίας ἄξιος γέγονα, δεῖ με τῆς ἐμῆς ψυχῆς ὑπὲρ τῆς πατρίδος ἀφειδεῖν. οἶδα τὴν νίκην τοῖς ἐναντίοις οὐδὲ βεβαίαν οὐδ' ἰσχυρὰν οὖσαν. ἀπαγγέλλουσι τὴν ἐκ μυσίας ἡμῶν δύναμιν οὐ πολλῶν ἡμερῶν ὁδὸν ἀπέχειν ἤδη καταβαίνουσαν ἐπὶ τὸν ἀδρίαν, ἀσία καὶ συρία, καὶ αἴγυπτος, καὶ τὰ πολεμοῦντα ἰουδαίοις στρατεύματα μεθ' ἡμῶν, ἥ τε σύγκλητος παρ' ἡμῖν καὶ τέκνα τῶν ἐναντίων καὶ γυναῖκες. ἀλλ' οὐκ ἔστι πρὸς ἀννίβαν οὐδὲ πύρρον οὐδὲ κίμβρους ὁ πόλεμος ὑπὲρ τῆς ἰταλίας, ἀλλὰ ῥωμαίοις πολεμοῦντες, ἀμφότεροι τὴν πατρίδα καὶ νικῶντες ἀδικοῦμεν, καὶ νικώμενοι. καὶ γὰρ τὸ ἀγαθὸν τοῦ κρατοῦντος, ἐκείνῃ κακόν ἐστι. πιστεύσατε πολλάκις ὅτι δύναμαι κάλλιον ἀποθανεῖν ἢ ἄρχειν. οὐ γὰρ ὁρῶ τηλικοῦτο ῥωμαίοις ὄφελος ἐσόμενος κρατήσας, ἡλίκον ἐπιδοὺς ἐμαυτὸν, ὑπὲρ εἰρήνης καὶ ὁμονοίας καὶ τοῦ μὴ πάλιν ἡμέραν τοιαύτην ἐπιδεῖν τὴν ἰταλίαν. τοιαῦτα διαλεχθεὶς, καὶ πρὸς τοὺς ἐνίστασθαι καὶ παρακαλεῖν ἐπιχειροῦντας ἐπιχειρησάμενος, τούς τε φίλους ἐκέλευσεν ἀπαλλάττεσθαι, καὶ τῶν συγκλητικῶν τοὺς παρόντας. τοῖς δὲ μὴ παροῦσιν, ἐπέστελλε καὶ γράμματα πρὸς τὰς πόλεις, ὅπως παρακομισθῶσιν ἐντίμως καὶ μετὰ ἀσφαλείας. προσαγόμενος δὲ τὸν ἀδελφιδοῦν κοκκήιον ἔτι μειράκιον ὄντα, θαρρεῖν παρεκάλει καὶ μὴ δεδιέναι οὐιτέλλιον, οὗ καὶ μητέρα καὶ γενεὰν καὶ γυναῖκα, ὥσπερ οἰκείων κηδόμενος, διαφυλάξαι. διὰ τοῦτο γὰρ οὐδὲ θέσθαι παῖδα βουλόμενον αὐτὸν, ἀλλ' ἀναβαλέσθαι μνημονεύειν, ὅτι καίσαρ ἀθετεῖ τὴν εἰσποίησιν, ὅπως συνάρχοι κρατήσαντος αὐτοῦ, μὴ προσαπόλοιτο πταίσαντος. ἐκεῖνο δὲ εἶπεν ὦ παῖ παρεγγυῶμαί σοι τελευταῖον, μήτ' ἐπιλαθέσθαι παντάπασι μήτε ἄγαν μνημονεύειν, ὅτι καίσαρα θεῖον ἔσχες. γενόμενος δὲ ἀπὸ τούτων μετὰ μικρὸν ἤκουσε θορύβου καὶ βοῆς ἐπὶ θύρας. οἱ γὰρ στρατιῶται τῶν συγκλητικῶν τοῖς ἀπιοῦσι διηπείλουν

Tacitus 18. 473. An Vitellium tam immitis animi fore, ut [illegible] incolumi tota domo, ne hanc quidem sibi gratiam redderet.

μάχης καὶ πόνων κεκρίσθαι τὰ πράγματα. καὶ τοὺς περὶ τὸν ὄθωνα φοβουμένους, ἐπὶ ταχῶσαι τὴν μάχην, αὐτὸς δὲ πάλιν εἰς βρίξιλλον ἀνεχώρησε, καὶ τοῦτο προσεξαμάρτων, οὐχ ὅτι τοῦτο μόνον τὴν ἐν ὀφθαλμοῖς αὐτοῦ παρόντος αἰδῶ καὶ φιλοτιμίαν ἀφεῖλε τῶν ἀγωνιζομένων, ἀλλὰ καὶ τοὺς ἐρρωμενεστάτους καὶ προθυμοτάτους δι' αὐτὸν ἱππεῖς καὶ πεζοὺς ἀπαγαγὼν, φυλακὴν τοῦ σώματος ὡς περ ἀκμὴν σῶμα τῆς δυνάμεως ἀπέκοψε. συνέβη δὲ ταῖς ἡμέραις ἐκείναις καὶ περὶ τὸν ἠριδανὸν ἀγῶνα γενέσθαι. τοῦ μὲν κεκίνα ζευγνύντος τὴν διάβασιν, τῶν δὲ ὄθωνος εἰργόντων καὶ προσμαχομένων. ὡς δὲ οὐδὲν ἐπέραινον ἐνθεμένων εἰς τὰ πλοῖα δᾷδα, θείου καὶ πίττης ἀνάπλεων, διὰ τοῦ πόρου πνεῦμα προσπεσὸν, ἄφνω τὴν παρεσκευασμένην ὕλην, ἐπὶ τοὺς πολεμίους ὑπεξέπιπτε. καπνοῦ δὲ πρῶτον εἶτα λαμπρᾶς φλογὸς ἐκπιεζούσης, ταραττόμενοι καὶ ἀποπηδῶντες εἰς τὸν ποταμὸν τάς τε ναῦς ἀνέτρεπον, καὶ τὰ σώματα τοῖς πολεμίοις μετὰ γέλωτος παρεῖχον. οἱ δὲ γερμανοὶ τοῖς ὄθωνος μονομάχοις περὶ νησῖδα τοῦ ποταμοῦ προσμίξαντες, ἐκράτησαν καὶ διέφθειραν αὐτῶν οὐκ ὀλίγους. γενομένων δὲ τούτων καὶ τῶν ἐν βηδριακῷ στρατιωτῶν τοῦ ὄθωνος ἐκφερομένων μετ' ὀργῆς ἐπὶ τὴν μάχην. προήγαγεν αὐτοὺς ὁ πρόκλος ἐκ τοῦ βηδριακοῦ καὶ κατεστρατοπέδευσεν ἀπὸ πεντήκοντα σταδίων. οὕτως ἀπείρως καὶ καταγελάστως, ὥστε τῆς μὲν ὥρας ἐαρινῆς οὔσης, τῶν δὲ κύκλῳ πεδίων πολλὰ νάματα καὶ ποταμοὺς ἀενάους ἐχόντων, ὕδατος σπάνει πιέζεσθαι. τῇ δ' ὑστεραίᾳ βουλόμενος προάγειν ἐπὶ τοὺς πολεμίους, ὁδὸν οὐκ ἐλάττονα σταδίων ἑκατὸν, οἱ περὶ τὸν παυλῖνον οὐκ εἴων, ἀλλ' ᾤοντο δεῖν περιμένειν καὶ μὴ προπονεῖν ἑαυτοὺς μηδὲ εὐθὺς ἐκ πορείας μάχην τίθεσθαι πρὸς ἄνδρας ὡπλισμένους καὶ παρατεταγμένους καθ' ἡσυχίαν, ἐν ὅσῳ χρόνῳ προΐασιν αὐτοὶ τοσαύτην ὁδὸν ἀναμεμιγμένων ὑποζυγίων καὶ ἀκολούθων. οὔσης δὲ περὶ τούτων ἀντιλογίας ἐν τοῖς στρατηγοῖς, ἦλθε παρ' ὄθωνος ἱππεὺς τῶν καλουμένων νομάδων γράμματα κομίζων, κελεύοντα μὴ μένειν μηδὲ διατρίβειν, ἀλλ' ἄγειν εὐθὺς ἐπὶ τοὺς πολεμίους. ἐκεῖνοι μὲν οὖν ἄραντες, ἐχώρουν. ὁ δὲ κεκίνας πυθόμενος τὴν ἔφοδον αὐτῶν ἐθορυβήθη, καὶ κατὰ σπουδὴν ἀπολιπὼν τὰ ἔργα, καὶ τὸν ποταμὸν, ἧκεν εἰς τὸ στρατόπεδον, ὡπλισμένων δὲ ἤδη τῶν πολλῶν καὶ τὸ σύνθημα παραλαμβανόντων παρὰ τοῦ οὐάλεντος, ἐν ὅσῳ τὴν τάξιν διελάγχανε τὰ τάγματα, τοὺς ἀρίστους τῶν ἱππέων προεξέπεμψαν. ἐμπίπτει δὲ τοῖς προτεταγμένοις τῶν ὄθωνος ἐκ δή τινος αἰτίας δόξα καὶ λόγος, ὡς μεταβαλουμένων τῶν οὐιτελλίου στρατηγῶν πρὸς αὐτούς. ὡς οὖν ἐγγὺς ἦσαν, ἠσπάζοντο φιλίως συστρατιώτας προσαγορεύσαντες. ἐκείνων δὲ τὴν προσαγόρευσιν οὐκ εὐμενῶς, ἀλλὰ μετὰ θυμοῦ καὶ φωνῆς πολεμικῆς ἀμειψαμένων. τοῖς μὲν ἀσπασαμένοις, ἀθυμία, τοῖς δὲ λοιποῖς ὑπόνοια κατὰ τῶν ἀσπασαμένων ὡς προδιδόντων παρέστη. καὶ τοῦτο πρῶτον αὐτοὺς ἐτάραξεν, ἤδη τῶν πολεμίων ἐν χερσὶν ὄντων. εἶτα τῶν ἄλλων οὐδὲν ἦν κόσμῳ γινόμενον. ἀλλὰ πολλὴν μὲν ἀταξίαν τὰ σκευοφόρα τοῖς μαχομένοις ἐμπλαζόμενα παρεῖχε, πολλοὺς δὲ τὰ χωρία διασπασμοὺς ἐποίει, τάφρων ὄντα μεστὰ καὶ ὀρυγμάτων, ἃ φοβούμενοι καὶ περιϊόντες ἠναγκάζοντο φύρδην καὶ κατὰ μέρη πολλὰ συμπλέκεσθαι τοῖς ἐναντίοις. μόναι δὲ δύο λεγεῶνες, οὕτω γὰρ τὰ τάγματα ῥωμαῖοι καλοῦσιν ἐπίκλησιν, ἡ μὲν οὐιτελλίου ἅρπαξ, ἡ δὲ ὄθωνος βοηθὸς, εἰς πεδίον ὑπεξελίξασαι ψιλὸν καὶ ἀναπεπταμένον, νόμιμόν τινα μάχην συμπεσοῦσαι, φαλαγγηδὸν ἐμάχοντο πολὺν χρόνον. οἱ μὲν οὖν ὄθωνος ἄνδρες ἦσαν εὔρωστοι καὶ ἀγαθοὶ, πολέμου δὲ καὶ μάχης τότε πρῶτον πεῖραν λαμβάνοντες. οἱ δὲ οὐιτελλίου πολλῶν ἀγώνων ἐθάδες ἤδη γηραιοὶ καὶ παρακμάζοντες. ὁρμήσαντες οὖν ἐπ' αὐτοὺς οἱ ὄθωνος, ἐώσαντο καὶ τὸν ἀετὸν ἀφείλοντο, πάντας ὁμοῦ τι τοὺς προμάχους ἀποκτείναντες. οἱ δὲ ὑπὸ αἰσχύνης καὶ ὀργῆς ἐμπεσόντες αὐτοῖς, τόν τε πρεσβευτὴν τοῦ τάγματος ὀρφίδιον ἔκτειναν, καὶ πολλὰ τῶν σημείων ἥρπασαν. τοῖς δὲ μονομάχοις ἐμπειρίαν τε καὶ θάρσος ἔχειν πρὸς τὰς συμπλοκὰς δοκοῦσιν, ἐπήγαγεν οὔαρος ἄλφηνος τοὺς καλουμένους βατάλους. εἰσὶ δὲ γερμανῶν ἱππεῖς ἄριστοι νῆσον οἰκοῦντες, ὑπὸ τοῦ ῥήνου περιρρεομένην. τούτοις ὀλίγοι μὲν τῶν μονομάχων ὑπέστησαν, οἱ δὲ πλεῖστοι φεύγοντες ὑπὸ τὸν ποταμὸν, ἐμπίπτουσιν εἰς σπείρας τῶν πολεμίων αὐτόθι τεταγμένας, ὑφ' ὧν ἀμυνόμενοι πάντες, ὁμαλῶς διεφθάρησαν. αἴσχιστα δὲ ἠγωνίσαντο πάντων οἱ στρατηγικοὶ, μηδὲ ὅσον ἐν χερσὶ γενέσθαι τοὺς ἐναντίους ὑπομείναντες. ἀλλὰ καὶ τοὺς ἀηττήτους ἔτι, φόβου καὶ ταραχῆς ἀνεπίμπλασαν φεύγοντες δι' αὐτῶν. οὐ μὴν ἀλλὰ πολλοί γε τῶν ὄθωνος νενικηκότες τοὺς καθ' αὐτοὺς, ἐβιάσαντο καὶ διεξέπεσον διὰ τῶν πολεμίων, κρατούντων εἰς τὸ στρατόπεδον. τῶν δὲ στρατηγῶν, οὔτε πρόκλος οὔτε παυλῖνος συνεισελθεῖν ἐτόλμησαν, ἀλλ' ὑπεξέκλιναν φοβούμενοι τοὺς στρατιώτας ἤδη τὴν αἰτίαν ἐπὶ τοὺς στρατηγοὺς τρέποντας. ἄννιος δὲ γάλλος, ἀνελάμβανεν ἐν τῇ πόλει καὶ παρεμυθεῖτο τοὺς ἐκ τῆς μάχης συλλεγομένους ὡς ἀγχωμάλου γεγενημένης, καὶ πολλοῖς κεκρατηκότας μέρεσι τῶν πολεμίων. μάριος δὲ κέλσος τοὺς ἐν τέλει συναγαγὼν, ἐκέλευσε σκοπεῖν τὸ κοινὸν, ὡς ἐπὶ συμφορᾷ τηλικαύτῃ καὶ φόνῳ τοσούτῳ πολιτῶν, μηδὲ ὄθωνος, εἴ περ ἀνὴρ ἀγαθός ἐστιν, ἐθελήσαντος ἔτι πειρᾶσθαι τῆς τύχης. ὅπου καὶ κάτων καὶ σκιπίων καίσαρι κρατοῦντι μετὰ φάρσαλον εἶξαι, μὴ θελήσαντες αἰτίαν ἔχουσιν ὡς πολλοὺς καὶ ἀγαθοὺς ἄνδρας ἐν λιβύῃ παραναλώσαντες οὐκ ἀναγκαίως, καί περ ἀγωνιζόμενοι περὶ τῆς ῥωμαίων ἐλευθερίας.

πον αὐτῷ, λαμπρὰν ἱππέας ὀχουμένην ἵππῳ, κεκοσμημένην ἤδη φανερῶς. φάβιον δὲ οὐάλεντα τὸν ἕτε
ρον στρατηγὸν οὔτε ἁρπαγαὶ πολεμίων, οὔτε κλοπαὶ καὶ δωροδοκίαι παρὰ συμμάχων ἐνεπίμπλα
σαν χρηματιζόμενον. ἀλλὰ καὶ ἐδόκει διὰ τοῦτο βραδέως ὁδεύων, ὑστερῆσαι τῆς προτέρας μάχης. οἱ δὲ
τὸν κεκίναν αἰτιῶνται, ὡς σπεύδοντα τὴν νίκην ἑαυτοῦ γενέσθαι πρὶν ἐκεῖνον ἐλθεῖν, ἄλλοις τε μικροτέ
ροις περιπεσεῖν ἁμαρτήμασι καὶ μάχην οὐ κατὰ καιρὸν, οὐδὲ γενναίως συνάψαι, μικροῦ πάντα τὰ
πράγματα διαφθεῖραι αὐτοῖς. ἐπεὶ γὰρ ἀποκρουσθεὶς τῆς πλακεντίας ὁ κεκίνας ἐπὶ κρεμώ-
νην ὥρμησεν ἑτέραν πόλιν εὐδαίμονα καὶ μεγάλην, πρῶτος μὲν ἄννιος γάλβας πρὸς πλακεντίαν ἄλλος. l.
συνεῖναι βοηθῶν, ὡς ἤκουσε καθ' ὁδὸν τοὺς πλακεντίνους περιγεγονέναι, κινδυνεύειν δὲ τοὺς ἐν κρεμώ
νῃ, μετήγαγεν ἐκεῖ τὸ στράτευμα, καὶ κατεστρατοπέδευσε πλησίον τῶν πολεμίων, ἔπειτα καὶ τῶν ἄλ
λων ἕκαστος ἐβοήθει τῷ στρατηγῷ. τοῦ δὲ κεκίνα λοχίσαντος εἰς λάσια χωρία καὶ ὑλώδη πολλοὺς ὁπλί
τας, ἱππεῖς δὲ προεξελάσαι κελεύσαντος, κἂν συνάψωσιν οἱ πολέμιοι κατὰ μικρὸν ἀναχωρεῖν καὶ
ἀναφεύγειν ἄχρις ἂν ὑπάγοντες οὕτως ἐμβάλωσιν αὐτοὺς εἰς τὴν ἐνέδραν, ἐξήγγειλαν αὐτόμολοι τῷ αὐτοῖς. s. π.
κέλσῳ καὶ οὗτος μὲν ἱππεῦσιν ἀγαθοῖς ἀντεξελάσας, πεφυλαγμένως δὲ χρώμενος τῇ διώξει, καὶ τὴν ἐνέ
δραν περισχὼν καὶ συνταράξας, ἐκάλει τοὺς ὁπλίτας ἐκ τοῦ στρατοπέδου. καὶ δοκοῦσιν ἂν ἐπελθόν
τες ἐν καιρῷ μηδένα λιπεῖν τῶν πολεμίων, ἀλλὰ πᾶν τὸ μετὰ κεκίνα στράτευμα, συντρῖψαι καὶ ἀνε
λεῖν, ἤδη πομένοις τοῖς ἱππεῦσι. νυνὶ δὲ ὁ παυλῖνος ὀψὲ καὶ σχολῇ προσβοηθήσας, αἰτίαν ἔσχεν ἐνδεέ ἑπομένοις. s.
στερον τῆς δόξης στρατηγῆσαι δι' εὐλάβειαν. οἱ δὲ πολλοὶ τῶν στρατιωτῶν, καὶ προδοσίαν ἐνεκάλουν αὐ
τῷ, καὶ παρώξυνον τὸν ὄθωνα μεγαληγοροῦντες, ὡς νενικηκότων αὐτῶν. τῆς δὲ νίκης οὐκ ἐπὶ πᾶν
προελθούσης κακίᾳ τῶν στρατηγῶν. ὁ δὲ ὄθων οὐχ οὕτως ἐπίστευεν αὐτοῖς, ὡς ἐβούλετο μὴ δοκεῖν ἀπι
στεῖν. ἔπεμψεν οὖν τιτιανὸν ἤδη τὰ στρατεύματα τὸν ἀδελφὸν, καὶ πρόκλον τὸν ἔπαρχον, ὃς εἶχεν ἔρ
γῳ τὴν πᾶσαν ἀρχὴν, πρόσχημα δὲ ἦν ὁ τιτιανός. οἱ δὲ περὶ τὸν κέλσον καὶ παυλῖνον ἄλλως ἐφέλκον
το συμβούλων ὄνομα καὶ φίλων, ἐξουσίαν καὶ δύναμιν ἐν τοῖς πράγμασι μηδεμίαν ἔχοντες. ἦν δὲ θο
ρυβώδη καὶ τὰ παρὰ τοῖς πολεμίοις. μάλιστα δὲ τοῖς ὑπὸ τῷ οὐάλεντι καὶ τῆς περὶ τὴν ἐνέδραν μά
χης ἀπαγγελθείσης ἐχαλέπαινον, ὅτι μὴ παρεγένοντο, μηδὲ ἤμυναν ἀνδρῶν τοσούτων ἀποθανόντων.
μόλις δὲ πείσας καὶ παραιτησάμενος ὡρμημένους αὐτοὺς βάλλειν, ἀνέζευξε, καὶ συνῆψε τοῖς περὶ
κεκίναν. ὁ δὲ ὄθων παραγενόμενος εἰς τὸ βητριακὸν εἰς τὸ στρατόπεδον, ἔστι δὲ πολίχνη πλησίον κρε δεῖ
μώνης τὸ βητριακὸν, ἐβουλεύετο περὶ τῆς μάχης, καὶ πρόκλῳ μὲν ἐδόκει καὶ τιτιανῷ τῶν στρατευ
μάτων ὄντων προθύμων καὶ προσφάτου τῆς νίκης, διαγωνίζεσθαι καὶ μὴ καθῆσθαι τὴν ἀκμὴν ἀμ
βλύνοντα τῆς δυνάμεως, καὶ περιμένοντα οὐιτέλλιον αὐτὸν ἐκ γαλατίας ἐπελθεῖν, παυλῖνος δὲ
τοῖς μὲν πολεμίοις ἔφη πάντα μεθ' ὧν μαχοῦνται παρεῖναι, καὶ μηδὲν ἐνδεῖν. ὄθωνι δὲ, τῆς ἤδη
παρούσης οὐκ ἐλάττονα προσδόκιμον εἶναι δύναμιν ἐκ μυσίας καὶ παννονίας, ἂν τὸν αὑτοῦ περι
μένῃ καιρὸν, ἀλλὰ μὴ στρατηγῇ πρὸς τὸν τῶν πολεμίων. οὐ γὰρ ἀμβλυτέροις γε χρήσεσθαι τό
τε τοῖς νῦν θαρροῦσιν ἀπ' ἐλαττόνων, ἂν πλείονας τοὺς ἀγωνιζομένους προσλάβωσιν, ἀλλ' ἐκ περιου
σίας ἀγωνιεῖσθαι καὶ χωρὶς δὲ τούτου τὴν διατριβὴν εἶναι πρὸς αὐτῶν ἐν ἀφθόνῳ πᾶσιν ὄντων, ἐκείνοις π. ἀγωνιεῖσθαι
δὲ τὸν χρόνον ἀπορίαν παρέξειν τῶν ἀναγκαίων, ἐν πολεμίᾳ καθεζομένοις. ταῦτα λέγοντι παυλί
νῳ μάριος κέλσος ἐγένετο σύμψηφος. ἄννιος δὲ γάλλος οὐ παρῆν μὲν, ἀλλ' ἐθεραπεύετο πεπτωκὼς
ἀφ' ἵππου. γράψαντος δὲ ὄθωνος αὐτῷ, συνεβούλευε μὴ σπεύδειν, ἀλλὰ τὴν ἐκ μυσίας περιμέ
νειν δύναμιν, ἤδη καθ' ὁδὸν οὖσαν. οὐ μὴν ἐπείθετο τούτοις, ἀλλ' ἐκράτησαν οἱ πρὸς τὴν μάχην πα
ρορμῶντες. αἰτίαι δὲ πλείονες ἄλλαι ὑπ' ἄλλων λέγονται. προδήλως δὲ οἱ στρατηγικοὶ προσαγο
ρευόμενοι καὶ τάξιν ἔχοντες δορυφόρων, τότε μᾶλλον ἀληθινῆς γευόμενοι στρατείας, καὶ τὰς ἐν
ῥώμῃ διατριβὰς καὶ δίαιτας ἀπολέμους καὶ πανηγυρικὰς ποθοῦντες, οὐκ ἦσαν καθεκτοὶ σπεύδον
τες ἐπὶ τὴν μάχην, ὡς εὐθὺς ἐξ ἐφόδου ἀναρπασόμενοι τοὺς ἐναντίους. δοκεῖ δὲ μηδὲ αὐτὸς ὄ
θων ἐξαναφέρειν ἔτι πρὸς τὴν ἀδηλότητα, μηδὲ ὑπομένειν ἀηθείᾳ καὶ μαλακότητι τοὺς περὶ τῶν
δεινῶν ἐκλογισμούς. ἐκπονούμενος δὲ ταῖς φροντίσιν ἔσπευδεν ἐγκαλυψάμενος, ὥσπερ ἀπὸ κρημνοῦ με ἐκπονούμενος
θεῖναι τὰ πράγματα πρὸς τὸ συντυχόν. καὶ τοῦτο μὲν διηγεῖτο σεκοῦνδος ὁ ῥήτωρ, ἤδη τῶν ἐπι
στολῶν γενόμενος τοῦ ὄθωνος. ἑτέρων δὲ ἦν ἀκούειν, ὅτι τοῖς στρατεύμασιν ἀμφοτέροις παρίσταντο ὁρ
μαὶ πολλαὶ, ὡς εἰς ταὐτὸ συνελθεῖν, καὶ μάλιστα μὲν αὐτοὺς ὁμοφρονήσαντας ἐκ τῶν παρόντων
ἡγεμονικῶν ἑλέσθαι τὸν ἄριστον. εἰ δὲ μὴ, τὴν σύγκλητον ὁμοῦ καθίσαντας, ἐφεῖναι τὴν αἵρεσιν ἐ
κείνῃ τοῦ αὐτοκράτορος. καὶ οὐκ ἀπεικὸς ἦν μηδετέρου τότε τῶν προσαγορευομένων αὐτοκρατόρων
εὐδοκιμοῦντος, ἐπιπίπτειν τοιούτους διαλογισμοὺς γνησίοις καὶ διαπόνοις καὶ σώφροσι τῶν στρα
τιωτῶν. ὡς ἔχθιστον εἴη καὶ δεινὸν ἃ πάλαι διὰ σύλλαν καὶ μάριον, εἶτα καίσαρα καὶ πομπήιον ᾤκ
τειρον τὸ δρῶντες ἀλλήλους καὶ πάσχοντες οἱ πολῖται, ταῦτα νῦν ὑπομένειν, ἢ οὐιτελλίῳ λαι
μαργίας καὶ οἰνοφλυγίας, ἢ θρύψεως καὶ ἀκολασίας ὄθωνι τὴν ἡγεμονίαν χορήγημα προθεμένους.
τοιαῦτ' οὖν ὑπονοοῦσι τούς τε περὶ τὸν κέλσον αἰσθανομένους ἐμβαλεῖν διατριβὴν, ἐλπίζοντας ἂν ἄ τοιαῦτ' οὖν s. π.

πιστεύοντες ἐθαύμαζον τὴν μεταβολήν. οἱ δὲ ἀναγκαῖα πολιτεύματα πρὸς τὸν καιρὸν ἡγοῦντο, δημα-
γωγοῦντος αὐτοῦ διὰ τὸν πόλεμον. ἤδη γὰρ ἠγγέλλετο βεβαίως οὐιτέλλιος ἀξίωμα καὶ δύναμιν αὐτο-
κράτορος ἀνειληφὼς, καὶ γραμματοφόροι συνεχῶς ἐφοίτων, ἀεί τι προσχωρεῖν ἐκείνῳ φράζοντες, ἕτεροι τὰ
παννονικὰ καὶ τὰ δελματικὰ καὶ τὰ περὶ μυσίαν στρατεύματα δηλοῦντες ᾑρῆσθαι μετὰ τῶν ἡγε-
μόνων ὄθωνα. ταχὺ δὲ ἀφίκετο, καὶ παρὰ μουκιανοῦ γράμματα, καὶ παρὰ οὐεσπεσιανοῦ φίλια, τοῦ
μὲν ἐν συρίᾳ. τοῦ δὲ ἐν ἰουδαίᾳ μεγάλας δυνάμεις ἐχόντων, ὑφ' ὧν ἐπαιρόμενος, ἔγραψεν οὐιτελλίῳ
παραινῶν στρατιωτικὰ φρονεῖν, ὡς χρήματα πολλὰ δώσοντος αὐτοῦ καὶ πόλιν, ἐν ᾗ βιώσεται ῥᾷστον
καὶ ἥδιστον βίον μεθ' ἡσυχίας. ἀντέγραφε δὲ κἀκεῖνος αὐτῷ κατειρωνευόμενος ἡσυχῆ πρῶτον. ἐκ δὲ
τούτου διερεθιζόμενοι πολλὰ βλάσφημα καὶ ἀσελγῆ χλευάζοντες ἀλλήλοις ἔγραφον, οὐ ψευδῶς
l. ἑτέρῳ s. τὸν
μὲν, ἀνοήτως δὲ καὶ γελοίως θατέρου τὸν ἕτερον ἃ προσῆν ἀμφοτέροις ὀνείδη λοιδοροῦντος. ἀσωτίας τε
καὶ μαλακίας καὶ ἀπειρίας πολέμων καὶ τῶν πρόσθεν ἐπὶ πενίᾳ καὶ χρεῶν πλήθους, ἔργον ἦν
εἰπεῖν, ὁποτέρῳ μεῖον αὐτῶν μέτεστι. σημείων δὲ καὶ φαντασμάτων πολλῶν λεγομένων, τὰ μὲν ἄλλα
φήμας ἀδεσπότους καὶ ἀμφιβόλους εἶχεν, ἐν δὲ καπιτωλίῳ νίκης ἐφεστώσης ἅρματι, τὰς ἡνίας πάν-
τες εἶδον ἀφειμένας ἐκ τῶν χειρῶν, ὥσπερ κρατεῖν μὴ δυναμένης, καὶ τὸν ἐν μεσοποταμίᾳ νήσῳ γαΐου
καίσαρος ἀνδριάντα, μήτε σεισμοῦ γεγονότος, μήτε πνεύματος ἀφ' ἑσπέρας μεταστραφέντα πρὸς
τὰς ἀνατολὰς, ὅ φασι συμβῆναι περὶ τὰς ἡμέρας ἐκείνας, ἐν αἷς οἱ περὶ οὐεσπεσιανὸν ἐμφανῶς ἤ-
δη τῶν πραγμάτων ἀντελαμβάνοντο. καὶ τὸ περὶ τὸν θύμβριν δὲ σύμπτωμα, σημεῖον ἐποιοῦντο οἱ πολ-
λοὶ μοχθηρόν. ἦν μὲν γὰρ ὥρα περὶ ἣν μάλιστα οἱ ποταμοὶ πληθύουσιν, ἀλλ' οὔπω τοιοῦτος ἤρθη πρό-
τερον, οὐδὲ ἀπώλεσε τοσαῦτα καὶ διέφθειρεν ὑπερχυθεὶς καὶ κατακλύσας πολὺ μέρος τῆς πόλεως.
πλεῖστον δὲ ἐν ᾧ τὸν ἐπὶ πράσει διαπωλοῦσι σῖτον, ὡς δεινὴν ἀπορίαν ἡμερῶν συχνῶν κατασχεῖν.
ἐπεὶ δὲ τὰς ἄλπεις κατέχοντες ἤδη προσηγγέλλοντο, καικίνας καὶ οὐάλης οὐιτελλίῳ στρατηγοῦντες,
ἐν ῥώμῃ δολοβέλλας εὐπατρίδης ἀνὴρ, ὑποψίαν παρεῖχε τοῖς μισθοφόροις νεώτερα φρονεῖν. ἐκεῖ-
νον μὲν οὖν εἴτε αὐτὸν εἴτε ἄλλον δεδιὼς, εἰς πόλιν ἀκουίνον παρέπεμψε παραθαρρύνας. καταλέ-
γων δὲ τῶν ἐν τέλει συνεκδήμους, ἔταξεν ἐν τούτοις καὶ λεύκιον τὸν οὐιτελλίου ἀδελφὸν, οὔτε προσθεὶς
οὐδὲν, οὔτε ἀφελὼν ἧς εἶχε τιμῆς. ἰσχυρῶς δὲ καὶ τῆς μητρὸς ἐπεμελήθη τοῦ οὐιτελλίου καὶ τῆς γυναι-
κὸς, ὅπως μηδὲν ἐμφοβήσονται περὶ αὐτῶν. τῆς δὲ ῥώμης φύλακα φλαούιον σαβῖνον ἀδελφὸν οὐε-
σπεσιανοῦ κατέστησεν, εἴτε καὶ τοῦτο πράξας ἐπὶ τιμῇ νέρωνος. παρ' ἐκείνου γὰρ εἰλήφει τὴν ἀρχὴν
ὁ σαβῖνος, ἀφείλετο δὲ γάλβας αὐτόν. εἴτε μᾶλλον εὔνοιαν ἐνδεικνύμενος οὐεσπεσιανῷ καὶ πίστιν αὔ-
ξων σαβῖνον. αὐτὸς μὲν οὖν ἐν βριξίλλῳ πόλει τῆς ἰταλίας περὶ τὸν ἠριδανὸν ἀπελείφθη. στρατηγοὺς
δὲ τῶν δυνάμεων ἐξέπεμψε μάριόν τε κέλσον καὶ σουιτώνιον παυλῖνον, ἔτι τε γάλλον καὶ σπουρίναν,
ἴσ' ἐπὶ
ἄνδρας ἐνδόξους, χρήσασθαι δὲ μὴ δυνηθέντας ὑπὸ τῶν πραγμάτων, ὡς προῃροῦντο τοῖς ἑαυτῶν
τῷ αὐτῷ nec. s.
λογισμοῖς, ὡς προῃροῦντο δι' ἀταξίαν καὶ θρασύτητα τῶν στρατιωτῶν. οὐ γὰρ ἠξίουν ἑτέρων ἀκούειν,
λπτ. s.m.
ὡς αὐτῶν τοῦ αὐτοκράτορος τὸ ἄρχειν ἔχοντος. ἦν μὲν οὖν οὐδὲ τὰ τῶν πολεμίων ὑγιαίνοντα παντά-
ἐκδόνοις. s. m.
πασιν, οὐδὲ χειροήθη τοῖς ἡγεμόσιν, ἀλλ' ἔμπληκτα καὶ σοβαρὰ διὰ τὴν αὐτὴν αἰτίαν. οὐ μὴν ἀλλ' ἐ-
κείνους ἐμπειρία τε παρῆν τοῦ μάχεσθαι, καὶ τοῦ κάμνειν ἐθάδεις ὄντες, οὐκ ἔφευγον. οὗτοι δὲ μαλακοὶ
μὲν ἦσαν ὑπὸ σχολῆς καὶ διαίτης ἀπολέμου, πλεῖστον χρόνον ἐν θεάτροις καὶ πανηγύρεσι καὶ παρὰ
σκηνὴν βεβιωκότες, ὕβρει δὲ καὶ κόμπῳ ἐπαμπίσχειν ἐβούλοντο, προσποιησάμενοι τὰς λειτουργίας,
ὡς κρείττονες ἀπαξιοῦντες, οὐχ ὡς ἀδύνατοι φέρειν. ὁ δὲ σπουρίνας προσβιαζόμενος αὐτοὺς, ἐκινδύ-
νευσε μικρὸν ἐλθόντας ἀνελεῖν αὐτόν. ὕβρεως δὲ καὶ βλασφημίας οὐδεμιᾶς ἐφείσαντο, προδότην
καὶ λυμεῶνα τῶν καίσαρος καιρῶν καὶ πραγμάτων λέγοντες, ἔνιοι δὲ καὶ μεθυσθέντες ἤδη νυκτὸς,
ἦλθον ἐπὶ τὴν σκηνὴν ἐφόδιον αἰτοῦντες. εἶναι γὰρ αὐτοῖς πρὸς καίσαρα βαδιστέον, ὅπως ἐκείνου
κατηγορήσωσιν. ὤνησε δὲ τὰ πράγματα καὶ σπουρίναν ἐν τῷ παραυτίκα λοιδορία περὶ πλακεν-
τίαν γενομένη τῶν στρατιωτῶν. οἱ γὰρ οὐιτελλίου τοῖς τείχεσι προσβάλλοντες, ἐχλεύαζον τοὺς ὄθω-
νος ἑστῶτας παρὰ τὰς ἐπάλξεις, σκηνικοὺς καὶ πυρριχιστὰς καὶ πυθίων καὶ ὀλυμπίων θεωροὺς, πο-
λέμου δὲ καὶ στρατείας ἀπείρους καὶ ἀθεάτους ἀποκαλοῦντες, καὶ μέγα φρονοῦντας ἐπὶ τῷ γέρον-
τος ἀνόπλου κεφαλὴν ἀποτεμεῖν, τὸν γάλβαν λέγοντες. εἰς δὲ ἀγῶνα καὶ μάχην ἀνδρῶν οὐκ ἂν ἐκ-
φανῶς καταβάντας. οὕτω γὰρ ἐταράχθησαν ὑπὸ τούτων τῶν ὀνειδῶν καὶ διεκάησαν, ὥστε
προσπεσεῖν τῷ σπουρίνᾳ δεόμενοι χρῆσθαι καὶ προστάττειν αὐτοῖς οὐδένα κίνδυνον οὐδὲ πόνον
ἀπολεγομένοις. ἰσχυρᾶς δὲ συστάσης τειχομαχίας, καὶ μηχανημάτων πολλῶν προσαχθέν-
των, ἐκράτησαν οἱ τοῦ σπουρίνα, καὶ φόνῳ πολλῷ τοὺς ἐναντίους ἀποκρουσάμενοι, διετήρησαν
ἔνδοξον πόλιν, καὶ τῶν ἰταλῶν οὐδεμιᾶς ἧττον ἀνθοῦσαν. ἦσαν δὲ καὶ τὰ ἄλλα τῶν οὐιτελλίου στρα-
τηγῶν, οἱ ὄθωνος ἐντυχεῖν ἀλυπότεροι καὶ πόλεσι καὶ ἰδιώταις. ἐκείνων δὲ καικίνας μὲν, οὔτε σχῆ-
s. l. – ἀ οὔτε φαῦλον δημοτικοῦ
μα δημοτικὸς, ἀλλ' ἐπαχθὴς καὶ ἀλλόκοτος σώματος μεγάλου γαλατικῶς ἀναξυρίσι καὶ χειρῖσιν
Bayf.
ἐνεσκευασμένος σημείοις, καὶ ἄρχουσι ῥωμαϊκοῖς διαλεγόμενος. καὶ τὴν γυναῖκα παρέπεμ-

Ὁ δὲ νεώτερος αὐτοκράτωρ ἅμ' ἡμέρᾳ προελθὼν εἰς τὸ καπιτώλιον, ἔθυσε, καὶ κελεύσας μάριον κέλσον ἀχθῆναι πρὸς αὐτὸν, ἠσπάσατο καὶ διελέχθη φιλανθρώπως, καὶ παρεκάλεσε τῆς αἰτίας ἐπιλαθέσθαι μᾶλλον, ἢ τῆς ἀφέσεως μνημονεύειν. τοῦ δὲ κέλσου μήτ' ἀγεννῶς ἀποκριναμένου, μήτ' ἀναισθήτως, ἀλλὰ φήσαντος αὐτοῦ τοῦ τρόπου διδόναι τὸ ἔγκλημα πίστιν. ἐγκαλεῖσθαι δ' ὅτι γάλβα βέβαιον ἑαυτὸν παρέσχεν, ᾧ χάριν οὐδεμίαν ὤφειλεν. ἠγάσθησαν οἱ παρόντες ἀμφοτέρων, καὶ τὸ στρατιωτικὸν ἐπῄνεσεν. ἐν δὲ συγκλήτῳ πολλὰ δημοτικὰ καὶ φιλάνθρωπα διαλεχθεὶς, ὃν μὲν αὐτὸς ὑπατεύειν χρόνον ἔμελλε, τούτου μέρος νείμας οὐεργινίῳ ῥούφῳ. τοῖς δ' ἀποδεδειγμένοις ὑπὸ νέρωνος ἢ γάλβα, πᾶσιν ἐτήρησε τὰς ὑπατείας. ἱερωσύναις δὲ τοὺς καθ' ἡλικίαν προήκοντας, ἢ δόξαν, ἐκόσμησε. τοῖς δ' ἐπὶ νέρωνος φυγοῦσι καὶ κατελθοῦσιν ἐπὶ γάλβα συγκλητικοῖς πᾶσιν ἀπέδωκεν, ὅσα μὴ πεπλεγμένα τῶν κτημάτων ἕκαστον ἐξευρίσκετο. ὅθεν οἱ πρῶτοι καὶ κράτιστοι πεφρικότες πρότερον, ὡς οὐκ ἄνδρας, ἀλλά τινος ἢ ποινῆς ἢ παλαμναίου δαίμονος ἄφνω τοῖς πράγμασιν ἐπιπεπτωκότος, ἡδίους ἐγίνοντο ταῖς ἐλπίσι πρὸς τὴν ἡγεμονίαν ὡς προσδιαμειδιῶσαν. ὁμοῦ δὲ ῥωμαίους πάντας, οὐδὲν εὔφρανεν οὕτως, οὐδ' ᾠκειώσατο πρὸς αὐτὸν, ὡς τὰ περὶ τιγελλῖνον. ἐλελήθει μὲν γὰρ ἤδη κολαζόμενος αὐτῷ τῷ φόβῳ τῆς κολάσεως, ἣν ὡς χρέος ἀπῄτει δημόσιον ἡ πόλις, καὶ νοσήμασιν ἀνηκέστοις σώματος. αὐτοῦ τε τὰς ἀνοσίους καὶ ἀρρήτους ἐν γυναιξὶ πόρναις καὶ ἀκαθάρτοις ἐγκυλινδήσεις, αἷς ἔτι προσέσπαιρε δυσθανατοῦν αὐτοῦ τὸ ἀκόλαστον ἐπιδραττόμενον, ἐσχάτην τιμωρίαν ἐποιοῦντο καὶ πολλῶν ἀντάξια θανάτων, οἱ σωφρονοῦντες. λύπη δὲ τοὺς πολλοὺς ὅμως τὸν ἥλιον ὁρῶν μετὰ τοσούτους καὶ τοιούτους δι' αὐτὸν οὐχ ὁρῶντας. ἔπεμψεν οὖν ἐπ' αὐτὸν ὁ ὄθων εἰς τοὺς περὶ σινόεσσαν ἀγρούς. ἐκεῖ γὰρ διῃτᾶτο πλοίων παρορμούντων, ὡς φευξόμενος ἀπωτέρω, καὶ τὸν γε πεμφθέντα χρυσίῳ πολλῷ πείθειν ἐπιχείρησε παρεῖναι. μὴ πεισθέντα δὲ, δῶρα μὲν ἔδωκεν οὐδὲν ἧττον, ἐδεήθη δὲ ὑπομεῖναι ἕως ἂν ἀποξύρηται τὸ γένειον, καὶ λαβὼν αὐτὸς ἑαυτὸν ἐλαιμοτόμησεν. οὕτω δὲ τῷ δήμῳ τὴν δικαιοτάτην ἡδονὴν ἀποδοὺς ὁ καῖσαρ, αὐτὸς ἰδίας ἔχθρας οὐδενὶ τοπαράπαν ἐμνησικάκησε, τοῖς δὲ πολλοῖς χαριζόμενος, οὐκ ἔφυγε τὸ πρῶτον ἐν τοῖς θεάτροις νέρων προσαγορεύεσθαι, καί τινων εἰκόνας νέρωνος εἰς τοὐμφανὲς προθεμένων, οὐκ ἐκώλυσε. κλαύδιος δὲ ῥοῦφος εἰς ἰβηρίαν φησὶ κομισθῆναι διπλώματα, οἷς ἐκπέμπουσι τοὺς γραμματηφόρους, τὸ τοῦ νέρωνος, θετὸν ὄνομα προσγεγραμμένον ἔχοντα τῷ τοῦ ὄθωνος. οὐ μὴν ἀλλὰ τοὺς πρώτους καὶ κρατίστους αἰσθόμενος, ἐπὶ τούτῳ δυσχεραίνοντας, ἐπαύσατο. τοιαύτην δὲ τῆς ἡγεμονίας κατάστασιν αὐτῷ λαμβανούσης, οἱ μισθοφόροι χαλεποὺς παρεῖχον ἑαυτοὺς, ἀπιστεῖν παρακελευόμενοι καὶ φυλάττεσθαι καὶ κωλύειν τοὺς ἀξιολόγους, εἴτε ἀληθῶς φοβούμενοι δι' εὔνοιαν, εἴτε προφάσει χρώμενοι ταύτῃ τοῦ ταράττειν καὶ πολεμοποιεῖν. κρισπῖνον δὲ πέμψαντος αὐτοῦ τὴν ἑπτακαιδεκάτην σπεῖραν ὡς τινὰς ἄξοντα, κἀκείνου νυκτὸς ἔτι συσκευαζομένου, καὶ τὰ ὅπλα ταῖς ἁμάξαις ἐπιτιθέντος, οἱ θρασύτατοι πάντες ἐβόων, οὐδὲν ὑγιὲς τὸν κρισπῖνον ἥκειν διανοούμενον. ἀλλὰ τὴν σύγκλητον ἐπιχειρεῖν πράγμασι νεωτέροις, καὶ τὰ ὅπλα κατὰ καίσαρος, οὐ καίσαρι παρακομίζεσθαι. τοῦ δὲ λόγου πολλῶν ἁπτομένου καὶ παροξύνοντος, οἱ μὲν, ἐπελαμβάνοντο τῶν ἁμαξῶν. οἱ δὲ τοὺς ἐνισταμένους ἑκατοντάρχας δύο, καὶ τὸν κρισπῖνον αὐτὸν ἀπέκτειναν. πάντες δὲ διασκευασάμενοι καὶ παρακαλέσαντες ἀλλήλους καίσαρι βοηθεῖν, ἤλαυνον εἰς τὴν ῥώμην, καὶ πυθόμενοι παρ' αὐτῷ δειπνεῖν ὀγδοήκοντα συγκλητικοὺς, ἐφέροντο πρὸς τὰ βασίλεια, νῦν καιρὸν εἶναι λέγοντες, ἐν ταυτῷ πάντας ἀνελεῖν τοὺς καίσαρος πολεμίους. ἡ μὲν οὖν πόλις ὡς αὐτίκα διαρπαγησομένη, θόρυβον εἶχε πολὺν, ἐν δὲ τοῖς βασιλείοις ἦσαν διαδρομαὶ, καὶ τὸν ὄθωνα δεινὴ κατελάμβανεν ἀπορία. φοβούμενος γὰρ ὑπὲρ τῶν ἀνδρῶν, αὐτὸς ἦν φοβερὸς ἐκείνοις. καὶ πρὸς αὐτὸν ἀνηρτημένους ἑώρα ταῖς ὄψεσιν ἀναύδους καὶ περιδεεῖς, ἐνίους καὶ μετὰ γυναικῶν ἥκοντας ἐπὶ τὸ δεῖπνον. ἅμα δὲ τοὺς ἐπάρχους ἀπέστελλε τοῖς στρατιώταις διαλέγεσθαι καὶ πραΰνειν κελεύσας, ἅμα δὲ τοὺς κεκλημένους ἄνδρας ἀναστήσας, καθ' ἑτέρας θύρας ἀφῆκε, καὶ μικρὸν ἔφθησαν ὑπεκφυγόντες διὰ τῶν μισθοφόρων ὠθουμένων εἰς τὸν ἀνδρῶνα, καὶ πυνθανομένων τί γεγόνασιν οἱ καίσαρος πολέμιοι. τότε μὲν οὖν ὀρθὸς ἀπὸ τῆς κλίνης πολλὰ παρηγορήσας, καὶ δεηθεὶς, καὶ μηδὲ δακρύων φεισάμενος μόλις ὑπέπεμψεν αὐτούς. τῇ δ' ὑστεραίᾳ δωρησάμενος ἅπαντας καθ' ἄνδρα χιλίαις καὶ διακοσίαις καὶ πεντήκοντα δραχμαῖς, εἰσῆλθεν εἰς τὸ στρατόπεδον, καὶ τὸ μὲν πλῆθος ἐπῄνεσεν, ὡς πρὸς αὐτὸν εὔνουν καὶ πρόθυμον, ὀλίγους δέ τινας οὐκ ἐπ' ἀγαθῷ φύσας ὑποικουρεῖν διαβάλλοντας αὐτοῦ τὴν μετριότητα, καὶ τὴν ἐκείνων εὐστάθειαν, ἠξίου συναγανακτεῖν καὶ συγκολάζειν. ἐπαινούντων δὲ πάντων καὶ κελευόντων, δύο μόνους παραβαλὼν, οἷς οὐδεὶς ἔμελλεν ἄχθεσθαι κολασθεῖσιν, ἀπηλλάγη. ταῦτα οἱ μὲν ἀγαπῶντες ἤδη καὶ

κου τινὸς ἀποσφάζει πρὸς τῷ ἱερῷ τῆς ἑστίας. ἀπεσφάγη δὲ καὶ ὁ βίννιος ὁμολογῶν κοινωνὸς γεγονέναι τῆς ἐπὶ τὸν γάλβαν συνωμοσίας. ἐβόα γὰρ ἀποθνήσκειν παρὰ τὴν ὄθωνος γνώμην. ἀλλὰ γὰρ καὶ τούτου τὴν κεφαλὴν ἀποτεμόντες καὶ λάκωνος ἐκόμισαν πρὸς τὸν ὄθωνα δωρεὰς αἰτοῦντες. ὡς δέ φησιν ἀρχίλοχος, ἑπτὰ γὰρ νεκρῶν πεσόντων, οὓς ἐμάρψαμεν ποσί, χίλιοι φονῆες ἐσμέν, οὕτω τότε πολλοὶ τοῦ φόνου μὴ συνεφαψάμενοι, χεῖρας δὲ καὶ ξίφη καθαιμάσσοντες, ἐπεδείκνυντο καὶ δωρεὰς ᾔτουν, βιβλία διδόντες τῷ ὄθωνι. εἴκοσι γοῦν καὶ ἑκατὸν εὑρέθησαν ὕστερον ἐκ τῶν γραμματείων, οὓς ὁ οὐιτέλλιος ἀναζητήσας ἅπαντας ἀπέκτεινεν. ἧκε δὲ καὶ μάριος κέλσος εἰς τὴν παρεμβολὴν, καὶ πολλῶν αὐτοῦ κατηγορούντων, ὅτι τοὺς στρατιώτας ἔπειθε τῷ γάλβᾳ βοηθεῖν, καὶ τοῦ πλήθους ἀποκτιννύναι βοῶντος, ὄθων οὐκ ἐβούλετο. φοβούμενος δὲ ἀντιλέγειν, οὐχ οὕτως ἔφη ταχέως ἀποκτενεῖν αὐτὸν, εἶναι γὰρ ἃ δεῖ πρότερον ἐκπυθέσθαι παρὰ τοῦ ἀνδρός. ἐκέλευσεν οὖν δήσαντας φυλάττειν, καὶ παρέδωκε τοῖς μάλιστα πιστευομένοις. εὐθὺς δὲ βουλὴ συνεκαλεῖτο. καὶ καθάπερ ἄλλοι γεγονότες, ἢ θεῶν ἄλλων γενομένων συνελθόντες ὤμνυον ὅρκον ὑπὲρ τοῦ ὄθωνος, ὃν αὐτὸς ὀμόσας οὐκ ἐτήρησε. καὶ καίσαρα καὶ σεβαστὸν ἀνηγόρευον, ἔτι τῶν νεκρῶν ἀκεφάλων ἐν ταῖς ὑπατικαῖς ἐσθῆσιν ἐρριμμένων ἐπὶ τῆς ἀγορᾶς. ταῖς δὲ κεφαλαῖς, ὡς οὐδὲν εἶχον ἔτι χρῆσθαι, τὴν μὲν οὐιννίου τῇ θυγατρὶ δισχιλίων καὶ πεντακοσίων δραχμῶν ἀπέδοντο. τὴν δὲ πείσωνος ἡ γυνὴ ἔλαβεν οὐηρανίου δεηθεῖσα. τὴν δὲ γάλβα τοῖς πατροβίου καὶ οὐιτελλίου δούλοις ἐδωρήσαντο. λαβόντες δὲ ἐκεῖνοι, καὶ πάντα τρόπον αἰκισάμενοι, καὶ καθυβρίσαντες, ἔρριψαν ὅπου τῶν καισάρων κολαζομένους θανατοῦσιν. ὁ δὲ τόπος σηστέρτιον καλεῖται. τὸ δὲ σῶμα τοῦ γάλβα πρίσκος ἑλβίδιος ἀνείλετο, τοῦ ὄθωνος ἐπιτρέψαντος, ἔθαψε δὲ νυκτὸς ἀργεῖος ἀπελεύθερος.

Τοιαῦτα τὰ κατὰ τὸν γάλβαν ἄνδρα μήτε γένει μήτε πλούτῳ πολλῶν ἀπολειφθέντα ῥωμαίων, ὁμοῦ δὲ πλούτῳ καὶ γένει πρωτεύσαντα, πάντων τῶν καθ᾽ αὑτὸν, ἔν τε αὐτοκρατόρων ἡγεμονίαις ἐμβιώσαντα μετὰ τιμῆς καὶ δόξης, ὥστε τῇ δόξῃ μᾶλλον ἢ τῇ δυνάμει καθελὼν νέρωνα, τῶν συνεπιθεμένων τότε τῷ μὲν, οὐδεὶς ἠξιώθη τῆς ἡγεμονίας. οἱ δ᾽ ἑαυτοὺς ἠξίωσαν. γάλβας δὲ καὶ κληθεὶς καὶ ὑπακούσας αὐτοκράτωρ, καὶ τῇ οὐίνδικος ἐμπαρασχὼν ὄνομα τόλμῃ, κίνημα καὶ νεωτερισμὸν αὐτοῦ λεγομένην τὴν ἀπόστασιν, ἐποίησε πόλεμον ἐμφύλιον, ἀνδρὸς ἡγεμονικοῦ τυχοῦσαν. ὅθεν οὐχ ἑαυτῷ τὰ πράγματα λαμβάνειν, ἀλλὰ μᾶλλον ἑαυτὸν οἰόμενος διδόναι τοῖς πράγμασιν, ἄρχειν ἠξίου τῶν ὑπὸ τιγελλίνου καὶ νυμφιδίου τεθηλυμμένων, ὡς σκηπίων ἦρχε καὶ φαβρίκιος, καὶ κάμιλλος, τῶν τότε ῥωμαίων. ὑπορρεπόμενος δὲ τῷ γήρᾳ, ἄχρι τῶν ὅπλων καὶ τῶν στρατευμάτων, ἀκραιφνὴς ἦν καὶ ἀρχαῖος αὐτοκράτωρ. οὐιννίῳ δὲ καὶ λάκωνι καὶ τοῖς ἀπελευθέροις, πάντα τὰ πράγματα πωλοῦσι παρέχων ἑαυτὸν, οἷα νέρων παρεῖχε τοῖς ἀπληστοτάτοις, οὐδένα ποθοῦντα τὴν ἀρχὴν, οἰκτείραντας δὲ τοὺς πολλοὺς τὸν θάνατον ἀπέλιπεν.

ἐσθῆσι. πι

βα καὶ προσεῖχε τοῖς λεγομένοις καὶ δεικνυμένοις ὑπὸ τοῦ ὀμβρικίου. θορυβουμένῳ δὲ αὐτῷ καὶ χρόας ἀμείβοντι παντοδαπὰς ὑπὸ δέους, παραστὰς ὀνομαστὸς ἀπελεύθερος ἥκειν ἔφη καὶ περιμένειν αὐτῷ οἴκοι τοὺς ἀρχιτέκτονας. ἦν δὲ σύμβολον καιροῦ, πρὸς ὃν ἔδει ἀπαντῆσαι τὸν ὄθωνα τοῖς στρατιώταις. εἰπὼν οὖν ὅτι παλαιὰν ἐωνημένος οἰκίαν, βούλεται τὰ ὕποπτα δεῖξαι τοῖς πωληταῖς, ἀπῆλθε, καὶ διὰ τῆς τιβερίου καλουμένης οἰκίας, καταβὰς, ἐβάδιζεν εἰς ἀγοράν, οὗ χρυσοῦς εἱστήκει κίων, εἰς ὃν αἱ τετμημέναι τῆς ἰταλίας ὁδοὶ πᾶσαι τελευτῶσιν. ἐνταῦθα τοὺς πρώτους ἐκδεξαμένους αὐτὸν καὶ προσειπόντας αὐτοκράτορα, φασὶ μὴ πλείους τριῶν καὶ εἴκοσι γενέσθαι. διὸ καίπερ οὐ κατὰ τὴν τοῦ σώματος μαλακίαν, καὶ θηλύτητα τῆς ψυχῆς διατεθρυμμένος, ἀλλ' ἰταμὸς ὢν, πρὸς τὰ δεινὰ καὶ ἄτρεπτος, ἀπεδειλίασεν. οἱ δὲ παρόντες οὐκ εἴων, ἀλλὰ τοῖς ξίφεσι γυμνοῖς περιιόντες αὐτοῦ τὸ φορεῖον, ἐκέλευον αἴρεσθαι παραφθεγγομένου πολλάκις ἀπολωλέναι καὶ τοὺς φορεαφόρους ἐπιταχύνοντος. ἐξήκουον γὰρ ἔνιοι θαυμάζοντες μᾶλλον ἢ ταραττόμενοι διὰ τὴν ὀλιγότητα τῶν ἀποτετολμημένων. φερομένῳ δὲ οὕτω δι' ἀγορᾶς ἀπήντησαν ἕτεροι τοσοῦτοι, καὶ πάλιν κατὰ τρεῖς καὶ τέτταρας ἄλλοι προσεπέλαζον. εἶτα συνανέστρεφον ἅπαντες ἀνακαλούμενοι καίσαρα καὶ γυμνὰ τὰ ξίφη προϊσχόμενοι. τῶν δὲ χιλιάρχων ὁ τὴν φυλακὴν ἔχων τοῦ στρατοπέδου μαρτιάλιος, ὥς φασι, μὴ συνειδὼς, ἐκπλαγεὶς δὲ τῷ ἀπροσδοκήτῳ καὶ φοβηθεὶς, ἀφῆκεν εἰσελθεῖν. γενομένῳ δὲ ἐντὸς, οὐδεὶς ἀντέπεσεν. οἱ γὰρ ἀγνοοῦντες τὰ πραττόμενα τοῖς εἰδόσι καὶ συνεστῶσιν ἐκ παρασκευῆς ἐμπεριεχόμενοι, καθ' ἕνα καὶ δύο σποράδες ὑπὸ δέους τὸ πρῶτον, εἶτα πεισθέντες ἐπηκολούθησαν. εἰς δὲ τὸ παλάτιον εὐθὺς μὲν ἀπηγγέλη τῷ γάλβᾳ παρόντος ἔτι τοῦ θύτου, καὶ τῶν ἱερῶν ἐν χερσὶν ὄντων, ὥστε καὶ τοὺς πάνυ πρὸς τὰ τοιαῦτα δυσπειθῶς καὶ ἀγεννῶς ἔχοντας, ἐκπλήττεσθαι καὶ θαυμάζειν τὸ θεῖον. ὄχλου δὲ παντοδαποῦ συρρέοντος ἐξ ἀγορᾶς, αὐτῷ μὲν ὀβίννιος καὶ λάκων καὶ τῶν ἀπελευθέρων ἔνιοι γυμνὰ τὰ ξίφη προϊσχόμενοι, παρειστήκεσαν, ὁ δὲ πείσων προελθὼν τοῖς φυλάττουσι τὴν αὐλὴν δορυφόροις ἐνετύγχανε. τοῦ δ' ἰλλυρικοῦ τάγματος ἐν τῇ καλουμένῃ παστάδι βιψανία στρατοπεδεύοντος ἀπεστάλη μάριος κέλσος ἀνὴρ ἀγαθὸς προκαταληψόμενος. βουλευομένου δὲ τοῦ γάλβα προελθεῖν, καὶ ὀβιννίου μὲν οὐκ ἐῶντος, κέλσου δὲ καὶ λάκωνος παρορμώντων καὶ σφοδρότερον τοῦ ὀβιννίου καθαπτομένων, θροῦς διῆλθε πολὺς ὡς ἀνῃρημένου τοῦ ὄθωνος ἐν τῷ στρατοπέδῳ, καὶ μετὰ μικρὸν ὤφθη ἰούλιος ἄττικος τῶν οὐκ ἀσήμων ἐν τοῖς δορυφόροις στρατευόμενος, γυμνῷ τῷ ξίφει προσφερόμενος, καὶ βοῶν ἀνῃρηκέναι τὸν καίσαρος πολέμιον, ὠσάμενος δὲ διὰ τῶν προεστώτων ἔδειξε τῷ γάλβᾳ τὸ ξίφος ᾑμαγμένον. ὁ δὲ βλέψας πρὸς αὐτὸν τίς σε εἶπεν ἐκέλευσε, τοῦ δὲ ἀνθρώπου τὴν πίστιν εἰπόντος καὶ τὸν ὅρκον ὃν ὤμοσε. καὶ τοῦ πλήθους ἐπιβοῶντος, ὡς εὖ, καὶ κροτοῦντος, ἐμβὰς εἰς τὸ φορεῖον ἐκομίζετο, τῷ τε διῒ θῦσαι καὶ φανῆναι τοῖς πολίταις βουλόμενος. ἐμβαλόντος δὲ εἰς τὴν ἀγορὰν ὥσπερ τροπαία πνεύματος ἀπήντησε φήμη κρατεῖν τὸν ὄθωνα τοῦ στρατεύματος. οἷα δὲ ἐν πλήθει τοσούτῳ. τῶν μὲν, ἀναστρέφειν. τῶν δὲ, προϊέναι. τῶν δὲ, θαρρεῖν. τῶν δὲ, ἀπιστεῖν βοώντων. καὶ τοῦ φορείου καθάπερ ἐν κλύδωνι δεῦρο κἀκεῖ διαφερομένου, καὶ πυκνὸν ἀπονεύοντος, ἐφαίνοντο πρῶτον ἱππεῖς, εἶτα ὁπλῖται διὰ τῆς παύλου βασιλικῆς προσφερόμενοι μιᾷ φωνῇ μέγα βοῶντες, ἐκποδὼν ἵστασθαι τὸν ἰδιώτην. τῶν μὲν οὖν πολλῶν δρόμος ἦν οὐ φυγῇ σκιδναμένων. ἀλλ' ἐπὶ τὰς στοὰς καὶ τὰ μετέωρα τῆς ἀγορᾶς, ὥσπερ θέαν καταλαμβανόντων. ἀτιλλίου δὲ σερκέλλωνος εἰκόνα γάλβα προσουδίσαντος, ἀρχὴν τοῦ πολέμου ποιησάμενοι περιηκόντιζον τὸ φορεῖον, ὡς δ' οὐκ ἔτυχον αὐτοῦ προσῆγον ἐσπασμένοις τοῖς ξίφεσιν. ἤμυνε δὲ οὐδεὶς οὐδὲ ὑπέστη, πλὴν ἑνὸς ἀνδρὸς, ὃν μόνον ἥλιος ἐπεῖδεν ἐν μυριάσι τοσαύταις ἄξιον τῆς ῥωμαίων ἡγεμονίας. σεμπρώνιος ἴνδιστος ἑκατοντάρχης, οὐδὲν ἰδίᾳ χρηστὸν ὑπὸ γάλβα πεπονθὼς, τῷ δὲ καλῷ καὶ τῷ νόμῳ βοηθῶν προέστη τοῦ φορείου. καὶ τὸ κλῆμα πρῶτον ᾧ κολάζουσιν ἑκατοντάρχαι τοὺς πληγῶν δεομένους ἐπαράμενος, τοῖς ἐπιφερομένοις ἐβόα, καὶ διεκελεύετο φείδεσθαι τοῦ αὐτοκράτορος. ἔπειτα συμπλεκομένων αὐτῷ, σπασάμενος τὸ ξίφος ἠμύνατο πολὺν χρόνον, ἕως τυφθεὶς τὰς ἰγνύας ἔπεσε. τὸν δὲ γάλβαν ἀποκλινθέντος τοῦ φορείου περὶ τὸν κούρτιον καλούμενον λάκκον ἐκκυλισθέντα τεθωρακισμένον, ἔτυπτον ἐπιδραμόντες. ὁ δὲ, τὴν σφαγὴν προτείνας, δρᾶτε εἶπεν εἰ τοῦτο τῷ δήμῳ ῥωμαίων ἄμεινόν ἐστιν. πολλὰς μὲν οὖν ἔλαβε πληγὰς εἴς τε τὰ σκέλη καὶ τοὺς βραχίονας. ἀπέσφαξε δὲ αὐτὸν, ὡς οἱ πλεῖστοι λέγουσι, καμούριός τις ἐκ τοῦ πεντεκαιδεκάτου τάγματος. ἔνιοι δὲ τερέντιον. οἱ δὲ ἀρκάδιον ἱστοροῦσιν. οἱ δὲ φάβιον φάβουλον, ὃν καὶ φασὶν ἀποκρύψαντα τὴν κεφαλὴν, κομίζειν τῷ ἱματίῳ συλλαβόντα διὰ τὴν ψιλότητα δυσπερίληπτον οὖσαν. ἔπειτα τῶν σὺν αὐτῷ κρύπτειν οὐκ ἐώντων, ἀλλ' ἐκφανῆ πᾶσι ποιεῖν τὴν ἀνδραγαθίαν, περιπείραντα περὶ λόγχην καὶ ἀναπήλαντα, πρεσβύτου πρόσωπον ἄρχοντός τε κοσμίου καὶ ἀρχιερέως καὶ ὑπάτου, δρόμῳ χωρεῖν ὥσπερ αἱ βάκχαι πολλάκις μεταστρεφόμενον καὶ κραδαίνοντα τὴν λόγχην αἵματι καταρρεομένην. τὸν δὲ ὄθωνα τῆς κεφαλῆς κομισθείσης ἀνακραγεῖν λέγουσιν. οὐδέν ἐστι τοῦτο ὦ συστρατιῶται, τὴν πείσωνός μοι κεφαλὴν δείξατε. μετ' ὀλίγον δὲ ἧκε κομιζομένη. τρωθεὶς γὰρ ἔφευγεν ὁ νεανίσκος, καὶ καταδιωχθεὶς ὑπὸ μαρ

ἐπωσμένοι. π. ς.

πλείονος π.

τὰς δωρεάς, ἰδίας δὲ ἐκεῖνοι προφάσεις ἐποιοῦντο. οὐεργίνιόν τε ῥοῦφον ἀπερριμμένον ἀτίμως, καὶ γαλάτων τοὺς πολεμήσαντας αὐτοῖς δωρεῶν τυγχάνοντας. ὅσοι δὲ μὴ προσέθεντο οὐίνδικι, κολαζομένους, μόνῳ τὸν γάλβαν χάριν εἰδέναι καὶ τιμᾶν τεθνηκότα καὶ γεραίρειν δημοσίοις ἐναγισμοῖς ὡς ὑπ᾽ ἐκείνου ῥωμαίων ἀποδεδειγμένον αὐτοκράτορα. Τοιούτων ἀναφανδὸν ἤδη λόγων ἐν τῷ στρατοπέδῳ περιφερομένων, ἐπῆλθεν ἡ νουμηνία τοῦ πρώτου μηνός, ἣν καλάνδας ἰανουαρίας καλοῦσι. τοῦ δὲ φλάκκου συναγαγόντος αὐτοὺς ἐπὶ τὸν ὅρκον, ὃν ἔθος ἐστὶν ὀμνύειν ὑπὲρ τοῦ αὐτοκράτορος, τὰς μὲν εἰκόνας τοῦ γάλβα προσελθόντες ἀνέτρεψαν καὶ κατέσπασαν. αὐτοὶ δὲ ὀμόσαντες ὑπὲρ συγκλήτου καὶ δήμου ῥωμαίων διελύθησαν. εἶτα τοῖς ἡγεμονικοῖς, παρίστατο δεδοικέναι τὴν ἀναρχίαν ὡς ἀπόστασιν. λέγει δέ τις ἐν αὐτοῖς· τί πάσχομεν ὦ συστρατιῶται, μήτ᾽ ἄλλον ἡγεμόνα ποιούμενοι, μήτε τὸν νῦν ὄντα φυλάττοντες, ὥσπερ οὐ γάλβαν, ἀλλὰ ὅλως ἄρχοντα καὶ τὸ ἄρχεσθαι φεύγοντες. φλάκκον μὲν οὖν ὀρδεώνιον οὐδὲν ἄλλο ἢ σκιὰν ὄντα γάλβα καὶ εἴδωλον, ἐατέον. ἡμέρας δὲ μιᾶς ὁδὸν ἀφέστηκεν ἡμῶν οὐιτέλλιος, ὁ τῆς ἑτέρας γερμανίας ἡγούμενος. πατρός τε τιμητοῦ καὶ τρὶς ὑπάτου γενομένου, καὶ κλαυδίῳ καίσαρι τρόπον τινὰ συνάρξαντος, αὐτός τε τὴν λοιδορουμένην ὑπ᾽ ἐνίων πενίαν δεῖγμα λαμπρὸν ἔχων χρηστότητος καὶ μεγαλοφροσύνης. φέρε τοῦτον ἑλόμενοι δείξωμεν ἀνθρώποις πᾶσιν, ὡς ἰβήρων καὶ λυσιτανῶν ἀμείνους ἐσμὲν αὐτοκράτορα αἱρεῖσθαι. Ταῦτα τῶν μὲν ἤδη προσιεμένων, τῶν δ᾽ οὐ προσιεμένων, εἷς ὑπεξελθὼν σημαιαφόρος ἀπήγγειλε τῷ οὐιτελλίῳ νυκτὸς ἑστιωμένων πολλῶν παρ᾽ αὐτῷ. τοῦ δὲ λόγου διαπεσόντος εἰς τὰ στρατεύματα, πρῶτος φάβιος οὐάλης ἡγεμὼν ἑνὸς τάγματος τῇ ὑστεραίᾳ μετὰ ἱππέων συχνῶν ἐλάσας, αὐτοκράτορα τὸν οὐιτέλλιον προσεῖπεν. ὁ δὲ τὰς μὲν ἔμπροσθεν ἡμέρας ἐδόκει διωθεῖσθαι καὶ ἀναδύεσθαι τὸ μέγεθος τῆς ἀρχῆς φοβούμενος. τότε δέ φασιν οἴνου διάπλεων καὶ τροφῆς ὄντα μεσημβρινῆς, προελθεῖν καὶ ὑπακοῦσαι γερμανικὸν ὄνομα θεμένων αὐτῷ, τὸ δὲ καίσαρος οὐ προσδεξάμενον. εὐθὺς δὲ καὶ τὸ μετὰ φλάκκου στράτευμα τοὺς καλοὺς ἐκείνους καὶ δημοκρατικοὺς εἰς σύγκλητον ὅρκους ἀφέντες, ὤμοσαν οὐιτελλίῳ τῷ αὐτοκράτορι ποιήσειν τὸ προσταττόμενον.

Οὕτω μὲν ἀνηγορεύθη οὐιτέλλιος αὐτοκράτωρ ἐν γερμανίᾳ. πυθόμενος δὲ τὸν ἐκεῖ νεωτερισμὸν ὁ γάλβας, οὐκέτι τὴν εἰσποίησιν ἀνεβάλλετο. γινώσκων δὲ τῶν φίλων ἐνίους μὲν ὑπὲρ δολαβέλλα, τοὺς δὲ πλείστους ὑπὲρ ὄθωνος ἀρχαιρεσιάζοντας, ὧν οὐδέτερον ἐδοκίμαζεν αὐτός, ἄφνω μηδὲν προειπὼν μετεπέμψατο πείσωνα κράσσου καὶ κελτίωνος ἔκγονον, οὓς νέρων ἀνῃρήκει, νεανίαν ἐν τῇ πρὸς πᾶσαν ἀρετὴν εὐφυΐᾳ τὸ κόσμιον καὶ αὐστηρὸν ἐμφανέστατα ἔχοντα, καὶ κατέβαινεν εἰς τὸ στρατόπεδον, ἐκεῖνον ἀποδείξων καίσαρα καὶ διάδοχον. καίτοι μεγάλαι μὲν εὐθὺς ἐξιόντι διοσημεῖαι παρηκολούθουν. ἀρξαμένου δὲ τὰ μὲν λέγειν ἐν τῷ στρατοπέδῳ, τὰ δὲ ἀναγινώσκειν, τοσαυτάκις ἐβρόντησε καὶ κατήστραψε, καὶ τοσοῦτος ὄμβρος καὶ ζόφος ἐξεχύθη εἰς τὸ στρατόπεδον καὶ τὴν πόλιν, ὡς κατάδηλον εἶναι μὴ προσιέμενον, μηδὲ ἐπαινοῦν τὸ δαιμόνιον, γινομένην οὐκ ἐπ᾽ ἀγαθῷ τὴν εἰσποίησιν. Ἦν δὲ καὶ τὰ τῶν στρατιωτῶν ὕπουλα καὶ σκυθρωπὰ μηδὲ τότε δωρεᾶς αὐτοῖς δοθείσης. τοῦ δὲ πείσωνος οἱ παρόντες ἐθαύμαζον, τῇ τε φωνῇ τεκμαιρόμενοι καὶ τῷ προσώπῳ, τὸ τηλικαύτην χάριν ἀνεκπλήκτως, οὐ μὴν ἀναισθήτως δεχόμενον, ὥσπερ αὖ τοῦ ὄθωνος ἐπεφαίνετο πολλὰ σημεῖα τῇ μορφῇ πικρῶς καὶ σὺν ὀργῇ τῆς ἐλπίδος τὴν ἀπότευξιν φέροντος, ἧς πρῶτος ἀξιωθεὶς καὶ τοῦ τυχεῖν ἐγγυτάτω γενόμενος, τὸ μὴ τυχεῖν ἐποιεῖτο σημεῖον ἔχθους ἅμα καὶ κακονοίας τοῦ γάλβα πρὸς αὐτόν. ὅθεν οὐδὲ ἄφοβος ἦν περὶ τοῦ μέλλοντος, ἀλλὰ καὶ τὸν πείσωνα δεδιὼς καὶ τὸν γάλβαν προβαλλόμενος καὶ τῷ οὐινίῳ χαλεπαίνων, ἀπῄει πολλῶν παθῶν πλήρης. οὐδὲ γὰρ τὸ ἐλπίζον ἐκλιπεῖν οὐδὲ ἀπαγορεῦσαι παντάπασιν εἴων οἱ περὶ αὐτὸν ὄντες ἀεὶ μάντεις καὶ χαλδαῖοι, καὶ μάλιστα δὲ πτολεμαῖος, ἰσχυριζόμενος τῷ προειπεῖν πολλάκις, ὡς οὐκ ἀποκτενεῖ νέρων αὐτόν, ἀλλὰ τεθνήξεται πρότερος, αὐτὸς δὲ περίεσται καὶ ἄρξει ῥωμαίων. ἐκεῖνο γὰρ ἀληθὲς ἀποδείξας, ἠξίου μηδὲ ταῦτα ἀπελπίζειν. οὐχ ἥκιστα δὲ οἱ συναχθόμενοι κρύφα καὶ συνεπιστενάζοντες, ὡς ἀχάριστα πεπονθότι. πλεῖστοι δὲ τῶν περὶ τιγελλῖνον καὶ νυμφίδιον ἐν τιμῇ γεγονότων, ἀπερριμμένοι τότε καὶ ταπεινὰ πράττοντες, ἐφθείροντο πρὸς αὐτὸν καὶ συνηγανάκτουν καὶ παρώξυνον. Ἐν δὲ τούτοις ἦσαν οὐετούριος καὶ βάρβιος. ὁ μὲν, ὀπτίων. ὁ δέ, τεσσεράριος. οὕτω γὰρ καλοῦνται οἱ δι᾽ ἀγγέλων καὶ διοπτήρων ὑπηρεσίας τελοῦντες. μεθ᾽ ὧν ὄθωνος ἀπελεύθερος ὀνόμαστος ἐπιφοιτῶν τοὺς μὲν, ἀργυρίῳ, τοὺς δὲ, ἐλπίσι διέφθειρεν, ἤδη σαθροὺς ὄντας καὶ δεομένους προφάσεως. οὐ γὰρ ἦν ἡμερῶν τεσσάρων ἔργον ὑγιαίνοντος στρατοπέδου μεταστῆσαι πᾶσιν ὅσαι μεταξὺ τῆς εἰσποιήσεως ἐγένοντο καὶ τῆς σφαγῆς. ἕκτῃ γὰρ ἀνῃρέθησαν, ἣν ἄγουσι ῥωμαῖοι πρὸ δεκαοκτὼ καλανδῶν φεβρουαρίων. ἐκείνῃ γὰρ ἕωθεν εὐθὺς ὁ μὲν γάλβας ἔθυεν ἐν παλατίῳ τῶν φίλων παρόντων. ὁ δὲ θύτης ὀμβρίκιος ἅμα τῷ λαβεῖν εἰς τὰς χεῖρας τοῦ ἱερείου τὰ σπλάγχνα, καὶ προσιδεῖν, οὐ δι᾽ αἰνιγμῶν, ἀλλ᾽ ἄντικρυς ἔφη σημεῖα μεγάλης ταραχῆς, καὶ μετὰ δόλου κίνδυνον ἐκ κεφαλῆς ἐπικείμενον τῷ αὐτοκράτορι, μονονουχὶ τὸν ὄθωνα τοῦ θεοῦ χειρὶ ληπτὸν παραδιδόντος. παρειστήκει γὰρ ὄπισθεν τοῦ γάλ-

π Vide Suetonium in Othone ubi Beroaldus de claris ex Vegetio quid sit opko in re militari 278.

ζεν, εἰπὼν εἰωθέναι καταλέγειν στρατιώτας, οὐκ ἀγοράζειν. πυθομένοις τούτου δεινὸν εἰσῆλθε μῖσος καὶ ἄγριον πρὸς αὐτόν. ἐδόκει γὰρ οὐκ αὐτὸς ἀποστερεῖν μόνος, ἀλλὰ νομοθετεῖν καὶ διδάσκειν τοὺς μετ' αὐτὸν αὐτοκράτορας. ἀλλὰ τοῦτο μὲν ἐν Ῥώμῃ τυφλὸν ἦν ἔτι κίνημα, καί τις αἰδὼς ἅμα πρὸς παρόντα τὸν Γάλβαν, ἀμβλύτητα καὶ μέλλησιν ἐνεποίει τῶν νεωτερισμῶν, καὶ τὸ μηδεμίαν ἀρχὴν ἐμφανῆ μεταβολῆς ὁρᾶσθαι, συνέστελλε καὶ συνέκρυπτεν ἁμωσγέπως τὴν δυσμένειαν αὐτῶν. οἱ δὲ πρότερον ὑπὸ Οὐεργινίῳ γενόμενοι, τότε δ' ὄντες ὑπὸ Φλάκκῳ περὶ Γερμανίαν, μεγάλων μὲν ἀξιοῦντες αὐτοὺς διὰ τὴν μάχην, ἣν ἐμαχέσαντο πρὸς Οὐίνδικα, μηδενὸς δὲ τυγχάνοντες, ἀπαρηγόρητοι τοῖς ἄρχουσιν ἦσαν. αὐτὸν δὲ τὸν Φλάκκον ὑπὸ συντόνου ποδάγρας ἀδύνατον ὄντα τῷ σώματι καὶ πραγμάτων ἄπειρον, ἐν οὐδενὶ λόγῳ τὸ παράπαν ἐποιοῦντο, καί ποτε θέας οὔσης καὶ τῶν χιλιάρχων καὶ λοχαγῶν τὸ Ῥωμαίοις σύνηθες εὐτυχίαν ἐπευχομένων τῷ αὐτοκράτορι Γάλβᾳ, διεθορύβησαν οἱ πολλοὶ τὸ πρῶτον, εἶτα ταῖς εὐχαῖς ἐπιμενόντων ἐκείνων, ἀντεφώνουν, εἰ ἄξιος.

Τοιαῦτα δ' ἕτερα καὶ τῶν ὑπὸ Τιγελλίνῳ ταγμάτων ὑβριζόντων πολλάκις, ἐπέμπετο γράμματα τῷ Γάλβᾳ παρὰ τῶν ἐπιτρόπων. ὁ δὲ φοβηθεὶς ὡς μὴ μόνον διὰ τὸ γῆρας, ἀλλὰ καὶ διὰ τὴν ἀπαιδίαν καταφρονούμενος, ἐβουλεύετο παῖδα θέσθαι τῶν ἐπιφανῶν τινα νεανίσκον, καὶ διάδοχον ἀποδεῖξαι τῆς ἀρχῆς. ἦν δὲ Μάρκος Ὄθων ἀνήρ, γένει μὲν οὐκ ἀφανής, τρυφῇ δὲ, καὶ φιληδονίαις εὐθὺς ἐκ παίδων ἐν ὀλίγοις Ῥωμαίων διεφθαρμένος. ὡς δὲ τὸν Ἀλέξανδρον Ὅμηρος Ἑλένης πόσιν ἠϋκόμοιο, μηδὲν ἔχοντα πρὸς δόξαν ἄλλο σεμνυνῶν, ἀπὸ τῆς γυναικὸς ὀνομάζει πολλάκις, οὕτως γεγονὼς περιβόητος ἐν Ῥώμῃ διὰ τὸν Ποππαίας γάμον, ἧς ἤρα μὲν ὁ Νέρων, Κρισπίνῳ συνούσης. ἔτι δὲ αἰδούμενος τὴν ἑαυτοῦ γυναῖκα, καὶ τὴν μητέρα φοβούμενος, ὑφῆκε τὸν Ὄθωνα πειρῶντα τὴν Ποππαίαν. φίλῳ δὲ τῷ Ὄθωνι καὶ συμβιωτῇ διὰ τὴν ἀσωτίαν ἐχρῆτο, καὶ σκωπτόμενος ὑπ' αὐτοῦ πολλάκις εἰς μικρολογίαν καὶ ἀνελευθερίαν, ἔχαιρε. λέγεται δέ ποτε μύρῳ τῶν πολυτελῶν χρισαμένου τοῦ Νέρωνος, καὶ τὸν Ὄθωνα καταβρέξαντος, ἐκεῖνος πάλιν τῇ ὑστεραίᾳ δεχόμενος αὐτὸν ἅμα πολλαχόθεν ἀργυροῦς καὶ χρυσοῦς προβάλλειν ἄφνω σωλῆνας, ὥσπερ ὕδωρ τὸ μύρον ἐκχέοντας καὶ κατακλύζοντας. ἀλλὰ τήν γε Ποππαίαν προμοιχεύσας τῷ Νέρωνι, καὶ διαφθείρας ταῖς εἰς ἐκεῖνον ἐλπίσιν, ἔπεισεν ἀποστῆναι τοῦ ἀνδρός, ἐλθούσης δὲ παρ' αὐτὸν ὡς γαμετῆς, οὐκ ἠγάπα μετέχων. ἀλλ' ἤσχαλε μεταδιδούς, οὐδὲ αὐτῆς ἀχθομένης ὥς φασι τῇ ζηλοτυπίᾳ τῆς Ποππαίας. καὶ γὰρ ἀποκλεῖσαι τὸν Νέρωνα λέγεται, μὴ παρόντος τοῦ Ὄθωνος, εἴτε τῆς ἡδονῆς ἀφαιροῦσα τὸ πλήσμιον, εἴτε ὥς φασιν ἔνιοι βαρυνομένη τὸν Καίσαρος γάμον. ἐραστῇ δὲ μὴ φεύγοντα χρῆσθαι διὰ τὸ φιλακόλαστον.

ἐκινδύνευσεν οὖν ὁ Ὄθων ἀποθανεῖν, καὶ παράλογον ἦν ὅτι τὴν γυναῖκα καὶ ἀδελφὴν ἀποκτείνας διὰ τὸν Ποππαίας γάμον, ἐφείσατο τοῦ Ὄθωνος. Σενέκαν δὲ εἶχεν εὔνουν. κἀκείνου τὸν Νέρωνα πείσαντος καὶ παραινέσαντος, ἐξεπέμφθη Λυσιτανῶν στρατηγὸς ἐπὶ τὸν Ὠκεανόν, καὶ παρέσχεν ἑαυτὸν οὐκ ἄχαριν οὐδὲ ἐπαχθῆ τοῖς ὑπηκόοις, εἰδὼς φυγῆς ὑποκόρισμα καὶ παρακάλυμμα τὴν ἀρχὴν αὐτῷ δεδομένην. ἀποστάντος δὲ Γάλβα, πρῶτος αὐτὸς προσεχώρησε τῶν ἡγεμόνων, καὶ φέρων ὅσον εἶχεν ἐν ἐκπώμασι καὶ τραπέζαις ἄργυρον καὶ χρυσόν, ἔδωκε κατακόψαι ποιουμένῳ νόμισμα, καὶ τῶν οἰκετῶν ἐδωρήσατο τοὺς εἰθισμένους περὶ δίαιταν ἡγεμόνι ἐμμελῶς ὑπουργεῖν. καὶ τὰ ἄλλα πιστὸς ἦν αὐτῷ, καὶ διδοὺς πεῖραν οὐδενὸς ἧττον ἐδόκει πραγμάτων ἔμπειρος εἶναι, καὶ βαδίζοντι τὴν ὁδὸν ἅπασαν ἐφ' ἡμέρας πολλὰς συνοχούμενος διετέλεσεν. ἐν δὲ τῇ συνοδίᾳ καὶ ἡ συνήθεια τὸν Οὐίνιον ἐξεθεράπευσεν ὁμιλίᾳ καὶ δώροις. μάλιστα δὲ τῶν πρωτείων ὑφιέμενος αὐτῷ, τὸ δὲ μετ' ἐκεῖνον δύνασθαι, δι' ἐκεῖνον εἶχε βεβαίως. τῷ δὲ ἀνεπιφθόνῳ περιῆν, προῖκα συμπράττων πάντα τοῖς δεομένοις, καὶ παρέχων ἑαυτὸν εὐπροσήγορον καὶ φιλάνθρωπον ἅπασι. πλεῖστα δὲ τοῖς στρατιωτικοῖς συνελάμβανε καὶ προῆγε πολλοὺς ἐφ' ἡγεμονίας. τὰ μὲν, αἰτούμενος ἀπὸ τοῦ αὐτοκράτορος, τὰ δὲ, τὸν Οὐίνιον καὶ τοὺς ἀπελευθέρους παρακαλῶν Σικέλιον καὶ Ἀσιατικόν. οὗτοι γὰρ ἦσαν ἐν δυνάμει μάλιστα τῶν περὶ τὴν αὐλήν. ὁσάκις δὲ τὸν Γάλβαν εἱστία, τὴν παραφυλάττουσαν ἀεὶ σπεῖραν ἐδεκάζε χρυσοῦν ἑκάστῳ διανέμων, οἷς τιμᾶν αὐτὸν ἐδόκει καταπολιτευόμενος καὶ δημαγωγῶν τὸ στρατιωτικόν. ἀλλ' οὖν βουλευομένου γε τοῦ Γάλβα περὶ διαδόχου, τὸν Ὄθωνα παρεισῆγεν ὁ Οὐίνιος. οὐδὲ τοῦτο προῖκα πράττων, ἀλλ' ἐπὶ γάμῳ τῆς θυγατρός, ὁμολογίας γενομένης γαμεῖν αὐτὴν τὸν Ὄθωνα, παῖδα τοῦ Γάλβα καὶ διάδοχον ἀποδειχθέντα τῆς ἡγεμονίας. ὁ δὲ Γάλβας ἀεὶ μὲν ἦν δῆλος πρὸ τοῦ ἰδίου τὸ κοινὸν τιθέμενος, καὶ ζητῶν οὐκ αὐτῷ θέσθαι τὸν ἥδιστον, ἀλλὰ Ῥωμαίοις τὸν ὠφελιμώτατον. δοκεῖ δὲ μηδ' ἂν ἐπὶ τοῖς ἰδίοις χρήμασι μόνον ἑλέσθαι τὸν Ὄθωνα κληρονόμον, ἀκόλαστον εἰδὼς καὶ πολυτελῆ, καὶ πεντακισχιλίων μυριάδων ὀφλήμασι βεβαπτισμένον. ὅθεν ἀκούσας τοῦ Οὐινίου σιωπῇ καὶ πράως ὑπερέθετο τὴν διάθεσιν. ἀποδείξας δ' αὐτὸν ὕπατον καὶ συνάρχοντα τὸν Οὐίνιον, ἐπίδοξος ἦν ἔτους ἀρχῇ τὸν διάδοχον ἀναγορεύσειν, καὶ τὸ στρατιωτικὸν ἡδέως εἶχε τὸν Ὄθωνα παρ' ὁντινοῦν ἄλλον ἀναγορευθῆναι. καταλαμβάνει δ' αὐτὸν ἔτι μέλλοντα καὶ βουλευόμενον, ἐκραγέντα τὰ Γερμανικά. κοινῇ γὰρ ἅπαντες οἱ στρατευόμενοι τὸν Γάλβαν ἐμίσουν οὐκ ἀποδιδόν-

νιος ὁ τὸν λόγον γράψας, καὶ μιθριδάτης ὁ ποντικὸς, ἔδοξε μὴ νομίμως μὲν, καὶ δικαίως, μὴ δὲ δημοτικῶς ἀνῃρῆσθαι πρὸ κρίσεως ἄνδρας οὐκ ἀσήμους. ἑτέρας γὰρ ἡγεμονίας σχῆμα προσεδέχοντο πάντες, ἐξαπατώμενοι συνήθως ὑπὸ τῶν ἐν ἀρχῇ λεγομένων. ἔτι δὲ μᾶλλον ἠνίασεν αὐτοὺς ἀνὴρ ὑπατικὸς καὶ νέρωνι πιστὸς, ἀποθανεῖν κελευσθεὶς, πετρώνιος τουρπιλιανός. μάκρωνα γὰρ ἐν λιβύῃ διὰ τρεβωνιανοῦ, καὶ φροντήιον ἐν γερμανίᾳ διὰ οὐάλεντος ἀνελὼν, πρόφασιν εἶχεν ἐν ὅπλοις καὶ στρατοπέδοις ὄντας φοβηθῆναι. τουρπιλιανὸν δὲ γέροντα γυμνὸν καὶ ἄοπλον λόγου μεταλαβεῖν οὐδὲν ἐκώλυεν, εἴ τις ἣν ἐπαγγέλλεται μετριότητα τοῖς πράγμασιν ἔργῳ φυλάξειν ἔμελλεν. ταῦτα μὲν οὖν τοιαύτας ἔχει μέμψεις. ἐπεὶ δὲ προσιὼν ἀπεῖχε τῆς πόλεως περὶ πέντε καὶ εἴκοσι σταδίους, ἐνετύγχανεν ἀκοσμίᾳ καὶ θορύβῳ τῶν ἐρετῶν τὴν ὁδὸν προκατεχόντων καὶ περικεχυμένων πανταχόθεν. οὗτοι δὲ ἦσαν οὓς εἰς ἓν τάγμα ὁ νέρων συλλοχίσας, ἀπέφηνε στρατιώτας, καὶ τότε παρόντες ἐκ βεβαιώσασθαι τὴν στρατείαν, οὔτε ὀφθῆναι τοῖς ἀπαντῶσιν, οὔτε ἀκουσθῆναι παρεῖσαν ὑπὸ τοῦ αὐτοκράτορος, ἀλλ' ἐθορύβουν βοῇ σημεῖα τῷ τάγματι, καὶ χώραν αἰτοῦντες, ἐκείνου δὲ ὑπερτιθεμένου, καὶ πάλιν εἰπεῖν κελεύσαντος, ἀρνήσεως σχῆμα τὴν ἀναβολὴν εἶναι φάσκοντες, ἠγανάκτουν, καὶ παρείποντο μὴ φειδόμενοι βοῆς. ἐνίων δὲ καὶ τὰς μαχαίρας σπασαμένων, ἐκέλευσε τοὺς ἱππεῖς ἐμβαλεῖν αὐτοῖς ὁ γάλβας, ὑπέστη δὲ οὐδεὶς ἐκείνων. ἀλλ' οἱ μὲν, εὐθὺς ἀνατραπέντες, οἱ δὲ φεύγοντες, διεφθάρησαν. οὐ χρηστὸν οὐδὲ αἴσιον ποιοῦντες τῷ γάλβᾳ τὸν οἰωνὸν, εἰσιόντι διὰ πολλοῦ φόνου καὶ νεκρῶν τοσούτων εἰς τὴν πόλιν, ἀλλ' εἰ καί τις αὐτοῦ κατεφρόνει πρότερον ἀσθενοῦς καὶ γέροντος ὁρωμένου, τότε πᾶσι φρικώδης καὶ φοβερὸς ἐφάνη.

Βουλόμενος δὲ τῆς περὶ τὰς δωρεὰς ἀμετρίας καὶ πολυτελείας τοῦ νέρωνος ἀποδεικνύναι μεγάλην μεταβολὴν, ἀστοχεῖν ἐδόκει τοῦ πρέποντος. κάνου γὰρ αὐλήσαντος αὐλῷ παρὰ δεῖπνον, ἀκρόαμα δὲ ἦν ὁ κάνος εὐδοκιμούμενον, ἐπαινέσας καὶ ἀποδεξάμενος, ἐκέλευσεν αὐτῷ κομισθῆναι τὸ γλωσσόκομον, καὶ λαβὼν χρυσοῦς τινὰς ἐπέδωκε τῷ κάνῳ, φήσας ἐκ τῶν ἰδίων, οὐκ ἐκ τῶν δημοσίων χαρίζεσθαι. τὰς δὲ δωρεὰς ἃς νέρων ἔδωκε τοῖς περὶ σκηνὴν καὶ παλαίστραν ἀπαιτεῖσθαι συντόνως κελεύσας, πλὴν τοῦ δεκάτου μέρους, εἶτα μικρὰ καὶ γλίσχρα κομιζόμενος. ἀνηλώκεσαν γὰρ οἱ πλεῖστοι τῶν λαβόντων, ἐφήμεροι καὶ σατυρικοὶ τοῖς βίοις ἄνθρωποι, τοὺς πριαμένους παρ' αὐτῶν ἢ λαβόντας ὁτιοῦν ἀνεζήτει, καὶ παρ' ἐκείνων ἐξέπραττε. τοῦ δὲ πράγματος ὅρον οὐκ ἔχοντος, ἀλλὰ πόρρω νεμομένου καὶ προϊόντος ἐπὶ πολλοὺς, αὐτὸς μὲν ἠδόξει, φθόνον δὲ καὶ μῖσος εἶχεν οὐίννιος, ὡς τοῖς μὲν ἄλλοις ἅπασιν ἀνελεύθερον παρέχων τὸν ἡγεμόνα καὶ μικρολόγον, αὐτὸς δὲ χρώμενος ἀσώτως, καὶ λαμβάνων πάντα καὶ πιπράσκων. ὁ μὲν γὰρ ἡσίοδος ἀρχομένου τε πίθου καὶ λήγοντος, κορέσασθαι φησὶ δεῖν. ὁ δὲ οὐίννιος ὁρῶν ἀσθενῆ καὶ γέροντα τὸν γάλβαν ἐνεπίμπλατο τῆς τύχης, ὡς ἅμα μὲν ἀρχομένης, ἅμα δὲ φθινούσης. ὁ δὲ πρεσβύτης ἠδικεῖτο τὰ μὲν πρῶτα τοῦ οὐιννίου κακῶς διοικοῦντος. ἃ δὲ αὐτὸς ὀρθῶς προῃρεῖτο διαβάλλοντος, ἢ κωλύοντος, οἷον ἦν τὸ περὶ τὰς κολάσεις τῶν νερωνιανῶν. ἀπέκτεινε γὰρ τοὺς πονηροὺς ἐν οἷς ἦν ὁ ἥλειος καὶ πολύκλειτος καὶ πετῖνος, καὶ πατρόβιος. ὁ δὲ δῆμος ἐκρότει καὶ δι' ἀγορᾶς αὐτῶν ἀγομένων, ἐβόα καλὴν μὲν εἶναι καὶ θεοφιλῆ πομπὴν, ἀπαιτεῖν δὲ καὶ θεοὺς καὶ ἀνθρώπους τὸν διδάσκαλον, καὶ παιδαγωγὸν τῆς τυραννίδος, τιγελλῖνον. ἐφθάκει δὲ ὁ γενναῖος προειληφὼς ἀρραβῶσι μεγάλοις τὸν οὐίννιον. εἶτα τουρπιλιανὸς μὲν ὅτι μὴ προεδίδου μηδὲ ἐμίσει τὸν ἡγεμόνα τοιοῦτον ὄντα, μισούμενος. ἄλλο δὲ μηδὲ ἓν μέγα συναδικήσας, ἀπέθανεν. ὁ δὲ καὶ ποιήσας ἄξιον θανάτου νέρωνα, καὶ γενόμενον τοιοῦτον ἐγκαταλιπὼν καὶ προδιδοὺς, περιῆν μέγα δίδαγμα τοῦ μηδὲν ἄπρακτον εἶναι παρὰ οὐιννίῳ, μηδὲ ἀνέλπιστον τοῖς διδοῦσιν. οὐδενὸς γὰρ οὕτω θεάματος ἐραστὴς ὁ ῥωμαίων δῆμος, ὡς τοῦ τιγελλῖνον ἰδεῖν ἀπαγόμενον, οὐδὲ παυσάμενος ἐν πᾶσι θεάτροις καὶ σταδίοις αἰτούμενος ἐκεῖνον, ἐπεπλήχθη διαγράμματι τοῦ αὐτοκράτορος. τιγελλῖνον μὲν οὐ πολὺν ἔτι βιώσεσθαι φάσκοντος χρόνον, ὑπὸ φθινάδος νόσου δαπανώμενον, ἐκείνους δὲ παραιτουμένου μὴ διαγριαίνειν, μηδὲ τυραννικὴν ποιεῖν τὴν ἡγεμονίαν. ἀχθομένου δὲ τοῦ δήμου καταγελῶντες, ὁ μὲν τιγελλῖνος ἔθυσε σωτήρια καὶ παρεσκεύασε λαμπρὰν ἑστίασιν. ὁ δὲ οὐίννιος ἀναστὰς παρὰ τοῦ αὐτοκράτορος μετὰ δεῖπνον, ἐκώμασεν ὡς ἐκεῖνον, ἄγων τὴν θυγατέρα χήραν οὖσαν. καὶ προὔπιεν ὁ τιγελλῖνος αὐτῇ πέντε καὶ εἴκοσι μυριάδας ἀργυρίου, καὶ τῶν παλλακίδων τὴν ἀγελαρχοῦσαν ἐκέλευσε τὸν περιδέραιον κόσμον ἀφελομένην, ἐκείνῃ περιάψαι, πεντεκαίδεκα μυριάδων εἶναι λεγόμενον. ἐκ δὲ τούτου καὶ μετρίως πεπραγμένα διαβολὴν εἶχεν, ὡς τὰ πρὸς τοὺς γαλάτας ἐνδίκως συναραμένους. ἐδόκουν γὰρ οὐ φιλανθρωπίᾳ τοῦ αὐτοκράτορος, ἀλλὰ ὠνούμενοι παρὰ οὐιννίου τυγχάνειν ἀνέσεώς τε δασμῶν καὶ πολιτείας. οἱ μὲν οὖν πολλοὶ διὰ ταῦτα πρὸς τὴν ἡγεμονίαν ἀπηχθάνοντο, τοὺς δὲ στρατιώτας τὴν δωρεὰν μὴ κομιζομένους, ἐν ἀρχῇ μὲν ἐλπὶς παρῆγεν, ὡς εἰ καὶ μὴ τοσοῦτον, ἀλλ' ὅσον νέρων ἔδωκεν ἀποδώσοντος. ἐπεὶ δὲ μεμφομένους ἀκούσας, ἀφῆκε φωνὴν ἡγεμόνι μεγάλῳ πρεπού-

τὰς ἀποδοχὰς μὴ φείδεσθαι τῆς βασιλικῆς πολυτελείας καὶ ὅλως αἴσθησιν αὐτοῦ κατὰ μικρὸν ἀπὸ τῶν ὀβιννίου γινομένων παρέχειν ὁ πρεσβύτης. Ἦν δὲ ὁ βίννιος ἀργυρίου μὲν ἐσχάτως καὶ παρ' ὁντινοῦν ἥττων, ἔνοχος δὲ καὶ τοῖς περὶ γυναῖκας ἁμαρτήμασιν. ἔτι γὰρ ὢν νέος καὶ στρατευόμενος ὑπὸ καλβισίῳ σαβίνῳ τὴν πρώτην στρατείαν, ἀκόλαστον οὖσαν τὴν γυναῖκα τοῦ ἡγεμόνος παρεισήγαγε νύκτωρ εἰς τὸ στρατόπεδον ἐν ἐσθῆτι στρατιωτικῇ, καὶ διέφθειρεν ἐν τοῖς ἀρχείοις, ἃ πριγκίπια καλοῦσι ῥωμαῖοι. ἐπὶ τούτῳ δὲ γάϊος καῖσαρ ἔδησεν αὐτὸν, ἐκείνου δὲ ἀποθανόντος εὐτυχίᾳ χρησάμενος ἀπελύθη. Δειπνῶν δὲ παρὰ κλαυδίῳ καίσαρι ποτήριον ἀργυροῦν ὑφείλετο. πυθόμενος δὲ ὁ καῖσαρ τῇ ὑστεραίᾳ πάλιν αὐτὸν ἐπὶ δεῖπνον ἐκάλεσεν, ἐλθόντι δὲ ἐκέλευσεν ἐκείνῳ μηδὲν ἀργυροῦν, ἀλλὰ κεράμια πάντα προσφέρειν καὶ παρατιθέναι τοὺς ὑπηρέτας. τοῦτο μὲν οὖν διὰ τὴν καίσαρος μετριότητα κωμικωτέραν γενομένην, γέλωτος οὐκ ὀργῆς ἄξιον ἔδοξεν. ἃ δὲ τὸν γάλβαν ἔχων ὑπ' αὐτῷ καὶ δυνάμενος μέγιστον ἐπὶ χρήμασιν ἔπραττε, τραγικῶν παθῶν καὶ συμφορῶν μεγάλων τοῖς μὲν αἰτίαν, τοῖς δὲ πρόφασιν παρέσχεν. Ὁ γὰρ νυμφίδιος εὐθὺς ἐπανελθόντος τοῦ γελλιανοῦ πρὸς αὐτὸν, ὃν ἔπεμψε τοῦ γάλβα τρόπον τινὰ κατάσκοπον, ἀκούσας τῆς μὲν αὐλῆς καὶ τῶν δορυφόρων ἔπαρχον ἀποδεδεῖχθαι κορνήλιον λάκωνα, τὸ δὲ σύμπαν εἶναι τοῦ ὀβιννίου κράτος, αὐτῷ δὲ μηδέποτε τοῦ γάλβα στῆναι πλησίον ἐγγεγονέναι, μηδὲ ἐντυχεῖν ἰδίᾳ πάντων αὐτὸν ὑφορωμένων καὶ διαφυλαττόντων, ἐθορυβήθη, καὶ συναγαγὼν τοὺς ἡγεμόνας τοῦ στρατεύματος ἔφη· γάλβαν μὲν αὐτὸν εἶναι πρεσβύτην ἐπιεικῆ καὶ μέτριον, ἐλάχιστα δὲ τοῖς αὐτοῦ χρώμενον λογισμοῖς, ὑπὸ ὁ βιννίου καὶ λάκωνος οὐκ εὖ διοικεῖσθαι. πρὶν οὖν λαθεῖν αὐτοὺς ἣν ἔσχε τιγελλῖνος ἰσχὺν ἐν τοῖς πράγμασι κτησαμένους, πεμπτέον εἶναι δεῖν πρὸς τὸν ἡγεμόνα, πρέσβεις ἀπὸ στρατοπέδου, τοὺς διδάξοντας ὅτι τῶν φίλων δύο μόνους τούτους ἀποσκευασάμενος, ἡδίων πάρεσται πᾶσι καὶ ποθεινότερος.

Ἐπεὶ δὲ ταῦτα λέγων οὐκ ἔπειθεν, ἀλλ' ἄτοπον ἐδόκει καὶ ἀλλόκοτον ἡγεμόνα πρεσβύτην, ὥσπερ ἄρτι γευόμενον ἐξουσίας μειράκιον, οἷς χρῆται φίλοις ἢ μὴ ῥυθμίζειν, ἑτέραν ὁδὸν τραπόμενος ἔγραφε τῷ γάλβᾳ δεδιττόμενος, νῦν μὲν ὡς ὕπουλα καὶ μετέωρα πολλὰ τῆς πόλεως ἐχούσης, νῦν δὲ κλώδιον μάκρον ἐν λιβύῃ τὰ σιτηγὰ κατέχειν. αὖθις δὲ παρακινεῖν τὰ γερμανικὰ τάγματα, καὶ περὶ τῶν ἐν συρίᾳ καὶ ἰουδαίᾳ δυνάμεων ὅμοια πυνθάνεσθαι. Τοῦ δὲ γάλβα μὴ πάνυ τὸν νοῦν προσέχοντος αὐτῷ μηδὲ πιστεύοντος, ἔγνω προεπιχειρεῖν, καίτοι κλώδιος κέλσος ἀντιοχεὺς ἀνὴρ ἔμφρων, εὔνους δὲ ἐκείνῳ καὶ πιστὸς ἀπηγόρευε, λέγων οὐκ ἂν οἴεσθαι μίαν ἐν ῥώμῃ συνοικίαν καίσαρα προσειπεῖν νυμφίδιον, ἀλλὰ πολλοὶ κατεγέλων καὶ μιθριδάτης ὁ ποντικὸς ἐπισκώπτων τὴν φαλακρότητα καὶ ῥυσότητα τοῦ γάλβα, νῦν ἔφη τινὰ δοκεῖν εἶναι ῥωμαίοις, ὀφθέντα δὲ φανεῖσθαι τῶν ἡμερῶν τούτων αἷς καλεῖται καῖσαρ, ὄνειδος. ἔδοξεν οὖν περὶ μέσας νύκτας εἰς τὴν παρεμβολὴν παραγαγόντας, ἀναδεικνύειν αὐτοκράτορα τὸν νυμφίδιον. πρῶτος δὲ τῶν χιλιάρχων ἀντώνιος ὀνωρᾶτος, ἑσπέρας γενομένης τοὺς ὑφ' αὑτῷ στρατιώτας συναγαγὼν, ἐκάκιζε μὲν αὑτὸν, ἐκάκιζε δὲ ἐκείνους ἐν ὀλίγῳ χρόνῳ τροπὰς τοσαύτας τρεπομένους, κατ' οὐδένα λογισμὸν οὐδὲ αἵρεσιν ἀμεινόνων. ἀλλὰ δαίμονός τινος αὐτοὺς ἐκ προδοσίας εἰς προδοσίαν ἐλαύνοντος. καὶ τὰ μὲν πρῶτα προφάσεις ἔχει, τὰ νέρωνος ἐγκλήματα. νῦν δὲ γάλβαν προδιδόναι, τίνα φόνον μητρὸς ἐγκαλοῦντας, ἢ σφαγὴν γυναικὸς, ἢ ποίαν αἰδουμένους θυμέλην, ἢ τραγῳδίαν τοῦ αὐτοκράτορος; ἀλλ' οὐδὲ ἐκεῖνον ἐπὶ τούτοις ὑπομείναμεν ἐγκαταλιπεῖν, ἀλλὰ νυμφιδίῳ πεισθέντες ὅτι πρῶτος ἡμᾶς ἐγκατέλιπε, καὶ πέφευγεν εἰς αἴγυπτον. πότερον οὖν νέρωνι γάλβαν ἐπιθυσόμεθα, καὶ τὸν ἐκ νυμφιδίας ἑλόμενοι καίσαρα, τὸν ἐκ λιβίας ἀνέλωμεν, ὡς τὸν ἐξ ἀγριππίνης ἀνείλομεν, ἢ τούτῳ δίκην ἐπιθέντες ὧν δέδρακε, τιμωροὶ μὲν νέρωνος, γάλβα δὲ φύλακες ἀγαθοὶ καὶ πιστοὶ φανῶμεν. Ταῦτα λέγοντι τῷ χιλιάρχῳ προσέθεντο πάντες οἱ στρατιῶται, καὶ τοὺς ἄλλους προσιόντες ἐμμένειν παρεκάλουν τῇ πρὸς τὸν αὐτοκράτορα πίστει, καὶ τοὺς πλείους μετέστησαν. ἀρθείσης δὲ βοῆς, εἴτε πεισθεὶς ὁ νυμφίδιος, ὥς φασιν ἔνιοι, καλεῖν αὐτὸν ἤδη τοὺς στρατιώτας, εἴτε προλαβεῖν σπεύδων τὸ θορυβοῦν ἔτι καὶ διστάζον, ὑπὸ φωτὶ πολλῷ προῄει λόγον τινὰ κομίζων ἐν βιβλίῳ γεγραμμένον, ὑπὸ κιγγωνίου βάρρωνος, ὃν ἐκμεμελετήκει πρὸς τοὺς στρατιώτας εἰπεῖν. ἰδὼν δὲ κεκλεισμένας τοῦ στρατοπέδου τὰς πύλας, καὶ περὶ τὰ τείχη πολλοὺς ὡπλισμένους ἔδεισε, καὶ προσιὼν ἠρώτα τί βούλονται, καὶ τίνος κελεύσαντος ἐν ὅπλοις γεγόνασιν. ἀπαντώσης δ' αὐτῷ παρὰ πάντων μιᾶς φωνῆς, γάλβαν αὐτοκράτορα γινώσκειν, κἀκεῖνος ὁμόσε χωρῶν ἐπευφήμει, καὶ τοὺς ἑπομένους ἐκέλευε. τῶν δὲ παρὰ τὰς πύλας παρέντων αὐτὸν εἰσελθεῖν μετ' ὀλίγων, αὐτὸς ἀκοντίζεται λόγχῃ. καὶ αὐτὴν μὲν ἐδέξατο πρὸ αὐτοῦ θυρεῷ σεπτίμιος. ἄλλων δὲ γυμνοῖς ξίφεσιν ἐπιφερομένων, φυγὼν καὶ διωχθεὶς ἐν οἰκήματι στρατιώτου σφάττεται, καὶ τὸν νεκρὸν εἰς μέσον ἑλκύσαντες, καὶ περιβαλόντες κιγκλίδα θέαμα τοῖς βουλομένοις μεθημέραν παρέσχον. Οὕτω δὲ τοῦ νυμφιδίου καταστρέψαντος, ὁ γάλβας πυθόμενος καὶ τῶν συνωμοτῶν αὐτοῦ κελεύσας ἀποθανεῖν, ὅσοι μὴ δι' αὑτῶν εὐθὺς ἀπέθανον, ἐν οἷς ἦν καὶ κιγγώ-

Hesych. ὁμόσε χωρεῖν. συνδραμεῖν.

ναι διὰ γῆρας. ἦν γὰρ ἐτῶν τριῶν καὶ ἑβδομήκοντα, τὰ δὲ αὐτόθι στρατεύματα καὶ πάλαι πρὸς αὐτὸν εὔνως ἔχοντα, καὶ νῦν εἰς ἐξηρτημένα μόνου, διὰ τὸ τῆς δωρεᾶς μέγεθος εὐεργέτην ἐκεῖνον ἡγεῖσθαι, γάλβαν δὲ χρεωφειλέτην. εὐθὺς οὖν τιγελλίνῳ μὲν τῷ συνάρχοντι προσέταξεν ἀποθέσθαι τὸ ξίφος. ὑποδοχὰς δὲ ποιούμενος, ἐδείπνιζε τοὺς ὑπατικοὺς καὶ τοὺς ἡγεμονικούς. ἔτι τὸ, γάλβα προστιθεὶς ὄνομα ταῖς κλήσεσιν, ἐν δὲ τῷ στρατοπέδῳ πολλοὺς παρεσκεύασε λέγειν, ὡς πεμπτέον ἐστὶ πρὸς γάλβαν αἰτουμένους ἕνα παρέχειν ἐκεῖνον νυμφίδιον ἄνευ συνάρχοντος. ἃ δὲ ἡ σύγκλητος εἰς τιμὴν ἔπραξεν αὐτοῦ καὶ δύναμιν, ἀνακαλοῦσα εὐεργέτην καὶ συντρέχουσα καθ' ἡμέραν ἐπὶ θύρας, καὶ παντὸς ἐξάρχειν δόγματος ἀξιοῦσα καὶ βεβαιοῦν, ἔτι πορρωτέρω τόλμης αὐτὸν ἐπῆρεν, ὥστε ὀλίγου χρόνου τοῖς θεραπεύουσι μὴ μόνον ἐπίφθονον ἀλλὰ καὶ φοβερὸν εἶναι. τῶν δὲ ὑπάτων οἰκέτας δημοσίους προχειρισαμένων τὰ δόγματα κομίζοντας τῷ αὐτοκράτορι, καὶ τὰ καλούμενα διπλώματα σεσημασμένα δόντων, ἃ γνωρίζοντες οἱ κατὰ πόλιν ἄρχοντες ἐν ταῖς τῶν ὀχημάτων ἀμοιβαῖς ἐπιταχύνουσι τὰς προπομπὰς τῶν γραμματηφόρων, οὐ μετρίως ἠγανάκτησεν, ὅτι μὴ παρ' αὐτοῦ καὶ σφραγῖδα καὶ στρατιώτας λαβόντες ἐξέπεμψαν, ἀλλὰ λέγεται καὶ βουλεύσασθαι περὶ τῶν ὑπάτων. εἶτα τὴν ὀργὴν ἀπολογησαμένοις καὶ δεηθεῖσιν ἀφῆκε. τῷ δὲ δήμῳ χαριζόμενος, οὐκ ἐκώλυε τὸν παραπίπτοντα τῶν νέρωνος ἀποτυμπανίζειν. σπίκλον μὲν οὖν τὸν μονομάχον ἀνδριάσι νέρωνος ἐν ἀγορᾷ ὑποβαλόντες ἐν ἀγορᾷ, διέφθειραν. ἀπόνιον δέ τινα τῶν κατηγορικῶν ἀνατρέψαντες, ἁμάξας λιθοφόρους ἐπήγαγον. ἄλλους δὲ διέσπασαν πολλούς, ἐνίους μηδὲν ἀδικοῦντας. ὥστε καὶ μαυρίσκον ἄνδρα τῶν ἀρίστων καὶ ὄντα καὶ δοκοῦντα πρὸς τὴν σύγκλητον εἰπεῖν, ὅτι φοβεῖται μὴ ταχὺ νέρωνα ζητήσωσιν. οὕτω δὲ προσάγων ὁ νυμφίδιος ἐγγυτέρω ταῖς ἐλπίσιν, οὐκ ἔφευγε γαΐου καίσαρος υἱὸς λέγεσθαι τοῦ μετὰ τιβέριον ἄρξαντος. ἐγνώκει γὰρ ὁ γάϊος, ὡς ἔοικε, τὴν τεκοῦσαν αὐτὸν ἔτι μειρακίον ὤν, οὐκ ἀηδῆ τὴν ὄψιν οὖσαν, ἐκ δὲ ἀκεστρίας ἐπὶ μισθῷ καλλίστῳ καίσαρος

λου π. 5 ἀπελευθέρῳ γεγενημένην. ἀλλ' ἦν ἡ πρὸς γάϊον ἔντευξις αὐτῆς ὡς ἔοικε νεωτέρα τῆς νυμφιδίου γενέσεως. αἰτίαν δὲ εἶχεν ἐκ μαρτιανοῦ τοῦ μονομάχου γεγονέναι, τῆς νυμφιδίας ἐρασθείσης διὰ δόξαν αὐτοῦ, καὶ μᾶλλον ἐδόκει καθ' ὁμοιότητα τῆς ἰδέας ἐκείνῳ προσήκειν. ἀλλ' ὁμολογῶν γε νυμφιδίας εἶναι μηδὸς, ἔργον μὲν αὐτοῦ μόνου τὴν νέρωνος ἐποιεῖτο κατάλυσιν, ἆθλα δὲ αὐτῆς οὐ νομίζων ἱκανὰ καρποῦσθαι τὰς τιμὰς, καὶ τὰ χρήματα, καὶ τῷ σπόρῳ τοῦ νέρωνος συγκαθεύδειν, ὃν εὐθὺς ἀπὸ τῆς πυρᾶς ἔτι καιομένου τοῦ νεκροῦ μεταπεμψάμενος ἐκεῖνος ἐν γαμετῆς εἶχε τάξει, καὶ ποππαίαν προσηγόρευεν, ἐπὶ τὴν διαδοχὴν παρεδύετο τῆς ἡγεμονίας. καὶ τὰ μὲν αὐτὸς ἐν ῥώμῃ διὰ τῶν φίλων ὑπειργάζετο καὶ γυναικῶν τινων αὐτῷ καὶ συγκλητικῶν ἀνδρῶν κρύφα συλλαμβανομένων. ἕνα δὲ τῶν φίλων γελλιανὸν εἰς ἰβηρίαν ἔπεμψεν καὶ παρεῖχε κατασκεψόμενον. τῷ δὲ γάλβᾳ μετὰ τὴν νέρωνος τελευτὴν ἐχώρει πάντα. οὐεργίνιος δὲ ῥοῦφος ἀμφίβολος ὢν ἔτι φροντίδα παρεῖχε, μὴ τῷ δυνάμεως πολλῆς καὶ μαχιμωτάτης ἄρχειν, προσειληφὼς τὸ νενικηκέ-

νενικηκέναι να οὐίνδικα, καὶ κεχειρῶσθαι μέγα μέρος τῆς ῥωμαίων ἡγεμονίας ἐν σάλῳ γενομένην ἀποστατικῶς γαλατίαν ἅπασαν ὑπακούσειε τοῖς παρακαλοῦσιν αὐτὸν ἐπὶ τὴν ἀρχήν. οὐδενὸς γὰρ ἦν ὄνομα μεῖζον, οὐδὲ εἶχε δόξαν οὐδεὶς, ὅσην ὁ οὐεργίνιος, ὡς μεγίστη ῥοπὴ τοῖς ῥωμαίων πράγμασι τυραννίδος ὁμοῦ χαλεπῆς καὶ γαλατικῶν πολέμων ἀπαλλαγεὶς γενόμενος, ἀλλ' ἐκεῖνος τότε τοῖς ἐξ ἀρχῆς ἐμμένων λογισμοῖς, ἐφύλαττε τῇ συγκλήτῳ τὴν αἵρεσιν τοῦ αὐτοκράτορος. καίτοι φανερᾶς γε τῆς νέρωνος τελευτῆς γενομένης, τό τε πλῆθος ἐνέκειτο τῷ οὐεργινίῳ πάλιν, καὶ τῶν χιλιάρχων τις τῶν ἐν τῇ σκηνῇ, σπασάμενος τὸ ξίφος ἐκέλευε τὸν οὐεργίνιον δέχεσθαι τὴν ἡγεμονίαν, ἢ τὸν σίδηρον.

ἐπεὶ δὲ φάβιος οὐάλης ἄρχων ἑνὸς τάγματος ὤμοσε πρῶτος εἰς γάλβαν, καὶ γράμματα ἧκεν ἀπὸ ῥώμης περὶ ὧν ἡ σύγκλητος ἐψηφίσατο, χαλεπῶς μὲν καὶ μόλις, ἔπεισε δ' οὖν τοὺς στρατιώτας αὐτοκράτορα τὸν γάλβαν εἰπεῖν, καὶ πέμψαντος αὐτοῦ διάδοχον φλάκκον ὁρδεώνιον ἐδέξατο, καὶ παραδοὺς ἐκείνῳ τὴν δύναμιν, αὐτὸς ἀπήντησε τῷ γάλβᾳ πρόσω χωροῦντι, καὶ συναναστρεφεν, οὔτε ὀργῆς οὔτε τιμῆς ἐπιδήλου τυγχάνων. αἴτιος δὲ τοῦ μὲν, αὐτὸς ὁ γάλβας αἰδούμενος τὸν ἄνδρα, τοῦ

κωλύειν. δὲ οἱ φίλοι καὶ μάλιστα ὁ βίννιος τίτος, ὑπὸ φθόνου τοῦ οὐεργινίου, οἰόμενος μὲν κολούειν, ἠγνόει δὲ ἄρα τῷ οὐεργινίου χρηστῷ δαίμονι συνεργῶν ἤδη τὸν ἄνδρα πολέμων καὶ κακῶν, ὅσα τοὺς ἄλλους ἡγεμόνας κατέσχεν, ἐκτὸς εἰς βίον ἀκύμονα καὶ γῆρας εἰρήνης καὶ ἡσυχίας μεστὸν ὑπεκτιθεμένῳ.

γάλβαν δὲ περὶ νάρβωνα πόλιν γαλατικὴν οἱ παρὰ τῆς συγκλήτου πρέσβεις ἐντυχόντες, ἠσπάζοντο καὶ παρεκάλουν ἐπιφανῆναι τῷ δήμῳ ποθοῦντι ταχέως. ὁ δὲ τάς τε ἄλλας παρεῖχεν ἐντεύξεις, καὶ συνουσίας αὐτοῖς φιλανθρώπους καὶ δημοτικὰς πρός τε τὰς ἑστιάσεις πολλῆς κατασκευῆς καὶ θεραπείας βασιλικῆς παρούσης, ἣν ἐκ τοῦ νέρωνος ὁ νυμφίδιος αὐτῷ προσέπεμψεν, οὐδενὶ χρώμενος ἐκείνων ἀλλὰ τοῖς ἑαυτοῦ πᾶσιν εὐδοκίμει, μεγαλόφρων ἀνὴρ καὶ κρείττων ἀπειροκαλίας φαινόμενος. ταχὺ μέντοι τὰ γενναῖα ταῦτα καὶ ἄτυφα καὶ πολιτικὰ δημαγωγίαν ὁ βίννιος ἀποφαίνων καὶ κομψότητα μεγάλην ἀπαξιοῦσαν αὐτήν, ἔπεισε χρήμασί τε χρῆσθαι τοῖς νέρωνος, καὶ περὶ

τὰς ὑποδοχὰς

οὐίνδικος ἐπανίστη νέρωνι γαλάτης ὢν στρατηγός. λέγεται μὲν οὖν καὶ πρὸ τῆς ἐμφανοῦς ἀποστά- οὐίνδιξ π.
σεως, γράμματα πρὸς αὐτὸν ἀφικέσθαι παρὰ τοῦ οὐίνδικος, οἷς μήτε πιστεῦσαι μήτε μηνῦσαι καὶ κα-
τειπεῖν, ὡς ἕτεροι τῶν ἡγεμονικῶν ἐπιστολὰς αὐτοῖς γραφείσας ἔπεμψαν πρὸς νέρωνα καὶ διέφθει-
ραν ὅσον ἐπ' αὐτοῖς καὶ πρᾶξιν, ἧς ὕστερον μετασχόντες ὡμολόγησαν αὐτῶν οὐδὲν ἧττον ἢ ἐκείνου προ-
δόται γεγονέναι. ἀλλ' ἐπειδὴ λαμπρῶς τὸν πόλεμον ἐξέφηνεν ὁ οὐίνδιξ, ἔγραψε τῷ γάλβᾳ παρα-
καλῶν ἀναδέξασθαι τὴν ἡγεμονίαν, καὶ παρασχεῖν ἑαυτὸν ἰσχυρῷ σώματι ζητοῦντι κεφαλὴν ταῖς
γαλατίαις, δέκα μυριάδας ἀνδρῶν ὡπλισμένων ἐχούσαις, ἄλλας δὲ πλείονας ὁπλίσαι δυναμέ-
ναις, προὔθηκε βουλὴν τοῖς φίλοις, ὧν οἱ μὲν ἠξίουν περιμένειν, καραδοκοῦντα τίνα κίνησιν ἡ ῥώμη
καὶ φορὰν ἕξει πρὸς τὸν νεωτερισμόν. τίτος δὲ ὀβίνιος ὁ τοῦ στρατιωτικοῦ τάγματος ἡγεμών, ὦ γάλ- ὀβίνιος π.
βα, εἶπε, τίνα τρόπον βουλευόμεθα; τὸ γὰρ ζητεῖν νέρωνι εἰ πιστοὶ μενοῦμεν, ἤδη μενόντων οὐκ ἔστιν. ὡς λ.δx. ς.
οὖν ὑπάρχοντος ἐχθροῦ νέρωνος, οὐ δεῖ προέσθαι τὴν τοῦ οὐίνδικος φιλίαν, ἢ κατηγορεῖν εὐθὺς
αὐτοῦ καὶ πολεμεῖν, ὅτι σὲ βούλεται ῥωμαίους ἔχειν ἄρχοντα μᾶλλον ἢ νέρωνα τύραννον. ἐκ τού-
του προγράμματι μὲν ἐδήλωσεν ὁ γάλβας ἡμέραν ἐν ᾗ τὰς κατὰ μέρος ἐλευθερώσεις ἀποδώσει Suetonius in Galba. 30 4.
τοῖς δεομένοις. λαλιὰ δὲ καὶ φήμη προεκπεσοῦσα πλῆθος ἀνθρώπων ἤθροισε προθύμων ἐπὶ τὸν idem cum quasi manu-
νεωτερισμόν. οὐ γὰρ ἔφθη φανεὶς ἐπὶ τοῦ βήματος γενόμενος, καὶ πάντες αὐτὸν ὁμοφώνως missioni vacaturus
αὐτοκράτορα προσεῖπον. ὁ δὲ ταύτην μὲν εὐθὺς οὐ προσεδέξατο τὴν προσηγορίαν. κατηγορήσας δὲ conscendisset tribunal.
τοῦ νέρωνος, καὶ τῶν ἀνῃρημένων ἀνδρῶν ὑπ' αὐτοῦ τοὺς ἐπιφανεστάτους ὀλοφυράμενος, ὡμολόγησεν
ἐπιδώσειν τῇ πατρίδι τὴν ἑαυτοῦ πρόνοιαν, οὔτε καῖσαρ οὔτε αὐτοκράτωρ, στρατηγὸς δὲ συγκλή-
του καὶ δήμου ῥωμαίων ὀνομαζόμενος. ὅτι δὲ ὀρθῶς ὁ οὐίνδιξ καὶ λελογισμένως ἐξεκαλεῖτο τὸν
γάλβαν ἐπὶ τὴν ἡγεμονίαν, ἐπίστωσεν αὐτὸ μάρτυς νέρων. προσποιούμενος γὰρ ἐκείνου καταφρο-
νεῖν καὶ παρ' οὐδὲν ἡγεῖσθαι τὰ γαλατῶν, ἅμα τῷ πυθέσθαι τὰ περὶ γάλβαν, ἔτυχε δὲ λελουμένος
καὶ ἀριστῶν, ἀνέτρεψε τὴν τράπεζαν. οὐ μὴν ἀλλὰ συγκλήτου ψηφισαμένης πολέμιον εἶναι γάλβαν,
αὐτός τε παίζειν καὶ θρασύνεσθαι πρὸς τοὺς φίλους βουλόμενος, οὐ φαύλην ἔφη πρόφασιν ἐμπε-
πτωκέναι λογισμοῦ δεομένῳ χρημάτων αὐτῷ, καὶ τὰ μὲν γαλατῶν ὅταν ὑποχείριοι γένωνται, λα-
φυραγωγήσεσθαι, καὶ τῇ δὲ γάλβα πάρεστιν οὐσίᾳ χρῆσθαι καὶ πωλεῖν, ἤδη πολεμίου πεφηνό-
ς. τος. οὗτός τε δὴ τὰ γάλβα πιπράσκειν ἐκέλευε. καὶ γάλβας ἀκούσας ὅσα νέρωνος ἦν ἐν ἰβηρίᾳ κη- οὕτως
ρύττων ὠνητὰς εὕρισκε πολλοὺς προθυμοτέρους ὄντας. ἀφισταμένων δὲ πολλῶν τοῦ νέρωνος καὶ πάντων
ἐπιεικῶς τῷ γάλβᾳ προστιθεμένων, μόνος κλώδιος μάκρος ἐν λιβύῃ καὶ οὐεργίνιος ῥοῦφος ἐν γαλα- μάκρος
τίᾳ τοῦ γερμανικοῦ στρατεύματος ἡγούμενος, αὐτοὶ καθ' ἑαυτοὺς ἔπραττον, οὐ τὴν αὐτὴν αἵρεσιν ἔχοντες,
ἀλλ' ὁ μὲν κλώδιος ἐν ἁρπαγαῖς πραγμάτων γεγονὼς καὶ φόνοις ἀνδρῶν δι' ὠμότητα καὶ πλεονε-
ξίαν, δῆλος ἦν ἐν τῷ μήτε κατέχειν μήτε ἀφεῖναι τὴν ἀρχὴν δύνασθαι περιφερόμενος. οὐεργίνιος δὲ
ταγμάτων ἐπιστατῶν δυνατωτάτων πολλάκις αὐτὸν ἀναγορευόντων αὐτοκράτορα καὶ βιαζομένων,
οὔτε αὐτὸς ἔφη λήψεσθαι τὴν ἡγεμονίαν, οὔτε ἄλλῳ περιόψεσθαι διδομένην, ὃν ἂν μὴ ἡ σύγκλητος
ἕληται. ταῦτα τὸν γάλβαν οὐ μετρίως ἐθορύβει τὸ πρῶτον. ἐπεὶ δὲ τὰ οὐεργινίου καὶ οὐίνδικος στρα-
τεύματα τρόπον τινὰ βίᾳ τοὺς ἡγεμόνας ὥσπερ ἡνιόχους κρατῆσαι χαλινῶν μὴ δυνηθέντας, εἰς
μάχην ἐξενεγκόντα μεγάλην συνέρρηξαν, καὶ οὐίνδικος ἑαυτὸν ἀνελόντος ἐπὶ δυσμυρίοις γαλα- δισμυρίοις π. ς.
τῶν πεσοῦσι, διῆλθε λόγος, ὡς βουλομένων πάντων ἐπὶ νίκῃ τοσαύτῃ τὸν οὐεργίνιον ἀναδέξασθαι
τὴν ἡγεμονίαν, ἢ πάλιν μεταβαλλομένων πρὸς νέρωνα, τότε δὴ παντάπασι περίφοβος γενόμενος
ὁ γάλβας, ἔγραψε τῷ οὐεργινίῳ παρακαλῶν κοινοπραγεῖν καὶ διαφυλάσσειν ἅμα τὴν ἡγεμονίαν
καὶ τὴν ἐλευθερίαν ῥωμαίοις. αὖθις δὲ μετὰ τῶν φίλων εἰς κλουνίαν ἰβηρικὴν πόλιν ἀναχωρήσας,
ἐν τῷ μετανοεῖν περὶ τῶν γεγονότων καὶ ποθεῖν τὴν συνήθη καὶ σύντροφον ἀπραγμοσύνην μᾶλλον
ἢ πράττειν τῶν ἀναγκαίων διετέλει. ἦν δὲ θέρος ἤδη καὶ βραχὺ πρὸ δείλης, ἧκεν ἀπὸ ῥώμης ἴκε- ἴκελος
λος ἀνὴρ ἀπελεύθερος, ἑβδομαῖος. πυθόμενος δὲ τὸν γάλβαν ἀναπαύεσθαι καθ' ἑαυτόν, ἐβάδιζε συν-
τόνως ἐπὶ τὸ δωμάτιον αὐτοῦ, καὶ βίᾳ τῶν θαλαμηπόλων ἀνοίξας καὶ παρελθών, ἀπήγγειλεν ὅτι καὶ ζῶν-
τος ἔτι τοῦ νέρωνος, οὐκ ὄντος δὲ φανεροῦ, τὸ στράτευμα πρῶτον, εἶτα ὁ δῆμος καὶ ἡ σύγκλητος αὐτο-
κράτορα τὸν γάλβαν ἀναγορεύσειεν. ὀλίγον δὲ ὕστερον ἀπαγγελθείη τεθνηκὼς ἐκεῖνος. οὐ μὴν αὐτός γε
πιστεύσας ἔφη τοῖς ἀπαγγέλλουσιν, ἀλλ' ἐπελθὼν τῷ νεκρῷ καὶ κείμενον θεασάμενος οὕτως ἐξελθεῖν.
ταῦτα ἀπαγγελλόμενα λαμπρὸν ἦρε τὸν γάλβαν, καὶ συνέδραμε πλῆθος ἀνδρῶν ἐπὶ θύρας ἐκ
τεθαρρηκότων ὑπ' αὐτοῦ βεβαίως, καίτοι τὸ τάχος ἦν ἄπιστον. ἀλλὰ καὶ δυεῖν ἡμέραις ὁ τίτος πολλὰ
τῶν ἀπὸ στρατοπέδου μεθ' ἑτέρων ἀφίκετο, τὰ δόξαντα τῇ συγκλήτῳ καθ' ἕκαστον ἀπαγγέλλων.
οὗτος μὲν οὖν εἰς τάξιν ἔντιμον προήχθη. τῷ δὲ ἀπελευθέρῳ δακτυλίους τε χρυσοῦς ἔδωκε, καὶ μαρ-
κιανὸς οὐΐκελλος ἤδη καλούμενος, εἶχε τὴν πρώτην ἐν τοῖς ἀπελευθέροις δύναμιν. ἐν δὲ ῥώμῃ νυμφί-
διος σαβῖνος οὐκ ἠρέμα καὶ κατὰ μικρόν, ἀλλὰ συλλήβδην ὁμοῦ πάντα πράγματα φέρων, περιῆγ-
εν εἰς ἑαυτόν, ὡς γάλβαν μὲν ὄντα πρεσβύτην, καὶ μόλις εἰς ῥώμην ἐξαρκέσοντα φοράδην κομισθῆ-

μὲν ὁ ἀθηναῖος ἰφικράτης τὸν μισθοφόρον ἠξίου στρατιώτην, καὶ φιλόπλουτον εἶναι καὶ φιλήδονον, ὅπως ταῖς ἐπιθυμίαις χορηγίαν ἐπιζητῶν, ἀγωνίζηται παραβολώτερον. οἱ δὲ πλεῖστοι καθάπερ ἐρρωμένον σῶμα τὸ στρατιωτικὸν ἀξιοῦσιν ἰδίᾳ μηδέποτε χρώμενον ὁρμῇ, συγκινεῖσθαι τῇ τοῦ στρατηγοῦ. διὸ καὶ παῦλον αἰμίλιον λέγουσι τὴν ἐν μακεδονίᾳ δύναμιν παραλαβόντα λαλιᾶς καὶ περιεργίας ὡς διαστρατηγοῦσαν ἀνάπλεων, παραγγεῖλαι τὴν χεῖρα ποιεῖν ἑτοίμην καὶ τὴν μάχαιραν ὀξεῖαν ἕκαστον. αὐτῷ δὲ τῶν ἄλλων μελήσειν. ὁ δὲ πλάτων οὐδὲν ἔργον ὁρῶν ἄρχοντος ἀγαθοῦ καὶ στρατηγοῦ στρατιᾶς μὴ σωφρονούσης μηδὲ ὁμοπαθούσης, ἀλλὰ τὴν πειθαρχικὴν ἀρετὴν ὁμοίως τῇ βασιλικῇ νομίζων, φύσεως γενναίας καὶ τροφῆς φιλοσόφου δεῖσθαι, μάλιστα τῷ πρᾴῳ καὶ φιλανθρώπῳ τὸ θυμοειδὲς καὶ δραστήριον ἐμμελῶς ἀνακεραννυμένης, ἄλλα τε πάθη πολλὰ, καὶ τὰ ῥωμαίοις συμπεσόντα μετὰ τὴν νέρωνος τελευτὴν ἔχει μαρτύρια καὶ παραδείγματα τοῦ μηδὲν εἶναι φοβερώτερον ἀπαιδεύτοις χρωμένης καὶ ἀλόγοις ὁρμαῖς ἐν ἡγεμονίᾳ στρατιωτικῆς δυνάμεως. δημάδης μὲν γὰρ ἀλεξάνδρου τελευτήσαντος, εἴκαζε τὴν μακεδόνων στρατιὰν ἐκτετυφλωμένῳ τῷ κύκλωπι, πολλὰς κινουμένην ὁρῶν κινήσεις ἀτάκτους καὶ παραφόρους. τὴν δὲ ῥωμαίων ἡγεμονίαν ὅμοια τοῖς λεγομένοις τιτανικοῖς πάθεσι καὶ κινήμασι κατελάμβανεν, εἰς πολλὰ διασπωμένην ἅμα καὶ πολλαχόθεν αὖθις ἑαυτῇ συμπίπτουσαν. οὐχ οὕτως ὑπὸ φιλαρχίας τῶν ἀναγορευομένων αὐτοκρατόρων, ὡς φιλοπλουτίας καὶ ἀκολασίας τοῦ στρατιωτικοῦ, δι' ἀλλήλων ὥσπερ ἥλους τοὺς ἡγεμόνας ἐκκρούοντος. καίτοι διονύσιος φεραῖον ἄρξαντα θετταλῶν δέκα μῆνας, εἶτα εὐθὺς ἀναιρεθέντα, τὸν τραγικὸν ἀνεκάλει τύραννον, ἐπισκώπτων τὸ τάχος τῆς μεταβολῆς. ἡ δὲ τῶν καισάρων ἑστία τὸ παλάτιον ἐν ἐλάσσονι χρόνῳ, τέσσαρας αὐτοκράτορας ὑπεδέξατο. τὸν μὲν εἰσαγόντων, ὥσπερ διὰ σκηνῆς, τὸν δ' ἐξαγόντων. ἀλλ' ἦν γε παραμυθία τοῖς κακῶς πάσχουσι μία, τὸ μὴ δεηθῆναι δίκης ἑτέρας, ἐπὶ τοὺς αἰτίους, ἀλλ' ὁρᾶν αὐτοὺς ὑφ' ἑαυτῶν φονευομένους. πρῶτον δὲ καὶ δικαιότατα πάντων τὸν δελεάσαντα καὶ διδάξαντα τοσοῦτον ἐλπίζειν ἐπὶ μεταβολῇ καίσαρος, ὅσον αὐτὸς ὑπέσχετο, κάλλιστον ἔργον διαβαλὼν τῷ μισθῷ, τὴν ἀπὸ νέρωνος ἀπόστασιν προδοσίαν γενομένην. νυμφίδιος γὰρ σαβῖνος ὢν ἔπαρχος ὥσπερ εἴρηται, μετὰ τιγελλίνου τῆς αὐλῆς, ἐπεὶ τὰ νέρωνος ἀπέγνωστο παντάπασι, καὶ δῆλος ἦν ἀποδρασόμενος εἰς αἴγυπτον, ἔπεισε τὸ στρατιωτικὸν, ὡς μηκέτι παρόντος, ἀλλ' ἤδη πεφευγότος, αὐτοκράτορα γάλβαν ἀναγορεῦσαι, καὶ δωρεὰν ὑπέσχετο κατ' ἄνδρα τοῖς αὐλικοῖς καὶ στρατηγικοῖς προσαγορευομένοις, δραχμὰς ἑπτακισχιλίας πεντακοσίας. τοῖς δὲ ἐκτὸς στρατευομένοις, πεντήκοντα καὶ διακοσίας ἐπὶ χιλίαις, ὅσον ἀμήχανον ἦν συναγαγεῖν μὴ πλείονα μυριάκις κακὰ παρασχόντα πᾶσιν ἀνθρώποις, ὧν νέρων παρέσχε. τοῦτο γὰρ εὐθὺς μὲν ἀπώλεσε νέρωνα, μετ' ὀλίγον δὲ γάλβαν. τὸν μὲν γὰρ ὡς ληψόμενοι προὔδωκαν, τὸν δὲ μὴ λαμβάνοντες ἀπέκτειναν. εἶτα τὸν τοσοῦτον δώσοντα ζητοῦντες, ἔφθασαν ἐν ταῖς ἀποστάσεσι καὶ προδοσίαις ἀναλώσαντες αὑτοὺς, ἢ τυχόντες ὧν ἤλπιζον. τὰ μὲν οὖν καθέκαστα τῶν γενομένων ἀπαγγέλλειν ἀκριβῶς τῆς πραγματικῆς ἱστορίας ἐστὶν, ὅσα δὲ ἄξια λόγου, τοῖς τῶν καισάρων ἔργοις καὶ πάθεσι συμπέπτωκεν, οὐδ' ἐμοὶ προσήκει παρελθεῖν. γάλβας σουλπίκιος, ὅτι μὲν ἰδιώτης πλουσιώτατος ἁπάντων εἰς τὸν καισάρων παρῆλθεν οἶκον, ὁμολογεῖται. μέγα δὲ ἔχων εὐγενείας ἀξίωμα, τὸν σερουίων οἶκον, αὐτὸς ἐφρόνει μεῖζον ἐπὶ τῇ κάτλου συγγενείᾳ, πρωτεύσαντος ἀρετῇ καὶ δόξῃ τῶν καθ' ἑαυτὸν, εἰ καὶ τὸ δύνασθαι μᾶλλον ἑκὼν ἑτέροις παρῆκεν. ἦν δέ τι καὶ λιβίᾳ τῇ καίσαρος γυναικὶ κατὰ γένος προσήκων ὁ γάλβας, καὶ διὰ τὴν λιβίας σπουδὴν ὕπατος ἐκ παλατίου προῆλθε. λέγεται δὲ καὶ στρατεύματος ἐν γερμανίᾳ καλῶς ἄρξαι, καὶ λιβύης ἀνθύπατος γενόμενος, ἐν ὀλίγοις ἐπαινεθῆναι. τὸ δὲ εὔκολον αὐτοῦ τῆς διαίτης καὶ φειδωλὸν ἐν δαπάναις καὶ ἀπέριττον, αἰτίαν ἔχων αὐτοκράτορος γενομένου μικρολογίας. ἦν ἑωλόν τινα δόξαν εὐταξίας ἔφερε καὶ σωφροσύνης. ἐπέμφθη δὲ ὑπὸ νέρωνος ἰβηρίας ἄρχων, οὔπω δεδιδαγμένου φοβεῖσθαι τοὺς ἐν ἀξιώμασι μεγάλους τῶν πολιτῶν. ἐκείνῳ δὲ καὶ φύσει δοκοῦντι πρᾴῳ γεγονέναι, προσετίθει πίστιν εὐλαβείας τὸ γῆρας. ἐπεὶ δὲ τῶν ἀλιτηρίων ἐπιτρόπων ὠμῶς καὶ ἀγρίως τὰς ἐπαρχίας ἐκείνων διαφορούντων, ἄλλο μὲν εἶχεν οὐδὲν βοηθεῖν, αὐτὸ δὲ τὸ φανερὸς εἶναι συναλγῶν καὶ συναδικούμενος, ἁμωσγέπως ἀνάπνευσίν τινα καὶ παραμυθίαν τοῖς καταδικαζομένοις καὶ πωλουμένοις παρεῖχε. καὶ ποιημάτων εἰς νέρωνα γινομένων, καὶ πολλαχοῦ περιφερομένων καὶ ᾀδομένων, οὐκ ἐκώλυεν οὐδὲ συνηγανάκτει τοῖς ἐπιτρόποις. ἐφ' οἷς ἔτι μᾶλλον ἠγαπᾶτο ὑπὸ τῶν ἀνθρώπων. καὶ γὰρ ἦν ἤδη συνήθης, ἔτος ὄγδοον ἐκεῖνο τὴν ἀρχὴν ἔχων, ἐν ᾧ ἰούνιος

de Arateo meminit Paus. in Corinthiacis. 40

ἀναπτύσας δίαιμον, ἰδόντος ἐκείνου καὶ θαυμάζοντος, ταῦτα εἶπεν ὦ κεφάλων, ἐπίχειρα τῆς βασιλικῆς φιλίας. οὕτω δὲ αὐτοῦ τελευτήσαντος ἐν αἰγίῳ, τὸ ἑπτακαιδέκατον στρατηγοῦντος, καὶ τῶν ἀχαιῶν φιλοτιμουμένων, ἐκεῖ γενέσθαι ταφὰς καὶ μνήματα, πρέποντα τῷ βίῳ τοῦ ἀνδρὸς, σικυώνιοι συμφορὰν ἐποιοῦντο μὴ παρ' αὐτοῖς τεθῆναι τὸ σῶμα. καὶ τοὺς μὲν ἀχαιοὺς ἔπεισαν ἀφιέναι. νόμου δὲ ὄντος ἀρχαίου μηδένα θάπτεσθαι τειχῶν ἐντός. ἰσχυρᾶς τε τῷ νόμῳ δεισιδαιμονίας προσούσης, ἔπεμψαν εἰς δελφοὺς ὑπὲρ τούτων ἐρησόμενοι τὴν πυθίαν. ἡ δὲ, αὐτοῖς ἀναιρεῖ τὸν χρησμὸν τόνδε.

Βουλεύῃ σικυὼν ζωάγριον αἰὲν ἀράτου ἀμφ' ὁσίῃ θαλίῃ τε κατοιχομένοιο ἄνακτος.
Ὃς τὸ βαρυνόμενον τῷδ' ἀνέρι καὶ τὸ βαρῦνον, Γαίης ἔστ' ἀσέβημα καὶ οὐρανοῦ ἠδὲ θαλάσσης.

Κομισθείσης δὲ τῆς μαντείας, οἵ τε ἀχαιοὶ σύμπαντες ἥσθησαν καὶ διαφερόντως οἱ σικυώνιοι μεταβαλόντες εἰς ἑορτὴν τὸ πένθος, εὐθὺς ἐκ τοῦ αἰγίου τὸν νεκρὸν ἐστεφανωμένοι, καὶ λευχειμονοῦντες ὑπὸ παιάνων καὶ χορῶν εἰς τὴν πόλιν ἀνῆγον. καὶ τόπον ἐξελόμενοι περίοπτον, ὡς περὶ οἰκιστὴν καὶ σωτῆρα τῆς πόλεως ἐκήδευσαν. καὶ καλεῖται μέχρι νῦν ἀράτειον. καὶ θύουσιν αὐτῷ θυσίαν. τὴν μὲν, ᾗ τὴν πόλιν ἀπήλλαξε τῆς τυραννίδος, ἡμέρᾳ πέμπτῃ δαισίου μηνός. ὃ ἀθηναῖοι καλοῦσιν ἀνθεστηριῶνα. καὶ τὴν θυσίαν ἐκείνην, σωτήρια προσαγορεύουσι. τὴν δὲ, τοῦ μηνὸς ἐν ᾗ γενέσθαι τὸν ἄνδρα διαμνημονεύουσι. τῆς μὲν οὖν προτέρας τοῦ διὸς τοῦ σωτῆρος κατήρχετο θυηπόλος. τῆς δὲ δευτέρας, ὁ τοῦ ἀράτου, στρόφιον οὐχ ὅλον λευκὸν, ἀλλὰ μεσοπόρφυρον ἔχων. μέλη δὲ ᾔδετο πρὸς κιθάραν ὑπὸ τῶν περὶ τὸν διόνυσον τεχνιτῶν καὶ συνεπόμπευεν ὁ γυμνασίαρχος, ἡγούμενος τῶν τε παίδων καὶ τῶν ἐφήβων. εἶτα ἐφείπετο ἡ βουλὴ στεφανηφοροῦσα, καὶ τῶν ἄλλων πολιτῶν ὁ βουλόμενος. ὧν ἔτι δείγματα μικρὰ ταῖς ἡμέραις ἐκείναις ἐξοσιούμενοι διαφυλάττουσιν. αἱ δὲ πλεῖσται τῶν τιμῶν ὑπὸ χρόνου καὶ πραγμάτων ἄλλων ἐκλελοίπασιν. ἀλλὰ γὰρ ὁ μὲν πρεσβύτερος ἄρατος, οὕτω βιῶσαι καὶ τοιοῦτος γενέσθαι τὴν φύσιν ἱστορεῖται. τὸν δὲ υἱὸν αὐτοῦ, μιαρὸς ὢν φύσει καὶ μετ' ὠμότητος ὑβριστὴς ὁ φίλιππος, οὐ θανασίμοις, ἀλλὰ μανικοῖς ἐξέστησε τοῦ λογισμοῦ φαρμάκοις. καὶ παρέτρεψεν εἰς δεινὰς, καὶ ἀλλοκότους ἐπιφορὰς πράξεων ἀτόπων. καὶ ζῶν αἰσχύνῃ παθῶν ὀλεθρίων ὀρεγόμενον. ὥστε τὸν θάνατον αὐτῷ καίπερ ὄντι νέῳ καὶ ἀνθοῦντι μὴ συμφορὰν, ἀλλ' ἀπόλυσιν κακῶν καὶ σωτηρίαν γενέσθαι. δίκας γε μὴν ὁ φίλιππος οὐ μεμπτὰς διὶ ξενίῳ, καὶ φιλίῳ τῆς ἀνοσιουργίας ταύτης, τίνων διετέλεσε. καταπολεμηθεὶς μὲν γὰρ ὑπὸ ῥωμαίων, ἐπέτρεψεν ἐκείνοις τὰ καθ' αὑτόν. ἐκπεσὼν δὲ τῆς ἄλλης ἀρχῆς. καὶ τὰς ναῦς πλὴν πέντε, πάσας προέμενος. καὶ χίλια προσεκτίσειν ὁμολογήσας τάλαντα. καὶ τὸν υἱὸν ὁμηρεύσοντα παραδοὺς, δι' οἶκτον ἔτυχε μακεδονίας καὶ τῶν συντελούντων. ἀποκτείνων δὲ ἀεὶ τοὺς ἀρίστους καὶ συγγενεστάτους, φρίκης ἐνέπλησε καὶ μίσους ὅλην τὴν βασιλείαν πρὸς αὐτὸν, ἓν δὲ μόνον ἐν τοσούτοις κακοῖς εὐτύχημα κτησάμενος, υἱὸν ἀρετῇ διαφέροντα, τοῦτον φθόνῳ καὶ ζηλοτυπίᾳ τῆς παρὰ ῥωμαίοις τιμῆς, ἀνεῖλε. περσεῖ δὲ θατέρῳ τὴν ἀρχὴν παρέδωκεν ὃν οὐ γνήσιον, ἀλλ' ὑπόβλητον εἶναι φασὶν ἐκ γναθαινίου τινὸς ἀκεστρίας γενόμενον. τοῦτον αἰμίλιος ἐθειάμβευσεν. καὶ κατέστρεψεν ἐνταῦθα, τῆς ἀντιγονικῆς βασιλείας, ἡ διαδοχή. τὸ δὲ ἀράτου γένος, ἔν τε σικυῶνι καὶ τῇ πελλήνῃ διέμενε καθ' ἡμᾶς.

ἰῶν q. κ. ς κ.

κ. κ.

τὸ πό... nec. ς.

ἐθριάμβευσε καὶ κατέστρεψεν κ. κ. π. ς.

Ἰθωμάτ. Strabo appellat Ἰθώμην, et quod hic tribuit Demetrio phario, ille Demetrio phalereo. quod magis credendum, ut legendum videtur pro φαρίῳ φαληρεῖ. De hoc Demetrio phalereo lib. ... pl: in Demetrio ...

κατεδίωξαν. ἐφ' οἷς ὁ Φίλιππος ὀργισθεὶς, εὐθὺς μὲν αὐτοὺς ἐζημίωσεν εἴκοσι ταλάντοις. ὕστερον δὲ λυμαίνεσθαι τὰ πράγματα καὶ ταράττειν δοκοῦντας, ἀπέκτεινεν. ἐπεὶ δὲ τῆς τύχης εὐροούσης ἐπαιρόμενος τοῖς πράγμασι, πολλὰς μὲν ἀνέφυε καὶ μεγάλας ἐπιθυμίας. ἡ δ' ἔμφυτος κακία τὸν παρὰ φύσιν σχηματισμὸν ἐκβιαζομένη καὶ ἀναδύουσα, κατὰ μικρὸν ἀπεγύμνου καὶ διέφαινεν αὐτοῦ τὸ ἦθος. πρῶτον μὲν ἰδίᾳ τὸν νεώτερον Ἄρατον ἠδίκει περὶ τὴν γυναῖκα. καὶ πολὺν χρόνον ἐλάνθανεν ἐφέστιος ὢν καὶ ξενιζόμενος ὑπ' αὐτῶν. ἔπειτα πρὸς τὰς πολιτικὰς ἐξετραχύνετο πολιτείας, καὶ φανερὸς ἦν ἤδη, τὸν Ἄρατον ἀποσειόμενος. ἀρχὴν δὲ ὑπονοίας, τὰ Μεσσηνιακὰ παρέσχε. στασιασάντων γὰρ αὐτῶν, ὁ μὲν Ἄρατος, ὑστέρει βοηθῶν, ὁ δὲ Φίλιππος ἡμέρᾳ μιᾷ πρότερον ἐλθὼν εἰς τὴν πόλιν, εὐθὺς οἶστρόν τινα κατ' ἀλλήλων ἐνέβαλλε τοῖς ἀνθρώποις. ἰδίᾳ μὲν ἐρωτῶν τοὺς στρατηγοὺς τῶν Μεσσηνίων εἰ νόμους κατὰ τῶν πολλῶν οὐκ ἔχουσιν. ἰδίᾳ δὲ πάλιν τοὺς τῶν πολλῶν προεστῶτας εἰ χεῖρας κατὰ τῶν τυραννούντων οὐκ ἔχουσι. ἐκ δὲ τούτου θαρρήσαντες, οἱ μὲν ἄρχοντες, ἐπελαμβάνοντο τῶν δημαγωγῶν. ἐκεῖνοι δὲ μετὰ τῶν πολλῶν ἐπελθόντες, τούς τε ἄρχοντας ἀπέκτειναν, καὶ τῶν ἄλλων ὀλίγον ἀπολείποντας διακοσίων. οὕτω δὲ δεινὸν ἔργον ἐξειργασμένου τοῦ Φιλίππου, καὶ συγκρούοντος ἔτι μᾶλλον ἐν αὐτοῖς τοὺς Μεσσηνίους, ἐπελθὼν ὁ Ἄρατος, αὐτός τε δῆλος ἦν φέρων βαρέως. καὶ τὸν υἱὸν αὐτοῦ τιμῶντα πικρῶς τῷ Φιλίππῳ καὶ λοιδορούμενον οὐκ ἐκώλυσεν. ἐδόκει δὲ ὁ νεανίσκος, ἐρᾶν τοῦ Φιλίππου. καὶ τότε λέγων εἶπε πρὸς αὐτόν. ὡς οὐδὲ καλὸς ἔτι φαίνοιτο τὴν ὄψιν αὐτῷ τοιαῦτα δράσας, ἀλλὰ πάντων αἴσχιστος. ὁ δὲ Φίλιππος, ἐκείνῳ μὲν, οὐδὲν ἀντεῖπε. καίπερ ἐπίδοξος ὢν ὑπ' ὀργῆς, καὶ πολλάκις ἐξυλακτήσας, λέγοντος αὐτοῦ. τὸν δὲ πρεσβύτερον, ὡς ἐνηνοχὼς πρᾴως τὰ λεχθέντα, καί τις ὢν μέτριος καὶ πολιτικὸς τὴν φύσιν, ἀνέστησεν ἐκ τοῦ θεάτρου τὴν δεξιὰν ἐμβαλὼν καὶ προῆγεν εἰς τὸ Ἰθωμάταν τῷ τε Διῒ θύσων, καὶ θεωρήσων τὸν τόπον. ἔστι γὰρ οὐχ ἧττον εὐερκὴς τοῦ Ἀκροκορίνθου. καὶ λαβὼν φρουρὰν, γίνεται χαλεπὸς καὶ παρεκβίαστος τοῖς παροικοῦσιν. ἀναβὰς δὲ καὶ θύσας, ὡς προσήνεγκεν αὐτῷ τὰ σπλάγχνα τοῦ βοὸς ὁ μάντις, ἀμφοτέραις ταῖς χερσὶν ὑπολαβὼν, ἐδείκνυε τῷ Ἀράτῳ καὶ τῷ Φαρίῳ Δημητρίῳ παρὰ μέρος ἀποκλίνων εἰς ἑκάτερον, καὶ πυνθανόμενος, τί καθορῶσιν ἐν τοῖς ἱεροῖς. κρατοῦντα τῆς ἄκρας αὐτὸν, ἢ τοῖς Μεσσηνίοις ἀποδιδόντα. γελάσας οὖν ὁ Δημήτριος, εἰ μὲν ἔφη μάντεως ἔχεις ψυχὴν, ἀφήσεις τὸν τόπον. εἰ δὲ βασιλέως, ἀμφοτέρων τῶν κεράτων, τὸν βοῦν καθέξεις. αἰνιττόμενος τὴν Πελοπόννησον, ὡς εἰ προσβάλοι τὸν Ἰθωμάταν τῷ Ἀκροκορίνθῳ, παντάπασιν ἐσομένην ὑποχείριον καὶ ταπεινήν. ὁ δὲ Ἄρατος, ἐπὶ πολὺ μὲν ἡσύχαζε. δεομένου δὲ τοῦ Φιλίππου τὸ φαινόμενον, λέγειν. πολλὰ μὲν εἶπεν ὦ Φίλιππε Κρητῶν ὄρη καὶ μεγάλα. πολλαὶ δὲ Βοιωτῶν ἄκραι καὶ Φωκέων ἐκπεφύκασι τῆς γῆς. εἰσὶ δέ που πολλοὶ καὶ τῆς Ἀκαρνάνων, τοὺς μὲν χερσαῖοι. τοὺς δ' ἐνάλιοι τόποι, θαυμαστὰς ὀχυρότητας ἔχοντες, ἀλλ' οὐδένα τούτων κατείληφας, καὶ πάντες ἑκουσίως σοι ποιοῦσι τὸ προστασσόμενον. λῃσταὶ γὰρ ἐμφύονται πέτραις καὶ κρημνῶν περιέχονται. βασιλεῖ δὲ πίστεως καὶ χάριτος, ἰσχυρότερον οὐδὲν, οὐδὲ ὀχυρώτερον. ταῦτά σοι τὸ Κρητικὸν ἀνοίγει πέλαγος. ταῦτα τὴν Πελοπόννησον. ἀπὸ τούτων ὁρμώμενος σὺ, τοσοῦτος τὴν ἡλικίαν τῶν μὲν, ἡγεμών. τῶν δὲ, κύριος ἤδη καθέστηκας. ἔτι λέγοντος αὐτοῦ, τὰ μὲν σπλάγχνα τῷ μάντει παρέδωκεν ὁ Φίλιππος. ἐκεῖνον δὲ, τῆς χειρὸς ἐπισπασάμενος, δεῦρο τοίνυν ἔφη τὴν αὐτὴν ὁδὸν ἴωμεν. ὥσπερ ἐκβεβιασμένος ὑπ' αὐτοῦ, καὶ τὴν πόλιν ἀφῃρημένος. ὁ δὲ Ἄρατος ἀπερρέων ἤδη τῆς αὐλῆς. καὶ κατὰ μικρὸν ἑαυτὸν ἀνακομιζόμενος ἐκ τῆς πρὸς τὸν Φίλιππον συνηθείας, διαβαίνοντος εἰς Ἤπειρον αὐτοῦ, καὶ δεομένου συστρατεύειν ἀπείπατο καὶ κατέμεινε. δεδιὼς ἀναπλησθῆναι δόξης πονηρᾶς ἀφ' ὧν ἐκεῖνος ἔπραττεν. ἐπεὶ δὲ, τάς τε ναῦς ὑπὸ Ῥωμαίων ἀπολέσας αἴσχιστα. καὶ ὅλως ἀποτυχὼν ταῖς πράξεσιν, ἐπανῆλθεν εἰς Πελοπόννησον. καὶ τοὺς Μεσσηνίους αὖθις ἐπιχειρήσας φενακίζειν καὶ μὴ λαθὼν, ἠδίκει φανερῶς. καὶ τὴν χώραν αὐτῶν ἐπόρθει. παντάπασιν ὁ Ἄρατος ἀπεστράφη καὶ διεβλήθη πρὸς αὐτὸν, ἤδη καὶ τῶν περὶ τὴν γυναικωνῖτιν ἀδικημάτων αἰσθόμενος καὶ φέρων ἀνιαρῶς αὐτὸν, ἀποκρυπτόμενος δὲ τὸν υἱὸν, εἰδέναι γὰρ ὑβρισμένον περιῆν, ἄλλο δὲ οὐδὲν, ἀμύνασθαι μὴ δυναμένῳ. μεγίστην γὰρ ὁ Φίλιππος δοκεῖ καὶ παραλογωτάτην μεταβαλέσθαι μεταβολὴν, ἐξ ἡμέρου βασιλέως καὶ μειρακίου σώφρονος, ἀνὴρ ἀσελγὴς καὶ τύραννος ἐξώλης γενόμενος. τὸ δὲ, οὐκ ἦν ἄρα μεταβολὴ φύσεως, ἀλλ' ἐπίδειξις ἐν ἀδείᾳ κακίας πολὺν χρόνον διὰ φόβον ἀγνοηθείσης. ὅτι γὰρ ἦν μεμιγμένον αἰσχύνῃ καὶ φόβῳ τὸ πρὸς τὸν Ἄρατον αὐτοῦ πάθος ἀπ' ἀρχῆς συντεθραμμένον, ἐδήλωσεν, οἷς ἔπραξε περὶ αὐτόν. ἐπιθυμῶν γὰρ ἀνελεῖν τὸν ἄνδρα καὶ νομίζων οὐδ' ἂν ἐλεύθερος ἐκείνου ζῶντος εἶναι, μήτι γε τύραννος ἢ βασιλεὺς, βίᾳ μὲν οὐδὲν ἐπεχείρησε, Ταυρίωνα δὲ τῶν στρατηγῶν τινὰ καὶ φίλων, ἐκέλευσεν ἐν ἀδήλῳ τρόπῳ τοῦτο πρᾶξαι, μάλιστα διὰ φαρμάκων. αὐτοῦ μὴ παρόντος. ὁ δὲ, ποιησάμενος τὸν Ἄρατον συνήθη, φάρμακον αὐτῷ δίδωσιν, οὐκ ὀξὺ καὶ σφοδρὸν, ἀλλὰ τῶν θέρμας τε μαλακὰς τὸ πρῶτον ἐν τῷ σώματι καὶ βῆχα κινούντων ἀμβλεῖαν, εἶτα οὕτως κατὰ μικρὸν εἰς φθορὰν περαινόντων. οὐ μὴν ἔλαθέ γε τὸν Ἄρατον, ἀλλ' ὡς οὐδὲν ἦν ὄφελος ἐλέγχοντι, πρᾴως καὶ σιωπῇ τὸ πάθος, ὡς δή τινα νόσον κοινὴν καὶ συνήθη νοσῶν, διήντλει. πλὴν ἑνός γε τῶν συνήθων ἐν τῷ δωματίῳ παρόντος,

ἐξετραχύνετο. α. π.

ἐνέβαλε

προῆγεν. π.

ἰθωμάταν. π.

ἢ φαληρεῖ

π. προσλάβοι τὸν ἰθωμάταν

π. κρητικὸν

δὲ καὶ τῶν ἄλλων, ἐκείνῳ τὰς αἰτίας ἐπέφερον, διότι τὴν μὲν κορινθίων πόλιν, ἀντιγόνῳ δωρεὰν ἔδωκαν, ὥσπερ κώμην τὴν τυχοῦσαν. τὸν ὀρχομενὸν δὲ, συνεχώρησαν αὐτῷ διαρπάσαντι, φρουρὰν ἐμβαλεῖν μακεδονικήν. ἐψηφίσαντο δὲ, ἄλλῳ μὴ γράφειν βασιλεῖ, μηδὲ πρεσβεύειν πρὸς ἄλλον, ἄκοντος ἀντιγόνου. τρέφειν τε καὶ μισθοδοτεῖν, ἠναγκάζοντο τοὺς μακεδόνας. θυσίας δὲ καὶ σπονδὰς καὶ ἀγῶνας, ἀντιγόνῳ συνετέλουν, ἀρξαμένων τῶν ἀράτου πολιτῶν, καὶ δεξαμένων τῇ πόλει τὸν ἀντίγονον ὑπ' ἀράτου ξενιζόμενον, ᾐτιῶντο πάντων ἐκεῖνον. ἀγνοοῦντες, ὅτι τὰς ἡνίας ἐκείνῳ παραδεδωκώς, καὶ τῇ ῥύμῃ τῆς βασιλικῆς ἐφελκόμενος ἐξουσίας, οὐδενὸς ἦν, ἢ μόνης φωνῆς ἔτι κύριος, ἐπισφαλῆ τὴν παρρησίαν ἐχούσης. ἐπεὶ φανερῶς γε τῶν πραττομένων πολλὰ, τὸν ἄρατον ἐλύπει. ὥσπερ τὸ περὶ τῶν εἰκόνων. ὁ γὰρ ἀντίγονος, τὰς μὲν τῶν ἐν ἄργει τυράννων καταβεβλημένας, ἀνέστησε. τὰς δὲ τῶν ἑλόντων τὸν ἀκροκόρινθον ἑστώσας, ἀνέστρεψε, πλὴν μιᾶς τῆς ἐκείνου, καὶ πολλὰ περὶ τούτων δεηθεὶς ὁ ἄρατος, οὐκ ἔπεισεν. ἐδόκει δὲ καὶ τὰ περὶ μαντίνειαν, οὐχ ἑλληνικῶς διακεῖσθαι τοῖς ἀχαιοῖς. κρατήσαντες γὰρ αὐτῶν δι' ἀντιγόνου, τοὺς μὲν ἐνδοξοτάτους καὶ πρώτους ἀπέκτειναν. τῶν δὲ ἄλλων, τοὺς μὲν, ἀπέδοντο. τοὺς δ' εἰς μακεδονίαν ἀπέστειλαν, πέδαις δεδεμένους. παῖδας δὲ καὶ γυναῖκας, ἠνδραπόδισαντο. τοῦ δὲ συναχθέντος ἀργυρίου, τὸ τρίτον αὐτοὶ διείλοντο. τὰς δὲ δύο μοίρας, ἔνειμαν τοῖς μακεδόσι. καὶ ταῦτα μὲν ἔχει τὸν τῆς ἀμύνης νόμον. καὶ γὰρ εἰ δεινὸν ἄνδρας ὁμοφύλους καὶ συγγενεῖς, οὕτω μεταχειρίζεσθαι δι' ὀργὴν, ἀλλ' ἐν ἀνάγκαις γλυκὺ γίνεται καὶ οὐ σκληρὸν κατὰ σιμωνίδην, ὥσπερ ἀλγοῦντι τῷ θυμῷ καὶ φλεγμαίνοντι, θεραπείαν καὶ ἀναπλήρωσιν προσφερόντων. τὰ δὲ μετὰ ταῦτα πραχθέντα περὶ τὴν πόλιν, οὔτ' εἰς καλὴν, οὔτ' εἰς ἀναγκαίαν ἔστι θέσθαι τῷ ἀράτῳ πρόφασιν. τῶν γὰρ ἀργείων τὴν πόλιν παρ' ἀντιγόνου δωρεὰν λαβόντων, καὶ κατοικίζειν ἐγνωκότων, αὐτὸς οἰκιστὴς αἱρεθεὶς καὶ στρατηγὸς ὢν ἐψηφίσατο, μηκέτι καλεῖν μαντίνειαν, ἀλλ' ἀντιγόνειαν. ὃ καὶ μέχρι νῦν καλεῖται. καὶ δοκεῖ δι' ἐκεῖνον, ἡ μὲν ἐρατεινὴ μαντίνεια, παντάπασιν ἐξαληλίφθαι. διαμένει δὲ ἡ πόλις ἐπώνυμος, τῶν ἀπολεσάντων καὶ ἀνελόντων τοὺς πολίτας. ἐκ τούτου, κλεομένης μὲν ἡττηθεὶς μάχῃ μεγάλῃ περὶ σελλασίαν, ἐξέλιπε τὴν σπάρτην καὶ ἀπέπλευσεν εἰς αἴγυπτον. ἀντίγονος δὲ πάντα δίκαια καὶ φιλάνθρωπα τῷ ἀράτῳ πεποιηκὼς, ἀνέζευξεν εἰς μακεδονίαν. κἀκεῖ νοσῶν, ἤδη τὸν διάδοχον τῆς βασιλείας φίλιππον, οὔπω πάνυ μειράκιον ὄντα, πέμπων εἰς πελοπόννησον, ἀράτῳ μάλιστα προσέχειν ἐκέλευσε. καὶ δι' ἐκείνου ταῖς πόλεσιν ἐντυχεῖν, καὶ γνωρισθῆναι τοῖς ἀχαιοῖς. καὶ μέντοι, καὶ παραλαβὼν αὐτὸν ὁ ἄρατος, οὕτως διέθηκεν. ὥστε πολλῆς μὲν εὐνοίας πρὸς αὐτόν. πολλῆς δὲ πρὸς τὰς ἑλληνικὰς πράξεις φιλοτιμίας καὶ ὁρμῆς μεστὸν εἰς μακεδονίαν ἀποστεῖλαι. τελευτήσαντος δὲ ἀντιγόνου, καταφρονήσαντες αἰτωλοὶ τῶν ἀχαιῶν διὰ τὴν ῥᾳθυμίαν, ἐθισθέντες γὰρ ἀλλοτρίαις σώζεσθαι χερσὶ, καὶ τοῖς μακεδόνων ὅπλοις αὐτοὺς ὑπεσταλκότες ἐν ἀργίᾳ πολλῇ καὶ ἀταξίᾳ διῆγον, ἐπέθεντο τοῖς κατὰ πελοπόννησον πράγμασι. καὶ τὴν μὲν πατρέων καὶ δυμαίων λεηλασίαν, ὁδοῦ πάρεργον ἐποιήσαντο. τὴν δὲ μεσσήνην ἐμβαλόντες, ἐπόρθουν, ἐφ' οἷς ὁ ἄρατος ἀγανακτῶν, καὶ τὸν στρατηγοῦντα τότε τῶν ἀχαιῶν τιμόξενον ὁρῶν ὀκνοῦντα καὶ διατρίβοντα τὸν χρόνον, ἤδη τῆς στρατηγίας αὐτῷ τελευτώσης, αὐτὸς ᾑρημένος ἄρχειν μετ' ἐκεῖνον, προέλαβεν ἡμέραις πέντε τὴν ἀρχὴν ἕνεκα τοῦ βοηθῆσαι μεσσηνίοις. καὶ συναγαγὼν τοὺς ἀχαιοὺς, τοῖς τε σώμασιν ἀγυμνάστους ὄντας, καὶ ταῖς διανοίαις ἐκλελυμένους πρὸς τὸν πόλεμον, ἡττᾶται περὶ καφύας. καὶ θυμικώτερον ἐστρατηγηκέναι δόξας, οὕτως αὖ πάλιν ἀπημβλύνθη. καὶ προήκατο τὰ πράγματα καὶ τὰς ἐλπίδας, ὥστε πολλάκις λαβὴν τοὺς αἰτωλοὺς παρασχόντας, ἀνέχεσθαι καὶ περιορᾶν, ὥσπερ κωμάζοντας ἐν τῇ πελοποννήσῳ, μετὰ πολλῆς ἀσελγείας καὶ θρασύτητος. αὖθις οὖν τὰς χεῖρας ὀρέγοντες εἰς μακεδονίαν, ἐπεσπῶντο καὶ κατῆγον, ἐπὶ τὰς ἑλληνικὰς πράξεις τὸν φίλιππον. οὐχ ἥκιστα διὰ τὴν πρὸς ἄρατον εὔνοιαν αὐτοῦ καὶ πίστιν. ἐλπίζοντες εὐκόλῳ περὶ πάντα χρήσεσθαι καὶ χειροήθει. καὶ τότε πρῶτον ἀπελλοῦ, καὶ μεγαλαίου καί τινων αὐλικῶν ἄλλων διαβαλλόντων τὸν ἄρατον, ἀναπεισθεὶς ὁ βασιλεὺς, καὶ συναρχαιρεσιάσας, τοῖς ἀπὸ τῆς ἐναντίας στάσεως, ἐσπούδασε τοὺς ἀχαιοὺς ἑλέσθαι στρατηγὸν ἐπήρατον. ὡς δ' ἐκείνου μὲν καταφρονουμένου τελέως ὑπὸ τῶν ἀχαιῶν. τοῦ δ' ἀράτου παραμελοῦντος, ἐγίνετο τῶν χρησίμων, οὐδὲν, ἔγνω διαμαρτάνων τοῦ παντὸς ὁ φίλιππος. καὶ ἀνακρουσάμενος αὖθις ἐπὶ τὸν ἄρατον, ὅλος ἦν ἐκείνου. καὶ τῶν πραγμάτων αὐτῷ, πρός τε δύναμιν καὶ πρὸς εὐδοξίαν ἐπιδόντων, ἐξήρτητο τοῦ ἀνδρὸς, ὡς δι' ἐκεῖνον εὐδοκιμῶν καὶ αὐξόμενος. ἐδόκει τε πᾶσιν ὁ ἄρατος, οὐ μόνον δημοκρατίας, ἀλλὰ καὶ βασιλείας, ἀγαθὸς εἶναι παιδαγωγός. ἡ γὰρ προαίρεσις αὐτοῦ καὶ τὸ ἦθος, ὡς χρῶμα ταῖς πράξεσι τοῦ βασιλέως ἐπεφαίνετο. καὶ γὰρ ἡ πρὸς λακεδαιμονίους ἁμαρτόντας μετριότης τοῦ νεανίσκου. καὶ ἡ πρὸς κρῆτας ὁμιλία δι' ἧς ὅλην προσηγάγετο τὴν νῆσον ἡμέραις ὀλίγαις. ἥ τε πρὸς αἰτωλοὺς στρατεία γενομένη θαυμαστῶς ἐνεργὸς, εὐπειθείας μὲν τῷ φιλίππῳ δόξαν. εὐβουλίας δὲ τῷ ἀράτῳ προσετίθει. καὶ διὰ ταῦτα μᾶλλον οἱ βασιλικοὶ φθονοῦντες, ὡς οὐδὲν ἐπέραινον κρύφα διαβάλλοντες, ἀναφανδὸν ἐλοιδοροῦντο καὶ προσέκρουον αὐτῷ παρὰ τοὺς πότους μετὰ πολλῆς ἀσελγείας καὶ βωμολοχίας. ἅπαξ δὲ καὶ λίθοις βάλλοντες ἀπιόντα εἰς τὴν σκηνὴν μετὰ τὸ δεῖπνον

‡ Hesy. δημιουργοὶ παρὰ τοῖς δωριεῦσι λέγονται οἱ ἄρχοντες τὰ δημόσια πράττοντες, ὥσπερ ἀθήνησιν οἱ δήμαρχοι.

ἀράτου πρόθυμον οὖσαν, οἱ περὶ εὐκλείδην καὶ μικίωνα διεκώλυσαν. ὄντων δὲ τῷ ἀράτῳ καὶ χρημάτων ἐν κορίνθῳ, καὶ οἰκίας, ὁ κλεομένης ἥψατο μὲν οὐδενός, οὐδὲ ἄλλον εἴασε. μεταπεμψάμενος δὲ τοὺς φίλους αὐτοῦ καὶ τοὺς διοικητάς, ἐκέλευε πάντα ποιεῖν καὶ φυλάττειν, ὡς ἀράτῳ λόγον ὑφέξοντας. ἰδίᾳ δὲ πρὸς αὐτὸν ἔπεμψε τρίπυλον. καὶ πάλιν μεγιστόνουν τὸν πατρῷον, ὑπισχνούμενος ἄλλα τε πολλά, καὶ δώδεκα τάλαντα σύνταξιν ἐνιαύσιον. ὑπερβαλλόμενος τῷ ἡμίσει πτολεμαῖον. ἐκεῖνος γὰρ ἓξ τάλαντα τῷ ἀράτῳ κατ' ἐνιαυτὸν ἀπέστελλεν. ἠξίου δέ, τῶν ἀχαιῶν ἡγεμὼν ἀναγορευθῆναι. καὶ κοινῇ μετ' αὐτῶν, φυλάσσειν τὸν ἀκροκόρινθον. τοῦ δὲ ἀράτου φήσαντος ὡς οὐκ ἔχει τὰ πράγματα. μᾶλλον δὲ ὑπ' αὐτῶν ἔχοιτο, καὶ κατειρωνεύσασθαι δόξαντος, ἐμβαλὼν εὐθὺς, τὴν σικυωνίαν ἐπόρθει καὶ κατέφθειρε. καὶ προσεκάθητο τῇ πόλει τρεῖς μῆνας. ἐγκαρτεροῦντος τοῦ ἀράτου καὶ διαποροῦντος, εἰ δέξαιτο τὸν ἀντίγονον, ἐπὶ τῷ παραδοῦναι τὸν ἀκροκόρινθον. ἄλλως γὰρ, οὐκ ἐβούλετο βοηθεῖν. οἱ μὲν οὖν ἀχαιοὶ συνεληλυθότες εἰς αἴγιον, ἐκεῖ τὸν ἄρατον ἐκάλουν. ἦν δὲ κίνδυνος τοῦ κλεομένους πρὸς τῇ πόλει στρατοπεδεύοντος διελθεῖν. καὶ κατεῖχον οἱ πολῖται δεόμενοι, καὶ προήσεσθαι τὸ σῶμα τῶν πολεμίων ἐγγὺς ὄντων οὐ φάσκοντες. ἐξήρτηντο δὲ αὐτοῦ καὶ γυναῖκες ἤδη καὶ παῖδες ὡς περὶ πατρὸς κοινοῦ καὶ σωτῆρος περιεχόμενοι καὶ δακρύοντες. οὐ μὴν ἀλλὰ θαρρύνας καὶ παραμυθησάμενος αὐτούς, ἐξίππευσεν ἐπὶ τὴν θάλασσαν, ἔχων δέκα φίλους καὶ τὸν υἱόν, ἤδη νεανίαν ὄντα. καὶ παρορμούντων ἐκεῖ πλοίων ἐπιβάντες, εἰς αἴγιον παρεκομίσθησαν ἐπὶ τὴν ἐκκλησίαν. ἐν ᾗ καλεῖν τὸν ἀντίγονον ἐψηφίσαντο καὶ παραδιδόναι τὸν ἀκροκόρινθον. ἔπεμψε δὲ καὶ τὸν υἱὸν ἄρατος πρὸς αὐτὸν μετὰ τῶν ἄλλων ὁμήρων. ἐφ' οἷς οἱ κορίνθιοι χαλεπῶς φέροντες, τά τε χρήματα διήρπαζον αὐτοῦ καί, τὴν οἰκίαν τῷ κλεομένει δωρεὰν ἔδωκαν. τοῦ δ' ἀντιγόνου προσιόντος ἤδη μετὰ τῆς δυνάμεως, ἦγε δὲ πεζοὺς δισμυρίους μακεδόνας. ἱππεῖς δὲ χιλίους καὶ τριακοσίους, ἀπήντα μετὰ τῶν δημιουργῶν ὁ ἄρατος αὐτῷ κατὰ θάλατταν εἰς πηγὰς λαθὼν τοὺς πολεμίους, οὐ πάνυ τι θαρρῶν τῷ ‡ ἀντιγόνῳ, οὐδὲ πιστεύων τοῖς μακεδόσιν. ᾔδει γὰρ ηὐξημένον ἑαυτὸν ἐξ ὧν ἐκείνους κακῶς ἐποίησε. καὶ πρώτην εἰληφότα μεγίστην ὑπόθεσιν τῆς πολιτείας τὴν πρὸς τὸν ἀντίγονον τὸν παλαιὸν ἔχθραν. ἀλλὰ ὁρῶν ἀπαραίτητον ἐπικειμένην ἀνάγκην, καὶ τὸν καιρὸν ᾧ δουλεύουσιν οἱ δοκοῦντες ἄρχειν, ἐχώρει πρὸς τὸ δεινόν. ὁ δὲ ἀντίγονος ὥς τις αὐτῷ προσιόντα τὸν ἄρατον ἔφρασεν, τοὺς μὲν ἄλλους ἠσπάσατο μετρίως καὶ κοινῶς, ἐκεῖνον δὲ καὶ περὶ τὴν πρώτην ὑπάντησιν ἐδέξατο τιμῇ περιττῇ. καὶ κατὰ τἆλλα πειρώμενος ἀνδρὸς ἀγαθοῦ καὶ νοῦν ἔχοντος, ἐνδοτέρω τῆς χρείας προσηγάγετο. καὶ γὰρ ἦν ὁ ἄρατος, οὐ μόνον ἐν πράγμασι μεγάλοις ὠφέλιμος, ἀλλὰ καὶ σχολάζοντι βασιλεῖ συγγενέσθαι, παρ' ὁντινοῦν ἐπίχαρις. διὸ καίπερ ὢν νέος ὁ ἀντίγονος, ὡς κατενόησε τὴν φύσιν τοῦ ἀνδρός, μηδὲν ἀργὴν εἰς φιλίαν βασιλικὴν οὖσαν, οὐ μόνον ἀχαιῶν, ἀλλὰ καὶ μακεδόνων τῶν σὺν αὐτῷ, πάντα χρώμενος ἐκείνῳ διετέλει. καὶ τὸ σημεῖον ἀπέβαινεν, ὡς ὁ θεὸς ἐπὶ τῶν ἱερῶν ἔδειξε. λέγεται γὰρ οὐ πρὸ πολλοῦ θύοντι τῷ ἀράτῳ, δύο χολὰς ἐν ἥπατι φανῆναι μιᾷ πιμελῇ περιεχομένας. καὶ τὸν μάντιν εἰπεῖν, ὡς ταχὺ πρὸς τὰ ἔχθιστα καὶ πολεμιώτατα συνέσεσθαι εἰς ἄκραν φιλίαν. τότε μὲν οὖν παρήνεγκε τὸ ῥηθέν, οὐδὲ ἄλλως πολὺ νέμων πίστεως ἱεροῖς καὶ μαντεύμασιν, ἀλλὰ τῷ λογισμῷ χρώμενος. ἐπεὶ δὲ ὕστερον εὖ χωροῦντι τῷ πολέμῳ συναγαγὼν ὁ ἀντίγονος εἱστίασεν ἐν κορίνθῳ καὶ πολλοὺς ὑποδεχόμενος, τὸν ἄρατον ἐπάνω κατέκλινεν ἑαυτοῦ. καὶ μετὰ μικρὸν αἰτήσας περιβόλαιον, ἠρώτησεν εἰ δοκεῖ κἀκείνῳ ψῦχος εἶναι. τοῦ δέ, καὶ πάνυ ῥιγοῦν φήσαντος, ἐκέλευσε προσχωρεῖν ἐγγυτέρω, καὶ δάπιδος κομισθείσης, ἀμφοτέρους ὁμοῦ περιέβαλον οἱ παῖδες. τότε δὴ τὸν ἄρατον ἀναμνησθέντα τῶν ἱερῶν ἐκείνων, γέλως ἔλαβε, καὶ διηγεῖτο τῷ βασιλεῖ τὸ σημεῖον καὶ τὴν προαγόρευσιν. ἀλλὰ ταῦτα μὲν ἐπράχθη χρόνοις ὕστερον. ἐν δὲ ταῖς πηγαῖς δόντες καὶ λαβόντες ὅρκους, εὐθὺς ἐβάδιζον ἐπὶ τοὺς πολεμίους. καὶ περὶ τὴν πόλιν ἀγῶνες ἦσαν. εὖ πεφραγμένου τοῦ κλεομένους. καὶ τῶν κορινθίων ἀμυνομένων προθύμως. ἐν τούτῳ δὲ ἀριστοτέλης ὁ ἀργεῖος φίλος ὢν ἀράτου διαπέμπεται κρύφα πρὸς αὐτόν, ὡς ἀποστήσων τὴν πόλιν, εἰ στρατιώτας ἐκεῖνος ἔχων ἔλθοι. τοῦ δὲ ἀράτου φράσαντος τῷ ἀντιγόνῳ, καὶ μετὰ χιλίων καὶ πεντακοσίων εἰς ἐπίδαυρον ἐξ ἰσθμοῦ πλοίοις κομιζομένου κατὰ τάχος, οἱ μὲν ἀργεῖοι προεξαναστάντες, ἐπέθεντο τοῖς τοῦ κλεομένους, καὶ κατέκλεισαν εἰς τὴν ἀκρόπολιν. ὁ δὲ κλεομένης πυθόμενος ταῦτα, καὶ δείσας μὴ κατασχόντες οἱ πολέμιοι τὸ ἄργος ἀποκόψωσιν αὐτὸν τῆς οἴκαδε σωτηρίας, ἐκλιπὼν τὸν ἀκροκόρινθον, ἔτι νυκτὸς ἐβοήθει. καὶ παρελθὼν μὲν εἰς ἄργος, ἔφθη. καὶ τροπήν τινα τῶν πολεμίων ἐποίησεν. ὀλίγον δὲ ὕστερον ἀράτου προσφερομένου, καὶ τοῦ βασιλέως ἐπιφαινομένου μετὰ τῆς δυνάμεως, ἀπεχώρησεν εἰς μαντίνειαν. ἐκ τούτου τοῖς μὲν ἀχαιοῖς, πάλιν αἱ πόλεις ἅπασαι προσεχώρησαν. ἀντίγονος δὲ τὸν ἀκροκόρινθον κατέλαβεν. ἄρατος δὲ στρατηγὸς αἱρεθεὶς ὑπ' ἀργείων, ἔπεισεν αὐτοὺς ἀντιγόνῳ τά τε τῶν τυράννων, καὶ τὰ τῶν προδοτῶν χρήματα, δωρεὰν δοῦναι. τὸν δὲ ἀριστόμαχον ἐν κεγχρεαῖς στρεβλώσαντες, κατεπόντισαν. ἐφ' ᾧ καὶ μάλιστα κακῶς ἤκουσεν ὁ ἄρατος, ὡς ἄνθρωπον οὐ πονηρόν, ἀλλὰ καὶ κεχρημένον ἐκείνῳ, καὶ πεπεισμένον ἀφεῖναι τὴν ἀρχὴν καὶ προσαγαγεῖν τοῖς ἀχαιοῖς τὴν πόλιν, ὅμως περιιδόντα παρανόμως ἀπολλύμενον. ἤδη

μενον ἐν τούτῳ τοὺς οἴακας ὅτι καλῶς εἶχε καὶ ἐώντων ἐπισάντα σώζειν τὸ κοινὸν, ἀπέγνωκε τὰ πράγματα, καὶ τὴν δύναμιν τῶν ἀχαιῶν, εἶξαι τῷ κλεομένει, καὶ μὴ πάλιν τὴν πελοπόννησον ἐκβαρβαρῶσαι φρουραῖς μακεδόνων. μήτε ἀποπληρῶσαι τὸν ἀκροκόρινθον ἰλλυρικῶν ὅπλων καὶ γαλατικῶν. μηδὲ οὓς αὐτὸς ἐν ταῖς πράξεσι καταστρατηγῶν καὶ καταπολιτευόμενος, ἐν δὲ τοῖς ὑπομνήμασι λοιδορῶν διετέλει, τούτοις ἐπάγεσθαι δεσπότας ταῖς πόλεσι συμμάχους ὑποκοριζόμενος. εἰ δὲ κλεομένης ἦν, λεγέσθω γὰρ οὕτως, παράνομος καὶ τυραννικὸς, ἀλλὰ ἡρακλεῖδαι πατέρες αὐτῷ καὶ σπάρτη πατρὶς, ἧς τὸν ἀφανέστατον ἠξίουν, ἀντὶ τοῦ πρώτου μακεδόνων ἡγεμόνα ποιεῖσθαι, τοὺς ἔν τινι λόγῳ τὴν ἑλληνικὴν τιθεμένους εὐγένειαν. καίτοι κλεομένης ᾔτει τὴν ἀρχὴν παρὰ τῶν ἀχαιῶν, ὡς πολλὰ ποιήσων ἀγαθὰ τὰς πόλεις, ἀντὶ τῆς τιμῆς καὶ τῆς προσηγορίας ἐκείνης, ἀντίγονος δὲ καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν αὐτοκράτωρ ἡγεμὼν ἀναγορευθεὶς, οὐχ ὑπήκουσε πρὶν τὸν μισθὸν αὐτῷ τῆς ἡγεμονίας ὁμολογηθῆναι τὸν ἀκροκόρινθον. ἀτεχνῶς τὸν αἰσώπου μιμησάμενος κυνηγόν. οὐ γὰρ πρότερον ἐπέβη τοῖς ἀχαιοῖς δεομένοις καὶ ὑποβάλλουσιν αὐτοὺς διὰ τῶν πρεσβειῶν καὶ τῶν ψηφισμάτων, ἢ τῇ φρουρᾷ καὶ τοῖς ὁμήροις, ὥσπερ χαλινουμένους ἀναχέσθαι. καίτοι πᾶσαν ὁ ἄρατος ἀφίησι φωνὴν, ἀπολογιζόμενος τὴν ἀνάγκην. ὁ πολύβιος δὲ αὐτὸν ἐκ πολλοῦ φησι καὶ πρὸ τῆς ἀνάγκης ὑφορώμενον τὸ θράσος τὸ τοῦ κλεομένους, κρύφα τῷ ἀντιγόνῳ διαλέγεσθαι. καὶ τοὺς μεγαλοπολίτας προκαθεῖναι, δεομένους ἀχαιῶν, ἐπικαλεῖσθαι τὸν ἀντίγονον. οὗτοι γὰρ ἐπιέζοντο μάλιστα συνεχῶς τῷ πολέμῳ, ἄγοντος αὐτοὺς καὶ φέροντος τοῦ κλεομένους. ὁμοίως δὲ καὶ φύλαρχος ἱστόρηκε περὶ τούτων. ᾧ, μὴ τοῦ πολυβίου μαρτυροῦντος, οὐ πάνυ τι πιστεύειν ἄξιον ἦν. ἐνθουσιᾷ γὰρ ὅταν ἅψηται τοῦ κλεομένους ὑπ' εὐνοίας. καὶ καθάπερ ἐν δίκῃ τῇ ἱστορίᾳ, τῷ μὲν ἀντιδικῶν διατελεῖ, τῷ δὲ, συναγορεύων. ἀπέβαλοντο δ' οὖν οἱ ἀχαιοὶ τὴν μαντίνειαν, πάλιν ἑλόντος αὐτὴν τοῦ κλεομένους. καὶ μάχῃ μεγάλῃ περὶ τὸ ἑκατόμβαιον ἡττηθέντες, οὕτω κατεπλάγησαν, ὥστε πέμπειν εὐθὺς ἐφ' ἡγεμονίᾳ τὸν κλεομένη καλοῦντες εἰς ἄργος. ὁ δὲ ἄρατος, ὡς ᾔσθετο βαδίζοντα καὶ περὶ λέρναν ὄντα μετὰ τῆς δυνάμεως, φοβηθεὶς ἀπέστειλε πρέσβεις τοὺς ἀξιοῦντας, ὡς παρὰ φίλους καὶ συμμάχους αὐτὸν ἥκειν μετὰ τριακοσίων. εἰ δὲ ἀπιστεῖ, λαβεῖν ὁμήρους. ταῦτα ὕβριν καὶ χλευασμὸν αὐτοῦ φήσας ὁ κλεομένης, ἀνέζευξεν ἐπιστολὴν γράψας τοῖς ἀχαιοῖς, ἐγκλήματα πολλὰ κατὰ τοῦ ἀράτου καὶ διαβολὰς ἔχουσαν. ἔγραφε δὲ κἀκεῖνος, ἐπιστολὰς κατὰ τοῦ κλεομένους. καὶ ἐφέροντο λοιδορίαι καὶ βλασφημίαι μέχρι γάμων, καὶ γυναικῶν, ἀλλήλους κακῶς λεγόντων. ἐκ τούτου κήρυκα πέμψας ὁ κλεομένης, πόλεμον προεροῦντα τοῖς ἀχαιοῖς, μικροῦ μὲν ἔλαθε τὴν σικυωνίων πόλιν ἁρπάσας διὰ προδοσίας. ἐκεῖθεν δὲ ἀποστραφεὶς, πελλήνῃ προσέβαλε, καὶ τοῦ στρατηγοῦ τῶν ἀχαιῶν ἐκπεσόντος, ἔσχε τὴν πόλιν. ὀλίγῳ δὲ ὕστερον καὶ φενεὸν ἔλαβε καὶ πεντέλειον. εἶτ' εὐθὺς ἀργεῖοι, προσεχώρησαν αὐτῷ. καὶ φλιάσιοι φρουρὰν ἐδέξαντο. καὶ ὅλως, οὐδὲν ἔτι τῶν ἐπικτήτων, βέβαιον ἦν τοῖς ἀχαιοῖς, ἀλλὰ θόρυβος πολὺς ἄνω περιεστήκει τὸν ἄρατον, ὁρῶντα τὴν πελοπόννησον κραδαινομένην, καὶ τὰς πόλεις ἐξανισταμένας ὑπὸ τῶν νεωτεριζόντων, πανταχόθεν. ἠρέμει γὰρ οὐδὲν, οὐδὲ ἔστεργεν ἤδη τοῖς παροῦσιν. ἀλλὰ καὶ σικυωνίων αὐτῶν καὶ κορινθίων, ἐγένοντο πολλοὶ καταφανεῖς διειλεγμένοι τῷ κλεομένει. καὶ πάλαι πρὸς τὸ κοινὸν, ἰδίων ἐπιθυμίᾳ δυναστειῶν, ὑπούλως ἔχοντες. ἐπὶ τούτους ἐξουσίαν ἀνυπεύθυνον ὁ ἄρατος λαβὼν, τοὺς μὲν ἐν σικυῶνι διεφθαρμένους ἀπέκτεινε. τοὺς δὲ ἐν κορίνθῳ πειρώμενος ἀναζητεῖν καὶ κολάζειν, ἐξηγρίαινε τὸ πλῆθος ἤδη νοσοῦν καὶ βαρυνόμενον τὴν ὑπὸ τοῖς ἀχαιοῖς πολιτείαν. συνδραμόντες οὖν εἰς τὸ τοῦ ἀπόλλωνος ἱερὸν, μετεπέμποντο τὸν ἄρατον, ἀνελεῖν ἢ συλλαβεῖν πρὸ τῆς ἀποστάσεως ἐγνωκότες. ὁ δὲ, ἧκε μὲν, αὐτὸς ἐφελκόμενος τὸν ἵππον, ὡς οὐκ ἀπιστῶν, οὐδ' ὑποπτεύων, ἀναπηδησάντων δὲ πολλῶν, καὶ λοιδορουμένων αὐτῷ καὶ κατηγορούντων, εὖ πως καθεστῶτι τῷ προσώπῳ καὶ τῷ λόγῳ πράως, ἐκέλευσε καθίσαι, καὶ μὴ βοᾶν ἀτάκτως ἑστῶτας. ἀλλὰ καὶ τοὺς περὶ θύρας ὄντας, εἴσω παριέναι. καὶ ταῦθ' ἅμα λέγων, ὑπεξῄει βάδην ὡς παραδώσων τινὶ τὸν ἵππον. οὕτως δὲ ὑπεκδὺς, καὶ τοῖς ὑπαντῶσι τῶν κορινθίων ἀθορύβως διαλεγόμενος, καὶ κελεύων πρὸς τὸ ἀπολλώνιον βαδίζειν, ὡς ἔλαθε πλησίον τῆς ἄκρας γενόμενος, ἀναπηδήσας ἐπὶ τὸν ἵππον, καὶ κλεοπάτρῳ τῷ ἄρχοντι τῆς φρουρᾶς διακελευσάμενος ἐγκρατῶς φυλάττειν, ἀφίππευσεν εἰς σικυῶνα, τριάκοντα μὲν αὐτῷ στρατιωτῶν ἑπομένων, τῶν δὲ ἄλλων ἐγκαταλιπόντων καὶ διαρρυέντων. αἰσθόμενοι δ' οἱ κορίνθιοι μετ' ὀλίγον τὴν ἀπόδρασιν αὐτοῦ, καὶ διώξαντες οὐ κατέλαβον, μετεπέμψαντο τὸν κλεομένην, καὶ παρέδοσαν τὴν πόλιν. οὐδὲν οἰόμενον λαμβάνειν παρ' αὐτῶν τοσοῦτον, ὅσον διήμαρτεν ἀφέντων ἄρατον. οὗτος μὲν οὖν προσγενομένων αὐτῷ τῶν τὴν λεγομένην ἀκτὴν κατοικούντων. καὶ τὰς πόλεις ἐγχειρισάντων, ἀπεσταύρου καὶ περιετείχιζε τὸν ἀκροκόρινθον. τῷ δὲ ἀράτῳ, συνῆλθον εἰς σικυῶνα τῶν ἀχαιῶν οἱ πολλοὶ, καὶ γενομένης ἐκκλησίας, ᾑρέθη στρατηγὸς αὐτοκράτωρ. καὶ περιεστήσατο φρουρὰν ἐκ τῶν ἑαυτοῦ πολιτῶν, τριάκοντα μὲν ἔτη καὶ τρία πεπολιτευμένος ἐν τοῖς ἀχαιοῖς. πεπρωτευκὼς δὲ καὶ δυνάμει καὶ δόξῃ τῶν ἑλλήνων, τότε δὲ ἔρημος καὶ ἄπορος συντετριμμένος, ὥσπερ ἤδη ναυαγίου τῆς πατρίδος, ἐν τοσούτῳ σάλῳ καὶ κινδύνῳ διαφερόμενος. καὶ γὰρ αἰτωλοὶ δεομένου βοηθεῖν ἀπείπαντο. καὶ τὴν ἀθηναίων πόλιν χάριτι τοῦ

πόλει. καὶ Μακεδόνων μὲν ἀσχόλων ὄντων διά τινας προσοίκους καὶ ὁμόρους πολέμους, Αἰτωλῶν δὲ συμμαχούντων, ἐπίδοσιν μεγάλην ἡ τῶν Ἀχαιῶν ἐλάμβανε δύναμις. ὁ δὲ Ἄρατος ἐξεργαζόμενος τὴν παλαιὰν ὑπόθεσιν, καὶ δυσανασχετῶν τὴν ἐν Ἄργει τυραννίδα γειτνιῶσαν αὐτοῖς, ἔπειθε πέμπων τὸν Ἀριστόμαχον, εἰς μέσον θεῖναι καὶ προσαγαγεῖν τοῖς Ἀχαιοῖς τὴν πόλιν, καὶ ζηλώσαντα Λυσιάδην ἔθνους τηλικούτου μετ' εὐφημίας καὶ τιμῆς στρατηγὸν εἶναι μᾶλλον, ἢ μιᾶς πόλεως κινδυνεύοντα καὶ μισούμενον τύραννον. ὑπακούσαντος δὲ τοῦ Ἀριστομάχου καὶ κελεύσαντος αὐτῷ τὰ πεντήκοντα τάλαντα πέμψαι τὸν Ἄρατον, ὅπως ἀπαλλάξῃ καὶ διαλύσηται τοὺς παρ' αὐτῷ στρατευομένους. καὶ τῶν χρημάτων πορίζομένων, ὁ Λυσιάδης ἔτι στρατηγῶν καὶ φιλοτιμούμενος, ἴδιον αὐτοῦ πολίτευμα, τοῦτο πρὸς τοὺς Ἀχαιοὺς γενέσθαι, τοῦ μὲν Ἀράτου κατηγόρει πρὸς Ἀριστόμαχον ὡς δυσμενῶς καὶ ἀδιαλλάκτως ἀεὶ πρὸς τοὺς τυράννους ἔχοντος. αὐτῷ δὲ πείσας τὴν πρᾶξιν ἐπιτρέψαι, προσήγαγε τοῖς Ἀχαιοῖς τὸν ἄνθρωπον. ἔνθα δὴ μάλιστα φανερὰν ἐποίησαν οἱ σύνεδροι τῶν Ἀχαιῶν τὴν πρὸς τὸν Ἄρατον εὔνοιαν καὶ πίστιν. ἀντειπόντος μὲν γὰρ αὐτοῦ δι' ὀργήν, ἀπήλασαν τοὺς περὶ τὸν Ἀριστόμαχον. ἐπεὶ δὲ συμπεισθεὶς πάλιν αὐτὸς ἤρξατο περὶ αὐτῶν διαλέγεσθαι παρών, πάντα ταχέως καὶ προθύμως ἐψηφίσαντο. καὶ προσεδέξαντο μὲν τοὺς Ἀργείους καὶ Φλιασίους εἰς τὴν πολιτείαν. ἐνιαυτῷ δὲ ὕστερον καὶ τὸν Ἀριστόμαχον εἵλοντο στρατηγόν. ὁ δὲ, εὐημερῶν παρὰ τοῖς Ἀχαιοῖς καὶ βουλόμενος εἰς τὴν Λακωνικὴν ἐμβαλεῖν, ἐκάλει τὸν Ἄρατον ἐξ Ἀθηνῶν. ὁ δὲ, ἔγραφε μὲν αὐτῷ, τὴν στρατείαν ἀπαγορεύων. καὶ τῷ Κλεομένει θράσος ἔχοντι καὶ παραβόλως αὐξανομένῳ, συμπλέκεσθαι τοὺς Ἀχαιοὺς μὴ βουλόμενος. ὡρμημένου δὲ πάντως ὑπήκουσε καὶ παρὼν συνεστράτευεν, ὅτε δὴ καὶ κωλύσας περὶ τὸ Παλλάντιον, τοῦ Κλεομένους ἐπιφανέντος αὐτοῖς, μάχην συνάψαι τὸν Ἀριστόμαχον, ὑπὸ Λυσιάδου κατηγορήθη, καὶ περὶ τῆς στρατηγίας, εἰς ἀγῶνα καὶ ἀντιπαραγγελίαν αὐτῷ καταστάς, ἐκράτησε τῇ χειροτονίᾳ, καὶ τὸ δωδέκατον ᾑρέθη στρατηγός. ἐν ταύτῃ τῇ στρατηγίᾳ περὶ τὸ Λύκαιον ἡττηθεὶς ὑπὸ τοῦ Κλεομένους, ἔφυγε. καὶ πλανηθεὶς νυκτός, ἔδοξε μὲν τεθνάναι. καὶ πάλιν οὗτος ὁ λόγος κατ' αὐτοῦ πολὺς ἐξεφοίτησεν εἰς τοὺς Ἕλληνας. ἀνασωθεὶς δὲ καὶ τοὺς στρατιώτας συναγαγών, οὐκ ἠγάπησεν ἀσφαλῶς ἀπελθεῖν, ἀλλ' ἄριστα τῷ καιρῷ χρησάμενος, οὐδενὸς προσδοκῶντος, οὐδὲ συλλογιζομένου τὸ μέλλον, ἐξαίφνης ἐπέπεσε Μαντινεῦσι, συμμάχοις οὖσι τοῦ Κλεομένους. καὶ τὴν πόλιν ἑλὼν φρουρὰν ἐνέβαλε. καὶ τοὺς μετοίκους πολίτας ἐποίησεν αὐτῶν. καὶ μόνοι ἀνικῶντες οὐκ ἂν ῥᾳδίως ἔσχον, ἐκτήσατο νενικημένοις τοῖς Ἀχαιοῖς. αὖθις δὲ τῶν Λακεδαιμονίων ἐπὶ Μεγάλην πόλιν στρατευσάντων βοηθήσας, ὤκνει μὲν ἀψιμαχοῦντι τῷ Κλεομένει λαβὴν παρασχεῖν, καὶ τοῖς Μεγαλοπολίταις βιαζομένοις, ἀντεῖχεν. οὔτε ἄλλως πρὸς τὰς κατὰ στόμα μάχας εὖ πεφυκώς, καὶ τότε λειπόμενός τε πλήθει, καὶ πρὸς ἄνδρα τολμητὴν καὶ νέον ἤδη, παρακμάζοντι τῷ θυμῷ, καὶ κεκολασμένῃ τῇ φιλοτιμίᾳ συνεστηκώς. καὶ νομίζων ἣν διὰ τοῦ τολμᾶν ἐκεῖνος ἐξ οὐχ ὑπαρχόντων ἐκτᾶτο δόξαν, αὐτῷ κεκτημένῳ φυλακτέον εἶναι διὰ τῆς εὐλαβείας. οὐ μὴν ἀλλὰ τῶν ψιλῶν ἐκδραμόντων καὶ ὠσαμένων τοὺς Σπαρτιάτας ἄχρι τοῦ στρατοπέδου, καὶ περὶ τὰς σκηνὰς διασπαρέντων, ὁ μὲν Ἄρατος, οὐδ' ὣς ἐπήγαγεν, ἀλλ' ἐν μέσῳ λαβὼν χαράδραν, ἐπέστησε καὶ κατεκώλυσε, διαβῆναι τοὺς πολίτας. ὁ δὲ Λυσιάδης περιπαθῶν περὶ τὰ γινόμενα, καὶ τὸν Ἄρατον κακίζων, ἀνεκαλεῖτο τοὺς ἱππεῖς, ὡς αὐτὸς ἀξιῶν ἐπιφανῆναι τοῖς διώκουσι, καὶ μὴ προέσθαι τὸ νίκημα, μηδὲ ἐγκαταλιπεῖν αὐτὸν ὑπὲρ τῆς πατρίδος ἀγωνιζόμενον. πολλῶν δὲ συστραφέντων καὶ ἀγαθῶν, ἐπιρρωσθείς, ἐνέβαλε τῷ δεξιῷ τῶν πολεμίων, καὶ τρεψάμενος, ἐδίωκεν. ὑπὸ θυμοῦ δὲ καὶ φιλοτιμίας, ἀταμιεύτως ἐπισπασθεὶς εἰς χωρία σκολιὰ καὶ μεστὰ δένδρων πεφυτευμένων καὶ τάφρων πλατειῶν. ἐν οἷς ἐπιθεμένου τοῦ Κλεομένους ἔπεσε, λαμπρῶς ἀγωνισάμενος τὸν κάλλιστον τῶν ἀγώνων ἐπὶ θύραις τῆς πατρίδος. οἱ δ' ἄλλοι φυγόντες εἰς τὴν φάλαγγα, καὶ συνταράξαντες τοὺς ὁπλίτας, ὅλον τὸ στράτευμα, τῆς ἥττης ἀνέπλησαν. αἰτίαν δὲ μεγάλην ὁ Ἄρατος ἔλαβε, δόξας προέσθαι τὸν Λυσιάδην. καὶ βιασθεὶς ὑπὸ τῶν Ἀχαιῶν ἀπερχομένων πρὸς ὀργήν, ἠκολούθησεν αὐτοῖς εἰς Αἴγιον. ἐκεῖ δὲ συνελθόντες, ἐψηφίσαντο μὴ διδόναι χρήματα αὐτῷ, μηδὲ μισθοφόρους τρέφειν, ἀλλ' αὐτῷ πορίζειν εἰ δέοιτο πολεμεῖν. οὕτω δὲ προπηλακισθείς, ἐβουλεύσατο μὲν εὐθὺς ἀποθέσθαι τὴν σφραγῖδα, καὶ τὴν στρατηγίαν ἀφεῖναι, λογισμῷ δὲ χρησάμενος, τότε μὲν ὑπέμεινε. καὶ πρὸς Ὀρχομενὸν ἐξαγαγὼν τοὺς Ἀχαιούς, μάχην ἔθετο πρὸς τὸν Μεγιστόνουν τὸν τοῦ Κλεομένους πατρῷον, ἐν ᾗ κρατήσας, τριακοσίους μὲν ἀπέκτεινε, ζῶντα δὲ Μεγιστόνουν συνέλαβεν. εἰωθὼς δὲ στρατηγεῖν παρ' ἐνιαυτόν, ὡς ἡ τάξις αὐτῷ περιῆλθε, καλούμενος ἐξωμόσατο. καὶ Τιμόξενος ᾑρέθη στρατηγός. ἐδόκει δὲ ἡ μὲν πρὸς τοὺς ὄχλους ὀργή, πρόφασις εἶναι λεγομένη τῆς ἐξωμοσίας ἀπίθανος. αἰτία δ' ἀληθὴς, τὰ περιεστῶτα τοὺς Ἀχαιούς. οὐκέθ' ὡς πρότερον ἀτρέμα καὶ σχέδην τοῦ Κλεομένους ἐπιβαίνοντος, οὐδὲ ἐμπλεκομένου ταῖς πολιτικαῖς ἀρχαῖς. ἀλλ' ἐπεὶ τοὺς ἐφόρους ἀποκτείνας, καὶ τὴν χώραν ἀναδασάμενος, καὶ πολλοὺς τῶν μετοίκων ἐμβαλὼν εἰς τὴν πολιτείαν, ἔσχεν ἰσχὺν ἀνυπεύθυνον. εὐθὺς ἐπικειμένου τοῖς Ἀχαιοῖς καὶ τῆς ἡγεμονίας ἑαυτὸν ἀξιοῦντος. διὸ καὶ μέμφονται τὸν Ἄρατον ἐν σάλῳ μεγάλῳ καὶ χειμῶνι τῶν πραγμάτων φερομένων, ὥσπερ κυβερνήτην ἀφέντα καὶ προϊέ-

μενον ἑτέρῳ

De Timante Plin. l° 35. cap. x.

περιμεῖναι ἀθροισθῆναι καὶ συνελθεῖν εἰς ταὐτὸ πανταχόθεν τὴν δύναμιν, ἀλλ' εὐθὺς ὥρμησε μετὰ
τῶν παρόντων ἐπὶ τοὺς πολεμίους ἐν τῷ κρατεῖν ἀσθενεστάτους δι' ἀταξίαν καὶ ὕβριν ὄντας. ἅμα γὰρ
τῷ παρελθεῖν εἰς τὴν πόλιν, οἱ μὲν στρατιῶται διασπαρέντες ἐν ταῖς οἰκίαις ἦσαν ἐξωθοῦντες ἀλλή-
λους καὶ διαμαχόμενοι περὶ τῶν χρημάτων. ἡγεμόνες δὲ καὶ λοχαγοὶ τὰς γυναῖκας καὶ τὰς θυγα-
τέρας τῶν πελληνέων περιιόντες ἥρπαζον. καὶ τὰ κράνη τὰ αὑτῶν ἀφαιροῦντες ἐκείναις περιετί-
θεσαν, τοῦ μηδένα λαβεῖν ἄλλον, ἀλλὰ τῷ κράνει δῆλον εἶναι τὸν δεσπότην ἑκάστης. οὕτω δὲ διακειμέ-
νοις αὐτοῖς καὶ ταῦτα πράττουσιν, ἐξαίφνης ὁ ἄρατος ἐπιπεσὼν προσηγγέλθη. καὶ γενομένης ἐκπλή-
ξεως οἵαν εἰκὸς ἐν ἀταξίᾳ τοιαύτῃ, πρὶν ἢ πάντας πυθέσθαι τὸν κίνδυνον οἱ πρῶτοι περὶ τὰς πύλας
τοῖς ἀχαιοῖς καὶ τὰ προάστεια συμπεσόντες, ἔφευγον ἤδη νενικημένοι. καὶ κατεπίμπλασαν ἐλαυνόμε-
νοι προτροπάδην, ἀχρείους τοὺς συνισταμένους καὶ προσβοηθοῦντας. ἐν τούτῳ δὲ τῷ ταράχῳ, μία
τῶν αἰχμαλώτων ἐπιγήθους ἀνδρὸς ἐνδόξου θυγάτηρ. αὐτὴ δὲ κάλλει καὶ μεγέθει σώματος, εὐπρε-
πής, ἔτυχε μὲν ἐν τῷ ἱερῷ καθεζομένη τῆς ἀρτέμιδος, οὗ κατέστησεν αὐτὴν ὁ ἐπιλεκτάρχης, ἑλὼν
ἑαυτῷ καὶ περιθεὶς τὴν τριλοφίαν. ἄφνω δὲ ἐκδραμοῦσα πρὸς τὸν θόρυβον ὡς ἔστη πρὸ τῶν θυρῶν
τοῦ ἱεροῦ καὶ κατέβλεψεν εἰς τοὺς μαχομένους ἄνωθεν ἔχουσα τὴν τριλοφίαν, αὐτοῖς τε τοῖς πολί-
ταις θέαμα σεμνότερον ἢ κατ' ἄνθρωπον ἐφάνη. καὶ τοῖς πολεμίοις φάσμα θεῖον ὁρᾶν δοκοῦσι, φρί-
κην ἐνέβαλε καὶ θάμβος, ὥστε μηδένα τρέπεσθαι πρὸς ἀλκήν. αὐτοὶ δὲ πελληνεῖς λέγουσι τὸ βρέτας
τῆς θεοῦ τὸν μὲν ἄλλον ἀποκεῖσθαι χρόνον ἄψαυστον. ὅταν δὲ κινηθὲν ὑπὸ τῆς ἱερείας ἐκφέρηται,
μηδένα προσβλέπειν ἐναντίον, ἀλλ' ἀποτρέπεσθαι πάντας. οὐ γὰρ ἀνθρώποις μόνον ὅραμα φρικτὸν
εἶναι καὶ χαλεπόν, ἀλλὰ δένδρα ποιεῖν ἄφορα. καὶ καρποὺς ἀπαμβλίσκειν δι' ὧν ἂν κομίζηται. τοῦτο
δὴ τότε τὴν ἱέρειαν ἐξενεγκαμένην, καὶ τρέπουσαν ἀεὶ κατὰ τοὺς αἰτωλοὺς ἀντιπρόσωπον, ἔκφρονας
καταστῆσαι καὶ παρελέσθαι τὸν λογισμόν. ὁ δὲ ἄρατος οὐδὲν ἐν τοῖς ὑπομνήμασιν εἴρηκε τοιοῦτον,
ἀλλά φησι τρεψάμενον τοὺς αἰτωλούς, καὶ φεύγουσι συνεισπεσὼν εἰς τὴν πόλιν, ἐξελάσαι κατὰ κράτος. — τρεψάμενος π. π. ς. κ.
ἑπτακοσίους δὲ ἀποκτεῖναι. τὸ δὲ ἔργον ἐν τοῖς μεγίστοις διεβοήθη. καὶ τιμάνθης ὁ ζωγράφος ἐποίησεν
ἐμφαντικῶς τῇ διαθέσει τὴν μάχην ἔχουσαν. οὐ μὴν ἀλλὰ πολλῶν ἐθνῶν καὶ δυνατῶν ἐπὶ τοὺς ἀ- — δυναστῶν π. τ. κ.
χαιοὺς συνισταμένων εὐθὺς ὁ ἄρατος ἔπραττε φιλίαν πρὸς τοὺς αἰτωλούς, καὶ πανταλέοντι τῷ
πλεῖστον αἰτωλῶν δυναμένῳ συνεργῷ χρησάμενος, οὐ μόνον εἰρήνην, ἀλλὰ καὶ συμμαχίαν τοῖς ἀ-
χαιοῖς πρὸς τοὺς αἰτωλοὺς ἐποίησε. τοὺς δὲ ἀθηναίους σπουδάζων ἐλευθερῶσαι, διεβλήθη καὶ κα-
κῶς ἤκουσεν ὑπὸ τῶν ἀχαιῶν, ὅτι σπονδὰς πεποιημένων αὐτῶν πρὸς τοὺς μακεδόνας, καὶ ἀνοχὰς
ἀγόντων, ἐπεχείρησε τὸν πειραιᾶ καταλαβεῖν. αὐτὸς δὲ ἀρνούμενος ἐν τοῖς ὑπομνήμασιν οἷς ἀπολέλοι-
πεν, ἐργῖνον αἰτιᾶται, μεθ' οὗ τὰ περὶ τὸν ἀκροκόρινθον ἔπραξεν. ἐκεῖνον γὰρ ἰδίᾳ τῷ πειραιεῖ προσ-
βάλλοντα, καὶ τῆς κλίμακος συντριβείσης διωκόμενον ὀνομάζειν ἄρατον καὶ καλεῖν συνεχῶς, ὥσπερ
παρόντα, καὶ διαφυγεῖν οὕτως ἐξαπατήσαντα τοὺς πολεμίους. οὐ μὴν δοκεῖ πιθανῶς ἀπολογεῖσ-
θαι. τὸν γὰρ ἐργῖνον ἄνθρωπον ἰδιώτην καὶ σύρον, ἀπ' οὐδενὸς ἦν εἰκότος, ἐπὶ νοῦν βαλέσθαι τηλι-
καύτην πρᾶξιν, εἰ μὴ τὸν ἄρατον εἶχεν ἡγεμόνα. καὶ παρ' ἐκείνου τὴν δύναμιν καὶ τὸν καιρὸν εἰλήφει
π. ς. πρὸς τὴν ἐπίθεσιν. ἐδήλωσε δὲ καὶ αὐτὸς ὁ ἄρατος. οὐ δὶς οὐδὲ τρίς, ἀλλὰ πολλάκις ὥσπερ οἱ δυσέρω- — καὶ αὐτός, κ.
τες, ἐπιχειρήσας τῷ πειραιεῖ καὶ πρὸς τὰς διαμαρτίας οὐκ ἀποκάμνων, ἀλλὰ τῷ παρὰ μικρὸν ἀεὶ καὶ
κ. κ. σύνεγγυς ἀποσφάλλεσθαι τὴν ἐλπίδα, πρὸς τὸ θαρρεῖν ἀνακαλούμενος. ἅπαξ δὲ καὶ τὸ σκέλος ἔσπα- — τῆς ἐλπίδος
σε διὰ τοῦ θριασίου φεύγων. καὶ τομὰς ἔλαβε πολλὰς θεραπευόμενος. καὶ πολὺν χρόνον ἐν φορείῳ κομι-
ζόμενος, ἐποιεῖτο τὰς στρατείας. ἀντιγόνου δὲ ἀποθανόντος, καὶ δημητρίου τὴν βασιλείαν παραλα-
βόντος, ἔτι μᾶλλον ἐνέκειτο ταῖς ἀθήναις. καὶ ὅλως κατεφρόνει τῶν μακεδόνων. διὸ καὶ κρατηθέντος
αὐτοῦ μάχῃ περὶ φυλακίαν ὑπὸ βίθυος τοῦ δημητρίου στρατηγοῦ, καὶ λόγου γενομένου, πολλοῦ μὲν — βίθυος π. κ.
ὡς ἑάλωκε, πολλοῦ δὲ ὡς τέθνηκεν, ὁ μὲν τὸν πειραιᾶ φρουρῶν διογένης ἔπεμψεν ἐπιστολὴν εἰς κόριν-
θον, ἐξίστασθαι τῆς πόλεως κελεύων τοὺς ἀχαιούς, ἐπειδὴ ἄρατος ἀπέθανεν. ἔτυχε δὲ τῶν γραμμά-
των κομισθέντων παρὼν αὐτὸς ἐν κορίνθῳ. καὶ διατριβὴν οἱ τοῦ διογένους καὶ γέλωτα πολὺν πα-
ρασχόντες ἀπηλλάγησαν. αὐτὸς δὲ ὁ βασιλεὺς ἐκ μακεδονίας ναῦν ἔπεμψεν ἐφ' ἧς κομισθήσεται πρὸς
αὐτὸν ὁ ἄρατος δέσμιος. πᾶσαν δὲ ἀθηναῖοι κουφότητα κολακείας τῆς πρὸς μακεδόνας ὑπερ-
βαλόντες ἐστεφανηφόρησαν, ὅτε πρῶτον ἠγγέλθη τεθνηκώς. διὸ καὶ πρὸς ὀργὴν εὐθὺς ἐκστρατεύσας
ἐπ' αὐτοὺς ἄχρι τῆς ἀκαδημίας προῆλθεν. εἶτα πεισθεὶς οὐδὲν ἠδίκησεν. οἱ δὲ ἀθηναῖοι συμφρονήσαν-
τες αὐτοῦ τὴν ἀρετήν, ἐπεὶ δημητρίου τελευτήσαντος ὥρμησαν ἐπὶ τὴν ἐλευθερίαν, ἐκεῖνον ἐκάλουν.
ὁ δέ, καίπερ ἑτέρου μὲν ἄρχοντος τότε τῶν ἀχαιῶν, αὐτὸς δὲ δι' ἀρρωστίαν τινὰ μακρὰν κλινήρης ὑπάρ-
χων, ὅμως ἐν φορείῳ κομιζόμενος ὑπήντησε τῇ πόλει πρὸς τὴν χρείαν. καὶ τὸν ἐπὶ τῆς φρουρᾶς διο-
γένη συνέπεισεν ἀποδοῦναι τόν τε πειραιᾶ, καὶ τὴν μουνυχίαν, καὶ τὴν σαλαμῖνα, καὶ τὸ σούνιον τοῖς
ἀθηναίοις ἐπὶ πεντήκοντα καὶ ἑκατὸν ταλάντοις. ὧν αὐτὸς ὁ ἄρατος εἴκοσι τῇ πόλει συνεβάλλετο. — συνεβάλετο π. τ. ς.
προσεχώρησαν δὲ εὐθὺς αἰγινῆται καὶ ἑρμιονεῖς τοῖς ἀχαιοῖς. ἥ τε πλείστη τῆς ἀρκαδίας αὐτοῖς συνε-

Θριὰ δῆμος τῆς οἰνηίδος φυλῆς. χεῖρὶ καὶ θριῶ.
ὁ δημότης θριάσιος, καὶ θριάσιον πεδίον :~
Stephanus.

τοὺς περὶ τὸν τύραννον, οὐκ ἐτόλμησεν, ἀλλ' ἀπῆλθεν τοὺς νεκροὺς ὑπὸσπόνδους ἀνελόμενος. οὐ μὴν
ἀλλὰ τῇ περὶ τὴν ὁμιλίαν καὶ πολιτείαν ἐμπειρίᾳ καὶ χάριτι τὴν διαμαρτίαν ταύτην ἀναμαχόμε-
νος, προσηγάγετο τὰς κλεωνὰς τοῖς ἀχαιοῖς, καὶ τὸν ἀγῶνα τῶν νεμέων ἤγαγεν ἐν κλεωναῖς, ὡς πάτριον
ὄντα, καὶ μᾶλλον προσήκοντα τούτοις. ἤγαγον δὲ καὶ ἀργεῖοι. καὶ συνεχύθη τότε πρῶτον ἡ διδομένη
τοῖς ἀγωνισταῖς ἀσυλία καὶ ἀσφάλεια. πάντας τῶν ἀχαιῶν ὅσους ἔλαβον ἠγωνισμένους ἐν ἀργεῖ διὰ
τῆς χώρας πορευομένους, ὡς πολεμίους ἀποδομένων. οὕτω σφοδρὸς ἦν καὶ ἀπαραίτητος ἐν τῷ μι-
σεῖν τοὺς τυράννους. ὀλίγῳ δὲ ὕστερον ἀκούσας τὸν ἀρίστιππον, ἐπιβουλεύειν μὲν ταῖς κλεωναῖς, φοβεῖ-
σθαι δὲ ἐκεῖνον ἐν κορίνθῳ καθεζόμενον, ἤθροισεν ἐκ παραγγέλματος στρατιάν, καὶ σιτία κελεύσας πλειό-
νων ἡμερῶν κομίζειν, εἰς κεγχρεὰς κατῆλθεν, ἐκκαλούμενος δι' ἀπάτης τὸν ἀρίστιππον ὡς αὐτοῦ μὴ πα-
ρόντος ἐπιθέσθαι τοῖς κλεωναίοις. ὃ καὶ συνέβη. παρῆν γὰρ εὐθὺς ἐξ ἄργους ἔχων τὴν δύναμιν.
ὁ δὲ ἄρατος εἰς κόρινθον ἤδη σκοταῖος ἐκ κεγχρεῶν ὑποστρέψας, καὶ τὰς ὁδοὺς φυλακαῖς διαλα-
βών, ἦγε τοὺς ἀχαιοὺς ἑπομένους, οὕτω μὲν εὐτάκτως. οὕτω δὲ ταχέως καὶ προθύμως, ὥστε μὴ μό-
νον ὁδεύοντας, ἀλλὰ καὶ παρελθόντας εἰς κλεωνὰς ἔτι νυκτὸς οὔσης, καὶ συνταξαμένους ἐπὶ μά-
χην, ἀγνοεῖσθαι καὶ λανθάνειν τὸν ἀρίστιππον. ἅμα δὲ ἡμέρᾳ τῶν πυλῶν ἀνοιχθεισῶν, καὶ τῆς σάλπιγ-
γος ἐγκελευσαμένης, δρόμῳ καὶ ἀλαλαγμῷ προσπεσὼν τοῖς πολεμίοις. εὐθὺς ἐτρέψατο, καὶ κα-
τεῖχε διώκων ᾗ μάλιστα φεύγειν ὑπενόει τὸν ἀρίστιππον, ἐκτροπὰς πολλὰς τῶν χωρίων ἐχόντων. γενο-
μένης δὲ τῆς διώξεως ἄχρι μυκηνῶν, ὁ μὲν τύραννος, ὑπὸ κρητός τινος, ὡς δεινίας ἱστορεῖ, τραγίσκου
τοὔνομα, καταληφθεὶς, ἀποσφάττεται. τῶν δὲ ἄλλων, ἔπεσον ὑπὲρ χιλίους πεντακοσίους. ὁ δὲ ἄρα-
τος οὕτως λαμπρῶς εὐτυχήσας καὶ μηδένα τῶν αὐτοῦ στρατιωτῶν ἀποβαλὼν, ὅμως οὐκ ἔλαβε τὸ
ἄργος. οὐδὲ ἠλευθέρωσε, τῶν περὶ ἀγίαν καὶ τὸν νεώτερον ἀριστόμαχον μετὰ δυνάμεως βασιλικῆς πα-
ρεισπεσόντων καὶ κατασχόντων τὰ πράγματα. τὸ μὲν οὖν πολὺ τῆς διαβολῆς, καὶ λόγους, καὶ σκώμ-
ματα, καὶ βωμολοχίας παρείλετο τῶν κολακευόντων τοὺς τυράννους, καὶ διεξιόντων ἐκείνοις χαρι-
ζομένων. ὡς τοῦ στρατηγοῦ τῶν ἀχαιῶν, ἐκταράττοιτο μὲν ἡ κοιλία παρὰ τὰς μάχας. κάρος δὲ προσπί-
πτοι καὶ ἴλιγγος, ἅμα τῷ, παραστῆναι τὸν σαλπικτὴν, ἐκτάξας δὲ τὴν δύναμιν, καὶ τὸ σύνθημα πα-
ρεγγυήσας. καὶ πυθόμενος τῶν ὑποστρατήγων καὶ λοχαγῶν, μή τις αὐτοῦ χρεία παρόντος. βεβλῆ-
σθαι γὰρ τοὺς ἀστραγάλους, ἀπέρχοιτο καραδοκήσων πόρρωθεν τὸ συμβησόμενον. ταῦτα γὰρ οὕτως
ἴσχυσεν, ὥστε καὶ τοὺς φιλοσόφους ἐν ταῖς σχολαῖς ζητοῦντας, εἰ τὸ πάλλεσθαι τὴν καρδίαν καὶ τὸ
χρῶμα τρέπεσθαι παρὰ τὰ φαινόμενα, δειλίας ἐστὶν ἢ δυσκρασίας τινὸς περὶ τὸ σῶμα καὶ ψυ-
χρότητος, ὀνομάζειν ἀεὶ τὸν ἄρατον. ὡς ἀγαθὸν μὲν ὄντα στρατηγὸν, ἀεὶ δὲ ταῦτα πάσχοντα παρὰ τοὺς
ἀγῶνας. ὡς δ' οὖν τὸν ἀρίστιππον ἀνεῖλεν, εὐθὺς ἐπεβούλευσε λυδιάδῃ τῷ μεγαλοπολίτῃ τυραννοῦν-
τι τῆς ἑαυτοῦ πατρίδος. ὁ δὲ οὐκ ὢν ἀγεννὴς, οὐδὲ ἀφιλότιμος τὴν φύσιν, οὐδὲ ὥσπερ οἱ πολλοὶ τῶν
μονάρχων, ἀκρασίᾳ καὶ πλεονεξίᾳ πρὸς ταύτην ἐρρυεὶς τὴν ἀδικίαν, ἀλλ' ἐπαρθεὶς ἔρωτι δόξης ἔτι νέος.
καὶ λόγους ψευδεῖς καὶ κενοὺς λεγομένους περὶ τυραννίδος ὡς μακαρίου καὶ θαυμαστοῦ πράγματος,
εἰς μέγα φρόνημα, παραδεξάμενος ἀνοήτως καὶ καταστήσας ἑαυτὸν τύραννον, ταχὺ μεστὸς ἦν ἐκ μοναρ-
χίας βαρύτητος. ἅμα δὲ καὶ ζηλῶν εὐημεροῦντα, καὶ δεδοικὼς ἐπιβουλεύοντα τὸν ἄρατον ὥρμη-
σε καλλίστην ὁρμὴν μεταβαλλόμενος. πρῶτον μὲν ἑαυτὸν ἐλευθερῶσαι μίσους καὶ φόβου καὶ φρου-
ρᾶς καὶ δορυφόρων. εἶτα τῆς πατρίδος εὐεργέτης γενέσθαι. καὶ μεταπεμψάμενος τὸν ἄρατον, ἀφῆκε
τὴν ἀρχήν. καὶ τὴν πόλιν εἰς τοὺς ἀχαιοὺς μετεκόσμησεν. ἐφ' οἷς μεγαλύνοντες αὐτὸν οἱ ἀχαιοὶ, στρατη-
γὸν εἵλοντο. φιλοτιμούμενος δὲ εὐθὺς ὑπερβαλεῖν δόξῃ τὸν ἄρατον, ἄλλας τε πολλὰς πράξεις οὐκ
ἀναγκαίας εἶναι δοκούσας, καὶ στρατείαν ἐπὶ λακεδαιμονίους παρήγγελλεν. ἐνιστάμενος δὲ ὁ ἄρα-
τος αὐτῷ, φθονεῖν ἐδόκει. καὶ τό γε δεύτερον ὁ λυσιάδης. στρατηγὸς ᾑρέθη. ἀντιπράττοντος ἄντικρυς
ἀράτου, καὶ σπουδάζοντος ἑτέρῳ παραδοθῆναι τὴν ἀρχήν. αὐτὸς μὲν γὰρ ὡς εἴρηται παρ' ἐνιαυτὸν ἦρ-
χε, μέχρι μὲν οὖν τρίτης στρατηγίας ὁ λυσιάδης, εὖ φερόμενος διετέλει. καὶ παρ' ἐνιαυτὸν ἦρχε μὲν
ἐναλλὰξ τῷ ἀράτῳ, στρατηγῶν, φανερὰν δὲ ἐξενεγκάμενος ἔχθραν καὶ πολλάκις αὐτοῦ κατηγορήσας
ἐν τοῖς ἀχαιοῖς, ἀπερρίφη. καὶ γὰρ ὤφθη πεπλασμένῳ δοκῶν ἤθει πρὸς ἀληθινὴν καὶ ἀκέραιον ἀρε-
τὴν ἁμιλλᾶσθαι. καὶ καθάπερ τῷ κόκκυγι φησὶν αἴσωπος ἐρωτῶντι τοὺς λεπτοὺς ὄρνιθας ὅτι φεύ-
γοιεν αὐτὸν, εἰπεῖν ἐκείνους, ὡς ἔσται ποτὲ ἱέραξ. οὕτως ἔοικε τῷ λυσιάδῃ παρακολουθεῖν ἐκ τυραννί-
δος ὑποψία βλάπτουσα τὴν φύσιν αὐτοῦ τῆς μεταβολῆς. ὁ δὲ ἄρατος, εὐδοκίμησε καὶ περὶ τὰς αἰ-
τωλικὰς πράξεις. ὅτε συμβαλεῖν μὲν αὐτοῖς πρὸ τῆς μεγαρικῆς ὡρμημένων τῶν ἀχαιῶν. καὶ τοῦ βα-
σιλέως τῶν λακεδαιμονίων ἄγιδος ἀφικνουμένου μετὰ δυνάμεως, καὶ συνεξορμῶντος ἐπὶ τὴν μάχην
τοὺς ἀχαιοὺς, ἐναντιωθεὶς καὶ πολλὰ μὲν ὀνείδη. πολλὰ δ' εἰς μαλακίαν καὶ ἀτολμίαν καὶ σκώμματα καὶ
χλευασμὸν ὑπομείνας, οὐ προήκατο τὸν τοῦ συμφέροντος λογισμὸν διὰ τὸ φαινόμενον αἰσχρόν. ἀλ-
λὰ παρεχώρησε τοῖς πολεμίοις ὑπερβαλοῦσι τὴν γεράνειαν, ἀμαχεὶ παρελθεῖν εἰς πελοπόννησον. ὡς
μέντοι παρελθόντες ἐξαίφνης πελλήνην κατέλαβον, οὐκέτ' ἦν ὁ αὐτός. οὐδ' ἔμελλε διατρίβων καὶ

Σουίδας· μέταυλος· ἡ ὕπαιθρος λεγομένη αὐλή ὡς ὄρνιθος ἴσως:~

δουλεύουσιν, ἀχθόμενος, ἐπιβουλεύσιν ἀνελεῖν τὸν τύραννον αὐτῶν ἀριστόμαχον. ἅμα τῇ πόλει θρεπτήρια τὴν ἐλευθερίαν ἀποδοῦναι φιλοτιμούμενος. καὶ τοῖς ἀχαιοῖς προσκομίσαι τὴν πόλιν. οἱ μὲν οὖν τολμῶντες, εὑρέθησαν, ὧν αἰσχύλος προειστήκει καὶ χαρημένης ὁ μάντις. ξίφη δὲ οὐκ εἶχον, ἀλλ' ἀπείρητο κεκτῆσθαι, καὶ ζημίαι μεγάλαι τοῖς κεκτημένοις ὑπῆρχον ἀπὸ τοῦ τυράννου. κατασκευάσας οὖν ὁ ἄρατος αὐτοῖς, ἐν κορίνθῳ μικρὰς παραξιφίδας, ἐνέρραψεν εἰς σάγματα. καὶ ταῦτα περιτιθεὶς ὑποζυγίοις, σκεύη τινὰ παρημελημένα κομίζουσιν, εἰς ἄργος ἀπέστειλε. χαρημένους δὲ τοῦ μάντεως προσλαβόντος ἐπὶ τὴν πρᾶξιν, ἄνθρωπον, οἱ περὶ τὸν αἰσχύλον ἠγανάκτουν. καὶ δι' ἑαυτῶν ἔπραττον τοῦ χαρημένους καταγνόντες. αἰσθόμενος δὲ ἐκεῖνος, ὀργῇ κατεμήνυσε τοὺς ἄνδρας ἤδη βαδίζοντας ἐπὶ τὸν τύραννον. ὧν οἱ πλεῖστοι φθάσαντες ἐξ ἀγορᾶς, ἀπέφυγον καὶ διεξέπεσον εἰς κόρινθον. οὐ μὴν ἀλλὰ χρόνου βραχέως διελθόντος, ἀποθνήσκει μὲν ὑπὸ δούλων ἀριστόμαχος, ὑπολαμβάνει δὲ τὴν ἀρχὴν φθάσας, ἀρίστιππος, ἐξωλέστερος ἐκείνου τύραννος. ὅσοι δὲ τῶν ἀχαιῶν ἐν ἡλικίᾳ παρόντες ἔτυχον, τούτους ἀναλαβὼν ὁ ἄρατος, ἐβοήθει πρὸς τὴν πόλιν ὀξέως, οἰόμενος εὑρήσειν τὰ τῶν ἀργείων πρόθυμα. τῶν δὲ πολλῶν ἤδη διὰ συνήθειαν ἐθελοδούλως ἐχόντων, καὶ μηδενὸς ἀφισταμένου πρὸς αὐτόν, ἀνεχώρησεν, ἔγκλημα κατεσκευακὼς τοῖς ἀχαιοῖς ὡς ἐν εἰρήνῃ πόλεμον ἐξενηνοχόσι. καὶ δίκην ἔσχον ἐπὶ τούτῳ παρὰ μαντινεῦσιν, ἣν ἀράτου μὴ παρόντος, ἀρίστιππος εἷλε διώκων, καὶ μνῶν, ἐτιμήθη τριάκοντα. τὸν δὲ ἄρατον αὐτόν, ἅμα καὶ μισῶν καὶ δεδοικώς, ἐπεβούλευεν ἀνελεῖν, συνεργοῦντος ἀντιγόνου τοῦ βασιλέως. καὶ πανταχοῦ σχεδὸν ἦσαν οἱ ταῦτα πράττοντες αὐτοῖς. καὶ καιρὸν ἐπιτηροῦντες. ἀλλ' οὐδέν, οἷον ἀληθινὴ καὶ βέβαιος εὔνοια φυλακτήριον ἀνδρὸς ἄρχοντος. ὅταν γὰρ ἐθισθῶσιν οἵ τε πολλοὶ καὶ οἱ δυνατοί, μὴ τὸν ἡγούμενον, ἀλλ' ὑπὲρ τοῦ ἡγουμένου δεδιέναι, πολλοῖς μὲν ὄμμασιν ὁρᾷ, διὰ πολλῶν δὲ ὤτων ἀκούει καὶ προαισθάνεται τὰ γινόμενα. διὸ καὶ βούλομαι τὸν λόγον ἐπιστήσας ἐνταῦθά που, διεξελθεῖν περὶ τῆς ἀριστίππου διαίτης, ἣν ἡ ζηλοτυπουμένη τυραννὶς αὐτῷ καὶ ὁ τῆς μακαρίας καὶ περιβοήτου μοναρχίας ὄγκος περιέθηκεν. ἐκεῖνος γὰρ ἀντίγονον μὲν ἔχων σύμμαχον. τρέφων δὲ πολλοὺς ἕνεκεν τῆς τοῦ σώματος ἀσφαλείας. οὐδένα δὲ ἐν τῇ πόλει ζῶντα τῶν ἐχθρῶν ἀπολελοιπώς, τοὺς μὲν δορυφόρους καὶ φύλακας, ἔξω παρεμβάλλειν ἐκέλευεν ἐν τῷ περιστύλῳ. τοὺς δὲ οἰκέτας ὁπότε δειπνήσειεν, τάχιστα πάντας ἐξελαύνων, καὶ τὴν μέταυλον ἀποκλείων

μέσαυλον. ἴσως

μετὰ τῆς ἐρωμένης αὐτὸς εἰς οἴκημα κατεδύετο μικρὸν ὑπερῷον, θύρᾳ καταρράκτῃ κλειόμενον, ἧς ὑπεράνω τὴν κλίνην ἐπιτιθείς, ἐκάθευδεν ὡς εἰκὸς καθεύδειν τὸν οὕτως ἔχοντα ταραχωδῶς καὶ περιφόβως. τὸ δὲ κλιμάκιον ἡ τῆς ἐρωμένης μήτηρ ὑφαιροῦσα, κατέκλειεν εἰς ἕτερον οἴκημα. καὶ πάλιν ἅμ' ἡμέρᾳ προσετίθει καὶ κατεκάλει τὸν θαυμαστὸν τύραννον, ὥσπερ ἑρπετὸν ἐκ φωλεοῦ κατερχόμενον.

φωλεοῦ

ὁ δέ, οὐχ ὅπλοις κατὰ βίαν. νόμῳ δὲ ὑπ' ἀρετῆς, ἀκατάπαυστον ἀρχὴν περιπεποιημένος, ἐν ἱματίῳ

περιπεποιημένος. π. τ. ς.

καὶ χλαμυδίῳ τῷ τυχόντι, τῶν πώποτε τυράννων κοινὸς ἀποδεδειγμένος ἐχθρός, ἄχρι τῆς τήμερον ἡμέρας, γένος εὐδοκιμώτατον ἀπολέλοιπεν ἐν τοῖς ἕλλησιν. ἐκείνων δὲ τῶν τὰς ἄκρας καταλαμβανόντων καὶ τοὺς δορυφόρους τρεφόντων. καὶ τὰ ὅπλα καὶ τὰς πύλας καὶ τοὺς καταρράκτας προβαλλομένων ὑπὲρ τῆς τοῦ σώματος ἀσφαλείας, ὀλίγοι τὸν ἐκ πληγῆς θάνατον ὥσπερ οἱ λαγωοὶ διέφυγον. οἶκος δὲ ἢ γένος ἢ τάφος ἔχων τιμωμένην μνήμην, οὐδενὸς λέλειπται. πρὸς δ' οὖν τὸν ἀρίστιππον ὁ ἄρατος, καὶ κρύφα πολλάκις καὶ φανερῶς προσέπταισεν, ἐπιχειρήσας καταλαμβάνειν τὸ ἄργος. ἅπαξ δὲ καὶ κλίμακας προσθείς, μετ' ὀλίγων ἐπὶ τὸ τεῖχος ἀνέβη παραβόλως. καὶ τοὺς βοηθοῦντας ἐνταῦθα τῶν φυλάκων ἀπέκτεινεν. εἶτα ἡμέρας ἐπιφανείσης, καὶ τοῦ τυράννου πανταχόθεν αὐτῷ προσβάλλοντος, οἱ μὲν ἀργεῖοι καθάπερ οὐχ ὑπὲρ τῆς ἐκείνων ἐλευθερίας τῆς μάχης οὔσης, ἀλλὰ τὸν ἀγῶνα τῶν νεμείων βραβεύοντες. ἴσοι καὶ δίκαιοι θεαταὶ καθῆντο τῶν γινομένων, πολλὴν ἡσυχίαν ἄγοντες. ὁ δὲ ἄρατος εὐρώστως ἀμυνόμενος, λόγχῃ μὲν ἐκ χειρὸς διελαύνεται τὸν μηρόν, ἐκράτησε δὲ τῶν τόπων ἐν οἷς ἦν, καὶ οὐκ ἐξεώσθη μέχρι νυκτός, ἐνοχλούμενος ὑπὸ τῶν πολεμίων. εἰ δὲ καὶ τὴν νύκτα τῷ πόνῳ προσεταλαιπώρησεν, οὐκ ἂν διήμαρτεν. ὁ γὰρ τύραννος ἤδη περὶ δρασμὸν εἶχε. καὶ πολλὰ τῶν ἰδίων ἐπὶ θάλασσαν προεξέπεμψε. νῦν δὲ τούτου μὲν οὐδενὸς ἐξαγγείλαντος πρὸς τὸν ἄρατον. ὕδατος δὲ ἐπιλείποντος, ἑαυτῷ τε χρήσασθαι διὰ τὸ τραῦμα μὴ δυνάμενος, ἀπήγαγε τοὺς στρατιώτας. ἐπεὶ δὲ ταύτην ἀπέγνω τὴν ὁδόν, ἐμβαλὼν φανερῶς τῷ στρατοπέδῳ, τὴν ἀργολίδα χώραν ἐπόρθει. καὶ περὶ τὸν χάρητα ποταμὸν ἰσχυρᾶς μάχης γενομένης πρὸς τὸν ἀρίστιππον, αἰτίαν ἔσχεν, ὡς ἐγκαταλιπὼν τὸν ἀγῶνα καὶ προέμενος τὸ νίκημα. τῆς γὰρ ἄλλης δυνάμεως ὁμολογουμένως ἐπικρατούσης. καὶ τῷ διωγμῷ πολὺ προελθούσης εἰς τοὔμπροσθεν, αὐτὸς οὐχ οὕτως ἐκβιασθεὶς ὑπὸ τῶν καθ' αὑτὸν ὡς ἀπιστῶν τῷ κατορθώματι καὶ φοβηθείς, ἀνεχώρησε τεταραγμένος εἰς τὸ στρατόπεδον. ἐπεὶ δὲ ἀπὸ τῆς διώξεως ἐπανελθόντες οἱ λοιποὶ χαλεπῶς ἔφερον, ὅτι τρεψάμενοι τοὺς πολεμίους καὶ πολὺ πλείονας ἐκείνων καταβαλόντες, ἢ σφῶν αὐτῶν ἀπολέσαντες, παραλελοίπασι τοῖς ἡττημένοις στῆσαι κατ' αὐτῶν τρόπαιον, αἰσχυνθεὶς πάλιν ἔγνω διαμάχεσθαι περὶ τοῦ τροπαίου. καὶ μίαν ἡμέραν διαλιπὼν αὖθις ἐξέταττε τὴν στρατείαν. ὡς δὲ ᾔσθετο πλείονας γεγονότας, καὶ θαρραλεώτερον ἀνθισταμένους

στρατιάν. π. κ.

τὸ Ἡραῖον ἀπολειφθέντες τῶν Ἀράτου στρατιῶται τετρακόσιοι τὸ πλῆθος ὄντες, ὥς ποτε παρεισέπεσον εἰς τὴν πόλιν, θορύβου τε παντοδαποῦ καὶ φώτων γινομένων οὐ δυνηθέντες ἐξανευρεῖν τὴν αὐτὴν τρίβον, οὐδὲ εἰς ἴχνος ἐμβῆναι τῆς ἐκείνων πορείας, ἔπτηξαν ἀθρόοι πρός τινι παλινσκίῳ λαγόνι τοῦ κρημνοῦ συστείλαντες ἑαυτούς, καὶ διεκαρτέρουν ἐνταῦθα περιπαθοῦντες καὶ δυσανασχετοῦντες. βαλλομένων γὰρ ἀπὸ τῆς ἄκρας ἤδη τῶν περὶ τὸν Ἄρατον, καὶ μαχομένων, ἀλαλαγμὸς ἐναγώνιος ἐχώρει κάτω, καὶ κραυγὴ περιήχει διὰ τὴν ἀπὸ τῶν ὀρῶν ἀνάκλασιν, συγκεχυμένη καὶ ἄδηλος, ὅθεν εἴληφε τὴν ἀρχήν. διαπορούντων δὲ αὐτῶν, ἐφ' ὅ τι χρὴ τρέπεσθαι μέρος, Ἀρχέλαος ὁ τῶν βασιλικῶν ἡγεμὼν, στρατιώτας ἔχων πολλοὺς, μετὰ κραυγῆς ἀνέβαινε καὶ σαλπίγγων, ἐπιφερόμενος τοῖς περὶ τὸν Ἄρατον, καὶ παρήλλαττε τοὺς τετρακοσίους. οἱ δὲ, ὥσπερ ἐξ ἐνέδρας ἀναστάντες, ἐμβάλλουσιν αὐτῷ καὶ διαφθείρουσιν οἷς ἐπέθεντο πρώτοις. τοὺς δὲ ἄλλους καὶ τὸν Ἀρχέλαον φοβήσαντες, ἐτρέψαντο καὶ κατεδίωξαν, ἄχρι τοῦ σκεδασθῆναι περὶ τὴν πόλιν διαλυθέντας. ἄρτι δὲ, τούτων νενικηκότων, Ἐργῖνος ἀπὸ τῶν ἄνω μαχομένων ἧκεν ἀγγέλλων συμπεπλέχθαι τοῖς πολεμίοις τὸν Ἄρατον ἀμυνομένοις εὐρώστως, καὶ μέγαν ἀγῶνα περὶ αὐτὸ τὸ τεῖχος εἶναι, καὶ τάχους δεῖν τῆς βοηθείας. οἱ δὲ, εὐθὺς ἐκέλευον ἡγεῖσθαι. καὶ προσβαίνοντες, ἅμα φωνῇ διεσήμαινον ἑαυτοὺς, ἐπιθαρρύνοντες τοὺς φίλους, ἥ τε πανσέληνος ἀπέφαινε τὰ ὅπλα, πλείονα φαινόμενα τοῖς πολεμίοις, διὰ τὸ μῆκος τῆς πορείας, καὶ τὸ τῆς νυκτὸς ἠχῶδες, τὸν ἀλαλαγμὸν ἀπὸ πολλαπλασιόνων ἢ τοσούτων ἐποίει δοκεῖν φέρεσθαι. τέλος δὲ συνερείσαντες, ἐξωθοῦσι τοὺς πολεμίους, καὶ καθύπερτεροι τῆς ἄκρας ἦσαν. καὶ τὸ φρούριον εἶχον, ἡμέρας ἤδη διαυγούσης, ὅ τε ἥλιος αὐτοῖς εὐθὺς ἐπέλαμπε τῷ ἔργῳ. καὶ παρῆν ἐκ Σικυῶνος ἡ λοιπὴ δύναμις τῷ Ἀράτῳ, δεχομένων κατὰ πύλας τῶν Κορινθίων προθύμως, καὶ τοὺς βασιλικοὺς συλλαμβανόντων. ἐπεὶ δὲ ἀσφαλῶς ἐδόκει πάντα ἔχειν, κατέβαινεν εἰς τὸ θέατρον ἀπὸ τῆς ἄκρας, πλήθους ἀπείρου συρρέοντος, ἐπιθυμίᾳ τῆς τε ὄψεως αὐτοῦ, καὶ τῶν λόγων, οἷς ἔμελλε χρῆσθαι πρὸς τοὺς Κορινθίους. ἐπιστήσας δὲ ταῖς παρόδοις ἑκατέρωθεν τοὺς Ἀχαιοὺς, αὐτὸς ἀπὸ τῆς σκηνῆς εἰς μέσον προῆλθε τεθωρακισμένος, καὶ τῷ προσώπῳ διὰ τὸν κόπον καὶ τὴν ἀγρυπνίαν ἠλλοιωμένος, ὥστε τῆς ψυχῆς τὸ γαυρούμενον καὶ χαῖρον ὑπὸ τῆς περὶ τὸ σῶμα βαρύτητος κατακρατεῖσθαι. τῶν δὲ ἀνθρώπων ἅμα τῷ προσελθεῖν αὐτὸν ἐκχυθέντων ταῖς φιλοφροσύναις, μεταλαβὼν εἰς τὴν δεξιὰν τὸ δόρυ, καὶ τὸ γόνυ καὶ τὸ σῶμα τῇ ῥοπῇ μικρὸν ἐγκλίνας καὶ ἀπερεισάμενος, εἱστήκει πολὺν χρόνον σιωπῇ δεχόμενος αὐτῶν τοὺς κρότους καὶ τὰς ἐπιβοήσεις, ἐπαινούντων μὲν τὴν ἀρετὴν, ζηλούντων δὲ τὴν τύχην. ὡς δὲ ἐπαύσαντο καὶ κατέστησαν, συναγαγὼν ἑαυτὸν, διεξῆλθε λόγον ὑπὲρ τῶν Ἀχαιῶν τῇ πράξει πρέποντα. καὶ συνέπεισε τοὺς Κορινθίους, Ἀχαιοὺς γενέσθαι. καὶ τῶν πυλῶν τὰς κλεῖς ἀπέδωκε, τότε πρῶτον ἀπὸ τῶν Φιλιππικῶν καιρῶν, ὑπ' ἐκείνοις γενομένας. τῶν δὲ Ἀντιγόνου στρατηγῶν, Ἀρχέλαον μὲν ἀφῆκεν ὑποχείριον γενόμενον. Θεόφραστον δὲ ἀνεῖλεν, οὐ βουλόμενον ἀπαλλάττεσθαι. Περσαῖος δὲ τῆς ἄκρας ἁλισκομένης, εἰς Κεγχρεὰς διεξέπεσεν. ὕστερον δὲ λέγεται σχολάζων, πρὸς τὸν εἰπόντα μόνον αὐτῷ δοκεῖν στρατηγὸν εἶναι τὸν σοφὸν, ἀλλὰ νὴ τοὺς θεοὺς φάναι τοῦτο μάλιστα κἀμοί ποτε τῶν Ζήνωνος ἤρεσκε δογμάτων. νῦν δὲ μεταβάλλομαι, νουθετηθεὶς ὑπὸ τοῦ Σικυωνίου νεανίου. ταῦτα μὲν οὖν περὶ Περσαίου πλείονες ἱστοροῦσιν. ὁ δὲ Ἄρατος εὐθὺς τό τε Ἡραῖον ὑφ' ἑαυτῷ καὶ τὸ Λέχαιον ἐποιήσατο. καὶ νεῶν μὲν εἰκοσιπέντε βασιλικῶν, ἐκυρίευσεν. ἵππους δὲ πεντακοσίους, καὶ Σύρους τετρακοσίους, ἀπέδοτο. τόν τε Ἀκροκόρινθον ἐφύλαττον Ἀχαιοὶ τετρακοσίοις ὁπλίταις, καὶ πεντήκοντα κυσὶ, καὶ κυνηγοῖς ἴσοις ἐν τῷ φρουρίῳ τρεφομένοις. οἱ μὲν οὖν Ῥωμαῖοι, τὸν Φιλοποίμενα θαυμάζοντες, Ἑλλήνων ἔσχατον προσηγόρευον, ὡς μηδενὸς μεγάλου μετ' ἐκεῖνον ἐν τοῖς Ἕλλησι γενομένου. ἐγὼ δὲ τῶν Ἑλληνικῶν πράξεων, ταύτην ἐσχάτην καὶ νεωτάτην φαίην ἂν πεπρᾶχθαι, τοῦτο μὲν τόλμῃ, τοῦτο δὲ τύχῃ, ταῖς ἀρίσταις ἐνάμιλλον. ὡς ἐδήλωσεν εὐθὺς τὰ γινόμενα. Μεγαρεῖς τε γὰρ ἀποστάντες Ἀντιγόνου, τῷ Ἀράτῳ προσέθεντο. καὶ Τροιζήνιοι μετὰ Ἐπιδαυρίων, συνετάχθησαν εἰς τοὺς Ἀχαιούς. ἔξοδόν τε πρώτην θέμενος, εἰς τὴν Ἀττικὴν ἐνέβαλε. καὶ τὴν Σαλαμῖνα διαβὰς, ἐλεηλάτησεν. ὥσπερ ἐξ εἱρκτῆς λελυμένῃ τῇ δυνάμει τῶν Ἀχαιῶν ἐφ' ὅ τι βούλοιτο χρώμενος. Ἀθηναίοις δὲ, τοὺς ἐλευθέρους ἀφῆκεν ἄνευ λύτρων, ἀρχὰς ἀποστάσεως ἐνδιδοὺς αὐτοῖς. Πτολεμαῖον δὲ, σύμμαχον ἐποίησε τῶν Ἀχαιῶν ἡγεμονίαν ἔχοντα πολέμου καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. οὕτω δὲ ἴσχυσεν ἐν τοῖς Ἀχαιοῖς, ὥστ' εἰ μὴ κατ' ἐνιαυτὸν ἐξῆν, παρ' ἐνιαυτὸν αἱρεῖσθαι στρατηγὸν αὐτὸν, ἔργῳ δὲ καὶ γνώμῃ διὰ παντὸς ἄρχειν. ἑώρων γὰρ αὐτὸν, οὐ πλοῦτον, οὐ δόξαν, οὐ φιλίαν βασιλικὴν, οὐ τὸ τῆς αὐτοῦ πατρίδος συμφέρον, οὐκ ἄλλο τι τῆς αὐξήσεως τῶν Ἀχαιῶν ἐπίπροσθεν ποιούμενον. ἡγεῖτο γὰρ ἀσθενεῖς ἰδίᾳ τὰς πόλεις ὑπαρχούσας, σώζεσθαι δι' ἀλλήλων, ὥσπερ ἐνδεδεμένας τῷ κοινῷ συμφέροντι. καὶ καθάπερ τὰ μέρη τοῦ σώματος ζῶντα καὶ συμπνέοντα, διὰ τὴν πρὸς ἄλληλα συμφυΐαν, ὅταν ἀποσπασθῇ καὶ γένηται χωρὶς, ἀτροφεῖ καὶ σήπεται, παραπλησίως τὰς πόλεις ἀπόλλυσθαι μὲν, ὑπὸ τῶν διασπώντων τὸ κοινὸν, αὔξεσθαι δὲ ὑπ' ἀλλήλων, ὅταν ἄλλου τινὸς μεγάλου μέρη γενόμεναι, κοινῆς προνοίας τυγχάνωσιν. ὁρῶν τε τοὺς ἀρίστους τῶν προσοίκων αὐτονομουμένους. Ἀργείοις δὲ

μὲν ἑξήκοντα τάλαντα δώσειν κατορθώσας ὡμολόγησεν. ἂν δ' ἀποτύχῃ, σωθῇ δὲ μετ' ἐκείνων, οἰκίαν ἑκατέρῳ καὶ τάλαντον. ἐπεὶ δ' ἔδει παρὰ τῷ αἰγίᾳ τὰ ἑξήκοντα τάλαντα κεῖσθαι τοῖς περὶ τὸν ἐργῖνον, ὁ δὲ ἄρατος, οὔτ' αὐτὸς εἶχεν, οὔτ' ἐβούλετο δανειζόμενος αἴσθησιν ἑτέροις τῆς πράξεως παρασχεῖν, λαβὼν τῶν ἐκπωμάτων τὰ πολλὰ, καὶ τὰ χρυσία τῆς γυναικὸς ὑπέθηκε τῷ αἰγίᾳ πρὸς τὸ ἀργύριον. οὕτω γὰρ ἐπῆρτο τῇ ψυχῇ. καὶ τοσοῦτον ἔρωτα τῶν καλῶν πράξεων εἶχεν, ὥστε τὸν φωκίωνα καὶ τὸν ἐπαμεινώνδαν ἐπιστάμενος ἑλλήνων δικαιοτάτους καὶ κρατίστους γεγονέναι δοκοῦντας, ἐπὶ τῷ διώσασθαι δωρεὰς μεγάλας καὶ μὴ προέσθαι χρημάτων τὸ καλὸν, αὐτὸς εἰς ταῦτα δαπανᾶσθαι κρύφα καὶ προεισφέρειν ἐν οἷς ἐκινδύνευε μόνος ὑπὲρ πάντων οὐδὲ εἰδότων τὰ πραττόμενα, ᾑρεῖτο. τίς γὰρ οὐκ ἂν θαυμάσειε καὶ συναγωνίσαιτο ἔτι νῦν τῇ μεγαλοψυχίᾳ τοῦ ἀνδρὸς ὠνουμένου χρημάτων τοσούτων, κίνδυνον τηλικοῦτον. καὶ τὰ τιμιώτατα δοκοῦντα τῶν κτημάτων ὑποτιθέντος, ὅπως παρεισαχθεὶς νυκτὸς εἰς τοὺς πολεμίους, διαγωνίσηται περὶ τῆς ψυχῆς, ἐνέχυρον λαβὼν τὴν ἐλπίδα τοῦ καλοῦ παρ' αὐτῶν, ἄλλο δὲ οὐδέν. οὖσαν δὲ καθ' αὑτὴν ἐπισφαλῆ τὴν πρᾶξιν, ἐπισφαλεστέραν ἐποίησεν ἁμαρτία τις ἐν ἀρχῇ συμβᾶσα δι' ἄγνοιαν. ὁ γὰρ οἰκέτης τοῦ ἀράτου τέχνων, ἐπέμφθη μὲν ὡς μετὰ τοῦ διοκλέους κατασκεψόμενος τὸ τεῖχος. οὔπω δὲ τῷ διοκλεῖ πρότερον ἐντετυχηκὼς κατ' ὄψιν, ἀλλὰ τὴν μορφὴν αὐτοῦ καὶ τὸ εἶδος δοκῶν κατέχειν, ὑφ' ὧν ὁ ἐργῖνος ἐπεσήμηνεν. οὐλοκόμην καὶ μελάγχρουν καὶ ἀγένειον. ἐλθὼν οὖν ὅπου συνετέτακτο, τὸν ἐργῖνον ὡς ἀφιξόμενον μετὰ τοῦ διοκλέους, ἀνέμενε πρὸ τῆς πόλεως πρὸ τοῦ καλουμένου ὄρνιθος. ἐν δὲ τούτῳ, πρῶτος ἀδελφὸς ἐργίνου καὶ διοκλέους, ὄνομα διονύσιος, οὐ συνειδὼς τὴν πρᾶξιν οὐδὲ κοινωνῶν, ὅμοιος δὲ τῷ διοκλεῖ, προσῄει κατὰ τύχην. ὁ δὲ τέχνων πρὸς τὰ σημεῖα τῆς μορφῆς τῇ ὁμοιότητι κινηθεὶς, ἠρώτησε τὸν ἄνθρωπον εἴ τι συμβόλαιον αὐτῷ πρὸς ἐργῖνον εἴη. φήσαντος δὲ ἀδελφὸν εἶναι, παντάπασιν ὁ τέχνων ἐπείσθη τῷ διοκλεῖ διαλέγεσθαι, καὶ μήτε τοὔνομα πειθόμενος, μήτ' ἄλλο μηδὲν προσμείνας τεκμήριον, ἐμβάλλει τε τὴν δεξιὰν αὐτῷ, καὶ περὶ τῶν συγκειμένων πρὸς τὸν ἐργῖνον ἐλάλει. κἀκεῖνον ἀνέκρινεν. ὁ δὲ, δεξάμενος αὐτοῦ τὴν ἁμαρτίαν πανούργως, ὡμολόγει τε πάντα. καὶ πρὸς τὴν πόλιν ἀναστρέψας, ὑπῆγεν ἀνυπόπτως διαλεγόμενος. ἤδη δὲ πλησίον ὄντος αὐτοῦ καὶ μέλλοντος ὅσον οὔπω τὸν τέχνωνα διαλαμβάνειν, ἀπὸ τύχης αὖ πάλιν ὁ ἐργῖνος αὐτοῖς ἀπήντησεν. αἰσθόμενος δὲ τὴν ἀπάτην καὶ τὸν κίνδυνον, διὰ νεύματος ἐδήλωσε τῷ τέχνωνι φεύγειν. καὶ ἀποπηδήσαντες ἀμφότεροι, δρόμῳ πρὸς τὸν ἄρατον ἀπεσώθησαν. οὐ μὴν ἀπέκαμε ταῖς ἐλπίσιν ἐκεῖνος, ἀλλ' ἔπεμψεν εὐθὺς τὸν ἐργῖνον χρυσίον τε τῷ διονυσίῳ κομίζοντα καὶ δεησόμενον αὐτοῦ σιωπᾶν. ὁ δὲ, καὶ τοῦτ' ἐποίησε, καὶ τὸν διονύσιον ἄγων μεθ' ἑαυτοῦ πρὸς τὸν ἄρατον ἦλθεν. ἐλθόντα δὲ αὐτὸν, οὐκέτι διῆκαν, ἀλλὰ δήσαντες ἐφύλαττον ἐν οἰκίσκῳ κατακεκλεισμένον. αὐτοὶ δὲ παρεσκευάζοντο πρὸς τὴν ἐπίθεσιν. ἐπεὶ δὲ ἦν ἕτοιμα πάντα, τὴν μὲν ἄλλην δύναμιν ἐκέλευσεν ἐπὶ τῶν ὅπλων νυκτερεύειν. ἀναλαβὼν δὲ λογάδας τετρακοσίους, οὐδ' αὐτοὺς εἰδότας τὰ πραττόμενα πλὴν ὀλίγων, ἦγε πρὸς τὰς πύλας παρὰ τὸ ἡραῖον. ἦν δὲ τοῦ ἔτους, ἡ περὶ θέρος ἀκμάζον ὥρα. τοῦ δὲ μηνὸς, πανσέληνος. ἡ δὲ νὺξ ἀνέφελος καὶ καταφανής. ὥστε καὶ φόβον τὰ ὅπλα κατέχειν ἀντιλάμποντα πρὸς τὴν σελήνην, μὴ τοὺς φύλακας οὐ λάθωσιν. ἤδη δὲ τῶν πρώτων ἐγγὺς ὄντων, ἀπὸ θαλάσσης ἀνέδραμε νέφη, καὶ κατέσχε τήν τε πόλιν αὐτὴν καὶ τὸν ἔξω τόπον ἐπίσκιον γενόμενον. ἐνταῦθα δὲ οἱ μὲν ἄλλοι συγκαθίσαντες, ὑπελύοντο τὰς κρηπῖδας. οὔτε γὰρ ψόφον ποιοῦσι πολὺν, οὔτε ὀλισθήματα λαμβάνουσι γυμνοῖς τοῖς ποσὶν ἀντιλαμβανόμενοι τῶν κλιμάκων. ὁ δὲ ἐργῖνος ἑπτὰ λαβὼν νεανίσκους ἐσταλμένους ὁδοιπορικῶς, ἔλαθε τῇ πύλῃ προσμίξας. καὶ τὸν πυλωρὸν ἀποκτιννύουσι καὶ τοὺς μετ' αὐτοῦ φύλακας. ἅμα δὲ αἵ τε κλίμακες προσετίθεντο, καὶ κατὰ σπουδὴν ὁ ἄρατος ὑπερβιβάσας ἑκατὸν ἄνδρας, τοὺς δὲ ἄλλους κελεύσας ἕπεσθαι ὡς ἂν δύνωνται, τάχιστα τὰς κλίμακας ἀναρπάσας, ἐχώρει διὰ τῆς πόλεως, μετὰ τῶν ἑκατὸν, ἐπὶ τὴν ἄκραν. ἤδη περιχαρὴς διὰ τὸ λανθάνειν ὡς κατορθῶν. καί πως ἔτι πρόσωθεν αὐτοῖς ἀπήντα σὺν φωτὶ φυλακὴ τεσσάρων ἀνδρῶν οὐ καθορωμένοις. ἔτι γὰρ ἦσαν ἐν τῷ σκιαζομένῳ τῆς σελήνης. ἐκείνους δὲ προσιόντας ἐξ ἐναντίας καθορῶσι. μικρὸν οὖν ὑποστείλας τειχίοις τισὶ καὶ οἰκοπέδοις, ἐνέδραν ἐπὶ τοὺς ἄνδρας καθίζει. καὶ τρεῖς μὲν αὐτῶν ἐμπεσόντες, ἀποθνήσκουσιν. ὁ δὲ τέταρτος, πληγεὶς ξίφει τὴν κεφαλὴν ἔφυγε βοῶν ἔνδον εἶναι τοὺς πολεμίους. καὶ μετὰ μικρὸν, αἵ τε σάλπιγγες ἐπεσήμαινον. ἥ τε πόλις, ἐξανίστατο πρὸς τὰ γινόμενα. πλήρεις τε ἦσαν οἱ στενωποὶ διαθεόντων. καὶ φῶτα πολλὰ, τὰ μὲν, κάτωθεν ἤδη. τὰ δὲ, ἄνωθεν ἀπὸ τῆς ἄκρας, περιέλαμπε. καὶ κραυγὴ συνερρήγνυτο πανταχόθεν ἄσημος. ἐν τούτῳ δὲ ὁ μὲν ἄρατος, ἐμφὺς τῇ πορείᾳ παρὰ τὸ κρημνῶδες, ἡμιλλᾶτο βραδέως καὶ ταλαιπώρως τὸ πρῶτον. οὐ κατακρατῶν ἀλλ' ἀποπλανώμενος, τοῦ τρίβου παντάπασιν ἐνδεδυκότος καὶ περισκιαζομένου ταῖς τραχύτησι. καὶ διὰ πολλῶν ἑλιγμῶν καὶ παραβολῶν, προσβαίνοντος πρὸς τὸ τεῖχος. εἶτα θαυμάσιον οἷον ἡ σελήνη λέγεται διαστέλλουσα τὰ νέφη καὶ ὑπολάμπουσα τῆς ὁδοῦ τὸ χαλεπώτατον, σαφηνίζειν, ἕως ἥψατο τοῦ τείχους, καθ' ὃν ἔδει τόπον. ἐκεῖ δὲ πάλιν, συνεσκίασε καὶ ἀπέκρυψε νεφῶν συνελθόντων. οἱ δὲ περὶ τὰς πύλας ἔξω περὶ

πυθόμενος ς πι. μ.

π. πόγε.

καί πως π. ς. μ.

παράβολ. ς. μ.

σκηνογραφίαν, ὅλως ἡμῖν προσκεχώρηκε. αὐτός τε οὖν ἀποδέχομαι τὸ μειράκιον ἐγνωκὼς εἰς ἅπαντα χρῆσθαι, καὶ ὑμᾶς ἀξιῶ φίλον νομίζειν. τούτους τοὺς λόγους ὑπόθεσιν λαβόντες οἱ φθονεροὶ καὶ κακοήθεις, διημιλλῶντο ταῖς ἐπιστολαῖς ἀλλήλους, πολλὰ καὶ δυσχερῆ κατὰ τοῦ ἀράτου τῷ πτολεμαίῳ γράφοντες. ὥστε κἀκεῖνον ἐγκαλοῦντα πέμψαι. ταῖς μὲν οὖν περιμαχήτοις καὶ διαπύροις ἐρωμέναις ἔρωτι φιλίαις βασιλέων καὶ τυράννων, τοσοῦτον προσῆν φθόνου καὶ κακοηθείας. ὁ δὲ ἄρατος αἱρεθεὶς στρατηγὸς τὸ πρῶτον ὑπὸ τῶν ἀχαιῶν, τὴν ἀντιπέραν λοκρίδα καὶ καλυδωνίαν ἐπόρθησε. βοιωτοῖς δὲ μετὰ μυρίων στρατιωτῶν βοηθῶν, ὑστέρησε τῆς μάχης, ἣν ὑπὸ αἰτωλῶν περὶ χαιρώνειαν ἡττήθησαν, ἀβοιωκρίτου τε τοῦ βοιωτάρχου καὶ χιλίων σὺν αὐτῷ πεσόντων. ἐνιαυτῷ δὲ ὕστερον, αὖθις στρατηγῶν ἐνίστατο τὴν περὶ τὸν ἀκροκόρινθον πρᾶξιν. οὐ σικυωνίων, οὐδ᾽ ἀχαιῶν κηδόμενος, ἀλλὰ κοινήν τινα τῆς ἑλλάδος ὅλης τυραννίδα τὴν μακεδόνων φρουρὰν ἐκεῖθεν ἐξελάσαι διανοούμενος. χάρης μὲν γὰρ ὁ ἀθηναῖος ἔν τινι μάχῃ πρὸς τοὺς βασιλέως στρατηγοὺς εὐτυχήσας, ἔγραψε τῷ δήμῳ τῶν ἀθηναίων, ὡς νενικήκοι τῆς ἐν μαραθῶνι μάχης ἀδελφήν. ταύτην δὲ τὴν πρᾶξιν οὐκ ἂν ἁμάρτοι τις ἀδελφὴν προσειπὼν τῆς πελοπίδου τοῦ θηβαίου, καὶ θρασυβούλου τοῦ ἀθηναίου τυραννοκτονίας. πλὴν ὅτι τῷ μὴ πρὸς ἕλληνας, ἀλλ᾽ ἐπακτὸν ἀρχὴν γεγονέναι καὶ ἀλλόφυλον, αὕτη διήνεγκεν. ὁ μὲν γὰρ ἰσθμὸς ἐμφράττων τὰς θαλάσσας, εἰς ταὐτὸ συνάγει τῷ τόπῳ καὶ συνάπτει τὴν ἤπειρον ἡμῶν. ὁ δὲ ἀκροκόρινθος ὑψηλὸν ὄρος ἐκ μέσης ἀναπεφυκὼς τῆς ἑλλάδος, ὅταν λάβῃ φρουράν, ἐνίσταται καὶ ἀποκόπτει τὴν ἐντὸς ἰσθμοῦ πᾶσαν, ἐπιμιξιῶν τε καὶ παρόδων καὶ στρατιῶν ἐργασίας τε κατὰ γῆν καὶ κατὰ θάλατταν. καὶ ἕνα κύριον ποιεῖ τὸν ἄρχοντα, καὶ κατέχοντα φρουρᾷ τὸ χωρίον. ὥστε μὴ παίζοντα δοκεῖν τὸν νεώτερον φίλιππον, ἀλλ᾽ ἀληθῶς ἑκάστοτε, πέδας τῆς ἑλλάδος τὴν κορινθίων πόλιν προσαγορεύειν. πᾶσι μὲν οὖν περιμάχητος ἦν ὁ τόπος. ἀεὶ δὲ βασιλεῦσι καὶ δυνάσταις. ἡ δὲ ἀντιγόνου σπουδὴ περὶ αὐτόν, οὐδὲν ἀπέλειπε πάθει τῶν ἐμμανεστάτων ἐρώτων. ἀλλ᾽ ὅλος ἀνήρτητο ταῖς φροντίσιν, ὅπως ἀφαιρήσεται δόλῳ τοὺς ἔχοντας, ἐπεὶ φανερῶς ἦν ἡ ἐπιχείρησις ἀνέλπιστος. ἀλεξάνδρου γὰρ ὑφ᾽ οὗ τὸ χωρίον ἦν, ἀποθανόντος ὡς λέγεται φαρμάκοις ὑπ᾽ αὐτοῦ. νικαίας δὲ τῆς ἐκείνου γυναικὸς ἐπὶ τῶν πραγμάτων γενομένης καὶ φυλαττούσης τὸν ἀκροκόρινθον, εὐθὺς ὑποπέμπων δημήτριον τὸν υἱὸν αὐτῇ, καὶ γλυκείας ἐλπίδας ἐνδιδοὺς γάμων βασιλικῶν καὶ συμβιώσεως, πρὸς οὐκ ἀηδὲς ἐντυχεῖν γυναικὶ πρεσβυτέρᾳ μειράκιον, αὐτὴν μὲν ᾕρηκε τῷ παιδὶ χρησάμενος ὥσπερ ἄλλῳ τινὶ τῶν δελεασμάτων ἐπ᾽ αὐτῇ, τὸν δὲ τόπον οὐ προϊεμένης, ἀλλ᾽ ἐγκρατῶς φυλαττούσης, ἀμελεῖν προσποιούμενος, ἔθυε γάμους αὐτῶν ἐν κορίνθῳ, καὶ θέας ἐπετέλει, καὶ πότους συνῆγε καθ᾽ ἡμέραν. ὡς ἄν τις μάλιστα παίζειν καὶ σχολάζειν τὴν διάνοιαν ὑφ᾽ ἡδονῆς καὶ φιλοφροσύνης ἀφεικώς. ἐπεὶ δὲ καιρὸς ἦν ᾄδοντος ἀμοιβέως ἐν τῷ θεάτρῳ, παρέπεμπε τὴν νίκαιαν αὐτὸς ἐπὶ τὴν θέαν ἐν φορείῳ κεκοσμημένῳ βασιλικῶς, ἀγαλλομένην τε τῇ τιμῇ, καὶ πορρωτάτω τοῦ μέλλοντος οὖσαν. γενόμενος δὲ τῆς ὁδοῦ κατὰ τὴν ἐκτροπὴν τὴν ἄνω φέρουσαν. ἐκείνην μὲν ἐκέλευσε προάγειν εἰς τὸ θέατρον. αὐτὸς δὲ χαίρειν μὲν ἀμοιβέα. χαίρειν δὲ τοὺς γάμους ἐάσας, ἀνῄει πρὸς τὸν ἀκροκόρινθον ἀμιλλώμενος παρ᾽ ἡλικίαν. καὶ κεκλεισμένην τὴν πύλην εὑρών, ἔκοπτε τῇ βακτηρίᾳ κελεύων ἀνοίγειν. οἱ δ᾽ ἔνδον, ἀνέῳξαν καταπλαγέντες. οὕτω δὲ τοῦ τόπου κρατήσας, οὐ κατέσχεν αὑτόν, ἀλλ᾽ ἔπινε παίζων ὑπὸ χαρᾶς ἐν τοῖς στενωποῖς καὶ δι᾽ ἀγορᾶς, αὐλητρίδας ἔχων, καὶ στεφάνους περικείμενος. ἀνὴρ γέρων καὶ τηλικαύταις πραγμάτων μεταβολαῖς κεχρημένος ἐκώμαζε. δεξιούμενος καὶ προσαγορεύων, τοὺς ἀπαντῶντας. οὕτως ἄρα, καὶ λύπης καὶ φόβου μᾶλλον ἐξίστησι καὶ σάλον παρέχει τῇ ψυχῇ, τὸ χαίρειν ἄνευ λογισμοῦ παραγινόμενον. ἀλλὰ γὰρ ἀντίγονος μὲν ὥσπερ εἴρηται κτησάμενος τὸν ἀκροκόρινθον, ἐφύλαττε μετὰ τῶν ἄλλων οἷς ἐπίστευε μάλιστα, καὶ περσαῖον ἐπιστήσας ἄρχοντα τὸν φιλόσοφον. ὁ δὲ ἄρατος, ἔτι μὲν καὶ ἀλεξάνδρου ζῶντος, ἐπεχείρησε τῇ πράξει. γενομένης δὲ συμμαχίας τοῖς ἀχαιοῖς πρὸς τὸν ἀλέξανδρον, ἐπαύσατο. τότε δὲ αὖθις ἐξ ὑπαρχῆς ἑτέραν ἔλαβε τῆς πράξεως ὑπόθεσιν τοιαύτην. ἦσαν ἐν κορίνθῳ τέσσαρες ἀδελφοὶ σύροι τὸ γένος, ὧν εἷς ὄνομα διοκλῆς, ἐν τῷ φρουρίῳ μισθοφορῶν διέτριβεν. οἱ δὲ τρεῖς κλέψαντες βασιλικὸν χρυσίον, ἦλθον πρὸς αἰγίαν εἰς σικυῶνα τινὰ τραπεζίτην, ᾧ διὰ τὴν ἐργασίαν ὁ ἄρατος ἐχρῆτο. καὶ μέρος μὲν εὐθύς, διέθεντο τοῦ χρυσίου. τὸ δὲ λοιπὸν εἷς αὐτῶν ἐργῖνος ἐπιφοιτῶν ἡσυχῇ κατήλλαττεν. ἐκ δὲ τούτου γενόμενος τῷ αἰγίᾳ συνήθης. καὶ προαχθεὶς εἰς λόγον ὑπ᾽ αὐτοῦ περὶ τῆς φρουρᾶς, ἔφη. πρὸς τὸν ἀδελφὸν ἀναβαίνων πρὸς τὸ κρημνῶδες, ἐντομὴν καθεωρακέναι πλαγίαν ἄγουσαν, ᾗ χθαμαλώτατον ἐποικοδόμηται τῷ φρουρίῳ τὸ τεῖχος. προσπαίξαντος δὲ αὐτῷ τοῦ αἰγίου καὶ εἰπόντος, εἶτα ὦ βέλτιστε διὰ σμικρὸν οὕτω χρυσίον ἀνασπᾶτε τὰς βασιλικὰς πράξεις. δυνάμενοι μίαν ὥραν, πολλῶν ἀποδόσθαι χρημάτων. ἢ γὰρ οὐχὶ καὶ τοιχωρύχοις καὶ προδόταις ἁλοῦσιν ἅπαξ ἀποθανεῖν ὑπάρχει; γελάσας ὁ ἐργῖνος, τότε μὲν ὡμολόγησεν ἀποπειρᾶσθαι τοῦ διοκλέους. τοῖς γὰρ ἄλλοις ἀδελφοῖς μὴ πάνυ τι πιστεύειν. ὀλίγαις δὲ ὕστερον ἡμέραις ἐπανελθών, συντίθεται τὸν ἄρατον ἄξειν πρὸς τὸ τεῖχος ὅπου τὸ ὕψος οὐ μεῖζον ἦν πεντεκαίδεκα ποδῶν. καὶ τἆλλα συμπράξειν μετὰ τοῦ διοκλέους. ὁ δὲ ἄρατος, ἐκείνοις

τοῖς ἑαυτοῦ πολίταις ἐπιδοὺς καὶ χρωμένοις, εἴς τε τἆλλα καὶ λύτρωσιν αἰχμαλώτων. ἐπεὶ δὲ οἱ φυγάδες ἦσαν ἀπαραίτητοι, τοῖς ἔχουσι τὰς κτήσεις ἐνοχλοῦντες, ἡ δὲ πόλις ἐκινδύνευεν, ἀνάστατος γενέσθαι. μίαν ὁρῶν ἐλπίδα, τὴν Πτολεμαίου φιλανθρωπίαν, ὥρμησεν ἐκπλεῦσαι καὶ δεηθῆναι τοῦ βασιλέως, ὅπως αὐτῷ χρήματα συμβάληται πρὸς τὰς διαλύσεις. ἀνήχθη μὲν οὖν ἀπὸ μεθώνης ὑπὲρ μαλέας, ὡς τῷ διὰ πόρου δρόμῳ χρησόμενος. πρὸς δὲ μέγα πνεῦμα, καὶ πολλὴν θάλασσαν ἐκ πλάγους κατιοῦσαν, ἐνδόντος τοῦ κυβερνήτου παραφερόμενος, μόλις ἥψατο τῆς ἀδρίας πολεμίας οὔσης. ἐκρατεῖτο γὰρ ὑπὸ ἀντιγόνου καὶ φυλακὴν εἶχεν, ἣν φθάσας ἀπέβη. καὶ τὴν ναῦν καταλιπὼν, ἀπεχώρησε μακρὰν ἀπὸ θαλάσσης, ἔχων ἕνα τῶν φίλων σὺν αὐτῷ, τιμάνθην. καὶ καταβαλόντες ἑαυτοὺς, εἴς τινα τόπον ὕλης γέμοντα, χαλεπῶς ἐνυκτέρευον. ὀλίγῳ δὲ ὕστερον ὁ φρούραρχος ἐπελθὼν καὶ ζητῶν τὸν ἄρατον, ὑπὸ τῶν θεραπόντων ἐξηπατήθη τῶν ἐκείνου, διδαχθέντων λέγειν, ὡς εὐθὺς ἀποδρὰς, εἰς εὔβοιαν ἐξέπλευσε. τὰ μέντοι κομιζόμενα καὶ τὴν ναῦν καὶ τοὺς θεράποντας, ἀπέφηνε πολέμια καὶ κατέσχε. μεθ' ἡμέρας δὲ οὐ πολλὰς, ἐν ἀπόροις ὄντι τῷ ἀράτῳ, γίνεταί τις εὐτυχία, ῥωμαϊκῆς νεὼς παραβαλούσης κατὰ τὸν τόπον, ἐν ᾧ τὰ μὲν, ἐπὶ σκοπὴν ἀνιὼν, τὰ δὲ, κρυπτόμενος διῆγεν. ἔπλει μὲν οὖν ἡ ναῦς εἰς συρίαν. ἐπιβὰς δὲ πείσας τὸν ναύκληρον ἄχρι καρίας διακομισθῆναι. καὶ διεκομίσθη κινδύνοις αὖθις, οὐκ ἐλάττοσι χρησάμενος κατὰ θάλατταν. ἐκ δὲ καρίας χρόνῳ πολλῷ περαιωθεὶς εἰς αἴγυπτον, αὐτόθεν τε τῷ βασιλεῖ διακειμένῳ πρὸς ἑαυτὸν οἰκείως ἐνέτυχε. καὶ τεθεραπευμένῳ γραφαῖς καὶ πίναξιν ἀπὸ τῆς ἑλλάδος, ἐν οἷς κρίσιν ἔχων οὐκ ἄμουσον ὁ ἄρατος, ἀεί τι τῶν τεχνικῶν καὶ περιττῶν, μάλιστα δὲ παμφίλου καὶ μελάνθου συνάγων καὶ κτώμενος, ἀπέστελλεν. ἤνθει γὰρ ἔτι δόξα τῆς σικυωνίας μούσης καὶ χρηστογραφίας, ὡς μόνης ἀδιάφθορον ἐχούσης τὸ καλὸν, ὥς τε καὶ ἀπελλῆν ἐκεῖνον ἤδη θαυμαζόμενον ἀφικέσθαι καὶ συγγενέσθαι τοῖς ἀνδράσιν ἐπὶ ταλάντῳ, τῆς δόξης μᾶλλον ἢ τῆς τέχνης δεόμενον μεταλαβεῖν. διὸ τὰς μὲν ἄλλας εἰκόνας τῶν τυράννων ἀνεῖλεν εὐθὺς ὁ ἄρατος, ὅτε τὴν πόλιν ἠλευθέρωσε. περὶ δὲ τῆς ἀριστράτου κατὰ φίλιππον ἀκμάσαντος, ἐβουλεύσατο πολὺν χρόνον. ἐγράφη μὲν γὰρ, ὑπὸ πάντων τῶν περὶ τὸν μέλανθον, ἅρματι νικηφόρῳ παρεστὼς ὁ ἀρίστρατος, ἀπελλοῦ συνεφαψαμένου τῆς γραφῆς, ὡς πολέμων ὁ περιηγητὴς ἱστόρηκεν. ἦν δὲ τὸ ἔργον ἀξιοθέατον, ὥστε κάμπτεσθαι τὸν ἄρατον ὑπὸ τῆς τέχνης. αὖθις τε μίσει τῷ πρὸς τοὺς τυράννους ἐξαγόμενος, κελεύειν καθαιρεῖν. τὸν οὖν ζωγράφον νεάλκην φίλον ὄντα τοῦ ἀράτου, παραιτεῖσθαί φασι καὶ δακρύειν. ὡς δὲ οὐκ ἔπειθεν, εἰπεῖν. ὅτι τοῖς τυράννοις πολεμητέον, οὐ τοῖς τῶν τυράννων. ἐάσωμεν οὖν τὸ ἅρμα καὶ τὴν νίκην. αὐτὸν δέ σοι παρέξω τὸν ἀρίστρατον ἐγὼ, παραχωροῦντα τοῦ πίνακος. ἐπιτρέψαντος οὖν τοῦ ἀράτου, διέληψεν ὁ νεάλκης τὸν ἀρίστρατον. εἰς δὲ τὴν χώραν, φοίνικα μόνον ἐνέγραψεν, ἄλλο δὲ οὐδὲν ἐτόλμησε παραβαλεῖν. τοὺς δὲ πόδας, ἐξαλειφομένου τοῦ ἀριστράτου, διαλαθεῖν ὑπὸ τὸ ἅρμα λέγουσιν. ἔκ τε δὴ τούτων, ὁ ἄρατος ἠγαπᾶτο. καὶ διδοὺς πεῖραν, ἔτι μᾶλλον ἥψατο τοῦ βασιλέως. καὶ δωρεὰν ἔλαβε τῇ πόλει, πεντήκοντα καὶ ἑκατὸν τάλαντα. καὶ τούτων, τεσσαράκοντα μὲν εὐθὺς μεθ' ἑαυτοῦ κομίζων εἰς πελοπόννησον κατῆρε. τὰ δὲ λοιπὰ διελὼν εἰς δόσεις ὁ βασιλεὺς ὕστερον κατὰ μέρος ἀπέστειλεν. ἦν μὲν οὖν μέγα καὶ τὸ χρήματα τοσαῦτα πορίσαι τοῖς πολίταις, ὅσον μικρὸν μέρος ἄλλοι στρατηγοὶ καὶ δημαγωγοὶ λαμβάνοντες παρὰ βασιλέων, ἠδίκουν καὶ κατεδουλοῦντο, καὶ προεπίνον αὐτοῖς τὰς πατρίδας. μεῖζον δὲ ἡ διὰ τῶν χρημάτων τούτων κατασκευασθεῖσα, τοῖς μὲν ἀπόροις πρὸς τοὺς πλουσίους διάλυσις, καὶ ὁμόνοια. τῷ δὲ δήμῳ παντὶ, σωτηρία καὶ ἀσφάλεια. θαυμαστὴ δὲ ἡ τοῦ ἀνδρὸς ἐν δυνάμει τοσαύτῃ μετριότης. ἀποδειχθεὶς δὲ αὐτοκράτωρ διαλλακτὴς καὶ κύριος ὅλως ἐπὶ τὰς φυγαδικὰς οἰκονομίας, μόνος οὐχ ὑπέμεινεν, ἀλλὰ πεντεκαίδεκα τῶν πολιτῶν προσκατέλεξεν ἑαυτῷ. μεθ' ὧν πόνῳ πολλῷ καὶ μεγάλαις πραγματείαις κατειργάσατο καὶ συνήρμοσε φιλίαν καὶ εἰρήνην τοῖς πολίταις. ἐφ' οἷς οὐ μόνον κοινῇ σύμπαντες οἱ πολῖται τιμὰς ἀπέδοσαν αὐτῷ πρεπούσας. ἀλλὰ καὶ κατ' ἰδίαν οἱ φυγάδες, εἰκόνα χαλκῆν ἀναστήσαντες, ἐπέγραψαν, τόδε τὸ ἐλεγεῖον.

Βουλαὶ μὲν καὶ ἄεθλα καὶ ἡ περὶ Ἑλλάδος ἀλκὴ
Τοῦδ' ἀνδρὸς στάλαι πλάθεται ἡρακλέους.
Ἄμμες δ' εἰκόνα, ἄρατε, τεάν, νόστοιο τυχόντες,
Στάσαμεν, ἀντ' ἀρετᾶς ἠδὲ δικαιοσύνας
Σωτῆρος, σωτῆρι θεοῖς, ὅτι πατρίδι τᾷ σᾷ
Δαιμονίαν ἴσαν ὤπασας εὐνομίαν.

Ταῦτα διαπραξάμενος ὁ ἄρατος, τοῦ μὲν πολιτικοῦ φθόνου, μείζων ἐγεγόνει διὰ τὰς χάριτας. ἀντίγονος δὲ ὁ βασιλεὺς ἀνιώμενος ἐπ' αὐτῷ, καὶ βουλόμενος ἢ μετάγειν ὅλως τῇ φιλίᾳ πρὸς αὑτὸν, ἢ διαβάλλειν πρὸς τὸν πτολεμαῖον, ἄλλας τε φιλανθρωπίας ἐνεδείκνυτο μὴ πάνυ προσιεμένῳ. καὶ θύων θεοῖς ἐν κορίνθῳ, μερίδας εἰς σικυῶνα τῷ ἀράτῳ διέπεμπε. καὶ παρὰ τὸ δεῖπνον ἑστιωμένων πολλῶν, εἰς μέσον φθεγξάμενος, ᾤμην ἔφη τὸν σικυώνιον τοῦτον νεανίσκον ἐλευθέριον εἶναι τῇ φύσει μόνον καὶ φιλοπολίτην. ὁ δὲ, καὶ βίων ἔοικε καὶ πραγμάτων βασιλικῶν ἱκανὸς εἶναι κριτής. πρότερον γὰρ ἡμᾶς ὑπερεώρα, ταῖς ἐλπίσιν ἔξω βλέπων, καὶ τὸν αἰγύπτιον ἐθαύμαζε πλοῦτον, ἐλέφαντας καὶ στόλους καὶ αὐλὰς ἀκούων. νυνὶ δὲ ὑπὸ σκηνὴν ἑωρακὼς πάντα τὰ ἐκεῖ πράγματα τραγῳδίαν ὄντα καὶ

ρέσθαι τὸν κυνηγόν, πρὸς τίνα βαρέως οὕτως ὁ κύων ὑλακτεῖ. καὶ μή τι γίνεται καινότερον. ὁ δ' ἀπὸ τοῦ πύργου αὐτῷ ἀπεφώνησε μηδὲν εἶναι δεινόν. ἀλλὰ τὸν κύνα πρὸς τὸ φῶς τῶν τειχοφυλάκων καὶ τὸν ψόφον τῶν κωδώνων παροξύνεσθαι. τοῦτο μάλιστα τοὺς τοῦ ἀράτου στρατιώτας ἐπέρρωσεν οἰομένους τὸν κυνηγὸν ἐπικρύπτειν, κοινωνοῦντα τῇ πράξει. εἶναι δὲ πολλοὺς καὶ ἄλλους ἐν τῇ πόλει τοὺς συνεργοῦντας. οὐ μὴν ἀλλὰ τῷ τείχει προσβαλλόντων, χαλεπὸς ἦν ὁ κίνδυνος καὶ μῆκος ἐλάμβανε, τῶν μὲν κλιμάκων κραδαινομένων, εἰ μὴ καθ' ἕνα σχολαίως ἀναβαίνοιεν. ἡ δ' ὥρα κατήπειγεν ἤδη φθεγγομένων ἀλεκτρυόνων. καὶ ὅσον οὔπω τῶν ἐξ ἀγροῦ τι φορτίον ἐωθότων πρὸς ἀγορὰν ἐρχομένων. διὸ καὶ σπεύδων ὁ ἄρατος, ἀνέβαινε τεσσαράκοντα τῶν πάντων ἀναβεβηκότων πρὸ αὐτοῦ. καὶ προσδεξάμενος ἔτι τῶν κάτωθεν ὀλίγους, ἐπὶ τὴν οἰκίαν τοῦ τυράννου καὶ τὸ στρατήγιον ἐπῆλθεν. ἐνταῦθα γὰρ οἱ μισθοφόροι παρενυκτέρευον. ἄφνω δ' ἐπιπεσὼν αὐτοῖς καὶ συλλαβὼν ἅπαντας, οὐδένα δ' ἀποκτείνας, εὐθὺς διέπεμπε πρὸς τοὺς φίλους ἀνακαλούμενος ἕκαστον ἀπ' οἰκίας. καὶ συνδραμόντων πανταχόθεν, ἡμέρα μὲν ὑπέλαμπεν ἤδη, καὶ τὸ θέατρον ἦν ὄχλου μεστόν, ἔτι πρὸς τὴν ἄδηλον αἰωρουμένων φήμην. καὶ σαφὲς οὐδὲν εἰδότων ὑπὲρ τῶν πραττομένων. πρίν γε δὴ προελθὼν ὁ κῆρυξ εἶπεν, ὡς ἄρατος ὁ κλεινίου παρακαλεῖ τοὺς πολίτας ἐπὶ τὴν ἐλευθερίαν. τότε δὲ πιστεύσαντες ἥκειν ἃ πάλαι προσεδόκων, ὥρμησαν ἀθρόοι πρὸς τὰς θύρας τοῦ τυράννου πῦρ ἐπιφέροντες. ἤρθη δὲ φλὸξ μεγάλη καὶ καταφανὴς μέχρι κορίνθου, τῆς οἰκίας ἀναφθείσης. ὥστε θαυμάσαντας τοὺς ἐν κορίνθῳ, παρὰ μικρὸν ὁρμῆσαι πρὸς τὴν βοήθειαν. ὁ μὲν οὖν νικοκλῆς ἔλαθε διά τινων ὑπονόμων ὑπεκδὺς καὶ ἀποδρὰς ἐκ τῆς πόλεως. οἱ δὲ στρατιῶται κατασβέσαντες μετὰ τῶν σικυωνίων τὸ πῦρ, διήρπαζον τὴν οἰκίαν. καὶ οὐδὲ ταῦτα ἐκώλυεν ὁ ἄρατος. τὰ δὲ λοιπὰ χρήματα τῶν τυράννων, εἰς μέσον ἔθηκε τοῖς πολίταις. ἀπέθανε δὲ οὐδείς. οὐδ' ἐτρώθη τὸ παράπαν τῶν ἐπελθόντων, οὐδὲ τῶν πολεμίων. ἀλλὰ καθαρὰν καὶ ἄθικτον αἵματος ἐμφυλίου τὴν πρᾶξιν ἡ τύχη διεφύλαξε. κατήγαγε δὲ φυγάδας, τοὺς μὲν ὑπὸ νικοκλέους ἐκπεπτωκότας, ὀγδοήκοντα. τοὺς δ' ἐπὶ τῶν ἔμπροσθεν τυράννων, οὐκ ἐλάττους πεντακοσίων. οἷς μακρὰ μὲν ἡ πλάνη, καὶ ὁμοῦ τι πεντηκονταετὴς ἐγεγόνει. κατελθόντες δέ, οἱ πλεῖστοι πένητες, ὧν κύριοι πρότερον ἦσαν ἐπελαμβάνοντο. καὶ βαδίζοντες ἐπὶ τὰ χωρία καὶ τὰς οἰκίας, δεινὴν ἀπορίαν τῷ ἀράτῳ παρεῖχον. ἐπιβουλευομένην μὲν ἔξωθεν, καὶ φθονουμένην ὑπ' ἀντιγόνου τὴν πόλιν ὁρῶντι διὰ τὴν ἐλευθερίαν. ταραττομένην δ' ὑπ' αὐτῆς καὶ στασιάζουσαν. ὅθεν ἐκ τῶν παρόντων ἄριστα κρίνας, προσέμιξεν αὐτὴν φέρων τοῖς ἀχαιοῖς. καὶ δωριεῖς ὄντες, ὑπέδυσαν ἑκουσίως ὄνομα καὶ πολιτείαν τὴν ἀχαιῶν, οὔτε ἀξίωμα λαμπρόν, οὔτε μεγάλην ἰσχὺν ἐχόντων τότε. μικροπολῖται γὰρ ἦσαν οἱ πολλοί. καὶ γῆν, οὔτε χρηστήν, οὔτε ἄφθονον ἐκέκτηντο. καὶ θαλάττῃ προσῴκουν ἀλιμένῳ, τὰ πολλὰ κατὰ ῥαχίας ἐκφερομένῃ πρὸς τὴν ἤπειρον. ἀλλὰ μάλιστα δὴ διέδειξαν οὗτοι τὴν ἑλληνικὴν ἀλκὴν ἀπρόσμαχον οὖσαν, ὁσάκις τύχοι κόσμου καὶ συντάξεως ὁμοφρονούσης, καὶ νοῦν ἔχοντος ἡγεμόνος. οἳ τῆς μὲν πάλαι τῶν ἑλλήνων ἀκμῆς, οὐδὲν ὡς εἰπεῖν μέρος ὄντες. ἐν δὲ τῷ τότε μιᾶς ἀξιολόγου πόλεως σύμπαντες ὁμοῦ δύναμιν οὐκ ἔχοντες, εὐβουλίᾳ καὶ ὁμονοίᾳ, καὶ ὅτι τῷ πρώτῳ κατ' ἀρετὴν ἐδύναντο μὴ φθονεῖν, ἀλλὰ πείθεσθαι καὶ ἀκολουθεῖν, οὐ μόνον αὑτοὺς ἐν μέσῳ πόλεων καὶ δυνάμεων τηλικούτων, καὶ τυραννίδων ἐφύλαξαν ἐλευθέρους, ἀλλὰ καὶ τῶν ἄλλων ἑλλήνων ὡς πλείστους ἐλευθεροῦντες καὶ σῴζοντες διετέλουν. ἦν δὲ ἄρατος τῷ τρόπῳ πολιτικός. μεγαλόφρων. ἀκριβέστερος εἰς τὰ κοινὰ μᾶλλον ἢ τὰ ἴδια. πικρῶς μισοτύραννος. ἔχθρας ὅρῳ καὶ φιλίας ἀεὶ τῷ κοινῷ συμφέροντι χρώμενος. ὅθεν οὐχ οὕτως δοκεῖ γεγονέναι φίλος ἀκριβής, ὡς ἐχθρὸς εὐγνώμων καὶ πρᾶος, ὑπὸ τῆς πολιτείας ἐπ' ἀμφότερα τῷ καιρῷ μεταβαλλόμενος. ὁμονοίας ἐθνῶν καὶ κοινωνίας πόλεων καὶ συνεδρίου καὶ θεάτρου μίαν φωνὴν ἀφιέντος, ὡς οὐδενὸς ἄλλου τῶν καλῶν ἐραστής. πολέμῳ καὶ ἀγῶνι χρήσασθαι φανερῶς, ἀθαρσὴς καὶ δύσελπις. κλέψαι δὲ πράγματα καὶ συσκευάσασθαι καὶ κρύφα πόλεις καὶ τυράννους, ἐπιβουλότατος. διὸ καὶ πολλὰ τῶν ἀνελπίστων κατορθώσας ἐν οἷς ἐτόλμησεν, οὐκ ἐλάττονα δοκεῖ τῶν δυνατῶν ἐγκαταλιπεῖν, δι' εὐλάβειαν. οὐ γὰρ μόνον ὡς ἔοικε θηρίων τινῶν ὄψεις ἐν σκότει διαβλέπουσαι, μεθ' ἡμέραν ἀποτυφλοῦνται ξηρότητι καὶ λεπτότητι τῆς περὶ τὸν ὀφθαλμὸν ὑγρότητος, μὴ φερούσης τὴν πρὸς τὸ φῶς σύγκρασιν. ἀλλὰ καὶ δεινότης τίς ἐστιν ἀνθρώπου καὶ σύνεσις ἐν τοῖς ὑπαιθρίοις καὶ διακηρυκτικοῖς, εὐτάρακτος φύσει. πρὸς δὲ τὰς ἐπικρύφους καὶ λαθραίους ἀναθαρροῦσα πράξεις. τὴν δὲ τοιαύτην ἀνωμαλίαν, ἔνδεια λόγου φιλοσόφου περὶ τὰς εὐφυΐας ἀπεργάζεται. τὴν ἀρετὴν ὥσπερ καρπὸν αὐτοφυῆ καὶ ἀγεώργητον ἐκφερούσας δίχα τῆς ἐπιστήμης. ταῦτα μὲν οὖν ἐξεταζέσθω τοῖς παραδείγμασιν. ὁ δὲ ἄρατος ἐπεὶ κατέμιξε τοῖς ἀχαιοῖς ἑαυτὸν καὶ τὴν πόλιν, ἐν τοῖς ἱππεῦσι στρατευόμενος, ἠγαπᾶτο δι' εὐπείθειαν ὑπὸ τῶν ἀρχόντων. ὅτι καίπερ συμβολὰς τῷ κοινῷ μεγάλας δεδωκὼς τὴν ἑαυτοῦ δόξαν καὶ τὴν τῆς πατρίδος δύναμιν, ὡς ἑνὶ τῶν ἐπιτυχόντων χρῆσθαι παρεῖχεν αὐτῷ τὸν ἀεὶ στρατηγοῦντα τῶν ἀχαιῶν, εἴτε δυμαῖος, εἴτε τριταιεύς, εἴτε μικροτέρας τινὸς ὢν τύχοι πόλεως. ἧκε δὲ αὐτῷ καὶ χρημάτων δωρεὰ παρὰ τοῦ βασιλέως, πέντε καὶ εἴκοσι τάλαντα. ταῦτα ἔλαβε μὲν ὁ ἄρατος, λαβὼν δὲ

τοῖς ἑαυτοῦ

αὐτῷ ς.π.ᵃ

ἐπιβουλευτ. ς.π.

ὄψεις ς.π.

ὑπὸ τ. πολιτείας vertit illud πολιτείας videtur significare mansuetudine et Urbanitate. probo :~

τοι. πρώτοις δὲ κοινοῦται τὴν γνώμην ἀριστομάχῳ καὶ ἐκδήλῳ. τούτων, ὁ μὲν, σικυώνιος ἦν φυγάς. ὁ
δὲ ἔκδηλος, ἀρκὰς ἐκ μεγάλης πόλεως. ἀνὴρ φιλόσοφος καὶ πρακτικός. ἀρκεσιλάου τοῦ ἀκαδημαϊκοῦ
γεγονὼς ἐν ἄστει συνήθης. δεξαμένων δὲ τούτων προθύμως, διελέγετο τοῖς ἄλλοις φυγάσιν. ὧν ὀλίγοι
μὲν αἰσχυνθέντες ἐγκαταλιπεῖν τὴν ἐλπίδα, μετεῖχον τῶν πραττομένων. οἱ δὲ πολλοὶ καὶ τὸν ἄρατον
ἐπειρῶντο κατακωλύειν, ὡς ἀπειρίᾳ πραγμάτων θρασυνόμενον. βουλευομένου δ' αὐτοῦ χωρίον τι
τῆς σικυωνίας καταλαβεῖν, ὅθεν ὁρμώμενος διαπολεμήσει πρὸς τὸν τύραννον, ἧκεν εἰς ἄργος, ἀνὴρ σι
κυώνιος ἐκ τῆς εἱρκτῆς ἀποδεδρακώς. ἦν δὲ τῶν φυγάδων ἑνὸς, ξενοκλέους ἀδελφός. καὶ τῷ ἀράτῳ
προσαχθεὶς ὑπὸ τοῦ ξενοκλέους, ἔλεγε τοῦ τείχους καθ' ὃν ὑπερβὰς αὐτὸς ἐσώθη τόπον. ἐντὸς μὲν ὀ
λίγου δεῖν ἐπίπεδον εἶναι, προσπεφυκότα χωρίοις πετρώδεσι καὶ ὑψηλοῖς. τὸ δὲ ἔξωθεν ὕψος, ὑπὸ
κλιμάκων, οὐ πάνυ ἀνέφικτον. ὡς δὲ ταῦτα ἤκουσεν ὁ ἄρατος, ἐκπέμπει μετὰ τοῦ ξενοκλέους οἰκέ-
τας ἰδίους δύο. σεύθαν τε καὶ τέχωνα, κατασκεψομένους τὸ τεῖχος. ἐγνωκὼς εἰ δύναιτο κρύφα καὶ
πρὸς ἕνα κίνδυνον ὀξέως τὸ πᾶν ἀναρρῖψαι μᾶλλον, ἢ μακρῷ πολέμῳ καὶ φανεροῖς ἀγῶσιν, ἰδιώτης
ἀντικαθίστασθαι πρὸς τύραννον. ὡς δ' ἐπανῆλθον οἱ περὶ τὸν ξενοκλέα. τοῦ μὲν τείχους εἰληφότες μέ
κ.ι. τρα. καὶ τοῦ τόπου τὴν φύσιν ἀπαγγέλλοντες οὐκ ἄβατον οὐδὲ χαλεπήν. τὸ δὲ λαθεῖν προσελθόντας
δρῶδες εἶναι φάσκοντες ὑπὸ κηπουροῦ τινὸς κυναρίων μικρῶν μὲν, ἐκτόπως δὲ μαχίμων καὶ ἀ-
παρηγορήτων, εὐθὺς ἐνίστατο τὴν πρᾶξιν. ἡ μὲν οὖν τῶν ὅπλων παρασκευὴ συνήθης ἦν. πάντων ὡς
ἔπος εἰπεῖν τότε κλωπείαις χρωμένων, καὶ καταδρομαῖς ἐπ' ἀλλήλους. τὰς δὲ κλίμακας εὐφράνωρ
ὁ μηχανοποιὸς ἀναφανδὸν ἐπήξατο, τῆς τέχνης αὐτῷ τὸ ἀνύποπτον διδούσης. ἐπεὶ καὶ αὐτὸς ἦν τῶν
φυγάδων. ἄνδρας δὲ αὐτῷ, τῶν μὲν ἐν ἄργει φίλων ἕκαστος, ἐξ ὀλίγων δέκα παρεῖχεν. αὐτὸς δὲ τῶν
ἰδίων οἰκετῶν, τριάκοντα καθώπλισεν. ἐμισθώσατο δὲ καὶ διὰ πρώτου ξενοφίλου τῶν ἀρχικλώ-
πων οὐ πολλοὺς στρατιώτας. οἷς διεδόθη λόγος, ὡς ἐπὶ τὰς ἵππους τὰς βασιλικὰς εἰς τὴν σικυωνίαν
ἔξοδος ἔσοιτο. καὶ προεπέμφθησαν οἱ πολλοὶ σποράδες, ἐπὶ τὸν πολυγνώτου πύργον, ἐκεῖ κελευσθέν-
τες περιμένειν. προεπέμφθη δὲ καὶ καφισίας ὑπ' αὐτοῦ μετὰ τεσσάρων ἄλλων εὐζώνων. οὓς ἔδει πρὸς
τὸν κηπουρὸν ἀφικέσθαι σκοταίους φάσκοντας ὁδοιπόρους εἶναι καὶ καταυλισαμένους αὐτόν τε συγ-
κλεῖσαι καὶ τοὺς κύνας. οὐ γὰρ ἦν ἄλλη παρελθεῖν. τὰς δὲ κλίμακας διαλυτὰς οὔσας ἐμβαλόντες εἰς
ἀχάνας καὶ κατακαλύψαντες ἐφ' ἁμαξῶν προαπέστειλαν. ἐν τούτῳ δὲ κατασκόπων τινῶν ἐν ἄργει
τοῦ νικοκλέους φανέντων. καὶ περιϊέναι λεγομένων ἀδήλως καὶ παραφυλάττειν τὸν ἄρατον, ἅμ' ἡμέ-
ρᾳ προσελθὼν καὶ φανερὸς ὢν ἐν ἀγορᾷ διέτριβε μετὰ τῶν φίλων. εἶτ' ἀλειψάμενος ἐν τῷ γυμνασίῳ,
καὶ παραλαβών τινας ἐκ τῆς παλαίστρας τῶν εἰωθότων πίνειν καὶ ῥᾳθυμεῖν μετ' αὐτοῦ νεανίσκων,
ἀπῄει οἴκαδε. καὶ μετὰ μικρὸν ἑωρᾶτο τῶν οἰκετῶν αὐτοῦ δι' ἀγορᾶς, ὁ μὲν, στεφάνους φέρων. ὁ δὲ, λαμ
πάδας ὠνούμενος. ὁ δὲ, τοῖς εἰθισμένοις παρὰ πότον ψάλλειν καὶ αὐλεῖν γυναίοις διαλεγόμενος, ταῦ-
τα δὲ οἱ κατάσκοποι πάντα ὁρῶντες, ἐξηπατῶντο, καὶ πρὸς ἀλλήλους ἀναγελῶντες ἔλεγον. οὐδὲν
ἦν τυράννου δειλότερον. εἰ καὶ νικοκλῆς τηλικαύτην πόλιν ἔχων, καὶ τοσαύτην δύναμιν, ὀρρωδεῖ μει
ράκιον, εἰς ἡδονὰς καὶ πότους μεθημερινοὺς, τὰ τῆς φυγῆς ἐφόδια καταχρώμενον. οἱ μὲν, οὖν οὕτω πα
ραλογισθέντες ἀπηλλάγησαν. ὁ δ' ἄρατος εὐθὺς μετ' ἄριστον ἐξελθὼν καὶ συνάψας πρὸς τὸν πολυ-
γνώτου πύργον τοῖς στρατιώταις, εἰς νεμέαν προῆγεν. ὅπου τὴν πρᾶξιν ἐξέφηνε τοῖς πολλοῖς. τὸ δὲ νεμέα π.ς.η.κ.
λ.ι. πρῶτον, ὑποσχέσεις τε καὶ παρακλήσεις ἐποιήσατο, καὶ σύνθημα παραδοὺς, ἀπόλλωνα ὑπερδέ- σύνθημα. κ.ς.
ξιον, προσῆγεν ἐπὶ τὴν πόλιν. συμμέτρως τῇ περιφορᾷ τῆς σελήνης ἐπιταχύνων, καὶ πάλιν ἀνιεὶς
τὴν πορείαν. ὥστε τῷ μὲν φωτὶ χρῆσθαι καθ' ὁδὸν, ἤδη δὲ δυομένης περὶ τὸν κῆπον εἶναι, πλησίον τοῦ
τείχους. ἐνταῦθα καφισίας ἀπήντησεν αὐτῷ. τῶν μὲν κυναρίων οὐ κρατήσας, ἔφθη γὰρ ἀποπηδῆσαν-
τα. τὸν δὲ κηπουρὸν ἐγκεκλεικώς. ἀθύμους δὲ τοὺς πλείστους γενομένους καὶ κελεύοντας ἀπαλλάττε-
σθαι, παρεθάρρυνεν ὁ ἄρατος ὡς ἀπάξων, ἂν οἱ κύνες ἄγαν ἐνοχλῶσιν αὐτοῖς. ἅμα δὲ τοὺς τὰς κλίμα-
κας φέροντας προπέμψας, ὧν ἔκδηλος ἡγεῖτο καὶ μνασίθεος, αὐτὸς ἐπηκολούθει σχολαίως, ἤδη τῶν
κυναρίων ἐντόνως ὑλακτούντων, καὶ συμπαραθεόντων τοῖς περὶ τὸν ἔκδηλον. οὐ μὴν ἀλλὰ συνέμι-
ξαν τε τῷ τείχει, καὶ προσήρεισαν τὰς κλίμακας ἀσφαλῶς. ἀναβαινόντων δὲ τῶν πρώτων, ὁ τὴν ἑω-
θινὴν φυλακὴν παραδιδοὺς, ἐφώδευε κώδωνι. καὶ φῶτα πολλὰ καὶ θόρυβος ἦν τῶν ἐπιπορευομένων.
οἱ δὲ, ὥσπερ εἶχον αὐτοῦ πτήξαντες ἐπὶ τῶν κλιμάκων, τούτους μὲν οὐ χαλεπῶς ἔλαθον, ἄλλης δὲ φυλακῆς
ἐναντίας ταύτῃ προσερχομένης, εἰς τὸν ἔσχατον κίνδυνον ἦλθον. ὡς δὲ κἀκείνην διέφυγον παρελθοῦ-
σαν, εὐθὺς ἀνέβαινον οἱ πρῶτοι μνασίθεος καὶ ἔκδηλος. καὶ τὰς ἑκατέρωθεν ὁδοὺς τοῦ τείχους δια-
λαβόντες, ἀπέστελλον τέχωνα πρὸς ἄρατον, ἐπείγεσθαι κελεύοντες. ἦν δὲ οὐ πολὺ διάστημα ἀπὸ τοῦ κήπου
πρὸς τὸ τεῖχος καὶ τὸν πύργον. ἐν ᾧ κύων μέγας ἐφρούρει θηρευτικός. αὐτὸς μὲν οὖν οὐκ ᾔσθετο τὴν ἔφο-
δον. εἴτε φύσει νωθὴς ὢν, εἴτε μεθ' ἡμέραν κατάκοπος γεγονώς. τῶν δὲ τοῦ κηπουροῦ κυναρίων κάτωθεν
ἐκκαλουμένων αὐτὸν, ὑπεφθέγγετο τυφλὸν καὶ ἄσημον τὸ πρῶτον, εἶτα μᾶλλον ἐπέτεινε παρερχο-
μένων, καὶ κατεῖχεν ἤδη πολὺς ὑλαγμὸς τὸ χωρίον. ὥστε τὸν πέραν φύλακα κραυγῇ μεγάλῃ πυνθά-

ϛ. η. κ. π.

Παροιμίαν τινὰ παλαιὰν ὦ πολύκρατες, δείσας μοι δοκεῖ τὸ δύσφημον αὐτῆς ὁ φιλόσοφος χρύσιππος, οὐχ ὃν ἔχει τρόπον, ἀλλ᾽ ὡς αὐτὸς ᾤετο βέλτιον εἶναι διατίθεσθαι. τίς πατέρ᾽ αἰνήσει, εἰ μὴ εὐδαίμονες υἱοί. διονυσόδωρος δὲ ὁ τροιζήνιος, ἐλέγχων αὐτὸν, ἀντικατίστησι τὴν ἀληθινὴν, οὕτως ἔχουσαν. τίς πατέρ᾽ αἰνήσει, εἰ μὴ κακοδαίμονες υἱοί, καί φησι τοὺς ἀφ᾽ αὑτῶν οὐδενὸς ἀξίους ὄντας, ὑποδυομένους δὲ προγόνων τινῶν ἀρεταῖς, καὶ πλεονάζοντας ἐν τοῖς ἐκείνων ἐπαίνοις, ὑπὸ τῆς παροιμίας ἐπιστομίζεσθαι. ἀλλ᾽ ᾧ γε φύσει τὸ γενναῖον ἐπιπρέπει ἐκ πατέρων κατὰ πίνδαρον. ὥσπερ σοὶ πρὸς τὸ κάλλιστον ἀφομοιοῦντι τῶν οἴκοθεν παραδειγμάτων τὸν βίον, εὔδαιμον ἂν εἴη τὸ μεμνῆσθαι τῶν ἀπὸ γένους ἀρίστων, ἀκούοντας περὶ αὐτῶν ἀεί τι καὶ λέγοντας. οὐ γὰρ ἰδίων ἀχρείᾳ καλῶν, ἐξαρτῶσιν ἀλλοτρίων ἐπαίνων τὴν δόξαν, ἀλλὰ τοῖς ἐκείνων τὰ οἰκεῖα συνάπτοντες, ὡς καὶ τοῦ γένους, καὶ τοῦ βίου καθηγεμόνας εὐφημοῦσι. διὸ κἀγὼ τὸν ἀράτου τοῦ σοῦ πολίτου καὶ προπάτορος βίον, ὃν οὔτε τῇ δόξῃ τῇ περὶ σεαυτὸν, οὔτε τῇ δυνάμει καταισχύνεις, ἀπέσταλκά σοι συγγεγραμμένον, οὐχ ὡς οὐχὶ πάντων ἀκριβέστατά σοι μεμεληκὸς ἐξ ἀρχῆς ἐπίστασθαι τὰς ἐκείνου πράξεις, ἀλλ᾽ ὅπως οἱ παῖδές σου πολυκράτης καὶ πυθοκλῆς, οἰκείοις παραδείγμασιν ἐντρέφωνται. τὰ μὲν, ἀκούοντες. τὰ δὲ, ἀναγινώσκοντες, ἅπερ αὐτοὺς μιμεῖσθαι προσήκει. φιλαύτου γὰρ ἀνδρὸς οὐ φιλοκάλου, παντὸς ἀεὶ βέλτιστον ἡγεῖσθαι.

ϛ. π. ἀπ᾽ ἑροῦν η

ἡ σικυωνίων πόλις ἐπεὶ τὸ πρῶτον ἐκ τῆς ἀκράτου καὶ δωρικῆς ἀριστοκρατίας, ὥσπερ ἁρμονίας συγχυθείσης, εἰς στάσεις ἐνέπεσε καὶ φιλοτιμίας δημαγωγῶν, οὐκ ἐπαύσατο νοσοῦσα καὶ ταραττομένη, καὶ τύραννον ἐκ τυράννου μεταβάλλουσα. μέχρις οὗ κλέωνος ἀναιρεθέντος, εἵλοντο τιμοκλείδαν ἄρχοντα καὶ κλεινίαν ἄνδρας ἐνδόξους τὰ μάλιστα καὶ ἐν δυνάμει τῶν πολιτῶν ὄντας. ἤδη δέ τινα τῆς πολιτείας κατάστασιν ἔχειν δοκούσης, τιμοκλείδας μὲν, ἀπέθανεν. ἀβαντίδας δὲ ὁ πασίου, τυραννίδα πράττων ἑαυτῷ, τὸν κλεινίαν ἀπέκτεινε. καὶ τῶν φίλων καὶ οἰκείων, τοὺς μὲν, ἐξέβαλε. τοὺς δὲ, ἀνεῖλεν. ἐζήτει δὲ καὶ τὸν υἱὸν αὐτοῦ ἀνελεῖν ἄρατον ἑπταετῆ καταλελειμμένον. ἐν δὲ τῇ περὶ τὴν οἰκίαν ταραχῇ συνεκπεσὼν τοῖς φεύγουσιν ὁ παῖς, καὶ πλανώμενος ἐν τῇ πόλει περίφοβος καὶ ἀβοήθητος, κατὰ τύχην ἔλαθεν εἰς οἰκίαν παρελθὼν γυναικὸς, ἀδελφῆς μὲν, ἀβαντίδου. προφάντῳ δὲ τῷ κλεινίου ἀδελφῷ γεγαμημένης, ὄνομα σωσοῦς. αὕτη δὲ καὶ τὸ ἦθος οὖσα γενναία, καὶ σὺν θεῷ τινὶ τὸ παιδίον οἰομένη καταπεφευγέναι πρὸς αὐτὴν, ἀπέκρυψεν ἔνδον. εἶτα νυκτὸς εἰς ἄργος ὑπεξέπεμψεν. οὔπω δὲ ἐκκλαπέντι τῷ ἀράτῳ καὶ διαφυγόντι τὸν κίνδυνον, εὐθὺς μὲν ἐνέφυ καὶ συνηύξετο τὸ σφοδρὸν καὶ διάπυρον μῖσος ἐπὶ τοὺς τυράννους. τρεφόμενος δὲ παρὰ τοῖς ἐν ἄργει ξένοις καὶ φίλοις πατρῴοις ἐλευθερίως, καὶ τὸ σῶμα βλαστάνον ὁρῶν εἰς εὐεξίαν καὶ μέγεθος, ἐπέδωκεν ἑαυτὸν ἀσκήσει τῇ περὶ παλαίστραν, ὥστε καὶ πένταθλον ἀγωνίσασθαι καὶ στεφάνων τυχεῖν. ἐπιφαίνεται δὲ ἀμέλει καὶ ταῖς εἰκόσιν ἀθλητική τις ἰδέα. καὶ τὸ συνετὸν τοῦ προσώπου καὶ βασιλικὸν, οὐ παντάπασιν ἀρνεῖται τὴν ἀδηφαγίαν καὶ τὸ σκαφίον. ὅθεν ἐνδεέστερον ἴσως ἢ πολιτικῷ προσῆκεν ἀνδρὶ, περὶ τὸν λόγον ἐσπούδασε. καίτοι γεγονέναι κομψότερος εἰπεῖν ἢ δοκεῖν τισὶν, ἐκ τῶν ὑπομνημάτων κρίνουσιν. ἃ παρέργως καὶ ὑπὸ χεῖρα διὰ τῶν ἐπιτυχόντων ὀνομάτων ἁμιλλησάμενος, κατέλιπε. χρόνῳ δὲ ὕστερον ἀβαντίδαν μὲν, οἱ περὶ δεινίαν καὶ ἀριστοτέλη τὸν διαλεκτικὸν, εἰωθότα τοῖς λόγοις αὐτῶν κατ᾽ ἀγορὰν σχολαζόντων ἑκάστοτε παρεῖναι καὶ συμφιλονεικεῖν, ἐμβαλόντες εἰς τοιαύτην διατριβὴν, καὶ κατασκευάζοντες ἐπιβουλὴν, ἀνεῖλον. πασίαν δὲ τὸν ἀβαντίδου πατέρα, τὴν ἀρχὴν ὑπολαβόντα, νικοκλῆς δολοφονήσας, ἑαυτὸν ἀνέδειξε τύραννον. τοῦτον ἐμφερέστατον λέγουσι τὴν ὄψιν περιάνδρῳ τῷ κυψέλου γενέσθαι, καθάπερ ἀλκμαίωνι μὲν τῷ ἀμφιαράῳ τὸν πέρσην ὀρόντην. ἕκτορι δὲ τὸν λακεδαιμόνιον νεανίσκον. ὃν ἱστορεῖ μυρσίλος ὑπὸ πλήθους τῶν θεωμένων, ὡς τοῦτ᾽ ἔγνωσαν, καταπατηθῆναι. τοῦ δὲ νικοκλέους τέσσαρας μῆνας τυραννοῦντος, ἐν οἷς πολλὰ κακὰ τὴν πόλιν ἐργασάμενος, ἐκινδύνευσεν ὑπ᾽ αἰτωλῶν ἐπιβουλευομένην αὐτὴν ἀποβαλεῖν, ἤδη μειράκιον ὁ ἄρατος ὢν, ἀξίωμα λαμπρὸν εἶχε δι᾽ εὐγένειαν καὶ φρόνημα, ὃ διέφαινεν οὐ μικρὸν οὐδὲ ἀργὸν, ἐμβριθὲς δὲ καὶ παρ᾽ ἡλικίαν ἀσφαλεστέρᾳ γνώμῃ κεκραμένον. ὅθεν οἵ τε φυγάδες μάλιστα τὸν νοῦν ἐκείνῳ προσεῖχον, ὅ τε νικοκλῆς οὐκ ἠμέλει τῶν πραττομένων, ἀλλ᾽ ἀδήλως ἀπεθεώρει καὶ παρεφύλαττεν αὐτοῦ τὴν ὁρμήν. τόλμημα μὲν οὐδὲν τηλικοῦτον δεδιώς. οὐδὲ ἔργον οὐδέπω παρακεκινδυνευμένον, ὑποπτεύων δὲ τοῖς βασιλεῦσιν αὐτὸν διαλέγεσθαι φίλοις οὖσι καὶ ξένοις πατρῴοις. καὶ γὰρ ἀληθῶς ὁ ἄρατος ἐπεχείρησε τὴν ὁδὸν ἐκείνην βαδίζειν. ὡς δὲ ἀντίγονος μὲν, ὑπισχνούμενος ἠμέλει, καὶ παρῆκε τὸν χρόνον, αἱ δ᾽ ἀπ᾽ αἰγύπτου καὶ παρὰ πτολεμαίου μακραὶ ἦσαν ἐλπίδες, ἔγνω δι᾽ αὑτοῦ καταλύειν τὸν τύραν-

π ἀδδη

Aut subintelligit aut deest verbum forsan. sic leg. κομψότερος εἰπεῖν δοκεῖν τισὶ ἐκ τῶν Lamb.

μύρτυλος. ϛ. π.

ἡδέν ϛ. π. η

θυραίων καὶ ἰνδῶν βασιλεῖς οὐκ εἴα καταδουλεῖν, ὑπερφυοῦς τῆς ψυχῆς, καὶ πρὸς μηδὲν ὑφίεσθαι φόβῳ, τοῦ φρονήματος χρωμένης. διὸ τῷ μὲν ὀφθέντι μόνον ἐν σικελίᾳ, μυριάδες οὐκ ὀλίγαι συνέστησαν ἐπὶ διονύσιον. ἡ δὲ καίσαρος δόξα καὶ πεσόντος, ὤρθου τοὺς φίλους. καὶ τοὔνομα, τὸν χρησάμενον ἦρεν ἐκ παιδὸς ἀμηχάνου, πρῶτον εὐθὺς εἶναι ῥωμαίων. ὡς ἀλεξιφάρμακον τοῦτο, πρὸς τὴν ἀντωνίου περιαψαμένῳ ἔχθρας καὶ δύναμιν. εἰ δὲ φήσει τις. ὅτι μεγάλοις μὲν ἀγῶσιν ὁ δίων ἐξέβαλε τὸν τύραννον. καίσαρα δὲ βροῦτος, ἔκτεινε γυμνὸν καὶ ἀφύλακτον, αὐτὸ τοῦτο δεινότητος ἄκρας καὶ στρατηγίας ἦν ἔργον, ἄνδρα τοσαύτην περιβεβλημένον δύναμιν, ἀφύλακτον λαβεῖν καὶ γυμνόν. οὐ γὰρ ἐξαίφνης οὐδὲ μόνος, ἢ σὺν ὀλίγοις ἐπιπεσὼν ἀνεῖλεν, ἀλλ' ἐκ πολλοῦ συνθεὶς τὸ βούλευμα· καὶ μετὰ πολλῶν ἐπιθέμενος. ὧν οὐδεὶς ἐψεύσατ' αὐτόν. ἢ γὰρ εὐθὺς ἔκρινε τοὺς ἀρίστους, ἢ τῷ προκρῖναι τοὺς πιστεύσαντας, ἀγαθοὺς ἐποίησεν. δίων δὲ, εἴτε κρίνας κακῶς ἐπίστευσεν ἑαυτὸν πονηροῖς, εἴτε χρώμενος, ἐποίησεν ἐκ χρηστῶν πονηρούς, οὐδέτερον παθεῖν ἀνδρὶ φρονίμῳ προσῆκον. ἐπιτιμᾷ δὲ καὶ πλάτων αὐτῷ, τοιούτους ἑλομένῳ φίλους ὑφ' ὧν ἀπώλετο. καὶ δίωνος μὲν, τιμωρὸς, οὐδεὶς ἐφάνη πεσόντος. ἀλλὰ βροῦτον καὶ τῶν πολεμίων ἀντώνιος μὲν, ἔθαψεν ἐνδόξως. καῖσαρ δὲ, καὶ τὰς τιμὰς ἐτήρησεν. ἕστηκε δὲ, χαλκοῦς ἀνδριὰς ἐν μεδιολάνῳ, τῆς ἐντὸς ἄλπεων γαλατίας. τοῦτον ὕστερον ἰδὼν ὁ καῖσαρ εἰκονικὸν ὄντα καὶ χαριέντως εἰργασμένον, παρῆλθεν. εἶτ' ἐπιστὰς μετὰ μικρόν, ἀκροωμένων πολλῶν, τοὺς ἄρχοντας ἐκάλει φάσκων ἔκσπονδον αὐτῶν τὴν πόλιν εἰληφέναι, πολέμιον ἔχουσαν παρ' αὐτῇ. τὸ μὲν οὖν πρῶτον, ὡς εἰκός, ἠρνοῦντο, καὶ τίνα λέγοι διαποροῦντες εἰς ἀλλήλους ἀπέβλεψαν. ὡς δ' ἐπιστρέψας ὁ καῖσαρ πρὸς τὸν ἀνδριάντα, καὶ συναγαγὼν τὸ πρόσωπον, ἀλλ' οὐχ οὗτος ἔφη πολέμιος ὢν ἡμέτερος ἐνταῦθα ἕστηκεν, ἔτι μᾶλλον καταπλαγέντες ἐσιώπησαν. ὁ δὲ μειδιάσας ἐπῄνεσέ τε τοὺς γαλάτας. ὡς τοῖς φίλοις καὶ παρὰ τὰς τύχας, βεβαίους ὄντας. καὶ τὸν ἀνδριάντα κατὰ χώραν μένειν ἐκέλευσεν.

βαλεῖν ἐκέλευσεν. ὕστερον δὲ τὴν φοινικίδα κεκλεμμένην αἰσθόμενος, ἀπέκτεινε τὸν ὑφελόμενον. τὰ δὲ λείψανα πρὸς τὴν μητέρα τοῦ βρούτου σερβιλίαν ἀπέπεμψεν. πορκίαν δὲ τὴν βρούτου γυναῖκα νικόλαος ὁ φιλόσοφος ἱστορεῖ καὶ οὐαλέριος μάξιμος βουλομένην ἀποθανεῖν, ὡς οὐδεὶς ἐπέτρεπε τῶν φίλων, ἀλλὰ προσέκειντο καὶ παρεφύλαττον, ἐκ τοῦ πυρὸς ἀναρπάσασαν ἄνθρακας καταπιεῖν, καὶ τὸ στόμα συγκλείσασαν καὶ μύσασαν, οὕτω διαφθαρῆναι. καίτοι φέρεταί τις ἐπιστολὴ βρούτου πρὸς τοὺς φίλους ἐγκαλοῦντος, καὶ ὀλοφυρομένου περὶ τῆς πορκίας, ὡς ἀμεληθείσης ὑπ' αὐτῶν, καὶ προελομένης διὰ νόσον καταλιπεῖν τὸν βίον. ἔοικεν οὖν ὁ νικόλαος ἠγνοηκέναι τὸν χρόνον, ἐπεὶ τό γε πάθος, καὶ τὸν ἔρωτα τῆς γυναικὸς, καὶ τὸν τρόπον τῆς τελευτῆς, ὑπονοεῖν δίδωσι καὶ τὸ ἐπιστόλιον, εἴπερ ἄρα τῶν γνησίων ἐστίν. πολλῶν τοίνυν τοῖς ἀνδράσιν ὑπαρξάντων καλῶν, ἐν τοῖς πρώτοις δὲ τὸ μεγίστους, ἐλαχίσταις ἀφορμαῖς γενέσθαι. τοῦτο τῷ δίωνι κάλλιστόν ἐστιν. οὐ γὰρ εἶχε τὸν ἀμφισβητοῦντα, καθάπερ ὁ βροῦτος κάσσιον ἄνδρα πρὸς μὲν ἀρετὴν καὶ δόξαν οὐχ ὁμοίως ἀξιόπιστον, εἰς δὲ τὸν πόλεμον οὐκ ἔλαττον ἀπὸ τόλμης καὶ δεινότητί τι καὶ πράξει συμβολὰς παρασχόμενον. ὅς γε, καὶ τοῦ παντὸς ἔργου προσάπτουσιν ἔνιοι τὴν ἀρχὴν, ἡγεμόνα τῆς ἐπὶ καίσαρα γνώμης τοῦτον ἀφεμένῳ ταῦτα βρούτῳ γενέσθαι λέγοντες. δίων δ' ὥσπερ ὅπλα, καὶ πλοῖα, καὶ στρατιωτικὴν δύναμιν, οὕτω καὶ φίλους καὶ συνεργοὺς ἐπὶ τὴν πρᾶξιν αὐτὸς ἑαυτοῦ φαίνεται κτησάμενος. οὐ μὴν, οὐδ' ὡς βροῦτος ἐκ τῶν πραγμάτων αὐτῶν καὶ τοῦ πολέμου πλοῦτον ἔχων καὶ δύναμιν, οὕτω καὶ δίων. ἀλλὰ τῷ πολέμῳ προσεισήνεγκεν αὐτὸς τὸν ἑαυτοῦ πλοῦτον ὑπὲρ τῆς τῶν πολιτῶν ἐλευθερίας, τοῖς τῆς φυγῆς ἐφοδίοις προκαταχρησάμενος. ἔτι δὲ βροῦτος μὲν καὶ κάσσιος, οὐκ ὂν ἀσφαλὲς ἡσυχίαν ἄγειν ἐκπεσοῦσι τῆς ῥώμης, ἀλλ' ὠφληκόσι δίκην θανάτου καὶ διωκομένοις, ἀναγκαίως εἰς τὸν πόλεμον κατέφυγον. καὶ τὰ σώματα τοῖς ὅπλοις παρακαταθέμενοι διεκινδύνευσαν ὑπὲρ αὑτῶν τὸ πλέον, ἢ τῶν πολιτῶν. δίων δ' ἀδεέστερον τῇ φυγῇ τοῦ φυγαδεύσαντος τυράννου, καὶ ἥδιον διάγων, ἀνέρριψεν ἑκὼν κίνδυνον τοσοῦτον ἐπὶ τῷ σῶσαι σικελίαν. καὶ μὴν, οὐχ ὅμοιον διονυσίου συρακουσίοις, ἢ καίσαρος ἀπαλλαγῆναι ῥωμαίοις. ὁ μὲν γὰρ οὐδ' ἠρνεῖτο τύραννος εἶναι. καὶ κακῶν τε μυρίων ἐμπεπλήκει σικελίαν. ἡ δὲ καίσαρος ἀρχὴ συνισταμένη μὲν, οὐκ ὀλίγα τοῖς ἐναντιουμένοις πράγματα παρέσχε. δεξαμένοις δὲ καὶ κρατηθεῖσιν, ὄνομα καὶ δόκησις ἐφάνη μόνον. ἔργον δ' ἀπ' αὐτῆς οὐδὲν ὠμὸν οὐδὲ τυραννικὸν ὑπῆρξεν. ἀλλὰ καὶ δεομένοις ἔδοξε τοῖς πράγμασι μοναρχίας, πρᾳότατος ὥσπερ ἰατρὸς, ὑπ' αὐτοῦ τοῦ δαίμονος δεδόσθαι. διὸ καίσαρα μὲν, εὐθὺς ἐπόθησεν ὁ ῥωμαίων δῆμος, ὥστε χαλεπὸς γενέσθαι καὶ ἀπαραίτητος τοῖς ἀπεκτονόσι. δίωνα δ' ἡ διονυσίου πάρεσις ἐκ συρακουσῶν. καὶ τὸ μὴ κατασκάψαι τοῦ προτέρου τυράννου τὸν τάφον, ἐπαίτιον μάλιστα, πρὸς τοὺς πολίτας ἐποίησεν. ἐν αὐταῖς τοίνυν ταῖς πολεμικαῖς πράξεσιν. ὁ μὲν δίων, ἄμεμπτος γέγονε στρατηγός. ὧν μὲν αὐτὸς ἐβουλεύετο τοῖς πράγμασιν, ἄριστα χρώμενος. ἃ δ' ἐπταίσθη δι' ἑτέρους, ἀναλαβὼν, καὶ μεταστήσας ἐπὶ τὸ βέλτιον. ὁ δὲ βροῦτος τὸν ἔσχατον ἀγῶνα, ὑπὲρ τῶν ὅλων οὔτ' ἀποστῆναι δοκεῖ φρονίμως. οὔτε σφαλεὶς, ἐπανόρθωσιν εὑρεῖν. ἀλλ' ἀπεῖπε καὶ προήκατο τὰς ἐλπίδας. οὐδ' ὅσον πομπήιος ἐπὶ τὸ τολμήσας τῇ τύχῃ. καὶ ταῦτα πολλῆς μὲν αὐτόθι λειπομένης ἐλπίδος ἐν τοῖς ὅπλοις. ταῖς δὲ ναυσὶ κρατῶν πάσης βεβαίως τῆς θαλάσσης. ὁ δὲ, μέγιστόν ἐστιν ὧν ἐγκαλοῦσι βρούτῳ, τὸ σωθέντα τῇ καίσαρος χάριτι. καὶ σώσαντα τῶν συνεαλωκότων ὅσους ἐβούλετο, καὶ φίλον νομιζόμενον, καὶ προτιμηθέντα πολλῶν, αὐτόχειρα τοῦ σώσαντος γενέσθαι, τοῦτ' οὐκ ἄν τις εἴποι κατὰ δίωνος, ἀλλὰ τοὐναντίον. οἰκεῖος μὲν διονυσίῳ καὶ φίλος ὢν ὤρθου τὰ πράγματα καὶ συνδιεφύλαττεν. ἐκπεσὼν δὲ τῆς πατρίδος, καὶ ἀδικηθεὶς περὶ τὴν γυναῖκα, καὶ τὴν οὐσίαν ἀπολέσας, ἐκ προφανοῦς εἰς πόλεμον κατέστη νόμιμον καὶ δίκαιον. ἢ τοῦτ' ἀντιστρέφει πρῶτον. ὁ γὰρ εἰς ἔπαινον ὑπάρχει τοῖς ἀνδράσι μέγιστον, ἡ πρὸς τοὺς τυράννους ἀπέχθεια καὶ μισοπονηρία, τοῦτ' εἰλικρινές ἐστι τῷ βρούτῳ, καὶ καθαρόν. ἰδίᾳ γὰρ, οὐδὲν ἐγκαλῶν καίσαρι, τῆς κοινῆς προεκινδύνευεν ἐλευθερίας. ὁ δ' εἰ μὴ κακῶς ἔπαθεν αὐτὸς, οὐκ ἂν ἐπολέμησεν. καὶ τοῦτο δηλοῦται ταῖς πλάτωνος ἐπιστολαῖς, ἐξ ὧν δῆλός ἐστιν ὡς ἀποβληθεὶς τῆς τυραννίδος, οὐκ ἀποστὰς κατέλυσε διονύσιον. ἔτι βροῦτον μὲν καὶ πομπηΐῳ φίλον ἐποίησεν ἐχθρὸν ὄντα καὶ πολέμιον καίσαρι, τὸ κοινῇ συμφέρον. ὡς ἔχθρας ὅρῳ καὶ φιλίας ἑνὶ χρώμενον τῷ δικαίῳ. δίων δὲ πρὸς χάριν ὤρθου πολλὰ διονύσιον ὅτε ἦν βέβαιος αὐτῷ. καὶ πρὸς ὀργὴν ἀπιστηθεὶς, ἐπολέμησεν. διὸ τούτῳ μὲν, οὐδ' οἱ φίλοι πάντες ἐπίστευσαν, ὡς μεταστήσας διονύσιον, οὐκ ἂν βεβαιώσαιτο τὴν ἀρχὴν αὑτῷ, πρᾳοτέρῳ τυραννίδος ὀνόματι παραγαγὼν τοὺς πολίτας. περὶ δὲ τοῦ βρούτου τῶν ἐχθρῶν ἦν ἀκούειν, ὅτι μόνος τῶν ἐπὶ καίσαρα συνομοσαμένων, ἓν προὔθετο σκοπὸν ἀπ' ἀρχῆς ἄχρι τέλους, τὴν πάτριον ἀποδοῦναι ῥωμαίοις πολιτείαν. ἀλλά γε μὴν τούτων. ὁ πρὸς διονύσιον ἀγὼν, οὐχ ὅμοιος ἦν δήπου, τῷ πρὸς καίσαρα. διονυσίου μὲν γὰρ, οὐδεὶς ὅστις οὐκ ἂν κατεφρόνησε τῶν συνήθων, ἐν μέθαις καὶ κύβοις καὶ γυναιξὶ, τὰς πλείστας ποιουμένου διατριβάς. τὸ δὲ τὴν καίσαρος καταλύσεως εἰς νοῦν ἐμβαλέσθαι, καὶ μὴ φοβηθῆναι τὴν δεινότητα καὶ δύναμιν καὶ τύχην, οὗ καὶ τοὔνομα, τοὺς παρ'

θαι νομίζοντες ἤτοι τὸν ἄνδρα, σκότους ἤδη προπέμψαντες ἐξ αὐτῶν τινὰς ἀγγέλους παρὰ τὸν ἀντώνιον. αὐτός τε οὕτω καθεὶς ἀπήντα τοῖς ἄγουσιν. καὶ τῶν ἄλλων οἱ πυνθανόμενοι ζῶντα βροῦτον κομίζεσθαι συνετρόχαζον. οἱ μὲν, ἐλεεινὸν ἡγούμενοι τῆς τύχης. οἱ δὲ τῆς δόξης ἀνάξιον, ἄγραν βαρβάρων ὑπὸ φιλοψυχίας γενόμενον. Ἐπεὶ δ' ἐγγὺς ἦσαν, ὁ μὲν ἀντώνιος ὑπέστη διαπορῶν, ὅπως χρὴ δέξασθαι τὸν βροῦτον. ὁ δὲ λουκίλλιος προσαχθεὶς μάλα τεθαῤῥηκὼς, μάρκον μὲν εἶπεν ἀντώνιε βροῦτον οὐδεὶς ἥρηκεν. οὐδ' ἂν ἕλοι πολέμιος. μὴ τοσοῦτον ἡ τύχη κρατήσειε τῆς ἀρετῆς. ἀλλ' ἐκεῖνος εὑρεθήσεται ζῶν, ἤπου καὶ νεκρὸς, ἀξίως κείμενος ἑαυτοῦ. ἐγὼ δὲ τοὺς σοὺς στρατιώτας παρακρουσάμενος ἥκω. παθεῖν οὐδὲν ἐπὶ τούτῳ τῶν ἀνηκέστων παραιτούμενος. Ταῦτ' εἰπόντος τοῦ λουκιλλίου, καὶ πάντων ἐκπλαγέντων. ἀντώνιος πρὸς τοὺς κομίσαντας αὐτὸ ἀποβλέψας. ἦπου χαλεπῶς εἶπεν ὦ συστρατιῶται φέρετε τῇ ἁμαρτίᾳ περιυβρίσθαι δοκοῦντες. ἀλλ' εὖ ἴστε κρείττονα τῆς ζητουμένης ἄγραν εὑρηκότες. πολέμιον γὰρ ζητοῦντες, ἥκετε φίλον ἡμῖν κομίζοντες. ὡς ἐγὼ βρούτῳ μὲν, οὐκ οἶδα μὰ τοὺς θεοὺς, ὅτι ἂν ἐχρησάμην ζῶντι. τοιούτων δ' ἀνδρῶν φίλων τυγχάνοιμι μᾶλλον, ἢ πολεμίων, ταῦτ' εἰπὼν καὶ τὸν λουκίλλιον ἀσπασάμενος, τότε μὲν ἑνὶ τῶν φίλων συνέστησεν, ὕστερον δὲ, χρώμενος εἰς πάντα πιστῷ καὶ βεβαίῳ διετέλεσεν. βροῦτος δὲ, διαβάς τι ῥέεθρον ὑλῶδες καὶ παράκρημνον, ἤδη σκότους ὄντος, οὐ πολὺ προῆλθεν, ἀλλ' ἐν τόπῳ κοίλῳ, καὶ πέτραν ἔχοντι μεγάλην προκειμένην καθίσας, ὀλίγων περὶ αὐτὸν ἡγεμόνων καὶ φίλων ὄντων, πρῶτα μὲν, ἀποβλέψας εἰς τὸν οὐρανὸν, ἀστέρων ὄντα μεστὸν ἀνεφθέγξατο δύο στίχους. ὧν τὸν ἕτερον, βολούμνιος ἀνέγραψεν.

» Ζεῦ μὴ λάθοι σε, τῶνδ' ὃς αἴτιος κακῶν.

τοῦ δ' ἑτέρου φησὶν ἐπιλαθέσθαι. Μετὰ δὲ μικρὸν τῶν ἐν τῇ μάχῃ πρὸ αὐτοῦ πεσόντων ἑταίρων, ἕκαστον ὀνομάζων, μάλιστα τῇ φλαβίου μνήμῃ, καὶ τῇ λαβεωνίου ἐπεστέναξεν. ἦν δ' αὐτοῦ πρεσβευτὴς ὁ λαβεών. ὁ δὲ φλάβιος, ἔπαρχος τῶν τεχνιτῶν. ἐν τούτῳ δέ τις αὐτός τε διψήσας, καὶ τὸν βροῦτον ὁρῶν ὁμοίως ἔχοντα, λαβὼν κράνος ἐπὶ τὸν ποταμὸν κατέδραμεν. ψόφου δὲ κατὰ θάτερα προσπεσόντος, βολούμνιος προῆλθεν κατοψόμενος, καὶ σὺν αὐτῷ δάρδανος ὁ ὑπασπιστής. ἐπανελθόντες δὲ μετὰ μικρὸν, ἠρώτησαν περὶ τοῦ πόματος. ἠθικῶς δὲ σφόδρα μειδιάσας ὁ βροῦτος πρὸς τὸν βολούμνιον, ἐκπέποται εἶπεν. ἀλλ' ἕτερον ὑμῖν κομισθήσεται. πεμφθεὶς δ' ὁ αὐτὸς ἐκινδύνευσεν ὑπὸ τῶν πολεμίων ἁλῶναι, καὶ μόλις ἐσώθη τετρωμένος. εἴκαζεν δ' αὐτῷ, μὴ πολλοὺς ἐν τῇ μάχῃ τεθνάναι, στατύλλιος ὑπέστη διὰ τῶν πολεμίων ἐκπεσσάμενος. ἄλλως γὰρ οὐκ ἦν κατοψεσθαι τὸ στρατόπεδον, καὶ πυρσὸν ἄρας, ἂν πάντα εὕρῃ τἀκεῖ σωζόμενα, πάλιν ἀφίξεσθαι πρὸς αὐτόν. ὁ μὲν οὖν πυρσὸς ἤρθη τοῦ στατυλλίου παρελθόντος εἰς τὸ στρατόπεδον. ὡς δ' οὐκ ἐπανῄει χρόνῳ πολλῷ βροῦτος. εἶπεν ἂν ζῇ στατύλλιος, ἀφίξεται. συνέβη δ' αὐτὸν ἐπανερχόμενον ἐμπεσεῖν εἰς τοὺς πολεμίους καὶ διαφθαρῆναι. προϊούσης δὲ τῆς νυκτὸς ἀποκλίνας ὡς ἔτυχεν καθεζόμενος πρὸς οἰκέτην ἑαυτοῦ κλεῖτον ἐλάλει. σιωπῶντος δὲ τοῦ κλείτου καὶ δακρύοντος, αὖθις ἐπισπασάμενος τὸν ὑπασπιστὴν δάρδανον, ἰδίᾳ τινὰς αὐτῷ προσέφερε λόγους. τέλος δὲ, τὸν βολούμνιον αὐτὸν ἑλληνιστὶ τῶν λόγων καὶ τῆς ἀσκήσεως ὑπεμίμνησκε, καὶ παρεκάλει τῇ χειρὶ συνεφάψασθαι τοῦ ξίφους αὐτῷ, καὶ συνεπερεῖσαι τὴν πληγήν. τοῦ δὲ βολουμνίου διωσαμένου καὶ τῶν ἄλλων ὁμοίως ἐχόντων. εἰπόντος δέ τινος ὡς δεῖ μὴ μένειν, ἀλλὰ φεύγειν ἐξαναστὰς, πάνυ μὲν οὖν ἔφη φευκτέον, ἀλλ' οὐ διὰ τῶν ποδῶν, ἀλλὰ διὰ τῶν χειρῶν. Ἐμβαλὼν δὲ τὴν δεξιὰν ἑκάστῳ, μάλα φαιδρὸς, ἥδεσθαι μὲν ἔφη μεγάλην ἡδονήν. ὅτι τῶν φίλων, αὐτὸν οὐδεὶς ἐψεύσατο, τῇ τύχῃ δ' ἐγκαλεῖν ὑπὲρ τῆς πατρίδος, ἑαυτὸν δὲ τῶν νενικηκότων μακαριώτερον νομίζειν, οὐκ ἐχθὲς οὐδὲ πρώην μόνον, ἀλλὰ καὶ νῦν, ἀπολείποντα δόξαν ἀρετῆς. ἣν οὔθ' ὅπλοις οὔτε χρήμασιν, ἀπολείψουσιν οἱ κεκρατηκότες, ὡς μὴ δοκεῖν, ὅτι δικαίους ἄνδρας ἄδικοι, καὶ κακοὶ χρηστοὺς ἀπολέσαντες, οὐ προσηκόντως ἄρχουσιν. δεηθεὶς δὲ, καὶ παρακαλέσας σώζειν ἑαυτοὺς, ἀνεχώρησεν ἀπωτέρω μετὰ δύο ἢ τριῶν. ὧν ἦν καὶ στράτων ὁ ἀπὸ λόγων ῥητορικῶν, γεγονὼς αὐτῷ συνήθης, καὶ τοῦτον ἔγγιστα παραστησάμενος ἑαυτῷ καὶ τὸ ξίφος γυμνὸν, ἐπὶ τῆς λαβῆς ταῖς χερσὶν ἀμφοτέραις ἐρείσας καὶ περιπεσὼν ἐτελεύτησεν. οἱ δὲ φασὶν οὐκ αὐτὸν, ἀλλὰ τὸν στράτωνα. πολλὰ πάνυ τοῦ βρούτου δεηθέντος ἀποστρέψαντα τὴν ὄψιν, ὑποστῆσαι τὸ ξίφος, ἐκεῖνον δὲ ῥύμῃ προσβαλόντα τὸ στέρνον, καὶ διώσαντα, συντόμως ἀποθανεῖν. Τοῦτον δὲ τὸν στράτωνα μεσσάλας ἑταῖρος ὢν βρούτῳ, καίσαρι διαλλαγεὶς, ἐπὶ σχολῆς ποτὲ προσήγαγε. καὶ δακρύσας εἶπεν. οὗτός ἐστιν ὦ καῖσαρ ὁ ἀνὴρ ὁ τῷ ἐμῷ βρούτῳ τὴν τελευταίαν ὑπουργήσας χάριν. ἀποδεξάμενος οὖν ὁ καῖσαρ ἔσχεν αὐτὸν ἔν τε τοῖς πόνοις. καὶ ἐν τοῖς περὶ ἄκτιον ἀγῶσιν ἕνα τῶν περὶ αὐτὸν ἀγαθῶν γενομένων ἑλλήνων. Αὐτὸν δὲ τὸν μεσσάλαν λέγουσιν ὕστερον ἐπαινούμενον ὑπὸ καίσαρος, ὅτι καίπερ ἐν φιλίπποις πολεμιώτατος αὐτοῖς γενόμενος διὰ βροῦτον, ἐν ἀκτίῳ προθυμότατον ἑαυτὸν παρέχων, ἰνῶσσοι φάναι ὦ καῖσαρ, ἀεὶ τοῦ βελτίονος καὶ δικαιοτέρου τιμῆς καὶ μερίδος ἐγενόμην. Τὸν δὲ βροῦτον ὁ ἀντώνιος ἀνευρὼν τεθνηκότα, τὸ μὲν σῶμα, τῇ πολυτελεστάτῃ τῶν ἑαυτοῦ φοινικίδων περι

αὐτοῦ

ἐκπεσσάμενος. τ. ς.

ἴσως. τ.

ὅτι τοὺς κασσίου στρατιώτας ἄλλως βελτίους παρέξειν, δυσμεταχείριστοι γὰρ ἦσαν. ἐν μὲν τῷ στρατοπέδῳ δι' ἀναρχίαν θρασυνόμενοι. πρὸς δὲ τοὺς πολεμίους διὰ τὴν ἧτταν ἀποδειλιῶντες. Οὐδὲν δὲ βέλτιον εἶχε τὰ πράγματα τοῖς περὶ καίσαρα καὶ ἀντώνιον, ἀγορᾷ τε χρωμένοις ἀναγκαίᾳ, καὶ διὰ κοιλότητα τοῦ στρατοπέδου, χειμῶνα μοχθηρὸν προσδοκῶσιν. εἰλούμενοι γὰρ πρὸς ἕλεσι. καὶ μετὰ τὴν μάχην, ὄμβρων φθινοπωρινῶν ἐπιγινομένων, πηλοῦ κατεπίμπλαντο τὰς σκηνὰς, καὶ ὕδατος παραχρῆμα πηγνυμένου διὰ ψῦχος. ἐν τούτῳ δ' οὖσιν αὐτοῖς. ἧκον ἀγγελίαι, περὶ τῆς κατὰ θάλατταν γενομένης ἀτυχίας περὶ τὴν στρατιάν. ἐξ ἰταλίας γὰρ, πολλὴν κομιζομένην παρὰ καίσαρος, αἱ βρούτου νῆες ἐπιπεσοῦσαι διέφθειραν. ὧν ὀλίγοι παντάπασι τοὺς πολεμίους διαφυγόντες ὑπὸ λιμοῦ τῶν ἱστίων καὶ τῶν σχοινίων ἐσθίοντες διεγένοντο. Ταῦτ' ἀκούσαντες, ἔσπευδον διὰ μάχης κριθῆναι, πρὶν αἰσθέσθαι τὸν βροῦτον, ὅσον αὐτῷ γέγονεν εὐτυχίας. καὶ γὰρ μιᾷ ἡμέρᾳ συνέβη, τόν τε κατὰ γῆν ἅμα, καὶ τὸν κατὰ θάλατταν ἀγῶνα κριθῆναι. τύχῃ δέ τινι μᾶλλον ἢ κακίᾳ τῶν ἐν ταῖς ναυσὶν ἡγεμόνων, ἠγνόησε τὸ κατόρθωμα βροῦτος ἡμέρας εἴκοσι διαγενομένων. οὐ γὰρ ἂν εἰς δευτέραν μάχην προῆλθεν. τὰ μὲν ἀναγκαῖα τῇ στρατιᾷ παρεσκευασμένος εἰς πολὺν χρόνον. ἐν καλῷ δὲ τῆς χώρας ἱδρυμένος. ὥστε καὶ χειμῶνος ἀπαθὲς, καὶ πρὸς τοὺς πολεμίους δυσεκβίαστον

κ. ς. ὁ λό. τ.

ἔχειν τὸ στρατόπεδον. τῷ δὲ κρατεῖν βεβαίως τῆς θαλάττης. καὶ νενικηκέναι πεζῇ τὸ καθ' αὐτὸν ἐπ' ἐλπίδων μεγάλων καὶ φρονήματος γεγονώς. ἀλλὰ τῶν πραγμάτων ὡς ἔοικεν, οὐκ ἔτι πολλοῖς ὄντων καθεκτῶν, ἀλλὰ μοναρχίας δεομένων, ὁ θεὸς ἐξάγειν καὶ μεταστῆσαι τὸν μόνον ἐμποδὼν ὄντα τῷ κρατεῖν δυναμένῳ βουλόμενος, ἀπέκοψε τὴν τύχην ἐκείνην, καίπερ ἐγγυτάτω τοῦ μὴ λαθεῖν τὸν βροῦτον ἀφικομένην. μέλλοντος γὰρ αὐτοῦ μάχεσθαι, πρὸ μιᾶς ἡμέρας ὀψὲ κλώδιός τις ἐκ τῶν πολεμίων αὐτόμολος, ἧκεν ἀγγέλλων, ὅτι διεφθαρμένον ἠσθημένοι τὸν στόλον οἱ περὶ καίσαρα σπεύδουσι διαγωνίσασθαι. Ταῦτα λέγων ὁ ἄνθρωπος οὐκ εἶχε πίστιν, οὐδ' εἰς ὄψιν ἦλθε τῷ βρούτῳ καταφρονηθεὶς παντάπασιν, ὡς μηδὲν ἀκηκοὼς ὑγιὲς, ἢ τὰ ψευδῆ πρὸς χάριν ἀπαγγέλλων. ἐν ἐκείνῃ δὲ τῇ νυκτὶ πάλιν φασὶν εἰς ὄψιν ἐλθεῖν τὸ φάσμα τῷ βρούτῳ καὶ τὴν αὐτὴν ἐπιδειξάμενον ὄψιν, οὐδὲν εἰπεῖν, ἀλλ' οἴχεσθαι. πόπλιος δὲ βολούμνιος ἀνὴρ φιλόσοφος καὶ συνεστρατευμένος ἀπ' ἀρχῆς βρούτῳ, τοῦτο μὲν οὐ λέγει τὸ σημεῖον, μελισσῶν δέ φησι τὸν πρῶτον ἀετὸν ἀνάπλεων γενέσθαι. καὶ τῶν ταξιάρχων τινὸς ἀπ' αὐτομάτου τὸν βραχίονα μύρον ῥόδινον ἐξανθεῖν. καὶ πολλάκις ἐξαλείφοντας καὶ ἀπομάττοντας μηδὲν περαίνειν. καὶ πρὸ τῆς μάχης αὐτῆς, ἀετοὺς δύο συμπεσόντας ἀλλήλοις ἐν μεταιχμίῳ τῶν στρατοπέδων μάχεσθαι, καὶ σιγὴν ἄπιστον ἔχειν τὸ πεδίον, θεωμένων ἁπάντων. εἶξαι δὲ καὶ φυγεῖν, τὸν κατὰ βροῦτον. ὁ δ' αἰθίοψ περιβόητος γέγονεν, ὁ τῆς πύλης ἀνοιχθείσης ἀπαντήσας τῷ φέροντι τὸν ἀετὸν, καὶ κατακοπεὶς ταῖς μαχαίραις ὑπὸ τῶν στρατιωτῶν οἰωνισαμένων. Προαγαγὼν δὲ τὴν φάλαγγα, καὶ καταστήσας ἐναντίαν τοῖς πολεμίοις ἐπεῖχε πολὺν χρόνον. ὑποψίαι γὰρ αὐτῷ καὶ μηνύσεις κατά τινων προσέπιπτον ἐπισκοποῦντι τὸ στράτευμα. καὶ τοὺς ἱππέας ἑώρα μάχης ἄρχειν, οὐ πάνυ προθύμους ὄντας. ἀλλ' ἀεὶ προσμένοντας τὸ τῶν πεζῶν ἔργον. εἶτ' ἐξαίφνης ἀνὴρ πολεμικὸς, καὶ τετιμημένος ἐπ' ἀνδρείᾳ διαπρεπῶς, παρὰ τὸν βροῦτον αὐτὸν ἐξιππασάμενος μεταβάλλεται πρὸς τοὺς πολεμίους. καμουλάτος δ' ἐκαλεῖτο. τοῦτον ἰδὼν ὁ βροῦτος ἤλγησεν ἰσχυρῶς. καὶ τὰ μὲν, ἀπ' ὀργῆς, τὰ δὲ φόβῳ μείζονος μεταβολῆς, καὶ προδοσίας, εὐθὺς ἐπὶ τοὺς ἐναντίους ἦγεν εἰς ὥραν ἐνάτην, τοῦ ἡλίου καταφερομένου. καὶ τῷ μὲν καθ' αὐτὸν, ἐκράτησε μέρει, καὶ προῆλθεν ὑποχωροῦντι τῷ ἀριστερῷ, τῶν πολεμίων ἐγκείμενος. καὶ συνεπέρρωσαν οἱ ἱππεῖς, ἅμα τοῖς πεζοῖς ἐμβαλόντες τεταραγμένοις. τὸ δ' ἕτερον κέρας, ὡς μὴ κυκλωθείη τῶν ἡγεμόνων ἀντιπαρεξαγόντων, πλήθει δὲ λειπομένων, διεσπᾶτο τὸ μέσον. καὶ γινόμενον ἀσθενὲς οὐκ ἀντεῖχε τοῖς ἐναντίοις, ἀλλ' ἔφυγε πρῶτον. οἱ δὲ, τοῦτο διακόψαντες, εὐθὺς ἐκυκλοῦντο τὸν βροῦτον αὐτὸν

συνεπέρρωσ. τ.

μὲν ὅσα στρατηγικῆς, καὶ στρατιωτικῆς ἀρετῆς ἔργα, καὶ χειρὶ καὶ γνώμῃ παρὰ τὰ δεινὰ, πρὸς τὸ νικᾶν ἀποδεικνύμενον. ᾧ δὲ πλέον ἔσχε τῇ προτέρᾳ μάχῃ, τούτῳ βλαπτόμενον. τῶν μὲν γὰρ πολεμίων τὸ νικηθὲν εὐθὺς ἀπωλώλει τότε. τῶν δὲ κασσίου τραπέντων ὀλίγοι διεφθάρησαν. οἱ δὲ σωζόμενοι, τῷ προηττῆσθαι περιδεεῖς ὄντες, ἀνεπλήρωσαν ἀθυμίας, καὶ ταραχῆς τὸ πλεῖστον τοῦ στρατεύματος. Ἐνταῦθα καὶ μάρκος ὁ κάτωνος υἱὸς ἐν τοῖς ἀρίστοις καὶ γενναιοτάτοις τῶν νέων μαχόμενος, καὶ καταπονούμενος οὐκ ἔφυγεν, οὐδ' εἶξεν. ἀλλὰ χρώμενός τε τῇ χειρί. καὶ φράζων ὅς τις εἴη, καὶ πατρόθεν ὀνομάζων, ἔπεσεν ἐπὶ πολλοῖς νεκροῖς τῶν πολεμίων. ἔπιπτον δὲ, καὶ τῶν ἄλλων οἱ κράτιστοι, τοῦ βρούτου προκινδυνεύοντες. Ἦν δέ τις λουκίλλιος ἀνὴρ ἀγαθὸς ἐν τοῖς ἑταίροις. οὗτος ὁρῶν βαρβάρους τινὰς ἱππέας ἐν τῇ διώξει, τῶν μὲν ἄλλων οὐδένα ποιουμένους λόγον, ἐλαύνοντας δὲ ῥύδην ἐπὶ τὸν βροῦτον, ἔγνω παρακινδυνεύσας, ἐμποδὼν αὐτοῖς γενέσθαι καὶ μικρὸν ὑπολειφθεὶς, αὐτὸς ἔφη βροῦτος εἶναι. καὶ πιθανὸς ἦν, πρὸς ἀντώνιον δεόμενος ἄγειν ἑαυτὸν, ὡς καίσαρα δεδοικὼς, ἐκείνῳ δὲ θαρρῶν. οἱ δ' ἀσπασάμενοι τὸ εὕρημα, καὶ τύχῃ τινὶ θαυμαστῇ κεχρῆ-

ζόμενον ὑπὸ τῶν πολεμίων ἰδεῖν, ἀπεχώρησεν εἰς τινα σκηνὴν ἔρημον, ἕνα τῶν ἀπελευθέρων ἐφελκυσάμενος Πίνδαρον, ὃν ἐκ τῶν κατὰ Κράσσον ἀτυχημάτων, ἐπὶ ταύτην εἶχε τὴν ἀνάγκην ὑπ᾿ αὐτοῦ παρεσκευασμένον. Ἀλλὰ Πάρθους μὲν διέφυγε. τότε δὲ τὰς χλαμύδας ἐπὶ τὴν κεφαλὴν ἀναγαγὼν, καὶ γυμνώσας τὸν τράχηλον, ἀποκόψαι παρεῖχεν. εὑρέθη γὰρ ἡ κεφαλὴ δίχα τοῦ σώματος. τὸν δὲ Πίνδαρον οὐδεὶς εἶδεν ἀνθρώπων μετὰ τὸν φόνον. ὅθεν οὐ καὶ παρέσχεν ἐνίους δόξαι, ἀνελεῖν τὸν ἄνδρα μὴ κελευσθείς. Ὀλίγῳ δ᾿ ὕστερον οἱ ἱππεῖς ἐγνώσθησαν, καὶ Τιτίνιος ἐστεφανωμένος ὑπ᾿ αὐτῶν ἀπῄει πρὸς Κάσσιον. ὡς δὲ κλαυθμῷ καὶ βοῇ τῶν φίλων ὀδυρομένων καὶ δυσφορούντων, ἔγνω τὸ πάθος τοῦ στρατηγοῦ καὶ τὴν ἄγνοιαν. ἐσπάσατο τὸ ξίφος, καὶ πολλὰ κακίσας τῆς βραδυτῆτος, ἑαυτὸν ἀπέσφαξεν. Βροῦτος δὲ τὴν μὲν ἧτταν ἐγνωκὼς τοῦ Κασσίου προσήλαυνε. τὸν δὲ θάνατον ἐγγὺς ἤδη τοῦ χάρακος ἤκουσε. καὶ τὸ μὲν σῶμα περικλαύσας, καὶ προσαγορεύσας ἔσχατον ἄνδρα Ῥωμαίων τὸν Κάσσιον, ὡς οὐκ ἔτι τῇ πόλει τηλικούτου φρονήματος ἐγγενέσθαι δυναμένου, περιέστειλε καὶ ἀπέπεμψεν εἰς Θάσον ὡς μὴ σύγχυσιν αὐτόθι παράσχοι κηδευόμενον. αὐτὸς δὲ τοὺς στρατιώτας συναγαγὼν παρεμυθήσατο. καὶ πάντων ὁρῶν ἀπεστερημένους τῶν ἀναγκαίων, ὑπέσχετο κατ᾿ ἄνδρα δισχιλίας δραχμὰς ἀντὶ τῶν ἀπολωλότων. οἱ δὲ πρός τε τοὺς λόγους, ἀνεθάρρησαν αὐτοῦ. καὶ τῆς δωρεᾶς ἐθαύμασαν τὸ μέγεθος. καὶ μετὰ βοῆς προὔπεμψαν ἀπιόντα μεγαλύνοντες, ὡς μόνον ἀήττητον ἐν τῇ μάχῃ τῶν τεσσάρων αὐτοκρατόρων γεγενημένον. ἐμαρτύρει δὲ τὸ ἔργον, ὅτι τῇ μάχῃ περιέσεσθαι καλῶς ἐπίστευεν. ὀλίγοις γὰρ τάγμασιν, ἅπαντας ἐτρέψατο τοὺς ἀντιστάντας. εἰ δὲ πᾶσιν ἐχρήσατο πρὸς τὴν μάχην, καὶ μὴ παρελθόντες οἱ πλεῖστοι τοὺς πολεμίους, ἐπὶ τὰ τῶν πολεμίων ὥρμησαν, οὐδὲν ἂν ἐδόκει μέρος αὐτῶν ἀπολιπεῖν ἀήττητον.

Ἔπεσον δὲ τούτων μὲν, ὀκτακισχίλιοι σὺν τοῖς στρατευομένοις οἰκέταις, οὓς βρίγας ὁ Βροῦτος ὠνόμαζεν. τῶν δ᾿ ἐναντίων, Μεσσάλας φησὶν οἴεσθαι πλείους, ἢ διπλασίους. διὸ καὶ μᾶλλον ἠθύμουν ἐκεῖνοι, πρὶν ἢ Κασσίου θεράπων, ὄνομα Δημήτριος ἀφίκετο πρὸς Ἀντώνιον ἑσπέρας, εὐθὺς ἀπὸ τοῦ νεκροῦ τὰς χλαμύδας λαβὼν καὶ τὸ ξίφος, ὧν κομισθέντων οὕτως ἐθάρρησαν. ὥστε ἅμ᾿ ἡμέρᾳ προάγειν ὡπλισμένην ἐπὶ μάχην τὴν δύναμιν. Βρούτῳ δὲ τῶν στρατοπέδων ἑκατέρου σαλεύοντος ἐπισφαλῶς. τὸ μὲν γὰρ αὐτοῦ καταπεπλησμένον αἰχμαλώτων, ἐδεῖτο φυλακῆς ἀκριβοῦς. τὸ δὲ Κασσίου τὴν μεταβολὴν τοῦ ἄρχοντος οὐ ῥᾳδίως ἔφερεν. ἀλλὰ καὶ φθόνου τι καὶ μίσους ἡττημένοις ἐνῆν αὐτοῖς πρὸς τὸ νενικηκός, ὁπλίσαι μὲν ἔδοξε τὸ στράτευμα. μάχης δ᾿ ἀπέσχετο. τῶν δ᾿ αἰχμαλώτων. τὸ μὲν δουλικὸν πλῆθος ἐμπλεκόμενον ὕποπτως τοῖς ὅπλοις, ἐκέλευσεν ἀναιρεθῆναι. τῶν δ᾿ ἐλευθέρων. τοὺς μὲν ἀπέλυε φάσκων ὑπὸ τῶν πολεμίων μᾶλλον ἡλωκέναι αὐτούς. καὶ παρ᾿ ἐκείνοις αἰχμαλώτους εἶναι καὶ δούλους. παρ᾿ αὐτῷ δ᾿ ἐλευθέρους καὶ πολίτας. Ὡς δὲ τοὺς φίλους ἑώρα καὶ τοὺς ἡγεμόνας ἀδιαλλάκτως ἔχοντας, ἀποκρύπτων καὶ συνεκπέμπων ἔσωζεν. ἦν δέ τις Βολούμνιος μῖμος καὶ Σακουλίων γελωτοποιὸς ἡλωκότες, οὓς ἐν οὐδενὶ λόγῳ τιθεμένου τοῦ Βρούτου, προσάγοντες οἱ φίλοι κατηγόρουν. ὡς οὐδὲ νῦν, τοῦ λέγειν καὶ σκώπτειν πρὸς ὕβριν αὐτῶν ἀπεχομένους. ἐπεὶ δὲ Βροῦτος μὲν ἐσιώπα πρὸς ἑτέραις ὢν φροντίσι, Μεσσάλας δὲ Κορβῖνος ἐδικαίου πληγαῖς κολασθέντας ἐπὶ σκηνῆς γυμνοὺς ἀποδοθῆναι τοῖς στρατηγοῖς τῶν πολεμίων. ὅπως εἰδῶσιν, οἵων δέονται στρατευόμενοι συμποτῶν, καὶ συνήθων, ἔνιοι μὲν τῶν παρόντων ἐγέλασαν. Πόπλιος δὲ Κάσκας ὁ πρῶτος Καίσαρα πατάξας, οὐ καλῶς ἔφη τεθνηκότι Κασσίῳ παίζοντες καὶ γελωτοποιοῦντες ἐναγίζομεν. σὺ δὲ εἶπεν ὦ Βροῦτε δείξεις ὅπως ἔχεις μνήμης πρὸς τὸν στρατηγὸν, ἢ κολάσας ἢ φυλάξας τοὺς χλευασομένους, καὶ κακῶς ἐροῦντας αὐτόν. Πρὸς τοῦτο Βροῦτος εὖ μάλα δυσχεράνας τί οὖν εἶπεν ἐμοῦ πυνθάνεσθε Κάσκα, καὶ οὐ πράττετε τὸ δόξαν ὑμῖν. ταύτην ἐκείνου τὴν ἀπόκρισιν συγκατάθεσιν ποιησάμενοι κατὰ τῶν ἀθλίων ἀνθρώπων, διέφθειραν αὐτοὺς ἀπαγαγόντες. ἐκ τούτου τὴν δωρεὰν ἀπέδωκε τοῖς στρατιώταις, καὶ μικρὸν μεμψάμενος ἐπὶ τῷ τὸ σύνθημα μὴ λαβόντας ἄνευ παραγγέλματος ἀτακτότερον ἐνάλλεσθαι τοῖς πολεμίοις, ὑπέσχετο καλῶς ἀγωνισαμένοις δύο πόλεις εἰς ἁρπαγὴν καὶ ὠφέλειαν ἀνήσειν Θεσσαλονίκην καὶ Λακεδαίμονα. τοῦτο τῷ Βρούτῳ βίῳ μόνον ἔνεστι τῶν ἐγκλημάτων ἀναπολόγητον. εἰ καὶ πολὺ τούτων δεινότερα νικητήρια τοῖς στρατευομένοις Ἀντώνιος καὶ Καῖσαρ ἀπέτισαν, ὀλίγου δεῖν, πάσης Ἰταλίας τοὺς παλαιοὺς οἰκήτορας ἐξελάσαντες, ἵνα χώραν ἐκεῖνοι καὶ πόλεις τὰς μὴ προσηκούσας λάβωσιν. ἀλλὰ τούτοις μὲν ἄρχειν καὶ κρατεῖν ὑπέκειτο, τὸ τοῦ πολέμου τέλος. Βρούτῳ δὲ διὰ δόξαν ἀρετῆς, οὔτε νικᾶν οὔτε σώζεσθαι συνεχωρεῖτο παρὰ τῶν πολλῶν, ἢ μετὰ τοῦ καλοῦ, καὶ δικαίου. καὶ ταῦτα, Κασσίου τεθνηκότος ὃς αἰτίαν εἶχεν καὶ Βροῦτον ἐνάγειν εἰς ἔνια τῶν βιαιοτέρων. ἀλλ᾿ ὥσπερ ἐν πλῷ, πηδαλίου συντριβέντος, ἕτερα ξύλα προσηλοῦν, καὶ προσαρμόττειν ἐπιχειροῦσιν, οὐκ εὖ μὲν, ἀναγκαῖα δὲ μαχόμενοι πρὸς τὴν χρείαν, οὕτω Βροῦτος ἐν δυνάμει τοσαύτῃ καὶ μετεώροις πράγμασιν, οὐκ ἔχων ἰσόρροπον στρατηγὸν ἠναγκάζετο χρῆσθαι τοῖς παροῦσι. καὶ πολλὰ πράσσειν, καὶ λέγειν τῶν ἐκείνοις δοκούντων. ἐδόκει δ᾿

ριέβαλλεν. Ἔτυχον δ' οἱ περὶ Ἀντώνιον ἀπὸ τῶν ἑλῶν οἷς περιεστρατοπέδευον, ἐμβαλόντες τάφρους εἰς τὸ πεδίον, καὶ τὰς ἐπὶ θάλασσαν ὁδοὺς τοῦ Κασσίου περικόπτοντες. ἐφήδρευε δὲ Καῖσαρ, οὐ παρὼν αὐτὸς δι' ἀσθένειαν, ἀλλ' ἡ δύναμις οὐ πάνυ μαχεῖσθαι προσδοκῶσα τοὺς πολεμίους, ἀλλὰ μόνον ἐκδρομαῖς χρήσεσθαι πρὸς τὰ ἔργα καὶ βέλεσιν ἐλαφροῖς καὶ θορύβοις, τοὺς ὀρύσσοντας ἐπιταράξειν. καὶ τοῖς ἀντιτεταγμένοις οὐ προσέχοντες ἐθαύμαζον τὴν περὶ τὰς τάφρους κραυγὴν ἄσημον οὖσαν καὶ πολλὴν προσφερομένην. Ἐν τούτῳ γραμματείων τε παρὰ Βρούτου τοῖς ἡγεμόσι φοιτώντων ἐν οἷς ἦν τὸ σύνθημα γεγραμμένον, αὐτοῦ τε παρεξιόντος ἵππῳ τὰ τάγματα, καὶ παραθαρρύνοντος, ὀλίγοι μὲν ἔφθασαν ἀκοῦσαι τὸ σύνθημα παρεγγυώμενον. οἱ δὲ πλεῖστοι μὴ προσμείναντες, ὁρμῇ μιᾷ καὶ ἀλαλαγμῷ προσεφέροντο τοῖς πολεμίοις. γενομένης δὲ δι' ἀταξίαν ταύτην ἀνωμαλίας, καὶ διασπασμοῦ τῶν ταγμάτων, τὸ Μεσσάλα πρῶτον, εἶτα τὰ συνεζευγμένα παρήλλαττε τὸ Καίσαρος ἀριστερὸν, καὶ βραχέα τῶν ἐσχάτων θιγόντες, καὶ καταβάλλοντες οὐ πολλοὺς, ἀλλ' ὑπερκεράσαντες ἐμπίπτουσιν εἰς τὸ στρατόπεδον. καὶ Καῖσαρ μὲν, ὡς αὐτὸς ἐν τοῖς ὑπομνήμασιν ἱστορεῖ, τῶν φίλων τινὸς Ἀρτωρίου Μάρκου καθ' ὕπνον ἰδόντος ὄψιν κελεύουσαν ἐκστῆναι Καίσαρα καὶ μετελθεῖν ἐκ τοῦ χάρακος, ἔφθασε μικρὸν ὑπεκκομισθεὶς, ἔδοξέ τε τεθνάναι. τὸ γὰρ φορεῖον κενὸν ἀκοντίοις καὶ ὑσσοῖς βάλλοντες διήλασαν. ἦν δὲ φόνος ἐν τῷ στρατοπέδῳ τῶν ἁλισκομένων, καὶ δισχίλιοι Λακεδαιμονίων ἥκοντες ἐπίκουροι νεωστὶ συγκατεκόπησαν. Οἱ δὲ μὴ κυκλωσάμενοι τοὺς Καίσαρος, ἀλλὰ συνεμπεσόντες, ῥᾳδίως μὲν ἀπετρέψαντο τεταραγμένους, καὶ διέφθειραν ἐν χερσὶν τρία τάγματα, καὶ συνεισέπεσον εἰς τὸ στρατόπεδον τοῖς φεύγουσιν, ὑπὸ ῥύμης τοῦ κρατεῖν συνενεχθέντες μεθ' ἑαυτῶν ἔχοντες τὸν Βροῦτον. ὃ δ' οὐ συνεῖδον οἱ νικῶντες, ἐδείκνυε τοῖς ἡττημένοις ὁ καιρός. εἰς γὰρ τὰ γυμνὰ καὶ παρερρηγμένα τῆς ἐναντίας φάλαγγος, ᾗ τὸ δεξιὸν ἀπεσπάσθη, πρὸς τὴν δίωξιν ὠσάμενοι, τὸ μὲν μέσον οὐκ ἐξέωσαν, ἀλλ' ἀγῶνι μεγάλῳ συνείχοντο. τὸ δ' εὐώνυμον ἀταξίᾳ καὶ ἀγνοίᾳ τῶν γινομένων ἐτρέψαντο, καὶ καταδιώξαντες εἰς τὸν χάρακα διεπόρθουν. οὐδετέρου τῶν αὐτοκρατόρων παρόντος. Ἀντώνιός τε γὰρ ὥς φασιν, ἐκκλίνας ἐν ἀρχῇ τὴν ἔφοδον, εἰς τὸ ἕλος ἀνεχώρησεν. καὶ Καῖσαρ οὐδαμοῦ φανερὸς ἦν, ἐκπεσὼν τοῦ χάρακος. ἀλλὰ Βρούτῳ τινὲς, ὡς ἀνῃρηκότες αὐτὸν, ἐπεδείκνυον ᾑμαγμένα τὰ ξίφη, φράζοντες ἰδέαν ἣν εἶχεν, καὶ ἡλικίαν. ἤδη δὲ, τὸ μέσον ἐξεώκει φόνῳ πολλῷ τοὺς ἀντιτεταγμένους, καὶ παντελῶς ἐδόκει κρατεῖν ὁ Βροῦτος, ὥσπερ ὁ Κάσσιος κρατεῖσθαι. καὶ τοῦτο μόνον αὐτῶν διέφθειρε τὰ πράγματα. τοῦ μὲν ὡς νικῶντι Κασσίῳ μὴ βοηθήσαντος. τοῦ δὲ, Βροῦτον ὡς ἀπολωλότα μὴ περιμείναντος. ἐπεὶ τῆς γε νίκης ὅρον ὁ Μεσσάλας τίθεται, τὸ τρεῖς ἀετοὺς καὶ πολλὰ σημεῖα λαβεῖν τῶν πολεμίων, ἐκείνους δὲ μηδέν. ἀναχωρῶν δ' ὁ Βροῦτος ἤδη διαπεπορθημένων τῶν Καίσαρος, ἐθαύμασε τὸ Κασσίου στρατήγιον οὐχ ὁρῶν ὑψηλὸν, ὥσπερ εἰώθει περιφαινόμενον. οὐδὲ τἄλλα κατὰ χώραν· ἠρείπιστο γὰρ εὐθὺς τὰ πλεῖστα. n. καὶ κατέσπαστο τῶν πολεμίων ἐμπεσόντων. ἀλλ' οἱ δοκοῦντες ὀξύτερον βλέπειν τῶν ἑταίρων ἔφραζον αὐτῷ. πολλὰ μὲν ὁρᾶν λάμποντα. πολλοὺς δ' ἀργυροὺς θυρεοὺς ἐν τῷ χάρακι τοῦ Κασσίου διαφερομένους. οὔκουν δοκεῖν αὐτοῖς οὔτ' ἀριθμὸν, οὔθ' ὁπλισμὸν εἶναι τῶν ἀπολελειμμένων φυλάκων. οὐ μὴν, οὐδὲ πλῆθος ἐπέκεινα φαίνεσθαι νεκρῶν, ὅσον εἰκὸς ἦν νενικημένων κατὰ κράτος ταγμάτων τοσούτων. Ταῦτα πρῶτον ἔννοιαν παρέστησε τῷ Βρούτῳ τοῦ συμπτώματος, καὶ καταλιπὼν φρουρὰν ἐν τῷ στρατοπέδῳ τῶν πολεμίων, ἀνεκαλεῖτο τοὺς διώκοντας, καὶ συνῆγεν ὡς Κασσίῳ βοηθήσων. ἐπέπρακτο δ' οὕτω τὰ κατ' αὐτόν. οὔτε τὴν πρώτην ἐκδρομὴν τῶν περὶ Βροῦτον ἡδέως εἶδεν ἄνευ συνθήματος καὶ προστάγματος γενομένην. οὔθ' ὅτι κρατοῦντες εὐθὺς ὥρμησαν ἐφ' ἁρπαγὴν καὶ ὠφέλειαν, τοῦ περιιέναι καὶ κυκλοῦσθαι τοὺς πολεμίους ἀμελήσαντες, ἤρεσκεν αὐτῷ τὰ πραττόμενα. μελλήσει δέ τινι, καὶ διατριβῇ μᾶλλον ἢ προθυμίᾳ καὶ λογισμῷ στρατηγῶν, ὑπὸ τοῦ δεξιοῦ τῶν πολεμίων περιελαμβάνετο. καὶ τῶν ἱππέων εὐθὺς ἀπορραγέντων φυγῇ πρὸς τὴν θάλασσαν, ὁρῶν καὶ τοὺς πεζοὺς ἐνδιδόντας, ἐπειρᾶτο κατέχειν καὶ παρακαλεῖν. ἕνα δὲ σημειοφόρον φεύγοντος ἀφαρπάσας τὸ σημεῖον ἔπειξε πρὸ τῶν ποδῶν, μηδὲ τῶν περὶ τὸ σῶμα τεταγμένων αὐτοῦ προθύμως ἔτι συμμενόντων. Οὕτω δὴ βιασθεὶς ἀνεχώρησε μετ' ὀλίγων ἐπὶ λόφον ἔχοντα πρὸς τὸ πεδίον σκοπάς. ἀλλ' αὐτὸς μὲν οὐδὲν κατεῖδεν, ἢ μόλις τὸν χάρακα πορθούμενον. ἦν γὰρ ἀσθενὴς τὴν ὄψιν, οἱ δὲ περὶ αὐτὸν ἱππεῖς ἑώρων πολλοὺς προσελαύνοντας, οὓς ὁ Βροῦτος ἔπεμψεν. εἴκασε δ' ὁ Κάσσιος πολεμίους εἶναι, καὶ διώκειν ἐπ' αὐτόν. ὅμως δὲ, τῶν παρόντων ἕνα Τιτίνιον ἀπέστειλε κατοψόμενον. οὗτος οὐκ ἔλαθε τοὺς ἱππέας προσιὼν, ἀλλ' ὡς εἶδον ἄνδρα φίλον καὶ Κασσίῳ πιστὸν ἀλαλάξαντες ὑφ' ἡδονῆς οἱ μὲν συνήθεις, ἠσπάζοντό τε καὶ ἐδεξιοῦντο καταπηδῶντες ἀπὸ τῶν ἵππων. οἱ δ' ἄλλοι, περὶ αὐτὸν ἐν κύκλῳ περιελαύνοντες ἅμα παιᾶνι, καὶ πατάγῳ διὰ χαρᾶς ἀμετρίαν, τὸ μέγιστον ἀπειργάσαντο κακόν. ἔδοξε γὰρ ὁ Κάσσιος, ἀληθῶς ὑπὸ τῶν πολεμίων ἔχεσθαι τὸν Τιτίνιον. καὶ τοῦτο δὴ φήσας, φιλοψυχοῦντες ἀνεμείναμεν ἄνδρα φίλον ἁρπα-

ζόμενον

Ϛερωειν s.T.

λ κράνη .s.T.

ἔπηξε .s.T.

προθύμ(ως)

ἑώρων πολλ(ούς) .s.

τῶν λαβεῖν ἔφθησαν ἀπολιπομένου διὰ νόσον καίσαρος, εἰ μὴ προσεβοήθησεν ἀντώνιος, ὀξύτητι θαυμαστῇ χρησάμενος, ὥστ' ἀπιστεῖν τοὺς περὶ βροῦτον. ἦλθε δὲ καῖσαρ ὕστερον ἡμέρας δέκα, καὶ κατεστρατοπέδευσεν ἀντίον βρούτου· κάσσιον δὲ ἀντώνιος. τὰ δ' ἐν μέσῳ τῶν στρατοπέδων πεδία, ῥωμαῖοι κάμπους φιλίππους καλοῦσι, καὶ μέγισται τότε ῥωμαίων δυνάμεις ἀλλήλαις συνεφέροντο. πλήθει μὲν οὖν οὐ παρ' ὀλίγον ἐλείποντο τῶν περὶ καίσαρα. κόσμῳ δ' ὅπλων καὶ λαμπρότητι θαυμαστὸν ἐξεφαίνετο τὸ βρούτου στράτευμα. χρυσὸς γὰρ ἦν αὐτοῖς, τὰ πλεῖστα τῶν ὅπλων, καὶ ἄργυρος ἀφειδῶς κατακεχορηγηθείς. καίτοι περὶ τἆλλα τοῦ βρούτου σώφρονι διαίτῃ καὶ κεκολασμένῃ χρῆσθαι τοὺς ἡγεμόνας ἐθίζοντος, τὸν δ' ἐν χερσὶ καὶ περὶ τὸ σῶμα πλοῦτον ᾤετό τι καὶ φρονήματος παρέχειν τοῖς φιλοτιμοτέροις. τοὺς δὲ φιλοκερδεῖς καὶ μαχιμωτέρους ποιεῖν, ὡς περὶ κτήματα τῶν ὅπλων ἀντεχομένους. οἱ μὲν οὖν περὶ καίσαρα καθαρμὸν ἐν τῷ χάρακι ποιησάμενοι, μικρόν τι σίτου καὶ δραχμὰς κατ' ἄνδρα πέντε διένειμαν εἰς θυσίαν. οἱ δὲ περὶ βροῦτον καταγνόντες αὐτῶν τῆς ἀπορίας ἢ μικρολογίας, πρῶτον μὲν ἐν ὑπαίθρῳ τὸν στρατὸν ὥσπερ ἔθος ἐστὶν, ἐκάθηραν. ἔπειθ' ἱερείων πλήθει κατὰ λόχους, καὶ δραχμὰς ἑκάστῳ πεντήκοντα διαδόντες, εὐνοίᾳ καὶ προθυμίᾳ τῆς δυνάμεως, πλέον εἶχον. οὐ μὴν, ἀλλὰ σημεῖον ἐν τῷ καθαρμῷ μοχθηρὸν ἔδοξε κασσίῳ γενέσθαι. τὸν γὰρ στέφανον αὐτῷ, κατεστραμμένον ὁ ῥαβδοῦχος προσήνεγκεν. λέγεται δὲ καὶ πρότερον ἐν θέᾳ τινὶ καὶ πομπῇ χρυσῆν κασσίου νίκην διαφερομένην πεσεῖν, ὀλισθόντος τοῦ φέροντος. ἔτι δ' ὄρνιθά τε σαρκοφάγα πολλὰ καθ' ἡμέραν ἐπεφαίνετο τῷ στρατοπέδῳ, καὶ μελισσῶν ὤφθησαν ἑσμοὶ συνιστάμενοι περὶ τόπον τινὰ τοῦ χάρακος ἐντός. ὃν ἐξέκλεισαν οἱ μάντεις, ἀφοσιούμενοι τὴν δεισιδαιμονίαν ἀτρέμα καὶ τὸν κάσσιον αὐτὸν ἀποφέρουσαν ἐκ τῶν ἐπικούρου λόγων, τοὺς δὲ στρατιώτας παντάπασι δεδουλωμένην. ὅθεν οὐδ' ἦν πρόθυμος διὰ μάχης ἐν τῷ παρόντι γενέσθαι τὴν κρίσιν. ἀλλὰ τρίβειν ἠξίου χρόνῳ τὸν πόλεμον, ἐρρωμένους χρήμασι. ὅπλων δὲ, καὶ σωμάτων πλήθει λειπομένους. βροῦτος δὲ, καὶ πρότερον ἔσπευδεν τῷ ταχίστῳ τῶν κινδύνων διακριθεὶς, ἢ τῇ πατρίδι τὴν ἐλευθερίαν ἀναλαβεῖν, ἢ πάντας ἀνθρώπους ἐνοχλουμένους, δαπάναις καὶ στρατείαις καὶ πράγμασιν ἀπαλλάξαι κακῶν. καὶ τότε τοὺς περὶ αὐτὸν ἱππεῖς ὁρῶν ἐν τοῖς προαγῶσι καὶ ταῖς ἀψιμαχίαις εὐημεροῦντας καὶ κρατοῦντας, ἐξῆρτο τὸ φρόνημα. καί τινες αὐτομολίαι γενόμεναι πρὸς τοὺς πολεμίους καὶ διαβολαὶ καθ' ἑτέρων καὶ ὑπόνοιαι πολλοὺς τῶν κασσίου φίλων, μετέστησαν ἐν τῷ συνεδρίῳ πρὸς βροῦτον.

Εἷς δὲ τῶν βρούτου φίλων ἀτέλλιος ἠναντιοῦτο τὸν χειμῶνα περιμένειν κελεύων. ἐρομένου δὲ τοῦ βρούτου, τίνι βελτίων ἔσεσθαι νομίζει μετ' ἐνιαυτόν. εἰ μηδὲν εἶπεν ἄλλο, πλεῖον βιώσομαι χρόνον. πρὸς τοῦτο κάσσιος ἐδυσχέρανε. καὶ τοῖς ἄλλοις προσέκρουσεν οὐ μετρίως ὁ ἀτέλλιος. ἐδέδοκτο δὴ μάχεσθαι τῇ ὑστεραίᾳ καὶ βροῦτος μὲν ἐν ἐλπίσι καλαῖς καὶ λογισμοῖς φιλοσόφοις γενόμενος, παρὰ τὸ δεῖπνον ἀνεπαύετο. κάσσιον δὲ μεσσάλας φησίν. δειπνεῖν τε καθ' ἑαυτὸν ὀλίγους τῶν συνήθων παραλαβόντα, καὶ σύννουν ὁρᾶσθαι, καὶ σιωπηλὸν οὐ φύσει τοιοῦτον ὄντα. παυσαμένου δὲ τοῦ δείπνου, λαβόμενον τῆς χειρὸς αὐτοῦ σφόδρα, τοσοῦτον εἰπεῖν, ὥσπερ εἰώθει φιλοφρονούμενος, ἑλληνικῇ φωνῇ. μαρτύρομαί σε μεσσάλα, ταῦτα πομπηΐῳ μάγνῳ παρασχεῖν, ἀναγκαζόμενος διὰ μιᾶς μάχης, ἀναρρῖψαι τὸν περὶ τῆς πατρίδος κύβον, ἀγαθὴν μέν τοι ψυχὴν ἔχομεν, εἰς τὴν τύχην ἀφορῶντες, ἣν κἂν βουλευσόμεθα κακῶς, ἀπιστεῖν οὐ δίκαιον. Ταῦτα εἰπών φησιν ὁ μεσσάλας, τελευταῖα πρὸς αὐτὸν, ἀσπάσασθαι τὸν κάσσιον. εἶναι δὲ κεκλημένον εἰς τὴν ὑστεραίαν ἐπὶ δεῖπνον ὑπ' αὐτοῦ, γενέθλιον οὖσαν. ἅμα δ' ἡμέρᾳ προὔκειτο μὲν τῷ βρούτου χάρακι καὶ τῷ κασσίου σύμβολον ἀγῶνος φοινικοῦς χιτών. αὐτοὶ δὲ συνῆλθον εἰς τὸ μέσον τῶν στρατοπέδων, καὶ λέγει κάσσιος. εἴη μὲν ὦ βροῦτε νικᾶν, καὶ συνεῖναι τὸν πάντα χρόνον ἀλλήλοις εὖ πράξαντας. ἐπεὶ δὲ, τὰ μέγιστα τῶν ἀνθρωπίνων ἀδηλότατα. καὶ τῆς μάχης παρὰ γνώμην κριθείσης, οὐ ῥᾴδιον αὖθις ἀλλήλους ἰδεῖν, τί γινώσκεις περὶ φυγῆς καὶ τελευτῆς, καὶ ὁ βροῦτος ἀπεκρίνατο. Νέος ὢν ἐγὼ κάσσιε, καὶ πραγμάτων ἄπειρος, οὐκ οἶδ' ὅπως ἐν φιλοσοφίᾳ λόγον ἀφῆκα μέγα. ᾐτιασάμην κάτωνα διαχρησάμενον ἑαυτὸν, ὡς οὐχ ὅσιον, οὐδ' ἀνδρὸς ἔργον ὑποχωρεῖν τῷ δαίμονι, καὶ μὴ δέχεσθαι τὸ συμπῖπτον ἀδεῶς, ἀλλ' ἀποδιδράσκειν. νυνὶ δ' ἀλλοῖος ἐν ταῖς τύχαις γίνομαι. καὶ θεοῦ καλῶς τὰ παρόντα μὴ βραβεύσαντος, οὐ δέομαι πάλιν ἄλλας ἐλπίδας ἐξελέγχειν καὶ παρασκευὰς, ἀλλ' ἀπαλλάξομαι τὴν τύχην ἐπαινῶν, μαρτίαις εἰδοῖς δοὺς τῇ πατρίδι τὸν ἐμαυτοῦ βίον, ἀλλ' ὃν ἔζησα δι' ἐκεῖνον ἐλεύθερον καὶ ἔνδοξον. ἐπὶ τούτοις κάσσιος ἐμειδίασεν, καὶ τὸν βροῦτον ἀσπασάμενος, ταῦτα ἔφη φρονοῦντες, ἴωμεν ἐπὶ τοὺς πολεμίους. ἢ γὰρ, νικήσομεν. ἢ νικῶντας, οὐ φοβηθησόμεθα. μετὰ ταῦτα περὶ τάξεως αὐτοῖς λόγος ἐγένετο, τῶν φίλων παρόντων. καὶ βροῦτος ᾐτεῖτο κάσσιον αὐτὸς ἡγεῖσθαι τοῦ δεξιοῦ κέρατος. ὃ δι' ἐμπειρίαν καὶ ἡλικίαν μᾶλλον ᾤοντο κασσίῳ προσήκειν. οὐ μὴν, ἀλλὰ καὶ τοῦτο κάσσιος ἔδωκεν, καὶ τῶν ταγμάτων τὸ μαχιμώτατον ἔχοντα μεσσάλαν ἐκέλευσεν, ἐπὶ τοῦ δεξιοῦ καταστῆναι. καὶ βροῦτος εὐθὺς ἐξῆγε τοὺς ἱππεῖς κεκοσμημένους διαπρεπῶς. καὶ τὸ πεζὸν, οὐ σχολαίτερον παρ-

τῶν. ἀλλ' ἔργον ἦν ἐπιλαβέσθαι Φαωνίου πρὸς ὅτι οὖν ὁρούσαντος. σφοδρὸς γὰρ ἦν ἐν πᾶσι καὶ πρόχειρος. ἐπεὶ τό γε βουλευτὴν εἶναι Ῥωμαίων ἑαυτὸν, οὐδενὸς ἄξιον ἡγεῖτο, τῷ δὲ κυνικῷ τῆς παρρησίας πολλάκις ἀφῄρει τὴν χαλεπότητα, καὶ τὸ ἄκαιρον αὐτοῦ μετὰ παιδιᾶς δεχομένων. βίᾳ δὴ τότε τῶν παρόντων διωσάμενος τὰς θύρας, εἰσῆλθε μετὰ πλάσματος φωνῆς ἔπη περαίνων, οἷς τὸν Νέστορα χρώμενον Ὅμηρος ἐπεποίηκεν. ἀλλὰ πίθεσθ', ἄμφω δὲ νεωτέρω ἐστὸν ἐμεῖο. καὶ τὰ ἑξῆς. ἐφ' οἷς ὁ μὲν Κάσσιος ἐγέλασεν. ὁ δὲ Βροῦτος ἐξέβαλεν αὐτὸν ἁπλοκύνα καὶ ψευδοκύνα προσαγορεύων. οὐ μὴν ἀλλὰ τότε γε τῆς πρὸς ἀλλήλους διαφορᾶς ποιησάμενοι πέρας, εὐθὺς διελύθησαν, καὶ Κασσίου δεῖπνον παρέχοντος, ἐκάλει τοὺς φίλους Βροῦτος. ἤδη δὲ κατακειμένων, Φαώνιος ἧκε λελουμένος. μαρτυρομένου δὲ Βρούτου μὴ κεκλημένον αὐτὸν ἥκειν, καὶ κελεύοντος ἀπάγειν ἐπὶ τὴν ἀνωτάτω κλίνην, βίᾳ παρελθὼν, εἰς τὴν μέσην κατεκλίθη. καὶ παιδιὰν ὁ πότος ἔσχεν οὐκ ἄχαριν οὐδ' ἀφιλόσοφον.

ἠτίμωσε: τ.

Τῇ δ' ὑστεραίᾳ Βροῦτος, ἄνδρα Ῥωμαῖον ἐστρατηγηκότα καὶ πεπιστευμένον ὑπ' αὐτοῦ Λούκιον Πέλλαν, Σαρδιανῶν κατηγορούντων ἐπὶ κλοπαῖς, δημοσίᾳ καταγνοὺς, ἠτίμασε. καὶ τὸ πρᾶγμα Κάσσιον οὐ μετρίως ἐλύπησεν. αὐτὸς γὰρ ὀλίγαις ἡμέραις ἔμπροσθεν ἐπὶ τοῖς αὐτοῖς ἐλεγχθέντας ἀδικήμασι δύο φίλους ἰδίᾳ νουθετήσας φανερῶς ἀφῆκε. καὶ διετέλει χρώμενος. ὅθεν ᾐτιᾶτο τὸν Βροῦτον, ὡς ἄγαν ὄντα νόμιμον καὶ δίκαιον, ἐν καιρῷ πολιτείας δεομένῳ πραότητος καὶ φιλανθρωπίας. ὁ δὲ τῶν εἰδῶν τῶν Μαρτίων ἐκέλευεν αὐτὸν μνημονεύειν ἐκείνων, ἐν αἷς Καίσαρα ἔκτειναν. οὐκ αὐτὸν ἄγοντα καὶ φέροντα πάντας ἀνθρώπους, ἀλλ' ἑτέρων δύναμιν ὄντα, ταῦτα πρασσόντων. ὡς εἴ τις ἐστὶ πρόφασις καλὴ, μεθ' ἧς ἀμελεῖται τὸ δίκαιον, ἄμεινον ἦν τοὺς Καίσαρος φίλους ὑπομένειν, ἢ τοὺς ἑαυτῶν περιορᾶν ἀδικοῦντας. ἐκείνοις μὲν γὰρ ἀνανδρείας, ἀδικίας δὲ δόξα μετὰ κινδύνων ἡμῖν καὶ πόνων πρόσεισιν.

ἀνδρί. τ.
φοῦν

Τοιαύτη μὲν ἡ τοῦ Βρούτου προαίρεσις ἦν. ἐπεὶ δὲ διαβαίνειν ἐξ Ἀσίας ἔμελλον, λέγεται τῷ Βρούτῳ μέγα σημεῖον γενέσθαι. φύσει μὲν γὰρ ἦν ἐπεγρηγορὼς ὁ ἀνήρ. καὶ τὸν ὕπνον εἰς ὀλίγον χρόνου μόριον ἀσκήσει καὶ σωφροσύνῃ συνῆγεν. ἡμέρας μὲν οὐδέποτε κοιμώμενος. νύκτωρ δὲ τοσοῦτον, ὅσον οὔτε τι πράττειν, οὔτε τῳ διαλέγεσθαι, πάντων ἀναπαυομένων παρεῖχε. τότε δὲ τοῦ πολέμου συνεστῶτος, ἐν χερσὶν ἔχων τὰς περὶ τῶν ὅλων πράξεις, καὶ τεταμένος τῇ φροντίδι πρὸς τὸ μέλλον, ὁπηνίκα πρῶτον ἀφ' ἑσπέρας ἐπινυστάξειε τοῖς σιτίοις, ἤδη τὸ λοιπὸν ἐχρῆτο τῇ νυκτὶ πρὸς τὰ κατεπείγοντα τῶν πραγμάτων. εἰ δὲ συνέλοι, καὶ κατοικονομήσειε τὴν περὶ ταῦτα χρείαν, ἀνεγίνωσκε βιβλίον, μέχρι τρίτης φυλακῆς, καθ' ἣν εἰώθεσαν ἑκατοντάρχαι καὶ χιλίαρχοι φοιτᾶν πρὸς αὐτόν. ὡς οὖν ἔμελλεν ἐξ Ἀσίας διαβιβάζειν τὸ στράτευμα, νὺξ μὲν ἦν ἡ βαθυτάτη. φῶς δ' εἶχεν οὐ πάνυ λαμπρὸν ἡ σκηνή. πᾶν δὲ τὸ στρατόπεδον σιωπὴ κατεῖχεν. ὁ δὲ συλλογιζόμενός τι, καὶ σκοπῶν πρὸς ἑαυτὸν, ἔδοξεν αἰσθέσθαι τινὸς εἰσιόντος. ἀποβλέψας δὲ πρὸς τὴν εἴσοδον, ὁρᾷ δεινὴν καὶ ἀλλόκοτον ὄψιν ἐκφύλου σώματος καὶ φοβεροῦ. σιωπῇ παρεστῶτος αὐτῷ. τολμήσας δὲ ἐρέσθαι, τίς ποτ' ὢν εἶπεν ἀνθρώπων, ἢ θεῶν, ἢ τί βουλόμενος ἥκεις ὡς ἡμᾶς; ὑποφθέγγεται δ' αὐτῷ τὸ φάσμα. ὁ σὸς ὦ Βροῦτε δαίμων κακός. ὄψει δέ με περὶ Φιλίππους. καὶ ὁ Βροῦτος οὐ διαταραχθεὶς, ὄψομαι εἶπεν. ἀφανισθέντος δ' αὐτοῦ, τοὺς παῖδας ἐκάλει. μήτ' ἀκοῦσαι τινὰ φωνὴν, μήτ' ἰδεῖν ὄψιν φασκόντων, τότε μὲν ἐπηγρύπνησεν. ἅμα δ' ἡμέρᾳ τραπόμενος πρὸς Κάσσιον, ἔφραζε τὴν ὄψιν. ὁ δὲ τοῖς Ἐπικούρου λόγοις χρώμενος, καὶ περὶ τούτων ἔθος ἔχων διαφέρεσθαι πρὸς τὸν Βροῦτον, ἡμέτερος οὗτος εἶπεν ὦ Βροῦτε λόγος, ὡς οὐ πάντα πάσχομεν ἀληθῶς, οὐδ' ὁρῶμεν, ἀλλ' ὑγρὸν μέν τι χρῆμα καὶ ἀπατηλὸν ἡ αἴσθησις. ἔτι δ' ὀξυτέρα ἡ διάνοια, κινεῖν αὐτὸ καὶ μεταβάλλειν ἀπ' οὐδενὸς ὑπάρχοντος, ἐπὶ πᾶσαν ἰδέαν. κηρῷ μὲν γὰρ ἔοικεν ἡ τύπωσις. ψυχῇ δ' ἀνθρώπου τὸ πλαττόμενον, καὶ τὸ πλάττον ἐχούσῃ, τὸ αὐτὸ ῥᾷστα ποικίλλειν αὐτὴν, καὶ σχηματίζειν δι' ἑαυτῆς ὑπάρχει. δηλοῦσι δὲ αἱ κατὰ τοὺς ὕπνους τροπαὶ τῶν ὀνείρων, ἃς τρέπεται τὸ φανταστικὸν ἐξ ἀρχῆς βραχείας, παντοδαπὰ καὶ πάθη καὶ εἴδωλα γινομένων. κινεῖσθαι δ' ἀεὶ πέφυκεν, κίνησις δ' αὐτῷ, φαντασία τις καὶ νόησις. σοὶ δὲ καὶ τὸ σῶμα ταλαιπωρούμενον φύσει τὴν διάνοιαν αἰωρεῖ καὶ παρατρέπει. δαίμονας δ' οὔτ' εἶναι πιθανὸν, οὔτ' ὄντας ἀνθρώπων ἔχειν εἶδος, ἢ φωνὴν, ἢ δύναμιν εἰς ἡμᾶς διήκουσαν. ὡς ἔγωγ' ἂν ἐβουλόμην, ἵνα μὴ μόνον ὅπλοις καὶ ἵπποις καὶ ναυσὶ τοσαύταις, ἀλλὰ καὶ θεῶν ἀρωγαῖς ἐπεθαρροῦμεν, ὁσιωτάτων ἔργων καὶ καλλίστων ἡγεμόνες ὄντες. τοιούτοις μὲν ὁ Κάσσιος ἐπράυνε λόγοις τὸν Βροῦτον. ἐκβαινόντων δὲ τῶν στρατιωτῶν ἐπὶ τὰς πρώτας σημαίας, ἀετοὶ δύο συγκατασκήψαντες ὁμοῦ συνδιεκομίζοντο καὶ παρηκολούθουν ὑπὸ τῶν στρατιωτῶν τρεφόμενοι μέχρι Φιλίππων. ἐκεῖ δ' ἡμέρᾳ μιᾷ πρὸ τῆς μάχης ᾤχοντο ἀποπτάμενοι.

ὑποφθέγγεται κ.τ.

γινομένην
φ ῃ ἢ. s.τ. ἢ

Τὰ μὲν οὖν πλεῖστα τῶν ἐμποδὼν ἐθνῶν, ἐτύγχανεν ὁ Βροῦτος ὑπήκοα πεποιημένος. εἰ δέ τις ἢ πόλις ἢ δυνάστης παρεῖτο, τότε πάντας προσαγόμενοι, μέχρι τῆς κατὰ Θάσον θαλάσσης προῆλθον. ἐκεῖ δὲ τῶν περὶ Νορβανὸν ἐν τοῖς Στενοῖς λεγομένοις, καὶ περὶ τὸ Σύμβολον στρατοπεδευόντων, περιελθόντες αὐτοὺς ἠνάγκασαν ἀποστῆναι καὶ προέσθαι τὰ χωρία. μικροῦ δὲ καὶ τὴν δύναμιν αὐ-

±

± Strabo Lo vij 135.

Dion Lo 47. 23. De hoc Loco quem Plut: appellat σύμβολον ita meminit. [illegible] σύμβολα καλεῖ[illegible] ὀνομάζεται, [illegible] μεσογείαν [illegible] σύμβολα [illegible] μεταξὺ Νεαπόλεως καὶ τῶν Φιλίππων : —

καὶ μεταξὺ αὐτοῦ στενὸν [illegible] [illegible] οἱ Ταῦροι [illegible] [illegible] ἐκεῖνοι [illegible], καλοῦσι δὲ σύμβολον [illegible] De hoc fortasse loco intelligit [illegible]

τοὺς μαχιμωτάτους ἐπολιόρκει. τοῦ δὲ ποταμοῦ παρὰ τὴν πόλιν παραρρέοντος, ὑπονηχόμενοι διεδίδρασκον. ἡλίσκοντο δὲ, δικτύων διὰ πόρου καθιεμένων εἰς βυθὸν, ὧν τὰ ἄκρα κώδωσι προσηρτημένοις διεσήμαινεν εὐθὺς τὸν ἐνσχεθέντα. μηχαναῖς δέ τισι τῶν ξανθίων νύκτωρ ἐπιδραμόντων, καὶ πῦρ ἐμβαλόντων, ὡς ἀπηλάθησαν αἰσθομένων τῶν ῥωμαίων πρὸς τὸ τεῖχος, καὶ πνεῦμα λαμπρὸν ἀνερρίπιζεν ἐπὶ τὰς ἐπάλξεις τὴν φλόγα τῶν ἐγγὺς οἰκιῶν ἀντιλαμβανομένην, δείσας ὁ βροῦτος ὑπὲρ τῆς πόλεως, ἐκέλευσε κατασβεννύναι, καὶ βοηθεῖν. Τοὺς δὲ λυκίους δεινή τις ἐξαίφνης πρὸς ἀπόνοιαν ὁρμὴ, καὶ λόγου κρεῖσσον κατέσχεν, ἣν ἄν τις, ἔρωτι θανάτου μάλιστα προσεικάσειεν. οἵ γε μετὰ παίδων καὶ γυναικῶν, ἐλεύθεροί τε καὶ δοῦλοι, καὶ πᾶσα ἡλικία τοὺς μὲν πολεμίους πρὸς τὴν φλόγα βοηθοῦντας, ἀπὸ τῶν τειχῶν ἔβαλλον. αὐτοὶ δὲ κάλαμον καὶ ξύλα, καὶ πᾶν ὑπέκκαυμα προσφέροντες ἦγον ἐπὶ τὴν πόλιν τὸ πῦρ, ὀρέγοντες αὐτῷ πᾶσαν ὕλην, καὶ πάντα τρόπον ἐξερεθίζοντες, καὶ συνεκτρέφοντες. ὡς δ᾽ ἡ φλὸξ ὥρμησε, καὶ διαζώσασα πανταχόθεν τὴν πόλιν διέλαμψε πολλὴ, περιπαθῶν ἐπὶ τοῖς γινομένοις ὁ βροῦτος ἔξωθεν παρίππευε, προθυμούμενος βοηθεῖν. καὶ τὰς χεῖρας ὀρέγων τοῖς ξανθίοις, ἐδεῖτο φείδεσθαι καὶ σώζειν τὴν πόλιν, οὐδενὸς αὐτῷ προσέχοντος, ἀλλὰ πάντα τρόπον ἑαυτοὺς ἀπολλύντων, οὐ μόνον ἀνδρῶν τε καὶ γυναικῶν, ἀλλὰ καὶ τὰ παιδία τὰ μικρὰ μετὰ κραυγῆς καὶ ἀλαλαγμοῦ. τὰ μὲν εἰς τὸ πῦρ ἦλθε. τὰ δ᾽ ἄνωθεν ἀπὸ τῶν τειχῶν ἐξετραχηλίαζεν αὑτά. τὰ δὲ τοῖς ξίφεσι τῶν πατέρων ὑπέβαλλε τὰς σφαγὰς, γυμνοῦντα καὶ κελεύοντα παίειν. ὤφθη δὲ τῆς πόλεως διαφθαρείσης, γυνὴ κρεμαμένη μὲν ἐξ ἀγχόνης, παιδίον δὲ νεκρὸν ἐξηρτημένη τοῦ τραχήλου, λαμπάδι δὲ καιομένῃ τὴν οἰκίαν ὑφάπτουσα. καὶ τοῦ θεάματος τραγικοῦ φανέντος, ἰδεῖν μὲν οὐχ ὑπέμεινεν ὁ βροῦτος, ἐδάκρυσεν δὲ, ἀκούσας, καὶ γέρας ἐκήρυξε τῶν στρατιωτῶν, ὅστις ἂν δυνηθῇ λύκιον ἄνδρα περισῶσαι. φασὶ δὲ, μόνους ἑκατὸν πεντήκοντα γενέσθαι, τοὺς μὴ διαφυγόντας τὸ σωθῆναι. Ξάνθιοι μὲν οὖν διὰ πολλῶν χρόνων ὥσπερ εἱμαρμένην περίοδον διαφθορᾶς ἀποδιδόντες, τὴν τῶν προγόνων ἀνενεώσαντο τῇ τόλμῃ τύχην. καὶ γὰρ ἐκεῖνοι τὴν πόλιν ὁμοίως ἐπὶ τῶν περσικῶν καταπρήσαντες ἑαυτοὺς διέφθειραν. Βροῦτος δὲ τὴν παταρέων πόλιν ὁρῶν ἀπομαχομένην πρὸς αὐτὸν, ὤκνει μὲν ἐπιχειρεῖν, καὶ διηπορεῖτο τὴν αὐτὴν δεδιὼς ἀπόνοιαν. ἔχων δὲ γυναῖκας αὐτῶν αἰχμαλώτους, ἀφῆκεν ἄνευ λύτρων. αἱ δ᾽ ἀνδρῶν τε καὶ πατέρων ἐπιφανῶν οὖσαι, διηγούμεναι τὸν βροῦτον, ὡς ἀνὴρ εἴη σωφρονέστατος καὶ δικαιότατος, ἔπεισαν εἶξαι καὶ παραδοῦναι τὴν πόλιν. Ἐκ δὲ τούτου, καὶ πάντες οἱ λοιποὶ προσεχώρησαν, ἐπιτρέψαντες ἑαυτοὺς ἐκείνῳ. τυχόντες δὲ χρηστοῦ καὶ παρ᾽ ἐλπίδας εὐγνώμονος. ὅς γε κασσίου ῥοδίους ὑπὸ τὸν αὐτὸν χρόνον ἀναγκάσαντος, ἰδίᾳ μὲν ὃν ἐκέκτηντο χρυσὸν, καὶ ἄργυρον, εἰσενεγκεῖν ἅπαντας, ἐξ οὗ συνήχθη περὶ ὀκτακισχίλια τάλαντα. δημοσίᾳ δὲ τὴν πόλιν, ἄλλοις πεντακοσίοις ζημιώσαντος, αὐτὸς ἑκατὸν καὶ πεντήκοντα τάλαντα λυκίους πραξάμενος, ἄλλο δὲ οὐδὲν ἀδικήσας, ἀνέζευξεν ἐπ᾽ ἰωνίας. Πολλὰ μὲν οὖν ἄξια μνήμης ἔργα καὶ τιμαῖς ἀπεδείξατο, καὶ κολάσεσι τῶν ἀξίων. ὃ δ᾽ αὐτὸς ἥσθη μάλιστα, καὶ ῥωμαίων οἱ κράτιστοι, τοῦτο διηγήσομαι. Πομπηΐου μάγνου προσβαλόντος αἰγύπτῳ καὶ πηλουσίῳ, ὁπηνίκα τὴν μεγάλην ἀρχὴν ἀποβαλὼν ἀπὸ καίσαρος ἔφυγεν, οἱ τοῦ βασιλέως ἐπιτροπεύοντες ἔτι παιδὸς ὄντος, ἐν βουλῇ μετὰ τῶν φίλων ἦσαν, οὐ κατ᾽ ταὐτὰ ταῖς γνώμαις φερόμενοι. τοῖς μὲν γὰρ ἐδόκει δέχεσθαι. τοῖς δ᾽ ἀπωθεῖν αἰγύπτου τὸν ἄνδρα. Θεόδοτος δέ τις χῖος, ἐπὶ μισθῷ ῥητορικῶν λόγων διδάσκαλος τῷ βασιλεῖ συνὼν, ἠξιωμένος δὲ τότε τοῦ συνεδρίου δι᾽ ἐρημίαν ἀνδρῶν βελτιόνων, ἀμφοτέρους διαμαρτάνοντας ἀπέφαινε. καὶ τοὺς ἀναλαβεῖν, καὶ τοὺς ἀφεῖναι κελεύοντας τὸν πομπήϊον. ἓν γὰρ εἶναι συμφέρον, ἐκ τῶν παρόντων δεξαμένους ἀποκτεῖναι. καὶ προσεπεῖπε, τῷ λόγῳ παυόμενος, ὅτι νεκρὸς οὐ δάκνει. Προσθεμένου δὲ τῇ γνώμῃ τοῦ συνεδρίου, παράδειγμα τῶν ἀπίστων καὶ ἀπροσδοκήτων ἔκειτο πομπήϊος μάγνος, τῆς θεοδότου ῥητορείας καὶ δεινότητος ἔργον, ὡς αὐτὸς ὁ σοφιστὴς ἔλεγε μεγαλαυχούμενος. ὀλίγῳ δ᾽ ὕστερον ἐπελθόντος καίσαρος, οἱ μὲν δίκας τίνοντες ἀπώλλυντο κακοὶ κακῶς. θεόδοτος δὲ παρὰ τῆς τύχης χρόνον εἰς ἄδοξον καὶ ἄπορον, καὶ πλανήτην βίον ἐπιδανεισάμενος, τότε βροῦτον ἐπιόντα τὴν ἀσίαν, οὐκ ἔλαθεν. ἀλλ᾽ ἀναχθεὶς καὶ κολασθεὶς, ὄνομα τοῦ θανάτου πλέον ἔσχεν ἢ τοῦ βίου. Κάσσιον δὲ βροῦτος, εἰς σάρδεις ἐκάλει. καὶ προσιόντι μετὰ τῶν φίλων ἀπήντησεν. καὶ πᾶς ὁ στρατὸς ὡπλισμένος, αὐτοκράτορας ἀμφοτέρους προσηγόρευσεν. Οἷα δ᾽ ἐν πράγμασι μεγάλοις, καὶ φίλοις πολλοῖς, καὶ ἡγεμόσιν αἰτιῶν αὐτοῖς πρὸς ἀλλήλους ἐγγινομένων, καὶ διαβολῶν. πρὶν ἕτερόν τι ποιεῖν εὐθὺς ἐκ πορείας, καθ᾽ αὑτοὺς ἐν οἰκήματι γενόμενοι, κεκλεισμένων τῶν θυρῶν καὶ μηδενὸς παρόντος, ἐχρῶντο μέμψεσι πρῶτον. εἶτ᾽ ἐλέγχοις, καὶ κατηγορίαις. ἐκ δὲ τούτου πρὸς δάκρυα, καὶ παρρησίαν μετὰ πάθους ἐκφερομένων, θαυμάζοντες οἱ φίλοι τὴν τραχύτητα τῆς ὀργῆς, καὶ τὸν τόνον, ἔδεισαν, μή τι ἐκ τούτου γένηται. προσελθεῖν δὲ ἀπείρητο. Μάρκος δὲ φαώνιος ἐραστὴς γεγονὼς κάτωνος, οὐ λόγῳ μᾶλλον ἢ φορᾷ τινὶ καὶ πάθει μανικῷ φιλοσοφῶν, ἐβάδιζεν εἴσω πρὸς αὐτοὺς κωλυόμενος ὑπὸ τῶν οἰκε-

κρείσσων. τ. σ. η.

ἥλλετο τ. σ.

κεκλεισμένων τ. σ.

ἀπείρητο

νος προσήκοντι. διὰ ταῦθ᾽ ὕστερον Ἀντώνιος Ὁρτήσιον ἐν Φιλίπποις λαβὼν, τῷ μνήματι τοῦ ἀδελφοῦ προσέσφαξεν. Βροῦτος δὲ τῆς Κικέρωνος τελευτῆς τῇ αἰτίᾳ φησὶν αἰσχύνεσθαι μᾶλλον, ἢ τῷ πάθει συναλγεῖν. ἐγκαλεῖν δὲ τοῖς ἐπὶ Ῥώμης φίλοις, δουλεύειν γὰρ αὐτῶν αἰτίᾳ μᾶλλον ἢ τῶν τυραννούντων, καὶ καρτερεῖν ὁρῶντας καὶ παρόντας, ἃ μηδ᾽ ἀκούειν αὐτοῖς ἀνεκτὸν ἦν. περαιώσας δὲ τὸν στρατὸν εἰς Ἀσίαν ἤδη λαμπρὸν ὄντα, ναυτικὸν μὲν ἐξήρτυτο στόλον ἐν Βιθυνίᾳ καὶ περὶ Κύζικον. πεζῇ δ᾽ αὐτὸς ἐπιὼν, καθίστατο τὰς πόλεις, καὶ τοῖς δυνάσταις ἐχρημάτιζε. καὶ πρὸς Κάσσιον ἔπεμπεν εἰς Συρίαν ἀπ᾽ Αἰγύπτου μετακαλῶν. οὐ γὰρ ἀρχὴν κτωμένους αὐτοὺς, ἀλλ᾽ ἐλευθεροῦντας τὴν πατρίδα τὴν δύναμιν ᾗ καταλύσουσι τοὺς τυράννους συνάγοντας πλανᾶσθαι. δεῖν οὖν μεμνημένους καὶ φυλάττοντας τὴν ὑπόθεσιν μὴ μακρὰν ἀπηρτῆσθαι τῆς Ἰταλίας. ἀλλ᾽ ἐκεῖσε σπεύδειν, καὶ βοηθεῖν τοῖς πολίταις. ὑπακούσαντος δὲ τοῦ Κασσίου, καὶ καταβαίνοντος ἀπήντα, καὶ περὶ Σμύρναν ἀλλήλοις ἐνετύγχανον. ἀφ᾽ οὗ πρῶτον ἐν Πειραιεῖ χωρισθέντες ὥρμησαν, ὁ μὲν εἰς Συρίαν, ὁ δὲ εἰς Μακεδονίαν. Ἦν οὖν ἡδονή τε μεγάλη, καὶ θάρσος αὐτοῖς ἐκ τῆς παρούσης ἑκατέρῳ δυνάμεως. ὁρμήσαντες γὰρ ἐκ τῆς Ἰταλίας ὅμοια φυγάδων τοῖς ἀτιμοτάτοις, ἀχρήματοι καὶ ἄνοπλοι, μὴ ναῦν ἐνήρη, μὴ στρατιώτην ἕνα, μὴ πόλιν ἔχοντες, οὐ πολλοῦ πάνυ χρόνου διαγενομένου συνῆλθον εἰς ταὐτὸ, καὶ ναυσὶ, καὶ πεζῷ, καὶ ἵπποις, καὶ χρήμασιν, ἀξιόμαχοι διαγωνίσασθαι περὶ τῆς Ῥωμαίων ἡγεμονίας ὄντες. Ἐβούλετο μὲν οὖν ἴσον ἔχειν τιμῆς, καὶ παρέχειν ὁ Κάσσιος, ἔφθανε δ᾽ ὁ Βροῦτος ὡς τὰ πολλὰ φοιτῶν πρὸς αὐτὸν, ἡλικίᾳ τε προὔχοντα, καὶ σώματι πονεῖν ὁμοίως μὴ δυναμένῳ χρώμενον. ἦν δὲ δόξα, Κάσσιον μὲν εἶναι δεινὸν ἐν τοῖς πολεμικοῖς, ὀργῇ δὲ τραχὺν, καὶ φόβῳ μᾶλλον ἄρχοντα. πρὸς δὲ τοὺς συνήθεις ὑγρότερον τῷ γελοίῳ καὶ φιλοσκώπτην. Βροῦτον δὲ λέγουσι δι᾽ ἀρετὴν φιλεῖσθαι μὲν ὑπὸ τῶν πολλῶν, ἐρᾶσθαι δ᾽ ὑπὸ τῶν φίλων, θαυμάζεσθαι δὲ ὑπὸ τῶν ἀρίστων, μισεῖσθαι δὲ μηδ᾽ ὑπὸ τῶν πολεμίων. ὅτι πρᾶος ὁ ἀνὴρ διαφερόντως, καὶ μεγαλόφρων, καὶ πρὸς ὀργὴν καὶ ἡδονὴν, καὶ πλεονεξίαν ἀπαθής. ὄρθιον δὲ τὴν γνώμην καὶ ἄκαμπτον ἱστὰς ὑπὲρ τοῦ καλοῦ καὶ δικαίου διαφυλάττων. καὶ μέγιστον ὑπῆρχεν αὐτῷ πρὸς εὔνοιαν καὶ δόξαν, ἡ τῆς προαιρέσεως πίστις. οὔτε γὰρ ἐκεῖνος ὁ μέγας Πομπήιος εἰ Καίσαρα καθεῖλεν, ἠλπίζετο βεβαίως προήσεσθαι τοῖς νόμοις τὴν δύναμιν, ἀλλ᾽ ἀεὶ τὰ πράγματα καθέξειν ὑπατείας ὀνόματι καὶ δικτατορείας, ἤ τινος ἄλλης μαλακωτέρας ἀρχῆς παραμυθούμενος τὸν δῆμον. Κάσσιον δὲ τοῦτον σφοδρὸν ἄνδρα καὶ θυμοειδῆ, καὶ πολλαχοῦ πρὸς τὸ κερδαλέον ἐκφερόμενον τοῦ δικαίου, παντὸς μᾶλλον ᾤοντο πολεμεῖν, καὶ πλανᾶσθαι, καὶ κινδυνεύειν, αὑτῷ τινα δυναστείαν κατασκευαζόμενον οὐκ ἐλευθερίαν τοῖς πολίταις. τὰ μὲν γὰρ ἔτι τούτων πρεσβύτερα, Κίνναι, καὶ Μάριοι, καὶ Κάρβωνες ἆθλον ἐν μέσῳ, καὶ λείαν προθέμενοι τὴν πατρίδα μόνον οὐχὶ ῥητῶς ὑπὲρ τυραννίδος ἐπολέμησαν.

Βρούτου δὲ λέγουσι, μηδὲ τοὺς ἐχθροὺς προσβάλλειν τοιαύτην μεταβολὴν, ἀλλ᾽ Ἀντωνίου γε, καὶ πολλοὺς ἀκοῦσαι λέγοντος, ὡς μόνον οἴοιτο Βροῦτον ἐπιθέσθαι Καίσαρι προαχθέντα τῇ λαμπρότητι, καὶ τῷ φαινομένῳ καλῷ τῆς πράξεως. τοὺς δ᾽ ἄλλους ἐπὶ τὸν ἄνδρα συστῆναι, μισοῦντας καὶ φθονοῦντας. ὅθεν Βροῦτος οὐ τῇ δυνάμει τοσοῦτον, ὅσον τῇ ἀρετῇ δῆλός ἐστιν, ἐξ ὧν γράφει, πεποιθώς. γράφει δὲ πρὸς Ἀττικὸν ἤδη τῷ κινδύνῳ πλησιάζων, ἐν τῷ καλλίστῳ τῆς τύχης εἶναι τὰ καθ᾽ αὑτόν. ἢ γὰρ νικήσας ἐλευθερώσειν τὸν Ῥωμαίων δῆμον, ἢ δουλείας ἀποθανὼν ἀπαλλαγήσεσθαι. καὶ τῶν ἄλλων ἀσφαλῶς αὐτοῖς καὶ βεβαίως ἐχόντων, ἔτ᾽ ἄδηλον εἶναι πότερον βιώσονται μετ᾽ ἐλευθερίας, ἢ τεθνήξονται. Μάρκον δ᾽ Ἀντώνιον ἀξίαν φησὶ τῆς ἀνοίας διδόναι δίκην, ὃς ἐν Βρούτοις καὶ Κασσίοις καὶ Κάτωσι συναριθμεῖσθαι δυνάμενος, προσθήκην ἑαυτὸν Ὀκταβίῳ δέδωκεν. κἂν μὴ νῦν ἡττηθῇ μετ᾽ ἐκείνου, μικρὸν ὕστερον ἐκείνῳ μαχεῖται. Ταῦτα μὲν οὖν ἀποθεσπίσαι καλῶς πρὸς τὸ μέλλον ἔοικεν. ἐν δὲ τῇ Σμύρνῃ τότε τῶν χρημάτων ἃ πολλὰ συνειλόχει Κάσσιος, ἠξίου μεταλαβεῖν. τὰ γὰρ ὄντα κατανηλωκέναι ναυπηγούμενος στόλον τοσοῦτον, ᾧ πᾶσαν ὑφ᾽ ἑαυτοῖς ἕξουσι τὴν ἐντὸς θάλασσαν. Οὐκ εἴων μὲν οὖν τὸν Κάσσιον οἱ φίλοι διδόναι λέγοντες, ὡς οὐ δίκαιον, ἃ σὺ φειδόμενος διαφυλάττεις, καὶ φθόνῳ συνάγεις, ἐκεῖνον λαβόντα δημαγωγεῖν, καὶ χαρίζεσθαι τοῖς στρατιώταις. οὐ μὴν, ἀλλ᾽ ἔδωκεν αὐτῷ τρίτον μέρος ἁπάντων. καὶ πάλιν διαστάντες ἐπὶ τὰς προσηκούσας ἑκατέρῳ πράξεις. Κάσσιος μὲν ἑλὼν Ῥόδον οὐκ ἐπιεικῶς ἐχρῆτο τοῖς πράγμασι. καὶ ταῦτα περὶ τὴν εἴσοδον τοῖς προσαγορεύουσιν αὐτὸν, βασιλέα καὶ κύριον ἀποκρινάμενος, οὔτε βασιλεὺς οὔτε κύριος. τοῦ δὲ κυρίου, καὶ βασιλέως φονεὺς καὶ κολαστής. Βροῦτος δὲ Λυκίους ᾔτει χρήματα καὶ στρατόν. ἐπεὶ δὲ Ναυκράτης ὁ δημαγωγὸς ἀνέπεισε τὰς πόλεις ἀφίστασθαι, καὶ λόφους τινὰς ὡς εἴρξοντες παρόδου τὸν Βροῦτον κατελάβοντο, πρῶτον μὲν ἀριστοποιουμένοις αὐτοῖς ἔπεμψεν ἱππεῖς. ὑφ᾽ ὧν ἑξακόσιοι διεφθάρησαν. ἔπειτα, τὰ χωρία καὶ πολίχνια λαμβάνων, ἀπέλυεν ἄνευ λύτρων ἅπαντας ὡς προσαξόμενος εὐνοίᾳ τὸ ἔθνος. οἱ δ᾽ ἦσαν αὐθάδεις, ἃ μὲν ἐβλάπτοντο, πρὸς ὀργὴν τιθέμενοι, τῆς δ᾽ ἐπιεικείας καὶ φιλανθρωπίας καταφρονοῦντες. ἄχρι οὗ συνελάσας εἰς Ξάνθον αὐτῶν

ἔτι μᾶλλον αὐτοῦ ῥᾷστα βουλόμενος ἤτησε ποτήριον μεῖζον, καὶ λαβὼν ἀπ᾽ οὐδεμιᾶς προφάσεως, » ἀνεφώνησε τὸν στίχον τοῦτον. ἀλλά με μοῖρ᾽ ὀλοὴ, καὶ λητοῦς ἔκτανεν υἱός. ἔτι δὲ πρὸς τούτοις ἱστοροῦσιν, ὅτι τὴν τελευταίαν ἐν φιλίπποις μαχούμενος ἐξῄει μάχην, σύνθημα παρ᾽ αὐτοῦ τοῖς στρατιώταις ἀπόλλωνα δοθῆναι. διὸ καὶ τῆς συμφορᾶς τίθενται σημεῖον ἐκείνην τὴν ἀναφώνησιν. ἐκ τούτου πεντήκοντα μὲν αὐτῷ μυριάδας ἀντίστιος, ἀφ᾽ ὧν ἦγε καὶ αὐτὸς εἰς ἰταλίαν χρημάτων δίδωσιν. ὅσοι δὲ περὶ θετταλίαν ἔτι τῆς πομπηΐου στρατιᾶς ἐπλανῶντο, συνέρρεον ἀσμένως πρὸς αὐτόν. ἱππεῖς τε πεντακοσίους ἀφελόμενος κίννα πρὸς δολοβέλλαν ἄγοντος εἰς ἀσίαν. ἐπιπλεύσας τε δημητριάδι πολλῶν ὅπλων ἐξαγομένων πρὸς ἀντώνιον, ἃ καίσαρος τοῦ προτέρου κελεύσαντος ἤδη τὸν παρθικὸν ἐποιήθη πόλεμον, ἐκράτησεν. ὁρτησίου δὲ τοῦ στρατηγοῦ παραδόντος αὐτῷ μακεδονίαν, καὶ τῶν ἐν κύκλῳ βασιλέων καὶ δυναστῶν συνισταμένων καὶ προστιθεμένων, ἀγγέλλεται γάϊος ὁ ἀντωνίου ἀδελφὸς, ἐξ ἰταλίας διαβεβηκὼς, καὶ βαδίζειν εὐθὺς ἤδη τὰς δυνάμεις, ἃς ἐν ἐπιδάμνῳ καὶ ἀπολλωνίᾳ γαβίνιος συνεῖχε. βουλόμενος οὖν φθάσαι καὶ προλαβεῖν ὁ βροῦτος, ἐξαίφνης ἀναστήσας τοὺς σὺν αὐτῷ, διὰ χωρίων χαλεπῶν, νιφόμενος ἐπορεύετο. καὶ πολὺ προῆλθε, τοὺς κομίζοντας τὸ ἄριστον. ἐγγὺς οὖν ἐπιδάμνου γενόμενος διὰ κόπον καὶ ψύχος ἐβουλιμίασεν. συμπίπτει δὲ μάλιστα τὸ πάθος, χιόνος οὔσης πονοῦσι καὶ κτήνεσι καὶ ἀνθρώποις. εἴτε τοῦ θερμοῦ διὰ περίψυξιν καὶ πύκνωσιν, κ· ὅταν ἐντὸς ἅπαν καθειρχθῇ, τὴν τροφὴν ἀθρόως ἀναλίσκοντος, εἴτε δριμεῖα καὶ λεπτὴ, τῆς χιόνος διαλυομένης ἰοῦσα πνοὴ, τέμνει τὸ σῶμα καὶ διαφθείρει τὸ θερμὸν ἐξ αὐτοῦ θύραζε διασπειρόμενον. τὰς γὰρ ἐφιδρώσεις παρέχειν δοκεῖ τὸ θερμὸν, ἀπαντῶντι τῷ ψυχρῷ περὶ τὴν ἐπιφάνειαν σβεννύμενον. ὑπὲρ ὧν ἐν ἑτέροις μᾶλλον ἠπόρηται. λιποθυμοῦντος δὲ τοῦ βρούτου, καὶ μηδενὸς ἔχοντος ἐν τῷ στρατοπέδῳ μηδὲν ἐδώδιμον, ἠναγκάσθησαν οἱ περὶ αὐτὸν ἤδη τοὺς πολεμίους καταφυγεῖν, καὶ ταῖς πύλαις προσελθόντες, ἄρτον ᾔτουν τοὺς φύλακας. οἱ δὲ διακούσαντες τὸ σύμπτωμα τοῦ βρούτου, παρῆσαν αὐτοὶ, καὶ σιτία καὶ ποτὰ κομίζοντες. ἀνθ᾽ ὧν ὁ βροῦτος ὡς τὴν πόλιν παρέλαβεν, οὐ μόνον τούτοις, ἀλλὰ καὶ πᾶσι διὰ τοῦτον φιλανθρώπως ἐχρήσατο. γάϊος δ᾽ ἀντώνιος ἀπολλωνίᾳ προσβαλὼν, ἐκεῖ τοὺς ἐγγὺς ὄντας ἐκάλει στρατιώτας. ἐπεὶ δ᾽ οὗτοί τε πρὸς βροῦτον ᾤχοντο, καὶ τοὺς ἀπολλωνιάτας ᾔσθετο τὰ βρούτου φρονοῦντας, ἐκλιπὼν τὴν πόλιν, εἰς βουθρωτὸν ἐβάδιζεν. καὶ πρῶτον μὲν ἀπόλλυσι τρεῖς σπείρας καθ᾽ ὁδὸν ὑπὸ βρούτου κατακοπείσας. ἔπειτα, τοὺς περὶ τὴν βυλλίδα τόπους προκαταληφθέντας ἐπιχειρῶν ἐκβιάζεσθαι, καὶ μάχην συνάψας κικέρωνι νικᾶται. τούτῳ γὰρ ὁ βροῦτος ἐχρῆτο στρατηγῷ, καὶ πολλὰ δι᾽ αὐτοῦ κατώρθωσε. λαβὼν δὲ τὸν γάϊον ἐν χωρίοις ἑλώδεσι μακρὰν διεσπασμένον, οὐκ εἴασεν ἐμβαλεῖν, ἀλλὰ περιίππευσεν φείδεσθαι κελεύων ὡς μετὰ μικρὸν ἰδίων ἐσομένων, ὃ καὶ συνέβη. παρέδωσαν γὰρ ἑαυτοὺς καὶ τὸν στρατηγὸν, ὥστε μεγάλην ἤδη περὶ τὸν βροῦτον δύναμιν εἶναι. χρόνον μὲν οὖν πολὺν ἐν τιμῇ τὸν γάϊον ἦγε. καὶ τὰ παράσημα τῆς ἀρχῆς οὐκ ἀφῄρει. καίπερ ὥς φασιν, ἄλλων τε πολλῶν καὶ κικέρωνος ἀπὸ ῥώμης γραφόντων καὶ κελευόντων ἀναιρεῖν. ἀρξάμενον δὲ κρύφα τοῖς ἡγεμόσι διαλέγεσθαι, καὶ ποιήσαντα νεωτερισμὸν, ἐνθέμενος εἰς ναῦν, ἐφύλαττεν. τῶν δὲ διαφθαρέντων στρατιωτῶν εἰς ἀπολλωνίαν ἀποστάντων καὶ καλούντων ἐκεῖ τὸν βροῦτον, οὐκ ἔφη τοῦτο πάτριον εἶναι ῥωμαίοις, ἀλλ᾽ ἐκείνους πρὸς τὸν ἄρχοντα χρῆναι βαδίζοντας, αὐτοὺς παραιτεῖσθαι τὴν ἤδη τοῖς ἡμαρτημένοις ὀργήν. ἐλθοῦσι δὲ καὶ δεομένοις συγγνώμην ἔδωκεν. μέλλοντι δ᾽ αὐτῷ διαβαίνειν εἰς τὴν ἀσίαν, ἧκεν ἀγγελία περὶ τῆς ἐν ῥώμῃ μεταβολῆς. ὁ γὰρ νέος καῖσαρ ηὐξήθη μὲν ὑπὸ τῆς βουλῆς ἐπ᾽ ἀντώνιον. ἐκβαλὼν δὲ τῆς ἰταλίας ἐκεῖνον, αὐτὸς ἤδη φοβερὸς ἦν, ὑπατείαν τε μνώμενος παρὰ νόμον, καὶ στρατεύματα τρέφων μεγάλα τῆς πόλεως οὐδὲν δεομένης. ὁρῶν δὲ καὶ ταῦτα τὴν βουλὴν βαρυνομένην, καὶ πρὸς τὸν βροῦτον ἀφορῶσαν ἔξω, καὶ ψηφιζομένην ἐκείνῳ καὶ βεβαιοῦσαν τὰς ἐπαρχίας, ἔδεισεν. καὶ τὸν μὲν ἀντώνιον πέμπων, εἰς φιλίαν προυκαλεῖτο. τὰς δὲ δυνάμεις τῇ πόλει περιστήσας, ὑπατείαν ἔλαβεν. οὔπω πάνυ μειράκιον ὢν, ἀλλ᾽ εἰκοστὸν ἄγων ἔτος, ὡς αὐτὸς ἐν τοῖς ὑπομνήμασιν εἴρηκεν. εὐθὺς δὲ δίκας φόνου κατὰ τῶν περὶ τὸν βροῦτον ἐσῆγεν, ὡς ἄνδρα πρῶτον ἐν ἀρχαῖς ταῖς μεγίσταις ἀνῃρηκότων ἄκριτον. καὶ κατήγορον ἐπέστησε, βρούτου μὲν, λεύκιον κορνιφίκιον. κασσίου δὲ, μᾶρκον ἀγρίππαν. ὠφλίσκανον οὖν τὰς δίκας ἐρήμας, ἀναγκαζομένων φέρειν ψῆφον τῶν δικαστῶν. λέγεται δὲ τοῦ κήρυκος ὥσπερ εἴωθεν ἀπὸ τοῦ βήματος, τὸν βροῦτον ἤδη τὴν δίκην καλοῦντος, τὸ μὲν πλῆθος ἐπιδήλως στενάξαι. τοὺς δ᾽ ἀρίστους, κύψαντας εἰς γῆν, ἡσυχίαν ἄγειν. πόπλιον δὲ σιλίκιον, ὀφθῆναι δακρύσαντα. καὶ διὰ τὴν αἰτίαν ταύτην, ὀλίγον ὕστερον ἕνα τῶν προγεγραμμένων ἤδη θανάτῳ γενέσθαι. μετὰ ταῦτα διαλλαγέντες οἱ τρεῖς, καῖσαρ, ἀντώνιος, λέπιδος, διενείμαντο τὰς ἐπαρχίας. σφαγάς τε καὶ προγραφὰς ἀνδρῶν διακοσίων ἐποιήσαντο, ἐν οἷς καὶ κικέρων ἐπέθανεν. ἀπέθανε τούτων οὖν εἰς μακεδονίαν ἀπαγγελθέντων, ἐκβιασθεὶς ὁ βροῦτος ἔγραψεν ὁρτησίῳ κτεῖναι γάϊον ἀντώνιον, ὡς δὴ βρούτῳ τε καὶ κικέρωνι τιμωρῶν, τῷ μὲν ὄντι φίλῳ, τῷ δὲ, καὶ κατὰ γέ-

διαλυομένης ς τ. ϙ.

κτός. ὅμως δ' ἕωθεν ἐκκομιζομένου τοῦ σώματος αἰδούμενος μὴ παρεῖναι, προῆλθεν εἰς τὸν ὄχλον ἤδη διαγριαινόμενον. ὀφθεὶς δὲ καὶ δόξας, οὐχ ὃς ἦν κίννας ὀφθῆναι, ἀλλ' ἐκεῖνος ὁ καίσαρα πρὸς τὴν ἐκκλησίαν ἔναγχος λοιδορήσας, διεσπάσθη. Τοῦτο τὸ πάθος μάλιστα μετά γε τὴν ἀντωνίου μεταβολὴν δείσαντες οἱ περὶ βροῦτον, ἀνεχώρησαν ἐκ τῆς πόλεως, καὶ διέτριβον ἐν ἀντίῳ τὸ πρῶτον. ὡς ὅταν παρακμάσῃ καὶ μαρανθῇ τὸ τῆς ὀργῆς, αὖθις εἰς ῥώμην κατιόντες. ὃ ῥᾳδίως ἔσεσθαι προσεδόκων ἐν πλήθεσι φορὰς ἀσταθμήτους καὶ ταχείας φερομένοις, καὶ τὴν σύγκλητον εὔνουν ἔχοντες. ἣ τοὺς κίνναν διασπασαμένους χαίρειν ἐάσασα, τοὺς ἐπὶ τὰς οἰκίας τὰς ἐκείνων ἐπελθόντας, ἀνεζήτει καὶ συνελάμβανεν. Ἤδη δὲ καὶ ὁ δῆμος ἀχθόμενος ἀντωνίου σχεδὸν εἰς μοναρχίαν καθισταμένου, βροῦτον ἐπόθει. καὶ προσεδοκᾶτο τὰς θέας ἄξειν παρὼν αὐτός, ἃς ὤφειλε στρατηγῶν παρασχεῖν. αἰσθόμενος δὲ, πολλοὺς τῶν ὑπὸ καίσαρος ἐστρατευμένων, καὶ γῆν καὶ πόλεις παρ' ἐκείνου λαβόντων, ἐπιβουλεύοντας αὐτῷ. καὶ κατ' ὀλίγους παρεισρέοντας εἰς τὴν πόλιν, οὐκ ἐθάρρησεν ἐλθεῖν. ἀλλ' ὁ δῆμος ἐθεᾶτο, μὴ παρόντος ἐκείνου, τὰς θέας ἀφειδῶς πάνυ κεχορηγημένας, καὶ περιττῶς. θηρία τε γὰρ πάμπολλα συνεωνημένος, ἐκέλευσε μηδὲν ἀποδόσθαι μηδ' ὑπολιπεῖν, ἀλλὰ πᾶσι καταχρήσασθαι. καὶ τῶν περὶ τὸν διόνυσον τεχνιτῶν, αὐτὸς εἰς νέαν πόλιν καταβὰς, ἐνέτυχε πλείστοις. περὶ δὲ κανουτίου τινὸς εὐημεροῦντος ἐν τοῖς θεάτροις, ἔγραφε πρὸς τοὺς φίλους ὅπως πείσαντες αὐτὸν εἰσαγάγωσιν. ἑλλήνων γὰρ, οὐδένα βιασθῆναι προσήκειν. ἔγραφε δὲ καὶ κικέρωνι πάντως παρατυχεῖν ταῖς θέαις δεόμενος. Ἐν τοιαύτῃ δὲ καταστάσει τῶν πραγμάτων ὄντων, ἑτέρα γίνεται μεταβολὴ, τοῦ νέου καίσαρος ἐπελθόντος. οὗτος ἦν μὲν ἐξ ἀδελφιδῆς καίσαρος, γράμματι δὲ, παῖς ὑπ' αὐτοῦ καὶ κληρονόμος ἀπολελειμμένος. ἐν δ' ἀπολλωνίᾳ διέτριβεν, ὅτε καῖσαρ ἀνῃρέθη, σχολάζων περὶ λόγους. κἀκεῖνον ἐπὶ πάρθους ἐλαύνειν εὐθὺς ἐγνωκότα προσμένων. ἅμα δὲ τῷ πυθέσθαι τὸ πάθος, ἦλθεν εἰς ῥώμην. καὶ δημαγωγίας ἀρχὴν ποιούμενος, καίσαρος θέμενος ἑαυτῷ, καὶ διανέμων τὸ καταλειφθὲν ἀργύριον τοῖς πολίταις, ἀντώνιόν τε κατεστασίασε. καὶ χρήματα διαδιδοὺς, συνίστη καὶ συνῆγε πολλοὺς, τῶν ὑπὸ καίσαρος στρατευομένων. Ἐπεὶ δὲ κικέρων τῷ πρὸς ἀντώνιον μίσει, τὰ καίσαρος ἔπραττε, τούτῳ μὲν ὁ βροῦτος ἐπέπληττεν ἰσχυρῶς, γράφων, ὡς οὐ δεσπότην βαρύνοιτο κικέρων, ἀλλὰ μισοῦντα δεσπότην φοβοῖτο. καὶ πολιτεύοιτο δουλείας αἵρεσιν φιλανθρώπου, γράφων καὶ λέγων ὡς χρηστὸς ἐστὶν καῖσαρ. οἱ δὲ πρόγονοι φησὶν ἡμῶν, οὐδὲ πρᾴους δεσπότας ὑπέμενον. αὐτῷ δ' εἰς τὸ παρὸν καιροῦ, μήτε πολεμεῖν βεβαίως δεδόχθαι, μήτε ἡσυχάζειν. ἀλλ' ἓν μόνον εἶναι βεβουλευμένον, τὸ μὴ δουλεύειν. θαυμάζειν δὲ κικέρωνα, εἰ πόλεμον μὲν ἐμφύλιον καὶ κινδυνώδη δέδοικεν. αἰσχρὰν δὲ καὶ ἄδοξον εἰρήνην οὐ φοβεῖται. τὸν δὲ ἀντώνιον ἐκβαλεῖν τῆς τυραννίδος μισθὸν αἰτεῖ, τὸ καίσαρα καταστῆσαι τύραννον. ἐν μὲν οὖν ταῖς πρώταις ἐπιστολαῖς, τοιοῦτος ὁ βροῦτος. ἤδη δὲ τῶν μὲν, ὡς καίσαρα, τῶν δ' ὡς ἀντώνιον διισταμένων, ὠνίων δὲ τῶν στρατοπέδων ὥσπερ ὑπὸ κήρυκι προστιθεμένων τῷ πλέον διδόντι, παντάπασι καταγνοὺς τῶν πραγμάτων, ἔγνω καταλιπεῖν ἰταλίαν. καὶ πεζῇ διὰ λευκανίας εἰς ἐλέαν ἐπὶ θάλασσαν ἧκεν. ὅθεν ἡ πορκία μέλλουσα πάλιν εἰς ῥώμην ἀποτρέπεσθαι, λανθάνειν μὲν ἐπειρᾶτο περιπαθῶς ἔχουσα, γραφὴ δέ τις αὐτὴν προὔδωκε, τἆλλα γενναίαν οὖσαν. ἦν γὰρ ἐκ τῶν ἑλληνικῶν διάθεσις, προπεμπόμενος ἕκτωρ ὑπὸ ἀνδρομάχης, κομιζομένης παρ' αὐτοῦ τὸ παιδίον, ἐκείνῳ δὲ προσβλεπούσης.

Ταῦτα θεωμένην τὴν πορκίαν, ἡ τοῦ πάθους εἰκὼν ἐξέτηξεν εἰς δάκρυα. καὶ πολλάκις φοιτῶσα τῆς ἡμέρας, ἔκλαιεν. ἀκιλίου δέ τινος τῶν βρούτου φίλων, τὰ πρὸς ἕκτορα τῆς ἀνδρομάχης ἔπη διελθόντος,

„ ἕκτορ ἀτὰρ σύ μοί ἐσσι πατὴρ, καὶ πότνια μήτηρ, ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς παρακοίτης.
„ μειδιάσας ὁ βροῦτος, ἀλλ' οὐκ ἔμοιγε εἶπεν πρὸς πορκίαν ἔπεισι φάναι τὰ τοῦ ἕκτορος. ἱστόν τ' ἠλακάτην τε καὶ ἀμφιπόλοισι κέλευε.

σώματος γὰρ ἀπολείπεται φύσει τῶν ἴσων ἀνδραγαθημάτων. γνώμῃ δ' ὑπὲρ τῆς πατρίδος ὥσπερ ἡμεῖς ἀριστεύσει. ταῦτα μὲν ὁ τῆς πορκίας υἱὸς ἱστόρηκε βύβλος.

Ἀναχθεὶς δ' ὁ βροῦτος ἐκεῖθεν, ἐπ' ἀθηνῶν ἔπλει. δεξαμένου δὲ τοῦ δήμου προθύμως αὐτὸν, εὐφημίαις καὶ ψηφίσμασι, διῃτᾶτο μὲν παρὰ ξένῳ τινί. θεομνήστου δ' ἀκροώμενος τοῦ ἀκαδημαϊκοῦ, καὶ κρατίππου τοῦ περιπατητικοῦ, καὶ συμφιλοσοφῶν, ἐδόκει παντάπασιν ἀργεῖν καὶ σχολάζειν. ἔπραττε δὲ τὰ πρὸς τὸν πόλεμον ἀνυπόπτως. καὶ γὰρ εἰς μακεδονίαν ἔπεμψεν ἡρόστρατον, οἰκειούμενος τοὺς ἐπὶ τῶν ἐκεῖ στρατοπέδων. καὶ τοὺς σχολάζοντας ἀπὸ ῥώμης ἐν ἄστει νέους ἀνελάμβανε καὶ συνεῖχεν. ὧν ἦν καὶ κικέρωνος υἱὸς, ὃν ἐπαινεῖ διαφερόντως, καὶ φησὶν εἴτ' ἐγρήγορεν εἴτ' ἐνυπνιάζεται θαυμάζειν, οὕτω γενναῖον ὄντα, καὶ μισοτύραννον. ἀρξάμενος δὲ τῶν πραγμάτων ἀναφανδὸν ἅπτεσθαι, καὶ πυθόμενος πλοῖα ῥωμαϊκὰ μεστὰ χρημάτων ἐξ ἀσίας προσφέρεσθαι, καὶ στρατηγὸν ἐπιπλεῖν, ἄνδρα χαρίεντα καὶ γνώριμον, ἀπήντησεν αὐτῷ περὶ κάρυστον. ἐντυχὼν δὲ καὶ πείσας καὶ παραλαβὼν τὰ πλοῖα, λαμπροτέραν ὑποδοχὴν ἐποιεῖτο. καὶ γὰρ ἦν ἡμέρα καθ' ἣν ἐγεγόνει πρῶτον ὁ βροῦτος. ὡς οὖν ἐλθόντες εἰς τὸ πίνειν, ἐπὶ χύσεις ἐποιοῦντο νίκης τε βρούτου καὶ ῥωμαίων ἐλευθερίας.

Iliad. L. vi.

ἀλλ' ἐς οἶκον ἰοῦσα τὰ σ' αὐτῆς ἔργα κόμιζε,
ἱστόν τ' ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
ἔργον ἐποίχεσθαι. πόλεμος δ' ἄνδρεσσι μελήσει
πᾶσιν, ἐμοὶ δὲ μάλιστα, τοὶ ἰλίῳ ἐγγεγάασι.

οὐδενὸς διώκοντος, οὐδὲ κατατείνοντος. ἰσχυρῶς γὰρ ἐδέδοκτο, μηδένα κτείνειν ἕτερον, ἀλλὰ πάντας ἐπὶ τὴν ἐλευθερίαν ἀνακαλεῖσθαι. καὶ τοῖς μὲν ἄλλοις πᾶσιν, ὁπηνίκα διεσκόπουν τὴν πρᾶξιν ἤρεσκεν Ἀντώνιον ἐπισφάττειν καίσαρι, μοναρχικὸν ἄνδρα καὶ ὑβριστὴν, ἰσχύν τε πεποιημένον ὁμιλίᾳ καὶ συνηθείᾳ, πρὸς τὸ στρατιωτικόν. καὶ μάλισθ' ὅτι τῷ φύσει σοβαρῷ, καὶ μεγαλοπράγμονι, προσειλήφει τὸ τῆς ὑπατείας ἀξίωμα τότε, καίσαρι συνάρχων. ἀλλὰ βροῦτος, ἀνέστη πρὸς τὸ βούλευμα. πρῶτον μὲν, ἰσχυριζόμενος τῷ δικαίῳ. δεύτερον δ' ὑποβάλλων ἐλπίδα τῆς μεταβολῆς. οὐ γὰρ ἀπεγίνωσκεν εὐφυᾶ, καὶ φιλότιμον ἄνδρα, καὶ δόξης ἐραστὴν τὸν ἀντώνιον, ἐκποδὼν καίσαρος γενομένου, καὶ συνεφάψασθαι τῇ πατρίδι τῆς ἐλευθερίας ἐπισπασθέντα τῷ ζήλῳ πρὸς τὸ καλὸν ὑπ' αὐτῶν. οὕτω μὲν ἀντώνιον, βροῦτος περιεποίησεν. ἐν δὲ τῷ τότε φόβῳ μεταλαβὼν ἐσθῆτα δημοτικὴν ἔφυγεν. οἱ δὲ περὶ βροῦτον, εἰς τὸ καπιτώλιον ἐχώρουν ᾑμαγμένοι τὰς χεῖρας, καὶ τὰ ξίφη γυμνὰ δεικνύντες. ἐπὶ τὴν ἐλευθερίαν παρεκάλουν τοὺς πολίτας. τὸ μὲν οὖν πρῶτον, ἦσαν ἀλαλαγμοί. καὶ διαδρομαί, τῷ πάθει κατὰ τύχην ἐπιγενόμεναι πλείονα τὸν θόρυβον ἐποίησαν. ὡς δ' οὔτε φόνος ἄλλος, οὔθ' ἁρπαγή τινος ἐγίνετο τῶν κειμένων, θαρροῦντες ἀνέβαινον οἵ τε βουλευταὶ καὶ τῶν δημοτῶν πολλοὶ πρὸς τοὺς ἄνδρας εἰς τὸ καπιτώλιον. ἀθροισθέντος δὲ τοῦ πλήθους διελέχθη βροῦτος ἐπαγωγὰ τοῦ δήμου καὶ πρέποντα τοῖς πεπραγμένοις. ἐπαινούντων δὲ καὶ καταβαίνειν βοώντων, θαρροῦντες κατέβαινον εἰς ἀγοράν. οἱ μὲν ἄλλοι συνεπόμενοι μετ' ἀλλήλων. βροῦτον δὲ πολλοὶ τῶν ἐπιφανῶν περιέποντες ἐν μέσῳ πάνυ λαμπρῶς κατῆγον ἀπὸ τῆς ἄκρας, καὶ κατέστησαν ἐπὶ τῶν ἐμβόλων. πρὸς δὲ τὴν ὄψιν οἱ πολλοὶ καίπερ μιγάδες ὄντες καὶ παρεσκευασμένοι θορυβεῖν διέτρεσαν. καὶ τὸ μέλλον ἐδέχοντο κόσμῳ καὶ σιωπῇ. προελθόντος δ' αὐτοῦ, πάντες ἡσυχίαν τῷ λόγῳ παρέσχον. ὅτι δ' οὐ πᾶσι πρὸς ἡδονὴν ἐγεγόνει τὸ ἔργον, ἐδήλωσαν. ἀρξαμένου λέγειν κίννα καὶ κατηγορεῖν καίσαρος, ἀναρρηγνύμενοι πρὸς ὀργὴν, καὶ κακῶς τὸν κίνναν λέγοντες. ὥστε πάλιν τοὺς ἄνδρας εἰς τὸ καπιτώλιον ἀπελθεῖν. ἐνταῦθα δὴ δεδιὼς πολιορκίαν ὁ βροῦτος, ἀπέπεμπε τοὺς ἀρίστους τῶν συναναβάντων. οὐκ ἀξιῶν τῆς αἰτίας μὴ μετέχοντας αὐτοὺς, συνυποδύεσθαι τὸν κίνδυνον. οὐ μὴν, ἀλλὰ τῇ ὑστεραίᾳ τῆς βουλῆς συνελθούσης εἰς τὸ τῆς γῆς ἱερόν. ἀντωνίου δὲ καὶ πλάγκου καὶ κικέρωνος εἰπόντων περὶ ἀμνηστίας, καὶ ὁμονοίας ἔδοξε, μὴ μόνον ἄδειαν εἶναι τοῖς ἀνδράσιν, ἀλλὰ καὶ γνώμην ὑπὲρ τιμῶν προθεῖναι τοὺς ὑπάτους. καὶ ταῦτ' ἐπιψηφισάμενοι διελύθησαν. ἀντωνίου δὲ τὸν υἱὸν εἰς τὸ καπιτώλιον ὁμηρεύσοντα πέμψαντος, κατῆλθον οἱ περὶ βροῦτον. ἀσπασμοί τε καὶ δεξιώσεις ἐγίνοντο πάντων ἀναμιχθέντων. καὶ κάσσιον μὲν ἀντώνιος ἑστία παραλαβών. βροῦτον δὲ λέπιδος. τοὺς δ' ἄλλους, ὅς τις εἶχε πρὸς ἕκαστον, ἢ συνηθείας, ἢ φιλοφροσύνης. ἅμα δ' ἡμέρᾳ πάλιν συνελθόντες οἱ βουλευταὶ πρῶτον μὲν, ἀντωνίῳ τιμὰς ἔδοσαν, ὡς καταπαύσαντι πολέμων ἐμφυλίων ἀρχήν. ἔπειτα τῶν περὶ βροῦτον ἦσαν ἔπαινοι τῶν παρόντων. καὶ τέλος ἐπαρχιῶν διανομαί. βρούτῳ μὲν γὰρ ἐψηφίσαντο κρήτην. κασσίῳ λιβύην. τρεβωνίῳ δὲ ἀσίαν. καὶ κίμβρῳ βιθυνίαν. τῷ δ' ἑτέρῳ βρούτῳ, τὴν περὶ τὸν ἠριδανὸν γαλατίαν. μετὰ δὲ ταῦτα, περὶ τῶν καίσαρος διαθηκῶν, καὶ ταφῆς αὐτοῦ λόγων ἐμπεσόντων, καὶ τῶν περὶ τὸν ἀντώνιον ἀξιούντων τάς τε διαθήκας ἀναγνωσθῆναι, καὶ τοῦ σώματος ἐκφορὰν γενέσθαι, μὴ κεκρυμμένην μηδ' ἄτιμον, ὡς μὴ καὶ τοῦτο παροξύνῃ τὸν δῆμον. κάσσιος μὲν, ἰσχυρῶς ἀντέλεγεν. εἶξε δὲ βροῦτος, καὶ συνεχώρησεν, δεύτερον ἁμαρτεῖν τοῦτο δόξας. καὶ γὰρ ἀντωνίου φεισάμενος, αἰτίαν ἔσχεν ἐπιτειχίσας τῇ συνωμοσίᾳ βαρὺν καὶ δύσμαχον πολέμιον, καὶ τὰ περὶ τὴν ταφὴν ὃν ἀντώνιος ἠξίου τρόπον ἐάσας γενέσθαι, τοῦ παντὸς σφαλῆναι. πρῶτον μὲν γὰρ ἐν ταῖς διαθήκαις διδομένων κατ' ἄνδρα ῥωμαίοις πᾶσι δραχμῶν ἑβδομήκοντα πέντε. καὶ τῷ δήμῳ τῶν πέραν τοῦ ποταμοῦ κήπων ἀπολελειμμένων, οὗ νῦν ἐστὶ τύχης ἱερὸν, εὔνοια θαυμαστὴ, καὶ πόθος αὐτοῦ τοὺς πολίτας εἷλεν. ἔπειτα τοῦ σώματος εἰς τὴν ἀγορὰν κομισθέντος, ἀντώνιος ἔπαινον ὡς πάτριον ἦν διεξελθὼν, καὶ τὰ πλήθη κινούμενα πρὸς τὸν λόγον ὁρῶν, εἰς οἶκτον μετέβαλε. καὶ τὴν ἐσθῆτα λαβὼν, τὴν καίσαρος ᾑμαγμένην, ἀνέπτυξεν ἐπιδεικνύμενος τὰς διακοπὰς, καὶ τῶν τραυμάτων τὸ πλῆθος. ἦν οὖν ἰδεῖν οὐδὲν ἔτι κόσμῳ γινόμενον. ἀλλ' οἱ μὲν ἐβόων, τοὺς ἀνδροφόνους ἀναιρεῖν. οἱ δ' ὥσπερ ἐπὶ κλωδίου τοῦ δημαγωγοῦ, πρότερον ἀπὸ τῶν ἐργαστηρίων, τὰ βάθρα, καὶ τὰς τραπέζας ἀνασπῶντες, καὶ συγκομίζοντες εἰς ταὐτὸ παμμεγέθη πυρὰν ἔνησαν. καὶ τὸν νεκρὸν ἐπιθέντες ἐν μέσῳ, πολλῶν μὲν ἱερῶν. πολλῶν δ' ἀσύλων καὶ ἀβεβήλων τόπων καθηγίαζον. ὡς δὲ τὸ πῦρ ἐξέλαμψεν, ἀλλαχόθεν ἄλλος προσφερόμενοι, καὶ δαλοὺς ἀνασπῶντες ἡμιφλέκτους διέθεον ἐπὶ τὰς οἰκίας τῶν ἀνῃρηκότων αὐτὸν ὡς ἐμπρήσοντες. ἀλλ' ἐκεῖνοι μὲν, εὖ πεφραγμένοι πρότερον, ἀπεκρούσαντο τὸν κίνδυνον. ἦν δέ τις κίννας ποιητικὸς ἀνὴρ, οὐδὲν τῆς αἰτίας μετέχων, ἀλλὰ καὶ φίλος καίσαρος γεγονώς. οὗτος ὄναρ ᾤετο καλούμενος ὑπὸ καίσαρος ἐπὶ δεῖπνον, ἀρνεῖσθαι. τὸν δὲ λιπαρεῖν καὶ βιάζεσθαι. τέλος δ' ἄγειν λαβόμενον τῆς χειρὸς εἰς ἀχανῆ τόπον, καὶ σκοτεινόν. αὐτὸν δ' ἄκοντα καὶ τεθαμβημένον, ἕπεσθαι. ταύτην ἰδόντι τὴν ὄψιν αὐτῷ, συνέβη πυρέττειν δὲ τῆς νυ-

χαινόντων καὶ διαφθερομένων, ὥσπερ ἐγχαλάζοντες. ἀλλὰ καὶ τὰς κρίσεις ἕκαστος ἀκριβεῖς καὶ μετὰ γνώμης ἐδίδοσαν ἐπιμελῶς προσέχοντες. Ἐπεὶ δέ τις μὴ βουλόμενος δίκην ὑπέχειν ἐπεκαλεῖτο Καίσαρα, καὶ πολὺς ἦν βοῶν καὶ μαρτυρόμενος, ἀποβλέψας Βροῦτος εἰς τοὺς παρόντας, ἐμὲ καὶ Καῖσαρ εἶπεν, οὔτε κωλύει ποιεῖν τὰ κατὰ τοὺς νόμους, οὔτε κωλύσει. καίτοι πολλὰ θορυβώδη κατὰ τύχην αὐτοῖς προσέπεσε. πρῶτον μὲν καὶ μάλιστα, τὸ βραδύνειν τὸν Καίσαρα, τῆς ἡμέρας προηκούσης, καὶ δυσιεροῦντα κατέχεσθαι μὲν ὑπὸ τῆς γυναικὸς οἴκοι, κωλύεσθαι δὲ προελθεῖν ὑπὸ τῶν μάντεων. Δεύτερον δὲ, Κάσκα τῶν συνειδότων ἑνὶ, προσελθών τις, καὶ λαβόμενος τῆς δεξιᾶς. σὺ μὲν εἶπεν ἀπεκρύψω τὸ ἀπόρρητον ὦ Κάσκα πρὸς ἡμᾶς, Βροῦτος δέ μοι πάντα μεμήνυκεν. ἐκπλαγέντος δὲ τοῦ Κάσκα, γελάσας ἐκεῖνος πόθεν γε ἔφη, ταχέως οὕτως ὦ μακάριε πεπλούτηκας, ὥστ᾽ εἰς ἀγορανομίαν ἀποδύεσθαι. παρὰ τοσοῦτον μὲν ὁ Κάσκας ἦλθεν, σφαλεὶς ἀμφιβολίᾳ, προέσθαι τὸ ἀπόρρητον. αὐτὸν δὲ Βροῦτον καὶ Κάσσιον ἀνὴρ βουλευτικὸς Ποπίλιος Λαίνας ἀσπασάμενος προθυμότερον, καὶ ψιθυρίσας ἠρέμα, συνεύχομαι φησὶν ὑμῖν ἐκτελεῖν ἃ κατὰ νοῦν ἔχετε, καὶ παρακελεύομαι μὴ βραδύνειν. οὐ γὰρ σιωπᾶται τὸ πρᾶγμα. καὶ ταῦτ᾽ εἰπὼν, ἀπέστη, πολλὴν ὑποψίαν ἐμβαλὼν, τοῦ πεπύσθαι τὴν πρᾶξιν. ἐν τούτῳ δέ τις οἴκοθεν ἔθει πρὸς τὸν Βροῦτον, ἀγγέλλων αὐτῷ τὴν γυναῖκα θνήσκειν. ἡ γὰρ Πορκία πρὸς τὸ μέλλον ἐκπαθὴς οὖσα, καὶ τὸ μέγεθος μὴ φέρουσα τῆς φροντίδος, ἑαυτήν τε μόλις οἴκοι κατεῖχεν. καὶ πρὸς πάντα θόρυβον καὶ βοὴν, ὥσπερ αἱ κατάσχετοι τοῖς βακχικοῖς πάθεσιν, ἐξάττουσα, τῶν μὲν εἰσιόντων ἀπ᾽ ἀγορᾶς ἕκαστον ἀνέκρινεν, ὅ τι πράττοι Βροῦτος. ἑτέρους δὲ συνεχῶς ἐξέπεμπεν. τέλος δὲ τοῦ χρόνου μῆκος λαμβάνοντος, οὐκέτ᾽ ἀντεῖχεν ἡ τοῦ σώματος δύναμις, ἀλλ᾽ ἐξελύθη καὶ κατεμαραίνετο τῆς ψυχῆς ἀλυούσης διὰ τὴν ἀπορίαν. καὶ παρελθεῖν μὲν, εἰς τὸ δωμάτιον οὐκ ἔφθη, περιΐστατο δ᾽ αὐτὴν ὥσπερ ἐτύγχανεν ἐν μέσῳ καθεζομένην, λιποθυμία καὶ θάμβος ἀμήχανον. ἥ τε χρόα μεταβολὴν ἐλάμβανε. καὶ τὴν φωνὴν ἐπέσχετο παντάπασιν. αἱ δὲ θεράπαιναι πρὸς τὴν ὄψιν ἀνηλάλαξαν. καὶ τῶν γειτόνων συνδραμόντων ἐπὶ θύρας, ταχὺ προῆλθε φήμη, καὶ διεδόθη λόγος, ὡς τεθνηκυίας αὐτῆς. οὐ μὴν ἀλλ᾽ ἐκείνην μὲν ἀναλαμψάσαν ἐν βραχεῖ καὶ παρ᾽ ἑαυτῇ γενομένην, αἱ γυναῖκες ἐθεράπευον. Ὁ δὲ Βροῦτος ὑπὸ τοῦ λόγου προσπεσόντος αὐτῷ, συνεταράχθη μὲν ὡς εἰκός. οὐ μὴν δὲ, κατέλιπε τὸ κοινόν. οὐδ᾽ ἐρρύη πρὸς τὸ οἰκεῖον ὑπὸ τοῦ πάθους. ἤδη δὲ Καῖσαρ ἀπηγγέλλετο προσιὼν ἐν φορείῳ κομιζόμενος. ἐγνώκει γὰρ ἐπὶ τοῖς ἱεροῖς ἀθυμῶν μηδὲν ἐπικυροῦν τότε τῶν μειζόνων, ἀλλ᾽ ὑπερβαλέσθαι σκηψάμενος ἀσθένειαν. Ἐκβάντι δ᾽ αὐτῷ τοῦ φορείου προσερρυεὶς Ποπίλιος Λαίνας ἐκεῖνος ὁ μικρὸν πρόσθεν εὐξάμενος τοῖς περὶ Βροῦτον ἐπιτυγχάνειν καὶ κατορθοῦν, διελέγετο πλείω χρόνον ἐφιστάμενος, καὶ προσέχοντι τὸν νοῦν. οἱ δὲ συνωμόται. λεγέσθω γὰρ οὕτως, τῆς μὲν φωνῆς οὐκ ἐπαΐοντες αὐτοῦ, τεκμαιρόμενοι δ᾽ ἀφ᾽ ὧν ὑπενόουν μήνυσιν εἶναι τῆς ἐπιβουλῆς τὴν κοινολογίαν, ἀνέπεσόν τε ταῖς γνώμαις, καὶ πρὸς ἀλλήλους ἔβλεψαν, ἀνθομολογούμενοι διὰ τῶν προσώπων, ὡς χρὴ μὴ περιμένειν σύλληψιν, ἀλλ᾽ εὐθὺς ἀποθνήσκειν δι᾽ αὑτῶν. Κασσίου δ᾽ ἤδη καί τινων ἄλλων, τὰς χεῖρας ἐπιβεβληκότων ταῖς λαβαῖς ὑπὸ τὰ ἱμάτια, καὶ σπωμένων τὰ ἐγχειρίδια, Βροῦτος ἐγκατιδὼν τῷ τοῦ Λαίνα σχήματι δεομένου σπουδὴν, καὶ οὐχὶ κατηγοροῦντος, ἐφθέγξατο μὲν οὐδὲν διὰ τὸ πολλοὺς ἀλλοτρίους ἀναμεμίχθαι, φαιδρὸς δὲ τῷ προσώπῳ, τοὺς περὶ Κάσσιον ἐθάρρυνε. καὶ μετὰ μικρὸν ὁ Λαίνας τὴν δεξιὰν τοῦ Καίσαρος καταφιλήσας ἀπέστη, φανερὸς γενόμενος, ὡς ὑπὲρ ἑαυτοῦ, καὶ τῶν αὐτῷ τινος διαφερόντων ἐποιεῖτο τὴν ἔντευξιν. Τῆς δὲ βουλῆς εἰς τὴν ἐξέδραν προεισελθούσης. οἱ μὲν ἄλλοι, τὸν δίφρον τοῦ Καίσαρος περιέστησαν, ὡς ἐντυγχάνειν τι μέλλοντες αὐτῷ. καὶ Κάσσιον μὲν λέγεται τρέψαντα τὸ πρόσωπον, εἰς τὴν εἰκόνα τοῦ Πομπηΐου, παρακαλεῖν ὥσπερ αἰσθανόμενον. Τρεβώνιος δὲ περὶ τὰς θύρας, Ἀντώνιον ἐπισπασάμενος καὶ προσομιλῶν, ἔξω κατέσχεν. Καίσαρι δὲ εἰσιόντι μὲν, ἡ σύγκλητος ὑπεξανέστη. καθεζόμενον δ᾽ εὐθὺς, ἐκεῖνοι περιέσχον ἀθρόοι, Τίλλιον Κίμβρον ἐξ ἑαυτῶν προβάλλοντες, ὑπὲρ ἀδελφοῦ φυγάδος δεόμενον, καὶ συνεδέοντο πάντες, ἁπτόμενοί τε χειρῶν, καὶ στέρνα, καὶ κεφαλὴν κατεφίλουν. ἀποτρεπομένου δὲ τὰς δεήσεις τὸ πρῶτον. εἶθ᾽ ὡς οὐκ ἀνίεσαν, ἐξανισταμένου βίᾳ, Τίλλιος μὲν, ἀμφοτέραις ταῖς χερσὶν ἐκ τῶν ὤμων κατέσπασε τὸ ἱμάτιον. Κάσκας δὲ πρῶτος. εἱστήκει γὰρ ὄπισθεν, ἀνασπάσας τὸ ξίφος διελαύνει οὐκ εἰς βάθος παρὰ τὸν ὦμον. ἀντιλαμβανομένου δὲ τῆς λαβῆς τοῦ Καίσαρος, καὶ μέγα ῥωμαϊστὶ ἀνακραγόντος. ἀνόσιε Κάσκα τί ποιεῖς. ἐκεῖνος ἑλληνιστὶ τὸν ἀδελφὸν προσαγορεύσας ἐκέλευσε βοηθεῖν. ἤδη δὲ παιόμενος ὑπὸ πολλῶν καὶ κύκλῳ περιβλέπων καὶ διώσασθαι βουλόμενος, ὡς εἶδε Βροῦτον, ἑλκόμενον ξίφος ἐπ᾽ αὐτὸν, τὴν χεῖρα τοῦ Κάσκα κρατῶν, ἀφῆκεν. καὶ τῷ ἱματίῳ τὴν κεφαλὴν ἐγκαλυψάμενος, παρέδωκε τὸ σῶμα ταῖς πληγαῖς. οἱ δ᾽ ἀφειδῶς ἀναπεπλεγμένοι. πολλοῖς περὶ τὸ σῶμα χρώμενοι τοῖς ξίφεσιν, ἀλλήλους ἐτίτρωσκον, ὥστε καὶ Βροῦτον εἰς τὴν χεῖρα πληγὴν λαβεῖν, τοῦ φόνου συνεφαπτόμενον. πίμπλασθαι δὲ τοῦ αἵματος ἅπαντας.

Οὕτω δ᾽ ἀποθανόντος αὐτοῦ. Βροῦτος μὲν εἰς μέσον προελθὼν ἐβούλετο λέγειν, καὶ κατεῖχε θαρρύνων τὴν σύγκλητον. ἡ δ᾽ ὑπὸ δέους, ἔφευγεν ἀτάκτως, καὶ περὶ τὰς θύρας, ὠθισμὸς ἦν καὶ τάραχος,

οὐδενὸς

στυον, αἷς ἐκοινώνουν τοῦ. καὶ προσελάμβανον, οὐ μόνον τὴν συνήθων ποιούμενοι τὴν αἵρεσιν, ἀλλ' ὅσους ἠπίσταντο τολμητὰς ὄντας ἀγαθούς, καὶ θανάτου καταφρονητάς. διὸ καὶ κικέρωνα τὴν μὲν πίστεως, τὴν δὲ εὐνοίας εἶναι πρῶτον ὄντα παρ' αὐτοῖς, ἀπεκρύψαντο, μὴ τῇ φύσει τόλμης ἐνδεὴς ὢν προσειληφὼς ὑπὸ χρόνου γεροντικὴν εὐλάβειαν, εἶτα πάντα καθ' ἕκαστον ἀνάγων τοῖς λογισμοῖς, εἰς ἄκραν ἀσφάλειαν ἀμβλύνῃ τὴν ἀκμὴν αὐτῶν τῆς προθυμίας, τάχους δεομένην. ἐπεὶ καὶ τῶν ἄλλων ἑταίρων ὁ βροῦτος στατύλιόν τε παρέλιπε τὸν ἐπικούρειον. καὶ φαώνιον ἐραστὴν κάτωνος. ὅτι πόρρωθεν αὐτοῖς πειρῶν τινὰ κύκλῳ περιβαλόντος, ἐν τῷ διαλέγεσθαι καὶ συμφιλοσοφεῖν πεῖραν. ὁ μὲν φαώνιος ἀπεκρίνατο, χεῖρον εἶναι μοναρχίας παρανόμου πόλεμον ἐμφύλιον. ὁ δὲ στατύλιος ἔφη τῷ σοφῷ καὶ νοῦν ἔχοντι, διὰ φαύλους καὶ ἀνοήτους, κινδυνεύειν καὶ ταράττεσθαι μὴ καθήκειν. παρὼν δὲ λαβεὼν ἀντεῖπεν ἀμφοτέροις. καὶ ὁ βροῦτος τότε μὲν ὡς ἔχοντός τι τοῦ λόγου χαλεπὸν καὶ δύσκριτον, ἀπεσιώπησεν. ὕστερον δὲ λαβεῶνι κοινοῦται τὸ βούλευμα. δεξαμένου δὲ προθύμως, τὸν ἕτερον βροῦτον, ἐπίκλησιν ἀλβῖνον. ἄλλως μὲν οὐκ ὄντα ἐκτικόν, οὐδὲ θαρραλέον, ἐρρωμένον δὲ πλήθει μονομάχων, οὓς ἐπὶ θέαν ῥωμαίων ἔτρεφε, καὶ παρὰ καίσαρι πιστευόμενον, ἐδόκει προσάγεσθαι. κασσίου δὲ καὶ λαβεῶνος αὐτῷ διαλεγομένων, οὐδὲν ἀπεκρίνατο. βρούτῳ δ' αὐτὸς ἐντυχὼν ἰδίᾳ, καὶ μαθὼν ὅτι τῆς πράξεως ἡγεμών ἐστιν, ὡμολόγησε συμπράξειν προθύμως, καὶ τῶν ἄλλων δὲ τοὺς πλείστους καὶ τοὺς ἀρίστους ἡ δόξα τοῦ βρούτου προσήγετο. καὶ μηθ' ὅρκον συνομόσαντες, μήτε πίστιν καθ' ἱερῶν λαβόντες ἢ δόντες, οὕτως ἅπαντες ἔσχον ἐν ἑαυτοῖς καὶ κατεσιώπησαν, καὶ συνδιήνεγκαν. ὥστε μαντείαις καὶ φάσμασι καὶ ἱεροῖς ὑπὸ τῶν θεῶν προδεικνυμένην, ἄπιστον γενέσθαι τὴν πρᾶξιν. ὁ δὲ βροῦτος ἅτε δή, τὰ πρῶτα τῆς ῥώμης φρονήματα καὶ γένη καὶ ἀρετὰς ἐξηρτημένος ἑαυτοῦ, καὶ περινοῶν πάντα τὸν κίνδυνον, ἔξω μὲν ἐπειρᾶτο κατέχειν παρ' ἑαυτῷ καὶ κατακοσμεῖν τὴν διάνοιαν. οἴκοι δὲ καὶ νύκτωρ οὐκ ἦν ὁ αὐτός. ἀλλὰ τά τε ἄκοντα τῶν ὕπνων, αὐτὴ ἡ φροντὶς ἐξέφερε. τά τε μᾶλλον ἐνδυόμενος τῷ λογισμῷ, καὶ διατρίβων ἐν ταῖς ἀπορίαις, οὐκ ἐλάνθανε τὴν γυναῖκα συναναπαυομένην, ὅτι μεστός ἐστι ταραχῆς ἀήθους. καὶ κυκλεῖ τι παρ' ἑαυτῷ δύσφορον βούλευμα, καὶ δυσεξέλικτον. ἡ δὲ πορκία, θυγάτηρ μὲν ὡς προείρηται κάτωνος ἦν. εἶχε δ' αὐτὴν ὁ βροῦτος ἀνεψιὸς ὤν, οὐκ ἐκ παρθενίας, ἀλλὰ τοῦ προτέρου τελευτήσαντος ἀνδρός, ἔλαβε κόρην οὖσαν ἔτι, καὶ παιδίον ἔχουσαν ἐξ ἐκείνου μικρόν, ᾧ βύβλος ἦν ὄνομα. καὶ τι βιβλίδιον μικρὸν ἀπομνημονευμάτων βρούτου, γεγραμμένον ὑπ' αὐτοῦ διασώζεται. φιλόσοφος δ' ἡ πορκία καὶ φίλανδρος οὖσα. καὶ μεστὴ φρονήματος νοῦν ἔχοντος, οὐ πρότερον ὑπεχείρησεν ἀνέρεσθαι τὸν ἄνδρα περὶ τῶν ἀπορρήτων, ἢ λαβεῖν ἑαυτῆς τοιαύτην διάπειραν. λαβοῦσα μαχαίριον ᾧ τοὺς ὄνυχας οἱ κουρεῖς ἀφαιροῦσιν. καὶ πάσας ἐξελάσασα τοῦ θαλάμου τὰς ὀπαδούς, τὴν μὴν ἐνέβαλε τῷ μηρῷ βαθεῖαν. ὥστε ῥύσιν αἵματος πολλὴν γενέσθαι. καὶ μετὰ μικρὸν, ὀδύνας τε νεανικὰς, καὶ φρικώδεις πυρετούς, ἐπιλαβεῖν ἐκ τοῦ τραύματος. ἀγωνιῶντος δὲ τοῦ βρούτου καὶ δυσφοροῦντος, ἐν ἀκμῇ τῆς ἀλγηδόνος οὖσα διελέχθη πρὸς αὐτὸν οὕτως. ἐγὼ βροῦτε κάτωνος οὖσα θυγάτηρ, εἰς τὸν σὸν ἐδόθην οἶκον. οὐχ ὥσπερ αἱ παλλακευόμεναι κοίτης μεθέξουσα καὶ τραπέζης μόνον, ἀλλὰ κοινωνὸς μὲν ἀγαθῶν εἶναι, κοινωνὸς δὲ ἀνιαρῶν. τὰ μὲν οὖν σά, πάντη περὶ τὸν γάμον ἄμεμπτα. τῶν δὲ παρ' ἐμοῦ, τίς ἀπόδειξις ἢ χάρις, εἰ μήτε σοὶ πάθος ἀπόρρητον συνδιοίσω, μήτε φροντίδα πίστεως δεομένην. οἶδ' ὅτι γυναικεία φύσις, ἀσθενὴς δοκεῖ λόγον ἐνεγκεῖν ἀπόρρητον. ἀλλ' ἔστι τις ὦ βροῦτε, καὶ τροφῆς ἀγαθῆς, καὶ ὁμιλίας χρηστῆς εἰς ἦθος ἰσχύς. ἐμοὶ δὲ, καὶ τὸ κάτωνος εἶναι θυγατέρα καὶ τὸ βρούτου γυναῖκα πρόσεστιν. οἷς πρότερον μὲν ἧττον ἐπεποίθειν. νῦν δ' ἐμαυτὴν ἔγνωκα καὶ πρὸς πόνον ἀήττητον εἶναι. ταῦτ' εἰποῦσα δείκνυσιν αὐτῷ τὸ τραῦμα, καὶ διηγεῖται τὴν πεῖραν. ὁ δ' ἐκπλαγεὶς καὶ ἀνατείνας τὰς χεῖρας, ἐπεύξατο δοῦναι τοὺς θεοὺς αὐτῷ κατορθοῦντα τὴν πρᾶξιν, ἀνδρὶ πορκίας ἀξίῳ φανῆναι. καὶ τότε μὲν ἀνελάμβανε τὴν γυναῖκα. προγραφείσης δὲ βουλῆς, εἰς ἣν ἐπίδοξος ἦν ἀφίξεσθαι καῖσαρ, ἔγνωσαν ἐπιχειρεῖν. καὶ γὰρ ἀθρόοι μετ' ἀλλήλων ἀνυπόπτως ἔσεσθαι τότε. καὶ πάντας ἕξειν ὁμοῦ τοὺς ἀρίστους καὶ πρώτους ἄνδρας, ἔργου μεγάλου πραχθέντος, εὐθὺς ἀντιλαμβανομένους τῆς ἐλευθερίας. ἐδόκει δὲ καὶ τὸ τοῦ τόπου, θεῖον εἶναι καὶ πρὸς αὐτῶν. στοὰ γὰρ ἦν, μία τῶν περὶ τὸ θέατρον ἐξέδραν ἔχουσα, ἐν ᾗ πομπηΐου τις εἰκὼν εἱστήκει τῆς πόλεως στησαμένης, ὅτε ταῖς στοαῖς καὶ τῷ θεάτρῳ τὸν τόπον ἐκεῖνον ἐκόσμησεν. εἰς ταύτην οὖν ἡ σύγκλητος ἐκαλεῖτο, τοῦ μαρτίου μηνός, μάλιστα μεσοῦντος. εἰδοὺς μαρτίας τὴν ἡμέραν ῥωμαῖοι καλοῦσιν, ὥστε καὶ δαίμων τις ἐδόκει τὸν ἄνδρα τῇ πομπηΐου δίκῃ προσάξειν. ἐλθούσης δὲ τῆς ἡμέρας, βροῦτος μὲν ὑποζωσάμενος ἐγχειρίδιον μόνης συνειδυίας τῆς γυναικὸς προῆλθεν. οἱ δ' ἄλλοι, πρὸς κάσσιον ἀθροισθέντες, τὸν υἱὸν αὐτοῦ, τὸ καλούμενον ἀνδρεῖον ἱμάτιον ἀναλαμβάνοντα κατῆγον εἰς ἀγοράν. ἐκεῖθεν δὲ πάντες, εἰς τὴν πομπηΐου στοὰν ἐμβαλόντες, διέτριβον, ὡς αὐτίκα καίσαρος ἀφιξομένου πρὸς τὴν σύγκλητον. ἔνθα δὴ μάλιστα, τῶν ἀνδρῶν τὸ ἀπαθὲς καὶ περὶ τὰ δεινὰ καθεστηκὸς ἐθαύμασεν ἄν τις εἰδὼς τὸ μέλλον, ὅτι πολλοὶ διὰ τὸ στρατηγεῖν ἀναγκαζόμενοι χρηματίζειν οὐ μόνον πρᾴως ἠκροῶντο τῶν ἐντυγ-

πλεῖστον. ἀλλ' εἷλκεν αὐτὸν, ἡ περὶ Κάσσιον ἑταιρεία, καὶ ἀπέστρεφεν. αὐτῷ μὲν οὔπω Κασσίῳ διηλλαγμένοι ἐξ ἐκείνης τῆς φιλοτιμίας. ἀκούοντα δὲ τῶν φίλων διακελευομένων, μὴ περιορᾶν αὑτὸν, ὑπὸ Καίσαρος μαλασσόμενον, καὶ κηλούμενον. ἀλλὰ φεύγειν τὰς τυραννικὰς φιλοφροσύνας καὶ χάριτας, αἷς οὐ τιμῶντα τὴν ἀρετὴν, ἀλλ' ἐκτέμνοντα τὴν ἀλκὴν, καὶ τὸν θυμὸν ὑποθρύπτοντα, χρῆσθαι πρὸς αὐτόν. οὐ μὴν, οὐδὲ Καῖσαρ, ἀνύποπτος ἦν πάμπαν, οὐδ' ἀδιάβλητος πρὸς αὐτόν. ἀλλὰ τὸ μὲν φρόνημα καὶ τὸ ἀξίωμα, καὶ τοὺς φίλους ἐδεδίει τοῦ ἀνδρὸς, ἐπίστευε δὲ τῷ ἤθει, καὶ πρῶτον μὲν, Ἀντωνίου καὶ Δολοβέλλα, λεγομένων νεωτερίζειν, οὐκ ἔφη τοὺς παχεῖς καὶ κομήτας ἐνοχλεῖν, ἀλλὰ τοὺς ὠχροὺς καὶ ἰσχνοὺς ἐκείνους, Βροῦτον λέγων καὶ Κάσσιον. Ἔπειτα τὸν Βροῦτον, τινῶν διαβαλλόντων, καὶ φυλάττεσθαι παρακελευομένων, τῇ χειρὶ τοῦ σώματος ἁπτόμενος εἶπεν, τί δ' οὐκ ἂν ὑμῖν δοκεῖ Βροῦτος ἀναμεῖναι, τουτὶ τὸ σαρκίον, ὡς οὐδενὶ προσῆκον ἄλλῳ μεθ' ἑαυτὸν, ἢ Βρούτῳ δύνασθαι τοσοῦτον. καὶ μέντοι δοκεῖ πρῶτος ἂν ἐν τῇ πόλει γενέσθαι βεβαίως ὀλίγον χρόνον ἀνασχόμενος, καὶ Καίσαρι δευτερεύσας. καὶ παρακμάσαι τὴν δύναμιν αὐτοῦ, καὶ μαρανθῆναι τὴν ἐπὶ τοῖς κατορθώμασιν ἐάσας δόξαν. ἀλλὰ Κάσσιος ἀνὴρ θυμοειδὴς καὶ μᾶλλον ἰδίᾳ μισοκαῖσαρ, ἢ κοινῇ μισοτύραννος, ἐξέκαυσε καὶ κατήπειξεν. λέγεται δὲ Βροῦτος μὲν τὴν ἀρχὴν βαρύνεσθαι. Κάσσιος δὲ, τὸν ἄρχοντα μισεῖν. ἄλλα τε κατ' αὐτοῦ ποιούμενος ἐγκλήματα καὶ λεόντων ἀφαίρεσιν. οὓς Κάσσιος μὲν ἀγορανομεῖν μέλλων παρεσκευάσατο. Καῖσαρ δὲ, καταληφθέντας ἐν Μεγάροις ὅθ' ἡ πόλις ἥλω διὰ Καλήνου, κατέσχεν. Ταῦτα τὰ θηρία, συμφορὰν λέγεται μεγάλην γενέσθαι Μεγαρεῦσιν. οἱ μὲν γὰρ ἤδη τῆς πόλεως καταλαμβανομένης διέσπασαν τὰ κλεῖθρα. καὶ τοὺς δεσμοὺς ἀνῆκαν. ὡς ἐμποδὼν εἴη τὰ θηρία τοῖς ἐπιφερομένοις. τὰ δ' ὥρμησεν εἰς αὐτοὺς ἐκείνους, καὶ διαθέοντας ἀνόπλους ἥρπαζεν. ὥστε καὶ τοῖς πολεμίοις τὴν ὄψιν οἰκτρὰν γενέσθαι. Τῷ δ' οὖν Κασσίῳ ταύτην μάλιστά φασιν αἰτίαν ὑπάρξαι τῆς ἐπιβουλῆς. οὐκ ὀρθῶς λέγοντες. ἐξ ἀρχῆς γὰρ ἦν τῇ φύσει τοῦ Κασσίου δυσμένειά τις, καὶ χαλεπότης πρὸς τὸ γένος τῶν τυράννων. ὡς ἐδήλωσεν ἔτι παῖς ὢν, βαδίζων εἰς ταὐτὸ τῷ τοῦ Σύλλα παιδὶ Φαύστῳ διδασκαλεῖον. ὁ μὲν γὰρ ἐν τοῖς παισὶ μεγαληγορῶν, τὴν τοῦ πατρὸς ἐπῄνει μοναρχίαν. ὁ δὲ Κάσσιος ἐπαναστὰς, κονδύλους ἐνέτεινεν αὐτῷ. βουλομένων δὲ τῶν ἐπιτρόπων τοῦ Φαύστου καὶ οἰκείων ἐπεξιέναι καὶ δικάζεσθαι, Πομπήϊος ἐκώλυσεν. καὶ συναγαγὼν εἰς ταὐτὸ τοὺς παῖδας ἀμφοτέρους, ἀνέκρινε περὶ τοῦ πράγματος. ἔνθα δὴ λέγεται τὸν Κάσσιον εἰπεῖν. ἄγε δὴ ὦ Φαῦστε. τόλμησον ἐναντίον τούτου φθέγξασθαι τὸν λόγον ἐκεῖνον ἐφ' ᾧ παρωξύνθην, ἵνα σου πάλιν ἐγὼ, συντρίψω τὸ στόμα. τοιοῦτος μὲν ὁ Κάσσιος.

Βροῦτον δὲ, πολλοὶ μὲν λόγοι παρὰ τῶν συνήθων. πολλαῖς δὲ φήμαις καὶ γράμμασιν ἐξεκαλοῦντο. καὶ παρώρμων ἐπὶ τὴν πρᾶξιν οἱ πολῖται. τῷ μὲν γὰρ ἀνδριάντι τοῦ προπάτορος Βρούτου. καὶ καταλύσαντος τὴν τῶν βασιλέων ἀρχὴν ἐπέγραφον, εἴθε ·|· νῦν | ὤφελες.τ. νῦν ἦς Βροῦτος. καὶ ὤφελες ζῆν Βροῦτος. τὸ δ' αὐτοῦ Βρούτου βῆμα στρατηγοῦντος εὑρίσκετο μεθ' ἡμέραν, ἀνάπλεων γραμμάτων τοιούτων. Βροῦτε, καθεύδεις, καὶ οὐκ εἶ Βροῦτος ἀληθῶς. αἴτιοι δὲ τούτων, οἱ Καίσαρος κόλακες. ἄλλας τε τιμὰς ἐπιφθόνους ἀνευρίσκοντες αὐτῷ, καὶ διαδήματα τοῖς ἀνδριᾶσι νύκτωρ ἐπιτιθέντες ὡς τοὺς πολλοὺς ὑπαξόμενοι, βασιλέα προσειπεῖν ἀντὶ δικτάτορος. τοὐναντίον δ' ἀπήντησεν, ὡς ἐν τοῖς περὶ Καίσαρος ἀκριβῶς γέγραπται. Κασσίῳ δὲ πειρῶντι τοὺς φίλους ἐπὶ Καίσαρα, πάντες ὡμολόγουν, εἰ Βροῦτος ἡγοῖτο. δεῖσθαι γὰρ οὐ χειρῶν οὐδὲ τόλμης τὴν πρᾶξιν, ἀλλὰ δόξης ἀνδρὸς οἷος οὗτός ἐστιν, ὥσπερ καταρχομένου καὶ βεβαιοῦντος, αὐτῷ τῷ παρεῖναι, τὸ δίκαιον. εἰ δὲ μὴ, καὶ δρῶντας ἀθυμοτέρους ἔσεσθαι, καὶ δράσαντας, ὑποπτοτέρους, ὡς οὐκ ἂν ἐκείνου τὸ ἔργον, εἰ καλὴν αἰτίαν εἶχεν, ἀπειπαμένου. ταῦτα συμφρονήσας ἐνέτυχε Βρούτῳ πρότερος ἐκ τῆς διαφορᾶς ἐκείνης. καὶ μετὰ τὰς διαλύσεις καὶ φιλοφροσύνας, ἠρώτησεν, εἰ τῇ νουμηνίᾳ τοῦ Μαρτίου μηνὸς, ἔγνωκεν εἰς σύγκλητον παρεῖναι. πυνθάνεσθαι γὰρ, ὡς λόγον ὑπὲρ βασιλείας Καίσαρος οἱ φίλοι τότε καταθήσοιεν. φήσαντος δὲ τοῦ Βρούτου μὴ παρέσεσθαι, τί οὖν εἶπεν ὁ Κάσσιος. ἂν καλῶσιν ἡμᾶς. ἐμὸν ἔργον ἔφη ὁ Βροῦτος ἤδη, τὸ μὴ σιωπᾶν, ἀλλ' ἀμύνειν, καὶ προαποθνήσκειν τῆς ἐλευθερίας. καὶ ὁ Κάσσιος ἐπαρθείς. τίς δ' εἶπε Ῥωμαίων ἀνέξεται, σοῦ προαποθνήσκοντος. ἆρα ἀγνοεῖς ὦ Βροῦτε σεαυτὸν, ἢ τὸ βῆμά σου δοκεῖς καταγράφειν, τοὺς ὑφάντας καὶ τοὺς καπήλους, οὐχὶ τοὺς πρώτους καὶ κρατίστους ταῦτα ποιεῖν. παρὰ μὲν τῶν ἄλλων στρατηγῶν, ἐπιδόσεις καὶ θέατρα καὶ μονομάχους. παρὰ σοῦ δὲ ὡς ὄφλημα πατρικὸν, τὴν κατάλυσιν τῆς τυραννίδος ἀπαιτοῦντας. αὐτοὺς δ' ὑπὲρ σοῦ, πάντα πάσχειν προθύμους ὄντας. ὃ ἀξιοῦσι καὶ προσδέχονται, φανέντος. ἐκ τούτου περιβαλὼν τὸν Βροῦτον ἠσπάζετο. καὶ διαλυθέντες οὕτως, ἐτρέποντο πρὸς τοὺς φίλους. Ἦν δέ τις Γάϊος Λιγάριος τῶν Πομπηΐου φίλων, ὃν ἐπὶ τούτῳ κατηγορηθέντα, Καῖσαρ ἀπέλυσεν. οὗτος οὐχ ἧς ἀφείθη δίκης χάριν ἔχων. ἀλλὰ δι' ἣν ἐκινδύνευσεν ἀρχὴν βαρυνόμενος, ἐχθρὸς ἦν Καίσαρι, τῷ δὲ Βρούτῳ ἐν τοῖς μάλιστα συνήθης. πρὸς τοῦτον ἀσθενοῦντα Βροῦτος εἰσελθὼν, ὦ Λιγάριε εἶπεν, ἐν οἵῳ καιρῷ νοσεῖς. κἀκεῖνος εὐθὺς εἰς ἀγκῶνα διαναστὰς, καὶ λαβόμενος αὐτοῦ τῆς δεξιᾶς. ἀλλ' εἴ τι φησὶν ὦ Βροῦτε, σεαυτοῦ φρονεῖς ἄξιον ὑγιαίνω. ἐκ τούτου διαπειρώμενοι κρύφα τῶν γνωρίμων οἷς ἐπί-

χοντι τῆς πατρίδος ἀπὸ τάξεως ἑαυτὸν, εἰς σικελίαν ἔπλευσε πρεσβευτὴς, μετὰ σηστίου τοῦ λαχόντος τὴν ἐπαρχίαν. ὡς δ' οὐκ ἐκεῖ πράττειν οὐδὲν ἦν μέγα. καὶ συνήεσαν εἰς ταὐτὸ ἤδη, πομπήϊος καὶ καῖσαρ, ἀγωνιζόμενοι περὶ τῶν ὅλων. ἧκεν εἰς μακεδονίαν ἐθελοντὴς, τοῦ κινδύνου μεθέξων. ὅτε καὶ φασὶ πομπήϊον ἡσθέντα, καὶ θαυμάσαντα προσιόντος αὐτοῦ, καθεζόμενον, ἐξαναστῆναι καὶ περιβαλεῖν, ὡς κρείττονα, πάντων ὁρώντων. ἐν δὲ τῇ στρατιᾷ, τῆς ἡμέρας ὅσα μὴ πομπηΐῳ συνῆν, περὶ λόγους καὶ βιβλία διέτριβεν. οὐ μόνον τὸν ἄλλον χρόνον, ἀλλὰ καὶ πρὸ τῆς μεγάλης μάχης. ἦν μὲν ἀκμὴ θέρους. καὶ καῦμα πολὺ, πρὸς ἑλώδεσι χωρίοις ἐστρατοπεδευκότων. τῷ δὲ βρούτῳ, οὐ ταχέως ἧκον, οἱ τὴν σκηνὴν κομίζοντες. ἐκπονηθεὶς δὲ περὶ ταῦτα, μεσημβρίας μόλις ἀλειψάμενος καὶ φαγὼν ὀλίγα. τῶν ἄλλων, ἢ καθευδόντων. ἢ πρὸς ἐπινοίᾳ καὶ φροντίδι τοῦ μέλλοντος ὄντων, αὐτὸς ἄχρι τῆς ἑσπέρας, ἔγραφε συντάττων ἐπιτομὴν πολυβίου. λέγεται δὲ καίσαρ οὐκ ἀμελεῖν τοῦ ἀνδρὸς, ἀλλὰ καὶ προσεπεῖν τοῖς ὑφ' ἑαυτῷ ἡγεμόσιν ἐν τῇ μάχῃ, μὴ κτείνειν βροῦτον, ἀλλὰ φείδεσθαι. καὶ παραδόντα μὲν ἑκουσίως ἄγειν. εἰ δ' ἀπομάχοιτο πρὸς τὴν σύλληψιν, ἐᾶν καὶ μὴ βιάζεσθαι. καὶ ταῦτα ποιεῖν, τῇ μητρὶ τοῦ βρούτου σερβιλίᾳ χαριζόμενον. ἐγνώκει γὰρ ὡς ἔοικε, νεανίας ὢν ἔτι, τὴν σερβιλίαν ἐπιμανεῖσαν αὐτῷ. καὶ καθ' οὓς μάλιστα χρόνους ὁ ἔρως ἐπέφλεγε, γενόμενον τὸν βροῦτον, ἐπέπειστό πως, ἐξ ἑαυτοῦ γεγονέναι. λέγεται δὲ, τῶν περὶ κατιλίναν πραγμάτων μεγάλων ἐμπεπτωκότων εἰς τὴν σύγκλητον, ἃ μικρὸν ἐδέησεν, ἀναρρῖψαι τὴν πόλιν, ἑστάναι μὲν ὁμοῦ κάτωνα, καὶ καίσαρα, διαφερομένους περὶ γνώμης. ἐν τούτῳ δὲ γραμματιδίου μικροῦ προσδοθέντος ἔξωθεν καίσαρι, τὸν μὲν, ἀναγινώσκειν σιωπῇ, κάτωνα δὲ βοᾶν, ὡς δεινὰ ποιεῖ καῖσαρ, ἐντυγχάνων καὶ γράμματα παρὰ τῶν πολεμίων προσδεχόμενος. θορυβησάντων δὲ πολλῶν, καὶ τοῦ καίσαρος τὸ δελτάριον ὡς εἶχε τῷ κάτωνι προσδόντος, ἀναγνόντα, σερβιλίας τῆς ἀδελφῆς, ἀκόλαστον ἐπιστόλιον, ἐκεῖνο μὲν, ῥῖψαι πρὸς τὸν καίσαρα καὶ εἰπεῖν, κράτει μέθυσε. πρὸς δὲ τὴν γνώμην καὶ τὸν λόγον, αὖθις ἐξ ἀρχῆς τραπέσθαι. οὕτω μὲν ἦν ὁ πρὸς καίσαρα σερβιλίας ἔρως περιβόητος. γενομένης δὲ τῆς κατὰ φάρσαλον ἥττης. καὶ πομπηΐου μὲν ἐπὶ θάλασσαν διεκπεσόντος, πολιορκουμένου δὲ τοῦ χάρακος, ἔλαθεν ὁ βροῦτος, κατὰ πύλας ἐξελθὼν πρὸς τόπον ἑλώδη, καὶ μεστὸν ὑδάτων καὶ καλάμου φρουρᾶς, ἐξελθὼν δὲ καὶ διὰ νυκτὸς ἀποσωθεὶς εἰς λάρισσαν, ἐκεῖθεν δὲ, γράψαντος αὐτοῦ, καῖσαρ ἥσθη τε σωζομένῳ. καὶ κελεύσας πρὸς αὐτὸν ἐλθεῖν, οὐ μόνον ἀφῆκε τῆς αἰτίας. ἀλλὰ καὶ τιμώμενον ἐν τοῖς μάλιστα περὶ αὐτὸν εἶχεν. οὐδενὸς δὲ ὅποι φεύγει πομπήϊος εἰπεῖν ἔχοντος, ἀλλ' ἀπορίας οὔσης, ὁδόν τινα σὺν τῷ βρούτῳ βαδίζων μόνος, ἀπεπειρᾶτο τῆς γνώμης. καὶ δόξαντος ἔκ τινων διαλογισμῶν, ἄριστα περὶ τῆς πομπηΐου τεκμαίρεσθαι φυγῆς, ἀφεὶς τἆλλα, τὴν ἐπ' αἴγυπτον συνέτεινεν. ἀλλὰ πομπήϊον μὲν ὥσπερ εἴκασε βροῦτος, αἰγύπτῳ προσβαλόντα, τὸ πεπρωμένον ἐδέξατο, καίσαρα δὲ, καὶ πρὸς κάσσιον, ἐπράϋνε βροῦτος, καὶ δὴ καὶ τῷ τῶν λιβύων βασιλεῖ, προηγορεῖ μὲν, ἡττᾶτο τοῦ μεγέθους τῶν κατηγοριῶν, δεόμενος δὲ καὶ παραιτούμενος περὶ τούτου, πολλὴν αὐτῷ διέσωσε τῆς ἀρχῆς. λέγεται δὲ καῖσαρ, ὅτε πρῶτον ἤκουσεν αὐτοῦ λέγοντος, εἰπεῖν πρὸς τοὺς φίλους. οὗτος ὁ νεανίας, οὐκ οἶδα μὲν, ὃ βούλεται, πᾶν δ' ὃ βούλεται, σφόδρα βούλεται. τὸ γὰρ ἐμβριθὲς αὐτοῦ, καὶ μὴ ῥᾳδίως μηδὲ πᾶσιν ὑπήκοον τοῦ δεομένου πρὸς χάριν, ἀλλ' ἐκ λογισμοῦ καὶ προαιρέσεως τῶν καλῶν πρακτικὸν, ὅποι τρέψειεν, ἰσχυραῖς ἐχρῆτο ταῖς ὁρμαῖς καὶ τελεσιουργοῖς. πρὸς δὲ τὰς ἀδίκους δεήσεις, ἀκολάκευτος ἦν. καὶ τὴν ἀπὸ τῶν ἀναισχύντως λιπαρούντων ἧτταν, ἣν ἔνιοι δυσωπεῖσθαι καλοῦσιν, αἰσχίστην ἀνδρὶ μεγάλῳ ποιούμενος, εἰώθει λέγειν, ὡς οἱ μηδὲν ἀρνεῖσθαι δυνάμενοι, δοκοῦσιν αὐτῷ μὴ καλῶς τὴν ὥραν διατεθεῖσθαι. μέλλων δὲ διαβαίνειν εἰς λιβύην καῖσαρ ἐπὶ κάτωνα καὶ σκηπίωνα, βρούτῳ τὴν ἐντὸς ἄλπεων γαλατίαν ἐπέτρεψεν, εὐτυχίᾳ τινὶ τῆς ἐπαρχίας. τὰς γὰρ ἄλλας, ὕβρει καὶ πλεονεξίᾳ τῶν πεπιστευμένων, ὥσπερ αἰχμαλώτους διαφορούντων, ἐκείνοις καὶ τῶν πρόσθεν ἀτυχημάτων παῦλα καὶ παραμυθία βροῦτος ἦν. καὶ τὴν χάριν εἰς καίσαρα πάντων ἀνῆπτε. ὥστ' αὐτῷ μετὰ τὴν ἐπάνοδον περιιόντι τὴν ἰταλίαν ἥδιστον θέαμα τὰς ὑπὸ βρούτῳ πόλεις γενέσθαι. καὶ βροῦτον αὐτὸν αὔξοντα τὴν ἐκείνου τιμὴν, καὶ συνόντα κεχαρισμένως. ἐπεὶ δὲ πλειόνων στρατηγιῶν οὐσῶν, τὴν μέγιστον ἔχουσαν ἀξίωμα, καλουμένην δὲ πολιτικὴν, ἐπίδοξος ἦν ὁ βροῦτος ἕξειν, ἢ κάσσιος. οἱ μὲν, αὐτούς λέγουσιν ἐξ αἰτιῶν προτέρων, ἡσυχῇ διαφερομένους, ἔτι μᾶλλον ὑπὸ τούτου διαστασιάσαι, καίπερ οἰκείους ὄντας. ἰουνία γὰρ ἀδελφὴ βρούτου, συνῴκει κασσίῳ. οἱ δὲ, καίσαρος ἔργον γενέσθαι τὴν φιλονεικίαν ταύτην. ἑκατέρῳ κρύφα δι' ἐλπίδων ἐνδιδόντος ἑαυτόν. ἄχρι οὗ προαχθέντες οὕτω καὶ παροξυνθέντες, εἰς ἀγῶνα κατέστησαν. ἠγωνίζετο δὲ βροῦτος, εὐκλείᾳ καὶ ἀρετῇ, πρὸς πολλὰ τοῦ κασσίου καὶ λαμπρὰ τὰ περὶ πάρθους νεανιεύματα. καῖσαρ δ' ἀκούσας καὶ βουλευόμενος ἐν τοῖς φίλοις, εἶπε, δικαιότερα μὲν λέγει κάσσιος. βρούτῳ δὲ, τὴν πρώτην δοτέον. ἀπεδείχθη δὲ κάσσιος, ἐφ' ἑτέρας στρατηγός. οὐ τοσοῦτον εὐνοίας ἔχων δι' ἣν ἔλαβεν, ὅσον ὀργῆς ὧν ἀπέτυχεν. βροῦτος δὲ, καὶ τἆλλα μετεῖχε τῆς καίσαρος δυνάμεως, ὅσον ἐβούλετο. βουλομένῳ γὰρ, ὑπῆρχεν εἶναι τῶν φίλων πρώτῳ. καὶ δύνασθαι

ἐξίους

ἴσ. ἐξελθὼν νακαι.

Μάρκου δὲ βρούτου, πρόγονος ἦν ἰούνιος βροῦτος, ὃν ἀνέστησαν ἐν καπιτωλίῳ χαλκοῦν οἱ πάλαι ῥωμαῖοι, μέσον τῶν βασιλέων, ἐσπασμένον ξίφος, ὡς βεβαιότατα καταλύσαντα, ταρκυνίους. ἀλλ᾽ ἐκεῖνος μὲν ὥσπερ τὰ ψυχήλατα τῶν ξιφῶν, σκληρὸν ἐκ φύσεως καὶ οὐ μαλακὸν ἔχων ὑπὸ λόγου τὸ ἦθος, ἄχρι παιδοφονίας ἐξώκειλε τῷ θυμῷ τῷ κατὰ τῶν τυράννων. οὗτος δ᾽ ὑπὲρ οὗ γράφεται ταῦτα, παιδείᾳ καὶ λόγῳ διὰ φιλοσοφίας καταμίξας τὸ ἦθος, καὶ τὴν φύσιν ἐμβριθῆ καὶ πραεῖαν οὖσαν, ἐπεγείρας ταῖς πρακτικαῖς ὁρμαῖς, ἐμμελέστατα δοκεῖ κραθῆναι πρὸς τὸ καλόν. ὥστε καὶ τοὺς ἀπεχθανομένους αὐτῷ διὰ τὴν ἐπὶ καίσαρα συνωμοσίαν, εἰ μέν τι γενναῖον ἡ πρᾶξις ἤνεγκεν, βρούτῳ προσάπτειν. τὰ δυσχερέστατα δὲ τῶν γεγονότων, τρέπειν εἰς κάσσιον. οἰκεῖον μὲν ὄντα βρούτου καὶ φίλον, ἁπλοῦν δὲ τῷ τρόπῳ καὶ καθαρὸν οὐχ ὁμοίως. Σερβιλία δὲ ἡ μήτηρ, ἀνέφερε τὸ γένος εἰς ἄλαν σερβίλιον, ὃς μαλλίου σπορίου τυραννίδα κατασκευαζομένου, καὶ ταράττοντος τὸν δῆμον, ἐγχειρίδιον λαβὼν ὑπὸ μάλης προῆλθεν εἰς ἀγοράν. καὶ παραστὰς τῷ ἀνδρὶ πλησίον, ὡς ἐντυγχάνειν τι μέλλων καὶ διαλέγεσθαι προσνεύσαντα, πατάξας ἀπέκτεινεν. τοῦτο μὲν οὖν, ὁμολογούμενόν ἐστιν. Τὸ δὲ πατρῷον γένος, οἱ διὰ τὸν καίσαρος φόνον ἔχθραν τινὰ καὶ δυσμένειαν ἀποδεικνύμενοι πρὸς βροῦτον, οὔ φασιν εἰς τὸν ἐκβαλόντα ταρκυνίους ἀνήκειν. οὐδὲν γὰρ ἐκείνῳ λειφθῆναι γένος, ἀνελόντι τοὺς υἱούς. ἀλλὰ δημότην τὸν οἰκονόμου υἱὸν ὄντα βροῦτον. ἄρτι καὶ πρῴην, εἰς ἀρχὴν προελθεῖν. ποσειδώνιος δ᾽ ὁ φιλόσοφος. τοὺς μὲν ἐνηλικίους φησὶν ἀποθανεῖν τοῦ βρούτου παῖδας ὡς ἱστόρηται. τρίτον δὲ λειφθῆναι νήπιον, ἀφ᾽ οὗ τὸ γένος ὡρμῆσθαι, καὶ τῶν γε καθ᾽ αὑτὸν ἐκ τῆς οἰκίας γεγονότων ἐπιφανῶν ἀνδρῶν, ἀναφέρειν ἐνίους πρὸς τὸν ἀνδριάντα τοῦ βρούτου, τὴν ὁμοιότητα τῆς ἰδέας. περὶ μὲν οὖν τούτων τοσαῦτα. Σερβιλίας δὲ τῆς βρούτου μητρὸς, ἀδελφὸς ἦν κάτων ὁ φιλόσοφος. ὃν μάλιστα ῥωμαίων ἐζήλωσεν οὗτος, θεῖον ὄντα καὶ πενθερὸν ὕστερον γενόμενον. Τῶν δὲ ἑλληνικῶν φιλοσόφων οὐδενὸς μὲν ὡς ἁπλῶς εἰπεῖν, ἀνήκοος ἦν, οὐδὲ ἀλλότριος. διαφερόντως δ᾽ ἐσπουδάκει, πρὸς τοὺς ἀπὸ πλάτωνος. καὶ τὴν νέαν καὶ μέσην λεγομένην ἀκαδημίαν οὐ πάνυ προσιέμενος, ἐξήρτητο τῆς παλαιᾶς, καὶ διετέλει θαυμάζων μὲν ἀντίοχον τὸν ἀσκαλωνίτην. φίλον δὲ καὶ συμβιωτὴν τὸν ἀδελφὸν αὐτοῦ πεποιημένος ἀρίστωνα ἄνδρα, τῇ μὲν ἐν λόγοις ἕξει πολλῶν φιλοσόφων λειπόμενον, εὐταξίᾳ δὲ καὶ πραότητι, τοῖς πρώτοις ἐνάμιλλον. ὁ δ᾽ ἔμπυλος οὗ καὶ αὐτὸς ἐν ταῖς ἐπιστολαῖς. καὶ οἱ φίλοι μέμνηνται πολλάκις, ὡς συμβιοῦντος αὐτῷ, ῥήτωρ μὲν ἦν. καὶ καταλέλοιπεν μικρὸν μὲν, οὐ φαῦλον δὲ σύγγραμμα περὶ τῆς καίσαρος ἀναιρέσεως, ὃ βροῦτος ἐπιγέγραπται. ῥωμαϊστὶ μὲν οὖν, ἤσκητο πρὸς τὰς διεξόδους, καὶ τοὺς ἀγῶνας ἱκανῶς ὁ βροῦτος. ἑλληνιστὶ δὲ, τὴν ἀποφθεγματικὴν, καὶ λακωνικὴν ἐπιτηδεύων βραχυλογίαν ἐν ταῖς ἐπιστολαῖς ἐνιαχοῦ παράσημός ἐστιν. οἷον ἤδη καθεστηκὼς εἰς τὸν πόλεμον, γράφει περγαμηνοῖς.

» Ἀκούω ὑμᾶς δολοβέλλᾳ δεδωκέναι χρήματα. ἃ εἰ μὲν ἑκόντες ἔδοτε, ὁμολογεῖτε ἀδικεῖν. εἰ δὲ ἄκοντες,
» ἀποδείξατε, τῷ ἐμοὶ ἑκόντες δοῦναι. Πάλιν σαμίοις. αἱ βουλαὶ ὑμῶν, ὀλίγωροι. αἱ ὑπουργίαι βρα-
» δεῖαι. τί τούτων τέλος ἐννοεῖσθε. Καὶ περὶ παταρέων ἑτέραν. ξάνθιοι τὴν ἐμὴν εὐεργεσίαν ὑπερι-
» δόντες, τάφον ἀπονοίας ἐσχήκασι, τὴν πατρίδα. παταρεῖς δὲ πιστεύσαντες ἑαυτοὺς ἐμοὶ, οὐδὲν ἐλλεί-
ποντες διοικοῦντες, τὰ καθέκαστα τῆς ἐλευθερίας. ἐξὸν οὖν καὶ ὑμῖν, ἢ τὴν παταρέων κρίσιν ἢ τὴν ξανθίων τύχην ἑλέσθαι.

Τὸ μὲν οὖν τῶν παρασήμων γένος ἐπιστολίων, τοιοῦτόν ἐστιν. ἔτι δὲ μειράκιον ὢν, κάτωνι τῷ θείῳ συναπεδήμησεν εἰς κύπρον, ἐπὶ πτολεμαῖον ἀποσταλέντι. πτολεμαίου δὲ διαφθείραντος ἑαυτὸν, ὁ κάτων αὐτὸς, ἐν ῥόδῳ διατριβὴν ἔχων ἀναγκαίαν, ἔτυχεν μὲν ἤδη τινὰ τῶν φίλων κανίνιον, ἐπὶ τὴν τῶν χρημάτων φυλακὴν ἀπεσταλκώς, δείσας δ᾽ ἐκεῖνον ὡς οὐκ ἀφεξόμενον κλοπῆς, ἔγραψε τῷ βρούτῳ, πλεῖν τὴν ταχίστην εἰς κύπρον, ἐκ παμφυλίας. ἐκεῖ γὰρ ἑαυτὸν ἀναλαμβάνων ἔκ τινος ἀσθενείας, διῆγεν. ὁ δὲ καὶ μάλα ἄκων ἔπλευσεν. τόν τε κανίνιον αἰδούμενος, ὡς ἀτίμως ἀπηρημένον ὑπὸ τοῦ κάτωνος. καὶ ὅλως τὴν τοιαύτην ἐπιμέλειαν καὶ διοίκησιν, ἅτε δὴ νέος καὶ σχολαστὴς, οὐκ ἐλευθέριον, οὐδ᾽ ἑαυτοῦ ποιούμενος. οὐ μὴν, ἀλλὰ καὶ περὶ ταῦτα συντείνας ἑαυτὸν, ὑπὸ τοῦ κάτωνος, ἐπῃνέθη. καὶ τῆς οὐσίας ἐξαργυρισθείσης, ἀναλαβὼν τὰ πλεῖστα τῶν χρημάτων, εἰς ῥώμην ἔπλευσεν. Ἐπεὶ δὲ τὰ πράγματα διέστη, πομπηΐου καὶ καίσαρος, ἐξενηνεγμένων τὰ ὅπλα καὶ τῆς ἡγεμονίας ταραχθείσης, ἐπίδοξος μὲν ἦν, αἱρήσεσθαι τὰ καίσαρος. ὁ γὰρ πατὴρ αὐτοῦ διὰ τὸν πομπήϊον, ἐτεθνήκει πρότερον. ἀξιῶν δὲ τὰ κοινὰ τῶν ἰδίων ἐπίπροσθεν ποιεῖσθαι, καὶ τὴν πομπηΐου νομίζων ὑπόθεσιν, βελτίονα πρὸς τὸν πόλεμον εἶναι τῆς καίσαρος, ἐκείνῳ προσέθετο. καίτοι πρότερον ἀπαντήσας, οὐδὲ προσεῖπε τὸν πομπήϊον, ἄγος ἡγούμενος μέγα, πατρὸς φονεῖ διαλέγεσθαι. τότε δ᾽ ὡς ἄρ-

De Tyrocnestide Vide Suidam in Voce τυρόκνηστις. Et Erasmum prov. 763. Jul. pol. accipit p genere culini, quo caseus inciditur.

τηλικοῦτον κτώμενον ἡγεμονίας καὶ πράγματα. ταχὺ δ᾽ ἀξίαν δίκην ἔδωκεν. ὁρμήσας μὲν γὰρ
κατάνην λαβεῖν, εὐθὺς ἀπέβαλε τὰς συρακούσας. ὅτε καὶ φασὶν αὐτὸν εἰπεῖν ὅτι πόλιν ἀπο/
λέσας, τυρόκνηστιν ἔλαβεν. ἐπιθέμενος δὲ μεσσηνίοις, καὶ τοὺς πλείστους στρατιώτας ἀπολέσας, ἐν οἷς
ἦσαν οἱ δίωνα κατακτείναντες, οὐδεμιᾶς δὲ πόλεως αὐτὸν ἐν σικελίᾳ προσδεχομένης, ἀλλὰ μισού/
των ἁπάντων, καὶ προβαλλομένων, ῥήγιον κατέσχεν. ἐκεῖ δὲ λυπρῶς πράττων καὶ κακῶς δια/ προσ. τ.
φέρων τοὺς μισθοφόρους, ὑπὸ λεπτίνου καὶ πολυπέρχοντος ἀνῃρέθη χρησαμένων ξιφιδίῳ κατὰ
τύχην, ᾧ καὶ δίωνα πληγῆναι φασίν. ἐγνώσθη δὲ τῷ μεγέθει. βραχὺ γὰρ ἦν, ὥσπερ τὰ λακωνικὰ καὶ
τῇ κατασκευῇ τῆς τέχνης, εἰργασμένον γλαφυρῶς καὶ περιττῶς. τοιαύτην μὲν οὖν τίσιν
κάλλιππος ἔδωκεν. τὴν δ᾽ ἀριστομάχην καὶ τὴν ἀρετὴν, ὡς ἀφείθησαν ἐκ τῆς εἱρκτῆς, ἀνα/
λαβὼν ἱκέτης ὁ συρακούσιος, εἷς τῶν δίωνος φίλων γεγονὼς, ἐδόκει πιστῶς καὶ καλῶς
περιέπειν. εἶτα, συμπεισθεὶς ὑπὸ τῶν δίωνος ἐχθρῶν καὶ παρασκευάσας
πλοῖον αὐταῖς, ὡς εἰς πελοπόννησον ἀποσταλησομέναις, ἐκέλευσεν κα/
τὰ πλοῦν ἀποσφάξαντας, ἐκβαλεῖν εἰς τὴν θάλασσαν. οἱ δὲ ζώ/
σας ἔτι καταποντισθῆναι λέγουσι, καὶ τὸ παιδίον μετ᾽ αὐ/
τῶν. περιῆλθε δὲ καὶ τοῦτον ἀξία ποινὴ τῶν τετολ/
μημένων. αὐτός τε ὑπὸ τιμολέοντος ἁλοὺς
ἀπέθανε. καὶ θυγατέρας δύο προσ/
απέκτειναν αὐτῷ δίωνι τι/
μωροῦντες οἱ συρακού/
σιοι. περὶ ὧν ἐν
τῷ τιμολέον/
τος βίῳ καθ᾽ ἕκαστα γέγραπται.

ρων ἁπάντων, ἐστεφανωμένος, καὶ λαμπρὸς ἐν τοῖς ἀγῶσι καὶ θιάσοις. ἐπεὶ δὲ τῶν πρώτων καὶ βελτίστων φίλων τοῦ δίωνος ἀνηλωμένων ὑπὸ τοῦ πολέμου, καὶ τεθνηκότος ἡρακλείδου, τόντε δῆμον ἑώρα τῶν συρακουσίων ἔρημον ἡγεμόνος ὄντα, καὶ τοὺς στρατιώτας τοὺς μετὰ δίωνος προσέχοντας αὐτῷ μάλιστα, μιαρώτατος ἀνθρώπων γενόμενος. καὶ παντάπασιν ἐλπίσας σικελίαν ἆθλον ἕξειν τῆς ξενοκτονίας. ὡς δέ φασιν ἔνιοι, καὶ τάλαντα προσλαβὼν εἴκοσι, τοῦ φόνου μισθὸν παρὰ τῶν πολεμίων, διέφθειρε καὶ παρεσκεύαζέ τινας τῶν ξένων ἐπὶ τὸν δίωνα, κακοηθεστάτην ἀρχὴν, καὶ πανουργοτάτην ποιησάμενος. ἀεὶ γάρ τινας φωνὰς τῶν στρατιωτῶν πρὸς ἐκεῖνον, ἢ λελεγμένας ἀληθῶς ἀναφέρων, ἢ πεπλασμένας ὑπ' αὐτοῦ, τοιαύτην ἐξουσίαν ἔλαβε διὰ τὴν πίστιν, ὥστ' ἐντυγχάνειν κρύφα, καὶ διαλέγεσθαι μετὰ παρρησίας οἷς βούλοιτο κατὰ τοῦ δίωνος, αὐτοῦ κελεύοντος. ἵνα μηδεὶς λανθάνῃ τῶν ὑπούλως, καὶ δυσμενῶς ἐχόντων. ἐκ δὲ τούτων, συνέβαινε, τοὺς μὲν πονηροὺς καὶ νοσοῦντας εὑρίσκειν ταχὺ, καὶ συνιστάναι τὸν κάλλιππον. εἰ δέ τις ἀπωσάμενος τοὺς λόγους αὐτοῦ, καὶ τὴν πεῖραν ἐξείποι πρὸς τὸν δίωνα, μὴ ταράττεσθαι, μηδὲ χαλεπαίνειν ἐκεῖνον. ὡς ἃ προσέταττε, τοῦ καλλίππου περαίνοντος. Συνισταμένης δὲ τῆς ἐπιβουλῆς, φάσμα γίνεται τῷ δίωνι μέγα καὶ τερατῶδες. ἐτύγχανε μὲν γὰρ ὀψὲ τῆς ἡμέρας καθεζόμενος ἐν παστάδι τῆς οἰκίας, μόνος ὢν πρὸς ἑαυτὸν τὴν διάνοιαν. ἐξαίφνης δὲ, ψόφου γενομένου. πρὸς θατέρῳ πέρατι τῆς στοᾶς ἀποβλέψας ἔτι φωτὸς ὄντος, εἶδε γυναῖκα μεγάλην στολῇ μὲν καὶ προσώπῳ, μηδὲν ἐρινύος τραγικῆς παραλλάττουσαν, σαίρουσαν δὲ καλλύντρῳ τινὶ τὴν οἰκίαν. ἐκπλαγεὶς δὲ δεινῶς καὶ περίφοβος γενόμενος, μετεπέμψατο τοὺς φίλους, καὶ διηγεῖτο τὴν ὄψιν αὐτοῖς. καὶ παραμένειν ἐδεῖτο καὶ συνυκτερεύειν, παντάπασιν ἐκστατικῶς ἔχων καὶ δεδοικὼς, μὴ πάλιν εἰς ὄψιν αὐτῷ μονωθέντι, τὸ τέρας ἀφίκηται. Τοῦτο μὲν οὖν αὖθις, οὐ συνέπεσεν. μεθ' ἡμέρας δ' ὀλίγας ὁ υἱὸς αὐτοῦ σχεδὸν ἀντίπαις ὢν, ἔκ τινος λύπης καὶ ὀργῆς, μικρὰν καὶ παιδικὴν ἀρχὴν λαβούσης, ἔρριψεν ἑαυτὸν ἀπὸ τοῦ τέγους ἐπὶ τὴν κεφαλὴν καὶ διεφθάρη. Ἐν τοιούτοις δὲ τοῦ δίωνος ὄντος. ὁ κάλλιππος, ἔτι μᾶλλον εἴχετο τῆς ἐπιβουλῆς, καὶ λόγον εἰς τοὺς συρακουσίους ἐξέδωκεν, ὡς ὁ δίων ἄπαις γεγονὼς, ἔγνωκε τὸν διονυσίου καλεῖν ἀπολλοκράτην, καὶ ποιεῖσθαι διάδοχον. ἀδελφιδοῦν μὲν ὄντα, τῆς ἑαυτοῦ γυναικός. θυγατριδοῦν δὲ τῆς ἀδελφῆς. ἤδη δὲ καὶ τὸν δίωνα, καὶ τὰς γυναῖκας, ὑπόνοια τῶν πραττομένων εἶχε. καὶ μηνύσεις ἐγίγνοντο πανταχόθεν. Ἀλλ' ὁ μὲν δίων ὡς ἔοικεν, ἐπὶ τοῖς κατὰ τὸν ἡρακλείδην ἀχθόμενος. καὶ τὸν φόνον ἐκεῖνον, ὥς τινα τοῦ βίου καὶ τῶν πράξεων αὐτῷ κηλῖδα περικειμένην δυσχεραίνων ἀεὶ καὶ βαρυνόμενος, εἶπεν ὅτι πολλάκις ἤδη θνήσκειν ἕτοιμός ἐστιν, καὶ παρέχειν τῷ βουλομένῳ σφάττειν αὐτὸν, εἰ ζῆν δεήσει, μὴ μόνον τοὺς ἐχθροὺς, ἀλλὰ καὶ τοὺς φίλους φυλαττόμενον.

Τὰς δὲ γυναῖκας ὁρῶν ὁ κάλλιππος ἐξεταζούσας ἀκριβῶς τὸ πρᾶγμα. καὶ φοβηθεὶς ἦλθε πρὸς αὐτὰς ἀρνούμενος καὶ δακρύων, καὶ πίστιν ἣν βούλονται, διδόναι βουλόμενος. αἱ δ' ἠξίουν αὐτὸν, ὀμόσαι τὸν μέγαν ὅρκον, ἦν δὲ τοιοῦτος. καταβὰς εἰς τὸ τῶν θεσμοφόρων τέμενος ὁ διδοὺς τὴν πίστιν, ἱερῶν τινων γενομένων, περιβάλλεται τὴν πορφυρίδα τῆς θεοῦ, καὶ λαβὼν δᾶδα καιομένην ἀπόμνυσι. Ταῦτα ποιήσας ὁ κάλλιππος πάντα, καὶ τὸν ὅρκον ἀπομόσας, οὕτω κατεγέλασε τῶν θεῶν, ὥστε περιμείνας τὴν ἑορτὴν, ἧς ὤμοσε θεοῦ, δρᾷ τὸν φόνον ἐν τοῖς κουρείοις. οὐδὲν ἴσως τὸ περὶ τὴν ἡμέραν τῆς θεοῦ ποιησάμενος. ὡς ἀσεβουμένης πάντως, εἰ καὶ κατ' ἄλλον χρόνον ἔσφαττε τὸν μύστην αὐτῆς ὁ μυσταγωγός. Ὄντων δὲ πλειόνων ἐν τῇ κοινωνίᾳ τῆς πράξεως, καὶ καθεζομένου δίωνος ἐν οἰκήματι κλίνας τινὰς ἔχοντι μετὰ τῶν φίλων. οἱ μὲν, ἔξω τὴν οἰκίαν περιέστησαν. οἱ δὲ πρὸς ταῖς θύραις τοῦ οἴκου, καὶ ταῖς θυρίσιν ἦσαν. αὐτοὶ δ' οἱ προσφέρειν τὰς χεῖρας μέλλοντες ζακύνθιοι, παρῆλθον ἄνευ ξιφῶν ἐν τοῖς χιτῶσιν. ἅμα δ' οἱ μὲν ἔξω τὰς θύρας ἐπισπασάμενοι κατεῖχον. οἱ δὲ τῷ δίωνι προσπεσόντες, κατάγχειν ἐπειρῶντο, καὶ συνέτριβον αὐτόν. ὡς δ' οὐδὲν ἐπέραινον, ᾔτουν ξίφος, οὐδεὶς δ' ἐτόλμα τὰς θύρας ἀνοῖξαι. συχνοὶ γὰρ ἦσαν ἔνδον, οἱ μετὰ τοῦ δίωνος. ὧν ἕκαστος οἰόμενος ἂν ἐκεῖνον προῆται διασώσειν ἑαυτὸν, οὐκ ἐτόλμα βοηθεῖν. Διατριβῆς δὲ γενομένης, λύκων συρακούσιος ὀρέγει τινὶ τῶν ζακυνθίων διὰ τῆς θυρίδος ἐγχειρίδιον, ᾧ καθάπερ ἱερεῖον τὸν δίωνα κρατούμενον πάλαι καὶ δεδιττόμενον, ἀπέσφαξαν. εὐθὺς δὲ καὶ τὴν ἀδελφὴν μετὰ τῆς γυναικὸς ἐγκύμονος οὔσης, εἰς τὴν εἱρκτὴν ἐνέβαλον. καὶ συνέβη τῇ γυναικὶ τλημονέστατα λοχευθείσῃ, τεκεῖν ἐν τῷ δεσμωτηρίῳ παιδάριον ἄρρεν. ὅπερ καὶ θρέψαι μᾶλλον παρεβάλλοντο πείσασαι τοὺς φύλακας, ἤδη τοῦ καλλίππου θορυβουμένου τοῖς πράγμασιν. ἐν ἀρχῇ μὲν γὰρ, ἀποκτείνας τὸν δίωνα λαμπρὸς ἦν, καὶ κατεῖχε τὰς συρακούσας. καὶ πρὸς τὴν ἀθηναίων ἔγραφε πόλιν, ἣν μάλιστα μετὰ τοὺς θεοὺς ὤφειλεν αἰδεῖσθαι καὶ δεδιέναι, τηλικούτου μύσους ἁψάμενος. Ἀλλ' ἔοικεν ἀληθῶς λέγεσθαι τὸ τὴν πόλιν ἐκείνην, φέρειν ἄνδρας, ἀρετῇ τε τοὺς ἀγαθοὺς, ἀρίστους, καὶ κακίᾳ, τοὺς φαύλους πονηροτάτους. καθάπερ αὐτῶν καὶ ἡ χώρα κάλλιστον μέλι. καὶ κώνειον ὠκυμορώτατον ἀναδίδωσιν. οὐ μὴν πολὺν χρόνον ὁ κάλλιππος ἔγκλημα τῆς τύχης καὶ τῶν θεῶν περιῆν, ὡς περιορώντων, ἐξ ἀσεβήματος ἄνθρωπον

ἀσπασάμενος πρὸς τὸν Δίωνα, τὴν μὲν ἄκραν ἐκείνῳ μετὰ τῶν ὅπλων καὶ τῆς ἄλλης κατασκευῆς παρέδωκεν. αὐτὸς δὲ τὴν μητέρα καὶ τὰς ἀδελφὰς ἀναλαβὼν, καὶ πέντε πληρωσάμενος τριήρεις, ἐξέπλει πρὸς τὸν πατέρα. τοῦ Δίωνος ἀσφαλῶς μὲν ἐκπέμποντος. οὐδενὸς δὲ τῶν ἐν Συρακούσαις, ἀπολιπόντος ἐκείνην τὴν ὄψιν, ἀλλὰ καὶ τοὺς μὴ παρόντας εὐθὺ βοωμένων, ὅτι τὴν ἡμέραν ταύτην, καὶ τὸν ἥλιον, ἐλευθέραις ἀνίσχοντα ταῖς Συρακούσαις οὐκ ἐφορῶσιν. ὅπου γὰρ ἔτι νῦν τῶν λεγομένων κατὰ τῆς τύχης παραδειγμάτων, ἐμφανέστατόν ἐστι καὶ μέγιστον, ἡ Διονυσίου φυγή. τίνα χρὴ δοκεῖν αὐτῶν ἐκείνων, τὴν τότε χαρὰν γενέσθαι, καὶ πηλίκον φρονῆσαι, τοὺς τὴν μεγίστην τῶν πώποτε τυραννίδων καθελόντας ἐλαχίσταις ἀφορμαῖς. ἐκπλεύσαντος δὲ τοῦ Ἀπολλοκράτους, καὶ τοῦ Δίωνος εἰς τὴν ἀκρόπολιν βαδίζοντος, οὐκ ἐκαρτέρησαν αἱ γυναῖκες. οὐδ᾽ ἀνέμειναν εἰσελθεῖν αὐτὸν, ἀλλ᾽ εὐθὺ τὰς θύρας ἐξέδραμον. ἡ μὲν Ἀριστομάχη, τὸν υἱὸν ἄγουσα τοῦ Δίωνος. ἡ δ᾽ Ἀρετὴ, κατόπιν εἵπετο, δακρύουσα καὶ διαποροῦσα, πῶς ἀσπάσηται καὶ προσείπῃ τὸν ἄνδρα, κοινωνίας αὐτῇ πρὸς τὸν ἕτερον γεγενημένης.

Ἀσπασαμένου δ᾽ αὐτοῦ πρώτην τὴν ἀδελφήν. εἶτα, τὸ παιδίον, ἡ Ἀριστομάχη προσαγαγοῦσα τὴν Ἀρετήν. ἠτυχοῦμεν ἔφη ὦ Δίων σοῦ φεύγοντος, ἥκων δὲ καὶ νικῶν ἀφῄρηκας ἡμῶν ἁπάντων τὰς κατηφείας, πλὴν μόνης ταύτης, ἣν ἐπεῖδον ἡ δυστυχὴς ἑτέρῳ σοῦ ζῶντος, ἑτέρῳ συνελθεῖν βιασθεῖσαν. ὅτε οὖν σε κύριον ἡμῶν ἡ τύχη πεποίηκε, πῶς αὐτῇ διαιτᾷς ἐκείνην τὴν ἀνάγκην, πότερον ὡς θεῖον, ἢ καὶ ὡς ἄνδρα σε ἀσπάσεται. Τοιαῦτα τῆς Ἀριστομάχης λεγούσης, ὁ Δίων ἐκδακρύσας, προσηγάγετο φιλοστόργως τὴν γυναῖκα, καὶ παραδοὺς αὐτῇ τὸν υἱὸν, ἐκέλευσεν εἰς τὴν οἰκίαν τὴν αὐτοῦ βαδίζειν ὅπου καὶ αὐτὸς διητᾶτο, τὴν ἄκραν εὐθὺ τοῖς Συρακουσίοις ποιησάμενος. Οὕτω δὲ τῶν πραγμάτων αὐτῷ προσκεχωρηκότων. οὐδὲν ἀπολαῦσαι πρότερον ἠξίωσε τῆς παρούσης εὐτυχίας, ἢ καὶ τὸ φίλοις χάριτας, καὶ συμμάχοις δωρεάς. μάλιστα δὲ, τοῖς ἐν ἄστει συνήθεσι, καὶ ξένοις ἀπονεῖμαί τινα φιλανθρωπίας καὶ τιμῆς μερίδα, τῇ μεγαλοψυχίᾳ τὴν δύναμιν ὑπερβαλλόμενος. ἑαυτὸν δὲ, λιτῶς καὶ σωφρόνως, ἐκ τῶν τυχόντων διῴκει. θαυμαζόμενος, ὅτι μὴ μόνον Σικελίας τε καὶ Καρχηδόνος, ἀλλὰ καὶ τῆς Ἑλλάδος ὅλης ἀποβλεπούσης πρὸς αὐτὸν εὐημεροῦντα. καὶ μηδὲν οὕτω μέγα τῶν τότε νομιζόντων. μὴ δ᾽ ἐπιφανεστέρας περὶ ἄλλον ἡγεμόνα τόλμης καὶ τύχης γεγονέναι δοκούσης, οὕτω παρεῖχεν ἑαυτὸν, ἐσθῆτι καὶ θεραπείᾳ, καὶ τραπέζῃ μέτριον. ὥσπερ ἐν ἀκαδημίᾳ, συσσιτῶν μετὰ Πλάτωνος, οὐκ ἐν ξεναγοῖς καὶ μισθοφόροις διαιτώμενος. οἷς αἱ καθ᾽ ἑκάστην ἡμέραν πλησμοναὶ καὶ ἀπολαύσεις, παραμυθία τῶν πόνων καὶ τῶν κινδύνων εἰσίν. Ἀλλ᾽ ἐκείνῳ μὲν Πλάτων ἔγραφεν, ὡς πρὸς ἕνα νῦν τῆς οἰκουμένης ἅπαντες ἀποβλέπουσιν. αὐτὸς δὲ ἐκεῖνος ὡς ἔοικεν ἀφεώρα πρὸς ἓν χωρίον μιᾶς πόλεως τὴν ἀκαδημίαν, καὶ τοὺς αὐτόθι, καὶ θεατὰς, καὶ δικαστὰς ἐγίνωσκεν, οὔτε πρᾶξιν, οὔτε τόλμαν, οὔτε νίκην τινὰ θαυμάζοντας, ἀλλὰ μόνον εἰ κοσμίως, καὶ σωφρόνως τῇ τύχῃ χρῆται. καὶ παρέχει μέτριον ἑαυτόν. ἐν πράγμασι μεγάλοις ἀποσκοποῦντας. Τοῦ μέντοι περὶ τὰς ὁμιλίας ὄγκου, καὶ τοῦ πρὸς τὸν δῆμον ἀτενοῦς ἐφιλονίκει μηδὲν ὑφελεῖν μὴ δὲ χαλάσαι. καίτοι, τῶν πραγμάτων αὐτῷ χάριτος ἐνδεῶν ὄντων, καὶ Πλάτωνος ἐπιτιμῶντος, ὡς εἰρήκαμεν καὶ γράφοντος. ὅτι ἡ αὐθάδεια, ἐρημίᾳ σύνοικός ἐστιν. ἀλλὰ φύσει τε φαίνεται πρὸς τὸ πιθανὸν δυσκεράστῳ κεχρημένος. ἀντισπᾶν τε τοὺς Συρακουσίους, ἄγαν ἀνειμένους, καὶ διατεθρυμμένους προθυμούμενος. ὁ γὰρ Ἡρακλείδης αὖθις ἐπέκειτο. καὶ πρῶτον μὲν, εἰς συνέδριον παρακαλούμενος, οὐκ ἐβούλετο βαδίζειν. ἰδιώτης γὰρ ὢν, μετὰ τῶν ἄλλων ἐκκλησιάζειν πολιτῶν. ἔπειτα κατηγόρει τοῦ Δίωνος ὅτι τὴν ἄκραν οὐ κατέσκαψε. καὶ τῷ δήμῳ τὸν Διονυσίου τάφον ὡρμημένῳ λῦσαι, καὶ τὸν νεκρὸν ἐκβαλεῖν, οὐκ ἐπέτρεψε. μεταπέμπεται δ᾽ ἐκ Κορίνθου συμβούλους, καὶ συνάρχοντας, ἀπαξιῶν τοὺς πολίτας. τῷ δ᾽ ὄντι μετεπέμπετο τοὺς Κορινθίους ὁ Δίων, ἣν ἐπενόει πολιτείαν, ῥᾷον ἐλπίζων καταστήσειν ἐκείνων παραγενομένων. ἐπενόει δὲ, τὴν μὲν ἄκρατον δημοκρατείαν, ὡς οὐ πολιτείαν, ἀλλὰ παντοπώλιον οὖσαν πολιτειῶν κατὰ τὸν Πλάτωνα, κωλύειν. λακωνικὸν δέ τι, καὶ κρητικὸν σχῆμα μιξάμενος, ἐκ δήμου καὶ βασιλείας ἀριστοκρατίαν ἔχων τὴν ἐπιστατοῦσαν, καὶ βραβεύουσαν τὰ μέγιστα, καθιστάναι καὶ κοσμεῖν. ὁρῶν καὶ τοὺς Κορινθίους, ὀλιγαρχικώτερόν τε πολιτευομένους, καὶ μὴ πολλὰ τῶν κοινῶν ἐν τῷ δήμῳ πράττοντας. ὡς οὖν μάλιστα πρὸς ταῦτα τὸν Ἡρακλείδην ἐναντιώσεσθαι προσεδόκα, καὶ τἄλλα ταραχώδης καὶ εὐμετάθετος, καὶ στασιαστικὸς ἦν. οὓς πάλαι βουλομένους αὐτὸν ἐκώλυεν ἀνελεῖν, τούτοις ἐπέτρεψε τότε. καὶ παρελθόντες εἰς τὴν οἰκίαν, ἀποκτιννύουσιν αὐτόν. ἐλύπησεν δὲ σφόδρα τοὺς Συρακουσίους ἀποθανών. Ὅμως δὲ τοῦ Δίωνος, ταφάς τε λαμπρὰς παρασκευάσαντος, καὶ μετὰ τοῦ στρατεύματος ἑπομένου προπέμψαντος τὸν νεκρόν. εἶτα διαλεχθέντος αὐτοῖς, συνέγνωσαν. ὡς οὐ δυνατὸν ἦν ταρασσομένην παύσασθαι τὴν πόλιν, Ἡρακλείδου καὶ Δίωνος ἅμα πολιτευομένων. Ἦν δέ τις ἑταῖρος τοῦ Δίωνος ἐξ Ἀθηνῶν Κάλλιππος, ὅν φησιν ὁ Πλάτων, οὐκ ἀπὸ παιδείας. ἀλλ᾽ ἐκ μυσταγωγιῶν, καὶ τῆς περιφερούσης ἑταιρείας, γνώριμον αὐτῷ γενέσθαι καὶ συνήθη. μετασχὼν δὲ τῆς στρατείας, καὶ τιμώμενος. ὥστε καὶ συνεισελθεῖν τὰς Συρακούσας πρῶτος τῶν ἑται-

ὁμολογοῦντες. Ταῦτα τῶν περὶ τὸν ἡρακλείδην διομένων. οἱ μὲν φίλοι παρεκελεύοντο τῷ δίωνι,
μὴ φείδεσθαι κακῶν καὶ βασκάνων ἀνθρώπων. ἀλλὰ καὶ τοῖς στρατιώταις, χαρίσασθαι τὸν ἡρακλεί-
δην. καὶ τοῦ πολιτεύματος ἐξελεῖν δημοκοπίαν, μανικὸν νόσημα, τυραννίδος οὐκ ἔλαττον. ὁ δὲ δίων,
παραμυθούμενος αὐτοὺς ἔλεγεν. ὡς τοῖς μὲν ἄλλοις στρατηγοῖς πρὸς ὅπλα καὶ πόλεμον, ἡ πλείστη
τῆς ἀσκήσεως ἐστίν. αὐτῷ δὲ πολὺν χρόνον ἐν ἀκαδημίᾳ μεμελέτηται. θυμοῦ περιεῖναι καὶ φθόνου,
καὶ φιλονεικίας πάσης, ὧν ἐπίδειξίς ἐστιν, οὐχ ἡ πρὸς φίλους καὶ χρηστοὺς μετριότης, ἀλλ᾽ εἴ τις ἀδι-
κούμενος, εὐπαραίτητος εἴη, καὶ πρᾶος τοῖς ἁμαρτάνουσι. Βούλεσθαι δ᾽ ἡρακλείδου, μὴ τοσοῦτον
δυνάμει καὶ φρονήσει κρατῶν, ὅσον χρηστότητι καὶ δικαιοσύνῃ φανῆναι. τὸ γὰρ ἀληθῶς βέλτιον ἐν
τούτοις. αἱ δὲ τοῦ πολέμου κατορθώσεις εἰ καὶ ἀνθρώπων μηδένα, τήν γε τύχην, διαμφισβητοῦσαν ἔ-
χουσιν. εἰ δ᾽ ἡρακλείδης ἄπιστος καὶ κακὸς διὰ φθόνον. οὔτι καὶ δίωνα δεῖ, θυμῷ διαφθεῖραι τὴν ἀρε-
τήν. τὸ γὰρ ἀντιτιμωρεῖσθαι τοῦ προαδικεῖν, νόμῳ δικαιότερον ὡρίσθαι, φύσει γινόμενον ἀπὸ μιᾶς
ἀσθενείας. ἀνθρώπου δὲ κακίαν εἰ καὶ χαλεπόν ἐστιν, οὐχ οὕτως ἄγριον εἶναι παντάπασι καὶ δύσκο-
λον, ὥστε μὴ μεταβάλλειν χάριτι νικηθεῖσαν ὑπὸ τῶν πολλάκις εὖ ποιούντων. Τοιούτοις χρησά-
μενος λογισμοῖς ὁ δίων, ἀφῆκε τοὺς περὶ τὸν ἡρακλείδην. τραπόμενος δέ, πρὸς τὸ διατείχισμα, τῶν μὲν
συρακουσίων ἕκαστον, ἐκέλευσεν ἕνα κόψαντας σταυρὸν ἐγγὺς καταβάλλειν. τοὺς δὲ ξένους ἐπιστήσας διὰ
νυκτὸς, ἀναπαυομένων τῶν συρακουσίων, ἔλαθεν ἀποσταυρώσας τὴν ἀκρόπολιν. ὥστε μεθ᾽ ἡμέραν τὸ
τάχος, καὶ τὴν ἐργασίαν θεασαμένους ὁμοίως θαυμάζειν τοὺς πολίτας καὶ τοὺς πολεμίους. θάψας δὲ
τοὺς τεθνηκότας τῶν συρακουσίων, καὶ λυσάμενος τοὺς ἑαλωκότας, δισχιλίων οὐκ ἐλάττονας ὄντας. ἐκ-
κλησίαν συνήγαγεν. καὶ παρελθὼν ἡρακλείδης εἰσηγήσατο γνώμην αὐτοκράτορα στρατηγὸν ἑλέσθαι
δίωνα, κατὰ γῆν καὶ θάλασσαν. ἀποδεξαμένων δὲ τῶν ἀρίστων καὶ χειροτονεῖν κελευόντων, ἐθορύβησεν
ὁ ναυτικὸς ὄχλος, καὶ βάναυσος ἀχθόμενος ἐκπίπτοντι τῆς ναυαρχίας τῷ ἡρακλείδῃ, καὶ νομίζων
αὐτὸν εἰ κατ᾽ ἄλλα μηδενὸς ἄξιός ἐστιν, δημοτικώτερόν γε πάντως εἶναι, τοῦ δίωνος, καὶ μᾶλλον ὑπο-
χείριον τοῖς πολλοῖς. Ὁ δὲ δίων τοῦτο μὲν ἐφῆκεν αὐτοῖς, καὶ τὴν κατὰ θάλατταν ἀρχὴν ἀπέδω-
κε τῷ ἡρακλείδῃ. πρὸς δὲ τῆς γῆς, καὶ τῶν οἰκιῶν τὸν ἀναδασμὸν ὡρμημένοις ἐναντιωθεὶς, καὶ τὰ πρό-
τερον ψηφισθέντα περὶ τούτων ἀκυρώσας, ἐλύπησεν. ὅθεν εὐθὺς ἑτέραν ἀρχὴν λαβὼν ὁ ἡρακλείδης,
τοὺς συνεκπλεύσαντας μετ᾽ αὐτοῦ στρατιώτας καὶ ναύτας, ἐν μεσσήνῃ καθήμενος ἐδημαγώγει. καὶ πα-
ρώξυνε κατὰ τοῦ δίωνος, ὡς τυραννεῖν μέλλοντος. αὐτὸς δὲ πρὸς διονύσιον ἐποιεῖτο συνθήκας κρύφα,
διὰ φαράκος τοῦ σπαρτιάτου. καὶ τοῦτο τῶν γνωριμωτάτων συρακουσίων ὑπονοησάντων, στάσις ἦν
ἐν τῷ στρατοπέδῳ, καὶ δι᾽ αὐτὴν, ἀπορία καὶ σπάνις ἐν ταῖς συρακούσαις. ὥστε παντάπασιν ἀμηχα-
νεῖν τὸν δίωνα, καὶ κακῶς ἀκούειν ὑπὸ τῶν φίλων, οὕτω δυσμεταχείριστον ἄνθρωπον καὶ διεφθαρμέ-
νον, ὑπὸ φθόνου. καὶ πονηρίας αὐξήσαντα καθ᾽ αὑτοῦ τὸν ἡρακλείδην. Φαράκος δέ, πρὸς νεαπό-
λει τῆς ἀκραγαντίνης στρατοπεδεύοντος, ἐξαγαγὼν τοὺς συρακουσίους, ἐβούλετο μὲν ἐν ἑτέρῳ καιρῷ
διαγωνίσασθαι πρὸς αὐτόν. ἡρακλείδου δὲ καὶ τῶν ναυτῶν καταβοώντων, ὡς οὐ βούλεται μάχῃ κρῖ-
ναι τὸν πόλεμον δίων, ἀλλ᾽ ἀεὶ μένοντος, ἄρχειν. ἀναγκασθεὶς συνέβαλε καὶ ἡττήθη. Γενομένης δὲ
τῆς τροπῆς οὐ βαρείας. ἀλλὰ μᾶλλον ὑφ᾽ ἑαυτῶν καὶ τοῦ στασιάζειν ταραχθέντων, αὖθις ὁ δίων παρε-
σκευάζετο μάχεσθαι καὶ συνέταττε, πείθων καὶ παραθαρρύνων. Τῆς δὲ νυκτὸς ἀρχομένης, ἀγ-
γέλλεται πρὸς αὐτὸν, ἡρακλείδην ἄραντα τὸν στόλον, πλεῖν ἐπὶ συρακουσῶν, ἐγνωκότα τὴν πόλιν
καταλαβεῖν, κἀκεῖνον ἀποκλεῖσαι μετὰ τοῦ στρατεύματος. εὐθὺς οὖν ἀναλαβὼν τοὺς δυνατω-
τάτους καὶ προθυμοτάτους, ἱππάσατο διὰ τῆς νυκτὸς, καὶ περὶ τρίτην ὥραν τῆς ἡμέρας, πρὸς
ταῖς πύλαις ἦν. σταδίους κατηνυκὼς ἑπτακοσίους. ἡρακλείδης δὲ, ταῖς ναυσὶν ὡς ἁμιλλώμενος ὑστερή-
σεν, ἀποπλεύσας καὶ πλανώμενος ἐν ταῖς πράξεσιν ἀσκόπως, ἐπιτυγχάνει γαισύλῳ τῷ σπαρτιά-
τῃ. φάσκοντι πλεῖν, ἐφ᾽ ἡγεμονίᾳ σικελιωτῶν, ἐκ λακεδαίμονος. ὡς πρότερόν ποτε γύλιππος. ἀσμέ-
νως οὖν ἀναλαβὼν τοῦτον τὸν ἄνδρα καὶ περιαψάμενος, ὥσπερ ἀλεξιφάρμακον τοῦ δίωνος, ἐπεδείκνυ-
το τοῖς συμμάχοις. καὶ κήρυκα πέμπων εἰς τὰς συρακούσας, ἐκέλευε δέχεσθαι τὸν σπαρτιάτην ἄρ-
χοντα τοὺς πολίτας. ἀποκριναμένου δὲ τοῦ δίωνος. ὡς εἰσὶν ἄρχοντες ἱκανοὶ τοῖς συρακουσίοις. εἰ δὲ
πάντως δέοι καὶ σπαρτιάτου τοῖς πράγμασιν, αὐτὸς οὗτος εἶναι κατὰ ποίησιν γεγονὼς σπαρτιάτης,
τὴν μὲν ἀρχὴν ὁ γαίσυλος ἀπέγνω, πλεύσας δὲ πρὸς τὸν δίωνα διήλλαξε τὸν ἡρακλείδην, ὅρκους δόν-
τα καὶ πίστεις, τὰς μεγίστας. αἷς αὐτὸς ὁ γαίσυλος ὤμοσε τιμωρὸς ἔσεσθαι δίωνι, καὶ κολαστὴς ἡρακλεί-
δου κακοπραγμονοῦντος. ἐκ τούτου, κατέλυσαν μὲν οἱ συρακούσιοι τὸ ναυτικόν. οὐδὲν γὰρ ἦν ἔργον
αὐτοῦ, μεγάλαι δὲ δαπάναι τοῖς πλέουσι, καὶ στάσεως ἀφορμαὶ τοῖς ἄρχουσι. τὴν δ᾽ ἄκραν ἐπολιόρ-
κουν, ἐξοικοδομήσαντες τὸ περιτείχισμα. μηδενὸς δὲ τοῖς πολιορκουμένοις βοηθοῦντος. ἐπιλιπόν-
τος δὲ σίτου. τῶν δὲ μισθοφόρων γινομένων πονηρῶν, ἀπογνοὺς ὁ υἱὸς τοῦ διονυσίου τὰ πράγματα, καὶ
σπεισάμενος

ρησάντων εἰς τὴν ἀκρόπολιν. καί τινας δὲ ἐξ αὐτῶν ὀλίγους ἀποβαλόντων, ἀναθαρρήσαντες οἱ δημαγωγοὶ τῶν συρακουσίων. καὶ τοὺς πολεμίους ἐλπίσαντες ἀτρεμήσειν ἐπὶ τοῖς διαπεπραγμένοις, παρεκάλουν τοὺς πολίτας αὖθις, ἐᾶν δίωνα. καὶ προσιόντα μετὰ τῶν ξένων, μὴ δέχεσθαι. μηδὲ παραχωρεῖν τῆς ἀρετῆς ἐκείνοις, ὡς κρείττοσιν, ἀλλὰ σώζειν τὴν πόλιν, καὶ τὴν ἐλευθερίαν αὐτοὺς δι᾽ ἑαυτῶν.

πάλιν οὖν ἔπεμπον πρὸς τὸν δίωνα. παρὰ μὲν τῶν στρατηγῶν ἀποτρέποντες. παρὰ δὲ τῶν ἱππέων καὶ τῶν γνωρίμων πολιτῶν, ἐπισπεύδοντες τὴν πορείαν. καὶ διὰ τοῦτο βραδέως ἅμα, καὶ κατὰ σχολὴν πορευόμενος προσῄει. Τῆς δὲ νυκτὸς προελθούσης. οἱ μὲν μισοῦντες τὸν δίωνα, κατεῖχον τὰς πύλας, ὡς ἀποκλείοντες αὐτόν. ὁ δὲ νύψιος ἐκ τῆς ἄκρας αὖθις, πολλῷ προθυμοτέρους γεγονότας, καὶ πλείονας ἀφεὶς τοὺς μισθοφόρους, τὸ μὲν προτείχισμα πᾶν, εὐθὺς κατέσκαπτε, τὴν δὲ πόλιν κατέτρεχε, καὶ διήρπαζεν. ἦν δὲ φόνος μὲν, οὐκέτι μόνον ἀνδρῶν. ἀλλὰ καὶ γυναικῶν καὶ παίδων. ἁρπαγαὶ δ᾽ ὀλίγαι. φθόρος δὲ πάντων πολύς. ἀπεγνωκότος γὰρ ἤδη τὰ πράγματα τοῦ διονυσίου, καὶ τοὺς συρακουσίους δεινῶς μεμισηκότος, ὥσπερ ἐνταφιάσαι τὴν τυραννίδα, τῇ πόλει πίπτουσαν ἐβούλετο. καὶ τοῦ δίωνος προκαταλαμβάνοντες τὴν βοήθειαν, ἐπὶ τὸν ὀξύτατον διὰ πυρὸς πάντων ὄλεθρον, καὶ ἀφανισμὸν ἐχώρησαν. τὰ μὲν ἐγγὺς, ἀπὸ χειρῶν δαισὶ, καὶ λαμπάσιν ὑποπιμπράντες. εἰς δὲ τὰ πρόσω, διασπείροντες ἀπὸ τόξων πυροβόλους. φευγόντων δὲ τῶν συρακουσίων. οἱ μὲν ἐν ταῖς ὁδοῖς ἐφονεύοντο, καταλαμβανόμενοι. τὸ δὲ εἰς τὰς οἰκίας καταδυόμενον, αὖθις ὑπὸ τοῦ πυρὸς ἐξέπιπτε, πολλῶν ἤδη φλεγομένων, καὶ καταφερομένων ἐπὶ τοὺς διαθέοντας. Τοῦτο τὸ πάθος μάλιστα, τὴν πόλιν ἀνέῳξε δίωνι, πάντων συμφωνησάντων. ἔτυχε μὲν γὰρ, οὐκέτι σπουδῇ πορευόμενος, ὡς ἤκουσεν εἰς τὴν ἀκρόπολιν κατακεκλεῖσθαι τοὺς πολεμίους. προϊούσης δὲ τῆς ἡμέρας, πρῶτον, ἱππεῖς ἀπήντησαν αὐτῷ, τὴν δευτέραν κατάληψιν ἀπαγγέλλοντες, ἔπειτα καὶ τῶν ὑπεναντιουμένων ἔνιοι παρῆσαν ἐπείγεσθαι δεόμενοι. συντείνοντος δὲ τοῦ κακοῦ μᾶλλον, ἡρακλείδης τὸν ἀδελφὸν ἐξέπεμψεν. εἶτα θεοδότην τὸν θεῖον ἱκετεύων ἀρήγειν, ὡς μηδενὸς ἀντέχοντος τοῖς πολεμίοις, αὐτοῦ δὲ τετρωμένου, τῆς δὲ πόλεως μικρὸν ἀπεχούσης ἀνατετράφθαι καὶ καταπεπρῆσθαι. τοιούτων ἀγγελμάτων τῷ δίωνι προσπεσόντων. ἔτι μὲν, ἑξήκοντα σταδίους, τῶν πυλῶν ἀπεῖχεν, φράσας δὲ τὸν κίνδυνον τοῖς ξένοις καὶ παρακελευσάμενος, οὐκέτι βάδην ἦγεν, ἀλλὰ δρόμῳ τὸ στράτευμα πρὸς τὴν πόλιν. ἄλλων ἐπ᾽ ἄλλοις ἀπαντώντων, καὶ δεομένων ἐπείγεσθαι. χρησάμενος δὲ, θαυμαστῷ τάχει καὶ προθυμίᾳ τῶν ξένων, εἰσέβαλε διὰ τῶν πυλῶν, εἰς τὴν ἑκατόμπεδον λεγομένην. καὶ τοὺς μὲν ἐλαφροὺς, εὐθὺς ἀφῆκεν ἐλθεῖν πρὸς τοὺς πολεμίους. ὡς ἰδοῦσι, θαρσῆσαι τοῖς συρακουσίοις ἐγγένοιτο. τοὺς δ᾽ ὁπλίτας, αὐτὸς συνέταττε, καὶ τῶν πολιτῶν τοὺς ἐπιρρέοντας καὶ συνισταμένους, ὀρθίους λόχους ποιῶν, καὶ διαιρῶν τὰς ἡγεμονίας, ὅπως ὁμοῦ πολλαχόθεν ἅμα προσφέροιτο φοβερώτερον.

Ἐπεὶ δὲ ταῦτα παρασκευασάμενος. καὶ τοῖς θεοῖς προσευξάμενος, ὤφθη διὰ τῆς πόλεως ἄγων ἐπὶ τοὺς πολεμίους, κραυγὴ καὶ χαρὰ καὶ πολὺς ἀλαλαγμὸς, εὐχαῖς ὁμοῦ καὶ παρακλήσεσιν μεμιγμένος, ἐγίνετο παρὰ τῶν συρακουσίων. τὸν μὲν δίωνα, σωτῆρα καὶ θεὸν ἀποκαλούντων. τοὺς δὲ ξένους, ἀδελφοὺς καὶ πολίτας. οὐδεὶς δὲ, φίλαυτος ἦν καὶ φιλόψυχος, παρὰ τὸν τότε καιρόν. ὃς οὐ μᾶλλον ὑπὲρ μόνου δίωνος, ἢ τῶν ἄλλων ἁπάντων, ἀγωνιῶν ἐφαίνετο. πρώτου πρὸς τὸν κίνδυνον πορευομένου, δι᾽ αἵματος, καὶ πυρὸς, καὶ νεκρῶν πολλῶν κειμένων ἐν ταῖς πλατείαις. ἦν μὲν οὖν, καὶ τὰ παρὰ τῶν πολεμίων φοβερὰ παντάπασιν ἀπηγριωμένων, καὶ παρατεταγμένων παρὰ τὸ τείχισμα, χαλεπὴν ἔχον καὶ δυσεκβίαστον τὴν πρόσοδον. ὁ δ᾽ ἐκ τοῦ πυρὸς κίνδυνος, ἐτάραττε μᾶλλον τοὺς ξένους, καὶ δυσεργὸν ἐποίει τὴν πορείαν. κύκλῳ γὰρ ἀπὸ τῆς φλογὸς περιελάμποντο, τὰς οἰκίας περινεμομένης. καὶ διὰ πύροις ἐπιβαίνοντες ἐρειπίοις, καὶ καταφερομένοις ἀπορρήγμασι μεγάλοις, ἐπιτρέχοντες ἐπισφαλῶς. καὶ πολὺν ὁμοῦ καπνῷ διαπορευόμενοι κονιορτὸν, ἐπειρῶντο συνέχειν, καὶ μὴ διασπᾶν τὴν τάξιν. ὡς δὲ προσέμιξαν τοῖς πολεμίοις, ἐν χερσὶ μὲν, ὀλίγων πρὸς ὀλίγους ἐγίνετο μάχη, διὰ τὴν στενότητα καὶ τὴν ἀνωμαλίαν τοῦ τόπου. κραυγῇ δὲ καὶ προθυμίᾳ τῶν συρακουσίων ἐπιρρωσάντων ἐβιάσθησαν οἱ περὶ τὸν νύψιον. καὶ τὸ μὲν πλεῖστον αὐτῶν, εἰς τὴν ἀκρόπολιν ἐγγὺς οὖσαν, ἀναφυγὸν ἐσώζετο. τοὺς δ᾽ ἀπολειφθέντας ἔξω καὶ διασπαρέντας, ἥρουν οἱ ξένοι διώκοντες.

Ἀπόλαυσιν δὲ τῆς νίκης ἐν τῷ παραυτίκα, καὶ χαρὰν καὶ περιβολὰς ἔργῳ τηλικούτῳ πρεπούσας, οὐ παρέσχεν ὁ καιρὸς, ἐπὶ τὰς οἰκίας τρεπομένων τῶν συρακουσίων, καὶ τὸ πῦρ μόλις ἐν τῇ νυκτὶ κατασβεσάντων. ἡμέρα δ᾽ ὡς ἦν, τῶν μὲν ἄλλων, οὐδεὶς ὑπέμεινε δημαγωγῶν, ἀλλὰ καταγνόντες αὐτῶν, ἔφυγον. ἡρακλείδης δὲ, καὶ θεοδότης αὐτοὶ κομίσαντες ἑαυτοὺς, τῷ δίωνι παρέδωκαν, ἀδικεῖν ὁμολογοῦντες, καὶ δεόμενοι βελτίονος ἐκείνου τυχεῖν, ἢ γεγόνασιν αὐτοὶ περὶ ἐκεῖνον. πρέπειν δὲ δίωνι τὴν ἄλλην ἅπασαν ἀρετὴν, ἀσύγκριτον ἔχοντι, καὶ πρὸς ὀργὴν κρείττονι φανῆναι τῶν ἠγνωμονηκότων. οἱ περὶ οὗ πρότερον ἐστασίαζον πρὸς αὐτὸν, νῦν ἥκουσιν ἡττᾶσθαι τῆς ἀρετῆς

διαπύροις. ς. κ.

ἀνήρουν. κ.

ὡς δὲ ἑώρων οὐκέτι πρᾴως οὐδὲ πατρικῶς ὑπομένοντα τὰς ἁμαρτίας αὐτῶν, ἀλλὰ θυμῷ τοὺς ξένους ἤδη στρέφοντα καὶ παρατασσόμενον. αἰσχίονα φυγὴν τῆς προτέρας φυγόντες, ὑπεχώρησαν εἰς τὴν πόλιν, οὐ πολλῶν ἀποθανόντων.

ὑπεχώρησαν .ς.η.

λαμπραῖς τ.

Δίωνα δὲ λεοντῖνοι, λαμπρᾶς ἐδέχοντο τιμαῖς, καὶ τοὺς ξένους ἀπελάμβανον μισθοῖς, καὶ πολιτείαις. πρὸς δὲ τοὺς συρακουσίους ἐπρέσβευον, ἀξιοῦντες τὰ δίκαια τοῖς ξένοις ποιεῖν. οἱ δὲ πρέσβεις ἔπεμψαν κατηγορήσοντας δίωνος.

Τῶν δὲ συμμάχων ἁπάντων εἰς λεοντίνους ἀθροισθέντων, καὶ γενομένων λόγων ἐν αὐτοῖς, ἔδοξαν ἀδικεῖν οἱ συρακούσιοι. τοῖς δὲ κριθεῖσιν ὑπὸ τῶν συμμάχων, οὐκ ἐνέμενον τρυφῶντες ἤδη, καὶ μεγαλοφρονοῦντες, ὥστε τῷ μηδενὸς ἀκούειν, ἀλλὰ χρῆσθαι δουλεύουσι καὶ φοβουμένοις τοῖς δήμου στρατηγοῖς. ἐκ τούτου, καταπλέουσιν εἰς τὴν πόλιν παρὰ διονυσίου τριήρεις νύψιον ἄγουσαι τὸν νεαπολίτην, σῖτον καὶ χρήματα κομίζοντα, τοῖς πολιορκουμένοις.

ἐνέμειναν τ.ς.

Γενομένης δὲ ναυμαχίας. ἐνίκων μὲν οἱ συρακούσιοι, καὶ τέσσαρας τῶν τυραννικῶν νεῶν ἔλαβον. ὑβρίσαντες δὲ τῇ νίκῃ, καὶ δι᾽ ἀναρχίαν τὸ χαῖρον εἰς πότους καὶ συνουσίας μανικὰς τρέψαντες, οὕτω τῶν χρησίμων ἠμέλησαν, ὥστε τὴν ἀκρόπολιν ἔχειν δοκοῦντες ἤδη, καὶ τὴν πόλιν προσαπέβαλον. ὁ γὰρ νύψιος ὁρῶν οὐδὲν ὑγιαῖνον ἐν τῇ πόλει μέρος. ἀλλὰ τοὺς μὲν ὄχλους αὐλήμασι καὶ μέθαις εἰς νύκτα βαθεῖαν, ἀφ᾽ ἡμέρας κατεχομένους, τοὺς δὲ στρατηγοὺς ἤδη τερπομένους τε τούτῳ τῷ πανηγυρισμῷ καὶ προσάγειν ἀνάγκην μεθύουσιν ἀνθρώποις ὀκνοῦντας, ἄριστα τῷ καιρῷ χρησάμενος, ἐπεχείρησε τῷ τειχίσματι. καὶ κρατήσας καὶ διαθρύψας, ἀφῆκε τοὺς βαρβάρους, κελεύσας χρῆσθαι τοῖς προστυγχάνουσιν, ὡς βούλονται καὶ δύνανται.

Ταχέως μὲν οὖν οἱ συρακόσιοι τὸ κακὸν ᾔσθοντο, βραδέως δὲ καὶ χαλεπῶς συνεβοήθουν, ἐκπεπληγμένοι. πόρθησις γὰρ ἦν τὰ γινόμενα τῆς πόλεως, τῶν μὲν ἀνδρῶν, φονευομένων, τῶν δὲ τειχῶν κατασκαπτομένων. γυναικῶν δὲ καὶ παίδων ἀγομένων εἰς τὴν ἀκρόπολιν. μετ᾽ οἰμωγῆς. ἀπεγνωκότων δὲ τὰ πράγματα τῶν στρατηγῶν. καὶ χρῆσθαι μὴ δυναμένων τοῖς πολίταις πρὸς τοὺς πολεμίους, ἀναπεφυρμένους καὶ συμμεμιγμένους αὐτοῖς πανταχόθεν.

Οὕτω δὲ τῶν κατὰ τὴν πόλιν ἐχόντων, καὶ τοῦ κινδύνου πρὸς τὴν ἀχραδινὴν πλησιάζοντος. εἰς ὃν μόνον ἦν καὶ λοιπὸν ἀπερείσασθαι τὴν ἐλπίδα, πάντες μὲν ἐφρόνουν, ἔλεγε δὲ οὐδεὶς, αἰσχυνόμενοι τὴν ἀχαριστίαν, καὶ τὴν ἀβουλίαν, τὴν πρὸς δίωνα. πλήν γε δὴ τῆς ἀνάγκης ἐκβιαζομένης παρὰ τῶν συμμάχων, καὶ τῶν ἱππέων, γίνεται φωνὴ, καλεῖν δίωνα. καὶ μεταπέμπεσθαι τοὺς πελοποννησίους ἐκ λεοντίνων, ὡς δὲ πρῶτον ἠκούσθη καὶ ἀπετολμήθη τοὔπος. κραυγὴ καὶ χαρὰ καὶ δάκρυα. τοὺς συρακουσίους κατεῖχεν, εὐχομένους ἤδη φανῆναι τὸν ἄνδρα. καὶ ποθοῦντας τὴν ὄψιν αὐτοῦ. καὶ μεμνημένους, τῆς παρὰ τὰ δεινὰ ῥώμης καὶ προθυμίας, ὡς οὐ μόνον αὐτὸς ἦν ἀνέκπληκτος, ἀλλὰ κἀκείνους παρεῖχε θαρροῦντας, καὶ ἀδεῶς τοῖς πολεμίοις συμφερομένους. εὐθὺς οὖν ἐκπέμπουσι πρὸς αὐτόν. ἀπὸ μὲν τῶν συμμάχων, ἀρχωνίδην καὶ τελεσίδην. ἀπὸ δὲ τῶν ἱππέων, πέντε τοὺς περὶ ἑλλάνικον. οὗτοι διελάσαντες τὴν ὁδὸν ἵπποις ἀπὸ ῥυτῆρος, ἧκον εἰς λεοντίνους, τῆς ἡμέρας ἤδη καταφερομένης. ἀποπηδήσαντες δὲ τῶν ἵππων, καὶ τῷ δίωνι πρώτῳ προσπεσόντες δεδακρυμένοι, τὰς συμφορὰς τῶν συρακουσίων ἔφραζον, ἤδη δὲ καὶ τῶν λεοντίνων τινὲς ἀπήντων καὶ τῶν πελοποννησίων ἠθροίζοντο πρὸς τὸν δίωνα πολλοὶ τῇ σπουδῇ καὶ τῇ δεήσει τῶν ἀνδρῶν ὑπονοοῦντες εἶναί τι καινότερον.

Εὐθὺς οὖν ἡγεῖτο πρὸς τὴν ἐκκλησίαν αὐτοῖς, καὶ συνδραμόντων προθύμως, οἱ περὶ τὸν ἀρχωνίδην καὶ τὸν ἑλλάνικον εἰσελθόντες ἐξήγγειλάν τε βραχέως τὸ μέγεθος τῶν κακῶν, καὶ παρεκάλουν τοὺς ξένους, ἐπαμῦναι τοῖς συρακουσίοις τὸ μνησικακεῖν ἀφέντας, ὡς μείζονα δίκην δεδωκότων αὐτῶν, ἢ λαβεῖν ἂν οἱ κακῶς πεπονθότες ἠξίωσαν. παυσαμένων δὲ τούτων, σιγὴ μὲν εἶχε πολλὴ τὸ θέατρον, ἀναστάντος δὲ τοῦ δίωνος καὶ λέγειν ἀρξαμένου, πολλὰ τῶν δακρύων ἐμπίπτοντα, τὴν φωνὴν ἐπεῖχεν. οἱ δὲ ξένοι, παρεκάλουν θαρρεῖν, καὶ συνήχθοντο. μικρὸν οὖν ἀναλαβὼν ἐκ τοῦ πάθους ἑαυτὸν ὁ δίων. ἄνδρες ἔφη πελοποννήσιοι, καὶ σύμμαχοι. βουλευσομένους ὑμᾶς ἐνταῦθα περὶ ὑμῶν αὐτῶν συνήγαγον. ἐμοὶ δὲ περὶ ἐμαυτοῦ, βουλεύεσθαι καλῶς οὐκ ἔχει, συρακουσῶν ἀπολλυμένων. ἀλλ᾽ εἰ σῶσαι μὴ δυναίμην, ἄπειμι τῷ πυρὶ καὶ τῷ πτώματι τῆς πατρίδος ἐνταφησόμενος. ὑμεῖς δὲ βουλόμενοι μὲν ἔτι καὶ νῦν βοηθεῖν, τοῖς ἀβουλοτάτοις ἡμῖν καὶ δυστυχεστάτοις, ὑμέτερον ἔργον οὖσαν ὀρθοῦτε τὴν συρακουσίων πόλιν. εἰ δὲ μεμφόμενοι συρακουσίοις ὑπερόψεσθε, τῆς γε προτέρας ἀρετῆς καὶ προθυμίας περὶ ἐμὲ, χάριν ἀξίαν κομίζοισθε παρὰ τῶν θεῶν, μεμνημένοι δίωνος, ὡς οὔθ᾽ ὑμᾶς ἀδικουμένους πρότερον. οὔθ᾽ ὕστερον τοὺς πολίτας δυστυχοῦντας, ἐγκαταλιπόντος. ἔτι δ᾽ αὐτοῦ λέγοντος. οἱ μὲν ξένοι, μετὰ κραυγῆς ἀνεπήδησαν ἄγειν καὶ βοηθεῖν κατὰ τάχος κελεύοντες. οἱ δὲ πρέσβεις τῶν συρακουσίων περιβαλόντες ἠσπάσαντο. πολλὰ μὲν ἐκείνῳ. πολλὰ δὲ τοῖς ξένοις ἀγαθὰ παρὰ τῶν θεῶν εὐχόμενοι. καταστάντος δὲ τοῦ θορύβου παρήγγειλεν ὁ δίων, εὐθὺς ἀπιόντας παρασκευάζεσθαι, καὶ δειπνήσαντας ἥκειν μετὰ τῶν ὅπλων εἰς αὐτὸν ἐκεῖνον τὸν τόπον, ἐγνωκὼς διὰ νυκτὸς βοηθεῖν. ἐν δὲ ταῖς συρακούσαις τῶν διονυσίου στρατηγῶν ἄχρι μὲν ἦν ἡμέρα, πολλὰ κακὰ τὴν πόλιν ἐργασαμένων, γενομένην δὲ νυκτὸς, ἀναχω-

γενομένης

δινῆς, καὶ καταβαλεῖν εἰς τὰς λατομίας. Ἔτι δὲ μᾶλλον ἐφυβρίζων ὁ τίμαιος, ἐκ τοῦ σκέλους φησὶ τοῦ χωλοῦ, τὰ παιδάρια τὸν νεκρὸν ἐφαψάμενα τοῦ φιλίστου, σύρειν διὰ τῆς πόλεως, χλευαζόμενον ὑπὸ τῶν συρακουσίων ὁρώντων τοῦ σκέλους ἑλκόμενον τὸν εἰπόντα, μὴ δεῖν ἐκ τυραννίδος φεύγειν διονύσιον, ἵππῳ ταχεῖ χρώμενον, ἀλλὰ τοῦ σκέλους ἑλκόμενον. καίτοι τοῦτο φίλιστος ὡς ὑφ' ἑτέρου λεχθὲν, οὐχ ὑπ' αὐτοῦ πρὸς διονύσιον ἐξήνεγκεν. Ἀλλὰ τίμαιος οὐκ ἄδικον λαβὼν πρόφασιν, τὴν ὑπὲρ τῆς τυραννίδος τοῦ φιλίστου σπουδὴν καὶ πίστιν, ἐμπίπλαται τῶν κατ' αὐτοῦ βλασφημιῶν. ὧ τοὺς μὲν ἀδικηθέντας τότε συγγνωστόν ἐστιν ἴσως, ἄχρι τῆς εἰς ἀναίσθητον ὀργῆς, χαλεποὺς γενέσθαι. τοὺς δ' ὕστερον συγγράφοντας τὰ πεπραγμένα, καὶ τῷ μὲν βίῳ μὴ λυπηθέντας αὐτοῦ, τῷ δὲ λόγῳ χρωμένους, ἡ δόξα παραιτεῖται μὴ μεθ' ὕβρεως μηδὲ μετὰ βωμολοχίας ἐνειδίζειν τὰς συμφοράς. ὧν οὐδὲν ἀπέχει, καὶ τὸν ἄριστον ἀνδρῶν ἐκ τύχης μετασχεῖν. Οὐ μὴν οὐδ' ἔφορος ὑγιαίνει, τὸν φίλιστον ἐγκωμιάζων. ὃς καίπερ ὢν δεινότατος ἀδίκοις πράγμασι καὶ πονηροῖς ἤθεσιν, εὐσχήμονας αἰτίας περιβαλεῖν, καὶ λόγους ἔχοντας κόσμον ἐξευρεῖν, αὐτὸς αὑτὸν οὐ δύναται πάντα μηχανώμενος ἐξελέσθαι τῆς γραφῆς, ὡς οὐ φιλοτυραννότατος ἀνθρώπων γένοιτο, καὶ μάλιστα πάντων ἀεὶ ζηλώσας, καὶ θαυμάσας τρυφὴν, καὶ δύναμιν, καὶ πλούτους, καὶ γάμους τοὺς τῶν τυράννων. Ἀλλὰ γὰρ φιλίστου μὲν, ὁ μήτε τὰς πράξεις ἐπαινῶν, μήτε τὰς τύχας ὀνειδίζων, ἐμμελέστατος. μετὰ δὲ τὴν φιλίστου τελευτὴν, διονύσιος ἔπεμπε πρὸς δίωνα, τὴν μὲν ἀκρόπολιν ἐκείνῳ παραδιδοὺς, καὶ τὰ ὅπλα καὶ τοὺς μισθοφόρους, καὶ πέντε μηνῶν ἐντελῆ τούτοις μισθόν. αὐτὸς δ' ἀξιῶν ὑπόσπονδος εἰς ἰταλίαν ἀπελθεῖν, κἀκεῖ κατοικῶν, καρποῦσθαι τῆς συρακουσίας, τὸν καλούμενον γύατα, πολλὴν καὶ ἀγαθὴν χώραν ἀνήκουσαν ἀπὸ θαλάττης εἰς τὴν μεσόγειον. Οὐ προσδεξαμένου δὲ τοῦ δίωνος, ἀλλὰ δεῖσθαι τῶν συρακουσίων κελεύσαντος, οἱ μὲν συρακούσιοι, ζῶντα λήψεσθαι τὸν διονύσιον ἐλπίσαντες, ἀπήλασαν τοὺς πρέσβεις. ἐκεῖνος δὲ, τὴν μὲν ἄκραν ἀπολλοκράτει τῷ πρεσβυτέρῳ τῶν παίδων παρέδωκεν. αὐτὸς δὲ, πνεῦμα τηρήσας ἐπίφορον, καὶ τὰ τιμιώτατα τῶν σωμάτων καὶ τῶν χρημάτων ἐνθέμενος εἰς τὰς ναῦς, λαθὼν τὸν ναύαρχον ἡρακλείδην, ἐξέπλευσεν. Ὁ δὲ κακῶς ἀκούων, καὶ θορυβούμενος ὑπὸ τῶν πολιτῶν, ἵππωνά τινα τῶν δημαγωγῶν καθίησι προκαλεῖσθαι τὸν δῆμον, ἤδη γῆς ἀναδασμὸν, ὡς ἐλευθερίας ἀρχὴν οὖσαν τὴν ἰσότητα, δουλείας δὲ τὴν πενίαν τοῖς ἀκτήμοσι. συνηγορῶν δὲ τούτῳ, καὶ τὸν δίωνα καταστασιάζων, ἐναντιούμενον, ἔπεισε τοὺς συρακουσίους, ταῦτα ψηφίσασθαι, καὶ τῶν ξένων τὸν μισθὸν ἀφελεῖν, καὶ στρατηγοὺς ἑτέρους ἑλέσθαι, τῆς ἐκείνου βαρύτητος ἀπαλλαγέντας.

Οἱ δ' ὥσπερ ἐκ μακρᾶς ἀρρωστίας τῆς τυραννίδος, εὐθὺς ἐπιχειροῦντες ἐξανίστασθαι, καὶ πράττειν τὰ τῶν αὐτονομουμένων παρὰ καιρὸν, ἐσφάλλοντο μὲν αὐτοὶ ταῖς πράξεσιν. ἐμίσουν δὲ τὸν δίωνα, βουλόμενον ὥσπερ ἰατρὸν, ἐν ἀκριβεῖ καὶ σωφρονούσῃ διαίτῃ, κατασχεῖν τὴν πόλιν. Ἐκκλησιάζουσι δ' αὐτοῖς ἤδη νέαις ἀρχαῖς, θέρους μεσοῦντος, ἐξαίσιοι βρονταί τε καὶ διοσημεῖαι πονηραὶ συνέβαινον, ἐφ' ἡμέρας δεκαπέντε, συνεχῶς ἀνιστᾶσαι τὸν δῆμον, ὑπὸ δεισιδαιμονίας κωλυόμενον, ἑτέρους ἀποδεῖξαι στρατηγούς. Ἐπεὶ δὲ, φυλάξαντες εὐδίαν σταθερὰν οἱ δημαγωγοὶ συνετέλουν τὰς ἀρχαιρεσίας, βοῦς ἁμαξεὺς, οὐκ ἀήθης οὐδ' ἄπειρος ὄχλων, ἄλλως δέ πως τότε πρὸς τὸν ἐλαύνοντα θυμωθεὶς, καὶ φυγὼν ἀπὸ τοῦ ζυγοῦ, δρόμῳ πρὸς τὸ θέατρον ὥρμησεν, καὶ τὸν μὲν δῆμον, εὐθὺς ἀνέστησεν, καὶ διεσκέδασεν οὐδενὶ κόσμῳ φθάνοντα. τῆς δ' ἄλλης πόλεως, ἐπέδραμε σκιρτῶν καὶ ταράττων, ὅσον ὕστερον οἱ πολέμιοι κατέσχον. Οὐ μὴν, ἀλλὰ ταῦτα χαίρειν ἐάσαντες οἱ συρακούσιοι, πέντε καὶ εἴκοσι στρατηγοὺς ἐχειροτόνησαν. ὧν εἷς ἦν ἡρακλείδης, καὶ τοὺς ξένους ὑποπέμποντες κρύφα τοῦ δίωνος ἀφίστασαν, καὶ μετεκάλουν πρὸς αὐτοὺς ἐπαγγελλόμενοι καὶ τῆς πολιτείας ἰσομοιρίαν.

Οἱ δὲ ταῦτα μὲν, οὐ προσεδέξαντο. τὸν δὲ δίωνα πιστῶς καὶ προθύμως μετὰ τῶν ὅπλων ἀναλαβόντες καὶ συμφράξαντες, ὑπῆγον ἐκ τῆς πόλεως. ἀδικοῦντες μὲν οὐδένα. πολλὰ δὲ τοὺς ἐντυγχάνοντας, εἰς ἀχαριστίαν, καὶ μοχθηρίαν ὀνειδίζοντες. Οἱ δὲ τῆς ὀλιγότητος αὐτῶν, καὶ τοῦ μὴ προεπιχειρεῖν, καταφρονήσαντες, καὶ γενόμενοι πολὺ πλείους ἐκείνων, ἐφώρμησαν, ὡς ῥᾳδίως ἐπικρατήσοντες ἐν τῇ πόλει. καὶ πάντας αὐτοὺς κατακτενοῦντες. Ἐν τούτῳ δὲ γεγονὼς ἀνάγκης, καὶ τύχης ὁ δίων, ἢ μάχεσθαι τοῖς πολίταις, ἢ μετὰ τῶν ξένων ἀποθανεῖν. πολλὰ μὲν ἱκέτευσεν, ὀρέγων, τὰς χεῖρας τοῖς συρακουσίοις, καὶ τὴν ἀκρόπολιν περίπλεων πολεμίων οὖσαν ὑπερφαινομένων τὰ τείχη, καὶ τὰ γινόμενα καθορώντων, ἐπιδεικνύμενος. Ὡς δ' ἦν ἀπαραίτητος ἡ τῶν πολλῶν φορά. καὶ καθεῖχεν ὥσπερ ἐν πελάγει, τὸ τῶν δημαγωγῶν πνεῦμα τὴν πόλιν, ἐμβολῆς μὲν ἀπέχεσθαι, τοῖς ξένοις προσέταξεν. ὅσον δ' ἐπιδραμόντων μετὰ βοῆς, καὶ τοῖς ὅπλοις πιναξαμένων, οὐδεὶς ἔμεινε τῶν συρακουσίων, ἀλλ' ᾤχοντο φεύγοντες ἀνὰ τὰς ἀγυιὰς οὐδενὸς ἐπιδιώκοντος. εὐθὺς γὰρ ἐπέζευξεν ὁ δίων τοὺς ξένους, καὶ προῆγεν εἰς λεοντίνους. Οἱ δ' ἄρχοντες τῶν συρακουσίων καταγέλαστοι γεγονότες, ὑπὸ τῶν γυναικῶν, καὶ τὴν αἰσχύνην ἀναλαβεῖν ζητοῦντες, αὖθις ὁπλίσαντες τοὺς πολίτας, ἐδίωκον τὸν δίωνα. καὶ κατέλαβον μὲν ἤδη διαβάσει τινὸς ποταμοῦ, καὶ προσίππευσαν ἀψιμαχοῦντες.

πον. καὶ μάλιστα πυνθανόμενοι καταπλεῖν Ἡρακλείδην ἀνεπτοήθησαν. ἦν δὲ τῶν φυγάδων Ἡρακλείδης, στρατηγικὸς μὲν ἄνθρωπος καὶ γνώριμος ἀφ' ἡγεμονίας ἣν ἔσχε παρὰ τοῖς τυράννοις. οὐκ ἀραρὼς δὲ τὴν γνώμην, ἀλλὰ πρὸς πάντα κοῦφος, ἥκιστα δὲ βέβαιος ἐν κοινωνίᾳ πραγμάτων ἀρχὴν ἐχόντων καὶ δόξαν. οὗτος ἐν Πελοποννήσῳ πρὸς Δίωνα στασιάσας, ἔγνω καθ' αὑτὸν ἰδιόστολος πλεῖν, ἐπὶ τὸν τύραννον. εἴς τε Συρακούσας ἀφικόμενος ἑπτὰ τριήρεσι, καὶ τρισὶ πλοίοις Διονύσιον μὲν, αὖθις εὗρε περιτετειχισμένον, ἐπηρμένους δὲ τοὺς Συρακουσίους. εὐθὺς οὖν, ὑπεδύετο τὴν τῶν πολλῶν χάριν, ἔχων μέν τι καὶ φύσει πιθανὸν, καὶ κινητικὸν ὄχλου θεραπεύεσθαι ζητοῦντος, ὑπολαμβάνων δὲ καὶ μετάγων ῥᾷον αὐτοὺς, οἳ τὸ σεμνὸν τοῦ Δίωνος, ὡς βαρὺ καὶ δυσπολίτευτον, ἀπεστρέφοντο, διὰ τὴν γεγενημένην ἐκ τοῦ κρατεῖν ἄνεσιν καὶ θρασύτητα, πρὸ τοῦ δῆμος εἶναι, τὸ δημαγωγεῖσθαι θέλοντες, καὶ πρῶτον μὲν εἰς ἐκκλησίαν, ἀφ' αὑτῶν συνδραμόντες, εἵλοντο τὸν Ἡρακλείδην ναύαρχον. ἐπεὶ δὲ Δίων, παρελθὼν ᾐτιᾶτο τὴν ἐκείνῳ διδομένην ἀρχὴν, ἀφαίρεσιν εἶναι τῆς πρότερον αὐτῷ διδομένης. οὐκέτι γὰρ αὐτοκράτωρ μένειν, ἂν ἄλλος ἡγῆται τῶν κατὰ θάλασσαν, ἄκοντες οἱ Συρακούσιοι πάλιν ἀπεψηφίσαντο τὸν Ἡρακλείδην. γενομένων δὲ τούτων, μεταπεμψάμενος αὐτὸν ὁ Δίων οἴκαδε καὶ μικρὰ μεμψάμενος, ὡς οὐ καλῶς οὐδὲ συμφερόντως, περὶ δόξης στασιάζοντα πρὸς αὐτὸν, ἐν καιρῷ ῥοπῆς ὀλίγης δεομένῳ πρὸς ἀπώλειαν, αὖθις ἐκκλησίαν αὐτὸς συναγαγὼν, ναύαρχον ἀπέδειξεν τὸν Ἡρακλείδην. καὶ τῷ σώματι ἔπεισε φυλακὴν δοῦναι τοὺς πολίτας, ὥσπερ αὐτὸς εἶχεν. ὁ δὲ, τῷ μὲν λόγῳ καὶ τῷ σχήματι, τὸν Δίωνα θεραπεύων, καὶ χάριν ὁμολογῶν ἔχειν, παρηκολούθει ταπεινὸς, ὑπηρετῶν τὸ κελευόμενον. κρύφα δὲ, τοὺς πολλοὺς καὶ νεωτεριστὰς διαφθείρων, καὶ ὑποκινῶν, θορύβοις τὸν Δίωνα περιέβαλλεν, εἰς ἅπασαν ἀπορίαν καθιστάμενον. εἴτε γὰρ ἀφεῖναι κελεύοι Διονύσιον ὑπόσπονδον ἐκ τῆς ἄκρας, διαβολὴν εἶχε, φείδεσθαι καὶ περισώζειν ἐκεῖνον. εἴτε λυπεῖν μὴ βουλόμενος, ἐπὶ τῆς πολιορκίας ἡσυχάζοι, διατηρεῖν ἐδόκει τὸν πόλεμον ὡς μᾶλλον ἄρχοι, καὶ καταπλήττοιτο τοὺς πολίτας. ἦν δέ τις Σῶσις ἄνθρωπος ἐκ πονηρίας καὶ θρασύτητος, εὐδοκιμῶν παρὰ τοῖς Συρακουσίοις, περιουσίαν ἡγουμένοις ἐλευθερίας, τὸ μέχρι τοιούτων ἀνεῖσθαι τὴν παρρησίαν. οὗτος ἐπιβουλεύων Δίωνι, πρῶτον μὲν, ἐκκλησίας οὔσης, ἀναστὰς, πολλὰ τοὺς Συρακουσίους ἐλοιδόρησεν, εἰ μὴ συνιᾶσιν, ὡς ἐμπλήκτου καὶ μεθυούσης ἀπηλλαγμένοι τυραννίδος, ἐγρηγορότα καὶ νήφοντα δεσπότην εἰλήφασιν, ἔπειτα φανερὸν τοῦ Δίωνος ἐπιδειξάμενος ἐχθρὸν αὑτὸν, τότε μὲν ἐκ τῆς ἀγορᾶς ἀπῆλθεν, τῇ δ' ὑστεραίᾳ γυμνὸς ὤφθη, διὰ τῆς πόλεως θέων, ἀνάπλεως αἵματος τὴν κεφαλὴν καὶ τὸ πρόσωπον, ὡς δή τινας φεύγων διώκοντας, ἐμβαλὼν δὲ τοιοῦτος εἰς τὴν ἀγορὰν, ἔλεγεν ὑπὸ τῶν ξένων τοῦ Δίωνος ἐπιβεβουλεῦσθαι, καὶ τὴν κεφαλὴν ἐπεδείκνυε τετρωμένην. καὶ πολλοὺς εἶχε τοὺς συναγανακτοῦντας, καὶ συνισταμένους κατὰ τοῦ Δίωνος, ὡς δεινὰ καὶ τυραννικὰ πράττοντος. εἰ φόνοις καὶ κινδύνοις, τῶν πολιτῶν ἀφαιρεῖται τὴν παρρησίαν. οὐ μὴν, ἀλλὰ καίπερ ἀκρίτου καὶ ταραχώδους ἐκκλησίας γενομένης, παρελθὼν ὁ Δίων ἀπελογεῖτο. καὶ τὸν Σῶσιν ἀπέφαινε τῶν Διονυσίου δορυφόρων ἑνὸς ἀδελφὸν ὄντα. καὶ δι' ἐκείνου πεπεισμένον, στασιάσαι καὶ συνταράξαι τὴν πόλιν, οὐδεμιᾶς Διονυσίῳ σωτηρίας οὔσης, πλὴν τῆς ἐκείνων ἀπιστίας, καὶ διαφορᾶς πρὸς αὐτούς. ἅμα δ' οἱ μὲν ἰατροὶ τοῦ Σώσιδος τὸ τραῦμα καταμανθάνοντες, εὕρισκον ἐξ ἐπιπολῆς μᾶλλον, ἢ καταφορᾶς γεγενημένον. αἱ μὲν γὰρ ὑπὸ τοῦ ξίφους πληγαὶ, μάλιστα τὸ μέσον ὑπὸ βάθους πιέζουσιν. τὸ δὲ τοῦ Σώσιδος, λεπτὸν ἦν δι' ὅλου, καὶ πολλὰς εἶχεν ἀρχὰς, ὡς εἰκὸς ὑπ' ἀλγηδόνος ἀνιέντος. εἶτα, αὖθις ἐπάγοντος.

ἧκον δέ τινες τῶν γνωρίμων, ξυρὸν κομίζοντες εἰς τὴν ἐκκλησίαν, καὶ διηγούμενοι, βαδίζουσιν αὐτοῖς καθ' ὁδὸν ἀπαντῆσαι τὸν Σῶσιν ᾑμαγμένον, καὶ λέγοντα φεύγειν τοὺς Δίωνος ξένους, ὡς ἀρτίως ὑπ' ἐκείνων τετρωμένος. εὐθὺς οὖν διώκοντες, ἄνθρωπον μὲν, οὐδένα λαβεῖν, ὑπὸ πέτραν δὲ κοίλην κείμενον ἰδεῖν ξυρὸν, ὅθεν ἐκεῖνος ὤφθη προσερχόμενος. ἦν μὲν οὖν ἤδη μοχθηρὰ, τὰ περὶ τὸν Σῶσιν. προσγενομένων δὲ τούτοις τοῖς ἐλέγχοις, οἰκετῶν καταμαρτυρούντων. ὡς ἔτι νυκτὸς ἐξέλθοι μόνος ἔχων τὸν ξυρὸν, οἵ τε κατηγοροῦντες τοῦ Δίωνος ὑπεχώρησαν. ὅ τε δῆμος καταψηφισάμενος θάνατον τοῦ Σώσιδος διηλλάσσετο τῷ Δίωνι. τοὺς δὲ μισθοφόρους, οὐδὲν ἧττον ἐν ὑποψίαις εἶχον, καὶ μάλιστα, τῶν πλείστων ἀγώνων πρὸς τὸν τύραννον ἤδη γιγνομένων κατὰ θάλατταν. ἐπειδὴ Φίλιστος ἧκεν ἐξ Ἰαπυγίας ἔχων πολλὰς τριήρεις, Διονυσίῳ βοηθήσων. καὶ τῶν ξένων ὄντων ὁπλιτῶν, οὐδεμίαν ἔτι χρῆσιν ἐνόμιζον εἶναι πρὸς τὸν πόλεμον. ἀλλὰ κἀκείνους ἐφ' ἑαυτοῖς ἔσεσθαι ναυάταις οὖσι. καὶ τὸ κράτος ἐκ τῶν νεῶν κτωμένοις. ἔτι δὲ μᾶλλον αὐτοὺς ἐπῆρεν, εὐτυχία τις γενομένη κατὰ θάλασσαν, ἐν ᾗ νικήσαντες τὸν Φίλιστον. ὠμῶς καὶ βαρβαρικῶς αὐτῷ προσηνέχθησαν. Ἔφορος μὲν οὖν φησιν, ὡς ἁλισκομένης τῆς νεὼς, ἑαυτὸν ἀνέλοι. Τιμωνίδης δὲ, πραττομέναις ἐξ ἀρχῆς ταῖς πράξεσι ταύταις μετὰ Δίωνος παραγενόμενος, καὶ γράφων πρὸς Σπεύσιππον τὸν φιλόσοφον, ἱστορεῖ ζῶντα ληφθῆναι, τῆς τριήρους εἰς τὴν γῆν ἐκπεσούσης τὸν Φίλιστον. καὶ πρῶτον μὲν, ἀποδύσαντας αὐτοῦ τὸν θώρακα τοὺς Συρακουσίους, καὶ γυμνὸν ἐπιδειξαμένους τὸ σῶμα, προπηλακίζειν, ὄντος ἤδη γέροντος. ἔπειτα τὴν κεφαλὴν ἀποτεμεῖν. καὶ τοῖς παισὶ παραδοῦναι τὸ σῶμα. κελεύσαντας ἕλκειν διὰ τῆς Ἀχρα

φαυλ

ἐπειδὴ. ς.τ.
ἐπεὶ δὲ. μ.

λομένων καὶ διομνύντων ἐκείνων, αὐτοῖς συνάρχοντας εἴκοσιν· ὧν ἡμίσεις ἦσαν ἐκ τῶν μετὰ Δίωνος ἀπὸ τῆς φυγῆς συγκατερχομένων. Τοῖς δὲ μάντεσιν αὖθις ἐδόκει, τὸ μὲν ὑπὸ πόδας λαβεῖν τὸν Δίωνα δημηγοροῦντα τὴν φιλοτιμίαν καὶ τὸ ἀνάθημα τοῦ τυράννου, λαμπρὸν εἶναι σημεῖον· ὅτι δ' ἡλιοτρόπιον ἦν, ἐφ' οὗ βεβηκὼς ᾑρέθη στρατηγὸς, ὀρρωδεῖν μὴ τροπήν τινα τῆς τύχης αἱ πράξεις ταχεῖαν λάβωσιν. Ἐκ τούτου τὰς μὲν ἐπιπολὰς ἑλὼν, τοὺς καθειργμένους τῶν πολιτῶν ἔλυσε. τὴν δὲ ἀκρόπολιν ἀπετείχισεν. ἑβδόμῃ δ' ἡμέρᾳ Διονύσιος κατέπλευσεν εἰς τὴν ἀκρόπολιν. καὶ Δίωνι προσῆγον, ἅμαξαι πανοπλίας, ἃς Συνάλῳ κατέλιπε. ταύτας διένειμε τοῖς πολίταις. τῶν δ' ἄλλων ἕκαστος ἑαυτὸν ὡς δυνατὸν ἦν ἐκόσμει, καὶ παρεῖχεν ὁπλίτην πρόθυμον. Διονύσιος δὲ πρῶτον ἰδίᾳ πρὸς Δίωνα πρέσβεις ἔπεμπεν ἀποπειρώμενος. ἔπειτα κελεύσαντος ἐκείνου διαλέγεσθαι κοινῇ Συρακουσίοις ὡς ἐλευθέροις οὖσιν. ἐγίνοντο λόγοι διὰ τῶν πρέσβεων παρὰ τοῦ τυράννου φιλάνθρωποι. φόρων ὑπισχνουμένου μετριότητα. καὶ ῥαστώνης στρατειῶν, ὧν αὐτοὶ σύμψηφοι γένωνται. ταῦτ' ἐχλεύαζον οἱ Συρακούσιοι. Δίων δ' ἀπεκρίνατο τοῖς πρέσβεσι. μὴ διαλέγεσθαι πρὸς αὐτοὺς Διονύσιον, εἰ μὴ τὴν ἀρχὴν ἀφίησιν. ἀφέντι δὲ, συμπράξειν ἃ δεῖ αὐτός. κἂν ἄλλο τι τῶν μετρίων δύνηται, μεμνημένος τῆς οἰκειότητος. Ταῦτα Διονύσιος ἐπῄνει, καὶ πάλιν ἔπεμπε πρέσβεις, κελεύων ἥκειν τινὰς εἰς τὴν ἀκρόπολιν τῶν Συρακουσίων. οἷς τὰ μὲν πείθων, τὰ δὲ πειθόμενος, διαλέξεται περὶ τῶν κοινῇ συμφερόντων. ἐπέμφθησαν οὖν ἄνδρες πρὸς αὐτόν. οὓς Δίων ἐδοκίμαζε. καὶ λόγος πολὺς ἐκ τῆς ἄκρας εἰς τοὺς Συρακουσίους κατῄει, Διονύσιον ἀφήσειν τὴν τυραννίδα, καὶ μᾶλλον ἑαυτοῦ χάριν, ἢ Δίωνος. Ἦν δὲ δόλος ἡ προσποίησις αὕτη τοῦ τυράννου, καὶ σκευωρία κατὰ τῶν Συρακουσίων. τοὺς μὲν γὰρ ἐλθόντας πρὸς αὐτὸν ἐκ πόλεως, συγκλείσας, εἶχε. τοὺς δὲ μισθοφόρους πρὸς ὄρθρον ἐμπλήσας ἀκράτου, δρόμῳ πρὸς τὸ περιτείχισμα τῶν Συρακουσίων ἀφῆκεν. Γενομένης δὲ τῆς προσβολῆς ἀνελπίστου. καὶ τῶν βαρβάρων θράσει πολλῷ καὶ θορύβῳ καθαιρούντων τὸ διατείχισμα, καὶ τοῖς Συρακουσίοις ἐπιφερομένων, οὐδεὶς ἐτόλμα μένων ἀμύνεσθαι. πλὴν καὶ ξένων τῶν Δίωνος, οἳ πρῶτον αἰσθόμενοι τὸν θόρυβον ἐξεβοήθησαν. οὐδ' οὗτοι δὲ τῆς βοηθείας τὸν τρόπον συνεφρόνουν, οὐδ' εἰσήκουον ὑπὸ κραυγῆς, καὶ πλάνης τῶν φευγόντων Συρακουσίων, ἀναπεφυρμένων αὐτοῖς, καὶ διεκθεόντων. πρίν γε δὴ Δίων, ἐπεὶ λέγοντος οὐδεὶς κατήκουεν, ἔργῳ τὸ πρακτέον ὑφηγήσασθαι βουλόμενος, ἐμβάλλει πρῶτος εἰς τοὺς βαρβάρους, καὶ γίνεται περὶ αὐτὸν ὀξεῖα καὶ δεινὴ μάχη, γινωσκόμενον οὐχ ἧττον ὑπὸ τῶν πολεμίων, ἢ τῶν φίλων, ὥρμησαν γὰρ ἅμα πάντες, ἐμβοήσαντες. Ὁ δ' ἦν μὲν ἤδη βαρύτερος δι' ἡλικίαν, ἢ κατὰ τοιούτους ἀγῶνας. ἀλκῇ δὲ καὶ θυμῷ προσφερομένους ὑφιστάμενος καὶ ἀνακόπτων, τιτρώσκεται λόγχῃ τὴν χεῖρα. πρὸς δὲ τὰ ἄλλα βέλη, καὶ τὰς ἐκ χειρὸς πληγὰς, μόλις ὁ θώραξ ἤρκεσεν διὰ τῆς ἀσπίδος. δόρασι πολλοῖς, καὶ λόγχαις τυπτόμενος. ὧν κατακλασθέντων κατέπεσεν ὁ Δίων. εἶτα ἀναρπασθεὶς ὑπὸ τῶν στρατιωτῶν. ἐκείνοις μὲν ἡγεμόνα Τιμωνίδην ἐπέστησεν. αὐτὸς δὲ τὴν πόλιν ἵππῳ περιελαύνων, τούς τε Συρακουσίους ἔπαυε φυγῆς, καὶ τῶν ξένων τοὺς φυλάττοντας τὴν Ἀχραδινὴν ἀναστήσας ἐπῆγε τοῖς βαρβάροις, ἀκμῆτας, ἐκπεπονημένοις, καὶ προθύμους, ἀπαυδῶσιν ἤδη, πρὸς τὴν πεῖραν. ἐλπίσαντες γὰρ ἅμα τῇ πρώτῃ ῥύμῃ, τὴν πόλιν ἅπασαν ἐξ ἐφόδου καθέξειν. εἶτα, παρὰ δόξαν ἐντυγχάνοντες ἀνδράσι πλήκταις καὶ μαχίμοις, ἀνεστέλλοντο πρὸς τὴν ἀκρόπολιν. Ἔτι δὲ μᾶλλον ὡς ἐνέδωκαν, ἐπικειμένων τῶν Ἑλλήνων, τραπόμενοι, κατεκλείσθησαν εἰς τὸ τεῖχος, ἑβδομήκοντα μὲν καὶ τέσσαρας ἀποκτείναντες τῶν μετὰ Δίωνος, ἑαυτῶν δὲ πολλοὺς ἀποβαλόντες. γενομένης δὲ λαμπρᾶς τῆς νίκης. οἱ μὲν Συρακούσιοι τοὺς ξένους, ἑκατὸν μναῖς ἐστεφάνωσαν. οἱ δὲ ξένοι Δίωνα χρυσῷ στεφάνῳ. Κήρυκες δὲ παρὰ τοῦ Διονυσίου κατέβαινον, ἐπιστολὰς πρὸς Δίωνα παρὰ τῶν οἰκείων γυναικῶν κομίζοντες. μία δ' ἦν ἔξωθεν ἐπιγεγραμμένη, τῷ πατρὶ παρ' Ἱππαρίνου. τοῦτο γὰρ ἦν ὄνομα τῷ Δίωνος υἱῷ. καίτοι φησὶ Τίμαιος Ἀρεταῖον αὐτὸν ἀπὸ τῆς μητρὸς Ἀρετῆς καλεῖσθαι. Τιμωνίδῃ δὲ μᾶλλον, ὡς οἶμαι, περί γε τούτων πιστευτέον, ἀνδρὶ φίλῳ καὶ συστρατιώτῃ Δίωνος. Αἱ μὲν οὖν ἄλλαι τοῖς Συρακουσίοις ἀνεγνώσθησαν ἐπιστολαὶ, πολλὰς ἱκεσίας καὶ δεήσεις ἔχουσαι παρὰ τῶν γυναικῶν. τὴν δὲ παρὰ τοῦ παιδὸς εἶναι δοκοῦσαν, οὐκ ἐώντων φανερῶς λυθῆναι, βιασάμενος ὁ Δίων, ἔλυσεν. ἦν δὲ παρὰ τοῦ Διονυσίου. τοῖς μὲν γράμμασι πρὸς τὸν Δίωνα. τοῖς δὲ πράγμασι, πρὸς τοὺς Συρακουσίους διαλεγομένου, σχῆμα μὲν ἔχουσα δεήσεως καὶ δικαιολογίας, συγκειμένη δὲ πρὸς διαβολὴν τοῦ Δίωνος. ὑπομνήσεις τε γὰρ ἦσαν, ὧν ὑπὲρ τῆς τυραννίδος ἔπραξε προθύμως, καὶ κατὰ τῶν φιλτάτων ἀπειλαὶ σωμάτων, ἀδελφῆς καὶ τέκνου καὶ γυναικός. ἐπισκήψεις τε δειναὶ μετ' ὀλοφυρμῶν. καὶ τὸ μάλιστα κινῆσαν αὐτὸν, ἀξιοῦντος μὴ καθαιρεῖν, ἀλλὰ παραλαμβάνειν τὴν τυραννίδα, μὴ δ' ἐλευθεροῦν μισοῦντας ἀνθρώπους καὶ μνησικακοῦντας, ἀλλ' αὐτὸν ἄρχειν, παρέχοντα τοῖς φίλοις, καὶ οἰκείοις τὴν ἀσφάλειαν. Ἀναγινωσκομένων δὲ τούτων, οὐχ ὅπερ ἦν δίκαιον εἰσῄει τοῖς Συρακουσίοις, ἐκπλήττεσθαι τὴν ἀπάθειαν καὶ τὴν μεγαλοψυχίαν τοῦ Δίωνος ὑπὲρ τῶν καλῶν καὶ δικαίων ἀντιφιλονεικοῦντος πρὸς τοιαύτας οἰκειότητας, ἀλλ' ὑποψίαν καὶ φόβον λαβόντες ἀρχὴν, ὡς μεγάλης οὔσης ἀνάγκης ἐκείνῳ, φείδεσθαι τοῦ τυράννου, πρὸς ἑτέρους ἤδη προστάτας ἀπέβλε

ῥατώγης ει.

τὴν συρακουσίων τ. ς.

φιλίαν πρὸς τὸν Καρχηδόνιον, φθάνουσι δὲ, συνεισπεσόντες, αἱροῦσι τὸ χωρίον. ὡς δ' ἀπήντησαν ἀλλήλοις οἱ ἡγεμόνες καὶ ἠσπάσαντο. Δίων μὲν, ἀπέδωκεν τὴν πόλιν Συνάλῳ, οὐδὲν ἀδικήσας. Συνάλος δὲ, τοὺς στρατιώτας ἐξένιζε, καὶ συμπαρεσκεύαζεν, ὧν Δίων ἐδεῖτο. μάλιστα δ' αὐτοὺς ἐθάρρυνε τὸ συμβεβηκὸς αὐτομάτως, περὶ τὴν ἀποδημίαν τοῦ Διονυσίου. νεωστὶ γὰρ ἐκπεπλευκὼς, ἐτύγχανεν ὀγδοήκοντα ναυσὶν εἰς τὴν Ἰταλίαν. διὸ καὶ τοῦ Δίωνος παρακαλοῦντος. ἐνταῦθα τοὺς στρατιώτας ἀναλαμβάνειν, πολὺν χρόνον ἐν τῇ θαλάσσῃ κεκακωμένους, οὐχ ὑπέμειναν αὐτοὶ, σπεύδοντες ἁρπάσαι τὸν καιρὸν, ἀλλ' ἐκέλευον ἡγεῖσθαι τὸν Δίωνα πρὸς τὰς Συρακούσας. ἀποσκευασάμενος οὖν, τὰ περιόντα τῶν ὅπλων, καὶ τῶν φορτίων ἐκεῖ, καὶ τοῦ Συνάλου δεηθεὶς ὅταν ᾖ καιρὸς, ἀποστεῖλαι πρὸς αὐτὸν, ἐβάδιζεν ἐπὶ τὰς Συρακούσας. πορευομένῳ δ' αὐτῷ, πρῶτον μὲν Ἀκραγαντίνων προσεχώρησαν ἱππεῖς διακόσιοι, τῶν περὶ τὸ Ἔκνομον οἰκούντων. μετὰ δὲ τούτους Γελῷοι. ταχὺ δὲ τῆς φήμης διαδραμούσης εἰς Συρακούσας, Τιμοκράτης ὁ τῇ Δίωνος γυναικὶ συνοικῶν, Διονυσίου ἀδελφῇ, τῶν ἀπολελειμμένων ἐν τῇ πόλει φίλων προεστὼς, ἐκπέμπει κατὰ τάχος ἄγγελον τῷ Διονυσίῳ γράμματα κομίζοντα, περὶ τῆς Δίωνος ἀφίξεως. αὐτὸς δὲ τοῖς κατὰ τὴν πόλιν προσεῖχεν θορύβοις καὶ κινήμασιν. ἐπηρμένων μὲν πάντων, διὰ δ' ἀπιστίαν ἔτι καὶ φόβον, ἡσυχαζόντων. Τῷ δὲ πεμφθέντι γραμματοφόρῳ, τύχη τις συμπίπτει παράλογος. διαπλεύσας γὰρ εἰς τὴν Ἰταλίαν, καὶ τὴν Ῥηγίνην διελθὼν, ἐπειγόμενος εἰς Καυλωνίαν πρὸς Διονύσιον, ἀπήντησέ τινι τῶν συνήθων ἱερεῖον νεωστὶ τεθυμένον κομίζοντι. καὶ λαβὼν παρ' αὐτοῦ μοῖραν τῶν κρεῶν, ἐχώρει σπουδῇ. τῆς δὲ νυκτὸς μέρος ὁδεύσας, καὶ μικρὸν ἀποδαρθεῖν ὑπὸ κόπου βιασθεὶς, ὡς εἶχε παρὰ τὴν ὁδὸν ἐν ὕλῃ τινὶ, κατέκλινεν ἑαυτόν. πρὸς δὲ τὴν ὀσμὴν λύκος ἐπελθὼν καὶ λαβόμενος τῶν κρεῶν, ἀναδεδεμένων ἐκ τῆς πήρας, ᾤχετο, φέρων ἅμα σὺν αὐτοῖς τὴν πήραν, ἐν ᾗ τὰς ἐπιστολὰς ὁ ἄνθρωπος εἶχεν. ὡς δὲ διεγερθεὶς ᾔσθετο, καὶ πολλὰ μάτην πλανηθεὶς, καὶ διώξας οὐχ εὗρεν, ἔγνω μὴ πορεύεσθαι δίχα τῶν γραμμάτων πρὸς τὸν τύραννον. ἀλλ' ἀποδρὰς, ἐκποδὼν γενέσθαι. Διονύσιος μὲν οὖν, ὀψὲ καὶ παρ' ἑτέρων, ἔμελλεν πυνθάνεσθαι, τὸν ἐν Σικελίᾳ πόλεμον. Δίωνι δὲ πορευομένῳ, Καμαριναῖοί τε προσέθεντο, καὶ τῶν κατ' ἀγροὺς Συρακοσίων ἀνισταμένων, ἐπέρρει πλῆθος οὐκ ὀλίγον. οἱ δὲ μετὰ Τιμοκράτους τὰς Ἐπιπολὰς φυλάσσοντες Λεοντῖνοι, καὶ Καμπανοὶ, λόγον ψευδῆ προσπέμψαντος εἰς αὐτοὺς τοῦ Δίωνος, ὡς ἐπὶ τὰς πόλεις πρῶτον τρέποιτο, τὰς ἐκείνων, ἀπολιπόντες ᾤχοντο τὸν Τιμοκράτην, τοῖς οἰκείοις βοηθήσοντες. Ὡς δ' ἀπηγγέλθη ταῦτα πρὸς τὸν Δίωνα περὶ τὰς Μακρὰς στρατοπεδεύοντα, νυκτὸς ἔτι τοὺς στρατιώτας ἀναστήσας, πρὸς τὸν Ἄναπον ποταμὸν ἧκεν ἀπέχοντα τῆς πόλεως δέκα σταδίους. ἐνταῦθα δὲ τὴν πορείαν ἐπιστήσας ἐσφαγιάζετο πρὸς τὸν ποταμὸν, ἀνατέλλοντι τῷ ἡλίῳ προσευξάμενος. ἅμα δ' οἱ μάντεις, παρὰ τῶν θεῶν, νίκην ἔφραζον αὐτῷ. καὶ θεασάμενοι τὸν Δίωνα διὰ τὴν θυσίαν ἐστεφανωμένον οἱ παρόντες ἀπὸ μιᾶς ὁρμῆς, ἐστεφανοῦντο πάντες. ἦσαν δὲ πεντακισχιλίων οὐκ ἐλάττους προσγεγονότες κατὰ τὴν ὁδόν. ὡπλισμένοι δὲ φαύλως ἐκ τοῦ προστυχόντος, ἀνεπλήρουν τῇ προθυμίᾳ τὴν τῆς παρασκευῆς ἔνδειαν. ὥς τε νικήσαντος τοῦ Δίωνος δρόμῳ χωρεῖν μετὰ χαρᾶς καὶ βοῆς, ἀλλήλους παρακαλοῦντας ἐπὶ τὴν ἐλευθερίαν. Τῶν δ' ἐν τῇ πόλει Συρακουσίων. οἱ μὲν γνώριμοι καὶ χαρίεντες ἐσθῆτα καθαρὰν ἔχοντες, ἀπήντων ἐπὶ τὰς πύλας. οἱ δὲ πολλοὶ τοῖς τυράννου φίλοις ἐπετίθεντο. καὶ συνήρπαζον τοὺς καλουμένους προσαγωγίδας ἀνθρώπους ἀνοσίους, καὶ θεοῖς ἐχθρούς. οἳ περιενόστουν ἐν τῇ πόλει καταμεμιγμένοι τοῖς Συρακουσίοις, πολυπραγμονοῦντες. καὶ διαγγέλλοντες τῷ τυράννῳ, τάς τε διανοίας, καὶ τὰς φωνὰς ἑκάστων. Οὗτοι μὲν οὖν πρῶτοι δίκην ἐδίδοσαν ὑπὸ τῶν προστυγχανόντων τυμπανιζόμενοι. Τιμοκράτης δὲ, συμμῖξαι τοῖς φρουροῦσι τὴν ἀκρόπολιν μὴ δυνηθεὶς, ἵππον λαβὼν διεξέπεσε τῆς πόλεως, καὶ πάντα φεύγων ἐνέπλησε φόβου καὶ ταραχῆς ἐπὶ μεῖζον αἴρων τὰ τοῦ Δίωνος ὡς μὴ δοκοίη μέτριόν τι δείσας ἀποβεβληκέναι τὴν πόλιν. Ἐν τούτῳ δὲ καὶ Δίων προσερχόμενος, ἤδη καταφανὴς ἦν, πρῶτος αὐτὸς, ὡπλισμένος λαμπρῶς, καὶ παρ' αὐτὸν, ἔνθεν μὲν, ὁ ἀδελφὸς Μεγακλῆς. ἔνθεν δὲ, Κάλλιππος ὁ Ἀθηναῖος, ἐστεφανωμένοι. τῶν δὲ ξένων, ἑκατὸν μὲν εἵποντο φύλακες περὶ τὸν Δίωνα. τοὺς δ' ἄλλους ἦγον οἱ λοχαγοὶ, διακεκοσμημένους, θεωμένων τῶν Συρακουσίων, καὶ δεχομένων ὥσπερ ἱεράν τινα καὶ θεοπρεπῆ πομπὴν, ἐλευθερίας καὶ δημοκρατίας, δι' ἐτῶν ὀκτὼ καὶ τετταράκοντα κατιούσης εἰς τὴν πόλιν. Ἐπεὶ δ' εἰσῆλθεν ὁ Δίων, κατὰ τὰς Μενιτίδας πύλας, τῇ σάλπιγγι καταπαύσας τὸν θόρυβον ἐκήρυξεν. ὅτι Δίων καὶ Μεγακλῆς ἥκοντες ἐπὶ καταλύσει τῆς τυραννίδος, ἐλευθεροῦσι Συρακουσίους, καὶ τοὺς ἄλλους Σικελιώτας, ἀπὸ τοῦ τυράννου. βουλόμενος δὲ, καὶ δι' ἑαυτοῦ προσαγορεῦσαι τοὺς ἀνθρώπους, ἀνῄει διὰ τῆς Ἀχραδινῆς, ἑκατέρωθεν παρὰ τὴν ὁδὸν, τῶν Συρακουσίων, ἱερεῖα καὶ τραπέζας, καὶ κρατῆρας, ἱστάντων, καὶ καθ' οὓς γένοιτο, προχύταις τε βαλλόντων καὶ προστρεπομένων, ὥσπερ θεὸν κατευχαῖς. ἦν δ' ὑπὸ τὴν ἀκρόπολιν, καὶ τὰ πεντάπυλα, Διονυσίου κατασκευάσαντος, ἡλιοτρόπιον καταφανὲς καὶ ὑψηλόν. ἐπὶ τούτῳ προσβὰς, ἐδημηγόρησεν, καὶ παρώρμησε τοὺς πολίτας ἀντέχεσθαι τῆς ἐλευθερίας. οἱ δὲ χαίροντες καὶ φιλοφρονούμενοι κατέστησαν ἀμφοτέρους αὐτοκράτορας στρατηγοὺς, καὶ προσείλοντο, βου-

σθαι τὸν στόλον, ὑπεξεπλάγησαν καὶ κατέγνωσαν ὡς ὀργῆς τινος παραφροσύνης καὶ μανίας τοῦ δίωνος, ἢ χρηστῶν ἐλπίδων ἀπορίᾳ ῥιπτοῦντος ἑαυτὸν εἰς ἀπεγνωσμένας πράξεις, καὶ τοῖς ἑαυτῶν ἡγεμόσι καὶ ξενολόγοις ὠργίζοντο μὴ προειποῦσιν εὐθὺς ἐξ ἀρχῆς τὸν πόλεμον. Ἐπεὶ δὲ δίων τῷ λόγῳ τὰ σαθρὰ τῆς τυραννίδος ἐπεξιὼν ἐδίδασκεν ὡς οὐ στρατιώτας ἀλλὰ μᾶλλον ἡγεμόνας αὐτοὺς κομίζοι, συρακουσίων καὶ τῶν ἄλλων σικελιωτῶν πάλαι πρὸς ἀπόστασιν ἑτοίμων ὑπαρχόντων. μετὰ δὲ τὸν δίωνα διαλεχθέντος αὐτοῖς ἀλκιμένους, ὃς πρῶτος ὢν ἀχαιῶν, δόξῃ καὶ γένει συνεστράτευεν, ἐπείσθησαν. Ἦν μὲν οὖν θέρους ἀκμή, καὶ κατεῖχον ἐτησίαι τὸ πέλαγος. ἡ δὲ σελήνη, διχομηνίαν ἦγε. τῷ δ᾽ ἀπόλλωνι θυσίαν μεγαλοπρεπῆ παρασκευάσας ὁ δίων, ἐπόμπευσε μετὰ τῶν στρατιωτῶν κεκοσμημένων ταῖς πανοπλίαις πρὸς τὸ ἱερόν, καὶ μετὰ τὴν θυσίαν ἐν τῷ σταδίῳ τῶν ζακυνθίων κατακλιθέντας αὐτοὺς εἱστία θαυμάζοντας ἀργυρῶν καὶ χρυσῶν ἐκπωμάτων, καὶ τραπεζῶν ὑπερβάλλουσαν ἰδιωτικὸν πλοῦτον λαμπρότητα. καὶ λογιζομένους, ὅτι παρηκμακὼς ἀνὴρ ἤδη, καὶ τοσαύτης εὐπορίας κύριος, οὐκ ἂν ἐπιχειροίη παραβόλοις πράγμασι χωρὶς ἐλπίδος βεβαίου καὶ φίλων ἐνδιδόντων ἐκεῖθεν αὐτῷ τὰς πλείστας καὶ μεγίστας ἀφορμάς. Μετὰ δὲ τὰς σπονδὰς καὶ τὰς νενομισμένας κατευχάς, ἐξέλιπεν ἡ σελήνη. καὶ τοῖς μὲν περὶ τὸν δίωνα, θαυμαστὸν οὐδὲν ἦν, λογιζομένοις τὰς ἐκλειπτικὰς περιόδους, καὶ τὴν γινομένην τοῦ σκιάσματος ἀπάντησιν πρὸς τὴν σελήνην, καὶ τῆς γῆς τὴν ἀντίφραξιν πρὸς τὸν ἥλιον. ἐπεὶ δὲ τοῖς στρατιώταις διαταραχθεῖσιν ἔδει τινὸς παρηγορίας, μίλτας ὁ μάντις ἐν μέσῳ καταστάς, ἐκέλευε θαρρεῖν αὐτοὺς καὶ προσδοκᾶν τὰ κράτιστα. σημαίνειν γὰρ τὸ δαιμόνιον ἔκλειψίν τινα τῶν νῦν ἐπιφανῶν. ἐπιφανέστερον δὲ μηδὲν εἶναι τῆς διονυσίου τυραννίδος, ἧς τὸ λαμπρὸν ἀποσβέσειν ἐκείνους εὐθὺς ἁψαμένους σικελίας. Τοῦτο μὲν οὖν ὁ μίλτας, εἰς μέσον ἐξέθηκε πᾶσι. τὸ δὲ τῶν μελισσῶν, αἳ περὶ τὰ πλοῖα τοῦ δίωνος ὤφθησαν, ἑσμὸν λαμβάνουσαι κατὰ πρύμναν, ἰδίᾳ πρὸς αὐτὸν καὶ τοὺς φίλους ἔφραζε δεδιέναι. μὴ καλαὶ μὲν αἱ πράξεις αὐτοῦ γένωνται. χρόνον δ᾽ ὀλίγον, ἀνθήσασαι μαρανθῶσιν. Λέγεται δὲ καὶ τῷ διονυσίῳ πολλὰ τερατώδη παρὰ τοῦ δαιμονίου γενέσθαι σημεῖα. αἰετὸς μὲν γὰρ ἁρπάσας δοράτιον τινὸς τῶν δορυφόρων, ἀράμενος ὑψοῦ, καὶ φέρων ἀφῆκεν εἰς τὸν βυθόν. Ἡ δὲ προσκλύζουσα πρὸς τὴν ἀκρόπολιν θάλασσα, μίαν ἡμέραν, τὸ ὕδωρ γλυκὺ πότιμον παρέσχεν, ὥστε γευσαμένοις πᾶσι κατάδηλον εἶναι. χοῖροι δ᾽ ἐτέχθησαν αὐτῷ τῶν μὲν ἄλλων οὐδενὸς ἐνδεεῖς μορίων, ὦτα δ᾽ οὐκ ἔχοντες. ἀπεφαίνοντο δ᾽ οἱ μάντεις. τοῦτο μέν, ἀποστάσεως καὶ ἀπειθείας εἶναι σημεῖον. ὡς οὐκέτι τῶν πολιτῶν ἀκουσομένων τῆς τυραννίδος. τὴν δὲ γλυκύτητα τῆς θαλάσσης, μεταβολὴν καιρῶν ἀνιαρῶν καὶ πονηρῶν εἰς πράγματα χρηστὰ φέρειν συρακουσίοις. αἰετὸς δέ, θεράπων διός. λόγχη δὲ παράσημον ἀρχῆς καὶ δυναστείας. ἀφανισμὸν οὖν καὶ κατάλυσιν τῇ τυραννίδι βουλεύειν τὸν τῶν θεῶν μέγιστον. Ταῦτα μὲν οὖν θεόπομπος ἱστόρηκε.

Τοὺς δὲ στρατιώτας τοῦ δίωνος, ἐξεδέξαντο στρογγύλαι δύο ναῦς. τρίτον δὲ πλοῖον οὐ μέγα, καὶ δύο τριακόντοροι παρηκολούθουν. ὅπλα δὲ χωρὶς ὧν εἶχον οἱ στρατιῶται, δισχιλίας μὲν ἐκόμιζεν ἀσπίδας. βέλη δὲ καὶ δόρατα πολλά, καὶ πλῆθος ἐφοδίων ἄφθονον. ὅπως ἐπιλίπῃ μηδὲν αὐτοὺς ποντοποροῦντας. ἅτε δὴ τὸ σύμπαν, ἤδη πνεύμασι καὶ θαλάσσῃ πεποιημένοις τὸν πλοῦν. διὰ τὸ τὴν γῆν φοβεῖσθαι, καὶ πυνθάνεσθαι φίλιστον ἐν ἰαπυγίᾳ ναυλοχοῦντα παραφυλάττειν. Ἀραιῷ δὲ καὶ μαλακῷ πνεύματι πλεύσαντες ἡμέρας δώδεκα, τῇ τρισκαιδεκάτῃ, κατὰ πάχυνον ἦσαν ἄκραν τῆς σικελίας. καὶ πρῶτος μὲν ὁ κυβερνήτης κατὰ τάχος ἐκέλευσεν ἀποβαίνειν, ὡς ἂν ἀποσπασθῶσι τῆς γῆς, καὶ τὴν ἄκραν ἑκόντες ἀφῶσι πολλὰς ἡμέρας καὶ νύκτας ἐν τῷ πελάγει τρυχωμένους, ὥρᾳ θέρους, νότον πνεύσαντος. Δίων δὲ, τὴν ἐγγὺς τῶν πολεμίων ἀπόβασιν δεδιώς, καὶ τῶν πρόσω μᾶλλον ἅψασθαι βουλόμενος, παρέπλευσε τὸν πάχυνον. ἐκ δὲ τούτου, ταχὺς μετὰ ἀπαρκτίας ἐπιπεσών, ἤλαυνε πολλῷ κλύδωνι τὰς ναῦς ἀπὸ τῆς σικελίας. ἀστραπαὶ δὲ καὶ βρονταί, φανέντος ἀρκτούρου συμπεσοῦσαι, πολὺν ἐξ οὐρανοῦ χειμῶνα καὶ λάβρον ὄμβρον ἐξέχεαν, ᾧ τῶν ναυτῶν συνταραχθέντων, καὶ πλάνης γενομένης, καθορῶσιν αἰφνίδιον ὑπὸ τοῦ κύματος ὠθουμένας τὰς ναῦς ἤδη τὴν πρὸς λιβύῃ κέρκιναν, ᾗ μάλιστα κρημνώδης ἀπήντα, καὶ τραχεῖα προσφερομένοις αὐτοῖς ἡ νῆσος. μικρὸν οὖν δεήσαντες ἐκριφῆναι καὶ συντριβῆναι περὶ τὰς πέτρας, ἐβιάζοντο πρὸς κοντὸν παραφερόμενοι μόλις, ἕως ὁ χειμὼν ἐλώφησεν, καὶ πλοίῳ συντυχόντες ἔγνωσαν, ἤδη ταῖς καλουμέναις κεφαλαῖς τῆς μεγάλης σύρτεως ὄντες. Ἀθυμοῦσι δ᾽ αὐτοῖς πρὸς τὴν γαλήνην καὶ διαφερομένοις, αὔραν τινὰ κατέσπειρεν ἡ χώρα νότιον, οὐ πάνυ προσδεχομένοις νότον, οὐδὲ πιστεύουσι τῇ μεταβολῇ. κατὰ μικρὸν δ᾽ ἐρρωννυμένου τοῦ πνεύματος, καὶ μέγεθος λαμβάνοντος, ἐκπετάσαντες ὅσον ἦν ἱστίον, καὶ προσευξάμενοι τοῖς θεοῖς, πελάγιοι πρὸς τὴν σικελίαν ἔφευγον ἀπὸ τῆς λιβύης, καὶ θέοντες ἐλαφρῶς, πεμπταῖοι κατὰ μίνῳαν ὡρμίσαντο, πολισμάτιον ἐν τῇ σικελίᾳ, τῆς καρχηδονίων ἐπικρατείας. Ἔτυχε δὲ παρὼν ὁ καρχηδόνιος ἄρχων, σύναλος ἐν τῷ χωρίῳ, ξένος ὢν καὶ φίλος δίωνος. ἀγνοῶν δὲ τὴν παρουσίαν αὐτοῦ, καὶ τὸν στόλον, ἐπειρᾶτο κωλύειν τοὺς στρατιώτας ἀποβαίνοντας. οἱ δὲ μετὰ τῶν ὅπλων ἐκδραμόντες, ἀπέκτειναν μὲν οὐδένα. ἀπειρήκει γὰρ ὁ δίων διὰ τὴν οὖσαν αὐτῷ

πεποιημένοις q. ἴσ. ut πεποιημένους

πρῶτος τ. κ. ς.

προσφερομένοις. κ.

γίαν, ἀλλ' ἐγκαρτεροῦντα, καὶ σχηματιζόμενον. οὕτω δὲ διακειμένων πρὸς ἀλλήλους, καὶ λανθάνειν πάντας οἰομένων, ἑλίκων ὁ κυζικηνὸς, εἷς τῶν πλάτωνος συνήθων, ἡλίου προεῖπεν ἔκλειψιν. καὶ γενομένης ὡς προεῖπε, θαυμασθεὶς ὑπὸ τοῦ τυράννου, δωρεὰν ἔλαβεν ἀργυρίου τάλαντον. ἀρίστιππος δὲ, παίζων πρὸς τοὺς ἄλλους φιλοσόφους, ἔφη τι καὶ αὐτὸς ἔχειν τῶν παραδόξων προειπεῖν. ἐκείνων δὲ φράσαι δεομένων, προλέγω τοίνυν εἶπεν, ὀλίγου χρόνου, πλάτωνα καὶ διονύσιον ἐχθροὺς γενησομένους. τέλος δὲ, τὴν μὲν οὐσίαν τοῦ δίωνος, ὁ διονύσιος ἐπώλει, καὶ τὰ χρήματα κατεῖχε. πλάτωνα δ' ἐν τῷ περὶ τὴν οἰκίαν κήπῳ διαιτώμενον, εἰς τοὺς μισθοφόρους μετέστησε, πάλαι μισοῦντας αὐτὸν, καὶ ζητοῦντας ἀνελεῖν, ὡς πείθοντα διονύσιον ἀφεῖναι τὴν τυραννίδα, καὶ ζῆν ἀδορυφόρητον. ἐν τοιούτῳ κινδύνῳ γενομένου τοῦ πλάτωνος, οἱ περὶ ἀρχύταν πυθόμενοι, ταχὺ πέμπουσι πρεσβείαν, καὶ τριακόντορον, ἀπαιτοῦντες τὸν ἄνδρα παρὰ διονυσίου, καὶ λέγοντες, ὡς αὐτὸν λαβὼν ἀνάδοχον τῆς ἀσφαλείας πεπλεύσειεν εἰς συρακούσας. ἀπολογουμένου δὲ τοῦ διονυσίου τὴν ἔχθραν, ἑστιάσεσι καὶ φιλοφροσύναις, περὶ τὴν προπομπὴν, ἔν τι προαχθέντος ὡς αὐτὸν τοιοῦτον εἰπεῖν. ἦπου πλάτων, πολλὰ καὶ δεινὰ κατηγορήσεις ἡμῶν πρὸς τοὺς συμφιλοσοφοῦντας, ὑπομειδιάσας ἐκεῖνος, ἀπεκρίνατο. μὴ τοσαύτη λόγων ἐν ἀκαδημίᾳ γένοιτο σπάνις, ὥστε σοῦ τινὰ μνημονεῦσαι. Τοιαύτην μὲν τὴν ἀποστολὴν τοῦ πλάτωνος, γενέσθαι λέγουσιν. οὐ μέντοι τὰ πλάτωνος αὐτοῦ πάνυ τούτοις συνᾴδει. δίων δὲ καὶ τούτοις ἐχαλέπαινε. καὶ μετ' ὀλίγον χρόνον, ἐξεπολεμώθη παντάπασι, πυθόμενος τὸ περὶ τὴν γυναῖκα. περὶ οὗ καὶ πλάτων ᾐνίξατο, γράφων πρὸς διονύσιον. ἦν δὲ τοιοῦτον. μετὰ τὴν ἐκβολὴν τοῦ δίωνος, ἀποπέμπων πλάτωνα διονύσιος, ἐκέλευσεν αὐτοῦ δι' ἀπορρήτων πυθέσθαι, μή τι κωλύοι τὴν γυναῖκα πρὸς γάμον ἑτέρῳ δοθῆναι. καὶ γὰρ ἦν λόγος, εἴτ' ἀληθὴς, εἴτε συντεθεὶς, ὑπὸ τῶν δίωνα μισούντων, ὡς οὐ καθ' ἡδονὴν ὁ γάμος εἴη δίωνι γεγονὼς, οὐδ' εὐάρμοστος ἡ πρὸς τὴν γυναῖκα συμβίωσις. Ὡς οὖν ἧκεν ὁ πλάτων ἀθήναζε, καὶ τῷ δίωνι περὶ πάντων ἐνέτυχε, γράφει πρὸς τὸν τύραννον ἐπιστολὴν, τὰ μὲν ἄλλα σαφῶς πᾶσιν. αὐτὸ δὲ τοῦτο μόνον γνώριμον ἐκείνῳ φράζουσαν, ὡς διαλεχθείη δίωνι περὶ τοῦ πράγματος ἐκείνου, καὶ σφόδρα δῆλος εἴη χαλεπαίνων, εἰ τοῦτο διονύσιος ἐξεργάσαιτο. καὶ τότε μὲν, ἔτι πολλῶν ἐλπίδων οὐσῶν πρὸς τὰς διαλύσεις, οὐδὲν ἔπραξε περὶ τὴν ἀδελφὴν νεώτερον, ἀλλ' εἴα μένειν αὐτὴν, μετὰ τοῦ παιδίου τοῦ δίωνος οἰκοῦσαν. Ἐπεὶ δὲ παντάπασιν ἀσυμβάτως εἶχε, καὶ πλάτων αὖθις ἐλθὼν, ἀπεπέμφθη πρὸς ἀπέχθειαν, οὕτω τὴν ἀρετὴν ἄκουσαν ἑνὶ τῶν φίλων, τιμοκράτει δίδωσιν, οὐ μιμησάμενος, τήν γε κατὰ τοῦτο τοῦ πατρὸς ἐπιείκειαν. ἐγεγόνει γὰρ ὡς ἔοικεν κἀκείνῳ πολύξενος, ὁ τὴν ἀδελφὴν ἔχων αὐτοῦ θέστην, πολέμιος. ἀποδράντος αὐτοῦ διὰ φόβον, καὶ φυγόντος ἐκ σικελίας, μεταπεμψάμενος ᾐτιᾶτο τὴν ἀδελφὴν, ὅτι συνειδυῖα τὴν φυγὴν τοῦ ἀνδρὸς, οὐ κατεῖπεν πρὸς αὐτόν. Ἡ δ' ἀνεκπλήκτως καὶ νὴ δί' ἀφόβως, εἶθ' οὕτως σοι δοκῶ διονύσιε φαύλη γυνὴ γεγονέναι, καὶ ἄνανδρος, ὥστε προγνοῦσα τὴν φυγὴν τοῦ ἀνδρὸς, οὐκ ἂν συνεκπλεῦσαι, καὶ μετασχεῖν τῆς αὐτῆς τύχης, ἀλλ' οὐ προέγνων. ἐπεὶ καλῶς εἶχέ μοι μᾶλλον, πολυξένου γυναῖκα φεύγοντος, ἢ σοῦ τυραννοῦντος ἀδελφὴν λέγεσθαι. Ταῦτα τὴν θέστην παρρησιασαμένην, θαυμάσαι λέγουσι τὸν τύραννον. ἐθαύμαζον δὲ καὶ οἱ συρακούσιοι, τὴν ἀρετὴν τῆς γυναικὸς, ὥστε καὶ μετὰ τὴν κατάλυσιν τῆς τυραννίδος, ἐκείνῃ τιμὴν καὶ θεραπείαν βασιλικὴν ὑπάρχειν. ἀποθανούσης δὲ, δημοσίᾳ πρὸς τὴν ταφὴν ἐπηκολουθῆσαι τοὺς πολίτας. Ταῦτα μὲν οὖν, οὐκ ἄχρηστον ἔχει τὴν παρέκβασιν. ὁ δὲ δίων, ἐντεῦθεν ἤδη, τρέπεται πρὸς πόλεμον. αὐτοῦ δὲ πλάτωνος ἐμποδὼν ἱσταμένου δι' αἰδῶ τῆς πρὸς διονύσιον ξενίας καὶ γῆρας. σπευσίππου δὲ, καὶ τῶν ἄλλων ἑταίρων τῷ δίωνι συλλαμβανόντων, καὶ παρακελευομένων ἐλευθεροῦν σικελίαν, χεῖρας ὀρέγουσαν αὐτῷ. καὶ προθύμως ὑποδεχομένην. ὅτε γὰρ ἐν συρακούσαις πλάτων διέτριβεν, οἱ περὶ σπεύσιππον ὡς ἔοικε μᾶλλον, ἀναμιγνύμενοι τοῖς ἀνθρώποις, κατεμάνθανον τὴν διάνοιαν αὐτῶν. καὶ τὸ μὲν πρῶτον, ἐφοβοῦντο τὴν παρρησίαν, ὡς διάπειραν οὖσαν ὑπὸ τοῦ τυράννου. χρόνῳ δ' ἐπίστευσαν. ὁ γὰρ αὐτὸς ἦν παρὰ πάντων λόγος, δεομένων καὶ παρακελευομένων, ἐλθεῖν δίωνα, μὴ ναῦς ἔχοντα, μὴ ὁπλίτας, μὴ ἵππους, ἀλλ' αὐτὸν εἰς ὑπηρετικὸν ἐμβάντα, χρῆσαι τὸ σῶμα καὶ τοὔνομα σικελιώταις ἐπὶ τὸν διονύσιον. Ταῦτα τῶν περὶ σπεύσιππον ἀγγελλόντων, ἐπιρρωσθεὶς, ἐξενολόγει κρύφα, καὶ δι' ἑτέρων, ἐπικρυπτόμενος τὴν διάνοιαν. συνέπραττον δὲ καὶ τῶν πολιτικῶν πολλοὶ, καὶ τῶν φιλοσόφων. ὅ τε κύπριος εὔδημος, εἰς ὃν ἀριστοτέλης ἀποθανόντα, τὸν περὶ ψυχῆς διάλογον ἐποίησε. καὶ τιμωνίδης ὁ λευκάδιος. συνέστησαν δὲ καὶ μίλταν αὐτῷ τὸν θεσσαλὸν, ἄνδρα μάντιν καὶ μετεσχηκότα τῆς ἐν ἀκαδημίᾳ διατριβῆς. τῶν δ' ὑπὸ τοῦ τυράννου πεφυγαδευμένων, οὐ μειόνων ἢ χιλίων ὄντων, πέντε καὶ εἴκοσι μόνοι, τῆς στρατείας ἐκοινώνησαν. οἱ δ' ἄλλοι, προὔδωκαν ἀποδειλιάσαντες. ὁρμητήριον δ' ἦν, ἡ ζακυνθίων νῆσος. εἰς ἣν οἱ στρατιῶται συνελέγοντο, ὀκτακοσίων ἐλάττους γενόμενοι. γνώριμοι δὲ πάντες, ἐκ πολλῶν καὶ μεγάλων στρατειῶν. καὶ τοῖς σώμασιν ἠσκημένοι, διαφέροντες. ἐμπειρίᾳ δὲ καὶ τόλμῃ, πολὺ πάντων κράτιστοι, καὶ δυνάμενοι, πλῆθος ὅσον ἤλπιζεν ἕξειν ἐν σικελίᾳ δίων, ὑπεκκαῦσαι καὶ συνεξορμῆσαι πρὸς ἀλκήν. Οὗτοι μὲν, πρῶτον ἀκούσαντες ἐπὶ διονύσιον καὶ σικελίαν αἴρεσθαι τὸν

θαι τὸν

ἀπολογούμενος

ξενιστὰς τ.

ἐπὶ ψαύειν ἀνθρώπου θηρίον ἐθισθεὶς, ὑπομένειν τε τὴν ὁμιλίαν αὐτοῦ, καὶ τὸν λόγον ἠράσθη τυραννικὸν ἔρωτα. μόνος ἀξιῶν ὑπὸ πλάτωνος ἀντερᾶσθαι καὶ θαυμάζεσθαι μάλιστα πάντων, ἕτοιμος ὢν ἐπιτρέπειν τὰ πράγματα καὶ τὴν τυραννίδα, μὴ προτιμῶντι τὴν πρὸς δίωνα φιλίαν τῆς πρὸς αὐτόν. ἦν οὖν τῷ πλάτωνι συμφορὰ τὸ πάθος αὐτοῦ τοῦτο, μαινομένου καθάπερ οἱ δυσέρωτες ὑπὸ ζηλοτυπίας, καὶ πολλὰς μὲν ὀργὰς ἐν ὀλίγῳ χρόνῳ, πολλὰς δὲ διαλλαγὰς, καὶ δεήσεις ποιουμένου πρὸς αὐτὸν, ἀκροᾶσθαι δὲ τῶν λόγων καὶ κοινωνεῖν τῆς περὶ φιλοσοφίαν πραγματείας, σπουδάζοντος μὲν ὑπερφυῶς, αἰδουμένου δὲ τοὺς ἀποτρέποντας, ὡς διαφθαρησομένου.

Ἐν τούτῳ δὲ πολέμου τινὸς ἐμπεσόντος, ἀποπέμπει τὸν πλάτωνα, συνθέμενος εἰς ὥραν ἔτους, μεταπέμψασθαι δίωνα, καὶ τοῦτο μὲν ἐψεύσατο, τὰς δὲ προσόδους τῶν κτημάτων, ἀπέπεμπεν αὐτῷ. ἀξιῶν πλάτωνα συγγνῶναι περὶ τοῦ χρόνου διὰ τὸν πόλεμον, εἰρήνης γὰρ γενομένης τάχιστα μεταπέμψασθαι τὸν δίωνα. καὶ ἀξιοῦν αὐτὸν ἡσυχίαν ἄγειν. καὶ μηδὲν νεωτερίζειν μηδὲ βλασφημεῖν κατ' αὐτοῦ πρὸς τοὺς ἕλληνας. Ταῦτα ἐπειρᾶτο ποιεῖν πλάτων, καὶ δίωνα τρέψας ἐπὶ φιλοσοφίαν, ἐν ἀκαδημίᾳ συνεῖχεν. ὤκει μὲν οὖν, ἐν ἄστει, παρὰ καλλίππῳ τινὶ τῶν γνωρίμων. ἀγρὸν δὲ διαγωγῆς χάριν ἐκτήσατο. καὶ τοῦτον ὕστερον εἰς σικελίαν πλέων, σπευσίππῳ δωρεὰν ἔδωκεν. ᾧ μάλιστα τῶν ἀθήνησι φίλων ἐχρῆτο, καὶ συνδιητᾶτο, βουλομένου τοῦ πλάτωνος ὁμιλίᾳ χάριν ἐχούσῃ, καὶ παιδιᾶς ἐμμελοῦς κατὰ καιρὸν ἁπτομένῃ κεραννύμενον ἀφηδύνεσθαι τοῦ δίωνος τὸ ἦθος.

Τοιοῦτος δέ τις ὁ σπεύσιππος ἦν, ᾗ καὶ σκῶψαι ἀγαθὸν αὐτὸν ἐν τοῖς σίλλοις, ὁ τίμων προσηγόρευσεν. αὐτῷ δὲ πλάτωνι, χορηγοῦντι παίδων χορῷ, τόν τε χορὸν ἤσκησεν ὁ δίων. καὶ τὸ δαπάνημα πᾶν, ἐτέλεσεν παρ' ἑαυτοῦ, συγχωροῦντος τοῦ πλάτωνος τὴν τοιαύτην φιλοτιμίαν πρὸς τοὺς ἀθηναίους. ὡς ἐκείνῳ μᾶλλον εὔνοιαν, ἢ δόξαν αὐτῷ φέρουσαν. ἐπεφοίτα δὲ καὶ ταῖς ἄλλαις πόλεσιν ὁ δίων, καὶ συνεσχόλαζε, καὶ συνεπανηγύριζε. τοῖς ἀρίστοις καὶ πολιτικωτάτοις ἀνδράσιν, οὐδὲν ἐν τῇ διαίτῃ σόλοικον ἐπιδεικνύμενος οὐδὲ τυραννικόν. οὐδὲ ἐπιτεθρυμμένον. ἀλλὰ σωφροσύνην καὶ ἀρετὴν καὶ ἀνδρείαν, καὶ περὶ λόγους, καὶ περὶ φιλοσοφίαν, εὐσχήμονας διατριβάς. ἐφ' οἷς εὔνοια παρὰ πάντων ἐγίνετο καὶ ζῆλος αὐτῷ, τιμαί τε δημόσιαι, καὶ ψηφίσματα παρὰ τῶν πόλεων.

Λακεδαιμόνιοι δὲ, καὶ σπαρτιάτην αὐτὸν ἐποιήσαντο. τῆς διονυσίου καταφρονήσαντες ὀργῆς. καίπερ αὐτοῖς τότε προθύμως ἐπὶ τοὺς θηβαίους συμμαχοῦντος. Λέγεται δέ ποτε τὸν δίωνα τοῦ μεγαρέως πτοιοδώρου δεόμενον, ἐπὶ τὴν οἰκίαν ἐλθεῖν. ἦν δὲ ὡς ἔοικεν τῶν πλουσίων τις, καὶ δυνατῶν ὁ πτοιόδωρος, ὄχλον οὖν ἐπὶ θύραις ἰδὼν. ὁ δίων, καὶ πλῆθος ἀσχολιῶν, καὶ δυσέντευκτον αὐτὸν, καὶ δυσπρόσοδον. ἀπιδὼν πρὸς τοὺς φίλους δυσχεραίνοντας, καὶ ἀγανακτοῦντας, τί τοῦτον ἔφη μεμφόμεθα καὶ γὰρ αὐτοὶ πάντας ἐν συρακούσαις, ὅμοια τούτοις ἐποιοῦμεν. χρόνου δὲ προϊόντος ὁ διονύσιος ζηλοτυπῶν, καὶ δεδοικὼς τοῦ δίωνος τὴν παρὰ τοῖς ἕλλησιν εὔνοιαν, ἐπαύσατο τὰς προσόδους ἀποστέλλων καὶ τὴν οὐσίαν, παρέδωκεν ἰδίοις ἐπιτρόποις, βουλόμενος δὲ, καὶ τὴν εἰς τοὺς φιλοσόφους διὰ πλάτωνα κακοδοξίαν ἀναμάχεσθαι, πολλοὺς συνῆγε, τῶν πεπαιδεῦσθαι δοκούντων. φιλοτιμούμενος δὲ, τῷ διαλέγεσθαι περιεῖναι πάντων, ἠναγκάζετο τοῖς πλάτωνος παρακούσμασι κακῶς χρῆσθαι. καὶ πάλιν ἐκεῖνον ἐπόθει, καὶ κατεγίνωσκεν αὐτὸς αὑτοῦ, μὴ χρησάμενος παρόντι. μηδὲ διακούσας, ὅσα καλῶς εἶχεν. Οἷα δὲ τύραννος ἔμπληκτος ἀεὶ ταῖς ἐπιθυμίαις, καὶ πρὸς πᾶσαν ὀξύρροπος σπουδὴν, εὐθὺς ὥρμησεν ἐπὶ τὸν πλάτωνα, καὶ πᾶσαν μηχανὴν αἴρων, συνέπεισε τοὺς περὶ ἀρχύταν πυθαγορικοὺς, τῶν ὁμολογουμένων ἀναδόχους γενομένους, καλεῖν πλάτωνα. δι' ἐκείνου γὰρ αὐτοῖς ἐγεγόνει φιλία, καὶ ξενία τὸ πρῶτον. οἱ δ' ἔπεμψαν ἀρχέδημον παρ' αὐτόν. ἔπεμψε δὲ, καὶ διονύσιος τριήρεις καὶ φίλους δεησομένους τοῦ πλάτωνος. αὐτός τε σαφῶς καὶ διαρρήδην ἔγραψεν, ὡς οὐδὲν ἂν γένοιτο τῶν μετρίων δίωνι, μὴ πεισθέντος πλάτωνος ἐλθεῖν εἰς σικελίαν. πεισθέντος δὲ, πάντα. πολλαὶ δ' ἀφίκοντο πρὸς δίωνα παρὰ τῆς ἀδελφῆς καὶ γυναικὸς ἐπισκήψεις δεῖσθαι πλάτωνος ὑπακοῦσαι διονυσίῳ, καὶ μὴ πρόφασιν παρασχεῖν. Οὕτω μὲν δή φησιν, ὁ πλάτων ἐλθεῖν τὸ τρίτον εἰς τὸν πορθμὸν, τὸν περὶ σικελίαν. ὄφρ' ἔτι τὴν ὀλοὴν ἐξολοθρεύσειε χάρυβδιν. ἐλθὼν δὲ, μεγάλης μὲν αὐτὸν ἐνέπλησε χαρᾶς, μεγάλης δὲ πάλιν ἐλπίδος, σικελίαν συνευχομένην καὶ συμφιλοτιμουμένην. πλάτωνα μὲν, φιλίστου περιγενέσθαι. φιλοσοφίαν δὲ, τυραννίδος. Ἦν δὲ πολλὴ μὲν τῶν γυναικῶν σπουδὴ περὶ αὐτόν. ἐξαιρέτως δὲ παρὰ τῷ διονυσίῳ πίστις. ἣν, οὐδεὶς ἄλλος εἶχεν, ἀδιερεύνητον αὐτῷ πλησιάζειν. δωρεὰς δὲ χρημάτων πολλῶν καὶ πολλάκις, τοῦ μὲν διδόντος. τοῦ δὲ μὴ δεχομένου, παρὼν ἀρίστιππος ὁ κυρηναῖος, ἀσφαλῶς ἔφη, μεγαλόψυχον εἶναι διονύσιον. αὐτοῖς μὲν γὰρ, μικρὰ διδόναι, πλειόνων δεομένοις. πλάτωνι δὲ, πολλὰ μηδὲν λαμβάνοντι.

Μετὰ δὲ τὰς πρώτας φιλοφροσύνας, ἀρξαμένου πλάτωνος ἐντυγχάνειν περὶ δίωνος, ὑπερθέσεις τὸ πρῶτον ἦσαν. εἶτα μέμψεις, καὶ διαφοραί. λανθάνουσαι τοὺς ἐκτός. ἐπικρυπτομένου διονυσίου, καὶ ταῖς ἄλλαις τὸν πλάτωνα θεραπείαις, καὶ τιμαῖς πειρωμένου παράγειν, ἀπὸ τῆς δίωνος εὐνοίας. οὐδ' αὐτὸν, ἔν γε τοῖς πρώτοις χρόνοις, ἀποκαλύπτοντα τὴν ἀπιστίαν αὐτοῦ, καὶ ψευδολο-

πάντως .κ.τ.ς.

ἀναμετρήσῃς π. ς. κ.

ἔσχε, γενομένων αὐτῷ δυοῖν θυγατέρων, τὴν ἑτέραν ἔδωκε φιλίστῳ, μηδὲ φράσας πρὸς διονύσιον. ὀργισθεὶς ἐκεῖνος, τὴν μὲν γυναῖκα τοῦ λεπτίνου δήσας ἐν πέδαις καθεῖρξε. τὸν δὲ φίλιστον ἐξήλασε σικελίας, φυγόντα παρὰ ξένους τινὰς εἰς τὸν ἀδρίαν. ὅπου καὶ δοκεῖ τὰ πλεῖστα συνθεῖναι τῆς ἱστορίας σχολάζων. οὐ γὰρ ἐπανῆλθε τοῦ πρεσβυτέρου ζῶντος. ἀλλὰ μετὰ τὴν ἐκείνου τελευτὴν ὥσπερ εἴρηται, κατήγαγεν αὐτὸν ὁ πρὸς δίωνα τῶν ἄλλων φθόνος. ὡς αὐτοῖς τε μᾶλλον ἐπιτήδειον ὄντα. καὶ τῇ τυραννίδι βεβαιότερον. οὗτος μὲν οὖν εὐθὺς κατελθὼν, διεπεφύκει τῆς τυραννίδος. Τῷ δὲ δίωνι καὶ παρ' ἄλλων ἐτύγχανον οὖσαι διαβολαὶ καὶ κατηγορίαι πρὸς τὸν τύραννον. ὡς διειλεγμένῳ περὶ καταλύσεως τῆς ἀρχῆς πρός τε θεοδότην καὶ πρὸς ἡρακλείδην. ἤλπιζε μὲν γὰρ ὡς ἔοικε διὰ πλάτωνος παραγενομένου, τὸ δεσποτικὸν καὶ λίαν ἄκρατον, ἀφελὼν τῆς τυραννίδος, ἐμμελῆ τινὰ καὶ νόμιμον ἄρχοντα τὸν διονύσιον καταστήσειν. εἰ δ' ἀντιβαίνοι καὶ μὴ μαλάσσοιτο, καταλύσας ἐκεῖνον ἐγνώκει τὴν πολιτείαν ἀποδιδόναι συρακουσίοις. οὐκ ἐπαινῶν μὲν δημοκρατίαν, πάντως δὲ βέλτιον τυραννίδος ἡγούμενος, τοῖς διαμαρτάνουσιν ὑγιαινούσης ἀριστοκρατίας.

Ἐν τοιαύτῃ δὲ καταστάσει τῶν πραγμάτων ὄντων, πλάτων εἰς σικελίαν ἀφικόμενος. περὶ μὲν τὰς πρώτας ἀπαντήσεις, θαυμαστῆς ἐτύγχανε φιλοφροσύνης καὶ τιμῆς. καὶ γὰρ ἅρμα τῶν βασιλικῶν αὐτῷ παρέστη, κεκοσμημένον διαπρεπῶς, ἀποβάντι τῆς τριήρους. καὶ θυσίαν ἔθυσεν ὁ τύραννος, ὡς εὐτυχήματος μεγάλου τῇ ἀρχῇ προσγεγονότος. αἰδὼς δὲ συμποσίων, καὶ σχηματισμὸς αὐλῆς, καὶ πρᾳότης αὐτοῦ τοῦ τυράννου, περὶ ἕκαστα τῶν χρηματιζομένων, θαυμαστὰς ἐνέδωκεν ἐλπίδας μεταβολῆς τοῖς πολίταις. φορὰ δέ τις ἦν ἐπὶ λόγους καὶ φιλοσοφίαν ἁπάντων. καὶ τὸ τυραννεῖον, ὥς φασι, κονιορτὸς ὑπὸ πλήθους τῶν γεωμετρούντων κατεῖχεν. Ἡμερῶν δὲ ὀλίγων διαγενομένων, θυσία μὲν ἦν πάτριος, ἐν τοῖς τυραννείοις. τοῦ δὲ κήρυκος ὥσπερ εἰώθει κατευξαμένου διαμένειν τὴν τυραννίδα ἀσάλευτον, πολλοὺς χρόνους. ὁ διονύσιος, λέγεται παρεστὼς, οὐ παύσῃ φάναι, καταρώμενος ἡμῖν; τοῦτο κομιδῇ τοὺς περὶ τὸν φίλιστον ἐλύπησεν. ἄμαχόν τινα τοῦ πλάτωνος ἡγουμένους ἔσεσθαι χρόνῳ καὶ συνηθείᾳ τὴν δύναμιν. εἰ νῦν ἐκ συνουσίας ὀλίγης ἠλλοίωκεν οὕτω καὶ μεταβέβληκεν τὴν γνώμην τὸ μειράκιον.

ξυνηθείας γρ.

Οὐκ ἔτ' οὖν καθ' ἕνα καὶ λαθραίως, ἀλλὰ πάντες ἀναφανδὸν, ἐλοιδόρουν τὸν δίωνα λέγοντες. ὡς οὐ λέληθε κατεπᾴδων, καὶ καταφαρμάττων τῷ πλάτωνος λόγῳ διονύσιον, ὅπως ἀφέντος ἑκουσίως αὐτοῦ καὶ προεμένου τὴν ἀρχὴν, ὑπολαβὼν εἰς τοὺς ἀριστομάχης περιστήσῃ παῖδας, ὧν θεῖός ἐστιν. Ἔνιοι δὲ προσεποιοῦντο δυσχεραίνειν, εἰ πρότερον μὲν ἀθηναῖοι, ναυτικαῖς καὶ πεζικαῖς δυνάμεσι μεγάλαις δεῦρο πλεύσαντες ἀπώλοντο, καὶ διεφθάρησαν πρότερον ἢ λαβεῖν συρακούσας. νυνὶ δὲ, δι' ἑνὸς σοφιστοῦ καταλύουσι τὴν διονυσίου τυραννίδα. συμπείσαντες αὐτὸν ἐκ τῶν μυρίων δορυφόρων ἀποδρᾶναι, καὶ καταλιπόντα, τὰς τετρακοσίας τριήρεις, καὶ τοὺς μυρίους ἱππεῖς. καὶ τοὺς πολλάκις τοσούτους ὁπλίτας, ἐν ἀκαδημίᾳ τὸ σιωπώμενον ἀγαθὸν ζητεῖν, καὶ διὰ γεωμετρίας εὐδαίμονα γενέσθαι. τὴν ἐν ἀρχῇ καὶ χρήμασι καὶ τρυφαῖς εὐδαιμονίαν, δίωνι, καὶ τοῖς δίωνος ἀδελφιδοῖς προέμενον. Ἐκ τούτων ὑποψίας πρῶτον, εἶτα καὶ φανερωτέρας ὀργῆς καὶ διαφορᾶς γενομένης, ἐκομίσθη τις ἐπιστολὴ κρύφα πρὸς διονύσιον, ἣν ἐγεγράφει δίων, πρὸς τοὺς καρχηδονίων ἐπιμελητὰς, κελεύων ὅταν διονυσίῳ περὶ τῆς εἰρήνης διαλέγωνται, μὴ χωρὶς αὐτοῦ ποιήσασθαι τὴν ἔντευξιν, ὡς πάντα θησομένους ἀμεταπτώτως δι' αὐτοῦ. Ταύτην ἀναγνοὺς διονύσιος φιλίστῳ, καὶ μετ' ἐκείνου βουλευσάμενος, ὥς φησι τίμαιος. ὑπῆλθε τὸν δίωνα πεπλασμέναις διαλύσεσι, καὶ μέτρια σκηψάμενος, διαλλάττεσθαί τε φήσας, μόνον τε ἀπαγαγὼν ὑπὸ τὴν ἀκρόπολιν πρὸς τὴν θάλασσαν, ἔδειξε τὴν ἐπιστολὴν καὶ κατηγόρησεν, ὡς συνισταμένου μετὰ καρχηδονίων ἐπ' αὐτόν. ἀπολογεῖσθαι δὲ βουλομένου τοῦ δίωνος οὐκ ἀνασχόμενος, ἀλλ' εὐθὺς ὡς εἶχεν, ἐνθέμενος εἰς ἀκάτιον. προσέταξε τοῖς ναύταις κομίζοντας αὐτὸν, ἐκθεῖναι πρὸς τὴν ἰταλίαν. Γενομένου δὲ τούτου, καὶ φανέντος ὠμοῦ τοῖς ἀνθρώποις, τὴν μὲν οἰκίαν τοῦ τυράννου, πένθος εἶχε διὰ τὰς γυναῖκας. ἡ δὲ πόλις ἡ τῶν συρακουσίων, ἐπῄρετο πράγματα νεώτερα, καὶ μεταβολὴν προσδεχομένη ταχεῖαν, ἐκ τοῦ περὶ δίωνα θορύβου, καὶ τῆς πρὸς τὸν τύραννον ἀπιστίας τῶν ἄλλων. ἃ δὴ συνορῶν ὁ διονύσιος, καὶ δεδοικὼς, τοὺς μὲν φίλους, παρεμυθεῖτο καὶ τὰς γυναῖκας, ὡς οὐ φυγῆς, ἀλλ' ἀποδημίας τῷ δίωνι γεγενημένης. ὡς μήτι χεῖρον ὀργῇ πρὸς τὴν αὐθάδειαν αὐτοῦ παρόντος, ἁμάρτοι βιασθείς. δύο δὲ ναῦς παραδοὺς τοῖς δίωνος οἰκείοις, ἐκέλευσεν ἐνθεμένοις ὅσα βούλοιντο τῶν ἐκείνου χρήματα καὶ θεράποντας ἀπάγειν πρὸς αὐτὸν, εἰς πελοπόννησον. Ἦν δ' οὐσία μεγάλη τῷ δίωνι, καὶ σχεδόν τι, τυραννικὴ πομπὴ, καὶ κατασκευὴ περὶ τὴν δίαιταν, ἣν οἱ φίλοι συλλαβόντες ἐκόμιζον. ἄλλα δ' ἐπέμπετο πολλὰ, παρὰ τῶν γυναικῶν καὶ τῶν ἑταίρων. ὥστε χρημάτων ἕνεκα, καὶ πλούτου, λαμπρὸν ἐν τοῖς ἕλλησιν εἶναι. καὶ διαφαίνειν τῇ τοῦ φυγάδος εὐπορείᾳ, τὴν τῆς τυραννίδος δύναμιν.

φυγάδος γρ.

Πλάτωνα δὲ διονύσιος, εὐθὺς μὲν εἰς τὴν ἀκρόπολιν μετέστησεν. ἔντιμον αὐτῷ, σχήματι ξενίας φιλανθρώπου φρουρὰν μηχανησάμενος, ὡς μὴ συμπλέοι δίωνι μάρτυς, ὧν ἠδίκητο. χρόνῳ δὲ καὶ συνδιαιτήσει, καὶ

μὴ συνεξαμαρτάνων, καταφρονεῖν. ἀμέλει δὲ καὶ φύσει τινὰ τὸ ἦθος ὄγκον εἶχεν αὐτοῦ, καὶ τραχύτητα δυσπρόσοδον ἐντεύξει καὶ δυσξύμβολον. οὐ γὰρ μόνον ἀνδρὶ νέῳ, καὶ διατεθρυμμένῳ τὰ ὦτα κολακείαις, ἄχαρις ἦν συγγενέσθαι καὶ προσάντης, ἀλλὰ καὶ πολλοὶ τῶν πάνυ χρωμένων αὐτῷ, καὶ τὴν ἁπλότητα καὶ τὸ γενναῖον ἀγαπώντων τοῦ τρόπου, κατεμέμφοντο τῆς ὁμιλίας, ὡς ἀγροικότερον καὶ βαρύτερον πολιτικῶν χρειῶν, τοῖς δεομένοις συναλλάσσοντα. περὶ ὧν καὶ πλάτων ὕστερον. ὥσπερ ἀποθεσπίζων ἔγραψεν πρὸς αὐτὸν ἐξευλαβεῖσθαι τὴν αὐθάδειαν, ὡς ἐρημίᾳ συνοικοῦσαν. οὐ μὴν ἀλλὰ τότε πλείστου δοκῶν ἄξιος ὑπάρχειν διὰ τὰ πράγματα, καὶ μόνος ἢ μάλιστα τὴν τυραννίδα σαλεύουσαν ἀνορθοῦν καὶ διαφυλάττειν, ἐγίνωσκεν οὐ πρὸς χάριν, ἀλλ' ἄκοντος ὑπὸ χρείας τοῦ τυράννου, πρῶτος ὢν καὶ μέγιστος. αἰτίαν δὲ τούτου, τὴν ἀπαιδευσίαν εἶναι νομίζων, ἐμβαλεῖν αὐτὸν εἰς διατριβὰς ἐλευθερίους ἐφιλοτιμεῖτο, καὶ γεῦσαι λόγων καὶ μαθημάτων ἠθοποιῶν, ὡς ἀρετήν τε παύσαιτο δεδιὼς, καὶ τοῖς καλοῖς χαίρειν ἐθισθείη. φύσει γὰρ οὐκ ἐγεγόνει τῶν φαυλοτάτων τυράννων ὁ διονύσιος. ἀλλ' ὁ πατὴρ δεδοικὼς μὴ φρονήματος μεταλαβὼν, καὶ συγγενόμενος νοῦν ἔχουσιν ἀνθρώποις, ἐπιβουλεύσειεν αὐτῷ, καὶ παρέλοιτο τὴν ἀρχὴν, ἐφρούρει κατάκλειστον οἴκοι. δι' ἐρημίαν ὁμιλίας ἑτέρας. καὶ ἀπειρίᾳ πραγμάτων, ὥς φασιν. ἁμάξια καὶ λυχνίας, καὶ δίφρους ξυλίνους, καὶ τραπέζας τεκταινόμενον. οὕτω γὰρ ἦν ἄπιστος, καὶ πρὸς ἅπαντας ἀνθρώπους ὕποπτος καὶ προβεβλημένος διὰ φόβον, ὁ πρεσβύτερος διονύσιος, ὥστε μηδὲ τῆς κεφαλῆς τὰς τρίχας ἀφελεῖν, κουρικαῖς μαχαίραις. ἀλλὰ τῶν πλαστῶν τις ἐπιφοιτῶν, ἄνθρακι τὴν κόμην περιέκαιεν. εἰσῄει δὲ πρὸς αὐτὸν εἰς τὸ δωμάτιον. οὔτε ἀδελφός. οὔθ' υἱός. ὡς ἔτυχεν ἠμφιεσμένος, ἀλλ' ἔδει πρὶν εἰσελθεῖν, ἀποδύντα τὴν ἑαυτοῦ στολὴν ἕκαστον, ἑτέραν ἀναλαβεῖν, ὀφθέντα γυμνὸν ὑπὸ τῶν φυλαττόντων. ἐπεὶ δὲ λεπτίνης ὁ ἀδελφὸς, αὐτῷ ποτε χωρίου φύσιν ἐξηγούμενος, λαβὼν λόγχην παρά τινος τῶν δορυφόρων, ὑπέγραψεν τὸν τόπον. ἐκείνῳ μὲν ἰσχυρῶς ἐχαλέπαινε. τὸν δὲ δόντα τὴν λόγχην, ἀπέκτεινεν. ἔλεγεν δὲ τοὺς φίλους φυλάττεσθαι, νοῦν ἔχοντας εἰδὼς καὶ βουλομένους μᾶλλον τυραννεῖν, ἢ τυραννεῖσθαι. καὶ μαρσύαν δέ τινα τῶν προηγμένων ὑπ' αὐτοῦ, καὶ τεταγμένων ἐφ' ἡγεμονίας, ἀνεῖλεν δόξαντα κατὰ τοὺς ὕπνους σφάττειν αὐτόν. ὡς ἀπ' ἐννοίας μεθημερινῆς, καὶ διαλογισμοῦ, τῆς ὄψεως ταύτης, εἰς τὸν ὕπνον αὐτῷ παραγενομένης. ὁ μὲν δὴ πλάτωνι θυμωθεὶς ὅτι μὴ πάντων αὐτὸν ἀνθρώπων ἀνδρειότατον ὄντα ἀπέφηνεν, οὕτω περίφοβον, καὶ τοσούτων ὑπὸ δειλίας κακῶν μεστὴν εἶχε τὴν ψυχήν. τὸν δ' υἱὸν αὐτοῦ καθάπερ εἴρηται, διαλελωβημένον ἀπαιδευσίᾳ, καὶ συντετριμμένον τὸ ἦθος, ὁ δίων ὁρῶν. παρεκάλει πρὸς παιδείαν τρέπεσθαι. καὶ δεηθῆναι τοῦ πρώτου τῶν φιλοσόφων πάσῃ δεήσει, ἐλθεῖν εἰς σικελίαν. ἐλθόντι δὲ παρασχεῖν αὐτὸν, ὅπως διακοσμηθεὶς τὸ ἦθος εἰς ἀρετῆς λόγον. καὶ πρὸς τὸ θειότερον ἀφομοιωθεὶς παράδειγμα τῶν ὄντων καὶ κάλλιστον, ᾧ τὸ πᾶν ἡγουμένῳ πειθόμενον, ἐξ ἀκοσμίας κόσμος ἐστὶ, πολλὴν μὲν εὐδαιμονίαν ἑαυτῷ μηχανήσηται, πολλὴν δὲ τοῖς πολίταις, ὅσα νῦν ἐν ἀθυμίᾳ διοικοῦσι πρὸς ἀνάγκην τῆς ἀρχῆς. ταῦτα σωφροσύνῃ καὶ δικαιοσύνῃ, μετ' εὐμενείας, πατρονομούμενα παρασχὼν, καὶ γενόμενος βασιλεὺς ἐκ τυράννου. τοὺς γὰρ ἀδαμαντίνους δεσμοὺς, οὐχ ὥσπερ ὁ πατὴρ ἔλεγεν αὐτοῦ φόβον καὶ βίαν, καὶ νεῶν πλῆθος εἶναι. καὶ βαρβάρων μυριάνδρον φυλακήν. εὔνοιαν δὲ καὶ προθυμίαν καὶ χάριν ἐγγενομένην ὑπ' ἀρετῆς καὶ δικαιοσύνης. ἃ καίπερ ὄντα μαλακώτερα τῶν συντόνων καὶ σκληρῶν ἐκείνων, ἰσχυρότερα πρὸς διαμονὴν ἡγεμονίας ὑπάρχειν. χωρὶς δὲ τούτων, ἀφιλότιμον εἶναι, καὶ ἄζηλον τὸν ἄρχοντα. τῷ μὲν σώματι, περιττῶς ἀμπεχόμενον, καὶ τῇ περὶ τὴν οἴκησιν ἁβρότητι καὶ κατασκευῇ, λαμπρυνόμενον. ὁμιλίᾳ δὲ καὶ λόγῳ, μηδὲν ὄντα τοῦ προστυχόντος σεμνότερον. μηδὲ τῆς ψυχῆς τὸ βασίλειον, ἀξιοῦντα κεκοσμημένον ἔχειν βασιλικῶς καὶ πρεπόντως. ταῦτα πολλάκις τοῦ δίωνος παραινοῦντος. καὶ τῶν λόγων τοῦ πλάτωνος ἔστιν οὕστινας ὑποσπείροντος, ἔσχεν ἔρως τὸν διονύσιον ὀξὺς, καὶ περιμανὴς, τῶν τε λόγων καὶ τῆς συνουσίας τοῦ πλάτωνος. εὐθὺς οὖν ἀθήναζε, πολλὰ μὲν ἐφοίτα γράμματα παρὰ τοῦ διονυσίου, πολλαὶ δ' ἐπισκήψεις παρὰ τοῦ δίωνος. ἄλλαι δ' ἐξ ἰταλίας παρὰ τῶν πυθαγορικῶν διακελευομένων παραγενέσθαι, καὶ νέας ψυχῆς ἐξουσίᾳ μεγάλῃ καὶ δυνάμει περιφερομένης, ἐπιλαβέσθαι καὶ κατασχεῖν ἐμβριθεστέροις λογισμοῖς. πλάτων μὲν οὖν ὥς φησιν αὐτὸς ἑαυτὸν αἰσχυνθεὶς, μάλιστα μὴ δόξειεν ἐν λόγοις εἶναι μόνον, ἔργου δ' ἑκὼν οὐδενὸς ἂν ἅψασθαι. καὶ προσδοκήσας, δι' ἑνὸς ἀνδρὸς, ὥσπερ ἡγεμονικοῦ μέρους ἐκκαθαρθέντος, ὅλην ἰατρεύειν σικελίαν νοσοῦσαν, ὑπήκουσεν. οἱ δὲ τῷ δίωνι πολεμοῦντες, φοβούμενοι τὴν τοῦ διονυσίου μεταβολὴν, ἔπεισαν αὐτὸν ἀπὸ τῆς φυγῆς μεταπέμπεσθαι φίλιστον, ἄνδρα καὶ πεπαιδευμένον περὶ λόγους. καὶ τυραννικῶν ἠθῶν ἐμπειρότατον. ὡς ἀντίταγμα πρὸς πλάτωνα, καὶ φιλοσοφίαν, ἐκεῖνον ἕξοντες. ὁ γὰρ δὴ φίλιστος, ἐξ ἀρχῆς τε τῇ τυραννίδι καθισταμένῃ προθυμότατον ἑαυτὸν παρέσχεν. καὶ τὴν ἄκραν διεφύλαξε, φρουραρχῶν ἐπὶ πολὺν χρόνον. ἦν δὲ λόγος, ὡς καὶ τῇ μητρὶ πλησιάζοι τοῦ πρεσβυτέρου διονυσίου, τοῦ τυράννου μὴ παντάπασιν ἀγνοοῦντος. ἐπεὶ δὲ, λεπτίνης ἐκ γυναικὸς ἣν διαφθείρας, ἑτέρῳ συνοικοῦσαν

[margin: παύσαιτο]

[margin: ἴσ(ως) ἐνθύμιο(ς)]

[margin: παρασχὼν τε]

καὶ μέτριος γενόμενος, ὡς πρῶτον ἐγεύσατο λόγου, καὶ φιλοσοφίας ἡγεμονικῆς πρὸς ἀρετὴν, ἀνεφλέ-
χθη τὴν ψυχὴν ταχὺ, καὶ τῇ περὶ αὑτὸν εὐπειθείᾳ τῶν καλῶν, ἀκάκως πάνυ καὶ νεωτερικῶς προσ-
δοκήσας ὑπὸ τῶν αὐτῶν λόγων, ὅμοια πείσεσθαι διονύσιον, ἐσπούδασε καὶ διεπράξατο ποιησάμενος
σχολὴν, αὐτὸν ἐντυχεῖν πλάτωνι καὶ ἀκοῦσαι. Γενομένης δὲ τῆς συνουσίας αὐτοῖς. τὸ μὲν ὅλον,
περὶ ἀνδρὸς ἀρετῆς. πλείστων δὲ περὶ ἀνδρείας διαπορηθέντων, ὡς πάντα μᾶλλον ὁ πλάτων, ἢ
τοὺς τυράννους ἀπέφαινεν ἀνδρείους. ἐκ δὲ τούτου, τραπόμενος περὶ δικαιοσύνης, ἐδίδασκεν, ὡς μα-
κάριος μὲν ὁ τῶν δικαίων, ἄθλιος δὲ ὁ τῶν ἀδίκων βίος. οὔτε τοὺς λόγους ἔφερεν ὁ τύραννος, ὥσπερ
ἐξελεγχόμενος. ἤχθετό τε τοῖς παροῦσι, θαυμαστῶς ἀποδεχομένοις τὸν ἄνδρα, καὶ κηλουμένοις ὑπὸ
τῶν λεγομένων. τέλος δὲ θυμωθεὶς, καὶ παροξυνθεὶς, ἠρώτησεν αὐτὸν ὅτι δὴ βουλόμενος, εἰς σικε-
λίαν παραγένοιτο. τοῦ δὲ φήσαντος ἀγαθὸν ἄνδρα ζητεῖν. ὑπολαβὼν ἐκεῖνος. ἀλλὰ νὴ θεοὺς, εἶπε,
καὶ φαίνῃ μήπω τοιοῦτον εὑρηκώς. Οἱ μὲν οὖν περὶ τὸν δίωνα, τοῦτο τέλος ᾤοντο τῆς ὀργῆς γε-
γονέναι, καὶ τὸν πλάτωνα σπεύδοντα, συνεξέπεμψαν ἐπὶ τριήρους. ἣ πόλλιν ἐκόμιζεν εἰς τὴν ἑλλά-
δα τὸν σπαρτιάτην. ὁ δὲ διονύσιος, κρύφα τοῦ πόλλιδος ἐποιήσατο δέησιν, μάλιστα μὲν, ἀποκτεῖναι τὸν
ἄνδρα κατὰ πλοῦν. εἰ δὲ μὴ, πάντως ἀποδόσθαι. βλαβήσεσθαι γὰρ οὐδὲν, ἀλλ' εὐδαιμονήσειν ὁ-
μοίως δίκαιον ὄντα, κἂν δοῦλος γένηται. Διὸ καὶ λέγεται πόλλις, εἰς αἴγιναν φέρων ἀποδόσθαι
πλάτωνα. πολέμου πρὸς ἀθηναίους ὄντος αὐτοῖς καὶ ψηφίσματος ὅπως ὁ ληφθεὶς ἀθηναίων, ἐν αἰ-
γίνῃ πιπράσκηται. Οὐ μὴν ὅ γε δίων, ἔλαττον εἶχε παρὰ τῷ διονυσίῳ τιμῆς ἢ πίστεως. ἀλλὰ πρε-
δι. π. ς. σβείας τε τὰς μεγίστας διῴκει, πεμπόμενος πρὸς καρχηδονίους. ἐθαυμάσθη τε διαφερόντως. καὶ τὴν
παρρησίαν ἔφερεν, αὐτοῦ μόνου σχεδὸν ἀδεῶς λέγοντος τὸ παριστάμενον, ὡς καὶ τὴν περὶ γέλωνος ἐπί-
πληξιν. χλευαζομένης γὰρ ὡς ἔοικε τῆς γέλωνος ἀρχῆς. αὐτόν τε τὸν γέλωνα. τοῦ διονυσίου, γέ-
λωτα τῆς σικελίας γεγονέναι φήσαντος, οἱ μὲν ἄλλοι τὸ σκῶμμα προσεποιοῦντο θαυμάζειν. ὁ δὲ δί-
ων δυσχεράνας, καὶ μὴν ἔφη, σὺ τυραννεῖς διὰ γέλωνα πιστευθείς. διὰ σὲ δὲ, οὐδεὶς ἕτερος πιστευ-
θήσεται. τῷ γὰρ ὄντι φαίνεται. κάλλιστον μὲν, γέλων ἐπιδειξάμενος θέαμα μοναρχουμένην πό-
λιν. αἴσχιστον δὲ, διονύσιος. Ὄντων δὲ διονυσίῳ παίδων τριῶν μὲν ἐκ τῆς λοκρίδος. τεττάρων
δὲ ἐξ ἀριστομάχης. ὧν δύο ἦσαν θυγατέρες. σωφροσύνη καὶ ἀρετὴ, σωφροσύνη μὲν, διονυσίῳ τῷ
υἱῷ συνῴκησεν. ἀρετὴ δὲ, θεαρίδῃ τῷ ἀδελφῷ. τελευτήσαντος δὲ τοῦ ἀδελφοῦ θεαρίδου, δίων ἔλαβε
τὴν ἀρετὴν, ἀδελφιδῆν οὖσαν. Ἐπεὶ δὲ νοσῶν ἔδοξεν ὁ διονύσιος ἀνελπίστως ἔχειν, ἐπεχείρησεν αὐτῷ
διαλέγεσθαι, περὶ τῶν ἐκ τῆς ἀριστομάχης τέκνων ὁ δίων. οἱ δ' ἰατροὶ, τῷ μέλλοντι τὴν ἀρχὴν διαδέ-
χεσθαι χαριζόμενοι, καιρὸν οὐ παρέσχον. ὡς δὲ τίμαιος φησὶ, καὶ φάρμακον ὑπνωτικὸν αἰτοῦντι
δόντες, ἀφείλοντο τὴν αἴσθησιν αὐτοῦ, θάνατον συνάψαντες τὸν ὕπνον. Οὐ μὴν ἀλλὰ συλλόγου πρώ-
του τῶν φίλων γενομένου, παρὰ τὸν νέον διονύσιον, οὕτω διελέχθη περὶ τῶν συμφερόντων πρὸς τὸν
καιρὸν ὁ δίων, ὥστε τοὺς ἄλλους ἅπαντας, τῇ μὲν φρονήσει, παῖδας ἀποδεῖξαι. τῇ δὲ παρρησίᾳ, δού-
λους τῆς τυραννίδος, ἀγεννῶς καὶ περιφόβως τὰ πολλὰ πρὸς χάριν τῷ μειρακίῳ συμβουλεύοντας.
μάλιστα δὲ αὐτοὺς ἐξέπληξε, τὸν ἀπὸ καρχηδόνος κίνδυνον, ἐπικρεμάμενον τῇ ἀρχῇ δεδοικότας, ὑπισχνού-
μενος. εἰ μὲν εἰρήνης δέοιτο διονύσιος, πλεύσας εὐθὺς εἰς λιβύην, ὡς ἄριστα διαθήσεσθαι τὸν πόλε-
μον. εἰ δὲ πολεμεῖν προθυμοῖτο, θρέψειν αὐτὸς ἰδίοις τέλεσι, καὶ παρέξειν εἰς τὸν πόλεμον αὐτῷ, πεν-
τήκοντα τριήρεις πλεούσας. ὁ μὲν οὖν διονύσιος ὑπερφυῶς τὴν μεγαλοψυχίαν ἐθαύμασεν, καὶ
τὴν προθυμίαν ἠγάπησεν. Οἱ δὲ ἐλέγχεσθαι τῇ λαμπρότητι. καὶ ταπεινοῦσθαι τῇ δυνά-
μει τοῦ δίωνος οἰόμενοι. ταύτην εὐθὺς ἀρχὴν λαβόντες, οὐδεμιᾶς ἐφείδοντο φωνῆς, ᾗ τὸ μειράκιον
ἐξαγριαίνειν ἔμελλον πρὸς αὐτόν. ὡς ὑπερχόμενον διὰ τῆς θαλάττης τυραννίδα. καὶ περισπῶν-
τα ταῖς ναυσὶ τὴν δύναμιν εἰς τοὺς ἀριστομάχης παῖδας, ἀδελφιδοῦς ὄντας αὐτῷ. Φανερώτα-
ται δὲ καὶ μέγισται τῶν εἰς φθόνον καὶ μῖσος αἰτιῶν ὑπῆρχον, ἡ τοῦ βίου διαφορὰ καὶ τὸ τῆς διαίτης
ἄμικτον. οἱ μὲν γὰρ εὐθὺς ἐξ ἀρχῆς νέου τυράννου καὶ τεθραμμένου φαύλως ὁμιλίαν καὶ συνή-
ἐμηχανῶντο. π. θειαν ἡδοναῖς καὶ κολακείαις καταλαμβάνοντες, ἀεί τινας ἔρωτας, καὶ διατριβὰς ἐμηχανῶντο ῥεμβώ-
δεις, περὶ πότους καὶ γυναῖκας, καὶ παιδιὰς ἑτέρας ἀσχήμονας. ὑφ' ὧν ἡ τυραννὶς ὥσπερ σίδηρος
μαλασσομένη, τοῖς μὲν ἀρχομένοις ἐφάνη φιλάνθρωπος, καὶ τὸ λίαν ἀπάνθρωπον ὑπανῆκεν οὐκ
ἐπιεικείᾳ τινὶ μᾶλλον, ἢ ῥᾳθυμίᾳ τοῦ κρατοῦντος, ἀμβλυνομένη. Ἐκ δὲ τούτου. προϊοῦσα καὶ
νεμομένη κατὰ μικρὸν, ἡ περὶ τὸ μειράκιον ἄνεσις, τοὺς ἀδαμαντίνους δεσμοὺς ἐκείνους οἷς ὁ πρε-
σβύτερος διονύσιος ἔφη, δεδεμένην ἀπολιπεῖν τὴν μοναρχίαν, ἐξέτηξε καὶ διέφθειρεν. ἡμέρας γὰρ
ὥς φασιν ἐνενήκοντα συνεχῶς ἔπινεν ἀρξάμενος, καὶ τὴν αὐλὴν ἐν τῷ χρόνῳ τούτῳ σπουδαίοις ἀνδρά-
σι, καὶ λόγοις ἄβατον καὶ ἀνείσοδον οὖσαν, μέθαι καὶ σκώμματα, καὶ ψαλμοὶ, καὶ ὀρχήσεις, καὶ βω-
μολοχίαι κατεῖχον. ἦν οὖν ὡς εἰκὸς ὁ δίων ἐπαχθὴς εἰς οὐδὲν ἡδὺ, καὶ νεωτερικὸν ἐνδιδοὺς ἑαυτόν.
διὸ καὶ πιθανὰ κακιῶν προσρήματα ταῖς ἀρεταῖς ἐπιφέροντες αὐτοῦ διέβαλλον, ὑπεροψίαν τὴν
σεμνότητα. καὶ τὴν παρρησίαν, αὐθάδειαν ἀποκαλοῦντες, καὶ νουθετῶν, κατηγορεῖν ἐδόκει. καὶ

τάγε, ὥσπερ ὁ σιμωνίδης φησὶν, ὦ σόσσιε σενεκίων, τοῖς κορινθίοις οὐ μηνίειν τὸ ἴλιον ἐπιστρατεύσασι μετὰ τῶν ἀχαιῶν, ὅτι κἀκείνοις οἱ περὶ γλαῦκον, ἐξ ἀρχῆς κορίνθιοι γεγονότες, συνεμάχουν προθύμως, οὕτως εἰκὸς τῇ ἀκαδημίᾳ, μήτε ῥωμαίους, μήτε ἕλληνας ἐγκαλεῖν, ἴσον φερομένους ἐκ τῆς γραφῆς ταύτης. ἣ τόν τε βρούτου περιέχει βίον, καὶ τὸν δίωνος, ὧν ὁ μὲν, αὐτῷ πλάτωνι πλησιάσας. ὁ δὲ, τοῖς λόγοις ἐντραφεὶς τοῖς πλάτωνος, ὥσπερ ἐκ μιᾶς ὥρμησαν ἀμφότεροι παλαίστρας, ἐπὶ τοὺς μεγίστους ἀγῶνας. καὶ τὸ μὲν ὅμοια πολλὰ καὶ ἀδελφὰ πράξαντας, μαρτυρῆσαι τῷ καθηγεμόνι τῆς ἀρετῆς. ὅτι δεῖ φρονήσει, καὶ δικαιοσύνῃ, δύναμιν ἐπὶ τὸ αὐτὸ καὶ τύχην συνελθεῖν, ἵνα κάλλος ἅμα καὶ μέγεθος αἱ πολιτικαὶ πράξεις λάβωσιν, οὐ θαυμαστόν ἐστιν. ὡς γὰρ ἱππόμαχος ὁ ἀλείπτης ἔλεγε. τοὺς γεγυμνασμένους παρ' αὐτῷ, καὶ κρέας ἐξ ἀγορᾶς ἰδὼν φέροντας ἐπιγνῶναι πόρρωθεν, οὕτω τὸν λόγον ἐστὶν εἰκὸς, τῶν πεπαιδευμένων, ὁμοίως ἕπεσθαι ταῖς πράξεσιν, ἐμμέλειάν τινα καὶ ῥυθμὸν ἐπιφέροντα μετὰ τοῦ πρέποντος. αἱ δὲ τύχαι, τοῖς συμπτώμασι μᾶλλον ἢ ταῖς προαιρέσεσιν οὖσαι αἱ αὐταὶ, συνάγουσι τῶν ἀνδρῶν τοὺς βίους, εἰς ὁμοιότητα. προανῃρέθησαν γὰρ ἀμφότεροι τοῦ τέλους, εἰς ὃ προύθεντο τὰς πράξεις, ἐκ πολλῶν καὶ μεγάλων ἀγώνων καταθέσθαι μὴ δυνηθέντες.

Ὃ δὲ πάντων θαυμασιώτατον, ὅτι καὶ τὸ δαιμόνιον ἀμφοτέροις ὑπεδήλωσε, τὴν τελευτὴν, ὁμοίως ἑκατέρῳ φάσματος εἰς ὄψιν οὐκ εὐμενοῦς παραγενομένου. καίτοι λόγος τίς ἐστι τῶν ἀναιρούντων τὰ τοιαῦτα. μηδενὶ ἂν νοῦν ἔχοντι, προσπεσεῖν φάντασμα δαίμονος, μηδὲ εἴδωλον, ἀλλὰ παιδάρια καὶ γύναια, καὶ παραφόρους δι' ἀσθένειαν ἀνθρώπους, ἔν τινι πλάνῳ ψυχῆς, ἢ δυσκρασίᾳ σώματος γινομένους, δόξας ἐφέλκεσθαι κενὰς καὶ ἀλλοκότους, δαίμονα πονηρὸν ἐν αὐτοῖς εἶναι, δεισιδαιμονίαν ἔχοντας.

Εἰ δὲ δίων καὶ βροῦτος, ἄνδρες ἐμβριθεῖς καὶ φιλόσοφοι, καὶ πρὸς οὐδὲν ἀκροσφαλεῖς, οὐδ' εὐάλωτοι πάθος, οὕτως ὑπὸ φάσματος διετέθησαν, ὥστε καὶ φράσαι πρὸς ἑτέρους, οὐκ οἶδα, μὴ τῶν πάνυ παλαιῶν τὸν ἀτοπώτατον ἀναγκασθῶμεν προσδέχεσθαι λόγον, ὡς τὰ φαῦλα δαιμόνια καὶ βάσκανα, προσφθονοῦντα τοῖς ἀγαθοῖς ἀνδράσι, καὶ ταῖς πράξεσιν ἐνιστάμενα, ταραχὰς καὶ φόβους ἐπάγει, σείοντα καὶ σφάλλοντα τὴν ἀρετὴν, ὡς μὴ διαμείναντες ἀπτῶτες ἐν τῷ καλῷ καὶ ἀκέραιοι, βελτίονος ἐκείνων μοίρας μετὰ τὴν τελευτὴν τύχωσιν.

Ἀλλὰ ταῦτα μὲν, εἰς ἄλλον ἀνακείσθω λόγον. ἐν τούτῳ δὲ, δωδεκάτῳ τῶν παραλλήλων ὄντι βίων, τὸν τοῦ πρεσβυτέρου προεισαγάγωμεν.

Διονύσιος ὁ πρεσβύτερος, εἰς τὴν ἀρχὴν καταστὰς, εὐθὺς ἔγημε τὴν ἑρμοκράτους τοῦ συρακουσίου θυγατέρα. ταύτην, οὔπω τῆς τυραννίδος ἱδρυμένης βεβαίως, ἀποστάντες οἱ συρακούσιοι, δεινὰς καὶ παρανόμους ὕβρεις εἰς τὸ σῶμα καθύβρισαν, ἐφ' αἷς προήκατο τὸν βίον ἑκουσίως.

Διονύσιος δὲ τὴν ἀρχὴν ἀναλαβὼν καὶ κρατυνάμενος, αὖθις ἄγεται δύο γυναῖκας ἅμα. τὴν μὲν ἐκ λοκρῶν, ὄνομα δωρίδα. τὴν δὲ ἐπιχώριον, ἀριστομάχην θυγατέρα ἱππαρίνου πρωτεύσαντος ἀνδρὸς συρακουσίων. καὶ διονυσίῳ συνάρξαντος, ὅτε πρῶτον αὐτοκράτωρ ἐπὶ τὸν πόλεμον ᾑρέθη στρατηγός.

Λέγεται δ' ἡμέρᾳ μὲν ἀμφοτέρας ἀγαγέσθαι μιᾷ, καὶ μηδενὶ γενέσθαι φανερὸς ἀνθρώπων ὁποτέρᾳ προτέρᾳ συνέλθοι. τὸν δὲ ἄλλον χρόνον, ἴσον νέμων ἑαυτὸν διατελεῖν, ἑκατέρᾳ. κοινῇ μὲν εἰθισμένων δειπνεῖν μετ' αὐτοῦ. παρὰ νύκτα δὲ, ἐν μέρει συναναπαυομένων. καίτοι τῶν συρακουσίων ἐβούλετο τὸ πλῆθος, τὴν ἐγγενῆ, πλέον ἔχειν τῆς ξένης. ἀλλ' ἐκείνῃ πρότερα ὑπῆρχε, τεκούσῃ τὸν πρεσβεύοντα τῆς διονυσίου γενεᾶς υἱὸν, αὐτῇ βοηθεῖν πρὸς τὸ γένος. ἡ δ' ἀριστομάχη, πολὺν χρόνον ἄπαις συνῴκει τῷ διονυσίῳ, καίπερ σπουδάζοντι περὶ τὴν ἐκ ταύτης τέκνωσιν, ὅς γε καὶ τὴν μητέρα τῆς λοκρίδος αἰτιασάμενος καταφαρμακεύειν τὴν ἀριστομάχην, ἀπέκτεινεν.

Ταύτης ἀδελφὸς ὢν ὁ δίων, ἐν ἀρχῇ μὲν, εἶχε τιμὴν ἀπὸ τῆς ἀδελφῆς. ὕστερον δὲ, τοῦ φρονεῖν διδοὺς πεῖραν, ἤδη καθ' ἑαυτὸν ἠγαπᾶτο παρὰ τῷ τυράννῳ. καὶ πρὸς ἅπασι τοῖς ἄλλοις, εἴρητο τοῖς ταμίαις, ὅ τι ἂν αἰτῇ δίων, διδόναι. διδόντας δὲ πρὸς αὐτὸν, αὐθημερὸν φράζειν. ὢν δὲ καὶ πρότερον ὑψηλὸς τῷ ἤθει, καὶ μεγαλόφρων, καὶ ἀνδρώδης, ἔτι μᾶλλον ἐπέδωκε πρὸς ταῦτα, θείᾳ τινὶ τύχῃ πλάτωνος εἰς σικελίαν παραβαλόντος κατ' οὐδένα λογισμὸν ἀνθρώπινον, ἀλλὰ δαίμων τις, ὡς ἔοικε, πόρρωθεν ἀρχὴν ἐλευθερίας παραβαλλόμενος συρακουσίοις, καὶ τυραννίδος κατάλυσιν μηχανώμενος, ἐκόμισεν ἐξ ἰταλίας εἰς συρακούσας πλάτωνα, καὶ δίωνα συνήγαγεν εἰς λόγους αὐτῷ. νέον μὲν ὄντα κομιδῇ, πολὺ δὲ εὐμαθέστατον ἁπάντων, τῶν πλάτωνι συγγεγονότων, καὶ ὀξύτατον ὑπακοῦσαι πρὸς ἀρετὴν, ὡς αὐτὸς γέγραφε πλάτων, καὶ τὰ πράγματα μαρτυρεῖ.

Τραφεὶς γὰρ ἐν ἤθεσιν ὑπὸ τυράννῳ ταπεινοῖς. καὶ βίου μὲν ἀνίσου καὶ καταφόβου. θεραπείας δὲ νεοπλούτου. καὶ τρυφῆς ἀπειροκάλου, καὶ διαίτης ἐν ἡδοναῖς καὶ πλεονεξίαις, τιθεμένης τὸ καλὸν, ἐθὰς

πράξαντες δὲ μηδὲν, ἀπεχώρουν φυγῇ διὰ θυρῶν, καὶ τοὺς περὶ τὸν τιρίβαζον ἐκέλευον ἀποχωρεῖν ὡς φανεροὺς γεγονότας. οἱ μὲν οὖν ἄλλοι διαλυθέντες, ἔφυγον. ὁ δὲ τιρίβαζος συλλαμβανόμενος, πολλοὺς ἀπέκτεινε τῶν βασιλέως δορυφόρων. καὶ μόγις ἀκοντίῳ πληγεὶς, πόρρωθεν ἔπεσε. τῷ δὲ δαρείῳ μετὰ τῶν τέκνων ἀναχθέντι καθίσας τοὺς βασιλείους δικαστὰς, οὐ παρὼν αὐτὸς, ἀλλ' ἑτέρων κατηγορησάντων, ἐκέλευσεν ὑπηρέτας τὴν ἑκάστου γραψαμένους ἀπόφασιν, ὡς αὐτὸν ἐπανενεγκεῖν. ἀποφηναμένων δὲ πάντων ὁμοίως, καὶ καταγνόντων τοῦ δαρείου θάνατον, οἱ μὲν ὑπηρέται συλλαβόντες αὐτὸν εἰς οἴκημα πλησίον ἀπήγαγον. ὁ δὲ δήμιος κληθεὶς, ἧκε μὲν ξυρὸν ἔχων ᾧ τὰς κεφαλὰς ἀποτέμνουσι τῶν κολαζομένων. ἰδὼν δὲ τὸν δαρεῖον, ἐξεπλάγη καὶ ἀνεχώρει πρὸς τὰς θύρας ἀποβλέπων, ὡς οὐ δυνησόμενος οὐδὲ τολμήσων, αὐτόχειρ γενέσθαι βασιλέως. ἔξωθεν δὲ τῶν δικαστῶν ἀπειλούντων καὶ διακελευομένων, ἀναστρέψας καὶ τῇ ἑτέρᾳ χειρὶ δραξάμενος τῆς κόμης αὐτοῦ καὶ κατασπῶν, ἀπέτεμε τῷ ξυρῷ τὸν τράχηλον. ἔνιοι δὲ φασὶ τὴν κρίσιν γενέσθαι βασιλέως αὐτοῦ παρόντος. τὸν δὲ δαρεῖον ὡς κατελαμβάνετο τοῖς ἐλέγχοις, ἐπὶ στόμα πεσόντα, δεῖσθαι καὶ ἱκετεύειν. τὸν δὲ, ὑπ' ὀργῆς ἀναστάντα καὶ σπασάμενον τὸν ἀκινάκην, τύπτειν ἕως ἀπέκτεινεν. εἶτα εἰς τὴν αὐλὴν προελθόντα, τὸν ἥλιον προσκυνῆσαι καὶ εἰπεῖν. εὐφραίνεσθε ἀπιόντες ὦ πέρσαι, καὶ λέγετε τοῖς ἄλλοις, ὅτι τοῖς ἄθεσμα καὶ παράνομα διανοηθεῖσιν ὁ μέγας ὡρομάζης, δίκην ἤδη τέθεικεν. ἡ μὲν οὖν ἐπιβουλὴ τοιοῦτον ἔσχε τέλος. ὁ δὲ ὦχος ἤδη μὲν ἦν ταῖς ἐλπίσι λαμπρὸς, ὑπὸ τῆς ἀτόσσης ἐπαιρόμενος. ἔτι δὲ ἐφοβεῖτο τῶν μὲν γνησίων, τὸν ὑπόλοιπον ἀριάσπην. τῶν δὲ νόθων, ἀρσάμην. ὁ μὲν ἀριάσπης, οὐ διὰ τὸ πρεσβύτερον εἶναι τοῦ ὤχου, πρᾶος δὲ καὶ ἁπλοῦς καὶ φιλάνθρωπος, ἠξιοῦτο βασιλεύειν ὑπὸ τῶν περσῶν. ὁ δὲ ἀρσάμης, καὶ νοῦν ἔχειν ἐδόκει. καὶ μάλιστα τῷ πατρὶ προσφιλὴς ὢν, οὐκ ἐλάνθανε τὸν ὦχον. ἐπιβουλεύων οὖν ἀμφοτέροις καὶ δολερὸς ὢν ὁμοῦ καὶ φονικὸς, ἐχρήσατο τῇ μὲν ὠμότητι τῆς φύσεως πρὸς τὸν ἀρσάμην, τῇ δὲ κακουργίᾳ καὶ δεινότητι πρὸς τὸν ἀριάσπην. ὑπέπεμψε γὰρ πρὸς αὐτὸν εὐνούχους καὶ φίλους βασιλέως, ἀπειλάς τινας ἀεὶ καὶ λόγους φοβεροὺς ἀπαγγέλλοντας, ὡς τοῦ πατρὸς ἐγνωκότος ἀποκτιννύειν αὐτὸν ὠμῶς καὶ ἐφυβρίστως. οἱ δὲ, ταῦτα καθ' ἡμέραν ἐκφέρειν δοκοῦντες ὡς ἀπόρρητα. καὶ τὰ μὲν, μέλλειν. τὰ δὲ, ὅσον οὔπω πράσσειν βασιλέα λέγοντες, οὕτως ἐξέπληξαν τὸν ἄνθρωπον, καὶ τοσαύτην ἐνέβαλον πτοίαν αὐτῷ καὶ ταραχὴν, καὶ δυσθυμίαν εἰς τοὺς λογισμοὺς, ὥστε φάρμακον σκευάσαντα τῶν θανασίμων καὶ πιόντα, τοῦ ζῆν ἀπαλλαγῆναι. πυθόμενος δὲ ὁ βασιλεὺς τὸν τρόπον τῆς τελευτῆς, ἐκεῖνον μὲν ἀπέκλαυσε. τὴν δ' αἰτίαν ὑπώπτευεν. ἐλέγχειν δὲ καὶ ζητεῖν ἀδυνατῶν διὰ τὸ γῆρας, ἔτι μᾶλλον ἠσπάζετο τὸν ἀρσάμην. καὶ δῆλος ἦν μάλιστα πιστεύων ἐκείνῳ καὶ παρρησιαζόμενος. ὅθεν οἱ περὶ τὸν ὦχον οὐκ ἀνεβάλοντο τὴν πρᾶξιν, ἀλλ' ἀρπάτην υἱὸν τιριβάζου παρασκευάσαντες, ἀπέκτειναν δι' ἐκείνου τὸν ἄνθρωπον. ἦν μὲν οὖν ἤδη ῥοπῆς μικρᾶς ὁ ἀρτοξέρξης διὰ τὸ γῆρας ἤδη τότε. προσπεσόντος δὲ αὐτῷ τοῦ περὶ τὸν ἀρσάμην πάθους, οὐδὲ ὀλίγον ἀντέσχεν, ἀλλ' εὐθὺς ὑπὸ λύπης καὶ δυσθυμίας ἀπεσβέσθη. βιώσας μὲν, ἐνενήκοντα καὶ τέσσαρα ἔτη. βασιλεύσας δὲ, δύο καὶ ἑξήκοντα. δόξας δὲ πρᾶος εἶναι καὶ φιλυπήκοος, οὐχ ἥκιστα διὰ τὸν υἱὸν ὦχον, ὠμότητι καὶ μιαιφονίᾳ πάντας ὑπερβαλλόμενον.

De Aſteria vide in Pericle. 52. b. 20. ubi dicit Φωκαῒς τὸ γένος

γος, ὅτι καὶ ζῶντος ἐλάνθανεν αὐτῇ πλησιάζων. ἀλλὰ τότε μὲν ἠγνόησεν ὁ Ἀρτοξέρξης. ταχὺ δὲ βουλόμενος ἐκκροῦσαι τῆς ἐλπίδος τὸν Ὦχον, ὅπως μὴ τὰ αὐτὰ Κύρῳ τολμήσαντος αὐτοῦ, πόλεμοι καὶ ἀγῶνες αὖθις καταλάβωσι τὴν βασιλείαν, ἀνέδειξε τὸν Δαρεῖον βασιλέα, πεντηκοστὸν ἔτος γεγονότα, καὶ τὴν καλουμένην κίταριν, ὀρθὴν φορεῖν ἔδωκε. νόμου δὲ ὄντος ἐν Πέρσαις δωρεὰν αἰτεῖν τὸν ἀναδειχθέντα, καὶ διδόναι τὸν ἀναδείξαντα πᾶν τὸ αἰτηθὲν ἂν ᾖ δυνατὸν, ᾔτησεν Ἀσπασίαν ὁ Δαρεῖος, τὴν μάλιστα σπουδασθεῖσαν ὑπὸ Κύρου, τότε δὲ βασιλεῖ παλλακευομένην. ἦν δὲ Φωκαῒς τὸ γένος ἀπ' Ἰωνίας, ἐλευθέρων γονέων καὶ τεθραμμένη κοσμίως. ἐπεὶ δὲ Κύρου δειπνοῦντος εἰσήχθη μεθ' ἑτέρων γυναικῶν, αἱ μὲν ἄλλαι παρακαθιζόμεναι προσπαίζοντος αὐτοῦ καὶ ἁπτομένου καὶ σκώπτοντος, οὐκ ἀηδῶς ἐνεδέχοντο τὰς φιλοφροσύνας. ἐκείνη δὲ παρὰ τὴν κλίνην εἱστήκει σιωπῇ. καὶ Κύρου καλοῦντος, οὐχ ὑπήκουε. βουλομένων δὲ προσάγειν τῶν κατευναστῶν, οἰμώξεται μέντοι τούτων εἶπεν, ὃς ἂν ἐμοὶ προσαγάγῃ τὰς χεῖρας. ἔδοξεν οὖν ἄχαρις τοῖς παροῦσιν εἶναι καὶ ἄγροικος. ὁ δὲ Κῦρος ἡσθεὶς ἐγέλασε. καὶ εἶπε πρὸς τὸν ἀγαγόντα τὰς γυναῖκας. ἆρα ἤδη συνορᾷς ὅτι μοι μόνην ταύτην ἐλευθέραν καὶ ἀδιάφθορον ἥκεις κομίζων; ἐκ δὲ τούτου, προσεῖχεν ἀρξάμενος αὐτῇ. καὶ μάλιστα πασῶν ἔστερξε. καὶ Σοφὴν προσηγόρευεν. ἑάλω δὲ Κύρου πεσόντος ἐν τῇ μάχῃ καὶ διαρπαζομένου τοῦ στρατοπέδου. ταύτην ὁ Δαρεῖος αἰτήσας, ἐλύπησε τὸν πατέρα. δύσζηλα γὰρ τὰ βαρβαρικὰ δεινῶς περὶ τὸ ἀκόλαστον, ὥστε μὴ μόνον τὸν προσελθόντα καὶ θιγόντα παλλακῆς βασιλέως, ἀλλὰ καὶ τὸν ἐν πορείᾳ προεξελθόντα καὶ διελάσαντα τὰς ἁμάξας ἐφ' αἷς κομίζονται, θανάτῳ κολάζεσθαι. καίτοι τὴν μὲν Ἄτοσσαν εἶχεν ἔρωτι ποιησάμενος γυναῖκα παρὰ τὸν νόμον. ἑξήκοντα δὲ καὶ τριακόσιαι παρετρέφοντο καλλιστεύουσαι παλλακίδες. οὐ μὴν ἀλλὰ καὶ αἰτηθεὶς, ἐκείνην ἐλευθέραν ἔφησεν εἶναι, καὶ λαμβάνειν ἐκέλευσε βουλομένην, ἄκουσαν δὲ μὴ βιάζεσθαι. μεταπεμφθείσης δὲ τῆς Ἀσπασίας, καὶ παρ' ἐλπίδας τοῦ βασιλέως ἑλομένης τὸν Δαρεῖον, ἔδωκε μὲν ὑπ' ἀνάγκης τοῦ νόμου, δοὺς δὲ ὀλίγον ὕστερον ἀφείλετο. τῆς γὰρ Ἀρτέμιδος τῆς ἐν Ἐκβατάνοις ἣν Ἀναῖτιν καλοῦσιν, ἱέρειαν ἀπέδειξεν αὐτὴν, ὅπως ἁγνὴ διάγῃ τὸν ἐπίλοιπον βίον. οἰόμενος οὐ χαλεπὴν, ἀλλὰ μετρίαν τινὰ καὶ παιδιᾷ μεμιγμένην ταύτην λήψεσθαι δίκην παρὰ τοῦ παιδός. ὁ δ' οὐκ ἤνεγκε μετρίως. εἴτ' ἔρωτι τῆς Ἀσπασίας περιπαθὴς γεγονὼς, εἴθ' ὑβρίσθαι καὶ κεχλευάσθαι νομίζων ὑπὸ τοῦ πατρός. αἰσθόμενος δὲ αὐτὸν οὕτως ἔχοντα Τιρίβαζος, ἔτι μᾶλλον ἐξετράχυνεν, ἐν τοῖς ἐκείνου συνορῶν τὰ καθ' αὑτόν. ἦν δὲ τοιαῦτα. πλειόνων οὐσῶν βασιλεῖ θυγατέρων, ὡμολόγησε Φαρναβάζῳ μὲν Ἀπάμαν δώσειν γυναῖκα, Ῥοδογούνην δὲ Ὀρόντῃ, Τιριβάζῳ δὲ Ἄμηστριν. καὶ τοῖς μὲν ἄλλοις ἔδωκε, Τιρίβαζον δὲ ἐψεύσατο. γήμας αὐτὸς τὴν Ἄμηστριν, ἀντὶ δ' ἐκείνης τῷ Τιριβάζῳ τὴν νεωτάτην Ἄτοσσαν ἐγγυήσας. ἐπεὶ δὲ καὶ ταύτην ἐρασθεὶς ἔγημεν ὡς εἴρηται, παντάπασι δυσμενῶς πρὸς αὐτὸν ὁ Τιρίβαζος εἶχεν. οὐδὲ ἄλλως στάσιμος ὢν τὸ ἦθος, ἀλλ' ἀνώμαλος καὶ παράφορος. διὸ καὶ νῦν μὲν εὐημερῶν, ὅμοια τοῖς πρώτοις. νῦν δὲ προσκρούων καὶ σκορακιζόμενος, οὐδεμίαν ἔφερεν ἐμμελῶς μεταβολὴν, ἀλλὰ καὶ τιμώμενος, ἦν ἐπαχθὴς ὑπὸ χαυνότητος. καὶ τὸ κολουόμενον, οὐ ταπεινὸν οὐδὲ ἡσυχαῖον, ἀλλὰ τραχὺ καὶ ἀγέρωχον εἶχε. πῦρ οὖν ἤδη πυρὶ ἐγίνετο τῷ νεανίσκῳ, προσκείμενος ὁ Τιρίβαζος ἀεὶ καὶ λέγων ὡς οὐδὲν ὀνίνησιν ἡ κίταρις ἑστῶσα περὶ τῇ κεφαλῇ, τοὺς ὑπ' αὐτῶν μὴ ζητοῦντας ὀρθοῦσθαι τοῖς πράγμασι, τοῦ δὲ παιδὸς οὕτως ἔμπληκτον ἦθος καὶ ἀβέβαιον ἔχοντος, οἴεται βέβαιον αὑτῷ τὴν διαδοχὴν ὑπάρχειν. ὁ γὰρ Ἑλληνικοῦ χάριν γυναίου τὸν ἄφυκτον ἐν Πέρσαις ψευσάμενος νόμον, οὐδή που πιστὸς ἔσται τὰς περὶ τῶν μεγίστων ὁμολογίας ἐμπεδώσειν. οὐ ταὐτὸ δ' εἶναι τὸ μὴ τυχεῖν Ὤχῳ, κἀκείνῳ τὸ στέρεσθαι τῆς βασιλείας. Ὦχον μὲν γὰρ οὐδένα κωλύσειν ἰδιώτην βιοῦν μακαρίως, ἐκείνῳ δὲ ἀποδειχθέντι βασιλεῖ, βασιλεύειν ἀνάγκην, ἢ μηδὲ ζῆν εἶναι. καθόλου μὲν ἴσως τὸ Σοφόκλειον, ταχεῖα πειθὼ τῶν κακῶν ὁδοιπορεῖ. λεία γάρ τις ἡ πορεία καὶ κατάντης ἐπὶ τὸ βουλόμενον. βούλονται δὲ οἱ πλεῖστοι τὰ φαῦλα δι' ἀπειρίαν τῶν καλῶν καὶ ἄγνοιαν. οὐ μὴν ἀλλὰ τὸ μέγεθος τῆς ἀρχῆς, καὶ τὸ πρὸς τὸν Ὦχον τοῦ Δαρείου δέος, ὑπόθεσιν τῷ Τιριβάζῳ παρεῖχε. Κυπρογένεια δὲ οὐ πάμπαν ἀναίτιος ἡ τῆς Ἀσπασίας ἀφαίρεσις. ἐπέδωκεν οὖν ἑαυτὸν τῷ Τιριβάζῳ. καὶ πολλῶν ἤδη συνισταμένων, εὐνοῦχος ἐξήλωσε τῷ βασιλεῖ τὴν ἐπιβουλὴν, καὶ τὸν τρόπον, εἰδὼς ἀκριβῶς ὅτι νυκτὸς ἐγνώκασιν ἐν τῷ θαλάμῳ κατακείμενον ἀναιρεῖν αὐτὸν ἐπεισελθόντες. ἀκούσαντι δὲ τῷ Ἀρτοξέρξῃ, καὶ τὸ παριδεῖν κίνδυνον τηλικοῦτον ἀμελήσαντα τῆς διαβολῆς, δεινὸν ἐδόκει. καὶ τὸ πιστεῦσαι μηδενὸς ἐλέγχου γινομένου, δεινότερον. οὕτω δ' οὖν ἐποίει. τὸν μὲν εὐνοῦχον ἐκείνοις ἐκέλευσε παρεῖναι καὶ παρακολουθεῖν. αὐτὸς δὲ τοῦ θαλάμου τὸν ὄπισθεν τῆς κλίνης τοῖχον ἐκκόψας καὶ θυρώσας, κατεκάλυψεν αὐλαίᾳ τὰς θύρας. ἐνστάσης δὲ τῆς ὥρας καὶ φράσαντος τοῦ εὐνούχου τὸν καιρὸν, ἐπὶ τῆς κλίνης ὑπέμενε, καὶ οὐκ ἐξανέστη πρότερον ἢ τῶν ἐπ' αὐτὸν ἐρχομένων τὰ πρόσωπα κατιδεῖν, καὶ γνωρίσαι σαφῶς ἕκαστον. ὡς δὲ εἶδεν ἐσπασμένους τὰ ἐγχειρίδια καὶ προσφερομένους, ταχὺ τὴν αὐλαίαν ἀπολαβὼν, ἀνεχώρησεν εἰς τὸν ἐντὸς οἴκημα, καὶ τὰς θύρας ἐπήραξε κράζων. ὀφθέντες οὖν οἱ σφαγεῖς ὑπ' αὐτοῦ,

Hic appellat νεανίσκον quem ſupra dixit πεντηκοστὸν ἔτος γεγονότα. Quare eo in loco legendum puto πέμπτον καὶ εἰκοστὸν ἔτος. et ſic [illegible] legiſſe interpres.

χάνειν ἁπάντων, ἤρασθη τῆς ἑτέρας τῶν θυγατέρων ἀτόσσης, ἐρωτικῶς ἔρωτα δεινόν, ἐπικρυπτόμενος δὲ δι' ἐκείνην οὐχ ἥκιστα καὶ κολάζοντος τὸ πάθος, ὥς φασιν ἔνιοι, καίτοι γεγενημένης ἤδη πρὸς τὴν παρθένον ὁμιλίας αὐτῷ λαθραίας. ὡς οὖν ὑπώπτευσεν ἡ παρύσατις τὴν παῖδα, μᾶλλον ἢ πρότερον ἠσπάζετο. καὶ πρὸς τὸν ἀρτοξέρξην ἐπῄνει, τό τε κάλλος αὐτῆς καὶ τὸ ἦθος, ὡς βασιλικῆς καὶ μεγαλοπρεποῦς. τέλος γοῦν, γῆμαι τὴν κόρην ἔπεισε. καὶ γνησίαν ἀποδεῖξαι γυναῖκα, χαίρειν ἐάσαντα δόξας ἑλλήνων καὶ νόμους. πέρσαις δὲ νόμον αὐτὸν ἀπὸ τοῦ θεοῦ, καὶ δικαιωτὴν αἰσχρῶν καὶ καλῶν ἀποδεδειγμένον. ἔνιοι μέντοι λέγουσιν, ὧν ἐστι καὶ ἡρακλείδης ὁ κυμαῖος, οὐ μίαν μόνον τῶν θυγατέρων, ἀλλὰ καὶ δευτέραν ἄμηστριν γῆμαι τὸν ἀρτοξέρξην, περὶ ἧς ὀλίγον ὕστερον ἀπαγγελοῦμεν. τὴν δὲ ἄτοσσαν, οὕτως ἠγάπησεν ὁ πατὴρ συνοικοῦσαν, ὥστε ἀλφοῦ κατανεμηθέντος αὐτῆς τὸ σῶμα, δυσχερᾶναι μὲν ἐπὶ τούτῳ μηδ' ὁτιοῦν. εὐχόμενος δὲ περὶ αὐτῆς τῇ ἥρᾳ προσκυνῆσαι μόνην θεῶν ἐκείνην, ταῖς χερσὶ τῆς γῆς ἁψάμενος. δῶρα τε τῇ θεῷ τοσαῦτα πέμψαι τοὺς σατράπας καὶ φίλους αὐτοῦ κελεύσαντος, ὥστε τὰ μεταξὺ τοῦ ἱεροῦ καὶ τῶν βασιλείων, ἑκκαίδεκα στάδια, χρυσοῦ καὶ ἀργύρου καὶ πορφύρας καὶ ἵππων ἐμπλησθῆναι. πόλεμον δὲ πρὸς μὲν αἰγυπτίους διὰ φαρναβάζου καὶ ἰφικράτους ἐξενεγκὼν, ἀπέτυχε στασιασάντων ἐκείνων. ἐπὶ δὲ καδουσίους αὐτὸς ἐστράτευσε τριάκοντα μυριάσι πεζῶν καὶ μυρίοις ἱππεῦσιν. ἐμβαλὼν δὲ εἰς χώραν τραχύτητι χαλεπὴν καὶ ὀμιχλώδη, καὶ τῶν ἀπὸ σπόρου καρπῶν ἄγονον. ἀπίοις δὲ καὶ μήλοις καὶ τοιούτοις ἄλλοις ἀκροδρύοις φέρουσαν ἀνθρώπους πολεμικοὺς καὶ θυμοειδεῖς, ἔλαθε μεγάλαις ἀπορίαις καὶ κινδύνοις περιπεσών. οὐδὲν γὰρ ἐδώδιμον ἦν λαμβάνειν, οὐδὲ ἔξωθεν ἐπεισάγεσθαι. τὰ δὲ ὑποζύγια μόνον κατήσθιον. ὥστε ὄνου κεφαλὴν μόλις δραχμῶν ἑξήκοντα ὤνιον εἶναι. τὸ δὲ βασιλικὸν δεῖπνον ἐξελείφθη. καὶ τῶν ἵππων, ὀλίγοι περιῆσαν ἔτι. τοὺς δὲ ἄλλους ἐσθίοντες κατηναλώκεσαν. ἐνταῦθα τειρίβαζος, ἀνὴρ πολλάκις μὲν ἐν πρώτῃ δι' ἀνδραγαθίαν τάξει γενόμενος. πολλάκις δὲ ἀπορριφεὶς διὰ κουφότητα. καὶ τότε ταπεινὰ πράττων καὶ περιορώμενος, ἔσωσε βασιλέα καὶ τὸν στρατόν. ὄντων γὰρ δυοῖν ἐν τοῖς καδουσίοις βασιλέων, ἑκατέρου δὲ χωρὶς στρατοπεδεύοντος, ἐντυχὼν τῷ ἀρτοξέρξῃ, καὶ φράσας περὶ ὧν διενοεῖτο πράττειν, ἐβάδιζεν αὐτὸς πρὸς τὸν ἕτερον τῶν καδουσίων. καὶ πρὸς τὸν ἕτερον, κρύφα τὸν υἱὸν ἔπεμψεν. ἐξηπάτα δὲ ἑκάτερον, ἑκάτερος. λέγων, ὡς ἅτερος ἤδη πρεσβεύεται πρὸς τὸν ἀρτοξέρξην, φιλίαν μόνῳ πράττων ἑαυτῷ καὶ συμμαχίαν. οὐκοῦν εἰ σωφρονεῖς, χρῆναι πρότερον ἐντυγχάνειν ἐκείνῳ. αὐτὸν δὲ συμπράξειν ἅπαντα. τούτοις ἐπείσθησαν ἀμφότεροι, καὶ φθάνειν ἀλλήλους νομίζοντες. ὁ μὲν, τῷ τειριβάζῳ συνέπεμψε πρέσβεις. ὁ δὲ, τῷ παιδὶ τοῦ τειριβάζου. διατριβῆς δὲ γενομένης, ὑποψίαι καὶ διαβολαὶ κατὰ τοῦ τειριβάζου τῷ ἀρτοξέρξῃ προσέπιπτον. αὐτὸς δὲ δυσθύμως εἶχε καὶ μετενόει πιστεύσας τῷ τειριβάζῳ. καὶ τοῖς φθονοῦσιν ἐγκαλεῖν παρεῖχεν. ἐπεὶ δὲ ἧκε κἀκεῖνος ὁ τειρίβαζος. ἧκε δὲ καὶ υἱὸς αὐτοῦ τοὺς καδουσίους ἄγοντες. ἐγένοντο δὲ σπονδαὶ πρὸς ἀμφοτέρους καὶ εἰρήνη. μέγας ὢν ὁ τειρίβαζος ἤδη καὶ λαμπρὸς ἀνέζευγνυε μετὰ τοῦ βασιλέως, ἤδη ἐπιδεικνυμένου πᾶσαν τὴν δειλίαν καὶ τὴν μαλακίαν, οὐ τρυφῆς καὶ πολυτελείας, ὥσπερ οἱ πολλοὶ νομίζουσιν, ἔκγονον οὖσαν, ἀλλὰ μοχθηρᾶς φύσεως καὶ ἀγεννοῦς, δόξαις πονηραῖς ἑπομένης. οὔτε γὰρ χρυσὸς, οὔτε κάνδυς. οὔτε ὁ τῶν μυρίων καὶ διχιλίων ταλάντων περικείμενος ἀεὶ τῷ βασιλέως σώματι κόσμος, ἐκεῖνον ἀπεκώλυε πονεῖν καὶ ταλαιπωρεῖν, ὥσπερ οἱ τυχόντες. ἀλλὰ τήν τε φαρέτραν ἐνημμένος, καὶ τὴν πέλτην φέρων, αὐτὸς ἐβάδιζε πρῶτος ὁδοὺς ὀρεινὰς καὶ προσάντεις, ἀπολιπὼν τὸν ἵππον, ὥστε τοὺς ἄλλους πτεροῦσθαι, καὶ συνεπικουφίζεσθαι τὴν ἐκείνου προθυμίαν καὶ ῥώμην ὁρῶντας. καὶ γὰρ διακοσίων, καὶ πλειόνων σταδίων κατήνυεν ἡμέρας ἑκάστης πορείαν. ἐπεὶ δὲ εἰς σταθμὸν κατέβη βασιλικὸν, παραδείσους ἔχοντα θαυμαστοὺς καὶ κεκοσμημένους διαπρεπῶς ἐν τῷ πέριξ ἀδένδρῳ καὶ ψιλῷ χωρίῳ κρύους ὄντος, ἐπέτρεψε τοῖς στρατιώταις ἐκ τοῦ παραδείσου ξυλίζεσθαι τὰ δένδρα κόπτοντας, μήτε πεύκης μήτε κυπαρίττου φειδομένους. ὀκνούντων δὲ καὶ φειδομένων διὰ τὰ κάλλη καὶ τὰ μεγέθη, λαβὼν πέλεκυν αὐτὸς, ὅπερ ἦν μέγιστον καὶ κάλλιστον τῶν φυτῶν, ἔκοψεν. ἐκ δὲ τούτου ξυλιζόμενοι, καὶ πολλὰ πυρὰ ποιοῦντες, εὐμαρῶς ἐνυκτέρευσαν. οὐ μὴν ἀλλὰ πολλοὺς καὶ ἀγαθοὺς ἀποβαλὼν ἄνδρας, ἵππους δὲ ὁμοῦ τι πάντας, ἐπανῆλθε. καὶ δόξας καταφρονεῖσθαι διὰ τὴν ἀτυχίαν καὶ τὴν ἀπότευξιν τῆς στρατείας, ἐν ὑποψίαις εἶχε τοὺς πρώτους, καὶ πολλοὺς μὲν ἀνεῖλε δι' ὀργὴν, πλείονας δὲ φοβούμενος. ἡ γὰρ δειλία, φονικώτατόν ἐστιν ἐν ταῖς τυραννίσιν. ἵλεων δὲ καὶ πρᾶον καὶ ἀνύποπτον ἡ θαρραλεότης. διὸ καὶ τῶν θηρίων τὰ ἀτιθάσευτα, καὶ δυσεξημέρωτα, ψοφοδεῆ καὶ δειλά. τὰ δὲ γενναῖα, πιστεύοντα μᾶλλον διὰ τὸ θαρρεῖν, οὐ φεύγει τὰς φιλοφροσύνας. ὁ δὲ ἀρτοξέρξης ἤδη πρεσβύτερος ὢν, ᾐσθάνετο τοὺς υἱοὺς ἀγῶνα περὶ τῆς βασιλείας, ἐν τοῖς φίλοις καὶ τοῖς δυνατοῖς ἔχοντας. οἱ μὲν γὰρ εὐγνώμονες, ἠξίουν ὡς ἔλαβεν αὐτὸς, οὕτως ἀπολιπεῖν τὰ πρεσβεῖα δαρείῳ τὴν ἀρχήν. ὁ δὲ νεώτατος ὦχος ὀξὺς ὢν καὶ βίαιος, εἶχε μὲν καὶ τῶν περὶ τὸ βασίλειον, οὐκ ὀλίγους σπουδαστάς. ἤλπιζε δὲ μάλιστα κατεργάσασθαι τὸν πατέρα, διὰ τῆς ἀτόσσης. ἐκείνην γὰρ ἐθεράπευσεν ὡς γαμουμένην καὶ συμβασιλεύσουσαν αὐτῷ μετὰ τὴν τοῦ πατρὸς τελευτήν. ἦν δὲ λόγος, ὅτι καὶ

λεμοῦντες, οὐδὲν δὲ πράττοντες ἀξιόλογον, ἀγησιλάῳ τὸν πρὸς βασιλέα τὸν πόλεμον ἐπέτρεψαν. ὁ δὲ, περαιωθεὶς ναυσὶν εἰς ἀσίαν, εὐθὺς ἦν ἐνεργός. καὶ δόξαν εἶχε μεγάλην. καὶ τισαφέρνην παραταξάμενος, ἐνίκησε. καὶ τὰς πόλεις ἀφίστη. τούτων δὲ γινομένων συμφρονήσας ὁ ἀρτοξέρξης, ὃν τρόπον αὐτοῖς δεῖ πολεμητέον, ἔπεμψεν ἑρμοκράτην τὸν ῥόδιον εἰς τὴν ἑλλάδα χρυσίον πολὺ κομίζοντα διδόναι καὶ διαφθείρειν τοὺς πλεῖστον ἐν ταῖς πόλεσι δυναμένους κελεύσας, καὶ πόλεμον ἑλληνικὸν κινεῖν ἐπὶ τὴν λακεδαίμονα. τοῦ δὲ ἑρμοκράτους ταῦτα πράττοντος, καὶ τῶν μεγίστων πόλεων συνισταμένων, καὶ τῆς πελοποννήσου διαταραττομένης, μετεπέμποντο τὸν ἀγησίλαον ἐκ τῆς ἀσίας οἱ ἄρχοντες. ὅτε δὴ καὶ φασὶν αὐτὸν ἀπιόντα, πρὸς τοὺς φίλους εἰπεῖν. ὡς τρισμυρίοις τοξόταις, ἐξελαύνοιτο τῆς ἀσίας ὑπὸ βασιλέως. τὸ γὰρ περσικὸν νόμισμα, τοξότην ἐπίσημον εἶχεν. ἐξέβαλε δὲ καὶ τῆς θαλάσσης λακεδαιμονίους. κόνωνι τῷ ἀθηναίῳ μετὰ φαρναβάζου, στρατηγῷ χρησάμενος. ὁ γὰρ κόνων, διέτριβε μὲν ἐν κύπρῳ μετὰ τὴν ἐν αἰγὸς ποταμοῖς ναυμαχίαν. οὐ τὴν ἀσφάλειαν ἀγαπῶν, ἀλλὰ τὴν τῶν πραγμάτων μεταβολὴν ὥσπερ ἐν πελάγει τροπὴν περιμένων. ὁρῶν δὲ καὶ τοὺς ἑαυτοῦ λογισμοὺς δυνάμεως, καὶ τὴν βασιλέως δύναμιν ἀνδρὸς ἔμφρονος δεομένην, ἔπεμψεν ἐπιστολὴν βασιλεῖ περὶ ὧν διενοεῖτο. καὶ ταύτην ἐκέλευσε τὸν κομίζοντα μάλιστα μὲν ἀποδοῦναι διὰ ζήνωνος τοῦ κρητός. ἢ πολυκρίτου τοῦ μενδαίου. τούτων δ' ἦν ὁ μὲν ζήνων ὀρχηστής. ὁ δὲ πολύκριτος, ἰατρός. ἂν δὲ οὗτοι μὴ παρῶσι, διὰ κτησίου τοῦ ἰατροῦ. λέγεται δὲ ὁ κτησίας τὴν ἐπιστολὴν λαβὼν παρεγγράψαι τοῖς ὑπὸ τοῦ κόνωνος ἐπεσταλμένοις, ὅπως καὶ κτησίαν ἀποστείλῃ πρὸς αὐτὸν, ὠφέλιμον ὄντα ταῖς ἐπὶ θαλάσσῃ πράξεσιν. ὁ δὲ κτησίας, αὐτὸν ὑφ' ἑαυτοῦ βασιλέα φησὶ προσθεῖναι τὴν λειτουργίαν αὐτῷ ταύτην. ἀλλ' ἐπεὶ κρατήσας τῇ περὶ κνίδον ναυμαχίᾳ διὰ φαρναβάζου, καὶ κόνωνος ἀφείλετο τὴν κατὰ θάλατταν ἀρχὴν λακεδαιμονίους, ἐπέστρεψε πᾶσαν ὁμοῦ τὴν ἑλλάδα πρὸς αὐτὸν, ὥστε καὶ τὴν περιβόητον εἰρήνην βραβεῦσαι τοῖς ἕλλησι τὴν ἐπ' ἀνταλκίδου προσαγορευομένην, ὁ δὲ ἀνταλκίδας, σπαρτιάτης, λέοντος ἦν υἱὸς, καὶ σπουδάσας, βασιλεῖ διεπράξατο τὰς ἐν ἀσίᾳ πόλεις ἑλληνίδας ἁπάσας καὶ νήσους, ὅσαι προσκυροῦσιν ἀσίᾳ, παρεῖναι λακεδαιμονίους αὐτῷ κεκτῆσθαι φόρων ὑποτελεῖς, εἰρήνης γινομένης τοῖς ἕλλησιν, εἰ δεῖ τὴν τῆς ἑλλάδος ὕβριν καὶ προδοσίαν, εἰρήνην καλεῖν. ἧς πόλεμος οὐδεὶς ἀκλεέστερον ἤνεγκε τὸ τέλος τοῖς κρατηθεῖσι. διὸ καὶ τοὺς ἄλλους σπαρτιάτας ἀεὶ βδελυττόμενος ὁ ἀρτοξέρξης. καὶ νομίζων ὥς φησι δείνων, ἀνθρώπων ἁπάντων ἀναιδεστάτους εἶναι, τὸν ἀνταλκίδαν ὑπερηγάπησεν εἰς πέρσας ἀναβάντα. καί ποτε λαβὼν, ἕνα τῶν ἀνθινῶν στεφάνων καὶ βάψας εἰς μύρον τὸ πολυτελέστατον ἀπὸ δείπνου, ἔπεμψε τῷ ἀνταλκίδᾳ. καὶ πάντες ἐθαύμαζον τὴν φιλοφροσύνην. ἦν δὲ ὡς ἔοικεν οὗτος ἐπιτήδειος ἐντρυφηθῆναι καὶ τοιοῦτον λαβεῖν στέφανον ὀρχησάμενος ἐν πέρσαις, τὸν λεωνίδαν καὶ τὸν καλλικρατίδαν. ὁ μὲν γὰρ ἀγησίλαος, ὡς ἔοικε πρὸς τὸν εἰπόντα, φεῦ τῆς ἑλλάδος. ὅπου μηδίζουσιν ἡμῖν οἱ λάκωνες, οὐ, μᾶλλον εἶπεν οἱ μῆδοι λακωνίζουσι. τοῦ δὲ ῥήματος ἡ κομψότης, τὴν τοῦ πράγματος αἰσχύνην οὐκ ἀφεῖλεν. ἀλλὰ τὴν μὲν ἡγεμονίαν ἀπώλεσαν ἐν λεύκτροις ἀγωνισάμενοι κακῶς. ἡ δὲ δόξα τῆς σπάρτης προαπώλετο ταῖς ὁμολογίαις ἐκείναις. ἄχρι μὲν οὖν ἐπρώτευεν ἡ σπάρτη, ξένον ἐποιεῖτο, καὶ φίλον ὠνόμαζεν ἑαυτοῦ τὸν ἀνταλκίδαν. ἐπεὶ δὲ ἡττήθησαν ἐν λεύκτροις ταπεινὰ πράττοντες, ἐδέοντο μὲν χρημάτων, καὶ τὸν ἀγησίλαον εἰς αἴγυπτον ἐξέπεμψαν. ὁ δὲ ἀνταλκίδας, ἀνέβη πρὸς τὸν ἀρτοξέρξην, παρακαλῶν ἐπαρκέσαι τοῖς λακεδαιμονίοις. ὁ δὲ, οὕτως ἐξημέλησε καὶ παρεῖδε καὶ ἀπέρριψεν αὐτὸν, ὥστε καταβάντα καὶ χλευαζόμενον ὑπὸ τῶν ἐχθρῶν. φοβούμενον δὲ καὶ τοὺς ἐφόρους, ἀποκαρτερῆσαι. ἀνέβη δὲ πρὸς τὸν βασιλέα, καὶ ἰσμηνίας, ὁ θηβαῖος. καὶ πελοπίδας, ἤδη τῆς ἐν λεύκτροις μάχης νενικηκώς. ἀλλὰ οὗτος μὲν, οὐδὲν αἰσχρὸν ἐποίησεν, ἰσμηνίας δὲ προσκυνῆσαι κελευόμενος, ἐξέβαλε πρὸ αὐτοῦ χαμᾶζε τὸν δακτύλιον, εἶτα κύψας ἀνείλετο, καὶ παρέσχε δόξαν προσκυνοῦντος. τιμαγόρᾳ δὲ τῷ ἀθηναίῳ, διὰ βηλουρίδου τοῦ γραμματέως εἰσπέμψαντι γραμματίδιον ἀπόρρητον, ἡσθεὶς, μυρίους τε δαρεικοὺς ἔδωκε. καὶ γάλακτος βοείου δεομένῳ δι' ἀσθένειαν, ὀγδοήκοντα βοῦς ἀμελγομένας παρηκολούθουν. ἔτι δὲ κλίνην καὶ στρώματα καὶ τοὺς στρωννύντας ἔπεμψε, ὡς οὐ μεμαθηκότων ἑλλήνων ὑποστρωννύναι. καὶ φορεῖς τοὺς κομίζοντας αὐτὸν ἄχρι θαλάσσης μαλακῶς ἔχοντα. παρόντι δὲ δεῖπνον ἐπέμπετο λαμπρότατον. ὥστε καὶ τὸν ἀδελφὸν τοῦ βασιλέως ὀστάνην, ὦ τιμαγόρα φάναι, μέμνησο ταύτης τῆς τραπέζης. οὐ γὰρ ἐπὶ σμικροῖς οὕτω σοι κεκοσμημένη παράκειται. ἦν δ' ἦν ὀνειδισμὸς εἰς προδοσίαν μᾶλλον, ἢ χάριτος, ὑπόμνησιν. τιμαγόρου μὲν οὖν διὰ τὴν δωροδοκίαν ἀθηναῖοι θάνατον κατέγνωσαν. ὁ δὲ ἀρτοξέρξης ἓν ἀντὶ πάντων ὧν ἐλύπει τοὺς ἕλληνας ηὔφρανε. τισαφέρνην τὸν ἔχθιστον αὐτοῖς καὶ δυσμενέστατον ἀποκτείνας. ἀπέκτεινε δὲ ταῖς διαβολαῖς αὐτοῦ τῆς παρυσάτιδος συνεπιθεμένης. οὐ γὰρ ἐνέμεινεν ἐν τῇ ὀργῇ πολὺν χρόνον ὁ βασιλεὺς, ἀλλὰ διηλλάγη τῇ μητρὶ καὶ μετεπέμψατο. νοῦν μὲν ὁρῶν ἔχουσαν καὶ φρόνημα βασιλείας ἄξιον. αἰτίας δὲ μηδεμιᾶς ἐμποδὼν οὔσης ἔτι, δι' ἣν ὑπόψονται συνόντες ἀλλήλοις ἢ λυπήσουσιν. ἐκ δὲ τούτου, πάντα πρὸς χάριν ὑπουργοῦσα βασιλεῖ. καὶ τῷ πρὸς μηδὲν ὧν ἐκεῖνος ἔπραττεν δυσκολαίνειν, ἔχουσα τὸ δύνασθαι παρ' αὐτῷ καὶ τυγ

κάριος, εἰ χαλεπαίνεις διὰ γέροντα πονηρὸν εὐνοῦχον. ἐγὼ δὲ χιλίους ἐκκυβεύσασα δαρεικοὺς, σιωπῶ καὶ στέργω. βασιλεὺς μὲν οὖν ἐφ' οἷς ἐξηπατήθη μεταμελόμενος, ἡσυχίαν ἦγεν. ἡ δὲ Στάτειρα, καὶ πρὸς τἆλλα φανερῶς ὑπηναντιοῦτο, καὶ τούτοις ἐδυσχέραινεν ὡς ἄνδρας εὐνούχους καὶ πιστοὺς βασιλεῖ, διὰ Κῦρον ὠμῶς καὶ παρανόμως ἀπολλυούσης αὐτῆς. ἐπεὶ δὲ Κλέαρχον καὶ τοὺς ἄλλους στρατηγοὺς, Τισσαφέρνης ἐξηπάτησεν, ὅρκων γενομένων. καὶ συλλαβὼν ἀνέπεμψεν ἐν πέδαις δεδεμένους, δεηθῆναι φησὶν αὐτοῦ τὸν Κλέαρχον ὁ Κτησίας, ὅπως κτενὸς εὐπορήσειε. τυχόντα δὲ καὶ τημελήσαντα τὴν κεφαλὴν, ἡσθῆναί τε τῇ χρείᾳ. καὶ τὸν δακτύλιον αὐτῷ δοῦναι σύμβολον φιλίας πρὸς τοὺς ἐν Λακεδαίμονι συγγενεῖς καὶ οἰκείους. εἶναι δὲ γλυφὴν ἐν τῇ σφραγῖδι καρυάτιδας ὀρχουμένας. τὰ δὲ πεμπόμενα σιτία τῷ Κλεάρχῳ, τοὺς συνδεδεμένους στρατιώτας ἀφαιρεῖσθαι καὶ καταναλίσκειν, ὀλίγα τῷ Κλεάρχῳ διδόντας ἀπ' αὐτῶν. ἰᾶσθαι δὲ καὶ τοῦτο φησὶν ὁ Κτησίας, πλείονα τῷ Κλεάρχῳ πέμπεσθαι διαπραξάμενος. ἰδίᾳ δὲ ἕτερα τοῖς στρατιώταις δίδοσθαι. καὶ ταῦτα μὲν ὑπουργῆσαι καὶ παρασχεῖν, χάριτι καὶ γνώμῃ τῆς Παρυσάτιδος. πεμπομένου δὲ καθ' ἡμέραν τῷ Κλεάρχῳ κωλῆνος ἐπὶ τοῖς σιτίοις, παρακαλεῖν αὐτὸν καὶ διδάσκειν, ὡς χρὴ μικρὸν εἰς τὸ κρέας ἐμβαλόντα μαχαίριον, ἀποκρύψαντα πέμψαι, καὶ μὴ περιιδεῖν ἐν τῇ βασιλέως ὠμότητι τὸ τέλος αὐτοῦ γενόμενον. αὐτὸν δὲ φοβούμενον μὴ ἐθελῆσαι. βασιλέα δὲ τῇ μὲν μητρὶ παραιτουμένῃ μὴ κτεῖναι τὸν Κλέαρχον, ὁμολογῆσαι καὶ ὀμόσαι. πεισθέντα δὲ αὖθις ὑπὸ τῆς Στατείρας ἀποκτεῖναι πάντας, πλὴν Μένωνος. ἐκ δὲ τούτου τὴν Παρύσατιν ἐπιβουλεῦσαι τῇ Στατείρᾳ. καὶ συσκευάσασθαι τὴν φαρμακείαν κατ' αὐτῆς. οὐκ εἰκότα λέγων, ἀλλὰ πολλὴν ἀλογίαν ἔχοντα τῆς αἰτίας. εἰ δεινὸν ἔργον οὕτως ἔδρασε καὶ παρεκινδύνευσεν ἡ Παρύσατις, διὰ Κλέαρχον ἀνελεῖν τολμήσασα τὴν γνησίαν βασιλέως γυναῖκα, καὶ τέκνων κοινωνὸν ἐπὶ βασιλείᾳ τρεφομένων. ἀλλὰ ταῦτα μὲν οὐκ ἄδηλον ὡς ἐπιτραγῳδεῖται τῇ Κλεάρχου μνήμῃ. καὶ γὰρ ἀναιρεθέντων φησὶ τῶν στρατηγῶν, τοὺς μὲν ἄλλους ὑπὸ κυνῶν σπαράττεσθαι καὶ ὀρνέων. τῷ δὲ Κλεάρχου νεκρῷ, θύελλαν ἀνέμου, γῆς θῖνα πολλὴν φέρουσαν, ἐπιχῶσαι, καὶ ἐπικρύψαι τὸ σῶμα. φοινίκων δέ τινων διασπαρέντων, ὀλίγῳ χρόνῳ θαυμαστὸν ἄλσος ἀναφῦναι καὶ κατασκιάσαι τὸν τόπον. ὥστε καὶ βασιλεῖ, σφόδρα μεταμέλειν ὡς ἄνδρα θεοῖς φίλον ἀνῃρηκότι τὸν Κλέαρχον. ἡ δ' οὖν Παρύσατις μῖσός τε πρὸς τὴν Στάτειραν ἐξ ἀρχῆς ὑποκείμενον καὶ ζηλοτυπίαν. ὁρῶσα τὴν μὲν αὐτῆς δύναμιν αἰδουμένου βασιλέως καὶ τιμῶντος οὖσαν. τὴν δ' ἐκείνης ἔρωτι καὶ πίστει βέβαιον καὶ ἰσχυρὰν, ἐπεβούλευσεν ὑπὲρ τῶν μεγίστων ὡς ᾤετο παραβαλλομένη. θεράπαιναν εἶχε πιστὴν καὶ δυναμένην παρ' αὐτῇ μέγιστον, ὄνομα Γίγιν. ἣν ὁ μὲν Δείνων, ὑπουργεῖσθαι τῇ φαρμακείᾳ φησί, συγγνῶναι δὲ μόνον ἄκουσαν ὁ Κτησίας. τὸν δὲ δόντα τὸ φάρμακον, οὗτος μὲν ὀνομάζει Βελιτάραν. ὁ δὲ Δείνων, Μελάνταν. ἐκ δὲ τῆς πρόσθεν ὑποψίας, καὶ διαφορᾶς ἀρξάμεναι πάλιν εἰς τὸ αὐτὸ φοιτᾶν καὶ συνδειπνεῖν ἀλλήλαις, ὅμως τῷ δεδιέναι καὶ φυλάττεσθαι, τοῖς αὐτοῖς σιτίοις καὶ ἀπὸ τῶν αὐτῶν ἐχρῶντο. γίνεται δὲ μικρὸν ἐν Πέρσαις ὀρνίθιον, ᾧ περιττώματος οὐδέν ἐστιν, ἀλλ' ὅλον διάπλεων πιμελῆς τὰ ἐντὸς, ᾗ καὶ νομίζουσιν ἀνέμῳ καὶ δρόσῳ τρέφεσθαι τὸ ζῷον. ὀνομάζεται δὲ, ῥυντάκης. τοῦτό φησιν ὁ Κτησίας μικρᾷ μαχαιρίδι κεχρισμένῃ τῷ φαρμάκῳ κατὰ θάτερα τὴν Παρύσατιν διαιροῦσαν, ἀπομάξαι τῷ ἑτέρῳ μορίῳ τὸ φάρμακον. καὶ τὸ μὲν ἄχραντον καὶ καθαρὸν, εἰς τὸ στόμα βαλοῦσαν, αὐτὴν ἐσθίειν. δοῦναι δὲ τῇ Στατείρᾳ τὸ πεφαρμαγμένον. ὁ δὲ Δείνων, οὐ τὴν Παρύσατιν, ἀλλὰ τὸν Μελάνταν τέμνοντα τῷ μαχαιρίῳ τὰ φαρμακώμενα τῶν κρεῶν, τιθέναι κατὰ τὴν Στάτειραν. ἀποθνήσκουσα γοῦν ἡ γυνὴ μετὰ πόνων μεγάλων καὶ σπαραγμῶν, αὐτή τε συνῃσθάνετο τοῦ κακοῦ, καὶ βασιλεῖ παρέσχεν ὑποψίαν κατὰ τῆς μητρὸς, εἰδότι τὸ θηριῶδες αὐτῆς καὶ δυσμείλικτον. ὅθεν εὐθὺς ἐπὶ τὴν ζήτησιν ὁρμήσας, τοὺς μὲν ὑπηρέτας καὶ τραπεζοκόμους τῆς μητρὸς, συνέλαβε καὶ κατεστρέβλωσε. τὴν δὲ Γίγιν ἡ Παρύσατις πολὺν χρόνον εἶχεν οἴκοι μεθ' αὐτῆς, καὶ βασιλέως ἐξαιτοῦντος, οὐκ ἔδωκεν. ἀλλ' ὕστερον αὐτῆς δεηθείσης, εἰς τὸν οἶκον ἀφεθῆναι νυκτὸς, αἰσθόμενος καὶ λόχον ὑφεὶς συνήρπασε καὶ κατέγνω θάνατον. ἀποθνήσκουσι δὲ οἱ φαρμακεῖς ἐν Πέρσαις κατὰ νόμον, οὕτως. λίθος ἐστὶ πλατὺς, ἐφ' οὗ τὴν κεφαλὴν καταθέντες αὐτῶν, ἑτέρῳ λίθῳ παίουσι καὶ πιέζουσιν, ἄχρις οὗ συνθλάσωσι τὸ πρόσωπον καὶ τὴν κεφαλήν. ἡ οὖν Γίγις, οὕτως ἀπέθανε. τὴν δὲ Παρύσατιν ὁ Ἀρτοξέρξης, ἄλλο μὲν οὐδὲν οὔτε εἶπε κακὸν, οὔτε ἐποίησεν. εἰς δὲ Βαβυλῶνα βουλομένην, ἐξέπεμψεν, εἰπὼν, ἕως ἐκείνη περίεστιν, αὐτὸς οὐκ ὄψεται Βαβυλῶνα. τὰ μὲν οὖν κατὰ τὴν οἰκίαν, οὕτως εἶχεν. ἐπεὶ δὲ τοὺς Κύρῳ συναναβάντας Ἕλληνας σπουδάσας, λαβεῖν ὁ βασιλεὺς οὐδὲν ἧττον ἢ Κύρου περιγενέσθαι, καὶ τὴν βασιλείαν κατασχεῖν, οὐκ ἔλαβεν. ἀλλὰ Κῦρον τὸν ἡγεμόνα, καὶ τοὺς αὐτῶν στρατηγοὺς ἀποβαλόντες, ἐξ αὐτῶν μονονουχὶ τῶν βασιλείων ἐσώθησαν. ἐξελέγξαντες καὶ ἀποφήναντες τὰ Περσῶν καὶ βασιλέως πράγματα, χρυσὸν ὄντα πολὺν καὶ τρυφὴν καὶ γυναῖκας. τὰ δὲ ἄλλα, τῦφον καὶ ἀλαζονείαν, πᾶσα μὲν ἡ Ἑλλὰς ἐξεθάρρησε καὶ κατεφρόνησε τῶν βαρβάρων. Λακεδαιμονίοις δὲ δεινὸν ἐφαίνετο, μὴ νῦν γε δουλείας ἐξελέσθαι, τοὺς τὴν Ἀσίαν κατοικοῦντας Ἕλληνας. μηδὲ παῦσαι προπηλακιζομένους ὑπ' αὐτῶν. πρότερον δὲ διὰ Θίμβρωνος. εἶτα διὰ Δερκυλίδου πο-

[illegible] κ.τ.π.

ἰάσασθαι τ.

ὑπουργῆσαι τ. π.

ἐκμάξαι τ. π.

κεν ἀγαθῶν, καὶ ἀπειθὴς εὐθὺς αἰτιᾶσθαι τῶν ὑπὲρ αὐτὸν, οὐκ ἠξίου τὰ δοθέντα μισθὸν εὐαγγελίων ἔχειν, ἀλλ' ἠγανάκτει μαρτυρόμενος καὶ βοῶν, ὅτι Κῦρον οὐδεὶς ἕτερος, ἀλλ' αὐτὸς ἀπεκτόνοι. καὶ τὴν δόξαν οὐ δικαίως ἀποστεροῖτο. ταῦτα δὲ ἀκούσας ὁ βασιλεὺς, σφόδρα παρωξύνθη, καὶ τὴν κεφαλὴν ἐκέλευσεν ἀποτεμεῖν τοῦ ἀνθρώπου, παροῦσα δὲ ἡ μήτηρ, μὴ σύ γε εἶπεν οὕτω τὸν Κᾶρα τοῦτον ὦ βασιλεῦ, τὸν ὄλεθρον ἀπαλλάξῃς, ἀλλὰ παρ' ἐμοῦ τὸν ἄξιον ἀπολήψεται μισθὸν ὧν τολμᾷ λέγειν. ἐπιτρέψαντος δὲ τοῦ βασιλέως, ἐκέλευσε τοὺς ἐπὶ τῶν τιμωριῶν ἡ Παρύσατις λαβόντας τὸν ἄνθρωπον, ἐφ' ἡμέρας δέκα στρεβλοῦν, εἶτα τοὺς ὀφθαλμοὺς ἐξορύξαντας εἰς τὰ ὦτα θερμὸν ἐντήκειν χαλκὸν ἕως ἀποθάνοι. κακῶς δὲ ἀπώλετο καὶ Μιθριδάτης μετ' ὀλίγον χρόνον ἐκ τῆς αὐτῆς ἀβελτηρίας. κληθεὶς γὰρ ἐπὶ δεῖπνον, ἔνθα καὶ βασιλέως. ἐπεὶ δὲ εἰς τὸ δεῖπνον ἀφίκοντο, λέγει πρὸς αὐτὸν ὁ μέγιστον δυνάμενος τῶν Παρυσάτιδος εὐνούχων. ὡς καλὴν μὲν ἐσθῆτά σοι ταύτην Μιθριδάτα, ὁ βασιλεὺς δέδωκε. καλὰ δὲ στρεπτὰ καὶ ψέλια. πολλοῦ δὲ ἄξιος ὁ ἀκινάκης, ὃν μακάριόν σε καὶ περίβλεπτον ἅπασι πεποίηκεν. ἤδη δὲ μεθύων ὁ Μιθριδάτης, τί δὲ ταῦτα ἐστὶν εἶπεν ὦ Σπαραμίζη. μειζόνων γὰρ ἐγὼ καὶ καλλιόνων βασιλεῖ τὴν ἡμέραν ἐκείνην, ἄξιον ἐμαυτὸν παρέσχον. καὶ ὁ Σπαραμίζης ἐπιμειδιάσας, φθόνος μὲν οὐδεὶς ὦ Μιθριδάτα εἶπεν. ἐπεὶ δὲ φασὶν Ἕλληνες, οἶνον καὶ ἀλήθειαν εἶναι. τί λαμπρὸν ὦ τᾶν, ἢ μέγα, ἵππον εὑρεῖν ἀποσυρρυέντα καὶ τοῦτον ἀποκτεῖναι. ταῦτα δὲ οὐκ ἀγνοῶν τὸ ἀληθὲς ἔλεγεν, ἀλλὰ βουλόμενος ἐκκαλύψαι πρὸς τοὺς παρόντας, ὑπεκίνει τὴν κουφότητα τοῦ ἀνθρώπου, λάλου καὶ ἀκρατοῦς γεγονότος ὑπὸ τὸν οἶνον. εἶπεν οὖν μὴ κατασχών. ὑμεῖς μὲν ὅτι βούλεσθε ψιλοὺς λέγετε καὶ φλυαρεῖτε, ἐγὼ δὲ ὑμῖν λέγω διαρρήδην ὑπὸ ταύτης ἀνῃρῆσθαι Κῦρον τῆς χειρός. οὐ γὰρ ὡς Ἀρταγέρσης ἠκόντισα κενὸν καὶ μάταιον, ἀλλὰ τοῦ μὲν ὀφθαλμοῦ, μικρὸν ἥμαρτον, τοῦ δὲ κροτάφου τυχὼν καὶ διελάσας κατέβαλον ἄνδρα, καὶ τέθνηκεν ὑπ' ἐκείνου τοῦ τραύματος. οἱ μὲν οὖν ἄλλοι τὸ τέλος ἤδη τοῦ Μιθριδάτου καὶ τὴν κακοδαιμονίαν ὁρῶντες, εἰς τὴν γῆν ἔκυψαν. ὁ δὲ ἑστιῶν αὐτοὺς, ὦ τᾶν ἔφη Μιθριδάτα, πίνωμεν ἐν τῷ παρόντι καὶ ἐσθίωμεν τὸν βασιλέως δαίμονα προσκυνοῦντες, λόγους δὲ μείζους ἢ καθ' ἡμᾶς ἐάσωμεν. ἐκ τούτου, τῇ μὲν Παρυσάτιδι, φράζει τὸν λόγον ὁ εὐνοῦχος. ἐκείνη δὲ τῷ βασιλεῖ. βασιλεὺς δὲ ἠγανάκτησεν ὡς ἐξελεγχόμενος, καὶ τὸ κάλλιστον καὶ ἥδιστον ἀπολλύων τῆς νίκης. ἐβούλετο γὰρ βαρβάρους ἅπαντας πεπεῖσθαι καὶ Ἕλληνας, ὡς ἐν ταῖς ἐξελάσεσι καὶ συμπλοκαῖς δοὺς καὶ λαβὼν πληγὴν, ἐτρώθη μὲν αὐτὸς, ἔκτεινε δὲ ἐκεῖνον. ἐκέλευσεν οὖν τὸν Μιθριδάτην ἀποθανεῖν σκαφευθέντα. τὸ δὲ σκαφευθῆναι, τοιοῦτόν ἐστι. σκάφας δύο πεποιημένας ἐφαρμόζειν ἀλλήλαις λαβόντες, εἰς τὴν ἑτέραν κατακλίνουσι τὸν κολαζόμενον ὕπτιον, εἶτα τὴν ἑτέραν ἐπάγοντες καὶ συναρμόζοντες, ὥστε τὴν κεφαλὴν καὶ τὰς χεῖρας ἔξω καὶ τοὺς πόδας ἀπολαμβάνεσθαι. τὸ δὲ ἄλλο σῶμα πᾶν ἀποκεκρύφθαι, διδόασιν ἐσθίειν τῷ ἀνθρώπῳ, κἂν μὴ θέλῃ, προσβιάζονται κεντοῦντες τὰ ὄμματα. φαγόντι δὲ, πιεῖν μέλι καὶ γάλα συγκεκραμένον ἐγχέουσιν. εἶτα πρὸς τὸν ἥλιον ἀεὶ στρέφουσιν ἐναντία τὰ ὄμματα. καὶ μυιῶν προσκαθημένων πλήθει, πᾶν ἀποκρύπτεται τὸ πρόσωπον. ἐντὸς δὲ ποιοῦντος, ὅσα ποιεῖν ἀναγκαῖόν ἐστιν ἐσθίοντας ἀνθρώπους καὶ πίνοντας, εὐλαὶ καὶ σκώληκες ὑπὸ φθορᾶς καὶ σηπεδόνος ἐκ τοῦ περιττώματος ἀναζέουσιν, ὑφ' ὧν ἀναλίσκεται τὸ σῶμα διαδυομένων εἰς τὰ ἐντός. ὅταν γὰρ ἤδη φανερὸς ᾖ τεθνηκὼς ὁ ἄνθρωπος, ἀφαιρεθείσης τῆς ἐπάνω σκάφης, ὁρῶσι τὴν μὲν σάρκα κατεδηδεσμένην. περὶ δὲ σπλάγχνα τοιούτων θηρίων ἑσμοὺς ἐσθιόντων καὶ προσπεφυκότων. οὕτως ὁ Μιθριδάτης ἑπτακαίδεκα ἡμέρας φθειρόμενος, μόλις ἀπέθανε. λοιπὸς δ' ἦν τῇ Παρυσάτιδι σκοπὸς ὁ τὴν κεφαλὴν ἀποτεμὼν καὶ τὴν χεῖρα τοῦ Κύρου Μασαβάτης βασιλέως εὐνοῦχος. ὡς οὖν αὐτὸς οὐδεμίαν καθ' ἑαυτοῦ λαβὴν παρεδίδου, τοιοῦτον ἐπιβουλῆς τρόπον ἡ Παρύσατις συνέθηκεν. ἦν τάτε ἄλλα θυμόσοφος γυνὴ καὶ δεινὴ κυβεύειν. διὸ καὶ βασιλεῖ πρὸ τοῦ πολέμου πολλάκις συνεκύβευε. μετὰ δὲ τὸν πόλεμον καὶ διαλυθεῖσα πρὸς αὐτὸν, οὐκ ἔφυγε τὰς φιλοφροσύνας. ἀλλὰ καὶ συνέπαιζε. καὶ τῶν ἐρωτικῶν ἐκοινώνει, συμπράττουσα καὶ παροῦσα. καὶ ὅλως μικρότατον αὐτοῦ τῇ Στατείρᾳ μετεδίδου χρῆσθαι καὶ συνεῖναι, μισοῦσά τε μάλιστα πάντων ἐκείνην, καὶ μέγιστον αὐτὴ βουλομένη δύνασθαι. λαβοῦσα δή ποτε τὸν Ἀρτοξέρξην ὡρμημένον ἀλύειν σχολῆς οὔσης, προὐκαλεῖτο περὶ χιλίων δαρεικῶν κυβεῦσαι. καὶ κυβεύοντα, περιεῖδε νικῆσαι. καὶ τὸ χρυσίον ἀπέδωκε. προσποιουμένη δὲ ἀνιᾶσθαι καὶ φιλονεικεῖν, ἐκέλευσεν αὖθις ἐξ ἀρχῆς περὶ εὐνούχου διακυβεῦσαι. κἀκεῖνος ὑπήκουσε. ποιησάμενοι δὲ συνθήκας. πέντε μὲν ἑκάτερον ὑπεξελέσθαι τοὺς πιστοτάτους. ἐκ δὲ τῶν λοιπῶν, ὃν ἂν ὁ νικῶν ἕληται, δοῦναι τὸν ἡττώμενον. ἐπὶ τούτοις ἐκύβευον. σφόδρα δὲ γενομένη πρὸς τῷ πράγματι καὶ σπουδάσασα περὶ τὴν παιδιάν. εὖ δέ πως αὐτῇ καὶ τῶν κύβων πεσόντων νικήσασα, λαμβάνει τὸν Μασαβάτην. οὐ γὰρ ἦν ἐν τοῖς ὑπεξῃρημένοις, καὶ πρὶν ἐν ὑποψίᾳ βασιλέα γενέσθαι τοῦ πράγματος, ἐγχειρίσασα τοῖς ἐπὶ τῶν τιμωριῶν, προσέταξεν ἐκδεῖραι ζῶντα. καὶ τὸ μὲν σῶμα πλάγιον διὰ τριῶν σταυρῶν ἀναπῆξαι. τὸ δὲ δέρμα χωρὶς διαπατταλεῦσαι. γενομένων δὲ τούτων, καὶ βασιλέως χαλεπῶς φέροντος, καὶ παροξυνομένου πρὸς αὐτὴν, εἰρωνευομένη μετὰ γέλωτος, ὡς ἡδὺς ἔφασκεν εἶ καὶ μα-

θέσθαι καὶ σώζειν, ἀδυνάτως δ' ἔχοντα καὶ δι' αὐτοῦ προθυμούμενον βαδίζειν, ὑπολαβόντες ἦγον. τῷ μὲν σώματι καρηβαροῦντα καὶ σφαλλόμενον, οἰόμενον δὲ νικᾶν. ἀκούοντα τῶν φευγόντων ἀνακαλουμένων Κῦρον βασιλέα καὶ φείδεσθαι δεομένων. ἐν δὲ τούτῳ, Καύνιοί τινες ἄνθρωποι κακόβιοι καὶ ἄποροι, καὶ ταπεινῶν ὑπουργημάτων ἕνεκα τῇ τοῦ βασιλέως στρατιᾷ παρακολουθοῦντες, ἔτυχον ἀναμιχθέντες ὡς φίλοι τοῖς περὶ τὸν Κῦρον. ὡς δὲ μόλις συνεῖδον τὰ περὶ θωρακίδια φοινικᾶ, λευκοῖς χρωμένων τῶν βασιλικῶν ἁπάντων, ἔγνωσαν πολεμίους ὄντας. εἷς οὖν ἐκείνων ἐτόλμησεν ἀγνοῶν ὑστερόπισθεν βαλεῖν τὸν Κῦρον ἀκοντίῳ. τῆς δὲ περὶ τὴν ἰγνύαν φλεβὸς ἀναρραγείσης, πεσὼν ὁ Κῦρος, ἅμα παίει πρός τινι λίθῳ τὸν τετρωμένον κρόταφον, καὶ ἀποθνήσκει. τοιοῦτος μὲν ὁ Κτησίου λόγος. ᾧ καθάπερ ἀμβλεῖ ξιφιδίῳ μόλις ἀναιρῶν τὸν ἄνθρωπον, ἀνῄρηκεν. ἤδη δὲ αὐτοῦ τεθνηκότος, Ἀρτασύρας ὁ βασιλέως ὀφθαλμὸς, ἔτυχεν ἵππῳ παρεξελαύνων. γνωρίσας οὖν τοὺς εὐνούχους ὀλοφυρομένους ἠρώτησε τὸν πιστότατον αὐτῶν. τίνα τοῦτον ὦ Παρίσκα κλαίεις παρακαθήμενος. ὁ δὲ, εἶπεν. οὐχ ὁρᾷς ὦ Ἀρτασύρα Κῦρον τεθνηκότα. θαυμάσας οὖν ὁ Ἀρτασύρας, τῷ μὲν εὐνούχῳ, θαρρεῖν παρεκελεύσατο καὶ φυλάττειν τὸν νεκρόν. αὐτὸς δὲ συντείνας πρὸς τὸν Ἀρτοξέρξην, ἀπεγνωκότα μὲν ἤδη τὰ πράγματα. κακῶς δὲ καὶ τὸ σῶμα διακείμενον, ὑπό τε δίψης καὶ τοῦ τραύματος, χαίρων φράζει. ὡς αὐτὸς ἴδοι τεθνηκότα Κῦρον. ὁ δὲ, πρῶτον μὲν εὐθὺς ὥρμησεν αὐτὸς ἰέναι, καὶ τὸν Ἀρτασύραν ἄγειν ἐκέλευσεν ἐπὶ τὸν τόπον. ἐπεὶ δὲ πολὺς ἦν λόγος τῶν Ἑλλήνων καὶ φόβος, ὡς διωκόντων καὶ πάντα νικώντων, καὶ κρατούντων, ἔδοξε πλείονας πέμψαι τοὺς κατοψομένους. καὶ τριάκοντα λαμπάδας ἔχοντες ἐπέμφθησαν. αὐτῷ δὲ μικρὸν ἀπολείποντι τοῦ τεθνάναι διὰ τὸ δίψην, Σατιβαρζάνης ὁ εὐνοῦχος, περιθέων ἐζήτει ποτόν. οὐ γὰρ εἶχε τὸ χωρίον ὕδωρ. καὶ οὐδὲ ἦν ἐγγὺς τὸ στρατόπεδον. μόλις οὖν ἐπιτυγχάνει τῶν Καυνίων ἐκείνων τῶν κακοβίων ἑνὸς, ἐν ἀσκίῳ φαύλῳ διεφθαρμένον ὕδωρ καὶ πονηρὸν ἔχοντος, ὅσον ὀκτὼ κοτύλας, καὶ λαβὼν τοῦτο, καὶ κομίσας βασιλεῖ, δίδωσιν. ἐκπιόντα δὲ ἅπαν, ἠρώτησεν εἰ μὴ πάνυ δυσχεραίνοι τὸ ποτόν. ὁ δὲ, ὤμοσε τοὺς θεοὺς, μήτε οἶνον ἡδέως οὕτως πώποτε πεπωκέναι, μήτε ὕδωρ τὸ κουφότατον καὶ καθαρώτατον, ὥστε ἔφη τὸν δόντα σοι τοῦτο ἄνθρωπον ἂν ἐγὼ μὴ δυνηθῶ ζητήσας ἀμείψασθαι, τοὺς θεοὺς εὔχομαι ποιῆσαι μακάριον καὶ πλούσιον. ἐν δὲ τούτῳ προσήλαυνον οἱ τριάκοντα λαμπροὶ καὶ περιχαρεῖς, ἀγγέλλοντες αὐτῷ τὴν ἀνέλπιστον εὐτυχίαν. ἤδη δὲ καὶ πλήθει τῶν συντρεχόντων πάλιν πρὸς αὐτὸν καὶ συνισταμένων, ἐθάρρει καὶ κατέβαινεν ἀπὸ τοῦ λόφου, φωτὶ πολλῷ περιλαμπόμενος. ὡς δὲ ἐπέστη τῷ νεκρῷ, καὶ κατὰ δή τινα νόμον Περσῶν ἡ δεξιὰ χεὶρ ἀπεκόπη καὶ ἡ κεφαλὴ τοῦ σώματος, ἐκέλευσε τὴν κεφαλὴν αὐτοῦ κομισθῆναι, καὶ τῆς κόμης δραξάμενος οὔσης βαθείας καὶ λασίας, ἐπεδείκνυε τοῖς ἀμφιδοξοῦσιν ἔτι καὶ φεύγουσιν. οἱ δὲ, ἐθαύμαζον καὶ προσεκύνουν, ὥστε ταχὺ μυριάδας ἑπτὰ περὶ αὐτὸν γενέσθαι, καὶ συνεισελάσαι πάλιν εἰς τὸ στρατόπεδον. ἐξήλασε δὲ ὡς ὁ Κτησίας φησὶν ἐπὶ τὴν μάχην, τεσσαράκοντα μυριάσιν. οἱ δὲ, περὶ Δείνωνα καὶ Ξενοφῶντα, πολὺ πλείονας γενέσθαι λέγουσι τὰς μεμαχημένας. ἀριθμὸν δὲ νεκρῶν ὁ Κτησίας, ἐνακισχιλίους ἀνενεχθῆναι φησὶ πρὸς τὸν Ἀρτοξέρξην. αὐτῷ δὲ δισμυρίων οὐκ ἐλάττους φανῆναι τοὺς κειμένους. ταῦτα μὲν οὖν ἔχει διαμφισβήτησιν. ἐκεῖνο δὲ τοῦ Κτησίου λαμπρὸν ἤδη ψεῦσμα, τὸ πεμφθῆναι φάναι πρὸς τοὺς Ἕλληνας αὐτὸν, μετὰ Φαλίνου τοῦ Ζακυνθίου, καί τινων ἄλλων. ὁ γὰρ Ξενοφῶν, ἠπίστατο συνδιατρίβοντα βασιλεῖ Κτησίαν. μέμνηται γὰρ αὐτοῦ καὶ τοῖς βιβλίοις τούτοις, ἐντετυχὼς, δῆλός ἐστιν. οὐκ ἂν οὖν ἐλθόντα, καὶ λόγων τοσούτων ἑρμηνέα γενόμενον, παρῆκεν ἀνώνυμον. Φάλλον δὲ, τὸν Ζακύνθιον ὠνόμαζεν. ἀλλὰ δαιμονίως ὁ Κτησίας ὡς ἔοικε φιλότιμος ὢν καὶ οὐχ ἧττον φιλολάκων καὶ φιλοκλέαρχος, ἀεί τινας ἐν τῇ διηγήσει χώρας ἑαυτῷ δίδωσιν, ἐν αἷς γενόμενος, πολλὰ καὶ καλὰ μεμνήσεται Κλεάρχου καὶ τῆς Λακεδαίμονος. μετὰ δὲ τὴν μάχην δῶρα κάλλιστα μὲν ἐξέπεμψε καὶ μέγιστα τῷ Ἀρταγέρσου παιδὶ, τοῦ πεσόντος ὑπὸ Κύρου. καλῶς δὲ καὶ Κτησίαν καὶ τοὺς ἄλλους ἐτίμησεν. τὸν δὲ Καύνιον ἐκεῖνον ἐξανευρὼν, ὃς ἐπέδωκε τὸ ἀσκίον, ἐξ ἀδόξου καὶ πένητος, ἔντιμον καὶ πλούσιον ἐποίησεν. ἦν δέ τις ἐμμέλεια καὶ περὶ τὰς τῶν ἐξαμαρτόντων δικαιώσεις. Ἀρβάκην μὲν γάρ τινα Μῆδον ἐν τῇ μάχῃ πρὸς Κῦρον φυγόντα. καὶ πάλιν ἐκείνου πεσόντος μεταστάντα, δειλίαν καὶ μαλακίαν καταγνοὺς, οὐ προδοσίαν οὐδὲ κακόνοιαν, ἐκέλευσε, γυμνὴν ἀναλαβόντα πόρνην, περιβάδην ἐπὶ τοῦ τραχήλου δι' ἡμέρας ὅλης, ἐν ἀγορᾷ περιφέρειν. ἑτέρου δὲ πρὸς τῷ μεταστῆναι ψευσαμένου καταβαλεῖν δύο τῶν πολεμίων, προσέταξε διαπεῖραι τρισὶ βελόναις τὴν γλῶτταν. οἰόμενος δὲ καὶ βουλόμενος δοκεῖν καὶ λέγειν πάντας ἀνθρώπους, ὡς αὐτὸς ἀπεκτόνοι Κῦρον, Μιθριδάτῃ τε τῷ βαλόντι πρώτῳ Κῦρον, ἐξέπεμψε δῶρα καὶ λέγειν ἐκέλευσε τοὺς διδόντας ὡς τούτοις σε τιμᾷ ὁ βασιλεὺς ὅτι τὸν ἐφίππειον Κύρου πῖλον εὑρὼν ἀνήνεγκας. τοῦ δὲ Καρὸς ὑφ' οὗ τὴν ἰγνύαν πληγεὶς ὁ Κῦρος ἔπεσε, καὶ αὐτοῦ δωρεὰν αἰτοῦντος, ἐκέλευσεν εἰπεῖν τοὺς διδόντας, ὅτι σοι ταῦτα δίδωσι βασιλεὺς εὐαγγελίων δευτερεῖα. πρῶτος γὰρ Ἀρτασύρας. μετ' ἐκεῖνον δὲ σὺ τὴν Κύρου τελευτὴν ἀπήγγειλας. ὁ μὲν οὖν Μιθριδάτης, ἀπῆλθε σιωπῇ λυπούμενος. τὸν δὲ ἄθλιον Κᾶρα, κοινόν τι πάθος ἐξ ἀβελτηρίας κατέσχε. διαφθαρεὶς γὰρ ὑπὸ τῶν παρόντων ὡς ἔοι-

μάχης κλεάρχου παρακαλοῦντος ὄπισθεν τῶν μαχομένων εἶναι καὶ μὴ κινδυνεύειν αὐτὸν, εἰπεῖν φασὶ τί λέγεις ὦ κλέαρχε; σὺ κελεύεις με τὸν βασιλείας ὀρεγόμενον, ἀνάξιον εἶναι βασιλείας; ἁμαρτόντος δὲ κύρου μέγα τὸ δῦναι προπετῶς εἰς μέσα τὰ δεινὰ καὶ μὴ φυλάξασθαι τὸν κίνδυνον, οὐχ ἧττον ἢ μᾶλλον ἥμαρτεν, εἰ καὶ μὴ μᾶλλον κλέαρχος, ἀντιτάξαι κατὰ τὸν βασιλέα μὴ θελήσας τοὺς ἕλληνας, ἀλλὰ προσμίξας τῷ ποταμῷ τὸ δεξιὸν ὡς μὴ κυκλωθείη, τὴν γὰρ ἀσφάλειαν διὰ παντὸς διώκοντα, καὶ πλεῖστον λόγον ἔχοντα τοῦ μηδὲν παθεῖν, οἴκοι μένειν ἦν κράτιστον. ὁ δὲ, μυρίους σταδίους ἀπὸ θαλάσσης ἐν ὅπλοις ἀναβεβηκὼς, μηδενὸς ἀναγκάζοντος, ἀλλ' ὅπως κῦρον εἰς τὸν θρόνον καθίσῃ τὸν βασίλειον. εἶτα περισκοπῶν χώραν καὶ τάξιν, οὐκ ἀφ' ἧς σώσει τὸν ἡγεμόνα καὶ μισθοδότην, ἀλλ' ἐν ᾗ τινι θέμενος ἑαυτὸν ἀσφαλῶς μαχεῖται καθ' ἡσυχίαν, ὅμοιος ἦν ὑπὸ δέους τῶν παρόντων ἐκβεβληκότι τὸν περὶ τῶν ὅλων λογισμὸν, καὶ προϊεμένῳ τὴν τῆς στρατηγίας ὑπόθεσιν. ὅτι γὰρ οὐδεὶς ἂν ὑπέμεινε τῶν τεταγμένων περὶ βασιλέα τοὺς ἕλληνας ἐμπεσόντας, ὠσθέντων δ' ἐκείνων καὶ βασιλέως φεύγοντος ἢ πεσόντος, ὑπῆρχε κύρῳ νικῶντι σώζεσθαι καὶ βασιλεύειν, ἐκ τῶν πεπραγμένων, δῆλόν ἐστι. διὸ τὴν κλεάρχου μᾶλλον εὐλάβειαν, ἢ τὸ κύρου θράσος αἰτιατέον, ὡς τὰ πράγματα καὶ κῦρον ἀπολέσασαν. εἰ γὰρ αὐτὸς ἐσκόπει βασιλεὺς ὅπου τάξας τοὺς ἕλληνας, ἀβλαβεστάτοις χρήσεται πολεμίοις, οὐκ ἂν ἐξεῦρεν ἑτέραν ἢ τὴν ἀπωτάτω χώραν ἑαυτοῦ καὶ τῶν περὶ ἑαυτὸν, ἀφ' ἧς οὔτε νικηθεὶς αὐτὸς ᾔσθετο. καὶ κῦρος ἔφθη καταπεσὼν, ἢ χρησάμενος τι τῇ κλεάρχου νίκῃ. καίτοι κῦρος, τὸ συμφέρον οὐκ ἠγνόηκεν ἀλλ' ἐκεῖ κλέαρχον ἐκέλευε τάττεσθαι κατὰ μέσον. ὁ δὲ, αὐτῷ μέλλειν εἰπὼν ὅπως ἕξει κάλλιστα, τὸ πᾶν διέφθειρεν. οἱ μὲν γὰρ ἕλληνες ὅσον ἐβούλοντο τοὺς βαρβάρους ἐνίκων, καὶ διώκοντες, ἐπὶ τὸ πλεῖστον προῆλθον. κύρῳ δὲ γενναῖον ἵππον, ἄστομον δὲ καὶ ὑβριστὴν ἐλαύνοντι, πασάκαν καλούμενον, ὡς κτησίας φησὶν, ἀντεξήλασεν ὁ καδουσίων ἄρχων, ἀρταγέρσης μέγα βοῶν. ὦ τὸ κάλλιστον ἐν πέρσαις ὄνομα κύρου καταισχύνων, ἀδικώτατε ἀνθρώπων καὶ ἀφρονέστατε. κακοὺς μὲν ἕλληνας ἔρχῃ κακὴν ὁδὸν ἄγων ἐπὶ τὰ περσῶν ἀγαθά. δεσπότην δὲ σεαυτοῦ καὶ ἀδελφὸν ἐλπίζων ἀναιρήσειν, ὃς σοῦ μυριάκις μυρίους δούλους ἔχει κρείττονας, αὐτίκα δὲ πειράσῃ. πρότερον γὰρ ἀπολεῖς ἐνταῦθα τὴν σεαυτοῦ κεφαλὴν, ἢ θεάσασθαι τὸ βασιλέως πρόσωπον. ταῦτα εἰπὼν, ἐξηκόντισεν ἐπ' αὐτόν. ὁ δὲ θώραξ στερεῶς ἀντέσχε, καὶ οὐκ ἐτρώθη μὲν ὁ κῦρος, ἐκραδάνθη δὲ, τῆς πληγῆς ἰσχυρᾶς προσπεσούσης. ἀποστρέψαντος δὲ τὸν ἵππον τοῦ ἀρταγέρσου, βαλὼν ὁ κῦρος, ἔτυχε, καὶ διήλασε παρὰ τὴν κλεῖδα διὰ τοῦ τραχήλου τὴν αἰχμήν. τὸν μὲν οὖν ἀρταγέρσην ἀποθανεῖν ὑπὸ κύρου, σχεδὸν ἅπαντες ὁμολογοῦσι. περὶ δὲ τῆς αὐτοῦ κύρου τελευτῆς, ἐπεὶ ξενοφῶν ἁπλῶς καὶ συντόμως, ἅτε δὴ μὴ παρὼν αὐτὸς εἶπεν, οὐδὲν ἴσως κωλύει τὰ δείνωνος ἰδίᾳ, καὶ πάλιν τὰ κτησίου διελθεῖν. φησὶν οὖν ὁ μὲν δείνων, ὅτι τοῦ ἀρταγέρσου πεσόντος, εἰσελάσας βιαίως ὁ κῦρος εἰς τοὺς προτεταγμένους τοῦ βασιλέως, κατατιτρώσκει αὐτοῦ τὸν ἵππον. ὁ δὲ, ἀπερρύη. τιριβάζου δὲ, ἀναλαβόντος αὐτὸν ἐπ' ἄλλον ἵππον ταχὺ, καὶ εἰπόντος αὐτῷ. ὦ βασιλεῦ μέμνησο τῆς ἡμέρας ταύτης. οὐ γὰρ ἀξία λήθης ἐστὶ, πάλιν ὁ κῦρος ἐνσείσας τῷ ἵππῳ, κατέβαλε τὸν ἀρτοξέρξην. πρὸς δὲ τὴν τρίτην ἐπέλασιν δυσχεράνας ὁ βασιλεὺς, καὶ εἰπὼν πρὸς τοὺς παρόντας, ὡς βέλτιον ἐστὶ μὴ ζῆν, ἀντεξήλαυνε τῷ κύρῳ προπετῶς καὶ ἀπερισκέπτως εἰς ἐναντία βέλη φερομένῳ. καὶ βάλλει μὲν αὐτὸς ἀκοντίῳ. βάλλουσι δὲ οἱ περὶ αὐτόν. πίπτει δ' ὁ κῦρος. ὡς μὲν ἔνιοι λέγουσιν πληγεὶς ὑπὸ τοῦ βασιλέως, ὡς δ' ἕτεροί τινες, καρὸς ἀνθρώπου πατάξαντος. ᾧ γέρας ἔδωκε τῆς πράξεως ταύτης ὁ βασιλεὺς, ἀλεκτρυόνα χρυσοῦν ἐπὶ δόρατος ἀεὶ πρὸ τῆς τάξεως ἐν ταῖς στρατιαῖς κομίζειν. καὶ γὰρ αὐτοὺς τοὺς κᾶρας, ἀλεκτρυόνας οἱ πέρσαι διὰ τοὺς λόφους οἷς κοσμοῦσι τὰ κράνη προσηγόρευον. ἡ δὲ κτησίου διήγησις, ὡς ἐπιτεμόντι πολλὰ συντόμως ἀπαγγεῖλαι, τοιαύτη τίς ἐστι. κῦρος ἀποκτείνας ἀρταγέρσην, ἤλαυνεν εἰς αὐτὸν βασιλέα τὸν ἵππον. καὶ αὐτὸς εἰς ἐκεῖνον, ἀμφότεροι σιωπῇ. φθάνει δὲ βάλλων ἀριαῖος ὁ κύρου φίλος, βασιλέα, καὶ οὐκ ἔτρωσε. βασιλεὺς δὲ ἀφεὶς τὸ δόρυ, κύρου μὲν οὐκ ἔτυχε. τισαφέρνην δὲ πιστὸν ἄνδρα κύρῳ καὶ γενναῖον, ἔβαλε καὶ κατέκτεινε. κῦρος δ' ἐπ' αὐτὸν ἐξακοντίσας διὰ τοῦ θώρακος, ἔτρωσε τὸ στῆθος, ὅσον ἐνδῦναι δύο δακτύλους τὸ ἀκόντιον, πεσεῖν δὲ αὐτὸν ὑπὸ τῆς πληγῆς ἀπὸ τοῦ ἵππου. φυγῆς δὲ καὶ ταραχῆς τῶν περὶ αὐτὸν γενομένης, ὁ μὲν ἀναστὰς μετ' ὀλίγων ἐν οἷς καὶ κτησίας ἦν, λόφον τινὰ πλησίον καταλαβὼν, ἡσύχαζε. κῦρον δὲ τοῖς πολεμίοις ἐνειλούμενον, ὁ ἵππος ἐξέφερεν ὑπὸ θυμοῦ μακρὰν, ἤδη σκότους ὄντος ἀγνοούμενον ὑπὸ τῶν πολεμίων, καὶ ζητούμενον ὑπὸ τῶν φίλων. ἐπαιρόμενος δὲ τῇ νίκῃ καὶ μεστὸς ὢν ὁρμῆς καὶ θράσους, διεξήλαυνε βοῶν. ἐξίστασθε πενιχροί, τοῦτο δὲ περσιστὶ πολλάκις αὐτοῦ βοῶντος, οἱ μὲν, ἐξίσταντο προσκυνοῦντες. ἀποπίπτει δὲ τῆς κεφαλῆς ἡ τιάρα τοῦ κύρου, καὶ παραφέρων νεανίας πέρσης, ὄνομα μιθριδάτης, ἀκοντίῳ βάλλει τὸν κρόταφον αὐτοῦ παρὰ τὸν ὀφθαλμὸν, ἀγνοῶν ὅστις εἴη. πολὺ δὲ αἷμα τοῦ τραύματος ἐκβαλόντος, ἰλιγγιάσας καὶ καρωθεὶς ὁ κῦρος ἔπεσε. καὶ ὁ μὲν ἵππος ὑπεκφυγὼν ἐπλάζετο. τὸν δὲ ἐφίππιον πῖλον ἀπορρυέντα λαμβάνει τοῦ τὸν κῦρον βαλόντος ἀκόλουθος, αἵματος περίπλεω. τὸν δὲ κῦρον ἐκ τῆς πληγῆς ἀναφέροντα χαλεπῶς καὶ μόλις, εὐνοῦχοί τινες παρόντες ὀλίγοι, ἐπεχείρουν ἐπ' ἄλλον ἵππον. ἀνα-

μῷ προσέφερε καὶ ταῖν χεροῖν ὑπολαβὼν τοῦ ὕδατος προσήνεγκεν, ἡσθεὶς ὁ ἀρτοξέρξης φιάλην ἔπεμψεν αὐτῷ χρυσῆν καὶ χιλίους δαρεικούς. εὐκλείδᾳ δὲ τῷ λάκωνι πολλὰ παρρησιαζομένῳ πρὸς αὐτὸν αὐθαδῶς, ἐκέλευσεν εἰπεῖν τὸν χιλίαρχον, ὅτι σοὶ μὲν ἔξεστιν εἰπεῖν ἃ βασιλεῖ βούλει. ἐμοὶ δὲ καὶ λέγειν καὶ ποιεῖν. ἐν δὲ θήρᾳ τινὶ τειριβάζου δείξαντος αὐτῷ τὸν κάνδυν ἐσχισμένον, ἠρώτησεν ὅτι δεῖ ποιεῖν. ἐκείνου δ᾽ εἰπόντος ἄλλον αὐτὸς ἔνδυσαι, τοῦτον δὲ ἐμοὶ δός, οὕτως ἐποίησεν εἰπών, δίδωμι μὲν ὦ τειρίβαζε σοί, τοῦτον. φορεῖν δ᾽ ἀπαγορεύω. τοῦ δὲ τειριβάζου μὴ φροντίσαντος, ἦν γὰρ οὐ πονηρός, ὑπόκουφος δὲ καὶ παράφορος, ἀλλὰ τόν τε κάνδυν εὐθὺς ἐκεῖνον ἐνδύντος, καὶ δῶρα χρυσᾶ, καὶ γυναικεῖα τῶν βασιλικῶν περιθεμένου, πάντες μὲν ἠγανάκτουν. οὐ γὰρ ἐξῆν. ὁ μέντοι βασιλεὺς κατεγέλασε καὶ εἶπε, δίδωμί σοι καὶ τὰ χρυσία φορεῖν ὡς γυναικί. καὶ τὴν στολὴν ὡς μαινομένῳ. τραπέζης δὲ τῆς αὐτοῦ μηδενὸς μετέχοντος, ἀλλ᾽ ἢ μητρὸς βασιλέως ἢ γαμετῆς γυναικός. καθεζομένων τῆς μὲν, ὑπὲρ αὐτόν. τῆς δὲ μητρὸς ὑπὸ αὐτόν, ἀρτοξέρξης καὶ τοὺς ἀδελφοὺς ἐπὶ τὴν αὐτὴν ἐκάλει τράπεζαν, ὀστάνην, καὶ ὀξάθρην, νεωτέρους ὄντας. ἐν δὲ τοῖς μάλιστα κεχαρισμένην ὄψιν παρεῖχε τοῖς πέρσαις, ἡ τῆς γυναικὸς στατείρας ἁρμάμαξα, γυμνὴ τῶν παραπετασμάτων ἀεὶ προσφερομένη. καὶ διδοῦσα ταῖς δημότισιν ἀσπάσασθαι αὐτὴν καὶ προσελθεῖν. ὅθεν ἠγαπᾶτο τοῖς πολλοῖς, ἡ βασίλεια. τὸν μέντοι κῦρον οἱ νεωτερισταὶ καὶ πολυπράγμονες, ὡς λαμπρὸν ἄνδρα τῇ ψυχῇ καὶ πολεμικὸν διαφερόντως καὶ φιλέταιρον, ᾤοντο τὰ πράγματα ποθεῖν. καὶ τὸ μέγεθος τῆς ἡγεμονίας βασιλέως δεῖσθαι φρόνημα καὶ φιλοτιμίαν ἔχοντος. οὐχ ἧττον οὖν τοῖς ἄνω πιστεύων ὁ κῦρος, ἢ τοῖς περὶ αὐτόν, ἐπιχειρεῖ τῷ πολέμῳ. καὶ λακεδαιμονίοις ἔγραφε, παρακαλῶν βοηθεῖν καὶ συνεκπέμπειν ἄνδρας, οἷς ἔφη δώσειν ἂν μὲν πεζοὶ παρῶσιν ἵππους, ἂν δὲ ἱππεῖς, συνωρίδας. ἐὰν δ᾽ ἀγροὺς ἔχωσι, κώμας. ἐὰν δὲ κώμας, πόλεις. μισθοῦ δὲ τοῖς στρατευομένοις, οὐκ ἀριθμόν, ἀλλὰ μέτρον ἔσεσθαι. μεγαληγορῶν δὲ περὶ αὐτοῦ πολλά, καὶ καρδίαν ἔφη τοῦ ἀδελφοῦ φορεῖν βαρυτέραν. καὶ φιλοσοφεῖν μᾶλλον. καὶ μαγεύειν βέλτιον. οἶνον δέ, πλείονα πίνειν καὶ φέρειν. ἐκεῖνον δὲ ὑπὸ δειλίας καὶ μαλακίας, ἐν μὲν τοῖς κυνηγεσίοις μηδὲ ἐφ᾽ ἵππου. ἐν δὲ τοῖς κινδύνοις, μηδ᾽ ἐπὶ θρόνου καθῆσθαι. λακεδαιμόνιοι μὲν οὖν σκυτάλην πρὸς κλέαρχον ἀπέστειλαν, ὑπηρετεῖν κύρῳ πάντα κελεύοντες. ὁ δὲ κῦρος ἀνέβαινεν ἐπὶ βασιλέα, βαρβαρικήν τε πολλὴν ἔχων δύναμιν καὶ μισθοφόρους ἕλληνας, ὀλίγῳ τρισχιλίων καὶ μυρίων ἀποδέοντας. ἄλλας ἐπ᾽ ἄλλαις ποιούμενος προφάσεις, τῆς στρατείας. οὐ μὴν ἔλαθέ γε εἰς πολὺν χρόνον, ἀλλ᾽ ἧκε βασιλεῖ τισαφέρνης αὐτάγγελος, καὶ πολὺς θόρυβος εἶχε τὰ βασίλεια. τῆς τε παρυσάτιδος τὴν πλείστην αἰτίαν τοῦ πολέμου φερομένης, καὶ τῶν φίλων αὐτῆς ἐν ὑποψίᾳ ὄντων καὶ διαβολαῖς. μάλιστα δὲ ἠνία τὴν παρύσατιν ἡ στάτειρα, τῷ πολέμῳ περιπαθοῦσα καὶ βοῶσα. ποῦ νῦν αἱ πίστεις ἐκεῖναι. ποῦ αἱ δεήσεις αἷς ἐξελομένη τὸν ἐπιβουλεύσαντα τῷ ἀδελφῷ, πολέμου καὶ κακῶν ἐμπέπληκας ἡμᾶς. ἐκ δὴ τούτων μισοῦσα τὴν στάτειραν ἡ παρύσατις καὶ φύσει βαρύθυμος οὖσα, καὶ βάρβαρος ἐν ὀργαῖς καὶ μνησικακίαις, ἐπεβούλευεν αὐτὴν ἀνελεῖν. ἐπεὶ δὲ δείνων μὲν ἐν τῷ πολέμῳ συντελεσθῆναι τὴν ἐπιβουλὴν εἴρηκε, κτησίας δὲ ὕστερον, ὃν οὔτε ἀγνοεῖν τὸν χρόνον εἰκὸς ἦν παρόντα ταῖς πράξεσιν. οὔτε ἑκὼν αἰτίαν εἶχεν ἐκ τοῦ χρόνου μεταστῆσαι τὸ ἔργον ὡς ἐπράχθη διηγούμενος. οἷα πάσχει πολλάκις ὁ λόγος αὐτοῦ πρὸς τὸ μυθῶδες καὶ δραματικὸν ἐκτρεπόμενος τῆς ἀληθείας. τοῦτο μὲν ἣν ἐκεῖνος ἀπέδωκε χώραν ἕξει. κύρῳ δὲ προσιόντι, φῆμαι καὶ λόγοι προσέπιπτον, ὡς οὐ μάχεσθαι βασιλέως εὐθὺς ἐγνωκότος. οὐδὲ συνδραμεῖν εἰς χεῖρας αὐτῷ σπεύδοντος, ἀλλ᾽ ἐν πέρσαις ὑπομένειν, ἄχρις ἂν αἱ δυνάμεις ἐκεῖ πανταχόθεν συνέλθωσι. καὶ γὰρ τάφρον εὖρος ὀργυιῶν δέκα, καὶ βάθος ἴσον, ἐπὶ σταδίους διὰ τοῦ πεδίου τετρακοσίους ἐνέβαλε. καὶ ταύτης τε περιεῖδε τὸν κῦρον, ἐντὸς παρελθόντα, καὶ βαβυλῶνος αὐτῆς, οὐ μακρὰν γενόμενον. τειριβάζου δὲ ὥς φασι πρώτου τολμήσαντος εἰπεῖν, ὡς οὐ δεῖ φυγομαχεῖν. οὐδὲ μηδείας ἐκστάντα καὶ βαβυλῶνος. ἀλλὰ καὶ σούσων ἐνδύεσθαι τῇ περσίδι, πολλαπλασίαν μὲν ἔχοντα δύναμιν τῶν πολεμίων, μυρίους δὲ σατράπας καὶ στρατηγούς, κύρου καὶ φρονεῖν καὶ μάχεσθαι βελτίονας, ὥρμησε διαγωνίσασθαι τὴν ταχίστην. καὶ τὸ μὲν πρῶτον ἐξαίφνης καταφανεὶς ἐνενήκοντα μυριάσι στρατοῦ διακεκοσμημένου λαμπρῶς, τοὺς πολεμίους ἀσυντάκτους καὶ ἀνόπλους διὰ τὸ θαρρεῖν καὶ καταφρονεῖν ὁδοιποροῦντας, ἐξέπληξε καὶ συνετάραξεν, ὥστε σὺν θορύβῳ καὶ βοῇ πολλῇ, μόλις εἰς τάξιν καθίστασθαι τὸν κῦρον. ἔπειτα σιγῇ καὶ σχέδην ἐπάγων, θαῦμα τοῖς ἕλλησι τῆς εὐταξίας παρεῖχε. κραυγὰς ἀτάκτους καὶ σκιρτήματα καὶ πολὺν τάραχον αὐτῶν καὶ διασπασμὸν ἐν πλήθει τοσούτῳ προσδεχομένοις. εὖ δὲ καὶ κατὰ τοὺς ἕλληνας ἔταξε τῶν δρεπανηφόρων τὰ ῥωμαλεώτατα, πρὸ τῆς ἑαυτοῦ φάλαγγος, ὡς πρὶν ἐν χερσὶ γενέσθαι, διακόψοντα τὰς τάξεις βίᾳ τῆς εἰσελάσεως. τὴν δὲ μάχην ἐκείνην πολλῶν μὲν ἀπηγγελκότων, ξενοφῶντος δὲ μονονουχὶ δεικνύοντος ὄψει, καὶ τοῖς πράγμασιν, ὡς οὐ γεγενημένοις, ἀλλὰ γινομένοις ἐφιστάντος ἀεὶ τὸν ἀκροατὴν ἐν πάθει καὶ συγκινδυνεύοντα διὰ τὴν ἐνάργειαν, οὐκ ἔστι νοῦν ἔχοντος ἐπεξηγεῖσθαι, πλὴν ὅσα τῶν ἀξίων λόγου παρῆλθεν εἰπεῖν ἐκεῖνον. ὁ μὲν οὖν τόπος ἐν ᾧ παρετάξαντο, κούναξα καλεῖται. καὶ βαβυλῶνος ἀπέχει σταδίους πεντακοσίους. κῦρον δὲ πρὸ τῆς

Ὁ μὲν πρῶτος ἀρτοξέρξης τῶν ἐν πέρσαις βασιλέων, πρᾳότητι καὶ μεγαλοψυχίᾳ πρωτεύσας, μακρόχειρ ἐπεκαλεῖτο, τὴν δεξιὰν μείζονα τῆς ἑτέρας ἔχων. ξέρξου δὲ ἦν υἱός. ὁ δὲ δεύτερος περὶ οὗ τάδε γράφεται, μνήμων ἐπικληθεὶς, ἐκ θυγατρὸς ἦν ἐκείνου. δαρείου γὰρ καὶ παρυσάτιδος, παῖδες ἐγένοντο τέτταρες. πρεσβύτατος μὲν, ἀρτοξέρξης. μετ' ἐκεῖνον δὲ, κῦρος. νεώτεροι δὲ τούτων, ὀστάνης καὶ ὀξάθρης. ὁ μὲν οὖν κῦρος, ἀπὸ κύρου τοῦ παλαιοῦ, τοὔνομα ἔσχεν, ἐκείνῳ δὲ ἀπὸ τοῦ ἡλίου γενέσθαι φασί. κῦρον γὰρ καλεῖν πέρσας, τὸν ἥλιον. ὁ δὲ ἀρτοξέρξης, ἀρσίκας πρότερον ἐκαλεῖτο. καίτοι δείνων φησὶν, ὅτι ὀάρσης. ἀλλὰ τὸν κτησίαν, εἰ καὶ τἄλλα μύθων ἀπιθάνων καὶ παραφόρων, ἐμβέβληκεν εἰς τὰ βιβλία παντοδαπὴν πυλαίαν, οὐκ εἰκός ἐστιν ἀγνοεῖν τοὔνομα τοῦ βασιλέως, παρ' ᾧ διέτριβε θεραπεύων αὐτὸν καὶ γυναῖκα καὶ μητέρα καὶ παῖδας. ὁ μὲν οὖν κῦρος, ἔντονόν τι καὶ σφοδρὸν εὐθὺς ἐκ πρώτης ἡλικίας εἶχεν. ἅτερος δὲ πρᾳότερος ἐδόκει περὶ πάντα, καὶ ταῖς ὁρμαῖς φύσει μαλακώτερος εἶναι. γυναῖκα δὲ καλὴν καὶ ἀγαθὴν, ἔλαβε μὲν τῶν γονέων κελευόντων, ἐφύλαξε δὲ κωλυόντων. τὸν γὰρ ἀδελφὸν αὐτῆς ἀποκτείνας ὁ βασιλεὺς, ἐβουλεύετο κἀκείνην ἀνελεῖν. ὁ δὲ ἀρσίκας, τῆς μητρὸς ἱκέτης γενόμενος, καὶ πολλὰ κατακλαύσας, μόλις ἔπεισε, μήτε ἀποκτεῖναι, μήτε αὐτοῦ διαστῆσαι τὴν ἄνθρωπον. ἡ δὲ μήτηρ ὑπῆρχε μᾶλλον τὸν κῦρον φιλοῦσα, καὶ βουλομένη βασιλεύειν ἐκεῖνον. διὸ καὶ τοῦ πατρὸς νοσοῦντος ἤδη, μεταπεμπτὸς ἀπὸ θαλάσσης γενόμενος, πάντα πᾶσιν ἀνέβαινεν εὔελπις ὢν, ὡς κατειργασμένης ἐκείνης, διάδοχον αὐτὸν ἀποδειχθῆναι τῆς ἀρχῆς. καὶ γὰρ εἶχεν εὐπρεπῆ λόγον ἡ παρύσατις, ᾧ καὶ ξέρξης ὁ παλαιὸς ἐχρήσατο δημαράτου διδάξαντος, ὡς ἀρσίκαν μὲν ἰδιώτῃ, κῦρον δὲ βασιλεύοντι τέκοι δαρείῳ. οὐ μὴν ἔπεισεν, ἀλλ' ὁ πρεσβύτερος ἀπεδείχθη βασιλεὺς, ἀρτοξέρξης μετονομασθείς. κῦρος δὲ λυδίας σατράπης, καὶ τῶν ἐπὶ θαλάσσης στρατηγός. ὀλίγῳ δ' ὕστερον ἢ τελευτῆσαι δαρεῖον, ἐξήλασεν εἰς πασαργάδας ὁ βασιλεὺς, ὅπως τελεσθείη τὴν βασιλικὴν τελετὴν ὑπὸ τῶν ἐν πέρσαις ἱερέων. ἔστι δὲ θεᾶς πολεμικῆς ἱερὸν, ἣν ἀθηνᾷ τις εἰκάσειεν. εἰς τοῦτο δεῖ τὸν τελούμενον παρελθόντα, τὴν μὲν ἰδίαν ἀποθέσθαι στολὴν, ἀναλαβεῖν δὲ ἣν κῦρος ὁ παλαιὸς ἐφόρει, πρὶν ἢ βασιλεὺς γενέσθαι. καὶ σύκων παλάθης ἐμφαγόντα, τερμίνθου κατατραγεῖν, καὶ ποτήριον ἐκπιεῖν ὀξυγάλακτος. εἰ δὲ πρὸς τούτοις ἕτερα ἄττα δρῶσιν, ἄδηλόν ἐστι τοῖς ἄλλοις. Ταῦτα δρᾶν ἀρτοξέρξου μέλλοντος, ἀφίκετο τισαφέρνης πρὸς αὐτὸν, ἄγων ἕνα τῶν ἱερέων, ὃς ἐν παισὶ κύρου τῆς νομιζομένης ἀγωγῆς ἐπιστάτης γενόμενος, καὶ διδάξας μαγεύειν αὐτὸν, οὐδενὸς ἧττον ἐδόκει περσῶν ἀνιᾶσθαι, μὴ ἀποδειχθέντος ἐκείνου βασιλέως. διὸ καὶ πίστιν ἔσχε κατηγορῶν κύρου. κατηγόρει δὲ, ὡς μέλλοντος ἐνεδρεύειν ἐν τῷ ἱερῷ, καὶ ἐπειδὰν ἐκδύηται τὴν ἐσθῆτα ὁ βασιλεὺς, ἐπιτίθεσθαι καὶ διαφθείρειν αὐτόν. οἱ μὲν, ἐκ ταύτης τῆς διαβολῆς, τὴν σύλληψιν γενέσθαι φασίν. οἱ δὲ, καὶ παρελθεῖν τὸν κῦρον εἰς τὸ ἱερὸν, καὶ προδοθῆναι κρυπτόμενον ὑπὸ τοῦ ἱερέως. μέλλοντα δὲ αὐτὸν ἤδη ἀποθνήσκειν, ἡ μήτηρ περισχοῦσα ταῖς ἀγκάλαις, καὶ τοῖς βοστρύχοις περιελίξασα, καὶ συνάψασα τὸν ἐκείνου τράχηλον πρὸς τὸν αὐτῆς, ὀδυρομένη πολλὰ καὶ ποτνιωμένη, παρῃτήσατο, καὶ κατέπεμψεν αὖθις ἐπὶ θάλασσαν, οὐκ ἀγαπῶντα τὴν ἀρχὴν ἐκείνην, οὐδὲ μεμνημένος τῆς ἀφέσεως, ἀλλὰ τῆς συλλήψεως, καὶ δι' ὀργὴν ἐπιθυμοῦντα μᾶλλον ἢ πρότερον τῆς βασιλείας. ἔνιοι δέ φασιν, οὐκ ἀρκούμενον οἷς ἐλάμβανεν εἰς τὸ καθημερινὸν δεῖπνον, ἀποστῆναι βασιλέως, εὐήθη λέγοντες. εἰ γὰρ ἄλλο μηδὲν, ἀλλ' ἡ μήτηρ ὑπῆρχε χρῆσθαι καὶ λαμβάνειν ὅσα βούλοιτο τῶν αὐτῆς, παρέχουσα καὶ διδοῦσα. μαρτυρεῖ δὲ τῷ πλούτῳ καὶ τὸ μισθοφορικὸν, πολλαχόθι διὰ τῶν φίλων καὶ ξένων αὐτῷ παρατρεφόμενον. ὡς ξενοφῶν εἴρηκεν. ἀθρόους μὲν γὰρ οὐ συνῆγεν ἔτι τὴν παρασκευὴν ἐπικρυπτόμενος. ἀλλαχόθι δὲ ἄλλους, ἐπὶ πολλαῖς προφάσεσι ξενολογοῦντας εἶχε. βασιλέως δὲ ἥ τε μήτηρ παροῦσα, τὰς ὑποψίας ἀφῄρει, καὶ κῦρος αὐτὸς ἀεὶ θεραπευτικῶς ἔγραφε, τὰ μὲν αἰτούμενος παρ' αὐτοῦ, τὰ δὲ, τισαφέρνους ἀντικατηγορῶν, ὡς δὴ πρὸς ἐκεῖνον αὐτῷ ζήλου καὶ ἀγῶνος ὄντος. ἦν δέ τις καὶ μέλλησις ἐν τῇ φύσει τοῦ βασιλέως, ἐπιείκεια φαινομένη τοῖς πολλοῖς. ἐν ἀρχῇ δὲ, καὶ πάνυ ζηλοῦν ἔδοξε τὴν ἀρτοξέρξου τοῦ ὁμωνύμου πρᾳότητα, ἥδιόν τε ἑαυτὸν παρέχων ἐντυγχάνεσθαι, καὶ περὶ τὸ τιμᾶν καὶ χαρίζεσθαι κατ' ἀξίαν ὑπερβάλλων, κολάσεως δὲ πάσης ἀφαιρῶν τὸ ὑβρίζον. καὶ ἡδόμενος ἐν τῷ δέχεσθαι χάριτας οὐχ ἧττον τοῖς διδοῦσιν ἢ τοῖς λαμβάνουσιν, ἐν δὲ τῷ διδόναι φαινόμενος εὔχαρις καὶ φιλάνθρωπος. οὐδὲν γὰρ ἦν οὕτω σμικρὸν τι τῶν διδομένων, ὃ μὴ προσεδέξατο προθύμως. ἀλλὰ καὶ ῥόαν μίαν ὑπερφυᾶ μεγέθει προσενέγκαντος ὠμίσου τινὸς αὐτῷ, νὴ τὸν μίθραν εἶπεν οὗτος ὁ ἀνὴρ καὶ πόλιν ἂν ἐκ μικρᾶς ταχὺ ποιήσειε μεγάλην πιστευθείς. ἐπεὶ δὲ ἄλλων ἄλλα προσφερόντων, καθ' ὁδὸν αὐτουργὸς ἄνθρωπος οὐδὲν ἐπὶ καιροῦ φθάσας εὑρεῖν, τῷ ποτα-

μέμψεως ἕνεκα τοῦ δημητρίου, κρατεῖν καὶ βασιλεύειν ἀνθρώπων εἰθισμένων κρατεῖσθαι καὶ βασιλεύεσθαι ζητοῦντος. ἡ δ' ἀντωνίου χαλεπὴ καὶ τυραννικὴ, καταδουλουμένη τὸν ῥωμαίων δῆμον, ἄρτι διαφυγόντα τὴν ὑπὸ καίσαρι μοναρχίαν. ὃ δ' οὖν μέγιστον αὐτῷ καὶ λαμπρότατόν ἐστι τῶν εἰργασμένων, ὁ πρὸς κάσσιον καὶ βροῦτον πόλεμος, ἕνεκα τοῦ τὴν πατρίδα καὶ τοὺς πολίτας ἀφελέσθαι τὴν ἐλευθερίαν, ἐπολεμήθη. δημήτριος δὲ, καὶ πρὶν εἰς τύχας ἐλθεῖν ἀναγκαίας, ἐλευθερῶν τὴν ἑλλάδα, καὶ τῶν πόλεων ἐξελαύνων τὰς φρουρὰς διετέλεσεν. οὐχ ὥσπερ ἀντώνιος, ὅτι τοὺς ἐλευθερώσαντας τὴν ῥώμην ἀπέκτεινεν ἐν μακεδονίᾳ, σεμνυνόμενος. ἓν τοίνυν ἐστὶ τῶν ἐπαινουμένων ἀντωνίου, τὸ φιλόδωρον καὶ μεγαλόδωρον, ἐν ᾧ τοσοῦτον ὑπερβαίνει δημήτριος, ὥστε χαρίσασθαι τοῖς πολεμίοις, ὅσα τοῖς φίλοις οὐκ ἔδωκεν ἀντώνιος. καίτοι ταφῆναί γε καὶ περισταλῆναι κελεύσας βροῦτον ἐκεῖνος εὐδοκίμησεν. οὗτος δὲ καὶ τοὺς ἀποθανόντας τῶν πολεμίων, πάντας ἐκήδευσε, καὶ τοὺς ἁλόντας πτολεμαίῳ μετὰ χρημάτων καὶ δωρεῶν ἀπέπεμψεν. ὑβρισταὶ μὲν εὐτυχοῦντες ἀμφότεροι. καὶ πρὸς τρυφὰς ἀνειμένοι, καὶ ἀπολαύσεις. οὐκ ἂν εἴποι δέ τις ὡς δημήτριον ἐν εὐπαθείαις καὶ συνουσίαις ὄντα, πράξεων καιρὸς ἐξέφυγεν. ἀλλὰ τῇ περιουσίᾳ τῆς σχολῆς, ἐπεισῆγε τὰς ἡδονάς. καὶ τὴν λάμιαν ὥσπερ τὴν μυθικὴν ἀτεχνῶς παίζων καὶ νυστάζων, ἐποιεῖτο διαγωγήν. ἐν δὲ ταῖς τοῦ πολέμου παρασκευαῖς, οὐκ εἶχεν αὐτοῦ τὸ δόρυ κιττόν. οὐδὲ μύρων ὠδώδει τὸ κράνος. οὐδὲ γεγανωμένος καὶ ἀνθηρὸς ἐπὶ τὰς μάχας ἐκ τῆς γυναικωνίτιδος προῄει. κοιμίζων δὲ τοὺς θιάσους, καὶ τὰ βακχεῖα καταπαύων, ἀμφίπολος ἄρεως ἀνιέρου κατὰ τὸν εὐριπίδην, ἐγίνετο. καὶ δι' ἡδονὴν ἢ ῥαθυμίαν, οὐδὲν ἁπλῶς ἔπταισεν. ἀντώνιον δὲ ὥσπερ ἐν ταῖς γραφαῖς ὁρῶμεν τοῦ ἡρακλέους τὴν ὀμφάλην ὑφαιροῦσαν τὸ ῥόπαλον, καὶ τὴν λεοντῆν ἀποδύουσαν, οὕτω πολλάκις κλεοπάτρα παροπλίσασα καὶ καταθέλξασα, συνέπεισεν ἀφέντα μεγάλας πράξεις ἐκ τῶν χειρῶν καὶ στρατείας ἀναγκαίας, ἐν ταῖς περὶ κάνωβον καὶ ταφόσειριν ἀκταῖς, ἀλύειν καὶ παίζειν μετ' αὐτῆς. τέλος δὲ ὡς ὁ πάρις ἐκ τῆς μάχης ἀποδρὰς, εἰς τοὺς ἐκείνης κατεδύετο κόλπους. μᾶλλον δὲ ὁ μὲν πάρις ἡττηθεὶς, ἔφευγεν εἰς τὸν θάλαμον. ἀντώνιος δὲ κλεοπάτραν διώκων, ἔφυγε καὶ προήκατο τὴν νίκην. ἔτι δημήτριος μὲν οὐ κεκωλυμένος, ἀλλ' ἀπὸ φιλίππου καὶ ἀλεξάνδρου γεγονὼς ἐν ἔθει τοῖς μακεδόνων βασιλεῦσιν, ἐγάμει γάμους πλείονας, ὥσπερ λυσίμαχος καὶ πτολεμαῖος. εἶχε δὲ διὰ τιμῆς, ὅσας ἔγημεν. ἀντώνιος δὲ, πρῶτον μὲν ὁμοῦ δύο γυναῖκας ἠγάγετο, πρᾶγμα μηδενὶ ῥωμαίων τετολμημένον. ἔπειτα τὴν ἀστὴν καὶ δικαίως γαμηθεῖσαν, ἐξήλασε τῇ ξένῃ καὶ μὴ κατὰ νόμους συνούσῃ, χαριζόμενος. ὅθεν ἐκείνῳ μὲν, οὐδὲν, τῷ δὲ τὰ μέγιστα τῶν κακῶν ἀπήντησεν. ἀσέβημα μέντοι τοσοῦτον δι' ἀσέλγειαν οὐδὲν ταῖς ἀντωνίου πράξεσιν, ὅσον ταῖς δημητρίου πρόσεστιν. οἱ μὲν γὰρ ἱστορικοί φασι, καὶ τῆς ἀκροπόλεως ὅλης, εἴργεσθαι τὰς κύνας, διὰ τὸ τὴν μίξιν ἐμφανῆ μάλιστα ποιεῖσθαι, τοῦτο τὸ ζῷον. ὁ δὲ, ἐν αὐτῷ τῷ παρθενῶνι, ταῖς τε πόρναις συνῆν, καὶ τῶν ἀστῶν κατεπόρνευσε πολλάς, καὶ οὗ τις ἂν ἥκιστα τὰς τοιαύτας τρυφὰς καὶ ἀπολαύσεις οἴοιτο μετέχειν κακοῦ τῆς ὠμότητος, τοῦτο ἐστι τῇ δημητρίου φιληδονίᾳ περιιδόντος, μᾶλλον δὲ ἀναγκάσαντος οἰκτρῶς ἀποθανεῖν τὸν κάλλιστον καὶ σωφρονέστατον ἀθηναίων, φεύγοντα τὸ καθυβρισθῆναι. συνελόντι δὲ εἰπεῖν. ἀντώνιος μὲν, ἑαυτὸν διὰ τὴν ἀκρασίαν. δημήτριος δὲ, ἄλλους ἠδίκησε. πρὸς μέντοι γονεῖς, ἄμεμπτον ἑαυτὸν εἰς ἅπαντα παρέχων ὁ δημήτριος. ἀντώνιος δὲ, τὸν ἀδελφὸν τῆς μητρὸς, ἐξέδωκεν, ἕνεκα τοῦ κικέρωνα ἀποκτεῖναι. πρᾶγμα καὶ καθ' ἑαυτὸ, μιαρὸν καὶ ὠμόν. ὡς μόλις ἀντώνιον, ἐπ' αὐτῷ συγγνώμης τυχεῖν, εἰ σωτηρίας τοῦ θείου μισθὸς ἦν ὁ κικέρωνος θάνατος. ἃ τοίνυν ἐπιώρκησαν ἀμφότεροι καὶ παρεσπόνδησαν, ὁ μὲν, ἀρτάβαζον συλλαβών. ὁ δὲ, ἀλέξανδρον ἀποκτείνας. ἀντωνίῳ μὲν ἔχει τὴν πρόφασιν ὁμολογουμένην. ἀπελείφθη γὰρ ἐν μήδοις, ὑπὸ ἀρταβάζου καὶ προεδόθη. δημήτριον δὲ πολλοὶ λέγουσι ψευδεῖς αἰτίας ἐφ' οἷς ἔδρασε πλασάμενον κατηγορεῖν, ἀδικηθέντα οὐκ ἀδικήσαντα, ἀμύνασθαι. πάλιν δὲ τῶν μὲν κατορθωμάτων, αὐτουργὸς ὁ δημήτριος γέγονε. καὶ τοὐναντίον ὁ ἀντώνιος, ἐν οἷς οὐ παρῆν, καλλίστας καὶ μεγίστας διὰ τῶν στρατηγῶν, ἀνῃρεῖτο νίκας. ἐξέπεσον δὲ τῶν πραγμάτων ἀμφότεροι μὲν, δι' αὑτοὺς, οὐ μὴν ὁμοίως. ἀλλ' ὁ μὲν, ἐγκαταλειφθείς. ἀπέστησαν γὰρ αὐτοῦ μακεδόνες. ὁ δὲ, ἐγκαταλιπών. ἔφυγε γὰρ τοὺς ὑπὲρ αὐτοῦ κινδυνεύοντας. ὥστε τοῦ μὲν, ἔγκλημα εἶναι, τὸ, δυσμενεῖς οὕτω πρὸς αὑτὸν ἀπεργάσασθαι τοὺς μαχομένους. τοῦ δὲ, τὸ παρεσκευασμένην εὔνοιαν τοιαύτην καὶ πίστιν ἐγκαταλιπεῖν. τὸν δὲ θάνατον, οὐδετέρου μὲν ἐστὶν ἐπαινέσαι, ψεκτὸς δὲ ὁ δημητρίου μᾶλλον. αἰχμάλωτός τε γὰρ ὑπέμεινε γενέσθαι. καὶ καθειρχθεὶς, ὑπέμεινεν ἐπικερδᾶναι τριετίαν, οἴνῳ καὶ γαστρὶ, καθάπερ τὰ ζῷα χειροήθης γινόμενος. ἀντώνιος δὲ, δειλῶς μὲν καὶ οἰκτρῶς καὶ ἀτίμως. οὐ μὴν, ἀλλὰ πρό γε τοῦ κύριον γενέσθαι τὸν πολέμιον τοῦ σώματος, ἑαυτὸν ἐξήγαγεν.

Ἀρτοξέρξης

γέγονε δὲ ὀξὺ τὸ πάθος. δρόμῳ γὰρ ἐλθόντες, καὶ τοὺς μὲν φυλάσσοντας, οὐδὲν ᾐσθημένους καταλαβόντες. τὰς δὲ θύρας ἀνοίξαντες, εὗρον αὐτὴν τεθνηκυῖαν, ἐν χρυσῇ κατακειμένην κλίνῃ, κεκοσμημένην βασιλικῶς. τῶν δὲ γυναικῶν, ἡ μὲν εἰρὰς λεγομένη, πρὸς τοῖς ποσὶν ἀπέθνησκεν. ἡ δὲ χάρμιον, ἤδη σφαλλομένη καὶ καρηβαροῦσα, κατεκόσμει τὸ διάδημα, τὸ περὶ τὴν κεφαλὴν αὐτῆς. εἰπόντος δέ τινος ὀργῇ, καλὰ ταῦτα χάρμιον, κάλλιστα μὲν οὖν ἔφη καὶ πρέποντα τῇ τοσούτων ἀπογόνῳ βασιλέων. πλέον δὲ οὐδὲν εἶπεν, ἀλλ' αὐτοῦ παρὰ τὴν κλίνην ἔπεσε. λέγεται δὲ τὴν ἀσπίδα κομισθῆναι σὺν τοῖς σύκοις ἐκείνοις καὶ τοῖς θρίοις ἄνωθεν ἐπικαλυφθεῖσαν. οὕτω γὰρ τὴν κλεοπάτραν κελεῦσαι, μηδὲ αὐτῆς ἐπισταμένης, τῷ σώματι προσπεσεῖν τὸ θηρίον. ὡς δὲ ἀφαιροῦσα τῶν σύκων εἶδεν, εἰπεῖν, ἐνταῦθα ἦν ἄρα τοῦτο. καὶ τὸν βραχίονα παρασχεῖν τῷ δήγματι γυμνώσασαν. οἱ δέ, τηρεῖσθαι μὲν ἐν ὑδρίᾳ τὴν ἀσπίδα καθειργμένην φάσκουσιν, ἠλακάτῃ δέ τινι χρυσῇ, τῆς κλεοπάτρας ἐκκαλουμένης αὐτὴν καὶ διαγριαινούσης, ὁρμήσασαν ἐμφῦναι τῷ βραχίονι. τὸ δὲ ἀληθές, οὐδεὶς οἶδεν. ἐπεὶ καὶ φάρμακον αὐτὴν ἐλέχθη φορεῖν ἐν κνηστίδι κοίλῃ, τὴν δὲ κνηστίδα, κρύπτειν τῇ κόμῃ. πλὴν, οὔτε κηλὶς ἐξήνθησε τοῦ σώματος, οὔτε ἄλλου φαρμάκου σημεῖον. οὐ μὴν οὐδὲ τὸ θηρίον, ἐντὸς ὤφθη. συρμοὺς δέ τινας αὐτοῦ παρὰ θάλασσαν, ᾗ τὸ δωμάτιον ἀφεώρα, καὶ θυρίδες ἦσαν, ἰδεῖν ἔφασκον. ἔνιοι δὲ καὶ τὸν βραχίονα τῆς κλεοπάτρας, ὀφθῆναι δύο νυγμὰς ἔχοντα, λεπτὰς καὶ ἀμυδράς. οἷς ἔοικε πιστεῦσαι καὶ ὁ καῖσαρ. ἐν γὰρ τῷ θριάμβῳ τῆς κλεοπάτρας αὐτῆς, εἴδωλον ἐκομίζετο, καὶ τῆς ἀσπίδος ἐμπεφυκυίας. ταῦτα μὲν οὖν, οὕτω λέγεται γενέσθαι. καῖσαρ δὲ καίπερ ἀχθεσθεὶς ἐπὶ τῇ τελευτῇ τῆς γυναικὸς, ἐθαύμασε τὴν εὐγένειαν αὐτῆς. καὶ ταφῆναι τὸ σῶμα σὺν ἀντωνίῳ, λαμπρῶς καὶ βασιλικῶς ἐκέλευσεν. ἐντίμου δὲ καὶ τὰ γύναια κηδείας ἔτυχεν αὐτοῦ προστάξαντος. ἐτελεύτησε δὲ κλεοπάτρα μὲν, ἑνὸς δέοντα τεσσαράκοντα ἔτη βιώσασα. καὶ τούτων, δύο καὶ εἴκοσι βασιλεύσασα. συνάρξασα δὲ πλείω τῶν δεκατεσσάρων. ἀντώνιον δὲ, οἱ μὲν, ἕξ. οἱ δὲ, τρισὶ τὰ πεντήκοντα ὑπερβάλλειν φασίν. αἱ μὲν οὖν ἀντωνίου καθῃρέθησαν εἰκόνες. αἱ δὲ κλεοπάτρας, κατὰ χώραν ἔμειναν. ἀρχιβίου τινὸς τῶν φίλων αὐτῆς, χίλια τάλαντα καίσαρι δόντος, ἵνα μὴ τὸ αὐτὸ τοῖς ἀντωνίου πάθωσιν. ἀντωνίου δὲ γενεὰν ἀπολιπόντος, ἐκ τριῶν γυναικῶν ἑπτὰ παῖδας, ὁ πρεσβύτατος ἄντυλλος ὑπὸ καίσαρος ἀνῃρέθη μόνος. τοὺς δὲ λοιποὺς, ὀκταβία παραλαβοῦσα μετὰ τῶν ἐξ ἑαυτῆς ἔθρεψε. καὶ κλεοπάτραν μὲν τὴν ἐκ κλεοπάτρας, ἰόβᾳ τῷ χαριεστάτῳ βασιλέων συνῴκισεν. ἀντώνιον δὲ τὸν ἐκ φουλβίας, οὕτω μέγαν ἐποίησεν, ὥστε τὴν πρώτην παρὰ καίσαρι τιμὴν ἀγρίππου, τὴν δὲ δευτέραν τῶν λιβύας παίδων ἐχόντων, τρίτον εἶναι καὶ δοκεῖν ἀντώνιον. ἐκ δὲ μαρκέλλου δυοῖν αὐτῇ θυγατέρων οὐσῶν, ἑνὸς δὲ υἱοῦ μαρκέλλου. τοῦτον μὲν ἅμα παῖδα καὶ γαμβρὸν ἐποιήσατο καῖσαρ. τῶν δὲ θυγατέρων, ἀγρίππᾳ τὴν ἑτέραν ἔδωκεν. ἐπεὶ δὲ μάρκελλος ἐτελεύτησεν νεόγαμος κομιδῆ. καὶ καίσαρι γαμβρὸν ἔχοντα πιστὸν οὐκ εὔπορον ἦν ἐκ τῶν ἄλλων φίλων ἑλέσθαι, λόγον ἡ ὀκταβία προσήνεγκεν, ὡς χρὴ τὴν καίσαρος θυγατέρα λαβεῖν ἀγρίππαν, ἀφέντα τὴν ἑαυτῆς. πεισθέντος δὲ καίσαρος πρῶτον, εἶτα ἀγρίππα, τὴν μὲν αὐτῆς ἀπολαβοῦσα, συνῴκισεν ἀντωνίῳ. τὴν δὲ καίσαρος, ἀγρίππας ἔγημεν. ἀπολειπομένων δὲ τῶν ἀντωνίου καὶ ὀκταβίας δυοῖν θυγατέρων, τὴν μὲν, δομίτιος ἀηνόβαρβος ἔλαβε. τὴν δὲ σωφροσύνῃ καὶ κάλλει περιβόητον ἀντωνίαν, δροῦσος ὁ λιβύας υἱὸς, πρόγονος δὲ καίσαρος. ἐκ τούτων ἐγένετο γερμανικὸς καὶ κλαύδιος. ὧν κλαύδιος μὲν, ὕστερον ἦρξε. τῶν δὲ γερμανικοῦ παίδων, γάϊος μὲν ἄρξας ἐπιφανῶς, οὐ πολὺν χρόνον, ἀνῃρέθη μετὰ τέκνου καὶ γυναικός. ἀγριππῖνα δὲ, υἱὸν ἐξ ἀηνοβάρβου λεύκιον δομίτιον ἔχουσα, κλαυδίῳ καίσαρι συνῴκησε. καὶ θέμενος τὸν υἱὸν αὐτῆς κλαύδιος, νέρωνα γερμανικὸν προσωνόμασεν. οὗτος ἄρξας ἐφ' ἡμῶν, ἀπέκτεινε τὴν μητέρα. καὶ μικρὸν ἐδέησεν ὑπὸ ἐμπληξίας καὶ παραφροσύνης ἀνατρέψαι τὴν ῥωμαίων ἡγεμονίαν. πέμπτος ἀπὸ ἀντωνίου κατ' ἀριθμὸν διαδοχῆς, γενόμενος. ἐπεὶ τοίνυν μεγάλαι περὶ ἀμφοτέρους ἐγένοντο μεταβολαί, πρῶτον τὰ τῆς δυνάμεως καὶ τῆς ἐπιφανείας σκοπῶμεν. ὅτι τῷ μὲν ἦν παρ' ἑτέρου καὶ προκατειργασμένα, μέγιστον ἰσχύσαντος ἀντιγόνου τῶν διαδόχων, καὶ πρὸ τοῦ δημήτριον εἰς ἡλικίαν γενέσθαι, τὰ πλεῖστα τῆς ἀσίας ἐπελθόντος καὶ κρατήσαντος. ἀντώνιος δὲ χαρίεντος μὲν ἄλλως, ἀπολέμου δὲ, καὶ μέγα μηδὲν εἰς δόξαν αὐτῷ καταλιπόντος γενόμενος πατρὸς ἐπὶ τὴν καίσαρος ἐτόλμησεν ἀρχὴν, οὐδὲν αὐτῷ κατὰ γένος προσήκουσαν ἐλθεῖν. καὶ τοῖς ἐκείνῳ προπεπονημένοις, αὐτὸς ἑαυτὸν εἰς ἐποίησε διάδοχον. καὶ τοσοῦτον ἴσχυσεν ἐκ μόνων τῶν περὶ αὐτὸν ὑπαρχόντων ὁρμώμενος, ὥστε δύο μοίρας τὰ σύμπαντα ποιησάμενος, τὴν ἑτέραν ἑλέσθαι, καὶ λαβεῖν τὴν ἐπιφανεστέραν. ἀπὼν δὲ αὐτὸς, ὑπηρέταις τε καὶ ὑποστρατήγοις, πάρθους τε νικῆσαι πολλάκις. καὶ τὰ περὶ τὸν καύκασον ἔθνη βάρβαρα, μέχρι τῆς κασπίας ὤσασθαι θαλάσσης. μαρτυρία δὲ τοῦ μεγέθους αὐτῷ, καὶ δι' ἃ κακῶς ἀκούει. δημήτριον μὲν γὰρ ὁ πατὴρ ἠγάπησε τὴν ἀντιπάτρου φίλαν ὡς κρείττονα συνοικίσαι παρ' ἡλικίαν. ἀντωνίῳ δὲ, ὁ κλεοπάτρας γάμος, ὄνειδος ἦν, γυναικὸς ὑπερβαλλομένης δυνάμει καὶ λαμπρότητι, πλὴν ἀρσάκου, τοὺς καθ' αὑτὴν βασιλεῖς, ἀλλ' οὕτως ἐποίησε μέγαν ἑαυτὸν, ὥστε τοῖς ἄλλοις μειζόνων ἢ ἐβούλετο δοκεῖν ἄξιος. ἡ μέντοι προαίρεσις, ἀφ' ἧς ἐκτήσαντο τὴν ἀρχὴν, ἀ-

δαγωγοῦ παραδοθεὶς, ἀπέθανε. καὶ τὴν κεφαλὴν αὐτοῦ τῶν στρατιωτῶν ἀποτεμνόντων, ὁ παιδαγωγὸς ἀφελὼν ὃν ἐφόρει περὶ τῷ τραχήλῳ πολυτιμότατον λίθον, εἰς τὴν ζώνην κατέρραψεν. ἀρνησάμενος δὲ καὶ φωραθεὶς, ἀνεσταυρώθη. τὰ δὲ κλεοπάτρας παιδία, φρουρούμενα μετὰ τῶν τρεφόντων ἐλευθέριον εἶχε δίαιταν. καισαρίωνα δὲ τὸν ἐκ καίσαρος εἶναι λεγόμενον, ἡ μὲν μήτηρ ἐξέπεμψε μετὰ χρημάτων πολλῶν, εἰς τὴν ἰνδικὴν δι' αἰθιοπίας. ἕτερος δὲ παιδαγωγὸς ὅμοιος θεοδώρῳ, ῥόδων, ἀνέπεισεν ἐπανελθεῖν ὡς καίσαρος αὐτὸν ἐπὶ βασιλείαν καλοῦντος. βουλευομένου δὲ καίσαρος, ἄρειον εἰπεῖν λέγουσιν, οὐκ ἀγαθὸν πολυκαισαρίη. τοῦτον μὲν οὖν ὕστερον ἀπέκτεινε, μετὰ τὴν κλεοπάτρας τελευτήν. αἰτουμένων δὲ πολλῶν ἀντώνιον θάψαι καὶ βασιλέων καὶ στρατηγῶν, οὐκ ἀφείλετο κλεοπάτρας τὸ σῶμα καῖσαρ, ἀλλὰ ἐθάπτετο ταῖς ἐκείνης χερσὶ πολυτελῶς καὶ βασιλικῶς, πᾶσιν ὡς ἐβούλετο χρῆσθαι λαβούσης. ἐκ δὲ λύπης ἅμα τοσαύτης καὶ ὀδύνης. ἀνεφλέγμηνε γὰρ αὐτῆς τὰ στέρνα τυπτομένης καὶ ἥλκωτο, πυρετῶν ἐπιλαβόντων, ἠγάπησε τὴν πρόφασιν ὡς ἀφεξομένη τροφῆς διὰ τοῦτο, καὶ παραλύσουσα τοῦ ζῆν ἀκωλύτως ἑαυτήν, ἦν δὲ ἰατρὸς αὐτῇ συνήθης, ὄλυμπος, ᾧ φράσασα τἀληθὲς, ἐχρῆτο συμβούλῳ καὶ συνεργῷ τῆς καθαιρέσεως. ὡς αὐτὸς ὄλυμπος εἴρηκεν ἱστορίαν τινὰ τῶν πραγμάτων τούτων ἐκδεδωκώς, ὑπονοήσας δὲ καῖσαρ, ἀπειλὰς μέν τινας αὐτῇ καὶ φόβους περὶ τῶν τέκνων, προσέβαλεν. οἷς ἐκείνη καθάπερ μηχανήμασιν ὑπηρείπετο καὶ παρεδίδου τὸ σῶμα, θεραπεύειν καὶ τρέφειν τοῖς χρήζουσιν. ἧκε δὲ καὶ αὐτὸς ἡμέρας ὀλίγας διαλιπὼν ἐντευξόμενος αὐτῇ καὶ παρηγορήσων. ἡ δὲ, ἔτυχε μὲν ἐν στιβάδι κατακειμένη ταπεινῶς. εἰσιόντι δ' αὐτῷ μονοχίτων ἀναπηδήσασα, προσπίπτει. δεινῶς μὲν ἐξηγριωμένη κεφαλὴν καὶ πρόσωπον. ὑπότρομος δὲ τῇ φωνῇ, καὶ συντετηκυῖα ταῖς ὄψεσιν. ἦν δὲ πολλὰ καὶ τοῦ περὶ τὸ στέρνον αἰκίας καταφανῆ. καὶ ὅλως οὐθὲν ἐδόκει τὸ σῶμα τῆς ψυχῆς, ἔχειν βέλτιον. ἡ μέντοι χάρις ἐκείνη καὶ τὸ τῆς ὥρας ἰταμὸν, οὐ κατέσβεστο παντάπασιν, ἀλλὰ καίπερ οὕτως διακειμένης, ἔνδοθέν ποθεν ἐξέλαμπε, καὶ συνεπεφαίνετο τοῖς κινήμασι τοῦ προσώπου. κελεύσαντος δὲ τοῦ καίσαρος αὐτὴν κατακλιθῆναι, καὶ πλησίον αὐτοῦ καθίσαντος, ἥψατο μέν τινος δικαιολογίας, εἰς ἀνάγκην καὶ φόβον ἀντωνίου τὰ πεπραγμένα τρεπούσης. ἐνισταμένου δὲ πρὸς ἕκαστον αὐτῇ τοῦ καίσαρος, ἐξελεγχομένη, ταχὺ πρὸς οἶκτον μεθηρμόσατο, καὶ δέησιν, ὡς δή τις μάλιστα τοῦ ζῆν περιεχομένη. τέλος δὲ τοῦ πλήθους τῶν χρημάτων ἀναγραφὴν ἔχουσαν, προσέδωκεν αὐτῷ. σελεύκου δέ τινος τῶν ἐπιτρόπων ἐλέγχοντος, ὡς ἔνια κρύπτουσαν καὶ διακλέπτουσαν, ἀναπηδήσασα καὶ τῶν τριχῶν αὐτοῦ λαβομένη, πολλὰς ἐνεφόρει τῷ προσώπῳ πληγάς. τοῦ δὲ καίσαρος μειδιῶντος, καὶ καταπαύοντος αὐτὴν, ἀλλ' οὐ δεινὸν εἶπεν ὦ καῖσαρ, εἰ σὺ μὲν ἠξίωσας ἀφικέσθαι πρὸς ἐμὲ καὶ προσειπεῖν οὕτω πράττουσαν. οἱ δὲ δοῦλοί μου κατηγοροῦσιν εἴ τι τῶν γυναικείων ἀπεθέμην, οὐκ ἐμαυτῇ δήπουθεν ἡ τάλαινα κόσμον, ἀλλ' ὅπως ὀκταβίᾳ, καὶ λιβύᾳ τῇ σῇ μικρὰ δοῦσα, δι' ἐκείνων ἱλεώ σου τύχοιμι καὶ πρᾳοτέρου. τούτοις ὁ καῖσαρ ἥδετο. παντάπασιν αὐτὴν φιλοψυχεῖν οἰόμενος. εἰπὼν οὖν ὅτι καὶ ταῦτα ἐπιτρέπει. καὶ τἄλλα πάσης ἐλπίδος αὐτῇ χρήσεται λαμπρότερον, ᾤχετο ἀπιών. ἐξηπατηκέναι μὲν οἰόμενος. ἐξηπατημένος δὲ μᾶλλον. ἦν δὲ κορνήλιος δολοβέλλας ἐπιφανὴς νεανίσκος ἐν τοῖς καίσαρος ἑταίροις. οὗτος, εἶχε πρὸς τὴν κλεοπάτραν οὐκ ἀηδῶς, καὶ τότε χαριζόμενος αὐτῇ δεηθείσῃ, κρύφα πέμψας ἐξήγγειλεν, ὡς αὐτὸς μὲν ὁ καῖσαρ ἀναζεύγνυσι πεζῇ διὰ συρίας. ἐκείνην δὲ μετὰ τῶν τέκνων ἀποστέλλειν εἰς τρίτην ἡμέραν ἔγνωκεν. ἡ δὲ, ἀκούσασα ταῦτα, πρῶτον μὲν ἐδεήθη καίσαρος ὅπως αὐτὴν ἐάσῃ, χοὰς ἐπενεγκεῖν ἀντωνίῳ. καὶ συγχωρήσαντος, ἐπὶ τὸν τάφον κομισθεῖσα, καὶ περιπεσοῦσα τῇ σορῷ μετὰ τῶν συνήθων γυναικῶν, ὦ φίλε ἀντώνιε εἶπεν, ἔθαπτον μέν σε πρώην ἔτι χερσὶν ἐλευθέραις. σπένδω δὲ νῦν αἰχμάλωτος οὖσα, καὶ φρουρουμένη μήτε κοπετοῖς μήτε θρήνοις αἰκίσασθαι τὸ δοῦλον τοῦτο σῶμα, καὶ τηρούμενον ἐπὶ τοὺς κατὰ σοῦ θριάμβους. ἄλλας δὲ μὴ προσδέχου τιμὰς ἢ χοάς, ἀλλ' αὗταί σοι τελευταῖαι κλεοπάτρας ἀγομένης. ζῶντας μὲν γὰρ ἡμᾶς, οὐθὲν ἀλλήλων διέστησεν. κινδυνεύομεν δὲ τῷ θανάτῳ, διαμείψασθαι τοὺς τόπους. σὺ μὲν ὁ ῥωμαῖος ἐνταῦθα κείμενος. ἐγὼ δ' ἡ δύστηνος, ἐν ἰταλίᾳ. τοσοῦτο τῆς σῆς μεταλαβοῦσα χώρας μόνον. ἀλλ' εἰ δή τις τῶν ἐκεῖ θεῶν ἀλκὴ καὶ δύναμις. οἱ γὰρ ἐνταῦθα προὔδωκαν ἡμᾶς, μὴ πρόῃ ζῶσαν τὴν σεαυτοῦ γυναῖκα, μηδ' ἐν ἐμοὶ περιίδῃς θριαμβευόμενον σεαυτὸν, ἀλλ' ἐνταῦθά με κρύψον μετὰ σεαυτοῦ καὶ συνθάψον. ὡς ἐμοὶ μυρίων κακῶν ὄντων, οὐδὲν οὕτω μέγα καὶ δεινόν ἐστιν, ὡς ὁ βραχὺς οὗτος χρόνος, ὃν σοῦ χωρὶς ἔζηκα. τοιαῦτα ὀλοφυραμένη καὶ στέψασα, καὶ κατασπασαμένη τὴν σορὸν, ἐκέλευσεν αὐτῇ λουτρὸν γενέσθαι. λουσαμένη δὲ καὶ κατακλιθεῖσα, λαμπρὸν ἄριστον ἠρίστα. καί τις ἧκεν ἀπ' ἀγροῦ κίστην τινὰ κομίζων. τῶν δὲ φυλάκων ὅτι φέροι πυνθανομένων, ἀνοίξας, καὶ ἀφελὼν τὰ θρία, σύκων ἐπίπλεων τὸ ἀγγεῖον ἔδειξε. θαυμασάντων δὲ τὸ κάλλος καὶ τὸ μέγεθος, μειδιάσας, παρεκάλει λαβεῖν. οἱ δὲ, πιστεύσαντες, ἐκέλευον εἰσενεγκεῖν. μετὰ δὲ τὸ ἄριστον ἡ κλεοπάτρα δέλτον ἔχουσα γεγραμμένην, καὶ κατασεσημασμένην, ἀπέστειλε πρὸς καίσαρα. καὶ τοὺς ἄλλους ἐκποδὼν ποιησαμένη, πλὴν τῶν δυοῖν ἐκείνων γυναικῶν, τὰς θύρας ἔκλεισε. καῖσαρ δὲ λύσας τὴν δέλτον, ὡς ἐνέτυχε λιταῖς καὶ ὀλοφυρμοῖς δεομένης αὐτῆς, σὺν ἀντωνίῳ θάψαι, ταχὺ συνῆκε τὸ πεπραγμένον. καὶ πρῶτον μὲν αὐτὸς ὥρμησε βοηθεῖν. ἔπειτα τοὺς σκεψομένους κατὰ τάχος, ἔπεμψεν. ἐγε-

ὦ Ἔρως, ὅτι μὴ δυνηθεὶς αὐτὸς ἐμὲ ποιεῖν, ὃ δεῖ διδάσκεις. καὶ παίσας διὰ τῆς κοιλίας, ἑαυτὸν ἀφῆκεν εἰς τὸ κλινίδιον. ἦν δὲ οὐκ εὐθυθάνατος ἡ πληγή. διὸ καὶ τῆς φορᾶς τοῦ αἵματος ἐπεὶ κατεκλίθη παυσαμένης, ἀναλαβὼν, ἐδεῖτο τῶν παρόντων ἐπισφάττειν αὐτόν. οἱ δὲ, ἔφευγον ἐκ τοῦ δωματίου, βοῶντος καὶ σφαδάζοντος. ἄχρι οὗ παρὰ Κλεοπάτρας ἧκε, Διομήδης ὁ γραμματεὺς, κομίζειν αὐτὸν ὡς ἐκείνην εἰς τὸν τάφον κελευσθείς. γνοὺς οὖν ὅτι ζῇ, προθύμως ἐκέλευσεν αἴρεσθαι τοῖς ὑπηρέταις τὸ σῶμα. καὶ διὰ χειρῶν προσεκομίσθη ταῖς θύραις τοῦ οἰκήματος. ἡ δὲ Κλεοπάτρα, τὰς μὲν θύρας, οὐκ ἀνέῳξεν. ἐκ δὲ θυρίδων τινῶν φανεῖσα, σειρὰς καὶ καλώδια καθίει. καὶ τούτοις ἐναψάντων τὸν Ἀντώνιον, ἀνεῖλκεν αὐτὴ καὶ δύο γυναῖκες, ἃς μόνας ἐδέξατο μετ' αὐτῆς εἰς τὸν τάφον. οὐδὲν ἐκείνου λέγουσιν οἰκτρότερον γενέσθαι οἱ παραγενόμενοι, θέαμα. πεφυρμένος γὰρ αἵματι καὶ δυσθανατῶν, εἵλκετο τὰς χεῖρας ὀρέγων εἰς ἐκείνην καὶ παραιωρούμενος. οὐ γὰρ ἦν γυναιξὶ ῥᾴδιον τὸ ἔργον. ἀλλὰ μόλις ἡ Κλεοπάτρα ταῖν χεροῖν ἐμπεφυκυῖα καὶ κατατεινομένη τῷ προσώπῳ, τὸν δεσμὸν ἀνελάμβανεν, ἐπικελευομένων τῶν κάτωθεν αὐτῇ καὶ συναγωνιώντων. δεξαμένη δὲ αὐτὸν, οὕτως καὶ κατακλίνασα, περιερρήξατο τοὺς πέπλους ἐπ' αὐτῷ, καὶ τὰ στέρνα τυπτομένη, καὶ σπαράττουσα ταῖς χερσὶ, καὶ τῷ προσώπῳ τοῦ αἵματος ἀναματτομένη, δεσπότην ἐκάλει, καὶ ἄνδρα καὶ αὐτοκράτορα, καὶ μικροῦ δεῖν ἐπιλέληστο τῶν αὐτῆς κακῶν, οἴκτῳ τῶν ἐκείνου. καταπαύσας δὲ τὸν θρῆνον αὐτῆς Ἀντώνιος, ᾔτησεν οἶνον πιεῖν, εἴτε διψῶν, εἴτε συντομώτερον ἐλπίζων ἀπολυθήσεσθαι. πιὼν δὲ, παρῄνεσεν αὐτῇ, τὰ μὲν ἑαυτῆς, ἂν ᾖ μὴ μετ' αἰσχύνης, σωτήρια τίθεσθαι, μάλιστα τῶν Καίσαρος ἑταίρων, Προκληΐῳ πιστεύουσαν. αὐτὸν δὲ μὴ θρηνεῖν ἐπὶ ταῖς ὑστάταις μεταβολαῖς, ἀλλὰ μακαρίζειν, ὧν ἔτυχε καλῶν, ἐπιφανέστατος ἀνθρώπων γενόμενος, καὶ πλεῖστον ἰσχύσας. καὶ νῦν οὐκ ἀγεννῶς, Ῥωμαῖος ὑπὸ Ῥωμαίου κρατηθείς. ὅσον δὲ ἀπολείποντος αὐτοῦ, Προκλήϊος ἧκε παρὰ Καίσαρος. ἐπεὶ γὰρ ἑαυτὸν πατάξας ὁ Ἀντώνιος, ὤχετο πρὸς Κλεοπάτραν κομιζόμενος, Δερκεταῖός τις τῶν δορυφόρων λαβὼν τὸ ἐγχειρίδιον αὐτοῦ καὶ ἀποκρύψας, ὑπεξῆλθε. καὶ δραμὼν πρὸς Καίσαρα, πρῶτος ἤγγειλε τὴν Ἀντωνίου τελευτήν. καὶ τὸ ξίφος ἔδειξεν ᾑμαγμένον. ὁ δὲ, ὡς ἤκουσεν, ἐνδοτέρω τῆς σκηνῆς ὑποστὰς, ἀπεδάκρυσεν ἄνδρα κηδεστὴν γενόμενον, καὶ συνάρχοντα, καὶ πολλῶν ἀγώνων καὶ πραγμάτων κοινωνόν. εἶτα τὰς ἐπιστολὰς λαβὼν, καὶ τοὺς φίλους καλέσας, ἀνεγίνωσκεν, ὡς εὐγνώμονα γράφοντος αὐτοῦ καὶ δίκαια, φορτικὸς ἦν καὶ ὑπερήφανος ἀεὶ περὶ τὰς ἀποκρίσεις ἐκεῖνος. ἐκ δὲ τούτου, τὸν Προκλήϊον ἔπεμψε, κελεύσας ἦν δύνηται μάλιστα τῆς Κλεοπάτρας ζώσης κρατῆσαι. καὶ γὰρ ἐφοβεῖτο περὶ τῶν χρημάτων. καὶ μέγα πρὸς δόξαν ἡγεῖτο τοῦ θριάμβου, καταγαγεῖν ἐκείνην. εἰς μὲν οὖν χεῖρας τῷ Προκληΐῳ συνελθεῖν, οὐκ ἠθέλησεν. ἐγίνοντο δὲ λόγοι ἐν τῷ οἰκήματι προσελθόντος ἔξωθεν αὐτοῦ κατὰ θύρας ἐπιπέδους. ἀποκεκλεισμένας μὲν ὀχυρῶς, φωνῇ δὲ, διέξοδον ἐχούσας. καὶ διελέγχθησαν, ἡ μὲν αἰτουμένη τὴν βασιλείαν τοῖς παισίν. ὁ δὲ, θαρρεῖν καὶ πάντα πιστεύειν Καίσαρι κελεύων. ὡς δὲ κατιδὼν τὸν τόπον ἀπήγγειλε Καίσαρι, Γάλλος μὲν ἐπέμφθη πάλιν, ἐντευξόμενος αὐτῇ. καὶ παρὰ τὰς θύρας ἐλθὼν, ἐπίτηδες ἐμήκυνε τὸν λόγον. ἐν τούτῳ δὲ Προκλήϊος, κλίμακος προστεθείσης διὰ τῆς θυρίδος εἰσῆλθεν, ᾗ τὸν Ἀντώνιον αἱ γυναῖκες ἐδέξαντο. καὶ πρὸς ταῖς θύραις αὐταῖς εὐθὺς, αἷς ἡ Κλεοπάτρα παρειστήκει προσέχουσα τῷ Γάλλῳ, κατέβαινεν, ὑπηρέτας ἔχων δύο μετ' αὐτοῦ. τῶν δὲ συγκαθειργμένων τῇ Κλεοπάτρᾳ γυναικῶν, τῆς ἑτέρας ἀνακραγούσης, τάλαινα Κλεοπάτρα ζωγρεῖ, μεταστραφεῖσα καὶ θεασαμένη τὸν Προκλήϊον, ὥρμησεν μὲν αὑτὴν πατάξαι. παρεζωσμένη γὰρ ἐτύγχανε τῶν λῃστρικῶν ξιφιδίων. προσδραμὼν δὲ ταχὺ καὶ περισχὼν αὐτὴν ταῖς χερσὶν ἀμφοτέραις, ὁ Προκλήϊος. ἀδικεῖς ἔφη ὦ Κλεοπάτρα καὶ σεαυτὴν καὶ Καίσαρα, μεγάλην ἀφαιρουμένη χρηστότητος ἐπίδειξιν αὐτοῦ, καὶ διαβάλλουσα τὸν πρᾳότατον ἡγεμόνων, ὡς ἄπιστον καὶ ἀδιάλλακτον. ἅμα δὲ καὶ τὸ ξίφος αὐτῆς παρείλετο. καὶ τὴν ἐσθῆτα μὴ κρύπτοι τι φάρμακον, ἐξέσεισεν. ἐπέμφθη δὲ καὶ παρὰ Καίσαρος τῶν ἀπελευθέρων Ἐπαφρόδιτος, ᾧ προσετέτακτο ζῶσαν αὐτὴν φυλάττειν ἰσχυρῶς ἐπιμελόμενον, τἆλλα πρὸς τὸ ῥᾷστον ἐνδιδόναι καὶ ἥδιστον. αὐτὸς δὲ Καῖσαρ εἰσήλαυνεν εἰς τὴν πόλιν, Ἀρείῳ τῷ φιλοσόφῳ προσδιαλεγόμενος, καὶ τὴν δεξιὰν ἐνδεδωκὼς, ἵνα εὐθὺς ἐν τοῖς πολίταις περίβλεπτος ᾖ καὶ θαυμάζοιτο, τιμώμενος ὑπ' αὐτοῦ διαπρεπῶς. εἰς δὲ τὸ γυμνάσιον εἰσελθὼν, καὶ ἀναβὰς ἐπὶ βῆμά τι πεποιημένον, ἐκπεπληγμένων ὑπὸ δέους τῶν ἀνθρώπων, καὶ προσπιπτόντων, ἀναστῆναι κελεύσας, ἔφη πάσης αἰτίας τὸν δῆμον ἀφιέναι. πρῶτον μὲν διὰ τὸν κτίστην Ἀλέξανδρον. δεύτερον δὲ, τῆς πόλεως θαυμάζων τὸ κάλλος. τρίτον δὲ, Ἀρείῳ τῷ ἑταίρῳ χαριζόμενος. ταύτης δὴ τῆς τιμῆς ἔτυχεν Ἄρειος παρὰ Καίσαρος, καὶ τῶν ἄλλων ἐξῃτήσατο συχνούς. ὧν ἦν καὶ Φιλόστρατος, ἀνὴρ εἰπεῖν μὲν ἐξ ἐπιδρομῆς τῶν τότε σοφιστῶν ἱκανώτατος, εἰσποιῶν δὲ μὴ προσηκόντως ἑαυτὸν τῇ Ἀκαδημίᾳ. διὸ καὶ Καῖσαρ αὐτοῦ βδελυττόμενος τὸν τρόπον, οὐ προσίετο τὰς δεήσεις. ὁ δὲ, πώγωνα πολιὸν καθεὶς, καὶ φαιὸν ἱμάτιον περιβαλλόμενος, ἐξόπισθεν Ἀρείῳ παρηκολούθει, τὸν στίχον ἀεὶ τοῦτον ἀναφθεγγόμενος. σοφοὶ σοφοὺς σῴζουσιν, ἂν ὦσι σοφοί. πυθόμενος δὲ Καῖσαρ, καὶ τοῦ φθόνου μᾶλλον Ἄρειον, ἢ τοῦ δέους Φιλόστρατον ἀπαλλάξαι βουλόμενος, διῆκε. τῶν δὲ Ἀντωνίου παίδων, ὁ μὲν ἐκ Φουλβίας, Ἄντυλλος, ὑπὸ Θεοδώρου τοῦ παι-

γυναιξὶ π. ς. κ. κ.
σωτήρια. π. ς.
ʌ οὕτω. π. ς.
|. καὶ. ς. κ.
διελέχθησαν. ς. κ. κ.
αὐτοῦ. π. κ. ς.
διαπρεπῶς. π. ς. κ
|. καὶ τὸ μέγεθος. q. π. κ. ς.
ἐξῃτήσατο. q. π. ς. κ.

ἀντώνιον, ἐτόλμησεν εἰς ὄψιν ἐλθεῖν καίσαρος ἡρώδῃ πεποιθώς. ὤνησε δὲ αὐτὸν οὐδὲν ἡρώδης, ἀλλ' εὐθὺς εἰρχθεὶς, καὶ κομισθεὶς εἰς τὴν ἑαυτοῦ πατρίδα δέσμιος, ἐκεῖ καίσαρος κελεύσαντος, ἀνῃρέθη. τοιαύτην μὲν ἀλέξας ἔτι ζῶντι δίκην ἀντωνίῳ τῆς ἀπιστίας ἐξέτισε. καῖσαρ δὲ, τοὺς μὲν ὑπὲρ ἀντωνίου λόγους, οὐκ ἠνέσχετο. κλεοπάτραν δὲ ἀπεκρίνατο μηδενὸς ἁμαρτήσεσθαι τῶν ἐπιεικῶν, ἀνελοῦσαν ἀντώνιον, ἢ ἐκβαλοῦσαν. συνέπεμψε δὲ καὶ παρ' αὐτοῦ τινα τῶν ἀπελευθέρων, θύρσον, οὐκ ἀνόητον ἄνθρωπον, οὐδὲ ἀπιθάνως ἂν ἀφ' ἡγεμόνος νέου διαλεχθέντα πρὸς γυναῖκα σοβαρὰν, καὶ θαυμαστὸν ὅσον ἐπὶ κάλλει φρονοῦσαν. οὗτος ἐντυγχάνων αὐτῇ μακρότερα τῶν ἄλλων, καὶ τιμώμενος διαφερόντως, ὑπόνοιαν τῷ ἀντωνίῳ παρέσχε. καὶ συλλαβὼν αὐτὸν ἐμαστίγωσεν. εἶτα ἀφῆκε πρὸς καίσαρα, γράψας ὡς ἐντρυφῶν καὶ περιφρονῶν παροξύνειεν αὐτὸν, εὐπαρόξυντον ὑπὸ κακῶν ὄντα. σὺ δὲ εἰ μὴ φέρεις τὸ πρᾶγμα ἔφη μετρίως, ἔχεις ἐμὸν ἀπελεύθερον ἵππαρχον. τοῦτον κρεμάσας, μαστίγωσον, ἵνα ἴσον ἔχωμεν. ἐκ τούτου, κλεοπάτρα μὲν ἀπολυομένη τὰς αἰτίας καὶ ὑπονοίας, ἐθεράπευεν αὐτὸν περιττῶς. καὶ τὴν ἑαυτῆς γενέθλιον ταπεινῶς διαγαγοῦσα καὶ ταῖς τύχαις πρεπόντως, τὴν ἐκείνου, πᾶσαν ὑπερβαλλομένη λαμπρότητα καὶ πολυτέλειαν ἑώρτασεν, ὥστε πολλοὺς τῶν κεκλημένων ἐπὶ τὸ δεῖπνον, πένητας ἐλθόντας ἀπελθεῖν πλουσίους. καίσαρα δὲ ἀγρίππας ἀνεκαλεῖτο πολλάκις, ἀπὸ ῥώμης γράφων, ὡς τῶν ἐκεῖ πραγμάτων τὴν παρουσίαν αὐτοῦ ποθούντων. ἔσχεν οὖν ἀναβολὴν ὁ πόλεμος τότε. τοῦ δὲ χειμῶνος παρελθόντος, αὖθις ἐπῄει διὰ συρίας. οἱ δὲ στρατηγοὶ, διὰ λιβύης. ἁλόντος δὲ πηλουσίου, λόγος ἦν ἐνδοῦναι σέλευκον οὐκ ἀκούσης τῆς κλεοπάτρας. ἡ δὲ, ἐκείνου μὲν γυναῖκα καὶ παῖδας ἀντωνίῳ κτεῖναι παρεῖχεν. αὐτὴ δὲ θήκας ἔχουσα καὶ μνήματα κατεσκευασμένα περιττῶς, εἴς τε κάλλος καὶ ὕψος, ἃ προσῳκοδόμησε τῷ ναῷ τῆς ἴσιδος, ἐνταῦθα τῶν βασιλικῶν συνεφόρει τὰ πλείστης ἄξια σπουδῆς. χρυσὸν, ἄργυρον, σμάραγδον, μαργαρίτην, ἔβενον, ἐλέφαντα, κιννάμωμον. ἐπὶ πᾶσι δὲ, δᾷδα πολλὴν καὶ στυππεῖον. ὥστε δείσαντα περὶ τῶν χρημάτων καίσαρα, μὴ ἀπονοηθεῖσα πρὸς ἀπόγνωσιν ἡ γυνὴ διαφθείρῃ καὶ καταφλέξῃ τὸν πλοῦτον, ἀεί τινας ἐλπίδας αὐτῇ φιλανθρώπους προσπέμπειν, ἅμα τῷ στρατῷ πορευόμενον ἐπὶ τὴν πόλιν. ἱδρυθέντος δὲ αὐτοῦ περὶ τὸν ἱππόδρομον, ἀντώνιος ἐπεξελθὼν, ἠγωνίσατο λαμπρῶς. καὶ τροπὴν τῶν καίσαρος ἱππέων ἐποίησεν, καὶ κατεδίωξεν ἄχρι τοῦ στρατοπέδου. μεγαλυνόμενος δὲ τῇ νίκῃ, παρῆλθεν εἰς τὰ βασίλεια, καὶ τὴν κλεοπάτραν κατεφίλησεν ἐν τοῖς ὅπλοις. καὶ τὸν ἠγωνισμένον προθυμότατα συνέστησεν. ἡ δὲ, ἀριστεῖον αὐτῷ θώρακα χρυσοῦν καὶ κράνος ἔδωκεν. ἐκεῖνος μὲν οὖν ὁ ἄνθρωπος λαβὼν ταῦτα, διὰ νυκτὸς ηὐτομόλησεν ὡς καίσαρα. πάλιν δὲ ἀντώνιος ἔπεμπε καίσαρα μονομαχῆσαι προκαλούμενος. ἀποκριναμένου δὲ ἐκείνου, πολλὰς ὁδοὺς ἀντωνίῳ παρεῖναι θανάτου, συμφρονήσας ὅτι τοῦ διὰ μάχης οὐκ ἔστιν αὐτῷ βελτίων θάνατος, ἔγνω καὶ κατὰ γῆν ἅμα καὶ κατὰ θάλασσαν ἐπιχειρεῖν. καὶ παρὰ δεῖπνον ὡς λέγεται, τοὺς οἰκέτας ἐκέλευεν ὑπεγχεῖν καὶ προθυμότερον εὐωχεῖν αὐτὸν, ἄδηλον γὰρ εἰ τοῦτο ποιήσουσιν αὔριον, ἢ δεσπόταις ἑτέροις ὑπηρετήσουσιν. αὐτὸς δὲ κείσεται σκελετὸς καὶ τὸ μηδὲν γενόμενος. τοὺς δὲ φίλους ἐπὶ τούτοις δακρύοντας ὁρῶν, ἔφη μὴ προάξειν ἐπὶ τὴν μάχην, ἐξ ἧς αὐτῷ θάνατον εὐκλεᾶ μᾶλλον ἢ σωτηρίαν ζητεῖν καὶ νίκην. ἐν ταύτῃ τῇ νυκτὶ λέγεται μεσούσης σχεδὸν, ἐν ἡσυχίᾳ καὶ κατηφείᾳ τῆς πόλεως διὰ φόβον καὶ προσδοκίαν τοῦ μέλλοντος οὔσης, αἰφνίδιον ὀργάνων τε παντοδαπῶν ἐμμελεῖς φωνὰς ἀκουσθῆναι, καὶ βοὴν ὄχλου μετ' εὐασμῶν καὶ πηδήσεων σατυρικῶν, ὥσπερ θιάσου τινὸς οὐκ ἀθορύβου ἐξελαύνοντος. εἶναι δὲ τὴν ὁρμὴν, ὁμοῦ τι διὰ τῆς πόλεως μέσης, ἐπὶ τὴν πύλην ἔξω τὴν τετραμμένην πρὸς τοὺς πολεμίους, καὶ ταύτῃ τὸν θόρυβον ἐκπεσεῖν, πλεῖστον γενόμενον. ἐδόκει δὲ τοῖς ἀναλογιζομένοις τὸ σημεῖον, ἀπολείπειν ὁ θεὸς ἀντώνιον, ᾧ μάλιστα συνεξομοιῶν καὶ συνοικειῶν ἑαυτὸν, διετέλεσεν. ἅμα δὲ ἡμέρᾳ, τὸν πεζὸν αὐτὸς ἐπὶ τῶν πρὸ τῆς πόλεως λόφων ἱδρύσας, ἐθεᾶτο τὰς ναῦς ἀνηγμένας, καὶ ταῖς τῶν πολεμίων προσφερομένας. καὶ περιμένων, ἔργον τι παρ' ἐκείνων ἰδεῖν, ἡσύχαζεν. οἱ δὲ, ὡς ἐγγὺς ἐγένοντο, ταῖς κώπαις ἠσπάσαντο τοὺς καίσαρος. ἐκείνων τε ἀντασπασαμένων, μετεβάλοντο, καὶ πάσαις ἅμα ταῖς ναυσὶν, ὁ στόλος εἷς γενόμενος ἐπέπλει πρὸς τὴν πόλιν ἀντίπρῳρος. τοῦτ' ἀντώνιος ἰδὼν, ἀπελείφθη μὲν εὐθὺς ὑπὸ τῶν ἱππέων μεταβαλομένων. ἡττηθεὶς δὲ τοῖς πεζοῖς, ἀνεχώρησεν εἰς τὴν πόλιν, ὑπὸ κλεοπάτρας προδεδόσθαι βοῶν, οἷς δι' ἐκείνην ἐπολέμησεν. ἡ δὲ, τὴν ὀργὴν αὐτοῦ φοβηθεῖσα καὶ τὴν ἀπόνοιαν, εἰς τὸν τάφον κατέφυγε. καὶ τοὺς καταρράκτας ἀφῆκε κλείθροις καὶ μοχλοῖς καρτεροὺς ὄντας. πρὸς δὲ ἀντώνιον ἔπεμψε τοὺς ἀπαγγελοῦντας, ὅτι τέθνηκε. πιστεύσας δὲ ἐκεῖνος, καὶ εἰπὼν πρὸς αὑτὸν, τί ἔτι μέλλεις ἀντώνιε, τὴν μόνην ἡ τύχη καὶ λοιπὴν ἀφῄρηκε τοῦ φιλοψυχεῖν πρόφασιν, εἰσῆλθεν εἰς τὸ δωμάτιον, καὶ τὸν θώρακα παραλύων καὶ διαστέλλων. ὦ κλεοπάτρα εἶπεν, οὐκ ἄχθομαί σου στερόμενος. αὐτίκα γὰρ εἰς ταὐτὸν ἀφίξομαι, ἀλλ' ὅτι γυναικὸς ὁ τηλικοῦτος αὐτοκράτωρ εὐψυχίᾳ πεφώραμαι λειπόμενος. ἦν δέ τις οἰκέτης αὐτοῦ πιστὸς ἔρως ὄνομα. τοῦτον ἐκ πολλοῦ παρακεκληκὼς εἰ δεήσειεν ἀνελεῖν αὐτὸν, ἀπῄτει τὴν ὑπόσχεσιν. ὁ δὲ, σπασάμενος τὸ ξίφος, ἀνέσχετο μὲν ὡς παίσων ἐκεῖνον, ἀποστρέψας δὲ τὸ πρόσωπον, ἑαυτὸν ἀπέκτεινε. πεσόντος δὲ αὐτοῦ πρὸς τοὺς πόδας, ὁ ἀντώνιος, εὖγ' εἶπεν

στοκράτῃ ῥητορικῷ. ῥωμαίῳ δὲ λευκιλίῳ περὶ οὗ δι᾽ ἑτέρων γεγράφαμεν ὡς ἐν φιλίπποις ὑπὲρ τοῦ διαφυγεῖν βροῦτον, αὑτὸς αὑτὸν ὡς δὴ βροῦτος ὢν, ἐνεχείρισε τοῖς διώκουσι. καὶ διασωθεὶς ὑπ᾽ ἀντωνίου, διὰ τοῦτο πιστὸς αὐτῷ καὶ βέβαιος ἄχρι τῶν ἐσχάτων καιρῶν παρέμεινεν. ἐπεὶ δὲ καὶ τὴν ἐν λιβύῃ δύναμιν ὁ πεπιστευμένος ἀπέστησεν, ὁρμήσας ἑαυτὸν ἀνελεῖν, καὶ διακωλυθεὶς ὑπὸ τῶν φίλων, καὶ κομισθεὶς εἰς ἀλεξάνδρειαν, εὗρε κλεοπάτραν, ἐνθάδε τολμῶσαν ἔργῳ παραβόλῳ καὶ μεγάλῳ. τοῦ γὰρ εἴργοντος ἰσθμοῦ τὴν ἐρυθρὰν ἀπὸ τῆς κατ᾽ αἴγυπτον θαλάσσης, καὶ δοκοῦντος, ἀσίαν καὶ λιβύην ὁρίζειν, ᾗ σφίγγεται μάλιστα τοῖς πελάγεσι καὶ βραχύτατος εὖρός ἐστι, τριακοσίων σταδίων ὄντων, ἐνεχείρησεν ἄρασα τὸν στόλον, ὑπερνεωλκῆσαι, καὶ καθεῖσα τὰς ναῦς εἰς τὸν ἀραβικὸν κόλπον μετὰ χρημάτων πολλῶν καὶ δυνάμεως, ἔξω κατοικεῖν, ἀποφυγοῦσα δουλείαν καὶ πόλεμον. ἐπεὶ δὲ τὰς πρώτας ἀνελκομένας τῶν νεῶν, οἱ περὶ τὴν πέτραν ἄραβες κατέκαυσαν, ἔτι δὲ ἀντώνιος τὸν ἐν ἀκτίῳ στρατὸν ᾤετο συμμένειν, ἐπαύσατο καὶ τὰς ἐμβολὰς ἐφύλαττεν. ἀντώνιος δὲ τὴν πόλιν ἐκλιπὼν καὶ τὰς μετὰ τῶν φίλων διατριβάς, οἴκησιν ἔναλον κατεσκεύαζεν αὑτῷ περὶ τὴν φάρον εἰς τὴν θάλασσαν χῶμα προβαλών. καὶ διῆγεν αὐτόθι φυγὰς ἀνθρώπων. καὶ τὸν τίμωνος ἀγαπᾶν καὶ ζηλοῦν βίον ἔφασκεν. ὡς δὴ πεπονθὼς ὅμοια. καὶ γὰρ αὐτὸς ἀδικηθεὶς ὑπὸ φίλων καὶ ἀχαριστηθείς, διὰ τοῦτο πᾶσιν ἀνθρώποις ἀπιστεῖν καὶ δυσχεραίνειν. ὁ δὲ τίμων, ἦν ἀθηναῖος, ὃς καὶ γέγονεν ἡλικίᾳ μάλιστα κατὰ τὸν πελοποννησιακὸν πόλεμον. ὡς ἐκ τῶν ἀριστοφάνους καὶ πλάτωνος δραμάτων, λαβεῖν ἐστι. κωμῳδεῖται γὰρ ἐν ἐκείνοις ὡς δυσμενὴς καὶ μισάνθρωπος. ἐκκλίνων δὲ καὶ διωθούμενος ἅπασαν ἔντευξιν, ἀλκιβιάδην νέον ὄντα καὶ θρασύν, ἠσπάζετο καὶ κατεφίλει προθύμως. ἀπημάντου δὲ θαυμάζοντος, καὶ πυνθανομένου τὴν αἰτίαν, φιλεῖν ἔφη τὸν νεανίσκον, εἰδὼς ὅτι πολλῶν ἀθηναίοις κακῶν, αἴτιος ἔσοιτο. τὸν δὲ ἀπήμαντον μόνον ὡς ὅμοιον αὐτῷ καὶ ζηλοῦντα τὴν δίαιταν, ἔστιν ὅτε προσίετο. καί ποτε τῆς τῶν χοῶν οὔσης ἑορτῆς, εἱστιῶντο καθ᾽ αὑτοὺς οἱ δύο. τοῦ δ᾽ ἀπημάντου φήσαντος, ὡς καλὸν ὦ τίμων τὸ συμπόσιον ἡμῶν, εἴγε σύ ἔφη μὴ παρῆς. λέγεται δὲ ἀθηναίων ἐκκλησιαζόντων, ἀναβὰς ἐπὶ τὸ βῆμα, ποιῆσαι σιωπὴν καὶ προσδοκίαν μεγάλην διὰ τὸ παράδοξον. εἶτα εἰπεῖν. ἔστι μοι μικρὸν οἰκόπεδον ὦ ἄνδρες ἀθηναῖοι. καὶ συκῆ τις ἐν αὐτῷ πέφυκεν, ἐξ ἧς ἤδη συχνοὶ τῶν πολιτῶν ἀπήγξαντο. μέλλων οὖν οἰκοδομεῖν τὸν τόπον, ἐβουλήθην δημοσίᾳ προειπεῖν, ἵν᾽ ἂν ἄρα τινὲς ἐθέλωσιν ὑμῶν πρὶν ἐκκοπῆναι τὴν συκῆν ἀπάγξωνται. τελευτήσαντος δὲ αὐτοῦ καὶ ταφέντος ἁλῆσι παρὰ τὴν θάλασσαν, ὤλισθε τὰ προὔχοντα τοῦ αἰγιαλοῦ. καὶ τὸ κῦμα περιελθόν, ἄβατον καὶ ἀπροσπέλαστον ἀνθρώπῳ πεποίηκε τὸν τάφον. ἦν δ᾽ ἐπιγεγραμμένον.

» Ἔνθα δ᾽ ἀπορρήξας ψυχὴν βαρυδαίμονα, κεῖμαι. Τοὔνομα δ᾽ οὐ πεύσεσθε, κακοὶ δὲ κακῶς
» ἀπόλοισθε. καὶ τοῦτο μὲν αὐτὸν ἔτι ζῶντα πεποιηκέναι λέγουσι. τὸ δὲ περιφερόμενον, καλλιμάχειόν ἐστι.
» Τίμων μισάνθρωπος ἐνοικέω, ἀλλὰ πάρελθε. Οἰμώζειν εἴπας πολλά, πάρελθε μόνον.

ταῦτα μὲν περὶ τίμωνος ἀπὸ πολλῶν ὀλίγα. τῷ δὲ ἀντωνίῳ κανίδιός τε τῆς ἀποβολῆς τῶν ἐν ἀκτίῳ δυνάμεων, αὐτάγγελος ἦλθε. καὶ τὸν ἰουδαῖον ἡρώδην, ἔχοντα τινὰ τάγματα καὶ σπείρας, ἤκουσε καίσαρι προσκεχωρηκέναι. καὶ τοὺς ἄλλους ὁμοίως δυνάστας ἀφίστασθαι. καὶ μηδὲν ἔτι συμμένειν τῶν ἐκτός. οὐ μὴν διετάραξέ τι τούτων αὐτόν, ἀλλ᾽ ὥσπερ ἄσμενος τὸ ἐλπίζειν ἀποτεθειμένος, ἵνα καὶ τὸ φροντίζειν, τὴν μὲν ἔναλον ἐκείνην δίαιταν ἣν τιμώνειον ὠνόμαζεν, ἐξέλιπεν. ἀναληφθεὶς δὲ ὑπὸ τῆς κλεοπάτρας εἰς τὰ βασίλεια πρὸς δεῖπνα καὶ πότους καὶ διανομάς, ἔτρεψε τὴν πόλιν. ἐγγράφων μὲν εἰς ἐφήβους τὸν κλεοπάτρας παῖδα καὶ καίσαρος. τὸ δὲ ἀπόρφυρον καὶ τέλειον ἱμάτιον, ἀντύλλῳ τῷ ἐκ φουλβίας περιτιθείς. ἐφ᾽ οἷς ἡμέρας πολλάς, συμπόσια καὶ κῶμοι καὶ θαλίαι τὴν ἀλεξάνδρειαν κατεῖχον. αὐτοὶ δὲ τὴν μὲν τῶν ἀμιμητοβίων ἐκείνην σύνοδον, κατέλυσαν. ἑτέραν δὲ συνέταξαν οὐδέν τι λειπομένην ἐκείνης ἁβρότητι καὶ τρυφαῖς καὶ πολυτελείαις, ἣν συναποθανουμένων ἐκάλουν. ἀπεγράφοντο γὰρ οἱ φίλοι συναποθανουμένους ἑαυτούς. καὶ διῆγον εὐπαθοῦντες ἐν δείπνων περιόδοις. κλεοπάτρα δὲ φαρμάκων θανασίμων συνῆγε παντοδαπὰς δυνάμεις. ὧν ἑκάστης τὸ ἀνώδυνον, ἐλέγχουσα, προὔβαλε τοῖς ἐπὶ θανάτῳ φρουρουμένοις. ἐπεὶ δὲ ἑώρα τὰς μὲν ὠκυμόρους τὴν ὀξύτητα τοῦ θανάτου δι᾽ ὀδύνης ἐπιφερούσας. τὰς δὲ πραοτέρας τάχος οὐκ ἐχούσας, τῶν θηρίων ἀπεπειρᾶτο. θεωμένης αὐτῆς ἕτερον ἑτέρῳ προσφερόντων. ἐποίει δὲ καὶ τοῦτο καθ᾽ ἡμέραν. καὶ σχεδὸν ἐν πᾶσι, μόνον εὕρισκε τὸ δῆγμα τῆς ἀσπίδος, ἄνευ σπασμοῦ καὶ στεναγμοῦ κάρον ὑπνώδη, καὶ καταφορὰν ἐφελκόμενον, ἱδρῶτι μαλακῷ τοῦ προσώπου, καὶ τῶν αἰσθητηρίων ἀμαυρώσει. παραλυομένων ῥᾳδίως, καὶ δυσχεραινόντων πρὸς τὰς ἐξεγέρσεις καὶ ἀνακλήσεις, ὥσπερ οἱ βαθέως καθεύδοντες. ἅμα δὲ καὶ πρὸς καίσαρα, πρέσβεις ἔπεμπον εἰς ἀσίαν. ἡ μὲν αἰτουμένη τὴν ἐν αἰγύπτῳ τοῖς παισὶν ἀρχήν. ὁ δὲ ἀξιῶν ἀθήνησιν εἰ μὴ δοκοίη περὶ αἴγυπτον, ἰδιώτης καταβιῶναι. φίλων δὲ ἀπορίᾳ καὶ ἀπιστίᾳ διὰ τὰς αὐτομολίας, ὁ τῶν παίδων διδάσκαλος ἐπέμφθη πρεσβεύων, εὐφρόνιος. καὶ γὰρ ἀλεξᾶς ὁ λαοδικεύς, γνωρισθεὶς μὲν ἐν ῥώμῃ διὰ τιμαγένους, καὶ πλεῖστον ἑλλήνων δυνηθείς, γενόμενος δὲ τῶν κλεοπάτρας ἐπ᾽ ἀντώνιον ὀργάνων τὸ βιαιότατον. καὶ τῶν ὑπὲρ ὀκταβίας ἱσταμένων ἐν αὐτῷ λογισμῶν ἀνατροπεύς, ἐπέμφθη μὲν ἡρώδην τὸν βασιλέα τῆς μεταβολῆς ἐφέξων, αὐτοῦ δὲ καταμείνας καὶ προδοὺς

ἅμα καὶ τέσσαρες περὶ μίαν τῶν ἀντωνίου συνέχοντο. γέῤῥοις καὶ δόρασι καὶ κοντοῖς χρωμένων καὶ πυρσοβόλοις. οἱ δὲ ἀντωνίου, καὶ καταπέλταις ἀπὸ ξυλίνων πύργων ἔβαλον. ἀγρίππου δὲ θάτερον κέρας εἰς κύκλωσιν ἐκτείνοντος, ἀντανάγειν ποπλικόλας ἀναγκαζόμενος, ἀπεῤῥήγνυτο τῶν μέσων. θορυβουμένων δὲ τούτων καὶ συμπλεκομένων τοῖς περὶ τὸν ἀῤῥούντιον. ἀκρίτου δὲ καὶ κοινῆς ἔτι τῆς ναυμαχίας συνεστώσης, αἰφνίδιον αἱ κλεοπάτρας ἑξήκοντα νῆες, ὤφθησαν αἰρόμεναι πρὸς ἀπόπλουν τὰ ἱστία καὶ διὰ μέσου φεύγουσαι τῶν μαχομένων. ἦσαν γὰρ ὄπισθεν τεταγμέναι τῶν μεγάλων, καὶ διεκπίπτουσαι, ταραχὴν ἐποίουν. οἱ δὲ ἐναντίοι θαυμάζοντες, ἐθεῶντο τῷ πνεύματι χρωμένας ὁρῶντες ἐπεχούσας πρὸς τὴν πελοπόννησον. ἔνθα δὴ φανερὸν αὐτὸν ἀντώνιος ἐποίησεν, οὔτε ἄρχοντος. οὔτε ἀνδρός. οὔτε ὅλως ἰδίοις λογισμοῖς διοικούμενον. ἀλλ᾽ ὅπερ τις παίζων εἶπε τὴν ψυχὴν τοῦ ἐρῶντος ἐν ἀλλοτρίῳ σώματι ζῆν, ἑλκόμενος ὑπὸ τῆς γυναικὸς ὥσπερ συμπεφυκὼς καὶ συμμεταφερόμενος. οὐ γὰρ ἔφθη τὴν ἐκείνης ἰδὼν ναῦν ἀποπλέουσαν, καὶ πάντων ἐκλαθόμενος, καὶ προδοὺς, καὶ ἀποδρὰς τοὺς ὑπὲρ αὐτοῦ μαχομένους, καὶ θνήσκοντας, εἰς πεντήρη μετεμβὰς, ἀλεξάνδρου τοῦ σύρου, καὶ σκελλίου μόνων αὐτῷ συνεμβάντων, ἐδίωκε τὴν ἀπολωλεκυῖαν ἤδη καὶ προσαπολοῦσαν αὐτόν. ἐκείνη δὲ γνωρίσασα σημεῖον ἀπὸ τῆς νεὼς, ἀνέσχε. καὶ προσενεχθεὶς οὕτω καὶ ἀναληφθεὶς, ἐκείνην μὲν οὔτε εἶδεν, οὔτε ὤφθη. παρελθὼν δὲ μόνος εἰς πρῶραν, ἐφ᾽ αὑτοῦ ἐκάθητο σιωπῇ. ταῖς χερσὶν ἀμφοτέραις, ἐχόμενος τῆς κεφαλῆς. ἐν τούτῳ δὲ λιβυρνίδες, ὤφθησαν διώκουσαι παρὰ καίσαρος. ὁ δὲ, ἀντίπρωρον ἐπιστρέφειν τὴν ναῦν κελεύσας, τὰς μὲν ἄλλας ἀνέστειλεν. εὐρυκλῆς δ᾽ ὁ λάκων ἐνέκειτο σοβαρὸς, λόγχην τινὰ κραδαίνων ἀπὸ τοῦ καταστρώματος ὡς ἀφήσων εἰς αὐτόν. ἐπιστάντος δὲ τῇ πρώρᾳ τοῦ ἀντωνίου. καὶ τίς οὗτος εἰπόντος ὁ διώκων ἀντώνιον. ἐγὼ εἶπεν εὐρυκλῆς ὁ λαχάρους, τῇ καίσαρος τύχῃ τὸν τοῦ πατρὸς ἐκδικῶν θάνατον. ὁ δὲ λαχάρης ὑπ᾽ ἀντωνίου λῃστείας αἰτίᾳ περιπεσὼν, ἐπελεκίσθη. πλὴν οὐκ ἐνέβαλεν ὁ εὐρυκλῆς εἰς τὴν ἀντωνίου ναῦν, ἀλλὰ τὴν ἑτέραν τῶν ναυαρχίδων, δύο γὰρ ἦσαν, τῷ χαλκώματι πατάξας περιερρόμβησε, καὶ ταύτην τε πλαγίαν περιπεσοῦσαν εἷλε καὶ τῶν ἄλλων μίαν, ἐν ᾗ πολυτελεῖς σκευαὶ τῶν περὶ δίαιταν ἦσαν. ἀπαλλαγέντος δὲ τούτου, πάλιν ὁ ἀντώνιος εἰς τὸ αὐτὸ σχῆμα καθεὶς ἑαυτὸν, ἡσυχίαν ἦγε. καὶ τρεῖς ἡμέρας καθ᾽ ἑαυτὸν ἐν πρώρᾳ διατιθεὶς, εἴθ᾽ ὑπὸ ὀργῆς, εἴτε αἰδούμενος ἐκείνην, ταινάρῳ προσέσχεν. ἐνταῦθα δὲ αὐτοὺς αἱ συνήθεις γυναῖκες, πρῶτον μὲν εἰς λόγους ἀλλήλοις συνήγαγον. εἶτα συνδειπνεῖν καὶ συγκαθεύδειν ἔπεισαν. ἤδη δὲ καὶ τῶν στρογγύλων πλοίων οὐκ ὀλίγα. καὶ τῶν φίλων τινὲς ἐκ τῆς τροπῆς ἠθροίζοντο πρὸς αὐτούς. ἀγγέλλοντες, ἀπολωλέναι τὸ ναυτικόν. οἴεσθαι δὲ τὸ πεζὸν, συνεστάναι. ἀντώνιος δὲ πρὸς μὲν κανίδιον ἀγγέλους ἔπεμψεν, ἀναχωρεῖν διὰ μακεδονίας εἰς ἀσίαν τῷ στρατῷ κατὰ τάχος κελεύων. αὐτὸς δὲ μέλλων ἀπὸ ταινάρου πρὸς τὴν λιβύην διαίρειν, ὁλκάδα μίαν πολὺ μὲν νόμισμα. πολλοῦ δὲ ἀξίας ἐν ἀργύρῳ καὶ χρυσῷ κατασκευὰς τῶν βασιλικῶν κομίζουσαν ἐξελόμενος, τοῖς φίλοις ἐπέδωκε, κοινῇ νείμασθαι καὶ σώζειν ἑαυτοὺς κελεύσας. ἀρνουμένους δὲ καὶ κλαίοντας, εὐμενῶς πάνυ καὶ φιλοφρόνως παραμυθησάμενος καὶ δεηθεὶς, ἀπέστειλε γράψας πρὸς θεόφιλον τὸν ἐν κορίνθῳ διοικητὴν ὅπως ἀσφάλειαν ἐκποιήσῃ καὶ ἀποκρύψῃ τοὺς ἄνδρας ἄχρις ἂν ἱλάσασθαι καίσαρα δυνηθῶσιν. οὗτος ἦν θεόφιλος ἱππάρχου πατὴρ τοῦ, πλεῖστον παρὰ ἀντωνίῳ δυνηθέντος. πρώτου δὲ πρὸς καίσαρα τῶν ἀπελευθέρων μεταβαλλομένου, καὶ κατοικήσαντος ὕστερον ἐν κορίνθῳ. ταῦτα μὲν οὖν τὰ κατὰ τὸν ἀντώνιον. ἐν ἀκτίῳ δὲ πολὺν ὁ στόλος ἀντισχὼν καίσαρι χρόνον. καὶ μέγιστον βλαβεὶς ὑπὸ τοῦ κλύδωνος, ὑψηλοῦ κατὰ πρῶραν ἱσταμένου, μόλις ὥρας δεκάτης, ἀπεῖπε. καὶ νεκροὶ μὲν οὐ πλείους ἐγένοντο πεντακισχιλίων. ἑάλωσαν δὲ τριακόσιαι νῆες. ὡς αὐτὸς ἀνέγραψε καῖσαρ. ᾔσθοντο δὲ οἱ πολλοὶ πεφευγότος ἀντωνίου. καὶ τοῖς πυθομένοις τὸ πρῶτον, ἄπιστος ἦν ὁ λόγος, εἰ δέκα καὶ ἐννέα τάγματα πεζῶν ἀηττήτων, καὶ δισχιλίους ἐπὶ μυρίοις ἱππεῖς ἀπολιπὼν, οἴχεται. καθάπερ οὐ πολλάκις ἐπ᾽ ἀμφότερα τῇ τύχῃ κεχρημένος, οὐδὲ μυρίων ἀγώνων καὶ πολέμων μεταβολαῖς ἐγγεγυμνασμένος. οἱ δὲ στρατιῶται, καὶ πόθον τινὰ καὶ προσδοκίαν εἶχον, ὡς αὐτίκα ποθὲν ἐπιφανησομένου. καὶ τοσαύτην ἐπεδείξαντο πίστιν καὶ ἀρετὴν, ὥστε καὶ τῆς φυγῆς αὐτοῦ φανερᾶς γενομένης, ἡμέρας ἑπτὰ συμμεῖναι, περιορῶντες ἐπιπρεσβευόμενον αὐτοῖς καίσαρα. τέλος δὲ τοῦ στρατηγοῦ κανιδίου, νύκτωρ ἀποδράντος, καὶ καταλιπόντος τὸ στρατόπεδον, γενόμενοι πάντων ἔρημοι, καὶ προδοθέντες ὑπὸ τῶν ἀρχόντων, τῷ κρατοῦντι προσεχώρησαν. ἐκ τούτου, καῖσαρ μὲν ἐπ᾽ ἀθήνας ἔπλευσε. καὶ διαλλαγεὶς τοῖς ἕλλησι, τὸν περιόντα σῖτον ἐκ τοῦ πολέμου, διένειμε ταῖς πόλεσι, πραττούσαις ἀθλίως. καὶ περικεκομμέναις, χρημάτων ἀνδραπόδων ὑποζυγίων. ὁ γοῦν πρόπαππος ἡμῶν νίκαρχος διηγεῖτο, τοὺς πολίτας ἅπαντας ἀναγκάζεσθαι τοῖς ὤμοις καταφέρειν μέτρημα πυρῶν τεταγμένον, ἐπὶ τὴν πρὸς ἀντίκυραν θάλασσαν ὑπὸ μαστίγων ἐπιταχυνομένους. καὶ μίαν μὲν οὕτω φορὰν ἐνεγκεῖν. τὴν δὲ δευτέραν ἤδη μεμετρημένοις καὶ μέλλουσιν αἴρεσθαι, νενικημένον ἀντώνιον ἀγγελῆναι. καὶ τοῦτο διασῶσαι τὴν πόλιν. εὐθὺς γὰρ τῶν ἀντωνίου διοικητῶν, καὶ στρατιωτῶν φυγόντων, διανείμασθαι τὸν σῖτον αὐτούς. ἀντώνιος δὲ λιβύης ἁψάμενος. καὶ κλεοπάτραν εἰς αἴγυπτον ἐκ παραιτονίου προπέμψας, αὐτὸς ἀπέλαυεν ἐρημίας ἀφθόνου σὺν δυσὶ φίλοις ἀλύων. καὶ πλανώμενος. ἕλληνι μὲν ἀεὶ

πων παρέταξεν ὄψεως ἕνεκα. τοὺς δὲ ταρσοὺς τῶν νεῶν ἐγείρας καὶ πτερώσας, ἑκατέρωθεν ἐν τῷ στό-
ματι περὶ τὸ ἄκτιον ἀντιπρῴρους συνεῖχεν, ὡς ἐνήρεις καὶ παρεσκευασμένας ἀμύνεσθαι. καὶ καῖ-
σαρ μὲν, οὕτω καταστρατηγηθεὶς, ἀπεχώρησεν. ἔδοξε δὲ καὶ τὸ ὕδωρ εὐμηχάνως ἐρύμασί τισιν ἐμπερι-
λαβὼν, ἀφελέσθαι τοὺς πολεμίους, τῶν ἐν κύκλῳ χωρίων, ὀλίγον καὶ πονηρὸν ἐχόντων. εὐγνωμόνως
δὲ καὶ δομιτίῳ προσηνέχθη, παρὰ τὴν κλεοπάτρας γνώμην. ἐπεὶ γὰρ ἐκεῖνος ἤδη πυρέττων εἰς μι-
κρὸν ἐμβὰς ἀκάτιον, πρὸς καίσαρα μετέστη, βαρέως ἐνεγκὼν ὁ ἀντώνιος, ὅμως πᾶσαν αὐτῷ τὴν ἀπο-
σκευὴν μετὰ τῶν φίλων καὶ τῶν θεραπόντων, ἀπέπεμψε. καὶ δομίτιος μὲν, ὥσπερ ἐπὶ τῷ μὴ λαθεῖν
τὴν ἀπιστίαν αὐτοῦ καὶ προδοσίαν μεταβαλλόμενος, εὐθὺς ἐτελεύτησεν. ἐγένοντο δὲ καὶ βασιλέων ἀπο-
στάσεις. ἀμύντου καὶ δηϊοτάρου, πρὸς καίσαρα. τὸ δὲ ναυτικὸν, ἐν παντὶ δυσπραγοῦν. καὶ πρὸς ἅπα-
σαν ὑστερίζον βοήθειαν, αὖθις ἠνάγκαζε τῷ πεζῷ προσέχειν τὸν ἀντώνιον. εἶχε δὲ καὶ κανίδιον τὸν ἄρ-
χοντα τοῦ πεζοῦ μεταβολὴ γνώμης παρὰ τὰ δεινά. καὶ συνεβούλευε, κλεοπάτραν μὲν ἀποπέμπειν,
ἀναχωρήσαντα δὲ εἰς θρᾴκην ἢ μακεδονίαν πεζομαχίᾳ κρῖναι, καὶ γὰρ δικόμης ὁ γετῶν βασιλεὺς, ὑπι- δικώμοσ π.
σχνεῖτο πολλῇ στρατιᾷ βοηθήσειν. οὐκ εἶναι δὲ αἰσχρὸν, εἰ καίσαρι γεγυμνασμένῳ περὶ τὸν σικελικὸν
πόλεμον ἐκστήσονται τῆς θαλάσσης. ἀλλὰ δεινὸν, εἰ τῶν πεζῶν ἀγώνων ἐμπειρότατος ὢν ἀντώνιος, οὐ
χρήσεται ῥώμῃ καὶ παρασκευῇ τοσούτων ὁπλιτῶν, εἰς ναῦς διανέμων καὶ καταναλίσκων τὴν δύνα-
μιν. οὐ μὴν ἀλλὰ ἐξενίκησε κλεοπάτρα διὰ τῶν νεῶν κριθῆναι τὸν πόλεμον. ἤδη πρὸς φυγὴν ὁρῶσα
καὶ τιθεμένη τὰ καθ' ἑαυτὴν, οὐχ ὅπου πρὸς τὸ νικᾶν ἔσται χρήσιμος, ἀλλ' ὅθεν ἄπεισι ῥᾷστα, τῶν πρα-
γμάτων ἀπολλυμένων. ἦν δὲ μακρὰ σκέλη κατατείνοντα πρὸς τὸν ναύσταθμον τῆς στρατοπεδείας, δι'
ὧν ὁ ἀντώνιος εἰώθει παριέναι, μηδὲν ὑφορώμενος. οἰκέτου δὲ καίσαρι φράσαντος, ὡς δυνατὸν εἴη κα-
τιόντα διὰ τῶν σκελῶν, συλλαβεῖν αὐτὸν, ἔπεμψε τοὺς ἐνεδρεύσοντας. οἱ δὲ, παρὰ τοσοῦτον ἦλθον, ὥσ-
τε συναρπάσαι τὸν προηγούμενον αὐτοῦ, προεξαναστάντες. αὐτὸς δὲ δρόμῳ μόλις ὑπεξέφυγεν. ὡς δὲ
ναυμαχεῖν ἐδέδοκτο, τὰς μὲν ἄλλας ἐνέπρησαν ναῦς, πλὴν ἑξήκοντα τῶν αἰγυπτίων. τὰς δὲ ἀρίστας ἐνέπρησαν. ς.
καὶ μεγίστας ἀπὸ τριήρους μέχρι δεκήρους, ἐπλήρου. δισμυρίους ἐμβιβάζων ὁπλίτας. καὶ δισχιλίους
τοξότας. ἔνθα πεζομάχην ἄνδρα τῶν ταξιαρχῶν, λέγουσι, παμπόλλους ἠγωνισμένον ἀγῶνας ἀντω-
νίῳ, καὶ κατατετμημένον τὸ σῶμα, τοῦ ἀντωνίου παρόντος, ἀνακλαύσασθαι καὶ εἰπεῖν. ὦ αὐτοκρά- κατατετμημένον. κ.
τορ. τί τῶν τραυμάτων τούτων ἢ τοῦ ξίφους καταγνοὺς, ἐν ξύλοις πονηροῖς ἔχεις τὰς ἐλπίδας. αἰγύ-
πτιοι καὶ φοίνικες, ἐν θαλάσσῃ μαχέσθωσαν. ἡμῖν δὲ, γῆν δὸς ἐφ' ἧς εἰώθαμεν ἑστῶτες ἀποθνήσκειν, ἢ νικᾶν
τοὺς πολεμίους. πρὸς ταῦτα μηδὲν ἀποκρινάμενος. ἀλλὰ τῇ χειρὶ καὶ τῷ προσώπῳ μόνῳ οἷον ἐγκελευ-
σάμενος τὸν ἄνδρα θαῤῥεῖν, παρῆλθεν. οὐ χρηστὰς ἔχων ἐλπίδας. ὅς γε καὶ τοὺς κυβερνήτας τὰ ἱστία
βουλομένους ἀπολιπεῖν, ἠνάγκασεν ἐμβαλέσθαι καὶ κομίζειν. λέγων, ὅτι δεῖ μηδένα φεύγοντα τῶν
πολεμίων διαφυγεῖν. ἐκείνην μὲν οὖν τὴν ἡμέραν καὶ τρεῖς τὰς ἐφεξῆς, μεγάλῳ πνεύματι κυμανθὲν
τὸ πέλαγος, τὴν μάχην ἐπέσχε. πέμπτῃ δὲ νηνεμίας καὶ γαλήνης ἀκλύστου γενομένης, συνῄεσαν. ἀντώ-
νιος μὲν τὸ δεξιὸν κέρας ἔχων καὶ ποπλικόλας. κοίλιος δὲ, τὸ εὐώνυμον. ἐν μέσῳ δὲ, μάρκος ὀκτάβιος,
καὶ μάρκος ἰνστήϊος. καῖσαρ δὲ ἐπὶ τοῦ εὐωνύμου τάξας ἀγρίππαν, αὑτῷ τὸ δεξιὸν κατέλιπε. τῶν δὲ
πεζῶν, τῶν μὲν ἀντωνίου, κανίδιος. τῶν δὲ καίσαρος, ταῦρος ἐπὶ τῆς θαλάττης παρατάξαντες ἡσύ-
χαζον. αὐτῶν δὲ τῶν ἡγεμόνων, ἀντώνιος μὲν ἐπεφοίτα πανταχόσε κωπήρει τοὺς στρατιώτας παρακα-
λῶν, ὑπὸ βρίθους τῶν νεῶν, ὥσπερ ἐκ γῆς ἑδραίους μάχεσθαι. τοῖς δὲ κυβερνήταις διακελευόμε-
νος, ὥσπερ ὁρμούσαις ἀτρέμα ταῖς ναυσὶ δέχεσθαι τὰς ἐμβολὰς τῶν πολεμίων, τὴν περὶ τὸ στόμα
δυσχωρίαν φυλάττοντας. καίσαρι δὲ λέγεται μὲν ἔτι σκότους ἀπὸ τῆς σκηνῆς κύκλῳ περιιόντι πρὸς
τὰς ναῦς, ἄνθρωπος ἐλαύνων ὄνον ἀπαντῆσαι. πυθομένῳ δὲ τοὔνομα, γνωρίσας αὐτὸν εἰπεῖν. ἐμοὶ
μὲν εὔτυχος ὄνομα. τῷ δὲ ὄνῳ, νίκων. διὸ καὶ τοῖς ἐμβόλοις τὸν τόπον κοσμῶν ὕστερον, ἔστησε χαλκοῦν
ὄνον καὶ ἄνθρωπον. ἐπιδὼν δὲ τὴν ἄλλην παράταξιν, ἐν πλοίῳ πρὸς τὸ δεξιὸν κομισθεὶς, ἐθαύμα-
σεν ἀτρεμοῦντας ἐν τοῖς στενοῖς τοὺς πολεμίους. ἡ γὰρ ὄψις ἦν τῶν νεῶν ἐπ' ἀγκύραις ὁρμουσῶν.
καὶ τοῦτο μέχρι πολλοῦ πεπεισμένος, ἀνεῖχε τὰς ἑαυτοῦ περὶ ὀκτὼ στάδια τῶν ἐναντίων ἀφεστώ-
σας. ἕκτη δὲ ἦν ὥρα. καὶ πνεύματος αἰρομένου πελαγίου, δυσανασχετοῦντες οἱ ἀντωνίου πρὸς τὴν
διατριβὴν, καὶ τοῖς ὕψεσι, καὶ μεγέθεσι τῶν οἰκείων νεῶν πεποιθότες, ὡς ἀπροσμάχοις, τὸ εὐώνυ-
μον ἐκίνησαν. ἰδὼν δὲ καῖσαρ, ἥσθη, καὶ πρύμναν ἐκρούσατο τῷ δεξιῷ. βουλόμενος ἔτι μᾶλλον
ἐκ τοῦ κόλπου καὶ τῶν στενῶν ἔξω, τοὺς πολεμίους ἐπισπάσασθαι. καὶ περιπλέων εὐήρεσι σκάφε-
σι τοῖς ἑαυτοῦ συμπλέκεσθαι πρὸς τὰς ναῦς ὑπὸ ὄγκου καὶ πληρωμάτων ὀλιγότητος, ἀργὰς καὶ
βραδείας. ἀρχομένου δὲ τοῦ ἀγῶνος ἐν χερσὶν εἶναι, ἐμβολαὶ μὲν οὐκ ἦσαν, οὐδὲ ἀναῤῥήξεις νεῶν.
τῶν μὲν ἀντωνίου διὰ βάρος ῥύμην οὐκ ἐχουσῶν ἣ μάλιστα ποιεῖ τὰς τῶν ἐμβολέων πληγὰς ἐνερ-
γούς. τῶν δὲ καίσαρος οὐ μόνον ἀντιπρῴρων συμφέρεσθαι πρὸς χαλκώματα στερεὰ καὶ τραχέα φυλασ-
σομένων, ἀλλὰ μὴ δὲ κατὰ πλευρὰν ἐμβολὰς διδόναι θαῤῥούντων. ἀπεθραύοντο γὰρ τὰ ἔμβολα ῥα-
δίως ᾗ προσπέσοιε σκάφεσι τετραγώνων ξύλων μεγάλων σιδήρῳ συνηρμοσμένον πρὸς ἄλληλα δεδε- συνηρμοσμένων π.
μένοις. ἦν οὖν πεζομαχίᾳ προσφερὴς ὁ ἀγών. τὸ δὲ ἀληθέστερον εἰπεῖν, τειχομαχίᾳ. τρεῖς γὰρ

ἐκκρεμαννύμενον δὲ τοῦ φορείου, παρακολουθεῖν ἐκείνην. ἀλλὰ τούτων μὲν ἐδόκει τὰ πλεῖστα καταψεύδεσθαι καλουΐσιος. οἱ δὲ φίλοι τοῦ ἀντωνίου περιιόντες ἐν ῥώμῃ, τὸν δῆμον ἱκέτευον. εἶτα δὲ ἐξ αὐτῶν ἔπεμψαν γεμίνιον δεόμενοι τοῦ ἀντωνίου, μὴ περιιδεῖν αὑτὸν ἀποψηφισθέντα τῆς ἀρχῆς καὶ πολέμιον ῥωμαίων ἀναγορευθέντα. γεμίνιος δὲ πλεύσας εἰς τὴν ἑλλάδα, κλεοπάτρᾳ μὲν ἦν ὕποπτος ὡς ὑπὲρ ὀκταβίας πράττων, σκωπτόμενος δὲ παρὰ δεῖπνον ἀεὶ, καὶ κλισίαις ἀτίμοις προπηλακιζόμενος, ἠνείχετο, καιρὸν ἐντεύξεως ἀναμένων. κελευσθεὶς δὲ λέγειν ἐφ' οἷς ἥκει παρὰ τὸ δεῖπνον, τὴν μὲν ἄλλην ἔφη νήφοντος εἶναι διάλεξιν. ἓν δὲ καὶ νήφων ἐπίστασθαι καὶ μεθύων, ὅτι καλῶς ἕξει πάντα κλεοπάτρας εἰς αἴγυπτον ἀπαλλαγείσης. πρὸς τοῦτο τοῦ ἀντωνίου χαλεπήναντος, ἡ κλεοπάτρα, καλῶς ἔφη πεποίηκας ὦ γεμίνιε, τὴν ἀλήθειαν ἄνευ βασάνων ἐξομολογησάμενος. γεμίνιος μὲν οὖν μετ' ὀλίγας ἡμέρας ἀποδρὰς, εἰς ῥώμην ᾤχετο. πολλοὺς δὲ καὶ τῶν ἄλλων φίλων, οἱ κλεοπάτρας κόλακες ἐξέβαλον, τὰς παροινίας καὶ βωμολοχίας οὐχ ὑπομένοντας. ὧν καὶ μάρκος ἦν σιλανὸς. καὶ δέλλιος ὁ ἱστορικός. οὗτος δὲ, καὶ δεῖσαι φησὶν ἐπιβουλὴν ἐκ κλεοπάτρας, γλαύκου τοῦ ἰατροῦ φράσαντος αὐτῷ. προσέκρουσε δὲ κλεοπάτρᾳ παρὰ δεῖπνον εἰπὼν, αὐτοῖς μὲν ὀξίνην ἐγχεῖσθαι. σάρμεντον δὲ πίνειν ἐν ῥώμῃ φαλερῖνον. ὁ δὲ σάρμεντος ἦν τῶν καίσαρος παιγνίων, παιδάριον, ἃ δηλίκια ῥωμαῖοι καλοῦσιν. ἐπεὶ δὲ παρεσκεύαστο καῖσαρ ἱκανῶς, ψηφίζεται κλεοπάτρᾳ πολεμεῖν. ἀφελέσθαι δὲ τῆς ἀρχῆς ἀντώνιον, ἧς ἐξέστη γυναικί. καὶ προσεῖπε καῖσαρ ὡς ἀντώνιος μὲν ὑπὸ φαρμάκων οὐδ' ἑαυτοῦ κρατοίη. πολεμοῦσι δὲ αὐτοῖς, μαρδίων ὁ εὐνοῦχος καὶ ποθεινός. καὶ εἰρὰς ἡ κλεοπάτρας κουρεύτρια. καὶ χάρμιον, ὑφ' ὧν τὰ μέγιστα διοικεῖται τῆς ἡγεμονίας. σημεῖα δὲ πρὸ τοῦ πολέμου, τάδε γενέσθαι λέγεται. πείσαυρα μὲν ἀντωνίου πόλις κληρουχία, ᾠκισμένη παρὰ τὸν ἀδρίαν, χασμάτων ὑπορραγέντων, κατεπόθη. τῶν δὲ περὶ ἄλβαν ἀντωνίου λιθίνων ἀνδριάντων ἑνὸς, ἱδρὼς ἀνεπίδυεν ἡμέρας πολλὰς ἀποματτόντων τινῶν οὐ παυόμενος. ἐν δὲ πάτραις διατρίβοντος αὐτοῦ, κεραυνοῖς ἐνεπρήσθη τὸ ἡράκλειον. καὶ τῆς ἀθήνησι γιγαντομαχίας ὑπὸ πνευμάτων ὁ διόνυσος ἐκσεισθεὶς, εἰς τὸ θέατρον κατηνέχθη. προσῳκείου δὲ ἑαυτὸν ἀντώνιος, ἡρακλεῖ κατὰ γένος. καὶ διονύσῳ, κατὰ τὸν τοῦ βίου ζῆλον, ὥσπερ εἴρηται, διόνυσος νέος προσαγορευόμενος. ἡ δὲ αὐτὴ θύελλα καὶ τοὺς εὐμενοῦς καὶ ἀττάλου κολοσσοὺς, ἐπιγεγραμμένους ἀντωνίους ἀθήνησιν ἐμπεσοῦσα, μόνους ἐκ πολλῶν ἀνέτρεψε. ἡ δὲ κλεοπάτρας ναυαρχὶς, ἐκαλεῖτο μὲν ἀντωνιὰς, σημεῖον δὲ περὶ αὐτὴν δεινὸν ἐφάνη. χελιδόνες γὰρ ὑπὸ τὴν πρύμναν, ἐνεόττευσαν. ἕτεραι δὲ ἐπελθοῦσαι, καὶ ταύτας ἐξήλασαν, καὶ τὰ νεόττια διέφθειραν. συνιόντων δὲ πρὸς τὸν πόλεμον, ἀντωνίῳ μὲν ἦσαν αἱ μάχιμοι νῆες, οὐκ ἐλάττους πεντακοσίων. ἐν αἷς ὀκτήρεις πολλαὶ καὶ δεκήρεις κεκοσμημέναι, σοβαρῶς καὶ πανηγυρικῶς. στρατοῦ δὲ, μυριάδες δέκα. δισχίλιοι δὲ ἱππεῖς ἐπὶ μυρίοις. βασιλεῖς δὲ ὑπήκοοι συνεμάχουν. βόκχος ὁ λιβύων. καὶ ταρκόνδημος ὁ τῆς ἄνω κιλικίας. καὶ καππαδοκίας μὲν ἀρχέλαος. παφλαγονίας δὲ, φιλάδελφος. κομμαγηνῆς δὲ, μιθριδάτης. ἀδάλλας δὲ, θρᾴκης. οὗτοι μὲν αὐτῷ παρῆσαν. ἐκ δὲ πόντου, πολέμων στρατὸν ἔπεμπε. καὶ μάλχος ἐξ ἀραβίας. καὶ ἡρώδης ὁ ἰουδαῖος. ἔτι δὲ ἀμύντας ὁ λυκαόνων, καὶ γαλατῶν βασιλεύς. ἦν δὲ καὶ παρὰ τοῦ μήδων βασιλέως, ἀπεσταλμένη βοήθεια. καίσαρι δὲ νῆες ἦσαν πρὸς ἀλκὴν, πεντήκοντα καὶ διακόσιαι. στρατοῦ δὲ ὀκτὼ μυριάδες. ἱππεῖς δὲ, παραπλήσιοι τὸ πλῆθος τοῖς πολεμίοις. ἦρχον δὲ ἀντώνιος μὲν τῆς ἀπ' εὐφράτου καὶ ἀρμενίας, μέχρι πρὸς τὸν ἰόνιον καὶ ἰλλυριούς. καῖσαρ δὲ ἀπ' ἰλλυριῶν τῆς ἐπὶ τὸν ἑσπέριον ὠκεανὸν καθηκούσης. καὶ τῆς ἀπ' ὠκεανοῦ πάλιν, ἐπὶ τὸ τυρρηνικὸν καὶ σικελικὸν πέλαγος. λιβύης δὲ τὴν ἰταλίαν καὶ γαλατίαν καὶ ἰβηρίαν μέχρι στηλῶν ἡρακλείων, ἀντιπαρήκουσαν, εἶχε καῖσαρ. τὰ δὲ ἀπὸ κυρήνης μέχρις αἰθιοπίας, ἀντώνιος. οὕτω δὲ ἄρα προσθήκη τῆς γυναικὸς ἦν, ὥστε τῷ πεζῷ πολὺ διαφέρων, ἐβούλετο τοῦ ναυτικοῦ τὸ κράτος εἶναι διὰ κλεοπάτραν. καὶ ταῦτα πληρωμάτων ἀπορίᾳ συναρπαζομένους ὁρῶν ὑπὸ τῶν τριηράρχων ἐκ τῆς πολλὰ δὴ τλάσης ἑλλάδος, ὁδοιπόρους. ὀνηλάτας. θεριστὰς, ἐφήβους. καὶ οὐδὲ οὕτω πληρουμένας τὰς ναῦς. ἀλλὰ τὰς πλείστας, ἀποδεεῖς καὶ μοχθηρῶς πλεούσας. καῖσαρ δὲ, οὐ πρὸς ὕψος. οὐδὲ ὄγκον ἐπιδεικτικῶς, πεπηγυίαις ναυσὶν, εὐστρόφοις δὲ καὶ ταχείαις καὶ πεπληρωμέναις ἀκριβῶς ἐξηρτυμένος ἐν τάραντι καὶ βρεντησίῳ συνέχων τὸ ναυτικὸν, ἔπεμπε πρὸς ἀντώνιον, ἀξιῶν μὴ διατρίβειν τὸν χρόνον, ἀλλ' ἔρχεσθαι μετὰ τῶν δυνάμεων, αὐτὸς δὲ τῷ μὲν στόλῳ, παρέξειν ὅρμους ἀκωλύτους καὶ λιμένας. ὑποχωρήσειν δὲ τῷ πεζῷ τῆς ἰταλίας ἵππου δρόμον ἀπὸ θαλάσσης, μέχρις ἂν ἀσφαλῶς ἀποβῇ καὶ στρατοπεδεύσηται. τούτοις ἀντικομπάζων ἀντώνιος, αὐτὸν μὲν εἰς μονομαχίαν προυκαλεῖτο. καίπερ ὢν πρεσβύτερος. εἰ δὲ φεύγοι τοῦτο, περὶ φάρσαλον ἠξίου τοῖς στρατεύμασιν, ὡς πάλαι καῖσαρ καὶ πομπήϊος διαγωνίζεσθαι. φθάνει δὲ καῖσαρ, ἀντωνίου περὶ τὸ ἄκτιον ὁρμοῦντος, ἐν ᾧ τόπῳ νῦν ἡ νικόπολις ἵδρυται, διαλαβὼν τὸν ἰόνιον καὶ τῆς ἠπείρου χωρίον, ὃ τορύνη καλεῖται κατασχών. θορυβουμένων δὲ τῶν περὶ τὸν ἀντώνιον. ὑστέρει γὰρ ὁ πεζὸς αὐτοῖς. ἡ μὲν κλεοπάτρα, σκώπτουσα, τί δεινὸν ἔλεγεν, εἰ καῖσαρ ἐπὶ τῇ τορύνῃ κάθηται. ἀντώνιος δὲ ἅμα ἡμέρᾳ τῶν πολεμίων ἐπιπλεόντων, φοβηθεὶς μὴ τῶν ἐπιβατῶν ἐρήμους ἕλωσι τὰς ναῦς, τοὺς μὲν ἐρέτας ὁπλίσας, ἐπὶ τῶν καταστρωμάτων παρέταξε

Suid.

:– τορύνη τὸ κινητήριον τῆς χύτρας · interpres Aristophanis 110 τορύνη, ὀχυξέστοις.

πολεμήσας, νεμήσεσθαι πρὸς ἀντώνιον, ὅταν κἀκεῖνος ἀρμενίαν πρὸς αὐτόν. τοῖς δὲ στρατιώταις ἰταλίας μὴ μετεῖναι· μηδίαν γὰρ ἔχειν καὶ παρθίαν αὐτοὺς, ἃς προσεκτήσαντο ῥωμαίοις καλῶς ἀγωνισάμενοι μετὰ τοῦ αὐτοκράτορος. ταῦτα ἐν ἀρμενίᾳ διατρίβων ἀντώνιος ἤκουσε. καὶ κανίδιον εὐθὺς ἐκέλευσεν, ἑκκαίδεκα τέλη λαβόντα, καταβαίνειν ἐπὶ θάλασσαν. αὐτὸς δὲ κλεοπάτραν ἀναλαβὼν, εἰς ἔφεσον ἧκε. καὶ τὸ ναυτικὸν ἐκεῖ συνῄει πανταχόθεν, ὀκτακόσιαι σὺν ὁλκάσι νῆες. ὧν κλεοπάτρα παρεῖχε διακοσίας. καὶ τάλαντα δισμύρια. καὶ τροφὴν τῷ στρατῷ παντὶ πρὸς τὸν πόλεμον. ἀντώνιος δὲ πεισθεὶς ὑπὸ δομιτίου καί τινων ἄλλων, ἐκέλευε κλεοπάτραν πλεῖν ἐπ' αἰγύπτου, κἀκεῖ διακαραδοκεῖν τὸν πόλεμον. ἡ δὲ, φοβουμένη τὰς δι' ὀκταβίας πάλιν αὐτοῦ διαλύσεις, ἔπεισε πολλοῖς κανίδιον χρήμασιν, ἀντωνίῳ διαλεχθῆναι περὶ αὐτῆς, ὡς οὔτε δίκαιον ἀπελαύνεσθαι τοῦ πολέμου γυναῖκα συμβολὰς τηλικαύτας διδοῦσαν, οὔτε συμφέρον, ἀθύμους ποιεῖν τοὺς αἰγυπτίους, μέγα μέρος τῆς ναυτικῆς δυνάμεως ὄντας. ἄλλως δὲ μηδὲ ὁρᾶν οὗτινος τῶν συστρατευόντων βασιλέων ἀπολείποιτο τῷ φρονεῖν κλεοπάτρα, πολὺν μὲν χρόνον δι' αὑτῆς κυβερνῶσα βασιλείαν τοσαύτην, πολὺν δὲ ἐκείνῳ συνοῦσαν καὶ μανθάνουσαν, χρῆσθαι πράγμασι μεγάλοις. ταῦτα, ἔδει γὰρ εἰς καίσαρα πάντα περιελθεῖν, ἐνίκα. καὶ συνιουσῶν τῶν δυνάμεων, πλεύσαντες εἰς σάμον, ἐν εὐπαθείαις ἦσαν. ὥσπερ γὰρ βασιλεῦσι καὶ δυνάσταις καὶ τετράρχαις ἔθνεσί τε καὶ πόλεσι πάσαις ταῖς μεταξὺ συρίας καὶ μαιώτιδος καὶ ἀρμενίας καὶ λαυρίων, προείρητο πέμπειν καὶ κομίζειν τὰς εἰς τὸν πόλεμον παρασκευὰς, οὕτω πᾶσι τοῖς περὶ τὸν διόνυσον τεχνίταις, ἐπάναγκες ἦν εἰς σάμον ἀπαντᾶν. καὶ τῆς ἐν κύκλῳ σχεδὸν ἁπάσης οἰκουμένης περιθρηνουμένης καὶ περιστεναζομένης, μία νῆσος ἐφ' ἡμέρας πολλὰς, κατηυλεῖτο καὶ κατεψάλλετο, πληρουμένων θεάτρων καὶ χορῶν ἀγωνιζομένων. συνέθυε δὲ καὶ πόλις πᾶσα, βοῦν πέμπουσα. καὶ βασιλεῖς διημιλλῶντο ταῖς ὑποδοχαῖς καὶ δωρεαῖς πρὸς ἀλλήλους. ὥστε καὶ λόγος διῄει, τίνες ἔσονται κρατήσαντες ἐν τοῖς ἐπινικίοις, οἱ τοῦ πολέμου τὰς παρασκευὰς, οὕτω πολυτελῶς ἑορτάζοντες. γενόμενος δὲ ἀπὸ τούτων, τοῖς μὲν περὶ τὸν διόνυσον τεχνίταις, πριήνην ἔδωκεν οἰκητήριον. αὐτὸς δὲ πλεύσας εἰς ἀθήνας, πάλιν ἐν παιδιαῖς ἦν καὶ θεάτροις. ζηλοτυποῦσα δὲ κλεοπάτρα τὰς ὀκταβίας ἐν τῇ πόλει τιμὰς, ἠγαπήθη γὰρ ὑπὸ τῶν ἀθηναίων ἡ ὀκταβία μάλιστα, πολλαῖς ἀνελάμβανε φιλοτιμίαις τὸν δῆμον. οἱ δὲ, τιμὰς αὐτῇ ψηφισάμενοι, πρέσβεις ἔπεμψαν ἐπὶ τὴν οἰκίαν τὸ ψήφισμα κομίζοντας. ὧν εἷς ἦν ἀντώνιος, ὡς δὴ πολίτης ἀθηναίων. καὶ δὴ καταστὰς ἐπ' αὐτῆς, λόγον ὑπὲρ τῆς πόλεως διεξῆλθεν. εἰς δὲ ῥώμην ἔπεμψε τοὺς ὀκταβίαν ἐκ τῆς οἰκίας ἐκβαλοῦντας. ἀπελθεῖν δὲ φασὶν αὐτὴν, τὰ μὲν τέκνα πάντα ἀντωνίου μεθ' ἑαυτῆς ἔχουσαν, ἄνευ τοῦ πρεσβυτάτου τῶν ἐκ φουλβίας. ἐκεῖνος γὰρ ἦν παρὰ τῷ πατρί. κλαίουσαν δὲ καὶ δυσφοροῦσαν, εἰ δόξει μία τῶν αἰτιῶν τοῦ πολέμου καὶ αὐτὴ γεγονέναι. ῥωμαῖοι δὲ, ᾤκτειρον, οὐκ ἐκείνην, ἀλλ' ἀντώνιον. καὶ μᾶλλον οἱ κλεοπάτραν ἑωρακότες, οὔτε κάλλει τῆς ὀκταβίας, οὔτε ὥρᾳ διαφέρουσαν. καῖσαρ δὲ τὸ τάχος καὶ τὸ μέγεθος τῆς παρασκευῆς ἀκούσας, ἐθορυβήθη, μὴ τοῦ θέρους ἐκείνου διαπολεμεῖν ἀναγκασθῇ. καὶ γὰρ ἐνέδει πολλά. καὶ τοὺς ἀνθρώπους ἐλύπουν αἱ τῶν χρημάτων εἰσπράξεις. ἀναγκαζόμενοι γὰρ, οἱ μὲν ἄλλοι τὰ τέταρτα τῶν καρπῶν. οἱ δὲ ἐξελευθερικοὶ τῶν κτημάτων αὐτῶν τὰς ὀγδόας ἀποφέρειν, κατεβόων αὐτοῦ. καὶ ταραχαὶ κατεῖχον ἐκ τούτων ἅπασαν τὴν ἰταλίαν. ὅθεν ἐν τοῖς μεγίστοις ἁμαρτήμασιν ἀντωνίου, τὴν μεταβολὴν τοῦ πολέμου τίθενται. καὶ γὰρ παρασκευάσασθαι χρόνον ἔδωκε καίσαρι. καὶ τὰς ταραχὰς τῶν ἀνθρώπων ἐξέλυσε. πρασσόμενοι γὰρ ἠγριαίνοντο, πραχθέντες δὲ καὶ δόντες ἡσύχαζον. τίτιος δὲ καὶ πλάγκος ἀντωνίου φίλοι τῶν ὑπατικῶν, ὑπὸ κλεοπάτρας προπηλακιζόμενοι, πλεῖστα γὰρ ἠναντιώθησαν αὐτῇ περὶ τοῦ συστρατεύειν, ἀποδράντες ᾤχοντο πρὸς καίσαρα. καὶ περὶ τῆς ἀντωνίου διαθήκης ἐγένοντο μηνυταὶ, τὰ γεγραμμένα συνειδότες. ἀπέκειτο δ' αὕτη παρὰ ταῖς ἑστιάσι παρθένοις. καὶ καίσαρος αἰτοῦντος, οὐκ ἔδωκαν. εἰ δὲ βούλοιτο λαμβάνειν, ἐλθόντα ἐκέλευον. ἔλαβεν οὖν ἐλθών. καὶ πρῶτον μὲν αὐτὸς ἰδίᾳ τὰ γεγραμμένα διῆλθε. καὶ παρεσημήνατο τόπους τινὰς εὐκατηγορήτους. ἔπειτα τὴν βουλὴν ἀθροίσας, ἀνεγίνωσκε τῶν πλείστων ἀηδῶς ἐχόντων. ἀλλόκοτον γὰρ ἔδοξεν εἶναι καὶ δεινὸν, εὐθύνας τινὰ διδόναι ζῶντα, περὶ ὧν ἐβουλήθη γενέσθαι μετὰ τὴν τελευτήν. ἐπεφύετο δὲ τῶν γεγραμμένων μάλιστα τῷ περὶ τῆς ταφῆς. ἐκέλευε γὰρ αὐτοῦ τὸ σῶμα, κἂν ἐν ῥώμῃ τελευτήσῃ, δι' ἀγορᾶς πομπευθὲν, εἰς ἀλεξάνδρειαν ὡς κλεοπάτραν ἀποσταλῆναι. καλουΐσιος δὲ καίσαρος ἑταῖρος, ἔτι καὶ ταῦτα τῶν εἰς κλεοπάτραν ἐγκλημάτων ἀντωνίῳ προὔφερε. χαρίσασθαι μὲν αὐτῇ τὰς ἐκ περγάμου βιβλιοθήκας. ἐν αἷς εἴκοσι μυριάδες βιβλίων ἁπλῶν ἦσαν. ἐν δὲ συνδείπνῳ πολλῶν παρόντων, ἀναστάντα τρίβειν αὐτῆς τοὺς πόδας ἔκ τινος ὁρισμοῦ καὶ συνθήκης γενομένης. ἐφεσίους δὲ ἀνασχέσθαι παρόντος αὐτοῦ κυρίαν τὴν κλεοπάτραν ἀσπαζομένους. δικάζοντα δὲ πολλάκις, τετράρχαις καὶ βασιλεῦσιν ἐπὶ βήματος, δέλτους ἐρωτικὰς ἐν ὄνυξι καὶ κρυστάλλοις δέχεσθαι παρ' αὐτῆς καὶ ἀναγινώσκειν. φουρνίου δὲ λέγοντος, ὃς ἦν ἀξιώματος μεγάλου καὶ δεινότατος εἰπεῖν ῥωμαίων, τὴν μὲν κλεοπάτραν ἐν φορείῳ διὰ τῆς ἀγορᾶς κομίζεσθαι, τὸν δὲ ἀντώνιον ὡς εἶδεν ἀναπηδήσαντα, τὴν δίκην ἀπολιπεῖν,

[Marginal notes: π. ξυνοῦσα — μανθάνουσα. π. ς. — τούτου π. ς. — ἀναβολὴν π. ς. η. — καλβίσιος π. ς. — τετράρχαις π. ς. η. κ.]

πολλῶν καὶ τοξοτῶν ἐνδεὴς ἐλθὼν, ὅτε ἑώρα προσγινόμενον αὐτῷ χαριζομένῳ μᾶλλον, ἢ δεομένῳ, παρεσκευάζετο δι᾽ ἀρμενίας αὖθις ἀναβαίνειν. καὶ συγγενόμενος τῷ μήδῳ περὶ ποταμὸν ἀράξην, οὕτω κινεῖν τὸν πόλεμον. ἐν δὲ ῥώμῃ βουλομένης ὀκταβίας πλεῦσαι πρὸς ἀντώνιον, ἐπέτρεψε καῖσαρ. ὡς οἱ πλείους λέγουσιν, οὐκ ἐκείνῃ χαριζόμενος, ἀλλ᾽ ὅπως περιυβρισθεῖσα καὶ καταμεληθεῖσα, πρὸς τὸν πόλεμον αἰτίαν εὐπρεπῆ παράσχοι. γενομένη δὲ ἐν ἀθήναις ἐδέξατο γράμματα παρὰ ἀντωνίου, κελεύοντος αὐτόθι προσμένειν. καὶ τὰ περὶ τὴν ἀνάβασιν δηλοῦντος. ἡ δὲ, καίπερ ἀχθομένη καὶ νοοῦσα τὴν πρόφασιν, ὅμως ἔγραψε πυνθανομένη, ποῦ κελεύει πεμφθῆναι τὰ κομιζόμενα πρὸς αὐτόν. ἐκόμιζε δὲ, πολλὴν μὲν ἐσθῆτα στρατιωτικήν. πολλὰ δὲ ὑποζύγια, καὶ χρήματα, καὶ δῶρα τοῖς περὶ αὐτὸν ἡγεμόσι καὶ φίλοις. ἐκτὸς δὲ τούτων, ἐπιλέκτους στρατιώτας δισχιλίους, εἰς στρατηγικὰς σπείρας κεκοσμημένους, ἐκπρεπέσι πανοπλίαις. ταῦτα νίγρος τις ἀντωνίου φίλος ἀποσταλεὶς παρ᾽ αὐτῆς ἔφραζε. καὶ προσετίθει τοὺς ἀξίους καὶ πρέποντας ἐπαίνους. αἰσθομένη δὲ ἡ κλεοπάτρα τὴν ὀκταβίαν ὁμόσε χωροῦσαν αὐτῇ, καὶ φοβηθεῖσα, μὴ τοῦ τρόπου τῇ σεμνότητι καὶ τῇ καίσαρος δυνάμει προσκτησαμένη τὸ καθ᾽ ἡδονὴν ὁμιλεῖν καὶ θεραπεύειν ἀντώνιον, ἄμαχος γένηται καὶ κρατήσῃ παντάπασι τοῦ ἀνδρὸς, ἐρᾶν αὐτὴ προσεποιεῖτο τοῦ ἀντωνίου. καὶ τὸ σῶμα, λεπταῖς καθῄρει διαίταις. τὸ δὲ βλέμμα, προσιόντος ἐκπεπληγμένον. ἀπερχομένου δὲ, τηκόμενον καὶ ταπεινούμενον ὑπεφαίνετο. πραγματευομένη δὲ πολλάκις ὀφθῆναι δακρύουσα. ταχὺ τῶν δακρύων ἀφῄρει καὶ ἀπέκρυπτεν, ὡς δὴ βουλομένη λανθάνειν ἐκεῖνον. ἐπράττετο δὲ ταῦτα, μέλλοντος τοῦ ἀνδρὸς ἐκ συρίας ἀναβαίνειν πρὸς τὸν μῆδον. οἱ δὲ κόλακες σπουδάζοντες ὑπὲρ αὐτῆς, ἐλοιδόρουν τὸν ἀντώνιον, ὡς σκληρὸν καὶ ἀπαθῆ καὶ παραπολλύντα γύναιον, εἰς ἕνα καὶ μόνον ἐκεῖνον ἀνηρτημένον. ὀκταβίαν μὲν γὰρ πραγμάτων ἕνεκα διὰ τὸν ἀδελφὸν συνελθεῖν. καὶ τὸ τῆς γαμετῆς ὄνομα καρποῦσθαι. κλεοπάτραν δὲ τοσούτων ἀνθρώπων βασιλεύουσαν, ἐρωμένην ἀντωνίου καλεῖσθαι. καὶ τοὔνομα τοῦτο μὴ φεύγειν μηδ᾽ ἀπαξιοῦν ἕως ὁρᾶν ἐκεῖνον ἔξεστι καὶ συζῆν, ἀπελαυνομένην δὲ τούτου μὴ περιβιώσεσθαι. τέλος δ᾽ οὖν οὕτω τὸν ἄνθρωπον ἐξέτηξαν καὶ ἀπεθήλυναν, ὡς τε δείσαντα μὴ κλεοπάτρα πρόηται τὸν βίον, εἰς ἀλεξάνδρειαν ἐπανελθεῖν. τὸν δὲ μῆδον, εἰς ὥραν ἔτους, ἀναβαλέσθαι. καίπερ ἐν στάσει, τῶν παρθικῶν εἶναι λεγομένων. οὐ μὴν, ἀλλὰ τοῦτον ἀναβὰς αὖθις, εἰς φιλίαν προσηγάγετο. καὶ λαβὼν ἑνὶ τῶν ἐκ κλεοπάτρας υἱῶν γυναῖκα, μίαν αὐτοῦ τῶν θυγατέρων ἔτι μικρὰν οὖσαν, ἐγγυήσας, ἐπανῆλθεν. ἤδη πρὸς τὸν ἐμφύλιον πόλεμον τετραμμένος. ὀκταβίαν δὲ, καῖσαρ ὑβρίσθαι δοκοῦσαν ὡς ἐπανῆλθεν ἐξ ἀθηνῶν, ἐκέλευσε καθ᾽ ἑαυτὴν οἰκεῖν. ἡ δὲ, οὐκ ἔφη τὸν οἶκον, ἀπολείψειν τοῦ ἀνδρός. ἀλλὰ κἀκεῖνον αὐτὸν, εἰ μὴ δι᾽ ἑτέρας αἰτίας ἔγνωκε πολεμεῖν ἀντωνίῳ, παρεκάλει τὰ καθ᾽ ἑαυτὴν ἐᾶν. ὡς οὐδὲ ἀκοῦσαι καλὸν, εἰ τῶν μεγίστων αὐτοκρατόρων. ὁ μὲν, δι᾽ ἔρωτα γυναικός. ὁ δὲ, διὰ ζηλοτυπίαν εἰς ἐμφύλιον πόλεμον ῥωμαίους κατέστησε. ταῦτα δὲ λέγουσα μᾶλλον ἐβεβαίου δι᾽ ἔργων. καὶ γὰρ ᾤκει τὴν οἰκίαν ὥσπερ αὐτοῦ παρόντος ἐκείνου. καὶ τῶν τέκνων, οὐ μόνον τῶν ἐξ ἑαυτῆς, ἀλλὰ καὶ τῶν ἐκ φουλβίας γεγονότων, καλῶς καὶ μεγαλοπρεπῶς ἐπεμελεῖτο. καὶ τοὺς πεμπομένους ἐπὶ ἀρχάς τινας ἢ πράγματα τῶν ἀντωνίου φίλων ὑποδεχομένη, συνέπραττεν, ὧν παρὰ καίσαρος δεηθεῖεν. ἄκουσα δὲ ἔβλαπτε διὰ τούτων ἀντώνιον. ἐμισεῖτο γὰρ ἀδικῶν γυναῖκα τοιαύτην. ἐμισήθη δὲ καὶ διὰ τὴν διανέμησιν ἣν ἐποιήσατο τοῖς τέκνοις ἐν ἀλεξανδρείᾳ. τραγικὴν καὶ ὑπερήφανον καὶ μισορώμαιον φανεῖσαν. ἐμπλήσας γὰρ ὄχλου τὸ γυμνάσιον καὶ θέμενος ἐπὶ βήματος ἀργυροῦ δύο θρόνους χρυσοῦς. τὸν μὲν, ἑαυτῷ. τὸν δὲ, κλεοπάτρᾳ. καὶ τοῖς παισὶν ἑτέρους ταπεινοτέρους. πρῶτον μὲν ἀπέφηνε κλεοπάτραν βασίλισσαν αἰγύπτου καὶ κύπρου. καὶ λιβύης. καὶ κοίλης συρίας. συμβασιλεύοντος αὐτῇ καισαρίωνος, ὃς ἐκ καίσαρος ἐδόκει τοῦ προτέρου γεγονέναι. κλεοπάτραν ἔγγυον καταλιπόντος. δευτέρους δὲ, τοὺς ἐξ αὐτοῦ καὶ κλεοπάτρας υἱοὺς, βασιλεῖς βασιλέων ἀναγορεύσας. ἀλεξάνδρῳ μὲν, ἀρμενίαν ἀπένειμε καὶ μηδίαν καὶ τὰ παρθῶν ὅταν ὑπαγάγηται. πτολεμαίῳ δὲ, φοινίκην καὶ συρίαν καὶ κιλικίαν. ἅμα δὲ καὶ προήγαγε τῶν παίδων, ἀλέξανδρον μὲν, ἐσθῆτι μὲν μηδικῇ. τιάραν καὶ κίταριν ὀρθὴν ἐχούσῃ. πτολεμαῖον δὲ, κρηπῖσι καὶ χλαμύδι, καὶ καυσίᾳ διαδηματοφόρῳ κεκοσμημένον. αὕτη γὰρ ἦν σκευὴ τῶν ἀπ᾽ ἀλεξάνδρου βασιλέων. ἐκείνη δὲ, μήδων καὶ ἀρμενίων. ἀσπασαμένων δὲ τῶν παίδων τοὺς γονεῖς, τὸν μὲν, ἀρμενίων φυλακὴ περιΐστατο. τὸν δὲ μακεδόνων. κλεοπάτρα μὲν γὰρ καὶ τότε καὶ τὸν ἄλλον χρόνον, εἰς πλῆθος ἐξιοῦσα, στολὴν ἑτέραν ἱερὰν, ἴσιδος ἐλάμβανε καὶ νέα ἶσις ἐχρημάτιζε. ταῦτα δὲ εἰς σύγκλητον ἐκφέρων καῖσαρ, καὶ πολλάκις ἐν τῷ δήμῳ κατηγορῶν, παρώξυνε τὸ πλῆθος ἐπ᾽ ἀντώνιον. ἔπεμψε δὲ καὶ ἀντώνιος ἀντεγκαλῶν ἐκείνῳ. μέγιστα δ᾽ ἦν ὧν ἐνεκάλει, πρῶτον μὲν ὅτι πομπηΐου σικελίαν ἀφελόμενος, οὐκ ἔνειμε μέρος αὐτῷ τῆς νήσου. δεύτερον ὅτι χρησάμενος ναῦς παρ᾽ αὐτοῦ πρὸς τὸν πόλεμον, ἀπεστέρησε. τρίτον ὅτι τὸν συνάρχοντα λέπιδον ἐκβαλὼν τῆς ἀρχῆς καὶ ποιήσας ἄτιμον, αὐτὸς ἔχει στρατηγὸν καὶ χώραν καὶ προσόδους τὰς ἐκείνῳ προσνεμηθείσας. ἐπὶ πᾶσιν, ὅτι τοῖς αὐτοῦ στρατιώταις, ἅπασαν ὀλίγου δεῖν ἰταλίαν κατακεκληρούχηκε, μηδὲν λιπὼν τοῖς ἐκείνου. πρὸς ταῦτα καῖσαρ ἀπελογεῖτο. λέπιδον μὲν ὑβρίζοντα καταπαῦσαι τῆς ἀρχῆς. ἃ δὲ ἔσχηκε

θης ὁ μιθριδάτης. καὶ τῷ ἀλεξάνδρῳ προσελθὼν, παρῄνει μικρὸν ἡσυχάσαντα τὸν στρατὸν, ἀνιστάναι καὶ σπεύδειν ἐπὶ τὸν ποταμὸν, ὡς οὐ διαβησομένων πάρθων, ἄχρι δὲ ἐκείνου διωξόντων. ταῦτα ἀπαγγείλας πρὸς ἀντώνιον ἀλέξανδρος, ἐκφέρει παρ' αὐτοῦ χρυσᾶ ποτήρια πάμπολλα καὶ φιάλας, ὧν ἐκεῖνος ὅσα τῇ ἐσθῆτι κατακρύψαι δυνατὸς ἦν, λαβὼν ἀπήλαυνεν. ἔτι δὲ ἡμέρας οὔσης, ἀναζεύξαντες ἐπορεύοντο. τῶν πολεμίων οὐ παρενοχλούντων. αὐτοὶ δὲ ἑαυτοῖς νύκτα χαλεπωτάτην πασῶν ἐκείνην καὶ φοβερωτάτην ἀπεργασάμενοι [κ.]. τοὺς γὰρ ἔχοντας ἀργύριον ἢ χρυσίον, ἀποκτιννύντες, ἐσύλων. καὶ τὰ χρήματα τῶν ὑποζυγίων ἀφήρπαζον. τέλος δὲ τοῖς ἀντωνίου σκευοφόροις ἐπιχειρήσαντες, ἐκπώματα καὶ τραπέζας πολυτελεῖς, κατέκοπτον. καὶ διενέμοντο. θορύβου δὲ πολλοῦ καὶ πλάνου τὸ στράτευμα πᾶν ἐπέχοντος, ᾤοντο γὰρ ἐπιπεπτωκότων τῶν πολεμίων τροπὴν γεγονέναι καὶ διασπασμὸν, ἀντώνιος ἕνα καλέσας τῶν δορυφορούντων αὐτὸν ἀπελευθέρων, ὄνομα ῥάμνον, ὥρκωσεν, ὅταν κελεύσῃ, τὸ ξίφος αὐτῷ διεῖναι καὶ τὴν κεφαλὴν ἀποτεμεῖν. ὡς μήτε ἁλῴη ζῶν ὑπὸ τῶν πολεμίων, μήτε γνωσθείη τεθνηκώς. [αὐτοῦ π. κ. ς.] ἐκδακρυσάντων δὲ τῶν φίλων, ὁ μάρδος ἐθάρρυνε τὸν ἀντώνιον ὡς ἐγγὺς ὄντος τοῦ ποταμοῦ. καὶ γὰρ αὔρα τις ἀπορρέουσα νοτερὰ, καὶ ψυχρότερος ἀὴρ ἀπαντῶν, ἡδίω τὴν ἀναπνοὴν ἐποίει. καὶ τὸν χρόνον ἔφη τῆς πορείας, οὕτω συμπεραίνειν τὸ μέτρον. οὐκέτι γὰρ ἦν πολὺ τὸ λειπόμενον τῆς νυκτός. ἅμα δ' ἀπήγγελλον ἕτεροι, τὸν θόρυβον ἐκ τῆς πρὸς αὐτοὺς ἀδικίας [ς. κ. π.] καὶ πλεονεξίας εἶναι. διὸ καὶ καταστῆσαι τὸ πλῆθος εἰς τάξιν ἐκ τῆς πλάνης καὶ τοῦ διασπασμοῦ βουλόμενος, ἐκέλευσε σημαίνειν κατάζευξιν. ἤδη δὲ ὑπέλαμπεν ἡμέρα καὶ τοῦ στρατοῦ κόσμον ἀρχομένου τινὰ λαμβάνειν καὶ ἡσυχίαν. προσέπιπτε τοῖς τελευταίοις, τὰ τῶν πάρθων τοξεύματα. καὶ μάχης σημεῖον ἐδόθη τοῖς ψιλοῖς. οἱ δὲ ὁπλῖται πάλιν ὁμοίως κατερέψαντες ἀλλήλους τοῖς θυρεοῖς, ὑπέμενον τοὺς βάλλοντας, ἐγγὺς οὐ τολμῶντας συνελθεῖν. ὑπαγόντων δὲ κατὰ μικρὸν οὕτως τῶν πρώτων, ὁ ποταμὸς ἐφάνη. [ὑπαγόντων π. ς.] καὶ τοὺς ἱππεῖς ἐπ' αὐτῷ παρατάξας ἀντώνιος, ἐναντίους τοῖς πολεμίοις, διεβίβαζε τοὺς ἀσθενεῖς πρώτους. ἤδη δὲ καὶ τοῖς μαχομένοις ἄδεια καὶ ῥᾳστώνη τοῦ πίνειν ἦν. ὡς γὰρ εἶδον οἱ πάρθοι τὸν ποταμὸν, τάς τε νευρὰς ἀνῆκαν, καὶ θαρροῦντας, ἐκέλευον διαπερᾶν τοὺς ῥωμαίους. [πάρθοι π.] [ς. λι / π. κ. λι] πολλὰ τὴν ἀρετὴν αὐτῶν ἐγκωμιάζοντες. διαβάντες οὖν καθ' ἡσυχίαν αὑτοὺς ἀνελάμβανον. εἶτα ὥδευον οὐ πάνυ τι τοῖς πάρθοις πιστεύοντες. ἕκτῃ δὲ ἡμέρᾳ τὴν τελευταίαν μάχην, ἐπὶ τὸν ἀράξην ποταμὸν ἧκον, ὁρίζοντα μηδίαν καὶ ἀρμενίαν. [λ μεθ᾽ π. ς.] ἐφάνη δὲ καὶ βάθει καὶ τραχύτητι χαλεπὸς, καὶ λόγος διῆλθεν, ἐνεδρεύοντας αὐτόθι τοὺς πολεμίους ἐπιθήσεσθαι διαβαίνουσιν αὐτοῖς. ἐπεὶ δὲ ἀσφαλῶς διαπεράσαντες, ἐπέβησαν τῆς ἀρμενίας, ὥσπερ ἄρτι γῆν ἐκείνην ἰδόντες ἐκ πελάγους, προσεκύνουν, καὶ πρὸς δάκρυα καὶ περιβολὰς ἀλλήλων ὑπὸ χαρᾶς ἐτράποντο. προϊόντες δὲ διὰ χώρας εὐδαίμονος, καὶ χρώμενοι πᾶσιν ἀνέδην ἐκ πολλῆς ἀπορίας, ὑδερικοῖς καὶ κοιλιακοῖς περιέπιπτον ἀρρωστήμασιν. ἐνταῦθα ποιησάμενος ἐξέτασιν αὐτῶν ἀντώνιος, εὗρε δισμυρίους πεζοὺς, καὶ τετρακισχιλίους ἱππεῖς ἀπολωλότας. οὐ πάντας ὑπὸ τῶν πολεμίων, ἀλλ' ὑπὲρ ἡμίσεις νοσήσαντας. ὥδευσαν μὲν οὖν, ἀπὸ φραάτων, ἡμέρας ἑπτὰ καὶ εἴκοσι. μάχαις δὲ ὀκτὼ καὶ δέκα, πάρθους ἐνίκησαν. αἱ δὲ νῖκαι, κράτος οὐκ εἶχον. οὐδὲ βεβαιότητα, μικρὰς ποιουμένων καὶ ἀτελεῖς τὰς διώξεις. ᾧ καὶ μάλιστα κατάδηλος ἦν, ἀρταουάσδης ὁ ἀρμένιος, ἀντώνιον ἐκείνου τοῦ πολέμου, τὸ τέλος ἀφελόμενος. εἰ γὰρ οὓς ἀπήγαγεν ἐκ μηδίας ἱππεῖς ἑξακισχιλίους καὶ μυρίους παρῆσαν, ἐσκευασμένοι παραπλησίως πάρθοις καὶ συνήθεις μάχεσθαι πρὸς αὐτοὺς, ῥωμαίων μὲν τοὺς μαχομένους τρεπομένων, ἐκείνων δὲ τοὺς φεύγοντας αἱρούντων, οὐκ ἂν ὑπῆρξεν αὐτοῖς ἡττωμένοις ἀναφέρειν καὶ ἀνατολμᾶν τοσαυτάκις. ἅπαντες οὖν ὀργῇ παρώξυνον ἐπὶ τὴν τιμωρίαν τοῦ ἀρμενίου τὸν ἀντώνιον. ὁ δὲ, λογισμῷ χρησάμενος, οὔτε ἐμέμψατο τὴν προδοσίαν, οὔτε ἀφεῖλε τῆς συνήθους φιλοφροσύνης καὶ τιμῆς πρὸς αὐτὸν, ἀσθενὴς τῷ στρατῷ καὶ ἄπορος γεγονώς. ὕστερον μέντοι πάλιν ἐμβαλὼν εἰς ἀρμενίαν, καὶ πολλαῖς ὑποσχέσεσι καὶ προκλήσεσι πείσας αὐτὸν ἐλθεῖν εἰς χεῖρας, συνέλαβε, καὶ δέσμιον καταγαγὼν εἰς ἀλεξάνδρειαν ἐθριάμβευσεν. ᾧ μάλιστα ῥωμαίους ἐλύπησεν, ὡς τὰ καλὰ καὶ σεμνὰ τῆς πατρίδος αἰγυπτίοις [κ.] διὰ κλεοπάτραν χαριζόμενος. ταῦτα μὲν οὖν ὕστερον ἐπράχθη. τότε δὲ διὰ πολλοῦ χειμῶνος ἤδη καὶ νιφετῶν ἀπαύστων ἐπειγόμενος, ὀκτακισχιλίους ἀπέβαλε καθ' ὁδόν. αὐτὸς δὲ καταβὰς ὀλιγοστὸς ἐπὶ θάλασσαν, ἐν χωρίῳ τινὶ μεταξὺ βηρυτοῦ κειμένῳ καὶ σιδῶνος, λευκὴ κώμη καλεῖται, κλεοπάτραν περιέμενε, καὶ βραδυνούσης ἀδημονῶν ἤλυε, ταχὺ μὲν εἰς τὸ πίνειν καὶ μεθύσκεσθαι διδοὺς ἑαυτὸν, οὐ καρτερῶν δὲ κατακείμενος, ἀλλὰ μεταξὺ πινόντων ἀνιστάμενος, καὶ ἀναπηδῶν, πολλάκις ἐπισκοπεῖν, ἕως ἐκείνη κατέπλευσεν, ἐσθῆτα πολλὴν καὶ χρήματα κομίζουσα τοῖς στρατιώταις. εἰσὶ δὲ οἱ λέγοντες, [κ.] ὅτι τὴν μὲν ἐσθῆτα παρ' ἐκείνης λαβὼν, τὸ δὲ ἀργύριον ἐκ τῶν ἰδίων διένειμεν ὡς ἐκείνης διδούσης. [ἑαυτοῦ π. ς.] τῷ δὲ βασιλεῖ τῶν μήδων, γίνεται διαφορὰ πρὸς φραόρτην τὸν μῆδον. [πάρθον π. ς.] ἀρξαμένη μὲν ὥς φασιν ὑπὲρ τῶν ῥωμαϊκῶν λαφύρων, ὑπόνοιαν δὲ τῷ μήδῳ καὶ φόβον ἀφαιρέσεως τῆς ἀρχῆς παρασχοῦσα. διὸ καὶ πέμπων, ἐκάλει τὸν ἀντώνιον ἐπαγγελλόμενος, συμπολεμήσειν μετὰ τῆς ἑαυτοῦ δυνάμεως. γενόμενος [ς. κ.] οὖν ἐπ' ἐλπίδος μεγάλης ὁ ἀντώνιος. ὃ γὰρ ἐδόκει μόνῳ τοῦ κατεργάσασθαι πάρθους, ἀπολιπεῖν, ἱππέων

εἴτις ἄρα νέμεσις τὰς πρόσθεν εὐτυχίας αὐτοῦ μέτεισιν εἰς αὐτὸν ἐλθεῖν. τῷ δὲ ἄλλῳ στρατῷ, σωτηρίαν διδόναι καὶ νίκην. τῇ δ' ὑστεραίᾳ φραξάμενοι βέλτιον, προῆγον. καὶ τοῖς πάρθοις ἐπιχειροῦσι, πολὺς ἀπήντα παράλογος. οἰόμενοι γὰρ ἐφ' ἁρπαγὴν καὶ λεηλασίαν οὐ μάχην ἐλαύνειν. εἶτα πολλοῖς βέλεσιν ἐντυγχάνοντες, ἐρρωμένους δὲ καὶ νεαλεῖς ταῖς προθυμίαις ὁρῶντες, αὖθις ἐξέκαμνον. ἐπεὶ δὲ

ἐπικλινῶς. ς.

καταβαίνουσιν αὐτοῖς ἀπὸ λόφων τινῶν ἐπὶ κλινῶν, ἐπέθεντο. καὶ βραδέως ὑπεξάγοντας, ἔβαλλον, ἐπιστρέψαντες οἱ θυρεαφόροι, συνέκλεισαν εἴσω τῶν ὅπλων τοὺς ψιλούς. αὐτοὶ δὲ καθέντες εἰς γόνυ, προυβάλλοντο τοὺς θυρεούς. οἱ δὲ ὄπισθεν, ὑπερέσχον αὐτῶν τὰ ὅπλα. κἀκείνων ὁμοίως ἕτεροι. τὸ δὲ σχῆμα, παραπλήσιον ἐρέψει γινόμενον, ὄψιν τε θεατρικὴν παρέχει. καὶ τῶν προβλημάτων, στεγανώτατόν ἐστι πρὸς τοὺς οἰστοὺς ἀπολισθαίνοντας. οἱ μέντοι πάρθοι τὴν εἰς γόνυ κλίσιν τῶν ῥωμαίων, ἀπαγόρευσιν ἡγούμενοι καὶ κάματον εἶναι, τὰ μὲν τόξα κατέθεντο, τοὺς δὲ κοντοὺς διαλαβόντες, ἐγγὺς προσέμιξαν. οἱ δὲ ῥωμαῖοι συναλαλάξαντες, ἐξαίφνης ἀνέθορον. καὶ τοῖς ὑσσοῖς παίοντες ἐκ χειρὸς, ἔκτεινάν τε τοὺς πρώτους. καὶ τροπὴν ἔθεντο τῶν ἄλλων ἁπάντων. ἐγίνετο δὲ ταῦτα, καὶ ταῖς ἄλλαις ἡμέραις,

βραχύν

ἐπὶ μικρὸν ἀνυόντων τῆς ὁδοῦ. καὶ λιμὸς ἥπτετο τοῦ στρατοῦ. σῖτόν τε βραχὺ διὰ μάχης πορίζομένου. καὶ τῶν, πρὸς ἄλετον σκευῶν οὐκ εὐποροῦντος. τὰ γὰρ πολλὰ κατελείπετο, τῶν μὲν, ἀποθνησκόντων ὑποζυγίων, τῶν δὲ, τοὺς νοσοῦντας καὶ τραυματίας φερόντων. λέγεται δὲ χοῖνιξ ἀττικὴ πυρῶν, πεντήκοντα δραχμῶν ὤνιος γενέσθαι. τοὺς δὲ κριθίνους ἄρτους, πρὸς ἀργύριον ἱστάντες, ἀπεδίδοντο. τραπόμενοι δὲ πρὸς λάχανα καὶ ῥίζας, ὀλίγοις μὲν ἐνετύγχανον τῶν συνήθων. ἀναγκαζόμενοι δὲ πειρᾶσθαι καὶ τῶν ἀγεύστων πρότερον, ἥψαντο τινὸς πόας, ἐπὶ θάνατον διὰ μανίας ἀγούσης. ὁ γὰρ φαγὼν, οὐδὲν ἐμέμνητο τῶν ἄλλων. οὐδὲ ἐγίνωσκεν. ἓν δὲ ἔργον εἶχεν, κινεῖν καὶ στρέφειν πάντα λίθον, ὥς τι μεγάλης σπουδῆς ἄξιον διαπραττόμενος. ἦν δὲ μεστὸν τὸ πεδίον κεκυφότων χαμᾶζε. καὶ τοὺς λίθους περιορυττόντων καὶ μεθιστάντων. τέλος δὲ χολὴν ἐμοῦντες, ἔθνησκον, ἐπεὶ καὶ τὸ μόνον ἀντιπαθὲς οἶνος, ἐξέλιπε. φθειρομένων δὲ πολλῶν, καὶ τῶν πάρθων οὐκ ἀφισταμένων. πολλάκις ἀναφθέγξασθαι τὸν ἀντώνιον ἱστοροῦσιν, ὦ μύριοι, θαυμάζοντα τοὺς μετὰ ξενοφῶντος. ὅτι καὶ πλείονα καταβαίνοντες ὁδὸν ἐκ τῆς βαβυλωνίας, καὶ πολλαπλασίοις μαχόμενοι πολεμίοις, ἀπεσώθησαν. οἱ δὲ πάρθοι, διαπλέξαι μὲν οὐ δυνάμενοι τὸν στρατὸν, οὐδὲ διασπάσαι τὴν τάξιν, ἤδη δὲ πολλάκις ἡττημένοι καὶ πεφευγότες, αὖθις εἰρηνικῶς ἀνεμίγνυντο τοῖς ἐπὶ χιλὸν ἢ σῖτον προερχομένοις. καὶ τῶν τόξων τὰς νευρὰς ἐπιδεικνύντες ἀνειμένας, ἔλεγον, ὡς αὐτοὶ μὲν ἀπίασιν ὀπίσω, καὶ τέλος τοῦτο ποιοῦνται τῆς ἀμύνης, ὀλίγοι δὲ μήδων ἀκολουθήσουσιν ἔτι μιᾶς ἢ δευτέρας ὁδὸν ἡμέρας, οὐδὲν παρενοχλοῦντες, ἀλλὰ τὰς ἀπωτέρω κώμας φυλάττοντες. τούτοις τοῖς λόγοις, ἀσπασμοί τε καὶ φιλοφροσύναι προσῆσαν. ὥστε πάνυ τοὺς ῥωμαίους εὐθαρσεῖς γενέσθαι. καὶ τὸν ἀντώνιον ἀκούσαντα, τῶν πεδίων ἐφίεσθαι μᾶλλον, ἀνύδρου λεγομένης εἶναι τῆς διὰ τῶν ὀρῶν. οὕτω δὲ ποιεῖν μέλλοντος, ἧκεν ἀνὴρ ἐπὶ τὸ στρατόπεδον ἐκ τῶν πολεμίων, ὄνομα μιθριδάτης, ἀνεψιὸς μοναίσου τοῦ παρ' ἀντωνίῳ γενομένου, καὶ τὰς τρεῖς πόλεις δωρεὰν λαβόντος. ἠξίου δὲ αὐτῷ προσελθεῖν τινὰ τῶν παρθιστὶ διαλεχθῆναι δυναμένων, ἢ συριστί. καὶ προσελθόντος ἀλεξάνδρου τοῦ ἀντιοχέως, ὃς ἦν ἀντωνίῳ συνήθης, ὑπειπὼν ὃς εἴη, καὶ μοναίσῃ τὴν χάριν ἀνατιθεὶς, ἠρώτησε τὸν ἀλέξανδρον, εἰ λόφους συνεχεῖς καὶ ὑψηλοὺς ὁρᾷ πρόσωθεν. φήσαντος δὲ ὁρᾶν. ὑπ' ἐκείνοις ἔφη

ἀπολιπόντ. ς. π.

πανστρατιᾷ, πάρθοι λοχῶσιν ὑμᾶς. τὰ γὰρ μεγάλα πεδία τῶν λόφων τούτων ἐξήρτηται. καὶ προσδοκῶσιν ὑμᾶς ἐξηπατημένους ὑπ' αὐτῶν, ἐνταῦθα τρέψεσθαι, τὴν διὰ τῶν ὀρῶν ἀπολείποντας. ἐκείνη

ἢ πόνον. ς. μ.

μὲν οὖν ἔχει δίψος ὑμῖν συνήθη, καὶ πόνον. ταύτῃ δὲ χωρῶν ἀντώνιος, ἴστω τὰς κράσσου τύχας αὐτὸν ἐκδεχομένας. ὁ μὲν, οὕτω φράσας ἀπῆλθεν. ἀντώνιος δὲ ἀκούσας, καὶ διαταραχθεὶς, συνεκάλει τοὺς φίλους, καὶ τὸν ἡγεμόνα τῆς ὁδοῦ, μάρδον, οὐδὲ αὐτὸν ἄλλως φρονοῦντα. καὶ γὰρ ἄνευ πολεμίων, ἐγίνωσκε τὰς διὰ τῶν πεδίων ἀνοδίας καὶ πλάνας χαλεπὰς καὶ δυστεκμάρτους οὔσας. τὴν δὲ, τραχεῖαν ἀπέφαινεν, οὐδὲν ἄλλο δυσχερὲς, ἢ μιᾶς ἡμέρας ἀνυδρίαν ἔχουσαν. οὕτω δὴ τραπόμενος, ταύτην ἦγε νυκτὸς, ὕδωρ ἐπιφέρεσθαι κελεύσας. ἀγγείων δὲ ἦν ἀπορία τοῖς πολλοῖς. διὸ καὶ τὰ κράνη πιμπλάντες ὕδατος, ἐκόμιζον. οἱ δὲ, διφθέρας ὑπολαμβάνοντες. ἤδη δὲ προχωροῦσιν, ἀγγέλλεται τοῖς πάρθοις. καὶ παρὰ τὸ εἰωθὸς, ἔτι νυκτὸς ἐδίωκον. ἡλίου δὲ ἀνίσχοντος, ἥπτοντο τῶν ἐσχάτων ἀγρυπνίᾳ καὶ πόνῳ κακῶς διακειμένων. τεσσαράκοντα γὰρ καὶ διακοσίους ἐν τῇ νυκτὶ σταδίους κατηνύκεσαν. καὶ τὸ μὴ προσδοκῶσιν οὕτω ταχέως ἐπελθεῖν τοὺς πολεμίους, ἀθυμίαν παρεῖχε. καὶ τὸ δίψος ἐπέτεινεν ὁ ἀγών. ἀμυνόμενοι γὰρ ἅμα προῆγον. οἱ δὲ πρῶτοι βαδίζοντες, ἐντυγχάνουσι ποταμῷ. ψυχρὸν μὲν ἔχοντι καὶ διαυγὲς, ἁλμυρὸν δὲ καὶ φαρμακῶδες ὕδωρ. ὃ ποθὲν, εὐθὺς ὀδύνας ἑλκομένης τῆς κοιλίας καὶ τοῦ δίψους ἀναφλεγομένου, παρεῖχε. καὶ ταῦτα τοῦ μάρδου προλέγοντος, οὐδὲν ἧττον ἐκβιαζόμενοι τοὺς ἀνείργοντας, ἔπινον. ἀντώνιος δὲ περιιὼν, ἐδεῖτο βραχὺν ἐγκαρτερῆσαι χρόνον. ἕτερον γὰρ οὐ πόρρω ποταμὸν εἶναι πότιμον. εἶτα τὴν λοιπὴν ἄβατον ἵπποις καὶ τραχεῖαν. ὥστε παντάπασιν ἀποστρέψαι τοὺς πολεμίους. ἅμα

ἐσήμαινεν ς. π.

δὲ καὶ τοὺς μαχομένους ἀνεκαλεῖτο. καὶ κατάζευξιν ἐσήμαινεν, ὡς σκιᾶς γοῦν μεταλάβοιεν οἱ στρατιῶται. πηγνυμένων οὖν τῶν σκηνῶν, καὶ τῶν πάρθων εὐθὺς ὥσπερ εἰώθεσαν ἀπαλλαττομένων, ἧκεν αὖ

εἰ ἂν τὴν ἐπιτηδείαν ἔχουσι, ταῦτα ἀκούσας ὁ ἀντώνιος, ἐβουλεύετο. καὶ πάρθοις μὲν οὐκ ἐβούλετο δοκεῖν ἀπιστεῖν, μετὰ σπονδάς. τὴν δὲ συντομίαν τῆς ὁδοῦ, καὶ τὸ παρὰ κώμας οἰκουμένας ἔσεσθαι τὴν πορείαν ἐπαινῶν, πίστιν ᾔτει τὸν μάρδον. ὁ δὲ, δῆσαι παρεῖχεν αὑτὸν ἄχρις οὗ καταστήσῃ τὸν στρατὸν εἰς ἀρμενίαν. καὶ δεθεὶς, ἡγεῖτο δύο ἡμέρας καθ' ἡσυχίαν. τῇ δὲ τρίτῃ παντάπασι τοὺς πάρθους ἀπεγνωκότος τοῦ ἀντωνίου, καὶ βαδίζοντας ἀνειμένως διὰ τὸ θαρρεῖν, ἰδὼν ὁ μάρδος ἀπόχωσιν ἐμβολῆς ποταμοῦ νεωστὶ διεσπασμένην. καὶ τὸ ῥεῦμα πολὺ πρὸς τὴν ὁδὸν ᾗ πορευτέον ἦν ἐκκεχυμένον, συνῆκεν ὅτι τῶν πάρθων ἔργον εἴη τοῦτο δυσκολίας ἕνεκα καὶ διατριβῆς ἐμποδὼν αὐτοῖς τὸν ποταμὸν τιθεμένων. καὶ τὸν ἀντώνιον, ὁρᾶν ἐκέλευε καὶ προσέχειν, ὡς τῶν πολεμίων ἐγγὺς ὄντων. ἄρτι δὲ αὐτοῦ, καθιστάντος εἰς τάξιν τὰ ὅπλα, καὶ δι' αὐτῶν τοῖς ἀκοντισταῖς καὶ σφενδονήταις, ἐκδρομὴν ἤδη ἐπὶ τοὺς πολεμίους παρασκευάζοντος, ἐπεφαίνοντο οἱ πάρθοι. καὶ περιήλαυνον ὡς κυκλωσόμενοι, καὶ συνταράξοντες, πανταχόθεν τὸν στρατὸν. ἐκδραμόντων δὲ τῶν ψιλῶν ἐπ' αὐτοὺς, πολλὰς μὲν διδόντες ἀπὸ τόξων. οὐκ ἐλάττονας δὲ ταῖς μολυβδίσι καὶ τοῖς ἀκοντίοις πληγὰς λαμβάνοντες, ἀνεχώρουν. εἶτα ἐπῆγον αὖθις. ἄχρις οὗ συστρέψαντες οἱ κελτοὶ τοὺς ἵππους, ἐνέβαλον καὶ διεσκέδασαν αὐτούς. οὐκέτι τῆς ἡμέρας ἐκείνης ὑπόλειμμα γενομένους. ἐκ τούτου μαθὼν ἀντώνιος ὃ ποιεῖν ἔδει, πολλοῖς ἀκοντισταῖς καὶ σφενδονήταις, οὐ μόνον τὴν οὐραγίαν, ἀλλὰ καὶ τὰς πλευρὰς ἑκατέρας στομώσας, ἐν πλαισίῳ τὸν στρατὸν ἦγε. καὶ τοῖς ἱππόταις εἴρητο προσβαλόντας, τρέπεσθαι, τρεψαμένους δὲ μὴ πόρρω διώκειν. ὥστε τοὺς πάρθους τὰς ἐφεξῆς τέσσαρας ἡμέρας, οὐδὲν πλέον δράσαντας, ἢ παθόντας ἀμβλυτέρους γεγονέναι. καὶ τὸν χειμῶνα ποιουμένους πρόφασιν, ἀπιέναι διανοεῖσθαι. τῇ δὲ πέμπτῃ, φλαούιος, γάλλος, ἀνὴρ πολεμικὸς καὶ δραστήριος ἐφ' ἡγεμονίας τεταγμένος, ᾔτησεν ἀντώνιον προσελθὼν πλείονας ψιλοὺς ἀπ' οὐρᾶς. καὶ τῶν ἀπὸ τοῦ στόματος ἱππέων τινὰς, ὡς μέγα κατόρθωμα ποιήσων. δόντος δὲ, προσβαλόντας ἀνέκοπτε τοὺς πολεμίους, οὐχ ὡς πρότερον ὑπάγων ἅμα πρὸς τοὺς ὁπλίτας καὶ ἀναχωρῶν, ἀλλὰ ὑφιστάμενος καὶ συμπλεκόμενος παραβολώτερον. ὁρῶντες δὲ αὐτὸν οἱ τῆς οὐραγίας ἡγεμόνες ἀπορρηγνύμενον, ἐκάλουν πέμποντες. ὁ δὲ, οὐκ ἐπείθετο. τίτιον δέ φασι τὸν ταμίαν, καὶ τῶν σημαιῶν ἐπιλαβόμενον, στρέφειν ὀπίσω καὶ λοιδορεῖν τὸν γάλλον, ὡς ἀπολλύντα, πολλοὺς καὶ ἀγαθοὺς ἄνδρας. ἀντιλοιδοροῦντος δὲ ἐκείνου καὶ διακελευομένου τοῖς περὶ αὐτὸν μένειν, ὁ μὲν τίτιος ἀπεχώρει. τὸν δὲ γάλλον ὠθούμενον εἰς τοὺς κατὰ στόμα, λανθάνουσι πολλοὶ περιιόντες ἐκ τοῦ ὄπισθεν. βαλλόμενος δὲ πανταχόθεν, ἐκάλει πέμπων ἀρωγήν. οἱ δὲ τοὺς ὁπλίτας ἄγοντες, ὧν καὶ κανίδιος ἦν ἀνὴρ παρὰ ἀντωνίῳ δυνάμενος μέγιστον, οὐ μικρὰ δοκοῦσι διαμαρτεῖν. δέον γὰρ ἀθρόαν ἐπιστρέψαι τὴν φάλαγγα, πέμποντες κατ' ὀλίγους ἐπιβοηθοῦντας. καὶ πάλιν ἡττωμένων τούτων ἑτέρους ἀποστέλλοντες, ἔλαθον ὀλίγου δεῖν ἥττης καὶ φυγῆς, ὅλον ἀναπλήσαντες τὸ στρατόπεδον. εἰ μὴ ταχὺ μὲν αὐτὸς ἀντώνιος μετὰ τῶν ὅπλων ἀπὸ τοῦ στόματος ἧκεν ὑπαντιάζων. ταχὺ δὲ τὸ τρίτον τάγμα διὰ τῶν φευγόντων ἐπὶ τοὺς πολεμίους ὠσάμενον, ἔσχε τοῦ πρόσω διώκειν. ἀπέθανον δὲ τρισχιλίων οὐκ ἐλάττους. ἐκομίσθησαν δὲ ἐπὶ σκηνὰς τραυματίαι πεντακισχίλιοι. καὶ γάλλος ἦν ἐν τούτοις τέτρασιν ἐναντίοις διαπεπαρμένος τοξεύμασιν. ἀλλ' οὗτος μὲν ἐκ τῶν τραυμάτων οὐκ ἀνήνεγκε. τοὺς δὲ ἄλλους περιιὼν ἀντώνιος, ἐπεσκόπει καὶ παρεθάρρυνε, δεδακρυμένος καὶ περιπαθῶν. οἱ δὲ, φαιδροὶ τῆς δεξιᾶς αὐτοῦ λαμβανόμενοι, παρεκάλουν ἀπιόντα, θεραπεύειν αὐτὸν καὶ μὴ κακοπαθεῖν. αὐτοκράτορα καλοῦντες, καὶ σώζεσθαι λέγοντες, ἂν ἐκεῖνος ὑγιαίνῃ. καθόλου μὲν γὰρ, οὔτε ἀλκαῖς, οὔτε ὑπομοναῖς, οὔτε ἡλικίᾳ λαμπρότερον ἄλλος αὐτοκράτωρ στρατὸν ἐκείνου δοκεῖ συναγαγεῖν, ἐν τοῖς τότε χρόνοις. ἡ δὲ πρὸς αὐτὸν αἰδὼς τὸν ἡγεμόνα καὶ πειθαρχία μετ' εὐνοίας. καὶ τὸ πάντας ὁμαλῶς ἐνδόξους, ἀδόξους, ἄρχοντας, ἰδιώτας, τὴν παρὰ ἀντωνίῳ τιμήν τε καὶ χάριν μᾶλλον αἱρεῖσθαι τῆς σωτηρίας καὶ τῆς ἀσφαλείας, οὐδὲ τοῖς πάλαι ῥωμαίοις ἀπέλιπεν ὑπερβολήν. τούτου δὲ αἰτίαι, πλείονες ἦσαν ὡς προειρήκαμεν. εὐγένεια, λόγου δύναμις, ἁπλότης, τὸ φιλόδωρον καὶ μεγαλόδωρον, ἡ περὶ τὰς παιδιὰς καὶ τὰς ὁμιλίας εὐτραπελία. τότε δὲ καὶ συμπονῶν καὶ συναλγῶν τοῖς κακοπαθοῦσι, καὶ μεταδιδοὺς οὗ τις δεηθείη, προθυμοτέρους τῶν ἐρρωμένων τοὺς νοσοῦντας καὶ τετρωμένους ἐποίησε. τοὺς μέντοι πολεμίους ἀπαγορεύοντας ἤδη καὶ κάμνοντας, οὕτως ἐπῆρεν ἡ νίκη, καὶ τοσοῦτον τῶν ῥωμαίων κατεφρόνησαν, ὥστε καὶ νυκτὸς ἐπαυλίσασθαι τῷ στρατοπέδῳ, προσδοκῶντες, αὐτίκα μάλα σκηνὰς ἐρήμους καὶ χρήματα διαρπάσειν ἀποδιδρασκόντων. ἅμα δ' ἡμέρᾳ πολὺ πλείονες ἐπηθροίζοντο. καὶ λέγονται τετρακισμυρίων οὐκ ἐλάττονες ἱππόται γενέσθαι, βασιλέως καὶ τοὺς περὶ αὐτὸν ἀεὶ τεταγμένους ὡς ἐπὶ σαφεῖ καὶ βεβαίῳ κατορθώματι πέμψαντος. αὐτὸς μὲν γὰρ οὐδεμιᾷ μάχῃ παρέτυχεν. ἀντώνιος δὲ βουλόμενος προσαγορεῦσαι τοὺς στρατιώτας, ᾔτησε φαιὸν ἱμάτιον, ὡς οἰκτότερος ὀφθείη. τῶν δὲ φίλων ἐναντιωθέντων, ἐν τῇ στρατηγικῇ φοινικίδι, προελθὼν ἐδημηγόρησε, τοὺς μὲν νενικηκότας ἐπαινῶν. ὀνειδίζων δὲ τοὺς φυγόντας. τῶν δὲ, οἱ μὲν, παρεκελεύοντο θαρρεῖν. οἱ δὲ, ἀπολογούμενοι, σφᾶς αὐτοὺς παρεῖχον, εἴτε βούλοιτο δεκατεύειν, εἴτε ἄλλῳ τρόπῳ κολάζειν. μόνον παύσασθαι δυσφοροῦντα καὶ λυπούμενον ἐδέοντο. πρὸς ταῦτα τὰς χεῖρας ἀνατείνας, ἐπεύξατο τοῖς θεοῖς.

βαδίζοντα. π.

ἰ. ὁ π.

οἰκτρότερον. π.

προσελθὼν ς

παμπόλλους, ἐν οἷς καὶ Πολέμων ἦν ὁ βασιλεύς. τοῦτο πάντας μὲν ὡς εἰκὸς, ἠνίασε τοὺς περὶ Ἀντώ-
νιον, ἀνελπίστως ἐν ἀρχῇ πληγέντας. ὁ δὲ Ἀρμένιος Ἀρταουάσδης, ἀπογνοὺς τὰ Ῥωμαίων, ᾤχετο τὴν
αὑτοῦ στρατιὰν ἀναλαβών. καίπερ αἰτιώτατος τοῦ πολέμου γενόμενος. ἐπιφανέντων δὲ λαμπρῶς
τοῖς πολιορκοῦσι τῶν Πάρθων. καὶ χρωμένων ἀπειλαῖς πρὸς ὕβριν, οὐ βουλόμενος Ἀντώνιος ἡσυ-
χάζοντι τῷ στρατῷ, τὸ δύσθυμον καὶ καταπεπληγμένον ἐμμένειν καὶ αὔξεσθαι, δέκα τάγματα
λαβὼν, καὶ τρεῖς στρατηγίδας σπείρας ὁπλιτῶν. τοὺς δὲ ἱππεῖς ἅπαντας, ἐξήγαγε πρὸς σιτολογίαν.
οἰόμενος οὕτως ἂν ἐπισπασθέντων μάλιστα τῶν πολεμίων, ἐκ παρατάξεως, μάχην γενέσθαι. προ-
ελθὼν δὲ μιᾶς ὁδὸν ἡμέρας, ὡς ἑώρα τοὺς Πάρθους, κύκλῳ περιχεομένους, καὶ προσπεσεῖν καθ' ὁ-
δὸν αὐτῷ ζητοῦντας, ἐξέθηκε μὲν, τὸ τῆς μάχης σύμβολον ἐν τῷ στρατοπέδῳ. καθελὼν δὲ τὰς σκη-
νὰς ὡς οὐ μαχησόμενος ἀλλ' ἀπάξων, παρημείβετο τῶν βαρβάρων τὴν τάξιν, οὖσαν μηνοειδῆ. κε-
λεύσας ὅταν οἱ πρῶτοι τοῖς ὁπλίταις ἐν ἐφικτῷ δοκῶσιν εἶναι, τοὺς ἱππεῖς ἐναντίους ἐσελαύνειν.
τοῖς δὲ Πάρθοις παρακεκριμένοις, λόγου κρείττων ἡ τάξις ἐφαίνετο τῶν Ῥωμαίων. καὶ κατεθεῶντο
ἐπεξιόντ. π. — παρεξιόντας ἐν διαστήμασιν ἴσοις ἀθορύβως καὶ σιωπῇ τοὺς ὑσσοὺς κραδαίνοντας. ὡς δὲ τὸ σημεῖον ἤδη — ἤρθη π
καὶ προσεφέροντο μετὰ κραυγῆς, ἐπιστρέψαντες οἱ ἱππεῖς, τούτους μὲν ἠμύνοντο δεξάμενοι, καίπερ
εὐθὺς ἐντὸς τοξεύματος γενομένους, τῶν δὲ ὁπλιτῶν συναπτόντων ἅμα βοῇ καὶ πατάγῳ τῶν ὅπλων,
οἵ τε ἵπποι τοῖς Πάρθοις ἐξίσταντο ταρβοῦντες, καὶ αὐτοὶ πρὶν εἰς χεῖρας ἐλθεῖν ἔφυγον. ὁ δὲ Ἀντώ-
νιος, ἐνέκειτο τῇ διώξει, καὶ μεγάλας εἶχεν ἐλπίδας ὡς τοῦ πολέμου τὸ σύμπαν, ἢ τὸ πλεῖστον ἐκείνῃ τῇ
μάχῃ διαπεπραγμένος. ἐπεὶ δὲ τῆς διώξεως γενομένης, τοῖς μὲν πεζοῖς, ἐπὶ πεντήκοντα στάδια. τοῖς
δ' ἱππεῦσιν ἐπὶ τρὶς τοσαῦτα. τοὺς πεπτωκότας τῶν πολεμίων καὶ τοὺς ἡλωκότας ἐπισκοποῦντες,
εὗρον αἰχμαλώτους μὲν τριάκοντα. νεκροὺς δὲ ὀγδοήκοντα μόνους, ἀπορία καὶ δυσθυμία πᾶσι παρέ-
στη. δεινὸν εἶναι λογιζομένοις, εἰ νικῶντες μὲν, οὕτως ὀλίγους κτείνουσιν, ἡττώμενοι δὲ στερήσονται το-
φρασελίων ς. π. — σούτων, ὅσους ἀπέβαλον περὶ ταῖς ἁμάξαις. τῇ δ' ὑστεραίᾳ συσκευασάμενοι, τὴν ἐπὶ Φραόρτου καὶ — κ. π
τοῦ στρατοπέδου, προῆγον. ἐντυχόντες δὲ κατὰ τὴν ὁδὸν πρῶτον μὲν ὀλίγοις τῶν πολεμίων. ἔπειτα
πλείοσι. τέλος δὲ πᾶσιν ὥσπερ ἀηττήτοις καὶ νεαλέσι, προκαλουμένοις καὶ προσβάλλουσι πανταχό-
θεν, μοχθηρῶς καὶ πολυπόνως, ἀπεσώθησαν εἰς τὸ στρατόπεδον. τῶν δὲ Μήδων ἐκδρομὴν τινὰ ποιη-
σαμένων ἐπὶ τὸ χῶμα. καὶ τοὺς προμαχομένους φοβησάντων, ὀργισθεὶς ὁ Ἀντώνιος ἐχρήσατο τῇ λε-
ἀφ' ἑκάστης κ. ς. π. — γομένῃ δεκατείᾳ πρὸς τοὺς ἀποδειλιάσαντας. διελὼν γὰρ εἰς δεκάδας τὸ πλῆθος, ἕνα τὸν λαχόντα κλή-
ρῳ διέφθειρε. τοῖς δὲ ἄλλοις, ἀντὶ πυρῶν ἐκέλευε κριθὰς μετρεῖσθαι. χαλεπὸς δὲ ἦν ἀμφοτέροις ὁ πόλε-
μος. καὶ τὸ μέλλον αὐτοῦ φοβερώτερον. Ἀντωνίῳ μὲν, προσδοκῶντι λιμόν, οὐκέτι γὰρ ἦν ἄνευ τραυ-
μάτων καὶ νεκρῶν πολλῶν ἐπισιτίσασθαι. Φραόρτης δὲ τοὺς Πάρθους ἐπιστάμενος πάντα μᾶλλον, ἢ
χειμῶνος ἔξω προσταλαιπωρεῖν καὶ θυραυλεῖν δυναμένους, ἐφοβεῖτο μὴ τῶν Ῥωμαίων ἐγκαρτε-
ρούντων καὶ παραμενόντων, ἀπολίπωσιν αὐτόν. ἤδη τοῦ ἀέρος συνισταμένου μετὰ φθινοπωρινὴν ἰση-
μερίαν. δόλον οὖν τίθησι τοιόνδε. Πάρθων οἱ γνωριμώτατοι περὶ τὰς σιτολογίας καὶ τὰς ἄλλας ἀ-
παντήσεις μαλακώτερον τοῖς Ῥωμαίοις προσεφέροντο. λαμβάνειν τε παριέντες αὐτοῖς ἔνια. καὶ
τὴν ἀρετὴν ἐπαινοῦντες ὡς πολεμικωτάτων ἀνδρῶν, καὶ θαυμαζομένων ὑπὸ τοῦ σφετέρου βασι-
λέως δικαίως. ἐκ δὲ τούτου, προσελαύνοντες ἐγγυτέρω. καὶ τοὺς ἵππους ἀτρέμα παραβάλλοντες, ἐλοιδό-
ρουν τὸν Ἀντώνιον. ὅτι βουλομένῳ Φραόρτῃ διαλλαγῆναι καὶ φείσασθαι τοιούτων ἀνδρῶν καὶ τοσού-
των, ἀφορμὴν οὐ δίδωσιν. ἀλλὰ τοὺς χαλεποὺς καὶ μεγάλους κάθηται πολεμίους ἀναμένων, λιμὸν καὶ
χειμῶνα. δι' ὧν ἔργον ἐστὶ καὶ προπεμπομένους ὑπὸ Πάρθων, ἀποφυγεῖν. πολλῶν δὲ ταῦτα πρὸς τὸν
Ἀντώνιον ἀναφερόντων, μαλασσόμενος ὑπὸ τῆς ἐλπίδος, ὅμως οὐ πρότερον ἐπεκηρυκεύσατο πρὸς
τὸν Πάρθον, ἢ πυθέσθαι τῶν φιλοφρονουμένων ἐκείνων βαρβάρων, εἰ τοῦ βασιλέως ταῦτα φρονοῦν-
τος διαλέγοιντο. φασκόντων δὲ καὶ παρακαλούντων μὴ δεδιέναι μὴ δὲ ἀπιστεῖν, ἔπεμψέ τινας τῶν ἑται-
ρων πάλιν τὰς σημαίας ἀξιῶν ἀπολαβεῖν, καὶ τοὺς αἰχμαλώτους, ὡς δὴ μὴ παντάπασιν ἀγαπᾶν, τὸ
σωθῆναι καὶ διαφυγεῖν νομισθείη. τοῦ δὲ Πάρθου ταῦτα μὲν ἐᾶν κελεύοντος, ἀπιόντι δὲ εὐθὺς εἰρήνην
καὶ ἀσφάλειαν εἶναι φήσαντος, ὀλίγαις ἡμέραις συσκευασάμενος ἀνέζευγνυεν. ὢν δὲ καὶ δήμῳ πιθανὸς
λόγου π. — ἐντυχεῖν. καὶ στρατὸν ἄγειν διὰ λόγον παρ' ὁντινοῦν τῶν τότε πεφυκὼς, ἐξέλιπεν αὐτὸς αἰσχύνῃ καὶ κατη-
φείᾳ τὸ παραθαρρῦναι τὸ πλῆθος. Δομίτιον δὲ Ἀηνόβαρβον ἐκέλευσε τοῦτο ποιῆσαι. καὶ τινὲς μὲν ἠγα-
νάκτησαν ὡς ὑπερορώμενοι. τὸ δὲ πλεῖστον ἐπεκλάσθη, καὶ συνεφρόνησε τὴν αἰτίαν. διὸ καὶ μᾶλλον ᾤον-
ἀπάγειν π. — το δεῖν ἀνταιδεῖσθαι καὶ πείθεσθαι τῷ στρατηγῷ. μέλλοντος δὲ αὐτοῦ τὴν αὐτὴν ὁδὸν ἄγειν ὀπίπω,
ὀπίσω π. — πεδινὴν καὶ ἄδενδρον οὖσαν, ἀνὴρ τῷ γένει Μάρδος. πολλὰ τοῖς Πάρθων ἤθεσιν ἐνωμιληκὼς, ἤδη δὲ Ῥω-
μαίοις πιστὸς, ἐν τῇ μάχῃ τῇ περὶ τὰς μηχανὰς γεγονὼς, Ἀντωνίῳ προσελθὼν, ἐκέλευε φεύγειν, ἐν δε-
ξιᾷ τῶν ὀρῶν ἐπιλαβόμενον, καὶ μὴ στρατὸν ὁπλίτην καὶ βαρὺν ἐν δρόμοις γυμνοῖς καὶ ἀναπεπταμέ-
νοις, ὑποβαλεῖν ἵππῳ τοσαύτῃ καὶ τοξεύμασιν. ὃ δὴ τεχνώμενον τὸν Φραόρτην, ἀναστῆσαι τῆς πολιορ-
κίας αὐτὸν, ὁμολογίαις φιλανθρώποις. ἔσεσθαι δὲ αὐτὸς ἡγεμὼν ὁδοῦ βραχυτέρας, καὶ μᾶλλον εὐπο-

ἐρωται, τὰ ἱμάτια δὲ ἀμφοτέρως ἄθλια. τούτοις οὖν κλασθεὶς ὁ καῖσαρ, ἧκεν εἰρηνικῶς εἰς τάραντα. καὶ θέαμα κάλλιστον οἱ παρόντες ἐθεῶντο. πολὺν μὲν ἐκ γῆς στρατὸν ἡσυχάζοντα. πολλὰς δὲ ναῦς ἀτρέμα πρὸς τοῖς αἰγιαλοῖς, αὐτῶν δὲ καὶ φίλων ἀπαντήσεις καὶ φιλοφροσύνας. ἑστία δὲ ἀντώνιος πρότερος. καὶ τοῦτο τῇ ἀδελφῇ καίσαρος δόντος. ἐπεὶ δὲ ὡμολόγητο καίσαρα μὲν ἀντωνίῳ δοῦναι δύο τάγματα πρὸς τὸν παρθικὸν πόλεμον. ἀντώνιον δὲ καίσαρι χαλκεμβόλους ἑκατὸν, ὀκταβία τῶν ὡμολογημένων χωρὶς, ᾐτήσατο τῷ μὲν ἀδελφῷ παρὰ τοῦ ἀνδρὸς, εἴκοσι μυοπάρωνας. τῷ δὲ ἀνδρὶ παρὰ τοῦ ἀδελφοῦ, στρατιώτας χιλίους. οὕτω δὲ ἀλλήλων διακριθέντες, ὁ μὲν, εὐθὺς εἴχετο τοῦ πρὸς πομπήιον πολέμου, σικελίας ἐφιέμενος. ἀντώνιος δὲ ὀκταβίαν μετὰ τῶν ἐξ ἐκείνης, καὶ τοὺς ἐκ φουλβίας παῖδας αὐτῷ παρακαταθέμενος εἰς τὴν ἀσίαν ἀπεπέρασεν. εὕδουσα δὲ ἡ δεινὴ συμφορὰ χρόνον πολὺν, ὁ κλεοπάτρας ἔρως, δοκῶν κατευνάσθαι καὶ κατακεκηλῆσθαι τοῖς βελτίοσι λογισμοῖς, αὖθις ἀνέλαμπε, καὶ ἀνεθάρρει συρίᾳ πλησιάζοντος αὐτοῦ. καὶ τέλος ὥσπερ φησὶν ὁ πλάτων, τὸ δυσπειθὲς καὶ ἀκόλαστον τῆς ψυχῆς ὑποζύγιον, ἀπολακτίσας τὰ καλὰ καὶ σωτήρια πάντα, καπίτωνα φοντήιον ἔπεμψεν, ἄξοντα κλεοπάτραν εἰς συρίαν. ἐλθούσῃ δὲ, χαρίζεται καὶ προστίθησι μικρὸν οὐδὲν οὐδὲ ὀλίγον, ἀλλὰ φοινίκην, κοίλην συρίαν, κύπρον, κιλικίας πολλήν. ἔτι δὲ τῆς τε ἰουδαίας, τὴν τὸ βάλσαμον φέρουσαν, καὶ τῆς ναβαταίων ἀραβίας, ὅση πρὸς τὴν ἐκτὸς ἀποκλίνει θάλασσαν. αὗται μάλιστα ῥωμαίους ἠνίασαν αἱ δωρεαί. καίτοι πολλοῖς ἐχαρίζετο τετραρχίας καὶ βασιλείας ἐθνῶν μεγάλων, ἰδιώταις οὖσι. πολλοὺς δὲ ἀφῃρεῖτο βασιλείας, ὡς ἀντίγονον τὸν ἰουδαῖον. καὶ προαγαγὼν ἐπελέκισεν, οὐδενὸς πρότερον ἑτέρου βασιλέως, οὕτω κολασθέντος. ἀλλὰ τὸ αἰσχρὸν ἦν τῶν κλεοπάτρας τιμῶν, ἀνιαρότατον. ηὔξησε δὲ τὴν διαβολὴν παῖδας ἐξ αὐτῆς διδύμους ἀνελόμενος καὶ προσαγορεύσας, τὸν μὲν, ἀλέξανδρον. τὴν δὲ, κλεοπάτραν. ἐπίκλησιν δὲ, τὸν μὲν, ἥλιον. τὴν δὲ, σελήνην. οὐ μὴν ἀλλ᾽ ἀγαθὸς ὢν ἐγκαλλωπίζεσθαι τοῖς αἰσχροῖς, ἔλεγε. τῆς μὲν ῥωμαίων ἡγεμονίας, οὐκ ἐν οἷς λαμβάνουσιν, ἀλλ᾽ ἐν οἷς χαρίζονται, φαίνεσθαι τὸ μέγεθος. διαδοχαῖς δὲ καὶ τεκνώσεσι πολλῶν βασιλέων, πλατύνεσθαι τὰς εὐγενείας. οὕτω γοῦν ὑφ᾽ ἡρακλέους τεκνωθῆναι τὸν αὐτοῦ πρόγονον, οὐκ ἐν μιᾷ γαστρὶ θεμένου τὴν διαδοχήν. οὐδὲ νόμους σολωνείους, καὶ κυήσεως εὐθύνας δεδοικότος, ἀλλὰ τῇ φύσει πολλὰς γενῶν ἀρχὰς καὶ καταβολὰς ἀπολιπεῖν ἐφιέντος. ἐπεὶ δὲ φραόρτου κτείναντος ὑρώδην τὸν πατέρα, καὶ τὴν βασιλείαν κατασχόντος, ἄλλοι τε πάρθων ἀπεδίδρασκον οὐκ ὀλίγοι, καὶ μοναίσης ἀνὴρ ἐπιφανὴς καὶ δυνατὸς, ἧκε φεύγων πρὸς ἀντώνιον. τὰς μὲν ἐκείνου τύχας, ταῖς θεμιστοκλέους εἰκάσας, τὴν οὐσίαν δὲ τὴν ἑαυτοῦ καὶ μεγαλοφροσύνην, τοῖς περσῶν βασιλεῦσι παραβαλὼν, ἐδωρήσατο τρεῖς πόλεις αὐτῷ, λάρισσαν καὶ ἀρέθουσαν. καὶ ἱερὰν πόλιν ἣν βομβύκην πρότερον ἐκάλουν. τοῦ δὲ πάρθων βασιλέως, τῷ μοναίσῃ δεξιὰν καταπέμψαντος, ἄσμενος αὐτὸν ἀπέστειλεν ὁ ἀντώνιος. ἐξαπατᾶν μὲν ἐγνωκὼς τὸν φραόρτην, ὡς εἰρήνης ἐσομένης, ἀξιῶν δὲ τὰς ἁλούσας ἐπὶ κράσσου σημαίας, καὶ τῶν ἀνδρῶν ἀπολαβεῖν τοὺς περιόντας. αὐτὸς δὲ κλεοπάτραν εἰς αἴγυπτον ἀποπέμψας, ἐχώρει δι᾽ ἀραβίας καὶ ἀρμενίας, ὅπου συνελθούσης αὐτῷ τῆς δυνάμεως, καὶ τῶν συμμάχων βασιλέων, πάμπολλοι δὲ ἦσαν οὗτοι. μέγιστος δὲ πάντων, ὁ τῆς ἀρμενίας ἀρταουάσδης, ἑξακισχιλίους ἱππεῖς καὶ πεζοὺς ἑπτακισχιλίους παρέχων, ἐξήτασε τὸν στρατόν. ἦσαν δὲ ῥωμαίων μὲν αὐτῶν, ἑξακισμύριοι πεζοί. καὶ τὸ ῥωμαίοις συντεταγμένον ἱππικὸν, ἴβηρες καὶ κελτοὶ, μύριοι. τῶν δὲ ἄλλων ἐθνῶν, ἐγένοντο τρεῖς μυριάδες, σὺν ἱππεῦσιν ὁμοῦ καὶ ψιλοῖς. τοσαύτην μέντοι παρασκευὴν καὶ δύναμιν, ᾗ καὶ τοὺς πέραν βάκτρων ἰνδοὺς ἐφόβησε. καὶ πᾶσαν ἐκράδανε τὴν ἀσίαν, ἀνόνητον αὐτῷ διὰ κλεοπάτραν γενέσθαι λέγουσι. σπεύδοντα γὰρ ἐκείνῃ διαχειμάσαι, τὸν πόλεμον ἐξενεγκεῖν πρὸ τοῦ καιροῦ, καὶ πᾶσι χρήσασθαι τεταραγμένως, οὐκ ὄντα τῶν ἑαυτοῦ λογισμῶν. ἀλλ᾽ ὑπὸ φαρμάκων τινῶν, ἢ γοητείας, παπταίνοντα πρὸς ἐκείνην ἀεί. καὶ πρὸς τὸ τάχιον ἐπανελθεῖν μᾶλλον, ἢ πρὸς τὸ κρατῆσαι τῶν πολεμίων γινόμενον. πρῶτον μὲν γὰρ αὐτοῦ δέον ἐν ἀρμενίᾳ διαχειμάσαι, καὶ διαναπαῦσαι τὸν στρατὸν, ὀκτακισχιλίων σταδίων ἀποτετρυχωμένον πορείᾳ. καὶ πρὶν ἢ κινεῖν ἐκ τῶν χειμαδίων πάρθους, ἔαρος ἀρχῇ μηδίαν καταλαβεῖν, οὐκ ἀνέμεινε τὸν χρόνον, ἀλλ᾽ εὐθὺς ἦγεν ἐν ἀριστερᾷ λαβὼν ἀρμενίαν. καὶ τῆς σαθροπατηνῆς ἁψάμενος, ἐπόρθει τὴν χώραν. ἔπειτα μηχανημάτων αὐτῷ πρὸς πολιορκίαν ἀναγκαίων, τριακοσίαις ἁμάξαις παρακομιζομένων, ἐν οἷς καὶ κριὸς ἦν, ὀγδοήκοντα ποδῶν μῆκος, ὧν οὐδὲν ἐνεχώρει διαφθαρὲν ἐπὶ καιροῦ πάλιν γενέσθαι, διὰ τὸ τὴν ἄνω χώραν πᾶν ξύλον ἀγεννὲς εἰς μῆκος, καὶ μαλθακὸν ἐκφέρειν, σπεύδων ὡς ἐμπόδια τοῦ ταχύνειν, ἀπέλιπε. φυλακὴν τινα καὶ τατιανὸν ἡγεμόνα τῶν ἁμαξῶν ἐπιστήσας. αὐτὸς δὲ φραόρτου μεγάλην πόλιν, ἐν ᾗ καὶ τέκνα καὶ γυναῖκες ἦσαν τοῦ τῆς μηδείας βασιλέως, ἐπολιόρκει. τῆς δὲ χρείας εὐθὺς ὅσον ἥμαρτε τὰς μηχανὰς ἀπολιπὼν ἐξελεγχούσης, ὁμόσε χωρῶν, ἔχου πρὸς τὴν πόλιν χῶμα σχολῇ καὶ πολυπόνως ἀνιστάμενον. ἐν τούτῳ δὲ καταβαίνων στρατιᾷ μεγάλῃ φραόρτης, ὡς ἤκουσε τὴν ἀπόλειψιν τῶν μηχανοφόρων ἁμαξῶν, ἔπεμψε τῶν ἱππέων πολλοὺς ἐπ᾽ αὐτάς, ὑφ᾽ ὧν περιληφθεὶς ὁ τατιανὸς, ἀποθνήσκει μὲν αὐτὸς, ἀποθνήσκουσι δὲ μύριοι τῶν μετ᾽ αὐτοῦ. τὰς δὲ μηχανὰς ἑλόντες οἱ βάρβαροι διέφθειραν. εἷλον δὲ

ταῦθα ἔφη. δείξας τὴν στρατηγίδα ναῦν οὖσαν ἑξήρη. πατρῷος γὰρ οἶκος αὕτη πομπηΐῳ λέλειπται. ταῦτα δὲ εἰς τὸν ἀντώνιον ὀνειδίζων ἔλεγεν. ἐπεὶ τὴν πομπηΐου τοῦ πατρὸς γενομένην οἰκίαν, ἐκεῖνος εἶχεν. ὁρμίσας δὲ τὴν ναῦν ἐπ' ἀγκυρῶν. καὶ διάβασιν τινὰ γεφυρώσας ἀπὸ τῆς ἄκρας, ἀνελάμβανεν αὐτοὺς προθύμως. ἀκμαζούσης δὲ τῆς συνουσίας καὶ τῶν εἰς κλεοπάτραν καὶ ἀντώνιον, ἀνθούντων σκωμμάτων, μηνᾶς ὁ πειρατὴς πομπηΐῳ προσελθὼν, ὡς μὴ κατακούειν ἐκείνους. βούλει φησὶ τὰς ἀγκύρας τῆς νεὼς ἀποτέμω καὶ ποιήσω σε, μὴ σικελίας καὶ σαρδόνος, ἀλλὰ τῆς ῥωμαίων κύριον ἡγεμονίας, ὁ δὲ πομπήϊος ἀκούσας καὶ πρὸς αὑτῷ γενόμενος βραχὺν χρόνον, ἔδει σε φησὶν ὦ μηνᾶ τοῦτο ἐμοὶ μὴ προειπόντα ποιῆσαι. νῦν δὲ, τὰ παρόντα στέργωμεν. ἐπιορκεῖν γὰρ, οὐκ ἐμόν. οὗτος μὲν οὖν πάλιν ἀνθεστιαθεὶς ὑπ' ἀμφοτέρων, εἰς τὴν σικελίαν ἀπέπλευσεν. ἀντώνιος δὲ μετὰ τὰς διαλύσεις, οὐεντίδιον μὲν, εἰς ἀσίαν προύπεμπε, πάρθοις ἐμποδὼν ἐσόμενον, τοῦ πρόσω χωρεῖν, αὐτὸς δὲ καίσαρι χαριζόμενος, ἱερεὺς ἀπεδέχθη τοῦ προτέρου καίσαρος. καὶ τἄλλα κοινῶς καὶ φιλικῶς ἐν τοῖς πολιτικοῖς καὶ μεγίστοις ἔπραττον. αἱ δὲ περὶ τὰς παιδιὰς ἅμιλλαι, τὸν ἀντώνιον ἐλύπουν, ἀεὶ τοῦ καίσαρος ἔλαττον φερόμενον. ἦν γάρ τις ἀνὴρ σὺν αὐτῷ μαντικὸς ἀπ' αἰγύπτου, τῶν τὰς γενέσεις ἐπισκοπούντων, ὃς εἴτε κλεοπάτρᾳ χαριζόμενος, εἴτε χρώμενος ἀληθείᾳ, πρὸς τὸν ἀντώνιον ἐπαρρησιάζετο λέγων. τὴν τύχην αὐτοῦ λαμπροτάτην οὖσαν καὶ μεγίστην, ὑπὸ τῆς καίσαρος ἀμαυροῦσθαι. καὶ συνεβούλευε, πορρωτάτω τοῦ νεανίσκου ποιεῖν ἑαυτόν. ὁ γὰρ σὸς ἔφη δαίμων, τὸν τούτου φοβεῖται. καὶ γαῦρος ὢν καὶ ὑψηλὸς ὅταν ᾖ καθ' αὑτὸν, ὑπ' ἐκείνου γίνεται ταπεινότερος ἐγγίσαντος, καὶ ἀγεννέστερος. καὶ μέντοι τὰ γινόμενα, τῷ αἰγυπτίῳ μαρτυρεῖν ἐδόκει. λέγεται γὰρ ὅτι κληρουμένων μετὰ παιδιᾶς ἐφ' ὅτῳ τύχοιεν ἑκάστοτε καὶ κυβευόντων, ἔλαττον ἔχων ἀντώνιος ἀπῄει. πολλάκις δὲ συμβαλόντων ἀλεκτρυόνας, πολλάκις δὲ μαχίμους ὄρτυγας, ἐνίκων οἱ καίσαρος. ἐφ' οἷς ἀνιώμενος ἀδήλως ὁ ἀντώνιος, καὶ μᾶλλόν τι τῷ αἰγυπτίῳ προσέχων, ἀπῆρεν ἐκ τῆς ἰταλίας ἐγχειρίσας καίσαρι τὰ οἰκεῖα. τὴν δὲ ὀκταβίαν ἄχρι τῆς ἑλλάδος ἐπήγετο θυγατρίου γεγονότος αὐτοῖς. διαχειμάζοντι δὲ αὐτῷ περὶ ἀθήνας, ἀπαγγέλλεται τὰ πρῶτα τῶν οὐεντιδίου κατορθωμάτων, ὅτι μάχῃ τοὺς πάρθους κρατήσας λαβιῆνον ἀπεκτόνοι, καὶ φαρναπάτην ἡγεμονικώτατον τῶν ὑρώδου βασιλέως στρατηγῶν. ἐπὶ τούτοις εἱστία τοὺς ἕλληνας. ἐγυμνασιάρχει δὲ ἀθηναίοις. καὶ τὰ τῆς ἡγεμονίας παράσημα καταλιπὼν οἴκοι, μετὰ τῶν γυμνασιαρχικῶν ῥάβδων, ἐν ἱματίῳ καὶ φαικασίοις προῄει. καὶ διαλαμβάνων τοὺς νεανίσκους ἐτραχήλιζεν. ἐξιέναι δὲ μέλλων ἐπὶ τὸν πόλεμον, ἀπὸ τῆς ἐλαίας, στέφανον ἔλαβε. καὶ κατά τι λόγιον ἀπὸ τῆς κλεψύδρας ὕδατος ἐμπλησάμενος ἀγγεῖον, ἐκόμιζεν. ἐν τούτῳ δὲ πάκορον τὸν βασιλέως παῖδα μεγάλῳ στρατῷ πάρθων αὖθις ἐπὶ συρίαν ἐλαύνοντα, συμπεσὼν οὐεντίδιος ἐν τῇ κυρρηστικῇ τρέπεται, καὶ διαφθείρει παμπόλλους, ἐν πρώτοις πακόρου πεσόντος. τοῦτο τὸ ἔργον ἐν τοῖς ἀοιδιμωτάτοις γενόμενον, ῥωμαίοις τε τῶν κατὰ κράσσον ἀτυχημάτων, ἔκπλεω ποινὴν παρέσχε, καὶ πάρθους αὖθις εἴσω μηδείας καὶ μεσοποταμίας, συνέστειλε, τρισὶ μάχαις ἐφεξῆς κατὰ κράτος ἡττημένους. οὐεντίδιος δὲ πάρθους μὲν προσωτέρω διώκειν, ἀπέγνω, φθόνον ἀντωνίου δείσας. τοὺς δ' ἀφεστῶτας, ἐπιὼν, κατεστρέφετο. καὶ τὸν κομμαγηνὸν ἀντίοχον ἐν πόλει σαμοσάτοις ἐπολιόρκει. δεομένου δὲ χίλια τάλαντα δοῦναι καὶ ποιεῖν ἀντωνίῳ τὸ προσταττόμενον, ἐκέλευε πέμπειν πρὸς ἀντώνιον. ἤδη γὰρ ἐγγὺς ἦν ἐπιών. καὶ τὸν οὐεντίδιον οὐκ εἴα σπένδεσθαι τῷ ἀντιόχῳ. βουλόμενος, ἕν γε τοῦτο τῶν ἔργων, ἐπώνυμον αὐτοῦ γενέσθαι, καὶ μὴ πάντα διὰ οὐεντιδίου κατορθοῦσθαι. τῆς δὲ πολιορκίας μῆκος λαμβανούσης. καὶ τῶν ἔνδον ὡς ἀπέγνωσαν τὰς διαλύσεις πρὸς ἀλκὴν τραπομένων, πράττων οὐδὲν, ἐν αἰσχύνῃ δὲ καὶ μεταγνώσει γενόμενος, ἀγαπητῶς ἐπὶ τριακοσίοις σπένδεται ταλάντοις πρὸς τὸν ἀντίοχον. καὶ μικρὰ τῶν ἐν συρίᾳ καταστησάμενος, εἰς ἀθήνας ἐπανῆλθε. καὶ τὸν οὐεντίδιον οἷς ἔπρεπε τιμήσας, ἔπεμψεν ἐπὶ τὸν θρίαμβον. οὗτος ἀπὸ πάρθων, ἄχρι δεῦρο, τεθριάμβευκε μόνος, ἀνὴρ γένει μὲν ἀφανὴς, ἀπολαύσας δὲ τῆς ἀντωνίου φιλίας, τὸ λαβεῖν ἀφορμὰς πράξεων μεγάλων. αἷς κάλλιστα χρησάμενος, ἐβεβαίωσε τὸν περὶ ἀντωνίου λεγόμενον καὶ καίσαρος λόγον. ὡς εὐτυχέστεροι δι' ἑτέρων ἦσαν, ἢ δι' αὑτῶν στρατηγεῖν. καὶ γὰρ σόσσιος ἀντωνίου στρατηγὸς ἐν συρίᾳ, πολλὰ διεπράττετο. καὶ κανίδιος ἀπολειφθεὶς ὑπ' αὐτοῦ περὶ ἀρμενίαν, τούτους τε νικῶν καὶ τοὺς ἰβήρων καὶ ἀλβανῶν βασιλέας, ἄχρι τοῦ καυκάσου προῆλθεν. ἀφ' ὧν ἐν τοῖς βαρβάροις, ὄνομα καὶ κλέος ηὔξετο τῆς ἀντωνίου δυνάμεως. αὐτὸς δὲ πάλιν ἔκ τινων διαβολῶν παροξυνθεὶς πρὸς καίσαρα, ναυσὶ τριακοσίαις, ἔπλει πρὸς τὴν ἰταλίαν. οὐ δεξαμένων δὲ τῶν βρεντεσηνῶν τὸν στόλον, εἰς τάραντα περιωρμήσεν. ἐνταῦθα τὴν ὀκταβίαν, συνέπλει γὰρ ἀπὸ τῆς ἑλλάδος αὐτῷ. δεηθεῖσαν. ἀποπέμπει πρὸς τὸν ἀδελφὸν, ἔγκυον μὲν οὖσαν, ἤδη δὲ καὶ δεύτερον ἐξ αὐτοῦ θυγάτριον ἔχουσαν. ἡ δὲ, ἀπαντήσασα καθ' ὁδὸν καίσαρι, καὶ παραλαβοῦσα τῶν ἐκείνου φίλων ἀγρίππαν καὶ μαικήναν ἐνετύγχανε πολλὰ ποτνιωμένη καὶ πολλὰ δεομένη, μὴ περιιδεῖν αὐτὴν ἐκ μακαριωτάτης γυναικὸς, ἀθλιωτάτην γενομένην. νῦν μὲν γὰρ ἅπαντας ἀνθρώπους εἰς αὐτὴν ἀποβλέπειν, αὐτοκρατόρων δυοῖν. τοῦ μὲν, γυναῖκα. τοῦ δὲ, ἀδελφὴν οὖσαν. εἰ δὲ τὰ χείρω κρατήσειεν ἔφη καὶ γένοιτο πόλεμος. ὑμῶν μὲν ἄδηλον ὅτῳ κρατεῖν ἢ κρατεῖσθαι πέπρωται, τὰ

νᾶσθαι κελεύειν. ἀφοσιουμένου δὲ αὐτοῦ καὶ δεδοικότος λαβεῖν, τί ὦ πόνηρε φάναι τὸν ἄνθρωπον, ὀκνεῖς, οὐκ οἶδας, ὡς ὁ διδοὺς, ἀντωνίου παῖς ἐστιν, ᾧ τοσαῦτα πάρεστι χρυσᾶ χαρίσασθαι, ἐμοὶ μέντοι πιθόμενος, πάντα διάμειψαι πρὸς ἀργύριον ἡμῖν. ἴσως γὰρ ἂν καὶ ποθήσειεν ὁ πατὴρ, ἔνια τῶν παλαιῶν ὄντα καὶ σπουδαζομένων κατὰ τὴν τέχνην ἔργων. ταῦτα μὲν οὖν ἡμῖν ἔλεγεν ὁ πάππος ἑκάστοτε διηγεῖσθαι τὸν φιλώταν. ἡ δὲ κλεοπάτρα τὴν κολακείαν, οὐχ ὥσπερ ὁ πλάτων φησὶ τετραχῆ, πολλαχῆ δὲ διελοῦσα, καὶ σπουδῆς ἁπτομένων καὶ παιδιᾶς ἀεί τινα καινὴν ἡδονὴν ἐπιφέρουσα καὶ χάριν, ἐξεπαιδαγώγει τὸν ἀντώνιον, οὔτε νυκτὸς οὔτε ἡμέρας ἀνιεῖσα. καὶ γὰρ συνεκύβευε. καὶ συνέπινε. καὶ συνεθήρευε καὶ γυμναζόμενον ἐν ὅπλοις, ἐθεᾶτο. καὶ νύκτωρ προσισταμένῳ θύραις, καὶ θυρίσι δημοτῶν, καὶ σκώπτοντι τοὺς ἔνδον, συνεπλανᾶτο, καὶ συνήλυε θεραπαινιδίου στολὴν λαμβάνουσα. καὶ γὰρ ἐκεῖνος οὕτως ἐπειρᾶτο σκευάζειν ἑαυτόν. ὅθεν ἀεὶ σκωμμάτων, πολλάκις δὲ καὶ πληγῶν ἀπολαύσας, ἐπανήρχετο. τοῖς δὲ πλείστοις, ἦν δι' ὑπονοίας. οὐ μὴν, ἀλλὰ προσέχαιρον αὐτοῦ τῇ βωμολοχίᾳ, καὶ συνέπαιζον οὐκ ἀρύθμως, οὐδὲ ἀμούσως οἱ ἀλεξανδρεῖς ἀγαπῶντες καὶ λέγοντες. ὡς τῷ τραγικῷ πρὸς ῥωμαίους χρῆται προσώπῳ. τῷ δὲ κωμικῷ πρὸς αὐτούς. τὰ μὲν οὖν πολλὰ τῶν ὑπ' αὐτοῦ παιζομένων διηγεῖσθαι. πολὺς ἂν εἴη φλύαρος. ἐπεὶ δὲ ἁλιεύων ποτὲ καὶ δυσαγρῶν ἤχθετο παρούσης τῆς κλεοπάτρας, ἐκέλευσε τοὺς ἁλιεῖς ὑπονηξαμένους κρύφα τῷ ἀγκίστρῳ περικαθάπτειν ἰχθῦς τῶν προεαλωκότων. καὶ δὶς ἢ τρὶς ἀνασπάσας, οὐκ ἔλαθε τὴν αἰγυπτίαν. προσποιουμένη δὲ θαυμάζειν, τοῖς φίλοις διηγεῖτο. καὶ παρεκάλει τῇ ὑστεραίᾳ γενέσθαι θεατάς. ἐμβάντων δὲ πολλῶν εἰς τὰς ἁλιάδας, καὶ τοῦ ἀντωνίου τὴν ὁρμιὰν καθέντος, ἐκέλευσε τινὰ τῶν αὐτῆς, ὑποφθάσαντα καὶ προσνηξάμενον τῷ ἀγκίστρῳ περιπεῖραι ποντικὸν τάριχος. ὡς δὲ ἔχειν πεισθεὶς ὁ ἀντώνιος ἀνεῖλκε, γέλωτος οἷον εἰκὸς γενομένου, παράδος ἡμῖν ἔφη τὸν κάλαμον αὐτοκράτωρ τοῖς φαρίταις καὶ κανωβίταις βασιλεῦσιν. ἡ δὲ σὴ θήρα, πόλεις εἰσὶ καὶ βασιλεῖς καὶ ἤπειροι. τοιαῦτα ληροῦντα καὶ μειρακιευόμενον τὸν ἀντώνιον, ἀγγελίαι δύο καταλαμβάνουσιν, ἡ μὲν, ἀπὸ ῥώμης λεύκιον τὸν ἀδελφὸν αὐτοῦ, καὶ φουλβίαν τὴν γυναῖκα, πρῶτον ἀλλήλοις στασιάσαντας, εἶτα καίσαρι πολεμήσαντας, ἀποβεβληκέναι τὰ πράγματα, καὶ φεύγειν ἐξ ἰταλίας. ἑτέρα δὲ, ταύτης οὐδὲν ἐπιεικεστέρα. λαβιηνὸν ἐπάγοντα πάρθους τὴν ἀπ' εὐφράτου καὶ συρίας ἄχρι λυδίας καὶ ἰωνίας ἀσίαν καταστρέφεσθαι. μόλις οὖν ὥσπερ ἐξυπνισθεὶς καὶ ἀποκραιπαλήσας, ὥρμησε μὲν πάρθοις ἐνίστασθαι καὶ μέχρι φοινίκης προῆλθε. φουλβίας δὲ γράμματα θρηνώδη μεστὰ πεμπούσης, ἐπέστρεψεν εἰς τὴν ἰταλίαν, ἄγων ναῦς διακοσίας. ἀναλαβὼν δὲ κατὰ πλοῦν τῶν φίλων τοὺς πεφευγότας, ἐπυνθάνετο τοῦ πολέμου τὴν φουλβίαν, αἰτίαν γεγονέναι. φύσει μὲν οὖσαν πολυπράγμονα καὶ θρασεῖαν. ἐλπίζουσαν δὲ τῆς κλεοπάτρας ἀπάξειν τὸν ἀντώνιον, εἴ τι γένοιτο κίνημα περὶ τὴν ἰταλίαν. συμβαίνει δὲ ἀπὸ τύχης καὶ φουλβίαν πλέουσαν πρὸς αὐτὸν, ἐν σικυῶνι, νόσῳ τελευτῆσαι. διὸ καὶ μᾶλλον αἱ πρὸς καίσαρα διαλλαγαὶ, καιρὸν ἔσχον. ὡς γὰρ προσέμιξε τῇ ἰταλίᾳ, καὶ καῖσαρ ἦν φανερὸς, ἐκείνῳ μὲν οὐδὲν ἐγκαλῶν, αὐτὸς δὲ ὧν ἐνεκαλεῖτο τὰς αἰτίας τῇ φουλβίᾳ προστριβόμενος, οὐκ εἴων ἐξελέγχειν οἱ φίλοι τὴν πρόφασιν, ἀλλὰ διέλυον ἀμφοτέρους. καὶ διῄρουν τὴν ἡγεμονίαν, ὅρον ποιούμενοι τὸν ἰόνιον. καὶ τὰ μὲν ἑῷα νέμοντες ἀντωνίῳ. τὰ δὲ ἑσπέρια, καίσαρι. λέπιδον δὲ λιβύην ἔχειν ἐῶντες. ὑπατεύειν δὲ τάξαντες, ὅτε μὴ δόξειεν αὐτοῖς, φίλους ἑκατέρων παρὰ μέρος. ταῦτα ἔχειν καλῶς δοκοῦντα, πίστεως ἐδεῖτο σφοδροτέρας, ἣν ἡ τύχη παρέσχεν. ὀκταβία γὰρ ἦν ἀδελφὴ πρεσβυτέρα μὲν, οὐχ ὁμομητρία δὲ καίσαρι. ἐγεγόνει γὰρ ἐξ ἀγχαρίας. ὁ δὲ, ὕστερον ἐκτατίας. ἔστεργε δὲ, ὑπερφυῶς τὴν ἀδελφὴν, χρῆμα θαυμαστὸν ὡς λέγεται γυναικὸς γενομένην. αὕτη γαΐου μαρκέλλου τοῦ γήμαντος αὐτὴν οὐ πάλαι τεθνηκότος, ἐχήρευεν. ἐδόκει δὲ καὶ φουλβίας ἀποιχομένης, χηρεύειν ἀντώνιος. ἔχειν μὲν οὐκ ἀρνούμενος κλεοπάτραν, γάμῳ δὲ, οὐχ ὁμολογῶν, ἀλλ' ἔτι τῷ λόγῳ περί γε τούτου πρὸς τὸν ἔρωτα τῆς αἰγυπτίας μαχόμενος. τοῦτον ἅπαντες εἰσηγοῦντο τὸν γάμον. ἐλπίζοντες τὴν ὀκταβίαν ἐν κάλλει τοσούτῳ, σεμνότητα καὶ νοῦν ἔχουσαν, εἰς ταὐτὸ τῷ ἀντωνίῳ παραγενομένην καὶ στερχθεῖσαν, ὡς εἰκὸς τοιαύτην γυναῖκα, πάντων πραγμάτων αὐτοῖς, σωτηρίαν ἔσεσθαι καὶ σύγκρασιν. ὡς οὖν ἔδοξεν ἀμφοτέροις, ἀναβάντες εἰς ῥώμην, ἐπετέλουν, τὸν ὀκταβίας γάμον. οὐκ ἐῶντος μὲν νόμου πρὸ δέκα μηνῶν ἀνδρὸς τελευτήσαντος, γαμεῖσθαι. τῆς δὲ συγκλήτου δόγματι τὸν χρόνον ἐκείνης ἀνείσης. σέξτου δὲ πομπηΐου, σικελίαν μὲν ἔχοντος, ἰταλίαν δὲ πορθοῦντος. λῃστρίσι δὲ ναυσὶ πολλαῖς ὧν μηνᾶς ὁ πειρατὴς καὶ μενεκράτης ἦρχον, ἄπλουν τὴν θάλασσαν πεποιηκότος. ἀντωνίῳ δὲ κεχρῆσθαι δοκοῦντος φιλανθρώπως, ὑπεδέξατο γὰρ αὐτοῦ τὴν μητέρα τῇ φουλβίᾳ συνεκπεσοῦσαν, ἔδοξε καὶ πρὸς τοῦτον διαλυθῆναι. καὶ συνῆλθον εἰς ταὐτὸ κατὰ τὴν ἐν μισηνοῖς ἄκραν καὶ τὸ χῶμα. πομπηΐῳ μὲν τοῦ στόλου παρορμοῦντος, ἀντωνίῳ δὲ καὶ καίσαρι, τῶν πεζῶν παρακειμένων. ἐπεὶ δὲ συνέθεντο πομπήϊον ἔχοντα σαρδόνα καὶ σικελίαν, καθαράν τε λῃστηρίων παρέχειν τὴν θάλασσαν καὶ σίτου τι τεταγμένον ἀποστέλλειν εἰς ῥώμην, ἐκάλουν ἐπὶ δεῖπνον ἀλλήλους. κληρουμένων δὲ, πρῶτος ἑστιᾶν αὐτοὺς ἔλαχε πομπήϊος. ἐρομένου δὲ αὐτὸν ἀντωνίου, ποῦ δειπνήσουσιν. ἐν

ἀποσειόμενον. π. ς.
ἀπειθόμενος. π. κ. κ.

ἁπτομένης π. κ. κ.
ἀνιεῖσα π. κ. κ.

ἐξ ἀττίας ff

Dion. 48. 254.

ἐνταῦθα δὲ καὶ αὐτοὶ πρὸς μισηνῷ τὸ λοιπὸν πλῆθος ἔστησαν. οἱ μὲν ἐν τῇ ἠπείρῳ, ὁ δ' ἐν χώματί τινι ἐν τῇ θαλάσσῃ. ἐπ' αὐτὸ τοῦτο περιρρυέντος οὐ πόρρω σφῶν πρὸς ἀσφάλειαν αὐτοῦ πεποιημένῳ:-

ἐν ᾧ μάλιστα καιροῦ, γυναῖκες ὥραν τε λαμπροτάτην ἔχουσι καὶ τῷ φρονεῖν ἀκμάζουσι. διὸ πολλὰ μὲν συνεσκευάζετο δῶρα καὶ χρήματα. καὶ κόσμον οἷον εἰκὸς ἦν, ἀπὸ πραγμάτων μεγάλων καὶ βασιλείας εὐδαίμονος κομίζειν. τὰς δὲ πλείστας ἐν ἑαυτῇ, καὶ τοῖς περὶ αὐτὴν

μαγγανεύμασι. π.

μαγγανεύμασι καὶ φίλτροις ἐλπίδας θεμένη, παρεγένετο.

παρεγένετο. π.

πολλὰ δὲ καὶ παρ' αὐτοῦ καὶ παρὰ τῶν φίλων δεχομένη γράμματα καλούντων, οὕτω κατεφρόνησε καὶ κατεγέλασε τοῦ ἀνδρὸς, ὥστε πλεῖν ἀνὰ τὸν Κύδνον ποταμὸν ἐν πορθμείῳ χρυσοπρύμνῳ, τῶν μὲν ἱστίων ἁλουργῶν ἐκπεπετασμένων, τῆς δὲ εἰρεσίας, ἀργυραῖς κώπαις ἀναφερομένης πρὸς αὐλὸν ἅμα σύριγξι καὶ κιθάραις

συνηρμοσμένη. π.

συνηρμοσμένης. αὐτὴ δὲ κατέκειτο μὲν ὑπὸ σκιάδι χρυσοπάστῳ, κεκοσμημένη γραφικῶς, ὥσπερ Ἀφροδίτη. παῖδες δὲ τοῖς γραφικοῖς ἔρωσιν εἰκασμένοι, παρ' ἑκάτερον ἑστῶτες, ἐρρίπιζον. ὁμοίως δὲ καὶ θεραπαινίδες αἱ καλλιστεύουσαι, νηρηίδων ἔχουσαι καὶ χαρίτων στολάς. αἱ μὲν πρὸς οἴαξιν. αἱ δὲ, πρὸς κάλοις ἦσαν. ὀδμαὶ δὲ θαυμασταὶ τὰς ὄχθας ἀπὸ θυμιαμάτων πολλῶν κατεῖχον. τῶν δὲ ἀνθρώπων, οἱ μὲν, εὐθὺς ἀπὸ τοῦ ποταμοῦ παρωμάρτουν, ἑκατέρωθεν. οἱ δὲ, ἀπὸ τῆς πόλεως κατέβαινον ἐπὶ τὴν θέαν. ἐκχεομένου δὲ τοῦ κατὰ τὴν ἀγορὰν ὄχλου, τέλος αὐτὸς ὁ Ἀντώνιος ἐπὶ βήματος καθεζόμενος, ἀπελείφθη μόνος. καί τις λόγος ἐχώρει διὰ πάντων, ὡς ἡ Ἀφροδίτη, κωμάζοι παρὰ τὸν Διόνυσον ἐπ' ἀγαθῷ τῆς Ἀσίας. ἔπεμψε μὲν οὖν καλῶν αὐτὴν ἐπὶ τὸ δεῖπνον. ἡ δὲ μᾶλλον ἐκεῖνον ἠξίου πρὸς ἑαυτὴν ἥκειν. εὐθὺς οὖν τινὰ βουλόμενος εὐκολίαν ἐπιδείκνυσθαι καὶ φιλοφροσύνην, ὑπήκουσε καὶ ἦλθεν. ἐντυχὼν δὲ παρασκευῇ λόγου κρείττονι, μάλιστα τῶν φώτων τὸ πλῆθος ἐξεπλάγη. τοσαῦτα γὰρ λέγεται καθίεσθαι καὶ ἀναφαίνεσθαι πανταχόθεν ἅμα. καὶ τοιαύταις πρὸς ἄλληλα κλίσεσι καὶ θέσεσι διακεκοσμημένα καὶ συντεταγμένα, πλαισίων καὶ περιφερῶν τρόπῳ, ὥστε τῶν ἐν λόγοις ἀξιοθεάτων καὶ καλῶν, ἐκείνην γενέσθαι τὴν ὄψιν. τῇ δ' ὑστεραίᾳ πάλιν, ἀνθεστιῶν αὐτὴν, ἐφιλοτιμήθη μὲν ὑπερβαλέσθαι τὴν λαμπρότητα καὶ τὴν ἐπιμέλειαν. ἀμφοῖν δὲ λειπόμενος καὶ κρατούμενος ἐν αὐτοῖς ἐκείνοις, πρῶτος ἔσκωπτεν εἰς αὐχμὸν καὶ ἀγροικίαν τὰ παρ' αὐτῷ. πολλὴν δὲ ἡ Κλεοπάτρα καὶ τοῖς σκώμμασι τοῦ Ἀντωνίου τὸν στρατιώτην ἐνορῶσα καὶ βάναυσον, ἐχρῆτο καὶ τούτῳ πρὸς αὐτὸν ἀνειμένως ἤδη, καὶ κατατεθαρρηκότως. καὶ γὰρ ἦν ὡς λέγουσιν, αὐτὸ μὲν καθ' αὑτὸ τὸ κάλλος αὐτῆς, οὐ πάνυ δυσπαράβλητον. οὐδὲ οἷον ἐκπλῆξαι τοὺς ἰδόντας, ἁφὴν δὲ εἶχεν ἡ συνδιαίτησις, ἄφυκτον. ἥ τε μορφὴ μετὰ τῆς ἐν τῷ διαλέγεσθαι πιθανότητος, καὶ τοῦ

περιθέοντος. π.

περιθέοντος ἅμα πως περὶ τὴν ὁμιλίαν ἤθους, ἀνέφερέ τι κέντρον. ἡδονὴ δὲ καὶ φθεγγομένης, ἐπῆν τῷ ἤχῳ. καὶ τὴν γλῶτταν, ὥσπερ ὄργανόν τι πολύχορδον εὐπετῶς τρέπουσα καθ' ἣν βούλοιτο διάλεκτον, ὀλίγοις παντάπασι δι' ἑρμηνέως ἐνετύγχανε βαρβάροις. τοῖς δὲ πλείστοις, αὐτὴ δι' αὐτῆς ἀπεδίδου τὰς ἀποκρίσεις, οἷον αἰθίοψι. τρωγλοδύταις. ἑβραίοις. ἄραψι. σύροις. μήδοις. παρθυαίοις. πολλῶν δὲ λέγεται καὶ ἄλλων ἐκμαθεῖν γλώττας, τῶν πρὸ αὐτῆς βασιλέων, οὐδὲ τὴν αἰγυπτίων ἀνασχομένων παραλαβεῖν διάλεκτον. ἐνίων δὲ καὶ τὸ μακεδονίζειν ἐκλιπόντων. οὕτω δ' οὖν τὸν Ἀντώνιον ἥρπασεν, ὥστε πολεμούσης μὲν ἐν Ῥώμῃ Καίσαρι Φουλβίας τῆς γυναικὸς ὑπὲρ τῶν ἐκείνου πραγμάτων, αἰωρουμένης δὲ παρθικῆς στρατιᾶς περὶ τὴν μεσοποταμίαν, ἧς Λαβιηνὸν οἱ βασιλέως στρατηγοὶ,

πάροικον. s. π.

παρθικὸν ἀναγορεύσαντες αὐτοκράτορα, Συρίας ἐπιβατεύσειν ἔμελλον, οἴχεσθαι φερόμενον ὑπ' αὐτῆς εἰς Ἀλεξάνδρειαν. κἀκεῖ δὲ μειρακίου σχολὴν ἄγοντος, διατριβαῖς καὶ παιδιαῖς χρώμενον, ἀναλίσκειν καὶ καθηδυπαθεῖν τὸ πολυτελέστατον, ὡς Ἀντιφῶν εἶπεν, ἀνάλωμα τὸν χρόνον. ἦν γάρ τις αὐτοῖς σύνοδος ἀμιμητοβίων λεγομένη. καὶ καθημέραν εἱστίων ἀλλήλους, ἄπιστόν τινα ποιούμενοι τῶν ἀναλισκομένων ἀμετρίαν. διηγεῖτο γοῦν ἡμῶν τῷ πάππῳ Λαμπρίᾳ, Φιλώτας ὁ Ἀμφισσεὺς ἰατρὸς, εἶναι μὲν ἐν Ἀλεξανδρείᾳ τότε μανθάνων τὴν τέχνην. γενόμενος δέ τινι τῶν βασιλικῶν ὀψοποιῶν συνήθης, ἀναπεισθῆναι νέος ὢν, ὑπ' αὐτοῦ τὴν πολυτέλειαν καὶ τὴν παρασκευὴν τοῦ δείπνου θεάσασθαι. παρεισαχθεὶς οὖν εἰς τοὐπτανεῖον, ὡς τά τε ἄλλα πάμπολλα ἑώρα καὶ σῦς ἀγρίους

ὀπτωμένους

ὀπτωμένους ὀκτὼ, θαυμάσαι τὸ πλῆθος τῶν δειπνούντων. τὸν δὲ ὀψοποιὸν, γελάσαι καὶ εἰπεῖν, ὅτι πολλοὶ μὲν οὐκ εἰσὶν οἱ δειπνοῦντες, ἀλλὰ περὶ δώδεκα. δεῖ δὲ, ἀκμὴν ἔχειν τῶν παρατιθεμένων ἕκαστον, ἣν ἀκαρὲς ὥρας μαραίνει.

καλέσαι. π. s.

καὶ γὰρ αὐτίκα γένοιτ' ἂν Ἀντώνιον, δείπνου δεηθῆναι, καὶ μετὰ μικρόν. ἂν δὲ οὕτω τύχῃ, παραγαγεῖν. αἰτήσαντα ποτήριον, ἢ λόγου τινὸς ἐμπεσόντος. ὅθεν, οὐχ ἓν, ἀλλὰ πολλὰ φάναι δεῖπνα συντέτακται. δυστόχαστος γὰρ ὁ καιρός. ταῦτα οὖν ὁ Φιλώτας ἔλεγε. καὶ χρόνου προϊόντος ἐν τοῖς θεραπεύουσι γενέσθαι τὸν πρεσβύτατον τῶν Ἀντωνίου παίδων, ὃν ἐκ Φουλβίας εἶχε. καὶ συνδειπνεῖν παρ' αὐτῷ, μετὰ τῶν ἄλλων ἑταίρων ἐπιεικῶς, ὁπότε μὴ δειπνοίη μετὰ τοῦ πατρός. ἰατρὸν οὖν ποτε θρασυνόμενον, καὶ πράγματα πολλὰ παρέχοντα δειπνοῦσιν αὐτοῖς, ἐπιστομίσαι, τοιούτῳ σοφίσματι. τῷ, πῶς πυρέττοντι δοτέον ψυχρόν. πᾶς δὲ ὁ πυρέττων, πῶς πυρέττει, παντὶ ἄρα πυρέττοντι, δοτέον ψυχρόν. πληγέντος δὲ τοῦ ἀνθρώπου καὶ σιωπήσαντος, ἡσθέντα τὸν παῖδα, γελάσαι καὶ εἰπεῖν. ταῦτα ὦ Φιλώτα χαρίζομαι, πάντα σοι. δείξαντα πολλῶν τινων καὶ μεγάλων ἐκπωμάτων μεστὴν τράπεζαν. αὐτοῦ δὲ τὴν μὲν προθυμίαν ἀποδεξαμένου, πόρρω δὲ ὄντος τοῦ νομίζειν ἐξουσίαν εἶναι παιδὶ τηλικούτῳ δωρεῖσθαι τοσαῦτα, μετὰ μικρὸν ἁψάμενον τινὰ τῶν παίδων, ἐν ἀγγείῳ τὰ ἐκπώματα προσφέρειν καὶ σημή-

κέρωνι τιμωρεῖν. φήσας δὲ μᾶλλον Ὁρτήσιον ἢ Βροῦτον αἰτιᾶσθαι τῆς τοῦ ἀδελφοῦ σφαγῆς, Ὁρτήσιον μὲν ἐκεῖ σφάξαι τῷ μνήματι. Βρούτῳ δὲ τὴν αὐτοῦ φοινικίδα πολλῶν χρημάτων ἀξίαν οὖσαν, ἐπέρριψε. καὶ τῶν ἀπελευθέρων τινὶ τῶν ἑαυτοῦ, προσέταξε τῆς ταφῆς ἐπιμεληθῆναι. τοῦτον ὕστερον γνοὺς οὐ συγκατακαύσαντα τὴν φοινικίδα πολλῶν χρημάτων ἀξίαν οὖσαν, ταφῆς δαπάνης ὑφῃρημένον, ἀπέκτεινεν. ἐκ τούτου Καῖσαρ μὲν, εἰς Ῥώμην ἐκομίζετο, δοκῶν οὐ περιέσεσθαι πολὺν χρόνον ἐκ τῆς ἀρρωστίας. Ἀντώνιος δὲ τὰς πρὸς ἕω πάσας ἐπαρχίας, ἀργυρολογήσων. καὶ διέβαινεν εἰς τὴν Ἑλλάδα πολλὴν στρατείαν ἄγων. ὑπεσχημένοι γὰρ ἑκάστῳ στρατιώτῃ δραχμὰς πεντακισχιλίας, ἐδέοντο συντονωτέρου χρηματισμοῦ καὶ δασμολογίας. τοῖς μὲν οὖν Ἕλλησιν, οὐκ ἄτοπος, οὐδὲ φορτικὸς συνηνέχθη τό γε πρῶτον. ἀλλὰ καὶ τὸ παῖζον αὐτοῦ πρὸς ἀκροάσεις φιλολόγων, καὶ θέας ἀγώνων. καὶ μυήσεις ἔτρεπε. καὶ περὶ τὰς κρίσεις, ἦν ἐπιεικής. καὶ φιλέλλην ἀκούων ἔχαιρεν. ἔτι δὲ μᾶλλον φιλαθήναιος προσαγορευόμενος. καὶ τῇ πόλει, πλείστας δωρεὰς ἔδωκε. βουλομένων δέ τι καὶ Μεγαρέων καλὸν αὐτῷ ἐπιδείξασθαι ταῖς Ἀθήναις, καὶ τὸ βουλευτήριον ἰδεῖν αὐτὸν ἀξιωσάντων. ἀναβὰς καὶ θεασάμενος, ὡς ἐπυνθάνοντο τί δοκοίη, μικρὸν μὲν ἔφη. σαπρὸν δέ. πρὸς δὲ, καὶ τὸν τοῦ Πυθίου νεὼν κατεμέτρησεν ὡς συντελέσων. τοῦτο γὰρ ὑπέσχετο πρὸς τὴν σύγκλητον. ἐπεὶ δὲ Λεύκιον Κηνσωρῖνον ἐνθάδε τῆς Ἑλλάδος καταλιπὼν, εἰς Ἀσίαν διέβη. καὶ τῶν ἐκεῖ πλούτων ἥψατο. καὶ βασιλεῖς ἐνθάδε θύρας ἐφοίτων. καὶ βασιλέων γυναῖκες ἁμιλλώμεναι δωρεαῖς πρὸς ἀλλήλας. καὶ κάλλεσιν, ἐφθείροντο πρὸς αὐτὸν, ἐν Ῥώμῃ δὲ Καίσαρος στάσεσι καὶ πολέμοις ἀποτρυχομένου. πολλὴν αὐτὸς ἄγων σχολὴν καὶ εἰρή-

κη. νην, ἀνεκυκλεῖτο τοῖς πάθεσιν εἰς τὸν συνήθη βίον. Ἀναξήνορες δὲ κιθαρῳδοί. καὶ Ξοῦθοι χοραῦλαι. καὶ Μητρόδωρός τις ὀρχηστής. καὶ τοιοῦτος ἄλλος Ἀσιανῶν ἀκροαμάτων θίασος ὑπερβαλλομένων λαμυρίᾳ καὶ βωμολοχίᾳ τὰς ἀπὸ τῆς Ἰταλίας κῆρας, εἰσρρυὴ καὶ διῴκει τὴν αὐλήν, οὐδὲν ἦν ἀνεκτὸν, εἰς ταῦτα φερομένων ἁπάντων. ἡ γὰρ Ἀσία πᾶσα. καθάπερ ἡ Σοφόκλειος ἐκείνη πόλις, ὁμοῦ μὲν θυμιαμάτων ἔγεμεν. ὁμοῦ δὲ παιάνων τε καὶ στεναγμάτων, εἰς γοῦν Ἔφεσον εἰσιόντος αὐτοῦ, γυναῖκες μὲν εἰς Βάκχας. ἄνδρες δὲ καὶ παῖδες εἰς Σατύρους καὶ Πᾶνας, ἡγοῦντο διεσκευασμένοι. κιττοῦ δὲ καὶ θύρσων καὶ ψαλτηρίων καὶ συρίγγων καὶ αὐλῶν ἡ πόλις ἦν πλέα Διόνυσον αὐτὸν ἀνακαλουμένων χαριδότην καὶ μειλίχιον. ἦν γὰρ ἀμέλει τοιοῦτος ἐνίοις, τοῖς δὲ πολλοῖς, ὠμηστὴς καὶ ἀγριώνιος. ἀφῃρεῖτο γὰρ εὐγενεῖς ἀνθρώπους τὰ ὄντα, μαστιγίαις καὶ κόλαξι χαριζόμενος. πολλῶν δὲ καὶ ζώντων, ὡς τεθνηκότων αἰτησάμενοι τινὲς οὐσίας, ἔλαβον. ἀνδρὸς δὲ Μάγνητος οἶκον, ἐδωρήσατο μαγείρῳ, περὶ ἓν ὡς λέγεται δεῖπνον εὐδοκιμήσαντι. τέλος δὲ, ταῖς πόλεσι δεύτερον ἐπιβάλλοντος φόρον, ἐτόλμησεν Ὑβρέας ὑπὲρ τῆς Ἀσίας λόγον εἰπεῖν. ἀγοραίως μὲν ἐκεῖνα, καὶ πρὸς τὸν Ἀντωνίου ζῆλον, οὐκ ἀηδῶς. εἰ δύνασαι δὶς λαβεῖν ἐνὸς ἐνιαυτοῦ φόρον, δύνασαι καὶ δὶς ἡμῖν ποιῆσαι θέρος, καὶ δὶς ὀπώραν. πρακτικῶς δὲ καὶ παραβόλως συναγαγὼν, ὅτι μυριάδας εἴκοσι ταλάντων ἡ Ἀσία δέδωκε, ταῦτα εἶπεν. εἰ μὲν οὐκ εἴληφας, ἀπαίτει παρὰ τῶν λαβόντων, εἰ δὲ λαβὼν οὐκ ἔχεις, ἀπολώλαμεν, ἐξέψατο τούτῳ δεινῶς τὸν Ἀντώνιον. ἠγνόει γὰρ τὰ πολλὰ τῶν γιγνομένων. οὐχ οὕτω ῥάθυμος ὢν, ὡς δι' ἁπλότητα πιστεύων τοῖς περὶ αὐτόν. ἐνῆν γὰρ ἁπλότης τῷ ἤθει. καὶ βραδεῖα μὲν αἴσθησις, αἰσθανομένῳ δὲ τῶν ἁμαρτανομένων, ἰσχυρὰ μετάνοια καὶ πρὸς αὐτοὺς ἐξομολόγησις τοὺς ἀγνωμονηθέντας. μέγεθος δὲ καὶ περὶ τὰς ἀμοιβὰς, καὶ περὶ τὰς τιμωρίας. μᾶλλον γε μὴν ἐδόκει χαριζόμενος, ἢ κολάζων, ὑπερβάλλειν τὸ μέτριον. ἡ δὲ περὶ τὰς παιδιὰς καὶ τὰς ἐπισκώψεις ὕβρις, ἐν αὐτῇ τὸ φάρμακον εἶχεν. ἀντισκώπτειν γὰρ ἐξῆν, καὶ ἀνθυβρίζειν. καὶ γελώμενος, οὐχ ἧττον ἢ γελῶν ἔχαιρε. καὶ τοῦτο διελυμήνατο πολλὰ τῶν πραγμάτων. τοὺς γὰρ ἐν τῷ παίζειν παρρησιαζομένους, οὐκ ἂν οἰηθεὶς σπουδάζοντας κολακεύειν αὐτόν, ἡλίσκετο ῥᾳδίως ὑπὸ τῶν ἐπαίνων. ἀγνοῶν ὅτι τὴν παρρησίαν τινὲς ὡς ὑπόστυφον ἥδυσμα τῇ κολακείᾳ παραμιγνύντες, ἀφῄρουν τὸ πλήσμιον τῇ παρὰ τὴν κύλικα θρασύτητι καὶ λαλιᾷ, διαμηχανώμενοι τὴν ἐνθάδε τῶν πραγμάτων ὕφεσιν καὶ συγκατάθεσιν, μὴ πρὸς χάριν

ὁμιλοῦντες, ἀλλὰ τῷ φρονεῖν ἡττώμενοι φαίνεσθαι. τοιούτῳ δ' οὖν ὄντι, τὴν φύσιν Ἀντωνίῳ, τελευταῖον κακὸν ὁ Κλεοπάτρας ἔρως ἐπιγενόμενος, καὶ πολλὰ τῶν ἔτι κρυπτομένων ἐν αὐτῷ καὶ ἀτρεμούντων παθῶν, ἐγείρας καὶ ἀναβακχεύσας ἔτι χρηστὸν καὶ σωτήριον, ὅμως ἀντεῖχεν, ἠφάνισε καὶ προσδιέφθειρεν. ἁλίσκεται δὲ, τοῦτον τὸν τρόπον. ἁπτόμενος τοῦ Παρθικοῦ πολέμου, ἔπεμψε πρὸς αὐτὴν, κελεύων εἰς Κιλικίαν ἀπαντῆσαι. λόγον ὑφέξουσαν ὧν ἐγκαλεῖτο, τοῖς περὶ Κάσσιον, δοῦναι πολλὰ καὶ συμβαλέσθαι πρὸς τὸν πόλεμον. ὁ δὲ πεμφθεὶς Δέλλιος, ὡς εἶδε τὴν ὄψιν καὶ κατέμαθε τὴν ἐν τοῖς λόγοις δεινότητα καὶ πανουργίαν, εὐθὺς αἰσθόμενος ὅτι κακὸν μὲν οὐδὲ μελλήσει τί ποιεῖν γυναῖκα τοιαύτην Ἀντώνιος, ἔσται δὲ μεγίστη παρ' αὐτῷ, ἐτράπετο πρὸς τὸ θεραπεύειν καὶ προτρέπεσθαι τὴν Αἰγυπτίαν. τοῦτο δὴ τὸ Ὁμηρικὸν, ἐλθεῖν εἰς Κιλικίαν, εὖ ἐντύνασαν ἑ καὶ μὴ φοβεῖσθαι τὸν Ἀντώνιον, ἥδιστον ἡγεμόνων ὄντα καὶ φιλανθρωπότατον. ἡ δὲ, καὶ Δελλίῳ πεισθεῖσα. καὶ πρὸς Καίσαρα, καὶ Γναῖον τὸν Πομπηΐου παῖδα, πρότερον αὐτῇ γεγενημένοις ἀφ' ὥρας συμβολαίοις τεκμαιρομένη, ῥᾷον ἤλπιζεν ὑπάξεσθαι τὸν Ἀντώνιον. ἐκεῖνοι μὲν γὰρ αὐτὴν ἔτι κόρην καὶ πραγμάτων ἄπειρον ἔγνωσαν. πρὸς δὲ τοῦτον, ἔμελλε φοιτήσειν.

Margin notes: ἐπέρριψε. π. — τῷ νεκρῷ, καὶ πολὺ τῆς εἰς τὴν ταφὴν. π. s. — πρὸς ἕω. π. s. κ. — στρατιὰν s. π. — ἐπιεικὴς π. s. — ἔτρεπε. κ. π. κ. — ἀνεκυκλεῖτο. π. — θυμιαμάτων. π. s. — In codice κ. ita emendat. erat hic locus μὴ πρὸς χάριν ὁμιλοῦντες, ἀλλὰ τῷ φρονεῖν ἡττώμενοι φαίνεσθαι. — μελλήσει q. — ἑαυτὴν π. κ. s. q. — π πολλ' nec q. — π. s. π. — ἕτι — ἑαυ π. q.

ἀντώνιος δὲ λεπίδου μὲν, οὐκ εἴασεν ἅψασθαι. μεθ' ἡμέραν δὲ τὸν στρατὸν ἔχων, ἀπεπειρᾶτο τοῦ ποταμοῦ. καὶ πρῶτος αὐτὸς ἐμβὰς, ἐπορεύετο πρὸς τὴν ἀντιπέρας ὄχθην, ὁρῶν ἤδη πολλοὺς τῶν λεπίδου στρατιωτῶν, τάς τε χεῖρας ὀρέγοντας αὐτῷ καὶ τὸν χάρακα διασπῶντας. εἰσελθὼν δὲ καὶ κρατήσας ἁπάντων, ἡμερώτατα λεπίδῳ προσηνέχθη. πατέρα γὰρ προσηγόρευσεν αὐτὸν ἀσπασάμενος. καὶ τῷ μὲν ἔργῳ, πάντων αὐτὸς ἦν κύριος. ἐκείνῳ δὲ, ὄνομα καὶ τιμὴν αὐτοκράτορος διετέλει φυλάττων. τοῦτο, καὶ φλάκκον αὐτῷ μουνάτιον, ἐποίησε προσθέσθαι, καθήμενον οὐ πρόσω μετὰ συχνῆς δυνάμεως. οὕτω δὲ μέγας ἀρθεὶς αὖθις ὑπερέβαλε τὰς ἄλπεις εἰς τὴν ἰταλίαν ἄγων ἑπτακαίδεκα τέλη πεζῶν σὺν αὐτῷ, καὶ μυρίους ἱππεῖς. χωρὶς δὲ, φρουρὰν γαλατίας, ἓξ τάγματα λελοίπει μετὰ οὐαρίου τινὸς τῶν συνήθων καὶ συμποτῶν, ὃν κοτύλωνα προσηγόρευον. καῖσαρ δὲ κικέρωνι μὲν, οὐκέτι προσεῖχε τῆς ἐλευθερίας ὁρῶν περιεχόμενον. ἀντώνιον δὲ προυκαλεῖτο διὰ τῶν φίλων, εἰς διαλύσεις. καὶ συνελθόντες οἱ τρεῖς εἰς νησίδα ποταμῷ περιρρεομένην, ἐπὶ τρεῖς ἡμέρας συνήδρευσαν. καὶ τἆλλα μὲν ἐπιεικῶς ὡμολογεῖτο. καὶ διενείμαντο τὴν σύμπασαν ἀρχὴν, ὥσπερ οὐσίαν πατρῴαν ἐν ἀλλήλοις. ἡ δὲ περὶ τῶν ἀπολουμένων ἀνδρῶν ἀμφισβήτησις, αὐτοῖς πλεῖστα πράγματα παρέσχε. τοὺς μὲν ἐχθροὺς ἀνελεῖν ἑκάστου, σῶσαι δὲ τοὺς προσήκοντας ἀξιοῦντος. τέλος δὲ τῇ πρὸς τοὺς μισουμένους ὀργῇ, καὶ συγγενῶν τιμὴν, καὶ φίλων εὔνοιαν προέμενοι. κικέρωνος μὲν, ἀντωνίῳ καῖσαρ ἐξέστη. τούτῳ δὲ ἀντώνιος, λευκίου καίσαρος, ὃς ἦν θεῖος αὐτῷ πρὸς μητρός. ἐδόθη δὲ καὶ λεπίδῳ, παῦλον ἀνελεῖν τὸν ἀδελφόν. οἱ δὲ, φασὶν ἐκστῆναι τοῦ παύλου τὸν λέπιδον ἐκείνοις, ἀποθανεῖν αὐτὸν αἰτησαμένοις. οὐδὲν ὠμότερον, οὐδὲ ἀγριώτερον τῆς διαμείψεως ταύτης δοκῶ γενέσθαι. φόνων γὰρ ἀντικαταλλαττόμενοι φόνους, ὁμοίως μὲν, οὓς ἐλάμβανον, ἀνῄρουν οὓς ἐδίδοσαν. ἀδικώτεροι δὲ περὶ τοὺς φίλους ἦσαν, οὓς ἀπεκτίννυσαν, μηδὲ μισοῦντες. ἐπὶ δ' οὖν ταῖς διαλλαγαῖς ταύταις οἱ στρατιῶται περιστάντες, ἠξίουν καὶ γάμῳ τινὶ τὴν φιλίαν συνάψαι καίσαρα λαβόντα τὴν φουλβίας τῆς ἀντωνίου

γυναικὸς κ.ε.π.τ. γυναικὸς θυγατέρα κλωδίαν. ὁμολογηθέντος δὲ καὶ τούτου, τριακόσιοι μὲν ἐκ προγραφῆς ἐθανατώθησαν ὑπ' αὐτῶν. κικέρωνος δὲ σφαγέντος, ἐκέλευσεν ἀντώνιος, τήν τε κεφαλὴν ἀποκοπῆναι καὶ τὴν χεῖρα τὴν δεξιὰν, ᾗ τοὺς κατ' αὐτοῦ λόγους ἔγραψε. καὶ κομισθέντων ἐθεᾶτο γεγηθὼς, καὶ ἀνακαγχάζων ὑπὸ χαρᾶς πολλάκις. εἶτα ἐμπλησθεὶς, ἐκέλευσεν ὑπὲρ τοῦ βήματος ἐν ἀγορᾷ τεθῆναι. καθάπερ εἰς τὸν νεκρὸν ὑβρίζων, οὐχ αὑτὸν ἐνυβρίζοντα τῇ τύχῃ καὶ καταισχύνοντα τὴν ἐξουσίαν ἐπιδεικνύμενος. ὁ δὲ θεῖος αὐτοῦ καῖσαρ, ζητούμενος καὶ διωκόμενος κατέφυγε πρὸς τὴν ἀδελφήν. ἡ δὲ, τῶν σφαγέων ἐπιστάντων καὶ βιαζομένων εἰς τὸ δωμάτιον αὐτῆς, ἐν ταῖς θύραις στᾶσα καὶ διασχοῦσα τὰς χεῖρας, ἐβόα πολλάκις. οὐκ ἀποκτενεῖτε καίσαρα λεύκιον, ἐὰν μὴ πρῶτον ἐμὲ ἀποκτείνητε τὴν τὸν αὐτοκράτορα τεκοῦσαν. ἐκείνη μὲν οὖν τοιαύτη γενομένη, διέκλεψε καὶ διέσωσε τὸν ἀδελφόν. ἦν δὲ καὶ τὰ πολλὰ ῥωμαίοις ἐπαχθὴς, ἡ τῶν τριῶν ἀρχὴ, καὶ τὸ πλεῖστον ὁ ἀντώνιος τῆς αἰτίας εἶχε. πρεσβύτερος μὲν ὢν καίσαρος. λεπίδου δὲ δυνατώτερος εἰς δὲ τὸν βίον ἐκεῖνον αὖθις τὸν ἡδυπαθῆ καὶ ἀκόλαστον ὡς πρῶτον ἀνεχαίτισε τῶν πραγμάτων, ἐκκεχυμένος. προσῆν δὲ τῇ κοινῇ κακοδοξίᾳ τὸ διὰ τὴν οἰκίαν, οὐ μικρὸν μῖσος, ἣν ᾤκει, πομπηΐου τοῦ μεγάλου γενομένην ἀνδρὸς, οὐχ ἧττον ἐπὶ σωφροσύνῃ, καὶ τῷ τεταγμένως καὶ δημοτικῶς διαιτᾶσθαι θαυμασθέντος, ἢ διὰ τοὺς τρεῖς θριάμβους. ἤχθοντο γὰρ ὁρῶντες αὐτὴν, τὰ πολλὰ κεκλεισμένην μὲν ἡγεμόσι καὶ στρατηγοῖς, καὶ πρέσβεσιν ὠθουμένοις πρὸς ὕβριν ἀπὸ τῶν θυρῶν. μεστὴν δὲ μίμων καὶ θαυματοποιῶν, καὶ κολάκων κραιπαλώντων, εἰς οὓς τὰ πλεῖστα κατανηλίσκετο τῶν χρημάτων, τῷ βιαιοτάτῳ καὶ χαλεπωτάτῳ τρόπῳ ποριζομένων. οὐ γὰρ μόνον ἐπώλουν οὐσίας τῶν φονευομένων

ἐπώλουν κ.ε.κ. ἐπισυκοφαντοῦντες οἰκείους καὶ γυναῖκας αὐτῶν. οὐδὲ τελῶν πᾶν ἐκίνησαν γένος, ἀλλὰ καὶ παρὰ ταῖς ἑστιάσι πυθόμενοι παρθένοις παρακαταθήκας τινὰς κεῖσθαι, καὶ ξένων καὶ πολιτῶν, ἔλαβον ἐπελθόντες. ὡς δὲ οὐδὲν ἦν ἱκανὸν ἀντωνίῳ, καῖσαρ ἠξίωσε νείμασθαι τὰ χρήματα πρὸς αὐτόν. ἐνείμαντο δὲ καὶ τὸν στρατὸν, ἐπὶ βροῦτον καὶ κάσσιον εἰς μακεδονίαν στρατεύοντες ἀμφότεροι. λεπίδῳ δὲ τὴν ῥώμην ἐπιτρέψαντες. ὡς μέντοι διαβάντες ἥψαντο πολέμου, καὶ παρεστρατοπέδευσαν τοῖς πολεμίοις. ἀντωνίου μὲν ἐπὶ τεταγμένου κασσίῳ, βρούτῳ δὲ καίσαρος, οὐδὲν ἔργον ἐφάνη μέγα τοῦ καίσαρος. ἀλλ' ἀντώνιος ἦν ὁ νικῶν πάντα καὶ κατορθῶν. τῇ μέν γε προτέρᾳ μάχῃ καῖσαρ ὑπὸ βρούτου κατὰ κράτος ἡττηθεὶς, ἀπέβαλε τὸ στρατόπεδον. καὶ μικρὸν ἔφθη τοὺς διώκοντας ὑπεκφυγών. ὡς δὲ αὐτὸς ἐν τοῖς ὑπομνήμασι γέγραφε, τῶν φίλων τινὸς ὄναρ ἰδόντος, ἀνεχώρησε πρὸ τῆς μάχης. ἀντώνιος, δὲ κάσσιον ἐνίκησε. καίτοι γεγράφασιν ἔνιοι, μὴ παραγενέσθαι τῇ μάχῃ τὸν ἀντώνιον. ἀλλὰ προσγενέσθαι μετὰ τὴν μάχην ἤδη διώκουσι. κάσσιον δὲ πίνδαρος τῶν πιστῶν τις ἀπελευθέρων αὐτοῦ δεομένου καὶ κελεύοντος ἔσφαξεν. οὐ γὰρ ἔγνω νενικηκότα βροῦτον. ὀλίγων δὲ ἡμερῶν διαγενομένων, πάλιν ἐμαχέσαντο. καὶ βροῦτος μὲν ἡττηθεὶς ἑαυτὸν ἀνεῖλεν. ἀντώνιος δὲ τῆς νίκης ἠνέγκατο τῇ δόξῃ τὸ πλεῖστον. ἅτε δὴ καὶ νοσοῦντος τοῦ καίσαρος. ἐπιστὰς δὲ τῷ βρούτου νεκρῷ, μικρὰ μὲν ὠνείδισεν ὑπὲρ τῆς γαΐου τοῦ ἀδελφοῦ τελευτῆς. ἀνῃρήκει γὰρ ἐκεῖνον ὁ βροῦτος ἐν μακεδονίᾳ καὶ

κεκρᾶσθαι καὶ πολιτικώτατα. τούτων μέντοι ταχὺ τῶν λογισμῶν ἐξέσεισεν αὐτὸν ἡ παρὰ τῶν ὄχλων δόξα, πρῶτον ἐλπίσαντα βεβαίως ἔσεσθαι βρούτου καταλυθέντος. ἔτυχε μὲν οὖν ἐκκομιζομένου καίσαρος ὡς ἔθος ἦν ἐν ἀγορᾷ, διεξιὼν ἐγκώμιον, ὁρῶν δὲ τὸν δῆμον ὑπερφυῶς ἀγόμενον καὶ κηλούμενον, ἐνέμιξε τοῖς ἐπαίνοις, οἶκτον ἅμα καὶ δείνωσιν, ἐπὶ τῷ πάθει καὶ τῷ λόγῳ. τελευτῶν τε, τοὺς χιτωνίσκους τοῦ τεθνηκότος ᾑμαγμένους καὶ διακεκομμένους τοῖς ξίφεσιν ἀνασείων, καὶ τοὺς εἰργασμένους ταῦτα καλῶν παλαμναίους καὶ ἀνδροφόνους, τοσοῦτον ὀργῆς ἐνέβαλε τοῖς ἀνθρώποις, ὥστε τὸ μὲν σῶμα τοῦ καίσαρος ἐν ἀγορᾷ καθαγίσαι, συνενεγκαμένους τὰ βάθρα καὶ τὰς τραπέζας. ἁρπάζοντας δὲ τοὺς ἀπὸ τῆς πυρᾶς δαλούς, ἐπὶ τὰς οἰκίας θεῖν τῶν ἀπεκτονότων, καὶ προσμάχεσθαι. διὰ ταῦτα τῶν περὶ βροῦτον ἐκ τῆς πόλεως ἀπελθόντων, οἵ τε φίλοι τοῦ καίσαρος, συνίσταντο πρὸς τὸν ἀντώνιον, ἥ τε γυνὴ καλπουρνία, πιστεύσασα τῶν χρημάτων τὰ πλεῖστα κατέθετο πρὸς αὐτὸν ἐκ τῆς οἰκίας, εἰς λόγον τὰ σύμπαντα, τετρακισχιλίων ταλάντων. ἔλαβε δὲ καὶ τὰ βιβλία τὰ καίσαρος. ἐν οἷς ὑπομνήματα τῶν κεκριμένων καὶ δεδογμένων ἦν ἀναγεγραμμένα. καὶ τούτοις παρεγγράφων οὓς ἐβούλετο, πολλοὺς μὲν ἄρχοντας ἀπεδείκνυε. πολλοὺς δὲ βουλευτάς, ἐνίους δὲ καὶ κατῆγε πεφυγαδευμένους. καὶ καθειργμένους, ἔλυεν. ὡς δὴ ταῦτα τῷ καίσαρι δόξαντα. διὸ τούτους ἅπαντας ἐπισκώπτοντες οἱ ῥωμαῖοι, χαρωνίτας ἐκάλουν. ἐλεγχόμενοι γάρ, εἰς τὰ τοῦ νεκροῦ κατέφευγον ὑπομνηματισμούς. καὶ τἆλλα δὲ ἔπραττεν αὐτοκρατορικῶς ὁ ἀντώνιος. αὐτὸς μὲν ὑπατεύων, τοὺς δὲ ἀδελφοὺς ἔχων συνάρχοντας. γάϊον μὲν στρατηγόν. λεύκιον δέ, δήμαρχον. ἐνταῦθα δὲ τῶν πραγμάτων ὄντων, ὁ νέος ἀφικνεῖται καῖσαρ εἰς ῥώμην. ἀδελφῆς μὲν ὢν τοῦ τεθνηκότος υἱός, ὡς εἴρηται, κληρονόμος δὲ τῆς οὐσίας ἀπολελειμμένος. ἐν ἀπολλωνίᾳ δὲ διατρίβων ὑφ᾽ ὃν χρόνον ἀνῃρεῖτο καῖσαρ. οὗτος εὐθὺς ἀντώνιον ὡς δὴ πατρῷον φίλον ἀσπασάμενος, τῶν παρακαταθηκῶν ἐμέμνητο. καὶ γὰρ ὤφειλε ῥωμαίων ἑκάστῳ, δραχμὰς ἑβδομήκοντα πέντε δοῦναι. καίσαρος ἐν ταῖς διαθήκαις γράψαντος. ἀντώνιος δὲ τὸ μὲν πρῶτον, ὡς μειρακίου καταφρονῶν, ἔλεγεν οὐχ ὑγιαίνειν αὐτόν, ἀλλὰ καὶ φρενῶν ἀγαθῶν, καὶ φίλων ἔρημον ὄντα, φορτίον ἀβάστακτον αἴρεσθαι τὴν καίσαρος διαδοχήν. μὴ πειθομένου δὲ τούτοις, ἀλλ᾽ ἀπαιτοῦντος τὰ χρήματα, πολλὰ καὶ λέγων πρὸς ὕβριν αὐτοῦ καὶ πράττων διετέλει. δημαρχίαν τε γὰρ ἐνέστη μετιόντι. καὶ δίφρον χρυσοῦν τοῦ πατρὸς ὥσπερ ἐψηφισμένον θέντος, ἠπείλησεν εἰς φυλακὴν ἀπάξειν, εἰ μὴ παύσαιτο δημαγωγῶν. ἐπεὶ μέντοι κικέρωνι δοὺς ἑαυτὸν ὁ νεανίας, καὶ τοῖς ἄλλοις, ὅσοι τὸν ἀντώνιον ἐμίσουν, δι᾽ ἐκείνων μὲν ᾠκειοῦτο τῇ βουλῇ. αὐτὸς δέ, τὸν δῆμον ἀνελάμβανε. καὶ τοὺς στρατιώτας ἀπὸ τῶν κατοικιῶν συνῆγε, δείσας ὁ ἀντώνιος εἰς λόγους αὐτῷ συνῆλθεν ἐν καπιτωλίῳ. καὶ διηλλάγησαν. εἶτα κοιμώμενος ἐκείνης τῆς νυκτός, ὄψιν εἶδεν ἄτοπον ὁ ἀντώνιος. ἐδόκει γὰρ αὐτοῦ τὴν δεξιὰν χεῖρα βεβλῆσθαι κεραυνῷ. καὶ μεθ᾽ ἡμέρας ὀλίγας, ἐνέπεσε λόγος ὡς ἐπιβουλεύοι καῖσαρ αὐτῷ. καῖσαρ δέ, ἀπελογεῖτο μέν, οὐκ ἔπειθε δέ. καὶ πάλιν ἦν ἐν ὀργῇ ἡ ἔχθρα. καὶ περιθέοντες ἀμφότεροι τὴν ἰταλίαν, τὸ μὲν ἱδρυμένον ἐν ταῖς κατοικίαις ἤδη τοῦ στρατιωτικοῦ, μεγάλοις ἀνίστασαν μισθοῖς. τὸ δὲ ἐν ὅπλοις ἔτι τεταγμένον ὑποφθάνοντες ἀλλήλους προσήγοντο. τῶν δ᾽ ἐν τῇ πόλει κικέρων μέγιστον δυνάμενος καὶ παροξύνων, ἐπὶ τὸν ἀντώνιον ἅπαντας ἀνθρώπους, τέλος, ἔπεισε τὴν βουλὴν ἐκεῖνον μὲν πολέμιον ψηφίσασθαι. καίσαρι δὲ ῥαβδουχίαν πέμψαι. καὶ στρατηγικὰ κόσμια. πάνσαν δὲ καὶ ἱρκίον, ἀποστεῖλαι ἐξελοῦντας ἀντώνιον τῆς ἰταλίας, οὗτοι δὲ ἦσαν ὕπατοι τότε. καὶ συμβαλόντες ἀντωνίῳ περὶ πόλιν μουτίνην, καίσαρος παρόντος καὶ συμμαχομένου, τοὺς μὲν πολεμίους, ἐνίκων, αὐτοὶ δὲ ἀπέθανον. φεύγοντι δὲ ἀντωνίῳ, πολλὰ συνέπιπτε τῶν ἀπόρων. ὁ δὲ λιμός, ἀπορώτατον. ἀλλὰ φύσει παρὰ τὰς κακοπραγίας, ἐγένετο βέλτιστος ἑαυτοῦ. καὶ δυστυχῶν, ὁμοιότατος ἦν ἀγαθῷ. κοινοῦ μὲν ὄντος τοῦ αἰσθάνεσθαι τῆς ἀρετῆς τοῖς δι᾽ ἀπορίαν τινὰ σφαλλομένοις. οὐ μὴν ἁπάντων ἃ ζηλοῦσι μιμεῖσθαι, καὶ φεύγειν ἃ δυσχεραίνουσιν ἐρρωμένων ἐν ταῖς μεταβολαῖς. ἀλλὰ καὶ μᾶλλον ἐνίων τοῖς ἔθεσιν ἐνδιδόντων ὑπὸ ἀσθενείας καὶ θραυομένων τὸν λογισμόν. ὁ δ᾽ οὖν ἀντώνιος, τότε θαυμαστὸν ἦν παράδειγμα τοῖς στρατιώταις. ἀπὸ τρυφῆς τοσαύτης καὶ πολυτελείας, ὕδωρ τε πίνων διεφθαρμένον εὐκόλως. καὶ καρποὺς ἀγρίους καὶ ῥίζας προσφερόμενος. ἐβρώθη δὲ καὶ φλοιὸς ὡς λέγεται, καὶ ζώων ἀγεύστων πρότερον ἥψαντο, τὰς ἄλπεις ὑπερβάλλοντες. ἦν δὲ ὁρμὴ τοῖς ἐπέκεινα στρατεύμασιν ἐντυχεῖν, ὧν λέπιδος ἦρχε, φίλος εἶναι δοκῶν ἀντωνίου. καὶ πολλὰ τῆς καίσαρος φιλίας ἀπολελαυκέναι δι᾽ αὐτόν, ἐλθὼν δὲ καὶ στρατοπεδεύσας πλησίον, ὡς οὐδὲν ἀπήντα φιλάνθρωπον, ἔγνω παραβάλλεσθαι. καὶ κόμη μὲν ἀτημελής. καὶ βαθὺς πώγων μετὰ τὴν ἧτταν εὐθὺς ἦν αὐτῷ καθειμένος. λαβὼν δὲ φαιὸν ἱμάτιον, ἐγγὺς προσῆγε τῷ χάρακι τοῦ λεπίδου καὶ λέγειν ἤρξατο. πολλῶν δὲ καὶ πρὸς τὴν ὄψιν ἐπικλωμένων καὶ τοῖς λόγοις ἀγομένων, δείσας ὁ λέπιδος, τὰς σάλπιγγας ἐκέλευε συνηχούσας, ἀφαιρεῖσθαι τὸ κατακούεσθαι τὸν ἀντώνιον. οἱ δὲ στρατιῶται, μᾶλλον ᾤκτειρον καὶ διελέγοντο κρύφα, λαίλιον καὶ κλώδιον ἀποστείλαντες πρὸς αὐτόν, ἐσθῆτας λαβόντας ἑταιρευομένων γυναικῶν. οἱ τὸν ἀντώνιον ἐκέλευον ἐπιχειρεῖν, θαρροῦντα τῷ χάρακι. πολλοὺς γὰρ εἶναι δεξομένους. καὶ τὸν λέπιδον εἰ βούλοιτο κτενοῦντας.

ἐγγυώμενος προσέσχε. Φουλβίαν ἀγάμενος τὴν Κλωδίῳ τῷ δημαγωγῷ συνοικήσασαν, οὐ ταλασίαν, οὐδὲ οἰκουρίαν
φρονοῦν γύναιον, οὐδὲ ἀνδρὸς ἰδιώτου κρατεῖν ἀξιοῦν, ἀλλὰ ἄρχοντος ἄρχειν. καὶ στρατηγοῦντος, στρα
τηγεῖν βουλόμενον. ὥστε Κλεοπάτραν διδασκάλια Φουλβίᾳ τῆς Ἀντωνίου γυναικοκρασίας ὀφεί
λειν. πάνυ χειροήθη καὶ πεπαιδαγωγημένον ἀπαρχῆς ἀκροᾶσθαι γυναικῶν, παραλαβοῦσαν αὐτόν.
οὐ μὴν ἀλλὰ κἀκείνην ἐπειρᾶτο προσπαίζων καὶ μειρακιευόμενος ἱλαρωτέραν ποιεῖν ὁ Ἀντώνιος. οἷον
ὅτε Καίσαρι πολλοὶ ἀπαντῶντες μετὰ τὴν ἐν Ἰβηρίᾳ νίκην, καὶ αὐτὸς ἐξῆλθε. εἶτα ἄφνω φήμης εἰς
τὴν Ἰταλίαν ἐμπεσούσης ὡς ἐπίασιν οἱ πολέμιοι Καίσαρος τεθνηκότος, ἀνέστρεψεν εἰς Ῥώμην, λαβὼν
δὲ θεράποντος ἐσθῆτα, νύκτωρ ἐπὶ τὴν οἰκίαν ἦλθε. καὶ φήσας ἐπιστολὴν Φουλβίᾳ παρὰ Ἀντωνίου
κομίζειν, εἰσήχθη πρὸς αὐτὴν ἐγκεκαλυμμένος. εἶτα ἡ μὲν, ἐκπαθὴς οὖσα πρὶν ἢ τὰ γράμματα
λαβεῖν, ἠρώτησεν εἰ ζῇ ὁ Ἀντώνιος. ὁ δὲ τὴν ἐπιστολὴν σιωπῇ προτείνας, ἀρξαμένην λύειν καὶ ἀναγι-
νώσκειν, περιβαλὼν, κατεφίλησεν. ταῦτα μὲν οὖν ὀλίγα πολλῶν ὄντων, ἕνεκεν δείγματος ἐξενηνό
χαμεν. ἐκ δὲ Ἰβηρίας ἐπανιόντι Καίσαρι, πάντες μὲν οἱ πρῶτοι, πολλῶν ἡμερῶν ὁδὸν ἀπήντων. ἐτι
μήθη δὲ Ἀντώνιος ἐκπρεπῶς ὑπ' αὐτοῦ. κομιζόμενος γὰρ ἐπὶ ζεύγους διὰ τῆς Ἰταλίας, Ἀντώνιον εἶ
ἀδελφιδοῦς ἐστ. χε μεθ' ἑαυτοῦ συνοχούμενον. ὄπισθεν δὲ Βροῦτον Ἀλβῖνον καὶ τὸν τῆς ἀδελφῆς υἱὸν Ὀκταουιανόν. ὃς
μετὰ ταῦτα Καῖσαρ ὠνομάσθη. καὶ Ῥωμαίων ἦρξε πλεῖστον χρόνον. ἐπεὶ δὲ τὸ πέμπτον ἀπεδείχθη Καῖ
σαρ ὕπατος, προσείλετο μὲν εὐθὺς συνάρχοντα τὸν Ἀντώνιον. ἐβούλετο δὲ τὴν ἀρχὴν ἀπειπάμενος π
Δολοβέλλᾳ παρεγγυῆσαι. καὶ τοῦτο πρὸς τὴν σύγκλητον ἐξήνεγκεν. Ἀντωνίου δὲ τραχέως ἀντιπε
σόντος καὶ πολλὰ μὲν εἰπόντος κακὰ Δολοβέλλαν, οὐκ ἐλάττονα δὲ ἀκούσαντος. τότε μὲν, αἰσχυνθεὶς τὴν
προελθὼν π. ἀκοσμίαν ὁ Καῖσαρ ἀπηλλάγη. μετὰ δὲ ταῦτα προελθὼν ἀναγορεῦσαι Δολοβέλλαν, Ἀντωνίου δὲ τοὺς
οἰωνοὺς ἐναντιοῦσθαι βοῶντος, εἶξε καὶ προήκατο Δολοβέλλαν ἀχθόμενον. ἐδόκει δὲ κἀκεῖνον οὐδὲν
ἧττον τοῦ Ἀντωνίου βδελύττεσθαι. λέγεται γὰρ ὡς ἀμφοτέρους τινὸς ὁμοῦ διαβάλλοντος πρὸς αὐ
τὸν, εἴποι. μὴ δεδιέναι τοὺς παχεῖς τούτους καὶ κομήτας, ἀλλὰ τοὺς ὠχροὺς καὶ λεπτοὺς ἐκείνους, Βροῦ
τον καὶ Κάσσιον ἀποδεικνύμενος ὑφ' ὧν ἔμελλεν ἐπιβουλευθεὶς ἀναιρεῖσθαι. κἀκείνοις δὲ τὴν εὐπρεπε
στάτην πρόφασιν ἄκων παρέσχεν Ἀντώνιος. ἦν μὲν γὰρ ἡ τῶν Λυκαίων ἑορτὴ Ῥωμαίοις, ἣν Λουπερκά
λια καλοῦσι. Καῖσαρ δὲ κεκοσμημένος ἐσθῆτι θριαμβικῇ. καὶ καθήμενος ὑπὲρ βήματος ἐν ἀγορᾷ τοὺς
διαθέοντας ἐθεᾶτο. διαθέουσι δὲ τῶν εὐγενῶν νέοι πολλοὶ, καὶ τῶν ἀρχόντων. ἀληλιμμένοι, λίπα.
σκύτεσι λασιοῖς καθικνούμενοι μετὰ παιδιᾶς τῶν ἐντυγχανόντων. ἐν τούτοις ὁ Ἀντώνιος διαθέων, π
π. προσέδραμε τὰ μὲν πάτρια χαίρειν ἐάσας, διάδημα δὲ δάφνης στεφάνῳ περιελίξας, προσέδραμε τῷ βήματι, καὶ
συνεξαρθεὶς ὑπὸ τῶν συνθεόντων, ἐπέθηκε τῇ κεφαλῇ τοῦ Καίσαρος. ὡς δὴ βασιλεύειν αὐτῷ προ
σῆκον. ἐκείνου δὲ θρυπτομένου καὶ διακλίνοντος, ἡσθεὶς ὁ δῆμος, ἀνεκρότησε. καὶ πάλιν ὁ Ἀντώνιος ἐ
πῆγε. καὶ πάλιν ἐκεῖνος ἀπετρίψατο. καὶ πολὺν χρόνον οὕτω διαμαχομένων, Ἀντωνίῳ μὲν ὀλίγοι τῶν
φίλων βιαζομένῳ, Καίσαρι δὲ ἀρνουμένῳ, πᾶς ὁ δῆμος ἐπεκρότει μετὰ βοῆς. ὃ καὶ θαυμαστὸν ἦν ὅτι
τοῖς ἔργοις τὰ τῶν βασιλευόντων ὑπομένοντες, τοὔνομα τοῦ βασιλέως ὡς κατάλυσιν τῆς ἐλευθε
ρίας, ἔφευγον. ἀνέστη μὲν οὖν ὁ Καῖσαρ ἀχθεσθεὶς ἀπὸ τοῦ βήματος, καὶ τὸ ἱμάτιον ἀπάγων ἀπὸ τοῦ τρα
χήλου, τῷ βουλομένῳ παρέχειν τὴν σφαγὴν ἐβόα. τὸν δὲ στέφανον ἐπὶ τῶν ἀνδριάντων αὐτοῦ περιτε
θέντα, δήμαρχοί τινες κατέσπασαν, οὓς ὁ δῆμος εὐφημῶν μετὰ κρότου παρέπεμπε. Καῖσαρ δὲ τῆς
ἐπέρρωσαν ἀρχῆς ἀπέστησεν. ταῦτα τοὺς περὶ Βροῦτον καὶ Κάσσιον ἐπέρρωσεν. καὶ τῶν φίλων τοὺς πιστοὺς κατα-
λέγοντες, ἐπὶ τὴν πρᾶξιν, ἐσκέπτοντο περὶ Ἀντωνίου. τῶν δὲ ἄλλων προσιεμένων τὸν ἄνδρα, Τρεβώ
νιος ἀντεῖπεν. ἔφη γὰρ ὑφ' ὃν χρόνον ἀπήντων ἐξ Ἰβηρίας ἐπανιόντι Καίσαρι, τοῦ Ἀντωνίου συσκηνοῦν
τος αὐτῷ, καὶ συνοδεύοντος, ἅψασθαι τῆς γνώμης, ἀτρέμα πως, καὶ μετ' εὐλαβείας, τὸν δὲ, νοῆσαι μὲν,
οὐ δέξασθαι δὲ τὴν πεῖραν, οὐ μὴν οὐδὲ πρὸς Καίσαρα κατειπεῖν, ἀλλὰ πιστῶς κατασιωπῆσαι τὸν λό
γον. ἐκ τούτου πάλιν ἐβουλεύοντο Καίσαρα κτείναντες, ἐπισφάττειν Ἀντώνιον. ἐκώλυσε δὲ Βροῦτος.
ἀξιῶν τὴν ὑπὲρ τῶν νόμων καὶ τῶν δικαίων τολμωμένην πρᾶξιν, εἰλικρινῆ καὶ καθαρὰν ἀδικί-
ας εἶναι. φοβούμενοι δὲ τήν τε ῥώμην τοῦ Ἀντωνίου καὶ τὸ τῆς ἀρχῆς ἀξίωμα, τάττουσιν ἐπ' αὐτὸν
ἐνίους τῶν ἐκ τῆς συνωμοσίας, ὅπως ὅταν εἰσίῃ Καῖσαρ εἰς τὴν βουλὴν, καὶ μέλλῃ δρᾶσθαι τὸ ἔρ
γον, ἔξω διαλεγόμενοί τι καὶ σπουδάζοντες, κατέχωσιν αὐτόν. τούτων δὲ πραττομένων ὡς συνετέ
θη. καὶ πεσόντος ἐν τῇ βουλῇ τοῦ Καίσαρος, εὐθὺς μὲν ὁ Ἀντώνιος, ἐσθῆτα θεράποντος μεταλαβὼν,
ἔκρυψεν αὐτόν, ὡς δ' ἔγνω τοὺς ἄνδρας ἐπιχειροῦντας μὲν οὐδενὶ, συνηθροισμένους δὲ εἰς τὸ Καπιτώ
λιον, ἔπεισε καταβῆναι λαβόντας ὅμηρον παρ' αὐτοῦ τὸν υἱόν, καὶ Κάσσιον μὲν αὐτὸς ἐδείπνισε. Βροῦ
τον δὲ, Λέπιδος. συναγαγὼν δὲ βουλὴν, αὐτὸς μὲν ὑπὲρ ἀμνηστίας εἶπε καὶ διανομῆς ἐπαρχιῶν τοῖς
περὶ Κάσσιον καὶ Βροῦτον. ἡ δὲ σύγκλητος ἐκύρωσε ταῦτα. καὶ τῶν ὑπὸ Καίσαρος γεγονότων ἐψηφί
σατο μηδὲν ἀλλάττειν. ἐξῄει δὲ τῆς βουλῆς λαμπρότατος ἀνθρώπων ὁ Ἀντώνιος. ἀνῃρηκέναι δοκῶν ἐμ
φύλιον πόλεμον. καὶ πράγμασι δυσκολίας ἔχουσι καὶ ταραχὰς οὐ τὰς τυχούσας, ἐμφρονέστατα

ἀμφοτέρων μέγιστα δόξας, τὴν πλείστην αἰτίαν ἔλαβεν. οὐ μὴν ἀλλ' ἐπανελθὼν ὁ καῖσαρ ἐκ τῆς ἰβηρίας, τὰ μὲν ἐγκλήματα παρεῖδεν αὐτοῦ. πρὸς δὲ τὸν πόλεμον ὡς ἐνεργῷ καὶ ἀνδρείῳ καὶ ἡγεμονικῷ χρώμενος, οὐδαμῇ διήμαρτεν. αὐτὸς μὲν οὖν μετ' ὀλίγων ἀπὸ βρεντησίου διαπεράσας τὸν ἰόνιον, ἔ-
κ.α. πεμψεν ὀπίσω τὰ πλοῖα, γαβινίῳ καὶ ἀντωνίῳ τὰς δυνάμεις ἐμβιβάζειν καὶ περαιοῦν κατὰ τάχος εἰς μακεδονίαν ἐπιστείλας. γαβινίου δὲ πρὸς τὸν πλοῦν χαλεπὸν ὄντα, χειμῶνος ὥρα καταδειλιάσαντος, καὶ πεζῇ μακρὰν ὁδὸν περιάγοντος τὸν στρατὸν, ἀντώνιος ὑπὲρ καίσαρος ἐν πολλοῖς ἀπειλημμένου πολεμίοις φοβηθεὶς, λίβωνα μὲν ἐφορμοῦντα τῷ στόματι τοῦ λιμένος, ἀπεκρούσατο πολλὰ τῶν λεπτῶν ἀκατίων ταῖς τριήρεσιν αὐτοῦ περιστήσας. ἐμβιβάσας δὲ ταῖς ναυσὶν ἱππεῖς ὀκτακοσίους, καὶ δισμυρίους ὁπλίτας, ἀνήχθη. καὶ γενόμενος καταφανὴς τοῖς πολεμίοις καὶ διωκόμενος, τὸν μὲν ἐκ τούτων κίνδυνον διέφυγε, λαμπροῦ νότου κῦμα μέγα καὶ κοίλην θάλατταν ταῖς τριήρεσιν αὐτῶν περιστήσαντος, ἐκφερόμενος δὲ ταῖς ναυσὶ πρὸς κρημνοὺς καὶ φάραγγας ἀγχιβαθεῖς, οὐδὲ μίαν ἐλπίδα σωτηρίας εἶχεν. ἄφνω δὲ τοῦ κόλπου πολὺν ἐκπνεύσαντος λίβα. καὶ τοῦ κλύδωνος ἀπὸ τῆς γῆς εἰς τὸ πέλαγος διαχεομένου, μεταβαλλόμενος ἀπὸ τῆς γῆς. καὶ πλέων σοβαρῶς, ὁρᾷ ναυαγίων περίπλεον τὸν αἰγιαλόν. ἐνταῦθα γὰρ ἐξέβαλε τὸ πνεῦμα τὰς διωκούσας αὐτὸν τριήρεις. καὶ διεφθάρησαν οὐκ ὀλίγαι. καὶ σωμάτων πολλῶν καὶ χρημάτων ἐκράτησεν ἀντώνιος. καὶ λίσσον εἷλε. καὶ μέγα καίσαρι παρέσχε θάρσος, ἐν καιρῷ μετὰ τηλικαύτης ἀφικόμενος δυνάμεως. πολλῶν δὲ γινομένων καὶ συνεχῶν ἀγώνων, ἐν πᾶσι μὲν ἦν διαπρεπής. δὶς δὲ φεύγοντας προτροπάδην τοὺς καίσαρος, ἀπαντήσας ἀνέστρεψε. καὶ στῆναι καὶ συμβαλεῖν αὖθις τοῖς διώκουσιν ἀναγκάσας, ἐνίκησεν. ἦν οὖν αὐτοῦ μετὰ καίσαρα πλεῖστος ἐν τῷ στρατοπέδῳ λόγος. ἐδήλωσε δὲ καῖσαρ ἣν ἔχοι περὶ αὐτοῦ δόξαν. ἐπεὶ γὰρ ἔμελλε τὴν τελευταίαν καὶ τὰ ὅλα κρίνασαν ἐν φαρσάλῳ μάχην μάχεσθαι, τὸ μὲν δεξιὸν αὐτὸς εἶχε κέρας. τοῦ δ' εὐωνύμου τὴν ἡγεμονίαν, ἀντωνίῳ παρέδωκεν ὡς πολεμικωτάτῳ τῶν ὑφ' ἑαυτῷ. μετὰ δὲ τὴν νίκην δικτάτωρ ἀναγορευθεὶς, αὐτὸς μὲν ἐδίωκε πομπήϊον. ἀντώνιον δὲ ἵππαρχον ἑλόμενος εἰς ῥώμην ἔπεμψεν. ἔστι δὲ ἡ ἀρχὴ, δευτέρα τοῦ δικτάτωρος παρόντος. ἂν δὲ μὴ παρῇ, πρώτη καὶ μόνη σχεδόν. ἡ γὰρ δημαρχία διαμένει. τὰς δὲ ἄλλας καταλύουσι πάσας δικτάτωρος αἱρεθέντος. οὐ μὴν ἀλλὰ τότε δημαρχῶν δολοβέλλας νέος ἀνὴρ καὶ νέων πραγμάτων ὀρεγόμενος, εἰσηγεῖτο χρεῶν ἀποκοπὰς καὶ τὸν ἀντώνιον αὐτῷ, τε φίλον ὄντα καὶ βουλόμενον ἀεὶ τοῖς πολλοῖς ἀρέσκειν, ἔπειθε συμπράττειν καὶ κοινωνεῖν τοῦ πολιτεύματος. ἀσινίου δὲ καὶ τρεβελλίου τἀναντία παρακαλούντων, ὑπόνοια δεινὴ κατὰ τύχην τῷ ἀντωνίῳ προσέπεσεν ὡς ἀδικουμένῳ περὶ τὸν γάμον ὑπὸ τοῦ δολοβέλλα. καὶ τὸ πρᾶγμα βαρέως ἐνεγκὼν, τήν τε γυναῖκα τῆς οἰκίας ἐξήλασεν ἀνεψιὰν οὖσαν αὐτοῦ. θυγάτηρ γὰρ ἦν γαΐου ἀντωνίου τοῦ κικέρωνι συνυπατεύσαντος. καὶ τοὺς περὶ ἀσίνιον δεξάμενος, ἐπολέμει τῷ δολοβέλλᾳ. κατέλαβε γὰρ τὴν ἀγορὰν ἐκεῖνος ὡς βίᾳ κυρώσων τὸν νόμον. ἀντώνιος δὲ καὶ τῆς βουλῆς ψηφισαμένης ὅπλων δεῖν ἐπὶ τὸν δολοβέλλαν, ἐπελθὼν καὶ μάχην συνάψας, ἀπέκτεινέ τε τινὰς τῶν ἐκείνου, καὶ τῶν ἰδίων ἀπέβαλε. τοῖς μὲν οὖν πολλοῖς, ἐκ τούτων ἀπηχθάνετο, τοῖς δὲ χρηστοῖς καὶ σώφροσι, διὰ τὸν ἄλλον βίον, οὐκ ἦν ἀρεστὸς, ὡς κικέρων φησὶν, ἀλλ' ἐμισεῖτο βδελυττομένων αὐτοῦ μέθας ἀώρους. καὶ δαπάνας ἐπαχθεῖς. καὶ κυλινδήσεις ἐν γυναίοις. καὶ μεθ' ἡμέραν μὲν ὕπνους καὶ περιπάτους ἀλύοντας καὶ κραιπαλῶντας. νύκτωρ δὲ κώμους, καὶ θέατρα καὶ διατριβὰς ἐν γάμοις μίμων καὶ γελωτοποιῶν. λέγεται γοῦν ὡς ἐν ἱππίου ποτὲ τοῦ μίμου γάμοις ἑστιαθεὶς, καὶ πιὼν διὰ νυκτὸς εἶτα πρωῒ τοῦ δήμου καλοῦντος εἰς ἀγορὰν προελθὼν ἔτι τροφῆς μεστὸς, ἐμέσειε, τῶν φίλων τινὸς ὑποσχόντος τὸ ἱμάτιον. ἦν δὲ καὶ σέργιος ὁ μῖμος τῶν μέγιστον παρ' αὐτῷ δυναμένων. καὶ κυθηρὶς ἀπὸ τῆς αὐτῆς παλαίστρας, γύναιον ἀγαπώμενον. ὃ δὴ, καὶ τὰς πόλεις ἐπιὼν, ἐν φορείῳ περιήγετο. καὶ τὸ φορεῖον, οὐκ ἐλάττους ἢ τὸ τῆς μητρὸς αὐτοῦ περιέποντες, ἠκολούθουν. ἐλύπουν δὲ καὶ χρυσῶν ἐκπωμάτων ὥσπερ ἐν πομπαῖς ταῖς ἀποδημίαις διαφερομένων ὄψεις. καὶ στάσεις ἐνόδιοι σκηνῶν, καὶ πρὸς ἄλσεσι, καὶ ποταμοῖς ἀρίστων πολυτελῶν διαθέσεις. καὶ λέοντες, ἅρμασιν ὑπεζευγμένοι. καὶ σωφρόνων ἀνδρῶν καὶ γυναικῶν οἰκίαι, χαμαιτύπαις καὶ σαμβυκιστρίαις ἐπισταθμευόμεναι. δεινὸν γὰρ ἐποιοῦντο καίσαρα μὲν αὐτὸν ἔξω τῆς ἰταλίας θυραυλεῖν, τὰ περιόντα τοῦ μεγάλου πολέμου μεγάλοις πόνοις καὶ κινδύνοις ἀνακαθαιρόμενον. ἑτέρους δὲ δι' ἐκεῖνον τρυφᾶν τοῖς πολίταις ἐνυβρίζοντας. ταῦτα καὶ τὴν στάσιν αὐξῆσαι δοκεῖ. καὶ τὸ στρατιωτικὸν εἰς ὕβρεις δεινὰς καὶ πλεονεξίας ἀνεῖναι. διὸ καὶ καῖσαρ ἐπανελθὼν, δολοβέλλᾳ τε συγγνώμην ἔδωκε, καὶ τὸ τρίτον αἱρεθεὶς ὕπατος, οὐκ ἀντώνιον, ἀλλὰ λέπιδον εἵλετο συνάρχοντα. τὴν δὲ πομπηΐου πωλουμένην οἰκίαν, ὠνήσατο μὲν ἀντώνιος, ἀπαιτούμενος δὲ τὴν τιμὴν, ἠγανάκτει. καὶ φησὶν αὐτὸς διὰ τοῦτο μὴ μετασχεῖν καῖσαρ, τῆς εἰς λιβύην στρατείας. ἐπὶ τοῖς προτέροις κατορθώμασι μὴ τυχὼν ἀμοιβῆς. ἔοικε μέντοι τὸ πολὺ τῆς ἀβελτηρίας αὐτοῦ καὶ ἀσωτείας ἀφελεῖν ὁ καῖσαρ, οὐκ ἀναισθήτως τὰ πλημμελήματα δεξάμενος. ἀπαλλαγεὶς γὰρ ἐκείνου τοῦ βίου, γάμῳ

ἀγχιβαθεῖς π.

καίσαρι π. η.

ἀντώνιος. μβ΄.

ἀντωνίου, πάππος μὲν ἦν ὁ ῥήτωρ ἀντώνιος, ὃν τῆς σύλλα γενόμενον στάσεως, μάριος ἀπέκτεινε. πατὴρ δὲ ὁ κρητικὸς ἐπικληθεὶς ἀντώνιος. οὐχ οὕτω μὲν εὐδόκιμος ἐν τοῖς πολιτικοῖς ἀνὴρ οὐδὲ λαμπρὸς, εὐγνώμων δὲ καὶ χρηστός. ἄλλως τε καὶ πρὸς τὰς μεταδόσεις ἐλευθέριος. ὡς ἀφ' ἑνὸς ἄν τις ἔργου καταμάθοι. κεκτημένος γὰρ οὐ πολλὰ, καὶ διὰ τοῦτο τῇ φιλανθρωπίᾳ χρῆσθαι κωλυόμενος ὑπὸ τῆς γυναικὸς, ἐπεί τις ἀφίκετο τῶν συνήθων πρὸς αὐτὸν ἀργυρίου δεόμενος, ἀργύριον μὲν οὐκ εἶχε, παιδαρίῳ δὲ προσέταξεν εἰς ἀργυροῦν σκύφον ὕδωρ ἐμβαλόντι κομίσαι. καὶ κομίσαντος, ὡς ξυρεῖσθαι μέλλων, κατέβρεχε τὰ γένεια. τοῦ δὲ παιδαρίου καθ' ἑτέραν πρόφασιν ἐκποδὼν γενομένου, τὸν μὲν σκύφον, ἔδωκε τῷ φίλῳ χρῆσθαι κελεύσας. ζητήσεως δὲ πολλῆς ἐν τοῖς οἰκέταις οὔσης, ὁρῶν χαλεπαίνουσαν τὴν γυναῖκα καὶ βουλομένην καθ' ἕκαστον ἐξετάζειν, ὁμολόγησε συγγνώμην ἔχειν δεηθείς. ἦν δὲ αὐτῷ γυνὴ, ἰουλία τοῦ καισάρων οἴκου. ταῖς ἀρίσταις τότε καὶ σωφρονεστάταις ἐνάμιλλος. ὑπὸ ταύτης ὁ υἱὸς ἀντώνιος ἐτράφη μετὰ τὴν τοῦ πατρὸς τελευτὴν κορνηλίῳ λέντλῳ γαμηθείσης, ὃν κικέρων ἀπέκτεινε τῶν κατιλίνα συνωμοτῶν γενόμενον. αὕτη δοκεῖ τῆς σφοδρᾶς ἔχθρας ἀντωνίῳ πρὸς κικέρωνα πρόφασις καὶ ἀρχὴ γενέσθαι. φησὶ γοῦν ἀντώνιος, οὐδὲ τὸν νεκρὸν αὐτοῖς ἀποδοθῆναι τοῦ λέντλου πρότερον, ἢ τῆς γυναικὸς τοῦ κικέρωνος τὴν μητέρα δεηθῆναι. τοῦτο μὲν οὖν ὁμολογουμένως ψεῦδός ἐστιν. οὐδεὶς γὰρ εἴρχθη ταφῆς τῶν τότε κολασθέντων ὑπὸ τοῦ κικέρωνος. ἀντωνίῳ δὲ λαμπρῷ καθ' ὥραν γενομένῳ, τὴν κουρίωνος φιλίαν καὶ συνήθειαν ὥσπερ τινὰ κῆρα προσπεσεῖν λέγουσιν. αὐτοῦ τε περὶ τὰς ἡδονὰς ἀπαιδεύτου γενομένου. καὶ τὸν ἀντώνιον ὡς μᾶλλον εἴη χειροήθης εἰς πότους καὶ γύναια καὶ δαπάνας πολυτελεῖς καὶ ἀκολάστους ἐμβαλόντος. ἐξ ὧν ὄφλημα βαρὺ καὶ παρ' ἡλικίαν αὐτῷ συνήχθη, πεντήκοντα καὶ διακοσίων ταλάντων. τοῦτο πᾶν ἐγγυησαμένου τοῦ κουρίωνος, ὁ πατὴρ αἰσθόμενος ἐξήλασε τὸν ἀντώνιον ἐκ τῆς οἰκίας. ὁ δὲ, βραχὺν μέν τινα χρόνον τῇ κλωδίου τοῦ θρασυτάτου καὶ βδελυρωτάτου τῶν τότε δημαγωγῶν φορᾷ τὰ πράγματα ταραττούσῃ, προσέμιξεν ἑαυτόν. ταχὺ δὲ τῆς μανίας ἐκείνου μεστὸς γενόμενος, καὶ φοβηθεὶς τοὺς συνισταμένους ἤδη ἐπὶ τὸν κλώδιον, ἀπῆρεν ἐκ τῆς ἰταλίας εἰς τὴν ἑλλάδα, καὶ διέτριβε τό τε σῶμα γυμνάζων πρὸς τοὺς στρατιωτικοὺς ἀγῶνας, καὶ λέγειν μελετῶν. ἐχρῆτο δὲ τῷ καλουμένῳ μὲν ἀσιανῷ ζήλῳ τῶν λόγων, ἀνθοῦντι μάλιστα κατ' ἐκεῖνον τὸν χρόνον, ἔχοντι δὲ πολλὴν ὁμοιότητα πρὸς τὸν βίον αὐτοῦ κομπώδη καὶ φρυαγματίαν ὄντα, καὶ κενοῦ γαυριάματος καὶ φιλοτιμίας ἀνωμάλου μεστόν. ἐπεὶ δὲ γαβίνιος ἀνὴρ ὑπατικὸς εἰς συρίαν πλέων, ἀνέπειθεν αὐτὸν ὁρμῆσαι πρὸς τὴν στρατείαν, ἰδιώτης μὲν οὐκ ἂν ἔφη συνεξελθεῖν, ἀποδειχθεὶς δὲ ἱππέων ἄρχων, συνεστράτευε. καὶ πρῶτον μὲν ἐπ' ἀριστόβουλον ἰουδαίους ἀφιστάντα πεμφθεὶς, αὐτὸς μὲν ἐπέβη τοῦ μεγίστου τῶν ἐρυμάτων πρῶτος. ἐκεῖνον δὲ πάντων ἐξήλασεν. εἶτα μάχην συνάψας καὶ τρεψάμενος ὀλίγοις τοῖς σὺν αὐτῷ τοὺς ἐκείνου πολλαπλασίους ὄντας, ἀπέκτεινε πλὴν ὀλίγων ἅπαντας. αὐτὸς δὲ μετὰ τοῦ παιδὸς ἀριστόβουλος ἥλω. μετὰ ταῦτα γαβίνιον ἤδη μυρίοις ταλάντοις πτολεμαίου πείθοντος εἰς αἴγυπτον ἅμα συνεμβάλλειν αὐτῷ, καὶ τὴν βασιλείαν ἀναλαβεῖν, οἱ μὲν πλεῖστοι τῶν ἡγεμόνων ἠναντιοῦντο, καὶ γαβίνιον δὲ, ὄκνος τις εἶχε τοῦ πολέμου, καίπερ ἐξανδραποδισμένον κομιδῇ, τοῖς μυρίοις ταλάντοις. ἀντώνιος δὲ πράξεων μεγάλων ἐφιέμενος, καὶ τῷ πτολεμαίῳ χαριζόμενος δεομένῳ, συνέπεισε μὲν καὶ συνεξώρμησεν ἤδη τὴν στρατείαν τὸν γαβίνιον. ἐπεὶ δὲ τοῦ πολέμου μᾶλλον ἐφοβοῦντο τὴν ἤδη τὸ πηλούσιον ὁδὸν, ἅτε δὴ διὰ ψάμμου βαθείας καὶ ἀνύδρου, παρὰ τὸ ἔκρηγμα καὶ τὰ τῆς σερβωνίδος ἕλη γινομένης αὐτοῖς τῆς πορείας, ἃς τυφῶνος μὲν ἐκπνοὰς αἰγύπτιοι καλοῦσι. τῆς δ' ἐρυθρᾶς θαλάσσης ὑπονόστησις εἶναι δοκεῖ καὶ διήθησις. ᾗ βραχυτάτῳ διείργεται πρὸς τὴν ἐντὸς θάλασσαν ἰσθμῷ, πεμφθεὶς μετὰ τῶν ἱππέων ὁ ἀντώνιος, οὐ μόνον τὰ στενὰ κατέσχεν, ἀλλὰ καὶ πηλούσιον ἑλὼν, πόλιν μεγάλην καὶ τῶν ἐν αὐτῇ φρουρῶν κρατήσας, ἅμα καὶ τὴν ὁδὸν ἀσφαλῆ τῷ στρατεύματι, καὶ τὴν ἐλπίδα τῆς νίκης ἐποίησε τῷ στρατηγῷ βέβαιον. ἀπέλαυσαν δὲ τῆς φιλοτιμίας αὐτοῦ καὶ οἱ πολέμιοι. πτολεμαίου γὰρ ἅμα τῷ παρελθεῖν εἰς τὸ πηλούσιον ὑπ' ὀργῆς καὶ μίσους ὡρμημένου φονεύειν τοὺς αἰγυπτίους, ἐνέστη καὶ διεκώλυσεν. ἐν δὲ ταῖς μάχαις καὶ τοῖς ἀγῶσι μεγάλοις καὶ συχνοῖς γενομένοις, πολλὰ καὶ τόλμης ἔργα καὶ προνοίας ἡγεμονικῆς ἀποδειξάμενος. ἐμφανέστατα δὲ τῷ κυκλώσασθαι καὶ περιβαλεῖν κατόπιν τοὺς πολεμίους τὴν νίκην τοῖς κατὰ στόμα παρασχὼν, ἀριστεῖα καὶ τιμὰς ἔλαβε πρεπούσας. οὐ διέλαθε δὲ τοὺς πολλοὺς οὐδ' ἡ πρὸς ἀρχέλαον αὐτοῦ τεθνηκότα, φιλανθρωπία. γεγονὼς γὰρ αὐτῷ συνήθης καὶ ξένος, ἐπολέμει μὲν ἀναγκαίως, ζῶντι. τὸ δὲ σῶμα πεσόντος ἐξευρὼν καὶ κοσμήσας, βασιλικῶς ἐκήδευσεν. ἐπὶ τούτοις, ἀλεξανδρεῦσί τε πλεῖστον αὐτοῦ λόγον κατέλιπε, καὶ ῥωμαίων τοῖς στρατευομένοις,

παιδαρίῳ

ὡμο

Vide Strabonē L°. 16. 372

Paludes serbōñis lacus an ἐκπνοαὶ τυφῶνος appellent docet Herod. L°. 3 202.

Que de Serbōñe lacu scribit Strabo L. xvi. eadē fere Plinius de lacu Asphaltite ut existimari posset serbōñē et asphaltitē eūdē esse lacū, ne duabus hisce nominibus appellari

ἡ χάρις γένοιτο, παρήγαγε τὸν χρόνον. ὁ δὲ δημήτριος ὡς ἐν ἀρχῇ τὴν τύχην προσαπεσοῦσαν ὑπέμεινε, καὶ ῥᾷον ἤδη φέρειν εἴθιζε τὰ παρόντα. πρῶτον μὲν ἁμωσγέπως ἐκίνει τὸ σῶμα, θήρας ἐφ' ὅσον ἦν καὶ δρόμων ἁπτόμενος. ἔπειτα κατὰ μικρὸν ὄκνου πρὸς αὐτὰ καὶ νωθείας ἐπίμπλατο. καὶ φέρων ἑαυτὸν εἰς πότους καὶ κύβους κατέβαλε. καὶ τοῦ χρόνου τὸ πλεῖστον ἐν τούτοις διῆγεν. εἴτε τοὺς ἐν τῷ νήφειν ἀναλογισμοὺς τῶν παρόντων ἀποδιδράσκων καὶ παρακαλυπτόμενος τῇ μέθῃ τὴν διάνοιαν. εἴτε συγγνοὺς ἑαυτῷ τοῦτον εἶναι τὸν βίον, ὃν ἔκπαλαι ποθῶν καὶ διώκων, ἄλλως ὑπ' ἀνοίας καὶ κενῆς δόξης ἐπλάζετο. καὶ πολλὰ μὲν ἑαυτῷ, πολλὰ δὲ ἑτέροις πράγματα παρέχων, ἐν ὅπλοις καὶ στόλοις καὶ στρατοπέδοις τὸ ἀγαθὸν ζητῶν, ὃ νῦν ἐν ἀπραγμοσύνῃ καὶ σχολῇ καὶ ἀναπαύσει μὴ προσδοκήσας ἀνεύρηκε. τί γὰρ ἄλλο τῶν πολέμων καὶ τῶν κινδύνων πέρας ἐστὶ τοῖς φαύλοις βασιλεῦσι, κακῶς καὶ ἀνοήτως διεφθαρμένοις, οὐχ ὅτι μόνον τρυφὴν καὶ ἡδονὴν ἀντὶ τῆς ἀρετῆς καὶ τοῦ καλοῦ διώκουσιν. ἀλλ' ὅτι μηδὲ ἥδεσθαι μηδὲ τρυφᾶν ὡς ἀληθῶς ἴσασιν. ὁ δ' οὖν δημήτριος ἔτος τρίτον ἐν τῇ χερρονήσῳ καθειργμένος, ὑπ' ἀργίας καὶ πλησμονῆς καὶ οἴνου νοσήσας ἀπέθανεν, ἔτη τέσσαρα καὶ πεντήκοντα βεβιωκώς. καὶ σέλευκος ἤκουσέ τε κακῶς, καὶ μετενόησεν οὐ μετρίως ἐν ὑποψίᾳ τὸν δημήτριον θέμενος τότε. καὶ μηδὲ δρομιχαίτην ἄνδρα βάρβαρον θρᾷκα μιμησάμενος, οὕτω φιλανθρώπως καὶ βασιλικῶς ἁλόντι λυσιμάχῳ χρησάμενον. εἶχε μέντοι καὶ τὰ περὶ τὴν ταφὴν αὐτοῦ τραγικήν τινα καὶ θεατρικὴν διάθεσιν. ὁ γὰρ υἱὸς ἀντίγονος ὡς ᾔσθετο τὰ λείψανα κομιζόμενα, πάσαις ἀναχθεὶς ταῖς ναυσὶν, ἐπὶ νήσων ἀπήντησε. καὶ δεξάμενος εἰς τὴν μεγίστην τῶν ναυαρχίδων ἔθετο τὴν ὑδρίαν χρυσήλατον οὖσαν. αἱ δὲ πόλεις αἷς προσεῖχον, τοῦτο μὲν στεφάνους ἐπέφερον τῇ ὑδρίᾳ. τοῦτο δ', ἄνδρας ἐν σχήματι πενθίμῳ συνθάψοντας καὶ συμπαραπέμψοντας ἀπέστελλον. εἰς δὲ κόρινθον τοῦ στόλου καταπλέοντος, ἥ τε κάλπις ἐκ πρύμνης περιφανὴς ἑωρᾶτο, πορφύρᾳ βασιλικῇ καὶ διαδήματι κεκοσμημένη. καὶ παρειστήκεισαν ἐν ὅπλοις νεανίσκοι δορυφοροῦντες. ὁ δὲ τῶν τότε αὐλητῶν ἐλλογιμώτατος ξενόφαντος, ἐγγὺς καθεζόμενος, προσηύλει τῶν μελῶν τὸ ἱερώτατον. καὶ πρὸς τοῦτο τῆς εἰρεσίας ἀναφερομένης, μετὰ ῥυθμοῦ τινὸς ἀπήντα ψόφος, ὥσπερ ἐν κοπετῷ ταῖς τῶν αὐλημάτων περιόδοις. τὸ δὲ πλεῖστον οἶκτον καὶ ὀλοφυρμὸν, αὐτὸς ὁ ἀντίγονος, τοῖς ἠθροισμένοις ἐπὶ τὴν θάλατταν, ὀφθεὶς ταπεινὸς καὶ δεδακρυμένος, παρέσχεν. ἐπενεχθέντων δὲ τιμῶν καὶ στεφάνων περὶ κόρινθον, εἰς δημητριάδα κομίσας ἔθηκε τὰ λείψανα. πόλιν ἐπώνυμον ἐκείνου συνοικισθεῖσαν ἐκ μικρῶν τῶν περὶ τὴν ἰωλκὸν πολιχνίων. ἀπέλιπε δὲ γενεὰν δημήτριος, ἀντίγονον μὲν ἐκ φίλας καὶ στρατονίκην. δύο δὲ δημητρίους, τὸν μὲν λεπτὸν, ἐξ ἰλλυρίδος γυναικός. τὸν δὲ ἄρξαντα κυρήνης, ἐκ πτολεμαΐδος. ἐκ δὲ δηιδαμείας, ἀλέξανδρον, ἐν αἰγύπτῳ καταβιώσαντα. λέγεται δὲ καὶ κόρραβον υἱὸν ἐξ εὐρυδίκης αὐτῷ γενέσθαι. κατέβη δὲ ταῖς διαδοχαῖς τὸ γένος αὐτοῦ βασιλεῦον, εἰς περσέα τελευταῖον, ἐφ' οὗ ῥωμαῖοι μακεδονίαν ὑπηγάγοντο. διηγωνισμένου δὲ τοῦ μακεδονικοῦ δράματος, ὥρα τὸ ῥωμαϊκὸν ἐπεισαγαγεῖν.

πιώτων. μόλις δὲ ἐν ἡμέραις τεσσαράκοντα ῥαΐσας καὶ τοὺς ὑπολοίπους ἀναλαβών, καὶ ὁρμήσας ὅσον ἰδεῖν καὶ δόξασθαι τοὺς πολεμίους, ἐπὶ κιλικίας. εἶτα νυκτὸς ἄνευ σάλπιγγος ἄρας ἐπὶ θάτερα, καὶ τὸν ἀμανὸν ὑπερβαλών, ἐπόρθει τὴν κάτω χώραν ἄχρι τῆς κυρρηστικῆς. ἐπιφανέντος δὲ τοῦ σελεύκου, καὶ ποιουμένου τὰς καταλύσεις ἐγγύς, ἀναστήσας ὁ δημήτριος τὸ στράτευμα, νυκτὸς ἐβάδιζεν ἐπ' αὐτόν, ἀγνοοῦντα μέχρι πολλοῦ καὶ κοιμώμενον. αὐτομόλων δέ τινων παραγενομένων καὶ φρασάντων τὸν κίνδυνον, ἐκπλαγεὶς καὶ ἀναπηδήσας, ἐκέλευσε σημαίνειν, ἅμα τὰς κρηπῖδας ὑποδυόμενος καὶ βοῶν πρὸς τοὺς ἑταίρους, ὡς θηρίῳ δεινῷ συμπέπλεκται. δημήτριος δὲ τῷ θορύβῳ τῶν πολεμίων αἰσθόμενος ὅτι μεμήνυται, κατὰ τάχος ἀπῆγεν. ἅμα δὲ ἡμέρᾳ προσκειμένου τοῦ σελεύκου, πέμψας τινὰ τῶν περὶ αὐτὸν ἐπὶ θάτερον κέρας, ἐποίησε τινὰ τροπὴν τῶν ἐναντίων. εἶτα μέντοι σέλευκος αὐτός, ἀφεὶς τὸν ἵππον, καὶ τὸ κράνος ἀποθέμενος, καὶ λαβὼν πέλτην, ἀπήντα τοῖς μισθοφόροις, ἐπιδεικνύμενος αὑτόν, καὶ μεταβάλλεσθαι παρακαλῶν, ἤδη ποτὲ συμφρονήσαντας, ὅτι φειδόμενος ἐκείνων, οὐ δημητρίου χρόνον πολὺν διατετέλεκεν. ἐκ τούτου πάντες ἀσπαζόμενοι, καὶ βασιλέα προσαγορεύοντες, μεθίσταντο. δημήτριος δὲ πολλὰς μεταβολὰς αἰσθόμενος, ἐσχάτην ἐκείνην ἥκουσαν ἐπ' αὐτόν, ἐκκλίνας ἐπὶ τὰς ἀμανίδας ἔφυγε πύλας. καὶ καταλαβὼν ὕλην τινὰ συνηρεφῆ μετὰ φίλων τινῶν καὶ ἀκολούθων ὀλίγων παντάπασιν ὄντων, προσέμενε τὴν νύκτα. βουλόμενος εἰ δύναιτο, τῆς ἐπὶ καῦνον ὁδοῦ λαβέσθαι, καὶ διεκπεσεῖν ἐπὶ τὴν ἐκεῖ θάλασσαν. οὗ τὸν ναύσταθμον εὑρήσειν ἤλπιζεν. ὡς δὲ ἔγνω μηδὲ ἐκείνης τῆς ἡμέρας ἐφόδιον ἔχοντας αὐτούς, ἐπ' ἄλλων ἐγίνετο λογισμῶν. εἶτα μέντοι σωσιγένης ἐπῆλθεν ἑταῖρος αὐτοῦ χρυσοῦς τετρακοσίους ὑπεζωσμένος. καὶ ἀπὸ τούτων ἐλπίζοντες ἄχρι θαλάσσης διαγενέσθαι, πρὸς τὰς ὑπερβολὰς ἐχώρουν σκοταῖοι. πυρῶν δὲ καιομένων πρὸς αὐταῖς πολεμίων, ἀπογνόντες ἐκείνην τὴν ὁδόν, αὖθις ἀνεχώρησαν εἰς τὸν αὐτὸν τόπον, οὔτε πάντες. ἔνιοι γὰρ ἀπέδρασαν, οὔτε ὁμοίως οἱ παραμένοντες πρόθυμοι. τολμήσαντος δέ τινος εἰπεῖν ὡς σελεύκῳ χρὴ τὸ σῶμα παραδοῦναι, δημήτριος ὥρμησε μὲν τὸ ξίφος σπασάμενος ἀνελεῖν ἑαυτόν. οἱ δὲ φίλοι περιστάντες καὶ παραμυθούμενοι, συνέπεισαν οὕτω ποιῆσαι. καὶ πέμπει πρὸς σέλευκον ἐπιτρέπων ἐκείνῳ τὰ καθ' ἑαυτόν. ἀκούσας δὲ σέλευκος, οὐκ ἔφη τῇ δημητρίου τύχῃ σῴζεσθαι δημήτριον, ἀλλὰ τῇ αὑτοῦ, μετὰ τῶν ἄλλων καλῶν αὐτῷ, φιλανθρωπίας καὶ χρηστότητος ἐπίδειξιν διδούσης. καλέσας δὲ τοὺς ἐπιμελητάς, σκηνήν τε πηγνύναι βασιλικὴν ἐκέλευσεν. καὶ πάντα τἆλλα ποιεῖν καὶ παρασκευάζειν εἰς ὑποδοχὴν καὶ θεραπείαν μεγαλοπρεπῶς. ἦν δέ τις ἀπολλωνίδης παρὰ τῷ σελεύκῳ τοῦ δημητρίου γεγονὼς συνήθης. τοῦτον εὐθὺς ἐξέπεμψε πρὸς αὐτὸν ὅπως ἥδιον γένηται, καὶ θαρρῶν ὡς πρὸς οἰκεῖον ἄνδρα καὶ κηδεστὴν ἀπαντᾷ. φανερᾶς δὲ τῆς γνώμης αὐτοῦ γενομένης, ὀλίγοι τὸ πρῶτον. εἶτα οἱ πλεῖστοι τῶν φίλων, ἐξεπήδων παρὰ τὸν δημήτριον, ἁμιλλώμενοι καὶ φθάνοντες ἀλλήλους. ἠλπίζετο γὰρ εὐθὺς παρὰ τῷ σελεύκῳ μέγιστος ἔσεσθαι. τοῦτο δέ, ἐκείνῳ μὲν εἰς φθόνον μετέβαλε τὸν ἔλεον. τοῖς δὲ κακοήθεσι καὶ βασκάνοις, παρέσχεν ἀποτρέψαι καὶ διαφθεῖραι τὴν φιλανθρωπίαν τοῦ βασιλέως, ἐκφοβήσασιν αὐτόν, ὡς οὐκ εἰς ἀναβολάς, ἀλλ' ἅμα τῷ πρῶτον ὀφθῆναι τὸν ἄνδρα, μεγάλων ἐσομένων ἐν τῷ στρατοπέδῳ νεωτερισμῶν. ἄρτι δὴ τοῦ ἀπολλωνίδου πρὸς τὸν δημήτριον ἀφιγμένου περιχαροῦς, καὶ τῶν ἄλλων ἐπερχομένων καὶ λόγους θαυμαστοὺς ἀπαγγελλόντων παρὰ τοῦ σελεύκου. καὶ τοῦ δημητρίου μετὰ τηλικαύτην δυστυχίαν καὶ κακοπραγίαν, εἰ καὶ πρότερον ἐδόκει τὴν παράδοσιν τοῦ σώματος αἰσχρὰν πεποιῆσθαι, τότε μετεγνωκότος διὰ τὸ θαρρεῖν καὶ πιστεύειν ταῖς ἐλπίσιν, ἦλθε παυσανίας ἔχων στρατιώτας ὁμοῦ πεζοὺς καὶ ἱππεῖς, περὶ χιλίους. καὶ τούτοις περισχὼν τὸν δημήτριον ἄφνω, τοὺς δὲ ἄλλους ἀποστήσας, σελεύκῳ μὲν αὐτὸν εἰς ὄψιν οὐ κατέστησεν. εἰς δὲ χερρόνησον τὴν συριακήν, ἀπήγαγεν. ὅπου τὸ λοιπόν, ἰσχυρᾶς φυλακῆς ἐπισταθείσης, θεραπεία μὲν ἧκεν ἱκανὴ παρὰ σελεύκου. καὶ χρήματα καὶ δίαιτα παρεσκευάζετο καθ' ἡμέραν οὐ μεμπτή. δρόμοι δὲ καὶ περίπατοι βασιλικοί. καὶ παράδεισοι θήρας ἔχοντες, ἀπεδείχθησαν. ἦν δὲ καὶ τῶν φίλων τῶν συμφυγόντων τῷ βουλομένῳ συνεῖναι. καὶ παρ' αὐτὸν τινὲς ὅμως ἐπιφοιτῶντες ἀπὸ τοῦ σελεύκου, ἧκον κομίζοντες ἐπιεικεῖς λόγους, καὶ θαρρεῖν παρακαλοῦντες. ὡς ὅταν πρῶτον ἀντίοχος ἀφίκηται σὺν στρατονίκῃ διαλυθησόμενον. ὁ δὲ δημήτριος ἐν τοιαύτῃ τύχῃ γεγονὼς ἀπέστειλε πρὸς τὸν υἱὸν καὶ τοὺς περὶ ἀθήνας καὶ κόρινθον ἡγεμόνας καὶ φίλους, μήτε γράμμασιν αὐτοῦ μήτε σφραγῖδι πιστεύειν. ἀλλ' ὥσπερ τεθνηκότος, ἀντιγόνῳ τὰς πόλεις καὶ τὰ λοιπὰ πράγματα διαφυλάττειν. ἀντίγονος δὲ τὴν τοῦ πατρὸς σύλληψιν πυθόμενος καὶ βαρέως ἐνεγκών, καὶ πενθίμην ἀναλαβὼν ἐσθῆτα, πρός τε τοὺς ἄλλους βασιλεῖς ἔγραψε, καὶ πρὸς αὐτὸν σέλευκον δεόμενος. καὶ πᾶν ὅτι λοιπὸν ἦν αὐτοῖς παραδιδούς, καὶ πρὸ παντὸς ὁμηρεύειν ἕτοιμος ὢν αὐτὸς ὑπὲρ τοῦ πατρός. καὶ συνεδέοντο ταῦτα, πόλεις τε πολλαὶ καὶ δυνάσται, πλὴν λυσιμάχου. λυσίμαχος δὲ καὶ χρήματα πολλὰ πέμπων ὑπισχνεῖτο σελεύκῳ κτείναντι δημήτριον. ὁ δέ, ἐκεῖνον μὲν καὶ ἄλλως προβαλλόμενος, ἔτι μᾶλλον ἐπὶ τούτῳ μιαρὸν ἡγεῖτο καὶ βάρβαρον. ἀντιόχῳ δὲ τῷ παιδὶ καὶ στρατονίκῃ παραφυλάττων δημήτριον, ὡς ἐκείνων

τινὲς ἐπιῤῥέουσαι, κατὰ μικρὸν ἀνεπλήρουν τὴν ἐλπίδα. καὶ τό τε πρῶτον ἰδιώτης καὶ τῶν βασι-
λικῶν κοσμίων ἔρημος ἐπεφοίτα ταῖς πόλεσιν. καί τις αὐτὸν ἐν θήβαις τοιοῦτον θεασάμενος, ἐχρή-
» σατο τοῖς εὐριπίδου στίχοις, οὐκ ἀηδῶς· Μορφὴν ἀμείψας ἐκ θεοῦ βροτησίαν, Πάρεστι δίρκης
» νάμα θ' ἰσμηνοῦ θ' ὕδωρ. ἐπεὶ δὲ ἅπαξ ὥσπερ εἰς ὁδὸν βασιλικὴν τὴν ἐλπίδα κατέστη. καὶ συνίστατο
πάλιν σῶμα καὶ σχῆμα περὶ αὐτὸν ἀρχῆς, θηβαίοις μὲν ἀπέδωκε τὴν πολιτείαν. ἀθηναῖοι δὲ ἀπέστη-
σαν αὐτοῦ. καὶ τόν τε δίφιλον ὃς ἦν ἱερεὺς τῶν σωτήρων ἀναγεγραμμένος ἐκ τῶν ἐπωνύμων, ἀνε-
λον, ἄρχοντας αἱρεῖσθαι πάλιν ὥσπερ ἦν πάτριον ψηφισάμενοι. τόν τε πύῤῥον ἐκ μακεδονίας με-
τεπέμποντο μᾶλλον, ἢ προσεδόκησαν ἰσχύοντα τὸν δημήτριον ὁρῶντες. ὁ δὲ, ὀργῇ μὲν ἐπῆλθεν αὐ-
τοῖς, καὶ πολιορκίαν περὶ τὸ ἄστυ συνεστήσατο καρτεράν, κράτητος δὲ τοῦ φιλοσόφου πεμφθέντος
ὑπὸ τοῦ δήμου πρὸς αὐτὸν ἀνδρὸς ἐνδόξου καὶ δυνατοῦ, τὰ μὲν, οἷς ὑπὲρ τῶν ἀθηναίων ἐδεῖτο πει-
ἐδίδασκε πτ. θεὶς. τὰ δὲ, ὑφ' ὧν ἐδίδασκε περὶ τῶν ἐκείνῳ συμφερόντων νοήσας, ἔλυσε τὴν πολιορκίαν. καὶ συναγα-
γὼν ὅσαι νῆες ἦσαν αὐτῷ, καὶ στρατιώτας μυρίους καὶ χιλίους σὺν ἱππεῦσιν ἐμβιβάσας, ἐπὶ τὴν ἀ-
σίαν ἔπλει. λυσιμάχου καρίαν καὶ λυδίαν ἀποστήσων. δέχεται δὲ αὐτὸν εὐρυδίκη περὶ μίλητον ἀδελ-
φὴ φίλας. ἄγουσα τὴν αὐτῆς καὶ πτολεμαίου θυγατέρων, πτολεμαΐδα καθωμολογημένην ἐκεί-
νῳ πρότερον διὰ σελεύκου. ταύτην γαμεῖ δημήτριος εὐρυδίκης ἐκδιδούσης. καὶ μετὰ τὸν γάμον εὐθὺς
ἐπὶ τὰς πόλεις ἐτράπετο. πολλῶν μὲν ἑκουσίως προστιθεμένων. πολλὰς δὲ καὶ βιαζόμενος. ἔλαβε δὲ
καὶ σάρδεις. καί τινες τῶν λυσιμάχου στρατηγῶν ἀπεχώρησαν πρὸς αὐτὸν, χρήματα καὶ στρατιὰν κο-
μίζοντες. ἐπερχομένου δὲ ἀγαθοκλέους τοῦ λυσιμάχου μετὰ δυνάμεως, ἀνέβαινεν εἰς φρυγίαν, ἐγνω-
κὼς ἂν περ ἀρμενίας ἐπιλάβηται, μηδείαν κινεῖν. καὶ τῶν ἄνω πραγμάτων ἔχεσθαι. πολλὰς ἐξω-
θουμένῳ περὶ φυγὰς καὶ ἀναχωρήσεις ἐχόντων. ἑπομένου δὲ ἀγαθοκλέους, ἐν ταῖς συμπλοκαῖς πε-
ριῆν. ἐπισιτισμοῦ δὲ καὶ προνομῶν εἰργόμενος, ἠπορεῖτο, καὶ τοῖς στρατιώταις δι' ὑποψίας ἦν ὡς
ἐπ' ἀρμενίαν καὶ μηδείαν ἐκτοπίζων. ἅμα δὲ μᾶλλον ὁ λιμὸς ἐπέτεινε. καὶ διαμαρτίας τινὸς γενομένης περὶ
τὴν λύκου διάβασιν, πλῆθος ἀνθρώπων ἁρπαχθὲν ὑπὸ τοῦ ῥεύματος ἀπώλεσεν. ὅμως δὲ τῶν σκωμ-
μάτων οὐκ ἀπείχοντο. προεγράφη δέ τις αὐτοῦ πρὸ τῆς σκηνῆς, τὴν τοῦ οἰδίποδος ἀρχὴν μικρὸν παραλ-
λάξας. τέκνον τυφλοῦ γέροντος ἀντιγόνου, τίνας χώρους ἀφίγμεθα. τέλος δὲ καὶ νόσου τῷ λιμῷ συ-
» νεπιτιθεμένης ὥσπερ εἴωθεν ἐπὶ βρώσεις ἀναγκαίας τρεπομένων, τοὺς πάντας οὐκ ἐλάσσονας ὀκ-
τακισχιλίων ἀποβαλὼν, ἀπῆγεν ὀπίσω τοὺς λοιπούς. καὶ καταβὰς εἰς ταρσὸν, ἐβούλετο μὴ ἀπέχεσθαι
τῆς χώρας, οὔσης ὑπὸ σελεύκῳ τότε. καὶ πρόφασιν ἐκείνῳ μηδεμίαν παρασχεῖν, ὡς δὲ ἦν ἀμήχα-
νον, ἐν ταῖς ἐσχάταις ὄντων ἀπορίαις τῶν στρατιωτῶν. καὶ τοῦ ταύρου τὰς ὑπερβολὰς ἀγαθοκλῆς
ἀπετείχισε, γράφει πρὸς σέλευκον ἐπιστολὴν, μακρόν τινα τῆς αὐτοῦ τύχης, ὀδυρμὸν. εἶτα πολλὴν ἱ-
κεσίαν καὶ δέησιν ἔχουσαν, ἀνδρὸς οἰκείου λαβεῖν οἶκτον ἄξια καὶ πολεμίους συναλγῆσαι πεπονθό-
τος. ἐπικλασθέντος δέ πως σελεύκου καὶ γράψαντος τοῖς ἐκεῖ στρατηγοῖς, ὅπως αὐτῷ τε τῷ δημητρίῳ
χορηγίαν βασιλικὴν καὶ τῇ δυνάμει τροφὴν ἄφθονον παρέχωσιν, ἐπελθὼν πατροκλῆς ἀνὴρ συνε-
τὸς εἶναι δοκῶν. καὶ σελεύκῳ φίλος πιστὸς, οὐ τῆς δαπάνης ἔφη πλεῖστον εἶναι τῶν δημητρίου στρα-
τιωτῶν τρεφομένων, ἀλλ' ἐν διατρίβοντα τῇ χώρᾳ δημήτριον, οὐ καλῶς περιορᾶν αὐτὸν, ὃς ἀεὶ βιαιό-
τατος ὢν καὶ μεγαλοπραγμονέστατος βασιλέων, νῦν ἐν τύχαις γέγονεν αἳ καὶ τοὺς φύσει μετρίους ἐξά-
γουσι τολμᾶν καὶ ἀδικεῖν. ἐκ τούτου παροξυνθεὶς ὁ σέλευκος, ἐξώρμησεν εἰς κιλικίαν μετὰ πολλῆς δυ-
νάμεως. ὁ δὲ δημήτριος ἐκπλαγεὶς τῇ δι' ὀλίγου μεταβολῇ τοῦ σελεύκου καὶ φοβηθεὶς, ὑπέστειλε τοῖς
ὀχυρωτάτοις τοῦ ταύρου. καὶ διαπεμπόμενος ἠξίου μάλιστα μὲν αὐτὸν περιιδεῖν τῶν αὐτονόμων τι-
νὰ βαρβάρων κτησάμενον ἀρχὴν, ἐν ᾗ καταβιώσεται πλάνης καὶ φυγῆς παυσάμενος. εἰ δὲ μὴ, τὸν
χειμῶνα διαθρέψαι τὴν δύναμιν αὐτόθι. καὶ μὴ πάντων ἐνδεᾶ καὶ γυμνὸν ἐξελαύνειν. καὶ προβάλ-
λειν τοῖς πολεμίοις. ἐπεὶ δὲ σέλευκος ταῦτα πάντα ὑπόπτως, ἐκέλευσεν αὐτὸν εἰ βούλεται δύο
μῆνας ἐν τῇ καταονίᾳ χειμάσαι, δόντα τοὺς πρώτους τῶν φίλων ὁμήρους ἅμα δὲ τὰς εἰς συρίαν ἀπε-
τείχιζεν ἐμβολὰς, εἰργόμενος ὥσπερ θηρίον ὁ δημήτριος κύκλῳ καὶ περιβαλλόμενος, ὑπ' ἀνάγ-
κης τρέπεται πρὸς ἀλκήν. καὶ τήν τε χώραν κατέτρεχε. καὶ τῷ σελεύκῳ προσβάλλοντι συμπλεκό-
μενος, ἀεὶ πλέον εἶχε. καί ποτε τῶν δρεπανηφόρων εἰς αὐτὸν ἀφεθέντων, ὑπερβὰς, τροπὴν ἐποιήσατο.
καὶ τῶν εἰς συρίαν ὑπερβολῶν τοὺς ἀποτειχίζοντας ἐξελάσας ἐκράτησε. καὶ ὅλως ἐπῆρτο τῇ γνώ-
μῃ. καὶ τοὺς στρατιώτας ἀνατεθαῤῥηκότας ὁρῶν, παρεσκευάζετο διαγωνίσασθαι πρὸς τὸν σέλευκον
ἐπὶ τοῖς μεγίστοις ἄθλοις, ἠπορημένον ἤδη καὶ αὐτόν. ἀπέστρεψε μὲν γὰρ τὴν παρὰ λυσιμάχου βοή-
θειαν, ἀπιστῶν καὶ φοβούμενος. αὐτὸς δὲ καθ' ἑαυτὸν ὤκνει τῷ δημητρίῳ συνάψαι, δεδιὼς τὴν ἀπόνοιαν
αὐτοῦ καὶ τὴν ἀεὶ μεταβολὴν ἐκ τῶν ἐσχάτων ἀπορειῶν, τὰς μεγίστας εὐτυχίας ἐπιφέρουσαν. νόσος μέν-
τοι βαρεῖα τὸν δημήτριον ἐν τούτῳ καταλαβοῦσα, τό τε σῶμα δεινῶς ἐκάκωσε. καὶ τὰ πράγματα
παντάπασι διέφθειρεν. οἱ μὲν γὰρ ἀπεχώρησαν πρὸς τοὺς πολεμίους. οἱ δὲ διεῤῥύησαν αὐτοῦ τῶν στρα-

κουφότερος γενέσθαι, πάνυ ῥαδίως ἐξελάσας αὐτὸν, ἐποιήσατο τινὰς ὁμολογίας, οὐ βουλόμενος ἐμπο-
δὼν ὄντι, συνεχῶς προσπταίων καὶ τοπομαχῶν, ἥττων εἶναι, πρὸς οἷς διενοεῖτο. διενοεῖτο δὲ, οὐδὲν ὀλίγον
ἀλλὰ πᾶσαν ἀναλαμβάνειν τὴν ὑπὸ τῷ πατρὶ γενομένην ἀρχήν. καὶ τῆς ἐλπίδος ταύτης καὶ τῆς
ἐπιβολῆς οὐκ ἀπελείπετο τὰ τῆς παρασκευῆς, ἀλλὰ στρατιὰ μὲν ἤδη συνετέτακτο πεζῆς, μυριάδες
δέκα, δισχιλίων ἀποδέουσαι. καὶ χωρὶς, ἱππέας ὀλίγῳ δισχιλίων καὶ μυρίων ἐλάττους. στόλον
δὲ νεῶν ἅμα πεντακοσίων καταβαλλόμενος, τὰς μὲν ἐν πειραιεῖ, τρόπεις ἔθετο. τὰς δ᾽ ἐν κορίνθῳ. τὰς
δ᾽ ἐν χαλκίδι. τὰς δὲ περὶ πέλλαν. αὐτὸς ἐπιὼν ἑκασταχόσε καὶ διδάσκων ἃ χρὴ, καὶ συντεχνώμενος
ἐκπληττομένων ἁπάντων, οὐ τὰ πλήθη μόνον, ἀλλὰ καὶ τὰ μεγέθη τῶν ἔργων. οὐδεὶς γὰρ εἶδεν ἀν-
κ.η. θρώπων οὔτε πεντεκαιδεκήρη ναῦν πρότερον, οὔτε ἑκκαιδεκήρη. ἀλλ᾽ ὕστερον τεσσαρακοντήρη πτολε-
μαῖος ὁ φιλοπάτωρ ἐναυπηγήσατο. μῆκος διακοσίων ὀγδοήκοντα πηχῶν, ὕψος δὲ ἕως ἀκροστολίου
πεντήκοντα, δυοῖν δεόντων. ναύτας δὲ χωρὶς ἐρετῶν ἐξηρτυμένην τετρακοσίους. ἐρέταις δὲ τετρακι-
σχιλίοις. χωρὶς δὲ τούτων ὁπλίτας δεχομένην, ἐπί τε τῶν παρόδων καὶ τοῦ καταστώματος, ὀλίγῳ τρι- καταστρώματος. π.
σχιλίων ἀποδέοντας. ἀλλὰ θέαν μόνην ἐκείνη παρέσχε. καὶ μικρὸν ὅσον διαφέρουσα τῶν μονίμων οἰ-
κοδομημάτων φανεῖσα πρὸς ἐπίδειξιν οὐ χρείαν, ἐπισφαλῶς καὶ δυσέργως ἐκινήθη. τῶν δὲ δημη- δυσόργως. q.
τρίου νεῶν, οὐκ ἦν τὸ καλὸν ἀναγώνιστον, οὐδὲ τῷ περιττῷ τῆς κατασκευῆς ἀπεστεροῦντο τὴν χρείαν. ἀλ-
λὰ τὸ τάχος καὶ τὸ ἔργον ἀξιοθεατότερον τοῦ μεγέθους παρεῖχον. αἰρομένης οὖν τοσαύτης δυνάμεως
ἐπὶ τὴν ἀσίαν, ὅσην μετ᾽ ἀλέξανδρον οὐδεὶς ἔσχε πρότερον, οἱ τρεῖς συνέστησαν ἐπὶ δημήτριον, σέλευ-
κος, πτολεμαῖος, λυσίμαχος. ἔπειτα κοινῇ πρὸς πύρρον ἀποστείλαντες, ἐκέλευον ἐξάπτεσθαι μακεδο-
νίας. καὶ μὴ νομίζειν σπονδὰς, ἃς δημήτριος οὐκ ἐκείνῳ τῷ μὴ πολεμεῖσθαι δέδωκεν, ἀλλ᾽ εἴληφεν ἑ-
αυτῷ, τὸ πολεμεῖν οἷς βούλεται πρότερον. δεξαμένου δὲ πύρρου, πολὺς περιέστη πόλεμος, ἔτι μέλ-
λοντα δημήτριον. ἅμα γὰρ τὴν μὲν ἑλλάδα περιιὼν στόλῳ μεγάλῳ πτολεμαῖος ἀφίστη. μακεδο-
νίαν δὲ, λυσίμαχος ἐκ θρᾴκης. ἐκ δὲ τῆς ὁμόρου, πύρρος, ἐμβαλόντες ἐλεηλάτουν. ὁ δὲ, τὸν μὲν υἱὸν, ἐπὶ
τῆς ἑλλάδος κατέλιπεν. αὐτὸς δὲ βοηθῶν μακεδονίᾳ, πρῶτον ὥρμησεν ἐπὶ λυσίμαχον. ἀγγέλλεται
δὲ αὐτῷ πύρρος ᾑρηκὼς πόλιν βέρροιαν. καὶ τοῦ λόγου ταχέως εἰς τοὺς μακεδόνας ἐμπεσόντος, οὐδὲν
ἔτι τῷ δημητρίῳ κατὰ κόσμον εἶχεν. ἀλλὰ καὶ ὀδυρμῶν καὶ δακρύων καὶ πρὸς ἐκεῖνον ὀργῆς καὶ βλα-
σφημιῶν, μεστὸν ἦν τὸ στράτευμα, καὶ συμμένειν οὐκ ἤθελον, ἀλλ᾽ ἀπιέναι. τῷ μὲν λόγῳ πρὸς τὰ οἴκοι.
τῇ δὲ ἀληθείᾳ, πρὸς τὸν λυσίμαχον. ἔδοξεν οὖν τῷ δημητρίῳ, λυσιμάχου μὲν ἀποστῆναι ποῤῥωτάτω,
πρὸς δὲ πύρρον τραπέσθαι. τὸν μὲν γὰρ ὁμόφυλον εἶναι καὶ πολλοῖς συνήθη δι᾽ ἀλέξανδρον. ἐπήλυ- τρέπεσθαι. π.
δα δὲ καὶ ξένον ἄνδρα τὸν πύρρον οὐκ ἂν αὐτοῦ προτιμῆσαι μακεδόνας. τούτων μέντοι πολὺ διεψεύσθη
τῶν λογισμῶν. ὡς γὰρ ἐγγὺς ἐλθὼν τῷ πύρρῳ παρεστρατοπέδευσεν, ἀεὶ μὲν αὐτοῦ τὴν ἐν τοῖς ὅπλοις
λαμπρότητα θαυμάζοντες. ἔκ τε τοῦ παλαιοτάτου βασιλικώτατον ἐθισμένοι νομίζειν τὸν ἐν τοῖς
ὅπλοις κράτιστον, τότε δὲ, καὶ πράως κεχρῆσθαι τοῖς ἁλισκομένοις πυνθανόμενοι. πάντες δὲ καὶ πρὸς
ἕτερον καὶ πρὸς ἐκεῖνον ἀπαλλαγῆναι τοῦ δημητρίου ζητοῦντες, ἀπεχώρουν λάθρα καὶ κατ᾽ ὀλίγους,
τό γε πρῶτον. εἶτα φανερῶς ἅπαν εἶχε κίνησιν καὶ ταραχὴν τὸ στρατόπεδον. τέλος δὲ τῷ δημητρίῳ
τολμήσαντες τινὲς προσελθεῖν, ἐκέλευον ἀπιέναι καὶ σώζειν αὑτόν. ἀπειρηκέναι γὰρ ἤδη μακεδόνας,
ὑπὲρ τῆς ἐκείνου τρυφῆς πολεμοῦντας. οὗτοι μετριώτατοι τῶν λόγων ἐφαίνοντο τῷ δημητρίῳ πρὸς
τὴν τῶν ἄλλων τραχύτητα. καὶ παρελθὼν ἐπὶ σκηνὴν, ὥσπερ οὐ βασιλεὺς, ἀλλ᾽ ὑποκριτὴς, με- μεταμπίσχεται. π.
ταμφιέννυται χλαμύδα φαιὰν ἀντὶ τῆς τραγικῆς ἐκείνης. καὶ διαλαθὼν, ὑπεχώρησεν. ὁρμησάντων
δὲ τῶν πλείστων εὐθὺς ἐφ᾽ ἁρπαγὴν, καὶ πρὸς ἀλλήλους διαμαχομένων, καὶ τὴν σκηνὴν διασπώντων,
ἐπιφανεὶς ὁ πύρρος, ἐκράτησεν αὐτοβοεὶ καὶ κατέσχε τὸ στρατόπεδον. καὶ γίνεται πρὸς λυσίμαχον αὐ-
τῷ συμπάσης μακεδονίας νέμησις, ἑπταετίαν ὑπὸ δημητρίου βεβαίως ἀρχθείσης. οὕτω δὲ τοῦ δημη-
τρίου τῶν πραγμάτων ἐκπεσόντος καὶ καταφυγόντος εἰς κασάνδρειαν, ἡ γυνὴ φίλα περιπαθὴς κασάνδρειαν. π. κ.
γενομένη, προσιδεῖν μὲν οὐχ ὑπέμεινεν αὖθις ἰδιώτην, καὶ φυγάδα τὸν τλημονέστατον βασιλέων δημή-
τριον. ἀπειπαμένη δὲ πᾶσαν ἐλπίδα καὶ μισήσασα τὴν τύχην αὐτοῦ, βεβαιοτέραν ἐν τοῖς κακοῖς
οὖσαν ἢ τοῖς ἀγαθοῖς, πιοῦσα φάρμακον ἀπέθανε. δημήτριος δὲ ἔτι τῶν λοιπῶν ναυαγίων ἔχεσθαι δια-
νοηθεὶς, ἀπῆρεν εἰς τὴν ἑλλάδα. καὶ τοὺς ἐκεῖ στρατηγοὺς καὶ φίλους συνῆγεν. ἣν οὖν ὁ σοφοκλέους με-
νέλαος εἰκόνα ταῖς αὐτοῦ τύχαις παρατίθησιν.

» ἀλλ᾽ οὑμὸς ἀεὶ πότμος ἐν πυκνῷ θεοῦ
» τροχῷ κυκλεῖται, καὶ μεταλλάσσει φύσιν.
» ὥσπερ σελήνης δ᾽ ὄψις εὐφρόναις δύο
» στῆναι δύναιτ᾽ ἂν οὔποτ᾽ ἐν μορφῇ μιᾷ.
» ἀλλ᾽ ἐξ ἀδήλου πρῶτον ἔρχεται νέα,
» πρόσωπα καλλύνουσα καὶ πληρουμένη.
» χὤταν περ αὑτῆς εὐγενεστάτη φανῇ,
» πάλιν διαρρεῖ κἀπὶ μηδὲν ἔρχεται.

ταύτῃ μᾶλλον ἄν τις ἀπεικάσαι τὰ δημητρίου πράγμα- κἀπὶ τὸ. π. κ.ς.
τα καὶ τὰς περὶ αὐτὸν αὐξήσεις καὶ φθίσεις καὶ ἀναπληρώσεις καὶ ταπεινότητας. οὗ γε καὶ τότε
παντάπασιν ἀπολείπειν καὶ κατασβέννυσθαι δοκοῦντος, ἀνέλαμπεν αὖθις ἡ ἀρχή. καὶ δυνάμεις

δι διαμέτρον. suid. διάμετρον δὲ ... λέγει ... ἀπὸ τοῦ δικαίως μεμετρημένου. Hesych. διάμετρος ... μετρική. καὶ γὰρ ... ἀποθνήσκουσι λόγον ... τοὺς μετρ...

καταστήσας μυρίους ὁπλίτας καὶ χιλίους ἱππεῖς, αὖθις ἐνέκειτο ταῖς Θήβαις, καὶ προσῆγε τὴν λεγομένην ἑλέπολιν, πολυπόνως καὶ κατὰ μικρὸν ὑπὸ βάρους καὶ μεγέθους μοχλευομένην, ὡς μόλις ἐν δυσὶ μησί, δύο σταδίους προελθεῖν, τῶν δὲ Βοιωτῶν ἐρρωμένως ἀμυνομένων. καὶ τοῦ Δημητρίου πολλάκις φιλονεικίας ἕνεκα μᾶλλον ἢ χρείας, μάχεσθαι καὶ κινδυνεύειν τοὺς στρατιώτας ἀναγκάζοντος, ὁρῶν ὁ Ἀντίγονος πίπτοντας οὐκ ὀλίγους καὶ περιπαθῶν, τί ὦ πάτερ ἔφη παραναλισκομένους οὐκ ἀναγκαίως τούτους περιορῶμεν. ὁ δέ, παροξυνθείς, σὺ δὲ ἔφη τί δυσχεραίνεις. ἢ διάμετρον ὀφείλεις τοῖς ἀποθνήσκουσιν. οὐ μὴν ἀλλὰ καὶ βουλόμενός γε μὴ δοκεῖν ἑτέρων ἀφειδεῖν μόνον, ἀλλὰ καὶ συγκινδυνεύειν τοῖς μαχομένοις, διελαύνεται τὸν τράχηλον ὀξεῖ βέλει. καὶ δεινῶς μὲν ἔσχεν, οὐ μὴν ἀνῆκεν. ἀλλὰ εἷλε τὰς Θήβας πάλιν. καὶ παρελθών, ἀνάστασιν μὲν καὶ φόβον ὡς τὰ δεινότατα πεισομένοις παρέσχεν. ἀνελὼν δὲ τρισκαίδεκα καὶ μεταστήσας τινάς, ἀφῆκε τοὺς ἄλλους. ταῖς μὲν οὖν Θήβαις οὔπω δέκατον οἰκουμέναις ἔτος, ἁλῶναι δὶς ἐν τῷ χρόνῳ τούτῳ συνέπεσε. τῶν δὲ Πυθίων καθηκόντων, πρᾶγμα καινότατον ἐπέτρεψεν αὑτῷ ποιεῖν ὁ Δημήτριος. ἐπεὶ γὰρ Αἰτωλοὶ τὰ περὶ Δελφοὺς στενὰ κατεῖχον, ἐν Ἀθήναις αὐτὸς ἦγε τὸν ἀγῶνα καὶ τὴν πανήγυριν, ὡς δὴ προσῆκον αὐτόθι μάλιστα τιμᾶσθαι τὸν θεόν. ὃς δὴ καὶ πατρῷός ἐστι καὶ λέγεται τοῦ γένους ἀρχηγός. ἐντεῦθεν ἐπανελθὼν εἰς Μακεδονίαν, καὶ μήτε αὐτὸς ἄγειν ἡσυχίαν πεφυκώς. τούς τε ἄλλους ὁρῶν ἐν ταῖς στρατείαις μᾶλλον αὐτῷ προσέχοντας, οἴκοι δὲ ταραχώδεις καὶ πολυπράγμονας ὄντας, ἐστράτευσεν ἐπ' Αἰτωλούς, καὶ τὴν χώραν κακώσας, καὶ Πάνταυχον ἐν αὐτῇ, μέρος ἔχοντα τῆς δυνάμεως οὐκ ὀλίγον ἀπολιπών, αὐτὸς ἐπὶ Πύρρον αὐτὸς ἐχώρει. καὶ Πύρρος ἐπ' ἐκεῖνον. ἀλλήλων δὲ διαμαρτόντες, ὁ μέν, ἐπόρθει τὴν Ἤπειρον. ὁ δέ, Πανταύχῳ περιπεσὼν καὶ μάχην συνάψας, αὐτὸν μὲν ἄχρι τοῦ δοῦναι καὶ λαβεῖν πληγὰς ἐν χερσὶ γενόμενον, ἐτρέψατο. τῶν δὲ ἄλλων, πολλοὺς μὲν ἀπέκτεινεν. ἐζώγρησε δὲ πεντακισχιλίους, καὶ τοῦτο μάλιστα Δημήτριον ἐκάκωσεν. οὐ γὰρ οὕτω μισηθεὶς ὁ Πύρρος ἀφ' ὧν ἔπραξεν, ὡς θαυμασθεὶς διὰ τὸ πλεῖστα τῇ χειρὶ κατεργάσασθαι, μέγα τι καὶ λαμπρὸν ἔσχεν ἀπὸ τῆς μάχης ἐκείνης ὄνομα παρὰ τοῖς Μακεδόσι. καὶ πολλοῖς ἐπῄει λέγειν τῶν Μακεδόνων, ὡς ἐν μόνῳ τούτῳ τῶν βασιλέων, εἴδωλον ἐνορῷτο τῆς Ἀλεξάνδρου τόλμης. οἱ δὲ ἄλλοι καὶ μάλιστα Δημήτριος ὡς ἐπὶ σκηνῆς τὸ βάρος ὑποκρίνοιντο καὶ τὸν ὄγκον τοῦ ἀνδρός. ἦν δὲ ὡς ἀληθῶς τραγῳδία μεγάλη περὶ τὸν Δημήτριον, οὐ μόνον ἀμπεχόμενον καὶ διαδούμενον περιττῶς καυσίαις διμήτροις, καὶ χρυσοπαρύφοις ἁλουργίσιν, ἀλλὰ καὶ περὶ τοῖς ποσὶν ἐκ πορφύρας ἀκράτου συμπεπιλημένης χρυσοβαφεῖς πεποιημένον ἐμβάδας. ἦν δέ τις ὑφαινομένη χλαμὺς αὐτῷ πολὺν χρόνον ἔργον ὑπερήφανον, εἴκασμα τοῦ κόσμου καὶ τῶν κατ' οὐρανὸν φαινομένων. ὃ κατελείφθει μὲν ἡμιτελὲς ἐν τῇ μεταβολῇ τῶν πραγμάτων. οὐδεὶς δὲ ἐτόλμησεν αὐτῇ χρήσασθαι, καίπερ οὐκ ὀλίγων ὕστερον ἐν Μακεδονίᾳ σοβαρῶν γενομένων βασιλέων. οὐ μόνον δὲ τούτοις τοῖς θεάμασιν ἐλύπει τοὺς ἀνθρώπους ἀήθεις ὄντας, ἀλλὰ καὶ τρυφὴν καὶ δίαιταν ἐβαρύνοντο. καὶ μάλιστα δὴ τὸ δυσόμιλον αὐτοῦ καὶ δυσπρόσοδον. ἢ γὰρ οὐ παρεῖχε καιρὸν ἐντυχεῖν. ἢ χαλεπὸς καὶ τραχὺς ἦν ἐντυγχάνουσιν. Ἀθηναίων μὲν γὰρ περὶ οὓς ἐσπουδάκει μάλιστα τῶν Ἑλλήνων, ἔτη δύο πρεσβείαν κατέσχεν. ἐκ Λακεδαίμονος δὲ ἑνὸς πρεσβευτοῦ παραγενομένου, καταφρονεῖσθαι δοκῶν, ἠγανάκτησεν. ἀστείως μέντοι καὶ λακωνικῶς ἐκεῖνος, εἰπόντος αὐτοῦ, τί σὺ λέγεις, ἕνα Λακεδαιμόνιοι πρεσβευτὴν ἔπεμψαν, ναὶ εἶπεν ὦ βασιλεῦ πρὸς ἕνα. δόξαντος δὲ αὐτοῦ ποτε δημοτικώτερον ἐξελαύνειν, καὶ πρὸς ἔντευξιν ἔχειν οὐκ ἀηδῶς, συνέδραμόν τινες ἐγγράφους ἀξιώσεις ἀναδιδόντες. δεξαμένου δὲ πάσας καὶ τῇ χλαμύδι συλλαβόντος, ἥσθησαν οἱ ἄνθρωποι καὶ παρηκολούθουν. ὡς δὲ ἦλθεν ἐπὶ τὴν τοῦ Ἀξίου γέφυραν, ἀναπτύξας τὴν χλαμύδα, πάσας εἰς τὸν ποταμὸν ἐξέρριψε. καὶ τοῦτο δὴ δεινῶς ἠνίασε τοὺς Μακεδόνας, ὑβρίζεσθαι δοκοῦντας, οὐ βασιλεύεσθαι. καὶ Φιλίππου μνημονεύοντας, ἢ τῶν μνημονευόντων ἀκούοντας ὡς μέτριος ἦν περὶ ταῦτα καὶ κοινός. καί ποτε πρεσβυτέρου γυναίου, κόπτοντος αὐτὸν ἐν παρόδῳ τινί, καὶ δεομένου πολλάκις ἀκουσθῆναι, φήσας μὴ σχολάζειν, ἐγκραγόντος ἐκείνου, καὶ μὴ βασίλευε εἰπόντος, δηχθεὶς σφόδρα καὶ πρὸς τούτῳ γενόμενος, ἀνέστρεψεν εἰς τὴν οἰκίαν, καὶ πάντα ποιησάμενος ὕστερα, τοῖς ἐντυχεῖν βουλομένοις, ἀρξάμενος ἀπὸ τῆς πρεσβύτιδος ἐκείνης ἐπὶ πολλὰς ἡμέρας ἐσχόλασεν. οὐδὲν γὰρ οὕτως τῷ βασιλεῖ προσήκει, ὡς τὸ τῆς δίκης ἔργον. Ἄρης μὲν γὰρ τύραννος, ὥς φησι Τιμόθεος, δὲ πάντων βασιλεὺς κατὰ Πίνδαρόν ἐστιν. καὶ τοὺς βασιλεῖς Ὅμηρός φησιν, οὐχ ἑλεπόλεις, οὐδὲ ναῦς χαλκήρεις, ἀλλὰ θέμιστας παρὰ τοῦ Διὸς λαμβάνοντας, ῥύεσθαι καὶ φυλάσσειν. καὶ τοῦ Διὸς οὐ τὸν πολεμικώτατον, οὐδὲ τὸν ἀδικώτατον καὶ φονικώτατον τῶν βασιλέων, ἀλλὰ τὸν δικαιότατον ὀαριστὴν καὶ μαθητὴν προσηγόρευκεν. ἀλλὰ Δημήτριος ἔχαιρε τῷ βασιλεῖ τῶν θεῶν, ἀνομοιοτάτην ἐπιγραφόμενος προσωνυμίαν. ὁ μὲν γὰρ, Πολιεὺς καὶ Πολιοῦχος. ὁ δέ, Πολιορκητὴς ἐπίκλησιν ἔχων. οὕτως ἐπὶ τὴν τοῦ καλοῦ χώραν, τὸ αἰσχρὸν ὑπὸ δυνάμεως ἀμαθοῦς ἐπελθὸν συνῳκείωσε τῇ δόξῃ τὴν ἀδικίαν. ὁ δ' οὖν Δημήτριος ἐπισφαλέστατα νοσήσας ἐν Πέλλῃ, μικροῦ τότε Μακεδονίαν ἀπέβαλε, καταδραμόντος ὀξέως Πύρρου. καὶ μέχρις Ἐδέσσης προελθόντος. ἅμα δὲ τῷ

μὲν ὁρῷτο π

δημίτροις legendum, ut in habet. n Venetus codex ex Venetiana Bibliotheca. n.

πτύχα π.

ὁ νόμος. π.κ.

σημεῖον ἀπολογήσασθαι, θαρρεῖν παρεῖναι, καὶ δέχεσθαι φιλανθρώπως αὐτόν. ὡς δὲ ἦλθεν οὐ μακρῶν ἐδέησεν αὐτῷ λόγων, ἀλλὰ τῷ μισεῖν μὲν ἀντίπατρον φονέα τῆς μητρὸς ὄντα. βελτίονος δὲ ἀπορεῖν, ἐκεῖνον ἀνηγόρευσαν βασιλέα μακεδόνων. καὶ παραλαβόντες αὐτὸν, κατῆγον εἰς μακεδονίαν. ἦν δὲ καὶ τοῖς οἴκοι μακεδόσιν, οὐκ ἀκούσιος ἡ μεταβολὴ, μεμνημένοις ἀεὶ καὶ μισοῦσιν, ἃ κάσανδρος εἰς ἀλέξανδρον τεθνηκότα παρηνόμησεν. εἰ δέ τις ἔτι μνήμη τῆς ἀντιπάτρου τοῦ παλαιοῦ μετριότητος ὑπελείπετο, καὶ ταύτην δημήτριος ἐκαρποῦτο φίλαν συνοικῶν, καὶ τὸν ἐξ ἐκείνης υἱὸν, ἔχων διάδοχον τῆς ἀρχῆς, ἤδη τότε μειράκιον ὄντα καὶ τῷ πατρὶ συστρατευόμενον. οὕτω δὲ λαμπρᾷ κεχρημένος εὐτυχίᾳ, πυνθάνεται μὲν περὶ τῶν τέκνων καὶ τῆς μητρὸς, ὡς ἀφεῖνται, δῶρα καὶ τιμὰς πτολεμαίου προσθέντος αὐτοῖς. πυνθάνεται δὲ περὶ τῆς σελεύκῳ γαμηθείσης θυγατρὸς, ὡς ἀντιόχῳ τῷ σελεύκου συνοικεῖ, καὶ βασίλισσα τῶν ἄνω βαρβάρων ἀνηγόρευται. συνέβη γὰρ ὡς ἔοικε τὸν ἀντίοχον ἐρασθέντα τῆς στρατονίκης νέας οὔσης, ἤδη δὲ παιδίον ἐχούσης ἐκ τοῦ σελεύκου, διακεῖσθαι κακῶς. καὶ πολλὰ ποιεῖν τῷ πάθει διαμαχόμενον. τέλος δὲ αὐτοῦ καταγνόντα, ἐφ' ἃ μὲν ἐπιθυμεῖν, ἀνήκεστα δὲ νοσεῖν. κεκρατεῖσθαι δὲ τῷ λογισμῷ, τρόπον ἀπαλλαγῆς τοῦ βίου ζητῶν, καὶ παραλύειν ἀτρέμα, καὶ θεραπείας ἀμελείᾳ καὶ τροφῆς ἀποχῇ, τὸ σῶμα νοσεῖν τινὰ νόσον σκηπτόμενον. ἐρασίστρατον δὲ τὸν ἰατρὸν, αἰσθέσθαι μὲν οὐ χαλεπῶς ἐρῶντος αὐτοῦ. τὸ δὲ οὗτινος ἐρᾷ δυστόπαστον ὂν, ἐξανευρεῖν βουλόμενον, ἀεὶ μὲν ἐν τῷ δωματίῳ διημερεύειν. εἰ δέ τις εἰσίοι τῶν ἐν ὥρᾳ μειρακίων ἢ γυναικῶν, ἐγκαθορᾶν τε τῷ προσώπῳ τοῦ ἀντιόχου, καὶ τὰ συμπάσχειν μάλιστα τῇ ψυχῇ τρεπομένῃ πεφυκότα μέρη καὶ κινήματα τοῦ σώματος ἐπισκοπεῖν. ὡς οὖν τῶν μὲν ἄλλων εἰσιόντων ὁμοίως εἶχε. τῆς δὲ στρατονίκης, καὶ καθ' ἑαυτὴν, καὶ μετὰ τοῦ σελεύκου φοιτώσης πολλάκις, ἐγίνετο τὰ τῆς σαπφοῦς ἐκεῖνα, περὶ αὐτὸν πάντα. φωνῆς ἐπίσχεσις. ἐρύθημα πυρῶδες. ὄψεων ὑπολείψεις. ἱδρῶτες ὀξεῖς. ἀταξία καὶ θόρυβος ἐν τοῖς σφυγμοῖς. τέλος δὲ τῆς ψυχῆς κατὰ κράτος ἡττωμένης, ἀπορία καὶ θάμβος, καὶ ὠχρίασις. ἐπὶ τούτοις προσλογιζόμενον τὸν ἐρασίστρατον κατὰ τὸ εἰκὸς, ὡς οὐκ ἂν ἑτέρας ἐρῶν, βασιλέως υἱὸς, ἐνεκαρτέρει τῷ σιωπᾶν μέχρι θανάτου, χαλεπὸν μὲν ἡγεῖσθαι τὸ φράσαι ταῦτα καὶ κατειπεῖν. οὐ μὴν ἀλλὰ πιστεύοντα τῇ πρὸς τὸν υἱὸν εὐνοίᾳ τοῦ σελεύκου, παρακινδυνεῦσαι ποτὲ καὶ εἰπεῖν. ὡς ἔρως μὲν εἴη τοῦ νεανίσκου τὸ πάθος. ἔρως δὲ ἀδύνατος καὶ ἀνίατος. ἐκπλαγέντος δὲ ἐκείνου καὶ πυνθανομένου, πῶς ἀνίατος. ὅτι νὴ δία φάναι τὸν ἐρασίστρατον, ἐρᾷ τῆς ἐμῆς γυναικός. εἶτα οὐκ ἂν εἰπεῖν τὸν σέλευκον ἐπιδοίης ἐρασίστρατε τῷ ἐμῷ παιδὶ φίλος ὢν τὸν γάμον. καὶ ταῦτα ὁρῶν ἡμᾶς ἐπὶ τούτῳ μόνῳ σαλεύοντας; οὐδὲ γὰρ ἂν σὺ φάναι [illegible] πατὴρ ὢν ἐποίησας, εἰ στρατονίκης ἀντίοχος ἐπεθύμησε. καὶ τὸν σέλευκον, εἰ γὰρ ὦ ἑταῖρε ἐπὶ ταχὺ μεταστρέψαι τις ἐπὶ ταῦτα καὶ μεταβάλοι θεῶν ἢ ἀνθρώπων τὸ πάθος. ὡς ἐμοὶ καὶ τὴν βασιλείαν ἀφεῖναι καλὸν, ἀντιόχου περιεχομένῳ. ταῦτα ἐμπαθῶς σφόδρα τοῦ σελεύκου μετὰ πολλῶν δακρύων λέγοντος, ἐμβαλόντα τὴν δεξιὰν αὐτῷ τὸν ἐρασίστρατον εἰπεῖν. ὡς οὐδὲν ἐρασιστράτου δέοιτο. καὶ γὰρ πατὴρ καὶ ἀνὴρ ὢν καὶ βασιλεὺς, αὐτὸς ἅμα καὶ ἰατρὸς εἴη τῆς οἰκίας ἄριστος. ἐκ τούτου τὸν σέλευκον ἐκκλησίαν ἀθροίσαντα πάνδημον εἰπεῖν, ὅτι βούλεται καὶ διέγνωκε, τῶν ἄνω πάντων τόπων, ἀντίοχον ἀποδεῖξαι βασιλέα, καὶ στρατονίκην βασιλίδα, ἀλλήλοις συνοικοῦντας. οἴεσθαι δὲ τὸν μὲν υἱὸν, εἰθισμένον ἅπαντα πείθεσθαι καὶ κατήκοον ὄντα, μηδὲν ἀντερεῖν αὐτῷ πρὸς τὸν γάμον. εἰ δ' ἡ γυνὴ τῷ μὴ νενομισμένῳ δυσκολαίνοι, παρακαλεῖν τοὺς φίλους, ὅπως διδάσκωσιν αὐτὴν καὶ πείθωσι, καλὰ καὶ δίκαια τὰ δοκοῦντα βασιλεῖ μετὰ τοῦ συμφέροντος ἡγεῖσθαι. τὸν μὲν οὖν ἀντιόχου καὶ στρατονίκης γάμον, ἐκ τοιαύτης γενέσθαι προφάσεως λέγουσι. δημήτριος δὲ μακεδονίαν καὶ θετταλίαν παρειληφὼς, ἔχων δὲ καὶ τῆς πελοποννήσου τὰ πλεῖστα, καὶ τῶν ἐντὸς ἰσθμοῦ μέγαρα καὶ ἀθήνας, ἐπὶ βοιωτοὺς ἐστράτευσε. καὶ πρῶτον μὲν ἐγένοντο συμβάσεις μέτριαι περὶ φιλίας πρὸς αὐτόν. ἔπειτα κλεωνύμου τοῦ σπαρτιάτου παραβαλόντος εἰς θήβας μετὰ στρατιᾶς, ἐπαρθέντες οἱ βοιωτοὶ, καὶ πίσιδος ἅμα τοῦ θεσπιέως, ὃς ἐπρώτευε δόξῃ καὶ δυνάμει, τότε συμπαρορμῶντος αὐτοὺς, ἀπέστησαν. ὡς δὲ ταῖς θήβαις ἐπαγαγὼν τὰς μηχανὰς ὁ δημήτριος ἐπολιόρκει, καὶ φοβηθεὶς ὑπεξῆλθεν ὁ κλεώνυμος, καταπλαγέντες οἱ βοιωτοὶ παρέδωκαν ἑαυτούς. ὁ δὲ, ταῖς πόλεσιν ἐμβαλὼν φρουρὰς, καὶ πραξάμενος πολλὰ χρήματα καὶ καταλιπὼν αὐτοῖς ἐπιμελητὴν καὶ ἁρμοστὴν ἱερώνυμον τὸν ἱστορικὸν, ἔδοξεν ἠπίως κεχρῆσθαι, καὶ μάλιστα διὰ πίσιν. ἑλὼν γὰρ αὐτὸν, οὐδὲν κακὸν ἐποίησεν, ἀλλὰ καὶ προσηγόρευσε καὶ φιλοφρονηθεὶς, πολέμαρχον ἐν θεσπιαῖς ἀπέδειξεν. οὐ πολλῷ δὲ ὕστερον ἁλίσκεται λυσίμαχος, ὑπὸ δρομιχαίτου, καὶ πρὸς τοῦτο κατὰ τάχος ὁρμήσαντος ἐπὶ θρᾴκην τοῦ δημητρίου, ὡς πρὸς ἔρημα καταληψομένου, πάλιν ἀπέστησαν οἱ βοιωτοί. καὶ λυσίμαχος ἅμα διειμένος ἀπηγγέλλετο. ταχέως οὖν καὶ πρὸς ὀργὴν ἀναστρέψας ὁ δημήτριος, εὗρεν ἡττημένους ὑπὸ τοῦ παιδὸς ἀντιγόνου μάχῃ τοὺς βοιωτοὺς, καὶ τὰς θήβας αὖθις ἐπολιόρκει. πύρρου δὲ θετταλίαν καταθέοντος, καὶ μέχρι θερμοπυλῶν παραφανέντος, ἀντίγονον ἐπὶ τῆς πολιορκίας καταλιπὼν, αὐτὸς ὥρμησεν ὑπ' ἐκεῖνον. ὀξέως δὲ φυγόντος, ἐν θετταλίᾳ

Handwritten margin notes (uncertain reading):

- ἑαυτοῦ
- ἐπιθυμῶν. π. κ. η.
- κεκρατῆσθαι π. π. κ.
- διημένος κ. η.
- ἐπ'. π. κ. κ.

χωρεῖν πολλῶν συνεμπεσόντων λέγεταί τι καὶ τοιοῦτον γενέσθαι. πατέρα καὶ υἱὸν ἐν οἰκήματι καθέζεσθαι τὰ καθ' ἑαυτοὺς ἀπεγνωκότας, ἐκ δὲ τῆς ὀροφῆς μῦν νεκρὸν ἐκπεσεῖν. τοὺς δὲ, ὡς εἶδον, ἀναπηδήσαντας ἀμφοτέρους, διαμάχεσθαι περὶ αὐτοῦ. τότε καὶ τὸν φιλόσοφον Ἐπίκουρον ἱστοροῦσι διαθρέψαι τοὺς συνήθεις, κυάμοις πρὸς ἀριθμὸν μετ' αὐτῶν διανεμόμενον. οὕτως οὖν τῆς πόλεως ἐχούσης, εἰσελθὼν ὁ Δημήτριος καὶ κελεύσας εἰς τὸ θέατρον ἀθροισθῆναι πάντας, ὅπλοις μὲν συνέφραξε τὴν σκηνὴν, καὶ δορυφόροις τὸ λογεῖον περιέλαβεν. αὐτὸς δὲ καταβὰς ὥσπερ οἱ τραγῳδοὶ διὰ τῶν ἄνω παρόδων, ἔτι μᾶλλον ἐκπεπληγμένων τῶν Ἀθηναίων, τὴν ἀρχὴν τοῦ λόγου πέρας ἐποιήσατο τοῦ δέους αὐτῶν. καὶ γὰρ τόνου φωνῆς καὶ ῥημάτων πικρίας φεισάμενος, ἐλαφρῶς δὲ καὶ φιλικῶς μεμψάμενος αὐτοὺς διηλλάττετο. καὶ δέκα μυριάδας σίτου μεδίμνων ἐπέδωκε. καὶ κατέστησεν ἀρχὰς, αἳ μάλιστα τῷ δήμῳ προσφιλεῖς ἦσαν. συνιδὼν δὲ Δρομοκλείδης ὁ ῥήτωρ ὑπὸ χαρᾶς τὸν δῆμον ἔν τε φωναῖς ὄντα παντοδαπαῖς, καὶ τοὺς ἀπὸ τοῦ βήματος ἐπαίνους τῶν δημαγωγῶν ἁμιλλώμενον ὑπερβαλέσθαι, γνώμην ἔγραψε Δημητρίῳ τῷ βασιλεῖ τὸν Πειραιᾶ παραδοθῆναι καὶ τὴν Μουνυχίαν. ἐπιψηφισθέντων δὲ τούτων ὁ Δημήτριος αὐτὸς, ἐφ' ἑαυτοῦ προσενέβαλε φρουρὰν εἰς τὸ Μουσεῖον, ὡς μὴ πάλιν ἀναχαιτίσαντα τὸν δῆμον, ἀσχολίας αὐτῷ πραγμάτων ἑτέρων παρασχεῖν. ἐχομένων δὲ τῶν Ἀθηναίων, εὐθὺς ἐπεβούλευε τῇ Λακεδαίμονι. καὶ περὶ Μαντίνειαν Ἀρχιδάμου τοῦ βασιλέως ἀπαντήσαντος αὐτῷ, νικήσας μάχῃ, καὶ τρεψάμενος, εἰς τὴν Λακωνικὴν ἐνέβαλε. καὶ πρὸς αὐτῇ τῇ Σπάρτῃ, πάλιν ἐκ παρατάξεως ἑλὼν πεντακοσίους, καὶ διαφθείρας διακοσίους, ὅσον οὔπω τὴν πόλιν ἔχειν ἐδόκει, μέχρι τῶν χρόνων ἐκείνων ἀνάλωτον οὖσαν. ἀλλ' ἡ τύχη περὶ οὐδένα τῶν βασιλέων ἔοικεν οὕτω τροπὰς λαβεῖν μεγάλας καὶ ταχείας. οὐδ' ἐν ἑτέροις πράγμασι τοσαυτάκις μικρὰ καὶ πάλιν μεγάλη. καὶ ταπεινὴ μὲν ἐκ λαμπρᾶς, ἰσχυρὰ δὲ αὖθις ἐκ φαύλης γενέσθαι. διὸ καί φασιν αὐτὸν ἐν ταῖς χείροσι μεταβολαῖς, πρὸς τὴν τύχην ἀναφθέγγεσθαι τὸ Αἰσχύλειον. σύ τοί με ἔφυσας, σύ με καταίθειν μοι δοκεῖς. καὶ γὰρ τότε τῶν πραγμάτων οὕτως εὐπόρως αὐτῷ πρὸς ἀρχὴν καὶ δύναμιν ἐπιδιδόντων, ἀγγέλλεται Λυσίμαχος μὲν πρῶτος ἀφῃρημένος αὐτοῦ τὰς ἐν Ἀσίᾳ πόλεις. Κύπρον δὲ Πτολεμαῖος ᾑρηκὼς, αὖ μιᾶς πόλεως Σαλαμῖνος. ἐν δὲ Σαλαμῖνι πολιορκῶν τοὺς παῖδας αὐτοῦ καὶ τὴν μητέρα κατειλημμένους. οὐ μὴν ἀλλὰ καὶ ἡ τύχη καθάπερ ἡ παρ' Ἀρχιλόχῳ γυνή, τῇ μὲν ὕδωρ ἐφόρει δολοφρονέουσα χειρί, τῇ δ' ἑτέρῃ πῦρ, δεινοῖς αὐτὸν οὕτω καὶ φοβεροῖς ἀγγέλμασιν ἀποσπάσασα τῆς Λακεδαίμονος, εὐθὺς ἑτέρας πραγμάτων καινῶν καὶ μεγάλων ἐπήνεγκεν ἐλπίδας ἐκ τοιαύτης αἰτίας. ἐπεὶ Κασάνδρου τελευτήσαντος ὁ πρεσβύτατος αὐτοῦ τῶν παίδων Φίλιππος, οὐ πολὺν χρόνον βασιλεύσας Μακεδόνων, ἀπέθανεν, οἱ λοιποὶ δύο πρὸς ἀλλήλους ἐστασίαζον. θατέρου δὲ αὐτῶν Ἀντιπάτρου, τὴν μητέρα Θεσσαλονίκην φονεύσαντος, ἅτερος ἐκάλει βοηθοὺς, ἐκ μὲν Ἠπείρου, Πύρρον. ἐκ δὲ Πελοποννήσου, Δημήτριον. ἔφθασε δὲ Πύρρος ἐλθὼν, καὶ πολὺ μέρος Μακεδονίας ἀποτεμόμενος, τῆς βοηθείας μισθὸν, φοβερὸς μὲν ἦν ἤδη παροικῶν Ἀλεξάνδρῳ. Δημητρίου δὲ ὡς ἐδέξατο τὰ γράμματα μετὰ τῆς δυνάμεως προσιόντος, ἔτι μᾶλλον ὁ νεανίας δείσας, φοβηθεὶς διὰ τὸ ἀξίωμα καὶ τὴν δόξαν, ἀπήντησεν αὐτῷ περὶ Δῖον, ἀσπαζόμενος μὲν καὶ φιλοφρονούμενος, οὐδὲν δὲ φάσκων ἔτι τῆς ἐκείνου δεῖσθαι τὰ πράγματα παρουσίας. ἦσαν οὖν ἐκ τούτων ὑποψίαι πρὸς ἀλλήλους αὐτοῖς. καὶ βαδίζοντι Δημητρίῳ πρὸς δεῖπνον ὑπὸ τοῦ νεανίσκου παρακεκλημένῳ μηνύει τις ἐπιβουλὴν ὡς ἐν αὐτῷ τῷ πότῳ μελλόντων αὐτὸν ἀνελεῖν. ὁ δὲ, μηδὲν παραχθεὶς, ἀλλὰ μικρὸν ὑφεὶς τῆς πορείας, ἐκέλευσε τοὺς μὲν ἡγεμόνας ἐν τοῖς ὅπλοις τὴν στρατείαν ἔχειν. ἀκολουθοῦσι δὲ καὶ παῖδας ὅσοι περὶ αὐτὸν ἦσαν. ἦσαν δὲ πολὺ πλείους τῶν Ἀλεξάνδρου, συνεισελθεῖν εἰς τὸν ἀνδρῶνα καὶ παραμένειν ἄχρις ἂν ἐξαναστῇ. ταῦτα δείσαντες οἱ περὶ τὸν Ἀλέξανδρον, οὐκ ἐτόλμησαν ἐπιχειρῆσαι. καὶ ὁ μὲν Δημήτριος, οὐκ ἔχειν αὐτῷ τὸ σῶμα ποτικῶς σκηψάμενος, ἀπῆλθε διὰ ταχέων. τῇ δὲ ὑστεραίᾳ περὶ ἀναζυγὴν εἶχε, πράγματα νεώτερα προσπεπτωκέναι φάμενος αὐτῷ. καὶ παρῃτεῖτο συγγνώμην ἔχειν τὸν Ἀλέξανδρον, εἰ τάχιον ἀπαίρει. συνέσεσθαι γὰρ αὐτῷ μᾶλλον ἄλλοτε σχολάζων. ἔχαιρεν οὖν Ἀλέξανδρος ὡς οὐ πρὸς ἔχθραν ἀλλ' ἑκουσίως ἐκ τῆς χώρας ἀπαίροντος αὐτοῦ. καὶ προέπεμπεν ἄχρι Θεσσαλίας. ἐπεὶ δὲ εἰς Λάρισαν ἧκον, αὖθις ἀλλήλοις ἐπήγγελλον ἑστιάσεις ἀντεπιβουλεύοντες. ὃ δὴ μάλιστα τὸν Ἀλέξανδρον ὑποχείριον ἐποίησε τῷ Δημητρίῳ. φυλάττεσθαι γὰρ ὀκνῶν, ὡς μὴ κἀκεῖνον ἀντιφυλάττεσθαι διδάξῃ, παθὼν ἔφθασε. δρᾶν μέλλοντος αὐτοῦ, μὴ διαφυγεῖν ἐκεῖνον, ὃ ἐμηχανᾶτο. R.S.1. κληθεὶς γὰρ ἐπὶ δεῖπνον, ἦλθε πρὸς τὸν Δημήτριον. ὡς δὲ ἐκεῖνος ἐξανέστη μεταξὺ δειπνῶν, φοβηθεὶς ὁ Ἀλέξανδρος συνεξανέστη, καὶ κατὰ πόδας αὐτῷ πρὸς τὰς θύρας συνηκολούθει. γενόμενος οὖν Δημήτριος πρὸς ταῖς θύραις κατὰ τοὺς ἑαυτοῦ δορυφόρους, καὶ τοσοῦτον μόνον εἰπὼν, κόπτε τὸν ἑπόμενον, αὐτὸς μὲν ὑπεξῆλθεν. ὁ δὲ Ἀλέξανδρος ὑπ' ἐκείνων κατεκόπη. καὶ τῶν φίλων οἱ προσβοηθοῦντες, ὧν ἕνα λέγουσι σφαττόμενον εἰπεῖν, ὡς ἐν ἡμέρᾳ μιᾷ φθάσειεν αὐτοὺς ὁ Δημήτριος. ἡ μὲν οὖν νὺξ, οἷον εἰκὸς, θόρυβον εἶχεν. ἅμα δὲ ἡμέρᾳ ταραττομένοις τοῖς Μακεδόσι, καὶ φοβουμένοις τὴν τοῦ Δημητρίου δύναμιν, ὡς ἐπῄει μὲν οὐδεὶς φοβερός. ὁ δὲ Δημήτριος ἔπεμπε βουλόμενος ἐντυχεῖν καὶ περὶ τῶν πεπραγμένων ἀπολο/

φυσᾶς. κ. κ.

Justinus Antipatrū nominat filiū Casandri. a quo est interfecta Thessalonice.

δρᾶν ὃ ἐμηχανᾶτο, μέλλοντος αὐτοῦ μὴ διαφυγεῖν ἐκεῖνον.

γμένων ἀπολο/

τὰς ἑαυτῶν ἀποβλέποντες, ἢ πιστεύουσιν ὡς τιμαῖς, ἢ ἀπιστοῦσιν ὡς ἀνάγκαις. ὡς οἵ γε δῆμοι πολλάκις ἐν αὐταῖς μάλιστα ταῖς τιμαῖς, μισοῦσι τοὺς ἀμέτρως καὶ ὑπερόγκως καὶ παρ᾽ ἀκόντων λαμβάνοντας. ὁ γοῦν δημήτριος τότε, δεινὰ μὲν ἡγούμενος πάσχειν, ἀδύνατος δὲ ὢν ἀμύνασθαι, προσέπεμψε τοῖς ἀθηναίοις ἐγκαλῶν μετρίως, ἀξιῶν δὲ τὰς ναῦς ἀπολαβεῖν, ἐν αἷς ἦν καὶ ἡ τρισκαιδεκήρης. κομισάμενος δὲ παρέπλευσεν εἰς ἰσθμόν. καὶ τῶν πραγμάτων αὐτῷ κακῶς ἐχόντων, ἐξέπιπτον γὰρ ἑκασταχόθεν αἱ φρουραὶ καὶ πάντα μεθίστατο πρὸς τοὺς πολεμίους, ἀπολιπὼν ἐπὶ τῆς ἑλλάδος πύρρον, αὐτὸς ἄρας ἐπὶ τὴν χερρόνησον ἔπλευσεν. καὶ κακῶς ἅμα ποιῶν λυσίμαχον, ὠφέλει καὶ συνεῖχε τὴν περὶ αὐτὸν δύναμιν, ἀρχομένην ἀναλαμβάνειν καὶ γίνεσθαι πάλιν οὐκ εὐκαταφρόνητον. ὁ δὲ λυσίμαχος, ὑπὸ τῶν ἄλλων βασιλέων ἠμελεῖτο. μηδὲν ἐπιεικέστερος ἐκείνου δοκῶν εἶναι, τῷ μᾶλλον ἰσχύειν, καὶ φοβερώτερος. οὐ πολλῷ δὲ ὕστερον σέλευκος ἐμνᾶτο πέμπων τὴν δημητρίου καὶ φίλας θυγατέρα, στρατονίκην. ἔχων μὲν ἐξ ἀπάμας τῆς περσίδος υἱὸν ἀντίοχον, οἰόμενος δὲ τὰ πράγματα καὶ διαδόχοις ἀρκεῖν πλείοσι. καὶ δεῖσθαι τῆς πρὸς ἐκεῖνον οἰκειότητος. ἐπεὶ καὶ λυσίμαχον ἑώρα τῶν πτολεμαίου θυγατέρων, τὴν μὲν, ἑαυτῷ, τὴν δέ, ἀγαθοκλεῖ τῷ υἱῷ λαμβάνοντα. δημητρίῳ δ᾽ ἦν ἀνέλπιστος εὐτυχία, κηδεῦσαι σελεύκῳ. καὶ τὴν κόρην ἀναλαβὼν ἔπλει ταῖς ναυσὶ πάσαις εἰς συρίαν. τῇ τε ἄλλῃ γῇ προσέχων ἀναγκαίως, καὶ τῆς κιλικίας ἁπτόμενος, ἣν πλείσταρχος ἦρχε μετὰ τὴν πρὸς ἀντίγονον μάχην, ἐξαίρετον αὐτῷ δοθεῖσαν ὑπὸ τῶν βασιλέων. ἦν δὲ κασσάνδρου πλείσταρχος ἀδελφός. ἀδικεῖσθαι δὲ τὴν χώραν αὐτοῦ νομίζων ὑπὸ δημητρίου κατὰ τὰς ἀποβάσεις. καὶ μέμψασθαι βουλόμενος τὸν σέλευκον, ὅτι τῷ κοινῷ διαλλάττεται πολεμίῳ, δίχα τῶν ἄλλων βασιλέων, ἀνέβη πρὸς αὐτόν. αἰσθόμενος δὲ τοῦτο δημήτριος, ὥρμησεν ἀπὸ θαλάττης ἐπὶ κυΐνδων. καὶ τῶν χρημάτων εὑρὼν ἔτι λοιπὰ χίλια διακόσια τάλαντα, ταῦτα συσκευασάμενος καὶ φθάσας ἐμβαλέσθαι, διὰ ταχέων ἀνήχθη. καὶ παρούσης ἤδη φίλας τῆς γυναικὸς αὐτῷ περὶ ὀρωσσὸν ἀπήντησε σέλευκος. καὶ τὴν ἔντευξιν εὐθὺς ἄδολον καὶ ἀνύποπτον καὶ βασιλικὴν ἐποιοῦντο. πρότερον μὲν σέλευκος ἑστιάσας ἐπὶ σκηνῇ ἐν τῷ στρατοπέδῳ, δημήτριον. αὖθις δὲ δημήτριος ἐκεῖνον ἐν τῇ τρισκαιδεκήρει δεξάμενος. ἦσαν δὲ καὶ σχολαὶ καὶ κοινολογίαι καὶ συνδιημερεύσεις, ἀφρουρῶν καὶ ἀνόπλων ἄχρις οὗ σέλευκος τὴν στρατονίκην ἀναλαβών, λαμπρῶς εἰς ἀντιόχειαν ἀνέβη. δημήτριος δέ, κιλικίαν κατέσχε. καὶ φίλαν τὴν γυναῖκα πρὸς κάσσανδρον ἔπεμψε τὸν ἀδελφόν, ἀπολυσομένην τὰς πλειστάρχου κατηγορίας. ἐν δὲ τούτῳ δηιδάμεια πλεύσασα, πρὸς αὐτὸν ἀπὸ τῆς ἑλλάδος. καὶ συγγενομένη χρόνον οὐ πολύν, ἐξ ἀρρωστίας τινὸς ἐτελεύτησε. γενομένης δὲ φιλίας πρὸς πτολεμαῖον αὐτῷ διὰ σελεύκου, ὡμολογήθη πτολεμαΐδα τὴν πτολεμαίου θυγατέρα, λαβεῖν αὐτὸν γυναῖκα. καὶ ταῦτα μὲν ἀστεῖα τοῦ σελεύκου. κιλικίαν δὲ ἀξιῶν χρήματα λαβόντα παραδοῦναι δημήτριον, ὡς οὐκ ἔπειθε, σιδῶνα καὶ τύρον ἀπαιτῶν πρὸς ὀργήν, ἐδόκει βίαιος εἶναι καὶ δεινὰ ποιεῖν, εἰ τὴν ἀπ᾽ ἰνδῶν ἄχρι τῆς κατὰ συρίαν θαλάσσης ἅπασαν ὑφ᾽ αὑτῷ πεποιημένος, οὕτως ἐνδεὴς ἔστιν ἔτι χρημάτων καὶ πτωχός, ὡς ὑπὲρ δυεῖν πόλεων ἀνδρὶ κηδεστῇ καὶ μεταβολῇ τύχης κεχρημένῳ, ἐλαύνειν. λαμπρὰν τῷ πλάτωνι μαρτυρίαν διδούς, διακελευομένῳ μὴ τὴν οὐσίαν πλείω, τὴν δὲ ἀπληστίαν ποιεῖν ἐλάσσω, τόν γε βουλόμενον ὡς ἀληθῶς εἶναι πλούσιον. ὡς ὅ, γε μὴ παύων φιλοπλουτίαν, οὔτε πενίας, οὔτε ἀπορίας ἀπήλλακται. οὐ μὴν ὑπέπτηξε δημήτριος. ἀλλὰ φήσας οὐδ᾽ ἂν μυριάκις ἡττηθῇ μάχας ἄλλας, ἐν ἰψῷ γαμβρὸν ἀγαπήσειν ἐπὶ μισθῷ σέλευκον, τὰς μὲν πόλεις ἐκρατύνατο φρουραῖς. αὐτὸς δὲ πυθόμενος λαχάρη στασιάζουσιν ἀθηναίοις ἐπιθέμενον τυραννεῖν, ἤλπισε ῥᾳδίως ἐπιφανείς, λήψεσθαι τὴν πόλιν. καὶ τὸ μὲν πέλαγος ἀσφαλῶς διεπεραιώθη μεγάλῳ στόλῳ. παρὰ δὲ τὴν ἀττικὴν παραπλέων, ἐχειμάσθη, καὶ τὰς πλείστας ἀπέβαλε τῶν νεῶν. καὶ συνδιεφθάρη, πλῆθος ἀνθρώπων οὐκ ὀλίγον. αὐτὸς δὲ σωθείς, ἥψατο μέν τινος πολέμου πρὸς τοὺς ἀθηναίους. ὡς δ᾽ οὐδὲν ἐπέραινε, πέμψας ναυτικὸν αὖθις ἀθροίσοντας, αὐτὸς εἰς πελοπόννησον παρῆλθε, καὶ μεσσήνην ἐπολιόρκει. καὶ προσμαχόμενος τοῖς τείχεσιν ἐκινδύνευσε, καταπελτικοῦ βέλους εἰς τὸ πρόσωπον αὐτῷ καὶ τὸ στόμα, διὰ τῆς σιαγόνος ἐμπεσόντος. ἀναληφθεὶς δὲ καὶ πόλεις τινὰς ἀφεστώσας προσαγόμενος, πάλιν εἰς τὴν ἀττικὴν ἐνέβαλε, καὶ κρατήσας ἐλευσῖνος καὶ ῥαμνοῦντος, ἔφθειρε τὴν χώραν καὶ ναῦν τινα λαβὼν ἔχουσαν σῖτον, καὶ εἰσάγουσαν τοῖς ἀθηναίοις, ἐκρέμασε τὸν ἔμπορον καὶ τὸν κυβερνήτην, ὥστε τῶν ἄλλων ἀποτρεπομένων διὰ φόβον, σύντονον λιμὸν ἐν ἄστει γενέσθαι. πρὸς δὲ τῷ λιμῷ, καὶ τῶν ἄλλων ἀπορίαν γίνεσθαι. ἁλῶν γοῦν μέδιμνον ὠνοῦντο τετταράκοντα δραχμῶν. ὁ δὲ τῶν πυρῶν μόδιος ὤνιος ἦν τριακοσίων. μικρὰν δὲ τοῖς ἀθηναίοις ἀναπνοὴν παρέσχον, ἑκατὸν πεντήκοντα νῆες φανεῖσαι περὶ αἴγιναν. ἃς ἔπεμψεν ἐπικούρους αὐτοῖς πτολεμαῖος. εἶτα δημητρίῳ πολλῶν μὲν ἐκ πελοποννήσου, πολλῶν δὲ ἀπὸ κύπρου νεῶν παραγενομένων, ὥστε συμπάσας ἀθροισθῆναι διακοσίας, ἔφυγον ἄραντες οἱ πτολεμαίου. καὶ λαχάρης ὁ τύραννος ἀπέδρα προέμενος τὴν πόλιν. οἱ δὲ ἀθηναῖοι καίπερ ψηφισάμενοι θάνατον, εἰ μνησθείη τὶς εἰρήνης καὶ διαλλαγῆς πρὸς δημήτριον, εὐθὺς ἀνέῳγνυσαν τὰς ἐγγὺς πύλας. καὶ πρέσβεις ἔπεμπον, οὐδὲν μὲν ἀπ᾽ ἐκείνου χρηστὸν προσδοκῶντες, ἐκβιαζομένης δὲ τῆς ἀπορίας ἐν ᾗ δυ-

τῆς ἀληθείας σκιὰν οὐδέν. οὐκ ᾤετο ταύτην εἶναι τὴν κρίσιν ἡ λαμία δικαίαν. οὐ γὰρ ἀπέλυσεν ἡ σκιὰ τῆς ἐπιθυμίας τοῦ ἀργυρίου τὴν ἑταίραν, τὸ δὲ ὄναρ, ἔπαυσεν ἐρῶντα τὸν νεανίσκον. ταῦτα μὲν οὖν περὶ λαμίας. τὴν δὲ διήγησιν, ὥσπερ ἐκ κωμικῆς σκηνῆς, πάλιν εἰς τραγικὴν μετάγουσιν αἱ τύχαι καὶ αἱ πράξεις τοῦ ἀνδρὸς, ὃν διηγούμεθα. τῶν γὰρ ἄλλων βασιλέων ἁπάντων συνισταμένων ἐπὶ τὸν ἀντίγονον καὶ συμφερόντων εἰς ταυτὸ τὰς δυνάμεις, ἀπῆρεν ὁ δημήτριος ἐκ τῆς ἑλλάδος. καὶ τῷ πατρὶ συμμίξας, φιλοτιμουμένῳ παρ' ἡλικίαν πρὸς τὸν πόλεμον, ἔτι μᾶλλον αὐτὸς ἐπερρώσθη. καίτοι δοκεῖ γε ἀντίγονος, εἰ μικρὰ δή τινα ὑφεῖτο, καὶ τῆς ἄγαν φιλαρχίας ἐχάλασε, μέχρι παντὸς ἂν αὑτῷ διαφυλάξαι, κἀκείνῳ καταλιπεῖν, τὸ πρῶτον εἶναι. φύσει δὲ βαρὺς ὢν, καὶ ὑπερόπτης. καὶ τοῖς λόγοις οὐχ ἧττον ἢ τοῖς πράγμασι τραχὺς, πολλοὺς καὶ νέους καὶ δυνατοὺς ἄνδρας, ἐξηγρίαινε καὶ παρώξυνε. καὶ τήν γε τότε σύστασιν καὶ κοινωνίαν αὐτῶν ἔλεγεν, ὥσπερ ὀρνίθων σπερμολόγων συνδρομὴν, ἐν λίθῳ καὶ ψόφῳ συνδιαταράξειν. ἦγε δὲ πεζοὺς μὲν ἑπτακισμυρίων πλείους. ἱππεῖς δὲ μυρίους. ἐλέφαντας δὲ ἑβδομήκοντα πέντε. τῶν ἐναντίων ἐχόντων, πεζοὺς μὲν, ἑξακισμυρίους καὶ τετρακισχιλίους. ἱππεῖς δὲ, πεντακοσίους τῶν ἐκείνου πλείονας. ἐλέφαντας δὲ τετρακοσίους, ἅρματα δὲ ἑκατὸν εἴκοσι. γενομένων δ' ἐγγὺς αὐτῷ, τροπὴν ἔσχεν ἡ διάνοια τῆς ἐλπίδος μᾶλλον ἢ τῆς γνώμης. ὑψηλὸς γὰρ εἶναι καὶ γαῦρος εἰωθὼς ἐν τοῖς ἀγῶσι. καὶ χρώμενος φωνῇ τε μεγάλῃ καὶ λόγοις σοβαροῖς, πολλάκις δὲ καὶ τῷ παρασκῶψαί τι καὶ γελοῖον εἰπεῖν, τῶν πολεμίων ἐν χερσὶν ὄντων, ἐπιδεικνύμενος εὐστάθειαν καὶ καταφρόνησιν, τότε σύννους ἑωρᾶτο καὶ σιωπηλὸς τὰ πολλά. καὶ τὸν υἱὸν ἀπέδειξε τῷ πλήθει καὶ συνέστησε διάδοχον. ὃ δὲ μάλιστα πάντες ἐθαύμασαν, ἐν τῇ σκηνῇ μόνος διελέχθη πρὸς αὐτόν. οὐκ εἰθισμένος ἔχειν οὐδὲ πρὸς ἐκεῖνον ἀπόρρητον κοινολογίας, ἀλλ' ἴδιος ὢν γνώμῃ. εἶτα πράττων φανερῶς καὶ χρώμενος οἷς βουλεύσαιτο καθ' ἑαυτόν. λέγεται γοῦν μειράκιον ἔτι ὄντα τὸν δημήτριον, αὐτοῦ πυθέσθαι, πότε μέλλουσιν ἀναζευγνύειν. τὸν δὲ εἰπεῖν πρὸς ὀργήν. ἀγωνιᾷς μὴ μόνος σὺ τῆς σάλπιγγος οὐκ ἀκούσεις. τότε μέντοι καὶ σημεῖα μοχθηρὰ κατεδούλου τὴν γνώμην αὐτῶν. δημήτριος μὲν γὰρ ἔδοξε κατὰ τοὺς ὕπνους ἀλέξανδρον ὡπλισμένον λαμπρῶς ἐρωτᾶν, ὁποῖόν τι σύνθημα διδόναι πρὸς τὴν μάχην μέλλουσιν. αὐτοῦ δὲ φήσαντος, δία καὶ νίκην. ἄπειμι τοίνυν φάναι πρὸς τοὺς ἐναντίους. ἐκεῖνοι γάρ με παραλαμβάνουσιν. ἀντίγονος δὲ παρατεταγμένης ἤδη τῆς φάλαγγος, ἐξιὼν, προσέπταισεν, ὥστε πεσεῖν ὅλος ἐπὶ στόμα καὶ διατεθῆναι χαλεπῶς. ἀναστὰς δὲ καὶ τὰς χεῖρας ἀνατείνας πρὸς τὸν οὐρανὸν, ᾐτήσατο νίκην παρὰ τῶν θεῶν, ἢ θάνατον ἀναίσθητον πρὸ τῆς ἥττης. γενομένης δὲ τῆς μάχης ἐν χερσὶ, δημήτριος ἔχων τοὺς πλείστους καὶ κρατίστους τῶν ἱππέων, ἀντιόχῳ τῷ σελεύκου συνέπεσε. καὶ μέχρι τροπῆς τῶν πολεμίων λαμπρῶς ἀγωνισάμενος, ἐν τῇ διώξει σοβαρᾷ καὶ φιλοτίμῳ παρὰ καιρὸν γενομένῃ, τὴν νίκην διέφθειρεν. αὐτὸς μὲν γὰρ οὐκ ἔσχε πάλιν, ἀναστρέψας συμμῖξαι τοῖς πεζοῖς, τῶν ἐλεφάντων ἐν μέσῳ γενομένων. τὴν δὲ φάλαγγα γυμνὴν ἱππέων κατιδόντες οἱ περὶ σέλευκον, οὐκ ἐνέβαλον μὲν, ὡς δὲ ἐμβαλοῦντες ἐφόβουν καὶ περιήλαυνον, μεταβάλλεσθαι διδόντες αὐτοῖς. ὃ καὶ συνέβη. πολὺ γὰρ μέρος ἀπορραγὲν, ἑκουσίως μετεχώρησε πρὸς ἐκείνους. τὸ δὲ λοιπὸν ἐτράπη. φερομένων δὲ πολλῶν ἐπὶ τὸν ἀντίγονον. καί τινος τῶν περὶ αὐτὸν εἰπόντος, ἐπὶ σὲ οὗτοι βασιλεῦ, τίνα γὰρ εἶπεν ἐμοῦ σκοπὸν ἔχουσιν. ἀλλὰ δημήτριος ἀφίξεται βοηθῶν. καὶ τοῦτο μέχρι παντὸς ἐλπίζων καὶ περισκοπῶν τὸν υἱὸν, ἅμα πολλῶν ἀκοντισμάτων εἰς αὐτὸν ἀφιέντων, ἔπεσε. καὶ τῶν ἄλλων ἀπολιπόντων ὀπαδῶν καὶ φίλων, μόνος παρέμεινε τῷ νεκρῷ θώραξ ὁ λαρισσαῖος. οὕτω δὲ κριθείσης τῆς μάχης, οἱ μὲν νενικηκότες βασιλεῖς τὴν ὑπ' ἀντιγόνῳ καὶ δημητρίῳ πᾶσαν ἀρχὴν, ὥσπερ μέγα σῶμα κατακόπτοντες, ἐλάμβανον μερίδας καὶ προσδιενείμαντο τὰς ἐκείνων ἐπαρχίας, ἃς εἶχον αὐτοὶ πρότερον. δημήτριος δὲ μετὰ πεντακισχιλίων πεζῶν καὶ τετρακισχιλίων ἱππέων φυγὼν καὶ συντόνως ἐλάσας εἰς ἔφεσον, οἰομένων ἁπάντων ἀποροῦντα χρημάτων αὐτὸν οὐκ ἀφέξεσθαι τοῦ ἱεροῦ, φοβηθεὶς τοὺς στρατιώτας μὴ τοῦτο ποιήσωσιν, ἀνέστη διὰ ταχέων. καὶ τὸν πλοῦν ἐπὶ τῆς ἑλλάδος ἐποιεῖτο, τῶν λοιπῶν ἐλπίδων ἐν ἀθηναίοις ἔχων τὰς μεγίστας. καὶ γὰρ καὶ ναῦς ἐκεῖ καὶ χρήματα καὶ γυναῖκα δηιδάμειαν ἐτύγχανε καταλελοιπώς. καὶ βεβαιοτέραν οὐκ ἐνόμιζε καταφυγὴν εἶναι τοῖς πράγμασι τῆς ἀθηναίων εὐνοίας. ὅθεν ἐπεὶ ἐπιγενομένῳ περὶ τὰς κυκλάδας αὐτῷ πρέσβεις ἀθηναίων ἀπήντησαν, ἀπέχεσθαι τῆς πόλεως παρακαλοῦντες, ὡς ἐψηφισμένου τοῦ δήμου, μηδένα δέχεσθαι τῇ πόλει τῶν βασιλέων. τὴν δὲ δηιδάμειαν εἰς μέγαρα ἐξέπεμψαν μετὰ τιμῆς καὶ πομπῆς πρεπούσης, τοῦ καθεστηκότος ἐξέστη δι' ὀργὴν αὑτοῦ. καίπερ ἐνεγκὼν ῥᾷστα τὴν ἄλλην ἀτυχίαν, καὶ γεγονὼς ἐν τοιαύτῃ μεταβολῇ πραγμάτων οὐ ταπεινὸς οὐδ' ἀγεννής. ἀλλὰ τὸ παρ' ἐλπίδα διεψεῦσθαι τῶν ἀθηναίων, καὶ τὴν δοκοῦσαν εὔνοιαν ἐξελέγχεσθαι τοῖς πράγμασι κενὴν καὶ πεπλασμένην οὖσαν, ὀδυνηρὸν ἦν αὐτῷ. τὸ γὰρ φαυλότατον ὡς ἔοικεν εὐνοίας ὄχλων βασιλεῦσι καὶ δυνάσταις τεκμήριόν ἐστιν ὑπερβολὴ τιμῶν, ἧς ἐν τῇ προαιρέσει τῶν ἀποδιδόντων ἐχούσης τὸ καλὸν, ἀφαιρεῖ τὴν πίστιν ὁ φόβος. τὰ γὰρ αὐτὰ καὶ δεδιότες ψηφίζονται καὶ φιλοῦντες. διόπερ οἱ νοῦν ἔχοντες, οὐκ εἰς ἀνδριάντας, οὐδὲ γραφὰς, οὐδ' ἀποθεώσεις, ἀλλὰ μᾶλλον εἰς τὰ ἔργα καὶ τὰς πράξεις

διὰ τὴν κολακείαν. ὁ δὲ δημοχάρης ὑπὲρ τούτου διαβληθεὶς, ἐφυγαδεύθη. τοιαῦτα ἔπραττον ἀθηναῖοι φρουρᾶς ἀπηλλάχθαι καὶ τὴν ἐλευθερίαν ἔχειν δοκοῦντες. δημήτριος δὲ παρελθὼν εἰς πελοπόννησον ὡς οὐδενὸς ὑφισταμένου, τῶν ἐναντίων, ἀλλὰ φευγόντων, καὶ προϊεμένων τὰς πόλεις, προσηγάγετο τὴν καλουμένην ἀκτὴν καὶ ἀρκαδίαν, πλὴν μαντινείας. καὶ ἄργος καὶ σικυῶνα καὶ κόρινθον ἐλύσατο, τάλαντα δοὺς ἑκατὸν, τοῖς φρουροῦσιν. ἐν ἄργει μὲν οὖν τῆς τῶν ἡραίων ἑορτῆς καθηκούσης ἀγωνοθετῶν καὶ συμπανηγυρίζων τοῖς ἕλλησιν, ἔγημε τὴν αἰακίδου θυγατέρα τοῦ μολοττῶν βασιλέως. ἀδελφὴν δὲ πύρρου δηιδάμειαν. σικυωνίους δὲ φήσας παρὰ τὴν πόλιν οἰκεῖν, τὴν πόλιν ἔπεισεν οὗ νῦν οἰκοῦσι μετοικίσασθαι. τῷ δὲ τρόπῳ, καὶ τοὔνομα τὴν πόλιν συμμεταβαλοῦσαν, ἀντὶ σικυῶνος, δημητριάδα προσηγόρευσεν. ἐν δὲ ἰσθμῷ κοινοῦ συνεδρίου γενομένου καὶ πολλῶν ἀνθρώπων συνελθόντων, ἡγεμὼν ἀνηγορεύθη τῆς ἑλλάδος ὡς πρότερον οἱ περὶ φίλιππον καὶ ἀλέξανδρον. ὧν ἐκεῖνος, οὐ παρὰ μικρὸν ἐνόμιζεν ἑαυτὸν εἶναι βελτίονα. τῇ τύχῃ τῇ παρούσῃ καὶ τῇ δυνάμει τῶν πραγμάτων ἐπαιρόμενος. ἀλέξανδρος γοῦν, οὐδένα τῶν ἄλλων βασιλέων, ἀπεστέρησε τῆς ἐπωνυμίας. οὐδὲ αὑτὸν ἀνεῖπε βασιλέων βασιλέα. καίτοι πολλοῖς τὸ καλεῖσθαι καὶ εἶναι βασιλέας, αὐτὸς δεδωκώς. ἐκεῖνος δὲ χλευάζων καὶ γελῶν τοὺς ἄλλον τινὰ πλὴν τοῦ πατρὸς καὶ αὐτοῦ βασιλέα προσαγορεύοντας, ἡδέως ἤκουε τῶν παρὰ πότον ἐπιχύσεις λαμβανόντων, δημητρίου βασιλέως. σελεύκου δὲ ἐλεφαντάρχου. πτολεμαίου δὲ ναυάρχου. λυσιμάχου δὲ γαζοφύλακος. ἀγαθοκλέους δὲ τοῦ σικελιώτου νησιάρχου. τούτων δὲ πρὸς τοὺς βασιλεῖς ἐκφερομένων, οἱ μὲν ἄλλοι βασιλεῖς κατεγέλων. λυσίμαχος δὲ, ἠγανάκτει μόνος, εἰ σπάδοντα νομίζει δημήτριος αὐτόν. ἐπιεικῶς γὰρ εἰώθεισαν εὐνούχους ἔχειν γαζοφύλακας. ἦν δὲ καὶ πάντων ἀπεχθέστατος ὁ λυσίμαχος αὐτῷ. καὶ λοιδορῶν εἰς τὸν ἔρωτα τῆς λαμίας ἔλεγε. νῦν πρῶτον ἑωρακέναι πόρνην ἐπροχομένην ἐκ τραγικῆς σκηνῆς. ὁ δὲ δημήτριος ἔφη. σωφρονεστέραν εἶναι τὴν ἑαυτοῦ πόρνην τῆς ἐκείνου πηνελόπης. τότε δ᾽ οὖν ἀναζευγνύων εἰς τὰς ἀθήνας, ἔγραψεν ὅτι βούλεται παραγενόμενος, εὐθὺς μυηθῆναι. καὶ τὴν τελετὴν ἅπασαν ἀπὸ τῶν μικρῶν ἄχρι τῶν ἐποπτικῶν παραλαβεῖν. τοῦτο δὲ οὐ θεμιτὸν ἦν, οὐδὲ γεγονὸς πρότερον. ἀλλὰ τὰ μικρὰ τοῦ ἀνθεστηριῶνος ἐτελοῦντο. τὰ δὲ μεγάλα τοῦ βοηδρομιῶνος. ἐπώπτευον δὲ τοὐλάχιστον ἀπὸ τῶν μεγάλων ἐνιαυτὸν διαλείποντες. ἀναγνωσθέντων δὲ τῶν γραμμάτων, μόνος ἐτόλμησεν ἀντειπεῖν, πυθόδωρος ὁ δᾳδοῦχος. ἐπέρανε δὲ, οὐδέν. ἀλλὰ στρατοκλέους γνώμην εἰπόντος, ἀνθεστηριῶνα τὸν μουνυχιῶνα ψηφισαμένους καλεῖν καὶ νομίζειν, ἐτέλουν τῷ δημητρίῳ τὰ πρὸς ἄγραν. καὶ μετὰ ταῦτα πάλιν ἐξ ἀνθεστηριῶνος ὁ μουνυχιὼν γενόμενος βοηδρομιὼν, ἐδέξατο τὴν λοιπὴν τελετὴν, ἅμα καὶ τὴν ἐποπτείαν τοῦ δημητρίου, προσεπιλαβόντος. διὸ καὶ φιλιππίδης τὸν στρατοκλέα λοιδορῶν, ἐποίησεν. ὁ τὸν ἐνιαυτὸν συντεμὼν, εἰς μῆνα ἕνα. καὶ περὶ τῆς ἐν τῷ παρθενῶνι κατασκηνώσεως, ὁ τὴν ἀκρόπολιν πανδοχεῖον ὑπολαβών. καὶ τὰς ἑταίρας εἰσάγων τῇ παρθένῳ. πολλῶν δὲ γενομένων ἐν τῇ πόλει τότε πλημμελημάτων καὶ παρανομημάτων, ἐκεῖνο μάλιστα λέγεται λυπῆσαι τοὺς ἀθηναίους, ὅτι διακόσια καὶ πεντήκοντα τάλαντα πορίσαι ταχὺ καὶ δοῦναι προσταχθὲν αὐτοῖς, καὶ τῆς εἰσπράξεως συντόμου καὶ ἀπαραιτήτου γενομένης, ἰδὼν ἠθροισμένον τὸ ἀργύριον, ἐκέλευσε λαμίᾳ καὶ ταῖς περὶ αὐτὴν ἑταίραις, εἰς σμῆγμα δοθῆναι. ἡ γὰρ αἰσχύνη, τῆς ζημίας. καὶ τὸ ῥῆμα, τοῦ πράγματος, μᾶλλον ἠνώχλησε τοὺς ἀνθρώπους. ἔνιοι δὲ, τοῦτο θετταλοῖς οὐκ ἀθηναίοις ὑπ᾽ αὐτοῦ συμβῆναι λέγουσιν. χωρὶς δὲ τούτων, αὐτὴ καθ᾽ ἑαυτὴν ἡ λάμια τῷ βασιλεῖ παρασκευάζουσα δεῖπνον, ἠργυρολόγησε πολλούς. καὶ τὸ δεῖπνον οὕτως ἤνθησε τῇ δόξῃ διὰ τὴν πολυτέλειαν, ὥστε ὑπὸ λυγκέως τοῦ σαμίου συγγεγράφθαι. διὸ καὶ τῶν κωμικῶν τις οὐ φαύλως τὴν λάμιαν ἑλέπολιν ἀληθῶς προσεῖπε. δημοχάρης δὲ ὁ σόλιος, τὸν δημήτριον ἐκάλει μῦθον. εἶναι γὰρ αὐτῷ καὶ λάμιαν. οὐ μόνον δὲ ταῖς γαμεταῖς, ἀλλὰ καὶ τοῖς φίλοις τοῦ δημητρίου ζῆλον καὶ φθόνον εὐημεροῦσα καὶ στεργομένη παρεῖχεν. ἀφίκοντο γοῦν τινὲς παρ᾽ αὐτοῦ, κατὰ πρεσβείαν, πρὸς λυσίμαχον. οἷς ἐκεῖνος ἄγων σχολὴν, ἐπέδειξεν ἔν τε τοῖς μηροῖς καὶ τοῖς βραχίοσιν, ὠτειλὰς βαθείας ὀνύχων λεοντείων. καὶ διηγεῖτο τὴν γενομένην αὐτῷ μάχην πρὸς τὸ θηρίον, ὑπὸ ἀλεξάνδρου συγκαθειρχθέντι τοῦ βασιλέως. οἱ δὲ, γελῶντες ἔφασαν. καὶ τὸν αὑτῶν βασιλέα δεινοῦ θηρίου δήγματα φέρειν ἐν τῷ τραχήλῳ, λαμίας. ἦν δὲ θαυμαστὸν ὅτι τῆς φίλας ἐν ἀρχῇ τὸ μὴ καθ᾽ ἡλικίαν δυσχεραίνων, ἥττητο τῆς λαμίας. καὶ τοσοῦτον ἤρα χρόνον, ἤδη παρηκμακυίας. δημὼ γοῦν ἡ ἐπικαλουμένη μανία, παρὰ δεῖπνον αὐλούσης τῆς λαμίας, καὶ τοῦ δημητρίου πυθομένου, τί σοὶ δοκεῖ. γραῦς εἶπεν ὦ βασιλεῦ. πάλιν δὲ τραγημάτων παρατεθέντων, κἀκείνου πρὸς αὐτὴν εἰπόντος, ὁρᾷς ὅσα μοι λάμια πέμπει, πλείονα ἔφη πεμφθήσεταί σοι παρὰ τῆς ἐμῆς μητρὸς ἐὰν θέλῃς καὶ μετ᾽ αὐτῆς καθεύδειν. ἀπομνημονεύεται δὲ τῆς λαμίας, καὶ πρὸς τὴν λεγομένην βοκχόρεως, κρίσιν ἀντίρρησις. ἐπεὶ γάρ τις ἐρῶν ἐν αἰγύπτῳ τῆς ἑταίρας θώνιδος, ᾐτεῖτο συχνὸν χρυσίον. εἶτα κατὰ τοὺς ὕπνους δόξας αὐτῇ συγγενέσθαι τῆς ἐπιθυμίας ἐπαύσατο, δίκην ἔλαχεν ἡ θῶνις αὐτῷ τοῦ μισθώματος. ἀκούσας δὲ τὸν λόγον ὁ βόκχορις, ἐκέλευσε τὸν ἄνθρωπον ὅσον ᾐτήθη χρυσίον ἠριθμημένον ἐν τῷ ἀγγείῳ διαφέρειν, δεῦρο κἀκεῖσε τῇ χειρί. τὴν δ᾽ ἑταίραν ἔχεσθαι τῆς σκιᾶς. ὡς τὴν δόξαν

καὶ χάριν ὁμοῦ τινὰ τῇ ὄψει τῶν θεωμένων παρεῖχε. πρὸς δὲ τὸν πόλεμον αὐτῷ καὶ θώρακες ἐκομίσθησαν ἐκ κύπρου, δύο σιδηροῖ, ὁλκῆς ἑκάτερος τεσσαράκοντα. δυσπαθείας δὲ αὐτῶν καὶ ῥώμης ἐπιδεικνύμενος ὁ τεχνίτης ζωίλος, ἐκέλευσεν ἓξ καὶ εἴκοσι βημάτων ἀφεῖναι καταπελτικὸν βέλος. οὗ προσπεσόντος ἀῤῥαγὴς διέμεινεν ὁ σίδηρος, ἀμυχὴν δὲ μόλις ἔχων ἀμβλεῖαν, οἷαν ἀπὸ γραφείου. τοῦτον αὐτὸς ἐφόρει. τὸν δὲ ἕτερον, ἄλκιμος ὁ ἠπειρώτης, ἀνὴρ πολεμικώτατος τῶν σὺν αὐτῷ, καὶ ῥωμαλεώτατος. ὃς μόνος ἐχρῆτο διταλάντῳ πανοπλίᾳ, τῶν ἄλλων χρωμένων, ταλαντιαίᾳ. καὶ μαχόμενος ἐν ῥόδῳ περὶ τὸ θέατρον ἔπεσεν, εὐρώστως δὲ καὶ τῶν ῥοδίων ἀμυνομένων, οὐδὲν ἄξιον λόγου πράττων ὁ δημήτριος, ὅμως ἐθυμομάχει πρὸς αὐτοὺς, ὅτι φίλας τῆς γυναικὸς, αὐτῷ γράμματα, καὶ στρώματα καὶ ἱμάτια πεμψάσης, λαβόντες τὸ πλοῖον ὡς εἶχε πρὸς πτολεμαῖον ἀπέστειλαν. καὶ τὴν ἀθηναίων οὐκ ἐμιμήσαντο φιλανθρωπίαν, οἳ φιλίππου πολεμοῦντος αὐτοῖς γραμματοφόρους ἑλόντες, τὰς μὲν ἄλλας ἀνέγνωσαν ἐπιστολάς. μόνην δὲ τὴν ὀλυμπιάδος, οὐκ ἔλυσαν, ἀλλ' ὥσπερ ἦν κατασεσημασμένη, πρὸς ἐκεῖνον ἀπέστειλαν. οὐ μὴν ἀλλὰ καίπερ ἐπὶ τούτῳ σφόδρα δηχθεὶς ὁ δημήτριος, εὐθὺς παρασχόντας λαβὴν, οὐχ ὑπέμεινεν ἀντιλυπῆσαι τοὺς ῥοδίους. ἔτυχε γὰρ αὐτοῖς ὁ καύνιος πρωτογένης γράφων τὴν περὶ τὸν ἰάλυσον διάθεσιν. καὶ τὸν πίνακα μικρὸν ἀπολείποντα τοῦ τέλους ἔχειν, ἔν τινι τῶν προαστείων ἔλαβεν ὁ δημήτριος. πεμψάντων δὲ κήρυκα τῶν ῥοδίων καὶ δεομένων φείσασθαι καὶ μὴ διαφθεῖραι τὸ ἔργον, ἀπεκρίνατο. τὰς τοῦ πατρὸς εἰκόνας ἐμπρῆσαι μᾶλλον, ἢ τέχνης πόνον τοσοῦτον. ἑπτὰ γὰρ ἔτεσι συντελέσαι λέγεται τὴν γραφὴν ὁ πρωτογένης. καὶ φησὶν ὁ ἀπελλῆς οὕτως ἐκπλαγῆναι θεασάμενος τὸ ἔργον, ὥστε καὶ φωνὴν ἐπιλιπεῖν αὐτόν. ὀψὲ δὲ εἰπεῖν, ὅτι μέγας ὁ πόνος, καὶ θαυμαστὸν τὸ ἔργον, οὐ μὴν ἔχειν γε χάριτας, δι' ἃς οὐρανοῦ ψαύειν τὰ ὑπ' αὐτοῦ γραφόμενα. ταύτην μὲν οὖν τὴν γραφὴν εἰς ταὐτὸ ταῖς ἄλλαις συνωσθεῖσαν ἐν ῥώμῃ, τὸ πῦρ ἐπινειμάμενον. τῶν δὲ ῥοδίων καταξανισταμένων τοῦ πολέμου, δεόμενον προφάσεως τὸν δημήτριον, ἀθηναῖοι παραγενόμενοι διήλλαξαν, ἐπὶ τῷ συμμαχεῖν ῥοδίους ἀντιγόνῳ καὶ δημητρίῳ. πλὴν ἐπὶ πτολεμαῖον. ἐκάλουν δὲ τὸν δημήτριον ἀθηναῖοι, κασσάνδρου τὸ ἄστυ πολιορκοῦντος. ὁ δὲ, ναυσὶν ἐπιπλεύσας διακοσίαις τριάκοντα, καὶ πολλοῖς ὁπλίταις, οὐ μόνον ἐξήλασε τῆς ἀττικῆς τὸν κάσσανδρον, ἀλλὰ φεύγοντα, μέχρι θερμοπυλῶν διώξας καὶ τρεψάμενος, ἡράκλειαν ἔλαβεν, ἑκουσίως αὐτῷ προσθεμένην. καὶ τῶν μακεδόνων ἑξακισχιλίους μεταβαλλομένους πρὸς αὐτόν. ἐπανιὼν δὲ, τοὺς ἐντὸς πυλῶν ἕλληνας ἠλευθέρου. καὶ βοιωτοὺς ἐποιήσατο συμμάχους. καὶ κεγχρεὰς εἷλε. καὶ φυλὴν. καὶ πάνακτον, ἐπιτειχίσματα τῆς ἀττικῆς ὑπὸ κασσάνδρου φρουρούμενα καταστρεψάμενος, ἀπέδωκε τοῖς ἀθηναίοις. οἱ δὲ καίπερ ἐκκεχυμένοι πρότερον πρὸς αὐτὸν καὶ κατακεχρημένοι πᾶσαν φιλοτιμίαν, ἐξεῦρον ὅμως καὶ τότε, πρόσφατοι καὶ καινοὶ ταῖς κολακείαις φανῆναι. τὸν γὰρ ὀπισθόδομον τοῦ παρθενῶνος, ἀπέδειξαν αὐτῷ κατάλυσιν. κἀκεῖ δίαιταν εἶχε, τῆς ἀθηνᾶς λεγομένης ὑποδέχεσθαι καὶ ξενίζειν αὐτὸν, οὐ πάνυ κόσμιον ξένον. οὐδὲ ὡς παρθένῳ πρᾴως ἐπισταθμεύοντα. καίτοι τὸν ἀδελφὸν αὐτοῦ φίλιππον, αἰσθόμενός ποτε ὁ πατὴρ καταλύοντα ἐν οἰκίᾳ, τρεῖς ἐχούσῃ νέας γυναῖκας, πρὸς ἐκεῖνον μὲν οὐδὲν ἐφθέγξατο, παρόντος δὲ ἐκείνου, τὸν σταθμοδότην μεταπεμψάμενος, οὗτος εἶπεν οὐκ ἐξάξεις μου τὸν υἱὸν ἐκ τῆς στενοχωρίας; δημήτριος δὲ τὴν ἀθηνᾶν αὐτῷ προσῆκον εἰ δὲ ἄλλο μηδὲν, ὥς γε πρεσβυτέραν ἀδελφὴν, αἰσχύνεσθαι. τοῦτο γὰρ ἐβούλετο λέγεσθαι. τοσαύτην ὕβριν εἰς παῖδας ἐλευθέρους καὶ γυναῖκας ἀστὰς κατεσκέδασε τῆς ἀκροπόλεως, ὥστε δοκεῖν τότε μάλιστα καθαρεύειν τὸν τόπον, ὅτε χρυσίδι καὶ λαμίᾳ. καὶ δημοῖ καὶ ἀντικύρᾳ ταῖς πόρναις ἐκείναις συνακολασταίνοι. τὰ μὲν οὖν ἄλλα σαφῶς ἀπαγγέλλειν, οὐ πρέπει διὰ τὴν πόλιν. τὴν δὲ δημοκλέους ἀρετὴν καὶ σωφροσύνην, ἄξιόν ἐστι μὴ παρελθεῖν. ἐκεῖνος γὰρ ἦν ἔτι παῖς ἄνηβος, οὐκ ἔλαθε δὲ τὸν δημήτριον, ἔχων τῆς εὐμορφίας τὴν ἐπωνυμίαν κατήγορον. ἐκαλεῖτο δὲ, δημοκλῆς ὁ καλός. ὡς δὲ πολλὰ διδόντων καὶ πειρώντων, καὶ φοβούντων, ὑπ' οὐδενὸς ἡλίσκετο τέλος δὲ, φεύγων τὰς παλαίστρας καὶ τὸ γυμνάσιον, εἴς τι βαλανεῖον ἰδιωτικὸν ἐφοίτα λουσόμενος. ἐπιτηρήσας δὲ τὸν καιρὸν ὁ δημήτριος, ἐπεισῆλθεν αὐτῷ μόνῳ. ὁ δὲ παῖς ὡς συνεῖδε τὴν περὶ αὐτὸν ἐρημίαν καὶ τὴν ἀνάγκην, ἀφελὼν τὸ πῶμα τοῦ χαλκώματος, εἰς ζέον ὕδωρ ἐνήλατο. καὶ διέφθειρεν αὑτόν. ἀνάξια μὲν παθών. ἄξια δὲ τῆς πατρίδος καὶ τοῦ κάλλους φρονήσας. οὐχ ὡς κλεαίνετος ὁ κλεομέδοντος. ὃς ὀφλήκοτι τῷ πατρὶ, πεντήκοντα ταλάντων δίκην ἀφεθῆναι διαπραξάμενος, καὶ γράμματα παρὰ δημητρίου κομίσας πρὸς τὸν δῆμον, οὐ μόνον ἑαυτὸν κατῄσχυνεν, ἀλλὰ καὶ τὴν πόλιν συνετάραξε. τὸν μὲν γὰρ κλεομέδοντα, τῆς δίκης ἀφῆκεν. ἐγράφη δὲ ψήφισμα, μηδένα τῶν πολιτῶν ἐπιστολὴν παρὰ δημητρίου κομίζειν. ἐπεὶ δὲ ἀκούσας ἐκεῖνος οὐκ ἤνεγκε μετρίως, ἀλλ' ἠγανάκτησε, δείσαντες αὖθις, οὐ μόνον τὸ ψήφισμα καθεῖλον, ἀλλὰ καὶ τῶν εἰσηγησαμένων καὶ συνειπόντων, τοὺς μὲν, ἀπέκτειναν. τοὺς δὲ, ἐφυγάδευσαν. ἔτι δὲ, προσεψηφίσαντο δεδόχθαι τῷ δήμῳ τῶν ἀθηναίων, πᾶν ὅ, τι ἂν ὁ βασιλεὺς δημήτριος κελεύσῃ, τοῦτο, καὶ πρὸς θεοὺς ὅσιον, καὶ πρὸς ἀνθρώπους εἶναι δίκαιον. εἰπόντος δέ τινος τῶν καλῶν κἀγαθῶν ἀνδρῶν, μαίνεσθαι τὸν στρατοκλέα τοιαῦτα γράφοντα, δημοχάρης ὁ λακωνεὺς, εἶπε. μαίνοιτο μέντ' ἂν, εἰ μὴ μαίνοιτο. πολλὰ γὰρ ὁ στρατοκλῆς ὠφελεῖτο

φρονήματι τῶν ἀνδρῶν ἐνίκησε. καὶ τοῖς βίοις καὶ ταῖς ὁμιλίαις αὐτῶν, ὄγκον ἐποίησε καὶ βαρύτητα. καθάπερ τραγικῶν ὑποκριτῶν, ἅμα τῇ σκευῇ μεταβαλλόντων καὶ βάδισμα καὶ φωνὴν. καὶ κατάκλισιν καὶ προσαγόρευσιν. ἐκ δὲ τούτων, ἐγένοντο καὶ περὶ τὰς δικαιώσεις βιαιότεροι. τὴν εἰς πολλὰ παρέχουσαν αὐτοὺς ἐλαφροτέρους καὶ μαλακωτέρους τοῖς ὑπηκόοις πρότερον εἰρωνείαν τῆς ἐξουσίας ἀφελόντες. τοσοῦτον ἴσχυσε κόλακος φωνὴ μία. καὶ τοσαύτης ἐνέπλησε τὴν οἰκουμένην μεταβολῆς. ἀντίγονος δὲ τοῖς πεπραγμένοις ὑπὸ δημητρίου περὶ κύπρον ἐπαρθεὶς, εὐθὺς ἐστράτευσεν ἐπὶ πτολεμαῖον. αὐτὸς μὲν ἄγων πεζῇ τὴν δύναμιν. δημητρίου δὲ, μεγάλῳ στόλῳ συμπαραπλέοντος. ὃν δὲ τρόπον ἤμελλε κρίνεσθαι τὰ πράγματα, μήδιος ὁ ἀντιγόνου φίλος, ὄψιν εἶδε κατὰ τοὺς ὕπνους. ἐδόκει γὰρ αὐτὸν ἀντίγονον ἀγωνίζεσθαι μετὰ τῆς στρατιᾶς ἁπάσης δίαυλον, ἐρρωμένως καὶ ταχὺ τὸ πρῶτον. εἶτα κατὰ μικρὸν ἐνδιδόναι τὴν δύναμιν αὐτῷ. καὶ τέλος ὡς ἔκαμψεν ἀσθενῆ γενόμενον καὶ μεστὸν ἄσθματος, οὐ ῥᾳδίως ἀναφέρειν. αὐτός τε οὖν ἐντυχὼν κατὰ γῆν πολλαῖς ἀπορίαις. καὶ δημητρίου, χειμῶνι καὶ κλύδωνι μεγάλῳ κινδυνεύσαντος εἰς τόπους ἀλιμένους, καὶ χαλεποὺς ἐκριφῆναι. πολλὰς δὲ τῶν νεῶν ἀπολέσαντος, ἐπανῆλθεν ἄπρακτος. ἦν δὲ τότε μικρὸν ἀπολείποντα γεγονὼς ἔτη ὀγδοήκοντα. μεγέθει δὲ καὶ βαρύτητι σώματος μᾶλλον, ἢ διὰ τὸ γῆρας ἐπὶ τὰς στρατείας γεγονὼς δυσπαρακόμιστος, ἐχρῆτο τῷ παιδὶ, καὶ δι' εὐτυχίαν καὶ δι' ἐμπειρίαν, ἤδη τὰ μέγιστα καλῶς διοικοῦντι. τρυφὰς δὲ καὶ πολυτελείας καὶ πότους αὐτοῦ μὴ βαρυνόμενος. εἰρήνης γὰρ οὔσης, ἀφύβριζεν εἰς ταῦτα. καὶ σχολάζων, ἐχρῆτο πρὸς τὰς ἡδονὰς ἀνειμένως αὐτῷ καὶ κατακόρως. ἐν δὲ τοῖς πολέμοις, ὡς οἱ φύσει σώφρονες, ἔνηφε. λέγεται δὲ, τῆς λαμίας ἀναφανδὸν ἤδη κρατούσης, τὸν ἀντίγονον ὑπὸ τοῦ δημητρίου καταφιλούμενον, ἥκοντος ἀπὸ ξένης, εἰπεῖν ἅμα γελῶντα. δοκεῖς λάμιαν ὦ παῖ καταφιλεῖν. πάλιν δέ ποτε πλείονας ἡμέρας ἐν πότοις γενομένου, καὶ πρόφασιν λέγοντος ὡς ῥεῦμά τι διοχλήσειεν αὐτὸν, ἐπυθόμην φάναι τὸν ἀντίγονον, ἀλλὰ πότερον θάσιον ἢ χῖον ἦν τὸ ῥεῦμα. πυθόμενος δὲ αὖθις ἀσθενῶς ἔχειν αὐτὸν, ἐβάδιζεν ὀψόμενος. καὶ τῶν καλῶν τινὶ περὶ θύρας ἀπήντησεν. εἰσελθὼν δὲ καὶ καθίσας παρ' αὐτῷ, ἥψατο τῆς χειρός. ἐκείνου δὲ εἰπόντος, ὅτι νῦν ὁ πυρετὸς ἀφῆκε κεχώρηκεν. ἀμέλει παιδίον ἔφη καὶ ἐμοὶ περὶ θύρας ἀπιὸν νῦν ἀπήντηκε. ταῦτα δὲ οὕτω πράως ἔφερε, διὰ τὴν ἄλλην πρᾶξιν τοῦ δημητρίου. οἱ μὲν γὰρ σκύθαι πίνοντες καὶ μεθυσκόμενοι, παραψάλλουσι τὰς νευρὰς τῶν τόξων. οἷον, ἐκλυόμενον ὑπὸ τῆς ἡδονῆς ἀνακαλούμενοι τὸν θυμόν. ἐκεῖνος δὲ τὰ μὲν, ἡδονῇ διδοὺς ἁπλῶς ἑαυτόν. τὰ δὲ, σπουδῇ. καὶ θάτερα τῶν ἑτέρων ἄκρατα μεταχειριζόμενος, οὐχ ἧττον ἦν δεινὸς ἐν ταῖς τοῦ πολέμου παρασκευαῖς. ἀλλὰ καὶ παρασκευάσασθαι δύναμιν, ἢ χρήσασθαι, βελτίων ἐδόκει στρατηγὸς εἶναι. πάντα μὲν ἐκ περιουσίας ὑπάρχειν βουλόμενος ἐπὶ τὰς χρείας. τῆς δὲ περὶ τὰς ναῦς καὶ τὰ μηχανικὰ μεγαλουργίας. καὶ καθ' ἡδονὴν τινὰ τοῦ θεωρεῖν, ἀπλήστως ἔχων. εὐφυὴς γὰρ ὢν καὶ θεωρητικὸς, οὐκ εἰς παιδιὰς, οὐδὲ εἰς διαγωγὰς ἀχρήστους, ἔτρεπε τὸ φιλότεχνον. ὥσπερ βασιλεῖς ἄλλοι αὐλοῦντες καὶ ζωγραφοῦντες, καὶ τορεύοντες. ἀέροπος δὲ ὁ μακεδὼν τραπέζια μικρὰ καὶ λυχνίδια τεκταινόμενος, ὁπότε σχολάζοι, διῆγεν. ἄτταλος δὲ ὁ φιλομήτωρ, ἐκήπευε τὰς φαρμακώδεις βοτάνας, οὐ μόνον ὑοσκύαμον καὶ ἐλλέβορον. ἀλλὰ καὶ κώνειον. καὶ ἀκόνιτον. καὶ δορύκνιον, αὐτὸς ἐν τοῖς βασιλικοῖς, σπείρων καὶ φυτεύων, ὀπούς τε καὶ καρπὸν αὐτῶν, ἔργον πεποιημένος εἰδέναι καὶ κομίζεσθαι καθ' ὥραν. οἱ δὲ πάρθων βασιλεῖς, ἐσεμνύνοντο, τὰς ἀκίδας τῶν βελῶν χαράττοντες αὐτοὶ καὶ παραθήγοντες. ἀλλὰ μὴν δημητρίου, καὶ τὸ βάναυσον ἦν βασιλικόν. καὶ μέγεθος ἡ μέθοδος εἶχεν, ἅμα τῷ περιττῷ καὶ φιλοτέχνῳ τῶν ἔργων, ὕψος τι διανοίας καὶ φρονήματος, συνεκφερόντων. ὥστε μὴ μόνον γνώμης καὶ περιουσίας, ἀλλὰ καὶ χειρὸς ἄξια φαίνεσθαι βασιλικῆς. μεγέθει μὲν γὰρ ἐξέπληττε καὶ τοὺς φίλους. κάλλει δὲ, καὶ τοὺς πολεμίους ἔτερπε. τοῦτο δὲ, ἔτι μᾶλλον ἀληθῶς ἢ κομψῶς εἴρηται. καὶ τὰς μὲν ἑκκαιδεκήρεις αὐτοῦ. καὶ τὰς πεντεκαιδεκήρεις, ἐθαύμαζον ἑστῶτες οἱ πολέμιοι, παρὰ τὴν γῆν αὐτῶν πλεούσας. αἱ δ' ἑλεπόλεις, ὡς θέαμα τοῖς πολιορκουμένοις ἦσαν, ὡς αὐτὰ τὰ πράγματα μαρτυρεῖ. λυσίμαχος μὲν γὰρ ἔχθιστος ὢν δημητρίῳ τῶν βασιλέων. καὶ πολιορκοῦντι σόλους τοὺς κιλικίους, ἀντιτεταγμένος, ἔπεμψε παρακαλῶν, ἐπιδεῖξαι τὰς μηχανὰς αὐτῷ, καὶ τὰς ναῦς πλεούσας. ἐπιδείξαντος δὲ, θαυμάσας ἀπῆλθε. ῥόδιοι δὲ πολὺν χρόνον ὑπ' αὐτοῦ πολιορκηθέντες, ἐπεὶ κατελύσαντο τὸν πόλεμον, ᾐτήσαντο τῶν μηχανῶν ἐνίας. ὅπως ὑπόμνημα τῆς ἐκείνου δυνάμεως ἅμα, καὶ τῆς αὐτῶν ἀνδραγαθίας ἔχωσιν. ἐπολέμησε δὲ ῥοδίοις, πτολεμαίου συμμάχοις οὖσι, καὶ τὴν μεγίστην ἑλέπολιν τοῖς τείχεσι προσήγαγεν, ἧς ἡ βάσις μὲν ἦν τετράγωνος, ἑκάστην ἔχουσα τοῦ κάτω πλαισίου πλευρὰν, ὀκτὼ καὶ τεσσαράκοντα πηχῶν. ἓξ δὲ καὶ ἑξήκοντα πηχῶν ὕψος εἶχεν, εἰς κορυφὴν συννεύουσα ταῖς ἄνω πλευραῖς, στενοτέραν τῆς βάσεως. ἔνδοθεν μὲν οὖν, στέγαις διεπέφρακτο καὶ χώραις πολλαῖς. τὸ δὲ πρὸς τοὺς πολεμίους αὐτῆς μέτωπον, ἀνέῳκτο. καὶ καθ' ἑκάστην στέγην, θυρίς. καὶ διὰ τούτων ἐξέπιπτε βέλη παντοδαπά. μεστὴ γὰρ ἦν ἀνδρῶν μαχομένων πᾶσαν ἰδέαν μάχης. καὶ τὸ μὴ κραδαινόμενον αὐτῆς, μὴ δὲ κλινόμενον ἐν ταῖς κινήσεσιν, ἀλλ' ὀρθὸν ἐν ἕδρᾳ καὶ ἀσάλευτον ἰσορρόπως ἅμα ῥοίζῳ καὶ τόνῳ πολλῷ προχωροῦν, θάμβος ἅμα τῇ ψυχῇ,

Vide Diodorum L°. 20. 460 qui hanc machinam describit

πτο. ς. κ. π. Εὐριπίδειον εἰπεῖν. ὅπου τὸ κέρδος, παρὰ φύσιν γαμητέον. ὁμοιόπτωτόν τι, τῷ δουλευτέον εὐθυρρημο-
νήσας. τοιαύτη μὲν οὖν τις ἦν ἡ τοῦ Δημητρίου τιμὴ πρός τε Φίλαν καὶ τὰς ἄλλας γαμετάς, ὥστε
πολλαῖς μὲν ἀναίδην ἑταίραις, πολλαῖς δὲ ἐλευθέραις συνεῖναι γυναιξί, καὶ μάλιστα δὴ περὶ τὴν ἡ-
δονὴν ταύτην, κακῶς ἀκοῦσαι τῶν τότε βασιλέων. ἐπεὶ δὲ ὁ πατὴρ αὐτὸν ἐκάλει Πτολεμαίῳ περὶ Κύ-
πολεμήσοντ. π. ς. πρου πολεμήσοντα, πείθεσθαι μὲν ἦν ἀναγκαῖον. ἀχθόμενος δὲ ὅτι τὸν ὑπὲρ τῆς Ἑλλάδος πόλεμον
ὄντα καλλίω καὶ λαμπρότερον, ἀπολείπει, προσέπεμψε Κλεωνίδῃ τῷ Πτολεμαίου στρατηγῷ φρου-
ροῦντι Σικυῶνα καὶ Κόρινθον, χρήματα προτείνων, ὥστε ἐλευθέρας ἀφεῖναι τὰς πόλεις. οὐ προσδεξα-
μένου δὲ ἐκείνου, διὰ ταχέων ἀναχθεὶς καὶ προσλαβὼν δύναμιν, ἐπέπλευσε Κύπρῳ. καὶ Μενέλαον μὲν
μάχη. π. ς. ἀδελφὸν Πτολεμαίου μάχην συνάψας εὐθὺς ἐνίκησεν. αὐτοῦ δὲ Πτολεμαίου μετὰ δυνάμεως πεζι-
κῆς ἅμα καὶ ναυτικῆς μεγάλης ἐπιφανέντος, ἐγένοντο μὲν ἀπειλαί τινες κομπώδεις καὶ διάλογοι. τοῦ
μὲν, ἀποπλεῖν Δημήτριον κελεύοντος, πρὶν ὑπὸ τῆς δυνάμεως πάσης ἀθροισθείσης, καταπατηθῆ-
ναι. Δημητρίου δὲ ἐκεῖνον ἀφεῖναι φάσκοντος, ἂν ὁμολογήσῃ Σικυῶνα καὶ Κόρινθον ἀπαλλάξειν τῆς φρου-
ρᾶς. ὁ δὲ ἀγὼν, οὐ μόνον αὐτοῖς ἐκείνοις, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι δυνάσταις, πολλὴν εἶχε προσδοκίαν
τῆς ἐπικρεμαμένης ἀδηλότητος, ὡς οὐ Κύπρον, οὐδὲ Συρίαν, ἀλλὰ τὸ, μέγιστον εὐθὺς εἶναι πάντων, τῷ
λό. ϥ. κρατοῦντι, τῆς νίκης προστιθείσης. αὐτὸς μὲν οὖν ὁ Πτολεμαῖος ἐπέπλει, πεντήκοντα καὶ ἑκατὸν ναῦς ἔ-
χων, ἐκ δὲ Σαλαμῖνος ἐκέλευσε Μενέλαον ἑξήκοντα ναυσὶν ὅταν μάλιστα σύστασιν ὁ ἀγὼν ἔχῃ, προσφε-
ρόμενον, τὰς Δημητρίου κόπτειν ἐξόπισθεν, καὶ διαταράττειν τὴν τάξιν. Δημήτριος δὲ ταῖς μὲν ἑξήκον-
τα ταύταις, ἀντέταξε δέκα ναῦς. τοσαῦται γὰρ ἤρκουν στενὸν ὄντα τοῦ λιμένος ἐμφράξαι τὸν ἔκπλουν.
αὐτὸς δὲ τὸν πεζὸν ἐκτάξας καὶ τοῖς ἀνατείνουσιν εἰς τὴν θάλασσαν ἀκρωτηρίοις περιχεάμενος, οὕτως
ἀνήχθη ναυσὶν ἑκατὸν ὀγδοήκοντα. προσμίξας δὲ, ῥώμῃ καὶ βίᾳ πολλῇ, κατακράτος ἐτρέψατο τὸν
φυγοντ. π. ς. Πτολεμαῖον. αὐτὸν μὲν ὡς ἐνικήθη διὰ ταχέων φεύγοντα ναυσὶν ὀκτὼ μόναις. τοσαῦται γὰρ ἐκ πασῶν
περιεσώθησαν. τῶν δὲ ἄλλων, αἱ μὲν ἐν τῇ ναυμαχίᾳ διεφθάρησαν, ἑβδομήκοντα δ᾽ ἥλωσαν αὔτανδροι.
τοῦ δὲ ἐν ὁλκάσι παρορμοῦντος ὄχλου, θεραπόντων καὶ φίλων καὶ γυναικῶν, ἔτι δὲ ὅπλων καὶ χρημά-
των καὶ μηχανημάτων, ἁπλῶς οὐδὲν ἐξέφυγε τὸν Δημήτριον. ἀλλ᾽ ἔλαβε πάντα καὶ κατήγαγεν εἰς τὸ
στρατόπεδον. ἐν δὲ τούτοις, ἡ περιβόητος ἦν Λάμια, τὴν μὲν ἀρχὴν σπουδασθεῖσα διὰ τὴν τέχνην. ἐδό-
κει γὰρ αὐλεῖν οὐκ εὐκαταφρονήτως. ὕστερον δὲ καὶ τοῖς ἐρωτικοῖς λαμπρὰ γενομένη. τότε γοῦν ἤδη λήγου-
σα τῆς ὥρας, καὶ πολὺ νεώτερον ἑαυτῆς λαβοῦσα τὸν Δημήτριον, ἐκράτησε τῇ χάριτι καὶ κατέσχεν,
ὥστε ἐκείνης εἶναι μόνης ἐραστήν. τῶν δὲ ἄλλων γυναικῶν, ἐρώμενον. μετὰ δὲ τὴν ναυμαχίαν, οὐδὲ ὁ Μενέλα-
ος ἀντέσχεν, ἀλλὰ τήν τε Σαλαμῖνα παρέδωκε τῷ Δημητρίῳ καὶ τὰς ναῦς καὶ τὸν πεζόν. ἱππεῖς δὲ χιλίους
καὶ διακοσίους καὶ μυρίους καὶ δισχιλίους ὁπλίτας. οὕτω δὲ λαμπρὰν καὶ καλὴν τὴν νίκην γενομένην, ἔτι
μᾶλλον ἐπεκόσμει ὁ Δημήτριος εὐγνωμοσύνῃ καὶ φιλανθρωπίᾳ, τοὺς νεκροὺς τῶν πολεμίων, ἔθαψε με-
γαλοπρεπῶς, καὶ τοὺς αἰχμαλώτους ἀφῆκεν. Ἀθηναίοις δὲ, χιλίας καὶ διακοσίας ἀπὸ τῶν λαφύρων, ἐδω-
ρήσατο πανοπλίας. αὐτάγγελον δὲ τῆς νίκης, τῷ πατρὶ τὸν Μιλήσιον Ἀριστόδημον ἔπεμψε, πρωτεύον-
τα κολακείᾳ τῶν αὐλικῶν ἁπάντων. καὶ τότε παρεσκευασμένον ὡς ἔοικε τῶν κολακευμάτων τὸ μέγιστον
ἐπενεγκεῖν τοῖς πράγμασιν. ὡς γὰρ ἐπέρασεν ἀπὸ τῆς Κύπρου, προσέχειν μὲν οὐκ εἴασε τῇ γῇ τὸ πλοῖον,
ἀγκύρας δὲ ἀφεῖναι κελεύσας, καὶ κατὰ ναῦν ἔχειν ἀτρέμα πάντας, αὐτὸς ἐμβὰς εἰς τὸ ἐφόλκιον, ἐξῆλ-
θε μόνος. καὶ πρὸς τὸν Ἀντίγονον ἀνέβαινε μετέωρον ὄντα τῇ προσδοκίᾳ τῆς μάχης, καὶ διακείμενον ὡς
εἰκὸς ἐστὶ διακεῖσθαι τοὺς περὶ πραγμάτων τηλικούτων ἀγωνιῶντας. τότε γε μὴν ἀκούσας ἐκεῖνον ἥ-
κειν, ἔτι μᾶλλον ἢ πρότερον εἶχε ταραχωδῶς. καὶ μόλις μὲν αὐτὸν, οἴκοι κατεῖχεν, ἄλλους δὲ ἔπεμπεν
ἐπ᾽ ἄλλοις ὑπηρέτας καὶ φίλους πευσομένους παρὰ τοῦ Ἀριστοδήμου περὶ τῶν γεγονότων. ἀποκρινομέ-
νου δὲ μηδὲν αὐτοῦ μηδενὶ, βάδην δὲ καὶ συνεστῶτι τῷ προσώπῳ μετὰ πολλῆς σιωπῆς προσιόντος, ἐκ-
πλαγεὶς κομιδῇ, καὶ μηκέτι καρτερῶν ὁ Ἀντίγονος, ἐπὶ τὰς θύρας ἀπήντησε, πολλοῦ παραπέμ-
ποντος ἤδη τὸν Ἀριστόδημον ὄχλου, καὶ συντρέχοντος ἐπὶ τὸ βασίλειον. ὡς οὖν ἐγγὺς ἦλθεν ἐκτείνας
τὴν δεξιὰν, ἀνεβόησε μεγάλῃ τῇ φωνῇ. χαῖρε βασιλεῦ Ἀντίγονε. νικῶμεν βασιλέα Πτολεμαῖον, ναυ-
μαχίᾳ. καὶ Κύπρον ἔχομεν. καὶ στρατιώτας αἰχμαλώτους μυρίους ἑξακισχιλίους ὀκτακοσίους. ὁ δὲ
Ἀντίγονος, καὶ σὺ νὴ Δία χαῖρε εἶπεν. οὕτω δὲ ἡμᾶς βασανίσας, δίκην ὑφέξεις. βράδιον γὰρ ἀπολήψῃ
τὸ εὐαγγέλιον. ἐκ τούτου, πρῶτον ἀνεφώνησε τὸ πλῆθος, Ἀντίγονον καὶ Δημήτριον, βασιλέας. Ἀν-
τίγονον μὲν οὖν εὐθὺς, ἀνέδησαν οἱ φίλοι. Δημητρίῳ δὲ, ὁ πατὴρ ἔπεμπε διάδημα καὶ γράφων ἐπι-
στολὴν, βασιλέα προσεῖπεν. οἱ δ᾽ ἐν Αἰγύπτῳ τούτων ἀπαγγελλομένων, καὶ αὐτοὶ βασιλέα τὸν Πτολε-
μαῖον ἀνηγόρευσαν, ὡς μὴ δοκεῖν τοῦ φρονήματος ὑφίεσθαι διὰ τὴν ἧτταν. ἐπενέματο δὲ οὕτως τὸ πρᾶ-
γμα, τῷ ζήλῳ τοὺς διαδόχους. καὶ γὰρ Λυσίμαχος ἤρξατο φορεῖν διάδημα. καὶ Σέλευκος ἐντυγχά-
νων τοῖς Ἕλλησιν, ἐπεὶ τοῖς γε βαρβάροις πρότερον, οὕτως ὡς βασιλεὺς ἐχρημάτιζε. Κάσανδρος
δὲ τῶν ἄλλων αὐτὸν βασιλέα καὶ γραφόντων καὶ καλούντων, αὐτὸς ὥσπερ πρότερον εἰώθει, τὰς ἐπι-
στολὰς ἔγραφε. τοῦτο δὲ, οὐ προσθήκην ὀνόματος καὶ σχήματος ἐξαλλαγὴν εἶχε μόνον, ἀλλὰ καὶ τὰ

De honoribus hisce, qui habiti sunt Demetrio, multa Diodorus L. xx p. 422

γκώδεις καὶ μέγαν φανέντα τὸν δημήτριον, ἐπαχθῆ καὶ βαρὺν ἐποίησαν αἱ τιμαὶ ταῖς ἀμετρίαις ἃς ἐψηφίσαντο. πρῶτον μὲν γὰρ ἁπάντων τὸν δημήτριον καὶ ἀντίγονον, βασιλεῖς ἀνηγόρευσαν, ἄλλως ἀφοσιουμένους τοὔνομα. καὶ τοῦτο δὴ μόνον τῶν βασιλικῶν, ἔτι τοῖς ἀπὸ φιλίππου καὶ ἀλεξάνδρου περιεῖναι δοκοῦν ἄθικτον ἑτέροις καὶ ἀκοινώνητον. μόνοι δὲ σωτῆρας ἀνέγραψαν θεούς. καὶ τὸν ἐπώνυμον, καὶ πάτριον ἄρχοντα καταπαύσαντες, ἱερέα σωτήρων ἐχειροτόνουν καθ' ἕκαστον ἐνιαυτόν. καὶ τοῦτον ἐπὶ τῶν ψηφισμάτων καὶ τῶν συμβολαίων προέγραφον. ἐνυφαίνεσθαι δὲ τῷ πέπλῳ μετὰ τῶν θεῶν αὐτοὺς ἐψηφίσαντο. καὶ τὸν τόπον ὅπου πρῶτον ἀπέβη τοῦ ἅρματος καθιερώσαντες, καὶ βωμὸν ἐπιθέντες, δημητρίου καταιβάτου προσηγόρευσαν. καὶ ταῖς φυλαῖς δύο προσέθεσαν. δημητριάδα καὶ ἀντιγονίδα. καὶ τὴν βουλὴν τῶν πεντακοσίων πρῶτον ἑξακοσίων ἐποίησαν, ἅτε δὴ φυλῆς ἑκάστης, πεντήκοντα βουλευτὰς παρεχομένης. τὸ δὲ ὑπερφυέστατον ἐνθύμημα τοῦ στρατοκλέους. οὗτος γὰρ ἦν ὁ τῶν σοφῶν τούτων καὶ περιττῶν καινουργὸς ἀρεσκευμάτων, ἔγραψεν ὅπως οἱ πεμπόμενοι κατὰ ψήφισμα δημοσίᾳ πρὸς ἀντίγονον ἢ δημήτριον, ἀντὶ πρεσβευτῶν, θεωροὶ λέγοιντο. καθάπερ οἱ πυθοῖ καὶ ὀλυμπίαζε τὰς πατρίους θυσίας ὑπὲρ τῶν πόλεων ἀπάγοντες ἐν ταῖς ἑλληνικαῖς ἑορταῖς. ἦν δὲ καὶ τἆλλα παράτολμος ὁ στρατοκλῆς καὶ βεβιωκὼς ἀσελγῶς. καὶ τῇ τοῦ παλαιοῦ κλέωνος ἀπομιμεῖσθαι δοκῶν βωμολοχίᾳ καὶ βδελυρίᾳ τὴν πρὸς τὸν δῆμον εὐχέρειαν. εἶχε δὲ τὴν ἑταίραν, φυλάκιον ἀνειληφώς. καί ποτε αὐτῷ πρὸς δεῖπνον ἐξ ἀγορᾶς πριαμένης ἐγκεφάλους καὶ τραχήλους, παπαί, ἔφη τοιαῦτά γ' ὠψώνηκας οἷς σφαιρίζομεν οἱ πολιτευόμενοι. τῆς δὲ περὶ ἀμοργὸν ἥττης τῶν νεῶν συμβάσης τοῖς ἀθηναίοις, φθάσας τοὺς ἀπαγγέλλοντας, εἰσήλασεν ἐστεφανωμένος διὰ τοῦ κεραμεικοῦ, καὶ προσαγγείλας ὅτι νενικήκασιν, εὐαγγέλια θύειν ἔγραψε, καὶ κρεοδοσίαν τινὰ κατὰ φυλὴν ἐποίησεν. ὀλίγῳ δὲ ὕστερον τῶν τὰ ναυάγια κομιζόντων ἀπὸ τῆς μάχης παραγινομένων. καὶ τοῦ δήμου πρὸς ὀργὴν καλοῦντος αὐτόν, ἰταμῶς ὑποστὰς τὸν θόρυβον. εἶτα ἔφη τί πεπόνθατε δεινόν, εἰ δύο ἡμέρας ἡδέως γεγόνατε; τοιαύτη μὲν ἡ τοῦ στρατοκλέους θρασύτης. ἦν δὲ ἄρα καὶ πυρὸς ἕτερα θερμότερα κατὰ τὸν ἀριστοφάνη. γράψαντος γάρ τις ἄλλος ὑπερβαλλόμενος ἀνελευθερίᾳ τὸν στρατοκλέα, δέχεσθαι δημήτριον ὁσάκις ἂν παραγένηται, τοῖς δήμητρος καὶ διονύσου ξενισμοῖς. τῷ δὲ ὑπερβαλομένῳ λαμπρότητι καὶ πολυτελείᾳ τὴν ὑποδοχήν, ἀργύριον εἰς ἀνάθημα δημοσίᾳ δίδοσθαι. τέλος δὲ τῶν τε μηνῶν τὸν μουνυχιῶνα δημητριῶνα. καὶ τῶν ἡμερῶν τὴν ἕνην καὶ νέαν, δημητριάδα προσηγόρευσαν. καὶ τῶν ἑορτῶν. τὰ διονύσια, μετωνόμασαν δημήτρια. ἐπεσήμαινε δὲ τοῖς πλείστοις τὸ θεῖον. ὁ μὲν γὰρ πέπλος ὥσπερ ἐψηφίσαντο μετὰ τοῦ διὸς καὶ τῆς ἀθηνᾶς προσενυφασμένων δημήτριον καὶ ἀντίγονον, πεμπόμενος διὰ τοῦ κεραμεικοῦ, μέσος ἐρράγη, θυέλλης ἐμπεσούσης. περὶ δὲ τοὺς βωμοὺς τοὺς ἐκείνων, ἐξανέθησεν ἡ γῆ κύκλῳ πολὺ κώνειον, ἄλλως μηδὲ τῆς χώρας πολλαχοῦ φυόμενον. τῇ δὲ ἡμέρᾳ καθ' ἣν τὰ διονύσια ἦγον, τὴν πομπὴν κατέλυσαν, ἰσχυρῶν πάγων γενομένων παρ' ὥραν, καὶ πάχνης βαθείας πεσούσης, οὐ μόνον ἀμπέλους καὶ συκᾶς ἁπάσας ἀπέκαυσε τὸ ψῦχος, ἀλλὰ καὶ τοῦ σίτου τὸν πλεῖστον κατέφθειρεν ἐν χλόῃ. διὸ καὶ φιλιππίδης, ἐχθρὸς ὢν τοῦ στρατοκλέους, ἐν κωμῳδίᾳ πρὸς αὐτὸν ἐποίησε ταῦτα.

» δι' ὃν ἀπέκαυσεν ἡ πάχνη τὰς ἀμπέλους. δι' ὃν ἀσεβοῦντα ὁ πέπλος ἐρράγη μέσος,
» τὰς τῶν θεῶν τιμὰς, ἀνθρωπίνας ποιοῦντα. ταῦτα καταλύει δῆμον, οὐ κωμῳδία.

ἦν δὲ ὁ φιλιππίδης, λυσιμάχου φίλος, καὶ πολλὰ δι' αὐτὸν ὁ δῆμος εὖ ἔπαθεν ὑπὸ τοῦ βασιλέως. ἐδόκει δὲ καὶ πρὸς πρᾶξιν αὐτῷ καὶ πρὸς στρατείαν, εὐσύμβολος ἀπαντήσας εἶναι καὶ ὀφθείς. ἄλλως δὲ καὶ διὰ τὸ ἦθος εὐδοκίμει, μηδὲν ἐνοχλῶν, μηδὲ αὐλικῆς περιεργίας ἀναπιμπλάμενος. φιλοφρονουμένου δέ ποτε τοῦ λυσιμάχου πρὸς αὐτὸν καὶ εἰπόντος, ὦ φιλιππίδη τίνος σοι τῶν ἐμῶν μεταδῶ, μόνον ἔφη βασιλεῦ μὴ τῶν ἀπορρήτων. τοῦτον μὲν οὖν ἐπίτηδες ἐκείνῳ παρεθήκαμεν, τῷ ἀπὸ τοῦ βήματος, τὸν ἀπὸ τῆς θυμέλης. ὁ δὲ μάλιστα τῶν τιμῶν ὑπερφυὲς ἦν καὶ ἀλλόκοτον, ἔγραψε δρομοκλείδης ὁ σφήττιος ὑπὲρ τῆς τῶν ἀσπίδων ἀναθέσεως, εἰς δελφοὺς παρὰ δημητρίου λαβεῖν χρησμόν. αὐτὴν δὲ παραγράψω τὴν λέξιν ἐκ τοῦ ψηφίσματος, οὕτως ἔχουσαν. ἀγαθῇ τύχῃ δεδόχθαι τῷ δήμῳ χειροτονῆσαι τὸν
» δῆμον ἕνα ἄνδρα ἐξ ἀθηναίων, ὅστις ἀφικόμενος πρὸς τὸν σωτῆρα καὶ καλλιερησάμενος, ἐπερωτήσει
» δημήτριον τὸν σωτῆρα, πῶς εὐσεβέστατα καὶ κάλλιστα καὶ τάχιστα ὁ δῆμος τὴν ἀποκατάστασιν
» ποιήσαιτο τῶν ἀναθημάτων. ὅτι δ' ἂν χρήσῃ, ταῦτα πράττειν τὸν δῆμον. οὕτω καταμωκώμενοι τὸν ἄνθρωπον, προσδιέφθειραν αὐτόν. οὐδὲ ἄλλως ὑγιαίνοντα τὴν διάνοιαν. ἀλλ' ἔν γε ταῖς ἀθήναις τότε σχολάζων, ἠγάγετο χηρεύουσαν εὐρυδίκην, ἣ μιλτιάδου μὲν ἦν ἀπόγονος τοῦ παλαιοῦ. συνοικήσασα δὲ ὀφέλλᾳ τῷ κυρήνης ἄρξαντι, μετὰ τὴν ἐκείνου τελευτὴν, ἀφίκετο πάλιν εἰς τὰς ἀθήνας. οἱ μὲν οὖν ἀθηναῖοι τὸν γάμον τοῦτον εἰς χάριν ἔθεντο καὶ τιμὴν τῆς πόλεως. ἄλλως δὲ ὁ δημήτριος, εὐχερής τις ἦν περὶ γάμους. καὶ πολλαῖς ἅμα συνῆν γυναιξίν, ὧν ἀξίωμα μέγιστον εἶχε καὶ τιμὴν φίλα, δι' ἀντίπατρον τὸν πατέρα. καὶ διὰ τὸ προσῳκηκέναι κρατερῷ τῷ, πλείστην εὔνοιαν αὐτοῦ παρὰ μακεδόσι τῶν ἀλεξάνδρου διαδόχων ἀπολιπόντι. ταύτην ὡς ἔοικε κομιδῇ νέον ὄντα τὸν δημήτριον, ἔπεισεν ὁ πατήρ, οὐκ οὖσαν αὐτῷ καθ' ὥραν, ἀλλὰ πρεσβυτέραν, λαβεῖν. ἀπροθύμως δ' ἔχοντι λέγεται πρὸς τὸ οὖς,

ἱερὸς αὐτῶν

κρεωδαισίαν π. ς.

καὶ τὰς περὶ τὸν Καύκασον ἐπαρχίας προσαξόμενος. ἐλπίζων Δημήτριος, ἔρημον εὑρήσειν τὴν Μεσοποταμίαν, καὶ περάσας ἄφνω τὸν Εὐφράτην εἰς τὴν Βαβυλωνίαν παρεξέπεσον, διέφθη καὶ τῆς ἑτέρας ἄκρας. δύο γὰρ ἦσαν, ἐκκρούσας τὴν τοῦ Σελεύκου φρουρὰν καὶ κρατήσας, ἰδίους ἐγκατέστησεν ἑπτακισχιλίους ἄνδρας. ἐκ δὲ τῆς χώρας ὅσα φέρειν ἢ ἄγειν ἠδύνατο τοὺς στρατιώτας ὠφελεῖσθαι καὶ λαμβάνειν κελεύσας, ἐπανῆλθεν ἐπὶ θάλασσαν, βεβαιοτέραν Σελεύκῳ τὴν ἀρχὴν ἀπολιπών. ἐξίστασθαι γὰρ ἐδόκει τῷ κακοῦν, ὡς μηκέτι προσήκουσαν αὐτοῖς. Πτολεμαίου μέντοι πολιορκοῦντος Ἁλικαρνασσόν, ὀξέως βοηθήσας, ἐξήρπασε τὴν πόλιν. ἐνδόξου δὲ τῆς φιλοτιμίας ταύτης γενομένης, ὁρμὴ παρέστη θαυμάσιος αὐτοῖς, ἐλευθεροῦντι τὴν Ἑλλάδα πᾶσαν, ὑπὸ Κασσάνδρου καὶ Πτολεμαίου καταδεδουλωμένην. τούτου πόλεμον οὐδεὶς ἐπολέμησε τῶν βασιλέων κάλλιον καὶ δικαιότερον. ἃς γὰρ ἅμα τοὺς βαρβάρους ταπεινοῦντες εὐπορείας συνήγαγον, εἰς τοὺς Ἕλληνας ὑπὲρ εὐδοξίας καὶ τιμῆς ἀνήλισκον. ὡς δὲ πρῶτον ἔδοξε πλεῖν εἰς τὰς Ἀθήνας, τῶν φίλων εἰπόντος τινὸς πρὸς τὸν Ἀντίγονον, ὅτι δεῖ ταύτην τὴν πόλιν ἂν ἕλωσι, κατέχειν δι᾽ αὐτῶν ἐπιβάθραν τῆς Ἑλλάδος οὖσαν, οὐ προσέσχεν ὁ Ἀντίγονος, ἀλλ᾽ ἐπιβάθραν μὲν ἔφη καλὴν καὶ ἀσάλευτον εἶναι τὴν εὔνοιαν. τὰς δὲ Ἀθήνας ὥσπερ σκοπὴν τῆς οἰκουμένης, ταχὺ τῇ δόξῃ διαπυρσεύειν εἰς ἅπαντας ἀνθρώπους τὰς πράξεις. ἔπλει δὲ Δημήτριος ἔχων ἀργυρίου πεντακισχίλια τάλαντα, καὶ στόλον νεῶν πεντήκοντα καὶ διακοσίων ἐπὶ τὰς Ἀθήνας. τὸ μὲν ἄστυ, Δημητρίου τοῦ Φαληρέως Κασσάνδρῳ διοικοῦντος, ἐν δὲ τῇ Μουνυχίᾳ φρουρᾶς καθεστώσης, εὐτυχίᾳ δὲ ἅμα καὶ προνοίᾳ χρησάμενος, ἐπιφαίνεται τῷ Πειραιεῖ πέμπτῃ φθίνοντος θαργηλιῶνος, προαισθομένου μὲν οὐδενός, ἐπεὶ δὲ ὤφθη πλησίον ὁ στόλος, ἁπάντων ὡς Πτολεμαϊκὰς τὰς ναῦς ὑποδέχεσθαι παρασκευαζομένων, ὀψὲ συμφρονήσαντες ἐβοήθουν οἱ στρατηγοί. καὶ θόρυβος ἦν οἷον εἰκὸς ἐν ἀπροσδοκήτῳ πολεμίους ἀποβαίνοντας, ἀναγκαζομένων ἀμύνεσθαι. τοῖς γὰρ στόμασι τῶν λιμένων ἀκλείστοις ἐπιτυχὼν ὁ Δημήτριος, καὶ διεξελάσας ἐντός, ἦν ἤδη καταφανὴς πᾶσι, καὶ διεσήμηνεν ἀπὸ τῆς νεὼς αἴτησιν ἡσυχίας καὶ σιωπῆς. γενομένου δὲ τούτου, κήρυκα παραστησάμενος, ἀνεῖπεν ὅτι πέμψειεν αὐτὸν ὁ πατὴρ ἀγαθῇ τύχῃ Ἀθηναίους ἐλευθερώσοντα καὶ τὴν φρουρὰν ἐκβαλοῦντα, καὶ τοὺς νόμους αὐτοῖς καὶ τὴν πάτριον ἀποδώσοντα πολιτείαν. ἀναρρηθέντων δὲ τούτων, οἱ μὲν πολλοὶ τὰς ἀσπίδας παραχρῆμα θέμενοι πρὸ τῶν ποδῶν, ἀνεκρότησαν, καὶ βοῶντες ἐκέλευον ἀποβαίνειν, τὸν Δημήτριον σωτῆρα καὶ εὐεργέτην ἀναγορεύοντες. οἱ δὲ περὶ τὸν Φαληρέα, πάντες μὲν ᾤοντο δεῖν δέχεσθαι τὸν κρατοῦντα, κἂν οὐδὲν ὧν ἐπαγγέλλεται μέλλῃ βεβαιοῦν. ὅμως δὲ πρέσβεις δεομένους ἀπέστειλαν. οἷς ὁ Δημήτριος ἐντυχὼν φιλανθρώπως, συνέπεμψε παρ᾽ ἑαυτοῦ τῶν πατρῴων φίλων, τὸν Μιλήσιον Ἀριστόδημον. τοῦ δὲ Φαληρέως διὰ τὴν μεταβολὴν τῆς πολιτείας, μᾶλλον τοὺς πολίτας ἢ τοὺς πολεμίους φοβουμένου, οὐκ ἠμέλησεν ὁ Δημήτριος, ἀλλὰ καὶ τὴν δόξαν αἰδεσθεὶς καὶ τὴν ἀρετὴν τοῦ ἀνδρός, εἰς Θήβας αὐτὸν ὥσπερ ἐβούλετο μετὰ ἀσφαλείας συνεξέπεμψεν. αὐτὸς δὲ τὴν μὲν πόλιν οὐκ ἂν ἔφη, καίπερ ἐπιθυμῶν, ἰδεῖν πρότερον, ἢ παντάπασιν ἐλευθερῶσαι τῆς φρουρᾶς ἀπαλλάξας. τῇ δὲ Μουνυχίᾳ χάρακα καὶ τάφρον περιβαλὼν διὰ μέσου, Μεγάροις ἐπέπλευσεν ὑπὸ Κασσάνδρου φρουρουμένοις. πυθόμενος δὲ τὴν Ἀλεξάνδρου τοῦ Πολυπέρχοντος γενομένην γυναῖκα Κρατησίπολιν, ἐν Πάτραις διατρίβουσαν οὐκ ἂν ἀηδῶς γενέσθαι μετ᾽ αὐτοῦ, περιβόητον οὖσαν ἐπὶ κάλλει, καταλιπὼν τὴν δύναμιν ἐν τῇ Μεγαρικῇ, προῆλθεν εὐζώνους τινὰς ἔχων σὺν αὐτῷ. καὶ τούτων πάλιν ἀποστρέψας, ἀπεσκήνωσε χωρίς, ὑπὲρ τοῦ λαθεῖν τὴν γυναῖκα συνεισελθοῦσαν αὐτῷ. τοῦτο τινὲς αἰσθόμενοι τῶν πολεμίων, ἐξαίφνης κατέδραμον ἐπ᾽ αὐτόν. ὁ δέ, φοβηθεὶς καὶ λαβὼν χλαμύδιον εὐτελές, δρόμῳ φθάσας ἐξέφυγεν, ὀλίγου δεήσας αἰσχίστην ἅλωσιν ὑπ᾽ ἀκρασίας ἁλῶναι. τὴν δὲ σκηνὴν μετὰ τῶν χρημάτων, ᾤχοντο λαβόντες οἱ πολέμιοι. τῶν δὲ Μεγάρων ἁλόντων, καὶ τῶν στρατιωτῶν ἐφ᾽ ἁρπαγῇ τρεπομένων, Ἀθηναῖοι παρῃτήσαντο πολλῇ δεήσει τοὺς Μεγαρεῖς. καὶ τὴν φρουρὰν ὁ Δημήτριος ἐκβαλών, ἠλευθέρωσε τὴν πόλιν. ἔτι δὲ τοῦτο πράττων, τοῦ φιλοσόφου Στίλπωνος ἐμνήσθη, δόξαν ἔχοντος ἀνδρὸς ᾑρημένου πως ἐν ἡσυχίᾳ καταβιῶναι. μεταπεμψάμενος οὖν ἠρώτα, μή τις εἴληφέ τι τῶν ἐκείνου. καὶ ὁ Στίλπων, οὐδείς, εἶπεν. οὐδένα γὰρ εἶδον ἐπιστάμαν ἀποφέροντα. τῶν δὲ θεραπόντων σχεδὸν ἁπάντων διακλαπέντων, ἐπεὶ πάλιν αὐτὸν ὁ Δημήτριος ἐφιλοφρονεῖτο, καὶ τέλος ἀπαλλαττόμενος εἶπεν, ἐλευθέραν ὑμῶν ὦ Στίλπων ἀπολείπω τὴν πόλιν. ὀρθῶς ἔφη λέγεις. οὐδένα γὰρ ἡμῶν δοῦλον ἀπολέλοιπας. ἐπεὶ δὲ πάλιν ἐπανελθὼν πρὸς τὴν Μουνυχίαν καταστρατοπεδεύσας ἐξέκοψε τὴν φρουρὰν καὶ κατέσκαψε τὸ φρούριον, οὕτως ἤδη τῶν Ἀθηναίων δεχομένων καὶ καλούντων, παρελθὼν εἰς τὸ ἄστυ καὶ συναγαγὼν τὸν δῆμον ἀπέδωκε τὴν πάτριον πολιτείαν. καὶ προσυπέσχετο παρὰ τοῦ πατρὸς αὐτοῖς ἀφίξεσθαι σίτου πεντεκαίδεκα μυριάδας μεδίμνων. καὶ ξύλων ναυπηγησίμων πλῆθος εἰς ἑκατὸν τριήρεις. Ἀθηναῖοι δὲ ἀπολαβόντες τὴν δημοκρατίαν ἔτει πεντεκαιδεκάτῳ. τὸν δὲ μέσον χρόνον ἀπὸ τῶν Λαμιακῶν καὶ τῆς περὶ Κρανῶνα μάχης, λόγῳ μὲν ὀλιγαρχικῆς, ἔργῳ δὲ μοναρχικῆς καταστάσεως γενομένης διὰ τὴν τοῦ Φαληρέως δύναμιν, οὕτω λαμπρὸν ἐν ταῖς εὐεργεσίαις καὶ

ὑ. ς. κ.

-π. ἐλευθεροῦν. ς. κ.

μηδὲν. ς.

[illegible] .π.

συνηθοῦσ᾽ ς. π. κ.

ἁρπαγῇ κ. π.

ἁρπαγαῖς. κ.

ἡμῶν .π.

De bello Lamiaco meminit Strabo L. viiij. Gestu est hoc bellu ab Atheniensibus contra Macedones et Antipatru. Periit in ipso Leosthenes dux Atheniensiu.

De pugna ad Cranone [Cirnonem] Plut. in Demosthene.

σκοινώνητον ἡ ἀρχὴ, καὶ μεστὸν ἀπιστίας καὶ δυσνοίας, ὥστε ἀγάλλεσθαι τὸν μέγιστον τῶν ἀλεξάνδρου
διαδόχων καὶ πρεσβύτατον, ὅτι μὴ φοβεῖται τὸν υἱὸν ἀλλὰ προσίεται, τὴν λόγχην ἔχοντα τοῦ σώμα-
τος πλησίον. οὐ μὴν ἀλλὰ καὶ μόνος ὡς εἰπεῖν, ὁ οἶκος οὗτος, ἐπὶ πλείστας διαδοχὰς τῶν τοιούτων κα-
κῶν ἐκαθάρευσε. μᾶλλον δὲ εἷς μόνος τῶν ἀπ' ἀντιγόνου, φίλιππος ἀνεῖλεν υἱόν. αἱ δὲ ἄλλαι σχεδὸν ἅπα-
σαι διαδοχαὶ, πολλῶν μὲν ἔχουσι παίδων, πολλῶν δὲ μητέρων φόνους, καὶ γυναικῶν. τὸ μὲν γὰρ ἀδελ-
φοὺς ἀναιρεῖν, ὥσπερ οἱ γεωμέτραι τὰ αἰτήματα λαμβάνουσιν, οὕτω συνεχωρεῖτο κοινόν τι νομιζό-
μενον αἴτημα καὶ βασιλικὸν, ὑπὲρ ἀσφαλείας. τοῦ μέντοι καὶ φιλάνθρωπον φύσει καὶ φιλέταιρον
γεγονέναι τὸν δημήτριον ἐν ἀρχῇ, παράδειγμα τοιοῦτον ἐστὶν εἰπεῖν. μιθριδάτης ὁ ἀριοβαρζάνου
παῖς, ἑταῖρος ἦν καθ' ἡλικίαν αὐτοῦ συνήθης. ἐθεράπευε δὲ ἀντίγονον, οὔτε ὢν οὔτε δοκῶν πονηρός. ἐκ
δὲ ἐνυπνίου τινὸς, ὑποψίαν ἀντιγόνῳ παρέσχεν. ἐδόκει μέγα καὶ καλὸν πεδίον ἐπιὼν ὁ ἀντίγονος, ψή-
γματα χρυσίου κατασπείρειν. ἐξ αὐτοῦ δὲ πρῶτον μὲν ὑποφύεσθαι θέρος χρυσοῦν. ὀλίγῳ δὲ ὕστε-
ρον ἐπανελθὼν, οὐδὲν ἰδεῖν, ἀλλ' ἢ τετμημένην καλάμην. λυπούμενος δὲ καὶ περιπαθῶν, ἀκοῦσαι τι-
νῶν λεγόντων, ὡς ἄρα ὁ μιθριδάτης εἰς πόντον εὔξεινον οἴχεται, τὸ χρυσοῦν θέρος ἐξαμησάμενος. ἐκ
τούτου ταραχθεὶς καὶ τὸν υἱὸν ὁρκώσας σιωπήσειν, ἔφρασε τὴν ὄψιν αὐτῷ, καὶ ὅτι πάντως τὸν ἄνθρω-
πον ἐκποδὼν ποιεῖσθαι καὶ διαφθείρειν ἔγνωκεν. ἀκούσας δὲ ὁ δημήτριος, ἠχθέσθη σφόδρα. καὶ τοῦ νεα-
νίσκου καθάπερ εἰώθει γενομένου παρ' αὐτῷ, καὶ συνόντες ἐπὶ σχολῇ, φθέγξασθαι μὲν οὐκ ἐτόλμη-
σεν, οὐδὲ τῇ φωνῇ κατειπεῖν διὰ τὸν ὅρκον. ὑπαγαγὼν δὲ κατὰ μικρὸν ἀπὸ τῶν φίλων, ὡς ἐγεγόνεισαν
μόνοι καθ' αὐτοὺς, τῷ σαυρωτῆρι τῆς λόγχης κατέγραψεν εἰς τὴν γῆν ὁρῶντος αὐτοῦ, φεῦγε μιθριδάτα.
συνεὶς δὲ ἐκεῖνος, ἀπέδρα νυκτὸς εἰς καππαδοκίαν. καὶ ταχὺ τὴν ἀντιγόνῳ γενομένην ὄψιν ὕπαρ αὐ-
τοῦ συνετέλει τὸ χρεών. πολλῆς γὰρ καὶ ἀγαθῆς ἐκράτησε χώρας. καὶ τὸ τῶν ποντικῶν βασιλέων γέ-
νος, ὀγδόῃ που διαδοχῇ παυσάμενον ὑπὸ ῥωμαίων, ἐκεῖνος παρέσχε. ταῦτα μὲν οὖν εὐφυΐας δεί-
γματα τοῦ δημητρίου, πρὸς ἐπιείκειαν καὶ δικαιοσύνην. ἐπεὶ δὲ ὥσπερ ἐν τοῖς ἐμπεδοκλέους στοι-
χείοις, διὰ τὸ νεῖκος καὶ τὴν φιλίαν ἔνεστι διαφορὰ πρὸς ἄλληλα καὶ πόλεμος, μᾶλλον δὲ τοῖς ἀλλή- π. καὶ ἐν τῇ φιλί. περ. s.
λων ἁπτομένοις καὶ πλάζουσιν, οὕτω τὸν πᾶσι τοῖς ἀλεξάνδρου διαδόχοις πρὸς ἀλλήλους ὄντα συ-
νεχῆ πόλεμον, αἱ τῶν πραγμάτων καὶ τῶν τόπων συνάψαι, πρὸς ἐνίους ἐποίουν ἐπιφανέστερον, καὶ
μᾶλλον ἐξέκαιον, ὥσπερ ἀντιγόνῳ τότε πρὸς πτολεμαῖον. αὐτὸς μὲν ἀντίγονος ἐν φρυγίᾳ διέτριβε.
πτολεμαῖον δὲ ἀκούσας ἐν κύπρῳ διαβάντα πορθεῖν συρίαν, καὶ τὰς πόλεις ἀπάγειν καὶ βιάζεσθαι, ἀκούων ἐν κύπρῳ. π. s.
κατέπεμψε τὸν υἱὸν δημήτριον, δύο καὶ εἴκοσι ἐτῶν ὄντα, καὶ στρατείας τότε πρῶτον αὐτοτελῶς ἐπὶ
πράγμασι μεγάλοις ἁπτόμενον. ὡς δὲ νέος καὶ ἄπειρος ἀνδρὶ συμπεσὼν ἐκ τῆς ἀλεξάνδρου παλαί-
στρας ἠθληκότι πολλοὺς καὶ μεγάλους κατ' αὐτὸν ἀγῶνας, ἐσφάλη περὶ πόλιν γάζαν ἡττηθεὶς, ὀκτα- καθ' αὐτὸν ἰσ. s.
κισχιλίων ἁλόντων, καὶ πεντακισχιλίων ἀποθανόντων. ἀπέβαλε δὲ καὶ σκηνὴν καὶ χρήματα, καὶ ὅλως
σύμπασαν τὴν περὶ τὸ σῶμα θεραπείαν. ἀλλὰ ταῦτα μὲν αὐτῷ πτολεμαῖος ἀπέπεμψε, μετὰ τῶν φί-
λων, εὐγνώμονα καὶ φιλάνθρωπον ἐπειπὼν λόγον. ὡς οὐ περὶ πάντων ἅμα, περὶ δόξης δὲ καὶ ἀρχῆς
πολεμητέον ἐστὶν αὐτοῖς. δημήτριος δὲ δεξάμενος, ηὔξατο τοῖς θεοῖς μὴ πολὺν χρόνον ὀφειλέτην γενέ-
·Ι. τῆς σθαι πτολεμαίῳ χάριτος, ἀλλὰ ταχέως ἀμείψασθαι διὰ τῶν ὁμοίων. καὶ πάθος οὐ μειρακίου παθὼν, π.
ἐν ἀρχῇ πράξεων ἀναρραγέντος, ἀλλ' ἐμβριθοῦς στρατηγοῦ καὶ κεχρημένου πραγμάτων μεταβολαῖς, ἀν-
δρῶν τε συλλογῆς καὶ κατασκευῆς ὅπλων ἐπεμελεῖτο. καὶ τὰς πόλεις διὰ χειρὸς εἶχε. καὶ τοὺς ἀθροι-
ζομένους ἐγύμναζεν. ἀντίγονος δὲ τὴν μάχην πυθόμενος, πτολεμαῖον μὲν, ἀγενείους νενικηκότα ἔφη
νῦν αὖθις διαγωνιεῖσθαι πρὸς ἄνδρας. τοῦ δὲ υἱοῦ τὸ φρόνημα καθελεῖν καὶ κολοῦσαι μὴ βουλόμενος, διαγωνιεῖσθαι π. s.
οὐκ ἐνέστη πάλιν αἰτουμένῳ μάχεσθαι καθ' αὐτὸν, ἀλλ' ἀφῆκε. καὶ μετ' οὐ πολὺν χρόνον, ἀφίκετο κίλ-
λης πτολεμαίου στρατηγὸς μετὰ λαμπρᾶς δυνάμεως, ἐξελάσων συρίας δημήτριον ἁπάσης, τῷ προνενική-
σθαι καταφρονούμενον. ὁ δὲ ἐξαίφνης ἐπιπεσὼν, οὐ προαισθομένῳ καὶ φοβήσας, ἔλαβεν αὐτῷ στρα-
τηγῷ τὸ στρατόπεδον. καὶ στρατιώτας μὲν ἑπτακισχιλίους ζῶντας εἷλε. χρημάτων δὲ παμπόλλων ἐ-
κυρίευσεν. ἔχαιρε δὲ νικήσας οὐχ οἷς ἕξειν, ἀλλ' οἷς ἀποδώσειν ἔμελλε. καὶ τῆς νίκης οὐ τὸν πλοῦτον οὕ-
τως οὐδὲ τὴν δόξαν, ὡς τὴν διάλυσιν τοῦ φιλανθρωπεύματος ἐκείνου καὶ τὴν χάριν ἠγάπησεν. οὐ μὴν
αὐτογνωμόνως ταῦτα ἔπραξεν, ἀλλ' ἔγραψε τῷ πατρί. δόντος δὲ ἐκείνου καὶ κελεύσαντος, ὃν βού-
λεται πᾶσι χρῆσθαι τρόπον, αὐτόν τε τὸν κίλλην, καὶ φίλους αὐτῷ δωρησάμενος ἀφθόνως, ἀπέπεμ-
ψε. τοῦτο τὸ πάθος συρίας ἐξήλασε πτολεμαῖον. ἀντίγονον δὲ κατήγαγεν ἐκ κελαινῶν, χαίροντα τῇ
νίκῃ, καὶ ποθοῦντα θεάσασθαι τὸν υἱόν. ἐκ τούτου δὲ τῶν ἀράβων τοὺς καλουμένους ναβαταίους ὑπα-
γέσθαι πεμφθεὶς ὁ δημήτριος, ἐκινδύνευσεν εἰς τόπους ἀνύδρους ἐμπεσών. τῷ δὲ μὴ διαταραχθῆναι
μηδὲ ἐκπλαγῆναι καταπληξάμενος τοὺς βαρβάρους, λείαν τε λαβὼν πολλὴν, καὶ καμήλους ἑπτακο-
σίας, ἀνεχώρησε. ἐπεὶ δὲ σέλευκος ἐκπεσὼν μὲν ὑπὸ ἀντιγόνου τῆς βαβυλωνίας πρότερον, ὕστερον
δὲ ἀναλαβὼν τὴν ἀρχὴν δι' αὐτοῦ, καὶ κρατῶν ἀνέβη μετὰ δυνάμεως, τὰ συνοροῦντα τοῖς ἰνδοῖς ἔθνη

οἱ πρῶτοι τὰς τέχνας ἐοικέναι ταῖς αἰσθήσεσιν ὑπολαβόντες, οὐχ ἥκιστά μοι δοκοῦσι τὴν περὶ τὰς κρίσεις αὐτῶν κατανοῆσαι δύναμιν, ᾗ τῶν ἐναντίων ὁμοίως ἐν ἑκατέρῳ γένει πεφύκαμεν ἀντιλαμβάνεσθαι. τοῦτο γὰρ αὐταῖς κοινόν ἐστι. τῇ δὲ πρὸς τὰ τέλη τῶν κρινομένων ἀναφορᾷ, διαλλάττουσιν. ἡ μὲν γὰρ αἴσθησις, οὐδέν τι μᾶλλον ἐπὶ λευκῶν ἢ μελάνων διάγνωσις γέγονεν. οὐδὲ γλυκέων ἢ πικρῶν. οὐδὲ μαλακῶν καὶ εἰκόντων. ἢ σκληρῶν καὶ ἀντιτύπων. ἀλλ' ἔργον αὐτῆς, ἑκάστοις ἐντυγχάνουσαν, ὑπὸ πάντων τε κινεῖσθαι, καὶ πάντα κινεῖν, πρὸς τὸ φρονοῦν ἀναφέρουσαν, καὶ κινουμένην πρὸς τὸ φρονοῦν ἀναφέρειν, ὡς πέπονθεν. αἱ δὲ τέχναι μετὰ λόγου συνεστῶσαι πρὸς αἵρεσιν καὶ λῆψιν οἰκείου τινὸς, φυγὴν τε καὶ διάκρουσιν ἀλλοτρίου, τὰ μὲν ἀφ' αὑτῶν προηγουμένως. τὰ δὲ, ὑπὲρ τοῦ φυλάξασθαι κατὰ συμβεβηκὸς ἐπιθεωροῦσι. καὶ γὰρ ἰατρικῇ τὸ νοσερὸν καὶ ἁρμονικῇ τὸ ἐκμελὲς, ὅπως ἔχει σκοπεῖν συμβέβηκε πρὸς τὴν τῶν ἐναντίων ἀπεργασίαν. αἵ τε πασῶν τελεώταται τεχνῶν σωφροσύνη καὶ δικαιοσύνη καὶ φρόνησις, οὐ καλῶν μόνον καὶ δικαίων καὶ ὠφελίμων, ἀλλὰ καὶ βλαβερῶν καὶ αἰσχρῶν καὶ ἀδίκων, κρίσεις οὖσαι, τὴν ἀπειρίᾳ τῶν κακῶν καλλωπιζομένην ἀκακίαν οὐκ ἐπαινοῦσιν, ἀλλ' ἀβελτηρίαν ἡγοῦνται καὶ ἄγνοιαν ὧν μάλιστα γινώσκειν προσήκει, τοὺς ὀρθῶς βιωσομένους. οἱ μὲν οὖν παλαιοὶ σπαρτιᾶται τοὺς εἵλωτας ἐν ταῖς ἑορταῖς πολὺν ἀναγκάζοντες πίνειν ἄκρατον, εἰσῆγον εἰς τὰ συμπόσια, τοῖς νέοις οἷόν ἐστι τὸ μεθύειν ἐπιδεικνύντες. ἡμεῖς δὲ τὴν ἐκ διαστροφῆς ἑτέρων ἐπανόρθωσιν, οὐ πάνυ φιλάνθρωπον οὐδὲ πολιτικὴν ἡγούμεθα. τῶν δὲ κεχρημένων ἀσκεπτότερον αὑτοῖς, καὶ γεγονότων ἐν ἐξουσίαις καὶ πράγμασι μεγάλοις ἐπιφανῶν εἰς κακίαν, οὐ χεῖρον ἴσως ἐστὶ συζυγίαν μίαν ἢ δύο παρεμβαλεῖν εἰς τὰ παραδείγματα τῶν βίων, οὐκ ἐφ' ἡδονῇ μὰ δία καὶ διαγωγῇ τῶν ἐντυγχανόντων, ποικίλλοντας τὴν γραφὴν, ἀλλ' ὥσπερ ἰσμηνίας ὁ θηβαῖος ἐπιδεικνύμενος τοῖς μαθηταῖς, καὶ τοὺς εὖ καὶ τοὺς κακῶς αὐλοῦντας εἰώθει λέγειν, οὕτως αὐλεῖν δεῖ, καὶ πάλιν οὕτως αὐλεῖν οὐ δεῖ. ὁ δ' ἀντιγενίδας καὶ ἥδιον ᾤετο τῶν ἀγαθῶν ἀκροᾶσθαι τοὺς νέους αὐλητὰς, ἵνα καὶ τῶν φαύλων πεῖραν λαμβάνωσιν, οὕτω μοι δοκοῦμεν καὶ ἡμεῖς προθυμότεροι τῶν βελτιόνων ἔσεσθαι καὶ θεαταὶ καὶ μιμηταὶ βίων, εἰ μὴ δὲ τῶν φαύλων καὶ ψεγομένων ἀνιστορήτως ἔχοιμεν. περιέξει δὲ τοῦτο τὸ βιβλίον, τὸν δημητρίου τοῦ πολιορκητοῦ βίον. καὶ ἀντωνίου τοῦ αὐτοκράτορος. ἀνδρῶν μάλιστα δὴ τῷ πλάτωνι μαρτυρησάντων, ὅτι καὶ κακίας μεγάλας ὥσπερ ἀρετὰς αἱ μεγάλαι φύσεις ἐκφέρουσι. γενόμενοι δὲ ὁμοίως, ἐρωτικοί. ποτικοί. στρατιωτικοί. μεγαλόδωροι. πολυτελεῖς. ὑβρισταί, καὶ τὰς κατὰ τύχην ὁμοιότητας ἀκολούθους ἔσχον. οὐ γὰρ μόνον ἐν τῷ λοιπῷ βίῳ μεγάλα μὲν κατορθοῦντες, μεγάλα δὲ σφαλλόμενοι. πλείστων δὲ ἐπικρατοῦντες, πλεῖστα δὲ ἀποβάλλοντες. ἀπροσδοκήτως δὲ πταίοντες, ἀνελπίστως δὲ πάλιν ἀναφέροντες διετέλεσαν, ἀλλὰ καὶ κατέστρεψαν. ὁ μὲν, ἁλοὺς ὑπὸ τῶν πολεμίων. ὁ δὲ, ἔγγιστα τοῦ παθεῖν τοῦτο γενόμενος. ἀντιγόνῳ τοίνυν δυοῖν υἱῶν ἐκ στρατονίκης τῆς κορράγου γενομένων, τὸν μὲν, ἐπὶ τἀδελφῷ, δημήτριον. τὸν δ' ἐπὶ τῷ πατρὶ, φίλιππον ὠνόμασεν. οὗτος ἐστὶν ὁ τῶν πλείστων λόγος. ἔνιοι δὲ τὸν δημήτριον, οὐχ υἱὸν, ἀλλ' ἀδελφιδοῦν γενέσθαι τοῦ ἀντιγόνου λέγουσιν. ἐπὶ νηπίῳ γὰρ αὐτῷ παντάπασι τοῦ πατρὸς τελευτήσαντος, εἶτα τῆς μητρὸς εὐθὺς τῷ ἀντιγόνῳ γαμηθείσης, υἱὸν ἐκείνου νομισθῆναι. τὸν μὲν οὖν φίλιππον, οὐ πολλοῖς ἔτεσι τοῦ δημητρίου νεώτερον ὄντα, συνέβη τελευτῆσαι. δημήτριος δὲ, μεγέθει μὲν ἦν τοῦ πατρὸς ἐλάττων, καίπερ ὢν μέγας. ἰδέᾳ δὲ καὶ κάλλει προσώπου, θαυμαστὸς καὶ περιττὸς, ὥστε τῶν πλαττόντων καὶ γραφόντων, μηδένα τῆς ὁμοιότητος ἐφικέσθαι. τὸ γὰρ αὐτὸ, χάριν, καὶ βάρος, καὶ φόβον, καὶ ὥραν εἶχε, καὶ συνεκέκρατο τῷ νεαρῷ καὶ ἰταμῷ, δυσμίμητος ἡρωική τις ἐπιφάνεια καὶ βασιλικὴ σεμνότης. οὕτω δέ πως καὶ τὸ ἦθος ἐπεφύκει πρὸς ἔκπληξιν ἀνθρώπων, ἅμα καὶ χάριν. ἥδιστος γὰρ ὢν συγγενέσθαι, σχολάζοντι περὶ πότους, καὶ τρυφὰς καὶ διαίτας ἀβροβιώτατος βασιλέων, ἐνεργότατον αὖ πάλιν καὶ σφοδρότατον τὸ περὶ τὰς πράξεις ἐνδελεχὲς εἶχε καὶ δραστήριον. ᾗ καὶ μάλιστα τῶν θεῶν ἐζήλου τὸν διόνυσον, ὡς πολέμῳ τε χρῆσθαι δεινότατον, εἰρήνην τε αὖθις ἐκ πολέμου τρέψαι, καὶ πρὸς εὐφροσύνην καὶ χάριν ἐμμελέστατον. ἦν μὲν οὖν καὶ φιλοπάτωρ διαφερόντως. τῇ δὲ περὶ τὴν μητέρα σπουδῇ, καὶ τὸν πατέρα τιμῶν ἐφαίνετο δι' εὔνοιαν ἀληθινὴν μᾶλλον, ἢ θεραπείαν τῆς δυνάμεως. καί ποτε πρεσβείᾳ τινὶ τοῦ ἀντιγόνου σχολάζοντος, ἀπὸ θήρας ὁ δημήτριος ἐπέστη. καὶ προσελθὼν τῷ πατρὶ καὶ φιλήσας, ὥσπερ εἶχε τὰς βολίδας ἐκάθισε παρ' αὐτόν. ὁ δὲ ἀντίγονος ἀπιόντας ἤδη τοὺς πρέσβεις ἔχοντας ἀποκρίσεις, μεγάλῃ φωνῇ προσαγορεύσας, καὶ τοῦτο εἶπεν ὦ ἄνδρες ἀπαγγέλλετε περὶ ἡμῶν, ὅτι πρὸς ἀλλήλους οὕτως ἔχομεν. ὡς ἰσχύν τινα πραγμάτων βασιλικῶν, καὶ δυνάμεως ἐπίδειξιν οὖσαν, τὴν πρὸς τὸν υἱὸν ὁμόνοιαν καὶ πίστιν. οὕτως ἄρα πάντη δυ

πιστῶν. μόλις δὲ ἐν ὄμβραις παραρρέοντα ῥαΐσας καὶ τοὺς ὑπολοίπους ἀναλαβὼν, καὶ ὁρμήσας ὀξύτατα, καὶ δόξας τοῖς πολεμίους, ἐπὶ κιλικίας. εἶτα νυκτὸς ἄνευ σάλπιγγος ἄρας ἐπὶ θάτερα, καὶ τὸν ἀμανὸν ὑπερβαλὼν, ἐπόρθει τὴν κάτω χώραν ἄχρι τῆς κυρρηστικῆς. ἐπιφανέντος δὲ τοῦ σελεύκου, καὶ ποιουμένου τὰς καταλύσεις ἐγγὺς, ἀναστήσας ὁ δημήτριος τὸ στράτευμα, νυκτὸς ἐβάδιζεν ἐπ' αὐτὸν, ἀγνοοῦντα μέχρι πολλοῦ καὶ κοιμώμενον. αὐτομόλων δέ τινων παραγενομένων καὶ φρασάντων τὸν κίνδυνον, ἐκπλαγεὶς καὶ ἀναπηδήσας, ἐκέλευσε σημαίνειν, ἅμα τὰς κρηπῖδας ὑποδυόμενος καὶ βοῶν πρὸς τοὺς ἑταίρους, ὡς θηρίῳ δεινῷ συμπέπλεκται. δημήτριος δὲ τῷ θορύβῳ τῶν πολεμίων αἰσθόμενος ὅτι μεμήνυται, κατὰ τάχος ἀπῆγεν. ἅμα δὲ ἡμέρᾳ προσκειμένου τοῦ σελεύκου, πέμψας τινὰ τῶν περὶ αὐτὸν ἐπὶ θάτερον κέρας, ἐποίησε τινὰ τροπὴν τῶν ἐναντίων. εἶτα μέντοι σέλευκος αὐτὸς, ἀφεὶς τὸν ἵππον, καὶ τὸ κράνος ἀποθέμενος, καὶ λαβὼν πέλτην, ἀπήντα τοῖς μισθοφόροις, ἐπιδεικνύμενος αὐτὸν, καὶ μεταβάλλεσθαι παρακαλῶν, ἤδη ποτὲ συμφρονήσαντας, ὅτι φειδόμενος ἐκείνων, οὐ δημητρίου χρόνον πολὺν διατετέλεκεν. ἐκ τούτου πάντες ἀσπαζόμενοι, καὶ βασιλέα προσαγορεύοντες, μεθίσταντο. δημήτριος δὲ πολλὰς μεταβολὰς αἰσθόμενος, ἐσχάτην ἐκείνην ἤκουσεν ἐπ' αὐτὸν, ἐκκλίνας ἐπὶ τὰς ἀμανίδας ἔφυγε πύλας. καὶ καταλαβὼν ὕλην τινὰ συνηρεφῆ μετὰ φίλων τινῶν καὶ ἀκολούθων ὀλίγων παντάπασιν ὄντων, προσέμεινε τὴν νύκτα. βουλόμενος εἰ δύναιτο, τῆς ἐπὶ καῦνον ὁδοῦ λαβέσθαι. καὶ διεκπεσεῖν ἐπὶ τὴν ἐκεῖ θάλασσαν. οὗ τὸν ναύσταθμον εὑρήσειν ἤλπιζεν. ὡς δὲ ἔγνω μηδὲ ἐκείνης τῆς ἡμέρας ἐφόδιον ἔχοντας αὐτοὺς, ἐπ' ἄλλων ἐγίνετο λογισμῶν. εἶτα μέντοι σωσιγένης ἐπῆλθεν ἑταῖρος αὐτοῦ χρυσοῦς τετρακοσίους ὑπεζωσμένος. καὶ ἀπὸ τούτων ἐλπίζοντες ἄχρι θαλάσσης διαγενέσθαι, πρὸς τὰς ὑπερβολὰς ἐχώρουν σκοταῖοι. πυρῶν δὲ καιομένων πρὸς αὐταῖς πολεμίων, ἀπογνόντες ἐκείνην τὴν ὁδὸν, αὖθις ἀνεχώρησαν εἰς τὸν αὐτὸν τόπον οὔτε πάντες. ἔνιοι γὰρ ἀπέδρασαν, οὔτε ὁμοίως οἱ παραμένοντες πρόθυμοι. τολμήσαντος δέ τινος εἰπεῖν ὡς σελεύκῳ χρὴ τὸ σῶμα παραδοῦναι, δημήτριος ὥρμησε μὲν τὸ ξίφος σπασάμενος ἀνελεῖν ἑαυτόν. οἱ δὲ φίλοι περιστάντες καὶ παραμυθούμενοι, συνέπεισαν οὕτω ποιῆσαι. καὶ πέμπει πρὸς σέλευκον ἐπιτρέπων ἐκείνῳ τὰ καθ' ἑαυτόν. ἀκούσας δὲ σέλευκος, οὐκ ἔφη τῇ δημητρίου τύχῃ σώζεσθαι δημήτριον, ἀλλὰ τῇ αὐτοῦ, μετὰ τῶν ἄλλων καλῶν αὐτῷ, φιλανθρωπίας καὶ χρηστότητος ἐπίδειξιν διδούσης. καλέσας δὲ τοὺς ἐπιμελητὰς, σκηνήν τε πηγνύναι βασιλικὴν ἐκέλευσεν. καὶ πάντα τἄλλα ποιεῖν καὶ παρασκευάζειν εἰς ὑποδοχὴν καὶ θεραπείαν μεγαλοπρεπῶς. ἦν δέ τις ἀπολλωνίδης παρὰ τῷ σελεύκῳ τοῦ δημητρίου γεγονὼς συνήθης. τοῦτον εὐθὺς ἐξέπεμψε πρὸς αὐτὸν ὅπως ἥδιον γένηται, καὶ θαρρῶν ὡς πρὸς οἰκεῖον ἄνδρα καὶ κηδεστὴν, ἀπαντᾷ. φανερᾶς δὲ τῆς γνώμης αὐτοῦ γενομένης, ὀλίγοι τὸ πρῶτον. εἶτα οἱ πλεῖστοι τῶν φίλων, ἐξεπήδων παρὰ τὸν δημήτριον, ἁμιλλώμενοι καὶ φθάνοντες ἀλλήλους. ἤλπιζετο γὰρ εὐθὺς παρὰ τῷ σελεύκῳ μέγιστος ἔσεσθαι. τοῦτο δὲ, ἐκείνῳ μὲν εἰς φθόνον μετέβαλλε τὸν ἔλεον. τοῖς δὲ κακοήθεσι καὶ βασκάνοις, παρέσχεν ἀποτρέψαι καὶ διαφθεῖραι τὴν φιλανθρωπίαν τοῦ βασιλέως, ἐκφοβήσασιν αὐτὸν, ὡς οὐκ εἰς ἀναβολὰς, ἀλλ' ἅμα τῷ πρῶτον ὀφθῆναι τὸν ἄνδρα, μεγάλων ἐσομένων ἐν τῷ στρατοπέδῳ νεωτερισμῶν. ἄρτι δὴ τοῦ ἀπολλωνίδου πρὸς τὸν δημήτριον ἀφιγμένου περιχαροῦς, καὶ τῶν ἄλλων ἐπερχομένων καὶ λόγους θαυμαστοὺς ἀπαγγελλόντων παρὰ τοῦ σελεύκου. καὶ τοῦ δημητρίου μετὰ τηλικαύτην δυστυχίαν καὶ κακοπραγίαν. εἰ καὶ πρότερον ἐδόκει τὴν παράδοσιν τοῦ σώματος αἰσχρὰν πεποιῆσθαι, τότε μετεγνωκότος διὰ τὸ θαρρεῖν καὶ πιστεύειν ταῖς ἐλπίσιν, ἧλθε παυσανίας ἔχων στρατιώτας ὁμοῦ πεζοὺς καὶ ἱππεῖς, περὶ χιλίους. καὶ τούτοις περισχὼν τὸν δημήτριον ἄφνω, τοὺς δὲ ἄλλους ἀποστήσας, σελεύκῳ μὲν αὐτὸν εἰς ὄψιν οὐ κατέστησεν. εἰς δὲ χερρόνησον τὴν συρικὴν, ἀπήγαγεν. ὅπου τὸ λοιπὸν, ἰσχυρᾶς φυλακῆς ἐπισταθείσης, θεραπεία μὲν ἧκεν ἱκανὴ παρὰ σελεύκου. καὶ χρήματα καὶ δίαιτα παρεσκευάζετο καθημέραν οὐ μεμπτή. δρόμοι δὲ καὶ περίπατοι βασιλικοί. καὶ παράδεισοι θήρας ἔχοντες, ἀπεδείχθησαν. ἦν δὲ καὶ τῶν φίλων τῶν συμφυγόντων τῷ βουλομένῳ συνεῖναι. καὶ παρ' αὐτὸν τινὲς ὅμως ἐπιφοιτῶντες ἀπὸ τοῦ σελεύκου, ἧκον κομίζοντες ἐπιεικεῖς λόγους, καὶ θαρρεῖν παρακαλοῦντες. ὡς ὅταν πρῶτον ἀντίοχος ἀφίκηται σὺν στρατονίκῃ διαλυθησόμενον. ὁ δὲ δημήτριος ἐν τοιαύτῃ τύχῃ γεγονὼς ἀπέστειλε πρὸς τὸν υἱὸν καὶ τοὺς περὶ ἀθήνας καὶ κόρινθον ἡγεμόνας καὶ φίλους, μήτε γράμμασιν αὐτοῦ μήτε σφραγῖδι πιστεύειν. ἀλλ' ὡς περὶ τεθνηκότος, ἀντιγόνῳ τὰς πόλεις καὶ τὰ λοιπὰ πράγματα διαφυλάττειν. ἀντίγονος δὲ τὴν τοῦ πατρὸς σύλληψιν πυθόμενος καὶ βαρέως ἐνεγκὼν, καὶ πένθιμον ἀναλαβὼν ἐσθῆτα, πρός τε τοὺς ἄλλους βασιλεῖς ἔγραψε, καὶ πρὸς αὐτὸν σέλευκον δεόμενος. καὶ πᾶν ὅτι λοιπὸν ἦν αὐτοῖς παραδιδοὺς, καὶ πρὸ παντὸς ὁμηρεύειν ἕτοιμος ὢν αὐτὸς ὑπὲρ τοῦ πατρὸς, καὶ συνεδέοντο ταῦτα, πόλεις τε πολλαὶ καὶ δυνάσται, πλὴν λυσιμάχου. λυσίμαχος δὲ καὶ χρήματα πολλὰ πέμπων ὑπισχνεῖτο σελεύκῳ κτείναντι δημήτριον. ὁ δὲ, ἐκεῖνον μὲν καὶ ἄλλως προβαλλόμενος, ἔτι μᾶλλον ἐπὶ τούτῳ μιαρὸν ἡγεῖτο καὶ βάρβαρον. ἀντιόχῳ δὲ τῷ παιδὶ καὶ στρατονίκῃ παραφυλάττων δημήτριον, ὡς ἐκείνων

τινὲς ἐπιρρέουσιν, κατὰ μικρὸν ἀνεπλήρουν τὴν ἐλπίδα. καὶ τό τε πρῶτον ἰδιώτης καὶ τῶν βασιλικῶν κοσμίων ἔρημος ἐπεφοίτα ταῖς πόλεσι. καί τις αὐτὸν ἐν θήβαις τοιοῦτον θεασάμενος, ἐχρήσατο τοῖς εὐριπίδου στίχοις, οὐκ ἀηδῶς·

μορφὴν ἀμείψας ἐκ θεοῦ βροτησίαν, πάρεστι δίρκης νάμαθ' ἰσμηνοῦ θ' ὕδωρ.

ἐπεὶ δὲ ἅπαξ ὥσπερ εἰς ὁδὸν βασιλικὴν τὴν ἐλπίδα κατέστη. καὶ συνίστατο πάλιν σῶμα καὶ σχῆμα περὶ αὐτὸν ἀρχῆς, θηβαίοις μὲν ἀπέδωκε τὴν πολιτείαν. ἀθηναῖοι δὲ ἀπέστησαν αὐτοῦ. καὶ τόν τε δίφιλον ὃς ἦν ἱερεὺς τῶν σωτήρων ἀναγεγραμμένος ἐκ τῶν ἐπωνύμων, ἀνεῖλον, ἄρχοντας αἱρεῖσθαι πάλιν ὥσπερ ἦν πάτριον ψηφισάμενοι. τόν τε πύρρον ἐκ μακεδονίας μετεπέμποντο μᾶλλον ἢ προσεδόκησαν ἰσχύοντα τὸν δημήτριον ὁρῶντες. ὁ δὲ, ὀργῇ μὲν ἐπῆλθεν αὐτοῖς, καὶ πολιορκίαν περὶ τὸ ἄστυ συνεστήσατο καρτεράν, κράτητος δὲ τοῦ φιλοσόφου πεμφθέντος ὑπὸ τοῦ δήμου πρὸς αὐτὸν ἀνδρὸς ἐνδόξου καὶ δυνατοῦ, τὰ μὲν, οἷς ὑπὲρ τῶν ἀθηναίων ἐδεῖτο πεισθείς. τὰ δὲ, ὑφ' ὧν ἐδίδασκε περὶ τῶν ἐκείνῳ συμφερόντων νοήσας, ἔλυσε τὴν πολιορκίαν. καὶ συναγαγὼν ὅσαι νῆες ἦσαν αὐτῷ, καὶ στρατιώτας μυρίους καὶ χιλίους σὺν ἱππεῦσιν ἐμβιβάσας, ἐπὶ τὴν ἀσίαν ἔπλει. λυσιμάχου καρίαν καὶ λυδίαν ἀποστήσων. δέχεται δὲ αὐτὸν εὐρυδίκη περὶ μίλητον ἀδελφὴ φίλας. ἄγουσα τῶν αὐτῆς καὶ πτολεμαίου θυγατέρων, πτολεμαΐδα καθωμολογημένην ἐκείνῳ πρότερον διὰ σελεύκου. ταύτην γαμεῖ δημήτριος εὐρυδίκης ἐκδιδούσης. καὶ μετὰ τὸν γάμον εὐθὺς ἐπὶ τὰς πόλεις ἐτρέπετο. πολλῶν μὲν ἑκουσίως προστιθεμένων. πολλὰς δὲ καὶ βιαζόμενος. ἔλαβε δὲ καὶ σάρδεις. καί τινες τῶν λυσιμάχου στρατιωτῶν ἀπεχώρησαν πρὸς αὐτὸν, χρήματα καὶ στρατιὰν κομίζοντες. ἐπερχομένου δὲ ἀγαθοκλέους τοῦ λυσιμάχου μετὰ δυνάμεως, ἀνέβαινεν εἰς φρυγίαν, ἐγνωκὼς ἄνπερ ἀρμενίας ἐπιλάβηται, μηδίαν κινεῖν. καὶ τῶν ἄνω πραγμάτων ἔχεσθαι. πολλὰς ἐξωθουμένῳ περὶ φυγὰς καὶ ἀναχωρήσεις ἐχόντων. ἑπομένου δὲ ἀγαθοκλέους, ἐν ταῖς συμπλοκαῖς περιῆν. ἐπισιτισμοῦ δὲ καὶ προνομῶν εἰργόμενος, ἠπορεῖτο, καὶ τοῖς στρατιώταις δι' ὑποψίας ἦν ὡς ἐπ' ἀρμενίαν καὶ μηδίαν ἐκτοπίζων. ἅμα δὲ μᾶλλον ὁ λιμὸς ἐπέτεινε. καὶ διαμαρτία τις γενομένη περὶ τὴν λύκου διάβασιν, πλῆθος ἀνθρώπων ἁρπαγὲν ὑπὸ τοῦ ῥεύματος ἀπώλεσεν. ὅμως δὲ τοῦ σκώπτειν οὐκ ἀπείχοντο. προγράφει δέ τις αὐτοῦ πρὸ τῆς σκηνῆς τὴν τοῦ οἰδίποδος ἀρχὴν μικρὸν παραλλάξας.

τέκνον τυφλοῦ γέροντος ἀντιγόνου, τίνας χώρους ἀφίγμεθα.

τέλος δὲ καὶ νόσου τῷ λιμῷ συνεπιτιθεμένης ὥσπερ εἴωθεν ἐπὶ βρώσεις ἀναγκαίας τρεπομένων, τοὺς πάντας οὐκ ἐλάσσονας ὀκτακισχιλίων ἀποβαλὼν, ἀπῆγεν ὀπίσω τοὺς λοιπούς. καὶ καταβὰς εἰς ταρσὸν, ἐβούλετο μὴ ἅπτεσθαι τῆς χώρας, οὔσης ὑπὸ σελεύκῳ τότε. καὶ πρόφασιν ἐκείνῳ μηδὲ μίαν παρασχεῖν, ὡς δὲ ἦν ἀμήχανον, ἐν ταῖς ἐσχάταις ὄντων ἀπορίαις τῶν στρατιωτῶν. καὶ τοῦ ταύρου τὰς ὑπερβολὰς ἀγαθοκλῆς ἀπετείχισε, γράφει πρὸς σέλευκον ἐπιστολὴν, μακρόν τινα τῆς αὐτοῦ τύχης ὀδυρμόν. εἶτα πολλὴν ἱκεσίαν καὶ δέησιν ἔχουσαν, ἀνδρὸς οἰκείου λαβεῖν οἶκτον, ἄξια καὶ πολεμίους συναλγῆσαι πεπονθότος. ἐπικλασθέντος δέ πως σελεύκου καὶ γράψαντος τοῖς ἐκεῖ στρατηγοῖς, ὅπως αὐτῷ τε τῷ δημητρίῳ χορηγίαν βασιλικὴν καὶ τῇ δυνάμει τροφὴν ἄφθονον παρέχωσιν, ἐπελθὼν πατροκλῆς ἀνὴρ συνετὸς εἶναι δοκῶν. καὶ σελεύκῳ φίλος πιστὸς, οὐ τὸ τῆς δαπάνης ἔφη πλεῖστον εἶναι τῶν δημητρίου στρατιωτῶν τρεφομένων, ἀλλ' ἐνδιατρίβοντα τῇ χώρᾳ δημήτριον, οὐ καλῶς περιορᾶν αὐτὸν, ὃς ἀεὶ βιαιότατος ὢν καὶ μεγαλοπραγμονέστατος βασιλέων, νῦν ἐν τύχαις γέγονεν, αἳ καὶ τοὺς φύσει μετρίους ἐξάγουσι τολμᾶν καὶ ἀδικεῖν. ἐκ τούτου παροξυνθεὶς ὁ σέλευκος, ἐξώρμησεν εἰς κιλικίαν μετὰ πολλῆς δυνάμεως. ὁ δὲ δημήτριος ἐκπλαγεὶς τῇ δι' ὀλίγου μεταβολῇ τοῦ σελεύκου καὶ φοβηθεὶς, ὑπέστειλε τοῖς ὀχυρωτάτοις τοῦ ταύρου. καὶ διαπεμπόμενος, ἠξίου μάλιστα μὲν αὐτὸν περιιδεῖν τῶν αὐτονόμων τινὰ βαρβάρων κτησάμενον ἀρχὴν, ἐν ᾗ καταβιώσεται πλάνης καὶ φυγῆς παυσάμενος. εἰ δὲ μὴ, τὸν χειμῶνα διαθρέψασθαι τὴν δύναμιν αὐτόθι. καὶ μὴ πάντων ἐνδεᾶ καὶ γυμνὸν ἐξελαύνειν. καὶ προβάλλειν τοῖς πολεμίοις. ἐπεὶ δὲ σέλευκος ταῦτα πάντα ὑποπτεύων, ἐκέλευσεν αὐτὸν εἰ βούλεται δύο μῆνας ἐν τῇ καταονίᾳ χειμάσαι, δόντα τοὺς πρώτους τῶν φίλων ὁμήρους. ἅμα δὲ τὰς εἰς συρίαν ἀπετείχιζεν ἐκβολὰς, ἐγκλειόμενος ὥσπερ θηρίον ὁ δημήτριος κύκλῳ καὶ περιβαλλόμενος, ὑπ' ἀνάγκης τρέπεται πρὸς ἀλκήν. καὶ τήν τε χώραν κατέτρεχε. καὶ τῷ σελεύκῳ προσβάλλοντι συμπλεκόμενος, ἀεὶ πλέον εἶχε. καί ποτε τῶν δρεπανηφόρων εἰς αὐτὸν ἀφεθέντων, ὑποστὰς, τροπὴν ἐποιήσατο. καὶ τῶν εἰς συρίαν ὑπερβολῶν τοὺς ἀποτειχίζοντας ἐξελάσας ἐκράτησε. καὶ ὅλως ἐπῆρτο τῇ γνώμῃ. καὶ τοὺς στρατιώτας ἀνατεθαρρηκότας ὁρῶν, παρεσκευάζετο διαγωνίσασθαι πρὸς τὸν σέλευκον ἐπὶ τοῖς μεγίστοις ἄθλοις, ἠπορημένον ἤδη καὶ αὐτόν. ἀπέστρεψε μὲν γὰρ τὴν παρὰ λυσιμάχου βοήθειαν, ἀπιστῶν καὶ φοβούμενος. αὐτὸς δὲ καθ' ἑαυτὸν ὤκνει τῷ δημητρίῳ συνάψαι, δεδιὼς τὴν ἀπόνοιαν αὐτοῦ καὶ τὴν ἀεὶ μεταβολὴν ἐκ τῶν ἐσχάτων ἀποριῶν, τὰς μεγίστας εὐτυχίας ἐπιφέρουσαν. νόσος μέντοι βαρεῖα τὸν δημήτριον ἐν τούτῳ καταλαβοῦσα, τό τε σῶμα δεινῶς ἐκάκωσε. καὶ τὰ πράγματα παντάπασι διέφθειρεν, οἱ μὲν γὰρ ἀπεχώρησαν πρὸς τοὺς πολεμίους. οἱ δὲ διερρύησαν αὐτοῦ τῶν στρα-

ἐδίδασκε π.

κουφότερος γενόμενος, πάνυ ῥᾳδίως ἐξελάσας αὐτὸν, ἐποιήσατο τινὰς ὁμολογίας, οὐ βουλόμενος ἐμποδὼν ὄντι, συνεχῶς προσπταίων καὶ τοπομαχῶν, ἥττων εἶν, πρὸς οὓς διενοεῖτο. διενοεῖτο δὲ, οὐθὲν ὀλίγον ἀλλὰ πᾶσαν ἀναλαμβάνειν τὴν ὑπὸ τῷ πατρὶ γενομένην ἀρχήν. καὶ τῆς ἐλπίδος ταύτης καὶ τῆς ἐπιβολῆς, οὐκ ἀπελείπετο τὰ τῆς παρασκευῆς, ἀλλὰ στρατιᾶς μὲν ἤδη συνετέτακτο πεζῆς, μυριάδας δέκα, δισχιλίων ἀποδεούσας. καὶ χωρὶς, ἱππέας ὀλίγῳ δισχιλίων καὶ μυρίων ἐλάττους. στόλον δὲ νεῶν ἅμα πεντακοσίων καταβαλλόμενος, τὰς μὲν ἐν Πειραιεῖ, τρόπεις ἔθετο. τὰς δ' ἐν Κορίνθῳ. τὰς δ' ἐν Χαλκίδι. τὰς δὲ, περὶ Πέλλαν. αὐτὸς ἐπιὼν ἑκασταχόσε καὶ διδάσκων ἃ χρὴ, καὶ συντεχνώμενος ἐκπληττομένων ἁπάντων, οὐ τὰ πλήθη μόνον, ἀλλὰ καὶ τὰ μεγέθη τῶν ἔργων. οὐδεὶς γὰρ οὐδὲν ἀνθρώπων οὔτε πεντεκαιδεκήρη ναῦν πρότερον, οὔτε ἑκκαιδεκήρη. ἀλλ' ὕστερον τεσσαρακοντήρη Πτολεμαῖος ὁ Φιλοπάτωρ ἐναυπηγήσατο. μῆκος διακοσίων ὀγδοήκοντα πηχῶν, ὕψος δὲ ἕως ἀκροστολίου πεντήκοντα, δυοῖν δεόντων. ναύταις δὲ χωρὶς ἐρετῶν ἐξηρτυμένην τετρακοσίους. ἐρέταις δὲ τετρακισχιλίοις. χωρὶς δὲ τούτων ὁπλίτας δεχομένην, ἐπί τε τῶν παρόδων καὶ τοῦ καταστρώματος, ὀλίγῳ τρισχιλίων ἀποδέοντας. ἀλλὰ θέαν μόνην ἐκείνη παρέσχε. καὶ μικρὸν ὅσον διαφέρουσα τῶν μονίμων οἰκοδομημάτων φανεῖσαι πρὸς ἐπίδειξιν οὐ χρείαν, ἐπισφαλῶς καὶ δυσέργως ἐκινήθη. τῶν δὲ Δημητρίου νεῶν, οὐκ ἦν τὸ καλὸν ἀναγώνιστον. οὐδὲ τῷ περιττῷ τῆς κατασκευῆς ἀπεστεροῦντο τὴν χρείαν. ἀλλὰ τὸ τάχος καὶ τὸ ἔργον ἀξιοθεατότερον τοῦ μεγέθους παρεῖχον. αἰρομένης οὖν τοσαύτης δυνάμεως ἐπὶ τὴν Ἀσίαν ὅσην μετ' Ἀλέξανδρον οὐδεὶς ἔσχε πρότερον, οἱ τρεῖς συνέστησαν ἐπὶ Δημήτριον, Σέλευκος, Πτολεμαῖος, Λυσίμαχος, ἔπειτα κοινῇ πρὸς Πύρρον ἀποστείλαντες, ἐκέλευον ἐξάπτεσθαι Μακεδονίας. καὶ μὴ νομίζειν σπονδὰς, ἃς Δημήτριος οὐκ ἐκείνῳ τὸ μὴ πολεμεῖσθαι δέδωκεν, ἀλλ' ἑαυτῷ, τὸ πολεμεῖν οἷς βούλεται πρότερον. δεξαμένου δὲ Πύρρου, πολὺς περιέστη πόλεμος, ἔτι μέλλοντα Δημήτριον. ἅμα γὰρ τὴν μὲν Ἑλλάδα πλεύσας στόλῳ μεγάλῳ Πτολεμαῖος ἀφίστη. Μακεδονίαν δὲ, Λυσίμαχος ἐκ Θρᾴκης. ἐκ δὲ τῆς ὁμόρου, Πύρρος, ἐμβαλόντες ἐλεηλάτουν. ὁ δὲ, τὸν μὲν υἱὸν ἐπὶ τῆς Ἑλλάδος κατέλιπεν. αὐτὸς δὲ βοηθῶν Μακεδονίᾳ, πρῶτον ὥρμησεν ἐπὶ Λυσίμαχον. ἀγγέλλεται δὲ αὐτῷ Πύρρος ᾑρηκὼς πόλιν Βέρροιαν. καὶ τοῦ λόγου ταχέως εἰς τοὺς Μακεδόνας ἐμπεσόντος, οὐδὲν ἔτι τῷ Δημητρίῳ κατὰ κόσμον εἶχεν. ἀλλὰ καὶ ὀδυρμῶν καὶ δακρύων καὶ πρὸς ἐκεῖνον ὀργῆς καὶ βλασφημιῶν, μεστὸν ἦν τὸ στράτευμα, καὶ συμμένειν οὐκ ἤθελον, ἀλλ' ἀπιέναι. τῷ μὲν λόγῳ πρὸς τὰ οἴκοι. τῇ δὲ ἀληθείᾳ, πρὸς τὸν Λυσίμαχον, ἔδοξεν οὖν τῷ Δημητρίῳ, Λυσιμάχου μὲν ἀποστῆναι πορρωτάτω, πρὸς δὲ Πύρρον τρέπεσθαι. τὸν μὲν γὰρ ὁμόφυλον εἶναι καὶ πολλοῖς συνήθη δι' Ἀλέξανδρον. ἔπηλυν δὲ καὶ ξένον ἄνδρα τὸν Πύρρον οὐκ ἂν αὐτοῦ προτιμῆσαι Μακεδόνας. τούτων μέντοι πολὺ διεψεύσθη τῶν λογισμῶν. ὡς γὰρ ἐγγὺς ἐλθὼν τῷ Πύρρῳ παρεστρατοπέδευσεν, ἀεὶ μὲν αὐτοῦ τὴν ἐν τοῖς ὅπλοις λαμπρότητα θαυμάζοντες. ἔκ τε τοῦ παλαιοτάτου βασιλικώτατον εἰθισμένοι νομίζειν τὸν ἐν τοῖς ὅπλοις κράτιστον τότε, καὶ πρᾴως κεχρῆσθαι τοῖς ἁλισκομένοις πυνθανόμενοι. πάντες δὲ καὶ πρὸς ἕτερον καὶ πρὸς ἐκεῖνον ἀπαλλαγῆναι τοῦ Δημητρίου ζητοῦντες, ἀπεχώρουν λάθρα καὶ κατ' ὀλίγους, τό γε πρῶτον. εἶτα φανερῶς ἅπαν εἶχε κίνησιν καὶ ταραχὴν τὸ στρατόπεδον. τέλος δὲ τῷ Δημητρίῳ τολμήσαντές τινες προσελθεῖν, ἐκέλευον ἀπιέναι καὶ σώζειν αὑτόν. ἀπειρηκέναι γὰρ ἤδη Μακεδόνας, ὑπὲρ τῆς ἐκείνου τρυφῆς πολεμοῦντας. οὗτοι μετριώτατοι τῶν λόγων ἐφαίνοντο τῷ Δημητρίῳ πρὸς τὴν τῶν ἄλλων τραχύτητα. καὶ παρελθὼν ἐπὶ σκηνὴν, ὥσπερ οὐ βασιλεὺς ἀλλ' ὑποκριτὴς, μεταμφιέννυται χλαμύδα φαιὰν ἀντὶ τῆς τραγικῆς ἐκείνης. καὶ διαλαθὼν ὑπεχώρησεν. ὁρμησάντων δὲ τῶν πλείστων εὐθὺς ἐφ' ἁρπαγὴν, καὶ πρὸς ἀλλήλους διαμαχομένων, καὶ τὴν σκηνὴν διασπώντων, ἐπιφανεὶς ὁ Πύρρος, ἐκράτησεν αὐτοβοεὶ καὶ κατέσχε τὸ στρατόπεδον. καὶ γίνεται πρὸς Λυσίμαχον αὐτῷ, συμπάσης Μακεδονίας νέμησις, ἑπταετίαν ὑπὸ Δημητρίου βεβαίως ἀρχθείσης. οὕτω δὲ τοῦ Δημητρίου τῶν πραγμάτων ἐκπεσόντος καὶ καταφυγόντος εἰς Κασάνδρειαν, ἡ γυνὴ Φίλα περιπαθὴς γενομένη, προσιδεῖν μὲν οὐχ ὑπέμεινεν αὖθις ἰδιώτην καὶ φυγάδα τὸν τλημονέστατον βασιλέων Δημήτριον. ἀπειπαμένη δὲ πᾶσαν ἐλπίδα καὶ μισήσασα τὴν τύχην αὐτοῦ, βεβαιοτέραν ἐν τοῖς κακοῖς οὖσαν ἢ τοῖς ἀγαθοῖς, πιοῦσα φάρμακον ἀπέθανε. Δημήτριος δὲ ἔτι τῶν λοιπῶν ναυαγίων ἔχεσθαι διανοηθεὶς, ἀπῆρεν εἰς τὴν Ἑλλάδα. καὶ τοὺς ἐκεῖ στρατηγοὺς καὶ φίλους συνῆγεν. ἣν οὖν ὁ Σοφοκλέους Μενέλαος εἰκόνα ταῖς αὑτοῦ τύχαις παρατίθησιν.

» ἀλλ' οὑμὸς ἀεὶ πότμος ἐν πυκνῷ θεοῦ
» τροχῷ κυκλεῖται, καὶ μεταλλάσσει φύσιν.
ὥσπερ σελήνης δ' ὄψιν εὐφρόναις δύο
» στῆναι δύναιτ' ἂν οὔποτ' ἐν μορφῇ μιᾷ.
ἀλλ' ἐξ ἀδήλου πρῶτον ἔρχεται νέα,
» πρόσωπα καλλύνουσα καὶ πληρουμένη.
χὤταν περ αὑτῆς εὐπρεπεστάτη φανῇ,
» πάλιν διαρρεῖ κἀπὶ μηδὲν ἔρχεται.

ταύτῃ μᾶλλον ἄν τις ἀπεικάσειε τὰ Δημητρίου πράγματα καὶ τὰς περὶ αὐτὸν αὐξήσεις καὶ φθίσεις καὶ ἀναπληρώσεις καὶ ταπεινότητας. οὗ γε καὶ τότε παντάπασιν ἀπολείπειν καὶ κατασβέννυσθαι δοκοῦσαν, ἀνέλαμπεν αὖθις ἡ ἀρχή. καὶ δυνάμεις

καταστήσας μυρίους ὁπλίτας καὶ χιλίους ἱππεῖς, αὖθις ἐνέκειτο ταῖς Θήβαις. καὶ προσῆγε τὴν λεγομένην ἑλέπολιν, πολυπόνως καὶ κατὰ μικρὸν ὑπὸ βάρους καὶ μεγέθους μοχλευομένην, ὥστε μόλις ἐν δυσὶ μησὶ, δύο σταδίους προελθεῖν. τῶν δὲ βοιωτῶν ἐρρωμένως ἀμυνομένων. καὶ τοῦ δημητρίου πολλάκις φιλονεικίας ἕνεκα μᾶλλον ἢ χρείας, μάχεσθαι καὶ κινδυνεύειν τοὺς στρατιώτας ἀναγκάζοντος, ὁρῶν ὁ ἀντίγονος πίπτοντας οὐκ ὀλίγους καὶ περιπαθῶν. τί ὦ πάτερ ἔφη παραναλισκομένους οὐκ ἀναγκαίως τούτους περιορῶμεν. ὁ δὲ, παροξυνθεὶς, σὺ δὲ ἔφη τί δυσχεραίνεις. ἢ διάμετρον ὀφείλεις τοῖς ἀποθνήσκουσιν. οὐ μὴν ἀλλὰ καὶ βουλόμενός γε μὴ δοκεῖν ἑτέρων ἀφειδεῖν μόνον, ἀλλὰ καὶ συγκινδυνεύειν τοῖς μαχομένοις, διελαύνεται τὸν τράχηλον ὀξεῖ βέλει. καὶ δεινῶς μὲν ἔσχεν, οὐ μὴν ἀνῆκεν. ἀλλὰ εἷλε τὰς θήβας πάλιν. καὶ παρελθὼν, ἔκπληξιν μὲν καὶ φόβον ὡς τὰ δεινότατα πεισομένοις παρέσχεν. ἀνελὼν δὲ τρεισκαίδεκα καὶ μεταστήσας τινὰς, ἀφῆκε τοὺς ἄλλους. ταῖς μὲν οὖν θήβαις οὔπω δέκατον οἰκουμέναις ἔτος, ἁλῶναι δὶς ἐν τῷ χρόνῳ τούτῳ συνέπεσε. τῶν δὲ πυθίων καθηκόντων, πρᾶγμα καινότατον ἐπέτρεψεν αὑτῷ ποιεῖν ὁ δημήτριος. ἐπεὶ γὰρ αἰτωλοὶ τὰ περὶ δελφοὺς στενὰ κατεῖχον, ἐν ἀθήναις αὐτὸς ἦγε τὸν ἀγῶνα καὶ τὴν πανήγυριν, ὡς ἂν προσῆκον αὐτόθι μάλιστα τιμᾶσθαι τὸν θεόν. ὃς δὴ καὶ πατρῷος ἐστὶ καὶ λέγεται τοῦ γένους ἀρχηγός. ἐντεῦθεν ἐπανελθὼν εἰς μακεδονίαν, καὶ μήτε αὐτὸς ἄγειν ἡσυχίαν πεφυκώς. τούς τε ἄλλους ὁρῶν ἐν ταῖς στρατείαις μᾶλλον αὐτῷ προσέχοντας, οἴκοι δὲ ταραχώδεις καὶ πολυπράγμονας ὄντας, ἐστράτευσεν ἐπ' αἰτωλούς, καὶ τὴν χώραν κακώσας, καὶ πάνταυχον ἐν αὐτῇ, μέρος ἔχοντα τῆς δυνάμεως οὐκ ὀλίγον ἀπολιπὼν, αὐτὸς ἐπὶ πύρρον αὐτὸς ἐχώρει. καὶ πύρρος ἐπ' ἐκεῖνον. ἀλλήλων δὲ διαμαρτόντες, ὁ μὲν, ἐπόρθει τὴν ἤπειρον. ὁ δὲ, πανταύχῳ περιπεσὼν καὶ μάχην συνάψας, αὐτὸν μὲν ἄχρι τοῦ δοῦναι καὶ λαβεῖν πληγὴν ἐν χερσὶ γενόμενον, ἐτρέψατο. τῶν δὲ ἄλλων, πολλοὺς μὲν ἀπέκτεινεν, ἐζώγρησε δὲ πεντακισχιλίους, καὶ τοῦτο μάλιστα δημήτριον ἐκάκωσεν. οὐ γὰρ οὕτω μισηθεὶς ὁ πύρρος ἀφ' ὧν ἔπραξεν, ὡς θαυμασθεὶς ὅτι τὰ πλεῖστα τῇ χειρὶ κατειργάσατο, μέγα τι καὶ λαμπρὸν ἔσχεν ἀπὸ τῆς μάχης ἐκείνης ὄνομα παρὰ τοῖς μακεδόσι. καὶ πολλοῖς ἐπῄει λέγειν τῶν μακεδόνων, ὡς ἐν μόνῳ τούτῳ τῶν βασιλέων, εἴδωλον ἐνορῷτο τῆς ἀλεξάνδρου τόλμης. οἱ δὲ ἄλλοι καὶ μάλιστα δημήτριος ὡς ἐπὶ σκηνῆς τὸ βάρος ὑποκρίνοιντο καὶ τὸν ὄγκον τοῦ ἀνδρός. ἦν δὲ ὡς ἀληθῶς τραγῳδία μεγάλη περὶ τὸν δημήτριον, οὐ μόνον ἀμπεχόμενον καὶ διαδούμενον περιττῶς καυσίαις δημήτροις, καὶ χρυσοπαρύφοις ἁλουργίσιν, ἀλλὰ καὶ περὶ τοῖς ποσὶν ἐκ πορφύρας ἀκράτου συμπεπιλημένης χρυσοβαφεῖς πεποιημένον ἐμβάδας. ἦν δέ τις ὑφαινομένη χλαμὺς αὐτῷ πολὺν χρόνον ἔργον ὑπερήφανον, εἴκασμα τοῦ κόσμου καὶ τῶν κατ' οὐρανὸν φαινομένων. ὃ κατελείφθη μὲν ἡμιτελὲς ἐν τῇ μεταβολῇ τῶν πραγμάτων. οὐδεὶς δὲ ἐτόλμησεν αὐτῇ χρήσασθαι, καίπερ οὐκ ὀλίγων ὕστερον ἐν μακεδονίᾳ σοβαρῶν γενομένων βασιλέων. οὐ μόνον δὲ τούτοις τοῖς θεάμασιν ἐλύπει τοὺς ἀνθρώπους ἀήθεις ὄντας, ἀλλὰ καὶ τρυφὴν καὶ δίαιταν ἐβαρύνοντο. καὶ μάλιστα δὴ τὸ δυσόμιλον αὐτοῦ καὶ δυσπρόσοδον. ἢ γὰρ οὐ παρεῖχε καιρὸν ἐντυχεῖν. ἢ χαλεπὸς καὶ τραχὺς ἦν ἐντυγχάνουσιν. ἀθηναίων μὲν γὰρ περὶ οὓς ἐσπουδάκει μάλιστα τῶν ἑλλήνων, ἔτη δύο πρεσβείαν κατέσχεν. ἐκ λακεδαίμονος δὲ ἑνὸς πρεσβευτοῦ παραγενομένου, καταφρονεῖσθαι δοκῶν ἠγανάκτησεν. ἀστείως μέντοι καὶ λακωνικῶς ἐκεῖνος, εἰπόντος αὐτοῦ, τί σὺ λέγεις, ἕνα λακεδαιμόνιοι πρεσβευτὴν ἔπεμψαν, ναὶ εἶπεν ὦ βασιλεῦ πρὸς ἕνα. δόξαντος δὲ αὐτοῦ ποτὲ δημοτικώτερον ὑπεξελαύνειν καὶ πρὸς ἔντευξιν ἔχειν οὐκ ἀηδῶς, συνέδραμόν τινες ἐγγράφους ἀξιώσεις ἀναδιδόντες. δεξαμένου δὲ πάσας καὶ τῇ χλαμύδι συλλαβόντος, ἥσθησαν οἱ ἄνθρωποι καὶ παρηκολούθουν. ὡς δὲ ἦλθεν ἐπὶ τὴν τοῦ ἀξίου γέφυραν, ἀναπτύξας τὴν χλαμύδα, πάσας εἰς τὸν ποταμὸν ἐξέρριψε. καὶ τοῦτο δὴ δεινῶς ἠνίασε τοὺς μακεδόνας, ὑβρίζεσθαι δοκοῦντας, οὐ βασιλεύεσθαι. καὶ φιλίππου μνημονεύοντας, ἢ τῶν μνημονευόντων ἀκούοντας ὡς μέτριος ἦν περὶ ταῦτα καὶ κοινός. καί ποτε πρεσβυτέρου γυναίου, κόπτοντος αὐτὸν ἐν παρόδῳ τινὶ, καὶ δεομένου πολλάκις ἀκουσθῆναι, φήσας μὴ σχολάζειν, ἐγκραγόντος ἐκείνου, καὶ μὴ βασίλευε εἰπόντες, δηχθεὶς σφόδρα καὶ πρὸς τούτῳ γενόμενος, ἀνέστρεψεν εἰς τὴν οἰκίαν, καὶ πάντα ποιησάμενος ὕστερα, τοῖς ἐντυχεῖν βουλομένοις, ἀρξάμενος ἀπὸ τῆς πρεσβύτιδος ἐκείνης ἐπὶ πολλὰς ἡμέρας ἐσχόλασεν. οὐδὲν γὰρ οὕτως τῷ βασιλεῖ προσῆκον, ὡς τὸ τῆς δίκης ἔργον. ἄρης μὲν γὰρ τύραννος, ὥς φησι τιμόθεος, δὲ πάντων βασιλεὺς κατὰ πίνδαρόν ἐστιν. καὶ τοὺς βασιλεῖς ὅμηρός φησιν, οὐχ ἑλεπόλεις, οὐδὲ ναῦς χαλκήρεις. ἀλλὰ θέμιστας παρὰ τοῦ διὸς λαμβάνοντας, ῥύεσθαι καὶ φυλάσσειν. καὶ τοῦ διὸς οὐ τὸν πολεμικώτατον, οὐδὲ τὸν ἀδικώτατον καὶ φονικώτατον τῶν βασιλέων, ἀλλὰ τὸν δικαιότατον ὀαριστὴν καὶ μαθητὴν προσηγόρευκεν. ἀλλὰ δημήτριος ἔχαιρε, τῷ βασιλεῖ τῶν θεῶν, ἀνομοιοτάτην ἐπιγραφόμενος προσωνυμίαν. ὁ μὲν γὰρ, πολιεὺς καὶ πολιοῦχος. ὁ δὲ, πολιορκητὴς ἐπίκλησιν εἶχεν. οὕτως ἐπὶ τὴν τοῦ καλοῦ χώραν, τὸ αἰσχρὸν ὑπὸ δυνάμεως ἀμαθοῦς ἐπελθὸν συνῳκείωσε τῇ δόξῃ τὴν ἀδικίαν. ὁ δ' οὖν δημήτριος ἐπισφαλέστατα νοσήσας ἐν πέλλῃ, μικροῦ τότε μακεδονίαν ἀπέβαλε, καταδραμόντος ὀξέως πύρρου. καὶ μέχρις ἐδέσσης προελθόντος. ἅμα δὲ τῷ

γμένων ἀπολογήσασθαι, ἐὰν ἐξῇ παρεῖναι, καὶ δέχεσθαι φιλανθρώπως αὐτόν. ὡς δὲ ἦλθεν, οὐ μακεδόνες ἐδίκασαν αὐτῷ λόγων, ἀλλὰ τῷ μισεῖν μὲν αἰτιατὸν φονέα τῆς μητρὸς ὄντα, βελτίονος δὲ ἀπορεῖν, ἐκεῖνον ἀνηγόρευσαν βασιλέα μακεδόνων. καὶ παραλαβόντες αὐτὸν, κατῆγον εἰς μακεδονίαν. ἦν δὲ καὶ τοῖς οἴκοι μακεδόσιν, οὐκ ἀκούσιος ἡ μεταβολή, μεμνημένοις ἀεὶ καὶ μισοῦσιν, ἃ κάσσανδρος εἰς ἀλέξανδρον τεθνηκότα παρηνόμησεν. εἰ δέ τις ἔτι μνήμη τῆς ἀντιπάτρου τοῦ παλαιοῦ μετριότητος ὑπελείπετο, καὶ ταύτην δημήτριος ἐκαρποῦτο φίλλα συνοικῶν, καὶ τὸν ἐξ ἐκείνης υἱὸν, ἔχων διάδοχον τῆς ἀρχῆς, ἤδη τότε μειράκιον ὄντα, καὶ τῷ πατρὶ συστρατευόμενον. οὕτω δὲ λαμπρᾷ κεχρημένος εὐτυχίᾳ, πυνθάνεται μὲν περὶ τῶν τέκνων καὶ τῆς μητρὸς, ὡς μεθεῖνται, δῶρα καὶ τιμὰς πτολεμαίου προσθέντος αὐτοῖς. πυνθάνεται δὲ περὶ τῆς σελεύκῳ γαμηθείσης θυγατρὸς, ὡς ἀντιόχῳ τῷ σελεύκου συνοικεῖ, καὶ βασίλισσα τῶν ἄνω βαρβάρων ἀνηγόρευται. συνέβη γὰρ ὡς ἔοικε τὸν ἀντίοχον ἐρασθέντα τῆς στρατονίκης νέας οὔσης, ἤδη δὲ παιδίον ἐχούσης ἐκ τοῦ σελεύκου, διακεῖσθαι κακῶς. καὶ πολλὰ ποιεῖν τῷ πάθει διαμαχόμενον. τέλος δὲ αὑτοῦ καταγνόντα, δεινὰ μὲν ἐπιθυμεῖν, ἀνήκεστα δὲ νοσεῖν. κεκρατῆσθαι δὲ τῷ λογισμῷ, τρόπον ἀπαλλαγῆς τοῦ βίου ζητεῖν, καὶ παραλύειν ἀτρέμα, καὶ θεραπείας ἀμελείᾳ καὶ τροφῆς ἀποχῇ, τὸ σῶμα νοσεῖν τινὰ νόσον σκηπτόμενον. ἐρασίστρατον δὲ τὸν ἰατρὸν, αἰσθέσθαι μὲν, οὐ χαλεπῶς ἐρῶντος αὐτοῦ. τὸ δὲ οὗτινος ἐρᾷ δυστόπαστον ὂν, ἐξανευρεῖν βουλόμενον, ἀεὶ μὲν ἐν τῷ δωματίῳ διημερεύειν. εἰ δέ τις εἰσίοι τῶν ἐν ὥρᾳ μειρακίων ἢ γυναικῶν, ἐγκαθορᾶν τε τῷ προσώπῳ τοῦ ἀντιόχου, καὶ τὰ συμπάσχειν μάλιστα τῇ ψυχῇ τρεπομένῃ πεφυκότα μέρη καὶ κινήματα τοῦ σώματος ἐπισκοπεῖν. ὡς οὖν τῶν μὲν ἄλλων εἰσιόντων ὁμοίως εἶχε. τῆς δὲ στρατονίκης, καὶ καθ' ἑαυτὴν, καὶ μετὰ τοῦ σελεύκου φοιτώσης πολλάκις, ἐγίνετο τὰ τῆς σαπφοῦς ἐκεῖνα, περὶ αὐτὸν πάντα. φωνῆς ἐπίσχεσις. ἐρύθημα πυρῶδες. ὄψεων ὑποδείξεις. ἱδρῶτες ὀξεῖς. ἀταξία καὶ θόρυβος ἐν τοῖς σφυγμοῖς. τέλος δὲ τῆς ψυχῆς κατὰ κράτος ἡττωμένης, ἀπορία καὶ θάμβος, καὶ ὠχρίασις. ἐπὶ τούτοις προσλογιζόμενον τὸν ἐρασίστρατον κατὰ τὸ εἰκὸς, ὡς οὐκ ἂν ἑτέρας ἐρῶν, βασιλέως υἱὸς, ἐνεκαρτέρει, σιωπᾶν μέχρι θανάτου, χαλεπὸν μὲν ἡγεῖσθαι τὸ φράσαι ταῦτα καὶ κατειπεῖν. οὐ μὴν ἀλλὰ πιστεύοντα τῇ πρὸς τὸν υἱὸν εὐνοίᾳ τοῦ σελεύκου, παρακινδυνεῦσαι ποτὲ καὶ εἰπεῖν. ὡς ἔρως μὲν εἴη τοῦ νεανίσκου τὸ πάθος. ἔρως δὲ ἀδύνατος καὶ ἀνίατος. ἐκπλαγέντος δὲ ἐκείνου, καὶ πυθομένου, πῶς ἀνίατος. ὅτι νὴ δία φάναι τὸν ἐρασίστρατον, ἐρᾷ τῆς ἐμῆς γυναικός. εἶτα οὐκ ἂν εἰπεῖν τὸν σέλευκον, ἐπιδοίης ἐρασίστρατε τῷ ἐμῷ παιδὶ φίλος ὢν, τὸν γάμον. καὶ ταῦτα ὁρῶν ἡμᾶς ἐπὶ τούτῳ μόνῳ σαλεύοντας, οὐδὲ γὰρ ἂν σὺ φάναι τὸν πατὴρ ὢν ἐποίησας, εἰ στρατονίκης ἀντίοχος ἐπεθύμησε. καὶ τὸν σέλευκον, εἴθε γὰρ ὦ ἑταῖρε εἴπε, ταχὺ μεταστρέψαι τις ἐπὶ ταῦτα καὶ μεταβάλοι θεῶν ἢ ἀνθρώπων τὸ πάθος. ὡς ἐμοὶ καὶ τὴν βασιλείαν ἀφεῖναι καλὸν, ἀντιόχου περιεχομένῳ. ταῦτα ἐμπαθῶς σφόδρα τοῦ σελεύκου μετὰ πολλῶν δακρύων λέγοντος, ἐμβαλόντα τὴν δεξιὰν αὐτῷ τὸν ἐρασίστρατον εἰπεῖν. ὡς οὐδὲν ἐρασιστράτου δέοιτο. καὶ γὰρ πατὴρ καὶ ἀνὴρ ὢν καὶ βασιλεὺς, αὐτὸς ἅμα καὶ ἰατρὸς εἴη τῆς οἰκίας ἄριστος. ἐκ τούτου τὸν σέλευκον ἐκκλησίαν ἀθροίσαντα πάνδημον εἰπεῖν, ὅτι βούλεται καὶ διέγνωκε, τῶν ἄνω πάντων τόπων, ἀντίοχον ἀποδεῖξαι βασιλέα καὶ στρατονίκην βασιλίδα, ἀλλήλοις συνοικοῦντας. οἴεσθαι δὲ τὸν μὲν υἱὸν, εἰθισμένον ἅπαντα πείθεσθαι καὶ κατήκοον ὄντα, μηδὲν ἀντερεῖν αὐτῷ πρὸς τὸν γάμον. εἰ δ' ἡ γυνὴ τῷ μὴ νενομισμένῳ δυσκολαίνοι, παρακαλεῖν τοὺς φίλους, ὅπως διδάσκωσιν αὐτὴν καὶ πείθωσι, καλὰ καὶ δίκαια τὰ δοκοῦντα βασιλεῖ μετὰ τοῦ συμφέροντος ἡγεῖσθαι. τὸν μὲν οὖν ἀντιόχου καὶ στρατονίκης γάμον, ἐκ τοιαύτης γενέσθαι προφάσεως λέγουσι. δημήτριος δὲ μακεδονίαν καὶ θετταλίαν ἤδη παρειληφὼς, ἔχων δὲ καὶ τῆς πελοποννήσου τὰ πλεῖστα καὶ τῶν ἐντὸς ἰσθμοῦ μέγαρα καὶ ἀθήνας, ἐπὶ βοιωτοὺς ἐστράτευσε. καὶ πρῶτον μὲν, ἐγένοντο συμβάσεις μέτριαι περὶ φιλίας πρὸς αὐτόν. ἔπειτα κλεωνύμου τοῦ σπαρτιάτου παραβαλόντος εἰς θήβας μετὰ στρατιᾶς, ἐπαρθέντες οἱ βοιωτοὶ, καὶ πείσιδος ἅμα τοῦ θεσπιέως, ὃς ἐπρώτευε δόξῃ καὶ δυνάμει, τότε συμπαρορμῶντος αὐτοὺς, ἀπέστησαν. ὡς δὲ ταῖς θήβαις ἐπαγαγὼν τὰς μηχανὰς ὁ δημήτριος ἐπολιόρκει, καὶ φοβηθεὶς ὑπεξῆλθεν ὁ κλεώνυμος, καταπλαγέντες οἱ βοιωτοὶ παρέδωκαν ἑαυτούς. ὁ δὲ, ταῖς πόλεσιν ἐμβαλὼν φρουρὰν, καὶ πραξάμενος πολλὰ χρήματα καὶ καταλιπὼν αὐτοῖς ἐπιμελητὴν καὶ ἁρμοστὴν ἱερώνυμον τὸν ἱστορικὸν, ἔδοξεν ἠπίως κεχρῆσθαι, καὶ μάλιστα διὰ πείσιν. ἑλὼν γὰρ αὐτὸν, οὐδὲν κακὸν ἐποίησεν, ἀλλὰ καὶ προσαγορεύσας καὶ φιλοφρονηθεὶς, πολέμαρχον ἐν θεσπιαῖς ἀπέδειξεν. οὐ πολλῷ δὲ ὕστερον ἁλίσκεται λυσίμαχος, ὑπὸ δρομιχαίτου, καὶ πρὸς τοῦτο, κατὰ τάχος ἐξορμήσαντος ἐπὶ θράκην τοῦ δημητρίου, ὡς πρᾶγμα καταληψομένου, πάλιν ἀπέστησαν οἱ βοιωτοί. καὶ λυσίμαχος ἅμα διειμένος ἀπηγγέλλετο. ταχέως οὖν καὶ πρὸς ὀργὴν ἀναστρέψας ὁ δημήτριος, εὗρεν ἡττημένους ὑπὸ τοῦ παιδὸς ἀντιγόνου μάχῃ τοὺς βοιωτοὺς, καὶ τὰς θήβας αὖθις ἐπολιόρκει. πύρρου δὲ θετταλίαν κατατρέχοντος, καὶ μέχρι θερμοπυλῶν παραφανέντος, ἀντίγονον ἐπὶ τῆς πολιορκίας καταλιπὼν, αὐτὸς ὥρμησεν ἐπ' ἐκεῖνον. ὀξέως δὲ φυγόντος, ἐν θετταλίᾳ

χωρεῖν πολλῶν συνεμπεσόντων λέγεταί τι καὶ τοιοῦτον γενέσθαι. πατέρα καὶ υἱὸν ἐν οἰκήματι καθέζεσθαι τὰ καθ' ἑαυτοὺς ἀπεγνωκότας, ἐκ δὲ τῆς ὀροφῆς μῦν νεκρὸν ἐκπεσεῖν. τοὺς δὲ, ὡς εἶδον, ἀναπηδήσαντας ἀμφοτέρους, διαμάχεσθαι περὶ αὐτοῦ. τότε καὶ τὸν φιλόσοφον ἐπίκουρον ἱστοροῦσι διαθρέψαι τοὺς συνήθεις, κυάμοις πρὸς ἀριθμὸν μετ' αὐτῶν διανεμόμενον. οὕτως οὖν τῆς πόλεως ἐχούσης, εἰσελθὼν ὁ δημήτριος καὶ κελεύσας εἰς τὸ θέατρον ἀθροισθῆναι πάντας, ὅπλοις μὲν συνέφραξε τὴν σκηνὴν, καὶ δορυφόροις τὸ λογεῖον περιέλαβεν. αὐτὸς δὲ καταβὰς ὥσπερ οἱ τραγῳδοὶ διὰ τῶν ἄνω παρόδων. ἔτι μᾶλλον ἐκπεπληγμένων τῶν ἀθηναίων, τὴν ἀρχὴν τοῦ λόγου, πέρας ἐποιήσατο τοῦ δέους αὐτῶν. καὶ γὰρ τόνου φωνῆς, καὶ ῥημάτων πικρίας φεισάμενος, ἐλαφρῶς δὲ καὶ φιλικῶς μεμψάμενος αὐτοὺς διηλλάσσετο. καὶ δέκα μυριάδας σίτου μεδίμνων ἐπέδωκε. καὶ κατέστησεν ἀρχὰς, αἳ μάλιστα τῷ δήμῳ προσφιλεῖς ἦσαν. συνιδὼν δὲ δρομοκλείδης ὁ ῥήτωρ ὑπὸ χαρᾶς τὸν δῆμον ἔν τε φωναῖς ὄντα παντοδαπαῖς, καὶ τοὺς ἀπὸ τοῦ βήματος ἐπαίνους τῶν δημαγωγῶν ἁμιλλώμενον ὑπερβαλέσθαι, γνώμην ἔγραψε δημητρίῳ τῷ βασιλεῖ, τὸν πειραιᾶ παραδοθῆναι καὶ τὴν μουνυχίαν. ἐπιψηφισθέντων δὲ τούτων ὁ δημήτριος αὐτὸς, ἐφ' ἑαυτοῦ προσενέβαλε φρουρὰν εἰς τὸ μουσεῖον, ὡς μὴ πάλιν ἀναχαιτίσαντα τὸν δῆμον, ἀσχολίας αὐτῷ πραγμάτων ἑτέρων παρασχεῖν. ἐχομένων δὲ τῶν ἀθηναίων, εὐθὺς ἐπεβούλευε τῇ λακεδαίμονι. καὶ περὶ μαντίνειαν ἀρχιδάμου τοῦ βασιλέως ἀπαντήσαντος αὐτῷ, νικήσας μάχῃ, καὶ τρεψάμενος, εἰς τὴν λακωνικὴν ἐνέβαλε. καὶ πρὸς αὐτῇ τῇ σπάρτῃ, πάλιν ἐκ παρατάξεως ἑλὼν πεντακοσίους, καὶ διαφθείρας διακοσίους, ὅσον οὔπω τὴν πόλιν ἔχειν ἐδόκει, μέχρι τῶν χρόνων ἐκείνων ἀνάλωτον οὖσαν. ἀλλ' ἡ τύχη περὶ οὐδένα τῶν βασιλέων ἔοικεν οὕτω τροπὰς λαβεῖν μεγάλας καὶ ταχείας. οὐδ' ἐν ἑτέροις πράγμασι τοσαυτάκις μικρὰ καὶ πάλιν μεγάλη. καὶ ταπεινὴ μὲν ἐκ λαμπρᾶς, ἰσχυρὰ δὲ αὖθις ἐκ φαύλης γενέσθαι. διὸ καὶ φασὶν αὐτὸν ἐν ταῖς χείροσι μεταβολαῖς, πρὸς τὴν τύχην ἀναφθέγγεσθαι τὸ αἰσχύλειον. σύ τοί με ἔφυσας, σύ με καθαιρεῖν μοι δοκεῖς. καὶ γὰρ τότε τῶν πραγμάτων, οὕτως εὐπόρως αὐτῷ πρὸς ἀρχὴν καὶ δύναμιν ἐπιδιδόντων, ἀγγέλλεται λυσίμαχος μὲν πρῶτος ἀφῃρημένος αὐτοῦ, τὰς ἐν ἀσίᾳ πόλεις. κύπρον δὲ πτολεμαῖος ᾑρηκὼς, ἄνευ μιᾶς πόλεως σαλαμῖνος. ἐν δὲ σαλαμῖνι πολιορκῶν τοὺς παῖδας αὐτοῦ καὶ τὴν μητέρα κατειλημμένους. οὐ μὴν ἀλλὰ καὶ ἡ τύχη καθάπερ ἡ παρ' ἀρχιλόχῳ γυνή. τῇ μὲν ὕδωρ ἐφόρει δολοφρονέουσα χειρὶ, τῇ δ' ἑτέρῃ πῦρ, δεινοῖς αὐτὸν οὕτω καὶ φοβεροῖς ἀγγέλμασιν ἀφαρπάσασα τῆς λακεδαίμονος, εὐθὺς ἑτέρων πραγμάτων καινῶν καὶ μεγάλων ἐπήνεγκεν ἐλπίδας ἐκ τοιαύτης αἰτίας. ἐπεὶ κασάνδρου τελευτήσαντος ὁ πρεσβύτατος αὐτοῦ τῶν παίδων φίλιππος, οὐ πολὺν χρόνον βασιλεύσας μακεδόνων, ἀπέθανεν, οἱ λοιποὶ δύο πρὸς ἀλλήλους ἐστασίαζον. θατέρου δὲ αὐτῶν ἀντιπάτρου, τὴν μητέρα θεσσαλονίκην φονεύσαντος, ἅτερος ἐκάλει βοηθοὺς, ἐκ μὲν ἠπείρου, πύρρον. ἐκ δὲ πελοποννήσου, δημήτριον. ἔφθασε δὲ πύρρος ἐλθὼν, καὶ πολὺ μέρος μακεδονίας ἀποτεμόμενος, τῆς βοηθείας μισθὸν, φοβερὸς μὲν ἤδη παροικῶν ἀλεξάνδρῳ. δημητρίου δ' ὡς ἐδέξατο τὰ γράμματα μετὰ τῆς δυνάμεως προσιόντος, ἔτι μᾶλλον ὁ νεανίας ἔτι φοβηθεὶς διὰ τὸ ἀξίωμα καὶ τὴν δόξαν, ἀπήντησεν αὐτῷ περὶ δῖον. ἀσπαζόμενος μὲν καὶ φιλοφρονούμενος, οὐδὲν δὲ φάσκων ἔτι τῆς ἐκείνου δεῖσθαι τὰ πράγματα παρουσίας. ἦσαν οὖν ἐκ τούτων ὑποψίαι πρὸς ἀλλήλους αὐτοῖς. καὶ βαδίζοντι δημητρίῳ πρὸς δεῖπνον ὑπὸ τοῦ νεανίσκου παρακεκλημένῳ, μηνύει τις ἐπιβουλὴν ὡς ἐν αὐτῷ τῷ πότῳ μελλόντων αὐτὸν ἀνελεῖν. ὁ δὲ, μηδὲν παραχθεὶς, ἀλλὰ μικρὸν ὑφεὶς τῆς πορείας, ἐκέλευσε τοὺς μὲν ἡγεμόνας ἐν τοῖς ὅπλοις τὴν στρατιὰν ἔχειν. ἀκολούθους δὲ καὶ παῖδας ὅσοι περὶ αὐτὸν ἦσαν. ἦσαν δὲ πολὺ πλείους τῶν ἀλεξάνδρου, συνεισελθεῖν εἰς τὸν ἀνδρῶνα καὶ παραμένειν, ἄχρις ἂν ἐξαναστῇ. ταῦτα δείσαντες οἱ περὶ τὸν ἀλέξανδρον, οὐκ ἐτόλμησαν ἐπιχειρῆσαι. καὶ ὁ μὲν δημήτριος, οὐκ ἔχειν αὐτῷ τὸ σῶμα ποτικῶς σκηψάμενος, ἀπῆλθε διὰ ταχέων. τῇ δὲ ὑστεραίᾳ περὶ ἀναζυγὴν εἶχε, πράγματα νεώτερα προσπεπτωκέναι φάμενος αὐτῷ. καὶ παρῃτεῖτο συγγνώμην ἔχειν τὸν ἀλέξανδρον, εἰ τάχιον ἀπαίρει. συνέσεσθαι γὰρ αὐτῷ μᾶλλον ἄλλοτε σχολάζων. ἔχαιρεν οὖν ἀλέξανδρος ὡς οὐ πρὸς ἔχθραν, ἀλλ' ἑκουσίως ἐκ τῆς χώρας ἀπαίροντος αὐτοῦ. καὶ προέπεμπεν ἄχρι θεσσαλίας. ἐπεὶ δὲ εἰς λάρισαν ἧκον, αὖθις ἀλλήλοις ἐπήγγελλον ἑστιάσεις ἀντεπιβουλεύοντες. ὃ δὴ μάλιστα τὸν ἀλέξανδρον ὑποχείριον ἐποίησε τῷ δημητρίῳ. φυλάττεσθαι γὰρ ὀκνῶν, ὡς μὴ κἀκεῖνον ἀντιφυλάττεσθαι διδάξῃ, προπαθὼν ἔφθασε. δρᾶν μέλλοντος αὐτοῦ, μὴ διαφυγεῖν ἐκεῖνον, ὃ ἐμηχανᾶτο. R.S.1. κληθεὶς γὰρ ἐπὶ δεῖπνον ἦλθε πρὸς τὸν δημήτριον. ὡς δὲ ἐκεῖνος ἐξανέστη μεταξὺ δειπνῶν, φοβηθεὶς ὁ ἀλέξανδρος συνεξανέστη, καὶ κατὰ πόδας αὐτῷ πρὸς τὰς θύρας συνηκολούθει. γενόμενος οὖν δημήτριος πρὸς ταῖς θύραις κατὰ τοὺς ἑαυτοῦ δορυφόρους, καὶ τοσοῦτον μόνον εἰπὼν, κόπτε τὸν ἑπόμενον, αὐτὸς μὲν ὑπεξῆλθεν. ὁ δὲ ἀλέξανδρος ὑπ' ἐκείνων κατεκόπη. καὶ τῶν φίλων οἱ προσβοηθοῦντες, ὧν ἕνα λέγουσι σφαττόμενον εἰπεῖν, ὡς ἐν ἡμέρᾳ μιᾷ φθάσειεν αὐτοὺς ὁ δημήτριος. ἡ μὲν οὖν νὺξ ὡς εἰκὸς θόρυβον εἶχεν. ἅμα δὲ ἡμέρᾳ ταραττομένοις τοῖς μακεδόσι, καὶ φοβουμένοις τὴν τοῦ δημητρίου δύναμιν, ὡς ἐπῄει μὲν οὐδεὶς φοβερὸς, ὁ δὲ δημήτριος ἔπεμπε βουλόμενος ἐντυχεῖν καὶ περὶ τῶν πεπραγμένων ἀπολο-

γμένων ἀπολο

φυσᾷς. κ. τ.

Justinus Antipatrũ nominat filiũ Casandri. a quo est interfecta Thessalonice.

δρᾶν ὃ ἐμηχανᾶτο, μέλλοντος αὐτοῦ μὴ διαφυγεῖν ἐκεῖνον.

Digitized by Google

Vide Diodorum l. 20. 471

διὰ τὴν κολακείαν. ὁ δὲ δημοχάρης ὑπὸ τούτου διαβληθεὶς ἔφυγε. τοιαῦτα ἔπραττον ἀθηναῖοι φρουρᾶς ἀπηλλάχθαι καὶ τὴν ἐλευθερίαν ἔχειν δοκοῦντες. δημήτριος δὲ παρελθὼν εἰς πελοπόννησον, ὡς οὐδενὸς ὑφισταμένου τῶν ἐναντίων, ἀλλὰ φευγόντων καὶ προεμένων τὰς πόλεις, προσηγάγετο τὴν καλουμένην ἀκτὴν καὶ ἀρκαδίαν, πλὴν μαντινείας. καὶ ἄργος καὶ σικυῶνα καὶ κόρινθον ἐλύσατο, ἑκατὸν τάλαντα δοὺς τοῖς φρουροῦσιν. ἐν ἄργει μὲν οὖν τῆς τῶν ἡραίων ἑορτῆς καθηκούσης ἀγωνοθετῶν καὶ συμπανηγυρίζων τοῖς ἕλλησιν, ἔγημε τὴν αἰακίδου θυγατέρα τοῦ μολοττῶν βασιλέως, ἀδελφὴν δὲ πύρρου δηιδάμειαν. σικυωνίους δὲ φήσας παρὰ τὴν πόλιν οἰκεῖν, τὴν πόλιν ἔπεισεν οὗ νῦν οἰκοῦσι μετοικίσασθαι. τῷ δὲ τόπῳ καὶ τοὔνομα τὴν πόλιν συμμεταβαλοῦσαν, ἀντὶ σικυῶνος, δημητριάδα προσηγόρευσεν. ἐν δὲ ἰσθμῷ κοινοῦ συνεδρίου γενομένου καὶ πολλῶν ἀνθρώπων συνελθόντων, ἡγεμὼν ἀνηγορεύθη τῆς ἑλλάδος ὡς πρότερον οἱ περὶ φίλιππον καὶ ἀλέξανδρον. ὧν ἐκεῖνος οὐ παραμικρὸν ἐνόμιζεν ἑαυτὸν εἶναι βελτίονα, τῇ τύχῃ τῇ παρούσῃ καὶ τῇ δυνάμει τῶν πραγμάτων ἐπαιρόμενος. ἀλέξανδρος γοῦν οὐδένα τῶν ἄλλων βασιλέων ἀπεστέρησε τῆς ἐπωνυμίας. οὐδὲ αὐτὸν ἀνεῖπε βασιλέων βασιλέα. καίτοι πολλοῖς τὸ καλεῖσθαι καὶ εἶναι βασιλέας αὐτὸς δεδωκώς. ἐκεῖνος δὲ χλευάζων καὶ γελῶν τοὺς ἄλλον τινὰ πλὴν τοῦ πατρὸς καὶ αὐτοῦ βασιλέα προσαγορεύοντας, ἡδέως ἤκουε τῶν παρὰ πότον ἐπιχύσεις λαμβανόντων, δημητρίου βασιλέως. σελεύκου δὲ ἐλεφαντάρχου. πτολεμαίου δὲ ναυάρχου. λυσιμάχου δὲ γαζοφύλακος. ἀγαθοκλέους δὲ τοῦ σικελιώτου νησιάρχου. τούτων δὲ πρὸς τοὺς βασιλεῖς ἐκφερομένων, οἱ μὲν ἄλλοι βασιλεῖς κατεγέλων. λυσίμαχος δὲ ἠγανάκτει μόνος, ὡς σπάδοντα νομίζει δημήτριος αὐτόν. ἐπιεικῶς γὰρ εἰώθεισαν εὐνούχους ἔχειν γαζοφύλακας. ἦν δὲ καὶ πάντων ἀπεχθέστατος ὁ λυσίμαχος αὐτῷ. καὶ λοιδορῶν εἰς τὸν ἔρωτα τῆς λαμίας ἔλεγε. νῦν πρῶτον ἑωρακέναι πόρνην ἐκ τραγικῆς προερχομένην σκηνῆς. ὁ δὲ δημήτριος ἔφη, σωφρονεστέραν εἶναι τὴν ἑαυτοῦ πόρνην τῆς ἐκείνου πηνελόπης. τότε δ' οὖν ἀναζευγνύων εἰς τὰς ἀθήνας, ἔγραψεν ὅτι βούλεται παραγενόμενος, εὐθὺς μυηθῆναι. καὶ τὴν τελετὴν ἅπασαν ἀπὸ τῶν μικρῶν ἄχρι τῶν ἐποπτικῶν παραλαβεῖν. τοῦτο δὲ οὐ θεμιτὸν ἦν, οὐδὲ γεγονὸς πρότερον. ἀλλὰ τὰ μικρὰ τοῦ ἀνθεστηριῶνος ἐτελοῦντο. τὰ δὲ μεγάλα τοῦ βοηδρομιῶνος. ἐπώπτευον δὲ τοὐλάχιστον ἀπὸ τῶν μεγάλων ἐνιαυτὸν διαλείποντες. ἀναγνωσθέντων δὲ τῶν γραμμάτων, μόνος ἐτόλμησεν ἀντειπεῖν πυθόδωρος ὁ δᾳδοῦχος. ἐπέρανε δὲ οὐδέν. ἀλλὰ στρατοκλέους γνώμην εἰπόντος, ἀνθεστηριῶνα τὸν μουνυχιῶνα ψηφισαμένους καλεῖν καὶ νομίζειν, ἐτέλουν τῷ δημητρίῳ τὰ πρὸς ἄγραν. καὶ μετὰ ταῦτα πάλιν ἐξ ἀνθεστηριῶνος ὁ μουνυχιὼν γενόμενος βοηδρομιὼν, ἐδέξατο τὴν λοιπὴν τελετήν, ἅμα καὶ τὴν ἐποπτείαν τοῦ δημητρίου προσεπιλαβόντος. διὸ καὶ φιλιππίδης εἰς στρατοκλέα λοιδορῶν, ἐποίησεν. ὁ τὸν ἐνιαυτὸν συντεμὼν εἰς μῆν' ἕνα. καὶ περὶ τῆς ἐν τῷ παρθενῶνι κατασκηνώσεως, ὁ τὴν ἀκρόπολιν πανδοκεῖον ὑπολαβών. καὶ τὰς ἑταίρας ἐσάγων τῇ παρθένῳ. πολλῶν δὲ γινομένων ἐν τῇ πόλει τότε πλημμελημάτων καὶ παρανομημάτων, ἐκεῖνο μάλιστα λέγεται λυπῆσαι τοὺς ἀθηναίους, ὅτι διακόσια καὶ πεντήκοντα τάλαντα πορίσαι ταχὺ καὶ δοῦναι προσταχθὲν αὐτοῖς, καὶ τῆς εἰσπράξεως συντόμου καὶ ἀπαραιτήτου γενομένης, ἰδὼν ἠθροισμένον τὸ ἀργύριον, ἐκέλευσε λαμίᾳ καὶ ταῖς περὶ αὐτὴν ἑταίραις εἰς σμῆγμα δοθῆναι. ἡ γὰρ αἰσχύνη τῆς ζημίας καὶ τὸ ῥῆμα τοῦ πράγματος, μᾶλλον ἠνώχλησε τοὺς ἀνθρώπους. ἔνιοι δὲ τοῦτο θετταλοῖς, οὐκ ἀθηναίοις ὑπ' αὐτοῦ συμβῆναι λέγουσιν. χωρὶς δὲ τούτων, αὐτὴ καθ' ἑαυτὴν ἡ λάμια τῷ βασιλεῖ παρασκευάζουσα δεῖπνον, ἠργυρολόγησε πολλούς. καὶ τὸ δεῖπνον οὕτως ἤνθησε τῇ δόξῃ διὰ τὴν πολυτέλειαν, ὥστε ὑπὸ λυγκέως τοῦ σαμίου συγγεγράφθαι. διὸ καὶ τῶν κωμικῶν τις οὐ φαύλως τὴν λάμιαν ἑλέπολιν ἀληθῶς προσεῖπε. δημοχάρης δὲ ὁ σόλιος τὸν δημήτριον ἐκάλει μῦθον. εἶναι γὰρ αὐτῷ καὶ λάμιαν. οὐ μόνον δὲ ταῖς γαμεταῖς, ἀλλὰ καὶ τοῖς φίλοις τοῦ δημητρίου, ζῆλον καὶ φθόνον εὐημεροῦσα καὶ στεργομένη παρεῖχεν. ἀφίκοντο γοῦν τινὲς παρ' αὐτοῦ κατὰ πρεσβείαν πρὸς λυσίμαχον. οἷς ἐκεῖνος ἄγων σχολὴν, ἐπέδειξεν ἔν τε τοῖς μηροῖς καὶ τοῖς βραχίοσιν ὠτειλὰς βαθείας ὀνύχων λεοντείων. καὶ διηγεῖτο τὴν γενομένην αὐτῷ μάχην πρὸς τὸ θηρίον, ὑπὸ ἀλεξάνδρου συγκαθειρχθέντι τοῦ βασιλέως. οἱ δὲ γελῶντες ἔφασαν. καὶ τὸν αὐτῶν βασιλέα δεινοῦ θηρίου δήγματα φέρειν ἐν τῷ τραχήλῳ, λαμίας. ἦν δὲ θαυμαστὸν ὅτι τῆς φίλας ἐν ἀρχῇ τὸ μὴ καθ' ἡλικίαν δυσχεραίνων, ἡττῆτο τῆς λαμίας. καὶ τοσοῦτον ἤρα χρόνον, ἤδη παρηκμακυίας. δημὼ γοῦν ἡ ἐπικαλουμένη μανία, παρὰ δεῖπνον αὐλούσης τῆς λαμίας, καὶ τοῦ δημητρίου πυθομένου, τί σοι δοκεῖ, γραῦς εἶπεν ὦ βασιλεῦ. πάλιν δὲ τραγημάτων παρατεθέντων, κἀκείνου πρὸς αὐτὴν εἰπόντος, ὁρᾷς ὅσα μοι λάμια πέμπει, πλείονα ἔφη πεμφθήσεταί σοι παρὰ τῆς ἐμῆς μητρὸς, ἐὰν θέλῃς καὶ μετ' αὐτῆς καθεύδειν. ἀπομνημονεύεται δὲ τῆς λαμίας, καὶ πρὸς τὴν λεγομένην βοκχόρεως κρίσιν ἀντίρρησις. ἐπεὶ γάρ τις ἐρῶν ἐν αἰγύπτῳ τῆς ἑταίρας θώνιδος, ᾔτειτο συχνὸν χρυσίον. εἶτα κατὰ τοὺς ὕπνους δόξας αὐτῇ συγγενέσθαι, τῆς ἐπιθυμίας ἐπαύσατο, δίκην ἔλαχεν ἡ θῶνις αὐτῷ τοῦ μισθώματος. ἀκούσας δὲ τὸν λόγον ὁ βόκχορις, ἐκέλευσε τὸν ἄνθρωπον ὅσον ᾐτήθη χρυσίον ἠριθμημένον ἐν τῷ ἀγγείῳ διαφέρειν δεῦρο κἀκεῖσε τῇ χειρί. τὴν δὲ ἑταίραν ἔχεσθαι τῆς σκιᾶς, ὡς τὴν δόξαν

προϊεμένων. s.

ἐποίησε. q.

τρόπῳ. q. ἰδέ

ὁμωνυμί. π. s. κ.

προσερχομ. π.

εἰσαγαγὼν. s. κ.

συντόνου. π. κ. s. R.

.|. αὐτοῦ π

καὶ χάριν ὁμοῦ τινὰ τῇ ὄψει τῶν θεωμένων παρεῖχε. πρὸς δὲ τὴν ἰσχὺν τὸν πόλεμον αὐτῷ καὶ θώρακες ἐκομίσθησαν ἐκ Κύπρου, δύο σιδηροῖ, ὁλκῆς ἑκάτερος τεσσαράκοντα. δυσπαθείας δὲ αὐτῶν καὶ ῥώμην ἐπιδεικνύμενος ὁ τεχνίτης Ζωΐλος, ἐκέλευσεν ἓξ καὶ εἴκοσι βημάτων, ἀφεῖναι καταπελτικὸν βέλος. οὗ προσπεσόντος ἄρρηκτος διέμεινεν ὁ σίδηρος, ἀμυχὴν δὲ μόλις ἔσχεν ἀμβλεῖαν, οἷαν ἀπὸ γραφείου. τοῦτον αὐτὸς ἐφόρει. τὸν δὲ ἕτερον, Ἄλκιμος ὁ Ἠπειρώτης, ἀνὴρ πολεμικώτατος τῶν σὺν αὐτῷ, καὶ ἐρωμαλεώτατος. ὃς μόνος ἐχρῆτο διταλάντῳ πανοπλίᾳ, τῶν ἄλλων χρωμένων, ταλαντιαίᾳ. καὶ μαχόμενος ἐν Ῥόδῳ περὶ τὸ θέατρον ἔπεσεν. εὐρώστως δὲ καὶ τῶν Ῥοδίων ἀμυνομένων, οὐδὲν ἄξιον λόγου πράττων ὁ Δημήτριος, ὅμως ἐθυμομάχει πρὸς αὐτούς, ὅτι Φίλας τῆς γυναικὸς, αὐτῷ γράμματα, καὶ στρώματα καὶ ἱμάτια πεμψάσης, λαβόντες τὸ πλοῖον ὡς εἶχε πρὸς Πτολεμαῖον ἀπέστειλαν. καὶ τὴν Ἀθηναίων οὐκ ἐμιμήσαντο φιλανθρωπίαν, οἳ Φιλίππου πολεμοῦντος αὐτοῖς γραμματοφόρους ἑλόντες, τὰς μὲν ἄλλας ἀνέγνωσαν ἐπιστολάς. μόνην δὲ τὴν Ὀλυμπιάδος, οὐκ ἔλυσαν, ἀλλ᾽ ὥσπερ ἦν κατασεσημασμένην, πρὸς ἐκεῖνον ἀπέστειλαν. οὐ μὴν ἀλλὰ καίπερ ἐπὶ τούτῳ σφόδρα δηχθεὶς ὁ Δημήτριος, εὐθὺς παρασχόντας λαβήν, οὐχ ὑπέμεινεν ἀντιλυπῆσαι τοὺς Ῥοδίους. ἔτυχε γὰρ αὐτοῖς ὁ Καύνιος Πρωτογένης γράφων τὴν περὶ τὸν Ἰάλυσον διάθεσιν. καὶ τὸν πίνακα μικρὸν ἀπολείποντα τοῦ τέλους ἔχειν, ἔν τινι τῶν προαστείων ἔλαβεν ὁ Δημήτριος. πεμψάντων δὲ κήρυκα τῶν Ῥοδίων καὶ δεομένων φείσασθαι καὶ μὴ διαφθεῖραι τὸ ἔργον, ἀπεκρίνατο τὰς τοῦ πατρὸς εἰκόνας ἐμπρῆσαι μᾶλλον, ἢ τέχνης πόνον τοσοῦτον. ἑπτὰ γὰρ ἔτεσι συντελέσαι λέγεται τὴν γραφὴν ὁ Πρωτογένης. καί φησιν ὁ Ἀπελλῆς οὕτως ἐκπλαγῆναι θεασάμενος τὸ ἔργον, ὥστε καὶ φωνὴν ἐπιλιπεῖν αὐτόν. ὀψὲ δὲ εἰπεῖν, μέγας ὁ πόνος, καὶ θαυμαστὸν τὸ ἔργον, οὐ μὴν ἔχειν γε χάριτας, δι᾽ ἃς οὐρανοῦ ψαύειν τὰ ὑπ᾽ αὐτοῦ γραφόμενα. ταύτην μὲν οὖν τὴν γραφὴν εἰς ταυτὸ ταῖς ἄλλαις συνωσθεῖσαν ἐν Ῥώμῃ, τὸ πῦρ ἐπενείματο. τῶν δὲ Ῥοδίων κατεξανισαμένων τοῦ πολέμου, δεόμενοι προφάσεως τὸν Δημήτριον, Ἀθηναῖοι παραγενόμενοι διήλλαξαν, ἐπὶ τῷ συμμαχεῖν Ῥοδίους Ἀντιγόνῳ καὶ Δημητρίῳ, πλὴν ἐπὶ Πτολεμαῖον.

ἐκάλουν δὲ τὸν Δημήτριον Ἀθηναῖοι, Κασσάνδρου τὸ ἄστυ πολιορκοῦντος. ὁ δὲ, ναυσὶν ἐπιπλεύσας τριακοσίαις τριάκοντα, καὶ πολλοῖς ὁπλίταις, οὐ μόνον ἐξήλασε τῆς Ἀττικῆς τὸν Κάσσανδρον, ἀλλὰ φεύγοντα, μέχρι Θερμοπυλῶν διώξας καὶ τρεψάμενος, Ἡράκλειαν ἔλαβεν, ἑκουσίως αὐτῷ προσθεμένην. καὶ τῶν Μακεδόνων ἑξακισχιλίους μεταβαλλομένους πρὸς αὐτόν. ἐπανιὼν δὲ, τοὺς ἐντὸς Πυλῶν Ἕλληνας ἠλευθέρου. καὶ Βοιωτοὺς ἐποιήσατο συμμάχους. καὶ Κεγχριὰς εἷλε. καὶ Φυλὴν καὶ Πάνακτον, ἐπιτειχίσματα τῆς Ἀττικῆς ὑπὸ Κασσάνδρου φρουρούμενα καταστρεψάμενος, ἀπέδωκε τοῖς Ἀθηναίοις. οἱ δὲ καίπερ ἐκκεχυμένοι πρότερον πρὸς αὐτὸν καὶ κατακεχρημένοι πᾶσαν φιλοτιμίαν, ἐξεῦρον ὅμως καὶ τότε πρόσφατοι καὶ καινοὶ ταῖς κολακείαις φανῆναι. τὸν γὰρ ὀπισθόδομον τοῦ Παρθενῶνος, ἀπέδειξαν αὐτῷ κατάλυσιν. κἀκεῖ δίαιταν εἶχε, τῆς Ἀθηνᾶς λεγομένης ὑποδέχεσθαι καὶ ξενίζειν αὐτόν, οὐ πάνυ κόσμιον ξένον. οὐδὲ ὡς παρθένῳ πράως ἐπισταθμεύοντα. καίτοι τὸν ἀδελφὸν αὐτοῦ Φίλιππον, αἰσθόμενός ποτε ὁ πατὴρ καταλύοντα ἐν οἰκίᾳ, τρεῖς ἐχούσῃ νέας γυναῖκας, πρὸς ἐκεῖνον μὲν οὐδὲν ἐφθέγξατο, παρόντος δὲ ἐκείνου, τὸν σταθμοδότην μεταπεμψάμενος, οὗτος εἶπεν οὐκ ἐξάξεις μου τὸν υἱὸν ἐκ τῆς στενοχωρίας; Δημήτριος δὲ τὴν Ἀθηνᾶν αὐτῷ προσῆκον, εἰ δι᾽ ἄλλο μηδέν, ὥς γε πρεσβυτέραν ἀδελφὴν, αἰσχύνεσθαι. τοῦτο γὰρ ἐβούλετο λέγεσθαι. τοσαύτην ὕβριν εἰς παῖδας ἐλευθέρους καὶ γυναῖκας ἀστὰς κατεσκέδασε τῆς ἀκροπόλεως, ὥστε δοκεῖν τότε μάλιστα καθαρεύειν τὸν τόπον, ὅτε Χρυσίδι καὶ Λαμίᾳ καὶ Δημοῖ καὶ Ἀντικύρᾳ ταῖς πόρναις ἐκείναις συνακολασταίνοι. τὰ μὲν οὖν ἄλλα σαφῶς ἀπαγγέλλειν, οὐ πρέπει διὰ τὴν πόλιν. τὴν δὲ Δημοκλέους ἀρετὴν καὶ σωφροσύνην, ἄξιόν ἐστι μὴ παρελθεῖν. ἐκεῖνος γὰρ ἦν ἔτι παῖς ἄνηβος, οὐκ ἔλαθε δὲ τὸν Δημήτριον, ἔχων τῆς εὐμορφίας τὴν ἐπωνυμίαν κατήγορον. ἐκαλεῖτο δὲ, Δημοκλῆς ὁ καλός. ὡς δὲ πολλὰ διδόντων καὶ πειρώντων, καὶ φοβούντων, ὑπ᾽ οὐδενὸς ἡλίσκετο, τέλος δὲ, φεύγων τὰς παλαίστρας καὶ τὸ γυμνάσιον, εἴς τι βαλανεῖον ἰδιωτικὸν ἐφοίτα λουσόμενος. ἐπιτηρήσας τὸν καιρὸν ὁ Δημήτριος, ἐπεισῆλθεν αὐτῷ μόνῳ. ὁ δὲ παῖς ὡς συνεῖδε τὴν περὶ αὐτὸν ἐρημίαν καὶ τὴν ἀνάγκην, ἀφελὼν τὸ πῶμα τοῦ χαλκώματος, εἰς ζέον ὕδωρ ἐνήλατο. καὶ διέφθειρεν αὐτόν. ἀνάξια μὲν παθών. ἄξια δὲ τῆς πατρίδος καὶ τοῦ κάλλους φρονήσας. οὐχ ὡς Κλεαίνετος ὁ Κλεομέδοντος. ὃς ὀφληκότι τῷ πατρὶ, πεντήκοντα ταλάντων δίκην ἀφεθῆναι διαπραξάμενος, καὶ γράμματα παρὰ Δημητρίου κομίσας πρὸς τὸν δῆμον, οὐ μόνον ἑαυτὸν κατῄσχυνεν, ἀλλὰ καὶ τὴν πόλιν συνετάραξε. τὸν μὲν γὰρ Κλεομέδοντα, τῆς δίκης ἀφῆκεν. ἐγράφη δὲ ψήφισμα, μηδένα τῶν πολιτῶν ἐπιστολὴν παρὰ Δημητρίου κομίζειν. ἐπεὶ δὲ ἀκούσας ἐκεῖνος οὐκ ἤνεγκε μετρίως, ἀλλ᾽ ἠγανάκτησε, δείσαντες αὖθις, οὐ μόνον τὸ ψήφισμα καθεῖλον, ἀλλὰ καὶ τῶν εἰσηγησαμένων καὶ συνειπόντων, τοὺς μὲν, ἀπέκτειναν. τοὺς δὲ, ἐφυγάδευσαν. ἔτι δὲ, προσεψηφίσαντο δεδόχθαι τῷ δήμῳ τῶν Ἀθηναίων, πᾶν ὅ,τι ἂν ὁ βασιλεὺς Δημήτριος κελεύσῃ, τοῦτο, καὶ πρὸς θεοὺς ὅσιον, καὶ πρὸς ἀνθρώπους εἶναι δίκαιον. εἰπόντος δέ τινος τῶν καλῶν κἀγαθῶν ἀνδρῶν, μαίνεσθαι τὸν Στρατοκλέα τοιαῦτα γράφοντα, Δημοχάρης ὁ Λακωνίδης, εἶπε. μαίνοιτο μέντ᾽ ἄν, εἰ μὴ μαίνοιτο. πολλὰ γὰρ ὁ Στρατοκλῆς ὠφελεῖτο

φρονήματα τῶν ἀνδρῶν ἐκίνησε. καὶ τὰς γνώμας ἐπῆρε. καὶ τοῖς βίοις καὶ ταῖς ὁμιλίαις αὐτῶν, ὄγκον ἐποίησε καὶ βαρύτητα. καθάπερ τραγικῶν ὑποκριτῶν, ἅμα τῇ σκευῇ μεταβαλλόντων καὶ βάδισμα καὶ φωνὴν. καὶ κατάκλισιν καὶ προσαγόρευσιν. ἐκ δὲ τούτων, ἐγένοντο καὶ περὶ τὰς δικαιώσεις βιαιότεροι. τὴν, εἰς πολλὰ παρέχουσαν αὐτοὺς ἐλαφροτέρους καὶ μαλακωτέρους τοῖς ὑπηκόοις πρότερον εἰρωνείαν τῆς ἐξουσίας ἀφελόντες. τοσοῦτον, ἴσχυσε κόλακος φωνὴ μία. καὶ τοσαύτης ἐνέπλησε τὴν οἰκουμένην μεταβολῆς. ἀντίγονος δὲ τοῖς πεπραγμένοις ὑπὸ δημητρίου περὶ κύπρον ἐπαρθεὶς, εὐθὺς ἐστράτευσεν ἐπὶ πτολεμαῖον. αὐτὸς μὲν ἄγων πεζῇ τὴν δύναμιν. δημητρίου δὲ, μεγάλῳ στόλῳ συμπαραπλέοντος. ὃν δὲ τρόπον ἔμελλε κρίνεσθαι τὰ πράγματα, μήδιος ἀντιγόνου φίλος, ὄψιν εἶδε κατὰ τοὺς ὕπνους. ἐδόκει γὰρ αὐτὸν ἀντίγονον ἀγωνίζεσθαι μετὰ τῆς στρατιᾶς ἁπάσης δίαυλον, ἐρρωμένως καὶ ταχὺ τὸ πρῶτον εἶτα κατὰ μικρὸν ἐνδιδόναι τὴν δύναμιν αὐτῷ. καὶ τέλος ὡς ἔκαμψεν ἀσθενῆ γενόμενον καὶ μεστὸν ἄσθματος, οὐ ῥᾳδίως ἀναφέρειν. αὐτός τε οὖν ἐντυχὼν κατὰ γῆν πολλαῖς ἀπορίαις. καὶ δημητρίου, χειμῶνι καὶ κλύδωνι μεγάλῳ κινδυνεύσαντος εἰς τὸ ποιοὺς ἀλιμένους, καὶ χαλεποὺς ἐκριφῆναι. πολλὰς δὲ τῶν νεῶν ἀπολέσαντος, ἐπανῆλθεν ἄπρακτος. ἦν δὲ τότε μικρὸν ἀπολείποντα γεγονὼς ἔτη ὀγδοήκοντα. μεγέθει δὲ καὶ βαρύτητι σώματος μᾶλλον, ἢ διὰ τὸ γῆρας ἐπὶ τὰς στρατείας γεγονὼς δυσπαρακόμιστος, ἐχρῆτο τῷ παιδὶ, καὶ δι᾽ εὐτυχίαν καὶ δι᾽ ἐμπειρίαν, ἤδη τὰ μέγιστα καλῶς διοικοῦντι. τρυφὰς δὲ καὶ πολυτελείας καὶ πότους αὐτοῦ μὴ βαρυνόμενος. ἐν εἰρήνῃ γὰρ οὔσης, ἀφύβριζεν εἰς ταῦτα. καὶ σχολάζων, ἐχρῆτο πρὸς τὰς ἡδονὰς ἀνειμένως αὐτῷ καὶ κατακόρως. ἐν δὲ τοῖς πολέμοις, ὡς οἱ φύσει σώφρονες, ἐνῆφε. λέγεται δὲ, τῆς λαμίας ἀναφανδὸν ἤδη κρατούσης, τὸν ἀντίγονον ὑπὸ τοῦ δημητρίου καταφιλούμενον, ἥκοντος ἀπὸ ξένης, εἰπεῖν ἅμα γελῶντα. δοκεῖς λάμιαν ὦ παῖ καταφιλεῖν. πάλιν δέ ποτε πλείονας ἡμέρας ἐν πότοις γενομένου, καὶ πρόφασιν λέγοντος ὡς ῥεῦμα τί διοχλήσειεν αὐτὸν, ἐπυθόμην, φάναι τὸν ἀντίγονον, ἀλλὰ πότερον θάσιον ἢ χῖον ἦν τὸ ῥεῦμα. πυθόμενος δὲ αὖθις ἀσθενῶς ἔχειν αὐτὸν, ἐβάδιζεν ὀψόμενος. καὶ τῶν καλῶν τινὶ περὶ θύρας ἀπήντησεν. εἰσελθὼν δὲ καὶ καθίσας παρ᾽ αὐτῷ, ἥψατο τῆς χειρός. ἐκείνου δὲ εἰπόντος, ὅτι νῦν ὁ πυρετὸς ἀποκεχώρηκεν. ἀμέλει παιδίον ἔφη καὶ ἐμοὶ περὶ θύρας ἀπιὼν νῦν ἀπήντηκε. ταῦτα δὲ οὕτω πράως ἔφερε, διὰ τὴν ἄλλην πρᾶξιν τοῦ δημητρίου. οἱ μὲν γὰρ σκύθαι πίνοντες καὶ μεθυσκόμενοι, παραψάλλουσι τὰς νευρὰς τῶν τόξων. οἷον, ἐκλυόμενον ὑπὸ τῆς ἡδονῆς ἀνακαλούμενοι τὸν θυμόν. ἐκεῖνος δὲ τὰ μὲν, ἡδονῇ διδοὺς ἁπλῶς ἑαυτόν. τὰ δὲ, σπουδῇ. καὶ θάτερα τῶν ἑτέρων ἄκρατα μεταχειριζόμενος, οὐχ ἧττον ἦν δεινὸς ἐν ταῖς τοῦ πολέμου παρασκευαῖς. ἀλλὰ καὶ παρασκευάσασθαι δύναμιν, ἢ χρήσασθαι, βελτίων ἐδόκει στρατηγὸς εἶναι. πάντα μὲν ἐκ περιουσίας ὑπάρχειν βουλόμενος ἐπὶ τὰς χρείας. τῆς δὲ περὶ τὰς ναῦς καὶ τὰ μηχανικὰ μεγαλουργίας. καὶ καθ᾽ ἡδονὴν τινὰ τοῦ θεωρεῖν, ἀπλήστως ἔχων. εὐφυὴς γὰρ ὢν καὶ θεωρητικὸς, οὐκ εἰς παιδιὰς, οὐδὲ εἰς διαγωγὰς ἀχρήστους, ἔτρεψε τὸ φιλότεχνον. ὡς περ βασιλεῖς ἄλλοι αὐλοῦντες καὶ ζωγραφοῦντες, καὶ τορεύοντες. ἄερόπος δὲ ὁ μακεδὼν τραπέζια μικρὰ καὶ λυχνίδια τεκταινόμενος, ὁπότε σχολάζοι, διῆγεν. ἄτταλος δὲ ὁ φιλομήτωρ. ἐκήπευε τὰς φαρμακώδεις βοτάνας οὐ μόνον ὑοσκύαμον καὶ ἐλλέβορον. ἀλλὰ καὶ κώνειον. καὶ ἀκόνιτον. καὶ δορύκνιον, αὐτὸς ἐν τοῖς βασιλικοῖς, σπείρων καὶ φυτεύων, ὀπούς τε καὶ καρπὸν αὐτῶν, ἔργον πεποιημένος εἰδέναι καὶ κομίζεσθαι καθ᾽ ὥραν. οἱ δὲ πάρθων βασιλεῖς, ἐσεμνύνοντο, τὰς ἀκίδας τῶν βελῶν χαράττοντες αὐτοὶ καὶ παραθήγοντες. ἀλλὰ μὴν δημητρίου, καὶ τὸ βάναυσον ἦν βασιλικόν. καὶ μέγεθος ἡ μέθοδος εἶχεν, ἅμα τῷ περιττῷ καὶ φιλοτέχνῳ τῶν ἔργων, ὕψος τί διανοίας καὶ φρονήματος, συνεκφερόντων. ὥς τε μὴ μόνον γνώμης καὶ περιουσίας, ἀλλὰ καὶ χειρὸς ἄξια φαίνεσθαι βασιλικῆς. μεγέθει μὲν γὰρ ἐξέπληττε καὶ τοὺς φίλους. κάλλει δὲ, καὶ τοὺς πολεμίους ἔτερπε. τοῦτο δὲ, ἔτι μᾶλλον ἀληθῶς ἢ κομψῶς εἴρηται. καὶ τὰς μὲν ἑκκαιδεκήρεις αὐτοῦ. καὶ τὰς πεντεκαιδεκήρεις, ἐθαύμαζον ἑστῶτες οἱ πολέμιοι, παρὰ τὴν γῆν αὐτῶν πλεούσας. αἱ δὲ ἑλεπόλεις, ὡς θέαμα τοῖς πολιορκουμένοις ἦσαν, ὡς αὐτὰ τὰ πράγματα μαρτυρεῖ. λυσίμαχος μὲν γὰρ ἔχθιστος ὢν δημητρίῳ τῶν βασιλέων. καὶ πολιορκοῦντι σόλους τοὺς κιλικίους, ἀντιτεταγμένος, ἔπεμψε παρακαλῶν, ἐπιδεῖξαι τὰς μηχανὰς αὐτῷ, καὶ τὰς ναῦς πλεούσας. ἐπιδείξαντος δὲ, θαυμάσας ἀπῆλθε. ῥόδιοι δὲ πολὺν χρόνον ὑπ᾽ αὐτοῦ πολιορκηθέντες, ἐπεὶ κατελύσατο τὸν πόλεμον, ᾐτήσαντο τῶν μηχανῶν ἐνίας. ὅπως ὑπόμνημα τῆς ἐκείνου δυνάμεως ἅμα, καὶ τῆς αὐτῶν ἀνδραγαθίας ἔχωσιν. ἐπολέμησε δὲ ῥοδίοις, πτολεμαίου συμμάχοις οὖσι, καὶ τὴν μεγίστην ἑλέπολιν τοῖς τείχεσι προσήγαγεν, ἧς ἕδρα μὲν ἦν τετράγωνος, ἑκάστην ἔχουσα τοῦ κάτω πλαισίου πλευρὰν, ὀκτὼ καὶ τεσσαράκοντα πηχῶν. ἓξ δὲ καὶ ἑξήκοντα πηχῶν ὕψος εἶχεν, εἰς κορυφὴν συννεύουσαν ταῖς ἄνω πλευραῖς, στενοτέραν τῆς βάσεως. ἔνδοθεν μὲν οὖν, στέγαις διαπέφρακτο καὶ χώραις πολλαῖς. τὸ δὲ πρὸς τοὺς πολεμίους αὐτῆς μέτωπον, ἀνέῳκτο. καὶ καθ᾽ ἑκάστην στέγην, θυρίς. καὶ διὰ τούτων ἐξέπιπτε βέλη παντοδαπά. μεστὴ γὰρ ἦν ἀνδρῶν μαχομένων πᾶσαν ἰδέαν μάχης καὶ τὸ μὴ κραδαινόμενον αὐτῆς, μὴ δὲ κλινόμενον ἐν ταῖς κινήσεσιν, ἀλλ᾽ ὀρθὸν ἐν ἕδρᾳ καὶ ἀσάλευτον ἰσορρόπως ἅμα ῥοίζῳ καὶ τόνῳ πολλῷ προχωροῦν, θάμβος ἅμα τῇ ψυχῇ,

Vide Diodorum L°. 20. 4 60 qui hanc machinam describit

ἐξῆν πλέον εἰπεῖν. ὅπου τὸ κέρδος, παρὰ φύσιν γαμητέον. ὁ μὲν ὁ πλέον τι, τῶν δουλευτέον εὐθυρρημονήσας. τοιαύτη μὲν οὖν τις ἦν ἡ τοῦ Δημητρίου τιμὴ πρός τε Φίλαν καὶ τὰς ἄλλας γαμετάς, ὥστε πολλαῖς μὲν ἀναίδην ἑταίραις, πολλαῖς δὲ ἐλευθέραις συνεῖναι γυναιξί, καὶ μάλιστα δὴ περὶ τὴν ἡδονὴν ταύτην κακῶς ἀκοῦσαι τῶν τότε βασιλέων. ἐπεὶ δὲ ὁ πατὴρ αὐτὸν ἐκάλει Πτολεμαίῳ περὶ Κύπρου πολεμήσοντα, πείθεσθαι μὲν ἦν ἀναγκαῖον. ἀχθόμενος δὲ ὅτι τὸν ὑπὲρ τῆς Ἑλλάδος πόλεμον ὄντα καλλίω καὶ λαμπρότερον, ἀπολείπει, προσέπεμψε Κλεωνίδῃ τῷ Πτολεμαίου στρατηγῷ φρουροῦντι Σικυῶνα καὶ Κόρινθον, χρήματα προτείνων. ὥστε ἐλευθέρας ἀφεῖναι τὰς πόλεις. οὐ προσδεξαμένου δὲ ἐκείνου, διὰ ταχέων ἀναχθεὶς καὶ προσλαβὼν δύναμιν, ἐπέπλευσε Κύπρῳ. καὶ Μενέλαον μὲν ἀδελφὸν Πτολεμαίου μάχην συνάψας εὐθὺς ἐνίκησεν. αὐτοῦ δὲ Πτολεμαίου μετὰ δυνάμεως πεζικῆς ἅμα καὶ ναυτικῆς μεγάλης ἐπιφανέντος, ἐγένοντο μὲν ἀπειλαί τινες κομπώδεις καὶ διάλογοι. τοῦ μὲν, ἀποπλεῖν Δημήτριον κελεύοντος, πρὶν ὑπὸ τῆς δυνάμεως πάσης ἀθροισθείσης, καταπατηθῆναι. Δημητρίου δὲ ἐκεῖνον ἀφεῖναι φάσκοντος, ἂν ὁμολογήσῃ Σικυῶνα καὶ Κόρινθον ἀπαλλάξειν τῆς φρουρᾶς. ὁ δὲ ἀγὼν, οὐ μόνον αὐτοῖς ἐκείνοις, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι δυνάσταις, πολλὴν εἶχε προσδοκίαν τῆς ἐπικρεμαμένης ἀδηλότητος, ὡς οὐ Κύπρον, οὐδὲ Συρίαν, ἀλλὰ τὸ μέγιστον εὐθὺς εἶναι πάντων, τῷ κρατοῦντι, τῆς νίκης προστεθείσης. αὐτὸς μὲν οὖν Πτολεμαῖος ἐπέπλει, πεντήκοντα καὶ ἑκατὸν ναῦς ἔχων, ἐκ δὲ Σαλαμῖνος ἐκέλευσε Μενέλαον ἑξήκοντα ναυσὶν ὅταν μάλιστα σύστασιν ὁ ἀγὼν ἔχῃ, προσφερόμενον, τὰς Δημητρίου κόπτειν ἐξόπισθεν, καὶ διαταράττειν τὴν τάξιν. Δημήτριος δὲ ταῖς μὲν ἑξήκοντα ταύταις, ἀντέταξε δέκα ναῦς. τοσαῦται γὰρ ἤρκουν στενὸν ὄντα τοῦ λιμένος ἐκφράξαι τὸν ἔκπλουν. αὐτὸς δὲ τὸν πεζὸν ἐκτάξας καὶ τοῖς ἀνατείνουσιν εἰς τὴν θάλασσαν ἀκρωτηρίοις περιχεάμενος, οὕτως ἀνήχθη ναυσὶν ἑκατὸν ὀγδοήκοντα. προσμίξας δὲ, ῥώμῃ καὶ βίᾳ πολλῇ, κατὰ κράτος ἐτρέψατο τὸν Πτολεμαῖον. αὐτὸν μὲν ὡς ἐνικήθη διὰ ταχέων φεύγοντα ναυσὶν ὀκτὼ μόναις. τοσαῦται γὰρ ἐκ πασῶν περιεσώθησαν. τῶν δὲ ἄλλων, αἱ μὲν ἐν τῇ ναυμαχίᾳ διεφθάρησαν, ἑβδομήκοντα δὲ ἥλωσαν αὔτανδροι. τῶν δὲ ἐν ὁλκάσι παρορμούντων ὄχλου, θεραπόντων καὶ φίλων καὶ γυναικῶν, ἔτι δὲ ὅπλων καὶ χρημάτων καὶ μηχανημάτων, ἁπλῶς οὐδὲν ἐξέφυγε τὸν Δημήτριον. ἀλλ᾽ ἔλαβε πάντα καὶ κατήγαγεν εἰς τὸ στρατόπεδον. ἐν δὲ τούτοις, ἡ περιβόητος ἦν Λάμια, τὴν μὲν ἀρχὴν σπουδασθεῖσα διὰ τὴν τέχνην. ἐδόκει γὰρ αὐλεῖν οὐκ εὐκαταφρονήτως. ὕστερον δὲ καὶ τοῖς ἐρωτικοῖς λαμπρὰ γενομένη. τότε γοῦν ἤδη λήγουσα τῆς ὥρας, καὶ πολὺ νεώτερον ἑαυτῆς λαβοῦσα τὸν Δημήτριον, ἐκράτησε τῇ χάριτι καὶ κατέσχεν, ὥστε ἐκείνης εἶναι μόνης ἐραστήν, τῶν δὲ ἄλλων γυναικῶν, ἐρώμενον. μετὰ δὲ τὴν ναυμαχίαν, οὐδὲ ὁ Μενέλαος ἀντέσχεν, ἀλλὰ τήν τε Σαλαμῖνα παρέδωκε τῷ Δημητρίῳ καὶ τὰς ναῦς καὶ τὸ πεζόν. ἱππεῖς δὲ χιλίους καὶ διακοσίους, καὶ μυρίους καὶ δισχιλίους ὁπλίτας. οὕτω δὲ λαμπρὰν καὶ καλὴν τὴν νίκην γενομένην, ἔτι μᾶλλον ἐπεκόσμει ὁ Δημήτριος εὐγνωμοσύνῃ καὶ φιλανθρωπίᾳ, τοὺς νεκροὺς τῶν πολεμίων, ἔθαψε μεγαλοπρεπῶς, καὶ τοὺς αἰχμαλώτους ἀφῆκεν. Ἀθηναίοις δὲ, χιλίας καὶ διακοσίας ἀπὸ τῶν λαφύρων ἐδωρήσατο πανοπλίας. αὐτάγγελον δὲ τῆς νίκης, τῷ πατρὶ τὸν Μιλήσιον Ἀριστόδημον ἔπεμψε, πρωτεύοντα κολακείᾳ τῶν αὐλικῶν ἁπάντων. καὶ τότε παρεσκευασμένον ὡς ἔοικε τῶν κολακευμάτων τὸ μέγιστον ἐπενεγκεῖν τοῖς πράγμασιν. ὡς γὰρ ἐπέρασεν ἀπὸ τῆς Κύπρου, προσέχειν μὲν οὐκ εἴασε τῇ γῇ τὸ πλοῖον, ἀγκύρας δ᾽ ἀφεῖναι κελεύσας, καὶ κατὰ ναῦν ἔχειν ἀτρέμα πάντας, αὐτὸς ἐμβὰς εἰς τὸ ἐφόλκιον, ἐξῆλθε μόνος. καὶ πρὸς τὸν Ἀντίγονον ἀνέβαινε μετέωρον ὄντα τῇ προσδοκίᾳ τῆς μάχης, καὶ διακείμενον ὡς εἰκὸς ἐστὶ διακεῖσθαι τοὺς περὶ πραγμάτων τηλικούτων ἀγωνιῶντας. τότε γε μὴν ἀκούσας ἐκεῖνον ἥκειν, ἔτι μᾶλλον ἢ πρότερον ἔσχε ταραχωδῶς. καὶ μόλις μὲν αὐτὸν οἴκοι κατεῖχεν, ἄλλους δὲ ἔπεμπεν ἐπ᾽ ἄλλοις ὑπηρέτας καὶ φίλους πευσομένους παρὰ τοῦ Ἀριστοδήμου περὶ τῶν γεγονότων. ἀποκρινάμενον δὲ μηδὲν αὐτοῦ μηδενὶ, βάδην δὲ καὶ συνεστῶτι τῷ προσώπῳ μετὰ πολλῆς σιωπῆς προσιόντος, ἐκπλαγεὶς κομιδῇ καὶ μηκέτι καρτερῶν ὁ Ἀντίγονος, ἐπὶ τὰς θύρας ἀπήντησε, πολλοῦ παρεπομένου ἤδη τὸν Ἀριστόδημον ὄχλου, καὶ συντρέχοντος ἐπὶ τὸ βασίλειον. ὡς οὖν ἐγγὺς ἦλθεν ἐκτείνας τὴν δεξιὰν, ἀνεβόησε μεγάλῃ τῇ φωνῇ. χαῖρε βασιλεῦ Ἀντίγονε. νικῶμεν βασιλέα Πτολεμαῖον, ναυμαχίᾳ. καὶ Κύπρον ἔχομεν. καὶ στρατιώτας αἰχμαλώτους μυρίους ἑξακισχιλίους ὀκτακοσίους. ὁ δὲ Ἀντίγονος, καὶ σὺ νὴ Δία χαῖρε εἶπεν. οὕτω δὲ ἡμᾶς βασανίσας, δίκην ὑφέξεις. βράδιον γὰρ ἀπολήψῃ τὸ εὐαγγέλιον. ἐκ τούτου, πρῶτον ἀνεφώνησε τὸ πλῆθος, Ἀντίγονον καὶ Δημήτριον, βασιλέας. Ἀντίγονον μὲν οὖν εὐθὺς ἀνέδησαν οἱ φίλοι. Δημητρίῳ δὲ ὁ πατὴρ ἔπεμπε διάδημα καὶ γράφων ἐπιστολὴν, βασιλέα προσεῖπεν. οἱ δ᾽ ἐν Αἰγύπτῳ τούτων ἀπαγγελλομένων, καὶ αὐτοὶ βασιλέα τὸν Πτολεμαῖον ἀνηγόρευσαν, ὡς μὴ δοκεῖν τοῦ φρονήματος ὑφίεσθαι διὰ τὴν ἧτταν. ἐπενέματο δὲ οὕτως τὸ πρᾶγμα, τῷ ζήλῳ τοὺς διαδόχους. καὶ γὰρ Λυσίμαχος ἤρξατο φορεῖν διάδημα. καὶ Σέλευκος ἐντυγχάνων τοῖς Ἕλλησιν, ἐπεὶ τοῖς γε βαρβάροις πρότερον, οὕτως ὡς βασιλεὺς ἐχρημάτιζε. Κάσανδρος δὲ τῶν ἄλλων αὐτὸν βασιλέα καὶ γραφόντων καὶ καλούντων, αὐτὸς ὡς πρὸ πρότερον εἰώθει, τὰς ἐπιστολὰς ἔγραφε. τοῦτο δὲ, οὐ προσθήκην ὀνόματος καὶ σχήματος ἐξαλλαγὴν εἶχε μόνον, ἀλλὰ καὶ τὰ

γεσίαις καὶ μέγαν φανέντα τὸν δημήτριον, ἐπαχθῆ καὶ βαρὺν ἐποίησαν τῶν τιμῶν ταῖς ἀμετρίαις ἃς ἐψηφίσαντο. πρῶτον μὲν γὰρ ἁπάντων τὸν δημήτριον καὶ ἀντίγονον, βασιλεῖς ἀνηγόρευσαν, ἄλλως ἀφοσιουμένους τοὔνομα. καὶ τοῦτο δὴ μόνον τῶν βασιλικῶν, ἔτι τοῖς ἀπὸ φιλίππου καὶ ἀλεξάνδρου περιεῖναι δοκοῦν ἄθικτον ἑτέροις καὶ ἀκοινώνητον. μόνοι δὲ σωτῆρας ἀνέγραψαν θεούς. καὶ τὸν ἐπώνυμον, καὶ πάτριον ἄρχοντα καταπαύσαντες, ἱερέα σωτήρων ἐχειροτόνουν καθ' ἕκαστον ἐνιαυτόν. καὶ τοῦτον ἐπὶ τῶν ψηφισμάτων καὶ τῶν συμβολαίων προέγραφον. ἐνυφαίνεσθαι δὲ τῷ πέπλῳ μετὰ τῶν θεῶν αὐτοὺς ἐψηφίσαντο. καὶ τὸν τόπον ὅπου πρῶτον ἀπέβη τοῦ ἅρματος καθιερώσαντες, καὶ βωμὸν ἐπιθέντες, δημητρίου καταιβάτου προσηγόρευσαν. καὶ ταῖς φυλαῖς δύο προσέθεσαν. δημητριάδα καὶ ἀντιγονίδα. καὶ τὴν βουλὴν τῶν πεντακοσίων πρῶτον ἑξακοσίων ἐποίησαν, ἅτε δὴ φυλῆς ἑκάστης, πεντήκοντα βουλευτὰς παρεχομένης. τὸ δὲ ὑπερφυέστατον ἐνθύμημα τοῦ στρατοκλέους. οὗτος γὰρ ἦν ὁ τῶν σοφῶν τούτων καὶ περιττῶν καινουργὸς ἀρεσκευμάτων, ἔγραψεν ὅπως οἱ πεμπόμενοι κατὰ ψήφισμα δημοσίᾳ πρὸς ἀντίγονον ἢ δημήτριον, ἀντὶ πρεσβευτῶν, θεωροὶ λέγοιντο, καθάπερ οἱ πυθοῖ καὶ ὀλυμπίαζε τὰς πατρίους θυσίας ὑπὲρ τῶν πόλεων ἀπάγοντες ἐν ταῖς ἑλληνικαῖς ἑορταῖς. ἦν δὲ καὶ τἆλλα παράτολμος ὁ στρατοκλῆς καὶ βεβιωκὼς ἀσελγῶς. καὶ τῇ τοῦ παλαιοῦ κλέωνος ἀπομιμεῖσθαι δοκῶν βωμολοχίᾳ καὶ βδελυρίᾳ τὴν πρὸς τὸν δῆμον εὐχέρειαν. εἶχε δὲ τὴν ἑταίραν, φυλάκιον ἀνειληφώς. καί ποτε αὐτῷ πρὸς δεῖπνον ἐξ ἀγορᾶς πριαμένης ἐγκεφάλους καὶ τραχήλους, παπαὶ εἶπε τοιαῦτά γ' ὠψώνηκας οἷς σφαιρίζομεν οἱ πολιτευόμενοι. τῆς δὲ περὶ ἀμοργὸν ἥττης τῶν νεῶν συμβάσης τοῖς ἀθηναίοις φθάσας τοὺς ἀπαγγέλλοντας, εἰσήλασεν ἐστεφανωμένος διὰ τοῦ κεραμεικοῦ, καὶ προσαπαγγείλας ὅτι νενικήκασιν, εὐαγγέλια θύειν ἔγραψε, καὶ κρεοδοσίαν τινὰ κατὰ φυλὴν ἐποίησεν. ὀλίγον δὲ ὕστερον τῶν τὰ ναυάγια κομιζόντων ἀπὸ τῆς μάχης παραγινομένων. καὶ τοῦ δήμου πρὸς ὀργὴν καλοῦντος αὐτὸν, ἰταμῶς ὑποστὰς τὸν θόρυβον. εἶτα ἔφη τί πεπόνθατε δεινὸν, εἰ δύο ἡμέρας ἡδέως γεγόνατε. τοιαύτη μὲν ἡ τοῦ στρατοκλέους θρασύτης. ἦν δὲ ἄρα καὶ πυρὸς ἕτερα θερμότερα κατὰ τὸν ἀριστοφάνη. γράψαντος γάρ τις ἄλλος ὑπερβαλλόμενος ἀνελευθερίᾳ τὸν στρατοκλέα, δέχεσθαι δημήτριον ὁσάκις ἂν παραγένηται, τοῖς δήμητρος καὶ διονύσου ξενισμοῖς. τῷ δὲ ὑπερβαλομένῳ λαμπρότητι καὶ πολυτελείᾳ τὴν ὑποδοχὴν, ἀργύριον εἰς ἀνάθημα δημοσίᾳ δίδοσθαι. τέλος δὲ τῶν τε μηνῶν τὸν μουνυχιῶνα, δημητριῶνα. καὶ τῶν ἡμερῶν τὴν ἕνην καὶ νέαν, δημητριάδα προσηγόρευσαν. καὶ τῶν ἑορτῶν τὰ διονύσια, μετωνόμασαν δημήτρια. ἐπεσήμαινε δὲ τοῖς πλείστοις τὸ θεῖον. ὁ μὲν γὰρ πέπλος ὥσπερ ἐψηφίσαντο μετὰ τοῦ διὸς καὶ τῆς ἀθηνᾶς προσενυφαινομένων δημήτριον καὶ ἀντίγονον, πεμπόμενος διὰ τοῦ κεραμεικοῦ, μέσος ἐρράγη, θυέλλης ἐμπεσούσης. περὶ δὲ τοὺς βωμοὺς τοὺς ἐκείνων, ἐξελώθησεν ἡ γῆ κύκλῳ, πολὺ κώνειον, ἄλλως μηδὲ τῆς χώρας πολλαχοῦ φυόμενον. τῇ δὲ ἡμέρᾳ ἐν ᾗ τὰ διονύσια ἐγίνετο, τὴν πομπὴν κατέλυσαν. ἰσχυρῶν πάγων γενομένων παρ' ὥραν, καὶ πάχνης βαθείας πεσούσης, οὐ μόνον ἀμπέλους καὶ συκᾶς ἁπάσας ἀπέκαυσε τὸ ψῦχος, ἀλλὰ καὶ τοῦ σίτου τὸ πλεῖστον κατέφθειρεν ἐν χλόῃ. διὸ καὶ φιλιππίδης, ἐχθρὸς ὢν τοῦ στρατοκλέους, ἐν κωμῳδίᾳ πρὸς αὐτὸν ἐποίησε ταυτί.

» Δι' ὃν ἀπέκαυσεν ἡ πάχνη τὰς ἀμπέλους. Δι' ὃν ἀσεβοῦντα ὁ πέπλος ἐρράγη μέσος,
» τὰς τῶν θεῶν τιμὰς, ἀνθρωπίνας ποιοῦντα. Ταῦτα καταλύει δῆμον, οὐ κωμῳδία.

ἦν δὲ ὁ φιλιππίδης, λυσιμάχου φίλος, καὶ πολλὰ δι' αὐτὸν ὁ δῆμος εὖ ἔπαθεν ὑπὸ τοῦ βασιλέως. ἐδόκει δὲ καὶ πρὸς πρᾶξιν αὐτῷ καὶ πρὸς στρατείαν, εὐσύμβολος ἀπαντήσας εἶναι καὶ ὀφθείς. ἄλλως δὲ καὶ διὰ τὸ ἦθος εὐδοκίμει, μηδὲν ἐνοχλῶν, μηδὲ αὐλικῆς περιεργίας ἀναπιμπλάμενος. φιλοφρονουμένου δέ ποτε τοῦ λυσιμάχου πρὸς αὐτὸν καὶ εἰπόντος, ὦ φιλιππίδη τίνος σοι τῶν ἐμῶν μεταδῶ, μόνον ἔφη βασιλεῦ μὴ τῶν ἀπορρήτων. τοῦτον μὲν οὖν ἐπίτηδες, ἐκείνῳ παρεθήκαμεν, τῷ ἀπὸ τοῦ βήματος, τὸν ἀπὸ τῆς θυμέλης. ὃ δὲ μάλιστα τῶν τιμῶν ὑπερφυὲς ἦν καὶ ἀλλόκοτον, ἔγραψε δρομοκλείδης ὁ σφήττιος ὑπὲρ τῆς τῶν ἀσπίδων ἀναθέσεως, εἰς δελφοὺς παρὰ δημητρίου λαβεῖν χρησμόν. αὐτὴν δὲ παρα-

» γράψω τὴν λέξιν ἐκ τοῦ ψηφίσματος, οὕτως ἔχουσαν. ἀγαθῇ τύχῃ δεδόχθαι τῷ δήμῳ χειροτονῆσαι τὸν
» δῆμον ἕνα ἄνδρα ἐξ ἀθηναίων, ὅστις ἀφικόμενος πρὸς τὸν σωτῆρα καὶ καλλιερησάμενος, ἐπερωτήσει
» δημήτριον τὸν σωτῆρα, πῶς εὐσεβέστατα καὶ κάλλιστα καὶ τάχιστα ὁ δῆμος τὴν ἀποκατάστασιν
» ποιήσαιτο τῶν ἀναθημάτων. ὅ τι δ' ἂν χρήσῃ, ταῦτα πράττειν τὸν δῆμον.

οὕτω καταμωκώμενοι τὸν ἄνθρωπον, προσδιέφθειραν αὐτόν, οὐδὲ ἄλλως ὑγιαίνοντα τὴν διάνοιαν. ἀλλ' ἔν γε ταῖς ἀθήναις τότε σχολάζων, ἠγάγετο χηρεύουσαν εὐρυδίκην, ἣ μιλτιάδου μὲν ἦν ἀπόγονος τοῦ παλαιοῦ. συνοικήσασα δὲ ὀφέλλᾳ τῷ κυρήνης ἄρξαντι, μετὰ τὴν ἐκείνου τελευτὴν, ἀφίκετο πάλιν εἰς τὰς ἀθήνας. οἱ μὲν οὖν ἀθηναῖοι τὸν γάμον τοῦτον εἰς χάριν ἔθεντο καὶ τιμὴν τῆς πόλεως. ἄλλως δὲ ὁ δημήτριος, εὐχερὴς τις ἦν περὶ γάμους. καὶ πολλαῖς ἅμα συνῆν γυναιξὶν, ὧν ἀξίωμα μέγιστον εἶχε καὶ τιμὴν, φίλα, δι' ἀντίπατρον τὸν πατέρα. καὶ διὰ τὸ προσῳκηκέναι κρατερῷ, τῷ πλείστην εὔνοιαν αὐτοῦ παρὰ μακεδόσι τῶν ἀλεξάνδρου διαδόχων ἀπολιπόντι. ταύτην ὡς ἔοικε κομιδῇ νέον ὄντα τὸν δημήτριον, ἔπεισεν ὁ πατὴρ, ἀκούσαν αὐτῷ καθ' ὥραν, ἀλλὰ πρεσβυτέραν, λαβεῖν. ἀπροθύμως δὲ ἔχοντι, λέγεται πρὸς τὸ οὖς,

καὶ τὰς περὶ τὸν καύκασον ἐπαρχίας προσαξόμενος. ἐλπίζων δημήτριος, ἔρημον εὑρήσειν τὴν μεσοποταμίαν. καὶ περάσας ἄφνω τὸν εὐφράτην εἰς τὴν βαβυλωνίαν παρεισπεσών, διέφθη καὶ τῆς ἑτέρας ἄκρας. δύο γὰρ ἦσαν, ἐκκρούσας τὴν τοῦ σελεύκου φρουρὰν, καὶ κρατήσας, ἰδίους ἐγκατέστησεν ἑπτακισχιλίους ἄνδρας. ἐκ δὲ τῆς χώρας ὅσα φέρειν ἢ ἄγειν ἠδύναντο τοὺς στρατιώτας ὠφελεῖσθαι καὶ λαμβάνειν κελεύσας, ἐπανῆλθεν ἐπὶ θάλασσαν, βεβαιοτέραν σελεύκῳ τὴν ἀρχὴν ἀπολιπών. ἐξίστασθαι γὰρ ἐδόκει τῷ κακοῦν, ὡς μηκέτι προσήκουσαν αὐτοῖς. πτολεμαίου μέντοι πολιορκοῦντος ἁλικαρνασσόν, ὀξέως βοηθήσας, ἐξήρπασε τὴν πόλιν. ἐνδόξου δὲ τῆς φιλοτιμίας ταύτης γενομένης, ὁρμὴ παρέστη θαυμάσιος αὐτοῖς, ἐλευθεροῦν τὴν ἑλλάδα πᾶσαν, ὑπὸ κασσάνδρου καὶ πτολεμαίου καταδεδουλωμένην. τούτου πόλεμον οὐδεὶς ἐπολέμησε τῶν βασιλέων κάλλιον καὶ δικαιότερον. ἃς γὰρ ἅμα τοὺς βαρβάρους ταπεινοῦντες εὐπορίας συνῆγον, εἰς τοὺς ἕλληνας ὑπὲρ εὐδοξίας καὶ τιμῆς ἀνήλισκον. ὡς δὲ πρῶτον ἐδόκει πλεῖν εἰς τὰς ἀθήνας, τῶν φίλων εἰπόντος τινὸς πρὸς τὸν ἀντίγονον, ὅτι δεῖ ταύτην τὴν πόλιν ἂν ἕλωσι, κατέχειν δι' αὑτῶν, ἐπιβάθραν τῆς ἑλλάδος οὖσαν, οὐ προσέσχεν ὁ ἀντίγονος, ἀλλ' ἐπιβάθραν μὲν ἔφη καλὴν καὶ ἀσάλευτον εἶναι τὴν εὔνοιαν. τὰς δὲ ἀθήνας ὥσπερ σκοπὴν τῆς οἰκουμένης, ταχὺ τῇ δόξῃ διαπυρσεύειν εἰς ἅπαντας ἀνθρώπους τὰς πράξεις. ἔπλει δὲ δημήτριος ἔχων ἀργυρίου πεντακισχίλια τάλαντα, καὶ στόλον νεῶν πεντήκοντα καὶ διακοσίων ἐπὶ τὰς ἀθήνας. τὸ μὲν ἄστυ, δημητρίου τοῦ φαληρέως κασσάνδρῳ διοικοῦντος, ἐν δὲ τῇ μουνυχίᾳ, φρουρᾶς καθεστώσης, εὐτυχίᾳ δὲ ἅμα καὶ προνοίᾳ χρησάμενος, ἐπιφαίνεται τῷ πειραιεῖ πέμπτῃ φθίνοντος θαργηλιῶνος, προαισθομένου μὲν οὐδενός. ἐπεὶ δὲ ὤφθη πλησίον ὁ στόλος, ἁπάντων ὡς πτολεμαϊκὰς τὰς ναῦς ὑποδέχεσθαι παρασκευαζομένων, ὀψὲ συμφρονήσαντες ἐβοήθουν οἱ στρατηγοί. καὶ θόρυβος ἦν οἷον εἰκὸς ἐν ἀπροσδοκήτῳ πολεμίους ἀποβαίνοντας, ἀναγκαζομένων ἀμύνεσθαι. τοῖς γὰρ στόμασι τῶν λιμένων ἀκλείστοις ἐπιτυχὼν ὁ δημήτριος, καὶ διεξελάσας ἐντὸς, ἦν ἤδη καταφανὴς πᾶσι, καὶ διεσήμαινεν ἀπὸ τῆς νεὼς αἴτησιν ἡσυχίας καὶ σιωπῆς, γενομένου δὲ τούτου, κήρυκα παραστησάμενος, ἀνεῖπεν ὅτι πέμψειεν αὐτὸν ὁ πατὴρ ἀγαθῇ τύχῃ ἀθηναίους ἐλευθερώσοντα καὶ τὴν φρουρὰν ἐκβαλόντα. καὶ τοὺς νόμους αὐτοῖς καὶ τὴν πάτριον ἀποδώσοντα πολιτείαν. ἀναρρηθέντων δὲ τούτων, οἱ μὲν πολλοὶ τὰς ἀσπίδας παραχρῆμα θέμενοι πρὸ τῶν ποδῶν, ἀνεκρότησαν, καὶ βοῶντες ἐκέλευον ἀποβαίνειν, τὸν δημήτριον σωτῆρα καὶ εὐεργέτην, ἀναγορεύοντες. οἱ δὲ περὶ τὸν φαληρέα, πάντως μὲν ᾤοντο δεῖν δέχεσθαι τὸν κρατοῦντα. κἂν οὐδὲν ὧν ἐπαγγέλλεται μέλλῃ βεβαιοῦν. ὅμως δὲ πρέσβεις δεομένους ἀπέστειλαν. οἷς ὁ δημήτριος ἐντυχὼν φιλανθρώπως, συνέπεμψε παρ' ἑαυτοῦ τῶν πατρῴων φίλων, τὸν μιλήσιον ἀριστόδημον. τοῦ δὲ φαληρέως διὰ τὴν μεταβολὴν τῆς πολιτείας, μᾶλλον τοὺς πολίτας ἢ τοὺς πολεμίους φοβουμένου, οὐκ ἠμέλησεν ὁ δημήτριος, ἀλλὰ καὶ τὴν δόξαν αἰδεσθεὶς καὶ τὴν ἀρετὴν τοῦ ἀνδρὸς, εἰς θήβας αὐτὸν ὡς ἐβούλετο μετὰ ἀσφαλείας συνεξέπεμψεν. αὐτὸς δὲ τὴν μὲν πόλιν οὐκ ἂν ἔφη, καίπερ ἐπιθυμῶν, ἰδεῖν πρότερον, ἢ παντάπασιν ἐλευθερῶσαι τῆς φρουρᾶς ἀπαλλάξας. τῇ δὲ μουνυχίᾳ χάρακα καὶ τάφρον περιβαλὼν διὰ μέσου, μεγάροις ἐπέπλευσεν ὑπὸ κασσάνδρου φρουρουμένοις. πυθόμενος δὲ τὴν ἀλεξάνδρου τοῦ πολυπέρχοντος γενομένην γυναῖκα κρατησίπολιν, ἐν πάτραις διατρίβουσαν οὐκ ἂν ἀηδῶς γενέσθαι μετ' αὐτοῦ, περιβόητον οὖσαν ἐπὶ κάλλει, καταλιπὼν τὴν δύναμιν ἐν τῇ μεγαρικῇ, προῆλθεν εὐζώνους τινὰς ἔχων σὺν αὐτῷ. καὶ τούτων πάλιν ἀποστρέψας, ἀποσκηνώσας χωρὶς, ὅπως λάθοι τὴν γυναῖκα συνεισελθοῦσαν αὐτῷ. τοῦτο τινὲς αἰσθόμενοι τῶν πολεμίων, ἐξαίφνης κατέδραμον ἐπ' αὐτόν. ὁ δὲ, φοβηθεὶς καὶ λαβὼν χλαμύδιον εὐτελὲς, δρόμῳ φθάσας ἐξέφυγεν, ὀλίγου δεήσας αἰσχίστην ἅλωσιν ἐξ ἀκρασίας ἁλῶναι. τὴν δὲ σκηνὴν μετὰ τῶν χρημάτων, ᾤχοντο λαβόντες οἱ πολέμιοι. τῶν δὲ μεγαρέων ἁλόντων, καὶ τῶν στρατιωτῶν ἐφ' ἁρπαγὴν τραπομένων, ἀθηναῖοι παρῃτήσαντο πολλῇ δεήσει τοὺς μεγαρεῖς. καὶ τὴν φρουρὰν ὁ δημήτριος ἐκβαλὼν, ἠλευθέρωσε τὴν πόλιν. ἔτι δὲ τοῦτο πράττων, τοῦ φιλοσόφου στίλπωνος ἐμνήσθη, δόξαν ἔχοντος ἀνδρὸς ἠρεμαίου πως ἐν ἡσυχίᾳ καταβιῶναι. μεταπεμψάμενος οὖν ἠρώτα, μή τις εἴληφέ τι τῶν ἐκείνου. καὶ ὁ στίλπων, οὐδεὶς εἶπεν. οὐδένα γὰρ εἶδον ἐπιστήμην ἀποφέροντα. τῶν δὲ θεραπόντων σχεδὸν ἁπάντων διακλαπέντων, ἐπεὶ πάλιν αὐτὸν ὁ δημήτριος ἐφιλοφρονεῖτο, καὶ τέλος ἀπαλλαττόμενος εἶπεν, ἐλευθέραν ἡμῶν ὦ στίλπων ἀπολείπω τὴν πόλιν. ὀρθῶς ἔφη λέγεις. οὐδένα γὰρ ἡμῶν δοῦλον ἀπολέλοιπας. ἐπεὶ δὲ πάλιν ἐπανελθὼν πρὸς τὴν μουνυχίαν καὶ καταστρατοπεδεύσας ἐξέκοψε τὴν φρουρὰν καὶ κατέσκαψε τὸ φρούριον, οὕτως ἤδη τῶν ἀθηναίων δεχομένων καὶ καλούντων, παρελθὼν εἰς τὸ ἄστυ καὶ συναγαγὼν τὸν δῆμον ἀπέδωκε τὴν πάτριον πολιτείαν. καὶ προσυπέσχετο παρὰ τοῦ πατρὸς αὐτοῖς ἀφίξεσθαι σίτου πεντεκαίδεκα μυριάδας μεδίμνων. καὶ ξύλων ναυπηγησίμων πλῆθος εἰς ἑκατὸν τριήρεις. ἀθηναῖοι δὲ ἀπολαβόντες τὴν δημοκρατίαν ἔτει πεντεκαιδεκάτῳ. τὸν δὲ μέσον χρόνον ἀπὸ τῶν λαμιακῶν καὶ τῆς περὶ κραννῶνα μάχης, λόγῳ μὲν ὀλιγαρχικῆς. ἔργῳ δὲ μοναρχικῆς καταστάσεως γενομένης διὰ τὴν τοῦ φαληρέως δύναμιν, οὕτω λαμπρὸν ἐν ταῖς εὐερ-

γεσίαις καὶ

De bello Lamiaco meminit Strabo L°. viiij. Gestu est hoc bellu ab Atheniensibus contra Macedones et Antipatru. Periit in ipso Leosthenes dux Atheniensium.

De pugna ad Cirnonem [Ciccronem] Plut. in Demosthene.

σκοπούντων ἡ ἀρχή, καὶ μεστὴν ἀπιστίας καὶ δυσνοίας, ὥστε ἀγάλλεσθαι τὸν μέγιστον τῶν ἀλεξάνδρου διαδόχων καὶ πρεσβύτατον, ὅτι μὴ φοβεῖται τὸν υἱὸν ἀλλὰ προσίεται, τὴν λόγχην ἔχοντα τοῦ σώματος πλησίον. οὐ μὴν ἀλλὰ καὶ μόνος ὡς εἰπεῖν, ὁ οἶκος οὗτος, ἐπὶ πλείστας διαδοχὰς τῶν τοιούτων κακῶν ἐκαθάρευσε. μᾶλλον δ' εἷς μόνος τῶν ἀπ' ἀντιγόνου, φίλιππος ἀνεῖλεν υἱόν. αἱ δ' ἄλλαι σχεδὸν ἅπασαι διαδοχαὶ, πολλῶν μὲν ἔχουσι παίδων, πολλῶν δὲ μητέρων φόνους, καὶ γυναικῶν. τὸ μὲν γὰρ ἀδελφοὺς ἀναιρεῖν, ὥσπερ οἱ γεωμέτραι τὰ αἰτήματα λαμβάνουσιν, οὕτω συνεχωρεῖτο κοινόν τι νομιζόμενον αἴτημα καὶ βασιλικὸν, ὑπὲρ ἀσφαλείας. τοῦ μέντοι καὶ φιλάνθρωπον φύσει καὶ φιλέταιρον γεγονέναι τὸν δημήτριον ἐν ἀρχῇ, παράδειγμα τοιοῦτον ἔστιν εἰπεῖν. μιθριδάτης ὁ ἀριοβαρζάνου παῖς, ἑταῖρος ἦν καθ' ἡλικίαν αὐτοῦ καὶ συνήθης. ἐθεράπευε δὲ ἀντίγονον, οὔτε ὢν οὔτε δοκῶν πονηρός. ἐκ δὲ ἐνυπνίου τινὸς, ὑποψίαν ἀντιγόνῳ παρέσχεν. ἐδόκει μέγα καὶ καλὸν πεδίον ἐπιὼν ὁ ἀντίγονος, ψήγματα χρυσίου καταπείρειν. ἐξ αὐτοῦ δὲ πρῶτον μὲν ὑποφύεσθαι θέρος χρυσοῦν. ὀλίγῳ δὲ ὕστερον ἐπανελθὼν, οὐδὲν ἰδεῖν, ἀλλ' ἢ τετμημένην καλάμην. λυπούμενος δὲ καὶ περιπαθῶν, ἀκοῦσαί τινων λεγόντων, ὡς ἄρα ὁ μιθριδάτης εἰς πόντον εὔξεινον οἴχεται, τὸ χρυσοῦν θέρος ἐξαμησάμενος. ἐκ τούτου ταραχθεὶς, καὶ τὸν υἱὸν ὁρκώσας σιωπήσειν, ἔφρασε τὴν ὄψιν αὐτῷ, καὶ ὅτι πάντως τὸν ἄνθρωπον ἐκποδὼν ποιεῖσθαι καὶ διαφθείρειν ἔγνωκεν. ἀκούσας δὲ ὁ δημήτριος, ἤχθέσθη σφόδρα. καὶ τοῦ νεανίσκου καθάπερ εἰώθει γενομένου παρ' αὐτῷ, καὶ συνόντος ἐπὶ σχολῇ, φθέγξασθαι μὲν οὐκ ἐτόλμησεν, οὐδὲ τῇ φωνῇ κατειπεῖν διὰ τὸν ὅρκον. ὑπαγαγὼν δὲ κατὰ μικρὸν ἀπὸ τῶν φίλων, ὡς ἐγεγόνεισαν μόνοι καθ' αὑτοὺς, τῷ σαυρωτῆρι τῆς λόγχης κατέγραψεν εἰς τὴν γῆν ὁρῶντος αὐτοῦ, φεῦγε μιθριδάτα. συνεὶς δ' ἐκεῖνος, ἀπέδρα νυκτὸς εἰς καππαδοκίαν. καὶ ταχὺ τὴν ἀντιγόνῳ γενομένην ὄψιν ὕπαρ αὐτοῦ συνετέλει τὸ χρεών. πολλῆς γὰρ καὶ ἀγαθῆς ἐκράτησε χώρας. καὶ τὸ τῶν ποντικῶν βασιλέων γένος, ὀγδόῃ που διαδοχῇ παυσάμενον ὑπὸ ῥωμαίων, ἐκεῖνος παρέσχε. ταῦτα μὲν οὖν εὐφυΐας δείγματα τοῦ δημητρίου, πρὸς ἐπιείκειαν καὶ δικαιοσύνην. ἐπεὶ δὲ ὥσπερ ἐν τοῖς ἐμπεδοκλέους στοιχείοις, διὰ τὸ νεῖκος καὶ τὴν φιλίαν ἔνεστι διαφορὰ πρὸς ἄλληλα καὶ πόλεμος. μᾶλλον δὲ τοῖς ἀλλήλων ἁπτομένοις καὶ πλησιάζουσιν, οὕτω τὸν πᾶσι τοῖς ἀλεξάνδρου διαδόχοις πρὸς ἀλλήλους ὄντα συνεχῆ πόλεμον, αἱ τῶν πραγμάτων καὶ τῶν τόπων συνάφειαι, πρὸς ἐνίους ἐποίουν ἐπιφανέστερον, καὶ μᾶλλον ἐξέκαον, ὥσπερ ἀντιγόνῳ τότε πρὸς πτολεμαῖον. αὐτὸς μὲν ἀντίγονος ἐν φρυγίᾳ διέτριβε. πτολεμαῖον δ' ἀκούσας ἐν κύπρῳ διαβάντα πορθεῖν συρίαν καὶ τὰς πόλεις ἀπάγειν καὶ βιάζεσθαι, κατέπεμψε τὸν υἱὸν δημήτριον, δύο καὶ εἴκοσιν ἐτῶν ὄντα, καὶ στρατείας τότε πρῶτον αὐτοτελῶς ἐπὶ πράγμασι μεγάλοις ἁπτόμενον. οἷα δὲ νέος καὶ ἄπειρος ἀνδρὶ συμπεσὼν ἐκ τῆς ἀλεξάνδρου παλαίστρας ἠθληκότι πολλοὺς καὶ μεγάλους κατ' αὐτὸν ἀγῶνας, ἐσφάλη περὶ πόλιν γάζαν ἡττηθεὶς, ὀκτακισχιλίων ἁλόντων, καὶ πεντακισχιλίων ἀποθανόντων. ἀπέβαλε δὲ καὶ σκηνὴν καὶ χρήματα, καὶ ὅλως σύμπασαν τὴν περὶ τὸ σῶμα θεραπείαν. ἀλλὰ ταῦτα μὲν αὐτῷ πτολεμαῖος ἀπέπεμψε, μετὰ τῶν φίλων εὐγνώμονα καὶ φιλάνθρωπον ἀνειπὼν λόγον. ὡς οὐ περὶ πάντων ἅμα, περὶ δόξης δὲ καὶ ἀρχῆς πολεμητέον ἐστὶν αὐτοῖς. δημήτριος δὲ δεξάμενος, ηὔξατο τοῖς θεοῖς μὴ πολὺν χρόνον ὀφειλέτην γενέσθαι πτολεμαίῳ χάριτος, ἀλλὰ ταχέως ἀμείψασθαι διὰ τῶν ὁμοίων. καὶ πάθος οὐ μειρακίου παθὼν, ἐν ἀρχῇ πράξεων ἀνακρουσθέντος, ἀλλ' ἐμβριθοῦς στρατηγοῦ καὶ κεχρημένου πραγμάτων μεταβολαῖς, ἀνδρῶν τε συλλογῆς καὶ κατασκευῆς ὅπλων ἐπεμελεῖτο. καὶ τὰς πόλεις διὰ χειρὸς εἶχε. καὶ τοὺς ἀθροιζομένους ἐγύμναζεν. ἀντίγονος δὲ τὴν μάχην πυθόμενος, πτολεμαῖον μὲν, ἀγενείους νενικηκότα ἔφη νῦν, αὖθις ἀγωνιεῖσθαι πρὸς ἄνδρας. τοῦ δὲ υἱοῦ τὸ φρόνημα καθελεῖν καὶ κωλῦσαι μὴ βουλόμενος, οὐκ ἐνέστη πάλιν αἰτουμένῳ μάχεσθαι καθ' αὑτὸν, ἀλλ' ἀφῆκε. καὶ μετ' οὐ πολὺν χρόνον, ἀφῖκτο κίλλης πτολεμαίου στρατηγὸς μετὰ λαμπρᾶς δυνάμεως, ἐξελάσων συρίας δημήτριον ἁπάσης, τῷ προηττῆσθαι καταφρονούμενον. ὁ δ' ἐξαίφνης ἐπιπεσὼν, οὐ προαισθομένῳ καὶ φοβήσας, ἔλαβεν αὐτῷ στρατηγῷ τὸ στρατόπεδον. καὶ στρατιώτας μὲν ἑπτακισχιλίους ζῶντας εἷλε. χρημάτων δὲ παμπόλλων ἐκυρίευσεν. ἔχαιρε δὲ νικήσας οὐχ οἷς ἕξειν, ἀλλ' οἷς ἀποδώσειν ἔμελλε. καὶ τῆς νίκης, οὐ τὸν πλοῦτον οὕτως οὐδὲ τὴν δόξαν, ὡς τὴν ἄδειαν τοῦ φιλανθρωπεύματος ἐκείνου καὶ τὴν χάριν ἠγάπησεν. οὐ μὴν αὐτογνωμόνως ταῦτα ἔπραξεν, ἀλλ' ἔγραψε τῷ πατρί. δόντος δ' ἐκείνου καὶ κελεύσαντος, ὃν βούλεται πᾶσι χρῆσθαι τρόπον, αὐτόν τε τὸν κίλλην, καὶ φίλους αὐτῷ δωρησάμενος ἀφθόνως, ἀπέπεμψε. τοῦτο τὸ πάθος συρίας ἐξήλασε πτολεμαῖον. ἀντίγονον δὲ κατήγαγεν ἐκ κελαινῶν, χαίροντα τῇ νίκῃ, καὶ ποθοῦντα θεάσασθαι τὸν υἱόν. ἐκ τούτου δὲ τῶν ἀράβων τοὺς καλουμένους ναβαταίους ὑπαγαγέσθαι πεμφθεὶς ὁ δημήτριος, ἐκινδύνευσεν εἰς τόπους ἀνύδρους ἐμπεσών. τῷ δὲ μὴ διαταραχθῆναι μηδ' ἐκπλαγῆναι καταπληξάμενος τοὺς βαρβάρους, λείαν τε λαβὼν πολλὴν καὶ καμήλους ἑπτακοσίας, ἀνεχώρησεν. ἐπεὶ δὲ σέλευκος ἐκπεσὼν μὲν ὑπὸ ἀντιγόνου τῆς βαβυλωνίας πρότερον, ὕστερον δὲ ἀναλαβὼν τὴν ἀρχὴν δι' αὑτοῦ καὶ κρατῶν, ἀνέβη μετὰ δυνάμεως, τὰ συνοροῦντα τοῖς ἰνδοῖς ἔθνη

οἱ πρῶτοι τὰς τέχνας ἐοικέναι ταῖς αἰσθήσεσιν ὑπολαβόντες, οὐχ ἥκιστά μοι δοκοῦσι τὴν περὶ τὰς κρίσεις αὐτῶν κατανοῆσαι δύναμιν, ᾗ τῶν ἐναντίων ὁμοίως ἐν ἑκατέρῳ γένει πεφύκαμεν ἀντιλαμβάνεσθαι. τοῦτο γὰρ αὐταῖς κοινόν ἐστι. τῇ δὲ πρὸς τὰ τέλη τῶν κρινομένων ἀναφορᾷ, διαλλάττουσιν. ἡ μὲν γὰρ αἴσθησις, οὐδέν τι μᾶλλον ἐπὶ λευκῶν ἢ μελάνων διάγνωσιν γέγονεν. οὐδὲ γλυκέων ἢ πικρῶν. οὐδὲ μαλακῶν καὶ εἰκόντων. ἢ σκληρῶν καὶ ἀντιτύπων. ἀλλ' ἔργον αὐτῆς, ἑκάστοις ἐντυγχάνουσαν, ὑπὸ πάντων τε κινεῖσθαι, καὶ πάντα κινεῖν, πρὸς τὸ φρονοῦν ἀναφέρουσαν, καὶ κινουμένην πρὸς τὸ φρονοῦν ἀναφέρειν, ὡς πέπονθεν. αἱ δὲ τέχναι μετὰ λόγου συνιστᾶσαι πρὸς αἵρεσιν καὶ λῆψιν οἰκείου τινός, φυγὴν τε καὶ διάκρουσιν ἀλλοτρίου, τὰ μὲν, ἀφ' αὑτῶν προηγουμένως. τὰ δὲ, ὑπὲρ τοῦ φυλάξασθαι κατὰ συμβεβηκὸς ἐπιθεωροῦσι. καὶ γὰρ ἰατρικῇ τὸ νοσερὸν καὶ ἁρμονικῇ τὸ ἐκμελὲς, ὅπως ἔχει σκοπεῖν συμβέβηκε πρὸς τὴν τῶν ἐναντίων ἀπεργασίαν. αἵ τε πασῶν τελεώταται τεχνῶν, σωφροσύνη καὶ δικαιοσύνη καὶ φρόνησις, οὐ καλῶν μόνον καὶ δικαίων καὶ ὠφελίμων, ἀλλὰ καὶ βλαβερῶν καὶ αἰσχρῶν καὶ ἀδίκων, κρίσεις οὖσαι, τὴν ἀπειρίᾳ τῶν κακῶν καλλωπιζομένην ἀκακίαν οὐκ ἐπαινοῦσιν, ἀλλ' ἀβελτηρίαν ἡγοῦνται καὶ ἄγνοιαν ὧν μάλιστα γινώσκειν προσήκει, τοὺς ὀρθῶς βιωσομένους. οἱ μὲν οὖν παλαιοὶ σπαρτιᾶται τοὺς εἵλωτας ἐν ταῖς ἑορταῖς πολὺν ἀναγκάζοντες πίνειν ἄκρατον, εἰσῆγον εἰς τὰ συμπόσια, τοῖς νέοις οἷόν ἐστι τὸ μεθύειν ἐπιδεικνύντες. ἡμεῖς δὲ τὴν ἐκ διαστροφῆς ἑτέρων ἐπανόρθωσιν, οὐ πάνυ φιλάνθρωπον οὐδὲ πολιτικὴν ἡγούμεθα. τῶν δὲ κεχρημένων ἀσκεπτότερον αὑτοῖς, καὶ γεγονότων ἐν ἐξουσίαις καὶ πράγμασι μεγάλοις ἐπιφανῶν εἰς κακίαν, οὐ χεῖρον ἴσως ἐστὶ συζυγίαν μίαν ἢ δύο παρεμβαλεῖν εἰς τὰ παραδείγματα τῶν βίων, οὐκ ἐφ' ἡδονῇ μὰ Δία καὶ διαγωγῇ τῶν ἐντυγχανόντων, ποικίλλοντας τὴν γραφήν, ἀλλ' ὥσπερ ἰσμηνίας ὁ θηβαῖος ἐπιδεικνύμενος τοῖς μαθηταῖς, καὶ τοὺς εὖ καὶ τοὺς κακῶς αὐλοῦντας εἰώθει λέγειν, οὕτως αὐλεῖν δεῖ, καὶ πάλιν οὕτως αὐλεῖν οὐ δεῖ. ὁ δ' ἀντιγενίδας καὶ ἥδιον ᾤετο τῶν ἀγαθῶν ἀκροᾶσθαι τοὺς νέους αὐλητὰς ἵνα καὶ τῶν φαύλων πεῖραν λαμβάνωσιν, οὕτω μοι δοκοῦμεν καὶ ἡμεῖς προθυμότεροι τῶν βελτιόνων ἔσεσθαι καὶ θεαταὶ καὶ μιμηταὶ βίων, εἰ μηδὲ τῶν φαύλων καὶ ψεγομένων ἀνιστορήτως ἔχοιμεν. περιέξει δὲ τοῦτο τὸ βιβλίον, τὸν δημητρίου τοῦ πολιορκητοῦ βίον. καὶ ἀντωνίου τοῦ αὐτοκράτορος. ἀνδρῶν μάλιστα δὴ τῷ πλάτωνι μαρτυρησάντων ὅτι καὶ κακίας μεγάλας ὥσπερ ἀρετὰς αἱ μεγάλαι φύσεις ἐκφέρουσι. γενόμενοι δὲ ὁμοίως, ἐρωτικοί. ποτικοί. στρατιωτικοί. μεγαλόδωροι. πολυτελεῖς. ὑβρισταί, καὶ τὰς κατὰ τύχην ὁμοιότητας ἀκολούθους ἔσχον. οὐ γὰρ μόνον ἐν τῷ λοιπῷ βίῳ μεγάλα μὲν κατορθοῦντες, μεγάλα δὲ σφαλλόμενοι. πλείστων δὲ ἐπικρατοῦντες πλεῖστα δὲ ἀποβάλλοντες. ἀπροσδοκήτως δὲ πταίοντες, ἀνελπίστως δὲ πάλιν ἀναφέροντες διετέλεσαν, ἀλλὰ καὶ κατέστρεψαν. ὁ μὲν, ἁλοὺς ὑπὸ τῶν πολεμίων. ὁ δὲ, ἔγγιστα τοῦ παθεῖν τοῦτο γενόμενος. ἀντιγόνῳ τοίνυν δυοῖν υἱῶν ἐκ στρατονίκης τῆς κορραίου γενομένων, τὸν μὲν, ἐπὶ τἀδελφῷ, δημήτριον. τὸν δ' ἐπὶ τῷ πατρὶ, φίλιππον ὠνόμασεν. οὗτος ἐστὶν ὁ τῶν πλείστων λόγος. ἔνιοι δὲ τὸν δημήτριον, οὐχ υἱόν, ἀλλ' ἀδελφιδοῦν γενέσθαι τοῦ ἀντιγόνου λέγουσιν. ἐπὶ νηπίῳ γὰρ αὐτῷ παντάπασι τοῦ πατρὸς τελευτήσαντος, εἶτα τῆς μητρὸς εὐθὺς τῷ ἀντιγόνῳ γαμηθείσης, υἱὸν ἐκείνου νομισθῆναι. τὸν μὲν οὖν φίλιππον, οὐ πολλοῖς ἔτεσι τοῦ δημητρίου νεώτερον ὄντα, συνέβη τελευτῆσαι. δημήτριος δὲ, μεγέθει μὲν ἦν τοῦ πατρὸς ἐλάττων, καίπερ ὢν μέγας. ἰδέᾳ δὲ καὶ κάλλει προσώπου, θαυμαστὸς καὶ περιττός, ὥστε τῶν πλαττόντων καὶ γραφόντων, μηδένα τῆς ὁμοιότητος ἐφικέσθαι. τὸ γὰρ αὐτὸ, χάριν, καὶ βάρος, καὶ φόβον, καὶ ὥραν εἶχε, καὶ συνεκέκρατο τῷ νεαρῷ, καὶ ἰταμῷ, δυσμίμητος ἡρωική τις ἐπιφάνεια καὶ βασιλικὴ σεμνότης. οὕτω δέ πως καὶ τὸ ἦθος ἐπεφύκει πρὸς ἔκπληξιν ἀνθρώπων, ἅμα καὶ χάριν. ἥδιστος γὰρ ὢν συγγενέσθαι σχολάζοντι περὶ πότους, καὶ τρυφὰς καὶ διαίτας ἁβροβιώτατος βασιλέων, ἐνεργότατον αὖ πάλιν καὶ σφοδρότατον τὸ περὶ τὰς πράξεις ἐνδελεχὲς εἶχε καὶ δραστήριον. ᾗ καὶ μάλιστα τῶν θεῶν ἐζήλου τὸν διόνυσον, ὡς πολέμῳ τε χρῆσθαι δεινότατον. εἰρήνην τε αὖθις ἐκ πολέμων τρέψαι, καὶ πρὸς εὐφροσύνην καὶ χάριν ἐμμελέστατον. ἦν μὲν οὖν καὶ φιλοπάτωρ διαφερόντως. τῇ δὲ περὶ τὴν μητέρα σπουδῇ, καὶ τὸν πατέρα τιμῶν ἐφαίνετο δι' εὔνοιαν ἀληθινὴν μᾶλλον ἢ θεραπείαν τῆς δυνάμεως. καί ποτε πρεσβείᾳ τινὶ τοῦ ἀντιγόνου σχολάζοντος, ἀπὸ θήρας ὁ δημήτριος ἐπέστη. καὶ προσελθὼν τῷ πατρὶ καὶ φιλήσας ὥσπερ εἶχε τὰς βολίδας ἐκάθισε παρ' αὐτόν. ὁ δὲ ἀντίγονος ἀπιόντας ἤδη τοὺς πρέσβεις ἔχοντας ἀποκρίσεις, μεγάλῃ φωνῇ προσαγορεύσας, καὶ τοῦτ' εἶπεν ὦ ἄνδρες ἀπαγγέλλετε περὶ ἡμῶν, ὅτι πρὸς ἀλλήλους οὕτως ἔχομεν. ὡς ἰσχύν τινα πραγμάτων βασιλικῶν, καὶ δυνάμεως ἐπίδειξιν οὖσαν, τὴν πρὸς τὸν υἱὸν ὁμόνοιαν καὶ πίστιν. οὕτως ἄρα πάντῃ δυ

δειλίας, πρὸς τοὺς καθημένους εἰπεῖν. ὡς γελοῖον ὦ ἄνδρες ἔχομεν ὕπατον. δοκεῖ δὲ καὶ γέλωτος οἰ-
κεῖος ὁ κικέρων γεγονέναι καὶ φιλοσκώπτης. τό, τε πρόσωπον αὐτοῦ, μειδίαμα καὶ γαλήνην παρεῖχε.
τῷ δὲ δημοσθένους, ἀεί τις ἐπῆν σπουδὴ καὶ τὸ πεφροντικὸς τοῦτο καὶ σύννουν, οὐ ῥᾳδίως ἀπέλιπεν.
ὅθεν καὶ δύσκολον αὐτὸν οἱ ἐχθροὶ καὶ δύστροπον ὡς αὐτός φησιν ἀπεκάλουν. ἔτι τοίνυν ἐν τοῖς συγ-
γράμμασι κατιδεῖν ἔστι, τὸν μὲν ἐμμελῶς καὶ ἀνεπαχθῶς τῶν εἰς αὐτὸν ἁπτόμενον ἐγκωμίων, ὅτε
τούτου δεήσαι πρὸς ἕτερόν τι μεῖζον, τἆλλα δ' εὐλαβῆ καὶ μέτριον. ἡ δὲ κικέρωνος ἐν τοῖς λόγοις ἀμε-
τρία τῆς περιαυτολογίας, ἀκρασίαν τινὰ κατηγόρει πρὸς δόξαν βοῶντος. ὡς τὰ ὅπλα ἔδει τῇ τη-
βέννῳ καὶ τῇ γλώττῃ τὴν θριαμβικὴν ὑπείκειν δάφνην. τελευτῶν δέ, οὐ τὰ ἔργα καὶ τὰς πράξεις μό-
νον, ἀλλὰ καὶ τοὺς λόγους ἐπαινεῖ τοὺς εἰρημένους ὑπ' αὐτοῦ καὶ γεγραμμένους. ὥσπερ ἰσοκράτει καὶ
ἀναξιμένει τοῖς σοφισταῖς διαμειρακιευόμενος, οὐ τὸν ῥωμαίων δῆμον ἄγειν ἀξιῶν καὶ ὀρθοῦν. βριθὺν
ὁπλιτοπάλαν δάϊον ἀντιπάλοις. ἰσχύειν μὲν γὰρ διὰ λόγου τὸν πολιτευόμενον, ἀναγκαῖον. ἀγαπᾶν
δὲ, ἀγεννὲς, καὶ λιχνεύειν τὴν ἀπὸ τοῦ λόγου δόξαν. ὅθεν ἐμβριθέστερος ταύτῃ καὶ μεγαλοπρεπέστατος
ὁ δημοσθένης. τὴν μὲν αὐτοῦ δύναμιν, ἐμπειρίαν τινὰ πολλῆς δεομένην τῆς παρὰ τῶν ἀκροωμένων εὐ-
νοίας ἀποφαινόμενος, ἀνελευθέρους δὲ καὶ βαναύσους ὥσπερ εἰσὶ, τοὺς ἐπὶ τούτῳ φυσωμένους ἡγού-
μενος. ἡ μὲν οὖν ἐν τῷ δημηγορεῖν καὶ πολιτεύεσθαι δύναμις, ὁμαλῶς ἀμφοτέροις ὑπῆρξεν, ὥστε καὶ
τοὺς τῶν ὅπλων καὶ στρατοπέδων κυρίους δεῖσθαι, δημοσθένους μὲν, χάρητα καὶ διοπείθην καὶ λεω-
σθένην. κικέρωνος δὲ, πομπήϊον καὶ καίσαρα τὸν νέον. ὡς αὐτὸς ὁ καῖσαρ ἐν τοῖς πρὸς ἀγρίππαν καὶ μαι-
κήναν ὑπομνήμασιν εἴρηκεν. ὃ δὲ δοκεῖ μάλιστα καὶ λέγεται τρόπον ἀνδρὸς ἐπιδεικνύναι καὶ βασα-
νίζειν, ἐξουσία καὶ ἀρχὴ πᾶν πάθος κινοῦσα καὶ πᾶσαν ἀποκαλύπτουσα κακίαν, δημοσθένει μὲν οὐχ
ὑπῆρξεν, οὐδ' ἔδωκεν τοιαύτην διάπειραν ἑαυτοῦ, μηδεμίαν ἀρχὴν τῶν ἐπιφανῶν ἄρξας. οὐδὲ τῆς
ὑφ' ἑαυτοῦ συντεταγμένης ἐπὶ φίλιππον ἐστρατήγησε δυνάμεως. κικέρων δὲ, ταμίας εἰς σικελίαν
καὶ ἀνθύπατος εἰς κιλικίαν καὶ καππαδοκίαν ἀποσταλεὶς, ἐν ᾧ καιρῷ τῆς φιλοπλουτίας ἀκμαζού-
σης, καὶ τῶν πεμπομένων στρατηγῶν καὶ ἡγεμόνων, ὡς τοῦ κλέπτειν ἀγεννοῦς ὄντος, ἐπὶ τὸ ἁρπάζειν
τρεπομένων, οὐ τὸ λαμβάνειν ἐδόκει δεινὸν, ἀλλ' ὁ μετρίως τοῦτο ποιῶν ἠγαπᾶτο, πολλὴν μὲν ἐπίδει-
ξιν ὑπεροψίας χρημάτων ἐποιήσατο, πολλὴν δὲ φιλανθρωπίας καὶ χρηστότητος. ἐν αὐτῇ δὲ τῇ ῥώ-
μῃ, λόγῳ μὲν ἀποδειχθεὶς ὕπατος, ἐξουσίαν δὲ λαβὼν αὐτοκράτορος καὶ δικτάτωρος, ἐπὶ τοὺς περὶ
κατιλίναν ἐμαρτύρησεν ἅμα τῷ πλάτωνι μαντευομένῳ παῦλαν ἕξειν κακῶν τὰς πόλεις, ὅταν εἰς ταὐ-
τὸ δύναμίς τε μεγάλη καὶ φρόνησις ἔκ τινος τύχης χρηστῆς ἀπαντήσῃ μετὰ δικαιοσύνης. χρηματίσα-
σθαι τοίνυν ἀπὸ τοῦ λόγου, δημοσθένης μὲν, ἐπιψόγως λέγεται, λογογραφῶν κρύφα τοῖς περὶ φορ-
μίωνα καὶ ἀπολλόδωρον ἀντιδίκοις. καὶ διαβληθεὶς μὲν ἐπὶ τοῖς βασιλικοῖς χρήμασιν, ὄφλων δὲ τῶν
ἁρπαλείων. εἰ δὲ ταῦτα τοὺς ἀναγράφοντας, οὐκ ὀλίγει δ' εἰσὶν οὗτοι, ψεύδεσθαι φαίημεν, ἀλλ' ὅτι γε
πρὸς δωρεὰς βασιλέων σὺν χάριτι καὶ τιμῇ διδομένας, ἀντιβλέψαι δημοσθένης οὐκ ἂν ἐτόλμησεν,
οὐδ' ἦν τοῦτο τὸ ἔργον ἀνθρώπου δανείζοντος ἐπὶ ναυτικοῖς, ἀμήχανον ἀντειπεῖν. περὶ δὲ κικέρωνος
ὅτι καὶ σικελιωτῶν ἀγορανομοῦντι, καὶ βασιλέως τοῦ καππαδοκῶν ἀνθυπατεύοντι, καὶ τῶν ἐν ῥώ-
μῃ φίλων ὅτ' ἐξέπιπτε τῆς πόλεως, δωρουμένων πολλὰ καὶ δεομένων λαβεῖν, ἀντέσχεν, εἴρηται. καὶ μὴν
ἥ γε φυγὴ, τῷ μὲν, αἰσχρὰ κλοπῆς ἁλόντι συνέπεσε. τῷ δὲ, κάλλιστον ἔργον, ἀνθρώπους ἀλιτηρίους ἐκ-
κόψαντι τῆς πατρίδος. διὸ τοῦ μὲν, οὐδεὶς λόγος ἐκπίπτοντος. ἐφ' ᾧ δ' ἡ σύγκλητος ἐσθῆτά τε διήλλα-
ξε, καὶ πένθος ἔσχε, καὶ γνώμην ὑπὲρ οὐδενὸς εἰπεῖν ἐπείσθη πρότερον, ἢ κικέρωνι κάθοδον ψηφίσα-
σθαι. τὴν μέντοι φυγὴν ἀργῶς ὁ κικέρων διήνεγκεν ἐν μακεδονίᾳ καθήμενος. τῷ δὲ δημοσθένει καὶ ἡ
φυγὴ μέγα μέρος τῆς πολιτείας γέγονε. συναγωνιζόμενος γὰρ ὥσπερ εἴρηται τοῖς ἕλλησι, καὶ τοὺς
μακεδόνων πρέσβεις ἐξελαύνων, ἐπήρχετο τὰς πόλεις. πολὺ βελτίων θεμιστοκλέους καὶ ἀλκιβιά-
δου παρὰ τὰς αὐτὰς τύχας φανεὶς πολίτης. καὶ μέντοι κατελθὼν αὖθις ἑαυτὸν ἐπέδωκεν εἰς τὴν
αὐτὴν ταύτην πολιτείαν. καὶ διετέλει πολεμῶν πρὸς ἀντίπατρον καὶ μακεδόνας. κικέρωνα δ' ὠνεί-
δισεν ἐν τῇ βουλῇ λαίλιος, αἰτουμένου καίσαρος ὑπατείαν μετιέναι παρανόμως οὔπω γενειῶντος,
σιωπῇ καθήμενον. ἔγραφε δὲ καὶ βροῦτος ἐγκαλῶν, ὡς μείζονα καὶ βαρυτέραν πεπαιδοτριβηκό-
τι τυραννίδα, τῆς ὑπ' αὐτῶν καταλυθείσης. ἐπὶ πᾶσι δὲ τῆς τελευτῆς, τὸν μὲν, οἰκτεῖραι τίς ἄνδρα
πρεσβύτην δι' ἀγέννειαν ὑπὸ οἰκετῶν ἄνω καὶ κάτω περιφερόμενον καὶ περιφεύγοντα τὸν θάνα-
τον καὶ ἀποκρυπτόμενον τοὺς οὐ πολὺ πρὸ τῆς φύσεως ἥκοντας ἐπ' αὐτὸν, εἶτ' ἀποσφαγέντα. τοῦ δ' εἰ καὶ
μικρὰ πρὸς τὴν ἱκετείαν ἐνέδωκεν, ἀγαστὴ μὲν ἡ παρασκευὴ τοῦ φαρμάκου καὶ τήρησις. ἀγαστὴ δ' ἡ χρῆ-
σις. ὅτι τοῦ θεοῦ μὴ παρασχόντος αὐτῷ τὴν ἀσυλίαν, ὥσπερ ἐπὶ μείζονα βωμὸν καταφυγὼν, ἐκ τῶν
ὅπλων καὶ τῶν δορυφόρων λαβὼν ἑαυτὸν ᾤχετο, τῆς ἀντιπάτρου καταγελάσας ὠμότητος.

τις ἀθρόοι κόρακες, ὑπὸ κλαγγῆς προσεφέροντο τῷ πλοίῳ τοῦ κικέρωνος ἐπὶ γῆν ὁρμιζομένῳ. καὶ καθίσαντες ἐπὶ τὴν κεραίαν ἑκατέρωθεν, οἱ μὲν ἐβόων, οἱ δ' ἔκοπτον τὰς τῶν μηρυμάτων ἀρχάς, καὶ πᾶσιν ἐδόκει τὸ σημεῖον εἶναι πονηρόν. ἀπέβη δ' οὖν ὁ κικέρων, καὶ παρελθὼν εἰς τὴν ἔπαυλιν, ὡς ἀναπαυσόμενος κατεκλίθη. τῶν δὲ κοράκων, οἱ πολλοὶ μὲν ἐπὶ τῆς θυρίδος διεκάθηντο φθεγγόμενοι θορυβῶδες. εἷς δὲ καταβὰς ἐπὶ τὸ κλινίδιον ἐγκεκαλυμμένου τοῦ κικέρωνος, ἀπῆγε τῷ στόματι κατὰ μικρὸν ἀπὸ τοῦ προσώπου τὸ ἱμάτιον. οἱ δ' οἰκέται ταῦθ' ὁρῶντες καὶ κακίσαντες ἑαυτοὺς εἰ περιμένουσι τοῦ δεσπότου φονευομένου θεαταὶ γενέσθαι, θηρία δ' αὐτῷ βοηθεῖ καὶ προκήδεται παρ' ἀξίαν πράττοντος, αὐτοὶ δ' οὐκ ἀμύνουσι, τὰ μὲν δεόμενοι, τὰ δὲ βίᾳ λαβόντες, ἐκόμιζον ἐν τῷ φορείῳ πρὸς τὴν θάλασσαν. ἐν τούτῳ δ' οἱ σφαγεῖς ἐπῆλθον, ἑκατόνταρχος ἑρέννιος καὶ ποπίλλιος χιλίαρχος, ᾧ πατροκτονίας ποτὲ δίκην φεύγοντι συνεῖπεν ὁ κικέρων, ἔχοντες ὑπηρέτας. ἐπεὶ δὲ τὰς θύρας κεκλεισμένας εὑρόντες ἐξέκοψαν, οὐ φαινομένου τοῦ κικέρωνος, οὐδὲ τῶν ἔνδον εἰδέναι φασκόντων, λέγεται νεανίσκον τινὰ τεθραμμένον μὲν ὑπὸ τοῦ κικέρωνος ἐν γράμμασιν ἐλευθερίοις καὶ μαθήμασιν, ἀπελεύθερον δὲ κοΐντου τοῦ ἀδελφοῦ, φιλόλογον τοὔνομα, φράσαι τῷ χιλιάρχῳ τὸ φορεῖον κομιζόμενον διὰ τῶν καταφύτων καὶ συσκίων περιπάτων ἐπὶ τὴν θάλατταν. ὁ μὲν οὖν χιλίαρχος ὀλίγους ἀναλαβὼν μεθ' ἑαυτοῦ, περιέθει πρὸς τὴν ἔξοδον. τοῦ δ' ἑρεννίου δρόμῳ φερομένου διὰ τῶν περιπάτων, ὁ κικέρων ᾔσθετο καὶ τοὺς οἰκέτας ἐκέλευσεν ἐνταῦθα καταθέσθαι τὸ φορεῖον. αὐτὸς δ' ὥσπερ εἰώθει τῇ ἀριστερᾷ χειρὶ τῶν γενείων ἁπτόμενος, ἀτενὲς ἐνεώρα τοῖς σφαγεῦσιν, αὐχμοῦ καὶ κόμης ἀνάπλεως, καὶ συντετηκὼς ὑπὸ φροντίδων τὸ πρόσωπον, ὥστε τοὺς πλείστους ἐγκαλύψασθαι τοῦ ἑρεννίου σφάζοντος αὐτόν. ἐσφάγη δὲ τὸν τράχηλον ἐκ τοῦ φορείου προτείνας, ἔτος ἐκεῖνο γεγονὼς ἑξηκοστὸν καὶ τέταρτον. τὴν δὲ κεφαλὴν ἀπέκοψεν αὐτοῦ καὶ τὰς χεῖρας, ἀντωνίου κελεύσαντος, αἷς τοὺς φιλιππικοὺς ἔγραψεν. αὐτός τε γὰρ ὁ κικέρων τοὺς κατ' ἀντωνίου λόγους φιλιππικοὺς ἐπέγραψε, καὶ μέχρι νῦν τὰ βιβλία, φιλιππικοὶ καλοῦνται. τῶν δ' ἀκρωτηρίων εἰς ῥώμην κομισθέντων, ἔτυχε μὲν ἀρχαιρεσίας τελῶν ὁ ἀντώνιος. ἀκούσας δὲ καὶ ἰδών, ἀνεβόησεν, ὡς νῦν αἱ προγραφαὶ τέλος ἔχοιεν. τὴν δὲ κεφαλὴν καὶ τὰς χεῖρας, ἐκέλευσεν ὑπὲρ τῶν ἐμβόλων ἐπὶ τοῦ βήματος θεῖναι, θέαμα ῥωμαίοις φρικτόν. οὐ τὸ κικέρωνος ὁρᾶν πρόσωπον οἰομένοις, ἀλλὰ τῆς ἀντωνίου ψυχῆς εἰκόνα. πλὴν ἕν γέ τι φρονήσας μέτριον ἐν τούτοις, πομπωνίᾳ τῇ κοΐντου γυναικὶ τὸν φιλόλογον παρέδωκεν. ἡ δὲ, κυρία γενομένη τοῦ σώματος, ἄλλαις τε δειναῖς ἐχρήσατο τιμωρίαις, καὶ τὰς σάρκας ἀποτέμνοντα τὰς αὑτοῦ κατὰ μικρὸν, ὀπτᾶν, εἶτ' ἐσθίειν ἠνάγκασεν. οὕτω γὰρ ἔνιοι τῶν συγγραφέων ἱστορήκασιν. ὁ δ' αὐτοῦ τοῦ κικέρωνος ἀπελεύθερος τίρων, τοπαράπαν οὐδὲ μέμνηται τῆς τοῦ φιλολόγου προδοσίας. πυνθάνομαι δὲ καίσαρα χρόνοις πολλοῖς ὕστερον εἰσελθεῖν πρὸς ἕνα τῶν θυγατριδῶν, τὸν δὲ βιβλίον ἔχοντα κικέρωνος ἐν ταῖς χερσὶν ἐκπλαγέντα, τῷ ἱματίῳ περικαλύπτειν. ἰδόντα δὲ καίσαρα, λαβεῖν καὶ διελθεῖν ἑστῶτα, μέρος πολὺ τοῦ βιβλίου, πάλιν δ' ἀποδιδόντα τῷ μειρακίῳ φάναι. λόγιος ἀνὴρ ὦ παῖ. λόγιος καὶ φιλόπατρις. ἐπεὶ μέντοι τάχιστα κατεπολέμησεν ἀντώνιον, ὑπατεύων αὐτὸς, εἵλετο συνάρχοντα τοῦ κικέρωνος τὸν υἱόν, ἐφ' οὗ τάς τ' εἰκόνας ἡ βουλὴ καθεῖλεν ἀντωνίου, καὶ τὰς ἄλλας ἠκύρωσε τιμάς, καὶ προσεψηφίσατο μηδενὶ τῶν ἀντωνίων ὄνομα, μάρκον εἶναι. οὕτω τὸ δαιμόνιον εἰς τὸν κικέρωνος οἶκον ἐπανήνεγκε τὸ τέλος τῆς ἀντωνίου κολάσεως. ἃ μὲν οὖν ἄξια μνήμης τῶν περὶ δημοσθένους καὶ κικέρωνος ἱστορουμένων εἰς τὴν ἡμετέραν ἀφῖκται γνῶσιν, ταῦτ' ἐστίν. ἀφεικὼς δὲ τὸ συγκρίνειν τὴν ἐν τοῖς λόγοις ἕξιν αὐτῶν, ἐκεῖνό μοι δοκῶ μὴ παρήσειν ἄρρητον, ὅτι δημοσθένης μὲν, εἰς τὸ ῥητορικὸν ἐνέτεινε πᾶν ὅσον εἶχεν ἐκ φύσεως ἢ ἀσκήσεως λόγιον, ὑπερβαλλόμενος ἐναργείᾳ μὲν καὶ δεινότητι, τοὺς ἐπὶ τῶν ἀγώνων καὶ τῶν δικῶν συνεξεταζομένους. ὄγκῳ δὲ καὶ μεγαλοπρεπείᾳ τοὺς ἐπιδεικτικούς. ἀκριβείᾳ δὲ τέχνῃ, τοὺς σοφιστάς. κικέρων δὲ καὶ πολυμαθὴς καὶ ποικίλος τῇ περὶ τοὺς λόγους σπουδῇ γενόμενος, συντάξεις μὲν ἰδίας φιλοσόφους ἀπολέλοιπεν οὐκ ὀλίγας εἰς τὸν ἀκαδημαϊκὸν τρόπον. οὐ μὴν ἀλλὰ καὶ διὰ τῶν πρὸς τὰς δίκας καὶ τοὺς ἀγῶνας γραφομένων λόγων δῆλός ἐστιν ἐμπειρίαν τινὰ γραμμάτων παρεπιδείκνυσθαι βουλόμενος. ἔστι δέ τις καὶ τοῦ ἤθους ἐν τοῖς λόγοις ἑκατέρου δίοψις. ὁ μὲν γὰρ δημοσθενικὸς ἔξω παντὸς ὡραϊσμοῦ καὶ παιδιᾶς εἰς δεινότητα καὶ σπουδὴν συνηγμένος, οὐκ ἐλλυχνίων ὄζων, ὥσπερ ὁ πυθέας ἔσκωπτεν, ἀλλ' ὑδροποσίας καὶ φροντίδων, καὶ τῆς λεγομένης πικρίας τοῦ τρόπου καὶ στυγνότητος. κικέρων δὲ πολλαχοῦ τῷ σκωπτικῷ πρὸς τὸ βωμολόχον ἐκφερόμενος, καὶ πράγματα σπουδῆς ἄξια, γέλωτι καὶ παιδιᾷ κατειρωνευόμενος ἐν ταῖς δίκαις εἰς τὸ χρειῶδες, ἠφείδει τοῦ πρέποντος, ὡς ἐν τῇ κελίου συνηγορίᾳ, μηδὲν ἄτοπον ποιεῖν αὐτὸν ἐν τοσαύτῃ πολυτελείᾳ καὶ τρυφῇ, ταῖς ἡδοναῖς χρώμενον. τὸ γὰρ ὧν ἔξεστι μὴ μετέχειν, μανικὸν εἶναι, καὶ ταῦτα ἐν ἡδονῇ τὸ εὐδαιμονεῖν τῶν ἐπιφανεστάτων φιλοσόφων τιθεμένων. λέγεται δὲ κάτωνος μουρήναν διώκοντος, ὑπατεύων ἀπολογεῖσθαι, καὶ πολλὰ διὰ τὸν κάτωνα κωμῳδεῖν τὴν στωϊκὴν αἵρεσιν, ἐπὶ ταῖς ἀτοπίαις τῶν παραδόξων λεγομένων δογμάτων. γέλωτος δὲ λαμπροῦ κατιόντος ἐκ τῶν περιεστώτων πρὸς τοὺς δικαστάς, ἡσυχῇ διαμει-

φῆς Καίσαρος. ὅθεν καὶ Καῖσαρ αὐτῷ παῖδας οὐκ ἔχων ἰδίους, τὴν οὐσίαν ἑαυτοῦ καὶ τὸν οἶκον ἐν ταῖς διαθήκαις ἔδωκεν. ἐκ τούτου φασὶ τὸν Κικέρωνα τῷ παιδὶ κατὰ τὰς ἀπαντήσεις ἐντυγχάνειν ἐπιμελῶς, κἀκεῖνον οἰκείως δέχεσθαι τὰς φιλοφροσύνας. καὶ γὰρ ἐκ τύχης αὐτῷ γεγονέναι συμβεβήκει Κικέρωνος ὑπατεύοντος. αὗται μὲν οὖν προφάσεις ἦσαν λεγόμεναι. τὸ δὲ πρὸς Ἀντώνιον μῖσος, Κικέρωνα πρῶτον, εἶτα ἡ φύσις ἥττων οὖσα τῆς τιμῆς, προσεποίησε Καίσαρι, νομίζοντα προσλαμβάνειν τῇ πολιτείᾳ τὴν ἐκείνου δύναμιν. οὕτω γὰρ ὑπῄει πρὸς τὸ μειράκιον αὐτόν, ὥστε καὶ πατέρα προσαγορεύειν. ἐφ᾽ ᾧ σφόδρα Βροῦτος ἀγανακτῶν, ἐν ταῖς πρὸς Ἀττικὸν ἐπιστολαῖς, καθήψατο τοῦ Κικέρωνος, ὅτι διὰ φόβον Ἀντωνίου, θεραπεύοντος Καίσαρα, δῆλός ἐστιν οὐκ ἐλευθερίαν τῇ πατρίδι πράττων, ἀλλὰ δεσπότην φιλάνθρωπον αὑτῷ μνώμενος. οὐ μὴν ἀλλὰ τόν γε παῖδα τοῦ Κικέρωνος ὁ Βροῦτος ἐν Ἀθήναις διατρίβοντα παρὰ τοῖς φιλοσόφοις ἀναλαβών, ἔσχεν ἐφ᾽ ἡγεμονίας, καὶ πολλὰ χρώμενος αὐτῷ κατώρθου. τοῦ δὲ Κικέρωνος ἀκμὴν ἔσχεν ἡ δύναμις ἐν τῇ πόλει τότε μεγίστην. καὶ κρατῶν ὅσον ἐβούλετο, τὸν μὲν Ἀντώνιον ἐξέκρουσε καὶ κατεστασίασε, καὶ πολεμήσοντας αὐτῷ τοὺς δύο ὑπάτους Ἵρτιον καὶ Πάνσαν ἐξέπεμψε. Καίσαρι δὲ ῥαβδούχους καὶ στρατηγικὸν κόσμον ὡς δὴ προπολεμοῦντι τῆς πατρίδος, ἔπεισε ψηφίσασθαι τὴν σύγκλητον. ἐπεὶ δὲ Ἀντώνιος μὲν ἥττητο, τῶν δὲ ὑπάτων ἀμφοτέρων ἀποθανόντων, ἐκ τῆς μάχης πρὸς Καίσαρα συνέστησαν αἱ δυνάμεις, δείσασα ἡ βουλὴ νέον ἄνδρα καὶ τύχῃ λαμπρᾷ κεχρημένον, ἐπειρᾶτο τιμαῖς καὶ δωρεαῖς ἀποκαλεῖν αὐτοῦ τὰ στρατεύματα, καὶ περισπᾶν αὐτοῦ τὴν δύναμιν, ὡς μὴ δεομένη τῶν προπολεμούντων, Ἀντωνίου πεφευγότος. οὕτως ὁ Καῖσαρ φοβηθείς, ὑποπέμπει τῷ Κικέρωνι τοὺς δεομένους καὶ πείθοντας, ὑπατείαν μὲν ἀμφοτέροις ὁμοῦ πράττειν, χρῆσθαι δὲ τοῖς πράγμασιν, ὅπως αὐτὸς ἔγνωκε, παραλαβόντα τὴν ἀρχήν, καὶ τὸ μειράκιον διοικεῖν, ὀνόματος καὶ δόξης γλιχόμενον. ὁμολογεῖ δὲ Καῖσαρ αὐτὸς ὡς δεδιὼς κατάλυσιν, καὶ κινδυνεύων ἔρημος γενέσθαι, χρήσαιτο τῇ Κικέρωνος ἐν δέοντι φιλαρχίᾳ, προτρεψάμενος αὐτὸν ὑπατείαν μετιέναι, συμπράττοντος αὐτοῦ καὶ συναρχαιρεσιάζοντος. ἐνταῦθα μέντοι μάλιστα Κικέρων ἐπαρθεὶς ὑπὸ νέου γέρων καὶ φενακισθείς, καὶ συναρχαιρεσιάσας, καὶ παρασχὼν αὐτῷ τὴν σύγκλητον, εὐθὺς μὲν ὑπὸ τῶν φίλων αἰτίαν εἶχεν, ὀλίγῳ δ᾽ ὕστερον αὑτὸν ἀπολωλεκὼς ᾔσθετο, καὶ τοῦ δήμου προέμενος τὴν ἐλευθερίαν. αὐξηθεὶς γὰρ ὁ νεανίας, καὶ τὴν ὑπατείαν λαβών, Κικέρωνα μὲν εἴασε χαίρειν, Ἀντωνίῳ δὲ καὶ Λεπίδῳ φίλος γενόμενος, καὶ τὴν δύναμιν εἰς ταὐτὸ συνενεγκών, ὥσπερ ἄλλο τι κτῆμα τὴν ἡγεμονίαν ἐνείματο πρὸς αὐτούς. καὶ κατεγράφησαν ἄνδρες οὓς ἔδει θνῄσκειν ὑπὲρ διακοσίους. πλείστην δὲ τῶν ἀμφισβητημάτων αὐτοῖς ἔριν, ἡ Κικέρωνος προγραφὴ παρέσχεν, Ἀντωνίου μὲν ἀσυμβάτως ἔχοντος, εἰ μὴ πρῶτος ἐκεῖνος ἀποθνῄσκοι, Λεπίδου δ᾽ Ἀντωνίῳ προστιθεμένου, Καίσαρος δὲ πρὸς ἀμφοτέρους ἀντέχοντος. ἐγίνοντο δ᾽ αἱ σύνοδοι μόνοις ἀπόρρητοι περὶ πόλιν Βονωνίαν ἐφ᾽ ἡμέρας τρεῖς. καὶ συνῄεσαν εἰς τόπον τινὰ πρόσω τῶν στρατοπέδων, ποταμῷ περιρρεόμενον. λέγεται δὲ τὰς πρώτας ἡμέρας διαγωνισάμενος ὑπὲρ τοῦ Κικέρωνος ὁ Καῖσαρ, ἐνδοῦναι τῇ τρίτῃ, καὶ προέσθαι τὸν ἄνδρα. τὰ δὲ τῆς ἀντιδόσεως οὕτως εἶχεν. ἔδει Κικέρωνος, ἐκστῆναι Καίσαρα. Παύλου δὲ τἀδελφοῦ, Λέπιδον. Λευκίου δὲ Καίσαρος, Ἀντώνιον. ὃς ἦν θεῖος αὐτῷ πρὸς μητρός. οὕτως ἐξέπεσον ὑπὸ θυμοῦ καὶ λύσσης τῶν ἀνθρωπίνων λογισμῶν. μᾶλλον δ᾽ ἀπέδειξαν, ὡς οὐδὲν ἀνθρώπου θηρίον ἐστὶν ἀγριώτερον, ἐξουσίαν πάθει προσλαβόντος. πραττομένων δὲ τούτων, ὁ Κικέρων ἦν μὲν ἐν ἀγροῖς ἰδίοις περὶ Τουσκλον, ἔχων τὸν ἀδελφὸν μεθ᾽ αὑτοῦ. πυθόμενοι δὲ τὰς προγραφὰς ἔγνωσαν εἰς Ἄστυρα μεταβῆναι, χωρίον παράλιον τοῦ Κικέρωνος. ἐκεῖθεν δὲ πλεῖν εἰς Μακεδονίαν πρὸς Βροῦτον. ἤδη γὰρ ὑπὲρ αὐτοῦ λόγος ἐφοίτα κρατοῦντος. ἐκομίζοντο δ᾽ ἐν φορείοις ἀπειρηκότες ὑπὸ λύπης. καὶ κατὰ τὴν ὁδὸν ἐφιστάμενοι, καὶ τὰ φορεῖα παραβάλλοντες ἀλλήλοις, προσωλοφύροντο. μᾶλλον δ᾽ ὁ Κόιντος ἠθύμει, καὶ λογισμὸς αὐτὸν εἰσῄει τῆς ἀπορίας. οὐδὲν γὰρ ἔφη λαβεῖν οἴκοθεν. ἀλλὰ καὶ τῷ Κικέρωνι γλίσχρον ἦν ἐφόδιον. ἄμεινον οὖν εἶναι, τὸν μὲν Κικέρωνα προλαμβάνειν τῇ φυγῇ, αὐτὸν δὲ μεταθεῖν, οἴκοθεν συσκευασάμενον. ταῦτ᾽ ἔδοξε. καὶ περιβαλόντες ἀλλήλους, καὶ ἀνακλαυσάμενοι, διελύθησαν. ὁ μὲν οὖν Κόιντος, οὐ πολλαῖς ὕστερον ἡμέραις ὑπὸ τῶν οἰκετῶν προδοθεὶς τοῖς ζητοῦσιν, ἀνῃρέθη μετὰ τοῦ παιδός. ὁ δὲ Κικέρων εἰς Ἄστυρα κομισθεὶς καὶ πλοῖον εὑρών, εὐθὺς ἐνέβη. καὶ παρέπλευσεν ἄχρι Κιρκαίου πνεύματι χρώμενος. ἐκεῖθεν δὲ βουλομένων εὐθὺς αἴρειν τῶν κυβερνητῶν, εἴτε δείσας τὴν θάλασσαν, εἴτ᾽ οὔπω παντάπασι τὴν Καίσαρος ἀπεγνωκὼς πίστιν, ἀπέβη. καὶ παρῆλθε πεζῇ σταδίους ἑκατὸν ὡς εἰς Ῥώμην πορευόμενος. αὖθις δ᾽ ἀλύων καὶ μεταβαλλόμενος κατῄει πρὸς θάλασσαν. κἀκεῖ διενυκτέρευσεν ἐν δεινοῖς καὶ ἀπόροις λογισμοῖς, ὥστε καὶ παρελθεῖν εἰς τὴν Καίσαρος οἰκίαν διενοήθη κρύφα, καὶ σφάξας ἑαυτὸν ἐπὶ τῆς ἑστίας, ἀλάστορα προσβαλεῖν. ἀλλὰ καὶ ταύτης αὐτὸν ἀπέκρουσε τῆς ὁδοῦ δέος βασάνων. καὶ πολλὰ ταραχώδη πάλιν προβουλεύματα τῆς γνώμης μεταλαμβάνων, παρέδωκε τοῖς οἰκέταις ἑαυτόν, εἰς Καιήτας κατὰ πλοῦν κομίζειν, ἔχων ἐκεῖ χωρία καὶ καταφυγὴν ὥρᾳ θέρους φιλάνθρωπον, ὅταν ἥδιστοι οἱ ἐτησίαι καταπνέωσιν. ἔχει δ᾽ ὁ τόπος καὶ ναὸν Ἀπόλλωνος μικρὸν ὑπὲρ τῆς θαλάσσης. ἐντεῦθεν ἀρθέν-

σιωπῶν τοῦ κικέρωνος. γήμαντι δ' αὐτῷ, μετ' οὐ πολὺν χρόνον, ἡ θυγάτηρ ἀπέθανε τίκτουσα παρὰ λέντλῳ. τούτῳ γὰρ ἐγαμήθη μετὰ τὴν πείσωνος τοῦ προτέρου ἀνδρὸς τελευτήν. καὶ συνῆλθον μὲν ἐπὶ τὴν παραμυθίαν τῷ κικέρωνι, πανταχόθεν οἱ φιλόσοφοι. βαρέως δ' ἄγαν ἤνεγκε τὸ συμβεβηκὸς, ὥς τε καὶ τὴν γαμηθεῖσαν ἀποπέμψασθαι, δόξασαν ἡσθῆναι τῇ τελευτῇ τῆς τυλλίας. τὰ μὲν οὖν κατ' οἶκον, οὕτως εἶχε τῷ κικέρωνι. τῆς δ' ἐπὶ καίσαρα συνισταμένης πράξεως, οὐ μετέσχε. καίπερ ὢν ἑταῖρος ἐν τοῖς μάλιστα βρούτου, καὶ βαρύνεσθαι τὰ παρόντα, καὶ τὰ πάλαι ποθεῖν πράγματα δοκῶν ὡς ἕτερος οὐδείς. ἀλλ' ἔδεισαν οἱ ἄνδρες αὐτοῦ τήν τε φύσιν ὡς ἐνδεᾶ τόλμης, τόν τε χρόνον, ἐν ᾧ καὶ ταῖς ἐρρωμενεστάταις φύσεσιν ἐπιλείπει τὸ θαρρεῖν. ὡς δ' οὖν ἐπέπρακτο τοῖς περὶ βροῦτον καὶ κάσσιον, τὸ ἔργον. καὶ τῶν καίσαρος φίλων συνισταμένων, αὖθις ἦν δέος ἐμφυλίοις πολέμοις περιπετῆ γενέσθαι τὴν πόλιν, ἀντώνιος μὲν ὑπατεύων, τὴν βουλὴν συνήγαγε, καὶ βραχέα διελέχθη περὶ ὁμονοίας. κικέρων δὲ πολλὰ πρὸς τὸν καιρὸν οἰκείως διελθὼν, ἔπεισε τὴν σύγκλητον ἀθηναίους μιμησαμένην ἀμνηστίαν τῶν ἐπὶ καίσαρι ψηφίσασθαι. νεῖμαι δὲ τοῖς περὶ κάσσιον καὶ βροῦτον ἐπαρχίας. ἔσχε δὲ τούτων τέλος, οὐδέν. ὁ γὰρ δῆμος, αὐτὸς μὲν ἀφ' ἑαυτοῦ πρὸς οἶκτον ἐξαχθεὶς, ὡς εἶδε τὸν νεκρὸν ἐκκομιζόμενον δι' ἀγορᾶς, ἀντωνίου δὲ καὶ τὴν ἐσθῆτα δείξαντος αὐτοῖς αἵματος κατάπλεων καὶ κεκομμένην πάντη τοῖς ξίφεσιν, ἐκμανέντες ὑπ' ὀργῆς, ἐν ἀγορᾷ ζήτησιν ἐποιοῦντο τῶν ἀνδρῶν. καὶ πῦρ ἔχοντες, ἐπὶ τὰς οἰκίας ἔθεον ὡς ἀνάψοντες. οἱ δὲ, τοῦτον μὲν τῷ προπεφυλάχθαι διέφυγον τὸν κίνδυνον. ἑτέρους δὲ πολλοὺς καὶ μεγάλους προσδοκῶντες, ἐξέλιπον τὴν πόλιν. εὐθὺς οὖν ὁ ἀντώνιος ἐπῆρτο. καὶ πᾶσι μὲν ἦν φοβερὸς ὡς μοναρχήσων, τῷ δὲ κικέρωνι, φοβερώτατος. ἀναρρωννυμένην τε γὰρ αὐτῷ πάλιν ὁρῶν τὴν δύναμιν ἐν τῇ πολιτείᾳ, καὶ τοῖς περὶ βροῦτον ἐπιτήδειον εἰδὼς, ἤχθετο παρόντι. καί που τι καὶ προϋπῆρχεν ὑποψίας αὐτοῖς πρὸς ἀλλήλους κατὰ τὴν τῶν βίων ἀνομοιότητα καὶ διαφοράν. ταῦτα δείσας ὁ κικέρων, πρῶτον μὲν ὥρμησε πρεσβευτὴς δολοβέλλᾳ συνεκπλεῦσαι εἰς συρίαν. ἐπεὶ δ' οἱ μέλλοντες ὑπατεύειν μετ' ἀντώνιον ἵρτιος καὶ πάνσας ἄνδρες ἀγαθοὶ καὶ ζηλωταὶ τοῦ κικέρωνος, ἐδέοντο μὴ σφᾶς καταλιπεῖν, ὑποδεχόμενοι καταλύσειν ἀντώνιον ἐκείνου παρόντος. ὁ δ' οὔτ' ἀπιστῶν παντάπασιν οὔτε πιστεύων, δολοβέλλαν μὲν, εἴασε χαίρειν. ὁμολογήσας δὲ, τοῖς περὶ τὸν ἵρτιον τὸ θέρος ἐν ἀθήναις διάξειν, ὅταν δ' ἐκεῖνοι παραλάβωσι τὴν ἀρχὴν ἀφίξεσθαι πάλιν, αὐτὸς καθ' ἑαυτὸν ἐξέπλευσε. γενομένης δὲ περὶ τὸν πλοῦν διατριβῆς, καὶ λόγων ἀπὸ ῥώμης οἷα φιλεῖ καινῶν προσπεσόντων, μεταμεμελῆσθαι μὲν ἀντώνιον, θαυμαστὴν μεταβολὴν, καὶ πάντα πράττειν καὶ πολιτεύεσθαι πρὸς τὴν σύγκλητον. ἐνδεῖν δὲ τῆς ἐκείνου παρουσίας τὰ πράγματα μὴ τὴν ἀρίστην ἔχειν διάθεσιν, καταμεμψάμενος αὐτὸς αὑτοῦ τὴν πολλὴν εὐλάβειαν, ἀνέστρεφεν αὖθις εἰς ῥώμην, καὶ τῶν πρώτων οὐ διημάρτανεν ἐλπίδων, τοσοῦτον πλῆθος πρὸς τὴν ἀπάντησιν ἐξεχύθη. καὶ σχεδὸν ἡμερήσιον ἀνήλωσαν χρόνον αἱ περὶ τὰς πύλας καὶ τὴν εἴσοδον αὐτοῦ δεξιώσεις, καὶ φιλοφροσύναι. τῇ δ' ὑστεραίᾳ βουλὴν συναγαγόντος ἀντωνίου καὶ καλοῦντος αὐτὸν, οὐκ ἦλθεν, ἀλλὰ κατέκειτο, μαλακῶς ἔχειν ἐκ τοῦ κόπου σκηπτόμενος. ἐδόκει δὲ τἀληθὲς, ἐπιβουλῆς εἶναι φόβος, ἔκ τινος ὑποψίας καὶ μηνύσεως καθ' ὁδὸν αὐτῷ προσπεσούσης. ἀντώνιος δὲ, χαλεπῶς μὲν εἶχε τῇ διαβολῇ, καὶ στρατιώτας ἔπεμψεν ἄγειν αὐτὸν, ἢ καταπρῆσαι τὴν οἰκίαν κελεύσας. ἐνστάντων δὲ πολλῶν καὶ δεηθέντων, ἐνέχυρα λαβὼν μόνον ἐπαύσατο. καὶ τὸ λοιπὸν οὕτως ἀντιπαρεξιόντες ἀτρέμα καὶ φυλαττόμενοι, διετέλουν. ἄχρις οὗ καῖσαρ ὁ νέος ἐξ ἀπολλωνίας παραγενόμενος, τόν τε κλῆρον ἀνεδέξατο τοῦ καίσαρος ἐκείνου, καὶ περὶ τῶν δισχιλίων πεντακοσίων μυριάδων ἃς ἀντώνιος ἐκ τῆς οὐσίας κατεῖχεν, εἰς διαφορὰν κατέστη πρὸς αὐτόν. ἐκ δὲ τούτου, φίλιππος ὁ τὴν μητέρα τοῦ νέου καίσαρος ἔχων, καὶ μάρκελλος ὁ τὴν ἀδελφὴν, ἀφικόμενοι μετὰ τοῦ νεανίσκου πρὸς τὸν κικέρωνα, συνέθεντο κικέρωνα μὲν ἐκείνῳ, τὴν ἀπὸ τοῦ λόγου καὶ τῆς πολιτείας δύναμιν, ἔν τε τῇ βουλῇ καὶ τῷ δήμῳ παρέχειν. ἐκεῖνον δὲ, κικέρωνι, τὴν ἀπὸ τῶν χρημάτων καὶ τῶν ὅπλων ἀσφάλειαν. ἤδη γὰρ οὐκ ὀλίγους τῶν ὑπὸ καίσαρι στρατευσαμένων περὶ αὐτὸν εἶχε τὸ μειράκιον. ἐδόκει δὲ καὶ ἀναδέξασθαι προθύμως τὴν καίσαρος φιλίαν. ἔτι γὰρ ὡς ἔοικε πομπηΐου ζῶντος καὶ καίσαρος, ἔδοξε κατὰ τοὺς ὕπνους ὁ κικέρων, καλεῖν τινὰς τοὺς τῶν συγκλητικῶν παῖδας, εἰς τὸ καπιτώλιον, ὡς μέλλοντος ἐξ αὐτῶν ἕνα τοῦ διὸς ἀποδεικνύειν τῆς ῥώμης ἡγεμόνα. τοὺς δὲ πολίτας ὑπὸ σπουδῆς θέοντας, ἵστασθαι περὶ τὸν νεών. καὶ τοὺς παῖδας, ἐν τοῖς περιπορφύροις καθέζεσθαι σιωπὴν ἔχοντας. ἐξαίφνης δὲ τῶν θυρῶν ἀνοιχθεισῶν, καθ' ἕνα τῶν παίδων ἀνισταμένων, κύκλῳ παρὰ τὸν θεὸν παραπορεύεσθαι. τὸν δὲ, πάντας ἐπισκοπεῖν καὶ ἀποπέμπειν ἀχθομένους. ὡς δ' οὗτος ἦν προσιὼν, κατ' αὐτὸν ἐκτεῖναι τὴν δεξιὰν καὶ εἰπεῖν. ὦ ῥωμαῖοι, πέρας ὑμῖν ἐμφυλίων πολέμων οὗτος, ἡγεμὼν γενόμενος. τοιοῦτόν φασιν ἐνύπνιον ἰδόντα τὸν κικέρωνα, τὴν μὲν ἰδέαν τοῦ παιδὸς ἐκμεμάχθαι καὶ κατέχειν ἐναργῶς, αὐτὸν δὲ, οὐκ ἐπίστασθαι. μεθημέραν δὲ καταβαίνοντος εἰς τὸ πεδίον τὸ ἄρειον αὐτοῦ, τοὺς παῖδας ἤδη γεγυμνασμένους ἀπέρχεσθαι, κἀκεῖνον ὀφθῆναι τῷ κικέρωνι πρῶτον, οἷος ὤφθη καθ' ὕπνον. ἐκπλαγέντα δὲ, πυνθάνεσθαι, τίνων εἴη γονέων. ἦν δὲ πατρὸς, ὀκταουΐου τῶν οὐκ ἄγαν ἐπιφανῶν, ἀττίας δὲ μητρὸς, ἀδελ-

καλῶς ἂν ἔφη παραινεῖς, εἰ κατὰ λοιοὺς ἐπολεμοῦμεν. Λαβιήνου δὲ μαντείαις τισὶν ἰσχυριζομένου καὶ λέγοντες ὡς δεῖ περιγενέσθαι Πομπήϊον, οὐκοῦν ἔφη στρατηγήματι τούτῳ χρώμενοι νῦν ἀποβεβλήκαμεν τὸ στρατόπεδον. ἀλλὰ γὰρ γενομένης τῆς κατὰ Φάρσαλον μάχης ἧς οὐ μετέσχε δι' ἀρρωστίαν, καὶ Πομπηΐου φυγόντος, ὁ μὲν Κάτων, καὶ στράτευμα συχνὸν ἐν Δυῤῥαχίῳ καὶ στόλον ἔχων μέγαν, ἐκεῖνον ἠξίου στρατηγεῖν, κατὰ νόμον, καὶ τὸ τῆς ὑπατείας ἀξίωμα προύχοντα. διωθούμενος δὲ τὴν ἀρχὴν ὁ Κικέρων, καὶ ὅλως φεύγων τὸ συστρατεύεσθαι, παρ' οὐδὲν ἦλθεν ἀναιρεθῆναι, Πομπηΐου τοῦ νέου καὶ τῶν φίλων, προδότην ἀποκαλούντων, καὶ τὰ ξίφη σπασαμένων, εἰ μὴ Κάτων ἐνστὰς, μόλις ἀφείλετο, καὶ διῆκεν ἐκ τοῦ στρατοπέδου. καταχθεὶς δ' εἰς Βρεντέσιον, ἐνταῦθα διέτριβε. Καίσαρα περιμένων βραδύνοντα διὰ τὰς ἐν Ἀσίᾳ καὶ περὶ Αἴγυπτον ἀσχολίας. ἐπεὶ δ' εἰς Τάραντα καθωρμισμένος ἀπηγγέλλετο, καὶ πεζῇ περιϊὼν, ἐκεῖθεν εἰς Βρεντέσιον ὥρμησε πρὸς αὐτὸν, οὐ πάνυ μὲν ὢν δύσελπις, αἰδούμενος δὲ πολλῶν παρόντων ἀνδρὸς ἐχθροῦ καὶ κρατοῦντος λαμβάνειν πεῖραν, οὐ μὴν ἐδέησεν αὐτῷ πρᾶξαί τι παρ' ἀξίαν ἢ εἰπεῖν. ὁ γὰρ Καῖσαρ ὡς εἶδεν αὐτὸν πολὺ πρὸ τῶν ἄλλων ἀπαντῶντα, κατέβη καὶ ἠσπάζετο. καὶ διαλεγόμενος μόνῳ, συχνῶν σταδίων ὁδὸν προῆλθεν. ἐκ δὲ τούτου διετέλει τιμῶν καὶ φιλοφρονούμενος, ὥστε καὶ γράψαντι λόγον ἐγκώμιον Κάτωνος ἀντιγράφων, τόν τε λόγον αὐτοῦ καὶ τὸν βίον, ὡς μάλιστα τῷ Περικλέους ἐοικότα καὶ Θηραμένους, ἐπαινεῖν. ὁ μὲν οὖν Κικέρωνος λόγος Κάτων. ὁ δὲ Καίσαρος, ἀντικάτων ἐπιγέγραπται. λέγεται δὲ καὶ Κοΐντου Λιγαρίου δίκην φεύγοντος, ὅτι τῶν Καίσαρος πολεμίων εἷς ἐγεγόνει. καὶ Κικέρωνος αὐτῷ βοηθοῦντος, εἰπεῖν τὸν Καίσαρα πρὸς τοὺς φίλους. τί κωλύει διὰ χρόνου Κικέρωνος ἀκοῦσαι λέγοντες, ἐπεὶ πάλαι κέκριται πονηρὸς ἀνὴρ καὶ πολέμιος. ἐπεὶ δ' ἀρξάμενος λέγειν ὁ Κικέρων ὑπερφυῶς ἐκίνει, καὶ προύβαινεν αὐτῷ πάθει τε ποικίλος, καὶ χάριτι θαυμαστὸς ὁ λόγος, πολλὰς μὲν ἱέναι χρόας ἐπὶ τοῦ προσώπου τὸν Καίσαρα, πάσας δὲ τῆς ψυχῆς τρεπόμενον τροπὰς, κατάδηλον εἶναι. τέλος δὲ τῶν κατὰ Φάρσαλον ἁψαμένου τοῦ ῥήτορος ἀγώνων, ἐκπαθῆ γενόμενον, τιναχθῆναι τῷ σώματι, καὶ τῆς χειρὸς ἐκβαλεῖν ἔνια τῶν γραμματίων. τὸν γοῦν ἄνθρωπον, ἀπέλυσε τῆς αἰτίας, βεβιασμένος. ἐκ τούτου Κικέρων εἰς μοναρχίαν τῆς πολιτείας μεθεστώσης, ἀφέμενος τοῦ τὰ κοινὰ πράττειν, ἐσχόλαζε τοῖς βουλομένοις φιλοσοφεῖν τῶν νέων. καὶ σχεδὸν ἐκ τῆς πρὸς τούτους συνηθείας εὐγενεστάτους καὶ πρώτους ὄντας, αὖθις ἴσχυεν ἐν τῇ πόλει μέγιστον. αὐτῷ δ' ἔργον μὲν ἦν, τὸ τοὺς φιλοσόφους συντελεῖν διαλόγους καὶ μεταφράζειν. καὶ τῶν διαλεκτικῶν ἢ φυσικῶν ὀνομάτων ἕκαστον, εἰς ῥωμαϊκὴν μεταβάλλειν διάλεκτον. ἐκεῖνος γάρ ἐστιν ὥς φασιν, ὁ καὶ τὴν φαντασίαν καὶ τὴν κατάθεσιν καὶ τὴν ἐποχὴν καὶ τὴν κατάληψιν. ἔτι δὲ τὸ ἄτομον. τὸ ἀμερές. τὸ κενόν. ἄλλα τε πολλὰ τῶν τοιούτων ἐξονομάσας πρῶτος, ἢ μάλιστα ῥωμαίοις. τὰ μὲν, μεταφοραῖς, τὰ δ' οἰκειότησιν ἄλλαις, γνώριμα καὶ προσήγορα μηχανησάμενος. τῇ δὲ πρὸς τὴν ποίησιν εὐκολίᾳ, παίζων ἐχρῆτο. λέγεται γὰρ ὁ ἡνίκα ῥυείη πρὸς τὸ τοιοῦτον, τῆς νυκτὸς ἔπη ποιεῖν πεντακόσια. τὸ μὲν οὖν πλεῖστον τοῦ χρόνου τούτου, περὶ Τοῦσκλον ἐν χωρίοις αὐτοῦ διάγων, ἔγραφε πρὸς τοὺς φίλους, λαέρτου βίον ζῆν. εἴτε παίζων ὡς ἔθος εἶχεν, εἴθ' ὑπὸ φιλοτιμίας σπαργῶν πρὸς τὴν πολιτείαν, καὶ ἀθυμῶν τοῖς καθεστῶσι. σπανίως δ' εἰς ἄστυ θεραπείας ἕνεκα τοῦ Καίσαρος κατῄει. καὶ πρῶτος ἦν τῶν συναγορευόντων ταῖς τιμαῖς, καὶ λέγειν ἀεί τι καινὸν εἰς τὸν ἄνδρα καὶ τὰ πραττόμενα φιλοτιμουμένων. οἷόν ἐστι καὶ τὸ περὶ τῶν Πομπηΐου λεχθὲν εἰκόνων, ἃς ἀνῃρημένας καὶ καταβεβλημένας ὁ Καῖσαρ ἐκέλευσεν ἀνασταθῆναι καὶ ἀνεστάθησαν. ἔφη γὰρ ὁ Κικέρων, ὅτι ταύτῃ τῇ φιλανθρωπίᾳ Καῖσαρ, τοὺς μὲν Πομπηΐου, ἵστησι. τοὺς δ' αὐτοῦ πήγνυσιν ἀνδριάντας. διανοούμενος δ' ὡς λέγεται τὴν πάτριον ἱστορίαν γραφῇ περιλαβεῖν καὶ πολλὰ συμμῖξαι τῶν ἑλληνικῶν, καὶ ὅλους τοὺς εἰρημένους λόγους αὐτῶν καὶ μύθους ἐνταῦθα γράψαι, πολλοῖς μὲν δημοσίοις. πολλοῖς δ' ἰδίοις κατελήφθη πράγμασιν ἀβουλήτοις καὶ πάθεσιν. ὧν αὐθαίρετα δοκεῖ πλεῖστα συμβῆναι. πρῶτον μὲν γὰρ, ἀπεπέμψατο τὴν γυναῖκα Τερεντίαν. ἀμεληθεὶς ὑπ' αὐτῆς παρὰ τὸν πόλεμον, ὥστε καὶ τῶν ἀναγκαίων ἐφοδίων ἐνδεὴς ἀποσταλῆναι. καὶ μὴ δ' ὅτε κατῆρεν αὖθις εἰς Ἰταλίαν τυχεῖν εὐγνώμονος. αὕτη μὲν γὰρ, οὐκ ἦλθεν ἐν Βρεντεσίῳ διατρίβοντος αὐτοῦ πολὺν χρόνον. ἐρχομένῃ δὲ τῇ θυγατρὶ παιδίσκῃ νέᾳ τοσαύτην ὁδὸν, οὐ πομπὴν πρέπουσαν. οὐ χορηγίαν παρέσχεν, ἀλλὰ καὶ τὴν οἰκίαν τῷ Κικέρωνι πάντων ἔρημον καὶ κενὴν ἀπέδειξεν, ἐπὶ πολλοῖς ὀφλήμασι καὶ μεγάλοις. αὗται γάρ εἰσιν αἱ λεγόμεναι τῆς διαστάσεως εὐπρεπέσταται προφάσεις. τῇ δὲ Τερεντίᾳ καὶ ταύτας ἀρνουμένῃ, λαμπρὰν ἐποίησε τὴν ἀπολογίαν αὐτὸς ἐκεῖνος, μετ' οὐ πολὺν χρόνον γήμας παρθένον, ὡς μὲν ἡ Τερεντία κατεφήμιζεν ἔρωτι τῆς ὥρας. ὡς δὲ Τίρων ὁ τοῦ Κικέρωνος ἀπελεύθερος γέγραφεν, εὐπορίας ἕνεκεν, πρὸς διάλυσιν δανείων. ἦν γὰρ ἡ παῖς, σφόδρα πλουσία. καὶ τὴν οὐσίαν αὐτῆς ὁ Κικέρων ἐν πίστει κληρονόμος ἀπολειφθεὶς διεφύλαττεν. ὀφείλων δὲ πολλὰς μυριάδας, ὑπὸ τῶν φίλων καὶ οἰκείων ἐπείσθη τὴν παῖδα γῆμαι παρ' ἡλικίαν καὶ τοὺς δανειστὰς ἀπαλλάξαι, τοῖς ἐκείνης χρησάμενος. ὁ δ' Ἀντώνιος τοῦ γάμου μνησθεὶς, ἐν ταῖς πρὸς τοὺς Φιλιππικοὺς ἀντιγραφαῖς, ἐκβαλεῖν αὐτόν φησι γυναῖκα παρ' ᾗ ἐγήρασε. χαριεντῶς ἅμα τὴν οἰκουρίαν ὡς ἀπράκτου καὶ ἀστρατεύτου παρα-

τες τὸ σῶμα καὶ τὴν φωνὴν ἐνισχόμενος. αὐτοῦ τοῦ μίλωνος, εὐθαρσῶς καὶ ἀνδρείως παρεσταμένου τῷ ἀγῶνι, καὶ κόμην θρέψαι καὶ μεταβαλεῖν ἐσθῆτα φαιὰν ἀπαξιώσαντος. ὅπερ οὐχ ἥκιστα δοκεῖ συναίτιον αὐτῷ γενέσθαι τῆς καταδίκης. ἀλλ' ὅ γε κικέρων, διὰ ταῦτα φιλέταιρος μᾶλλον, ἢ δειλὸς ἔδοξεν εἶναι. γίνεται δὲ καὶ τῶν ἱερέων οὓς αὐγούρας ῥωμαῖοι καλοῦσιν, ἀντὶ κράσσου τοῦ νέου μετὰ τὴν ἐν πάρθοις αὐτοῦ τελευτήν. εἶτα κλήρῳ λαχὼν τῶν ἐπαρχιῶν κιλικίαν καὶ στρατὸν ὁπλιτῶν μυρίων καὶ δισχιλίων, ἱππέων δὲ δισχιλίων ἑξακοσίων, ἔπλευσε. προσταχθὲν αὐτῷ, καὶ τὰ περὶ καππαδοκίαν, ἀριοβαρζάνῃ τῷ βασιλεῖ φίλα καὶ πειθήνια παρασχεῖν. ταῦτά τε δὴ παρεστήσατο καὶ συνήρμοσεν ἀμέμπτως ἄνευ πολέμου. τούς τε κίλικας ὁρῶν πρὸς τὸ παρθικὸν πταῖσμα ῥωμαίων καὶ τὸν ἐν συρίᾳ νεωτερισμὸν ἐπηρμένους, κατεπράϋνεν ἡμέρως ἄρχων, καὶ δῶρα μὲν, οὐδὲ τῶν βασιλέων διδόντων ἔλαβε. δείπνων δὲ τοὺς ἐπαρχικοὺς ἀνῆκεν. αὐτὸς δὲ καθ' ἡμέραν τοὺς χαρίεντας ἀνελάμβανεν ἑστιάσεσιν, οὐ πολυτελῶς, ἀλλ' ἐλευθερίως. ἡ δ' οἰκία, θυρωρὸν οὐκ εἶχεν. οὐδ' αὐτὸς ὤφθη κατακείμενος ὑπ' οὐδενὸς, ἀλλ' ἕωθεν ἑστὼς ἢ περιπατῶν πρὸ τοῦ δωματίου, τοὺς ἀσπαζομένους ἐδεξιοῦτο. λέγεται δὲ μήτε ῥάβδοις αἰκίσασθαί τινα μήτ' ἐσθῆτα περισχίσαι. μήτε βλασφημίαν ὑπ' ὀργῆς, ἢ ζημίαν προσβαλεῖν μεθ' ὕβρεως. ἀνευρὼν δὲ, πολλὰ τῶν δημοσίων κεκλεμμένα, τάς τε πόλεις εὐπόρους ἐποίησε, καὶ τοὺς ἀποτίνοντας οὐδὲν τούτου πλέον παθόντας, ἐπιτίμους διεφύλαξεν. ἥψατο δὲ καὶ πολέμου, λῃστὰς τῶν περὶ τὸν ἀμανὸν οἰκούντων τρεψάμενος. ἐφ' ᾧ καὶ αὐτοκράτωρ ὑπὸ τῶν στρατιωτῶν ἀνηγορεύθη. κελίου δὲ τοῦ ῥήτορος δεομένου παρδάλεις αὐτῷ πρός τινα θέαν εἰς ῥώμην ἐκ κιλικίας ἀποστεῖλαι, καλλωπιζόμενος ἐπὶ τοῖς πεπραγμένοις, γράφει πρὸς αὐτὸν, οὐκ εἶναι παρδάλεις ἐν κιλικίᾳ, πεφευγέναι γὰρ εἰς καρίαν ἀγανακτούσας, ὅτι μόναι πολεμοῦνται, πάντων εἰρήνην ἐχόντων. πλέων δ' ἀπὸ τῆς ἐπαρχίας, τοῦτο μὲν ῥόδῳ προσέσχε. τοῦτο δ' ἀθήναις ἐνδιέτριψεν ἄσμενος, πόθῳ τῶν πάλαι διατριβῶν. ἀνδράσι δὲ τοῖς πρώτοις ἀπὸ παιδείας συγγινόμενος, καὶ τοὺς τότε φίλους καὶ συνήθεις ἀσπασάμενος, καὶ τὰ πρέποντα θαυμασθεὶς ὑπὸ τῆς ἑλλάδος. εἰς τὴν πόλιν ἐπανῆλθεν, ἤδη τῶν πραγμάτων ὥσπερ ὑπὸ φλεγμονῆς ἀφισταμένων περὶ τὸν ἐμφύλιον πόλεμον. ἐν μὲν οὖν τῇ βουλῇ ψηφιζομένων αὐτῷ θρίαμβον, ἥδιον ἂν ἔφη παρακολουθῆσαι καίσαρι θριαμβεύοντι συμβάσεων γενομένων. ἰδίᾳ δὲ συνεβούλευε, πολλὰ μὲν καίσαρι γράφων, πολλὰ δ' αὐτοῦ πομπηΐου δεόμενος, πραΰνων ἑκάτερον καὶ παραμυθούμενος. ὡς δ' ἦν ἀνήκεστα, καὶ καίσαρος ἐπερχομένου, πομπήϊος οὐκ ἔμεινεν. ἀλλὰ μετὰ πολλῶν καὶ ἀγαθῶν ἀνδρῶν τὴν πόλιν ἐξέλιπε, ταύτης μὲν ἀπελείφθη τῆς φυγῆς ὁ κικέρων. ἔδοξε δὲ καίσαρι προστίθεσθαι. καὶ δῆλός ἐστι τῇ γνώμῃ πολλὰ ῥιπτασθεὶς ἐπ' ἀμφότερα καὶ δυσπαθήσας. γράφει γὰρ ἐν ταῖς ἐπιστολαῖς, ποτέρωσε χρὴ τρέπεσθαι.

διαπορῆν. s.τ.

πομπηΐου μὲν, ἔνδοξον καὶ καλὴν ὑπόθεσιν πρὸς τὸν πόλεμον ἔχοντος, καίσαρος δ' ἄμεινον τοῖς πράγμασι χρωμένου, καὶ μᾶλλον ἑαυτὸν καὶ τοὺς φίλους σώζοντος.

ἴσ. τοῖς φίλοις ...

ὥστ' ἔχειν μὲν ὃν φύγῃ, μὴ ἔχειν δὲ πρὸς ὃν φύγῃ. τρεβατίου δέ τινος τῶν καίσαρος ἑταίρων γράψαντος ἐπιστολὴν ὅτι καῖσαρ οἴεται δεῖν, μάλιστα μὲν αὐτὸν ἐξετάζεσθαι μεθ' αὐτοῦ καὶ τῶν ἐλπίδων μετέχειν. εἰ δ' ἀναδύεται διὰ γῆρας, εἰς τὴν ἑλλάδα βαδίζειν. κἀκεῖ καθήμενον ἡσυχίαν ἄγειν, ἐκποδὼν ἀμφοτέροις γενόμενον, θαυμάσας ὁ κικέρων ὅτι καῖσαρ αὐτὸς οὐκ ἔγραψεν, ἀπεκρίνατο πρὸς ὀργὴν, ὡς οὐδὲν ἀνάξιον πράξει τῶν πεπολιτευμένων. τὰ μὲν οὖν ἐν ταῖς ἐπιστολαῖς γεγραμμένα, τοιαῦτά ἐστι. τοῦ δὲ καίσαρος εἰς ἰβηρίαν ἀπάραντος, εὐθὺς ὡς πομπήϊον ἔπλευσε. καὶ τοῖς μὲν ἄλλοις, ἀσμένοις ὤφθη. κάτων δ' αὐτὸν ἰδὼν, ἰδίᾳ πολλὰ κατεμέμψατο πομπηΐῳ προσθέμενον. αὐτῷ μὲν γὰρ, οὐχὶ καλῶς ἔχειν ἐγκαταλιπεῖν ἣν ἀπαρχῆς εἵλετο τῆς πολιτείας τάξιν. ἐκεῖνον δὲ χρησιμώτερον ὄντα τῇ πατρίδι καὶ τοῖς φίλοις, εἰ μένων ἴσα ἐκεῖ πρὸς τὸ ἀποβαῖνον ἡρμόζετο, κατ' οὐδένα λογισμὸν, οὐδ' ἐξ ἀνάγκης πολέμιον γεγονέναι καίσαρι, καὶ τοσούτου μεθέξοντα κινδύνου, δεῦρ' ἥκειν.

ἴσως .τ.ς.

οὗτοι δὲ δὴ τοῦ κικέρωνος ἀνέστρεφον οἱ λόγοι τὴν γνώμην. καὶ τὸ μέγα μηδὲν αὐτῷ χρῆσθαι πομπήϊον. αἴτιος δ' ἦν αὐτὸς οὐκ ἀρνούμενος μεταμέλεσθαι. φλαυρίζων δὲ τοῦ πομπηΐου τὴν παρασκευὴν, καὶ πρὸς τὰ βουλεύματα δυσκολαίνων ὑπούλως, καὶ τοῦ παρασκώπτειν τι καὶ λέγειν χάριεν εἰς τοὺς συμμάχους, οὐκ ἀπεχόμενος, ἀλλ' αὐτὸς μὲν ἀγέλαστος ἀεὶ περιιὼν ἐν τῷ στρατοπέδῳ καὶ σκυθρωπὸς, ἑτέροις δὲ παρέχων γέλωτα μηδὲν δεομένοις.

χαρίεν s.τ.

βέλτιον δὲ καὶ τούτων ὀλίγα παραθέσθαι, δομετίου τοίνυν ἄνθρωπον εἰς τάξιν ἡγεμονικὴν ἄγοντος οὐ πολεμικὸν, καὶ λέγοντος ὡς ἐπιεικὴς τὸν τρόπον ἐστὶ καὶ σώφρων, τί οὖν εἶπεν οὐκ ἐπίτροπον αὐτὸν τοῖς τέκνοις φυλάσσεις. ἐπαινούντων δέ τινων θεοφάνην τὸν λέσβιον ὃς ἦν ἐν τῷ στρατοπέδῳ τεκτόνων ἔπαρχος ὡς εὖ παραμυθήσαιτο ῥοδίους τὸν στόλον ἀποβαλόντας, ἡλίκον εἶπεν ἀγαθόν ἐστι, τὸ γραικὸν ἔχειν ἔπαρχον. καίσαρος δὲ κατορθοῦντος τὰ πλεῖστα καὶ τρόπον τινὰ πολιορκοῦντος αὐτοὺς, λέντλῳ μὲν εἰπόντι πυνθάνεσθαι συγνοὺς εἶναι τοὺς καίσαρος φίλους, ἀπεκρίνατο. λέγεις αὐτοὺς δυσνοεῖν καίσαρι. μαρκίου δέ τινος ἥκοντος ἐξ ἰταλίας νεωστὶ, καὶ λέγοντος, ἐν ῥώμῃ φήμην ἐπικρατεῖν ὡς πολιορκοῖτο πομπήϊος. εἶτ' ἐξέπλευσας εἶπεν, ἵνα τοῦτο πιστεύσῃς αὐτὸς θεασάμενος, μετὰ δὲ τὴν ἧτταν νοννίου μὲν εἰπόντος ὅτι δεῖ χρηστὰς ἐλπίδας ἔχειν, ἑπτὰ γὰρ ἀετοὺς ἐν τῷ στρατοπέδῳ τοῦ πομπηΐου λελεῖφθαι,

λελεῖφθαι .τ.

καλῶς ἂν

γάϊος οὐεργίνιος ὁ τῆς σικελίας στρατηγὸς, ἐν τοῖς μάλιστα κικέρωνι κεχρημένος, ἔγραψεν ἀπέχεσθαι τῆς σικελίας. ἐφ' οἷς ἀθυμήσας, ὥρμησεν ἐπὶ βρεντέσιον. κἀκεῖθεν εἰς δυρράχιον ἀνέμῳ φορῷ περαιούμενος ἀντιπνεύσαντος πελαγίου μεθ' ἡμέραν, ἐπαλινδρόμησεν. εἶτα αὖθις ἀνήχθη. λέγεται δὲ καὶ καταπλεύσαντος εἰς δυρράχιον αὐτοῦ, καὶ μέλλοντος ἀποβαίνειν, σεισμόν τε τῆς γῆς καὶ σπασμὸν ἅμα γενέσθαι τῆς θαλάττης. ἀφ' ὧν συνέβαλλον οἱ μαντικοὶ, μὴ μόνιμον αὐτῷ τὴν φυγὴν ἔσεσθαι. μεταβολῆς γὰρ εἶναι ταῦτα σημεῖα. πολλῶν δὲ φοιτώντων ἀνδρῶν ὑπ' εὐνοίας, καὶ τῶν ἑλληνίδων πόλεων διαμιλλωμένων πρὸς αὐτὸν, ὅμως ἀθυμῶν καὶ περίλυπος διῆγε. τὰ πολλὰ περὶ τὴν ἰταλίαν ὥσπερ οἱ δυσέρωτες ἀφορῶν, καὶ τῷ φρονήματι μικρὸς ἄγαν καὶ ταπεινὸς ὑπὸ τῆς συμφορᾶς γεγονὼς, καὶ συνεσταλμένος, ὡς οὐκ ἄν τις ἄνδρα παιδείᾳ συμβεβιωκότα τοσαύτῃ προσεδόκησε. καίτοι πολλάκις αὐτὸς, ἠξίου τοὺς φίλους, μὴ ῥήτορα καλεῖσθαι, ἀλλὰ φιλόσοφον. φιλοσοφίαν μὲν γὰρ, ὡς ἔργον ᾑρῆσθαι. ῥητορικῇ δ' ὀργάνῳ χρῆσθαι πολιτευόμενος ἐπὶ τὰς χρείας. ἀλλ' ἡ δόξα δεινὴ τὸν λόγον ὥσπερ βαφὴν ἀποκλύσαι τῆς ψυχῆς, καὶ τὰ τῶν πολλῶν ἐναπομόρξασθαι πάθη δι' ὁμιλίαν καὶ συνήθειαν τοῖς πολιτευομένοις, ἂν μή τις εὖ μάλα φυλαττόμενος, οὕτω συμφέρηται τοῖς ἐκτὸς ὡς τῶν πραγμάτων αὐτῶν, οὐ τῶν ἐπὶ τοῖς πράγμασι παθῶν συμμεθέξων. ὁ δὲ κλώδιος ἐξελάσας τὸν κικέρωνα, κατέπρησε μὲν αὐτοῦ τὰς ἐπαύλεις. κατέπρησε δὲ τὴν οἰκίαν. καὶ τῷ τόπῳ, ναὸν ἐλευθερίας ἐπῳκοδόμησε. τὴν δ' ἄλλην οὐσίαν ἐπώλησε, καὶ διεκήρυττε καθ' ἡμέραν μηδὲν ὠνουμένου μηδενός. ἐκ τούτου φοβερὸς ὢν τοῖς ἀριστοκρατικοῖς, καὶ τὸν δῆμον ἀνειμένον εἰς ὕβριν πολλὴν καὶ θρασύτητα συνεφελκόμενος, ἐπεχείρει τῷ πομπηΐῳ τῶν διῳκημένων ὑπ' αὐτοῦ κατὰ τὴν στρατείαν, ἔνια σπαράττων. ἐφ' οἷς ὁ πομπήϊος ἀδοξῶν, ἐκάκιζεν αὐτὸς αὑτὸν προέμενος τὸν κικέρωνα. καὶ πάλιν ἐκ μεταβολῆς, παντοῖος ἐγίνετο πράττων κάθοδον αὐτῷ μετὰ τῶν φίλων. ἐνισταμένου δὲ τοῦ κλωδίου, συνέδοξε τῇ βουλῇ, μηδὲν διὰ μέσου πρᾶγμα κυροῦν, μηδὲ πράττειν δημόσιον, εἰ μὴ κικέρωνι κάθοδος γένοιτο. τῶν δὲ περὶ λέντλον ὑπατευόντων, καὶ τῆς στάσεως πρόσω βαδιζούσης, ὥστε τρωθῆναι μὲν ἐν ἀγορᾷ δημάρχους, κόϊντον δὲ τὸν κικέρωνος ἀδελφὸν ἐν τοῖς νεκροῖς ὡς τεθνηκότα κείμενον διαλαθεῖν, ὅ τε δῆμος ἤρχετο τρέπεσθαι τῇ γνώμῃ, καὶ τῶν δημάρχων ἄννιος μίλων πρῶτος ἐτόλμησε τὸν κλώδιον εἰς δίκην ἀπάγειν βιαίως. καὶ πομπηΐῳ πολλοὶ συνῆλθον ἔκ τε τοῦ δήμου, καὶ τῶν πέριξ πόλεων, μεθ' ὧν προελθὼν καὶ τὸν κλώδιον ἀναστήσας ἐκ τῆς ἀγορᾶς, ἐπὶ τὴν ψῆφον ἐκάλει τοὺς πολίτας. καὶ λέγεται μηδέποτε μηδὲν ἐκ τοσαύτης ὁμοφροσύνης ἐπιψηφίσασθαι τὸν δῆμον. ἡ δὲ σύγκλητος ἁμιλλωμένη πρὸς τὸν δῆμον, ἔγραψεν ἐπαινεθῆναι τὰς πόλεις, ὅσαι τὸν κικέρωνα παρὰ τὴν φυγὴν ἐθεράπευσαν. καὶ τὴν οἰκίαν αὐτῷ καὶ τὰς ἐπαύλεις ἃς κλώδιος διέφθαρκε, τέλεσι δημοσίοις ἀνασταθῆναι. κατῄει δὲ κικέρων ἑκκαιδεκάτῳ μηνὶ, μετὰ τὴν φυγήν. καὶ τοσαύτῃ τὰς πόλεις χαρᾷ καὶ σπουδῇ τοὺς ἀνθρώπους περὶ τὴν ἀπάντησιν ἔχειν, ὥστε τὸ ῥηθὲν ὑπὸ κικέρωνος ὕστερον, ἐνδεέστερον εἶναι τῆς ἀληθείας. ἔφη γὰρ αὐτὸν, τοῖς ὤμοις τὴν ἰταλίαν φέρουσαν, εἰς τὴν ῥώμην εἰσενεγκεῖν. ὅπου καὶ κράσσος ἐχθρὸς ὢν αὐτῷ πρὸ τῆς φυγῆς, τότε προθύμως ἀπήντα καὶ διελύετο. τῷ παιδὶ ποπλίῳ χαριζόμενος ὡς ἔλεγε, ζηλωτῇ τοῦ κικέρωνος ὄντι. χρόνον δ' οὐ πολὺν διαλιπὼν καὶ παραφυλάξας ἀποδημοῦντα τὸν κλώδιον, ἐπελθὼν μετὰ πολλῶν τῷ καπιτωλίῳ. καὶ τὰς δημαρχικὰς δέλτους ἐν αἷς ἀναγραφαὶ τῶν διῳκημένων ἦσαν, ἀπέσπασε καὶ διέφθειρεν. ἐγκαλοῦντος δὲ περὶ τούτου τοῦ κλωδίου, τοῦ δὲ κικέρωνος λέγοντος ὡς παρανόμως ἐκ πατρικίων εἰς δημαρχίαν παρέλθοι, καὶ κύριον οὐδὲν εἴη τῶν πεπραγμένων ὑπ' αὐτοῦ, κάτων ἠγανάκτησε καὶ ἀντεῖπε. τὸν μὲν κλώδιον οὐκ ἐπαινῶν, ἀλλὰ καὶ δυσχεραίνων τοῖς πεπολιτευμένοις. δεινὸν δὲ καὶ βίαιον ἀποφαίνων, ἀναίρεσιν ψηφίσασθαι δογμάτων καὶ πράξεων τοσούτων τὴν σύγκλητον. ἐν αἷς εἶναι καὶ τὴν ἑαυτοῦ τὴν περὶ κύπρον καὶ βυζάντιον διοίκησιν. ἐκ τούτου προσέκρουσεν ὁ κικέρων αὐτῷ προσκρούσει, εἰς οὐδὲν ἐμφανὲς προελθούσῃ, ἀλλ' ὥστε τῇ φιλοφροσύνῃ χρῆσθαι πρὸς ἀλλήλους ἀμαυρότερον. μετὰ ταῦτα, κλώδιον μὲν, ἀποκτίννυσι μίλων. καὶ διωκόμενος φόνου κικέρωνα παρεστήσατο συνήγορον. ἡ δὲ βουλὴ φοβηθεῖσα μὴ κινδυνεύοντος ἀνδρὸς ἐνδόξου καὶ θυμοειδοῦς τοῦ μίλωνος ταραχὴ γένηται, περὶ τὴν πόλιν, ἐπέτρεψε πομπηΐῳ ταύτην τε καὶ τὰς ἄλλας κρίσεις βραβεῦσαι. παρέχοντα τῇ πόλει καὶ τοῖς δικαστηρίοις ἀσφάλειαν. ἐκείνου δὲ τὴν ἀγορὰν ἔτι νυκτὸς ἀπὸ τῶν ἄκρων περιλαβόντος τοῖς στρατιώταις, ὁ μίλων τὸν κικέρωνα δείσας μὴ πρὸς τὴν ὄψιν ἀήθει διαταραχθεὶς χεῖρον ἀγωνίσηται, συνέπεισεν ἐν φορείῳ κομισθέντα, πρὸς τὴν ἀγορὰν ἡσυχάζειν, ἄχρις οὗ συνίασιν οἱ κριταὶ, καὶ πληροῦται τὸ δικαστήριον. ὁ δ' οὐ μόνον ἦν, ὡς ἔοικεν ἐν ὅπλοις ἀθαρσὴς, ἀλλὰ καὶ τῷ λέγειν, μετὰ φόβου προσῄει. καὶ μόλις ἐπαύσατο παλλόμενος καὶ τρέμων, ἐπὶ πολλῶν ἀγώνων ἀκμὴν, τοῦ λόγου καὶ στάσιν λαβόντος, λικιννίῳ δὲ μουρήνᾳ φεύγοντι δίκην ὑπὸ κάτωνος, βοηθῶν καὶ φιλοτιμούμενος ὁρτήσιον ὑπερβαλεῖν εὐημερήκοντα, μέρος οὐδὲν ἀνεπαύσατο τῆς νυκτὸς ὡς ὑπὸ τοῦ σφόδρα φροντίσαι καὶ διαγρυπνῆσαι κακωθεὶς, ἐνδεέστερος αὑτοῦ φανῆναι. τότε δ' οὖν, ἐπὶ τὴν τοῦ μίλωνος δίκην ἐκ τοῦ φορείου προελθὼν καὶ θεασάμενος τὸν πομπήϊον ἄνω καθεζόμενον ὥσπερ ἐν στρατοπέδῳ καὶ κύκλῳ τὰ ὅπλα περιλάμποντα τὴν ἀγορὰν, συνεχύθη, καὶ μόλις ἐνήρξατο τοῦ λόγου, κραδαινόμε-

ταῖς πρεσβείαις τ.ς.

ἐπώλει τ.ς.

κατάστασιν τ.ς.

τοῦ δήμου πρὸς τοὺς καταμαρτυροῦντας αὐτοῦ καὶ συνεστῶτας ἀντιπαττομένου, φοβηθέντες οἱ δικασταὶ, φυλακὴν περιεστήσαντο, καὶ τὰς δέλτους οἱ πλεῖστοι συγκεχυμένας τοῖς γράμμασιν ἤνεγκαν. ὅμως δὲ πλείονες ἔδοξαν οἱ ἀπολύοντες γενέσθαι. καί τις ἐλέχθη καὶ δεκασμὸς διελθεῖν. ὅθεν ὁ μὲν κάτλος ἀπαντήσας τοῖς κριταῖς, ὑμεῖς εἶπεν ὡς ἀληθῶς, ὑπὲρ ἀσφαλείας ᾐτήσασθε τὴν φυλακὴν, φοβούμενοι μή τις ὑμῶν ἀφέληται τὸ ἀργύριον. κικέρων δὲ, τοῦ κλωδίου πρὸς αὐτὸν λέγοντος ὅτι μαρτυρῶν οὐκ ἔσχε πίστιν παρὰ τοῖς δικασταῖς, ἀλλ᾽ ἐμοὶ μὲν εἶπεν, οἱ πέντε καὶ εἴκοσι τῶν δικαστῶν ἐπίστευσαν. τοσοῦτοι γάρ σου κατεψηφίσαντο. σοὶ δὲ τριάκοντα, οὐκ ἐπίστευσαν. οὐ γὰρ πρότερον ἀπέλυσαν ἢ ἔλαβον τὸ ἀργύριον. ὁ μέντοι καῖσαρ, οὐ κατεμαρτύρησε κληθεὶς ἐπὶ τὸν κλώδιον. οὐδ᾽ ἔφη μοιχείαν κατεγνωκέναι τῆς γυναικός. ἀφεικέναι δ᾽ αὐτὴν, ὅτι τὸν καίσαρος ἔδει γάμον, οὐ πράξεως αἰσχρᾶς μόνον, ἀλλὰ καὶ φήμης καθαρὸν εἶναι. διαφυγὼν δὲ τὸν κίνδυνον ὁ κλώδιος, καὶ δήμαρχος αἱρεθεὶς, εὐθὺς εἴχετο τοῦ κικέρωνος, πάνθ᾽ ὁμοῦ πράγματα καὶ πάντας ἀνθρώπους συνάγων καὶ ταράττων ἐπ᾽ αὐτόν. τόν τε γὰρ δῆμον ᾠκειώσατο νόμοις φιλανθρώποις, καὶ τῶν ὑπάτων ἑκατέρῳ μεγάλας ἐπαρχίας ἐψηφίσατο. πείσωνι μὲν, μακεδονίαν γαβινίῳ δὲ, συρίαν. πολλοὺς δὲ τῶν ἀπόρων συνέταττεν εἰς τὸ πολίτευμα. καὶ δούλους ὡπλισμένους περὶ αὐτὸν εἶχε. τῶν δὲ πλεῖστον δυναμένων τότε, τριῶν ἀνδρῶν, κράσσου μὲν ἄντικρυς κικέρωνι πολεμοῦντος πομπηΐου δὲ, θρυπτομένου πρὸς ἀμφοτέρους, καίσαρος δὲ μέλλοντος εἰς γαλατίαν ἐξιέναι μετὰ στρατεύματος, ὑπὸ τοῦτον ὑποδὺς ὁ κικέρων καίπερ οὐκ ὄντα φίλον, ἀλλ᾽ ὕποπτον ἐκ τῶν περὶ κατιλίναν, ἠξίωσε πρεσβευτὴς αὐτῷ συστρατεύειν. δεξαμένου δὲ τοῦ καίσαρος, ὁ κλώδιος ὁρῶν ἐκφεύγοντα τὴν δημαρχίαν αὐτοῦ τὸν κικέρωνα, προσεποιεῖτο συμβατικῶς ἔχειν, καὶ τῇ τερεντίᾳ τὴν πλείστην ἀνατιθεὶς αἰτίαν, ἐκείνου δὲ μεμνημένος ἐπιεικῶς ἀεὶ, καὶ λόγους εὐγνώμονας ἐνδιδοὺς ὡς ἄν τις οὐ μισῶν οὐδὲ χαλεπαίνων, ἀλλ᾽ ἐγκαλῶν μέτρια καὶ φιλικὰ, παντάπασιν αὐτοῦ τὸν φόβον ἀνῆκεν. ὥστ᾽ ἀπειπεῖν τῷ καίσαρι τὴν πρεσβείαν, καὶ πάλιν ἔχεσθαι τῆς πολιτείας. ἐφ᾽ ᾧ παροξυνθεὶς ὁ καῖσαρ, τόν τε κλώδιον ἐπέρρωσε, καὶ πομπήϊον ἀπέστρεψε κομιδῇ τοῦ κικέρωνος. αὐτός τε κατεμαρτύρησεν ἐν τῷ δήμῳ, μὴ δοκεῖν αὐτῷ καλῶς μηδὲ νομίμως ἄνδρας ἀκρίτους ἀνῃρῆσθαι τοὺς περὶ λέντλον καὶ κέθηγον. αὕτη γὰρ ἦν κατηγορία, καὶ ἐπὶ τοῦθ᾽ ὁ κικέρων ἐκαλεῖτο. κινδυνεύων οὖν καὶ διωκόμενος, ἐσθῆτα μετήλλαξε, καὶ κόμης ἀνάπλεως περιϊὼν, ἱκέτευε τὸν δῆμον. πανταχοῦ δ᾽ ὁ κλώδιος ἀπήντα κατὰ τοὺς στενωποὺς ἀνθρώπους ἔχων ὑβριστὰς περὶ αὐτὸν καὶ θρασεῖς. οἳ πολλὰ μὲν χλευάζοντες ἀκολάστως εἰς τὴν μεταβολὴν καὶ τὸ σχῆμα τοῦ κικέρωνος. πολλαχοῦ δὲ πηλῷ καὶ λίθοις βάλλοντες, ἐνίσταντο ταῖς ἱκεσίαις. οὐ μὴν, ἀλλὰ τῷ κικέρωνι πρῶτον μὲν, ὀλίγου δεῖν σύμπαν τὸ τῶν ἱππικῶν πλῆθος συμμετέβαλε τὴν ἐσθῆτα. καὶ δισμυρίων οὐκ ἐλάττους νέων παρηκολούθουν, κομῶντες καὶ συνικετεύοντες. ἔπειτα τῆς βουλῆς συνελθούσης, ὅπως ψηφίσαιτο τὸν δῆμον ὡς ἐπὶ πένθεσι μεταβαλεῖν τὰ ἱμάτια καὶ τῶν ὑπάτων ἐναντιωθέντων, κλωδίου δὲ σιδηροφορουμένου περὶ τὸ βουλευτήριον, ἐξέδραμον οὐκ ὀλίγοι τῶν βουλευτικῶν καταρρηγνύμενοι τοὺς χιτῶνας καὶ βοῶντες. ὡς δ᾽ ἦν οὔτ᾽ οἶκτος οὔτε τις αἰδὼς πρὸς τὴν ὄψιν, ἀλλ᾽ ἔδει τὸν κικέρωνα φεύγειν, ἢ σιδήρῳ κριθῆναι πρὸς τὸν κλώδιον, ἐδεῖτο πομπηΐου βοηθεῖν, ἐπίτηδες ἐκποδὼν γεγονότος καὶ διατρίβοντος ἐν ἀγροῖς περὶ τὸν ἀλβανόν. καὶ πρῶτον μὲν ἔπεμψε πείσωνα τὸν γαμβρὸν δεησόμενον, ἔπειτα καὶ αὐτὸς ἀνέβη. πυθόμενος δ᾽ ὁ πομπήϊος, οὐχ ὑπέμεινεν εἰς ὄψιν ἐλθεῖν. δεινὴ γὰρ αὐτὸν αἰδὼς εἶχε πρὸς τὸν ἄνδρα, μεγάλους ἠγωνισμένον ἀγῶνας ὑπὲρ αὐτοῦ. καὶ πολλὰ πρὸς χάριν ἐκείνῳ πεπολιτευμένον. ἀλλὰ καίσαρι γαμβρὸς ὢν, δεομένῳ προὔδωκε τὰς παλαιὰς χάριτας. καὶ κατὰ θύρας ἄλλας ὑπεξελθὼν, ἀπεδίδρασκε τὴν ἔντευξιν. οὕτω δὴ προδοθεὶς ὁ κικέρων ὑπ᾽ αὐτοῦ καὶ γεγονὼς ἔρημος, ἐπὶ τοὺς ὑπάτους κατέφυγε. καὶ γαβίνιος μὲν ἦν χαλεπὸς ἀεί. πείσων δὲ διελέχθη πρᾳότερον, αὐτὸν παραινῶν ἐκστῆναι, καὶ ὑποχωρῆσαι τῇ τοῦ κλωδίου ῥύμῃ, καὶ τὴν μεταβολὴν τῶν καιρῶν ἐνεγκεῖν, καὶ γενέσθαι πάλιν σωτῆρα τῆς πατρίδος ἐν στάσεσι καὶ κακοῖς, δι᾽ ἐκεῖνον οὔσης. τοιαύτης τυχὼν ἀποκρίσεως ὁ κικέρων, ἐβουλεύετο σὺν τοῖς φίλοις. καὶ λεύκουλλος μὲν ἐκέλευε μένειν ὡς περιεσόμενον. ἄλλοι δὲ, φεύγειν, ὡς ταχὺ τοῦ δήμου ποθήσοντος αὐτὸν, ὅταν ἐμπλησθῇ τῆς κλωδίου μανίας καὶ ἀπονοίας. ταῦτ᾽ ἔδοξε κικέρωνι. καὶ τὸ μὲν ἄγαλμα τῆς ἀθηνᾶς ὃ πολὺν χρόνον ἔχων ἐπὶ τῆς οἰκίας ἱδρυμένον, ἐτίμα διαφερόντως, εἰς καπιτώλιον κομίσας ἀνέθηκεν. ἐπιγράψας, ἀθηνᾷ ῥώμης φύλακι. πομποὺς δὲ παρὰ τῶν φίλων λαβὼν, περὶ μέσας νύκτας ὑπεξῆλθε τῆς πόλεως. καὶ πεζῇ διὰ λευκανίας ἐπορεύετο, λαβέσθαι σικελίας βουλόμενος. ὡς δ᾽ ἦν φανερὸς ἤδη, περιφανῶς ἐπήγαγεν αὐτῷ φυγῆς ψῆφον ὁ κλώδιος, καὶ διάγραμμα προὔθηκεν εἴργεσθαι πυρὸς καὶ ὕδατος τὸν ἄνδρα. καὶ μὴ παρέχειν στέγην ἐντὸς μιλίων πεντακοσίων ἰταλίας. τοῖς μὲν οὖν ἄλλοις ἐλάχιστος ἦν τοῦ διαγράμματος τούτου λόγος, αἰδουμένοις τὸν κικέρωνα. καὶ πᾶσαν ἐνδεικνύμενοι φιλοφροσύνην, παρέπεμπον αὐτὸν, ἐν δ᾽ ἱππωνίῳ πόλει τῆς λευκανίας ἣν οὐιβῶνα νῦν καλοῦσιν, οὐίβιος σικελὸς ἀνὴρ, ἄλλα τε πολλὰ τῆς κικέρωνος φιλίας ἀπολελαυκὼς καὶ γεγονὼς ὑπατεύοντος αὐτοῦ τεκτόνων ἔπαρχος, οἰκίᾳ μὲν, οὐκ ἐδέξατο. τὸ χωρίον δὲ καταγράψειν ἐπηγγέλλετο. καὶ

ρωτος μὴ ἐξακούειν, καὶ μὴν οὐκ ἔχεις εἶπε τὸ οὖς ἀδιάτρητον. μετέλλου δὲ νέπωτος εἰπόντος, ὅτι πλείονας καταμαρτυρῶν ἀνῄρηκεν, ἢ συνηγορῶν σέσωκεν. ὁμολογῶ γὰρ ἔφη πίστεως ἐν ἐμοὶ πλέον, ἢ δεινότητος εἶναι. νεανίσκου δέ τινος αἰτίαν ἔχοντος, ἐν πλακοῦντι φάρμακον τῷ πατρὶ δεδωκέναι, θρασυνομένου καὶ λέγοντος, ὅτι λοιδορήσει τὸν κικέρωνα, τοῦτ᾽ ἔφη παρὰ σοῦ βούλομαι μᾶλλον, ἢ πλακοῦντα. ποπλίου δὲ σηστίου συνήγορον μὲν αὐτὸν ἔν τινι δίκῃ παραλαβόντος μεθ᾽ ἑτέρων, αὐτοῦ δὲ πάντα βουλομένου λέγειν καὶ μηδενὶ παριέντος εἰπεῖν, ὡς δῆλος ἦν ἀφιέμενος ὑπὸ τῶν δικαστῶν, ἤδη τῆς ψήφου φερομένης, χρῶ σήμερον ἔφη τῷ καιρῷ σήστιε. μέλλεις γὰρ αὔριον ἰδιώτης εἶναι. πόπλιον δὲ κώσταν νομικὸν εἶναι βουλόμενον, ὄντα δ᾽ ἀμαθῆ καὶ ἀφυῆ, πρός τινα δίκην ἐκάλεσε μάρτυρα. τοῦ δὲ μηδὲν εἰδέναι φάσκοντος, ἴσως ἔφη δοκεῖς περὶ τῶν νομικῶν ἐρωτᾶσθαι. μετέλλου δὲ νέπωτος ἐν διαφορᾷ τινὶ πολλάκις λέγοντος, τίς σοῦ πατήρ ἐστιν ὦ κικέρων, σοὶ ταύτην τὴν ἀπόκρισιν ἔφη ἡ μήτηρ χαλεπωτέραν ἐποίησεν. ἐδόκει δ᾽ ἀκόλαστος ἡ μήτηρ εἶναι τοῦ νέπωτος, αὐτὸς δέ τις εὐμετάβολος. καί ποτε τὴν δημαρχίαν ἀπολιπὼν ἄφνω, πρὸς πομπήϊον ἐξέπλευσεν εἰς συρίαν. εἶτ᾽ ἐκεῖθεν ἐπανῆλθεν ἀλογώτερον. θάψας δὲ φίλαγρον τὸν καθηγητὴν ἐπιμελέστερον, ἐπέστησεν αὐτοῦ τῷ τάφῳ κόρακα λίθινον. καὶ ὁ κικέρων, τοῦτ᾽ ἔφη σοφώτερον ἐποίησας. πέτεσθαι γάρ σε μᾶλλον, ἢ λέγειν ἐδίδαξεν. ἐπεὶ δὲ μᾶρκος ἄππιος ἔν τινι δίκῃ προοιμιαζόμενος εἶπε φίλον αὐτοῦ δεδεῆσθαι παρασχεῖν ἐπιμέλειαν καὶ λογιότητα καὶ πίστιν, εἶθ᾽ οὕτως ἔφη σιδηροῦς γέγονας ἄνθρωπος, ὥστε μηδὲν ἐκ τοσούτων ὧν ᾐτήσατο φίλος παρασχεῖν; τὸ μὲν οὖν πρὸς ἐχθροὺς ἢ ἀντιδίκους σκώμμασι χρῆσθαι πικροτέροις, δοκεῖ ῥητορικὸν εἶναι. τὸ δ᾽ οἷς ἔτυχε προσκρούειν ἕνεκα τοῦ γελοίου, πολὺ συνῆγε μῖσος αὐτῷ. γράψω δὲ καὶ τούτων ὀλίγα. μᾶρκον ἀκύλλιον ἔχοντα δύο γαμβροὺς φυγάδας, ἄδραστον ἐκάλει. λευκίου δὲ κόττα τιμητικὴν ἔχοντος ἀρχήν, φιλοινοτάτου δὲ ὄντος, ὑπατείαν μετιὼν ὁ κικέρων, ἐδίψησε. καὶ τῶν φίλων κύκλῳ περιστάντων, ὡς ἔπινεν, ὀρθῶς φοβεῖσθε εἶπε, μή μοι γένοιτο χαλεπὸς ὁ τιμητής, ὅτι ὕδωρ πίνω. βωκωνίῳ δ᾽ ἀπαντήσας ἄγοντι μεθ᾽ ἑαυτοῦ τρεῖς ἀμορφοτάτας θυγατέρας, ἀνεφθέγξατο. φοίβου ποτ᾽ οὐκ ἐῶντος, ἔσπειρε τέκνα. μάρκου δὲ γελλίου δοκοῦντος οὐκ ἐξ ἐλευθέρων γεγονέναι, λαμπρᾷ δὲ τῇ φωνῇ καὶ μεγάλῃ γράμματα πρὸς τὴν σύγκλητον ἀναγνόντος, μὴ θαυμάζετε εἶπε. καὶ αὐτὸς εἷς ἐστι τῶν ἀναπεφωνηκότων. ἐπεὶ δὲ φαῦστος ὁ σύλλα τοῦ μοναρχήσαντος ἐν ῥώμῃ, καὶ πολλοὺς ἐπὶ θανάτῳ προγράψαντος, ἐν δανείοις γενόμενος, καὶ πολλὰ τῆς οὐσίας διασπαθήσας, ἀμαρτίαν προέγραψε, ταύτην ἔφη μᾶλλον αὐτῷ τὴν προγραφὴν ἀρέσκειν, ἢ τὴν πατρῴαν. ἐκ τούτων ἐγίνετο πολλοῖς ἐπαχθής. καὶ οἱ μετὰ κλωδίου συνέστησαν ἐπ᾽ αὐτὸν, ἀρχὴν τοιαύτην λαβόντες. ἦν κλώδιος ἀνὴρ εὐγενής, τῇ μὲν ἡλικίᾳ νέος, τῷ δὲ φρονήματι θρασὺς καὶ αὐθάδης. οὗτος ἐρῶν πομπηΐας τῆς καίσαρος γυναικός, εἰς τὴν οἰκίαν αὐτοῦ παρεισῆλθε κρύφα, λαβὼν ἐσθῆτα καὶ σκευὴν ψαλτρίας. ἔθυον γὰρ αἱ γυναῖκες τὴν ἀπόρρητον ἐκείνην καὶ ἀθέατον ἀνδράσι θυσίαν ἐν τῇ τοῦ καίσαρος οἰκίᾳ, καὶ παρῆν ἀνὴρ οὐδείς. ἀλλὰ μειράκιον ὢν ἔτι καὶ μήπω γενειῶν ὁ κλώδιος, ἤλπιζε λήσεσθαι διαδὺς πρὸς τὴν πομπηΐαν μετὰ τῶν γυναικῶν. ὡς δ᾽ εἰσῆλθε νυκτὸς εἰς οἰκίαν μεγάλην, ἠπορεῖτο τῶν διόδων. καὶ πλανώμενον αὐτὸν ἰδοῦσα αὐρηλίας θεραπαινὶς τῆς καίσαρος μητρός, ᾔτησεν ὄνομα. φθέγξασθαι δ᾽ ἀναγκασθέντος ἐκείνου, καὶ φήσαντος ἀκόλουθον πομπηΐας ζητεῖν ἄβραν τοὔνομα, συνεῖσα τὴν φωνὴν οὐ γυναικείαν οὖσαν, ἀνέκραγε. καὶ συνεκάλει τὰς γυναῖκας. αἱ δ᾽ ἀποκλείσασαι τὰς θύρας καὶ πάντα διερευνώμεναι, λαμβάνουσι τὸν κλώδιον εἰς οἴκημα παιδίσκης ᾗ συνεισῆλθε καταπεφευγότα. τοῦ δὲ πράγματος περιβοήτου γενομένου, καῖσάρ τε τὴν πομπηΐαν ἀφῆκε, καὶ δίκην ἀσεβείας ἀπεγράψατο τῷ κλωδίῳ. κικέρων δ᾽ ἦν μὲν αὐτοῦ φίλος, καὶ τῶν περὶ κατιλίναν πραττομένων ἐχρῆτο προθυμοτάτῳ συνεργῷ καὶ φύλακι τοῦ σώματος. ἰσχυριζομένου δὲ πρὸς τὸ ἔγκλημα, τῷ μηδὲ γεγονέναι κατ᾽ ἐκεῖνον ἐν ῥώμῃ τὸν χρόνον, ἀλλ᾽ ἐν τοῖς πορρωτάτω χωρίοις διατρίβειν, κατεμαρτύρησεν ὡς ἀφιγμένου πρὸς αὐτὸν οἴκαδε καὶ διειλεγμένου περί τινων, ὅπερ ἦν ἀληθές. οὐ μὴν ἐδόκει μαρτυρεῖν ὁ κικέρων διὰ τὴν ἀλήθειαν, ἀλλὰ πρὸς τὴν αὑτοῦ γυναῖκα τερεντίαν ἀπολογούμενος. ἦν γὰρ αὐτῇ πρὸς τὸν κλώδιον ἀπέχθεια διὰ τὴν ἀδελφὴν ἐκείνου κλωδίαν, ὡς τῷ κικέρωνι βουλομένην γαμηθῆναι, καὶ τοῦτο διὰ τύλλου τινὸς πράττουσαν, ὃς ἑταῖρος μὲν ἦν καὶ συνήθης ἐν τοῖς μάλιστα κικέρωνος. ἀεὶ δὲ πρὸς τὴν κλωδίαν φοιτῶν καὶ θεραπεύων ἐγγὺς οἰκοῦσαν, ὑποψίαν τῇ τερεντίᾳ παρεῖχε. χαλεπὴ δὲ τὸν τρόπον οὖσα καὶ τοῦ κικέρωνος ἄρχουσα, παρώξυνε τῷ κλωδίῳ συνεπιθέσθαι καὶ καταμαρτυρῆσαι. κατεμαρτύρουν δὲ τοῦ κλωδίου πολλοὶ τῶν καλῶν κἀγαθῶν ἀνδρῶν, ἐπιορκίας, ῥᾳδιουργίας, ὄχλων δεκασμούς, φθορὰς γυναικῶν. λεύκολλος δὲ καὶ θεραπαινίδας παρεῖχεν, ὡς συγγένοιτο τῇ νεωτάτῃ τῶν ἀδελφῶν ὁ κλώδιος, ὅτε λευκόλλῳ συνῴκει. πολλὴ δὲ ἦν δόξα καὶ ταῖς ἄλλαις δυσὶν ἀδελφαῖς πλησιάζειν τὸν κλώδιον. ὧν τερεντίαν μὲν μάρκιος ῥήξ, κλωδίαν δὲ μέτελλος ὁ κέλερ εἶχεν, ἣν κουαδρανταρίαν ἐκάλουν, ὅτι τῶν ἐραστῶν τις αὐτῇ χαλκοῦς ἐμβαλὼν εἰς βαλάντιον, ὡς ἀργύριον εἰσέπεμψε. τὸ δὲ λεπτότατον τοῦ χαλκοῦ νομίσματος, κουαδράντην ἐκάλουν. ἐπὶ ταύτῃ μάλιστα τῶν ἀδελφῶν, κακῶς ἤκουσεν ὁ κλώδιος. οὐ μὴν ἀλλὰ τότε

πόπλιος. τ.

πόπλιον) Γελλίου ut legit Erasmus

Diodotum hunc in apophthegmatis appellat idem auctor.

πότ᾽. τ.

ἀπαρτίαν. π.

τύλλου. τ. ς.

ἄρχουσα, τ. ς.

τερτίαν

δήμαρχοι γρ.

κον αὐτῷ σύμπας ὁ δῆμος. ἐφ' οἷς ἔτι μᾶλλον οἵ τε καῖσαρ οἵ τε χιλίαρχοι χαλεπαίνοντες, ἄλλας τε τῷ κικέρωνι ταραχὰς ἐμηχανῶντο, καὶ νόμος ὑπ' αὐτῶν εἰσήγετο καλεῖν πομπήιον μετὰ τῆς στρατιᾶς, ὡς δὴ καταλυσόμενον τὴν κικέρωνος δυναστείαν. ἀλλ' ἦν ὄφελος μέγα τῷ κικέρωνι καὶ πάσῃ τῇ πόλει, δημαρχῶν τότε κάτων καὶ τοῖς ἐκείνου πολιτεύμασιν ἀπ' ἴσης μὲν ἐξουσίας, μείζονος δὲ δόξης ἀντιταττόμενος. τά τε γὰρ ἄλλα ῥᾳδίως ἔλυσε. καὶ τὴν κικέρωνος ὑπατείαν οὕτως ἦρε τῷ λόγῳ μεγάλην δημηγορήσας, ὥστε τιμὰς αὐτῷ τῶν πώποτε μεγίστας ψηφίσασθαι, καὶ προσαγορεῦσαι πατέρα πατρίδος. πρώτῳ γὰρ ἐκείνῳ δοκεῖ τοῦθ' ὑπάρξαι, κάτωνος αὐτὸν οὕτως ἐν τῷ δήμῳ προσαγορεύσαντος. καὶ μέγιστον μὲν ἴσχυσεν ἐν τῇ πόλει τότε. πολλοῖς δ' ἐπίφθονον ἑαυτὸν ἐποίησεν ἀπ' οὐδενὸς ἔργου πονηροῦ, τῷ δ' ἐπαινεῖν ἀεὶ καὶ μεγαλύνειν αὐτὸς ἑαυτὸν ὑπὸ πολλῶν δυσχεραινόμενος. οὔτε γὰρ βουλὴν, οὔτε δῆμον, οὔτε δικαστήριον ἦν συνελθεῖν, ἐν ᾧ μὴ κατιλίναν ἔδει θρυλλούμενον ἀκοῦσαι καὶ λέντλον. ἀλλὰ καὶ τὰ βιβλία τελευτῶν κατέπλησε καὶ τὰ συγγράμματα τῶν ἐγκωμίων. καὶ τὸν λόγον ἥδιστον ὄντα καὶ χάριν ἔχοντα πλείστην, ἐπαχθῆ καὶ φορτικὸν ἐποίησε τοῖς ἀκροωμένοις, ὥσπερ τινὸς ἀεὶ κηρὸς αὐτῷ τῆς ἀηδίας ταύτης προσούσης. ὅμως δὲ καίπερ οὕτως ἀκράτῳ φιλοτιμίᾳ συνὼν, ἀπήλλακτο τοῦ φθονεῖν ἑτέροις, ἀφθονώτατος ὢν ἐν τῷ τοὺς πρὸ αὐτοῦ, καὶ τοὺς καθ' αὐτὸν ἄνδρας ἐγκωμιάζειν, ὡς ἐκ τῶν συγγραμμάτων λαβεῖν ἔστι. πολλὰ δ' αὐτοῦ καὶ ἀπομνημονεύουσιν, οἷον περὶ ἀριστοτέλους, ὅτι χρυσίου ποταμὸς εἴη ῥέοντος. καὶ περὶ τῶν πλάτωνος διαλόγων, ὡς τοῦ διὸς εἰ λόγῳ χρῆσθαι πέφυκεν, οὕτω διαλεγομένου. τὸν δὲ θεόφραστον εἰώθει τρυφὴν ἰδίαν ἀποκαλεῖν. περὶ δὲ τῶν δημοσθένους λόγων ἐρωτηθεὶς τίνα δοκοίη κάλλιστον εἶναι, τὸν μέγιστον εἶπε. καίτοι τινὲς τῶν προσποιουμένων δημοσθενίζειν, ἐπιφύονται φωνῇ τοῦ κικέρωνος, ἣν πρός τινας τῶν ἑταίρων ἔθηκεν ἐν ἐπιστολῇ γράψας, ἐνιαχοῦ τῶν λόγων ἀπονυστάζειν τὸν δημοσθένην. τῶν δὲ μεγάλων καὶ θαυμαστῶν ἐπαίνων οἷς πολλαχοῦ χρῆται περὶ τοῦ ἀνδρὸς, καὶ ὅτι περὶ οὓς μάλιστα τῶν ἰδίων ἐσπούδασε λόγων τοὺς κατ' ἀντωνίου, φιλιππικοὺς ἐπέγραψεν, ἀμνημονοῦσι. τῶν δὲ κατ' αὐτὸν ἐνδόξων ἀπὸ λόγου καὶ σοφίας, οὐκ ἔστιν οὐδεὶς ὃν οὐκ ἐποίησεν ἐνδοξότερον, ἢ λέγων ἢ γράφων εὐμενῶς περὶ ἑκάστου. κρατίππῳ δὲ τῷ περιπατητικῷ διεπράξατο μὲν ῥωμαίῳ γενέσθαι παρὰ καίσαρος ἄρχοντος ἤδη. διεπράξατο δὲ τὴν ἐξ ἀρείου πάγου βουλὴν ψηφίσασθαι, καὶ δεηθῆναι μένειν αὐτὸν ἐν ἀθήναις, καὶ διαλέγεσθαι τοῖς νέοις, ὡς κοσμοῦντα τὴν πόλιν. ἐπιστολαὶ δὲ παρὰ τοῦ κικέρωνός εἰσι πρὸς ἡρώδην. ἕτεραι δὲ πρὸς τὸν υἱὸν, ἐγκελευομένου συμφιλοσοφεῖν κρατίππῳ. γοργίαν δὲ τὸν ῥήτορα αἰτιώμενος εἰς ἡδονὰς καὶ πότους προάγειν τὸ μειράκιον, ἀπελαύνει τῆς συνουσίας αὐτοῦ. καὶ σχεδὸν αὕτη τε τῶν ἑλληνικῶν μία καὶ δευτέρα πρὸς πέλοπα τὸν βυζάντιον ἐν ὀργῇ τινὶ γέγραπται. τὸν μὲν γοργίαν αὐτοῦ προσηκόντως ἐπισκώπτοντος, εἴπερ ἦν φαῦλος καὶ ἀκόλαστος ᾗπερ ἐδόκει. πρὸς δὲ τὸν πέλοπα μικρολογουμένου καὶ μεμψιμοιροῦντος ὥσπερ ἀμελήσαντά τινας αὐτῷ τιμὰς καὶ ψηφίσματα παρὰ βυζαντίων γενέσθαι. ταῦτά τε δὴ φιλότιμα, καὶ τὸ πολλάκις ἐπαιρόμενον τοῦ λόγου τῇ δεινότητι, τὸ πρέπον προΐεσθαι. νουματίῳ μὲν γάρ ποτε συνηγορήσας, ὡς ἀποφυγὼν τὴν δίκην ἐκεῖνος ἐδίωκεν ἑταῖρον αὐτοῦ σαβῖνον, οὕτω λέγεται προπεσεῖν ὑπ' ὀργῆς ὁ κικέρων, ὥστ' εἰπεῖν, σὺ γὰρ ἐκείνην ὦ νουμάτιε τὴν δίκην ἀπέφυγες διὰ σαυτὸν, οὐκ ἐμοῦ πολὺ σκότος ἐν φωτὶ τῷ δικαστηρίῳ περιχέαντος; μᾶρκον δὲ κράσσον ἐγκωμιάζων ἀπὸ τοῦ βήματος, εὐημέρησε. καὶ μεθ' ἡμέρας αὖθις ὀλίγας λοιδορῶν αὐτὸν, ὡς ἐκεῖνος εἶπεν, οὐ γὰρ ἐνταῦθα πρῴην αὐτὸς ἡμᾶς ἐπῄνεις; ναί φησι, μελέτης ἕνεκεν γυμνάζων τὸν λόγον εἰς φαύλην ὑπόθεσιν. εἰπόντος δέ ποτε τοῦ κράσσου μηδένα κράσσων ἐν ῥώμῃ βεβιωκέναι μακρότερον ἑξηκονταετίας. εἶθ' ὕστερον ἀρνουμένου καὶ λέγοντος τί δ' ἂν ἐγὼ παθὼν τοῦτ' εἶπον; ᾔδεις ἔφη ῥωμαίους ἡδέως ἀκουσομένους, καὶ διὰ τοῦτο ἐδημαγώγεις. ἀρέσκεσθαι δὲ τοῦ κράσσου τοῖς στωικοῖς φήσαντος, ὅτι πλούσιον εἶναι τὸν ἀγαθὸν ἀποφαίνουσιν, ὅρα μὴ μᾶλλον εἶπεν, ὅτι πάντα τοῦ σοφοῦ λέγουσιν εἶναι. διεβάλλετο δ' εἰς φιλαργυρίαν ὁ κράσσος. ἐπεὶ δὲ τῶν κράσσου παίδων ὁ ἕτερος, ἀξίῳ τινὶ δοκῶν ὅμοιος εἶναι, καὶ διὰ τοῦτο τῇ μητρὶ προστριβόμενος αἰσχρὰν ἐπὶ τῷ ἀξίῳ διαβολὴν, εὐδοκίμησε λόγον ἐν βουλῇ διελθὼν, ἐρωτηθεὶς ὁ κικέρων, τί φαίνεται αὐτῷ, ἄξιος εἶπε κράσσου. μέλλων δὲ κράσσος εἰς συρίαν ἀπαίρειν, ἐβούλετο τὸν κικέρωνα μᾶλλον αὐτῷ φίλον ἢ ἐχθρὸν εἶναι, καὶ φιλοφρονούμενος ἔφη βούλεσθαι δειπνῆσαι παρ' αὐτῷ. κἀκεῖνος ὑπεδέξατο προθύμως. ὀλίγαις δ' ὕστερον ἡμέραις, περὶ βατινίου φίλων τινῶν ἐντυγχανόντων ὡς μνωμένου διαλύσεις καὶ φιλίαν, ἦν γὰρ ἐχθρὸς, οὐ δήπου καὶ βατίνιος εἶπε δειπνῆσαι παρ' ἐμοὶ βούλεται; πρὸς μὲν οὖν κράσσον τοιοῦτος. αὐτὸν δὲ τὸν βατίνιον ἔχοντα χοιράδας ἐν τῷ τραχήλῳ καὶ λέγοντα δίκην, οἰδοῦντα ῥήτορα προσεῖπεν. ἀκούσας δ' ὅτι τέθνηκεν, εἶτα μετὰ μικρὸν πυθόμενος σαφῶς ὅτι ζῇ, κακὸς τοίνυν ἀπόλοιτο κακῶς ὁ ψευσάμενος. ἐπεὶ δὲ καίσαρι ψηφισαμένῳ τὴν ἐν καμπανίᾳ χώραν κατανεμηθῆναι τοῖς στρατιώταις, πολλοὶ μὲν ἐδυσχέραινον ἐν τῇ βουλῇ, λεύκιος δὲ γέλλιος ὁμοῦ τι πρεσβύτατος ὢν, εἶπεν ὡς οὐ γενήσεται τοῦτο ζῶντος αὐτοῦ, περιμείνωμεν εἶπεν ὁ κικέρων. μακρὰν γὰρ οὐκ αἰτεῖται γέλλιος ὑπέρθεσιν. ἦν δέ τις ὀκταούιος αἰτίαν ἔχων ἐκ λιβύης γεγονέναι. πρὸς τοῦτον ἔν τινι δίκῃ λέγοντα, τοῦ κικέ

μουνατίῳ γρ.

μουνάτιε γρ.

κακῶς γρ.

πρὸς αὐτὸν ἔφρασε, καὶ παρώξυνεν ἐπὶ τοὺς ἄνδρας. ὁμοίως δὲ καὶ Κόιντος ὁ ἀδελφός. καὶ τῶν ἀπὸ φιλοσοφίας ἑταίρων, Πόπλιος Νιγίδιος. ᾧ τὰ πλεῖστα καὶ μέγιστα παρὰ τὰς πολιτικὰς ἐχρῆτο πράξεις. τῇ δ' ὑστεραίᾳ γινομένων ἐν συγκλήτῳ λόγων περὶ τιμωρίας τῶν ἀνδρῶν, ὁ πρῶτος ἐρωτηθεὶς γνώμην Σιλανὸς εἶπε, τὴν ἐσχάτην δίκην δοῦναι προσήκειν ἀχθέντας εἰς τὸ δεσμωτήριον. καὶ προσετίθεντο τούτῳ πάντες ἐφεξῆς μέχρι Γαΐου Καίσαρος τοῦ μετὰ ταῦτα δικτάτορος γενομένου. τότε δὲ νέος ὢν ἔτι καὶ τὰς πρώτας ἔχων τῆς αὐξήσεως ἀρχάς, ἤδη δὲ τῇ πολιτείᾳ καὶ ταῖς ἐλπίσιν εἰς ἐκείνην τὴν ὁδὸν ἐμβεβηκὼς ᾗ τὰ Ῥωμαίων εἰς μοναρχίαν μετέστησε πράγματα, τοὺς μὲν ἄλλους ἐλάνθανε, τῷ δὲ Κικέρωνι, πολλὰς μὲν ὑποψίας, λαβὴν δ' οὐδεμίαν εἰς ἔλεγχον παρέδωκεν, ἀλλὰ καὶ λεγόντων ἦν ἐνίων ἀκούειν, ὡς ἐγγὺς ἐλθὼν ἁλῶναι διεκφύγοι τὸν ἄνδρα. τινὲς δέ φασι παριδεῖν ἑκόντα καὶ παραλιπεῖν τὴν κατ' ἐκείνου μήνυσιν, φόβῳ τῶν φίλων αὐτοῦ καὶ τῆς δυνάμεως, παντὶ γὰρ εἶναι πρόδηλον, ὅτι μᾶλλον ἂν ἐκεῖνοι γένοιντο προσθήκη Καίσαρι σωτηρίας, ἢ Καῖσαρ ἐκείνοις κολάσεως. ἐπεὶ δ' οὖν ἡ γνώμη περιῆλθεν εἰς αὐτόν, ἀναστάς, ἀπεφήνατο, μὴ θανατοῦν τοὺς ἄνδρας, ἀλλὰ τὰς οὐσίας εἶναι δημοσίας, αὐτοὺς δ' ἀπαχθέντας εἰς πόλεις τῆς Ἰταλίας ἃς ἂν δοκῇ Κικέρωνι, τηρεῖσθαι δεδεμένους, ἄχρις ἂν οὗ καταπολεμηθῇ Κατιλίνας. οὔσης δὲ τῆς γνώμης ἐπιεικοῦς, καὶ τοῦ λέγοντος εἰπεῖν δυνατωτάτου, ῥοπὴν ὁ Κικέρων προσέθηκεν οὐ μικράν. αὐτός τε γὰρ ἀναστάς, ἐνεχείρησεν εἰς ἑκάτερον. τὰ μὲν, τῇ προτέρᾳ, τὰ δὲ τῇ γνώμῃ Καίσαρος συνειπών. οἵ τε φίλοι πάντες οἰόμενοι τῷ Κικέρωνι συμφέρειν τὴν Καίσαρος γνώμην, ἧττον γὰρ ἐν αἰτίαις ἔσεσθαι μὴ θανατώσαντα τοὺς ἄνδρας, ᾑροῦντο τὴν δευτέραν μᾶλλον γνώμην ὥστε καὶ τὸν Σιλανὸν αὖθις μεταβαλλόμενον, παραιτεῖσθαι καὶ λέγειν, ὡς οὐδ' αὐτὸς εἴποι θανατικὴν γνώμην. ἐσχάτην γὰρ ἀνδρὶ βουλευτῇ Ῥωμαίων εἶναι δίκην, τὸ δεσμωτήριον. εἰρημένης δὲ τῆς γνώμης πρῶτος ἀντέκρουσεν αὐτῇ Κάτλος Λουτάτιος. εἶτα δεξάμενος Κάτων, καὶ τῷ λόγῳ σφοδρῶς συνεπερείσας, ἐπὶ τὸν Καίσαρα τὴν ὑπόνοιαν, ἐνέπλησε θυμοῦ καὶ φρονήματος τὴν σύγκλητον, ὥστε θάνατον καταψηφίσασθαι τῶν ἀνδρῶν. περὶ δὲ δημεύσεως χρημάτων, ἐνίστατο Καῖσαρ, οὐκ ἀξιῶν τὰ φιλάνθρωπα τῆς ἑαυτοῦ γνώμης ἐκβαλόντας, ἐνὶ χρήσασθαι τῷ σκυθρωποτάτῳ. βιαζομένων δὲ πολλῶν, ἐπεκαλεῖτο τοὺς δημάρχους. οἳ δ' οὐχ ὑπήκουον, ἀλλὰ Κικέρων αὐτὸς ἐνδούς, ἀνῆκε τὴν περὶ δημεύσεως γνώμην. ἐχώρει δὲ μετὰ τῆς βουλῆς, ἐπὶ τοὺς ἄνδρας. οὐκ ἐν ταὐτῷ δὲ πάντες ἦσαν, ἄλλος δὲ ἄλλον ἐφύλαττε τῶν στρατηγῶν. καὶ πρῶτον ἐκ Παλατίου παραλαβὼν τὸν Λέντλον, ἦγε διὰ τῆς ἱερᾶς ὁδοῦ, καὶ τῆς ἀγορᾶς μέσης, τῶν μὲν ἡγεμονικωτάτων ἀνδρῶν, κύκλῳ περιεσπειραμένων καὶ δορυφορούντων. τοῦ δὲ δήμου, φρίττοντος τὰ δρώμενα, καὶ παριόντος σιωπῇ. μάλιστα δὲ τῶν νέων, ὥσπερ ἱεροῖς τισι πατρίοις, ἀριστοκρατικῆς τινὸς ἐξουσίας, τελεῖσθαι μετὰ φόβου καὶ θάμβους δοκούντων. διελθὼν δὲ τὴν ἀγορὰν, καὶ γενόμενος πρὸς τῷ δεσμωτηρίῳ, παρέδωκε τὸν Λέντλον, τῷ δημίῳ, καὶ προσέταξεν ἀνελεῖν. εἶθ' ἑξῆς, τὸν Κέθηγον. καὶ οὕτω τῶν ἄλλων ἕκαστον καταγαγὼν, ἀπέκτεινεν. ὁρῶν δὲ πολλοὺς ἔτι τῆς συνωμοσίας ἐν ἀγορᾷ συνεστῶτας ἀθρόους. καὶ τὴν μὲν πρᾶξιν ἀγνοοῦντας, τὴν δὲ νύκτα προσμένοντας ὡς ἔτι ζώντων τῶν ἀνδρῶν καὶ δυναμένων ἐξαρπασθῆναι, φθεγξάμενος δὲ μέγα πρὸς αὐτοὺς, ἔζησαν εἶπεν. οὕτω δὲ Ῥωμαίων οἱ δυσφημεῖν μὴ βουλόμενοι, τὸ τεθνάναι σημαίνουσιν. ἤδη δ' ἦν ἑσπέρα, καὶ δι' ἀγορᾶς ἀνέβαινεν εἰς τὴν οἰκίαν. οὐκέτι σιωπῇ τῶν πολιτῶν οὐδὲ τάξει προπεμπόντων αὐτὸν, ἀλλὰ φωναῖς καὶ κρότοις δεχομένων καθ' οὓς γένοιτο. σωτῆρα καὶ κτίστην ἀνακαλούντων τῆς πατρίδος. τὰ δὲ φῶτα, πολλὰ κατέλαμπε τοὺς στενωποὺς, λαμπάδια καὶ δᾷδας ἱστώντων ἐπὶ ταῖς θύραις. αἱ δὲ γυναῖκες ἐκ τῶν τεγῶν, προὔφαινον ἐπὶ τιμῇ καὶ θέᾳ τοῦ ἀνδρὸς, ὑπὸ πομπῇ τῶν ἀρίστων μάλα σεμνῶς ἀνιόντος. ὧν οἱ πλεῖστοι, πολέμους τε κατειργασμένοι μεγάλους καὶ διὰ θριάμβων εἰσεληλακότες, καὶ προσεκτημένοι γῆν καὶ θάλατταν οὐκ ὀλίγην, ἐβάδιζον ἀνομολογούμενοι πρὸς ἀλλήλους, πολλοῖς μὲν τῶν τότε ἡγεμόνων καὶ στρατηγῶν πλούτου καὶ λαφύρων καὶ δυνάμεως χάριν ὀφείλειν τὸν Ῥωμαίων δῆμον. ἀσφαλείας δὲ καὶ σωτηρίας, ἑνὶ μόνῳ Κικέρωνι, τηλικοῦτον ἀφελόντι καὶ τοσοῦτον αὐτοῦ κίνδυνον. οὐ γὰρ τὸ κωλῦσαι τὰ πραττόμενα, καὶ κολάσαι τοὺς πράττοντας ἐδόκει θαυμαστὸν, ἀλλ' ὅτι μέγιστος ἦν τῶν πώποτε νεωτερισμῶν, οὗτος ἐλαχίστοις κακοῖς ἄνευ στάσεως καὶ ταραχῆς κατέσβεσε. καὶ γὰρ τὸν Κατιλίναν οἱ πλεῖστοι τῶν συνερρυηκότων πρὸς αὐτὸν, ἅμα τῷ πυθέσθαι τὰ περὶ Λέντλον καὶ Κέθηγον ἐγκαταλιπόντες, ᾤχοντο. καὶ μετὰ τῶν συμμεμενηκότων αὐτῷ διαγωνισάμενος πρὸς Ἀντώνιον, αὐτός τε διεφθάρη καὶ τὸ στρατόπεδον. οὐ μὴν, ἀλλ' ἦσαν οἱ τὸν Κικέρωνα παρεσκευασμένοι καὶ λέγειν ἐπὶ τούτοις καὶ ποιεῖν κακῶς, ἔχοντες ἡγεμόνας τῶν εἰς τὸ μέλλον ἀρχόντων, Καίσαρα μὲν στρατηγοῦντα, Μέτελλον δὲ καὶ Βηστίαν δημαρχοῦντας. οἳ τὴν ἀρχὴν παραλαβόντες ἔτι τοῦ Κικέρωνος ἡμέρας ὀλίγας ἄρχοντος, οὐκ εἴων δημηγορεῖν αὐτὸν, ἀλλ' ὑπὲρ τῶν ἐμβόλων βάθρα θέντες, οὐ παρίεσαν. οὐδ' ἐπέτρεπον λέγειν, ἀλλ' ἐκέλευον, εἰ βούλοιτο μόνον περὶ τῆς ἀρχῆς ἀπομόσασθαι καταβαίνειν. κἀκεῖνος ὡς τούτοις ὡς ὀμόσων προσῆλθε. καὶ γενομένης αὐτῷ σιωπῆς, ὤμνυεν οὐ τὸν πάτριον, ἀλλ' ἴδιόν τινα καὶ καινὸν ὅρκον ἦ μὴν σεσωκέναι τὴν πατρίδα καὶ διατετηρηκέναι τὴν ἡγεμονίαν. ἐπώμνυε δὲ τὸν ὅρ

πικῶς, λόγον μὲν οὐκ ἔφη διδόναι, παρέχειν δὲ τὴν κνήμην ὥσπερ πάνυ εἰώθεισαν οἱ παῖδες ὅταν ἐν τῷ σφαιρίζειν ἁμάρτωσιν. ἐκ τούτου, σούρας παρωνομάσθη. σούραν γὰρ οἱ ῥωμαῖοι, τὴν κνήμην λέγουσι. πάλιν δὲ δίκην ἔχων καὶ διαφθείρας ἐνίους τῶν δικαστῶν ἐπεὶ δυσὶ μόναις ἀπέφυγε ψήφοις, ἔφη παρανάλωμα γεγονέναι τὸ θατέρῳ κριτῇ δοθέν. ἀρκεῖν γὰρ εἰ καὶ μιᾷ ψήφῳ μόνον ἀπελύθη. οὕτω δὴ ὄντα τῇ φύσει τοιοῦτον, καὶ κεκινημένον ὑπὸ τοῦ κατιλίνα, προσδιέφθειραν ἐλπίσι κεναῖς ψευδομάντεις καὶ γόητες, ἔπη πεπλασμένα καὶ χρησμοὺς ᾄδοντες ὡς ἐκ τῶν σιβυλλείων, προδηλοῦντας, εἱμαρμένους εἶναι τῇ ῥώμῃ κορνηλίους τρεῖς μονάρχους. ὧν δύο μὲν ἤδη, πεπληρωκέναι τὸ χρεών. κίνναν τε καὶ σύλλαν. τρίτῳ δὲ λοιπῷ κορνηλίῳ ἐκείνῳ φέροντα τὴν μοναρχίαν ἥκειν τὸν δαίμονα, καὶ δεῖν πάντως δέχεσθαι καὶ μὴ διαφθείρειν μέλλοντα τοὺς καιροὺς ὥσπερ κατιλίναν. οὐδὲν οὖν ἐπενόει μικρὸν ὁ λέντλος ἢ ἄσημον, ἀλλ' ἐδέδοκτο τὴν βουλὴν ἅπασαν ἀναιρεῖν, τῶν τ' ἄλλων πολιτῶν ὅσους δύναιτο. τὴν πόλιν δ' αὐτὴν καταπιμπράναι. φείδεσθαι δὲ μηδενὸς, ἢ τῶν πομπηΐου τέκνων. ταῦτα δ' ἐξαρπασαμένους ἔχειν ὑφ' αὑτοῖς καὶ φυλάττειν ὅμηρα τῶν πρὸς πομπήϊον διαλύσεων. ἤδη γὰρ ἐφοίτα πολὺς λόγος καὶ βέβαιος ὑπὲρ αὐτοῦ, κατιόντος ἀπὸ τῆς μεγάλης στρατείας. καὶ νὺξ μὲν ὥριστο πρὸς τὴν ἐπίθεσιν, μία τῶν κρονιάδων. ξίφη δὲ καὶ στυππεῖον καὶ θεῖον εἰς τὴν κεθήγου φέροντες οἰκίαν ἀπέκρυψαν. ἄνδρας δὲ τάξαντες ἑκατὸν καὶ μέρη τοσαῦτα τῆς ῥώμης, ἕκαστον ἐφ' ἑκάστῳ διεκλήρωσαν, ὡς δι' ὀλίγου πολλῶν ἀψάντων, φλέγοιτο πανταχόθεν ἡ πόλις. ἄλλοι δὲ τοὺς ὀχετοὺς ἔμελλον ἐμφράξαντες, ἀποσφάττειν τοὺς ὑδρευομένους. πραττομένων δὲ τούτων, ἔτυχον ἐπιδημοῦντες ἀλλοβρίγων δύο πρέσβεις, ἔθνους μάλιστα δὴ τότε πονηρὰ πράττοντος, καὶ βαρυνομένου τὴν ἡγεμονίαν. τούτους οἱ περὶ λέντλον ὠφελίμους ἡγούμενοι, πρὸς τὸ κινῆσαι καὶ μεταβαλεῖν τὴν γαλατίαν, ἐποιήσαντο συνωμότας. καὶ γράμματα μὲν αὐτοῖς πρὸς τὴν ἐκεῖ βουλήν. γράμματα δὲ πρὸς κατιλίναν ἔδοσαν. τῇ μὲν, ὑπισχνούμενοι τὴν ἐλευθερίαν. τὸν δὲ κατιλίναν παρακαλοῦντες ἐλευθερώσαντα τοὺς δούλους, ἐπὶ τὴν ῥώμην ἐλαύνειν, συναπέστελλον δὲ μετ' αὐτῶν πρὸς τὸν κατιλίναν, τίτον τινὰ κροτωνιάτην κομίζοντα τὰς ἐπιστολάς. οἷα δὲ ἀνθρώπων ἀσταθμήτων καὶ μετ' οἴνου τὰ πολλὰ, καὶ γυναικῶν ἀλλήλοις ἐντυγχανόντων βουλεύματα, πόνῳ καὶ λογισμῷ νήφοντι καὶ συνέσει περιττῇ διώκων ὁ κικέρων, καὶ πολλοὺς μὲν ἔχων ἔξωθεν ἐπισκοποῦντας τὰ πραττόμενα καὶ συνεξιχνεύοντας αὐτῷ. πολλοῖς δὲ τῶν μετέχειν δοκούντων τῆς συνωμοσίας διαλεγόμενος κρύφα καὶ πιστεύων, ἔγνω τὴν πρὸς τοὺς ξένους κοινολογίαν. καὶ νυκτὸς ἐνεδρεύσας, ἔλαβε τὸν κροτωνιάτην καὶ τὰ γράμματα. συνεργούντων ἀδήλως τῶν ἀλλοβρίγων. ἅμα δ' ἡμέρᾳ, βουλὴν ἀθροίσας εἰς τὸ τῆς ὁμονοίας ἱερὸν, ἐξανέγνω τὰ γράμματα, καὶ τῶν μηνυτῶν διήκουσεν. ἔφη δὲ καὶ σιλανὸς ἰούνιος, ἀκηκοέναι τινὰς κεθήγου λέγοντος, ὡς ὕπατοί τε τρεῖς καὶ στρατηγοὶ τέτταρες, ἀναιρεῖσθαι μέλλουσι. τοιαῦτα δ' ἕτερα καὶ πείσων ἀνὴρ ὑπατικὸς εἰσήγγελλε. γάϊος δὲ σουλπίκιος εἷς τῶν στρατηγῶν, ἐπὶ τὴν οἰκίαν πεμφθεὶς τοῦ κεθήγου, πολλὰ μὲν ἐν αὐτῇ βέλη καὶ ὅπλα, πλεῖστα δὲ ξίφη καὶ μαχαίρας εὗρε νεοθήκτους ἁπάσας. τέλος δὲ τῷ κροτωνιάτῃ ψηφισαμένης ἄδειαν ἐπὶ μηνύσει τῆς βουλῆς, ἐξελεγχθεὶς ὁ λέντλος, ἀπωμόσατο τὴν ἀρχήν. στρατηγῶν γὰρ ἐτύγχανε. καὶ τὴν περιπόρφυρον ἐν τῇ βουλῇ καταθέμενος, διήλλαξεν ἐσθῆτα τῇ συμφορᾷ πρέπουσαν. οὗτος μὲν οὖν καὶ οἱ σὺν αὐτῷ παρεδόθησαν εἰς ἄδεσμον φυλακὴν τοῖς στρατηγοῖς. ἤδη δ' ἑσπέρας οὔσης, καὶ τοῦ δήμου περιμένοντος ἀθρόου, προελθὼν ὁ κικέρων καὶ φράσας τὸ πρᾶγμα τοῖς πολίταις, καὶ προπεμφθεὶς, παρῆλθεν εἰς οἰκίαν φίλου γειτνιῶντος. ἐπεὶ τὴν ἐκείνου γυναῖκες κατεῖχον, ἱεροῖς ἀπορρήτοις ὀργιάζουσαι θεὸν, ἣν ῥωμαῖοι μὲν, ἀγαθήν. ἕλληνες δὲ, γυναικείαν ὀνομάζουσι. θύεται δ' αὐτῇ κατ' ἐνιαυτὸν ἐν τῇ οἰκίᾳ τοῦ ὑπάτου διὰ γυναικὸς ἢ μητρὸς αὐτοῦ, τῶν ἑστιάδων παρθένων παρουσῶν. εἰσελθὼν οὖν ὁ κικέρων καθ' αὑτὸν ὀλίγων παντάπασιν αὐτῷ παρόντων, ἐφρόντιζεν ὅπως χρήσεται τοῖς ἀνδράσι. τήν τε γὰρ ἄκραν καὶ προσήκουσαν ἀδικήμασι τηλικούτοις τιμωρίαν, ἐξευλαβεῖτο καὶ κατώκνει, δι' ἐπιείκειαν ἤθους ἅμα, καὶ ὡς μὴ δοκοίη τῆς ἐξουσίας ἄγαν ἐμφορεῖσθαι, καὶ πικρῶς ἐπεμβαίνειν ἀνδράσι, γένει τε πρώτοις, καὶ φίλους δυνατοὺς ἐν τῇ πόλει κεκτημένοις. μαλακώτερόν τε χρησάμενος, ὠρρώδει τὸν ἀπ' αὐτῶν κίνδυνον. οὐ γὰρ ἀγαπήσειν, μετριώτερόν τι θανάτου παθόντας, ἀλλ' εἰς ἅπαν ἀναρραγήσεσθαι τόλμης, τῇ παλαιᾷ κακίᾳ νέαν ὀργὴν προσλαβόντας. αὐτός τε δόξειν ἄνανδρος καὶ μαλακὸς, οὐδ' ἄλλως δοκῶν εὐτολμότατος εἶναι τοῖς πολλοῖς. ταῦτα τοῦ κικέρωνος διαποροῦντος, γίνεταί τι ταῖς γυναιξὶ σημεῖον θυούσαις. ὁ γὰρ βωμὸς ἤδη τοῦ πυρὸς κατακεκοιμῆσθαι δοκοῦντος, ἐκ τῆς τέφρας καὶ τῶν κεκαυμένων φλοιῶν, φλόγα πολλὴν ἀνῆκε καὶ λαμπράν. ὑφ' ἧς αἱ μὲν ἄλλαι διεπτοήθησαν. αἱ δ' ἱεραὶ παρθένοι, τὴν τοῦ κικέρωνος γυναῖκα τερεντίαν, ἐκέλευσαν ᾗ τάχος χωρεῖν πρὸς τὸν ἄνδρα, καὶ κελεύειν οἷς ἔγνωκεν ἐγχειρεῖν ὑπὲρ τῆς πατρίδος. ὡς μέγα πρός τε σωτηρίαν καὶ δόξαν αὐτῷ τῆς θεοῦ φῶς διδούσης. ἡ δὲ τερεντία. καὶ γὰρ οὐδ' ἄλλως ἦν πρᾳεῖά τις, οὐδ' ἄτολμος τὴν φύσιν. ἀλλὰ φιλότιμος γυνὴ, καὶ μᾶλλον, ὡς αὐτός φησιν ὁ κικέρων, τῶν πολιτικῶν μεταλαμβάνουσα παρ' ἐκείνου φροντίδων, ἢ μεταδιδοῦσα τῶν οἰκιακῶν ἐκείνῳ, ταῦτά τε

σιν. ἁρπαγὰς πάλιν καὶ διαφορήσεις πλούτων ἑτοίμων ὀνειροπολοῦντες. οὗτοι γὰρ ἡγεμόνα μάλιον ἔχοντες ἄνδρα τῶν ἐπιφανῶς ὑπὸ σύλλα στρατευσαμένων, συνίσταντο τῷ κατιλίνᾳ, καὶ παρῆσαν εἰς ῥώμην συναρχαιρεσιάσοντες. ὑπατείαν γὰρ αὖθις μετῄει, βεβουλευμένος ἀνελεῖν τὸν κικέρωνα περὶ αὐτὸν τὸν τῶν ἀρχαιρεσιῶν τὸν θόρυβον. ἐδόκει δὲ καὶ τὸ δαιμόνιον, προσημαίνειν τὰ πρασσόμενα, σεισμοῖς καὶ κεραυνοῖς καὶ φάσμασιν. αἱ δ' ἀπ' ἀνθρώπων μηνύσεις, ἀληθεῖς μὲν ἦσαν, οὔπω δ' εἰς ἔλεγχον ἀποχρῶσαι, κατ' ἀνδρὸς ἐνδόξου καὶ δυναμένου μέγα τοῦ κατιλίνα. διὸ τὴν ἡμέραν τῶν ἀρχαιρεσιῶν ὑπερθέμενος ὁ κικέρων, ἐκάλει τὸν κατιλίναν εἰς τὴν σύγκλητον, καὶ περὶ τῶν λεγομένων ἀνέκρινεν. ὁ δὲ, πολλοὺς οἰόμενος εἶναι τῶν πραγμάτων καινῶν ἐφιεμένους ἐν τῇ βουλῇ, καὶ ἅμα τοῖς συνωμόταις ἐνδεικνύμενος, ἀπεκρίνατο τῷ κικέρωνι, μανικὴν ὑπόκρισιν. τί γὰρ ἔφη πράττω δεινὸν, εἰ δυοῖν σωμάτων ὄντων, τοῦ μὲν ἰσχνοῦ καὶ κατεφθινηκότος, ἔχοντος δὲ κεφαλὴν, τοῦ δ' ἀκεφάλου μὲν, ἰσχυροῦ δὲ καὶ μεγάλου, τούτῳ κεφαλὴν αὐτὸς ἐπιτίθημι. τούτων εἴς τε τὴν βουλὴν καὶ τὸν δῆμον ᾐνιγμένων ὑπ' αὐτοῦ, μᾶλλον ὁ κικέρων ἔδεισε. καὶ τεθωρακισμένον αὐτὸν οἵ τε δυνατοὶ πάντες ἀπὸ τῆς οἰκίας, καὶ τῶν νέων πολλοὶ κατῆγον εἰς τὸ πεδίον. τοῦ δὲ θώρακος ἐπίτηδες ὑπέφαινέ τι παραλύσας ἐκ τῶν ὤμων τοῦ χιτῶνος, ἐνδεικνύμενος τοῖς ὁρῶσι τὸν κίνδυνον. οἱ δ' ἠγανάκτουν καὶ συνεστρέφοντο περὶ αὐτόν. καὶ τέλος, ἐν ταῖς ψήφοις, τὸν μὲν κατιλίναν αὖθις ἐξέβαλον. εἵλοντο δὲ σιλανὸν ὕπατον καὶ μουρήναν. οὐ πολλῷ δ' ὕστερον τούτων ἤδη τῷ κατιλίνᾳ τῶν ἐν τυρρηνίᾳ συνερχομένων, καὶ τῆς ὡρισμένης πρὸς τὴν ἐπίθεσιν ἡμέρας ἐγγὺς οὔσης, ἧκον ἐπὶ τὴν κικέρωνος οἰκίαν περὶ μέσας νύκτας, ἄνδρες οἱ πρῶτοι καὶ δυνατώτατοι ῥωμαίων. μάρκος τε κράσσος, καὶ μάρκος μάρκελλος, καὶ σκηπίων μέτελλος. κόψαντες δὲ τὰς θύρας καὶ καλέσαντες τὸν θυρωρὸν, ἐκέλευον ἀπεγεῖραι καὶ φράσαι κικέρωνι τὴν παρουσίαν αὐτῶν. ἦν δὲ τοιόνδε. τῷ κράσσῳ μετὰ δεῖπνον, ἐπιστολὰς ἀποδίδωσιν ὁ θυρωρὸς ὑπὸ δή τινος ἀνθρώπου κομισθείσας ἀγνώστου, ἄλλας ἄλλοις ἐπιγεγραμμένας, αὐτῷ δὲ κράσσῳ, μίαν ἀδέσποτον. ἣν μόνην ἀναγνοὺς ὁ κράσσος, ὡς ἔφραζε τὰ γράμματα, φόνον γενήσεσθαι πολὺν διὰ κατιλίναν, καὶ παρῄνει τῆς πόλεως ὑπεξελθεῖν, τὰς ἄλλας οὐκ ἔλυσεν, ἀλλ' ἧκεν εὐθὺς πρὸς τὸν κικέρωνα πληγεὶς ὑπὸ τοῦ δεινοῦ. καί τι τῆς αἰτίας ἀπολυόμενος ἣν εἶχε διὰ φιλίαν τοῦ κατιλίνα. βουλευσάμενος οὖν ὁ κικέρων, ἅμ' ἡμέρᾳ, βουλὴν συνήγαγε. καὶ τὰς ἐπιστολὰς κομίσας, ἀπέδωκεν οἷς ἦσαν ἐπεσταλμέναι, κελεύσας φανερῶς ἀναγνῶναι. πᾶσαι δ' ἦσαν ὁμοίως, ἐπιβουλὴν φράζουσαι. ἐπεὶ δὲ καὶ κόϊντος ἄῤῥιος ἀνὴρ στρατηγικὸς, ἀπήγγελλε τοὺς ἐν τυῤῥηνίᾳ καταλοχισμούς. καὶ μάλλιος ἀπηγγέλθη σὺν χειρὶ μεγάλῃ περὶ τὰς πόλεις ἐκείνας αἰωρούμενος ἀεί τι προσδοκᾶν καινὸν ἀπὸ τῆς ῥώμης, γίνεται δόγμα τῆς βουλῆς, παρακαταθέσθαι τοῖς ὑπάτοις τὰ πράγματα, δεξαμένους δ' ἐκείνους ὡς ἐπίστανται διοικεῖν καὶ σώζειν τὴν πόλιν. τοῦτο δ' οὐ πολλάκις, ἀλλ' ὅταν τι μέγα δείσῃ, ποιεῖν εἴωθεν ἡ σύγκλητος. ἐπεὶ δὲ ταύτην λαβὼν τὴν ἐξουσίαν ὁ κικέρων, τὰ μὲν ἔξω πράγματα, κοΐντῳ μετέλλῳ διεπίστευσε. τὴν δὲ πόλιν εἶχε διὰ χειρός. καὶ καθ' ἡμέραν προῄει δορυφορούμενος ὑπ' ἀνδρῶν τοσούτων τὸ πλῆθος, ὥστε τῆς ἀγορᾶς πολὺ μέρος κατέχειν ἐμβάλλοντος αὐτοῦ τοὺς παραπέμποντας, οὐκέτι καρτερῶν τὴν μέλλησιν ὁ κατιλίνας, αὐτὸς μὲν ἐκπηδᾶν ἔγνω πρὸς τὸν μάλλιον ἐπὶ τὸ στράτευμα. καὶ μάρκιον δὲ καὶ κέθηγον, ἐκέλευσε ξίφη λαβόντας, ἐλθεῖν ἐπὶ τὰς θύρας ἕωθεν ὡς ἀσπασομένους τὸν κικέρωνα, καὶ διαχρήσασθαι προσπεσόντας. τοῦτο φουλβία γυνὴ τῶν ἐπιφανῶν, ἐξαγγέλλει τῷ κικέρωνι νυκτὸς ἐλθοῦσα, καὶ διακελευσαμένη φυλάττεσθαι τοὺς περὶ τὸν κέθηγον. οἱ δ' ἧκον ἅμ' ἡμέρᾳ, καὶ κωλυθέντες εἰσελθεῖν, ἠγανάκτουν καὶ κατεβόων ἐπὶ θύραις, ὥστε ὑποπτότεροι γενέσθαι. προελθὼν δ' ὁ κικέρων, ἐκάλει τὴν σύγκλητον, εἰς τὸ τοῦ στησίου διὸς ἱερὸν, ὃν στάτορα ῥωμαῖοι καλοῦσιν, ἱδρυμένον ἐν ἀρχῇ τῆς ἱερᾶς ὁδοῦ πρὸς τὸ παλάτιον ἀνιόντων. ἐνταῦθα καὶ τοῦ κατιλίνα μετὰ τῶν ἄλλων ἐλθόντος, ὡς ἀπολογησομένου, συγκαθίσαι μὲν οὐδεὶς ὑπέμεινε τῶν συγκλητικῶν. ἀλλὰ πάντες ἀπὸ τοῦ βάθρου μετῆλθον. ἀρξάμενος δὲ λέγειν, ἐθορυβεῖτο. καὶ τέλος ἀναστὰς ὁ κικέρων, προσέταξεν αὐτῷ, τῆς πόλεως ἀπαλλάττεσθαι. δεῖν γὰρ, αὐτοῦ μὲν λόγοις, ἐκείνου δ' ὅπλοις πολιτευομένου, μέσον εἶναι τὸ τεῖχος. ὁ μὲν οὖν κατιλίνας εὐθὺς ἐξελθὼν μετὰ τριακοσίων ὁπλοφόρων, καὶ περιστησάμενος αὑτῷ ῥαβδουχίας ὡς ἄρχοντι καὶ πελέκεις, καὶ σημαίας ἐπαράμενος, πρὸς τὸν μάλλιον ἐχώρει. καὶ δισμυρίων ὁμοῦ τι συνηθροισμένων, ἐπῄει τὰς πόλεις ἀναπείθων καὶ ἀφιστάς. ὥστε τοῦ πολέμου φανεροῦ γεγονότος, τὸν ἀντώνιον ἀποσταλῆναι διαμαχούμενον. τοὺς δ' ὑπολειφθέντας ἐν τῇ πόλει τῶν διεφθαρμένων ὑπὸ τοῦ κατιλίνα, συνῆγε καὶ παρεθάῤῥυνε κορνήλιος λέντλος, σούρας ἐπίκλησιν, ἀνὴρ γένους μὲν ἐνδόξου, βεβιωκὼς δὲ φαύλως, καὶ δι' ἀσέλγειαν ἐξεληλαμένος τῆς βουλῆς πρότερον. τότε δὲ στρατηγῶν τὸ δεύτερον ὡς ἔθος ἐστὶ τοῖς ἐξ ὑπαρχῆς ἀνακτωμένοις τὸ βουλευτικὸν ἀξίωμα. λέγεται δὲ καὶ τὴν ἐπίκλησιν αὐτῷ γενέσθαι τὸν σούραν, ἐξ αἰτίας τοιαύτης. ἐν τοῖς κατὰ σύλλαν χρόνοις ταμιεύων, συχνὰ τῶν δημοσίων χρημάτων, ἀπώλεσε καὶ διέφθειρεν. ἀγανακτοῦντος δὲ τοῦ σύλλα καὶ λόγον ἀπαιτοῦντος ἐν τῇ συγκλήτῳ, προελθὼν ὀλιγώρως πάνυ καὶ καταφρονη-

καὶ ἀρμενίᾳ πολεμοῦντος, ἐν δὲ τῇ ῥώμῃ μηδεμιᾶς ὑφεστώσης πρὸς τοὺς νεωτερίζοντας ἀξιομάχου δυνάμεως. Οὗτοι κορυφαῖον εἶχον, ἄνδρα τολμητὴν καὶ μεγαλοπράγμονα καὶ ποικίλον τὸ ἦθος λεύκιον κατιλίναν. ὃς αἰτίαν ποτὲ πρὸς ἄλλοις ἀδικήμασι μεγάλοις ἔλαβε, παρθένῳ συγγεγονέναι θυγατρί. κτεῖναι δ' ἀδελφὸν αὑτοῦ. καὶ δίκην ἐπὶ τούτῳ φοβούμενος, ἔπεισε σύλλαν ὡς ἔτι ζῶντα τὸν ἄνθρωπον ἐν τοῖς ἀποθανουμένοις προγράψαι. τοῦτον οὖν προστάτην οἱ πονηροὶ λαβόντες, ἄλλας τε πίστεις ἀλλήλοις ἔδοσαν. καὶ καταθύσαντες ἄνθρωπον, ἐγεύσαντο τῶν σαρκῶν. διέφθαρτο δ' ὑπ' αὐτοῦ πολὺ μέρος τῆς ἐν τῇ πόλει νεότητος. ἡδονὰς καὶ πότους καὶ γυναικῶν ἔρωτας, ἀεὶ προξενοῦντος ἑκάστῳ, καὶ τὴν εἰς ταῦτα δαπάνην ἀφειδῶς παρασκευάζοντος. ἐπῆρτο δ' ἥ τε τυρρηνία πρὸς ἀπόστασιν ὅλη, καὶ τὰ πολλὰ τῆς ἐντὸς ἄλπεων γαλατίας. ἐπισφαλέστατα δ' ἡ ῥώμη πρὸς μεταβολὴν εἶχε, διὰ τὴν ἐν ταῖς οὐσίαις ἀνωμαλίαν. τῶν μὲν ἐνδόξων μάλιστα καὶ φρονήματι, καὶ πεπτωχευμένων εἰς θέατρα καὶ δεῖπνα καὶ φιλαρχίας, καὶ οἰκοδομίας· τῶν δὲ πλούτων εἰς ἀγεννεῖς καὶ ταπεινοὺς συνερρυηκότων ἀνθρώπους, ὥστε μικρᾶς ῥοπῆς δεῖσθαι τὰ πράγματα. καὶ παντὸς εἶναι τοῦ τολμήσαντος ἐκστῆσαι τὴν πολιτείαν αὐτὴν ὑφ' αὑτῆς νοσοῦσαν. οὐ μὴν, ἀλλὰ βουλόμενος ὁ κατιλίνας ἰσχυρόν τι προκαταλαβεῖν ὁρμητήριον, ὑπατείαν μετῄει. καὶ λαμπρὸς ἦν ταῖς ἐλπίσιν ὡς γαΐῳ ἀντωνίῳ συνυπατεύσων. ἀνδρὶ καθ' αὑτὸν μὲν, οὔτε πρὸς τὸ βέλτιον, οὔτε πρὸς τὸ χεῖρον ἡγεμονικῷ, προσθήκην δ' ἄγοντος ἑτέρου δυνάμεως ἐσομένου. ταῦτα δὴ τῶν καλῶν καὶ ἀγαθῶν οἱ πλεῖστοι προαισθόμενοι, τὸν κικέρωνα προῆγον ἐπὶ τὴν ὑπατείαν. καὶ τοῦ δήμου δεξαμένου προθύμως, ὁ μὲν κατιλίνας, ἐξέπεσε. κικέρων δὲ καὶ γάϊος ἀντώνιος ᾑρέθησαν. καίτοι τῶν μετιόντων, ὁ κικέρων μόνος ἦν ἐξ ἱππικοῦ πατρὸς, οὐ βουλευτοῦ γεγονώς. καὶ τὰ μὲν περὶ κατιλίναν ἔμελλεν ἔτι τοὺς πολλοὺς λανθάνοντα. προαγῶνες δὲ μεγάλοι τὴν κικέρωνος ὑπατείαν ἐξεδέξαντο. τοῦτο μὲν γὰρ, οἱ κεκωλυμένοι κατὰ τοὺς σύλλα νόμους ἄρχειν, οὔτ' ἀσθενεῖς ὄντες, οὔτ' ὀλίγοι μετιόντες ἀρχὰς, ἐδημαγώγουν. πολλὰ τῆς σύλλα τυραννίδος ἀληθῆ μὲν καὶ δίκαια κατηγοροῦντες, οὐ μὴν ἐν δέοντι τὴν πολιτείαν, οὐδ' ἐν καιρῷ κινοῦντες. Τοῦτο δὲ, νόμους εἰσῆγον οἱ δήμαρχοι πρὸς τὴν αὐτὴν ὑπόθεσιν, δεκαδαρχίαν καθιστάντες αὐτοκρατόρων ἀνδρῶν οἷς ἐφεῖτο, πάσης μὲν ἰταλίας, πάσης δὲ συρίας, καὶ ὅσα διὰ πομπηΐου νεωστὶ προσωρίσθη κυρίους ὄντας, πωλεῖν τὰ δημόσια. κρίνειν οὓς δοκοίη. φυγάδας ἐκβάλλειν. συνοικίζειν πόλεις. χρήματα λαμβάνειν ἐκ τοῦ ταμιείου. στρατιώτας τρέφειν καὶ καταλέγειν, ὁπόσων δέοιντο. διὸ καὶ τῷ νόμῳ προσεῖχον ἄλλοι τε τῶν ἐπιφανῶν, καὶ πρῶτος ἀντώνιος ὁ τοῦ κικέρωνος συνάρχων, ὡς τῶν δέκα γενησόμενος. ἐδόκει δὲ καὶ τὸν κατιλίνα νεωτερισμὸν εἰδὼς, οὐ δυσχεραίνειν ὑπὸ πλήθους δανείων, ὃ μάλιστα τοῖς ἀρίστοις, φόβον παρεῖχε. καὶ τοῦτο πρῶτον θεραπεύων ὁ κικέρων, ἐκείνῳ μὲν ἐψηφίσατο τὴν ἐπαρχίαν μακεδονίαν, αὐτῷ δὲ τὴν γαλατίαν διδομένην, παρῃτήσατο. καὶ κατειργάσατο τῇ χάριτι ταύτῃ τὸν ἀντώνιον, ὥσπερ ὑποκριτὴν ἔμμισθον αὐτῷ τὰ δεύτερα λέγειν ὑπὲρ τῆς πατρίδος. ὡς δ' οὗτος ἑαλώκει καὶ χειροήθης ἐγεγόνει, μᾶλλον ἤδη θαρρῶν ὁ κικέρων, ἐνίστατο πρὸς τοὺς καινοτομοῦντας. ἐν μὲν οὖν τῇ βουλῇ, κατηγορίαν τινὰ τοῦ νόμου διαθέμενος, οὕτως ἐξέπληξεν αὐτοὺς τοὺς εἰσφέροντας, ὥστε μηδὲν ἀντιλέγειν. ἐπεὶ δ' αὖθις ἐπεχείρουν καὶ παρεσκευασμένοι προεκαλοῦντο τοὺς ὑπάτους ἐπὶ τὸν δῆμον, οὐδὲν ὑποδείσας ὁ κικέρων, ἀλλὰ τὴν βουλὴν ἕπεσθαι κελεύσας καὶ προελθὼν, οὐ μόνον ἐξέβαλε τὸν νόμον, ἀλλὰ καὶ τῶν ἄλλων ἀπογνῶναι τοὺς δημάρχους ἐποίησε, παρὰ τοσοῦτον τῷ λόγῳ κρατηθέντας ὑπ' αὐτοῦ. μάλιστα γὰρ οὗτος ὁ ἀνὴρ ἐπέδειξε ῥωμαίοις ὅσον ἡδονῆς λόγος τῷ καλῷ προστίθησι. καὶ ὅτι τὸ δίκαιον, ἀήττητόν ἐστιν ἂν ὀρθῶς λέγηται. καὶ δεῖ τὸν ἐμμελῶς πολιτευόμενον ἀεὶ, τῷ μὲν ἔργῳ, τὸ καλὸν ἀντὶ τοῦ κολακεύοντος αἱρεῖσθαι. τῷ δὲ λόγῳ, τὸ λυποῦν ἀφαιρεῖν τοῦ συμφέροντος. δεῖγμα δ' αὐτοῦ τῆς περὶ τὸν λόγον χάριτος, καὶ τὸ περὶ τὰς θέας ἐν τῇ ὑπατείᾳ γενόμενον. τῶν γὰρ ἱππικῶν πρότερον ἐν τοῖς θεάτροις ἀναμεμιγμένων τοῖς πολλοῖς, καὶ μετὰ τοῦ δήμου θεωμένων ὡς ἔτυχε, πρῶτος διέκρινεν ἐπὶ τιμῇ τοὺς ἱππέας ἀπὸ τῶν ἄλλων πολιτῶν, μάρκος ὄθων στρατηγῶν. καὶ διένειμεν ἰδίαν ἐκείνοις θέαν, ἣν ἔτι καὶ νῦν, ἐξαίρετον ἔχουσι. τοῦτο πρὸς ἀτιμίαν ὁ δῆμος ἔλαβε, καὶ φανέντος ἐν θεάτρῳ τοῦ ὄθωνος, ἐφυβρίζων, ἐσύριττεν. οἱ δ' ἱππεῖς, ὑπέλαβον κρότῳ τὸν ἄνδρα λαμπρῶς. αὖθις δ' ὁ δῆμος ἐπέτεινε τὸν συριγμόν. εἶτα ἐκεῖνοι τὸν κρότον. ἐκ δὲ τούτου τραπόμενοι πρὸς ἀλλήλους, ἐχρῶντο λοιδορίαις. καὶ τὸ θέατρον, ἀκοσμία κατεῖχεν. ἐπεὶ δ' ὁ κικέρων ἧκε πυθόμενος, καὶ τὸν δῆμον ἐκκαλέσας πρὸς τὸ τῆς ἐνυοῦς ἱερὸν, ἐπετίμησε καὶ παρῄνεσεν, ἀπελθόντες αὖθις εἰς τὸ θέατρον, ἐκρότουν τὸν ὄθωνα λαμπρῶς. καὶ πρὸς τοὺς ἱππέας ἅμιλλαν ἐποιοῦντο περὶ τιμῶν καὶ δόξης τοῦ ἀνδρός. ἡ δὲ περὶ τὸν κατιλίναν συνωμοσία πτήξασα καὶ καταδείσασα τὴν ἀρχὴν, αὖθις ἀνεθάρρει. καὶ συνῆγον ἀλλήλους καὶ παρεκάλουν, εὐτολμότερον ἅπτεσθαι τῶν πραγμάτων, πρὶν ἐπανελθεῖν πομπήϊον ἤδη λεγόμενον ὑποστρέφειν μετὰ τῆς δυνάμεως. μάλιστα δὲ τὸν κατιλίναν ἐξηρέθιζον οἱ σύλλα πάλαι στρατιῶται. διαπεφυκότες μὲν ὅλης τῆς ἰταλίας, πλεῖστοι δὲ καὶ μαχιμώτατοι ταῖς τυρρηνικαῖς ἐγκατεσπαρμένοι πόλεσιν. ἀφ' ἁρπαγὰς

πλουτ. s. τ.

προσθήκη τ.
ἐσομένῳ ἴσ. ω.

I— s. κ γ.

μο

Quod hic dixit δηναρίων. mos est Graecis dicere, per drachmas. Et quandoque relinquunt drachmas, sed esse ... numeri nomen posuisse, ... sub intelligendum est δραχμῶν. hoc autem evenit ... frequenti ... usu.

κόντων, ἀλλ' οὐκ εἰπὼν, ἀλλὰ τρόπον τινὰ τοῦ μὴ εἰπεῖν. τῶν γὰρ στρατηγῶν τῷ βέρρῃ χαριζομένων, καὶ τὴν δίκην ὑπερθέσεσι πολλαῖς εἰς τὴν ὑστάτην ἐκβαλλόντων, ὡς ἦν πρόδηλον ὅτι τοῖς λόγοις ὁ τῆς ἡμέρας οὐκ ἐξαρκέσει χρόνος, οὐδὲ λήψεται πέρας ἡ κρίσις, ἀναστὰς ὁ κικέρων, ἔφη μὴ δεῖσθαι λόγων, ἀλλ' ἐπαγαγὼν τοὺς μάρτυρας, καὶ ἐπικρίνας, ἐκέλευσε φέρειν τὴν ψῆφον τοὺς δικαστάς. ὅμως δὲ πολλὰ χαρίεντα διαμνημονεύεται καὶ περὶ ἐκείνην αὐτοῦ τὴν δίκην. βέρρην γὰρ οἱ ῥωμαῖοι τὸν ἐκτετμημένον χοῖρον καλοῦσιν. ὡς οὖν ἀπελευθερικὸς ἄνθρωπος ἔνοχος τῷ ἰουδαΐζειν, ὄνομα καικίλιος, ἐβούλετο παρωσάμενος τοὺς σικελιώτας κατηγορεῖν τοῦ βέρρου, τί ἰουδαίῳ πρὸς χοῖρον ἔφη ὁ κικέρων. ἦν δὲ τῷ βέρρῃ καὶ ἀντίπαις υἱὸς, οὐκ ἐλευθερίως δοκῶν προΐστασθαι τῆς ὥρας. λοιδορηθεὶς οὖν ὁ κικέρων εἰς μαλακίαν ὑπὸ τοῦ βέρρου, τοῖς υἱοῖς εἶπεν ἐντὸς θυρῶν δεῖ λοιδορεῖσθαι. τοῦ δὲ ῥήτορος ὁρτησίου τὴν μὲν εὐθεῖαν τῷ βέρρῃ συνειπεῖν μὴ τολμήσαντος, ἐν δὲ τῷ τιμήματι πεισθέντος παραγενέσθαι, καὶ λαβόντος ἐλεφαντίνην σφίγγα μισθὸν, ἐπεί τι πλαγίως ὁ κικέρων πρὸς αὐτὸν. τοῦ δὲ φήσαντος αἰνιγμάτων λύσεων ἀπείρως ἔχειν, καὶ μὴν ἐπὶ τῆς οἰκίας, τὴν σφίγγα ἔχεις. οὕτω δὲ τοῦ βέρρου καταδικασθέντος, ἑβδομήκοντα πέντε μυριάδων τιμησάμενος τὴν δίκην ὁ κικέρων, διαβολὴν ἔσχεν, ὡς ἐπ' ἀργυρίῳ τὸ τίμημα καθυφειμένος. οὐ μὴν ἀλλ' οἱ σικελιῶται χάριν εἰδότες ἀγορανομοῦντος αὐτοῦ, πολλὰ μὲν ἄγοντες ἀπὸ τῆς νήσου, πολλὰ δὲ φέροντες ἧκον. ὧν οὐδὲν ἐποιήσατο κέρδος. ἀλλ' ὅσον ἐπευωνίσαι τὴν ἀγορὰν, ἀπεχρήσατο τῇ φιλοτιμίᾳ τῶν ἀνθρώπων. ἐκέκτητο δὲ χωρίον καλὸν ἐν ἄρποις. καὶ περὶ νέαν πόλιν ἦν ἀγρὸς, καὶ περὶ πομπηΐους ἕτερος, οὐ μεγάλοι. φερνή τε τερεντίας τῆς γυναικὸς προσεγένετο μυριάδων δώδεκα. καὶ κληρονομία τις εἰς ἐννέα δηναρίων συναχθεῖσα μυριάδας. ἀπὸ τούτων ἐλευθερίως ἅμα καὶ σωφρόνως διῆγε. μετὰ τῶν συμβιούντων ἑλλήνων καὶ ῥωμαίων φιλολόγων. σπάνιον εἴποτε πρὸ δυσμῶν ἡλίου κατακλινόμενος. οὐχ οὕτω δι' ἀσχολίαν, ὡς διὰ τὸ σῶμα τῷ στομάχῳ μοχθηρῶς διακείμενον. ἦν δὲ καὶ τὴν ἄλλην περὶ τὸ σῶμα θεραπείαν, ἀκριβὴς καὶ περιττός. ὥστε καὶ τρίψεσι καὶ περιπάτοις ἀριθμῷ τεταγμένοις χρῆσθαι. τοῦτον τὸν τρόπον διαπαιδαγωγῶν τὴν ἕξιν, ἄνοσον καὶ διαρκῆ πρὸς πολλοὺς καὶ μεγάλους ἀγῶνας καὶ πόνους συνεῖχεν. οἰκίαν δὲ τὴν μὲν πατρῴαν, τῷ ἀδελφῷ παρεχώρησεν. αὐτὸς δ' ᾤκει περὶ τὸ παλάτιον, ὑπὲρ τοῦ μὴ μακρὰν βαδίζοντας ἐνοχλεῖσθαι τοὺς θεραπεύοντας αὐτόν. ἐθεράπευον δὲ, καθ' ἡμέραν ἐπὶ θύρας φοιτῶντες, οὐκ ἐλάττονες, ἢ κράσσον ἐπὶ πλούτῳ, καὶ πομπήϊον διὰ τὴν ἐν τοῖς στρατεύμασι δύναμιν, θαυμαζομένους μάλιστα ῥωμαίων, καὶ μεγίστους ὄντας. πομπήϊον δὲ, καὶ κικέρωνα ἐθεράπευε, καὶ μεγάλα πρὸς δύναμιν αὐτῷ καὶ δόξαν, ἡ κικέρωνος συνέπραξε πολιτεία. στρατηγίαν δὲ μετιόντων ἅμα σὺν αὐτῷ πολλῶν καὶ μεγάλων, πρῶτος ἁπάντων ἀνηγορεύθη. καὶ τὰς κρίσεις ἔδοξε καθαρῶς καὶ καλῶς βραβεῦσαι. λέγεται δὲ καὶ λικίνιος μάκερ, ἀνὴρ καὶ καθ' αὑτὸν ἰσχύων ἐν τῇ πόλει μέγα, καὶ κράσσῳ χρώμενος βοηθῷ κρινόμενος κλοπῆς ὑπ' αὐτοῦ, τῇ δυνάμει καὶ σπουδῇ πεποιθὼς, ἔτι τὴν ψῆφον τῶν κριτῶν διαφερόντων ἀπαλλαγεὶς οἴκαδε, κείρασθαί τε τὴν κεφαλὴν κατὰ τάχος, καὶ καθαρὸν ἱμάτιον ὡς νενικηκὼς λαβὼν, αὖθις εἰς ἀγορὰν προϊέναι. τοῦ δὲ κράσσου περὶ τὴν αὔλειον ἀπαντήσαντος αὐτῷ καὶ φράσαντος, ὅτι πάσαις ἑάλωκε ταῖς ψήφοις, ἀναστρέψας καὶ κατακλιθεὶς, ἀποθανεῖν. τὸ δὲ πρᾶγμα τῷ κικέρωνι δόξαν ἤνεγκεν, ὡς ἐπιμελῶς βραβεύσαντι τὸ δικαστήριον. ἐπεὶ δὲ οὐατίνιος ἀνὴρ ἔχων τι τραχὺ καὶ πρὸς τοὺς ἄρχοντας ὀλίγωρον ἐν ταῖς συνηγορίαις, χοιράδων δὲ τὸν τράχηλον περίπλεως, ᾐτεῖτό τι καταστὰς παρὰ τοῦ κικέρωνος. καὶ μὴ διδόντος ἀλλὰ βουλευομένου πλείω χρόνον, εἶπεν ὡς οὐκ ἂν αὐτὸς διστάσειε περὶ τούτου στρατηγῶν, ἐπιστραφεὶς ὁ κικέρων, ἀλλ' ἐγὼ εἶπεν, οὐκ ἔχω τηλικοῦτον τράχηλον. ἔτι δ' ἡμέρας δύο ἢ τρεῖς ἔχοντι τῆς ἀρχῆς αὐτῷ, προσήγαγέ τις μανίλιον εὐθύνων κλοπῆς. ὁ δὲ μανίλιος οὗτος, εὔνοιαν εἶχε καὶ σπουδὴν ὑπὸ τοῦ δήμου, ἐλαύνεσθαι διὰ πομπήϊον. ἐκείνου γὰρ ἦν φίλος. αἰτουμένου δ' ἡμέρας αὐτοῦ μίαν, ὁ κικέρων μόνην τὴν ἐπιοῦσαν ἔδωκε. καὶ ὁ δῆμος ἠγανάκτησεν, ἐθισμένων τῶν στρατηγῶν δέκα τοὐλάχιστον ἡμέρας διδόναι τοῖς κινδυνεύουσι. τῶν δὲ δημάρχων αὐτὸν ἀναγαγόντων ἐπὶ τὸ βῆμα καὶ κατηγορούντων, ἀκουσθῆναι δεηθεὶς εἶπεν. ὅτι τοῖς κινδυνεύουσιν ἀεὶ καθ' ὅσον οἱ νόμοι παρήκουσι κεχρημένος ἐπιεικῶς καὶ φιλανθρώπως, δεινὸν ἡγεῖτο τῷ μανιλίῳ ταῦτα μὴ παρασχεῖν. ἧς οὖν ἔτι μόνης κύριος ἦν ἡμέρας στρατηγῶν, ταύτην ἐπίτηδες ὁρίσαι. τὸ γὰρ εἰς ἄλλον ἄρχοντα τὴν κρίσιν ἐκβαλεῖν, οὐκ εἶναι βουλομένου βοηθεῖν. ταῦτα λεχθέντα, θαυμαστὴν ἐποίησε τοῦ δήμου μεταβολήν. καὶ πολλὰ κατευφημοῦντες αὐτὸν, ἐδέοντο τὴν ὑπὲρ τοῦ μανιλίου συνηγορίαν ἀναλαβεῖν. ὁ δ' ὑπέστη προθύμως, οὐχ ἥκιστα διὰ πομπήϊον ἀπόντα. καὶ καταστὰς πάλιν ἐξ ὑπαρχῆς, ἐδημηγόρησε νεανικῶς τῶν ὀλιγαρχικῶν καὶ τῶν πομπηΐῳ φθονούντων καθαπτόμενος. ἐπὶ δὲ τὴν ὑπατείαν, οὐχ ἧττον ὑπὸ τῶν ἀριστοκρατικῶν ἢ τῶν πολλῶν προήχθη διὰ τὴν πόλιν, ἐξ αἰτίας αὐτῷ τοιαύτης συναγωνισαμένων. τῆς ὑπὸ σύλλα γενομένης μεταβολῆς περὶ τὴν πολιτείαν ἐν ἀρχῇ μὲν ἀτόπου φανείσης, τότε δὲ τοῖς πολλοῖς ὑπὸ χρόνου καὶ συνηθείας ἤδη τινὰ κατάστασιν ἔχειν οὐ φαύλην δοκούσης, ἦσαν οἱ τὰ παρόντα διασεῖσαι καὶ μεταθεῖναι ζητοῦντες, ἰδίων ἕνεκα πλεονεξιῶν, οὐ πρὸς τὸ βέλτιστον, πομπηΐου μὲν ἔτι τοῖς βασιλεῦσιν ἐν πόν

δέκα. τ. ς.

σπουδῇ

δοκῶν. τ. ς.

αἰτουμένου δ' ἡμέρας αὐτοῦ, μίαν ὁ κικέρων. τ. ς.

γον ἐν τοῖς πλείστοις. ὁ δὲ κικέρων ἐκεῖνα ἠγάπα, κἀκείνοις προσεῖχε μᾶλλον, διανοούμενος, εἰ παντάπασιν ἐκπέσοι τοῦ τὰ κοινὰ πράττειν, δεῦρο μετενεγκάμενος τὸν βίον ἐκ τῆς ἀγορᾶς καὶ τῆς πολιτείας, ἐν ἡσυχίᾳ μετὰ φιλοσοφίας καταζῆν. ἐπεὶ δ' αὐτῷ σύλλας τε προσηγγέλθη τεθνηκώς, καὶ τὸ σῶμα τοῖς γυμνασίοις ἀναρρωννύμενον εἰς ἕξιν ἐβάδιζε νεανικήν, ἥ τε φωνὴ λαμβάνουσα πλάσιν, ἡδεῖα μὲν πρὸς ἀκοὴν ἐτέθραπτο καὶ πολλή, μετρίως δὲ πρὸς τὴν ἕξιν ἥρμοστο τοῦ σώματος, πολλὰ μὲν τῶν ἀπὸ ῥώμης φίλων γραφόντων καὶ δεομένων, πολλὰ δ' ἀντιόχου παρακελευομένου τοῖς κοινοῖς ἐπιβαλεῖν πράγμασιν, αὖθις ὥσπερ ὄργανον ἐξήρτυε τὸν ῥητορικὸν λόγον, καὶ ἀνεκίνει τὴν πολιτικὴν δύναμιν, αὐτόν τε ταῖς μελέταις διαπονῶν, καὶ τοὺς ἐπαινουμένους μετιὼν ῥήτορας. ὅθεν εἰς ἀσίαν καὶ ῥόδον ἔπλευσε, καὶ τῶν μὲν ἀσιανῶν ῥητόρων, ξενοκλεῖ τῷ ἀδραμυττηνῷ, καὶ διονυσίῳ τῷ μάγνητι, καὶ μενίππῳ τῷ καρὶ συνεσχόλασεν. ἐν δὲ ῥόδῳ, ῥήτορι μὲν ἀπολλωνίῳ τῷ μόλωνος, φιλοσόφῳ δὲ ποσειδωνίῳ. λέγεται δὲ τὸν ἀπολλώνιον οὐ συνιέντα τὴν ῥωμαϊκὴν διάλεκτον, δεηθῆναι τοῦ κικέρωνος ἑλληνιστὶ μελετῆσαι. τὸν δ' ὑπακοῦσαι προθύμως, οἰόμενον οὕτως ἔσεσθαι βελτίονα τὴν ἐπανόρθωσιν. ἐπεὶ δ' ἐμελέτησε, τοὺς μὲν ἄλλους ἐκπεπλῆχθαι καὶ διαμιλλᾶσθαι πρὸς ἀλλήλους τοῖς ἐπαίνοις. τὸν δ' ἀπολλώνιον οὔτ' ἀκροώμενον αὐτοῦ διαχυθῆναι, καὶ παυσαμένου, συννοοῦντα καθέζεσθαι πολὺν χρόνον, ἀχθομένου δὲ τοῦ κικέρωνος, εἰπεῖν. σὲ μὲν ὦ κικέρων, ἐπαινῶ καὶ θαυμάζω. τῆς δὲ ἑλλάδος οἰκτείρω τὴν τύχην ὁρῶν, ἃ μόνα τῶν καλῶν ἡμῖν ὑπελείπετο, καὶ ταῦτα ῥωμαίοις διὰ σοῦ προσγενόμενα, παιδείαν καὶ λόγον. ὁ γοῦν κικέρων ἐλπίδων μεστὸς ἐπὶ τὴν πολιτείαν φερόμενος, ὑπὸ χρησμοῦ τινὸς ἀπημβλύνθη τὴν ὁρμήν. ἐρομένῳ γὰρ αὐτῷ τὸν ἐν δελφοῖς θεὸν ὅπως ἂν ἐνδοξότατος γένοιτο, προσέταξεν ἡ πυθία τὴν ἑαυτοῦ φύσιν, ἀλλὰ μὴ τὴν τῶν πολλῶν δόξαν ἡγεμόνα ποιεῖσθαι τοῦ βίου. καὶ τόν τε πρῶτον ἐν ῥώμῃ χρόνον εὐλαβῶς διῆγε. καὶ ταῖς ἀρχαῖς ὀκνηρῶς προσῄει καὶ παρημελεῖτο. ταῦτα δὴ τὰ ῥωμαίων τοῖς βαναυσοτάτοις πρόχειρα καὶ συνήθη ῥήματα, γραικὸς καὶ σχολαστικὸς ἀκούων. ἐπεὶ δὲ φύσει φιλότιμος ὢν καὶ παροξυνόμενος ὑπὸ τοῦ πατρὸς καὶ τῶν φίλων, ἐπέδωκεν εἰς τὸ συνηγορεῖν ἑαυτόν, οὐκ ἠρέμα τῷ πρωτείῳ προσῆλθεν, ἀλλ' εὐθὺς ἐξέλαμψε τῇ δόξῃ, καὶ διέφερε πολὺ τῶν ἀγωνιζομένων ἐπ' ἀγορᾶς. λέγεται δὲ καὶ αὐτὸς οὐδὲν ἧττον νοσήσας τοῦ δημοσθένους πρὸς τὴν ὑπόκρισιν, τοῦτο μὲν ῥωσκίῳ τῷ κωμῳδῷ, τοῦτο δ' αἰσώπῳ τῷ τραγῳδῷ προσέχειν ἐπιμελῶς. τὸν δ' αἴσωπον τοῦτον, ἱστοροῦσιν ὑποκρινόμενον ἐν θεάτρῳ τὸν περὶ τῆς τιμωρίας τοῦ θυέστου βουλευόμενον ἀτρέα, τῶν ὑπηρετῶν τινὸς ἄφνω παραδραμόντος, ἔξω τῶν ἑαυτοῦ λογισμῶν διὰ τὸ πάθος ὄντα, τῷ σκήπτρῳ πατάξαι καὶ ἀνελεῖν. οὐ μικρὰ δὲ πρὸς τὸ πείθειν ὑπῆρχεν ἐκ τοῦ ὑποκρίνεσθαι ῥοπὴ τῷ κικέρωνι. καὶ τούς γε τῷ βοᾶν μεγάλα χρωμένους ῥήτορας ἐπισκώπτων, ἔλεγε δι' ἀσθένειαν ἐπὶ τὴν κραυγὴν ὥσπερ χωλοὺς ἐφ' ἵππον πηδᾶν. ἡ δὲ περὶ τὰ σκώμματα καὶ τὴν παιδιὰν ταύτην εὐτραπελία, δικανικὸν μὲν ἐδόκει καὶ γλαφυρόν. χρώμενος δ' αὐτῇ κατακόρως, πολλοὺς ἐλύπει καὶ κακοηθείας ἐλάμβανε δόξαν. ἀποδειχθεὶς δὲ ταμίας ἐν σιτοδείᾳ, καὶ λαχὼν σικελίαν, ἠνώχλησε τοῖς ἀνθρώποις ἐν ἀρχῇ σῖτον εἰς ῥώμην ἀποστέλλειν ἀναγκαζόμενος. ὕστερον δὲ τῆς ἐπιμελείας καὶ δικαιοσύνης καὶ πρᾳότητος αὐτοῦ πεῖραν λαμβάνοντες, ὡς οὐδένα τῶν πώποθ' ἡγεμόνων ἐτίμησαν. ἐπεὶ δὲ πολλοὶ τῶν ἀπὸ ῥώμης νέων ἔνδοξοι καὶ γεγονότες καλῶς αἰτίαν ἔχοντες ἀταξίας καὶ μαλακίας περὶ τὸν πόλεμον, ἀνεπέμφθησαν ἐπὶ τὸν στρατηγὸν τῆς σικελίας, συνεῖπεν αὐτοῖς ὁ κικέρων ἐπιφανῶς καὶ περιεποίησεν. ἐπὶ τούτοις οὖν μέγα φρονῶν, εἰς ῥώμην βαδίζων, γελοῖόν τι παθεῖν φησι. συντυχὼν γὰρ ἀνδρὶ τῶν ἐπιφανῶν φίλῳ δοκοῦντι, περὶ καμπανίαν ἐρέσθαι, τίνα δὴ τῶν πεπραγμένων ὑπ' αὐτοῦ λόγον ἔχουσι ῥωμαῖοι, καὶ τί φρονοῦσιν, ὡς ὀνόματος καὶ δόξης τῶν πεπραγμένων αὐτῷ τὴν πόλιν ἅπασαν ἐμπεπληκώς. τὸν δ' εἰπεῖν, ποῦ γὰρ ἦς ὦ κικέρων τὸν χρόνον τοῦτον. τότε μὲν οὖν ἐξαθυμῆσαι παντάπασιν, εἰ καθάπερ εἰς πέλαγος ἀχανὲς τὴν πόλιν ἐμπεσὼν ὁ περὶ αὐτοῦ λόγος, οὐδὲν εἰς δόξαν ἐπίδηλον πεποίηκεν. ὕστερον δὲ λογισμὸν ἑαυτῷ διδοὺς, πολὺ τῆς φιλοτιμίας ὑφεῖλεν, ὡς πρὸς ἀόριστον πρᾶγμα τὴν δόξαν ἁμιλλώμενος, καὶ πέρας οὐκ ἐφικτὸν ἔχουσαν. οὐ μὴν ἀλλὰ τό γε χαίρειν ἐπαινούμενον διαφερόντως, καὶ πρὸς δόξαν ἐμπαθέστερον ἔχειν, ἄχρι παντὸς αὐτῷ παρέμεινε, καὶ πολλοὺς πολλάκις τῶν ὀρθῶν ἐπετάραξε λογισμῶν. ἁπτόμενος δὲ τῆς πολιτείας προθυμότερον, αἰσχρὸν ἡγεῖτο, τοὺς μὲν βαναύσους ὀργάνοις χρωμένους καὶ σκεύεσιν ἀψύχοις, μηδενὸς ἀγνοεῖν ὄνομα, μηδὲ χώραν ἢ δύναμιν αὐτῶν. τὸν δὲ πολιτικὸν, ᾧ δι' ἀνθρώπων αἱ κοιναὶ πράξεις περαίνονται, ῥᾳθύμως καὶ ἀμελῶς ἔχειν περὶ τὴν τῶν πολιτικῶν γνῶσιν. ὅθεν οὐ μόνον τῶν ὀνομάτων ἔθιζεν μνημονεύειν, ἀλλὰ καὶ τὸν τόπον ἐν ᾧ τῶν γνωρίμων ἕκαστος οἰκῶν, καὶ χωρίον οὗ κέκτηται, καὶ φίλους οἷς τισι χρῆται, καὶ γείτονας ἐγίνωσκε. καὶ πᾶσαν ὁδὸν ἰταλίας διαπορευομένῳ κικέρωνι, πρόχειρον ἦν εἰπεῖν καὶ ἐπιδεῖξαι τοὺς τῶν φίλων ἀγροὺς καὶ τὰς ἐπαύλεις. οὐσίαν δὲ μικρὰν μὲν, ἱκανὴν δὲ καὶ ταῖς δαπάναις ἐπαρκῆ κεκτημένος, ἐθαυμάζετο, μήτε μισθοὺς, μήτε δῶρα προσιέμενος ἀπὸ τῆς συνηγορίας. μάλιστα δ' ὅτε τὴν κατὰ βέῤῥου δίκην ἀνέλαβε. τοῦτον γὰρ στρατηγὸν γεγονότα τῆς σικελίας, καὶ πολλὰ πεπονηρευμένον, τῶν σικελιωτῶν διω-

ἀχθομένου s.R.T.

ἁπτόμενος h.τ.

μνημονεύειν τ.ς. οἰκεῖ

Κικέρωνος δὲ τὴν μὲν μητέρα λέγουσιν Ἑλβίαν καὶ γεγονέναι καὶ καλῶς βεβιωκέναι. περὶ δὲ τοῦ πατρὸς, οὐδὲν ἦν πυθέσθαι μέτριον. οἱ μὲν γὰρ, ἐν κναφείῳ τινὶ καὶ γενέσθαι καὶ τραφῆναι τὸν ἄνδρα λέγουσιν. οἱ δ᾽ εἰς Τύλλιον Ἄππιον ἀνάγουσι τὴν ἀρχὴν τοῦ γένους, βασιλεύσαντα λαμπρῶς ἐν Οὐολούσκοις. ὁ μέντοι πρῶτος ἐκ τοῦ γένους Κικέρων ἐπονομασθεὶς, ἄξιος λόγου δοκεῖ γενέσθαι. διὸ τὴν ἐπίκλησιν οὐκ ἀπέρριψαν οἱ μετ᾽ αὐτὸν, ἀλλ᾽ ἠσπάζοντο, καίπερ ὑπὸ πολλῶν χλευαζομένην. κίκερ γὰρ οἱ Λατῖνοι τὸν ἐρέβινθον καλοῦσιν. κἀκεῖνος ἐν τῷ πέρατι τῆς ῥινὸς, διαστολὴν ἀμβλεῖαν εἶχεν, ὥσπερ ἐρεβίνθου διαφυὴν, ἀφ᾽ ἧς ἐκτήσατο τὴν ἐπωνυμίαν. αὐτός γε μὴν Κικέρων ὑπὲρ οὗ τάδε γέγραπται, τῶν φίλων αὐτὸν οἰομένων δεῖν ὅτε πρῶτον ἀρχὴν μετῄει καὶ πολιτείας ἥπτετο, φυγεῖν τοὔνομα καὶ μεταθέσθαι, λέγεται νεανιευσάμενος εἰπεῖν, ὡς ἀγωνιεῖται τὸν Κικέρωνα τῶν Σκαύρων καὶ τῶν Κάτλων ἐνδοξότερον ἀποδεῖξαι. ταμιεύων δ᾽ ἐν Σικελίᾳ καὶ τοῖς θεοῖς ἀνάθημα ποιούμενος ἀργυροῦν, τὰ μὲν πρῶτα, τῶν δύο ὀνομάτων ἐπέγραψε τόν τε Μάρκον καὶ τὸν Τύλλιον. ἀντὶ δὲ τοῦ τρίτου, σκώπτων, ἐρέβινθον ἐκέλευσε παρὰ τὰ γράμματα τὸν τεχνίτην ἐντορεῦσαι. ταῦτα μὲν οὖν, περὶ τοῦ ὀνόματος ἱστόρηται. τεχθῆναι δὲ Κικέρωνα λέγουσιν, ἀνωδύνως καὶ ἀπόνως λοχευθείσης αὐτοῦ τῆς μητρὸς, ἡμέρα τρίτη τῶν νέων καλανδῶν ἐν ᾗ νῦν οἱ ἄρχοντες, εὔχονται καὶ θύουσιν ὑπὲρ τοῦ ἡγεμόνος. τῇ δὲ τίτθῃ, φάσμα δοκεῖ γενέσθαι καὶ προειπεῖν, ὡς ὄφελος μέγα πᾶσι Ῥωμαίοις ἐκτρεφούσῃ. ταῦτα δ᾽ ἄλλως ὀνείρατα καὶ φλύαρον εἶναι δοκοῦντα, ταχέως αὐτὸς ἀπέδειξε μαντείαν ἀληθινὴν, ἐν ἡλικίᾳ τοῦ μανθάνειν γενόμενος, δι᾽ εὐφυΐαν ἐκλάμψας καὶ λαβὼν ὄνομα καὶ δόξαν, ἐν τοῖς παισὶν ὥστε τοὺς πατέρας αὐτῶν ἐπιφοιτᾶν τοῖς διδασκαλείοις, ὄψει τε βουλομένους ἰδεῖν τὸν Κικέρωνα καὶ τὴν ὑμνουμένην αὐτοῦ περὶ τὰς μαθήσεις ὀξύτητα καὶ σύνεσιν ἱστορῆσαι.

Τοὺς δ᾽ ἀγροικοτέρους, ὀργίζεσθαι τοῖς υἱέσιν, ὁρῶντας ἐν ταῖς ὁδοῖς τὸν Κικέρωνα μέσον αὐτῶν, ἐπὶ τιμῇ λαμβάνοντας. γενόμενος δ᾽ ὥσπερ ὁ Πλάτων ἀξιοῖ τὴν φιλομαθῆ καὶ φιλόσοφον φύσιν, οἷος ἀσπάζεσθαι πᾶν μάθημα, καὶ μηδὲν λόγου μηδὲ παιδείας ἀτιμάζειν εἶδος, ἐρρύη πως προθυμότερον ἐπὶ ποιητικήν. καί τι ποιημάτιον ἔτι παιδὸς αὐτοῦ διασώζεται, Πόντιος Γλαῦκος ἐν τετραμέτρῳ πεποιημένον. προϊὼν δὲ τῷ χρόνῳ καὶ ποικιλώτερον ἁπτόμενος τῆς περὶ ταῦτα μούσης, ἔδοξεν οὐ μόνον ῥήτωρ, ἀλλὰ καὶ ποιητὴς ἄριστος εἶναι Ῥωμαίων. ἡ μὲν οὖν ἐπὶ τῇ ῥητορικῇ δόξα, μέχρι νῦν διαμένει, καίπερ οὐ μικρᾶς γεγενημένης περὶ τοὺς λόγους καινοτομίας. τὴν δὲ ποιητικὴν αὐτοῦ πολλῶν εὐφυῶν ἐπιγενομένων, παντάπασιν ἀκλεῆ καὶ ἄτιμον ἔρρειν συμβέβηκεν. ἀπαλλαγεὶς δὲ τῶν ἐν παισὶ διατριβῶν, Φίλωνος ἤκουσε τοῦ ἐξ Ἀκαδημίας, ὃν μάλιστα Ῥωμαῖοι τῶν Κλειτομάχου συνήθων, καὶ διὰ τὸν λόγον ἐθαύμασαν, καὶ διὰ τὸν τρόπον ἠγάπησαν. ἅμα δὲ τοῖς περὶ Μούκιον ἀνδράσι συνὼν πολιτικοῖς καὶ πρωτεύουσι τῆς βουλῆς, εἰς ἐμπειρίαν τῶν νόμων ὠφελεῖτο. καί τινα χρόνον, καὶ στρατείας μετέσχεν ὑπὸ Σύλλᾳ, περὶ τὸν Μαρσικὸν πόλεμον. εἶθ᾽ ὁρῶν εἰς στάσιν, ἐκ δὲ τῆς στάσεως εἰς ἄκρατον ἐμπίπτοντα τὰ πράγματα μοναρχίαν, ἐπὶ τὸν σχολαστικὸν καὶ θεωρητικὸν ἐλθὼν βίον, Ἕλλησι συνῆν φιλολόγοις, καὶ προσεῖχε τοῖς μαθήμασιν, ἄχρις οὗ Σύλλας ἐκράτησε, καὶ κατάστασίν τινα λαμβάνειν ἔδοξεν ἡ πόλις. ἐν δὲ τῷ χρόνῳ τούτῳ, Χρυσόγονος ἀπελεύθερος, Σύλλα προσαγγείλαντός τινος οὐσίαν ὡς ἐκ προγραφῆς ἀναιρεθέντος, αὐτὸς ἐωνήσατο δισχιλίων δραχμῶν. ἐπεὶ δὲ Ῥώσκιος ὁ υἱὸς καὶ κληρονόμος τοῦ τεθνηκότος ἠγανάκτει, καὶ τὴν οὐσίαν ἀπεδείκνυε πεντήκοντα καὶ διακοσίων ταλάντων οὖσαν ἀξίαν, ὅτε Σύλλας ἐλεγχόμενος, ἐχαλέπαινε, καὶ δίκην πατροκτονίας ἐπῆγε τῷ Ῥωσκίῳ, τοῦ Χρυσογόνου κατασκευάσαντος, ἐβοήθει δ᾽ οὐδεὶς, ἀλλ᾽ ἀπετρέποντο τοῦ Σύλλα τὴν χαλεπότητα δεδοικότες, οὕτω δὴ δι᾽ ἐρημίαν τοῦ μειρακίου τῷ Κικέρωνι προσφυγόντος, οἱ φίλοι συμπαρώρμων, ὡς οὐκ ἂν αὐτῷ λαμπροτέραν αὖθις ἀρχὴν πρὸς δόξαν ἑτέραν, οὐδὲ καλλίω γενησομένην. ἀναδεξάμενος οὖν τὴν συνηγορίαν καὶ κατορθώσας, ἐθαυμάσθη. δεδιὼς δὲ τὸν Σύλλαν, ἀπεδήμησεν εἰς τὴν Ἑλλάδα. διασπείρας λόγον, ὡς τοῦ σώματος αὐτοῦ θεραπείας δεομένου. καὶ γὰρ ἦν ὄντως ἰσχνὸς καὶ ἄσαρκος, ἀρρωστίᾳ στομάχου μικρὰ καὶ γλίσχρα μόγις ὀψὲ τῆς ὥρας προσφερόμενος. ἡ δὲ φωνὴ, πολλὴ μὲν καὶ ἀγαθὴ, σκληρὰ δὲ καὶ ἄπλαστος. ὑπὸ δὲ τοῦ λόγου, σφοδρότητα καὶ πάθος ἔχοντος, ἀεὶ διὰ τῶν ἄνω τόνων ἐλαυνομένη, φόβον παρεῖχεν ὑπὲρ τοῦ σώματος. ἀφικόμενος δ᾽ εἰς Ἀθήνας, Ἀντιόχου τοῦ Ἀσκαλωνίτου διήκουσε, τῇ μὲν εὐροίᾳ τῶν λόγων αὐτοῦ καὶ χάριτι κηλούμενος. ἃ δ᾽ ἐν τοῖς δόγμασιν ἐνεωτέριζεν, οὐκ ἐπαινῶν. ἤδη γὰρ ἐξίστατο τῆς νέας λεγομένης Ἀκαδημίας ὁ Ἀντίοχος. καὶ τὴν Καρνεάδου στάσιν ἐγκατέλιπεν. εἴτε καμπτόμενος ὑπὸ τῆς ἐναργείας καὶ τῶν αἰσθήσεων, εἴτε ὥς φασιν ἔνιοι, φιλοτιμίᾳ τινὶ, καὶ διαφορᾷ πρὸς τοὺς Κλειτομάχου καὶ Φίλωνος συνήθεις, τὸν στωϊκὸν ἐκ μεταβολῆς θεραπεύων λό-

ὑπερβαλόντα τῇ τέχνῃ πάντας, ἐκείνου γενέσθαι μαθητὴν ἱστοροῦσιν. ἕρμιππος δὲ, τὸν ἀρχίαν ἐν τοῖς λακρίτου τοῦ ῥήτορος μαθηταῖς ἀναγράφει. δημήτριος δὲ, τῆς ἀναξιμένους διατριβῆς μετεσχηκέναι φησὶν αὐτόν. οὗτος οὖν ὁ ἀρχίας, ὑπερίδην μὲν τὸν ῥήτορα. καὶ ἀριστόνικον τὸν μαραθώνιον. καὶ τὸν δημητρίου τοῦ φαληρέως ἀδελφὸν ἱμεραῖον, ἐν αἰγίνῃ καταφυγόντας ἐπὶ τὸ αἰάκειον, ἀποσπάσας, ἔπεμψεν εἰς κλεωνὰς πρὸς ἀντίπατρον κἀκεῖ διεφθάρησαν. ὑπερίδου δὲ καὶ τὴν γλῶτταν ἐκτμηθῆναι λέγουσι. τὸν δὲ δημοσθένην πυθόμενος ἱκέτην ἐν καλαβρείᾳ ἐν τῷ ἱερῷ ποσειδῶνος καθέζεσθαι, διαπλεύσας ὑπηρετικοῖς, καὶ ἀποβὰς μετὰ θρᾳκῶν δορυφόρων, ἔπειθεν ἀναστάντα βαδίζειν μετ' αὐτοῦ πρὸς ἀντίπατρον, ὡς δυσχερὲς πεισόμενον οὐδέν. ὁ δὲ δημοσθένης ἐτύγχανεν ὄψιν ἑωρακὼς κατὰ τοὺς ὕπνους ἐκείνης τῆς νυκτὸς ἀλλόκοτον. ἐδόκει γὰρ ἀνταγωνίζεσθαι τῷ ἀρχίᾳ τραγῳδίαν ὑποκρινόμενος, εὐημερῶν δὲ καὶ κατέχων τὸ θέατρον, ἐνδείᾳ παρασκευῆς καὶ χορηγίας κρατεῖσθαι. διὸ τοῦ ἀρχίου πολλὰ φιλάνθρωπα διαλεχθέντος, ἀναβλέψας πρὸς αὐτὸν ὥσπερ ἐτύγχανε καθήμενος, ὦ ἀρχία εἶπεν, οὔτε ὑποκρινόμενός με ἔπεισας πώποτε, οὔτε νῦν πείσεις ἐπαγγελλόμενος. ἀρξαμένου δ' ἀπειλεῖν τοῦ ἀρχίου μετ' ὀργῆς, νῦν ἔφη λέγεις τὰ ἐκ τοῦ μακεδονικοῦ τρίποδος, ἄρτι δὲ ὑπεκρίνου. μικρὸν οὖν ἐπίσχες, ὅπως ἐπιστείλω τι τοῖς οἴκοι. καὶ ταῦτ' εἰπὼν, ἐντὸς ἀνεχώρησε τοῦ ναοῦ. καὶ λαβὼν βιβλίον ὡς γράφειν μέλλων, προσήνεγκε τῷ στόματι τὸν κάλαμον, καὶ δακὼν ὥσπερ ἐν τῷ διανοεῖσθαι καὶ γράφειν εἰώθει, χρόνον τινὰ κατέσχεν. εἶτα συγκαλυψάμενος, ἀπέκλινε τὴν κεφαλήν. οἱ μὲν οὖν παρὰ τὰς θύρας ἑστῶτες δορυφόροι κατεγέλων ὡς ἀποδειλιῶντος αὐτοῦ. καὶ μαλακὸν ἐκάλουν καὶ ἄνανδρον. ὁ δ' ἀρχίας προσελθὼν, ἀνίστασθαι παρεκάλει, καὶ τοὺς αὐτοὺς ἀνακυκλῶν λόγους αὖθις ἐπηγγέλλετο διαλλαγὰς πρὸς τὸν ἀντίπατρον. ἤδη δὲ συνῃσθημένος ὁ δημοσθένης ἐμπεφυκότος αὐτῷ τοῦ φαρμάκου καὶ κρατοῦντος, ἐξεκαλύψατο. καὶ διαβλέψας πρὸς τὸν ἀρχίαν, οὐκ ἂν φθάνοις εἶπεν ἤδη τὸν ἐκ τῆς τραγῳδίας ὑποκρινόμενος κρέοντα, καὶ τὸ σῶμα τουτὶ ῥίπτων ἄταφον. ἐγὼ δ' ὦ φίλε πόσειδον, ἔτι ζῶν ἐξανίσταμαι τοῦ ἱεροῦ. τῷ δὲ ἀντιπάτρῳ καὶ μακεδόσιν, οὐδ' ὁ σὸς ναὸς καθαρὸς ἀπολέλειπται. ταῦτ' εἰπὼν καὶ κελεύσας ὑπολαβεῖν αὐτὸν ἤδη τρέμοντα καὶ σφαλλόμενον, ἅμα τῷ προελθεῖν καὶ παραλλάξαι τὸν βωμὸν, ἔπεσε. καὶ στενάξας, ἀφῆκε τὴν ψυχήν. τὸ δὲ φάρμακον, ἀρίστων μὲν ἐκ τοῦ καλάμου λαβεῖν φησιν αὐτὸν ὡς εἴρηται. πάππος δέ τις οὗ τὴν ἱστορίαν ἕρμιππος ἀνείληφε, φησὶ πεσόντος αὐτοῦ παρὰ τὸν βωμὸν, ἐν μὲν τῷ βιβλίῳ γεγραμμένην ἐπιστολῆς ἀρχὴν εὑρεθῆναι, δημοσθένης ἀντιπάτρῳ, καὶ μηδὲν ἄλλο. θαυμαζομένης δὲ τῆς περὶ τὸν θάνατον ὀξύτητος, διηγεῖσθαι τοὺς παρὰ ταῖς θύραις θρᾷκας, ὡς ἔκ τινος ῥακίου λαβὼν εἰς τὴν χεῖρα, προσθοῖτο τῷ στόματι καὶ καταπίοι τὸ φάρμακον. αὐτοὶ δ' ἄρα χρυσίον ᾠήθησαν εἶναι τὸ καταπινόμενον. ἡ δ' ὑπηρετοῦσα παιδίσκη, πυνθανομένων τῶν περὶ τὸν ἀρχίαν, φαίη πολὺν εἶναι χρόνον ἐξ οὗ φοροίη τὸν ἀπόδεσμον ἐκεῖνον ὁ δημοσθένης ὡς φυλακτήριον. ἐρατοσθένης δὲ καὶ αὐτὸς ἐν κρίκῳ φησὶ κοίλῳ τὸ φάρμακον φυλάσσειν. τὸν δὲ κρίκον εἶναι τοῦτον αὐτῷ φόρημα περιβραχιόνιον. τῶν δ' ἄλλων ὅσοι γεγράφασι περὶ αὐτοῦ, πάμπολλοι δ' εἰσὶ, τὰς διαφορὰς οὐκ ἀναγκαῖον ἐπεξελθεῖν, πλὴν ὅτι δημοχάρης ὁ τοῦ δημοσθένους οἰκεῖος οἴεσθαί φησιν αὐτὸν, οὐχ ὑπὸ φαρμάκου, θεῶν δὲ τιμῇ καὶ προνοίᾳ τῆς μακεδόνων ὠμότητος ἐξαρπαγῆναι συντόμως καταστρέψαντα καὶ ἀλύπως. κατέστρεψε δὲ ἕκτῃ ἐπὶ δέκα τοῦ πυανεψιῶνος μηνός. ἐν ᾗ τὴν σκυθρωποτάτην τῶν θεσμοφορίων ἡμέραν ἄγουσαι παρὰ τῇ θεῷ, νηστεύουσιν αἱ γυναῖκες. τούτῳ μὲν ὀλίγον ὕστερον ὁ τῶν ἀθηναίων δῆμος ἀξίαν ἀποδιδοὺς τιμὴν, εἰκόνα τε χαλκῆν ἀνέστησε. καὶ τὸν πρεσβύτατον ἐψηφίσατο τῶν ἀπὸ τοῦ γένους ἐν πρυτανείῳ σίτησιν ἔχειν. καὶ τὸ ἐπίγραμμα τὸ θρυλλούμενον ἐπιγραφῆναι τῇ βάσει τοῦ ἀνδριάντος.

» Εἴπερ ἴσην ῥώμην γνώμῃ δημόσθενες εἶχες,
» Οὔποτ' ἂν ἑλλήνων ἦρξεν ἄρης μακεδών.

οἱ γὰρ αὐτὸν τὸν δημοσθένην τοῦτο ποιῆσαι λέγοντες ἐν καλαβρείᾳ μέλλοντα τὸ φάρμακον προσφέρεσθαι, κομιδῇ φλυαροῦσι. μικρὸν δὲ πρόσθεν ἢ παραβαλεῖν ἡμᾶς ἀθήναζε, λέγεταί τι τοιοῦτον συμβῆναι. στρατιώτης ἐπὶ κρίσιν τινὰ καλούμενος ὑφ' ἡγεμόνος, ὅσον εἶχε χρυσίδιον, εἰς τὰς χεῖρας ἐνέθηκε τοῦ ἀνδριάντος. ἕστηκε δὲ τοὺς δακτύλους συνέχων δι' ἀλλήλων, καὶ παραπέφυκεν οὐ μεγάλη πλάτανος. ἀπὸ ταύτης, πολλὰ τῶν φύλλων, εἴτε πνεύματος ἐκ τύχης καταβαλόντος, εἴτ' αὐτὸς οὕτως ὁ θεὶς ἐκάλυψε, περικείμενα καὶ συμπεσόντα, λαθεῖν ἐποίησε τὸ χρυσίον οὐκ ὀλίγον χρόνον. ὡς δ' ὁ ἄνθρωπος ἐπανελθὼν ἀνεῦρε, καὶ διεδόθη λόγος ὑπὲρ τούτου, πολλοὶ τῶν εὐφυῶν, ὑπόθεσιν λαβόντες εἰς τὸ ἀδωροδόκητον τοῦ δημοσθένους, διημιλλῶντο τοῖς ἐπιγράμμασι. δημάδην δὲ χρόνον οὐ πολὺν ἀπολαύσαντα τῆς φυομένης δόξης, ἡ δημοσθένους δίκη κατήγαγεν εἰς μακεδονίαν, οὓς ἐκολάκευεν αἰσχρῶς, ὑπὸ τούτων ἐξολούμενον δικαίως. ἐπαχθῆ μὲν ὄντα καὶ πρότερον αὐτοῖς, τότε δ' εἰς αἰτίαν ἄφυκτον ἐμπεσόντα. γράμματα γὰρ ἐξέπεσεν αὐτοῦ, δι' ὧν παρεκάλει περδίκκαν ἐπιχειρεῖν μακεδονίᾳ, καὶ σώζειν τοὺς ἕλληνας, ὡς ἀπὸ σαπροῦ καὶ παλαιοῦ στήμονος, λέγων τοῦ ἀντιπάτρου ἠρτημένους. ἐφ' οἷς δείναρχος τοῦ κορινθίου κατηγορήσαντος, παροξυνθεὶς ὁ κάσσανδρος, ἐγκατέσφαξεν αὐτοῦ τῷ κόλπῳ τὸν υἱὸν, εἶτα οὕτως ἐκεῖνον ἀνελεῖν προσέταξεν. ἐν τοῖς μεγίστοις διδασκόμενον ἀτυχήμασιν, ὅτι πρώτους ἑαυτοὺς οἱ προδόται πωλοῦσιν, ὃ πολλάκις δημοσθένους προαγορεύοντος, οὐκ ἐπίστευσε. τὸ μὲν οὖν δημοσθένους ἔχεις ὦ σόσσιε βίον, ἐξ ὧν ἡμεῖς ἀνέγνωμεν ἢ διηκούσαμεν.

γρ. καλαυρίᾳ νησίδι] πρὸς τῇ κρήτῃ. καλαβρία χώρα πλησίον τῆς ἰταλίας ut hoc loco legendum sit καλαυρία.

ἢ οὐ. οἴκοις εἴσω προσκυνεῖ [illegible] ὁ θεός

R. αὐτῷ τ. ς.

καλαυρία. ut sup.

R. ὑπέχλε τ.

ρήκει τῷ ἁρπάλῳ. καὶ μεθ' ἡμέραν δὲ καὶ καλῶς ἐρίοις καὶ ταινίαις κατὰ τοῦ τραχήλου κατελιξάμενος, εἰς τὴν ἐκκλησίαν προῆλθε· καὶ κελευόντων ἀνίστασθαι καὶ λέγειν, διένευεν ὡς ἀποκεκομμένης αὐτῷ τῆς φωνῆς. οἱ δ' εὐφυεῖς χλευάζοντες, οὐχ ὑπὸ συνάγχης ἔφραζον, ἀλλ' ὑπ' ἀργυράγχης εἰλῆφθαι νύκτωρ τὸν δημαγωγόν. ὕστερον δὲ τοῦ δήμου παντὸς αἰσθομένου τὴν δωροδοκίαν, καὶ βουλομένου ἀπολογεῖσθαι, καὶ πείθειν οὐκ ἐῶντος, ἀλλὰ χαλεπαίνοντος καὶ θορυβοῦντος, ἀναστάς τις ἔσκωψεν εἰπών. οὐκ ἀκούσεσθαι ὦ ἄνδρες ἀθηναῖοι τοῦ τὴν κύλικα ἔχοντος, τότε μὲν οὖν ἀπέπεμψαν ἐκ τῆς πόλεως τὸν ἅρπαλον, δεδιότες δὲ μὴ λόγον ἀπαιτῶνται χρημάτων ὧν διηρπάκεισαν οἱ ῥήτορες, ζήτησιν ἐποιοῦντο νεανικήν. καὶ τὰς οἰκίας ἐπιόντες, ἠρεύνων. πλὴν τῆς καλλικλέους τοῦ ἀρρενίδου. μόνην γὰρ τὴν τούτου, νεωστὶ γεγαμηκότος, οὐκ εἴασαν ἐλεγχθῆναι νύμφης ἔνδον οὔσης, ὡς ἱστορεῖ θεόπομπος. ὁ δὲ δημοσθένης ὁμόσε χωρῶν, εἰσήνεγκε ψήφισμα τὴν ἐξ ἀρείου πάγου βουλὴν ἐξετάσαι τὸ πρᾶγμα. καὶ τοὺς ἐκείνῃ δόξαντας ἀδικεῖν, δοῦναι δίκην. ἐν δὲ πρώτοις αὐτοῦ τῆς βουλῆς ἐκείνου καταψηφισαμένης, εἰσῆλθε μὲν εἰς τὸ δικαστήριον, ὄφλων δὲ πεντήκοντα ταλάντων δίκην. καὶ παραδοθεὶς εἰς τὸ δεσμωτήριον, αἰσχύνῃ τῆς αἰτίας φασὶ καὶ δι' ἀσθένειαν τοῦ σώματος, οὐ δυναμένου φέρειν τὸν εἱργμόν, ἀποδρᾶναι. τοὺς μὲν, λαθόντα. τῶν δὲ, λαθεῖν ἐξουσίαν δόντων. λέγεται γοῦν ὡς οὐ μακρὰν τοῦ ἄστεος φεύγων, αἴσθοιτό τινας τῶν διαφόρων αὐτῷ πολιτῶν ἐπιδιώκοντας. καὶ βούλοιτο μὲν αὑτὸν ἀποκρύπτειν. ὡς δ' ἐκεῖνοι φθεγξάμενοι τὸ ὄνομα, καὶ προσελθόντες ἐγγὺς, ἐδέοντο λαβεῖν ἐφόδια παρ' αὐτῶν, ἐπ' αὐτὸ τοῦτο κομίζοντες, ἀργύριον οἴκοθεν, καὶ τούτου χάριν ἐπιδιώξαντες αὐτῷ, ἅμα δὲ θαρρεῖν παρεκάλουν, καὶ μὴ φέρειν ἀνιαρῶς τὸ συμβεβηκός, ἔτι μᾶλλον ἀνακλαύσασθαι τὸν δημοσθένη καὶ εἰπεῖν. πῶς δ' οὐ μέλλω φέρειν βαρέως ἀπολιπὼν πόλιν ἐχθροὺς τοιούτους ἔχουσαν, οἵους ἐν ἑτέρᾳ φίλους εὑρεῖν, οὐ ῥᾴδιον ἐστίν. ἤνεγκε δὲ τὴν φυγὴν μαλακῶς ἐν αἰγίνῃ καὶ τροιζῆνι καθεζόμενος τὰ πολλά. καὶ πρὸς τὴν ἀττικὴν ἀποβλέπων δεδακρυμένος. ὥστε φωνὰς οὐκ εὐγνώμονας οὐδ' ὁμολογούσας τοῖς ἐν τῇ πολιτείᾳ νεανιεύμασιν, ἀπομνημονεύεσθαι. λέγεται γὰρ ἐκ τοῦ ἄστεος ἀπαλλαττόμενος, καὶ πρὸς τὴν ἀκρόπολιν ἀνατείνας τὰς χεῖρας, εἰπεῖν. ὦ δέσποινα πολιάς. τί δὴ, τρισὶ τοῖς χαλεπωτάτοις, χαίρεις θηρίοις. γλαυκὶ καὶ δράκοντι καὶ δήμῳ. τοὺς δὲ προσιόντας αὐτῷ καὶ συνδιατρίβοντας νεανίσκους ἀποτρέπειν τῆς πολιτείας λέγων. ὡς εἰ δυοῖν προκειμένων ὁδῶν ἀπ' ἀρχῆς. τῆς μὲν, ἐπὶ τὸ βῆμα καὶ τὴν ἐκκλησίαν. τῆς δ' ἄντικρυς εἰς τὸν ὄλεθρον, ἐτύγχανε δὲ προειδὼς τὰ κατὰ τὴν πολιτείαν κακά. φόβους. καὶ φθόνους. καὶ διαβολὰς καὶ ἀγῶνας, ἐπὶ ταύτην ἂν ὁρμῆσαι τὴν εὐθὺ τοῦ θανάτου τείνουσαν. ἀλλὰ γὰρ ἔτι φεύγοντος αὐτοῦ τὴν εἰρημένην φυγὴν, ἀλέξανδρος μὲν ἐτελεύτησε. τὰ δ' ἑλληνικὰ συνίσταντο πάλιν. λεωσθένους ἀνδραγαθοῦντος, καὶ περιτειχίζοντος ἀντίπατρον, ἐν λαμίᾳ πολιορκούμενον. πυθέας μὲν οὖν ὁ ῥήτωρ καὶ καλλιμέδων ὁ κάραβος, ἐξ ἀθηνῶν φεύγοντες, ἀντιπάτρῳ προσεγένοντο. καὶ μετὰ τῶν ἐκείνου φίλων καὶ πρέσβεων, περιϊόντες, οὐκ εἴων ἀφίστασθαι τοὺς ἕλληνας, οὐδὲ προσέχειν τοῖς ἀθηναίοις. δημοσθένης δὲ τοῖς ἐξ ἄστεος πρεσβεύουσι προσμίξας ἑαυτὸν ἠγωνίζετο καὶ συνέπραττεν, ὅπως αἱ πόλεις συνεπιθήσονται τοῖς μακεδόσι, καὶ συνεκβαλοῦσιν αὐτοὺς τῆς ἑλλάδος, ἐν δ' ἀρκαδίᾳ, καὶ λοιδορίαν τοῦ πυθέου καὶ τοῦ δημοσθένους γενέσθαι πρὸς ἀλλήλους εἴρηκεν ὁ φύλαρχος, ἐν ἐκκλησίᾳ. τοῦ μὲν, ὑπὲρ τῶν μακεδόνων. τοῦ δ' ὑπὲρ τῶν ἑλλήνων λέγοντος. λέγεται δὲ τὸν μὲν πυθέαν εἰπεῖν, ὅτι καθάπερ οἰκίαν εἰς ἣν ὄνειον εἰσφέρεται γάλα, κακόν τι πάντως ἔχειν νομίζομεν, οὕτω καὶ πόλιν ἀνάγκη νοσεῖν, εἰς ἣν ἀθηναίων πρεσβεία παραγίνεται. τὸν δὲ δημοσθένη, στρέψαι τὸ παράδειγμα φήσαντα. καὶ τὸ γάλα τὸ ὄνειον ἐφ' ὑγιείᾳ. καὶ τοὺς ἀθηναίους παραγίνεσθαι ἐπὶ σωτηρίᾳ τῶν νοσούντων. ἐφ' οἷς ἡσθεὶς ὁ τῶν ἀθηναίων δῆμος, ψηφίζεται τοῦ δημοσθένει κάθοδον. τὸ μὲν οὖν ψήφισμα δήμων ὁ παιανιεὺς, ἀνεψιὸς ὢν δημοσθένους, εἰσήνεγκεν. ἐπέμφθη δὲ τριήρης ἐπ' αὐτὸν εἰς αἴγιναν. ἐκ δὲ πειραιῶς ἀνέβαινεν οὔτε ἄρχοντος, οὔτε ἱερέως ἀπολειφθέντος. ἀλλὰ καὶ τῶν ἄλλων πολιτῶν ὁμοῦ πάντων ἀπαντώντων καὶ δεχομένων προθύμως. ὅτε καί φησιν αὐτὸν ὁ μάγνης δημήτριος ἀνατείναντα τὰς χεῖρας, μακαρίσαι τῆς ἡμέρας ἐκείνης αὑτὸν, ὡς βέλτιον ἀλκιβιάδου κατιόντα. πεπεισμένους γὰρ οὐ βεβιασμένους ὑπ' αὐτοῦ δέχεσθαι τοὺς πολίτας. τῆς δὲ χρηματικῆς ζημίας αὐτῷ μενούσης. οὐ γὰρ ἐξῆν χάριτι λῦσαι καταδίκην, ἐψηφίσαντο πρὸς τὸν νόμον. εἰωθότες γὰρ ἐν τῇ θυσίᾳ τοῦ διὸς τοῦ σωτῆρος ἀργύριον τελεῖν τοῖς κατασκευάζουσι καὶ κοσμοῦσι τὸν βωμὸν, ἐκείνῳ τότε ταῦτα ποιῆσαι καὶ παρασχεῖν πεντήκοντα ταλάντων ἐξέδωκαν, ὅπερ ἦν τίμημα τῆς καταδίκης. οὐ μὴν ἐπὶ πολὺν χρόνον ἀπέλαυσε τῆς πατρίδος κατελθών, ἀλλὰ ταχὺ τῶν ἑλληνικῶν πραγμάτων συντριβέντων. μεταγειτνιῶνος μὲν, ἡ περὶ κραννῶνα μάχη συνέπεσε. βοηδρομιῶνος δὲ παρῆλθεν εἰς μουνυχίαν ἡ φρουρά. πυανεψιῶνος δὲ δημοσθένης ἀπέθανε τόνδε τὸν τρόπον. ὡς ἀντίπατρος καὶ κρατερὸς ἠγγέλλοντο προσιόντες ἐπὶ τὰς ἀθήνας, οἱ μὲν περὶ τὸν δημοσθένη φθάσαντες ὑπεξῆλθον ἐκ τῆς πόλεως. ὁ δὲ δῆμος αὐτῶν θάνατον κατέγνω. δημάδου γράψαντος. ἄλλων δ' ἀλλαχοῦ διασπαρέντων, ὁ ἀντίπατρος περιέπεμπε τοὺς συλλαμβάνοντας. ὧν ἡγεμὼν ἦν, ἀρχίας ὁ κληθεὶς φυγαδοθήρας. τοῦτον δὲ θούριον ὄντα τῷ γένει λόγος ἔχει, τραγῳδίας ὑποκρίνεσθαι ποτέ. καὶ τὸν αἰγινήτην πῶλον, τὸν

βουλόμενον. τ. ς.

ἀκούσεσθαι. R. ς.

αὐτὸν τ. ς.

ὑπομνημονεύεσθαι. κ. τ.

τῷ

ἐψηφίσαντο. τ. ω.

ἐξέδωκαν κ. τ. ς. ω.

ἴσον τ. ω.

αὖ εἴποιμι πρὸς χεῖρ τῷ νεμεσητῷ καὶ ἀγεννὲς ζῶντα μὲν τιμᾶν καὶ ποιεῖσθαι πολίτην. πεσόντος δ' ὑφ' ἑτέρων, μὴ φέρειν τὴν χαρὰν μετρίως, ἀλλ' ἐπισκιρτᾶν τῷ νεκρῷ καὶ παιωνίζειν, ὥσπερ αὐτοὺς ἀνδραγαθήσαντας. ὅτι μέντοι τὰς οἴκοι τύχας καὶ δάκρυα καὶ ὀδυρμοὺς ἀπολιπὼν ταῖς γυναιξὶν ὁ δημοσθένης, ἃ τῇ πόλει συμφέρειν ᾤετο ταῦτ' ἔπραττεν, ἐπαινῶ. καὶ τίθεμαι πολιτικῆς καὶ ἀνδρώδους ψυχῆς, ἀεὶ πρὸς τὸ κοινὸν ἱστάμενον. καὶ τὰ οἰκεῖα πάθη καὶ πράγματα τοῖς δημοσίοις ἐπανέχοντα, τηρεῖν τὸ ἀξίωμα πολὺ μᾶλλον, ἢ τοὺς ὑποκριτὰς τῶν βασιλικῶν καὶ τυραννικῶν προσώπων, οὓς ὁρῶμεν οὔτε κλαίοντας οὔτε γελῶντας ἐν τοῖς θεάτροις ὡς αὐτοὶ θέλουσιν, ἀλλ' ὡς ὁ ἀγὼν ἀπαιτεῖ πρὸς τὴν ὑπόθεσιν. χωρὶς δὲ τούτων, εἰ δεῖ τὸν ἀτυχήσαντα μὴ περιορᾶν ἀπαρηγόρητον ἐν τῷ πάθει κείμενον. ἀλλὰ καὶ λόγοις χρῆσθαι κουφίζουσι. καὶ πρὸς ἡδίω πράγματα τρέπειν τὴν διάνοιαν. ὥσπερ οἱ τοὺς ὀφθαλμιῶντας ἀπὸ τῶν λαμπρῶν καὶ ἀντιτύπων, ἐπὶ τὰ χλωρὰ καὶ μαλακὰ χρώματα τὴν ὄψιν ἀπάγειν κελεύοντας, πόθεν ἄν τις ἀπαγάγοιτο βελτίω παρηγορίαν. ἢ πατρίδος ἀτυχούσης ἐκ τῶν κοινῶν παθῶν ἐπὶ τὰ οἰκεῖα σύγκρασιν πορίζομενος τοῖς βελτίοσιν ἀφανίζουσαν τὰ χείρω. ταῦτα μὲν οὖν εἰπεῖν προήχθημεν, ὁρῶντες ἐπὶ κλαῦντα πολλοὺς καὶ ἀποθηλύνοντα τὸν αἰσχίνην τῷ λόγῳ τούτῳ πρὸς οἶκτον. αἱ δὲ πόλεις πάλιν τοῦ δημοσθένους ἀναρριπίζοντος αὐτάς, συνίσταντο. καὶ θηβαῖοι μὲν, ἐπέθεντο τῇ φρουρᾷ, καὶ πολλοὺς ἀνεῖλον, ὅπλα τοῦ δημοσθένους αὐτοῖς παρασκευάσαντος. ἀθηναῖοι δ' ὡς πολεμήσοντες μετ' αὐτῶν παρεσκευάζοντο. καὶ τὸ βῆμα κατεῖχεν ὁ δημοσθένης. καὶ πρὸς τοὺς ἐν ἀσίᾳ στρατηγοὺς τοῦ βασιλέως, ἔγραφε τὸν ἐκεῖθεν ἐπεγείρων πόλεμον ἀλεξάνδρῳ. παῖδα καὶ μαργίτην ἀποκαλῶν αὐτόν. ἐπεὶ μέντοι τὰ περὶ τὴν χώραν θέμενος, παρῆν αὐτὸς μετὰ τῆς δυνάμεως εἰς τὴν βοιωτίαν, ἐξεκέκοπτο μὲν ἡ θρασύτης τῶν ἀθηναίων. καὶ ὁ δημοσθένης ἀπεσβήκει. θηβαῖοι δὲ προδοθέντες ὑπ' ἐκείνων, ἠγωνίσαντο καθ' αὑτοὺς καὶ τὴν πόλιν ἀπέβαλον. θορύβου δὲ μεγάλου τοὺς ἀθηναίους περιεστῶτος, ἀπεστάλη μὲν ὁ δημοσθένης. αἱρεθεὶς δὲ μεθ' ἑτέρων πρεσβευτὴς πρὸς ἀλέξανδρον, δείσας δὲ τὴν ὀργήν, ἐκ τοῦ κιθαιρῶνος ἀνεχώρησεν ὀπίσω, καὶ τὴν πρεσβείαν ἀφῆκεν. εὐθὺς δ' ὁ ἀλέξανδρος ἐξῄτει πέμπων τῶν δημαγωγῶν, δέκα μὲν ὡς ἰδομενεὺς καὶ δοῦρις εἰρήκασιν. ὀκτὼ δ' ὡς οἱ πλεῖστοι καὶ δοκιμώτατοι τῶν συγγραφέων, τούσδε. δημοσθένην. πολύευκτον. ἐφιάλτην. λυκοῦργον. μυροκλέα. δήμωνα. καλλισθένην. χαρίδημον. ὅτε καὶ τὸν περὶ τῶν προβάτων λόγον ὁ δημοσθένης ὃς τοῖς λύκοις τοὺς κύνας, ἐξέδωκε, διηγησάμενος, αὑτὸν μὲν εἴκασε καὶ τοὺς σὺν αὐτῷ, κυσὶν ὑπὲρ τοῦ δήμου μαχομένοις ἀλέξανδρον δὲ τὸν μακεδόνα, μονόλυκον προσηγόρευσεν. ἔτι δ' ὡς ἔφη τοὺς ἐμπόρους ὁρῶμεν ὅταν ἐν τρυβλίῳ δεῖγμα περιφέρωσι, δι' ὀλίγων πυρῶν τοὺς πολλοὺς πιπράσκοντας, οὕτως ἐν ἡμῖν λανθάνετε πάντας αὑτοὺς συνεκδιδόντες. ταῦτα μὲν οὖν ἀριστόβουλος ὁ κασσανδρεὺς ἱστόρηκε. βουλευομένων δὲ τῶν ἀθηναίων καὶ διαπορούντων, ὁ δημάδης λαβὼν πέντε τάλαντα παρὰ τῶν ἀνδρῶν, ὡμολόγησε πρεσβεύειν καὶ δεήσεσθαι τοῦ βασιλέως ὑπὲρ αὐτῶν. εἴτε τῇ φιλίᾳ πιστεύων. εἴτε προσδοκῶν μεστὸν εὑρήσειν, ὥσπερ λέοντα, φόνου κεκορεσμένον. ἔπεισε δ' οὖν καὶ παρῃτήσατο τοὺς ἄνδρας ὁ δημάδης καὶ διήλλαξεν αὐτῶν τὴν πόλιν. ἀπελθόντος δὲ ἀλεξάνδρου, μεγάλοι μὲν ἦσαν οὗτοι. ταπεινὰ δ' ἔπραττεν ὁ δημοσθένης. κινουμένῳ δὲ ἄγιδι τῷ σπαρτιάτῃ, βραχέα συνεκινήθη πάλιν, εἶτ' ἔπτηξε. τῶν μὲν ἀθηναίων οὐ συνεξαναστάντων, τοῦ δ' ἄγιδος πεσόντος, καὶ τῶν λακεδαιμονίων συντριβέντων. εἰσήχθη δὲ τότε καὶ ἡ περὶ τοῦ στεφάνου γραφὴ κατὰ κτησιφῶντος. γραφεῖσα μὲν ἐπὶ χαιρώνδου ἄρχοντος, μικρὸν ἐπάνω τῶν χαιρωνικῶν, κριθεῖσα δ' ὕστερον ἔτεσι δέκα ἐπ' ἀριστοφῶντος, γενομένη δὲ ὡς οὐδεμία τῶν δημοσίων περιβόητος, διά τε τὴν δόξαν τῶν λεγόντων, καὶ τὴν τῶν δικαζόντων εὐγένειαν. οἳ τοῖς ἐλαύνουσι τὸν δημοσθένην τότε πλεῖστον δυναμένοις καὶ μακεδονίζουσιν, οὐ προήκαντο τὴν κατ' αὐτοῦ ψῆφον, ἀλλ' οὕτως λαμπρῶς ἀπέλυσαν, ὥστε τὸ πέμπτον μέρος τῶν ψήφων, αἰσχίνην μὴ μεταλαβεῖν. ἐκεῖνος μὲν οὖν εὐθὺς ἐκ τῆς πόλεως ᾤχετ' ἀπιὼν καὶ περὶ ῥόδον καὶ ἰωνίαν σοφιστεύων κατεβίωσε. μετ' οὐ πολὺ δὲ, ἅρπαλος ἧκεν ἐξ ἀσίας εἰς τὰς ἀθήνας, ἀποδρὰς ἀλέξανδρον. αὑτῷ τε πράγματα συνειδὼς πονηρὰ δι' ἀσωτίαν. κἀκεῖνον ἤδη χαλεπὸν ὄντα τοῖς φίλοις δεδοικώς. καταφυγόντος δὲ πρὸς τὸν δῆμον αὐτοῦ, καὶ μετὰ τῶν χρημάτων καὶ τῶν νεῶν αὑτὸν παραδιδόντος, οἱ μὲν ἄλλοι ῥήτορες εὐθὺς ἐποφθαλμιάσαντες πρὸς τὸν πλοῦτον, ἐβοήθουν καὶ συνέπειθον τοὺς ἀθηναίους δέχεσθαι καὶ σῴζειν τὸν ἱκέτην. ὁ δὲ δημοσθένης πρῶτον μὲν ἀπελαύνειν συνεβούλευε τὸν ἅρπαλον, καὶ φυλάττεσθαι, μὴ τὴν πόλιν ἐμβάλωσιν εἰς πόλεμον, ἐξ οὐκ ἀναγκαίας καὶ ἀδίκου προφάσεως. ἡμέραις δ' ὀλίγαις ὕστερον ἐξεταζομένων τῶν χρημάτων, ἰδὼν αὐτὸν ὁ ἅρπαλος ἡσθέντα βασιλικῇ κύλικι καὶ καταμανθάνοντα τὴν τορείαν καὶ τὸ εἶδος, ἐκέλευε διαβαστάσαντα τὴν ὁλκὴν τοῦ χρυσίου σκέψασθαι. θαυμάσαντος δὲ τοῦ δημοσθένους τὸ βάρος καὶ πυθομένου, πόσον ἄγει, μειδιάσας ὁ ἅρπαλος, ἄξει σοι φησὶν εἴκοσι τάλαντα. καὶ γενομένης τάχιστα τῆς νυκτὸς, ἔπεμψεν αὐτῷ τὴν κύλικα, μετὰ τῶν εἴκοσι ταλάντων. ἦν δ' ἄρα δεινὸς ὁ ἅρπαλος ἐρωτικοῦ πρὸς χρυσίον ἀνδρὸς ὄψει. καὶ διαχύσει καὶ βολαῖς ὀμμάτων, ἀνευρεῖν ἦθος. οὐ γὰρ ἀντέσχεν ὁ δημοσθένης, ἀλλὰ πληγεὶς ὑπὸ τῆς δωροδοκίας, ὥσπερ παραδεδεγμένος φρουράν, προσκεχω-

λοις ἅπασιν. ὥστε φόβον καὶ λογισμὸν καὶ χάριν ἐκβαλεῖν αὐτοὺς, ἐνθουσιῶντας ὑπὸ τοῦ λόγου πρὸς τὸ καλόν. οὕτω δὲ μέγα καὶ λαμπρὸν ἐφάνη τὸ τοῦ ῥήτορος ἔργον, ὥστε τὸν μὲν Φίλιππον εὐθὺς ἐπικηρυκεύεσθαι δεόμενον εἰρήνης. ὀρθὴν δὲ τὴν Ἑλλάδα γενέσθαι, καὶ συνεξαναστῆναι πρὸς τὸ μέλλον, ὑπηρετεῖν δὲ μὴ μόνον τοὺς στρατηγοὺς τῷ Δημοσθένει ποιοῦντας τὸ προστασσόμενον, ἀλλὰ καὶ τοὺς βοιωτάρχας. διοικεῖσθαι τὰς ἐκκλησίας ἁπάσας, οὐδὲν ἧττον ὑπ᾽ ἐκείνου τότε τὰς Θηβαίων, ἢ τὰς Ἀθηναίων, ἀγαπωμένου παρ᾽ ἀμφοτέροις καὶ δυναστεύοντος, οὐκ ἀδίκως, οὐδὲ παρ᾽ ἀξίαν, ὥσπερ ἀποφαίνεται Θεόπομπος, ἀλλὰ καὶ πάνυ προσηκόντως. τύχη δέ τις ὡς ἔοικε δαιμόνιος ἐν περιφορᾷ πραγμάτων, εἰς ἐκεῖνο καιροῦ συμπεραίνουσα τὴν ἐλευθερίαν τῆς Ἑλλάδος, ἐναντιοῦσθαι τοῖς πραττομένοις. καὶ πολλὰ σημεῖα τοῦ μέλλοντος ἀναφαίνειν. ἐν οἷς ἥ τε Πυθία δεινὰ προὔφαινε μαντεύματα. καὶ χρησμὸς ᾔδετο παλαιὸς ἐκ τῶν Σιβυλλείων.

» Τῆς ἐπὶ Θερμώδοντι μάχης, ἀπάνευθε γενοίμην. Αἰετὸς ἐν νεφέεσσι
» καὶ ἠέρι θεήσασθαι. Κλαίει ὁ νικηθεὶς, ὁ δὲ νικήσας ἀπόλωλε.

τὸν δὲ Θερμώδοντα, φασὶν εἶναι παρ᾽ ἡμῖν ἐν Χαιρωνείᾳ ποτάμιον μικρὸν, εἰς τὸν Κηφισὸν ἐμβάλλον. ἡμεῖς δὲ, νῦν μὲν, οὐδὲν ἴσμεν οὕτω τῶν ῥευμάτων ὀνομαζόμενον. εἰκάζομεν δὲ τὸν καλούμενον Αἵμονα, Θερμώδοντα λέγεσθαι τότε. καὶ γὰρ παραρρεῖ παρὰ τὸ Ἡράκλειον, ὅπου κατεστρατοπέδευον οἱ Ἕλληνες. καὶ τεκμαιρόμεθα τῆς μάχης γενομένης, αἵματος ἐμπλησθέντα, καὶ νεκρῶν τὸν ποταμὸν, ταύτην ἀλλάξαι τὴν προσηγορίαν. ὁ δὲ Δοῦρις, οὐ ποταμὸν εἶναί φησι τὸν Θερμώδοντα, ἀλλ᾽ ἱστάντας τινὰς σκηνὴν καὶ περιορύττοντας, ἀνδριαντίσκον εὑρεῖν λίθινον, ὑπὸ γραμμάτων τινῶν διασημαινόμενον, ὡς εἴη Θερμώδων, ἐν ταῖς ἀγκάλαις Ἀμαζόνα φέρων τετρωμένην. ἐπὶ τούτῳ, χρησμὸν ἄλλον ᾄδεσθαι λέγοντα, τὴν ἐπὶ Θερμώδοντι

» μάχην μένε παμμέλαν ὄρνι· Τηνεῖ τοι κρέα πολλὰ παρέσσεται ἀνθρώποισι.

ταῦτα μὲν οὖν ὅπως ἔχει, διαιτῆσαι χαλεπόν. ὁ δὲ Δημοσθένης λέγεται τοῖς τῶν Ἑλλήνων ὅπλοις ἐκτεθαῤῥηκὼς, καὶ λαμπρῶς ὑπὸ ῥώμης καὶ προθυμίας ἀνδρῶν τοσούτων προκαλουμένων τοὺς πολεμίους, αἰρόμενος, οὔτε χρησμοῖς ἐᾷν προσέχειν, οὔτε μαντείας ἀκούειν. ἀλλὰ καὶ τὴν Πυθίαν ὑπονοεῖν ὡς φιλιππίζουσαν, ἀναμιμνήσκων Ἐπαμινώνδου τοὺς Θηβαίους, καὶ Περικλέους τοὺς Ἀθηναίους, ὡς ἐκεῖνοι τὰ τοιαῦτα δειλίας ἡγούμενοι προφάσεις, ἐχρῶντο τοῖς λογισμοῖς. μέχρι μὲν οὖν τούτων, ἀνὴρ ἦν ἀγαθός. ἐν δὲ τῇ μάχῃ, καλὸν οὐδὲν οὐδ᾽ ὁμολογούμενον ἔργον οἷς εἶπεν ἀποδειξάμενος, ᾤχετο τὴν τάξιν ἀποδρὰς, αἴσχιστα. καὶ τὰ ὅπλα ῥίψας, οὐδὲ τὴν ἐπιγραφὴν τῆς ἀσπίδος ὡς ἔλεγε Πυθέας αἰσχυνθεὶς ἐπιγεγραμμένης γράμμασι χρυσοῖς, ἀγαθῇ τύχῃ. παραυτίκα μὲν οὖν ὁ Φίλιππος ἐπὶ τῇ νίκῃ διὰ τὴν χαρὰν ἐξυβρίσας, καὶ κωμάσας ἐπὶ τοὺς νεκροὺς μεθύων, ἦδε τὴν ἀρχὴν τοῦ Δημοσθένους ψηφίσματος, πρὸς πόδα διαίρων καὶ ὑποκρούων, Δημοσθένης Δημοσθένους Παιανιεὺς τάδ᾽ εἶπεν. ἐκνήψας δὲ, καὶ τὸ μέγεθος τοῦ περιστάντος αὐτὸν ἀγῶνος ἐννοῆσαι λαβὼν, ἔφριττε τὴν δεινότητα καὶ τὴν δύναμιν τοῦ ῥήτορος ἐν μέρει μικρῷ μιᾶς ἡμέρας, τὸν ὑπὲρ τῆς ἡγεμονίας καὶ τοῦ σώματος ἀναῤῥῖψαι κίνδυνον ἀναγκασθεὶς ὑπ᾽ αὐτοῦ. διῖκτο δ᾽ ἡ δόξα, μέχρι τοῦ Περσῶν βασιλέως. κἀκεῖνος, ἔπεμψε τοῖς σατράπαις γράμματα, χρήματα Δημοσθένει διδόναι κελεύων, καὶ προσέχειν ἐκείνῳ μάλιστα τῶν Ἑλλήνων ὡς περισπάσαι δυναμένῳ καὶ κατασχεῖν ταῖς Ἑλληνικαῖς ταραχαῖς, τὸν Μακεδόνα. ταῦτα μὲν οὖν ὕστερον ἐφώρασεν Ἀλέξανδρος ἐν Σάρδεσιν ἐπιστολάς τινας ἀνευρὼν τοῦ Δημοσθένους. καὶ γράμματα τῶν βασιλέως στρατηγῶν, δηλοῦντα, τὸ πλῆθος τῶν δοθέντων αὐτῷ χρημάτων. τότε δὲ τῆς ἀτυχίας τοῖς Ἕλλησι γενομένης, οἱ μὲν ἀντιπολιτευόμενοι ῥήτορες, ἐπεμβαίνοντες τῷ Δημοσθένει, κατεσκεύαζον εὐθύνας καὶ γραφὰς ἐπ᾽ αὐτόν. ὁ δὲ δῆμος, οὐ μόνον τούτων ἀπέλυεν, ἀλλὰ καὶ τιμῶν διετέλει, καὶ προσκαλούμενος αὖθις ὡς εὔνουν εἰς τὴν πολιτείαν. ὥστε καὶ τῶν ὀστῶν ἐκ Χαιρωνείας κομισθέντων, καὶ θαπτομένων, τὸν ἐπὶ τοῖς ἀνδράσιν ἔπαινον εἰπεῖν ἀπέδωκεν. οὐ ταπεινῶς οὐδ᾽ ἀγεννῶς φέρων τὸ συμβεβηκὸς ὡς γράφει καὶ τραγῳδεῖ Θεόπομπος, ἀλλὰ τῷ τιμᾶν μάλιστα καὶ κοσμεῖν τὸν σύμβουλον, ἀποδεικνύμενος τὸ μὴ μεταμέλεσθαι τοῖς βεβουλευμένοις. τὸν μὲν οὖν λόγον, εἶπεν ὁ Δημοσθένης, τοῖς δὲ ψηφίσμασιν οὐχ ἑαυτὸν, ἀλλ᾽ ἐν μέρει τῶν φίλων ἕκαστον ἐπέγραφεν, ἐξοιωνιζόμενος τὸν ἴδιον δαίμονα καὶ τὴν τύχην. ἕως αὖθις ἀνεθάῤῥησε, Φιλίππου τελευτήσαντος. ἐτελεύτησε δὲ τῇ περὶ Χαιρώνειαν εὐτυχίᾳ, χρόνον οὐ πολὺν ἐπιβιώσας. καὶ τοῦτο δοκεῖ τῷ τελευταίῳ τῶν ἐπῶν ὁ χρησμὸς ἀποθεσπίσαι,

» κλαίει ὁ νικηθεὶς, ὁ δὲ νικήσας, ἀπόλωλεν.

ἔγνω μὲν οὖν κρύφα τὴν τοῦ Φιλίππου τελευτὴν, ὁ Δημοσθένης, προκαταλαμβάνων δὲ τὸ θαῤῥεῖν ἐπὶ τὰ μέλλοντα τοὺς Ἀθηναίους. προῆλθε φαιδρὸς εἰς τὴν βουλὴν ὡς ὄναρ ἑωρακὼς ἀφ᾽ οὗ τι μέγα προσδοκᾶν Ἀθηναίοις ἀγαθόν. καὶ μετ᾽ οὐ πολὺ παρῆσαν οἱ τὸν Φιλίππου θάνατον ἀπαγγέλλοντες. εὐθὺς οὖν ἔθυον εὐαγγέλια, καὶ στεφανοῦν ἐψηφίσαντο Παυσανίαν. καὶ προῆλθεν ὁ Δημοσθένης ἔχων λαμπρὸν ἱμάτιον ἐστεφανωμένος, ἑβδόμην ἡμέραν τῆς θυγατρὸς αὐτοῦ τεθνηκυίας, ὡς Αἰσχίνης φησὶ, λοιδορῶν ἐπὶ τούτῳ καὶ κατηγορῶν αὐτοῦ μισοτεκνίαν, αὐτὸς ὢν ἀγεννὴς καὶ μαλακὸς εἰ τὰ πένθη καὶ τοὺς ὀδυρμοὺς ἡμέρου καὶ φιλοστόργου ψυχῆς ἐποιεῖτο σημεῖα, τὸ δ᾽ ἀλύπως φέρειν ταῦτα καὶ πράως, ἀπεδοκίμαζεν. ἐγὼ δὲ ὡς μὲν ἐπὶ θανάτῳ βασιλέως ἡμέρως οὕτω καὶ φιλανθρώπως ἐν οἷς ηὐτύχησε χρησάμενος πταίσασιν αὐτοῖς στεφανηφορεῖν καλῶς, εἶτα δὲ καὶ θύειν, οὐκ

πομπος, ὅτι τῶν ἀθηναίων ἐπί τινα προβαλλομένων αὐτὸν κατηγορίαν, ὡς οὐχ ὑπήκουε θορυβούντων, ἀναστὰς εἶπεν· ὑμεῖς ἐμοὶ ὦ ἄνδρες ἀθηναῖοι, συμβούλῳ μὲν καὶ μὴ θέλητε χρήσεσθε. συκοφάντῃ δὲ, οὐδὲ ἂν θέλητε. σφόδρα δ' ἀριστοκρατικὸν αὐτοῦ πολίτευμα καὶ τὸ περὶ ἀντιφῶντος. ὃν ὑπὸ τῆς ἐκκλησίας ἀφεθέντα συλλαβὼν, ἐπὶ τὴν ἐξ ἀρείου πάγου βουλὴν ἐπήγαγε. καὶ παρ' οὐδὲν τὸ προσκροῦσαι τῷ δήμῳ θέμενος, ἤλεγξεν ὑπεσχημένον φιλίππῳ τὰ νεώρια ἐμπρήσειν. καὶ παραδοθεὶς ὁ ἄνθρωπος ὑπὸ τῆς βουλῆς, ἀπέθανε. κατηγόρησε δὲ καὶ τῆς ἱερείας θεωρίδος, ὡς ἄλλα τε ῥᾳδιουργούσης πολλὰ, καὶ τοὺς δούλους ἐξαπατᾶν διδασκούσης, καὶ θανάτου τιμησάμενος, ἀπέκτεινε. λέγεται δὲ καὶ τὸν κατὰ τιμοθέου τοῦ στρατηγοῦ λόγον, ᾧ χρησάμενος ἀπολλόδωρος, εἷλε τὸν ἄνδρα τοῦ ὀφλήματος, δημοσθένης γράψαι τῷ ἀπολλοδώρῳ, καθάπερ καὶ τοὺς πρὸς φορμίωνα καὶ στέφανον. ἐφ' οἷς εἰκότως ἠδόξησε. καὶ γὰρ φορμίων ἠγωνίζετο λόγῳ δημοσθένους, πρὸς τὸν ἀπολλόδωρον ἀτεχνῶς καθάπερ ἐξ ἑνὸς μαχαιροπωλίου, τὰ κατ' ἀλλήλων ἐγχειρίδια πωλοῦντος αὐτοῦ τοῖς ἀντιδίκοις. τῶν δὲ δημοσίων, ὁ μὲν κατ' ἀνδροτίωνος καὶ τιμοκράτους καὶ ἀριστοκράτους, ἑτέροις ἐγράφησαν, οὔπω τῇ πολιτείᾳ προσεληλυθότος. δοκεῖ γὰρ, δυοῖν ἢ τριῶν δέοντα ἔτη τριάκοντα γεγονὼς, ἐξενεγκεῖν τοὺς λόγους ἐκείνους. τὸν δὲ κατὰ ἀριστογείτονος, αὐτὸς ἠγωνίσατο. καὶ τὸν περὶ τῶν ἀτελειῶν διὰ τὸν χαβρίου παῖδα κτήσιππον, ὥς φησιν αὐτός. ὡς δ' ἔνιοι λέγουσι, τὴν μητέρα τοῦ νεανίσκου μνώμενος. οὐ μὴν ἔγημε ταύτην, ἀλλὰ σαμίᾳ τινὶ συνῴκησεν, ὡς ἱστορεῖ δημήτριος ὁ μάγνης ἐν τοῖς περὶ συνωνύμων. ὁ δὲ κατ' αἰσχίνου τῆς παραπρεσβείας, ἄδηλον εἰ λέλεκται. καίτοι φησὶν ἰδομενεὺς παρὰ τριάκοντα μόνας, τὸν αἰσχίνην ἀποφυγεῖν. ἀλλ' οὐκ ἔοικεν οὕτως ἔχειν τἀληθὲς, εἰ δεῖ τοῖς περὶ στεφάνου γεγραμμένοις ἑκατέρων λόγοις τεκμαίρεσθαι. μέμνηται γὰρ οὐδέτερος αὐτῶν ἐναργῶς, οὐδὲ τρανῶς ἐκείνου τοῦ ἀγῶνος ὡς ἄχρι δίκης προελθόντος. ταυτὶ μὲν οὖν ἕτεροι διακρινοῦσι μᾶλλον. ἡ δὲ τοῦ δημοσθένους πολιτεία, φανερὰ μὲν ἦν ἔτι καὶ τῆς εἰρήνης ὑπαρχούσης. οὐδὲν ἐῶντος ἀνεπιτίμητον τῶν πραττομένων ὑπὸ τοῦ μακεδόνος, ἀλλ' ἐφ' ἑκάστῳ, ταράττοντος τοὺς ἀθηναίους, καὶ διακαίοντος, ἐπὶ τὸν ἄνθρωπον. διὸ καὶ παρὰ φιλίππῳ, πλεῖστος ἦν λόγος αὐτοῦ. καὶ ὅτε πρεσβεύων, δέκατος ἧκεν εἰς μακεδονίαν, ἤκουσε μὲν πάντων φίλιππος. ἀντεῖπε δὲ μετὰ πλείστης ἐπιμελείας, πρὸς τὸν ἐκείνου λόγον. οὐ μὴν ἔν γε ταῖς ἄλλαις τιμαῖς καὶ φιλοφροσύναις, ὅμοιον αὐτὸν, τῷ δημοσθένει παρεῖχεν. ἀλλὰ προσήγετο τοὺς περὶ αἰσχίνην καὶ φιλοκράτην μᾶλλον. ὅθεν ἐπαινούντων ἐκείνων τὸν φίλιππον, ὡς καὶ λέγειν δυνατώτατον, καὶ κάλλιστον ὀφθῆναι καὶ νὴ δία συμπιεῖν ἱκανώτατον, ἠναγκάζετο βασκαίνων ἐπισκώπτειν. ὡς τὸ μὲν, σοφιστοῦ. τὸ δὲ, γυναικός. τὸ δὲ, σπογγιᾶς εἴη, βασιλέως δ' οὐδὲν ἐγκώμιον. ἐπεὶ δ' εἰς τὸ πολεμεῖν ἔρρεπε τὰ πράγματα, τοῦ μὲν φιλίππου μὴ δυναμένου τὴν ἡσυχίαν ἄγειν, τῶν δ' ἀθηναίων ἐγειρομένων ὑπὸ τοῦ δημοσθένους, πρῶτον μὲν, εἰς εὔβοιαν ἐξώρμησε τοὺς ἀθηναίους καταδεδουλωμένην ὑπὸ τῶν τυράννων φιλίππῳ. καὶ διαβάντες, ἐκείνου τὸ ψήφισμα γράψαντος, ἐξήλασαν τοὺς μακεδόνας. δεύτερον δὲ βυζαντίοις ἐβοήθησε καὶ περινθίοις ὑπὸ τοῦ μακεδόνος πολεμουμένοις. πείσας τὸν δῆμον, ἀφέντα τὴν ἔχθραν, καὶ τὸ μεμνῆσθαι τῶν περὶ τὸ συμμαχικὸν ἡμαρτημένων ἑκατέροις, πόλεμον, ἀποστεῖλαι δύναμιν αὐτοῖς, ὑφ' ἧς ἐσώθησαν. ἔπειτα πρεσβεύων καὶ διαλεγόμενος τοῖς ἕλλησι, καὶ παροξύνων, συνέστησε πλὴν ὀλίγων, ἅπαντας ἐπὶ τὸν φίλιππον. ὥστε σύνταξιν γενέσθαι πεζῶν μὲν, μυρίων καὶ πεντακισχιλίων. ἱππέων δὲ, δισχιλίων ἄνευ τῶν πολιτικῶν δυνάμεων. χρήματα δὲ καὶ μισθοὺς τοῖς ξένοις εἰσφέρεσθαι προθύμως. ὅτε καί φησι θεόφραστος, ἀξιούντων τῶν συμμάχων, ὁρισθῆναι τὰς εἰσφορὰς, εἰπεῖν κρωβύλον τὸν δημαγωγὸν, ὡς οὐ τεταγμένα σιτεῖται πόλεμος. ἐπηρμένης δὲ τῆς ἑλλάδος πρὸς τὸ μέλλον, καὶ συνισταμένων κατ' ἔθνη καὶ πόλεις. εὐβοέων. ἀχαιῶν. κορινθίων. μεγαρέων. λευκαδίων. κερκυραίων, ὁ μέγιστος ὑπελείπετο τῷ δημοσθένει τῶν ἀγώνων, θηβαίους προσαγαγέσθαι τῇ συμμαχίᾳ. χώραν τε σύνορον τῆς ἀττικῆς, καὶ δύναμιν ἐναγώνιον ἔχοντας, καὶ μάλιστα τότε τῶν ἑλλήνων εὐδοκιμοῦντας ἐν τοῖς ὅπλοις. ἦν δ' οὐ ῥᾴδιον ἐπὶ προσφάτοις εὐεργετήμασι τοῖς περὶ τὸν φωκικὸν πόλεμον τεθιασευμένους ὑπὸ τοῦ φιλίππου, μεταστῆσαι τοὺς θηβαίους. καὶ μάλιστα ταῖς διὰ τὴν γειτνίασιν ἁψιμαχίαις, ἀναξαινομένων ἑκάστοτε τῶν πολεμικῶν πρὸς ἀλλήλας διαφορῶν ταῖς πόλεσιν. οὐ μὴν, ἀλλ' ἐπεὶ φίλιππος ὑπὸ τῆς περὶ τὴν ἄμφισσαν εὐτυχίας ἐπαιρόμενος, εἰς τὴν ἐλάτειαν ἐξαίφνης ἐνέπεσε, καὶ τὴν φωκίδα κατέχων, ἐκπεπληγμένων τῶν ἀθηναίων, καὶ μηδενὸς τολμῶντος ἀναβαίνειν ἐπὶ τὸ βῆμα, μηδὲ ἔχοντος ὅ τι χρὴ λέγειν, ἀπορίας οὔσης ἐν μέσῳ καὶ σιωπῆς, παρελθὼν μόνος ὁ δημοσθένης, συνεβούλευε τῶν θηβαίων ἔχεσθαι, καὶ τἆλλα παραθαρρύνας, καὶ μετεωρίσας ὥσπερ εἰώθει τὸν δῆμον ταῖς ἐλπίσιν, ἀπεστάλη πρεσβευτὴς μεθ' ἑτέρων εἰς θήβας. ἔπεμψε δὲ καὶ φίλιππος ὡς μαρσύας φησὶν, ἀμύνταν μὲν καὶ κλέαρχον μακεδόνας. δάοχον δὲ καὶ θεσσαλὸν καὶ θρασυδαῖον, ἀντεροῦντας. τὸ μὲν οὖν συμφέρον, οὐ διέφυγε τοὺς τῶν θηβαίων λογισμούς. ἀλλ' ἐν ὄμμασιν ἕκαστος εἶχε τὰ τοῦ πολέμου δεινὰ, ἔτι τῶν φωκικῶν τραυμάτων νεαρῶν παραμενόντων. ἡ δὲ τοῦ ῥήτορος δύναμις, ὥς φησι θεόπομπος, ἐκριπίζουσα τὸν θυμὸν αὐτῶν καὶ διακαίουσα τὴν φιλοτιμίαν, ἐπεσκότησε τοῖς ἄλλοις ἅπασι.

μέγα πρὸς πίστιν εἶναι τὸν τόνον καὶ τὴν ὑπόκρισιν τῶν λεγόντων. τοῖς μὲν οὖν πολλοῖς ὑποκρινόμενος, ἤρεσκε θαυμαστῶς. οἱ δὲ χαρίεντες ταπεινὸν ἡγοῦντο καὶ ἀγεννὲς αὐτοῦ τὸ πλάσμα καὶ μαλακόν. ὧν καὶ δημήτριος ὁ φαληρεύς ἐστιν. αἰσίωνα δέ φησιν ἕρμιππος ἐρωτηθέντα περὶ τῶν πάλαι ῥητόρων καὶ τῶν καθ' αὑτὸν, εἰπεῖν. ὡς ἀκούων μὲν ἄν τις ἐθαύμασεν ἐκείνους, εὐκόσμως καὶ μεγαλοπρεπῶς τῷ δήμῳ διαλεγομένους. ἀναγινωσκόμενοι δ' οἱ δημοσθένους λόγοι, πολὺ τῇ κατασκευῇ καὶ δυνάμει διαφέρουσιν. οἱ μὲν οὖν γεγραμμένοι τῶν λόγων ὅτι τὸ αὐστηρὸν πολὺ καὶ πικρὸν ἔχουσι, τί ἂν λέγοι τις. ἐν δὲ ταῖς ἀπαντήσεσι ταῖς παρὰ τὸν καιρὸν, ἐχρῆτο καὶ τῷ γελοίῳ. δημάδου μὲν γὰρ εἰπόντος, ἐμὲ δημοσθένης, ἡ ὗς τὴν ἀθηνᾶν, αὕτη εἶπεν ἡ ἀθηνᾶ πρώην ἐν κολλυτῷ, μοιχεύουσα ἐλήφθη. πρὸς δὲ τὸν κλέπτην ὃς ἐπεκαλεῖτο χαλκοῦς, καὶ αὐτὸν εἰς τὰς ἀγρυπνίας αὐτοῦ καὶ νυκτογραφίας πειρώμενόν τι λέγειν, οἶδα εἶπεν ὅτι σε λυπῶ λύχνον καίων. ὑμεῖς δὲ ὦ ἄνδρες ἀθηναῖοι μὴ θαυμάζετε τὰς γινομένας κλοπὰς, ὅταν τοὺς μὲν κλέπτας χαλκοῦς. τοὺς δὲ τοίχους, πηλίνους ἔχωμεν. ἀλλὰ περὶ μὲν τούτων καίπερ ἔτι πλείω λέγειν ἔχοντες, ἐνταῦθα παυσόμεθα. τὸν δ' ἄλλον αὐτοῦ τρόπον, καὶ τὸ ἦθος ἀπὸ τῶν πράξεων καὶ τῆς πολιτείας θεωρεῖσθαι δίκαιόν ἐστιν. ὥρμησε μὲν οὖν ἤδη τὸ πράττειν τὰ κοινὰ τοῦ φωκικοῦ πολέμου συνεστῶτος ὡς αὐτός φησι. καὶ λαβεῖν ἐστιν ἀπὸ τῶν φιλιππικῶν δημηγοριῶν. αἱ μὲν γὰρ ἤδη διαπεπραγμένων ἐκείνων γεγόνασιν. αἱ δὲ πρεσβύταται, τῶν ἔγγιστα πραγμάτων, ἅπτονται. δῆλος δ' ἐστὶ καὶ τὴν κατὰ μειδίου παρασκευασάμενος εἰπεῖν δίκην, δύο μὲν ἤδη καὶ τριάκοντα γεγονὼς ἔτη, μηδέπω δ' ἔχων ἰσχὺν ἐν τῇ πολιτείᾳ μηδὲ δόξαν. ὃ καὶ μάλιστά μοι δοκεῖ δείσας, ἐπ' ἀργυρίῳ καταθέσθαι τὴν πρὸς τὸν ἄνθρωπον ἔχθραν. οὐ γάρ τι γλυκύθυμος ἀνὴρ ἦν οὐδ' ἀγανόφρων, ἀλλ' ἔντονος καὶ βίαιος περὶ τὰς ἀμύνας. ὁρῶν δ' οὐ φαῦλον, οὐδὲ τῆς αὐτοῦ δυνάμεως ἔργον, ἄνδρα καὶ πλούτῳ καὶ λόγῳ, καὶ φίλοις εὖ πεφραγμένον καθελεῖν τὸν μειδίαν, ἐνέδωκε τοῖς ὑπὲρ αὐτοῦ δεομένοις. αἱ δὲ τρισχίλιαι καθ' ἑαυτὰς, οὐκ ἄν μοι δοκοῦσι τὴν δημοσθένους ἀμβλῦναι πικρίαν, ἐλπίζοντος καὶ δυναμένου περιγενέσθαι. λαβὼν δὲ τῆς πολιτείας καλὴν ὑπόθεσιν τὴν πρὸς φίλιππον ὑπὲρ τῶν ἑλλήνων δικαιολογίαν. καὶ πρὸς ταύτην ἀγωνιζόμενος ἀξίως, ταχὺ δόξαν ἔσχε, καὶ περίβλεπτος ἀπὸ τῶν λόγων ἤρθη καὶ τῆς παρρησίας. ὥστε θαυμάζεσθαι μὲν ἐν τῇ ἑλλάδι. θεραπεύεσθαι δ' ὑπὸ τοῦ μεγάλου βασιλέως, πλεῖστον δ' αὐτοῦ λόγον εἶναι παρὰ τῷ φιλίππῳ τῶν δημαγωγούντων. ὁμολογεῖν δὲ καὶ τοὺς ἀπεχθανομένους, ὅτι πρὸς ἔνδοξον αὐτοῖς ἄνθρωπον ὁ ἀγὼν ἐστί. καὶ γὰρ αἰσχίνης καὶ ὑπερίδης τοιαῦτα ὑπὲρ αὐτοῦ κατηγοροῦντες εἰρήκασιν. ὅθεν οὐκ οἶδ' ὅπως παρέστη θεοπόμπῳ λέγειν αὐτὸν ἀβέβαιον τῷ τρόπῳ γεγονέναι. καὶ μήτε πράγμασι, μήτ' ἀνθρώποις πολὺν χρόνον τοῖς αὐτοῖς ἐπιμένειν δυνάμενον. φαίνεται γὰρ εἰς ἣν ἀπ' ἀρχῆς τῶν πραγμάτων μερίδα καὶ τάξιν αὐτὸν ἐν τῇ πολιτείᾳ κατέστησε, ταύτην ἄχρι τέλους διαφυλάξας. καὶ οὐ μόνον ἐν τῷ βίῳ μὴ μεταβαλλόμενος, ἀλλὰ καὶ τὸν βίον, ἐν τῷ μὴ μεταβαλέσθαι προέμενος. οὐ γὰρ ὡς δημάδης ἀπολογούμενος περὶ τὴν ἐν τῇ πολιτείᾳ μεταβολὴν ἔλεγεν. αὑτῷ μὲν αὐτὸν τἀναντία πολλάκις εἰρηκέναι. τῇ δὲ πόλει μηδέποτε. καὶ μελάνωπος ἀντιπολιτευόμενος καλλιστράτῳ. καὶ πολλάκις ὑπ' αὐτοῦ χρήμασι μετατιθέμενος, εἰώθει λέγειν πρὸς τὸν δῆμον. ὁ μὲν ἀνὴρ, ἐχθρός. τὸ δὲ τῆς πόλεως, νικάτω συμφέρον. νικόδημος δ' ὁ μεσσήνιος κασάνδρῳ προστιθέμενος πρότερον, εἶτ' αὖθις ὑπὲρ τοῦ δημητρίου πολιτευόμενος, οὐκ ἔφη τἀναντία λέγειν, ἀεὶ γὰρ εἶναι συμφέρον ἀκροᾶσθαι τῶν κρατούντων, οὕτω καὶ περὶ δημοσθένους ἔχομεν εἰπεῖν, οἷον ἐκτρεπομένου καὶ πλαγιάζοντος ἢ φωνὴν ἢ πρᾶξιν, ἀλλ' ὥσπερ ἀφ' ἑνὸς καὶ ἀμεταβλήτου διαγράμματος τῆς πολιτείας ἕνα τόνον ἔχων ἐν τοῖς πράγμασιν ἀεὶ διετέλεσε. παναίτιος δ' ὁ φιλόσοφος, καὶ τῶν λόγων αὐτοῦ φησὶν οὕτω γεγράφθαι τοὺς πλείστους ὡς μόνου τοῦ καλοῦ δι' αὑτὸ αἱρετοῦ ὄντος. τὸν περὶ τοῦ στεφάνου. τὸν κατὰ ἀριστοκράτους. τὸν ὑπὲρ τῶν ἀτελειῶν, τοὺς φιλιππικούς. ἐν οἷς πᾶσιν, οὐ πρὸς τὸ ἥδιστον, ἢ ῥᾷστον, ἢ λυσιτελέστατον, ἄγει τοὺς πολίτας. ἀλλὰ πολλαχοῦ τὴν ἀσφάλειαν καὶ τὴν σωτηρίαν οἴεται δεῖν ἐν δευτέρᾳ τάξει τοῦ καλοῦ ποιεῖσθαι καὶ τοῦ πρέποντος. ὡς εἴγε περὶ τὰς ὑποθέσεις αὐτοῦ φιλοτιμίᾳ καὶ τῇ τῶν λόγων εὐγενείᾳ, παρῆν ἀνδρεία τε πολεμιστήριος, καὶ τὸ καθαρῶς ἕκαστα πράττειν, οὐκ ἐν τῷ κατὰ μυροκλέα καὶ πολύευκτον καὶ ὑπερίδην ἀριθμῷ τῶν ῥητόρων, ἀλλ' ἄνω μετὰ κίμωνος καὶ θουκυδίδου καὶ περικλέους, ἄξιος ἦν τίθεσθαι. τῶν γοῦν μετ' αὐτὸν, ὁ φωκίων οὐκ ἐπαινουμένης προϊστάμενος πολιτείας, ἀλλὰ δοκῶν μακεδονίζειν, ὅμως δι' ἀνδρείαν καὶ δικαιοσύνην, οὐδὲν οὐδαμοῦ χείρων ἔδοξεν ἐφιάλτου καὶ ἀριστείδου καὶ κίμωνος ἀνὴρ γενέσθαι. δημοσθένης δ' οὐκ ἐν τοῖς ὅπλοις ἀξιόπιστος, ὥς φησιν ὁ δημήτριος, οὐδὲ πρὸς τὸ λαμβάνειν παντάπασιν ἀπωχυρωμένος, ἀλλὰ τῷ μὲν παρὰ φιλίππου καὶ μακεδονίας ἀνάλωτος ὤν, τῷ δ' ἄνωθεν ἐκ σούσων καὶ ἐκβατάνων ἤδη βατὸς χρυσίῳ γεγονὼς, καὶ κατακεκλυσμένος, ἐπαινέσαι μὲν, ἱκανώτατος ἦν τὰ τῶν προγόνων καλὰ, μιμεῖσθαι δὲ οὐχ ὅμοιος. ἐπεὶ τούς γε καθ' αὑτὸν ῥήτορας, ἔξω δὲ λόγου τίθεμαι φωκίωνα, καὶ τῷ βίῳ παρῆλθε. φαίνεται δὲ καὶ μετὰ παρρησίας μάλιστα τῷ δήμῳ διαλεγόμενος. καὶ πρὸς τὰς ἐπιθυμίας τῶν πολλῶν ἀντιτείνων. καὶ τοῖς ἁμαρτήμασιν αὐτῶν, ἐπιφυόμενος ὡς ἐκ τῶν λόγων λαβεῖν ἐστιν. ἱστορεῖ δὲ καὶ θεό-

φωνήν, πολλάκις δὲ καὶ μῆνας ἑξῆς δύο καὶ τρεῖς συνάπτειν, ξυρούμενος τῆς κεφαλῆς θάτερον μέρος, ὑπὲρ τοῦ μηδὲ βουλομένῳ πάνυ προελθεῖν ἐνδέχεσθαι δι' αἰσχύνην. οὐ μὴν ἀλλὰ καὶ τὰς πρὸς τοὺς ἐκτὸς ἐντεύξεις καὶ λόγους καὶ ἀσχολίας, ὑποθέσεις ἐποιεῖτο καὶ ἀφορμὰς τοῦ φιλοπονεῖν. ἀπαλλαγεὶς γὰρ αὐτῶν, τάχιστα κατέβαινεν εἰς τὸ μελετητήριον, καὶ διεξῄει τάς τε πράξεις ἐφεξῆς καὶ τοὺς ὑπὲρ αὐτῶν ἀπολογισμούς. ἔτι δὲ τοὺς λόγους οἷς παρέτυχε λεγομένοις, ἀναλαμβάνων εἰς ἑαυτὸν, εἰς γνώμας ἀνῆγε καὶ περιόδους. ἐπανορθώσεις τε παντοδαπὰς καὶ μεταφράσεις ἐκαινοτόμει τῶν εἰρημένων ὑφ' ἑτέρων πρὸς αὐτὸν, ἢ ὑφ' αὐτοῦ πάλιν εἰς ἄλλον. ἐκ τούτου, δόξαν εἶχεν ὡς οὐκ εὐφυὴς ὢν, ἀλλ' ἐκ πόνου συγκειμένῃ δεινότητι καὶ δυνάμει χρώμενος. ἐδόκει τε τούτου σημεῖον εἶναι μέγα, τὸ μὴ ῥᾳδίως ἀκοῦσαί τινα Δημοσθένους ἐπὶ καιροῦ λέγοντος, ἀλλὰ καὶ καθήμενον ἐν ἐκκλησίᾳ πολλάκις, τοῦ δήμου καλοῦντος ὀνομαστὶ, μὴ παρελθεῖν, εἰ μὴ τύχοι πεφροντικὼς καὶ παρεσκευασμένος. εἰς τοῦτο δ' ἄλλοι τε πολλοὶ τῶν δημαγωγῶν ἐχλεύαζον αὐτόν. καὶ Πυθέας ἐπισκώπτων ἐλλυχνίων ἔφησεν ὄζειν αὐτοῦ τὰ ἐνθυμήματα. τοῦτον μὲν οὖν ἠμείψατο πικρῶς ὁ Δημοσθένης. οὐ ταυτὰ γάρ εἶπεν ἐμοὶ καὶ σοὶ ὦ Πυθέα ὁ λύχνος σύνοιδε. πρὸς δὲ τοὺς ἄλλους οὐ παντάπασιν ἦν ἔξαρνος. ἀλλ' οὔτε γράψας οὔτ' ἄγραφα κομιδῇ λέγειν ὡμολόγει. καὶ μέντοι δημοτικὸν ἀπέφαινεν ἄνδρα, τὸν λέγειν μελετῶντα. θεραπείας γὰρ εἶναι τοῦτο δήμου παρασκευήν. τὸ δ' ὅπως ἕξουσιν οἱ πολλοὶ πρὸς τὸν λόγον ἀφροντιστεῖν, ὀλιγαρχικοῦ, καὶ βίᾳ μᾶλλον ἢ πειθοῖ προσέχοντος. τῆς δὲ πρὸς καιρὸν ἀτολμίας αὐτοῦ, καὶ τοῦτο ποιοῦνται σημεῖον. ὅτι Δημάδης μὲν ἐκείνῳ θορυβηθέντι πολλάκις, ἀναστὰς ἐκ προχείρου, συνεῖπεν. ἐκεῖνος δ' οὐδέποτε Δημάδῃ. πόθεν οὖν φαίη τις ἂν ὁ Αἰσχίνης πρὸς τὴν ἐν τοῖς λόγοις τόλμαν, θαυμασιώτατον ἀπεκάλει τὸν ἄνδρα. πῶς δὲ Πύθωνι τῷ Βυζαντίῳ θρασυνομένῳ καὶ ῥέοντι πολλῷ κατὰ τῶν Ἀθηναίων, ἀναστὰς μόνος ἀντεῖπε. ἢ Λαμάχου τοῦ Μυῤῥινουσίου γεγραφότος ἐγκώμιον Ἀλεξάνδρου καὶ Φιλίππου τῶν βασιλέων, ἐν ᾧ πολλὰ Θηβαίους καὶ Ὀλυνθίους εἰρήκει κακῶς, καὶ ἀναγινώσκοντος Ὀλυμπίασι, παραναστὰς καὶ διεξελθὼν μεθ' ἱστορίας καὶ ἀποδείξεως ὅσα Θηβαίοις καὶ Χαλκιδεῦσιν ὑπάρχει καλὰ πρὸς τὴν Ἑλλάδα. καὶ πάλιν ὅσων αἴτιοι κακῶν γεγόνασιν οἱ κολακεύοντες Μακεδόνας, οὕτως ἐπέστρεψε τοὺς παρόντας, ὥστε δείσαντα τῷ θορύβῳ τὸν σοφιστὴν, ὑπεκδῦναι τῆς πανηγύρεως. ἀλλ' ἔοικεν ὁ ἀνὴρ τοῦ Περικλέους τὰ μὲν ἄλλα μὴ πρὸς αὐτὸν ἡγήσασθαι, τὸ δὲ πλάσμα καὶ τὸν σχηματισμὸν αὐτοῦ καὶ τὸ μὴ ταχέως μηδὲ περὶ παντὸς ἐκ τοῦ παρισταμένου λέγειν, ὥσπερ ἐκ τούτων μεγάλου γεγονότος, ζηλῶν καὶ μιμούμενος, οὐ πάνυ προΐεσθαι τὴν ἐν τῷ καιρῷ δόξαν, οὐδ' ἐπὶ τύχῃ πολλάκις ἑκὼν εἶναι ποιεῖσθαι τὴν δύναμιν. ἐπεὶ τόλμαν γε καὶ θάρσος, οἱ λεχθέντες ὑπ' αὐτοῦ λόγοι τῶν γραφέντων μᾶλλον εἶχον, εἴ τι δεῖ πιστεύειν Ἐρατοσθένει καὶ Δημητρίῳ τῷ Φαληρεῖ, καὶ τοῖς κωμικοῖς. ὧν Ἐρατοσθένης μέν φησιν αὐτὸν ἐν τοῖς λόγοις πολλαχοῦ γεγονέναι παράβακχον. ὁ δὲ Φαληρεὺς τὸν ἔμμετρον ἐκεῖνον ὅρκον ὀμόσαι ποτὲ πρὸς τὸν δῆμον, ὥσπερ ἐνθουσιῶντα. μὰ γῆν. μὰ κρήνας. μὰ ποταμούς. μὰ νάματα. τῶν δὲ κωμικῶν, ὁ μέν τις αὐτὸν ἀποκαλεῖ ῥωποπερπερήθραν. ὁ δὲ, παρασκώπτων ὡς χρώμενον τῷ ἀντιθέτῳ, φησίν. οὕτως ἀπέλαβεν ὥσπερ ἔλαβεν. ἠγάπησε γὰρ τὸ ῥῆμα τοῦτο παραλαβὼν Δημοσθένης ἐκτός. εἰ μὴ νὴ Δία πρὸς τὸν ὑπὲρ Ἀλοννήσου λόγον ὁ Ἀντιφάνης καὶ τουτὶ πέπαιχεν. ἣν Ἀθηναίοις Δημοσθένης συνεβούλευε μὴ λαμβάνειν, ἀλλ' ἀπολαμβάνειν παρὰ Φιλίππου. πλὴν τόν γε Δημάδην πάντες ὡμολόγουν τῇ φύσει χρώμενον, ἀνίκητον εἶναι καὶ παραφέρειν αὐτὸν, σχεδιάζοντα τὰς τοῦ Δημοσθένους σκέψεις καὶ παρασκευάς. Ἀρίστων δ' ὁ Χῖος καὶ Θεοφράστου τινὰ δόξαν ἱστόρηκε περὶ τῶν ῥητόρων, ἐρωτηθέντα γὰρ ὁποῖός τις αὐτῷ φαίνεται ῥήτωρ ὁ Δημοσθένης, εἰπεῖν. ἄξιος τῆς πόλεως. ὁποῖος δὲ Δημάδης, ὑπὲρ τὴν πόλιν. ὁ δ' αὐτὸς φιλόσοφος Πολύευκτον ἱστορεῖ τὸν Σφήττιον, ἕνα τῶν τότε πολιτευομένων Ἀθήνησιν ἀποφαίνεσθαι. μέγιστον μὲν εἶναι ῥήτορα Δημοσθένη. δυνατώτατον δὲ εἰπεῖν, Φωκίωνα. πλεῖστον γὰρ ἐν βραχυτάτῃ λέξει νοῦν ἐκφέρειν. καὶ μέντοι καὶ τὸν Δημοσθένη φασὶν αὐτὸν ὁσάκις ἂν ἀντερῶν αὐτῷ Φωκίων ἀναβαίνοι λέγειν πρὸς τοὺς συνήθεις, ἡ τῶν ἐμῶν λόγων κοπὶς ἀνίσταται. τοῦτο μὲν οὖν ἄδηλον, εἴτε πρὸς τὸν λόγον τοῦ ἀνδρὸς ὁ Δημοσθένης, εἴτε πρὸς τὸν βίον καὶ τὴν δόξαν ἐπεπόνθει, πολλῶν πάνυ καὶ μακρῶν περιόδων, ἓν ῥῆμα καὶ νεῦμα πίστιν ἔχοντος ἀνθρώπου, κυριώτερον ἡγούμενος. τοῖς δὲ σωματικοῖς ἐλαττώμασι τοιαύτην ἐπῆγεν ἄσκησιν ὡς ὁ Φαληρεὺς Δημήτριος ἱστορεῖ λέγων αὐτοῦ Δημοσθένους ἀκούειν πρεσβύτου γεγονότος, τὴν μὲν ἀσάφειαν καὶ τραυλότητα τῆς γλώττης ἐκβιάζεσθαι καὶ διαρθροῦν εἰς τὸ στόμα ψήφους λαμβάνοντα καὶ ῥήσεις ἅμα λέγοντα. τὴν δὲ φωνὴν ἐν τοῖς δρόμοις γυμνάζεσθαι. καὶ ταῖς πρὸς τὰ σιμὰ προσβάσεσι διαλεγόμενος. καὶ λόγους τινὰς ἢ στίχους ἅμα τῷ πνεύματι πυκνουμένῳ προσφερόμενον. εἶναι δ' αὐτῷ μέγα κατόπτρον οἴκοι, καὶ πρὸς τοῦτο τὰς μελέτας ἐξ ἐναντίας ἱστάμενον περαίνειν. λέγεται δ' ἀνθρώπου προσελθόντος δεομένου συνηγορίας καὶ διεξιόντος, ὡς ὑπό του λάβοι πληγὰς, ἀλλὰ σύ γε φάναι τὸν Δημοσθένην, τούτων ὧν λέγεις, οὐδὲν πέπονθας. ἐπιτείναντος δὲ τὴν φωνὴν τοῦ ἀνθρώπου καὶ βοῶντος ἐγὼ Δημόσθενες οὐδὲν πέπονθα, νὴ Δία φάναι νῦν ἀκούω φωνὴν ἀδικουμένου καὶ πεπονθότος. οὕτως ᾤετο

προϊεμένης τοῖς πόνοις τῆς μητρὸς αὐτόν, οὐδὲ προσβιαζομένων τῶν παιδαγωγῶν. ἦν γὰρ ἐξ ἀρχῆς κάτισχνος καὶ νοσώδης. καὶ τὴν λοιδορουμένην ἐπωνυμίαν τὸν βάταλον εἰς τὸ σῶμα λέγεται σκωπτόμενος ὑπὸ τῶν παίδων λαβεῖν. ἦν δὲ ὁ βάταλος, ὡς μὲν ἔνιοί φασιν, αὐλητὴς τῶν κατεαγότων. καὶ δραμάτιον εἰς τοῦτο κωμῳδῶν αὐτὸν ἀντιφάνης πεποίηκεν. ἔνιοι δέ τινος ὡς ποιητοῦ τρυφερὰ καὶ παροίνια γράφοντος τοῦ βατάλου μέμνηνται. δοκεῖ δὲ καὶ τῶν οὐκ εὐπρεπῶν τι λεχθῆναι τοῦ σώματος μορίων παρὰ τοῖς ἀττικοῖς τότε καλεῖσθαι βάταλος. ὁ δ' ἄργας, καὶ τοῦτο γάρ φασι τῷ δημοσθένει γενέσθαι παρώνυμον, ἢ πρὸς τὸν τρόπον ὡς θηριώδη καὶ πικρὸν ἐτέθη, τὸν γὰρ ὄφιν ἔνιοι τῶν ποιητῶν ἀργᾶν ὀνομάζουσιν. ἢ πρὸς τὸν λόγον ὡς ἀνιόντα τοὺς ἀκροωμένους. καὶ γὰρ ἄργας τοὔνομα ποιητὴς ἦν νόμων πονηρῶν καὶ ἀργαλέων. καὶ ταῦτα μὲν ταύτῃ κατὰ πλάτωνα. τῆς δὲ πρὸς τοὺς λόγους ὁρμῆς ἀρχὴν αὐτῷ φασι τοιαύτην γενέσθαι. καλλιστράτου τοῦ ῥήτορος ἀγωνίζεσθαι τὴν περὶ ὠρωποῦ κρίσιν ἐν τῷ δικαστηρίῳ μέλλοντος, ἦν προσδοκία τῆς δίκης μεγάλη, διά τε τὴν τοῦ ῥήτορος δύναμιν, ἀνθοῦντος τότε μάλιστα τῇ δόξῃ. καὶ διὰ τὴν πρᾶξιν οὖσαν περιβόητον. ἀκούσας οὖν ὁ δημοσθένης τῶν διδασκάλων καὶ τῶν παιδαγωγῶν συντιθεμένων τῇ δίκῃ παρατυχεῖν, ἔπεισε τὸν ἑαυτοῦ παιδαγωγὸν δεόμενος καὶ προθυμούμενος, ὅπως αὐτὸν ἀγάγοι πρὸς τὴν ἀκρόασιν. ὁ δ' ἔχων πρὸς τοὺς ἀνοίγοντας τὰ δικαστήρια δημοσίους συνήθειαν, εὐπόρησε χώρας, ἐν ᾗ καθήμενος ὁ παῖς ἀδήλως ἀκούσεται τῶν λεγομένων. εὐημερήσαντος δὲ τοῦ καλλιστράτου καὶ θαυμασθέντος ὑπερφυῶς, ἐκείνου μὲν ἐζήλωσε τὴν δόξαν, ὁρῶν προπεμπόμενον ὑπὸ τῶν πολλῶν καὶ μακαριζόμενον. τοῦ δὲ λόγου μᾶλλον ἐθαύμασε τὴν ἰσχὺν πάντα χειροῦσθαι καὶ τιθασεύειν πεφυκότος. ὅθεν ἐάσας τὰ λοιπὰ μαθήματα, καὶ τὰς παιδικὰς διατριβάς, αὐτὸς αὑτὸν ἤσκει καὶ διεπόνει ταῖς μελέταις, ὡς τῶν λεγόντων ἐσόμενος. ἐχρήσατο δὲ ἰσαίῳ πρὸς τὸν λόγον ὑφηγητῇ, καίπερ ἰσοκράτους τότε σχολάζοντος. εἴτε ὥς τινες λέγουσι τὸν ὡρισμένον μισθὸν ἰσοκράτει τελέσαι μὴ δυνάμενος, τὰς δέκα μνᾶς διὰ τὴν ὀρφανίαν. εἴτε μᾶλλον τοῦ ἰσαίου τὸν λόγον, ὡς δραστήριον καὶ πανοῦργον, ἐπὶ τὴν χρείαν ἀποδεχόμενος. ἕρμιππος δέ φησιν ἀδεσπότοις ὑπομνήμασιν ἐντυχεῖν, ἐν οἷς ἐγέγραπτο τὸν δημοσθένη συνεσχολακέναι πλάτωνι, καὶ πλεῖστον εἰς τοὺς λόγους ὠφελεῖσθαι. κτησιβίου δὲ μέμνηται λέγοντος παρὰ καλλίου τοῦ συρακουσίου καί τινων ἄλλων τὰς ἰσοκράτους τέχνας καὶ τὰς ἀλκιδάμαντος κρύφα λαβόντα τὸν δημοσθένη καταμαθεῖν. ὡς γοῦν ἐν ἡλικίᾳ γενόμενος τοῖς ἐπιτρόποις ἤρξατο δικάζεσθαι, καὶ λογογραφεῖν ἐπ' αὐτούς, πολλὰς διαδύσεις καὶ παλινδικίας εὑρίσκοντας, ἐγγυμνασάμενος κατὰ τὸν θουκυδίδην ταῖς μελέταις, οὐκ ἀκινδύνως οὐδ' ἀργῶς κατευτυχήσας, ἐκπρᾶξαι μὲν οὐδὲ πολλοστὸν ἠδυνήθη μέρος τῶν πατρῴων. τόλμαν δὲ πρὸς τὸ λέγειν, καὶ συνήθειαν ἱκανὴν λαβὼν καὶ γευσάμενος τῆς περὶ τοὺς ἀγῶνας φιλοτιμίας καὶ δυνάμεως, ἐπεχείρησεν εἰς μέσον παριέναι καὶ τὰ κοινὰ πράττειν. καὶ καθάπερ λαομέδοντα τὸν ὀρχομένιον λέγουσι, καχεξίαν τινὰ σπληνὸς ἀμυνόμενον, δρόμοις μακροῖς χρῆσθαι τῶν ἰατρῶν κελευσάντων. εἶθ' οὕτως διαπορήσαντα τὴν ἕξιν ἐπιθέσθαι τοῖς στεφανίταις ἀγῶσι, καὶ τῶν ἄκρων γενέσθαι δολιχοδρόμων, οὕτως τῷ δημοσθένει συνέβη, τὸ πρῶτον ἐπανορθώσεως ἕνεκα τῶν ἰδίων ἀποδύντι πρὸς τὸ λέγειν, ἐκ δὲ τούτου κτησαμένῳ δεινότητα καὶ δύναμιν, ἐν τοῖς πολιτικοῖς ἤδη καθάπερ στεφανίταις ἀγῶσι πρωτεύειν τῶν ἀπὸ τοῦ βήματος ἀγωνιζομένων πολιτῶν. καίτοι τὸ πρῶτον ἐντυγχάνων τῷ δήμῳ, θορύβοις περιέπιπτε, καὶ κατεγελᾶτο δι' ἀήθειαν τοῦ λόγου, συγκεχύσθαι ταῖς περιόδοις, καὶ βεβασανίσθαι τοῖς ἐνθυμήμασι πικρῶς ἄγαν καὶ κατακόρως δοκοῦντος. ἦν δέ τις ὡς ἔοικε καὶ φωνῆς ἀσθένεια, καὶ γλώττης ἀσάφεια, καὶ πνεύματος κολοβότης, ἐπιταράττουσα τὸν νοῦν τῶν λεγομένων τῷ διασπᾶσθαι τὰς περιόδους. τέλος δ' ἀποστάντα τοῦ δήμου, καὶ ῥεμβόμενον ἐν πειραιεῖ δι' ἀθυμίαν, εὔνομος ὁ θριάσιος ἤδη πάνυ γέρων θεασάμενος, ἐπετίμησεν, ὅτι τὸν λόγον ἔχων ὁμοιότατον τῷ περικλέους, προδίδωσιν ὑπ' ἀτολμίας καὶ μαλακίας ἑαυτόν. οὔτε τοὺς ὄχλους ὑφιστάμενος εὐθαρσῶς, οὔτε τὸ σῶμα πρὸς τοὺς ἀγῶνας ἐξαρτυόμενος. ἀλλὰ τρυφῇ περιορῶν μαραινόμενον. πάλιν δέ ποτέ φασιν ἐκπεσόντος αὐτοῦ καὶ ἀπιόντος οἴκαδε συγκεχυμένου καὶ βαρέως φέροντος, ἐπακολουθῆσαι σάτυρον τὸν ὑποκριτήν, ἐπιτήδειον ὄντα καὶ συνελθεῖν. ὀδυρομένου δὲ τοῦ δημοσθένους πρὸς αὐτόν, ὅτι πάντων φιλοπονώτατος ὢν τῶν λεγόντων, καὶ μικροῦ δέων καταναλωκέναι τὴν τοῦ σώματος ἀκμὴν εἰς τοῦτο, χάριν οὐκ ἔχει πρὸς τὸν δῆμον, ἀλλὰ κραιπαλῶντες ἄνθρωποι ναῦται καὶ ἀμαθεῖς ἀκούονται καὶ κατέχουσι τὸ βῆμα, παρορᾶται δ' αὐτός. ἀληθῆ λέγεις ὦ δημόσθενες φάναι τὸν σάτυρον, ἀλλ' ἐγὼ τὸ αἴτιον ἰάσομαι ταχέως, ἄν μοι τῶν εὐριπίδου τινὰ ῥήσεων ἢ σοφοκλέους ἐθελήσῃς εἰπεῖν ἀπὸ στόματος. εἰπόντος δὲ τοῦ δημοσθένους, μεταλαβόντα τὸν σάτυρον, οὕτω πλάσαι καὶ διεξελθεῖν ἐν ἤθει πρέποντι καὶ διαθέσει τὴν αὐτὴν ῥῆσιν, ὥσθ' ὅλως ἑτέραν τῷ δημοσθένει φανῆναι. πεισθέντα δ' ὅσον ἐκ τῆς ὑποκρίσεως τῷ λόγῳ κόσμου καὶ χάριτος πρόσεστι, μικρὸν ἡγήσασθαι καὶ τὸ μηδὲν εἶναι τὴν ἄσκησιν, ἀμελοῦντι τῆς προφορᾶς καὶ διαθέσεως τῶν λεγομένων. ἐκ τούτου κατάγειον μὲν οἰκοδομῆσαι μελετητήριον. ὃ δὴ διεσῴζετο καὶ καθ' ἡμᾶς. ἐνταῦθα δὲ πάντως μὲν ἑκάστης ἡμέρας προσιόντα πλάττειν τὴν ὑπόκρισιν καὶ διαπονεῖν τὴν

ἀνιῶντα

λ. καὶ κατενόησε τ[ὴν] ἰσχὺν

λαὶ τ. κ αὐτός. ς

διαπονήσαντα κ. τ. ς.

Ὁ μὲν γράψας τὸ ἐπὶ τῇ νίκῃ τῆς ὀλυμπίασιν ἱπποδρομίας εἰς ἀλκιβιάδην ἐγκώμιον. εἴτ' εὐριπίδης, ὡς ὁ πολὺς κρατεῖ λόγος. εἴθ' ἕτερός τις ἦν, σόσσιε, φησὶ, χρῆναι τῷ εὐδαίμονι πρῶτον ὑπάρξαι τὴν πόλιν, εὐδόκιμον. ἐγὼ δὲ τῷ μὲν εὐδαιμονήσειν μέλλοντι τὴν ἀληθινὴν εὐδαιμονίαν, ἧς ἐν ἤθει καὶ διαθέσει τὸ πλεῖστόν ἐστιν, οὐδὲν διαφέρειν ἡγοῦμαι, ἀδόξου καὶ ταπεινῆς πατρίδος, ἢ μητρὸς ἀμόρφου καὶ μικρᾶς γενέσθαι. γελοῖον γὰρ εἴ τις οἴοιτο τὴν ἰουλίδα μέρος μικρὸν οὖσαν, οὐ μεγάλης νήσου τῆς κέω. καὶ τὴν αἴγιναν, ἣν τῶν ἀττικῶν τις ἐκέλευεν, ὡς λήμην ἀφαιρεῖν τοῦ πειραιῶς. ὑποκριτὰς μὲν ἀγαθοὺς τρέφειν καὶ ποιητάς. ἄνδρα δ' οὐκ ἄν ποτε δύνασθαι δίκαιον καὶ αὐτάρκη, καὶ νοῦν ἔχοντα, καὶ μεγαλόψυχον προενεγκεῖν. τὰς γὰρ ἄλλας τέχνας εἰκὸς ἐστὶ πρὸς ἐργασίαν καὶ δόξαν συνισταμένας, ἐν ταῖς ἀδόξοις καὶ ταπειναῖς πόλεσιν ἀπομαραίνεσθαι. τὴν δ' ἀρετὴν ὥσπερ ἰσχυρὸν καὶ διαρκὲς φυτὸν ἐν ἅπαντι ῥιζοῦσθαι τόπῳ φύσεώς τε χρηστῆς καὶ φιλοπόνου ψυχῆς ἐπιλαμβανομένην. ὅθεν οὐδ' ἡμεῖς, εἴ τι τοῦ φρονεῖν ὡς δεῖ καὶ βιοῦν ἐλλείπομεν, τοῦτο τῇ σμικρότητι τῆς πατρίδος, ἀλλ' αὐτοῖς δικαίως ἀναθήσομεν. τῷ μέντοι σύνταξιν ὑποβεβλημένῳ, καὶ ἱστορίαν ἐξ οὐ προχείρων οὐδ' οἰκείων, ἀλλὰ ξένων τε τῶν πολλῶν καὶ διεσπαρμένων ἐν ἑτέροις συνιοῦσαν ἀναγνωσμάτων, τῷ ὄντι χρὴ πρῶτον ὑπάρχειν καὶ μάλιστα τὴν πόλιν εὐδόκιμον καὶ φιλόκαλον καὶ πολυάνθρωπον. ὡς βιβλίων τε παντοδαπῶν ἀφθονίαν ἔχων. καὶ ὅσα τοὺς γράφοντας διαφυγόντα σωτηρίᾳ μνήμης ἐπιφανεστέραν εἴληφε πίστιν, ὑπολαμβάνων ἀκοῇ καὶ διαπυνθανόμενος, μὴ πολλῶν μηδ' ἀναγκαίων ἐνδεὲς ἀποδιδοίη τὸ ἔργον. ἡμεῖς δὲ μικρὰν οἰκοῦντες πόλιν. καὶ ἵνα μὴ μικροτέρα γένηται φιλοχωροῦντες, ἐν δὲ ῥώμῃ καὶ ταῖς περὶ τὴν ἰταλίαν διατριβαῖς οὐ σχολῆς οὔσης γυμνάζεσθαι περὶ τὴν ῥωμαϊκὴν διάλεκτον, ὑπὸ χρειῶν πολιτικῶν καὶ τῶν διὰ φιλοσοφίαν πλησιαζόντων, ὀψέ ποτε καὶ πόρρω τῆς ἡλικίας, ἠρξάμεθα ῥωμαϊκοῖς γράμμασιν ἐντυγχάνειν. καὶ πρᾶγμα θαυμαστὸν μὲν, ἀλλ' ἀληθὲς ἐπάσχομεν. οὐ γὰρ οὕτως ἐκ τῶν ὀνομάτων τὰ πράγματα συνιέναι καὶ γνωρίζειν συνέβαινεν ἡμῖν, ὡς ἐκ τῶν πραγμάτων ἀμωσγέπως εἴχομεν ἐμπειρίας, ἐπακολουθεῖν διὰ ταῦτα καὶ τοῖς ὀνόμασι. κάλλους δὲ ῥωμαϊκῆς ἀπαγγελίας καὶ τάχους αἰσθάνεσθαι, καὶ μεταφορᾶς ὀνομάτων καὶ ἁρμονίας καὶ τῶν ἄλλων οἷς ὁ λόγος ἀγάλλεται, χαρίεν μὲν ἡγούμεθα καὶ οὐκ ἀτερπές. ἡ δὲ πρὸς τοῦτο μελέτη καὶ ἄσκησις, οὐκ εὐχερής. ἀλλ' οἷς τισι πλείων τε σχολὴ καὶ τὰ τῆς ὥρας ἔτι πρὸς τὰς τοιαύτας ἐπιχωρεῖ φιλοτιμίας. διὸ καὶ γράφοντες ἐν τῷ βιβλίῳ τούτῳ τῶν παραλλήλων ὄντι πέμπτῳ, περὶ δημοσθένους καὶ κικέρωνος, ἀπὸ τῶν πράξεων καὶ τῶν πολιτειῶν τὰς φύσεις αὐτῶν καὶ τὰς διαθέσεις πρὸς ἀλλήλας ἐπισκεψόμεθα. τὸ δὲ τοὺς λόγους ἀντεξετάζειν καὶ ἀποφαίνεσθαι, πότερος ἡδίων ἢ δεινότερος εἰπεῖν, ἐάσομεν. κακὴ γὰρ ὥς φησιν ὁ ἴων, δελφῖνος ἐν χέρσῳ βία. ἣν ὁ περιττὸς ἐν ἅπασι καικίλιος ἀγνοήσας, ἐνεανιεύσατο σύγκρισιν τοῦ δημοσθένους καὶ κικέρωνος ἐξενεγκεῖν. ἀλλὰ γὰρ ἴσως εἰ παντὸς ἦν τὸ γνῶθι σαυτὸν ἔχειν πρόχειρον, οὐκ ἂν ἐδόκει πρόσταγμα θεῖον εἶναι. δημοσθένει γὰρ καὶ κικέρωνα τὸν αὐτὸν ἔοικε πλάττων ἀπ' ἀρχῆς ὁ δαίμων, πολλὰς μὲν ἐμβαλεῖν εἰς τὴν φύσιν αὐτῶν, τῶν ὁμοιοτήτων. ὥσπερ τὸ φιλότιμον καὶ φιλελεύθερον ἐν τῇ πολιτείᾳ, πρὸς δὲ κινδύνους καὶ πολέμους, ἄτολμον. πολλὰ δ' ἀναμῖξαι καὶ τῶν τυχηρῶν. δύο γὰρ ἑτέρους οὐκ ἂν εὑρεθῆναι δοκῶ ῥήτορας, ἐκ μὲν ἀδόξων καὶ μικρῶν ἰσχυροὺς καὶ μεγάλους γενομένους. προσκρούσαντας δὲ βασιλεῦσι καὶ τυράννοις. θυγατέρας δ' ἀποβαλόντας. ἐκπεσόντας δὲ τῆς πατρίδος. κατελθόντας δὲ μετὰ τιμῆς. ἀποδράντας δ' αὖθις, καὶ ληφθέντας ὑπὸ τῶν πολεμίων. ἅμα δὲ παυσαμένῃ τῇ τῶν πολιτῶν ἐλευθερίᾳ τὸν βίον συγκαταστρέψαντας. ὥστε εἰ γένοιτο τῇ φύσει καὶ τῇ τύχῃ καθάπερ τεχνίταις ἅμιλλα, χαλεπῶς ἂν διακριθῆναι, πότερον αὕτη τοῖς τρόποις, ἢ τοῖς πράγμασιν ἐκείνη τοὺς ἄνδρας ὁμοιοτέρους ἀπείργασται. λεκτέον δὲ περὶ τοῦ πρεσβυτέρου πρότερον. δημοσθένης ὁ πατὴρ δημοσθένους, ἦν μὲν τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν, ὡς ἱστορεῖ θεόπομπος, ἐπεκαλεῖτο δὲ μαχαιροποιὸς, ἐργαστήριον ἔχων μέγα, καὶ δούλους τεχνίτας τοὺς τοῦτο πράττοντας. ἃ δ' αἰσχίνης ὁ ῥήτωρ εἴρηκε περὶ τῆς μητρὸς ὡς ἐκ γύλωνός τινος ἐπ' αἰτίᾳ προδοσίας φυγόντος ἐξ ἄστεος, γεγόνοι καὶ βαρβάρου γυναικὸς, οὐκ ἔχομεν εἰπεῖν, εἴτ' ἀληθῶς εἴρηκεν, εἴτε βλασφημῶν καὶ καταψευδόμενος. ἀπολειφθεὶς δ' ὁ δημοσθένης ὑπὸ τοῦ πατρὸς ἑπταέτης, ἐν εὐπορίᾳ. μικρὸν γὰρ ἀπέλιπεν ἡ σύμπασα τίμησις αὐτοῦ τῆς οὐσίας πεντεκαίδεκα ταλάντων, ὑπὸ τῶν ἐπιτρόπων ἠδικήθη. τὰ μὲν, νοσφισαμένων. τὰ δ' ἀμελησάντων. ὥστε καὶ τῶν διδασκάλων αὐτοῦ τὸν μισθὸν ἀποστερῆσαι. διά τε δὴ τοῦτο τῶν ἐμμελῶν καὶ προσηκόντων ἐλευθέρῳ παιδὶ μαθημάτων, ἀπαίδευτος δοκεῖ γενέσθαι, καὶ διὰ τὴν τοῦ σώματος ἀσθένειαν καὶ θρύψιν. οὐ

τοῖς ἤδη φερομένοις, ἢ μένοντας ὑπὸ τοῦ μὴ παθεῖν τῷ δρᾶσαι ἀμύνασθαι. τῶν τοίνυν ἐγκλημάτων τῶν κατὰ Τιβερίου, μέγιστόν ἐστιν, ὅτι τὸν συνάρχοντα τῆς δημαρχίας ἐξέβαλε. καὶ δευτέραν αὐτὸς τῷ Γαΐῳ δημαρχίαν μετῄει. Γαΐῳ δὲ τὸν Ἀντυλλίου φόνον οὐ δικαίως, οὐδ' ἀληθῶς προσετρίβοντο. διεφθάρη γὰρ ἄκοντος αὐτοῦ καὶ ἀγανακτοῦντος. Κλεομένης δὲ ἵνα τὰς σφαγὰς τῶν ἐφόρων ἐάσωμεν, ἠλευθέρωσε μὲν ἅπαντας τοὺς οἰκέτας. ἐβασίλευσε δὲ, τῷ μὲν ἔργῳ μόνος. τῷ δὲ ὀνόματι, δεύτερος. Εὐκλείδαν τὸν ἀδελφὸν ἐκ μιᾶς οἰκίας αὐτῷ προσελόμενος. Ἀρχίδαμον δὲ ὃ προσῆκον ἦν ἐκ τῆς ἑτέρας οἰκίας ὄντι βασιλεύειν, ἔπεισε μὲν ἐκ Μεσσήνης κατελθεῖν. ἀποθανόντος δὲ, τὸν φόνον οὐκ ἐπεξελθὼν, ἐβεβαίωσε τὴν αἰτίαν καθ' αὑτοῦ τῆς ἀναιρέσεως. καίτοι Λυκοῦργος, ὃν προσεποιεῖτο μιμεῖσθαι, τὴν μὲν βασιλείαν ἑκὼν ἀπέδωκε τῷ παιδὶ τοῦ ἀδελφοῦ Χαρίλλῳ. φοβούμενος δὲ μὴ καὶ ἄλλως ἀποθάνῃ τὸ μειράκιον, αἰτίας ἐπ' αὐτὸν ἔλθῃ, πολὺν χρόνον ἔξω πλανηθεὶς, οὐ πρότερον ἐπανῆλθεν, ἢ παῖδα τῷ Χαρίλλῳ γενέσθαι διάδοχον τῆς ἀρχῆς. ἀλλὰ Λυκούργῳ μὲν, οὐδὲ ἄλλος τις Ἑλλήνων παραβλητὸς οὐδείς. ὅτι δὲ τοῖς Κλεομένοις πολιτεύμασι καινοτομίαι καὶ παρανομίαι μείζονες ἔνεισι, δεδήλωται. κλεομένων ε π τ καὶ μὴν οἵ γε τὸν τρόπον αὐτῶν ψέγοντες, τούτοις μὲν ἐξ ἀρχῆς, τυραννικὸν καὶ πολεμοποιὸν, αἰτιῶνται γενέσθαι. τῇ δὲ ἐκείνων φύσει, φιλοτιμίας ἀμετρίαν, ἄλλο δὲ οὐδὲν οἱ φθονοῦντες, ἤδη ἐγκαλεῖν εἶχον. ἐκριπισθέντας δὲ τῷ πρὸς τοὺς ἀνισταμένους ἀγῶνι καὶ θυμῷ παρὰ τὴν αὐτῶν φύσιν, ὥσπερ πνεύμασιν ἐφεῖναι περὶ τὰ ἔσχατα τὴν πολιτείαν ὁμολογοῦσιν. αὐτ. π. τ. ὧν ἐφεῖναι ἐπεὶ τῆς γε πρώτης ὑποθέσεως, τί κάλλιον ἢ δικαιότερον ἦν, εἰ μὴ κατὰ βίαν καὶ δυναστείαν ἐπιχειρήσαντες ἐξῶσαι τὸν νόμον οἱ πλούσιοι, περιέστησαν ἀμφοτέροις ἀγῶνας. τῷ μὲν, φοβουμένῳ περὶ αὑτοῦ. τῷ δὲ, ἐκδικοῦντι τὸν ἀδελφὸν ἄνευ δίκης, καὶ δόγματος οὐδὲ ὑπάρχοντος ἀναιρεθέντα. συνορᾷς μὲν οὖν αὐτὸς ἐκ τῶν εἰρημένων τὴν διαφοράν. εἰ δὲ δεῖ καὶ καθ' ἕκαστον ἀποφήνασθαι, Τιβέριον μὲν ἀρετῇ πεπρωτευκέναι τίθημι πάντων. ἐλάχιστα δὲ, τὸ μειράκιον ἡμαρτηκέναι Ἆγιν. πράξει δὲ καὶ τόλμῃ Γάιον, οὐκ ὀλίγῳ Κλεομένους ὕστερον γεγονέναι.

π. ἢ

τῇ δὲ τῶν παίδων ἀπενθὴς καὶ ἀδάκρυτος μνημονεύουσα καὶ πάθη καὶ πράξεις αὐτῶν, ὡς περὶ ἀρχαίων τινῶν, ἐξηγουμένη τοῖς πυνθανομένοις. ὅθεν ἔδοξεν ἐνίοις, ἔκνους ὑπὸ γήρως, ἢ μεγέθους κακῶν γεγονέναι, καὶ τῶν ἀτυχημάτων, ἀναίσθητος, αὐτοῖς ὡς ἀληθῶς ἀναισθήτοις οὖσιν, ὅσον ἐξ εὐφυΐας καὶ τοῦ γεγονέναι καὶ τεθράφθαι καλῶς ὄφελός ἐστι πρὸς ἀλυπίαν ἀνθρώποις, καὶ ὅτι τῆς ἀρετῆς ἡ τύχη, φυλαττομένοις μὲν, τὰ κακὰ πολλάκις περίεστιν, ἐν δὲ τῷ πταῖσαι, τὸ φέρειν εὐλογίστως, οὐ παραιρεῖται. ἡ μὲν δὴ καὶ ταύτης πέρας ἐχούσης τῆς διηγήσεως, ἀπολείπεται λαβεῖν ἐκ παραλλήλου, τῶν βίων τὴν ἀποθεώρησιν. τοὺς μὲν οὖν γράγχους, οὐδ' οἱ πάνυ τἄλλα κακῶς λέγοντες καὶ μισοῦντες ἐτόλμησαν εἰπεῖν, ὡς οὐκ εὐφυέστατοι πρὸς ἀρετὴν ἐγένοντο ῥωμαίων ἁπάντων, καὶ τροφῆς τε καὶ παιδεύσεως ἐκπρεποῦς ἔτυχον. ἡ δὲ ἄγιδος καὶ κλεομένους φύσις ἐρρωμενεστέρα φαίνεται, τῆς ἐκείνων γενομένης, παρ' ὅσον οὔτε παιδείαν ὀρθὴν λαβόντες ὀρθῆς, ἔθεσί τε καὶ διαίταις ἐντραφέντες, ὑφ' ὧν οἱ πρεσβύτεροι πάλαι διεφθάρησαν, αὐτοὺς ἡγεμόνας εὐτελείας καὶ σωφροσύνης παρέσχον. ἔτι δὲ οἱ μὲν, ὅτε λαμπρότατον εἶχεν ἡ ῥώμη καὶ μέγιστον ἀξίωμα καὶ καλῶν ἔργων ζῆλον, ὡς περὶ διαδοχὴν ἀρετῆς πατρῴας καὶ προγονικῆς, ᾐσχύνθησαν ἐγκαταλιπεῖν. οἱ δὲ, καὶ πατέρων τἀναντία προῃρημένων γεγονότες, καὶ τὴν πατρίδα μοχθηρὰ πράττουσαν καὶ νοσοῦσαν παραλαβόντες, οὐδὲν τι διὰ ταῦτα τὴν πρὸς τὸ καλὸν ἀπημβλύναν ὁρμήν. καὶ μὴν τῆς γεγράγχων ἀφιλοχρηματίας, καὶ πρὸς ἀργύριον ἐγκρατείας μέγιστόν ἐστιν, ὅτι λημμάτων ἀδίκων καθαροὺς ἐν ἀρχαῖς καὶ πολιτείαις διεφύλαξαν ἑαυτούς. ἆγις δὲ, καὶ δυσχεράνει ἂν, εἰ τῷ μηδὲν ἀλλότριον λαβεῖν ἐπαινούμενος, ὃς τὴν οὐσίαν τὴν ἑαυτοῦ τοῖς πολίταις ἐπέδωκεν, ἄνευ τῶν ἄλλων κτημάτων, ἑξακόσια τάλαντα νομίσματος ἔχουσαν. πηλίκον οὖν ἐνόμιζε κακὸν εἶναι τὸ κερδαίνειν ἀδίκως, ὁ καὶ δικαίως πλέον ἔχειν ἑτέρου, πλεονεξίαν ἡγούμενος. ἥ γε μὴν ἐπιβολὴ καὶ τόλμα τῶν καινοτομουμένων, πολὺ τῷ μεγέθει παρηλλάττεν. ἐπολιτεύοντο γὰρ, ὁ μὲν, ὁδῶν κατασκευὰς καὶ πόλεων κτίσεις. καὶ τὸ πάντων νεανικώτατον ἦν, τιβερίῳ μὲν ἀνασῶσαι δημοσίους ἀγροὺς, γαΐῳ δὲ μῖξαι τὰ δικαστήρια, προσεμβαλόντι τῶν ἱππικῶν τριακοσίους. ὁ δὲ ἄγιδος καὶ κλεομένους νεωτερισμὸς, τὸ μικρὰ καὶ κατὰ μέρος τῶν ἡμαρτημένων ἰᾶσθαι καὶ ἀποκόπτειν, ὕδραν τινὰ τέμνοντος, ὥς φησιν ὁ πλάτων, ἡγησάμενος εἶναι, τὴν ἅμα πάντα ἀπαλλάξαι κακὰ καὶ παρασκευάσαι δυναμένην μεταβολὴν ἐπῆγε τοῖς πράγμασι. ἀληθέστερον δ' ἴσως εἰπεῖν ἐστιν, ὅτι τὴν πάντα ἀπεργασαμένην κακὰ μεταβολὴν ἐξήλαυνεν, ἀπάγων καὶ καθιστὰς εἰς τὸ οἰκεῖον σχῆμα τὴν πόλιν. ἐπεὶ καὶ τοῦτ' ἄν τις εἴποι, τῇ μὲν γράγχων πολιτείᾳ, τοὺς μεγίστους ἐνίστασθαι ῥωμαίων. ἧς δὲ ἆγις ἐνεχείρησε, κλεομένης δὲ τὸ ἔργον ἀπέθηκε, τῶν παραδειγμάτων τὸ κάλλιστον ὑπέκειτο καὶ μεγαλοπρεπέστατον, αἱ πάτριοι ῥῆτραι, περὶ σωφροσύνης καὶ ἰσότητος, ὧν, τούτοις μὲν ὁ λυκοῦργος, ἐκείνοις δὲ ὁ πύθιος βεβαιωτής. ὃ δὲ μέγιστον, ὅτι τοῖς μὲν ἐκείνων πολιτεύμασιν, εἰς οὐδὲν ἡ ῥώμη μεῖζον ἐπέδωκε τῶν ὑπαρχόντων. ἐκ δὲ ὧν ὁ κλεομένης ἔπραξεν, ὀλίγου χρόνου τὴν σπάρτην τῆς πελοποννήσου κρατοῦσαν ἡ ἑλλὰς ἐπεῖδε. καὶ τοῖς τότε μέγιστον δυναμένοις διαγωνιζομένην ἀγῶνα τὸν περὶ τῆς ἡγεμονίας. οὗ τέλος ἦν ἀπαλλαγεῖσαν ἰλλυρικῶν ὅπλων καὶ γαλατικῶν τὴν ἑλλάδα, κοσμεῖσθαι πάλιν ὑφ' ἡρακλείδαις. οἶμαι δὲ καὶ τὰς τελευτὰς τῶν ἀνδρῶν, ἐμφαίνειν τινὰ τῆς ἀρετῆς διαφοράν. ἐκεῖνοι μὲν γὰρ μαχόμενοι πρὸς τοὺς πολίτας. εἶτα φεύγοντες ἐτελεύτησαν. τούτων δὲ, ἆγις μὲν ὑπὲρ τοῦ μηδένα κτεῖναι τῶν πολιτῶν, ὀλίγου δεῖν ἑκὼν ἀπέθανε. κλεομένης δὲ προπηλακισθεὶς καὶ ἀδικηθεὶς, ὥρμησε μὲν ἀμύνασθαι, τοῦ δὲ καιροῦ μὴ παρασχόντος, αὑτὸν εὐτόλμως ἀνεῖλε. πάλιν δὲ τἀναντία σκοποῦσιν. ἆγις μὲν οὐδὲν ἀπεδείξατο στρατηγίας ἔργον, ἀλλὰ προανῃρέθη. ταῖς δὲ κλεομένους νίκαις, πολλαῖς καὶ καλαῖς γενομέναις, παραβαλεῖν ἐστι τιβερίου τὴν ἐν καρχηδόνι τοῦ τείχους κατάληψιν, οὐ μικρὸν ἔργον. καὶ τὰς ἐν νομαντίᾳ σπονδὰς, αἳ δισμυρίους στρατιώτας ῥωμαίων, οὐκ ἔχοντας ἄλλην ἐλπίδα σωτηρίας περιεποίησε. καὶ γάϊος δὲ, πολλὴν μὲν αὐτόθι, πολλὴν δὲ ἐν σαρδόνι στρατευόμενος ἀνδραγαθίαν ἔφηνεν. ὥστε τοῖς πρώτοις ἐνάμιλλους ῥωμαίων γενέσθαι στρατηγοῖς, εἰ μὴ προανῃρέθησαν. τῆς δὲ πολιτείας ὁ μὲν ἆγις, ἔοικεν ἅψασθαι μαλακώτερον, ἐκκρουσθεὶς ὑπὸ ἀγησιλάου. καὶ ψευσάμενος τὸν ἀναδασμὸν τοῖς πολίταις. καὶ ὅλως ἐλλιπὴς, καὶ ἀτελὴς ὢν περὶ ἃ ἔγνω, καὶ κατήγγειλεν ὑπὸ ἀτολμίας διὰ τὴν ἡλικίαν γενόμενος. ὁ δὲ κλεομένης τοὐναντίον θρασύτερον, καὶ βιαιότερον ἦλθεν ἐπὶ τὴν μεταβολὴν τῆς πολιτείας. ἀποκτείνας τοὺς ἐφόρους, παρανόμως. οὓς καὶ προσαγαγέσθαι τοῖς ὅπλοις κρατοῦντα, καὶ μεταστῆσαι ῥᾴδιον ἦν, ὥσπερ οὐκ ὀλίγους ἄλλους μετέστησαν ἐκ τῆς πόλεως. τὸ γὰρ ἄνευ τῆς ἐσχάτης ἀνάγκης ἐπιφέρειν σίδηρον, οὔτε ἰατρικὸν, οὔτε πολιτικὸν, ἀλλ' ἀτεχνίας μὲν ἀμφότερα. τούτῳ δὲ καὶ τὸ ἀδικεῖν μετ' ὠμότητος πρόσεστι. τῶν δὲ γράγχων, οὐδέτερος μὲν ἦρξατο σφαγῆς ἐμφυλίου. γάϊος δὲ λέγεται μηδὲ βαλλόμενος ὁρμῆσαι πρὸς ἄμυναν. ἀλλὰ λαμπρότατος ὢν ἐν τοῖς πολεμικοῖς, ἀργότατος ἐν τῇ στάσει γενέσθαι. καὶ γὰρ προῆλθεν ἄνοπλος, καὶ μαχομένων ἀνεχώρησεν. καὶ ὅλως πλείονα τοῦ μή τι δρᾶσαι πρόνοιαν, ἢ τοῦ μὴ παθεῖν ἔχων ἑωρᾶτο. διὸ καὶ τὴν φυγὴν αὐτῶν οὐκ ἀτολμίας σημεῖον, ἀλλ' εὐλαβείας ποιητέον. ἔδει γὰρ ὑπεῖξαι

κομίζοντες. ὁ δὲ φούλβιος ὡς ἐγένοντο πάντες ἀθρόοι, πεισθεὶς ὑπὸ τοῦ γαΐου, πέμπει τῶν υἱῶν τὸν νεώτερον, ἔχοντα κηρύκειον, εἰς ἀγοράν. ἦν δὲ κάλλιστος ὁ νεανίσκος ὀφθῆναι. καὶ τότε καταστὰς κοσμίως, καὶ μετ' αἰδοῦς δεδακρυμένος, ἐποιήσατο συμβατικοὺς λόγους πρὸς τὸν ὕπατον καὶ τὴν σύγκλητον. οἱ μὲν οὖν πολλοὶ τῶν παρόντων, οὐκ ἀηδῶς πρὸς τὰς διαλύσεις εἶχον. ὁ δὲ ὀπίμιος, οὐ δι' ἀγγέλων ἔφη χρῆναι πείθειν τὴν σύγκλητον, ἀλλὰ καταβάντας ὡς ὑπευθύνους πολίτας ἐπὶ κρίσιν, καὶ παραδόντας αὑτούς, οὕτως παραιτεῖσθαι τὴν ὀργήν. τῷ δὲ μειρακίῳ καὶ διηγόρευσεν ἐπὶ τούτοις κατιέναι πάλιν, ἢ μὴ κατιέναι. γάιος μὲν οὖν ὥς φασιν, ἐβούλετο βαδίζειν καὶ πείθειν τὴν σύγκλητον. οὐδενὸς δὲ τῶν ἄλλων συγχωροῦντος, αὖθις ἔπεμψεν ὁ φούλβιος τὸν παῖδα διαλεξόμενον ὑπὲρ αὐτῶν, ὅμοια τοῖς προτέροις. ὁ δὲ ὀπίμιος σπεύδων μάχην συνάψαι, τὸ μὲν μειράκιον εὐθὺς συνέλαβε, καὶ παρέδωκεν εἰς φυλακήν. τοῖς δὲ περὶ τὸν φούλβιον, ἐπήει μετὰ πολλῶν ὁπλιτῶν, καὶ τοξοτῶν κρητῶν. οἳ μάλιστα βάλλοντες αὐτοὺς καὶ κατατραυματίζοντες, συνετάραξαν. γενομένης δὲ τῆς τροπῆς, ὁ μὲν φούλβιος, εἴς τι βαλανεῖον ἠμελημένον καταφυγών, καὶ μετὰ μικρὸν ἀνευρεθείς, κατεσφάγη μετὰ τοῦ πρεσβυτέρου παιδός. ὁ δὲ γάιος, ὤφθη μὲν ὑπ' οὐδενὸς μαχόμενος. ἀλλὰ δυσανασχετῶν τοῖς γινομένοις, ἀνεχώρησεν εἰς τὸ τῆς ἀρτέμιδος ἱερόν. ἐκεῖ δὲ βουλόμενος ἑαυτὸν ἀνελεῖν, ὑπὸ τῶν πιστοτάτων ἑταίρων ἐκωλύθη, πομπωνίου καὶ λικιννίου. παρόντες γὰρ οὗτοι, τό τε ξίφος ἀφείλοντο, καὶ φεύγειν ἐπῆραν αὐτόν. ἔνθα δὴ λέγεται, καθεσθεὶς εἰς γόνυ, καὶ τὰς χεῖρας ἀνατείνας πρὸς τὴν θεὸν, ἐπεύξασθαι τὸν ῥωμαίων δῆμον, ἀντὶ τῆς ἀχαριστίας ἐκείνης καὶ προδοσίας, μηδέποτε παύσασθαι δουλεύοντα. φανερῶς γὰρ οἱ πλεῖστοι μετεβάλοντο κηρύγματι δοθείσης ἀδείας. φεύγοντι γοῦν τῷ γαΐῳ, τῶν ἐχθρῶν ἐπιφερομένων, καὶ καταλαμβανόντων περὶ τὴν ξυλίνην γέφυραν. οἱ μὲν δύο φίλοι προχωρεῖν αὐτὸν κελεύσαντες, αὐτοὶ τοὺς διώκοντας ὑπέστησαν. καὶ μαχόμενοι πρὸ τῆς γεφύρας, οὐδένα παρῆκαν ἕως ἀπέθανον. τῷ δὲ γαΐῳ συνέφευγεν εἷς οἰκέτης, ὄνομα φιλοκράτης. πάντων μὲν ὥσπερ ἐν ἁμίλλῃ παρακελευομένων. οὐδενὸς δὲ βοηθοῦντος, οὐδὲ ἵππον αἰτουμένῳ παρασχεῖν ἐθελήσαντος, ἐπέκειντο γὰρ ἐγγὺς οἱ διώκοντες. ὁ δὲ, φθάνει μικρὸν εἰς ἱερὸν ἄλσος ἐριννύων καταφυγὼν, κἀκεῖ διαφθείρεται, τοῦ φιλοκράτους ἀνελόντος ἐκεῖνον, εἶτα ἑαυτὸν ἐπισφάξαντος. ὡς δὲ ἔνιοι φασὶν, ἀμφότεροι μὲν ὑπὸ τῶν πολεμίων κατελείφθησαν ζῶντες. τοῦ δὲ θεράποντος τὸν δεσπότην περιβαλόντος, οὐδεὶς ἐκεῖνον ἠδυνήθη πατάξαι πρότερον, ἢ τοῦτον ὑπὸ πολλῶν παιόμενον ἀναιρεθῆναι. τὴν δὲ κεφαλὴν τοῦ γαΐου λέγουσιν, ἄλλον μὲν ἀποκόψαι, καὶ κομίζειν. ἀφελέσθαι δὲ τοῦτον, φίλον ὀπιμίου τινὰ σεπτουμουλήιον. ἦν γὰρ προκεκηρυγμένον ἐν ἀρχῇ τῆς μάχης. ἰσοστάσιον χρυσίον, τοῖς ἀνενεγκοῦσι τὴν γαΐου καὶ φουλβίου κεφαλήν, ἀνηνέχθη δὲ ὑπὸ τοῦ σεπτουμουληΐου περιπεπηγμένη δόρατι, πρὸς τὸν ὀπίμιον, καὶ ζυγοῦ κομισθέντος, ἐντεθεῖσα, λίτρας ἑπτακαίδεκα καὶ δίμοιρον εἵλκυσε, τοῦ σεπτουμουληΐου καὶ περὶ τοῦτο μιαροῦ γενομένου, καὶ κακουργήσαντος. ἐξελὼν γὰρ τὸν ἐγκέφαλον, ἐνέτηξε μόλιβδον. οἱ δὲ τοῦ φουλβίου τὴν κεφαλὴν κομίσαντες, ἦσαν γὰρ τῶν ἀσημοτέρων, οὐδὲν ἔλαβον. τὰ δὲ σώματα καὶ τούτων καὶ τῶν ἄλλων, εἰς τὸν ποταμὸν ἐρρίφη. τρισχιλίων ἀναιρεθέντων. καὶ τὰς οὐσίας αὐτῶν ἀπέδοντο πρὸς τὸ δημόσιον. ἀπεῖπαν δὲ πενθεῖν ταῖς γυναιξί. τὴν δὲ γαΐου λικιννίαν, καὶ τῆς προικὸς ἀπεστέρησαν. ὠμότατα δὲ προσειργάσαντο τοῦ φουλβίου τὸν νεώτερον υἱὸν, οὔτε χεῖρας ἀνταράμενον, οὔτε ἐν τοῖς μαχομένοις γενόμενον. ἀλλὰ ἐπὶ σπονδὰς ἐλθόντα πρὸ τῆς μάχης συλλαβόντες καὶ μετὰ τὴν μάχην ἀνελόντες. οὐ μὴν ἀλλὰ καὶ τούτου καὶ τῶν ἄλλων ἁπάντων μᾶλλον ἠνίασε τοὺς πολλοὺς, τὸ κατασκευασθὲν ὁμονοίας ἱερὸν ὑπὸ τοῦ ὀπιμίου. σεμνύνεσθαι γὰρ ἐδόκει καὶ μέγα φρονεῖν, καὶ τρόπον τινὰ θριαμβεύειν ἐπὶ φόνοις τοσούτοις πολιτῶν. διὸ καὶ νυκτὸς ὑπὸ τὴν ἐπιγραφὴν τοῦ νεὼ, παρενέγραψάν τινες, τὸν στίχον τοῦτον. ἔργον ἀπονοίας, ναὸν ὁμονοίας ποιεῖ. οὗτος μέντοι πρῶτος ἐξουσίᾳ δικτάτωρος ἐν ὑπατείᾳ χρησάμενος. καὶ κατακρίνας ἀκρίτους ἐπὶ τρισχιλίοις πολίταις, γάιον γράγχον. καὶ φούλβιον φλάκκον. ὧν ὁ μὲν ἦν ὑπατικὸς καὶ θριαμβικός. ὁ δὲ, τῶν καθ' αὑτὸν ἡλικίας, ἀρετῇ καὶ δόξῃ πεπρωτευκώς. ὀπίμιος δὲ, οὐκ ἀπέσχετο κλοπῆς. ἀλλὰ πεμφθεὶς ὡς ἰουγούρθαν τὸν νομάδα πρεσβευτὴς, διεφθάρη χρήμασιν ὑπ' αὐτοῦ. καὶ δίκην ὄφλων αἰσχίστην δωροδοκίας, ἐν ἀτιμίᾳ κατεγήρασε, μισούμενος καὶ προπηλακιζόμενος ὑπὸ τοῦ δήμου, παρ' αὐτὰ μὲν τὰ πραχθέντα ταπεινοῦ γενομένου καὶ συσταλέντος, ὀλίγῳ δὲ ὕστερον ἐκφήναντος ὅσον εἶχεν ἱμέρου καὶ πόθου τῶν γράγχων. εἰκόνας τε γὰρ αὐτῶν ἀναδείξαντες, ἐν φανερῷ προὐτίθεντο. καὶ τοὺς τόπους ἐν οἷς ἐφονεύθησαν ἀφιερώσαντες, ἀπήρχοντο μὲν ὧν ὧραι φέρουσι πάντων. ἔθυον δὲ καθ' ἡμέραν πολλοὶ καὶ προσέπιπτον ὥσπερ θεῶν ἱεροῖς ἐπιφοιτῶντες. καὶ μέντοι καὶ ἡ κορνηλία λέγεται, τά τε ἄλλα τῆς συμφορᾶς εὐγενῶς καὶ μεγαλοψύχως ἐνεγκεῖν. καὶ περὶ τῶν ἱερῶν ἐν οἷς ἀνῃρέθησαν εἰπεῖν, ὡς ἀξίους οἱ νεκροὶ τάφους ἔχουσιν. αὕτη δὲ περὶ τοὺς καλουμένους μισηνοὺς διέτριβεν, οὐδὲν μεταλλάξασα τῆς συνήθους διαίτης. ἦν δὲ καὶ πολύφιλος. καὶ διὰ φιλοξενίαν εὐτράπεζος. ἀεὶ μὲν ἑλλήνων καὶ φιλολόγων περὶ αὐτὴν ὄντων. ἁπάντων δὲ τῶν βασιλέων καὶ δεχομένων παρ' αὐτῆς δῶρα, καὶ πεμπόντων. ἡδίστη μὲν οὖν αὐτὴ τοῖς ἀφικνουμένοις καὶ συνοῦσι διηγουμένη τὸν τοῦ πατρὸς ἀφρικανοῦ βίον καὶ δίαιταν. θαυμασιωτά-

ἐλύπησεν. ἐκ τούτου καὶ τὴν τρίτην ἔδοξεν δημαρχίαν ἀφῃρῆσθαι. ψήφων μὲν αὐτῷ πλείστων γενομένων, ἀδίκως δὲ καὶ κακούργως τῶν συναρχόντων ποιησαμένων τὴν ἀναγόρευσιν καὶ ἀνάδειξιν. ἀλλὰ ταῦτα μὲν ἀμφισβήτησιν εἶχεν. ἤνεγκε δ' οὐ μετρίως ἀποτυχών, καὶ πρός γε τοὺς ἐχθροὺς ἐπιγελῶντας αὐτῷ, λέγεται θρασύτερον τοῦ δέοντος εἰπεῖν, ὡς σαρδόνιον γέλωτα γελῶσιν, οὐ γινώσκοντες ὅσον αὐτοῖς σκότος ἐκ τῶν αὐτοῦ περικέχυται πολιτευμάτων. ἐπεὶ δὲ καὶ τὸν ὀπίμιον καταστήσαντες ὕπατον, τῶν νόμων πολλοὺς διέγραφον, καὶ τὴν καρχηδόνος ἐκίνουν διάταξιν, ἐρεθίζοντες τὸν γάϊον, ὡς ἂν αἰτίαν ὀργῆς παρασχὼν ἀναιρεθείη, τὸν μὲν πρῶτον χρόνον ἐκαρτέρει. τῶν δὲ φίλων, καὶ μάλιστα τοῦ φουλβίου παροξυνόντων, ὥρμησε πάλιν συνάγειν τοὺς ἀντιταξομένους πρὸς τὸν ὕπατον. ἐνταῦθα καὶ τὴν μητέρα λέγουσιν αὐτῷ συστασιάσαι, μισθουμένην ἀπὸ τῆς ξένης κρύφα καὶ πέμπουσαν εἰς ῥώμην ἄνδρας, ὡς δὴ θεριστάς. ταῦτα γὰρ ἐν τοῖς ἐπιστολίοις αὐτῆς ἠνιγμένα γεγράφθαι πρὸς τὸν υἱόν. ἕτεροι δὲ καὶ πάνυ τῆς κορνηλίας δυσχεραινούσης ταῦτα πράττεσθαι λέγουσιν. ᾗ δ' οὖν ἔμελλον ἡμέρᾳ τοὺς νόμους λύσειν οἱ περὶ τὸν ὀπίμιον, κατείληπτο μὲν ὑπὸ ἀμφοτέρων ἕωθεν εὐθὺς τὸ καπιτώλιον. θύσαντος δὲ τοῦ ὑπάτου, τῶν ὑπηρετῶν τις αὐτοῦ κόϊντος ἀντύλλιος, διαφόρων ἑτέρωσε τὰ σπλάγχνα πρὸς τοὺς περὶ τὸν φούλβιον, εἶπε· δότε τόπον ἀγαθοῖς, κακοὶ πολῖται. τινὲς δέ φασιν ἅμα τῇ φωνῇ ταύτῃ καὶ τὸν βραχίονα γυμνὸν οἷ ἐφ' ὕβρει σχηματίζοντα παρενεγκεῖν. ἀποθνήσκει γοῦν εὐθὺς ὁ ἀντύλλιος ἐκεῖ, μεγάλοις γραφείοις κεντούμενος, ἐπ' αὐτῷ τούτῳ πεποιῆσθαι λεγομένοις. καὶ τὸ μὲν πλῆθος διεταράχθη πρὸς τὸν φόνον. ἐναντία δὲ τοῖς ἡγεμόσιν ἔσχε διάθεσιν. ὁ μὲν γὰρ γάϊος ἤχθετο καὶ κακῶς ἔλεγε τοὺς περὶ αὐτόν, ὡς αἰτίαν δεομένοις πάλαι καθ' ἑαυτῶν τοῖς ἐχθροῖς δεδωκότας. ὁ δὲ ὀπίμιος, ὥσπερ ἐνδόσιμον λαβών, ἐπῆρτο καὶ παρώξυνε τὸν δῆμον ἐπὶ τὴν ἄμυναν. καὶ τότε μὲν ὄμβρου γενομένου, διελύθησαν. ἅμα δ' ἡμέρᾳ τὴν μὲν βουλὴν ὁ ὕπατος συναγαγών, ἔνδον ἐχρημάτιζεν. ἕτεροι δὲ τὸ τοῦ ἀντυλλίου σῶμα γυμνὸν ἐπὶ κλίνης προθέμενοι δι' ἀγορᾶς ἐπὶ τὸ βουλευτήριον ἐπίτηδες παρεκόμιζον, οἰμωγῇ χρώμενοι καὶ θρήνῳ. γιγνώσκοντος μὲν τοῦ ὀπιμίου τὰ πραττόμενα, προσποιουμένου δὲ θαυμάζειν, ὥστε καὶ τοὺς βουλευτὰς προελθεῖν. κατατεθείσης δὲ τῆς κλίνης εἰς μέσον, οἱ μὲν ἐσχετλίαζον ὡς ἐπὶ δεινῷ καὶ μεγάλῳ πάθει. τοῖς δὲ πολλοῖς ἐπῄει μισεῖν καὶ προβάλλεσθαι τοὺς ὀλιγαρχικούς, ὡς τιβέριον μὲν γράγχον ἐν καπιτωλίῳ φονεύσαντες αὐτοί, δήμαρχον ὄντα, καὶ τὸν νεκρὸν προσεξέβαλον. ὁ δ' ὑπηρέτης ἀντύλλιος, οὐ δίκαια μὲν ἴσως πεπονθώς, τὴν δὲ πλείστην αἰτίαν εἰς τὸ παθεῖν αὐτῷ παρασχών, ἐν ἀγορᾷ πρόκειται, καὶ περιέστηκεν ἡ ῥωμαίων βουλὴ θρηνοῦσα, καὶ συνεκκομίζουσα μισθωτὸν ἄνθρωπον, ἐπὶ τῷ τὸν ἔτι λειπόμενον ἀνελεῖν τῶν τοῦ δήμου κηδομένων. ἐκ τούτου πάλιν εἰς τὸ βουλευτήριον ἀπελθόντες, ἐψηφίσαντο, καὶ προσέταξαν ὀπιμίῳ τῷ ὑπάτῳ, σώζειν τὴν πόλιν, ὅπως δύναιτο, καὶ καταλύειν τοὺς τυράννους. ἐκείνου δὲ προειπόντος ἐπὶ τὰ ὅπλα χωρεῖν τοὺς συγκλητικούς, καὶ τῶν ἱππέων ἑκάστῳ παράγγελμα δόντος ἄγειν ἕωθεν οἰκέτας δύο καθωπλισμένους, ὁ μὲν φούλβιος ἀντιπαρεσκευάζετο καὶ συνῆγεν ὄχλον. ὁ δὲ γάϊος ἐκ τῆς ἀγορᾶς ἀπερχόμενος, ἔστη κατὰ τὸν τοῦ πατρὸς ἀνδριάντα, καὶ πολὺν χρόνον ἐμβλέψας εἰς αὐτόν, οὐδὲν ἐφθέγξατο. δακρύσας δὲ καὶ στενάξας, ἀπῄει. τοῦτο πολλοῖς τῶν ἰδόντων, οἰκτεῖραι τὸν γάϊον ἐπῆλθε. καὶ κακίσαντες αὑτοὺς ὡς ἐγκαταλείποντες τὸν ἄνδρα καὶ προδιδόντες, ἧκον ἐπὶ τὴν οἰκίαν, καὶ παρενυκτέρευον ἐπὶ τῶν θυρῶν, οὐχ ὁμοίως τοῖς τὸν φούλβιον φυλάττουσιν. ἐκεῖνοι μὲν γὰρ ἐν κρότοις καὶ ἀλαλαγμοῖς πίνοντες, καὶ θρασυνόμενοι διετέλεσαν, αὐτοῦ τοῦ φουλβίου πρώτου μεθυσκομένου, καὶ πολλὰ φορτικῶς παρ' ἡλικίαν φθεγγομένου καὶ πράττοντος.

Οἱ δὲ περὶ τὸν γάϊον, ὡς ἐπὶ συμφορᾷ κοινῇ τῆς πατρίδος ἡσυχίαν ἄγοντες, καὶ περισκοπούμενοι τὸ μέλλον, ἐν μέρει φυλάττοντες καὶ ἀναπαυόμενοι διῆγον.

Ἅμα δὲ ἡμέρᾳ τὸν μὲν φούλβιον ἐκ τοῦ πότου καθεύδοντα, μόλις ἐπεγείραντες, ὡπλίζοντο τοῖς περὶ τὴν οἰκίαν λαφύροις, ἃ γαλάτας νενικηκὼς ὅτε ὑπάτευεν εἰλήφει. καὶ μετὰ πολλῆς ἀπειλῆς καὶ κραυγῆς, ἐχώρουν καταληψόμενοι τὸν ἀβεντίνου λόφον. ὁ δὲ γάϊος ὁπλίζεσθαι μὲν οὐκ ἠθέλησεν, ἀλλ' ὥσπερ εἰς ἀγορὰν ἐν τηβέννῳ προῄει, μικρὸν ἐπιζωσμένος ἐγχειρίδιον. ἐξιόντι δὲ αὐτῷ περὶ τὰς θύρας, ἡ γυνὴ προσπεσοῦσα καὶ κατασχοῦσα τῶν χειρῶν, τῇ μὲν αὐτὸν ἐκεῖνον, τῇ δὲ τὸ παιδίον, οὐκ ἐπὶ τὸ βῆμά σε εἶπεν ὦ γάϊε προπέμπω δήμαρχον ὡς πρότερον καὶ νομοθέτην, οὐδ' ἐπὶ πόλεμον ἔνδοξον, ἵνα μοι καὶ παθόντι τῶν κοινῶν, ἀπολίπῃς τιμώμενον γοῦν πένθος. ἀλλὰ τοῖς τιβερίου φονεῦσιν ὑποβάλλεις σεαυτόν, ἄοπλον μὲν καλῶς, ἵνα πάθῃς τι μᾶλλον ἢ δράσῃς. πρὸς οὐδὲν δὲ τοῖς κοινοῖς ὄφελος ἀπολῇ. κεκράτηκεν ἤδη τὰ χείρω. βίᾳ καὶ σιδήρῳ τὰς δίκας ἤδη πράττουσιν. εἰ περὶ νομαντίαν ὁ σὸς ἀδελφὸς ἔπεσεν, ὑπόσπονδος ἂν ἡμῖν ἀπεδόθη νεκρός. νῦν δὲ ἴσως κἀγὼ ποταμοῦ τινὸς ἢ θαλάσσης ἱκέτις ἔσομαι, φῆναί ποτε τὸ σὸν σῶμα φρουρούμενον. τί γὰρ ἢ νόμοις ἔτι πιστὸν ἢ θεοῖς μετὰ τὸν τιβερίου φόνον. Τοιαῦτα τῆς λικιννίας ὀδυρομένης, ἀτρέμα τὰς περιβολὰς ἀπολυσάμενος αὐτῆς ὁ γάϊος, ἐχώρει σιωπῇ μετὰ τῶν φίλων. ἡ δὲ τοῦ ἱματίου λαβέσθαι γλιχομένη, καταρρυεῖσα πρὸς τοὔδαφος, ἔκειτο πολὺν χρόνον ἄναυδος, ἄχρις οὗ λιποθυμήσασαν αὐτὴν οἱ θεράποντες ἀράμενοι, πρὸς κράσσον ᾤχοντο τὸν ἀδελφὸν κομίζοντες.

τῶν εἰσάγοντα, δημοκοπεῖν ὑπείδοντο. λιβίῳ δὲ δώδεκα κατοικίζοντι καὶ τρισχιλίους εἰς ἑκάστην ἀποστέλλοντι τῶν ἀπόρων, συνελαμβάνοντο. κἀκείνῳ μὲν ὅτι χώραν διένειμε τοῖς πένησι προστάξας ἑκάστῳ τελεῖν ἀποφορὰν εἰς τὸ δημόσιον, ὡς κολακεύοντι τοὺς πολλοὺς ἀπηχθάνοντο. λίβιος δὲ καὶ τὴν ἀποφορὰν ταύτην τῶν νεμομένων ἀφαιρῶν, ἤρεσκεν αὐτοῖς. ἔτι δὲ, ὁ μὲν, τοῖς λατίνοις ἰσοψηφίαν διδοὺς, ἐλύπει. τοῦ δὲ, ὅπως μὴ δὲ ἐπὶ στρατείας ἐξῇ τινὰ λατίνων ῥάβδοις αἰκίζεσθαι γράψαντος, ἐβοήθουν τῷ νόμῳ. καὶ μέντοι καὶ αὐτὸς ὁ λίβιος ἀεὶ δημηγορῶν, ἔλεγεν, ὡς γράφει ταῦτα τῇ βουλῇ δοκοῦντα κηδομένῃ τῶν πολλῶν. ὃ δὴ καὶ μόνον ἀπὸ τῶν πολιτευμάτων αὐτοῦ, χρήσιμον ὑπῆρχεν. ἡμερώτερον γὰρ ἔσχε πρὸς τὴν βουλὴν ὁ δῆμος. καὶ τοὺς γνωρίμους πρότερον ὑφορωμένου καὶ μισοῦντος, ἐξέλυσε καὶ κατεπράυνε τὴν μνησικακίαν καὶ χαλεπότητα ταύτην ὁ λίβιος, ὡς ἐκ τῆς ἐκείνων ὁρμώμενος γνώμης, ἐπὶ τὸ δημαγωγεῖν καὶ χαρίζεσθαι τοῖς πολλοῖς. μεγίστη δὲ τῷ δρούσῳ πίστις εὐνοίας πρὸς τὸν δῆμον ἐγίνετο καὶ δικαιοσύνης, τὸ μηδὲν αὐτῷ, μηδ' ὑπὲρ ἑαυτοῦ φαίνεσθαι γράφοντα. καὶ γὰρ οἰκιστὰς ἑτέρους ἐξέπεμπε τῶν πόλεων, καὶ διοικήσεσι χρημάτων οὐ προσῄει. τοῦ γαΐου, τὰ πλεῖστα καὶ μέγιστα τῶν τοιούτων αὐτῷ προστιθέντος. ἐπεὶ δὲ ῥουβρίου τῶν συναρχόντων ἑνὸς, οἰκίζεσθαι καρχηδόνα γράψαντος ἀνῃρημένην ὑπὸ σκηπίωνος, κλήρῳ λαχὼν ὁ γάιος, ἐξέπλευσεν εἰς λιβύην ἐπὶ τὸν κατοικισμὸν, ἔτι μᾶλλον ἐπιβὰς ὁ δροῦσος ἀπόντος αὐτοῦ, τὸν δῆμον ὑπελάμβανε. καὶ προσήγετο μάλιστα ταῖς κατὰ τοῦ φουλβίου διαβολαῖς. ὁ δὲ φούλβιος οὗτος, ἦν τοῦ γαΐου φίλος. καὶ συνάρχων ἐπὶ τὴν διανομὴν τῆς χώρας ᾑρημένος. ἦν δὲ θορυβώδης. καὶ μισούμενος μὲν ὑπὸ τῆς βουλῆς, ἄντικρυς. ὕποπτος δὲ καὶ τοῖς ἄλλοις, ὡς τὰ συμμαχικὰ διακινῶν, καὶ παροξύνων κρύφα τοὺς ἰταλιώτας, πρὸς ἀπόστασιν. οἷς ἀναποδείκτως καὶ ἀνελέγκτως λεγομένοις, αὐτὸς προσετίθει πίστιν ὁ φούλβιος οὐχ ὑγιαινούσης, οὐδ' εἰρηνικῆς ὢν προαιρέσεως. τοῦτο μάλιστα κατέλυε τὸν γάιον, ἀπολαύοντα τοῦ μίσους. καὶ ὅτε σκηπίων ὁ ἀφρικανὸς, ἐξ οὐδενὸς αἰτίου προφανοῦς, ἐτελεύτησε. καὶ σημεῖά τινα τῷ νεκρῷ πληγῶν καὶ βίας ἐπιδραμεῖν ἔδοξεν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται, τὸ μὲν πλεῖστον ἐπὶ τὸν φούλβιον ἦλθε τῆς διαβολῆς, ἐχθρὸν ὄντα, καὶ τὴν ἡμέραν ἐκείνην ἐπὶ τοῦ βήματος, τῷ σκηπίωνι λελοιδορημένον. ἥψατο δὲ καὶ τοῦ γαΐου ὑπόνοια. καὶ δεινὸν οὕτως ἔργον ἐπ' ἀνδρὶ τῷ πρώτῳ καὶ μεγίστῳ ῥωμαίων τολμηθὲν, οὐκ ἔτυχε δίκης. οὐδὲ εἰς ἔλεγχον προῆλθεν. ἐνέστησαν γὰρ οἱ πολλοὶ καὶ κατέλυσαν τὴν κρίσιν, ὑπὲρ τοῦ γαΐου φοβηθέντες, μὴ περιπετὴς τῇ αἰτίᾳ τοῦ φόνου ζητουμένου γένηται. ταῦτα μὲν οὖν ἐγεγόνει πρότερον. ἐν δὲ τῇ λιβύῃ περὶ τὸν τῆς καρχηδόνος κατοικισμὸν, ἣν ὁ γάιος ἰουνωνίαν, ὅπερ ἐστὶν ἡραίαν ὠνόμασε, πολλὰ κωλύματα γενέσθαι παρὰ τοῦ δαιμονίου λέγουσι. ἥτε γὰρ πρώτη σημαία πνεύματος ἀφαρπάζοντος αὐτὴν, τοῦ δὲ φέροντος ἐγκρατῶς ἀντεχομένου, συνετρίβη. καὶ τὰ ἱερὰ τοῖς βωμοῖς ἐπικείμενα, διεσκέδασεν ἀνέμου θύελλα, καὶ διέρριψεν ὑπὲρ τοὺς ὅρους τῆς γεγενημένης ὑπογραφῆς. αὐτοὺς δὲ τοὺς ὅρους ἀνέσπασαν ἐπελθόντες λύκοι. καὶ μακρὰν ᾤχοντο φέροντες. οὐ μὴν ἀλλὰ πάντα συντάξας καὶ διακοσμήσας ὁ γάιος, ἡμέραις ἑβδομήκοντα ταῖς πάσαις, ἐπανῆλθεν εἰς ῥώμην. πιέζεσθαι τὸν φούλβιον ὑπὸ τοῦ δρούσου πυνθανόμενος. καὶ τῶν πραγμάτων τῆς αὐτοῦ παρουσίας δεομένων. λεύκιος γὰρ ὀπίλιος, ἀνὴρ ὀλιγαρχικὸς, καὶ δυνατὸς ἐν τῇ βουλῇ, πρότερον μὲν ἐξέπεσεν, ὑπατείαν παραγγέλλων, τοῦ γαΐου τὸν φάννιον προαγαγόντος. ἐκεῖνον δὲ καταρχαιρεσιάσαντος. τότε δὲ πολλῶν βοηθούντων, ἐπίδοξος ἦν ὑπατεύειν. ὑπατεύων δὲ, καταλύσειν τὸν γάιον, ἤδη τρόπον τινὰ τῆς δυνάμεως αὐτοῦ μαραινομένης. καὶ τοῦ δήμου μεστοῦ γεγονότος, τῶν τοιούτων πολιτευμάτων, διὰ τὸ πολλοὺς τοὺς πρὸς χάριν δημαγωγοῦντας εἶναι, καὶ τὴν βουλὴν ὑπείκειν ἑκοῦσαν. ἐπανελθὼν δὲ, πρῶτον μὲν ἐκ τοῦ παλατίου μετῴκησεν εἰς τὸν ὑπὸ τὴν ἀγορὰν τόπον, ὡς δημοτικώτερον. ὅπου πλείστους τῶν ταπεινῶν καὶ πενήτων συνέβαινεν οἰκεῖν. ἔπειτα τῶν νόμων ἐξέθηκε τοὺς λοιποὺς, ὡς ἐπάξων τὴν ψῆφον αὐτοῖς. ὄχλου δὲ πανταχόθεν αὐτῷ συνιόντος, ἔπεισεν ἡ βουλὴ τὸν ὕπατον φάννιον ἐκβαλεῖν τοὺς ἄλλους πλὴν ῥωμαίων ἅπαντας. γενομένου δὲ κηρύγματος ἀήθους καὶ ἀλλοκότου, μηδένα τῶν συμμάχων μηδὲ τῶν φίλων ἐν ῥώμῃ φανῆναι περὶ τὰς ἡμέρας ἐκείνας. ἀντεξέθηκεν ὁ γάιος διάγραμμα, κατηγορῶν τοῦ ὑπάτου. καὶ τοῖς συμμάχοις ἂν μένωσι βοηθήσειν ἐπαγγελλόμενος. οὐ μὴν ἐβοήθησεν. ἀλλ' ὁρῶν ἕνα τῶν ξένων αὐτοῦ καὶ συνήθων, ἑλκόμενον ὑπὸ τῶν ὑπηρετῶν τοῦ φαννίου, παρῆλθε καὶ οὐ προσήμυνεν. εἴτε τὴν ἰσχὺν ἐπιλείπουσαν ἤδη δεδιὼς ἐλέγχειν. εἴτε μὴ βουλόμενος ὡς ἔλεγεν ἀψιμαχίας αὐτὸς, καὶ συμπλοκῆς ἀρχὰς ζητοῦσι τοῖς ἐχθροῖς, παρασχεῖν. συνέτυχε δὲ αὐτῷ καὶ πρὸς τοὺς συνάρχοντας ἐν ὀργῇ γενέσθαι διὰ τοιαύτην αἰτίαν. ἔμελλεν ὁ δῆμος θεᾶσθαι μονομάχους ἐν ἀγορᾷ. καὶ τῶν ἀρχόντων οἱ πλεῖστοι, θεωρητήρια κύκλῳ κατασκευάσαντες, ἐξεμίσθουν. ταῦτα ὁ γάιος ἐκέλευεν αὐτοὺς καθαιρεῖν, ὅπως οἱ πένητες ἐκ τῶν τόπων ἐκείνων ἀμισθὶ θεάσασθαι δύνωνται. μηδενὸς δὲ προσέχοντος, ἀναμείνας τὴν πρὸ τῆς θέας νύκτα, καὶ τῶν τεχνιτῶν ὅσους εἶχεν ἐργολάβους ὑφ' ἑαυτῷ παραλαβὼν, τὰ θεωρητήρια καθεῖλε, καὶ τῷ δήμῳ σχολάζοντα, μεθ' ἡμέραν ἀπέδειξε τὸν τόπον. ἐφ' ᾧ τοῖς μὲν πολλοῖς ἀνὴρ ἔδοξεν εἶν, τοὺς δὲ συνάρχοντας ὡς ἰταμὴς καὶ βίαιος

τῷ. ς.

ταῦτα. π. κ. τ. η. ς.

ὑπατεύσειν κ. τ. π. η.

α. ς

μηδὲν εἰς τοῦτο τῆς μισθοφορᾶς ὑφαιρεῖσθαι τῶν στρατευομένων. καὶ νεώτερον ἐτῶν ἑπτακαίδεκα μὴ καταλέγεσθαι στρατιώτην. ὁ δὲ, συμμαχικὸς, ἰσοψήφους ποιῶν τοῖς πολίταις, τοὺς ἰταλιώτας. ὁ δὲ, σιτικὸς, ἐπευωνίζων τοῖς πένησι τὴν ἀγοράν. ὁ δὲ, δικαστικὸς, ᾧ, τὸ πλεῖστον ἀπέκοψε τῆς τῶν συγκλητικῶν δυνάμεως. μόνοι γὰρ ἔκρινον τὰς δίκας. καὶ διὰ τοῦτο, φοβεροὶ τῷ δήμῳ καὶ τοῖς ἱππεῦσιν ἦσαν. ὁ δὲ, τριακοσίους τῶν ἱππέων προσκατέλεξεν αὐτοῖς, οὖσι τριακοσίοις. καὶ τὰς κρίσεις, κοινὰς τῶν ἑξακοσίων ἐποίησε. τοῦτον τὸν νόμον εἰσφέρων, τά τε ἄλλα λέγεται σπουδάσαι διαφερόντως καὶ τῶν πρὸ αὐτοῦ πάντων δημαγωγῶν πρὸς τὴν σύγκλητον ἀφορώντων, καὶ τὸ καλούμενον κομίτιον, πρῶτον τότε στραφεὶς ἔξω πρὸς τὴν ἀγορὰν δημηγορῆσαι. καὶ τὸ λοιπὸν, οὕτω ποιεῖν ἐξ ἐκείνου, μικρᾷ παρεγκλίσει καὶ μεταθέσει σχήματος, μέγα πρᾶγμα κινήσας, καὶ μετενεγκὼν τρόπον τινὰ τὴν πολιτείαν ἐκ τῆς ἀριστοκρατίας, εἰς τὴν δημοκρατίαν, ὡς τῶν πολλῶν δέον, οὐ τῆς βουλῆς, στοχάζεσθαι τοὺς λέγοντας. ἐπεὶ δὲ, οὐ μόνον ἐδέξατο τὸν νόμον τοῦτον ὁ δῆμος. ἀλλὰ κἀκείνῳ τοὺς κρινοῦντας ἐκ τῶν ἱππέων ἔδωκε καταλέξαι, μοναρχική τις ἰσχὺς ἐγεγόνει περὶ αὐτόν. ὥς τε καὶ τὴν σύγκλητον ἀνέχεσθαι συμβουλεύοντος αὐτοῦ. συνεβούλευε δὲ ἀεί τι, τῶν ἐκείνῃ πρεπόντων εἰσηγούμενος. οἷον ἦν καὶ τὸ περὶ τοῦ σίτου δόγμα μετριώτατον καὶ κάλλιστον. ὃν ἔπεμψε μὲν ἐξ ἰβηρίας, φάβιος ἀντιστράτηγος. ἐκεῖνος δὲ ἔπεισε τὴν βουλὴν ἀποδομένην τὸν σῖτον, ἀναπέμψαι ταῖς πόλεσι τὸ ἀργύριον, καὶ προσεπαιτιάσασθαι τὸν φάβιον, ὡς ἐπαχθῆ καὶ ἀφόρητον ποιοῦντα τὴν ἀρχὴν τοῖς ἀνθρώποις, ἐφ᾽ ᾧ μεγάλην ἔσχε δόξαν μετ᾽ εὐνοίας, ἐν ταῖς ἐπαρχίαις. ἔγραψε δὲ καὶ πόλεις ἀποικίδας ἐκπέμπεσθαι. καὶ τὰς ὁδοὺς ποιεῖσθαι καὶ κατασκευάζεσθαι σιτοβόλια. τούτοις ἅπασι πραττομένοις, αὐτὸν ἄρχοντα καὶ διοικητὴν ἐφιστὰς καὶ πρὸς μηδὲν ἀποκνούμενος τῶν τοσούτων καὶ τηλικούτων, ἀλλὰ καὶ θαυμαστῷ τινὶ τάχει, καὶ πόνῳ τῶν γινομένων, ὡς μόνον ἕκαστον ἐξεργαζόμενος, ὥς τε καὶ τοὺς πάνυ μισοῦντας αὐτὸν καὶ δεδοικότας, ἐκπλήττεσθαι τὸ διὰ πάντων ἀνύσιμον καὶ τελεσιουργόν. οἱ δὲ πολλοὶ καὶ τὴν ὄψιν αὐτὴν ἐθαύμαζον, ἐξηρτημένον ὁρῶντες αὐτοῦ, πλῆθος ἐργολάβων. τεχνιτῶν. πρεσβευτῶν. ἀρχόντων. στρατιωτῶν. φιλολόγων. οἷς πᾶσιν ἐντυγχάνων μετὰ εὐκολίας. καὶ τὸ σεμνὸν ἐν τῷ φιλανθρώπῳ διαφυλάττων καὶ νέμων αὐτοῦ τὸ ἁρμόττον οἰκείως ἑκάστῳ, χαλεποὺς ἀπεδείκνυε συκοφάντας, τοὺς φοβερὸν αὐτὸν ἢ φορτικὸν ὅλως ἢ βίαιον ἀποκαλοῦντας. οὕτω δεινότερος ἦν ἐν ταῖς ὁμιλίαις καὶ ταῖς πράξεσιν, ἢ τοῖς ἀπὸ τοῦ βήματος λόγοις, δημαγωγός. ἐσπούδασε δὲ μάλιστα περὶ τὴν ὁδοποιΐαν, τῆς τε χρείας ἅμα, καὶ τοῦ πρὸς χάριν καὶ κάλλος ἐπιμεληθείς, εὐθεῖαι γὰρ ἤγοντο διὰ τῶν χωρίων, ἀτρεμεῖς. καὶ τὸ μὲν ἐστόρνυτο πέτρᾳ ξεστῇ. τὸ δὲ, ἄμμου χώμασιν ἀκτοῖς ἐπυκνοῦτο. πιμπλαμένων δὲ τῶν κοίλων καὶ ζευγνυμένων γεφύραις, ὅσα χείμαρροι διέκοπτον, ἢ φάραγγες. ὕψος δὲ τοῦ ἑκατέρωθεν ἴσον καὶ παράλληλον λαμβανόντων, ὁμαλὴν καὶ καλὴν ὄψιν εἶχε δι᾽ ὅλου τὸ ἔργον.

Πρὸς δὲ τούτοις, διαμετρήσας κατὰ μίλιον ὁδὸν πᾶσαν. τὸ δὲ μίλιον ὀκτὼ σταδίων ὀλίγον ἀπολείπει, κίονας λιθίνους, σημεῖα τοῦ μέτρου κατέστησεν. ἄλλους δὲ λίθους ἔλαττον ἀπέχοντας ἀλλήλων ἑκατέρωθεν τῆς ὁδοῦ, διέθηκεν, ὡς εἴη ῥᾳδίως τοῖς ἵππους ἔχουσιν ἐπιβαίνειν ἀπ᾽ αὐτῶν, ἀναβολέως μὴ δεομένοις. ἐπὶ τούτοις τοῦ δήμου μεγαλοῦντος αὐτὸν καὶ πᾶν ὁτιοῦν ἑτοίμως ἔχοντος ἐνδείκνυσθαι πρὸς εὔνοιαν, ἔφη ποτὲ δημηγορῶν αὐτὸς αἰτήσειν χάριν ἣν λαβὼν μὲν, ἀντὶ παντὸς ἕξειν. εἰ δὲ ἀποτύχοι μηδὲν ἐκείνοις μεμψιμοιρήσειν. τοῦτο ῥηθὲν, ἔδοξεν αἴτησις ὑπατείας εἶναι. καὶ προσδοκίαν πᾶσιν, ὡς ἅμα μὲν ὑπατείαν. ἅμα δὲ δημαρχίαν μετιών, παρέσχεν. ἐνστάντων δὲ τῶν ὑπατικῶν ἀρχαιρεσιῶν, καὶ μετεώρων ὄντων ἁπάντων, ὤφθη γάϊον φάννιον κατάγων εἰς τὸ πεδίον. καὶ συναρχαιρεσιάζων ἐκείνῳ μετὰ τῶν φίλων. τοῦτο ῥοπὴν ἤνεγκε τῷ φαννίῳ μεγάλην. κἀκεῖνος μὲν ὕπατος. γάϊος δὲ δήμαρχος ἀπεδείχθη τὸ δεύτερον. οὐ παραγγέλλων, οὐδὲ μετιών. ἀλλὰ τοῦ δήμου σπουδάσαντος. ἐπεὶ δὲ ἑώρα τὴν μὲν σύγκλητον ἐχθρὰν ἄντικρυς. ἀμβλὺν δὲ τῇ πρὸς αὐτὸν εὐνοίᾳ τὸν φάννιον, αὖθις ἑτέροις νόμοις ἀπήρτιζε τὸ πλῆθος. ἀποικίας μὲν, εἰς τάραντα μὲν καὶ καπύην, πέμπεσθαι γράφων. καλῶν δὲ ἐπὶ κοινωνίᾳ πολιτείας τοὺς λατίνους. ἡ δὲ βουλὴ δείσασα μὴ παντάπασιν ἄμαχος γένηται, καινὴν καὶ ἀσυνήθη πεῖραν ἐπεῖγε τοῖς πολλοῖς ἀποτροπῆς. ἀντιδημαγωγοῦσα καὶ χαριζομένη παρὰ τὸ βέλτιστον. ἦν γὰρ εἷς τῶν τοῦ γαΐου συναρχόντων λίβιος δροῦσος. ἀνὴρ οὔτε γεγονὼς τινὸς ῥωμαίων, οὔτε τεθραμμένος χεῖρον. ἤδη δὲ καὶ λόγῳ καὶ πλούτῳ, ἐν τοῖς μάλιστα τιμωμένοις, καὶ δυναμένοις ἀπὸ τούτων, ἐνάμιλλος. ἐπὶ τοῦτον μὲν οὖν οἱ γνωριμώτατοι τρέπονται, καὶ παρεκάλουν αὐτὸν ἅψασθαι τοῦ γαΐου, καὶ μετ᾽ αὐτῶν, ἐπὶ τὸν ἄνδρα συστῆναι, μὴ βιαζόμενον, μηδὲ ἀντικρούοντα τοῖς πολλοῖς, ἀλλὰ πρὸς ἡδονὴν ἄρχοντα καὶ χαριζόμενον, ὑπὲρ ὧν καὶ ἀπεχθάνεσθαι καλῶς εἶχεν. ἐπιδοὺς οὖν ὁ λίβιος εἰς ταῦτα τῇ βουλῇ τὴν ἑαυτοῦ δημαρχίαν, νόμους ἔγραψεν, οὔτε τῶν καλῶν τινὸς, οὔτε τῶν λυσιτελῶν ἐχομένους. ἀλλὰ ἓν μόνον ὑπερβαλέσθαι τὸν γάϊον ἡδονῇ καὶ χάριτι τῶν πολλῶν, ὥσπερ ἐν κωμῳδίᾳ σπεύδων καὶ διαμιλλώμενος. ᾧ καὶ καταφανεστάτην ἐποίησεν ἑαυτὸν ἡ σύγκλητος, οὐ δυσχεραίνουσα τοῖς τοῦ γαΐου πολιτεύμασιν, ἀλλὰ αὐτὸν ἐκεῖνον ἀνελεῖν, ἢ ταπεινῶσαι παντάπασι βουλομένη. τὸν μὲν, γὰρ ἀποικίας δύο γράψαντα. καὶ τοὺς χαριεστάτους τῶν πολι

ἐρημαίαν ζωήν; ὁ ἀδελφὸς ὄναρ φανεὶς, καὶ προσαγορεύσας, τί δῆτα φαίη γάϊε βραδύνεις; οὐκ ἔστιν ἀπόδρασις. ἀλλ' εἷς μὲν ἡμῖν ἀμφοτέροις βίος, εἷς δὲ θάνατος ὑπὲρ τοῦ δήμου πολιτευομένοις πέπρωται. γενόμενος γοῦν ὁ γάϊος ἐν σαρδόνι, πᾶσαν ἀρετῆς ἀπόδειξιν ἐδίδου, καὶ πολὺ πάντων διέφερε τῶν νέων ἐν τοῖς πρὸς τοὺς πολεμίους ἀγῶσι. καὶ ἐν τοῖς πρὸς τοὺς ὑπηκόους δικαίοις. καὶ ἐν τῇ πρὸς τὸν στρατηγὸν εὐνοίᾳ καὶ τιμῇ. σωφροσύνῃ δὲ καὶ λιτότητι καὶ φιλοπονίᾳ, παρήλλαττε καὶ τοὺς πρεσβυτέρους. ἰσχυροῦ δὲ καὶ νοσώδους ἅμα χειμῶνος ἐν σαρδόνι γενομένου. καὶ τοῦ στρατηγοῦ τὰς πόλεις ἐσθῆτα τοῖς στρατιώταις αἰτοῦντος, ἔπεμψαν εἰς ῥώμην παραιτούμενοι. δεξαμένης δὲ τῆς βουλῆς τὴν παραίτησιν αὐτῶν. καὶ τὸν στρατηγὸν ἄλλοθεν ἀμφιέζειν τοὺς στρατιώτας κελευούσης, ἀπορροῦντος δὲ ἐκείνου καὶ τῶν στρατιωτῶν κακοπαθούντων, ἐπελθὼν τὰς πόλεις ὁ γάϊος, αὐτοὺς ἀφ' ἑαυτῶν ἐποίησεν ἐσθῆτα πέμψαι καὶ βοηθῆσαι τοῖς ῥωμαίοις. ταῦτα πάλιν εἰς ῥώμην ἀπαγγελλόμενα, καὶ δοκοῦντα δημαγωγίας προαγῶνες εἶναι, διετάραττε τὴν βουλήν. καὶ πρῶτον μὲν ἐκ λιβύης παρὰ μικιψᾶ τοῦ βασιλέως, πρέσβεις παραγενομένους καὶ λέγοντας, ὡς ὁ βασιλεὺς χάριτι γαΐου γράγχου, πέμψειεν εἰς σαρδόνα σῖτον τῷ στρατηγῷ, δυσχεραίνοντες, ἐξέβαλον. ἔπειτα δόγμα ποιοῦνται, τοῖς μὲν στρατιώταις, διαδοχὴν ἀποσταλῆναι. τὸν δὲ ὀρέστην ἐπιμένειν, ὡς δὴ καὶ τοῦ γαΐου διὰ τὴν ἀρχὴν παραμενοῦντος. ὁ δὲ, τούτων αὐτῷ προσπεσόντων, εὐθὺς ἐξέπλευσε πρὸς ὀργήν. καὶ φανεὶς ἐν ῥώμῃ παρ' ἐλπίδας, οὐ μόνον ὑπὸ τῶν ἐχθρῶν αἰτίαν εἶχεν, ἀλλὰ καὶ τοῖς πολλοῖς ἀλλόκοτον ἐδόκει. τὸ ταμίαν ὄντα προαποστῆναι τοῦ ἄρχοντος. οὐ μὴν, ἀλλὰ κατηγορίας αὐτῷ γενομένης ἐπὶ τῶν τιμητῶν, αἰτησάμενος λόγον, οὕτω μετέστησε τὰς γνώμας τῶν ἀκουσάντων, ὡς ἀπελθεῖν ἠδικῆσθαι τὰ μέγιστα δόξας. ἐστρατεῦσθαι μὲν γὰρ ἔφη, δώδεκα ἔτη. τῶν ἄλλων δέκα στρατευομένων ἐν ἀνάγκαις. ταμιεύων δὲ, τῷ στρατηγῷ παραμεμενηκέναι, τριετίαν, τοῦ νόμου μετ' ἐνιαυτὸν ἐπανελθεῖν διδόντος. μόνος δὲ τῶν στρατευσαμένων πλῆρες τὸ βαλλάντιον εἰσενηνοχὼς, κενὸν ἐξενηνοχέναι, τοὺς δ' ἄλλους ἐκπιόντας, ὃν εἰσήνεγκαν οἶνον, ἀργυρίου καὶ χρυσίου μεστοὺς δεῦρο τοὺς ἀμφορεῖς ἥκειν νομίζοντας. ἐκ τούτου πάλιν ἄλλας αἰτίας αὐτῷ καὶ δίκας ἐπῆγον. ὡς τοὺς συμμάχους ἀφιστάντι, καὶ κεκοινωνηκότι τῆς περὶ φρέγελλαν ἐνδειχθείσης συνωμοσίας. ὁ δὲ, πᾶσαν ὑποψίαν ἀπολυσάμενος, καὶ φανεὶς καθαρὸς, εὐθὺς ἐπὶ δημαρχίαν ὥρμησε. τῶν μὲν γνωρίμων ἀνδρῶν, ὁμαλῶς ἁπάντων ἐναντιουμένων, πρὸς αὐτόν. ὄχλου δὲ τοσούτου συρρέοντος εἰς τὴν πόλιν ἐκ τῆς ἰταλίας, καὶ συναρχαιρεσιάζοντος, ὡς πολλοῖς μὲν οἰκήσεις ἐπιλιπεῖν. τοῦ δὲ πεδίου μὴ δεξαμένου τὸ πλῆθος, ἀπὸ τῶν τεγῶν καὶ τῶν κεράμων τὰς φωνὰς συνηχεῖν. τοσοῦτον δ' οὖν ἐξεβιάσαντο τὸν δῆμον οἱ δυνατοὶ, καὶ τῆς ἐλπίδος τοῦ γαΐου καθεῖλον, ὅσον οὐχ ὡς προσεδόκησε πρῶτον, ἀλλὰ τέταρτον ἀναγορευθῆναι. παραλαβὼν δὲ τὴν ἀρχὴν, εὐθὺς ἦν ἁπάντων πρῶτος. ἴσχυέ τε τῷ λέγειν, ὡς ἄλλος οὐδείς. καὶ τοῦ πάθους αὐτῷ παρρησίαν πολλὴν διδόντος ἀνακλαιομένῳ τὸν ἀδελφόν. ἐνταῦθα γὰρ ἐξ ἁπάσης προφάσεως περιῆγε τὸν δῆμον ἀναμιμνήσκων τῶν γεγονότων. καὶ παρατιθεὶς τὰ τῶν προγόνων, ὡς ἐκεῖνοι μὲν καὶ φαλίσκοις ἐπολέμησαν, ὑπὲρ γενυκίου τινὸς δημάρχου λοιδορηθέντος. καὶ γαΐου βετουρίου θάνατον κατέγνωσαν, ὅτι δημάρχῳ πορευομένῳ δι' ἀγορᾶς, οὐχ ὑπεξέστη μόνος. ὑμῶν δὲ ὁρώντων ἔφη, τιβέριον ξύλοις συνέκοπτον οὗτοι. καὶ διὰ μέσης τῆς πόλεως ἐσύρετο, νεκρὸς ἐκ καπιτωλίου ῥιφησόμενος εἰς τὸν ποταμόν. οἱ δὲ ἁλισκόμενοι τῶν φίλων, ἀπέθνησκον ἄκριτοι. καίτοι πάτριόν ἐστιν ἡμῖν, εἴ τις ἔχων δίκην θανατικὴν μὴ ὑπακούει, τούτου πρὸς τὰς θύρας ἕωθεν ἐλθόντα σαλπιγκτὴν, ἀνακαλεῖσθαι τῇ σάλπιγγι, καὶ μὴ πρότερον ἐπιφέρειν ψῆφον αὐτῷ τοὺς δικαστάς. οὕτως εὐλαβεῖς καὶ πεφυλαγμένοι περὶ τὰς κρίσεις ἦσαν. τοιούτοις λόγοις προανασείσας τὸν δῆμον, ἦν δὲ καὶ μεγαλοφωνότατος καὶ ῥωμαλεώτατος ἐν τῷ λέγειν, δύο νόμους εἰσέφερε, τὸν μὲν, εἴ τινος ἄρχοντος ἀφῄρητο τὴν ἀρχὴν ὁ δῆμος, οὐκ ἐῶντα τούτῳ δευτέρας ἀρχῆς μετουσίαν εἶναι. τὸν δὲ, εἴ τις ἄρχων ἄκριτον ἐκκεκηρύχοι πολίτην, κατὰ τούτου κρίσιν διδόντα τῷ δήμῳ. τούτων τῶν νόμων, ἄντικρυς ὁ μὲν, μάρκον ὀκτάβιον ἠτίμου τὸν ὑπὸ τιβερίου τῆς δημαρχίας ἐκπεσόντα. τῷ δ' ἐνείχετο ποπίλλιος. οὗτος γὰρ στρατηγῶν, τοὺς τιβερίου φίλους ἐξεκήρυξε. καὶ ποπίλλιος μὲν οὐχ ὑποστὰς τὴν κρίσιν, ἔφυγεν ἐξ ἰταλίας. τὸν δὲ ἕτερον νόμον, γάϊος αὐτὸς ἐπανείλετο. φήσας τῇ μητρὶ κορνηλίᾳ δεηθείσῃ χαρίζεσθαι τὸν ὀκτάβιον. καὶ ὁ δῆμος ἠγάσθη καὶ συνεχώρησε, τιμῶν τὴν κορνηλίαν, οὐδὲν ἧττον ἀπὸ τῶν παίδων, ἢ τοῦ πατρός. ἧς γε χαλκῆν εἰκόνα στήσας ὕστερον, ἐπέγραψε κορνηλίαν μητέρα γράγχων. ἀπομνημονεύεται δὲ καὶ τοῦ γαΐου πολλὰ ῥητορικῶς καὶ ἀγοραίως ὑπὲρ αὐτῆς εἰρημένα πρός τινα τῶν ἐχθρῶν. σὺ γὰρ ἔφη κορνηλίαν λοιδορεῖς τὴν τιβέριον τεκοῦσαν. ἐπεὶ δὲ διαβεβλημένος ἦν εἰς μαλακίαν ὁ λοιδορηθεὶς, τίνα δὲ εἶπεν ἔχων παρρησίαν, συγκρίνεις κορνηλίαν σεαυτῷ, ἔτεκες γὰρ ὡς ἐκείνη; καὶ μὴν πάντες ἴσασι ῥωμαῖοι, πλείω χρόνον ἐκείνην ἀπ' ἀνδρὸς οὖσαν, ἢ σὲ τὸν ἄνδρα. τοιαύτη μὲν ἡ πικρία τῶν λόγων ἦν αὐτοῦ. καὶ πολλὰ λαβεῖν ἐκ τῶν γεγραμμένων ἔστιν ὅμοια. τῶν δὲ νόμων οὓς εἰσέφερε τῷ δήμῳ χαριζόμενος, καὶ καταλύων τὴν σύγκλητον, ὁ μὲν, ἦν κληρουχικὸς, ἅμα νεμομένων τοῖς πένησι τὴν δημοσίαν. ὁ δὲ, στρατιωτικὸς, ἐσθῆτα κελεύων δημοσίᾳ χορηγεῖσθαι, καὶ

σίους ξύλοις καὶ λίθοις συγκοπέντες. σιδήρῳ δὲ οὐδείς. ταύτην πρώτην ἱστοροῦσιν ἐν ῥώμῃ στάσιν ἀφ' οὗ τὸ βασιλεύεσθαι κατέλυσαν, αἵματι καὶ φόνῳ πολιτῶν διακριθῆναι. τὰς δὲ ἄλλας, οὔτε μικρὰς, οὔτε περὶ μικρῶν γενομένας, ἀνθυπείκοντες ἀλλήλοις. φόβῳ μὲν οἱ δυνατοὶ τῶν πολλῶν, αἰδούμενοι δὲ τὴν βουλὴν ὁ δῆμος, ἔπαυον. ἐδόκει δὲ καὶ τότε μὴ χαλεπῶς ἂν ἐνδοῦναι παρηγορηθεὶς ὁ τιβέριος. ἔτι δὲ ῥᾷον εἶξαι δίχα φόνου καὶ τραυμάτων ἐπιοῦσιν, οὐ γὰρ πλείονες ἢ τρισχίλιοι περὶ αὐτὸν ἦσαν. ἀλλ' ἔοικεν ὀργῇ τῶν πλουσίων, καὶ μίσει πλέον ἢ δι' ἃς ἐσκήπτοντο προφάσεις, ἡ σύστασις ἐπ' αὐτὸν γενέσθαι. καὶ τούτου μέγα τεκμήριον ὠμῶς, καὶ παρανόμως ὑβρισθεὶς ὁ νεκρός. οὐ γὰρ ἐπέτρεψαν ἀνελέσθαι τὸ σῶμα τῷ ἀδελφῷ δεομένῳ, καὶ θάψαι νυκτὸς, ἀλλὰ μετὰ τῶν ἄλλων νεκρῶν εἰς τὸν ποταμὸν ἔρριψαν. καὶ τοῦτο πέρας οὐκ ἦν. ἀλλὰ καὶ τῶν φίλων αὐτοῦ, τοὺς μὲν, ἐξεκήρυττον ἀκρίτους. τοὺς δὲ, συλλαμβάνοντες ἀπεκτίννυσαν. ἐν οἷς καὶ διοφάνης ὁ ῥήτωρ ἀπώλετο. γάϊον δέ τινα βίλλιον εἰς ἀγγεῖον καθείρξαντες καὶ συνεμβαλόντες ἐχίδνας καὶ δράκοντας, οὕτω διέφθειραν. ὁ δὲ κυμαῖος βλόσσιος, ἀνήχθη μὲν ἐπὶ τοὺς ὑπάτους. ἐρωτώμενος δὲ περὶ τῶν γεγονότων, ὡμολόγει πεποιηκέναι πάντα τιβερίου κελεύοντος. εἰπόντος δὲ τοῦ νασικᾶ πρὸς αὐτόν. τί οὖν εἴ σε τιβέριος ἐκέλευσεν ἐμπρῆσαι τὸ καπιτώλιον, τὸ μὲν πρῶτον ἀντέλεγεν, ὡς οὐκ ἂν τοῦτο τιβερίου κελεύσαντος. πολλάκις δὲ καὶ πολλῶν τὸ αὐτὸ πυνθανομένων, ἀλλ' ἐκείνου γε προστάσσοντος ἔφη, καλῶς κἀμοὶ τοῦτο πρᾶξαι εἶχεν. οὐ γὰρ ἂν τιβέριος τοῦτο προσέταξεν, εἰ μὴ τῷ δήμῳ συνέφερεν. οὗτος μὲν οὖν διαφυγὼν ὕστερον ᾤχετο πρὸς ἀριστόνικον, εἰς ἀσίαν, καὶ τῶν ἐκείνου πραγμάτων διαφθαρέντων, ἑαυτὸν ἀνεῖλεν. Ἡ δὲ βουλὴ θεραπεύουσα τὸν δῆμον ἐκ τῶν παρόντων, οὔτε πρὸς τὴν διανομὴν ἔτι τῆς χώρας, ἠναντιοῦτο. καὶ τὸν ἀντὶ τοῦ τιβερίου προὔθηκε τοῖς πολλοῖς ὁριστὴν ἑλέσθαι. λαβόντες δὲ τὰς ψήφους, εἵλοντο πόπλιον κράσσον οἰκεῖον ὄντα γράγχῳ. θυγάτηρ γὰρ αὐτοῦ λικιννία, γαΐῳ γράγχῳ συνῴκει. καίτοι νέπως ὁ κορνήλιος φησὶν, οὐ κράσσου, βρούτου δὲ τοῦ θριαμβεύσαντος ἀπὸ λυσιτανῶν θυγατέρα γῆμαι γάϊον. ἀλλ' οἱ πλείους ὡς ἡμεῖς γράφομεν ἱστοροῦσιν. ἐπεὶ δὲ χαλεπῶς μὲν ὁ δῆμος εἶχε τῷ θανάτῳ τοῦ τιβερίου, καὶ φανερὸς ἦν ἀμύνης περιμένων καιρὸν, ἤδη δὲ καὶ δίκαι τῷ νασικᾷ προσανεσείοντο. δείσασα περὶ τοῦ ἀνδρὸς ἡ βουλὴ, ψηφίζεται μηδὲν δεομένη, πέμπειν αὐτὸν εἰς ἀσίαν. οὐ γὰρ ἀπεκρύπτοντο κατὰ τὰς ἀπαντήσεις οἱ ἄνθρωποι τὴν δυσμένειαν, ἀλλ' ἐξηγριαίνοντο καὶ κατεβόων, ὅπου προστύχοιεν, ἐναγῆ καὶ τύραννον καὶ μεμιαγκότα φόνῳ σώματος ἀσύλου καὶ ἱεροῦ, τὸ ἁγιώτατον καὶ φρικωδέστατον, ἐν τῇ πόλει τῶν ἱερῶν ἀποκαλοῦντες. οὕτω μὲν ὑπεξῆλθε τῆς ἰταλίας ὁ νασικᾶς. καίπερ ἐνδεδυμένος ταῖς μεγίσταις ἱερουργίαις. ἦν γὰρ ὁ μέγιστος, καὶ πρῶτος τῶν ἱερέων. ἔξω δὲ ἀλύων καὶ πλανώμενος ἄλλως, οὐ μετὰ πολὺν χρόνον κατέστρεψε περὶ πέργαμον. οὐ δεῖ δὲ θαυμάζειν, εἰ νασικᾶν μεμίσηκεν οὕτως ὁ δῆμος. ὅπου καὶ σκηπίων ὁ ἀφρικανὸς, οὗ δοκοῦσι ῥωμαῖοι μηδένα δικαιότερον, μηδὲ μᾶλλον ἀγαπῆσαι, παρὰ μικρὸν ἦλθεν ἐκπεσεῖν καὶ στέρεσθαι τῆς πρὸς τὸν δῆμον εὐνοίας, ὅτι πρῶτον μὲν ἐν νομαντίᾳ τὴν τελευτὴν τοῦ τιβερίου πυθόμενος, ἀνεφώνησεν ἐκ τῶν ὁμηρικῶν. ὡς ἀπόλοιτο καὶ ἄλλος ὅς τις τοιαῦτά γε ῥέζοι. ἔπειτα τῶν περὶ γάϊον, καὶ φούλβιον αὐτοῦ δι' ἐκκλησίας πυνθανομένων, τί φρονοίη περὶ τῆς τιβερίου τελευτῆς, οὐκ ἀρεσκομένην τοῖς ὑπ' ἐκείνου πεπολιτευμένοις, ἀπόκρισιν ἔδωκεν. ἐκ τούτου γὰρ ὁ μὲν δῆμος, ἀντέκρουσεν αὐτῷ, λέγοντι. μηδέπω τουτὶ ποιήσας, πρότερον. αὐτὸς δὲ τὸν δῆμον εἰπεῖν κακῶς προήχθη. περὶ μὲν οὖν τούτων, ἐν τῷ σκηπίωνος βίῳ, τὰ καθ' ἕκαστα γέγραπται. γάϊος δὲ γράγχος, ἐν ἀρχῇ μὲν ἢ δεδιὼς τοὺς ἐχθροὺς, ἢ φθόνον συνάγων ἐπ' αὐτοὺς, ὑπεξέστη τε τῆς ἀγορᾶς καὶ καθ' ἑαυτὸν ἡσυχίαν ἔχων, διετέλει. ὡς ἄν τις ἔν τε τῷ παρόντι ταπεινὰ πράττων, καὶ τὸ λοιπὸν οὕτως ἀπραγμόνως βιωσόμενος. ὥστε καὶ λόγον τισὶ κατ' αὐτοῦ παρασχεῖν, ὡς δυσχεραίνοντος, καὶ προβεβλημένου τὴν τοῦ τιβερίου πολιτείαν. ἦν δὲ καὶ μειράκιον παντάπασιν. ἐννέα γὰρ ἐνιαυτοῖς, ἐλείπετο τἀδελφοῦ καθ' ἡλικίαν. ἐκεῖνος δὲ οὔπω τριάκοντα γεγονὼς, ἀπέθανεν. ἐπεὶ δὲ προϊόντος τοῦ χρόνου, τόν τε τρόπον ἡσυχῇ διέφαινεν, ἀργίας καὶ μαλακίας καὶ πότων καὶ χρηματισμῶν, ἀλλότριον ὄντα, καὶ τὸν λόγον ὥσπερ ὠκύπτερα κατασκευαζόμενος ἐπὶ τὴν πολιτείαν, δῆλος ἦν οὐκ ἠρεμήσων. δίκην τε τινὶ τῶν φίλων φεύγοντι βεττίῳ συνειπὼν, καὶ τοῦ δήμου συνενθουσιῶντος ὑφ' ἡδονῆς καὶ βακχεύοντος περὶ αὐτὸν, ἀπέδειξε τοὺς ἄλλους ῥήτορας, παίδων μηδὲν διαφέροντας, εἰς φόβον αὖθις οἱ δυνατοὶ καθίσταντο. καὶ πολὺς ἦν ἐν αὐτοῖς λόγος, ὅπως οὐκ ἐάσωσιν ἐπὶ δημαρχίαν τὸν γάϊον προελθεῖν. συντυγχάνει δὲ ἀπὸ ταὐτομάτου λαχεῖν αὐτῷ εἰς σαρδὼ ταμίαν, ὀρέστῃ τῷ ὑπάτῳ. καὶ τοῦτο τοῖς μὲν ἐχθροῖς καθ' ἡδονὴν ἐγεγόνει, τὸν δὲ γάϊον, οὐκ ἐλύπησεν. ἅτε γὰρ ὢν πολεμικὸς καὶ χεῖρον οὐδὲν πρὸς στρατείας ἠσκημένος ἢ δίκας. ἔτι δὲ τὴν πολιτείαν καὶ τὸ βῆμα φρίττων. ἀντέχειν δὲ καλοῦντι τῷ δήμῳ, καὶ τοῖς φίλοις οὐ δυνάμενος, παντάπασι τὴν ἀποδημίαν ἐκείνην ἠγάπησεν. καίτοι κρατεῖ δόξα πολλὴ τοῦτον ἄκρατον γενέσθαι δημαγωγὸν, καὶ πολὺ τοῦ τιβερίου λαμπρότερον πρὸς τὴν ἀπὸ τῶν ὄχλων δόξαν. οὐκ ἔχει δὲ οὕτω τὸ ἀληθές. ἀλλ' ἔοικεν ὑπ' ἀνάγκης τινὸς μᾶλλον οὗτος, ἢ προαιρέσεως, ἐμπεσεῖν εἰς τὴν πολιτείαν. ἱστορεῖ δὲ καὶ κικέρων ὁ ῥήτωρ. ὡς ἄρα φεύγοντι πᾶσαν ἀρχὴν τῷ γαΐῳ. καὶ μεθ' ἡσυχίας

φῶν. καὶ διδοὺς ἐπικαλεῖσθαι τὸν δῆμον ἀπὸ τῶν δικαστῶν. καὶ τοῖς κρίνουσι τότε συγκλητικοῖς οὖσι καταμιγνὺς ἐκ τῶν ἱππέων τὸν ἴσον ἀριθμὸν, καὶ πάντα τρόπον ἤδη τῆς βουλῆς τὴν ἰσχὺν κολούων, πρὸς ὀργὴν καὶ φιλονεικίαν μᾶλλον, ἢ τὸν τοῦ δικαίου καὶ συμφέροντος λογισμόν. ἐπεὶ δὲ τῆς ψήφου φερομένης, ᾔσθοντο τοὺς ἐναντίους κρατοῦντας. οὐ γὰρ παρῆν ἅπας ὁ δῆμος. πρῶτον μὲν εἰς βλασφημίας τραπόμενοι τῶν συναρχόντων, εἷλκον τὸν χρόνον. ἔπειτα τὴν ἐκκλησίαν ἀφῆκαν, εἰς τὴν ὑστεραίαν ἀπαντᾶν κελεύσαντες. καὶ πρῶτον μὲν εἰς τὴν ἀγορὰν καταβὰς ὁ Τιβέριος, ἱκέτευε τοὺς ἀνθρώπους ταπεινὸς, καὶ δεδακρυμένος. ἔπειτα δεδοικέναι φήσας μὴ νυκτὸς ἐκκόψωσι τὴν οἰκίαν οἱ ἐχθροὶ, καὶ διαφθείρωσιν αὐτὸν, οὕτως τοὺς ἀνθρώπους διέθηκεν, ὥς τε περὶ τὴν οἰκίαν αὐτοῦ, παμπόλλους τινὰς αὐλίσασθαι καὶ διανυκτερεῦσαι παραφυλάττοντας. ἅμα δὲ ἡμέρᾳ, παρῆν ὁ τὰς ὄρνιθας αἷς διαμαντεύονται κομίζων. καὶ προέβαλε τροφὴν αὐταῖς. αἱ δὲ, οὐ προῆλθον, εἰ μὴ μία μόνη, διασείσαντος εὖ μάλα τοῦ ἀνθρώπου τὸ ἀγγεῖον. οὐδὲ αὕτη δὲ τῆς τροφῆς ἔθιγεν, ἀλλ' ἐπάρασα τὴν ἀριστερὰν πτέρυγα, καὶ παρατείνασα τὸ σκέλος, πάλιν εἰς τὸ ἀγγεῖον κατέφυγε. τοῦτο καὶ τοῦ προτέρου σημείου τὸν Τιβέριον ἀνέμνησεν. ἦν γὰρ αὐτῷ κράνος ᾧ πρὸς τὰς μάχας ἐχρῆτο κεκοσμημένον ἐκπρεπῶς καὶ διάσημον. εἰς τοῦτο καταδύντες ὄφεις, ἔλαθον ἐντεκόντες ᾠὰ, καὶ ταῦτα ἐξεγλύψαντο. διὸ καὶ μᾶλλον ὁ Τιβέριος, τοῖς περὶ τὰς ὄρνιθας ἐταράττετο. προῄει δὲ ὅμως ἄνω τὸν δῆμον ἠθροῖσθαι περὶ τὸ Καπιτώλιον πυνθανόμενος. καὶ πρὶν ἐξελθεῖν, προσέπταισε πρὸς τὸν οὐδὸν, σφοδρᾶς οὕτω πληγῆς γενομένης, ὥς τε τὸν μὲν ὄνυχα τοῦ μεγάλου δακτύλου ῥαγῆναι. τὸ δὲ αἷμα διὰ τοῦ ὑποδήματος, ἔξω φέρεσθαι. μικρὸν δὲ αὐτοῦ προελθόντος, ὤφθησαν ὑπὲρ κεράμου μαχόμενοι κόρακες, ἐν ἀριστερᾷ, καὶ πολλῶν ὡς εἰκὸς ἀνθρώπων παρερχομένων, κατ' αὐτὸν τὸν Τιβέριον, λίθος ἀπωσθεὶς ὑπὸ θατέρου τῶν κοράκων, ἔπεσε παρὰ τὸν πόδα. τοῦτο καὶ τοὺς θρασυτάτους τῶν περὶ αὐτὸν, ἐπέστησεν. ἀλλὰ Βλόσσιος ὁ Κυμαῖος παρὼν, αἰσχύνην ἔφη καὶ κατήφειαν παρεῖναι πολλὴν, εἰ Τιβέριος Γράγχου μὲν υἱὸς, Ἀφρικανοῦ δὲ Σκηπίωνος θυγατριδοῦς, προστάτης δὲ τοῦ Ῥωμαίων δήμου, κόρακα δείσας οὐχ ὑπακούσειε τοῖς πολίταις καλοῦσι. τοῦτο μέντοι τὸ αἰσχρὸν οὐκ ἐν γέλωτι θήσεσθαι τοὺς ἐχθροὺς, ἀλλὰ ὡς τυραννοῦντος, καὶ τρυφῶντος ἤδη καταβοήσεσθαι πρὸς τὸν δῆμον. ἅμα δὲ καὶ προσέθεον πολλοὶ τῷ Τιβερίῳ, παρὰ τῶν ἐν Καπιτωλίῳ φίλων, ἐπείγεσθαι κελεύοντες, ὡς τῶν ἐκεῖ καλῶς ἐχόντων, καὶ τά γε πρῶτα, λαμπρῶς ἀπήντα τῷ Τιβερίῳ. φανέντι μὲν εὐθὺς ἀραμένων βοὴν φίλιον. ἀναβαίνοντα δὲ, προθύμως δεχομένων. καὶ περὶ αὐτὸν ὡς μηδεὶς πλησιάσειεν ἀγνὼς, περιισταμένων. ἀρξαμένου δὲ πάλιν τοῦ Μουκίου τὰς φυλὰς ἀνακαλεῖν, οὐδὲν ἐπεραίνετο τῶν εἰωθότων, διὰ τὸν ἀπὸ τῶν ἐσχάτων θόρυβον, ὠθουμένων καὶ ὠθούντων, τοὺς ἐναντίους εἰσβιαζομένους καὶ ἀναμιγνυμένους. ἐν δὲ τούτῳ Φλάβιος Φλάκκος, ἀπὸ βουλῆς ἀνὴρ εἰς ἐμφανὲς καταστὰς, ὡς οὐκ ἦν φθεγγόμενον ἐφικέσθαι, διεσήμαινε τῇ χειρὶ φράσαι τι βουλόμενος αὐτὸν ἰδίᾳ τῷ Τιβερίῳ. καὶ κελεύσαντος ἐκείνου διασχεῖν τὸ πλῆθος, ἀναβὰς μόλις καὶ προσελθὼν, ἀπήγγειλεν ὅτι τῆς βουλῆς συγκαθεζομένης, οἱ πλούσιοι τὸν ὕπατον μὴ πείθοντες, αὐτοὶ διανοοῦνται καθ' αὑτοὺς ἀποκτιννύναι τὸν Τιβέριον. πολλοὺς ἐπὶ τοῦτο δούλους καὶ φίλους ὡπλισμένους ἔχοντες. ὡς οὖν ταῦτα τοῖς περὶ αὐτὸν ἐξήγγειλεν ὁ Τιβέριος, οὗτοι μὲν εὐθὺς, τάς τε τηβέννους περιεζώννυντο καὶ τὰ τῶν ὑπηρετῶν δόρατα συγκλῶντες οἷς ἀνείργουσι τὸν ὄχλον, διελάμβανον ὡς ἀμυνούμενοι τοῖς κλάσμασι τοὺς ἐπερχομένους. τῶν δὲ ἀπωτέρω θαυμαζόντων τὰ γινόμενα, καὶ πυνθανομένων, ὁ Τιβέριος ἥψατο τῇ χειρὶ τῆς κεφαλῆς ἐνδεικνύμενος τῇ ὄψει τὸν κίνδυνον, ἐπεὶ τῆς φωνῆς οὐκ ἐπήκουον. οἱ δὲ ἐναντίοι τοῦτο ἰδόντες, ἔθεον πρὸς τὴν βουλὴν, ἀπαγγέλλοντες, αἰτεῖν διάδημα τὸν Τιβέριον. καὶ τοῦτο σημεῖον εἶναι

τ. ς. κ. τὸ τῆς κεφαλῆς ἐπιθιγγάνειν. πάντες μὲν οὖν ἐθορυβήθησαν. ὁ δὲ Νασικᾶς ἠξίου τὸν ὕπατον τῇ πόλει βοηθεῖν. καὶ καταλύειν τὸν τύραννον. ἀποκριναμένου δὲ πρᾴως ἐκείνου, βίας μὲν οὐδεμιᾶς ὑπάρξειν. οὐδὲ ἀναιρήσειν οὐδένα τῶν πολιτῶν ἄκριτον, εἰ μέντοι ψηφίσαιτό τι τῶν παρανόμων ὁ δῆμος ὑπὸ τοῦ Τιβερίου πεισθεὶς ἢ βιασθεὶς, τοῦτο κύριον μὴ φυλάξειν, ἀναπηδήσας ὁ Νασικᾶς. ἐπεὶ τοίνυν ἔφη προδίδωσιν ὁ ἄρχων τὴν πόλιν, οἱ βουλόμενοι τοῖς νόμοις βοηθεῖν, ἀκολουθεῖτε. καὶ ταῦτα λέγων ἅμα καὶ τὸ κράσπεδον τοῦ ἱματίου θέμενος ἐπὶ τῆς κεφαλῆς, ἐχώρει πρὸς τὸ Καπιτώλιον. ἕκαστος δὲ τῶν ἑπομένων αὐτῷ, τῇ χειρὶ τὴν τήβεννον περιελίξας, ἐώθει τοὺς ἐμποδὼν, οὐδενὸς ἐνισταμένου πρὸς τὸ ἀξίωμα τῶν ἀνδρῶν. ἀλλὰ φευγόντων καὶ πατούντων ἀλλήλους. οἱ μὲν οὖν περὶ αὐτοὺς, ῥόπαλα καὶ σκυτάλας, ἐκόμιζον οἴκοθεν. αὐτοὶ δὲ τῶν δίφρων καταγνυμένων, ὑπὸ τοῦ φεύγοντος ὄχλου, τὰ κλάσματα καὶ τοὺς πόδας λαμβάνοντες, ἀνέβαινον ἐπὶ τὸν Τιβέριον, ἅμα παίοντες τοὺς προτεταγμένους. καὶ τούτων μὲν ἦν τροπὴ καὶ φόνος. αὐτοῦ δὲ τοῦ Τιβερίου φεύγοντος, ἀντελάβετό τις τῶν ἱματίων. ὁ δὲ, τὴν τήβεννον ἀφεὶς καὶ φεύγων, ἐν τοῖς χιτῶσιν ἐσφάλη, καὶ κατηνέχθη περί τινας τῶν πρὸ αὐτοῦ πεπτωκότας. ἀνιστάμενον δὲ αὐτὸν, ὁ μὲν ἐμφανῶς καὶ πρῶτος εἰς τὴν κεφαλὴν πατάξας, ποδὶ δίφρου, Πόπλιος ἦν Σατουρήιος, εἷς τῶν συναρχόντων. τῆς δὲ δευτέρας ἀντεποιεῖτο πληγῆς, Λεύκιος Ῥοῦφος, ὡς ἐπὶ καλῷ τινὶ σεμνυνόμενος. τῶν δὲ ἄλλων ἀπέθανον ὑπὲρ τριακο-

πότ' τ. κ. κ.

ἐσοφ. τ. ς.

τ. ς. κ.

ποι. κ.

ἐώθ. τ. π.

δὲ εἰς ἑκάστην ἡμέραν ἐννέα ὀβολοὺς τάξαντες. εἰσηγουμένου ταῦτα ποπλίου νασικᾶ. καὶ δεδωκότος ἑαυτὸν εἰς τὴν πρὸς ἐκεῖνον ἔχθραν ἀφειδῶς. πλείστην γὰρ ἐκέκτητο γῆν δημοσίαν, καὶ χαλεπῶς ἔφερεν ἐκβαίνειν αὐτῆς ἀναγκαζόμενος. ὁ δὲ δῆμος, ἔτι μᾶλλον ἐξεκάετο. καὶ φίλου τινὸς τῷ τιβερίῳ τελευτήσαντος αἰφνιδίως, καὶ σημείων τῷ νεκρῷ μοχθηρῶν ἐπιδραμόντων, βοῶντες ὑπὸ φαρμάκων ἀνῃρῆσθαι τὸν ἄνθρωπον, ἐπὶ τὴν ἐκφορὰν συνέδραμον. καὶ τὸ λέχος ἦραντο. καὶ θαπτομένῳ παρέστησαν, οὐ φαύλως ὑπονοῆσαι τὴν φαρμακείαν δόξαντες. ἐρράγη γὰρ ὁ νεκρὸς, καὶ διεφθορότων ὑγρῶν πλῆθος ἐξέβλυσεν. ὥστε ἀποσβέσαι τὴν φλόγα. καὶ φερόντων ἄλλην, αὖθις οὐκ ἐκάετο, πρὶν εἰς ἕτερον τόπον μετακομισθῆναι. καὶ πολλὰ πραγματευσαμένων, μόλις ἥψατο τὸ πῦρ αὐτοῦ. πρὸς ταῦτα τοὺς πολλοὺς ἔτι μᾶλλον ὁ τιβέριος παροξύνων, μετέβαλε τὴν ἐσθῆτα. καὶ τοὺς παῖδας προαγαγὼν, ἐδεῖτο τοῦ δήμου, τούτων κήδεσθαι, καὶ τῆς μητρὸς, ὡς αὐτὸς ἀπεγνωκὼς ἑαυτόν. ἐπεὶ δὲ τοῦ φιλοπάτορος ἀττάλου τελευτήσαντος, εὔδημος ὁ περγαμηνὸς, ἀνήνεγκε διαθήκην, ἐν ᾗ κληρονόμος ἐγέγραπτο τοῦ βασιλέως ὁ ῥωμαίων δῆμος. εὐθὺς ὁ τιβέριος δημαγωγῶν, εἰσήνεγκε νόμον, ὅπως τὰ βασιλικὰ χρήματα κομισθέντα, τοῖς τὴν χώραν διαλαγχάνουσι τῶν πολιτῶν, ὑπάρχοι πρὸς κατασκευὴν καὶ γεωργίας ἀφορμήν, περὶ δὲ τῶν πόλεων ὅσαι τῆς ἀττάλου βασιλείας ἦσαν, οὐδὲν ἔφη τῇ συγκλήτῳ βουλεύεσθαι προσήκειν, ἀλλὰ τῷ δήμῳ γνώμην αὐτὸς προθήσειν. ἐκ τούτου μάλιστα προσέκρουσε τῇ βουλῇ. καὶ πομπήιος μὲν ἀναστὰς, ἔφη γείτων εἶναι τῷ τιβερίῳ. καὶ διὰ τοῦτο γινώσκειν εὔδημον αὐτῷ τὸν περγαμηνὸν τῶν βασιλικῶν διάδημα δεδωκότα, καὶ πορφύραν ὡς μέλλοντι βασιλεύειν ἐν ῥώμῃ. κόιντος δὲ μέτελλος, ὠνείδισε τὸν τιβέριον, ὅτι τοῦ μὲν πατρὸς αὐτοῦ τιμητεύοντος, ὁσάκις ἀναλύοι μετὰ δεῖπνον οἴκαδε, τὰ φῶτα κατεσβέννυσαν οἱ πολῖται. φοβούμενοι μὴ πορρωτέρω τοῦ μετρίου δόξωσιν ἐν συνουσίαις εἶναι καὶ πότοις. τούτῳ δὲ παραφαίνουσι νυκτὸς οἱ θρασύτατοι, καὶ ἀπορώτατοι τῶν δημοτῶν.

Τίτος δὲ ἄννιος. οὐκ ἐπιεικὴς μὲν οὐδὲ σώφρων ἄνθρωπος, ἐν δὲ λόγῳ περὶ τὰς ἐρωτήσεις καὶ ἀποκρίσεις ἄμαχος εἶναι δοκῶν, εἰς ὁρισμόν τινα προυκαλεῖτο τὸν τιβέριον. ἦ μὴν ἱερὸν ὄντα καὶ ἄσυλον ἐκ τῶν νόμων, ἠτιμωκέναι τὸν συνάρχοντα. θορυβούντων δὲ πολλῶν, ἐκπηδήσας ὁ τιβέριος, τόν τε δῆμον συνεκάλει. καὶ τὸν ἄννιον ἀχθῆναι κελεύσας, ἐβούλετο κατηγορεῖν. ὁ δὲ, καὶ τῷ λόγῳ καὶ τῇ δόξῃ πολὺ λειπόμενος, εἰς τὴν ἑαυτοῦ δεινότητα κατέδυετο. καὶ παρεκάλει μικρὰ πρὸ τῶν λόγων ἀποκρίνασθαι τὸν τιβέριον. συγχωροῦντος δὲ ἐρωτᾶν ἐκείνου, καὶ σιωπῆς γενομένης, εἶπεν ὁ ἄννιος. ἄν σὺ μὲν ἀτιμοῦν με βούλῃ καὶ προπηλακίζειν, ἐγὼ δέ τινα τῶν σῶν ἐπικαλέσωμαι συναρχόντων. ὁ δὲ, ἀναβῇ βοηθήσων. σὺ δὲ ὀργισθῇς, ἆρά γε αὐτοῦ τὴν ἀρχὴν ἀφαιρήσῃ. πρὸς ταύτην λέγεται τὴν ἐρώτησιν οὕτω διαπορηθῆναι τὸν τιβέριον, ὥστε πάντων ὄντα καὶ τῷ λέγειν ἑτοιμότατον, καὶ τῷ θαρρεῖν ἰταμώτατον, ἀποσιωπῆσαι. τότε μὲν οὖν διέλυσε τὴν ἐκκλησίαν.

Αἰσθανόμενος δὲ τῶν πολιτευμάτων τὸ περὶ τὸν ὀκτάβιον. οὐ τοῖς δυνατοῖς μόνον, ἀλλὰ καὶ τοῖς πολλοῖς ἐκπαθέστερον. μέγα γάρ τι καὶ καλὸν ἐδόκει τὸ τῶν δημάρχων ἀξίωμα. μέχρι τῆς ἡμέρας ἐκείνης διατετηρημένον, ἀνῃρῆσθαι καὶ καθυβρίσθαι, λόγον ἐν τῷ δήμῳ διεξῆλθεν. οὗ μικρὰ παραθέσθαι τῶν ἐπιχειρημάτων, οὐκ ἄτοπον ἦν, ὥστε ὑπονοηθῆναι τὴν πιθανότητα καὶ πυκνότητα τοῦ ἀνδρός. ἔφη γὰρ ἱερὸν τὸν δήμαρχον εἶναι καὶ ἄσυλον. ὅτι τῷ δήμῳ καθωσίωται. καὶ τοῦ δήμου προέστηκεν. ἂν οὖν μεταβαλλόμενος τὸν δῆμον ἀδικῇ, καὶ τὴν ἰσχὺν κολούῃ, καὶ παραιρῆται τὴν ψῆφον, αὐτὸς ἑαυτὸν ἀπεστέρηκε τῆς τιμῆς, ἐφ᾽ οἷς ἔλαβεν οὐ ποιῶν. ἐπεὶ καὶ τὸ καπιτώλιον κατασκάπτοντα, καὶ τὸ νεώριον ἐμπιπράντα, δήμαρχον ἐᾶν δεήσει. καὶ ταῦτα μὲν, ποιῶν, δήμαρχός ἐστι πονηρός. ἐὰν δὲ καταλύῃ τὸν δῆμον, οὐ δήμαρχός ἐστι. πῶς οὖν οὐ δεινὸν, εἰ τὸν μὲν ὕπατον ὁ δήμαρχος ἄξει, τὸν δὲ δήμαρχον οὐκ ἀφαιρήσεται τὴν ἐξουσίαν ὁ δῆμος, ὅταν αὐτῇ κατὰ τοῦ δεδωκότος χρῆται. καὶ γὰρ ὕπατον καὶ δήμαρχον, ὁμοίως δῆμος αἱρεῖται. καὶ μὴν ἥ γε βασιλεία πρὸς τῷ πᾶσαν ἀρχὴν ἔχειν ἐν ἑαυτῇ συλλαβοῦσα, καὶ ταῖς μεγίσταις ἱερουργίαις καθωσίωται πρὸς τὸ θεῖον. ἀλλὰ ταρκύνιον ἐξέβαλεν ἡ πόλις ἀδικοῦντα, καὶ δι᾽ ἑνὸς ἀνδρὸς ὕβριν, ἡ πάτριος ἀρχὴ καὶ κτίσασα τὴν ῥώμην κατελύθη. τί δὲ οὕτως ἅγιον ἐν ῥώμῃ καὶ σεμνὸν, ὡς αἱ περιέπουσαι παρθένοι καὶ φυλάττουσαι τὸ ἄφθιτον πῦρ. ἀλλ᾽ εἴ τις αὖ ἁμάρτῃ αὐτῶν, ζῶσα κατορύσσεται. τὸ γὰρ ἄσυλον οὐ φυλάττουσιν ἀσεβοῦσαι εἰς τοὺς θεοὺς, ὃ διὰ τοὺς θεοὺς ἔχουσιν. οὐκοῦν οὐδὲ δήμαρχος ἀδικῶν δῆμον, ἔχειν τὴν διὰ τὸν δῆμον ἀσυλίαν δίκαιός ἐστιν. ἣ γὰρ ἰσχύει δυνάμει, ταύτην ἀναιρεῖ. καὶ μὴν εἰ δικαίως ἔλαβε τὴν δημαρχίαν τῶν πλείστων φυλῶν ψηφισαμένων, πῶς οὐχὶ καὶ ἀφαιρεθείη δικαιότερον πασῶν ἀποψηφισαμένων. ἱερὸν δὲ καὶ ἄσυλον οὐδὲν οὕτως ἐστὶν, ὡς τὰ τῶν θεῶν ἀναθήματα. χρῆσθαι δὲ τούτοις, καὶ κινεῖν, καὶ μεταφέρειν ὡς βούλεται τὸν δῆμον, οὐδεὶς κεκώλυκεν. ἐξῆν οὖν αὐτῷ καὶ τὴν δημαρχίαν ὡς ἀνάθημα μετενεγκεῖν εἰς ἕτερον. ὅτι δὲ οὐκ ἄσυλον οὐδ᾽ ἀναφαίρετον ἡ ἀρχὴ, δῆλόν ἐστι τῷ πολλάκις ἔχοντας τινὰς ἀρχὴν, ἐξόμνυσθαι δι᾽ αὐτῶν. τοιαῦτα μὲν ἦν τὰ κεφάλαια τῆς τοῦ τιβερίου δικαιολογίας. ἐπεὶ δὲ συνορῶντες οἱ φίλοι τὰς ἀπειλὰς, καὶ τὴν σύστασιν ᾤοντο δεῖν ἑτέρας περιέχεσθαι δημαρχίας εἰς τὸ μέλλον, αὖθις ἄλλοις νόμοις ἀνελάμβανε τὸ πλῆθος. τούς τε χρόνους τῶν στρατιωτῶν ἀφαι

πρότερον, ἐπὶ τοὺς ἀδικοῦντας εἰσέφερεν ἤδη κελεύων ἐξίστασθαι τῆς χώρας, ἣν ἐκέκτηντο παρὰ
τοὺς προτέρους νόμους. ἦσαν οὖν ὁ μὲν τι καθ' ἑκάστην ἡμέραν, ἀγῶνες πρὸς τὸν ὀκτάβιον ἐπὶ τοῦ βή-
ματος, ἐν οἷς καίπερ ἐξ ἄκρας σπουδῆς καὶ φιλονεικίας ἀντερείδοντες, οὐδὲν εἰπεῖν λέγονται περὶ
ἀλλήλων φλαῦρον. οὐδὲ ῥῆμα προπεσεῖν θατέρου πρὸς τὸν ἕτερον δι' ὀργὴν ἀνεπιτήδειον. οὐ γὰρ μό-
νον ἐν βακχεύμασιν ὡς ἔοικεν, ἀλλὰ καὶ ἐν φιλοτιμίαις καὶ ὀργαῖς τὸ πεφυκέναι καλῶς, καὶ πεπαι-
δεῦσθαι σωφρόνως, ἐφίστησι καὶ κατακοσμεῖ τὴν διάνοιαν. ἐπεὶ δὲ ἑώρα τὸν ὀκτάβιον ἐνεχόμενον τῷ
νόμῳ, καὶ κατέχοντα τῆς δημοσίας χώρας συχνὴν, ὁ τιβέριος ἐδεῖτο παρεῖναι τὴν φιλονεικίαν, ὑφι-
στάμενος αὐτῷ τὴν τιμὴν ἀποδώσειν ἐκ τῶν ἰδίων, καίπερ οὐ λαμπρῶν ὄντων. οὐκ ἀνασχομένου δὲ τοῦ
ὀκταβίου, διαγράμματι τὰς ἄλλας ἀρχὰς ἁπάσας ἐκώλυσε χρηματίζειν, ἄχρις ἂν ἡ περὶ τοῦ νόμου
διενεχθῇ ψῆφος, τῷ δὲ τοῦ κρόνου ναῷ σφραγῖδας ἰδίας ἐπέβαλεν, ὅπως οἱ ταμείαι μηδὲν ἐξ αὐτοῦ ταμίαι π. κ. τ.
λαμβάνοιεν μηδ' εἰσφέροιεν. καὶ τοῖς ἀπειθήσασι τῶν στρατηγῶν ζημίαν ἐπεκήρυξεν. ὥστε πάντας
ὑποδείσαντας, ἀφεῖναι τὴν ἑκάστῳ προσήκουσαν οἰκονομίαν. ἐντεῦθεν οἱ κτηματικοὶ, τὰς μὲν ἐσθῆ-
τας μετέβαλον, καὶ περιῄεσαν οἰκτροὶ καὶ ταπεινοὶ κατὰ τὴν ἀγοράν. ἐπεβούλευον δὲ τῷ τιβερίῳ, καὶ κρύ-
φα καὶ συνίστασαν ἐπ' αὐτὸν τοὺς ἀναιρήσοντας. ὥστε κἀκεῖνον, οὐδενὸς ἀγνοοῦντος ὑποζώννυσθαι
ξιφείδιον ληστρικὸν, ὃ δόλωνα καλοῦσιν. ἐνστάσης δὲ τῆς ἡμέρας, καὶ τὸν δῆμον αὐτοῦ καλοῦντος ἐπὶ ξιφίδιον. π.
τὴν ψῆφον, ἡρπάσθησαν ὑπὸ τῶν πλουσίων αἱ ὑδρίαι. καὶ τὰ γινόμενα, πολλὴν εἶχε σύγχυσιν. οὐ-
μὴν, ἀλλὰ τῶν περὶ τὸν τιβέριον πλήθει βιάζεσθαι δυναμένων, καὶ συστρεφομένων ἐπὶ τούτῳ, μάλ-
λιος καὶ φούλβιος, ἄνδρες ὑπατικοὶ προσπεσόντες τιβερίῳ, καὶ χειρῶν ἁπτόμενοι καὶ δακρύοντες
ἐδέοντο παύσασθαι. τοῦ δὲ, καὶ τὸ μέλλον ὅσον οὔπω δεινὸν ἤδη συμφρονοῦντος, καὶ δι' αἰδῶ τῶν ἀν-
δρῶν, πυθομένου τί κελεύουσι πράττειν αὐτὸν, οὐκ ἔφασαν ἀξιόχρεως εἶναι πρὸς τηλικαύτην συμ-
βουλίαν. ἐπιτρέψαι δὲ τῇ βουλῇ κελεύοντες καὶ δεόμενοι, συνέπεισαν. ὡς δὲ οὐδὲν ἐπέραινεν ἡ βου-
λὴ συνελθοῦσα, διὰ τοὺς πλουσίους ἰσχύοντας ἐν αὐτῇ, τρέπεται πρὸς ἔργον οὐ νόμιμον οὐδὲ ἐπιει-
κὲς, ἀφελέσθαι τῆς ἀρχῆς τὸν ὀκτάβιον, ἀμηχανῶν ἄλλως ἐπαγαγεῖν τῷ νόμῳ τὴν ψῆφον. καὶ πρῶ-
τον μὲν ἐδεῖτο φανερῶς αὐτῷ λόγους τε προσφέρων φιλανθρώπους καὶ χειρῶν ἁπτόμενος ἐνδοῦ-
ναι καὶ χαρίσασθαι τῷ δήμῳ, δίκαια μὲν ἀξιοῦντι, μικρὰ δὲ ἀντὶ μεγάλων πόνων, καὶ κινδύνων λη-
ψομένῳ. διωθουμένου δὲ τοῦ ὀκταβίου τὴν ἔντευξιν, ὑπειπὼν ὁ τιβέριος, ὡς οὐκ ἔστιν ἄρχοντας ἀμφο-
ς.ΙΑ. τέρους καὶ περὶ πραγμάτων μεγάλων ἀπ' ἴσης ἐξουσίας διαφερομένους ἄνευ πολέμου διεξελθεῖν
τὸν χρόνον, ἓν ἴαμα τούτου μόνον ὁρᾶν ἔφη τὸ παύσασθαι τῆς ἀρχῆς τὸν ἕτερον. καὶ περὶ αὐτοῦ γε πρό- τοῦτ. π. ς. τ.
τερον τὸν ὀκτάβιον ἐκέλευσε τῷ δήμῳ ψῆφον ἀναδοῦναι. καταβήσεσθαι γὰρ εὐθὺς ἰδιώτης γενόμε-
νος, ἂν τοῦτο δόξῃ τοῖς πολίταις. τοῦ δὲ ὀκταβίου μὴ θέλοντος, αὐτὸς ἔφη περὶ ἐκείνου ψῆφον ἀνα-
δώσειν, ἐὰν μὴ μεταγνῷ βουλευσάμενος. καὶ τότε μὲν ἐπὶ τούτοις διέλυσε τὴν ἐκκλησίαν. τῇ δ' ὑστε-
ραίᾳ τοῦ δήμου συνελθόντος, ἀναβὰς ἐπὶ τὸ βῆμα πάλιν ἐπειρᾶτο πείθειν τὸν ὀκτάβιον. ὡς δὲ ἦν ἀ-
μετάπειστος, εἰσήνεγκε νόμον ἀφαιρούμενον αὐτοῦ τὴν δημαρχίαν, καὶ τοὺς πολίτας εὐθὺς ἐκάλει τὴν
ς.ΙΒ. ψῆφον ἐπιφέροντας. οὐσῶν δὲ πέντε καὶ τριάκοντα φυλῶν, ὡς αἱ δεκαεπτὰ τὴν ψῆφον ἐπενηνόχει-
σαν, καὶ μιᾶς ἔτι προσγινομένης ἔδει τὸν ὀκτάβιον ἰδιώτην γενέσθαι, κελεύσας ἐπισχεῖν, αὖθις ἐδεῖ-
το τοῦ ὀκταβίου. καὶ περιέβαλεν αὐτὸν ἐν ὄψει τοῦ δήμου καὶ κατησπάζετο λιπαρῶν καὶ δεόμενος.
μήτε αὐτὸν ἄτιμον περιϊδεῖν γενόμενον, μήτε ἐκείνῳ βαρέος οὕτω καὶ σκυθρωποῦ πολιτεύματος αἰτίαν
προσάψαι. τούτων τῶν δεήσεων, οὐ παντελῶς ἄτεγκτον, οὐδὲ ἀτενῆ λέγουσιν ἀκροᾶσθαι τὸν ὀκτά-
βιον, ἀλλὰ καὶ δακρύων ὑποπίμπλασθαι τὰ ὄμματα, καὶ σιωπᾶν ἐπὶ πολὺν χρόνον. ὡς μέντοι
πρὸς τοὺς πλουσίους καὶ τοὺς κτηματικοὺς συνεστῶτας ἀπέβλεψεν, αἰδεσθεὶς δοκεῖ καὶ φοβηθεὶς τὴν
παρ' ἐκείνοις ἀδοξίαν ὑποστῆναι καὶ πᾶν δεινὸν, οὐκ ἀγεννῶς κελεῦσαι πράττειν ὃ βούλεται τὸν τι-
βέριον. οὕτω δὴ τοῦ νόμου κυρωθέντος, ὁ μὲν τιβέριος, τῶν ἀπελευθέρων τινὶ προσέταξεν ἀφ'
τοῦ βήματος ἑλκύσαι τὸν ὀκτάβιον, ἐχρῆτο δὲ ὑπηρέταις ἀπελευθέροις ἰδίοις. καὶ τοῦτο τὴν ὄψιν οἰ-
κτροτέραν τοῦ ὀκταβίου παρέσχεν ἑλκομένου πρὸς ὕβριν. ὁ δὲ δῆμος ἐφώρμησεν αὐτῷ. καὶ τῶν πλου-
σίων συνδραμόντων, καὶ διασχόντων τὰς χεῖρας, ὁ μὲν ὀκτάβιος ἐσώθη μόλις ἐξαρπαγεὶς καὶ δια-
φυγὼν τὸν ὄχλον. οἰκέτην δὲ αὐτοῦ πιστὸν ἔμπροσθεν ἑστῶτα καὶ προτεταγμένον, ἐξετύφλωσαν ἄκον-
τος τοῦ τιβερίου. καὶ πρὸς τὸν θόρυβον ὡς ᾔσθετο τὰ γινόμενα πολλῇ σπουδῇ καταδραμόντος. ἐκ τού-
του, κυροῦται μὲν ὁ περὶ τῆς χώρας νόμος. αἱροῦνται δὲ τρεῖς ἄνδρες ἐπὶ τὴν διάκρισιν καὶ τὴν δια-
νομὴν, αὐτὸς τιβέριος, καὶ κλαύδιος ἄππιος ὁ πενθερός. καὶ γάϊος ὁ γράγχος ὁ ἀδελφὸς, οὐ παρὼν
οὗτος. ἀλλ' ὑπὸ σκηπίωνι πρὸς νομαντίαν στρατευόμενος. ταῦτα τοῦ τιβερίου διαπραξαμένου καθ'
ἡσυχίαν μηδενὸς ἐνισταμένου. καὶ πρὸς τούτοις δήμαρχον ἀντικαταστήσαντος οὐδένα τῶν ἐπιφανῶν, ἀλ-
λὰ μούκιόν τινα πελάτην αὐτοῦ, πρὸς πάντα δυσχεραίνοντες οἱ δυνατοὶ, καὶ φοβούμενοι τοῦ τιβε-
ρίου τὴν αὔξησιν, ἐν τῇ βουλῇ προεπηλάκιζον αὐτὸν, αἰτουμένῳ μὲν ὡς ἔθος ἐστὶν ἐκ δημοσίου σκηνὴν,
ὅπως ἔχοι διανέμων τὴν χώραν, οὐ δόντες, ἑτέρων ἐπ' ἐλάττοσι χρείαις πολλάκις λαβόντων. ἀνάλωμα

αὐτοῦ τοῖς πολιτεύμασι σκηπίων ὁ ἀφρικανός. νῦν δὲ ἐκείνου περὶ νομαντίαν ὄντος ἤδη καὶ πολεμοῦντος, ἥψατο τῆς περὶ τοὺς νόμους πολιτείας ἐκ τοιαύτης αἰτίας. ῥωμαῖοι τῆς τῶν ἀστυγειτόνων χώρας, ὅσην ἀπετέμοντο πολέμῳ, τὴν μὲν ἐπίπρασκον, τὴν δὲ ποιούμενοι δημοσίαν, ἐδίδοσαν νέμεσθαι τοῖς ἀκτήμοσι καὶ ἀπόροις τῶν πολιτῶν, ἀποφορὰν οὐ πολλὴν εἰς τὸ δημόσιον τελοῦσιν. ἀρξαμένων δὲ τῶν πλουσίων ὑπερβάλλειν τὰς ἀποφορὰς, καὶ τοὺς πένητας ἐξελαυνόντων, ἐγράφη νόμος, οὐκ ἐῶν πλέθρα γῆς ἔχειν πλείονα πεντακοσίων. καὶ βραχὺν μὲν χρόνον ἐπέσχε τὴν πλεονεξίαν τὸ γράμμα τοῦτο. καὶ τοῖς πένησιν ἐβοήθησε, κατὰ χώραν μένουσιν ἐπὶ τῶν μεμισθωμένων, καὶ νεμομένοις, ἣν ἕκαστος ἐξ ἀρχῆς εἶχε μοῖραν. ὕστερον δὲ τῶν γειτνιώντων πλουσίων ὑποβλήτοις προσώποις μεταφερόντων τὰς μισθώσεις εἰς ἑαυτούς, τέλος δὲ φανερῶς ἤδη δι' ἑαυτῶν τὰ πλεῖστα κατεχόντων, ἐξωσθέντες οἱ πένητες, οὔτε ταῖς στρατείαις ἔτι προθύμους παρεῖχον ἑαυτοὺς, ἠμέλουν τε παίδων ἀνατροφῆς. ὡς

αἰσθέσθαι ς. π. τ.

ταχὺ τὴν ἰταλίαν ἅπασαν, ὀλιγανδρίας ἐλευθέρων ἔσεσθαι. δεσμωτηρίων δὲ βαρβαρικῶν ἐμπεπλῆσθαι, δι' ὧν ἐγεώργουν οἱ πλούσιοι τὰ χωρία, τοὺς πολίτας ἐξελάσαντες. ἐπεχείρησε μὲν οὖν τῇ διορθώσει, γάϊος λαίλιος ὁ σκηπίωνος ἑταῖρος. ἀντικρουσάντων δὲ τῶν δυνατῶν, φοβηθεὶς τὸν θόρυβον καὶ παυσάμενος, ἐπεκλήθη σοφὸς ἢ φρόνιμος. ἑκάτερον γὰρ ἐδόκει σημαίνειν ὁ σαπίενς. ὁ τιβέριος δὲ δήμαρχος ἀποδειχθεὶς, εὐθὺς ἐπ' αὐτὴν ὥρμησε τὴν πρᾶξιν. ὡς μὲν οἱ πλεῖστοι λέγουσι, διοφάνους τοῦ ῥήτορος καὶ βλοσσίου τοῦ φιλοσόφου, παρορμησάντων αὐτὸν, ὧν ὁ μὲν διοφάνης φυγὰς ἦν μιτυληναῖος. ὁ δὲ, αὐτόθεν ἐξ ἰταλίας, κυμαῖος, ἀντιπάτρου τοῦ ταρσέως γεγονὼς ἐν ἄστει συνήθης, καὶ τετιμημένος ὑπ' αὐτοῦ προσφωνήσεσι γραμμάτων φιλοσόφων. ἔνιοι δὲ καὶ κορνηλίαν συνεπαιτιῶνται τὴν μητέρα, πολλάκις τοὺς υἱοὺς ὀνειδίζουσαν, ὅτι ῥωμαῖοι σκηπίωνος αὐτὴν ἔτι πενθερὰν, οὔπω δὲ μητέρα γράγχων προσαγορεύουσιν. ἄλλοι δὲ σπόριον τινὰ πευσούμιον λέγουσιν αἴτιον γενέσθαι, ἡλικιώτην τοῦ τιβερίου, καὶ πρὸς δόξαν ἐφάμιλλον αὐτῷ περὶ τὰς συνηγορίας. ὃν ὡς ἐπανῆλθεν ἀπὸ τῆς στρατιᾶς, εὑρὼν πολὺ τῇ δόξῃ καὶ τῇ δυνάμει παρηλλαχότα καὶ θαυμαζόμενον, ἠθέλησεν ὡς ἔοικεν ὑπερβαλέσθαι πολιτεύματος παραβόλου, καὶ μεγάλην προσδοκίαν ἔχοντος, ἁψάμενος. ὁ δ' ἀδελφὸς αὐτοῦ γάϊος ἔν τινι βιβλίῳ γέγραφεν εἰς νομαντίαν πορευόμενον διὰ τῆς τυῤῥηνίας τὸν τιβέριον, καὶ τὴν ἐρημίαν τῆς χώρας ὁρῶντα, καὶ τοὺς γεωργοῦντας ἢ νέμοντας οἰκέτας ἐπεισάκτους καὶ βαρβάρους, τότε πρῶτον ἐπὶ νοῦν βαλέσθαι τὴν μυρίων κακῶν ἄρξασαν αὐτοῖς πολιτείαν. τὴν δὲ πλείστην αὐτὸς ὁ δῆμος ὁρμὴν καὶ φιλοτιμίαν ἐξῆψε, προκαλούμενος διὰ γραμμάτων

τοιχοις π.κ.τ.

αὐτὸν, ἐν στοαῖς καὶ τοίχοις καὶ μνήμασι γραφομένων, ἀναλαβεῖν τοῖς πένησι τὴν δημοσίαν χώραν. οὐ μὴν ἐφ' αὐτοῦ γε συνέθηκε τὸν νόμον. τοῖς δὲ πρωτεύουσιν ἀρετῇ καὶ δόξῃ, τῶν πολιτῶν συμβούλοις χρησάμενος, ὧν καὶ κράσσος ἦν ὁ ἀρχιερεὺς, καὶ μούκιος σκαιόλας ὁ νομοδείκτης, ὑπατεύων τότε. καὶ κλαύδιος ἄππιος ὁ κηδεστὴς τοῦ τιβερίου. καὶ δοκεῖ νόμος εἰς ἀδικίαν καὶ πλεονεξίαν τοσαύτην, μηδέποτε πρᾳότερος γραφῆναι καὶ μαλακώτερος. οὓς γὰρ ἔδει δίκην τῆς ἀπειθείας δοῦναι, καὶ μετὰ ζημίας ἣν παρὰ τοὺς νόμους ἐκαρποῦντο χώραν ἀφεῖναι, τούτους ἐκέλευσε τιμὴν προσλαμβάνοντας, ἐκβαίνειν ὧν ἀδίκως ἐκέκτηντο, καὶ παραδέχεσθαι τοὺς βοηθείας δεομένους τῶν πολιτῶν. ἀλλὰ καίπερ οὕτω τῆς ἐπανορθώσεως οὔσης εὐγνώμονος, ὁ μὲν δῆμος ἠγάπα παρεὶς τὰ γεγενημένα, παύσασθαι τὸ λοιπὸν ἀδικούμενος. οἱ δὲ πλούσιοι καὶ κτηματικοὶ, πλεονεξίᾳ μὲν τὸν νόμον, ὀργῇ δὲ καὶ φιλονεικίᾳ τὸν νομοθέτην δι' ἔχθους ἔχοντες, ἐπεχείρουν ἀποτρέπειν τὸν δῆμον, ὡς γῆς ἀναδασμὸν ἐπὶ συγχύσει τῆς πολιτείας εἰσάγοντος τοῦ τιβερίου, καὶ πάντα πράγματα κινοῦντος. ἀλλ' οὐδὲν ἐπέραινον. ὁ γὰρ τιβέριος πρὸς καλὴν ὑπόθεσιν καὶ δικαίαν ἀγωνιζόμενος λόγῳ, καὶ φαυλότερα κοσμῆσαι δυναμένῳ πράγματα, δεινὸς ἦν καὶ ἄμαχος, ὁπότε τοῦ δήμου τῷ βήματι περικεχυμένου καταστὰς, λέγοι περὶ τῶν πενήτων. ὡς τὰ μὲν θηρία τὰ τὴν ἰταλίαν νεμόμενα καὶ φωλεὸν ἔχει καὶ κοιταῖόν ἐστιν αὐτῶν ἑκάστῳ καὶ καταδύσεις. τοῖς δὲ ὑπὲρ τῆς ἰταλίας μαχομένοις καὶ ἀποθνήσκουσιν, ἀέρος καὶ φωτὸς, ἄλλου δὲ οὐδενὸς μέτεστιν. ἀλλ' ἄοικοι καὶ ἀνίδρυτοι μετὰ τέκνων πλανῶνται καὶ γυναικῶν. οἱ δὲ αὐτοκράτορες ψεύδονται τοὺς στρατιώτας ἐν ταῖς μάχαις παρακαλοῦντες ὑπὲρ τάφων καὶ ἱερῶν ἀμύνεσθαι τοὺς πολεμίους. οὐδενὶ γὰρ ἐστὶν οὐ βωμὸς πατρῷος, οὐκ ἠρίον προγονικὸν τῶν τοσούτων ῥωμαίων. ἀλλ' ὑπὲρ ἀλλοτρίας τρυφῆς καὶ πλούτου, πολεμοῦσι καὶ ἀποθνήσκουσι. κύριοι τῆς οἰκουμένης εἶναι λεγόμενοι, μίαν δὲ βῶλον ἰδίαν οὐκ ἔχοντες. τούτους ἀπὸ φρονήματος μεγάλου καὶ πάθους ἀληθινοῦ τοὺς λόγους κατιόντας εἰς τὸν δῆμον ἐνθουσιῶντα καὶ συνεξανιστάμενον, οὐδεὶς ὑφίστατο τῶν ἐναντίων. ἐάσαντες οὖν τὸ ἀντιλέγειν, ἐπὶ μᾶρκον ὀκτάβιον τρέπονται τῶν δημάρχων ἐν νεανίαν ἐμβριθῆ τὸ ἦθος καὶ κόσμιον, ἑταῖρον δὲ τοῦ τιβερίου καὶ συνήθη. διὸ τὸ μὲν πρῶτον αἰδούμενος ἐκεῖνον ἀνεδύετο. πολλῶν δὲ καὶ δυνατῶν δεομένων καὶ λιπαρούντων, ὥσπερ ἐκβιασθεὶς, ἀντικαθίστατο τῷ τιβερίῳ καὶ διεκρούετο τὸν νόμον. ἔστι δὲ τοῦ κωλύοντος ἐν τοῖς δημάρχοις τὸ κράτος. οὐδὲν γὰρ οἱ πολλοὶ κελεύοντες περαίνουσιν ἑνὸς ἐνισταμένου. πρὸς τοῦτο παροξυνθεὶς ὁ τιβέριος, τὸν μὲν φιλανθρωπότερον ἐπανείλετο νόμον, τὸν δὲ ἡδίω τε τοῖς πολλοῖς καὶ σφο-

δρότερον,

πος οἴκαδε πρὸς αὐτὸν, ἀπὸ τῆς θύρας εὐθὺς ἐκάλει τὴν γυναῖκα, καὶ μεγάλῃ τῇ φωνῇ βοῶν, ὦ ἀντιστία τὴν κλαυδίαν ἡμῶν, ἀνδρὶ καθωμολόγηκα. κἀκείνη θαυμάσασα, τίς εἶπεν ἡ σπουδή. ἢ τί τὸ τάχος. εἰ δὲ τιβέριον αὐτῇ γράγχον εὑρήκεις νυμφίον. οὐκ ἀγνοῶ δὲ ὅτι τοῦτό τινες ἐπὶ τὸν πατέρα τῶν γράγχων τιβέριον, καὶ σκηπίωνα τὸν ἀφρικανὸν ἀναφέρουσιν. ἀλλ' οἱ πλείους ὡς ἡμεῖς γράφομεν, ἱστοροῦσι. καὶ πολύβιος μετὰ τὴν σκηπίωνος ἀφρικανοῦ τελευτὴν, τοὺς οἰκείους φησὶν ἐκ πάντων προκρίναντας τὸν τιβέριον, δοῦναι τὴν κορνηλίαν, ὡς ὑπὸ τοῦ πατρὸς ἀνέκδοτον καὶ ἀνέγγυον ἀπολειφθεῖσαν. ὁ δ' οὖν νεώτερος τιβέριος στρατευόμενος ἐν λιβύῃ μετὰ τοῦ δευτέρου σκηπίωνος, ἔχοντος αὐτοῦ τὴν ἀδελφὴν, ὁμοῦ συνδιαιτώμενος ὑπὸ σκηνὴν τῷ στρατηγῷ, ταχὺ μὲν αὐτοῦ τὴν φύσιν κατέμαθε. πολλὰ καὶ μεγάλα πρὸς ζῆλον ἀρετῆς καὶ μίμησιν ἐπὶ τῶν πράξεων ἐκφέρουσαν. ταχὺ δὲ τῶν νέων πάντων, ἐπρώτευεν, εὐταξίᾳ καὶ ἀνδρείᾳ. καὶ τοῦ γε τείχους ἐπέβη τῶν πολεμίων πρῶτος, ὥς φησι φάννιος. λέγων καὶ αὐτὸς τῷ τιβερίῳ συνεπιβῆναι καὶ συμμετασχεῖν ἐκείνης τῆς ἀριστείας. πολλὴν δὲ καὶ παρὼν εὔνοιαν εἶχεν ἐν τῷ στρατοπέδῳ, καὶ πόθον ἀπαλλαττόμενος αὐτοῦ, κατέλιπε. μετὰ δὲ τὴν στρατείαν ἐκείνην, αἱρεθεὶς ταμίας, ἔλαχε τῶν ὑπάτων, γαΐῳ μαγκίνῳ συστρατεύειν ἐπὶ νομαντίνους. ἀνθρώπῳ μὲν οὐ πονηρῷ, βαρυποτμοτάτῳ δὲ ῥωμαίων στρατηγῷ. διὸ καὶ μᾶλλον ἐν τύχαις παραλόγοις καὶ πράγμασιν ἐναντίοις, τοῦ τιβερίου διέλαμψεν οὐ μόνον τὸ συνετὸν καὶ ἀνδρεῖον, ἀλλ' ὃ θαυμάσιον ἦν, αἰδώς τε πολλὴ καὶ τιμὴ τοῦ ἄρχοντος, ὑπὸ τῶν κακῶν, οὐδ' ἑαυτὸν εἰ στρατηγός ἐστιν ἔτι γιγνώσκοντος. ἡττηθεὶς γὰρ μάχαις μεγάλαις, ἐπεχείρησε μὲν ἀναζευγνύναι νυκτὸς ἐκλιπὼν τὸ στρατόπεδον. αἰσθομένων δὲ τῶν νομαντίνων, καὶ τὸ μὲν στρατόπεδον εὐθὺς λαβόντων. τοῖς δὲ ἀνθρώποις ἐπιπεσόντων φεύγουσι. καὶ τοὺς ἐσχάτους φονευόντων, τὸ δὲ πᾶν ἐγκυκλουμένων στράτευμα καὶ συνωθούντων εἰς τόπους χαλεπούς, καὶ διάφυξιν οὐκ ἔχοντας, ἀπογνοὺς τὴν ἐκ τοῦ βιάζεσθαι σωτηρίαν ὁ μαγκῖνος, ἐπεκηρυκεύετο περὶ σπονδῶν καὶ διαλύσεων πρὸς αὐτούς. οἱ δὲ, πιστεύειν ἔφασαν οὐδενὶ πλὴν μόνῳ τιβερίῳ. καὶ τοῦτον ἐκέλευον ἀποστέλλειν πρὸς αὐτούς. ἐπεπόνθεισαν δὲ τοῦτο καὶ δι' αὐτὸν τὸν νεανίσκον, ἦν γὰρ αὐτοῦ πλεῖστος λόγος ἐπὶ στρατιᾶς, καὶ μεμνημένοι τοῦ πατρὸς τιβερίου, ὃς πολεμήσας ἴβηρσι, καὶ πολλοὺς καταστρεψάμενος, εἰρήνην ἔθετο πρὸς νομαντίνους, καὶ ταύτην ἐμπεδοῦντα τὸν δῆμον ὀρθῶς καὶ δικαίως ἀεὶ παρεῖχεν. οὕτω δὴ πεμφθεὶς ὁ τιβέριος. καὶ συγγενόμενος τοῖς ἀνδράσι, καὶ τὰ μὲν, πείσας. τὰ δὲ, δεξάμενος ἐσπείσατο, καὶ δισμυρίους ἔσωσε περιφανῶς ῥωμαίων πολίτας, ἄνευ θεραπείας, καὶ τῶν ἔξω τάξεως ἑπομένων. τὰ δὲ ἐν τῷ χάρακι ληφθέντα χρήματα, πάντα κατέσχον οἱ νομαντῖνοι, καὶ διεπόρθησαν. ἐν δὲ τούτοις καὶ πινακίδες ἦσαν τοῦ τιβερίου, γράμματα καὶ λόγους ἔχουσαι τῆς ταμιευτικῆς ἀρχῆς. ἃς περὶ πολλοῦ ποιούμενος ἀπολαβεῖν, ἤδη τοῦ στρατοῦ προκεχωρηκότος, ἀνέστρεψε πρὸς τὴν πόλιν. ἔχων μεθ' ἑαυτοῦ τρεῖς ἢ τέτταρας ἑταίρους. ἐκκαλέσας δὲ, τῶν νομαντίνων τοὺς ἄρχοντας, ἠξίου κομίσασθαι τοὺς δέλτους, ὡς μὴ παράσχοι τοῖς ἐχθροῖς διαβολὴν, οὐκ ἔχων ἀπολογήσασθαι περὶ τῶν ᾠκονομημένων. ἡσθέντες οὖν οἱ νομαντῖνοι τῇ συντυχίᾳ τῆς χρείας, παρεκάλουν αὐτὸν εἰσελθεῖν εἰς τὴν πόλιν. ὡς δὲ εἱστήκει βουλευόμενος, ἐγγὺς προσελθόντες, ἐνεφύοντο ταῖς χερσὶ, καὶ λιπαρεῖς ἦσαν, δεόμενοι, μηκέτι νομίζειν αὐτοὺς πολεμίους, ἀλλ' ὡς φίλοις χρῆσθαι καὶ πιστεύειν. ἔδοξεν οὖν τῷ τιβερίῳ ταῦτα ποιεῖν. τῶν δὲ δέλτων περιεχομένῳ. καὶ δεδοικότι παροξύνειν ὡς ἀπιστουμένους τοὺς νομαντίνους, εἰσελθόντι δὲ εἰς τὴν πόλιν, πρῶτον μὲν, ἄριστον παρέθεσαν. καὶ πᾶσαν ἐποιήσαντο δέησιν, ἐμφαγεῖν τί κοινῇ μετ' αὐτῶν καθήμενον. ἔπειτα τοὺς δέλτους ἀπέδοσαν, καὶ τῶν ἄλλων ἃ βούλοιτο χρημάτων, λαβεῖν ἐκέλευον. ὁ δὲ, οὐδὲν ἢ τὸν λιβανωτὸν, ᾧ πρὸς τὰς δημοσίας ἐχρῆτο θυσίας, λαβὼν ἀπῆλθεν. ἀσπασάμενος καὶ φιλοφρονηθεὶς, τοὺς ἄνδρας. Ἐπεὶ δὲ εἰς ῥώμην ἐπανῆλθεν, ἡ μὲν ὅλη πρᾶξις, ὡς δεινὴ καὶ καταισχύνουσα τὴν ῥώμην, αἰτίαν εἶχε καὶ κατηγορίαν. Οἱ δὲ τῶν στρατιωτῶν οἰκεῖοι καὶ φίλοι, μέγα μέρος ὄντες τοῦ δήμου, συνέτρεχον πρὸς τὸν τιβέριον. τὰ μὲν αἰσχρὰ τῶν γεγονότων, ἀναφέροντες εἰς τὸν ἄρχοντα. δι' αὐτὸν δὲ σώζεσθαι τοσούτους πολίτας φάσκοντες. οἱ μέντοι δυσχεραίνοντες τὰ πεπραγμένα, μιμεῖσθαι τοὺς προγόνους ἐκέλευον. καὶ γὰρ ἐκεῖνοι τοὺς ἀγαπήσαντας ὑπὸ σαυνιτῶν ἀφεθῆναι στρατηγούς, αὐτούς τε τοῖς πολεμίοις γυμνοὺς προσέρριψαν. καὶ τοὺς ἐφαψαμένους, καὶ μετασχόντας τῶν σπονδῶν, οἷον ταμίας, καὶ χιλιάρχους, ὁμοίως προὔβαλον. εἰς ἐκείνους τὴν ἐπιορκίαν καὶ τὴν διάλυσιν τῶν ὡμολογημένων τρέποντες. ἔνθα δὴ καὶ μάλιστα, τὴν πρὸς τὸν τιβέριον εὔνοιαν, καὶ σπουδὴν ἐξέφηνεν ὁ δῆμος. τὸν μὲν γὰρ ὕπατον ἐψηφίσατο γυμνὸν, καὶ δεδεμένον παραδοῦναι τοῖς νομαντίνοις. τῶν δὲ ἄλλων, ἐφείσατο πάντων διὰ τιβέριον. δοκεῖ δὲ καὶ σκηπίων βοηθῆσαι μέγιστος ὢν τότε, καὶ πλεῖστον δυνάμενος ῥωμαίων. ἀλλ' οὐδὲν ἧττον ἐν αἰτίαις ἦν ὅτι τὸν μαγκῖνον οὐ περιέσωσεν. Οὐδὲ τὰς σπονδὰς ἐμπεδωθῆναι τοῖς νομαντίνοις, ἐσπούδασεν. δι' ἀνδρὸς οἰκείου καὶ φίλου τοῦ τιβερίου γενομένας. τὸ δὲ πλεῖστον, ἔοικεν ἐκ φιλοτιμίας, καὶ τῶν ἐπαιρόντων τὸν τιβέριον φίλων, καὶ σοφιστῶν, ἐκγενέσθαι τὰ τῆς διαφορᾶς. ἀλλ' αὕτη γε πρὸς οὐδὲν ἀνήκεστον, οὐδὲ φαῦλον ἐξέπεσε. δοκεῖ δ' ἄν μοι μηδαμῶς περιπεσεῖν ὁ τιβέριος οἷς ἔπαθεν, εἰ παρῆν

μεῖς δὲ τὴν πρώτην ἱστορίαν ἀποδεδωκότες, ἔχομεν οὐκ ἐλάττονα πάθη τούτων, ἐν τῇ ῥωμαϊκῇ συζυγίᾳ θεωρῆσαι, τὸν τιβερίου καὶ γαΐου βίον ἀντιπαραβάλλοντες, οὗτοι τιβερίου γράγχου παῖδες ἦσαν. ᾧ τιμητῇ τε ῥωμαίων γενομένῳ καὶ δὶς ὑπατεύσαντι, καὶ θριάμβους δύο καταγαγόντι, λαμπρότερον ἦν, τὸ ἀπὸ τῆς ἀρετῆς ἀξίωμα. διὸ καὶ τὴν σκηπίωνος τοῦ καταπολεμήσαντος ἀννίβαν, θυγατέρα κορνηλίαν, οὐκ ὢν φίλος, ἀλλὰ καὶ διάφορος τῷ ἀνδρὶ γεγονὼς, λαβεῖν ἠξιώθη μετὰ τὴν ἐκείνου τελευτὴν, λέγεται δέ ποτε συλλαβεῖν αὐτὸν ἐπὶ τῆς κλίνης, ζεῦγος δρακόντων. τοὺς δὲ μάντεις σκεψαμένους τὸ τέρας, ἄμφω μὲν οὐκ ἐᾶν ἀνελεῖν, οὐδὲ ἀφεῖναι. περὶ δὲ θατέρου, διορᾶν. ὡς ὁ μὲν ἄρρην τῷ τιβερίῳ φέροι θάνατον ἀναιρεθείς. ἡ δὲ θήλεια τῇ κορνηλίᾳ. τὸν οὖν τιβέριον καὶ φιλοῦντα τὴν γυναῖκα, καὶ μᾶλλον αὐτῷ προσήκειν ὄντι πρεσβυτέρῳ τελευτᾶν ἡγούμενον, ἔτι νέας οὔσης ἐκείνης, τὸν μὲν ἄρρενα κτεῖναι τῶν δρακόντων, ἀφεῖναι δὲ τὴν θήλειαν. εἶτα ὕστερον οὐ πολλῷ χρόνῳ τελευτῆσαι, δώδεκα παῖδας ἐκ τῆς κορνηλίας αὐτῷ γεγονότας, καταλιπόντα. κορνηλία δὲ ἀναλαβοῦσα τοὺς παῖδας καὶ τὸν οἶκον, οὕτω σώφρονα καὶ φιλότεκνον καὶ μεγαλόψυχον αὑτὴν παρέσχεν, ὥστε μὴ κακῶς δόξαι βεβουλεῦσθαι τὸν τιβέριον, ἀντὶ τοιαύτης γυναικὸς, ἀποθανεῖν ἑλόμενον. ἥ γε καὶ πτολεμαίου τοῦ βασιλέως κοινουμένου τὸ διάδημα, καὶ μνωμένου τὸν γάμον αὐτῆς, ἠρνήσατο, καὶ χηρεύουσα, τοὺς μὲν ἄλλους ἀπέβαλε παῖδας. μίαν δὲ τῶν θυγατέρων, ἣ σκηπίωνι τῷ νεωτέρῳ συνῴκησε. καὶ δύο υἱοὺς περὶ ὧν τάδε γέγραπται, τιβέριον καὶ γάϊον διαγενομένους, οὕτω φιλοτίμως ἐξέθρεψεν, ὥστε πάντων εὐφυεστάτους ῥωμαίων ὁμολογουμένως γεγονότας, πεπαιδεῦσθαι δοκεῖν βέλτιον, ἢ πεφυκέναι πρὸς ἀρετήν. ἐπεὶ δὲ ὥσπερ ἡ τῶν πλασσομένων καὶ γραφομένων διοσκούρων ὁμοιότης, ἔχει τινὰ τοῦ πυκτικοῦ πρὸς τὸν δρομικὸν ἐπὶ τῆς μορφῆς διαφορὰν, οὕτω τῶν νεανίσκων ἐκείνων, ἐν πολλῇ τῇ πρὸς ἀνδρείαν καὶ σωφροσύνην. ἔτι δὲ ἐλευθεριότητα καὶ λογιότητα καὶ μεγαλοψυχίαν ἐμφερείᾳ, μεγάλαι περὶ τὰ ἔργα καὶ τὰς πολιτείας οἷον ἐξηνθήσαν καὶ διεφάνησαν ἀνομοιότητες, οὐ χεῖρον εἶναί μοι δοκεῖ ταύτας προεκθέσθαι. πρῶτον μὲν οὖν ἰδέᾳ προσώπου, καὶ βλέμματι καὶ κινήματι πρᾶος καὶ καταστηματικὸς ἦν ὁ τιβέριος. ἔντονος δὲ καὶ σφοδρὸς ὁ γάϊος. ὥστε καὶ δημηγορεῖν. τὸν μὲν, ἐν μιᾷ χώρᾳ βεβηκότα κοσμίως. τὸν δὲ, ῥωμαίων πρῶτον ἐπὶ τοῦ βήματος, περιπάτῳ τε χρήσασθαι. καὶ περισπάσαι τὴν τήβεννον ἐξ ὤμου, λέγοντα. καθὰ περὶ κλέωνος τοῦ ἀθηναίου ἱστορεῖται, περισπάσαι τε τὴν περιβολὴν καὶ τὸν μηρὸν πατάξαι πρῶτον τῶν δημηγορούντων. ἔπειτα ὁ λόγος τοῦ μὲν γαΐου φοβερὸς, καὶ περιπαθὴς εἰς δείνωσιν. ἡδίων δὲ ὁ τοῦ τιβερίου, καὶ μᾶλλον ἐπαγωγὸς οἴκτου. τῇ δὲ λέξει, καθαρὸς καὶ διαπεπονημένος ἀκριβῶς ἐκεῖνος. ὁ δὲ γαΐου, πιθανὸς καὶ γεγανωμένος. οὕτω δὲ καὶ περὶ τὴν δίαιταν καὶ τράπεζαν, εὐτελὴς καὶ ἀφελὴς ὁ τιβέριος. ὁ δὲ γάϊος τοῖς μὲν ἄλλοις παραβαλεῖν, σώφρων καὶ αὐστηρὸς, τῇ δὲ πρὸς τὸν ἀδελφὸν διαφορᾷ, νεοπρεπὴς καὶ περίεργος, ὡς οἱ περὶ δρούσον ἤλεγχον. ὅτι δελφῖνας ἀργυροῦς, ἐπρίατο τιμῆς εἰς ἑκάστην λίτραν δραχμῶν χιλίων, καὶ διακοσίων πεντήκοντα. τῷ δὲ ἤθει, κατὰ τὴν τοῦ λόγου διαφορὰν. ὁ μὲν ἐπιεικὴς καὶ πρᾶος. ὁ δὲ, τραχὺς καὶ θυμοειδής. ὥστε καὶ παρὰ γνώμην ἐν τῷ λέγειν ἐκφερόμενον πολλάκις ὑπ᾽ ὀργῆς, τήν τε φωνὴν ἀποξύνειν, καὶ βλασφημεῖν, καὶ συνταράττειν τὸν λόγον. ὅθεν καὶ βοήθημα τῆς ἐκτροπῆς ταύτης ἐποιήσατο τὸν λικίννιον. οἰκέτην οὐκ ἀνόητον. ὃς ἔχων φωνασκικὸν ὄργανον, ᾧ τοὺς φθόγγους ἀναβιβάζουσιν, ὄπισθεν ἑστὼς τοῦ γαΐου λέγοντος, ὁπηνίκα τραχυνόμενον αἴσθοιτο τῇ φωνῇ καὶ παραρρηγνύμενον δι᾽ ὀργὴν, ἐνεδίδου τόνον μαλακὸν, ᾧ τὸ σφοδρὸν ἐκεῖνος, εὐθὺς ἅμα τοῦ πάθους καὶ τῆς φωνῆς ἀνιεὶς, ἐπραΰνετο καὶ παρεῖχεν ἑαυτὸν εὐανάκλητον. αἱ μὲν οὖν διαφοραὶ, τοιαῦταί τινες ἦσαν αὐτῶν. ἀνδραγαθίαι δὲ πρὸς τοὺς πολεμίους. καὶ πρὸς τοὺς ὑπηκόους δικαιοσύνη. καὶ πρὸς τὰς ἀρχὰς ἐπιμέλεια, καὶ πρὸς τὰς ἡδονὰς ἐγκράτεια, ἀπαράλλακτος. ἦν δὲ πρεσβύτερος ἐνιαυτοῖς ἐννέα ὁ τιβέριος. καὶ τοῦτο τὴν ἑκατέρου πολιτείαν ἀπηρτημένην τοῖς χρόνοις ἐποίησε. καὶ τὰς πράξεις οὐχ ἥκιστα διελυμήνατο, μὴ συνακμασάντων. μηδὲ συμβαλόντων εἰς τὸ αὐτὸ τὴν δύναμιν. μεγάλην ἂν ἐξ ἀμφοῖν ὁμοῦ καὶ ἀνυπέρβλητον γενομένην. λεκτέον οὖν ἰδίᾳ περὶ ἑκατέρου καὶ περὶ τοῦ πρεσβυτέρου πρότερον. ἐκεῖνος τοίνυν εὐθὺς ἐκ παίδων γενόμενος, οὕτως ἦν περίβλεπτος, ὥστε τῆς τῶν αὐγούρων λεγομένης ἱερωσύνης ἀξιωθῆναι δι᾽ ἀρετὴν μᾶλλον, ἢ διὰ τὴν εὐγένειαν. ἐδήλωσε δὲ ἄππιος κλαύδιος ἀνὴρ ὑπατικὸς καὶ τιμητικὸς καὶ προγεγραμμένος κατ᾽ ἀξίωμα τῆς ῥωμαίων βουλῆς, καὶ πολὺ, φρονήματι τοὺς κατ᾽ αὐτὸν ὑπεραίρων. ἑστιωμένων γὰρ ἐν ταυτῷ τῶν ἱερέων, προσαγορεύσας τὸν τιβέριον καὶ φιλοφρονηθεὶς, αὐτὸς ἐμνᾶτο τῇ θυγατρὶ νυμφίον. δεξαμένου δὲ ἀσμένως ἐκείνου καὶ τῆς καταινέσεως οὕτω γενομένης. εἰσιὼν ὁ ἄπ-

ἐφέροντο δρόμῳ διὰ τῶν στενωπῶν, καὶ παρεκάλουν τὸν ὄχλον ἐπὶ τὴν ἐλευθερίαν. τοῖς δὲ, τοσοῦτον ὡς ἔοικεν ἀλκῆς μετῆν, ὅσον ἐπαινεῖν καὶ θαυμάζειν τὴν τοῦ κλεομένους τόλμαν. ἀκολουθεῖν δὲ καὶ βοηθεῖν, οὐδεὶς ἐθάρρει. τὸν μὲν οὖν χρυσέρμου πτολεμαῖον ἐκ τῆς αὐλῆς ἐξιόντα, τρεῖς εὐθὺς προσπεσόντες, ἀπέκτειναν. ἑτέρου δὲ πτολεμαίου τοῦ φυλάσσοντος τὴν πόλιν ἐλαύνοντος ἅρματι πρὸς αὐτοὺς ὁρμήσαντες ἐναντίοι, τοὺς μὲν ὑπηρέτας καὶ δορυφόρους διεσκέδασαν, αὐτὸν δὲ κατασπάσαντες ἀπὸ τοῦ ἅρματος ἀπέκτειναν. εἶτα πρὸς τὴν ἄκραν ἐχώρουν ἀναρρῆξαι διανοούμενοι τὸ δεσμωτήριον. καὶ χρήσασθαι τῷ πλήθει τῶν δεδεμένων. ἔφθασαν δὲ φραξάμενοι καλῶς οἱ φύλακες. ὥς τε καὶ ταύτης ἀποκρουσθέντα τῆς πείρας τὸν κλεομένην, διαφοιτᾶσθαι καὶ πλανᾶσθαι κατὰ τὴν πόλιν. οὐδενὸς αὐτῷ προσχωροῦντος, ἀλλὰ φευγόντων καὶ φοβουμένων ἁπάντων. οὕτως οὖν ἀποστὰς καὶ πρὸς τοὺς φίλους εἰπὼν, οὐδὲν ἦν ἄρα θαυμαστὸν ἄρχειν γυναῖκας ἀνθρώπων φευγόντων τὴν ἐλευθερίαν, παρεκάλεσε πάντας ἀξίως αὑτοῦ καὶ τῶν πεπραγμένων τελευτᾶν. καὶ πρῶτος μὲν ἱππίτας ὑπὸ τῶν νεωτέρων τινὸς, ἐπλήγη δεηθεὶς, ἔπειτα τῶν ἄλλων ἕκαστος, εὐκόλως καὶ ἀδεῶς ἑαυτὸν ἀπέσφαττε, πλὴν παντέως τοῦ πρώτου μεγάλην πόλιν καταλαβόντος. τοῦτον δὲ κάλλιστον ὥρα, καὶ πρὸς τὴν ἀγωγὴν εὐφυέστατον τῶν νέων γενόμενον, ἐρώμενον ἐσχηκὼς ὁ βασιλεὺς, ἐκέλευσεν ὅταν αὐτόν τε καὶ τοὺς ἄλλους ἴδῃ πεπτωκότας, οὕτω τελευτᾶν. ἤδη δὲ κειμένων ἁπάντων ἐπιπορευόμενος ὁ παντεὺς καὶ τῷ ξιφιδίῳ παραπτόμενος καθ᾽ ἕκαστον, ἀπεπειρᾶτο μή τις διαλανθάνοι ζῶν. ἐπεὶ δὲ καὶ τὸν κλεομένην νύξας παρὰ τὸ σφυρὸν, εἶδε συστρέψαντα τὸ πρόσωπον, ἐφίλησεν αὐτὸν, εἶτα παρεκάθισε. καὶ τέλος ἔχοντος ἤδη περιβαλὼν, ἑαυτὸν ἐπικατέσφαξε. κλεομένης μὲν οὖν ἑκκαίδεκα τῆς σπάρτης βασιλεύσας ἔτη, καὶ τοιοῦτος ἀνὴρ γενόμενος, οὕτως κατέστρεψε. τῆς δὲ φήμης εἰς τὴν πόλιν ὅλην σκεδασθείσης, ἡ μὲν κρατησίκλεια, καίπερ οὖσα γενναία γυνὴ, προὔδωκε τὸ φρόνημα πρὸς τὸ τῆς συμφορᾶς μέγεθος. καὶ περιβαλοῦσα τὰ παιδία τοῦ κλεομένους, ὠλοφύρετο. τῶν δὲ παιδίων τὸ πρεσβύτερον ἀποπηδῆσαν, οὐδενὸς ἂν προσδοκήσαντος, ἀπό τινος τέγους ἐπὶ κεφαλὴν ἔρριψεν ἑαυτὸ, καὶ κακῶς μὲν ἔσχεν, οὐ μὴν ἀπέθανεν, ἀλλ᾽ ἤρθη βοῶν καὶ ἀγανακτοῦν ἐπὶ τῷ διακωλύεσθαι τελευτᾶν. ὁ δὲ πτολεμαῖος ὡς ἔγνω ταῦτα, προσέταξε τὸ μὲν σῶμα τοῦ κλεομένους, κρεμάσαι καταβυρσώσαντας, ἀποκτεῖναι δὲ τὰ παιδία καὶ τὴν μητέρα, καὶ τὰς περὶ αὐτὴν γυναῖκας. ἐν δὲ ταύταις ἦν, καὶ παντέως γυνὴ καλλίστη καὶ γενναιοτάτη τὸ εἶδος. ἔτι δὲ αὐτοῖς νεογάμοις οὖσιν, ἐν ἀκμαῖς ἐρώτων, αἱ τύχαι συνέβησαν. εὐθὺς μὲν οὖν συνεκπλεῦσαι τῷ παντεῖ βουλομένην αὐτὴν, οὐκ εἴασαν οἱ γονεῖς, ἀλλὰ βίᾳ κατακλείσαντες, ἐφύλαττον. ὀλίγῳ δὲ ὕστερον ἵππον ἑαυτῇ παρασκευάσασα καὶ χρυσίδιον οὐ πολὺ, νυκτὸς ἀπέδρα, καὶ διώξασα συντόνως ἐπὶ ταίναρον, ἐκεῖθεν ἐπέβη νεὼς εἰς αἴγυπτον πλεούσης, καὶ διεκομίσθη πρὸς τὸν ἄνδρα, καὶ συνδιήνεγκεν αὐτῷ τὸν ἐπὶ ξένης βίον, ἀλύπως καὶ ἱλαρῶς. αὕτη τότε τὴν κρατησίκλειαν ὑπὸ τῶν στρατιωτῶν ἐξαγομένην, ἐχειραγώγει, τόν τε πέπλον αὐτῆς ὑπολαμβάνουσα καὶ θαρρεῖν παρακαλοῦσα. μηδέν τι μὴ δι᾽ αὐτὴν ἐκπεπληγμένην τὸν θάνατον, ἀλλ᾽ ἓν μόνον αἰτουμένην πρὸ τῶν παιδίων ἀποθανεῖν. ἐπεὶ δὲ ἦλθον εἰς τὸν τόπον ἐν ᾧ ταῦτα δρᾶν εἰώθασιν οἱ ὑπηρέται, πρῶτον μὲν τὰ παιδία τῆς κρατησικλείας ὁρώσης, ἔσφαττον. εἶτα ἐκείνην ἓν τοῦτο μόνον ἐπὶ τηλικούτοις φθεγξαμένην πάθεσιν. ὦ τέκνα ποῖ ἐμόλετε. ἡ δὲ τοῦ παντέως γυνὴ περιζωσαμένη τὸ ἱμάτιον, εὔρωστος οὖσα καὶ μεγάλη, τῶν ἀποθνησκόντων ἑκάστην, σιωπῇ καὶ μεθ᾽ ἡσυχίας, ἐθεράπευε. καὶ περιέστελλεν ἐκ τῶν ἐνδεχομένων. τέλος δὲ μετὰ πάσας, ἑαυτὴν κοσμήσασα, καὶ καταγαγοῦσα τὴν περιβολὴν, καὶ μηδένα προσελθεῖν ἐάσασα μηδὲ ἰδεῖν ἄλλον ἢ τὸν ἐπὶ τῆς σφαγῆς τεταγμένον, ἡρωϊκῶς κατέστρεψεν, οὐδενὸς δεηθεῖσα κοσμοῦντος καὶ περικαλύπτοντος μετὰ τὴν τελευτήν, οὕτω παρέμεινε τῷ θανάτῳ τὸ κόσμιον τῆς ψυχῆς, καὶ διεφύλαξεν ἣν ζῶσα φρουρὰν τῷ σώματι περιέθηκεν. ἡ μὲν οὖν λακεδαίμων ἐφαμίλλως ἀγωνισαμένη τῷ γυναικείῳ δράματι πρὸς τὸ ἀνδρεῖον ἐν τοῖς ἐσχάτοις καιροῖς, ἐπέδειξε τὴν ἀρετὴν ὑβρισθῆναι μὴ δυναμένην ὑπὸ τῆς τύχης. ὀλίγαις δὲ ὕστερον ἡμέραις, οἱ τὸ σῶμα τοῦ κλεομένους, ἀνεσταυρωμένον παραφυλάττοντες, εἶδον εὐμεγέθη δράκοντα τῇ κεφαλῇ περιπεπλεγμένον καὶ ἀποκρύπτοντα τὸ πρόσωπον, ὥστε μηδὲν ὄρνεον ἐφίπτασθαι σαρκοφάγον. ἐκ δὲ τούτου, δεισιδαιμονία προσέπεσε τῷ βασιλεῖ καὶ φόβος ἄλλων καθαρμῶν ταῖς γυναιξὶν ἀρχὴν παρασχὼν, ὡς ἀνδρὸς ἀνῃρημένου θεοφιλοῦς, καὶ κρείττονος τὴν φύσιν.

οἱ δὲ ἀλεξανδρεῖς, καὶ προσέτρεπον φοιτῶντες ἐπὶ τὸν τόπον, ἥρωα τὸν κλεομένην καὶ θεῶν παῖδα προσαγορεύοντες. ἄχρι οὗ κατέπαυσαν αὐτοὺς οἱ σοφώτεροι διδόντες λέγοντες ὡς μελίττας μὲν βόες. σφῆκας δὲ ἵπποι κατασαπέντες ἐξανθοῦσι. κάνθαροι δὲ, ὄνων τὸ αὐτὸ παθόντων ζωογονοῦνται. τὰ δὲ ἀνθρώπινα σώματα τῶν περὶ τὸν μυελὸν ἰχώρων συρροήν τινα καὶ σύστασιν ἐν ἑαυτοῖς λαβόντων, ὄφεις ἀναδίδωσι. καὶ τοῦτο κατιδόντες οἱ παλαιοὶ, μάλιστα τῶν ζῴων τὸν δράκοντα τοῖς ἥρωσι συνῳκείωσαν.

αὐλικοῖς, ὡς ἰσχύοντα παρὰ τοῖς ξένοις. καὶ πολλῶν ἦν ἀκούειν λεγόντων, ὅτι οὗτος ὁ λέων, ἐν τούτοις
τοῖς προβάτοις ἀναστρέφεται. τῷ γὰρ ὄντι, τοιοῦτον διέφαινεν ἦθος ἐν τοῖς βασιλικοῖς ὑποβλέ-
πων ἀτρέμα, καὶ παρασκοπῶν τὰ πραττόμενα. ναῦς μὲν οὖν αἰτῶν καὶ στρατείαν, ἀπεῖπε. πυνθανό-
μενος δὲ τεθνάναι τὸν ἀντίγονον, αἰτωλικῷ δὲ πολέμῳ συμπεπλέχθαι τοὺς ἀχαιούς. τὰ δὲ πράγμα-
τα ποθεῖν αὐτὸν καὶ παρακαλεῖν ἐκεῖνον ἐν ταραχῇ καὶ διασπασμῷ τῆς πελοποννήσου γενομένης. ἠ-
ξίου μὲν μόνος ἀποσταλῆναι μετὰ τῶν φίλων. ἔπειθε δὲ, οὐδένα. τοῦ μὲν βασιλέως οὐκ εἰσακούοντος,
ἀλλ' ἐν γυναιξὶ καὶ θιάσοις καὶ κώμοις συνέχοντος ἑαυτόν. ὁ δὲ τῶν ὅλων προεστηκὼς καὶ προβου-
λεύων σωσίβιος, μένοντα μὲν τὸν κλεομένην παρὰ γνώμην, ἡγεῖτο δυσμεταχείριστον εἶναι καὶ φοβε-
ρόν. ἀφεθέντα δὲ, τολμηρὸν ἄνδρα καὶ μεγαλοπράγμονα, καὶ τῆς βασιλείας νοσούσης θεατὴν γεγενη-
μένον. οὐδὲ γὰρ αἱ δωρεαὶ κατεπράϋνον αὐτόν, ἀλλ' ὥσπερ τὸν ἄπιν ἐν ἀφθόνοις διαιτώμενον καὶ τρυφᾶν δο-
κοῦντα, τοῦ κατὰ φύσιν βίου καὶ δρόμων ἀφέτων, καὶ σκιρτήσεων ἵμερος ἔχει. καὶ δῆλός ἐστι δυσανασχε-
τῶν τὴν ἐν ταῖς χερσὶ τοῦ ἱερέως διατριβήν, οὕτως ἐκεῖνον, οὐδὲν ἤρεσκε τῶν μαλθακῶν, ἀλλὰ φθινύθε-
σκε φίλον κῆρ, ὥσπερ ἀχιλλεὺς αὖθι μένων, ποθέεσκε δ' ἀϋτήν τε πτόλεμόν τε. τοιούτων δὲ τῶν κατ' αὐ-
τὸν ὄντων πραγμάτων, ἀφικνεῖται νικαγόρας ὁ μεσσήνιος εἰς ἀλεξάνδρειαν. ἀνὴρ, μισῶν μὲν τὸν κλεο-
μένην, προσποιούμενος δὲ φίλος εἶναι. χωρίον δέ ποτε καλὸν αὐτῷ πεπρακὼς δι' ἀπορίαν οἶμαι καὶ
δι' ἀσχολίαν ὡς ἔοικε καὶ διὰ πολέμους οὐκ ἀπειληφὼς τἀργύριον. τοῦτον οὖν ἐκβαίνοντα τότε τῆς
ὁλκάδος ἰδὼν ὁ κλεομένης, ἔτυχε γὰρ ἐν τῇ κρηπῖδι τοῦ λιμένος περιπατῶν, ἠσπάζετο προθύμως.
καὶ τίς αὐτὸν εἰς αἴγυπτον ἄγει πρόφασις ἠρώτα. τοῦ δὲ νικαγόρου, φιλοφρόνως ἀντασπαζομένου, καὶ
φήσαντος ἵππους ἄγειν τῷ βασιλεῖ καλοὺς τῶν πολεμιστηρίων, γελάσας ὁ κλεομένης, ἐβουλόμην
ἂν ἔφησε μᾶλλον, ἥκειν ἄγοντα σαμβυκιστρίας καὶ κιναίδους. ταῦτα γὰρ νῦν μάλιστα κατεπείγει τὸν βα-
σιλέα. καὶ ὁ νικαγόρας, τότε μὲν ἐμειδίασεν. ἡμέραις δὲ ὕστερον ὀλίγαις, ὑπομνήσας τοῦ χωρίου τὸν
κλεομένην, νῦν γοῦν ἐδεῖτο τὴν τιμὴν ἀπολαβεῖν. ὡς οὐκ ἂν ἐνοχλήσας, εἰ μὴ περὶ τὴν τῶν φορτίων διά-
θεσιν μετρίως ἐζημιοῦτο. τοῦ δὲ κλεομένους φήσαντος, οὐδὲν αὐτῷ περιεῖναι τῶν διδομένων, λυπηθεὶς
ὁ νικαγόρας, ἐκφέρει τῷ σωσιβίῳ τὸ σκῶμμα τοῦ κλεομένους. ὁ δὲ, καὶ τοῦτο μὲν, ἀσμένως ἔλαβεν.
ἐκ δὲ μείζονος αἰτίας τὸν βασιλέα παροξῦναι ζητῶν, ἔπεισε τὸν νικαγόραν ἐπιστολὴν γράψαντα κα-
τὰ τοῦ κλεομένους ἀπολιπεῖν, ὡς ἐγνωκότος εἰ λάβοι τριήρεις καὶ στρατιώτας παρ' αὐτοῦ κυρήνην κα-
τασχεῖν. ὁ μὲν οὖν νικαγόρας, ταῦτα γράψας, ἀπέπλευσε. τοῦ δὲ σωσιβίου μετὰ τέσσαρας ἡμέρας
τὴν ἐπιστολὴν πρὸς τὸν πτολεμαῖον ἀνενεγκόντος ὡς ἀρτίως αὐτῷ διδομένην, καὶ παροξύναντος τὸ
μειράκιον, ἔδοξεν εἰς οἰκίαν μεγάλην εἰσαγαγεῖν τὸν κλεομένην. καὶ τὴν ἄλλην ὁμοίως παρέχοντας δίαι-
ταν, ἐξόδων εἴργειν. ἦν μὲν οὖν καὶ ταῦτα λυπηρὰ τῷ κλεομένει. μοχθηροτέρας δὲ τὰς περὶ τοῦ μέλ-
λοντος ἐλπίδας ἔσχεν. ἐκ τοιαύτης συντυχίας πτολεμαῖος ὁ χρυσέρμου φίλος ὢν τοῦ βασιλέως,
πάντα τὸν χρόνον ἐπιεικῶς διείλεκτο τῷ κλεομένει, καὶ συνήθειά τις ὑπῆρχεν αὐτοῖς, καὶ παρρησία πρὸς
ἀλλήλους. οὗτος οὖν τότε τοῦ κλεομένους δεηθέντος ἐλθεῖν πρὸς αὐτόν, ἦλθε μὲν καὶ διελέχθη μέτρια, τὸ
ὕποπτον ἐξαίρων, καὶ περὶ τοῦ βασιλέως ἀπολογούμενος, ἀπιὼν δὲ πάλιν ἐκ τῆς οἰκίας, καὶ μὴ προνοή-
σας ἐξόπισθεν ἄχρι τῶν θυρῶν ἐπακολουθοῦντα τὸν κλεομένην, πικρῶς ἐπετίμησε τοῖς φύλαξιν,
ὡς δὴ μέγα θηρίον καὶ δυσθήρατον ἀμελῶς φυλάττουσι καὶ ῥαθύμως. τούτων ὁ κλεομένης αὐτήκοος
γενόμενος, καὶ πρὶν αἰσθέσθαι τὸν πτολεμαῖον ἀναχωρήσας ἔφρασε τοῖς φίλοις. εὐθὺς οὖν πάντες
ἃς πρότερον εἶχον ἐλπίδας ἐκβαλόντες πρὸς ὀργὴν ἐβουλεύσαντο τοῦ πτολεμαίου τὴν ἀδικίαν ἀμυ-
νόμενοι. καὶ τὴν ὕβριν, ἀξίως τῆς σπάρτης ἀποθανεῖν. καὶ μὴ περιμένειν ὥσπερ ἱερεῖα πιανθέντα κα-
τακοπῆναι. δεινὸν γὰρ εἰ τὰς πρὸς ἀντίγονον ἄνδρα πολεμιστὴν καὶ δραστήριον διαλύσεις ὑπεριδὼν κλεο-
μένης, καθῆται μηναγύρτου βασιλέως σχολὴν ἀναμένων, ὅταν πρῶτον ἀπόθηται τὸ τύμπανον καὶ
καταπαύσῃ τὸν θίασον, ἀποκτενοῦντος αὐτόν. ἐπεὶ δὲ ἔδοξε ταῦτα, καὶ κατὰ τύχην ὁ πτολεμαῖος εἰς
κάνωβον ἐξώρμησε. πρῶτον μὲν διέδωκαν λόγον ὡς παραλύοιτο τῆς φυλακῆς ὑπὸ τοῦ βασιλέως. ἔ-
πειτα ἔκ τινος ἔθους βασιλικοῦ τοῖς μέλλουσιν ἐξ εἱρκτῆς ἀπολύεσθαι, δεῖπνόν τε πεμπομένου καὶ
ξενίων, οἱ φίλοι πολλὰ τοιαῦτα τῷ κλεομένει παρασκευάσαντες, ἔξωθεν εἰσέπεμψαν, ἐξαπατῶντες
τοὺς φύλακας, οἰομένους ὑπὸ τοῦ βασιλέως ἀπεστάλθαι. καὶ γὰρ ἔθυε καὶ μετεδίδου τούτων ἀφθόνως
αὐτοῖς, ἐπιτιθεὶς στεφάνους, καὶ κατακλινεὶς εἱστιᾶτο μετὰ τῶν φίλων. λέγεται δὲ τάχιον ἢ διεγνώκει
πρὸς τὴν πρᾶξιν ὁρμῆσαι, συναισθόμενος οἰκέτην ἕνα τῶν συνειδότων τὴν πρᾶξιν, ἔξω παρὰ γυναι-
κὶ κοιμώμενον ἧς ἤρα. καὶ φοβηθεὶς μήνυσιν, ἐπειδὴ μέσον ἡμέρας ἦν, καὶ τοὺς φύλακας ᾔσθετο καθεύ-
δοντας ὑπὸ τῆς μέθης, ἐνδυσάμενος τὸν χιτῶνα, καὶ τὴν ῥαφὴν ἐκ τοῦ δεξιοῦ παραλυσάμενος ὤμου
γυμνῷ τῷ ξίφει μετὰ τῶν φίλων ἐξεπήδησεν, ἐξεσκευασμένων ὁμοίως, δεκατριῶν ὄντων, ἱππίτας
δὲ χωλὸς ὤν, τῇ μὲν πρώτῃ συνεξέπεσεν ὁρμῇ προθύμως. ὡς δὲ ἑώρα σχολαίτερον πορευομένους δι'
αὐτὸν, ἐκέλευσεν ἀνελεῖν καὶ μὴ διαφθείρειν τὴν πρᾶξιν ἄχρηστον ἄνθρωπον περιμένοντας. ἔτυχε δὲ τῶν
ἀλεξανδρέων τις ἵππον ἄγων παρὰ τὰς θύρας. τοῦτον ἀφελόμενοι καὶ τὸν ἱππίταν ἀναλαβόντες,

ὑπὸ χαρᾶς ὦ καλῆς ἡμέρας, πλῆθος αἵματος ἀνήγαγε. καὶ πυρέξας συντόνως, ἐτελεύτησε. ταῦτα μὲν τὰ περὶ Ἀντίγονον. Κλεομένης δέ, πλέων ἀπὸ Κυθήρων, εἰς νῆσον ἑτέραν, Αἰγιαλίαν κατέσχεν. ὅθεν εἰς Κυρήνην περαιοῦσθαι μέλλοντος αὐτοῦ, τῶν φίλων εἷς, ὄνομα Θηρυκίων. ἀνὴρ πρός τε τὰς πράξεις φρονήματι κεχρημένος μεγάλῳ. καὶ τοῖς λόγοις γεγονώς τις ὑψηλὸς ἀεὶ καὶ μεγάλαυχος, ἐντυχὼν αὐτῷ κατ' ἰδίαν, τὸν μὲν κάλλιστον εἶπεν ὦ βασιλεῦ θάνατον, ἐν τῇ μάχῃ προηκάμεθα.

Καίτοι πάντες ἠκούσαμεν ἡμῶν λεγόντων, ὡς οὐχ ὑπερβήσεται τὸν βασιλέα τῶν Σπαρτιατῶν Ἀντίγονος, εἰ μὴ νεκρόν. ὁ δὲ δεύτερος δόξῃ καὶ ἀρετῇ νῦν πάρεστιν ἡμῖν. περιπλέομεν ἀλογίστως, ἀποφεύγομεν ἐγγὺς ὄντα καὶ μακρὰν διώκοντες. εἰ γὰρ οὐκ αἰσχρόν ἐστιν δουλεύειν τοῖς ἀπὸ Φιλίππου καὶ Ἀλεξάνδρου τοὺς ἀφ' Ἡρακλέους, πλοῦν πολὺν κερδάνωμεν, Ἀντιγόνῳ παραδόντες ἑαυτούς, ὃν εἰκός ἐστι Πτολεμαίου διαφέρειν, ὅσον Αἰγυπτίων Μακεδόνας. εἰ δὲ ὑφ' ὧν κεκρατήμεθα τοῖς ὅπλοις οὐκ ἀξιοῦμεν ἄρχεσθαι, τί τὸν μὴ νενικηκότα δεσπότην ποιοῦμεν αὑτῶν. ἵνα ἀνθ' ἑνὸς δυοῖν κακίους φανῶμεν, Ἀντίγονον μὲν φεύγοντες. Πτολεμαῖον δὲ κολακεύοντες. ἢ διὰ τὴν μητέρα φήσομεν εἰς Αἴγυπτον ἥκειν καλὸν μὲν γὰρ αὐτῇ θέαμα γένοιο καὶ ζηλωτόν, ἐπιδεικνυμένη ταῖς Πτολεμαίου γυναιξὶν, αἰχμάλωτον ἐκ βασιλέως καὶ φυγάδα τὸν υἱόν. οὐχ ἕως ἔτι τῶν ἰδίων ξιφῶν ἄρχωμεν καὶ τὴν Λακωνικὴν ἀφορῶμεν, ἐνταῦθα τῆς τύχης ἀπαλλάξαντες ἑαυτούς, ἀπολογησόμεθα τοῖς ἐν Σελλασίᾳ κειμένοις ὑπὲρ τῆς Σπάρτης. ἀλλ' ἐν Αἰγύπτῳ καθεδούμεθα πυνθανόμενοι, τίνα τῆς Λακεδαίμονος σατράπην Ἀντίγονος ἀπολέλοιπεν, τοιαῦτα τοῦ Θηρυκίωνος εἰπόντος, Κλεομένης ἀπεκρίνατο. τῶν ἀνθρωπίνων τὸ ῥᾷστον ὦ πονηρὲ, καὶ πᾶσιν ἑτοιμότατον διώκων ἀποθανεῖν, ἀνδρεῖος εἶναι δοκεῖς, φεύγων αἰσχίονα φυγὴν τῆς προτέρας. πολεμίοις μὲν γὰρ ἐνέδωκαν ἤδη καὶ κρείττονες ἡμῶν, ἢ τύχῃ σφαλέντες, ἢ βιασθέντες ὑπὸ πλήθους. ὁ δὲ πρὸς πόνους καὶ ταλαιπωρίας, ἢ δόξας καὶ ψόγους ἀνθρώπων ἀπαγορεύων, ἡττᾶται τῆς ἑαυτοῦ μαλακίας. δεῖ γὰρ τὸν αὐθαίρετον θάνατον, οὐ φυγὴν εἶναι πράξεων, ἀλλὰ πρᾶξιν. αἰσχρὸν γὰρ ζῆν μόνοις ἑαυτοῖς καὶ ἀποθνήσκειν, ἐφ' ὃ νῦν σὺ παρακαλεῖς ἡμᾶς, σπεύδων ἀπαλλαγῆναι τῶν παρόντων. καλὸν δὲ οὐδὲν οὐδὲ χρήσιμον ἄλλο διαπραττόμενος. ἐγὼ δὲ καὶ σὲ καὶ ἐμαυτὸν οἴομαι δεῖν τὰς ὑπὲρ τῆς πατρίδος ἐλπίδας μὴ καταλιπεῖν. ὅπου δ' ἂν ἡμᾶς ἐκεῖναι καταλείπωσι, ῥᾷστα βουλομένοις ἀποθανεῖν ὑπάρξει. πρὸς ταῦτα Θηρυκίων οὐδὲν ἀντειπών, ὅτε πρῶτον ἔσχε καιρὸν ἀποστῆναι τοῦ Κλεομένους, ἐκτραπόμενος, παρὰ τὸν αἰγιαλὸν ἔσφαξεν ἑαυτόν. ὁ δὲ Κλεομένης ἀπὸ τῶν αἰγιαλῶν ἀναχθείς, τῇ Λιβύῃ προσέβαλε. καὶ διὰ τῶν βασιλικῶν παραπεμπόμενος, ἧκεν εἰς Ἀλεξάνδρειαν. ὀφθεὶς δὲ τῷ Πτολεμαίῳ κατ' ἀρχὰς μὲν ἐτύγχανε κοινῶς φιλανθρώπου καὶ μετρίου πρὸς αὐτόν. ἐπεὶ δὲ γνώμης δοὺς πεῖραν, ἀνὴρ ἐφαίνετο ἔμφρων. καὶ τῆς καθ' ἡμέραν ὁμιλίας αὐτοῦ τὸ Λακωνικὸν καὶ ἀφελὲς τὴν χάριν ἐλευθέριον εἶχε. καὶ τὴν εὐγένειαν οὐδαμοῦ καταισχύνων, οὐδὲ καμπτόμενος ὑπὸ τῆς τύχης, τῶν πρὸς ἡδονὴν καὶ κολακείαν διαλεγομένων πιθανώτερος ἐφαίνετο, πολλὴ μὲν αἰδὼς καὶ μετάνοια τὸν Πτολεμαῖον εἶχεν, ἄνδρα τοιοῦτον ἀμελήσαντα καὶ προέμενον τῷ Ἀντιγόνῳ, δόξαν ἅμα καὶ κτησάμενον τηλικαύτην καὶ δύναμιν. ἀναλαμβάνων δὲ τιμαῖς καὶ φιλοφροσύναις τὸν Κλεομένην, παρεθάρρυνεν, ὡς μετὰ νεῶν καὶ χρημάτων ἀποστελῶν αὐτὸν εἰς τὴν Ἑλλάδα. καὶ καταστήσων εἰς τὴν βασιλείαν. ἐδίδου δὲ καὶ σύνταξιν αὐτῷ, τέσσαρα καὶ εἴκοσι τάλαντα καθ' ἕκαστον ἐνιαυτόν, ἀφ' ὧν ἐκεῖνος αὑτὸν καὶ τοὺς φίλους εὐτελῶς καὶ σωφρόνως διοικῶν, τὰ πλεῖστα κατανήλισκεν εἰς φιλανθρωπίας καὶ μεταδόσεις τῶν ἀπὸ τῆς Ἑλλάδος, εἰς Αἴγυπτον ἐκπεπτωκότων. ὁ μὲν οὖν πρεσβύτερος Πτολεμαῖος, πρὶν ἐκτελέσαι τῷ Κλεομένει τὴν ἔκπεμψιν, ἐτελεύτησε. τῆς δὲ βασιλείας εὐθὺς εἰς πολλὴν ἀσέλγειαν καὶ παροινίαν, καὶ γυναικοκρατίαν ἐμπεσούσης, ἠμελεῖτο καὶ τὰ τοῦ Κλεομένους. ὁ μὲν γὰρ βασιλεὺς αὐτὸς οὕτω διέφθαρτο τὴν ψυχὴν ὑπὸ γυναικῶν καὶ πότων, ὥστε ὁπότε νήφοι μάλιστα καὶ σπουδαιότατος αὑτοῦ γένοιτο, τελετὰς τελεῖν, καὶ τύμπανον ἔχων ἐν τοῖς βασιλείοις ἀγείρειν. τὰ δὲ μέγιστα τῆς ἀρχῆς πράγματα, διοικεῖν, Ἀγαθόκλειαν τὴν ἐρωμένην τοῦ βασιλέως καὶ τὴν ταύτης μητέρα, καὶ πορνοβοσκὸν Οἰνάνθην. ὅμως δ' οὖν ἔδοξέ τις ἐν ἀρχῇ καὶ τοῦ Κλεομένους χρεία γεγονέναι. δεδιὼς γὰρ Μάγαν τὸν ἀδελφὸν Πτολεμαῖος, ὡς ἰσχύοντα διὰ τῆς μητρὸς ἐν τῷ στρατιωτικῷ, τὸν Κλεομένην προσελάμβανε, καὶ μετεδίδου τῶν ἀπορρήτων συνεδρίων, βουλευόμενος ἀνελεῖν τὸν ἀδελφόν. ὁ δέ, καίπερ ἁπάντων ἐπισπεύδειν κελευόντων, μόνος ἀπηγόρευσεν εἰπών, ὡς μᾶλλον εἰ δυνατὸν ἦν, ἔδει φῦσαι τῷ βασιλεῖ πλείονας ἀδελφοὺς πρὸς ἀσφάλειαν καὶ διανομὴν τῶν πραγμάτων. Σωσιβίου δὲ τοῦ πλεῖστον ἐν τοῖς φίλοις δυναμένου, φήσαντος οὐκ εἶναι τὰ τῶν μισθοφόρων αὐτοῖς βέβαια, τοῦ Μάγα ζῶντος, ἀμελεῖν ἐκέλευσεν ὁ Κλεομένης, ἕνεκά γε τούτου. πλείους γὰρ ἢ τρισχιλίους τῶν ξένων εἶναι Πελοποννησίους, προσέχοντας αὐτῷ. καὶ μόνον νεύσῃ, προθύμως μετὰ τῶν ὅπλων παρεσομένους. οὗτος ὁ λόγος, τότε μὲν οὐ σμικρὰν τῷ Κλεομένει καὶ πίστιν εὐνοίας, καὶ δόκησιν ἰσχύος προσέθηκεν. ὕστερον δὲ τοῦ Πτολεμαίου τῆς ἀσθενείας ἐπιτεινούσης τὴν δειλίαν, καὶ καθάπερ εἴωθεν, ἐν τῷ μηδὲν φρονεῖν τὸ πάντα δεδοικέναι καὶ πᾶσιν ἀπιστεῖν ἀσφαλέστατον δοκοῦντος εἶναι, φοβερὸν ἐποίει τὸν Κλεομένην τοῖς

αἴροντα τηλικαύτας, οὐ τῆς τυχούσης ἐδόκει δεινότητος εἶναι καὶ μεγαλοφροσύνης. ἀλλ' ὁ πρῶ-
τος τὰ χρήματα νεῦρα τῶν πραγμάτων προσειπὼν, εἰς τὰ τοῦ πολέμου τὰ μάλιστα βλέψας, τοῦτο
εἰπεῖν ἔοικε. καὶ δημάδης τὰς τριήρεις μὲν καθέλκειν καὶ πληροῦν ποτὲ τῶν ἀθηναίων κελευόντων,
χρήματα δ' οὐκ ἐχόντων, πρότερόν ἐστιν ἔφη τοῦ πρώρα τὸ φυρᾶσαι. λέγεται δὲ καὶ ἀρχίδαμος ὁ πα-
λαιὸς ἀπὸ τὴν ἀρχὴν τοῦ πελοποννησιακοῦ πολέμου, κελευόντων εἰσφορὰς τάξαι τῶν συμμάχων,
αὐτὸν εἰπεῖν. ὡς ὁ πόλεμος, οὐ τεταγμένα σιτεῖται. καθάπερ γὰρ οἱ σεσωμασκηκότες ἀθληταὶ, τῷ
χρόνῳ καταβαροῦσι καὶ καταγωνίζονται τοὺς εὐρύθμους καὶ τεχνίτας, οὕτως ὁ ἀντίγονος ἐκ πολ-
λῆς ἀναφέρων δυνάμεως πρὸς τὸν πόλεμον, ἐξεπόνει καὶ κατέβαλλε τὸν κλεομένην γλίσχρως καὶ μό-
λις πορίζοντα τοῖς ξένοις μισθὸν, καὶ τροφὴν τοῖς πολίταις. ἐπεὶ τἄλλα γε πρὸς τοῦ κλεομένους ὁ
χρόνος ἦν. τῶν οἴκοι πραγμάτων ἀντισπάντων τὸν ἀντίγονον. βάρβαροι γὰρ περιέκοπτον ἀπόντος, καὶ
κατέτρεχον τὴν μακεδονίαν. καὶ τότε δὴ πολὺς ἄνωθεν ἰλλυριῶν ἐμβεβλήκει στρατός. ὑφ' οὗ πορθού-
μενοι, μετεπέμποντο τὸν ἀντίγονον οἱ μακεδόνες. καὶ παρ' ὀλίγον, ἢ πρὸ τῆς μάχης συνέτυχε ταῦτα τὰ
γράμματα κομισθῆναι πρὸς αὐτὸν, ὧν κομισθέντων, εὐθὺς ἂν ἀπῆλθε, μακρὰ χαίρειν φράσας ἀ-
χαιοῖς. ἀλλ' ἡ τὰ μέγιστα τῶν πραγμάτων κρίνουσα τῷ παρὰ μικρὸν τύχη, τηλικαύτην ἀπεδείξατο
ῥοπὴν καιροῦ, καὶ δύναμιν, ὥστε τῆς μάχης ἐν σελλασίᾳ γενομένης. καὶ τοῦ κλεομένους ἀποβεβληκό-
τος τὴν δύναμιν, καὶ τὴν πόλιν, εὐθὺς παραγεγόνασιν οἱ καλοῦντες τὸν ἀντίγονον. ὃ καὶ μάλιστα τὴν
δυστυχίαν τοῦ κλεομένους, οἰκτροτέραν ἐποίησεν. εἰ γὰρ ἡμέρας δύο μόνας ἐπέσχε, καὶ παρήγαγε φυ-
γομαχῶν, οὐκ ἂν ἐδέησεν αὐτῷ μάχης, ἀλλ' ἐφ' οἷς ἐβούλετο διηλλάγη πρὸς τοὺς ἀχαιοὺς, ἀπελθόντων
τῶν μακεδόνων. νῦν δὲ ὥσπερ εἴρηται διὰ τὴν ἀχρηματίαν ἐν τοῖς ὅπλοις τὸ πᾶν θέμενος, ἠναγκά-
σθη δισμυρίοις, ὡς πολύβιός φησι πρὸς τρισμυρίοις ἀντιπαρατάξασθαι. καὶ θαυμαστὸν μὲν ἐν τῷ
κινδύνῳ παρασχὼν ἑαυτὸν στρατηγὸν ἐνθύμοις δὲ χρησάμενος τοῖς πολίταις. οὐ μὴν οὐδὲ τῶν ξένων,
μεμπτῶς ἀγωνισαμένων, τῷ τρόπῳ τῆς ὁπλίσεως, καὶ τῷ βάρει τῆς ὁπλιτικῆς φάλαγγος ἐξεθλί-
βη. φύλαρχος δὲ καὶ προδοσίαν γενέσθαι φησὶ τὴν μάλιστα τῷ κλεομένει τὰ πράγματα διεργασα-
μένην. τοῦ γὰρ ἀντιγόνου τοὺς ἰλλυριοὺς καὶ τοὺς ἀκαρνᾶνας ἐκ περιελεύσεως κρύφα κελεύσαντος, καὶ κυ-
κλοῦσθαι θάτερον κέρας ἐφ' οὗ τεταγμένος ἦν εὐκλείδας ὁ τοῦ κλεομένους ἀδελφός. εἶτα τὴν ἄλ-
λην ἐπὶ μάχῃ δύναμιν ἐκτάττοντος, ἀπὸ σκοπῆς θεωρῶν ὁ κλεομένης, ὡς οὐδαμοῦ τὰ ὅπλα τῶν
ἰλλυριῶν καὶ τῶν ἀκαρνάνων κατεῖδεν, ἐφοβήθη μὴ πρός τι τοιοῦτον αὐτοῖς ὁ ἀντίγονος κέχρηται.
καλέσας δὲ δαμοτέλη τὸν ἐπὶ τῆς κρυπτείας τεταγμένον, ὁρᾶν ἐκέλευε καὶ ζητεῖν ὅπως ἔχει τὰ
κατὰ νώτου καὶ κύκλῳ τῆς παρατάξεως. τοῦ δὲ δαμοτέλους. ἦν γὰρ ὡς λέγεται, πρότερον χρήμα-
σιν ὑπ' αὐτοῦ διεφθαρμένος, ἀμελεῖν ἐκείνων εἰπόντος, ὡς καλῶς ἐχόντων, τοῖς δὲ συναπτοῦσιν ἐξ ἐναν-
τίας προσέχειν καὶ τούτους ἀμύνεσθαι, πιστεύσας, ἐπὶ τὸν ἀντίγονον ἐχώρει. καὶ τῇ ῥύμῃ τῶν περὶ
αὐτὸν σπαρτιατῶν ὠσάμενος τὴν φάλαγγα τῶν μακεδόνων ἐπὶ πέντε που σταδίους ὑποχωρούν-
των ἐκβιαζόμενος καὶ κρατῶν, ἠκολούθησεν. εἶτα τῶν περὶ τὸν εὐκλείδαν ἀπὸ θατέρου κυκλωθέν-
των, ἐπιστὰς καὶ κατιδὼν τὸν κίνδυνον, οἴχῃ μοι φίλτατε ἀδελφὲ εἶπεν. οἴχῃ γενναῖος ὢν, καὶ παισὶ ζη-
λωτὸς σπαρτιατῶν καὶ γυναιξὶν ἀοίδιμος. οὕτω δὲ τῶν περὶ τὸν εὐκλείδαν ἀναιρεθέντων. καὶ τῶν ἐ-
κεῖθεν ὡς ἐκράτουν ἐπιφερομένων, ταραττομένους ὁρῶν τοὺς στρατιώτας. καὶ μένειν οὐκέτι τολμῶν-
τας, ἔσωζεν αὑτόν. ἀποθανεῖν δὲ καὶ τῶν ξένων πολλοὺς λέγουσι. καὶ λακεδαιμονίους ἅπαντας, πλὴν
διακοσίων, ἑξακισχιλίους ὄντας. ἐπεὶ δὲ εἰς τὴν πόλιν ἀφίκετο. τοῖς μὲν ἀπαντῶσι τῶν πολιτῶν, πα-
ρῄνει δέχεσθαι τὸν ἀντίγονον, αὐτὸς δὲ εἶπεν, εἴτε ζῶν εἴτε ἀποθανὼν, μέλλοι τῇ σπάρτῃ συνοίσειν τοῦτο
πράξειν. ὁρῶν δὲ τὰς γυναῖκας τοῖς μετ' αὐτοῦ πεφευγόσι, προστρεχούσας καὶ δεχομένας τὰ ὅπλα
καὶ ποτὸν προσφερούσας, αὐτὸς εἰσῆλθε μὲν εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ. τῆς δὲ παιδίσκης ἣν εἶχεν ἐ-
λευθέραν οὖσαν ἐκ μεγάλης πόλεως ἀνειληφὼς μετὰ τὴν τῆς γυναικὸς τελευτὴν, ὡς εἴθιστο προσιού-
σης καὶ βουλομένης ἀπὸ στρατείας ἥκοντα θεραπεύειν. οὔτε πιεῖν ἐκδεδιψηκὼς ὑπέμεινεν, οὔτε καθί-
σαι κεκμηκὼς, ἀλλ' ὥσπερ ἐτύγχανε τεθωρακισμένος τῶν κιόνων τινὶ τὴν χεῖρα προσβαλὼν πλαγί-
αν. καὶ τὸ πρόσωπον ἐπὶ τὸν πῆχυν ἐπιθεὶς. καὶ χρόνον οὐ πολὺν διαναπαυσάμενος τὸ σῶμα, καὶ τῇ
διανοίᾳ περιδραμὼν ἅπαντας τοὺς λογισμοὺς, ὥρμησε μετὰ τῶν φίλων εἰς τὸ γύθιον. κἀκεῖθεν ἐπι-
βάντες, ἐπ' αὐτὸ τοῦτο παρεσκευασμένων πλοίων ἀνήχθησαν. ὁ δὲ ἀντίγονος ἐξ ἐφόδου παραλαβὼν
τὴν πόλιν. καὶ χρησάμενος τοῖς λακεδαιμονίοις φιλανθρώπως. καὶ τὸ ἀξίωμα τῆς σπάρτης οὐ προ-
πηλακίσας. οὐδ' ἐνυβρίσας. ἀλλὰ καὶ νόμους καὶ πολιτείαν ἀποδοὺς καὶ τοῖς θεοῖς θύσας, ἀνεχώρησεν. ἡ-
μέρᾳ τρίτῃ πυθόμενος, ἐν μακεδονίᾳ πολὺν πόλεμον εἶναι. καὶ πορθεῖσθαι τὴν χώραν ὑπὸ τῶν
βαρβάρων. ἤδη δὲ καὶ τὸ νόσημα κατεῖχεν αὐτὸν, εἰς φθίσιν ἐκβεβηκὸς ἰσχυρὰν, καὶ κατάρρουν, συντε-
τον. οὐ μὴν ἀπεῖπεν, ἀλλ' ἀντήρκεσε πρὸς τοὺς οἰκείους ἀγῶνας, ὅσον ἐπὶ νίκῃ μεγίστῃ καὶ φόνῳ πλείστῳ
τῶν βαρβάρων εὐκλεέστερον ἀποθανεῖν. ὡς μὲν εἰκὸς ἐστι καὶ λέγουσιν οἱ περὶ φύλαρχον, αὐτῇ τῇ πε-
ρὶ τὸν ἀγῶνα κραυγῇ τὸ σῶμα προσαναρρήξας. ἐν δὲ ταῖς σχολαῖς ἦν ἀκούειν, ὅτι βοῶν μετὰ τὴν νίκην

τε μὴ πλείονα τῶν χιλίων ἐγκαταλειφθῆναι σώματα. τοὺς δὲ ἄλλους ἅπαντας ὁμοῦ μετὰ τέκνων καὶ γυναικῶν, φθάσαι διαφυγόντας εἰς μεσσήνην. ἐπεὶ δὴ καὶ τῶν προσβοηθούντων καὶ μαχομένων τὸ πλῆθος. ὀλίγοι δὲ παντάπασιν ἥλωσαν. ὧν ἦν λυσανδρίδας. καὶ θεαρίδας, ἄνδρες ἔνδοξοι καὶ δυνατοὶ μάλιστα τῶν μεγαλοπολιτῶν. διὸ καὶ λαβόντες αὐτοὺς εὐθὺς οἱ στρατιῶται τῷ κλεομένει προσῆγον. ὁ δὲ λυσανδρίδας ὡς εἶδε τὸν κλεομένην πόρρωθεν, ἀναβοήσας, ἔξεστί σοι νῦν εἶπεν ὦ βασιλεῦ λακεδαιμονίων, ἔργον ἤδη δεξαμένῳ τοῦ πεπραγμένου κάλλιον καὶ βασιλικώτατον, ἐνδοξοτάτῳ γενέσθαι. ὁ δὲ κλεομένης δι' ὑποψίας αὐτοῦ τὴν ἔντευξιν, τί δὲ εἶπεν ὦ λυσανδρίδα λέγεις, οὐ γὰρ δήπου με τὴν πόλιν ὑμῖν ἀποδοῦναι κελεύσεις. καὶ ὁ λυσανδρίδας. αὐτὸ μὲν ἔφη λέγω καὶ συμβουλεύω μὴ διαφθεῖραι πόλιν τηλικαύτην. ἀλλ' ἐμπλῆσαι φίλων καὶ συμμάχων πιστῶν καὶ βεβαίων. ἀποδόντα μεγαλοπολίταις τὴν πατρίδα, καὶ σωτῆρα δήμου τοσούτου γενόμενον. μικρὸν οὖν ὁ κλεομένης διασιωπήσας, χαλεπὸν μὲν ἔφη ταῦτα τῷ πιστεῦσαι. νικάτω δὲ, τὸ πρὸς δόξαν ἀεὶ μᾶλλον, ἢ τὸ λυσιτελὲς παρ' ἡμῖν. καὶ ταῦτα εἰπὼν ἀπέστελλε τοὺς ἄνδρας εἰς μεσσήνην, καὶ κήρυκα παρ' ἑαυτοῦ τοῖς μεγαλοπολίταις ἀποδιδοὺς τὴν πόλιν, ἐπὶ τῷ συμμάχους εἶναι καὶ φίλους ἀποστάντας ἀχαιῶν. οὕτω δὲ τοῦ κλεομένους εὐγνώμονα καὶ φιλάνθρωπα προτείναντος, οὐκ εἴασε τοὺς μεγαλοπολίτας ὁ φιλοποίμην, ἐγκαταλιπεῖν τὴν πρὸς τοὺς ἀχαιοὺς πίστιν, ἀλλὰ κατηγορῶν τοῦ κλεομένους ὡς οὐ ζητοῦντος ἀποδοῦναι τὴν πόλιν, ἀλλὰ προσλαβεῖν τοὺς πολίτας, ἐξέβαλε τὸν θεαρίδαν καὶ τὸν λυσανδρίδαν, ἐκ τῆς μεσσήνης. οὗτος ἦν φιλοποίμην, ὁ πρωτεύσας ὕστερον ἀχαιῶν, καὶ μεγίστην κτησάμενος ἐν τοῖς ἕλλησι δόξαν, ὡς ἰδία περὶ αὐτοῦ γέγραπται. τούτων δὲ ἀπαγγελθέντων τῷ κλεομένει, τετηρηκὼς τὴν πόλιν ἄθικτον, καὶ ἀκέραιον, ὥστε μηδένα λαθεῖν μὴ δὲ τοὐλάχιστον λαβόντα, τότε παντάπασι τραχυνθεὶς καὶ ἀγανακτήσας, τὰ μὲν χρήματα διήρπασεν. ἀνδριάντας δὲ καὶ γραφὰς, ἀπέστειλεν εἰς σπάρτην. τῆς δὲ πόλεως, τὰ πλεῖστα καὶ μέγιστα μέρη κατασκάψας καὶ διαφθείρας, ἀνέζευξεν ἐπ' οἴκου. φοβούμενος τὸν ἀντίγονον καὶ τοὺς ἀχαιούς. ἐπράχθη δὲ οὐδὲν ἀπ' αὐτῶν. ἐτύγχανον μὲν γὰρ ἐν αἰγίῳ βουλὴν ἔχοντες, ἐπεὶ δὲ ἄρατος ἀναβὰς ἐπὶ τὸ βῆμα, πολὺν μὲν χρόνον ἔκλαιε τὴν χλαμύδα θέμενος πρὸς τοῦ προσώπου. θαυμαζόντων δὲ καὶ λέγειν κελευόντων, εἶπεν. ὅτι μεγάλη πόλις ἀπόλωλεν ὑπὸ κλεομένους, ἡ μὲν οὖν σύνοδος εὐθὺς διελύθη, τῶν ἀχαιῶν καταπλαγέντων τὴν ὀξύτητα καὶ τὸ μέγεθος τοῦ πάθους. ὁ δὲ ἀντίγονος ἐπιχειρήσας βοηθεῖν, εἶτα βραδέως αὐτῷ τῆς δυνάμεως ἐκ τῶν χειμαδίων ἀνισταμένης. ταύτην μὲν αὖθις ἐκέλευσε κατὰ χώραν μένειν. αὐτὸς δὲ παρῆλθεν εἰς ἄργος πολλοὺς ἔχων στρατιώτας μεθ' ἑαυτοῦ. διὸ καὶ τὸ δεύτερον ἐγχείρημα τοῦ κλεομένους, ἔδοξε μὲν, τετολμῆσθαι παραβόλως καὶ μανικῶς, ἐπράχθη δὲ μετὰ πολλῆς προνοίας, ὡς φησὶ πολύβιος. εἰδὼς γὰρ εἰς τὰ χειμάδια διεσπαρμένους κατὰ πόλιν ὡς φησὶ τοὺς μακεδόνας. καὶ τὸν ἀντίγονον οὐ πολλοὺς ἔχοντα μισθοφόρους ἐν ἄργει διαχειμάζοντα μετὰ τῶν φίλων, ἐνέβαλεν εἰς τὴν ἀργείαν. λογιζόμενος ἢ δι' αἰσχύνην τοῦ ἀντιγόνου παροξυνθέντος ἐπικρατήσειν. ἢ μὴ τολμήσαντα μάχεσθαι, διαβαλεῖν πρὸς τοὺς ἀργείους. ὃ καὶ συνέβη. διαφθειρομένης γὰρ τῆς χώρας ὑπ' αὐτοῦ. καὶ πάντων ἀγομένων, καὶ φερομένων, οἱ μὲν ἀργεῖοι δυσανασχετοῦντες, ἐπὶ τὰς θύρας ἀνεστρέφοντο τοῦ βασιλέως καὶ κατεβόων μάχεσθαι κελεύοντες, ἢ τοῖς κρείττοσιν ἐξίστασθαι τῆς ἡγεμονίας. ὁ δὲ ἀντίγονος, ὡς ἔδει στρατηγὸν ἔμφρονα τὸ κινδυνεῦσαι παραλόγως καὶ προέσθαι τὴν ἀσφάλειαν αἰσχρὸν, οὐ τὸ κακῶς ἀκοῦσαι παρὰ τοῖς ἐκτὸς ἡγούμενος, οὐ προῆλθεν, ἀλλ' ἐνέμενεν ἐν τοῖς αὐτοῦ λογισμοῖς.

ὁ δὲ κλεομένης ἄχρι τῶν τειχῶν τῷ στρατῷ προσελθὼν, καὶ καθυβρίσας καὶ διαλυμηνάμενος ἀδεῶς, ἀνεχώρησεν. ὀλίγῳ δὲ ὕστερον αὖθις εἰς τεγέαν ἀκούσας προϊέναι τὸν ἀντίγονον, ὡς ἐκεῖθεν εἰς τὴν λακωνικὴν ἐμβαλοῦντα, ταχὺ τοὺς στρατιώτας ἀναλαβὼν, καὶ καθ' ἑτέρας ὁδοὺς παραλλάξας, ἅμ' ἡμέρᾳ, πρὸς τῇ πόλει τῶν ἀργείων ἀνεφαίνη πορθῶν τὸ πεδίον. καὶ τὸν σῖτον, οὐ κείρων ὥσπερ οἱ λοιποὶ δρεπάναις καὶ μαχαίραις. ἀλλὰ κόπτων ξύλοις μεγάλοις εἰς σχῆμα ῥομφαίας ἀπειργασμένοις ὡς ἐπὶ παιδιᾷ χρωμένους ἐν τῷ πορεύεσθαι, σὺν μηδενὶ πόνῳ πάντα συγκατάξαι καὶ διαφθεῖραι τὸν καρπόν. ὡς μέντοι κατὰ τὴν κυλλάβαριν γενόμενοι τὸ γυμνάσιον ἐπεχείρουν προσφέρειν πῦρ, ἐκώλυσεν. ὡς καὶ τὴν περὶ μεγάλην πόλιν ὑπ' ὀργῆς μᾶλλον, ἢ καλῶς αὐτῷ πεπραγμένων. τοῦ δὲ ἀντιγόνου πρῶτον μὲν εὐθὺς εἰς ἄργος ἀναχωρήσαντος ἔπειτα τὰ ὄρη καὶ τὰς ὑπερβολὰς πάσας, φυλακαῖς καταλαβόντος, ἀμελεῖν καὶ καταφρονεῖν προσποιούμενος, ἔπεμψε κήρυκας τὰς κλεῖς ἀξιῶν τοῦ ἡραίου λαβεῖν, ὅπως ἀπαλλάττοιτο τῇ θεῷ θύσας. οὕτω δὲ παίξας καὶ κατειρωνευσάμενος. καὶ τῇ θεῷ θύσας ὑπὸ τὸν νεὼν κεκλεισμένον, ἀπήγαγεν εἰς φλιοῦντα τὸν στρατὸν, ἐκεῖθεν τοὺς φρουροῦντας τὸ ὀλόγουντον ἐξελάσας, κατέβη παρὰ τὸν ὀρχομενόν. οὐ μόνον τοῖς πολίταις φρόνημα καὶ θάρσος ἐμπεποιηκὼς, ἀλλὰ καὶ τοῖς πολεμίοις, ἀνὴρ ἡγεμονικὸς δοκῶν εἶναι. καὶ πραγμάτων μεγάλων ἄξιος. τὸ γὰρ ἐκ μιᾶς πόλεως ὁρμώμενον, ὁμοῦ τῇ μακεδόνων δυνάμει, καὶ πελοποννησίοις ἅπασι, καὶ χορηγίᾳ βασιλικῇ πολεμεῖν. καὶ μὴ μόνον ἄθικτον διαφυλάττοντα τὴν λακωνικὴν, ἀλλὰ καὶ χώραν κακῶς ποιοῦντα τὴν ἐκείνων, καὶ πόλεις

μιξε τοῖς ἔνδον, ἔτι πρὸς τοὺς ἀχαιοὺς ἀντέχουσι. καὶ τῶν ἐντὸς ἐνίας κλίμακας προσθεὶς κατέλαβε. καὶ τοὺς στενωποὺς ἐρήμους πολεμίων ἐποίησεν, τοῖς βέλεσι χρῆσθαι προστάξας τοὺς κρῆτας. ὡς δὲ κατεῖδε τὸν ἀντίγονον ἀπὸ τῶν ἄκρων εἰς τὸ πεδίον καταβαίνοντα μετὰ τῆς φάλαγγος, τοὺς δ' ἱππεῖς ἤδη ῥύδην ἐλαύνοντας εἰς τὴν πόλιν, ἀπέγνω κρατήσειν. καὶ συναγαγὼν ἅπαντας πρὸς αὑτόν, ἀσφαλῶς κατέβη, καὶ παρὰ τὸ τεῖχος ἀπηλλάττετο. μεγίστων μὲν ἐν ἐλαχίστῳ χρόνῳ πραγμάτων ἐπικρατήσας, καὶ μετὰ μικρὸν ὅλης ὁμοῦ τι μιᾶς περιόδῳ πελοποννήσου κύριος γενέσθαι δεήσας. ταχὺ δὲ αὖθις ἐκπεσὼν ἁπάντων. οἱ μὲν γὰρ εὐθὺς ἀπεχώρησαν αὐτοῦ τῶν στρατευομένων. οἱ δὲ, ὀλίγον ὕστερον τῷ ἀντιγόνῳ τὰς πόλεις παρέδωκαν. οὕτω δὲ αὐτῷ πεπραχότι κατὰ τὴν στρατείαν, καὶ ἀπαγαγόντι τὴν δύναμιν, ἑσπέρας ἤδη περὶ τεγέαν, ἀφίκοντό τινες ἐκ λακεδαίμονος, οὐκ ἐλάττονα τῆς ἐν χερσὶ δυστυχίας, ἀπαγγέλλοντες, τεθνάναι τὴν γυναῖκα. δι' ἣν οὐδὲ ταῖς πάνυ κατορθουμέναις ἐκεῖνος ἐνεκαρτέρει στρατείαις, ἀλλὰ συνεχῶς κατέβαινεν εἰς σπάρτην. ἐρῶν τῆς ἀγιάτιδος. καὶ περὶ πλείστου ποιούμενος ἐκείνην. ἐπλήγη μὲν οὖν, καὶ ἤλγησεν ὡς εἰκὸς ἦν νέον ἄνδρα, καλλίστης καὶ σωφρονεστάτης ἀφῃρημένον γυναικός. οὐ μὴν κατῄσχυνεν, οὐδὲ προήκατο τῷ πάθει, τὸ φρόνημα καὶ τὸ μέγεθος τῆς ψυχῆς. ἀλλὰ καὶ φωνὴν. καὶ σχῆμα. καὶ μορφὴν, ἐν ᾧ πρότερον εἶχεν ἤθει διαφυλάττων, τά τε προστάγματα τοῖς ἡγεμόσιν ἐδίδου. καὶ περὶ τῆς ἀσφαλείας τῶν τεγεατῶν, ἐφρόντιζεν. ἅμα δὲ ἡμέρᾳ, κατέβαινεν εἰς λακεδαίμονα. καὶ μετὰ τῆς μητρὸς οἴκοι, καὶ μετὰ τῶν παίδων ἀπαλγήσας τὸ πένθος, εὐθὺς ἦν ἐν τοῖς περὶ τῶν ὅλων λογισμοῖς. ἐπεὶ δὲ πτολεμαῖος ὁ τῆς αἰγύπτου βασιλεὺς ἐπαγγελλόμενος αὐτῷ βοήθειαν, ἠξίου λαβεῖν ὅμηρα τοὺς παῖδας καὶ τὴν μητέρα, χρόνον μέν τινα συχνὸν ᾐσχύνετο φράσαι τῇ μητρί. καὶ πολλάκις εἰσελθὼν καὶ πρὸς αὐτῷ γενόμενος τῷ λόγῳ κατεσιώπησεν. ὥστε κἀκείνην ὑπονοεῖν, καὶ παρὰ τῶν φίλων αὐτοῦ διαπυνθάνεσθαι, μή τι κατοκνεῖ βουλόμενος ἐντυχεῖν αὐτῇ. τέλος δὲ τοῦ κλεομένους ἀποτολμήσαντος εἰπεῖν. ἐξεγέλασέ τε μέγα. καὶ τοῦτ' ἦν εἰπεῖν, ὃ πολλάκις ὁρμήσας λέγειν ἀπεδειλίασας. οὐ θᾶττον ἡμᾶς ἐνθέμενος εἰς πλοῖον ἀποστελεῖς ὅπου ποτὲ τῇ σπάρτῃ νομίζεις τοῦτο τὸ σῶμα χρησιμώτατον ἔσεσθαι, πρὶν ὑπὸ γήρως αὐτοῦ καθήμενον διαλυθῆναι, πάντων οὖν ἑτοίμων γενομένων, ἀφίκοντο μὲν εἰς ταίναρον πεζῇ. καὶ προὔπεμπεν ἡ δύναμις αὐτοὺς ἐν τοῖς ὅπλοις. μέλλουσα δὲ τῆς νεὼς ἐπιβαίνειν ἡ κρατησίκλεια τὸν κλεομένην μόνον εἰς τὸν νεὼν τοῦ ποσειδῶνος ἀπήγαγε, καὶ περιβαλοῦσα καὶ κατασπασαμένη διαλγοῦντα καὶ συντεταραγμένον, ἄγε εἶπεν ὦ βασιλεῦ λακεδαιμονίων, ὅπως ἐπὰν ἔξω γενώμεθα, μηδεὶς ἴδῃ δακρύοντας ἡμᾶς. μηδὲ ἀνάξιόν τι τῆς σπάρτης ποιοῦντας. τοῦτο γὰρ ἐφ' ἡμῖν μόνον. αἱ τύχαι δὲ, ὅπως ἂν ὁ δαίμων διδῷ πάρεισι. ταῦτα δὲ εἰποῦσα καὶ καταστήσασα τὸ πρόσωπον, ἐπὶ τὴν ναῦν ἐχώρει τὸ παιδίον ἔχουσα. καὶ διὰ τάχους ἐκέλευσεν ἀπαίρειν τὸν κυβερνήτην. ἐπεὶ δὲ εἰς αἴγυπτον ἀφίκετο. καὶ τὸν πτολεμαῖον ἐπύθετο λόγους παρ' ἀντιγόνου καὶ πρεσβείας δεχόμενον. περὶ δὲ τοῦ κλεομένους ἤκουσεν ὅτι τῶν ἀχαιῶν προκαλουμένων αὐτὸν εἰς διαλύσεις, φοβοῖτο δι' ἐκείνην ἄνευ πτολεμαίου καταθέσθαι τὸν πόλεμον. ἐπέστειλεν αὐτῷ τὰ τῇ σπάρτῃ πρέποντα καὶ συμφέροντα πράττειν. καὶ μὴ διὰ μίαν γραῦν καὶ παιδάριον, ἀεὶ δεδιέναι πτολεμαῖον. αὕτη μὲν οὖν παρὰ τὰς τύχας τοιαύτη λέγεται γενέσθαι. τοῦ δὲ ἀντιγόνου τεγέαν μὲν παραλαβόντος. ὀρχομενὸν δὲ καὶ μαντίνειαν διαρπάσαντος, εἰς αὐτὴν τὴν λακωνικὴν συνεσταλμένος ὁ κλεομένης, τῶν μὲν εἱλώτων τοὺς πέντε μνᾶς ἀττικὰς καταβαλόντας, ἐλευθέρους ἐποίει. καὶ τάλαντα πεντακόσια συνέλεξε. δισχιλίους δὲ προσκαθοπλίσας μακεδονικῶς, ἀντίταγμα τοῖς παρ' ἀντιγόνου λευκάσπισιν, ἔργον ἐπὶ νοῦν βάλλεται μέγα, καὶ πᾶσιν ἀπροσδόκητον. ἡ μεγάλη πόλις ἦν μὲν τότε καὶ καθ' ἑαυτὴν, οὐδέν τι μείων, οὐδὲ ἀσθενεστέρα τῆς λακεδαίμονος. εἶχε δὲ καὶ τὴν ἀπὸ τῶν ἀχαιῶν καὶ τοῦ ἀντιγόνου βοήθειαν, ἐν πλευραῖς καθεζομένου, καὶ δοκοῦντος ὑπὸ τῶν ἀχαιῶν ἐπικεκλῆσθαι, μάλιστα τῶν μεγαλοπολιτῶν σπουδασάντων. ταύτην διαρπάσαι διανοηθεὶς ὁ κλεομένης, οὐ γὰρ ἔστιν ᾧ μᾶλλον ἔοικε τὸ ταχὺ καὶ ἀπροσδόκητον ἐκείνης τῆς πράξεως, ἡμερῶν πέντε σιτία λαβεῖν κελεύσας, ἐξῆγε τὴν δύναμιν ἐπὶ τὴν σελλασίαν, ὡς τὴν ἀργολικὴν κακουργήσων. ἐκεῖθεν δὲ καταβὰς ἐπὶ τὴν μεγαλοπολιτικὴν καὶ δεῖπνα ποιησάμενος περὶ τὸ ῥοίτιον, εὐθὺς ἐπορεύετο τὴν δι' ἑλικοῦντος ἐπὶ τὴν πόλιν. ἀπέχων δὲ οὐ πολὺ, παντέαν μὲν ἔχοντα δύο τάγματα τῶν λακεδαιμονίων ἀπέστειλε καταλαβέσθαι κελεύσας, μεσοπύργιον, ὃ τῶν τειχῶν ἐρημότατον εἶναι τοῖς μεγαλοπολίταις, ἐπυνθάνετο. τῇ δὲ ἄλλῃ δυνάμει σχολαίως ἐπηκολούθει. τοῦ δὲ παντέως, οὐ μόνον ἐκεῖνον τὸν τόπον, ἀλλὰ καὶ πολὺ μέρος ἐκείνου τοῦ τείχους, ἀφύλακτον εὑρόντος καὶ τὰ μὲν, καθαιροῦντος εὐθὺς, τὰ δὲ, διασκάπτοντος. τῶν δὲ φρουρῶν οἷς ἐνέτυχε πάντας ἀποκτείναντος, ἔφθασε προσμίξας ὁ κλεομένης. καὶ πρὶν αἰσθέσθαι τοὺς μεγαλοπολίτας, ἔνδον ἦν μετὰ τῆς δυνάμεως. φανεροῦ δὲ μόλις τοῦ κακοῦ γενομένου τοῖς κατὰ τὴν πόλιν, οἱ μὲν, εὐθὺς ὑπεξέπιπτον, ὅσα τυγχάνοι τῶν χρημάτων λαμβάνοντες. Οἱ δὲ, συνεστρέφοντο μετὰ τῶν ὅπλων. καὶ τοῖς πολεμίοις ἐνιστάμενοι καὶ προσβάλλοντες, ἐκείνους μὲν, οὐκ ἴσχυσαν ἐκκροῦσαι. τοῖς δὲ φεύγουσι τῶν πολιτῶν, ἀσφαλῶς ἀπελθεῖν, παρέσχον. ὥς

τε μὴ πλείονα

ἡ. τῷ τῆς δυνάμεως. ὅθεν ἐθαύμαζον τὴν ὀξύτητα, καὶ διάνοιαν τοῦ κλεομένους. καὶ πρότερον αὐτοῦ τὸν
σόλωνα καὶ τὸν λυκοῦργον ἀπομιμεῖσθαι φάσκοντος ἐν τῇ τῶν χρεῶν ἀφέσει, καὶ τῇ τῶν χρημά-
των ἐξισώσει καταγελῶντες, τότε παντελῶς ἐπείθοντο τοῦτ' αἴτιον εἶναι τῆς, περὶ τῶν σπαρτια-
τῶν μεταβολῆς. οὕτω γὰρ ἔπραττόν τε πρὶν ταπεινά, καὶ βοηθεῖν αὑτοῖς ἀδυνάτως εἶχον, ὥστε πέν-
τε μυριάδας ἀνδραπόδων ἐμβαλόντας εἰς τὴν λακωνικὴν αἰτωλοὺς, ἀπαγαγεῖν. ὅτε φασὶν εἰπεῖν
τινὰ τῶν πρεσβυτέρων σπαρτιατῶν, ὡς ὤνησαν οἱ πολέμιοι τὴν λακωνικὴν ἀποκουφίσαντες. ὀλί-
γου δὲ χρόνου διελθόντος, ἁψάμενοι μόνων τῶν πατρίων ἐθῶν, καὶ καταστάντες εἰς ἴχνος ἐκείνης τῆς. ἡ. [μόνου]
ἀγωγῆς, ὥσπερ παρόντι, καὶ συμπολιτευομένῳ τῷ λυκούργῳ, πολλὴν ἐπίδειξιν ἀνδρείας ἐποιοῦν-
το, καὶ πειθαρχίαν, τὴν τῆς ἑλλάδος ἀναλαμβάνοντες ἡγεμονίαν τὴν λακεδαίμονα, καὶ ἀνακτώμε- [τῇ λακεδαίμονι. τ. π. ς.]
νοι τὴν πελοπόννησον. ἑαλωκότος δὲ ἄργους, καὶ κατόπιν εὐθὺς προσθεμένων τῷ κλεομένει κλεωνῶν,
καὶ φλιοῦντος, ἐτύγχανε μὲν ὁ ἄρατος ἐν κορίνθῳ ποιούμενός τινα τῶν λεγομένων λακωνίζειν ἐξέτα-
σιν. ἀγγελίας δὲ περὶ τούτων προσπεσούσης, διαταραχθεὶς καὶ τὴν πόλιν ἀποκλίνουσαν αἰσθόμενος
πρὸς τὸν κλεομένην, καὶ τῶν ἀχαιῶν ἀπαλλαγῆναι βουλομένων, ἐκάλει μὲν εἰς τὸ βουλευτήριον τοὺς
πολίτας, ἔλαθε δὲ διολισθήσας ἄχρι τῆς πύλης. ἐκεῖ δὲ τοῦ ἵππου προσαχθέντος, ἀναβὰς, ἔφυ-
γεν εἰς σικυῶνα. τῶν δὲ κορινθίων ἁμιλλωμένων εἰς ἄργος τὸν κλεομένην, φησὶν ὁ ἄρατος τοὺς ἵππους [‸ πρὸς. κ. π. κ.]
πάντας ῥαγῆναι. τὸν δὲ κλεομένην μέμφεσθαι τοὺς κορινθίους μὴ συλλαβόντας αὐτόν, ἀλλ' ἐάσαντας
διαφυγεῖν. οὐ μὴν ἀλλὰ καὶ πρὸς αὐτὸν ἐλθεῖν μεγιστόνουν παρ' αὐτοῦ κλεομένους δεομένου παραλα-
βεῖν τὸν ἀκροκόρινθον. εἶχε γὰρ φρουρὰν ἀχαιῶν. καὶ πολλὰ χρήματα διδόντος. ἀποκρίνασθαι δὲ αὐ-
τόν, ὡς οὐκ ἔχει τὰ πράγματα, μᾶλλον δὲ ὑπὸ τῶν πραγμάτων αὐτὸς ἔχεται. ταῦτα μὲν ὁ ἄρα-
τος γέγραφεν. ὁ δὲ κλεομένης ἐκ τοῦ ἄργους ἐπελθὼν, καὶ προσαγαγόμενος τροιζηνίους. ἐπιδαυρίους.
ἑρμιονέας, ἧκεν εἰς κόρινθον. καὶ τὴν μὲν ἄκραν περιεχαράκωσε, τῶν ἀχαιῶν οὐ βουλομένων ἐκλι-
πεῖν. τοῦ δὲ ἀράτου τοὺς φίλους καὶ τοὺς ἐπιτρόπους μεταπεμψάμενος, ἐκέλευσε τὴν οἰκίαν καὶ τὰ χρή-
ματα λαβόντας, φυλάττειν καὶ διοικεῖν, τριτύμαλλον δὲ, πάλιν τὸν μεσσήνιον, ἀπέστειλε πρὸς αὐτόν,
ἀξιῶν ὑπὸ τῶν ἀχαιῶν, καὶ τῶν λακεδαιμονίων, ὁμοῦ φυλάττεσθαι τὸν ἀκροκόρινθον. ἰδίᾳ δὲ τῷ
ἀράτῳ διπλῆν ἐπαγγελλόμενος τὴν σύνταξιν ἧς ἐλάμβανε παρὰ πτολεμαίου τοῦ βασιλέως. ἐπεὶ
δὲ ὁ ἄρατος οὐχ ὑπήκουσεν, ἀλλὰ τόν τε υἱὸν ἔπεμψε πρὸς τὸν ἀντίγονον μετὰ τῶν ἄλλων ὁμήρων. καὶ
ψηφίσασθαι τοὺς ἀχαιοὺς ἔπεισεν ἀντιγόνῳ παραδιδόναι τὸν ἀκροκόρινθον. οὕτως ὁ κλεομένης τήν
τε σικυωνίαν ἐμβαλὼν ἐπόρθησε. καὶ τὰ χρήματα τοῦ ἀράτου τῶν κορινθίων αὐτῷ ψηφισαμένων,
δωρεὰν ἔλαβε. τοῦ δὲ ἀντιγόνου μετὰ πολλῆς δυνάμεως τὴν γερανίαν ὑπερβάλλοντος, οὐκ ᾤετο δεῖν
τὸν ἰσθμόν. ἀλλὰ τὰ ὄνεια χαρακώσας, καὶ τειχίσας φυλάττειν. καὶ τοπομαχῶν ἀποτρίβεσθαι τοὺς
μακεδόνας μᾶλλον, ἢ συμπλέκεσθαι πρὸς φάλαγγα συνησκημένην. καὶ τούτοις χρώμενος τοῖς λο-
γισμοῖς, εἰς ἀπορίαν κατέστησε τὸν ἀντίγονον. οὔτε γὰρ σῖτον εἶχεν ἐκ παρασκευῆς ἱκανόν, οὔτε βιάσασθαι
τὴν πάροδον καθημένου τοῦ κλεομένους ἦν ῥᾴδιον. ἐπιχειρήσας δὲ παραδύεσθαι διὰ τοῦ λεχαίου
νυκτὸς, ἐξέπεσε. καί τινας ἀπέβαλε τῶν στρατιωτῶν ὥστε παντάπασι θαρρῆσαι τὸν κλεομένην καὶ
τοὺς περὶ αὐτὸν ἐπηρμένους τῇ νίκῃ, τρέπεσθαι πρὸς τὸ δεῖπνον. ἀθυμεῖν δὲ τὸν ἀντίγονον εἰς οὐκ εὐπό-
ρους κατακλειόμενον ὑπὸ τῆς ἀνάγκης λογισμούς. ἐβούλετο γὰρ ἐπὶ τὴν ἄκραν ἀναζευγνύναι τὸ [ἐβουλεύετο. π. τ. κ.]
ἡραῖον. κἀκεῖθεν εἰς σικυῶνα πλοίοις περαιῶσαι τὴν δύναμιν. ὃ καὶ χρόνου πολλοῦ καὶ παρασκευῆς
ἦν οὐ τῆς τυχούσης. ἤδη δὲ πρὸς ἑσπέραν, ἧκον ἐξ ἄργους, κατὰ θάλατταν ἄνδρες, ἀράτου φίλοι κα-
λοῦντες αὐτόν, ὡς ἀφισταμένων τῶν ἀργείων τοῦ κλεομένους. ὁ δὲ πράττων ἦν τὴν ἀπόστασιν, ἀριστοτέ-
λης. καὶ τὸ πλῆθος οὐ χαλεπῶς ἔπεισεν ἀγανακτοῦν, ὅτι χρεῶν ἀποκοπὰς οὐκ ἐποίησεν αὐτοῖς ὁ
κλεομένης ἐλπίσασιν. λαβὼν οὖν ὁ ἄρατος παρ' ἀντιγόνου στρατιώτας χιλίους, καὶ πεντακοσίους, πα-
ρέπλευσεν εἰς ἐπίδαυρον. ὁ δὲ ἀριστοτέλης ἐκεῖνον οὐ περιμείνας, ἀλλὰ τοὺς πολίτας παραλαβὼν, προ-
σεμάχετο τοῖς φρουροῦσι τὴν ἀκρόπολιν. καὶ παρῆν αὐτῷ τιμόξενος μετὰ τῶν ἀχαιῶν ἐκ σικυῶνος
βοηθῶν. ταῦτα περὶ δευτέραν φυλακὴν τῆς νυκτὸς, ἀκούσας ὁ κλεομένης, μετεπέμψατο μεγιστό-
νουν. καὶ πρὸς ὀργὴν ἐκέλευσεν εὐθὺς εἰς ἄργος βοηθεῖν. ὁ γὰρ ὑπὲρ τῶν ἀργείων μάλιστα καταπιστω-
σάμενος πρὸς αὐτὸν, ἐκεῖνος ἦν. καὶ διεκώλυσεν ἐκβαλεῖν τοὺς ὑπόπτους. ἀπολύσας οὖν τὸν μεγιστόνουν
μετὰ δισχιλίων στρατιωτῶν, αὐτὸς προσεῖχε τῷ ἀντιγόνῳ. καὶ τοὺς κορινθίους παρεθάρρυνεν, ὡς οὐδενὸς
μεγάλου περὶ τὸ ἄργος, ἀλλὰ ταραχῆς τινὸς, ἀπ' ἀνθρώπων ὀλίγων γεγενημένης. ἐπεὶ δὲ ὁ μεγιστόνους
τε παρεισπεσὼν εἰς τὸ ἄργος ἀνῃρέθη μαχόμενος. καὶ μόγις ἀντεῖχον οἱ φρουροὶ καὶ διεπέμποντο συ-
χνοὺς πρὸς τὸν κλεομένην, φοβηθεὶς μὴ τοῦ ἄργους οἱ πολέμιοι κρατήσαντες. καὶ τὰς παρόδους ἀ-
ποκλείσαντες, αὐτοὶ πορθῶσιν ἀδεῶς τὴν λακωνικὴν, καὶ πολιορκῶσι τὴν σπάρτην, ἔρημον οὖσαν, ἀ-
πῆγεν ἐκ κορίνθου τὸ στράτευμα. καὶ ταύτης μὲν εὐθὺς ἐστέρητο τῆς πόλεως, εἰσελθόντας ἀντιγόνου καὶ [τὸν]
φρουρὰν καταστήσαντος. ἐπιβαλὼν δὲ τῷ ἄργει κατὰ τὸ τεῖχος, ἐπεχείρησε μὲν εἰσάλλεσθαι. καὶ συνέ- [ἰσάλλεσθαι. π. τ. κ.]
στρεψεν ἐκ τῆς πορείας τὴν δύναμιν. ἐκκόψας δὲ τὰς ὑπὸ τὴν ἀσπίδα ψαλίδας, ἀνέβη καὶ συνέ-

χαιοῖς ἔδοξε πρέσβεσιν ἐπὶ ταῦτ' ἦλθεν. ἑτέρους δὲ πέμπων, ἐκέλευεν αὐτῷ παραδιδόναι τὴν ἡγεμονίαν, ὡς τἆλλα μὴ διοισόμενος πρὸς αὐτούς, ἀλλὰ καὶ τοὺς αἰχμαλώτους εὐθὺς ἀποδώσων καὶ τὰ χωρία. βουλομένων δὲ τῶν ἀχαιῶν, ἐπὶ τούτοις δέχεσθαι τὰς διαλύσεις, καὶ τὸν κλεομένη καλούντων εἰς λέρναν, ὅπου τὴν ἐκκλησίαν ἔμελλον ἔχειν, ἔτυχε τὸν κλεομένη συντόνως ὁδεύσαντα, καὶ χρησάμενον παρὰ καιρὸν ὑδροποσίᾳ, αἵματος πλῆθος ἀνεμέσαι, καὶ τὴν φωνὴν ἀποκοπῆναι. διὸ τῶν μὲν αἰχμαλώτων, ἀπέπεμψε τοῖς ἀχαιοῖς τοὺς ἐπιφανεστάτους, τὸν δὲ σύλλογον ὑπερθέμενος, ἀνεχώρησεν εἰς λακεδαίμονα. τοῦτο διελυμήνατο τὰ πράγματα τῆς ἑλλάδος. ἄλλως τέ πως ἐκ τῶν παρόντων ἀναλαβεῖν αὐτὴν ἔτι, καὶ διαφυγεῖν τὴν μακεδόνων ὕβριν καὶ πλεονεξίαν δυναμένην. ὁ γὰρ ἄρατος, εἴτε ἀπιστίᾳ καὶ φόβῳ τοῦ κλεομένους, εἴτε φθονῶν εὐτυχοῦντι παρ' ἐλπίδας. καὶ νομίζων ἔτη τρία καὶ τριάκοντα πρωτεύοντος αὐτοῦ, δεινὸν εἶναι τὴν δόξαν ἅμα καὶ τὴν δύναμιν ἐπιφύντα νέον ἄνθρωπον καθελεῖν, καὶ παραλαβεῖν πραγμάτων ηὐξημένων ὑπ' αὐτοῦ καὶ κεκρατημένων χρόνον τοσοῦτον ἀρχήν, πρῶτον μὲν ἐπειρᾶτο τοὺς ἀχαιοὺς παραβιάζεσθαι καὶ διακωλύειν. ὡς δ' οὐ προσεῖχον αὐτῷ τοῦ κλεομένους ἐκπεπληγμένοι τὸ θράσος, ἀλλὰ καὶ δικαίαν ἐποιοῦντο τὴν ἀξίωσιν τῶν λακεδαιμονίων εἰς τὸ πάτριον σχῆμα κοσμούντων τὴν πελοπόννησον, τρέπεται πρὸς ἔργον, οὐδενὶ μὲν τῶν ἑλλήνων προσῆκον. αἴσχιστον δ' ἐκείνῳ καὶ τῶν πεπραγμένων ὑπ' αὐτοῦ καὶ πεπολιτευμένων ἀναξιώτατον, ἀντίγονον ἐπὶ τὴν ἑλλάδα καλεῖν. καὶ μακεδόνων ἐμπιπλάναι τὴν πελοπόννησον. οὓς αὐτὸς ἐκ πελοποννήσου μειράκιον ὤν, ἐξήλασεν, ἐλευθερώσας τὸν ἀκροκόρινθον. καὶ πᾶσι μὲν τοῖς βασιλεῦσιν, ὕποπτος καὶ διάφορος γενόμενος, τουτονὶ δὲ αὐτὸν ἀντίγονον εἰρηκὼς κακὰ μυρία, δι' ὧν ἀπολέλοιπεν ὑπομνημάτων. καίτοι πολλὰ παθεῖν, καὶ παραβαλέσθαι φησὶν αὐτὸς ὑπὲρ ἀθηναίων, ὅπως ἡ πόλις ἀπαλλαγείη φρουρᾶς καὶ μακεδόνων, εἶτα τούτους ἐπὶ τὴν πατρίδα καὶ τὴν ἑστίαν τὴν ἑαυτοῦ μεθ' ὅπλων εἰσήγαγεν, ἄχρι τῆς γυναικωνίτιδος. τὸν δὲ ἀφ' ἡρακλέους γεγονότα καὶ βασιλεύοντα σπαρτιατῶν. καὶ τὴν πάτριον πολιτείαν ὥσπερ ἁρμονίαν ἐκλελυμένην ἀνακρουόμενον, αὖθις ἐπὶ τὸν σώφρονα καὶ δώριον ἐκεῖνον τοῦ λυκούργου νόμον καὶ βίον, οὐκ ἠξίου σικυωνίων ἡγεμόνα, καὶ τριταιέων γράφεσθαι. φεύγων δὲ τὴν μᾶζαν καὶ τὸν τρίβωνα. καὶ τὸ δεινότατον ὧν κατηγόρει κλεομένους, ἀναίρεσιν πλούτου καὶ πενίας ἐπανόρθωσιν. διαδήματι καὶ πορφύρᾳ. καὶ μακεδονικοῖς, καὶ σατραπικοῖς προστάγμασιν ὑπέρριψε μετὰ τῆς ἀχαΐας αὑτόν, ἵνα μὴ κλεομένει ποιεῖν δοκῇ τὸ προστασσόμενον, ἀντιγόνεια θύων καὶ παιᾶνας ᾄδων αὐτὸς ἐστεφανωμένος, εἰς ἄνθρωπον ὑπὸ φθόης κατασηπόμενον. ἀλλὰ ταῦτα μὲν οὐκ ἀράτου κατηγορεῖν βουλόμενοι γράφομεν. πολλοῖς γὰρ ὁ ἀνὴρ οὗτος ἑλληνικὸς γέγονε καὶ μέγας. οἰκτείροντες δὲ τῆς ἀνθρωπίνης φύσεως τὴν ἀσθένειαν, εἰ μηδ' ἐν ἤθεσιν οὕτως ἀξιολόγοις, καὶ διαφόροις πρὸς ἀρετὴν ἐκφέρειν δύναται τὸ καλὸν ἀνεμέσητον. ἐλθόντων δὲ ἀχαιῶν εἰς ἄργος αὖθις ἐπὶ τὸν σύλλογον. καὶ τοῦ κλεομένους ἐκ τεγέας καταβεβηκότος. ἐλπὶς ἦν πολλὴ τῶν ἀνθρώπων, ἔσεσθαι τὴν διάλυσιν. ὁ δὲ ἄρατος ἤδη διωμολογημένων αὐτῷ πρὸς τὸν ἀντίγονον τῶν μεγίστων, φοβούμενος τὸν κλεομένη μὴ πάντα διαπράξηται καθομιλήσας τὸ πλῆθος, ἢ καὶ βιασάμενος, ἠξίου λαβόντα τριακοσίους ὁμήρους, μόνον εἰσιέναι πρὸς αὐτούς, ἢ κατὰ γυμνάσιον ἔξωθεν τὸ κυλλαράβιον προσελθόντα μετὰ τῆς δυνάμεως διαλέγεσθαι. ταῦτα ἀκούσας ὁ κλεομένης, ἄδικα πάσχειν ἔφασκε. δεῖν γὰρ εὐθὺς αὐτῷ τότε προειπεῖν. οὐ νῦν ἥκοντος ἐπὶ τὰς θύρας τὰς ἐκείνων, ἀπιστεῖν καὶ ἀπελαύνειν. καὶ γράψας δὲ περὶ τούτων ἐπιστολὴν πρὸς τοὺς ἀχαιούς, ἧς ἦν τὸ πλεῖστον κατηγορία ἀράτου. πολλὰ δὲ καὶ τοῦ ἀράτου λοιδορήσαντος αὐτὸν πρὸς τὸ πλῆθος, ἀνέζευξε διὰ ταχέων. καὶ κήρυκα πόλεμον προεροῦντα τοῖς ἀχαιοῖς ἔπεμψεν. οὐκ εἰς ἄργος. ἀλλ' εἰς αἴγιον, ὥς φησιν ἄρατος. ὅπως φθάσῃ τὴν παρασκευὴν αὐτῶν. ἐγεγόνει δὲ κίνημα τῶν ἀχαιῶν, καὶ πρὸς ἀπόστασιν ὥρμησαν αἱ πόλεις. τῶν μὲν δήμων, νομὴν τῆς χώρας καὶ χρεῶν ἀποκοπὰς ἐλπισάντων. τῶν δὲ πρώτων πολλαχοῦ βαρυνομένων τὸν ἄρατον. ἐνίων δὲ καὶ δι' ὀργῆς ἐχόντων, ὡς ἐπάγοντα τῇ πελοποννήσῳ μακεδόνας. διὸ τούτοις ἐπαρθεὶς ὁ κλεομένης, εἰς ἀχαΐαν ἐνέβαλε. καὶ πρῶτον μὲν εἷλε πελλήνην ἐξαπίνης ἐπιπεσών, καὶ τοὺς φρουροῦντας ἐξέβαλε μετὰ τῶν ἀχαιῶν. μετὰ δὲ ταῦτα φενεὸν προσηγάγετο, καὶ πεντέλειον. ἐπεὶ δὲ φοβηθέντες οἱ ἀχαιοὶ προδοσίαν τινὰ πραττομένην ἐν κορίνθῳ καὶ σικυῶνι, τοὺς ἱππεῖς καὶ τοὺς ξένους ἀπέστειλαν ἐξ ἄργους ἐκεῖ παραφυλάξοντας. αὐτοὶ δὲ τὰ νέμεια καταβάντες εἰς ἄργος, ἦγον. ἐλπίσας ὅπερ ἦν ὁ κλεομένης, ὄχλου πανηγυρικοῦ, καὶ θεατῶν τὴν πόλιν γέμουσαν, ἀπροσδοκήτως ἐπελθὼν μᾶλλον ταράξειν, νυκτὸς ἦγε πρὸς τὰ τείχη τὸ στράτευμα. καὶ τὸν περὶ τὴν ἀσπίδα χῶρον καταλαβών, ὑπὲρ τοῦ θεάτρου χαλεπὸν ὄντα καὶ δυσπρόσοδον, οὕτως τοὺς ἀνθρώπους ἐξέπληξεν, ὥστε μηδένα τρέπεσθαι πρὸς ἀλκήν. ἀλλὰ καὶ φρουρὰν λαβεῖν, καὶ δοῦναι τῶν πολιτῶν ὁμήρους εἴκοσι καὶ γενέσθαι συμμάχους λακεδαιμονίων ἔχοντος ἐκείνου τὴν ἡγεμονίαν. οὐ μικρὸν οὖν τοῦτο καὶ πρὸς δόξαν αὐτῷ καὶ δύναμιν ὑπῆρχεν. οὔτε γὰρ οἱ πάλαι βασιλεῖς λακεδαιμονίων πολλὰ πραγματευσάμενοι, προσαγαγέσθαι τὸ ἄργος βεβαίως ἠδυνήθησαν. ὅ τε δεινότατος τῶν στρατηγῶν πύρρος εἰσελθὼν καὶ βιασάμενος, οὐ κατέσχε τὴν πόλιν, ἀλλ' ἀπέθανε. καὶ πολὺ συνδιεφθάρη μέρος αὐ-

προσήκοντα τῶν τε γυμνασίων, καὶ τῶν συσσιτίων κόσμον ἀναλαμβανομένων, καὶ συστελλομένων, ὀλί- ἀναλαμβανόντων π. τ. κ.
γων μὲν, ὑπ' ἀνάγκης, ἑκουσίως δὲ τῶν πλείστων εἰς τὴν εὐτελῆ, καὶ λακωνικὴν ἐκείνην δίαιταν. ὅμως
δὲ τὸ τῆς μοναρχίας ὄνομα παραμυθούμενος, ἀπέδειξε μεθ' ἑαυτοῦ βασιλέα, τὸν ἀδελφὸν εὐκλείδαν.
καὶ τότε μόνον σπαρτιάταις ἐκ μιᾶς οἰκίας συνέβη, δύο σχεῖν βασιλέας. αἰσθόμενος δὲ τοὺς ἀχαιοὺς,
καὶ τὸν ἄρατον ὡς ἐπισφαλῶς αὐτῷ τῶν πραγμάτων ἐχόντων διὰ τὸν νεωτερισμὸν, οὐκ ἂν οἰομένους
προελθεῖν ἔξω τῆς λακεδαίμονος, οὔτε ἀπολιπεῖν μετέωρον ἐν κινήματι τηλικούτῳ τὴν πόλιν, οὐκ
ἀγεννὲς οὐδὲ ἄχρηστον ἡγήσατο τὴν ἐπιθυμίαν, καὶ προθυμίαν τοῦ στρατεύματος ἐπιδεῖξαι τοῖς πολε-
μίοις. ἐμβαλὼν οὖν εἰς τὴν μεγαλοπολιτικὴν, ὠφελείας τε μεγάλας ἤθροισε, καὶ φθορὰν πολλὴν
ἀπειργάσατο τῆς χώρας. τέλος δὲ τοὺς περὶ τὸν διόνυσον τεχνίτας ἐκ μεσσήνης διαπορευομένους λα-
βὼν, καὶ πηξάμενος θέατρον ἐν τῇ πολεμίᾳ, καὶ προθεὶς ἀπὸ τετταράκοντα μνῶν ἀγῶνα μίαν ἡμέραν,
ἐθεᾶτο καθήμενος, οὐ δεόμενος θέας, ἀλλ' οἷον ἐντρυφῶν τοῖς πολεμίοις, καὶ περιουσίαν τινὰ τοῦ κρατεῖν
πολὺ, τῷ καταφρονεῖν ἐπιδεικνύμενος. ἐπεὶ ἄλλως γε τῶν ἑλληνικῶν, καὶ βασιλικῶν στρατευμάτων
ἐκεῖνο μόνον οὐ μίμους, παρακολουθοῦντας εἶχεν, οὐ θαυματοποιούς. οὐκ ὀρχηστρίδας. οὐ ψαλτρίας,
ἀλλὰ πάσης ἀκολασίας, καὶ βωμολοχίας, καὶ πανηγυρισμοῦ καθαρὸν ἦν. τὰ μὲν πολλὰ μελετόν-
των τῶν νέων καὶ τῶν πρεσβυτέρων διδασκόντων. τάς τε παιδιὰς ὁπότε σχολάζοι, ἐν ταῖς συνήθε- σχολάζοιεν τ. κ. ς.
σιν εὐτραπελίαις καὶ τὸ λέγειν τι χάριεν, καὶ λακωνικὸν πρὸς ἀλλήλους διατιθεμένων, ἣν δὲ ἔχει τὸ τοιοῦ- τὸ ἴσως
τον τῆς παιδιᾶς εἶδος ὠφέλειαν, ἐν τῷ λυκούργου βίῳ γέγραπται. πάντων δὲ αὐτὸς ἐγίγνετο διδά-
σκαλος, εὐτελῆ καὶ ἀφελῆ καὶ φορτικὸν οὐδὲν οὐδὲ ὑπὲρ τοὺς πολλοὺς ἔχοντα τὸν ἑαυτοῦ βίον, ὥσ-
περ παράδειγμα σωφροσύνης ἐν μέσῳ θέμενος. ὃ καὶ πρὸς τὰς ἑλληνικὰς πράξεις, ῥοπήν τινα πα-
ρεῖχεν αὐτῷ. τοῖς μὲν γὰρ ἄλλοις ἐντυγχάνοντες οἱ ἄνθρωποι βασιλεῦσιν, οὐχ οὕτω κατεπλήττοντο
τοὺς πλούτους καὶ τὰς πολυτελείας, ὡς ἐβδελύττοντο τὴν ὑπεροψίαν αὐτῶν, καὶ τὸν ὄγκον, ἐπαχθῶς
καὶ τραχέως προσφερομένων τοῖς ἐντυγχάνουσι. πρὸς δὲ κλεομένη βαδίζοντες, ὄντα τε δὴ βασιλέα π. κ. τ.
καὶ καλούμενον, εἶτα ὁρῶντες οὐ πορφύρας τινὰς οὐδὲ χλαίνας περὶ αὐτόν. οὐδὲ κλινιδίων καὶ φο-
ρείων κατασκευὰς, οὐδ' ὑπ' ἀγγέλων ὄχλου καὶ θυρωρῶν, ἢ διὰ γραμματέων χρηματίζοντα χαλεπῶς γραμματείων κ.
καὶ μόλις. ἀλλ' αὐτὸν ἐν ἱματίῳ τυχόντι πρὸς τὰς δεξιώσεις ἀπαντῶντα καὶ διαλεγόμενον καὶ σχολά-
ζοντα τοῖς χρῄζουσιν ἱλαρῶς καὶ φιλανθρώπως, ἐκηλοῦντο καὶ κατεδημαγωγοῦντο, καὶ μόνον ἀφ' ἡρα-
κλέους ἐκεῖνον ἔφασκον γεγονέναι. τῶν δὲ δείπνων αὐτοῦ, τὸ μὲν καθημερινὸν, ἦν ἐν τρικλίνῳ, σφόδρα
συνεσταλμένον καὶ λακωνικόν. εἰ δὲ πρέσβεις ἢ ξένους δέχοιτο, δύο μὲν ἄλλαι προσπαρεβάλλοντο κλί-
ναι. μικρῷ δὲ μᾶλλον οἱ ὑπηρέται τὴν τράπεζαν ἐπελάμπρυνον. οὐ καρυκείαις τισὶν, οὐδὲ πέμμασιν,
ἀλλ' ὥστε ἀφθονωτέρας εἶναι τὰς παραθέσεις, καὶ φιλανθρωπότερον τὸν οἶνον. καὶ γὰρ ἐπετίμησέ τινι
τῶν φίλων ἀκούσας, ὅτι ξένους ἑστιῶν, ζωμὸν αὐτοῖς μέλανα. καὶ μᾶζαν ὥσπερ ἔθος ἦν ἐν τοῖς φιδι-
τίοις, παρέθηκεν. οὐ γὰρ ἔφη δεῖν ἐν τούτοις. οὐδὲ πρὸς τοὺς ξένους λίαν ἀκριβῶς λακωνίζειν. ἐπαρ-
θείσης δὲ τῆς τραπέζης, εἰσεκομίζετο τρίπους, κρατῆρα χαλκοῦν ἔχων οἴνου μεστὸν, καὶ φιάλας ἀργυ-
ρᾶς δικοτύλους δύο. καὶ ποτήρια τῶν ἀργυρῶν ὀλίγα παντάπασιν, ἐξ ὧν ἔπινεν ὁ βουλόμενος. ἄκον-
τι δὲ οὐδεὶς τὸ ποτήριον προσέφερεν. ἀκρόαμα δὲ οὔτ' ἦν, οὔτε ἐπεζητεῖτο. ἐπαιδαγώγει γὰρ αὐτὸς ὁμιλίᾳ
τὸν πότον. τὰ μὲν, ἐρωτῶν. τὰ δὲ, διηγούμενος. οὔτε τὴν σπουδὴν ἀηδῆ τῶν λόγων, τήν τε παιδιὰν, ἐπίχα-
ριν καὶ ἀσόλοικον ἐχόντων. ἃς μὲν γὰρ οἱ λοιποὶ τῶν βασιλέων ἐπὶ τοὺς ἀνθρώπους θήρας ἐποιοῦντο,
χρήμασι καὶ δωρεαῖς δελεάζοντες αὐτοὺς καὶ διαφθείροντες, ἀτέχνους καὶ ἀδίκους ἐνόμιζεν εἶναι. τὸ δὲ
ὁμιλίᾳ καὶ λόγῳ χάριν ἔχοντι καὶ πίστιν οἰκειοῦσθαι καὶ προσάγεσθαι τοὺς ἐντυγχάνοντας, ἐφαίνετο
κάλλιστον αὐτῷ καὶ βασιλικώτατον. ὡς οὐδενὶ φίλου διαφέροντα μισθωτὸν, ἢ τῷ, τὸν μὲν, ἤθει καὶ λό-
γῳ. τὸν δὲ, ὑπὸ χρημάτων ἁλίσκεσθαι. πρῶτον μὲν οὖν οἱ μαντινεῖς αὐτὸν ἐπηγάγοντο. καὶ νύκτωρ εἰς τὴν
πόλιν παρεισπεσόντες, τὴν φρουρὰν τῶν ἀχαιῶν συνεκβαλόντες ἐνεχείρισαν αὐτούς. ὁ δὲ, καὶ τοὺς νό- παρεισπεσόντι τ. κ. ς.
μους, καὶ τὴν πολιτείαν αὐτοῖς ἀποδοὺς, αὐθημερὸν ἀπῆλθεν εἰς τέγεαν. ὀλίγῳ δ' ὕστερον ἐκπεριελ-
θὼν δι' ἀρκαδίας, κατέβαινεν ἐπὶ τὰς ἀχαϊκὰς φεράς. βουλόμενος ἢ μάχην θέσθαι πρὸς τοὺς ἀχαιοὺς,
ἢ διαβάλλειν τὸν ἄρατον ὡς ἀποδιδράσκοντα καὶ προϊέμενον αὐτῷ τὴν χώραν. ἐστρατήγει μὲν γὰρ ὑπερ-
βατᾶς τότε. τοῦ δὲ ἀράτου, τὸ πᾶν ἦν κράτος ἐν τοῖς ἀχαιοῖς, ἐξελθόντων δὲ πανδημεὶ τῶν ἀχαιῶν
καὶ στρατοπεδευσαμένων ἐν δυμαίαις περὶ τὸ ἑκατόμβαιον, ἐπελθὼν ὁ κλεομένης, ἔδοξε μὲν οὐ κα- δύμαις π. τ. ς.
λῶς ἐν μέσῳ τῆς τε δυμαίων πόλεως πολεμίας οὔσης, καὶ τοῦ στρατεύματος τῶν ἀχαιῶν αὐλίσα-
σθαι. τολμηρῶς δὲ προσκαλούμενος τοὺς ἀχαιοὺς, ἠνάγκασε συμβαλεῖν, καὶ νικήσας κατὰ κράτος,
καὶ τρεψάμενος τὴν φάλαγγα, πολλοὺς μὲν ἐν τῇ μάχῃ διέφθειρεν αὐτῶν. πολλῶν δὲ καὶ ζώντων ἐκυρί-
ευσεν. ἐπελθὼν δὲ λάγγωνι. καὶ τῶν ἀχαιῶν τοὺς φρουροῦντας ἐξελάσας, ἀπέδωκεν ἠλείοις τὴν πόλιν,
οὕτω δὲ συντετριμμένοις τοῖς ἀχαιοῖς, ὁ μὲν ἄρατος εἰωθὼς παρ' ἐνιαυτὸν ἀεὶ στρατηγεῖν, ἀπείπα-
το τὴν ἀρχὴν καὶ παρῃτήσατο, καλούντων καὶ δεομένων, οὐ καλῶς. οἷον ἐν χειμῶνι πραγμάτων μεί-
ζονι, μεθεὶς ἑτέρῳ τὸν οἴακα. καὶ προέμενος τὴν ἐξουσίαν. ὁ δὲ κλεομένης πρῶτον μὲν μέτρια τοῖς ἀ-

μὴν, καὶ πρὸς ὀλίγ χρόνον. ὡς περὶ τὸ δεῖπνον οὖσι τοῖς ἐφόροις ἐπιπέσοι. γενόμενος δὲ τῆς πόλεως ἐγγὺς, εὐρυκλείδαν μὲν, εἰς τὸ τῶν ἐφόρων συσσίτιον ἀπέστειλεν, ὡς τινὰ παρ' αὐτοῦ λόγον ἀπὸ στρατείας κομίζοντα. θηρικίων δὲ καὶ φοῖβις, καὶ δύο τῶν συντρόφων τοῦ κλεομένους οὓς σαμοθρᾶκας καλοῦσιν, ἐπηκολούθουν, στρατιώτας ὀλίγους ἔχοντες. ἔτι δὲ τοῦ εὐρυκλείδα διαλεγομένου τοῖς ἐφόροις, ἐπιδραμόντες ἐσπασμέναις ταῖς μαχαίραις, ἔπαιον αὐτούς. ὁ μὲν οὖν πρῶτος ἀγύλαιος ὡς ἐπλήγη πεσὼν, καὶ τεθνάναι δόξας, ἀτρέμα συναγαγὼν καὶ παρέλκων ἑαυτὸν ἐκ τοῦ οἰκήματος, ἔλαθεν εἴς τι δωμάτιον εἰσερπύσας μικρὸν, ὃ φόβου μὲν ἦν ἱερὸν ἄλλως δὲ κεκλεισμένον ἀεὶ, τότε δὲ ἐκ τύχης ἀνεῳγμένον ἐτύγχανεν. εἰς τοῦτο δὲ συνενεγκὼν ἑαυτὸν, ἀπέκλεισε τὸ θύριον. οἱ δὲ τέσσαρες ἀνῃρέθησαν. καὶ τῶν ἐπιβοηθούντων αὐτοῖς πλείονες ἢ δέκα. τοὺς γὰρ ἡσυχίαν ἄγοντας οὐκ ἔκτεινον. οὐδὲ τοὺς ἀπιόντας ἐκ τῆς πόλεως ἐκώλυον. ἐφείσαντο δὲ καὶ τοῦ ἀγυλαίου μεθ' ἡμέραν ἐκ τοῦ ἱεροῦ προελθόντος. ἔστι δὲ λακεδαιμονίοις, οὐ φόβου μόνον, ἀλλὰ καὶ θανάτου, καὶ γέλωτος καὶ τοιούτων ἄλλων παθημάτων, ἱερά. τιμῶσι δὲ τὸν φόβον, οὐχ ὥσπερ οὓς ἀποτρέπονται δαίμονας ἡγούμενοι βλαβερὸν, ἀλλὰ τὴν πολιτείαν μάλιστα συνέχεσθαι νόμῳ νομίζοντες. διὸ καὶ προεκήρυττον οἱ ἔφοροι τοῖς πολίταις εἰς τὴν ἀρχὴν εἰσιόντες. ὡς ἀριστοτέλης φησὶ, κείρεσθαι τὸν μύστακα καὶ προσέχειν τοῖς νόμοις, ἵνα μὴ χαλεποὶ ὦσιν αὐτοῖς. τὸ τοῦ μύστακος οἶμαι προτείνοντες, ὅπως καὶ περὶ τὰ μικρότατα τοὺς νέους πειθαρχεῖν ἐθίζωσι. καὶ τὴν ἀνδρείαν δέ μοι δοκοῦσιν, οὐκ ἀφοβίαν, ἀλλὰ φόβον ψόγου καὶ δέος ἀδοξίας οἱ παλαιοὶ νομίζειν, οἱ γὰρ δειλότατοι πρὸς τοὺς νόμους, θαρραλεώτατοι πρὸς τοὺς πολεμίους εἰσί. καὶ τὸ παθεῖν ἥκιστα δεδίασιν, οἱ μάλιστα φοβούμενοι τὸ κακῶς ἀκοῦσαι. διὸ καὶ καλῶς ὁ εἰπὼν, ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς. καὶ ὅμηρος, αἰδοῖός τέ μοι ἐσσὶ φίλε ἑκυρὲ δεινός τε. καὶ σιγῇ δειδιότες σημάντορας. τὸ γὰρ αἰσχύνεσθαι μάλιστα συμβαίνει, πρὸς οὓς καὶ τὸ δεδοικέναι τοῖς πολλοῖς. διὸ καὶ παρὰ τὸ, τῶν ἐφόρων συσσίτιον, ἱδρύσαντο τὸν φόβον οἱ λακεδαιμόνιοι, μοναρχίας ἐγγυτάτω κατασκευασάμενοι τὸ ἀρχεῖον. ὁ δ' οὖν κλεομένης ἡμέρας γενομένης, προέγραψεν ὀγδοήκοντα τῶν πολιτῶν, οὓς ἔδει μεταστῆναι. καὶ τοὺς δίφρους ἀνεῖλε τῶν ἐφόρων, πλὴν ἑνὸς, ἐν ᾧ καθήμενος, ἔμελλεν αὐτὸς χρηματίζειν. ἐκκλησίαν δὲ ποιήσας, ἀπελογεῖτο περὶ τῶν πεπραγμένων. ἔφη γὰρ ὑπὸ τοῦ λυκούργου τοῖς βασιλεῦσι συμμιχθῆναι τοὺς γέροντας. καὶ πολὺν χρόνον οὕτω διοικεῖσθαι τὴν πόλιν. οὐδὲν ἑτέρας ἀρχῆς δεομένης. ὕστερον δὲ τοῦ πρὸς μεσσηνίους πολέμου μακροῦ γενομένου, τοὺς βασιλεῖς διὰ τὰς στρατείας ἀσχόλους ὄντας αὐτοὺς πρὸς τὸ κρίνειν, αἱρεῖσθαί τινας ἐκ τῶν φίλων καὶ ἀπολείπειν τοῖς πολίταις, ἀνθ' ἑαυτῶν, ἐφόρους προσαγορευθέντας, καὶ διατελεῖν γε τούτους τὸ πρῶτον, ὑπηρέτας τῶν βασιλέων ὄντας. εἶτα κατὰ μικρὸν εἰς ἑαυτοὺς τὴν ἐξουσίαν ἐπιστρέφοντας, καὶ οὕτως λαθεῖν ἴδιον ἀρχεῖον κατασκευασαμένους. σημεῖον δὲ τούτου, τὸ μέχρι νῦν μεταπεμπομένων τὸν βασιλέα τῶν ἐφόρων, τὸ πρῶτον ἀντιλέγειν καὶ τὸ δεύτερον. τὸ δὲ τρίτον καλούντων ἀναστάντα βαδίζειν πρὸς αὐτούς. καὶ τὸν πρῶτον ἐπιφαιδρύνοντα τὴν ἀρχὴν, καὶ ἀνατεινάμενον ἀστερωπὸν, ἡλικίαις ὕστερον πολλαῖς ἔφορον γενέσθαι. μετριάζοντας μὲν οὖν αὐτοὺς κρεῖττον ἦν ὑπομένειν. ἐξουσίᾳ δὲ ἐπιθέτῳ τὴν πάτριον καταλύοντας ἀρχὴν, ὥστε τῶν βασιλέων τοὺς μὲν, ἐξελαύνειν. τοὺς δὲ, ἀποκτιννύναι ἀκρίτως. ἀπειλεῖν δὲ τοῖς ποθοῦσιν αὖθις ἐπιδεῖν τὴν καλλίστην καὶ θειοτάτην ἐν σπάρτῃ κατάστασιν, οὐκ ἀνεκτόν. εἰ μὲν οὖν δυνατὸν ἦν ἄνευ σφαγῆς ἀπαλλάξαι τὰς ἐπεισάκτους τῆς λακεδαίμονος κῆρας. τρυφὰς καὶ πολυτελείας, καὶ χρέα, καὶ δανεισμοὺς, καὶ πρεσβύτερα τούτων κακὰ, πενίαν καὶ πλοῦτον, εὐτυχέστατον ἂν ἡγεῖσθαι πάντων βασιλέων ἑαυτὸν, ὥσπερ ἰατρὸν ἀνωδύνως ἰασάμενον τὴν πατρίδα. νῦν δὲ τῆς ἀνάγκης ἔχειν συγγνώμονα τὸν λυκοῦργον, ὃς οὔτε βασιλεὺς ὢν, οὔτε ἄρχων, ἰδιώτης δὲ βασιλεύειν ἐπιχειρῶν, ἐν τοῖν ὅπλοις προῆλθεν εἰς ἀγορὰν, ὥστε δείσαντα τὸν βασιλέα χαρίλαον, ἐπὶ βωμὸν καταφυγεῖν. ἀλλ' ἐκεῖνον μὲν ὄντα χρηστὸν καὶ φιλόπατριν, ταχὺ τῷ λυκούργῳ τῶν πραττομένων μετασχεῖν. καὶ τὴν μεταβολὴν δέξασθαι τῆς πολιτείας. ἔργῳ δὲ μαρτυρῆσαι τὸν λυκοῦργον, ὅτι πολιτείαν μεταβαλεῖν, ἄνευ βίας καὶ φόβου, χαλεπόν ἐστιν. οἷς αὐτὸν ἔφη μετριώτατα κεχρῆσθαι τοὺς ἐνισταμένους τῇ σωτηρίᾳ τῆς λακεδαίμονος ἐκποδὼν ποιησάμενον. τοῖς δὲ ἄλλοις ἔφη πᾶσι, τήν τε γῆν ἅπασαν εἰς μέσον τιθέναι. καὶ χρεῶν τοὺς ὀφείλοντας ἀπαλλάττειν, καὶ τῶν ξένων κρίσιν ποιεῖν, καὶ δοκιμασίαν. ὅπως οἱ κράτιστοι γενόμενοι σπαρτιᾶται, σώζωσι τὴν πόλιν τοῖς ὅπλοις. καὶ παύσωμεν τὴν λακωνικὴν αἰτωλοῖς, καὶ ἰλλυριοῖς λείαν οὖσαν ἐρημίᾳ τῶν ἀμυνόντων ἐφορῶντες. ἐκ τούτου πρῶτον μὲν αὐτὸς, εἰς μέσον τὴν οὐσίαν ἔθηκε καὶ μεγιστόνους ὁ πατρῷος αὐτοῦ, καὶ τῶν ἄλλων φίλων, ἕκαστος. ἔπειτα καὶ οἱ λοιποὶ πολῖται πάντες, ἡ δὲ χώρα διενεμήθη. κλῆρον δὲ καὶ τῶν ὑπ' αὐτοῦ γεγονότων φυγάδων, ἀπένειμεν ἑκάστῳ. καὶ κατάξειν ἅπαντας ὡμολόγησε τῶν πραγμάτων ἐν ἡσυχίᾳ γενομένων. ἀναπληρώσας δὲ τὸ πολίτευμα τοῖς χαριεστάτοις τῶν περιοίκων, ὁπλίτας τετρακισχιλίους ἐποίησε. καὶ διδάξας αὐτοὺς ἀντὶ δόρατος χρῆσθαι σαρίσῃ δι' ἀμφοτέρων. καὶ τὴν ἀσπίδα φορεῖν δι' ὀχάνης μὴ διὰ πόρπακος, ἐπὶ τὴν παιδείαν τῶν νέων ἐτράπη. καὶ τὴν λεγομένην ἀγωγὴν, ἧς τὰ πλεῖστα παρὼν ὁ σφαῖρος αὐτῷ, συγκαθίστη, ταχὺ τὸν

πείθεσθαι. τοῦ δὲ φανοὺς καὶ τὰς κλίμακας εἶπεν εἰ μή τί σοι διαφέρει, γράψον ἡμῖν, ἐπὶ πόσοι παρηκολούθουν. Τοῦ δὲ Ἀράτου πρὸς τὸ σκῶμμα γελάσαντος, καὶ πυνθανομένου· ποῖός τις ὁ νεανίσκος εἴη. Δημοκράτης ὁ Λακεδαιμόνιος φυγάς, εἴ τι πράττεις ἔφη πρὸς Λακεδαιμονίους, ὥρα σοι ταχύνειν, πρὸ τοῦ κέντρα φῦσαι τοῦτον τὸν νεοσσόν. ἐκ τούτου Κλεομένει μετ' ἱππέων ὀλίγων καὶ πεζῶν τριακοσίων ἐν Ἀρκαδίᾳ στρατοπεδευομένῳ, προσέταξαν ἀναχωρεῖν οἱ ἔφοροι, φοβούμενοι τὸν πόλεμον. ἐπεὶ δὲ ἀναχωρήσαντος αὐτοῦ, Καφύας ἔλαβεν ὁ Ἄρατος, αὖθις ἐξέπεμπον τὸν Κλεομένην. λαβόντος δὲ αὐτοῦ Μεθύδριον, καὶ τὴν Ἀργολικὴν καταδραμόντος, ἐξεστράτευσαν οἱ Ἀχαιοί, δισμυρίοις πεζοῖς καὶ χιλίοις ἱππεῦσιν Ἀριστομάχου στρατηγοῦντος. ἀπαντήσαντος δὲ περὶ Παλλάντιον Κλεομένους, καὶ βουλομένου μάχεσθαι, φοβηθεὶς τὴν τόλμαν ὁ Ἄρατος, οὐκ εἴασε διακινδυνεῦσαι τὸν στρατηγόν, ἀλλ' ἀπῆλθε. λοιδορούμενος μὲν ὑπὸ τῶν Ἀχαιῶν, χλευαζόμενος δὲ καὶ καταφρονούμενος ὑπὸ τῶν Λακεδαιμονίων, οὐδὲ πεντακισχιλίων τὸ πλῆθος ὄντων. μέγας οὖν τῷ φρονήματι γεγονὼς ὁ Κλεομένης, ἐθρασύνετο πρὸς τοὺς πολίτας. καὶ τῶν παλαιῶν τινος αὐτοὺς ἀνεμίμνησκε βασιλέων εἰπόντος· ὅτι μάτην Λακεδαιμόνιοι πυνθάνονται περὶ τῶν πολεμίων ὁπόσοι εἰσίν, ἀλλὰ ποῦ εἰσιν. ἐπεὶ δὲ τοῖς Ἠλείοις πολεμουμένοις ὑπὸ τῶν Ἀχαιῶν βοηθήσας, καὶ περὶ τὸ Λύκαιον ἀπιοῦσιν ἤδη τοῖς Ἀχαιοῖς ἐπιβαλών, ἅπαν μὲν ἐξέφαβε καὶ διεπτόησεν αὐτῶν τὸ στράτευμα, συχνοὺς δὲ ἀνεῖλε, καὶ ζῶντας ἔλαβεν, ὥστε καὶ περὶ Ἀράτου φήμην ἐκπεσεῖν εἰς τοὺς Ἕλληνας ὡς τεθνηκότος. ὁ μὲν οὖν Ἄρατος, ἄριστα τῷ καιρῷ χρησάμενος, ἐκ τῆς τροπῆς ἐκείνης, εὐθὺς ἐπὶ Μαντίνειαν ἦλθε. καὶ μηδενὸς ἂν προσδοκήσαντος, εἷλε τὴν πόλιν καὶ κατέσχε. τῶν δὲ Λακεδαιμονίων παντάπασι ταῖς γνώμαις ἀναπεσόντων. καὶ τῷ Κλεομένει πρὸς τὰς στρατείας ἐνισταμένων, ὥρμησε μεταπέμπεσθαι τὸν Ἄγιδος ἀδελφὸν

H Ἀρχίδαμον ἐκ Μεσσήνης, ᾧ βασιλεύειν ἀπὸ τῆς ἑτέρας οἰκίας ἦν προσῆκον. οἰόμενος, ἀμβλυτέραν τὴν τῶν ἐφόρων ἀρχὴν ἔσεσθαι, τῆς βασιλείας ἰσορρόπου, καὶ ὁλοκλήρου γενομένης. οἱ δὲ ἀνῃρηκότες πρότερον τὸν Ἆγιν, αἰσθόμενοι ταῦτα καὶ φοβηθέντες μὴ δίκην δῶσι τοῦ Ἀρχιδάμου κατελθόντος, ἐδέξαντο μὲν αὐτὸν εἰς τὴν πόλιν παραγενόμενον, κρύφα, καὶ συγκατήγαγον, εὐθὺς δὲ ἀπέκτειναν, εἴτε ἄκοντος τοῦ Κλεομένους ὡς οἴεται Φύλαρχος. εἴτε πεισθέντος ὑπὸ τῶν φίλων καὶ προεμένου τὸν ἄνθρωπον αὐτοῖς. τῆς γὰρ αἰτίας τὸ πλεῖστον, ἐπ' ἐκείνους ἦλθε, βεβιάσθαι τὸν Κλεομένην δοκοῦντας. οὐ μὴν ἀλλὰ κινεῖν εὐθὺς ἐγνωκὼς τὰ κατὰ τὴν πόλιν, ἔπεισε τοὺς ἐφόρους χρήμασιν, ὅπως αὐτῷ ψηφίσωνται στρατείαν. ἐθεράπευσε δὲ καὶ τῶν ἄλλων συχνούς, διὰ τῆς μητρὸς Κρατησικλείας ἀφειδῶς συγχορηγούσης καὶ συμφιλοτιμουμένης, ἥ γε καὶ γάμου μὴ δεομένη, λέγεται διὰ τὸν υἱὸν ἄνδρα λαβεῖν, πρωτεύοντα δόξῃ καὶ δυνάμει τῶν πολιτῶν. ἐξαγαγὼν δὲ τὴν στρατείαν, καταλαμβάνει τῆς Μεγαλοπολίτιδος χωρίον, Λεῦκτρα. καὶ γενομένης πρὸς αὐτὸν ὀξείας τῶν Ἀχαιῶν βοηθείας, Ἀράτου στρατηγοῦντος, ὑπὸ τὴν πόλιν αὐτὴν παραταξάμενος, ἡττήθη μέρει τινὶ τοῦ στρατεύματος. ἐπεὶ δὲ χαράδραν τινὰ βαθεῖαν, οὐκ εἴασε διαβῆναι τοὺς Ἀχαιοὺς ὁ Ἄρατος, ἀλλ' ἐπέστησε τὴν δίωξιν, ἀγανακτῶν δὲ Λυδιάδας ὁ Μεγαλοπολίτης, συνεξορμήσας τοὺς περὶ αὐτὸν ἱππεῖς, καὶ διώκων, εἰς χωρίον ἀμπέλων καὶ τάφρων καὶ τειχῶν μεστόν, ἐνσείσας καὶ διασπασθεὶς περὶ ταῦτα, κακῶς ἀπήλλαττε, κατιδὼν ὁ Κλεομένης, ἀφῆκε τοὺς Ταραντίνους καὶ τοὺς Κρῆτας ἐπ' αὐτόν, ὑφ' ὧν ὁ Λυδιάδας ἀμυνόμενος ἐρρωμένως, ἔπεσε. πρὸς τοῦτο θαρρήσαντες οἱ Λακεδαιμόνιοι, μετὰ βοῆς ἐνέβαλον τοῖς Ἀχαιοῖς, καὶ τροπὴν ὅλου τοῦ στρατεύματος ἐποίησαν. ἀποθανόντων δὲ συχνῶν. τοὺς μὲν ἄλλους, ὑποσπόνδους ὁ Κλεομένης ἀπέδωκε, τὸν δὲ Λυδιάδου νεκρὸν ἀχθῆναι πρὸς αὐτὸν κελεύσας, κοσμήσας πορφυρίδι, καὶ στέφανον ἐπιθείς, πρὸς τὰς πύλας τῶν Μεγαλοπολιτῶν ἀπέστειλεν. οὗτος ἦν Λυδιάδας, ὁ καταθέμενος τὴν τυραννίδα. καὶ τοῖς πολίταις ἀποδούς, τὴν ἐλευθερίαν. καὶ τὴν πόλιν προσοικειώσας Ἀχαιοῖς. Ἐκ τούτου Κλεομένης μέγα φρονῶν ἤδη καὶ πεπεισμένος, ἂν ὡς βούλεται τοῖς πράγμασι χρώμενος πολεμῇ, πρὸς τοὺς Ἀχαιοὺς ῥᾳδίως ἐπικρατήσειν, ἐδίδασκε τὸν τῆς μητρὸς ἄνδρα Μεγιστόνουν, ὡς χρὴ τῶν ἐφόρων ἀπαλλαγέντας, εἰς μέσον θεῖναι τὰ κτήματα τοῖς πολίταις. καὶ τὴν Σπάρτην ἴσην γενομένην, ἐγείρειν καὶ προάγειν ἐπὶ τὴν τῆς Ἑλλάδος ἡγεμονίαν. πεισθέντος δὲ ἐκείνου, δύο τῶν ἄλλων φίλων ἢ τρεῖς προσέλαβε. συνέβη δὲ περὶ τὰς ἡμέρας ἐκείνας καὶ τῶν ἐφόρων ἕνα κοιμώμενον ἐν Πασιφάας, ὄναρ ἰδεῖν θαυμαστόν. ἐδόκει γὰρ ἐν ᾧ τόπῳ τοῖς ἐφόροις ἔθος ἐστὶ καθεζομένοις χρηματίζειν, ἕνα δίφρον κεῖσθαι. τοὺς δὲ τέτταρας ἀνῃρῆσθαι, καὶ θαυμάζοντος αὐτοῦ, φωνὴν ἐκ τοῦ ἱεροῦ γενέσθαι, φράζουσαν, ὡς τοῦτο τῇ Σπάρτῃ λῷόν ἐστι. ταύτην τὴν ὄψιν διηγουμένου τοῦ ἐφόρου πρὸς τὸν Κλεομένην, τὸ μὲν πρῶτον, διεταράχθη, καθ' ὑποψίαν τινὰ πειράζεσθαι δοκῶν. ὡς δὲ ἐπείσθη μὴ ψεύδεσθαι τὸν διηγούμενον, ἐθάρρησε. καὶ λαβὼν ὅσους ὑπώπτευσε μάλιστα τῶν πολιτῶν ἐναντιώσεσθαι πρὸς τὴν πρᾶξιν, Ἡραίαν καὶ Ἀλσαίαν, τὰς πόλεις ταττομένας ὑπὸ τοῖς Ἀχαιοῖς, εἷλε. καὶ σῖτον εἰσήγαγεν Ὀρχομενίοις, καὶ Μαντινείᾳ παρεστρατοπέδευσε. καὶ ὅλως ἄνω καὶ κάτω, μακραῖς πορείαις ἀποτρύσας τοὺς Λακεδαιμονίους, ἀπέλιπεν αὐτῶν δεηθέντων τοὺς πολλοὺς ἐν Ἀρκαδίᾳ. τοὺς δὲ μισθοφόρους ἔχων αὐτός, ἐπὶ τὴν Σπάρτην ἐχώρει. καὶ καθ' ὁδὸν οἷς ἐπίστευε μάλιστα καλῶς πρὸς αὐτὸν ἔχειν, ἀνεκοίνου τὴν γνώ-

ἐπτέλησ ἴσ

ἀμβλυτέραν π.τ.ς.

τοῖς ἄλλοις ἐπίστευσεν ἡμερώτατος καὶ πρᾳότατος γενόμενος. ἀποθανόντος δὲ αὐτοῦ, τὸν μὲν ἀδελφὸν ἀρχίδαμον, οὐκ ἔφθη συλλαβεῖν ὁ λεωνίδας, εὐθὺς ἐκφυγόντα. τὴν δὲ γυναῖκα, παιδίον ἔχουσαν νεογνὸν ἐκ τῆς οἰκίας ἀπαγαγὼν, βίᾳ κλεομένει τῷ υἱῷ συνῴκισεν, οὐ πάνυ γάμου ὥραν ἔχοντι. τὴν δὲ ἄνθρωπον ἄλλῳ δοθῆναι μὴ βουλόμενος. ἦν γὰρ οὐσίας τε μεγάλης ἐπίκληρος ἡ ἀγιᾶτις γυλίππου τοῦ πατρός. ὥρᾳ τε καὶ κάλλει πολὺ τῶν ἑλληνίδων διαφέρουσα. καὶ τὸν τρόπον ἐπιεικής. διὸ πολλὰ μὲν ἐποίησεν ὥς φασι μὴ βιασθῆναι δεομένη. συνελθοῦσα δὲ εἰς ταὐτὸ τῷ κλεομένει, τὸν μὲν λεωνίδαν ἐμίσει. περὶ δὲ αὐτὸν τὸν νεανίσκον, ἦν ἀγαθὴ γυνὴ καὶ φιλόστοργος. ἐρωτικῶς ἅμα τῷ λαβεῖν πρὸς αὐτὴν διατεθέντα, καί τινα τρόπον συμπαθοῦντα τῇ πρὸς τὸν ἆγιν εὐνοίᾳ καὶ μνήμῃ τῆς γυναικός. ὥστε καὶ πυνθάνεσθαι πολλάκις περὶ τῶν γεγονότων. καὶ προσέχειν ἐπιμελῶς διηγουμένης ἐκείνης ἣν ὁ ἆγις ἔσχε διάνοιαν καὶ προαίρεσιν. ἦν δὲ καὶ φιλότιμος μὲν καὶ μεγαλόφρων ὁ κλεομένης. καὶ πρὸς ἐγκράτειαν, καὶ ἀφέλειαν οὐχ ἧττον τοῦ ἄγιδος εὖ πεφυκώς. τὸ δὲ εὐλαβὲς ἄγαν ἐκείνου καὶ πρᾶον οὐκ εἶχεν, ἀλλὰ κέντρον τι θυμοῦ τῇ φύσει προσέκειτο. καὶ μετὰ σφοδρότητος ὁρμὴ πρὸς τὸ φαινόμενον ἀεὶ καλόν. ἐφαίνετο δὲ κάλλιστον μὲν αὐτῷ κρατεῖν ἑκόντων, καλὸν δὲ καὶ μὴ πειθομένων περιεῖναι, πρὸς τὸ βέλτιον ἐκβιαζόμενον. οὐκ ἤρεσκε μὲν οὖν αὐτῷ τὰ κατὰ τὴν πόλιν ἀλλὰ ῥᾳθυμίᾳ καὶ ἡδονῇ κατακεκηλημένων τῶν πολιτῶν. καὶ τοῦ βασιλέως πάντα τὰ πράγματα χαίρειν ἐῶντος, εἰ μηδεὶς αὐτὸν ἐνοχλοίη, σχολάζειν ἐν ἀφθόνοις καὶ τρυφᾶν βουλομένου. ἀμελουμένων δὲ τῶν κοινῶν κατ᾽ οἰκίαν ἑκάστου πρὸς αὐτὸν ἕλκοντος κερδαλέον. ἀσκήσεως δὲ καὶ σωφροσύνης νέων καὶ καρτερίας καὶ ἰσότητος, οὐδὲ ἀσφαλὲς ἦν τούτῳ, τῶν περὶ ἆγιν ἀπολωλότων μνημονεύειν. λέγεται δὲ καὶ λόγων φιλοσόφων τὸν κλεομένην μετασχεῖν ἔτι μειράκιον ὄντα, σφαίρου τοῦ βορυσθενίτου παραβάλλοντος εἰς τὴν λακεδαίμονα. καὶ περὶ τοὺς νέους καὶ τοὺς ἐφήβους, οὐκ ἀμελῶς διατρίβοντος. ὁ δὲ σφαῖρος ἐν τοῖς πρώτοις ἐγεγόνει, τῶν ζήνωνος τοῦ κιτιέως μαθητῶν. καὶ τοῦ κλεομένους ἔοικε τῆς φύσεως τὸ ἀνδρῶδες ἀγαπῆσαί τε, καὶ προσεκκαῦσαι τὴν φιλοτιμίαν. λεωνίδαν μὲν γὰρ τὸν παλαιὸν λέγουσιν ἐπερωτηθέντα, ποῖός τις αὐτῷ φαίνεται ποιητὴς γεγονέναι τυρταῖος, εἰπεῖν. ἀγαθὸς νέων ψυχὰς αἰκάλλειν. ἐμπιπλάμενοι γὰρ ὑπὸ τῶν ποιημάτων ἐνθουσιασμοῦ παρὰ τὰς μάχας ἠφείδουν ἑαυτῶν. ὁ δὲ στωϊκὸς λόγος, ἔχει τι πρὸς τὰς μεγάλας φύσεις καὶ ὀξείας, ἐπισφαλὲς καὶ παράβολον. βαθεῖ δὲ καὶ πρᾴῳ κεραννύμενος ἤθει, μάλιστα εἰς τὸ οἰκεῖον ἀγαθὸν ἐπιδίδωσιν. ἐπεὶ δέ τε λευτήσαντος τοῦ λεωνίδου τὴν βασιλείαν παρέλαβε. καὶ τοὺς πολίτας ὅτι δὴ παντάπασιν ἐκλελυμένους ἑώρα. τῶν μὲν πλουσίων καθ᾽ ἡδονὰς ἰδίας καὶ πλεονεξίας παρορώντων τὰ κοινά. τῶν δὲ πολλῶν διὰ τὸ πράττειν κακῶς περὶ τὰ οἰκεῖα, καὶ πρὸς τὸν πόλεμον ἀπροθύμων, καὶ πρὸς τὴν ἀγωγὴν ἀφιλοτίμων γεγονότων. αὐτοῦ δὲ ὄνομα βασιλεύοντος ἦν μόνον, ἡ δὲ ἀρχὴ πᾶσα τῶν ἐφόρων, εὐθὺς μὲν εἰς νοῦν ἔθετο τὰ παρόντα μεθιστάναι καὶ κινεῖν. ὄντος δὲ αὐτῷ φίλου ξενάρους ἐραστοῦ γεγονότος.

Τοῦτο δὲ ἐμπνεῖσθαι λακεδαιμόνιοι καλοῦσιν. ἀπεπειρᾶτο τούτου διαπυνθανόμενος τὸν ἆγιν, ὁποῖος γένοιτο βασιλεὺς, καὶ τίνι τρόπῳ καὶ μετὰ τίνων ἐπὶ ταύτην ἔλθοι τὴν ὁδόν. ὁ δὲ ξενάρης, τὸ μὲν πρῶτον, οὐκ ἀηδῶς ἐμέμνητο τῶν πραγμάτων ἐκείνων, ὡς ἐπράχθη καθ᾽ ἕκαστα μυθολογῶν καὶ διηγούμενος. ὡς δὲ ἦν καταφανὴς αὐτῷ ὁ κλεομένης, ἐμπαθέστερον προσέχων καὶ κινούμενος ὑπερφυῶς πρὸς τὴν καινοτομίαν τοῦ ἄγιδος. καὶ ταῦτα πολλάκις ἀκούειν βουλόμενος. ἐπέπληξεν αὐτῷ πρὸς ὀργὴν ὁ ξενάρης ὡς οὐχ ὑγιαίνοντι. καὶ τέλος, ἀπέστη τοῦ διαλέγεσθαι καὶ φοιτᾶν πρὸς αὐτόν. οὐδενὶ μέντοι τὴν αἰτίαν ἔφρασε τῆς διαφορᾶς, ἀλλ᾽ αὐτὸν ἔφη γινώσκειν ἐκεῖνον. οὕτω δὲ τοῦ ξενάρους ἀντικρούσαντος, ὁ κλεομένης καὶ τοὺς ἄλλους ὁμοίως ἔχειν ἡγούμενος, αὐτὸς ἐν ἑαυτῷ συνετίθει τὴν πρᾶξιν. οἰόμενος δ᾽ ἂν ἐν πολέμῳ μᾶλλον ἢ κατ᾽ εἰρήνην μεταστῆσαι τὰ παρόντα, συνέκρουσε πρὸς τοὺς ἀχαιοὺς τὴν πόλιν, αὐτοὺς διδόντας ἐγκλημάτων προφάσεις. ὁ γὰρ ἄρατος ἰσχύων μέγιστον ἐν τοῖς ἀχαιοῖς, ἐβούλετο μὲν ἐξ ἀρχῆς εἰς μίαν σύνταξιν ἀγαγεῖν πελοποννησίους. καὶ τοῦτο τῶν πολλῶν στρατηγιῶν αὐτῷ καὶ τῆς μακρᾶς πολιτείας ἦν τέλος. ἡγουμένῳ μόνως ἂν οὕτως ἀνεπιχειρήτους ἔσεσθαι τοῖς ἐκτὸς πολεμίοις.

Ἐπεὶ δὲ τῶν ἄλλων σχεδὸν ἁπάντων αὐτῷ προσγεγονότων, ἀπελείποντο λακεδαιμόνιοι καὶ ἠλεῖοι. καὶ ὅσοι λακεδαιμονίοις ἀρκάδων προσεῖχον, ἅμα τῷ τὸν λεωνίδαν ἀποθανεῖν, παρηνώχλει τοῖς ἀρκάσι καὶ περιέκοπτεν αὐτῶν μάλιστα τοὺς τοῖς ἀχαιοῖς ὁμοροῦντας, ἀποπειρώμενος τῶν λακεδαιμονίων, καὶ τοῦ κλεομένους ὡς νέου καὶ ἀπείρου καταφρονῶν. ἐκ τούτου, κλεομένην πρῶτον οἱ ἔφοροι πέμπουσι καταληψόμενον τὸ περὶ τὴν βελβίναν ἀθήναιον. ἐμβολὴ δὲ τῆς λακωνικῆς τὸ χωρίον ἐστί. καὶ τότε πρὸς τοὺς μεγαλοπολίτας ἦν ἐπίδικον. καταλαβόντος δὲ τοῦτο καὶ τειχίσαντος τοῦ κλεομένους, ὁ ἄρατος οὐδὲν ἐγκαλέσας, ἀλλὰ νυκτὸς ἐξαναστὰς, ἐπεχείρησε τεγεάταις καὶ ὀρχομενίοις. τῶν δὲ προδοτῶν ἀποδειλιασάντων, ὁ μὲν ἄρατος ἀνεχώρησε, λεληθέναι νομίζων. ὁ δὲ κλεομένης εἰρωνείᾳ χρώμενος, ἔγραψε πρὸς αὐτὸν, ὡς δὴ παρὰ φίλου πυνθανόμενος, ποῖ τῆς νυκτὸς ἐξέλθοι. τοῦ δὲ, ἀντιγράψαντος ὡς ἐκεῖνον βεβλίναν μέλλειν τειχίζειν ἀκούσας καταβαίη τοῦτο κωλύσων, πάλιν ὁ κλεομένης ἀποστείλας, τοῦτο μὲν οὕτως ἔχειν ἔφη πι-

ὁρμὴ. π.τ.κ.

γρ. π. κ. ς.

ἀποπειρώμ

δι ἀθήναιον περὶ τὴν βελβίναν. π.

βελβίναν. π.

νοι, πάλιν εἰς τὸ ἱερὸν κατέδησαν. καὶ ἦσαν πάντες μὲν αὐτῷ συνήθεις. ὁ δὲ ἀμφάρης καὶ κεχρημένος ἔναγχος ἱμάτια καὶ ποτήρια τῶν πολυτελῶν παρὰ τῆς ἀγησιστράτας, ἐπεβούλευε διὰ ταῦτα τῷ βασιλεῖ καὶ ταῖς γυναιξὶν ὡς ἀποστερήσων. καὶ μάλιστά γε αὐτὸς ὑπακοῦσαι τῷ λεωνίδᾳ λέγεται καὶ παροξῦναι τοὺς ἐφόρους, ὧν καὶ αὐτὸς εἷς ἦν. ἐπεὶ δὲ ὁ ἆγις τὸν μὲν ἄλλον ἐν τῷ ἱερῷ διέτριβε χρόνον, εἰώθει δὲ καταβαίνειν ὅτε τύχοι πρὸς τὸ λουτρὸν, ἐκεῖ συλλαβεῖν αὐτὸν ἔγνωσαν, ὅταν ἔξω τοῦ ἱεροῦ γένηται. καὶ παραφυλάξαντες λελουμένον, ἀπήντησαν καὶ ἠσπάσαντο, καὶ συμπροῆγον ἅμα διαλεγόμενοι καὶ παίζοντες ὡς πρὸς συνήθη καὶ νέον, ἐκτροπὴν δέ τινα τῆς ὁδοῦ πλαγίαν πρὸς τὸ δεσμωτήριον ἐχούσης, ὡς ἐγένοντο κατ᾽ αὐτὴν βαδίζοντες, ὁ μὲν ἀμφάρης διὰ τὸ ἄρχειν ἁψάμενος τοῦ ἄγιδος, ἄγω σε εἶπεν ἐπὶ τοὺς ἐφόρους ὦ ἆγι, λόγον ὑφέξοντα τῶν πεπολιτευμένων. ὁ δὲ δημοχάρης, εὔρωστος ὢν καὶ μέγας τὸ ἱμάτιον περιβαλὼν περὶ τὸν τράχηλον, εἷλκεν. ἄλλων δὲ ἐπωθούντων ὄπισθεν ἐκ παρασκευῆς. οὐδενὸς δὲ βοηθοῦντος, ἀλλ᾽ ἐρημίας οὔσης ἐμβάλλουσιν αὐτὸν εἰς τὸ δεσμωτήριον. εὐθὺς δὲ παρῆν ὁ μὲν λεωνίδας μισθοφόρους ἔχων πολλοὺς, καὶ τὸ οἴκημα περιεῖχεν ἔξωθεν. οἱ δὲ ἔφοροι πρὸς τὸν ἆγιν εἰσῆλθον. καὶ τῶν γερόντων εἰς τὸ οἴκημα μεταπεμψάμενοι τοὺς ταὐτὰ βουλομένους, ὡς δὴ κρίσεως αὐτῷ γινομένης, ἐκέλευον ὑπὲρ τῶν πεπραγμένων ἀπολογεῖσθαι. γελάσαντος δὲ τοῦ νεανίσκου πρὸς τὴν εἰρωνείαν αὐτῶν, ὁ μὲν ἀμφάρης, οἰμωξόμενον ἐκάλει. καὶ δίκην ὑφέξοντα τῆς ἰταμότητος. ἄλλος δὲ τῶν ἐφόρων οἷον ἐνδιδοὺς τῷ ἄγιδι καὶ δεικνύων ἀποφυγὴν τῆς αἰτίας, ἠρώτησεν, εἰ ταῦτ᾽ ἔπραξεν ὑπὸ λυσάνδρου καὶ ἀγησιλάου βιασθείς. ἀποκριναμένου δὲ τοῦ ἄγιδος, ὡς βιασθεὶς μὲν ὑπ᾽ οὐδενὸς, ζηλῶν δὲ καὶ μιμούμενος τὸν λυκοῦργον ἐπὶ τὴν αὐτὴν ἔλθοι πολιτείαν. πάλιν ὁ αὐτὸς ἠρώτησεν εἰ μετανοεῖ τοῖς πεπραγμένοις. φήσαντος δὲ τοῦ νεανίσκου μὴ μετανοεῖν ἐπὶ τοῖς κάλλιστα βεβουλευμένοις, κἂν τὰ ἔσχατα πεισόμενον αὑτὸν ἴδῃ, θάνατον αὐτοῦ κατεψηφίσαντο. καὶ τοὺς ὑπηρέτας ἐκέλευον ἀπάγειν εἰς τὴν καλουμένην δεκάδα. τοῦτο δ᾽ ἐστὶν οἴκημα τῆς εἱρκτῆς ἐν ᾧ θανατοῦσι τοὺς καταδίκους ἀποπνίγοντες. ὁρῶν δὲ τοὺς ὑπηρέτας ὁ δημοχάρης, οὐ τολμῶντας ἅψασθαι τοῦ ἄγιδος. ὁμοίως δὲ καὶ τῶν μισθοφόρων τοὺς παρεστῶτας ἀποστρεφομένους καὶ φεύγοντας τὸ ἔργον. ὡς οὐ θεμιτὸν οὐδὲ νενομισμένον βασιλέως σώματι τὰς χεῖρας προσφέρειν, διαπειλησάμενος αὐτοῖς καὶ λοιδορηθεὶς, εἷλκεν αὐτὸς εἰς τὸ οἴκημα τὸν ἆγιν, ἤδη γὰρ ᾔσθηντο πολλοὶ τὴν σύλληψιν. καὶ θόρυβος ἦν ἐπὶ ταῖς θύραις καὶ φῶτα πολλὰ, καὶ παρῆσαν ἥ τε μήτηρ ἡ τοῦ ἄγιδος καὶ ἡ μάμμη. βοῶσαι καὶ δεόμεναι τὸν βασιλέα τῶν σπαρτιατῶν λόγου καὶ κρίσεως τυχεῖν ἐν τοῖς πολίταις. διὸ καὶ μάλιστα κατέσπευσαν τὴν ἀναίρεσιν. ὡς ἐξαρπαγησομένου νυκτὸς ἂν πλείονες ἐπέλθωσιν. ὁ μὲν οὖν ἆγις ἐπὶ τὴν στραγγάλην πορευόμενος, ὡς εἶδέ τινα τῶν ὑπηρετῶν δακρύοντα καὶ περιπαθοῦντα, παῦσαί με εἶπεν ὦ ἄνθρωπε κλαίων. καὶ γὰρ οὕτως παρανόμως καὶ ἀδίκως ἀπολλύμενος, κρείττων εἰμὶ τῶν ἀναιρούντων. καὶ ταῦτ᾽ εἰπὼν, παρέδωκε τῷ βρόχῳ τὸν τράχηλον ἑκουσίως. ὁ δὲ ἀμφάρης προελθὼν, ἐπὶ τὰς θύρας καὶ τὴν ἀγησιστράταν προσπεσοῦσαν αὐτῷ διὰ συνήθειαν καὶ φιλίαν ἀναστήσας, οὐδὲν ἔφη περὶ τὸν ἆγιν ἔσεσθαι βίαιον οὐδὲ ἀνήκεστον. ἐκέλευε δὲ κἀκείνην εἰ βούλοιτο πρὸς τὸν υἱὸν εἰσελθεῖν. ἐκείνης δὲ καὶ τὴν μητέρα μετ᾽ αὐτῆς παρεῖναι δεομένης, οὐδὲν ἔφη κωλύειν ὁ ἀμφάρης. καὶ δεξάμενος ἀμφοτέρας. καὶ πάλιν κλεῖσαι τὰς θύρας τοῦ δεσμωτηρίου κελεύσας, προτέραν μὲν τὴν ἀρχιδάμειαν παρέδωκεν ἤδη σφόδρα πρεσβῦτιν οὖσαν, καὶ καταγεγηρακυῖαν ἐν ἀξιώματι μεγίστῳ τῶν πολιτικῶν. ἀποθανούσης δὲ ἐκείνης, ἐκέλευσε τὴν ἀγησιστράταν ἔσω βαδίζειν. ὡς δὲ εἰσελθοῦσα τόν τε υἱὸν ἐθεάσατο χαμαὶ κείμενον, καὶ τὴν μητέρα νεκρὰν ἐκ τοῦ βρόχου κρεμαμένην, ἐκείνην μὲν αὐτὴ τοῖς ὑπηρέταις συγκαθεῖλε. καὶ παρεκτείνασα τῷ ἄγιδι τὸ σῶμα περιέστειλε καὶ κατεκάλυψε. τῷ δὲ υἱῷ προσπεσοῦσα καὶ φιλήσασα τὸ πρόσωπον, ἡ πολλή σε εἶπεν ὦ παῖ εὐλάβεια καὶ τὸ πρᾶον καὶ φιλάνθρωπον ἀπώλεσε μεθ᾽ ἡμῶν. ὁ δὲ ἀμφάρης ἀπὸ τῆς θύρας ὁρῶν τὰ γινόμενα καὶ τὰς φωνὰς ἀκούων ἐπεισῆλθε. καὶ πρὸς τὴν ἀγησιστράταν μετ᾽ ὀργῆς ἔφη. εἰ τοίνυν ταῦτα ἐδοκίμαζες τῷ υἱῷ, ταὐτὰ καὶ πείσῃ. καὶ ἀγησιστράτα πρὸς τὸν βρόχον ἀνισταμένη, μόνον ἔφη συνενέγκαι ταῦτα τῇ σπάρτῃ. τοῦ δὲ πάθους εἰς τὴν πόλιν ἐξαγγελθέντος. καὶ τῶν τριῶν σωμάτων ἐκκομιζομένων, οὐκ ἦν ὁ φόβος οὕτω μέγας, ὥστε μὴ καταφανεῖς εἶναι τοὺς πολίτας, ἀλγοῦντας μὲν ἐπὶ τοῖς γεγονόσι, μισοῦντας δὲ τὸν λεωνίδαν καὶ τὸν ἀμφάρη. μηδὲν δεινότερον μηδὲν ἀνοσιώτερον, ἐξ οὗ δωριεῖς πελοπόννησον οἰκοῦσιν οἰομένους ἐν σπάρτῃ πεπρᾶχθαι. βασιλεῖ γὰρ ὡς ἔοικε λακεδαιμονίων, οὐδὲ οἱ πολέμιοι ῥᾳδίως ἐν ταῖς μάχαις ἀπαντῶντες, προσέφερον τὰς χεῖρας, ἀλλ᾽ ἀπετρέποντο δεδιότες, καὶ σεβόμενοι τὸ ἀξίωμα. διὸ καὶ πολλῶν γεγονότων ἀγώνων πρὸς ἕλληνας, ἕως μόνος ἀνῃρέθη πρὸ τῶν φιλιππικῶν δόρατι πληγεὶς περὶ λεῦκτρα, κλεόμβροτος. μεσσηνίων δὲ, καὶ θεόπομπον ὑπ᾽ ἀριστομένους πεσεῖν λεγόντων, οὔ φασι λακεδαιμόνιοι, πληγῆναι δὲ μόνον. ἀλλὰ ταῦτα μὲν ἔχει τινὰς ἀμφιβολίας. ἐν δὲ λακεδαίμονι, πρῶτος ἆγις βασιλεύων, ὑπὸ ἐφόρων ἀπέθανε. καλὰ μὲν ἔργα καὶ πρέποντα τῇ σπάρτῃ προελόμενος, ἡλικίαν δὲ γεγονὼς ἐν ᾗ ἁμαρτάνοντες ἄνθρωποι, συγγνώμης τυγχάνουσι. μεμφθεὶς δὲ ὑπὸ τῶν φίλων δικαιότερον, ἢ τῶν ἐχθρῶν, ὅτι καὶ λεωνίδαν περιέσωσε, καὶ

μηδὲ π.ς.

ἀμφιλογίας τ. π. υ.
πρῶτον π. τ. υ.

ταχὺ τοῖς δήμοις γένηται. Συμμείξας δὲ τῷ ἀράτῳ περὶ κόρινθον ὁ ἆγις, ἔτι βουλευομένῳ περὶ μάχης καὶ παρατάξεως πρὸς τοὺς πολεμίους, ἐπεδείξατο καὶ προθυμίαν πολλὴν καὶ τόλμαν οὐ μανικὴν, οὐδὲ ἀλόγιστον. ἔφη γὰρ αὐτῷ μὲν δοκεῖν διαμάχεσθαι καὶ μὴ παριέναι τὸν πόλεμον εἴσω τὰς πύλας τῆς πελοποννήσου προϊεμένους. ποιήσειν δὲ τὸ δοκοῦν ἀράτῳ. καὶ γὰρ πρεσβύτερόν τε εἶναι, καὶ στρατηγεῖν ἀχαιῶν. οἷς οὐχὶ προστάξων, οὐδὲ ἡγησόμενος, ἀλλὰ συστρατευσόμενος ἥκοι καὶ βοηθήσων. ὁ δὲ σινωπεὺς βάτων, αὐτὸν οὔ φησιν ἐθέλειν μάχεσθαι φησὶ τὸν ἆγιν, ἀράτου κελεύοντος, οὐκ ἐντυχὼν οἷς ἄρατος γέγραφε περὶ τούτων ἀπολογιζόμενος. ὅτι βέλτιον ἡγεῖτο, τῶν καρπῶν σχεδὸν ἅπαντας συγκεκομισμένων ἤδη τῶν γεωργῶν, παρελθεῖν τοὺς πολεμίους, ἢ μάχῃ διακινδυνεῦσαι περὶ τῶν ὅλων. ἐπεὶ δ' οὖν ἄρατος ἀπέγνω μάχεσθαι. καὶ τοὺς συμμάχους ἐπαινέσας διαφῆκε, θαυμασθεὶς ὁ ἆγις, ἀνέζευγεν, ἤδη τῶν οἴκοι ἐν σπάρτῃ θόρυβον πολὺν ἐχόντων καὶ μεταβολήν. ὁ γὰρ ἀγησίλαος ἐφορεύων, ἀπηλλαγμένος οἷς ταπεινὸς ἦν πρότερον, οὐδενὸς ἐφείδετο φέροντος ἀργύριον ἀδικήματος. ἀλλὰ μῆνα τρεισκαιδέκατον, οὐκ ἀπαιτούσης τότε τῆς περιόδου, παρὰ τὴν νενομισμένην τάξιν τῶν χρόνων, ἐνέβαλε τοῖς τέλεσι καὶ παρεισέπραττε. δεδιὼς δὲ τοὺς ἀδικουμένους καὶ μισούμενος ὑπὸ πάντων, ἔτρεφε μαχαιροφόρους, καὶ φυλαττόμενος ὑπὸ τούτων, κατέβαινεν εἰς τὸ ἀρχεῖον. καὶ τῶν βασιλέων, τοῦ μὲν ὅλως καταφρονεῖν. τὸν δὲ ἆγιν ἐβούλετο δοκεῖν διὰ τὴν συγγένειαν μᾶλλον, ἢ διὰ τὴν βασιλείαν ἔν τινι τιμῇ τίθεσθαι. διέδωκε δὲ λόγον, ὡς καὶ αὖθις ἐφορεύσων. διὸ θᾶσσον ἀποκινδυνεύσαντες οἱ ἐχθροὶ, καὶ συστάντες, ἐκ τεγέας ἀναφανδὸν τὸν λεωνίδαν ἐπὶ τὴν ἀρχὴν κατήγαγον. ἡδέως καὶ τῶν πολλῶν θεασαμένων. ὠργίζοντο γὰρ πεφενακισμένοι τῆς χώρας μὴ νεμηθείσης. τὸν μὲν οὖν ἀγησίλαον ὁ υἱὸς ἱππομέδων, δεόμενος τῶν πολιτῶν, καὶ πᾶσι προσφιλὴς ὢν δι' ἀνδραγαθίαν, ὑπεξήγαγε καὶ διέσωσε. τῶν δὲ βασιλέων ὁ μὲν ἆγις, εἰς τὴν χαλκίοικον κατέφυγεν. ὁ δὲ κλεόμβροτος, εἰς τὸ τοῦ ποσειδῶνος ἱερὸν ἐλθὼν, ἱκέτευε. καὶ γὰρ ἐδόκει τούτῳ μᾶλλον ὁ λεωνίδας χαλεπὸς εἶναι. καὶ παρεὶς τὸν ἆγιν, ἐπ' ἐκεῖνον ἀνέβη στρατιώτας ἔχων, καὶ κατηγόρει μετ' ὀργῆς, ὅτι γαμβρὸς ὢν, ἐπεβούλευσεν αὐτῷ καὶ τὴν βασιλείαν ἀφελέσθαι, καὶ συνεξέβαλε τῆς πατρίδος. ὁ μὲν οὖν κλεόμβροτος, οὐδὲν εἶχεν εἰπεῖν. ἀλλ' ἠπορημένος ἐκάθητο καὶ σιωπῶν. ἡ δὲ χιλωνὶς ἡ τοῦ λεωνίδου θυγάτηρ, πρότερον μὲν ἀδικουμένῳ τῷ πατρὶ, συνηδίκητο. καὶ τοῦ κλεομβρότου τὴν βασιλείαν παραλαβόντος, ἀποστᾶσα, τὴν τοῦ πατρὸς συμφορὰν ἐθεράπευε. καὶ παρόντι μὲν συνικέτευε. φεύγοντος δὲ, συνεπένθουσα καὶ χαλεπῶς ἔχουσα πρὸς τὸν κλεόμβροτον διετέλει. τότε δ' αὖ πάλιν ταῖς τύχαις συμμεταβάλλουσα, μετὰ τοῦ ἀνδρὸς, ἱκέτις ὤφθη καθεζομένη, περιβεβληκυῖα χεῖρας ἐκείνῳ. καὶ τῶν παιδίων, τὸ μὲν ἔνθεν, τὸ δὲ ἔνθεν ὑπ' αὐτὴν ἔχουσα. θαυμαζόντων δὲ πάντων καὶ δακρυόντων ἐπὶ τῇ χρηστότητι καὶ φιλοστοργίᾳ τῆς γυναικὸς, ἁψαμένη τῶν πέπλων καὶ τῆς κόμης ἀτημελῶς ἐχόντων, ἐκεῖνον εἶπεν ὦ πάτερ ἐμοὶ τὸ σχῆμα καὶ τὴν ὄψιν, οὐχ ὁ κλεομβρότου περιτέθεικεν ἔλεος, ἀλλ' ἀπὸ τῶν κακῶν καὶ τῆς σῆς φυγῆς, μεμένηκέ μοι σύντροφον καὶ σύνοικον τὸ πένθος. πότερον οὖν δεῖ με σοῦ βασιλεύοντος ἐν σπάρτῃ καὶ νικῶντος, ἐγκαταβιῶναι ταύταις ταῖς συμφοραῖς, ἢ λαβεῖν ἐσθῆτα λαμπρὰν καὶ βασιλικὴν, ἐπιδοῦσαν ὑπὸ σοῦ τὸν παρθένιον ἄνδρα φονευόμενον. ὃς εἰ μὴ παραιτεῖταί σε, μηδὲ πείθει τέκνων, καὶ γυναικὸς δάκρυσι, χαλεπωτέραν ἢ σὺ βούλει, δίκην ὑφέξει τῆς κακοβουλίας, ἐπιδὼν ἐμὲ τὴν φιλτάτην αὐτῷ προαποθανοῦσαν. τίνι γὰρ ἐμὲ δεῖν ζῶν παρρησίᾳ πρὸς τὰς ἄλλας γυναῖκας, ἣ μήτε παρ' ἀνδρὸς δεομένῃ, μήτε παρὰ πατρὸς ἔλεος ἔστιν. ἀλλὰ καὶ γυνὴ καὶ θυγάτηρ συνατυχεῖν καὶ συνατιμάζεσθαι τοῖς ἐμαυτῆς ἐγενόμην. τούτῳ μὲν οὖν εἰ καί τις ἦν λόγος εὐπρεπὴς, ἐγὼ τοῦτον ἀφειλόμην τότε σοι συνεξεπαθεῖσα, καὶ καταμαρτυρήσασα τῶν ὑπὸ τούτου γινομένων. σὺ δὲ αὐτῷ τὸ ἀδίκημα ποιεῖς εὐαπολόγητον, οὕτω μέγα καὶ περιμάχητον ἀποφαίνων τὸ βασιλεύειν, ὥστε δι' αὐτὸ καὶ γαμβροὺς φονεύειν, καὶ τέκνων ἀμελεῖν εἶναι δίκαιον. ἡ μὲν χιλωνὶς τοιαῦτα ποτνιωμένη, τό τε πρόσωπον ἐπὶ τὴν κεφαλὴν ἐπέθηκε τοῦ κλεομβρότου. καὶ τὸ βλέμμα διεφθαρμένον καὶ συντετηκὸς ὑπὸ λύπης περιαγαγοῦσα εἰς τοὺς παρόντας. ὁ δὲ λεωνίδας διαλεχθεὶς τοῖς φίλοις, τὸν μὲν κλεόμβροτον ἐκέλευσεν ἀναστάντα φεύγειν. τῆς δὲ παιδὸς ἐκείνην ἐδεῖτο καὶ μὴ καταλιπεῖν αὐτὸν οὕτω φιλοῦντα, καὶ δεδωκότα χάριν τὴν τοῦ ἀνδρὸς σωτηρίαν. οὐ μὴν ἔπεισεν, ἀλλ' ἀνισταμένῳ τῷ ἀνδρὶ, θάτερον τῶν παιδίων ἐγχειρίσασα, θάτερον δὲ ἀναλαβοῦσα. καὶ προσκυνήσασα τὸν βωμὸν τῆς θεοῦ, συνεξῆλθεν. ὥστε εἰ μὴ πάνυ διεφθαρμένος ἦν ὑπὸ κενῆς δόξης ὁ κλεόμβροτος, εὐτύχημα ἂν ἡγήσατο τὴν φυγὴν αὐτῷ τῆς βασιλείας μεῖζον εἶναι διὰ τὴν γυναῖκα. μεταστησάμενος δὲ τὸν κλεόμβροτον ὁ λεωνίδας, καὶ τοὺς πρώτους ἐφόρους ἐκβαλὼν τῆς ἀρχῆς, ἑτέρους δὲ ποιησάμενος, εὐθὺς ἐπεβούλευε τῷ ἄγιδι. καὶ πρῶτον μὲν ἔπειθεν αὐτὸν ἀναστῆναι καὶ συμβασιλεύειν, ὡς δεδωκότων συγγνώμην τῶν πολιτῶν. συνεξηπατῆσθαι γὰρ ὑπὸ τοῦ ἀγησιλάου νέον ὄντα καὶ φιλότιμον. ἐκείνου δὲ ὑφορωμένου καὶ κατὰ χώραν μένοντος, αὐτὸς μὲν ἐπαύσατο φενακίζων καὶ κατειρωνευόμενος. ἀμφάρης δὲ καὶ δημοχάρης καὶ ἀρκεσίλαος, ἀναβαίνοντες εἰώθεσαν αὐτῷ διαλέγεσθαι. καί ποτε καὶ παραλαβόντες ἐπὶ τὸ λουτρὸν ἀπὸ τοῦ ἱεροῦ κατήγαγον. καὶ λουσάμενον πάλιν

κ. ἡτ τ. ἡτ

χρόνων π.τ.λ.

δεῖ κ.τ.

αὐτῆς κ.ς.τ.

ὅσῳ τὸ κράτιστόν ἐστιν ἐν τῷ προβουλεύειν δεόμενοι καὶ πείθοντες, ἰσχύειν ὅσον ἐν τοῖς πλείοσι γίνεσθαι τοὺς ἀποψηφισαμένους τὴν ῥήτραν. ὁ δὲ λύσανδρος ἔτι τὴν ἀρχὴν ἔχων, ὥρμησε τὸν λεωνίδαν διώκειν κατὰ δή τινα νόμον παλαιόν, ὃς οὐκ ἐᾷ τὸν ἡρακλείδην ἐκ γυναικὸς ἀλλοδαπῆς τεκνοῦσθαι. τὸν δὲ ἀπελθόντα τῆς σπάρτης ἐπὶ μετοικισμῷ πρὸς ἑτέρους ἀποθνήσκειν κελεύει. ταῦτα κατὰ τοῦ λεωνίδου λέγειν ἑτέρους διδάξας, αὐτὸς παρεφύλαττε μετὰ τῶν συναρχόντων τὸ σημεῖον. ἔστι δὲ τοιόνδε. δι᾽ ἐτῶν ἐννέα λαβόντες οἱ ἔφοροι νύκτα καθαρὰν καὶ ἀσέληνον, σιωπῇ καθίζονται πρὸς τὸν οὐρανὸν ἀποβλέποντες. ἐὰν οὖν ἐκ μέρους τινὸς εἰς ἕτερον μέρος ἀστὴρ διάξῃ, κρίνουσι τοὺς βασιλεῖς ὡς περὶ τὸ θεῖον ἐξαμαρτάνοντας. καὶ καταπαύουσι τῆς ἀρχῆς μέχρις ἂν ἐκ δελφῶν ἢ ὀλυμπίας χρησμὸς ἔλθῃ τοῖς ἡλωκόσι τῶν βασιλέων βοηθῶν. Τοῦτο δὴ τὸ σημεῖον αὐτῷ γεγονέναι λέγων ὁ λύσανδρος, κρίσιν τῷ λεωνίδᾳ προύθηκε. καὶ μάρτυρας παρεῖχεν, ὡς ἐκ γυναικὸς ἀσιανῆς, ἣν τῶν σελεύκου τινὸς ὑπάρχων αὐτῷ συνοικίσαντος ἔχοι τεκνώσας δύο παιδία. δυσχεραινόμενος δὲ καὶ μισούμενος ὑπὸ τῆς γυναικός, ἐπανέλθοι παρὰ γνώμην οἴκαδε. καὶ διαδοχῆς ἔρημον ἀξιοῖ τὸ βασίλειον. ἅμα δὲ τῇ δίκῃ κλεόμβροτον ἔπειθε τῆς βασιλείας ἀντιποιεῖσθαι, γαμβρὸν ὄντα τοῦ λεωνίδου, γένους δὲ τοῦ βασιλικοῦ. φοβηθεὶς οὖν ὁ λεωνίδας, ἱκέτης γίνεται τῆς χαλκιοίκου, καὶ συνικέτευεν ἡ θυγάτηρ τῷ πατρί, τὸν κλεόμβροτον ἀπολιποῦσα. καλουμένου δὲ πρὸς τὴν δίκην αὐτοῦ, καὶ μὴ καταβαίνοντος ἐκείνου, ἀποψηφισάμενοι τὴν βασιλείαν τῷ κλεομβρότῳ παρέδωκαν. ἐν τούτῳ δ᾽ ἀπ᾽ ἀρχῆς ὁ λύσανδρος ἀπηλλάγη, τοῦ χρόνου διελθόντος. οἱ δὲ κατασταθέντες ἔφοροι, τὸν μὲν λεωνίδαν ἀνέστησαν ἱκετεύοντα. τῷ δὲ λυσάνδρῳ, καὶ τῷ μανδροκλείδᾳ, δίκην ἐπῆγον. ὡς παρὰ τὸν νόμον χρεῶν ἀποκοπὰς καὶ γῆν ἀναδάσασθαι ψηφισαμένοις. κινδυνεύοντες οὖν ἐκεῖνοι, πείθουσι τοὺς βασιλεῖς ὁμοῦ γενομένους, χαίρειν ἐᾶν τὰ τῶν ἐφόρων βουλεύματα. ταύτην γὰρ τὴν ἀρχὴν ἰσχύειν ἐκ διαφορᾶς τῶν βασιλέων, τῷ τὰ βελτίονα λέγοντι προστιθεμένην τὴν ψῆφον, ὅταν ἅτερος ἐρίζῃ πρὸς τὸ συμφέρον. ἀμφοῖν δὲ ταὐτὰ βουλομένοιν, ἄλυτον εἶναι τὴν ἐξουσίαν, καὶ παράνομον μάχεσθαι πρὸς τοὺς βασιλεῖς. ὧν μαχομένων, διαιτᾶν καὶ βραβεύειν αὐτοῖς εἶναι προσῆκεν, οὐχὶ πολυπραγμονεῖν ὁμοφρονούντων. οὕτω δὴ πεισθέντες ἀμφότεροι καὶ μετὰ τῶν φίλων εἰς ἀγορὰν καταβάντες, ἀνέστησαν μὲν τῶν δίφρων τοὺς ἐφόρους, ἄλλους δ᾽ ἀντ᾽ αὐτῶν ἀπέδειξαν, ὧν εἷς ἦν ἀγησίλαος. ὁπλίσαντες δὲ τῶν νέων πολλούς, καὶ λύσαντες τοὺς δεδεμένους, ἐφόβησαν τοῖς ὑπεναντίοις ὡς πολλοὺς ἀποκτενοῦντες. ἀπέθανε δὲ οὐδεὶς ὑπ᾽ αὐτῶν, ἀλλὰ καὶ λεωνίδαν εἰς τεγέαν ὑπεξιόντα, βουληθέντος διαφθεῖραι τοῦ ἀγησιλάου, καὶ πέμψαντος ἐπ᾽ αὐτὸν εἰς τὴν ὁδὸν ἄνδρας, πυθόμενος ὁ ἆγις, ἑτέρους ἀπέστειλε πιστούς. οἳ τὸν λεωνίδαν περισχόντες, ἀσφαλῶς εἰς τεγέαν κατέστησαν. οὕτω δὲ τῆς πράξεως αὐτοῖς ὁδῷ βαδιζούσης, καὶ μηδενὸς ἐνισταμένου, μήτε διακωλύοντος, εἷς ἀνὴρ ἀγησίλαος, ἀνέτρεψε πάντα καὶ διελυμήνατο, κάλλιστον νόμον καὶ λακωνικώτατον, αἰσχίστῳ νοσήματι τῇ φιλοπλουτίᾳ διαφθείρας. Ἐπεὶ δὴ γὰρ ἐκέκτητο μὲν ἐν τοῖς μάλιστα πολλὴν καὶ ἀγαθὴν χώραν, ὤφειλε δὲ παμπολλά, μήτε διαλῦσαι δυνάμενος τὰ χρέα, μήτε τὴν χώραν προέσθαι βουλόμενος, ἔπεισε τὸν ἆγιν, ὡς ἀμφοτέρων μὲν ἅμα πραττομένων, μέγας ἔσοιτο περὶ τὴν πόλιν νεωτερισμός. εἰ δὲ τῇ τῶν χρεῶν ἀφαιρέσει θεραπευθεῖεν οἱ κτηματικοὶ πρότερον, εὐκόλως ἂν αὐτῶν καὶ καθ᾽ ἡσυχίαν ὕστερον ἐνδεξαμένων τὸν ἀναδασμόν. ταῦτα δὲ καὶ τοῖς περὶ τὸν λύσανδρον ἐδόκει, συνεξαπατωμένοις ὑπὸ τοῦ ἀγησιλάου. καὶ τὰ παρὰ τῶν χρεωστῶν γραμματεῖα, συνενέγκαντες εἰς ἀγορὰν ἃ κλάρια καλοῦσι, καὶ πάντα συνθέντες εἰς ἓν ἐνέπρησαν. ἀρθείσης δὲ φλογός, οἱ μὲν πλούσιοι καὶ δανειστικοὶ περιπαθοῦντες ἀπῆλθον. ὁ δὲ ἀγησίλαος ὥσπερ ἐφυβρίζων, οὐκ ἔφη λαμπρότερον ἑορακέναι φῶς, οὐδὲ πῦρ ἐκείνου καθαρώτερον. ἀξιούντων δὲ τῶν πολλῶν καὶ τὴν γῆν εὐθὺς νέμεσθαι, καὶ τῶν βασιλέων, οὕτω ποιεῖν κελευόντων, ἀσχολίας τινὰς ἐμβάλλων ὁ ἀγησίλαος ἀεί, καὶ προφάσεις λέγων, παρῆγε τὸν χρόνον, ἄχρις οὗ στρατεία συνέβη τῷ ἄγιδι, μεταπεμπομένων τῶν ἀχαιῶν συμμάχων ὄντων, βοήθειαν ἐκ λακεδαίμονος. αἰτωλοὶ γὰρ ἦσαν ἐπίδοξοι διὰ τῆς μεγαρικῆς ἐμβαλοῦντες εἰς πελοπόννησον. καὶ τοῦτο κωλύσων ἄρατος, ὁ τῶν ἀχαιῶν στρατηγός, ἤθροιζε δύναμιν καὶ τοῖς ἐφόροις ἔγραφεν. οἱ δὲ τὸν ἆγιν εὐθὺς ἐξέπεμπον. ἐπηρμένον τῇ φιλοτιμίᾳ καὶ προθυμίᾳ τῶν συστρατευομένων. νέοι γὰρ ὄντες οἱ πλεῖστοι καὶ πένητες, καὶ τὴν ἀπὸ τῶν χρεῶν ἄδειαν ἔχοντες ἤδη καὶ λελυμένοι. τοὺς δ᾽ ἀγροὺς ἐλπίζοντες ἂν ἐπανέλθωσιν ἐκ τῆς στρατείας νεμηθήσεσθαι, θαυμαστοὺς τῷ ἄγιδι παρεῖχον ἑαυτούς, καὶ θέαμα ταῖς πόλεσιν ἦσαν, ἀβλαβῶς καὶ πρᾴως καὶ μονονοὺ καὶ ἀψοφητὶ διαπορευόμενοι τὴν πελοπόννησον. ὥστε θαυμάζειν καὶ διαλογίζεσθαι τοὺς ἕλληνας, οἷος ἦν ἄρα κόσμος λακωνικοῦ στρατεύματος, ἀγησίλαον ἔχοντος, ἢ λύσανδρον ἐκεῖνον, ἢ λεωνίδαν τὸν παλαιὸν ἡγούμενον, ὅπου πρὸς μειράκιον ὀλίγου δεῖν νεώτατον ἁπάντων, αἰδὼς τοσαύτη καὶ φόβος ἐστὶ τῶν στρατευομένων. καὶ μέντοι καὶ αὐτὸς ὁ νεανίσκος, εὐτελείᾳ καὶ φιλοπονίᾳ καὶ τῷ μηδὲν ἰδιώτου λαμπρότερον ἠμφιέσθαι καὶ ὡπλίσθαι σεμνυνόμενος, ἀξιοθέατος ἦν καὶ ζηλωτὸς ὑπὸ τῶν πολλῶν. ἐπεὶ τοῖς γε πλουσίοις οὐκ ἤρεσκεν ὁ νεωτερισμὸς αὐτοῦ, δεδιόσι μὴ κίνημα καὶ παράδειγμα τοῖς παν-

μαις αἱ γυναῖκες ὑπὸ τῆς φιλοτιμίας ἐπαρθεῖσαι τοῦ νεανίσκου. καὶ τοσαύτῃ κατεσχέθησαν δὴ ἤδη πνοίᾳ πρὸς τὸ καλόν, ὥστε τὸν μὲν Ἆγιν συνεξορμᾶν καὶ συνεπιταχύνειν, μεταπεμπομένας δὲ τοὺς φίλους παρακαλεῖν, καὶ ταῖς ἄλλαις διαλέγεσθαι γυναιξίν, ἅτε δὴ τοὺς λακεδαιμονίους ἐπισταμένας κατηκόους ὄντας ἀεὶ τῶν γυναικῶν. καὶ πλέον ἐκείναις τῶν δημοσίων, ἢ τῶν ἰδίων αὐτοῖς πολυπραγμονεῖν διδόντας. ἦν δὲ τότε τῶν λακωνικῶν πλούτων ἐν ταῖς γυναιξὶ τὸ πλεῖστον. καὶ τοῦτο τὴν πρᾶξιν τῷ Ἄγιδι, δύσεργον καὶ χαλεπὴν ἐποίησεν. ἀντέστησαν γὰρ αἱ γυναῖκες, οὐ μόνον τρυφῆς ἐκπίπτουσαι, δι' ἀπειροκαλίαν εὐδαιμονιζομένην, ἀλλὰ καὶ τιμὴν καὶ δύναμιν ἣν ἐκ τοῦ πλουτεῖν ἐκαρποῦντο περικοπτομένην αὐτὴν ὁρῶσαι. καὶ πρὸς τὸν λεωνίδαν τραπόμεναι, παρεκάλουν ὄντα πρεσβύτερον, ἤδη λαμβάνεσθαι τοῦ Ἄγιδος, καὶ τὰ πραττόμενα διακωλύειν. ἐβούλετο μὲν οὖν ὁ λεωνίδας τοῖς πλουσίοις βοηθεῖν, δεδιὼς δὲ τὸν δῆμον ἐπιθυμοῦντα τῆς μεταβολῆς, οὐδὲν ἀντέπραττε φανερῶς, λάθρα δὲ τὴν πρᾶξιν ἐζήτει κακουργεῖν καὶ διαφθείρειν, ἐντυγχάνων τοῖς ἄρχουσι καὶ διαβάλλων τὸν Ἆγιν, ὡς τυραννίδος μισθὸν τοῖς πένησι τὰ τῶν πλουσίων προτείνοντα, καὶ γῆς μετάδοσιν, καὶ χρεῶν ἄφεσιν, πολλοὺς ὠνούμενον ἑαυτῷ δορυφόρους, οὐ τῇ σπάρτῃ πολίτας. οὐ μὴν ἀλλὰ διαπραξάμενος ὁ Ἆγις ἔφορον γενέσθαι τὸν λύσανδρον, εὐθὺς εἰσέφερεν ἑαυτοῦ ῥήτραν εἰς τοὺς γέροντας, ἧς ἦν κεφάλαια, χρεῶν μὲν ἀφεθῆναι τοὺς ὀφείλοντας. τῆς δὲ γῆς ἀναδασθείσης, τὴν μὲν ἀπὸ τοῦ κατὰ πελλήνην χαράδρου, πρὸς τὸ ταΰγετον καὶ μαλέαν, καὶ σελλασίαν, κλήρους γενέσθαι τετρακισχιλίους πεντακοσίους. τὴν δὲ ἔξω, μυρίους πεντακισχιλίους. καὶ ταύτην μὲν τοῖς ὅπλα φορεῖν δυναμένοις τῶν περιοίκων μερισθῆναι. τὴν δὲ ἐντὸς, αὐτοῖς σπαρτιάταις. ἀναπληρωθῆναι δὲ τούτους ἔκ τε περιοίκων καὶ ξένων. ὅσοι τροφῆς μετεσχηκότες ἐλευθερίου, καὶ χαρίεντες ἄλλως τοῖς σώμασι, καὶ καθ' ἡλικίαν ἀκμάζοντες εἶεν. σύνταξιν δὲ τούτων, εἰς πεντεκαίδεκα γενέσθαι φιδίτια κατὰ τετρακοσίους καὶ διακοσίους. καὶ δίαιταν ἣν εἶχον οἱ πρόγονοι διαιτᾶσθαι. γραφείσης δὲ τῆς ῥήτρας καὶ τῶν γερόντων, εἰς αὐτὸ ταῖς γνώμαις οὐ συμφερομένων, ἐκκλησίαν συναγαγὼν ὁ λύσανδρος, αὐτός τε διελέχθη τοῖς πολίταις καὶ μανδροκλείδας καὶ ἀγησίλαος ἐδέοντο, μὴ δι' ὀλίγους ἐντρυφῶντας αὐτοῖς, περιιδεῖν ἐριμμένον τὸ ἀξίωμα τῆς σπάρτης. ἀλλὰ τῶν προτέρων χρησμῶν μνημονεῦσαι, τὴν φιλοχρηματίαν ὡς ὄλεθρον τῇ σπάρτῃ φυλάττεσθαι διακελευομένων. καὶ τῶν ἄγχος ἐκ πασιφάας. ἱερὸν δὲ πασιφάας, καὶ μαντεῖον ἦν ἐν θαλαμίαις τιμώμενον. ἣν τινὲς μὲν ἱστοροῦσι τῶν ἀτλαντίδων μίαν οὖσαν τῶν ἐκ διὸς, τὸν ἄμμωνα τεκεῖν. τινὲς δὲ κασσάνδραν τὴν πριάμου τελευτήσασαν ἐνταῦθα. καὶ διὰ τὸ πᾶσι φαίνειν τὰ μαντεῖα, πασιφάαν προσαγορευθεῖσαν. ὁ δὲ φύλαρχος, ἀμύκλα θυγατέρα δάφνην τοὔνομα φησὶν ὑποφεύγουσαν ἀπόλλωνα βουλόμενον αὐτῇ μιγῆναι καὶ μεταβάλλουσαν εἰς τὸ φυτὸν, ἐν τιμῇ τοῦ θεοῦ γενέσθαι, καὶ μαντικὴν λαβεῖν δύναμιν. ἔφασαν οὖν καὶ τὰ παρὰ ταύτης μαντεῖα προστάττειν τοῖς σπαρτιάταις ἴσους γενέσθαι πάντας, καθ' ὃν ὁ λυκοῦργος ἐξ ἀρχῆς ἔταξε νόμον. ἐπὶ πᾶσι δὲ βασιλεὺς ἆγις, εἰς μέσον παρελθὼν, καὶ βραχέα διαλεχθεὶς, ἔφη συμβολὰς διδόναι τῇ πολιτείᾳ μεγίστας, ἣν καθίστησι. τὴν γὰρ αὐτοῦ πρῶτον οὐσίαν εἰς μέσον τιθέναι, πολλὴν μὲν οὖσαν ἐν τοῖς γεωργουμένοις καὶ νεμομένοις, ἄνευ δὲ τούτων ἑξακόσια τάλαντα νομίσματος ἔχουσαν. τὸ δ' αὐτὸ καὶ τὰς μητέρας ποιεῖν καὶ τοὺς φίλους καὶ οἰκείους, πλουσιωτάτους ὄντας σπαρτιατῶν. ὁ μὲν οὖν δῆμος ἐξεπλάγη τὴν μεγαλοψυχίαν τοῦ νεανίσκου, καὶ περιχαρὴς ἦν, ὡς δι' ἐτῶν ὁμοῦ τριακοσίων πεφηνότος ἀξίου τῆς σπάρτης βασιλέως. ὁ δὲ λεωνίδας, τότε δὴ μάλιστα πρὸς τοὐναντίον ἐφιλονείκησε. λογιζόμενος γὰρ ὅτι ταῦτα μὲν ἀναγκασθήσεται ποιεῖν, οὐ τὴν αὐτὴν δὲ χάριν ἕξει παρὰ τοῖς πολίταις, ἀλλὰ πάντων ὁμοίως ἃ κέκτηνται κατατιθεμένων, μόνῳ τῷ ἀρξαμένῳ προσθήσουσι τὴν τιμὴν, ἠρώτα τὸν ἆγιν, εἰ δίκαιον ἄνδρα καὶ σπουδαῖον ἡγεῖται γεγονέναι λυκοῦργον, ὁμολογήσαντος δ' ἐκείνου, ποῦ τοίνυν ἔφη λυκοῦργος, ἢ χρεῶν ἀποκοπὰς ἔδωκεν, ἢ ξένους κατέταξεν εἰς τὴν πολιτείαν. ὃς οὐδὲ ὅλως ἐνόμιζεν ὑγιαίνειν τὴν πόλιν μὴ χρωμένην ξενηλασίαις. ὁ δὲ ἆγις ἀπεκρίνατο μὴ θαυμάζειν τὸν λεωνίδαν, εἰ τεθραμμένος ἐν ξένῃ, καὶ πεπαιδοποιημένος ἐκ γάμων σατραπικῶν, ἀγνοεῖ τὸν λυκοῦργον, ὅτι τὸ μὲν ὀφείλειν καὶ δανείζειν, ἅμα τῷ νομίσματι συνεξέβαλεν ἐκ τῆς πόλεως. τῶν δ' ἐν ταῖς πόλεσι ξένων, τοὺς τοῖς ἐπιτηδεύμασι καὶ ταῖς διαίταις ἀσυμφύλους μᾶλλον ἐδυσχέραινε. καὶ γὰρ ἐκείνους ἤλαυνεν, οὐ τοῖς σώμασι πολεμῶν, ἀλλὰ τοὺς βίους αὐτῶν καὶ τοὺς τρόπους δεδιώς. μὴ συναναχρωννύμενοι τοῖς πολίταις, τρυφῆς καὶ μαλακίας καὶ πλεονεξίας ἐντέκωσι ζῆλον. ἐπεὶ τέρπανδρόν γε καὶ θάλητα, καὶ φερεκύδην ξένους ὄντας, ὅτι ταὐτὰ τῷ λυκούργῳ διετέλουν ᾄδοντες καὶ φιλοσοφοῦντες, ἐν σπάρτῃ τιμηθῆναι διαφερόντως. σὺ δὲ ἐκπρεπῆ μὲν ἐπαινεῖς ἔφησεν, ὃς ἐφορεύων, φρύνιδος τοῦ μουσικοῦ σκεπάρνῳ τὰς δύο τῶν ἐννέα χορδῶν ἐξέτεμε. καὶ τοὺς τὸ τιμοθέῳ πάλιν τὸ αὐτὸ τοῦτο πράξαντας. ἡμᾶς δὲ μέμφῃ, τρυφὴν καὶ πολυτέλειαν καὶ ἀλαζονείαν ἐκ τῆς σπάρτης ἀναιροῦντας. ὥσπερ οὐχὶ κἀκείνων τὸ ἐν μουσικῇ σοβαρὸν καὶ περιττὸν, ὅπως ἐνταῦθα μὴ προέλθῃ φυλαττομένων, ὅπου γινομένων βίων καὶ τρόπων ἀμετρία καὶ πλημμέλεια τὴν πόλιν ἀσύμφωνον καὶ ἀνάρμοστον ἑαυτῇ πεποίηκεν. ἐκ τούτου τῷ μὲν ἄγιδι, τὸ πλῆθος ἐπηκολούθησεν. οἱ δὲ πλούσιοι, τόν τε λεωνίδαν παρεκάλουν μὴ σφᾶς προέσθαι, καὶ τοὺς γέροντας

αὐτῶν ς. π.
δι' ἑαυτοῦ ς. π.
ταύτην ς
ἐρριμμένον ς. π.
τῶν ἔναγχος ἐκ πασιφάας κεκομισμένων αὐτοῖς.
διετέλουν R. T. π.
προϊέσθαι ς. π.

ἀγησίπολις ἦν, καὶ κλεομένης. ὧν ἀγησίπολις μὲν, οὔτε ἦρξε πολὺν χρόνον, οὔτε παῖδας ἔσχε. κλεομένης δὲ βασιλεύσας μετὰ ἀγησίπολιν, τὸν μὲν πρεσβύτερον τῶν υἱῶν ἀκρότατον, ἔτι ζῶν ἀπέβαλε. νεώτερον δὲ, κλεώνυμον κατέλιπεν. ὃς οὐκ ἐβασίλευσεν, ἀλλ' ἀρεὺς, υἱωνὸς ὢν κλεομένους, ἀκροτάτου δὲ υἱὸς ἀρεύς. ἀρέως δὲ πεσόντος περὶ κόρινθον, υἱὸς ὢν ἀκρότατος, τὴν βασιλείαν κατέσχεν. ἀπέθανε δὲ καὶ οὗτος ἡττηθεὶς μάχῃ περὶ μεγάλην πόλιν ὑπὸ ἀριστοδήμου τοῦ τυράννου. καταλιπὼν ἐγκύμονα τὴν γυναῖκα. παιδίου δὲ ἄρρενος γενομένου, λεωνίδας ὁ κλεωνύμου τὴν ἐπιτροπὴν ἔσχεν. εἶτα πρὶν ἐν ἡλικίᾳ γενέσθαι τελευτήσαντος, οὕτως εἰς αὐτὸν ἡ βασιλεία περιῆλθεν, οὐ πάνυ τοῖς πολίταις εὐάρμοστον ὄντα. καίπερ γὰρ ἐγκεκλικότων ἤδη τῇ διαφθορᾷ τοῦ πολιτεύματος ὁμαλῶς ἁπάντων, ἦν τις ἐν τῷ λεωνίδᾳ τῶν πατρῴων ἐπιφανὴς ἐκδιαίτησις. ἅτε δὴ χρόνον ἐλινδημένῳ πολὺν ἐν αὐλαῖς σατραπικαῖς, καὶ τεθεραπευκότι σέλευκον. εἶτα τὸν ἐκεῖθεν ὄγκον εἰς ἑλληνικὰ πράγματα καὶ νόμιμον ἀρχὴν, οὐκ ἐμμελῶς μεταφέροντι. ὁ δ' ἆγις οὕτω πολὺ παρήλλαττεν εὐφυΐᾳ καὶ φρονήματι ψυχῆς, οὐ μόνον ἐκεῖνον, ἀλλὰ σχεδὸν ἅπαντας ὅσοι μετ' ἀγησίλαον τὸν μέγαν ἐβασίλευσαν, ὥστε μήπω γεγονὼς εἰκοστὸν ἔτος, ἐν τεθραμμένος δὲ πλούτοις καὶ τρυφαῖς γυναικῶν, τῆς τε μητρὸς ἀγησιστράτας, καὶ τῆς μάμμης ἀρχιδαμίας. αἳ πλεῖστα χρήματα λακεδαιμονίων ἐκέκτηντο, πρός τε τὰς ἡδονὰς εὐθὺς ἀπισχυρίσασθαι. καὶ τὸ μὴ ἐπιτρέψαι μάλιστα τῇ χάριτι τῆς μορφῆς, ὡραϊσμὸν δοκοῦντα περισπάσας τοῦ σώματος. καὶ πᾶσαν ἐκδὺς καὶ διαφυγὼν πολυτέλειαν, ἐγκαλλωπίζεσθαι τῷ τρίβωνι. καὶ δεῖπνα καὶ λουτρὰ, καὶ διαίτας λακωνικὰς ζητεῖν καὶ λέγειν, ὡς οὐδὲν δέοιτο τῆς βασιλείας, εἰ μὴ δι' αὐτὴν ἀναλήψοιτο τοὺς νόμους, καὶ τὴν πάτριον ἀγωγήν. ἀρχὴν μὲν οὖν διαφθορᾶς καὶ τοῦ νοσεῖν, ἔσχε τὰ πράγματα τῶν λακεδαιμονίων, σχεδὸν ἀφ' οὗ τὴν ἀθηναίων καταλύσαντες ἡγεμονίαν, χρυσίου τε καὶ ἀργυρίου κατέπλησαν ἑαυτούς. οὐ μὴν ἀλλὰ καὶ τῶν οἴκων ὃν ὁ λυκοῦργος ὥρισε φυλάττειν τὸν ἀριθμὸν ἐν ταῖς διαδοχαῖς, καὶ πατρὸς παιδὶ τὸν κλῆρον ἀπολιπόντος, ἁμωσγέπως ἡ τάξις αὕτη καὶ ἰσότης διαμένουσα τὴν πόλιν ἐκ τῶν ἄλλων ἀνέφερεν ἁμαρτημάτων. ἐφορεύσας δέ τις ἀνὴρ δυνατὸς, αὐθάδης δὲ καὶ χαλεπὸς τὸν τρόπον ἐπιτάδευς ὄνομα, πρὸς τὸν υἱὸν αὐτῷ γενομένης διαφορᾶς, ῥήτραν ἔγραψεν, ἐξεῖναι τὸν οἶκον αὐτοῦ καὶ τὸν κλῆρον ᾧ τις ἐθέλοι, καὶ ζῶντα δοῦναι καὶ καταλιπεῖν διατιθέμενον. οὗτος μὲν οὖν αὑτοῦ τινὰ θυμὸν ἀποπιμπλὰς ἴδιον, εἰσήνεγκε τὸν νόμον. οἱ δὲ ἄλλοι πλεονεξίας ἕνεκα δεξάμενοι, καὶ κυρώσαντες, ἀπώλεσαν τὴν ἀρίστην κατάστασιν. ἐκτῶντο γὰρ ἀφειδῶς ἤδη παρωθοῦντες οἱ δυνατοὶ τοὺς προσήκοντας ἐκ τῶν διαδοχῶν. καὶ ταχὺ τῆς εὐπορίας εἰς ὀλίγους συῤῥυείσης, πενία τὴν πόλιν κατέσχεν. ἀνελευθερίαν τῶν καλῶν καὶ ἀσχολίαν ἐπιφέρουσα μετὰ φθόνου καὶ δυσμενείας πρὸς τοὺς ἔχοντας. ἀπελείφθησαν οὖν ἑπτακοσίων οὐ πλείονες, σπαρτιᾶται. καὶ τούτων ἴσως ἑκατὸν ἦσαν. οἱ γῆν κεκτημένοι καὶ κλῆρον. ὁ δὲ ἄλλος ἄπορος. καὶ ἄτιμος ἐν τῇ πόλει παρεκάθητο. τοὺς μὲν ἔξωθεν πολέμους ἀργῶς καὶ ἀπροθύμως ἀμυνόμενος. ἀεὶ δέ τινα καιρὸν ἐπιτηρῶν μεταβολῆς καὶ μεταστάσεως τῶν παρόντων. διὰ ταῦτα δὴ καλὸν ὁ ἆγις ὥσπερ ἦν ποιούμενος ἐξισῶσαι καὶ ἀναπληρῶσαι τὴν πόλιν ἐπειρᾶτο τῶν ἀνθρώπων. οἱ μὲν οὖν νέοι, ταχὺ καὶ παρ' ἐλπίδας ὑπήκουσαν αὐτῷ, καὶ συναπεδύσαντο πρὸς τὴν ἀρετὴν, ὥσπερ ἐσθῆτα τὴν δίαιταν ἐπ' ἐλευθερίᾳ συμμεταβάλλοντες. τῶν δὲ πρεσβυτέρων ἅτε δὴ πόῤῥω διαφθορᾶς γεγονότων, συνέβαινε τοῖς πλείστοις ὥσπερ ἤδη δεσπότην ἀγομένους ἐκ δρασμοῦ δεδιέναι καὶ τρέμειν τὸν λυκοῦργον. καὶ κατεμέμφοντο τοῦ ἄγιδος, ὀδυρομένου τὰ παρόντα πράγματα, καὶ τὸ παλαιὸν ἀξίωμα τῆς σπάρτης ἐπιποθοῦντος. λύσανδρος δὲ ὁ λίβυος. καὶ μανδροκλείδας ὁ ἐκφάνους, ἔτι δὲ ἀγησίλαος, ἀπεδέξαντο καὶ συμπαρώρμησαν αὐτοῦ τὴν φιλοτιμίαν. ἦν δὲ, λύσανδρος μὲν ἐνδοξότατος μάλιστα τῶν πολιτῶν. μανδροκλείδας δὲ, δεινότατος ἑλλήνων πράγματα συσκευάσασθαι. καὶ τὸ συνετὸν τοῦτο καὶ δολερὸν τόλμῃ μεμιγμένον ἔχων. ἀγησίλαον μὲν θεῖον ὄντα τοῦ βασιλέως, καὶ δυνατὸν εἰπεῖν, ἄλλως δὲ μαλακὸν καὶ φιλοχρήματον, ἐμφανῶς μὲν ὁ υἱὸς ἱππομέδων ἐκίνει καὶ παρεθάῤῥυνεν, εὐδόκιμος ἐν πολλοῖς πολέμοις ἀνὴρ καὶ μέγα δι' εὔνοιαν τῶν νέων δυνάμενος. ἡ δὲ ἀληθὴς ἀναπείσασα τὸν ἀγησίλαον αἰτία, τῶν πραττομένων μετασχεῖν, ὀφλημάτων πλῆθος ἦν, ὧν ἤλπιζεν ἀπαλλαγήσεσθαι, μεταβάλλων τὴν πολιτείαν. ὡς οὖν τάχιστα προσηγάγετο τοῦτον ὁ ἆγις, εὐθὺς ἐπιχειρεῖ μετ' αὐτοῦ τὴν μητέρα πείθειν, ἀδελφὴν οὖσαν τοῦ ἀγησιλάου. πλήθει δὲ πελατῶν. καὶ φίλων καὶ χρεωστῶν, μέγα δυναμένην ἐν τῇ πόλει. καὶ πολλὰ τῶν κοινῶν διαπραττομένην. ἡ δὲ, ἀκούσασα, τὸ μὲν πρῶτον ἐξεπλάγη καὶ κατέπαυε τὸ μειράκιον, ὡς οὔτε δυνατῶν, οὔτε λυσιτελῶν ἐφιέμενον. ἐπεὶ δὲ ταῦτα μὲν ὁ ἀγησίλαος ἐδίδασκεν, ὡς καλῶς ἕξει καὶ πραχθήσεται συμφερόντως. αὐτὸς δὲ ὁ βασιλεὺς ἐδεῖτο τῆς μητρὸς ἐπιδοῦναι πρὸς δόξαν αὐτῷ καὶ φιλοτιμίαν τὸν πλοῦτον. ὡς χρήμασι μὲν οὐ δυνάμενος πρὸς τοὺς ἄλλους βασιλεῖς ἐξισωθῆναι. σατραπῶν γὰρ οἰκέτας καὶ δούλους ἐπιτρόπων πτολεμαίου καὶ σελεύκου, κεκτῆσθαι πλείονα, συμπάντων ὁμοῦ τῶν ἐν σπάρτῃ βασιλέων. ἐὰν δὲ σωφροσύνῃ καὶ λιτότητι καὶ μεγαλοψυχίᾳ, τὰς ἐκείνου ὑπερβαλλόμενος τρυφὰς ἰσότητα καὶ κοινωνίαν καταστήσῃ τοῖς πολίταις, ὄνομα καὶ δόξαν ὡς ἀληθῶς βασιλέως μεγάλου κτησόμενος. οὕτω μετέπεσον ταῖς γνώ-

ου

Κ ἀτόπως τινὲς οὐδὲ φαύλως συμβάλλεσθαι πρὸς τοὺς φιλοδόξους ὑπονοοῦσι τὸν ἐπὶ τῷ Ἰξίονι μῦθον, ὡς δὴ λαβόντι τὴν νεφέλην ἀντὶ τῆς Ἥρας, καὶ τῶν κενταύρων οὕτω γενομένων. καὶ γὰρ οὗτοι τῆς ἀρετῆς, ὥσπερ εἰδώλῳ τινὶ τῇ δόξῃ συνόντες, οὐδὲν εἰλικρινὲς οὐδ' ὁμολογούμενον, ἀλλὰ νόθα καὶ μικτὰ πολλὰ πράττουσιν, ἄλλοτ' ἄλλας φορὰς φερόμενοι ζήλοις καὶ πάθεσιν ἐπακολουθοῦντες. ὥσπερ οἱ Σοφοκλέους βοτῆρες ἐπὶ τῶν ποιμνίων λέγουσιν.

» Τούτοις γὰρ ὄντες δεσπόται δουλεύομεν
» Καὶ τῶν δ' ἀνάγκη καὶ σιωπώντων κλύειν.

ὅπερ ἀληθῶς οἱ πρὸς ἐπιθυμίας ὄχλων καὶ ὁρμὰς πολιτευόμενοι, πάσχουσι. δουλεύοντες καὶ ἀκολουθοῦντες, ἵνα δημαγωγοὶ καὶ ἄρχοντες ὀνομάζωνται. καθάπερ γὰρ οἱ πρωρεῖς, τὰ ἔμπροσθεν προορώμενοι τῶν κυβερνητῶν, ἀφορῶσι πρὸς ἐκείνους καὶ τὸ προστασσόμενον ὑπ' ἐκείνων ποιοῦσιν, οὕτως οἱ πολιτευόμενοι καὶ πρὸς δόξαν ὁρῶντες, ὑπηρέται τῶν πολλῶν μέν εἰσιν, ὄνομα δὲ ἀρχόντων ἔχουσιν. ὁ μὲν γὰρ ἀπηκριβωμένος καὶ τελέως ἀγαθὸς, οὐδ' ἂν ὅλως δόξης δέοιτο, πλὴν ὅση πάροδον ἐπὶ τὰς πράξεις καὶ διὰ τοῦ πιστεύεσθαι δίδωσι. νέῳ δὲ ἔτι ὄντι καὶ φιλοτίμῳ δοτέον ἀπὸ τῶν καλῶν ἔργων, καὶ δόξῃ τι καλλωπίζεσθαι καὶ κομπάσαι. φυόμεναι γὰρ ἐν τοῖς τηλικούτοις αἱ ἀρεταὶ καὶ βλαστάνουσαι, τό τε κατορθούμενον ὥς φησι Θεόφραστος, ἐπιβεβαιοῦνται τοῖς ἐπαίνοις. καὶ τὸ λοιπὸν αὔξονται μετὰ φρονήματος ἐπαιρόμεναι. τὸ δὲ ἄγαν πανταχοῦ μὲν ἐπισφαλὲς, ἐν δὲ ταῖς πολιτικαῖς φιλοτιμίαις, ὀλέθριον. ἐκφέρει γὰρ εἰς μανίαν καὶ παραφροσύνην ὕπαιθρον ἐξουσίας μεγάλης ἐπιλαβομένους, ὅταν μὴ τὸ καλὸν ἔνδοξον εἶναι θέλωσιν, ἀλλ' ἀγαθὸν ἡγῶνται τὸ ἔνδοξον εἶναι. ὥσπερ οὖν Φωκίων πρὸς Ἀντίπατρον ἀξιοῦντά τι παρ' αὐτοῦ τῶν μὴ καλῶν, οὐ δύνασαι εἶπεν ἅμα καὶ φίλῳ Φωκίωνι χρῆσθαι καὶ κόλακι. τοῦτο λεκτέον ἢ ὅμοιόν τι τούτῳ πρὸς τοὺς πολλοὺς, οὐ δύνασθε τὸν αὐτὸν ἔχειν καὶ ἄρχοντα καὶ ἀκόλουθον. ἐπεὶ συμβαίνει καὶ οὕτως τὸ τοῦ δράκοντος, οὗ φησιν ὁ μῦθος τὴν οὐρὰν τῇ κεφαλῇ στασιάσασαν, ἀξιοῦν ἡγεῖσθαι παρὰ μέρος, καὶ μὴ διὰ παντὸς ἀκολουθεῖν ἐκείνῃ. λαβοῦσαν δὲ τὴν ἡγεμονίαν, αὐτήν τε κακῶς ἀπαλλάττειν, ἀνοίᾳ πορευομένην, καὶ τὴν κεφαλὴν καταξαίνειν τυφλοῖς καὶ κωφοῖς μέρεσιν ἀναγκαζομένην παρὰ φύσιν ἕπεσθαι. τοῦτο πολλοὺς τῶν πρὸς χάριν ἅπαντα πολιτευομένων, ὁρῶμεν πεπονθότας. ἐξαρτήσαντες γὰρ αὑτοὺς ὄχλων εἰκῆ φερομένων, οὐδ' ἀναλαβεῖν ὕστερον, οὐδ' ἐπιστῆσαι τὴν ἀταξίαν ἐδυνήθησαν. ταῦτα δὲ ἡμῖν εἰς τὴν παρὰ τῶν πολλῶν δόξαν ἐπῆλθεν εἰπεῖν ἐννοήσασιν, ἡλίκην ἔχει δύναμιν ἐκ τῶν Τιβερίῳ καὶ Γαΐῳ τοῖς Γράγχοις συμπεσόντων. οὓς κάλλιστα μὲν φύντας, κάλλιστα δὲ τραφέντας, καλλίστην δὲ τῆς πολιτείας ὑπόθεσιν λαβόντας, ἀπώλεσεν, οὐχ οὕτως ἐπιθυμία δόξης ἄμετρος, ὡς φόβος ἀδοξίας ἐκ προφάσεως οὐκ ἀγεννοῦς πεφυκώς. μεγάλην γὰρ εὔνοιαν προειληφότες παρὰ τῶν πολιτῶν, ᾐσχύνθησαν ἐγκαταλιπεῖν ὥσπερ χρέος. ἁμιλλώμενοι δὲ ἀεὶ πολιτεύμασι χρηστοῖς τὰς τιμὰς ὑπερβάλλεσθαι, καὶ τιμώμενοι μᾶλλον, ἐξ ὧν ἐπολιτεύοντο κεχαρισμένως. καὶ τρόπον τινὰ ἴσην φιλοτιμίαν πρός τε τὸν δῆμον ἑαυτοὺς, καὶ τὸν δῆμον πρὸς ἑαυτοὺς ἐκκαύσαντες, ἔλαθον ἁψάμενοι πραγμάτων ἐν οἷς οὐκέτι ἦν τὸ ἐπεὶ μὴ καλὸν, αἰσχρὸν ἤδη τὸ παύσασθαι. ταῦτα μὲν οὖν ἐπικρινεῖς αὐτὸς ἐκ τῆς διηγήσεως. παραβάλωμεν δ' αὐτοῖς Λακωνικὸν ζεῦγος δημαγωγῶν, Ἆγιν καὶ Κλεομένη, τοὺς βασιλεῖς. καὶ γὰρ οὗτοι τὸν δῆμον αὔξοντες ὥσπερ ἐκεῖνοι, καὶ πολιτείαν καλὴν καὶ δικαίαν ἐκλελοιπυῖαν πολὺν χρόνον ἀναλαμβάνοντες, ὁμοίως ἀπηχθάνοντο τοῖς δυνατοῖς, μὴ βουλομένοις ἀφεῖναι τὴν συνήθη πλεονεξίαν. ἀδελφοὶ μὲν οὖν οὐκ ἦσαν ἀλλήλων οἱ Λάκωνες. συγγενοῦς δὲ καὶ ἀδελφῆς ἥψαντο πολιτείας, ἀρχὴν τοιαύτην λαβόντες. ἐπεὶ παρεισέδυ πρῶτον εἰς τὴν πόλιν, ἀργύρου καὶ χρυσοῦ ζῆλος, καὶ συνηκολούθησε, τῇ μὲν κτήσει τοῦ πλούτου πλεονεξία καὶ μικρολογία. τῇ δὲ χρήσει καὶ ἀπολαύσει, τρυφὴ καὶ μαλακία καὶ πολυτέλεια, τῶν πλείστων ἐξέπεσεν ἡ Σπάρτη καλῶν. καὶ ταπεινὰ πράττουσα παρ' ἀξίαν διετέλει, μέχρι τῶν χρόνων ἐκείνων, ἐν οἷς Ἆγις καὶ Λεωνίδας ἐβασίλευον. Ἆγις μὲν, Εὐρυπωντίδης καὶ Εὐδαμίδου παῖς. ἕκτος ἀπὸ Ἀγησιλάου, τοῦ διαβάντος εἰς τὴν Ἀσίαν, καὶ μέγιστον ἐν Ἕλλησι δυνηθέντος. ἦν γὰρ Ἀγησιλάου μὲν, Ἀρχίδαμος, ὁ περὶ Μανδόνιον τῆς Ἰταλίας, ὑπὸ Μεσσαπίων ἀναιρεθείς. Ἀρχιδάμου δὲ, πρεσβύτερος μὲν υἱὸς, Ἆγις. Εὐδαμίδας δὲ, νεώτερος, ὃς Ἄγιδος ὑπ' Ἀντιπάτρου περὶ Μεγάλην πόλιν ἀναιρεθέντος ἀτέκνου, τὴν βασιλείαν ἔσχε. τούτου δὲ, Ἀρχίδαμος. Ἀρχιδάμου δὲ, ἕτερος Εὐδαμίδας. Εὐδαμίδου δὲ, Ἆγις, περὶ οὗ τάδε γέγραπται. Λεωνίδας δὲ, ὁ Κλεωνύμου, τῆς μὲν ἑτέρας οἰκίας ἦν Ἀγιάδης, ὄγδοος δὲ ἀπὸ Παυσανίου τοῦ νικήσαντος ἐν Πλαταιαῖς μάχῃ Μαρδόνιον. Παυσανίας γὰρ υἱὸν ἔσχε, Πλειστώνακτα. Πλειστῶναξ δὲ, Παυσανίαν. οὗ φυγόντος εἰς Τεγέαν ἐκ Λακεδαίμονος, ὁ πρεσβύτερος υἱὸς Ἀγησίπολις ἐβασίλευσε. καὶ τούτου τελευτήσαντος ἀτέκνου, Κλεόμβροτος ὁ νεώτερος. ἐκ δὲ Κλεομβρότου, πάλιν ἄλλος

μένως

de hoc loco quaerendum.

κὸς, ἀλλὰ τοσαυτάκις περὶ ἀναγκαίου θρυλεῖν, καὶ γράφειν ἀφ᾽ ἧς αὐτὶς ἐργασίας τάχιστα πλούσιος γένοιτο. μέγα γὰρ τὸ εὐτελὲς καὶ αὔταρκες, ὅτι τῆς ἐπιθυμίας ἅμα καὶ τῆς φροντίδος ἀπαλλάττει τῶν περιττῶν. διὸ καὶ τοῦτό φασιν ἐν τῇ καλλίου δίκῃ τὸν ἀριστείδην εἰπεῖν, ὡς αἰσχύνεσθαι πενίαν προσήκει, τοῖς ἀκουσίως πενομένοις. τοῖς δ᾽ ὥσπερ αὐτὸς, ἑκουσίως, ἐγκαλλωπίζεσθαι. γελοῖον γὰρ οἴεσθαι ῥᾳθυμίας εἶναι, τὴν ἀριστείδου πενίαν, ᾧ παρῆν αἰσχρὸν ἐργασαμένῳ μηδὲν, ἀλλ᾽ ἕνα σκυλεύσαντι βάρβαρον, ἢ μίαν σκηνὴν καταλαβόντι, πλουσίῳ γενέσθαι. ταῦτα μὲν οὖν περὶ τούτων.

στρατηγίαι δὲ τοῦ μὲν κάτωνος, οὐδὲν ὡς μεγάλοις πράγμασι μέγα προσέθηκαν, ἐν δὲ ταῖς ἀριστείδου, τὰ κάλλιστα καὶ λαμπρότατα καὶ πρῶτα τῶν ἑλληνικῶν ἔργων ἐστὶν, ὁ μαραθὼν. ἡ σαλαμίς. αἱ πλαταιαί. καὶ οὐκ ἄξιον δήπου παραβάλλειν τῷ ξέρξῃ, τὸν ἀντίοχον. καὶ τὰ περιαιρεθέντα τῶν ἰβηρικῶν πόλεων τείχη, ταῖς τοσαύταις μὲν ἐν γῇ. τοσαύταις δ᾽ ἐν θαλάσσῃ πεσούσαις μυριάσιν. ἐν οἷς ἀριστείδης, ἔργῳ μὲν, οὐδενὸς ἐλείπετο. δόξης δὲ καὶ στεφάνων, ὥσπερ ἀμέλει πλούτου καὶ χρημάτων, ὑφίετο τοῖς μᾶλλον δεομένοις, ὅτι καὶ πάντων τούτων διέφερεν. ἐγὼ δ᾽ οὐ μέμφομαι μὲν κάτωνος τὸ μεγαλύνειν ἀεὶ καὶ πρῶτον ἑαυτὸν ἁπάντων τίθεσθαι. καίτοι φησὶν ἔν τινι λόγῳ, τὸ ἐπαινεῖν αὐτὸν ὥσπερ τὸ λοιδορεῖν, ἄτοπον εἶναι. τελειότερος δέ μοι δοκεῖ πρὸς ἀρετὴν, τοῦ πολλάκις ἑαυτὸν ἐγκωμιάζοντος, ὁ μηδ᾽ ἑτέρων τοῦτο ποιούντων δεόμενος. τὸ γὰρ ἀφιλότιμον, οὐ μικρὸν εἰς πρᾳότητα πολιτικὴν ἐφόδιον. καὶ τοὐναντίον ἡ φιλοτιμία, χαλεπὸν, καὶ φθόνου γονιμώτατον. ἧς ὁ μὲν, ἀπήλλακτο παντάπασιν. ὁ δὲ, καὶ πάνυ πολλῆς μετεῖχεν. ἀριστείδης μέν γε θεμιστοκλεῖ τὰ μέγιστα συμπράττων, καὶ τρόπον τινὰ τὴν στρατηγίαν αὐτοῦ δορυφορῶν, ὤρθωσε τὰς ἀθήνας. κάτων δ᾽ ἀντιπράττων σκιπίωνι, μικροῦ μὲν ἀνέτρεψε καὶ διελυμήνατο τὴν ἐπὶ καρχηδονίους αὐτοῦ στρατηγίαν, ἐν ᾗ τὸν ἀήττητον ἀννίβαν καθεῖλε. τέλος δὲ μηχανώμενος ἀεί τινας ὑποψίας καὶ διαβολὰς, αὐτὸν μὲν ἐξήλασε τῆς πόλεως. τὸν δ᾽ ἀδελφὸν, αἰσχίστῃ κλοπῆς καταδίκῃ περιέβαλεν. ἣν τοίνυν πλείστοις ὁ κάτων κεκόσμηκε καὶ καλλίστοις ἐπαίνοις ἀεὶ σωφροσύνην, ἀριστείδης μὲν ἄθικτον ὡς ἀληθῶς καὶ καθαρὰν ἐτήρησεν. ἤ. ς. τ.

αὐτοῦ δὲ τοῦ κάτωνος, ὁ παρ᾽ ἀξίαν ἅμα καὶ παρ᾽ ὥραν γάμος, οὐ μικρὰν οὐδὲ φαύλην εἰς τοῦτο διαβολὴν κατεσκέδασε. πρεσβύτην γὰρ ἤδη τοσοῦτον ἐνηλίκῳ παιδὶ καὶ γυναικὶ νύμφῃ παιδὸς, ἐπιγῆμαι κόρην ὑπηρέτου καὶ δημοσιεύσαντος ἐπὶ μισθῷ πατρὸς, οὐδαμοῦ καλόν. ἀλλ᾽ εἴτε πρὸς ἡδονὴν ταῦτ᾽ ἔπραξεν, εἴτ᾽ ὀργῇ διὰ τὴν ἑταίραν, ἀμυνόμενος τὸν υἱὸν, αἰσχύνην ἔχει καὶ τὸ ἔργον, καὶ ἡ πρόφασις. ᾧ δ᾽ αὐτὸς ἐχρήσατο λόγῳ κατειρωνευόμενος τὸ μειράκιον, οὐκ ἦν ἀληθής. εἰ γὰρ ἐβούλετο παῖδας ἀγαθοὺς ὁμοίως τεκνῶσαι, γάμον ἔδει λαβεῖν γενναῖον, ἐξ ἀρχῆς σκεψάμενον. οὐχ ἕως μὲν ἐλάνθανεν ἀνεγγύῳ γυναικὶ καὶ κοινῇ συγκοιμώμενος, ἀγαπᾶν. ἐπεὶ δ᾽ ἐφωράθη, ποιήσασθαι πενθερὸν, ὃν ῥᾷστα πείσειν, οὐχ ᾧ κάλλιστα κηδεύσειν ἔμελλεν.

μένος. ἐν δὲ πλαταιαῖς φησὶν ἡρόδοτος, ἀνελέσθαι καλλίστην νίκην, παυσανίαν. ἀριστεῖα δὲ, καὶ τῶν δευτερείων ἀμφισβητοῦσι, σωφάναι καὶ ἀμεινίαι καὶ καλλίμαχοι καὶ κυναίγειροι διαπρεπῶς ἀριστεύσαντες ἐν ἐκείνοις τοῖς ἀγῶσι. κάτων δ' οὐ μόνον αὐτὸς ὑπατεύων ἐπρώτευσε καὶ χειρὶ καὶ γνώμῃ κατὰ τὸν ἰβηρικὸν πόλεμον, ἀλλὰ καὶ χιλιαρχῶν περὶ θερμοπύλας, ὑπατεύοντος ἑτέρου, τὴν δόξαν ἔσχε τῆς νίκης. μεγάλας ἀπ' ἀντίοχον ῥωμαίοις ἀναπετάσας κλεισιάδας, καὶ πρόσω μόνον ὁρῶντι τῷ βασιλεῖ, περιστήσας κατὰ νώτου τὸν πόλεμον. ἐκείνη γὰρ ἡ νίκη περιφανῶς ἔργον οὖσα κάτωνος, ἐξήλασε τῆς ἑλλάδος τὴν ἀσίαν. καὶ παρέσχεν ἐπιβατὴν αὖθις σκηπίωνι. πολεμοῦντες μὲν οὖν ἀήττητοι γεγόνασιν ἀμφότεροι. περὶ δὲ τὴν πολιτείαν, ἀριστείδης μὲν ἔπταισεν ἐξοστρακισθεὶς καὶ καταστασιασθεὶς ὑπὸ θεμιστοκλέους. κάτων δὲ οἵπερ ἦσαν ἐν ῥώμῃ δυνατώτατοι καὶ μέγιστοι, πᾶσιν ὡς ἔπος εἰπεῖν ἀντιπάλοις χρώμενος, καὶ μέχρι γήρως ὥσπερ ἀθλητὴς ἀγωνιζόμενος, ἄπτωτον διετήρησεν ἑαυτόν. πλείστας δὲ καὶ φυγὼν δημοσίας δίκας, καὶ διώξας, πολλὰς μὲν εἷλε, πάσας δ' ἀπέφυγε, πρόβλημα τοῦ βίου, καὶ δραστήριον ὄργανον ἔχων τὸν λόγον. ᾧ δικαιότερον ἄν τις ἢ τύχῃ, καὶ δαίμονι τοῦ ἀνδρὸς, τὸ μηδὲν παθεῖν παρ' ἀξίαν ἀνατιθείη. μέγα γὰρ καὶ ἀριστοτέλει τῷ φιλοσόφῳ, ὑπῆρχε πρὸς μαρτύρησιν, ἀντίπατρος γράφων περὶ αὐτοῦ μετὰ τὴν τελευτὴν, ὅτι πρὸς τοῖς ἄλλοις ὁ ἀνὴρ καὶ τὸ πιθανὸν εἶχεν. ὅτι μὲν δὴ τῆς πολιτικῆς ἄνθρωπος ἀρετῆς οὐ κτᾶται τελειοτέραν, ὁμολογούμενόν ἐστι. ταύτης δέ που μόριον οἱ πλεῖστοι τὴν οἰκονομικὴν, οὐ μικρὸν τίθενται. καὶ γὰρ ἡ πόλις, οἴκων τι σύστημα καὶ κεφάλαιον οὖσα, ῥώννυται πρὸς τὰ δημόσια, τοῖς ἰδίοις βίοις τῶν πολιτῶν εὐθενούντων. ὅπου καὶ λυκοῦργος ἐξοικίσας μὲν ἄργυρον, ἐξοικίσας δὲ χρυσὸν τῆς σπάρτης, νόμισμα δὲ διεφθαρμένου πυρὶ σιδήρου θέμενος αὐτοῖς, οἰκονομίας οὐκ ἀπήλλαξε τοὺς πολίτας, ἀλλὰ τὰ τρυφῶντα καὶ ὕπουλα καὶ φλεγμαίνοντα τοῦ πλούτου περιελὼν, ὅπως εὐπορήσωσι τῶν ἀναγκαίων καὶ χρησίμων ἅπαντες, ὡς ἄλλος οὐδεὶς νομοθέτης προυνόησε. τὸν ἄπορον καὶ ἀνέστιον, καὶ πένητα σύνοικον, ἐπὶ κοινωνίᾳ πολιτείας, μᾶλλον τοῦ πλουσίου καὶ ὑπερόγκου φοβηθείς. φαίνεται τοίνυν ὁ μὲν κάτων, οὐδέν τι φαυλότερος οἴκου προστάτης ἢ πόλεως γενόμενος. καὶ γὰρ αὐτὸς ηὔξησε τὸν αὑτοῦ βίον. καὶ κατέστη διδάσκαλος οἰκονομίας καὶ γεωργίας ἑτέροις, πολλὰ καὶ χρήσιμα περὶ τούτων συλλεξάμενος. ἀριστείδης δὲ τῇ πενίᾳ, καὶ τὴν δικαιοσύνην διέβαλεν. ὡς οἰκοφθόρον καὶ πτωχοποιόν. καὶ πᾶσι μᾶλλον ἢ τοῖς κεκτημένοις ὠφέλιμον. καίτοι πολλὰ μὲν ἡσίοδος πρὸς δικαιοσύνην ἅμα καὶ οἰκονομίαν παρακαλῶν ἡμᾶς εἴρηκεν. καὶ τὴν ἀργίαν ὡς ἀδικίας ἀρχὴν λελοιδόρηκεν. εὖ δὲ καὶ ὁμήρῳ πεποίηται.

» Ἔργον δέ μοι οὐ φίλον ἔσκεν, οὐδ' οἰκωφελίη, ἥτε τρέφει ἀγλαὰ τέκνα. ἀλλά μοι αἰεὶ νῆες
» ἐπήρετμοι φίλαι ἦσαν. καὶ πόλεμοι καὶ ἄκοντες ἐΰξεστοι καὶ ὀϊστοί.

ὡς τοὺς αὐτοὺς ἀμελοῦντας οἰκίας, καὶ πορίζομένους ἐξ ἀδικίας. οὐ γὰρ ὡς τοὔλαιον οἱ ἰατροί φασι τοῦ σώματος εἶναι τοῖς μὲν ἐκτὸς ὠφελιμώτατον, τοῖς δ' ἐντὸς βλαβερώτατον, οὕτως ὁ δίκαιος ἑτέροις μέν ἐστι χρήσιμος, αὑτοῦ δὲ καὶ τῶν ἰδίων ἀκηδής. ἀλλ' ἔοικε ταύτῃ πεπηρῶσθαι τῷ ἀριστείδῃ τὸ πολιτικόν, εἴπερ ὡς οἱ πλεῖστοι λέγουσιν, οὐδὲ προῖκα ταῖς θυγατρίοις, οὐδὲ ταφὴν αὑτῷ καταλιπέσθαι προυνόησεν. ὅθεν ὁ μὲν κάτωνος οἶκος, ἄχρι γένους τετάρτου, στρατηγοὺς καὶ ὑπάτους τῇ ῥώμῃ παρεῖχε. καὶ γὰρ υἱωνοὶ, καὶ τούτων ἔτι παῖδες, ἦρξαν ἀρχὰς τὰς μεγίστας. τῆς δ' ἀριστείδου τοῦ πρωτεύσαντος ἑλλήνων γενεᾶς, ἡ πολλὴ καὶ ἄπορος πενία, τοὺς μὲν εἰς ἀγυρτικοὺς κατέβαλε πίνακας, τοὺς δὲ, δημοσίᾳ τὰς χεῖρας ἐράνῳ δι' ἔνδειαν ὑπέχειν ἠνάγκασεν. οὐδενὶ δὲ λαμπρὸν οὐδὲν οὐδ' ἄξιον ἐκείνου τοῦ ἀνδρὸς φρονῆσαι παρέσχεν. ἢ τοῦτο πρῶτον ἀμφιλογίαν ἔχει. πενία γὰρ αἰσχρὸν, οὐδαμοῦ μὲν δι' αὑτὴν, ἀλλ' ὅπου δεῖγμα, ῥᾳθυμίας ἐστὶν, ἀκρασίας. πολυτελείας. ἀλογιστίας. ἀνδρὶ δὲ σώφρονι καὶ φιλοπόνῳ, καὶ δικαίῳ, καὶ ἀνδρείῳ, καὶ δημοσιεύοντι ταῖς ἀρεταῖς ἁπάσαις συνοῦσα, μεγαλοψυχίας ἐστὶ καὶ μεγαλοφροσύνης σημεῖον. οὐ γάρ ἐστι πράττειν μεγάλα, φροντίζοντα μικρῶν. οὐδὲ πολλοῖς δεομένοις βοηθεῖν, πολλῶν αὐτὸν δεόμενον. μέγα δ' εἰς πολιτείαν ἐφόδιον, οὐχ ὁ πλοῦτος, ἀλλ' αὐτάρκεια τῷ μηδὲν ἰδίᾳ τῶν περιττῶν δεῖσθαι, πρὸς οὐδεμίαν ἀσχολίαν ἄγουσα τῶν δημοσίων. ἀπροσδεὴς μὲν γὰρ ἁπλῶς ὁ θεός. ἀνθρωπίνης δ' ἀρετῆς ᾧ συνάγεται πρὸς τὸ ἐλάχιστον ἡ χρεία, τοῦτο τελειότατον καὶ θειότατον. ὡς γὰρ σῶμα καλῶς πρὸς εὐεξίαν κεκραμένον, οὔτ' ἐσθῆτος, οὔτε τροφῆς δεῖται περιττῆς, οὕτω καὶ βίος καὶ οἶκος ὑγιαίνων, ἀπὸ τῶν τυχόντων διοικεῖται. δεῖ δὲ τῇ χρείᾳ σύμμετρον ἔχειν τὴν κτῆσιν. ὡς ὅτε πολλὰ συνάγων ὀλίγοις δὲ χρώμενος, οὐκ ἔστιν αὐτάρκης, ἀλλ' εἴτε μὴ δεῖται τῆς παρασκευῆς ὧν οὐκ ὀρέγεται, μάταιος. εἴτ' ὀρέγεται μικρολογίᾳ κολούων τὴν ἀπόλαυσιν, ἄθλιος. αὐτοῦ γέ τοι κάτωνος ἡδέως ἂν πυθοίμην. εἰ μὲν ἀπολαυστόν ὁ πλοῦτός ἐστι, τί σεμνύνῃ, τῷ πολλὰ κεκτημένος ἀρκεῖσθαι μετρίοις. εἰ δὲ λαμπρόν ἐστιν, ὥσπερ ἐστιν, ἄρτῳ τε χρήσασθαι τῷ προστυχόντι. καὶ πιεῖν, ὃν ἐργάται πίνουσι καὶ θεράποντες οἶνον, καὶ πορφύρας μὴ δεηθῆναι, μήτ' οἰκίας κεκονιαμένης, οὐδὲν οὔτ' ἀριστείδης, οὔτ' ἐπαμινώνδας, οὔτε μάνιος κούριος. οὔτε γάϊος φαβρίκιος, ἐνέλιπον τοῦ προσήκοντος χαίρειν ἐάσαντες τὴν κτῆσιν, ὧν τὴν χρῆσιν ἀπεδοκίμαζον. οὐ γὰρ ἦν ἀναγκαῖον ἀνθρώπῳ γογγυλίδας ἥδιστον ὄψον πεποιημένῳ, καὶ δι' αὑτοῦ ταύτας ἕψοντι, ματτούσης ἅμα τῆς γυναι-

[Margin notes: "ἐπ'" beside the line "ἔχε τῆς νίκης … ἀπ' ἀντίοχον"; "μικρῶν" beside the line "σύνης σημεῖον … φροντίζοντα"; "nō est in veneto codice" beside the lines "πολλὰ συνάγων … οὐκ ὀρέγεται"]

δόντες ἀνάστασιν οἴονται γεγονέναι. τῷ μὲν ἔργῳ, τέλος ἐπιθέντος τοῦ νέου σκηπίωνος· βουλῇ δὲ καὶ γνώμῃ μάλιστα τοῦ κάτωνος, ἀραμένων τὸν πόλεμον, ἐξ αἰτίας τοιᾶσδε. κάτων ἐπέμφθη πρὸς καρχηδονίους, καὶ μασσανάσσην τὸν νομάδα, πολεμοῦντας ἀλλήλους ἐπισκεψόμενος τὰς τῆς διαφορᾶς προφάσεις. ὁ μὲν γὰρ ἦν τοῦ δήμου φίλος ἀπ' ἀρχῆς. οἱ δ' ἐγεγόνεισαν ἔνσπονδοι μετὰ τὴν ὑπὸ σκηπίωνος ἧτταν, ἀφαιρέσει τε τῆς ἀρχῆς, καὶ βαρεῖ δασμῷ χρημάτων κολουσθέντες. εὑρὼν δὲ τὴν πόλιν οὐχ ὡς ᾤοντο ῥωμαῖοι κακῶς κεκακωμένην καὶ ταπεινὰ πράττουσαν, ἀλλὰ πολλῇ μὲν εὐανδροῦσαν ἡλικίᾳ, μεγάλων δὲ πλούτων γέμουσαν, ὅπλων δὲ παντοδαπῶν καὶ παρασκευῆς πολεμιστηρίου μεστὴν καὶ μικρὸν οὐδὲν ἐπὶ τούτοις φρονοῦσαν, οὐ τὰ νομάδων ᾤετο καὶ μασσανάσσου πράγματα, ῥωμαίους ὥραν ἔχειν τίθεσθαι καὶ διαιτᾶν, ἀλλ' εἰ μὴ καταλήψονται πόλιν, ἄνωθεν ἐχθρὰν καὶ βαρύθυμον ηὐξημένην ἀπίστως, πάλιν ἐν τοῖς ἰδίοις κινδύνοις ἔσεσθαι. ταχέως οὖν ἀποστρέψας, ἐδίδασκε τὴν βουλὴν, ὡς αἱ πρότερον ἧτται καὶ συμφοραὶ καρχηδονίων, οὐ τοσοῦτον τῆς δυνάμεως, ὅσον τῆς ἀνοίας ἀπαρύσασαι, κινδυνεύουσιν αὐτοὺς οὐκ ἀσθενεστέρους, ἐμπειροτέρους δὲ πολεμεῖν ἀπεργάσασθαι. ἤδη δὲ καὶ προανακινεῖσθαι τοῖς νομαδικοῖς τοὺς πρὸς ῥωμαίους ἀγῶνας. εἰρήνην δὲ καὶ σπονδὰς, ὄνομα τοῦ πολέμου τῇ μελλήσει κεῖσθαι, καιρὸν περιμένοντας. πρὸς τούτοις φασὶ τὸν κάτωνα, καὶ σῦκα τῶν λιβυκῶν ἐπίτηδες ἐκβαλεῖν ἐν τῇ βουλῇ, τὴν τήβεννον ἀναβαλλόμενον. εἶτα θαυμασάντων τὸ μέγεθος καὶ τὸ κάλλος, εἰπεῖν. ὡς ἡ ταῦτα φέρουσα χώρα, τριῶν ἡμερῶν πλοῦν ἀπέχει τῆς ῥώμης. ἐκεῖνο δ' ἤδη καὶ βιαιότερον τὸ περὶ παντὸς οὗ δήποτε πράγματος γνώμην ἀποφαινόμενον, προσεπιφωνεῖν οὕτως. δοκεῖ δέ μοι καὶ καρχηδόνα μὴ εἶναι. τοὐναντίον δὲ πόπλιος σκηπίων, ὁ νασικᾶς ἐπικαλούμενος, ἀεὶ διετέλει λέγων καὶ ἀποφαινόμενος. δοκεῖ μοι καρχηδόνα εἶναι. πολλὰ γὰρ ὡς ἔοικεν ὕβρει τὸν δῆμον ὁρῶν ἤδη πλημμελοῦντα, καὶ δι' εὐτυχίαν καὶ φρόνημα τῇ βουλῇ δυσκάθεκτον ὄντα. καὶ τὴν πόλιν ὅλην ὑπὸ δυνάμεως ὅπῃ ῥέψει ταῖς ὁρμαῖς βίᾳ συνεφελκόμενον, ἐβούλετο τοῦτον γοῦν τὸν φόβον ὥσπερ χαλινὸν ἐγκεῖσθαι σωφρονιστῆρα τῇ θρασύτητι τῶν πολλῶν. ἔλαττον μὲν ἡγούμενος ἰσχύειν καρχηδονίους τοῦ περιγενέσθαι ῥωμαίων. μεῖζον δὲ τοῦ καταφρονεῖσθαι. τῷ δὲ κάτωνι, τοῦτ' αὐτὸ δεινὸν ἐφαίνετο, βακχεύοντι τῷ δήμῳ καὶ σφαλλομένῳ τὰ πολλὰ δι' ἐξουσίαν, πόλιν ἀεὶ μεγάλην, νῦν δὲ νήφουσαν ὑπὸ συμφορῶν κεκολασμένην, ἐπικρέμασθαι. καὶ μὴ παντάπασι τοὺς ἔξωθεν ἀνελεῖν τῆς ἡγεμονίας φόβους, ἀναφορὰς αὑτοῖς πρὸς τὰς οἴκοθεν ἁμαρτίας ἀπολιπόντας. οὕτω μὲν ἐξεργάσασθαι λέγεται τὸν τρίτον καὶ τελευταῖον ὁ κάτων ἐπὶ καρχηδονίους πόλεμον. ἀραμένων δὲ πολεμεῖν, ἐτελεύτησεν, ἀποθεσπίσας περὶ τοῦ μέλλοντος ἐπιθήσειν τῷ πολέμῳ τέλος ἀνδρός. ὃς ἦν τότε μὲν νεανίας. χιλίαρχος δὲ στρατευόμενος, ἀπεδείκνυτο καὶ γνώμης ἔργα καὶ τόλμης πρὸς τοὺς ἀγῶνας. ἀπαγγελλομένων δὲ τούτων εἰς ῥώμην, πυθόμενον τὸν κάτωνά φασιν εἰπεῖν, οἶος πέπνυται, τοὶ δὲ σκιαὶ ἀΐσσουσι. ταύτην μὲν οὖν τὴν ἀπόφασιν ταχὺ δι' ἔργων ἐβεβαίωσεν ὁ σκηπίων. ὁ δὲ κάτων, ἀπέλιπε γενεάν. ἕνα μὲν υἱὸν ἐκ τῆς ἐπιγαμηθείσης, ᾧ παρώνυμον ἔφαμεν γενέσθαι σαλώνιον. ἕνα δὲ υἱωνὸν ἐκ τοῦ τελευτήσαντος υἱοῦ. καὶ σαλώνιος μὲν ἐτελεύτησε στρατηγῶν. ὁ δ' ἐξ αὐτοῦ γενόμενος μάρκος ὑπάτευσεν. ἦν δὲ πάππος οὗτος τοῦ φιλοσόφου κάτωνος, ἀνδρὸς ἀρετῇ καὶ δόξῃ τῶν καθ' αὑτὸν ἐπιφανεστάτου γενομένου.

γεγραμμένων δὲ καὶ περὶ τούτων τῶν ἀξίων μνήμης, ὅλος ὁ τούτου βίος, ὅλῳ τῷ θατέρου παρατεθεὶς, οὐκ εὐθεώρητον ἔχει τὴν διαφορὰν ἐναφανιζομένην πολλαῖς καὶ μεγάλαις ὁμοιότησιν. εἰ δὲ δεῖ κατὰ μέρος τῇ συγκρίσει διαλαβεῖν ὥσπερ ἔπος ἢ γραφὴν ἑκατέρου, τὸ μὲν ἐξ οὐχ ὑπαρχούσης ἀφορμῆς εἰς πολιτείαν καὶ δόξαν ἀρετῇ καὶ δυνάμει προελθεῖν, ἀμφοτέροις κοινόν ἐστι. φαίνεται δ' ὁ μὲν ἀριστείδης οὔπω τότε μεγάλων οὐσῶν τῶν ἀθηνῶν. καὶ ταῖς οὐσίαις ἔτι συμμέτροις καὶ ὁμαλαῖς ἐπιβαλὼν δημαγωγοῖς καὶ στρατηγοῖς, ἐπιφανὴς γενέσθαι. τὸ γὰρ μέγιστον ἦν τίμημα τότε τῶν πεντακοσίων μεδίμνων. τὸ δὲ δεύτερον ἱππεῖς τριακοσίων. ἔσχατον δὲ καὶ τρίτον οἱ ζευγῖται, διακοσίων. ὁ δὲ κάτων ἐκ πολίχνης τε μικρᾶς καὶ διαίτης ἀγροίκου δοκούσης, φέρων ἀφῆκεν ἑαυτὸν ὥσπερ εἰς πέλαγος ἀχανὲς, τὴν ἐν ῥώμῃ πολιτείαν. οὐκέτι κουρίων καὶ φαβρικίων καὶ ὀστιλίων ἔργον οὖσαν ἡγεμόνων. οὐδ' ἀπ' ἀρότρου καὶ σκαφίου, πένητας καὶ αὐτουργοὺς ἀναβαίνοντας ἐπὶ τὸ βῆμα προσιεμένην ἄρχοντας καὶ δημαγωγούς. ἀλλὰ πρὸς γένη μεγάλα καὶ πλούτους καὶ νομὰς καὶ σπουδαρχίας ἀποβλέπειν εἰθισμένην. καὶ δι' ὄγκον ἤδη καὶ δύναμιν, ἐνθρυπτομένην τοῖς ἄρχειν ἀξιοῦσιν. οὐκ ἦν δ' ὅμοιον ἀντιπάλῳ χρῆσθαι θεμιστοκλεῖ, μήτ' ἀπὸ γένους λαμπρῷ καὶ κεκτημένῳ μέτρια. πέντε γὰρ ἢ τριῶν ταλάντων οὐσίαν αὐτῷ γενέσθαι λέγουσιν, ὅτε πρῶτον ἥπτετο τῆς πολιτείας, καὶ πρὸς σκηπίωνας ἀφρικανοὺς, καὶ σερουιλίους γάλβας, καὶ κοϊντίους φλαμινίους, ἁμιλλᾶσθαι περὶ πρωτείων, μηδὲν ὁρμητήριον ἔχοντα πλὴν φωνὴν παρρησιαζομένην ὑπὲρ τῶν δικαίων. ἔτι δ' ἀριστείδης μὲν ἐν μαραθῶνι, καὶ πάλιν ἐν πλαταιαῖς, δέκατος ἦν στρατηγός. κάτων δὲ, δεύτερος μὲν ὕπατος ᾑρέθη, πολλῶν ἀντιμετιόντων. δεύτερος δὲ τιμητής. ἑπτὰ τοὺς ἐπιφανεστάτους καὶ πρώτους ἁμιλλωμένους ὑπερβαλλόμενος. καὶ μὴν ἀριστείδης μὲν ἐν οὐδενὶ τῶν κατορθωμάτων γέγονε πρῶτος, ἀλλὰ μιλτιάδης ἔχει τοῦ μαραθῶνος τὸ πρωτεῖον. θεμιστοκλῆς δὲ τῆς σαλα-

ς.τ.κ. ἀποδείκνυσι

ἐπάγεται) ς.τ.

καὶ θρασύτερα τοῦ γήρως, οἷον ἀποθεσπίζων καὶ προμαντεύων, ὡς ἀπολοῦσι ῥωμαῖοι τὰ πράγματα, γραμμάτων ἑλληνικῶν ἀναπλησθέντες. ἀλλὰ ταύτην μὲν αὐτοῦ τὴν δυσφημίαν ὁ χρόνος ἀποδείκνυσι κενήν. ἐν ᾧ τοῖς τε πράγμασιν ἡ πόλις ἤρθη μεγίστη. καὶ πρὸς ἑλληνικὰ μαθήματα καὶ παιδείαν ἅπασαν, εἶχεν οἰκείως. ὁ δ' οὐ μόνον ἀπηχθάνετο τοῖς φιλοσοφοῦσιν ἕλλησιν, ἀλλὰ καὶ τοὺς ἰατρεύοντας ἐν ῥώμῃ δι' ὑποψίας εἶχε. καὶ τὸν ἱπποκράτους ὡς ἔοικεν ἀκηκοὼς λόγον ὃν εἶπε τοῦ βασιλέως καλοῦντος αὐτὸν ἐπὶ πολλοῖς τισὶ ταλάντοις, οὐκ ἄν ποτε βαρβάροις ἕλλησι πολεμίοις ἑαυτὸν παρασχεῖν, ἔλεγε κοινὸν ὅρκον εἶναι τοῦτον ἰατρῶν ἁπάντων. καὶ παρεκελεύετο φυλάττεσθαι τῷ παιδὶ πάντας. αὑτῷ δὲ γεγραμμένον ὑπόμνημα εἶναι, καὶ τοῖς πρὸς τοῦτο θεραπεύειν καὶ διαιτᾶν, τοὺς νοσοῦντας οἴκοι νῆστιν μὲν, οὐδέποτε διατηρῶν οὐδένα, τρέφων δὲ λαχάνοις καὶ σαρκιδίοις. νήσσης ἢ φάσσης, ἢ λαγώ. καὶ γὰρ τοῦτο κοῦφον εἶναι καὶ πρόσφορον ἀσθενοῦσι, πλὴν ὅτι πολλὰ συμβαίνει τοῖς φαγοῦσιν ἐνυπνιάζεσθαι. τοιαύτῃ δὲ θεραπείᾳ καὶ διαίτῃ χρώμενος, ὑγιαίνειν μὲν αὐτὸς, ὑγιαίνοντας δὲ τοὺς ἑαυτοῦ διαφυλάττειν. καὶ περί γε τοῦτο φαίνεται γεγονὼς οὐκ ἀνεμέσητος. καὶ γὰρ τὴν γυναῖκα καὶ τὸν υἱὸν ἀπέβαλεν. αὐτὸς δὲ τῷ σώματι πρὸς εὐεξίαν καὶ ῥώμην ἀσφαλῶς πεπηγὼς, ἐπὶ πλεῖστον ἀντεῖχεν. ὥστε γυναικὶ πρεσβύτης ὢν σφόδρα πλησιάζειν. καὶ γῆμαι γάμον οὐ καθ' ἡλικίαν ἐκ τοιαύτης προφάσεως. ἀποβαλὼν τὴν γυναῖκα, τῷ μὲν υἱῷ, παύλου θυγατέρα, σκηπίωνος δὲ ἀδελφὴν, ἠγάγετο πρὸς γάμον. αὐτὸς δὲ χηρεύων, ἐχρῆτο παιδίσκῃ κρύφα φοιτώσῃ πρὸς αὐτόν. ἦν οὖν ἐν οἰκίᾳ μικρᾷ νύμφην ἐχούσῃ, τοῦ πράγματος αἴσθησις. καί ποτε τοῦ γυναίου θρασύτερον παρασοβῆσαι παρὰ τὸ δωμάτιον δόξαντος, ὁ νεανίας εἶπε μὲν οὐδὲν, ἐμβλέψας δὲ πικρότερον καὶ διατραπεὶς, οὐκ ἔλαθε τὸν πρεσβύτην. ὡς οὖν ἔγνω τὸ πρᾶγμα δυσχεραινόμενον ὑπ' αὐτῶν, οὐδὲν ἐγκαλέσας οὐδὲ μεμψάμενος, ἀλλὰ καταβαίνων ὥσπερ εἰώθει μετὰ φίλων εἰς ἀγορὰν, σαλώνιόν τινα τῶν ὑπογεγραμματευκότων αὐτῷ παρόντα καὶ συμπροπέμποντα, μεγάλῃ φωνῇ προσαγορεύσας ἠρώτησεν, εἰ τὸ θυγάτριον συνήρμοσε νυμφίῳ. τοῦ δ' ἀνθρώπου φήσαντος ὡς οὐδὲ μέλλει μὴ πρότερον ἐκείνῳ κοινωσάμενος, καὶ μὴν ἐγώ σοι φησὶν εὕρηκα κηδεστὴν ἐπιτήδειον. εἰ μὴ νὴ δία τὰ τῆς ἡλικίας μὴ δυσχεραίνοιτο. τἆλλα γὰρ οὐ μεμπτός ἐστι, σφόδρα δὲ πρεσβύτης. ὡς οὖν ὁ σαλώνιος ἐκέλευε ταῦτα φροντίζειν καὶ διδόναι τὴν κόρην ᾧ προαιρεῖται, πελάτιν οὖσαν αὐτοῦ καὶ δεομένην τῆς ἐκείνου κηδεμονίας, οὐδεμίαν ὁ κάτων ἀναβολὴν ποιησάμενος, αὐτὸς ἔφη τὴν παρθένον αἰτεῖν ἑαυτῷ. καὶ τὸ μὲν πρῶτον ὡς εἰκὸς ὁ λόγος ἐξέπληξε τὸν ἄνθρωπον, πόρρω μὲν γάμου τὸν κάτωνα, πόρρω δ' αὑτὸν οἰκίας ὑπατικῆς καὶ θριαμβευτικῶν κηδευμάτων τιθέμενον. σπουδῇ δὲ χρώμενον ὁρῶν, ἀσμένως ἐδέξατο. καὶ καταβάντες εἰς ἀγορὰν, εὐθὺς ἐποιοῦντο τὴν ἐγγύην. πραττομένου δὲ τοῦ γάμου, παραλαβὼν τοὺς ἐπιτηδείους, ὁ υἱὸς τοῦ κάτωνος, ἠρώτησε τὸν πατέρα, μή τι μεμφόμενος ἢ λελυπημένος ὑπ' αὐτοῦ, μητρυιὰν ὑπάγεται. ὁ δὲ κάτων ἀναβοήσας, εὐφήμησον εἶπεν ὦ παῖ. πάντα γὰρ ἀγαστά μοι τὰ παρὰ σοῦ, καὶ μεμπτὸν οὐδὲν, ἐπιθυμῶ δὲ πλείονας ἐμαυτῷ τε παῖδας καὶ πολίτας τῇ πατρίδι τοιούτους ἀπολιπεῖν. ταύτην δὲ τὴν γνώμην πρότερον εἰπεῖν φασὶ πεισίστρατον ἀθηναίων τύραννον, ἐπιγήμαντα τοῖς ἐνηλίκοις παισὶ, τὴν ἀργολίδα τιμώνασσαν, ἐξ ἧς ἰοφῶντα καὶ θεσσαλὸν αὐτῷ λέγουσι γενέσθαι. γήμαντι δὲ τῷ κάτωνι, γίνεται παῖς, ᾧ παρωνύμιον ἀπὸ τῆς μητρὸς ἔθετο σαλώνιον. ὁ δὲ πρεσβύτερος υἱὸς ἐτελεύτησε στρατηγῶν. καὶ μέμνηται μὲν αὐτοῦ πολλάκις ἐν τοῖς βιβλίοις ὁ κάτων, ὡς ἀνδρὸς ἀγαθοῦ γεγονότος. πρᾴως δὲ καὶ φιλοσόφως λέγεται τὴν συμφορὰν ἐνεγκεῖν. καὶ μηδὲν ἀμβλύτερος δι' αὐτὴν εἰς τὰ πολιτικὰ γενέσθαι. οὐ γὰρ ὡς λεύκιος λούκουλλος ὕστερον, καὶ μέτελλος ὁ πῖος, ἐξέκαμεν ὑπὸ γήρως εἰς τὰ δημόσια, λειτουργίαν τὴν πολιτείαν ἡγούμενος. οὐδ' ὡς πρότερον σκηπίων ὁ ἀφρικανὸς, διὰ τὸν ἀντικρούσαντα πρὸς τὴν δόξαν αὐτοῦ φθόνον, ἀποστραφεὶς τὸν δῆμον, ἐκ μεταβολῆς ἐποιήσατο τοῦ λοιποῦ βίου τέλος, ἀπραγμοσύνην, ἀλλ' ὥσπερ διονύσιόν τις ἔπεισε κάλλιστον ἐντάφιον ἡγεῖσθαι τὴν τυραννίδα, κάλλιστον αὐτὸς ἐγγήραμα τὴν πολιτείαν ποιησάμενος, ἀναπαύσεσιν ἐχρῆτο καὶ παιδιαῖς ὁπότε σχολάζοι, τῷ συντάττεσθαι βιβλία, καὶ τῷ γεωργεῖν. συνετάττετο μὲν οὖν, λόγους τε παντοδαποὺς καὶ ἱστορίας. γεωργίᾳ δὲ προσεῖχε, νέος μὲν ὢν ἔτι καὶ διὰ τὴν χρείαν. φησὶ γὰρ δυσὶ κεχρῆσθαι μόνοις πορισμοῖς, γεωργίᾳ καὶ φειδοῖ. τότε δὲ διαγωγὴν καὶ θεωρίαν αὐτῷ τὰ γιγνόμενα κατ' ἀγρὸν παρεῖχε. καὶ συντέτακταί γε βιβλίον γεωργικὸν, ἐν ᾧ καὶ περὶ πλακούντων σκευασίας, καὶ τηρήσεως ὀπώρας γέγραφεν, ἐν παντὶ φιλοτιμούμενος, περιττὸς εἶναι καὶ ἴδιος. ἦν δὲ καὶ τὸ δεῖπνον ἐν ἀγρῷ δαψιλέστερον. ἐκάλει γὰρ ἑκάστοτε τῶν ἀγρογειτόνων καὶ περιχώρων τοὺς συνήθεις, καὶ συνδιῆγεν ἱλαρῶς, οὐ τοῖς καθ' ἡλικίαν μόνοις ἡδὺς ὢν συγγενέσθαι καὶ ποθεινὸς, ἀλλὰ καὶ τοῖς νέοις. ἅτε δὴ πολλῶν μὲν ἔμπειρος πραγμάτων γεγονώς. πολλοῖς δὲ πράγμασι καὶ λόγοις ἀξίοις ἀκοῆς συντετυχηκώς. τὴν δὲ τράπεζαν ἐν τοῖς μάλιστα φιλοποιὸν ἡγεῖτο. καὶ πολλὴ μὲν εὐφημία τῶν καλῶν καὶ ἀγαθῶν πολιτῶν ἐπεισήγετο. πολλὴ δ' ἦν ἀμνηστία τῶν ἀχρήστων καὶ πονηρῶν. μήτε ψόγῳ, μήτ' ἐπαίνῳ πάροδον ὑπὸ τοῦ κάτωνος εἰς τὸ συμπόσιον διδόντος. ἔσχατον δὲ τῶν πολιτευμάτων αὐτοῦ, τὴν καρχηδόνος ἀνάστασιν

δόνος ἀνάστασιν

Digitized by Google

κάτωνος αὐτοῦ φέρεταί τις ἐπιστολὴ πρὸς τὸν υἱὸν, ὑπερφυῶς ἐπαινοῦντος τὴν περὶ τὸ ξίφος φιλοτιμίαν αὐτοῦ καὶ σπουδήν. ὕστερον δὲ καὶ παύλου θυγατέρα τερτίαν ἔγημεν ὁ νεανίας, ἀδελφὴν σκηπίωνος, οὐχ ἧττον ἤδη δι' αὐτὸν ἢ τὸν πατέρα καταμιγνύμενος εἰς γένος τηλικοῦτον. ἡ μὲν οὖν περὶ τὸν υἱὸν τοῦ κάτωνος ἐπιμέλεια, τέλος ἄξιον ἔσχεν. οἰκέτας δὲ πολλοὺς ἐκτᾶτο τῶν αἰχμαλώτων ὠνούμενος μάλιστα τοὺς μικροὺς καὶ δυναμένους ἔτι τροφὴν καὶ παίδευσιν ὡς σκύλακας ἢ πώλους ἐνεγκεῖν. τούτων οὐδεὶς εἰσῆλθεν εἰς οἰκίαν ἑτέραν, εἰ μὴ πέμψαντος αὐτοῦ κάτωνος, ἢ τῆς γυναικός. ὁ δ' ἐρωτηθεὶς τί πράττει κάτων, οὐδὲν ἀπεκρίνατο, πλὴν ἀγνοεῖν. ἔδει δὲ ἢ πράττειν τι τῶν ἀναγκαίων οἴκοι τὸν δοῦλον, ἢ καθεύδειν. καὶ σφόδρα τοῖς κοιμωμένοις ὁ κάτων ἔχαιρε, πρᾳοτέρους τε τῶν ἐγρηγορότων νομίζων, καὶ πρὸς ὁτιοῦν βελτίονας χρῆσθαι τῶν δεομένων ὕπνου, τοὺς ἀπολελαυκότας. οἰόμενος δὲ τὰ μέγιστα ῥᾳδιουργεῖν ἀφροδισίων ἕνεκα τοὺς δούλους, ἔταξεν ὡρισμένου νομίσματος ὁμιλεῖν ταῖς θεραπαινίσιν, ἑτέρᾳ δὲ γυναικὶ μηδένα πλησιάζειν. ἐν ἀρχῇ μὲν οὖν ἔτι πένης ὢν καὶ στρατευόμενος, πρὸς οὐδὲν ἐδυσκόλαινε τῶν περὶ δίαιταν, ἀλλ' αἴσχιστον ἀπέφαινε διὰ γαστέρα πρὸς οἰκέτην ζυγομαχεῖν. ὕστερον δὲ τῶν πραγμάτων ἐπιδιδόντων ποιούμενος ἑστιάσεις φίλων καὶ συναρχόντων, ἐκόλαζεν εὐθὺς μετὰ τὸ δεῖπνον ἱμάντι τοὺς ἀμελέστερον ὑπουργήσαντας ὁτιοῦν ἢ σκευάσαντας. ἀεὶ δέ τινα στάσιν ἔχειν τοὺς δούλους ἐμηχανᾶτο καὶ διαφορὰν πρὸς ἀλλήλους, ὑπονοῶν τὴν ὁμόνοιαν καὶ δεδοικώς. τοὺς δ' ἄξιον ἐργάσασθαί τι θανάτου δόξαντας, ἐδικαίου κριθέντας, ἐν τοῖς οἰκέταις πᾶσιν ἀποθνήσκειν, εἰ καταγνωσθεῖεν. ἁπτόμενος δὲ συντονώτερον πορισμοῦ, τὴν μὲν γεωργίαν μᾶλλον ἡγεῖτο διαγωγὴν ἢ πρόσοδον. εἰς δ' ἀσφαλῆ πράγματα καὶ βέβαια κατατιθέμενος τὰς ἀφορμὰς, ἐκτᾶτο λίμνας. ὕδατα θερμά. τόπους κναφεῦσιν ἀνειμένους. ἐργατικὴν χώραν, ἔχουσαν αὐτοφυεῖς νομὰς καὶ ὕλας. ἀφ' ὧν αὐτῷ χρήματα προσῄει πολλά, μηδ' ὑπὸ τοῦ διὸς, ὥς φησιν αὐτὸς, βλαβῆναι δυναμένων. ἐχρήσατο δὲ καὶ τῷ διαβεβλημένῳ μάλιστα τῶν δανεισμῶν ἐπὶ ναυτικοῖς, τὸν τρόπον τοῦτον. ἐκέλευε τοὺς δανειζομένους, ἐπὶ κοινωνίᾳ πολλοὺς παρακαλεῖν. γενομένων δὲ πεντήκοντα καὶ πλοίων τοσούτων, αὐτὸς εἶχε μίαν μερίδα διὰ κουϊντίωνος ἀπελευθέρου τοῖς δανειζομένοις συμπραγματευομένου καὶ συμπλέοντος. ἦν δ' οὖν οὐκ εἰς ἅπαν ὁ κίνδυνος. ἀλλ' εἰς μέρος μικρὸν, ἐπὶ κέρδεσι μεγάλοις. ἐδίδου δὲ καὶ τῶν οἰκετῶν τοῖς βουλομένοις ἀργύριον. οἱ δ' ἐωνοῦντο παῖδας. εἶτα τούτους ἀσκήσαντες καὶ διδάξαντες ἀναλώμασι τοῦ κάτωνος, μετ' ἐνιαυτὸν ἀπεδίδοντο. πολλοὺς δὲ καὶ κατεῖχεν ὁ κάτων, ὅσην ὁ πλείστην διδοὺς ἐωνεῖτο τιμὴν ὑπολογιζόμενος. προτρέπων δὲ τὸν υἱὸν ἐπὶ ταῦτα φησὶν, οὐκ ἀνδρὸς ἀλλὰ χήρας γυναικὸς εἶναι, τὸ μειῶσαί τι τῶν ὑπαρχόντων. ἐκεῖνο δ' ἤδη σφοδρότερον τοῦ κάτωνος, ὅτι θαυμαστὸν ἄνδρα καὶ θεῖον εἰπεῖν ἐτόλμησε πρὸς δόξαν, ὃς ἀπολείπει πλέον ἐν τοῖς λόγοις ὃ προσέθηκεν, οὗ παρέλαβεν. ἤδη δὲ αὐτοῦ γέροντος γεγονότος, πρέσβεις ἀθήνηθεν ἦλθον εἰς ῥώμην, οἱ περὶ καρνεάδην τὸν ἀκαδημαϊκὸν καὶ διογένη τὸν στωϊκὸν φιλόσοφον, καταδίκην τινὰ παραιτησόμενοι τοῦ δήμου τῶν ἀθηναίων, ἣν ἐρήμην ὦφλον, ὠρωπίων μὲν διωξάντων, σικυωνίων δὲ καταψηφισαμένων τίμημα πεντακοσίων ταλάντων ἐχόντων. εὐθὺς οὖν οἱ φιλολογώτατοι τῶν νεανίσκων ἐπὶ τοὺς ἄνδρας ἵεντο καὶ συνῆσαν ἀκροώμενοι καὶ θαυμάζοντες αὐτούς. μάλιστα δ' ἡ καρνεάδου χάρις. ἧς δύναμίς τε πλείστη, καὶ δόξα τῆς δυνάμεως οὐκ ἀποδέουσα, μεγάλων ἐπιλαβομένη καὶ φιλανθρώπων ἀκροατηρίων, ὡς πνεῦμα τὴν πόλιν ἠχῆς ἐνέπλησε. καὶ λόγος κατεῖχεν, ὡς ἀνὴρ ἕλλην εἰς ἔκπληξιν ὑπερφυὴς πάντα κηλῶν καὶ χειρούμενος, ἔρωτα δεινὸν ἐμβέβληκε τοῖς νέοις, ὑφ' οὗ τῶν ἄλλων ἡδονῶν καὶ διατριβῶν ἐκπεσόντες, ἐνθουσιῶσι περὶ φιλοσοφίαν. ταῦτα τοῖς μὲν ἄλλοις ἤρεσκε ῥωμαίοις γιγνόμενα. καὶ τὰ μειράκια παιδείας ἑλληνικῆς μεταλαμβάνοντα, καὶ συνόντα θαυμαζομένοις ἀνδράσιν, ἡδέως ἑώρων. ὁ δὲ κάτων ἐξ ἀρχῆς τε τοῦ ζήλου τῶν λόγων παραρρέοντος εἰς τὴν πόλιν, ἤχθετο. φοβούμενος μὴ τὸ φιλότιμον ἐνταῦθα τρέψαντες οἱ νέοι, τὴν ἐπὶ τῷ λέγειν δόξαν ἀγαπήσωσι μᾶλλον, τῆς ἀπὸ τῶν ἔργων καὶ τῶν στρατειῶν. ἐπεὶ δὲ προὔβαινεν ἡ δόξα τῶν φιλοσόφων ἐν τῇ πόλει. καὶ τοὺς πρώτους λόγους αὐτῶν, ἀνὴρ εἰς τὴν σύγκλητον ἐπιφανὴς σπουδάσας αὐτὸς καὶ δεηθεὶς, ἡρμήνευσε γάϊος ἀκίλιος, ἔγνω μετ' εὐπρεπείας ἀποδιοπομπήσασθαι τοὺς φιλοσόφους ἅπαντας ἐκ τῆς πόλεως. καὶ παρελθὼν εἰς τὴν σύγκλητον, ἐμέμψατο τοῖς ἄρχουσιν, ὅτι πρεσβεία κάθηται πολὺν χρόνον ἄπρακτος ἀνδρῶν οἳ περὶ παντὸς οὗ βούλοιντο, ῥᾳδίως πείθειν δύνανται. δεῖν οὖν τὴν ταχίστην γνῶναί τι, καὶ ψηφίσασθαι περὶ τῆς πρεσβείας, ὅπως οὗτοι μὲν ἐπὶ τὰς σχολὰς τραπόμενοι, διαλέγονται παισὶν ἑλλήνων. οἱ δὲ ῥωμαίων νέοι τῶν νόμων καὶ τῶν ἀρχόντων ὡς πρότερον ἀκούωσι. ταῦτα δ' οὐχ ὡς ἔνιοι νομίζουσι καρνεάδῃ δυσχεράνας ἔπραξεν, ἀλλ' ὅλως φιλοσοφίᾳ προσκεκρουκὼς, καὶ πᾶσαν ἑλληνικὴν μοῦσαν καὶ παιδείαν ὑπὸ φιλοτιμίας προπηλακίζων. ὅς γε καὶ σωκράτη φησὶ λάλον καὶ βίαιον γενόμενον ἐπιχειρεῖν ᾧ τρόπῳ δυνατὸν ἦν τυραννεῖν, τῆς πατρίδος καταλύοντα τὰ ἔθη, καὶ πρὸς ἐναντίας τοῖς νόμοις δόξας, ἕλκοντα καὶ μεθιστάντα τοὺς πολίτας. τὴν δ' ἰσοκράτους διατριβὴν ἐπισκώπτων, γηρᾶν φησὶ παρ' αὐτῷ τοὺς μαθητὰς, ὡς ἐν ἅδου χρησομένους ταῖς τέχναις, καὶ δίκας ἐροῦντας. τὸν δὲ παῖδα διαβάλλων πρὸς τὰ ἑλληνικὰ, φωνῇ κέχρη-

ὀχετοὺς οἷς τὸ παραῤῥέον δημόσιον ὕδωρ ἀπολαμβάνοντες, ὑπῆγον εἰς οἰκίας ἰδίας καὶ κήπους. ἀ-
νατρέπων δὲ καὶ καταβάλλων, ὅσα προὔβαινεν εἰς τὸ δημόσιον οἰκοδομήματα. συστέλλων δὲ τοῖς μι-
σθοῖς, τὰς ἐργολαβίας. τὰ δὲ τέλη, ταῖς πράσεσιν, ἐπὶ τὰς ἐσχάτας ἐλαύνων τιμάς. ἀφ' ὧν αὐτῷ πο-
λὺ συνήχθη μῖσος. οἱ δὲ περὶ τὸν τίτον, συστάντες ἐπ' αὐτὸν, ἔν τε τῇ βουλῇ τὰς γεγενημένας ἐκδό-
σεις καὶ μισθώσεις τῶν ἱερῶν καὶ δημοσίων ἔργων ἔλυσαν, ὡς γεγενημένας ἀλυσιτελῶς. καὶ τῶν
δημάρχων τοὺς θρασυτάτους παρώξυνεν ἐν δήμῳ προσκαλέσασθαι τὸν κάτωνα καὶ ζημιῶσαι δυσὶ
ταλάντοις. πολλὰ δὲ καὶ πρὸς τὴν τῆς βασιλικῆς κατασκευὴν ἠναντιώθησαν, ἣν ἐκεῖνος ἐκ χρημά-
των κοινῶν, ὑπὸ τὸ βουλευτήριον τῇ ἀγορᾷ παρέβαλε. καὶ πορκίαν βασιλικὴν προσηγόρευσε. φαί-
νεται δὲ θαυμαστῶς ἀποδεξάμενος αὐτοῦ τὴν τιμητείαν ὁ δῆμος. ἀνδριάντα γοῦν ἀναθεὶς ἐν τῷ ναῷ τῆς
ὑγείας, ἐπέγραψεν οὐ τὰς στρατηγίας, οὐδὲ τὸν θρίαμβον τοῦ κάτωνος, ἀλλ' ὡς ἄν τις μεταφράσειε τὴν
ἐπιγραφὴν, ὅτι τὴν ῥωμαίων πολιτείαν ἐγκεκλιμένην καὶ ῥέπουσαν ἐπὶ τὸ χεῖρον, τιμητὴς γε-
νόμενος, χρησταῖς ἀγωγαῖς καὶ σώφροσιν ἐθισμοῖς καὶ διδασκαλίαις, εἰς ὀρθὸν αὖθις ἀποκατέστησε.
καίτοι πρότερον αὐτὸς κατεγέλα τῶν ἀγαπώντων τὰ τοιαῦτα. καὶ λανθάνειν αὐτοὺς ἔλεγεν, ἐπὶ
χαλκέων καὶ ζωγράφων ἔργοις, μέγα φρονοῦντας, αὐτοῦ δὲ καλλίστας εἰκόνας ἐν ταῖς ψυχαῖς περι-
φέρειν τοὺς πολίτας. πρὸς δὲ τοὺς θαυμάζοντας ὅτι πολλῶν ἀδόξων ἀνδριάντας ἐχόντων ἐκεῖνος οὐκ
ἔχει, μᾶλλον γὰρ ἔφη βούλομαι ζητεῖσθαι διὰ τί μου ἀνδριὰς οὐ κεῖται, ἢ διατί κεῖται. τὸ δ' ὅλον
οὐδ' ἐπαινούμενον ἠξίου τὸν ἀγαθὸν πολίτην ὑπομένειν, εἰ μὴ τοῦτο χρήσιμον γίγνοιτο τῷ κοινῷ. καὶ
πλεῖστα πάντων ἑαυτὸν ἐγκεκωμίακεν ὅς γε καὶ τοὺς ἁμαρτάνοντάς τι περὶ τὸν βίον, εἶτ' ἐλεγχο-
μένους, λέγειν φησὶν, ὡς οὐκ ἄξιον ἐγκαλεῖν αὐτοῖς, οὐ γὰρ κάτωνές εἰσι. καὶ τοὺς ἔνια μιμεῖσθαι τῶν
ὑπ' αὐτοῦ πραττομένων οὐκ ἐμμελῶς ἐπιχειροῦντας, ἐπαριστέρους καλεῖσθαι κάτωνας. ἀφορᾶν δὲ
τὴν βουλὴν πρὸς αὐτὸν ἐν τοῖς ἐπισφαλεστάτοις καιροῖς, ὥσπερ ἐν πλῷ πρὸς κυβερνήτην καὶ πολ-
λάκις μὴ παρόντος, ὑπερτίθεσθαι τὰ πλείστης ἄξια σπουδῆς. ἃ δὴ παρὰ τῶν ἄλλων αὐτῷ μαρτυ-
ρεῖται. μέγα γὰρ ἔσχεν ἐν τῇ πόλει, καὶ διὰ τὸν βίον, καὶ διὰ τὸν λόγον, καὶ διὰ τὸ γῆρας ἀξίωμα. γέ-
γονε δὲ καὶ πατὴρ ἀγαθὸς. καὶ περὶ γυναῖκα χρηστὸς ἀνήρ. καὶ χρηματιστὴς, οὐκ εὐκαταφρόνητος, οὐδ'
ὥς τι μικρὸν ἢ φαῦλον ἐν παρέργῳ μεταχειριζόμενος τὴν τοιαύτην ἐπιμέλειαν. ὅθεν οἴομαι δεῖν
καὶ περὶ τούτων ὅσα καλῶς ἔχει διεξελθεῖν. γυναῖκα μὲν οὖν εὐγενεστέραν ἢ πλουσιωτέραν ἔγημεν.
ἡγούμενος, ὁμοίως μὲν ἀμφοτέρας ἔχειν βάρος καὶ φρόνημα. τὰς δὲ γενναίας, αἰδουμένας τὰ αἰσχρὰ,
μᾶλλον ὑπηκόους εἶναι πρὸς τὰ καλὰ, τοῖς γεγαμηκόσι. τὸν δὲ τύπτοντα γαμετὴν ἢ παῖδα, τοῖς ἁγιω-
τάτοις ἔλεγεν ἱεροῖς προσφέρειν τὰς χεῖρας. ἐν ἐπαίνῳ δὲ μείζονι τίθεσθαι, τὸ γαμέτην ἀγαθὸν, ἢ τὸ
μέγαν εἶναι συγκλητικόν. ἐπεὶ καὶ σωκράτους οὐδὲν ἄλλο θαυμάζειν τοῦ παλαιοῦ, πλὴν ὅτι γυναικὶ
χαλεπῇ. καὶ παισὶν ἀποπλήκτοις χρώμενος, ἐπιεικῶς καὶ πράως διετέλεσεν. γενομένου δὲ τοῦ παι-
δὸς, οὐδὲν ἦν ἔργον οὕτως ἀναγκαῖον, εἰ μή τι δημόσιον, ὡς μὴ παρεῖναι τῇ γυναικὶ λουούσῃ τὸ βρέφος
καὶ σπαργανούσῃ. αὐτὴ γὰρ ἔτρεφεν ἰδίῳ γάλακτι. πολλάκις δὲ καὶ τὰ τῶν δούλων παιδάρια τῷ μα-
στῷ προσιεμένη, κατεσκεύαζεν εὔνοιαν ἐκ τῆς συντροφίας πρὸς τὸν υἱόν. ἐπεὶ δὲ ἤρξατο συνιέναι πα-
ραλαβὼν αὐτὸς, ἐδίδασκε γράμματα. καίτοι χαρίεντα δοῦλον εἶχε γραμματιστὴν, ὄνομα χίλωνα,
πολλοὺς διδάσκοντα παῖδας, οὐκ ἠξίου δὲ τὸν υἱὸν ὥς φησιν αὐτὸς, ὑπὸ δούλου κακῶς ἀκούειν, ἢ τοῦ
ὠτὸς ἀνατείνεσθαι μανθάνοντα βράδιον. οὐδέ γε μαθήματος τηλικούτου, τῷ δούλῳ χάριν ὀφείλειν,
ἀλλ' αὐτὸς μὲν ἦν γραμματιστὴς. αὐτὸς δὲ νομοδιδάκτης, αὐτὸς δὲ γυμναστὴς. οὐ μόνον ἀκοντίζειν οὐδ'
ὁπλομαχεῖν οὐδ' ἱππεύειν διδάσκων τὸν υἱὸν, ἀλλὰ καὶ τῇ χειρὶ πὺξ παίειν. καὶ καῦμα καὶ ψῦχος ἀ-
νέχεσθαι. καὶ τὰ δινώδη καὶ τραχύνοντα τοῦ ποταμοῦ νηχόμενον ἀποβιάζεσθαι. καὶ τὰς ἱστορίας δὲ
συγγράψαι φησὶν αὐτὸς ἰδίᾳ χειρὶ καὶ μεγάλοις γράμμασιν, ὅπως οἴκοθεν ὑπάρχῃ τῷ παιδὶ, πρὸς
ἐμπειρίαν τῶν παλαιῶν καὶ πατρίων, ὠφελεῖσθαι. τὰ δ' αἰσχρὰ τῶν ῥημάτων, οὐχ ἧττον εὐλαβεῖσθαι
τοῦ παιδὸς παρόντος, ἢ τῶν ἱερῶν παρθένων, ἃς ἑστιάδας καλοῦσι. συλλούσασθαι δὲ μηδέποτε. καὶ
τοῦτο κοινὸν ἔθος ἔοικε ῥωμαίων εἶναι. καὶ γὰρ πενθεροὶ γαμβροῖς ἐφυλάττοντο συλλούεσθαι, δυσω-
πούμενοι τὴν ἀποκάλυψιν καὶ γύμνωσιν, εἶτα μέντοι παρ' ἑλλήνων, τὸ γυμνοῦσθαι μαθόντες, αὐτοὶ
πάλιν τοὺς καὶ μετὰ γυναικῶν τοῦτο πράσσειν, ἀναπεπλήκασι τοὺς ἕλληνας. οὕτω δὲ καλὸν ἔργον εἰς ἀ-
ρετὴν τῷ κάτωνι πλάττοντι καὶ δημιουργοῦντι τὸν υἱὸν, ἐπεὶ τὰ τῆς προθυμίας ἄμεμπτα ἦν, καὶ
δι' εὐφυΐαν ὑπήκουεν ἡ ψυχή. τὸ δὲ σῶμα μαλακώτερον ἐφαίνετο τοῦ πονεῖν, ἐπανῆκεν αὐτῷ τὸ σύντο-
νον ἄγαν καὶ κεκολασμένον τῆς διαίτης. ὁ δὲ, καίπερ οὕτως ἔχων, ἀνὴρ ἀγαθὸς ἦν ἐν ταῖς στρατείαις.
καὶ τὴν πρὸς περσέα μάχην ἠγωνίσατο λαμπρῶς, παύλου στρατηγοῦντος. εἶτα μέντοι τοῦ ξίφους ἐκ-
κρουσθέντος ὑπὸ πληγῆς, καὶ δι' ὑγρότητα τῆς χειρὸς ἐξολισθέντος, ἀχθεσθεὶς, τρέπεται πρός τι-
νας τῶν συνήθων, καὶ παραλαβὼν ἐκείνους, αὖθις εἰς τοὺς πολεμίους ἐνέβαλε. πολλῷ δ' ἀγῶνι καὶ
βίᾳ μεγάλῃ διαφωτίσας τὸν τόπον, εὗρε μόλις ἐν πολλοῖς σάγμασιν ὅπλων καὶ σώμασι νεκρῶν ὁμοῦ
φίλων τε καὶ πολεμίων, κατασεσωρευμένων. ἐφ' ᾧ καὶ παῦλος ὁ στρατηγὸς ἠγάσθη τὸ μειράκιον. καὶ

φοβοῦντο τὴν αὐστηρίαν τοῦ ἀνδρὸς ἀπαραίτητον ἐν ἐξουσίᾳ καὶ χαλεπὴν ἐσομένην. διὸ συμφρονήσαντες καὶ παρασκευάσαντες ἐπὶ κατήγορον αὐτὴν τὴν παραγγελίαν ἀντιπάλους τῷ Κάτωνι, θεραπεύοντας ἐλπίσι χρησταῖς τὸ πλῆθος, ὡς δὴ μαλακῶς καὶ πρὸς ἡδονὴν ἄρχεσθαι δεόμενον. τοὐναντίον δ' ὁ Κάτων οὐδεμίαν ἐνδιδοὺς ἐπιείκειαν, ἀλλ' ἄντικρυς ἀπειλῶν τε τοῖς πονηροῖς ἀπὸ τοῦ βήματος καὶ κεκραγὼς μεγάλου καθαρμοῦ χρῄζειν τὴν πόλιν, ἠξίου τοὺς πολλοὺς εἰ σωφρονοῦσι, μὴ τὸν ἥδιστον, ἀλλὰ τὸν σφοδρότατον αἱρεῖσθαι τῶν ἰατρῶν· τοῦτον δὲ αὐτὸν εἶναι, καὶ τῶν πατρικίων ἕνα, Φλάκκον Οὐαλλέριον. μετ' ἐκείνου γὰρ οἴεσθαι μόνου τὴν τρυφὴν καὶ τὴν μαλακίαν ὥσπερ ὕδραν τέμνων καὶ ἀποκαίων, προὔργου τι ποιήσειν. τῶν δ' ἄλλων ὁρᾶν ἕκαστον ἄρξαι κακῶς βιαζόμενον, ὅτι τοὺς καλῶς ἄρξαντας δέδοικεν. οὕτω δ' ἄρα μέγας ἦν ὡς ἀληθῶς καὶ μεγάλων ἄξιος δημαγωγῶν ὁ Ῥωμαίων δῆμος, ὥστε μὴ φοβηθῆναι τὴν ἀνάτασιν καὶ τὸν ὄγκον τοῦ ἀνδρός. ἀλλὰ τοὺς ἡδεῖς ἐκείνους καὶ πρὸς χάριν ἅπαντα ποιήσειν δοκοῦντας ἀπορρίψας, ἑλέσθαι μετὰ τοῦ Κάτωνος τὸν Φλάκκον. ὥσπερ οὐκ αἰτοῦντος ἀρχὴν, ἀλλὰ ἄρχοντος ἤδη καὶ προστάττοντος ἀκροώμενος. προέγραψε μὲν οὖν ὁ Κάτων τῇ συγκλήτῳ τὸν συνάρχοντα καὶ φίλον Λεύκιον Οὐαλλέριον Φλάκκον. ἐξέβαλε δὲ τῆς βουλῆς ἄλλους τε συχνοὺς, καὶ Λεύκιον Κοΐντιον, ὕπατον μὲν, ἑπτὰ πρότερον ἐνιαυτοῖς γεγενημένον. ὃ δ' ἦν αὐτῷ πρὸς δόξαν ὑπατείας μεῖζον ἀδελφὸν Τίτου Φλαμινίου, τοῦ καταπολεμήσαντος Φίλιππον. αἰτίαν δὲ τῆς ἐκβολῆς ἔσχε τοιαύτην, μειράκιον ἐκ τῆς παιδικῆς ὥρας ἑταιροῦν ἀνειληφὼς ὁ Λεύκιος, ἀεὶ περὶ αὐτὸν εἶχε καὶ συνεπήγετο, στρατηγῶν ἐπὶ τιμῆς καὶ δυνάμεως τοσαύτης, ὅσην οὐδεὶς εἶχε τῶν πρώτων παρ' αὐτῷ φίλων καὶ οἰκείων. ἐτύγχανε μὲν οὖν ἡγούμενος ὑπατικῆς ἐπαρχίας. ἐν δὲ συμποσίῳ τινὶ, τὸ μειράκιον ὥσπερ εἰώθει συγκατακείμενον, ἄλλην τε κολακείαν ἐκίνει πρὸς τὸν ἄνθρωπον ἐν οἴνῳ ῥᾳδίως ἀγόμενον, καὶ φιλεῖν αὐτὸν οὕτως ἔλεγεν, ὥστ' ἔφη, θέας οὔσης οἴκοι μονομάχων, οὔτε θεασάμενος πρότερον, ἐξώρμησα πρὸς σὲ, καίπερ ἐπιθυμῶν ἰδεῖν ἄνθρωπον σφαττόμενον. ὁ δὲ Λεύκιος ἀντιφιλοφρονούμενος, ἀλλὰ τούτου γε χάριν εἶπε, μή μοι κατάκεισο λυπούμενος. ἐγὼ γὰρ ἰάσομαι. καὶ κελεύσας ἕνα τῶν ἐπὶ θανάτων κατακειμένων εἰς τὸ συμπόσιον ἀχθῆναι καὶ τὸν ὑπηρέτην ἔχοντα πέλεκυν εἰσαχθῆναι, πάλιν ἠρώτησε τὸν ἐρώμενον, εἰ βούλεται τυπτόμενον θεάσασθαι, φήσαντος δὲ βούλεσθαι, προσέταξε τοῦ ἀνθρώπου τὸν τράχηλον ἀποκόψαι. οἱ μὲν οὖν πλεῖστοι ταῦτα ἱστοροῦσι. καὶ ὅ γε Κικέρων αὐτὸν τὸν Κάτωνα διηγούμενον ἐν τῷ περὶ γήρως διαλόγῳ πεποίηκεν. ὁ δὲ Λίβιος, αὐτόμολον εἶναί φησι Γαλάτην τὸν ἀναιρεθέντα. τὸν δὲ Λεύκιον, οὐ δι' ὑπηρέτου κτεῖναι τὸν ἄνθρωπον, ἀλλ' αὐτὸν ἰδίᾳ χειρί. καὶ ταῦτα ἐν τῷ λόγῳ γεγράφθαι Κάτωνος. ἐκβληθέντος οὖν τοῦ Λευκίου τῆς βουλῆς, ὑπὸ τοῦ Κάτωνος, ὁ ἀδελφὸς αὐτοῦ βαρέως φέρων, ἐπὶ τὸν δῆμον κατέφυγε. καὶ τὴν αἰτίαν ἐκέλευσεν εἰπεῖν, τὸν Κάτωνα τῆς ἐκβολῆς. εἰπόντος δὲ καὶ διηγησαμένου τὸ συμπόσιον, ἐπεχείρει μὲν ὁ Λεύκιος ἀρνεῖσθαι. προσκαλουμένου δὲ τοῦ Κάτωνος εἰς ὁρκισμὸν, ἀνέδυ. καὶ τότε μὲν ἄξια παθεῖν κατεγνώσθη. θέας δ' οὔσης ἐν θεάτρῳ, τὴν ὑπατικὴν χώραν παρελθὼν καὶ πορρωτάτω που καθεσθεὶς, οἶκτον ἔσχε παρὰ τῷ δήμῳ. καὶ βοῶντες, ἠνάγκασαν αὐτὸν μετελθεῖν, ὡς ἦν δυνατὸν, ἐπανορθούμενοι καὶ θεραπεύοντες τὸ γεγενημένον. ἄλλον δὲ βουλῆς ἐξέβαλεν ὑπατεύσειν ἐπίδοξον ὄντα Μανίλλιον, ὅτι τὴν αὐτοῦ γυναῖκα μεθ' ἡμέραν ὁρώσης τῆς θυγατρὸς, κατεφίλησεν. αὐτῷ δ' ἔφη τὴν γυναῖκα μηδέποτε πλὴν βροντῆς μεγάλης γενομένης, περιπλακῆναι. καὶ μετὰ παιδιᾶς εἰπεῖν αὐτὸν, ὡς μακάριός ἐστι τοῦ Διὸς βροντῶντος. ἤνεγκε δέ τινα τῷ Κάτωνι καὶ Λεύκιος ὁ Σκηπίωνος ἀδελφὸς, ἐπίφθονον αἰτίαν, θριαμβικὸς ἀνὴρ ἀφαιρεθεὶς ὑπ' αὐτοῦ τὸν ἵππον. ἔδοξε γὰρ οἷον ἐφυβρίζων Ἀφρικανῷ Σκηπίωνι τεθνηκότι τοῦτο ποιῆσαι. τοὺς δὲ πλείστους ἠνίασε μάλιστα, τῇ περικοπῇ τῆς πολυτελείας. ἣν ἄντικρυς μὲν ἀφελέσθαι νενοσηκότων ἤδη καὶ διεφθαρμένων ὑπ' αὐτῆς τῶν πολλῶν, ἀδύνατον ἦν. κύκλῳ δὲ περιιὼν, ἠνάγκαζεν ἐσθῆτος, ὀχήματος, κόσμου γυναικείου, σκευῶν τῶν περὶ δίαιταν, ὧν ἑκάστου τὸ τίμημα, δραχμὰς χιλίας καὶ πεντακοσίας ὑπερέβαλλεν, ἀποτιμᾶσθαι τὴν ἀξίαν εἰς τὸ δεκαπλάσιον. βουλόμενος ἀπὸ μειζόνων τιμημάτων αὐτοῖς, μείζονας καὶ τὰς εἰσφορὰς εἶναι. καὶ προσετίμησε τρεῖς χαλκοῦς πρὸς τοῖς χιλίοις. ὅπως βαρυνόμενοι ταῖς ἐπιβολαῖς, καὶ τοὺς εὐσταλεῖς καὶ λιτοὺς ὁρῶντες ἀπὸ τῶν ἴσων ἐλάττονα τελοῦντας εἰς τὸ δημόσιον, ἀπαγορεύσωσι. ἦσαν οὖν αὐτῷ χαλεποὶ μὲν, οἱ τὰς εἰσφορὰς διὰ τὴν τρυφὴν ὑπομένοντες. χαλεποὶ δ' αὖ πάλιν, οἱ τὴν τρυφὴν ἀποτιθέμενοι διὰ τὰς εἰσφοράς. πλούτου γὰρ ἀφαίρεσιν οἱ πολλοὶ νομίζουσι τὴν κώλυσιν αὐτοῦ τῆς ἐπιδείξεως. ἐπιδείκνυσθαι δὲ τοῖς περιττοῖς οὐ τοῖς ἀναγκαίοις. ὃ δὴ καὶ μάλιστά φασι τὸν φιλόσοφον Ἀρίστωνα θαυμάζειν, ὅτι τοὺς τὰ περιττὰ κεκτημένους μᾶλλον ἡγοῦνται μακαρίους, ἢ τοὺς τῶν ἀναγκαίων καὶ χρησίμων εὐποροῦντας. Σκόπας δὲ ὁ Θετταλὸς αἰτουμένου τινὸς τῶν φίλων παρ' αὐτοῦ, τοιοῦτον, ὃ μὴ σφόδρα ἦν χρήσιμον ἐκείνῳ, καὶ λέγοντος, ὡς οὐδὲν αἰτεῖ τῶν ἀναγκαίων καὶ χρησίμων, καὶ μὴν ἐγὼ τούτοις εἶπεν, εὐδαίμων καὶ πλούσιός εἰμι, τοῖς ἀχρήστοις καὶ περιττοῖς. οὕτως ὁ τοῦ πλούτου ζῆλος, οὐδενὶ πάθει φυσικῷ συνηρτημένος, ἐκ τῆς ὀχλώδους καὶ θυραίου δόξης ἐπεισόδιός ἐστιν. οὐ μὴν ἀλλὰ τῶν ἐγκαλούντων ἐλάχιστα φροντίζων ὁ Κάτων, ἔτι μᾶλλον ἐπέτεινεν. ἀποκόπτων μὲν

θανάτῳ. τ. ς. κ.

ἀποτιμᾶσθαι. s. in emendatum habebat.

ἀπαγορεύωσι

τοῦ Κάτωνος αὐτόθεν ὀρούσαντες ὡς περιεῖχον οἱ Φιρμιανοὶ κατὰ τῶν ὀρῶν εὐθὺς ἐπὶ τὰς προφυλακάς, καὶ προσπεσόντες ἀπροσδόκητοι, πάντας μὲν διετάραξαν καὶ διεσκέδασαν, ἕνα δ' αὐτοῖς ὅπλοις ἁρπάσαντες, ἐνεχείρησαν τῷ Κάτωνι. παρὰ τούτου μαθὼν, ὡς ἡ μὲν ἄλλη δύναμις ἐν τοῖς στενοῖς κάθηται μετὰ τοῦ βασιλέως, οἱ δὲ φρουροῦντες αὐτοῦ τὰς ὑπερβολὰς, Αἰτωλῶν εἰσὶν ἑξακόσιοι λογάδες, καταφρονήσας τῆς ὀλιγότητος ἅμα καὶ τῆς ὀλιγωρίας, εὐθὺς ἐπῆγεν ἅμα σάλπιγξι καὶ ἀλαλαγμῷ, πρῶτος σπασάμενος τὴν μάχαιραν. οἱ δ' ὡς εἶδον ἀπὸ τῶν κρημνῶν ἐπιφερομένους, φεύγοντες εἰς τὸ μέγα στρατόπεδον, ταραχῆς ἐνέπιμπλασαν ἅπαντα. ἐν τούτῳ δὲ καὶ τοῦ Μανίου κάτωθεν πρὸς τὰ διατειχίσματα βιαζομένου καὶ τοῖς στενοῖς προσβάλλοντος ἀθρόαν τὴν δύναμιν, ὁ μὲν Ἀντίοχος, εἰς τὸ στόμα λίθῳ πληγεὶς, ἐκτιναχθέντων αὐτοῦ τῶν ὀδόντων, ἀπέστρεψε τὸν ἵππον ὀπίσω περιαλγὴς γενόμενος. τοῦ δὲ στρατοῦ μέρος οὐδὲν ὑπέμεινε τοὺς Ῥωμαίους, ἀλλὰ καίπερ ἀπόρους καὶ ἀμηχάνους τῆς φυγῆς ὁδοὺς καὶ πλάνας ἐχούσης, ἑλῶν βαθέων καὶ πετρῶν ἀποτόμων τὰ πτώματα καὶ τὰς ὀλισθήσεις ὑποδεχομένων, εἰς ταῦτα διὰ τῶν στενῶν ὑπορρεόμενοι καὶ συνωθοῦντες ἀλλήλους, φόβῳ πληγῆς καὶ σιδήρου πολεμίων, αὐτοὺς διέφθειρον. ὁ δὲ Κάτων, ἀεὶ μέν τις ἦν ὡς ἔοικε τῶν ἰδίων ἐγκωμίων ἀφειδής. καὶ τὴν ἄντικρυς μεγαλαυχίαν ὡς ἐπακολούθημα τῆς μεγαλουργίας, οὐκ ἔφευγε. πλεῖστον δὲ ταῖς πράξεσι ταύταις ὄγκον περιτέθεικε. καὶ φησὶ τοῖς ἰδοῦσιν αὐτὸν τότε διώκοντα καὶ παίοντα τοὺς πολεμίους, παραστῆναι μηδὲν ὀφείλειν Κάτωνα τῷ δήμῳ τοσοῦτον, ὅσον Κάτωνι τὸν δῆμον. αὐτόν τε Μάνιον τὸν ὕπατον, θερμὸν ἀπὸ τῆς νίκης ἔτι θερμῷ περιπλακέντα, πολὺν χρόνον ἀσπάζεσθαι καὶ βοᾶν ὑπὸ χαρᾶς, ὡς οὔτ' ἂν αὐτὸς, οὔθ' ὁ σύμπας δῆμος, ἐξισώσειε τὰς ἀμοιβὰς, ταῖς Κάτωνος εὐεργεσίαις, μετὰ δὲ τὴν μάχην, εὐθὺς εἰς Ῥώμην ἐπέμπετο τῶν ἠγωνισμένων αὐτάγγελος. καὶ διέπλευσε μὲν εἰς Βρεντέσιον εὐτυχῶς. μιᾷ δ' ἡμέρᾳ ἐκεῖθεν εἰς Τάραντα, καὶ τέσσαρας ἄλλας ὁδεύσας, πεμπταῖος εἰς Ῥώμην ἀπὸ θαλάσσης ἀφίκετο. καὶ πρῶτος ἀπήγγελε τὴν νίκην. καὶ τὴν μὲν πόλιν, ἐνέπλησεν εὐφροσύνης καὶ θυσιῶν. φρονήματος δὲ τὸν δῆμον, ὡς πάσης γῆς καὶ θαλάσσης κρατεῖν δυνάμενον. τῶν μὲν οὖν πολεμικῶν πράξεων τοῦ Κάτωνος, αὗται σχεδὸν εἰσὶν ἐλλογιμώταται. τῆς δὲ πολιτείας, φαίνεται τὸ περὶ τὰς κατηγορίας καὶ τοὺς ἐλέγχους τῶν πονηρῶν, μόριον οὐ μικρᾶς ἄξιον σπουδῆς ἡγησάμενος. αὐτός τε γὰρ ἐδίωξε πολλούς. καὶ διώκουσιν ἑτέροις συνηγωνίζετο. καὶ παρεσκεύασεν ὅλως διώκοντας ὡς ἐπὶ Σκηπίωνα τοὺς περὶ Πετίλλιον. τοῦτον μὲν οὖν, ἀπ' οἴκου τε μεγάλου καὶ φρονήματος ἀληθινοῦ ποιησάμενον ὑπὸ πόδας τὰς διαβολὰς, μὴ ἀποκτεῖναι δυνηθεὶς, ἀφῆκε. Λεύκιον δὲ τὸν ἀδελφὸν αὐτοῦ μετὰ τῶν κατηγόρων συστὰς, καταδίκῃ περιέβαλε χρημάτων πολλῶν πρὸς τὸ δημόσιον, ἣν οὐκ ἔχων ἐκεῖνος ἀπολύσασθαι καὶ κινδυνεύων δεθῆναι, μόλις ἐπικλήσει τῶν δημάρχων, ἀφείθη. λέγεται δὲ καὶ νεανίσκῳ τινὶ τεθνηκότος πατρὸς ἐχθρὸν ἠτιμωκότι καὶ πορευομένῳ δι' ἀγορᾶς μετὰ τὴν δίκην, ἀπαντήσας ὁ Κάτων, δεξιώσασθαι καὶ εἰπεῖν, ὅτι ταῦτα χρὴ τοῖς γονεῦσιν ἐναγίζειν, οὐκ ἄρνας οὐδ' ἐρίφους, ἀλλ' ἐχθρῶν δάκρυα καὶ καταδίκας. οὐ μὴν οὐδ' αὐτὸς ἐν τῇ πολιτείᾳ περιῆν ἀθῶος, ἀλλ' ὅπου τινὰ λαβὴν παράσχοι τοῖς ἐχθροῖς, κρινόμενος καὶ κινδυνεύων διετέλει. λέγεται γὰρ ὀλίγον ἀπολιπούσας τῶν πεντήκοντα φυγεῖν δίκας. μίαν δὲ τελευταίαν, ἓξ ἔτη καὶ ὀγδοήκοντα γεγονώς. ἐν ᾗ καὶ τὸ μνημονευόμενον εἶπεν, ὡς χαλεπόν ἐστιν ἐν ἄλλοις βεβιωκότα ἀνθρώποις, ἐν ἄλλοις ἀπολογεῖσθαι. καὶ τοῦτο πέρας οὐκ ἐποιήσατο τῶν ἀγώνων. τεσσάρων δ' ἄλλων ἐνιαυτῶν διελθόντων, Σερουιλίου Γάλβα κατηγόρησεν, ἐνενήκοντα γεγονὼς ἔτη. κινδυνεύει γὰρ ὡς ὁ Νέστωρ εἰς τριγονίαν τῷ βίῳ καὶ ταῖς πράξεσι κατελθεῖν. Σκηπίωνι γὰρ ὡς λέλεκται τῷ μεγάλῳ πολλὰ διερισάμενος ἐν τῇ πολιτείᾳ, διέτεινεν εἰς Σκηπίωνα τὸν νέον, ὃς ἦν ἐκείνῳ κατὰ ποίησιν υἱωνὸς, υἱὸς δὲ Παύλου τοῦ Περσέα καὶ Μακεδόνας καταπολεμήσαντος. τῆς δ' ὑπατείας κατόπιν ἔτεσι δέκα, τιμητείαν ὁ Κάτων παρήγγειλε. κορυφὴ δέ τις ἐστὶ, τιμῆς ἁπάσης ἡ ἀρχὴ καὶ τρόπον τινὰ, τῆς πολιτείας ἁπάσης ἐπιτελείωσις, ἄλλην τε πολλὴν ἐξουσίαν ἔχουσα, καὶ τὴν περὶ τὰ ἤθη καὶ τοὺς βίους ἐξέτασιν. οὔτε γὰρ γάμον οὔτε παιδοποιίαν τινὸς οὔτε δίαιταν, οὔτε συμπόσιον ᾤοντο δεῖν ἄκριτον καὶ ἀνεξέταστον, ὡς ἕκαστος ἐπιθυμίας ἔχοι καὶ προαιρέσεως, ἀφεῖσθαι. πολὺ δὲ μᾶλλον ἐν τούτοις νομίζοντες ἢ ταῖς ὑπαίθροις καὶ πολιτικαῖς πράξεσι, τρόπον ἀνδρὸς ἐνορᾶσθαι, φύλακα καὶ σωφρονιστὴν καὶ κολαστὴν, τοῦ μηδένα καθ' ἡδονὰς ἐκτρέπεσθαι καὶ παρεκβαίνειν τὸν ἐπιχώριον καὶ συνήθη βίον, ᾑροῦντο τῶν καλουμένων πατρικίων ἕνα, καὶ τῶν δημοτικῶν ἕνα. τιμητὰς δὲ τούτους προσηγόρευον ἐξουσίαν ἔχοντας ἀφελέσθαι μὲν ἵππον, ἐκβαλεῖν δὲ συγκλήτου, τὸν ἀκολάστως βιοῦντα καὶ ἀτάκτως. οὗτοι δὲ καὶ τὰ τιμήματα τῶν οὐσιῶν λαμβάνοντες, ἐπεσκόπουν. καὶ ταῖς ἀπογραφαῖς, τὰ γένη καὶ τὰς πολιτείας διέκρινον. ἄλλας τε μεγάλας ἔχει δυνάμεις ἡ ἀρχή. διὸ καὶ τῷ Κάτωνι πρὸς τὴν παραγγελίαν ἀπήντησαν, ἐνστάμενοι σχεδὸν οἱ γνωριμώτατοι καὶ πρῶτοι τῶν συγκλητικῶν. τοὺς μὲν γὰρ εὐπατρίδας, ὁ φθόνος ἐλύπει παντάπασιν οἰομένους προπηλακίζεσθαι τὴν εὐγένειαν, ἀνθρώπων ἀπ' ἀρχῆς ἀδόξων εἰς τὴν ἄκραν τιμὴν καὶ δύναμιν ἀναβιβαζομένων. οἱ δὲ, μοχθηρὰ συνειδότες αὐτοῖς ἐπιτηδεύματα, καὶ τῶν πατρίων ἐκδιαίτησιν ἐθῶν, ἐφο-

διελάσας τ. ς. κ.

μενος ἐνστῆναι κατορθοῦντι καὶ τὰς ἰβηρικὰς πράξεις ὑπολαβεῖν, διεπράξατο τῆς ἐπαρχίας ἐκείνης ἀποδειχθῆναι διάδοχος. σπεύσας δ' ὡς ἐνῆν τάχιστα, κατέπαυσε τὴν ἀρχὴν τοῦ κάτωνος. ὁ δὲ λαβὼν σπείρας ὁπλιτῶν πέντε, καὶ πεντακοσίους ἱππεῖς προπομπούς, κατεστρέψατο μὲν τὸ λακετανῶν ἔθνος, ἑξακοσίους δὲ τῶν ηὐτομοληκότων κομισάμενος ἀπέκτεινεν, ἐφ' οἷς σχετλιάζοντα τὸν σκηπίωνα κατειρωνευόμενος, οὕτως ἔφη τὴν ῥώμην ἔσεσθαι μεγίστην, τῶν μὲν ἐνδόξων καὶ μεγάλων τὰ τῆς ἀρετῆς πρωτεῖα μὴ μεθιέντων τοῖς ἀσημοτέροις. τῶν δ' ὥσπερ αὐτός ἐστι δημοτικῶν, ἁμιλλωμένων ἀρετῇ πρὸς τοὺς τῷ γένει καὶ τῇ δόξῃ προήκοντας. οὐ μὴν ἀλλὰ καὶ συγκλήτου ψηφισαμένης μηδὲν ἀλλάττειν μηδὲ κινεῖν τῶν διῳκημένων ὑπὸ τοῦ κάτωνος, ἡ μὲν ἀρχὴ τῷ σκηπίωνι, τῆς αὐτοῦ μᾶλλον ἢ τῆς κάτωνος ἀφελοῦσα δόξης, ἐν ἀπραξίᾳ καὶ σχολῇ μάτην διῆλθεν. ὁ δὲ κάτων θριαμβεύσας οὐχ ὥσπερ οἱ πλεῖστοι τῶν μὴ πρὸς ἀρετὴν ἀλλὰ πρὸς δόξαν ἁμιλλωμένων, ὅταν εἰς τὰς ἄκρας τιμὰς ἐξίκωνται καὶ τύχωσιν ὑπατείας καὶ θριάμβων, ἤδη τὸ λοιπὸν, εἰς ἡδονὴν καὶ σχολὴν συσκευασάμενοι τὸν βίον ἐκ τῶν κοινῶν ἀπίασιν, οὕτω καὶ αὐτὸς ἐξανῆκε καὶ κατέλυσε τὴν ἀρετήν, ἀλλ' ὅμοια τοῖς πρῶτον ἁπτομένοις πολιτείας, καὶ διψῶσι τιμῆς καὶ δόξης, ἀφ' ἑτέρας ἀρχῆς συντείνας ἑαυτὸν, ἐν μέσῳ παρεῖχε καὶ φίλοις χρῆσθαι καὶ πολίταις, οὔτε τὰς συνηγορίας, οὔτε τὰς στρατείας ἀπειπάμενος. τιβερίῳ μὲν οὖν σεμπρωνίῳ τὰ περὶ θρᾴκην καὶ ἴστρον ὑπατεύοντι, πρεσβεύων συγκατειργάσατο. μανίῳ δ' ἀκιλίῳ χιλιαρχῶν, ἐπ' ἀντίοχον τὸν μέγαν συνεξῆλθεν εἰς τὴν ἑλλάδα, φοβήσαντα ῥωμαίους ὡς οὐδένα ἕτερον μετ' ἀννίβαν. τὴν γὰρ ἀσίαν ὅσην ὁ νικάτωρ σέλευκος εἶχεν ὀλίγου δεῖν ἅπασαν ἐξ ὑπαρχῆς ἀνειληφώς, ἔθνη τε πάμπολλα καὶ μάχιμα βαρβάρων ὑπήκοα πεποιημένος, ἐπῆρτο συμπεσεῖν ῥωμαίοις, ὡς μόνοις ἔτι πρὸς αὐτὸν ἀξιομάχοις οὖσιν. εὐπρεπῆ δὲ τοῦ πολέμου ποιησάμενος αἰτίαν, τοὺς ἕλληνας ἐλευθεροῦν μηδὲν δεομένους, ἀλλὰ καὶ ἐλευθέρους καὶ αὐτονόμους χάριτι ῥωμαίων ἀπὸ φιλίππου καὶ μακεδόνων νεωστὶ γεγονότας, διέβη μετὰ δυνάμεως. καὶ σάλον εὐθὺς ἡ ἑλλὰς εἶχε, καὶ μετέωρος ἦν, ἐλπίσι διαφθειρομένη βασιλικαῖς ὑπὸ τῶν δημαγωγῶν. ἔπεμπεν οὖν πρέσβεις ὁ μάνιος ἐπὶ τὰς πόλεις. καὶ τὰ μὲν πλεῖστα τῶν νεωτεριζόντων, τίτος φλαμίνιος ἔσχεν ἄνευ ταραχῆς καὶ κατεπράϋνεν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. κάτων δὲ κορινθίους καὶ πατρεῖς. ἔτι δ' αἰγιεῖς παρεστήσατο. πλεῖστον δὲ χρόνον ἐν ἀθήναις διέτριψε. καὶ λέγεταί τις αὐτοῦ φαίνεσθαι λόγος, ὃν ἑλληνιστὶ πρὸς τὸν δῆμον εἶπεν, ὡς ζηλῶν τε τὴν ἀρετὴν τῶν παλαιῶν ἀθηναίων, τῆς τε πόλεως διὰ τὸ κάλλος καὶ τὸ μέγεθος ἡδέως γεγονὼς θεατής. τὸ δ' οὐκ ἀληθές ἐστιν, ἀλλὰ δι' ἑρμηνέως ἐνέτυχε τοῖς ἀθηναίοις, δυνηθεὶς ἂν αὐτὸς εἰπεῖν, ἐμμένων δὲ τοῖς πατρίοις καὶ καταγελῶν τῶν τὰ ἑλληνικά τε θαυμαζόντων. ποστούμιον γοῦν ἀλβῖνον ἱστορίαν ἑλληνιστὶ γράψαντα καὶ συγγνώμην αἰτούμενον, ἐπέσκωψεν εἰπὼν, δοτέον εἶναι τὴν συγγνώμην, εἰ τῶν ἀμφικτυόνων ψηφισαμένων, ἀναγκασθεὶς ὑπέμεινε τὸ ἔργον. θαυμάσαι δέ φασι τοὺς ἀθηναίους, τὸ τάχος αὐτοῦ καὶ τὴν ὀξύτητα τῆς φράσεως. ἃ γὰρ αὐτὸς ἐξέφερε βραχέως, τὸν ἑρμηνέα μακρῶς καὶ διὰ πολλῶν ἀπαγγέλλειν. τὸ δ' ὅλον οἴεσθαι τὰ ῥήματα τοῖς μὲν ἕλλησιν, ἀπὸ χειλέων. τοῖς δὲ ῥωμαίοις, ἀπὸ καρδίας φέρεσθαι. ἐπεὶ δ' ἀντίοχος φράξας τὰ περὶ θερμοπύλας στενὰ τῷ στρατοπέδῳ, καὶ τοῖς αὐτοφυέσι τῶν τόπων ἐρύμασι προσβαλὼν χαρακώματα καὶ διατειχίσματα, καθῆστο τὸν πόλεμον ἐκκεκλεικέναι νομίζων, τὸ μὲν κατὰ στόμα βιάζεσθαι, παντάπασιν ἀπεγίνωσκον οἱ ῥωμαῖοι. τὴν δὲ περσικὴν ἐκείνην περιήλυσιν καὶ κύκλωσιν ὁ κάτων εἰς νοῦν βαλόμενος, ἐξώδευσε νύκτωρ, ἀναλαβὼν μέρος τι τῆς στρατιᾶς. ἐπεὶ δ' ἄνω προελθόντων ὁ καθοδηγῶν αἰχμάλωτος ἐξέπεσε τῆς ὁδοῦ, καὶ πλανώμενος ἐν τόποις ἀπόροις καὶ κρημνώδεσι δεινὴν ἀθυμίαν καὶ φόβον ἐνειργάσατο τοῖς στρατιώταις, ὁρῶν ὁ κάτων τὸν κίνδυνον, ἐκέλευσε τοὺς ἄλλους ἅπαντας ἀτρεμεῖν καὶ περιμένειν. αὐτὸς δὲ λεύκιόν τινα μάλλιον ἄνδρα δεινὸν ὀρειβατεῖν παραλαβὼν, ἐχώρει πολυπόνως καὶ παραβόλως, ἐν ἀσελήνῳ νυκτὶ βαθείᾳ, κοτίνοις καὶ πάγοις ἀνατεταμένοις διασπάσματα τῆς ὄψεως καὶ ἀσάφειαν ἐχούσης, ἕως ἐμβαλόντες εἰς ἀτραπὸν ὡς ᾤοντο κάτω περαίνουσαν ἐπὶ τὸ στρατόπεδον τῶν πολεμίων, ἔθεντο σημεῖα πρός τινας εὐσκόπους κεραίας, ὑπὲρ τὸ καλλίδρομον ἀνεχούσας. οὕτω δὲ πάλιν ἐπανελθόντες ὀπίσω, τὴν στρατιὰν ἀνέλαβον, καὶ πρὸς τὰ σημεῖα προαγαγόντες, ἥψαντο μὲν ἐκείνης τῆς ἀτραποῦ, καὶ κατεστήσαντο τὴν πορείαν. μικρὸν δὲ προελθοῦσιν αὐτοῖς ἐπέλιπε, φάραγγος ὑπολαμβανούσης. καὶ πάλιν ἦν ἀπορία καὶ δέος. οὐκ ἐπισταμένων οὐδὲ συνορώντων, ὅτι πλησίον ἐτύγχανον τῶν πολεμίων γεγονότες. ἤδη δὲ διέλαμπεν ἡμέρα, καὶ φθογγῆς τις ἔδοξεν ὑπακοῦσαι, τάχα δὲ καὶ καθορᾶν ἑλληνικὸν χάρακα καὶ προφυλακὴν, ὑπὸ τὸ κρημνῶδες. οὕτως οὖν ἐπιστήσας ἐνταῦθα τὴν στρατιὰν ὁ κάτων, ἐκέλευσεν αὐτῷ προσελθεῖν ἄνευ τῶν ἄλλων, τοὺς φιρμανοὺς, οἷς ἀεὶ πιστοῖς ἐχρῆτο καὶ προθύμοις. συνδραμόντων δὲ καὶ περιστάντων αὐτὸν ἀθρόων, εἶπεν· ἄνδρα χρῄζω λαβεῖν τῶν πολεμίων ζῶντα, καὶ πυθέσθαι τίνες οἱ προφυλάσσοντες οὗτοι. πόσον πλῆθος αὐτῶν. τίς ὁ τῶν ὅλων διάκοσμος, ἢ τάξις, ἢ παρασκευὴ, μεθ' ἧς ὑπομένουσιν ἡμᾶς. τὸ δ' ἔργον ἅρπασμα τάχους γενέσθω καὶ τόλμης, ᾗ καὶ λέοντες ἄνοπλοι θαρροῦντες, ἐπὶ τὰ δειλὰ τῶν θηρίων βαδίζουσι. ταῦτα δ' εἰπόντος

μάρκῳ ἀκιλίῳ ἴσ.

ὁ μάρκος ἴσ.

μακρῶς. ς. τ. κ.

ἐκκεκλεικέναι ς. τ.

ῥώμην ἡ σύγκλητος ὑπερφυῶς ἀπεδέξατο, καὶ τῶν πρώτων ἅμιλλα καὶ σπουδὴ περὶ αὐτὸν
ἐγένετο, δῆλος ἦν ὁ κάτων ὑφορώμενος καὶ φυλαττόμενος αὐτόν. εἰπόντος δέ τινος, ἀλλὰ μὴν χρηστός
ἐστι καὶ φιλορώμαιος, ἔστω εἶπεν. ἀλλὰ φύσει τοῦτο τὸ ζῶον ὁ βασιλεὺς, σαρκοφάγον ἐστίν. οὐδένα δὲ τῶν
εὐδαιμονιζομένων βασιλέων, ἄξιον εἶναι παραβάλλειν, πρὸς ἐπαμινώνδαν. ἢ περικλέα. ἢ θεμιστο-
κλέα ἢ μάρκον κούριον. ἢ ἀμίλκαν τὸν ἐπικληθέντα βάρκαν. αὐτῷ δ' ἔλεγε τοὺς ἐχθροὺς φθονεῖν,
ὅτι καθ' ἡμέραν νυκτὸς ἀνίσταται, καὶ τῶν ἰδίων ἀμελῶν, τοῖς δημοσίοις σχολάζει. βούλεσθαι δ' ἔλε-
γε μᾶλλον εὖ πράξας ἀποστερηθῆναι χάριν, ἢ κακῶς, μὴ τυχεῖν κολάσεως. καὶ συγγνώμην ἔφη διδό-
ναι πᾶσι τοῖς ἁμαρτάνουσι, πλὴν αὑτοῦ. τῶν δὲ ῥωμαίων εἰς βιθυνίαν τρεῖς ἑλομένων πρέσβεις, ὧν
ὁ μὲν, ποδαγρικὸς ἦν. ὁ δὲ, τὴν κεφαλὴν ἐξ ἀναιρέσεως καὶ περικοπῆς κοίλην εἶχεν. ὁ δὲ τρίτος ἐδό-
κει μωρὸς εἶναι, καταγελῶν ὁ κάτων, εἶπε, πρεσβείαν ὑπὸ ῥωμαίων ἀποστέλλεσθαι, μήτε πόδας
ἐντουχθεὶς τ. ς. κ. μήτε κεφαλὴν, μήτε καρδίαν ἔχουσαν, ὑπὲρ δὲ τῶν ἐξ ἀχαΐας φυγάδων ἐντυθεὶς διὰ πολύβιον
ὑπὸ σκηπίωνος, ὡς πολὺς ἐν τῇ συγκλήτῳ λόγος ἐγένετο, τῶν μὲν, διδόντων κάθοδον αὐτοῖς. τῶν δ'
ἐνισταμένων, ἀναστὰς ὁ κάτων ὥσπερ οὐκ ἔχοντες ὃ πράττωμεν καθήμεθα τὴν ἡμέραν ὅλην περὶ γε-
ροντίων γραικῶν ζητοῦντες, πότερον ὑπὸ τῶν παρ' ἡμῖν, ἢ τῶν ἐν ἀχαΐᾳ νεκροφόρων ἐκκομισθῶσι.
ψηφισθείσης δὲ τῆς καθόδου τοῖς ἀνδράσιν, ἡμέρας ὀλίγας οἱ περὶ τὸν πολύβιον διαλιπόντες αὖ-
θις ἐπεχείρουν εἰς τὴν σύγκλητον εἰσελθεῖν, ὅπως ἃς πρότερον εἶχον ἐν ἀχαΐᾳ τιμὰς οἱ φυγάδες ἀνα-
λάβοιεν, καὶ τοῦ κάτωνος ἀπεπειρῶντο τῆς γνώμης. ὁ δὲ, μειδιάσας, ἔφη. τὸν πολύβιον ὥσπερ τὸν ὀ-
δυσσέα, βούλεσθαι πάλιν εἰς τὸ τοῦ κύκλωπος σπήλαιον εἰσελθεῖν, τὸ πιλίον ἐκεῖ, καὶ τὴν ζώνην ἐπι-
λελησμένον. τοὺς δὲ φρονίμους ἔλεγε μᾶλλον ὑπὸ τῶν ἀφρόνων, ἢ τοὺς ἄφρονας ὑπὸ τῶν φρονίμων
ὠφελεῖσθαι. τούτους μὲν γὰρ φυλάττεσθαι τὰς ἐκείνων ἁμαρτίας. ἐκείνους δὲ τὰς τούτων μὴ μιμεῖ-
σθαι κατορθώσεις. τῶν δὲ νέων ἔφη χαίρειν τοῖς ἐρυθριῶσι μᾶλλον, ἢ τοῖς ὠχριῶσι. στρατιώτου δὲ μὴ
δεῖσθαι, τὰς μὲν χεῖρας ἐν τῷ βαδίζειν, τοὺς δὲ πόδας ἐν τῷ μάχεσθαι κινοῦντος, μεῖζον δὲ ῥέγχοντος,
ἢ ἀλαλάζοντος. τὸν δὲ ὑπέρπαχυν κακίζων, ποῦ δ' ἂν ἔφη σῶμα τοιοῦτον, τῇ πόλει γένοιτο χρήσιμον,
οὗ τὸ μεταξὺ λαιμοῦ καὶ βουβώνων πᾶν, ὑπὸ τῆς γαστρὸς κατέχεται. τῶν δὲ φιληδόνων τινὰ βου-
λόμενον αὐτῷ συνεῖναι, παραιτούμενος, ἔφη μὴ δύνασθαι ζῆν μετ' ἀνθρώπου, τῆς καρδίας τὴν ὑπε-
ρῴαν εὐαισθητοτέραν ἔχοντος. τοῦ δ' ἐρῶντος ἔλεγε τὴν ψυχὴν ἐν ἀλλοτρίῳ σώματι ζῆν. μεταμεληθῆ-
ναι δ' αὐτὸς ἐν παντὶ τῷ βίῳ, τρεῖς μεταμελείας. μίαν μὲν, ἐπὶ τῷ γυναικὶ πιστεῦσαι λόγον ἀπόρρη-
τον. ἑτέραν δὲ πλεύσας, ὅπου δυνατὸν ἦν πεζεῦσαι. τὴν δὲ τρίτην, ὅτι μίαν ἡμέραν ἀδιάθετος ἔμει-
νεν. πρὸς δὲ πρεσβύτην πονηρευόμενον, ἄνθρωπε εἶπε, πολλὰ ἔχοντι τῷ γήρᾳ τὰ αἰσχρὰ, μὴ προστίθει
τὴν ἀπὸ τῆς κακίας αἰσχύνην. πρὸς δὲ δήμαρχον ἐν διαβολῇ μὲν φαρμακείας γενόμενον, φαῦλον δὲ
νόμον εἰσφέροντα καὶ βιαζόμενον, ὦ μειράκιον εἶπεν. οὐκ οἶδα πότερον χεῖρόν ἐστιν. ὃ κιρνᾷς πιεῖν. ἢ ὃ
γράφεις κυρῶσαι. βλασφημούμενος δ' ὑπ' ἀνθρώπου βεβιωκότος ἀσελγῶς καὶ κακῶς, ἄνισος εἶπεν ἡ
μοι τ. ς. κ. πρὸς σέ μου μάχη ἐστίν. καὶ γὰρ ἀκούεις τὰ κακὰ ῥᾳδίως. καὶ λέγεις εὐχερῶς. ἐμοὶ δὲ καὶ λέγειν ἀηδὲς,
γένος τ. ς. καὶ ἀκούειν ἄηθες. τὸ μὲν οὖν τῶν ἀπομνημονευμάτων ἦθος τοιοῦτόν ἐστιν. ὕπατος δὲ φλάκκου οὐαλ- μετὰ τ. ς. κ.
λερίου τοῦ φίλου καὶ συνήθους ἀποδειχθεὶς, ἔλαχε τῶν ἐπαρχιῶν, ἣν ἐντὸς ἱσπανίαν ῥωμαῖοι κα-
λοῦσιν. ἐνταῦθα δ' αὐτῷ τὰ μὲν καταστρεφομένῳ τῶν ἐθνῶν. τὰ δ' οἰκειουμένῳ διὰ λόγων, πολλὴ
στρατιὰ τῶν βαρβάρων ἐπέπεσε, καὶ κίνδυνος ἦν, αἰσχρῶς ἐκβιασθῆναι, διὸ τῶν ἐγγὺς κελτιβήρων,
ἐπεκαλεῖτο συμμαχίαν. αἰτούντων δ' ἐκείνων, τῆς βοηθείας διακόσια τάλαντα μισθὸν, οἱ μὲν ἄλλοι
πάντες, οὐκ ἀνασχετὸν ἐποιοῦντο ῥωμαίους βαρβάροις ἐπικουρίας μισθὸν ὁμολογῆσαι. ὁ δὲ κά-
των, οὐδὲν ἔφη δεινὸν εἶναι. νικῶντας μὲν γὰρ ἀποδώσειν ἀπὸ τῶν πολεμίων, οὐ παρ' αὐτῶν. ἡττωμέ-
νων δὲ, μήτε τοὺς ἀπαιτουμένους ἔσεσθαι, μήτε τοὺς ἀπαιτοῦντας. ταύτην δὲ τὴν μάχην κατὰ κράτος
ἐνίκησε καὶ τἆλλα προὐχώρει λαμπρῶς. πολύβιος μέν γε φησὶ τῶν ἐντὸς βαιτίου ποταμοῦ πόλε-
ων, ἡμέρᾳ μιᾷ τὰ τείχη κελεύσαντος αὐτοῦ περιαιρεθῆναι. πάμπολλαι δ' ἦσαν αὗται, γέμουσαι μα-
χίμων ἀνδρῶν. αὐτὸς δὲ φησιν ὁ κάτων πλείονας εἰληφέναι πόλεις, ὧν διήγαγεν ἡμερῶν ἐν ἰβηρίᾳ.
καὶ τοῦτο κόμπος οὐκ ἔστιν, εἴπερ ὡς ἀληθῶς τετρακόσιαι τὸ πλῆθος ἦσαν. τοῖς μὲν οὖν στρατιώταις
πολλὰ παρὰ τὴν στρατείαν ὠφεληθεῖσιν, ἔτι καὶ λίτραν ἀργυρίου κατ' ἄνδρα προσδιένειμεν. εἰπὼν
sed in ς. erat emendatum ὀλίγους ὡς κρεῖττον ἦν πολλοὺς ῥωμαίων ἀργύριον, ἢ χρυσίον ὀλίγους ἔχοντας, ἐπανελθεῖν. εἰς δ' αὐτὸν ἐκ τῶν
ἁλισκομένων οὐδὲν ἐλθεῖν λέγει, πλὴν ὅσα πέπωκεν ἢ βέβρωκε. καὶ οὐκ αἰτιῶμαι φησὶ τοὺς ὠ-
φελεῖσθαι ζητοῦντας ἐκ τούτων, ἀλλὰ βούλομαι μᾶλλον περὶ ἀρετῆς, τοῖς ἀρίστοις, ἢ περὶ χρημά-
των τοῖς πλουσιωτάτοις ἁμιλλᾶσθαι. καὶ τοῖς φιλαργυρωτάτοις, περὶ φιλαργυρίας. οὐ μόνον
δ' αὐτὸν, ἀλλὰ καὶ τοὺς περὶ αὐτὸν ἐφύλαττε καθαροὺς παντὸς λήμματος. ἦσαν δὲ πέντε θεράποντες
πάκκιον ἐπὶ στρατείας σὺν αὐτῷ. τούτων εἷς ὄνομα πάκκος ἠγόρασε τῶν αἰχμαλώτων τρία παιδάρια. τοῦ δὲ
κάτωνος αἰσθομένου, πρὶν εἰς ὄψιν ἐλθεῖν ἀπήγξατο. τοὺς δὲ παῖδας ὁ κάτων ἀποδόμενος, εἰς τὸ δημό-
σιον ἀνήνεγκε τὴν τιμήν. ἔτι δ' αὐτοῦ διατρίβοντος ἐν ἰβηρίᾳ, σκηπίων ὁ μέγας ἐχθρὸς ὢν καὶ βουλό-

λιστα τοῖς πόνοις ἐγκαρτερούσας, ἀπέλυσεν ἐλευθέρας νέμεσθαι, καὶ ἀφειμένων, μίαν φασὶ καταβαίνουσαν ἀφ' ἑαυτῆς πρὸς τὰ ἔργα, τοῖς ἀνάγουσι τὰς ἁμάξας ὑποζυγίοις εἰς ἀκρόπολιν, συμπαρατρέχειν καὶ προηγεῖσθαι, καθάπερ ἐγκελευομένην καὶ συνεξορμῶσαν, ἣν καὶ τρέφεσθαι δημοσίᾳ, μέχρι τελευτῆς ἐψηφίσαντο. τῶν δὲ Κίμωνος ἵππων, αἷς ὀλύμπια τρεῖς ἐνίκησεν, καὶ ταφαὶ πλησίον εἰσὶ τῶν ἐκείνου μνημάτων. κύνας δὲ συντρόφους γενομένους καὶ συνήθεις, ἄλλοι τε πολλοί, καὶ ξάνθιππος ὁ παλαιός, τὸν εἰς σαλαμῖνα τῇ τριήρει παρανηξάμενον, ὅτε τὴν πόλιν ὁ δῆμος ἐξέλιπεν, ἐπὶ τῆς ἄκρας ἐκήδευσεν, ἣν κυνὸς σῆμα μέχρι νῦν καλοῦσιν. οὐ γὰρ ὡς ὑποδήμασιν ἢ σκεύεσι, τῇ ψυχῇ ἔχουσι χρηστέον, κοπέντα καὶ κατατριβέντα ταῖς ὑπηρεσίαις ἀπορριπτοῦντας, ἀλλ' εἰ διὰ μηδὲν ἄλλο, μελέτης ἕνεκα τοῦ φιλανθρώπου προεθιστέον ἑαυτὸν ἐν τούτοις πρᾶον εἶναι καὶ μείλιχον. ἐγὼ μὲν οὐδὲ βοῦν ἂν ἐργάτην διὰ γῆρας ἀποδοίμην, μήτι γε πρεσβύτερον ἄνθρωπον ἐκ χώρας συντρόφου καὶ διαίτης συνήθους ὥσπερ ἐκ πατρίδος μεθιστάμενον, ἀντὶ κερμάτων μικρῶν, ἄχρηστόν γε τοῖς ὠνουμένοις, ὥσπερ τοῖς πιπράσκουσι γενησόμενον. ὁ δὲ κάτων ὥσπερ νεανιευόμενος ἐπὶ τούτοις, καὶ τὸν ἵππον ᾧ πρὸς τὰς στρατείας ὑπατεύων ἐχρῆτο, φησὶν ἐν ἰβηρίᾳ καταλιπεῖν, ἵνα μὴ τῇ πόλει τὸ ναῦλον αὐτοῦ λογίσηται. ταῦτα μὲν οὖν, εἴτε μεγαλοψυχίας εἴτε μικρολογίας θετέον, ἔξεστι τῷ πείθοντι χρῆσθαι λογισμῷ. τῆς δ' ἄλλης ἐγκρατείας ὑπερφυῶς θαυμαστὸς ὁ ἀνήρ. ὅτι στρατηγῶν ἐλάμβανεν ἑαυτῷ καὶ τοῖς περὶ αὐτόν, οὐ πλέον εἰς τὸν μῆνα πυρῶν, ἢ τρεῖς ἀττικοὺς μεδίμνους, εἰς δὲ τὴν ἡμέραν κριθῶν τοῖς ὑποζυγίοις ἔλαττον τριῶν ἡμιμεδίμνων. ἐπαρχίαν δὲ λαβὼν σαρδόνα, τῶν πρὸ αὐτοῦ στρατηγῶν εἰωθότων χρῆσθαι σκηνώμασι δημοσίοις, καὶ κλίναις καὶ ἱματίοις, πολλῇ τε θεραπείᾳ καὶ φίλων πλήθει, καὶ περὶ δεῖπνα καὶ δαπάναις καὶ παρασκευαῖς βαρυνόντων, ἐκεῖνος ἄπιστον ἐποίησε τὴν διαφορὰν τῆς εὐτελείας. δαπάνης μὲν γὰρ εἰς οὐδὲν, οὐδεμιᾶς προσεδεήθη δημοσίας. ἐπεφοίτα δὲ ταῖς πόλεσιν, αὐτὸς μὲν, ἄνευ ζεύγους πορευόμενος, εἷς δὲ ἠκολούθει δημόσιος ἐσθῆτα καὶ σπονδεῖον αὐτῷ πρὸς ἱερουργίαν κομίζων. ἐν δὲ τούτοις οὕτως εὔκολος καὶ ἀφελὴς τοῖς ὑπὸ χεῖρα φαινόμενος, αὖθις ἀπεδίδου τὴν σεμνότητα καὶ τὸ βάρος, ἀπαραίτητος ὢν ἐν τῷ δικαίῳ καὶ τοῖς ὑπὲρ τῆς ἡγεμονίας προστάγμασιν, ὄρθιος καὶ αὐθέκαστος. ὥστε μηδέποτε τὴν ῥωμαίων ἀρχὴν ἐκείνοις μήτε φοβερωτέραν, μήτε προσφιλεστέραν γενέσθαι. τοιαύτην δέ τινα φαίνεται καὶ ὁ λόγος τοῦ ἀνδρὸς ἰδέαν ἔχειν. εὔχαρις γὰρ ἅμα καὶ δεινὸς ἦν, ἡδὺς καὶ καταπληκτικός, φιλοσκώμμων καὶ αὐστηρός, ἀποφθεγματικὸς καὶ ἀγωνιστικός, ὥσπερ ὁ πλάτων τὸν σωκράτην φησίν, ἔξωθεν ἰδιώτην καὶ σατυρικὸν καὶ ὑβριστὴν τοῖς ἐντυγχάνουσι φαινόμενον, ἔνδοθεν δὲ σπουδῆς καὶ πραγμάτων μεστὸν εἶναι, δάκρυα κινούντων τοῖς ἀκροωμένοις, καὶ τὴν καρδίαν στρεφόντων. ὅθεν οὐκ οἶδ' ὅ τι πεπόνθασιν, οἱ τῷ λυσίου λόγῳ μάλιστα φάμενοι προσεοικέναι τὸν κάτωνος. οὐ μὴν ἀλλὰ ταῦτα μὲν οἷς μᾶλλον ἰδέας λόγων ῥωμαϊκῶν αἰσθάνεσθαι προσήκει, διακρινοῦσιν, ἡμεῖς δὲ τῶν ἀπομνημονευομένων, βραχέα γράψομεν. οἳ τῷ λόγῳ πολὺ μᾶλλον, ἢ τῷ προσώπῳ καθάπερ ἔνιοι νομίζουσι, τῶν ἀνθρώπων φαμὲν ἐμφαίνεσθαι τὸ ἦθος. μέλλων ποτὲ τὸν ῥωμαίων δῆμον ὡρμημένον ἀκαίρως ἐπὶ σιτομετρείας καὶ διανομάς, ἀποτρέπειν, ἤρξατο τῶν λόγων οὕτως. χαλεπὸν μέν ἐστιν ὦ πολῖται, πρὸς γαστέρα λέγειν, ὦτα οὐκ ἔχουσαν. κατηγορῶν δὲ τῆς πολυτελείας, ἔφη. χαλεπὸν εἶναι σωθῆναι πόλιν ἐν ᾗ πωλεῖται πλείονος ἰχθὺς ἢ βοῦς. ἐοικέναι δ' ἔφη, προβάτοις τοὺς ῥωμαίους. ὡς γὰρ ἐκεῖνα καθ' ἕκαστα μὲν οὐ πείθεται, σύμπαντα δ' ἕπεται μετ' ἀλλήλων τοῖς ἄγουσιν, οὕτω καὶ ὑμεῖς εἶπεν, οἷς οὐκ ἂν ἀξιώσαιτε συμβούλοις χρήσασθαι κατ' ἰδίαν, ὑπὸ τούτων, εἰς ἓν συνελθόντες ἄγεσθε. περὶ δὲ τῆς γυναικοκρατίας διαλεγόμενος, πάντες εἶπεν ἄνθρωποι, τῶν γυναικῶν ἄρχουσιν. ἡμεῖς δέ, πάντων ἀνθρώπων. ἡμῶν δὲ αἱ γυναῖκες. τοῦτο μὲν οὖν ἐστιν, ἐκ τῶν θεμιστοκλέους μετενηνεγμένον ἀποφθεγμάτων. ἐκεῖνος γὰρ ἐπιτάττοντος αὐτῷ πολλὰ τοῦ υἱοῦ διὰ τῆς μητρός, ὦ γύναι εἶπεν. ἀθηναῖοι μὲν ἄρχουσι τῶν ἑλλήνων. ἐγὼ δὲ ἀθηναίων. ἐμοῦ δὲ, σύ. σοῦ δὲ, ὁ υἱός. ὥστε φειδέσθω τῆς ἐξουσίας δι' ἣν ἀνόητος ὢν, πλεῖστον ἑλλήνων δύναται. τὸν δὲ δῆμον ὁ κάτων ἔφη τῶν ῥωμαίων, οὐ μόνον ταῖς πορφύραις, ἀλλὰ καὶ τοῖς ἐπιτηδεύμασι τὰς τιμὰς ἐπιγράφειν. ὡς γὰρ οἱ βαφεῖς ἔφη ταύτην μάλιστα βάπτουσιν ᾗ χαίροντας ὁρῶσιν, οὕτως οἱ νέοι, ταῦτα μανθάνουσι καὶ ζηλοῦσιν, οἷς ἂν ὁ παρ' ὑμῶν ἔπαινος ἕπηται. παρεκάλει δ' αὐτούς, εἰ μὲν ἀρετῇ καὶ σωφροσύνῃ γεγόνασι μεγάλοι, μὴ μεταβάλλεσθαι πρὸς τὸ χεῖρον, εἰ δ' ἀκρασίᾳ καὶ κακίᾳ, μεταβάλλεσθαι πρὸς τὸ βέλτιον. ἱκανῶς γὰρ ἤδη μεγάλους ἀπ' ἐκείνων γεγονέναι. τοὺς δὲ πολλάκις ἄρχειν σπουδάζοντας, ἔφη καθάπερ ἀγνοοῦντας τὴν ὁδόν, ἀεὶ μετὰ ῥαβδούχων ζητεῖν πορεύεσθαι, μὴ πλανηθῶσιν. ἐπετίμα δὲ τοῖς πολίταις, τοὺς αὐτοὺς αἱρουμένοις πολλάκις ἄρχοντας. δόξετε γὰρ ἔφη, ἢ μὴ πολλοῦ τὸ ἄρχειν ἄξιον, ἢ μὴ πολλοὺς τοὺς ἄρχειν ἀξίους ἡγεῖσθαι. περὶ δὲ τῶν ἐχθρῶν τινὸς αἰσχρῶς καὶ ἀδόξως βιοῦν δοκοῦντος, ἡ τούτου μήτηρ ἔφη, κατάραν οὐκ εὐχὴν ἡγεῖται, τὸ τοῦτον ὑπὲρ γῆς ἀπολιπεῖν. τὸν δὲ πεπρακότα τοὺς πατρῴους ἀγροὺς παραλίους ὄντας ἐπιδεικνύμενος, προσεποιεῖτο θαυμάζειν, ὡς ἰσχυρότερον τῆς θαλάσσης. ἃ γὰρ ἐκείνη μόλις ἔκλυζεν, οὗτος ἔφη ῥᾳδίως καταπέπωκεν. ἐπεὶ δὲ εὐμενοῦς τοῦ βασιλέως ἐπιδημήσαντος εἰς

ειος φλάκκος. οὗτος εἶχεν ὁμοροῦντα χωρία τοῖς κάτωνος. πυθόμενος δὲ τὴν αὐτουργίαν καὶ δίαιταν αὐτοῦ παρὰ τῶν οἰκετῶν. καὶ θαυμάσας, ὡς διηγουμένων ὅτι πρωῒ μὲν εἰς ἀγορὰν βαδίζει καὶ παρίσταται τοῖς δεομένοις, ἐπανελθὼν δ' εἰς τὸ χωρίον, ἂν μὲν ᾖ χειμὼν, ἐξωμίδα λαβὼν, θέρους δὲ γυμνὸς, ἐργασάμενος μετὰ τῶν οἰκετῶν ἐσθίει τὸν αὐτὸν ἄρτον ὁμοῦ καθήμενος, καὶ πίνει τὸν αὐτὸν οἶνον. ἄλλην τε πολλὴν ἐπιείκειαν αὐτοῦ καὶ μετριότητα, καί τινας καὶ λόγους ἀποφθεγματικοὺς διαμνημονευόντων, ἐκέλευσε κληθῆναι πρὸς τὸ δεῖπνον. ἐκ δὲ τούτου χρώμενος καὶ κατανοῶν ἥμερον καὶ ἀστεῖον ἦθος, ὥσπερ φυτὸν ἀσκήσεως καὶ χώρας ἐπιφανοῦς δεόμενον, προετρέψατο καὶ συνέπεισεν, ἅψασθαι τῆς ἐν ῥώμῃ πολιτείας. κατελθὼν οὖν, εὐθὺς τοὺς μὲν αὐτὸς ἐκτᾶτο θαυμαστὰς καὶ φίλους διὰ τῶν συνηγοριῶν. πολλὴν τε τοῦ οὐαλερίου τιμὴν καὶ δύναμιν αὐτῷ προστιθέντος, χιλιαρχίας ἔτυχε πρῶτον, εἶτα ἐταμίευσεν. ἐκ τούτου δὲ λαμπρὸς ὢν ἤδη καὶ περιφανὴς, αὐτῷ τῷ οὐαλερίῳ περὶ τὰς μεγίστας συνεξέδραμεν ἀρχάς. ὕπατός τε μετ' ἐκείνου καὶ πάλιν τιμητὴς γενόμενος. τῶν δὲ πρεσβυτέρων πολιτῶν, μαξίμῳ φαβίῳ προσένειμεν ἑαυτόν. ἐνδοξοτάτῳ μὲν ὄντι καὶ μεγίστην ἔχοντι δύναμιν. μᾶλλον δὲ τὸν τρόπον αὐτοῦ καὶ τὸν βίον, ὡς κάλλιστα παραδείγματα προθέμενος. διὸ καὶ σκηπίωνι τῷ μεγάλῳ, νέῳ μὲν ὄντι τότε, πρὸς δὲ τὴν φαβίου δύναμιν ἀνταίροντι καὶ φθονεῖσθαι δοκοῦντι, παρ' οὐδὲν ἐποιήσατο γενέσθαι διάφορος. ἀλλὰ καὶ ταμίας αὐτῷ πρὸς τὸν ἐν λιβύῃ πόλεμον συνεκπεμφθεὶς, ὡς ἑώρα τῇ συνήθει πολυτελείᾳ χρώμενον τὸν ἄνδρα καὶ καταχορηγοῦντα τοῖς στρατεύμασιν ἀφειδῶς τῶν χρημάτων, ἐπαρρησιάζετο πρὸς αὐτόν. οὐ τὸ τῆς δαπάνης μέγιστον εἶναι φάμενος, ἀλλ' ὅτι διαφθείρει τὴν πάτριον εὐτέλειαν, τῶν στρατιωτῶν ἐφ' ἡδονὰς καὶ τρυφὰς τῷ περιόντι τῆς χρείας τρεπομένων. εἰπόντος δὲ τοῦ σκηπίωνος ὡς οὐδὲν δέοιτο ταμίου λίαν ἀκριβοῦς, πλησιστίοις ἐπὶ τὸν πόλεμον φερόμενος, πράξεων γὰρ οὐ χρημάτων τῇ πόλει λόγον ὀφείλειν, ἀπῆλθεν ὁ κάτων ἐκ σικελίας. καὶ μετὰ τοῦ φαβίου καταβοῶν ἐν τῷ συνεδρίῳ, φθοράν τε χρημάτων ἀμυθήτων ὑπὸ τοῦ σκηπίωνος καὶ διατριβὰς αὐτοῦ μειρακιώδεις ἐν παλαίστραις καὶ θεάτροις ὥσπερ οὐ στρατηγοῦντος ἀλλὰ πανηγυρίζοντος, ἐξειργάσατο πεμφθῆναι δημάρχους ἐπ' αὐτὸν, ἄξοντας εἰς ῥώμην, ἄν περ ἀληθεῖς αἱ κατηγορίαι φανῶσιν. ὁ μὲν οὖν σκηπίων ἐν τῇ παρασκευῇ τοῦ πολέμου τὴν νίκην ἐπιδειξάμενος, καὶ φανεὶς ἡδὺς μὲν ἐπὶ σχολῆς συνεῖναι φίλοις, οὐδαμοῦ δὲ τῷ φιλανθρώπῳ τῆς διαίτης εἰς τὰ σπουδαῖα καὶ μεγάλα ῥᾴθυμος, ἐξέπλευσεν ἐπὶ τὸν πόλεμον. τῷ δὲ κάτωνι, πολλὴ μὲν ἀπὸ τοῦ λόγου δύναμις ηὔξετο. καὶ ῥωμαῖον αὐτὸν οἱ πολλοὶ δημοσθένην προσηγόρευον. ὁ δὲ βίος μᾶλλον ὀνομαστὸς ἦν αὐτοῦ καὶ περιβόητος. ἡ μὲν γὰρ ἐν τῷ λέγειν δεινότης, προὔκειτο τοῖς νέοις ἀγώνισμα κοινὸν ἤδη καὶ περισπούδαστον. ὁ δὲ τὴν πάτριον αὐτουργίαν ὑπομένων καὶ δεῖπνον ἀφελὲς καὶ ἄριστον ἄπυρον, καὶ λιτὴν ἐσθῆτα, καὶ δημοτικὴν ἀσπαζόμενος οἴκησιν. καὶ τὸ μὴ δεῖσθαι τῶν περιττῶν μᾶλλον, ἢ τὸ κεκτῆσθαι θαυμάζων, σπάνιος ἦν, ἤδη τότε τῆς πολιτείας τὸ καθαρὸν ὑπὸ μεγέθους οὐ φυλαττούσης. ἀλλὰ τῷ κρατεῖν πραγμάτων πολλῶν καὶ ἀνθρώπων, πρὸς πολλὰ μιγνυμένης ἔθη, καὶ βίων παραδείγματα παντοδαπῶν, ὑποδεχομένης. εἰκότως οὖν ἐθαύμαζον τὸν κάτωνα, τοὺς μὲν ἄλλους, ὑπὸ τῶν πόνων θραυομένους καὶ μαλασσομένους, καὶ ὑπὸ τῶν ἡδονῶν, ὁρῶντες, ἐκεῖνον δὲ ὑπ' ἀμφοῖν ἀήττητον. οὐ μόνον ἕως ἔτι νέος καὶ φιλότιμος ἦν, ἀλλὰ καὶ γέροντα καὶ πολιὸν ἤδη μεθ' ὑπατείαν καὶ θρίαμβον ὥσπερ ἀθλητὴν νικηφόρον ἐγκαρτεροῦντα τῇ τάξει τῆς ἀσκήσεως, καὶ διομαλίζοντα μέχρι τῆς τελευτῆς. ἐσθῆτα μὲν γὰρ οὐδέποτέ φησι φορέσαι πολυτελεστέραν ἑκατὸν δραχμῶν. πιεῖν δὲ καὶ στρατηγῶν καὶ ὑπατεύων, τὸν αὐτὸν οἶ τοῖς ἐργάταις. ὄψον δὲ παρασκευάζεσθαι πρὸς τὸ δεῖπνον, ἐξ ἀγορᾶς, ἀσσαρίων τριάκοντα. καὶ τοῦτο διὰ τὴν πόλιν. ὅπως ἰσχύοι τὸ σῶμα πρὸς τὰς στρατείας. ἐπίβλημα δὲ τῶν ποικίλων βαβυλώνιον ἐκ κληρονομίας κτησάμενος, εὐθὺς ἀποδόσθαι. τῶν δ' ἐπαύλεων αὐτοῦ, μηδεμίαν εἶναι κεκονιαμένην. οὐδένα πώποτε πρίασθαι δοῦλον, ὑπὲρ τὰς χιλίας δραχμὰς καὶ πεντακοσίας, ὡς ἂν οὐ τρυφερῶν οὐδ' ὡραίων, ἀλλ' ἐργατικῶν καὶ στερεῶν, οἷον ἱπποκόμων καὶ βοηλατῶν δεόμενος. καὶ τούτους πρεσβυτέρους γενομένους, ᾤετο δεῖν ἀποδίδοσθαι καὶ μὴ βόσκειν ἀχρήστους. ὅλως δὲ μηδὲν εὔωνος εἶναι τῶν περιττῶν, ἀλλ' οὗ τις οὐ δεῖται, κἂν ἀσσαρίου πιπράσκηται, πολλοῦ νομίζειν. κτᾶσθαι δὲ τὰ σπειρόμενα καὶ νεμόμενα μᾶλλον, ἢ τὰ ῥαινόμενα καὶ σαιρόμενα. ταῦτα δ' οἱ μὲν, εἰς σμικρολογίαν ἐτίθεντο τοῦ ἀνδρός. οἱ δ' ὡς ἐπὶ διορθώσει καὶ σωφρονισμῷ τῶν ἄλλων ἐνδοτέρω συστέλλοντος ἑαυτὸν ἀπεδέχοντο. πλὴν τὸ τοῖς οἰκέταις, ὡς ὑποζυγίοις ἀποχρησάμενον ἐπὶ γήρως ἐλαύνειν καὶ πιπράσκειν, ἀτενοῦς ἄγαν ἤθους ἐγὼ τίθεμαι. καὶ μηδὲν ἀνθρώπῳ πρὸς ἄνθρωπον οἰομένου κοινώνημα τῆς χρείας πλέον ὑπάρχειν. καίτοι τὴν χρηστότητα τῆς δικαιοσύνης, πλατύτερον τόπον ὁρῶμεν ἐπιλαμβάνουσαν. νόμῳ μὲν γὰρ καὶ τῷ δικαίῳ, πρὸς ἀνθρώπους μόνον χρῆσθαι πεφύκαμεν. πρὸς εὐεργεσίας δὲ καὶ χάριτας, ἔστιν ὅτε καὶ μέχρι τῶν ἀλόγων ζῴων, ὥσπερ γὰρ ἐκ πηγῆς πλουσίας ἀπορρεῖ τῆς ἡμερότητος. καὶ γὰρ ἵππων ἀπειρηκότων ὑπὸ πόνου, τροφαὶ, καὶ κυνῶν οὐ σκυλακεῖαι μόνον, ἀλλὰ καὶ γηροκομίαι τῷ χρηστῷ προσήκουσιν. ὁ δὲ τῶν ἀθηναίων δῆμος οἰκοδομῶν τὸν ἑκατόμπεδον, ὅσας κατενόησεν ἡμιόνους μάλιστα τοῖς

[margin: ὀφείλω; οἶνον ἑ. τ. ἐ.; εὔωνον. φ.]

λιστα τοῖς

Μάρκῳ δὲ κάτωνί φασιν ἀπὸ τούσκλου τὸ γένος εἶναι. δίαιταν δὲ καὶ βίον ἔχειν πρὸ τῶν στρατειῶν καὶ τῆς πολιτείας ἐν χωρίοις πατρῴοις περὶ σαβίνους. τῶν δὲ προγόνων παντάπασιν ἀγνώστων γεγονέναι δοκούντων, αὐτὸς ὁ κάτων καὶ τὸν πατέρα μάρκον ὡς ἀγαθὸν ἄνδρα καὶ στρατιωτικὸν ἐπαινεῖ, καὶ κάτωνα τὸν πρόπαππον ἀριστείων πολλάκις τυχεῖν φησι. καὶ πέντε πολεμιστὰς ἵππους ἐν μάχαις ἀποβαλόντα, τὴν τιμὴν ἀπολαβεῖν ἐκ τοῦ δημοσίου δι᾽ ἀνδραγαθίαν. εἰωθότων δὲ τῶν ῥωμαίων τοὺς ἀπὸ γένους δόξαν οὐκ ἔχοντας, ἀρχομένους δὲ γνωρίζεσθαι δι᾽ αὑτῶν, καινοὺς προσαγορεύειν ἀνθρώπους, ὥσπερ καὶ τὸν κάτωνα προσηγόρευον, αὐτὸς ἔλεγε καινὸς εἶναι πρὸς ἀρχὴν καὶ δόξαν, ἔργοις δὲ προγόνων καὶ ἀρεταῖς, παμπάλαιος. ἐκαλεῖτο δὲ τῷ τρίτῳ τῶν ὀνομάτων πρότερον, οὐ κάτων, ἀλλὰ πρίσκος. ὕστερον δὲ τὸν κάτωνα τῆς δυνάμεως ἐπώνυμον ἔσχε. ῥωμαῖοι γὰρ τὸν ἔμπειρον κάτωνα ὀνομάζουσιν. ἦν δὲ τὸ μὲν εἶδος, ὑπόπυρος καὶ γλαυκός, ὡς ὁ ποιήσας τὸ ἐπιγραμμάτιον, οὐκ εὐμενῶς παρεμφαίνει.

» Πυρρὸν πανδακέτην γλαυκόμματον, οὐδὲ θανόντα Πόρκιον εἰς ἀίδην φερσεφόνη δέχεται.

τὴν δὲ τοῦ σώματος ἕξιν, αὐτουργίᾳ καὶ διαίτῃ σώφρονι καὶ στρατείαις ἀπ᾽ ἀρχῆς συντρόφου γεγονότος, πάνυ χρηστικὴν εἶχε, καὶ πρὸς ἰσχὺν καὶ πρὸς ὑγείαν ὁμαλῶς συνεστῶσαν. τὸν δὲ λόγον, ὥσπερ δεύτερον σῶμα, καὶ τῶν καλῶν οὐ μόνον ἀναγκαῖον ὄργανον ἀνδρὶ μὴ ταπεινῶς βιωσομένῳ μηδ᾽ ἀπράκτως, ἐξηρτύετο καὶ παρεσκεύαζεν ἐν ταῖς περιοικίσι κώμαις καὶ τοῖς πολιχνίοις, ἑκάστοτε συνδικῶν τοῖς δεομένοις. καὶ πρῶτον μὲν ἀγωνιστὴς εἶναι δοκῶν πρόθυμος, εἶτα καὶ ῥήτωρ ἱκανός. ἐκ δὲ τούτου, μᾶλλον τοῖς χρωμένοις κατεφαίνετο βάρος τι καὶ φρόνημα περὶ αὐτὸν ἤθους καὶ πραγμάτων μεγάλων καὶ πολιτείας δεόμενον ἡγεμονικῆς. οὐ γὰρ μόνον ὡς ἔοικε, μισθαρνίας καθαρὸν ἑαυτὸν ἐπὶ τὰς δίκας καὶ τοὺς ἀγῶνας παρεῖχεν, ἀλλ᾽ οὐδὲ τὴν δόξαν ὡς μέγιστον ἀγαπῶν ἐφαίνετο τὴν ἀπὸ τῶν τοιούτων ἀγώνων. πολὺ δὲ μᾶλλον ἐν ταῖς μάχαις ταῖς πρὸς τοὺς πολεμίους καὶ ταῖς στρατείαις βουλόμενος εὐδοκιμεῖν ἔτι μειράκιον ὤν, τραυμάτων τὸ σῶμα μεστὸν ἐναντίων εἶχε. φησὶ γὰρ αὐτὸς ἑπτακαίδεκα γεγονὼς ἔτη, τὴν πρώτην στρατεύσασθαι στρατείαν, περὶ ὃν ἀννίβας χρόνον εὐτυχῶν, ἐπέφλεγε τὴν ἰταλίαν. παρεῖχε δ᾽ αὑτὸν ἐν ταῖς μάχαις, τῇ μὲν χειρὶ πλήκτην. τῷ δὲ ποδὶ, μόνιμον καὶ βέβαιον. γαῦρον δὲ τῷ προσώπῳ. λόγου δ᾽ ἀπειλῇ καὶ τραχύτητι φωνῆς πρὸς τοὺς πολεμίους ἐχρῆτο. ὀρθῶς καὶ διανοούμενος καὶ διδάσκων, ὅτι πολλάκις τὰ τοιαῦτα τοῦ ξίφους μᾶλλον καταπλήττεται τοὺς ἐναντίους. ἐν δὲ ταῖς πορείαις, αὐτὸς ἐβάδιζε φέρων τὰ ὅπλα. καὶ θεράπων εἷς εἵπετο, τὰ πρὸς δίαιταν αὐτῷ κομίζων. ᾧ λέγεται μηδέποτε δυσκολᾶναι μηδὲ μέμψασθαι παραθέντι ἄριστον ἢ δεῖπνον. ἀλλὰ καὶ συλλαμβάνειν αὐτὸς τὰ πλεῖστα καὶ συμπαρασκευάζειν, ἀπὸ τῶν στρατιωτικῶν γενόμενος ἔργων. ὕδωρ δ᾽ ἔπινεν ἐπὶ τῆς στρατείας, πλὴν εἴποτε διψήσας περιφλεγῶς, ὄξος ᾔτησεν, ἢ τῆς ἰσχύος ἐνδιδούσης, ἐπιλάβοι μικρὸν οἰνάριον. ἦν δὲ πλησίον αὐτοῦ τῶν ἀγρῶν, ἡ γενομένη μανίου κουρίου τοῦ τρὶς θριαμβεύσαντος ἔπαυλις. ἐπὶ ταύτην συνεχῶς βαδίζων καὶ θεώμενος τοῦ τε χωρίου τὴν μικρότητα, καὶ τῆς οἰκήσεως τὸ λιτόν, ἔννοιαν ἐλάμβανε τοῦ ἀνδρός. ὅτι ῥωμαίων μέγιστος γενόμενος, καὶ τὰ μαχιμώτατα τῶν ἐθνῶν ὑπαγαγόμενος, καὶ πύρρον ἐξελάσας τῆς ἰταλίας, τοῦτο τὸ χωρίδιον αὐτὸς ἔσκαπτε. καὶ ταύτην τὴν ἔπαυλιν ᾤκει, μετὰ τρεῖς θριάμβους. ἐνταῦθα πρὸς ἐσχάρᾳ καθήμενον αὐτὸν ἕψοντα γογγυλίδας, εὑρόντες οἱ σαυνιτῶν πρέσβεις, ἐδίδοσαν πολὺ χρυσίον. ὁ δ᾽ ἀπεπέμψατο φήσας, οὐδὲν χρυσίου δεῖν, ᾧ δεῖπνον ἀρκεῖ τοιοῦτον. αὐτῷ μέντοι τοῦ χρυσίον ἔχειν, κάλλιον εἶναι, τὸ νικᾶν τοὺς ἔχοντας. ταῦθ᾽ ὁ κάτων ἐνθυμούμενος ἀπῄει. καὶ τὸν αὑτοῦ πάλιν οἶκον ἐφορῶν, καὶ χωρία καὶ θεράποντας, καὶ δίαιταν, ἐπέτεινε τὴν αὐτουργίαν, καὶ περιέκοπτε τὴν πολυτέλειαν. φαβίου δὲ μαξίμου τὴν ταραντίνων πόλιν ἑλόντος, ἔτυχε μὲν ὁ κάτων στρατευόμενος ὑπ᾽ αὐτῷ, κομιδῇ μειράκιον ὤν. νεάρχῳ δέ τινι τῶν πυθαγορικῶν ξένῳ χρησάμενος, ἐσπούδασε τῶν λόγων μεταλαβεῖν. ἀκούσας δὲ ταῦτα διαλεγομένου τοῦ ἀνδρός, οἷς κέχρηται καὶ πλάτων, τὴν μὲν ἡδονὴν ἀποκαλῶν μέγιστον κακοῦ δέλεαρ, συμφορὰν δὲ τῇ ψυχῇ τὸ σῶμα πρώτην, λύσιν δὲ καὶ καθαρμόν, οἷς μάλιστα χωρίζει καὶ ἀφίστησιν αὑτὴν τῶν περὶ τὸ σῶμα παθημάτων λογισμοῖς, ἔτι μᾶλλον ἠγάπησε τὸ λιτὸν καὶ τὴν ἐγκράτειαν. ἄλλως δὲ παιδείας ἑλληνικῆς ὀψιμαθὴς γενέσθαι λέγεται, καὶ πόρρω παντάπασιν ἡλικίας ἐληλακὼς ἑλληνικὰ βιβλία λαβὼν εἰς χεῖρας, βραχέα μὲν ἀπὸ θουκυδίδου, πλείονα δ᾽ ἀπὸ δημοσθένους, εἰς τὸ ῥητορικὸν ὠφεληθῆναι. τὰ μέντοι συγγράμματα, καὶ δόγμασιν ἑλληνικοῖς καὶ ἱστορίαις ἐπιεικῶς διαπεποίκιλται. καὶ μεθηρμηνευμένα πολλὰ κατὰ λέξιν ἐν τοῖς ἀποφθέγμασι καὶ ταῖς γνωμολογίαις τέτακται. ἦν δέ τις ἀνὴρ εὐπατρίδης μὲν ἐν τοῖς μάλιστα ῥωμαίων καὶ δυνατός, ἀρετὴν δὲ φυομένην μὲν αἰσθάνεσθαι δεινός, εὐμενὴς δὲ καὶ θρέψαι καὶ προαγαγεῖν εἰς δόξαν, οὐαλέ-

καίως, καὶ τοῦτο ἔφη πῶς γνώσεσθε μὴ ἀκούσαντες. ἐπεὶ δὲ οὐδὲν μᾶλλον ἤκουον, ἐγγυτέρω προσελθών. ἐγὼ μὲν εἶπεν ἀδικεῖν ὁμολογῶ, καὶ θανάτου τιμῶμαι, τὰ πεπολιτευμένα ἐμαυτῷ. τούτους δὲ ἄνδρες ἀθηναῖοι, διατί ἀποκτενεῖτε, μηδὲν ἀδικοῦντας. ἀποκριναμένων δὲ πολλῶν. ὅτι σοὶ φίλοι εἰσίν. ὁ μὲν φωκίων ἀποστὰς, ἡσυχίαν ἦγεν. ὁ δὲ ἀγνωνίδης ψήφισμα γεγραμμένον ἔχων, ἀνέγνω. καθ᾽ ὃ τὸν δῆμον ἔδει χειροτονεῖν περὶ τῶν ἀνδρῶν, εἰ δοκοῦσιν ἀδικεῖν. τοὺς δὲ ἄνδρας ἂν καταχειροτονηθῶσιν, ἀποθνήσκειν. Ἀναγνωσθέντος δὲ τοῦ ψηφίσματος, ἠξίουν τινὲς προσγράφειν, ὅπως καὶ στρεβλωθεὶς φωκίων, ἀποθάνοι. καὶ τὸν τροχὸν εἰς φέρειν. καὶ τοὺς ὑπηρέτας καλεῖν προσέταττον. ὁ δὲ ἀγνωνίδης, καὶ τὸν κλεῖτον ὁρῶν δυσχεραίνοντα. καὶ τὸ πρᾶγμα βαρβαρικὸν εἶναι καὶ μιαρὸν ἡγούμενος. ὅταν ἔφη καλλιμέδοντα τὸν μαστιγίαν λάβωμεν, ὦ ἄνδρες ἀθηναῖοι. λαβόντες, στρεβλώσομεν. περὶ δὲ φωκίωνος οὐδὲν, ἐγὼ γράφω τοιοῦτον. ἐνταῦθα τῶν ἐπιεικῶν τις ὑπεφώνησεν, ὀρθῶς γε σὺ ποιῶν. ἂν γὰρ φωκίωνα βασανίσωμεν, σὲ τί ποιήσομεν. ἐπικυρωθέντος δὲ τοῦ ψηφίσματος, καὶ τῆς χειροτονίας ἀποδοθείσης, οὐδεὶς καθήμενος, ἀλλὰ πάντες ἐξαναστάντες. οἱ δὲ πλεῖστοι, καὶ στεφανωσάμενοι κατεχειροτόνησαν αὐτῶν θάνατον. ἦσαν δὲ σὺν τῷ φωκίωνι. νικοκλῆς. θούδιππος. ἡγήμων. πυθοκλῆς. δημητρίου δὲ τοῦ φαληρέως, καὶ καλλιμέδοντος, καὶ χαρικλέους. καί τινων ἄλλων ἀπόντων, κατεψηφίσθη θάνατος. ὡς οὖν διαλύσαντες τὴν ἐκκλησίαν, ἦγον εἰς τὸ δεσμωτήριον τοὺς ἄνδρας. οἱ μὲν ἄλλοι, περιπλεκομένων τῶν φίλων αὐτοῖς καὶ οἰκείων, ὀδυρόμενοι καὶ καταθρηνοῦντες, ἐβάδιζον. τὸ δὲ φωκίωνος πρόσωπον, οἷον ὅτε ἀπὸ στρατηγίας ἀπ᾽ ἐκκλησίας προυπέμπετο βλέποντες, ἐθαύμαζον τὴν ἀπάθειαν καὶ μεγαλοψυχίαν τοῦ ἀνδρός. οἱ δὲ ἐχθροὶ κακῶς ἔλεγον παρατρέχοντες. εἷς δὲ καὶ προσέπτυσεν ἐξεναντίας προσελθών. ὅτε καὶ τὸν φωκίωνα λέγεται βλέψαντα πρὸς τοὺς ἄρχοντας εἰπεῖν. οὐ παύσει τις ἀσχημονοῦντα τοῦτον, ἐπεὶ δὲ θούδιππος, ἐν τῷ δεσμωτηρίῳ γενόμενος. καὶ τὸ κώνειον ὁρῶν τριβόμενον, ἠγανάκτει, καὶ κατέκλαιε τὴν συμφοράν, ὡς οὐ προσηκόντως τῷ φωκίωνι συναπολλύμενος. εἶτα, οὐκ ἀγαπᾷς εἶπεν, ὅτι μετὰ φωκίωνος ἀποθνήσκεις, ἐρομένου δέ τινος τῶν φίλων εἴ τι πρὸς φῶκον λέγει τὸν υἱόν, πάνυ μὲν οὖν ἔφη λέγω μὴ μνησικακεῖν ἀθηναίοις. τοῦ δὲ νικοκλέους, ὃς ἦν αὐτῷ πιστότατος τῶν φίλων παρακαλοῦντος. ὅπως αὐτὸν ἐάσῃ τὸ φάρμακον πιεῖν πρότερον. βαρὺ μὲν εἶπεν ὦ νικόκλεις ἐμοί, τὸ αἴτημα καὶ λυπηρόν. ἐπεὶ δὲ οὐδὲ ἄλλο οὐδέποτέ σοι παρὰ τὸν βίον οὐδὲν ἠχαρίστησα, καὶ τοῦτο συγχωρῶ. πεπωκότων δὲ ἤδη πάντων, τὸ φάρμακον ἐπέλιπε. καὶ ὁ δημόσιος, οὐκ ἔφη τρίψειν ἕτερον. εἰ μὴ λάβοι δώδεκα δραχμάς, ὅσου τὴν ὁλκὴν ὠνεῖται. χρόνου δὲ γενομένου καὶ διατριβῆς, ὁ φωκίων καλέσας τινὰ τῶν φίλων καὶ εἰπών. εἰ μηδὲ ἀποθανεῖν ἀθήνησι δωρεάν ἐστιν, ἐκέλευσε τῷ ἀνθρώπῳ δοῦναι τὸ κερμάτιον. ἦν δὲ ἡμέρα μουνυχιῶνος ἐνάτη ἐπὶ δέκα. καὶ τῷ διῒ τὴν πομπὴν πέμποντες οἱ ἱππεῖς παρεξήεσαν, ὧν οἱ μὲν ἀφείλοντο τοὺς στεφάνους. οἱ δὲ πρὸς τὰς θύρας δεδακρυμένοι τῆς εἱρκτῆς ἀπέβλεψαν. ἐφάνη δὲ τοῖς μὴ παντάπασιν ὠμοῖς καὶ διεφθαρμένοις ὑπὸ ὀργῆς καὶ φθόνου τὴν ψυχὴν, ἀνοσιώτατον γεγονέναι, τὸ μηδὲ ἐπισχεῖν τὴν ἡμέραν ἐκείνην. μηδὲ καθαρεῦσαι δημοσίου φόνου τὴν πόλιν ἑορτάζουσαν. οὐ μὴν ἀλλ᾽ ὥσπερ ἐνδεέστερον ἠγωνισμένοις τοῖς ἐχθροῖς, ἔδοξε καὶ τὸ σῶμα τοῦ φωκίωνος ἐξορίσαι. καὶ μηδὲ πῦρ ἐναῦσαι μηδένα, πρὸς τὴν ταφὴν ἀθηναίων. διὸ φίλος μὲν, οὐδεὶς ἐτόλμησεν ἅψασθαι τοῦ σώματος. κωνωπίων δέ τις, ὑπουργεῖν εἰθισμένος τὰ τοιαῦτα. μισθοῦ κομισθέντα τὸν νεκρὸν, ὑπὲρ τὴν ἐλευσῖνα. πῦρ λαβὼν ἐκ τῆς μεγαρικῆς, ἔκαυσεν, ἡ δὲ μεγαρικὴ γυνὴ παροῦσα μετὰ τῶν θεραπαινίδων, ἔχωσεν μὲν αὐτόθι χῶμα κενὸν, καὶ κατέσπεισεν. ἐνθεμένη δὲ τῷ κόλπῳ τὰ ὀστᾶ καὶ κομίσασα νύκτωρ εἰς τὴν οἰκίαν, κατώρυξε παρὰ τὴν ἑστίαν, εἰποῦσα. σοὶ ὦ φίλη ἑστία παρακατατίθεμαι ταῦτα ἀνδρὸς ἀγαθοῦ λείψανα. σὺ δὲ αὐτὰ, τοῖς πατρῴοις ἀπόδος ἠρίοις, ὅταν ἀθηναῖοι σωφρονήσωσιν. καὶ μέντοι χρόνου βραχέος διαγενομένου, καὶ τῶν πραγμάτων διδασκόντων οἷον ἐπιστάτην καὶ φύλακα σωφροσύνης, καὶ δικαιοσύνης ὁ δῆμος ἀπώλεσεν, ἀνδριάντα μὲν αὐτοῦ χαλκοῦν ἀνέστησαν. ἔθαψαν δὲ δημοσίοις τέλεσι τὰ ὀστᾶ. τῶν δὲ κατηγόρων ἀγνωνίδην μὲν, αὐτοὶ θάνατον καταχειροτονήσαντες ἀπέκτειναν. ἐπίκουρον δὲ καὶ δημόφιλον ἀποδράντας ἐκ τῆς πόλεως, ἀνευρὼν ὁ τοῦ φωκίωνος υἱὸς, ἐτιμωρήσατο. τοῦτον, οὔτε τἆλλα σπουδαῖον ἄνδρα γενέσθαι φασίν. καὶ παιδίσκης ἐρῶντα παρὰ πορνοβοσκῷ τρεφομένης, κατὰ τύχην, θεοδώρῳ τῷ ἀθέῳ παραγενέσθαι λόγον ἐν λυκείῳ διαλεγομένῳ τοιοῦτον. εἰ τὸ φίλον λύσασθαι μὴ αἰσχρόν ἐστιν. οὐδὲ τὸ φίλην ὁμοίως. εἰ δὲ μὴ τὸ ἑταῖρον. οὐδὲ τὸ ἑταίραν. θέμενον οὖν ἑαυτῷ πρὸς τὴν ἐπιθυμίαν τὸν λόγον ὡς εὖ ἔχοντα. λύσασθαι τὴν ἑταίραν. ἀλλὰ τὰ μὲν περὶ φωκίωνα πραχθέντα, τῶν περὶ σωκράτην πάλιν ἀνέμνησε τοὺς ἕλληνας. ὡς ὁμοιοτάτης ἐκείνης, τῆς ἁμαρτίας ταύτης καὶ δυστυχίας τῇ πόλει γενομένης.

μὲν προαισθόμενος, ἐξεπήδησεν. καὶ φανερὸς ἦν εὐθὺς ἀμυνούμενος τὴν πόλιν. ὁ δὲ Φωκίων, ἐπεὶ τῷ προΐεσθαι τὸν ἄνδρα καὶ μὴ κατασχεῖν, ἐγκαλούμενος, ἔφη πιστεύειν μὲν τῷ Νικάνορι, καὶ μηδὲν ἀπ' αὐτοῦ προσδοκᾶν δεινόν. εἰ δὲ μὴ, μᾶλλον ἐθέλειν ἀδικούμενος, ἢ ἀδικῶν φανερὸς γίνεσθαι. τοῦτο δὲ ὑπὲρ αὐτοῦ μὲν ἄν τινι σκοποῦντι δοκοίη, καλοκαγαθικῶς λελέχθαι καὶ γενναίως. ὁ δὲ εἰς πατρίδος ἀποκινδυνεύων σωτηρίαν καὶ ταῦτα στρατηγὸς καὶ ἄρχων. οὐκ οἶδα μὴ μεῖζόν τι παραβαίνει καὶ πρεσβύτερον τὸ πρὸς τοὺς πολίτας δίκαιον. οὐδὲ γὰρ ἐκεῖνο ἔστιν εἰπεῖν ὅτι φοβούμενος μὲν εἰς πόλεμον ἐμβαλεῖν τὴν πόλιν ὁ Φωκίων, ἀπέσχετο τοῦ Νικάνορος. ἄλλως δὲ προὐβάλλετο τὴν πίστιν, καὶ τὸ δίκαιον ὅπως αἰδούμενος, ἡσυχίαν ἄγῃ, καὶ μηδὲν ἀδικῇ τοὺς Ἀθηναίους. ἀλλ' ὄντως ἔοικεν, ἰσχυρά τις αὐτῷ περὶ τοῦ Νικάνορος ἐγγενέσθαι πίστις. ὅν γε πολλῶν προσδιαβαλλόντων καὶ κατηγορούντων, ἐπιτίθεσθαι τῷ Πειραιεῖ, καὶ διαβιβάζειν εἰς Σαλαμῖνα ξένους. καὶ διαφθείρειν τινὰς τῶν ἐν Πειραιεῖ κατοικούντων, οὐ προσήκατο τὸν λόγον, οὐδ' ἐπίστευσεν. ἀλλὰ καὶ Φιλομήδου τοῦ Λαμπρέως, ψήφισμα γράψαντος. Ἀθηναίους ἅπαντας ἐν τοῖς ὅπλοις εἶναι, καὶ τῷ στρατηγῷ Φωκίωνι προσέχειν, ἠμέλησεν. ἄχρις οὗ προσάγων ὁ Νικάνωρ ἐκ τῆς Μουνυχίας τὰ ὅπλα, τὸν Πειραιᾶ περιετάφρευσε. πραττομένων δὲ τούτων, ὁ μὲν Φωκίων ἐθορυβεῖτο, καὶ κατεφρονεῖτο τοὺς Ἀθηναίους ἐξάγειν βουλόμενος. Ἀλέξανδρος δὲ, ὁ Πολυσπέρχοντος υἱός. ἧκεν μετὰ δυνάμεως. λόγῳ μὲν, ἐπὶ τὸν Νικάνορα τοῖς ἐν ἄστει βοηθήσων. ἔργῳ δὲ τὴν πόλιν, εἰ δύναιτο καταληψόμενος, αὐτὴν ἑαυτῇ περιπετῆ γενομένην. οἵ τε γὰρ φυγάδες αὐτῷ συνεισβαλόντες, εὐθὺς ἦσαν ἐν ἄστει. καὶ τῶν ξένων ἅμα καὶ τῶν ἀτίμων πρὸς αὐτοὺς εἰσδραμόντων, ἐκκλησία παμμιγὴς ἠθροίσθη, καὶ ἄτακτος. ἐν ᾗ τὸν Φωκίωνα τῆς ἀρχῆς ἀπολύσαντες ἑτέρους εἵλοντο στρατηγούς. εἰ δὲ μὴ συνιὼν εἰς λόγους ὁ Ἀλέξανδρος τῷ Νικάνορι μόνος, παρὰ τὸ τεῖχος ὤφθη. καὶ τοῦτο ποιοῦντες πολλάκις ὑποψίαν τοῖς Ἀθηναίοις παρέσχον, οὐκ ἂν ἡ πόλις διέφυγε τὸν κίνδυνον. ἐπεὶ δὲ Ἀγνωνίδης ὁ ῥήτωρ εὐθὺς ἐπεφύετο τοῖς περὶ τὸν Φωκίωνα, καὶ κατηγόρει προδοσίας. οἱ μὲν περὶ Καλλιμέδοντα, καὶ Περικλέα φοβηθέντες, ἀπῆλθον ἐκ τῆς πόλεως. ὁ δὲ Φωκίων, καὶ μετ' αὐτοῦ τῶν φίλων οἱ παραμείναντες. ᾤχοντο πρὸς Πολυσπέρχοντα. καὶ συνεξῆλθον αὐτοῖς, χάριτι τοῦ Φωκίωνος, ὁ Πλαταιεὺς Σόλων, καὶ Δείναρχος ὁ Κορίνθιος. ἐπιτήδειοι τοῦ Πολυσπέρχοντος εἶναι δοκοῦντες καὶ συνήθεις. ἀρρωστίᾳ δὲ χρησαμένου τοῦ Δεινάρχου, συχνὰς ἡμέρας ἐν Ἐλατείᾳ διέτριψαν. ἐν αἷς Ἀγνωνίδου πείσαντος, Ἀρχεστράτου δὲ τὸ ψήφισμα γράψαντος, ἔπεμπε πρεσβείαν ὁ δῆμος, κατηγορήσουσαν τοῦ Φωκίωνος. ἅμα δὲ καὶ συνέμιξαν ἀμφότεροι τῷ Πολυσπέρχοντι, μετὰ τοῦ βασιλέως πορευομένῳ περὶ κώμην τινὰ τῆς Φωκίδος Φαρύγας, κειμένην περὶ τὸ Ἀκρούριον ὄρος ὃ νῦν Γαλάτην καλοῦσιν. ἐνταῦθα δὴ θεὶς ὁ Πολυσπέρχων τὸν χρυσοῦν οὐρανίσκον, καὶ καθίσας ὑπ' αὐτῷ τὸν βασιλέα, καὶ τοὺς φίλους. τὸν μὲν Δείναρχον, εὐθὺς ἐκ προόδου λαβεῖν ἐκέλευσεν, καὶ στρεβλώσαντας, ἀποκτεῖναι. τοῖς δὲ Ἀθηναίοις, ἀπέδωκε λόγον. ὡς δὲ θόρυβον καὶ κραυγὴν ἐποίουν, ἀντικατηγοροῦντες ἀλλήλων ἐν τῷ συνεδρίῳ. καὶ προσελθὼν ὁ Ἀγνωνίδης εἶπεν. ἅπαντας ἡμᾶς εἰς μίαν ἐμβαλόντες γαλεάγραν, Ἀθηναίοις ἀναπέμψατε λόγον ὑφέξοντας. ὁ μὲν βασιλεὺς, ἐγέλασεν. οἱ δὲ περιεστῶτες τῷ συνεδρίῳ Μακεδόνες, καὶ ξένοι σχολὴν ἄγοντες, ἐπεθύμουν ἀκούειν, καὶ τοὺς πρέσβεις παρεκάλουν ἀπὸ νεύματος ἐνταῦθα ποιεῖσθαι τὴν κατηγορίαν. ἦν δὲ οὐδὲν ἴσον. ἀλλὰ τῷ μὲν Φωκίωνι, πολλάκις ἀντέκρουσεν, ὁ Πολυσπέρχων λέγοντι. μέχρις οὗ τῇ βακτηρίᾳ πατάξας τὴν γῆν, ἀπέστη καὶ κατεσιώπησεν. Ἡγήμονος δὲ φήσαντος ὅτι μάρτυς αὐτῷ τῆς πρὸς τὸν δῆμον εὐνοίας Πολυσπέρχων ἐστίν. καὶ τοῦ Πολυσπέρχοντος ἀποκριναμένου πρὸς ὀργὴν, παῦσαί μου πρὸς τὸν βασιλέα καταψευδόμενος, ἀναπηδήσας ὁ βασιλεὺς, ὥρμησε λόγχῃ τὸν Ἡγήμονα πατάξαι. ταχὺ δὲ τοῦ Πολυσπέρχοντος περιλαβόντος αὐτὸν, οὕτω διελύθη τὸ συνέδριον. τὸν δὲ Φωκίωνα καὶ τοὺς μετ' αὐτοῦ φυλακῆς περιεχούσης, ὅσοι τῶν ἑταίρων ἔτυχον. οὐκ ἐγγὺς ἑστῶτες, ὡς τοῦτο εἶδον ἐγκαλυψάμενοι, καὶ διαφυγόντες ἐσώθησαν. ἐκείνους δὲ, Κλεῖτος εἰς Ἀθήνας ἀνῆγε, λόγῳ μὲν, κριθησομένους. ἔργῳ δὲ, ἀποθανεῖν κατακεκριμένους. καὶ προσῆν τὸ σχῆμα τῇ κομιδῇ λυπηρὸν, ἐπ' ἁμάξαις κομιζομένων αὐτῶν, διὰ τοῦ Κεραμεικοῦ, πρὸς τὸ θέατρον. ἐκεῖ γὰρ αὐτοὺς προσαγαγὼν ὁ Κλεῖτος συνεῖχεν. ἄχρις οὗ τὴν ἐκκλησίαν ἐπλήρωσαν οἱ ἄρχοντες. οὐ δοῦλον, οὐ ξένον, οὐκ ἄτιμον ἀποκρίναντες, ἀλλὰ πᾶσι καὶ πάσαις, ἀναπεπταμένον τὸ βῆμα καὶ τὸ θέατρον παρασχόντες.

ἐπεὶ δὲ, ἥ τ' ἐπιστολὴ τοῦ βασιλέως ἀνεγνώσθη, λέγοντος αὐτῷ μὲν ἐγνῶσθαι προδότας γεγονέναι τοὺς ἄνδρας. ἐκείνοις δὲ, διδόναι τὴν κρίσιν ἐλευθέροις τε δὴ καὶ αὐτονόμοις οὖσι. καὶ τοὺς ἄνδρας ὁ Κλεῖτος εἰσήγαγεν. οἱ μὲν βέλτιστοι τῶν πολιτῶν ὀφθέντος τοῦ Φωκίωνος, ἐνεκαλύψαντο, καὶ κάτω κύψαντες ἐδάκρυον. εἷς δὲ ἀναστὰς, ἐτόλμησεν εἰπεῖν, ὅτι τηλικαύτην κρίσιν ἐγκεχειρικότος τῷ δήμῳ τοῦ βασιλέως, καλῶς ἔχει τοὺς δούλους καὶ τοὺς ξένους, ἀπελθεῖν ἐκ τῆς ἐκκλησίας. οὐκ ἀνασχομένων δὲ τῶν πολλῶν, ἀλλ' ἀνακραγόντων βάλλειν τοὺς ὀλιγαρχικοὺς καὶ μισοδήμους, ἄλλος μὲν οὐδεὶς ὑπὲρ τοῦ Φωκίωνος ἐπιχείρησεν εἰπεῖν. αὐτὸς δὲ χαλεπῶς καὶ μόλις ἐξακουσθεὶς, πότερον εἶπεν ἀδίκως, ἢ δικαίως ἀποκτεῖναι βούλεσθαι ἡμᾶς. ἀποκριναμένων δέ τινων ὅτι δι-

ἐκεῖνον κ. | ἐκεῖνος. κ.

βούλεσθε. τ.

μόνον οὐκ ἔρωτα καὶ πόθον ἀθηναίοις ἀλεξάνδρου καὶ φιλίππου παρεῖχε. καὶ τοῦτο, ὅπερ ὕστερον
ἀναιρεθέντος ἀντιγόνου, καὶ τῶν ἀνελόντων ἐκεῖνον ἀρξαμένων βιάζεσθαι, καὶ λυπεῖν τοὺς ἀνθρώ-
πους. ἀνὴρ ἄγροικος ἐν φρυγίᾳ χωρίον ὀρύττων. πυθομένου τινὸς τί ποιεῖς, στενάξας, ἀντίγονον εἶπεν ζη-
τῶ. τοῦτο πολλοῖς ἐπῄει λέγειν, διαμνημονεύουσι τὸν ἐκείνων τῶν βασιλέων θυμόν, ὡς τὸ μέγα καὶ γεν-
ναῖον εὐπαραίτητον εἶχεν. οὐχ ὥσπερ ἀντίπατρος, ἰδιώτου προσώπῳ. καὶ φαυλότητι χλαμυδίου.
καὶ διαίτης εὐτελείᾳ. κατειρωνευόμενος τὴν ἐξουσίαν. ἐπαχθέστερος ἦν τοῖς πάσχουσιν, κακὸς δεσπό-
της καὶ τύραννος. ὅμως δ' οὖν ὁ φωκίων, καὶ φυγῆς ἀπήλλαξε πολλούς, δεηθεὶς τοῦ ἀντιπάτρου. καὶ
φεύγουσι διεπράξατο, μὴ καθάπερ οἱ λοιποί, τῶν μεθισταμένων ὑπὲρ τὰ κεραύνια ὄρη, καὶ τὸν ταί-
ναρον, ἐκπεσεῖν τῆς ἑλλάδος, ἀλλ' ἐν πελοποννήσῳ κατοικεῖν, ὧν καὶ ἁγνωνίδης ἦν, ὁ συκοφάντης. ἐπι-
μελόμενος δὲ τῶν κατὰ τὴν πόλιν πράως καὶ νομίμως. τοὺς μὲν ἀστείους καὶ χαρίεντας, ἐν ταῖς ἀρ-
χαῖς ἀεὶ συνεῖχεν. τοὺς δὲ πολυπράγμονας καὶ νεωτεριστάς, αὐτῷ τῷ μὴ ἄρχειν, μηδὲ θορυβεῖν, ἀπο-
μαραινομένους, ἐδίδαξεν φιλοχωρεῖν, καὶ ἀγαπᾶν γεωργοῦντας. ὁρῶν δὲ τὸν ξενοκράτην τελοῦντα
τὸ μετοίκιον, ἐβούλετο γράψαι πολίτην. ὁ δὲ ἀπεῖπε φήσας. οὐκ ἂν μετασχεῖν ταύτης τῆς πολιτείας,
περὶ ἧς ἐπρέσβευεν ἵνα μὴ γένηται. τοῦ δὲ μενύλλου δωρεὰν αὐτῷ καὶ χρήματα διδόντος, ἀπεκρίνα-
το μήτ' ἐκεῖνον ἀλεξάνδρου βελτίονα εἶναι. μήτε κρείττονα τὴν αἰτίαν, ἐφ' ἧς λήψεται νῦν, ὁ τότε μὴ δε-
ξάμενος. ἀλλὰ φώκῳ γε τῷ παιδὶ λαβεῖν δεομένου τοῦ μενύλλου. φώκῳ μὲν εἶπεν, ἐὰν μὲν σωφρονῇ με-
ταβαλλόμενος, ἀρκέσει τὰ τοῦ πατρός. ὡς δ' ἔχει νῦν. οὐδὲν ἱκανόν ἐστιν. ἀντιπάτρῳ δὲ τραχύτερον ἀπε-
κρίνατο βουλομένῳ τί γενέσθαι δι' αὐτοῦ τῶν μὴ πρεπόντων. οὐ δύναται γὰρ εἶπεν ἀντίπατρος, ἅμα
μοι καὶ φίλῳ καὶ κόλακι χρῆσθαι. τὸν δὲ ἀντίπατρον αὐτὸν εἰπεῖν λέγουσιν. ὡς δυεῖν αὐτῷ φίλων ἀ-
θήνησιν ὄντων φωκίωνος. καὶ δημάδου. τὸν μέν, λαβεῖν οὐ πέπεικεν. τὸν δὲ διδοὺς οὐκ ἐμπέπληκεν.
καὶ μέντοι, φωκίων μὲν ὡς ἀρετὴν ἐπεδείκνυτο τὴν πενίαν. ἐν ᾗ τοσαυτάκις ἀθηναίων στρατηγήσας
καὶ βασιλεῦσι φίλοις χρησάμενος, ἐγκατεγήρασε. δημάδης δέ, τῷ πλούτῳ καὶ παρανομῶν, ἐκαλλω-
πίζετο. νόμου γὰρ ὄντος ἀθήνησι τότε. μὴ χορεύειν ξένον, ἢ χιλίας ἀποτίνειν τὸν χορηγόν. ἅπαντας εἰ-
σαγαγὼν ξένους τοὺς χορεύοντας ἑκατὸν ὄντας. ἅμα καὶ τὴν ζημίαν, ἀνὰ χιλίας ὑπὲρ ἑκάστου εἰσήνεγ-
κεν εἰς τὸ θέατρον. δημέᾳ δὲ τῷ υἱῷ νύμφην ἀγόμενος, ἐμοῦ μὲν εἶπεν ὦ παῖ τὴν σὴν μητέρα γαμοῦντος,
οὐδὲ ὁ γείτων ᾔσθετο. τοῖς δὲ σοῖς γάμοις, καὶ βασιλεῖς καὶ δυνάσται συγχορηγοῦσιν. ἐνοχλούντων δὲ
τῷ φωκίωνι τῶν ἀθηναίων ὅπως ἀπαλλάξῃ τὴν φρουρὰν πείσας τὸν ἀντίπατρον. εἴτε μὴ προσδοκῶν
πείσειν. εἴτε μᾶλλον ὁρῶν σωφρονοῦντα τὸν δῆμον καὶ πολιτευόμενον εὐτάκτως διὰ τὸν φόβον, ἐ-
κείνην μὲν ἀεὶ διωθεῖτο τὴν πρεσβείαν. τὰ δὲ χρήματα, μὴ πράττειν, ἀλλὰ μέλλειν καὶ ἀναβάλλε-
σθαι, τὸν ἀντίπατρον ἔπεισεν. μεταβάντες οὖν, δημάδην παρεκάλουν. ὁ δὲ προθύμως ὑπέστη.
καὶ τὸν υἱὸν ἔχων, ἀπῆρεν εἰς μακεδονίαν. ὑπὸ δαίμονός τινος ὡς ἔοικεν εἰς τοῦτο καιροῦ κομι-
σθείς. ἐν ᾧ κατείχετο μέν, ἀντίπατρος ἤδη νόσῳ. κάσανδρος δέ, τῶν πραγμάτων ἐγκρατὴς γεγο-
νώς, εὗρεν ἐπιστολὴν δημάδου γεγραμμένην πρὸς ἀντίγονον εἰς ἀσίαν, παρακαλοῦντος αὐτόν, ἐπι-
φανῆναι τοῖς περὶ τὴν ἑλλάδα καὶ μακεδονίαν, ἐκ παλαιοῦ καὶ σαπροῦ κρεμαμένοις στήμονος. τὸν
ἀντίπατρον οὕτω σκώψαντος. ὡς οὖν εἶδεν αὐτὸν ἀφιγμένον ὁ κάσανδρος, συνέλαβε. καὶ πρῶ-
τα μὲν τὸν υἱὸν ἐγγὺς προσαγαγών, προσέσφαξεν, ὥστε καταδέξασθαι τοῖς κόλποις, τὸ αἷμα τὸν πα-
τέρα, καὶ καταπλησθῆναι τοῦ φόνου. μετὰ ταῦτα δέ, εἰς ἀχαριστίαν αὐτὸν καὶ προδοσίαν πολλὰ λοι-
δορήσας καὶ καθυβρίσας, ἀπέκτεινεν. ἐπεὶ δὲ ἀντίπατρος, ἀποδείξας πολυπέρχοντα στρατηγόν.
κάσανδρον δέ, χιλίαρχον ἐξέλιπεν. εὐθὺς διαναστὰς ὁ κάσανδρος, καὶ προκαταλαμβάνων τὰ
πράγματα. πέμπει κατὰ τάχος νικάνορα, τῷ μενύλλῳ διάδοχον τῆς φυλαρχίας, πρὶν ἔκδηλον
τὸν ἀντιπάτρου θάνατον γενέσθαι. κελεύσας τὴν μουνυχίαν παραλαβεῖν. γενομένου δὲ τούτου,
καὶ μεθ' ἡμέρας ὀλίγας πυθομένων τῶν ἀθηναίων ὅτι τέθνηκεν ὁ ἀντίπατρος. ἐν αἰτίαις ὁ φωκίων
ἦν. καὶ κακῶς ἤκουεν ὡς προαισθόμενος. καὶ κατασιωπήσας, χάριτι τοῦ νικάνορος. ὁ δέ, τού-
των μὲν οὐκ ἐφρόντιζεν. ἐντυγχάνων δὲ τῷ νικάνορι, καὶ διαλεγόμενος. εἴς τε τἄλλα τοῖς ἀθηναίοις
πρᾶον αὐτὸν καὶ κεχαρισμένον παρεῖχεν, καὶ φιλοτιμίας τινὰς ἔπεισε, καὶ δαπάνας ὑποστῆ-
ναι, γενόμενον ἀγωνοθέτην. ἐν τούτῳ δὲ καὶ πολυπέρχων τὴν τοῦ βασιλέως ἐπιμέλειαν ἔχων ὑφ'
ἑαυτῷ, καὶ καταπολιτευόμενος τὸν κάσανδρον, ἔπεμψεν ἐπιστολὴν τοῖς ἐν ἄστει, γεγραμμένην. ὡς
τοῦ βασιλέως ἀποδιδόντος αὐτοῖς τὴν δημοκρατίαν, καὶ πολιτεύεσθαι κατὰ τὰ πάτρια, πάντας ἀ-
θηναίους κελεύοντος. ἦν δὲ τοῦτο κατὰ τοῦ φωκίωνος ἐπιβουλή. συσκευαζόμενος γὰρ εἰς ἑαυτόν, ὡς
μικρὸν ὕστερον ἔδειξε τοῖς ἔργοις ὁ πολυπέρχων τὴν πόλιν, οὐδὲν ἤλπιζε περαίνειν, μὴ τοῦ φωκίωνος
ἐκπεσόντος. ἐκπεσεῖσθαι δὲ ἐκεῖνον, ἅμα τῶν ἀπεψηφισμένων ἐπιχυθέντων τῇ πολιτείᾳ, καὶ πάλιν
τὸ βῆμα δημαγωγῶν κατασχόντων, καὶ συκοφαντῶν. ὑποκινουμένων δὲ πρὸς ταῦτα τῶν ἀθηναίων.
βουλόμενος ἐντυχεῖν αὐτοῖς ὁ νικάνωρ ἐν πειραιεῖ. βουλῆς γενομένης, παρῆλθεν, τῷ φωκίωνι ἐμπιστεύ-
σας τὸ σῶμα. δερκύλλου δὲ τοῦ ἐπὶ τῆς χώρας στρατηγοῦ, συλλαβεῖν αὐτὸν ἐπιχειρήσαντος, ἐκείνου

ὕστερον χρόνῳ, κρατεροῦ διαβάντος ἐξ ἀσίας μετὰ πολλῆς δυνάμεως, καὶ γενομένης πάλιν ἐν κρανῶνι παρατάξεως, ἡττήθησαν μὲν οἱ ἕλληνες, οὔτε μεγάλην ἧτταν, οὔτε πολλῶν πεσόντων, ἀπειθείᾳ δὲ πρὸς τοὺς ἄρχοντας, ἐπιεικεῖς καὶ νέους ὄντας. καὶ ἅμα τὰς πόλεις αὐτῶν πειρῶντος ἀντιπάτρου, διαρρυέντες, αἴσχιστα προήκαντο τὴν ἐλευθερίαν. εὐθὺς οὖν ἤδη ἐπὶ τὰς ἀθήνας ἄγοντος τοῦ ἀντιπάτρου τὴν δύναμιν, οἱ μὲν περὶ δημοσθένην, καὶ ὑπερίδην, ἀπηλλάγησαν ἐκ τῆς πόλεως. δημάδης δὲ, μηδὲν μέρος ὧν ὤφειλε χρημάτων ἤδη ταῖς καταδίκαις, ἐκτῖσαι τῇ πόλει δυνάμενος. ἑαλώκει γὰρ ἑπτὰ γραφὰς παρανόμων. καὶ γεγονὼς ἄτιμος, ἐξείργετο τοῦ λέγειν, ἄδειαν εὑρόμενος τότε, γράφει ψήφισμα καὶ πέμπει πρὸς ἀντίπατρον ὑπὲρ εἰρήνης, πρέσβεις αὐτοκράτορας. φοβουμένου δὲ τοῦ δήμου καὶ καλοῦντος φωκίωνα, καὶ μόνῳ πιστεύειν ἐκείνῳ λέγοντος. ἀλλ' εἴγε ἐπιστευόμην εἶπεν ἐγὼ, συμβουλεύων ὑμῖν, οὐκ ἂν νῦν ἐβουλευόμεθα περὶ πραγμάτων τοιούτων. οὕτω δὲ τοῦ ψηφίσματος ἐπικυρωθέντος, ἀπεστάλη πρὸς ἀντίπατρον, ἐν τῇ καδμείᾳ στρατοπεδεύοντα. καὶ παρασκευαζόμενον εὐθὺς, εἰς τὴν ἀττικὴν βαδίζειν, καὶ τοῦτο πρῶτον ᾔτει. τὸ μένοντα κατὰ χώραν, ποιήσασθαι τὰς διαλύσεις. τοῦ δὲ κρατεροῦ λέγοντος, ὡς οὐ δίκαια πείθει φωκίων ἡμᾶς, τὴν τῶν συμμάχων καὶ φίλων καθημένους χώραν κακῶς ποιεῖν, δυναμένους ἐκ τῆς τῶν πολεμίων ὠφελεῖσθαι, λαβόμενος αὐτοῦ τῆς δεξιᾶς ὁ ἀντίπατρος. δοτέον εἶπε φωκίωνι ταύτην τὴν χάριν. περὶ δὲ τῶν ἄλλων, ἐκέλευσεν αὐτοῖς ἐπιτρέπειν τοὺς ἀθηναίους. ὡς πρὸ ἐν λαμίᾳ λεωσθένει ἐκεῖνον. ὡς οὖν ἐπανῆλθεν ὁ φωκίων εἰς ἄστυ. καὶ τοῖς ἀθηναίοις τὸ αὐτὸ ἔδοξεν ἐπ' ἀνάγκης. αὖθις εἰς θήβας ἐβάδιζε, μετὰ τῶν ἄλλων πρέσβεων. ξενοκράτη τὸν φιλόσοφον τῶν ἀθηναίων προσελομένων. τοσοῦτον γὰρ ἦν ἀξίωμα τῆς ἀρετῆς τοῦ ξενοκράτους καὶ δόξα, καὶ λόγος παρὰ πᾶσιν, ὥς τε οἴεσθαι, μήτε ὕβριν εἶναι, μήτε ὠμότητα, μήτε θυμὸν ἐν ἀνθρωπίνῃ ψυχῇ φυόμενον, ᾧ ξενοκράτους, μόνον ὀφθέντος, οὐκ ἂν αἰδοῦς τι καὶ τιμῆς ἐγγένοιτο πρὸς αὐτόν. ἀπέβη δὲ τοὐναντίον, ἀγνωμοσύνῃ τινὶ καὶ μισαγαθίᾳ τοῦ ἀντιπάτρου. πρῶτον μὲν γὰρ, οὐκ ἠσπάσατο τὸν ξενοκράτην, τοὺς ἄλλους δεξιωσάμενος. ἐφ' ᾧ φασὶν, εἰπεῖν ἐκεῖνον ὡς ἀντίπατρος καλῶς ποιεῖ, μόνον αὐτὸν αἰσχυνόμενος, ἐφ' οἷς ἀγνωμονεῖν μέλλει πρὸς τὴν πόλιν. ἔπειτα λέγειν ἀρξάμενον, οὐχ ὑπομένων, ἀλλ' ἀντικρούων, καὶ δυσκολαίνων, ἐποίησεν ἀποσιωπῆσαι. τῶν δὲ περὶ τὸν φωκίωνα διαλεχθέντων, ἀπεκρίνατο, φιλίαν ἔσεσθαι τοῖς ἀθηναίοις καὶ συμμαχίαν, ἐκδοῦσι μὲν, τοὺς περὶ δημοσθένην, καὶ ὑπερίδην. πολιτευομένοις δὲ τὴν πάτριον ἀπὸ τιμήματος πολιτείαν. δεξαμένοις δὲ φρουρὰν εἰς τὴν μουνυχίαν. ἔτι δὲ χρήματα τοῦ πολέμου, καὶ ζημίαν προσεκτίσασιν.

Οἱ μὲν οὖν ἄλλοι πρέσβεις ἠγάπησαν, ὡς φιλανθρώπους τὰς διαλύσεις, πλὴν τοῦ ξενοκράτους. ἔφη γὰρ, ὡς μὲν δούλοις, μετρίως κεχρῆσθαι τὸν ἀντίπατρον. ὡς δὲ ἐλευθέροις, βαρέως. τοῦ δὲ φωκίωνος παραιτουμένου τὴν φρουρὰν καὶ δεομένου. λέγεται τὸν ἀντίπατρον εἰπεῖν. ὦ φωκίων ἡμεῖς, πάντα σοι χαρίζεσθαι βουλόμεθα. πλὴν τῶν καὶ σὲ ἀπολούντων καὶ ἡμᾶς. οἱ δὲ, οὐχ οὕτως φασὶν ἀλλὰ ἐρωτῆσαι τὸν ἀντίπατρον, εἰ τὴν φρουρὰν ἀνέντος αὐτοῦ τοῖς ἀθηναίοις, ὁ φωκίων ἐγγυᾶται τὴν πόλιν ἐμμενεῖν τῇ εἰρήνῃ, καὶ μηδὲν πολυπραγμονήσειν. σιωπῶντος δὲ ἐκείνου καὶ διαμέλλοντος, ἀναπηδήσαντα καλλιμέδοντα τὸν κάραβον, ἄνδρα θρασὺν καὶ μισόδημον εἰπεῖν. ἐὰν δὲ οὗτος ὦ ἀντίπατρε φλυαρῇ, σὺ πιστεύσεις, καὶ οὐ πράξεις ἃ ἔγνωκας; οὕτω μὲν ἐδέξαντο φρουρὰν μακεδόνων, ἀθηναῖοι καὶ μένυλλον ἡγεμόνα, τῶν ἐπιεικῶν τινα καὶ τοῦ φωκίωνος ἐπιτηδείων. ἐφάνη δὲ ὑπερήφανον τὸ πρόσταγμα. καὶ μᾶλλον ἐξουσίας ὕβρει χρωμένης ἐπίδειξις, ἢ πραγμάτων ἕνεκα γινομένη κατάληψις. οὐ μικρὸν δὲ τῷ πάθει προσέθηκεν ὁ καιρός. εἰκάδι γὰρ ἡ φρουρὰ βοηδρομιῶνος εἰσήχθη μυστηρίων ὄντων, ᾗ τὸν ἴακχον ἐξ ἄστεος ἐλευσινάδε πέμπουσιν. ὥς τε τῆς τελετῆς συγχυθείσης, ἀναλογίζεσθαι τοὺς πολλούς. καὶ τὰ πρεσβύτερα τῶν θείων, καὶ τὰ πρόσφατα. πάλαι μὲν γὰρ ἐν τοῖς ἀρίστοις εὐτυχήμασι τὰς μυστικὰς ὄψεις καὶ φωνὰς παραγίνεσθαι, σὺν ἐκπλήξει, καὶ θάμβει τῶν πολεμίων. νῦν δὲ τοῖς αὐτοῖς ἱεροῖς τὰ δυσχερέστατα πάθη τῆς ἑλλάδος ἐπισκοπεῖν τοὺς θεοὺς, καὶ καθυβρίζεσθαι τὸν ἁγιώτατον τοῦ χρόνου, καὶ ἥδιστον αὐτοῖς, ἐπώνυμον τῶν μεγίστων κακῶν γενόμενον.

Πρότερον μὲν οὖν, ὀλίγοις ἔτεσιν χρησμὸν ἐξενήνεγκαν αἱ δωδωνίδες τῇ πόλει. τὰ ἀκρωτήρια τῆς ἀρτέμιδος φυλάττειν, ὅπως ἄλλοι μὴ λάβωσιν. τότε δὲ, περὶ τὰς ἡμέρας ἐκείνας αἱ ταινίαι μὲν, αἷς περιελίττουσι τὰς μυστικὰς κοίτας, βαπτόμεναι, θάψινον ἀντὶ φοινικοῦ χρῶμα, καὶ νεκρῶδες ἀνήνεγκαν. ὃ δὲ μεῖζον ἦν, τὰ παραβαπτόμενα τῶν ἰδιωτικῶν πάντα, τὸ προσῆκον ἄνθος ἔσχε. μύστην δὲ λούοντα χοιρίδιον ἐν καθαρῷ λιμένι κῆτος συνέλαβε. καὶ τὰ κάτω μέρη τοῦ σώματος ἄχρι τῆς κοιλίας κατέπιε. προδεικνύντος αὐτοῖς τοῦ θεοῦ φανερῶς, ὅτι τῶν κάτω καὶ πρὸς θαλάσσῃ στερηθέντες, τὴν ἄνω πόλιν διαφυλάξουσιν. ἡ μὲν οὖν φρουρὰ διὰ μένυλλον, οὐδὲν ἠνίασεν τοὺς ἀνθρώπους. τῶν δὲ ἀποψηφισθέντων τοῦ πολιτεύματος διὰ πενίαν, ὑπὲρ μυρίους καὶ δισχιλίους γενομένων. οἵ τε μένοντες ἐδόκουν σχέτλια καὶ ἄτιμα πάσχειν. οἵ τε διὰ τοῦτο, τὴν πόλιν ἐκλιπόντες, καὶ μεταστάντες εἰς θρᾴκην, ἀντιπάτρου γῆν καὶ πόλιν αὐτοῖς παρασχόντος, ἐκπεπολιορκημένοις ἐῴκεσαν.

Ὁ δὲ δημοσθένους ἐν καλαυρείᾳ, καὶ ὑπερίδου πρὸς κλεωναῖς θάνατος, περὶ ὧν ἐν ἄλλοις γέγραπται

λεωσθένης κ.τ.ς.κ. ἐρωτῆσαι Vide Suid. in voce Δωδώνη: προφανῶς τ.ς. γέγραπται

θεν ἀνάλωτον ὑπὸ τοῦ χρυσίου περιοδεύων ἑώρα, χαρικλέα δὲ τὸν γαμβρὸν αὐτοῦ ποιησάμενος συνήθη, καὶ φίλον, ἐνέπλησε δόξης πονηρᾶς, πάντα πιστεύων καὶ πάντα χρώμενος ἐκείνῳ. καὶ δὴ, καὶ πυθονίκης τῆς ἑταίρας ἀποθανούσης ἣν εἶχεν ὁ ἅρπαλος ἐρῶν, καὶ θυγατρίου πατὴρ, ἐξ αὐτῆς γέγονε, μνημεῖον ἀπὸ χρημάτων πολλῶν ἐπιτελέσαι θελήσας, προσέταξε τῷ χαρικλεῖ τὴν ἐπιμέλειαν. οὖσαν δὲ τὴν ὑπουργίαν ταύτην ἀγεννῆ, προσκατῄσχυνεν ὁ τάφος συντελεσθείς. διαμένει γὰρ ἔτι νῦν ἐν ἑρμείῳ, ᾗ βαδίζομεν ἐξ ἄστεος εἰς ἐλευσῖνα. μηδὲν ἔχων, τῶν τριάκοντα ταλάντων ἄξιον. ὅσα τῷ ἁρπάλῳ λογισθῆναι φασὶν, εἰς τὸ ἔργον ὑπὸ τοῦ χαρικλέους. καὶ μέντοι καὶ τελευτήσαντος αὐτοῦ, τὸ παιδάριον ὑπὸ τοῦ χαρικλέους, καὶ τοῦ φωκίωνος ἀναληφθὲν, ἐτύγχανε πάσης ἐπιμελείας. κρινομένου μέντοι τοῦ χαρικλέους ἐπὶ τοῖς ἁρπαλείοις, καὶ δεομένου βοηθεῖν αὐτῷ τὸν φωκίωνα, καὶ συνεισελθεῖν εἰς τὸ δικαστήριον. οὐκ ἠθέλησεν εἰπών. ἐγώ σε ὦ χαρίκλεις ἐπὶ πᾶσι τοῖς δικαίοις γαμβρὸν ἐποιησάμην. πρώτου δὲ ἀθηναίοις ἀσκληπιάδου τοῦ ἱππάρχου τεθνάναι προσαγγείλαντος ἀλέξανδρον, ὁ μὲν δημάδης, ἐκέλευε μὴ προσέχειν. πάλαι γὰρ ἂν, ὅλην ὄζειν νεκροῦ τὴν οἰκουμένην. ὁ δὲ φωκίων ἐπηρμένον ὁρῶν πρὸς τὸ νεωτερίζειν τὸν δῆμον, ἐπειρᾶτο παρηγορεῖν καὶ κατέχειν. ἀναπηδώντων δὲ πολλῶν ἐπὶ τὸ βῆμα καὶ βοώντων, ἀληθῆ τὸν ἀσκληπιάδην ἐπαγγέλλειν, καὶ τεθνάναι τὸν ἀλέξανδρον. οὐκοῦν εἶπεν, εἰ σήμερον τέθνηκεν, καὶ αὔριον ἔσται. καὶ εἰς τρίτην τεθνηκώς. ὥστε ἡμᾶς ἐν ἡσυχίᾳ βουλεύσασθαι, μᾶλλον δὲ μετὰ ἀσφαλείας. ὡς δὲ φέρων ἐνέσεισεν ὁ λεωσθένης, τὴν πόλιν εἰς τὸν ἑλληνικὸν πόλεμον. καὶ τοῦ φωκίωνος δυσχεραίνοντος, ἠρώτα καταγελῶν. τί πεποίηκεν ἀγαθὸν τὴν πόλιν, ἔτη τοσαῦτα στρατηγῶν. οὐ μικρὸν ἔφη, τὸ τοὺς πολίτας ἐν τοῖς ἰδίοις μνήμασι θάπτεσθαι. πολλὰ δὲ θρασυνομένου, καὶ κομπάζοντος ἐν τῷ δήμῳ τοῦ λεωσθένους ὁ φωκίων. οἱ λόγοι σου εἶπεν ὦ μειράκιον, ἐοίκασι κυπαρίττοις. μεγάλοι γὰρ ὄντες καὶ ὑψηλοὶ, καρποὺς οὐ φέρουσι. ὡς δὲ ἐπαναστὰς ὁ ὑπερείδης ἠρώτησεν. πότε οὖν ὦ φωκίων συμβουλεύσεις πολεμεῖν ἀθηναίοις. ὅταν εἶπεν, τοὺς μὲν νέους ἴδω, τὴν τάξιν βουλομένους φυλάττειν. τοὺς δὲ πλουσίους εἰσφέρειν. τοὺς δὲ ῥήτορας, ἀπέχεσθαι τοῦ κλέπτειν τὰ δημόσια. θαυμαζόντων δὲ πολλῶν τὴν ὑπὸ τοῦ λεωσθένους συνηγμένην δύναμιν. καὶ τοῦ φωκίωνος πυνθανομένων. πῶς τί παρεσκευάσθαι δοκοῦσιν αὐτῷ. καλῶς ἔφη πρὸς τὸ στάδιον. τὸν δὲ δόλιχον τοῦ πολέμου φοβοῦμαι, μήτε χρήματα τῆς πόλεως ἑτέρα, μήτε ναῦς, μήτε ὁπλίτας ἐχούσης. ἐμαρτύρει δὲ αὐτῷ καὶ τὰ ἔργα. πρῶτον μὲν γὰρ ὁ λεωσθένης λαμπρὸς ἤρθη ταῖς πράξεσιν. τούς τε βοιωτοὺς μάχῃ κρατήσας καὶ τὸν ἀντίπατρον, εἰς λάμιαν συνελάσας. ὅτε καί φασι, τὴν μὲν πόλιν, ἐλπίδος μεγάλης γενομένην, ἑορτάζειν εὐαγγέλια συνεχῶς, καὶ θύειν τοῖς θεοῖς. τὸν δὲ φωκίωνα, πρὸς τοὺς ἐλέγχειν αὐτὸν οἰομένους, καὶ πυνθανομένους. εἰ ταῦτα οὐκ ἂν ἤθελεν αὐτῷ πεπρᾶχθαι, πάνυ μὲν οὖν ἔφη. βεβουλεῦσθαι δὲ ἐκεῖνα. καὶ πάλιν, ἄλλων ἐπ' ἄλλοις εὐαγγελίων γραφομένων καὶ φερομένων ἀπὸ στρατοπέδου, πότε ἄρα φάναι παυσόμεθα νικῶντες. ἐπεὶ δὲ τοῦ λεωσθένους ἀποθανόντος, οἱ φοβούμενοι τὸν φωκίωνα, μὴ στρατηγὸς ἐκπεμφθεὶς καταλύσῃ τὸν πόλεμον. ἄνθρωπόν τινα τῶν οὐκ ἐπιφανῶν, ἐν ἐκκλησίᾳ παρεσκεύασαν ἀναστάντα λέγειν. ὅτι φίλος ὢν τοῦ φωκίωνος, καὶ συμπεφοιτηκὼς, παραινεῖ φείδεσθαι τοῦ ἀνδρός. καὶ φυλάσσειν, ὡς ἄλλον ὅμοιον οὐκ ἔχοντας. ἐκπέμπειν δὲ ἀντίφιλον ἐπὶ τὸ στράτευμα. καὶ ταῦτα τοῖς ἀθηναίοις συνεδόκει, παρελθὼν ὁ φωκίων ἔλεγε, μήτε συμπεφοιτηκέναι ποτὲ τῷ ἀνθρώπῳ, μήτε ἄλλως γεγονέναι γνώριμος ἢ συνήθης. ἀλλὰ νῦν εἶπεν ἀπὸ τῆς σήμερον ἡμέρας, καὶ φίλον σε ποιοῦμαι, καὶ οἰκεῖον. ἃ γὰρ ἦν ἐμοὶ συμφέροντα, συμβεβούλευκας.

Erasmus et alij qui huc locum interpretati sunt videntur legisse ἄν τι ᾖ αὐτῷ.

Ὁρμημένων δὲ τῶν ἀθηναίων ἐπὶ τοὺς βοιωτοὺς στρατεύειν. πρῶτον μὲν, ἀντεῖχε καὶ τῶν φίλων λεγόντων. ὡς ἀποθανεῖται προσκρούων τοῖς ἀθηναίοις. ἀδίκως εἶπεν ἂν ποιῶ τὸ συμφέρον. ἂν δὲ παραβαίνω δικαίως. ἐπεὶ δὲ ὁρῶν οὐκ ἀνιέντας ἀλλὰ βοῶντας, ἐκέλευσε τὸν κήρυκα ἀνειπεῖν, ἀθηναίων τοὺς ἄχρι ἑξήκοντα ἐτῶν ἀφ' ἥβης, πέντε ἡμερῶν σιτία λαβόντας, εὐθὺς ἀκολουθεῖν ἀπὸ τῆς ἐκκλησίας, θορύβου δὲ πολλοῦ γενομένου. καὶ τῶν πρεσβυτέρων βοώντων καὶ ἀναπηδώντων. οὐδὲν ἔφη δεινόν. ἐγὼ γὰρ ὁ στρατηγὸς ὀγδοηκοστὸν ἔχων ἔτος, ἔσομαι μεθ' ὑμῶν. καὶ τότε μὲν, οὕτως κατέπαυσεν αὐτοὺς καὶ μετέβαλεν.

Πορθουμένης δὲ τῆς παραλίας ὑπὸ μικίωνος, συχνοῖς μακεδόσι, καὶ μισθοφόροις, ἀποβεβηκότος εἰς ῥαμνοῦντα. καὶ κατατρέχοντος τὴν χώραν, ἐξήγαγε τοὺς ἀθηναίους ἐπ' αὐτόν. ὡς δὲ προστρέχοντες, ἀλλαχόθεν ἄλλος διεστρατήγουν. καὶ συνεβούλευον αὐτῷ, τὸν λόφον καταλαβεῖν. ἐκεῖ περιπέμψαι τοὺς ἱππέας. ἐνταῦθα παρεμβαλεῖν, ὦ ἡράκλεις εἶπεν. ὡς πολλοὺς ὁρῶ στρατηγοὺς, ὀλίγους δὲ στρατιώτας. ἐπεὶ δὲ παρατάξαντος αὐτοῦ τοὺς ὁπλίτας, εἷς πολὺ πρὸ τῶν ἄλλων προῆλθεν. εἶτα δείσας ἀντιστάντος ἀνδρὸς πολεμίου, πάλιν εἰς τὴν τάξιν ἀνεχώρησεν. ὦ μειράκιον εἶπεν οὐκ αἰδῇ δύο τάξεις ἀπολελοιπὼς, ἣν ἐτάχθης ὑπὸ τοῦ στρατηγοῦ, καὶ πάλιν ἐφ' ἣν σεαυτὸν ἔταξας. ἐμβαλὼν δὲ τοῖς πολεμίοις, καὶ κατὰ κράτος τρεψάμενος αὐτόν τε τὸν μικίωνα, καὶ πολλοὺς ἄλλους ἀπέκτεινεν. τὸ δὲ ἑλληνικὸν ἐν θετταλίᾳ στράτευμα, συμμίξαντος ἀντιπάτρῳ λεοννάτου, καὶ τῶν ἐξ ἀσίας μακεδόνων, ἐνίκα μαχόμενον. καὶ λεοννάτος ἔπεσεν, ἡγουμένου, τῆς μὲν φάλαγγος, ἀντιφίλου. τῶν δὲ ἱππέων, τοῦ θεσσαλοῦ μένωνος. ὀλίγω δὲ

πρὸς ἀντίπατρον, μετὰ τοῦ χαίρειν προσηγόρευε. τοῦτο δὲ καὶ χάρης ἱστόρηκε. τὸ μέντοι περὶ τῶν χρημάτων ὁμολογούμενόν ἐστιν. ὅτι δωρεὰν αὐτῷ κατέπεμψεν ἑκατὸν τάλαντα. τούτων κομισθέντων εἰς ἀθήνας ἠρώτησεν ὁ φωκίων τοὺς φέροντας. τί δήποτε πολλῶν ὄντων ἀθηναίων, αὐτῷ μόνῳ τοσαῦτα δίδωσιν ἀλέξανδρος. εἰπόντων δὲ ἐκείνων. ὅτι σὲ κρίνει μόνον ἄνδρα καλὸν καὶ ἀγαθόν. οὐκοῦν εἶπεν ὁ φωκίων ἐασάτω με, καὶ δοκεῖν ἀεί, καὶ εἶναι τοιοῦτον. ὡς δὲ ἀκολουθήσαντες εἰς οἶκον αὐτῷ, πολλὴν ἑώρων εὐτέλειαν. τὴν μὲν γυναῖκα μάττουσαν, ὁ δὲ φωκίων αὐτὸς ἀνιμήσας ὕδωρ ἐκ τοῦ φρέατος ἀπενίπτετο τοὺς πόδας, ἔτι μᾶλλον ἐνέκειντο. καὶ ἠγανάκτουν δεινὸν εἶναι λέγοντες, εἰ φίλος ὢν τοῦ βασιλέως, οὕτω διαιτήσεται πονηρῶς. ἰδὼν οὖν ὁ φωκίων πένητα πρεσβύτην ἐν τριβωνίῳ ῥυπαρῷ πορευόμενον, ἠρώτησεν εἰ τοῦτον χείρονα νομίζουσιν αὐτόν. εὐφημεῖν δὲ ἐκείνων δεομένων, καὶ μὴν οὗτος εἶπεν, ἀπ' ἐλαττόνων ἐμοῦ ζῇ, καὶ ἀρκεῖται. τὸ δὲ ὅλον, ἢ μὴ χρώμενος ἔφη μάτην ἕξω τοσοῦτον χρυσίον, ἢ χρώμενος ἐμαυτὸν ἅμα κἀκεῖνον διαβαλῶ πρὸς τὴν πόλιν. οὕτω μὲν ἐπανῆλθε πάλιν τὰ χρήματα, ἐξ ἀθηνῶν. ἐπιδείξαντα τοῖς ἕλλησι, πλουσιώτερον τοῦ διδόντος τὸν τοσαῦτα τὸν μὴ δεόμενον. ἐπεὶ δὲ ἀλέξανδρος ἠγανάκτησε, καὶ πάλιν ἔγραψε τῷ φωκίωνι. φίλους μὴ νομίζειν, τοὺς μηδὲν αὐτοῦ δεομένους. χρήματα μὲν οὐδ' ὣς φωκίων ἔλαβεν. ἀφεθῆναι δὲ ἠξίωσε, τὸν σοφιστὴν ἐχεκρατίδην, καὶ τὸν ἴμβριον ἀθηνόδωρον. καὶ ῥοδίους δύο. δημάρατον, καὶ σπάρτωνα συνειλημμένους, ἐπ' αἰτίαις τισὶ, καὶ κατειργμένους ἐν σάρδεσι. τούτους μὲν οὖν, εὐθὺς ἀπέλυσεν ὁ ἀλέξανδρος. κρατερὸν δέ, ἀποστέλλων εἰς μακεδονίαν ἐκέλευσε τεττάρων πόλεων ἐν ἀσίᾳ. κίου. γεργίθου. μυλάσων. ἐλαίας. μίαν ἣν ἂν αἱρῆται, παραδοῦναι τῷ φωκίωνι. διατεινάμενος, ἔτι μᾶλλον ὡς χαλεπανεῖ μὴ λαβόντος. ἀλλ' οὔτε φωκίων ἔλαβεν. ὅ τε ἀλέξανδρος ταχέως ἀπέθανεν. ἡ δὲ οἰκία τοῦ φωκίωνος. ἔτι νῦν ἐν μελίτῃ δείκνυται. χαλκαῖς λεπίσι κεκοσμημένη. τὰ δὲ ἄλλα, λιτὴ καὶ ἀφελής. τῶν δὲ γυναικῶν ἃς ἔγημεν. περὶ τῆς προτέρας, οὐδὲν ἱστορεῖται, πλὴν ὅτι κηφισόδοτος ἦν ὁ πλάστης ἀδελφὸς αὐτῆς. τῆς δὲ δευτέρας, οὐκ ἐλάττων ἐπὶ σωφροσύνῃ καὶ ἀφελείᾳ λόγος ἦν παρὰ τοῖς ἀθηναίοις, ἢ φωκίωνος ἐπὶ χρηστότητι. καί ποτε θεωμένων καινοὺς τραγῳδοὺς ἀθηναίων. ὁ μὲν τραγῳδὸς, εἰσιέναι μέλλων, βασιλίδος πρόσωπον ᾔτει. καὶ κεκοσμημένας πολλὰς πολυτελῶς ὀπαδοὺς τὸν χορηγὸν, καὶ μὴ παρέχοντος, ἠγανάκτει, καὶ κατεῖχε τὸ θέατρον, οὐ βουλόμενος προελθεῖν. ὁ δὲ χορηγὸς μελάνθιος, ὠθῶν αὐτὸν εἰς τὸ μέσον, ἐβόα. τὴν φωκίωνος οὐχ ὁρᾷς γυναῖκα προϊοῦσαν ἀεὶ, μετὰ μιᾶς θεραπαινίδος. ἀλλ' ἀλαζονεύῃ καὶ διαφθείρεις τὴν γυναικωνῖτιν. ἐξακουστοῦ δὲ τῆς φωνῆς γενομένης, ἐδέξατο κρότῳ πολλῷ καὶ θορύβῳ τὸ θέατρον. αὕτη δὲ ἡ γυνὴ, ξένης τινὸς ἰωνικῆς ἐπιδειξαμένης χρυσοῦν καὶ λιθοκόλλητον κόσμον ἐμπλοκίοις καὶ περιδεραίοις. ἐμοὶ δὲ ἔφη κόσμος ἐστὶ, φωκίων εἰκοστὸν ἔτος ἤδη στρατηγῶν ἀθηναίων. ἐν πλοκίοις. ἢ

φωκίων δὲ τῷ υἱῷ βουλομένῳ ἀγωνίσασθαι παναθηναίοις ἀποβάτην ἐφῆκεν. οὐχὶ τῆς νίκης ὀρεγόμενος. ἀλλ' ὅπως ἐπιμεληθεὶς, καὶ ἀσκήσας τὸ σῶμα, βελτίων ἔσοιτο. καὶ γὰρ ἦν ἄλλως φιλοπότης, καὶ ἄτακτος ὁ νεανίσκος. νικήσαντος δὲ καὶ πολλῶν αἰτουμένων ἑστιᾶσαι τὰ νικητήρια. τοὺς ἄλλους φωκίων παραιτησάμενος, ἑνὶ τὴν φιλοτιμίαν ταύτην παρεχώρησεν. ὡς δὲ ἐλθὼν ἐπὶ τὸ δεῖπνον ἄλλην τε σοβαρὰν ἑώρα παρασκευὴν, καὶ ποδονιπτῆρας οἴνου δι' ἀρωμάτων προσφερομένους τοῖς εἰσιοῦσι. καλέσας τὸν υἱὸν, οὐ παύσεις ἔφη τὸν ἑταῖρον ὦ φώκε, διαφθείροντά σου τὴν νίκην. βουλόμενος δὲ καὶ καθόλου μεταστῆσαι τὸ μειράκιον ἐκ τῆς διαίτης ἐκείνης. ἀπήγαγεν εἰς λακεδαίμονα. καὶ κατέμιξε τοῖς ἀγομένοις, τὴν λεγομένην ἀγωγὴν νεανίσκοις. καὶ τοῦτο τοὺς ἀθηναίους ἐλύπησεν. ὡς ὑπερορῶντος καὶ ὑπερφρονοῦντος τὰ οἰκεῖα τοῦ φωκίωνος. εἰπόντος δὲ τοῦ δημάδου πρὸς αὐτόν. τί οὐ πείθομεν ὦ φωκίων ἀθηναίους τὴν λακωνικὴν προσδέξασθαι πολιτείαν. ἂν γὰρ σὺ κελεύῃς, ἐγὼ γράφειν καὶ λέγειν, ἕτοιμός εἰμι. πάνυ γοῦν ἔφη πρέψειεν ἄν σοι, μύρου τοσοῦτον ὄζοντι, καὶ χλαμύδα τοιαύτην φοροῦντι, συμβουλεύειν ἀθηναίοις περὶ φιλιτίων, καὶ τὸν λυκοῦργον ἐπαινεῖν. γράψαντος δὲ τοῦ ἀλεξάνδρου περὶ τριήρων, ὅπως ἀποστείλωσιν αὐτῷ. καὶ τῶν ῥητόρων ἐνισταμένων. τῆς δὲ βουλῆς τὸν φωκίωνα λέγειν κελευούσης. λέγω τοίνυν ὑμῖν εἶπεν, ἢ τοῖς ὅπλοις κρατεῖν, ἢ τοῖς κρατοῦσι φίλους εἶναι. πρὸς δὲ πυθέαν ἀρχόμενόν ποτε προσιόντα ἐντυγχάνειν ἀθηναίοις. ποτε ἰὸν ἤδη δὲ λάλον ὄντα καὶ θρασὺν, οὐ σιωπήσεις ἔφη, καὶ ταῦτα νεώνητος ὢν τῷ δήμῳ. ἐπεὶ δὲ ἅρπαλος μετὰ χρημάτων πολλῶν ἀποδράς. ἀλέξανδρον ἐκ τῆς ἀσίας τῇ ἀττικῇ προσέβαλε. καὶ τῶν εἰωθότων ἀπὸ τοῦ βήματος χρηματίζεσθαι, δρόμος ἦν καὶ ἅμιλλα φθειρομένων πρὸς αὐτόν. τούτοις τούτοις. R. μὲν, ἀπὸ πολλῶν μικρὰ δελεάζων, προήκατο καὶ διέρριψε. τῷ δὲ φωκίωνι προσέπεμψε, διδοὺς ἑπτακόσια τάλαντα. καὶ τἆλλα πάντα. καὶ μετὰ πάντων, ἑαυτὸν ἐπ' ἐκείνῳ μόνῳ παρακατατιθέμενος. ἀποκριναμένου δὲ τραχέως τοῦ φωκίωνος, οἰμώξεσθαι τὸν ἅρπαλον, εἰ μὴ παύσηται διαφθείρων τὴν πόλιν. τότε μὲν, συσταλεὶς ἀπέστη. μετ' ὀλίγον δὲ βουλευομένων ἀθηναίων, ἑώρα τοὺς μὲν εἰληφότας τὰ χρήματα παρ' αὐτοῦ, μεταβαλλομένους, καὶ κατηγοροῦντας, ἵνα μὴ φανεροὶ γένωνται. φωκίωνα δὲ τὸν μηδὲν λαβόντα, μετὰ τοῦ κοινοῦ συμφέροντος ἅμα καὶ τὴν ἐκείνου σωτηρίαν ἔν τινι λόγῳ τιθέμενον. πάλιν οὖν ἐνεχθεὶς ἐπὶ τὸ θεραπεύειν ἐκεῖνον, αὐτὸν μὲν, ὡς ἔρυμα πανταχό

τοῖς συμμάχοις, εἰς τὸν ἑλλήσποντον. ὃ μεγίστην ῥοπὴν ἐποίησεν, πρὸς τὸ σωθῆναι τὸ βυζάντιον. ἦν μὲν ἤδη μεγάλη δόξα τοῦ φωκίωνος. ἐπεὶ δὲ κλέων ἀνὴρ βυζαντίων πρῶτος ἀρετῇ. καὶ τῷ φωκίωνι γεγονὼς ἐν ἀκαδημίᾳ συνήθης, ἀνεδέξατο τὴν πίστιν ὑπὲρ αὐτοῦ πρὸς τὴν πόλιν. οὐκ εἴασαν ἔξω στρατοπεδεῦσαι βουλόμενον. ἀλλ᾿ ἀνοίξαντες τὰς πύλας, ἐδέξαντο, καὶ κατέμιξαν ἑαυτοῖς τοὺς ἀθηναίους. οὐ μόνον ἀνεγκλήτους ταῖς διαίταις καὶ σώφρονας, ἀλλὰ καὶ προθυμοτάτους ἐν τοῖς ἀγῶσι διὰ τὴν πίστιν γενομένους. οὕτω μὲν ὁ φίλιππος ἐξέπεσε τοῦ ἑλλησπόντου τότε καὶ κατεφρονήθη, δοκῶν ἄμαχός τις εἶναι καὶ ἀνανταγώνιστος. ὁ δὲ φωκίων, καὶ ναῦς τινὰς εἷλεν αὐτοῦ. καὶ φρουρουμένας πόλεις ἀνέλαβεν. καὶ πολλαχόθι τῆς χώρας ἀποβάσεις ποιούμενος, ἐπόρθει καὶ κατέτρεχε. μέχρις οὗ τραύματα λαβὼν ὑπὸ τῶν προσβοηθούντων, ἀπέπλευσεν.

πεὶ. ε. κ. Τῶν δὲ μεγαρέων ἐπικαλουμένων κρύφα, φοβούμενος ὁ φωκίων τοὺς βοιωτοὺς, μὴ προαισθόμενοι φθάσωσι τὴν βοήθειαν, ἐκκλησίαν συνήγαγεν ἕωθεν, καὶ προσαγγείλας τὰ παρὰ τῶν μεγαρέων τοῖς ἀθηναίοις, ὡς ἐπεψηφίσαντο, τῇ σάλπιγγι σημήνας, εὐθὺς ἀπὸ τῆς ἐκκλησίας, ἦγεν αὐτοὺς τὰ ὅπλα λαβόντας. δεξαμένων δὲ τῶν μεγαρέων προθύμως, τήν τε νίσαιαν ἐτείχισε. καὶ διὰ μέσου, σκέλη δύο πρὸς τὸ ἐπίνειον, ἀπὸ τοῦ ἄστεος ἐνέβαλε καὶ συνῆψεν τῇ θαλάττῃ τὴν πόλιν. ὥστε τῶν κατὰ γῆν πολεμίων ὀλίγων ἤδη φροντίζουσαν, ἐξηρτῆσθαι τῶν ἀθηναίων.

ὀλίγων. κ. — .|. τῶν

Ἤδη δὲ πρὸς φίλιππον ἐκπεπολεμωμένων παντάπασι, καὶ στρατηγῶν, αὐτοῦ μὴ παρόντος, ἑτέρων ἐπὶ τὸν πόλεμον ᾑρημένων, ὡς κατέπλευσεν ἀπὸ τῶν νήσων. πρῶτον μὲν, ἔπειθε τὸν δῆμον, εἰρηνικῶς ἔχοντος τοῦ φιλίππου, καὶ φοβουμένου τὸν κίνδυνον ἰσχυρῶς, δέχεσθαι τὰς διαλύσεις. καί τινος ἀντικρούσαντος αὐτῷ τῶν εἰωθότων κυλινδεῖσθαι περὶ τὴν ἡλιαίαν καὶ συκοφαντεῖν, καὶ εἰπόντος. σὺ δὲ τολμᾷς ὦ φωκίων ἀποτρέπειν ἀθηναίους ἤδη τὰ ὅπλα διὰ χειρῶν ἔχοντας, ἔγωγε εἶπεν, καὶ ταῦτα εἰδὼς ὅτι πολέμου μὲν ὄντος. ἐγὼ σοῦ. εἰρήνης δὲ γενομένης. σὺ ἐμοῦ ἄρξεις. ὡς δὲ οὐκ ἔπειθεν, ἀλλ᾿ ὁ δημοσθένης ἐκράτει, κελεύων ὡς πορρωτάτω τῆς ἀττικῆς θέσθαι μάχην τοὺς ἀθηναίους. ὦ τᾶν ἔφη, μὴ ποῦ μαχόμεθα σκοπῶμεν, ἀλλὰ πῶς νικήσωμεν. οὕτω γὰρ ἔσται μακρὰν ὁ πόλεμος. ἡττωμένοις δὲ, πᾶν ἀεὶ δεινὸν ἐγγὺς πάρεστιν. γενομένης δὲ ἥττης. καὶ τῶν θορυβοποιῶν καὶ νεωτεριστῶν ἐν ἄστει τὸν χαρίδημον ἑλκόντων ἐπὶ τὸ βῆμα καὶ στρατηγεῖν ἀξιούντων, ἐφοβήθησαν οἱ βέλτιστοι. καὶ τὴν ἐξ ἀρείου πάγου βουλὴν ἔχοντες ἐν τῷ δήμῳ, δεόμενοι καὶ δακρύοντες, μόλις ἔπεισαν ἐπιτρέψαι τῷ φωκίωνι τὴν πόλιν. ὁ δὲ, τὴν μὲν ἄλλην τοῦ φιλίππου πολιτείαν καὶ φιλανθρωπίαν ᾤετο δεῖν προσδέχεσθαι. δημάδου δὲ γράψαντος, ὅπως ἡ πόλις μετέχοι τῆς κοινῆς εἰρήνης, καὶ τοῦ συνεδρίου τοῖς ἕλλησιν, οὐκ εἴα πρὸ τοῦ γνῶναι, τίνα φίλιππος αὐτῷ γενέσθαι παρὰ τῶν ἑλλήνων ἀξιώσει. κρατηθεὶς δὲ τῇ γνώμῃ διὰ τὸν καιρὸν ὡς εὐθὺς ἑώρα τοὺς ἀθηναίους μεταμελομένους, ὅτι καὶ τριήρεις ἔδει παρέχειν τῷ φιλίππῳ, καὶ ἱππεῖς. ταῦτα ἔφη φοβούμενος, ἠναντιούμην. ἐπεὶ δὲ συνέθεσθε, δεῖ μὴ βαρέως φέρειν μηδὲ ἀθυμεῖν. μεμνημένους ὅτι καὶ οἱ πρόγονοι. ποτὲ μὲν ἄρχοντες, ποτὲ δὲ ἀρχόμενοι, καλῶς δὲ ἀμφότερα ταῦτα ποιοῦντες, καὶ τὴν πόλιν ἔσωσαν, καὶ τοὺς ἕλληνας. φιλίππου δὲ ἀποθανόντος, εὐαγγέλια θύειν τὸν δῆμον, οὐκ εἴα. καὶ γὰρ ἀγεννὲς εἶναι, ἐπιχαίρειν, καὶ τὴν ἐν χαιρωνείᾳ παραταξαμένην πρὸς αὐτοὺς δύναμιν, ἑνὶ σώματι μόνον ἐλάττω γεγενῆσθαι. δημοσθένους δὲ λοιδοροῦντος τὸν ἀλέξανδρον ἤδη προσάγοντα ταῖς θήβαις ἔφη. σχέτλιε. τίπτ᾿

ἢ. ς. τ. κ. κ. ἐθέλεις ἐρεθιζέμεν ἄγριον ἄνδρα. καὶ δόξης μεγάλης ὀρεγόμενον. ἢ βούλει πυρκαϊᾶς τηλικαύτης οὔσης, ἐγγὺς ῥῖψαι τὴν πόλιν. ἀλλ᾿ ἡμεῖς οὐδὲ βουλομένοις ἀπολέσθαι, τούτοις ἐπιτρέψομεν οἱ διὰ τοῦτο στρατηγεῖν ὑπομένοντες. ὡς δὲ ἀπωλώλεισαν αἱ θῆβαι, καὶ ὁ ἀλέξανδρος, ἐξῃτεῖτο τοὺς περὶ δημοσθένην καὶ λυκοῦργον, καὶ ὑπερίδην καὶ χαρίδημον. ἡ δὲ ἐκκλησία πρὸς ἐκεῖνον ἀπέβλεπεν. ὀνομαστὶ πολλάκις καλούμενος, ἀνέστη. καὶ τῶν φίλων ἕνα παραστησάμενος. ᾧ μάλιστα χρώμενος διετέλει. καὶ πιστεύων καὶ ἀγαπῶν, εἰς τὰ τοιαῦτα ἔφη τὴν πόλιν. οὗτοι παραγηόχασιν, ὥστ᾿ ἔγωγε κἂν νικοκλέα τις τουτονὶ ἐξαιτῇ, διδόναι κελεύσω. τὸ μὲν γὰρ αὐτὸς ὑπὲρ ὑμῶν ἁπάντων ἀποθανεῖν, εὐτυχίαν ἐμαυτοῦ θείμην. ἐλεῶ δὲ εἶπεν ἄνδρες ἀθηναῖοι. καὶ τοὺς ἐκ θηβῶν δεῦρο πεφευγότας. ἀρκεῖ δὲ, τὰς θήβας κλαίειν τοῖς ἕλλησιν. διὸ βέλτιόν ἐστιν ὑπὲρ ἀμφοῖν πείθειν, καὶ παραιτεῖσθαι τοὺς κρατοῦντας, ἢ μάχεσθαι.

Τὸ μὲν οὖν πρῶτον ψήφισμα λέγεται ἀλέξανδρον ὡς ἔλαβεν, ῥῖψαι καὶ φυγεῖν, ἀποστραφέντα τοὺς πρέσβεις. τὸ δὲ δεύτερον, ἐδέξατο κομισθὲν ὑπὸ φωκίωνος. τῶν πρεσβυτέρων ἀκούων, ὅτι καὶ φίλιππος ἐθαύμαζε τὸν ἄνδρα τοῦτον. καὶ οὐ μόνον τὴν ἔντευξιν ὑπέμεινεν αὐτοῦ, καὶ τὴν δέησιν. ἀλλὰ καὶ συμβουλεύοντος ἤκουσεν. συνεβούλευε δ᾿ ὁ φωκίων, εἰ μὲν ἡσυχίας ὀρέγεται, θέσθαι τὸν πόλεμον. εἰ δὲ δόξης, μεταθέσθαι πρὸς τοὺς βαρβάρους ἀπὸ τῶν ἑλλήνων τραπόμενον. καὶ πολλὰ καὶ πρὸς τὴν ἀλεξάνδρου φύσιν, καὶ βούλησιν εὐστόχως εἰπὼν, οὕτω μετέβαλε καὶ κατεπράϋνεν αὐτὸν, ὥστε εἰπεῖν. ὅπως προσέξουσι τὸν νοῦν ἀθηναῖοι τοῖς πράγμασιν, ὡς εἴ τι γένοιτο περὶ αὐτὸν, ἐκείνοις ἄρχειν προσῆκον. ἰδίᾳ δὲ τὸν φωκίωνα ποιησάμενος αὐτοῦ φίλον, καὶ ξένον. εἰς τοσαύτην ἔθετο τιμὴν, ὅσην εἶχον ὀλίγοι τῶν ἀεὶ συνόντων. ὁ γοῦν δοῦρις, εἴρηκεν. ὡς μέγας γενόμενος καὶ δαρείου κρατήσας, ἀφεῖλε τῶν ἐπιστολῶν τὸ χαίρειν. πλὴν ἐν ὅσαις ἔγραφε φωκίωνι. τοῦτον δὲ μόνον ὥσπερ ἀντίπατρον,

τοί φασιν Ὑπερίδην ποτὲ εἰπεῖν πρὸς τὸν δῆμον, ἄνδρες Ἀθηναῖοι μὴ σκοπεῖτε μόνον εἰ πικρός. ἀλλ' εἰ προῖκά εἰμι πικρός. ὥσπερ τῇ πλεονεξίᾳ μόνον ἐπαχθεῖς καὶ λυπηροὺς ὄντας. οὐχὶ μᾶλλον ὅσοι πρὸς ὕβριν, καὶ φθόνον, ἢ ὀργὴν, ἢ φιλονεικίαν τινὰ χρῶνται τῷ δύνασθαι τούτους δεδιότων, καὶ προβαλλομένων τῶν πολλῶν. Φωκίων τοίνυν, ἔχθρᾳ μὲν, οὐδένα τῶν πολιτῶν κακῶς ἐποίησεν. οὐδὲ ἐνόμιζεν ἐχθρόν. ἀλλ' ὅσον ἔδει μόνον τῶν ἐνισταμένων οἷς ἔπραττεν ὑπὲρ τῆς πατρίδος συνεξαναστῆναι, τραχὺς ὢν, καὶ δυσεκβίαστος καὶ ἀπαραίτητος, εἰς τὸν ἄλλον βίον εὐμενῆ πᾶσι, καὶ κοινὸν καὶ φιλάνθρωπον ἑαυτὸν παρεῖχεν, ὥστε καὶ πταίουσι βοηθεῖν καὶ κινδυνεύουσι συνεξετάζεσθαι τοῖς διαφόροις.

Ἐγκαλούντων δὲ τῶν φίλων. ὅτι πονηρῷ τινι κρινομένῳ συνεῖπε. τοὺς χρηστοὺς ἔφη, μὴ δεῖσθαι βοηθείας. Ἀριστογείτονος δὲ τοῦ συκοφάντου, μετὰ τὴν καταδίκην πέμψαντος καὶ δεηθέντος ἐλθεῖν πρὸς αὐτὸν, ὑπακούσας, ἐβάδιζεν εἰς τὸ δεσμωτήριον. οὐκ ἐώντων δὲ τῶν φίλων, ἐάσατε εἶπεν ὦ μακάριοι. ποῦ γὰρ ἄν τις ἥδιον Ἀριστογείτονι συμβάλοι. καὶ μὴν οἵ γε σύμμαχοι, καὶ οἱ νησιῶται, τοὺς Ἀθήνηθεν ἀποστόλους, ἑτέρου μὲν ἐκπλέοντος στρατηγοῦ, πολεμίους νομίζοντες. ἐφράγνυντο τείχη, καὶ λιμένας ἀπεχώννυσαν, καὶ κατεκόμιζον ἀπὸ τῆς χώρας, εἰς τὰς πόλεις βοσκήματα. καὶ ἀνδράποδα, καὶ γυναῖκας, καὶ παῖδας. εἰ δὲ Φωκίων ἡγοῖτο, πόῤῥω ναυσὶν ἰδίαις ἀπαντῶντες ἐστεφανωμένοι. καὶ χαίροντες, ὡς αὐτοὺς κατῆγον. παραδυομένου δὲ, εἰς τὴν Εὔβοιαν τοῦ Φιλίππου, καὶ δύναμιν ἐκ Μακεδονίας διαβιβάζοντος, καὶ τὰς πόλεις οἰκειουμένου, διὰ τυράννων. Πλουτάρχου δὲ τοῦ Ἐρετριέως καλοῦντος τοὺς Ἀθηναίους, καὶ δεομένου τὴν νῆσον ἐξελέσθαι καταλαμβανομένην ὑπὸ τοῦ Μακεδόνος, ἀπεστάλη στρατηγὸς ὁ Φωκίων, ἔχων δύναμιν οὐ πολλὴν, ὡς τῶν ἐκεῖ συστησομένων ἑτοίμως πρὸς αὐτόν.

Εὑρὼν δὲ προδοτῶν ἅπαντα μεστὰ καὶ νοσοῦντα, καὶ διορωρυγμένα δωροδοκίᾳ, εἰς κίνδυνον μέγαν κατέστη. καί τινα λόφον χαράδρᾳ βαθείᾳ, τῶν περὶ τὰς Ταμύνας ἐπιπέδων ἀποκρυπτόμενον καταλαβὼν, συνεῖχεν ἐν τούτῳ καὶ συνεκράτει τὸ μαχιμώτατον τῆς δυνάμεως. τῶν δὲ ἀτάκτων καὶ λάλων καὶ πονηρῶν. διαδιδρασκόντων ἐκ τοῦ στρατοπέδου. καὶ ἀποχωρούντων, ἐκέλευσεν ἀμελεῖν τοὺς ἡγεμόνας. καὶ γὰρ ἐνταῦθα δυσχρήστους ὑπὸ ἀταξίας ἔσεσθαι. καὶ βλαβεροὺς, τοῖς μαχομένοις. κἀκεῖ τοιαῦτα συνειδότας αὐτοῖς, ἧττον αὐτοῦ καταβοήσεσθαι, καὶ μὴ πάνυ συκοφαντήσειν. ὡς δὲ ἐπῄεσαν οἱ πολέμιοι κελεύσας ἐν τοῖς ὅπλοις ἀτρεμεῖν. ἄχρι ἂν αὐτὸς σφαγιάσηται, πλείω διέτριβε χρόνον, ἢ δυσιερῶν, ἢ βουλόμενος ἐγγυτέρω τοὺς πολεμίους ἐπισπάσασθαι. διὸ πρῶτον μὲν ὁ Πλούταρχος, οἰόμενος ἀποδειλιᾶν καὶ κατοκνεῖν ἐκεῖνον. ἐξέδραμε μετὰ τῶν ξένων. ἔπειτα τοῦτον ἰδόντες οἱ ἱππεῖς, οὐκ ἐκαρτέρησαν. ἀλλ' ἤλαυνον εὐθὺς εἰς τοὺς πολεμίους. ἀσύντακτοι, καὶ σποράδες, ἐκ τοῦ στρατοπέδου προσφερόμενοι. νικωμένων δὲ τῶν πρώτων, ἅπαντες ἐσκεδάσθησαν, καὶ ὁ Πλούταρχος, ἔφυγεν. καὶ τῷ χάρακι προσμίξαντες, ἔνιοι τῶν πολεμίων. ἐκκόπτειν ἐπειρῶντο καὶ διασπᾶν. ὡς ἁπάντων κεκρατηκότες. ἐν τούτῳ δὲ τῶν ἱερῶν γενομένων. τοὺς μὲν εὐθὺς ἐκ τοῦ στρατοπέδου, προσπεσόντες οἱ Ἀθηναῖοι, τρέπουσι καὶ καταβάλλουσι τοὺς πλείστους περὶ τοῖς ἐρύμασι φεύγοντας. ὁ δὲ Φωκίων. τὴν μὲν φάλαγγα προσέταξεν ἐφεδρεύειν, ἀναλαμβάνουσαν ἅμα καὶ προσδεχομένην τοὺς ἐν τῇ φυγῇ πρότερον διασπαρέντας. αὐτὸς δὲ τοὺς ἐπιλέκτους ἔχων, ἐνέβαλλε τοῖς πολεμίοις, καὶ μάχης καρτερᾶς γενομένης, πάντες μὲν ἐκθύμως ἠγωνίσαντο καὶ ἀφειδῶς. Θάλλος δὲ ὁ Κινέου, καὶ Γλαῦκος ὁ Πολυμήδους, περὶ αὐτὸν τεταγμένοι τὸν στρατηγὸν ἠρίστευσαν. οὐ μὴν, ἀλλὰ καὶ Κλεοφάνης ἄξιον πλείστου παρέσχεν ἑαυτὸν, ἐν ἐκείνῃ τῇ μάχῃ. τοὺς γὰρ ἱππεῖς ἀνακαλούμενος ἐκ τῆς τροπῆς καὶ βοῶν, καὶ διακελευόμενος κινδυνεύοντι τῷ στρατηγῷ βοηθεῖν, ἐποίησεν ἀναστρέψαντας, ἐπιῤῥῶσαι τὸ νίκημα τῶν ὁπλιτῶν. ἐκ τούτου, τόν τε Πλούταρχον ἐξέβαλλεν ἐκ τῆς Ἐρετρίας. καὶ Ζάρητρα φρούριον ἑλὼν ἐπικαιρότατον, ᾗ μάλιστα συνελαύνεται τὸ πλάτος, εἰς βραχὺ διάζωμα τῆς νήσου σφιγγομένης ἑκατέρωθε ταῖς θαλάσσαις οὔτε λαβεῖν αἰχμαλώτους Ἕλληνας ἐφῆκε, φοβηθεὶς τοὺς ῥήτορας τῶν Ἀθηναίων, μὴ πρὸς ὀργήν τινα βιάσωνται τὸν δῆμον, ἀγνωμονῆσαι περὶ αὐτούς.

Ἐπεὶ δὲ ταῦτα διαπραξάμενος ἀπέπλευσεν ὁ Φωκίων ταχὺ μὲν ἐπόθησαν οἱ σύμμαχοι, τὴν χρηστότητα καὶ δικαιοσύνην αὐτοῦ. ταχὺ δὲ ἔγνωσαν οἱ Ἀθηναῖοι τὴν ἐμπειρίαν καὶ ῥώμην τοῦ ἀνδρός. ὁ γὰρ μετ' ἐκεῖνον ἐλθὼν ἐπὶ τὰ πράγματα Μολοσσὸς, οὕτως ἐπολέμησεν, ὥστε καὶ ζῶν αὐτὸς, ὑποχείριος γενέσθαι τοῖς πολεμίοις.

Ἐπεὶ δὲ μεγάλα ταῖς ἐλπίσι περινοῶν ὁ Φίλιππος εἰς Ἑλλήσποντον ἦλθεν, μετὰ πάσης τῆς δυνάμεως, ὡς Χεῤῥόνησον ἐν ταυτῷ καὶ Πέρινθον ἕξων, καὶ Βυζάντιον. ὡρμημένων δὲ τῶν Ἀθηναίων βοηθεῖν. οἱ ῥήτορες, ἠγωνίσαντο, τὸν Χάρητα στρατηγὸν ἀποσταλῆναι. καὶ πλεύσας ἐκεῖνος, οὐδὲν ἄξιον τῆς δυνάμεως ἔπραττεν. οὐδὲ αἱ πόλεις ἐδέχοντο τὸν στόλον. ἀλλ' ὕποπτος ὢν πᾶσιν ἐπλανᾶτο, χρηματιζόμενος ἀπὸ τῶν συμμάχων, καὶ καταφρονούμενος ὑπὸ τῶν πολεμίων. ὁ δὲ δῆμος ὑπὸ τῶν ῥητόρων παροξυνόμενος, ἠγανάκτει, καὶ μετενόει τοῖς Βυζαντίοις πέμψας τὴν βοήθειαν. ἀναστὰς ὁ Φωκίων, εἶπεν. ὅτι δεῖ, μὴ τοῖς ἀπιστοῦσιν ὀργίζεσθαι τῶν συμμάχων, ἀλλὰ τοῖς ἀπιστουμένοις τῶν στρατηγῶν. οὗτοι γὰρ ὑμᾶς ποιοῦσι φοβεροὺς. καίτοι, χωρὶς ὑμῶν σώζεσθαι μὴ δυναμένοις. κινηθεὶς οὖν ὁ δῆμος ὑπὸ τοῦ λόγου καὶ μεταπεισθεὶς, ἐκέλευσεν αὐτὸν ἐκεῖνον ἑτέραν προσλαβόντα δύναμιν βοηθεῖν

χάριν ἐκτίνω τῆς φιλίας, ἀπομένων σου τὸν υἱόν. Ὁρῶν δὲ τοὺς τὰ κοινὰ πράσσοντας τότε διῃρημένους, ὥσπερ ἀπὸ κλήρου, τὸ στρατήγιον καὶ τὸ βῆμα, καὶ τοὺς μὲν λέγοντας ἐν τῷ δήμῳ καὶ γράφοντας μόνον, ὧν Εὔβουλος ἦν καὶ Ἀριστοφῶν καὶ Δημοσθένης καὶ Λυκοῦργος καὶ Ὑπερείδης, Διοπείθην δὲ καὶ Μενεσθέα καὶ Λεωσθένη καὶ Χάρητα τῷ στρατηγεῖν καὶ πολεμεῖν αὔξοντας ἑαυτούς, ἐβούλετο τὴν Περικλέους καὶ Ἀριστείδου καὶ Σόλωνος πολιτείαν ὥσπερ ὁλόκληρον καὶ διῃρμοσμένην ἐν ἀμφοῖν ἀναλαβεῖν καὶ ἀποδοῦναι. καὶ γὰρ τῶν ἀνδρῶν ἐκείνων ἕκαστος ἐφαίνετο κατὰ τὸν Ἀρχίλοχον ἀμφότερον, θεράπων μὲν Ἐνυαλίοιο θεοῖο, καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος. καὶ τὴν θεὸν ἑώρα πολεμικήν τε ἅμα καὶ πολιτικὴν οὖσαν, καὶ προσαγορευομένην. Οὕτω δὲ συντάξας ἑαυτόν, ἐπολιτεύετο μὲν ἀεὶ πρὸς εἰρήνην καὶ ἡσυχίαν. ἐστρατήγησε δὲ πλείστας, οὐ μόνον τῶν καθ' ἑαυτόν, ἀλλὰ καὶ τῶν πρὸ αὐτοῦ στρατηγίας, οὐ παραγγέλλων οὐδὲ μετιών, ἀλλ' οὐδὲ φεύγων, οὐδὲ ἀποδιδράσκων τῆς πόλεως καλούσης. ὁμολογεῖται γὰρ ὅτι πέντε καὶ τεσσαράκοντα στρατηγίας ἔλαβεν, οὐδὲ ἅπαξ ἀρχαιρεσίοις παρατυχών, ἀλλ' ἀπόντα μεταπεμπομένων αὐτὸν ἀεὶ καὶ χειροτονούντων. ὥστε θαυμάζειν τοὺς οὐκ εὖ φρονοῦντας τὸν δῆμον, ὅτι πλεῖστα τοῦ Φωκίωνος ἀντικρούοντος αὐτῷ καὶ μηδὲν εἰπόντος πώποτε μηδὲ πράξαντος πρὸς χάριν, ὥσπερ ἀξιοῦσι τοὺς βασιλεῖς τοῖς κόλαξι χρῆσθαι μετὰ τὸ κατὰ χειρὸς ὕδωρ, ἐχρῆτο οὗτος τοῖς μὲν κομψοτέροις καὶ ἱλαροῖς ἐν παιδιᾶς μέρει δημαγωγοῖς, ἐπὶ δὲ τὰς ἀρχὰς ἀεὶ νήφων καὶ σπουδάζων, τὸν αὐστηρότατον καὶ φρονιμώτατον ἐκάλει τῶν πολιτῶν, καὶ μόνον, ἢ μᾶλλον, ταῖς βουλήσεσιν αὐτοῦ καὶ ὁρμαῖς ἀντιταττόμενον. Χρησμοῦ μὲν γὰρ ἐκ Δελφῶν ἀναγνωσθέντος, ὅτι τῶν ἄλλων Ἀθηναίων ὁμοφρονούντων, εἷς ἀνὴρ ἐναντία φρονοίη τῇ πόλει, παρελθὼν ὁ Φωκίων, ἀμελεῖν ἐκέλευσεν, ὡς αὐτὸς ὢν ὁ ζητούμενος. μόνῳ γὰρ αὐτῷ μηδὲν ἀρέσκειν τῶν πραττομένων. ἐπεὶ δὲ λέγων ποτὲ γνώμην πρὸς τὸν δῆμον εὐδοκίμει, καὶ πάντας ὁμαλῶς ἑώρα τὸν λόγον ἀποδεχομένους, ἐπιστραφεὶς πρὸς τοὺς φίλους εἶπεν· οὐ δήπου τι κακὸν λέγων ἐμαυτὸν λέληθα. πρὸς δὲ θυσίαν τινὰ τῶν Ἀθηναίων αἰτούντων ἐπιδόσεις, καὶ τῶν ἄλλων ἐπιδόντων, κληθεὶς πολλάκις ἔφη· τούτους αἰτεῖτε τοὺς πλουσίους· ἐγὼ δὲ αἰσχυνοίμην ἄν, εἰ τούτῳ μὴ ἀποδιδοὺς ὑμῖν ἐπιδοίην, δείξας Καλλικλέα τὸν δανειστήν. ὡς δ' οὐκ ἐπαύοντο κεκραγότες καὶ καταβοῶντες, λόγον εἶπεν αὐτοῖς τοῦτον· ἀνὴρ δειλὸς ἐπὶ πόλεμον ἐξῄει, φθεγξαμένων δὲ κοράκων, τὰ ὅπλα θεὶς ἡσύχαζεν. εἶτα ἀναλαβὼν αὖθις ἐξῄει, καὶ φθεγγομένων πάλιν ὑπέστη, καὶ τέλος εἶπεν· ὑμεῖς κεκράξεσθε μὲν μέγιστον, ὡς δύνασθε, ἐμοῦ δὲ οὐ γεύσεσθε. Πάλιν δέ ποτε, τῶν Ἀθηναίων ἐξάγειν αὐτὸν ἐπὶ τοὺς πολεμίους κελευόντων, ὡς οὐκ ἐβούλετο, δειλὸν καὶ ἄνανδρον ἀποκαλούντων, οὔτε ὑμεῖς εἶπεν ἐμὲ δύνασθε ποιῆσαι θαρσαλέον, οὔτε ἐγὼ ὑμᾶς δειλούς. οὐ μήν, ἀλλ' ἴσμεν ἀλλήλους.

Ἐν δὲ καιροῖς ἐπισφαλέσι τραχυνομένου τοῦ δήμου πρὸς αὐτὸν σφόδρα, καὶ τῆς στρατηγίας εὐθύνας ἀπαιτοῦντος, σωθείητε εἶπεν ὦ μακάριοι, πρῶτον. ἐπεὶ δὲ πολεμοῦντες μὲν ἦσαν ταπεινοὶ καὶ περιδεεῖς, γενομένης δὲ εἰρήνης ἐθρασύνοντο καὶ κατεβόων τοῦ Φωκίωνος, ὡς ἀφῃρημένου τὴν νίκην αὐτῶν, εὐτυχεῖτε εἶπεν, ἔχοντες στρατηγὸν εἰδότα ὑμᾶς, ἐπεὶ πάλαι ἂν ἀπωλώλειτε. τοῖς δὲ Βοιωτοῖς οὐ βουλομένων αὐτῶν δικάζεσθαι περὶ τῆς χώρας ἀλλὰ πολεμεῖν, συνεβούλευε διὰ τῶν λόγων, ἐν οἷς εἰσι κρείττους, μὴ διὰ τῶν ὅπλων, ἐν οἷς ἥττους, μάχεσθαι. λέγοντα δ' αὐτὸν οὐ προσιεμένων, οὐδὲ ὑπομενόντων ἀκούειν, ἐμὲ εἶπεν, ὑμεῖς ἃ μὴ βούλομαι ποιεῖν, βιάσασθαι δύνασθε. λέγειν δὲ ἃ μὴ δεῖ παρὰ γνώμην οὐκ ἀναγκάσετε. τῶν δὲ ἀντιπολιτευομένων αὐτῷ ῥητόρων, Δημοσθένους μὲν εἰπόντος, ἀποκτενοῦσί σε Ἀθηναῖοι Φωκίων, ἂν μανῶσιν, εἶπεν· σὲ δέ, ἐὰν σωφρονῶσι. Πολύευκτον δὲ τὸν Σφήττιον, ὁρῶν ἐν καύματι συμβουλεύοντα τοῖς Ἀθηναίοις πολεμεῖν πρὸς Φίλιππον, εἶτα ὑπ' ἄσθματος πολλοῦ καὶ ἱδρῶτος, ἅτε δὴ καὶ ὑπέρπαχυν ὄντα, πολλάκις ἐπιρροφοῦντα τοῦ ὕδατος· ἄξιον ἔφη τούτῳ πιστεύσαντας ὑμᾶς ψηφίσασθαι τὸν πόλεμον. ὃν τί οἴεσθε ποιήσειν ἐν τῷ θώρακι καὶ τῇ ἀσπίδι, τῶν πολεμίων ἐγγὺς ὄντων, ὅτε λέγων πρὸς ὑμᾶς ἃ ἔσκεπται κινδυνεύει πνιγῆναι. τοῦ δὲ Λυκούργου πολλὰ βλάσφημα πρὸς αὐτὸν εἰπόντος ἐν ἐκκλησίᾳ, καὶ πρὸς ἅπασιν, ὅτι δέκα τῶν πολιτῶν ἐξαιτοῦντος Ἀλεξάνδρου συνεβούλευεν ἐκδοῦναι, εἶπεν· πολλὰ ἐγὼ συμβεβούλευκα καλὰ καὶ συμφέροντα τούτοις. ἀλλ' οὐ πείθονταί μοι. Ἦν δέ τις Ἀρχιβιάδης ἐπικαλούμενος Λακωνιστής, πώγωνά τε καθειμένος ὑπερφυῆ μεγέθει, καὶ τρίβωνα φορῶν ἀεί, καὶ σκυθρωπάζων. τοῦτον ἐν βουλῇ θορυβούμενος ὁ Φωκίων, ἐπεκαλεῖτο τῷ λόγῳ μάρτυρα ἅμα καὶ βοηθόν. ὡς δὲ ἀναστὰς ἐκεῖνος ἃ πρὸς χάριν ἦν τοῖς Ἀθηναίοις συνεβούλευεν, ἁψάμενος αὐτοῦ τῶν γενείων, ὦ Ἀρχιβιάδη εἶπε, τί οὖν οὐκ ἀπεκείρω. Ἀριστογείτονος δὲ τοῦ συκοφάντου πολεμικοῦ μὲν ὄντος ἐν ταῖς ἐκκλησίαις, καὶ παροξύνοντος ἐπὶ τὰς πράξεις τὸν δῆμον, ἐν δὲ τῷ καταλόγῳ προσελθόντος ἐπὶ βακτηρίᾳ τὼ σκέλη καταδεδεμένου, πόρρωθεν αὐτὸν ἀπὸ τοῦ βήματος ἰδὼν ὁ Φωκίων, ἀνέκραγε· γράφε καὶ Ἀριστογείτονα χωλὸν καὶ πονηρόν. ὥστε θαυμάζειν, ὅπως καὶ ὁπόθεν τραχὺς οὕτως ἀνὴρ καὶ σκυθρωπὸς ἐκτήσατο τὴν τοῦ χρηστοῦ προσηγορίαν. ἔστι δέ, οἶμαι, χαλεπόν, οὐ μὴν ἀδύνατον, ὥσπερ οἶνον καὶ ἄνθρωπον τὸν αὐτὸν ἡδὺν ἅμα καὶ αὐστηρὸν εἶναι. καθάπερ ἕτεροι πάλιν φαινόμενοι γλυκεῖς, ἀηδέστατοι τοῖς χρωμένοις εἰσί, καὶ βλαβερώτατοι. καὶ

ὡς τῆς νομῆς πρὸς τὴν ἀγησιλάου. τούτων δὲ τῶν ἀνδρῶν αἱ ἀρεταὶ μέχρι τῶν τελευταίων καὶ ἀτόμων διαφορῶν, ἕνα χαρακτῆρα καὶ μορφὴν, καὶ χρῶμα κοινὸν ἤθους ἐγκεκραμένον ἐκφέρουσιν. ὥσπερ ἴσῳ μέτρῳ μεμιγμένου πρὸς τὸ αὐστηρὸν τοῦ φιλανθρώπου. καὶ πρὸς τὸ ἀσφαλὲς τοῦ ἀνδρείου. καὶ τῆς ὑπὲρ ἄλλων μὲν κηδεμονίας, ὑπὲρ αὑτῶν δὲ ἀφοβίας. καὶ πρὸς μὲν τὸ αἰσχρὸν, εὐλαβείας. πρὸς δὲ τὸ δίκαιον, εὐτονίας συνηρμοσμένης ὁμοίως. ὥστε λεπτοῦ πάνυ λόγου δεῖσθαι, καθάπερ ὀργάνου πρὸς διάκρισιν, καὶ ἀνεύρεσιν τῶν διαφερόντων. Τὸ μὲν οὖν κάτωνος ὁμολογεῖται γένος, ἐκ λαμπρῶν ὑπάρχειν ὡς λεχθήσεται. φωκίωνα δὲ, τεκμαίρομαι, μὴ παντάπασιν εἶναι γένους ἀτίμου καὶ καταπεπτωκότος. εἰ γὰρ ἦν ὥς φησιν ἰδομενεὺς, δοιδυκοποιοῦ πατρὸς, οὐκ ἂν ἐν τῷ λόγῳ γλαυκίππος ὁ ὑπερίδου, μυρία συνειλοχὼς καὶ εἰρηκὼς κατ' αὐτοῦ κακὰ, τὴν δυσγένειαν παρῆκεν. οὐδ' ἂν οὕτως ἐλευθερίου βίου καὶ σώφρονος, καὶ παιδείας μετέχων. ὥστε τῆς πλάτωνος, ἔτι μειράκιον ὢν. ὕστερον δὲ τῆς ξενοκράτους διατριβῆς ἐν ἀκαδημίᾳ μεταλαβεῖν. καὶ τῶν ἀρίστων ἐξ ἀρχῆς ἐπιτηδευμάτων ζηλωτὴς γενέσθαι. φωκίωνα γὰρ οὔτε γελάσαντά τις, οὔτε κλαύσαντα ῥᾳδίως ἀθηναίων εἶδεν. οὐδ' ἐν βαλανείῳ δημοσιεύοντι λουσάμενον. ὡς ἱστόρηκε δοῦρις. οὐδὲ ἐκτὸς ἔχοντα τὴν χεῖρα τῆς περιβολῆς, ὅτε τύχοι περιβεβλημένος. ἐπεὶ κατά γε τὴν χώραν καὶ τὰς στρατείας ἀνυπόδητος ἀεὶ καὶ γυμνὸς ἐβάδιζεν. εἰ μὴ ψῦχος ὑπερβάλλον εἴη, καὶ δυσκαρτέρητον. ὥστε καὶ παίζοντας ἤδη τοὺς στρατευομένους, σύμβολον μεγάλου ποιεῖσθαι χειμῶνος, ἐνδεδυμένον φωκίωνα. Τῷ δὲ ἤθει προσηνέστατος ὢν, καὶ φιλανθρωπότατος, ἀπὸ τοῦ προσώπου δυσξύμβολος ἐφαίνετο καὶ σκυθρωπός. ὥστε μὴ ῥᾳδίως ἄν τινα μόνον ἐντυχεῖν αὐτῷ τῶν ἀσυνήθων. διὸ καὶ χάρητί ποτε πρὸς τὰς ὀφρῦς αὐτοῦ λέγοντι, τῶν ἀθηναίων ἐπιγελώντων, οὐδὲν ἔπιεν αὕτη ὑμᾶς λελύπηκεν ἡ ὀφρῦς. ὁ δὲ τούτων γέλως, πολλὰ κλαῦσαι τὴν πόλιν πεποίηκεν. ὁμοίως δέ πως τοῦ φωκίωνος, καὶ ὁ λόγος ἦν ἀεὶ χρηστοῖς εὐτυχήμασι, καὶ διανοήμασι σωτήριος. προστακτικήν τινα καὶ αὐστηρὰν, καὶ ἀνήδυντον ἔχων βραχυλογίαν. ὡς γὰρ ὁ ζήνων ἔλεγεν ὅτι δεῖ τὸν φιλόσοφον εἰς νοῦν ἀποβάπτοντα προφέρεσθαι τὴν λέξιν, οὕτως ὁ φωκίωνος λόγος, πλεῖστον ἐν ἐλαχίστῃ λέξει νοῦν εἶχε. καὶ πρὸς τοῦτο ἔοικεν, ἀπιδὼν ὁ σφήττιος πολύευκτος εἰπεῖν, ὅτι ῥήτωρ μὲν ἄριστος εἴη δημοσθένης, εἰπεῖν δὲ δεινότατος ὁ φωκίων. ὡς γὰρ ἡ τοῦ νομίσματος ἀξία πλείστην ἐν ὄγκῳ βραχυτάτῳ δύναμιν ἔχει, οὕτω λόγου δεινότης ἐδόκει πολλὰ σημαίνειν ἀπ' ὀλίγων. καὶ μέντοι καὶ αὐτόν ποτε τὸν φωκίωνα φασὶ πληρουμένου τοῦ θεάτρου, περιπατεῖν ὑπὸ σκηνὴν αὐτὸν ὄντα πρὸς ἑαυτῷ τὴν διάνοιαν. εἰπόντος δέ τινος τῶν φίλων. σκεπτομένῳ φωκίων ἔοικας. ναὶ μὰ τὸν δία φάναι σκέπτομαι, εἰ δύναμαι τοῦ λόγου ἀφελεῖν, ὃν μέλλω λέγειν πρὸς ἀθηναίους. ὁ δὲ δημοσθένης, τῶν μὲν ἄλλων κατεφρόνει πολὺ ῥητόρων. ἀνισταμένου δὲ φωκίωνος, εἰώθει λέγειν ἀτρέμα πρὸς τοὺς φίλους. ἡ τῶν ἐμῶν λόγων κοπὶς πάρεστιν. ἀλλὰ τοῦτο μὲν ἴσως πρὸς τὸ ἦθος ἀνοιστέον. ἐπεὶ καὶ ῥῆμα, καὶ νεῦμα μόνον ἀνδρὸς ἀγαθοῦ, μυρίοις ἐνθυμήμασι καὶ περιόδοις, ἀντίρροπον ἔχει πίστιν. νέος δὲ ὢν χαβρίᾳ προσέμιξεν ἑαυτὸν, τῷ στρατηγῷ καὶ παρείπετο, πολλὰ μὲν εἰς ἐμπειρίαν τῶν πολεμικῶν ὠφελούμενος. ἔστι δὲ ἐν οἷς ἐπανορθούμενος τὴν ἐκείνου φύσιν, ἀνώμαλον οὖσαν καὶ ἄκρατον. νωθρὸς γὰρ ὢν ὁ χαβρίας, καὶ δυσκίνητος ἄλλως, ἐν αὐτοῖς τοῖς ἀγῶσιν ὤργα καὶ διεπυροῦτο τῷ θυμῷ. καὶ συνεξέπιπτε τοῖς θρασυτάτοις παραβολώτερον. ὥσπερ ἀμέλει καὶ κατέστρεψε τὸν βίον ἐν χίῳ. πρῶτος εἰσελάσας τῇ τριήρει, καὶ βιαζόμενος πρὸς τὴν ἀπόβασιν. ἀσφαλὴς οὖν ἅμα καὶ δραστήριος ὁ φωκίων φαινόμενος. τήν τε μέλλησιν ἀνεθέρμαινε τοῦ χαβρίου. καὶ πάλιν ἀφῄρει τὴν ἄκαιρον ὀξύτητα τῆς ὁρμῆς. ὅθεν εὐμενὴς ὢν ὁ χαβρίας καὶ χρηστὸς, ἠγάπα καὶ προῆγεν αὐτὸν ἐπὶ πράξεις καὶ ἡγεμονίας, γνώριμον ποιῶν τοῖς ἕλλησιν. καὶ τὰ πλείστης ἄξια σπουδῆς, ἐκείνῳ χρώμενος. καὶ ἐκ τῆς περὶ νάξον ναυμαχίας, ὄνομα καὶ δόξαν οὐ μικρὰν, φωκίωνι περιεποίησεν. τοῦ γὰρ εὐωνύμου κέρως ἀπέδωκεν αὐτῷ τὴν ἡγεμονίαν. καθ' ὃ καὶ τὴν μάχην ὀξεῖαν εἶχεν ὁ ἀγών. καὶ κρίσιν ἐποίησεν ταχεῖαν. πρώτην οὖν ἐκείνην ναυμαχίαν ἡ πόλις, αὐτὴ δι' αὑτῆς ἀγωνισαμένη τοῖς ἕλλησι μετὰ τὴν ἅλωσιν, καὶ κατατυχοῦσα, τόν τε χαβρίαν ὑπερηγάπησεν. καὶ τοῦ φωκίωνος ὡς ἀνδρὸς ἡγεμονικοῦ λόγον ἔσχεν. ἐνίκων δὲ μεγάλοις μυστηρίοις. καὶ παρεῖχεν οἰνοχόημα χαβρίας ἀθηναίοις καθ' ἕκαστον ἐνιαυτὸν τῇ ἕκτῃ ἐπὶ δέκα τοῦ βοηδρομιῶνος. Ἐκ τούτου λέγεται πέμποντος αὐτὸν ἐπὶ τὰς νησιωτικὰς συντάξεις τοῦ χαβρίου, καὶ ναῦς εἴκοσι διδόντος εἰπεῖν. εἰ μὲν ὡς πολεμήσων πέμποιτο, μείζονος δεῖν δυνάμεως. εἰ δὲ ὡς πρὸς συμμάχους, ἀρχεῖν ναῦν μίαν. καὶ πλεύσαντα τῇ αὐτοῦ τριήρει, καὶ διαλεχθέντα ταῖς πόλεσι, καὶ συγγενόμενον τοῖς ἄρχουσιν ἐπιεικῶς καὶ ἀφελῶς, καταπλεῦσαι μετὰ πολλῶν νεῶν. ἃς ἀπέστειλαν οἱ σύμμαχοι, τὰ χρήματα τοῖς ἀθηναίοις κομιζούσας. οὐ μόνον δὲ ζῶντα τὸν χαβρίαν θεραπεύων διετέλει, καὶ τιμῶν. ἀλλὰ καὶ τελευτήσαντος αὐτοῦ, τῶν προσηκόντων καλῶς ἐπεμελεῖτο. καὶ τὸν παῖδα κτήσιππον, ἐβούλετο μὲν ἄνδρα ποιεῖν ἀγαθὸν, ἔμπληκτον δὲ ὁρῶν καὶ ἀνάγωγον, ὅμως οὐκ ἀπεῖπεν ἐπανορθούμενος καὶ ἀποκρύπτων τὰ αἴσχη. πλὴν ἅπαξ λέγεται. παρενοχλοῦντος ἐν στρατείᾳ τινὶ τοῦ νεανίσκου, καὶ κόπτοντος αὐτὸν ἐρωτήμασιν ἀκαίροις καὶ συμβουλίαις ὡς ἐπανορθουμένου καὶ παραστρατηγοῦντος εἰπεῖν. ὦ χαβρία, χαβρία μεγάλην γέ σοι

αὐτῆ ς. η.
ἀνάλωσιν. γ.
ἀρκεῖν

Ἠμάδης ὁ ῥήτωρ ἰσχύων μὲν ἐν ταῖς Ἀθήναις, διὰ τὸ πρὸς χάριν πολιτεύεσθαι, Μακεδόνων καὶ Ἀντιπάτρου. πολλὰ δὲ γράφειν καὶ λέγειν ἀναγκαζόμενος, παρὰ τὸ ἀξίωμα τῆς πόλεως καὶ τὸ ἦθος, ἔλεγε. συγγνώμης ἄξιος εἶναι, πολιτευόμενος, τὰ ναυάγια τῆς πόλεως. τοῦτο δὲ εἰ καὶ τῷ ῥήματι θρασύτερον εἴρηται. δόξειεν ἂν ἀληθὲς εἶναι, μετενεχθὲν ἐπὶ τὴν Φωκίωνος πολιτείαν. Δημάδης μὲν γὰρ αὐτὸς ἦν, ναυάγιον τῆς πόλεως, οὕτως ἀσελγῶς βιώσας, καὶ πολιτευσάμενος, ὥστε Ἀντίπατρον εἰπεῖν ἐπ' αὐτοῦ γέροντος ἤδη γεγονότος. ὅτι καθάπερ ἱερείου διαπεπραγμένου. γλῶσσα καὶ κοιλία μόνον ἀπολείπεται. τὴν δὲ Φωκίωνος ἀρετὴν ὥσπερ ἀνταγωνιστῇ βαρεῖ καὶ βιαίῳ καιρῷ συλλαχοῦσαν, αἱ τύχαι τῆς Ἑλλάδος, ἀμαυρὰν καὶ ἀλαμπῆ πρὸς δόξαν ἐποίησαν. οὐ γὰρ Σοφοκλεῖ γε προσεκτέον ἀσθενῆ ποιοῦντι τὴν ἀρετὴν, ἐν οἷς φησιν.

» ἀλλ' οὐ γὰρ ὦναξ οὐδ' ὃς ἂν βλάστῃ μένει,

» νοῦς τοῖς κακῶς πράξασιν, ἀλλ' ἐξίσταται.

τοσοῦτον δὲ τῇ τύχῃ δοτέον ἀντιταττομένῃ πρὸς τοὺς ἀγαθοὺς ἄνδρας ἰσχύειν. ὅσον ἀντὶ τῆς ἀξίας τιμῆς καὶ χάριτος ἐνίοις ψόγους πονηροὺς καὶ διαβολὰς ἐπιφέρουσαν τὴν πίστιν ἀσθενεστέραν ποιεῖν τῆς ἀρετῆς. καί τοι δοκοῦσιν οἱ δῆμοι μᾶλλον εἰς τοὺς ἀγαθοὺς ἐξυβρίζειν, ὅταν δοκῶσιν εὐτυχεῖν, ὑπὸ πραγμάτων μεγάλων καὶ δυνάμεως ἐπαιρόμενοι. συμβαίνει δὲ τοὐναντίον. αἱ γὰρ αἱ συμφοραὶ, πικρὰ μὲν τὰ ἤθη καὶ μικρόλυπα, καὶ ἀκροσφαλῆ πρὸς ὀργὰς ποιοῦσι. δύσκολον δὲ τὴν ἀκοὴν καὶ τραχεῖαν ὑπὸ παντὸς λόγου καὶ ῥήματος τόνον ἔχοντος ἐνοχλουμένην. ὁ δ' ἐπιτιμῶν τοῖς ἐξαμαρτανομένοις, ἐξονειδίζειν τὰ δυστυχήματα δοκεῖ. καὶ καταφρονεῖν ὁ παρρησιαζόμενος. καὶ καθάπερ τὸ μέλι, λυπεῖ τὰ τετρωμένα καὶ ἡλκωμένα μόρια τοῦ σώματος, οὕτως πολλάκις οἱ ἀληθινοὶ καὶ νοῦν ἔχοντες λόγοι, δάκνουσι καὶ παροξύνουσι τοὺς κακῶς πράττοντας. ἐὰν μὴ προσηνεῖς ὦσι καὶ συνείκοντες. ὥσπερ ἀμέλει τὸ ἡδὺ, μενοεικὲς ὁ ποιητὴς κέκληκεν. ὡς τῷ ἡδομένῳ τῆς ψυχῆς ὑπεῖκον, καὶ μὴ μαχόμενον μηδ' ἀντιτυποῦν. καὶ γὰρ ὄμμα φλεγμαῖνον, ἥδιστα τοῖς σκιεροῖς καὶ ἀλαμπέσιν ἐνδιατρίβει χρώμασι. τὰ δὲ αὐγὴν ἔχοντα καὶ φῶς, ἀποστρέφεται. καὶ πόλις ἐν τύχαις ἀβουλήτοις γενομένη, ψοφοδεὲς καὶ τρυφερόν ἐστι δι' ἀσθένειαν ἀνέχεσθαι παρρησίας, ὅτε μάλιστα δεῖται, τῶν πραγμάτων ἀναφορὰν ἁμαρτήματος οὐκ ἐχόντων. διὸ πάντη σφαλερὸν ἡ τοιαύτη πολιτεία. συναπόλλυσι γὰρ τὸν πρὸς χάριν λέγοντα. καὶ προαπόλλυσι τὸν μὴ χαριζόμενον. ὥσπερ οὖν τὸν ἥλιον οἱ μαθηματικοὶ λέγουσι, μήτε τὴν αὐτὴν τῷ οὐρανῷ φερόμενον φορὰν, μήτε ἀντικρὺς ἐναντίαν καὶ ἀντιβατικὴν, ἀλλὰ λοξῷ καὶ παρεγκεκλιμένῳ πορείας σχήματι χρώμενον, ὑγρὰν καὶ εὐκαμπῆ καὶ περιελιττομένην ἕλικα ποιεῖν, ᾗ σώζεται πάντα καὶ λαμβάνει τὴν ἀρίστην κρᾶσιν. οὕτως ἄρα τῆς πολιτείας. ὁ μὲν ὄρθιος ἄγαν, καὶ πρὸς ἅπαντα τοῖς δημοσίοις ἀντιβαίνων τόνος, ἀπηνὴς καὶ σκληρός. ὥσπερ αὖ πάλιν, ἐπισφαλὲς καὶ κάταντες, τὸ συνεφελκόμενον τοῖς ἁμαρτάνουσιν, ᾧ πολλοὶ, καὶ συνεπιρρέπουσιν. ἡ δὲ ἀνθυπείκουσα πειθομένοις, καὶ διδοῦσα τὸ πρὸς χάριν. εἶτ' ἀπαιτοῦσα τὸ συμφέρον ἐπιστασία καὶ κυβέρνησις ἀνθρώπων, πολλὰ πράως καὶ χρησίμως ὑπουργούντων, εἰ μὴ πάντα δεσποτικῶς καὶ βιαίως ἄγοιντο, σωτήριος. ἐργώδης δὲ, καὶ χαλεπὴ καὶ τὸ σεμνὸν ἔχουσα τῷ ἐπιεικεῖ δύσμικτον. ἐὰν δὲ μιχθῇ, τοῦτ' ἐστὶν ἡ πάντων μὲν ῥυθμῶν, πασῶν δὲ ἁρμονιῶν ἐμμελεστάτη καὶ μουσικωτάτη κρᾶσις. ᾗ καὶ τὸν κόσμον ὁ θεὸς λέγεται διοικεῖν. οὐ βιαζόμενος, ἀλλὰ πειθοῖ καὶ λόγῳ παράγων τὴν ἀνάγκην. Ταῦτα δὲ καὶ Κάτωνι τῷ νέῳ συνέβη, καὶ γὰρ οὗτος, οὐ πιθανὸν ἔσχεν. οὐδὲ προσφιλὲς ὄχλῳ τὸ ἦθος, οὐδὲ ἤνθησεν ἐν τῇ πολιτείᾳ πρὸς χάριν. ἀλλ' ὁ μὲν Κικέρων, φησὶν αὐτὸν, ὥσπερ ἐν τῇ Πλάτωνος πολιτείᾳ, καὶ οὐκ ἐν τῇ Ῥωμύλου πολιτευόμενον ὑποστάθμῃ, τῆς ὑπατείας ἐκπεσεῖν. ἐμοὶ δὲ, ταὐτὸ δοκεῖ παθεῖν, τοῖς μὴ καθ' ὥραν ἐκφανεῖσι καρποῖς. ὡς γὰρ ἐκείνους ἡδέως ὁρῶντες καὶ θαυμάζοντες, οὐ χρῶνται. οὕτως ἡ Κάτωνος ἀρχαιοτροπία διὰ χρόνων πολλῶν ἐπιγενομένη βίοις διεφθορόσι καὶ πονηροῖς ἔθεσι, δόξαν μὲν εἶχε μεγάλην καὶ κλέος, οὐκ ἐνήρμοσε δὲ ταῖς χρείαις διὰ βάρος καὶ μέγεθος τῆς ἀρετῆς, ἀσύμμετρον τοῖς καθεστῶσι καιροῖς. καὶ γὰρ αὐτὸς οὐ κεκλιμένης μὲν ἤδη τῆς πατρίδος ὥσπερ ὁ Φωκίων. πολὺν δὲ χειμῶνα καὶ σάλον ἐχούσης ὅσον ἱστίων καὶ κάλων ἐπιλαβέσθαι. καὶ παραστῆναι τοῖς πλέον δυναμένοις πολιτευσάμενος. οἰάκων δὲ καὶ κυβερνήσεως ἀπωσθεὶς, ὅμως μέγαν ἀγῶνα τῇ τύχῃ παρέστησεν. εἷλε μὲν γὰρ καὶ κατέβαλε τὴν πολιτείαν, δι' ἄλλους. μόλις δὲ καὶ βραδέως καὶ χρόνῳ πολλῷ. καὶ παρὰ μικρὸν ἐλθοῦσαν περιγενέσθαι, διὰ Κάτωνα καὶ τὴν Κάτωνος ἀρετὴν, ᾗ παραβάλλομεν τὴν Φωκίωνος. οὐ κατὰ κοινὰς ὁμοιότητας, ὡς ἀγαθῶν καὶ πολιτικῶν ἀνδρῶν. ἔστι γὰρ ἀμέλει, καὶ ἀνδρείας διαφορὰ πρὸς ἀνδρείαν. ὡς τῆς Ἀλκιβιάδου πρὸς τὴν Ἐπαμεινώνδου. καὶ φρονήσεως πρὸς φρόνησιν. ὡς τῆς Θεμιστοκλέους πρὸς τὴν Ἀριστείδου. καὶ δικαιοσύνης πρὸς δικαιοσύνην.

εἶναι προλαβόντες, ὥρμησαν εὐθὺς καὶ διέσπασαν ἐν μέσῳ τὸν ἄνθρωπον. ὅθεν μάλιστα δείσαντες οἱ περὶ βροῦτον καὶ κάσσιον, οὔπω πολλῶν ἡμερῶν διαγενομένων, ἀπεχώρησαν ἐκ τῆς πόλεως. ἃ δὲ καὶ πράξαντες, καὶ παθόντες ἐτελεύτησαν, ἐν τοῖς περὶ βρούτου γέγραπται. θνήσκει δὲ καῖσαρ τὰ μὲν πάντα γεγονὼς ἔτη, πεντήκοντα καὶ ἕξ. πομπηΐῳ δ' ἐπιβιώσας, οὐ πολὺ πλέον ἐτῶν τεσσάρων. ἣν δὲ τῷ βίῳ παντὶ, ἀρχὴν καὶ δυναστείαν διὰ κινδύνων τοσούτων διώκων, μόλις κατειργάσατο. ταύτης οὐδὲν, ὅτι μὴ τοὔνομα μόνον, καὶ τὴν ἐπίφθονον καρπωσάμενος δόξαν παρὰ τῶν πολιτῶν. ὁ μέντοι μέγας αὐτοῦ δαίμων, ᾧ παρὰ τὸν βίον ἐχρήσατο. καὶ τελευτήσαντος, ἐπηκολούθησεν τιμωρὸς τοῦ φόνου, διά τε γῆς πάσης καὶ θαλάσσης ἐλαύνων καὶ ἀνιχνεύων ἄχρι τοῦ μηδένα λιπεῖν τῶν ἀπεκτονότων. ἀλλὰ καὶ τοὺς καθ' ὅτι οὖν, ἢ χειρὶ τοῦ ἔργου θιγόντας, ἢ γνώμης μετασχόντας, ἐπεξελθεῖν. θαυμασιώτατον δὲ, τῶν μὲν ἀνθρωπίνων τὸ περὶ κάσσιον. ἡττηθεὶς γὰρ ἐν φιλίπποις, ἐκείνῳ τῷ ξιφιδίῳ διέφθειρεν ἑαυτόν. ᾧ κατὰ καίσαρος ἐχρήσατο. τῶν δὲ θείων, ὅ τε μέγας κομήτης. ἐφάνη γὰρ ἐπὶ νύκτας ἑπτὰ μετὰ τὴν καίσαρος σφαγὴν διαπρεπής. εἶτα, ἠφανίσθη. καὶ τὸ περὶ τὸν ἥλιον ἀμαύρωμα τῆς αὐγῆς. ὅλον γὰρ ἐκεῖνον τὸν ἐνιαυτὸν, ὠχρὸς μὲν ὁ κύκλος καὶ μαρμαρυγὰς οὐκ ἔχων ἀνέτελλεν. ἀσθενὲς δὲ καὶ λεπτὸν, ἀπ' αὐτοῦ κατῄει τὸ θερμόν. ὥστε τὸν μὲν ἀέρα, δνοφερὸν καὶ βαρὺν, ἀσθενείᾳ τῆς διακρινούσης αὐτὸν ἀλέας ἐπιφέρεσθαι. τοὺς δὲ καρποὺς ἡμιπέπτους καὶ ἀτελεῖς ἀπανθῆσαι καὶ παρακμάσαι διὰ τὴν ψυχρότητα τοῦ περιέχοντος. μάλιστα δὲ τὸ βρούτου γενόμενον φάσμα, τὴν καίσαρος ἐδήλωσεν σφαγὴν, οὐ γενομένην θεοῖς ἀρεστήν. ἦν δὲ τοιόνδε. μέλλων τὸν στρατὸν ἐξ ἀβύδου διαβιβάζειν εἰς τὴν ἑτέραν ἤπειρον, ἀνεπαύετο νυκτὸς, ὥσπερ εἰώθει κατὰ σκηνὴν, οὐ καθεύδων, ἀλλὰ φροντίζων περὶ τοῦ μέλλοντος. λέγεται γὰρ οὗτος ἀνὴρ, ἥκιστα δὴ τῶν στρατηγῶν, ὑπνώδης γενέσθαι, καὶ πλεῖστον ἑαυτῷ χρόνον, ἐγρηγορότι χρῆσθαι πεφυκώς. ψόφου δέ τινος αἰσθέσθαι περὶ τὴν θύραν ἔδοξε καὶ πρὸς τὸ τοῦ λύχνου φῶς, ἤδη καταφερομένου σκεψάμενος, ὄψιν εἶδε φοβερὰν ἀνδρὸς ἐκφύλου τὸ μέγεθος, καὶ χαλεποῦ τὸ εἶδος, ἐκπλαγεὶς δὲ τὸ πρῶτον, ὡς ἑώρα μήτε πράττοντά τι, μήτε φθεγγόμενον ἀλλὰ ἑστῶτα σιγῇ παρὰ τὴν κλίνην, ἠρώτα ὅστις ἐστίν. ἀποκρίνεται δ' αὐτῷ τὸ φάσμα. ὁ σὸς ὦ βροῦτε δαίμων κακός. ὄψει δέ με περὶ φιλίππους. τότε μὲν οὖν ὁ βροῦτος εὐθαρσῶς, ὄψομαι εἶπεν. καὶ τὸ δαιμόνιον, εὐθὺς ἐκποδὼν ἀπῄει. τῷ δὲ ἱκνουμένῳ χρόνῳ, περὶ τοὺς φιλίππους ἀντιταχθεὶς ἀντωνίῳ καὶ καίσαρι. τῇ μὲν πρώτῃ μάχῃ κρατήσας τὸ καθ' ἑαυτὸν ἐτρέψατο καὶ διεξήλασεν, πορθῶν τὸ καίσαρος στρατόπεδον. τὴν δὲ δευτέραν αὐτῷ μάχεσθαι μέλλοντι, φοιτᾷ τὸ αὐτὸ φάσμα τῆς νυκτὸς αὖθις. οὐχ ὥστε τι προσειπεῖν ἀλλὰ συνεὶς ὁ βροῦτος τὸ πεπρωμένον, ἔρριψε φέρων ἑαυτὸν εἰς τὸν κίνδυνον. οὐ μὴν ἔπεσεν ἀγωνιζόμενος. ἀλλὰ τῆς τροπῆς γενομένης ἀναφυγὼν πρός τι κρημνῶδες, καὶ τῷ ξίφει γυμνῷ προσβαλὼν τὸ στέρνον, ἅμα καὶ φίλου τινὸς ὥς φασι, ἐπιρρώσαντος πληγὴν, ἀπέθανεν.

οὐκ ἀλλότριος ὢν τῶν Ἐπικούρου λόγων. ἀλλ' ὁ καιρὸς ὡς ἔοικεν ἤδη τοῦ δεινοῦ παρεστῶτος, ἐνθουσιασμὸν ἐνεποίει καὶ πάθος, ἀντὶ τῶν προτέρων λογισμῶν. Ἀντώνιον μὲν οὖν, πιστὸν ὄντα Καίσαρι καὶ ῥωμαλέον, ἔξω παρακατεῖχε Βροῦτος Ἀλβῖνος, ἐμβαλὼν ἐπίτηδες ὁμιλίαν μῆκος ἔχουσαν. εἰσιόντος δὲ Καίσαρος, ἡ βουλὴ μὲν ὑπεξανέστη θεραπεύουσα. τῶν δὲ περὶ Βροῦτον, οἱ μὲν ἐξόπισθεν τὸν δίφρον αὐτοῦ περιέσχον, οἱ δὲ ἀπήντησαν ὡς δὴ Μετιλλίῳ Κίμβρῳ περὶ ἀδελφοῦ φυγάδος ἐντυγχάνοντι συνδεησόμενοι. καὶ συνεδέοντο, μέχρι τοῦ δίφρου παρακολουθοῦντες. ὡς δὲ καθίσας διεκρούετο τὰς δεήσεις, καὶ προσκειμένων βιαιότερον, ἠγανάκτει πρὸς ἕκαστον. ὁ μὲν Μετίλλιος τὴν τήβεννον αὐτοῦ ταῖς χερσὶν ἀμφοτέραις συλλαβὼν, ἀπὸ τοῦ τραχήλου κατῆγεν. ὅπερ ἦν σύνθημα τῆς ἐπιχειρήσεως. πρῶτος δὲ Κάσκας, ξίφει παίει παρὰ τὸν αὐχένα, πληγὴν οὐ θανατηφόρον οὐδὲ βαρεῖαν. ἀλλ' ὡς εἰκὸς ἐν ἀρχῇ τολμήματος μεγάλου ταραχθεὶς, ὥστε καὶ τὸν Καίσαρα μεταστραφέντα τοῦ ἐγχειριδίου λαβέσθαι καὶ κατασχεῖν. ἅμα δέ πως ἐξεφώνησαν. ὁ μὲν πληγεὶς ῥωμαϊστί. μιαρώτατε Κάσκα τί ποιεῖς. ὁ δὲ πλήξας ἑλληνιστὶ πρὸς τὸν ἀδελφόν. ἀδελφὲ, βοήθει. τοιαύτης δὲ τῆς ἀρχῆς γενομένης. τοὺς μὲν οὐδὲν συνειδότας, ἔκπληξις εἶχε καὶ φρίκη πρὸς τὰ δρώμενα. μήτε φεύγειν, μήτε ἀμύνειν. ἀλλὰ μηδὲ φωνὴν ἐκβάλλειν τολμῶντας. τῶν δὲ παρεσκευασμένων ἐπὶ τὸν φόνον ἑκάστου, γυμνὸν ἀποδείξαντος τὸ ξίφος ἐν κύκλῳ περιεχόμενος. καὶ πρὸς ὅ τι τρέψειε τὴν ὄψιν πληγαῖς ἀπαντῶν, καὶ σιδήρῳ φερομένῳ, καὶ κατὰ προσώπου, καὶ κατ' ὀφθαλμῶν διελαυνόμενος, ὥσπερ θηρίον ἐνειλεῖτο ταῖς πάντων χερσίν. ἅπαντας γὰρ ἔδει κατάρξασθαι καὶ γεύσασθαι τοῦ φόνου. διὸ καὶ Βροῦτος αὐτῷ πληγὴν ἐνέβαλε μίαν, εἰς τὸν βουβῶνα. λέγεται δὲ ὑπό τινων. ὡς ἄρα πρὸς τοὺς ἄλλους ἀπομαχόμενος. καὶ διαφέρων δεῦρο κἀκεῖ τὸ σῶμα καὶ κεκραγὼς, ὅτε Βροῦτον εἶδεν ἐσπασμένον τὸ ξίφος, ἐφελκύσατο κατὰ τῆς κεφαλῆς τὸ ἱμάτιον, καὶ παρῆκεν ἑαυτὸν, εἴτε ἀπὸ τύχης, εἴτε ἀπὸ τῶν κτεινόντων ἀπωσθεὶς πρὸς τὴν βάσιν ἐφ' ἧς ὁ Πομπηΐου βέβηκεν ἀνδριάς. καὶ πολὺ καθῄμαξεν αὐτὴν ὁ φόνος. ὡς δοκεῖν αὐτὸν ἐφεστάναι τῇ τιμωρίᾳ τοῦ πολεμίου, Πομπήϊον, ὑπὸ πόδας κεκλιμένου, καὶ περισπαίροντος ὑπὸ πλήθους τραυμάτων. εἴκοσι γὰρ καὶ τρία λαβεῖν λέγεται. καὶ πολλοὶ κατετρώθησαν ὑπὸ ἀλλήλων, εἰς ἓν ἀπερειδόμενοι σῶμα πληγὰς τοσαύτας. κατειργασμένου δὲ τοῦ ἀνδρὸς, ἡ μὲν γερουσία, καίπερ εἰς μέσον Βρούτου ἐλθόντος, ὥς τι περὶ τῶν πεπραγμένων ἐροῦντος, οὐκ ἀναμείνασα, διὰ θυρῶν ἐξέπιπτε. καὶ φεύγουσα, κατέπλησε ταραχῆς καὶ δέους ἀπόρου τὸν δῆμον. ὥστε τὰς μὲν οἰκίας κλείειν. τοὺς δὲ, ἀπολείπειν τραπέζας καὶ χρηματιστήρια. δρόμῳ δὲ χωρεῖν, τοὺς μὲν ἐπὶ τὸν τόπον, ὀψομένους τὸ πάθος. τοὺς δὲ, ἐκεῖθεν ἑωρακότας. Ἀντώνιος δὲ καὶ Λέπιδος οἱ μάλιστα φίλοι Καίσαρος, ὑπεκδύντες, εἰς οἰκίας ἑτέρας κατέφυγον. οἱ δὲ περὶ Βροῦτον ὥσπερ ἦσαν ἔτι θερμοὶ τῷ φόνῳ, γυμνὰ τὰ ξίφη δεικνύντες ἅμα πάντες ἀπὸ τοῦ βουλευτηρίου συστραφέντες ἐχώρουν εἰς τὸ Καπιτώλιον, οὐ φεύγουσιν ἐοικότες, ἀλλὰ μάλα φαιδροὶ, καὶ θαρραλέοι παρακαλοῦντες ἐπὶ τὴν ἐλευθερίαν τὸ πλῆθος. καὶ προσδεχόμενοι τοὺς ἀρίστους τῶν ἐντυγχανόντων. ἔνιοι δὲ, καὶ συνανέβαινον αὐτοῖς. καὶ κατεμίγνυσαν ἑαυτοὺς, ὡς μετεσχηκότες τοῦ ἔργου. καὶ προσεποιοῦντο τὴν δόξαν. ὧν ἦν καὶ Γάϊος Ὀκταούιος. καὶ Λέντλος Σπινθήρ. οὗτοι μὲν οὖν τῆς ἀλαζονείας δίκην ἔδωκαν ὕστερον, ὑπὸ Ἀντωνίου καὶ τοῦ νέου Καίσαρος ἀναιρεθέντες. καὶ μηδὲ τῆς δόξης δι' ἣν ἀπέθνησκον ἀπολαύσαντες ἀπιστίᾳ τῶν ἄλλων. οὐδὲ γὰρ οἱ κολάζοντες αὐτοὺς τῆς πράξεως, ἀλλὰ τῆς βουλήσεως τὴν δίκην ἔλαβον. μεθ' ἡμέραν δὲ τῶν περὶ Βροῦτον κατελθόντων καὶ ποιησαμένων λόγους. ὁ μὲν δῆμος οὔτε δυσχεραίνων, οὔτε ὡς ἐπαινῶν τὰ πεπραγμένα τοῖς λεγομένοις προσεῖχεν, ἀλλ' ὑπεδήλου τῇ πολλῇ σιωπῇ, Καίσαρα μὲν οἰκτείρων, αἰδούμενος δὲ Βροῦτον. ἡ δὲ σύγκλητος ἀμνηστίας τινὰς, καὶ συμβάσεις πράττουσα πᾶσι, Καίσαρα μὲν, ὡς θεὸν τιμᾶν ἐψηφίσαντο, καὶ κινεῖν μηδὲ τὸ σμικρότατον ὧν ἐκεῖνος ἄρχων ἐβούλευσε. τοῖς δὲ περὶ Βροῦτον, ἐπαρχίας τε διένειμε. καὶ τιμὰς ἀπέδωκε πρεπούσας, ὥστε πάντας οἴεσθαι, τὰ πράγματα κατάστασιν ἔχειν καὶ σύγκρασιν ἀπειληφέναι τὴν ἀρίστην. ἐπεὶ δὲ τῶν διαθηκῶν τῶν Καίσαρος ἀνοιχθεισῶν εὑρέθη δεδομένη Ῥωμαίων ἑκάστῳ δόσις ἀξιόλογος. καὶ τὸ σῶμα κομιζόμενον δι' ἀγορᾶς, ἐθεάσαντο ταῖς πληγαῖς διαλελωβημένον, οὐκέτι κόσμον εἶχεν, οὐδὲ τάξιν αὐτῶν τὸ πλῆθος, ἀλλὰ τῷ μὲν νεκρῷ, περισωρεύσαντες ἐξ ἀγορᾶς βάθρα καὶ κιγκλίδας καὶ τραπέζας, ὑφῆψαν αὐτοῦ καὶ κατέκαυσαν, ἀράμενοι δὲ δαλοὺς διαπύρους ἔθεον ἐπὶ τὰς οἰκίας τῶν ἀνῃρηκότων καταφλέξοντες. ἄλλοι δὲ ἐφοίτων πανταχόσε τῆς πόλεως, συλλαβεῖν καὶ διασπάσασθαι τοὺς ἄνδρας ζητοῦντες. οἷς ἐκείνων μὲν, οὐδεὶς ἀπήντησεν, ἀλλὰ εὖ πεφραγμένοι πάντες ἦσαν. Κίννας δέ τις τῶν Καίσαρος ἑταίρων. ἔτυχε μὲν ὥς φασι τῆς παρῳχημένης νυκτὸς, ὄψιν ἑωρακὼς ἄτοπον. ἐδόκει γὰρ ὑπὸ Καίσαρος ἐπὶ δεῖπνον καλεῖσθαι. παραιτούμενος δὲ, ἄγεσθαι τῆς χειρὸς ὑπ' αὐτοῦ μὴ βουλόμενος ἀλλ' ἀντιτείνων. ὡς δὲ ἤκουσεν ἐν ἀγορᾷ τὸ σῶμα καίεσθαι τοῦ Καίσαρος, ἀναστὰς, ἐβάδιζεν ἐπὶ τιμῇ, καίπερ ὑφορώμενος τὴν ὄψιν, ἅμα καὶ πυρέττων. καί τις ὀφθέντος αὐτοῦ τῶν πολλῶν, ἔφρασεν ἑτέρῳ τοὔνομα πυνθανομένῳ. κἀκεῖνος ἄλλῳ. καὶ διὰ πάντων εὐθὺς ἦν, ὡς οὗτός ἐστιν ὁ ἀνὴρ τῶν ἀνῃρηκότων Καίσαρα. καὶ γὰρ ἦν τις ὁμώνυμος ἐκείνῳ Κίννας, ἐν τοῖς συνομοσαμένοις. ὃν τοῦτον

περιέστησαν

ἀπερειδόμενοι. s.

ἀναμείνασα. s.

τοὺς μὲν. s.

ὑμῖν κάσσιος. ἐμοὶ μὲν γὰρ, οὐ λίαν ἀρέσκει, λίαν ὠχρὸς ὤν. πάλιν δὲ λέγεται περὶ ἀντωνίου καὶ δολαβέλλα, διαβολῆς πρὸς αὐτὸν ὡς νεωτερίζοιεν ἐλθούσης. οὐ πάνυ φᾶναι τούτους δέδοικα, τοὺς παχεῖς καὶ κομήτας. μᾶλλον δὲ, τοὺς ὠχροὺς καὶ λεπτοὺς ἐκείνους. κάσσιον λέγων καὶ βροῦτον. ἀλλ᾽ ἔοικεν, οὐχ οὕτως ἀπροσδόκητον, ὡς ἀφύλακτον εἶναι τὸ πεπρωμένον. ἐπεὶ καὶ σημεῖα θαυμαστὰ, καὶ φάσματα φανῆναι λέγουσιν. σέλα μὲν οὖν, οὐράνια καὶ κτύπους νύκτωρ πολλαχοῦ διαφερομένους, καὶ καταίροντας εἰς ἀγορὰν, ἐρήμους ὄρνιθας. οὐκ ἄξιον ἴσως ἐπὶ πάθει τηλικούτῳ μνημονεῦσαι. Στράβων δὲ ὁ φιλόσοφος ἱστορεῖ, πολλοὺς μὲν ἀνθρώπους διαπύρους ἐπιφερομένους φανῆναι. στρατιώτου δὲ ἀνδρὸς οἰκέτην ἐκ τῆς χειρὸς, ἐκβαλεῖν πολλὴν φλόγα. καὶ δοκεῖν καίεσθαι τοῖς ὁρῶσιν. ὡς δὲ ἐπαύσατο μηδὲν ἔχειν κακὸν τὸν ἄνθρωπον. αὐτῷ δὲ καίσαρι θύοντι τὴν καρδίαν ἀφανῆ γενέσθαι τοῦ ἱερείου. καὶ δεινὸν εἶναι τὸ τέρας, οὐ γὰρ ἂν φύσει γε συστῆναι ζῶον ἀκάρδιον. ἔστιν δὲ καὶ ταῦτα πολλῶν ἀκοῦσαι διεξιόντων, ὥς τις αὐτῷ μάντις, ἡμέρᾳ μαρτίου μηνὸς, ἣν εἰδοὺς ῥωμαῖοι καλοῦσι, προείποι μέγαν φυλάττεσθαι κίνδυνον. ἐλθούσης δὲ τῆς ἡμέρας, προϊὼν ὁ καῖσαρ εἰς τὴν σύγκλητον, ἀσπασάμενος προσπαίξειε τῷ μάντει φάμενος. αἱ μὲν δὴ μάρτιαι εἰδοὶ πάρεισιν. ὁ δὲ ἡσυχῆ πρὸς αὐτὸν εἴποι. ναὶ πάρεισιν, ἀλλ᾽ οὐ παρεληλύθασιν. πρὸ μιᾶς δὲ ἡμέρας, μάρκου λεπίδου δειπνίζοντος αὐτὸν, ἔτυχε μὲν ἐπιστολαῖς ὑπογράφων ὥσπερ εἰώθει κατακείμενος. ἐμπεσόντος δὲ λόγου ποῖος ἄρα τῶν θανάτων ἄριστος ἅπαντας φθάσας ἐξεβόησεν ὁ ἀπροσδόκητος. μετὰ ταῦτα, κοιμώμενος ὥσπερ εἰώθει παρὰ τῇ γυναικὶ πασῶν ἅμα τῶν θυρῶν τοῦ δωματίου καὶ τῶν θυρίδων ἀναπεταννυμένων, διαταραχθεὶς ἅμα τῷ κτύπῳ καὶ τῷ φωτὶ. καὶ λαμπούσης τῆς σελήνης ᾔσθετο τὴν καλπουρνίαν, βαθέως μὲν καθεύδουσαν, ἀσαφεῖς δὲ φωνὰς, καὶ στεναγμοὺς ἀνάρθρους ἐκ τῶν ὕπνων ἀναπέμπουσαν. ἐδόκει δὲ ἄρα κλαίειν ἐκεῖνον ἐπὶ ταῖς ἀγκάλαις ἔχουσα κατεσφαγμένον. οἱ δὲ οὔ φασιν τῇ γυναικὶ, ταύτην γενέσθαι, τὴν ὄψιν. ἀλλὰ ἦν γάρ τι τῇ καίσαρος οἰκίᾳ προσκείμενον, οἷον ἐπὶ κόσμῳ καὶ σεμνότητι τῆς βουλῆς ψηφισαμένης ἀκρωτήριον, ὡς λίβιος ἱστορεῖ. τοῦτο, ὄναρ ἡ καλπουρνία θεασαμένη καταρρηγνύμενον, ἔδοξε ποτνιᾶσθαι καὶ δακρύειν. ἡμέρας δ᾽ οὖν γενομένης, ἐδεῖτο τοῦ καίσαρος, εἰ μὲν οἷόν τε, μὴ προελθεῖν, ἀλλ᾽ ἀναβαλέσθαι τὴν σύγκλητον. εἰ δὲ τῶν ἐκείνης ὀνείρων ἐλάχιστα φροντίζει, σκέψασθαι διὰ μαντικῆς ἄλλης καὶ ἱερῶν περὶ τοῦ μέλλοντος. εἶχε δέ τις ὡς ἔοικεν κἀκεῖνον ὑποψία καὶ φόβος. οὐδένα γὰρ γυναικισμὸν, ἐν δεισιδαιμονίᾳ πρότερον, κατεγνώκει τῆς καλπουρνίας. τότε δὲ ἑώρα περιπαθοῦσαν. ὡς δὲ καὶ πολλὰ καταθύσαντες οἱ μάντεις ἔφρασαν αὐτῷ δυσιερεῖν, ἔγνω πέμψας ἀντώνιον, ἀφεῖναι τὴν σύγκλητον. ἐν δὲ τούτῳ δέκιος βροῦτος, ἐπίκλησιν ἀλβῖνος, πιστευόμενος μὲν ὑπὸ καίσαρος, ὥστε καὶ δεύτερος ὑπ᾽ αὐτοῦ κληρονόμος γεγράφθαι. τοῖς δὲ περὶ βροῦτον τὸν ἕτερον καὶ κάσσιον μετέχων τῆς συνωμοσίας. φοβηθεὶς μὴ τὴν ἡμέραν ἐκείνην διακρουσαμένου τοῦ καίσαρος, ἔκπυστος ἡ πρᾶξις γένηται, τούς τε μάντεις ἐχλεύαζεν, καὶ καθήπτετο τοῦ καίσαρος, ὡς αἰτίας καὶ διαβολὰς ἑαυτῷ κτωμένου πρὸς τὴν σύγκλητον, ἐντρυφᾶσθαι δοκοῦσαν. ἥκειν μὲν γὰρ αὐτὴν, κελεύσαντος ἐκείνου. καὶ προθύμους εἶναι ψηφίζεσθαι πάντας. ὅπως τῶν ἐκτὸς ἰταλίας ἐπαρχιῶν, βασιλεὺς ἀναγορεύοιτο. καὶ φοροίη διάδημα, τὴν ἄλλην ἐπιὼν γῆν καὶ θάλασσαν. εἰ δὲ φράζοι τις αὐτοῖς καθεζομένοις, νῦν μὲν ἀπαλλάττεσθαι, παρεῖναι δὲ αὖθις, ὅταν ἐντύχοι βελτίοσιν ὀνείροις καλπουρνία, τίνας ἔσεσθαι λόγους παρὰ τῶν φθονούντων. ἢ τίνα τῶν φίλων ἀνέξεσθαι, διδασκόντων ὡς οὐχὶ δουλεία ταῦτα καὶ τυραννίς ἐστιν. ἀλλ᾽ εἰ δοκεῖ πάντως ἔφη τὴν ἡμέραν ἀφοσιώσασθαι. βέλτιον αὐτὸν προελθόντα καὶ προσαγορεύσαντα τὴν βουλὴν ὑπερθέσθαι. ταῦθ᾽ ἅμα λέγων ὁ βροῦτος, ἦγε τῆς χειρὸς λαβόμενος τὸν καίσαρα. καὶ μικρὸν μὲν αὐτῷ προελθόντι τῶν θυρῶν. οἰκέτης ἀλλότριος ἐντυχεῖν προθυμούμενος, ὡς ἡττᾶτο τοῦ περὶ ἐκεῖνον ὠθισμοῦ, καὶ πλήθους βιασάμενος εἰς τὴν οἰκίαν, παρέδωκεν ἑαυτὸν τῇ καλπουρνίᾳ, φυλάττειν κελεύσας, ἄχρι ἂν ἐπανέλθῃ καῖσαρ, ὡς ἔχων μεγάλα πράγματα κατειπεῖν πρὸς αὐτόν. ἀρτεμίδωρος δὲ, κνίδιος τὸ γένος, ἑλληνικῶν λόγων σοφιστὴς, καὶ διὰ τοῦτο γεγονὼς ἐνίοις συνήθης τῶν περὶ βροῦτον, ὥστε καὶ γνῶναι τὰ πλεῖστα τῶν πραττομένων, ἧκεν μὲν ἐν βιβλιδίῳ κομίζων, ἅπερ ἔμελλεν μηνύειν. ὁρῶν δὲ τὸν καίσαρα τῶν βιβλίων ἕκαστον δεχόμενον, καὶ παραδιδόντα τοῖς περὶ αὐτὸν ὑπηρέταις ἐγγὺς σφόδρα προσελθὼν, τοῦτο ἔφη καῖσαρ, ἀνάγνωθι μόνος, καὶ ταχέως. γέγραπται γὰρ ὑπὲρ πραγμάτων μεγάλων, καὶ σοὶ διαφερόντων. δεξάμενος οὖν ὁ καῖσαρ, ἀναγνῶναι μὲν, ὑπὸ πλήθους τῶν ἐντυγχανόντων, ἐκωλύθη, καίπερ ὁρμήσας πολλάκις. ἐν δὲ τῇ χειρὶ κατέχων, καὶ φυλάττων μόνον ἐκεῖνο, παρῆλθεν εἰς τὴν σύγκλητον. ἔνιοι δέ φασιν, ἄλλον ἐπιδοῦναι τὸ βιβλίον τοῦτο. τὸν δ᾽ ἀρτεμίδωρον, οὐδὲ ὅλως προσελθεῖν. ἀλλ᾽ ἐκθλιβῆναι παρὰ πᾶσαν τὴν ὁδόν. ἀλλὰ ταῦτα μὲν, ἤδη πού φέρει καὶ τὸ αὐτόματον. ὁ δὲ δεξάμενος τὸν φόνον ἐκεῖνον, καὶ τὸν ἀγῶνα χῶρος εἰς ὃν ἡ σύγκλητος ἠθροίσθη, τότε πομπηΐου μὲν εἰκόνα κειμένην ἔχων, πομπηΐου δὲ ἀνάθημα γεγονὼς τῶν προσκεκοσμημένων τῷ θεάτρῳ, παντάπασιν ἀπέφηνεν, δαίμονός τινος ὑφηγουμένου καὶ καλοῦντος ἐκεῖ τὴν πρᾶξιν ἔργον γεγονέναι. καὶ γὰρ οὖν καὶ λέγεται κάσσιος, εἰς τὸν ἀνδριάντα τοῦ πομπηΐου πρὸ τῆς ἐγχειρήσεως ἀποβλέπων, ἐπικαλεῖσθαι σιωπῇ, καίπερ

καταλαμπούσης
ἀνάρθρους
Π Videtur et Victruuius

τωρ, ὡς ἔοικεν φήσαντός τινος αὔριον ἐπιτέλλειν λύραν. ναὶ εἶπεν ἐκ διατάγματος. ὡς καὶ τοῦτο πρὸς ἀνάγκην τῶν ἀνθρώπων δεχομένων. τὸ δ' ἐμφανὲς μάλιστα μῖσος, καὶ θανατηφόρον ἐπ' αὐτόν, ὁ τῆς βασιλείας ἔρως ἐξειργάσατο. τοῖς μὲν πολλοῖς αἰτία πρώτη. τοῖς δ' ὑπούλοις πάλαι πρόφασις εὐπρεπεστάτη γενομένη. καίτοι καὶ λόγον τινὰ κατέσπειραν εἰς τὸν δῆμον, οἱ ταύτην καίσαρι τὴν τιμὴν προξενοῦντες, ὡς ἐκ γραμμάτων σιβυλλείων, ἁλώσιμα τὰ πάρθων φαίνοιτο ῥωμαίοις σὺν βασιλεῖ στρατευομένοις ἐπ' αὐτούς, ἀλλ' ὡς ἀνέφικτα ὄντα. καὶ καταβαίνοντος ἐξ ἄλβης καίσαρος εἰς τὴν πόλιν, ἐτόλμησαν αὐτὸν ἀσπάσασθαι βασιλέα. τοῦ δὲ δήμου διαταραχθέντος, ἀχθεσθεὶς ἐκεῖνος, οὐκ ἔφη βασιλεύς, ἀλλὰ καῖσαρ καλεῖσθαι. καὶ γενομένης πρὸς τοῦτο πάντων σιωπῆς, οὐ πάνυ φαιδρὸς οὐδ' εὐμενὴς παρῆλθεν. ἐν δὲ συγκλήτῳ τιμάς τινας ὑπερφυεῖς αὐτῷ ψηφισαμένων, ἔτυχεν μὲν ὑπὲρ τῶν ἐμβόλων καθεζόμενος, προσιόντων δὲ τῶν ὑπάτων καὶ τῶν στρατηγῶν, ἅμα δὲ καὶ τῆς βουλῆς ἁπάσης ἑπομένης οὐχ ὑπεξαναστάς, ἀλλ' ὥσπερ ἰδιώταις τισὶ χρηματίζων ἀπεκρίνατο. συστολῆς μᾶλλον, ἢ προθέσεως τὰς τιμὰς δεῖσθαι. καὶ τοῦτο οὐ μόνον ἠνίασεν τὴν βουλὴν ἀλλὰ καὶ τὸν δῆμον ὡς ἐν τῇ βουλῇ τῆς πόλεως προπηλακιζομένης. καὶ μετὰ δεινῆς κατηφείας, ἀπῆλθον εὐθύς, οἷς ἐξῆν μὴ παραμένειν. ὥστε κἀκεῖνον ἐννοήσαντα, παραχρῆμα μὲν, οἴκαδε τραπέσθαι καὶ βοᾶν πρὸς τοὺς φίλους, ἀπαγαγόντα τοῦ τραχήλου τὸ ἱμάτιον, ὡς ἕτοιμος εἴη τῷ βουλομένῳ τὴν σφαγὴν παρέχειν. ὕστερον δὲ προφασίζεσθαι τὴν νόσον. οὐ γὰρ ἐθέλει τὴν αἴσθησιν ἀτρεμεῖν τῶν οὕτως ἐχόντων, ὅτ' ἂν ἱστάμενοι διαλέγονται πρὸς ὄχλον, ἀλλὰ σειομένην ταχύ, καὶ περιφερομένην ἰλίγγους ἐπισπᾶσθαι καὶ καταλαμβάνεσθαι. τὸ δ' ἐ, οὐκ εἶχεν οὕτως. ἀλλὰ καὶ πάνυ βουλόμενον αὐτὸν ὑπεξαναστῆναι τῇ βουλῇ, λέγουσιν ὑπό του τῶν φίλων, μᾶλλον δὲ κολάκων, κορνηλίου βάλβου κατασχεθῆναι, φήσαντος. οὐ μεμνήσῃ καῖσαρ ὤν, οὐδ' ἀξιώσεις ὡς κρείττονα θεραπεύεσθαι σεαυτόν, ἐπιγίνεται τούτοις τοῖς προσκρούσμασιν ὁ τῶν δημάρχων προπηλακισμός, ἦν μὲν γὰρ ἡ τῶν λουπερκαλίων ἑορτή, περὶ ἧς πολλοὶ γράφουσιν. ὡς ποιμένων τὸ παλαιὸν εἴη καί τι καὶ προσήκει τοῖς ἀρκαδικοῖς λυκαίοις. τῶν δ' εὐγενῶν νεανίσκων καὶ ἀρχόντων, πολλοὶ διαθέουσιν ἀνὰ τὴν πόλιν γυμνοί, σκύτεσιν λασίοις τοὺς ἐμποδὼν ἐπὶ παιδιᾷ καὶ γέλωτι παίοντες. πολλαὶ δὲ καὶ τῶν ἐν τέλει γυναικῶν ἐπίτηδες ὑπαντῶσαι, παρέχουσιν ὥσπερ ἐν διδασκάλου, τὼ χεῖρε ταῖς πληγαῖς, πεπεισμέναι πρὸς εὐτοκίαν κυούσαις, ἀγόνοις δέ, πρὸς κύησιν ἀγαθὸν εἶναι. ταῦτα καῖσαρ ἐθεᾶτο, καθήμενος ἐπὶ τῶν ἐμβόλων, ἐπὶ δίφρου χρυσοῦ, θριαμβικῷ κόσμῳ κεκοσμημένος, ἀντώνιος δέ, τῶν θεόντων τὸν ἱερὸν δρόμον εἷς ἦν, καὶ γὰρ ὑπάτευεν. ὡς οὖν εἰς τὴν ἀγορὰν ἐνέβαλε, καὶ τὸ πλῆθος αὐτῷ διέστη, φέρων διάδημα στεφάνῳ δάφνης περιπεπλεγμένον, ὤρεξε τῷ καίσαρι. καὶ γίνεται κρότος οὐ λαμπρός, ἀλλ' ὀλίγος ἐκ παρασκευῆς. ἀποσαμένου δὲ τοῦ καίσαρος ἅπας ὁ δῆμος ἀνεκρότησεν. αὖθις δὲ προσφέροντος, ὀλίγοι. καὶ μὴ δεξαμένου, πάλιν ἅπαντες. οὕτω δὲ τῆς πείρας ἐξελεγχομένης, καῖσαρ μὲν ἀνίσταται, τὸν στέφανον εἰς τὸ καπιτώλιον ἀπενεχθῆναι κελεύσας. ὤφθησαν δ' ἀνδριάντες αὐτοῦ διαδήμασιν ἀναδεδεμένοι βασιλικοῖς. καὶ τῶν δημάρχων δύο, φλαούϊος καὶ μάρυλλος ἐπελθόντες ἀπέσπασαν. καὶ τοὺς ἀσπασαμένους βασιλέα τὸν καίσαρα πρώτους ἐξευρόντες, ἀπῆγον εἰς τὸ δεσμωτήριον. ὁ δὲ δῆμος, εἵπετο κροτῶν. καὶ βρούτους ἀπεκάλει τοὺς ἄνδρας. ὅτι βροῦτος ἦν, ὁ καταλύσας τὴν τῶν βασιλέων διαδοχήν, καὶ τὸ κράτος, εἰς βουλὴν καὶ δῆμον ἐκ μοναρχίας καταστήσας. ἐπὶ τούτῳ καῖσαρ παροξυνθείς, τὴν μὲν ἀρχήν, ἀφείλετο τῶν περὶ τὸν μάρυλλον. ἐν δὲ τῷ κατηγορεῖν αὐτῶν, ἅμα καὶ τὸν δῆμον ἐφυβρίζων πολλάκις, βρούτους τε καὶ κυμαίους, ἀπεκάλει τοὺς ἄνδρας. οὕτω δή, (τρέπονται) πρὸς μάρκον βροῦτον οἱ πολλοί. γένος μέν, ἐκεῖθεν εἶναι δοκοῦντα πρὸς πατέρων. καὶ πρὸς μητρὸς δὲ ἀπὸ σερβιλίων, οἰκίας ἑτέρας ἐπιφανοῦς. γαμβρὸν δὲ καὶ ἀδελφιδοῦν κάτωνος. τοῦτον μὲν ἐξ ἑαυτοῦ ὁρμῆσαι, πρὸς κατάλυσιν τῆς μοναρχίας, ἤμβλυνον αἱ παρὰ καίσαρος τιμαὶ καὶ χάριτες. οὐ γὰρ μόνον ἐσώθη περὶ φάρσαλον ἀπὸ τῆς πομπηΐου φυγῆς. οὐδὲ πολλοὺς τῶν ἐπιτηδείων ἔσωσεν ἐξαιτησάμενος, ἀλλὰ καὶ πίστιν εἶχεν μεγάλην παρ' αὐτῷ. καὶ στρατηγίαν μὲν ἐν ταῖς τότε τὴν ἐπιφανεστάτην ἔλαβεν, ὑπατεύειν δὲ ἔμελλεν, εἰς τέταρτον ἔτος, ἐρίσαντος κασσίου προτιμηθείς. λέγεται γοῦν ὁ καῖσαρ εἰπεῖν. ὡς δικαιότερα λέγοι μὲν κάσσιος, αὐτὸς μέντοι βροῦτον οὐκ ἂν παρέλθοι. καί ποτε καὶ διαβαλλόντων τινῶν τὸν ἄνδρα πραττομένης ἤδη τῆς συνωμοσίας, οὐ προσέσχεν. ἀλλὰ τοῦ σώματος τῇ χειρὶ θιγών, ἔφη πρὸς τοὺς διαβάλλοντας. ἀναμενεῖ τοῦτο τὸ δέρμα βροῦτον. ὡς ἄξιον μὲν ὄντα τῆς ἀρχῆς δι' ἀρετήν, διὰ δὲ τὴν ἀρχήν, οὐκ ἂν ἀχάριστον καὶ πονηρὸν γενόμενον. οἱ δὲ τῆς μεταβολῆς ἐφιέμενοι καὶ πρὸς μόνον ἐκεῖνον ἢ πρῶτον ἀποβλέποντες, αὐτῷ μὲν οὐκ ἐτόλμων διαλέγεσθαι, νύκτωρ δέ, κατεπίμπλασαν γραμμάτων τὸ βῆμα. καὶ τὸν δίφρον ἐφ' οὗ στρατηγῶν ἐχρημάτιζεν. ὧν ἦν τὰ πολλὰ τοιαῦτα. καθεύδεις βροῦτε. καὶ οὐκ εἶ βροῦτος. ὑφ' ὧν ὁ κάσσιος αἰσθόμενος διακινούμενον ἡσυχῇ τὸ φιλότιμον αὐτοῦ, μᾶλλον ἢ πρότερον ἐνέκειτο, καὶ παρώξυνεν αὐτούς, ἰδίᾳ τι καὶ μίσους ἔχων πρὸς τὸν καίσαρα δι' αἰτίας, ἃς ἐν τοῖς περὶ βρούτου γεγραμμένοις δεδηλώκαμεν. εἶχεν μέντοι καὶ δι' ὑποψίας ὁ καῖσαρ αὐτόν. ὥστε καὶ πρὸς τοὺς φίλους εἰπεῖν ποτέ. τί φαίνεται βουλόμενος ὑμῖν κάσσιος.

ηγωνισμένον. αὐτὸς δὲ ῥωμαίων κρατίστου τύχῃ κεχρημένου, παῖδας καὶ γένος ἄρδην ἀνῃρηκότα ταῖς τῆς πατρίδος ἐπὶ πομπεύειν συμφοραῖς οὐ καλῶς εἶχεν, ἀγαλλόμενον ἐπὶ τούτοις, ὧν μία καὶ πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους ἀπολογία τὸ μετ' ἀνάγκης πεπρᾶχθαι. καὶ ταῦτα πρότερον, μήτ' ἄγγελον μήτε γράμματα δημοσίᾳ πέμψαι περὶ νίκης ἀπὸ τῶν ἐμφυλίων πολέμων, ἀλλὰ ἀπωσάμενον αἰσχύνῃ τὴν δόξαν. οὐ μὴν ἀλλὰ καὶ πρὸς τὴν τύχην τοῦ ἀνδρὸς ἐγκεκλικότες, καὶ δεδεγμένοι τὸν χαλινὸν καὶ τῶν ἐμφυλίων πολέμων καὶ κακῶν ἀνάπνευσιν ἡγούμενοι τὴν μοναρχίαν, δικτάτωρα μὲν αὐτὸν ἀπέδειξαν διαβίου. τοῦτο δὲ ἦν ὁμολογουμένη μὲν τυραννὶς, τῷ ἀνυπευθύνῳ τῆς μοναρχίας, τὸ ἀκατάπαυστον προσλαβούσης. τιμὰς δὲ τὰς πρώτας κικέρωνος εἰς τὴν βουλὴν γράψαντος, ὧν ἁμωσγέπως ἀνθρώπινον ἦν τὸ μέγεθος. ἕτεροι προστιθέντες ὑπερβολὰς, καὶ διαμιλλώμενοι πρὸς ἀλλήλους, ἐξειργάσαντο καὶ τοῖς πραοτάτοις, ἐπαχθῆ τὸν ἄνδρα, καὶ λυπηρὸν γενέσθαι διὰ τὸν ὄγκον καὶ τὴν ἀτοπίαν τῶν ψηφιζομένων. οἷς οὐδὲν ἧττον οἴονται συναγωνίσασθαι, τῶν κολακευόντων καίσαρα, τοὺς μισοῦντας. ὅπως ὅτι πλείστας κατ' αὐτοῦ προφάσεις ἔχωσι καὶ μετὰ μεγίστων ἐγκλημάτων ἐπιχειρεῖν δοκῶσιν. ἐπεὶ τά γε ἄλλα τῶν ἐμφυλίων αὐτῷ πολέμων πέρας ἐσχηκότων ἀνέγκλητον παρεῖχεν. καὶ τό γε τῆς ἐπιεικείας ἱερὸν, οὐκ ἀπὸ τρόπου δοκοῦσι χαριστήριον ἐπὶ τῇ πραότητι ψηφίσασθαι. καὶ γὰρ ἀφῆκε πολλοὺς τῶν πεπολεμηκότων πρὸς αὐτὸν, ἐνίοις δὲ, καὶ τιμὰς καὶ ἀρχὰς, ὡς βρούτῳ καὶ κασσίῳ προσέθηκεν. ἐστρατήγουν γὰρ ἀμφότεροι. καὶ τὰς πομπηΐου καταβεβλημένας εἰκόνας, οὐ περιεῖδεν, ἀλλ' ἀνέστησεν. ἐφ' ὧν καὶ κικέρων εἶπεν. ὅτι καῖσαρ τοὺς πομπηΐου στήσας ἀνδριάντας, τοὺς ἰδίους ἔπηξε. τῶν δὲ φίλων ἀξιούντων αὐτὸν δορυφορεῖσθαι, καὶ πολλῶν ἐπὶ τοῦτο παρεχόντων ἑαυτοὺς, οὐχ ὑπέμεινεν εἰπὼν, ὡς βέλτιόν ἐστιν ἅπαξ ἀποθανεῖν, ἢ ἀεὶ προσδοκᾶν. τὴν δ' εὔνοιαν, ὡς κάλλιστον ἑαυτοῦ ἅμα καὶ βεβαιότατον ἑαυτῷ περιβαλλόμενος φυλακτήριον, αὖθις ἀνελάμβανε τὸν δῆμον, ἑστιάσεσι καὶ σιτηρεσίοις. τὸ δὲ στρατιωτικὸν, ἀποικίαις ὧν ἐπιφανέσταται καρχηδὼν καὶ κόρινθος ἦσαν. αἷς καὶ πρότερον τὴν ἅλωσιν, καὶ τότε τὴν ἀνάληψιν ἅμα, καὶ κατὰ τὸν αὐτὸν χρόνον ἀμφοτέραις γενέσθαι συνέτυχεν. τῶν δὲ δυνατῶν τοῖς μὲν, ὑπατείας καὶ στρατηγίας, εἰς τοὐπιὸν ἐπηγγέλλετο. τοὺς δ' ἄλλαις τισὶν ἐξουσίαις καὶ τιμαῖς παρεμυθεῖτο. πᾶσι δ' ἐλπίζειν ἐνεδίδου, μνηστευόμενος ἄρχειν ἑκόντων. ὡς καὶ μαξίμου τοῦ ὑπάτου τελευτήσαντος. εἰς τὴν περιοῦσαν τῆς ἀρχῆς μίαν ἡμέραν, ὕπατον ἀποδεῖξαι κανίνιον ῥεβίλιον. πρὸς ὃν ὡς ἔοικε πολλῶν δεξιώσασθαι καὶ προπέμψαι βαδιζόντων. ὁ κικέρων σπεύδωμεν ἔφη, πρὶν φθάσῃ τῆς ὑπατείας ἐξελθὼν ὁ ἄνθρωπος. ἐπεὶ δὲ τὸ φύσει μεγαλουργὸν αὐτοῦ καὶ φιλότιμον, αἱ πολλαὶ κατορθώσεις, οὐ πρὸς ἀπόλαυσιν ἔτρεπον τῶν πεπονημένων, ἀλλ' ὑπέκκαυμα καὶ θάρσος οὖσαι πρὸς τὰ μέλλοντα, μειζόνων ἐνέτικτον ἐπινοίας πραγμάτων, καὶ καινῆς ἔρωτα δόξης, ὡς ἀποχρῆσαι χρωμένῳ τῇ παρούσῃ. τὸ μὲν πάθος, οὐδὲν ἦν ἕτερον, ἢ ζῆλος αὑτοῦ καθάπερ ἄλλου καὶ φιλονεικία τις ὑπὲρ τῶν μελλόντων πρὸς τὰ πεπραγμένα. παρασκευὴ δὲ καὶ γνώμη, στρατεύειν μὲν ἐπὶ πάρθους. καταστρεψαμένῳ δὲ τούτους καὶ δι' ὑρκανίας παρὰ τὴν κασπίαν θάλασσαν καὶ τὸν καύκασον ἐκπεριελθόντι τὸν πόντον, εἰς τὴν σκυθικὴν ἐμβαλεῖν. καὶ τὰ περίχωρα γερμανοῖς, καὶ γερμανίαν αὐτὴν ἐπιδραμόντι, διὰ κελτῶν ἐπανελθεῖν εἰς ἰταλίαν, καὶ συνάψαι τὸν κύκλον τοῦτον τῆς ἡγεμονίας τῷ πανταχόθεν ὠκεανῷ περιορισθείσης. διαμέσου δὲ τῆς στρατείας τόν τε κορίνθιον ἰσθμὸν ἐπεχείρει διασκάπτειν, ἀνιῆνον ἐπὶ τοῦτο προχειρισάμενος. καὶ τὸν τίβεριν εὐθὺς ἀπὸ τῆς πόλεως ὑπολαβὼν διώρυχι βαθείᾳ καὶ περικλάσας ἐπὶ τὸ κιρκαῖον ἐμβαλεῖν εἰς τὴν πρὸς ταρρακίνῃ θάλατταν. ἀσφάλειαν ἅμα καὶ ῥᾳστώνην τοῖς δι' ἐμπορείας φοιτῶσιν εἰς ῥώμην μηχανώμενος. πρὸς δὲ τούτοις, τὰ μὲν ἕλη τὰ περὶ νωμεντῖνον καὶ σήτιον ἐκτρέψας, πεδίον ἀποδεῖξαι πολλαῖς ἐνεργὸν ἀνθρώπων μυριάσι. τῇ δ' ἔγγιστα τῆς ῥώμης θαλάσσῃ, κλεῖθρα διὰ χωμάτων ἐπαγαγὼν, καὶ τὰ τυφλὰ καὶ δύσορμα τῆς ὠστιανῆς ἠϊόνος ἀνακαθηράμενος, λιμένας ἐμποιήσασθαι καὶ ναύλοχα, πρὸς τοσαύτην ἀξιόπιστα ναυτιλίαν. καὶ ταῦτα μὲν ἐν παρασκευαῖς ἦν. ἡ δὲ τοῦ ἡμερολογίου διάθεσις καὶ διόρθωσις τῆς περὶ τὸν χρόνον ἀνωμαλίας φιλοσοφηθεῖσα χαριέντως ὑπ' αὐτοῦ, καὶ τέλος λαβοῦσα, γλαφυρωτάτην παρέσχε χρείαν. οὐ γὰρ μόνον ἐν τοῖς παλαιοῖς πάνυ χρόνοις, τεταγμέναις ἐχρῶντο ῥωμαῖοι ταῖς τῶν μηνῶν πρὸς τὸν ἐνιαυτὸν περιόδοις, ὥστε τὰς θυσίας καὶ τὰς ἑορτὰς ὑποφερομένας κατὰ μικρὸν εἰς ἐναντίας ἐκπεπτωκέναι τοῖς χρόνοις ὥρας. ἀλλὰ καὶ περὶ τὴν τότε οὖσαν ἡλιακὴν, οἱ μὲν ἄλλοι παντάπασι τούτων ἀσυλλογίστως εἶχον. οἱ δ' ἱερεῖς μόνοι τὸν καιρὸν εἰδότες, ἐξαίφνης καὶ προῃσθημένου μηδενὸς τὸν ἐμβόλιμον προσέγραφον μῆνα. μερκηδόνιον ὀνομάζοντες. ὃν νομᾶς ὁ βασιλεὺς πρῶτος ἐμβαλεῖν λέγεται. μικρὰν καὶ διατείνουσαν οὐ πόρρω βοήθειαν ἐξευρὼν τῆς περὶ τὰς ἀποκαταστάσεις πλημμελείας. ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. Καῖσαρ δὲ τοῖς ἀρίστοις τῶν φιλοσόφων καὶ μαθηματικῶν τὸ πρόβλημα προθεὶς ἐκ τῶν ὑποκειμένων ἤδη μεθόδων, ἔμιξεν ἰδίαν τινὰ καὶ διηκριβωμένην μᾶλλον ἐπανόρθωσιν. ᾗ χρώμενοι μέχρι νῦν ῥωμαῖοι δοκοῦσιν ἧττον ἑτέρων σφάλλεσθαι περὶ τὴν ἀνωμαλίαν. οὐ μὴν ἀλλὰ καὶ περὶ τοῖς βασκαίνουσι καὶ βαρυνομένοις τὴν δύναμιν, αἰτίας παρεῖχε. κικέρων γ' ὁ ῥή-

κτείνουσι. τοῖς δὲ εἰς τὸ στρατόπεδον προτροπάδην ἐλαυνομένοις συνεισέπεσον. εἰ δὲ μὴ Καῖσαρ αὐτὸς, ἅμα δὲ Καίσαρι Πωλλίων Ἀσίννιος, βοηθοῦντες ἐκ τοῦ χάρακος ἔσχον τὴν φυγὴν, διεπέπρακτ' ἂν ὁ πόλεμος. ἔστιν δὲ ὅτε καὶ καθ' ἑτέραν μάχην ἐπλεονέκτησαν οἱ πολέμιοι συμπλοκῆς γενομένης. ἐν ᾗ Καῖσαρ τὸν ἀετοφόρον φεύγοντα λέγεται κατασχὼν ἐκ τοῦ αὐχένος, ἀναστρέψαι καὶ εἰπεῖν. ἐνταῦθα εἰσὶν οἱ πολέμιοι. τούτοις μέντοι τοῖς προτερήμασιν, ἐπήρθη Σκηπίων, μάχῃ κριθῆναι. καὶ καταλιπὼν χωρὶς μὲν Ἀφράνιον. χωρὶς δὲ Ἰόβαν δι' ὀλίγου στρατοπεδεύοντας. αὐτὸς ἐτείχιζεν ὑπὲρ λίμνης ἔρυμα τῷ στρατοπέδῳ, περὶ πόλιν Θάψακον, ὡς εἴη πᾶσιν ἐνταῦθα τὴν μάχην ὁρμητήριον καὶ καταφυγή. πονουμένῳ δὲ αὐτῷ περὶ ταῦτα, Καῖσαρ ὑλώδεις τόπους καὶ προσβολὰς ἀφράστους ἔχοντας ἀμηχάνῳ τάχει διελθὼν, τοὺς μὲν ἐκυκλοῦτο. τοῖς δὲ, προσέβαλε κατὰ στόμα. τρεψάμενος δὲ τούτους, ἐχρῆτο τῷ καιρῷ καὶ τῇ ῥύμῃ τῆς τύχης. ἐφ' ἧς αὐτοβοεὶ μὲν, ᾕρει τὸ Ἀφρανίου στρατόπεδον. αὐτοβοεὶ δὲ φεύγοντος Ἰόβα, διεπόρθει τὸ τῶν Νομάδων. ἡμέρας δὲ μιᾶς μέρει μικρῷ τριῶν στρατοπέδων ἐγκρατὴς γεγονὼς, καὶ πεντακισμυρίους τῶν πολεμίων ἀνῃρηκὼς, οὐδὲ πεντήκοντα τῶν ἰδίων ἀπέβαλεν. οἱ μὲν ταῦτα περὶ τῆς μάχης ἐκείνης ἀναγγέλλουσιν. οἱ δὲ, οὔ φασιν αὐτὸν ἐν τῷ ἔργῳ γενέσθαι, συντάττοντος δὲ τὴν στρατιὰν καὶ διακοσμοῦντος, ἅψασθαι τὸ σύνηθες νόσημα. τὸν δὲ εὐθὺς αἰσθόμενον ἀρχομένου πρὶν ἐκταράττεσθαι καὶ καταλαμβάνεσθαι παντάπασιν ὑπὸ τοῦ πάθους τὴν αἴσθησιν, ἤδη σειομένην, εἴς τινα τῶν πλησίων πύργων κομισθῆναι, καὶ διαγαγεῖν ἐν ἡσυχίᾳ. τῶν δὲ πεφευγότων ἐκ τῆς μάχης, ὑπατικῶν καὶ στρατηγικῶν ἀνδρῶν. οἱ μὲν, ἑαυτοὺς διέφθειραν ἁλισκόμενοι. συχνοὺς δὲ Καῖσαρ ἔκτεινεν ἁλόντας. Κάτωνα δὲ λαβεῖν ζῶντα φιλοτιμούμενος, ἔσπευδεν πρὸς Ἰτύκην. ἐκείνην γὰρ παραφυλάττων τὴν πόλιν, οὐ μετέσχεν τοῦ ἀγῶνος. πυθόμενος δὲ, ὡς ἑαυτὸν ὁ ἀνὴρ διειργάσατο, δῆλος μὲν ἦν δηχθεὶς, ἐφ' ᾧ δὲ, ἄδηλον. εἶπε δ' οὖν ὦ Κάτων, φθονῶ σοι τοῦ θανάτου. καὶ γὰρ σύ μοι τῆς σωτηρίας ἐφθόνησας. ὁ μὲν οὖν μετὰ ταῦτα γραφεὶς ὑπ' αὐτοῦ πρὸς Κάτωνα τεθνεῶτα λόγος, οὐ δοκεῖ πράως ἔχοντος, οὐδὲ εὐδιαλλάκτως σημεῖον εἶναι. πῶς γὰρ ἐφείσατο ζῶντος, εἰς ἀναίσθητον ἐκχέας ὀργὴν τοσαύτην. τῇ δὲ πρὸς Κικέρωνα καὶ Βροῦτον αὐτοῦ, καὶ μυρίους ἄλλους τῶν πεπολεμηκότων, ἐπιεικείᾳ τεκμαίρονται. καὶ τὸν λόγον ἐκεῖνον οὐκ ἐξ ἀπεχθείας, ἀλλὰ φιλοτιμίας πολιτικῆς συντετάχθαι διὰ τοιαύτην αἰτίαν. ἔγραψε Κικέρων ἐγκώμιον Κάτωνος, ὄνομα τῷ λόγῳ θέμενος, Κάτωνα. καὶ πολλοῖς ὁ λόγος ἦν διὰ σπουδῆς ὡς εἰκὸς, ὑπὸ τοῦ δεινοτάτου τῶν ῥητόρων εἰς τὴν καλλίστην πεποιημένος ὑπόθεσιν. τοῦτο ἠνία Καίσαρα κατηγορίαν αὐτοῦ νομίζοντα, τὸν τοῦ τεθνηκότος δι' αὐτὸν ἔπαινον. ἔγραψεν οὖν πολλάς τινας κατὰ τοῦ Κάτωνος αἰτίας συναγαγών. τὸ δὲ βιβλίον, Ἀντικάτων ἐπιγέγραπται. καὶ σπουδαστὰς ἔχει τῶν λόγων ἑκάτερος διὰ Καίσαρα καὶ Κάτωνα, πολλούς. ἀλλὰ γὰρ ὡς ἐπανῆλθεν εἰς Ῥώμην ἀπὸ Λιβύης. πρῶτον μὲν, ὑπὲρ τῆς νίκης ἐμεγαληγόρησεν πρὸς τὸν δῆμον, ὡς τοσαύτην κεχειρωμένος χώραν. ὅση παρέξει καθ' ἕκαστον ἐνιαυτὸν εἰς τὸ δημόσιον, σίτου μὲν, εἴκοσι μυριάδας Ἀττικῶν μεδίμνων ἐλαίου δὲ, λιτρῶν μυριάδας τριακοσίας. ἔπειτα, θριάμβους κατήγαγε τὸν Αἰγυπτιακόν. τὸν Ποντικόν. τὸν Λιβυκόν. οὐκ ἀπὸ Σκηπίωνος. ἀλλ' ἀπὸ Ἰόβα δῆθεν τοῦ βασιλέως. τότε καὶ Ἰόβας υἱὸς ὢν ἐκείνου, κομιδῆ νήπιος, ἐν τῷ θριάμβῳ παρήχθη, μακαριωτάτην ἁλοὺς ἅλωσιν. ἐκ βαρβάρων καὶ Νομάδων, Ἑλλήνων τοῖς πολυμαθεστάτοις, ἐναρίθμιος γενέσθαι συγγραφεῦσι. μετὰ δὲ τοὺς θριάμβους, στρατιώταις τε μεγάλας δωρεὰς ἐδίδου. καὶ τὸν δῆμον ἀνελάμβανεν, ἑστιάσεσι καὶ θέαις. ἑστιάσας μὲν, ἐν δισμυρίοις καὶ δισχιλίοις τρικλίνοις ὁμοῦ σύμπαντας. θέας δὲ καὶ μονομάχων καὶ ναυμάχων ἀνδρῶν παρασχὼν, ἐπὶ τῇ θυγατρὶ Ἰουλίᾳ πάλαι τεθνεώσῃ. μετὰ δὲ τὰς θέας γενομένων τιμήσεων ἀντὶ τῶν προτέρων δυεῖν καὶ τριάκοντα μυριάδων, ἐξητάσθησαν αἱ πᾶσαι, πεντεκαίδεκα. τηλικαύτην ἡ στάσις ἀπειργάσατο συμφορὰν, καὶ τοσοῦτον ἀπανήλωσε τοῦ δήμου μέρος, ἔξω τοῦ λόγου τιθεμένοις τὰ κατασχόντα τὴν ἄλλην Ἰταλίαν ἀτυχήματα καὶ τὰς ἐπαρχίας. συντελεσθέντων δὲ τούτων ὕπατος ἀποδειχθεὶς τὸ τέταρτον, εἰς Ἰβηρίαν ἐστράτευσεν, ἐπὶ τοὺς Πομπηΐου παῖδας. νέους μὲν ὄντας ἔτι, θαυμαστὴν δὲ τῷ πλήθει στρατιὰν συνειλοχότας, καὶ τόλμαν ἀποδεικνυμένους ἀξιόχρεων πρὸς ἡγεμονίαν. ὥστε κίνδυνον τῷ Καίσαρι περιστῆσαι τὸν ἔσχατον. ἡ δὲ μεγάλη μάχη περὶ πόλιν συνέστη Μοῦνδαν. ἐν ᾗ Καῖσαρ ἐκθλιβομένους ὁρῶν τοὺς ἑαυτοῦ, καὶ κακῶς ἀντέχοντας, ἐβόα διὰ τῶν ὅπλων καὶ τῶν τάξεων διαθέων, εἰ μηδὲν αἰδοῦνται, λαβόντας αὐτὸν, ἐγχειρίσαι τοῖς παιδαρίοις. μόλις δὲ προθυμίᾳ πολλῇ τοὺς πολεμίους ὠσάμενος, ἐκείνων μὲν, ὑπὲρ τρισμυρίους διέφθειρεν, τῶν δὲ αὐτοῦ χιλίους ἀπώλεσε τοὺς ἀρίστους. ἀπιὼν δὲ μετὰ τὴν μάχην πρὸς τοὺς φίλους εἶπεν. ὡς πολλάκις μὲν ἀγωνίσαιτο περὶ νίκης. νῦν δὲ πρῶτον περὶ ψυχῆς. ταύτην τὴν μάχην ἐνίκησεν, τῇ τῶν Διονυσίων ἑορτῇ, καθ' ἣν λέγεται καὶ Πομπήϊος Μάγνος ἐπὶ τὸν πόλεμον ἐξελθεῖν. διαμέσου δὲ, χρόνος ἐνιαυτῶν τεσσάρων διῆλθεν. τῶν δὲ Πομπηΐου παίδων, ὁ μὲν νεώτερος διέφυγεν. τοῦ δὲ πρεσβυτέρου μεθ' ἡμέρας ὀλίγας, Δίδιος, ἀνήνεγκεν τὴν κεφαλήν. τοῦτον ἔσχατον Καῖσαρ ἐπολέμησε τὸν πόλεμον. ὁ δὲ ἀπ' αὐτοῦ καταχθεὶς θρίαμβος, ὡς οὐδὲν ἄλλο Ῥωμαίους ἠνίασεν. οὐ γὰρ ἀλλοφύλους ἡγεμόνας. οὐδὲ βαρβάρους βασιλεῖς κα-

δι. κ. ς.

ἐπιείκεια

ἐναριθμῶ

σιλέως προσέσχεν, ἤδη συσκοτάζοντος. ἀπόρου δὲ τοῦ λαθεῖν ὄντος ἄλλως, ἡ μὲν εἰς στρωματόδεσμον ἐνδῦσα προτείνει μακρὰν ἑαυτήν. ὁ δ᾽, Ἀπολλόδωρος ἱμάντι συνδήσας τὸν στρωματόδεσμον εἰσκομίζει διὰ θυρῶν πρὸς τὸν καίσαρα. καὶ τούτῳ τε πρώτῳ λέγεται τῷ τεχνήματι τῆς κλεοπάτρας ἁλῶναι, λαμυρᾶς φανείσης, καὶ τῆς ἄλλης ὁμιλίας καὶ χάριτος ἥττων γενόμενος διαλλάξαι πρὸς τὸν ἀδελφὸν, ὡς συμβασιλεύουσαν. ἔπειτα δὲ, ταῖς διαλλαγαῖς ἑστιωμένων ἁπάντων οἰκέτης καίσαρος κουρεὺς διὰ δειλίαν ᾗ πάντας ἀνθρώπους ὑπερέβαλεν, οὐδὲν ἐῶν ἀνεξέταστον, ἀλλ᾽ ὠτακουστῶν καὶ πολυπραγμονῶν, συνῆκεν ἐπιβουλὴν καίσαρι πραττομένην, ὑπ᾽ ἀχιλλᾶ τοῦ στρατηγοῦ, καὶ ποθεινοῦ τοῦ εὐνούχου. φωράσας δὲ ὁ καῖσαρ, φρουρὰν μὲν περιέστησε τῷ ἀνδρῶνι, τὸν δὲ ποθεινὸν ἀνεῖλεν. ὁ δὲ ἀχιλλᾶς φυγὼν εἰς τὸ στρατόπεδον, περιΐστησιν αὐτῷ βαρὺν καὶ δυσμεταχείριστον πόλεμον, ὀλίγοις τοσαύτην ἀμυνομένῳ πόλιν καὶ δύναμιν. ἐν ᾧ πρῶτον μὲν ἐκινδύνευσεν ὕδατος ἀποκλεισθείς. αἱ γὰρ διώρυχες ἀπῳκοδομήθησαν ὑπὸ τῶν πολεμίων. δεύτερον δὲ, περικοπτόμενος τὸν στόλον, ἠναγκάσθη διὰ πυρὸς ἀπώσασθαι τὸν κίνδυνον. ὃ καὶ τὴν μεγάλην βιβλιοθήκην, ἐκ τῶν νεωρίων ἐπινεμόμενον, διέφθειρε. τρίτον δὲ, περὶ τῇ φάρῳ μάχης συνεστώσης, κατεπήδησε μὲν ἀπὸ τοῦ χώματος, εἰς ἀκάτιον, καὶ παρεβοήθει τοῖς ἀγωνιζομένοις, ἐπιπλεόντων δὲ πολλαχόθεν αὐτῷ τῶν αἰγυπτίων, ῥίψας ἑαυτὸν εἰς τὴν θάλασσαν ἀπενήξατο μόλις καὶ χαλεπῶς. ὅτε καὶ λέγεται, βιβλίδια κρατῶν πολλὰ, μὴ προέσθαι βαλλόμενος καὶ βαπτιζόμενος, ἀλλ᾽ ἀνέχων ὑπὲρ τῆς θαλάσσης, τὰ βιβλίδια, τῇ ἑτέρᾳ χειρὶ νήχεσθαι. τὸ δ᾽ ἀκάτιον, εὐθὺς ἐκβυθισθῆναι. τέλος δὲ, τοῦ βασιλέως πρὸς τοὺς πολεμίους ἀποχωρήσαντος, ἐπελθὼν καὶ συνάψας μάχην, ἐνίκησε πολλῶν πεσόντων. αὐτοῦ τε τοῦ βασιλέως, ἀφανοῦς γενομένου καταλιπὼν δὲ τὴν κλεοπάτραν βασιλεύουσαν αἰγύπτου, καὶ μικρὸν ὕστερον ἐξ αὐτοῦ τεκοῦσαν υἱὸν, ὃν ἀλεξανδρεῖς καισαρίωνα ὑπηγόρευσαν, ὥρμησεν ἐπὶ συρίας. κἀκεῖθεν ἐπιὼν τὴν ἀσίαν, ἐπυνθάνετο δομίτιον μὲν, ὑπὸ φαρνάκου τοῦ μιθριδάτου παιδὸς ἡττημένον, ἐκ πόντου πεφευγέναι σὺν ὀλίγοις φαρνάκην δὲ, τῇ νίκῃ χρώμενον ἀπλήστως καὶ βιθυνίαν ἔχοντα, καὶ καππαδοκίαν, ἀρμενίας ἐφίεσθαι τῆς μικρᾶς καλουμένης, καὶ πάντας ἀνιστάναι τοὺς ταύτῃ βασιλεῖς καὶ τετράρχας. εὐθὺς οὖν ἐπὶ τὸν ἄνδρα τρισὶν ἤλαυνε τάγμασι καὶ περὶ πόλιν ζῆλαν μάχην μεγάλην συνάψας, αὐτὸν μὲν ἐξέβαλε τοῦ πόντου φεύγοντα. τὴν δὲ στρατιὰν ἄρδην ἀνεῖλον. καὶ τῆς μάχης ταύτης τὴν ὀξύτητα, καὶ τὸ τάχος ἀναγγέλλων εἰς ῥώμην, πρός τινα τῶν φίλων ἀμίντιον, ἔγραψεν. τρεῖς λέξεις. ἦλθον. εἶδον. ἐνίκησα. ῥωμαϊστὶ δὲ αἱ λέξεις εἰς ὅμοιον ἀπολήγουσαι σχῆμα ῥήματος, οὐκ ἀπίθανον τὴν βραχυλογίαν ἔχουσιν. ἐκ τούτου διαβαλὼν εἰς ἰταλίαν, ἀνέβαινεν εἰς ῥώμην. τοῦ μὲν ἐνιαυτοῦ καταστρέφοντος, εἰς ὃν ᾕρητο δικτάτωρ τὸ δεύτερον. οὐδέποτε τῆς ἀρχῆς ἐκείνης πρότερον ἐνιαυσίου γενομένης. εἰς δὲ τοὐπιὸν ὕπατος ἀπεδείχθη, καὶ κακῶς ἤκουσεν, ὅτι τῶν στρατιωτῶν στασιασάντων, καὶ δύο στρατηγικοὺς ἄνδρας ἀνελόντων κοσκώνιον καὶ γάλβαν, ἐπετίμησε μὲν αὐτοῖς τοσοῦτον, ὅσον ἀντὶ στρατιωτῶν πολίτας προσαγορεῦσαι. χιλίας δὲ διένειμεν ἑκάστῳ δραχμάς. καὶ χώραν τῆς ἰταλίας ἀπεκλήρωσε πολλήν. ἦν δὲ αὐτοῦ διαβολὴ καὶ ἡ δολοβέλλα μανία. καὶ ἡ ἀμαντίου φιλαργυρία, καὶ μεθύων ἀντώνιος καὶ κορφίνιος, τὴν πομπηΐου σκευωρούμενος οἰκίαν καὶ μετοικοδομῶν ὡς ἱκανὴν οὐκ οὖσαν. ἐπὶ τούτοις γὰρ ἐδυσφόρουν ῥωμαῖοι, καῖσαρ δὲ διὰ τὴν ὑπόθεσιν τῆς πολιτείας οὐκ ἀγνοῶν οὔτε βουλόμενος, ἠναγκάζετο χρῆσθαι τοῖς ὑπουργοῦσιν. τῶν δὲ περὶ κάτωνα καὶ σκηπίωνα μετὰ τὴν ἐν φαρσάλῳ μάχην, εἰς λιβύην φυγόντων, κἀκεῖ τοῦ βασιλέως ἰόβα βοηθοῦντος αὐτοῖς, ἠθροικότων δυνάμεις ἀξιολόγους, ἔγνω στρατεύειν ὁ καῖσαρ ἐπ᾽ αὐτούς. καὶ περὶ τροπὰς χειμερινὰς διαβὰς εἰς σικελίαν. καὶ βουλόμενος εὐθὺς ἀποκόψαι τῶν περὶ αὐτὸν ἡγεμόνων ἅπασαν ἐλπίδα μελλήσεως καὶ διατριβῆς, ἐπὶ τοῦ κλύσματος ἔπηξε τὴν ἑαυτοῦ σκηνήν. καὶ γενομένου πνεύματος ἐμβὰς, ἀνήχθη μετὰ τρισχιλίων πεζῶν, καὶ ἱππέων ὀλίγων. ἀποβιβάσας δὲ τούτους καὶ λαθὼν, ἀνήχθη πάλιν, ὑπὲρ τῆς μείζονος ὀρρωδῶν δυνάμεως. καὶ κατὰ θάλατταν οὖσιν ἤδη προστυχὼν κατήγαγεν ἅπαντας εἰς τὸ στρατόπεδον. πυνθανόμενος δὲ χρησμῷ τινὶ παλαιῷ θαρρεῖν τοὺς πολεμίους, ὡς προσῆκον ἀεὶ τῷ σκηπιώνος γένει κρατεῖν ἐν λιβύῃ, χαλεπὸν εἰπεῖν, εἴτε φλαυρίζων ἐν παιδιᾷ τινὶ τὸν σκηπίωνα στρατηγοῦντα τῶν πολεμίων, εἴτε καὶ σπουδῇ τὸν οἰωνὸν οἰκειούμενος. ἦν γὰρ παρ᾽ αὐτῷ τις ἄνθρωπος ἄλλως μὲν εὐκαταφρόνητος καὶ παρημελημένος. οἰκίας δὲ τῆς ἀφρικανῶν, σκηπίων ἐκαλεῖτο, σαλλουτίων. τοῦτον ἐν ταῖς μάχαις προέταττεν ὥσπερ ἡγεμόνα τῆς στρατιᾶς, ἀναγκαζόμενος πολλάκις ἐξάπτεσθαι τῶν πολεμίων καὶ φιλομαχεῖν. ἦν γὰρ, οὔτε σῖτος τοῖς ἀνδράσιν ἄφθονος, οὔτε ὑποζυγίοις χιλὸς, ἀλλὰ βρύοις ἠναγκάζοντο θαλαττίοις, ἀποπλυθείσης τῆς ἁλμυρίδος, ὀλίγην ἄγρωστιν. ὥσπερ ἥδυσμα παραμιγνύντες, ἐπάγειν τοῖς ἵπποις. οἱ γὰρ νομάδες ἐπιφαινόμενοι, πολλοὶ καὶ ταχεῖς, ἑκάστοτε κατεῖχον τὴν χώραν καί ποτε τῶν καίσαρος ἱππέων σχολὴν ἀγόντων ἔτυχε γὰρ αὐτοῖς ἀνὴρ λίβυς ἐπιδεικνύμενος ὄρχησιν, ἅμα καὶ μοναυλῶν θαύματος ἀξίως. οἱ δὲ τερπόμενοι, ἐκάθηντο, τοῖς παισὶ τοὺς ἵππους ἐπιτρέψαντες. ἐξαίφνης δὲ περιελθόντες, ἐμβάλλουσιν οἱ πολέμιοι. καὶ τοὺς μὲν αὐτῶν

τῷ στόλῳ. q.

προσηγόρευσαν. n.

ᾑρητ. s. n.

σκευωρεῖσθαι

ἀποπλωθείσης. s. n.

ῥίᾳ ἵπποις. s. n.

ἢ κνήμας τῶν πολεμίων. ἀλλὰ τῶν ὄψεων ἐφιέμενοι, καὶ τὰ πρόσωπα συντιτρώσκοντες ὑπὸ καί-
σαρος δεδιδαγμένοι τοῦτο ποιεῖν ἐλπίζοντος ἄνδρας οὐ πολλὰ πολέμοις οὐδὲ τραύμασιν ὡμιληκό-
τας, νέους δὲ καὶ κομῶντας ἐπὶ κάλλει καὶ ὥρᾳ, μάλιστα τὰς τοιαύτας πληγὰς ὑπόψεσθαι, καὶ μὴ
μενεῖν τὸν ἐν τῷ παρόντι κίνδυνον ἅμα καὶ τὴν αὖθις αἰσχύνην δεδοικότας. ὃ δὴ καὶ συνέβαινεν. οὐ
γὰρ ἠνείχοντο τῶν ὑσσῶν ἀναφερομένων. οὐδὲ ἐτόλμων ἐν ὀφθαλμοῖς τὸν σίδηρον ὁρῶντες, ἀλλ' ἐπε-
στρέφοντο καὶ συνεκαλύπτοντο, φειδόμενοι τῶν προσώπων. καὶ τέλος οὕτω ταράξαντες ἑαυτοὺς ἐ-
τράποντο φεύγειν αἴσχιστα λυμηνάμενοι τὸ σύμπαν. εὐθὺς γὰρ οἱ μὲν νενικηκότες τούτους, ἐκυκλοῦντο
τοὺς πεζούς, καὶ κατὰ νώτου προσπίπτοντες ἔκοπτον. πομπήιος δὲ ὡς κατεῖδεν ἀπὸ θατέρου τοὺς ἱππεῖς
φυγῇ σκεδασθέντας, οὐκέτι ἦν ὁ αὐτός. οὐδ' ἐμέμνητο πομπήιος ὢν μάγνος, ἀλλ' ὑπὸ θεοῦ μάλιστα
βλαπτομένῳ τὴν γνώμην ἐοικὼς ἢ διὰ θείας ἥττης τεθαμβημένος, ἄφθογγος ᾤχετο ἀπιὼν ἐπὶ σκη-
νήν. καὶ καθεζόμενος, ἐκαραδόκει τὸ μέλλον. ἄχρι οὗ τροπῆς ἁπάντων γενομένης, ἐπέβαινον οἱ πολέμιοι
τοῦ χάρακος, καὶ διεμάχοντο πρὸς τοὺς φυλάττοντας. τότε δὲ ὥσπερ ἔννους γενόμενος. καὶ ταύτην
μόνην ὥς φασι φωνὴν ἀφείς. οὐκοῦν καὶ ἐπὶ τὴν παρεμβολήν, ἀπεδύσατο μὲν τὴν ἐναγώνιον καὶ
στρατηγικὴν ἐσθῆτα φεύγοντι δὲ πρέπουσαν μεταβαλὼν ὑπεξῆλθεν. ἀλλ' οὗτος μὲν ταῖς ὕστερον χρη-
σάμενος τύχαις, ὅπως τε παραδοὺς ἑαυτὸν τοῖς αἰγυπτίοις ἀνδράσιν ἀνῃρέθη, δηλοῦμεν ἐν τοῖς περὶ
ἐκείνου γράμμασιν. ὁ δὲ καῖσαρ ὡς ἐν τῷ χάρακι τοῦ πομπηίου γενόμενος, τούς τε κειμένους νεκροὺς
ἤδη τῶν πολεμίων εἶδε, καὶ τοὺς ἔτι κτεινομένους, εἶπεν ἄρα στενάξας. τοῦτο ἐβουλήθησαν, εἰς τοῦτό με
ἀνάγκης ὑπηγάγον. ἵνα γάϊος καῖσαρ ὁ μεγίστους πολέμους κατορθώσας, εἰ προηκάμην τὰ στρατεύμα-
τα, κἂν κατεδικάσθην. ταῦτά φησι πωλίων ἀσίννιος τὰ ῥήματα ῥωμαϊστὶ μὲν ἀναφθέγξασθαι τὸν
καίσαρα παρὰ τὸν τότε καιρόν, ἑλληνιστὶ δ' ὑπ' αὐτοῦ γεγράφθαι. τῶν δὲ ἀποθανόντων τοὺς πλείστους,
οἰκέτας γενέσθαι, περὶ τὴν κατάληψιν τοῦ χάρακος ἀναιρεθέντας. στρατιώτας δέ, μὴ πλείους ἑξα-
κισχιλίων πεσεῖν. τῶν δὲ ζώντων ἁλόντων, κατέμιξε τοὺς πλείστους ὁ καῖσαρ εἰς τάγματα. πολ-
λοῖς δὲ καὶ τῶν ἐπιφανῶν ἄδειαν ἔδωκεν, ὧν καὶ βροῦτος ἦν ὁ κτείνας αὐτὸν ὕστερον. ἐφ' ᾧ λέγεται
μὴ φαινομένῳ μέν, ἀγωνιάσαι σωθέντος δὲ καὶ παραγενομένου πρὸς αὐτὸν ἡσθῆναι διαφερόντως. ση-
μείων δὲ πολλῶν γενομένων τῆς νίκης, ἐπιφανέστατον ἱστορεῖται, τὸ περὶ τράλλεις. ἐν γὰρ ἱερῷ νίκης,
ἀνδριὰς ἱστήκει καίσαρος, καὶ τὸ περὶ αὐτῷ χωρίον, αὐτό τε στερεὸν φύσει, καὶ λίθῳ σκληρῷ κατε-
στρωμένον ἦν ἄνωθεν ἐκ τούτου, λέγουσιν ἀνατεῖλαι φοίνικα, παρὰ τὴν βάσιν τοῦ ἀνδριάντος. ἐν δὲ πα-
ταβίῳ, γάϊος κορνήλιος ἀνὴρ εὐδόκιμος ἐπὶ μαντικῇ, λιβίου τοῦ συγγραφέως, πολίτης καὶ γνώρι-
μος ἐτύγχανεν ἐπ' οἰωνοῖς καθήμενος ἐκείνην τὴν ἡμέραν. καὶ πρῶτον μὲν ὡς λίβιος φησὶ τὸν και-
ρὸν ἔγνω τῆς μάχης. καὶ πρὸς τοὺς παρόντας ἔφη, ὅτι καὶ δὴ περαίνεται τὸ χρῆμα, καὶ συνίασιν εἰς
ἔργον οἱ ἄνδρες. αὖθις δὲ πρὸς τῇ θέᾳ γενόμενος, καὶ τὰ σημεῖα κατιδών, ἀνήλατο μετ' ἐνθουσιασμοῦ
βοῶν. νικᾷς ὦ καῖσαρ. ἐκπλαγέντων δὲ τῶν παρατυχόντων, περιελὼν τὸν στέφανον ἀπὸ τῆς κεφαλῆς,
ἐνωμότως ἔφη. μὴ πρὶν ἐπιθήσεσθαι πάλιν, ἢ τῇ δὲ τῇ τέχνῃ μαρτυρῆσαι τὸ ἔργον. ταῦτα μὲν οὕτω ὁ
λίβιος, οὕτω γενέσθαι καταβεβαιοῦται. καῖσαρ δὲ τῷ θετταλῶν ἔθνει τὴν ἐλευθερίαν ἀναθεὶς νι-
κητήριον, ἐδίωκε πομπήιον. ἁψάμενος δὲ τῆς ἀσίας, κνιδίους θεοπόμπῳ τῷ συναγαγόντι τοὺς μύ-
θους χαριζόμενος ἠλευθέρωσεν. καὶ πᾶσι τοῖς τὴν ἀσίαν κατοικοῦσι, τὸ τρίτον τῶν φόρων ἀνῆκεν.
εἰς δὲ ἀλεξάνδρειαν, ἐπὶ πομπηίῳ τεθνηκότι καταχθείς, θεόδοτον μὲν ἀπεστράφη, τὴν πομπηίου κεφα-
λὴν προσφέροντα. τὴν δὲ σφραγῖδα δεξάμενος τοῦ ἀνδρός, κατεδάκρυσεν. ὅσοι δὲ τῶν ἑταίρων αὐτοῦ καὶ
συνήθων, πλανώμενοι κατὰ τὴν χώραν ἑαλώκεσαν ὑπὸ τοῦ βασιλέως, πάντας εὐεργέτησεν, καὶ προ-
σηγάγετο. τοῖς δὲ φίλοις εἰς ῥώμην ἔγραφεν, ὅτι τῆς νίκης ἀπολαύοι τοῦτο μέγιστον καὶ ἥδιστον, τὸ σώ-
ζειν τινὰς ἀεὶ τῶν πεπολεμηκότων πολιτῶν αὐτῷ. τὸν δὲ αὐτόθι πόλεμον, οἱ μέν, οὐκ ἀναγκαῖον, ἀλλ'
ἔρωτι κλεοπάτρας, ἄδοξον αὐτῷ καὶ κινδυνώδη γενέσθαι λέγουσιν. οἱ δέ, τοὺς βασιλικοὺς αἰτιῶνται
καὶ μάλιστα τὸν εὐνοῦχον ποθεινόν, ὃς πλεῖστον δυνάμενος. καὶ πομπήιον μὲν ἀνῃρηκὼς ἔναγχος, ἐκβε-
βληκὼς δὲ κλεοπάτραν. κρύφα μέν, ἐπεβούλευε τῷ καίσαρι, καὶ διὰ τοῦτό φασιν αὐτόν, ἀρξάμενον
ἐκ τότε διανυκτερεύειν ἐν τοῖς πότοις ἕνεκα φυλακῆς τοῦ σώματος. φανερῶς δέ, οὐκ ἦν ἀνεκτός, ἐπί-
φθονα πολλά, καὶ πρὸς ὕβριν εἰς τὸν καίσαρα λέγων καὶ πράττων. τοὺς μὲν γὰρ στρατιώτας τὸν κάκι-
στον μετρουμένους, καὶ παλαιότατον σῖτον, ἐκέλευσεν ἀνέχεσθαι, καὶ στέργειν, ἐσθίοντας τὰ ἀλλότρια.
πρὸς δὲ τὰ δεῖπνα, σκεύεσιν ἐχρῆτο ξυλίνοις καὶ κεραμεοῖς ὡς τὰ χρυσᾶ καὶ ἀργυρᾶ πάντα καίσα-
ρος ἔχοντος εἴς τι χρέος. ὤφειλεν γὰρ ὁ τοῦ βασιλεύοντος τότε πατὴρ καίσαρι, χιλίας ἑπτακοσίας
πεντήκοντα μυριάδας. ὧν τὰς μὲν ἄλλας, ἀνῆκεν τοῖς παισὶν αὐτοῦ πρότερον ὁ καῖσαρ. τὰς δὲ χι-
λίας, ἠξίου τότε λαβὼν διαθρέψαι τὸ στράτευμα. τοῦ δὲ ποθεινοῦ νῦν μὲν αὐτὸν ἀπιέναι. καὶ τῶν μεγά-
λων ἔχεσθαι πραγμάτων κελεύοντος. ὕστερον δέ, κομιεῖσθαι μετὰ χάριτος εἰπών, ὡς αἰγυπτίων ἐλά-
χιστα δέοιτο συμβούλων, κρύφα τὴν κλεοπάτραν ἀπὸ τῆς χώρας μετεπέμπετο. κἀκείνη παραλα-
βοῦσα τῶν φίλων, ἀπολλόδωρον τὸν σικελιώτην μόνον. εἰς ἀκάτιον μικρὸν ἐκβᾶσα, τοῖς μὲν βα-

πήιος ἐχώρει τὸν καίσαρα διώκων. ὁ δὲ, τὴν μὲν ἄλλην πορείαν χαλεπῶς ἤνυσεν οὐδενὸς παρέχοντος ἀγοράν, ἀλλὰ πάντων καταφρονούντων διὰ τὴν ἔναγχος ἧτταν. ὡς δὲ εἷλε γόμφους θεσσαλικὴν πόλιν, οὐ μόνον ἔθρεψε τὴν στρατιάν, ἀλλὰ καὶ τοῦ νοσήματος ἀπήλλαξε παραλόγως. ἀφθόνῳ γὰρ ἐντυχόντες οἴνῳ, καὶ πιόντες ἀνέδην, εἶτα χρώμενοι κώμοις καὶ βακχεύοντες ἀνὰ τὴν ὁδὸν ἐκ μέθης διεκρούσαντο καὶ παρήλλαξαν τὸ πάθος, εἰς ἕξιν ἑτέραν τοῖς σώμασι μεταπεσόντες. ὡς δ' εἰς τὴν φαρσαλίαν ἐμβαλόντες ἀμφότεροι κατεστρατοπέδευσαν, ὁ μὲν πομπήιος αὖθις εἰς τὸν ἀρχαῖον ἀνεκρούετο λογισμὸν τὴν γνώμην, ἔτι καὶ φασμάτων οὐκ αἰσίων προσγενομένων, καὶ καθ' ὕπνον ὄψεως. ἐδόκει γὰρ *ᐟ ἑαυτὸν ὁρᾶν ἐν τῷ θεάτρῳ κροτούμενον ὑπὸ ῥωμαίων. οἱ δὲ περὶ αὐτὸν οὕτω θρασεῖς ἦσαν, καὶ τὸ νίκημα ταῖς ἐλπίσι προειληφότες, ὥστε φιλονεικεῖν ὑπὲρ τῆς καίσαρος ἀρχιερωσύνης, δομίτιον καὶ σπινθῆρα καὶ σκηπίωνα διαμιλλωμένους ἀλλήλοις. πέμπειν δὲ πολλοὺς εἰς ῥώμην μισθουμένους καὶ προκαταλαμβάνοντας οἰκίας ὑπατεύουσι καὶ στρατηγοῦσιν ἐπιτηδείους, ὡς εὐθὺς ἄρξοντες μετὰ τὸν πόλεμον. μάλιστα δὲ ἐσφάδαζον οἱ ἱππεῖς ἐπὶ τὴν μάχην ἠσκημένοι περιττῶς ὅπλων λαμπρότησι, καὶ τροφαῖς ἵππων, καὶ κάλλει σωμάτων μέγα φρονοῦντες, καὶ διὰ τὸ πλῆθος ἑπτακισχίλιοι πρὸς χιλίους τοὺς καίσαρος ὄντες. ἦν δὲ καὶ τὸ τῶν πεζῶν πλῆθος οὐκ ἀγχώμαλον. ἀλλὰ τετρακισμύριοι καὶ πεντακισχίλιοι παρετάττοντο δισμυρίοις καὶ δισχιλίοις. ὁ δὲ καῖσαρ τοὺς στρατιώτας συναγαγὼν καὶ προειπὼν, ὡς δύο μὲν αὐτῷ τάγματα κορνιφίκιος ἄγων ἐγγύς ἐστιν. ἄλλαι δὲ πεντεκαίδεκα σπεῖραι μετὰ καλήνου κάθηνται περὶ μέγαρα καὶ ἀθήνας, ἠρώτησεν εἴτε βούλονται περιμένειν ἐκείνους, εἴτε αὐτοὶ διακινδυνεῦσαι καθ' ἑαυτούς. οἱ δὲ ἀνεβόησαν δεόμενοι μὴ περιμένειν, ἀλλὰ μᾶλλον ὅπως τάχιστα συνίωσιν εἰς χεῖρας τοῖς πολεμίοις τεχνάζεσθαι καὶ στρατηγεῖν. ποιουμένῳ δὲ καθαρμὸν αὐτῷ τῆς δυνάμεως, καὶ θύσαντι τὸ πρῶτον ἱερεῖον, εὐθὺς ὁ μάντις ἔφραζε. τριῶν ἡμερῶν μάχῃ κριθήσεσθαι πρὸς τοὺς πολεμίους. ἐρομένου δὲ τοῦ καίσαρος εἰ καὶ περὶ τοῦ τέλους ἐνορᾷ τι τοῖς ἱερείοις εὔσημον, αὐτὸς ἂν ἔφη σὺ τοῦτο βέλτιον ὑποκρίναιο σαυτῷ. μεγάλην γὰρ οἱ θεοὶ μεταβολὴν καὶ μετάπτωσιν ἐπὶ τὰ ἐναντία τῶν καθεστώτων δηλοῦσιν. ὥστε εἰ μὲν εὖ πράττειν ἡγῇ σεαυτὸν ἐπὶ τῷ παρόντι, τὴν χείρονα προσδόκα τύχην. εἰ δὲ κακῶς, τὴν ἀμείνονα. τῇ δὲ πρὸ τῆς μάχης νυκτὶ τὰς φυλακὰς ἐφοδεύοντος αὐτοῦ, περὶ τὸ μεσονύκτιον ὤφθη λαμπὰς οὐρανίου πυρός, ἣν ὑπερενεχθεῖσαν τὸ καίσαρος στρατόπεδον λαμπρὰν καὶ φλογώδη γενομένην, ἔδοξεν εἰς τὸ πομπηίου καταπεσεῖν. ἑωθινῆς δὲ φυλακῆς καὶ πανικὸν τάραχον ᾔσθοντο γινόμενον παρὰ τοῖς πολεμίοις. οὐ μὴν μαχεῖσθαί γε κατ' ἐκείνην προσεδόκα τὴν ἡμέραν. ἀλλ' ὡς ἐπὶ σκόπης ὁδεύων ἀνεζεύγνυεν. ἐπεὶ δὲ τῶν σκηνῶν ἤδη καταλελυμένων, οἱ σκοποὶ προσίππευσαν αὐτῷ, τοὺς πολεμίους ἐπὶ μάχῃ καταβαίνειν ἀπαγγέλλοντες, περιχαρὴς γενόμενος καὶ εὐξάμενος τοῖς θεοῖς παρετάττε τὴν φάλαγγα, τὴν τάξιν τριπλῆν ποιῶν. καὶ τοῖς μὲν μέσοις ἐπέστησε καλβῖνον δομίτιον. τῶν δὲ κεράτων, τὸ μὲν εἶχεν ἀντώνιος. αὐτὸς δὲ τὸ δεξιόν. ἐν τῷ δεκάτῳ τάγματι μέλλων μάχεσθαι. κατὰ τοῦτο δὲ τοὺς τῶν πολεμίων ἱππεῖς ἀντιπαρατατομένους ὁρῶν, καὶ δεδοικὼς τὴν λαμπρότητα καὶ τὸ πλῆθος αὐτῶν, ἀπὸ τῆς ἐσχάτης τάξεως ἀδήλως ἐκέλευσε περιελθεῖν πρὸς ἑαυτὸν ἓξ σπείρας, καὶ κατέστησεν ὄπισθεν τοῦ δεξιοῦ. διδάξας ἃ χρὴ ποιεῖν ὅταν οἱ τῶν πολεμίων ἱππεῖς προσφέρωνται. πομπήιος δὲ τὸ μὲν αὐτὸς εἶχε τῶν κεράτων. τὸ δ' εὐώνυμον δομίτιος. τοῦ δὲ μέσου, σκηπίων ἦρχεν ὁ πενθερός. οἱ δὲ ἱππεῖς ἅπαντες, ἐπὶ τὸ ἀριστερὸν ἔβρισαν. ὡς τὸ δεξιὸν κυκλωσόμενοι τῶν πολεμίων, καὶ λαμπρὰν περὶ αὐτὸν τὸν ἡγεμόνα ποιησόμενοι τροπήν. οὐδὲν γὰρ ἀνθέξειν βάθος ὁπλιτικῆς φάλαγγος, ἀλλὰ συντρίψεσθαι καὶ καταρράξεσθαι πάντα τοῖς ἐναντίοις, ἐπιβολῆς ἅμα τοσούτων ἱππέων γενομένης. ἐπεὶ δὲ σημαίνειν ἔμελλον ἀμφότεροι τὴν ἔφοδον, πομπήιος μὲν ἐκέλευσε τοὺς ὁπλίτας ἑστῶτας ἐν προβολῇ καὶ μένοντας ἀραρότως δέχεσθαι τὴν ἐπιδρομὴν τῶν πολεμίων, μέχρις ἂν ὑσσοῦ βολῆς ἐντὸς γένωνται. καῖσαρ δὲ καὶ περὶ τοῦτο διαμαρτεῖν φησὶν αὐτὸν ἀγνοήσαντα τὴν μετὰ δρόμου καὶ φορᾶς ἐν ἀρχῇ γινομένην σύρραξιν, ὡς ἔν τε ταῖς πληγαῖς βίαν προστίθησι καὶ συνεκκαίει τὸν θυμὸν ἐκ πάντων ἀναρριπιζόμενον. αὐτὸς δὲ κινεῖν τὴν φάλαγγα μέλλων, καὶ προϊὼν ἐπ' ἔργον, ἤδη πρῶτον ὁρᾷ τῶν ταξιάρχων ἄνδρα πιστὸν αὐτῷ καὶ πολέμων ἔμπειρον, ἐπιθαρσύνοντα τοὺς ὑφ' αὐτῷ, καὶ προκαλούμενον εἰς ἅμιλλαν ἀλκῆς. τοῦτον ὀνομαστὶ προσαγορεύσας, τί ἐλπίζομεν εἶπεν ὦ γάιε κρασσίνιε, καὶ πῶς τι θάρσους ἔχομεν. ὁ δὲ κρασσίνιος ἐκτείνας τὴν δεξιὰν καὶ μέγα βοήσας, νικήσομεν ἔφη λαμπρῶς ὦ καῖσαρ. ἐμὲ γὰρ ἢ ζῶντα τήμερον, ἢ τεθνηκότα ἐπαινέσεις. ταῦτα εἰπὼν, πρῶτος ἐμβάλλει τοῖς πολεμίοις δρόμῳ συνεπισπασάμενος τοὺς περὶ αὐτὸν, ἑκατὸν εἴκοσι στρατιώτας. διακόψας δὲ τοὺς πρώτους καὶ πρόσω χωρῶν φόνῳ πολλῷ καὶ βιαζόμενος, ἀνακόπτεται ξίφει πληγεὶς διὰ τοῦ στόματος, ὥστε καὶ τὴν αἰχμὴν ὑπὸ τὸ ἰνίον ἀνασχεῖν. οὕτω δὲ τῶν πεζῶν κατὰ τὸ μέσον συρραγέντων καὶ μαχομένων ἀπὸ τοῦ κέρατος, οἱ τοῦ πομπηίου ἱππεῖς σοβαρῶς ἐπήλαυνον. εἰς κύκλωσιν τοῦ δεξιοῦ τὰς ἴλας ἀνεχόμενοι, καὶ πρὶν ἢ προσβαλεῖν αὐτούς, ἐκτρέχουσιν αἱ σπεῖραι παρὰ
.q. καίσαρος, οὐχ ὡς πρὸ εἰώθασιν ἀκοντίσμασι χρώμενοι τοῖς ὑσσοῖς, οὐδὲ μηροὺς παίοντες ἐκ χειρὸς

Nō absoluit somniū. Ideo uī aliqd deesse. In Pōpeio nihil deest. Vide locū ubi est hoc signū ✠ 214. b.

ἐπὶ σκοτούσης.
προσευξάμενος.

vide lib. iii. de bello civili pag. 375. hinc et locus ibi corruptus emendatur

ἀναχεόμενοι. s. n. q.
ἀκοντισμασ. n.

μὸς καὶ τραχὺς ἅμα καὶ κτύπῳ μεγάλῳ, καὶ σπιλάδαις ἀνακοπτόμενος δίναις, ἄπορος ἦν βιασθῆναι τῷ κυβερνήτῃ. καὶ μεταβαλεῖν ἐκέλευσε τοὺς ναύτας ὡς ἀποστρέψων τὸν πλοῦν. αἰσθόμενος δὲ ὁ καῖσαρ, ἀναδείκνυσιν ἑαυτόν, καὶ τοῦ κυβερνήτου λαβόμενος τῆς χειρὸς ἐκπεπληγμένου πρὸς τὴν ὄψιν. ἴθι ἔφη γενναῖε. τόλμα καὶ δέδιθι μηδέν. καίσαρα φέρεις, καὶ τὴν καίσαρος τύχην συμπλέουσαν. ἐλάθοντο τοῦ χειμῶνος οἱ ναῦται. καὶ ταῖς κόπαις ἐμφύντες, ἐβιάζοντο πάσῃ προθυμίᾳ τὸν ποταμόν. ὡς δὲ ἦν ἄπορα, δεξάμενος πολλὴν θάλατταν καὶ κινδυνεύσας ἐν τῷ στόματι, συνεχώρησε μάλα ἄκων τῷ κυβερνήτῃ μεταβαλεῖν, ἀνιόντι δὲ αὐτῷ κατὰ πλῆθος ἀπήντων οἱ στρατιῶται, πολλὰ μεμφόμενοι καὶ δυσπαθοῦντες, εἰ μὴ πέπεισται καὶ σὺν αὐτοῖς μόνοις ἱκανὸς εἶναι νικᾶν. ἀλλ᾽ ἄχθεται καὶ παραβάλλεται διὰ τοὺς ἀπόντας, ὡς ἀπιστῶν τοῖς παροῦσιν. ἐκ τούτου κατέπλευσε μὲν ἀντώνιος ἀπὸ βρεντησίου τὰς δυνάμεις ἄγων, θαρρήσας δὲ καῖσαρ, προὐκαλεῖτο πομπήιον ἱδρυμένον ἐν καλῷ, καὶ χορηγούμενον ἔκ τε γῆς καὶ θαλάττης ἀποχρώντως, αὐτὸς ἐν οὐκ ἀφθόνοις διάγων κατ᾽ ἀρχάς. ὕστερον δὲ καὶ σφόδρα πιεσθεὶς ἀπορίᾳ τῶν ἀναγκαίων. ἀλλὰ ῥίζαν τινὰ κόπτοντες οἱ στρατιῶται. καὶ γάλακτι φυρῶντες, προσεφέροντο. καί ποτε καὶ διαπλάσαντες ἐξ αὐτῆς ἄρτους, καὶ ταῖς προφυλακαῖς τῶν πολεμίων ἐπιδραμόντες, ἔβαλον εἴσω καὶ διερρίπτουν ἐπιλέγοντες. ὡς ἄχρι ἂν ἡ γῆ τοιαύτας ἐκφέρῃ ῥίξας, οὐ παύσονται πολιορκοῦντες πομπήιον. ὁ μέντοι πομπήιος οὔτε τοὺς ἄρτους, οὔτε τοὺς λόγους εἴα τούτους ἐκφέρεσθαι πρὸς τὸ πλῆθος. ἠθύμουν γὰρ οἱ στρατιῶται τὴν ἀγριότητα καὶ τὴν ἀπάθειαν τῶν πολεμίων, ὥσπερ θηρίων ὀρρωδοῦντες. ἀεὶ δέ τινες περὶ τοῖς ἐρύμασι τοῖς πομπηίου μάχαι σποράδες ἐγίγνοντο, καὶ περιῆν πάσαις ὁ καῖσαρ. πλὴν μιᾶς, ἐν ᾗ τροπῆς μεγάλης γενομένης, ἐκινδύνευσε μὲν ἀπολέσαι τὸ στρατόπεδον. πομπηίου γὰρ προσβαλόντος, οὐδεὶς ἔμεινεν. ἀλλὰ καὶ τάφροι κατεπίμπλαντο κτεινομένων καὶ περὶ τοῖς αὐτῶν χαρακώμασι καὶ περιτειχίσμασιν ἔπιπτον ἐλαυνόμενοι προτροπάδην. καῖσαρ δὲ ὑπαντιάζων, ἐπειρᾶτο μὲν ἀναστρέφειν τοὺς φεύγοντας. ἐπέραινε δὲ οὐδέν, ἀλλ᾽ ἐπιλαμβανομένου τῶν σημείων ἀπερρίπτουν οἱ κομίζοντες. ὥστε δύο καὶ τριάκοντα λαβεῖν τοὺς πολεμίους. αὐτὸς δὲ παρὰ μικρὸν ἦλθεν ἀποθανεῖν. ἀνδρὶ γὰρ μεγάλῳ καὶ ῥωμαλέῳ φεύγοντι παρ᾽ αὐτόν, ἐπιβαλὼν τὴν χεῖρα, μένειν ἐκέλευσε, καὶ στρέφεσθαι πρὸς τοὺς πολεμίους. ὁ δὲ μεστὸς ὢν ταραχῆς παρὰ τὸ δεινόν, ἐπειρᾶτο τὴν μάχαιραν ὡς καθιξόμενος. φθάνει δὲ ὁ τοῦ καίσαρος ὑπασπιστὴς ἀποκόψας αὐτοῦ τὸν ὦμον. οὕτω δὲ ἀπέγνω τὰ καθ᾽ αὑτόν, ὥστε ἐπεὶ πομπήιος ὑπ᾽ εὐλαβείας τινός, ἢ τύχης ἔργῳ μεγάλῳ τέλος οὐκ ἀπέθηκεν, ἀλλὰ καθείρξας εἰς τὸν χάρακα τοὺς φεύγοντας ἀνεχώρησεν. εἶπεν ἄρα πρὸς τοὺς φίλους ἀπιὼν ὁ καῖσαρ, σήμερον ἂν ἡ νίκη παρὰ τοῖς πολεμίοις ἦν, εἰ τὸν νικῶντα εἶχον. αὐτὸς δὲ παρελθὼν εἰς τὴν σκηνήν καὶ κατακλιθείς, νύκτα πασῶν ἐκείνην ἀνιαροτάτην διήγαγεν, ἐν ἀπόροις λογισμοῖς ὡς κακῶς ἐστρατηγηκώς. ὅτι καὶ χώρας ἐπικειμένης βαθείας καὶ πόλεων εὐδαιμόνων, τῶν μακεδονικῶν καὶ θετταλικῶν, ἐάσας ἐκεῖ περισπάσαι τὸν πόλεμον, ἐνταῦθα καθέζοιτο πρὸς θαλάττῃ ναυκρατούντων τῶν πολεμίων, πολιορκούμενος τοῖς ἀναγκαίοις μᾶλλον ἢ τοῖς ὅπλοις πολιορκῶν. οὕτω δὲ περιπαθεὶς καὶ ἀνιαθεὶς πρὸς τὴν ἀπορίαν καὶ χαλεπότητα τῶν παρόντων, ἀνίστη τὸν στρατόν, ἐπὶ σκηπίωνα προάγειν εἰς μακεδονίαν ἐγνωκώς, ἢ γὰρ ἐπισπάσεσθαι τὸν πομπήιον ὅπου μαχεῖται μὴ χορηγούμενος ὁμοίως ἀπὸ τῆς θαλάττης, ἢ περιέσεσθαι μεμονωμένου σκηπίωνος. τοῦτο τὴν πομπηίου στρατιὰν ἐπῆρε καὶ τοὺς περὶ αὐτὸν ἡγεμόνας, ὡς ἡττημένου καὶ φεύγοντος ἔχεσθαι καίσαρος. αὐτὸς μὲν γὰρ εὐλαβῶς εἶχε πομπήιος ἀναρρῖψαι τὴν μάχην περὶ τηλικούτων. καὶ παρεσκευασμένος ἄριστα πᾶσι πρὸς τὸν χρόνον, ἠξίου τρίβειν καὶ μαραίνειν τὴν τῶν πολεμίων ἀκμὴν βραχεῖαν οὖσαν. τὸ γάρ τοι μαχιμώτατον τῆς καίσαρος δυνάμεως ἐμπειρίαν μὲν εἶχε καὶ τόλμαν ἀνυπόστατον πρὸς τοὺς ἀγῶνας. ἐν δὲ ταῖς πλάναις καὶ ταῖς στρατοπεδείαις καὶ τειχομαχοῦντες καὶ νυκτεγερτοῦντες ἐξέκαμνον ὑπὸ γήρως. καὶ βαρεῖς ἦσαν τοῖς σώμασι πρὸς τοὺς πόνους, δι᾽ ἀσθένειαν ἐγκαταλιπόντες τὴν προθυμίαν. τότε δὲ καί τι νόσημα λοιμῶδες ἐλέχθη, τὴν ἀτοπίαν τῆς διαίτης ποιησάμενον ἀρχήν, ἐν τῇ στρατιᾷ περιφέρεσθαι τῇ καίσαρος. καὶ τὸ μέγιστον οὔτε χρήμασιν ἐρρωμένος, οὔτε τροφῆς εὐπορῶν χρόνου βραχέος ἐδόκει περὶ αὑτῷ καταλυθήσεσθαι. διὰ ταῦτα πομπηίῳ μάχεσθαι μὴ βουλομένῳ, μόνος ἐπῄνει κάτων φειδοῖ τῶν πολιτῶν. ὅς γε καὶ τοὺς πεσόντας ἐν τῇ μάχῃ τῶν πολεμίων εἰς χιλίους τὸ πλῆθος γενομένους ἰδών, ἀπῆλθεν ἐγκαλυψάμενος καὶ καταδακρύσας. οἱ δ᾽ ἄλλοι πάντες ἐκάκιζον τὸν πομπήιον φυγομαχοῦντα καὶ παρώξυνον ἀγαμέμνονα καὶ βασιλέα βασιλέων ἀποκαλοῦντες. ὡς δὴ μὴ βουλόμενον ἀποθέσθαι τὴν μοναρχίαν, ἀλλ᾽ ἀγαλλόμενον ἡγεμόνων τοσούτων ἐξηρτημένων αὐτοῦ καὶ φοιτώντων ἐπὶ σκηνήν. φαώνιος δὲ τὴν κάτωνος παρρησίαν ἀποποιούμενος μανικῶς ἐσχετλίαζεν, εἰ μηδὲ τῆτες ἔσται τῶν περὶ τουσκλαῖον ἀπολαῦσαι σύκων, διὰ τὴν πομπηίου μοναρχίαν. ἀφράνιος δέ, νεωστὶ γὰρ ἐξ ἰβηρίας ἀφῖκτο κακῶς στρατηγήσας, διαβαλλόμενος ἐπὶ χρήμασι προδοῦναι τὸν στρατόν, ἠρώτα. διατί πρὸς τὸν ἔμπορον οὐ μάχεται, τὸν ἐωνημένον παρ᾽ αὐτοῦ τὰς ἐπαρχίας. ἐκ τούτων ἁπάντων συνελαυνόμενος ἄκων εἰς μάχην ὁ πομ-

κώπαις

ῥίζας

ἐπέθηκε

Vide i Porcio ubi est 5° signum
B 214. b:

νάσιμον πεπωκότα, περιχαρὴς ἀναστὰς ἀπῄει πρὸς καίσαρα, καὶ λαβὼν δεξιὰν αὖθις διεξέπεσε πρὸς πομπήιον. ταῦτα εἰς τὴν ῥώμην ἀπαγγελλόμενα, τοὺς ἀνθρώπους ἡδίους ἐποίει. καί τινες φυγόντες ἀνέστρεψαν. ὁ δὲ καῖσαρ τήν τε τοῦ δομετίου στρατιὰν παρέλαβε. καὶ τοὺς ἄλλους ὅσοι ἐν ταῖς πόλεσι πομπηΐῳ στρατολογουμένους ἔφθασε καταλαβών. πολὺς δὲ γεγονὼς ἤδη καὶ φοβερὸς, ἐπ' αὐτὸν ἤλαυνε πομπήιον. ὁ δὲ οὐκ ἐδέξατο τὴν ἔφοδον ἀλλ' εἰς βρεντήσιον φυγὼν τοὺς μὲν ὑπάτους πρότερον ἔστειλε μετὰ δυνάμεως εἰς δυῤῥάχιον. αὐτὸς δὲ ὀλίγον ὕστερον ἐπελθόντος καίσαρος ἐξέπλευσεν, ὡς ἐν τοῖς περὶ ἐκείνου γραφησομένοις τὰ καθ' ἕκαστα δηλωθήσεται. καίσαρι δὲ βουλομένῳ μὲν εὐθὺς διώκειν, ἀπορία νεῶν ἦν. εἰς δὲ τὴν ῥώμην ἀνέστρεψε, γεγονὼς ἐν ἡμέραις ἑξήκοντα πάσης ἀναιμωτὶ τῆς ἰταλίας κύριος. ἐπεὶ δὲ καὶ τὴν πόλιν εὗρε μᾶλλον ἢ προσεδόκα καθεστῶσαν. καὶ τῶν ἀπὸ βουλῆς ἐν αὐτῇ συχνούς, τούτοις μὲν ἐπιεικῆ καὶ δημοτικὰ διελέχθη, παρακαλῶν αὐτοὺς καὶ πρὸς πομπήιον ἀποστέλλειν ἄνδρας ἐπὶ συμβάσεσι πρεπούσαις. ὑπήκουσε δ' οὐδεὶς, εἴτε φοβούμενοι πομπήιον ἐγκαταλελειμμένοι. εἴτε νομίζοντες οὐχ οὕτω καίσαρα φρονεῖν, ἀλλ' εὐπρεπεία λόγων χρῆσθαι. τοῦ δὲ δημάρχου μετέλλου κωλύοντος αὐτὸν ἐκ τῶν ἀποθέτων χρήματα λαμβάνειν, καὶ νόμους τινὰς προφέροντος. οὐκ ἔφη τὸν αὐτὸν ὅπλων καὶ νόμων καιρὸν εἶναι. σὺ δὲ εἰ τοῖς πραττομένοις δυσκολαίνεις, νῦν μὲν ἐκποδὼν ἄπιθι. παῤῥησίας γὰρ οὐ δεῖται πόλεμος. ὅταν δὲ καταθῶμαι τὰ ὅπλα συμβάσεων γενομένων, τότε παριὼν δημαγωγήσεις, καὶ ταῦτα ἔφη λέγων τῶν ἐμαυτοῦ δικαίων ὑφίεμαι. ἐμὸς γὰρ εἶ σὺ, καὶ πάντες ὅσους εἴληφα, τῶν πρὸς ἐμὲ στασιαστῶν. ταῦτα πρὸς τὸν μέτελλον εἰπὼν, ἐβάδιζε πρὸς τὰς θύρας τοῦ ταμιείου. μὴ φαινομένων δὲ τῶν κλειδῶν, χαλκεῖς μεταπεμψάμενος, ἐκκόπτειν ἐκέλευεν. αὖθις δὲ ἐνισταμένου τοῦ μετέλλου, καί τινων ἐπαινούντων διατεινόμενος, ἠπείλησεν ἀποκτενεῖν αὐτὸν εἰ μὴ παύσαιτο παρενοχλῶν, καὶ τοῦτο ἔφη μειράκιον οὐκ ἀγνοεῖς, ὅτι μοι δυσκολώτερον ἦν εἰπεῖν ἢ πρᾶξαι. οὗτος ὁ λόγος τότε καὶ μέτελλον ἀπελθεῖν ἐποίησε καταδείσαντα. καὶ τὰ ἄλλα ῥᾳδίως αὐτῷ καὶ ταχέως ὑπηρετεῖσθαι πρὸς τὸν πόλεμον. ἐστράτευε δὲ εἰς ἰβηρίαν, πρότερον ἐγνωκὼς τοὺς περὶ ἀφράνιον καὶ βάρωνα πομπηίου πρεσβευτὰς ἐκβαλεῖν, καὶ τὰς ἐκεῖ δυνάμεις καὶ τὰς ἐπαρχίας ὑφ' αὑτῷ ποιησάμενος, οὕτως ἐπὶ πομπήιον ἐλαύνειν, μηδένα κατὰ νώτου τῶν πολεμίων ἀπολιπόμενος. κινδυνεύσας δὲ καὶ σώματι πολλάκις κατ' ἐνέδρας. καὶ τῷ στρατῷ μάλιστα διὰ λιμὸν, οὐκ ἀνῆκε πρότερον διώκων καὶ προκαλούμενος καὶ περιταφρεύων τοὺς ἄνδρας, ἢ κύριος βίᾳ γενέσθαι τῶν στρατοπέδων καὶ τῶν δυνάμεων. οἱ δὲ ἡγεμόνες ᾤχοντο πρὸς πομπήιον φεύγοντες. ἐπανελθόντα δὲ εἰς ῥώμην καίσαρα, πείσων μὲν ὁ πενθερὸς παρεκάλει πρὸς πομπήιον ἀποστέλλειν ἄνδρας ὑπὲρ διαλύσεως, ἰσαυρικὸς δὲ καίσαρι χαριζόμενος ἀντεῖπεν. αἱρεθεὶς δὲ δικτάτωρ ὑπὸ τῆς βουλῆς, φυγάδας τε κατήγαγε, καὶ τῶν ἐπὶ σύλλα δυστυχησάντων τοὺς παῖδας ἐπιτίμους ἐποίησε. καὶ σεισαχθείᾳ τινὶ τόκων ἐκούφιζε τοὺς χρεωφειλέτας. ἄλλων τε τοιούτων ἥψατο πολιτευμάτων, οὐ πολλῶν, ἀλλ' ἐν ἡμέραις ἕνδεκα τὴν μὲν μοναρχίαν ἀπειπάμενος, ὕπατον δὲ ἀναδείξας ἑαυτὸν καὶ σερουίλιον ἰσαυρικὸν, εἴχετο τῆς στρατείας, καὶ τὰς μὲν ἄλλας δυνάμεις καθ' ὁδὸν ἐπειγόμενος παρῆλθεν. ἱππεῖς δὲ ἔχων λογάδας ἑξακοσίους καὶ πέντε τάγματα, χειμῶνος ἐν τροπαῖς ὄντος ἱσταμένου ἰανουαρίου μηνός. οὗτος δ' ἂν εἴη ποσειδεὼν ἀθηναίοις, ἀφῆκεν εἰς τὸ πέλαγος, καὶ διαβαλὼν τὸν ἰόνιον ὤρικον καὶ ἀπολλωνίαν αἱρεῖ. τὰ δὲ πλοῖα πάλιν ἀπέπεμψεν εἰς βρεντήσιον ἐπὶ τοὺς ὑστερήσαντας τῇ πορείᾳ στρατιώτας. οἱ δὲ ἄχρι μὲν καθ' ὁδὸν ἦσαν ἅτε δὴ καὶ παρηκμακότες ἤδη τοῖς σώμασι, καὶ πρὸς τὰ πλήθη τῶν πολεμίων ἀπειρηκότες, ἐν αἰτίαις εἶχον τὸν καίσαρα. ποῖ δὴ καὶ πρὸς τί πέρας ὁ ἀνὴρ καταθήσεται περιφέρων καὶ χρώμενος ὥσπερ ἀτρύτοις καὶ ἀψύχοις ἡμῖν, καὶ σίδηρος ἐξέκαμε πληγαῖς, καὶ θυρεοῦ τις ἐστὶ φειδὼς ἐν χρόνῳ τοσούτῳ καὶ θώρακος. οὐδὲ ἀπὸ τῶν τραυμάτων ἄρα λογίζεται καῖσαρ ὅτι θνητῶν μὲν ἄρχει, θνητὰ δὲ πεφύκαμεν πάσχειν καὶ ἀλγεῖν, ὥραν δὲ χειμῶνος καὶ πνεύματος ἐν θαλάττῃ καιρὸν οὐδὲ θεῷ βιάζεσθαι δυνατὸν, ἀλλ' οὗτος παραβάλλεται καθάπερ οὐ διώκων πολεμίους, ἀλλὰ φεύγων. τοιαῦτα λέγοντες ἐπορεύοντο σχολαίως εἰς τὸ βρεντήσιον, ὡς δὲ ἐλθόντες εὗρον ἀνηγμένον τὸν καίσαρα ταχὺ πάλιν αὖ μεταβαλόντες, ἐκάκιζον ἑαυτοὺς, προδότας ἀποκαλοῦντες τοῦ αὐτοκράτορος, ἐκάκιζον δὲ καὶ τοὺς ἡγεμόνας οὐκ ἐπιταχύναντας τὴν πορείαν. καθήμενοι δὲ ἐπὶ τῶν ἄκρων πρὸς τὸ πέλαγος καὶ τὴν ἤπειρον, ἀπεσκόπουν τὰς ναῦς ἐφ' ὧν ἔμελλον περαιοῦσθαι πρὸς ἐκεῖνον. ἐν δὲ ἀπολλωνίᾳ καῖσαρ, οὐκ ἔχων ἀξιόμαχον τὴν μεθ' ἑαυτοῦ δύναμιν, βραδυνούσης δὲ τῆς ἐκεῖθεν. ἀπορούμενος καὶ περιπαθῶν, δεινὸν ἐβούλευσε βούλευμα, κρύφα πάντων εἰς πλοῖον ἐμβὰς τὸ μέγεθος δωδεκάσκαλμον, ἀναχθῆναι πρὸς τὸ βρεντήσιον, τηλικούτοις στόλοις περιεχομένου τοῦ πελάγους ὑπὸ τῶν πολεμίων. νυκτὸς οὖν ἐσθῆτι θεράποντος ἐπικρυψάμενος ἀνέβη. καὶ καταβαλὼν ἑαυτὸν ὥς τινα τῶν παρημελημένων ἡσύχαζεν. τοῦ δὲ αἰίου ποταμοῦ τὴν ναῦν ὑποφέροντος εἰς τὴν θάλασσαν, τὴν μὲν ἑωθινὴν αὔραν ἣ παρεῖχε τηνικαῦτα περὶ τὰς ἐκβολὰς γαλήνην ἀπωθοῦσα πόῤῥω τὸ κῦμα, πολὺς πλεύσας πελάγιος διὰ νυκτὸς ἀπέσβεσε. πρὸς δὲ τὴν πλημμύραν τῆς θαλάσσης καὶ τὴν ἀντίβασιν τοῦ κλύδωνος ἀγριαίνων ὁ ποτα-

στασιασάντων

ἀπαλγάμενος(?) · η. β. Η. ἴσως

ὠρικὸν

φειδὼ ς. μ.

πνεύσας ς. μ.

τευμα πέραν Ἄλπεων ἀπολελειμμένον ἔμελλον ἄξειν οἱ πεμφθέντες· ὁρῶν δὲ τὴν ἀρχὴν ὧν ἐνίστατο
πραγμάτων, καὶ τὴν ἔφοδον οὐ πολυχειρίας δεομένην. ἐν τῷ παρόντι μᾶλλον ἢ θάμβει τε τόλμης
καὶ τάχει καιροῦ καταληπτίαν οὖσαν. ἐκπλήξειν γὰρ ἀπιστούμενος ῥᾷον ἢ βιάσασθαι μετὰ παρα-
σκευῆς ἐπελθών, τοὺς μὲν ἡγεμόνας καὶ ταξιάρχους ἐκέλευσε μαχαίρας ἔχοντας ἄνευ τῶν ἄλλων
ὅπλων καταλαβεῖν ἀρίμινον τῆς κελτικῆς μεγάλην πόλιν, ὡς ἐνδέχεται μάλιστα φεισαμένους φό-
νου καὶ ταραχῆς. ὀρτησίῳ δὲ τὴν δύναμιν παρέδωκε. αὐτὸς δὲ τὴν μὲν ἡμέραν διῆγεν ἐν φανερῷ,
μονομάχοις ἐφεστὼς γυμναζομένοις καὶ θεώμενος. μικρὸν δὲ πρὸ ἑσπέρας θεραπεύσας τὸ σῶμα
[margin: περικεκλημένοις κ.] καὶ παρελθὼν εἰς τὸν ἀνδρῶνα καὶ συγγενόμενος βραχέα τοῖς κεκλημένοις ἐπὶ τὸ δεῖπνον, ἤδη συ-
σκοτάζοντος ἐξανέστη. καὶ τοὺς μὲν ἄλλους φιλοφρονηθεὶς καὶ κελεύσας περιμένειν αὐτὸν ὡς ἐπα-
νελευσόμενον. ὀλίγοις δὲ τῶν φίλων προείρητο, μὴ κατὰ τὸ αὐτὸ πάντας, ἄλλον δὲ ἄλλῃ διώκειν.
αὐτὸς δὲ τῶν μισθίων ζευγῶν ἐπιβὰς ἑνὸς ἤλαυνεν ἑτέραν τινὰ πρῶτον ὁδόν, εἶτα πρὸς τὸ ἀρίμινον
[margin: διορίζοντα κ. ς.] ἐπιστρέψας, ὡς ἦλθεν ἐπὶ τὸν ὁρίζοντα τὴν ἐντὸς ἄλπεων γαλατίαν ἀπὸ τῆς ἄλλης ἰταλίας πο-
ταμὸν ῥουβίκων καλεῖται. καὶ λογισμὸς αὐτὸν εἰσῄει μᾶλλον ἐγγίζοντα τῷ δεινῷ. καὶ περιφε-
ρόμενον τῷ μεγέθει τῶν τολμωμένων ἔσχετο δρόμου. καὶ τὴν πορείαν ἐπιστήσας, πολλὰ μὲν αὐτὸς ἐν
ἑαυτῷ διήνεγκε σιγῇ τὴν γνώμην ἐπ' ἀμφότερα μεταλαμβάνων. καὶ τροπὰς ἔσχεν αὐτῷ τότε τὸ
βούλευμα πλείστας. πολλὰ δὲ καὶ τῶν φίλων τοῖς παροῦσιν ὧν ἦν καὶ πωλλίων ἀσίνιος συνδιηπό-
ρησεν. ἀναλογιζόμενος ἡλίκων κακῶν ἄρξει πᾶσιν ἀνθρώποις ἡ διάβασις, ὅσον τε λόγον αὐτῆς τοῖς
[margin: αὐτοῖς κ.] αὖθις ἀπολείψουσι. τέλος δὲ μετὰ θυμοῦ τινός, ὥσπερ ἀφεὶς ἑαυτὸν ἐκ τοῦ λογισμοῦ πρὸς τὸ μέλ-
λον. καὶ τοῦτο δὴ τὸ κοινὸν τοῖς εἰς τύχας ἐμβαίνουσιν ἀπόρους καὶ τόλμας, προοίμιον ὑπειπών, ἀ-
νερρίφθω κύβος, ὥρμησε πρὸς τὴν διάβασιν. καὶ δρόμῳ τὸ λοιπὸν ἤδη χρώμενος, εἰσέπεσε πρὸ ἡμέρας
εἰς τὸ ἀρίμινον καὶ κατέσχε. λέγεται δὲ τῇ προτέρᾳ νυκτὶ τῆς διαβάσεως ὄναρ ἰδεῖν ἔκθεσμον. ἐδό-
κει γὰρ αὐτὸς τῇ ἑαυτοῦ μητρὶ μίγνυσθαι τὴν ἄρρητον μῖξιν. ἐπεὶ δὲ κατελήφθη τὸ ἀρίμινον, ὥσ-
περ ἀνεῳγμένου τοῦ πολέμου πλατείαις πύλαις ἐπὶ πᾶσαν ὁμοῦ τὴν γῆν καὶ θάλασσαν. καὶ συγ-
κεχυμένων ἅμα τοῖς ὅροις τῆς ἐπαρχίας τῶν νόμων τῆς πόλεως, οὐκ ἄνδρας ἄν τις ᾤετο καὶ γυ-
ναῖκας ὥσπερ ἄλλοτε σὺν ἐκπλήξει διαφοιτᾶν τῆς ἰταλίας, ἀλλὰ τὰς πόλεις αὐτὰς ἀνισταμένας,
φυγῇ διαφέρεσθαι δι' ἀλλήλων. τὴν δὲ ῥώμην ὥσπερ ὑπὸ ῥευμάτων πιμπλαμένην φυγαῖς τῶν
πέριξ δήμων καὶ μεταστάσεσιν. οὔτε ἄρχοντι πεῖσαι ῥᾳδίαν οὖσαν. οὔτε λόγῳ καθεκτὴν ἐν πολλῷ
κλύδωνι καὶ σάλῳ μικρὸν ἀπολιπεῖν αὐτὴν ὑφ' αὑτῆς ἀνατετράφθαι. πάθη γὰρ ἀντίπαλα καὶ
βίαια κατεῖχε κινήματα πάντα τόπον. οὔτε γὰρ τὸ χαῖρον ἡσυχίαν ἦγεν, ἀλλὰ τῷ δεδιότι καὶ λυ-
πουμένῳ κατὰ πολλὰ συμπῖπτον ἐν μεγάλῃ πόλει καὶ θρασυνόμενον ὑπὲρ τοῦ μέλλοντος, δι' ἐρίδων
[margin: ἐπῄνουν ς.] ἦν. αὐτόν τε πομπήϊον ἐκπεπληγμένον, ἄλλος ἀλλαχόθεν ἐτάραττεν. τοῖς μὲν ὡς ηὔξησε καίσαρα καθ'
[margin: καθηγορεῦντ] ἑαυτοῦ, καὶ τῆς ἡγεμονίας εὐθύνας ὑπέχοντα. τῶν δέ, ὅτι παραχωροῦντα καὶ προτεινόμενον εὐγνώ-
μονας διαλύσεις, ἀφῆκε τοῖς περὶ λέντλον ὑβρίσαι κατηγορούντων. φαώνιος δὲ αὐτὸν ἐκέλευσε τῷ
ποδὶ τύπτειν τὴν γῆν. ἐπεὶ μεγαληγορῶν ποτε πρὸς τὴν σύγκλητον, οὐδὲν εἴα πολυπραγμονεῖν. οὐδὲ
[margin: ἐπίῃ ς. κ.] φροντίζειν ἐκείνους τῆς περὶ τὸν πόλεμον παρασκευῆς. αὐτὸς γὰρ ὅταν ἀπίῃ κρούσας τὸ ἔδαφος τῷ
ποδί, στρατευμάτων ἐμπλήσειν τὴν ἰταλίαν. οὐ μὴν ἀλλὰ καὶ τότε πλήθει δυνάμεως ὑπερέβαλλεν
ὁ πομπήϊος τὴν καίσαρος. εἴασε δ' οὐδεὶς τὸν ἄνδρα χρήσασθαι τοῖς ἑαυτοῦ λογισμοῖς, ἀλλ' ὑπ' ἀγγελ-
[margin: Vide i. Forcio] μάτων πολλῶν καὶ ψευδῶν καὶ φόβων ὡς ἐφεστῶτος ἤδη τοῦ πολεμίου καὶ πάντα κατέχοντος, εἴ-
[margin: ubi eth° signu̅] ξας συνεκρούσθη τῇ πάντων φορᾷ. καὶ ψηφίζεται ταραχὴν ὁρᾶν, καὶ τὴν πόλιν ἐξέλιπε, κελεύσας
[margin: fol. 203. b.] ἕπεσθαι τὴν γερουσίαν καὶ μηδένα μένειν τῶν πρὸ τῆς τυραννίδος ᾑρημένων τὴν πατρίδα καὶ τὴν
ἐλευθερίαν. οἱ μὲν οὖν ὕπατοι μηδὲ ἃ νόμος ἐστὶ πρὸ ἐξόδου θύσαντες ἔφυγον. ἔφευγον δὲ καὶ τῶν
βουλευτῶν οἱ πλεῖστοι, τρόπον τινὰ δι' ἁρπαγῆς ἀπὸ τῶν ἰδίων ὅτι τύχοιεν ὥσπερ ἀλλοτρίων λαμβά-
νοντες. εἰσὶ δὲ οἳ καὶ σφόδρα τὰ καίσαρος ᾑρημένοι πρότερον, ἐξέπεσον ὑπὸ θάμβους τότε τῶν λογι-
σμῶν, καὶ συμπαρηνέχθησαν, οὐδὲν δεόμενοι τῷ ῥεύματι τῆς φορᾶς ἐκείνης. οἰκτρότατον δὲ θέαμα τῆς
πόλεως ἦν, ἐπιφερομένου τοσούτου χειμῶνος ὥσπερ νεὼς ὑπὸ κυβερνητῶν ἀπαγορευόντων πρὸς
τὸ συντυχὸν ἐκπεσεῖν κομιζομένης. ἀλλὰ καίπερ οὕτω τῆς μεταστάσεως οἰκτρᾶς οὔσης, τὴν μὲν φυγὴν
οἱ ἄνθρωποι, πατρίδα διὰ πομπήϊον ἡγοῦντο. τὴν δὲ ῥώμην, ὡς καίσαρος στρατόπεδον ἐξέλιπον. ὅπου
καὶ λαβιηνὸς ἀνὴρ ἐν τοῖς μάλιστα φίλος καίσαρος καὶ πρεσβευτὴς γεγονὼς καὶ συνηγωνισμένος ἐν
[margin: ἀφίκετο κ. ς.] πᾶσι προθυμότατα τοῖς κελτικοῖς πολέμοις, τότ' ἐκεῖνον ἀποδράς, ᾤχετο πρὸς πομπήϊον. ἀλλὰ τού-
τῳ μὲν καὶ τὰ χρήματα καὶ τὰς ἀποσκευὰς ἀπέπεμψεν ὁ καῖσαρ. δομετίῳ δὲ ἡγουμένῳ σπειρῶν
τριάκοντα καὶ κατέχοντι κορφίνιον, ἐπελθὼν παρεστρατοπέδευσεν. ὁ δὲ ἀπογνοὺς τὰ καθ' ἑαυτὸν ᾔ-
τησε τὸν ἰατρὸν οἰκέτην ὄντα φάρμακον. καὶ λαβὼν τὸ δοθέν, ἔπιεν ὡς τεθνηξόμενος. μετ' ὀλίγον δὲ ἀ-
[margin: φιλανθρωπίᾳ] κούσας τὸν καίσαρα θαυμαστῇ τινι φιλανθρωποίνια χρῆσθαι πρὸς τοὺς ἑαλωκότας, αὐτὸς αὑτὸν ἀπε-
θρήνει καὶ τὴν ὀξύτητα τοῦ βουλεύματος ᾐτιᾶτο. τοῦ δὲ ἰατροῦ θαρρύναντος αὐτὸν ὡς ὑπνωτικόν, οὐ θα-

νάσιμον

ναρχίαν ἐκ τοιαύτης παραφροσύνης καὶ τοσούτου κλύδωνος ἐκπεσεῖται τὰ πράγματα. πολλοὶ δὲ ἦσαν οἱ καὶ λέγειν ἐν μέσῳ τολμῶντες ἤδη, πλὴν ὑπὸ μοναρχίας ἀνήκεστον εἶναι τὴν πολιτείαν, καὶ τὸ φάρμακον τοῦτο χρῆναι τοῦ πρᾳοτάτου τῶν ἰατρῶν ἀνασχέσθαι προσφέροντος, ὑποδηλοῦντες τὸν πομπήιον. ἐπεὶ δὲ κἀκεῖνος λόγῳ παραιτεῖσθαι καλλωπιζόμενος, ἔργῳ παντὸς μᾶλλον ἐπέραινεν, ἐξ ὧν ἀναδειχθήσοιτο δικτάτωρ, συμφρονήσαντες οἱ περὶ κάτωνα, πείθουσι τὴν γερουσίαν, ὕπατον αὐτὸν ἀποδεῖξαι μόνον, ὡς μὴ βιάσαιτο δικτάτωρ γενέσθαι νομιμωτέρᾳ μοναρχίᾳ παρηγορηθείς, οἱ δὲ καὶ χρόνον ἐπεψηφίσαντο τῶν ἐπαρχιῶν, δύο δὲ εἶχεν, ἰβηρίαν καὶ λιβύην σύμπασαν, ἃς διῴκει, πρεσβευτὰς ἀποστέλλων καὶ στρατεύματα τρέφων, οἷς ἐλάμβανεν ἐκ τοῦ δημοσίου ταμιείου χίλια τάλαντα καθ' ἕκαστον ἐνιαυτόν. ἐκ τούτου καῖσαρ ὑπατείαν ἐμνᾶτο πέμπων, καὶ χρόνον ὁμοίως τῶν ἰδίων ἐπαρχιῶν. τὸ μὲν οὖν πρῶτον πομπηίου σιωπῶντος οἱ περὶ μάρκελλον καὶ λέντλον ἠναντιοῦντο, μισοῦντες ἄλλως καίσαρα, καὶ τοῖς ἀναγκαίοις οὐκ ἀναγκαῖα προστιθέντες εἰς ἀτιμίαν αὐτοῦ καὶ προπηλακισμόν. νεοκωμίτας γὰρ ἔναγχος ὑπὸ καίσαρος ἐν γαλατίᾳ κατῳκισμένους ἀφῃροῦντο τῆς πολιτείας. καὶ μάρκελλος ὑπατεύων ἕνα τῶν ἐκεῖ βουλευτῶν εἰς ῥώμην ἀφικόμενον ᾔκισε ῥάβδοις, ἐπιλέγων, ὡς ταῦτα τοῦ μὴ ῥωμαῖον εἶναι παράσημα προστίθησιν αὐτῷ, καὶ δεικνύειν ἀπιόντα καίσαρι ἐκέλευε. μετὰ δὲ μάρκελλον ἤδη καίσαρος τὸν γαλατικὸν πλοῦτον ἀρύεσθαι ῥύδην ἀφεικότος πᾶσι τοῖς πολιτευομένοις, καὶ κουρίωνα μὲν δημαρχοῦντα πολλῶν ἐλευθερώσαντος δανείων, παύλῳ δὲ ὑπατεύοντι χίλια καὶ πεντακόσια τάλαντα δόντος, ἀφ' ὧν καὶ τὴν βασιλικὴν ἐκεῖνος ὀνομαστὸν ἀνάθημα τῇ ἀγορᾷ προσεκόσμησεν, ἀντὶ τῆς φουλβίας οἰκοδομηθεῖσαν. οὕτω δὴ φοβηθεὶς τὴν σύστασιν ὁ πομπήιος, ἀναφανδὸν ἤδη δι' ἑαυτοῦ καὶ τῶν φίλων, ἔπραττεν ἀποδειχθῆναι διάδοχον καίσαρι τῆς ἀρχῆς. καὶ πέμπων ἀπῄτει τοὺς στρατιώτας, οὓς ἔχρησεν αὐτῷ πρὸς τοὺς κελτικοὺς ἀγῶνας, ὁ δὲ ἀποπέμπει, δωρησάμενος ἕκαστον ἄνδρα, πεντήκοντα καὶ διακοσίαις δραχμαῖς. οἱ δὲ τούτους πομπηίῳ κομίσαντες, εἰς μὲν τὸ πλῆθος οὐκ ἐπιεικεῖς οὐδὲ χρηστοὺς κατέσπειραν λόγους ὑπὲρ τοῦ καίσαρος, αὐτὸν δὲ πομπήιον ἐλπίσι κεναῖς διέφθειραν, ὡς ποθούμενον ὑπὸ τῆς καίσαρος στρατιᾶς. καὶ τὰ μὲν ἐνταῦθα διὰ φθόνον καὶ πολιτείας ὑπούλου μόλις ἔχοντα, τῆς δὲ ἐκεῖ δυνάμεως ἑτοίμης ὑπαρχούσης αὐτῷ. κἂν μόνον ὑπερβάλωσιν εἰς ἰταλίαν, εὐθὺς ἐσομένης πρὸς ἐκεῖνον. οὕτω γεγονέναι τὸν καίσαρα πλήθει στρατιῶν λυπηρὸν αὐτοῖς, καὶ φόβῳ μοναρχίας ὕποπτον. ἐπὶ τούτοις, πομπήιος ἐχαυνοῦτο, καὶ παρασκευῆς μὲν ἠμέλει στρατιωτῶν, ὡς μὴ δεδιώς, λόγοις δὲ καὶ γνώμαις κατεπολιτεύετο τῷ δοκεῖν καίσαρα ψηφιζόμενος, ὧν ἐκεῖνος οὐδὲν ἐφρόντιζεν. ἀλλὰ λέγεταί τινα τῶν ἀπεσταλμένων παρ' αὐτοῦ ταξιαρχῶν ἑστῶτα πρὸ τοῦ βουλευτηρίου καὶ πυθόμενον, ὡς οὐ δίδωσιν ἡ γερουσία καίσαρι χρόνον τῆς ἀρχῆς, ἀλλ' αὕτη φάναι δώσει, κρούσαντα τῇ χειρὶ τὴν λαβὴν τῆς μαχαίρας. οὐ μὴν ἀλλ' ἥ γε παρὰ καίσαρος ἀξίωσις, τὸ πρόσχημα τῆς δικαιολογίας λαμπρὸν εἶχεν. ἠξίου γὰρ αὐτός τε καταθέσθαι τὰ ὅπλα, καὶ πομπηίου ταὐτὸ πράξαντος, ἀμφοτέρους ἰδιώτας γενομένους εὑρίσκεσθαί τι παρὰ τῶν πολιτῶν ἀγαθόν. ὡς τοὺς αὐτὸν μὲν ἀφαιρουμένους, ἐκείνῳ δὲ ἣν εἶχε βεβαιοῦντας δύναμιν, ἕτερον διαβάλλοντας, ἕτερον κατασκευάζειν τύραννον. ταῦτα προκαλούμενος ἐν τῷ δήμῳ κουρίων ὑπὲρ καίσαρος, ἐκροτεῖτο λαμπρῶς, οἱ δὲ καὶ στεφάνους ἐπ' αὐτόν, ὥσπερ ἀθλητὴν ἀνθοβολοῦντες ἠφίεσαν. ἀντώνιος δὲ δημαρχῶν, καίσαρος ὑπὲρ τούτων ἐπιστολὴν κομισθεῖσαν εἰς τὸ πλῆθος ἐξήνεγκε, καὶ ἀνέγνω βίᾳ τῶν ὑπάτων. ἐν δὲ τῇ βουλῇ, σκηπίων μὲν ὁ πομπηίου πενθερὸς εἰσηγήσατο γνώμην, ἂν ἐν ἡμέρᾳ ῥητῇ μὴ καταθῆται τὰ ὅπλα καῖσαρ, ἀποδειχθῆναι πολέμιον αὐτόν, ἐρωτώντων δὲ τῶν ὑπάτων εἰ δοκεῖ πομπήιον ἀφεῖναι τοὺς στρατιώτας, καὶ πάλιν εἰ δοκεῖ καίσαρα. τῇ μὲν ὀλίγοι παντάπασι τῇ δὲ, πάντες παρ' ὀλίγους προσέθεντο. τῶν δὲ περὶ ἀντώνιον πάλιν ἀξιούντων ἀμφοτέρους τὴν ἀρχὴν ἀφεῖναι, πάντες ὁμαλῶς προσεχώρησαν. ἀλλὰ ἐκβιαζομένου σκηπίωνος, καὶ λέντλου τοῦ ὑπάτου βοῶντος ὅπλων δεῖν πρὸς ἄνδρα λῃστήν, οὐ ψήφων, τότε μὲν διελύθησαν. καὶ μετεβάλοντο τὰς ἐσθῆτας ἐπὶ πένθει διὰ τὴν στάσιν. ἐπεὶ δὲ παρὰ καίσαρος ἧκον ἐπιστολαὶ μετριάζειν δοκοῦντος, ἠξίου γὰρ ἀφεὶς τὰ ἄλλα πάντα, τὴν ἐντὸς ἄλπεων, καὶ τὸ ἰλλυρικὸν μετὰ δυεῖν ταγμάτων αὐτῷ δοθῆναι, μέχρις οὗ τὴν δευτέραν ὑπατείαν μέτεισιν. καὶ κικέρων ὁ ῥήτωρ ἄρτι παρὼν ἐκ κιλικίας, καὶ διαλλαγὰς πράττων, ἐμάλαττε τὸν πομπήιον. ὁ δὲ τἆλλα συγχωρῶν τοὺς στρατιώτας ἀφῄρει. καὶ κικέρων μὲν ἔπειθε τοὺς καίσαρος φίλους συνενδόντας ἐπὶ ταῖς εἰρημέναις ἐπαρχίαις, καὶ στρατιώταις μόνοις ἑξακισχιλίοις ποιεῖσθαι τὰς διαλύσεις. πομπηίου δὲ καμπτομένου καὶ διδόντος, οἱ περὶ λέντλον οὐκ εἴων ὑπατεύοντες. ἀλλὰ καὶ τῆς βουλῆς ἀντώνιον καὶ κουρίωνα προπηλακίσαντες, ἐξήλασαν ἀτίμως, τὴν εὐπρεπεστάτην καίσαρι τῶν προφάσεων αὐτοὶ μηχανησάμενοι. καὶ δι' ἧς μάλιστα τοὺς στρατιώτας παρώξυνεν, ἐπιδεικνύμενος ἄνδρας ἐλλογίμους καὶ ἄρχοντας ἐπὶ μισθίων ζευγῶν πεφευγότας ἐν ἐσθῆσιν οἰκετικαῖς, οὕτω γὰρ ἀπὸ ῥώμης σκευάσαντες ἑαυτοὺς διὰ φόβον ὑπεξῆλθον. ἦσαν μὲν οὖν περὶ αὐτὸν οὐ πλείους ἱππέων τριακοσίων, καὶ πεντακισχιλίων ὁπλιτῶν. τὸ γὰρ ἄλλο στρά-

καὶ τὰ μὲν ἀτέκμαρτοι βάθει χιόνος ἀτραποί. τὰ δὲ δι᾽ ἑλῶν καὶ ῥευμάτων παρεκτρεπομένων ἀσάφεια πολλὴ τῆς πορείας, παντάπασιν ἐδόκουν ἀνεπιχείρητα καίσαρι τὰ τῶν ἀφισταμένων ποιεῖν, ἀφειστήκει μὲν οὖν πολλὰ φῦλα. πρόσχημα δὲ ἦσαν ἀρβέρνοι καὶ καρνουτῖνοι. τὸ δὲ σύμπαν, αἱρεθεὶς κράτος εἶχε τοῦ πολέμου οὐεργεντόριξ, οὗ τὸν πατέρα γαλάται τυραννίδα δοκοῦντα πράττειν, ἀπέκτειναν. οὗτος οὖν εἰς πολλὰ διελὼν τὴν δύναμιν μέρη, καὶ πολλοὺς ἐπιστήσας ἡγεμόνας ᾠκειοῦτο τὴν πέριξ ἅπασαν ἄχρι τῶν πρὸς τὸν ἀδρίαν κεκλιμένων. διανοούμενος ἤδη τῶν ἐν ῥώμῃ συνισταμένων ἐπὶ καίσαρα, σύμπασαν ἐγείρειν τῷ πολέμῳ γαλατίαν. ὅπερ εἰ μικρὸν ὕστερον ἔπραξε καίσαρος εἰς τὸν ἐμφύλιον ἐμπεσόντος πόλεμον. οὐκ ἂν ἐλαφρότεροι τῶν κιμβρικῶν ἐκείνων φόβοι τὴν ἰταλίαν κατέσχον. νυνὶ δὲ ὁ πᾶσι μὲν ἄριστα χρῆσθαι δοκῶν τοῖς πρὸς πόλεμον. μάλιστα δὲ καιρῷ πεφυκὼς καῖσαρ, ἅμα τῷ πυθέσθαι τὴν ἀπόστασιν ἄρας, ἐχώρει ταῖς αὐταῖς ὁδοῖς ἃς διῆλθε. καὶ βίᾳ καὶ τάχει τῆς πορείας διὰ τοσούτου χειμῶνος ἐπιδειξάμενος τοῖς βαρβάροις, ὡς ἄμαχος αὐτοῖς καὶ ἀήττητος ἔπεισι στρατός. ὅπου γὰρ ἄγγελον ἢ γραμματοφόρον διαδῦναι παρ᾽ αὐτοῦ χρόνῳ πολλῷ, ἦν ἄπιστον, ἐν τούτοις μετὰ πάσης ἑωρᾶτο τῆς στρατιᾶς ἅμα χώρας λυμαινόμενος αὐτῶν καὶ ἐκκόπτων τὰ χωρία. καταστρεφόμενος πόλεις, ἀναλαμβάνων τοὺς μετατιθεμένους μέχρι καὶ τὸ τῶν ἐδούων ἔθνος ἐξεπολεμώθη πρὸς αὐτὸν οἱ τὸν ἄλλον χρόνον ἀδελφοὺς ἀναγορεύοντες αὐτοὺς ῥωμαίων καὶ τιμώμενοι διαπρεπῶς, τότε δὲ τοῖς ἀποστάταις προσγενόμενοι, πολλὴν τῇ καίσαρος στρατιᾷ περιέστησαν ἀθυμίαν, διόπερ καὶ κινήσας ἐκεῖθεν ὑπερέβαλε τὰ λιγγονικὰ, βουλόμενος ἅψασθαι τῆς σηκουανῶν, φίλων ὄντων καὶ προκειμένων τῆς ἰταλίας πρὸς τὴν ἄλλην γαλατίαν. ἐνταῦθα δὲ αὐτῷ τῶν πολεμίων ἐπιπεσόντων, καὶ περισχόντων μυριάσι πολλαῖς. ὁρμήσας διαγωνίσασθαι. τοῖς μὲν ἄλλοις καταπολεμῶν ἐκράτησε, χρόνῳ πολλῷ καὶ φόβῳ καταβιασάμενος τοὺς βαρβάρους. ἔδοξε δὲ κατ᾽ ἀρχάς τι καὶ σφαλῆναι, καὶ δεικνύουσιν ἀρβέρνοι, ξιφίδιον πρὸς ἱερῷ κρεμάμενον, ὡς δὴ καίσαρος λάφυρον. ὃ θεασάμενος αὐτὸς ὕστερον ἐμειδίασε καὶ τῶν φίλων καθελεῖν κελευόντων, οὐκ εἴασεν, ἱερὸν ἡγούμενος. οὐ μὴν ἀλλὰ τότε τῶν διαφυγόντων οἱ πλεῖστοι μετὰ τοῦ βασιλέως εἰς πόλιν ἀλησίαν διέφυγον. καὶ πολιορκοῦντι ταύτην καίσαρι δοκοῦσαν ἀνάλωτον εἶναι, μεγέθει τε τειχῶν καὶ πλήθει τῶν ἀπομαχομένων, ἐπιπίπτει παντὸς λόγου μείζων κίνδυνος ἔξωθεν. ὃ γὰρ ἦν ἐν γαλατίᾳ κράτιστον ἀπὸ τῶν ἐθνῶν ἀθροισθὲν ἐν ὅπλοις, ἧκον ἐπὶ τὴν ἀλησίαν τριάκοντα μυριάδες, αἱ δ᾽ ἐν αὐτῇ τῶν μαχομένων οὐκ ἐλάττονες ἦσαν ἑπτακαίδεκα μυριάδων. ὥστε ἐν μέσῳ πολέμου τοσούτου τὸν καίσαρα κατειλημμένον καὶ πολιορκούμενον, ἀναγκασθῆναι διττὰ τείχη προβαλέσθαι. τὸ μὲν, πρὸς τὴν πόλιν. τὸ δὲ, ἀπὸ τῶν ἐπηλυθότων. ὡς εἰ συνέλθοιεν αἱ δυνάμεις, κομιδῇ διαπεπραγμένων τῶν καθ᾽ αὐτόν. διὰ πολλὰ μὲν οὖν εἰκότως ὁ πρὸς ἀλησίᾳ κίνδυνος ἔσχε δόξαν, ὡς ἔργα τόλμης καὶ δεινότητος, οἷα τῶν ἄλλων ἀγώνων οὐδεὶς παρασχόμενος. μάλιστα δὲ ἄν τις θαυμάσειε, τὸ λαθεῖν τοὺς ἐν τῇ πόλει καίσαρα, τοσαύταις μυριάσι ταῖς ἔξω συμβαλόντα καὶ περιγενόμενον. μᾶλλον δὲ καὶ τῶν ῥωμαίων τοὺς τὸ πρὸς τῇ πόλει τεῖχος φυλάττοντας. οὐ γὰρ πρότερον ᾔσθοντο τὴν νίκην, ἢ κλαυθμὸν ἐκ τῆς ἀλησίας ἀνδρῶν καὶ κοπετὸν γυναικῶν ἀκουσθῆναι. θεασαμένων ἄρα κατὰ θάτερα μέρη πολλοὺς μὲν ἀργύρῳ καὶ χρυσῷ κεκοσμημένους θυρεούς. πολλοὺς δὲ αἵματι πεφυρμένους θώρακας. ἔτι δὲ ἐκπώματα καὶ σκηνὰς γαλατικὰς ὑπὸ ῥωμαίων εἰς τὸ στρατόπεδον κομιζομένας. οὕτως ὀξέως ἡ τοσαύτη δύναμις, ὥσπερ εἴδωλον ἢ ὄνειρον, ἠφάνιστο καὶ διεπεφόρητο, τῶν πλείστων ἐν τῇ μάχῃ πεσόντων. οἱ δὲ τὴν ἀλησίαν ἔχοντες, οὐκ ὀλίγα πράγματα παρασχόντες ἑαυτοῖς καὶ καίσαρι, τέλος παρέδοσαν ἑαυτούς. ὁ δὲ τοῦ σύμπαντος ἡγεμὼν πολέμου οὐεργεντόριξ ἀναλαβὼν τῶν ὅπλων τὰ κάλλιστα καὶ κοσμήσας τὸν ἵππον, ἐξιππάσατο διὰ τῶν πυλῶν, καὶ κύκλῳ περὶ τὸν καίσαρα καθεζόμενον ἐλάσας, εἶτα ἀφελόμενος τοῦ ἵππου, τὴν μὲν πανοπλίαν ἀπέρριψεν. αὐτὸς δὲ καθίσας ὑπὸ πόδας τοῦ καίσαρος, ἡσυχίαν ἦγεν ἄχρι οὗ παρεδόθη φρουρούμενος ἐπὶ τὸν θρίαμβον. καίσαρι δὲ πάλαι μὲν ἐδέδοκτο καταλύειν πομπήϊον, ὥσπερ ἀμέλει κἀκείνῳ τοῦτον. κράσσου γὰρ ἐν πάρθοις ἀπολωλότος. ὃς ἦν ἔφεδρος ἀμφοῖν, ἀπελείπετο. τῷ μὲν ὑπὲρ τοῦ γενέσθαι μεγίστῳ τὸν ὄντα καταλύειν. τῷ δὲ ἵνα μὴ πάθῃ τοῦτο προαναιρεῖν ὃν ἐδεδοίκει. τοῦτο δὲ πομπηΐῳ μὲν ἐξ ὀλίγου φοβεῖσθαι παρέστη τέως ὑπερορῶντι καίσαρος, ὡς οὐ χαλεπὸν ἔργον ὃν αὐτὸς ηὔξησε, καταλυθῆναι πάλιν ὑπ᾽ αὐτοῦ, καῖσαρ δὲ ἀπ᾽ ἀρχῆς ὑπόθεσιν ταύτην πεποιημένος ἐπὶ τῶν ἀνταγωνιστῶν. ὥσπερ ἀθλητὴς ἑαυτὸν ἀποστήσας μακρὰν. καὶ τοῖς κελτικοῖς ἐγγυμνασάμενος πολέμοις, ἐπήσκησε μὲν τὴν δύναμιν, ηὔξησε δὲ τὴν δόξαν ἀπὸ τῶν ἔργων, εἰς ἀντίπαλον ἀρθεὶς τοῖς πομπηΐου κατορθώμασι, λαμβάνων προφάσεις. τὰς μὲν αὐτοῦ πομπηΐου, τὰς δὲ τῶν καιρῶν ἐνδιδόντων, καὶ τῆς ἐν ῥώμῃ κακοπολιτείας. δι᾽ ἣν οἱ μὲν ἀρχὰς μετιόντες. ἐν μέσῳ θέμενοι τραπέζας, ἐδέκαζον ἀναισχύντως τὰ πλήθη. κατῄει δὲ ὁ δῆμος ἔμμισθος, οὐ ψήφοις ὑπὲρ τοῦ δεδωκότος, ἀλλὰ τόξοις καὶ ξίφεσι καὶ σφενδόναις ἁμιλλώμενος. αἵματι δὲ καὶ νεκροῖς πολλάκις αἰσχύναντες τὸ βῆμα διεκρίθησαν. ἐν ἀναρχίᾳ τὴν πόλιν ὥσπερ ἀκυβέρνητον ὑποφερομένην ἀπολιπόντες. ὥστε τοὺς νοῦν ἔχοντας ἀγαπᾶν εἰ πρὸς μηδὲν αὐτοῖς χεῖρον ἀλλὰ μο

τῇ κελτικῇ δυνάμεις, πολὺν καταλαμβάνει πόλεμον ἐν τῇ χώρᾳ, δύο γερμανικῶν ἐθνῶν μεγάλων ἐπὶ κατακτήσει γῆς ἄρτι τὸν ῥῆνον διαβεβηκότων, οὓς ἴπας καλοῦσι τοὺς ἑτέρους. τοὺς δὲ τεντερίτας. περὶ δὲ τῆς πρὸς τούτους γενομένης μάχης, ὁ μὲν καῖσαρ ἐν ταῖς ἐφημερίσι γέγραφεν. ὡς οἱ βάρβαροι διαπρεσβευόμενοι πρὸς αὐτὸν ἐν σπονδαῖς, ἐπιθοῖντο καθ' ὁδὸν, καὶ διὰ τοῦτο τρέψαιντο τοὺς αὐτοῦ πεντακισχιλίους ὄντας ἱππεῖς, ὀκτακοσίοις τοῖς ἐκείνων μὴ προσδοκῶντας. εἶτα πέμψαιεν ἑτέρους πρὸς αὐτὸν αὖθις ἐξαπατῶντας, οὓς κατασχὼν ἐπαγάγοιτο τοῖς βαρβάροις τὸ στράτευμα, τὴν πρὸς οὕτως ἀπίστους καὶ παρασπόνδους πίστιν, εὐήθειαν ἡγούμενος. τανύσιος δὲ λέγει κάτωνα τῆς βουλῆς ἐπὶ τῇ νίκῃ ψηφιζομένης ἑορτὰς καὶ θυσίας, ἀποφήνασθαι γνώμην. ὡς ἐκδοτέον ἐστὶ τὸν καίσα-
κ. ς. ρα τοῖς βαρβάροις, ἀφοσιουμένους τὸ παρασπόνδημα ὑπὲρ τῆς πόλεως, καὶ τὴν ἀρὰν εἰς τὸν αἴτιον τρέποντας. τῶν δὲ διαβάντων, αἱ μὲν κατακοπεῖσαι τεσσαράκοντα μυριάδες ἦσαν, ὀλίγους δὲ τοὺς ἀποπεράσαντας αὖθις ὑπεδέξαντο σούγαμβροι γερμανικὸν ἔθνος. καὶ ταύτην λαβὼν αἰτίαν πρὸς αὐτοὺς ὁ καῖσαρ, ἄλλως δὲ δόξης ἱμειρόμενος, καὶ τοῦ πρῶτος ἀνθρώπων στρατῷ διαβῆναι τὸν ῥῆνον, ἐγεφύρου πλάτος τε πολὺν ὄντα, καὶ κατ' ἐκεῖνο τοῦ πόρου μάλιστα πλημμυροῦντα. καὶ τραχὺν καὶ ῥοώδη. καὶ τοῖς καταφερομένοις στελέχεσι καὶ ξύλοις, πληγὰς καὶ σπαραγμοὺς ἐνδιδόντα κατὰ τῶν ἐρειδόντων τὴν γέφυραν. ἀλλὰ ταῦτα προβόλοις ξύλων μεγάλων διὰ τοῦ πόρου καταπεπηγότων ἀναδεχόμενος, καὶ χαλινώσας τὸ προσπῖπτον ῥεῦμα τῷ ζεύγματι, πίστεως πάσης θέαμα κρεῖττον ἐπεδείξατο τὴν γέφυραν ἡμέραις δέκα συντελεσθεῖσαν. περαιώσας δὲ τὴν δύναμιν, οὐδενὸς ὑπαντιάσαι τολμήσαντος. ἀλλὰ καὶ τῶν ἡγεμονικωτάτων τοῦ γερμανικοῦ σουήβων εἰς βαθεῖς καὶ ὑλώδεις αὐλῶνας ἀνασκευασαμένων, πυρπολήσας μὲν τὴν τῶν πολεμίων, θαρρύνας δὲ τοὺς ἀεὶ τὰ ῥωμαίων ἀσπαζομένους, ἀνεχώρησεν αὖθις εἰς τὴν γαλατίαν. εἴκοσι δυεῖν δεούσας ἡμέρας ἐν τῇ γερμανικῇ διατετριφώς. ἡ δὲ ἐπὶ τοὺς βρεττανοὺς στρατεία, τὴν μὲν τόλμαν ἔσχεν ὀνομαστὴν, πρῶτος γὰρ εἰς τὸν ἑσπέριον ὠκεανὸν ἐπέβη στόλῳ. καὶ διὰ τῆς ἀτλαντικῆς θαλάσσης, στρατὸν ἐπὶ πόλεμον κομίζων ἔπλευσε. καὶ νῆσον ἀπιστουμένην ὑπὸ μεγέθους, καὶ πολλὴν ἔριν παμπόλλοις συγγραφεῦσι παρασχοῦσαν, ὡς ὄνομα καὶ λόγος, οὐ γενομένης οὐδὲ οὔσης πέπλασται, κατασχεῖν ἐπιθέμενος, προσήγαγεν ἔξω τῆς οἰκουμένης τὴν ῥωμαίων ἡγεμονίαν. δὶς δὲ διαπλεύσας εἰς τὴν νῆσον ἐκ τῆς ἀντιπέρας γαλατίας. καὶ μάχαις πολλαῖς κακώσας τοὺς πολεμίους μᾶλλον ἢ τοὺς ἰδίους ὠφελήσας. οὐδὲν γὰρ ὅ τι καὶ λαβεῖν ἦν ἄξιον ἀπ' ἀνθρώπων κακοβίων καὶ πενήτων, οὐχ οἷον ἐβούλετο τῷ πολέμῳ τέλος ἐπέθηκεν. ἀλλ' ὁμήρους λαβὼν παρὰ τοῦ βασιλέως καὶ ταξάμενος φόρους, ἀπῆλθεν ἐκ τῆς νήσου. καὶ καταλαμβάνει γράμματα μέλλοντα διαπλεῖν πρὸς αὐτὸν, ἀπὸ τῶν ἐν ῥώμῃ φίλων, δηλοῦντα τὴν τῆς θυγατρὸς αὐτοῦ τελευτήν, τελευτᾷ δὲ τίκτουσα παρὰ πομπηΐῳ. καὶ μέγα μὲν αὐτὸν ἔσχε πομπήϊον. μέγα δὲ καίσαρα πένθος. οἱ δὲ φίλοι συνεταράχθησαν. ὡς τῆς ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ τἆλλα νοσοῦσαν τὴν πολιτείαν φυλασσούσης οἰκειότητος λελυμένης. καὶ γὰρ τὸ βρέφος εὐθὺς οὐ πολλὰς ἡμέρας μετὰ τὴν μητέρα διαζῆσαν, ἐτελεύτησεν. τὴν μὲν ἰουλίαν βίᾳ τῶν δημάρχων ἀράμενον τὸ πλῆθος, εἰς τὸ ἄρειον ἤνεγκε πεδίον. κἀκεῖ κηδευθεῖσα κεῖται. τοῦ δὲ καίσαρος μεγάλην ἤδη τὴν δύναμιν οὖσαν εἰς πολλὰ κατ' ἀνάγκην χειμάδια διελόντος, αὐτοῦ δὲ πρὸς τὴν ἰταλίαν ὥσπερ εἰώθει τραπομένου, πάντα μὲν αὖθις ἀνερρήγνυτο τὰ τῶν γαλατῶν. καὶ στρατοὶ μεγάλοι περιιόντες, ἐξέκοπτον τὰ χειμάδια καὶ προσεμάχοντο τοῖς χαρακώμασι τοῖς ῥωμαίων. οἱ δὲ πλεῖστοι καὶ κράτιστοι τῶν ἀποστάντων μετὰ ἀβειόρηγος, κόττα μὲν αὐτῷ στρατοπέδῳ καὶ τιτύριον διέφθειραν. τὸ δὲ ὑπὸ κικέρωνι τάγμα, μυριάσιν ἓξ περισχόντες, ἐπολιόρκουν. καὶ μικρὸν ἀπέλιπον ᾑρηκέναι κατὰ κράτος, συντετρωμένων ἁπάντων, καὶ παρὰ δύναμιν ὑπὸ προθυμίας ἀμυνομένων. ὡς δὲ ἠγγέλθη ταῦτα τῷ καίσαρι μακρὰν ὄντι, ταχέως ἐπιστρέψας καὶ συναγαγὼν ἑπτακισχιλίους τοὺς σύμπαντας, ἠπείγετο τὸν κικέρωνα τῆς πολιορκίας ἐξαιρησόμενος. τοὺς δὲ πολιορκοῦντας οὐκ ἔλαθεν, ἀλλ' ἀπήντων ὡς ἀναρπασόμενοι, τῆς ὀλιγότητος καταφρονήσαντες. κἀκεῖνος ἐξαπατῶν ὑπέφευγεν ἀεὶ, καὶ χωρία λαβὼν ἐπιτηδείως ἔχοντα πρὸς πολλοὺς μαχομένῳ μετ' ὀλίγων, φράγνυται στρατόπεδον. καὶ μάχης ἔσχε τοὺς ἑαυτοῦ πάσης, ἀναγαγεῖν δὲ τὸν χάρακα καὶ τὰς πύλας ἀποικοδομεῖν ὡς δεδιότας ἠνάγκαζε, καταφρονηθῆναι στρατηγῶν, μέχρις οὗ σποράδην ὑπὸ θράσους βάλλοντας ἐπεξελθὼν, ἔτρεψε καὶ πολλοὺς αὐτῶν διέφθειρε. τοῦτο τὰς πολλὰς ἀποστάσεις τῶν ἐνταῦθα γαλατῶν κατεστόρεσε. καὶ τοῦ χειμῶνος αὐτὸς ἐπιφοιτῶν τε πανταχόσε καὶ προσέχων ὀξέως τοῖς νεωτερισμοῖς. καὶ γὰρ ἧκεν ἐξ ἰταλίας ἀντὶ τῶν ἀπολωλότων αὐτῷ τρία τάγματα, πομπηΐου μὲν ἐκ τῶν ὑφ' αὐτῷ δύο χρήσαντος. ἓν δὲ νεοσύλλεκτον ἐκ τῆς περὶ πάδον γαλατίας. πόρρω δὲ τούτων, αἱ πάλαι καταβεβλημέναι κρύφα καὶ νεμόμεναι διὰ τῶν δυνατωτάτων ἀνδρῶν ἐν τοῖς μαχιμωτάτοις γένεσιν ἀρχαὶ τοῦ μεγίστου καὶ κινδυνωδεστάτου τῶν ἐκεῖ πολέμων ἀνεφαίνοντο ῥωσθεῖσαι, πολλῇ μὲν ἡλικίᾳ καὶ πανταχόθεν ὅπλοις ἀθροισθεῖσι μεγάλοις δὲ πλούτοις εἰς ταυτὸ συνενεχθεῖσιν, ἰσχυραῖς δὲ πόλεσι, δυσεμβόλοις δὲ χώραις, τότε δὲ χειμῶνος ὥρᾳ, πάγοις ποταμῶν καὶ νιφετοῖς ἀποκεκρυμμένοι δρυμοὶ, καὶ πεδία χειμάρροις ἐπιλελιμνασμένα,

ἐπ' αὐ- ς. κ.

χαλινώσας. κ. ς.

ἀπῆρεν. ς. κ.

τῶν. ς. κ.

προσβάλλοντ. ς. κ.

νον παραλαβὼν, ἤδη τοὺς βαρβάρους πορθεῖσθαι. μήτε κρείττοσι μέλλων ἡμέρων μάχεσθαι πολε-
μίοις, μήτε αὐτὸς ὢν μαρίου χείρων στρατηγός. ἐκ τούτου τὸ μὲν δέκατον τάγμα, πρεσβευτὰς ἔπεμψε
πρὸς αὐτὸν, χάριν ἔχειν ὁμολογοῦντες. τὰ δὲ ἄλλα τοὺς ἑαυτῶν ἐκάκιζον ἡγεμόνας. ὁρμῆς δὲ καὶ προ-
θυμίας γενόμενοι πλήρεις, ἅπαντες ἠκολούθησαν ὁδὸν ἡμερῶν πολλῶν. ἕως ἐν διακοσίοις τῶν πο-
λεμίων σταδίοις κατεστρατοπέδευσαν. ἦν μὲν οὖν ὅτι καὶ πρὸς τὴν ἔφοδον αὐτὴν ἐτέθραυστο τῆς τόλ-
μης τοῦ ἀριοβύστου. γερμανοῖς γὰρ ἤδη ἐπιθήσεσθαι ῥωμαίους, ὧν ἐπερχομένων οὐκ ἂν ἐδόκει ὑπο-
στῆναι, ὁ μὴ προσδοκήσας, ἐθαύμαζε τὴν καίσαρος τόλμαν. καὶ τὸν στρατὸν ἑώρα τεταραγμένον. ἔτι δὲ
μᾶλλον αὐτοὺς ἤμβλυνε τὰ μαντεύματα τῶν ἱερῶν γυναικῶν, αἳ ποταμῶν δίναις προσβλέπουσαι,
καὶ ῥευμάτων ἑλιγμοῖς καὶ ψόφοις τεκμαιρόμεναι προεθέσπιζον, οὐκ ἐῶσαι μάχην τίθεσθαι. πρὶν
ἢ ἐπιλάμψαι νέαν σελήνην. ταῦτα τῷ καίσαρι πυνθανομένῳ, καὶ τοὺς γερμανοὺς ἡσυχάζοντας ὁρῶν-
τι, καλῶς ἔχειν ἔδοξεν, ἀπροθύμοις οὖσιν αὐτοῖς συμβαλεῖν μᾶλλον, ἢ τὸν ἐκείνων ἀναμένοντα και-
ρὸν καθῆσθαι, καὶ προσβολὰς ποιούμενος τοῖς ἐρύμασι καὶ λόφοις ἐφ' ὧν ἐστρατοπέδευον, ἐξηγρίαι-
νε καὶ παρώξυνε καταβάντας πρὸς ὀργὴν διαγωνίσασθαι. γενομένης δὲ λαμπρᾶς τροπῆς αὐτῶν,
ἐπὶ σταδίους τετρακοσίους ἄχρι τοῦ ῥήνου διώξας, κατέπλησε τοῦτο πᾶν νεκρῶν τὸ πεδίον καὶ λαφύ-
ρων. ἀριόβυστος δὲ φθάσας μετ' ὀλίγων, διεπέρασε τὸν ῥῆνον. ἀριθμὸν δὲ νεκρῶν μυριάδας ὀκτὼ γενέ-
σθαι λέγουσι. ταῦτα διαπραξάμενος, τὴν μὲν δύναμιν, ἐν σηκουανοῖς ἀπέλειπε διαχειμάσουσαν. αὐ-
τὸς δὲ τοῖς ἐν ῥώμῃ προσέχειν βουλόμενος, εἰς τὴν περὶ πάδον γαλατίαν κατέβη, τῆς αὐτῷ δεδομέ-
νης ἐπαρχίας οὖσαν. ὁ γὰρ καλούμενος ῥουβίκων ποταμὸς, ἀπὸ τῆς ὑπὸ ταῖς ἄλπεσι κελτικῆς
ὁρίζει τὴν ἄλλην ἰταλίαν. ἐνταῦθα καθήμενος ἐδημαγώγει. πολλῶν πρὸς αὐτὸν ἀφικνουμένων, δι-
δοὺς ὧν ἕκαστος δεηθείη, καὶ πάντας ἀποπέμπων. τὰ μὲν ἔχοντας ἤδη παρ' αὐτοῦ. τὰ δ' ἐλπίζοντας.
καὶ παρὰ τὸν ἄλλον δὲ πάντα τῆς στρατείας χρόνον, ἐλάνθανε τὸν πομπήϊον ἐν μέρει. νῦν μὲν τοὺς πο-
λεμίους τοῖς πολιτῶν ὅπλοις καταστρεφόμενος, νῦν δὲ τοῖς ἀπὸ τῶν πολεμίων χρήμασιν αἱρῶν τοὺς
πολίτας καὶ χειρούμενος. ἐπεὶ δὲ βέλγας ἤκουσε δυνατωτάτους κελτῶν. καὶ τὴν τρίτην ἁπάσης τῆς
κελτικῆς νεμομένους ἀφεστάναι. πολλὰς δή τινας μυριάδας ἐνόπλων ἀνδρῶν ἠθροικότας. ἐπιστρέ-
ψας εὐθὺς ἐχώρει τάχει πολλῷ, καὶ πορθοῦσι τοὺς συμμάχους γαλάτας ἐπιπεσὼν τοῖς πολεμίοις τοὺς
μὲν ἀθρουστάτους, καὶ πλείστους αἰσχρῶς ἀγωνισαμένους τρεψάμενος διέφθειρεν. ὥστε καὶ λίμνας καὶ
ποταμοὺς βαθεῖς τοῖς ῥωμαίοις νεκρῶν πλήθει περατοὺς γενέσθαι. τῶν δ' ἀποστάντων. οἱ μὲν παρω-
κεάνιοι πάντες ἀμαχεὶ προσεχώρησαν. ἐπὶ δὲ τοὺς ἀγριωτάτους καὶ μαχιμωτάτους τῶν τῇδε νερ-
βίους ἐστράτευσεν, οἵπερ εἰς συμμιγεῖς δρυμοὺς κατῳκημένοι. γενεὰς δὲ καὶ κτήσεις ἔν τινι βυθῷ τῆς
ὕλης ἀποτάτω θέμενοι τῶν πολεμίων, αὐτοὶ τῷ καίσαρι ποιουμένῳ χάρακα καὶ μὴ προσδεχομένῳ
τηνικαῦτα τὴν μάχην, ἑξακισμύριοι τὸ πλῆθος ὄντες αἰφνιδίως προσέπεσον. καὶ τοὺς μὲν ἱππεῖς ἐ-
τρέψαντο. τῶν δὲ ταγμάτων τὸ δωδέκατον καὶ τὸ ἕβδομον περισχόντες, ἅπαντας ἀπέκτειναν τοὺς
ταξιάρχους. εἰ δὲ μὴ καῖσαρ ἁρπάσας τὸν θυρεὸν, καὶ διασχὼν τοὺς πρὸ αὐτοῦ μαχομένους ἐνέβαλε
τοῖς βαρβάροις, καὶ ἀπὸ τῶν ἄκρων τὸ δωδέκατον κινδυνεύοντος αὐτοῦ, κατέδραμε καὶ διέκοψε τὰς
τάξεις τῶν πολεμίων, οὐδεὶς ἂν δοκεῖ περιγενέσθαι. νῦν δὲ τῇ καίσαρος τόλμῃ, τὴν λεγομένην ὑπὲρ
δύναμιν μάχην ἀγωνισάμενοι, τρέπονται μὲν οὐδ' ὣς τοὺς νερβίους, κατακόπτουσι δὲ ἀμυνομένους. πεν-
τακόσιοι γὰρ ἀπὸ μυριάδων ἓξ σωθῆναι λέγονται. βουλευταὶ δὲ τρεῖς ἀπὸ τετρακοσίων ταῦτα ἡ
σύγκλητος πυθομένη, πεντεκαίδεκα ἡμέρας ἐψηφίσατο θύειν τοῖς θεοῖς. καὶ σχολάζειν ἑορτάζον-
τας, ὅσας ἐπ' οὐδεμιᾷ νίκῃ πρότερον. καὶ γὰρ ὁ κίνδυνος ἐφάνη μέγας ἐθνῶν ἅμα τοσούτων ἀναρραγέ-
ντων. καὶ τὸ νίκημα λαμπρότερον ὅτι καῖσαρ ἦν ὁ νικῶν, ἡ πρὸς ἐκεῖνον εὔνοια τῶν πολλῶν ἐποίει.
καὶ γὰρ αὐτὸς εὖ θέμενος τὰ κατὰ τὴν γαλατίαν, πάλιν ἐν τοῖς περὶ πάδον χωρίοις διεχείμαζε,
συσκευαζόμενος τὴν πόλιν. οὐ γὰρ μόνον οἱ τὰς ἀρχὰς παραγγέλλοντες ἐκείνῳ χρώμενοι χορηγῷ, καὶ
τοῖς παρ' ἐκείνου χρήμασι διαφθείραντες τὸν δῆμον ἀνηγορεύοντο, καὶ πᾶν ἔπραττον ὃ τὴν ἐκείνου δύ-
ναμιν αὔξειν ἔμελλεν, ἀλλὰ καὶ τῶν ἐπιφανεστάτων ἀνδρῶν καὶ μεγίστων οἱ πλεῖστοι συνῆλθον πρὸς
αὐτὸν εἰς λοῦκαν. πομπήϊός τε καὶ κράσσος, καὶ ἄππιος ὁ τῆς σαρδόνος ἡγεμών. καὶ νέπως ὁ τῆς ἰ-
βηρίας ἀνθύπατος. ὥστε ῥαβδούχους μὲν, ἑκατὸν εἴκοσι γενέσθαι, συγκλητικοὺς δὲ πλείονας
ἢ διακοσίους. βουλὴν δὲ θέμενοι διεκρίθησαν. ἔδει τοὺς δὲ πομπήϊον μὲν καὶ κράσσον ὑπά-
τους ἀποδειχθῆναι, καίσαρι δὲ χρήματα καὶ πενταετίαν ἄλλην ἐπιμετρηθῆναι τῆς στρατηγίας, ὃ καὶ
παραλογώτατον ἐφαίνετο τοῖς νοῦν ἔχουσιν. οἱ γὰρ τοσαῦτα χρήματα παρὰ καίσαρος λαμβάνοντες,
ὡς οὐκ ἔχοντι διδόναι τὴν βουλὴν ἔπειθον, μᾶλλον δὲ ἠνάγκαζον ἐπιστένουσαν οἷς ἐψηφίζοντο. κά-
τωνος μὲν οὐ παρόντος. ἐπίτηδες γὰρ αὐτὸν εἰς κύπρον ἀπεδιοπομπήσαντο. φαωνίου δὲ ὃς ἦν ζηλω-
τὴς κάτωνος, ὡς οὐδὲν ἐπέραινεν ἀντιλέγων ἐξαλλομένου διὰ θυρῶν, καὶ βοῶντος εἰς τὸ πλῆθος, ἀλ-
λὰ προσεῖχεν οὐδείς. τῶν μὲν, πομπήϊον αἰδουμένων καὶ κράσσον, οἱ δὲ πλεῖστοι καίσαρι χαριζόμε-
νοι. καὶ πρὸς τὰς ἀπ' ἐκείνου ζῶντες ἐλπίδας ἡσύχαζον. τραπόμενος δὲ αὖθις ὁ καῖσαρ ἐπὶ τὰς ἐν

γνώμης ·η·

ξενθῆν

κραυγῆς ἀπαντώντων, αὐτὸς δὲ μάλα κατηφὴς καὶ δεδακρυμένος, προσέπεσε τῷ καίσαρι, συγγνώμην αἰτούμενος, ἐπὶ τῷ προέσθαι τὸν θυρεόν. ἐν δὲ λιβύῃ ναῦν ἔχοντες οἱ περὶ σκηπίωνα καίσαρος, ἐν ᾗ γράνιος πέτρων ἐπέπλει, ταμίας ἀποδεδειγμένος, τοὺς μὲν ἄλλους ἐποιοῦντο λείαν. τῷ δὲ ταμίᾳ, διδόναι τὴν σωτηρίαν ἔφασαν. ὁ δὲ εἰπών. ὅτι τοὺς καίσαρος στρατιώτας οὐ λαμβάνειν, ἀλλὰ διδόναι σωτηρίαν ἔθος ἐστὶν, ἑαυτὸν τῷ ξίφει πατάξας, ἀνεῖλεν. τὰ δὲ τοιαῦτα λήμματα καὶ τὰς φιλοτιμίας αὐτὸς ἀνέθρεψεν. καὶ κατεσκεύασε καῖσαρ. πρῶτον μὲν, τῷ χαρίζεσθαι καὶ τιμᾶν ἀφειδῶς. ἐνδεικνύμενος, ὅτι τὸν πλοῦτον, οὐκ εἰς τρυφὴν ἰδίαν, οὐδὲ τινὰς ἡδυπαθείας ἐκ τῶν πολέμων ἀθροίζει. κοινὰ δὲ ἆθλα τῆς ἀνδραγαθίας παρ' αὐτῷ φυλαττόμενα ἀπόκειται. καὶ μέτεστιν ἐκείνῳ τοῦ πλουτεῖν, ὅσα τοῖς ἀξίοις τῶν στρατιωτῶν δίδωσιν. ἔπειτα τῷ πάντα μὲν κίνδυνον ἑκὼν ὑφίστασθαι, πρὸς μηδένα δὲ τῶν πόνων ἀπαγορεύειν. τὸ μὲν οὖν φιλοκίνδυνον, οὐκ ἐθαύμαζον αὐτοῦ, διὰ τὴν φιλοτιμίαν. ἡ δὲ τῶν πόνων ὑπομονὴ, παρὰ τὴν τοῦ σώματος δύναμιν ἐγκαρτερεῖν δοκοῦντος, ἐξέπληττεν. ὅτι καὶ τὴν ἕξιν ὢν ἰσχνὸς, καὶ τὴν σάρκα λευκὸς καὶ ἁπαλός. καὶ περὶ τὴν κεφαλὴν νοσώδης, καὶ τοῖς ἐπιληπτικοῖς ἔνοχος, ἐν κορδύβῃ, πρῶτον αὐτῷ τοῦ πάθους ὡς λέγεται τούτου προσπεσόντος, οὐ μαλακίας ἐποιήσατο τὴν ἀρρωστίαν πρόφασιν, ἀλλὰ θεραπείαν τῆς ἀρρωστίας τὴν στρατείαν, ταῖς ἀτρύτοις ὁδοιπορίαις, καὶ ταῖς εὐτελέσι διαίταις, καὶ τῷ θυραυλεῖν, ἀπομαχόμενος τῷ πάθει. καὶ τὸ σῶμα φρουρῶν δυσάλωτον. ἐκοιμᾶτο μὲν γε τοὺς πλείστους ὕπνους, ἐν ὀχήμασιν ἢ φορείοις, εἰς πρᾶξιν τὴν ἀνάπαυσιν κατατιθέμενος. ὠχεῖτο δὲ μεθ' ἡμέραν, ἐπὶ τὰ φρούρια, καὶ τὰς πόλεις καὶ τοὺς χάρακας, ἑνὸς αὐτῷ συγκαθημένου παιδὸς, τῶν ὑπογράφειν ἅμα διώκοντος εἰθισμένων. ἑνὸς δ' ἐξόπισθεν ἐφεστηκότος στρατιώτου, ξίφος ἔχοντος. συντόνως δὲ ἤλαυνεν οὕτως, ὥστε τὴν πρώτην ἔξοδον ἀπὸ ῥώμης ποιησάμενος, ὀγδοαῖος ἐπὶ τὸν ῥοδανὸν ἐλθεῖν.

Τὸ μὲν οὖν ἱππεύειν, ἐκ παιδὸς ἦν αὐτῷ ῥᾴδιον. εἴθιστο γὰρ εἰς τοὐπίσω τὰς χεῖρας ἀπάγων, καὶ τῷ νώτῳ περιπλέκων, ἀνακρατὸς ἐλαύνειν τὸν ἵππον. ἐν ἐκείνῃ δὲ τῇ στρατείᾳ προσεξήσκησεν, ἱππαζόμενος, τὰς ἐπιστολὰς ὑπαγορεύειν, καὶ δυσὶν ὁμοῦ γράφουσιν ἐξαρκεῖν. ὡς δὲ ὄππιός φησι, καὶ πλείοσιν. λέγεται δὲ καὶ τὸ διὰ γραμμάτων τοῖς φίλοις ὁμιλεῖν, καῖσαρα πρῶτον μηχανήσασθαι, τὴν κατὰ πρόσωπον ἔντευξιν ὑπὲρ τῶν ἐπειγόντων τοῦ καιροῦ, διά τε πλῆθος ἀσχολιῶν, καὶ τῆς πόλεως τὸ μέγεθος μὴ περιμένοντος. τῆς δὲ περὶ τὴν δίαιταν εὐκολίας κἀκεῖνο ποιοῦνται σημεῖον. ὅτι τοῦ δειπνίζοντος αὐτὸν ἐν μεδιολάνῳ ξένου, οὐαλερίου λέοντος, παραθέντος ἀσπάραγον, καὶ μύρον ἀντ' ἐλαίου καταχέαντος. αὐτὸς μὲν, ἀφελῶς ἔφαγεν. τοῖς δὲ φίλοις δυσχεραίνουσιν ἐπέπληξεν. ἤρκει γὰρ ἔφη τὸ μὴ χρῆσθαι τοῖς ἀπαρέσκουσιν. ὁ δὲ τὴν τοιαύτην ἀγροικίαν ἐξελέγχων, αὐτός ἐστιν ἄγροικος. ἐν ὁδῷ δέ ποτε συνελαθεὶς ὑπὸ χειμῶνος εἰς ἔπαυλιν ἀνθρώπου πένητος, ὡς οὐδὲν εὗρεν, πλέον οἰκήματος ἑνὸς γλίσχρως ἕνα δέξασθαι δυναμένου, πρὸς τοὺς φίλους εἰπὼν, ὡς τῶν μὲν ἐντίμων παραχωρητέον εἴη τοῖς κρατίστοις. τῶν δὲ ἀναγκαίων τοῖς ἀσθενεστάτοις, ὄππιον ἐκέλευσεν ἀναπαύσασθαι. μετὰ δὲ τῶν ἄλλων, αὐτὸς ἐν τῷ προστεγίῳ τῆς θύρας ἐκάθευδεν.

Ἀλλὰ γὰρ ὁ μὲν πρῶτος αὐτῷ τῶν κελτικῶν πολέμων, πρὸς ἐλβηττίους συνέστη καὶ τιγυρίνους. οἳ τὰς αὐτῶν δώδεκα πόλεις, καὶ κώμας τετρακοσίας ἐμπρήσαντες, ἐχώρουν πρόσω διὰ τῆς ὑπὸ ῥωμαίους γαλατίας. ὡς πρὶν πάλαι κίμβροι, καὶ τεύτονες οὔτε τόλμαν ἐκείνων ὑποδεέστεροι δοκοῦντες εἶναι, καὶ πλῆθος ὁμαλῶς τριάκοντα μὲν αἱ πᾶσαι μυριάδες ὄντες. εἴκοσι δὲ αἱ μαχόμεναι μιᾶς δέουσαι.

Τούτων τιγυρινοὺς μὲν οὐκ αὐτὸς, ἀλλὰ λαβιηνὸς πεμφθεὶς ὑπ' αὐτοῦ περὶ τὸν ἄραρα ποταμὸν συνέτριψεν. ἐλβηττίων δὲ αὐτῷ πρός τινα πόλιν φιλίαν ἄγοντι τὴν στρατιὰν, καθ' ὁδὸν ἀπροσδοκήτως ἐπιθεμένων, φθάσας ἐπὶ χωρίον καρτερὸν κατέφυγεν. κἀκεῖ συναγαγὼν καὶ παρατάξας τὴν δύναμιν, ὡς ἵππος αὐτῷ προσήχθη, τούτῳ μὲν ἔφη, νικήσας χρήσομαι πρὸς τὴν δίωξιν. νῦν δὲ ἴωμεν ἐπὶ τοὺς πολεμίους. καὶ πεζὸς ὁρμήσας ἐνέβαλεν. χρόνῳ δὲ καὶ χαλεπῶς ὠσάμενος τὸ μάχιμον, περὶ ταῖς ἁμάξαις καὶ τῷ χάρακι τὸν πλεῖστον ἔσχεν πόνον, οὐκ αὐτῶν μόνων ὑφισταμένων ἐκεῖ καὶ μαχομένων, ἀλλὰ καὶ παῖδες αὐτῶν καὶ γυναῖκες ἀμυνόμεναι μέχρι θανάτου, συγκατεκόπησαν. ὥστε τὴν μάχην, μόλις εἰς μέσας νύκτας τελευτῆσαι. καλῷ δὲ τῷ τῆς νίκης ἔργῳ, κρεῖττον ἐπέθηκεν, τῷ συνοικῆσαι τοὺς διαφυγόντας ἐκ τῆς μάχης τῶν παρόντων βαρβάρων, καὶ καταναγκάσαι τὴν χώραν ἀναλαβεῖν, ἣν ἀπέλιπον. καὶ τὰς πόλεις ἃς διέφθειραν, ὄντας ὑπὲρ δέκα μυριάδας. ἔπραξε δὲ τοῦτο δεδιὼς, μὴ τὴν χώραν ἔρημον γενομένην, οἱ γερμανοὶ διαβάντες κατάσχωσιν.

Δεύτερον δὲ, πρὸς γερμανοὺς ἄντικρυς ὑπὲρ κελτῶν ἐπολέμησεν. καίτοι τὸν βασιλέα πρότερον αὐτῶν, ἀριόβυστον ἐν ῥώμῃ σύμμαχον πεποιημένος, ἀλλ' ἦσαν ἀφόρητοι τοῖς ὑπηκόοις αὐτοῦ γείτονες. καὶ καιροῦ παραδόντος, οὐκ ἂν ἐδόκουν ἐπὶ τοῖς παροῦσιν ἀτρεμήσειν. ἀλλ' ἐπινεμήσεσθαι καὶ καθέξειν τὴν γαλατίαν. ὁρῶν δὲ τοὺς ἡγεμόνας ἀποδειλιῶντας, καὶ μάλιστα ὅσοι τῶν ἐπιφανῶν καὶ νέων αὐτῷ συνεξῆλθον, ὡς δὴ τρυφῇ χρησόμενοι καὶ χρηματισμῷ τῇ μετὰ καίσαρος στρατείᾳ, συναγαγὼν εἰς ἐκκλησίαν, ἐκέλευσεν ἀπιέναι καὶ μὴ κινδυνεύειν παρὰ γνώμην, οὕτως ἀνάνδρως καὶ μαλακῶς ἔχοντας. αὐτὸς δὲ ἔφη τὸ δέκατον τάγμα μό-

πομπήιον, ἠρώτησεν εἰ τοὺς νόμους ἐπαινοίη. ἐπαινεῖν δὲ φασκόντων, παρεκάλει βοηθεῖν πρὸς τοὺς ἐνίστασθαι μετὰ ξιφῶν ἀπειλοῦντας. ἐκεῖνοι δὲ ὑπισχνοῦντο. πομπήιος δὲ, καὶ προσεπεῖπεν, ὡς ἀφίξοιτο πρὸς τὰ ξίφη μετὰ τοῦ ξίφους, καὶ θυρεὸν κομίζων. ἐπὶ τούτῳ, τοὺς μὲν ἀριστοκρατικοὺς ἠνίασεν, οὐκ ἀξίαν τῆς περὶ αὐτὸν αἰδοῦς, οὐδὲ τῆς πρὸς τὴν σύγκλητον εὐλαβείας πρέπουσαν, ἀλλὰ μανικὴν καὶ μειρακιώδη φωνὴν ἀκούσαντας. ὁ δὲ δῆμος ἥσθη. Καῖσαρ δὲ μειζόνως ἔτι τῆς πομπηίου δυνάμεως ἐπιδραττόμενος, ἦν γὰρ αὐτῷ ἰουλία θυγάτηρ ἐγγεγυημένη σερουιλίῳ καιπίωνι, ταύτην ἐνεγγύησε πομπηίῳ, τὴν δὲ πομπηίου, τῷ σερουιλίῳ δώσειν ἔφησεν, οὐδὲ αὐτὴν ἀνέγγυον οὖσαν, ἀλλὰ φαύστῳ τῷ σύλλα παιδὶ καθωμολογημένην. ὀλίγῳ δὲ ὕστερον, καῖσαρ ἠγάγετο καλπουρνίαν θυγατέρα πείσωνος. τὸν δὲ πείσωνα, κατέστησεν ὕπατον εἰς τὸ μέλλον. ἐνταῦθα δὴ καὶ σφόδρα μαρτυρομένου κάτωνος καὶ βοῶντος, οὐκ ἀνεκτὸν εἶναι, γάμοις διαμαστροπευομένης τῆς ἡγεμονίας, καὶ διὰ γυναίων, εἰς ἐπαρχίας καὶ στρατεύματα καὶ δυνάμεις, ἀλλήλους ἀντεισαγόντων. ὁ μὲν οὖν συνάρχων τοῦ καίσαρος βίβλος, ἐπεὶ κωλύων τοὺς νόμους οὐδὲν ἐπέραινεν, ἀλλὰ πολλάκις ἐκινδύνευε μετὰ κάτωνος ἐπὶ τῆς ἀγορᾶς ἀποθανεῖν, ἐγκλεισάμενος οἴκοι, τὸν τῆς ἀρχῆς χρόνον διετέλεσεν. πομπήιος δὲ γήμας, εὐθὺς ἐνέπλησε τὴν ἀγορὰν ὅπλων, καὶ συνεπεκύρου τῷ δήμῳ τοὺς νόμους. καίσαρι δὲ τὴν ἐντὸς ἄλπεων, καὶ τὴν ἐκτὸς ἅπασαν κελτικὴν, προσθεὶς τὸ ἰλλυρικὸν μετὰ ταγμάτων τεσσάρων, εἰς πενταετίαν. Κάτωνα μὲν οὖν, ἐπιχειρήσαντα τούτοις ἀντιλέγειν, ἀπῆγεν εἰς φυλακὴν ὁ καῖσαρ, οἰόμενος αὐτὸν ἐπικαλέσεσθαι τοὺς δημάρχους. ἐκείνου δὲ ἀφώνου βαδίζοντος, ὁρῶν ὁ καῖσαρ, οὐ μόνον τοὺς κρατίστους δυσφοροῦντας, ἀλλὰ καὶ τὸ δημοτικὸν, αἰδοῖ τῆς κάτωνος ἀρετῆς, σιωπῇ καὶ μετὰ κατηφείας ἑπόμενον, αὐτὸς ἐδεήθη κρύφα τῶν δημάρχων ἑνὸς, ἀφελέσθαι τὸν κάτωνα. τῶν δὲ ἄλλων συγκλητικῶν, ὀλίγοι παντάπασιν αὐτῷ συνῄεσαν εἰς βουλήν. οἱ δὲ λοιποὶ δυσχεραίνοντες, ἐκποδὼν ἦσαν. εἰπόντος δὲ κονσιδίου τινὸς τῶν σφόδρα γερόντων, ὡς φοβούμενοι τὰ ὅπλα καὶ τοὺς στρατιώτας οὐ συνέρχοιντο, τί οὖν ἔφη ὁ καῖσαρ, οὐ καὶ σὺ ταῦτα δεδιὼς οἰκουρεῖς; καὶ ὁ κονσίδιος εἶπεν. ὅτι με ποιεῖ μὴ φοβεῖσθαι τὸ γῆρας. ὁ γὰρ ἔτι λειπόμενος βίος, οὐ πολλῆς ὀλίγος ὢν δεῖται προνοίας. αἴσχιστον δὲ τῶν τότε πολιτευμάτων ἔδοξεν, ἐν τῇ καίσαρος ὑπατείᾳ, δήμαρχον αἱρεθῆναι κλώδιον ἐκεῖνον, ὑφ' οὗ τὰ περὶ τὸν γάμον καὶ τὰς ἀπορρήτους παρενομήθη παννυχίδας. ᾑρέθη δὲ ἐπὶ τῇ κικέρωνος καταλύσει. καὶ καῖσαρ οὐ πρότερον ἐξῆλθεν ἐπὶ τὴν στρατείαν, ἢ καταστασιάσαι κικέρωνα μετὰ κλωδίου, καὶ συνεκβαλεῖν ἐκ τῆς ἰταλίας. Τοιαῦτα μὲν οὖν λέγεται γενέσθαι τὰ πρὸ τῶν γαλατικῶν. ὁ δὲ τῶν πολέμων, οὓς ἐπολέμησε μετὰ ταῦτα, καὶ τῶν στρατειῶν, αἷς ἡμερώσατο τὴν κελτικὴν χρόνος, ὥσπερ ἄλλην ἀρχὴν λαβόντος αὐτοῦ, καὶ καταστάντος εἰς ἑτέραν τινὰ βίου καὶ πραγμάτων καινῶν ὁδὸν, οὐκ ἔστιν ὅτου τῶν μάλιστα τεθαυμασμένων ἐφ' ἡγεμονίᾳ, καὶ μεγίστων γεγονότων ἀπολείποντα πολεμιστὴν καὶ στρατηλάτην ἀπέδειξεν αὐτὸν, ἀλλ' εἴτε φαβίους καὶ σκιπίωνας καὶ μετέλλους καὶ τοὺς κατ' αὐτὸν, ἢ μικρὸν ἔμπροσθεν αὐτοῦ, σύλλαν καὶ μάριον, ἀμφοτέρους τε λευκούλλους, ἢ καὶ πομπήιον αὐτὸν, οὗ κλέος ὑπουράνιον ἤνθει τότε, παντοίας περὶ πόλεμον ἀρετῆς, παραβάλοι τις, αἱ καίσαρος ὑπερβάλλουσι πράξεις. τὸν μὲν, χαλεπότητι τόπων ἐν οἷς ἐπολέμησε. τὸν δὲ, μεγέθει χώρας ἣν προσεκτήσατο. τὸν δὲ, πλήθει καὶ βίᾳ πολεμίων, οὓς ἐνίκησεν. τὸν δὲ, ἀτοπίαις καὶ ἀπιστίαις ἠθῶν, ἃ καθωμάλισε. τὸν δὲ ἐπιεικείᾳ καὶ πρᾳότητι πρὸς τοὺς ἁλισκομένους. τὸν δὲ δώροις καὶ χάρισι πρὸς τοὺς συστρατευομένους. πάντας δὲ, τῷ πλείστας μεμαχῆσθαι μάχας, καὶ πλείστους ἀνῃρηκέναι τῶν ἀντιταχθέντων. ἔτη γὰρ οὐδὲ δέκα πολεμήσας περὶ γαλατίαν, πόλεις μὲν ὑπὲρ ὀκτακοσίας κατὰ κράτος εἷλεν. ἔθνη δὲ ἐχειρώσατο τριακόσια. μυριάσι δὲ παραταξάμενος κατὰ μέρος τριακοσίαις, ἑκατὸν μὲν ἐν χερσὶ διέφθειρεν. ἄλλας δὲ τοσαύτας ἐζώγρησεν. εὐνοίᾳ δὲ καὶ προθυμίᾳ στρατιωτῶν ἐχρήσατο τοσαύτῃ περὶ αὐτὸν, ὥστε τοὺς ἑτέρων μηδὲν ἐν ταῖς ἄλλαις στρατείαις διαφέροντας, ἀμάχους καὶ ἀνυποστάτους φέρεσθαι πρὸς πᾶν δεινὸν, ὑπὲρ τῆς καίσαρος δόξης.

Οἷος ἦν πρῶτον μὲν ἀκίλιος, ὃς ἐν τῇ περὶ μασσαλίαν ναυμαχίᾳ, νεὼς πολεμίας ἐπιβεβηκὼς, τὴν μὲν δεξιὰν ἀπεκόπη χεῖρα μαχαίρᾳ, τῇ δὲ ἀριστερᾷ, τὸν θυρεὸν οὐκ ἀφῆκεν, ἀλλὰ τύπτων εἰς τὰ πρόσωπα τοὺς πολεμίους, ἀπέστρεψε πάντας, καὶ τοῦ σκάφους ἐπεκράτησεν. ἔπειτα δὲ κάσσιος σκεύας, ὃς ἐν τῇ περὶ δυρράχιον μάχῃ, τὸν ὀφθαλμὸν ἐκκοπεὶς τοξεύματι, τὸν δὲ ὦμον ὑσσῷ, καὶ τὸν μηρὸν ἑτέρῳ διεληλαμένος, τῷ δὲ θυρεῷ, βελῶν ἑκατὸν καὶ τριάκοντα πληγὰς ἀναδεδεγμένος, ἐκάλει τοὺς πολεμίους, ὡς παραδώσων ἑαυτόν. δυεῖν δὲ προσιόντων, τοῦ μὲν ἀπέκοψε τὸν ὦμον τῇ μαχαίρᾳ. τὸν δὲ, κατὰ τοῦ προσώπου πατάξας, ἀπέστρεψεν. αὐτὸς δὲ διεσώθη τῶν οἰκείων περισχόντων. ἐν δὲ βρεττανίᾳ τῶν πολεμίων, εἰς τόπον ἑλώδη καὶ μεστὸν ὕδατος ἐμπεσοῦσι τοῖς πρώτοις ταξιάρχαις, ἐπιθεμένων, στρατιώτης καίσαρος, αὐτοῦ τὴν μάχην ἐφορῶντος, ὠσάμενος εἰς μέσους, καὶ πολλὰ καὶ περίοπτα τόλμης ἀποδειξάμενος ἔργα, τοὺς μὲν ταξιάρχους ἔσωσε, τῶν βαρβάρων φυγόντων. αὐτὸς δὲ χαλεπῶς ἐπὶ πᾶσι διαβαίνων, ἔρριψεν ἑαυτὸν εἰς ῥεύματα τελματώδη, καὶ μόλις ἄνευ τοῦ θυρεοῦ, τὰ μὲν νηχόμενος, τὰ δὲ βαδίζων διεπέρασεν. Θαυμαζόντων δὲ τῶν περὶ τὸν καίσαρα, καὶ μετὰ χαρᾶς καὶ

γάμοις. κ. ς.

ἴδε

ἔπει

νυκτὸς εὐθὺς αἱ γυναῖκες ἀπιοῦσαι, τοῖς αὑτῶν ἔφραζον ἀνδράσι. καὶ μεθ' ἡμέραν, ἐχώρει διὰ τῆς πόλεως ὁ λόγος. ὡς ἀθέσμοις ἐπικεχειρηκότος τοῦ κλωδίου, καὶ δίκην οὐ τοῖς ὑβρισμένοις μόνον, ἀλλὰ καὶ τῇ πόλει, καὶ τοῖς θεοῖς ὀφείλοντος. ἐγράψατο μὲν οὖν τὸν κλώδιον εἷς τῶν δημάρχων ἀσεβείας. καὶ συνέστησαν ἐπ' αὐτὸν, οἱ δυνατώτατοι τῶν ἀπὸ τῆς βουλῆς. ἄλλας τε δεινὰς ἀσελγείας καταμαρτυροῦντες, καὶ μοιχείαν ἀδελφῆς, ἣ λευκούλλῳ συνῳκήκει. πρὸς δὲ τὰς τούτων σπουδὰς, ὁ δῆμος ἀντιτάξας ἑαυτὸν, ἤμυνε τῷ κλωδίῳ. καὶ μέγα πρὸς τοὺς δικαστὰς ὄφελος ἦν, ἐκπεπληγμένους καὶ δεδοικότας τὸ πλῆθος. ὁ δὲ καῖσαρ, ἀπεπέμψατο μὲν εὐθὺς, τὴν πομπηΐαν. μάρτυς δὲ πρὸς τὴν δίκην κληθεὶς, οὐδὲν ἔφη τῶν λεγομένων κατὰ τοῦ κλωδίου γιγνώσκειν. ὡς δὲ τοῦ λόγου παραδόξου φανέντος, ὁ κατήγορος ἠρώτησε, πῶς οὖν ἀπεπέμψατο τὴν γυναῖκα, ὅτι ἔφη, τὴν ἐμὴν ἠξίουν μηδὲ ὑπονοηθῆναι. ταῦτα οἱ μὲν, οὕτω φρονοῦντα τὸν καίσαρα λέγουσιν εἰπεῖν. οἱ δὲ, τῷ δήμῳ χαριζόμενον, ὡρμημένῳ σώζειν τὸν κλώδιον. ἀποφεύγει δ' οὖν τὸ ἔγκλημα τῶν πλείστων δικαστῶν, συγκεχυμένοις τοῖς γράμμασι τὰς γνώμας ἀποδιδόντων, ὅπως μήτε παρακινδυνεύσωσιν ἐν τοῖς πολλοῖς καταψηφισάμενοι, μήτε ἀπολύσαντες ἀδοξήσωσι παρὰ τοῖς ἀρίστοις. ὁ δὲ καῖσαρ, εὐθὺς ἀπὸ τῆς στρατηγίας τῶν ἐπαρχιῶν τὴν ἰβηρίαν λαβὼν, ὡς ἦν δυσδιάθετον αὐτῷ τὸ περὶ τοὺς δανειστὰς, ἐνοχλοῦντας ἐξιόντι καὶ καταβοῶντας, ἐπὶ κράσσον κατέφυγε, πλουσιώτατον ὄντα ῥωμαίων. δεόμενον δὲ τῆς καίσαρος ἀκμῆς καὶ θερμότητος, ἐπὶ τὴν πρὸς πομπήϊον ἀντιπολιτείαν. ἀναδεξαμένου δὲ τοῦ κράσσου τοὺς μάλιστα χαλεποὺς καὶ ἀπαραιτήτους τῶν δανειστῶν, καὶ διεγγυήσαντος ὀκτακοσίων καὶ τριάκοντα ταλάντων, οὕτως ἐξῆλθεν ἐπὶ τὴν ἐπαρχίαν. λέγεται δὲ τὰς ἄλπεις ὑπερβαλόντος αὐτοῦ, καὶ πολιχνίον τι βαρβαρικὸν οἰκούμενον ὑπὸ ἀνθρώπων παντάπασιν ὀλίγων καὶ λυπρὸν παρερχομένους τοὺς ἑταίρους ἅμα γέλωτι, καὶ μετὰ παιδιᾶς, ἦ που φάναι κἀνταῦθα τινές εἰσιν ὑπὲρ ἀρχῶν φιλοτιμίαι, καὶ περὶ πρωτείων ἅμιλλαι, καὶ φθόνοι τῶν δυνατῶν πρὸς ἀλλήλους. τὸν δὲ καίσαρα σπουδάσαντα πρὸς αὐτοὺς εἰπεῖν. ἐγὼ μὲν, ἐβουλόμην παρὰ τούτοις εἶναι μᾶλλον πρῶτος, ἢ παρὰ ῥωμαίοις δεύτερος. ὁμοίως δὲ πάλιν ἐν ἰβηρίᾳ σχολῆς οὔσης, ἀναγινώσκοντά τι τῶν περὶ ἀλεξάνδρου γεγραμμένων, σφόδρα γενέσθαι πρὸς ἑαυτῷ πολὺν χρόνον. εἶτα, καὶ δακρῦσαι. τῶν δὲ φίλων θαυμασάντων τὴν αἰτίαν εἰπεῖν. οὐ δοκεῖ ὑμῖν ἄξιον εἶναι λύπης, εἰ τηλικοῦτος μὲν ὢν ἀλέξανδρος ἤδη τοσούτων ἐβασίλευεν, ἐμοὶ δὲ λαμπρὸν οὐδὲν οὔπω πέπρακται. τῆς γοῦν ἰβηρίας ἐπιβὰς, εὐθὺς ἦν ἐνεργός. ὥσθ' ἡμέραις ὀλίγαις, δέκα σπείρας συναγαγεῖν, πρὸς ταῖς πρότερον οὔσαις εἴκοσι. καὶ στρατεύσας ἐπὶ καλλαϊκούς. καὶ λυσιτανοὺς, κρατῆσαι καὶ προελθεῖν ἄχρι τῆς ἔξω θαλάσσης. τὰ μὴ πρότερον ὑπακούοντα ῥωμαίοις ἔθνη καταστρεφόμενος. θέμενος δὲ τὰ τοῦ πολέμου καλῶς, οὐ χεῖρον ἐβράβευε τὰ τῆς εἰρήνης. ὁμόνοιάν τε ταῖς πόλεσι καθιστὰς, καὶ μάλιστα τὰς τῶν χρεωφειλετῶν καὶ δανειστῶν, ἰώμενος διαφοράς. ἔταξε γὰρ τῶν προσιόντων τοῖς ὀφείλουσι, καθ' ἕκαστον ἐνιαυτὸν, δύο μὲν μέρη τὸν δανειστὴν ἀναιρεῖσθαι. τῷ δὲ λοιπῷ χρῆσθαι τὸν δεσπότην. ἄχρι ἂν οὕτως ἐκλυθῇ τὸ δάνειον. ἐπὶ τούτοις εὐδοκιμῶν, ἀπηλλάγη τῆς ἐπαρχίας. αὐτός τε πλούσιος γεγονὼς, καὶ τοὺς στρατιώτας ὠφεληκὼς ἀπὸ τῶν στρατειῶν. καὶ προσηγορευμένος αὐτοκράτωρ ὑπ' αὐτῶν. ἐπεὶ δὲ τοὺς μὲν μνωμένους θρίαμβον ἔξω διατρίβειν ἔδει, τοὺς δὲ μετιόντας ὑπατείαν, παρόντας ἐν τῇ πόλει τοῦτο πράττειν. ἐν τοιαύτῃ γεγονὼς ἀντινομίᾳ, καὶ πρὸς αὐτὰς τὰς ὑπατικὰς ἀφιγμένος ἀρχαιρεσίας, ἔπεμψε πρὸς τὴν σύγκλητον, αἰτούμενος αὐτῷ δοθῆναι, παραγγέλλειν εἰς ὑπατείαν ἀπόντι διὰ τῶν φίλων. κάτωνος δὲ πρῶτον μὲν ἰσχυριζομένου τῷ νόμῳ πρὸς τὴν ἀξίωσιν, εἶτα ὡς ἑώρα πολλούς τε τεθεραπευμένους ὑπὸ τοῦ καίσαρος, ἐκκρούσαντος τῷ χρόνῳ τὸ πρᾶγμα, καὶ τὴν ἡμέραν ἐν τῷ λέγειν κατατρίψαντος, ἔγνω τὸν θρίαμβον ἀφεὶς ὁ καῖσαρ, ἔχεσθαι τῆς ὑπατείας. καὶ παρελθὼν εὐθὺς, ὑποδύεται πολιτεύματι, πάντας ἀνθρώπους ἐξαπατῆσαν, πλὴν κάτωνος. ἦν δὲ τοῦτο, διαλλαγὴ πομπηΐου, καὶ κράσσου τῶν μέγιστον ἐν τῇ πόλει δυναμένων. οὓς συναγαγὼν ὁ καῖσαρ εἰς φιλίαν ἐκ διαφορᾶς, καὶ τὴν ὑπ' ἀμφοῖν συνενεγκάμενος ἰσχὺν, εἰς ἑαυτὸν, ἔργῳ φιλάνθρωπον ἔχοντι προσηγορίαν, ἔλαθε μεταστήσας τὴν πολιτείαν. οὐ γὰρ ὡς οἱ πλεῖστοι νομίζουσιν, ἡ καίσαρος καὶ πομπηΐου διαφορὰ, τοὺς ἐμφυλίους ἀπειργάσατο πολέμους. ἀλλὰ μᾶλλον ἡ φιλία, συστάντων, ἐπὶ καταλύσει τῆς ἀριστοκρατίας τὸ πρῶτον, εἶτα οὕτω καὶ πρὸς ἀλλήλους διαστάντων. κάτωνι δὲ πολλάκις τὰ μέλλοντα προθεσπίζοντι, περιῆν δυσκόλου μὲν ἀνθρώπου τότε καὶ πολυπράγμονος, ὕστερον δὲ, φρονίμου μὲν, οὐκ εὐτυχοῦς δὲ συμβούλου, λαβεῖν δόξαν. οὐ μὴν, ἀλλ' ὁ καῖσαρ, ἐν μέσῳ τῆς κράσσου καὶ πομπηΐου φιλίας δορυφορούμενος, ἐπὶ τὴν ὑπατείαν προήχθη. καὶ λαμπρῶς ἀναγορευθεὶς μετὰ καλπουρνίου βίβλου, καὶ καταστὰς εἰς τὴν ἀρχὴν, εὐθὺς εἰσέφερε νόμους, οὐχ ὑπάτῳ προσήκοντας, ἀλλὰ δημάρχῳ τινὶ θρασυτάτῳ. πρὸς ἡδονὴν τῶν πολλῶν, κληρουχίας τινὰς χώρας καὶ διανομὰς εἰσηγούμενος. ἐν δὲ τῇ βουλῇ τῶν καλῶν τε καὶ ἀγαθῶν ἀντικρουσάντων, πάλαι δεόμενος προφάσεως, ἀνακραγὼν καὶ μαρτυράμενος ὡς εἰς τὸν δῆμον ἄκων ἐξελαύνοιτο, θεραπεύσων ἐκεῖνον διὰ ἀνάγκης, ὕβρει καὶ χαλεπότητι τῆς βουλῆς, πρὸς αὐτὸν ἐξεπήδησε. καὶ περιστησάμενος, ἔνθεν μὲν κράσσον, ἔνθεν δὲ

ἀπεπέμψατο. ς. κ.

λυπρὸν. κ.

τούτοις. ς. κ.

ὅλην ἀνελεῖν τὴν ἡγεμονίαν. καὶ πάντα τὰ πράγματα συγχέαι διανοηθεὶς, αὐτὸς μὲν, ἐξέπεσε καὶ περιπταίσας ἐλάττοσιν ἐλέγχοις, πρὸ τοῦ τὰς ἐσχάτας αὐτοῦ βουλὰς ἀποκαλυφθῆναι. λέντλον δὲ καὶ κέθηγον ἐν τῇ πόλει, διαδόχους ἀπέλιπε τῆς συνωμοσίας. οἷς, εἰ μὲν κρύφα παρεῖχέ τι θάρσους καὶ δυνάμεως ὁ καῖσαρ ἄδηλόν ἐστιν. ἐν δὲ τῇ βουλῇ κατὰ κράτος ἐξελεγχθέντων, καὶ κικέρωνος τοῦ ὑπάτου γνώμας ἐρωτῶντος περὶ κολάσεως ἕκαστον. οἱ μὲν ἄλλοι, μέχρι καίσαρος θανατοῦν ἐκέλευον. ὁ δὲ καῖσαρ ἀναστὰς, λόγον διῆλθε πεφροντισμένον. ὡς ἀποκτεῖναι μὲν ἀκρίτους ἄνδρας, ἀξιώματι καὶ γένει λαμπροὺς, οὐ δοκεῖ πάτριον οὐδὲ δίκαιον εἶναι. μὴ μετὰ τῆς ἐσχάτης ἀνάγκης. εἰ δὲ φρουροῖντο δεθέντες ἐν πόλεσι τῆς ἰταλίας, ἃς ἂν αὐτὸς ἕληται κικέρων, μέχρι οὗ καταπολεμηθῇ κατιλίνας, ὕστερον ἐν εἰρήνῃ καὶ καθ᾽ ἡσυχίαν περὶ ἑκάστου τῇ βουλῇ γνῶναι παρέξει. οὕτω δὲ τῆς γνώμης φιλανθρώπου φανείσης, καὶ τοῦ λόγου δυνατῶς ἐπ᾽ αὐτῇ ῥηθέντος. οὐ μόνον οἱ μετὰ τοῦτον ἀνιστάμενοι προσετίθεντο. πολλοὶ δὲ καὶ τῶν πρὸ αὐτοῦ, τὰς εἰρημένας γνώμας ἀπειπάμενοι, πρὸς τὴν ἐκείνου μετέστησαν, ἕως ἐπὶ κάτωνα τὸ πρᾶγμα καὶ κάτλον περιῆλθε. τούτων δὲ νεανικῶς ἐναντιωθέντων. κάτωνος δὲ καὶ τὴν ὑπόνοιαν ἅμα τῷ λόγῳ συνεπιπερείσαντος αὐτῷ, καὶ συνεξαναστάντος ἐρρωμένως. οἱ μὲν ἄνδρες, ἀποθανούμενοι παρεδόθησαν. καίσαρι δὲ τῆς βουλῆς ἐξιόντι, πολλοὶ τῶν κικέρωνα φρουρούντων, τότε νέων, γυμνὰ τὰ ξίφη συνδραμόντες ἐπέσχον. ἀλλὰ κουρίων τε λέγεται τῇ τηβέννῳ περιβαλὼν, ὑπεξαγαγεῖν. αὐτός τε ὁ κικέρων ὡς οἱ νεανίσκοι προσέβλεψαν, ἀνανεῦσαι, φοβηθεὶς τὸν δῆμον, ἢ τὸν φόνον ὅλως ἄδικον καὶ παράνομον ἡγούμενος. Τοῦτο μὲν οὖν, οὐκ οἶδα ὅπως ὁ κικέρων, εἴπερ ἦν ἀληθὲς ἐν τῷ περὶ τῆς ὑπατείας οὐκ ἔγραψεν. αἰτίαν δὲ εἶχεν ὕστερον, ὡς ἄριστα τῷ καιρῷ τότε παρασχόντι κατὰ τοῦ καίσαρος μὴ χρησάμενος, ἀλλ᾽ ἀποδειλιάσας τὸν δῆμον ὑπερφυῶς περιεχόμενον τοῦ καίσαρος. ὅς γε καὶ μετ᾽ ὀλίγας ἡμέρας εἰς τὴν βουλὴν εἰσελθόντος αὐτοῦ. καὶ περὶ ὧν ἐν ὑποψίαις ἦν ἀπολογουμένου, καὶ περιπίπτοντος θορύβοις πονηροῖς. ἐπειδὴ πλείων τοῦ συνήθους ἐγίγνετο, τῇ βουλῇ καθεζομένῃ χρόνος, ἐπῆλθε μετὰ κραυγῆς καὶ περιέστη τὴν σύγκλητον ἀπαιτῶν τὸν ἄνδρα, καὶ κελεύων ἀφεῖναι. διὸ καὶ κάτων φοβηθεὶς, μάλιστα τὸν ἐκ τῶν ἀπόρων νεωτερισμὸν, οἳ τοῦ παντὸς ὑπέκκαυμα πλήθους ἦσαν, ἐν τῷ καίσαρι τὰς ἐλπίδας ἔχοντες, ἔπεισε τὴν σύγκλητον ἀπονεῖμαι σιτηρέσιον αὐτοῖς ἔμμηνον. ἐξ οὗ δαπάνης μὲν, πεντακόσιαι πεντήκοντα μυριάδες ἐνιαύσιοι προσεγίνοντο τοῖς ἄλλοις ἀναλώμασι. Τὸν μέντοι μέγαν ἐν τῷ παρόντι φόβον ἔσβεσεν περιφανῶς τὸ πολίτευμα τοῦτο. καὶ τὸ πλεῖστον ἀπέρρηξε τῆς καίσαρος δυνάμεως καὶ διεσκέδασεν, ἐν καιρῷ στρατηγεῖν μέλλοντος, καὶ φοβερωτέρου διὰ τὴν ἀρχὴν ὄντος. οὐ μὴν ἀπέβη τι ταραχῶδες ἀπ᾽ αὐτῆς, ἀλλὰ καὶ τύχη τις ἄχαρις, τῷ καίσαρι συνηνέχθη περὶ τὸν οἶκον. πόπλιος κλώδιος ἦν ἀνὴρ γένει μὲν, εὐπατρίδης, καὶ πλούτῳ, καὶ λόγῳ λαμπρός. ὕβρει δὲ καὶ θρασύτητι, τῶν ἐπὶ βδελυρίᾳ περιβοήτων, οὐδενὸς δεύτερος. οὗτος ἤρα πομπηΐας τῆς καίσαρος γυναικὸς, οὐδὲ αὐτῆς ἀκούσης. ἀλλὰ φυλακαί τε τῆς γυναικωνίτιδος ἀκριβεῖς ἦσαν. ἥ τε μήτηρ τοῦ καίσαρος αὐρηλία, γυνὴ σώφρων, περιέπουσα τὴν νύμφην ἀεὶ, χαλεπὴν καὶ παρακεκινδυνευμένην αὐτοῖς, ἐποίει τὴν ἔντευξιν. ἔστι δὲ ῥωμαίοις θεὸς, ἣν ἀγαθὴν ὀνομάζουσιν ὥσπερ ἕλληνες γυναικείαν. καὶ φρύγες μὲν οἰκειούμενοι μίδα μητέρα τοῦ βασιλέως γενέσθαι φασίν. ῥωμαῖοι δὲ νύμφην δρυάδα, φαύνῳ συνοικήσασαν. ἕλληνες δὲ, τῶν διονύσου μητέρων τὴν ἄρρητον. ὅθεν ἀμπελίνοις τε τὰς σκηνὰς κλήμασιν, ἑορτάζουσαι κατερέφουσιν. καὶ δράκων ἱερὸς παρακαθίδρυται τῇ θεῷ κατὰ τὸν μῦθον. ἄνδρα δὲ προσελθεῖν, οὐ θέμις οὐδ᾽ ἐπὶ τῆς οἰκίας γενέσθαι τῶν ἱερῶν ὀργιαζομένων. αὐταὶ δὲ καθ᾽ ἑαυτὰς αἱ γυναῖκες, πολλὰ τοῖς ὀρφικοῖς ὁμολογοῦντα, δρᾶν λέγονται περὶ τὴν ἱερουργίαν. ὅταν οὖν ὁ τῆς ἑορτῆς καθήκῃ χρόνος ὑπατεύοντος, ἢ στρατηγοῦντος ἀνδρὸς, αὐτὸς μὲν ἐξίσταται, καὶ πᾶν τὸ ἄρρεν. ἡ δὲ γυνὴ, τὴν οἰκίαν παραλαβοῦσα διακοσμεῖ, καὶ τὰ μέγιστα νύκτωρ τελεῖται παιδιᾶς ἀναμεμιγμένης ταῖς παννυχίσι, καὶ μουσικῆς ἅμα πολλῆς παρούσης. ταύτην τότε τὴν ἑορτὴν τῆς πομπηΐας ἐπιτελούσης, ὁ κλώδιος οὔπω γενειῶν, καὶ διὰ τοῦτο λήσειν οἰόμενος, ἐσθῆτα καὶ σκευὴν ψαλτρίας ἀναλαβὼν, ἐχώρει, νέᾳ γυναικὶ τὴν ὄψιν ἐοικώς. καὶ ταῖς θύραις ἐπιτυχὼν ἀνεῳγμέναις, εἰσήχθη μετὰ ἀδείας, ὑπὸ τῆς συνειδυίας θεραπαινίδος. ἐκείνης δὲ προδραμούσης, ὡς τῇ πομπηΐᾳ φράσειεν, καὶ γενομένης διατριβῆς, περιμένειν μὲν ὅπου κατελείφθη τῷ κλωδίῳ μὴ καρτεροῦντι, πλανωμένῳ δ᾽ ἐν οἰκίᾳ μεγάλῃ καὶ περιφεύγοντι τὰ φῶτα, προσπεσοῦσα τῆς αὐρηλίας ἀκόλουθος, ὡς δὴ γυνὴ, γυναῖκα παίζειν προὐκαλεῖτο. καὶ μὴ βουλόμενον, εἰς τὸ μέσον εἷλκε. καὶ τίς ἐστι καὶ πόθεν ἐπυνθάνετο. τοῦ δὲ κλωδίου φήσαντος, ἄβραν περιμένειν πομπηΐας, αὐτὸ τοῦτο καλουμένην, καὶ τῇ φωνῇ γενομένου καταφανοῦς, ἡ μὲν ἀκόλουθος, εὐθὺς ἀπεπήδησεν, κραυγῇ πρὸς τὰ φῶτα καὶ τὸν ὄχλον, ἄνδρα πεφωρακέναι βοῶσα. τῶν δὲ γυναικῶν διαπτοηθεισῶν, αὐρηλία, τὰ μὲν ὄργια τῆς θεοῦ κατέπαυσεν καὶ συνεκάλυψεν, αὐτὴ δὲ τὰς θύρας ἀποκλεῖσαι κελεύσασα, περιῄει τὴν οἰκίαν ὑπὸ λαμπάδων, ζητοῦσα τὸν κλώδιον. εὑρίσκεται δ᾽ εἰς οἴκημα παιδίσκης, ᾗ συνεισῆλθε καταπεφευγώς. καὶ γενόμενος φανερὸς ὑπὸ τῶν γυναικῶν, ἐξελαύνεται διὰ τῶν θυρῶν. τὸ δὲ πρᾶγμα καὶ

ὡς οὐδὲ μίαν ἀρχὴν πράγματος ἡγητέον μικράν, ἣν οὐ ταχὺ ποιεῖ μεγάλην τὸ ἐνδελεχές, ἐκ τοῦ καταφρονηθῆναι, τὸ μὴ κωλυθῆναι λαβοῦσαν. Ὁ γοῦν πρῶτος ὑπιδέσθαι δοκῶν αὐτοῦ, καὶ φοβηθῆναι τῆς πολιτείας, ὥσπερ θαλάττης τὰ διαγελῶντα, καὶ τὴν ἐν τῷ φιλανθρώπῳ καὶ ἱλαρῷ κεκρυμμένην δεινότητα τοῦ ἤθους καταμαθὼν κικέρων, ἔλεγε τοῖς ἄλλοις ἅπασιν ἐπιβουλεύμασιν αὐτοῦ καὶ πολιτεύμασι τυραννικὴν ἐνορᾶν διάνοιαν. ἀλλ᾽ ὅταν ἔφη τὴν κόμην οὕτω διακειμένην περιττῶς ἴδω, κἀκεῖνον ἑνὶ δακτύλῳ κνώμενον, οὔ μοι δοκεῖ πάλιν οὗτος ἄνθρωπος εἰς νοῦν ἂν ἐμβαλέσθαι τηλικοῦτο κακὸν, ἀναίρεσιν τῆς ῥωμαίων πολιτείας. Ταῦτα μὲν οὖν ὕστερον. τοῦ δὲ δήμου πρώτην μὲν ἀπόδειξιν τῆς πρὸς αὐτὸν εὐνοίας ἔλαβεν, ὅτε πρὸς γάϊον πόπλιον ἐρίσας ὑπὲρ χιλιαρχίας πρότερος ἀνηγορεύθη. δευτέραν δὲ καὶ καταφανεστέραν, ὅτε τῆς μαρίου γυναικὸς ἰουλίας ἀποθανούσης, ἀδελφιδοῦς ὢν αὐτῆς, ἐγκώμιόν τε λαμπρὸν ἐν ἀγορᾷ διῆλθεν καὶ περὶ τὴν ἐκφορὰν ἐτόλμησεν εἰκόνας μαρίου προθέσθαι, τότε πρῶτον ὀφθείσας μετὰ τὴν ἐπὶ σύλλα πολιτείαν, πολεμίων τῶν ἀνδρῶν κριθέντων. ἐπὶ τούτῳ γὰρ ἐνίων καταβοησάντων τοῦ καίσαρος, ὁ δῆμος ἀντήχησε, λαμπρῶς δεξάμενος κρότῳ, καὶ θαυμάσας ὥσπερ ἐξ ᾅδου, διὰ χρόνων πολλῶν ἀνάγοντα τὰς μαρίου τιμὰς εἰς τὴν πόλιν. Τὸ μὲν οὖν ἐπὶ γυναιξὶ πρεσβυτέραις λόγους ἐπιταφίους διεξιέναι, πάτριον ἦν ῥωμαίοις. νέαις δὲ οὐκ ὂν ἐν ἔθει, πρῶτος εἶπε καῖσαρ ἐπὶ τῆς ἑαυτοῦ γυναικὸς ἀποθανούσης. καὶ τοῦτο ἤνεγκεν αὐτῷ χάριν τινά, καὶ συνεδημαγώγησε τῷ πάθει τοὺς πολλούς, ὡς ἥμερον ἄνδρα καὶ περίμεστον ἤθους ἀγαπᾶν. θάψας δὲ τὴν γυναῖκα, ταμίας εἰς ἰβηρίαν ἑνὶ τῶν στρατηγῶν βαίτωρι συνεξῆλθεν. ὃν αὐτόν τε τιμῶν ἀεὶ διετέλεσεν. καὶ τὸν υἱὸν αὐτοῦ πάλιν ἄρχων, ταμίαν ἐποίησεν. Γενόμενος δὲ ἀπὸ τῆς ἀρχῆς ἐκείνης, τρίτην ἠγάγετο γυναῖκα πομπηΐαν, ἔχων ἐκ κορνηλίας θυγατέρα, τὴν ὕστερον πομπηΐῳ μάγνῳ γαμηθεῖσαν. χρώμενος δὲ ταῖς δαπάναις ἀφειδῶς, καὶ δοκῶν μὲν ἐφήμερον καὶ βραχεῖαν ἀντικαταλλάττεσθαι, μεγάλων ἀναλωμάτων δόξαν. ὠνούμενος δὲ ταῖς ἀληθείαις, τὰ μέγιστα μικρῶν. λέγεται πρὶν εἰς ἀρχήν τινα καθίστασθαι, χιλίων καὶ τριακοσίων γενέσθαι χρεωφειλέτης ταλάντων. Ἐπεὶ δὲ τοῦτο μὲν ὁδοῦ τῆς ἀππίας ἀποδειχθεὶς ἐπιμελητής, πάμπολλα χρήματα προσανάλωσεν τῶν ἑαυτοῦ. τοῦτο δ᾽ ἀγορανομῶν ζεύγη μονομάχων, τριακόσια καὶ εἴκοσι παρέχων. καὶ ταῖς ἄλλαις περὶ τὰ θέατρα καὶ πομπὰς καὶ δεῖπνα χορηγίαις καὶ πολυτελείαις τὰς πρὸ αὐτοῦ κατέκλυσε φιλοτιμίας, οὕτω διέθηκε τὸν δῆμον, ὡς καινὰς μὲν ἀρχάς. καινὰς δὲ τιμάς, ζητεῖν ἕκαστον, αἷς αὐτὸν ἀμείψαιντο. δυεῖν δὲ οὐσῶν ἐν τῇ πόλει στάσεων. τῆς μὲν, ἀπὸ σύλλα μέγα δυναμένης. τῆς δὲ μαριανῆς. ἣ τότε κατεπτήχει καὶ διέσπαστο, κομιδῇ ταπεινὰ πράττουσα. ταύτην ἀναρρῶσαι καὶ προσαγαγέσθαι βουλόμενος, ἐν ταῖς ἀγορανομικαῖς φιλοτιμίαις ἀκμὴν ἐχούσαις, εἰκόνας ἐποιήσατο μαρίου κρύφα, καὶ νίκας τροπαιοφόρους. ἃς φέρων νυκτὸς εἰς τὸ καπιτώλιον ἀνέστησεν. Ἅμα δὲ ἡμέρᾳ τοὺς θεασαμένους μαρμαίροντα πάντα χρυσῷ καὶ τέχνῃ κατεσκευασμένα περιττῶς, διεδήλου δὲ γράμμασι τὰ κιμβρικὰ κατορθώματα. θάμβος ἔχεν τῆς τόλμης τοῦ ἀναθέντος. οὐ γὰρ ἦν ἄδηλον. ταχὺ δὲ περιιὼν ὁ λόγος, ἤθροιζε πάντας ἀνθρώπους πρὸς τὴν ὄψιν. ἀλλ᾽ οἱ μὲν, ἐβόων τυραννίδα πολιτεύεσθαι καίσαρα νόμοις καὶ δόγμασι, κατορωρυγμένας ἐπανιστάντα τιμάς. καὶ τοῦτο πεῖραν ἐπὶ τὸν δῆμον εἶναι, προμαλαττόμενον. εἰ τετιθάσευται ταῖς φιλοτιμίαις ὑπ᾽ αὐτοῦ καὶ δίδωσι παίζειν τοιαῦτα καὶ καινοτομεῖν. οἱ δὲ μαριανοί, παραθαρρύναντες αὑτούς. πλήθει τε θαυμαστοὶ ὅσοι διεφάνησαν ἐξαίφνης, καὶ κρότῳ κατεῖχον τὸ καπιτώλιον. πολλοῖς δὲ καὶ δάκρυα, τὴν μαρίου θεωμένοις ὄψιν, ὑφ᾽ ἡδονῆς ἐχώρει καὶ μέγας ἦν ὁ καῖσαρ. ἐγκωμίοις αἰρόμενος. ὡς ἀντὶ πάντων, ἄξιος εἴη ὁ ἀνὴρ τῆς μαρίου συγγενείας. συναχθείσης δὲ περὶ τούτων τῆς βουλῆς. κάτλος λουτάτιος ἀνὴρ εὐδοκιμῶν τότε μάλιστα ῥωμαίων ἀναστὰς καὶ κατηγορήσας καίσαρος, ἐπεφθέγξατο τὸ μνημονευόμενον. οὐκ ἔτι γὰρ ὑπονόμοις ἔφη καῖσαρ. ἀλλ᾽ ἤδη μηχαναῖς αἱρεῖ τὴν πολιτείαν. Ἐπεὶ δὲ ἀπολογησάμενος πρὸς ταῦτα καῖσαρ ἔπεισε τὴν σύγκλητον, ἔτι μᾶλλον οἱ θαυμάζοντες αὐτὸν ἐπήρθησαν καὶ παρεκελεύοντο, μηδενὶ τοῦ φρονήματος ὑφίεσθαι. πάντων γὰρ ἑκόντι τῷ δήμῳ περιέσεσθαι καὶ πρωτεύσειν. ἐν δὲ τούτῳ καὶ μετέλλου τοῦ ἀρχιερέως τελευτήσαντος. καὶ τὴν ἱερωσύνην περιμάχητον οὖσαν, ἰσαυρικοῦ καὶ κάτλου μετιόντων ἐπιφανεστάτων ἀνδρῶν καὶ μέγιστον ἐν βουλῇ δυναμένων, οὐχ ὑπεῖξεν αὐτοῖς ὁ καῖσαρ, ἀλλὰ καταβὰς εἰς τὸν δῆμον, ἀντιπαρήγγελλεν. ἀγχωμάλου δὲ τῆς σπουδῆς φαινομένης ὁ κάτλος ἀπὸ μείζονος ἀξίας, μᾶλλον ὀρρωδῶν τὴν ἀδηλότητα, προσέπεμψεν πείθων ἀποστῆναι τὸν καίσαρα τῆς φιλοτιμίας, ἐπὶ πολλοῖς χρήμασιν. ὁ δὲ καὶ πλείω προσδανεισάμενος, ἔφη διαγωνιεῖσθαι. τῆς δ᾽ ἡμέρας ἐνστάσης. καὶ τῆς μητρὸς ἐπὶ τὰς θύρας αὐτὸν οὐκ ἀδακρυτὶ προπεμπούσης, ἀσπασάμενος αὐτήν, ὦ μῆτερ εἶπεν τήμερον, ἢ ἀρχιερέα τὸν υἱὸν, ἢ φυγάδα ὄψει. διενεχθείσης δὲ τῆς ψήφου καὶ γενομένης ἁμίλλης, ἐκράτησε καὶ παρέσχε τῇ βουλῇ καὶ τοῖς ἀρίστοις φόβον, ὡς ἐπὶ πᾶν θρασύτητος προάξων τὸν δῆμον. ὅθεν οἱ περὶ πείσωνα καὶ κάτλον, ᾐτιῶντο κικέρωνα φεισάμενον καίσαρος, ἐν τοῖς περὶ κατιλίναν, λαβὴν παρασχόντος. ὁ γὰρ δὴ κατιλίνας. οὐ μόνον τὴν πολιτείαν μεταβαλεῖν, ἀλλ᾽

αὐτὸς. κ. q.

καινοτομεῖν.

Τὴν κίννα τοῦ μοναρχήσαντος θυγατέρα κορνηλίαν, ὡς ἐπεκράτησε σύλλας, οὔτε ἐλπίσιν, οὔτε φόβῳ δυνηθεὶς ἀποσπάσαι καίσαρος, ἐδήμευσε τὴν φερνὴν αὐτῆς. αἰτία δὲ καίσαρι τῆς πρὸς σύλλαν ἀπεχθείας, ἡ πρὸς μάριον οἰκειότης ἦν. ἰουλίᾳ γὰρ, πατρὸς ἀδελφῇ καίσαρος, ὁ πρεσβύτερος συνῴκει μάριος, ἐξ ἧς ἐγεγόνει μάριος ὁ νεώτερος, ἀνεψιὸς ὢν καίσαρος. ὡς δ᾽ ὑπὸ πλήθους φόνων ἐν ἀρχῇ, καὶ δι᾽ ἀσχολίας ὑπὸ σύλλα παρορώμενος, οὐκ ἠγάπησεν. ἀλλὰ μετιὼν ἱερωσύνην, εἰς τὸν δῆμον προῆλθεν. οὔπω πάνυ μειράκιον ὤν. ταύτης μὲν ἐκπεσεῖν αὐτὸν ὑπεναντιωθεὶς σύλλας παρεσκεύασεν. περὶ δὲ ἀναιρέσεως βουλευόμενος, ἐνίων λεγόντων ὡς οὐκ ἔχοι λόγον, ἀποκτιννύναι παῖδα τηλικοῦτον, οὐκ ἔφη νοῦν ἔχειν αὐτοὺς, εἰ μὴ πολλοὺς ἐν τῷ παιδὶ τούτῳ μαρίους ἐνορῶσιν. ταύτης τῆς φωνῆς ἀνενεχθείσης πρὸς καίσαρα, συχνὸν μέν τινα χρόνον πλανώμενος ἐν σαβίνοις, ἔκλεπτεν ἑαυτόν. ἔπειτα δι᾽ ἀρρωστίαν, εἰς οἰκίαν ἑτέραν μετακομιζόμενος κατὰ νύκτα, περιπίπτει στρατιώταις τοῦ σύλλα διερευνωμένοις ἐκεῖνα τὰ χωρία. καὶ τοὺς κεκρυμμένους συλλαμβάνουσιν. ὧν τὸν ἡγεμόνα κορνήλιον πείσας δυσὶ ταλάντοις ἀφείθη. καὶ καταβὰς εὐθὺς ἐπὶ θάλατταν, ἐξέπλευσεν εἰς βιθυνίαν πρὸς νικομήδην τὸν βασιλέα. παρ᾽ ᾧ διατρίψας χρόνον οὐ πολύν. εἶτα ἀποπλέων, ἁλίσκεται περὶ τὴν φαρμακοῦσαν νῆσον, ὑπὸ πειρατῶν. ἤδη τότε στόλοις μεγάλοις καὶ σκάφεσιν ἀπλέτοις κατεχόντων τὴν θάλατταν. πρῶτον μὲν οὖν αἰτηθεὶς ὑπ᾽ αὐτῶν λύτρα εἴκοσι τάλαντα, κατεγέλασεν ὡς οὐκ εἰδότων ὃν ᾑρήκοιεν. αὐτὸς δὲ ὡμολόγησεν, πεντήκοντα δόσειν. ἔπειτα τῶν περὶ αὐτὸν, ἄλλον εἰς ἄλλην διαπέμψας πόλιν, ἐπὶ τῶν χρημάτων πορισμὸν ἐν ἀνθρώποις φονικωτάτοις κίλιξιν μεθ᾽ ἑνὸς φίλου καὶ δυοῖν ἀκολούθοιν, ἀπολελειμμένος, οὕτω καταφρονητικῶς εἶχεν, ὥστε πέμπων ὁσάκις ἀναπαύοιτο, προσέταττεν αὐτοῖς σιωπᾶν. Ἡμέραις δὲ τεσσαράκοντα δυεῖν δεούσαις, ὥσπερ οὐ φρουρούμενος, ἀλλὰ δορυφορούμενος ὑπ᾽ αὐτῶν, ἐπὶ πολλῆς ἀδείας, συνέπαιζε καὶ συνεγυμνάζετο. καὶ ποιήματα γράφων καὶ λόγους τινὰς, ἀκροαταῖς ἐκείνοις ἐχρῆτο. καὶ τοὺς μὴ θαυμάζοντας ἄντικρυς ἀπαιδεύτους καὶ βαρβάρους ἀπεκάλει. καὶ σὺν γέλωτι πολλάκις ἠπείλησεν κρεμᾶν αὐτούς. οἱ δὲ ἔχαιρον ἀφελείᾳ τινὶ καὶ παιδιᾷ, τὴν παρρησίαν ταύτην νέμοντες. ὡς δὲ ἧκον ἐκ μιλήτου τὰ λύτρα, καὶ δοὺς ἀφείθη, πλοῖα πληρώσας εὐθὺς ἐκ τοῦ μιλησίων λιμένος, ἐπὶ τοὺς λῃστὰς ἀνήγετο. καὶ καταλαβὼν ἔτι πρὸς τῇ νήσῳ ναυλοχοῦντας, ἐκράτησεν τῶν πλείστων. καὶ τὰ μὲν χρήματα, λείαν ἐποιήσατο. τοὺς δὲ ἄνδρας, ἐν περγάμῳ καταθέμενος εἰς τὸ δεσμωτήριον, αὐτὸς ἐπορεύθη πρὸς τὸν διέποντα τὴν ἀσίαν. ἰοῦγκον, ὡς ἐκείνῳ προσῆκον ὄντι στρατηγῷ, κολάσαι τοὺς ἑαλωκότας. ἐκείνου δὲ καὶ τοῖς χρήμασιν ἐποφθαλμιῶντος. ἦν γὰρ οὐκ ὀλίγα. καὶ περὶ τῶν αἰχμαλώτων σκέψασθαι φάσκοντος ἐπὶ σχολῆς, χαίρειν ἐάσας αὐτὸν ὁ καῖσαρ, εἰς πέργαμον ᾤχετο. καὶ προαγαγὼν τοὺς λῃστὰς ἅπαντας, ἀνεσταύρωσεν ὥσπερ αὐτοῖς δοκῶν παίζειν ἐν τῇ νήσῳ προειρήκει πολλάκις. Ἐκ δὲ τούτου τῆς σύλλα δυνάμεως ἤδη μαραινομένης. καὶ τῶν οἴκοι καλούντων αὐτὸν, ἔπλευσεν εἰς ῥόδον ἐπὶ σολὴν πρὸς ἀπολλώνιον τὸν τοῦ μόλωνος, οὗ καὶ κικέρων ἠκροᾶτο, σοφιστεύοντος ἐπιφανῶς, καὶ τὸν τρόπον ἐπιεικοῦς εἶναι δοκοῦντος. λέγεται δὲ καὶ φῦναι πρὸς λόγους πολιτικοὺς ὁ καῖσαρ, ἄριστα. καὶ διαπονῆσαι φιλοτιμότατα τὴν φύσιν, ὡς τὰ δευτερεῖα μὲν, ἀδηρίτως ἔχειν. τὸ δὲ πρωτεῖον, ὅπως τῇ δυνάμει, καὶ τοῖς ὅπλοις πρῶτος εἴη μᾶλλον. ἀλλ᾽ ἀσχοληθεὶς ὑφεῖναι πρὸς ὅπερ ἡ φύσις ὑφηγεῖτο τῆς ἐν τῷ λέγειν δεινότητος ὑπὸ στρατειῶν καὶ πολιτείας, ᾗ κατεκτήσατο τὴν ἡγεμονίαν, οὐκ ἐξικόμενος. αὐτὸς δ᾽ οὖν ὕστερον, ἐν τῇ πρὸς κικέρωνα, περὶ κάτωνος ἀντιγραφῇ, παραιτεῖται. μὴ στρατιωτικοῦ λόγον ἀνδρὸς ἀντεξετάζειν πρὸς δεινότητα ῥήτορος εὐφυοῦς, καὶ σχολὴν ἐπὶ τοῦτο πολλὴν ἄγοντος. Ἐπανελθὼν δὲ εἰς ῥώμην, δολοβέλλαν ἔκρινεν κακώσεως ἐπαρχίας, καὶ πολλαὶ ἀπὸ τῆς ἑλλάδος τῶν πόλεων μαρτυρίας αὐτῷ παρέσχον. ὁ μὲν οὖν δολοβέλλας, ἀπέφυγε τὴν δίκην. ὁ δὲ καῖσαρ, ἀμειβόμενος τὴν ἑλλάδα, τῆς προθυμίας, συνηγόρευσεν αὐτῇ, πόπλιον ἀντώνιον διωκούσῃ δωροδοκίας, ἐπὶ λευκούλλου τοῦ μάρκου μακεδονίας στρατηγοῦ. καὶ τοσοῦτον ἴσχυσεν, ὥστε τὸν ἀντώνιον ἐπικαλέσασθαι τοὺς δημάρχους, σκηψάμενον οὐκ ἔχειν τὸ ἴσον ἐν τῇ ἑλλάδι πρὸς ἕλληνας.

Ἐν δὲ ῥώμῃ πολλὴ μὲν ἐπὶ τῷ λόγῳ περὶ τὰς συνηγορίας αὐτοῦ χάρις ἐξέλαμπεν. πολλὴ δὲ τῆς περὶ τὰς δεξιώσεις καὶ ὁμιλίας φιλοφροσύνης εὔνοια, παρὰ τῶν δημοτῶν ἀπήντα, θεραπευτικοῦ παρ᾽ ἡλικίαν ὄντος. ἦν δέ τις καὶ ἀπὸ δείπνων καὶ τραπέζης, καὶ ὅλως τῆς περὶ τὴν δίαιταν λαμπρότητος αὐξανομένη κατὰ μικρὸν αὐτῷ δύναμις εἰς τὴν πολιτείαν. ἣν τὸ πρῶτον οἱ φθονοῦντες οἰόμενοι ταχὺ τῶν ἀναλωμάτων ἐπιλιπόντων ἐξίτηλον ἔσεσθαι, περιεώρων, ἀνθοῦσαν ἐν τοῖς πολλοῖς. ὀψὲ δὲ ᾔσθοντο μεγάλης καὶ δυσανατρέπτου γενομένης, καὶ βαδιζούσης ἄντικρυς, ἐπὶ τὴν τῶν ὅλων μεταβολήν.

ἀτόπως, ὃ μὴ τέρας ἐποιεῖτο καὶ σημεῖον. ἀλλὰ θυομένων καὶ καθαιρόντων καὶ μαντευομένων, μεστὸν ἦν τὸ βασίλειον. οὕτως ἄρα δεινὸν μὲν ἀπιστία πρὸς τὰ θεῖα καὶ καταφρόνησις αὐτῶν. δεινὴ δὲ αὖθις ἡ δεισιδαιμονία, δίκην ὕδατος ἀεὶ πρὸς τὸ ταπεινούμενον, καὶ ἀναπληροῦν ἀβελτηρίας καὶ φόβου τὸν Ἀλέξανδρον γενόμενον. οὐ μὴν, ἀλλὰ καὶ περὶ χρησμῶν γε τῶν περὶ Ἡφαιστίωνος ἐκ θεοῦ κομισθέντων, ἀποθέμενος τὸ πένθος, αὖθις ἦν ἐν θυσίαις καὶ πότοις. ἑστιάσας δὲ λαμπρῶς τοὺς περὶ Νέαρχον. εἶτα λουσάμενος ὥσπερ εἰώθει, μέλλων καθεύδειν, Μηδίου δεηθέντος, ᾤχετο κωμασόμενος πρὸς αὐτὸν, κἀκεῖ πιὼν ὅλην τὴν ἐπιοῦσαν ἡμέραν, ἤρξατο πυρέττειν, οὔτε σκύφον Ἡρακλέους ἐκπιών, οὔτε ἄφνω διαλγὴς γενόμενος τὸ μετάφρενον ὥσπερ λόγχῃ πεπληγώς, ἀλλὰ ταῦτά τινες ᾤοντο δεῖν γράφειν, ὥσπερ δράματος μεγάλου τραγικὸν ἐξόδιον καὶ περιπαθὲς πλάσαντες. Ἀριστόβουλος δὲ φησὶν αὐτὸν πυρέττοντα μανικῶς, διψήσαντα δὲ σφόδρα, πιεῖν οἶνον. ἐκ τούτου δὲ φρενιτιάσαι καὶ τελευτῆσαι, τριακάδι Δαισίου μηνός. ἐν δὲ ταῖς ἐφημερίσιν, οὕτως γέγραπται περὶ τὴν νόσον, ὀγδόῃ ἐπὶ δεκάτῃ Δαισίου μηνὸς, ἐκάθευδεν ἐν τῷ λουτρῶνι, διὰ τὸ πυρέξαι. τῇ δὲ ἑξῆς, λουσάμενος εἰς τὸν θάλαμον μετῆλθε, καὶ διημέρευε πρὸς Μήδιον κυβεύων. εἶτ᾽ ὀψὲ λουσάμενος καὶ τὰ ἱερὰ τοῖς θεοῖς ἐπιθεὶς, ἐμφαγὼν διὰ νυκτὸς ἐπύρεξε. τῇ εἰκάδι λουσάμενος, πάλιν ἔθυσε τὴν εἰθισμένην θυσίαν καὶ κατακείμενος ἐν τῷ λουτρῶνι, τοῖς περὶ Νέαρχον ἐσχόλαζεν, ἀκροώμενος τὰ περὶ τὸν πλοῦν καὶ τὴν μεγάλην θάλατταν. τῇ δευτέρᾳ φθίνοντος, ταὐτὰ ποιήσας, μᾶλλον ἀνεφλέχθη. καὶ τὴν νύκτα βαρέως ἔχων, καὶ τὴν ἐπιοῦσαν ἡμέραν ἐπύρεττεν σφόδρα. καὶ μετενεχθεὶς κατέκειτο παρὰ τὴν μεγάλην κολυμβήθραν. ὅτε δὴ τοῖς ἡγεμόσι διελέχθη περὶ τῶν ἐρήμων ἡγεμονίας τάξεων, ὅπως καταστήσωσι δοκιμάσαντες. ἑβδόμῃ σφόδρα πυρέττων, ἔθυσεν ἐξαρθεὶς πρὸς τὰ ἱερά. τῶν δὲ ἡγεμόνων ἐκέλευε τοὺς μεγίστους διατρίβειν ἐν τῇ αὐλῇ. ταξιάρχους δὲ καὶ πεντακοσιάρχους, ἔξω νυκτερεύειν. εἰς δὲ τὰ πέραν βασίλεια διακομισθεὶς, τῇ ἕκτῃ μικρὸν ὕπνωσεν. ὁ δὲ πυρετὸς οὐκ ἀνῆκεν, ἐπελθόντων δὲ τῶν ἡγεμόνων, ἦν ἄφωνος. ὁμοίως δὲ, καὶ τὴν πέμπτην. διὸ καὶ τοῖς Μακεδόσιν, ἔδοξε τεθνάναι. καὶ κατεβόων ἐλθόντες ἐπὶ τὰς θύρας. καὶ διηπείλουν τοῖς ἑταίροις, ἕως ἐβιάσαντο. καὶ τῶν θυρῶν αὐτοῖς ἀνοιχθεισῶν ἐν τοῖς χιτῶσι καθ᾽ ἕνα πάντες παρὰ τὴν κλίνην παρεξῆλθον. Ταύτης δὲ τῆς ἡμέρας οἱ περὶ Πύθωνα καὶ Σέλευκον, εἰς τὸ Σαραπεῖον ἀποσταλέντες, ἠρώτων εἰ κομίσωσιν ἐκεῖ τὸν Ἀλέξανδρον. ὁ δὲ θεὸς, κατὰ χώραν ἐᾶν ἀνεῖλε. τῇ δὲ τρίτῃ φθίνοντος πρὸς δείλην ἀπέθανε. τούτων τὰ πλεῖστα κατὰ λέξιν ἐν ταῖς ἐφημερίσιν οὕτω γέγραπται. φαρμακείας δὲ ὑποψίαν αὐτίκα μὲν οὐδεὶς ἔσχεν. ἕκτῳ δὲ ἔτει φασὶ, μηνύσεως γενομένης, τὴν Ὀλυμπιάδα, πολλοὺς μὲν ἀνελεῖν, ἐκρῖψαι δὲ τὰ λείψανα τοῦ Ἰόλα τεθνηκότος, ὡς τούτου τὸ φάρμακον ἐγχέαντος. οἱ δὲ Ἀριστοτέλη φάσκοντες Ἀντιπάτρῳ σύμβουλον γενέσθαι τῆς πράξεως, καὶ ὅλως δι᾽ ἐκείνου κομισθῆναι τὸ φάρμακον, Ἁγνόθεμίν τινα διηγεῖσθαι λέγουσιν, ὡς Ἀντιγόνου τοῦ βασιλέως ἀκούσαντα. τὸ δὲ φάρμακον ὕδωρ εἶναι ψυχρὸν καὶ παγετῶδες ἀπὸ πέτρας τινὸς ἐν Νωνακρίδι οὔσης. ἣν ὥσπερ δρόσον λεπτὴν ἀναλαμβάνοντες, εἰς ὄνου χηλὴν ἀποτίθενται. τῶν γὰρ ἄλλων, οὐδὲν ἀγγεῖον στέγειν, ἀλλὰ διακόπτειν, ὑπὸ ψυχρότητος καὶ δριμύτητος. οἱ δὲ πλεῖστοι, τὸν λόγον ὅλως οἴονται πεπλάσθαι τὸν περὶ τῆς φαρμακείας. καὶ τεκμήριον αὐτοῖς οὐ μικρὸν. ὅτι τῶν ἡγεμόνων στασιασάντων ἐφ᾽ ἡμέρας πολλὰς, ἀθεράπευτον τὸ σῶμα κείμενον ἐν τόποις θερμοῖς καὶ πνιγώδεσιν, οὐδὲν ἔσχε τοιαύτης φθορᾶς σημεῖον. ἀλλ᾽ ἔμεινεν καθαρὸν καὶ πρόσφατον. ἡ δὲ Ῥωξάνη, κύουσα μὲν ἐτύγχανε, καὶ διὰ τοῦτο τιμωμένη παρὰ τοῖς Μακεδόσι. δυσζήλως δὲ ἔχουσα πρὸς τὴν Στάτειραν, ἐξηπάτησεν αὐτὴν ἐπιστολῇ τινὶ πεπλασμένῃ παραγενέσθαι, καὶ προσαγαγοῦσα μετὰ τῆς ἀδελφῆς ἀπέκτεινε. καὶ τοὺς νεκροὺς εἰς τὸ φρέαρ κατέβαλε καὶ συνέχωσεν. εἰδότος ταῦτα Περδίκκου καὶ συμπράττοντος. ἦν γὰρ ἐκεῖνος εὐθὺς ἐν δυνάμει μεγίστῃ, τὸν Ἀρριδαῖον, ὥσπερ δορυφόρημα τῆς βασιλείας ἐφελκόμενος, γεγονότα μὲν ἐκ γυναικὸς ἀδόξου, καὶ κοινῆς Φιλίννης, ἀτελῆ δὲ τῷ φρονεῖν ὄντα διὰ σώματος νόσον, οὐ φύσει προσπεσοῦσαν, οὐδὲ αὐτομάτως. ἀλλὰ καὶ πάνυ φασὶν, παιδὸς ὄντος αὐτοῦ, διαφαίνεσθαι χάριεν ἦθος, καὶ οὐκ ἀγεννές. εἶτα μέντοι, φαρμάκοις ὑπὸ Ὀλυμπιάδος, κακωθέντα διαφθαρῆναι τὴν διάνοιαν.

σαγορεύσας φιλανθρώπως ἀπέλυσε τοὺς ἀχρήστους, δωρησάμενος μεγαλοπρεπῶς. καὶ γράψας πρὸς ἀντίπατρον, ὅπως ἐν πᾶσι τοῖς ἀγῶσι καὶ τοῖς θεάτροις προεδρίαν ἔχοντες, ἐστεφανωμένοι καθέζοιντο. τῶν δὲ τεθνηκότων τοὺς παῖδας ὀρφανοὺς ὄντας, ἐμμίσθους ἐποίησεν. Ὡς δὲ ἧκεν εἰς ἐκβάτανα τῆς μηδίας. καὶ διῴκησε τὰ κατεπείγοντα, πάλιν ἦν ἐν θεάτροις καὶ πανηγύρεσιν, ἅτε δὴ τρισχιλίων αὐτῷ τεχνιτῶν ἀπὸ τῆς ἑλλάδος ἀφιγμένων. ἔτυχε δὲ περὶ τὰς ἡμέρας ἐκείνας, ἡφαιστίων πυρέσσων. οἷα δὲ νέος καὶ στρατιωτικὸς, οὐ φέρων ἀκριβῆ δίαιταν, ἀλλὰ τῷ τὸν ἰατρὸν γλαῦκον ἀπελθεῖν εἰς τὸ θέατρον, περὶ ἄριστον γενόμενος, καὶ καταφαγὼν ἀλεκτρυόνα ἑφθὸν, καὶ ψυκτῆρα μέγαν ἐκπιὼν, οἴνου, κακῶς ἔσχε. καὶ μικρὸν διαλιπὼν, ἀπέθανε. τοῦτο οὐδενὶ λογισμῷ τὸ πάθος ἀλέξανδρος ἤνεγκεν. ἀλλ' εὐθὺς μὲν, ἵππους τε κεῖραι πάντας ἐπὶ πένθει, καὶ ἡμιόνους ἐκέλευσε. καὶ τῶν πέριξ πόλεων, ἀφεῖλε τὰς ἐπάλξεις. τὸν δὲ ἄθλιον ἰατρὸν, ἀνεσταύρωσεν. αὐλοὺς δὲ κατέπαυσε. καὶ μουσικὴν ἐν τῷ στρατοπέδῳ πολὺν χρόνον. ἕως ἐξ ἄμμωνος, ἦλθε μαντεία, τιμᾶν ἡφαιστίωνα. καὶ θύειν ὡς ἥρωϊ παρακελεύουσα. Τοῦ δὲ πένθους παρηγορίᾳ, τῷ πολέμῳ χρώμενος ὥσπερ ἐπὶ θήραν καὶ κυνηγέσιον ἀνθρώπων ἐξῆλθε. καὶ τὸ κοσσαίων ἔθνος κατεστρέφετο, πάντας ἡβηδὸν ἀποσφάττων. τοῦτο δὲ ἡφαιστίωνος ἐναγισμὸς ἐκαλεῖτο. τύμβον δὲ καὶ τάφον αὐτοῦ, καὶ τὸν περὶ ταῦτα κόσμον ἀπὸ μυρίων ταλάντων, ἐπιτελέσαι διανοούμενος. ὑπερβαλέσθαι δὲ, τῷ φιλοτέχνῳ καὶ περιττῷ τῆς κατασκευῆς τὴν δαπάνην, ἐπόθησε μάλιστα τῶν τεχνιτῶν, στασικράτην μεγαλουργίαν τινὰ καὶ τόλμαν καὶ κόμπον ἐν ταῖς καινοτομίαις ἐπαγγελλόμενον. οὗτος γὰρ αὐτῷ πρότερον ἐντυχὼν ἔφη, τῶν ὀρῶν μάλιστα τὸν θρᾴκιον ἄθων διατύπωσιν ἀνδρείκελον δέχεσθαι καὶ διαμόρφωσιν. ἂν οὖν κελεύῃ μονιμώτατον ἀγαλμάτων αὐτῷ, καὶ περιφανέστατον, ἐξεργάσεσθαι τὸν ἄθων, τῇ μὲν ἀριστερᾷ χειρὶ, περιλαμβάνοντα μυρίανδρον πόλιν οἰκουμένην. τῇ δὲ δεξιᾷ, σπένδοντα ποταμοῦ ῥεῦμα δαψιλὲς, εἰς τὴν θάλασσαν ἀπορρέοντος. Ταῦτα μὲν οὖν, παρῃτήσατο. πολλῷ δὲ ἀτοπώτερα, καὶ δαπανηρότερα τούτων σοφιζόμενος τότε καὶ συμμηχανώμενος τοῖς τεχνίταις, διέτριβεν. εἰς δὲ βαβυλῶνα προάγοντος αὐτοῦ, νέαρχος, ἀφίκετο γὰρ αὖθις εἰσπλεύσας εἰς τὸν εὐφράτην, διὰ τῆς μεγάλης θαλάσσης, ἔφη τινὰς ἐντυχεῖν αὐτῷ χαλδαίους παραινοῦντας, ἀπέχεσθαι βαβυλῶνος τὸν ἀλέξανδρον. ὁ δὲ οὐκ ἐφρόντισεν, ἀλλ' ἐπορεύετο. καὶ πρὸς τοῖς τείχεσι γενόμενος, κόρακας εἶδε πολλοὺς διαφερομένους, καὶ τύπτοντας ἀλλήλους, ὧν ἔνιοι κατέπεσον παρ' αὐτόν. ἔπειτα μηνύσεως γενομένης κατὰ ἀπολλοδώρου τοῦ στρατηγοῦ τῆς βαβυλῶνος, ὡς εἴη περὶ αὐτοῦ τεθυμένος, ἐκάλει πυθαγόραν τὸν μάντιν. οὐκ ἀρνουμένου δὲ τὴν πρᾶξιν, ἠρώτησε. τῶν ἱερῶν τὸν τρόπον. φήσαντος δὲ, ὅτι τὸ ἧπαρ ἦν ἄλοβον, παπαὶ εἶπεν, ἰσχυρὸν τὸ σημεῖον. καὶ τὸν πυθαγόραν, οὐδὲν ἠδίκησεν, ἤχθετο δὲ μὴ πεισθεὶς τῷ νεάρχῳ. καὶ τὰ πολλὰ τῆς βαβυλῶνος ἔξω κατασκηνῶν. καὶ περιπλέων τὸν εὐφράτην, διέτριβεν. ἠνώχλει δὲ αὐτὸν σημεῖα πολλὰ, καὶ γὰρ λέοντα τῶν τρεφομένων μέγιστον καὶ κάλλιστον, ἥμερος ὄνος ἐπελθὼν, καὶ λακτίσας ἀνεῖλεν. ἀποδυσαμένου δὲ πρὸς ἄλειμμα. καὶ σφαῖραν αὐτοῦ παίζοντος, οἱ νεανίσκοι οἱ σφαιρίζοντες, ὡς ἔδει πάλιν λαβεῖν τὰ ἱμάτια, καθορῶσιν ἄνθρωπον ἐν τῷ θρόνῳ καθεζόμενον σιωπῇ, τὸ διάδημα καὶ τὴν στολὴν τὴν βασιλικὴν περικείμενον. οὗτος ἀνακρινόμενος ὅστις εἴη, χρόνον πολὺν, ἄναυδος ἦν. μόλις δὲ συμφρονήσας, διονύσιος μὲν ἔφη καλεῖσθαι. μεσσήνιος δὲ εἶναι τὸ γένος. ἐκ δέ τινος αἰτίας καὶ κατηγορίας, ἐνταῦθα κομισθεὶς ἀπὸ θαλάσσης, πολὺν χρόνον γεγονέναι ἐν δεσμοῖς. ἄρτι δὲ αὐτῷ τὸν σάραπιν ἐπιστάντα, τοὺς δεσμοὺς ἀνεῖναι. καὶ προάγειν δεῦρο. καὶ κελεῦσαι λαβόντα τὴν στολὴν καὶ τὸ διάδημα, καθίσαι καὶ σιωπᾶν. Ταῦτα ἀκούσας ὁ ἀλέξανδρος, τὸν μὲν ἄνθρωπον, ὥσπερ ἐκέλευον οἱ μάντεις, ἠφάνισεν. αὐτὸς δὲ ἠθύμει, καὶ δύσελπις ἦν, πρὸς τὸ θεῖον ἤδη, καὶ πρὸς τοὺς φίλους ὕποπτος. μάλιστα δὲ ἀντίπατρον ἐφοβεῖτο καὶ τοὺς παῖδας, ὧν ἰόλαος μὲν, ἀρχιοινοχόος ἦν. ὁ δὲ κάσανδρος, ἀφῖκτο μὲν νεωστὶ, θεασάμενος δὲ βαρβάρους τινὰς προσκυνοῦντας, ἅτε δὴ τεθραμμένος ἑλληνικῶς, καὶ τοιοῦτο πρότερον μηδὲν ἑωρακὼς, ἐγέλασε προπετέστερον. ὁ δὲ ἀλέξανδρος, ὠργίσθη καὶ δραξάμενος αὐτοῦ τῶν τριχῶν σφόδρα ταῖς χερσὶν ἀμφοτέραις, ἔπαισε τὴν κεφαλὴν πρὸς τοῖχον. αὖθις δὲ πρὸς τοὺς κατηγοροῦντας ἀντιπάτρου λέγειν τι βουλόμενον τὸν κάσανδρον, ἐκκρούων. τί λέγεις ἔφη. τοσαύτην ὁδὸν ἀνθρώπους μηδὲν ἀδικουμένους, ἀλλὰ συκοφαντοῦντας ἐλθεῖν, φήσαντος δὲ τοῦ κασάνδρου. τοῦτο αὐτὸ σημεῖον εἶναι τοῦ συκοφαντεῖν, ὅτι μακρὰν ἥκουσι τῶν ἐλέγχων, ἀναγελάσας, ὁ ἀλέξανδρος. ταῦτα ἐκεῖνα ἔφη, σοφίσματα τῶν ἀριστοτέλους, εἰς ἑκάτερον τῶν λόγων οἰμωξόμενοι, ἂν μικρὸν ἀδικοῦντες φανῆτε τοὺς ἀνθρώπους. τὸ δὲ ὅλον αὐτῷ φασὶν δεινὸν ἐνδῦναι, καὶ δευσοποιὸν ἐγγενέσθαι τῇ ψυχῇ, τοῦ κασάνδρου τὸ δέος. ὥστε ὕστερον χρόνοις πολλοῖς ἤδη μακεδόνων βασιλεύοντα. καὶ κρατοῦντα τῆς ἑλλάδος, ἐν δελφοῖς περιπατοῦντα, καὶ θεώμενον. τοὺς ἀνδριάντας. εἰκόνος ἀλεξάνδρου φανείσης, ἄφνω πληγέντα, φρῖξαι καὶ κραδανθῆναι τὸ σῶμα, καὶ μόλις ἀναλαβεῖν ἑαυτὸν ἰλιγγιάσαντα πρὸς τὴν ὄψιν. Ὁ δ' οὖν ἀλέξανδρος, ὡς ἐνέδωκε τότε πρὸς τὰ θεῖα ταραχώδης γενόμενος καὶ περίφοβος τὴν διάνοιαν, οὐδὲν ἦν μικρὸν οὕτως τῶν ἀήθων καὶ

λαξεν τοὺς πονηροὺς τῶν στρατηγῶν. τῶν δὲ ἀβουλίτου παίδων, ἕνα μὲν ὀξυάρτην, αὐτὸς ἀπέκτεινεν σαρίσῃ διελάσας. ἀβουλίτου δὲ μηδὲν τῶν ἀναγκαίων παρασκευάσαντος, ἀλλ' ἢ τρισχίλια τάλαντα νομίσματος αὐτῷ προσαγαγόντος, ἐκέλευσε, τοῖς ἵπποις, τὸ ἀργύριον παραβαλεῖν. ὡς δ' οὐκ ἐγεύοντο, φήσας. τί οὖν ὄφελος ἡμῖν τῆς σῆς παρασκευῆς, καθεῖρξε τὸν ἀβουλίτην. ἐν δὲ πέρσαις, πρῶτον μὲν, ἀπέδωκε τὸ νόμισμα ταῖς γυναιξὶν, ὥσπερ εἰώθεισαν οἱ βασιλεῖς, ὁσάκις εἰς πέρσας ἀφίκοιντο, διδόναι χρυσοῦν ἑκάστῃ, καὶ διὰ τοῦτό φασιν, ἐνίους μὴ πολλάκις, ὦχον δὲ, μηδ' ἅπαξ εἰς πέρσας παραγενέσθαι, διὰ μικρολογίαν, ἀποξενώσαντα τῆς πατρίδος ἑαυτόν. ἔπειτα τὸν κύρου τάφον εὑρὼν διορωρυγμένον, ἀπέκτεινε τὸν ἀδικήσαντα. καίτοι πελλαῖος ἦν, οὐ τῶν ἀσημοτάτων ὁ πλημμελήσας, ὄνομα πολύμαχος. τὴν δ' ἐπιγραφὴν ἀναγνοὺς, ἐκέλευσεν ἑλληνικοῖς ὑποχαράξαι γράμμασιν, εἶχεν δὲ οὕτως. Ὦ ἄνθρωπε ὅστις εἶ, καὶ πόθεν ἥκεις, ὅτι μὲν γὰρ ἥξεις οἶδα ἐγὼ, κῦρός εἰμι ὁ πέρσαις κτησάμενος τὴν ἀρχήν. μὴ οὖν τῆς ὀλίγης ταύτης γῆς φθονήσῃς, ἣ τοὐμὸν σῶμα περικαλύπτει. Ταῦτα μὲν οὖν, ἐμπαθῆ σφόδρα τὸν ἀλέξανδρον ἐποίησεν, ἐν νῷ λαβόντα τὴν ἀδηλότητα καὶ τὴν μεταβολήν. ὁ δὲ καλανὸς ἐνταῦθα χρόνον οὐ πολὺν ὑπὸ κοιλίας ἐνοχληθεὶς, ᾐτήσατο πυρὰν αὐτῷ γενέσθαι, καὶ κομισθεὶς ἵππῳ πρὸς αὐτὴν, ἐπευξάμενος καὶ κατασπείσας ἑαυτοῦ, καὶ τῶν τριχῶν ἀπαρξάμενος, ἀναβαίνων ἐδεξιοῦτο τοὺς παρόντας τῶν μακεδόνων, καὶ παρεκάλει τὴν ἡμέραν ἐκείνην ἡδέως γενέσθαι, καὶ μεθυσθῆναι μετὰ τοῦ βασιλέως. αὐτὸν δὲ ἐκεῖνον ἔφη μετ' ὀλίγον χρόνον ἐν βαβυλῶνι ὄψεσθαι. ταῦτα δὲ εἰπὼν, κατακλιθεὶς καὶ συγκαλυψάμενος, οὐκ ἐκινήθη τοῦ πυρὸς πλησιάζοντος. ἀλλ' ἐν ᾧ κατεκλίθη σχήματι, τοῦτο διατηρῶν, ἐκαλλιέρησεν ἑαυτὸν τῷ πατρίῳ νόμῳ τῶν ἐκεῖ σοφιστῶν. Τοῦτο πολλοῖς ἔτεσιν ὕστερον, ἄλλος ἰνδὸς ἐν ἀθήναις, καίσαρι συνὼν ἐποίησεν. καὶ δείκνυται μέχρι νῦν τὸ μνημεῖον, ἰνδοῦ προσαγορευόμενον. ὁ δὲ ἀλέξανδρος ἀπὸ τῆς πυρᾶς γενόμενος καὶ συναγαγὼν πολλοὺς τῶν φίλων καὶ τῶν ἡγεμόνων, ἐπὶ δεῖπνον ἀγῶνα προὔθηκεν καὶ στέφανον ἀκρατοποσίας. ὁ μὲν οὖν πλεῖστον πιὼν, πρόμαχος ἄχρι χοῶν τεσσάρων προῆλθεν. καὶ λαβὼν τὸ νικητήριον στέφανον ταλαντιαῖον, ἡμέρας τρεῖς ἐπέζησεν. τῶν δὲ ἄλλων ὡς χάρης φησὶ, τετταράκοντα καὶ εἷς ἀπέθανον πίνοντες. ἰσχυροῦ τῇ μέθῃ κρύους ἐπιγενομένου. τῶν δὲ ἑταίρων, γάμον ἐν σούσοις ἐπιτελῶν, καὶ λαμβάνων μὲν αὐτὸς γυναῖκα τὴν δαρείου θυγατέρα στάτειραν. διανέμων δὲ τὰς ἀρίστας τοῖς ἀρίστοις. κοινὸν δὲ τῶν ἤδη προγεγαμηκότων μακεδόνων γάμον καλὸν ἑστιάσας. ἐν ᾧ φασιν ἐννακισχιλίων τῶν παρακεκλημένων ἐπὶ τὸ δεῖπνον ὄντων, ἑκάστῳ χρυσῆν φιάλην πρὸς τὰς σπονδὰς δοθῆναι. τά τε ἄλλα θαυμαστῶς ἐλαμπρύνατο. καὶ τὰ χρέα τοῖς δανείσασιν ὑπὲρ τῶν ὀφειλόντων αὐτὸς διαλύσας τοῦ παντὸς ἀναλώματος. ἐλάσσονος, μυρίων ταλάντων ἑκατὸν τριάκοντα ταλάντοις γινομένου. ἐπεὶ δὲ ἀντιγένης ὁ ἑτερόφθαλμος, ὡς ὀφείλων ἀπεγράψατο ψευδῶς. καὶ παραγαγών τινα φάσκοντα δεδανεικέναι πρὸς τὴν τράπεζαν, ἀπέτισεν τὸ ἀργύριον. εἶτα ἐφωράθη ψευδόμενος, ὀργισθεὶς ὁ βασιλεὺς, ἀπήλασεν τῆς αὐλῆς αὐτὸν, καὶ παρείλετο τὴν ἡγεμονίαν. ἦν δὲ λαμπρὸς ἐν τοῖς πολεμικοῖς ὁ ἀντιγένης. καὶ ἔτι δὲ νέος ὢν, φιλίππου πολιορκοῦντος πέρινθον, ἐμπεσόντος αὐτῷ καταπελτικοῦ βέλους εἰς τὸν ὀφθαλμὸν, οὐ παρέσχε βουλομένοις ἐξελεῖν τὸ βέλος. οὐδ' ὑφήκατο πρὶν ὤσασθαι προσμαχόμενος, καὶ κατακλεῖσαι τοὺς πολεμίους εἰς τὸ τεῖχος. οὐ μετρίως οὖν τότε τὴν ἀτιμίαν ἔφερεν, ἀλλὰ δῆλος ἦν ἑαυτὸν ὑπὸ λύπης καὶ βαρυθυμίας διαχρησόμενος. καὶ τοῦτο δείσας ὁ βασιλεὺς, ἀνῆκεν τὴν ὀργὴν, καὶ τὰ χρήματα ἔχειν ἐκέλευσεν αὐτόν. Τῶν δὲ παίδων τῶν τρισμυρίων, οὓς ἀσκουμένους καὶ μανθάνοντας ἀπέλιπε, τοῖς τε σώμασιν ἀνδρείων φανέντων, καὶ τοῖς εἴδεσιν εὐπρεπῶν. ἔτι δὲ καὶ ταῖς μελέταις εὐχέρειαν, καὶ κουφότητα θαυμαστὴν ἐπιδειξαμένων. αὐτὸς μὲν, ἥσθη, τοῖς δὲ μακεδόσι, δυσθυμία παρέστη καὶ δέος. ὡς ἧττον αὐτοῖς τοῦ βασιλέως προσέξοντος. διὸ καὶ τοὺς ἀσθενεῖς καὶ πεπηρωμένους αὐτοῦ καταπέμποντος ἐπὶ θάλατταν, ὕβριν ἔφασαν εἶναι. καὶ προπηλακισμὸν, ἀνθρώποις ἀποχρησάμενον εἰς ἅπαντα, νῦν ἀποτίθεσθαι σὺν αἰσχύνῃ. καὶ προσρίπτειν ταῖς πατρίσι, καὶ τοῖς γονεῦσιν, οὐ τοιούτους παραλαβόντα. πάντας οὖν ἐκέλευον ἀφιέναι, καὶ πάντας ἀχρήστους νομίζειν μακεδόνας, ἔχοντα τοὺς νέους τούτους πυρριχιστὰς, σὺν οἷς ἐπιὼν κατακτήσεται τὴν οἰκουμένην. πρὸς ταῦτα χαλεπῶς ὁ ἀλέξανδρος ἔχων, καὶ πολλὰ μὲν ἐλοιδόρησεν αὐτοὺς πρὸς ὀργὴν, ἀπελάσας δὲ τὰς φυλακὰς παρέδωκε πέρσαις. καὶ κατέστησεν ἐκ τούτων, δορυφόρους. καὶ ῥαβδοφόρους. ὑφ' ὧν ὁρῶντες αὐτὸν παραπεμπόμενον. αὐτοὺς δὲ ἀπειργομένους καὶ προπηλακιζομένους, ἐταπεινοῦντο. καὶ διδόντες λόγον εὕρισκον αὐτοὺς, ὀλίγου δεῖν μανέντας ὑπὸ ζηλοτυπίας καὶ ὀργῆς. τέλος δὲ συμφρονήσαντες, ἐβάδιζον ἄνοπλοι καὶ μονοχίτωνες ἐπὶ τὴν σκηνὴν, μετὰ βοῆς καὶ κλαυθμοῦ παραδιδόντες ἑαυτούς. καὶ χρήσασθαι κελεύοντες, ὡς κακοῖς καὶ ἀχαρίστοις. ὁ δ' οὐ προσίετο καίπερ ἤδη μαλασσόμενος. οἱ δ' οὐκ ἀπέστησαν, ἀλλ' ἡμέρας δύο καὶ νύκτας, οὕτω προεστῶτες καὶ ὀλοφυρόμενοι καὶ κοίρανον ἀνακαλοῦντες, ἐκαρτέρησαν. τῇ δὲ τρίτῃ προελθὼν, καὶ θεασάμενος οἰκτροὺς καὶ τεταπεινωμένους, ἐδάκρυεν πολὺν χρόνον, εἶτα μεμψάμενος μέτρια, καὶ προσ-

Πελλαῖος

ὁπόθεν

ἐδάκρυσε. 5.

οὐκ ἄν γε εἰπεῖν ὦ βασιλεῦ. εἰ μὴ σὺ ψεύδῃ, φήσας πρῶτον, ἀποκτενεῖν τὸν ἀποκρινόμενον κάκιστα. τούτους μὲν οὖν ἀφῆκεν, δωρησάμενος. πρὸς δὲ τοὺς ἐνδόξους μάλιστα καὶ καθ' ἑαυτοὺς ἐν ἡσυχίᾳ ζῶντας, ἔπεμψεν Ὀνησίκριτον, ἀφικέσθαι δεόμενος πρὸς αὐτόν. ὁ δὲ Ὀνησίκριτος, ἦν φιλόσοφος, τῶν Διογένει τῷ κυνικῷ συνεσχολακότων. καὶ φησὶ, τὸν μὲν Καλανὸν, ὑβριστικῶς πάνυ καὶ τραχέως, κελεύειν ἀποδύντα τὸν χιτῶνα γυμνὸν ἀκροᾶσθαι τῶν λόγων. ἄλλως δὲ, οὐ διαλέξεσθαι πρὸς αὐτὸν, οὐδ' εἰ παρὰ τοῦ Διὸς ἀφῖκται. τὸν δὲ Δάνδαμιν πρᾳότερον, καὶ διακούσαντα περὶ Σωκράτους καὶ Πυθαγόρου καὶ Διογένους εἰπεῖν, ὡς εὐφυεῖς μὲν αὐτῷ γεγονέναι δοκοῦσιν οἱ ἄνδρες, λίαν δὲ τοὺς νόμους αἰσχυνόμενοι βεβιωκέναι. ἄλλοι δέ φασι τὸν Δάνδαμιν οὐδὲν εἰπεῖν, ἀλλ' ἢ τοσοῦτον μόνον. τίνος χάριν ὁ Ἀλέξανδρος, ὁδὸν τοσαύτην δεῦρ' ἦλθεν. τὸν μέντοι Καλανὸν, ἔπεισεν ὁ Ταξίλης, ἐλθεῖν πρὸς Ἀλέξανδρον. ἐκαλεῖτο δὲ Σφίνης, ἐπεὶ δὲ τῇ Ἰνδικῇ γλώττῃ, τῷ καλὲ προσαγορεύων ἀντὶ τοῦ χαίρειν, τοὺς ἐντυγχάνοντας ἠσπάζετο, Καλανὸς ὑπὸ τῶν Ἑλλήνων ὠνομάσθη. Τοῦτον δὲ λέγεται καὶ τὸ παράδειγμα τῆς ἀρχῆς, τῷ Ἀλεξάνδρῳ προθέσθαι. καταβαλὼν γὰρ ἐν μέσῳ βύρσαν τινὰ ξηρὰν καὶ κατεσκληκυῖαν ἐπάτησε τὸ ἄκρον. ἡ δὲ, εἰς ἓν πιεσθεῖσα, τοῖς ἄλλοις ἐπήρθη μέρεσιν. καὶ τοῦτο περιιὼν ἐν κύκλῳ καὶ πιέζων, καθ' ἕκαστον ἐδείκνυε γιγνόμενον, ἄχρι οὗ τὸ μέσον ἐπιστὰς, κατέσχεν, καὶ πάντα οὕτως ἠρέμησεν. ἐβούλετο δὲ ἡ εἰκὼν, ἔνδειξις εἶναι, τοῦ τὰ μέσα δεῖν μάλιστα τῆς ἀρχῆς πιέζειν. καὶ μὴ μακρὰν ἀποπλανᾶσθαι τὸν Ἀλέξανδρον. ἡ δὲ διὰ τῶν ποταμῶν πρὸς τὴν θάλατταν ὑπαγωγὴ μηνῶν ἑπτὰ χρόνον ἀνήλωσεν. ἐμβαλὼν δὲ ταῖς ναυσὶν εἰς τὸν Ὠκεανὸν, ἀνέπλευσε πρὸς νῆσον, ἣν Σκιλλοῦστιν αὐτὸς ὠνόμασεν. ἕτεροι δὲ, Ψιλτοῦκιν. ἐνταῦθα δὲ ἀποβὰς, ἔθυε τοῖς θεοῖς. καὶ τὴν φύσιν ἐπεῖδε τοῦ πελάγους καὶ τῆς παραλίας, ὅσον ἐφικτὸν ἦν. εἶτα ἐπευξάμενος μηδένα μετ' αὐτὸν ἀνθρώπων ὑπερβῆναι τοὺς ὅρους τῆς στρατείας, ἀνέστρεφεν. καὶ τὰς μὲν ναῦς, ἐκέλευσε περιπλεῖν, ἐν δεξιᾷ τὴν Ἰνδικὴν ἐχούσας. ἡγεμόνα μὲν, Νέαρχον ἀποδείξας. ἀρχικυβερνήτην δὲ, Ὀνησίκριτον. αὐτὸς δὲ πεζῇ δι' Ὠρειτῶν πορευόμενος, εἰς ἐσχάτην ἀπορίαν προήχθη καὶ πλῆθος ἀνθρώπων ἀπώλεσεν, ὥστε τῆς μαχίμου δυνάμεως, μηδὲ τὸ τέταρτον, ἐκ τῆς Ἰνδικῆς ἀπαγαγεῖν. καίτοι δώδεκα μὲν μυριάδες ἦσαν οἱ πεζοί. τὸ δ' ἱππικὸν, εἰς μυρίους καὶ πεντακισχιλίους. ἀλλὰ καὶ νόσοι χαλεπαί. καὶ δίαιται πονηραί. καὶ καύματα ξηρά. καὶ πλείστους ὁ λιμὸς διέφθειρεν, ἄσπορον χώραν ἐπιόντας ἀνθρώπων κακοβίων. ὀλίγα καὶ ἀγεννῆ πρόβατα κεκτημένων, ἃ τοὺς θαλαττίους ἰχθύας ἐθισμένα προσφέρεσθαι, σάρκα μοχθηρὰν εἶχε καὶ δυσώδη. μόλις οὖν ἐν ἡμέραις ἑξήκοντα ταύτην διελθὼν, καὶ τῆς Γεδρωσίας ἁψάμενος, εὐθὺς ἐν ἀφθόνοις ἦν πᾶσιν. τῶν ἔγγιστα σατραπῶν καὶ βασιλέων παρασκευασάντων. ἀναλαβὼν οὖν ἐνταῦθα τὴν δύναμιν, ἐξώρμησεν, κώμῳ χρώμενος ἐφ' ἡμέρας ἑπτὰ διὰ τῆς Καρμανίας. αὐτὸν μὲν οὖν ἵπποι σχέδην ἐκόμιζον ὀκτὼ μετὰ τῶν ἑταίρων ὑπὲρ θυμέλης ἐν ὑψηλῷ καὶ περιφανεῖ πλαισίῳ πεπηγυίας, εὐωχούμενον συνεχῶς, ἡμέρας καὶ νυκτός. ἅμαξαι δὲ παμπληθεῖς, αἱ μὲν, ἁλουργοῖς καὶ ποικίλοις περιβολαίοις, αἱ δ' ὕλης ἀεὶ προσφάτου καὶ χλωρᾶς σκιαζόμεναι κλάδοις, εἵποντο, τοὺς ἄλλους ἄγουσαι φίλους καὶ ἡγεμόνας ἐστεφανωμένους καὶ πίνοντας. εἶδες δ' ἂν, οὐ πέλτην. οὐ κράνος, οὐ σάρισαν, ἀλλὰ φιάλαις καὶ ῥυτοῖς. καὶ θηρικλείοις παρὰ τὴν ὁδὸν ἅπασαν οἱ στρατιῶται βαπτίζοντες, ἐκ πίθων μεγάλων καὶ κρατήρων, ἀλλήλοις προέπινον. οἱ μὲν, ἐν τῷ προάγειν ἅμα καὶ βαδίζειν. οἱ δὲ κατακείμενοι. πολλὴ δὲ μοῦσα, συρίγγων καὶ αὐλῶν, ᾠδῆς τε καὶ ψαλμοῦ, καὶ βακχείας γυναικῶν, κατεῖχε πάντα τόπον. τῷ δὲ ἀτάκτῳ καὶ πεπλανημένῳ τῆς πορείας, παρείπετο ταῖς φιάλαις, καὶ παιδιὰ βακχικῆς ὕβρεως. ὡς τοῦ θεοῦ παρόντος αὐτοῦ, καὶ συμπαραπέμποντος τὸν κῶμον. Ἐπεὶ δὲ ἧκε, τῆς Γεδρωσίας εἰς τὸ βασίλειον, αὖθις ἀνελάμβανε τὴν στρατιὰν πανηγυρίζων. λέγεται δὲ, μεθύοντα αὐτὸν, θεωρεῖν ἀγῶνας χορῶν. τὸν δὲ ἐρώμενον Βαγώαν, χορηγοῦντα νικῆσαι, καὶ κεκοσμημένον διὰ τοῦ θεάτρου, παρελθόντα καθίσαι παρ' αὐτόν, ἰδόντας δὲ τοὺς Μακεδόνας, κροτεῖν καὶ βοᾶν, φιλῆσαι κελεύοντας ἄχρις οὗ περιβαλὼν κατεφίλησεν. Ἐνταῦθα τῶν περὶ Νέαρχον ἀναβάντων πρὸς αὐτὸν, ἡσθεὶς καὶ διακούσας τὰ περὶ τὸν πλοῦν, ὥρμησεν αὐτὸς πλεύσας κατὰ τὸν Εὐφράτην στόλῳ μεγάλῳ, εἶτα περὶ τὴν Ἀραβίαν καὶ τὴν Λιβύην παρακομισθεὶς, διὰ στηλῶν Ἡρακλείων, ἐμβαλεῖν εἰς τὴν ἐντὸς θάλασσαν. καὶ πλοῖα παντοδαπὰ περὶ Θάψακον ἐπήγνυτο. καὶ συνήγοντο ναῦται καὶ κυβερνῆται πανταχόθεν. ἡ δὲ ἄνω στρατεία χαλεπὴ γενομένη, καὶ τὸ περὶ Μαλλοὺς τραῦμα καὶ φθορὰ πολλὴ λεχθεῖσα τῆς δυνάμεως, ἀπιστίᾳ τῆς σωτηρίας αὐτοῦ, τά τε ὑπήκοα πρὸς ἀποστάσεις ἐπῆρε, καὶ τοῖς στρατηγοῖς καὶ σατράπαις, ἀδικίαν πολλὴν καὶ πλεονεξίαν καὶ ὕβριν ἐνεποίησεν. καὶ ὅλως διέδραμεν σάλος ἁπάντων καὶ νεωτερισμός. ὅπου καὶ πρὸς Ἀντίπατρον Ὀλυμπιὰς καὶ Κλεοπάτρα στασιάσασαι, διείλοντο τὴν ἀρχήν. Ὀλυμπιὰς μὲν, Ἤπειρον, Κλεοπάτρα δὲ, Μακεδονίαν παραλαβοῦσα. καὶ τοῦτο ἀκούσας Ἀλέξανδρος, βέλτιον ἔφη βεβουλεῦσθαι τὴν μητέρα. Μακεδόνας γὰρ, οὐκ ἂν ὑπομεῖναι βασιλευομένους ὑπὸ γυναικός. διὰ ταῦτα, Νέαρχον μὲν, αὖθις ἐπὶ θάλασσαν ἔπεμψεν, ἐμπλῆσαι πολέμων ἅπασαν ἐγνωκὼς τὴν παραλίαν. αὐτὸς δὲ καταβαίνων ἐκ...

στασιάσασαι

γὰρ, ὀκτὼ μὲν μυριάδας ἱπποτῶν, εἴκοσι δὲ πεζῶν, ἅρματα δὲ ὀκτακισχίλια, καὶ μαχίμους ἐλέφαντας, ἑξακισχιλίους ἔχοντες, οἱ γανδαριτῶν καὶ πραισίων βασιλεῖς ἀπομένειν. καὶ κόμπος οὐκ ἦν περὶ ταῦτα. ἀνδρόκοττος γὰρ ὕστερον οὐ πολλῷ βασιλεύσας, σελεύκῳ πεντακοσίους ἐλέφαντας ἐδωρήσατο. καὶ στρατοῦ μυριάσιν ἑξήκοντα, τὴν ἰνδικὴν ἐπῆλθεν ἅπασαν καταστρεφόμενος. Τὸ μὲν οὖν πρῶτον, ὑπὸ δυσθυμίας καὶ ὀργῆς αὑτὸν εἰς τὴν σκηνὴν καθείρξας, ἔκειτο. χάριν οὐδεμίαν εἰδὼς τοῖς διαπεπραγμένοις, εἰ μὴ περάσειε τὸν γάγγην. ἀλλ' ἐξομολόγησιν ἥττης τιθέμενος τὴν ἀναχώρησιν. ὡς δὲ οἵ τε φίλοι τὰ εἰκότα παρηγοροῦντες αὐτὸν, οἵ τε στρατιῶται κλαυθμῷ καὶ βοῇ προσιστάμενοι ταῖς θύραις ἱκέτευον, ἐπικλασθεὶς ἀνεζεύγνυε. πολλὰ πρὸς δόξαν ἀπατηλὰ καὶ σοφιστικὰ μηχανώμενος. καὶ γὰρ ὅπλα μείζονα καὶ φάτνας ἵππων, καὶ χαλινοὺς βαρυτέρους κατασκευάσας, ἀπέλιπέ τε καὶ διέρριψεν. ἱδρύσατο δὲ βωμοὺς θεῶν, οὓς μέχρι νῦν, οἱ πρασιακῶν βασιλεῖς διαβαίνοντες σέβονται καὶ θύουσιν ἑλληνικὰς θυσίας. Ἀνδρόκοττος δὲ, μειράκιον ὢν, αὐτὸν ἀλέξανδρον εἶδεν, καὶ λέγεται πολλάκις εἰπεῖν ὕστερον, ὡς παρ' οὐδὲν ἦλθεν τὰ πράγματα λαβεῖν ἀλέξανδρος, μισουμένου τε καὶ καταφρονουμένου τοῦ βασιλέως, διὰ μοχθηρίαν καὶ δυσγένειαν. ἐντεῦθεν ὁρμήσας ἀλέξανδρος, τὴν ἔξω θάλασσαν ἐπιδεῖν, καὶ πολλὰ πορθμεῖα κωπήρη, καὶ σχεδίας πηξάμενος, ἐκόμιζε τοῖς ποταμοῖς, ὑποφερόμενος σχολαίως. ὁ δὲ πλοῦς οὐκ ἀργὸς ἦν, οὐδὲ ἀπόλεμος. προσβάλλων δὲ ταῖς πόλεσι καὶ ἀποβαίνων, ἐχειροῦτο πάντα. πρὸς δὲ τοῖς καλουμένοις μαλλοῖς, οὕς φασιν ἰνδῶν μαχιμωτάτους γενέσθαι, μικρὸν ἐδέησεν κατακοπῆναι. τοὺς μὲν γὰρ ἀνθρώπους βέλεσιν ἀπὸ τῶν τειχῶν ἀπεσκέδασεν. πρῶτος δὲ διὰ κλίμακος τεθείσης ἀναβὰς ἐπὶ τὸ τεῖχος, ὡς ἥ τε κλίμαξ συνετρίβη, καὶ τῶν βαρβάρων ὑφισταμένων παρὰ τὸ τεῖχος, ἐλάμβανε πληγὰς κάτωθεν, ὀλιγοστὸς ὢν, συστρέψας ἑαυτὸν εἰς μέσους ἀφῆκε τοὺς πολεμίους. καὶ κατὰ τύχην ὀρθὸς ἔστη. τιναξαμένου δὲ τοῖς ὅπλοις, ἔδοξαν οἱ βάρβαροι, σέλας τι καὶ φάσμα πρὸ τοῦ σώματος φέρεσθαι. διὸ καὶ τὸ πρῶτον, ἔφυγον καὶ διεσκεδάσθησαν. ὡς δὲ εἶδον αὐτὸν μετὰ δυεῖν ὑπασπιστῶν, ἐπιδραμόντες, οἱ μὲν ἐκ χειρὸς ξίφεσι καὶ δόρασι διὰ τῶν ὅπλων συνετίτρωσκον ἀμυνόμενον. εἷς δὲ μικρὸν ἀπωτέρω στὰς, ἐφῆκεν ἀπὸ τόξου βέλος. οὕτως εὔτονον καὶ βίαιον, ὥστε τὸν θώρακα διακόψαν, ἐμπαγῆναι τοῖς περὶ τὸν μαστὸν ὀστέοις. πρὸς δὲ τὴν πληγὴν, ἐνδόντος αὐτοῦ τὸ σῶμα καὶ κάμψαντος, ὁ μὲν βαλὼν, ἐπιδραμὼν ἐσπασμένος βαρβαρικὴν μάχαιραν, πευκέστας δὲ καὶ λιμναῖος, προσέστησαν. ὧν πληγέντων ἑκατέρων, ὁ μὲν ἀπέθανεν. πευκέστας δὲ ἀντεῖχεν. τὸν δὲ βάρβαρον, ἀλέξανδρος ἀπέκτεινεν. αὐτὸς δὲ τραύματα πολλὰ λαμβάνων, τέλος δὲ, πληγεὶς ὑπέρῳ κατὰ τοῦ τραχήλου, προσήρεισε τῷ τείχει τὸ σῶμα, βλέπων πρὸς τοὺς πολεμίους. ἐν τούτῳ δὲ τῶν μακεδόνων περιχυθέντων, ἁρπασθεὶς, ἀναίσθητος ἤδη τῶν περὶ αὐτὸν, ἐπὶ σκηνὴς ἐκομίζετο. καὶ παραυτίκα μὲν, ὡς τεθνεῶτος ἦν λόγος ἐν τῷ στρατοπέδῳ. χαλεπῶς δὲ καὶ πολυπόνως τὸν οἰστῶν ἐκπριστάντων ξύλινον ὄντα, καὶ τοῦ θώρακος οὕτω μόλις ἀπολυθέντος, περὶ τὴν ἐκκοπὴν ἐγίνοντο, τῆς ἀκίδος ἐνδεδυκυίας ἐν ἑνὶ τῶν ὀστέων. λέγεται δὲ, τὸ μὲν πλάτος, τριῶν δακτύλων εἶναι. τὸ δὲ μῆκος, τεσσάρων. διὸ ταῖς λιποθυμίαις, ἔγγιστα θανάτου συνελαυνόμενος, ἐξαιρουμένης αὐτῆς, ὅμως, ἀνέλαβεν. καὶ διαφυγὼν τὸν κίνδυνον, ἔτι δὲ ἀσθενὴς ὢν, καὶ πολὺν χρόνον ἐν διαίτῃ καὶ θεραπείαις ἔχων αὑτὸν, ἔξω θορυβοῦντας ὡς ἤσθετο, ποθοῦντας αὐτὸν ἰδεῖν τοὺς μακεδόνας, λαβὼν ἱμάτιον, προῆλθεν. καὶ θύσας τοῖς θεοῖς, αὖθις ἀνήχθη. καὶ παρεκομίζετο, χώραν τε πολλὴν καὶ πόλεις μεγάλας καταστρεφόμενος. Τῶν δὲ γυμνοσοφιστῶν τοὺς μάλιστα τὸν σάββαν ἀναπείσαντας ἀποστῆναι, καὶ κακὰ πλεῖστα τοῖς μακεδόσι παρασχόντας, λαβὼν δέκα, δεινοὺς δοκοῦντας εἶναι περὶ τὰς ἀποκρίσεις καὶ βραχυλόγους, ἐρωτήματα προὔθηκεν αὐτοῖς ἄπορα, φήσας ἀποκτενεῖν, τὸν μὴ ὀρθῶς ἀποκρινόμενον πρῶτον. εἶτα ἐφεξῆς, οὕτω τοὺς ἄλλους. ἕνα δὲ τὸν πρεσβύτατον ἐκέλευσε κρίνειν. Ὁ μὲν οὖν πρῶτος ἐρωτηθεὶς, πότερον οἴεται τοὺς ζῶντας εἶναι πλείονας, ἢ τοὺς τεθνηκότας, ἔφη, τοὺς ζῶντας. οὐκ ἔτι γὰρ εἶναι τοὺς τεθνηκότας. ὁ δὲ δεύτερος πότερον τὴν γῆν ἢ τὴν θάλατταν μείζονα τρέφειν θηρία, τὴν γῆν. ταύτης γὰρ ἔφη μέρος εἶναι τὴν θάλατταν. ὁ δὲ τρίτος, ποῖον ἐστὶ ζῷον πανουργότατον, ὃ μέχρι τοῦ νῦν εἶπεν, ἄνθρωπος οὐκ ἔγνωκεν. ὁ δὲ τέταρτος ἀνακρινόμενος τίνι λογισμῷ τὸν σάββαν ἀπέστησεν, ἀπεκρίνατο. καλῶς ζῆν βουλόμενον αὐτὸν, ἢ κακῶς ἀποθανεῖν. ὁ δὲ πέμπτος, ἐρωτηθεὶς, πότερον οἴεται τὴν ἡμέραν, ἢ τὴν νύκτα προτέραν γεγονέναι, τὴν ἡμέραν εἶπεν ἡμέρα μιᾶ. καὶ προσεῖπεν. οὕτως θαυμάσαντος τοῦ βασιλέως. ὅτι τῶν ἀπόρων ἐρωτήσεων ἀνάγκη καὶ τὰς ἀποκρίσεις ἀπόρους εἶναι. μεταλαβὼν οὖν τὸν ἕκτον, ἠρώτα, πῶς ἄν τις φιληθείη μάλιστα. ἂν κράτιστος ὢν, ἔφη, μὴ φοβερὸς ᾖ. τῶν δὲ λοιπῶν, ὁ μὲν ἐρωτηθεὶς, πῶς ἄν τις ἐξ ἀνθρώπων γένοιτο θεὸς, εἴ τι πρᾶξειεν εἶπεν, ὃ πρᾶξαι δυνατὸν ἀνθρώπῳ μὴ ἔστιν. ὁ δὲ, περὶ ζωῆς καὶ θανάτου πότερον ἰσχυρότερον, ἀπεκρίνατο, τὴν ζωὴν τοσαῦτα κακὰ φέρουσαν. ὁ δὲ τελευταῖος· μέχρι τίνος ἄνθρωπον καλῶς ἔχον ζῆν, μέχρι οὗ μὴ νομίζει τὸ τεθνάναι τοῦ ζῆν ἄμεινον. οὕτω δὴ τραπόμενος πρὸς τὸν δικαστὴν, ἐκέλευσεν ἀποφαίνεσθαι. τοῦ δὲ, ἕτερον ἑτέρου χεῖρον εἰρηκέναι φήσαντος, οὐκοῦν ἔφη, καὶ σὺ πρῶτος ἀποθανῇ, τοιαῦτα κρίνων,

γομένοις, εἰ μὲν εἰμὶ κρείττων, ἕτοιμος εὖ ποιεῖν. εἰ δὲ ἥττων, οὐ φεύγω χάριν ἔχειν, εὖ παθών. ἡσθεὶς οὖν ὁ ἀλέξανδρος, καὶ δεξιωσάμενος αὐτόν, ἦ που νομίζεις ἔφη, δίχα μάχης ἔσεσθαι τὴν ἔντευξιν ἡμῖν ἀπὸ τοιούτων λόγων καὶ φιλοφροσύνης, ἀλλ' οὐδέν σοι πλέον. ἐγὼ γὰρ ἀγωνιοῦμαι πρὸς σὲ καὶ διαμαχοῦμαι ταῖς χάρισιν, ὅπως μου χρηστὸς ὤν, μὴ περιγένῃ. λαβὼν δὲ δῶρα πολλὰ καὶ δοὺς πλείονα, τέλος, χίλια τάλαντα νομίσματος αὐτῷ προέπιεν. ἐφ' οἷς τοὺς μὲν φίλους, ἰσχυρῶς ἐλύπησεν. τῶν δὲ βαρβάρων, πολλοὺς ἐποίησεν ἡμερωτέρως ἔχειν πρὸς αὐτόν. ἐπεὶ δὲ τῶν ἰνδῶν οἱ μαχιμώτατοι, μισθοφοροῦντες, ἐπιφοιτῶν ταῖς πόλεσιν ἐρρωμένως ἀμύνοντες, καὶ κατὰ πολλὰ τὸν ἀλέξανδρον ἐκακοποίουν, σπεισάμενος ἔν τινι πόλει πρὸς αὐτούς, ἀπιόντας ἐν ὁδῷ λαβὼν ἅπαντας ἀπέκτεινεν. καὶ τοῦτο τοῖς πολεμικοῖς ἔργοις αὐτοῦ τἆλλα νομίμως καὶ βασιλικῶς πολεμήσαντος, ὡς κηλὶς πρόσεστιν. οὐκ ἐλάσσονα δὲ τούτων οἱ φιλόσοφοι πράγματα παρεῖχον αὐτῷ, τούς τε προστιθεμένους τῶν βασιλέων κακίζοντες, καὶ τοὺς ἐλευθέρους δήμους ἀφιστάντες. διὸ καὶ τούτων, πολλοὺς ἐκρέμασεν. τὰ δὲ πρὸς πῶρον, αὐτὸς ἐν ταῖς ἐπιστολαῖς ὡς ἐπράχθη γέγραφεν. φησὶ γὰρ ἐν μέσῳ τῶν στρατοπέδων τοῦ ὑδάσπου ῥέοντος, ἀντιπρῴρους ἱστάντα τοὺς ἐλέφαντας ἀεὶ τὸν πῶρον, ἐπιτηρεῖν τὴν διάβασιν. αὐτὸν μὲν οὖν καθ' ἡμέραν ἑκάστην, ψόφον ποιεῖν καὶ θόρυβον ἐν τῷ στρατοπέδῳ πολύν, ἐθίζοντα τοὺς βαρβάρους μὴ φοβεῖσθαι. νυκτὸς δὲ χειμερίου καὶ ἀσελήνου, λαβόντα τῶν πεζῶν μέρος, ἱππεῖς δὲ τοὺς κρατίστους, καὶ προελθόντα πόρρω τῶν πολεμίων, διαπερᾶσαι πρὸς νῆσον οὐ μεγάλην. ἐνταῦθα δὲ ῥαγδαίου μὲν ἐκχυθέντος ὄμβρου, πρηστήρων δὲ πολλῶν καὶ κεραυνῶν, εἰς τὸ στρατόπεδον φερομένων, ὅμως ὁρῶν ἀπολλυμένους τινὰς καὶ συμφλεγομένους ὑπὸ τῶν κεραυνῶν, ἀπὸ τῆς νησῖδος ἄρας, προσφέρεσθαι ταῖς ἀντιπέρας ὄχθαις. τραχὺν δὲ τὸν ὑδάσπην ὑπὸ τοῦ χειμῶνος ἐπιόντα καὶ μετέωρον, ἔκρηγμα ποιῆσαι μέγα, καὶ πολὺ μέρος ἐκείνῃ φέρεσθαι τοῦ ῥεύματος, αὐτὸς δέ, δέξασθαι τὸ μέσον οὐ βεβαίως, ἅτε δὴ συνολισθαῖνον καὶ περιρρηγνύμενον. ἐνταῦθα δὲ εἰπεῖν φασιν αὐτόν, ὦ ἀθηναῖοι. ἀράγε πιστεύσαιτε ἄν, ἡλίκους ὑπομένω κινδύνους, ἕνεκα τῆς παρ' ὑμῖν εὐδοξίας. ἀλλὰ τοῦτο μέν, ὀνησίκριτος εἴρηκεν. αὐτὸς δέ φησιν, τὰς σχεδίας ἀφέντας αὐτοὺς μετὰ τῶν ὅπλων, τὸ ἔκρηγμα διαβαίνειν ἄχρι μαστῶν βρεχομένους. διαβὰς δέ, τῶν πεζῶν εἴκοσι σταδίους προϊππεῦσαι λογιζόμενος. εἰ μὲν οἱ πολέμιοι τοῖς ἵπποις προσβάλοιεν, πολὺ κρατήσειν· εἰ δὲ κινοῖεν τὴν φάλαγγα, φθήσεσθαι τοὺς πεζοὺς αὐτῷ προσγενομένους. θάτερον δὲ συμβῆναι. τῶν γὰρ ἱππέων χιλίους, καὶ τῶν ἁρμάτων ἑξήκοντα, συμπεσόντα τρεψάμενος, τὰ μὲν ἅρματα λαβεῖν ἅπαντα. τῶν δ' ἱππέων, ἀνελεῖν τετρακοσίους, οὕτω δὴ συμφρονήσαντα τὸν πῶρον. ὡς αὐτὸς εἴη διαβεβηκὼς ἀλέξανδρος, ἐπελθεῖν μετὰ πάσης τῆς δυνάμεως, πλὴν ὅσον ἐμποδὼν εἶναι τοῖς διαβαίνουσι τῶν μακεδόνων, ἀπέλιπεν. φοβηθεὶς δὲ τὰ θηρία καὶ τὸ πλῆθος τῶν πολεμίων, αὐτὸς μέν, ἐνσεῖσαι κατὰ θάτερον κέρας. κοῖνον δὲ τῷ δεξιῷ προσβαλεῖν κελεῦσαι. γενομένης δὲ τροπῆς ἑκατέρωθεν, ἀναχωρεῖν ἀεὶ πρὸς τὰ θηρία καὶ συνειλεῖσθαι τοὺς ἐκβιαζομένους. ὅθεν ἤδη τὴν μάχην ἀναμεμιγμένην εἶναι. καὶ μόλις ὀγδόης ὥρας ἀπειπεῖν τοὺς πολεμίους. Ταῦτα μὲν οὖν ὁ τῆς μάχης ποιητὴς αὐτὸς ἐν ταῖς ἐπιστολαῖς εἴρηκεν. οἱ δὲ πλεῖστοι τῶν συγγραφέων, ὁμολογοῦσι, τὸν πῶρον, ὑπεραίροντα τεσσάρων πηχῶν σπιθαμῇ τὸ μῆκος ἱππότου, μηδὲν ἀποδεῖν πρὸς τὸν ἐλέφαντα συμμετρίᾳ, διὰ τὸ μέγεθος καὶ τὸν ὄγκον τοῦ σώματος. καίτοι μέγιστος ἦν ὁ ἐλέφας. σύνεσιν δὲ θαυμαστὴν ἐπεδείξατο. καὶ κηδεμονίαν τοῦ βασιλέως ἐρρωμένου μὲν ἔτι, θυμῷ τοὺς προσμαχομένους ἀμυνόμενος καὶ ἀνακόπτων. ὡς δὲ ᾔσθετο βελῶν πλήθει καὶ τραυμάτων κάμνοντα, δείσας μὴ περιρρυῇ, τοῖς γόνασιν, εἰς γῆν ὑφῆκεν, πράως ἑαυτόν, τῇ δὲ προνομαίᾳ, λαμβάνων ἀτρέμα τῶν δορατίων ἕκαστον, ἐξῄρει τοῦ σώματος. Ἐπεὶ δὲ ληφθέντα τὸν πῶρον ὁ ἀλέξανδρος, ἠρώτα, πῶς αὐτῷ χρήσηται. βασιλικῶς εἶπεν. προσπυθομένου δὲ μή τι ἄλλο λέγει, πάντα εἶπεν ἐστίν, ἐν τῷ βασιλικῶς. οὐ μόνον οὖν ἀφῆκεν αὐτὸν ἄρχειν ὧν ἐβασίλευε σατράπην καλούμενον, ἀλλὰ καὶ προσέθηκε χώραν. καὶ τοὺς αὐτονόμους καταστρεψάμενος. ἐν ᾗ πεντεκαίδεκα μὲν ἔθνη, πόλεις δὲ πεντακισχιλίας ἀξιολόγους, κώμας δέ, παμπόλλας εἶναί φασιν, ἄλλην δὲ τρὶς τοσαύτην ἧς φίλιππόν τινα τῶν ἑταίρων, σατράπην ἀπέδειξεν. ἐκ δὲ τῆς πρὸς πῶρον μάχης, καὶ ὁ βουκεφάλας ἐτελεύτησεν. οὐκ εὐθὺς, ἀλλ' ὕστερον ὡς οἱ πλεῖστοι λέγουσιν, ὑπὸ τραυμάτων θεραπευόμενος. ὡς δὲ ὀνησίκριτος, διὰ γῆρας ὑπέρπονος γενόμενος, τριάκοντα γὰρ ἐτῶν ἀποθανεῖν αὐτόν. ἐδήχθη δ' ἰσχυρῶς ἀλέξανδρος, οὐδὲν ἄλλο, ἢ συνήθη καὶ φίλον ἀποβεβληκέναι νομίζων. καὶ πόλιν οἰκίσας ἐπ' αὐτῷ, παρὰ τὸν ὑδάσπην βουκεφαλίαν προσηγόρευσεν. λέγεται δὲ καὶ κύνα περίταν ὄνομα τεθραμμένον ὑπ' αὐτοῦ καὶ στεργόμενον ἀποβαλών, κτίσαι πόλιν ἐπώνυμον. τοῦτο δὲ σωτίων φησίν, ποτάμωνος ἀκοῦσαι τοῦ λεσβίου. Τοὺς μέντοι μακεδόνας, ὁ πρὸς πῶρον ἀγών, ἀμβλυτέρους ἐποίησεν, καὶ τὸ πρόσω τῆς ἰνδικῆς ἔτι προσελθεῖν ἐπέσχεν. μόλις γὰρ ἐκεῖνον ὠσάμενοι, δισμυρίοις πεζοῖς, καὶ δισχιλίοις ἱππεῦσι παραταξάμενον, ἀντέστησαν ἰσχυρῶς, ἀλεξάνδρῳ βιαζομένῳ καὶ τὸν γάγγην περᾶσαι ποταμόν, εὖρος μὲν αὐτοῦ, δύο καὶ τριάκοντα σταδίων εἶναι πυνθανόμενοι. καὶ βάθος ὀργυιὰς ἑκατόν. ἀντιπέρας δὲ τὰς ὄχθας ἀποκεκρύφθαι, πλήθεσιν ὅπλων καὶ ἵππων καὶ ἐλεφάντων. ἐλέγοντο

γὰρ ὀκτὼ

ἆρά γε πιστεύσαιτ'

ἀποβεβλημ

σαν

τὴν συγγένειαν, ἐξ ἥρους γεγονὼς ἀνεψιᾶς ἀριστοτέλους. ἀποθανεῖν δὲ αὐτὸν, οἱ μὲν ὑπὸ ἀλεξάνδρου
κρεμασθέντα λέγουσιν. οἱ δὲ, ἐν πέδαις δεδεμένον καὶ νοσήσαντα. χάρης δὲ μετὰ τὴν σύλληψιν, ἑπτὰ
μῆνας φυλάττεσθαι δεδεμένον, ὡς ἐν τῷ συνεδρίῳ κριθείη, παρόντος ἀριστοτέλους. ἐν αἷς δὲ ἡμέ-
ραις ἀλέξανδρος ἐν μαλλοῖς ὀξυδράκαις ἐτρώθη περὶ τὴν ἰνδίαν, ἀποθανεῖν ὑπέρπαχυν γενόμενον καὶ
φθειριάσαντα. Ταῦτα μὲν οὖν ὕστερον ἐπράχθη. δημάρατος δὲ ὁ κορίνθιος ἤδη πρεσβύτερος ὢν,
ἐφιλοτιμήθη πρὸς ἀλέξανδρον ἀναβῆναι. καὶ θεασάμενος αὐτὸν, εἶπεν. μεγάλης ἡδονῆς ἐστερῆσθαι
τοὺς ἕλληνας ὅσοι τεθνήκασι, πρὶν ἰδεῖν ἀλέξανδρον, ἐν τῷ δαρείου θρόνῳ καθήμενον. οὐ μὴν ἐπὶ
πλέον γε τῆς πρὸς αὐτὸν εὐνοίας τοῦ βασιλέως ἀπέλαυσεν. ἀλλ' ἐξ ἀρρωστίας ἀποθανὼν, ἐκηδεύθη με-
γαλοπρεπῶς. καὶ τάφον ἔχωσεν ὁ στρατὸς ἐπ' αὐτῷ, τὴν περιμέτρῳ μέγαν, ὕψος δὲ πηχῶν ὀγδοήκον-
τα. τὰ δὲ λείψανα, τέθριππον κεκοσμημένον λαμπρῶς ἐπὶ θάλασσαν κατεκόμισε. μέλλων δ' ὑπερ-
βάλλειν εἰς τὴν ἰνδικὴν, ὡς ἑώρα πλήθει λαφύρων τὴν στρατιὰν ἤδη βαρεῖαν καὶ δυσκίνητον οὖσαν, ἅμ'
ἡμέρᾳ συνεσκευασμένων τῶν ἁμαξῶν, πρώτας μὲν ὑπέπρησεν τὰς αὐτοῦ καὶ τῶν ἑταίρων. μετὰ δὲ
ταύτας ἐκέλευσε καὶ ταῖς τῶν μακεδόνων ἐνεῖναι πῦρ, καὶ τοῦ πράγματος τὸ βούλευμα μεῖζον ἐφά-
νη καὶ δεινότερον ἦν τὸ ἔργον. ὀλίγους μὲν γὰρ ἠνίασεν. οἱ δὲ πλεῖστοι, βοῇ καὶ ἀλαλαγμῷ, μετ' ἐν- ἢ. κ.
θουσιασμοῦ, τὰ μὲν ἀναγκαῖα τοῖς δεομένοις μεταδιδόντες, τὰ δὲ περιόντα, τῆς χρείας, αὐτοὶ κατα-
καίοντες καὶ διαφθείροντες, ὁρμῆς καὶ προθυμίας ἐνεπίμπλασαν τὸν ἀλέξανδρον. ἤδη δὲ καὶ φοβε-
ρὸς ἦν, καὶ ἀπαραίτητος κολαστὴς τῶν πλημμελούντων. καὶ γὰρ μένανδρόν τινα τῶν ἑταίρων, ἄρ-
χοντα φρουρίου καταστήσας, ὡς οὐκ ἐβούλετο μένειν, ἀπέκτεινεν. καὶ τὸν ἀποστάντων βαρβάρων ὀρσο- τῶν. ς. κ.
δάτην, αὐτὸς κατετόξευσεν. Προβάτου δὲ τεκόντος ἄρνα περὶ τῇ κεφαλῇ, σχῆμα καὶ χρῶμα τιά-
ρας ἔχοντα, καὶ διδύμους ἑκατέρωθεν αὐτοῦ, βδελυχθεὶς τὸ σημεῖον, ἐκαθάρθη μὲν ὑπὸ τῶν βα-
βυλωνίων, οὓς ἐξ ἔθους ἐπήγετο πρὸς τὰ τοιαῦτα. διελέχθη δὲ πρὸς τοὺς φίλους, ὡς οὐ δι' αὑτὸν, ἀλ-
λὰ δι' ἐκείνους ταράττοιτο. μὴ τὸ κράτος εἰς ἀγεννῆ καὶ ἄναλκιν ἄνθρωπον, ἐκλιπόντος αὐτοῦ περιστή- ἀνάλκιν
σῃ τὸ δαιμόνιον. Οὐ μὴν, ἀλλὰ βέλτιόν τι σημεῖον γενόμενον, τὴν ἀθυμίαν ἔλυσεν. ὁ γὰρ τῶν στρω-
ματοφυλάκων τεταγμένος ἀνὴρ μακεδὼν, ὄνομα πρόξενος, τῇ βασιλικῇ σκηνῇ χώραν ὀρύττων, πα-
ρὰ τὸν ὦξον ποταμὸν, ἀνεκάλυψεν πηγὴν ὑγροῦ λιπαροῦ καὶ πιμελώδους. ἀπαντλουμένου δὲ τοῦ
πρώτου, καθαρὸν ἀνέβλυζεν ἤδη καὶ διαυγὲς ἔλαιον. οὔτε ὀσμῇ δοκοῦν, οὔτε γεύσει ἐλαίου διαφέ-
ρειν, στιλβότητά τε καὶ λιπαρότητα παντάπασιν ἀπαράλλακτον. καὶ ταῦτα τῆς χώρας, μηδὲ
ἐλαίας φερούσης. λέγεται μὲν οὖν καὶ τὸν ὦξον αὐτὸν εἶναι μαλακώτατον ὕδωρ. ὥστε τὸ δέρμα
τῶν λουομένων ἐπιλιπαίνειν. οὐ μὴν, ἀλλὰ θαυμαστῶς ἀλέξανδρος ἡσθεὶς, δῆλός ἐστιν, ἐξ ὧν γράφει τοῖς λουομένοις. κ.
πρὸς ἀντίπατρον. ἐν τοῖς μεγίστοις τοῦτο τῶν ἀπὸ τοῦ θεοῦ γεγονότων αὐτῷ τιθέμενος. οἱ δὲ μάντεις, ἐν-
δόξου μὲν στρατείας, ἐπιπόνου δὲ καὶ χαλεπῆς τὸ σημεῖον ἐποιοῦντο. πόνων γὰρ ἀρωγὴν, ἔλαιον ἀνθρώ-
ποις ὑπὸ θεοῦ δεδόσθαι. Πολλοὶ μὲν οὖν κατὰ τὰς μάχας αὐτῷ κίνδυνοι συνέπεσον. καὶ τραύ-
μασι νεανικοῖς ἀπήντησεν. τὴν δὲ πλείστην φθορὰν ἀπορίαι τῶν ἀναγκαίων, καὶ δυσκρασίαι τοῦ περιέ-
χοντος, ἀπειργάζοντο τῆς στρατιᾶς. αὐτὸς δὲ τόλμῃ τὴν τύχην ὑπερβαλέσθαι, καὶ τὴν δύναμιν ἀρε-
τῇ φιλοτιμούμενος, οὐδὲν ᾤετο τοῖς θαρροῦσιν ἀνάλωτον. οὐδὲ ὀχυρὸν εἶναι τοῖς εὐτόλμοις. λέγεται δὲ ἀτόλμοις. κ.
τὴν σισιμίθρου πολιορκῶν πέτραν ἄβατον οὖσαν καὶ ἀπρόσβατον, ἀθυμούντων τῶν στρατιωτῶν,
ἐρωτῆσαι τὸν ὀξυάρτην, ποῖός τις αὐτὸς εἴη τὴν ψυχὴν ὁ σισιμίθρης. φήσαντος δὲ τοῦ ὀξυάρτου, δειλό-
τατον ἀνθρώπων, λέγεις σύ γε φάναι, τὴν πέτραν ἁλώσιμον ἡμῖν εἶναι. τὸ γὰρ ἄρχον αὐτῆς, οὐκ ἰσχυ-
ρόν ἐστιν. Ταύτην μὲν οὖν, ἐκφοβήσας τὸν σισιμίθρην ἔλαβεν. ἑτέρᾳ δὲ ὁμοίως ἀποτόμῳ προσβα-
λὼν τοὺς νεωτέρους τῶν μακεδόνων, ἀλέξανδρον τινὰ καλούμενον προσαγορεύσας, ἀλλὰ σοί γε εἶπεν
ἀνδραγαθεῖν προσήκει, καὶ διὰ τὴν ἐπωνυμίαν. Ἐπεὶ δὲ λαμπρῶς ἀγωνιζόμενος ὁ νεανίας ἔπεσεν,
οὐ μετρίως ἐδήχθη. τῇ δὲ καλουμένῃ νύσῃ, τῶν μακεδόνων ὀκνούντων προσάγειν, καὶ γὰρ ποταμὸς νύσῃ. γ.
ἦν πρὸς αὐτῇ βαθὺς, ἐπιστὰς, τί γὰρ εἶπεν ὁ κάκιστος ἐγὼ, νεῖν οὐκ ἔμαθον. καὶ ἤδη ἔχων τὴν ἀσπίδα
περᾶν ἠθέλησεν. ἐπεὶ δὲ καταπαύσαντος τὴν μάχην αὐτοῦ, παρῆσαν ἀπὸ τῶν πολιορκουμένων πόλε-
ων πρέσβεις δεησόμενοι, πρῶτον μὲν ὀφθεὶς ἀθεράπευτος ἐν τοῖς ὅπλοις ἐξέπληξεν αὐτούς. ἔπειτα
προσκεφαλαίου τινὸς αὐτῷ κομισθέντος, ἐκέλευσε λαβόντα καθίσαι τὸν πρεσβύτατον, ἄκουφις
ἐκαλεῖτο. θαυμάσας οὖν τὴν λαμπρότητα καὶ φιλανθρωπίαν ὁ ἄκουφις, ἠρώτα τί βούλεται ποι-
οῦντας αὐτοὺς ἔχειν φίλους. φήσαντος δὲ τοῦ ἀλεξάνδρου, σὲ μὲν αὐτὸν, ἄρχοντα καταστήσαντας αὐ-
τῶν. πρὸς δὲ ἡμᾶς πέμψαντας ἑκατὸν ἄνδρας τοὺς ἀρίστους, γελάσας ὁ ἄκουφις, ἀλλὰ βέλτιον εἶπεν
ἄρξω βασιλεῦ, τοὺς κακίστους πρὸς σὲ πέμψας μᾶλλον, ἢ τοὺς ἀρίστους. ὁ δὲ ταξίλης λέγεται μὲν τῆς
ἰνδικῆς ἔχειν μοῖραν, οὐκ ἀποδέουσαν αἰγύπτου τὸ μέγεθος. εὔβοτον δὲ, καὶ καλλίκαρπον, ἐν τοῖς μά-
λιστα. σοφὸς δέ τις ἀνὴρ εἶναι. καὶ τὸν ἀλέξανδρον ἀσπασάμενος, τί δεῖ πολέμων φάναι καὶ μάχης
ἡμῖν ἀλέξανδρε πρὸς ἀλλήλους, εἰ μήτε ὕδωρ ἀφαιρησόμενος ἡμῶν ἀφῖξαι, μήτε τροφὴν ἀναγκαίαν,
ὑπὲρ ὧν μόνων ἀνάγκη διαμάχεσθαι, νοῦν ἔχουσιν ἀνθρώποις. τοῖς δὲ ἄλλοις χρήμασι καὶ κτήμασι λε-

αὐτὸν προσήκει, νόμον εἶναι καὶ ὅρον τῶν δικαίων, ἐπεί τοι ἄρχειν καὶ κρατεῖν νενίκηκεν, ἀλλὰ μὴ δουλεύειν ὑπὸ κενῆς δόξης κεκρατημένον. οὐκ οἶσθα εἶπεν, ὅτι τὴν δίκην ἔχει πάρεδρον ὁ ζεὺς, καὶ τὴν θέμιν, ἵνα πᾶν τὸ πραχθὲν ὑπὸ τοῦ κρατοῦντος θεμιτὸν ᾖ καὶ δίκαιον. τοιούτοις τισὶ λόγοις χρησάμενος ὁ ἀνάξαρχος, τὸ μὲν πάθος ἐκούφισε τοῦ βασιλέως, τὸ δὲ ἦθος εἰς πολλὰ χαυνότερον καὶ παρανομώτερον ἐποίησεν. αὐτὸν δὲ δαιμονίως ἐνήρμοσεν. καὶ τοῦ καλλισθένους τὴν ὁμιλίαν, οὐδ' ἄλλως ἐπίχαριν διὰ τὸ αὐστηρὸν οὖσαν, προσδιέβαλεν. λέγεται δέ ποτε παρὰ δεῖπνον ὑπὲρ ὀξῶν καὶ κράσεως τοῦ περιέχοντος λόγων ὄντων, τὸν καλλισθένην μετέχοντα δόξης, τοῖς λέγουσι τἀκεῖ μᾶλλον εἶναι ψυχρὰ καὶ δυσχείμερα τῶν ἑλληνικῶν, ἐναντιουμένου τοῦ ἀναξάρχου, καὶ φιλονεικοῦντος, εἰπεῖν. ἀλλὰ μὴν ἀνάγκη σοι, ταῦτα ἐκείνων ὁμολογεῖν ψυχρότερα. σὺ γὰρ ἐκεῖ μὲν ἐν τρίβωνι διεχείμαζες, ἐνταῦθα δὲ τρεῖς ἐπιβεβλημένος δάπιδας, κατάκεισαι. τὸν μὲν οὖν ἀνάξαρχον, καὶ τοῦτο προσπαρώξυνεν. τοὺς δὲ ἄλλους σοφιστὰς καὶ κόλακας ὁ καλλισθένης ἐλύπει. σπουδαζόμενος μὲν, ὑπὸ τῶν νέων διὰ τὸν λόγον. οὐχ ἧττον δὲ τοῖς πρεσβυτέροις ἀρέσκων, διὰ τὸν βίον, εὔτακτον ὄντα καὶ σεμνὸν καὶ αὐτάρκη, καὶ βεβαιοῦντα τὴν λεγομένην τῆς ἀποδημίας πρόφασιν, ὅτι τοὺς πολίτας καταγαγεῖν, καὶ κατοικίσαι πάλιν τὴν πατρίδα φιλοτιμούμενος, ἀνέβη πρὸς ἀλέξανδρον. φθονούμενος δὲ διὰ τὴν δόξαν, ἔστιν ἃ καὶ καθ' αὑτοῦ τοῖς διαβάλλουσι παρεῖχεν. τάς τε κλήσεις τὰ πολλὰ διωθούμενος, ἔν τε τῷ συνεῖναι, βαρύτητι καὶ σιωπῇ δοκῶν οὐκ ἐπαινεῖν οὐδὲ ἀρέσκεσθαι τοῖς γινομένοις. ὥς τε καὶ τὸν ἀλέξανδρον εἰπεῖν ἐπ' αὐτῷ, μισῶ σοφιστὴν, ὅς τις οὐδ' αὐτῷ σοφός. λέγεται δέ ποτε πολλῶν παρακεκλημένων ἐπὶ τὸ δεῖπνον, ἐπαινέσαι κελευσθεὶς ἐπὶ τοῦ ποτηρίου μακεδόνας ὁ καλλισθένης, οὕτως εὐροῆσαι πρὸς τὴν ὑπόθεσιν, ὥς τε ἀνισταμένους, κροτεῖν καὶ βάλλειν τοὺς στεφάνους ἐπ' αὐτόν. εἰπεῖν οὖν τὸν ἀλέξανδρον, ὅτι κατ' εὐριπίδην τὸν λαβόντα τῶν λόγων καλὰς ἀφορμὰς, οὐ μέγα ἔργον εὐλογεῖν. ἀλλ' ἔνδειξαι φάναι τὴν σαυτοῦ δύναμιν ἡμῖν, κατηγορήσας μακεδόνων ἵνα καὶ βελτίους γένωνται μαθόντες ἃ πλημμελοῦσιν. οὕτω δὴ τὸν ἄνδρα πρὸς τὴν παλινῳδίαν τραπόμενον, πολλὰ παρρησιάσασθαι κατὰ τῶν μακεδόνων, καὶ τὴν ἑλληνικὴν στάσιν, αἰτίαν ἀποφήναντα τῆς γενομένης περὶ φίλιππον αὐξήσεως καὶ δυνάμεως, εἰπεῖν. ἐν δὲ διχοστασίῃ, καὶ ὁ πάγκακος ἔλλαχε τιμῆς. ἐφ' ᾧ πικρὸν καὶ βαρὺ ἐγγενέσθαι μῖσος τοῖς μακεδόσι. καὶ τὸν ἀλέξανδρον εἰπεῖν, ὡς οὐ τῆς δεινότητος ὁ καλλισθένης, ἀλλὰ τῆς δυσμενείας μακεδόσιν ἀπόδειξιν δέδωκεν.

Ταῦτα μὲν οὖν ὁ ἕρμιππός φησι τὸν ἀναγνώστην τοῦ καλλισθένους στροῖβον, ἀριστοτέλει διηγεῖσθαι. τὸν δὲ καλλισθένην συνέντα τὴν ἀλλοτριότητα τοῦ βασιλέως, δὶς ἢ τρὶς ἀπιόντα πρὸς αὐτὸν, εἰπεῖν. κάτθανε καὶ πάτροκλος, ὅπερ σέο πολλὸν ἀμείνων. οὐ φαύλως οὖν εἰπεῖν ἔοικεν ὁ ἀριστοτέλης, ὅτι καλλισθένης, λέγων μὲν ἦν δυνατὸς καὶ μέγας. νοῦν δὲ οὐκ εἶχεν. ἀλλὰ τήν γε προσκύνησιν ἰσχυρῶς ἀπωσάμενος καὶ φιλοσόφως, καὶ μόνος ἐν φανερῷ διελθὼν, ἃ κρύφα πάντες οἱ βέλτιστοι καὶ πρεσβύτατοι τῶν μακεδόνων ἠγανάκτουν, τοὺς μὲν ἕλληνας, αἰσχύνης ἀπήλλαξε μεγάλης, καὶ μείζονος ἀλέξανδρον, ἀποτρέψας τὴν προσκύνησιν, αὑτὸν δὲ ἀπώλεσεν, ἐκβιάσασθαι δοκῶν μᾶλλον, ἢ πεῖσαι τὸν βασιλέα. χάρης δὲ ὁ μυτιληναῖός φησι τὸν ἀλέξανδρον ἐν τῷ συμποσίῳ πιόντα φιάλην, προτεῖναί τινι τῶν φίλων. τὸν δὲ, δεξάμενον, πρὸς ἑστίαν ἀναστῆναι, καὶ πιόντα, προσκυνῆσαι πρῶτον. εἶτα, φιλῆσαι τὸν ἀλέξανδρον ἐν τῷ συμποσίῳ καὶ κατακλιθῆναι. πάντων δὲ τοῦτο ποιούντων ἐφεξῆς, τὸν καλλισθένην λαβόντα τὴν φιάλην, οὐ προσέχοντος τοῦ βασιλέως, ἀλλὰ ἡφαιστίωνι προσδιαλεγομένου, πιόντα προσιέναι φιλήσοντα. δημητρίου δὲ τοῦ προσονομαζομένου φείδωνος εἰπόντος, ὦ βασιλεῦ μὴ φιλήσῃς, οὗτος γάρ σε μόνος οὐ προσκεκύνηκεν, διακλῖναι τὸ φίλημα τὸν ἀλέξανδρον. τὸν δὲ καλλισθένην μέγα φθεγξάμενον εἰπεῖν. φιλήματι τοίνυν ἔλαττον ἔχων ἄπειμι. τοιαύτης ὑπογινομένης ἀλλοτριότητος, πρῶτον μὲν ἡφαιστίων ἐπιστεύετο λέγων, ὅτι συνθέμενος πρὸς αὐτὸν ὁ καλλισθένης προσκυνῆσαι, ψεύσαιτο τὴν ὁμολογίαν. ἔπειτα λυσίμαχοι καὶ ἅγνωνες ἐπεφύοντο, φάσκοντες περιιέναι τὸν σοφιστὴν, ὡς ἐπὶ καταλύσει τυραννίδος μέγα φρονοῦντα, καὶ συντρέχειν πρὸς αὐτὸν τὰ μειράκια, καὶ περιέπειν, ὡς μόνον ἐλεύθερον ἐν τοσαύταις μυριάσι. διὸ καὶ τῶν περὶ ἑρμόλαον ἐπιβουλευσάντων τῷ ἀλεξάνδρῳ, καὶ φανερῶν γενομένων, ἔδοξαν ἀληθέσιν ὅμοια κατηγορεῖν οἱ διαβάλλοντες. ὡς τῷ μὲν προβάλλοντι, πῶς ἂν ἐνδοξότατος γένοιτο ἄνθρωπος, εἰπεῖν ἂν ἀποκτείνῃ τὸν ἐνδοξότατον. τὸν δὲ ἑρμόλαον ἐπὶ τὴν πρᾶξιν παροξύνων, ἐκέλευε μὴ δεδιέναι τὴν χρυσῆν κλίνην, ἀλλὰ μνημονεύειν ὅτι καὶ νοσοῦντι καὶ τιτρωσκομένῳ πρόσεισιν ἀνθρώπῳ. καίτοι τῶν περὶ ἑρμόλαον, οὐδεὶς οὐδὲ διὰ τῆς ἐσχάτης ἀνάγκης τοῦ καλλισθένους κατεῖπεν. ἀλλὰ καὶ ἀλέξανδρος αὐτὸς εὐθὺς, κρατερῷ γράφων καὶ ἀττάλῳ καὶ ἀλκέτᾳ, φησὶ τοὺς παῖδας βασανιζομένους ὁμολογεῖν, ὡς αὐτοὶ ταῦτα πράξειαν, ἄλλος δὲ οὐδεὶς συνειδείη. ὕστερον δὲ γράφων πρὸς ἀντίπατρον, καὶ τὸν καλλισθένην συνεπαιτιασάμενος, οἱ μὲν παῖδές φησιν ὑπὸ τῶν μακεδόνων κατελεύσθησαν. τὸν δὲ σοφιστὴν ἐγὼ κολάσω, καὶ τοὺς ἐκπέμψαντας αὐτὸν, καὶ τοὺς ὑποδεχομένους ταῖς πόλεσι τοὺς ἐμοὶ ἐπιβουλεύοντας. ἄντικρυς ἔν γε τούτοις ἀποκαλυπτόμενος πρὸς ἀριστοτέλην. καὶ γὰρ ἐτέθραπτο καλλισθένης παρ' αὐτῷ, διὰ

καὶ λαμβαίων. ἐφοβοῦντο γὰρ ἀλέξανδρον αἰτωλοὶ, διὰ τὴν οἰνιαδῶν ἀνάστασιν. ἣν πυθόμενος, οὐκ οἰνιαδῶν ἔφη παῖδας, ἀλλ' αὐτὸν ἐπιθήσειν δίκην αἰτωλοῖς. οὐ πολλῷ δὲ ὕστερον συνηνέχθη καὶ τὰ περὶ κλεῖτον, οὕτω μὲν ἁπλῶς πυθομένοις, τῶν κατὰ φιλώταν ἀγριώτερα. λόγῳ μέντοι συντιθέντες ἅμα καὶ τὴν αἰτίαν καὶ τὸν καιρὸν, οὐκ ἀπὸ γνώμης, ἀλλὰ δυστυχίᾳ τινὶ ταῦτα εὑρίσκοντες πεπραγμένα, τοῦ βασιλέως ὀργὴν καὶ μέθην πρόφασιν τῷ κλείτου δαίμονι παρασχόντος. ἐπράχθη δὲ οὕτως. ἧκον τινὲς ὀπώραν ἑλληνικὴν, ἀπὸ θαλάσσης τῷ βασιλεῖ κομίζοντες. ὁ δὲ, θαυμάσας τὴν ἀκμὴν, καὶ τὸ κάλλος, ἐκάλει τὸν κλεῖτον ἐπιδεῖξαι καὶ μεταδοῦναι βουλόμενος. ὁ δὲ, θύων μὲν ἐτύγχανεν, ἀφεὶς δὲ τὴν θυσίαν, ἐβάδιζε. καὶ τρία τῶν κατεσπεισμένων προβάτων, ἐπηκολούθησεν αὐτῷ. πυθόμενος δὲ ὁ βασιλεὺς, ἀνεκοινοῦτο τοῖς μάντεσιν, ἀριστάνδρῳ καὶ κλεομάντει τῷ λάκωνι. φησάντων δὲ πονηρὸν εἶναι τὸ σημεῖον, ἐκέλευσεν ἐκθύσασθαι κατὰ τάχος ὑπὲρ τοῦ κλείτου. καὶ γὰρ αὐτὸς ἡμέρᾳ τρίτῃ κατὰ τοὺς ὕπνους, ἰδεῖν ὄψιν ἄτοπον. δόξαι γὰρ αὐτῷ τὸν κλεῖτον μετὰ τῶν παρμενίωνος υἱῶν, ἐν μέλασιν ἱματίοις καθέζεσθαι, τεθνηκότων ἁπάντων. οὐ μὴν ἔφθασεν ὁ κλεῖτος ἐκθυσάμενος, ἀλλ' εὐθὺς ἐπὶ τὸ δεῖπνον ἧκεν τεθυκότος τοῦ βασιλέως διοσκόροις. Πότου δὲ νεανικοῦ συῤῥαγέντος, ᾔδετο ποιήματα πρανίχου τινός. ὡς δέ φασιν ἔνιοι πιερίωνος εἰς τοὺς στρατηγοὺς πεποιημένα, τοὺς ἔναγχος ἡττημένους ὑπὸ τῶν βαρβάρων ἐπ' αἰσχύνῃ καὶ γέλωτι. τῶν δὲ πρεσβυτέρων δυσχεραινόντων καὶ λοιδορούντων, τόν τε ποιητὴν, καὶ τὸν ᾄδοντα, τοῦ δὲ ἀλεξάνδρου καὶ τῶν περὶ αὐτὸν ἡδέως ἀκροωμένων, καὶ λέγειν κελευόντων, ὁ κλεῖτος ἤδη μεθύων, καὶ φύσει τραχὺς ὢν καὶ αὐθάδης, ἠγανάκτει, μάλιστα φάσκων οὐ καλῶς ἐν βαρβάροις καὶ πολεμίοις ὑβρίζεσθαι μακεδόνας, πολὺ βελτίονας τῶν γελώντων, εἰ καὶ δυστυχίᾳ κέχρηνται. φήσαντος δὲ τοῦ ἀλεξάνδρου τὸν κλεῖτον αὑτῷ συνηγορεῖν, δυστυχίαν ἀποφαίνοντα τὴν δειλίαν, ἐπαναστὰς ὁ κλεῖτος, αὕτη μέντοι σε εἶπεν ἡ δειλία τὸν ἐκ θεῶν, ἤδη τῷ σπιθριδάτου ξίφει τὸν νῶτον ἐκτρέποντα, περιεποίησεν. καὶ τῷ μακεδόνων αἵματι, καὶ τοῖς τραύμασι τούτοις ἐγένου τηλικοῦτος, ὥστε ἄμμωνι σαυτὸν εἰσποιεῖν, ἀπειπάμενος φίλιππον. Παροξυνθεὶς οὖν ὁ ἀλέξανδρος, ἦ ταῦτα εἶπεν, ὦ κακὴ κεφαλὴ, σὺ περὶ ἡμῶν ἑκάστοτε λέγων, καὶ διαστασιάζων μακεδόνας, χαιρήσειν νομίζεις; ἀλλ' οὐδὲ νῦν ἔφη χαίρομεν ἀλέξανδρε, τοιαῦτα τέλη τῶν πόνων κομιζόμενοι. μακαρίζομεν δὲ τοὺς ἤδη τεθνηκότας, πρὶν ἐπιδεῖν μηδικαῖς ῥάβδοις ξαινομένους μακεδόνας, καὶ περσῶν δεομένους, ἵνα τῷ βασιλεῖ προσέλθωμεν. Τοιαῦτα τοῦ κλείτου παῤῥησιαζομένου, καὶ τῶν περὶ ἀλέξανδρον ἀντανισταμένων καὶ λοιδορούντων αὐτὸν, οἱ πρεσβύτεροι, κατέχειν ἐπειρῶντο τὸν θόρυβον. ὁ δὲ ἀλέξανδρος ἀποστραφεὶς πρὸς ξενόδοχον τὸν καρδιανὸν, καὶ τὸν κολοφώνιον ἀρτέμιον, οὐ δοκοῦσιν εἶπεν ὑμῖν οἱ ἕλληνες ἐν τοῖς μακεδόσιν ὥσπερ ἐν θηρίοις, ἡμίθεοι περιπατεῖν; τοῦ δὲ κλείτου μὴ εἴκοντος, ἀλλὰ εἰς μέσον ἃ βούλεται λέγειν τὸν ἀλέξανδρον κελεύοντος, ἢ μὴ καλεῖν ἐπὶ δεῖπνον ἄνδρας ἐλευθέρους, καὶ παῤῥησίαν ἔχοντας, ἀλλὰ μετὰ βαρβάρων ζῆν, καὶ ἀνδραπόδων, οἳ τὴν περσικὴν ζώνην καὶ τὸν διάλευκον αὐτοῦ χιτῶνα προσκυνήσουσιν, οὐκ ἔτι φέρων τὴν ὀργὴν ἀλέξανδρος, μήλων παρακειμένων ἑνὶ βαλὼν ἔπαισεν αὐτὸν, καὶ τὸ ἐγχειρίδιον ἐζήτει. τῶν δὲ σωματοφυλάκων ἑνὸς ἀριστοφάνους φθάσαντος ὑφελέσθαι, καὶ τῶν ἄλλων περιεχόντων καὶ δεομένων, ἀναπηδήσας ἀνεβόα μακεδονιστὶ καλῶν τοὺς ὑπασπιστὰς, τοῦτο δὲ ἦν σύμβολον, θορύβου μεγάλου, καὶ τὸν σαλπιγκτὴν ἐκέλευε σημαίνειν. καὶ πὺξ ἔπαισεν, ὡς διατρίβοντα καὶ μὴ βουλόμενον. οὗτος μὲν οὖν ὕστερον εὐδοκίμησεν, ὡς τοῦ μὴ συνταραχθῆναι τὸ στρατόπεδον αἰτιώτατος γενόμενος. τὸν δὲ κλεῖτον οὐχ ὑφιέμενον, οἱ φίλοι, μόλις ἐξέωσαν τοῦ ἀνδρῶνος. ὁ δὲ κατ' ἄλλας θύρας, αὖθις εἰσῄει, μάλα ὀλιγώρως καὶ θρασέως εὐριπίδου τὰ ἐξ ἀνδρομάχης ἰαμβεῖα ταῦτα » περαίνων. οἴμοι καθ' ἑλλάδα κακῶς νομίζεται. οὕτω δὴ λαβὼν παρά τινος τῶν δορυφόρων ἀλέξανδρος αἰχμὴν, ἀπαντῶντα τὸν κλεῖτον αὐτῷ, καὶ παράγοντα τὸ πρὸ τῆς θύρας παρακάλυμμα, διελαύνει. πεσόντος δὲ μετὰ στεναγμοῦ καὶ βρυχήματος, εὐθὺς ἀφῆκεν ὁ θυμὸς αὐτόν. καὶ γενόμενος παρ' ἑαυτῷ, καὶ τοὺς φίλους ἰδὼν ἀφώνους ἑστῶτας, ἑλκύσασθαι μὲν ἐκ τοῦ νεκροῦ τὴν αἰχμὴν ἔφθασεν. παῖσαι δ' ἑαυτὸν ὁρμήσας παρὰ τὸν τράχηλον, ἐπεσχέθη, τῶν σωματοφυλάκων τὰς χεῖρας αὐτοῦ λαβόντων, καὶ τὸ σῶμα βίᾳ παρενεγκόντων εἰς τὸν θάλαμον. ἐπεὶ δὲ τήν τε νύκτα κακῶς κλαίων διήνεγκε, καὶ τὴν ἐπιοῦσαν ἡμέραν, ἤδη τῇ βοῇ καὶ θρηνεῖν ἀπειρηκὼς, ἄναυδος ἔκειτο, βαρεῖς ἀναφέρων στεναγμοὺς, δείσαντες οἱ φίλοι τὴν ἀποσιώπησιν, εἰσῆλθον βίᾳ. καὶ τῶν μὲν ἄλλων, οὐ προσίετο τοὺς λόγους. ἀριστάνδρου δὲ τοῦ μάντεως ὑπομιμνήσκοντος αὐτὸν, τήν τε ὄψιν ἣν εἶδεν περὶ τοῦ κλείτου, καὶ τὸ σημεῖον, ὡς δὴ πάλαι καθειμαρμένων τούτων, ἔδοξεν ἐνδιδόναι. διὸ καλλισθένη τε τὸν φιλόσοφον, παρεισήγαγον, ἀριστοτέλους οἰκεῖον ὄντα. καὶ τὸν ἀβδηρίτην ἀνάξαρχον. ὧν καλλισθένης μὲν ἠθικῶς ἐπειρᾶτο καὶ πράως, ὑποδυόμενος τῷ λόγῳ, καὶ περιιὼν ἀλύπως λαβέσθαι τοῦ πένθους. πάθους ὁ δὲ ἀνάξαρχος, ἰδίαν τινὰ πορευόμενος ἐξ ἀρχῆς ὁδὸν ἐν φιλοσοφίᾳ, καὶ δόξαν εἰληφὼς ὑπεροψίας καὶ ὀλιγωρίας τῶν συνήθων, εὐθὺς εἰσελθὼν ἀνεβόησεν. οὗτός ἐστιν ἀλέξανδρος. εἰς ὃν ἡ οἰκουμένη νῦν ἀποβλέπει. ὁ δὲ ἔῤῥιπται κλαίων ὥσπερ ἀνδράποδον, ἀνθρώπων νόμον καὶ ψόγον δεδοικὼς, οἷς

οὐδὲ τῆς μόνης ἡττήθη γυναικὸς, ἄνευ νόμου θιγεῖν ὑπέμεινεν.   Ἐπεὶ δὲ καὶ τῶν φίλων ἑώρα τοὺς μεγίστων, ἡφαιστίωνα μὲν ἐπαινοῦντα, καὶ συμμετακοσμούμενον αὐτῷ. κρατερὸν δὲ τοῖς πατρίοις ἐμμένοντα, δι' ἐκείνου μὲν ἐχρημάτιζε τοῖς βαρβάροις. διὰ τούτου δὲ τοῖς ἕλλησι καὶ τοῖς μακεδόσι. καὶ ὅλως, τὸν μὲν ἐφίλει μάλιστα, τὸν δὲ ἐτίμα. νομίζων καὶ λέγων ἀεὶ, τὸν μὲν ἡφαιστίωνα, φιλαλέξανδρον εἶναι. τὸν δὲ κρατερὸν, φιλοβασιλέα. διὸ καὶ πρὸς ἀλλήλους ὑπούλως ἔχοντες, συνέκρουον πολλάκις. ἅπαξ δὲ περὶ τὴν ἰνδικὴν, καὶ εἰς χεῖρας ἦλθον, σπασάμενοι τὰ ξίφη. καὶ τῶν φίλων ἑκατέρῳ παραβοηθούντων, προσελάσας ἀλέξανδρος, ἐλοιδόρει τὸν ἡφαιστίωνα, φανερῶς ἔμπληκτον καλῶν καὶ μαινόμενον, εἰ μὴ συνίησιν ὡς ἐάν τις αὐτοῦ, τὸν ἀλέξανδρον ἀφέληται, μηδέν ἐστιν. ἰδίᾳ δὲ καὶ τοῦ κρατεροῦ, πικρῶς καθήψατο. καὶ συναγαγὼν αὐτοὺς καὶ διαλλάξας, ἐπώμοσε τὸν ἄμμωνα καὶ τοὺς ἄλλους θεοὺς, ἦ μὴν μάλιστα, φιλεῖν ἀνθρώπων ἁπάντων ἐκείνους. ἂν δὲ πάλιν αἴσθηται διαφερομένους, ἀποκτενεῖν ἀμφοτέρους, ἢ τὸν ἀρξάμενον. ὅθεν ὕστερον, οὐδὲ παίζοντες εἰπεῖν τι. οὐδὲ πρᾶξαι πρὸς ἀλλήλους λέγονται.   Φιλώτας δὲ ὁ παρμενίωνος, ἀξίωμα μὲν εἶχεν ἐν τοῖς μακεδόσι μέγα. καὶ γὰρ ἀνδρεῖος ἐδόκει, καὶ καρτερικὸς εἶναι. φιλόδωρος δὲ οὕτω καὶ φιλέταιρος μετ' αὐτὸν ἀλέξανδρον οὐδείς. λέγεται δ' οὖν ὅτι τῶν συνήθων τινὸς αἰτοῦντος ἀργύριον, ἐκέλευσε δοῦναι. φήσαντος δὲ τοῦ διοικητοῦ μὴ ἔχειν, τί λέγεις εἶπεν. οὐδὲ ποτήριον ἔχεις οὐδ' ἱμάτιον; ὄγκῳ δὲ φρονήματος καὶ βάρει πλούτου. καὶ τῇ περὶ τὸ σῶμα θεραπείᾳ καὶ διαίτῃ χρώμενος ἐπαχθέστερον, ἢ κατ' ἰδιώτην, καὶ τότε δὴ τὸ σεμνὸν καὶ ὑψηλὸν οὐκ ἐμμελῶς, ἀλλ' αὖ ἀχείτων τῷ σολοίκῳ καὶ παρασήμῳ μιμούμενος, ὑποψίαν καὶ φθόνον εἶχεν ὥστε καὶ παρμενίωνά ποτε εἰπεῖν πρὸς αὐτόν. ὦ παῖ. χείρων μοι γίνου. πρὸς δὲ αὐτὸν ἀλέξανδρον, ἐκ πάνυ πολλῶν χρόνων, ἐτύγχανε διαβεβλημένος. ὅτε γὰρ τὰ περὶ δαμασκὸν ἑάλω χρήματα δαρείου νικηθέντος ἐν κιλικίᾳ, πολλῶν σωμάτων κομισθέντων εἰς τὸ στρατόπεδον, εὑρέθη γύναιον ἐν τοῖς αἰχμαλώτοις. τῷ μὲν γένει, πυδναῖον. εὐπρεπὲς δὲ τὴν ὄψιν. ἐκαλεῖτο δὲ ἀντιγόνη. τοῦτο ἔσχεν ὁ φιλώτας. οἷα δὲ νέος πρὸς ἐρωμένην, καὶ σὺν οἴνῳ πολλὰ φιλότιμα καὶ στρατιωτικὰ παρρησιαζόμενος, ἑαυτοῦ τὰ μέγιστα τῶν ἔργων ἀπέφαινε, καὶ τοῦ πατρός. ἀλέξανδρον δὲ μειράκιον ἀπεκάλει, δι' αὐτοὺς τὸ τῆς ἀρχῆς ὄνομα καρπούμενον. ταῦτα τῆς γυναικὸς ἐκφερούσης, πρός τινα τῶν συνήθων, ἐκείνου δὲ ὡς εἰκὸς, πρὸς ἕτερον, περιῆλθεν εἰς κρατερὸν ὁ λόγος. καὶ λαβὼν τὸ γύναιον, εἰσήγαγε κρύφα πρὸς ἀλέξανδρον. ἀκούσας δὲ ἐκεῖνος, ἐκέλευσε φοιτᾶν εἰς ταὐτὸ τῷ φιλώτᾳ, καὶ πᾶν ὅτι ἂν ἐκπύθηται τούτου πρὸς αὐτὸν ἀπαγγέλλειν βαδίζουσαν. ὁ μὲν οὖν φιλώτας ἐπιβουλευόμενος οὕτως, ἠγνόει καὶ συνῆν τῇ ἀντιγόνῃ, πολλὰ καὶ πρὸς ὀργὴν καὶ μεγαλαυχίαν κατὰ τοῦ βασιλέως ῥήματα καὶ λόγους ἀνεπιτηδείους προϊέμενος. ὁ δὲ ἀλέξανδρος, καίπερ καρτερᾶς ἐνδείξεως κατὰ τοῦ φιλώτου προσπεσούσης, ἐκαρτέρησε σιωπῇ καὶ κατέσχεν. εἴτε θαρρῶν τῇ παρμενίωνος εὐνοίᾳ πρὸς αὐτὸν, εἴτε δ' ἀλεὼς τὴν δόξαν αὐτῶν καὶ τὴν δύναμιν.   Ἐν δὲ τῷ τότε χρόνῳ, μακεδὼν ὄνομα λίμνος, ἐκ χαλαίστρας, χαλεπῶς ἐπιβουλεύων ἀλεξάνδρῳ, νικόμαχόν τινα τῶν νέων, πρὸς ὃν αὐτὸς ἐρωτικῶς εἶχεν, ἐπὶ τὴν κοινωνίαν τῆς πράξεως παρεκάλει. τοῦ δὲ, μὴ δεξαμένου. φράζοντος δὲ τῷ ἀδελφῷ βαλείνῳ τὴν πεῖραν, ἐλθὼν ἐκεῖνος πρὸς φιλωτίαν, ἐκέλευσεν εἰσάγειν αὐτοὺς πρὸς ἀλέξανδρον ὡς περὶ ἀναγκαίων ἔχοντας ἐντυχεῖν καὶ μεγάλων, ὁ δ' ὅτι δὴ παθὼν, ἄδηλον γάρ ἐστιν, οὐ παρῆγεν αὐτοὺς ὡς πρὸς ἄλλοις μείζοσι γιγνομένου τοῦ βασιλέως. καὶ τοῦτο δὶς ἐποίησεν. οἱ δὲ καθ' ὑποψίαν ἤδη τοῦ φιλώτου, τραπόμενοι πρὸς ἕτερον, καὶ δι' ἐκείνου τῷ ἀλεξάνδρῳ προσαχθέντες, πρῶτον μὲν, τὰ τῆ λίμνου κατεῖπον. ἔπειτα, παρεδήλωσαν, ἡσυχῇ τὸν φιλώταν ὡς ἀμελήσειεν αὐτῶν, δὶς ἐντυχόντων. καὶ τοῦτο δὴ, σφόδρα παρώξυνε τὸν ἀλέξανδρον. καὶ τοῦ πεμφθέντος ἐπὶ τὸν λίμνον, ὡς ἠμύνετο συλλαμβανόμενος, ἀποκτείναντος αὐτὸν, ἔτι μᾶλλον διεταράχθη, τὸν ἔλεγχον ἐκπεφευγέναι τῆς ἐπιβουλῆς νομίζων. καὶ πικρῶς ἔχων πρὸς τὸν φιλώταν, ἐπεσπάσατο τοὺς πάλαι μισοῦντας αὐτὸν, ἤδη φανερῶς λέγοντας, ὡς ῥᾳθυμία τοῦ βασιλέως εἴη, λίμνον οἰόμενον χαλαιστραῖον ἄνθρωπον, ἐπιχειρῆσαι τολμήματι τοσούτῳ καθ' αὐτόν. ἀλλὰ τοῦτον μὲν, ὑπηρέτην εἶναι, μᾶλλον δὲ ὄργανον ἀπὸ μείζονος ἀρχῆς ἀφικόμενον. ἐν ἐκείνοις δὲ τὴν ἐπιβουλὴν ζητητέον, οἷς μάλιστα ταῦτα λανθάνειν συνέφερε. τοιούτοις λόγοις καὶ ὑπονοίαις ἀναπετάσαντες τὰ ὦτα τοῦ βασιλέως, ἐπῆγον ἤδη μυρίας κατὰ τοῦ φιλώτου διαβολάς. ἐκ τούτου δὲ, συλληφθεὶς, ἀνεκρίνετο, τῶν ἑταίρων ἐφεστώτων ταῖς βασάνοις. ἀλεξάνδρου δὲ κατακούοντος, ἔξωθεν αὐλαίας παρατεταμένης. ὅτε δὴ καί φασιν αὐτὸν εἰπεῖν, οἰκτρὰς καὶ ταπεινὰς τοῦ φιλώτου φωνὰς καὶ δεήσεις, τοῖς περὶ τὸν ἡφαιστίωνα προσφέροντος, οὕτω δὴ μαλακὸς ὢν ὦ φιλώτα, καὶ ἄνανδρος, ἐπεχείρεις πράγμασι τηλικούτοις; ἀποθανόντος δὲ τοῦ φιλώτα, καὶ παρμενίωνα πέμψας, εὐθὺς εἰς μηδίαν, ἀνεῖλεν. ἄνδρα, πολλὰ μὲν φιλίππῳ συγκατεργασάμενον, μόνον δὲ ἢ μάλιστα τῶν πρεσβυτέρων φίλων, ἀλέξανδρον εἰς ἀσίαν ἐξορμήσαντα διαβῆναι. τριῶν δὲ υἱῶν, οὓς ἔχων ἐπὶ τῆς στρατιᾶς, δύο μὲν, ἐπιδόντα πρότερον ἀποθανόντας. τῷ δὲ τρίτῳ συναναιρεθέντα.   Ταῦτα πραχθέντα, πολλοῖς τῶν φίλων, φοβερὸν ἐποίησε τὸν ἀλέξανδρον. μάλιστα δὲ, ἀντιπάτρῳ καὶ πρὸς αἰτωλοὺς ἔπεμψε κρύφα πίστεις διδοὺς

δεδιὼς

φιλώταν

φιλώτας

[illegible] sic

Curtius appellat:

[illegible]

φησὶ δὲ

ἀφιέμενον. κ.γ.

τ.γ

δρῳ δὲ οἱ θεοί, τῆς εἰς μητέρα καὶ γυναῖκα καὶ παῖδας τοὺς ἐμοὺς ἐπιεικείας, σὺ ταύτην δίδωμι τὴν δεξιὰν διὰ σοῦ. ταῦτα εἰπὼν καὶ λαβόμενος τῆς τοῦ πολυστράτου χειρὸς, ἐξέλιπεν. ἀλέξανδρος δὲ ὡς ἐπῆλθεν, ἀλγῶν τε τῷ πάθει φανερὸς ἦν, καὶ τὴν ἑαυτοῦ χλαμύδα λύσας, ἐπέβαλε τῷ σώματι καὶ περιέστειλε. καὶ βῆσσον μὲν ὕστερον εὑρὼν, διεσφενδόνησεν, ὀρθίων δένδρων εἰς ταὐτὸ καμφθέντων, ἑκατέρῳ μέρος προσαρτήσας τοῦ σώματος. εἶτα μεθεὶς ἑκάτερον, ὡς ὥρμητο ῥύμῃ φερόμενον, τὸ προσῆκον αὐτῷ μέρος νέμεσθαι. τότε δὲ τοῦ δαρείου, τὸ μὲν σῶμα κεκοσμημένον βασιλικῶς, πρὸς τὴν μητέρα ἀπέστειλε. τὸν δὲ ἀδελφὸν ἐξάθρην, εἰς τοὺς ἑταίρους ἀνέλαβεν. αὐτὸς δὲ μετὰ τῆς ἀκμαιοτάτης δυνάμεως, εἰς ὑρκανίαν κατέβαινε. καὶ πέλαγος ἰδὼν κόλπον, οὐκ ἐλάττονα μὲν τοῦ πόντου φανέντα, γλυκύτερον δὲ τῆς ἄλλης θαλάττης, σαφὲς μὲν οὐδὲν ἔσχε πυθέσθαι περὶ αὐτοῦ, μάλιστα δὲ εἴκασε τῆς μαιώτιδος λίμνης ἀνακοπὴν εἶναι. καίτοι τούς γε φυσικοὺς ἄνδρας, οὐκ ἔλαθε τἀληθές. ἀλλὰ πολλοῖς ἔτεσιν ἔμπροσθεν τῆς ἀλεξάνδρου στρατείας ἱστορήκασιν, ὅτι τεσσάρων κόλπων εἰσεχόντων ἀπὸ τῆς ἔξω θαλάσσης, βορειότατος οὗτός ἐστιν, τὸ ὑρκάνιον πέλαγος, καὶ κάσπιον ὁμοῦ προσαγορευόμενον. ἐνταῦθα τῶν βαρβάρων τινὲς ἀπροσδοκήτως περιτυχόντες τοῖς ἄγουσι τὸν ἵππον αὐτοῦ τὸν βουκεφάλαν, λαμβάνουσιν. ὁ δὲ, ἤνεγκεν οὐ μετρίως. ἀλλὰ κήρυκα πέμψας, ἠπείλησεν πάντας ἀποκτενεῖν, μετὰ τέκνων καὶ γυναικῶν, εἰ τὸν ἵππον αὐτῷ μὴ ἀναπέμψειαν. ἐπεὶ δὲ καὶ τὸν ἵππον αὐτῷ ἄγοντες ἧκον, καὶ τὰς πόλεις ἐγχειρίζοντες, ἐχρήσατο φιλανθρώπως πᾶσι. καὶ τοῦ ἵππου λύτρα τοῖς λαβοῦσιν ἔδωκεν. ἐντεῦθεν εἰς τὴν παρθικὴν ἀναζεύξας καὶ σχολάζων, πρῶτον ἐνεδύσατο τὴν βαρβαρικὴν στολήν. εἴτε βουλόμενος αὑτὸν συνοικειοῦν τοῖς ἐπιχωρίοις νόμοις, ὡς μέγα πρὸς ἐξημέρωσιν ἀνθρώπων τὸ σύνηθες καὶ ὁμόφυλον, εἴτ᾽ ἀπόπειρά τις ὑφεῖτο τῆς προσκυνήσεως αὕτη τοῖς μακεδόσι, κατὰ μικρὸν ἀνασχέσθαι τὴν ἐκδιαίτησιν αὐτοῦ, καὶ μεταβολὴν ἐθιζομένοις. οὐ μὴν, τήν γε μηδικὴν προσήκατο παντάπασι, βαρβαρικὴν καὶ ἀλλόκοτον οὖσαν, οὐδὲ ἀναξυρίδας οὐδὲ κάνδυν, οὐδὲ τιάραν ἔλαβεν. ἀλλὰ ἐν μέσῳ τινὰ τῆς περσικῆς καὶ τῆς μηδικῆς μιξάμενος ὅπως, ἀτυφοτέραν μὲν ἐκείνης, ταύτης δὲ σοβαρωτέραν οὖσαν. ἐχρῆτο δὲ, τὸ μὲν πρῶτον, ἐντυγχάνων τοῖς βαρβάροις, καὶ τοῖς ἑταίροις κατ᾽ οἶκον. εἶτα τοῖς πολλοῖς, οὕτως ἐξελαύνων καὶ χρηματίζων ἑωρᾶτο. καὶ λυπηρὸν μὲν ἦν τοῖς μακεδόσιν τὸ θέαμα. τὴν δὲ ἄλλην αὐτοῦ θαυμάζοντες ἀρετὴν, ᾤοντο δεῖν ἔνια τῶν πρὸς ἡδονὴν αὐτῷ καὶ δόξαν ἐπιχωρεῖν. ὅς γε πρὸς ἅπασι τοῖς ἄλλοις, ἔναγχος, τόξευμα μὲν εἰς τὴν κνήμην λαβὼν, ὑφ᾽ οὗ τῆς κερκίδος ὀστέον ἀποθραυσθὲν ἐξέπεσεν, λίθῳ δὲ πληγεὶς πάλιν εἰς τὸν τράχηλον ὥστε καὶ ταῖς ὄψεσιν ἀχλὺν ἐπιδραμεῖν παραμείνασαν οὐκ ὀλίγον χρόνον, ὅμως, οὐκ ἐπαύετο χρώμενος ἑαυτῷ πρὸς τοὺς κινδύνους ἀφειδῶς. ἀλλὰ καὶ τὸν ὀρεξάρτην διαβὰς ποταμὸν ὃν αὐτὸς ᾤετο τάναϊν εἶναι, καὶ τοὺς σκύθας τρεψάμενος, ἐδίωξεν ἐπὶ σταδίους ἑκατὸν, ἐνοχλούμενος ὑπὸ διαρροίας. ἐνταῦθα δὲ πρὸς αὐτὸν ἀφικέσθαι τὴν ἀμαζόνα οἱ πολλοὶ λέγουσιν, ὧν καὶ κλείταρχός ἐστιν καὶ πολύκλειτος, καὶ ὀνησίκριτος, καὶ ἀντιγένης, καὶ ἴστρος. ἀριστόβουλος δὲ, καὶ χάρης ὁ εἰσαγγελεὺς, καὶ πτολεμαῖος, καὶ ἀντικλείδης, καὶ φίλων ὁ θηβαῖος, καὶ φίλιππος ὁ εἰσαγγελεύς. πρὸς δὲ τούτοις, ἑκαταῖος ὁ ἐρετριεὺς, καὶ φίλιππος ὁ χαλκιδεὺς, καὶ δοῦρις ὁ σάμιος, πλάσμα φασὶ γεγονέναι τοῦτο. καὶ μαρτυρεῖν αὐτοῖς ἔοικεν ἀλέξανδρος. ἀντιπάτρῳ γὰρ ἅπαντα γράφων ἀκριβῶς, τὸν μὲν σκύθην φησὶν αὐτῷ διδόναι τὴν θυγατέρα πρὸς γάμον. ἀμαζόνος δὲ οὐ μνημονεύει. λέγεται δὲ πολλοῖς χρόνοις ὀνησίκριτος ὕστερον ἤδη βασιλεύοντι λυσιμάχῳ, τῶν βιβλίων τὸ τέταρτον ἀναγινώσκειν, ἐν ᾧ γέγραπται περὶ τῆς ἀμαζόνος. τὸν οὖν λυσίμαχον ἀτρέμα μειδιάσαντα, καὶ ποῦ φάναι τότε ἤμην ἐγώ. ταῦτα μὲν οὖν αὖθις, οὔτε ἀπιστῶν ἧττον, οὔτε πιστεύων μᾶλλον ἀλέξανδρον θαυμάσειεν. φοβούμενος δὲ τοὺς μακεδόνας, μὴ εἰς τὰ ὑπόλοιπα τῆς στρατείας ἀπαγορεύσωσι, τὸ μὲν ἄλλο πλῆθος, εἴασε κατὰ χώραν. τοὺς δὲ ἀρίστους ἔχων ἐν ὑρκανίᾳ μεθ᾽ ἑαυτοῦ δισμυρίους πεζοὺς, καὶ τρισχιλίους ἱππεῖς προσέβαλε, λέγων ὡς νῦν μὲν αὐτοὺς ἐνύπνιον τῶν βαρβάρων ὁρώντων. ἂν δὲ μόνον ταράξαντες τὴν ἀσίαν ἀπίωσιν, ἐπιθησομένων εὐθὺς ὡς περὶ γυναιξίν. οὐ μὴν ἀλλ᾽ ἀπιέναι γε τοὺς βουλομένους ἔφη. καὶ μαρτυράμενος ὅτι τὴν οἰκουμένην τοῖς μακεδόσι κτώμενος, ἐγκαταλέλειπται μετὰ τῶν φίλων, καὶ τῶν ἐθελόντων στρατεύειν. ταῦτα σχεδὸν αὐτοῖς ὀνόμασιν ἐν τῇ πρὸς ἀντίπατρον ἐπιστολῇ, γέγραπται. καὶ ὅτι ταῦτα εἰπόντος αὐτοῦ, πάντες ἐξέκραγον, ὅπου βούλεται τῆς οἰκουμένης ἄγειν. δεξαμένων δὲ τούτων τὴν πεῖραν, οὐκέτι ἦν χαλεπὸν προσαγαγέσθαι τὸ πλῆθος, ἀλλὰ ῥᾳδίως ἐπηκολούθησεν. οὕτω δὴ καὶ τὴν δίαιταν ἔτι μᾶλλον ὡμοίου τοῖς ἐπιχωρίοις ἑαυτὸν, κἀκεῖνά τε προσῆγε τοῖς μακεδονικοῖς ἔθεσιν. ἀνακράσει καὶ κοινωνίᾳ, μᾶλλον δι᾽ εὐνοίας καταστήσεσθαι τὰ πράγματα νομίζων, ἢ βίᾳ, μακρὰν ἀπαίροντος αὐτοῦ. διὸ καὶ τρισμυρίους παῖδας ἐπιλεξάμενος, ἐκέλευσε γράμματά τε μανθάνειν ἑλληνικὰ, καὶ μακεδονικοῖς ὅπλοις ἐντρέφεσθαι. πολλοὺς ἐπιστάτας καταστήσας. καὶ τὰ περὶ ῥωξάνην, ἔρωτι μὲν ἐπράχθη, καλὴν καὶ ὡραίαν ἔν τινι χορῷ παρὰ πότον ὀφθεῖσαν. ἔδοξε δὲ, οὐκ ἀνάρμοστα τοῖς ὑποκειμένοις εἶναι πράγμασιν. ἐθάρρησαν γὰρ οἱ βάρβαροι τῇ κοινωνίᾳ τοῦ γάμου, καὶ τὸν ἀλέξανδρον ὑπερηγάπησαν. ὅτι σωφρονέστατος περὶ ταῦτα γενόμενος,

πῶς ἂν τις ἔφη δι' ἑαυτοῦ θεραπεύσειεν ἵππον, ἢ λόγχην ἀσκήσειεν, ἢ κράνος, ἀπειθικὼς τοῦ φιλτάτου σώματος ἅπτεσθαι τὰς χεῖρας. οὐκ ἴστε εἶπεν, ὅτι τὸ κρατεῖν πέρας ἡμῖν ἐστὶ τὸ μὴ ταὐτὰ ποιεῖν τοῖς κεκρατημένοις; ἐπέτεινεν οὖν ἔτι μᾶλλον αὐτὸς ἑαυτὸν ἐν ταῖς στρατείαις καὶ ταῖς κυνηγεσίαις, κακοπαθῶν καὶ παραβαλλόμενος. ὥστε καὶ λάκωνα πρεσβευτὴν παραγενόμενον αὐτῷ, λέοντα καταβάλλοντι μέγαν εἰπεῖν. καλῶς γε ἀλέξανδρε πρὸς τὸν λέοντα ἠγώνισαι, περὶ τῆς βασιλείας. Τοῦτο τὸ κυνήγιον κρατερὸς εἰς δελφοὺς ἀνέθηκεν, εἰκόνας χαλκᾶς ποιησάμενος. τοῦ λέοντος καὶ τῶν κυνῶν, καὶ τοῦ βασιλέως τῷ λέοντι συνεστῶτος, καὶ αὐτοῦ προσβοηθοῦντος. ὧν τὰ μὲν λύσιππος ἔπλασεν. τὰ δὲ, λεωχάρης. Ἀλέξανδρος μὲν οὖν ἑαυτὸν ἀσκῶν ἅμα καὶ τοὺς ἄλλους παροξύνων πρὸς ἀρετὴν, ἐκινδύνευεν. οἱ δὲ φίλοι διὰ πλοῦτον καὶ ὄγκον ἤδη τρυφᾶν βουλόμενοι καὶ σχολάζειν, ἐβαρύνοντο τὰς πλάνας καὶ τὰς στρατείας, καὶ κατὰ μικρὸν οὕτω προῆλθον εἰς τὸ βλασφημεῖν καὶ κακῶς λέγειν αὐτόν. ὁ δὲ, καὶ πάνυ πράως ἐν ἀρχῇ πρὸς ταῦτα διέκειτο. φάσκων βασιλικὸν εἶναι, τὸ κακῶς ἀκούειν, εὖ ποιοῦντα. καίτοι τὰ μὲν μικρότατα τῶν γινομένων τοῖς συνήθεσι παρ' αὐτοῦ σημεῖα, μεγάλης ὑπῆρχεν εὐνοίας καὶ τιμῆς. ὧν ὀλίγα παραθήσομαι. Πευκέστᾳ μὲν ἔγραψεν, μεμφόμενος ὅτι δηχθεὶς ὑπ' ἄρκτου, τοῖς μὲν ἄλλοις ἔγραψεν, αὐτῷ δὲ οὐκ ἐδήλωσεν. ἀλλὰ νῦν γε φησὶν, γράψον, τὸ πῶς ἔχεις. καὶ μή τινές σε τῶν συγκυνηγετούντων ἐγκατέλιπον, ἵνα δίκην δῶσιν. τοῖς δὲ περὶ ἡφαιστίωνα, διὰ πράξεις τινὰς ἀποῦσιν, ἔγραψεν, ὅτι παίζοντι αὐτῷ πρὸς ἰχνεύμονα, τῷ περδίκκου δορατίῳ περιπεσὼν κρατερὸς, τοὺς μηροὺς ἐτρώθη. Πευκέστᾳ δὲ σωθέντος ἔκ τινος ἀσθενείας, ἔγραψεν πρὸς ἀλέξιππον τὸν ἰατρὸν, εὐχαριστῶν. Κρατεροῦ δὲ νοσοῦντος, ὄψιν ἰδὼν καθ' ὕπνον, αὐτός τε τινὰς θυσίας ἔθυεν ὑπὲρ αὐτοῦ, κἀκεῖνον θῦσαι ἐκέλευσεν. ἔγραψεν δὲ καὶ παυσανίᾳ τῷ ἰατρῷ βουλομένῳ τὸν κρατερὸν ἐλλεβορίσαι, τὰ μὲν ἀγωνιῶν, τὰ δὲ παραινῶν ὅπως χρήσηται τῇ φαρμακείᾳ. Τοὺς δὲ πρώτους τὴν ἁρπάλου φυγὴν, καὶ ἀπόδρασιν ἀπαγγείλαντας, ἔδησεν, ἐφιάλτην καὶ κίσσον. ὡς καταψευδομένους τοῦ ἀνδρός. ἐπεὶ δὲ τοὺς ἀσθενοῦντας αὐτοῦ, καὶ γέροντας εἰς οἶκον ἀποστέλλοντος, εὐρύλοχος αἰγαῖος ἀνέγραψεν ἑαυτὸν εἰς τοὺς νοσοῦντας, εἶτα φωραθεὶς ἔχων οὐδὲν κακὸν, ὡμολόγησεν τελεσίππας ἐρᾶν καὶ συνεπακολουθεῖν ἐπὶ θάλασσαν ἀπιούσης ἐκείνης, ἠρώτησεν τίνων ἀνθρώπων ἐστὶ τὸ γύναιον. ἀκούσας δὲ ὅτι τῶν ἐλευθέρων ἑταιρῶν, ἡμᾶς μὲν εἶπεν ὦ εὐρύλοχε συνερῶντας ἔχεις, ὅρα δ' ὅπως πείθωμεν ἢ δώροις, ἢ λόγοις τὴν τελεσίππαν, ἐπειδήπερ ἐξ ἐλευθέρας ἐστίν. Θαυμάσαι δὲ αὐτόν ἐστιν, ὅτι καὶ μέχρι τοιούτων ἐπιστολῶν τοῖς φίλοις ἐσχόλαζεν. οἷα γράφει. παῖδα σελεύκου εἰς κιλικίαν ἀποδεδρακότα, κελεύων ἀναζητῆσαι. καὶ πευκέσταν ἐπαινῶν, ὅτι νίκωνα κρατεροῦ δοῦλον συνέλαβεν. καὶ μεγαβύζῳ περὶ τοῦ θεράποντος τοῦ ἐν τῷ ἱερῷ καθεζομένου, κελεύων αὐτὸν ἂν δύνηται συλλαβεῖν ἔξω τοῦ ἱεροῦ προκαλεσάμενος, ἐν δὲ τῷ ἱερῷ μὴ προσάπτεσθαι. Λέγεται δὲ καὶ τὰς δίκας δικάζων ἐν ἀρχῇ τὰς θανατικὰς, τὴν χεῖρα τῶν ὤτων τῷ ἑτέρῳ προστιθέναι τοῦ κατηγόρου λέγοντος, ὅπως τῷ κινδυνεύοντι καθαρὸν φυλάττηται καὶ ἀδιάβλητον. ἀλλ' ὕστερόν γε αὐτὸν ἐξετράχυναν, αἱ πολλαὶ διαβολαὶ, διὰ τῶν ἀληθῶν παρόδων, πίστιν ἐπὶ τὰ ψευδῆ λαβοῦσαι. καὶ μάλιστα κακῶς ἀκούων, ἐξίστατο τοῦ φρονεῖν, καὶ χαλεπὸς ἦν, καὶ ἀπαραίτητος, ἅτε δὴ τὴν δόξαν ἀντὶ τοῦ ζῆν καὶ τῆς βασιλείας ἠγαπηκώς. τότε δὴ ἐξήλαυνεν ἐπὶ δαρεῖον, ὡς πάλιν μαχούμενος. ἀκούσας δὲ τὴν ὑπὸ βήσσου γενομένην αὐτοῦ σύλληψιν, ἀπέλυσε τοὺς θεσσαλοὺς οἴκαδε. δισχίλια τάλαντα δωρεὰν ἐπιμετρήσας ταῖς μισθοφοραῖς. πρὸς δὲ τὴν δίωξιν ἀργαλέαν καὶ μακρὰν γινομένην, ἐν ἕνδεκα γὰρ ἡμέραις ἱππάσατο τρισχιλίους καὶ τριακοσίους σταδίους, ἀπηγόρευσαν μὲν οἱ πλεῖστοι, καὶ μάλιστα κατὰ τὴν ἀνυδρίαν, ἔνθα δὴ μακεδόνες τινὲς ἀπήντησαν αὐτῷ, ὕδωρ ἐν ἀσκοῖς ἐφ' ἡμιόνων κομίζοντες ἀπὸ τοῦ ποταμοῦ. καὶ θεασάμενοι τὸν ἀλέξανδρον, ἤδη μεσημβρίας οὔσης κακῶς ὑπὸ δίψους ἔχοντα, ταχὺ πλησάμενοι κράνος, προσήνεγκαν. πυθομένου δὲ αὐτοῦ, τίσιν κομίζοιεν, υἱοῖς ἔφασαν ἰδίοις. ἀλλὰ σοῦ ζῶντος, ἑτέρους ποιησόμεθα, κἂν ἐκείνους ἀπολέσωμεν. Ταῦτα ἀκούσας, ἔλαβεν εἰς τὰς χεῖρας τὸ κράνος. περιβλέψας δὲ καὶ θεασάμενος τοὺς περὶ αὐτὸν ἱππεῖς, ἅπαντας ἐγκεκλικότας ταῖς κεφαλαῖς, καὶ πρὸς ποτὸν βλέποντας, ἀπέδωκεν οὐ πιὼν, ἀλλ' ἐπαινέσας τοὺς ἀνθρώπους, ἂν γὰρ αὐτὸς ἔφη πίω μόνος, ἀθυμήσουσιν οὗτοι. θεασάμενοι δὲ τὴν ἐγκράτειαν αὐτοῦ καὶ μεγαλοψυχίαν οἱ ἱππεῖς, ἄγειν ἀνέκραγον θαῤῥοῦντα, καὶ τοὺς ἵππους ἐμάστιζον. οὔτε γὰρ κάμνειν, οὔτε διψᾶν, οὔθ' ὅλως θνητοὺς εἶναι νομίζειν αὐτοὺς, ἕως ἂν ἔχωσι βασιλέα τοιοῦτον. ἡ μὲν οὖν προθυμία, πάντων ἦν ὁμοία. μόνους δὲ φασὶν ἑξήκοντα συνεκπεσεῖν εἰς τὸ στρατόπεδον τῶν πολεμίων. ἔνθα δὴ πολὺν μὲν ἄργυρον καὶ χρυσὸν ἐῤῥιμμένον ὑπερβαίνοντες. πολλὰς δὲ παίδων καὶ γυναικῶν ἁρμαμάξας ἡνιόχων ἐρήμους διαφερομένας παρεξερχόμενοι, τοὺς πρώτους ἐδίωκον. ὡς ἐν ἐκείνοις δαρεῖον ὄντα. μόλις δὲ εὑρίσκεται πολλῶν ἀκοντισμάτων κατάπλεως τὸ σῶμα, κείμενος ἐν ἁρμαμάξῃ, μικρὸν ἀπολείπων τοῦ τελευτᾶν. ὅμως δὲ, καὶ πιεῖν ᾔτησεν. καὶ πιὼν ὕδωρ ψυχρὸν, εἶπεν πρὸς τὸν δόντα πολύστρατον. ὦ ἄνθρωπε. τοῦτό μοι πέρας γέγονε δυστυχίας ἁπάσης, εὖ παθεῖν, ἀμείψασθαι μὴ δυνάμενον. ἀλλὰ ἀλέξανδρος ἀποδώσει σοι τὴν χάριν. ἀλεξάν-

μυριάδας αὐτόθι διήγαγεν. λέγεται δὲ καθίσαντος αὐτοῦ τὸ πρῶτον ὑπὸ τὸν χρυσοῦν οὐρανίσκον ἐν τῷ βασιλικῷ θρόνῳ, τὸν κορίνθιον δημάρατον, εὔνουν ὄντα ἄνδρα καὶ πατρῷον φίλον ἀλεξάνδρου, πρεσβυτικῶς ἐπιδακρῦσαι καὶ εἰπεῖν, ὡς μεγάλης ἡδονῆς ἐστέρηνται τῶν ἑλλήνων οἱ τεθνηκότες, πρὶν ἰδεῖν ἀλέξανδρον ἐν τῷ δαρείου θρόνῳ καθήμενον.

Ἐκ τούτου μέλλων ἐξελαύνειν ἐπὶ δαρεῖον, ἔτυχε μὲν εἰς μέθην τινὰ καὶ παιδιὰν τοῖς ἑταίροις ἑαυτὸν ἐνδεδωκώς. ὥστε καὶ γύναια συμπίνειν ἐπὶ κῶμον ἥκοντα πρὸς τοὺς ἐραστάς. ἐν δὲ τούτοις εὐδοκίμει μάλιστα, θαῒς ἡ πτολεμαίου τοῦ βασιλεύσαντος ὕστερον ἑταίρα, γένος ἀττική, τὰ μὲν ἐμμελῶς ἐπαινοῦσα, τὰ δὲ παίζουσα πρὸς τὸν ἀλέξανδρον, ἅμα τῇ μέθῃ λόγον εἰπεῖν προήχθη· τῷ μὲν τῆς πατρίδος ἤθει πρέποντα, μείζονα δὲ ἢ καθ' αὑτήν. ἔφη γάρ, ὧν πεπόνηκε πεπλανημένη τὴν ἀσίαν, ἀπολαμβάνειν χάριν ἐκείνης τῆς ἡμέρας, ἐντρυφῶσα τοῖς ὑπερηφάνοις περσῶν βασιλείοις. ἔτι δ' ἂν ἥδιον ὑποπρῆσαι κωμάσασα, τὸν ξέρξου τοῦ κατακαύσαντος τὰς ἀθήνας οἶκον, αὐτὴ τὸ πῦρ ἅψασα, τοῦ βασιλέως ὁρῶντος, ὡς ἂν λόγος ἔχῃ πρὸς ἀνθρώπους, ὅτι τῶν ναυμάχων καὶ πεζομάχων ἐκείνων στρατηγῶν, τὰ μετὰ ἀλεξάνδρου γύναια, μείζονα δίκην ἐπέθηκεν πέρσαις ὑπὲρ τῆς ἑλλάδος. ἅμα δὲ τῷ λόγῳ τούτῳ, κρότου καὶ θορύβου γινομένου, καὶ παρακελεύσεως τῶν ἑταίρων καὶ φιλοτιμίας, ἐπισπασθεὶς ὁ βασιλεὺς καὶ ἀναπηδήσας, ἔχων στέφανον καὶ λαμπάδα προῆγεν. οἱ δὲ ἑπόμενοι, κώμῳ καὶ βοῇ περιΐσταντο τὰ βασίλεια. καὶ τῶν ἄλλων μακεδόνων οἱ πυνθανόμενοι συνέτρεχον μετὰ λαμπάδων χαίροντες. ἤλπιζον γάρ, ὅτι τοῖς οἴκοι προσέχοντός ἐστι τὸν νοῦν, καὶ μὴ μέλλοντος ἐν βαρβάροις οἰκεῖν, τὸ πιμπράναι τὰ βασίλεια καὶ διαφθείρειν. οἱ μὲν οὕτω ταῦτα γενέσθαι φασίν. οἱ δέ, ἀπὸ γνώμης. ὅτι δ' οὖν μετενόησε ταχὺ καὶ κατασβέσαι προσέταξεν, ὁμολογεῖται. φύσει δὲ ὢν μεγαλοδωρότατος, ἔτι μᾶλλον ἐπέδωκεν εἰς τοῦτο, τῶν πραγμάτων αὐξανομένων. καὶ προσῆν ἡ φιλοφροσύνη, μεθ' ἧς μόνης ὡς ἀληθῶς οἱ διδόντες χαρίζονται. μνησθήσομαι δὲ ὀλίγων ἀρίστων. ὁ τῶν παιόνων ἡγούμενος, ἀποκτείνας πολέμιον ἄνδρα, καὶ τὴν κεφαλὴν ἐπιδειξάμενος αὐτῷ, τοῦτο εἶπεν ὦ βασιλεῦ, παρ' ἡμῖν ἐκπώματος χρυσοῦ τιμᾶται τὸ δῶρον. ὁ δ' ἀλέξανδρος γελάσας, κενοῦ γε εἶπεν, ἐγὼ δέ σοι, μεστὸν ἀκράτου προπίομαι. τῶν δὲ πολλῶν τις μακεδόνων, ἐλαύνων ἡμίονον, βασιλικὸν χρυσίον κομίζοντα, κάμνοντος δὲ τοῦ κτήνους, αὐτὸς ἀράμενος, ἐκόμιζε τὸ φορτίον. ἰδὼν οὖν ὁ βασιλεὺς θλιβόμενον αὐτὸν σφόδρα, καὶ πυθόμενος τὸ πρᾶγμα, μέλλοντος καταθέσθαι, μὴ κάμῃς εἶπεν, ἀλλὰ πρόσθες ἔτι, τὴν λοιπὴν ὁδόν, ἐπὶ τὴν σκηνὴν σαυτῷ τοῦτο κομίσας. ὅλως δὲ ἤχθετο τοῖς μὴ λαμβάνουσι μᾶλλον, ἢ τοῖς αἰτοῦσι. καὶ φωκίωνι μὲν ἔγραψεν ἐπιστολήν, ὡς οὐ χρησόμενος αὐτῷ φίλῳ τὸ λοιπόν, εἰ διωθοῖτο τὰς χάριτας. σεραπίωνι δὲ τῶν ἀπὸ σφαίρας τινὶ νεανίσκων, οὐδὲν ἐδίδου διὰ τὸ μηδὲν αἰτεῖν. ὡς οὖν εἰς τὸ σφαιρίζειν παραγενόμενος σεραπίων, ἄλλοις ἔβαλλε τὴν σφαῖραν, εἰπόντος δὲ τοῦ βασιλέως, ἐμοὶ δὲ οὐ δίδως, οὐ γὰρ αἰτεῖς εἶπε. τούτῳ μὲν δὴ γελάσας, πολλὰ δέδωκε. πρωτέᾳ δέ τινι τῶν περὶ σκώμματα καὶ πότον οὐκ ἀμούσων, ἔδοξεν δι' ὀργῆς γεγονέναι. τῶν δὲ φίλων δεομένων κἀκείνου δακρύοντος, ἔφη διαλλάττεσθαι. κἀκεῖνος οὐκοῦν εἶπεν ὦ βασιλεῦ, δός τι μοι πιστὸν πρῶτον. ἐκέλευσεν οὖν αὐτῷ πέντε τάλαντα δοθῆναι. περὶ δὲ τῶν τοῖς φίλοις καὶ τοῖς σωματοφύλαξι νεμομένων πλούτων, ἡλίκον εἶχεν ὄγκον, ἐμφαίνει δι' ἐπιστολῆς ὀλυμπιάς, ἣν ἔγραψεν πρὸς αὐτόν. ἄλλως φησὶν εὖ ποίει τοὺς φίλους καὶ εὐδόξως ἄγε. νῦν δὲ ἰσοβασιλέας πάντας ποιεῖς, καὶ πολυφιλίας παρασκευάζεις αὐτοῖς, σεαυτὸν δὲ ἐρημοῖς. πολλάκις δὲ τοιαῦτα τῆς ὀλυμπιάδος γραφούσης, ἐφύλαττεν ἀπόρρητα τὰ γράμματα. πλὴν ἅπαξ ἡφαιστίωνος, ὥσπερ εἰώθει, λυθεῖσαν ἐπιστολὴν αὐτῷ συναναγινώσκοντος, οὐκ ἐκώλυσεν. ἀλλὰ τὸν δακτύλιον ἀφελόμενος τὸν αὑτοῦ, προσέθηκεν τῷ ἐκείνου στόματι τὴν σφραγῖδα. μαζαίου δὲ τοῦ μεγίστου παρὰ δαρείῳ γενομένου παιδί, σατραπείαν ἔχοντι, δευτέραν προσετίθει μείζονα. παραιτούμενος δ' ἐκεῖνος, εἶπεν ὦ βασιλεῦ. τότε μὲν ἦν εἷς δαρεῖος. νῦν δὲ σύ, πολλοὺς πεποίηκας ἀλεξάνδρους. Παρμενίωνι μὲν οὖν, τὸν βαγώου ἔδωκεν οἶκον, ἐν ᾧ λέγεται τῶν περὶ σοῦσον, χιλίων ταλάντων εὑρεθῆναι ἱματισμόν. πρὸς δ' ἀντίπατρον ἔγραψε, κελεύων ἔχειν φύλακας τοῦ σώματος, ὡς ἐπιβουλευόμενον. τῇ δὲ μητρί, πολλὰ μὲν ἐδωρεῖτο καὶ κατέπεμπεν, οὐκ εἴα δὲ πολυπραγμονεῖν, οὐδὲ παραστρατηγεῖν. ἐγκαλούσης δέ, πράως ἔφερε τὴν χαλεπότητα. πλὴν ἅπαξ ποτὲ μακρὰν ἀντιπάτρου κατ' αὐτῆς γράψαντος ἐπιστολὴν ἀναγνούς, ἀγνοεῖν εἶπεν ἀντίπατρον, ὅτι μυρίας ἐπιστολάς, ἓν δάκρυον ἀπαλείφει μητρός. ἐπεὶ δὲ τοὺς περὶ αὐτὸν ἑώρα παντάπασιν ἐκτετρυφηκότας, καὶ φορτικοὺς ταῖς διαίταις καὶ πολυτελείαις ὄντας, ὥστε ἄγνωνα μὲν τὸν τήιον, ἀργυροῦς ἐν ταῖς κρηπῖσιν ἥλους φορεῖν. λεοννάτῳ δὲ πολλαῖς καμήλοις ἀπ' αἰγύπτου κόνιν εἰς τὰ γυμνάσια παρακομίζεσθαι. φιλώτᾳ δὲ πρὸς θήρας, σταδίων ἑκατὸν αὐλαίας γεγονέναι, μύρῳ δὲ χρωμένους, ἰέναι πρὸς ἄλειμμα καὶ λουτρόν, ὅσους οὐδ' ἐλαίῳ. τρίπτας δὲ καὶ κατευναστὰς περιαγομένους, ἐπετίμησεν πράως καὶ φιλοσόφως. θαυμάζειν φάμενος, εἰ τοσούτους ἠγωνισμένοι καὶ τηλικούτους ἀγῶνας, οὐ μνημονεύουσιν, ὅτι τῶν καταπονουμένων οἱ καταπονήσαντες ἥδιον καθεύδουσιν. οὐδ' ὁρῶσι τοῖς περσῶν βίοις, τοὺς ἑαυτῶν παραβάλλοντες, ὅτι δουλικώτατον μέν ἐστι τὸ τρυφᾶν, βασιλικώτατον δὲ τὸ πονεῖν. καίτοι

λ περὶ. q.
ἀπολαβεῖν. q.
προπίωμαι q.
ἐνδόξως. q.
δ' ἰσοβασιλ. q.
σοῦσα. q.

ἰταλίαν, μέρος τῶν λαφύρων, τὴν φαΰλλου τοῦ ἀθλητοῦ τιμῶν προθυμίαν καὶ ἀρετήν, ὃς περὶ τὰ μηδικά, τῶν ἄλλων ἰταλιωτῶν ἀπεγνωκότων τοὺς ἕλληνας, ἰδιόστολον ἔχων ναῦν, ἔπλευσεν εἰς σαλαμῖνα, τοῦ κινδύνου τι μεθέξων. οὕτω τις εὐμενὴς ἦν πρὸς ἅπασαν ἀρετήν, καὶ καλῶν ἔργων φύλαξ, καὶ οἰκεῖος. ἐπιὼν δὲ τὴν βαβυλωνίαν ἅπασαν, εὐθὺς ὑπ' αὐτῷ γενομένην, ἐθαύμασε τό, τε χάσμα τοῦ πυρὸς ἐν ἐκβατάνοις ὥσπερ ἐκ πηγῆς συνεχῶς ἀναφερομένου, καὶ τὸ ῥεῦμα, τοῦ νάφθα λιμνάζοντος διὰ τὸ πλῆθος, οὐ πόρρω τοῦ χάσματος, ὃς τἆλλα μὲν ἀσφάλτῳ προσέοικεν. οὕτω δὲ εὐπαθὴς πρὸς τὸ πῦρ ἐστιν, ὥστε πρὶν ἢ θιγεῖν τὴν φλόγα, δι' αὐτῆς τῆς περὶ τὸ φῶς ἐξαπτόμενος αὐγῆς, τὸν μεταξὺ πολλάκις ἀέρα συνεκκαίει. ἐπιδεικνύμενοι δὲ τὴν δύναμιν αὐτοῦ καὶ φύσιν οἱ βάρβαροι, τὸν ἄγοντα πρὸς τὴν καταλύσιν τοῦ βασιλέως στενωπὸν, ἐλαφρῶς τῷ φαρμάκῳ κατέψεκασαν. εἶτα στάντες ἐπ' ἄκρῳ τοὺς λαμπτῆρας τοῖς βεβρεγμένοις προσέθηκαν. ἤδη γὰρ συνεσκόταζεν. τῶν δὲ πρώτων εὐθὺς ἁψαμένων, οὐκ ἔσχεν ἡ νομὴ χρόνον αἰσθητὸν, ἀλλ' ἅμα νοήματι διῆκτο πρὸς θάτερον πέρας, καὶ πῦρ ἐγεγόνει συνεχὲς ὁ στενωπός. ἦν δέ τις ἀθηνοφάνης ἀθηναῖος, τῶν περὶ ἄλειμμα καὶ λουτρὸν εἰωθότων τὸ σῶμα θεραπεύειν τοῦ βασιλέως, καὶ τὴν διάνοιαν ἐμμελῶς ἀπάγειν ἤδη τὸ ῥᾴθυμον. οὗτος ἐν τῷ λουτρῶνι τότε παιδαρίου τῷ ἀλεξάνδρῳ παρεστῶτος, καὶ γελοίου τὴν ὄψιν, ᾄδοντος δὲ χαριέντως, ὃς στέφανος ἐκαλεῖτο, βούλει φησὶν ὦ βασιλεῦ διάπειραν ἐν στεφάνῳ τοῦ φαρμάκου λάβωμεν; ἂν γὰρ ἅψηται τούτου καὶ μὴ κατασβεσθῇ, παντάπασιν ἂν φαίην ἄμαχον καὶ δεινὴν αὐτοῦ τὴν δύναμιν εἶναι. προθύμως δέ πως, καὶ τοῦ παιδαρίου διδόντος ἑαυτὸν πρὸς τὴν πεῖραν, ἅμα τὸ περιαλείψαι καὶ θιγεῖν, ἐξέλαμψε φλόγα τοσαύτην τὸ σῶμα, καὶ πυρὶ κατεσχέθη πᾶν, ὥστε τὸν ἀλέξανδρον εἰς πᾶν ἀπορίας καὶ δέους ἐλθεῖν. εἰ δὲ μὴ κατὰ τύχην, πολλὰ παρῆσαν ἀγγεῖα πρὸς τὸ λουτρὸν ὕδατος. διὰ χειρῶν ἔχοντες, οὐκ ἂν ἔφθασεν ἡ βοήθεια τὴν ἤδη νομήν, ἀλλὰ καὶ τότε μόγις κατέσβεσαν τὸ σῶμα τοῦ παιδὸς δι' ὅλου πῦρ γενόμενον. καὶ μετὰ ταῦτα, χαλεπῶς ἔσχεν. εἰκότως οὖν ἔνιοι, τὸν μῦθον ἀνασῴζοντες πρὸς τὴν ἀλήθειαν, τοῦτό φασιν εἶναι, τὸ τῆς μηδείας φάρμακον, ᾧ τὸν θρυλούμενον στέφανον καὶ τὸν πέπλον ἔχρισεν. οὐ γὰρ ἐξ αὐτῶν ἐκείνων, οὐδὲ ἀπ' αὐτομάτου λάμψαι τὸ πῦρ, ἀλλὰ φλογὸς ἐκεῖθεν παρατεθείσης, ὀξεῖαν ὁλκὴν καὶ συναφὴν ἄδηλον αἰσθήσει γενέσθαι. τὰς γὰρ ἀκτῖνας καὶ τὰ ῥεύματα τοῦ πυρὸς, ἄπωθεν ἐπερχόμενα, τοῖς μὲν ἄλλοις σώμασιν, φῶς καὶ θερμότητα προσβάλλειν μόνον. ἐν δὲ τοῖς ἄλλοις, ξηρότητα πνευματικὴν, καὶ νοτίδα λιπαρὰν καὶ διαρκῆ κεκτημένοις, ἀθροιζόμενα καὶ πυριμαροῦντα μεταβάλλειν ὀξέως τὴν ὕλην. παρεῖχεν δὲ ἀπορίαν ἡ γένεσις. εἴτε μᾶλλον ὑπέκκαυμα τῆς φλογὸς ἀπορρεῖ τὸ ὑγρὸν, ἐκ τῆς γῆς φύσιν λιπαρὰν καὶ πυριγόνον ἐχούσης, καὶ γάρ ἐστιν ἡ βαβυλωνία σφόδρα πυρώδης, ὥστε τὰς μὲν κριθὰς χαμόθεν ἐκπηδᾶν καὶ ἀποπάλλεσθαι πολλάκις, οἷον ἀπὸ φλεγμονῆς τῶν τόπων σφυγμοὺς ἐχόντων. τοὺς δὲ ἀνθρώπους ἐν τοῖς καύμασιν ἐπ' ἀσκῶν πεπληρωμένων ὕδατος καθεύδειν. ἅρπαλος δὲ τῆς χώρας ἀπολειφθεὶς ἐπιμελητής, καὶ φιλοκαλῶν ἑλληνικαῖς φυτείαις διακοσμῆσαι τὰ βασίλεια καὶ τοὺς περιπάτους, τῶν μὲν ἄλλων ἐκράτησεν. τὸν δὲ κιττὸν, οὐκ ἔστεξεν ἡ γῆ μόνον, ἀλλ' ἀεὶ διέφθειρεν, οὐ φέροντα τὴν κρᾶσιν. ἡ μὲν γὰρ, πυρώδης. ὁ δὲ, φιλόψυχρος. τῶν μὲν οὖν τοιούτων παρεκβάσεων, ἂν μέτρον ἔχωσιν, ἧττον ἴσως οἱ δύσκολοι κατηγοροῦσιν. ἀλέξανδρος δὲ, σούσων κυριεύσας, παρέλαβεν ἐν τοῖς βασιλείοις τετρακισμύρια τάλαντα νομίσματος. τὴν δὲ ἄλλην κατασκευὴν καὶ πολυτέλειαν, ἀδιήγητον. ὅπου φησὶν καὶ πορφύρας ἑρμιονικῆς εὑρεθῆναι τάλαντα πεντακισχίλια. συγκειμένης μὲν ἐξ ἐτῶν δέκα δεόντων διακοσίων, πρόσφατον δὲ τὸ ἄνθος ἔτι καὶ νεαρὸν φυλαττούσης. αἴτιον δὲ τούτου φασὶν εἶναι, τὸ τὴν βαφὴν διὰ μέλιτος γίνεσθαι τῶν ἁλουργῶν. δι' ἐλαίου δὲ λευκοῦ, τῶν λευκῶν. καὶ γὰρ τούτων τὸν ἴσον χρόνον ἐχόντων, τὴν λαμπρότητα, καθαρὰν καὶ στίλβουσαν ὁρᾶσθαι. δίνων δὲ φησὶν, καὶ ὕδωρ ἀπό τε τοῦ νείλου, καὶ τοῦ ἴστρου μετὰ τῶν ἄλλων μεταπεμπομένους εἰς τὴν γάζαν, ἀποτίθεσθαι τοὺς βασιλεῖς, οἷον ἐκβεβαιουμένους τὸ μέγεθος τῆς ἀρχῆς, καὶ τὸ κυριεύειν ἁπάντων. τῆς δὲ περσίδος οὔσης διὰ τραχύτητα δυσεμβόλου καὶ φυλαττομένης ὑπὸ γενναιοτάτων περσῶν. δαρεῖος μὲν γὰρ ἐπεφεύγει, γίγνεταί τινος περιόδου, κύκλον ἐχούσης οὐ πολλὴν, ἡγεμὼν αὐτῷ, δίγλωσσος ἄνθρωπος, ἐκ πατρὸς λυκίου, μητρὸς δὲ περσίδος γεγονώς. ὃν φασὶν ἔτι παιδὸς ὄντος ἀλεξάνδρου, τὴν πυθίαν προειπεῖν, ὡς λύκος ἔσται καθηγεμὼν ἀλεξάνδρῳ τῆς ἐπὶ πέρσας πορείας. φόνον μὲν οὖν ἐνταῦθα πολὺν τῶν ἁλισκομένων γενέσθαι συνέπεσεν. γράφει γὰρ αὐτὸς, ὡς νομίζων αὐτῷ τοῦτο λυσιτελεῖν, ἐκέλευσεν ἀποσφάττεσθαι τοὺς ἀνθρώπους. νομίσματος δὲ εὑρεῖν πλῆθος ὅσον ἐν σούσοις. τὴν δὲ ἄλλην κατασκευὴν καὶ τὸν πλοῦτον ἐκκομισθῆναι φασὶν, μυρίοις ὀρικοῖς ζεύγεσιν, καὶ πεντακισχιλίαις καμήλοις. ξέρξου δὲ ἀνδριάντα μέγαν θεασάμενος, ὑπὸ πλήθους τῶν ὠθουμένων εἰς τὰ βασίλεια, πλημμελῶς ἀνατετραμμένον, ἐπέστη. καὶ καθάπερ ἔμψυχον προσαγορεύσας, πότερόν σε εἶπεν, διὰ τὴν ἐπὶ τοὺς ἕλληνας στρατείαν κείμενον παρέλθωμεν, ἢ διὰ τὴν ἄλλην μεγαλοφροσύνην, καὶ ἀρετὴν ἐγείρωμεν. τέλος δὲ, πολὺν χρόνον πρὸς ἑαυτῷ γενόμενος, καὶ σιωπήσας παρῆλθεν. βουλόμενος δὲ τοὺς στρατιώτας ἀναλαβεῖν, καὶ γὰρ ἦν χειμῶνος ὥρα, τέσσαρας

μῆνας

πολλοὶ

ἢ. κ. ς

τος, οὐχὶ μέλλοντος ἀγωνιεῖσθαι τὸν μέγιστον τῶν ἀγώνων. τὸν γοῦν Ἀλέξανδρον εἰπεῖν διαμειδιάσαντα, τί γὰρ οὐκ ἤδη σοι νενικηκέναι δοκοῦμεν, ἀπηλλαγμένοι τοῦ πλανᾶσθαι καὶ διώκειν ἐν πολλῇ καὶ κατεφθαρμένῃ φυγομαχοῦντα χώρᾳ Δαρεῖον. οὐ μόνον δὲ πρὸ τῆς μάχης, ἀλλὰ καὶ παρὰ τὸν κίνδυνον αὐτὸν ἐπεδείξατο μέγα καὶ συνεστηκότα τῷ λογίζεσθαι καὶ θαρρεῖν ἑαυτόν. ἔσχεν γὰρ ὁ ἀγὼν ἀποτροπὴν καὶ σάλον ἐν τῷ εὐωνύμῳ κέρατι κατὰ Παρμενίωνα, τῆς Βακτριανῆς ἵππου ῥύδην πολλῷ καὶ μετὰ βίας παρεμπεσούσης εἰς τοὺς Μακεδόνας. Μαζαίου δὲ περιπέμψαντος ἔξω τῆς φάλαγγος ἱππεῖς τοῖς σκευοφυλακοῦσι προσβαλοῦντας. διὸ καὶ θορυβούμενος ὑπ᾽ ἀμφοτέρων ὁ Παρμενίων ἀπέστειλεν πρὸς Ἀλέξανδρον ἀγγέλους φράζοντας οἴχεσθαι τὸν χάρακα καὶ τὰς ἀποσκευὰς, εἰ μὴ κατὰ τάχος βοήθειαν ὀχυρὰν ἀπὸ τοῦ στόματος πέμψειεν τοῖς ὄπισθεν.

μέγαν. q.

Ἔτυχε μὲν οὖν κατ᾽ ἐκεῖνο καιροῦ τοῖς περὶ αὐτὸν, ἐφόδου διδοὺς σημεῖον. ὡς δὲ ἤκουσεν τὰ παρὰ τοῦ Παρμενίωνος, οὐκ ἔφη σωφρονεῖν αὐτόν. οὐδὲ ἐν ἑαυτοῦ εἶναι τῶν λογισμῶν, ἀλλ᾽ ἤδη λελῆσθαι ταραττόμενον, ὅτι νικῶντες μὲν προσκτήσονται καὶ τὰ τῶν πολεμίων, ἡττωμένοις δὲ, φροντιστέον, οὐ χρημάτων οὐδὲ ἀνδραπόδων, ἀλλ᾽ ὅπως ἀποθανοῦνται καλῶς καὶ λαμπρῶς ἀγωνιζόμενοι.

Ταῦτα ἤδη στείλας Παρμενίωνι τὸ κράνος περιέθετο. τὸν δὲ ἄλλον ὁπλισμὸν, εὐθὺς ἀπὸ σκηνῆς εἶχεν, ἐπένδυμα τῶν σικελικῶν ζωστόν. ἤδη δὲ τούτῳ, θώρακα διπλοῦν λινοῦν ἐκ τῶν ληφθέντων ἐν Ἰσσῷ. τὸ δὲ κράνος ἦν μὲν σιδηροῦν. ἔστιλβε δὲ, ὥσπερ ἄργυρος καθαρὸς, ἔργον Θεοφίλου. συνήρμοστο δὲ αὐτῷ, περιτραχήλιον ὁμοίως σιδηροῦν, λιθοκόλλητον. μάχαιραν δὲ θαυμαστὴν, βαφῇ καὶ κουφότητι, δωρησαμένου τοῦ Κιτιέων βασιλέως, ἣν εἶχεν, ἠσκημένος τὰ πολλὰ χρῆσθαι μαχαίρᾳ παρὰ τὰς μάχας. ἤδη πόρπαμα δὲ ἐφόρει. τῇ μὲν, ἐργασίᾳ σοβαρώτερον, ἢ κατὰ τὸν ἄλλον ὁπλισμόν. ἦν γὰρ ἔργον Ἑλικῶνος τοῦ παλαιοῦ. τιμὴ δὲ τῆς Ῥοδίων πόλεως, ὑφ᾽ ἧς ἐδόθη δῶρον. ἐχρῆτο δὲ καὶ τούτῳ πρὸς τοὺς ἀγῶνας. ἄχρι μὲν οὖν συντάττων τι τῆς φάλαγγος, ἢ παρακελευόμενος, ἢ διδάσκων, ἢ ἐφορῶν παρεξήλαυνεν, ἄλλον ἵππον εἶχεν, τοῦ Βουκεφάλα φειδόμενος, ἤδη παρήλικος ὄντος, χωροῦντι δὲ πρὸς ἔργον, ἐκεῖνος προσήγετο, καὶ μεταβὰς εὐθὺς ἦρχεν ἐφόδου. τότε δὲ τοῖς Θετταλοῖς, πλεῖστα διαλεχθεὶς, καὶ τοῖς ἄλλοις Ἕλλησιν, ὡς ἐπέρρωσαν αὐτὸν, βοῶντες ἄγειν ἤδη τοὺς βαρβάρους, τὸ ξυστὸν εἰς τὴν ἀριστερὰν μεταβαλὼν, τῇ δεξιᾷ παρεκάλει τοὺς θεούς. ὡς Καλλισθένης φησὶν ἐπευχόμενος, εἴπερ ὄντως Διόθεν ἐστὶ γεγονὼς, ἀμῦναι καὶ συνεπιρρῶσαι τοὺς Ἕλληνας.

τούτων. q.

ἐπιπόρπημα. q.

Ὁ δὲ μάντις Ἀρίστανδρος, χλανίδα λευκὴν ἔχων καὶ χρυσοῦν στέφανον, ἐπεδείκνυτο παριππεύων, ἀετὸν ὑπὲρ κεφαλῆς Ἀλεξάνδρου συνεπαιωρούμενον, καὶ κατευθύνοντα τῇ πτήσει ὄρθιον ἤδη τοὺς πολεμίους. ὥστε πολὺ μὲν θάρσος ἐγγενέσθαι τοῖς ὁρῶσιν, ἐκ δὲ τοῦ θαρρεῖν καὶ παρακαλεῖν ἀλλήλους, δρόμῳ τοῖς ἱππεῦσιν ἱεμένοις ἤδη τοὺς πολεμίους ἐπικυμαίνειν τὴν φάλαγγα. πρὶν δὲ συμμίξαι τοὺς πρώτους, ἐξέκλιναν οἱ βάρβαροι, καὶ διωγμὸς ἦν πολὺς, εἰς τὰ μέσα συνελαύνοντος Ἀλεξάνδρου τὸ νικώμενον, ὅπου Δαρεῖος ἦν. πόρρωθεν γὰρ αὐτὸν κατεῖδεν διὰ τῶν προτεταγμένων, ἐν βάθει τῆς βασιλικῆς ἴλης ἐκφανέντα καλὸν ἄνδρα καὶ μέγαν, ἐφ᾽ ἅρματος ὑψηλοῦ βεβῶτα, πολλοῖς ἱππεῦσιν, καὶ λαμπροῖς καταπεφραγμένον εὖ μάλα συνεσπειραμένοις περὶ τὸ ἅρμα. καὶ παρατεταγμένοις, δέχεσθαι τοὺς πολεμίους. ἀλλὰ δεινὸς ὀφθεὶς ἐγγύθεν Ἀλέξανδρος, καὶ τοὺς φεύγοντας ἐμβαλὼν εἰς τοὺς μένοντας, ἐξέπληξε, καὶ διεσκέδασε τὸ πλεῖστον. οἱ δὲ ἄριστοι καὶ γενναιότατοι πρὸ τοῦ βασιλέως φονευόμενοι, καὶ κατ᾽ ἀλλήλων πίπτοντες, ἐμποδὼν τῆς διώξεως ἦσαν, ἐμπλεκόμενοι καὶ περισπαίροντες αὐτοῖς καὶ ἵπποις. Δαρεῖος δὲ τῶν δεινῶν ἁπάντων ἐν ὀφθαλμοῖς ὄντων, καὶ τῶν προτεταγμένων δυνάμεων ἐρειπομένων εἰς αὐτὸν, ὡς οὐκ ἦν ἀποστρέψαι τὸ ἅρμα, καὶ διεξελάσαι ῥᾴδιον, ἀλλ᾽ οἵ τε τροχοὶ συνείχοντο πτώμασι πεφυρμένοι τοσούτοις, οἵ τε ἵπποι καταλαμβανόμενοι καὶ ἀποκρυπτόμενοι τῷ πλήθει τῶν νεκρῶν ἐξήλλοντο καὶ συνετάραττον τὸν ἡνίοχον, ἀπολείπει μὲν τὸ ἅρμα καὶ τὰ ὅπλα, θήλειαν δὲ ὥς φασιν νεοτόκον ἵππον περιβὰς, ἔφυγεν. οὐ μὴν τότε γ᾽ ἂν ἐδόκει διαφυγεῖν, εἰ μὴ πάλιν ἧκον ἕτεροι παρὰ τοῦ Παρμενίωνος ἱππεῖς, μετακαλοῦντες Ἀλέξανδρον, ὡς συνεστώσης ἔτι πολλῆς δυνάμεως ἐκεῖ, καὶ τῶν πολεμίων οὐκ ἐνδιδόντων. ὅλως γὰρ αἰτιῶνται Παρμενίωνα κατ᾽ ἐκείνην τὴν μάχην, νωθρὸν γενέσθαι καὶ δύσεργον. εἴτε τοῦ γήρως ἤδη τι παραλύοντος τῆς τόλμης, εἴτε τὴν ἐξουσίαν καὶ τὸν ὄγκον, ὡς Καλλισθένης φησὶν τῆς Ἀλεξάνδρου δυνάμεως βαρυνόμενον καὶ προσφθονοῦντα. τότε δ᾽ οὖν ὁ βασιλεὺς ἀνιαθεὶς τῇ μεταπέμψει, τοῖς μὲν στρατιώταις οὐκ ἔφρασε τὸ ἀληθὲς, ἀλλ᾽ ὡς ἀνέχων τοῦ φονεύειν, καὶ σκότους ὄντος ἀνάκλησιν ἐσήμανεν. ἐλαύνων δὲ πρὸς τὸ κινδυνεῦον μέρος, ἤκουσεν καθ᾽ ὁδὸν ἡττῆσθαι παντάπασιν, καὶ φεύγειν τοὺς πολεμίους.

η. πό δέ καί.

Τοῦτο τῆς μάχης ἐκείνης λαβούσης τὸ πέρας, ἡ μὲν ἀρχὴ, παντάπασιν ἡ Περσῶν ἐδόκει καταλελύσθαι. βασιλεὺς δὲ τῆς Ἀσίας Ἀλέξανδρος ἀνηγορευμένος, ἔθυε τοῖς θεοῖς μεγαλοπρεπῶς, καὶ τοῖς φίλοις ἐδωρεῖτο πλούτους καὶ οἴκους, καὶ ἡγεμονίας. φιλοτιμούμενος δὲ πρὸς τοὺς Ἕλληνας, ἔγραψεν τὰς τυραννίδας πάσας καταλυθῆναι, καὶ πολιτεύειν αὐτονόμους. ἰδίᾳ δὲ Πλαταιεῦσι τὴν πόλιν ἀνοικοδομεῖν, ὅτι τὴν χώραν οἱ πατέρες αὐτῶν ἐναγωνίσασθαι τοῖς Ἕλλησιν ὑπὲρ τῆς ἐλευθερίας παρέσχον. ἔπεμψε δὲ καὶ Κροτωνιάταις εἰς

πεῖραν, καὶ μητρὶ σῇ καὶ τέκνοις, ἐν ἔλειπε τῶν πρόσθεν ἀγαθῶν καὶ καλῶν, ἢ τὸ σὸν ὁρᾶν φῶς, ὃ πάλιν ἀναλάμψει λαμπρὸν ὁ κύριος ὠρομάσδης, οὔτε ἄμοιρος κόσμου τινὸς γέγονεν, ἀλλὰ καὶ παρὰ πολεμίων τετίμηται δακρύοις. οὕτω γάρ ἐστι χρηστὸς, κρατήσας ἀλέξανδρος, ὡς δεινὸς μαχόμενος. ταῦτα ἀκούσαντα δαρεῖον, ἡ ταραχὴ καὶ τὸ πάθος, ἐξέφερεν πρὸς ὑποψίας ἀτόπους. καὶ τὸν εὐνοῦχον ἐνδοτέρω τῆς σκηνῆς ἀπαγαγὼν, εἰ μὴ καὶ σὺ μετὰ τῆς περσῶν ἔφη τύχης μακεδονίζεις, ἀλλ᾽ ἔτι σοι δεσπότης ἐγὼ δαρεῖος. εἰπέ μοι σεβόμενος, μίθρου τε φῶς μέγα, καὶ δεξιὰν βασίλειον, ἆρα μὴ, τὰ μικρότατα τῶν στατείρας κλαίω κακῶν, οἰκτρότερα δὲ ζώσης ἐπάσχομεν, καὶ μᾶλλον ἂν κατ᾽ ἀξίαν ἐδυστυχοῦμεν, ὠμῷ καὶ σκυθρωπῷ περιπεσόντες ἐχθρῷ; τί γὰρ εὐπρεπὲς ἀνδρὶ νέῳ πρὸς ἐχθροῦ γυναῖκα μέχρι τιμῆς τοσαύτης συμβόλαιον. ἔτι λέγοντος αὐτοῦ, καταβαλὼν αὐτὸν εἰς πόδας, τείριως αὐτὸν ἱκέτευεν εὐφημεῖν. καὶ μήτε ἀλέξανδρον ἀδικεῖν, μήτε τὴν τεθνεῶσαν ἀδελφὴν καὶ γυναῖκα καταισχῦναι, μήτε αὑτοῦ τὴν μεγίστην, ὧν ἔπταικεν ἀφαιρεῖσθαι παραμυθίαν, τὸ δοκεῖν ὑπ᾽ ἀνδρὸς ἡττῆσθαι κρείττονος, ἢ κατὰ τὴν ἀνθρωπίνην φύσιν. ἀλλὰ καὶ θαυμάζειν ἀλέξανδρον, ὡς πλείονα ταῖς περσῶν γυναιξὶν σωφροσύνην, ἢ πέρσαις ἀνδρείαν ἐπιδεδειγμένον. ἅμα δὲ ὅρκους τε φρικώδεις τοῦ θαλαμηπόλου κινοῦντος ὑπὲρ τούτων, καὶ περὶ τῆς ἄλλης ἐγκρατείας, καὶ μεγαλοψυχίας τῆς ἀλεξάνδρου λέγοντος, ἐξελθὼν πρὸς τοὺς ἑταίρους ὁ δαρεῖος, καὶ χεῖρας ἀνατείνας πρὸς τὸν οὐρανὸν, ἐπεύξατο. θεοὶ γενέθλιοι καὶ βασίλειοι. μάλιστα μὲν, ἐμοὶ διδοίητε τὴν περσῶν τύχην, εἰς ὀρθὸν αὖθις σταθεῖσαν ἐφ᾽ οἷς ἐδεξάμην ἀγαθοῖς ἀπολιπεῖν. ἵνα κρατήσας, ἀμείψωμαι τὰς ἀλεξάνδρου χάριτας, ὧν εἰς τὰ φίλτατα πταίσας ἔτυχεν. εἰ δ᾽ ἄρα τις οὗτος εἱμαρμένος ἥκει χρόνος ὀφειλόμενος νεμέσει, καὶ μεταβολῇ παύσασθαι τὰ περσῶν, μηδεὶς ἄλλος ἀνθρώπων καθίσειεν εἰς τὸν κύρου θρόνον, πλὴν ἀλεξάνδρου. ταῦτα μὲν οὕτω γενέσθαι τε καὶ λεχθῆναι φασὶν, οἱ πλεῖστοι τῶν συγγραφέων.

ἀλέξανδρος δὲ τὴν ἐντὸς τοῦ εὐφράτου, πᾶσαν ὑφ᾽ ἑαυτῷ ποιησάμενος, ἤλαυνεν ἐπὶ δαρεῖον, ἐκατὸν μυριάσι στρατοῦ καταβαίνοντα. καί τις αὐτῷ φράζει τῶν ἑταίρων, ὡς δὴ γέλωτος ἄξιον πρᾶγμα, τοὺς ἀκολούθους παίζοντας, εἰς δύο μέρη διῃρημένους σφᾶς αὐτοὺς, ὧν ἑκατέρου στρατηγὸν εἶναι καὶ ἡγεμόνα. τὸν μὲν ἀλέξανδρον, τὸν δὲ δαρεῖον ὑπ᾽ αὐτῶν προσαγορευόμενον. ἀρξαμένους δὲ βώλοις ἀκροβολίζεσθαι πρὸς ἀλλήλους, εἶτα πυγμαῖς. τέλος ἐκκεκαῦσθαι τῇ φιλονεικίᾳ, καὶ μέχρι λίθων καὶ ξύλων πολλοὺς δυσκαταπαύστους γεγονότας. ταῦτα ἀκούσας, ἐκέλευσεν αὐτοὺς μονομαχῆσαι τοὺς ἡγεμόνας. καὶ τὸν μὲν ἀλέξανδρον, αὐτὸς ὥπλισεν. τὸν δὲ δαρεῖον φιλώτας. ἐθεᾶτο δὲ ὁ στρατὸς ἐν οἰωνῷ τινὶ τοῦ μέλλοντος τιθέμενος τὸ γιγνόμενον. ἰσχυρᾶς δὲ τῆς μάχης γενομένης, ἐνίκησεν ὁ καλούμενος ἀλέξανδρος. καὶ δωρεὰν ἔλαβεν δώδεκα κώμας. καὶ στολῇ περσικῇ χρῆσθαι. ταῦτα μὲν οὖν, ἐρατοσθένης ἱστόρηκεν. τὴν δὲ μεγάλην μάχην πρὸς δαρεῖον, οὐκ ἐν ἀρβήλοις ὥσπερ οἱ πολλοὶ γράφουσιν. ἀλλὰ ἐν γαυγαμήλοις γενέσθαι συνέπεσεν. σημαίνειν δέ φασιν, οἶκον καμήλου τὴν διάλεκτον. ἐπεὶ τῶν πάλαι τις βασιλέων ἐκφυγὼν πολεμίους ἐπὶ καμήλου δρομάδος, ἐνταῦθα καθίδρυσεν αὐτὴν, ἀποτάξας τινὰς κώμας καὶ προσόδους εἰς τὴν ἐπιμέλειαν. ἡ μὲν οὖν σελήνη τοῦ βοηδρομιῶνος, ἐξέλιπεν, περὶ τὴν τῶν μυστηρίων τῶν ἀθήνησιν ἀρχήν. ἐνδεκάτῃ δὲ, ἀπὸ τῆς ἐκλείψεως νυκτὶ, τῶν στρατοπέδων ἐν ὄψει γεγονότων, δαρεῖος μὲν, ἐν ὅπλοις συνεῖχε τὴν δύναμιν, ὑπὸ λαμπάδων ἐπιπορευόμενος τὰς τάξεις. ἀλέξανδρος δὲ τῶν μακεδόνων ἀναπαυομένων, αὐτὸς πρὸ τῆς σκηνῆς, μετὰ τοῦ μάντεως ἀριστάνδρου διέτριβεν, ἱερουργίας τινὰς ἀπορρήτους ἱερουργούμενος. καὶ τῷ φόβῳ σφαγιαζόμενος.

Οἱ δὲ πρεσβύτεροι τῶν ἑταίρων καὶ μάλιστα παρμενίων, ὡς τὸ μὲν πεδίον τὸ μεταξὺ τοῦ νιφάτου καὶ τῶν ὀρῶν τῶν γορδυαίων, ἅπαν ἑωρᾶτο καταλαμπόμενον τοῖς βαρβαρικοῖς φέγγεσιν, ἀτέκμαρτος δέ τις φωνὴ συμμεμιγμένη καὶ θόρυβος καὶ φόβος ἐκ τοῦ στρατοπέδου, καθάπερ ἐξ ἀχανοῦς προσήχει πελάγους, θαυμάσαντες τὸ πλῆθος καὶ πρὸς ἀλλήλους διαλεχθέντες, ὡς μέγα καὶ χαλεπὸν ἔργον εἴη, συμπεσόντας ἐκ προφανοῦς τοσοῦτον ὤσασθαι πόλεμον, ἀπὸ τῶν ἱερῶν γενομένῳ τῷ βασιλεῖ προσελθόντες, ἔπειθον αὐτὸν ἐπιχειρῆσαι νύκτωρ τοῖς πολεμίοις. καὶ τῷ σκότῳ τὸ φοβερώτατον συγκαλύψαι τοῦ μέλλοντος ἀγῶνος. ὁ δὲ τὸ μνημονευόμενον εἰπὼν, οὐ κλέπτω τὴν νίκην, ἐνίοις μὲν, ἔδοξε μειρακιώδη καὶ κενὴν ἀποκεισι πεπαῖχθαι, παίζων πρὸς τοσοῦτον κίνδυνον. ἐνίοις δὲ, καὶ τῷ παρόντι θαρρεῖν, καὶ στοχάζεσθαι, τοῦ μέλλοντος ὀρθῶς, μὴ διδοὺς πρόφασιν ἡττηθέντι δαρείῳ, πρὸς ἄλλην αὖθις ἀναθαρρῆσαι πεῖραν, αἰτιωμένῳ τούτων, νύκτα καὶ σκότος, ὡς ὄρη καὶ στενὰ καὶ θάλασσαν τῶν προτέρων. οὐ γὰρ ὅπλων οὐδὲ σωμάτων ἀπορίᾳ, παύσεσθαι πολεμοῦντα δαρεῖον, ἀπὸ τηλικαύτης δυνάμεως, καὶ χώρας τοσαύτης, ἀλλ᾽ ὅταν ἀφῇ τὸ φρόνημα καὶ τὴν ἐλπίδα δι᾽ ἐμφανοῦς ἥττης κατακράτος ἐξελεγχθείς. ἀπελθόντων δὲ τούτων, κατακλιθεὶς ὑπὸ σκηνὴν, λέγεται τὸ λοιπὸν μέρος τῆς νυκτὸς, ὕπνῳ βαθεῖ κρατηθῆναι, παρὰ τὸ εἰωθός. ὥστε θαυμάζειν, ἐπελθόντας ὄρθρου τοὺς ἡγεμόνας, καὶ παρ᾽ αὐτῶν ἐξενεγκεῖν παράγγελμα πρῶτον, ἀριστοποιεῖσθαι τοὺς στρατιώτας. ἔπειτα τοῦ καιροῦ κατεπείγοντος, εἰσελθόντα παρμενίωνα καὶ παραστάντα τῇ κλίνῃ, δὶς ἢ τρὶς αὐτοῦ φθέγξασθαι τοὔνομα. καὶ διεγερθέντος, οὕτως ἐρωτᾶν, ὅτι δὴ πεπονθὼς ὕπνον καθεύδοι νενικηκό

ρημον ἧκεν εἰς τὸν τόπον, ὁ μὲν προφήτης αὐτὸν ὁ ἄμμωνος, ἀπὸ τοῦ θεοῦ χαίρειν ὡς ἀπὸ πατρὸς προσεῖπεν. ὁ δὲ, ἐπήρετο μή τις αὐτὸν εἴη διαπεφευγὼς τῶν τοῦ πατρὸς φονέων. εὐφημεῖν δὲ τοῦ προφήτου κελεύσαντος, οὐ γὰρ εἶναι πατέρα θνητὸν αὐτῷ, μεταβαλὼν ἐπυνθάνετο, τοὺς φιλίππου φονεῖς εἰ πάντας εἴη τετιμωρημένος. εἶτα περὶ τῆς ἀρχῆς εἰ πάντων αὐτῷ δίδωσιν ἀνθρώπων κυρίῳ γενέσθαι. χρήσαντος δὲ τοῦ θεοῦ, καὶ τοῦτο διδόναι, καὶ φίλιππον ἀπέχειν ἔκπλεω τὴν δίκην, ἐδωρεῖτο τὸν θεὸν ἀναθήμασι λαμπροῖς, καὶ χρήμασι τοὺς ἀνθρώπους. Ταῦτα περὶ τῶν χρησμῶν οἱ πλεῖστοι γράφουσιν. αὐτὸς δὲ ἀλέξανδρος ἐν ἐπιστολῇ πρὸς τὴν μητέρα φησὶν, γεγονέναι τινὰς αὐτῷ μαντείας ἀπορρήτους. ἃς αὐτὸς ἐπανελθὼν, φράσει πρὸς μόνην ἐκείνην. ἔνιοι δέ φασιν, τὸν μὲν προφήτην, ἑλληνιστὶ βουλόμενον προσειπεῖν, μετά τινος φιλοφροσύνης, ὦ παιδίον, ἐν τῷ τελευταίῳ τῶν φθόγγων ὑπὸ βαρβαρισμοῦ, πρὸς τὸ σίγμα ἐξενεχθῆναι καὶ εἰπεῖν. ὦ παιδίος. ἀντὶ τοῦ, ν. τῷ σ. χρησάμενον. ἀσμένῳ δὲ τῷ ἀλεξάνδρῳ, τὸ σφάλμα τῆς φωνῆς γενέσθαι, καὶ διαδοθῆναι λόγον, ὡς παῖ διὸς αὐτὸν τοῦ θεοῦ προσειπόντος. Λέγεται δὲ καὶ ψάμμωνος ἐν αἰγύπτῳ τοῦ φιλοσόφου διακούσας, ἀποδέξασθαι μάλιστα τῶν λεχθέντων, ὅτι πάντες ἄνθρωποι βασιλεύονται ὑπὸ θεοῦ. τὸ γὰρ ἄρχον ἐν ἑκάστῳ καὶ κρατοῦν, θεῖόν ἐστιν. ἔτι δὲ μᾶλλον αὐτὸς περὶ τούτων, φιλοσοφώτερον δοξάζειν, καὶ λέγειν. ὡς πάντων μὲν ὄντα κοινὸν ἀνθρώπων πατέρα, τὸν θεόν. ἰδίους δὲ ποιούμενον ἑαυτοῦ, τοὺς ἀρίστους. καθόλου δὲ πρὸς μὲν τοὺς βαρβάρους, σοβαρὸς ἦν, καὶ σφόδρα πεπεισμένῳ περὶ τῆς ἐκ θεοῦ γενέσεως καὶ τεκνώσεως ὅμοιος. τοῖς δὲ ἕλλησι, μετρίως καὶ ὑποφειδόμενος, ἑαυτὸν ἐξεθείαζεν. πλὴν, περὶ σάμου γράφων ἀθηναίοις, ἐγὼ μὲν οὐκ ἄν φησιν ὑμῖν ἐλευθέραν πόλιν ἐδωκα καὶ ἔνδοξον. ἔχετε δὲ αὐτὴν λαβόντες παρὰ τοῦ τότε κυρίου καὶ πατρὸς ἐμοῦ προσαγορευομένου, λέγων τὸν φίλιππον. ὕστερον δὲ πληγῇ περιπεσὼν ὑπὸ τοξεύματος, καὶ περιαλγὴς γενόμενος, τοῦτο μὲν εἶπεν ὦ φίλοι τὸ ῥέον, αἷμα καὶ οὐκ ἰχὼρ, οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν. Ἐπεὶ δὲ μεγάλης ποτὲ βροντῆς γενομένης καὶ πάντων ἐκπλαγέντων, ἀνάξαρχος ὁ σοφιστὴς παρὼν ἔφη πρὸς αὐτὸν, μή τι σὺ τοιοῦτον ὁ τοῦ διὸς, γελάσας ἐκεῖνος, οὐ βούλομαι γὰρ εἶπεν φοβερὸς εἶναι τοῖς φίλοις, ὥσπερ σύ με κελεύεις ὁ καταφαυλίζων μου τὸ δεῖπνον, ὅτι ταῖς τραπέζαις ἰχθύας ὁρᾷς ἐπικειμένους, οὐ σατραπῶν κεφαλάς. τῷ γὰρ ὄντι λέγεται τὸν ἀνάξαρχον, ἰχθυδίων ἡφαιστίωνι πεμφθέντων ὑπὸ τοῦ βασιλέως, τὸν προειρημένον ἐπιφθέγξασθαι λόγον. οἷον ἐξευτελίζοντα καὶ κατειρωνευόμενον, τοὺς τὰ περίβλεπτα μεγάλοις πόνοις καὶ κινδύνοις διώκοντας. ὡς οὐδὲν, ἢ μικρὸν ἐν ἡδοναῖς καὶ ἀπολαύσεσι, πλέον ἔχοντας τῶν ἄλλων. ὁ γ' οὖν ἀλέξανδρος, καὶ ἀπὸ τῶν εἰρημένων δῆλός ἐστιν, αὐτὸς οὐδὲν πεπονθὼς, οὐδὲ τετυφωμένος. ἀλλὰ τοὺς ἄλλους καταδουλούμενος τῇ δόξῃ τῆς θειότητος.

Εἰς δὲ φοινίκην ἐπανελθὼν ἐξ αἰγύπτου, θυσίας τοῖς θεοῖς καὶ πομπὰς ἐπετέλει. καὶ χορῶν ἐγκυκλίων, καὶ τραγικῶν ἀγῶνας. οὐ μόνον ταῖς παρασκευαῖς, ἀλλὰ καὶ ταῖς ἁμίλλαις λαμπροὺς γενομένους. ἐχορήγουν γὰρ οἱ βασιλεῖς τῶν κυπρίων, ὥσπερ ἀθήνησιν οἱ κληρούμενοι τὰς φυλάς. καὶ ἠγωνίζοντο θαυμαστῇ φιλοτιμίᾳ πρὸς ἀλλήλους. μάλιστα δὲ νικοκρέων ὁ σαλαμίνιος, καὶ πασικράτης ὁ σόλιος, διεφιλονείκησαν. οὗτοι γὰρ ἔλαχον τοῖς ἐνδοξοτάτοις ὑποκριταῖς χορηγεῖν. πασικράτης μὲν, ἀθηνοδώρῳ. νικοκρέων δὲ, θετταλῷ, περὶ ὃν ἐσπουδάκει, καὶ αὐτὸς ἀλέξανδρος. οὐ μὴν διέφηνε τὴν σπουδὴν πρότερον ἢ ταῖς ψήφοις ἀναγορευθῆναι νικῶντα τὸν ἀθηνόδωρον. τότε δὲ ὡς ἔοικεν, ἀπιὼν, ἔφη, τοὺς μὲν κριτὰς ἐπαινεῖν. αὐτὸς μέντοι μέρος ἂν ἡδέως προέσθαι τῆς βασιλείας, ἐφ' ᾧ τὸ μὴ θετταλὸν ἰδεῖν νενικημένον. Ἐπεὶ δὲ ἀθηνόδωρος ὑπὸ τῶν ἀθηναίων ζημιωθεὶς ὅτι πρὸς τὸν ἀγῶνα τῶν διονυσίων οὐκ ἀπήντησεν, ἠξίου γράψαι περὶ αὐτοῦ τὸν βασιλέα, τοῦτο μὲν, οὐκ ἐποίησεν. τὴν δὲ ζημίαν, ἀπέστειλε παρ' ἑαυτοῦ. λύκωνος δὲ τοῦ σκαρφέως εὐημεροῦντος ἐν τῷ θεάτρῳ, καὶ στίχον εἰς τὴν κωμῳδίαν ἐμβαλόντος, αἴτησιν περιέχοντα δέκα ταλάντων, γελάσας, ἔδωκεν. δαρείου δὲ πέμψαντος ἐπιστολὴν πρὸς αὐτὸν, καὶ φίλους δεομένους, μύρια μὲν ὑπὲρ τῶν ἑαλωκότων λαβεῖν τάλαντα, τὴν δὲ ἐντὸς εὐφράτου πᾶσαν ἔχοντα καὶ γήμαντα μίαν τῶν θυγατέρων, φίλον εἶναι καὶ σύμμαχον, ἐκοινοῦτο τοῖς ἑταίροις. καὶ παρμενίωνος εἰπόντος, ἐγὼ μὲν εἰ ἀλέξανδρος ἤμην, ἔλαβον ἂν ταῦτα, κἀγὼ νὴ δία εἶπεν ὁ ἀλέξανδρος, εἰ παρμενίων. πρὸς δὲ τὸν δαρεῖον, ἔγραψεν ὡς οὐδενὸς ἀτυχήσει τῶν φιλανθρώπων ἐλθὼν πρὸς αὐτόν. εἰ δὲ μὴ αὐτὸς ἐπ' ἐκεῖνον ἤδη πορεύεσθαι. ταχὺ μέντοι μετεμελήθη, τῆς δαρείου γυναικὸς ἀποθανούσης ἐν ὠδῖσιν. καὶ φανερὸς ἦν ἀνιώμενος, ὡς ἐπίδειξιν οὐ μικρὰν ἀφῃρημένος χρηστότητος. ἔθαψεν οὖν ἄνθρωπον, οὐδεμιᾶς πολυτελείας φειδόμενος. τῶν δὲ θαλαμηπόλων τις εὐνοῦχων, οἳ συνεαλώκεισαν ταῖς γυναιξὶν, ἀποδρὰς ἐκ τοῦ στρατοπέδου, καὶ πρὸς δαρεῖον ἀφιππασάμενος τίρεως ὄνομα, φράζει τὸν θάνατον αὐτῷ τῆς γυναικός. ὡς δὲ πληξάμενος τὴν κεφαλὴν, καὶ ἀνακλαύσας, φεῦ τοῦ περσῶν ἔφη δαίμονος, εἰ τὴν βασιλέως γυναῖκα καὶ ἀδελφὴν, οὐ μόνον αἰχμάλωτον γενέσθαι ζῶσαν, ἀλλὰ καὶ τελευτήσασαν, ἄμοιρον κεῖσθαι ταφῆς βασιλικῆς, ὑπολαβὼν ὁ θαλαμηπόλος, ἀλλὰ ταφῆς γε χάριν εἶπεν ὦ βασιλεῦ καὶ τιμῆς ἁπάσης καὶ τοῦ πρέποντος, οὐδὲν ἔχεις αἰτιάσασθαι τὸν πονηρὸν δαίμονα περσῶν. οὔτε γὰρ ζώσῃ τῇ δεσποίνῃ στα-

[Margin: τοῦ τότε]

[Margin: τῷ. ς. η.]

πόλιν. γινομένου δὲ χλευασμοῦ καὶ γέλωτος, ἦν γὰρ ἡ τελευταία τοῦ μηνὸς ἡμέρα, διηπορημένους αὐτὸν ἰδὼν ὁ βασιλεὺς, καὶ συμφιλοτιμούμενος ἀεὶ τοῖς μαντεύμασιν, ἐκέλευε μηκέτι τριακάδα τὴν ἡμέραν ἐκείνην, ἀλλὰ τρίτην φθίνοντος ἀριθμεῖν. καὶ τῇ σάλπιγγι σημήνας, ἀπεπειρᾶτο τῶν τειχῶν ἐρρωμενέστερον ἢ κατ' ἀρχὰς διενοήθη. γενομένης δὲ λαμπρᾶς τῆς προσβολῆς, καὶ μηδὲ τῶν ἀπὸ στρατοπέδου καρτερούντων, ἀλλὰ συντρεχόντων καὶ προσβοηθούντων, ἀπεῖπον οἱ Τύριοι. καὶ τὴν πόλιν εἷλεν κατ' ἐκείνην τὴν ἡμέραν. Μετὰ δὲ ταῦτα πολιορκοῦντι Γάζαν αὐτῷ, τῆς Συρίας μεγίστην πόλιν, ἐμπίπτει βῶλος εἰς τὸν ὦμον ἀφεθεὶς ἄνωθεν ἀπὸ ὄρνιθος. ὁ δὲ ὄρνις ἐφ' ἑνὶ τῶν μηχανημάτων καθίσας, ἔλαθεν ἐνσχεθεὶς τοῖς νευρίνοις κεκρυφάλοις, οἷς πρὸς τὰς ἐπιστροφὰς τῶν σχοινίων ἐχρῶντο. καὶ τὸ σημεῖον ἀπέβη κατὰ τὴν Ἀριστάνδρου πρόρρησιν. ἐτρώθη μὲν γὰρ Ἀλέξανδρος εἰς τὸν ὦμον, ἔλαβε δὲ τὴν πόλιν. ἀποστέλλων δὲ πολλὰ τῶν λαφύρων Ὀλυμπιάδι καὶ Κλεοπάτρᾳ καὶ τοῖς φίλοις, συναπέστειλε καὶ Λεωνίδῃ τῷ παιδαγωγῷ τάλαντα λιβανωτοῦ πεντακόσια, καὶ σμύρνης ἑκατόν, ἀναμνησθεὶς παιδικῆς ἐλπίδος. ὁ γὰρ Λεωνίδης ὡς ἔοικεν, ἐν θυσίᾳ ποτὲ πρὸς τὸν Ἀλέξανδρον, ἐπιδραξάμενον ἀμφοτέραις ταῖς χερσὶ καὶ καθαγίζοντα τοῦ θυμιάματος, ὅταν ἔφη τῆς ἀρωματοφόρου κρατήσῃς Ἀλέξανδρε, πλουσίως οὕτως ἐπιθυμιάσεις. νῦν δὲ φειδομένως χρῶ τοῖς παροῦσι. τότε οὖν Ἀλέξανδρος ἔγραψε πρὸς αὐτόν. ἀπεστάλκαμέν σοι λιβανωτὸν ἄφθονον, καὶ σμύρναν, ὅπως παύσῃ πρὸς τοὺς θεοὺς μικρολογούμενος. Κιβωτίου δέ τινος αὐτῷ προσενεχθέντος, οὗ πολυτελέστερον οὐδὲν ἐφάνη τοῖς τὰ Δαρείου χρήματα καὶ τὰς ἀποσκευὰς παραλαμβάνουσιν, ἠρώτα τοὺς φίλους, ὅ τι δοκοίη μάλιστα τῶν ἀξίων σπουδῆς εἰς αὐτὸ καταθέσθαι. πολλὰ δὲ πολλῶν λεγόντων, αὐτὸς ἔφη τὴν Ἰλιάδα φρουρήσειν ἐνταῦθα κατατιθέμενος. καὶ ταῦτα μὲν οὐκ ὀλίγοι τῶν ἀξιοπίστων μεμαρτυρήκασιν. εἰ δ' ὅπερ Ἀλεξανδρεῖς λέγουσιν Ἡρακλείδῃ πιστεύοντες ἀληθές ἐστιν, οὔκουν οὐκ ἀργὸς οὐδὲ ἀσύμβολος αὐτῷ συστρατεύειν ἔοικεν Ὅμηρος. λέγουσι γὰρ, ὅτι τῆς Αἰγύπτου κρατήσας, ἐβούλετο πόλιν μεγάλην καὶ πολυάνθρωπον, Ἑλληνίδα συνοικίσας, ἐπώνυμον ἑαυτοῦ καταλιπεῖν. καί τινα τόπον γνώμῃ τῶν ἀρχιτεκτόνων, ὅσον οὐδέπω διεμετρεῖτο καὶ περιέβαλλεν. εἶτα νύκτωρ κοιμώμενος, ὄψιν εἶδε θαυμαστήν. ἀνὴρ πολιὸς εὖ μάλα τὴν κόμην, καὶ γεραρὸς τὸ εἶδος, ἔδοξεν αὐτῷ παραστὰς, λέγειν τὰ ἔπη τάδε. νῆσος ἔπειτά τις ἔστι, πολυκλύστῳ ἐνὶ πόντῳ, Αἰγύπτου προπάροιθεν, Φάρον δέ ἑ κικλήσκουσιν. εὐθὺς οὖν ἐξαναστὰς, ἐβάδιζεν ἐπὶ τὴν Φάρον, ἣ τότε μὲν ἔτι νῆσος ἦν τοῦ Κανωβικοῦ μικρὸν ἀνωτέρω στόματος. νῦν δὲ διὰ χώματος, ἀνείληπται πρὸς τὴν ἤπειρον. ὡς οὖν εἶδε τόπον εὐφυΐᾳ διαφέροντα. ταινία γάρ ἐστιν ἰσθμῷ, πλάτος ἔχοντι σύμμετρον ἐπιεικῶς διείργουσα, λίμνην τε πολλὴν καὶ θάλασσαν ἐν λιμένι μεγάλῳ τελευτῶσαν, εἰπὼν, ὡς Ὅμηρος ἦν ἄρα, τά τε ἄλλα θαυμαστὸς, καὶ σοφώτατος ἀρχιτέκτων, ἐκέλευσε διαγράψαι τὸ σχῆμα τῆς πόλεως, τῷ τόπῳ συναρμόττοντα. καὶ γῆ μὲν οὐ παρῆν λευκή. τῶν δὲ ἀλφίτων λαμβάνοντες ἐν πεδίῳ μελαγγείῳ κυκλοτερῆ κόλπον ἦγον. οὗ τὴν ἐντὸς περιφέρειαν, εὐθεῖαι βάσεις, ὥσπερ ἀπὸ κρασπέδων εἰς σχῆμα χλαμύδος ὑπελάμβανον, ἐξ ἴσου συνάγουσαι τὸ μέγεθος. ἡσθέντος δὲ τῇ διαθέσει τοῦ βασιλέως, αἰφνίδιον ὄρνιθες ἀπὸ τοῦ ποταμοῦ καὶ τῆς λίμνης, πλήθει τε ἄπειροι, καὶ κατὰ γένος παντοδαποὶ καὶ μεγάλοι, ἐπὶ τὸν τόπον καταίροντες, νέφεσιν ἐοικότες, οὐδὲ μικρὸν ὑπέλιπον τῶν ἀλφίτων. ὥστε καὶ τὸν Ἀλέξανδρον διαταραχθῆναι πρὸς τὸν οἰωνόν. οὐ μὴν ἀλλὰ καὶ τῶν μάντεων θαρρεῖν παραινούντων, πολυαρκεστάτην γὰρ οἰκίζεσθαι πόλιν ὑπ' αὐτοῦ, καὶ παντοδαπῶν ἀνθρώπων ἐσομένην τροφὸν, ἔργου κελεύσας ἔχεσθαι τοῖς ἐπιμεληταῖς, αὐτὸς ὥρμησεν εἰς Ἄμμωνος ὁδὸν μακράν. καὶ πολλὰ μὲν ἔχουσαν ἐργώδη καὶ ταλαίπωρα, κινδύνους δὲ δύο. τὸν μὲν, ἀνυδρίας, δι' ἣν ἔρημός ἐστιν οὐκ ὀλίγων ἡμερῶν. τὸν δὲ, εἰ λάβρος ἐν ἄμμῳ βαθείᾳ καὶ ἀχανεῖ πορευομένοις, ἐπιπέσοι νότος. ὥσπερ που καὶ πάλαι λέγεται περὶ τὸν Καμβύσου στρατὸν, ἀναστήσας θῖνα μεγάλην, καὶ κυματώσας τὸ πεδίον, μυριάδας ἀνθρώπων πέντε καταχῶσαι καὶ διαφθεῖραι. ταῦτα πάντα σχεδὸν πάντες ἐλογίζοντο. χαλεπὸν δὲ ἦν Ἀλέξανδρον ἀποτρέψαι, πρὸς ὁτιοῦν ὡρμημένον. ἥ τε γὰρ τύχη ταῖς ἐπιβολαῖς ὑπείκουσα, τὴν γνώμην ἰσχυρὰν ἐποίει, καὶ τὸ θυμοειδὲς ἄχρι τῶν πραγμάτων, ἐπεξέφερε τὴν φιλονεικίαν ἀήττητον. οὐ μόνον πολεμίους, ἀλλὰ καὶ τόπους, καὶ καιροὺς, καταβιαζομένην. ἐν γοῦν τῇ τότε πορείᾳ, τὰ συντυχόντα ταῖς ἀπορίαις παρὰ τοῦ θεοῦ βοηθήματα, τῶν ὕστερον χρησμῶν ἐπιστεύθη μᾶλλον. τρόπον δέ τινα καὶ τοῖς χρησμοῖς, ἡ πίστις ἐκ τούτων ὑπῆρξε. πρῶτον μὲν γὰρ ἐκ Διὸς ὕδωρ πολὺ, καὶ διαρκεῖς ὑετοὶ γενόμενοι, τόν τε τῆς δίψης φόβον ἔλυσαν, καὶ τὴν ξηρότητα κατασβέσαντες τῆς ἄμμου νοτερᾶς γενομένης, καὶ πρὸς αὑτὴν ξυμπεσούσης, εὔπνουν τὸν ἀέρα καὶ καθαρώτερον παρέσχον. ἔπειτα τῶν ὅρων, οἳ περ ἦσαν τοῖς ὁδηγοῖς συγχυθέντων, καὶ πλάνης οὔσης καὶ διασπασμοῦ τῶν βαδιζόντων διὰ τὴν ἄγνοιαν, κόρακες ἐκφανέντες, ὑπελάμβανον τὴν ἡγεμονίαν τῆς πορείας, ἑπομένων μὲν ἔμπροσθεν πετόμενοι καὶ σπεύδοντες, ὑστεροῦντας δὲ καὶ βραδύνοντας, ἀναμένοντες. ὃ δὲ ἦν θαυμασιώτατον, ὡς Καλλισθένης φησὶ, ταῖς φωναῖς ἀνακαλούμενοι τοὺς πλανωμένους νύκτωρ, καὶ κλάζοντες εἰς ἴχνος καθίστασαν τῆς πορείας. ἐπεὶ δὲ διεξελθὼν τὴν ἔ-

ἱματίων ἔλυπεν, ἐπισκοπῶν. μή τι μοι ξυφρὸν, ἢ περιαπτὸν ἡ μήτηρ συντέθεικεν. ἦν δὲ καὶ πρὸς οἶνον ἥττον, ἢ ἐδόκει καταφορής. ἔδοξε δὲ διὰ τὸν χρόνον ὃν οὐ πίνων μᾶλλον ἢ λαλῶν εἷλκεν, ἐφ' ἑκάστης κύλικος ἀεὶ μακρόν τινα λόγον διατιθέμενος, καὶ ταῦτα πολλῆς σχολῆς οὔσης. ἐπεὶ πρός γε τὰς πράξεις οὐκ οἶνος ἐκεῖνον. οὐχ ὕπνος. οὐ παιδιά τις. οὐ γάμος. οὐ θέα. καθάπερ ἄλλους στρατηγοὺς ἐπέσχεν. δηλοῖ δὲ ὁ βίος, ὃν βιώσας βραχὺν παντάπασι, πλείστων καὶ μεγίστων πράξεων ἐνέπλησεν. ἐν δὲ ταῖς σχολαῖς. πρῶτον μὲν ἀναστὰς καὶ θύσας τοῖς θεοῖς, εὐθὺς ἠρίστα καθήμενος. ἔπειτα διημέρευε, κυνηγῶν, ἢ συντάττων, ἢ δικάζων τι τῶν πολεμικῶν, ἢ ἀναγινώσκων. εἰ δὲ ὁδὸν βαδίζοι, μὴ λίαν ἐπείγουσαν, ἐμάνθανεν ἅμα πορευόμενος, ἢ τοξεύειν, ἢ ἐπιβαίνειν ἅρματος ἐλαυνομένου καὶ ἀποβαίνειν. πολλάκις δὲ παίζων, καὶ ἀλώπεκας ἐθήρευεν, καὶ ὄρνιθας, ὡς ἔστι λαβεῖν ἐκ τῶν ἐφημερίδων. καταλύσας δὲ καὶ τρεπόμενος πρὸς λουτρὸν ἢ ἄλειμμα, τοὺς ἐπὶ τῶν σιτοποιῶν καὶ μαγείρων ἀνέκρινεν, εἰ τὰ πρὸς τὸ δεῖπνον εὐπρεπῶς ἔχουσι. καὶ δειπνεῖν μὲν ὀψὲ, καὶ σκότους ἤδη κατακλινόμενος, ἤρχετο. θαυμαστὴ δὲ ἦν ἡ ἐπιμέλεια, καὶ περίβλεψις ἐπὶ τῆς τραπέζης, ὅπως μηδὲν ἀνίσως, μὴ δὲ ὀλιγώρως διανέμοιτο. τὸν δὲ πότον, ὥσπερ εἴρηται, μακρὸν ὑπὸ ἀδολεσχίας ἐξέτεινεν. καὶ τἄλλα πάντων ἥδιστος ὢν βασιλέων συνεῖναι καὶ χάρι τις οὐδεμιᾶς ἀμοιρῶν, τότε ταῖς μεγαλαυχίαις, ἀηδὴς ἐγίνετο καὶ λίαν στρατιωτικὸς, αὐτός τε πρὸς τὸ κομπῶδες ὑποφερόμενος, καὶ τοῖς κόλαξιν ἑαυτὸν ἀνεὶς ἱππάσιμον, ὑφ' ὧν οἱ χαριέστατοι τῶν παρόντων ἐπετρίβοντο, μήτε ἁμιλλᾶσθαι τοῖς κόλαξι, μήτε λείπεσθαι βουλόμενοι τῶν αὐτῶν ἐπαίνων. τὸ μὲν γὰρ αἰσχρὸν ἐδόκει. τὸ δὲ κίνδυνον ἔφερε.

Μετὰ δὲ τὸν πότον λουσάμενος, ἐκάθευδε πολλάκις, μέχρι μέσης ἡμέρας. ἔστιν δ' ὅτε καὶ διημερεύετ' ἐν τῷ καθεύδειν. αὐτὸς μὲν οὖν, καὶ ὄψων ἐγκρατὴς ἦν, ὥς τε καὶ τὰ σπανιώτατα πολλάκις τῶν ἀπὸ θαλάττης αὐτῷ κομιζομένων ἀκροδρύων, καὶ ἰχθύων, ἑκάστῳ διαπεμπόμενος τῶν ἑταίρων πολλάκις ἑαυτῷ μόνῳ μηδὲν καταλιπεῖν. τὸ μέντοι δεῖπνον, ἦν ἀεὶ μεγαλοπρεπὲς, καὶ τοῖς εὐτυχήμασι τῆς δαπάνης, ἅμα συναυξανομένης, τέλος εἰς μυρίας δραχμὰς προῆλθεν. ἐνταῦθα δὲ ἔστη. καὶ τοσοῦτον ὡρίσθη τελεῖν τοῖς ὑποδεχομένοις ἀλέξανδρον. μετὰ δὲ τὴν μάχην τὴν ἐν ἰσσῷ, πέμψας εἰς δαμασκὸν, ἔλαβε τὰ χρήματα καὶ τὰς ἀποσκευὰς, καὶ τὰ τέκνα καὶ τὰς γυναῖκας τῶν περσῶν, καὶ πλεῖστα μὲν ὠφελήθησαν οἱ τῶν θετταλῶν ἱππεῖς. τούτους γὰρ ἄνδρας ἀγαθοὺς διαφερόντως ἐν τῇ μάχῃ γενομένους, ἔπεμψεν ἐπίτηδες ὠφεληθῆναι βουλόμενος. ἐνεπλήσθη δὲ καὶ τὸ λοιπὸν εὐπορίας στρατόπεδον. καὶ γευσάμενοι τότε πρῶτον, οἱ μακεδόνες, χρυσοῦ καὶ ἀργύρου, καὶ γυναικῶν, καὶ διαίτης βαρβαρικῆς, ὥσπερ κύνες ἔσπευδον ἀψάμενοι στίβου, διώκειν καὶ ἀνιχνεύειν τὸν περσῶν πλοῦτον. οὐ μὴν, ἀλλ' ἀλεξάνδρῳ πρῶτον ἐδόκει κρατύνεσθαι τὰ πρὸς θαλάσσῃ. κύπρον μὲν οὖν, εὐθὺς οἱ βασιλεῖς ἧκον ἐγχειρίζοντες αὐτῷ. καὶ φοινίκην πλὴν τύρου. τύρον δὲ πολιορκῶν, ἑπτὰ μῆνας, χώμασι καὶ μηχαναῖς καὶ τριήρεσι διακοσίαις ἐκ θαλάττης, ὄναρ εἶδε τὸν ἡρακλέα δεξιούμενον αὐτὸν ἀπὸ τοῦ τείχους, καὶ καλοῦντα. τῶν δὲ τυρίων πολλοῖς κατὰ τοὺς ὕπνους, ἔδοξεν ὁ ἀπόλλων λέγειν, ὡς ἄπεισι πρὸς ἀλέξανδρον. οὐ γὰρ ἀρέσκειν αὐτῷ τὰ πρασσόμενα κατὰ τὴν πόλιν. ἀλλ' αὐτοὶ μὲν, ὥσπερ ἄνθρωπον αὐτομολοῦντα πρὸς τοὺς πολεμίους, ἐπ' αὐτοφώρῳ τὸν θεὸν εἰληφότες, σειράς τε τῷ κολοσσῷ περιέβαλλον αὐτοῦ. καὶ καθήλουν πρὸς τὴν βάσιν ἀλεξανδριστὴν καλοῦντες. ἑτέραν δὲ ὄψιν ἀλέξανδρος εἶδεν κατὰ τοὺς ὕπνους. σάτυρος αὐτῷ φανεὶς, ἐδόκει προσπαίζειν πόρρωθεν. εἶτα βουλομένου λαβεῖν, ὑπεξέφυγεν. τέλος δὲ πολλὰ λιπαρήσαντος καὶ περιδραμόντος, ἦλθεν εἰς χεῖρας. οἱ δὲ μάντεις τοὔνομα διαιροῦντες, οὐκ ἀπιθάνως ἔφασαν αὐτῷ, σὴ γενήσεται τύρος, καὶ κρήνην δέ τινα δεικνύουσιν πρὸς ἣν κατὰ τοὺς ὕπνους ἰδεῖν ἔδοξεν τὸν σάτυρον. διὰ μέσου δὲ τῆς πολιορκίας ἐπὶ τοὺς ἄραβας τοὺς προσοικοῦντας τῷ ἀντιλιβάνῳ στρατεύσας, ἐκινδύνευσεν διὰ τὸν παιδαγωγὸν λυσίμαχον. ἐξηκολούθησε γὰρ αὐτῷ, λέγων τοῦ φοίνικος οὐκ εἶναι χείρων οὐδὲ πρεσβύτερος. ἐπεὶ δὲ πλησιάσας τοῖς ὀρεινοῖς καὶ τοὺς ἵππους ἀπολιπὼν, πεζὸς ἐβάδιζεν. οἱ μὲν ἄλλοι πολὺ προῆλθον. αὐτὸς δὲ τὸν λυσίμαχον ἑσπέρας ἤδη καταλαμβανούσης, καὶ τῶν πολεμίων ἐγγὺς ὄντων, ἀπαγορεύοντα καὶ βαρυνόμενον οὐχ ὑπομένων ἀπολιπεῖν, ἀλλ' ἀνακαλούμενος καὶ παρακομίζων, ἔλαθεν τοῦ στρατεύματος ἀποσπασθεὶς μετ' ὀλίγων. καὶ σκότους ἅμα καὶ ῥίγους σφοδροῦ νυκτερεύων, ἐν χωρίοις χαλεποῖς. εἶδεν οὖν πόρρω πυρὰ πολλὰ καιόμενα σποράδην τῶν πολεμίων. θαῤῥῶν δὲ τοῦ σώματος τῇ κουφότητι, καὶ τῷ πονεῖν αὐτὸς ἀεὶ, παραμυθούμενος τὴν ἀπορίαν τῶν μακεδόνων, προσέδραμε τοῖς ἔγγιστα πῦρ καίουσιν, καὶ περικαθημένους τῇ πυρᾷ δύο βαρβάρους πατάξας τῷ ἐγχειριδίῳ, καὶ δαλὸν ἁρπάσας, ἧκεν πρὸς τοὺς ἑαυτοῦ κομίζων. ἐκκαύσαντες δὲ πῦρ πολὺ, τοὺς μὲν εὐθὺς ἐφόβησαν ὥστε φυγεῖν. τοὺς δ' ἐπιόντας ἐτρέψαντο, καὶ κατηυλίσθησαν ἀκινδύνως. ταῦτα μὲν οὖν, χάρης ἱστόρηκεν. ἡ δὲ πολιορκία, τοιοῦτον ἔσχε πέρας. ἀλεξάνδρου τὴν μὲν πολλὴν τῆς δυνάμεως ἀναπαύοντος ἀπὸ πολλῶν ἀγώνων τῶν ἔμπροσθεν, ὀλίγους δέ τινας ὡς μὴ σχολάζειεν οἱ πολέμιοι τοῖς τείχεσι προσάγοντος, ἀρίστανδρος ὁ μάντις ἐσφαγιάζετο. καὶ τὰ σημεῖα κατιδὼν, θρασύτερον διωρίσατο πρὸς τοὺς παρόντας, ἐν ἐκείνῳ τῷ μηνὶ πάντως ἁλώσεσθαι τὴν

λων τοῖς περὶ τὸν ἀντίπατρον, οὐκ εἴρηκεν ὅς τις ἦν ὁ τρώσας. ὅτι δὲ τρωθείη τὸν μηρὸν ἐγχειριδίῳ, δυσχερὲς δ' οὐδὲν ἀπὸ τοῦ τραύματος συμβαίη, γέγραφε. νικήσας δὲ λαμπρῶς, καὶ καταβαλὼν ὑπὲρ ἕνδεκα μυριάδας τῶν πολεμίων, δαρεῖον μὲν, οὐχ εἷλε, τέτταρας σταδίους ἢ πέντε προλαβόντα τῇ φυγῇ. τὸ δὲ ἅρμα, καὶ τὸ τόξον αὐτοῦ λαβὼν, ἐπανῆλθε καὶ κατέλαβε τοὺς μακεδόνας, τὸν μὲν ἄλλον πλοῦτον, ἐκ τοῦ βαρβαρικοῦ στρατοπέδου, φέροντας καὶ ἄγοντας ὑπερβάλλοντα πλήθει. καίπερ εὐζώνων πρὸς τὴν μάχην παραγενομένων, καὶ τὰ πλεῖστα τῆς ἀποσκευῆς ἐν δαμασκῷ καταλιπόντων. τὴν δὲ δαρείου σκηνὴν, ἐξῃρηκότας ἐκείνῳ, θεραπείας τε λαμπρᾶς καὶ παρασκευῆς, καὶ χρημάτων πολλῶν γέμουσαν. εὐθὺς οὖν ἀποδυσάμενος τὰ ὅπλα, πρὸς τὸ λουτρὸν ἐβάδιζεν εἰπών. ἴωμεν ἀπολουσόμενοι τὸν ἀπὸ τῆς μάχης ἱδρῶτα, τῷ δαρείου λουτρῷ. καί τις τῶν ἑταίρων, μὰ δί' εἶπεν, ἀλλὰ τῷ ἀλεξάνδρου. τὰ γὰρ τῶν ἡττωμένων, εἶναί τε δεῖ, καὶ προσαγορεύεσθαι τοῦ κρατοῦντος. ὡς δὲ εἶδεν μενέλκια καὶ κρωσσοὺς καὶ πυέλους καὶ ἀλαβάστρους. πάντα χρυσοῦ, ἠσκημένα περιττῶς. ὠσώδει δὲ θεσπέσιον οἷον, ὑπὸ ἀρωμάτων καὶ μύρων ὁ οἶκος. ἐκ δὲ τούτου, παρῆλθεν εἰς σκηνὴν ὕψει τε καὶ μεγέθει. καὶ τῶν περὶ τὴν στρωμνὴν, καὶ τραπέζας καὶ τὸ δεῖπνον αὐτοῦ κόσμῳ, θαύματος ἀξίαν διαβλέψας πρὸς τοὺς ἑταίρους, τοῦτ' ἦν ὡς ἔοικεν ἔφη τὸ βασιλεύειν.

εἶδε μὲν ὅλκια

Τρεπομένῳ δὲ πρὸς τὸ δεῖπνον αὐτῷ, φράζει τις ἐν τοῖς αἰχμαλώτοις ἀγομένας μητέρα καὶ γυναῖκα δαρείου, καὶ θυγατέρας δύο παρθένους, ἰδούσας τὸ ἅρμα καὶ τὰ τόξα, κόπτεσθαι καὶ θρηνεῖν, ὡς ἀπολωλότος ἐκείνου. συχνὸν οὖν ἐπισχὼν χρόνον ἀλέξανδρος, καὶ ταῖς ἐκείνων τύχαις μᾶλλον ἢ ταῖς ἑαυτοῦ ἐμπαθὴς γενόμενος, πέμπει λεοννάτον ἀπαγγεῖλαι κελεύσας, ὡς οὔτε δαρεῖος τέθνηκεν. οὔτε ἀλέξανδρον δεδιέναι χρή. δαρείῳ γὰρ, ὑπὲρ ἡγεμονίας πολεμεῖν ἐκείναις δὲ πάντα ὑπάρξειν, ὧν καὶ δαρείου βασιλεύοντος ἠξιοῦντο. τοῦ δὲ λόγου ταῖς γυναιξὶν ἡμέρου καὶ χρηστοῦ φανέντος. ἔτι μᾶλλον γενομέναις αἰχμαλώτοις. τὰ ἀπὸ τῶν ἔργων ἀπήντα φιλάνθρωπα. θάψαι γὰρ ὅσους ἐβούλοντο περσῶν, ἔδωκεν ἐσθῆτι καὶ κόσμῳ χρησαμέναις ἐκ τῶν λαφύρων. θεραπείας τε καὶ τιμῆς ἣν εἶχον, οὐδ' ὅτι οὖν ἀφεῖλεν. συντάξεις δὲ μείζονας, ἐκαρποῦντο τῶν προτέρων. ἡ δὲ καλλίστη καὶ βασιλικωτάτη χάρις ἦν παρ' αὐτοῦ, γυναιξὶ γενναίαις γενομέναις αἰχμαλώτοις καὶ σώφροσι μήτε ἀκοῦσαί τι, μήτε ὑπονοῆσαι, μήτε προσδοκῆσαι τῶν αἰσχρῶν. ἀλλ' ὥσπερ οὐκ ἐν στρατοπέδῳ πολεμίων, ἀλλ' ἐν ἱεροῖς καὶ ἁγίοις φυλαττομένας παρθενῶσιν, ἀπόρρητον ἔχειν, καὶ ἀόρατον ἑτέροις δίαιταν. καίτοι λέγεταί γε τὴν δαρείου γυναῖκα πολὺ πασῶν τῶν βασιλίδων εὐπρεπεστάτην γενέσθαι, καθάπερ καὶ αὐτὸς ὁ δαρεῖος, ἀνδρῶν κάλλιστος καὶ μέγιστος. τὰς δὲ παῖδας, ἐοικέναι τοῖς γονεῦσιν. ἀλλ' ἀλέξανδρος ὡς ἔοικεν τοῦ νικᾶν τοὺς πολεμίους, τὸ κρατεῖν ἑαυτοῦ βασιλικώτερον ἡγούμενος, οὔτε τούτων ἔθιγεν, οὔτε ἄλλην ἔγνω γυναῖκα πρὸ γάμου, πλὴν βαρσίνης. αὕτη δὲ μετὰ τὴν μέμνονος τελευτὴν, χήρα γενομένη περὶ δαμασκὸν ἐλήφθη. πεπαιδευμένη δὲ παιδείαν ἑλληνικὴν, καὶ τὸν τρόπον ἐπιεικὴς οὖσα, καὶ πατρὸς ἀρταβάζου, γεγονότος ἐκ βασιλέως θυγατρὸς, ἐγνώσθη, παρμενίωνος προτρεψαμένου τὸν ἀλέξανδρον, ὥς φησιν ἀριστόβουλος. καλῆς καὶ γενναίας, καὶ τὸ κάλλος, ἅψασθαι γυναικός. τὰς δ' ἄλλας αἰχμαλώτους ὁρῶν ὁ ἀλέξανδρος, κάλλει καὶ μεγέθει διαφερούσας, ἔλεγε παίζων. ὡς εἰσὶν ἀλγηδόνες ὀμμάτων αἱ περσίδες. ἀντεπιδεικνύμενος δὲ πρὸς τὴν ἰδέαν τὴν ἐκείνων, τὸ τῆς ἰδίας ἐγκρατείας καὶ σωφροσύνης κάλλος, ὥσπερ ἀψύχους εἰκόνας ἀγαλμάτων παρέπεμπεν.

οὐδ' ὁτιοῦν
νοῆσαι
ὥσπερ

ἐπεὶ δὲ φιλόξενος ὁ τῶν ἐπὶ θαλάττης στρατηγὸς, ἔγραψεν εἶναι παρ' αὐτῷ θεόδωρόν τινα ταραντῖνον ἔχοντα παῖδας ὠνίους δύο, τὴν ὄψιν ὑπερφυεῖς, καὶ πυνθανόμενος εἰ πρίηται, χαλεπῶς ἐνεγκὼν, ἐβόα πολλάκις πρὸς τοὺς φίλους ἐρωτῶν, τί πώποτε φιλόξενος αἰσχρὸν αὐτῷ συνεγνωκὼς, τοιαῦτα ὀνείδη προξενῶν κάθηται. τὸν δὲ φιλόξενον αὐτὸν ἐν ἐπιστολῇ πολλὰ λοιδορήσας, ἐκέλευσεν αὐτοῖς φορτίοις τὸν θεόδωρον εἰς τὸν ὄλεθρον ἀποστέλλειν. ἐπέπληξε δὲ καὶ ἅγνωνι νεανίσκῳ. γράψαντι πρὸς αὐτὸν, ὅτι κρωβύλον εὐδοκιμοῦντα ἐν κορίνθῳ, βούλεται πριάμενος ἀγαγεῖν πρὸς αὐτόν. πυνθανόμενος δὲ μισθοφόρων τινῶν γύναια διεφθαρκέναι δάμωνα, καὶ τιμόθεον μακεδόνας τῶν ὑπὸ παρμενίωνι στρατευομένων, ἔγραψε παρμενίωνι κελεύων, ἐὰν ἐλεγχθῶσιν, ὡς θηρία ἐπὶ φθορᾷ τῶν ἀνθρώπων γεγονότα, τιμωρησάμενον ἀποκτεῖναι. καὶ περὶ ἑαυτοῦ κατὰ λέξιν, ἐν ταύτῃ τῇ ἐπιστολῇ γέγραφεν. ἐγὼ γὰρ οὐχ ὅτι ἑωρακὼς ἂν εὑρεθείην τὴν δαρείου γυναῖκα, ἢ βεβουλευμένος ἰδεῖν, ἀλλ' οὔτε τῶν λεγόντων περὶ τῆς εὐμορφίας αὐτῆς προσδεδεγμένος τὸν λόγον. ἔλεγε δὲ, μάλιστα συνιέναι θνητὸς ὢν ἐκ τοῦ καθεύδειν καὶ συνουσιάζειν, ὡς ἀπὸ μιᾶς ἐγγινόμενον ἀσθενείας τῇ φύσει, καὶ τὸ πονοῦν καὶ τὸ ἡδόμενον. ἦν δὲ καὶ γαστρὸς ἐγκρατέστατος ὤν, καὶ τοῦτο ἄλλοις τε πολλοῖς ἐδήλωσεν, καὶ τοῖς πρὸς ἄδαν λεχθεῖσιν, ἣν ἐποιήσατο μητέρα, καὶ καρίας βασίλισσαν ἀπέδειξεν. ὡς γὰρ ἐκείνη φιλοφρονουμένη, πολλὰ μὲν ὄψα καθ' ἡμέραν ἀπέστελλεν αὐτῷ, καὶ πέμματα. τέλος δὲ τοὺς δοκοῦντας εἶναι δεινοτάτους ὀψοποιοὺς καὶ ἀρτοποιοὺς, ἔφη τούτων μηδὲν δεῖσθαι. βελτίονας γὰρ ὀψοποιοὺς ἔχειν, ὑπὸ τοῦ παιδαγωγοῦ λεωνίδου δεδομένους αὐτῷ. πρὸς μὲν τὸ ἄριστον, νυκτοπορίαν. πρὸς δὲ τὸ δεῖπνον, ὀλιγαριστίαν. ὁ δ' αὐτὸς οὗτος ἀνήρ ἔφη, καὶ τῶν στρωμάτων ἐπιὼν τὰ ἀγγεῖα, καὶ τῶν

ἐχειροῦτο, καὶ γόρδιον πόλιν, ἑστίαν μίδου τοῦ παλαιοῦ γενέσθαι λεγομένην παραλαβὼν τὴν θρυλλουμένην ἅμαξαν εἶδεν φλοιῷ κρανείας ἐνδεδεμένην. καὶ λόγον ἐπ' αὐτῇ, πιστευόμενον ὑπὸ τῶν βαρβάρων ἤκουσεν. ὡς τῷ λύσαντι τὸν δεσμὸν, εἵμαρται, βασιλεῖ γενέσθαι τῆς οἰκουμένης. οἱ μὲν οὖν πολλοί φασι τῶν δεσμῶν τυφλὰς ἐχόντων τὰς ἀρχὰς καὶ δι' ἀλλήλων πολλάκις σκολιοῖς ἑλιγμοῖς ὑποφερομένων, τὸν ἀλέξανδρον ἀμηχανοῦντα λῦσαι, διατεμεῖν τῇ μαχαίρᾳ τὸ σύναμμα, καὶ πολλὰς ἐξ αὐτοῦ κοπέντος, ἀρχὰς φανῆναι. ἀριστόβουλος δὲ, καὶ πάνυ λέγει ῥᾳδίαν αὐτῷ τὴν λύσιν γενέσθαι, ἐξελόντι τοῦ ῥυμοῦ τὸν ἕστορα καλούμενον, ᾧ συνείχετο ζυγόδεσμον. εἶθ' οὕτως ὑφελκύσαντι τὸν ζυγόν. ἐντεῦθεν παφλαγόνας τε καὶ καππαδόκας προσαγαγόμενος, καὶ τὴν μέμνονος ἀκούσας τελευτὴν, ὃς τῶν ἐπὶ θαλάττῃ δαρείου στρατηγῶν ἐπίδοξος ἦν, ἀλεξάνδρῳ πολλὰ πράγματα, καὶ μυρίας ἀντιλήψεις καὶ ἀσχολίας παρέξειν, ἐπερρώσθη πρὸς τὴν ἄνω στρατείαν μᾶλλον. ἤδη δὲ καὶ δαρεῖος, ἐκ σούσων κατέβαινεν. ἐπαιρόμενός τε τῷ πλήθει τῆς δυνάμεως, ἑξήκοντα γὰρ ἦγε μυριάδας στρατοῦ. καί τινος ὀνείρου θαρρύνοντος αὐτὸν, ὃν οἱ μάγοι, πρὸς χάριν ἐξηγοῦντο μᾶλλον, ἢ κατὰ τὸ εἰκός. ἔδοξε γὰρ πυρὶ νέμεσθαι πολλῷ τὴν μακεδόνων φάλαγγα. τὸν δὲ ἀλέξανδρον ἔχοντα στολὴν, ἣν αὐτὸς ἐφόρει πρότερον, ἀστάνδης ὢν βασιλέως, ὑπηρετεῖν αὐτῷ. παρελθόντα δὲ εἰς τὸ τοῦ βήλου τέμενος, ἀφανῆ γενέσθαι. διὰ τούτων ὡς ἔοικεν, ὑπεδηλοῦτο παρὰ τοῦ θεοῦ, λαμπρὰ γενέσθαι καὶ περιφανῆ, τὰ τῶν μακεδόνων. ἀλέξανδρον δὲ τῆς μὲν ἀσίας κρατήσειν, ὥσπερ ἐκράτησε δαρεῖος ἐξ ἀστάνδου βασιλεὺς γενόμενος. ταχὺ δὲ, σὺν δόξῃ τὸν βίον ἀπολείψειν. ἔτι δὲ μᾶλλον ἐθάρρησεν, καταγνοὺς δειλίαν ἀλεξάνδρου, πλείω χρόνον ἐν κιλικίᾳ διατρίψαντος. ἦν δὲ ἡ διατριβὴ διὰ νόσον, ἣν οἱ μὲν ἐκ κόπων. οἱ δὲ λουσαμένῳ ἐν τῷ τοῦ κύδνου ῥεύματι καταπαγέντι προσπεσεῖν λέγουσιν. τῶν μὲν οὖν ἄλλων ἰατρῶν. οὐδεὶς ἐθάρρει βοηθήσειν, ἀλλὰ τὸν κίνδυνον οἰόμενοι πάσης ἰσχυρότερον εἶναι βοηθείας, ἐφοβοῦντο τὴν ἐκ τοῦ σφαλῆναι διαβολὴν πρὸς τοὺς μακεδόνας. φίλιππος δὲ ὁ ἀκαρνὰν, μοχθηρὰ μὲν ἑώρα τὰ περὶ αὐτὸν ὄντα. τῇ δὲ φιλίᾳ πιστεύων, καὶ δεινὸν ἡγούμενος εἰ κινδυνεύοντι μὴ συγκινδυνεύσει μέχρι τῆς ἐσχάτης πείρας βοηθῶν καὶ παραβαλλόμενος, ἐπεχείρησε φαρμακείᾳ, καὶ συνέπεισεν αὐτὸν ὑπομεῖναι, καὶ πιεῖν σπεύδοντα ῥωσθῆναι πρὸς τὸν πόλεμον. ἐν τούτῳ δὲ παρμενίων, ἔπεμψεν ἐπιστολὴν ἀπὸ στρατοπέδου, διακελευόμενος αὐτῷ φυλάξασθαι τὸν φίλιππον, ὡς ὑπὸ δαρείου πεπεισμένον ἐπὶ δωρεαῖς μεγάλαις, καὶ γάμῳ θυγατρὸς, ἀνελεῖν ἀλέξανδρον. ὁ δὲ τὴν ἐπιστολὴν ἀναγνοὺς, καὶ μηδενὶ δείξας τῶν φίλων, ὑπὸ τὸ προσκεφάλαιον ὑπέθηκεν. ὡς δὲ τοῦ καιροῦ παρόντος εἰσῆλθεν μετὰ τῶν ἑταίρων ὁ φίλιππος, τὸ φάρμακον ἐν κύλικι κομίζων. ἐκείνῳ μὲν, ἐπέδωκεν τὴν ἐπιστολήν. αὐτὸς δὲ τὸ φάρμακον ἐδέξατο προθύμως καὶ ἀνυπόπτως. ὥστε θαυμαστὴν καὶ θεατρικὴν τὴν ὄψιν εἶναι. τοῦ μὲν ἀναγινώσκοντος. τοῦ δὲ πίνοντος. εἶτα ἅμα πρὸς ἀλλήλους ἀποβλεπόντων οὐχ ὁμοίως. ἀλλὰ τοῦ μὲν ἀλεξάνδρου, φαιδρῷ τῷ προσώπῳ καὶ διακεχυμένῳ τὴν πρὸς τὸν φίλιππον εὐμένειαν καὶ πίστιν ἀποφαίνοντος. ἐκείνου δὲ πρὸς τὴν διαβολὴν ἐξισταμένου, καὶ ποτὲ μὲν, θεοκλυτοῦντος καὶ πρὸς τὸν οὐρανὸν ἀνατείνοντος τὰς χεῖρας, ποτὲ δὲ τῇ κλίνῃ περιπίπτοντος καὶ παρακαλοῦντος τὸν ἀλέξανδρον εὐθυμεῖν, καὶ προσέχειν αὐτῷ. τὸ γὰρ φάρμακον, ἐν ἀρχῇ κρατῆσαν τοῦ σώματος, οἷον ἀπέωσε, καὶ κατέδυσεν εἰς βάθος τὴν δύναμιν, ὥστε καὶ φωνὴν ἐπιλείπειν. καὶ τὰ περὶ τὴν αἴσθησιν ἀσαφῆ, καὶ μικρὰ κομιδῆ γενέσθαι λειποθυμίας ἐπιπεσούσης. οὐ μὴν ἀλλὰ ταχέως ἀναληφθεὶς ὑπὸ τοῦ φιλίππου, καὶ ῥωσθεὶς αὐτὸν, ἐπέδειξε τοῖς μακεδόσιν. οὐ γὰρ ἐπαύοντο πρὶν ἰδεῖν τὸν ἀλέξανδρον ἀθυμοῦντες. ἦν δέ τις ἐν τῷ δαρείου στρατῷ πεφευγὼς ἐκ μακεδονίας ἀνὴρ μακεδὼν ἀμύντας, οὐκ ἄπειρος τῆς ἀλεξάνδρου φύσεως. οὗτος ὡρμημένον ἰδὼν δαρεῖον εἴσω τῶν στενῶν βαδίζειν ἐπ' ἀλέξανδρον ἐδεῖτο κατὰ χώραν ὑπομένειν, ἐν πλάτος ἔχουσι πεδίοις καὶ ἀναπεπταμένοις, πρὸς ἐλάττονας πλήθει τοσούτῳ διαμαχούμενον. ἀποκριναμένου δὲ δαρείου, δεδιέναι μὴ φθάσωσιν αὐτὸν ἀποδράντες οἱ πολέμιοι, καὶ διαφυγὼν ἀλέξανδρος, ἀλλὰ τούτου γε εἶπεν, ὦ βασιλεῦ, χάριν, θάρρει. βαδιεῖται γὰρ ἐκεῖνος ἐπὶ σέ. καὶ σχεδὸν ἤδη βαδίζει. ταῦτα λέγων ἀμύντας, οὐκ ἔπειθεν, ἀλλ' ἀναστὰς ἐπορεύετο δαρεῖος εἰς κιλικίαν. ἅμα δὲ ἀλέξανδρος, εἰς συρίαν ἐπ' ἐκεῖνον. ἐν δὲ τῇ νυκτὶ, διαμαρτόντες ἀλλήλων, αὖθις ἀνέστρεφον ἀλέξανδρος μὲν ἡδόμενός τε τῇ συντυχίᾳ, καὶ σπεύδων ἀπαντῆσαι περὶ τὰ στενά. δαρεῖος δὲ τὴν προτέραν ἀναλαβεῖν στρατοπεδείαν, καὶ τῶν στενῶν ἐξελίξαι τὴν δύναμιν. ἤδη γὰρ ἐγνώκει παρὰ τὸ συμφέρον ἐμβεβληκὼς ἑαυτὸν εἰς χωρία θαλάττῃ καὶ ὄρεσι. καὶ ποταμῷ διαμέσου ῥέοντι τῷ πινάρῳ δύσιππα, καὶ διεσπασμένα πολλαχοῦ, καὶ πρὸς τῆς ὀλιγότητος τῶν πολεμίων ἔχοντα θέσιν. ἀλεξάνδρῳ δὲ, τὸν μὲν τόπον ἡ τύχη παρέσχεν, ἐστρατήγησεν δὲ τῶν ἀπὸ τῆς τύχης ὑπαρχόντων, πρὸς τὸ νικῆσαι, βέλτιον. ὅς γε τοσούτῳ πλήθει τῶν βαρβάρων λειπόμενος. ἐκείνοις μὲν, οὐ παρέσχε κυκλῶσαι. αὐτὸς δὲ, τῷ δεξιῷ τὸ εὐώνυμον ὑπερβαλών. καὶ γενόμενος κατὰ κέρας, φυγὴν ἐποίησεν τῶν καθ' αὑτὸν βαρβάρων, ἐν πρώτοις ἀγωνιζόμενος, ὥστε τρωθῆναι ξίφει τὸν μηρόν. ὡς μὲν χάρης φησὶν ὑπὸ δαρείου, συμπεσεῖν γὰρ αὐτοὺς εἰς χεῖρας. ἀλέξανδρος δὲ περὶ τῆς μάχης ἐπιστέλ-

ἀπόβασιν μετὰ μάχης, τῶν πλείστων δεδιότων, ἐνίων δὲ, καὶ τὸν περὶ τὸν μῆνα νενομισμένον, οἰομένων δεῖν φυλάξασθαι. δαισίου γὰρ, οὐκ εἰώθεισαν οἱ βασιλεῖς τῶν μακεδόνων ἐξάγειν τὴν στρατιὰν, τοῦτο μὲν, ἐπηνορθώσατο, κελεύσας δεύτερον ἀρτεμίσιον ἄγειν. τοῦ δὲ παρμενίωνος, ὡς ὀψὲ τῆς ὥρας οὔσης, οὐκ ἐῶντος ἀποκινδυνεύειν, εἰπὼν, αἰσχύνεσθαι τὸν ἑλλήσποντον, εἰ φοβήσεται τὸν γρανικὸν, διαβεβηκὼς ἐκεῖνον, ἐμβάλλει τῷ ῥεύματι σὺν ἴλαις ἱππέων τρισκαίδεκα. καὶ πρὸς ἐναντία βέλη καὶ τόπους ἀποῤῥῶγας, ὅπλοις κατὰ πεφραγμένους, καὶ ἵππους, ἐλαύνων, καὶ διὰ ῥεύματος παραφέροντος καὶ περικλύζοντος, ἔδοξε μανικῶς, καὶ πρὸς ἀπόνοιαν μᾶλλον, ἢ γνώμῃ στρατηγεῖν. ὁ μὲν, ἀλλ' ἐμφὺς τῇ διαβάσει, καὶ κρατήσας τῶν τόπων χαλεπῶς καὶ μόλις, ὑγρῶν καὶ περισφαλῶν γενομένων διὰ τὸν πηλὸν, εὐθὺς ἠναγκάζετο φύρδην μάχεσθαι. καὶ κατ' ἄνδρα συμπλέκεσθαι τοῖς ἐπιφερομένοις, πρὶν εἰς τάξιν τινὰ καταστῆναι τοὺς διαβαίνοντας. ἐνέκειντο γὰρ κραυγῇ. καὶ τοὺς ἵππους παραβάλλοντες τοῖς ἵπποις, ἐχρῶντο δόρασι, καὶ ξίφεσι τῶν δοράτων συντριβέντων. ὠσαμένων δὲ πολλῶν ἐπ' αὐτὸν, ἦν δὲ τῇ πέλτῃ καὶ τοῦ κράνους τῇ χαίτῃ διαπρεπὴς, ἧς ἑκατέρωθεν εἱστήκει πτερὸν λευκότητι καὶ μεγέθει θαυμαστόν. ἀκοντισθεὶς μὲν, ὑπὸ τὴν ὑπὸ πτυχίδα τοῦ θώρακος, οὐκ ἐτρώθη. ῥοισάκου δὲ καὶ σπιθριδάτου τῶν στρατηγῶν προσφερομένων ἅμα, τὸν μὲν ἐκκλίνας, ῥοισάκῃ δὲ προεμβαλὼν τεθωρακισμένῳ τὸ δόρυ, καὶ κατακλάσας τοῦτο, ἐπὶ τὸ ἐγχειρίδιον ὥρμησε. συμπεπτωκότων δὲ αὐτῶν, ὁ σπιθριδάτης ὑποστήσας ἐκ πλαγίων τὸν ἵππον, καὶ μετὰ σπουδῆς συνεξαναστὰς, κοπίδι βαρβαρικῇ κατήνεγκε, καὶ τὸν μὲν λόφον, ἀπήραξε μετὰ θατέρου πτεροῦ, τὸ δὲ κράνος, πρὸς τὴν πληγὴν ἀκριβῶς, καὶ μόλις ἀντέσχεν, ὥστε τῶν πρώτων ψαῦσαι τριχῶν τὴν πτέρυγα τῆς κοπίδος. ἕτερον δὲ τὸν σπιθριδάτην πάλιν ἐπαιρόμενον, ἔφθασε κλεῖτος ὁ μέλας, τῷ ξυστῷ διελάσας μέσον. ὁμοῦ δὲ καὶ ῥοισάκης ἔπεσεν ὑπὸ ἀλεξάνδρου ξίφει πληγείς.

Ἐν τούτῳ δὲ κινδύνου καὶ ἀγῶνος οὔσης τῆς ἱππομαχίας, ἥ τε φάλαγξ διέβαινε τῶν μακεδόνων, καὶ συνῆγον αἱ πεζαὶ δυνάμεις. οὐ μὴν ὑπέστησαν ἐῤῥωμένως οὐδὲ πολὺν χρόνον, ἀλλ' ἔφυγον τραπόμενοι, πλὴν τῶν μισθοφόρων ἑλλήνων. οὗτοι δὲ πρός τινι λόφῳ συστάντες, ᾔτουν τὰ πιστὰ τὸν ἀλέξανδρον. ὁ δὲ θυμῷ μᾶλλον ἢ λογισμῷ πρῶτος ἐμβαλὼν, τόν τε ἵππον ἀποβάλλει ξίφει πληγέντα διὰ τῶν πλευρῶν, ἦν δὲ ἕτερος, οὐχ ὁ βουκεφάλας, καὶ τοὺς πλείστους τῶν ἀποθανόντων καὶ τραυματισθέντων, ἐκεῖ συνέβη κινδυνεῦσαι καὶ πεσεῖν, πρὸς ἀνθρώπους ἀπεγνωκότας, καὶ μαχίμους συμπλεκομένους. λέγονται δὲ, πεζοὶ μὲν, δισμύριοι τῶν βαρβάρων. ἱππεῖς δὲ, δισχίλιοι πεντακόσιοι πεσεῖν. τῶν δὲ περὶ τὸν ἀλέξανδρον, ἀριστόβουλός φησι, τέσσαρας καὶ τριάκοντα νεκροὺς γενέσθαι τοὺς πάντας. ὧν ἐννέα πεζοὺς εἶναι. τούτων μὲν οὖν, ἐκέλευσεν εἰκόνας ἀνασταθῆναι χαλκᾶς, ἃς λύσιππος εἰργάσατο. κοινούμενος δὲ τὴν νίκην τοῖς ἕλλησιν, ἰδίᾳ μὲν τοῖς ἀθηναίοις ἔπεμψε τῶν αἰχμαλώτων τριακοσίας ἀσπίδας. κοινῇ δὲ τοῖς ἄλλοις λαφύροις ἐκέλευσεν ἐπιγράψαι φιλοτιμοτάτην ἐπιγραφήν. ἀλέξανδρος ὁ φιλίππου καὶ οἱ ἕλληνες, πλὴν λακεδαιμονίων. ἀπὸ τῶν βαρβάρων τῶν τὴν ἀσίαν κατοικούντων. ἐκπώματα δὲ καὶ πορφύρας καὶ ὅσα τοιαῦτα τῶν περσικῶν ἔλαβε, πάντα τῇ μητρὶ, πλὴν ὀλίγων ἔπεμψεν.

Οὗτος ὁ ἀγὼν, μεγάλην εὐθὺς ἐποίησε τῶν πραγμάτων μεταβολὴν πρὸς ἀλέξανδρον, ὥστε καὶ σάρδεις τὸ πρόσχημα τῆς ἐπὶ θαλάσσης τῶν βαρβάρων ἡγεμονίας παραλαβεῖν. καὶ τἄλλα προστίθεσθαι. μόνη δὲ ἁλικαρνασσὸς ἀντέστη καὶ μέλητος, ἃς ἑλὼν κατὰ κράτος, καὶ τὰ περὶ αὐτὰς πάντα χειρωσάμενος, ἀμφίβολος ἦν πρὸς τὰ λοιπὰ τῇ γνώμῃ. καὶ πολλάκις μὲν, ἔσπευδε δαρείῳ συμπεσὼν, ἀποκινδυνεῦσαι περὶ τῶν ὅλων. πολλάκις δὲ τοῖς ἐπὶ θαλάσσῃ πράγμασι καὶ χρήμασι διενοεῖτο, πρῶτον οἷον ἐνασκήσας, καὶ ῥώσας αὑτὸν, οὕτως ἀναβαίνειν ἐπ' ἐκεῖνον. ἔστιν δὲ τῆς λυκίας κρήνη περὶ τὴν ξανθίων πόλιν. ἧς τότε λέγουσιν αὐτομάτως περιτραπείσης καὶ ὑπερβαλούσης, ἐκ βυθοῦ δέλτον ἐκπεσεῖν χαλκῆν, τύπους ἔχουσαν ἀρχαίων γραμμάτων, ἐν οἷς ἐδηλοῦτο, παύσασθαι τὴν περσῶν ἀρχὴν, ὑπὸ ἑλλήνων καταλυθεῖσαν. τούτοις ἐπαρθεὶς, ἠπείγετο τὴν παραλίαν ἀνακαθήρασθαι, μέχρι τῆς φοινίκης καὶ κιλικίας. ἡ δὲ τῆς παμφυλίας παραδρομὴ, πολλοῖς γέγονε τῶν ἱστορικῶν ὑπόθεσις γραφικὴ πρὸς ἔκπληξιν καὶ ὄγκον, ὡς θείᾳ τινὶ τύχῃ παραχωρήσασαν ἀλεξάνδρῳ τὴν θάλασσαν. ἄλλως ἀεὶ τραχεῖαν ἐκ πελάγους προσφερομένην. σπανίως δὲ, λεπτοὺς καὶ προσεχεῖς ὑπὸ τὰ κρημνώδη καὶ παρεῤῥωγότα τῆς ὀρεινῆς πάγους διακαλύπτουσαν. δηλοῖ δὲ καὶ μένανδρος ἐν κωμῳδίᾳ παίζων πρὸς τὸ παράδοξον. ὡς ἀλεξανδρῶδες ἤδη τοῦτο, κἂν ζητῶ τινὰ αὐτόματος οὗτος παρέσται. κἂν διελθεῖν δηλαδὴ διὰ θαλάσσης δέῃ τόπον τινὰ, οὗτος ἔσται μοι βατός. αὐτὸς δὲ ἀλέξανδρος ἐν ταῖς ἐπιστολαῖς, οὐδὲν τοιοῦτον τερατευσάμενος, ὁδοποιῆσαί φησιν τὴν λεγομένην κλίμακα, καὶ διελθεῖν ὁρμήσας ἐκ φασήλιδος. διὸ καὶ πλείστας ἡμέρας ἐν τῇ πόλει διέτριψεν, ἐν αἷς καὶ θεοδέκτου τεθνηκότος, ἦν δὲ φασηλίτης, ἰδὼν εἰκόνα ἀνακειμένην ἐν ἀγορᾷ, μετὰ δεῖπνον ἐπεκώμασε μεθύων, καὶ τῶν στεφάνων ἐπέῤῥιψε πολλοὺς, οὐκ ἄχαριν ἐν παιδιᾷ ἀποδιδοὺς τιμὴν τῇ γενομένῃ δι' ἀριστοτέλην καὶ φιλοσοφίαν ὁμιλίᾳ πρὸς τὸν ἄνδρα.

Μετὰ ταῦτα πισιδῶν τε τοὺς ἀντιστάντας ᾕρει, καὶ φρυγίαν

ἐχειροῦτο, καὶ

ἐξόπιθεν γενομένην, καὶ τῶν λίθων ἐπιβαλοῦσα πολλοὺς, ἀπέκτεινεν. ὡς δὲ ἀνήχθη πρὸς ἀλέξανδρον, ὑπὸ τῶν θρακῶν δεδεμένη, πρῶτον μὲν, ἀπὸ τῆς ὄψεως καὶ τῆς βαδίσεως ἐφαίνετό τις ἀξιωματική καὶ μεγαλόφρων, ἀνεκπλήκτως καὶ ἀδεῶς ἑπομένη τοῖς ἄγουσιν. ἔπειτα, τοῦ βασιλέως ἐρωτήσαντος ἥτις εἴη γυναικῶν, ἀπεκρίνατο θεαγένους ἀδελφὴ γεγονέναι, τοῦ παραταξαμένου πρὸς φίλιππον, ὑπὲρ τῆς τῶν ἑλλήνων ἐλευθερίας, καὶ πεσόντος ἐν χαιρωνείᾳ στρατηγοῦντος. θαυμάσας οὖν ὁ ἀλέξανδρος, αὐτῆς καὶ τὴν ἀπόκρισιν καὶ τὴν πρᾶξιν, ἐκέλευσεν ἐλευθέραν ἀπιέναι μετὰ τῶν τέκνων. ἀθηναίοις δὲ διηλλάγη. καίπερ οὐ μετρίως ἐνεγκοῦσι τὸ περὶ θήβας δυστύχημα. καὶ γὰρ τὴν τῶν μυστηρίων ἑορτὴν ἐν χερσὶν ἔχοντες, ὑπὸ πένθους ἀφῆκαν. καὶ τοῖς καταφυγοῦσιν ἐπὶ τὴν πόλιν, ἁπάντων μετεδίδοσαν τῶν φιλανθρώπων. ἀλλ' εἴτε μεστὸς ὢν ἤδη τοῦ θυμοῦ ὥσπερ οἱ λέοντες, εἴτε ἐπιεικὲς ἔργον ὠμοτάτῳ καὶ σκυθρωποτάτῳ παραβαλεῖν βουλόμενος, οὐ μόνον ἀφῆκεν αἰτίας πάσης, ἀλλὰ καὶ προσέχειν ἐκέλευσε τοῖς πράγμασι τὸν νοῦν τὴν πόλιν, ὡς εἴ τι συμβαίη περὶ αὐτὸν, ἄρξουσαν τῆς ἑλλάδος. ὕστερον μέντοι πολλάκις αὐτὸν ἡ θηβαίων ἀνιᾶσαι συμφορὰ λέγεται, καὶ πρᾳότερον οὐκ ὀλίγοις παρασχεῖν. ὅλως δὲ καὶ τὸ περὶ κλεῖτον ἔργον, ἐν οἴνῳ γενόμενον, καὶ τὴν πρὸς ἰνδοὺς τῶν μακεδόνων ἀποδειλίασιν, ὥσπερ ἀτελῆ τὴν στρατείαν καὶ δόξαν αὐτοῦ προεμένων, εἰς μῆνιν ἀνῆγε διονύσου, καὶ νέμεσιν. ἦν δὲ θηβαίων οὐδεὶς, τῶν περιγενομένων, ὃς ἐντυχών τι καὶ δεηθεὶς ὕστερον οὐ διεπράξατο παρ' αὐτοῦ. ταῦτα μὲν, τὰ περὶ θήβας. εἰς δὲ τὸν ἰσθμὸν τῶν ἑλλήνων συλλεγέντων, καὶ ψηφισαμένων ἐπὶ πέρσας μετ' ἀλεξάνδρου στρατεύειν, ἡγεμὼν ἀνηγορεύθη. πολλῶν δὲ καὶ πολιτικῶν ἀνδρῶν καὶ φιλοσόφων ἀπηντηκότων αὐτῷ, καὶ συνηδομένων, ἤλπιζε καὶ διογένην τὸν σινωπέα ταὐτὸ ποιήσειν, διατρίβοντα περὶ κόρινθον. ὡς δὲ ἐκεῖνος ἐλάχιστον ἀλεξάνδρου λόγον ἔχων, ἐν τῷ κρανείῳ σχολὴν ἦγεν, αὐτὸς ἐπορεύετο πρὸς αὐτόν. ἔτυχε δὲ κατακείμενος ἐν ἡλίῳ, καὶ μικρὸν μὲν ἀνεκάθισεν, ἀνθρώπων τοσούτων ἐπερχομένων, καὶ διέβλεψεν εἰς τὸν ἀλέξανδρον. ὡς δὲ ἐκεῖνος ἀσπασάμενος καὶ προσειπὼν αὐτὸν, ἠρώτησεν εἴ τινος τυγχάνει δεόμενος, μικρὸν εἶπεν ἀπὸ τοῦ ἡλίου μετάστηθι. πρὸς τοῦτο λέγεται τὸν ἀλέξανδρον οὕτω διατεθῆναι, καὶ θαυμάσαι καταφρονηθέντα τὴν ὑπεροψίαν καὶ τὸ μέγεθος τοῦ ἀνδρὸς, ὥστε τῶν περὶ αὐτὸν ὡς ἀπῄεσαν διαγελώντων καὶ σκωπτόντων, ἀλλὰ μὴν ἐγὼ εἶπεν, εἰ μὴ ἀλέξανδρος ἤμην, διογένης ἂν ἤμην. βουλόμενος δὲ τῷ θεῷ χρήσασθαι περὶ τῆς στρατείας, ἦλθεν εἰς δελφούς. καὶ κατὰ τύχην ἡμερῶν ἀποφράδων οὐσῶν, ἐν αἷς οὐ νενόμισται θεμιστεύειν, πρῶτον μὲν ἔπεμπε παρακαλῶν τὴν πρόμαντιν. ὡς δὲ ἀρνουμένης, καὶ προϊσχομένης τὸν νόμον, αὐτὸς ἀναβὰς βίᾳ πρὸς τὸν ναὸν εἷλκεν αὐτὴν, ἡ δὲ, ὥσπερ ἐξηττημένη τῆς σπουδῆς εἶπεν, ἀνίκητος εἶ ὦ παῖ, τοῦτο ἀκούσας ἀλέξανδρος, οὐκ ἔτι ἔφη χρῄζειν ἑτέρου μαντεύματος, ἀλλ' ἔχειν ὃν ἐβούλετο παρ' αὐτῆς χρησμόν. Ἐπεὶ δὲ ὥρμησεν πρὸς τὴν στρατείαν, ἄλλα τε δοκεῖ σημεῖα παρὰ τοῦ δαιμονίου γενέσθαι, καὶ τὸ περὶ λείβηθρα τοῦ ὀρφέως ξόανον, ἦν δὲ κυπαρίττινον, ἱδρῶτα πολὺν ὑπὸ τὰς ἡμέρας ἐκείνας ἀφῆκεν. φοβουμένων δὲ πάντων τὸ σημεῖον, ἀρίστανδρος ἐκέλευε θαρρεῖν. ὡς ἀοίδιμα καὶ περιβόητα κατεργασόμενον πράξεις, αἳ πολὺν ἱδρῶτα καὶ πόνον, ὑμνοῦσι ποιηταῖς καὶ μουσικοῖς παρέξουσι. τῆς δὲ στρατιᾶς τὸ πλῆθος, οἱ μὲν ἐλάχιστον λέγοντες, τρισμυρίους πεζοὺς καὶ πεντακισχιλίους ἱππεῖς. οἱ δὲ πλεῖστον, πεζοὺς μὲν τετρακισμυρίους καὶ τρισχιλίους, ἱππέας δὲ, τετρακισχιλίους ἀναγράφουσιν. ἐφόδιον δὲ, τούτοις οὐ πλείονα ἑβδομήκοντα ταλάντων ἔχειν αὐτὸν ἀριστόβουλος ἱστορεῖ. δοῦρις δὲ, τριάκοντα μόνον ἡμερῶν διατροφήν. ὀνησίκριτος δὲ, καὶ διακόσια τάλαντα προσοφείλειν. ἀλλὰ καίπερ ἀπὸ μικρῶν καὶ στενῶν οὕτως ὁρμώμενος, οὐ πρότερον ἐπέβη τῆς νεὼς ἢ τὰ τῶν ἑταίρων πράγματα σκεψάμενος, ἀπονεῖμαι, τῷ μὲν ἀγρὸν, τῷ δὲ, κώμην. τῷ δὲ συνοικίας πρόσοδον, ἢ λιμένος. ἤδη δὲ κατηναλωμένων, καὶ διαγεγραμμένων σχεδὸν ἁπάντων τῶν βασιλικῶν, ὁ περδίκκας σεαυτῷ δὲ εἶπεν ὦ βασιλεῦ, τί καταλείπεις. τοῦ δὲ φήσαντος, ὅτι τὰς ἐλπίδας, οὐκοῦν ἔφη καὶ ἡμεῖς τούτων κοινωνήσομεν, οἱ μετὰ σοῦ στρατευόμενοι. παραιτησαμένου δὲ τοῦ περδίκκου, τὴν διαγεγραμμένην κτῆσιν αὐτῷ, καὶ τῶν ἄλλων φίλων ἔνιοι, τὸ αὐτὸ ἐποίησαν. τοῖς δὲ λαμβάνουσι καὶ δεομένοις, προθύμως ἐχαρίζετο. καὶ τὰ πλεῖστα τῶν ἐν μακεδονίᾳ διανέμων, οὕτω κατανάλωσε. Τοιαύτη μὲν ὁρμῇ, καὶ παρασκευῇ διανοίας, τὸν ἑλλήσποντον διεπέρασεν, ἀναβὰς δ' εἰς ἴλιον, ἔθυσε τῇ ἀθηνᾷ. καὶ τοῖς ἥρωσιν ἔσπεισεν. τὴν δὲ ἀχιλλέως στήλην ἀλειψάμενος λίπα, καὶ μετὰ τῶν ἑταίρων συναναδραμὼν γυμνὸς, ὥσπερ ἔθος ἐστὶν, ἐστεφάνωσεν μακαρίσας αὐτὸν, ὅτι καὶ ζῶν, φίλου πιστοῦ. καὶ τελευτήσας, μεγάλου κήρυκος ἔτυχεν. ἐν δὲ τῷ περιϊέναι καὶ θεᾶσθαι τὰ κατὰ τὴν πόλιν, ἐρομένου τινὸς αὐτὸν, εἰ βούλεται τὴν ἀλεξάνδρου λύραν ἰδεῖν, ἐλάχιστα φροντίζειν ἐκείνης ἔφη. τὴν δ' ἀχιλλέως ζητεῖν, ᾗ τὰ κλέα καὶ τὰς πράξεις ὕμνει τῶν ἀγαθῶν ἀνδρῶν ἐκεῖνος. Ἐν δὲ τούτῳ, τῶν δαρείου στρατηγῶν μεγάλην δύναμιν ἠθροικότων, καὶ παρατεταγμένων ἐπὶ τῇ διαβάσει τοῦ γρανικοῦ, μάχεσθαι μὲν ἴσως ἀναγκαῖον ἦν ὥσπερ ἐν πύλαις τῆς ἀσίας, περὶ τῆς εἰσόδου καὶ ἀρχῆς. τοῦ δὲ ποταμοῦ τὸ βάθος, καὶ τὴν ἀνωμαλίαν, καὶ τραχύτητα τῶν πέραν ὄχθων, πρὸς οὓς ἔδει γίνεσθαι τὴν

Vide Laertiũ in Diogene.

ὄχθων. q.

φροσύνας, ἐπερωτῶντες τοῦ Φιλίππου πῶς ἔχουσιν ὁμονοίας πρὸς ἀλλήλους οἱ ἕλληνες, πάνυ γοῦν ἔφησε, περὶ σοὶ Φίλιππε κήδεσθαι τῆς ἑλλάδος, ὃς τὸν οἶκον τὸν σαυτοῦ στάσεως τοσαύτης καὶ κακῶν ἐμπέπληκας. οὕτω δὴ συμφρονήσας ὁ Φίλιππος, ἔπεμψε καὶ κατήγαγε, πείσας διὰ τοῦ δημαράτου τὸν ἀλέξανδρον. ἐπεὶ δὲ πιξόδωρος ὁ καρίας σατράπης, ὑποδυόμενος δι' οἰκειότητος εἰς τὴν Φιλίππου συμμαχίαν, ἐβούλετο τὴν πρεσβυτάτην τῶν θυγατέρων, ἀρριδαίῳ τῷ Φιλίππου, γυναῖκα δοῦναι. καὶ περὶ τούτων, ἀριστόκριτον εἰς μακεδονίαν ἀπέστειλεν, αὖθις ἐγίνοντο λόγοι καὶ διαβολαὶ παρὰ τῶν φίλων καὶ τῆς μητρὸς πρὸς ἀλέξανδρον, ὡς ἀρριδαῖον εὐθὺς τῇ βασιλείᾳ Φιλίππου γάμοις λαμπροῖς καὶ πράγμασι μεγάλοις ἐνοικειοῦντος, ὑφ' ὧν διαταραχθεὶς πέμπει θεσσαλὸν, εἰς καρίαν τὸν τῶν τραγῳδιῶν ὑποκριτὴν πρὸς πιξόδωρον διαλεξόμενον, ὡς χρὴ τὸν νόθον ἐάσαντα, καὶ οὐ φρενήρη, μεθαρμόσασθαι τὸ κῆδος εἰς ἀλέξανδρον, καὶ πιξοδώρῳ μὲν, οὐ παρὰ μικρὸν ἤρεσκε ταῦτα, τῶν προτέρων μᾶλλον. ὁ δὲ Φίλιππος αἰσθόμενος ὄντα τὸν ἀλέξανδρον εἰς τὸ δωμάτιον, παραλαβὼν τῶν φίλων αὐτοῦ καὶ συνήθων ἕνα Φιλώταν τὸν παρμενίωνος, ἐπετίμησεν ἰσχυρῶς, καὶ πικρῶς ἐλοιδόρησεν, ὡς ἀγεννῆ καὶ τῶν ὑπαρχόντων περὶ αὐτὸν ἀγαθῶν ἀνάξιον, εἰ καρὸς ἀνθρώπου, καὶ βαρβάρῳ βασιλεῖ δουλεύοντος, ἀγαπᾷ γαμβρὸς γενέσθαι. τὸν δὲ θετταλὸν, ἔγραψε κορινθίοις, ὅπως ἀναπέμψωσιν, εὐθὺς δεδεμένον. τῶν δὲ ἄλλων ἑταίρων, ἅρπαλον καὶ νέαρχον, ἔτι δὲ φρύγιον καὶ πτολεμαῖον, ἐκ μακεδονίας μετέστησεν. οὓς ὕστερον ἀλέξανδρος κατήγαγεν, ἐν ταῖς μεγίσταις ἔχων τιμαῖς. ἐπεὶ δὲ παυσανίας, ἀττάλου γνώμῃ καὶ κλεοπάτρας ὑβρισθεὶς καὶ μὴ τυχὼν δίκης, ἀνεῖλε Φίλιππον, τὸ μὲν πλεῖστον εἰς ὀλυμπιάδα, τῆς αἰτίας διῆλθεν, ὡς θυμουμένῳ τῷ νεανίσκῳ προσεγκελευσαμένην καὶ παροξύνασαν, ἥψατο δέ τις καὶ ἀλεξάνδρου διαβολή. λέγεται γὰρ ἐν-
» τυχόντος αὐτῷ τοῦ παυσανίου μετὰ τὴν ὕβριν ἐκείνην, καὶ ὀδυρομένου, προενέγκασθαι τὸ τῆς μη-
» δείας ἰαμβεῖον. τὸν δόντα καὶ γήμαντα καὶ γαμουμένην. οὐ μὴν ἀλλὰ καὶ τοὺς συναιτίους τῆς ἐπιβουλῆς ἀναζητήσας, ἐκόλασεν. καὶ τὴν κλεοπάτραν ἀπόντος αὐτοῦ τῆς ὀλυμπιάδος ὠμῶς μεταχειρισαμένης, ἠγανάκτησεν. παρέλαβε μὲν οὖν ἔτη γεγονὼς εἴκοσι τὴν βασιλείαν, φθόνους μεγάλους καὶ δεινὰ μίση, καὶ κινδύνους πανταχόθεν ἔχουσαν. οὔτε γὰρ τὰ βάρβαρα καὶ πρόσοικα γένη τὴν δούλωσιν ἔφερε, ποθοῦντα τὰς πατρίους βασιλείας, οὔτε τὴν ἑλλάδα κρατήσας τοῖς ὅπλοις ὁ Φίλιππος, ἴσχυσε καταζεῦξαι καὶ τιθασεῦσαι χρόνον ἔχων. ἀλλὰ μόνον μεταβαλὼν καὶ ταράξας τὰ πράγματα, πολὺν σάλον ἔχοντα καὶ κίνησιν ὑπὸ ἀηθείας, ἀπέλιπεν. φοβουμένων δὲ τῶν μακεδόνων τὸν καιρὸν καὶ τὰ μὲν ἑλληνικὰ πάντως ἀφεῖναι, καὶ μὴ προσβιάζεσθαι τὸν ἀλέξανδρον οἰομένων δεῖν. τοὺς δὲ ἀφισταμένους τῶν βαρβάρων ἀνακαλεῖσθαι πράως, καὶ θεραπεύειν τὰς ἀρχὰς τῶν νεωτερισμῶν, αὐτὸς ἀπ' ἐναντίων λογισμῶν ὥρμησε, τόλμῃ καὶ μεγαλοφροσύνῃ κτᾶσθαι τὴν ἀσφάλειαν καὶ σωτηρίαν τοῖς πράγμασιν, ὡς ἂν ὁπουοῦν ὑφιέμενος ὀφθῇ τοῦ φρονήματος, ἐπιβησομένων ἁπάντων. τὰ μὲν οὖν βαρβαρικὰ κινήματα, καὶ τοὺς ἐκεῖ πολέμους, κατέπαυσεν ὀξέως ἐπιδραμὼν στρατῷ, μέχρι πρὸς τὸν ἴστρον. ἐν ᾧ καὶ σύρμον ἐνίκησε μάχῃ μεγάλῃ τὸν βασιλέα τῶν τριβαλλῶν. θηβαίους δὲ, ἀφεστάναι πυθόμενος, καὶ συμφρονεῖν αὐτοῖς ἀθηναίους, ἐθέλων ἀνὴρ φανῆναι, εὐθὺς ἦγε διὰ πυλῶν τὴν δύναμιν. εἰπὼν, ὅτι δημοσθένει, παῖδα μὲν αὐτὸν ἕως ἦν ἐν ἰλλυριοῖς καὶ τριβαλλοῖς ἀποκαλοῦντι, μειράκιον δὲ, περὶ θετταλίαν γενόμενον, βούλεται πρὸς τοῖς ἀθηναίων τείχεσιν, ἀνὴρ φανῆναι. προσμίξας δὲ ταῖς θήβαις, καὶ διδοὺς ἔτι τῶν πεπραγμένων μετάνοιαν, ἐξῄτει φοίνικα καὶ προθύτην. καὶ τοῖς μεταβαλλομένοις πρὸς αὐτὸν, ἄδειαν ἐκήρυττεν. τῶν δὲ θηβαίων ἀντεξαιτούντων μὲν παρ' αὐτοῦ, Φιλώταν καὶ ἀντίπατρον. κηρυττόντων δὲ τοὺς τὴν ἑλλάδα βουλομένους συνελευθεροῦν τάττεσθαι μετ' αὐτῶν, οὕτως ἔτρεψε τοὺς μακεδόνας πρὸς πόλεμον. ἠγωνίσθη μὲν οὖν ὑπὲρ δύναμιν, ἀρετῇ καὶ προθυμίᾳ, τὰ παρὰ τῶν θηβαίων, πολλαπλασίοις οὖσι τοῖς πολεμίοις ἀντιταχθέντων. ἐπεὶ δὲ καὶ τὴν καδμείαν ἀφέντες οἱ φρουροὶ τῶν μακεδόνων ἐπέπιπτον αὐτοῖς ἐξόπισθεν, κυκλωθέντες, οἱ πλεῖστοι, κατὰ τὴν μάχην αὐτὴν ἔπεσον. ἡ δὲ πόλις ἥλω, καὶ διαρπαγεῖσα, κατεσκάφη, τὸ μὲν ὅλον προσδοκήσαντος αὐτοῦ, τοὺς ἕλληνας ἐκπλαγέντας πάθει τηλικούτῳ, καὶ πτήξαντας, ἀτρεμήσειν. ἄλλως δὲ καλλωπισαμένου χαρίζεσθαι τοῖς τῶν συμμάχων ἐγκλήμασι. καὶ γὰρ φωκεῖς καὶ πλαταιεῖς, τῶν θηβαίων κατηγόρησαν. ὑπεξελόμενος δὲ τοὺς ἱερεῖς, καὶ τοὺς ξένους τῶν μακεδόνων ἅπαντας, καὶ τοὺς ἀπὸ πινδάρου γεγονότας, καὶ τοὺς ὑπεναντιωθέντας τοῖς ψηφισαμένοις τὴν ἀπόστασιν, ἀπέδοτο τοὺς ἄλλους, περὶ τρισμυρίους γενομένους. οἱ δὲ ἀποθανόντες, ὑπὲρ ἑξακισχιλίους ἦσαν. ἐν δὲ τοῖς πολλοῖς πάθεσι, καὶ χαλεποῖς ἐκείνοις, ἃ τὴν πόλιν κατεῖχε, θρᾷκές τινες ἐκκόψαντες οἰκίαν τιμοκλείας γυναικὸς ἐνδόξου καὶ σώφρονος, αὐτοὶ μὲν, τὰ χρήματα διήρπαζον. ὁ δὲ ἡγεμὼν, τῇ γυναικὶ πρὸς βίαν συγγενόμενος καὶ καταισχύνας, ἀνέκρινεν, εἴ που χρυσίον ἔχοι κεκρυμμένον ἢ ἀργύριον. ἡ δὲ, ἔχειν ὁμολογήσασα, καὶ μόνον εἰς τὸν κῆπον ἀγαγοῦσα, καὶ δείξασα φρέαρ, ἐνταῦθα ἔφη τῆς πόλεως ἁλισκομένης, καταβαλεῖν αὐτὴ τὰ τιμιώτατα τῶν χρημάτων. ἐγκύπτοντος δὲ τοῦ θρᾳκὸς, καὶ κατασκοπουμένου τὸν τόπον, ἔωσεν αὐτὸν

γρ. αὐτὴ ·κ·

σας, ὦ παῖ, φασί. ζήτει σεαυτῷ βασιλείαν ἴσην. μακεδονία γάρ σε οὐ χωρεῖ. Καθορῶν δὲ τὴν
φύσιν αὐτοῦ δυσκίνητον μὲν οὖσαν, ἐρίζοντος μὴ βιασθῆναι. ῥᾳδίως δὲ ἀγομένην ὑπὸ λόγου πρὸς τὸ
δέον. αὐτός τε πείθειν ἐπειρᾶτο μᾶλλον, ἢ προστάττειν. καὶ τοῖς περὶ μουσικὴν καὶ τὰ ἐγκύκλια παι-
δευταῖς, οὐ πάνυ τι πιστεύων τὴν ἐπιστασίαν αὐτοῦ καὶ κατάρτισιν, ὡς μείζονος οὖσαν πραγματείας
» καὶ κατὰ τὸν σοφοκλέα πολλῶν χαλινῶν ἔργον, οἰάκων τε ἅμα, μετεπέμψατο τῶν φιλοσόφων τὸν ἐν-
δοξότατον καὶ λογιώτατον ἀριστοτέλην, καλὰ καὶ πρέποντα διδασκάλια τελέσας αὐτῷ. Τὴν γὰρ στ-
αγειρῶν πόλιν, ἐξ ἧς ἦν ἀριστοτέλης, ἀνάστατον ὑπ᾽ αὐτοῦ γεγενημένην, συνῴκισε πάλιν. καὶ τοὺς
διαφυγόντας ἢ δουλεύοντας τῶν πολιτῶν ἀποκατέστησεν. σχολὴν μὲν οὖν αὐτοῖς καὶ διατριβὴν τὸ
περὶ μίεζαν νυμφαῖον ἀπέδειξεν· ὅπου μέχρι νῦν ἀριστοτέλους ἕδρας τε λιθίνας, καὶ ὑποσκιούς
περιπάτους δεικνύουσιν. ἔοικε δὲ ἀλέξανδρος οὐ μόνον τὸν ἠθικὸν καὶ πολιτικὸν παραλαβεῖν λόγον,
ἀλλὰ καὶ τῶν ἀπορρήτων καὶ βαρυτέρων διδασκαλιῶν, ἃς οἱ ἄνδρες ἰδίως ἀκροαματικὰς καὶ ἐπ-
οπτικὰς προσαγορεύοντες, οὐκ ἐξέφερον εἰς πολλούς, μετασχεῖν. ἤδη γὰρ εἰς ἀσίαν διαβεβηκὼς καὶ πυ-
θόμενος λόγους τινὰς ἐν βιβλίοις περὶ τούτων ὑπὸ ἀριστοτέλους ἐκδεδόσθαι. γράφει πρὸς αὐτὸν,
ὑπὲρ φιλοσοφίας παρρησιαζόμενος ἐπιστολήν. ἧς ἀντίγραφόν ἐστιν. ἀλέξανδρος ἀριστοτέλει εὖ
πράττειν. οὐκ ὀρθῶς ἐποίησας, ἐκδοὺς τοὺς ἀκροαματικοὺς τῶν λόγων. τίνι γὰρ δὴ διοίσομεν ἡμεῖς τῶν
» ἄλλων, εἰ καθ᾽ οὓς ἐπαιδεύθημεν λόγους οὗτοι πάντων ἔσονται κοινοί. ἐγὼ δὲ βουλοίμην ἂν ταῖς πε-
» ρὶ τὰ ἄριστα ἐμπειρίαις, ἢ ταῖς δυνάμεσι διαφέρειν, ἔρρωσο. Ταύτην μὲν οὖν τὴν φιλοτιμίαν
αὐτοῦ, παραμυθούμενος ἀριστοτέλης, ἀπολογεῖται περὶ τῶν λόγων ἐκείνων, ὡς ἐκδεδομένων, καὶ μὴ
ἐκδεδομένων. ἀληθῶς γὰρ ἡ μετὰ τὰ φυσικὰ πραγματεία πρὸς διδασκαλίαν καὶ μάθησιν, οὐδὲν ἔ-
χουσα χρήσιμον, ὑπόδειγμα τοῖς πεπαιδευμένοις ἀπ᾽ ἀρχῆς γέγραπται. Δοκεῖ δέ μοι καὶ τὸ φιλια-
τρεῖν ἀλεξάνδρῳ προστρίψασθαι μᾶλλον ἑτέρων ἀριστοτέλης. οὐ γὰρ μόνον τὴν θεωρίαν ἠγάπησεν,
ἀλλὰ καὶ νοσοῦσιν ἐβοήθει τοῖς φίλοις. καὶ συνέταττε θεραπείας τινὰς καὶ διαίτας, ὡς ἐκ τῶν ἐπιστο-
λῶν λαβεῖν ἐστιν. ἦν δὲ καὶ φύσει φιλολόγος καὶ φιλαναγνώστης, καὶ τὴν μὲν ἰλιάδα τῆς πολεμι-
κῆς ἀρετῆς ἐφόδιον, καὶ νομίζων, καὶ ὀνομάζων, ἔλαβε μὲν ἀριστοτέλους διορθώσαντος, ἣν ἐκ τοῦ νάρ-
θηκος καλοῦσιν. εἶχε δὲ ἀεὶ, μετὰ τοῦ ἐγχειριδίου, κειμένην ὑπὸ τὸ προσκεφάλαιον, ὡς ὀνησικράτης
ἱστόρηκεν. Τῶν δὲ ἄλλων βιβλίων οὐκ εὐπορῶν, ἐν τοῖς ἄνω τόποις, ἅρπαλον ἐκέλευσε πέμψαι.
κἀκεῖνος ἔπεμψεν αὐτῷ. τάς τε φιλίστου βίβλους, καὶ τῶν εὐριπίδου καὶ σοφοκλέους, καὶ αἰσχύλου
τραγῳδιῶν συχνάς. καὶ τελέστου καὶ φιλοξένου διθυράμβους. Ἀριστοτέλη δὲ θαυμάζων ἐν ἀρχῇ,
καὶ ἀγαπῶν οὐχ ἧττον ὡς αὐτὸς ἔλεγε τοῦ πατρὸς, ὡς δι᾽ ἐκεῖνον μὲν ζῶν, διὰ τοῦτον δὲ, καλῶς ζῶν, ὕ-
στερον ὑποπτότερον ἔσχεν. οὐχ ὥστε ποιῆσαί τι κακὸν, ἀλλ᾽ αἱ φιλοφροσύναι, τὸ σφοδρὸν ἐκεῖνο, καὶ
στερκτικὸν οὐκ ἔχουσαι πρὸς αὐτὸν, ἀλλοτριότητος ἐγένοντο τεκμήριον. ὁ μέντοι πρὸς φιλοσοφίαν
ἐμπεφυκὼς, καὶ συντεθραμμένος ἀπ᾽ ἀρχῆς αὐτῷ ζῆλος καὶ πόθος, οὐκ ἐξερρύη τῆς ψυχῆς. ὡς ἡ πε-
ρὶ ἀνάξαρχόν τε τιμή. καὶ τὰ πεμφθέντα ξενοκράτει πεντήκοντα τάλαντα. καὶ δάνδαμις, καὶ κα-
λανὸς, οὕτω σπουδασθέντες, μαρτυροῦσιν. Φιλίππου δὲ στρατεύοντος ἐπὶ βυζαντίους, ἦν μὲν ἑκ-
καιδεκέτης ὁ ἀλέξανδρος, ἀπολειφθεὶς δὲ κύριος ἐν μακεδονίᾳ τῶν πραγμάτων καὶ τῆς σφραγῖδος,
μαιδῶν τε τοὺς ἀφεστῶτας κατεστρέψατο. καὶ πόλιν ἑλὼν αὐτῶν, τοὺς μὲν βαρβάρους, ἐξήλασεν,
συμμίκτους δὲ κατοικίσας, ἀλεξανδρόπολιν προσηγόρευσεν. Ἐν δὲ χαιρωνείᾳ, τῆς πρὸς τοὺς ἕλλη-
νας μάχης παρὼν, μετέσχεν. καὶ λέγεται πρῶτος ἐνσεῖσαι τῷ ἱερῷ λόχῳ τῶν θηβαίων. ἔτι δὲ καὶ
καθ᾽ ἡμᾶς ἐδείκνυτο παλαιὰ παρὰ τὸν κηφισὸν ἀλεξάνδρου καλουμένη δρῦς, πρὸς ἣν τότε κατεσκήνω-
σεν. καὶ τὸ πολυάνδριον, οὐ πόρρω τῶν μακεδόνων ἐστίν. Ἐκ μὲν οὖν τούτων ὡς εἰκὸς φίλιππος,
ὑπερηγάπα τὸν υἱὸν ὥστε καὶ χαίρειν, τῶν μακεδόνων ἀλέξανδρον μὲν, βασιλέα, φίλιππον δὲ στρα-
τηγὸν καλούντων. αἱ δὲ περὶ τὴν οἰκίαν ταραχαὶ, διὰ τοὺς γάμους καὶ τοὺς ἔρωτας αὐτοῦ, τρόπον τινά
τῆς βασιλείας, τῇ γυναικωνίτιδι συννοσούσης, πολλὰς αἰτίας καὶ μεγάλας διαφορὰς παρεῖχον. ἃς
ἡ τῆς ὀλυμπιάδος χαλεπότης, δυσζήλου καὶ βαρυθύμου γυναικὸς, ἔτι μείζονας ἐποίει, παροξυνού-
σης τὸν ἀλέξανδρον. ἐκφανεστάτην δὲ ἄτταλος παρέσχεν ἐν τοῖς κλεοπάτρας γάμοις, ἣν ὁ φίλιππος
ἠγάγετο παρθένον, ἐρασθεὶς παρ᾽ ἡλικίαν τῆς κόρης. θεῖος γὰρ ὢν αὐτῆς ὁ ἄτταλος ἐν τῷ πότῳ μεθύ-
ων, παρεκάλει τοὺς μακεδόνας, αἰτεῖσθαι παρὰ θεῶν γνήσιον ἐκ φιλίππου καὶ κλεοπάτρας γενέ-
σθαι διάδοχον τῆς βασιλείας. Ἐπὶ τούτῳ παροξυνθεὶς ὁ ἀλέξανδρος καὶ εἰπών. ἡμεῖς δέ σοι κακὴ
κεφαλὴ νόθοι δοκοῦμεν. ἔβαλε σκύφον ἐπ᾽ αὐτόν. ὁ δὲ φίλιππος, ἐπ᾽ ἐκεῖνον ἐξανέστη, σπασάμενος
τὸ ξίφος, εὐτυχίᾳ δὲ, ἑκατέρου διὰ τὸν θυμὸν καὶ τὸν οἶνον, ἔπεσεν σφαλείς. ὁ δὲ ἀλέξανδρος ἐφυβρί-
ζων, οὗτος μέντοι εἶπεν ἄνδρες, εἰς ἀσίαν ἐξ εὐρώπης παρεσκευάζετο διαβαίνειν. ὃς ἐπὶ κλίνην ἀπὸ
κλίνης διαβαίνων ἀνατέτραπται. μετὰ ταύτην τὴν παροινίαν, ἀναλαβὼν τὴν ὀλυμπιάδα, καὶ κατα-
στήσας εἰς ἤπειρον, αὐτὸς ἐν ἰλλυριοῖς διέτριβεν. ἐν τούτῳ δὲ, δημάρατος ὁ κορίνθιος, ξένος ὢν τῆς οἰκί-
ας, καὶ παρρησίας μετέχων, ἀφίκετο πρὸς φίλιππον, μετὰ δὲ τὰς πρώτας δεξιώσεις καὶ φιλο-

ἀνάτασιν τοῦ αὐχένος εἰς εὐώνυμον ἡσυχῇ κεκλιμένου, καὶ τὴν ὑγρότητα τῶν ὀμμάτων διατετήρηκεν ἀκριβῶς ὁ τεχνίτης. ἀπελλῆς δὲ γράφων τὸν κεραυνοφόρον, οὐκ ἐμιμήσατο τὴν χρόαν. ἀλλὰ φαιότερον καὶ πεπινωμένον ἐποίησεν. ἦν δὲ λευκὸς, ὥς φασιν. ἡ δὲ λευκότης, ἐπεφοίνισσεν αὐτοῦ περὶ τὸ στῆθος μάλιστα καὶ τὸ πρόσωπον. ὅτι δὲ τοῦ χρωτὸς ἥδιστον ἀπέπνει. καὶ τὸ στόμα κατεῖχεν εὐωδία καὶ τὴν σάρκα πᾶσαν, ὥστε πληροῦσθαι τοὺς χιτωνίσκους, ἀνέγνωμεν ἐν ὑπομνήμασιν ἀριστοξενείοις. αἰτία δὲ ἴσως, ἡ τοῦ σώματος κρᾶσις πολύθερμος οὖσα καὶ πυρώδης. ἡ γὰρ εὐωδία γίνεται, πέψει τῶν ὑγρῶν ὑπὸ θερμότητος, ὡς οἴεται θεόφραστος. ὅθεν οἱ ξηροὶ καὶ διάπυροι τόποι τῆς οἰκουμένης τὰ πλεῖστα καὶ κάλλιστα τῶν ἀρωμάτων φέρουσιν. ἐξαίρει γὰρ ὁ ἥλιος τὸ ὑγρὸν ὥσπερ ὕλην σηπεδόνος ἐπιπολάζον τοῖς σώμασιν. ἀλέξανδρον δὲ, ἡ θερμότης τοῦ σώματος ὡς ἔοικεν, καὶ ποτικὸν, καὶ θυμοειδῆ παρεῖχεν. ἔτι δὲ ὄντος αὐτοῦ παιδὸς, ἥ τε σωφροσύνη διεφαίνετο, τῷ πρὸς τἄλλα ῥαγδαῖον ὄντα καὶ φερόμενον σφοδρῶς, ἐν ταῖς ἡδοναῖς ταῖς περὶ τὸ σῶμα, δυσκίνητον εἶναι, καὶ μετὰ πολλῆς πραότητος ἅπτεσθαι τῶν τοιούτων. ἥ τε φιλοτιμία παρ᾽ ἡλικίαν ἐμβριθὲς εἶχεν φρόνημα καὶ μεγαλόψυχον. οὐδὲ γὰρ ἀπὸ παντὸς οὐδὲ πᾶσαν ἠγάπα δόξαν ὡς φίλιππος. λόγου τε δεινότητι, σοφιστικῶς καλλωπιζόμενος. καὶ τὰς ἐν ὀλυμπίᾳ νίκας τῶν ἁρμάτων ἐγχαράττων τοῖς νομίσμασιν. ἀλλὰ καὶ τῶν περὶ αὐτὸν ἀποπειρωμένων, εἰ βούλοιτ᾽ ἂν ὀλυμπιάσιν ἀγωνίσασθαι στάδιον. ἦν γὰρ ποδώκης. εἴ γε ἔφη βασιλεῖς ἔμελλεν ἕξειν ἀνταγωνιστάς. φαίνεται δὲ καὶ καθόλου, πρὸς τὸ τῶν ἀθλητῶν γένος, ἀλλοτρίως ἔχων. πλείστους γέ τοι θεὶς ἀγῶνας. οὐ μόνον τραγῳδῶν καὶ αὐλητῶν, καὶ κιθαρῳδῶν, ἀλλὰ καὶ ῥαψῳδῶν. θήρας τε παντοδαπῆς καὶ ῥαβδομαχίας, οὔτε πυγμῆς, οὔτε παγκρατίου μετά τινος σπουδῆς, ἔθηκεν ἆθλον.

Τοὺς δὲ παρὰ τοῦ περσῶν βασιλέως πρέσβεις ἥκοντας ἀποδημοῦντος φιλίππου, ξενίζων καὶ γενόμενος συνήθης, οὕτως ἐχειρώσατο τῇ φιλοφροσύνῃ. καὶ τῷ μηδὲν ἐρώτημα παιδικὸν ἐρωτῆσαι, μηδὲ μικρόν. ἀλλ᾽ ὁδῶν τε μήκη. καὶ πορείας τῆς ἄνω τρόπον ἐκπυνθάνεσθαι, καὶ περὶ αὐτοῦ βασιλέως, ὁποῖος εἴη πρὸς τοὺς πολεμίους, καὶ τίς ἡ περσῶν ἀλκὴ καὶ δύναμις, ὥστε θαυμάζειν ἐκείνους, καὶ τὴν λεγομένην φιλίππου δεινότητα, μηδὲν ἡγεῖσθαι πρὸς τὴν τοῦ παιδὸς ὁρμὴν καὶ μεγαλοπραγμοσύνην. ὁσάκις γοῦν ἀπαγγελθείη φίλιππος, ἢ πόλιν ἔνδοξον ᾑρηκὼς, ἢ μάχην τινὰ περιβόητον νενικηκὼς, οὐ πάνυ φαιδρὸς ἦν ἀκούων, ἀλλὰ πρὸς τοὺς ἡλικιώτας ἔλεγεν. ὦ παῖδες, πάντα προλήψεται ὁ πατὴρ, ἐμοὶ δὲ οὐδὲν ἀπολείψει μεθ᾽ ὑμῶν ἔργον ἀποδείξασθαι μέγα καὶ λαμπρόν. οὐ γὰρ ἡδονὴν ζηλῶν. οὐδὲ πλοῦτον. ἀλλ᾽ ἀρετὴν καὶ δόξαν ἐνόμιζεν, ὅσῳ πλείονα λήψεται παρὰ τοῦ πατρὸς, ἐλάττονα κατορθώσειν δι᾽ ἑαυτοῦ. διὸ τοῖς πράγμασιν αὐξομένοις, καταναλίσκεσθαι τὰς πράξεις εἰς ἐκεῖνον ἡγούμενος, ἐβούλετο μὴ χρήματα, μηδὲ τρυφὰς καὶ ἀπολαύσεις, ἀλλ᾽ ἀγῶνας καὶ πολέμους, καὶ φιλοτιμίας ἔχουσαν ἀρχὴν παραλαβεῖν. πολλοὶ μὲν οὖν περὶ τὴν ἐπιμέλειαν ὡς εἰκὸς ἦσαν αὐτοῦ, τροφεῖς, καὶ παιδαγωγοὶ. καὶ διδάσκαλοι λεγόμενοι. πᾶσιν δ᾽ ἐφειστήκει λεωνίδας, ἀνὴρ τό τε ἦθος αὐστηρὸς, καὶ συγγενὴς ὀλυμπιάδος. αὐτὸς μὲν οὖν, φεύγων τὸ τῆς παιδαγωγίας ὄνομα, καλὸν ἔργον ἐχούσης καὶ λαμπρόν. ὑπὸ δὲ τῶν ἄλλων διὰ τὸ ἀξίωμα καὶ τὴν οἰκειότητα. τροφεὺς ἀλεξάνδρου καὶ καθηγητὴς καλούμενος. ὁ δὲ τὸ σχῆμα τοῦ παιδαγωγοῦ, καὶ τὴν προσηγορίαν ὑποποιούμενος, ἦν λυσίμαχος. τῷ γένει ἀκαρνὰν, ἄλλο μὲν οὐδὲν ἔχων ἀστεῖον, ὅτι δ᾽ ἑαυτὸν μὲν ὠνόμαζεν φοίνικα. τὸν δὲ ἀλέξανδρον ἀχιλλέα. πηλέα δὲ τὸν φίλιππον, ἠγαπᾶτο, καὶ δευτέραν εἶχε χώραν.

Ἐπεὶ δὲ φιλονείκου τοῦ θετταλοῦ, τὸν βουκέφαλον ἀγαγόντες ὤνιον τῷ φιλίππῳ, τρισκαίδεκα ταλάντων, κατέβησαν εἰς τὸ πεδίον δοκιμάσοντες τὸν ἵππον. ἐδόκει τε χαλεπὸς εἶναι καὶ κομιδῇ δύσχρηστος, οὔτε ἀναβάτην προσιέμενος, οὔτε φωνὴν ὑπομένων τινὸς τῶν περὶ τὸν φίλιππον, ἀλλ᾽ ἁπάντων κατεξανιστάμενος. δυσχεραίνοντος δὲ τοῦ φιλίππου, καὶ κελεύοντος ἀπάγειν ὡς παντάπασιν ἄγριον καὶ ἀκόλαστον, παρὼν ἀλέξανδρος εἶπεν. οἷον ἵππον ἀπολλύουσι δι᾽ ἀπειρίαν καὶ μαλακίαν, χρῆσθαι μὴ δυνάμενοι. τὸ μὲν οὖν πρῶτον ὁ φίλιππος, ἐσιώπησεν. πολλάκις δ᾽ αὐτοῦ παραφθεγγομένου καὶ περιπαθοῦντος, ἐπιτιμᾷς σὺ ἔφη πρεσβυτέροις, ὥς τι πλέον αὐτὸς εἰδὼς, ἢ μᾶλλον ἵππῳ χρήσασθαι δυνάμενος. τούτῳ γοῦν ἔφη, χρησαίμην ἂν, ἑτέρου βέλτιον. ἂν δὲ μὴ χρήσῃ, τίνα δίκην τῆς προπετείας ὑφέξεις. ἐγὼ νὴ δία εἶπεν ἀποτίσω τοῦ ἵππου τὴν τιμήν. γενομένου δὲ γέλωτος. εἶτα ὁρισμοῦ πρὸς ἀλλήλους, εἰς τὸ ἀργύριον, εὐθὺς προσδραμὼν τῷ ἵππῳ, καὶ παραλαβὼν τὴν ἡνίαν, ἐπέστρεψε πρὸς τὸν ἥλιον. ὡς ἔοικεν ἐννοήσας, ὅτι τὴν σκιὰν προπίπτουσαν καὶ σαλευομένην ὁρῶν πρὸ αὐτοῦ, διαταράττοιτο. μικρὰ δὲ οὕτω παρακαλπάσας, καὶ καταψήσας, ὡς ἑώρα πληρούμενον θυμοῦ καὶ πνεύματος, ἀπορρίψας ἡσυχῇ τὴν χλαμύδα, καὶ μετεωρίσας αὐτὸν, ἀσφαλῶς περιέβη. καὶ μικρὰ μὲν περιλαβὼν ταῖς ἡνίαις τὸν χαλινὸν ἄνευ πληγῆς καὶ σπαραγμοῦ προσανέστειλεν. ὡς δὲ ἑώρα τὸν ἵππον ἀφεικότα τὴν ἀπειλὴν, ὁρμῶντα δὲ πρὸς τὸν δρόμον. ἀφεὶς ἐδίωκεν ἤδη φωνῇ θρασυτέρᾳ, καὶ ποδὸς κρούσει χρώμενος. Τῶν δὲ περὶ τὸν φίλιππον, ἦν ἀγωνία καὶ σιγὴ, τὸ πρῶτον. ὡς δὲ κάμψας ἐπέστρεψεν ὀρθῶς, σοβαρὸς καὶ γεγηθὼς. οἱ μὲν ἄλλοι πάντες ἠλάλαξαν. ὁ δὲ πατὴρ, καὶ δακρῦσαί τι λέγεται πρὸς τὴν χαράν. καὶ καταβάντος αὐτοῦ τὴν κεφαλὴν φιλή-

Τὸν ἀλεξάνδρου τοῦ βασιλέως βίον καὶ τοῦ καίσαρος, ὑφ' οὗ κατελύθη πομπήιος, ἐν τούτῳ τῷ βιβλίῳ γράφοντες, διὰ τὸ πλῆθος τῶν ὑποκειμένων πράξεων, οὐδὲν ἄλλο προεροῦμεν, ἢ παραιτησόμεθα τοὺς ἀναγινώσκοντας, τ ἐὰν μὴ πάντα, μηδὲ καθ' ἕκαστον ἐξειργασμένως τι τῶν περιβοήτων ἀπαγγέλλωμεν, ἀλλὰ ἐπιτέμνοντες τὰ πλεῖστα, μὴ συκοφαντεῖν. οὔτε γὰρ ἱστορίας γράφομεν, ἀλλὰ βίους. οὔτε ταῖς ἐπιφανεστάταις πράξεσι πάντως ἔνεστι δήλωσις ἀρετῆς ἢ κακίας. ἀλλὰ πρᾶγμα βραχὺ, πολλάκις καὶ ῥῆμα, καὶ παιδιά τις ἔμφασιν ἤθους ἐποίησε μᾶλλον, ἢ μάχαι μυριόνεκροι, καὶ παρατάξεις αἱ μέγισται, καὶ πολιορκίαι πόλεων. ὥσπερ οὖν οἱ ζωγράφοι τὰς ὁμοιότητας ἀπὸ τοῦ προσώπου, καὶ τῶν περὶ τὴν ὄψιν εἰδῶν οἷς ἐμφαίνεται τὸ ἦθος ἀναλαμβάνουσιν, ἐλάχιστα τῶν λοιπῶν μερῶν φροντίζοντες, οὕτως ἡμῖν δοτέον εἰς τὰ τῆς ψυχῆς σημεῖα μᾶλλον ἐνδύεσθαι, καὶ διὰ τούτων εἰδοποιεῖν τὸν ἑκάστου βίον, ἐάσαντας ἑτέροις τὰ μεγέθη καὶ τοὺς ἀγῶνας. Ἀλέξανδρος, ὅτι τῷ γένει πρὸς πατρὸς μὲν ἦν ἡρακλείδης ἀπὸ καράνου, πρὸς δὲ μητρὸς αἰακίδης ἀπὸ νεοπτολέμου, τῶν πάνυ πεπιστευμένων ἐστί. λέγεται δὲ φίλιππος, ἐν σαμοθράκῃ τῇ ὀλυμπιάδι συμμυηθεὶς, αὐτός τε μειράκιον ὢν ἔτι, κἀκείνης παιδὸς ὀρφανῆς γονέων, ἐρασθῆναι καὶ τὸν γάμον οὕτως ἁρμόσαι, πείσας τὸν ἀδελφὸν αὐτῆς ἀρύββαν. Ἡ μὲν οὖν νύμφη πρὸ τῆς νυκτὸς ᾗ συνείρχθησαν εἰς τὸν θάλαμον, ἔδοξε βροντῆς γενομένης, ἐμπεσεῖν αὐτῆς τῇ γαστρὶ κεραυνόν. ἐκ δὲ τῆς πληγῆς, πολὺ πῦρ ἀναφθέν. εἶτα ῥηγνύμενον εἰς φλόγας πάντῃ φερομένας, διαλυθῆναι. ὁ δὲ φίλιππος ὑστέρῳ χρόνῳ μετὰ τὸν γάμον, εἶδεν ὄναρ αὑτὸν ἐπιβάλλοντα σφραγῖδα τῇ γαστρὶ τῆς γυναικός. ἡ δὲ γλυφὴ τῆς σφραγῖδος ὡς ᾤετο, λέοντος εἶχεν εἰκόνα. τῶν δὲ ἄλλων μάντεων ὑφορωμένων τὴν ὄψιν, ὡς ἀκριβεστέρας φυλακῆς δεομένῳ τῷ φιλίππῳ τῶν περὶ τὸν γάμον, ἀρίστανδρος ὁ τελμησσεὺς, κύειν ἔφη τὴν ἄνθρωπον. οὐθὲν γὰρ ἀποσφραγίζεσθαι τῶν κενῶν. καὶ κύειν παῖδα, θυμοειδῆ, καὶ λεοντώδη τὴν φύσιν. ὤφθη δέ ποτε καὶ δράκων, κοιμωμένης τῆς ὀλυμπιάδος, παρεκτεταμένος τῷ σώματι. καὶ τοῦτο μάλιστα τοῦ φιλίππου τὸν ἔρωτα καὶ τὰς φιλοφροσύνας ἀμαυρῶσαι λέγουσιν, ὡς μηδὲ φοιτᾶν ἔτι πολλάκις παρ' αὐτὴν, ἀναπαυσόμενον. εἴτε δείσαντά τινας μαγείας ἐπ' αὐτῷ καὶ φάρμακα τῆς γυναικὸς, εἴτε τὴν ὁμιλίαν ὡς κρείττονι συνούσης ἀφοσιούμενον. ἕτερος δὲ περὶ τούτων ἐστὶ λόγος. ὡς πᾶσαι μὲν αἱ τῇδε γυναῖκες, ἔνοχοι τοῖς ὀρφικοῖς οὖσαι καὶ τοῖς περὶ τὸν διόνυσον ὀργιασμοῖς ἐκ τοῦ πάνυ παλαιοῦ. κλώδωνές τε καὶ μιμαλλόνες ἐπωνυμίαν ἔχουσαι, πολλὰ ταῖς ἠδωνίσι, καὶ ταῖς περὶ τὸν αἷμον θρῄσσαις, ὅμοια δρῶσιν. ἀφ' ὧν δοκεῖ καὶ τὸ θρησκεύειν ὄνομα ταῖς κατακόροις γενέσθαι, καὶ περιέργοις ἱερουργίαις. ἡ δὲ ὀλυμπιὰς μᾶλλον ἑτέρων ζηλώσασα τὰς κατοχὰς, καὶ τοὺς ἐνθουσιασμοὺς ἐξάγουσα βαρβαρικώτερον, ὄφεις μεγάλους χειροήθεις ἐφείλκετο τοῖς θιάσοις, οἳ πολλάκις ἐκ τοῦ κιττοῦ καὶ τῶν μυστικῶν λίκνων παραναδυόμενοι καὶ περιελιττόμενοι τοῖς θύρσοις τῶν γυναικῶν, καὶ τοῖς στεφάνοις, ἐξέπληττον τοὺς ἄνδρας. οὐ μὴν, ἀλλὰ φιλίππῳ μὲν μετὰ τὸ φάσμα πέμψαντι χαίρωνα τὸν μεγαλοπολίτην εἰς δελφοὺς, χρησμὸν κομισθῆναι λέγουσιν παρὰ τοῦ θεοῦ, κελεύοντος ἄμμωνι θύειν, καὶ σέβεσθαι μάλιστα τοῦτον τὸν θεόν. ἀποβαλεῖν δὲ τῶν ὄψεων αὐτὸν τὴν ἑτέραν, ἣν τῷ τῆς θύρας ἁρμῷ προσβαλὼν, κατώπτευσεν ἐν μορφῇ δράκοντος, συνευναζόμενον τῇ γυναικὶ τὸν θεόν. Ἡ δὲ ὀλυμπιὰς ὡς ἐρατοσθένης φησὶ, προπέμπουσα τὸν ἀλέξανδρον ἐπὶ τὴν στρατείαν καὶ φράσασα μόνῳ τὸ περὶ τὴν τέκνωσιν ἀπόρρητον, ἐκέλευεν ἄξια φρονεῖν τῆς γενέσεως. ἕτεροι δέ φασιν αὐτὴν ἀφοσιοῦσθαι καὶ λέγειν. οὐ παύσεταί με διαβάλλων ἀλέξανδρος πρὸς τὴν ἥραν. ἐγεννήθη δ' οὖν ἀλέξανδρος ἱσταμένου μηνὸς ἑκατομβαιῶνος, ὃν μακεδόνες λῶον καλοῦσιν, ἕκτῃ. καθ' ἣν ἡμέραν, ὁ τῆς ἐφεσίας ἀρτέμιδος ἐνεπρήσθη νεώς. ὡς ἡγησίας ὁ μάγνης ἐπιπεφώνηκεν ἐπιφώνημα κατασβέσαι τὴν πυρκαϊὰν ἐκείνην, ὑπὸ ψυχρίας δυνάμενον. εἰκότως γὰρ ἔφη καταφλεχθῆναι τὸν νεὼν, τῆς ἀρτέμιδος, ἀσχολουμένης περὶ τὴν ἀλεξάνδρου μαίωσιν. Ὅσοι δὲ τῶν μάγων ἐν ἐφέσῳ διατρίβοντες ἔτυχον, τὸ περὶ τὸν νεὼν πάθος ἡγούμενοι πάθους ἑτέρου σημεῖον εἶναι, διέθεον τὰ πρόσωπα τυπτόμενοι καὶ βοῶντες, ἄτην ἅμα καὶ συμφορὰν μεγάλην τῇ ἀσίᾳ τὴν ἡμέραν ἐκείνην τετοκέναι. φιλίππῳ δὲ ἄρτι ποτίδαιαν ᾑρηκότι, τρεῖς ἧκον ἀγγελίαι, κατὰ τὸν αὐτὸν χρόνον. ἡ μὲν, ἰλλυριοὺς ἡττᾶσθαι μάχῃ μεγάλῃ διὰ παρμενίωνος. ἡ δὲ ὀλυμπίασιν ἵππῳ κέλητι νενικηκέναι. τρίτη δὲ, περὶ τῆς ἀλεξάνδρου γενέσεως. ἐφ' οἷς ἡδόμενον ὡς εἰκὸς, ἔτι μᾶλλον οἱ μάντεις ἐπῆραν ἀποφαινόμενοι τὸν παῖδα τρισὶ νίκαις συγγεγεννημένον, ἀήττητον ἔσεσθαι. τὴν μὲν οὖν ἰδέαν τοῦ σώματος, οἱ λυσίππειοι μάλιστα τῶν ἀνδριάντων ἐμφαίνουσιν. ὑφ' οὗ μόνου καὶ αὐτὸς ἠξίου πλάττεσθαι. καὶ γὰρ μάλιστα πολλοὶ τῶν διαδόχων ὕστερον, καὶ τῶν φίλων ἀπεμιμοῦντο, τήν τε

κήρυκος ἐκαλεῖτο μάχεσθαι καὶ πιὼν ἢ λιπεῖν ἑτέρῳ τὸν στέφανον. ἀλλὰ πολλὰ μὲν πεδία. μυρίας δὲ πό-
λεις καὶ γῆν ἅπασαν, ἢ κατὰ θάλατταν εὐπορίαν παρέχων, βουλόμενος μιμεῖσθαι μάξιμον καὶ μάριον
καὶ λούκουλλον, καὶ αὐτὸν ἀγησίλαον. ὃς οὐκ ἐλάττονας μὲν ἐν σπάρτῃ θορύβους ὑπέμεινε, βουλομέ-
νων θηβαίων, ὑπὲρ τῆς χώρας μάχεσθαι. πολλὰς δ' ἐν αἰγύπτῳ διαβολὰς καὶ κατηγορίας, ὑπ' ἀνοί-
ας τοῦ βασιλέως ἤνεγκεν, ἡσυχίαν ἄγειν κελεύων. χρησάμενος δὲ τοῖς ἀρίστοις ὡς ἐβούλετο λογισμοῖς,
οὐ μόνον αἰγυπτίους ἄκοντας ἔσωσεν. οὐδὲ τὴν σπάρτην ἐν τοσούτῳ σεισμῷ μόνος ὀρθὴν ἀεὶ διεφύλα-
ξεν, ἀλλὰ καὶ τρόπαιον ἔστησε κατὰ θηβαίων ἐν τῇ πόλει, τὸ νικῆσαι παρασχὼν αὖθις, ἐκ τοῦ τότε μὴ
προσαπολέσθαι βιασαμένους. ὅθεν ἀγησίλαος μὲν, ὑπὸ τῶν βιασθέντων ὕστερον, ἐπῃνεῖτο σωθέν-
των. πομπήιος δὲ δι' ἄλλους ἁμαρτὼν, αὐτὸς οἷς ἐπείσθη κατηγόρους εἶχε. καίτοι φασί τινες ὡς
ὑπὸ τοῦ πενθεροῦ σκηπίωνος ἐξηπατήθη. τὰ γὰρ πλεῖστα τῶν χρημάτων ὧν ἐκόμιζεν ἐξ ἀσίας
βουλόμενον αὐτὸν νοσφίσασθαι καὶ ἀποκρύψαντα κατεπεῖξαι τὴν μάχην, ὡς οὐκ ἔτι
χρημάτων ὄντων. ὃ καὶ ἀληθὲς ἦν, οὐκ ὤφειλε παθεῖν ὁ στρατηγός. οὐδὲ ῥαδίως
οὕτω παραλογισθεὶς, ἀποκινδυνεῦσαι περὶ τῶν μεγίστων. ἐν μὲν οὖν τού-
τοις, οὕτως ἑκάτερον ἀποθεωροῦμεν. εἰς αἴγυπτον δ' ὁ μὲν ἐξ ἀνάγ-
κης ἔπλευσε φεύγων. ὁ δὲ, οὔτε καλῶς, οὔτ' ἀναγκαίως ἀλλὰ
χρήμασιν, ὅπως ἔχῃ τοῖς ἕλλησι πολεμεῖν, ἀφ' ὧν τοῖς βαρ-
βάροις ἐστρατήγησεν. εἶτα ἃ διὰ πομπήιον αἰγυ-
πτίοις ἐγκαλοῦμεν, ταῦτα αἰγύπτιοι κατη-
γοροῦσιν ἀγησιλάου. ὁ μὲν γὰρ ἠδι-
κήθη πιστεύσας. ὁ δὲ πιστευθεὶς
ἐγκατέλιπε καὶ μετέστη
πρὸς τοὺς πολε-
μοῦντας,
οἷς ἔπλευσε συμμαχήσων.

ἑαυτοῦ θυγατέρα συνῴκισεν. ἀγησίλαος δὲ λύσανδρον ἐκ τῆς τυχούσης προφάσεως, ὑπεξέρριψε καὶ καθύβρισε. καίτοι σύλλας μὲν οὐκ ἐλαττόνων ἔτυχεν, ἢ πομπηΐῳ παρέσχεν. ἀγησίλαον δὲ λύσανδρος καὶ τῆς σπάρτης βασιλέα, καὶ τῆς ἑλλάδος στρατηγὸν ἐποίησε. τρίτον δὲ αἱ περὶ τὰ πολιτικὰ καὶ τῶν δικαίων παραβάσεις, πομπηΐῳ μὲν δι' οἰκειότητας ἐγένοντο. τὰ γὰρ πλεῖστα καίσαρι καὶ σκηπίωνι συνεξήμαρτε κηδεσταῖς οὖσιν. ἀγησίλαος δέ, σφοδρίαν μὲν ἐφ' οἷς ἀθηναίους ἠδίκησεν ἀποθανεῖν ὀφείλοντα, τῷ τοῦ παιδὸς ἔρωτι χαριζόμενος ἐξήρπασε. φοιβίδᾳ δέ, θηβαίους παρασπονδήσαντι, δῆλος ἦν δι' αὐτὸ τὸ ἀδίκημα προθύμως βοηθῶν. καθόλου δὲ ὅσα ῥωμαίους δι' αἰδῶ πομπήϊος, ἢ ἄγνοιαν αἰτίαν ἔχει βλάψαι, ταῦτα θυμῷ καὶ φιλονεικίᾳ λακεδαιμονίους ἀγησίλαος ἔβλαψε, τὸν βοιώτιον ἐκκαύσας πόλεμον. εἰ δὲ καὶ τύχην τινὰ τῶν ἀνδρῶν ἑκατέρου τοῖς σφάλμασι προσοιστέον, ἀνέλπιστος μὲν ἡ πομπηΐου ῥωμαίοις. ἀγησίλαος δὲ λακεδαιμονίους ἀκούοντας καὶ προειδότας, οὐκ εἴασε φυλάξασθαι τὴν χωλὴν βασιλείαν. καὶ γὰρ εἰ μυριάκις ἠλέγχθη λεωτυχίδης, ἀλλότριος εἶναι καὶ νόθος, οὐκ ἂν ἠπόρησαν. εὐρυπῶντι δὲ γνήσιον καὶ ἀρτίποδα τῇ σπάρτῃ βασιλέα παρέχειν, εἰ μὴ δι' ἀγησίλαον ἐπεσκότησε τῷ χρησμῷ λύσανδρος. οἷ μὲν τῇ περὶ τῶν τρεσάντων ἀπορίᾳ προσήγαγεν ὁ ἀγησίλαος, ἅμα μετὰ τὴν ἐν λεύκτροις ἀτυχίαν, κελεύσας τοὺς νόμους ἐκείνην τὴν ἡμέραν καθεύδειν, οὐ γέγονεν ἄλλο σόφισμα πολιτικόν. οὐδ' ἔχομέν τι τοῦ πομπηΐου παραπλήσιον. ἀλλὰ τοὐναντίον. οὐδ' οἷς αὐτὸς ἐτίθει νόμοις ᾤετο δεῖν ἐμμένειν τὸ δύνασθαι μέγα τοῖς φίλοις ἐνδεικνύμενος. ὁ δὲ εἰς ἀνάγκην καταστὰς τοῦ λῦσαι τοὺς νόμους ἐπὶ τῷ σῶσαι τοὺς πολίτας, ἐξεῦρε τρόπον ᾧ μήτε ἐκείνους βλάψουσι, μήτε ὅπως οὐ βλάψωσι λυθήσονται. τίθημι δὲ κἀκεῖνο τὸ ἀμίμητον ἔργον εἰς πολιτικὴν ἀρετὴν τοῦ ἀγησιλάου. τὸ δεξάμενον τὴν σκυτάλην, ἀπολιπεῖν τὰς ἐν ἀσίᾳ πράξεις. οὐ γὰρ ὡς πομπήϊος ἀφ' ὧν ἑαυτὸν ἐποίει μέγαν ὠφέλει τὸ κοινόν. ἀλλὰ τὸ τῆς πατρίδος σκοπῶν, τηλικαύτην ἀφῆκε δύναμιν καὶ δόξαν, ἡλίκην οὐδεὶς πρότερον, οὐδὲ ὕστερον, πλὴν ἀλέξανδρος ἔσχεν. ἀπὸ ἄλλης τοίνυν ἀρχῆς ἐν ταῖς στρατηγίαις καὶ τοῖς πολεμικοῖς. ἀριθμῷ μὲν τροπαίων καὶ μεγέθει δυνάμεων, ἃς ἐπηγάγετο πομπήϊος. καὶ πλήθει παρατάξεων ἃς ἐνίκησεν, οὐδ' ἂν ὁ ξενοφῶν μοι δοκεῖ παραβαλεῖν τὰς ἀγησιλάου νίκας. ᾧ δὴ τἆλλα καλά, καθάπερ γέρας ἐξαίρετον δέδοται καὶ γράφειν ὃ βούλοιτο καὶ λέγειν περὶ τοῦ ἀνδρός. οἶμαι δὲ καὶ τῇ πρὸς τοὺς πολεμίους ἐπιεικείᾳ διαφέρειν τὸν ἄνδρα τοῦ ἀνδρός. ὁ μὲν γὰρ ἀνδραποδίσασθαι θήβας, καὶ μεσσήνην ἐξοικίσασθαι βουλόμενος, ὧν ἡ μὲν ὁμόκληρος τῆς πατρίδος, ἡ δὲ μητρόπολις τοῦ γένους, παρ' οὐδὲν ἦλθε τὴν σπάρτην ἀποβαλεῖν, ἀπέβαλε δὲ τὴν ἡγεμονίαν. ὁ δὲ καὶ τῶν πειρατῶν τοῖς μεταβαλλομένοις πόλεις ἔδωκε. καὶ τιγράνην τὸν ἀρμενίων βασιλέα, γενόμενον ἐφ' ἑαυτῷ θριαμβεῦσαι, σύμμαχον ἐποιήσατο. καὶ φήσας ἡμέρας μιᾶς αἰῶνα προτιμᾶν. εἰ μέντοι τοῖς μεγίστοις καὶ κυριωτάτοις εἰς τὰ ὅπλα πράγμασι καὶ λογισμοῖς προστίθεται πρωτεῖον ἀρετῆς ἀνδρὸς ἡγεμόνος, οὐ μικρὸν ὁ λάκων τὸν ῥωμαῖον ἀπολέλοιπε. πρῶτον μὲν γὰρ οὐ προήκατο τὴν πόλιν οὐδ' ἐξέλιπεν, ἑπτὰ μυριάσι στρατοῦ τῶν πολεμίων ἐμβαλόντων, ὀλίγους ἔχων ὁπλίτας, καὶ προνενικημένους ἐν λεύκτροις. πομπήϊος δὲ πεντακισχιλίοις μόνοις καὶ τριακοσίοις μίαν καίσαρος πόλιν ἰταλικὴν καταλαβόντος ἐξέπεσε τῆς ῥώμης ὑπὸ δέους, ἢ τοσούτοις εἴξας ἀγεννῶς, ἢ πλείονας ψευδῶς εἰκάσας. καὶ συσκευασάμενος τὰ τέκνα καὶ τὴν γυναῖκα αὐτοῦ. τὰς δὲ τῶν ἄλλων πολιτῶν, ἐρήμους ἀπολιπὼν ἔφυγε. δέον ἢ κρατεῖν μαχόμενον ὑπὲρ τῆς πατρίδος, ἢ δέχεσθαι διαλύσεις παρὰ τοῦ κρείττονος. ἦν γὰρ πολίτης καὶ οἰκεῖος. νῦν δὲ ᾧ στρατηγίας χρόνον ἤδη μετρῆσαι καὶ ὑπατείαν ψηφίσασθαι δεινὸν ἡγεῖτο. τούτῳ παρέσχε λαβόντι τὴν πόλιν εἰπεῖν πρὸς μέτελλον, ὅτι κἀκεῖνον αἰχμάλωτον αὐτοῦ νομίζει, καὶ τοὺς ἄλλους ἅπαντας. ὃ τοίνυν ἔργον ἐστὶν ἀγαθοῦ στρατηγοῦ μάλιστα, κρείττονα μὲν τὸ βιάζεσθαι τοὺς πολεμίους μάχεσθαι, λειπόμενον δέ, δυνάμει μὴ βιασθῆναι. τοῦτο ποιῶν ἀγησίλαος ἀεὶ διεφύλαξεν ἑαυτὸν ἀήττητον. πομπήϊον δὲ καῖσαρ οὗ μὲν ἦν ἐλάττων, διέφυγε μὴ βλαβῆναι. καθὸ δὲ κρείττων ἦν, ἠνάγκασεν ἀγωνισάμενον τῷ πεζῷ περὶ πάντων σφαλῆναι. καὶ κύριος εὐθὺς ἦν, χρημάτων καὶ ἀγορᾶς καὶ θαλάττης ἀφ' ὧν διεπέπρακτο, ἂν ἄνευ μάχης ἐκείνοις προσόντων. τὸ δ' ὑπὲρ τούτων ἀπολόγημα, μέγιστόν ἐστιν ἔγκλημα στρατηγοῦ τηλικούτου. νέον μὲν γὰρ ἄρχοντα θορύβοις καὶ καταβοήσεσιν εἰς μαλακίαν καὶ δειλίαν ἤδη ταραχθέντα, τῶν ἀσφαλεστάτων ἐκπεσεῖν λογισμῶν, εἰκός ἐστι, καὶ συγγνωστόν. πομπήϊον δὲ μάγνον, οὗ ῥωμαῖοι τὸ μὲν στρατόπεδον πατρίδα, σύγκλητον δὲ τὴν σκηνήν, ἀποστάτας δὲ καὶ προδότας τοὺς ἐν ῥώμῃ πολιτευομένους καὶ στρατηγοῦντας καὶ ὑπατεύοντας ἐκάλουν. ἀρχόμενον δὲ ὑπ' οὐδενὸς ἔγνωσαν. πάσας δὲ αὐτοκράτορα στρατευσάμενον ἄριστα τὰς στρατείας, τίς ἀνάσχοιτο τοῖς φαωνίου σκώμμασι καὶ δομετίου. καὶ ἵνα μὴ ἀγαμέμνων λέγηται, παρ' ἐλάχιστον ἐκβιασθέντα τὸν περὶ τῆς ἡγεμονίας καὶ ἐλευθερίας ἀναρρῖψαι κίνδυνον, ὃς εἰ μόνον ἐσκόπει τὸ παρ' ἡμέραν ἄδοξον, ὤφειλεν ἀντιστὰς ἐν ἀρχῇ διαγωνίσασθαι περὶ τῆς ῥώμης, ἀλλὰ μὴ τὴν φυγὴν ἐκείνην ἀποφαίνων στρατήγημα θεμιστόκλειον, ὕστερον ἐν αἰσχρῷ τίθεσθαι τὴν ἐν θετταλίᾳ πρὸ μάχης διατριβήν. οὐ γὰρ ἐκεῖνό γε στάδιον αὐτοῖς καὶ θέατρον ἀγωνίσασθαι περὶ τῆς ἡγεμονίας ὁ θεὸς ἀπέδειξε τὸ φαρσάλιον πεδίον. οὐδὲ ὑπὸ

οὐδὲ λαμπρὰν, οὐδὲ ταῖς θεοφάνους ἐλπίσιν ὁμοίαν ὑποδοχὴν, ἀλλ' ἐπὶ μιᾶς ἁλιάδος προσπλέοντας ὀλίγους ἀνθρώπους, ὑπείδοντο τὴν ὀλιγωρίαν. καὶ τῷ πομπηΐῳ παρῄνουν εἰς πέλαγος ἀνακρούεσθαι τὴν ναῦν, ἕως ἔξω βέλους εἰσίν. ἐν τούτῳ δὲ πλαζούσης τῆς ἁλιάδος, φθάσας ὁ σεπτίμιος ἐξανέστη. καὶ ῥωμαϊστὶ τὸν πομπήϊον αὐτοκράτορα προσηγόρευσεν. ὁ δὲ ἀχιλλᾶς ἀσπασάμενος αὐτὸν, ἑλληνιστὶ παρεκάλει μεταβῆναι εἰς τὴν ἁλιάδα. τέναγος γὰρ εἶναι πολὺ καὶ βάθος οὐκ ἔχειν πλόϊμον τριήρει, τὴν θάλατταν ὑπόψαμμον οὖσαν. ἅμα δὲ καὶ νῆές τινες ἑωρῶντο τῶν βασιλικῶν πληρούμεναι. καὶ τὸν αἰγιαλὸν ὁπλῖται κατεῖχον, ὥστ' ἄφυκτα καὶ μεταβαλλομένοις ἐφαίνετο. καὶ προσῆν τὸ διδόναι τοῖς φονεῦσι τὴν ἀπιστίαν αὐτὴν τῆς ἀδικίας ἀπολογίαν. ἀσπασάμενος οὖν τὴν κορνηλίαν προαποθρηνοῦσαν αὐτοῦ τὸ τέλος, καὶ δύο ἑκατοντάρχας προεμβῆναι κελεύσας, καὶ τῶν ἀπελευθέρων ἕνα φίλιππον, καὶ θεράποντα σκύθην ὄνομα, δεξιουμένων αὐτὸν ἤδη τῶν περὶ ἀχιλλᾶν ἐκ τῆς ἁλιάδος, μεταστραφεὶς πρὸς τὴν γυναῖκα καὶ τὸν υἱὸν, εἶπε σοφοκλέους ἰαμβεῖα.

* Ὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται,
* κείνου ἐστὶ δοῦλος κἂν ἐλεύθερος μόλῃ.

ταῦτα δ' ἔσχατα πρὸς τοὺς ἑαυτοῦ φθεγξάμενος ἐνέβη. καὶ συχνοῦ διαστήματος ὄντος ἐπὶ τὴν γῆν ἀπὸ τῆς τριήρους, ὡς οὐδεὶς παρὰ τῶν συμπλεόντων ἐγίνετο λόγος φιλάνθρωπος πρὸς αὐτὸν, ἀποβλέψας εἰς τὸν σεπτίμιον, οὐ δήπου σε εἶπεν ἐγὼ γεγονότα συστρατιώτην ἐμὸν ἀμφιγνοῶ. κἀκεῖνος ἐπένευσε τῇ κεφαλῇ μόνον οὐδὲν προσειπὼν, οὐδὲ φιλοφρονηθείς. πολλῆς οὖν πάλιν οὔσης σιωπῆς, ὁ πομπήϊος ἔχων ἐν βιβλίῳ μικρῷ γεγραμμένον ὑπ' αὐτοῦ λόγον ἑλληνικὸν ᾧ παρεσκεύαστο χρῆσθαι πρὸς τὸν πτολεμαῖον, ἀνεγίνωσκεν. ὡς δὲ τῇ γῇ προσεπέλαζον, ἡ μὲν κορνηλία μετὰ τῶν φίλων ἐκ τῆς τριήρους περιπαθὴς οὖσα, τὸ μέλλον ἐπεσκοπεῖτο. καὶ θαρρεῖν ἤρχετο πολλοὺς ὁρῶσα πρὸς τὴν ἀπόβασιν τῶν βασιλικῶν οἷον ἐπὶ τιμῇ καὶ δεξιώσει συνερχομένους. ἐν τούτῳ δὲ τὸν πομπήϊον τῆς φιλίππου λαμβανόμενον χειρὸς ὅπως ῥᾷον ἐξαναστaίη, σεπτίμιος ὄπισθεν τῷ ξίφει διελαύνει πρῶτον. εἶτα σάλβιος μετ' ἐκεῖνον. εἶτα ἀχιλλᾶς ἐσπάσαντο τὰς μαχαίρας. ὁ δὲ ταῖς χερσὶν ἀμφοτέραις τὴν τήβεννον ἐφελκυσάμενος κατὰ τοῦ προσώπου, μηδὲν εἰπὼν ἀνάξιον ἑαυτοῦ μηδὲ ποιήσας, ἀλλὰ στενάξας μόνον, ἐνεκαρτέρησε ταῖς πληγαῖς. ἑξήκοντα μὲν ἑνὸς δέοντος βεβιωκὼς ἔτη, μιᾷ δ' ὕστερον τῆς γενεθλίου τελευτήσας τὸν βίον. οἱ δ' ἀπὸ τῶν νεῶν ὡς ἐθεάσαντο τὸν φόνον, οἰμωγὴν ἐξάκουστον ἄχρι τῆς γῆς ἐκχέαντες, ἔφυγον ἀράμενοι τὰς ἀγκύρας κατὰ τάχος. καὶ πνεῦμα λαμπρὸν ἐβοήθει πελαγίοις ὑπεκθέουσιν. ὥστε βουλομένους διώκειν ἀποτραπέσθαι τοὺς αἰγυπτίους. τοῦ δὲ πομπηΐου τὴν μὲν κεφαλὴν ἀποτέμνουσι, τὸ δὲ ἄλλο σῶμα γυμνὸν ἐκβαλόντες ἀπὸ τῆς ἁλιάδος, τοῖς δεομένοις τοιούτου θεάματος, ἀπέλιπον. παρέμεινε δὲ αὐτῷ φίλιππος, ἕως ἐγένοντο μεστοὶ τῆς ὄψεως. εἶτα περιλούσας τῇ θαλάσσῃ τὸ σῶμα, καὶ χιτωνίῳ τινὶ τῶν ἑαυτοῦ περιστείλας, ἄλλο δὲ οὐδὲν ἔχων, ἀλλὰ περισκοπῶν τὸν αἰγιαλὸν, εὗρε μικρᾶς ἁλιάδος λείψανα, παλαιὰ μὲν, ἀρκοῦντα δὲ, νεκρῷ γυμνῷ καὶ οὐδὲ ὅλῳ πυρκαϊὰν ἀναγκαίαν παρασχεῖν. ταῦτα συγκομίζοντος αὐτοῦ καὶ συντιθέντος, ἐπιστὰς ἀνὴρ ῥωμαῖος ἤδη γέρων, τὰς δὲ πρώτας στρατείας ἔτι νέος πομπηΐῳ συνεστρατευμένος, τίς ὢν ὦ ἄνθρωπε ἔφη, θάπτειν διανοῇ μάγνον πομπήϊον. ἐκείνου δὲ φήσαντος ὡς ἀπελεύθερος, ἀλλ' οὐ μόνῳ σοι ἔφη τοῦτο τὸ καλὸν ὑπάρξει, κἀμὲ δὲ ὥσπερ εὑρήματος εὐσεβοῦς δέξαι κοινωνὸν, ὡς μὴ κατὰ πάντα μέμφωμαι τὴν ἀποξενίωσιν, ἀντὶ πολλῶν ἀνιαρῶν τοῦτο γοῦν εὑράμενος, ἅψασθαι καὶ περιστεῖλαι ταῖς ἐμαῖς χερσὶ, τὸν μέγιστον αὐτοκράτορα ῥωμαίων. οὕτω μὲν ἐκηδεύετο πομπήϊος. τῇ δ' ὑστεραίᾳ λεύκιος λέντλος οὐκ εἰδὼς τὰ πεπραγμένα, πλέων ἀπὸ κύπρου καὶ παρὰ γῆν κομιζόμενος, ὡς εἶδε νεκροῦ πυρὰν, καὶ παρεστῶτα τὸν φίλιππον οὔπω καθορώμενον, τίς ἄρα ἔφη τὸ πεπρωμένον ἐνταῦθα τελέσας ἀναπέπαυται. καὶ μικρὸν διαλιπὼν καὶ στενάξας, τάχα δὲ εἶπε σὺ πομπήϊε μάγνε. καὶ μετὰ μικρὸν ἀποβὰς, καὶ συλληφθεὶς ἀπέθανε. τοῦτο πομπηΐου τέλος. οὐ πολλῷ δὲ ὕστερον καῖσαρ ἐλθὼν εἰς αἴγυπτον οὕτω καταπεπληγμένην, τὸν μὲν προσφέροντα τὴν κεφαλὴν, ὡς παλαμναῖον ἀπεστράφη. τὴν δὲ σφραγῖδα τοῦ πομπηΐου δεξάμενος, ἐδάκρυσεν. ἦν δὲ γλυφὴ λέων ξιφήρης. ἀχιλλᾶν δὲ καὶ ποθεινὸν, ἀπέσφαξεν. αὐτὸς δὲ μάχῃ λειφθεὶς ὁ βασιλεὺς περὶ τὸν ποταμὸν ἠφανίσθη. θεόδοτον δὲ τὸν σοφιστὴν ἡ μὲν ἐκ καίσαρος δίκη παρῆλθε. φυγὼν γὰρ αἴγυπτον, ἐπλανᾶτο ταπεινὰ πράττων καὶ μισούμενος. βροῦτος δὲ μᾶρκος, ὅτε καίσαρα κτείνας ἐκράτησεν, ἐξευρὼν αὐτὸν ἐν ἀσίᾳ, καὶ πᾶσαν αἰκίαν αἰκισάμενος, ἀπέκτεινε. τὰ δὲ λείψανα τοῦ πομπηΐου κορνηλία δεξαμένη κομισθέντα, περὶ τὸν ἀλβανὸν ἔθηκεν. ἐκκειμένων οὖν τῶν βίων, ἐπιδράμωμεν τῷ λόγῳ ταχέως, τὰ ποιοῦντα τὰς διαφορὰς, παράλληλα συνάγοντες. ἔστι δὲ ταῦτα. πρῶτον, ὅτι πομπήϊος ἐκ τοῦ δικαιοτάτου τρόπου παρῆλθεν εἰς δύναμιν καὶ δόξαν, αὐτὸς ὁρμηθεὶς ἀφ' ἑαυτοῦ. καὶ πολλὰ καὶ μεγάλα σύλλᾳ τὴν ἰταλίαν ἀπὸ τῶν τυράννων ἐλευθεροῦντι συγκατεργασάμενος. ἀγησίλαος δὲ τὴν βασιλείαν ἔδοξε λαβεῖν, οὔτε τὰ πρὸς θεοὺς ἄμεμπτος, οὔτε τὰ πρὸς ἀνθρώπους. κρίνας νοθείας λεωτυχίδην, ὃν υἱὸν αὐτοῦ ἀπέδειξεν ὁ ἀδελφὸς γνήσιον. τὸν δὲ χρησμὸν κατειρωνευσάμενος τὸν περὶ τῆς χωλότητος. δεύτερον, ὅτι πομπήϊος σύλλαν καὶ ζῶντα τιμῶν διετέλεσε, καὶ τεθνηκότος, ἐκήδευσε, βιασάμενος λέπιδον τὸ σῶμα, καὶ τῷ παιδὶ φαύστῳ τὴν

ἑαυτοῦ

νέσθαι. ταῦτα εἰπεῖν τὴν κορνηλίαν λέγουσι. τὸν δὲ πομπήιον ἀποκρίνασθαι, μίαν ἄρα κορνηλία τύ-
χην ᾔδεις τὴν ἀμείνονα. ἣ καὶ σὲ ἴσως ἐξηπάτησεν, ὅτι μοι χρόνον πλεῖστα τοῦ συνήθους παρέμεινεν.
ἀλλὰ καὶ ταῦτα δεῖ φέρειν γενομένους ἀνθρώπους, καὶ τῆς τύχης ἔτι πειρατέον. οὐ γὰρ ἀνέλπιστον ἐκ
τούτων ἀναλαβεῖν ἐκεῖνα, τὸν ἐξ ἐκείνων ἐν τούτοις γενόμενον. ἡ μὲν οὖν γυνὴ μετεπέμπετο, χρήματα
καὶ θεράποντας ἐκ πόλεως. τῶν δὲ μιτυληναίων τὸν πομπήιον ἀσπασαμένων καὶ παρακαλούντων
εἰσελθεῖν εἰς τὴν πόλιν, οὐκ ἠθέλησεν, ἀλλὰ κἀκείνους ἐκέλευσε τῷ κρατοῦντι πείθεσθαι καὶ θαρρεῖν.
εὐγνώμονα γὰρ εἶναι καίσαρα καὶ χρηστόν. αὐτὸς δὲ πρὸς κράτιππον τραπόμενος τὸν φιλόσοφον. κα-
τέβη γὰρ ἐκ τῆς πόλεως ὀψόμενος αὐτόν, ἐμέμψατο καὶ συνδιηπόρησε βραχέα περὶ τῆς προνοίας,
ὑποκατακλινομένου τοῦ κρατίππου καὶ παράγοντος αὐτὸν ἐπὶ τὰς ἀμείνονας ἐλπίδας, ὅπως μὴ
λυπηρὸς μηδὲ ἄκαιρος ἀντιλέγων ᾖ. ἐπεὶ τὸ μὴ ἐρέσθαι τὸν πομπήιον ὑπὲρ τῆς προνοίας. τὸν δ'
ἀποφαίνεσθαι, ὅτι τοῖς πράγμασιν ἤδη μοναρχίας ἔδει διὰ τὴν κακοπολιτείαν, ἐρέσθαι δέ πως, ὦ
πομπήιε καὶ τίνι τεκμηρίῳ πεισθῶμεν ὅτι βέλτιον ἂν σὺ τῇ τύχῃ καίσαρος ἐχρήσω κρατήσας. ἀλλὰ
ταῦτα μὲν ἐατέον ὡς περ ἔχει τὰ τῶν θεῶν. ἀναλαβὼν δὲ τὴν γυναῖκα καὶ τοὺς φίλους, ἐκομίζετο, προ-
σίσχων ὅρμοις ἀναγκαίοις ὕδωρ ἢ ἀγορὰν ἔχουσιν. εἰς δὲ πόλιν εἰσῆλθε πρώτην, ἀττάλειαν τῆς παμφυ- π.
λίας. ἐνταῦθα δὲ αὐτῷ καὶ τριήρεις τινὲς ἀπήντησαν ἐκ κιλικίας, καὶ στρατιῶται συνελέγοντο. καὶ
τῶν συγκλητικῶν πάλιν, ἑξήκοντα περὶ αὐτὸν ἦσαν. ἀκούων δὲ καὶ τὸ ναυτικὸν ἔτι συνεστάναι, καὶ
κάτωνα πολλοὺς στρατιώτας ἀνειληφότα περαιοῦν εἰς λιβύην, ὠδύρετο πρὸς τοὺς φίλους καταμεμ-
φόμενος ἑαυτὸν ἐκβιασθέντα πεζῷ συμβαλεῖν. τῇ δὲ κρείττονι ἀδηρίτως δυνάμει πρὸς μηδὲν ἀποχρή- λ τῷ. π.
σασθαι μηδὲ περιορμίσαι τὸ ναυτικόν. ὅπου κατὰ γῆν σφαλεὶς, εὐθὺς ἂν εἶχεν ἀντίπαλον ἐκ θαλάτ-
της παρεστῶσαν ἀλκὴν καὶ δύναμιν τοσαύτην, οὐδὲ γὰρ ἁμάρτημα πομπηίου μεῖζον. οὐδὲ δεινότερον οὐδὲν .π. ς.
στρατήγημα καίσαρος, ἢ τὸ τὴν μάχην οὕτω μακρὰν ἀποσπάσασθαι τῆς ναυτικῆς βοηθείας. οὐ μὴν, περιέπεμπε. ς.
ἀλλ' ἐκ τῶν παρόντων κρίνειν τι καὶ πράττειν ἀναγκαζόμενος, ἐπὶ τὰς πόλεις παρέπεμπε. τὰς δ' αὐτὸς
περιπλέων, ᾔτει χρήματα καὶ ναῦς ἐπλήρου. τὴν δ' ὀξύτητα τοῦ πολεμίου καὶ τὸ τάχος δεδοικὼς μὴ
προσαναρπάσῃ τῆς παρασκευῆς αὐτὸν ἐπελθὼν, ἐσκόπει καταφυγὴν ἐπὶ τῷ παρόντι καὶ ἀναχώρη-
σιν. ἐπαρχία μὲν οὖν οὐδεμία φυλάξιμος ἐφαίνετο βουλευομένοις αὐτοῖς. τῶν δὲ βασιλειῶν αὐτὸς μὲν φύξιμος
ἀπέφαινε τὴν πάρθων ἱκανωτάτην οὖσαν ἔν τε τῷ παρόντι δέξασθαι καὶ περιβαλεῖν σφᾶς ἀσθενεῖς
ὄντας. αὖθις τε ῥῶσαι καὶ προπέμψαι μετὰ πλείστης δυνάμεως. τῶν δ' ἄλλων, οἱ μὲν, εἰς λιβύην καὶ
ἰόβαν ἔτρεπον τὴν γνώμην. θεοφάνει δὲ τῷ λεσβίῳ μανικὸν ἐδόκει τριῶν ἡμερῶν πλοῦν ἀπέχου-
σαν αἴγυπτον ἀπολιπόντας, καὶ πτολεμαῖον ἡλικίαν μὲν ἀντίπαιδα, φιλίας δὲ καὶ χάριτος πα-
τρῴας ὑπόχρεων, πάρθοις ὑποβαλεῖν ἑαυτὸν ἀπιστοτάτῳ γένει. καὶ ῥωμαίῳ μὲν ἀνδρὶ κηδεστῇ γενο-
μένῳ, τὰ δεύτερα λέγοντα πρῶτον εἶναι τῶν ἄλλων μὴ θέλλειν, μηδὲ πειρᾶσθαι τῆς ἐκείνου μετριότη- θέλειν. π.
τος, ἀρσάκην δὲ ποιεῖσθαι κύριον ἑαυτοῦ, τὸν μηδὲ κράσσου δυνηθέντα, ζῶντος. καὶ γυναῖκα νέαν οἴ-
κου τοῦ σκηπίωνος εἰς βαρβάρους κομίζειν, ὕβρει καὶ ἀκολασίᾳ τὴν ἐξουσίαν μετροῦντας, ᾗ κἂν μὴ πά-
θῃ δόξει δὲ παθεῖν, δεινόν ἐστιν ἐπὶ τοῖς ποιῆσαι δυναμένοις γενομένην. τοῦτο μόνον ὥς φασιν ἀπέτρεψε
τῆς ἐπὶ τὸν εὐφράτην ὁδοῦ πομπήιον, εἰ δή τις ἔτι πομπηίου λογισμὸς, ἀλλ' οὐχὶ δαίμων ἐκείνην ὑφη-
γεῖτο τὴν ὁδόν. ὡς δ' οὖν ἐνίκα φεύγειν εἰς τὴν αἴγυπτον, ἀναχθεὶς ἀπὸ κύπρου σελευκίδι τριήρει μετὰ τῆς
γυναικός. τῶν δ' ἄλλων, οἱ μὲν ἐν μακραῖς ὁμοίως ναυσίν. οἱ δὲ ἐν ὁλκάσιν ἅμα συμπαρέπλεον. τὸ μὲν
πέλαγος διεπέρασεν ἀσφαλῶς. πυθόμενος δὲ τὸν πτολεμαῖον ἐν πηλουσίῳ καθῆσθαι μετὰ στρατείας,
πολεμοῦντα πρὸς τὴν ἀδελφὴν, ἐκεῖ κατέσχε προπέμψας τὸν φράσοντα τῷ βασιλεῖ καὶ δεησόμενον.
ὁ μὲν οὖν πτολεμαῖος ἦν κομιδῇ νέος. ὁ δὲ πάντα διέπων τὰ πράγματα ποθεινὸς ἤθροισε βουλὴν τῶν
δυνατωτάτων. ἐδύναντο δὲ μέγιστον, οὓς ἐκεῖνος ἐβούλετο. καὶ λέγειν ἐκέλευσεν ἣν ἔχει γνώμην ἕκαστος. ἦν
οὖν δεινὸν, περὶ πομπηίου μάγνου βουλεύεσθαι ποθεινὸν τὸν εὐνοῦχον. καὶ θεόδοτον τὸν χῖον, ἐπὶ μισθῷ
ῥητορικῶν λόγων διδάσκαλον ἀνειλημμένον. καὶ τὸν αἰγύπτιον ἀχιλλᾶν. κορυφαιότατοι γὰρ ἦσαν ἐν κα-
τευνασταῖς καὶ τιθηνοῖς τοῖς ἄλλοις οὗτοι σύμβουλοι. καὶ τοιούτου δικαστηρίου ψῆφον πομπήιος ἐπ' ἀγκυ-
ρῶν πρόσω τῆς χώρας ἀποσαλεύων, περιέμενεν. ὃν καίσαρι σωτηρίας χάριν, οὐκ ἦν ἄξιον ὀφείλειν.
τῶν μὲν οὖν ἄλλων τοσοῦτον αἱ γνῶμαι διέστησαν, ὅσον οἱ μὲν ἀπελαύνειν ἐκέλευον. οἱ δὲ καλεῖν καὶ δέ-
χεσθαι τὸν ἄνδρα. θεόδοτος δὲ, δεινότητα λόγου καὶ ῥητορείαν ἐπιδεικνύμενος, οὐδέτερον ἀπέφηνεν ἀ-
σφαλές. ἀλλὰ δεξαμένους μὲν, ἕξειν καίσαρα πολέμιον. καὶ δεσπότην πομπήιον. ἀπωσαμένους δὲ, καὶ
πομπηίῳ τῆς ἐκβολῆς ὑπαιτίους ἔσεσθαι, καὶ καίσαρι τῆς διώσεως. κράτιστον οὖν εἶναι μεταπεμψα- διώξεως. ἰδ.
μένους, ἀνελεῖν τὸν ἄνδρα. καὶ γὰρ ἐκείνῳ χαριεῖσθαι, καὶ τοῦτον οὐ φοβήσεσθαι. προσεπεῖπε δὲ διαμει-
διάσας ὥς φασιν, ὅτι νεκρὸς οὐ δάκνει. ταῦτα κυρώσαντες ἐπ' ἀχιλλᾷ ποιοῦνται τὴν πρᾶξιν. ὁ δὲ σε-
πτίμιόν τινα πάλαι γεγονότα πομπηίου ταξίαρχον παραλαβὼν, καὶ σάλβιον ἕτερον ἑκατοντάρ-
χην, καὶ τρεῖς ἢ τέτταρας ὑπηρέτας, ἀνήχθη πρὸς τὴν πομπηίου ναῦν. ἔτυχον δὲ πάντες εἰς αὐτὴν οἱ δο-
κιμώτατοι τῶν συμπλεόντων ἐμβεβηκότες, ὅπως εἰδεῖεν τὸ πραττόμενον. ὡς οὖν εἶδον, οὐ βασιλικὴν

λογισμῷ χαλεπὸν ἀπεῖν, μάλιστα δὲ ὅμοιος παράφρονι καὶ παραπλῆγι τὴν διάνοιαν, καὶ μηδ᾽ ὅτι Μά-
γνος ἐστὶ Πομπήιος ἐννοοῦντι, μηδένα προσειπὼν, ἀπῄει βάδην εἰς τὸν χάρακα. πάνυ τοῖς ἔπεσι πρέ-
» πων ἐκείνοις. Ζεὺς δὲ πατὴρ Αἴαντι ὑψίζυγος ἐν φόβον ὦρσε. Στῆ δὲ ταφὼν, ὄπιθεν δὲ σάκος
» βάλεν ἑπταβόειον. Τρέσε δὲ παπτήνας ἐφ᾽ ὁμίλου. τοιοῦτος εἰς τὴν σκηνὴν παρελθὼν, ἄφθογ-
γος καθῆστο, μέχρις οὗ τοῖς φεύγουσι, πολλοὶ διώκοντες συνεισέπιπτον. τότε δὲ φωνὴν μίαν ἀφεὶς ταύ-
την, οὐκοῦν καὶ ἐπὶ τὴν παρεμβολήν. ἄλλο δὲ μηδὲν εἰπὼν, ἀναστὰς καὶ λαβὼν ἐσθῆτα τῇ παρούσῃ
τύχῃ πρέπουσαν, ὑπεξῆλθεν. ἔφυγε δὲ καὶ τὰ λοιπὰ τάγματα. καὶ φόνος ἐν τῷ στρατοπέδῳ πολὺς
ἐγένετο σκηνοφυλάκων καὶ θεραπόντων. στρατιώτας δὲ μόνους, ἑξακισχιλίους φησὶ πεσεῖν Ἀσίννιος Πο-
λίων μεμαχημένος ἐκείνην τὴν μάχην μετὰ Καίσαρος. αἱροῦντες δὲ τὸ στρατόπεδον, ἐθεῶντο τὴν ἄνοιαν
καὶ κουφότητα τῶν πολεμίων. πᾶσα γὰρ σκηνὴ μυρσίναις κατέστεπτο. καὶ στρωμναῖς ἀνθιναῖς ἤ-
σκητο. καὶ τραπέζαις ἐκπωμάτων μεσταῖς. καὶ κρατῆρες οἴνου προὔκειντο καὶ παρασκευὴ, καὶ κόσμος
ἦν τεθυκότων καὶ πανηγυριζόντων μᾶλλον, ἢ πρὸς μάχην ἐξοπλιζομένων. οὕτω ταῖς ἐλπίσι δι-
εφθαρμένοι καὶ γέμοντες ἀνοήτου θράσους, ἐπὶ τὸν πόλεμον ἐχώρουν. Πομπήιος δὲ μικρὸν ἔξω τοῦ χά-
ρακος προελθὼν, τὸν μὲν ἵππον ἀφῆκεν. ὀλίγων δὲ κομιδῇ περὶ αὐτὸν ὄντων, ὡς οὐδεὶς ἐδίωκεν, ἀ-
πῄει καθ᾽ ἡσυχίαν ἐν διαλογισμοῖς ὢν, οἵους εἰκὸς λαμβάνειν ἄνθρωπον, ἔτη τέτταρα καὶ τριάκοντα
νικᾶν καὶ κρατεῖν ἁπάντων εἰθισμένον, ἥττης δὲ καὶ φυγῆς τότε πρῶτον ἐν γήρᾳ λαμβάνοντα πεῖραν.
ἐννοούμενοι δὲ, ἐξ ὅσων ἀγώνων καὶ πολέμων ηὐξημένην ἀποβαλὼν ὥρᾳ μιᾷ δόξαν καὶ δύναμιν, ὁ
πρὸ μικροῦ τοσούτοις ὅπλοις καὶ ἵπποις καὶ στόλοις δορυφορούμενος, ἀπέρχεται μικρὸς οὕτω γε-
γονὼς καὶ συνεσταλμένος, ὥστε λανθάνειν ζητοῦντας τοὺς πολεμίους, παραμειψάμενος δὲ Λάρισαν, ὡς
ἦλθεν ἐπὶ τὰ Τέμπη, καταβαλὼν ἑαυτὸν ἐπὶ στόμα διψητικῶς, ἔπινε τοῦ ποταμοῦ, καὶ πάλιν ἀναστὰς
ἐβάδιζε διὰ τῶν Τεμπῶν, ἄχρις οὗ κατῆλθεν ἐπὶ τὴν θάλατταν. ἐκεῖ δὲ τῆς νυκτὸς τὸ λοιπὸν ἀναπαυ-
σάμενος ἐν καλυβίῳ τινὶ σαγηνέων. καὶ περὶ τὸν ὄρθρον ἐμβὰς ποταμίου πλοίου, καὶ τῶν ἑπομένων
τοὺς ἐλευθέρους ἀναλαβών. τοὺς δὲ θεράποντας ἀπιέναι πρὸς Καίσαρα κελεύσας καὶ μὴ δεδιέναι, πα-
ρὰ γῆν κομιζόμενος, εἶδεν εὐμεγέθη φορτηγὸν ἀνάγεσθαι μέλλουσαν. ἧς ἐναυκλήρει Ῥωμαῖος ἀνὴρ, οὐ
πάνυ Πομπηίῳ συνήθης, γνωρίζων δὲ τὴν ὄψιν αὐτοῦ, Πετίκιος ἐκαλεῖτο. τούτῳ συνεβεβήκει τῆς πα-
ρῳχημένης νυκτὸς, ἰδεῖν κατὰ τοὺς ὕπνους Πομπήιον, οὐχ ὃν ἑωράκει πολλάκις, ἀλλὰ ταπεινὸν καὶ κατη-
φῆ προσδιαλεγόμενον αὐτῷ. καὶ ταῦτα τοῖς συμπλέουσιν ἐτύγχανε διηγούμενος. ὡς δὴ φιλεῖ περὶ
τῶν πραγμάτων τηλικούτων λόγον ἔχειν ἀνθρώπους σχολὴν ἄγοντας. ἐξαίφνης δέ τις τῶν ναυτῶν ἔ-
φρασε κατιδὼν, ὅτι πλοῖον ποτάμιον ἀπὸ τῆς γῆς ἐρέσσεται. καὶ κατασείουσί τινες ἄνθρωποι τὰ
ἱμάτια καὶ τὰς χεῖρας ὀρέγουσι πρὸς αὐτούς. ἐπιστὰς οὖν ὁ Πετίκιος, εὐθὺς ἔγνω τὸν Πομπήιον οἷον ὄναρ
εἶδε. καὶ πληξάμενος τὴν κεφαλὴν, ἐκέλευσε τοὺς ναύτας τὸ ἐφόλκιον παραβαλεῖν. καὶ τὴν δεξιὰν
ἐξέτεινε καὶ προσεκάλει τὸν Πομπήιον, ἤδη συμφρονῶν τῷ σχήματι τὴν τύχην, καὶ μεταβολὴν τοῦ
ἀνδρός. ὅθεν οὔτε παράκλησιν ἀναμείνας, οὔτε λόγον, ἀλλ᾽ ἀναλαβὼν ὅσους ἐκέλευσε μετ᾽ αὐτοῦ, Λέν-
τουλοι δὲ ἦσαν ἀμφότεροι, καὶ Φαώνιος, ἀνήχθη. καὶ μικρὸν ὕστερον ἰδόντες ἀπὸ γῆς ἁμιλλώμενον Δηιό-
ταρον τὸν βασιλέα, προσαναλαμβάνουσιν. ἐπεὶ δὲ καιρὸς ἦν δείπνου, καὶ παρεσκεύασεν ὁ ναύκληρος
ἐκ τῶν παρόντων, ἰδὼν ὁ Φαώνιος οἰκετῶν ἀπορίᾳ τὸν Πομπήιον ἀρχόμενον αὐτὸν ὑπολύειν, προσέ-
δραμε καὶ ὑπέλυσε καὶ συνήλειψε. καὶ τὸ λοιπὸν ἐκ τούτου περιέπων καὶ θεραπεύων, ὅσα δεσπό-
τας δοῦλοι, μέχρι νίψεως ποδῶν, καὶ δείπνου παρασκευῆς διετέλεσεν. ὥστε τὴν ἐλευθεριότητα τῆς
« λειτουργίας ἐκείνης θεασάμενόν τινα, καὶ τὸ ἀφελὲς καὶ ἄπλαστον, εἰπεῖν. φεῦ τοῖσι γενναίοισιν ὡς ἅπαν
καλόν. οὕτω δὲ παραπλεύσας ἐπ᾽ Ἀμφιπόλεως, ἐκεῖθεν εἰς Μιτυλήνην ἐπέρα. οὕτω βουλόμενος Κορ-
νηλίαν ἀναλαβεῖν καὶ τὸν υἱόν. ἐπεὶ δὲ προσέσχε τῇ νήσῳ κατ᾽ αἰγιαλὸν, ἔπεμψεν εἰς πόλιν ἄγγελον. οὐχ
ὡς ἡ Κορνηλία προσεδόκα τοῖς πρὸς χάριν ἀπαγγελλομένοις καὶ γραφομένοις ἐλπίζουσα τοῦ πολέ-
μου κεκριμένου περὶ Δυρράχιον, ἔτι λοιπὸν ἔργον εἶναι Πομπηίῳ τὴν Καίσαρος δίωξιν. ἐν τούτοις οὖ-
σαν αὐτὴν καταλαβὼν ὁ ἄγγελος, ἀσπάσασθαι μὲν οὐχ ὑπέμεινε. τὰ δὲ πλεῖστα καὶ μέγιστα τῶν κα-
κῶν τοῖς δάκρυσι μᾶλλον ἢ τῇ φωνῇ φράσας, σπεύδειν ἐκέλευσεν, εἰ βούλεταί πως Πομπήιον ἰδεῖν,
ἐπὶ νεὼς μιᾶς καὶ ἀλλοτρίας. ἡ δὲ ἀκούσασα προήκατο μὲν αὐτὴν χαμᾶζε καὶ πολὺν χρόνον ἔκ-
φρων καὶ ἄναυδος ἔκειτο. μόλις δέ πως ἔμφρων γενομένη, καὶ συννοήσασα τὸν καιρὸν οὐκ ὄντα θρή-
νων καὶ δακρύων, ἐξέδραμε διὰ τῆς πόλεως ἐπὶ θάλατταν. ἀπαντήσαντος δὲ τοῦ Πομπηίου καὶ δεξα-
μένου ταῖς ἀγάλαις αὐτὴν, ὑπορρεπομένην καὶ περιπίπτουσαν, ὁρῶ σε εἶπεν ἄνερ, οὐ τῆς σῆς τύ-
χης ἔργον, ἀλλὰ τῆς ἐμῆς, προσερριμμένον ἑνὶ σκάφει, τὸν πρὸ τῶν Κορνηλίας γάμων, πεντακοσί-
αις ναυσὶ, ταύτην περιπλεύσαντα τὴν θάλασσαν. τί με ἦλθες ἰδεῖν καὶ οὐκ ἀπέλιπες τῷ βα-
ρεῖ δαίμονι, τὴν καὶ σὲ δυστυχίας ἀναπλήσασαν τοσαύτης. ὡς εὐτυχὴς μὲν ἂν ἤμην γυνὴ, πρὸ
τοῦ Πόπλιον ἐν Πάρθοις ἀκοῦσαι τὸν παρθένιον ἄνδρα κείμενον ἀποθανοῦσα. σώφρων δὲ μετ᾽ ἐκεῖνον,
ὡς ἐπεχείρησα, τὸν ἐμαυτῆς προεμένη βίον. ἐσωζόμην δ᾽ ἄρα καὶ Πομπηίῳ Μάγνῳ συμφορὰ γε-

σκηπίωνα τὸν πενθερὸν ἀντέταξε καλβίνῳ λευκίῳ. τὸ δὲ εὐώνυμον, εἶχε μὲν λεύκιος δομίτιος, ἐῤῥώσθη
δὲ τῷ πλήθει τῶν ἱππέων. ἐνταῦθα γὰρ ὀλίγου δεῖν ἅπαντες ἐῤῥύησαν, ὡς καίσαρα βιασόμενοι. καὶ τὸ δέ-
κατον τάγμα διακόψοντες, οὗ πλεῖστος ἦν ὁ λόγος ὡς μαχιμωτάτου, καὶ καῖσαρ ἐν ἐκείνῳ ταττόμενος
εἰώθει μάχεσθαι. κατιδὼν δὲ πεφραγμένον ἵππῳ τοσαύτῃ τῶν πολεμίων τὸ εὐώνυμον. καὶ φοβηθεὶς
τὴν λαμπρότητα τοῦ ὁπλισμοῦ, μετεπέμψατο σπείρας ἓξ ἀπὸ τῶν ἐπιταγμάτων, καὶ κατέστησεν ὄ-
πισθεν τοῦ δεκάτου κελεύσας ἡσυχίαν ἄγειν, ἀδήλους τοῖς πολεμίοις ὄντας. ὅταν δὲ προσελαύνωσιν
R. οἱ ἱππεῖς διὰ τῶν προμάχων ἐκδραμόντας, μὴ προΐεσθαι τοὺς ὑσσοὺς, ὥσπερ εἰώθασιν οἱ κράτιστοι σπεύ-
δοντες ἐπὶ τὰς ξιφουλκίας, ἀλλὰ παίειν ἄνω συντιτρώσκοντας ὄμματα καὶ πρόσωπα τῶν πολε-
μίων. οὐ γὰρ μενεῖν τοὺς καλοὺς τούτους καὶ ἀνθηροὺς πυῤῥιχιστὰς διὰ τὸν ὡραϊσμὸν, οὐδὲ ἀντιβλέψειν
πρὸς τὸν σίδηρον ἐν ὀφθαλμοῖς γινόμενον. ἐν τούτοις μὲν οὖν ὁ καῖσαρ ἦν. ὁ δὲ πομπήιος ἀφ' ἵππου τὴν
παράταξιν ἐπισκοπῶν, ὡς ἑώρα τοὺς μὲν ἀντιπάλους μεθ' ἡσυχίας, τὸν καιρὸν ἐν τάξει προσμένον-
τας. τῆς δ' ὑφ' αὑτῷ στρατιᾶς τὸ πλεῖστον οὐκ ἀτρεμοῦν, ἀλλὰ κυμαῖνον ἀπειρίᾳ καὶ θορυβούμενον.
ἔδεισε μὴ διασπασθῇ παντάπασιν ἐν ἀρχῇ τῆς μάχης. καὶ παράγγελμα τοῖς προτεταγμένοις ἔδω-
κεν, ἑστῶτας ἐν προβολῇ καὶ μένοντας ἀραρότως δέχεσθαι τοὺς πολεμίους. ὁ δὲ καῖσαρ αἰτιᾶται τὸ
στρατήγημα τοῦτο. τῶν τε γὰρ πληγῶν τὸν ἐξ ἐπιδρομῆς τόνον ἀμαυρῶσαι. καὶ τὴν μάλιστα τοὺς πολλοὺς
ἐν τῷ συμφέρεσθαι τοῖς πολεμίοις πληροῦσαν ἐνθουσιασμοῦ καὶ φορᾶς ἀντεξόρμησιν, ἅμα κραυγῇ καὶ
δρόμῳ τὸν θυμὸν αὔξουσαν, ἀφελόντα, πῆξαι καὶ καταψῦξαι τοὺς ἄνδρας. ἦσαν δὲ, οἱ μὲν μετὰ καί-
σαρος, δισχίλιοι πρὸς δισμυρίοις. οἱ δὲ μετὰ πομπηΐου, βραχεῖ πλείονες ἢ διπλάσιοι τούτων. ἤδη δὲ συν-
θήματος διδομένου παρὰ ἀμφοτέρων, καὶ τῆς σάλπιγγος ἀρχομένης ἐγκελεύεσθαι πρὸς τὴν σύστα-
σιν. τῶν μὲν πολλῶν ἐσκοπεῖτο ἕκαστος καθ' αὑτόν. ὀλίγοι δὲ ῥωμαίων οἱ βέλτιστοι. καί τινες ἑλλήνων
παρόντες ἔξω τῆς μάχης. ὡς ἐγγὺς ἦν τὸ δεινὸν, ἐλογίζοντο τὴν πλεονεξίαν καὶ φιλονεικίαν, ὅπου φέ-
ρουσα τὴν ἡγεμονίαν ἐξέθηκεν. ὅπλα γὰρ συγγενικὰ. καὶ τάξεις ἀδελφαὶ, καὶ κοινὰ σημεῖα, καὶ μιᾶς πόλεως
εὐανδρία τοσαύτη καὶ δύναμις, αὐτὴ πρὸς ἑαυτὴν συνέπιπτεν, ἐπιδεικνυμένη τὴν ἀνθρωπίνην φύ-
σιν, ὡς ἐν πάθει γενομένη, τυφλόν ἐστι καὶ μανιῶδες. ἦν μὲν γὰρ ἤδη καθ' ἡσυχίαν χρήζουσιν ἄρχειν καὶ ἀπο- πάθη. η.
λαύειν τῶν κατειργασμένων τὸ πλεῖστον καὶ κράτιστον ἀρετῇ, γῆς καὶ θαλάσσης ὑπήκοοι. ἦν δέ τι τροπαίων ὑπήκοον
καὶ θριάμβων ἔρωτι βουλομένους χαρίζεσθαι, καὶ διψῶντας, ἐμπίπλασθαι παρθικῶν πολέμων ἢ γερ-
μανικῶν. πολὺ δὲ καὶ σκυθία λειπόμενον ἔργον. καὶ ἰνδοί. πρόφασις οὐκ ἄδοξος ἐπὶ ταῦτα τῆς πλεονεξί-
ας ἡμερῶσαι τὰ βαρβαρικά. τίς δ' ἂν ἢ σκυθῶν ἵππος, ἢ τοξεύματα πάρθων, ἢ πλοῦτος ἰνδῶν ἐπέ-
σχε μυριάδας ἑπτὰ ῥωμαίων ἐν ὅπλοις ἐπερχομένας, πομπηΐου καὶ καίσαρος ἡγουμένων. ὧν ὄνομα πο-
λὺ πρότερον ἤκουσαν ἢ τὸ ῥωμαίων. οὕτως ἄμικτα καὶ ποικίλα καὶ θηριώδη φῦλα νικῶντες ἐπῆλθον.
τότε δὲ ἀλλήλοις μαχούμενοι συνῆσαν. οὐδὲ τὴν δόξαν αὐτῶν δι' ἣν τῆς πατρίδος ἠφείδουν οἰκτείραντες ἄ-
χρις τῆς ἡμέρας ἐκείνης ἀνικήτων προσαγορευομένων. ἡ μὲν γὰρ γενομένη συγγένεια καὶ τὰ ἰουλίας φίλτρα.
καὶ γάμος ἐκεῖνος, εὐθὺς ἦν ἀπατηλὰ καὶ ὕποπτα, κοινωνίας πρὸς χρείαν συνισταμένης ὁμηρεύματα. φιλί-
ας δ' ἀληθινῆς οὐ μετέχοντα. ὡς δ' οὖν τὸ φαρσάλιον πεδίον ἀνδρῶν καὶ ἵππων καὶ ὅπλων ἀνεπέπληστο. καὶ
μάχης ἤρθη παρ' ἀμφοτέρων σημεῖα, πρῶτος ἐκ τῆς καίσαρος φάλαγγος ἐξέδραμε. γάιος κρασσιανὸς, ἀν-
δρῶν ἑκατὸν εἴκοσι λοχαγῶν, μεγάλην ἀποδιδοὺς ὑπόσχεσιν καίσαρι. πρῶτον γὰρ αὐτὸν ἐξιὼν τοῦ χάρα-
κος εἶδε, καὶ προσαγορεύσας ἤρετο πῶς φρονοίη περὶ τῆς μάχης. ὁ δὲ τὴν δεξιὰν προτείνας, ἀνεβόησε. νική-
σεις λαμπρῶς ὦ καῖσαρ. ἐμὲ δ' ἢ ζῶντα τήμερον, ἢ νεκρὸν ἐπαινέσεις. τούτων τῶν λόγων μεμνημένος,
ἐξώρμησε καὶ συνεπεσπάσατο πολλοὺς. καὶ προσέβαλε κατὰ μέσους τοὺς πολεμίους. γενομένου δὲ τοῦ ἀγῶ-
νος εὐθὺς ἐν ξίφεσι, καὶ πολλῶν φονευομένων, βιαζόμενον πρόσω καὶ διακόπτοντα τοὺς πρώτους, ὑπο-
στάς τις, ὠθεῖ διὰ τοῦ στόματος τὸ ξίφος, ὥστε τὴν αἰχμὴν περάσασαν ἐξέχειν κατὰ τὸ ἰνίον. πεσόντος δὲ
τοῦ κρασσιανοῦ, κατὰ τοῦτο μὲν ἦν ἰσόῤῥοπος ἡ μάχη. τὸ δὲ δεξιὸν ὁ πομπήιος, οὐ ταχέως ἐπῆγεν. ἀλλὰ
παπταίνων ἐπὶ θάτερα. καὶ τὸ τῶν ἱππέων ἀναμένων ἔργον, ἐνδιέτριβεν. ἤδη δὲ ἐκεῖνοι τοὺς οὐλαμοὺς ἀνῆ-
γον, ὡς κυκλωσόμενοι τὸν καίσαρα, καὶ τοὺς προτεταγμένους ἱππεῖς ὀλίγους ὄντας, ἐμβαλόντες, εἰς τὴν
φάλαγγα. καίσαρος δὲ σημεῖον ἄραντος, οἱ μὲν ἱππεῖς ἐξανεχώρησαν. αἱ δὲ ἐπιτεταγμέναι σπεῖραι
πρὸς τὴν κύκλωσιν ἐκδραμοῦσαι τρισχίλιοι ἄνδρες, ὑπαντιάζουσι τοὺς πολεμίους. καὶ παραστάμε-
νοι καθ' ἵππων ὡς ἐδιδάχθησαν, ὑψηλοῖς ἐχρῶντο τοῖς ὑσσοῖς, ἐφιέμενοι τῶν προσώπων. οἱ δὲ ἅτε μά-
χης πάσης ἄπειροι. τοιαύτην δὲ μὴ δὲ προσδοκήσαντες μὴ δὲ προμαθόντες, οὐκ ἐτόλμων οὐδὲ ἠνείχον-
το τὰς πληγὰς ἐν ὄμμασι καὶ στόμασιν οὔσας, ἀλλ' ἀποστρεφόμενοι καὶ προϊσχόμενοι τῶν ὄψεων τὰς
χεῖρας, ἀκλεῶς ἐτράποντο. φευγόντων δὲ τούτων, ἀμελήσαντες οἱ καίσαρος, ἐχώρουν ἐπὶ τοὺς πεζοὺς.
ᾗ μάλιστα τῶν ἱππέων τὸ κέρας ἐψιλωμένον, παραδρομὴν ἐδίδου, καὶ κύκλωσιν. ἅμα δὲ τούτων ἐκ-
πλαγίου προσπεσόντων, καὶ κατὰ στόμα τοῦ δεκάτου προσμίξαντος, οὐχ ὑπέμειναν. οὐδὲ συνέστη-
σαν ὁρῶντες ἐν ᾧ κυκλώσεσθαι τοὺς πολεμίους ἤλπιζον, αὐτοὺς τοῦτο πάσχοντας. τραπομένων δὲ
τούτων, ὡς κατεῖδε τὸν κονιορτὸν ὁ πομπήιος, καὶ τὸ περὶ τοὺς ἱππέας πάθος ἤκασεν. ᾧ μὲν ἐχρήσατο

τες, οἱ μὲν ἀκολουθεῖν καὶ διώκειν ἐκέλευον. οἱ δὲ, διαβαίνειν εἰς ἰταλίαν. οἱ δὲ θεράποντας εἰς ῥώμην καὶ φίλους ἔπεμπον, οἰκίας προκαταληψομένους ἐγγὺς ἀγορᾶς, ὡς αὐτίκα μετιόντες ἀρχάς. ἐθελονταὶ δὲ πολλοὶ πρὸς κορνηλίαν, ἔπλεον εἰς λέσβον, εὐαγγελιζόμενοι πέρας ἔχειν τὸν πόλεμον. ἐκεῖ γὰρ αὐτὴν ὑπεξέπεμψεν ὁ πομπήιος. ἀθροισθείσης δὲ βουλῆς, ἀφράνιος μὲν ἀπεφαίνετο γνώμην ἔχεσθαι τῆς ἰταλίας, ταύτην γὰρ εἶναι τοῦ πολέμου τὸ μέγιστον ἆθλον. προστιθέναι δὲ τοῖς κρατοῦσιν εὐθὺς, σικελίαν. σαρδόνα. κύρνον. ἰβηρίαν. γαλατίαν ἅπασαν. ἧς τε δὴ πλεῖστος ὁ λόγος, πομπηΐῳ πατρίδος ὀρεγούσης χεῖρας ἐγγύθεν, οὐ καλῶς ἔχειν περιορᾶν προπηλακιζομένην καὶ δουλεύουσαν οἰκέταις, καὶ κόλαξι τυράννων. αὐτὸς δὲ πομπήιος οὔτε πρὸς δόξαν ἡγεῖτο καλὸν αὐτῷ, δευτέραν φυγὴν φεύγειν καίσαρα καὶ διώκεσθαι, τῆς τύχης διώκειν διδούσης, οὔτε ὅσιον ἐγκαταλιπεῖν σκηπίωνα, καὶ τοὺς περὶ τὴν ἑλλάδα καὶ θετταλίαν ἄνδρας ὑπατικοὺς, εὐθὺς ὑπὸ καίσαρι γενησομένους μετὰ χρημάτων καὶ δυνάμεων μεγάλων. τῆς δὲ ῥώμης μάλιστα κήδεσθαι τὸν ἀπωτάτω πολεμοῦντα ὑπὲρ αὐτῆς, ὅπως ἀπαθὴς κακῶν οὖσα καὶ ἀνήκοος, περιμένῃ τὸν κρατοῦντα. ταῦτα ψηφισάμενος ἐδίωκε καίσαρα. μάχης μὲν ἐγνωκὼς ἀπέχεσθαι. πολιορκεῖν δὲ καὶ τρίβειν ταῖς ἀπορίαις ἐγγύθεν ἐπακολουθῶν. καὶ γὰρ ἄλλως ταῦτα συμφέρειν ἡγεῖτο. καὶ λόγος τις εἰς αὐτὸν ἧκεν, ἐν τοῖς ἱππεῦσι φερόμενος, ὡς χρὴ τάχιστα τρεψαμένους καίσαρα, συγκαταλύειν κἀκεῖνον αὐτόν. ἔνιοι δέ φασι, διὰ τοῦτο καὶ κάτωνι μηδὲν ἄξιον σπουδῆς, χρήσασθαι πομπήιον. ἀλλὰ καὶ πορευόμενον ἐπὶ καίσαρα πρὸς θαλάσσῃ καταλιπεῖν ἐπὶ τῆς ἀποσκευῆς, φοβηθέντα, μὴ καίσαρος ἀναιρεθέντος ἀναγκάσῃ κἀκεῖνον εὐθὺς ἀποθέσθαι τὴν ἀρχήν, οὕτω δὲ παρακολουθῶν ἀτρέμα τοῖς πολεμίοις, ἐν αἰτίαις ἦν καὶ καταβοήσεσιν ὡς οὐ καίσαρα καταστρατηγῶν, ἀλλὰ τὴν πατρίδα καὶ τὴν βουλὴν, ὅπως διὰ παντὸς ἄρχῃ, καὶ μηδέποτε παύσηται, τοῖς ἀξιοῦσι τῆς οἰκουμένης ἄρχειν, χρώμενος ὑπηρέταις καὶ δορυφόροις. δομίτιος δὲ αὐτὸν ἀεὶ ὁ αἰνόβαρβος ἀγαμέμνονα καλῶν καὶ βασιλέα βασιλέων, ἐπίφθονον ἐποίει. καὶ φαώνιος οὐχ ἧττον ἦν ἀηδὴς, τῶν παρρησιαζομένων ἀκαίρως ἐν τῷ σκώπτειν. ἄνθρωποι βοῶν. οὐδὲ τῆτες ἔσται τῶν ἐν τουσκλάνῳ σύκων μεταλαβεῖν; λεύκιος δὲ ἀφράνιος ὁ τὰς ἐν ἰβηρίᾳ δυνάμεις ἀποβαλὼν, ἐν αἰτίᾳ προδοσίας γεγονὼς, τότε δὲ τὸν πομπήιον ὁρῶν φυγομαχοῦντα, θαυμάζειν ἔλεγε τοὺς κατηγοροῦντας αὐτοῦ, πῶς πρὸς τὸν ἔμπορον τῶν ἐπαρχιῶν οὐ μάχονται προελθόντες. ταῦτα καὶ τὰ τοιαῦτα πολλὰ λέγοντες ἄνδρα δόξης ἥττονα καὶ τῆς πρὸς τοὺς φίλους αἰδοῦς τὸν πομπήιον, ἐξεβιάσαντο ταῖς ἑαυτῶν ἐλπίσι καὶ ὁρμαῖς ἐπακολουθῆσαι, προέμενον τοὺς ἀρίστους λογισμούς. ὅπερ οὐδὲ πλοίου κυβερνήτῃ, μή τί γε τοσούτων ἐθνῶν καὶ δυνάμεων αὐτοκράτορι στρατηγῷ παθεῖν ἦν προσῆκον. ὁ δὲ τῶν μὲν ἰατρῶν τοὺς μηδέποτε χαριζομένους ταῖς ἐπιθυμίαις, ἐπῄνεσεν. αὐτὸς δὲ τῷ νοσοῦντι τῆς στρατηγίας ἐνέδωκε, δείσας ἐπὶ σωτηρίᾳ λυπηρὸς γενέσθαι. πῶς γὰρ ἄν τις φήσειεν ὑγιαίνειν ἐκείνους τοὺς ἄνδρας. ὧν οἱ μὲν, ὑπατείας ἤδη καὶ στρατηγίας ἐν τῷ στρατοπέδῳ περινοστοῦντες ἐμνῶντο. σπινθὴρ δὲ καὶ δομίτιος καὶ σκηπίων περὶ τῆς καίσαρος ἀρχιερωσύνης, ἐρίζοντες καὶ φιλονεικίαις καὶ δεξιώσεις. ὥσπερ αὐτοῖς τιγράνου τοῦ ἀρμενίου παραστρατοπεδεύοντος. ἢ τοῦ ναβαταίων βασιλέως, ἀλλ᾽ οὐ καίσαρος ἐκείνου καὶ τῆς δυνάμεως, ᾗ χιλίας μὲν ᾑρήκει πόλεις κατὰ κράτος. ἔθνη δὲ πλείονα τριακοσίων ὑπῆκτο. γερμανοῖς δὲ καὶ γαλάταις μεμαχημένος ἀήττητος, ὅσας οὐκ ἄν τις ἀριθμήσειε μάχας, ἑκατὸν μυριάδας, αἰχμαλώτων ἔλαβεν. ἑκατὸν δὲ ἀπέκτεινε τρεψάμενος ἐκ παρατάξεως. ἀλλ᾽ ὅμως ἐγκείμενοι καὶ θορυβοῦντες, ἐπεὶ κατέβησαν εἰς τὸ φαρσάλιον πεδίον, ἠνάγκασαν βουλὴν προθεῖναι τὸν πομπήιον. ἐν ᾗ λαβιηνὸς ὁ τῶν ἱππέων ἄρχων, πρῶτος ἀναστὰς, ὤμοσε μὴ ἀναχωρήσειν ἐκ τῆς μάχης, εἰ μὴ τρέψαιτο τοὺς πολεμίους. τὰ δ᾽ αὐτὰ καὶ πάντες ὤμνυσαν. τῆς δὲ νυκτὸς ἔδοξε κατὰ τοὺς ὕπνους πομπήιος, εἰς τὸ θέατρον εἰσιόντος αὐτοῦ, κροτεῖν τὸν δῆμον. αὐτὸς δὲ κοσμεῖν ἱερὸν ἀφροδίτης νικηφόρου πολλοῖς λαφύροις. καὶ τὰ μὲν ἐθάρρει. τὰ δὲ ὑπέθραττεν αὐτὸν ἡ ὄψις, δεδιότα μὴ τῷ γένει τῷ καίσαρος εἰς ἀφροδίτην ἀνήκοντι, δόξα καὶ λαμπρότης ἀπ᾽ αὐτοῦ γένηται. καὶ πανικοί τινες θόρυβοι διᾴττοντες, ἐξανίστησαν αὐτόν. ἑωθινῆς δὲ φυλακῆς ὑπὲρ τοῦ καίσαρος στρατοπέδου πολλὴν ἡσυχίαν ἄγοντος, ἐξέλαμψε μέγα φῶς. ἐκ δὲ τούτου λαμπὰς ἀρθεῖσα φλογοειδὴς, ἐπὶ τὸ πομπηΐου κατέσκηψε. καὶ τοῦτο ἰδεῖν φησὶ καῖσαρ αὐτὸς ἐπιὼν τὰς φυλακάς. ἅμα δὲ ἡμέρᾳ μέλλοντος αὐτοῦ πρὸς σκοτοῦσαν ἀναζευγνύειν. καὶ τὰς σκηνὰς τῶν στρατιωτῶν καθαιρούντων, καὶ προπεμπόντων ὑποζύγια καὶ θεράποντας. ἧκον οἱ σκοποὶ φράζοντες ὅπλα πολλὰ καθορᾶν ἐν τῷ χάρακι τῶν πολεμίων διαφερόμενα. καὶ κίνησιν εἶναι καὶ θόρυβον ἀνδρῶν ἐπὶ μάχην ἐξιόντων. μετὰ δὲ τούτους, ἕτεροι παρῆσαν, εἰς τάξιν ἤδη καθίστασθαι τοὺς πρώτους λέγοντες. ὁ μὲν οὖν καῖσαρ εἰπὼν τὴν προσδοκωμένην ἥκειν ἡμέραν, ἐν ᾗ πρὸς ἄνδρας, οὐ πρὸς λιμὸν, οὐδὲ πενίαν μαχοῦνται, κατὰ τάχος πρὸ τῆς σκηνῆς ἐκέλευσε προθεῖναι τὸν φοινικοῦν χιτῶνα. τοῦτο γὰρ μάχης ῥωμαίοις ἐστὶ σύμβολον. οἱ δὲ στρατιῶται θεασάμενοι, μετὰ βοῆς καὶ χαρᾶς τὰς σκηνὰς ἀφέντες, ἐφέροντο πρὸς τὰ ὅπλα. καὶ τῶν ταξιαρχῶν ἀγόντων εἰς ἣν ἔδει τάξιν, ἕκαστος ὥσπερ χορὸς, ἄνευ θορύβου μεμελετημένως εἰς τάξιν καὶ πρᾴως καθίστατο. πομπήιος δὲ, τὸ μὲν δεξιὸν αὐτὸς ἔχων, ἔμελλεν ἀντιτάσσεσθαι πρὸς ἀντώνιον. ἐν δὲ τῷ μέσῳ

ὀρύγμασι περιπετὴς γενέσθαι. τῶν δὲ βρεντεσινῶν φρασάντων φυλαττόμενος τὴν πόλιν καὶ κύκλῳ
περιϊὼν, ἀνηγμένους εὗρε πάντας, πλὴν δυεῖν πλοίων στρατιώτας τινὰς οὐ πολλοὺς ἐχόντων. οἱ μὲν
οὖν ἄλλοι τοῦ πομπηΐου τὸν ἀπόπλουν, ἐν τοῖς ἀρίστοις τίθενται στρατηγήμασιν. αὐτὸς δὲ καῖσαρ ἐθαύ-
μαζεν, ὅτι καὶ πόλιν ἔχων ὀχυρὰν, καὶ προσδοκῶν τὰς ἐξ ἰβηρίας δυνάμεις, καὶ θαλάττης κρατῶν, ἐξέ-
λιπε καὶ προήκατο τὴν ἰταλίαν. αἰτιᾶται καὶ κικέρων, ὅτι τὴν θεμιστοκλέους ἐμιμήσατο στρατη-
γίαν μᾶλλον, ἢ τὴν περικλέους τῶν πραγμάτων τούτοις ὁμοίων ὄντων, οὐκ ἐκείνοις. ἐδήλωσε δὲ καῖσαρ
ἔργῳ σφόδρα φοβούμενος τὸν χρόνον. ἑλὼν γὰρ νουμέριον πομπηΐου φίλον, ἀπέστειλεν εἰς βρεντέσιον,
ἐπὶ τοῖς ἴσοις ἀξιῶν διαλλαγῆναι. νουμέριος δὲ πομπηΐῳ συνεξέπλευσεν. ἐντεῦθεν, ὁ μὲν ἡμέραις ἑ-
ξήκοντα κύριος γεγονὼς ἀναιμωτὶ τῆς ἰταλίας ὅλης, ἐβούλετο μὲν εὐθὺς πομπήϊον διώκειν. πλοίων
δὲ μὴ παρόντων ἀποστρέψας, εἰς ἰβηρίαν ἤλαυνε, τὰς ἐκεῖ δυνάμεις προσαγαγέσθαι βουλόμενος. ἐν
δὲ τῷ χρόνῳ τούτῳ, μεγάλη συνέστη πομπηΐῳ δύναμις. ἡ μὲν ναυτικὴ καὶ παντελῶς ἀνανταγώνιστος.
ἦσαν γὰρ αἱ μάχιμοι πεντακόσιαι. λιβυρνίδων δὲ καὶ κατασκόπων, ὑπερβάλλων ἀριθμός. ἱππεῖς δὲ
ῥωμαίων καὶ ἰταλῶν τὸ ἄνθος, ἑπτακισχίλιοι. γένεσι καὶ πλούτῳ καὶ φρονήμασι διαφέροντες. τὴν
δὲ πεζὴν, σύμμικτον οὖσαν, καὶ μελέτης δεομένην ἐγύμναζεν ἐν βεῤῥοίᾳ καθήμενος οὐκ ἀργὸς, ἀλλ' ὥσ-
περ ἀκμάζοντι χρώμενος αὑτῷ πρὸς τὰ γυμνάσια. μεγάλη γὰρ ἦν ῥοπὴ πρὸς τὸ θαῤῥεῖν, τοῖς ὁρῶσι πομ-
πήϊον μάγνον, ἑξήκοντα μὲν ἔτη δυεῖν λείποντα γεγενημένον. ἐν δὲ τοῖς ὅπλοις ἁμιλλώμενον πεζόν. εἶ-
τα ἱππότην αὖθις, ἑλκόμενόν τε τὸ ξίφος ἀπραγμόνως θέοντι τῷ ἵππῳ, καὶ κατακλείοντα πάλιν ἀντὶ τοῦ θέοντος τῷ ἵππῳ. καὶ π.ς.
εὐχερῶς. ἐν δὲ τοῖς ἀκοντισμοῖς, οὐ μόνον ἀκρίβειαν, ἀλλὰ μὲν ῥώμην ἐπιδεικνύμενον εἰς μῆκος. ὃ πολ-
λοὶ τῶν νέων οὐχ ὑπερέβαλλον. ἐπεφοίτων δὲ καὶ βασιλεῖς ἐθνῶν καὶ δυνάσται. καὶ τῶν ἀπὸ ῥώμης ἡγε-
μονικῶν ἀριθμὸς ἦν ἐντελοῦς βουλῆς περὶ αὐτόν. ἦλθε δὲ καὶ λαβιηνὸς ἀπολιπὼν καίσαρα, φίλος γε-
γονὼς καὶ συνεστρατευμένος ἐν γαλατίᾳ, καὶ βροῦτος, υἱὸς ὢν βρούτου τοῦ περὶ γαλατίαν σφαγέντος,
ἀνὴρ μεγαλόφρων καὶ μηδέποτε πομπήϊον προσειπὼν, μηδὲ ἀσπασάμενος πρότερον, ὡς φονέα τοῦ πα-
τρὸς. τότε δὲ ὡς ἐλευθεροῦντι τὴν ῥώμην, ὑπέταξεν ἑαυτόν. κικέρων δὲ, καίπερ ἄλλα γεγραφὼς καὶ
βεβουλευμένος, ὅμως κατῃδέσθη μὴ γενέσθαι τοῦ προκινδυνεύοντος ἀριθμοῦ τῆς πατρίδος. ἦλθε
δὲ, καὶ τίδιος σέξτιος ἐσχατόγηρως ἀνὴρ θάτερον πεπηρωμένος σκέλος εἰς μακεδονίαν. ὃν τῶν ἄλλων γε-
λώντων καὶ χλευαζόντων ὁ πομπήϊος ἰδὼν ἐξανέστη καὶ προσέδραμε, μέγα νομίζων μαρτύριον εἶναι,
καὶ τοὺς παρ' ἡλικίαν καὶ δύναμιν αἱρουμένους τὸν μετ' αὐτοῦ κίνδυνον, ἀντὶ τῆς ἀσφαλείας. ἐπεὶ δὲ
βουλῆς γενομένης, καὶ γνώμην κάτωνος εἰπόντος, ἐψηφίσαντο μηδένα ῥωμαίων ἄνευ παρατάξεως
ἀναιρεῖν. μὴ δὲ διαρπάζειν πόλιν ὑπήκοον ῥωμαίοις, ἔτι μᾶλλον ἡ πομπηΐου μερὶς ἠγαπήθη. καὶ γὰρ οἷς
μηδὲν ἦν πρᾶγμα τοῦ πολέμου πόῤῥω κατοικοῦσιν. ἢ δι' ἀσθένειαν ἀμελουμένοις, τῷ γε βούλεσθαι συγ-
κατετίθεντο, καὶ τῷ λόγῳ συνεμάχουν ὑπὲρ τῶν δικαίων. ἡγούμενοι θεοῖς εἶν καὶ ἀνθρώποις ἐχθρὸν,
ᾧ μὴ καθ' ἡδονήν ἐστι νικᾶν πομπήϊον. οὐ μὴν, ἀλλὰ καὶ καῖσαρ εὐγνώμονα παρεῖχεν ἑαυτὸν ἐν τῷ κρα-
τεῖν. ὃς καὶ τὰς ἐν ἰβηρίᾳ τοῦ πομπηΐου δυνάμεις ἑλὼν, καὶ καταπολεμήσας, ἀφῆκε τοὺς στρατηγούς.
τοῖς δὲ στρατιώταις ἐχρῆτο. καὶ πάλιν ὑπερβαλὼν τὰς ἄλπεις, καὶ διαδραμὼν τὴν ἰταλίαν, εἰς βρεν- βρεντεσίου π.
τέσιον ἧκεν, ἐν τροπαῖς ἤδη τοῦ χειμῶνος ὄντος, καὶ διαπεράσας τὸ πέλαγος, αὐτὸς μὲν εἰς ὤρικον πα-
ρενέβαλεν, ἰούβιον δὲ τὸν πομπηΐου φίλον αἰχμάλωτον ἔχων σὺν αὑτῷ πρὸς πομπήϊον ἀπέστειλε, προ-
καλούμενος, εἰς ἓν συνελθόντας ἀμφοτέρους ἡμέρᾳ τρίτῃ πάντα διαλῦσαι τὰ στρατεύματα, καὶ γε-
νομένους φίλους καὶ ὀμόσαντας, ἐπανελθεῖν εἰς ἰταλίαν. ταῦτα πομπήϊος αὖθις, ἐνέδραν ἡγεῖτο. καὶ
καταβὰς ὀξέως ἐπὶ θάλατταν, κατέλαβε χωρία καὶ τόπους ἕδρας τε τοῖς πεζοῖς στρατοπέδοις, ὑπέρ-
αλκεῖς ἔχοντα καὶ ναύλοχα. καὶ καταίρσεις ἐπὶ φόρους, τοῖς ἐπιφοιτῶσι διὰ θαλάττης. ὥστε πάν-
τα πνεῖν ἄνεμον πομπηΐῳ, σῖτον ἢ στρατιὰν ἢ χρήματα κομίζοντα. καίσαρα δὲ δυσχωρίαις κατὰ γῆν ὁ-
μοῦ καὶ κατὰ θάλατταν περιεχόμενον, ἐξ ἀνάγκης φιλομαχεῖν. καὶ προσβάλλοντα τοῖς ἐρύμασι καὶ
προκαλούμενον ἑκάστοτε, τὰ μὲν πλεῖστα νικᾶν καὶ κρατεῖν τοῖς ἀκροβολισμοῖς, ἅπαξ δὲ μικροῦ συν-
τριβῆναι καὶ τὴν στρατιὰν ἀποβαλεῖν, τοῦ πομπηΐου λαμπρῶς ἀγωνισαμένου μέχρι τροπῆς ἁπάντων
καὶ φόνου δισχιλίων βιάσασθαι καὶ συνεισπεσεῖν μὴ δυνηθέντος, ἢ φοβηθέντος. ὥστε εἰπεῖν καίσα-
ρα πρὸς τοὺς φίλους. ὅτι σήμερον ἂν ἡ νίκη παρὰ τοῖς πολεμίοις ἦν, εἰ τὸν νικῶντα εἶχον. ἐπὶ τούτῳ
μέγα φρονήσαντες οἱ πομπηΐου, διὰ μάχης ἔσπευδον κριθῆναι. πομπήϊος δὲ, τοῖς μὲν ἔξω βασιλεῦσι, καὶ
στρατηγοῖς καὶ πόλεσιν, ὡς νενικὼς ἔγραφε. τὸν δὲ τῆς μάχης κίνδυνον ὠῤῥώδει. τῷ χρόνῳ καὶ ταῖς νενικηκώς
ἀπορίαις καταπολεμήσειν νομίζων ἄνδρας ἀμάχους μὲν, ἐν τοῖς ὅπλοις καὶ συνειθισμένους νικᾶν
μετ' ἀλλήλων πολὺν ἤδη χρόνον. πρὸς δὲ τὴν ἄλλην στρατείαν, καὶ πλάνας, καὶ μεταβάσεις, καὶ τά-
φρων ὀρύξεις, καὶ τειχῶν οἰκοδομίας, ἀπαγορεύοντας ὑπὸ γήρως, καὶ διὰ τοῦτο ταῖς χερσὶν ἐμφῦ-
ναι τάχιστα καὶ συμπλακῆναι σπεύδοντας. οὐ μὴν, ἀλλὰ πρότερον ἁμωσγέπως παρῆγε πείθων τοὺς
περὶ αὐτὸν ἀτρεμεῖν ὁ πομπήϊος. ἐπεὶ δὲ μετὰ τὴν μάχην ὁ καῖσαρ ὑπὸ τῶν ἀποριῶν ἀναστὰς ἐβάδι-
ζε δι' ἀθαμάνων εἰς θετταλίαν, οὐκέτι καθεκτὸν ἦν τὸ φρόνημα τῶν ἀνδρῶν, ἀλλὰ φεύγειν καίσαρα βοῶν-

σάμενος τὴν βουλὴν, ἔχουσαν ἐπαγωγοὺς ὄχλου προκλήσεις. ἠξίου γὰρ ἀμφοτέρους ἐκβάντας τῶν ἐπαρχιῶν, καὶ τὰς στρατιωτικὰς δυνάμεις ἀφέντας, ἐπὶ τῷ δήμῳ γενέσθαι καὶ τῶν πεπραγμένων εὐθύνας ὑποσχεῖν. οἱ δὲ περὶ Λέντλον ὑπατεύοντες ἤδη, βουλὴν οὐ συνῆγον. ἄρτι δὲ ἐκ Κιλικίας ἀφιγμένος Κικέρων, ἔπραττε διαλλαγὰς, ὅπως Καῖσαρ ἐξελθὼν Γαλατίας καὶ τὴν ἄλλην στρατείαν ἀφεὶς πᾶσαν, ἐπὶ δυσὶ τάγμασι καὶ τῷ Ἰλλυρικῷ, τὴν δευτέραν ὑπατείαν περιμένῃ. Πομπηΐου δὲ δυσκολαίνοντος, ἐπείσθησαν οἱ Καίσαρος φίλοι θάτερον ἀφεῖναι. Λέντλου δὲ ἀντικρούσαντος, καὶ Κάτωνος αὖθις ἁμαρτάνειν τὸν Πομπήϊον ἐξαπατώμενον βοῶντος, οὐκ ἔσχον αἱ διαλύσεις πέρας. ἐν τούτῳ δὲ ἀπηγγέλθη Καῖσαρ, Ἀρίμινον πόλιν μεγάλην τῆς Ἰταλίας κατειληφὼς, καὶ βαδίζων ἄντικρυς ἐπὶ τὴν Ῥώμην μετὰ πάσης τῆς δυνάμεως. τοῦτο δὲ ἦν ψεῦδος. ἐβάδιζε γὰρ οὐ πλείονας ἔχων ἱππέων τριακοσίων, καὶ πεντακισχιλίων ὁπλιτῶν. τὴν δὲ ἄλλην δύναμιν ἐπέκεινα τῶν Ἄλπεων οὖσαν, οὐ περιέμενεν, ἐμπεσεῖν ἄφνω τεταραγμένοις καὶ μὴ προσδοκῶσι βουλόμενος μᾶλλον, ἢ χρόνον δοὺς ἐκ παρασκευῆς μάχεσθαι. καὶ γὰρ ἐπὶ τὸν Ῥουβίκωνα ποταμὸν ἐλθὼν, ὃς ἀφώριζεν αὐτῷ τὴν δεδομένην ἐπαρχίαν, ἔστη σιωπῇ. καὶ διεμέλλησεν, αὐτὸς ἄρα πρὸς ἑαυτὸν συλλογιζόμενος τὸ μέγεθος τοῦ τολμήματος. εἶτα ὥσπερ οἱ πρὸς βάθος ἀφιέντες ἀχανὲς ἀπὸ κρημνοῦ τινὸς ἑαυτοὺς, μύσας τῷ λογισμῷ, καὶ παρακαλυψάμενος πρὸς τὸ δεινὸν καὶ τοσοῦτον μόνον Ἑλληνιστὶ πρὸς τοὺς παρόντας ἐκβοήσας, ἀνερρίφθω κύβος, διεβίβαζε τὸν στρατόν. ὡς δὲ πρῶτον ἡ φήμη προσέπεσε, καὶ κατέσχε τὴν Ῥώμην μετὰ ἐκπλήξεως θόρυβος καὶ φόβος οἷος οὔπω πρότερον, εὐθὺς μὲν ἡ βουλὴ φερομένη πρὸς τὸν Πομπήϊον, συνέτρεχον καὶ παρῆσαν αἱ ἀρχαί. πυνθανομένου δὲ τοῦ Τύλλου περὶ στρατείας καὶ δυνάμεως, καὶ τοῦ Πομπηΐου μετά τινος μελλήσεως ἀθαρσῶς εἰπόντος, ὅτι τοὺς παρὰ Καίσαρος ἥκοντας ἑτοίμους ἔχει. νομίζει δὲ καὶ τοὺς κατειλεγμένους πρότερον ἐν τάχει συνάξειν τρισμυρίους ὄντας. ὁ μὲν Τύλλος ἀναβοήσας, ἐξηπάτηκας ἡμᾶς ὦ Πομπήϊε, συνεβούλευεν ὡς Καίσαρα πρέσβεις ἀποστέλλειν. Φαώνιος δέ τις ἀνὴρ τἆλλα μὲν οὐ πονηρὸς, αὐθαδείᾳ δὲ καὶ ὕβρει πολλάκις τὴν Κάτωνος οἰόμενος ἀπομιμεῖσθαι παρρησίαν, ἐκέλευε τὸν Πομπήϊον τῷ ποδὶ τύπτειν τὴν γῆν, ἃς ὑπισχνεῖτο δυνάμεις ἀνακαλούμενος. ὁ δὲ ταύτην μὲν ἤνεγκε τὴν ἀκαιρίαν πρᾴως. τοῦ δὲ Κάτωνος ὑπομιμνήσκοντος ὧν ἐν ἀρχῇ περὶ Καίσαρος αὐτῷ προεῖπεν, ἀπεκρίνατο μαντικώτερα μὲν εἶναι, τὰ Κάτωνι λεχθέντα. φιλικώτερα δὲ ὑπ' αὐτοῦ πεπρᾶχθαι. Κάτων δὲ συνεβούλευεν αἱρεῖσθαι στρατηγὸν αὐτοκράτορα, Πομπήϊον. ἐπειπὼν ὅτι τῶν αὐτῶν ἐστὶ, καὶ ποιεῖν τὰ μεγάλα κακὰ καὶ παύειν. οὗτος μὲν οὖν εὐθὺς ἐξῆλθεν εἰς Σικελίαν. ἔλαχε γὰρ αὐτὴν τῶν ἐπαρχιῶν, καὶ τῶν ἄλλων ἕκαστος ἃς ἐκληρώθη. τῆς δ' Ἰταλίας σχεδὸν ὅλης ἀνισταμένης, ἀπορίαν εἶχε τὸ γινόμενον. οἱ μὲν γὰρ ἔξωθεν φερόμενοι φυγῇ πανταχόθεν, εἰς τὴν Ῥώμην ἐνέπιπτον. οἱ δὲ τὴν Ῥώμην οἰκοῦντες, ἐξέπιπτον αὐτοὶ καὶ ἀπέλιπον τὴν πόλιν, ἐν χειμῶνι καὶ ταράχῳ τοσούτῳ, τὸ μὲν χρήσιμον, ἀσθενὲς ἔχουσαν, τὸ δὲ ἀπειθὲς, ἰσχυρὸν καὶ δυσμεταχείριστον ἄρχουσιν. οὐ γὰρ ἦν παῦσαι τὸν φόβον, οὐδὲ ἐᾶσαί τις χρῆσθαι τοῖς ἑαυτοῦ λογισμοῖς Πομπήϊον. ἀλλ' ᾧ τις ἐνετύγχανε πάθει φοβηθεὶς ἢ λυπηθεὶς, ἢ διαπορήσας, τούτῳ φέρων ἐκεῖνον ἐνεπίμπλη. καὶ τἀναντία τῆς αὐτῆς ἡμέρας, ἐκράτει βουλεύματα. καὶ πυθέσθαι περὶ τῶν πολεμίων οὐδὲν ἦν ἀληθὲς αὐτῷ, διὰ τὸ πολλοὺς ἀπαγγέλλειν ὅ τι τύχοιεν. εἶτα ἀπιστοῦντι χαλεπαίνειν. οὕτω δὴ ψηφισάμενος ταραχὴν ὁρᾶν, καὶ κελεύσας ἅπαντας ἕπεσθαι αὐτῷ τοὺς ἀπὸ βουλῆς, καὶ προειπὼν, ὅτι Καίσαρος ἡγήσεται τὸν ἀπολειφθέντα, περὶ δείλην ὀψίαν ἀπέλιπε τὴν πόλιν. οἱ δὲ ὕπατοι, μηδὲ θύσαντες ἃ νομίζεται πρὸ πολέμων, ἔφυγον. ἦν δὲ καὶ παρ' αὐτὰ δεινὰ, ζηλωτὸς ὁ ἀνὴρ τῆς πρὸς αὐτὸν εὐνοίας τῶν ἀνθρώπων. ὅτι πολλῶν τὴν στρατηγίαν μεμφομένων, οὐδεὶς ἦν ὁ μισῶν τὸν στρατηγόν. ἀλλὰ πλείονας ἄν τις εὗρε τῶν διὰ τὴν ἐλευθερίαν φευγόντων, τοὺς ἀπολιπεῖν Πομπήϊον μὴ δυναμένους. ὀλίγαις δὲ ὕστερον ἡμέραις Καῖσαρ εἰσελάσας καὶ κατασχὼν τὴν Ῥώμην, τοῖς μὲν ἄλλοις ἐπιεικῶς ἐνέτυχε καὶ κατεπράϋνε. τῶν δὲ δημάρχων ἑνὶ Μετέλλῳ κωλύοντι χρήματα λαβεῖν αὐτὸν ἐκ τοῦ ταμιείου, θάνατον ἠπείλησε, καὶ προσέθηκε τῇ ἀπειλῇ τραχύτερον λόγον. ἔφη γὰρ, ὡς τὸ φῆσαι χαλεπὸν ἦν αὐτῷ μᾶλλον, ἢ πρᾶξαι. τρεψάμενος δὲ τὸν Μέτελλον οὕτω, καὶ λαβὼν ὧν ἔχρῃζεν, ἐδίωκε Πομπήϊον, ἐκβαλεῖν σπεύδων ἐκ τῆς Ἰταλίας, πρὶν ἀφικέσθαι τὴν ἐξ Ἰβηρίας αὐτῷ δύναμιν. ὁ δὲ τὸ Βρεντήσιον κατασχὼν, καὶ πλοίων εὐπορήσας. τοὺς μὲν ὑπάτους εὐθὺς ἐμβιβάσας, καὶ μετ' αὐτῶν σπείρας τριάκοντα, προεξέπεμψεν εἰς Δυρράχιον. Σκηπίωνα δὲ τὸν πενθερὸν, καὶ Γναῖον τὸν υἱὸν εἰς Συρίαν ἀπέστειλε, ναυτικὸν κατασκευάσοντας, αὐτὸς δὲ φραξάμενος τὰς πύλας, καὶ τοῖς τείχεσι τοὺς ἐλαφροτάτους στρατιώτας ἐπιστήσας, τοὺς δὲ Βρεντησίνους ἀτρεμεῖν κατ' οἰκίαν κελεύσας, ὅλην ἐντὸς ἀνέσκαψε. τὴν πόλιν καὶ διετάφρευσε καὶ σκολόπων ἐνέπλησε τοὺς στενωποὺς, πλὴν δυεῖν δι' ὧν ἐπὶ θάλατταν αὐτὸς κατῆλθεν. ἡμέρᾳ δὲ τρίτῃ τὸν μὲν ἄλλον ὄχλον ἐν ταῖς ναυσὶν εἶχεν ἤδη καθ' ἡσυχίαν ἐμβεβηκότα. τοῖς δὲ τὰ τείχη φυλάττουσιν, ἐξαίφνης σημεῖον ἄρας καὶ καταδραμόντας ὀξέως ἀναλαβὼν, ἀπεπέρασεν. ὁ δὲ Καῖσαρ ὡς εἶδεν ἐκλελειμμένα τὰ τείχη τὴν φυγὴν αἰσθόμενος, μικροῦ μὲν ἐδέησε διώκων τοῖς σταυροῖς καὶ τοῖς

ται τὴν δόξαν, ἀλλ' αὐτὸς ἄρξει καὶ τιμήσεται καθ' ἡσυχίαν ὁ κατεργασάμενος. οὔσης δὲ περὶ τούτων ἁμίλλης, ὡς δὴ παραιτούμενος ὑπὲρ τῆς καίσαρος εὐνοίας τὸν φθόνον ὁ πομπήιος, ἔφη γράμματα καίσαρος ἔχειν, βουλομένου λαβεῖν διάδοχον, καὶ παύσασθαι τῆς στρατείας. ὑπατείας μέντοι καὶ μὴ παρόντι καλῶς ἔχειν αἴτησιν αὐτῷ δοθῆναι. πρὸς ταῦτα ἐνισταμένων τῶν περὶ κάτωνα καὶ κελευόντων ἰδιώτην γενόμενον καὶ τὰ ὅπλα καταθέμενον εὑρίσκεσθαί τι περὶ τῶν πολιτῶν, ἀγαθόν. οὐκ ἐξερείσας ἀλλ' οἷον ἡττηθεὶς ὁ πομπήιος, ὕποπτος ἦν, μᾶλλον ὢν ἐφρόνει περὶ καίσαρος. ἔπεμψε δὲ καὶ τὰς δυνάμεις ἀπαιτῶν, ἃς ἔχρησεν αὐτῷ, τὰ παρθικὰ ποιούμενος πρόφασιν. ὁ δὲ καίπερ εἰδὼς ἐφ' οἷς ἀπῃτεῖτο τοὺς στρατιώτας, ἀπέπεμψε καλῶς δωρησάμενος. ἐκ τούτου δὲ πομπήιος ἐν νεαπόλει νοσήσας ἐπισφαλῶς, ἀνέρρωσε. πραξαγόρου δὲ πείσαντος τοὺς νεαπολίτας, ἔθυσαν ὑπὲρ αὐτοῦ σωτήρια. μιμουμένων δὲ τούτους τῶν προσοίκων, καὶ τοῦ πράγματος οὕτω περιϊόντος τὴν ἰταλίαν πᾶσαν, καὶ μικρὰ καὶ μεγάλη πόλις ἐφ' ἡμέρας πολλὰς ἑώρταζε. τοὺς δὲ ἀπαντῶντας πανταχόθεν οὐδεὶς ἐχώρει τόπος, ἀλλ' ὁδοί τε κατεπίμπλαντο, καὶ κῶμαι καὶ λιμένες, εὐωχουμένων καὶ θυόντων. πολλοὶ δὲ καὶ στεφανηφοροῦντες ὑπὸ λαμπάδων ἐδέχοντο καὶ παρέπεμπον ἀνθοβολούμενον, ὥστε τὴν κομιδὴν αὐτοῦ καὶ πορείαν, θέαμα κάλλιστον εἶναι καὶ λαμπρότατον. οὐδενὸς μέντοι τοῦτο λέγεται τῶν ἀπεργασαμένων τὸν πόλεμον αἰτιῶν, ἔλαττον γενέσθαι. φρόνημα γὰρ εἰσῆλθεν ὑπεραῖρον ἅμα τῷ μεγέθει τῆς χαρᾶς, τοὺς ἀπὸ τῶν πραγμάτων λογισμούς. καὶ τὴν εἰς ἀσφαλὲς ἀεὶ τὰ εὐτυχήματα καὶ τὰς πράξεις αὐτοῦ θεμένην εὐλάβειαν προέμενος, εἰς ἄκρατον ἐξέπεσε θράσος καὶ περιφρόνησιν τῆς καίσαρος δυνάμεως. ὡς οὔτε ὅπλων ἐπ' αὐτὸν, οὔτε τινὸς ἐργώδους πραγματείας δεησόμενος. ἀλλὰ πολὺ ῥᾷδιον καθαιρήσων, ἢ πρότερον ηὔξησε τὸν ἄνδρα. πρὸς δὲ τούτοις, ἄππιος ἀφίκετο κομίζων ἐκ γαλατίας ἣν ἔχρησε πομπήιος καίσαρι στρατιάν. καὶ πολλὰ μὲν ἐξεφλαύριζε τὰς ἐκεῖ πράξεις, καὶ λόγους ἐξέφερε βλασφήμους περὶ καίσαρος. αὐτὸν δὲ πομπήιον ἀπείρως ἔχειν ἔλεγε τῆς αὐτοῦ δυνάμεως καὶ δόξης, ἑτέροις ὅπλοις πρὸς καίσαρα φραγνύμενον, ὃν αὐτοῖς κατεργάσεται τοῖς ἐκείνου στρατεύμασιν ὅταν πρῶτον ὀφθῇ, τοσοῦτον καὶ μίσους πρὸς καίσαρα, καὶ πόθου πρὸς πομπήιον ἐνυπάρχειν αὐτοῖς. οὕτω δ' οὖν ὁ πομπήιος ἐπήρθη. καὶ τοιαύτης καὶ τοσαύτης ὀλιγωρίας διὰ τὸ θαρρεῖν ἐγένετο μεστός, ὥστε καὶ τῶν δεδιότων τὸν πόλεμον καταγελᾶν. καὶ τοὺς λέγοντας, ἂν ἐλαύνῃ καίσαρ ἐπὶ τὴν πόλιν, οὐχ ὁρᾶν δυνάμεις αἷς αὐτὸν ἀμυνοῦνται, μειδιῶν τῷ προσώπῳ καὶ διακεχυμένος ἀμελεῖν ἐκέλευσεν. ὅπου γὰρ ἂν ἔφη τῆς ἰταλίας ἐγὼ κρούσω τῷ ποδὶ τὴν γῆν, ἀναδύσονται καὶ πεζικαὶ καὶ ἱππικαὶ δυνάμεις. ἤδη δὲ καὶ καῖσαρ, ἐπεφύετο τοῖς πράγμασιν ἐρρωμενέστερον, αὐτὸς μὲν οὐκέτι μακρὰν τῆς ἰταλίας ἀπαίρων, εἰς δὲ τὴν πόλιν ἀεὶ τοὺς στρατιώτας ἀποστέλλων ἀρχαιρεσιάσοντας. χρήμασι δὲ πολλοὺς ὑποικουρῶν καὶ διαφθείρων ἄρχοντας, ὧν καὶ παῦλος ἦν ὁ ὕπατος, ἐπὶ χιλίοις καὶ πεντακοσίοις ταλάντοις μεταβαλλόμενος. καὶ κουρίων ὁ δήμαρχος ἀμηχάνων πλήθει δανείων ἐλευθερωθεὶς ὑπ' αὐτοῦ, καὶ μάρκος ἀντώνιος, διὰ φιλίαν κουρίωνος ὧν ὠφελεῖτο μετέχων. ἐλέγχθη μὲν οὖν ὅτι τῶν ἀφιγμένων τις ἀπὸ καίσαρος ταξιαρχῶν ἑστὼς παρὰ τὸ βουλευτήριον, καὶ πυθόμενος ὡς οὐ δίδωσιν ἡ βουλὴ καίσαρι χρόνον τῆς ἀρχῆς, εἶπεν ἐπικρούων τῇ χειρὶ τὸ ξίφος, ἀλλὰ τοῦτο δώσει. καὶ τὰ πραττόμενα καὶ τὰ παρασκευαζόμενα, ταύτην εἶχε τὴν διάνοιαν. αἱ μέντοι κουρίωνος ἀξιώσεις, καὶ παρακλήσεις ὑπὲρ καίσαρος, ἐφαίνοντο δημοτικώτεραι. δυεῖν γὰρ ἠξίου θάτερον, ἢ καὶ πομπήιον ἀπαιτεῖν, ἢ μὴ δὲ καίσαρος ἀφαιρεῖσθαι τὸ στρατιωτικόν. ἢ γὰρ ἰδιώτας γενομένους, ἐπὶ τοῖς δικαίοις, ἢ μένοντας ἀντιπάλους ἐφ' οἷς ἔχουσιν ἀτρεμήσειν. ὁ δὲ τὸν ἕτερον ἀσθενῆ ποιῶν, ἣν φοβεῖται δύναμιν διπλασιάζει. πρὸς ταῦτα μαρκέλλου τοῦ ὑπάτου, λῃστὴν ἀποκαλοῦντος τὸν καίσαρα, καὶ ψηφίζεσθαι πολέμιον κελεύοντος, εἰ μὴ καταθήσεται τὰ ὅπλα. κουρίων ὅμως ἴσχυσε μετὰ ἀντωνίου καὶ πείσωνος ἐξελέγξαι τὴν σύγκλητον. ἐκέλευσε γὰρ μεταστῆναι τοὺς καίσαρα μόνον τὰ ὅπλα καταθέσθαι κελεύοντας, πομπήιον δὲ ἄρχειν. καὶ μετέστησαν οἱ πλείους. αὖθις δὲ μεταστῆναι κελεύσαντος, ὅσοις ἀμφοτέρους ἀρέσκει τὰ ὅπλα καταθέσθαι, καὶ μηδέτερον ἄρχειν, πομπηίῳ μὲν εἴκοσι καὶ δύο μόνον, κουρίωνι δὲ, πάντες οἱ λοιποὶ προσέθεντο. κἀκεῖνος μὲν ὡς νενικηκὼς, λαμπρὸς ὑπὸ χαρᾶς εἰς τὸν δῆμον ἐξήλατο. κρότῳ καὶ βολαῖς στεφάνων καὶ ἀνθῶν δεξαμένων αὐτόν. ἐν δὲ τῇ βουλῇ, πομπήιος οὐ παρῆν. οἱ γὰρ ἄρχοντες στρατοπέδων, εἰς τὴν πόλιν οὐκ εἰσίασι. μάρκελλος δὲ ἀναστὰς, οὐκ ἔφη λόγων ἀκροάσεσθαι καθήμενος. ἀλλ' ὁρῶν ὑπερφαινόμενα τῶν ἄλπεων ἤδη δέκα τάγματα βαδίζειν. καὶ αὐτὸς ἐκπέμψειν τὸν ἀντιταξόμενον αὐτοῖς ὑπὲρ τῆς πατρίδος. ἐκ τούτου τὰς ἐσθῆτας, ὡς ἐπὶ πένθει μετεβάλοντο. μάρκελλος δὲ πρὸς πομπήιον δι' ἀγορᾶς ἐβάδιζε τῆς βουλῆς ἑπομένης καὶ καταστὰς ἐναντίος, κελεύω σε εἶπεν ὦ πομπήιε βοηθεῖν τῇ πατρίδι, καὶ χρῆσθαι ταῖς παρεσκευασμέναις δυνάμεσι, καὶ καταλέγειν ἑτέρας. τὰ δ' αὐτὰ ταῦτα καὶ λέντλος ἔλεγε, τῶν ἀποδεδειγμένων, εἰς τὸ μέλλον ὑπάτων ἅτερος. ἀρξαμένου δὲ τοῦ πομπηίου καταλέγειν, οἱ μὲν οὐχ ὑπήκουον. ὀλίγοι δὲ γλίσχρως καὶ ἀπροθύμως συνῄεσαν. οἱ δὲ πλείους διαλύσεις ἐβόων. καὶ γὰρ ἀνέγνω τινὰ καίσαρος ἐπιστολὴν ἀντώνιος, ἐν τῷ δήμῳ βια

εὐρυχωρίας δυοῖν ἀνδροῖν, οὐκ ἐπεῖχον. ἀλλ' ἀκούοντες καὶ ἀναγινώσκοντες ὅτι τεύχεα δὲ πάντα δέδασται τοῖς θεοῖς. ἕκαστος δ' ἔμμορε τιμῆς. ἑαυτοῖς οὐκ ἐνόμιζον ἀρχεῖν δυσὶν οὖσι τὴν ῥωμαίων ἀρχήν. καίτοι πομπήιος εἶπε ποτε δημηγορῶν, ὅτι πᾶσαν ἀρχὴν λάβοι πρότερον, ἢ προσεδόκησε. καὶ κατάθοιτο θᾶττον, ἢ προσεδοκήθη. καὶ νὴ δία μαρτυρούσας εἶχεν ἀεὶ τὰς διαλύσεις τῶν στρατοπέδων. τότε δὲ τὸν καίσαρα δοκῶν οὐ προήσεσθαι τὴν δύναμιν, ἐζήτει ταῖς πολιτικαῖς ἀρχαῖς, ὀχυρὸς εἶναι πρὸς αὐτόν. ἄλλο δὲ οὐδὲν ἐνεωτέριζεν. οὐδὲ ἐβούλετο δοκεῖν ἀπιστεῖν, ἀλλ' ὑπερορᾶν μᾶλλον καὶ καταφρονεῖν. ἐπεὶ δὲ τὰς ἀρχὰς οὐ κατὰ γνώμην ἑώρα βραβευομένας δεκαζομένων τῶν πολιτῶν, ἀναρχίαν ἐν τῇ πόλει περιεῖδε γινομένην. καὶ λόγος, εὐθὺς ἐχώρει πολὺς ὑπὲρ δικτάτορος. ὃν πρῶτος εἰς μέσον ἐξενεγκεῖν ἐτόλμησε, λουκίλλιος ὁ δήμαρχος, τῷ δήμῳ παραινῶν ἑλέσθαι δικτάτορα πομπήιον. ἐπιλαβομένου δὲ κάτωνος, οὗτος μὲν ἐκινδύνευσε τὴν δημαρχίαν ἀποβαλεῖν. ὑπὲρ δὲ πομπηίου, πολλοὶ τῶν φίλων ἀπελογοῦντο παριόντες. ὡς οὐ δεομένου τῆς ἀρχῆς ἐκείνης οὐδὲ βουλομένου. κάτωνος δὲ πομπήιον ἐπαινέσαντος, καὶ προτρεψαμένου τῆς εὐκοσμίας ἐπιμεληθῆναι. τότε μὲν αἰδεσθεὶς ἐπεμελήθη. καὶ κατεστάθησαν ὕπατοι. δομίτιος καὶ μεσσάλας. ὕστερον δὲ πάλιν ἀναρχίας γινομένης, καὶ πλειόνων ἤδη τὸν περὶ τοῦ δικτάτορος λόγον ἐγειρόντων ἰταμώτερον, φοβηθέντες οἱ περὶ κάτωνα μὴ βιασθῶσιν, ἔγνωσαν ἀρχήν τινα τῷ πομπηίῳ προέμενοι νόμιμον, ἀποτρέψαι τῆς ἀκράτου καὶ τυραννικῆς ἐκείνης, καὶ βίβλος ἐχθρὸς ὢν πομπηίῳ, πρῶτος ἀπεφήνατο γνώμην ἐν συγκλήτῳ, πομπήιον μόνον ἑλέσθαι ὕπατον. ἢ γὰρ ἀπαλλαγήσεσθαι τῆς παρούσης τὴν πόλιν ἀκοσμίας, ἢ δουλεύσειν τῷ κρατίστῳ. φανέντος δὲ παραδόξου τοῦ λόγου διὰ τὸν εἰπόντα, κάτων ἀναστάς, καὶ παρασχὼν δόκησιν ὡς ἀντιλέξοι, γενομένης σιωπῆς, εἶπε τὴν προκειμένην γνώμην, αὐτὸς μὲν οὐκ ἂν εἰσενεγκεῖν. εἰσενηνεγμένην δὲ ὑφ' ἑτέρου, πείθεσθαι κελεύειν. πᾶσαν μὲν ἀρχήν, μᾶλλον αἱρούμενος ἀναρχίας. πομπηίου δὲ μηδένα βέλτιον ἄρξειν, ἐν ταραχαῖς τηλικαύταις νομίζων. δεξαμένης δὲ τῆς βουλῆς καὶ ψηφισαμένης, ὅπως ὕπατος αἱρεθεὶς ὁ πομπήιος ἄρχοι μόνος. εἰ δὲ αὐτὸς συνάρχοντος δεηθείη, μὴ θᾶττον δυοῖν μηνοῖν δοκιμάσας ἕλοιτο. κατασταθεὶς οὕτω καὶ ἀποδειχθεὶς διὰ σουλπικίου μεσοβασιλέως ὕπατος, ἠσπάζετο φιλοφρόνως τὸν κάτωνα, πολλὴν ὁμολογῶν χάριν ἔχειν. καὶ παρακαλῶν γίνεσθαι σύμβουλον ἰδίᾳ τῆς ἀρχῆς. κάτων δὲ χάριν μὲν ἔχειν αὐτῷ τὸν πομπήιον οὐκ ἠξίου, δι' ἐκεῖνον γάρ, ὧν εἶπεν οὐδὲν εἰπεῖν. διὰ δὲ τὴν πόλιν. ἔσεσθαι δὲ σύμβουλος ἰδίᾳ παρακαλούμενος. ἐὰν δὲ μὴ παρακαλῆται, δημοσίᾳ φράσειν τὸ φαινόμενον. τοιοῦτος μὲν οὖν κάτων ἐν πᾶσι. πομπήιος δὲ παρελθὼν εἰς τὴν πόλιν, ἔγημε κορνηλίαν θυγατέρα μετέλλου σκηπίωνος. οὐ παρθένον, ἀλλὰ χήραν ἀπολελειμμένην νεωστί, ποπλίου τοῦ κράσσου παιδὸς ᾧ συνῴκησεν ἐκ παρθενίας, ἐν πάρθοις τεθνηκότος. ἐνῆν δὲ τῇ κόρῃ πολλὰ φίλτρα, δίχα τῶν ἀφ' ὥρας. καὶ γὰρ περὶ γράμματα καλῶς ἤσκητο, καὶ περὶ λύραν. καὶ γεωμετρίαν, καὶ λόγων φιλοσόφων εἴθιστο χρησίμως ἀκούειν. καὶ προσῆν τούτοις ἦθος, ἀηδίας καὶ περιεργίας καθαρόν, ἃ δὴ νέαις προστρίβεται γυναιξί, τὰ τοιαῦτα μαθήματα. πατὴρ δὲ καὶ γένους ἕνεκα καὶ δόξης ἄμεμπτος. ἀλλ' ὅμως τοῦ γάμου, τοῖς μὲν οὐκ ἤρεσκε τὸ μὴ καθ' ἡλικίαν. υἱῷ γὰρ αὐτοῦ συνοικεῖν ὥραν εἶχεν, ἡ κορνηλία μᾶλλον. οἱ δὲ κομψότεροι τὸ τῆς πόλεως ἡγοῦντο παρεωρακέναι τὸν πομπήιον, ἐν τύχαις οὔσης ὧν ἐκεῖνον ἰατρὸν ᾕρηται, καὶ μόνῳ παραδέδωκεν αὑτήν. ὁ δέ, στεφανοῦται καὶ θύει γάμους, αὐτὴν τὴν ὑπατείαν ὀφείλων ἡγεῖσθαι συμφοράν, οὐκ ἂν οὕτω παρανόμως δοθεῖσαν εὐτυχούσης τῆς πατρίδος. ἐπεὶ δὲ ταῖς δίκαις τῶν δωροδοκιῶν καὶ δεκασμῶν ἐπιστάς. καὶ νόμους γράψας καθ' οὓς αἱ κρίσεις ἐγίνοντο. τὰ μὲν ἄλλα σεμνῶς ἐβράβευε καὶ καθαρῶς ἀσφάλειαν ἅμα καὶ κόσμον καὶ ἡσυχίαν, αὐτοῦ προκαθημένου μεθ' ὅπλων τοῖς δικαστηρίοις παρέχων. σκηπίωνος δὲ τοῦ πενθεροῦ κρινομένου, μεταπεμψάμενος οἴκαδε τοὺς ἑξήκοντα καὶ τριακοσίους δικαστὰς ἐνέτυχε βοηθεῖν. ὁ δὲ κατήγορος, ἀπέστη τῆς δίκης ἰδὼν τὸν σκηπίωνα προπεμπόμενον ἐξ ἀγορᾶς ὑπὸ τῶν δικαστῶν, πάλιν οὖν ἤκουε κακῶς. ἔτι δὲ μᾶλλον ὅτι λύσας νόμῳ τοὺς γινομένους περὶ τῶν κρινομένων ἐπαίνους, αὐτὸς εἰσῆλθε πλάγκον ἐπαινεσόμενος, καὶ κάτων. ἔτυχε γὰρ κρίνων. ἐπισχόμενος τὰ ὦτα ταῖς χερσίν, οὐκ ἔφη καλῶς ἔχειν αὐτῷ παρὰ τὸν νόμον ἀκούειν τῶν ἐπαίνων. ὅθεν, ὁ μὲν κάτων ἀπεβλήθη, πρὸ τοῦ φέρειν τὴν ψῆφον. ἑάλω δὲ ταῖς ἄλλαις ὁ πλάγκος, σὺν αἰσχύνῃ τοῦ πομπηίου. καὶ γὰρ ὀλίγαις ὕστερον ἡμέραις, ὑψαῖος ἀνὴρ ὑπατικὸς δίκην φεύγων καὶ παραφυλάξας τὸν πομπήιον ἐκ δείπνου ἀπιόντα λελουμένον, ἱκέτευε τῶν γονάτων λαβόμενος. ὁ δέ, παρῆλθεν ὑπεροπτικῶς, εἰπὼν διαφθείρειν τὸ δεῖπνον αὐτοῦ. ἄλλο δὲ μηδὲν περαίνειν. οὕτως οὖν ἄνισος εἶναι δοκῶν, αἰτίας εἶχε. τὰ δ' ἄλλα καλῶς ἅπαντα κατέστησεν εἰς τάξιν, καὶ προσείλετο συνάρχοντα τὸν πενθερόν, εἰς τοὺς ὑπολοίπους πέντε μῆνας. ἐψηφίσθη δὲ αὐτῷ τὰς ἐπαρχίας ἔχειν, εἰς ἄλλην τετραετίαν. καὶ χίλια τάλαντα λαμβάνειν καθ' ἕκαστον ἐνιαυτόν, ἀφ' ὧν θρέψει καὶ διοικήσει τὸ στρατιωτικόν. οἱ δὲ καίσαρος φίλοι ταύτην ἀρχὴν λαβόντες, ἠξίουν τινὰ γενέσθαι καὶ καίσαρος λόγον. ἀγωνιζομένου τοσούτους ἀγῶνας ὑπὲρ τῆς ἡγεμονίας, ἢ γοῦν ὑπατείας ἄξιον εἶναι τυχεῖν ἑτέρας, ἢ προσλαβεῖν τῇ στρατείᾳ χρόνον. ἐν ᾧ τῶν πεπονημένων οὐκ ἄλλος ἐπελθὼν ἀφαιρήσεται τὴν

ται τὴν

κατεσκεύαζεν ἄμαχον καὶ φοβεράν. χρυσὸν δὲ καὶ ἄργυρον καὶ τἆλλα λάφυρα καὶ τὸν ἄλλον πλοῦτον τὸν ἐκ πολεμίων τοσούτων περιγινόμενον, εἰς τὴν ῥώμην ἀποστέλλων καὶ διαπειρῶν ταῖς δωροδοκίαις καὶ συγχορηγῶν ἀγορανόμοις καὶ στρατηγοῖς καὶ ὑπάτοις, καὶ γυναιξὶν αὐτῶν ᾠκειοῦτο πολλούς. ὥστε ὑπερβαλόντος αὐτοῦ τὰς ἄλπεις καὶ διαχειμάζοντος ἐν λούκῃ, τῶν μὲν ἄλλων ἀνδρῶν καὶ γυναικῶν ἁμιλλωμένων καὶ φερομένων πολὺ πλῆθος γενέσθαι. συγκλητικοὺς δὲ διακοσίους, ἐν οἷς καὶ πομπήιος ἦν καὶ κράσσος. ἀνθυπάτων δὲ καὶ στρατηγῶν, ἑκατὸν εἴκοσι ῥάβδους, ἐπὶ ταῖς καίσαρος θύραις ὀφθῆναι. τοὺς μὲν οὖν ἄλλους ἅπαντας ἐμπλήσας ἐλπίδων καὶ χρημάτων ἀπέστελλε. κράσσῳ δὲ καὶ πομπηΐῳ πρὸς αὐτὸν ἐγένοντο συνθῆκαι. μετιέναι μὲν ὑπατείας ἐκείνους καὶ καίσαρα συλλαμβάνειν αὐτοῖς πέμποντα τῶν στρατιωτῶν συχνοὺς ἐπὶ τὴν ψῆφον. ἐπὰν δὲ αἱρεθῶσι, τάχιστα πράττειν μὲν ἑαυτοῖς ἐπαρχιῶν καὶ στρατοπέδων ἡγεμονίας. καίσαρι δὲ καὶ τὰς οὔσας βεβαιοῦν, εἰς ἄλλην πενταετίαν. ἐπὶ τούτοις ἐξενεχθεῖσιν εἰς τοὺς πολλούς, χαλεπῶς ἔφερον οἱ πρῶτοι. καὶ μαρκελλῖνος ἐν τῷ δήμῳ καταστάς, ἀμφοῖν ἐναντίον ἠρώτησεν, εἰ μετίασιν ὑπατείαν. ὃ καὶ τῶν πολλῶν ἀποκρίνεσθαι κελευόντων πρῶτος πομπήιος εἶπεν. ὡς τάχα μὲν δὴ μετέλθοι. τάχα δέ, οὐκ ἂν μετέλθοι. κράσσος δὲ πολιτικώτερον. οὕτω γὰρ ἔφη πράξειν, ὁποτέρως ἂν οἴηται τῷ κοινῷ συνοίσειν. ἐπιφυομένου δὲ πομπηΐῳ μαρκελλίνου καὶ σφοδρῶς λέγειν δοκοῦντος, ὁ πομπήιος ἔφη πάντων ἀδικώτατον εἶναι τὸν μαρκελλῖνον, ὃς χάριν οὐκ ἔχει. λόγιος μὲν ἐξ ἀφώνου δι' αὐτόν. ἐμετικὸς δὲ ἐκ πεινατικοῦ γενόμενος. οὐ μήν, ἀλλὰ τῶν ἄλλων ἀποστάντων τοῦ παραγγέλλειν ὑπατείαν. λεύκιον δομίτιον κάτων ἔπεισε καὶ παρεθάρρυνε μὴ ἀπειπεῖν. οὐ γὰρ ὑπὲρ ἀρχῆς, ἀλλ' ὑπὲρ ἐλευθερίας εἶναι τὸν ἀγῶνα πρὸς τοὺς τυράννους. οἱ δὲ περὶ τὸν πομπήιον, φοβηθέντες τὸν τόνον τοῦ κάτωνος, μὴ τὴν βουλὴν ἔχων ἅπασαν, ἀποσπάσῃ καὶ μεταβάλῃ τοῦ δήμου τὸ ὑγιαῖνον, οὐκ εἴασαν εἰς ἀγορὰν κατελθεῖν τὸν δομίτιον, ἀλλ' ἐπιπέμψαντες ἐνόπλους ἄνδρας, ἀπέκτειναν μὲν τὸν προηγούμενον λυχνοφόρον. ἐτρέψαντο δὲ τοὺς ἄλλους. ἔσχατος δὲ κάτων ἀνεχώρησε, τρωθεὶς τὸν δεξιὸν πῆχυν, ἀμυνόμενος πρὸ τοῦ δομιτίου. τοιαύτῃ δὲ ὁδῷ παρελθόντες ἐπὶ τὴν ἀρχήν, οὐδὲ τἆλλα κοσμιώτερον ἔπραττον. ἀλλὰ πρῶτον μὲν τὸν κάτωνα τοῦ δήμου στρατηγὸν αἱρουμένου, καὶ τὴν ψῆφον ἐπιφέροντος, πομπήιος ἔλυσε τὴν ἐκκλησίαν, οἰωνοὺς αἰτιώμενος. ἀντὶ δὲ κάτωνος βατίνιον ἀνηγόρευσαν, ἀργυρίῳ τὰς φυλὰς διαφθείραντες. ἔπειτα νόμους διὰ τρεβωνίου δημαρχοῦντος εἰσέφερον. καίσαρι μὲν ὡς ὡμολόγητο, δευτέραν ἐπιμετροῦντας πενταετίαν. κράσσῳ δὲ συρίαν, καὶ τὴν ἐπὶ πάρθους στρατείαν διδόντας. αὐτῷ δὲ πομπηΐῳ λιβύην ἅπασαν, καὶ ἰβηρίαν ἑκατέραν, καὶ τέσσαρα τάγματα στρατιωτῶν, ὧν ἐπέχρησε δύο καίσαρι δεηθέντι, πρὸς τὸν ἐν γαλατίᾳ πόλεμον. ἀλλὰ κράσσος μὲν ἐξῆλθεν εἰς τὴν ἐπαρχίαν, ἀπαλλαγεὶς τῆς ὑπατείας. πομπήιος δὲ τὸ θέατρον ἀναδείξας, ἀγῶνας ἦγε γυμνικοὺς καὶ μουσικοὺς ἐπὶ τῇ καθιερώσει, καὶ θηρῶν ἁμίλλας. ἐν οἷς πεντακόσιοι λέοντες ἀνῃρέθησαν. ἐπὶ πᾶσι δὲ τὴν ἐλεφαντομαχίαν, ἐκπληκτικώτατον θέαμα παρέσχεν. ἐπὶ τούτοις δὲ θαυμασθεὶς καὶ ἀγαπηθείς, αὖθις οὐκ ἐλάττονα φθόνον ἔσχεν, ὅτι πρεσβευταῖς φίλοις παραδοὺς τὰ στρατεύματα καὶ τὰς ἐπαρχίας, αὐτὸς ἐν τοῖς περὶ τὴν ἰταλίαν ἡβητηρίοις μετιών, ἄλλοτε ἀλλαχόσε μετὰ τῆς γυναικὸς διῆγεν. εἴτε ἐρῶν αὐτῆς, εἴτε ἐρῶσαν οὐχ ὑπομένων ἀπολιπεῖν. καὶ γὰρ καὶ τοῦτο λέγεται, καὶ περιβόητον ἦν τῆς κόρης τὸ φίλανδρον, οὐ καθ' ὥραν ποθούσης τὸν πομπήιον, ἀλλ' αἴτιον ἔοικεν ἥ τε σωφροσύνη τοῦ ἀνδρὸς εἶναι, μόνην γινώσκοντος τὴν γεγαμημένην. ἥ τε σεμνότης, οὐκ ἄκρατον, ἀλλ' εὔχαριν ἔχουσα τὴν ὁμιλίαν, καὶ μάλιστα γυναικῶν ἀγωγόν. εἰ δεῖ μηδὲ φλώραν ἁλῶναι τὴν ἑταίραν ψευδομαρτυριῶν. ἐν δ' οὖν ἀγορανομικοῖς ἀρχαιρεσίοις εἰς χεῖρας τινῶν ἐλθόντων καὶ φονευθέντων περὶ αὐτὸν οὐκ ὀλίγων, ἀναπλησθεὶς αἵματος, ἤλλαξε τὰ ἱμάτια. πολλοῦ δὲ θορύβου καὶ δρόμου πρὸς τὴν οἰκίαν γενομένου τῶν κομιζόντων τὰ ἱμάτια θεραπόντων, ἔτυχε μὲν ἡ κόρη κύουσα, θεασαμένη δὲ καθημαγμένην τὴν τήβεννον, ἐξέλιπε καὶ μόλις ἀνήνεγκεν. ἐκ δὲ τῆς ταραχῆς ἐκείνης καὶ τοῦ πάθους ἀπήμβλωσεν. ὅθεν οὐδὲ οἱ μάλιστα μεμφόμενοι τὴν πρὸς καίσαρα τοῦ πομπηΐου φιλίαν, ᾐτιῶντο τὸν ἔρωτα τῆς γυναικός. αὖθις μέντοι κυήσασα, καὶ τεκοῦσα θῆλυ παιδίον, ἐκ τῶν ὠδίνων ἐτελεύτησε. καὶ τὸ παιδίον οὐ πολλὰς ἡμέρας ἐπέζησε. παρεσκευασμένου δὲ πομπηΐου τὸ σῶμα θάπτειν ἐν ἀλβανῷ, βιασάμενος ὁ δῆμος, εἰς τὸ ἄρειον πεδίον κατήνεγκεν. οἴκτῳ τῆς κόρης μᾶλλον, ἢ πομπηΐῳ καὶ καίσαρι χαριζόμενος. αὐτῶν δὲ ἐκείνων μεῖζον ἐδόκει μέρος ἀπόντι καίσαρι νέμειν ὁ δῆμος, ἢ πομπηΐῳ παρόντι τῆς τιμῆς. εὐθὺς γὰρ ἐκύμαινεν ἡ πόλις. καὶ πάντα τὰ πράγματα σάλον εἶχε καὶ λόγους διαστατικούς. ὡς ἡ πρότερον παρακαλύπτουσα μᾶλλον, ἢ κατείργουσα τῶν ἀνδρῶν τὴν φιλαρχίαν οἰκειότης ἀνῄρηται. μετ' οὐ πολὺ δὲ καὶ κράσσος ἐν πάρθοις ἀπολωλὼς ἠγγέλλετο. καὶ τοῦτο κώλυμα ὂν μέγα τοῦ συμπεσεῖν τὸν ἐμφύλιον πόλεμον, ἐκποδὼν ἐγεγόνει. δεδιότες γὰρ ἐκεῖνον ἀμφότεροι, τοῖς πρὸς ἀλλήλους ἁμωσγέπως, ἐνέμενον δικαίοις. ἐπεὶ δὲ ἀνεῖλεν ἡ τύχη τὸν ἔφεδρον τοῦ ἀγῶνος, εὐθὺς ἦν εἰπεῖν τὸ κωμικόν. ὡς ἅτερος πρὸς τὸν ἕτερον ὑπαλείφεται. τὼ χεῖρέ τε ὑποκονίεται. οὕτως ἡ τύχη μικρόν ἐστι πρὸς τὴν φύσιν. οὐ γὰρ ἀποπίμπλησιν αὐτῆς τὴν ἐπιθυμίαν, ὅπου τοσοῦτον βάθος ἡγεμονίας καὶ μέγεθος

πίαν. καὶ τέσσαρα τάγματα τέλεια στρατιωτῶν. ὑπάτους δὲ εἰς τὸ μέλλον εἶναι, πείσωνα τὸν καίσαρος πενθερόν. καὶ γαβίνιον ἄνδρα τῶν πομπηΐου κολάκων ὑπερφυέστατον. πραττομένων δὲ τούτων, βίβλος μὲν εἰς τὴν οἰκίαν κατακλεισάμενος, ὀκτὼ μηνῶν οὐ προῆλθεν ὑπατεύων, ἀλλ' ἐξέπεμπε διαγράμματα, βλασφημίας ἀμφοῖν ἔχοντα καὶ κατηγορίας. κάτων δὲ, ὥσπερ ἐπίπνους καὶ φοιβόληπτος, ἐν τῇ βουλῇ τὰ μέλλοντα τῇ πόλει, καὶ τῷ πομπηΐῳ προηγόρευε. λεύκουλλος δὲ, ἀπειπὼν ἡσυχίαν ἦγεν. ὡς οὐκ ἔτι πρὸς πολιτείαν ὡραῖος. ὅτε δὴ καὶ πομπήϊος ἔφη, γέροντι τὸ τρυφᾶν, ἀωρότερον εἶναι τοῦ πολιτεύεσθαι. ταχὺ μέντοι καὶ αὐτὸς ἐμαλάσσετο τῷ τῆς κόρης ἔρωτι, καὶ προσεῖχεν ἐκείνῃ τὰ πολλά. καὶ συνδιημέρευεν, ἐν ἀγροῖς καὶ κήποις. ἠμέλει δὲ τῶν κατ' ἀγορὰν πραττομένων ὥστε καὶ κλώδιον, αὐτοῦ καταφρονῆσαι δημαρχοῦντα τότε, καὶ θρασυτάτων ἅψασθαι πραγμάτων. ἐπεὶ γὰρ ἐξέβαλε κικέρωνα, καὶ κάτωνα προφάσει στρατηγίας εἰς κύπρον ἀπέστειλε. καίσαρος εἰς γαλατίαν ἐξεληλακότος. αὐτοῦ δὲ προσέχοντα τὸν δῆμον ἑώρα πάντα πράττοντι καὶ πολιτευομένῳ πρὸς χάριν, εὐθὺς ἐπεχείρει τῶν πομπηΐου διατάξεων, ἐνίας ἀναιρεῖν. καὶ τιγράνην τὸν αἰχμάλωτον ἁρπάσας εἶχε σὺν αὐτῷ καὶ τοῖς φίλοις δίκας ἐπῆγε. πεῖραν ἐν ἐκείνοις τῆς πομπηΐου λαμβάνων δυνάμεως. τέλος δὲ προελθόντος αὐτοῦ πρός τινα δίκην, ἔχων ὑφ' αὐτῷ πλῆθος ἀνθρώπων ἀσελγείας καὶ ὀλιγωρίας μεστὸν, αὐτὸς μὲν εἰς ἐπιφανῆ τόπον καταστὰς, ἐρωτήματα τοιαῦτα προὔβαλε. τίς ἐστιν αὐτοκράτωρ ἀκόλαστος. τίς ἀνὴρ, ἄνδρα ζητεῖ. τίς ἑνὶ δακτύλῳ κνᾶται τὴν κεφαλήν. οἱ δὲ, ὥσπερ χορὸς εἰς ἀμοιβαῖα συγκεκροτημένος ἐκείνου τὴν τήβεννον ἀνασείοντος, ἐφ' ἑκάστῳ μέγα βοῶντες, ἀπεκρίναντο, πομπήϊος. ἠνία μὲν οὖν καὶ ταῦτα πομπήϊον. ἀήθη τοῦ κακῶς ἀκούειν ὄντα, καὶ μάχης τοιαύτης ἄπειρον. ἤχθετο δὲ μᾶλλον, αἰσθανόμενος τὴν βουλὴν ἐπιχαίρουσαν αὐτῷ προπηλακιζομένῳ. καὶ διδόντι δίκην τῆς κικέρωνος προδοσίας. ἐπεὶ δὲ καὶ πληγὰς ἐν ἀγορᾷ μέχρι τραυμάτων συνέβη γενέσθαι. καὶ κλωδίου τις οἰκέτης παραδυόμενος ἐν ὄχλῳ διὰ τῶν περιεστώτων πρὸς τὸν πομπήϊον ἠλέγχθη, ξίφος ἔχειν. ταῦτα ποιούμενος πρόφασιν, ἄλλως δὲ τοῦ κλωδίου τὴν ἀσέλγειαν καὶ τὰς βλασφημίας δεδιὼς, οὐκ ἔτι προῆλθεν εἰς ἀγορὰν, ὅσον ἐκεῖνος ἦρχε χρόνον. ἀλλ' οἰκουρῶν διετέλει. καὶ σκεπτόμενος μετὰ τῶν φίλων ὅπως ἂν ἐξακέσαιτο τῆς βουλῆς, καὶ τῶν ἀρίστων τὴν πρὸς αὐτὸν ὀργήν. κουλλέωνι μὲν οὖν κελεύοντι, τὴν ἰουλίαν ἀφεῖναι καὶ μεταβαλέσθαι πρὸς τὴν σύγκλητον ἀπὸ τῆς καίσαρος φιλίας, οὐ προσέσχε. τοῖς δὲ κικέρωνα καταγαγεῖν ἀξιοῦσιν, ἄνδρα καὶ κλωδίῳ πολεμιώτατον, καὶ τῇ βουλῇ προσφιλέστατον, ἐπείσθη. καὶ προαγαγὼν τὸν ἀδελφὸν αὐτοῦ δεόμενον σὺν χειρὶ πολλῇ, τραυμάτων ἐν ἀγορᾷ γινομένων, καί τινων ἀναιρεθέντων, ἐκράτησε τοῦ κλωδίου. καὶ νόμῳ κατελθὼν ὁ κικέρων, τήν τε βουλὴν εὐθὺς τῷ πομπηΐῳ διήλλαττε. καὶ τῷ σιτικῷ νόμῳ συνηγορῶν, τρόπῳ τινὶ πάλιν γῆς καὶ θαλάττης ὅσην ἐκέκτηντο ῥωμαῖοι, κύριον ἐποίει πομπήϊον. ἐπ' αὐτῷ γὰρ ἐγίνοντο. λιμένες. ἐμπόρια. καρπῶν διαθέσεις. ἑνὶ λόγῳ τὰ τῶν πλεόντων πράγματα. τὰ τῶν γεωργούντων. κλώδιος δὲ ᾐτιᾶτο μὴ γεγράφθαι τὸν νόμον διὰ τὴν σιτοδείαν. ἀλλ' ὅπως ὁ νόμος γραφείη γεγονέναι τὴν σιτοδείαν. ὥσπερ ἐκλειποθυμίας αὐτοῦ μαραινομένην τὴν δύναμιν, ἀρχῇ νέᾳ πάλιν ἀναζωπυροῦντος καὶ ἀναλαβόντος. ἕτεροι δὲ τοῦ ὑπάτου σπινθῆρος, ἀποφαίνουσι τοῦτο σόφισμα κατακλείσαντος εἰς ἀρχὴν μείζονα πομπήϊον, ὅπως αὐτὸς ἐκπεμφθῇ πτολεμαίῳ τῷ βασιλεῖ βοηθῶν. οὐ μὴν, ἀλλὰ καὶ κανίδιος εἰσήνεγκε δημαρχῶν νόμον. ἄνευ στρατείας πομπήϊον ἔχοντα ῥαβδούχους δύο, διαλλάττειν ἀλεξανδρεῦσι τὸν βασιλέα. καὶ πομπήϊος μὲν ἐδόκει τῷ νόμῳ μὴ δυσχεραίνειν. ἡ δὲ σύγκλητος ἐξέβαλεν εὐπρεπῶς σκηψαμένη δεδιέναι περὶ τἀνδρός. ἦν δὲ γράμμασιν ἐντυχεῖν διερριμμένοις κατ' ἀγορὰν καὶ παρὰ τὸ βουλευτήριον. ὡς δὴ πτολεμαίου δεομένου πομπήϊον αὐτῷ στρατηγὸν, ἀντὶ τοῦ σπινθῆρος δοθῆναι. τιμαγένης δὲ, καὶ ἄλλως τὸν πτολεμαῖον οὐκ οὔσης ἀνάγκης ἀπελθεῖν φησὶ καὶ καταλιπεῖν αἴγυπτον ὑπὸ θεοφάνους πεισθέντα, πράττοντος πομπηΐῳ χρηματισμοὺς, καὶ στρατηγίας καινῆς ὑπόθεσιν. ἀλλὰ τοῦτο μὲν, οὐχ οὕτως ἡ θεοφάνους μοχθηρία πεποίηκε πιθανὸν, ὡς ἄπιστον ἡ πομπηΐου φύσις. οὐκ ἔχουσα κακόηθες οὐδ' ἀνελεύθερον οὕτω τὸ φιλότιμον. ἐπισταθεὶς δὲ τῇ περὶ τὸ σιτικὸν οἰκονομίᾳ καὶ πραγματείᾳ, πολλαχοῦ μὲν ἀπέστειλε πρεσβευτὰς καὶ φίλους. αὐτὸς δὲ πλεύσας εἰς σικελίαν καὶ σαρδόνα καὶ λιβύην, ἤθροιζε σῖτον. ἀνάγεσθαι δὲ μέλλων, πνεύματος μεγάλου κατὰ θάλατταν ὄντος, καὶ τῶν κυβερνητῶν ὀκνούντων, πρῶτος ἐμβὰς καὶ κελεύσας τὴν ἄγκυραν αἴρειν, ἀνεβόησε πλεῖν ἀνάγκη, ζῆν οὐκ ἀνάγκη. τοιαύτῃ δὲ τόλμῃ καὶ προθυμίᾳ χρώμενος μετὰ τύχης ἀγαθῆς, ἐνέπλησε σίτου τὰ ἐμπόρια, καὶ πλοίων τὴν θάλασσαν. ὥστε καὶ τοῖς ἐκτὸς ἀνθρώποις, ἐπαρκέσαι τὴν περιουσίαν ἐκείνης τῆς παρασκευῆς. καὶ γενέσθαι καθάπερ ἐκ πηγῆς, ἄφθονον ἐπιρροὴν εἰς πάντας. ἐν τούτῳ δὲ τῷ χρόνῳ, μέγαν ἦραν οἱ κελτικοὶ πόλεμοι καίσαρα. καὶ δοκῶν πορρωτάτω τῆς ῥώμης ἀπεῖναι καὶ συνηρτῆσθαι βέλγαις καὶ σουήβοις καὶ βρεττανοῖς, ἐλάνθανεν ὑπὸ δεινότητος ἐν μέσῳ τῷ δήμῳ. καὶ τοῖς κυριωτάτοις πράγμασι καταπολιτευόμενος τὸν πομπήϊον, αὐτὸς μὲν γὰρ ὡς σῶμα τὴν στρατιωτικὴν δύναμιν περικείμενος, οὐκ ἐπὶ τοὺς βαρβάρους. ἀλλ' ὥσπερ ἐν θήραις καὶ κυνηγεσίοις τοῖς πρὸς ἐκείνους ἀγῶσι γυμνάζων διεπόνει καὶ

τῶν πώποτε ῥωμαίων γεγονός, ὅτι τὸν τρίτον θρίαμβον, ἀπὸ τῆς τρίτης ἠπείρου κατήγαγεν. ἐπεὶ τρεῖς γε καὶ πρότερον ἦσαν ἕτεροι τεθριαμβευκότες. ἐκεῖνος δὲ τὸν μὲν πρῶτον ἐκ λιβύης. τὸν δὲ δεύτερον ἐξ εὐρώπης. τοῦτον δὲ τὸν τελευταῖον ἀπὸ τῆς ἀσίας εἰσαγαγών, τρόπον τινὰ τὴν οἰκουμένην ἐδόκει τοῖς τρισὶν ὑπῆχθαι θριάμβοις. ἡλικία δὲ τότε ἦν. ὡς μὲν οἱ κατὰ πάντα τῷ ἀλεξάνδρῳ παραβάλλοντες αὐτὸν, καὶ προσβιβάζοντες ἀξιοῦσι, νεώτερος τῶν τριάκοντα καὶ τετάρων ἐτῶν. ἀληθείᾳ δὲ τοῖς τετταράκοντα προσῆγεν. ὡς ὤνατο γ᾽ ἂν ἐνταῦθα τοῦ βίου παυσάμενος ἄχρις οὗ τὴν ἀλεξάνδρου τύχην ἔσχεν. ὁ δὲ ἐπέκεινα χρόνος αὐτῷ. τὰς μὲν εὐτυχίας ἤνεγκεν ἐπιφθόνους. ἀνηκέστους δὲ τὰς δυστυχίας. ἣν γὰρ ἐκ προσηκόντων αὐτὸς ἐκτήσατο δύναμιν ἐν τῇ πόλει, ταύτῃ χρώμενος ὑπὲρ ἄλλων οὐ δικαίως, ὅσον ἐκείνοις ἰσχύος προσετίθει τῆς αὑτοῦ δόξης ἀφαιρῶν, ἔλαθε ῥώμῃ καὶ μεγέθει τῆς αὑτοῦ δυνάμεως καταλυθείς. καὶ καθάπερ τὰ καρτερώτατα μέρη καὶ χωρία τῶν πόλεων, ὅταν δέξηται πολεμίους, ἐκείνοις προστίθησι τὴν αὑτῶν ἰσχὺν, οὕτω διὰ τῆς πομπηΐου δυνάμεως καῖσαρ ἐξαρθεὶς ἐπὶ τὴν πόλιν, ᾧ κατὰ τῶν ἄλλων ἴσχυσε, τοῦτον ἀνέτρεψε καὶ κατέβαλεν. ἐπράχθη δὲ οὕτω. λεύκουλλος ὡς ἐπανῆλθεν ἐξ ἀσίας, ὑπὸ πομπηΐου περιϋβρισμένος, αὐτίκα τε λαμπρῶς ἡ σύγκλητος ἐδέξατο. καὶ μᾶλλον ἔτι πομπηΐου παραγενομένου κελεύουσα τὴν δόξαν ἤγειρεν ἐπὶ τὴν πολιτείαν. ὁ δὲ τἆλλα μὲν ἀμβλὺς ἦν ἤδη, καὶ κατέψυκτο τὸ πρακτικὸν, ἡδονῇ σχολῆς, καὶ ταῖς περὶ τὸν πλοῦτον διατριβαῖς, ἑαυτὸν ἐνδεδωκώς. ἐπεὶ δὲ πομπήϊον εὐθὺς ἀΐξας καὶ λαβόμενος ἐντόνως αὐτοῦ. περί τε τῶν διατάξεων ἃς ἔλυσεν ἐκράτει. καὶ πλέον εἶχεν ἐν τῇ βουλῇ συναγωνιζομένου κάτωνος. ἐκπίπτων δὲ καὶ περιωθούμενος ὁ πομπήϊος, ἠναγκάζετο δημάρχοισι προσφεύγειν καὶ προσαρτᾶσθαι μειρακίοις, ὧν ὁ βδελυρώτατος καὶ θρασύτατος κλώδιος ἀναλαβὼν αὐτὸν, ὑπέρριψε τῷ δήμῳ. καὶ παρ᾽ ἀξίαν κυλινδούμενον ἐν ἀγορᾷ ἔχων καὶ περιφέρων, ἐχρῆτο τῶν πρὸς χάριν ὄχλου καὶ κολακείαν γραφομένων καὶ λεγομένων βεβαιωτῇ. καὶ προσέτι μισθὸν ᾔτει, ὥσπερ οὐ καταισχύνων ἀλλὰ εὐεργετῶν ὃν ὕστερον ἔλαβε παρὰ πομπηΐου προέσθαι κικέρωνα φίλον ὄντα, καὶ πλεῖστα δὴ πεπολιτευμένον ὑπὲρ αὐτοῦ. κινδυνεύοντι γὰρ αὐτῷ καὶ δεομένῳ βοηθείας, οὐδὲ εἰς ὄψιν προῆλθεν, ἀλλὰ τοῖς ἥκουσιν ἀποκλείσας τὴν αὔλειον, ἑτέραις θύραις ᾤχετο ἀπιών. κικέρων δὲ φοβηθεὶς τὴν κρίσιν, ὑπεξῆλθε τῆς ῥώμης. τότε δὲ καῖσαρ ἐλθὼν ἀπὸ στρατείας, ἥψατο πολιτεύματος. ὃ πλείστην μὲν αὐτῷ χάριν ἐν τῷ παρόντι, καὶ δύναμιν εἰς αὖθις ἤνεγκε. μέγιστα δὲ πομπήϊον ἔβλαψε καὶ τὴν πόλιν. ὑπατείαν μὲν γὰρ μετῄει πρώτην. ὁρῶν δὲ ὅτι κράσσου πρὸς πομπήϊον διαφερομένου, θατέρῳ προσθέμενος, ἐχθρῷ χρήσεται τῷ ἑτέρῳ, τρέπεται πρὸς διαλλαγὰς ἀμφοῖν. πρᾶγμα καλὸν μὲν ἄλλως καὶ πολιτικὸν, αἰτίᾳ δὲ φαύλῃ, καὶ μετὰ δεινότητος ὑπ᾽ ἐκείνου συντεθὲν ἐπιβούλως. ἡ γὰρ ὥσπερ ἐν σκάφει τὰς ἀποκλίσεις ἐπανισοῦσα τῆς πόλεως ἰσχὺς, εἰς ἓν συνελθοῦσα καὶ γενομένη μία, τὴν πάντα πράγματα καταστασιάσασαν καὶ καταβαλοῦσαν ἀνανταγώνιστον ῥοπὴν ἐποίησεν. ὁ γοῦν κάτων, τοὺς λέγοντας ὑπὸ τῆς ὕστερον γενομένης πρὸς καίσαρα πομπηΐῳ διαφορᾶς ἀνατραπῆναι τὴν πόλιν, ἁμαρτάνειν ἔλεγεν, αἰτιωμένους τὸ τελευταῖον. οὐ γὰρ τὴν στάσιν οὐδὲ τὴν ἔχθραν, ἀλλὰ τὴν σύστασιν καὶ τὴν ὁμόνοιαν αὐτῶν τῇ πόλει πρῶτον, κακὸν γενέσθαι καὶ μέγιστον. ᾑρέθη μὲν γὰρ ὕπατος καῖσαρ. εὐθὺς δὲ θεραπεύων τὸν ἄπορον καὶ πένητα, κατοικίας πόλεων καὶ νομὰς ἀγρῶν, ἔγραφεν, ἐκβαίνων τὸ τῆς ἀρχῆς ἀξίωμα. καὶ τρόπον τινὰ δημαρχίαν τὴν ὑπατείαν καθιστάς. ἐναντιουμένου δὲ τοῦ συνάρχοντος αὐτῷ βίβλου, καὶ κάτωνος ἐρρωμενέστατα τῷ βίβλῳ παρεσκευασμένου βοηθεῖν. προσαγαγὼν ὁ καῖσαρ ἐπὶ τοῦ βήματος, πομπήϊον ἐμφανῆ καὶ προσαγορεύσας, ἠρώτησεν εἰ τοὺς νόμους ἐπαινοίη. τοῦ δὲ, συμφήσαντος, οὐκοῦν εἶπεν ἄν τις τοὺς νόμους βιάζηται, εἰς τὸν δῆμον ἀφίξῃ βοηθῶν; πάνυ μὲν οὖν ἔφη ὁ πομπήϊος ἀφίξομαι πρὸς τοὺς ἀπειλοῦντας τὰ ξίφη, μετὰ ξίφους καὶ θυρεὸν κομίζων. τούτου πομπήϊος οὐδὲν, οὔτε εἰπεῖν οὔτε ποιῆσαι μέχρι τῆς ἡμέρας ἐκείνης, φορτικώτερον ἔδοξεν. ὥστε καὶ τοὺς φίλους ἀπολογεῖσθαι φάσκοντας ἐκφυγεῖν αὐτὸν ἐπὶ καιροῦ τὸ ῥῆμα. τοῖς μέντοι μετὰ ταῦτα πραττομένοις, φανερὸς ἦν ἤδη παντάπασιν ἑαυτὸν, τῷ καίσαρι χρῆσθαι παραδεδωκώς. ἰουλίαν γὰρ τὴν καίσαρος θυγατέρα σκηπίωνι καθωμολογημένην καὶ γαμεῖσθαι μέλλουσαν, ὀλίγων ἡμερῶν οὐδενὸς ἂν προσδοκήσαντος, ἔγημε πομπήϊος, μείλιγμα σκηπίωνι τῆς ὀργῆς, τὴν ἑαυτοῦ θυγατέρα καταινέσας, φαύστῳ τῷ παιδὶ σύλλα, πρότερον ἐγγεγυημένην. αὐτὸς δὲ καῖσαρ ἔγημε καλπουρνίαν τὴν πείσωνος. ἐκ δὲ τούτου πομπήϊος ἐμπλήσας στρατιωτῶν τὴν πόλιν, ἅπαντα τὰ πράγματα βίᾳ κατεῖχε. βίβλῳ τε γὰρ εἰς ἀγορὰν τῷ ὑπάτῳ κατιόντι μετὰ λευκούλλου καὶ κάτωνος, ἄφνω προσπεσόντες, κατέκλασαν τὰς ῥάβδους, αὐτοῦ δέ τις κοπρίων κόφινον ἐκ κεφαλῆς τοῦ βίβλου κατεσκέδασε. δύο δὲ δήμαρχοι τῶν συμπροπεμπόντων ἐτρώθησαν. οὕτω δὲ τῶν ἐνισταμένων τὴν ἀγορὰν ἐρημώσαντες, ἐπεκύρωσαν τὸν περὶ τῆς διανομῆς τῶν χωρίων νόμον. ᾧ δελεασθεὶς ὁ δῆμος, εἰς πᾶσαν ἤδη τιθασὸς αὐτοῖς ἐγεγόνει. καὶ κατ᾽ αὐτεῖ πραξιν οὐδὲν πολυπραγμονῶν, ἀλλ᾽ ἐπιφέρων σιωπῇ τοῖς γραφομένοις τὴν ψῆφον. ἐκυρώθησαν οὖν πομπηΐῳ μὲν αἱ διατάξεις, ὑπὲρ ὧν λεύκουλλος ἤριζε. καίσαρι δὲ τὴν ἐντὸς ἄλπεων καὶ τὴν ἐκτὸς ἔχειν γαλατίαν καὶ ἰλλυριοὺς εἰς πενταε-

μιθριδάτου σύντροφος, ἔδωκε κρύφα δεηθέντι φαύστῳ τῷ σύλλα παιδί, θαυμαστῆς οὔσης ἐργασίας.
ὅ ποτε τὸν πομπήιον διέλαθε. φαρνάκης δὲ γνοὺς ὕστερον, ἐτιμωρήσατο τοὺς ὑφελομένους. διοικήσας
δὲ τὰ ἐκεῖ καὶ καταστησάμενος, οὕτως ἤδη πανηγυρικώτερον ἐχρῆτο τῇ πορείᾳ. καὶ γὰρ εἰς μιτυλή-
νην ἀφικόμενος, τήν τε πόλιν ἠλευθέρωσε διὰ θεοφάνη, καὶ τὸν ἀγῶνα τὸν πάτριον ἐθεάσατο τῶν ποιη-
τῶν, ὑπόθεσιν μίαν ἔχοντα, τὰς ἐκείνου πράξεις. ἡσθεὶς δὲ τῷ θεάτρῳ, περιεγράψατο τὸ εἶδος αὐτοῦ καὶ
ῥόδῳ π. ς. q. τὸν τύπον, ὡς ὅμοιον ἀπεργασόμενος τὸ ἐν ῥώμῃ, μεῖζον δὲ καὶ σεμνότερον. ἐν δὲ γενόμενος, πάντων μὲν
ἠκροάσατο τῶν σοφιστῶν. καὶ δωρεὰν ἑκάστῳ τάλαντον ἔδωκε. ποσειδώνιος δὲ καὶ τὴν ἀκρόασιν ἀνέγρα-
καθόλου q. ψεν, ἣν ἔσχεν ἀπ' αὐτοῦ πρὸς ἑρμαγόραν τὸν ῥήτορα, περὶ τῆς καθ' ὅλου ζητήσεως ἀντιταξάμενος. ἐν δὲ ἀθή-
ναις. τὰ μὲν πρὸς τοὺς φιλοσόφους ὅμοια τοῦ πομπηίου. τῇ πόλει δὲ ἐπιδοὺς εἰς ἐπισκευὴν πεντήκοντα
ἐπιβήσεσθαι ς. π. τάλαντα, λαμπρότατος ἀνθρώπων ἤλπιζεν ἐπιβήσεται τῆς ἰταλίας, καὶ ποθῶν ὀφθήσεσθαι τοῖς
οἴκοι ποθοῦσι. ᾧ δ' ἄρα πρὸς τὰ λαμπρὰ καὶ μεγάλα τῶν ἀπὸ τῆς τύχης ἀγαθῶν, ἀεί τινα κεραννύναι
κακοῦ μοῖραν, ἐπιμελὲς ἦν δαιμονίῳ, τοῦτο ὑποικουροῦν πάλαι παρεσκεύαζεν αὐτῷ λυπηροτέραν
.π. τὴν ἐπάνοδον. ἐξύβρισε γὰρ ἡ μουκία παρὰ τὴν ἀποδημίαν αὐτοῦ. καὶ πόρρω μὲν ὢν ὁ πομπήιος, κα-
τεφρόνει τοῦ λόγου. πλησίον δὲ ἰταλίας γενόμενος, καὶ σχολάζοντι τῷ λογισμῷ μᾶλλον ὡς ἔοικε τῆς
.π. αἰτίας ἁψάμενος, ἔπεμψεν αὐτῇ τὴν ἄφεσιν, οὔτε τότε γράψας, οὔθ' ὕστερον ἐφ' οἷς ἀφῆκεν ἐξειπών. ἐν
δ' ἐπιστολαῖς κικέρωνος ἡ αἰτία γέγραπται. λόγοι δὲ παντοδαποὶ περὶ τοῦ πομπηίου προκατέπιπτον
εἰς τὴν ῥώμην. καὶ θόρυβος ἦν πολύς. ὡς εὐθὺς ἄξοντος ἐπὶ τὴν πόλιν τὸ στράτευμα. καὶ μοναρχίας
βεβαίας ἐσομένης. κράσσος δὲ τοὺς παῖδας καὶ τὰ χρήματα λαβὼν ὑπεξῆλθεν. εἴτε δείσας ἀληθῶς,
εἴτε μᾶλλον ὡς ἐδόκει πίστιν ἀπολείπων τῇ διαβολῇ καὶ τὸν φθόνον ποιῶν τραχύτερον. εὐθὺς οὖν ἐπι-
βὰς ἰταλίας ὁ πομπήιος, καὶ συναγαγὼν εἰς ἐκκλησίαν τοὺς στρατιώτας καὶ τὰ πρέποντα διαλεχθεὶς
καὶ φιλοφρονησάμενος, ἐκέλευσε διαλύεσθαι κατὰ πόλιν ἑκάστους, καὶ τρέπεσθαι πρὸς τὰ οἰκεῖα, με-
μνημένους αὖθις ἐπὶ τὸν θρίαμβον αὐτῷ συνελθεῖν. οὕτω δὲ τῆς στρατιᾶς σκεδασθείσης, καὶ πυνθα-
νομένων ἁπάντων, πρᾶγμα συνέβη θαυμαστόν. ὁρῶσαι γὰρ αἱ πόλεις πομπήιον μάγνον ἄνοπλον, καὶ
μετ' ὀλίγων τῶν συνήθων ὥσπερ ἐξ ἄλλης ἀποδημίας διαπορευόμενον, ἐκχεόμεναι δι' εὔνοιαν καὶ προ-
πέμπουσαι μετὰ μείζονος δυνάμεως, συγκατῆγον εἰς τὴν ῥώμην, εἴ τι κινεῖν διενοεῖτο καὶ νεωτερίζειν τό-
τε, μηδὲν ἐκείνου δεόμενον τοῦ στρατεύματος. ἐπεὶ δὲ ὁ νόμος οὐκ εἴα πρὸ τοῦ θριάμβου παρελθεῖν εἰς τὴν
πόλιν, ἔπεμψεν ἀξιῶν εἰς τὴν βουλὴν ἀναβαλέσθαι τὰς τῶν ὑπάτων ἀρχαιρεσίας, καὶ δοῦναι ταύ-
την αὐτῷ τὴν χάριν, ὅπως παρὼν πείσωνι συναρχαιρεσιάσῃ. κάτωνος δὲ πρὸς τὴν ἀξίωσιν ἐνστάντος,
οὐκ ἔτυχε τοῦ βουλεύματος. θαυμάσας δὲ τὴν παρρησίαν αὐτοῦ καὶ τὸν τόνον, ᾧ μόνος ἐχρῆτο φανε-
ρῶς ὑπὲρ τῶν δικαίων, ἐπεθύμησεν ἁμῶς γέ πως κτήσασθαι τὸν ἄνδρα. καὶ δυεῖν οὐσῶν ἀδελφιδῶν
τῷ κάτωνι. τὴν μὲν αὐτὸς ἐβούλετο λαβεῖν γυναῖκα. τὴν δὲ τῷ παιδὶ συνοικίσαι. τοῦ δὲ κάτωνος ὑ-
πιδομένου τὴν πεῖραν ὡς διαφθορὰν οὖσαν αὐτοῦ, τρόπον τινὰ δεκαζομένου διὰ τῆς οἰκειότητος, ἥ τε
ἀδελφὴ καὶ γυνὴ χαλεπῶς ἔφερον. εἰ πομπήιον μάγνον ἀποτρέψεται κηδεστήν. ἐν τούτῳ δὲ βουλόμε-
νος ὕπατον ἀποδεῖξαι πομπήιος ἀφράνιον, ἀργύριον εἰς τὰς φυλὰς ἀνήλισκεν ὑπὲρ αὐτοῦ. καὶ τοῦτο
κατιόντες εἰς τοὺς πομπηίου κήπους ἐλάμβανον. ὥστε τὸ πρᾶγμα περιβόητον εἶναι. καὶ τὸν πομπήιον
ἀκούειν κακῶς ἧς αὐτὸς ἀρχῆς ἐφ' οἷς κατώρθωσεν, ὡς μεγίστης ἔτυχε, ταύτην ὤνιον ποιοῦντα, τοῖς
δι' ἀρετῆς κτήσασθαι μὴ δυναμένοις. τούτων μέντοι πρὸς τὰς γυναῖκας ὁ κάτων ἔφησε τῶν ὀνειδῶν
κοινωνητέον, οἰκείοις πομπηίου γενομένοις. αἱ δὲ ἀκούσασαι, συνέγνωσαν βέλτιον αὐτῶν ἐκεῖνον λογί-
ζεσθαι περὶ τοῦ πρέποντος. τοῦ δὲ θριάμβου τῷ μεγέθει, καίπερ εἰς ἡμέρας δύο μερισθέντος, ὁ χρόνος
οὐκ ἐξήρκεσεν. ἀλλὰ τῶν παρεσκευασμένων πολλὰ τῆς θέας ἐξέπεσεν, ἑτέρας ἀποχρῶντα πομπῆς
ἀξίωμα καὶ κόσμος εἶναι. γράμμασι δὲ προηγουμένοις, ἐδηλοῦτο τὰ γένη, καθ' ὧν ἐθριάμβευεν. ἦν δὲ
τάδε. πόντος. ἀρμενία. καππαδοκία. παφλαγονία. μηδία. κολχίς. ἴβηρες. ἀλβανοί. συρία. κιλικία. με-
σοποταμία. τὰ περὶ φοινίκην καὶ παλαιστίνην. ἰουδαία. ἀραβία. τὸ πειρατικὸν ἅπαν ἐν γῇ καὶ θα-
λάσσῃ καταπεπολεμημένον. ἐν δὲ τούτοις, φρούρια μὲν ἡλωκότα, χιλίων οὐκ ἐλάττονα. πόλεις δὲ οὐ
πολὺ τῶν ἐννακοσίων ἀποδέουσαι. πειρατικαὶ δὲ νῆες ὀκτακόσιαι. κατοικίαι δὲ πόλεων, μιᾶς δέουσαι
τετταράκοντα. πρὸς δὲ τούτοις ἔφραζε διὰ τῶν γραμμάτων, ὅτι πεντακισχίλιαι μὲν μυριάδες, ἐκ τῶν
Vide Bud. L. 2°. τελῶν ὑπῆρχον. ἐκ δὲ ὧν αὐτὸς προσεκτήσατο τῇ πόλει, μυριάδας ὀκτακισχιλίας πεντακοσίας λαμ-
βάνουσιν, ἀναφέρεται δὲ εἰς τὸ δημόσιον ταμεῖον ἐν νομίσματι καὶ κατασκευαῖς, ἀργυρίου καὶ χρυσοῦ
δισμύρια τάλαντα, πάρεξ τῶν εἰς τοὺς στρατιώτας δεδομένων. ὧν ὁ τοὐλάχιστον αἴρων κατὰ λόγον
δραχμὰς εἴληφε, χιλίας πεντακοσίας. αἰχμάλωτοι δὲ ἐπομπεύθησαν ἄνευ τῶν ἀρχιπειρατῶν,
υἱὸς τιγράνου τοῦ ἀρμενίου μετὰ γυναικὸς καὶ θυγατρός. αὐτοῦ τε τιγράνου τοῦ βασιλέως γυνὴ ζωσίμη.
ἀλβανῶν π. καὶ βασιλεὺς ἰουδαίων ἀριστόβουλος. μιθριδάτου δὲ ἀδελφὴ καὶ πέντε τέκνα. καὶ σκυθίδες γυναῖκες.
ἀλβανῶν δὲ καὶ ἰβήρων ὅμηροι. καὶ τοῦ κομμαγηνῶν βασιλέως, καὶ τρόπαια πάμπολλα ταῖς μάχαις
ἰσάριθμα πάσαις, ἃς ἢ αὐτὸς, ἢ διὰ τῶν στρατηγῶν ἐνίκησε. μέγιστον δὲ ὑπῆρχε πρὸς δόξαν καὶ μηδενὶ

ἐπαρχίαν ἀπέφηνε, καὶ κτῆμα τοῦ δήμου ῥωμαίων. τὴν δὲ ἰουδαίαν κατεστρέψατο, καὶ συνέλαβεν ἀριστόβουλον τὸν βασιλέα. πόλεις δὲ, τὰς μὲν ἔκτιζε. τὰς δὲ ἠλευθέρου. κολάζων τοὺς ἐν ταύταις τυράννους. τὴν δὲ πλείστην διατριβὴν ἐν τῷ δικάζειν ἐποιεῖτο, πόλεων καὶ βασιλέων ἀμφισβητήματα διαιτῶν ἐφ' ἃ δὲ αὐτὸς οὐκ ἐξικνεῖτο, πέμπων τοὺς φίλους, ὡς πρὸς ἀρμενίους καὶ πάρθους, περὶ ἧς διεφέροντο χώρας τὴν κρίσιν ποιησαμένοις ἐπ' αὐτῷ, τρεῖς ἀπέστειλε κριτὰς καὶ διαλλακτάς. μέγα μὲν γὰρ ἦν ὄνομα τῆς δυνάμεως. οὐκ ἔλαττον δὲ τῆς ἀρετῆς καὶ πρᾳότητος. ᾧ καὶ τὰ πλεῖστα τῶν περὶ αὐτὸν ἁμαρτήματα φίλων καὶ συνήθως ἀπέκρυπτε. κωλύειν μὲν ἢ κολάζειν τοὺς πονηρευομένους, οὐ πεφυκώς. αὐτὸν δὲ παρέχων τοῖς ἐντυγχάνουσι τοιοῦτον, ὥστε καὶ τὰς ἐκείνων πλεονεξίας καὶ βαρύτητας, εὐκόλως ὑπομένειν. ὁ δὲ μέγιστον δυνάμενος παρ' αὐτῷ, δημήτριος ἦν ἀπελεύθερος, οὐκ ἄφρων εἰς τἆλλα νεανίας. ἄγαν δὲ τύχῃ χρώμενος. περὶ οὗ καὶ τοιόνδε τι λέγεται. κάτων ὁ φιλόσοφος, ἔτι μὲν ὢν νέος, ἤδη δὲ μεγάλην ἔχων δόξαν καὶ μέγα φρονῶν, ἀνέβαινεν εἰς ἀντιόχειαν, οὐκ ὄντος αὐτόθι πομπηίου, βουλόμενος ἱστορῆσαι τὴν πόλιν. αὐτὸς μὲν οὖν ὥσπερ ἀεὶ πεζὸς ἐβάδιζεν. οἱ δὲ φίλοι συνώδευον ἵπποις χρώμενοι. κατιδὼν δὲ πρὸ τῆς πύλης ὄχλον ἀνδρῶν ἐν ἐσθῆσι λευκαῖς. καὶ παρὰ τὴν ὁδὸν ἔνθεν μὲν ἐφήβους. ἔνθεν δὲ τοὺς παῖδας διακεκριμένους, ἐδυσχέραινεν. οἰόμενος εἰς τιμὴν τινὰ καὶ θεραπείαν ἑαυτοῦ, μηδὲν δεομένου ταῦτα γίνεσθαι. τοὺς μέντοι φίλους ἐκέλευσε καταβῆναι καὶ πορεύεσθαι μετ' αὐτοῦ. γενομένοις δὲ πλησίον ὁ πάντα διακοσμῶν ἐκεῖνα καὶ καθιστὰς, ἔχων στέφανον καὶ ῥάβδον ἀπήντησε. πυνθανόμενος παρ' αὐτῶν, ποῦ δημήτριον ἀπολελοίπασι. καὶ πότε ἀφίξεται. τοὺς μὲν οὖν φίλους τοῦ κάτωνος γέλως ἔλαβεν. ὁ δὲ κάτων εἰπὼν, ὦ τῆς ἀθλίας πόλεως, παρῆλθεν οὐδὲν ἕτερον ἀποκρινάμενος. οὐ μὴν ἀλλὰ καὶ τοῖς ἄλλοις ἧττον τὸν δημήτριον ἐπίφθονον ἐποίει αὐτὸς ὁ πομπήιος, ἐντρυφώμενος ὑπ' αὐτοῦ καὶ μὴ δυσκολαίνων. λέγεται γὰρ ὅτι πολλάκις ἐν ταῖς ὑποδοχαῖς τοῦ πομπηίου προσμένοντος καὶ δεχομένου τοὺς ἄλλους. ἐκεῖνος ἤδη κατέκειτο σοβαρῶς ἔχων δι' ὤτων κατὰ τῆς κεφαλῆς τὸ ἱμάτιον. οὔπω δὲ εἰς ἰταλίαν ἐπανεληλυθὼς ἐκέκτητο τῆς ῥώμης τὰ ἥδιστα προάστεια. καὶ τῶν ἡβητηρίων τὰ κάλλιστα, καὶ κῆποι πολυτελεῖς ἦσαν, ὀνομαζόμενοι δημητρεῖοι. καίτοι πομπήιος αὐτὸς ἄχρι τοῦ τρίτου θριάμβου μετρίως καὶ ἀφελῶς ᾤκησεν. ὕστερον δὲ ῥωμαίοις τοῦτο δὴ τὸ καλὸν καὶ περιβόητον η. κ. ἀνιστὰς θέατρον, ὥσπερ ἐφόλκιόν τι παρετεκτήνατο, λαμπροτέραν οἰκίαν ἐκείνης. ἀνεπίφθονον δὲ καὶ ταύτην, ὥστε τὸν γενόμενον δεσπότην αὐτῆς μετὰ πομπήιον εἰσελθόντα θαυμάζειν καὶ πυνθάνεσθαι, ποῦ πομπήιος μάγνος ἐδείπνει. ταῦτα μὲν οὖν οὕτω λέγεται. τοῦ δὲ βασιλέως τοῦ περὶ τὴν πέτραν ἀράβων, πρότερον μὲν ἐν οὐδενὶ λόγῳ τὰ ῥωμαίων τιθεμένου. τότε δὲ δείσαντος ἰσχυρῶς, καὶ γράψαντος ὅτι πάντα πείθεσθαι καὶ ποιεῖν ἔγνωκεν, ἐκβεβαιώσασθαι βουλόμενος αὐτοῦ τὴν διάνοιαν ὁ πομπήιος, ἐστράτευσεν ἐπὶ τὴν πέτραν. οὐ πάνυ τι τοῖς πολλοῖς ἄμεμπτον στρατείαν. ἀπόδρασιν γὰρ ᾤοντο τῆς μιθριδάτου διώξεως εἶναι. καὶ πρὸς ἐκεῖνον ἠξίουν τρέπεσθαι τὸν ἀρχαῖον ἀνταγωνιστὴν αὖθις ἀναζωπυροῦντα καὶ παρασκευαζόμενον, ὡς ἀπηγγέλλετο διὰ σκυθῶν καὶ παιόνων, στρατὸν ἐλαύνειν ἐπὶ τὴν ἰταλίαν. ὁ δὲ ῥᾷον οἰόμενος αὐτοῦ καταλύσειν τὴν δύναμιν πολεμοῦντος, ἢ τὸ σῶμα λήψεσθαι φεύγοντος, οὐκ ἐβούλετο τρίβεσθαι μάτην ἐπὶ τὴν δίωξιν. ἑτέρας δὲ τοῦ πολέμου παρενθήκας ἐποιεῖτο. καὶ τὸν χρόνον εἷλκεν. ἡ δὲ τύχη, τὴν ἀπορίαν ἔλυσεν. οὐκέτι γὰρ αὐτοῦ τῆς πέτρας πολλὴν ὁδὸν ἀπέχοντος. ἤδη δὲ τῆς ἡμέρας ἐκείνης βεβλημένου χάρακα. καὶ γυμνάζοντος ἑαυτὸν ἵππῳ περὶ τὸ στρατόπεδον, γραμματηφόροι προσήλαυνον ἐκ πόντου, κομίζοντες εὐαγγέλια. δῆλοι δ' εὐθύς εἰσι ταῖς αἰχμαῖς τῶν δοράτων. δάφναις γὰρ ἀναστέφονται. τούτους ἰδόντες οἱ στρατιῶται, συνετρόχαζον πρὸς τὸν πομπήιον. ὁ δὲ, πρῶτον μὲν ἐβούλετο τὰ γυμνάσια συντελεῖν. βοώντων δὲ καὶ δεομένων, καταπηδήσας ἀπὸ τοῦ ἵππου, καὶ λαβὼν τὰ γράμματα προῄει. βήματος δὲ οὐκ ὄντος, οὐδὲ τοῦ στρατιωτικοῦ γενέσθαι φθάσαντος, ὃ ποιοῦσιν αὐτοὶ, τῆς γῆς ἐκτομὰς βαθείας λαμβάνοντες, καὶ κατ' ἀλλήλων συντιθέντες, ὑπὸ τῆς τότε σπουδῆς καὶ προθυμίας, τὰ σάγματα τῶν ὑποζυγίων συμφορήσαντες, ὕψος ἐξῆραν. ἐπὶ τοῦτο προβὰς ὁ πομπήιος, ἀπήγγελλεν αὐτοῖς ὅτι μιθριδάτης τέθνηκε, στασιάσαντος φαρνάκου τοῦ υἱοῦ διαχρησάμενος ἑαυτόν. τὰ δὲ ἐκεῖ πάντα πράγματα, φαρνάκης κατεκληρώσατο, καὶ ἑαυτῷ καὶ ῥωμαίοις γέγραφε ποιούμενος. ἐκ τούτου τὸ μὲν στράτευμα τῇ χαρᾷ χρώμενον ὡς εἰκὸς, ἐν θυσίαις καὶ συνουσίαις διῆγεν, ὡς ἐν τῷ μιθριδάτου σώματι μυρίων τεθνηκότων πολεμίων. πομπήιος δὲ ταῖς πράξεσιν αὐτοῦ καὶ ταῖς στρατείαις κεφαλὴν ἐπιτεθεικὼς οὐ πάνυ ῥᾳδίως οὕτω προσδοκηθεῖσαν, εὐθὺς ἀνέζευξεν ἐκ τῆς ἀραβίας, καὶ ταχὺ τὰς ἐν μέσῳ διεξελθὼν ἐπαρχίας, εἰς ἀμισὸν ἀφίκετο, καὶ κατέλαβε, πολλὰ μὲν δῶρα παρὰ φαρνάκου κεκομισμένα. πολλὰ δὲ σώματα τῶν βασιλικῶν. αὐτὸν δὲ τὸν μιθριδάτου νεκρὸν, οὐ πάνυ γνώριμον ἀπὸ τοῦ προσώπου. τὸν γὰρ ἐγκέφαλον ἔλαθεν ἐκτῆξαι τοὺς θεραπεύοντας. ἀλλὰ ταῖς οὐλαῖς ἐπεγίγνωσκον, οἱ δεόμενοι τοῦ θεάματος. οὐ γὰρ αὐτὸς πομπήιος ἰδεῖν ὑπέμεινεν, ἀλλ' ἀφοσιωσάμενος τὸ νεμεσητὸν, εἰς σινώπην ἀπέπεμψε. τῆς δὲ ἐσθῆτος ἣν ἐφόρει, καὶ τῶν ὅπλων τὸ μέγεθος, καὶ τὴν λαμπρότητα ἐθαύμασε. καίτοι, τὸν μὲν ξιφιστῆρα πεποιημένον
κ. ἀπὸ τετρακοσίων ταλάντων, πόπλιος κλέψας, ἐπώλησεν ἀριαράθῃ. τὴν δὲ κίταριν γάιος ὁ τοῦ

ἀρμενίοις. π.

συνήθων. π.

γίνεσθαι. η. π.

τῶν. π. ς. η.

ῥωμαῖοι τοὺς βαρβάρους, πέλταις ἀμαζονικαῖς, καὶ κοθόρνοις ἐνετύγχανον. σῶμα δὲ οὐδὲν ὤφθη γυναικεῖον. νέμονται δὲ τοῦ καυκάσου τὰ καθήκοντα πρὸς τὴν ὑρκανίαν θάλασσαν. οὐχ ὁμοροῦσαι τοῖς ἀλβανοῖς, ἀλλὰ γέλαι καὶ λῆγες οἰκοῦσι διαμέσου, καὶ τούτοις ἔτους ἑκάστου δύο μῆνας εἰς ταυτὸ φοιτῶσαι περὶ τὸν θερμώδοντα ποταμὸν, ὁμιλοῦσιν. εἶτα καθ' αὑτὰς ἀπαλλαγεῖσαι βιοτεύουσιν. ὁρμήσας δὲ μετὰ τὴν μάχην ὁ πομπήιος ἐλαύνειν ἐπὶ τὴν ὑρκανίαν καὶ κασπίαν θάλασσαν, ὑπὸ πλήθους ἑρπετῶν θανασίμων ἀπετράπη, τριῶν ὁδὸν ἡμερῶν ἀποσχών. εἰς δὲ τὴν μικρὰν ἀρμενίαν ἀνεχώρησε. καὶ τῷ μὲν ἐλυμαίων, καὶ μήδων βασιλεῖ πέμψασι πρέσβεις, ἀντέγραψε φιλικῶς. τὸν δὲ πάρθον εἰς τὴν γορδυηνὴν ἐμβεβληκότα καὶ περικόπτοντα τοὺς ὑπὸ τιγράνῃ, πέμψας μετὰ ἀφρανίου δύναμιν, ἐξήλασε διωχθέντα μέχρι τῆς ἀρβηλίτιδος. ὅσαι δὲ τῶν μιθριδάτου παλλακίδων ἀνήχθησαν, οὐδεμίαν ἔγνω. πάσας δὲ τοῖς γονεῦσι καὶ οἰκείοις ἀνέπεμπεν. ἦσαν γὰρ αἱ πολλαὶ θυγατέρες καὶ γυναῖκες στρατηγῶν καὶ δυναστῶν. στρατονίκη δὲ, ἣ μέγιστον εἶχεν ἀξίωμα, καὶ τὸ πολυχρυσότατον τῶν φρουρίων ἐφύλαττεν. ἦν μὲν ὡς ἔοικε, ψάλτου τινὸς, οὐκ εὐτυχοῦς τἆλλα, πρεσβύτου δὲ θυγάτηρ. οὕτω δὲ εὐθὺς εἷλε παρὰ πότον ψήλασα τὸν μιθριδάτην, ὥστε ἐκείνην μὲν ἔχων ἀνεπαύσατο, τὸν δὲ πρεσβύτην ἀπέπεμψε δυσφοροῦντα, τῷ μηδὲ προσρήσεως τυχεῖν ἐπιεικοῦς. ὡς μέντοι περὶ ὄρθρον ἐγερθεὶς εἶδεν ἔνδον ἐκπωμάτων μὲν ἀργυρῶν καὶ χρυσῶν τραπέζας, ὄχλον δὲ θεραπείας πολὺν, εὐνούχους δὲ καὶ παῖδας ἱμάτια τῶν πολυτελῶν προσφέροντας αὐτῷ, καὶ πρὸ τῆς θύρας ἵππον ἑστῶτα κεκοσμημένον, ὥσπερ οἱ τῶν φίλων τοῦ βασιλέως, χλευασμὸν εἶναι τὸ χρῆμα καὶ παιδιὰν ἡγούμενος, ὥρμησε φεύγειν διὰ θυρῶν. τῶν δὲ θεραπόντων ἀντιλαμβανομένων καὶ λεγόντων, ὅτι πλουσίου τεθνηκότος ἔναγχος οἶκον αὐτῷ μέγαν ὁ βασιλεὺς δεδώρηται. καὶ ταῦτα μικραί τινες ἀπαρχαὶ καὶ δείγματα τῶν ἄλλων χρημάτων καὶ κτημάτων εἰσὶν, οὕτω πιστεύσας μόλις καὶ τὴν πορφύραν ἀναλαβὼν καὶ ἀναπηδήσας ἐπὶ τὸν ἵππον, ἤλαυνε διὰ τῆς πόλεως βοῶν, ἐμὰ ταῦτα πάντα ἐστί. πρὸς δὲ τοὺς καταγελῶντας, οὐ τοῦτο ἔλεγεν εἶναι θαυμαστὸν, ἀλλ' ὅτι μὴ λίθοις βάλλει τοὺς ἀπαντῶντας ὑφ' ἡδονῆς μαινόμενος. ταύτης μὲν ἦν καὶ γένους καὶ αἵματος ἡ στρατονίκη. τῷ δὲ πομπηίῳ καὶ τὸ χωρίον παρεδίδου τοῦτο. καὶ δῶρα πολλὰ προσήνεγκεν. ὧν ἐκεῖνος ὅσα κόσμον ἱεροῖς καὶ λαμπρότητα τῷ θριάμβῳ παρέξειν ἐφαίνετο λαβὼν μόνα, τὰ λοιπὰ τὴν στρατονίκην ἐκέλευε κεκτῆσθαι χαίρουσαν. ὁμοίως δὲ καὶ τοῦ βασιλέως τῶν ἰβήρων, κλίνην τε καὶ τράπεζαν καὶ θρόνον ἅπαντα χρυσᾶ πέμψαντος αὐτῷ καὶ δεηθέντος λαβεῖν, καὶ ταῦτα τοῖς ταμίαις παρέδωκεν εἰς τὸ δημόσιον. ἐν δὲ τῷ καινῷ φρουρίῳ καὶ γράμμασιν ἀπορρήτοις ὁ πομπήιος ἐνέτυχε τοῦ μιθριδάτου. καὶ διῆλθεν οὐκ ἀηδῶς αὐτὰ πολλὴν ἔχοντα τοῦ ἤθους κατανόησιν. ὑπομνήματα γὰρ ἦν, ἐξ ὧν ἐφωράθη φαρμάκοις ἄλλους τε πολλοὺς, καὶ τὸν υἱὸν ἀριαράθην ἀνῃρηκὼς, καὶ τὸν σαρδιανὸν ἀλκαῖον, ὅτι παρευδοκίμησεν αὐτὸν ἵππους ἀγωνιστὰς ἐλαύνων. ἦσαν δὲ ἀναγεγραμμέναι κρίσεις ἐνυπνίων, ὧν τὰ μὲν αὐτὸς ἑωράκει, τὰ δὲ, ἔνιαι τῶν γυναικῶν. ἐπιστολαί τε μονίμης πρὸς αὐτὸν ἀκόλαστοι, καὶ πάλιν ἐκείνου πρὸς αὐτήν. θεοφάνης δὲ καὶ ῥουτιλίου λόγον εὑρεθῆναί φησι παροξυντικὸν ἐπὶ τὴν ἀναίρεσιν τῶν ἐν ἀσίᾳ ῥωμαίων. ὃ καλῶς εἰκάζουσιν οἱ πλεῖστοι, κακοήθευμα τοῦ θεοφάνους εἶναι. τάχα μὲν οὐδὲν αὐτῷ τὸν ῥουτίλιον ἐοικότα μισοῦντος. εἰκὸς δὲ καὶ διὰ πομπήιον, οὗ τὸν πατέρα παμπόνηρον ἀπέδειξεν ὁ ῥουτίλιος ἐν ταῖς ἱστορίαις. ἐντεῦθεν εἰς ἀμισὸν ἐλθὼν ὁ πομπήιος, πάθος νεμεσητὸν ὑπὸ φιλοτιμίας ἔπαθε. πολλὰ γὰρ τὸν λεύκουλλον ἐπικερτομήσας, ὅτι τοῦ πολεμίου ζῶντος ἔγραφε διατάξεις καὶ δωρεὰς ἔνεμε καὶ τιμάς. ἃς συνῃρημένου πολέμου καὶ πέρας ἔχοντος εἰώθασι ποιεῖν οἱ νενικηκότες. αὐτὸς ἐν βοσπόρῳ μιθριδάτου κρατοῦντος, καὶ συνειλοχότος ἀξιόμαχον δύναμιν, ὡς δὴ συντετελεσμένων ἁπάντων, ἔπραττε ταῦτα, διακοσμῶν τὰς ἐπαρχίας, καὶ διανέμων δωρεάς. πολλῶν μὲν ἡγεμόνων καὶ δυναστῶν. βασιλέων δὲ δώδεκα βαρβάρων ἀφιγμένων πρὸς αὐτόν. ὅθεν οὐδὲ ἠξίωσε τὸν πάρθον ἀντιγράφων, ὥσπερ οἱ λοιποὶ, βασιλέα βασιλέων προσαγορεῦσαι, τοῖς ἄλλοις χαριζόμενος. αὐτὸν δέ τις ἔρως καὶ ζῆλος εἶχε, συρίαν ἀναλαβεῖν, καὶ διὰ τῆς ἀραβίας ἐπὶ τὴν ἐρυθρὰν ἐλάσαι θάλασσαν. ὡς τῷ περιϊόντι τὴν οἰκουμένην πανταχόθεν ὠκεανῷ, προσμίξειε νικῶν. καὶ γὰρ ἐν λιβύῃ πρῶτος ἄχρι τῆς ἐκτὸς θαλάσσης, κρατῶν προῆλθε. καὶ τὴν ἐν ἰβηρίᾳ πάλιν ἀρχὴν ὡρίσατο ῥωμαίοις, τῷ ἀτλαντικῷ πελάγει. καὶ τρίτον ἔναγχος ἀλβανοὺς διώκων, ὀλίγων ἐδέησεν ἐμβαλεῖν εἰς τὴν ὑρκανίαν θάλασσαν. ὡς οὖν συνάψων τῇ ἐρυθρᾷ τὴν περίοδον τῆς στρατείας, ἀνίστατο. καὶ γὰρ ἄλλως τὸν μιθριδάτην ἑώρα, δυσθήρατον ὄντα τοῖς ὅπλοις, καὶ φεύγοντα χαλεπώτερον, ἢ μαχόμενον. διὸ τοῦτο μὲν εἰπὼν ἰσχυρότερον ἑαυτοῦ πολέμιον τὸν λιμὸν ἀπολείψειν, ἐπέστησε φύλακας τῶν νεῶν ἐπὶ τοὺς πλέοντας εἰς βόσπορον ἐμπόρους. καὶ θάνατος ἦν ἡ ζημία τοῖς ἁλισκομένοις. ἀναλαβὼν δὲ τῆς στρατείας τὴν πληθὺν συχνὴν, προῆγε. καὶ τῶν μετὰ τριαρίου πρὸς μιθριδάτην ἀτυχῶς ἀγωνισαμένων καὶ πεσόντων, ἐντυχὼν ἀτάφοις ἔτι τοῖς νεκροῖς, ἔθαψε λαμπρῶς καὶ φιλοτίμως ἅπαντας, ὃ δοκεῖ παραλειφθὲν, οὐχ ἥκιστα λευκούλλῳ μίσους αἴτιον γενέσθαι. χειρωσάμενος δὲ δι' ἀφρανίου τοὺς περὶ ἀμανὸν ἄραβας, καὶ καταβὰς αὐτὸς εἰς συρίαν, ταύτην μὲν ὡς οὐκ ἔχουσαν γνησίους βασιλεῖς, π

βυ στολὴν καὶ ἵππον, οὔτε τῷ σώματι πρὸς τὰ μήκη τῶν δρόμων ἀπηγορεύουσαν. οὔτε θεραπεύουσα τὸ σῶμα τοῦ βασιλέως καὶ τὸν ἵππον ἐξέκαμεν. ἄχρις ἧκον εἰς χωρίον Ἰνώρα, χρημάτων καὶ κειμηλίων βασιλικῶν μεστόν. ἐξ οὗ λαβὼν ὁ Μιθριδάτης ἐσθῆτας πολυτελεῖς, διένειμε τοῖς συνδεδραμηκόσι πρὸς αὐτὸν ἐκ τῆς φυγῆς. ἔδωκε δὲ καὶ τῶν φίλων ἑκάστῳ φορεῖν θανάσιμον φάρμακον, ὅπως ἄκων μηδεὶς ὑποχείριος γένοιτο τοῖς πολεμίοις. ἐντεῦθεν ὥρμητο μὲν ἐπ' Ἀρμενίας πρὸς Τιγράνην. ἐκείνου δὲ ἀπαγορεύοντος καὶ τάλαντα ἑκατὸν ἐπικηρύξαντος αὐτῷ, παραμειψάμενος τὰς πηγὰς τοῦ Εὐφράτου, διὰ τῆς Κολχίδος ἔφυγε. Πομπήιος δὲ εἰς Ἀρμενίαν ἐνέβαλε, τοῦ νέου Τιγράνου καλοῦντος αὐτόν. ἤδη γὰρ ἀφειστήκει τοῦ πατρός. καὶ συνήντησε τῷ Πομπηίῳ, περὶ τὸν Ἀράξην ποταμόν. ὃς ἀνίσχει μὲν ἐκ τῶν αὐτῶν τῷ Εὐφράτῃ τόπων. ἀποστρεφόμενος δὲ πρὸς τὰς ἀνατολὰς, εἰς τὸ Κάσπιον ἐμβάλλει πέλαγος. οὗτοι μὲν οὖν προῆγον ἅμα. τὰς πόλεις παραλαμβάνοντες. ὁ δὲ βασιλεὺς Τιγράνης, ἔναγχος μὲν ὑπὸ Λευκούλλου συντετριμμένος. ἥμερον δέ τινα τῷ τρόπῳ καὶ πρᾶον εἶναι πυνθανόμενος τὸν Πομπήιον, ἐδέξατο μὲν εἰς τὰ βασίλεια φρουράν, ἀναλαβὼν τοὺς φίλους καὶ συγγενεῖς, αὐτὸς δὲ ἐπορεύετο παραδώσων ἑαυτόν. ὡς δὲ ἦλθεν ἱππότης ἐπὶ τὸν χάρακα, ῥαβδοῦχοι δύο τοῦ Πομπηίου προσελθόντες, ἐκέλευσαν ἀποβῆναι τοῦ ἵππου, καὶ πεζὸν ἐλθεῖν. οὐδένα γὰρ ἀνθρώπων ἐφ' ἵππου καθεζόμενον ἐν Ῥωμαϊκῷ στρατοπέδῳ πώποτε ὀφθῆναι. καὶ ταῦτα μὲν οὖν Τιγράνης ἐπείθετο. καὶ τὸ ξίφος αὐτοῖς ἀποδυσάμενος, παρεδίδου. καὶ τέλος, ὡς πρὸς αὐτὸν ἦλθε τὸν Πομπήιον, ἀφελόμενος τὴν κίταριν, ὥρμησε πρὸ τῶν ποδῶν θεῖναι καὶ καταβαλὼν ἑαυτόν, αἴσχιστα δὴ πάντων προσπεσεῖν αὐτοῦ τοῖς γόνασιν. ἀλλ' ὁ Πομπήιος ἔφθη τῆς δεξιᾶς αὐτοῦ λαβόμενος προσαγαγέσθαι, καὶ πλησίον ἱδρύσασθαι ἑαυτοῦ. τὸν δὲ υἱὸν ἐπὶ θάτερα. τῶν μὲν ἄλλων ἔφησε δεῖν αἰτιᾶσθαι Λεύκουλλον. ὑπ' ἐκείνου γὰρ ἀφῃρῆσθαι Συρίαν. Φοινίκην. Κιλικίαν. Γαλατίαν. Σωφηνήν. ἃ δὲ ἄχρις ἑαυτοῦ διατετήρηκεν ἕξειν, ἐκτίσαντα ποινὴν ἑξακισχίλια τάλαντα Ῥωμαίοις τῆς ἀδικίας. Σωφηνῆς δὲ βασιλεύειν τὸν υἱόν. ἐπὶ τούτοις ὁ μὲν Τιγράνης ἠγάπησε. καὶ τῶν Ῥωμαίων ἀσπασαμένων αὐτὸν βασιλέα περιχαρὴς γενόμενος, ἐπηγγείλατο. στρατιώτῃ μὲν, ἡμιμναῖον ἀργυρίου δώσειν. ἑκατοντάρχῃ δὲ μνᾶς δέκα. χιλιάρχῳ δὲ, τάλαντον. ὁ δὲ υἱὸς ἐδυσφόρει. καὶ κληθεὶς ἐπὶ δεῖπνον. οὐκ ἔφη Πομπηίου δεῖσθαι τοιαῦτα τιμῶντος. καὶ γὰρ αὐτὸς ἄλλον εὑρήσειν Ῥωμαίων. ἐκ τούτου δεθεὶς εἰς τὸν θρίαμβον ἐφυλάττετο. καὶ μετ' οὐ πολὺν χρόνον. ἔπεμψε Φραάτης ὁ Πάρθος, ἀπαιτῶν μὲν τὸν νεανίσκον ὡς αὐτοῦ γαμβρόν. ἀξιῶν δὲ τῶν ἡγεμονιῶν, ὅρῳ χρῆσθαι τῷ Εὐφράτῃ. Πομπήιος δὲ ἀπεκρίνατο. τὸν μὲν Τιγράνην τῷ πατρὶ μᾶλλον, ἢ τῷ πενθερῷ προσήκειν. ὅρῳ δὲ χρήσεσθαι τῷ δικαίῳ. καταλιπὼν δὲ φρουρὸν Ἀρμενίας Ἀφράνιον, αὐτὸς ἐβάδιζε διὰ τῶν περιοικούντων τὸν Καύκασον ἐθνῶν, ἀναγκαίως ἐπὶ Μιθριδάτην. μέγιστα δὲ αὐτῶν ἐστιν ἔθνη, Ἀλβανοί. καὶ Ἴβηρες. Ἴβηρες μὲν ἐπὶ τὰ Μοσχικὰ ὄρη, καὶ τὸν Πόντον καθήκοντες. Ἀλβανοὶ δὲ ἐπὶ τὴν ἕω, καὶ τὴν Κασπίαν κεκλιμένοι θάλασσαν. οὗτοι πρῶτον μὲν αἰτοῦντι Πομπηίῳ δίοδον, ἔδωκαν. χειμῶνος δὲ τὴν στρατιὰν ἐν τῇ χώρᾳ καταλαβόντος, καὶ τῆς Κρονικῆς ἑορτῆς τοῖς Ῥωμαίοις καθηκούσης, γενόμενοι τετρακισμυρίων οὐκ ἐλάττους, ἐπεχείρησαν αὐτοῖς διαβάντες τὸν Κύρνον ποταμόν. ὃς ἐκ τῶν Ἰβηρικῶν ὀρῶν ἀνιστάμενος καὶ δεχόμενος κατιόντα τὸν Ἀράξην ἀπ' Ἀρμενίας, ἐξίησι δώδεκα στόμασιν εἰς τὸ Κάσπιον. οἱ δὲ οὔ φασι τούτῳ συμφέρεσθαι τὸν Ἀράξην. ἀλλὰ καθ' ἑαυτόν. ἐγγὺς δὲ ποιεῖσθαι τὴν ἐκβολὴν, εἰς ταυτὸ πέλαγος. Πομπήιος δὲ καίπερ ἐνστῆναι δυνάμενος πρὸς τὴν διάβασιν τοῖς πολεμίοις, περιεῖδε διαβάντας καθ' ἡσυχίαν. εἶτα ἐπαγαγὼν ἐτρέψατο καὶ διέφθειρε παμπληθεῖς. τῷ δὲ βασιλεῖ δεηθέντι καὶ πέμψαντι πρέσβεις ἀφεὶς τὴν ἀδικίαν καὶ σπεισάμενος, ἐπὶ τοὺς Ἴβηρας ἐβάδιζε. πλήθει μὲν οὐκ ἐλάττονας, μαχιμωτέρους δὲ τῶν ἑτέρων ὄντας. ἰσχυρῶς δὲ βουλομένους τῷ Μιθριδάτῃ χαρίζεσθαι. καὶ διωθεῖσθαι τὸν Πομπήιον. οὔτε γὰρ Μήδοις. οὔτε Πέρσαις ὑπήκουσαν Ἴβηρες. διέφυγον δὲ καὶ τὴν Μακεδόνων ἀρχὴν, Ἀλεξάνδρου διὰ ταχέων, ἐκ τῆς Ὑρκανίας ἀπάραντος. οὐ μὴν ἀλλὰ καὶ τούτους μάχῃ μεγάλῃ τρεψάμενος ὁ Πομπήιος, ὥστε ἀποθανεῖν μὲν ἐννακισχιλίους, ἁλῶναι δὲ πλείους μυρίων, εἰς τὴν Κολχικὴν ἐνέβαλε. καὶ πρὸς τὸν Φᾶσιν αὐτῷ Σερουίλιος ἀπήντησε τὰς ναῦς ἔχων, αἷς ἐφρούρει τὸν Πόντον. ἡ μὲν οὖν Μιθριδάτου δίωξις ἐνδεδυκότος εἰς τὰ περὶ Βόσπορον ἔθνη. καὶ τὴν Μαιῶτιν, ἀπορίας εἶχε μεγάλας. Ἀλβανοὶ δὲ αὖθις ἀφεστῶτες αὐτῷ προσηγγέλθησαν. πρὸς οὓς ὑπ' ὀργῆς καὶ φιλονεικίας ἐπιστρέψας, τόν τε Κύρνον μόλις καὶ παραβόλως πάλιν διεπέρασεν, ἐπὶ πολὺ σταυροῖς ὑπὸ τῶν βαρβάρων ἀποκεχαρακωμένον. καὶ μακρᾶς αὐτὸν ἐκδεχομένης ἀνύδρου καὶ ἀργαλέας ὁδοῦ, μυρίους ἀσκοὺς ὕδατος ἐμπλησάμενος, ἤλαυνεν ἐπὶ τοὺς πολεμίους καὶ κατέλαβε πρὸς Ἄβαντι ποταμῷ. παρατεταγμένους ἑξακισμυρίους πεζοὺς καὶ δισχιλίους ἱππεῖς ἐπὶ μυρίοις. ὡπλισμένους δὲ φαύλως καὶ δέρμασι θηρίων τοὺς πολλούς. ἡγεῖτο δὲ αὐτῶν βασιλέως ἀδελφὸς ὄνομα Κῶσις. οὗτος ἐν χερσὶ τῆς μάχης γενομένης, ἐπὶ τὸν Πομπήιον ὁρμήσας αὐτὸν, ἔβαλλεν ἐπὶ τὴν τοῦ θώρακος ἐπιπτυχὴν ἀκοντίσματι. Πομπήιος δὲ ἐκεῖνον ἐκ χειρὸς διελάσας ἀνεῖλεν. ἐν ταύτῃ τῇ μάχῃ λέγονται καὶ Ἀμαζόνες συναγωνίσασθαι τοῖς βαρβάροις, ἀπὸ τῶν περὶ τὸν Θερμώδοντα ποταμὸν ὀρῶν καταβᾶσαι. μετὰ γὰρ τὴν μάχην σκυλευόντων οἱ

μετεπέμπετο τοὺς ὑπηκόους δυνάστας καὶ βασιλεῖς, ὡς ἑαυτόν. ἐπιὼν τὴν χώραν, οὐδὲν ἀκίνητον εἴα τῶν ὑπὸ τοῦ λευκούλλου γεγονότων. ἀλλὰ καὶ κολάσεις ἀνῆκε πολλοῖς, καὶ δωρεὰς ἀφείλετο. καὶ πάντα ὅλως ἔπραττεν, ἐπιδεῖξαι τὸν ἄνδρα φιλονεικῶν τοῖς θαυμάζουσιν, οὐδενὸς ὄντα κύριον. ἐγκαλοῦντος δ᾽ ἐκείνου διὰ τῶν φίλων, ἔδοξε συνελθεῖν εἰς ταὐτό. καὶ συνῆλθον περὶ τὴν γαλατίαν, ἅτε δὲ μεγίστων στρατηγῶν καὶ μέγιστα κατωρθωκότων, δάφνας ἀνεστεμμένας ἔχοντες ὁμοῦ καὶ τὰς ῥάβδους οἱ ὑπηρέται ἀπήντων. ἀλλὰ λεύκουλλος μὲν ἐκ τόπων χλοερῶν καὶ κατασκίων προσῄει. πομπήϊος δὲ πολλὴν ἄδενδρον καὶ κατεψυγμένην, ἔτυχε διεληλυθώς. ἰδόντες οὖν οἱ τοῦ λευκούλλου ῥαβδοφόροι, τοῦ πομπηΐου τὰς δάφνας, ἀθαλεῖς καὶ μεμαραμμένας παντάπασιν, ἐκ τῶν ἰδίων προσφάτων οὐσῶν μεταδιδόντες, ἐπεκόσμησαν καὶ κατέστεψαν τὰς ἐκείνου ῥάβδους, ὃ σημεῖον ἔδοξεν εἶναι τὰ τοῦ λευκούλλου νικητήρια καὶ τὴν δόξαν, οἰσόμενον ἔρχεσθαι πομπήϊον. ἦν δὲ λεύκουλλος μὲν ἐν ὑπατείᾳ τε τάξει, καὶ καθ᾽ ἡλικίαν πρεσβύτερος. τὸ δὲ τοῦ πομπηΐου μεῖζον ἀξίωμα τοῖς δυσὶ θριάμβοις. οὐ μὴν ἀλλὰ τὴν πρώτην ἔντευξιν ὡς ἐνῆν μάλιστα, πολιτικῶς καὶ φιλοφρόνως ἐποιήσαντο. μεγαλύνοντες ἀλλήλων τὰ ἔργα, καὶ συνηδόμενοι τοῖς κατορθώμασιν. ἐν δὲ τοῖς λόγοις πρὸς οὐδὲν ἐπιεικὲς οὐδὲ μέτριον συμβάντες, ἀλλὰ καὶ λοιδορήσαντες. ὁ μὲν εἰς φιλαργυρίαν τὸν λεύκουλλον. ὁ δὲ εἰς φιλαρχίαν ἐκεῖνον, ὑπὸ τῶν φίλων μόλις διελύθησαν. καὶ λεύκουλλος μὲν ἐν γαλατίᾳ διέγραψε χώρας τῆς αἰχμαλώτου καὶ δωρεὰς ἄλλας οἷς ἐβούλετο. πομπήϊος δὲ μικρὸν ἀπωτέρω στρατοπεδεύσας, ἐκώλυε προσέχειν αὐτῷ. καὶ τοὺς στρατιώτας ἅπαντας ἀφείλετο, πλὴν χιλίων ἑξακοσίων. οὓς ἐνόμιζεν ὑπ᾽ αὐθαδείας ἀχρήστους μὲν ἑαυτῷ, τῷ λευκούλλῳ δὲ δυσμενεῖς εἶναι. πρὸς δὲ τούτοις, διασύρων τὰ ἔργα ἐμφανῶς, ἔλεγε τραγῳδίαις καὶ σκιαγραφίαις πεπολεμηκέναι βασιλικαῖς τὸν λεύκουλλον, αὐτῷ δὲ πρὸς ἀληθινὴν καὶ σεσωφρονισμένην τὸν ἀγῶνα λείπεσθαι δύναμιν, εἰς θυρεοὺς καὶ ξίφη καὶ ἵππους, μιθριδάτου καταφεύγοντος. ἀμυνόμενος δὲ ὁ λεύκουλλος, εἰδώλῳ καὶ σκιᾷ πολέμου τὸν πομπήϊον ἔφη μαχούμενον βαδίζειν. ἐθισμένον ἀλλοτρίοις νεκροῖς ὥσπερ ὄρνιν ἀργὸν ἐπικαταίρειν, καὶ λείψανα πολέμων σπαράττειν. οὕτω γὰρ αὐτὸν ἐπιγράψαι σερτωρίῳ. λεπίδῳ. τοῖς σπαρτακείοις. τὰ μὲν, κράσσου. τὰ δὲ μετέλλου. τὰ δὲ κάτλου, κατωρθωκότος. ὅθεν οὐ θαυμάζειν εἰ τῶν ἀρμενιακῶν καὶ ποντικῶν πολέμων ὑποβάλλεται τὴν δόξαν. ἄνθρωπος ἑαυτὸν εἰς δραπετικὸν θρίαμβον ἁμωσγέπως ἐμβαλεῖν μηχανησάμενος. ἐκ τούτου λεύκουλλος μὲν ἀπῆρε. πομπήϊος δὲ τῷ στόλῳ παντὶ τὴν μεταξὺ φοινίκης καὶ βοσπόρου θάλασσαν ἐπὶ φρουρᾷ διαλαβών, αὐτὸς ἐβάδιζεν ἐπὶ μιθριδάτην ἔχοντα τρισμυρίους πεζοὺς ἐν φάλαγγι, καὶ δισχιλίους ἱππεῖς. μάχεσθαι δὲ μὴ θαρροῦντα. καὶ πρῶτον μὲν αὐτοῦ καρτερὸν ὄρος καὶ δύσμαχον ἐν ᾧ στρατοπεδεύων ἔτυχεν ὡς ἄνυδρον ἐκλιπόντος, αὐτὸ τοῦτο κατασχὼν ὁ πομπήϊος, καὶ τῇ φύσει τῶν βλαστανόντων, καὶ ταῖς συγκλινίαις τῶν τόπων τεκμαιρόμενος ἔχειν πηγὰς τὸ χωρίον, ἐκέλευσεν ἐμβαλεῖν πανταχοῦ φρέατα. καὶ μεστὸν ἦν εὐθὺς ὕδατος ἀφθόνου τὸ στρατόπεδον. ὥστε θαυμάζειν εἰ τῷ παντὶ χρόνῳ τοῦτο μιθριδάτης ἠγνόησεν. ἔπειτα περιστρατοπεδεύσας, περιετείχιζεν αὐτόν. ὁ δὲ πέντε καὶ τεσσαράκοντα πολιορκηθεὶς ἡμέρας, ἔλαθεν ἀποδρὰς μετὰ τῆς ἐρρωμενεστάτης δυνάμεως. κτείνας τοὺς ἀχρήστους καὶ νοσοῦντας. εἶτα μέντοι περὶ τὸν εὐφράτην καταλαβὼν αὐτὸν ὁ πομπήϊος παρεστρατοπέδευσε. καὶ δεδιὼς μὴ φθάσῃ περάσας τὸν εὐφράτην, ἐκ μέσων νυκτῶν ἐπῆγεν ὡπλισμένην τὴν στρατιάν. καθ᾽ ὃν χρόνον λέγεται τὸν μιθριδάτην, ὄψιν ἐν ὕπνοις ἰδεῖν τὰ μέλλοντα προδηλοῦσαν. ἐδόκει γὰρ οὐρίῳ πνεύματι πλέων τὸ ποντικὸν πέλαγος, ἤδη βόσπορον καθορᾶν καὶ φιλοφρονεῖσθαι τοὺς συμπλέοντας, ὡς ἄν τις ἐπὶ σωτηρίᾳ σαφεῖ καὶ βεβαίῳ χαίρων. ἄφνω δὲ ἀναφανῆναι πάντων ἔρημος, ἐπὶ λεπτοῦ ναυαγίου διαφερόμενος. ἐν τοιούτοις δὲ αὐτὸν ὄντα πάθεσι καὶ φάσμασιν, ἐπιστάντες ἀνέστησαν οἱ φίλοι, φράζοντες ἐπιέναι πομπήϊον. ἦν οὖν ἐξ ἀνάγκης μαχητέον ὑπὲρ τοῦ χάρακος. καὶ προαγαγόντες οἱ στρατηγοὶ τὴν δύναμιν ἔταξαν. αἰσθόμενος δὲ τὴν παρασκευὴν αὐτῶν ὁ πομπήϊος, ὤκνει κατὰ σκότος εἰς κίνδυνον ἐλθεῖν. καὶ κύκλῳ μόνον ᾤετο δεῖν περιελαύνειν, ὅπως μὴ φύγοιεν. ἡμέρας δὲ κρείττους ὄντας ἐπιχειρεῖν. οἱ δὲ πρεσβύτατοι τῶν ταξιαρχῶν, δεόμενοι καὶ παρακαλοῦντες ἐξώρμησαν αὐτόν. οὐδὲ γὰρ σκότος ἦν παντάπασιν, ἀλλ᾽ ἡ σελήνη καταφερομένη, παρεῖχεν ἔτι τῶν σωμάτων ἱκανὴν ἔποψιν, καὶ τοῦτο μάλιστα τοὺς βασιλικοὺς ἔσφηλεν. ἐπῄεσαν μὲν γὰρ οἱ ῥωμαῖοι κατὰ νώτου τὴν σελήνην ἔχοντες. πεπιεσμένου δὲ περὶ τὰς δύσεις τοῦ φωτός, αἱ σκιαὶ πολὺ τῶν σωμάτων ἔμπροσθεν προϊοῦσαι, τοῖς πολεμίοις ἐπέβαλλον, οὐ δυναμένοις τὸ διάστημα συνιδεῖν ἀκριβῶς, ἀλλ᾽ ὡς ἐν χερσὶν ἤδη γεγονότων, τοὺς ὑσσοὺς ἀφέντες μάτην, οὐδενὸς ἐφίκοντο. τοῦτο συνιδόντες οἱ ῥωμαῖοι, μετὰ κραυγῆς ἐπέδραμον, καὶ μηκέτι μένειν τολμῶντας, ἀλλ᾽ ἐκπεπληγμένους καὶ φεύγοντας, ἔκτεινον, ὥστε πολὺ πλείονας μυρίων ἀποθανεῖν. ἁλῶναι δὲ τὸ στρατόπεδον. αὐτὸς δὲ μιθριδάτης, ἐν ἀρχῇ μὲν ὀκτακοσίοις ἱππεῦσι διέκοψε, καὶ διεξήλασε τοὺς ῥωμαίους. ταχὺ δὲ τῶν ἄλλων σκεδασθέντων, ἀπελείφθη μετὰ τριῶν. ἐν οἷς ἦν ὑψικράτεια παλλακίς, ἀεὶ μὲν ἀνδρώδης τις οὖσα καὶ παράτολμος. ὑψικράτην γοῦν αὐτὴν ὁ βασιλεὺς ἐκάλει. τότε δὲ, ἀνδρὸς ἔχουσα πέρ-

σου στολὴν

κήσιον τῆς Κιλικίας, ἐπιπλέοντα τὸν Πομπήιον ἐδέξαντο. καὶ μάχης γενομένης νικηθέντες, ἐπολιορ-
κοῦντο. τέλος δὲ πέμψαντες ἱκετηρίας, παρέδωκαν ἑαυτοὺς, καὶ πόλεις καὶ νήσους, ὧν ἐπεκράτουν
ἐντειχισάμενοι, χαλεπὰς βιασθῆναι καὶ δυσπροσπελάστους. κατελύθη μὲν οὖν ὁ πόλεμος. καὶ τὰ
πανταχοῦ λῃστήρια τῆς θαλάσσης, ἐξέπεσεν, οὐκ ἐν πλείονι χρόνῳ, τεσσάρων μηνῶν. ναῦς δὲ πολλὰς
μὲν, ἄλλας ἐνενήκοντα δὲ χαλκεμβόλους παρέλαβεν. αὐτοὺς δὲ δισμυρίων πλείονας γενομένους,
ἀνελεῖν μὲν οὐδὲ ἐβουλεύσατο. μεθεῖναι δὲ καὶ περιιδεῖν σκεδασθέντας, ἢ συστάντας αὖθις ἀπόρους
καὶ πολεμικοὺς πολλοὺς ὄντας, οὐκ ᾤετο καλῶς ἔχειν. ἐννοήσας οὖν, ὅτι φύσει μὲν ἄνθρωπος, οὔτε
γέγονεν οὔτ' ἔστιν ἀνήμερον ζῶον οὐδ' ἄφιλκτον. ἀλλ' ἐξίσταται τῇ κακίᾳ παρὰ φύσιν χρώμενος. ἔθεσι δὲ ἀμίκτον. κ. ς. π.
καὶ τόπων καὶ βίου μεταβολαῖς ἐξημεροῦται. καὶ θηρία διαίτης κοινωνοῦντα πραότερα. ἐκδύε-
ται τὸ ἄγριον καὶ χαλεπὸν, ἔγνω τοὺς ἄνδρας εἰς γῆν μεταφέρειν ἐκ τῆς θαλάσσης, καὶ βίου γεῦσαι
ἐπιεικοῦς συνεθισθέντας ἐν πόλεσιν οἰκεῖν καὶ γεωργεῖν. ἐνίους μὲν οὖν αἱ μικραὶ καὶ ὑπέρημοι τῶν
Κιλίκων πόλεις ἐδέξαντο. καὶ κατέμιξαν ἑαυταῖς χώραν προσλαβοῦσαι. τὴν δὲ Σολίων ἠρημωμέ-
νην ἔναγχος ὑπὸ Τιγράνου τοῦ Ἀρμενίων βασιλέως ἀναλαβὼν, ἵδρυσε πολλοὺς ἐν αὐτῇ. τοῖς δὲ πολ-
λοῖς οἰκητήριον δέδωκε, Δύμην τὴν Ἀχαΐδα, χηρεύουσαν ἀνδρῶν τότε. γῆν δὲ πολλὴν καὶ ἀγαθὴν ἔ-
χουσαν. ταῦτα μὲν οὖν οἱ βασκαίνοντες ἔψεγον. τοῖς δὲ περὶ Κρήτην πραχθεῖσι πρὸς Μέτελλον, οὐδ' οἱ
πάνυ φιλοῦντες αὐτὸν ἔχαιρον. ὁ γὰρ Μέτελλος οἰκεῖος ὢν ἐκείνου τοῦ συνάρξαντος ἐν Ἰβηρίᾳ τῷ Πομ-
πηΐῳ, στρατηγὸς εἰς Κρήτην ἐπέμφθη πρότερον, ἢ τὸν Πομπήιον αἱρεθῆναι. δευτέρα γάρ τις ἦν αὕτη
τῶν πειρατηρίων πηγὴ, μετὰ τὴν ἐν Κιλικίᾳ, καὶ πολλοὺς ἐγκαταλαβὼν ὁ Μέτελλος, ἐξῄρει καὶ διέ- π.
φθειρεν. οἱ δὲ περιόντες ἔτι καὶ πολιορκούμενοι πέμψαντες ἱκετηρίαν, ἐπεκαλοῦντο τὸν Πομπήιον εἰς
τὴν νῆσον, ὡς τῆς ἐκείνου μέρος οὖσαν ἀρχῆς. καὶ πανταχόθεν ἐμπίπτουσαν εἰς τὸ μέτρον τὸ ἀπὸ θα-
λάσσης. ὁ δὲ δεξάμενος ἔγραψε τῷ Μετέλλῳ, κωλύων τὸν πόλεμον. ἔγραψε δὲ καὶ ταῖς πόλεσι μὴ προσ-
έχειν Μετέλλῳ. καὶ στρατηγὸν ἔπεμψε, τῶν ὑφ' ἑαυτὸν ἀρχόντων ἕνα Λεύκιον Ὀκταούϊον. ὃς συνεισελ-
θὼν εἰς τὰ τείχη τοῖς πολιορκουμένοις, καὶ μαχόμενος μετ' αὐτῶν, οὐ μόνον ἐπαχθῆ καὶ βαρὺν, ἀλλὰ
καὶ καταγέλαστον ἐποίει τὸν Πομπήιον, ἀνθρώποις ἀνοσίοις καὶ ἀθέοις τοὔνομα κιχράντα καὶ περιά-
πτοντα τὴν αὑτοῦ δόξαν, ὥσπερ ἀλεξιφάρμακον, ὑπὸ φθόνου καὶ φιλοτιμίας τῆς πρὸς Μέτελλον.
οὐδὲ γὰρ τὸν Ἀχιλλέα ποιεῖν ἀνδρὸς ἔργον, ἀλλὰ μειρακίου παντάπασιν, ἐμπλήκτου καὶ σεσοβημέ-
,, νου πρὸς δόξαν, ἀνανεύοντα τοῖς ἄλλοις καὶ διακωλύοντα βάλλειν Ἕκτορα, μή τις κῦδος ἄροιτο βαλὼν,
,, ὁ δὲ δεύτερος ἔλθοι. Πομπήιον δὲ καὶ σώζειν ὑπερμαχοῦντα τῶν κοινῶν πολεμίων. ἐφ' ᾧ τὸν θρίαμ- ἀπὸ. ς. κ. π.
βον ἀφελέσθαι στρατηγοῦ πολλὰ πεπονηκότος. οὐ μὴν ἐνέδωκεν ὁ Μέτελλος, ἀλλὰ τούς τε πειρατὰς
ἐξελὼν ἐτιμωρήσατο, καὶ τὸν Ὀκταούϊον ἐν τῷ στρατοπέδῳ καθυβρίσας καὶ λοιδορήσας ἀφῆκεν.
ἀπαγγελθέντος δὲ εἰς Ῥώμην πέρας ἔχειν τὸν πειρατικὸν πόλεμον, καὶ σχολὴν ἄγοντα τὸν Πομπή-
ϊον ἐπέρχεσθαι τὰς πόλεις, γράφει νόμον εἷς τῶν δημάρχων Μάλλιος, ὅσης Λεύκουλλος ἄρχει χώρας
καὶ δυνάμεως, Πομπήιον παραλαβόντα πᾶσαν. προσλαβόντα δὲ καὶ Βιθυνίαν ἣν ἔχει Γλαβρίων,
πολεμεῖν Μιθριδάτῃ, καὶ Τιγράνῃ τοῖς βασιλεῦσιν. ἔχοντα καὶ τὴν ναυτικὴν δύναμιν. καὶ τὸ κρά-
τος τῆς θαλάσσης, ἐφ' οἷς ἔλαβεν ἐξ ἀρχῆς. τοῦτο δὲ ἦν, ὑφ' ἑνὶ συλλήβδην γενέσθαι, τὴν Ῥωμαίων
ἡγεμονίαν. ὧν γὰρ ἐδόκει μόνων ἐπαρχιῶν μὴ ἀφικνεῖσθαι τῷ προτέρῳ νόμῳ, Φρυγίας Λυκαονίας. ἐφικνεῖσθαι ς. κ.
Γαλατίας. Καππαδοκίας. Κιλικίας. τῆς ἄνω Κολχίδος. Ἀρμενίας αὗται προσετίθεντο μετὰ στρα-
τοπέδων καὶ δυνάμεων, αἷς Λεύκουλλος κατεπολέμησε Μιθριδάτην, καὶ Τιγράνην. ἀλλὰ Λευκούλλου
μὲν, ἀποστερουμένου τὴν δόξαν ὧν κατειργάσατο. καὶ θριάμβου μᾶλλον, ἢ πολέμου διαδοχὴν λαμβά-
νοντος, ἧττων λόγος ἦν τοῖς ἀριστοκρατικοῖς, καίπερ οἰομένοις ἄδικα καὶ ἀχάριστα πάσχειν τὸν ἄνδρα.
τὴν δὲ δύναμιν τοῦ Πομπηΐου βαρέως φέροντες ὡς τυραννίδα καθισταμένην, ἰδίᾳ παρεκάλουν καὶ
παρεθάρρυνον αὑτοὺς ἐπιλαβέσθαι τοῦ νόμου, καὶ μὴ προέσθαι τὴν ἐλευθερίαν. ἐνστάντος δὲ τοῦ και-
ροῦ τὸν δῆμον φοβηθέντες, ἐξέλιπον καὶ κατεσιώπησαν οἱ λοιποί. Κάτλος δὲ τοῦ νόμου πολλὰ κατη-
γορήσας καὶ δήμου μηδένα πείθων, ἐκέλευε τὴν βουλὴν ἀπὸ τοῦ βήματος κεκραγὼς πολλάκις, ὄρος ζη-
τεῖν ὥσπερ οἱ πρόγονοι καὶ κρημνὸν, ὅπου καταφυγοῦσα, διασώσει τὴν ἐλευθερίαν. ἐκυρώθη δ' οὖν
ὁ νόμος, πάσαις ὡς λέγεται ταῖς φυλαῖς. καὶ κύριος ἀποδέδεικτο μὴ παρὼν ὁ Πομπήιος ἁπάντων
σχεδὸν ὧν ὁ Σύλλας ὅπλοις καὶ πολέμῳ τῆς πόλεως κρατήσας. αὐτὸς δὲ δεξάμενος τὰ γράμματα,
καὶ πυθόμενος τὰ δεδογμένα. τῶν φίλων παρόντων καὶ συνηδομένων, τὰς ὀφρῦς λέγεται συναγα-
γεῖν, καὶ τὸν μηρὸν πατάξαι καὶ εἰπεῖν, ὡς ἂν βαρυνόμενος ἤδη καὶ δυσχεραίνων τὸ ἄρχειν. φεῦ
τῶν ἀνηνύτων ἄθλων, ὡς ἄρα κρεῖττον ἦν ἕνα τῶν ἀδόξων γενέσθαι, εἰ μηδέποτε παύσομαι στρατευό-
μενος. μηδὲ τὸν φθόνον τοῦτον ἐκδὺς, ἐν ἀγρῷ διαιτήσομαι μετὰ γυναικός. ἐφ' οἷς λεγομένοις οὐδ' οἱ πά-
νυ συνήθεις ἔφερον αὐτοῦ τὴν εἰρωνείαν, γινώσκοντες, ὅτι τῆς ἐμφύτου φιλοτιμίας καὶ φιλαρχίας
ὑπέκκαυμα τὴν πρὸς Λεύκουλλον ἔχων διαφορὰν, μειζόνως ἔχαιρεν. ἀμέλει δὲ καὶ τὰ ἔργα ταχέως
αὐτὸν ἀπεκάλυπτε. πανταχοῦ γὰρ ἐκτιθεὶς διαγράμματα, τοὺς στρατιώτας ἀνεκάλει καὶ

ψαι πομπήϊον ἀφαιρησόμενον τῶν πειρατῶν τὴν θάλασσαν. ἔγραψε δὲ γαβίνιος εἷς ἐκ πομπηΐου συνήθων νόμον, οὐ ναυαρχίαν, ἀλλ' ἄντικρυς δὲ μοναρχίαν αὐτῷ διδόντα καὶ δύναμιν, ἐπὶ πάντας ἀνθρώπους ἀνυπεύθυνον. ἐδίδου γὰρ ἄρχειν ὁ νόμος αὐτῷ τῆς ἐντὸς ἡρακλείων στηλῶν θαλάσσης, ἠπείρου δὲ πάσης ἐπὶ σταδίους τετρακοσίους ἀπὸ θαλάσσης. ταῦτα δὲ οὐ πάνυ πολλὰ χωρία τῆς ὑπὸ ῥωμαίων οἰκουμένης τὸ μέτρον ἐξέφυγεν, ἀλλὰ τὰ μέγιστα τῶν ἐθνῶν, καὶ τῶν βασιλέων οἱ δυνατώτατοι, περιελαμβάνοντο. πρὸς δὲ τούτοις ἑλέσθαι πεντεκαίδεκα πρεσβευτὰς αὐτὸν ἐκ βουλῆς, ἐπὶ τὰς κατὰ μέρος ἡγεμονίας. χρήματα δὲ λαμβάνειν ἐκ τῶν ταμιείων καὶ παρὰ τῶν τελωνῶν ὅσα βούλοιτο, καὶ ναῦς διακοσίας. κύριον ὄντα πλήθους καὶ καταλόγου στρατείας καὶ πληρωμάτων ἐρετικῶν. ἀναγνωσθέντων δὲ τούτων, ὁ μὲν δῆμος ὑπερφυῶς ἐδέξατο. τῆς δὲ συγκλήτου, τοῖς μεγίστοις καὶ δυνατωτάτοις ἔδοξε, μεῖζον μὲν φθόνου, φόβου δὲ ἄξιον εἶναι. τὸ τῆς ἐξουσίας ἀπερίληπτον καὶ ἀόριστον, ὅθεν ἐνίσταντο τῷ νόμῳ, πλὴν καίσαρος. οὗτος δὲ συνηγόρει τῷ νόμῳ. πομπηΐου μὲν ἐλάχιστα φροντίζων, ὑποδυόμενος δὲ τὸν δῆμον ἐξ ἀρχῆς ἑαυτῷ καὶ κτώμενος. οἱ δὲ ἄλλοι τοῦ πομπηΐου σφοδρῶς καθήπτοντο. καὶ τῶν γε ὑπάτων ἅτερος εἰπὼν πρὸς αὐτὸν, ὅτι ῥωμύλον ζηλῶν οὐ φεύξεται ταυτὸν ἐκείνῳ τέλος, ἐκινδύνευσεν ὑπὸ τοῦ πλήθους διαφθαρῆναι. κάτλου δὲ κατὰ τὸν νόμον προσελθόντος, πολλὴν μὲν αἰδούμενος ὁ δῆμος ἡσυχίαν παρέσχεν. ἐπεὶ δὲ πολλὰ μετὰ τιμῆς ἀνεπιφθόνως, ὑπὲρ τοῦ πομπηΐου διελθὼν συνεβούλευε φείδεσθαι, καὶ μὴ προβάλλειν τὸν τοιοῦτον ἄνδρα κινδύνοις ἐπαλλήλοις καὶ πολέμοις. ἢ τίνα ἔφη ἕξετε ἄλλον ἂν ἀπολέσητε τοῦτον, ἐκ μιᾶς γνώμης ὑπεφώνησαν ἅπαντες. σαυτόν. ὁ μὲν οὖν κάτλος, ὡς οὐκ ἔπειθεν ἀπέστη. ῥωσκίου δὲ προσελθόντος, οὐδεὶς ἤκουσεν. ὁ δὲ τοῖς δακτύλοις διεσήμαινε, μὴ μόνον, ἀλλὰ δεύτερον αἱρεῖσθαι πομπήϊον. ἐπὶ τούτῳ λέγεται δυσχεράναντα τὸν δῆμον τηλικοῦτον ἀνακραγεῖν, ὥστε ὑπερπετόμενον κόρακα τῆς ἀγορᾶς τυφλωθῆναι καὶ καταπεσεῖν εἰς τὸν ὄχλον. ὅθεν οὐ δοκεῖ ῥήξει τοῦ ἀέρος καὶ διασπασμῷ, κενὸν πολὺ λαμβάνοντος, ὀλισθαίνειν τὰ πίπτοντα τῶν ὀρνέων, ἀλλὰ τυπτόμενα τῇ πληγῇ τῆς φωνῆς, ὅταν ἐν τῷ ἀέρι σάλον καὶ κῦμα ποιήσῃ, πολλὴ καὶ ἰσχυρὰ φερομένη. τότε μὲν οὖν διελύθησαν. ἐν δὲ τῇ ἡμέρᾳ τὴν ψῆφον ἐποίσειν ἔμελλον, ὑπεξῆλθεν ὁ πομπήϊος εἰς ἀγρόν. ἀκούσας δὲ κεκυρῶσθαι τὸν νόμον, εἰσῆλθε νύκτωρ εἰς τὴν πόλιν, ὡς ἐπιφθόνου τῆς πρὸς αὐτὸν ἀπαντήσεως καὶ συνδρομῆς ἐσομένης. ἅμα δὲ ἡμέρᾳ προελθὼν ἔθυσε. καὶ γενομένης ἐκκλησίας, αὐτῷ διεπράξατο προσλαβεῖν ἕτερα πολλὰ τοῖς ἐψηφισμένοις, ἤδη μικροῦ διπλασιάσας τὴν παρασκευήν. πεντακόσιαι μὲν γὰρ αὐτῷ νῆες ἐπληρώθησαν. ὁπλιτῶν δὲ, μυριάδες δώδεκα. καὶ πεντακισχίλιοι ἱππεῖς ἠθροίσθησαν. ἡγεμονικοὶ δὲ καὶ στρατηγικοὶ κατελέγησαν ἀπὸ βουλῆς, ἄνδρες εἰκοσιτέσσαρες ὑπ' αὐτοῦ. δύο δὲ ταμίαι παρῆσαν. αἱ δὲ τιμαὶ τῶν ὠνίων εὐθὺς πεσοῦσαι, λόγον ἡδομένῳ τῷ δήμῳ παρέσχον, ὡς αὐτὸ τοὔνομα τοῦ πομπηΐου λέλυκε τὸν πόλεμον. οὐ μὴν, ἀλλὰ διελὼν τὰ πελάγη. καὶ τὸ διάστημα τῆς ἐντὸς θαλάσσης, εἰς μέρη τρισκαίδεκα. καὶ νεῶν ἀριθμὸν ἐφ' ἑκάστῳ, καὶ ἄρχοντα τάξας. ἅμα πανταχοῦ τῇ δυνάμει διασκεδασθείσῃ. τὰ μὲν ἐμπίπτοντα τῶν πειρατικῶν ἀθρόα περιελάμβανον, εὐθὺς ἐξεθηρᾶτο καὶ κατῆγεν. οἱ δὲ φθάσαντες διαλυθῆναι καὶ διεκπεσόντες, ὥσπερ εἰς σμῆνος ἐδύοντο πανταχόθεν καταφερόμενοι τὴν κιλικίαν. ἐφ' οὓς αὐτὸς ἔστελλε ναῦς ἔχων ἑξήκοντα τὰς ἀρίστας. οὐ μὴν πρότερον ἐπ' ἐκείνους ἐξέπλευσεν, ἢ παντάπασι καθῆραι τῶν αὐτόθι λῃστηρίων, τὸ τυρρηνικὸν πέλαγος. τὸ λιβυκόν. τὸ περὶ σαρδόνα καὶ κύρνον καὶ σικελίαν, ἡμέραις τεσσαράκοντα ταῖς πάσαις, αὐτῷ τε χρώμενος ἀτρύτῳ, καὶ τοῖς στρατηγοῖς προθύμοις. ἐν δὲ ῥώμῃ τοῦ ὑπάτου πείσωνος ὀργῇ καὶ φθόνῳ λυμαινομένου τὴν παρασκευὴν, καὶ διαλύοντος τὰ πληρώματα, τὸ μὲν ναυτικὸν εἰς βρεντέσιον περιέπεμψεν. αὐτὸς δὲ διὰ τυρρηνίας εἰς ῥώμην ἀνέβαινεν. αἰσθόμενοι δὲ πάντες ἐξεχύθησαν εἰς τὴν ὁδὸν, ὥσπερ οὐ πρὸ ἡμερῶν ὀλίγων ἐκπέμψαντες αὐτόν. ἐποίει δὲ τὴν χαρὰν τὸ παρ' ἐλπίδα τῆς μεταβολῆς τάχος, ὑπερβάλλουσαν ἀφθονίαν τῆς ἀγορᾶς ἐχούσης. ὅθεν ὁ πείσων ἐκινδύνευσε τὴν ὑπατείαν ἀφαιρεθῆναι, γαβινίου νόμον ἔχοντος ἤδη συγγεγραμμένον. ἀλλὰ καὶ τοῦτο διεκώλυσεν ὁ πομπήϊος. καὶ τἆλλα χρηματίσας ἐπιεικῶς, καὶ διαπραξάμενος ὧν ἐδεῖτο, καταβὰς εἰς βρεντέσιον ἐξέπλευσεν. ἐπειγόμενος δὲ τῷ καιρῷ καὶ παραπλέων τὰς πόλεις ὑπὸ σπουδῆς, ὅμως οὐ παρῆλθε τὰς ἀθήνας. ἀναβὰς δὲ καὶ θύσας τοῖς θεοῖς, καὶ προσαγορεύσας τὸν δῆμον, εὐθὺς ἀπιὼν ἀνεγίνωσκεν εἰς αὐτὸν ἐπιγεγραμμένα μονόστιχα. τὸ μὲν ἐντὸς τῆς πύλης, ἐφ' ὅσον ὢν ἄνθρωπος οἶδας, ἐπὶ τοσοῦτον εἶ θεός. τὸ δὲ ἐκτὸς, προσεδοκῶμεν. προσκυνοῦμεν. εἴδομεν. προπέμπομεν. ἐπεὶ δὲ τῶν συνεστώτων ἔτι καὶ πλανωμένων ἔξω πειρατηρίων ἐνίοις δεηθεῖσιν ἐπιεικῶς ἐχρήσατο. καὶ παραλαβὼν τὰ πλοῖα καὶ τὰ σώματα, κακὸν οὐδὲν ἐποίησεν. ἐπ' ἐλπίδος χρηστῆς οἱ λοιποὶ γενόμενοι, τοὺς μὲν ἄλλους διέφευγον ἡγεμόνας, πομπηΐῳ δὲ φέροντες αὑτοὺς μετὰ τέκνων καὶ γυναικῶν ἐνεχείριζον. ὁ δὲ πάντων ἐφείδετο. καὶ μάλιστα διὰ τούτων ἔτι λανθάνοντας ἐξιχνεύων καὶ λαμβάνων ἐκόλαζεν, ὡς αὐτοὺς ἑαυτοῖς ἀνήκεστα συνειδότας. οἱ δὲ πλεῖστοι καὶ δυνατώτατοι, γενεὰς μὲν αὐτῶν καὶ χρήματα, καὶ τὸν ἄχρηστον ὄχλον, ἐν φρουρίοις καὶ πολίσμασιν ἐρυμνοῖς περὶ τὸν ταῦρον εἶχον ἀποκείμενα. τὰς δὲ ναῦς πληρώσαντες αὐτοὶ περὶ τὸ κορα

τὸν ἵππον. ἦν δὲ τῷ δήμῳ θαῦμα καὶ σιωπὴ πᾶσα, τούς τε ἄρχοντας αἰδὼς ἅμα καὶ χαρὰ πρὸς τὴν
ὄψιν ἔχων. εἶτα ὁ μὲν πρεσβύτερος ἠρώτησε, πυνθάνομαί σου ὦ πομπήϊε μάγνε, εἰ πάσας ἐστράτευ-
σαι τὰς κατὰ νόμον στρατείας, πομπήϊος δὲ μεγάλῃ φωνῇ, πάσας εἶπεν ἐστράτευμαι, καὶ πάσας
ὑπ' ἐμαυτῷ αὐτοκράτορι. τοῦτο ἀκούσας ὁ δῆμος ἐξέκραγε. καὶ κατασχεῖν οὐκ ἔτι τὴν βοὴν, ὑπὸ
χαρᾶς ἦν. ἀλλ' ἀναστάντες οἱ τιμηταὶ, προὔπεμπον αὐτὸν οἴκαδε. χαριζόμενοι τοῖς πολίταις, ἑπομέ-
νοις καὶ κροτοῦσιν. ἤδη δὲ τῆς ἀρχῆς περαινομένης τῷ πομπηΐῳ. τῆς δὲ πρὸς κράσσον αὐξομένης διαφο-
ρᾶς, γάϊός τις αὐρήλιος ἀξίωμα μὲν ἱππικὸν ἔχων, βίῳ δὲ ἀπράγμονι κεχρημένος, ἐκκλησίας οὔσης,
ἀναβὰς ἐπὶ τὸ βῆμα καὶ προσελθὼν, ἔφη κατὰ τοὺς ὕπνους αὐτῷ τὸν δία φανῆναι, κελεύοντα τοῖς ὑ-
πάτοις φράσαι μὴ πρότερον ἀποθέσθαι τὴν ἀρχὴν, ἢ φίλους ἀλλήλοις γενέσθαι. ῥηθέντων δὲ τού-
των, ὁ μὲν πομπήϊος ἡσυχίαν ἦγεν ἑστώς. ὁ δὲ κράσσος ἀρξάμενος δεξιοῦσθαι καὶ προσαγορεύειν αὐ-
τὸν, οὐδὲν οἶμαι ποιεῖν ἀγεννὲς εἶπεν οὐδὲ ταπεινὸν ὦ πολῖται πομπηΐῳ πρότερος ἐνδιδοὺς, ὃν ὑ-
μεῖς μήπω μὲν γενειῶντα μέγαν ἠξιώσατε καλεῖν. μήπω δὲ μετέχοντι βουλῆς ἐψηφίσασθε δύο θριάμ-
βους. ἐκ τούτου διαλλαγέντες, ἀπέθεντο τὴν ἀρχήν. καὶ κράσσος μὲν ὃν ἐξ ἀρχῆς εἵλετο τρόπον
τοῦ βίου διεφύλαττε. πομπήϊος δὲ τάς τε πολλὰς ἀνεδύετο συνηγορίας, καὶ τὴν ἀγορὰν κατὰ μικρὸν
ἀπέλιπε καὶ προῄει σπανίως εἰς τὸ δημόσιον. ἀεὶ δὲ μετὰ πλήθους. οὐ γὰρ ἦν ἔτι ῥᾴδιον ὄχλου χωρὶς
τ. ς. κ. ἐντυχεῖν οὐδ' ἰδεῖν αὐτόν. ἀλλ' ἥδιστος ὁ μετὰ πολλοῖς καὶ ἀθρόοις ἐφαίνετο, σεμνότητα περιβαλλό-
μενος ἐκ τούτου τῇ ὄψει καὶ ὄγκον. ταῖς δὲ τῶν πολλῶν ἐντεύξεσι καὶ συνηθείαις ἄθικτον οἰόμενος
δεῖν τὸ ἀξίωμα διατηρεῖν. ὁ γὰρ ἐν ἱματίῳ βίος ἐπισφαλής ἐστι πρὸς ἀδοξίαν, τοῖς ἐκ τῶν ὅπλων με-
γάλοις, καὶ πρὸς ἰσότητα δημοτικὴν ἀσυμμέτροις. αὐτοὶ μὲν γὰρ κἀνταῦθα πρωτεύειν, ὡς ἐκεῖ
δικαιοῦσι. τοῖς δὲ ἐκεῖ φερομένοις ἔλαττον, ἐνταῦθα γοῦν μὴ πλέον ἔχειν, οὐκ ἀνεκτόν ἐστι. διὸ τὸν ἐν
στρατοπέδοις καὶ θριάμβοις λαμπρὸν, ὅταν ἐν ἀγορᾷ λάβωσιν, ὑπὸ χεῖρα ποιοῦνται καὶ καταβάλ-
λουσι. τῷ δὲ ἀπολεγομένῳ καὶ ὑποχωροῦντι τὴν ἐκεῖ τιμὴν καὶ δύναμιν, ἀνεπίφθονον φυλάττου-
σιν. ἐδήλωσε δὲ αὐτὰ τὰ πράγματα μετ' ὀλίγον χρόνον. ἡ γὰρ πειρατικὴ δύναμις ὡρμήθη μὲν ἐκ κι-
λικίας τὸ πρῶτον, ἀρχὴν παράβολον λαβοῦσα καὶ λανθάνουσαν. φρόνημα δὲ καὶ τόλμαν ἔσχεν ἐν
τῷ μιθριδατικῷ πολέμῳ χρήσασα ταῖς βασιλικαῖς ὑπηρεσίαις ἑαυτήν. εἶτα ῥωμαίων ἐν τοῖς ἐμφυ-
π. λίοις πολέμοις περὶ θύρας τῆς ῥώμης συμπεσόντων, ἔρημος οὖσα φρουρᾶς ἡ θάλασσα κατὰ μικρὸν
αὐτοὺς ἀφείλκετο καὶ προῆγεν. οὐκέτι τοῖς πλέουσι μόνον ἐπιτιθεμένους, ἀλλὰ καὶ νήσους καὶ ἐφέλκ. κ. ς. π.
πόλεις παραλίους ἐκκόπτοντας. ἤδη δὲ καὶ χρήμασι δυνατοὶ, καὶ γένεσι λαμπροὶ. καὶ τὸ φρονεῖν ἀξιού-
μενοι διαφέρειν ἄνδρες, ἀνέβαινον εἰς τὰ λῃστρικὰ καὶ μετεῖχον, ὡς καὶ δόξαν τινὰ καὶ φιλοτιμίαν ἐνέβαινον. ς. π.
τοῦ ἔργου φέροντος. ἦν δὲ καὶ ναύσταθμα πολλαχόθι πειρατικὰ καὶ φρυκτώρια τετειχισμένα. καὶ
στόλοι προσέπιπτον, οὐ πληρωμάτων μόνον εὐανδρίαις, οὐδὲ τέχναις κυβερνητῶν. οὐδὲ τάχεσι νεῶν
καὶ κουφότησιν ἐξησκημένοι πρὸς τὸ οἰκεῖον ἔργον, ἀλλὰ τοῦ φοβεροῦ μᾶλλον αὐτῶν, τὸ ἐπίφθονον
ἐλύπει καὶ ὑπερήφανον. στυλίσι χρυσαῖς, καὶ παραπετάσμασιν ἁλουργέσι, καὶ πλάταις ὑπαργύ-
ροις, ὥσπερ ἐντρυφώντων τῷ κακουργεῖν, καὶ καλλωπιζομένων. αὐλοὶ δὲ καὶ ψαλμοὶ καὶ μέθαι πα-
ρὰ πᾶσαν ἀκτήν. καὶ σωμάτων ἡγεμονικῶν ἁρπαγαί. καὶ πόλεων αἰχμαλώτων ἀπολυτρώσεις, ὄ-
νειδος ἦσαν τῆς ῥωμαίων ἡγεμονίας. ἐγένοντο δὲ οὖν αἱ μὲν λῃστρίδες νῆες, ὑπὲρ χιλίας. αἱ δὲ ἁ-
λοῦσαι πόλεις ὑπ' αὐτῶν, τετρακόσιαι. τῶν δὲ ἀσύλων καὶ ἀβάτων πρότερον ἱερῶν ἐξέκοψαν ἐπιόν- π.
τες, τὸ κλάριον, τὸ διδυμαῖον. τὸ σαμοθρᾴκιον. τὸν ἐν ἑρμιόνῃ τῆς χθονίας νεών. καὶ τὸν ἐν ἐπι-
δαύρῳ τοῦ ἀσκληπιοῦ. καὶ τὸ ἰσθμοῖ, καὶ ταινάρῳ, καὶ καλαυρείᾳ τοῦ ποσειδῶνος. τοῦ δὲ ἀπόλλω-
νος τὸν ἐν ἀκτίῳ, καὶ λευκάδι. τῆς δὲ ἥρας τὸν ἐν σάμῳ, τὸν ἐν ἄργει, τὸν ἐπὶ λακινίῳ. ξένας δὲ
θυσίας ἔθυον αὐτοὶ τὰς ἐν ὀλύμπῳ. καὶ τελετάς τινας ἀπορρήτους ἐτέλουν, ὧν ἡ τοῦ μίθρου καὶ
μέχρι δεῦρο διασῴζεται, καταδειχθεῖσα πρότερον ὑπ' ἐκείνων. πλεῖστα δὲ ῥωμαίοις ἐνυβρίσαν-
τες, ἔτι καὶ τὰς ὁδοὺς αὐτῶν ἀναβαίνοντες ἀπὸ θαλάσσης ἐλῄζοντο, καὶ τὰς ἐγγὺς ἐπαύλεις ἐξέκο-
πτον. ἥρπασαν δέ ποτε καὶ στρατηγοὺς δύο, σεξτίλιον καὶ βελλῖνον ἐν ταῖς περιπορφύροις. καὶ τοὺς
ὑπηρέτας ἅμα καὶ ῥαβδοφόρους, ᾤχοντο σὺν αὐτοῖς ἐκείνοις ἔχοντες. ἥλω δὲ καὶ θυγάτηρ ἀντωνίου
θριαμβικοῦ ἀνδρὸς εἰς ἀγρὸν βαδίζουσα, καὶ πολλῶν χρημάτων ἀπελυτρώθη. ἐκεῖνο δὲ ἦν ὑβριστι-
κώτατον, ὁπότε γάρ τις ἁλωκὼς ἀναβοήσειε ῥωμαῖος εἶναι, καὶ τοὔνομα φράσειεν, ἐκπεπλῆχθαι
προσποιούμενοι καὶ δεδιέναι, τούς τε μηροὺς ἐπαίοντο καὶ προσέπιπτον αὐτῷ, συγγνώμην ἔχειν ἀν-
κ. τιβολοῦντες. ὁ δὲ ἐπείθετο ταπεινοὺς ὁρῶν καὶ δεομένους. ἐκ τούτου δὲ οἱ μὲν ὑπέδουν τοῖς καλκίοις καλινίοις. ς
αὐτόν. οἱ δὲ τήβεννον περιέβαλλον. ὡς δὴ μὴ πάλιν ἀγνοηθείη. πολὺν δὲ χρόνον οὕτω καταπειρωνευσάμε-
νοι καὶ ἀπολαύσαντες τοῦ ἀνθρώπου, τέλος ἐν μέσῳ πελάγει κλίμακα προσβαλόντες, ἐκέλευον ἐκβαί-
νειν καὶ ἀπιέναι χαίροντα. τὸν δὲ μὴ βουλόμενον, ὠθοῦντες αὐτοὶ κατέδυον. ἐπενέματο δὲ ἡ δύναμις
αὕτη, πᾶσαν ὁμοῦ τι τὴν καθ' ἡμᾶς θάλασσαν, ὥστε ἄπλουν καὶ ἄβατον ἐμπορίᾳ πάσῃ γενέσθαι.
τοῦτο δὴ μάλιστα ῥωμαίους ἐπέστρεψε θλιβομένους τῇ ἀγορᾷ καὶ σπάνιν μεγάλην προσδοκῶντας, ἐκπέμ-

ἀγῶνας. τέλος δὲ ἐκκόπτων ἀγοράς, λῃζόμενος δὲ τὴν χώραν, ἤδη κρατῶν δὲ τῆς θαλάσσης, ἐξέβαλεν ἀμφοτέρους τῆς ὑφ᾽ ἑαυτὸν ἰβηρίας, ἀναγκασθέντας εἰς ἀλλοτρίας καταφυγεῖν ἐπαρχίας, ἀπορίᾳ τῶν ἐπιτηδείων. πομπήϊος δὲ τὰ πλεῖστα τῶν ἰδίων ἐξανηλωκὼς καὶ κατακεχρημένος εἰς τὸν πόλεμον, ᾔτει χρήματα τὴν σύγκλητον, ὡς ἀφιξόμενος εἰς ἰταλίαν μετὰ τῆς δυνάμεως εἰ μὴ πέμποιεν. ὑπατεύων δὲ λεύκουλλος τότε καὶ πομπηΐῳ μὲν ὢν διάφορος, μνώμενος δ᾽ ἑαυτῷ τὸν μιθριδατικὸν πόλεμον, ἔσπευσεν ἀποσταλῆναι τὰ χρήματα, φοβούμενος αἰτίαν πομπηΐῳ παρασχεῖν δεομένῳ σερτώριον ἀφεῖναι, καὶ πρὸς μιθριδάτην τραπέσθαι, λαμπρὸν μὲν εἰς δόξαν, εὐμεταχείριστον δὲ φαινόμενον ἀνταγωνιστήν. ἐν τούτῳ δὲ θνήσκει σερτώριος ὑπὸ τῶν φίλων δολοφονηθείς. ὧν περπέννας ὁ κορυφαιότατος ἐπεχείρησεν ἐκείνῳ τὰ αὐτὰ ποιεῖν, ἀπὸ τῶν αὐτῶν μὲν ὁρμώμενος δυνάμεων καὶ παρασκευῶν, τὸν δὲ χρώμενον αὐταῖς ὁμοίως οὐκ ἔχων λογισμόν. εὐθὺς οὖν ὁ πομπήϊος ἐπεξελθὼν, καὶ ῥεμβόμενον ἐν τοῖς πράγμασι τὸν περπένναν καταμαθὼν, δέλεαρ αὐτῷ δέκα σπείρας ὑφῆκεν εἰς τὸ πεδίον, διασπαρῆναι κελεύσας. τραπομένου δὲ πρὸς ταύτας ἐκείνου καὶ διώκοντος, ἀθρόους ἐπιφανεὶς καὶ συνάψας μάχην, ἐκράτησε πάντων, καὶ διεφθάρησαν οἱ πλεῖστοι τῶν ἡγεμόνων ἐν τῇ μάχῃ. τὸν δὲ περπένναν ἀχθέντα πρὸς αὐτὸν ἀπέκτεινεν. οὐκ ἀχάριστος οὐδ᾽ ἀμνήμων γενόμενος τῶν περὶ σικελίαν, ὡς ἐγκαλοῦσιν ἔνιοι, μεγάλῃ δὲ διανοίᾳ καὶ σωτηρίῳ τῶν ὅλων γνώμῃ χρησάμενος. ὁ γὰρ περπέννας τῶν σερτωρίου γραμμάτων γεγονὼς κύριος, ἐδείκνυεν ἐπιστολὰς τῶν ἐν ῥώμῃ δυνατωτάτων ἀνδρῶν, οἳ τὰ παρόντα κινῆσαι βουλόμενοι πράγματα, καὶ μεταστῆσαι τὴν πολιτείαν, ἐκάλουν τὸν σερτώριον εἰς τὴν ἰταλίαν. φοβηθεὶς οὖν ὁ πομπήϊος ταῦτα, μὴ μείζονας ἀναστήσῃ τῶν πεπαυμένων πολέμων, τόν τε περπένναν ἀνεῖλε, καὶ τὰς ἐπιστολὰς οὐδ᾽ ἀναγνοὺς κατέκαυσεν. ἐκ δὲ τούτου παραμείνας χρόνον ὅσον τὰς μεγίστας κατασβέσαι ταραχὰς καὶ τὰ φλεγμαίνοντα μάλιστα καταστῆσαι καὶ διαλῦσαι τῶν πραγμάτων, ἀπῆγεν εἰς ἰταλίαν τὸν στρατὸν, ἀκμάζοντι τῷ δουλικῷ πολέμῳ κατὰ τύχην φερόμενος. διὸ καὶ κράσσος ὁ στρατηγὸς κατήπειξε παραβόλως τὴν μάχην. καὶ κατευτύχησε, δισχιλίους τριακοσίους ἐπὶ μυρίοις κτείνας. οὐ μὴν ἀλλὰ καὶ τούτῳ τὸν πομπήϊον εἰσποιούσης ἁμωσγέπως τῷ κατορθώματι τῆς τύχης, πεντακισχίλιοι φεύγοντες ἐκ τῆς μάχης ἐνέπεσον εἰς αὐτὸν, οὓς ἅπαντας διαφθείρας, ἔγραψε πρὸς τὴν σύγκλητον ἀποφθάσας, ὡς κράσσος μὲν ἐκ παρατάξεως νενίκηκε τοὺς μονομάχους, αὐτὸς δὲ τὸν πόλεμον ἐκ ῥιζῶν παντάπασιν ἀνῄρηκε. καὶ ταῦτα βουλομένοις ἦν δι᾽ εὔνοιαν ἀκροᾶσθαι καὶ λέγειν τοῖς ῥωμαίοις. ἰβηρίαν δὲ καὶ σερτώριον, οὐδὲ παίζων ἄν τις εἶπεν ἑτέρου καὶ μὴ πομπηΐου τὸ πᾶν ἔργον εἶναι. ἐν τοσαύτῃ δὲ τιμῇ καὶ προσδοκίᾳ τοῦ ἀνδρὸς, ὅμως ἐνῆν τις ὑποψία καὶ δέος, ὡς οὐ προησομένου τὸ στράτευμα, βαδιουμένου δὲ δι᾽ ὅπλων καὶ μοναρχίας αὐτίκα εὐθὺ τῆς σύλλα πολιτείας. ὅθεν οὐκ ἐλάττονες ἦσαν τῶν δι᾽ εὔνοιαν τρεχόντων καὶ φιλοφρονουμένων καθ᾽ ὁδὸν, οἱ φόβῳ ταῦτα ποιοῦντες. ἐπεὶ δὲ καὶ ταύτην ἀνεῖλε τὴν ὑπόνοιαν ὁ πομπήϊος, προειπὼν ἀφήσειν τὸ στράτευμα μετὰ τὸν θρίαμβον, ἐν αἰτιᾶσθαι τοῖς βασκαίνουσι περιῆν ὑπόλοιπον, ὅτι τῷ δήμῳ προσνέμει μᾶλλον ἑαυτὸν ἢ τῇ βουλῇ, καὶ τὸ τοῦ δήμου ἀξίωμα σύλλα καταβαλόντος, ἔγνωκεν ἀνιστᾶν καὶ χαρίζεσθαι τοῖς πολλοῖς, ὅπερ ἦν ἀληθές. οὐ γὰρ ἔστιν οὗτινος ἐμμανέστερον ὁ ῥωμαίων ἠράσθη δῆμος, καὶ μᾶλλον ἐπόθησεν ἢ τὴν ἀρχὴν αὖθις ἐπιδεῖν ἐκείνην, ὥστε καὶ πομπήϊον εὐτύχημα ποιεῖσθαι μέγα, τὸν τοῦ πολιτεύματος καιρόν. ὡς οὐκ ἂν εὑρόντα χάριν ἄλλην, ᾗ τὴν εὔνοιαν ἀμείψεται τῶν πολιτῶν, εἰ ταύτην ἕτερος προέλαβε. ψηφισθέντος οὖν αὐτῷ δευτέρου θριάμβου καὶ ὑπατείας, οὐ διὰ ταῦτα θαυμαστὸς ἐδόκει καὶ μέγας. ἀλλ᾽ ἐκεῖνο τεκμήριον ἐποιοῦντο τῆς λαμπρότητος, ὅτι κράσσος ἀνὴρ τῶν τότε πολιτευομένων πλουσιώτατος καὶ δεινότατος εἰπεῖν, καὶ μέγιστος, αὐτόν τε πομπήϊον ὑπερφρονῶν καὶ τοὺς ἄλλους ἅπαντας, οὐκ ἐθάρρησεν ὑπατείας μετιέναι πρότερον, ἢ πομπηΐου δεηθῆναι. καὶ μέντοι πομπήϊος ἠγάπησε, πάλαι δεόμενος χρείας τινὸς ὑπάρξαι καὶ φιλανθρωπίας πρὸς αὐτόν. ὥστε καὶ δεξιοῦσθαι προθύμως, καὶ παρακαλεῖν τὸν δῆμον, ἐπαγγελλόμενος χάριν ἕξειν οὐκ ἔλαττον αὐτοῦ συνάρχοντος, ἢ τῆς ἀρχῆς. οὐ μὴν ἀλλ᾽ ἀποδειχθέντες ὕπατοι, διεφέροντο πάντα καὶ προσέκρουον ἀλλήλοις. καὶ ἐν μὲν τῇ βουλῇ, μᾶλλον ἴσχυεν ὁ κράσσος. ἐν δὲ τῷ δήμῳ μέγα τὸ πομπηΐου κράτος ἦν. καὶ γὰρ ἀπέδωκε τὴν δημαρχίαν αὐτῷ, καὶ τὰς δίκας περιεῖδεν αὖθις εἰς τοὺς ἱππέας νόμῳ μεταφερομένας. ἥδιστον δὲ θέαμα τῷ δήμῳ παρέσχεν αὐτὸς ἑαυτὸν, τὴν στρατείαν παραιτούμενος. ἔθος γάρ ἐστι ῥωμαίων τοῖς ἱππεύουσιν ὅταν στρατεύσωνται τὸν νόμιμον χρόνον, ἄγειν εἰς ἀγορὰν τὸν ἵππον ἐπὶ τοὺς δύο ἄνδρας οὓς τιμητὰς καλοῦσι. καὶ καταριθμησαμένους τῶν στρατηγῶν καὶ αὐτοκρατόρων ἕκαστον ὑφ᾽ οἷς ἐστρατεύσαντο, καὶ δόντας εὐθύνας τῆς στρατείας ἀφίεσθαι. νέμεται δὲ καὶ τιμὴ καὶ ἀτιμία προσήκουσα τοῖς βίοις ἑκάστων. τότε δὴ προεκάθηντο μὲν οἱ τιμηταὶ, γέλλιος καὶ λέντλος ἐν κόσμῳ, καὶ πάροδος ἦν τῶν ἱππέων ἐξεταζομένων. ὤφθη δὲ πομπήϊος ἄνωθεν ἐπ᾽ ἀγορὰν κατερχόμενος, τὰ μὲν ἄλλα παράσημα τῆς ἀρχῆς ἔχων, αὐτὸς δὲ διὰ χειρὸς ἄγων τὸν ἵππον. ὡς δ᾽ ἐγγὺς ἦν καὶ καταφανὴς ἐγεγόνει, κελεύσας διασχεῖν τοὺς ῥαβδοφόρους, τῷ βήματι προσήγαγε

περιπτόμενος τῶν ἔνδον. ἔλυσε δὲ τὸν φόβον ἐπιστολὴ παρὰ πομπηίου κομισθεῖσα, κατωρθωκότος ἄ-
νευ μάχης τὸν πόλεμον. ὁ γὰρ βροῦτος, εἴτε παραδοὺς τὴν δύναμιν αὐτὸς, εἴτε προδοθεὶς μεταβαλο-
μένης ἐκείνης, ἐνεχείρισε τῷ πομπηίῳ τὸ σῶμα, καὶ λαβὼν ἱππεῖς προπομποὺς, ἀπεχώρησεν εἰς πολί-
χνιόν τι τῶν περὶ τὸν πάδον. ὅπου μεθ' ἡμέραν μίαν ἐπιπέμψαντος αὐτῷ τοῦ πομπηίου γεμίνιον ἀνῃ-
ρέθη. καὶ πολλὴν ἔσχεν ἀπὸ τούτου πομπήιος αἰτίαν. γεγραφὼς γὰρ εὐθὺς ἐν ἀρχῇ τῆς μεταβολῆς
πρὸς τὴν σύγκλητον ὡς ἑκὼν αὐτῷ πρόσθοιτο βροῦτος, ἑτέρας αὖθις ἔπεμψεν ἐπιστολὰς ἀνῃρημέ-
νου τοῦ ἀνθρώπου κατηγορούσας. τούτου βροῦτος ἦν υἱὸς, ὁ καίσαρα σὺν κασσίῳ κτείνας, ἀνὴρ ὅμοιος τῷ
πατρὶ, μήτε πολεμήσας, μήτε ἀποθανὼν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. λέπιδος μὲν οὖν εὐθὺς
ἐκπεσὼν τῆς ἰταλίας, ἀπέδρασεν εἰς σαρδόνα, κἀκεῖ νοσήσας, ἐτελεύτησε δι' ἀθυμίαν, οὐ τῶν πρα-
γμάτων ὥς φασιν, ἀλλὰ γραμματίῳ περιπεσὼν, ἐξ οὗ μοιχείαν τινὰ τῆς γυναικὸς κατεφώρασε. λε-
πίδῳ δὲ οὐδὲν ὅμοιος στρατηγὸς ἰβηρίαν κατέχων σερτώριος, ἐπηωρεῖτο ῥωμαίοις φοβερὸς, ὥσπερ
ἔσχατον νόσημα τῶν ἐμφυλίων πολέμων εἰς τοῦτον τὸν ἄνδρα συνερρυηκότων. πολλοὺς μὲν ἤδη τῶν ἐ- πολεμ. κ.
λαττόνων στρατηγῶν ἀνῃρηκότα. μετέλλῳ δὲ πίῳ τότε συμπεπλεγμένον, ἀνδρὶ λαμπρῷ μὲν καὶ
πολεμικῷ, δοκοῦντι δὲ ἀργότερον ὑπὸ γήρως ἕπεσθαι τοῖς καιροῖς τοῦ πολέμου. καὶ ἀπολείπεσθαι
τῶν πραγμάτων, ἁρπαζομένων ὀξύτητι καὶ τάχει τοῦ σερτωρίου παραβόλως, καὶ λῃστρικώτερον
αὐτῷ προσφερομένου, καὶ ταράττοντος ἐνέδραις καὶ περιδρομαῖς ἄνδρα νομίμων ἀθλητὴν ἀγώνων, προσφερομ. π. κ.ς.τ.
καὶ δυνάμεως σταδίου καὶ βαρείας ἡγεμόνα. πρὸς ταῦτα πομπήιος ἔχων στρατιὰν ὑφ' ἑαυτῷ, διε- νομίμων κ.
πράττετο μετέλλῳ πεμφθῆναι βοηθός. καὶ κάτλου κελεύοντος οὐ διέλυσεν, ἀλλ' ἐν τοῖς ὅπλοις ἦν πε-
ρὶ τὴν πόλιν, ἀεί τινας ποιούμενος προφάσεις, ἕως ἔδωκαν αὐτῷ τὴν ἀρχὴν λευκίου φιλίππου γνώ-
μην εἰπόντος. ὅτε καὶ φασὶν ἐν συγκλήτῳ πυθομένου τινὸς καὶ θαυμάζοντος εἰ πομπήιον ἀνθύπατον
οἴεται δεῖν ἐκπεμφθῆναι φίλιππος, οὐκ ἔγωγε φάναι τὸν φίλιππον, ἀλλ' ἀνθυπάτων. ὡς ἀμφοτέ- ἀνθ' ὑπάτων π.ς.
ρους τοὺς τότε ὑπατεύοντας, οὐδενὸς ἀξίους ὄντας. ἐπεὶ δὲ τῆς ἰβηρίας ἁψάμενος ὁ πομπήιος οἷα φι-
λεῖ πρὸς νέου δόξαν ἡγεμόνος, ἑτέραις ταῖς ἐλπίσιν ἐποίησε τοὺς ἀνθρώπους. καὶ τὰ μὴ πάνυ βεβαίως
τῷ σερτωρίῳ συνεστῶτα τῶν ἐθνῶν ἐκινεῖτο καὶ μετεβάλλετο, λόγους ὑπερηφάνους ὁ σερτώριος κα-
τὰ τοῦ πομπηίου διέσπειρε. καὶ σκώπτων ἔλεγε νάρθηκος αὐτῷ δεήσειν καὶ σκύτους ἐπὶ τὸν παῖδα
τοῦτον, εἰ μὴ τὴν γραῦν ἐκείνην ἐφοβεῖτο, λέγων τὸν μέτελλον. ἔργῳ μέντοι φυλαττόμενος σφόδρα καὶ ἔργῳ π.ς.
δεδιὼς τὸν πομπήιον, ἀσφαλέστερον ἐστρατήγει. καὶ γὰρ ὁ μέτελλος, ὅπερ οὐκ ἄν τις ᾠήθη, διετέθρυπτο
τῷ βίῳ κομιδῇ πρὸς τὰς ἡδονὰς ἐνδεδωκώς. καὶ μεγάλη τις εἰς ὄγκον καὶ πολυτέλειαν ἐξαίφνης
ἐγεγόνει μεταβολὴ περὶ αὐτόν. ὥστε τῷ πομπηίῳ, καὶ τοῦτο θαυμαστὴν εὔνοιαν ἅμα δόξῃ φέρειν. ἐπι-
τείνοντι τὴν εὐτέλειαν τῆς διαίτης, οὐ πολλῆς ἐπιτηδεύσεως δεομένην. φύσει γὰρ ἦν σώφρων καὶ
τεταγμένος ἐν ταῖς ἐπιθυμίαις. τοῦ δὲ πολέμου πολλὰς ἰδέας ἔχοντος, ἠνίασε μάλιστα τὸν πομ-
πήιον, ἡ λαυρώνος ἅλωσις ὑπὸ σερτωρίου. κυκλοῦσθαι γὰρ αὐτὸν οἰηθεὶς, καί τι μεγαληγορήσας, αὐ-
τὸς ἐξαίφνης ἀνεφάνη περιεχόμενος κύκλῳ. καὶ διὰ τοῦτο κινεῖσθαι δεδιὼς, ἐπεῖδε καταπιμπραμέ-
νην τὴν πόλιν αὐτοῦ παρόντος. ἑρέννιον δὲ καὶ περπένναν, ἄνδρας ἡγεμονικοὺς τῶν πρὸς σερτώ-
ριον καταπεφευγότων καὶ στρατηγούντων ἐκείνῳ νικήσας περὶ οὐαλεντίαν, ὑπὲρ μυρίους ἀπέκτει-
νεν. ἐπαρθεὶς δὲ τῇ πράξει καὶ μέγα φρονῶν, ἐπ' αὐτὸν ἔσπευδε σερτώριον ὡς μὴ μετάσχοι τῆς νίκης μέ-
τελλος. περὶ δὲ σούκρωνι ποταμῷ τῆς ἡμέρας ἤδη τελευτώσης συνέβαλλον τὰς δυνάμεις, δεδιότες
μεταλαβεῖν τὸν μέτελλον. ὁ μὲν ὡς μόνος. ὁ δὲ, ὡς μόνῳ διαγωνίσαιτο. τὸ μὲν οὖν τέλος ἀμφίδοξον
ἔσχεν ὁ ἀγών. ἑκατέρου γὰρ θάτερον κέρας ἐνίκησε. τῶν δὲ στρατηγῶν πλέον ἠνέγκατο σερτώριος.
ἐτρέψατο γὰρ τὸ καθ' αὑτὸν ἑκάτερος ἀντιταχθείς. πομπηίῳ δὲ ἀνὴρ μέγας ἱππότης πεζὸς ἐφώρμησε.
συμπεσόντων δὲ εἰς τὸ αὐτὸ καὶ γενομένων ἐν λαβαῖς, ἀπέσκηψαν αἱ πληγαὶ τῶν ξιφῶν εἰς τὰς χεῖ-
ρας ἀμφοῖν οὐχ ὁμοίως. ἐτρώθη μὲν γὰρ ὁ πομπήιος μόνον. ἐκείνου δὲ ἀπέκοψε τὴν χεῖρα. πλειό-
νων δὲ συνδραμόντων ἐπ' αὐτὸν, ἤδη τῆς τροπῆς γεγενημένης, ἀνελπίστως διέφυγε, προέμενος τὸν ἵπ-
πον τοῖς πολεμίοις, φάλαρα χρυσᾶ, καὶ κόσμον ἄξιον πολλοῦ περικείμενον. ταῦτα γὰρ διανεμό-
μενοι καὶ περὶ τούτων μαχόμενοι πρὸς ἀλλήλους, ἀπελείφθησαν. ἅμα δὲ ἡμέρα, παρετάξαντο μὲν
ἀμφότεροι πάλιν, ἐκβεβαιούμενοι τὸ νίκημα. μετέλλου δὲ προσιόντος, ἀνεχώρησεν ὁ σερτώριος σκε-
δασθέντι τῷ στρατῷ. τοιαῦται γὰρ ἦσαν αἱ διαλύσεις. καὶ πάλιν συνδρομαὶ τῶν ἀνθρώπων, ὥστε
πολλάκις μόνον πλανᾶσθαι τὸν σερτώριον. πολλάκις δὲ αὖθις ἐπιέναι μυριάσι πεντεκαίδεκα στρατιᾶς,
ὥσπερ χειμάρρουν ἐξαίφνης πιμπλάμενον. ὁ δ' οὖν πομπήιος ἐπεὶ μετὰ τὴν μάχην ἀπήντα τῷ με-
τέλλῳ καὶ πλησίοι ἀλλήλων ἦσαν, ἐκέλευσεν ὑφεῖναι τὰς ῥάβδους θεραπεύων ὡς προὔχοντα τιμῇ
τὸν μέτελλον. ὁ δὲ καὶ τοῦτο διεκώλυσε, καὶ τἆλλα χρηστὸς ἦν ἀνὴρ περὶ αὐτὸν, οὐδὲν ὡς ὑπατικῷ καὶ
πρεσβυτέρῳ νέμων ἑαυτῷ πλέον, ἀλλ' ἢ τὸ σύνθημα κοινῇ στρατοπεδευόντων εἰς ἅπαντας ἐξεπέμ-
πετο παρὰ μετέλλου. τὰ πολλὰ δὲ χωρὶς ἐστρατοπεδεύοντο. διέκοπτε γὰρ αὐτοὺς καὶ διΐστη ποικίλος ὢν
ὁ πόλεμος, καὶ δεινὸς ἐν βραχεῖ πολλαχοῦ περιφανῆναι, καὶ μεταγαγεῖν ἀπ' ἄλλων εἰς ἄλλους

εἶλεν προθυμότατα μεγάλῃ φωνῇ, μάγνον ἠσπάσατο, καὶ τοὺς παρόντας οὕτως ἐκέλευσε προσαγορεύειν. σημαίνει δὲ μέγαν ὁ μάγνος. ἕτεροι δέ φασιν ἐν λιβύῃ πρῶτον ἀναφώνημα τοῦτο τοῦ στρατοῦ παντὸς γενέσθαι, κράτος δὲ λαβεῖν καὶ δύναμιν, ὑπὸ σύλλα βεβαιωθέν. αὐτὸς μέντοι πάντων ὕστατος, καὶ μετὰ πολὺν χρόνον εἰς ἰβηρίαν, ἀνθύπατος ἐκπεμφθεὶς ἐπὶ σερτώριον, ἤρξατο γράφειν ἑαυτὸν ἐν ταῖς ἐπιστολαῖς καὶ τοῖς διατάγμασι, μάγνον πομπήϊον. οὐκέτι γὰρ ἦν ἐπίφθονον τοὔνομα, συνήθες γενόμενον. ὅθεν εἰκότως ἂν ἀγασθείη καὶ θαυμάσειεν ἄν τις τοὺς πάλαι ῥωμαίους, οἳ ταῖς τοιαύταις κλήσεσι καὶ προσωνυμίαις, οὐ τὰς πολεμικὰς ἠμείβοντο καὶ στρατιωτικὰς κατορθώσεις μόνον, ἀλλὰ καὶ τὰς πολιτικὰς πράξεις καὶ ἀρετὰς ἐκόσμουν. δύο γοῦν μαξίμους ὅπερ ἐστὶ μεγίστους, ἀνηγόρευσεν ὁ δῆμος. οὐαλλέριον μὲν ἐπὶ τῷ διαλλάξαι στασιάζουσαν αὐτῷ τὴν σύγκλητον. φάβιον δὲ ῥοῦλλον, ὅτι πλουσίους τινὰς ἐξ ἀπελευθέρων γεγονότας καὶ κατειλεγμένους εἰς τὴν σύγκλητον ἐξέβαλεν. ἐκ τούτου, θρίαμβον ᾔτει πομπήϊος, ἀντέλεγε δὲ σύλλας. ὑπάτῳ γὰρ ἢ στρατηγῷ μόνῳ, ἄλλῳ δὲ οὐδενὶ δίδωσιν ὁ νόμος. διὸ καὶ σκηπίων ὁ πρῶτος ἀπὸ μειζόνων καὶ κρειττόνων ἀγώνων ἐν ἰβηρίᾳ καρχηδονίων κρατήσας, οὐκ ᾔτησε θρίαμβον. ὕπατος γὰρ οὐκ ἦν οὐδὲ στρατηγός. εἰ δὲ πομπήϊος οὔπω πάνυ γενειῶν εἰσελᾷ θριαμβεύων εἰς τὴν πόλιν, ᾧ βουλῆς διὰ τὴν ἡλικίαν οὐ μέτεστι, παντάπασιν ἐπίφθονον ἔσεσθαι, καὶ τὴν ἀρχὴν ἑαυτῷ, καὶ τὴν τιμὴν ἐκείνῳ. ταῦτα πρὸς πομπήϊον ὁ σύλλας ἔλεγεν, ὡς οὐκ ἐάσων, ἀλλ' ἐνστησόμενος αὐτῷ, καὶ κωλύσων τὸ φιλόνεικον ἀπειθοῦντος. ὁ δὲ πομπήϊος, οὐχ ὑπέπτηξεν, ἀλλ' ἐννοεῖν ἐκέλευε τὸν σύλλαν, ὅτι τὸν ἥλιον ἀνατέλλοντα πλείονες, ἢ δυόμενον προσκυνοῦσιν. ὡς αὐτῷ μὲν αὐξανομένης, μειουμένης δὲ καὶ μαραινομένης ἐκείνῳ τῆς δυνάμεως. ταῦτα ὁ σύλλας οὐκ ἀκριβῶς ἀκούσας, ὁρῶν δὲ τοὺς ἀκούσαντας, ἀπὸ τοῦ προσώπου καὶ τοῦ σχήματος ἐν θαύματι ποιουμένους, ἤρετο τί τὸ λεχθὲν εἴη. πυθόμενος δὲ καὶ καταπλαγεὶς τοῦ πομπηΐου τὴν τόλμαν, ἀνεβόησε δὶς ἐφεξῆς, θριαμβευσάτω. πολλῶν δὲ δυσχεραινόντων καὶ ἀγανακτούντων, ἔτι μᾶλλον αὐτοὺς ὥς φασι βουλόμενος ἀνιᾶν ὁ πομπήϊος, ἐπεχείρησεν ἅρματι ἐλεφάντων τεττάρων ἐπιβὰς εἰσελαύνειν. ἤγαγε γὰρ ἐκ λιβύης τῶν βασιλικῶν συχνοὺς αἰχμαλώτους. ἀλλὰ τῆς πύλης στενωτέρας οὔσης, ἀπέστη καὶ μετῆλθεν ἐπὶ τοὺς ἵππους. ἐπεὶ δὲ οἱ στρατιῶται μὴ τυχόντες ἡλίκων προσεδόκησαν, ἐνοχλεῖν ἐβούλοντο καὶ θορυβεῖν. οὐδὲν ἔφη φροντίζειν, ἀλλὰ ἀφήσειν μᾶλλον τὸν θρίαμβον, ἢ κολακεύσειν ἐκείνους. ὅτε δὴ καὶ σερουΐλιος ἀνὴρ ἐπιφανὴς, καὶ μάλιστα πρὸς τὸν θρίαμβον ἐνστὰς τοῦ πομπηΐου, νῦν ἔφη τὸν πομπήϊον ὁρᾶν, καὶ μέγαν ἀληθῶς καὶ ἄξιον τοῦ θριάμβου. δῆλον δέ ἐστιν, ὅτι καὶ βουλῆς ἂν ἐθελήσας τότε ῥᾳδίως ἔτυχεν. ἀλλ' οὐκ ἐσπούδασεν ὥς λέγουσι, τὸ ἔνδοξον ἐκ τοῦ παραδόξου θηρώμενος. οὐ γὰρ ἦν θαυμαστὸν, εἰ πρὸ ἡλικίας ἐβούλευε πομπήϊος, ἀλλ' ὑπέρλαμπρον, ὅτι μηδέπω βουλεύων, ἐθριάμβευε. τοῦτο δὲ αὐτῷ καὶ πρὸς εὔνοιαν ὑπῆρχε τῶν πολλῶν οὐ μικρόν. ἔχαιρε γὰρ ὁ δῆμος αὐτῷ μετὰ θρίαμβον ἐν τοῖς ἱππικοῖς ἐξεταζομένῳ. σύλλας δὲ ἠνιᾶτο μὲν ὁρῶν εἰς ὅσον δόξης πρόεισι καὶ δυνάμεως. αἰσχυνόμενος δὲ κωλύειν, ἡσυχίαν ἦγε. πλὴν ὅτε βίᾳ καὶ ἄκοντος αὐτοῦ, λέπιδον εἰς ὑπατείαν κατέστησε συναρχαιρεσιάσας, καὶ τὸν δῆμον τῇ πρὸς αὐτὸν εὐνοίᾳ, ἐκείνῳ σπουδάζοντα παρέσχε, θεασάμενος αὐτὸν ἀπιόντα μετὰ πλήθους δι' ἀγορᾶς ὁ σύλλας, ὁρῶ σε εἶπεν ὦ νεανία χαίροντα τῇ νίκῃ. πῶς γὰρ οὐχὶ γενναῖα ταῦτα καὶ καλὰ, κάτλου τοῦ πάντων ἀρίστου, λέπιδον τὸν πάντων κάκιστον ἀποδειχθῆναι πρότερον ὕπατον, σοῦ τὸν δῆμον οὕτω παρασκευάσαντος. ὥρα μέντοι σοι μὴ καθεύδειν, ἀλλὰ προσέχειν τοῖς πράγμασιν. ἰσχυρότερον γὰρ τὸν ἀνταγωνιστὴν σεαυτοῦ παρεσκεύακας. ἐδήλωσε δὲ μάλιστα σύλλας, ὅτι πρὸς πομπήϊον οὐκ εὐμενῶς ἔχει, ταῖς διαθήκαις ἃς ἔγραψεν. ἑτέροις γὰρ φίλοις δωρεὰς ἀπολιπὼν, καὶ τοῦ παιδὸς ἀποδείξας ἐπιτρόπους, τὸν πομπήϊον ὅλως παρῆλθεν. ἤνεγκε μέντοι τοῦτο μετρίως πάνυ καὶ πολιτικῶς ἐκεῖνος. ὥστε λεπίδου καί τινων ἄλλων ἐνισταμένων μὴ ταφῆναι τὸν νεκρὸν ἐν τῷ πεδίῳ, μηδὲ δημοσίᾳ τὴν ἐκφορὰν γενέσθαι, βοηθῆσαι καὶ παρασχεῖν, δόξαν ἅμα ταῖς ταφαῖς καὶ ἀσφάλειαν. ἐπεὶ δὲ ταχὺ τοῦ σύλλα τελευτήσαντος, εἰς φῶς παρῄει τὰ μαντεύματα. καὶ λέπιδος εἰσποιῶν ἑαυτὸν εἰς τὴν ἐκείνου δύναμιν, οὐ κύκλῳ περιιὼν οὐδὲ μετὰ σχήματος, ἀλλ' εὐθὺς ἐν τοῖς ὅπλοις ἦν. τὰ πάλαι νοσοῦντα καὶ διαφυγόντα τὸν σύλλαν ὑπολείμματα τῶν στάσεων αὖθις ἀνακινῶν καὶ περιβαλλόμενος. ὁ δὲ συνάρχων αὐτοῦ κάτλος, ᾧ τὸ καθαρὸν καὶ ὑγιαῖνον μάλιστα τῆς βουλῆς καὶ τοῦ δήμου προσεῖχεν, ἦν μὲν ἐν ἀξιώματι σωφροσύνης καὶ δικαιοσύνης μέγιστος τῶν τότε ῥωμαίων, ἐδόκει δὲ πολιτικῆς ἡγεμονίας μᾶλλον, ἢ στρατιωτικῆς οἰκεῖος εἶναι, τῶν πραγμάτων αὐτῶν ποθούντων τὸν πομπήϊον, οὐ διεμέλλησεν ὅποι τράπηται. προσθεὶς δὲ τοῖς ἀρίστοις ἑαυτὸν, ἀπεδείχθη στρατεύματος ἡγεμὼν ἐπὶ τὸν λέπιδον, ἤδη πολλὰ τῆς ἰταλίας κεκινηκότα, καὶ τὴν ἐντὸς ἄλπεων γαλατίαν κατέχοντα διὰ βρούτου στρατεύματι. τῶν μὲν οὖν ἄλλων, ἐκράτησε ῥᾳδίως ἐπελθὼν ὁ πομπήϊος. ἐν δὲ μουτίνῃ τῆς γαλατίας, ἀντεκάθητο τῷ βρούτῳ συχνὸν χρόνον. ἐν ᾧ λέπιδος ἐπὶ τὴν ῥώμην ῥυεὶς, καὶ προσκαθήμενος ἔξωθεν, ὑπατείαν ᾔτει δευτέραν, ὄχλῳ πολλῷ

ζε. τῶν δ' ἄλλων ὅσους ᾔδει, περιεώρα λανθάνοντας. ἐνίους δὲ καὶ συνεξέπεμψε. τὴν δ' ἱμεραίων πόλιν ἐγνωκότος αὐτοῦ κολάζειν γενομένην μετὰ τῶν πολεμίων, σθένις ὁ δημαγωγὸς αἰτησάμενος λόγον, οὐκ ἔφη δίκαια ποιήσειν τὸν πομπήιον, ἐὰν τὸν αἴτιον ἀφεὶς ἀπολέσῃ τοὺς μηδὲν ἀδικηκότας. ἐρομένου δὲ ἐκείνου τίνα λέγει τὸν αἴτιον, ἑαυτὸν ὁ σθένις ἔφη, τοὺς μὲν φίλους πείσαντα τῶν πολιτῶν, τοὺς δ' ἐχθροὺς βιασάμενον. ἀγασθεὶς οὖν τὴν παρρησίαν καὶ τὸ φρόνημα τοῦ ἀνδρὸς ὁ πομπήιος, ἀφῆκε τῆς αἰτίας πρῶτον ἐκεῖνον, εἶτα τοὺς ἄλλους ἅπαντας. ἀκούων δὲ τοὺς στρατιώτας ἐν ταῖς ὁδοιπορίαις ἀτακτεῖν, σφραγῖδα ταῖς μαχαίραις αὐτῶν ἐπέβαλεν· ἣν ὁ μὴ φυλάξας ἐκολάζετο. ταῦτα πράττων ἐν σικελίᾳ καὶ πολιτευόμενος, ἐδέξατο δόγμα συγκλήτου, καὶ γράμματα σύλλα, κελεύοντα εἰς λιβύην πλεῖν, καὶ πολεμεῖν δομετίῳ κατὰ κράτος, ἠθροικότι πολλαπλασίαν δύναμιν, ἧς ἔχων μάριος οὐ πάλαι διεπέρασεν ἐκ λιβύης εἰς ἰταλίαν καὶ συνέχεε τὰ ῥωμαίων πράγματα, τύραννος ἐκ φυγάδος καταστάς. ὀξέως οὖν ἅπαντα παρασκευασάμενος ὁ πομπήιος, σικελίας μὲν ἄρχοντα μέμμιον κατέλιπε τὸν ἄνδρα τῆς ἀδελφῆς. αὐτὸς δὲ ἀνήγετο ναυσὶ μὲν μακραῖς, ἑκατὸν εἴκοσι. φορτηγοῖς δὲ σῖτον καὶ βέλη καὶ χρήματα καὶ μηχανὰς κομιζούσαις, ὀκτακοσίαις. κατασχόντι δὲ αὐτῷ, ταῖς μὲν, εἰς ἰτύκην, ναυσί. ταῖς δὲ, εἰς καρχηδόνα, τῶν πολεμίων ἀποστάντες ἑπτακισχίλιοι, προσεχώρησαν. αὐτὸς δὲ ἦγεν, ἓξ ἐντελῆ τάγματα. συμβῆναι δ' αὐτῷ, πρᾶγμα γελοῖον ἱστοροῦσι. στρατιῶται γάρ τινες ὡς ἔοικε θησαυρῷ περιπεσόντες, ἔλαβον συχνὰ χρήματα. τοῦ δὲ πράγματος γενομένου φανεροῦ, ἔδοξε τοῖς ἄλλοις πᾶσι χρημάτων μεστὸν εἶναι τὸν τόπον, ἐν ταῖς ποτὲ τύχαις τῶν καρχηδονίων ἀποτιθεμένων. οὐδὲν οὖν ὁ πομπήιος εἶχε χρῆσθαι τοῖς στρατιώταις, ἐπὶ πολλὰς ἡμέρας θησαυροὺς ζητοῦσιν, ἀλλὰ περιῄει γελῶν καὶ θεώμενος ὁμοῦ μυριάδας τοσαύτας ὀρυττούσας καὶ στρεφούσας τὸ πεδίον, ἕως ἀπειπόντες, ἐκέλευον αὐτοὺς ἄγειν ὅπῃ βούλεται τὸν πομπήιον, ὡς δίκην ἱκανὴν τῆς ἀβελτηρίας δεδωκότας. ἀντιτεταγμένου δὲ τοῦ δομετίου καὶ χαράδραν τινὰ προβεβλημένου χαλεπὴν περᾶσαι καὶ τραχεῖαν, ὄμβρος ἅμα πνεύματι πολὺς ἕωθεν ἀρξάμενος κατεῖχεν, ὥστε ἀπογνόντα τῆς ἡμέρας ἐκείνης μαχέσασθαι τὸν δομέτιον, ἀναζυγὴν παραγγεῖλαι. πομπήιος δὲ τοῦτον αὑτῷ ποιούμενος τὸν καιρὸν, ὀξέως ἐπῄει καὶ διέβαινε τὴν χαράδραν. οἱ δὲ ἀτάκτως καὶ θορυβούμενοι, καὶ οὐ πάντες, οὐδὲ ὁμαλῶς ὑφίσταντο. καὶ τὸ πνεῦμα περιήκει τὴν ζάλην αὐτοῖς προσβάλλον ἐναντίαν. οὐ μὴν, ἀλλὰ καὶ τοὺς ῥωμαίους ὁ χειμὼν ἐτάραξεν, οὐ καθορῶντας ἀλλήλους ἀκριβῶς, αὐτός τε πομπήιος ἐκινδύνευσεν ἀγνοηθεὶς ἀποθανεῖν, ἐρωτῶντι στρατιώτῃ τὸ σύνθημα, βράδιον ἀποκρινάμενος. ὠσάμενοι δὲ πολλῷ φόνῳ τοὺς πολεμίους. λέγονται γὰρ ἀπὸ δισμυρίων τρισχίλιοι διαφυγεῖν, αὐτοκράτορα τὸν πομπήιον ἠσπάσαντο. φήσαντος δὲ ἐκείνου, μὴ δέχεσθαι τὴν τιμὴν ἕως ὀρθὸν ἕστηκε τὸ στρατόπεδον τῶν πολεμίων. εἰ δὲ αὐτὸν ἀξιοῦσι ταύτης τῆς προσηγορίας, ἐκεῖνο χρῆναι πρότερον καταβαλεῖν, ὥρμησαν εὐθὺς ἐπὶ τὸν χάρακα. καὶ πομπήιος ἄνευ κράνους ἠγωνίζετο, δεδοικὼς τὸ πρότερον πάθος. ἁλίσκεται δὲ τὸ στρατόπεδον, καὶ ἀποθνήσκει δομέτιος. τῶν δὲ πόλεων, αἱ μὲν εὐθὺς ὑπήκουον. αἱ δὲ κατὰ κράτος ἐλήφθησαν. εἷλε δὲ καὶ τῶν βασιλέων ἰάρβαν τὸν συμμαχήσαντα δομετίῳ. τὴν δὲ βασιλείαν ἱάμψᾳ παρέδωκε. χρώμενος δὲ τῇ τύχῃ καὶ τῇ ῥώμῃ τοῦ στρατεύματος, εἰς τὴν νομαδικὴν ἐνέβαλε. καὶ πολλῶν ὁδὸν ἡμερῶν ἐλάσας, καὶ πάντων κρατήσας οἷς ἐνέτυχε, καὶ τὸ πρὸς ῥωμαίους δέος ἤδη τῶν βαρβάρων ἐξερρυηκὸς, αὖθις ἰσχυρὸν καὶ φοβερὸν καταστήσας, οὐδὲ τὰ θηρία δεῖν ἔφη τὰ τὴν λιβύην κατοικοῦντα τῆς τῶν ῥωμαίων ἄπειρα ῥώμης καὶ τύχης ἀπολιπεῖν. ὅθεν ἐν θήραις λεόντων καὶ ἐλεφάντων, ἡμέρας διέτριψεν οὐ πολλάς. ταῖς δὲ πάσαις ὥς φασι τεσσαράκοντα, τοὺς πολεμίους συνεῖλε, καὶ λιβύην ἐχειρώσατο, καὶ διῄτησε τὰ τῶν βασιλέων. ἔτος ἄγων ἐκεῖνο τέταρτον καὶ εἰκοστόν. ἐπανελθόντα δὲ εἰς ἰτύκην αὐτῷ γράμματα κομίζεται σύλλα προστάττοντος, ἀφεῖναι μὲν τὴν ἄλλην στρατείαν. αὐτὸν δὲ μεθ' ἑνὸς τάγματος περιμένειν αὐτόθι, τὸν διαδεξόμενον στρατηγόν. ἐπὶ τούτοις, ἀδήλως μὲν αὐτὸς ἤχθετο, καὶ βαρέως ἔφερεν. ἐμφανῶς δὲ ὁ στρατὸς ἠγανάκτει, καὶ δεηθέντος τοῦ πομπηίου προελθεῖν, τόν τε σύλλαν κακῶς ἔλεγον κἀκεῖνον οὐκ ἔφασαν προήσεσθαι χωρὶς αὐτῶν, οὐδὲ ἐᾶν πιστεύειν τῷ τυράννῳ. τὸ μὲν οὖν πρῶτον ὁ πομπήιος ἐπειρᾶτο πραΰνειν καὶ παρηγορεῖν αὐτούς. ὡς δ' οὐκ ἔπειθε, καταβὰς ἀπὸ τοῦ βήματος, ἐπὶ τὴν σκηνὴν ἀπῄει δεδακρυμένος. οἱ δὲ συλλαβόντες αὐτὸν, αὖθις ἐπὶ τοῦ βήματος κατέστησαν. καὶ πολὺ μέρος τῆς ἡμέρας ἀνηλώθη, τῶν μὲν μένειν καὶ ἄρχειν, κελευόντων. τοῦ δὲ, πείθεσθαι δεομένου καὶ μὴ στασιάζειν, ἄχρις οὗ προσλιπαρούντων καὶ καταβοώντων, ὤμοσεν ἀναιρήσειν ἑαυτὸν εἰ βιάζοιντο. καὶ μόλις ἐπαύσαντο οὕτως. τῷ δὲ σύλλᾳ πρώτη μὲν ἦλθεν ἀγγελία, τὸν πομπήιον ἀφεστάναι, καὶ πρὸς τοὺς φίλους εἶπεν. ὡς ἄρα πεπρωμένον ἦν αὐτῷ γενομένῳ γέροντι, παίδων ἀγῶνας ἀγωνίζεσθαι, διὰ τὸ καὶ μάριον αὐτῷ νέον ὄντα κομιδῇ πλεῖστα πράγματα παρασχεῖν, καὶ εἰς τοὺς ἐσχάτους περιστῆσαι κινδύνους. πυθόμενος δὲ τἀληθῆ. καὶ πάντας ἀνθρώπους αἰσθανόμενος δέχεσθαι καὶ παραπέμπειν τὸν πομπήιον ὡρμημένους μετ' εὐνοίας, ἔσπευδεν ὑπερβαλέσθαι. καὶ προελθὼν ἀπήντησεν αὐτῷ, καὶ δεξιωσάμενος ὡς

νος εἰς χαλεπὰ καὶ ἄβατα χωρία, πάντας ἐμβάλλει διώκων. οἱ δὲ τὴν σωτηρίαν ἀνέλπιστον ὁρῶντες, ἐνεχείρισαν αὐτὸν μετὰ τῶν ὅπλων καὶ τῶν ἵππων. οὔπω δὲ ταῦτα σύλλας ἐπέπυστο. πρὸς δὲ τὰς πρώτας ἀγγελίας καὶ φήμας ὑπὲρ αὐτοῦ δεδοικὼς, ἐν τοσούτοις καὶ τηλικούτοις ἀναστρεφομένου στρατηγοῖς πολεμίοις, ἐδίωκε βοηθήσων. γνοὺς δὲ ὁ πομπήϊος ἐγγὺς ὄντα, προσέταξε τοῖς ἡγεμόσιν, ἐξοπλίζειν καὶ διακοσμεῖν τὴν δύναμιν, ὡς καλλίστη τῷ αὐτοκράτορι καὶ λαμπροτάτη φανείη. μεγάλας γὰρ ἤλπιζε παρ᾽ αὐτοῦ τιμάς. ἔτυχε δὲ μειζόνων. ὡς γὰρ εἶδεν αὐτὸν ὁ σύλλας προσιόντα, καὶ τὴν στρατιὰν παρεστῶσαν, ἀνδρίᾳ τε θαυμαστὴν, καὶ διὰ τὰς κατορθώσεις ἐπηρμένην καὶ ἱλαρὰν, ἀποπηδήσας τοῦ ἵππου καὶ προσαγορευθεὶς ὡς εἰκὸς αὐτοκράτωρ, ἀντιπροσηγόρευσεν αὐτοκράτορα τὸν πομπήϊον. οὐδενὸς ἂν προσδοκήσαντος ἀνδρὶ νέῳ, καὶ μηδέπω βουλῆς μετέχοντι κοινώσασθαι τοὔνομα τὸν σύλλαν, περὶ οὗ σκηπίωσι καὶ μαρίοις ἐπολέμει. καὶ τἆλλα δὲ ἦν ὁμολογοῦντα ταῖς πρώταις φιλοφροσύναις, ὑπεξανισταμένου τε προσιόντι τῷ πομπηΐῳ, καὶ τῆς κεφαλῆς ἀπάγοντος τὸ ἱμάτιον. ἃ πρὸς ἄλλον οὐ ῥᾳδίως ἑωρᾶτο ποιῶν. καίτοι πολλῶν ὄντων καὶ ἀγαθῶν περὶ αὐτόν. οὐ μὴν ἐκουφίσθη γε τούτοις ὁ πομπήϊος, ἀλλὰ εὐθὺς εἰς τὴν κελτικὴν ὑπ᾽ αὐτοῦ πεμπόμενος, ἣν ἔχων ὁ μέτελλος ἐδόκει μηδὲν ἄξιον πράττειν τῆς παρασκευῆς, οὐ καλῶς ἔφη ἔχειν πρεσβύτερον καὶ προὔχοντα δόξῃ στρατηγίας ἀφαιρεῖσθαι· βουλομένῳ μέντοι τῷ μετέλλῳ, καὶ κελεύοντι συμπολεμεῖν καὶ βοηθεῖν, ἕτοιμος εἶναι. δεξαμένου δὲ τοῦ μετέλλου καὶ γράψαντος ἥκειν, ἐμβαλὼν εἰς τὴν κελτικὴν, αὐτός τε καθ᾽ αὑτὸν ἔργα θαυμαστὰ διεπράττετο, καὶ τοῦ μετέλλου τὸ μάχιμον καὶ θαρσαλέον ἤδη σβεννύμενον ὑπὸ γήρως, αὖθις ἐξερρίπιζε καὶ συνεξεθέρμαινεν, ὥσπερ ὁ ῥέων καὶ πεπυρωμένος χαλκὸς, τῷ πεπηγότι καὶ ψυχρῷ περιχυθεὶς, λέγεται τοῦ πυρὸς μᾶλλον ἀνυγραίνειν καὶ συνανατήκειν. ἀλλὰ γὰρ ὥσπερ ἀθλητοῦ πρωτεύσαντος ἐν ἀνδράσι, καὶ πάντα χοῦ καθελόντος ἐνδόξως ἀγῶνας, εἰς οὐδένα λόγον τὰς παιδικὰς τίθενται νίκας, οὐδ᾽ ἀναγράφουσιν, οὕτως ἃς ἔπραξε τότε πράξεις ὁ πομπήϊος αὐτὰς καθ᾽ ἑαυτὰς ὑπερφυεῖς οὔσας, πλήθει τε καὶ μεγέθει τῶν ὑστέρων ἀγώνων καὶ πολέμων καταχωσμένας, ἐδεδίειν κινεῖν, μὴ περὶ τὰ πρῶτα πολλῆς διατριβῆς γενομένης, τῶν μεγίστων καὶ μάλιστα δηλούντων τὸ ἦθος ἔργων καὶ παθημάτων τοῦ ἀνδρὸς ἀπολειφθῶμεν. ἐπεὶ τοίνυν ἐκράτησε τῆς ἰταλίας ὁ σύλλας, καὶ δικτάτωρ ἀνηγορεύθη, τοὺς μὲν ἄλλους ἡγεμόνας καὶ στρατηγοὺς ἠμείβετο, πλουσίους ποιῶν καὶ προάγων ἐπὶ ἀρχάς, καὶ χαριζόμενος ἀφθόνως καὶ προθύμως ὧν ἕκαστος ἐδεῖτο. πομπήϊον δὲ θαυμάζων δι᾽ ἀρετὴν, καὶ μέγα νομίζων ὄφελος εἶναι τοῖς ἑαυτοῦ πράγμασιν, ἐσπούδασεν ἁμωσγέπως οἰκειότητι προσδήσασθαι. συμβουλομένης δὲ τῆς γυναικὸς αὐτοῦ τῆς μετέλλης, πείθουσι τὸν πομπήϊον ἀπαλλαγέντα τῆς ἀντιστίας, λαβεῖν γυναῖκα τὴν σύλλα πρόγονον αἰμιλίαν ἐκ μετέλλης καὶ σκαύρου γεγενημένην. ἀνδρὶ δὲ συνῳκοῦσαν ἤδη καὶ κύουσαν τότε. ἦν οὖν τυραννικὰ τοῦ γάμου καὶ τοῖς σύλλα καιροῖς μᾶλλον ἢ τῷ πομπηΐου βίῳ πρέποντα. τῆς μὲν αἰμιλίας ἀγομένης ἐγκύμονος παρ᾽ ἑτέρου πρὸς αὐτὸν, ἐξελαυνομένης δὲ τῆς ἀντιστίας ἀτίμως καὶ οἰκτρῶς, ἅτε δὴ καὶ τοῦ πατρὸς ἔναγχος ἐστερημένης διὰ τὸν ἄνδρα. κατεσφάγη γὰρ ὁ ἀντίστιος ἐν τῷ βουλευτηρίῳ, δοκῶν τὰ σύλλα τηρεῖν διὰ πομπήϊον. ἡ δὲ μήτηρ αὐτῆς ἐπιδοῦσα ταῦτα, προήκατο τὸν βίον ἑκουσίως. ὥστε καὶ τοῦτο τὸ πάθος τῇ περὶ τὸν γάμον ἐκεῖνον τραγῳδίᾳ προσγενέσθαι. καὶ νὴ δία τὸ τὴν αἰμιλίαν εὐθὺς διαφθαρῆναι παρὰ τῷ πομπηΐῳ τίκτουσαν. ἐκ τούτου σικελίαν ἠγγέλλετο περπέννας αὐτῷ κρατύνεσθαι. καὶ τοῖς περιοῦσιν ἔτι τῆς ἐναντίας στάσεως ὁρμητήριον παρέχειν τὴν νῆσον. αἰωρουμένου καὶ κάρβωνος αὐτόθι ναυτικῷ, καὶ δομιτίου λιβύῃ προσπεπλωκότος, ἄλλων τε πολλῶν ἐπιφανῶν μεγάλων ἀθροιζομένων φυγάδων, ὅσοι τὰς προγραφὰς ἔφθησαν ἀποδράντες. ἐπὶ τούτους πομπήϊος ἀπεστάλη μετὰ πολλῆς δυνάμεως. καὶ περπέννας μὲν εὐθὺς αὐτῷ σικελίας ἐξέστη. τὰς δὲ πόλεις ἀνελάμβανε τετρυχωμένας, καὶ φιλανθρώπως πάσαις ἐχρῆτο, πλὴν μαμερτίνων τῶν ἐν μεσσήνῃ. παραιτουμένων γὰρ αὐτῶν τὸ βῆμα καὶ τὴν δικαιοδοσίαν, ὡς νόμῳ παλαιῷ ῥωμαίων ἀπειρημένα, οὐ παύσεσθαι εἶπεν ἡμῖν ὑπεζωσμένοις ξίφη νόμους ἀναγινώσκοντες. ἔδοξε δὲ καὶ ταῖς κάρβωνος οὐκ ἀνθρωπίνως ἐνυβρίσαι συμφοραῖς. εἰ γὰρ ἦν ἀναγκαῖον αὐτὸν ὥσπερ ἦν ἴσως ἀνελεῖν, εὐθὺς ἔδει λαβόντα, καὶ τοῦ κελεύσαντος ἂν ἦν τὸ ἔργον. ὁ δὲ, δέσμιον προαγαγὼν ἄνδρα ῥωμαίων τρὶς ὑπατεύσαντα, καὶ πρὸ τοῦ βήματος στήσας, καθεζόμενος αὐτὸς ἀνέκρινεν, ἀχθομένων καὶ βαρυνομένων τῶν παρόντων. εἶτα ἐκέλευσεν ἀπαγαγόντας ἀνελεῖν. ἀπαχθέντα μέντοι φασὶν αὐτὸν, ὡς εἶδεν ἑλκόμενον ἤδη τὸ ξίφος, δεῖσθαι τόπον αὐτῷ καὶ χρόνον βραχὺν, ὡς ὑπὸ κοιλίας ἐνοχλουμένῳ παρασχεῖν. γάϊος δὲ ὄππιος ὁ καίσαρος ἑταῖρος, ἀπανθρώπως φησὶ καὶ κοΐντῳ οὐαλλερίῳ χρήσασθαι τὸν πομπήϊον. ἐπιστάμενον γὰρ ὡς ἔστι φιλόλογος ἀνὴρ καὶ φιλομαθὴς ἐν ὀλίγοις, ὁ οὐαλλέριος, ὡς ἤχθη πρὸς αὐτὸν ἐπισπασάμενον καὶ συμπεριπατήσαντα, καὶ πυθόμενον ὧν ἔχρῃζε καὶ μαθόντα, προστάξαι τοῖς ὑπηρέταις εὐθὺς ἀνελεῖν ἀπαγαγόντας. ἀλλ᾽ ὀππίῳ μὲν ὅταν περὶ τῶν καίσαρος πολεμίων ἢ φίλων διαλέγηται, σφόδρα δεῖ πιστεύειν μετ᾽ εὐλαβείας. πομπήϊος δὲ, τοὺς μὲν ἐν δόξῃ μάλιστα τῶν σύλλα πολεμίων, καὶ φανερῶς ἁλισκομένους, ἀναγκαίως ἐκόλαζε τῶν

π. ἐράσας, ἕνα τῶν ἀπελευθέρων νενοσφισμένον ὁ πομπήιος ἀλέξανδρον, ἀπέδειξε τοῖς ἄρχουσιν. αὐτὸς δὲ λίνα θηρευτικὰ καὶ βιβλία τῶν ἐν ἄσκλῳ ληφθέντων ἔχειν κατηγορεῖτο. ταῦτα δὲ ἔλαβε μὲν παρὰ τοῦ πατρὸς ἑλόντος τὸ ἄσκλον. ἀπώλεσε δὲ τῶν κίννα δορυφόρων ὅτε κατῆλθεν ὠσαμένων εἰς τὴν οἰκίαν αὐτοῦ καὶ διαρπασάντων. ἐγίνοντο δὲ τῆς δίκης αὐτῷ προάγωνες οὐκ ὀλίγοι πρὸς τὸν κατήγορον. ἐν οἷς ὀξὺς ἅμα καὶ παρ᾽ ἡλικίαν εὐσταθὴς φαινόμενος, δόξαν ἔσχε μεγάλην καὶ χάριν, ὥστε ἀντίστιον στρατηγοῦντα καὶ βραβεύοντα τὴν δίκην ἐκείνην, ἐρασθῆναι τοῦ πομπηίου, καὶ γυναῖκα διδόναι τὴν ἑαυτοῦ θυγατέρα, καὶ περὶ τούτου τοῖς φίλοις διαλέγεσθαι. δεξαμένου δὲ πομπηίου καὶ γενομένων ἐν αὐτοῖς ἀρρήτων ὁμολογιῶν, ὅμως οὐκ ἔλαθε τοὺς πολλοὺς τὸ πρᾶγμα, διὰ τὴν τοῦ ἀντιστίου σπουδήν. τέλος δὲ τὴν γνώμην ἀναγορεύσαντος αὐτοῦ τῶν δικαστῶν ἀπολύουσαν, ὥσπερ ἐκ παραγγέλματος, ὁ δῆμος ἐπεφώνησε, τὸ δὴ τοῖς γαμοῦσιν ἐπιφωνοῦσι κατὰ ἔθος παλαιοῦ, ταλασίῳ. τὸ δὲ ἔθος ἀρχὴν λαβεῖν φασὶ τοιαύτην. ὅτε τὰς θυγατέρας τῶν σαβίνων ἐπὶ θέαν ἀγῶνος εἰς ῥώμην παραγενομένας οἱ πρωτεύοντες ἀρετῇ ῥωμαίων ἥρπαζον ἑαυτοῖς γυναῖκας. ἄδοξοί τινες αἰγελάται καὶ βοτῆρες αἰράμενοι κόρην καλὴν καὶ μεγάλην ἐκόμιζον. ὅπως οὖν μὴ προστυχών τις ἀφέληται τῶν κρειττόνων, ἐβόων θέοντες ἅμα ταλασίῳ. τῶν δὲ χαριέντων καὶ γνωρίμων τίς ἦν ὁ ταλάσιος, ὥστε τοὺς ἀκούσαντας τοὔνομα κροτεῖν καὶ βοᾶν, οἷον συνηδομένους καὶ συνεπαινοῦντας. ἐκ τούτου φασί. καὶ γὰρ εὐτυχὴς ὁ γάμος ἀπέβη τῷ ταλασίῳ, ταύτην τὴν ἐπιφώνησιν μετὰ παιδιᾶς γίνεσθαι τοῖς γαμοῦσιν. οὗτος ὁ λόγος πιθανώτατός ἐστι, τῶν περὶ τοῦ ταλασίου λεγομένων. ὀλίγαις οὖν ὕστερον ἡμέραις ὁ πομπήιος ἠγάγετο τὴν ἀντιστίαν. ἐπεὶ δὲ πρὸς κίνναν εἰς τὸ στρατόπεδον πορευθεὶς, δι᾽ αἰτίας τινὸς καὶ διαβολῆς ἔδεισε. καὶ ταχὺ λαθὼν ἐκποδὼν ἐποίησεν ἑαυτὸν, οὐκ ὄντος δὲ ἐμφανοῦς αὐτοῦ θροῦς
π. διῆλθεν ἐν τῷ στρατοπέδῳ, καὶ λόγος ὡς ἀνῃρήκοι τὸν νεανίσκον ὁ κίννας. ἐκ δὲ τούτου οἱ πάλαι βαρυνόμενοι καὶ μισοῦντες, ὥρμησαν ἐπ᾽ αὐτόν. ὁ δὲ φεύγων. καὶ καταλαμβανόμενος ὑπό τινος τῶν λοχαγῶν γυμνῷ τῷ ξίφει διώκοντος, προσέπεσε τοῖς γόνασι. καὶ τὴν σφραγῖδα προὔτεινε πολυτίμον οὖσαν. ὁ δὲ, καὶ μάλα ὑβριστικῶς εἰπών. ἀλλ᾽ οὐκ ἐγγύην ἔρχομαι σφραγιούμενος, ἀλλὰ ἀνόσιον καὶ παράνομον τιμωρησόμενος τύραννον, ἀπέκτεινεν αὐτόν. οὕτω δὲ τοῦ κίννα τελευτήσαντος, ἐδέξατο μὲν τὰ πράγματα καὶ συνεῖχε κάρβων, ἐμπληκτότερος ἐκείνου τύραννος. ἐπῄει δὲ σύλλας, τοῖς πλείστοις ποθεινὸς ὑπὸ τῶν παρόντων κακῶν. οὐδὲ δεσπότου μεταβολὴν μικρὸν ἡγουμένοις ἀγαθὸν, εἰς τοῦτο προήγαγον αἱ συμφοραὶ τὴν πόλιν, ὡς δουλείαν ἐπιεικεστέραν ζητεῖν ἀπογνώσει τῆς ἐλευθερίας. τότε οὖν ὁ πομπήιος ἐν τῇ πικηνίδι τῆς ἰταλίας διέτριβεν, ἔχων μὲν αὐτόθι καὶ χωρία. τὸ δὲ πλέον ταῖς πόλεσιν ἡδόμενος, οἰκείως καὶ φιλικῶς πατρόθεν ἐχούσαις πρὸς αὐτόν. ὁρῶν δὲ τοὺς ἐπιφανεστάτους καὶ βελτίστους τῶν πολιτῶν ἀπολιπόντας τὰ οἰκεῖα, καὶ πανταχόθεν εἰς τὸ σύλλα στρατόπεδον, ὥσπερ εἰς λιμένα καταθέοντας, αὐτὸς οὐκ ἠξίωσεν ἀποδράς. οὐδὲ ἀσύμβολος. οὐδὲ χρῄζων βοηθείας, ἀλλὰ ὑπάρξας τινὸς χάριτος, ἐνδόξως καὶ μετὰ δυνάμεως ἐλθεῖν πρὸς αὐτόν. ὅθεν ἐκίνει τοὺς πικηνοὺς ἀποπειρώμενος. οἱ δὲ ὑπήκουον αὐτῷ προθύμως. καὶ τοῖς παρὰ κάρβωνος ἥκουσιν οὐ προσεῖχον. οὐινδίου δέ τινος εἰπόντος, ὅτι δημαγωγὸς αὐτοῖς ἐκ παιδαγωγείου παραπεπήδηκεν ὁ πομπήιος, οὕτως ἠγανάκτησαν, ὥστε εὐθὺς ἀνελεῖν προσπεσόντες τὸν οὐίνδιον. ἐκ τούτου πομπήιος ἔτη μὲν τρία καὶ εἴκοσι γεγονὼς, ὑπ᾽ οὐδενὸς δὲ ἀνθρώπων ἀποδεδειγμένος στρατηγὸς, αὐτὸς ἑαυτῷ δοὺς τὸ ἄρχειν, ἐν αὐξίμῳ πόλει μεγάλῃ, βῆμα θεὶς ἐν ἀγορᾷ, καὶ τοὺς πρωτεύοντας αὐτῶν ἀδελφοὺς δύο οὐεντιδίους ὑπὲρ κάρβωνος ἀντιπράττοντας, διατάγματι μεταστῆναι τῆς πόλεως κελεύσας, στρατιώτας κατέλεγε. καὶ λοχαγοὺς καὶ ταξιάρχους κατὰ κόσμον ἀποδείξας ἑκάστοις, τὰς κύκλῳ πόλεις ἐπῄει τὸ αὐτὸ ποιῶν. ἐξανισταμένων δὲ καὶ ὑποχωρούντων ὅσοι τὰ κάρβωνος ἐφρόνουν. τῶν δὲ ἄλλων ἀσμένως ἐπιδιδόντων ἑαυτοὺς, οὕτω κατανείμας ἐν ὀλίγῳ χρόνῳ τρία τάγματα τέλεια, καὶ τροφὴν πορίσας, καὶ σκευαγωγὰ καὶ ἁμάξας, καὶ τὴν ἄλλην πᾶσαν παρασκευὴν, ἦγε πρὸς σύλλαν οὐκ ἐπειγόμενος. οὐδὲ τὸ λαθεῖν ἀγαπῶν. ἀλλὰ διατρίβων καθ᾽ ὁδὸν, ἐν τῷ κακῶς ποιεῖν τοὺς πολεμίους. καὶ πᾶν ὅσον ἐπῄει τῆς ἰταλίας πειρώμενος ἀφιστάναι τοῦ κάρβωνος. ἀνέστησαν οὖν ἐπ᾽ αὐτὸν τρεῖς ἅμα στρατηγοὶ πολέμιοι, καρρίνας. καὶ κοίλιος. καὶ βροῦτος. οὐκ ἐναντίοι πάντες οὐδὲ ὁμόθεν, ἀλλὰ κύκλῳ τρισὶ στρατοπέδοις περιχωροῦντες ὡς ἀναρπασόμενοι, ὁ δὲ οὐκ ἔδεισεν, ἀλλὰ πᾶσαν εἰς ταὐτὸ τὴν δύναμιν συναγαγὼν, ὥρμησεν ἐφ᾽ ἓν τὸ τοῦ βρούτου στράτευμα, τοὺς ἱππεῖς ἐν οἷς ἦν αὐτὸς προτάξας. ἐπεὶ δὲ καὶ παρὰ τῶν πολεμίων ἀντεξίππασαν οἱ κελτοί. τὸν πρῶτον αὐτῶν καὶ ῥωμαλεώτατον, φθάνει παίσας ἐκ χειρὸς δόρατι καὶ καταβαλών. οἱ δὲ ἄλλοι τραπόμενοι, καὶ τὸ πεζὸν συνετάραξαν. ὥστε φυγὴν γενέσθαι πάντων. ἐκ δὲ τούτου στασιάσαντες οἱ στρατηγοὶ πρὸς ἀλλήλους, ἀνεχώρησαν ὡς ἕκαστος ἔτυχε. πομπηίῳ δὲ προσεχώρουν αἱ πόλεις, ὡς διὰ φόβον ἐσκεδασμένων τῶν πολεμίων. αὖθις δὲ σκηπίωνος ἐπιόντος αὐτῷ τοῦ ὑπάτου, πρὶν ἐν ἐμβολαῖς ὑσσῶν γενέσθαι τὰς φάλαγγας, οἱ σκηπίωνος ἀσπασάμενοι τοὺς πομπηίου, μετεβάλλοντο. σκηπίων δὲ ἔφυγεν. τέλος δὲ κάρβωνος αὐτοῦ περὶ τὸν ἄρσιν ποταμὸν ἱππέων συχνὰς ἴλας ἀφέντος, εὐρώστως ὑποστὰς καὶ τρεψάμε-

ἀγελάται .κ.

ὑπάρξαι ς. κ. π.
ὀυινδ. π. ς. κ.
οὐΐνδιον π. ς. κ.

οὐεντιδίων. ς. π.

πρὸς πομπήιον ἔοικε τοῦτο παθεῖν ὁ ῥωμαίων δῆμος εὐθὺς ἐξ ἀρχῆς, ὅπερ ὁ αἰσχύλου προμηθεὺς πρὸς τὸν ἡρακλέα, σωθεὶς ὑπ᾽ αὐτοῦ καὶ λέγων. ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον. οὔτε γὰρ μῖσος οὕτως ἰσχυρὸν καὶ ἄγριον ἐπεδείξαντο ῥωμαῖοι πρὸς ἕτερον στρατηγὸν, ὡς τὸν πομπηΐου πατέρα στράβωνα. ζῶντος μὲν αὐτοῦ, φοβούμενοι τὴν ἐν τοῖς ὅπλοις δύναμιν. ἦν γὰρ ἀνὴρ πολεμικώτατος. ἐπεὶ δὲ ἀπέθανε κεραυνωθεὶς, ἐκκομιζόμενον τὸ σῶμα, κατασπάσαντες ἀπὸ τοῦ λέχους καὶ καθυβρίσαντες, οὔτε μὴν εὔνοιαν αὖ πάλιν σφοδροτέραν ἢ θᾶσσον ἀρξαμένην, ἢ μᾶλλον εὐτυχοῦντι συναυξηθεῖσαν, ἢ πταίσαντι παραμείνασαν, βεβαιότερον ἄλλος ἔσχε ῥωμαίων, ἢ πομπήιος. αἰτία δὲ, τοῦ μὲν μίσους ἐκείνῳ μία, χρημάτων ἀπληστία. τούτῳ δὲ πολλαὶ τοῦ ἀγαπᾶσθαι, σωφροσύνη περὶ δίαιταν, ἄσκησις ἐν ὅπλοις, πιθανότης λόγου, πίστις ἤθους, εὐαρμοστία πρὸς ἔντευξιν, ὡς μηδένα ἀλυπότερον δεηθῆναι, μηδὲ ἥδιον ὑπουργῆσαι δεομένῳ. προσῆν γὰρ αὐτοῦ ταῖς χάρισι, καὶ τὸ ἀνεπαχθῶς διδόντος, καὶ τὸ σεμνὸν λαμβάνοντος. ἐν ἀρχῇ δὲ καὶ τὴν ὄψιν ἔσχεν οὐ μετρίως συνδημαγωγοῦσαν καὶ προεντυγχάνουσαν αὐτοῦ τῆς φωνῆς. τὸ γὰρ ἐράσμιον ἀξιωματικὸν ἦν φιλανθρώπως. καὶ τῷ νεαρῷ καὶ ἀνθοῦντι, διέφαινεν εὐθὺς ἡ ἀκμὴ τὸ γεραρὸν καὶ βασιλικὸν τοῦ ἤθους. ἦν δέ τις καὶ ἀναστολὴ τῆς κόμης ἀτρέμα. καὶ τῶν περὶ τὰ ὄμματα ῥυθμῶν ὑγρότης, τοῦ προσώπου ποιοῦσα μᾶλλον λεγομένην ἢ φαινομένην ὁμοιότητα, πρὸς τὰς ἀλεξάνδρου τοῦ βασιλέως εἰκόνας, ᾗ καὶ τοὔνομα πολλῶν ἐν ἀρχῇ συνεπιφερόντων, οὐκ ἔφευγεν ὁ πομπήιος. ὥς τε καὶ χλευάζοντας αὐτὸν ἐνίους, ἤδη καλεῖν ἀλέξανδρον. διὸ καὶ λεύκιος φίλιππος ἀνὴρ ὑπατικὸς συνηγορῶν αὐτῷ, μηδὲν ἔφη ποιεῖν παράλογον, εἰ φίλιππος ὢν, φιλαλέξανδρός ἐστι. φλώραν δὲ τὴν ἑταίραν ἔφασαν ἤδη πρεσβυτέραν οὖσαν, ἐπιεικῶς ἀεὶ μνημονεύειν τῆς γενομένης αὐτῇ πρὸς τὸν πομπήιον ὁμιλίας, λέγουσαν, ὡς οὐκ ἦν ἐκείνῳ συναναπαυσαμένην, ἀδήκτως ἀπελθεῖν. πρὸς δὲ τούτοις διηγεῖσθαι τὴν φλώραν ἐπιθυμῆσαί τινα τῶν πομπηΐου συνήθων αὐτῆς γεμίνιον. καὶ πράγματα πολλὰ παρέχειν πειρῶντα. αὐτῆς δὲ φαμένης οὐκ ἂν ἐθελῆσαι διὰ πομπήιον, ἐκεῖνον τὸν γεμίνιον διαλέγεσθαι. τὸν οὖν πομπήιον, ἐπιτρέψαι μὲν τῷ γεμινίῳ, μηκέτι δὲ αὐτὸν ἅψασθαι τὸ παράπαν, μηδ᾽ ἐντυχεῖν αὐτῇ, καίπερ ἐρᾶν δοκοῦντα. ταῦτα δὲ αὐτὴν, οὐχ ἑταιρικῶς ἐνεγκεῖν, ἀλλὰ πολὺν ὑπὸ λύπης καὶ πόθου χρόνον νοσῆσαι. καίτοι τὴν φλώραν οὕτω λέγουσιν ἀνθῆσαι καὶ γενέσθαι περιβόητον, ὥς τε κεκίλιον μέτελλον ἀνδριᾶσι καὶ γραφαῖς κοσμοῦντα τὸν νεὼν τῶν διοσκούρων, κἀκείνης εἰκόνα γραψάμενον ἀναθεῖναι διὰ τὸ κάλλος. πομπήιος δὲ, καὶ τῇ δημητρίου τοῦ ἀπελευθέρου γυναικὶ, πλεῖστον ἰσχύσαντος παρ᾽ αὐτῷ, καὶ τετρακισχιλίων ταλάντων ἀπολιπόντος οὐσίαν, ἐχρῆτο παρὰ τὸν αὐτοῦ τρόπον, οὐκ ἐπιεικῶς οὐδ᾽ ἐλευθερίως, φοβηθεὶς τὴν εὐμορφίαν αὐτῆς, ἄμαχόν τινα καὶ περιβόητον οὖσαν, ὡς μὴ φανείη κεκρατημένος. οὕτω δὲ πάνυ πόρρωθεν εὐλαβὴς ὢν πρὸς τὰ τοιαῦτα καὶ πεφυλαγμένος, ὅμως οὐ διέφυγε τῶν ἐχθρῶν τὸν ἐπὶ τούτῳ ψόγον. ἀλλ᾽ ἐπὶ ταῖς γαμεταῖς ἐσυκοφαντεῖτο, πολλὰ τῶν κοινῶν παριδεῖν καὶ προέσθαι χαριζόμενος ἐκείναις. τῆς δὲ περὶ τὴν δίαιταν εὐκολίας καὶ λιτότητος, καὶ ἀπομνημόνευμα λέγεται τοιοῦτο. ἰατρὸς αὐτῷ νοσοῦντι, καὶ κακῶς ἔχοντι πρὸς τὰ σιτία, κίχλην προσέταξε λαβεῖν. ὡς δὲ ζητοῦντες οὐχ εὗρον ὤνιον, ἦν γὰρ παρ᾽ ὥραν. ἔφη δέ τις εὑρεθήσεσθαι παρὰ λευκόλλῳ δι᾽ ἔτους τρεφομένας. εἶτα εἶπεν, εἰ μὴ λεύκολλος ἐτρύφα, πομπήιος οὐκ ἂν ἔζησεν, καὶ χαίρειν ἐάσας τὸν ἰατρὸν, ἔλαβέ τι τῶν εὐποριστων. ταῦτα μὲν οὖν ὕστερον. ἔτι δὲ μειράκιον ὢν παντάπασι καὶ τῷ πατρὶ συστρατευόμενος ἀντιτεταγμένῳ πρὸς κίνναν, λεύκιόν τινα τερέντιον εἶχεν ἑταῖρον καὶ σύσκηνον. οὗτος ὑπὸ κίννα πεισθεὶς χρήμασιν, αὐτὸς μὲν ἔμελλε πομπήιον ἀποκτενεῖν. ἕτεροι δὲ τὴν σκηνὴν ἐμπρήσειν τοῦ στρατηγοῦ. μηνύσεως δὲ τῷ πομπηΐῳ περὶ δεῖπνον ὄντι προσπεσούσης, οὐδὲν διαταραχθεὶς, ἀλλὰ καὶ πιὼν προθυμότερον, καὶ φιλοφρονησάμενος τὸν τερέντιον, ἅμα τῷ τρέπεσθαι πρὸς ἀνάπαυσιν ὑπεκρυεὶς τῆς σκηνῆς, ἔλαθε. καὶ τῷ πατρὶ φρουρὰν περιστήσας, ἡσύχαζεν. ὁ δὲ τερέντιος ὡς ἐνόμιζε καιρὸν εἶναι, σπασάμενος τὸ ξίφος ἀνέστη, καὶ τῇ στιβάδι τοῦ πομπηΐου προσελθὼν ὡς κατακειμένου, πολλὰς ἐνέφερε πληγὰς τοῖς στρώμασιν. ἐκ δὲ τούτου γίνεται μέγα κίνημα μίσει τοῦ στρατηγοῦ. καὶ πρὸς ἀπόστασιν ὁρμὴ τῶν στρατιωτῶν, τάς τε σκηνὰς ἀνασπώντων, καὶ τὰ ὅπλα λαμβανόντων. ὁ μὲν οὖν στρατηγὸς οὐ προσῄει δεδιὼς τὸν θόρυβον. ὁ δὲ πομπήιος ἐν μέσοις ἀναστρεφόμενος καὶ δακρύων ἱκέτευε. τέλος δὲ ῥίψας ἑαυτὸν ἐπὶ στόμα πρὸ τῆς πύλης τοῦ χάρακος, ἐμποδὼν ἔκειτο κλαίων, καὶ πατεῖν κελεύων τοὺς ἐξιόντας, ὥς τε ἕκαστον ἀναχωρεῖν ὑπ᾽ αἰδοῦς. καὶ πάντας οὕτω πλὴν ὀκτακοσίων μεταβαλέσθαι, καὶ διαλλαγῆναι πρὸς τὸν στρατηγόν. ἅμα δὲ τῷ τελευτῆσαι τὸν στράβωνα, δίκην κλοπῆς ἔσχεν ὑπὲρ αὐτοῦ δημοσίων χρημάτων ὁ πομπήιος. καὶ τὰ μὲν πλεῖστα φω-

πρὸ πάλαισμα τοῖς πολεμίοις. τὰ μὲν γὰρ, ἀποφεύγων καὶ ὑπάγων. τὰ δὲ, ἀντιπερὶχωρῶν, ἐμ-
βαλὼν τὸ πλῆθος αὐτῶν ἐς τόπον ἔχοντα διώρυχα βαθεῖαν, ἣ ἑκατέρωσε πλευρᾶς παρεῤῥέουσαν. ὧν
τὸ μέσον ἐμφράξας. καὶ καταλαβὼν τῷ μετώπῳ τῆς φάλαγγος, ἐξίσωσε πρὸς τοὺς μαχομένους τῶν
πολεμίων τὸ πλῆθος. οὐκ ἔχοντας περιδρομὴν καὶ κύκλωσιν. ὅθεν οὐ πολὺν χρόνον ἀντιστάντες,
ἐτράποντο. καὶ πολλοὶ μὲν ἀνῃρέθησαν. οἱ δὲ φεύγοντες ἐσκεδάσθησαν καὶ διεῤῥύησαν. ἐκ δὲ τούτου, κα-
λῶς μὲν εἶχε τὰ πράγματα, καὶ βεβαίως τῷ αἰγυπτίῳ πρὸς ἀσφάλειαν. ἀγαπῶν δὲ καὶ φιλοφρο
νούμενος, ἐδεῖτο μεῖναι καὶ συνδιαχειμάσαι μετ' αὐτοῦ τὸν ἀγησίλαον. ὁ δὲ, ὥρμητο πρὸς τὸν οἴκοι πόλε-
μον, εἰδὼς χρημάτων δεομένην τὴν πόλιν καὶ ξενοτροφοῦσαν. προὔπεμψεν οὖν αὐτὸν ἐντίμως καὶ
μεγαλοπρεπῶς, ἄλλας τε λαβόντα τιμὰς καὶ δωρεὰς, καὶ πρὸς τὸν πόλεμον ἀργυρίου διακόσια, καὶ
τριάκοντα τάλαντα. χειμῶνος δὲ ὄντος, ἤδη τῆς γῆς ἐχόμενος ταῖς ναυσὶ, καὶ παρὰ τὴν λιβύην εἰς
χωρίον ἔρημον κομισθεὶς, ὃ καλοῦσι μενελάου λιμένα, ἀπέθνησκε. βιώσας μὲν ὀγδοήκοντα καὶ τέσσα-
ρα ἔτη. βασιλεύσας δὲ τῆς σπάρτης, ἐν τοῖς τεσσαράκοντα πλείον. καὶ τούτων ὑπὲρ τριάκον-
τα, πάντων μέγιστος καὶ δυνατώτατος γενόμενος. καὶ σχεδὸν ὅλης τῆς ἑλλάδος ἡγεμὼν
καὶ βασιλεὺς νομισθεὶς, ἄχρι τῆς ἐν λεύκτροις μάχης. ἔθους δὲ ὄντος λακωνικοῦ,
τῶν μὲν ἄλλων ἐνθάδε ξένης ἀποθανόντων αὐτοῦ τὰ σώματα κηδεύειν καὶ ἀπο-
λείπειν. τὰ δὲ τῶν βασιλέων οἴκαδε κομίζειν, οἱ παρόντες σπαρτιά-
ται κηρὸν ἐντήξαντες τῷ νεκρῷ μέλιτος οὐ παρόντος, ἀπή-
γον εἰς λακεδαίμονα. τὴν δὲ βασιλείαν ἀρχίδαμος ὁ
υἱὸς αὐτοῦ παρέλαβε. καὶ διέμεινε τῷ γένει μέ-
χρις ἄγιδος. ὃν ἐπιχειροῦντα τὴν πά-
τριον ἀναλαβεῖν πολιτείαν, ἀπέ-
κτεινε λεωνίδας, πέμπτον ἀπ'
ἀγησιλάου γεγονότα.

περιεχοῦσ / ἔχοντ

νίων προσκομισθέντων καὶ προσαχθέντων, ἄλευρα μὲν καὶ μόσχους καὶ χῆνας ἔλαβε. τραγήματα δὲ καὶ πέμματα καὶ μύρα διωθεῖτο. καὶ βιαζομένων λαβεῖν καὶ λιπαρούντων, ἐκέλευσε τοῖς εἵλωσι διδόναι κομίζοντας. τῇ μέντοι στεφανωτρίδι βίβλῳ φησὶν αὐτὸν ἡσθέντα θεόφραστος διὰ τὴν λιτότητα τῶν στεφάνων αἰτήσασθαι καὶ λαβεῖν, ὅτε ἀπέπλει παρὰ τοῦ βασιλέως. τότε δὲ συμμίξας τῷ τάχῳ παρασκευαζομένῳ πρὸς τὴν στρατείαν, οὐχ ὥσπερ ἤλπιζεν, ἁπάσης στρατηγὸς ἀπεδείχθη τῆς δυνάμεως, ἀλλὰ τῶν μισθοφόρων μόνων. τοῦ δὲ ναυτικοῦ, χαβρίας ὁ ἀθηναῖος. ἡγεμὼν δὲ συμπάντων, αὐτὸς ἦν ὁ τάχως. καὶ τοῦτο πρῶτον ἠνίασε τὸν ἀγησίλαον. ἔπειτα, τὴν ἄλλην ἀλαζονείαν καὶ κενοφροσύνην τοῦ αἰγυπτίου βαρυνόμενος, ἠναγκάζετο φέρειν. καὶ συνεξέπλευσεν ἐπὶ τοὺς φοίνικας αὐτῷ. παρὰ τὴν ἀξίαν τὴν ἑαυτοῦ, καὶ τὴν φύσιν ὑπείκων καὶ καρτερῶν, ἄχρις οὗ καιρὸν ἔλαβε. νεκτάναβις γὰρ ἀνεψιὸς ὢν τοῦ τάχω, καὶ μέρος ἔχων ὑφ' ἑαυτῷ τῆς δυνάμεως, ἀπέστη. καὶ βασιλεὺς ὑπὸ τῶν αἰγυπτίων ἀναγορευθεὶς, διέπεμπε πρὸς τὸν ἀγησίλαον, ἀξιῶν αὐτῷ βοηθεῖν. ταὐτὰ δὲ καὶ τὸν χαβρίαν παρεκάλει, μεγάλας ὑπισχνούμενος ἀμφοτέροις δωρεάς. αἰσθομένου δὲ ταῦτα τοῦ τάχω, καὶ τραπομένου πρὸς δέησιν αὐτῶν, ὁ μὲν χαβρίας ἐπειρᾶτο καὶ τὸν ἀγησίλαον ἐν τῇ φιλίᾳ τοῦ τάχω πείθων καὶ παραμυθούμενος κατέχειν. ὁ δὲ ἀγησίλαος εἶπεν, ὅτι σοὶ μὲν ὦ χαβρία κατὰ σαυτὸν ἀφιγμένῳ, χρῆσθαι τοῖς σαυτοῦ λογισμοῖς ἔξεστιν, ἐγὼ δὲ ὑπὸ τῆς πατρίδος ἐδόθην αἰγυπτίοις στρατηγὸς. οὐκ οὖν ἂν ἔχοιμι καλῶς οἷς ἐπέμφθην σύμμαχος πολεμεῖν, ἐὰν μὴ πάλιν ἡ πατρὶς κελεύσῃ. ταῦτα δὲ εἰπὼν ἔπεμψεν ἄνδρας, οἳ τοῦ μὲν τάχω κατηγορεῖν, ἐπαινέσεσθαι δὲ τὸν νεκτάναβιν ἔμελλον. ἔπεμψαν δὲ κἀκεῖνοι δεόμενοι τῶν λακεδαιμονίων. ὁ μὲν, ὡς πάλαι σύμμαχος γεγονὼς καὶ φίλος. ὁ δὲ ὡς εὔνους καὶ προθυμότερος περὶ τὴν πόλιν ἐσόμενος. ἀκούσαντες οὖν οἱ λακεδαιμόνιοι, τοῖς μὲν αἰγυπτίοις ἀπεκρίναντο φανερῶς, ἀγησιλάῳ περὶ τούτων μελήσειν. ἐκείνῳ δὲ ἐπέστειλαν ὁρᾶν κελεύοντες, ὅπως πράξῃ τὸ τῇ σπάρτῃ συμφέρον. οὕτω δὴ λαβὼν τοὺς μισθοφόρους ὁ ἀγησίλαος, ἀπὸ τοῦ τάχω μετέστη πρὸς τὸν νεκτάναβιν, ἀτόπου καὶ ἀλλοκότου πράγματος παρακαλύμματι τῷ συμφέροντι τῆς πατρίδος χρησάμενος. ἐπεὶ ταύτης γε τῆς προφάσεως ἀφαιρεθείσης, τὸ δικαιότατον ὄνομα τῆς πράξεως ἦν, προδοσία. λακεδαιμόνιοι δὲ, τὴν πρώτην τοῦ καλοῦ μερίδα, τῷ τῆς πατρίδος συμφέροντι διδόντες, οὔτε μανθάνουσιν, οὔτε ἐπίστανται δίκαιον ἄλλο, πλὴν ᾧ τὴν σπάρτην αὔξειν νομίζουσιν. ὁ μὲν οὖν τάχως, ἐρημωθεὶς τῶν μισθοφόρων, ἔφυγεν. ἐκ δὲ μένδητος ἕτερος ἐπανίσταται τῷ νεκτανάβιδι βασιλεὺς ἀναγορευθείς. καὶ συναγαγὼν δέκα μυριάδας ἐπῄει. θαρσύνοντος δὲ τοῦ νεκτανάβιδος τὸν ἀγησίλαον καὶ λέγοντος, ὅτι πολλοὶ μὲν εἰσὶν οἱ πολέμιοι, μιγάδες δὲ καὶ βάναυσοι, καὶ δι' ἀπειρίαν εὐκαταφρόνητοι. καὶ μὴν οὐ τὸ πλῆθος αὐτῶν ὁ ἀγησίλαος εἶπεν, ἀλλὰ τὴν ἀπειρίαν φοβοῦμαι, καὶ τὴν ἀμαθίαν, ὡς δυσεξαπάτητον. αἱ γὰρ ἀπάται, τὸ παράδοξον ἐπάγουσι τοῖς πρὸς ἄμυναν ὑπονοοῦσι καὶ προσδοκῶσι ἑπομένοις. ὁ δὲ μὴ προσδοκῶν μηδὲ ὑπονοῶν μηδὲν, οὐ δίδωσι τῷ παραλογιζομένῳ λαβὴν, ὥσπερ οὐδὲ τῷ παλαίοντι ῥοπὴν, ὁ μὴ κινούμενος. ἐκ τούτου καὶ ὁ μενδήσιος ἔπεμπε πειρῶν τὸν ἀγησίλαον. ἔδεισεν οὖν ὁ νεκτάναβις, καὶ κελεύοντος αὐτοῦ διαμάχεσθαι τὴν ταχίστην, καὶ μὴ χρόνῳ πολεμεῖν πρὸς ἀνθρώπους ἀπείρους ἀγῶνος, πολυχειρίᾳ δὲ περιελθεῖν καὶ περιταφρεῦσαι, καὶ φθάσαι πολλὰ καὶ προλαβεῖν δυναμένους, ἔτι μᾶλλον ἐν ὑποψίᾳ καὶ φόβῳ γενόμενος πρὸς αὐτὸν, ἀπεχώρησεν εἰς πόλιν εὐερκῆ καὶ μέγαν ἔχουσαν περίβολον. ὁ δὲ ἀγησίλαος, ἠγανάκτει μὲν ἀπιστούμενος, καὶ βαρέως ἔφερεν. αἰσχυνόμενος δὲ πάλιν μεταστῆναι πρὸς τὸν ἕτερον, καὶ τέλεως ἀπελθεῖν ἄπρακτος, ἠκολούθησε, καὶ συνῆλθεν εἰς τὸ τεῖχος. ἐπελθόντων δὲ τῶν πολεμίων καὶ περιταφρευόντων τὴν πόλιν, αὖθις αὖ δείσας τὴν πολιορκίαν ὁ αἰγύπτιος, ἐβούλετο μάχεσθαι, καὶ τοὺς ἕλληνας μάλα συμπροθυμουμένους εἶχεν. οὐ γὰρ ἦν ἐν τῷ χωρίῳ σῖτος. ὁ δὲ ἀγησίλαος, οὐκ εἴα, ἀλλὰ κωλύων, ἤκουε μὲν ἔτι μᾶλλον κακῶς, ἢ πρότερον ὑπὸ τῶν αἰγυπτίων, καὶ προδότης ἀπεκαλεῖτο τοῦ βασιλέως. ἔφερε δὲ πρᾳότερον ἤδη τὰς διαβολὰς, καὶ προσεῖχε τῷ καιρῷ τοῦ στρατηγήματος. ἦν δὲ τοιόνδε. τάφρον ἔξωθεν ἦγον οἱ πολέμιοι περὶ τὸ τεῖχος βαθεῖαν, ὡς παντάπασιν ἀποκλείσοντες αὐτούς. ὡς οὖν ἐγγὺς ἦσαν αἱ τελευταὶ τοῦ ὀρύγματος, ἀπαντῶντος αὐτῷ καὶ περιϊόντες ἐν κύκλῳ τὴν πόλιν, ἑσπέραν ἀναμείνας γενέσθαι, κελεύσας ἐξοπλίζεσθαι τοὺς ἕλληνας, ἔλεγεν ἐλθὼν πρὸς τὸν αἰγύπτιον. ὁ μὲν τῆς σωτηρίας ὦ νεανία καιρὸς, οὗτός ἐστιν. ὃν ἐγὼ διαφθεῖραι μὴ βουλόμενος, οὐκ ἔφραζον πρὶν ἐλθεῖν. ἐπεὶ δὲ ὑμῖν οἱ πολέμιοι τὴν ἀσφάλειαν αὐτοὶ διὰ τῶν χειρῶν παρεσκευάκασι, τοσαύτην ὀρυξάμενοι τάφρον. ἧς τὸ μὲν ἐξειργασμένον, ἐκείνοις ἐμπόδιόν ἐστι τοῦ πλήθους. τὸ δὲ διαλεῖπον ἡμῖν δίδωσιν, ἴσῳ καὶ δικαίῳ μέτρῳ διαμάχεσθαι πρὸς αὐτούς, φέρε νῦν προθυμηθεὶς ἀνὴρ ἀγαθὸς γενέσθαι, καὶ μεθ' ἡμῶν ἐπιφερόμενος δρόμῳ σῶζε σεαυτὸν ἅμα καὶ τὴν στρατείαν. ἡμᾶς γὰρ, οἱ μὲν κατὰ στόμα τῶν πολεμίων οὐχ ὑπομενοῦσιν. οἱ δὲ ἄλλοι διὰ τὴν τάφρον οὐ βλάψουσιν. ἐθαύμασεν οὖν ὁ νεκτάναβις τοῦ ἀγησιλάου τὴν δεινότητα. καὶ δοὺς ἑαυτὸν εἰς μέσα τὰ τῶν ἑλλήνων ὅπλα καὶ προσπεσὼν, ἐτρέψατο ῥᾳδίως τοὺς ἀντιστάντας. ὡς δὲ ἅπαξ ἔλαβε πειθόμενον αὐτῷ τὸν νεκτάναβιν ὁ ἀγησίλαος, αὖθις ἐπῆγε τὸ αὐτὸ στρατήγημα, καθά-

γνω πειρᾶσθαι τοῖς ὅπλοις κρατοῦσι τὴν χώραν, ἀλλὰ φιλονεικῶν, ἐκεῖνον μὲν οὐ κατέλαβε, μικροῦ δὲ
τὴν σπάρτην προσαπέβαλε καταστρατηγηθείς. ἐπεὶ γὰρ οἱ μαντινεῖς αὖθις ἀπέστησαν τῶν θηβαίων,
καὶ μετεπέμποντο τοὺς λακεδαιμονίους, αἰσθόμενος ἐπαμινώνδας τὸν ἀγησίλαον ἐξεστρατευμένον
μετὰ τῆς δυνάμεως καὶ προσιόντα, λαθὼν τοὺς μαντινεῖς, ἀνέζευξε νυκτὸς ἐκ τεγέας ἄγων ἐπ' αὐτὴν
τὴν λακεδαίμονα τὸ στράτευμα, καὶ μικρὸν ἐδέησε παραλλάξας τὸν ἀγησίλαον, ἔρημον ἐξαίφνης
π. καταλαβεῖν τὴν πόλιν. εὐφύνου δὲ θεσπιέως ὡς καλλισθένης φησὶν, ὡς δὲ ξενοφῶν, κρητός τινος ἐξαγ-
γείλαντος τῷ ἀγησιλάῳ, ταχὺ προπέμψας ἱππέα τοῖς ἐν τῇ πόλει φράσοντα, μετ' οὐ πολὺ καὶ αὐ-
τὸς παρῆλθεν εἰς τὴν σπάρτην. ὀλίγῳ δὲ ὕστερον οἱ θηβαῖοι διέβαινον τὸν εὐρώταν, καὶ προσέβαλ-
τ. λον τῇ πόλει. μάλα ὀρωμένως τοῦ ἀγησιλάου καὶ παρ' ἡλικίαν ἐπαμύνοντος. οὐ γὰρ ὡς πρότερον ἐῤῥωμένως π.
ἀσφαλείας ἑώρα τὸν καιρὸν ὄντα καὶ φυλακῆς, ἀλλὰ μᾶλλον ἀπονοίας καὶ τόλμης, οἷς τὸν ἄλλον χρό-
νον οὐδέποτε πιστεύσας οὐδὲ χρησάμενος, τότε μόνοις ἀπώσατο τὸν κίνδυνον, ἐκ τῶν χειρῶν τοῦ ἐπαμε-
νώνδου τὴν πόλιν ἐξαρπάσας, καὶ στήσας τρόπαιον, καὶ τοῖς παισὶ καὶ ταῖς γυναιξὶν ἐπιδείξας
τὰ κάλλιστα τροφεῖα, τῇ πατρίδι τοὺς λακεδαιμονίους ἀποδιδόντας. ἐν δὲ πρώτοις τὸν ἀρχίδαμον
ἀγωνιζόμενον ὑπερφυῶς, τῇ τε ῥώμῃ τῆς ψυχῆς, καὶ τῇ κουφότητι τοῦ σώματος, ὀξέως ἐπὶ τὰ
θλιβόμενα τῆς μάχης διαθέοντα διὰ τῶν στενωπῶν, καὶ πανταχοῦ μετ' ὀλίγων ἀντερείδοντα τοῖς
πολεμίοις. ἰσάδαν δὲ τὸν φοιβίδου υἱὸν, οὐ τοῖς πολίταις μόνον, ἀλλὰ καὶ τοῖς πολεμίοις. θέαμα φα-
νῆναι καλὸν καὶ ἀγαστόν. ἦν μὲν γὰρ, ἐκπρεπὴς τὸ εἶδος, καὶ τὸ μέγεθος τοῦ σώματος. ὥραν δὲ ἐν ᾗ τὸ ἥ-
διστον ἀνθοῦσιν ἄνθρωποι περιιόντες εἰς ἄνδρας ἐκ παίδων, εἶχε. γυμνὸς δὲ, καὶ ὅπλων τῶν σκεπόν-
των καὶ ἱματίων. λίπα χρισάμενος τὸ σῶμα. καὶ τῇ μὲν, ἔχων χειρὶ λόγχην. τῇ δὲ, ξίφος, ἐξήλατο τῆς
οἰκίας, καὶ διὰ μέσων τῶν μαχομένων ὠσάμενος, ἐν τοῖς πολεμίοις ἀνεστρέφετο. παίων τὸν προστυ-
χόντα καὶ καταβάλλων. ἐτρώθη δὲ ὑπ' οὐδενός. εἴτε θεοῦ δι' ἀρετὴν φυλάττοντος αὐτὸν, εἴτε μεῖζόν
τι καὶ κρεῖττον ἀνθρώπου φανεὶς τοῖς ἐναντίοις. ἐπὶ τούτῳ δὲ λέγεται τοὺς ἐφόρους στεφανώσαντας
αὐτὸν, εἶτα χιλίων δραχμῶν ἐπιβαλεῖν ζημίαν, ὅτι χωρὶς ὅπλων διακινδυνεύειν ἐτόλμησεν. ὀλί-
γαις δὲ ὕστερον ἡμέραις περὶ τὴν μαντίνειαν ἐμαχέσαντο. καὶ τὸν ἐπαμινώνδαν ἤδη κρατοῦντα τῶν
πρώτων. ἔτι δὲ ἐγκείμενον καὶ κατασπεύδοντα τὴν δίωξιν, ἀντικράτης λάκων ὑποστὰς, ἔπαισε δό-
ρατι μὲν ὡς διοσκουρίδης ἱστόρηκε. λακεδαιμόνιοι δὲ, μαχαιρίωνας ἔτι νῦν τοὺς ἀπογόνους τοῦ ἀντι-
κράτους καλοῦσιν, ὡς μαχαίρᾳ πατάξαντος. οὕτω γὰρ ἐθαύμαζον καὶ ὑπερηγάπησαν αὐτὸν, φόβῳ
τοῦ ἐπαμινώνδου ζῶντος, ὥστε τιμὰς μὲν ἐκείνῳ καὶ δωρεὰς ψηφίσασθαι. γένει δὲ, ἀτέλειαν. ἣν ἔτι
καὶ καθ' ἡμᾶς ἔχει καλλικράτης εἷς τῶν ἀντικράτους ἀπογόνων. μετὰ δὲ τὴν μάχην καὶ θάνατον τοῦ ἐπα-
μινώνδου, γενομένης εἰρήνης τοῖς ἕλλησι πρὸς αὐτοὺς, ἀπήλαυνον οἱ περὶ τὸν ἀγησίλαον τοῦ ὅρκου τοὺς
μεσσηνίους, ὡς πόλιν οὐκ ἔχοντας. ἐπεὶ δὲ οἱ λοιποὶ πάντες ἐδέχοντο, καὶ τοὺς ὅρκους ἐλάμβανον
παρ' αὐτῶν, ἀπέστησαν οἱ λακεδαιμόνιοι. καὶ μόνοις αὐτοῖς πόλεμος ἦν, ἐλπίζουσιν ἀναλήψεσθαι τὴν
μεσσηνίαν. βίαιος οὖν ἐδόκει καὶ ἀτενὴς, καὶ πολέμων ἄπληστος ὁ ἀγησίλαος εἶναι. τὰς μὲν κοινὰς
διαλύσεις, πάντα τρόπον ὑπορύττων καὶ ἀναβάλλων. πάλιν δὲ ὑπὸ χρημάτων ἀπορίας ἀναγκα-
ζόμενος ἐνοχλεῖν, τοῖς κατὰ πόλιν φίλοις καὶ δανείζεσθαι καὶ συνερανίζεσθαι, δέον ἀπηλλάχθαι κα-
κῶν εἰς τοῦτο περιήκοντι τῷ καιρῷ. καὶ μὴ τὴν ἅπασαν ἀρχὴν τοιαύτην γενομένην ἀφεικότα καὶ πό- παρήκοντι. ς.
λεις καὶ γῆν καὶ θάλατταν, ὑπὲρ τῶν ἐν μεσσήνῃ κτημάτων καὶ προσόδων σφαδάζειν. ἔτι δὲ μᾶλλον
ἠδόξησε, τάχῳ τῷ αἰγυπτίῳ στρατηγῷ ἐπιδοὺς ἑαυτόν. οὐ γὰρ ἠξίουν ἄνδρα τῆς ἑλλάδος ἄριστον κε-
κριμένον, καὶ δόξης ἐμπεπληκότα τὴν οἰκουμένην, ἀποστάτῃ βασιλέως ἀνθρώπῳ βαρβάρῳ χρῆσαι
τὸ σῶμα, καὶ τοὔνομα καὶ τὴν δόξαν ἀποδόσθαι χρημάτων, ἔργα μισθοφόρου καὶ ξεναγοῦ διαπρατ-
τόμενον. εἰ γὰρ ὑπὲρ ὀγδοήκοντα γεγονὼς ἔτη, καὶ πᾶν ὑπὸ τραυμάτων τὸ σῶμα κατακεκομμέ-
νος, ἐκείνην αὖθις ἀνεδέξατο τὴν καλὴν καὶ περίβλεπτον ἡγεμονίαν, ὑπὲρ τῆς ἑλλήνων ἐλευθε- λ τῶν .ς. π.
ρίας, οὐ πάμπαν ἄμεμπτον εἶναι τὴν ὁρμὴν καὶ τὴν φιλοτιμίαν. τοῦ γὰρ καλοῦ, καὶ καιρὸν δεῖ οἰ-
κεῖον εἶναι, καὶ ὥραν. μᾶλλον δὲ ὅλως τὰ καλὰ, τῶν αἰσχρῶν, τῷ μετρίῳ διαφέρειν. οὐ μὴν ἐφρόντιζε
τούτων ὁ ἀγησίλαος. οὐδὲ ᾤετο παρ' ἀξίαν εἶναι λειτούργημα δημόσιον οὐδέν. ἀλλὰ μᾶλλον ἀνάξιον ἑ-
αυτοῦ τὸ ζῆν ἄπρακτον ἐν τῇ πόλει, καὶ καθῆσθαι περιμένοντα τὸν θάνατον. ὅθεν ἤθροισε μισθοφόρους,
ἀφ' ὧν ὁ τάχως αὐτῷ χρημάτων ἔπεμψε. καὶ πλοῖα πληρώσας, ἀνήχθη τριάκοντα συμβούλους ἔχων
μεθ' ἑαυτοῦ σπαρτιάτας ὡς πρότερον. ἐπεὶ δὲ κατέπλευσεν εἰς τὴν αἴγυπτον, εὐθὺς οἱ πρῶτοι τῶν
βασιλικῶν ἡγεμόνων καὶ διοικητῶν, ἐβάδιζον ἐπὶ ναῦν θεραπεύοντες αὐτόν. ἦν δὲ καὶ τῶν ἄλλων
αἰγυπτίων σπουδή τε μεγάλη καὶ προσδοκία διὰ τοὔνομα, καὶ τὴν δόξαν τοῦ ἀγησιλάου. καὶ συνετρό-
χαζον ἅπαντες ἐπὶ τὴν θέαν. ὡς δὲ ἑώρων λαμπρότητα μὲν καὶ κατασκευὴν οὐδεμίαν. ἄνθρωπον
δὲ πρεσβύτην κατακείμενον ἔν τινι πόᾳ παρὰ τὴν θάλασσαν, εὐτελῆ καὶ μικρὸν τὸ σῶμα, τραχὺ καὶ
φαῦλον ἱμάτιον ἀμπεχόμενον, σκώπτειν αὐτοῖς καὶ γελωτοποιεῖν ἐπῄει καὶ λέγειν. ὅτι τοῦτο ἦν τὸ μυ-
θολογούμενον, ὠδίνειν ὄρος, εἶτα μῦν ἀποτεκεῖν. ἔτι δὲ μᾶλλον αὐτοῦ τὴν ἀτοπίαν ἐθαύμαζον, ὅτε ξε-

οὐδεὶς ἐν τῇ Λακωνικῇ. τότε μὲν τὸν Ἀνταλκίδαν φασὶν ἔφορον ὄντα, τοὺς παῖδας εἰς Κύθηρα ὑπεκθέσθαι, περίφοβον γενόμενον. ὁ δὲ Ἀγησίλαος ἐπιχειρούντων διαβαίνειν τὸν ποταμὸν τῶν πολεμίων, καὶ βιάζεσθαι πρὸς τὴν πόλιν, ἐκλιπὼν τὰ λοιπὰ, παρετάξατο πρὸ τῶν μέσων καὶ ὑψηλῶν. ἔρρει δὲ πλεῖστος ἑαυτοῦ καὶ μέγιστος τότε ὁ Εὐρώτας χιόνων γενομένων. καὶ τὸ ῥεῦμα μᾶλλον ἀπὸ ψυχρότητος ἢ τραχύτητος ἐγίνετο σκληρὸν καὶ χαλεπὸν τοῖς Θηβαίοις. πορευομένου δὲ πρώτου τῆς φάλαγγος τοῦ Ἐπαμεινώνδου, ἐδείκνυσάν τινες τῷ Ἀγησιλάῳ, κἀκεῖνος ὥς λέγεται, πολὺν χρόνον ἐμβλέψας αὐτῷ καὶ συμπαραπέμψας τὴν ὄψιν, οὐδὲν ἢ τοσοῦτον μόνον εἶπεν. ὦ τοῦ μεγαλοπράγμονος ἀνθρώπου. ἐπεὶ δὲ φιλοτιμούμενος ὁ Ἐπαμεινώνδας ἐν τῇ πόλει μάχην συνάψαι καὶ στῆσαι τρόπαιον, οὐκ ἴσχυσεν ἐξαγαγεῖν οὐδὲ προκαλέσασθαι τὸν Ἀγησίλαον, ἐκεῖνος μὲν ἀναζεύξας πάλιν, ἐπόρθει τὴν χώραν. ἐν δὲ Λακεδαίμονι τῶν πάλαι τινὲς ὑπούλων καὶ πονηρῶν, ὡς διακόσιοι συστραφέντες, κατελάβοντο τὸ Ἰσσώριον, οὗ τὸ τῆς Ἀρτέμιδος ἱερόν ἐστιν, εὐερκῆ καὶ δυσεκβίαστον τόπον. ἐφ' οὓς βουλομένων εὐθὺς ὠθεῖσθαι τῶν Λακεδαιμονίων, φοβηθεὶς τὸν νεωτερισμὸν ὁ Ἀγησίλαος, ἐκέλευσε τοὺς μὲν ἄλλους ἡσυχίαν ἄγειν. αὐτὸς δὲ ἐν ἱματίῳ καὶ μεθ' ἑνὸς οἰκέτου προσῄει βοῶν, ἄλλως ἀκηκοέναι τοῦ προστάγματος αὐτούς. οὐ γὰρ ἐνταῦθα κελεῦσαι συνελθεῖν, οὐδὲ πάντας, ἀλλὰ τοὺς μὲν ἐκεῖ, δείξας ἕτερον τόπον, τοὺς δὲ ἀλλαχόσε τῆς πόλεως. οἱ δὲ ἀκούσαντες, ἥσθησαν οἰόμενοι λανθάνειν, καὶ διαστάντες ἐπὶ τοὺς τόπους οὓς ἐκεῖνος ἐκέλευσεν, ἀπεχώρουν. ὁ δὲ τὸν μὲν Ἰσσώριον εὐθὺς μεταπεμψάμενος ἑτέροις κατέσχε. τῶν δὲ συστάντων ἐκείνων περὶ πεντεκαίδεκα τινὰς συλλαβὼν, νυκτὸς ἀπέκτεινεν. ἄλλη δὲ μείζων ἐμηνύθη συνωμοσία καὶ σύνοδος ἀνδρῶν Σπαρτιατῶν ἐπὶ πράγμασι νεωτέροις, εἰς οἰκίαν κρύφα συνερχομένων. οὓς καὶ κρίνειν ἄπορον ἦν ἐν ταραχῇ τοσαύτῃ, καὶ περιορᾶν ἐπιβουλεύοντας. ἀπέκτεινεν οὖν καὶ τούτους, μετὰ τῶν ἐφόρων βουλευσάμενος ὁ Ἀγησίλαος ἀκρίτους, οὐδενὸς δίχα δίκης τεθανατωμένου πρότερον Σπαρτιατῶν. ἐπεὶ δὲ πολλοὶ τῶν τεταγμένων εἰς τὰ ὅπλα περιοίκων καὶ εἱλώτων ἀπεδίδρασκον ἐκ τῆς πόλεως πρὸς τοὺς πολεμίους, καὶ τοῦτο πλείστην ἀθυμίαν παρεῖχεν, ἐδίδαξε τοὺς ὑπηρέτας περὶ ὄρθρον ἐπιφοιτᾶν ταῖς στιβάσι, καὶ τὰ ὅπλα τῶν ἀποκεχωρηκότων λαμβάνειν καὶ ἀποκρύπτειν, ὅπως ἀγνοῆται τὸ πλῆθος. ἀναχωρῆσαι δὲ τοὺς Θηβαίους ἐκ τῆς Λακωνικῆς, οἱ μὲν ἄλλοι λέγουσι, χειμώνων γενομένων, καὶ τῶν Ἀρκάδων ἀρξαμένων ἀπιέναι καὶ διαρρεῖν ἀτάκτως. οἱ δὲ, τρεῖς μῆνας ἐμμεμενηκότας ὅλους, καὶ τὰ πλεῖστα τῆς χώρας διαπεπορθηκότας. Θεόπομπος δέ φησιν ἤδη τῶν Βοιωταρχῶν ἐγνωκότων ἀπαίρειν, ἀφικέσθαι πρὸς αὐτοὺς Φρίξον ἄνδρα Σπαρτιάτην παρὰ Ἀγησιλάου, δέκα τάλαντα κομίζοντα τῆς ἀναχωρήσεως μισθόν. ὥστε τὰ πάλαι δεδογμένα πράττουσιν αὐτοῖς, ἐφόδιον παρὰ τῶν πολεμίων προσεπιγενέσθαι. τοῦτο μὲν οὖν, οὐκ οἶδα ὅπως ἠγνόησαν οἱ ἄλλοι. μόνος δὲ Θεόπομπος ᾔσθετο. τοῦ δὲ σωθῆναι τὴν Σπάρτην τότε, πάντες αἴτιον ὁμολογοῦσι γενέσθαι τὸν Ἀγησίλαον, ὅτι τῶν ἐμφύτων αὐτῷ παθῶν φιλονεικίας καὶ φιλοτιμίας ἀποστὰς, ἐχρήσατο τοῖς πράγμασιν ἀσφαλῶς. οὐ μέντοι τήν γε δύναμιν καὶ τὴν δόξαν ἐδυνήθη τῆς πόλεως ἀναλαβεῖν ἐκ τοῦ πτώματος. ἀλλ' ὥσπερ σώματος ὑγιεινοῦ, λίαν δὲ ἀκριβεῖ καὶ κατεσκληκυίᾳ χρωμένου διαίτῃ πάντα τὸν χρόνον, ἁμαρτία μία καὶ ῥοπὴ, τὴν πᾶσαν ἔκλινεν εὐτυχίαν τῆς πόλεως οὐκ ἀλόγως. πρὸς γὰρ εἰρήνην καὶ ἀρετὴν καὶ ὁμόνοιαν ἄριστα συντεταγμένῳ πολιτεύματι, προσάγοντες ἀρχὰς καὶ δυναστείας βιαίους, ὧν οὐδενὸς ἡγεῖτο δεῖσθαι πόλιν εὐδαιμόνως βιωσομένην ὁ Λυκοῦργος, ἐσφάλησαν. αὐτὸς οὖν ὁ Ἀγησίλαος ἤδη πρὸς τὰς στρατείας ἀπειρηκὼς διὰ τὸ γῆρας, Ἀρχίδαμος δὲ ὁ υἱὸς αὐτοῦ, τὴν ἐκ Σικελίας ἥκουσαν παρὰ τοῦ τυράννου βοήθειαν ἔχων, ἐνίκησεν Ἀρκάδας τὴν λεγομένην ἄδακρυν μάχην. οὐδεὶς γὰρ ἔπεσε τῶν μετ' αὐτοῦ, συχνοὺς δὲ τῶν ἐναντίων ἀνεῖλεν. αὕτη μάλιστα τὴν ἀσθένειαν ἤλεγξεν ἡ νίκη τῆς πόλεως. πρότερον μὲν γὰρ οὕτω σύνηθες ἡγοῦντο, καὶ προσῆκον ἔργον αὐτοῖς εἶναι τὸ νικᾶν τοὺς πολεμίους, ὥστε μήτε θύειν τοῖς θεοῖς πλὴν ἀλεκτρυόνα νικητήριον ἐν τῇ πόλει, μήτε μεγαληγορεῖν τοὺς ἀγωνιζομένους, μήτε ὑπερχαίρειν τοὺς πυνθανομένους. ἀλλὰ καὶ τῆς ἐν Μαντινείᾳ μάχης γινομένης, ἣν Θουκυδίδης γέγραφε, τῷ πρώτῳ φράσαντι τὴν νίκην οἱ ἄρχοντες ἐκ φιδιτίου κρέας ἔπεμψαν εὐαγγέλιον, ἄλλο δὲ οὐδέν. τότε δὲ τῆς μάχης ἀγγελθείσης, καὶ τοῦ Ἀρχιδάμου προσιόντος, οὐδεὶς ἐκαρτέρησεν, ἀλλὰ πρῶτος ὁ πατὴρ ὑπήντα δακρύων ἀπὸ χαρᾶς, καὶ μετ' ἐκεῖνον τὰ ἀρχεῖα. τῶν δὲ πρεσβυτέρων καὶ τῶν γυναικῶν τὸ πλῆθος, ἐπὶ τὸν ποταμὸν κατῄει, τάς τε χεῖρας ὀρεγόντων καὶ θεοκλυτούντων, ὥσπερ ἀπωσμένης τὰ παράξια ὀνείδη τῆς Σπάρτης, καὶ λαμπρὸν αὖθις ἐξ ἀρχῆς τὸ φῶς ὁρώσης. ἐπεὶ πρότερόν γε φασὶν οὐδὲ ταῖς γυναιξὶν ἀντιβλέπειν τοὺς ἄνδρας αἰσχυνομένους, ἐφ' οἷς ἔπταισαν. οἰκιζομένης δὲ Μεσσήνης ὑπὸ τῶν περὶ τὸν Ἐπαμεινώνδαν, καὶ τῶν ἀρχαίων πολιτῶν πανταχόθεν εἰς αὐτὴν συμπορευομένων, διαμάχεσθαι μὲν οὐκ ἐθάρρουν, οὐδὲ κωλύειν ἐδύναντο. χαλεπῶς δὲ καὶ βαρέως πρὸς τὸν Ἀγησίλαον εἶχον, ὅτι χώραν οὔτε πλήθει τῆς Λακωνικῆς ἐλάσσονα, ἀλλὰ καὶ πρωτεύουσαν ἀρετῇ τῆς Ἑλληνικῆς ἔχοντες, καὶ καρπούμενοι χρόνον τοσοῦτον, ἐπὶ τῆς ἐκείνου βασιλείας ἀπολωλέκασι. διὸ καὶ προτεινομένην ὑπὸ τῶν Θηβαίων τὴν εἰρήνην ὁ Ἀγησίλαος οὐκ ἐδέξατο. μὴ βουλόμενος δὲ τῷ λό-

βαίοις πρὸς δόξαν εὐτυχήματος ὅσον οὐ γέγονεν ἄλλοις Ἕλλησι πρὸς Ἕλληνας ἀγωνισαμένοις. οὐδὲν αὖτις ἧττον ἐζήλωσε τῆς ἀρετῆς καὶ ἠγάσθη τὴν ἡττημένην πόλιν, ἢ τὴν νικῶσαν. ὁ μὲν γὰρ ξενοφῶν φησὶ τῶν ἀγαθῶν ἀνδρῶν, ἔχειν τι καὶ τὰς ἐν οἴνῳ καὶ παιδιᾷ φωνὰς, καὶ διατριβὰς, ἀξιομνημόνευτον. ὀρθῶς λέγων. ἔστι δὲ οὐχ ἧττον, ἀλλὰ καὶ μᾶλλον ἄξιον κατανοεῖν καὶ θεᾶσθαι τῶν ἀγαθῶν, ἃ περὶ τὰς τύχας πράττουσι καὶ λέγουσιν εὐσχημονοῦντες. ἔτυχε μὲν γὰρ ἡ πόλις ἑορτὴν ἄγουσα, καὶ ξένων οὖσα μεστή. γυμνοπαιδίαι γὰρ ἦσαν ἀγωνιζομένων χορῶν ἐν τῷ θεάτρῳ. παρῆσαν δὲ ἀπὸ λεύκτρων οἱ τὴν συμφορὰν ἀπαγγέλλοντες. οἱ δὲ ἔφοροι καίπερ εὐθὺς ὄντος καταφανοῦς, ὅτι διέφθαρται τὰ πράγματα καὶ τὴν ἀρχὴν ἀπολωλέκασιν, οὔτε χορὸν ἐξελθεῖν εἴασαν. οὔτε τὸ σχῆμα τῆς ἑορτῆς μεταβαλεῖν τὴν πόλιν. ἀλλὰ κατ' οἰκίαν τῶν τεθνεώτων τοῖς προσήκουσι τὰ ὀνόματα πέμψαντες, αὐτοὶ τὰ περὶ τὴν θέαν, καὶ τὸν ἀγῶνα τῶν χορῶν ἔπραττον. ἅμα δὲ ἡμέρᾳ φανερῶν ἤδη γεγονότων, πᾶσι τῶν τε σωζομένων καὶ τῶν τεθνεώτων. οἱ μὲν τῶν τεθνεώτων πατέρες, καὶ κηδεσταὶ καὶ οἰκεῖοι καταβαίνοντες εἰς ἀγορὰν ἀλλήλους ἐδεξιοῦντο λιπαροὶ τὰ πρόσωπα, φρονήματος μεστοὶ καὶ γήθους. οἱ δὲ τῶν σωζομένων ὥσπερ ἐπὶ πένθει μετὰ τῶν γυναικῶν, οἴκοι διέτριβον. εἰ δέ τις ὑπ' ἀνάγκης προέλθοι, καὶ σχήματι, καὶ φωνῇ καὶ βλέμματι ταπεινὸς ἐφαίνετο καὶ συνεσταλμένος. ἔτι δὲ μᾶλλον τὰς γυναικῶν ἰδεῖν ἦν καὶ πυθέσθαι. τὴν μὲν ζῶντα προσδεχομένην υἱὸν ἀπὸ τῆς μάχης κατηφῆ καὶ σιωπηλήν. τὰς δὲ τῶν πεπτωκέναι λεγομένων, ἔν τε τοῖς ἱεροῖς εὐθὺς ἀναστρεφομένας, καὶ πρὸς ἀλλήλας ἱλαρῶς καὶ φιλοτίμως βαδιζούσας. οὐ μὴν, ἀλλὰ τοῖς πολλοῖς, ὡς ἀφίσταντο μὲν οἱ σύμμαχοι, προσεδοκᾶτο δὲ νενικηκὼς ἐπαμινώνδας καὶ μεγαλοφρονῶν ἐμβαλεῖν εἰς πελοπόννησον. ἔννοια τῶν χρησμῶν ἐνέπεσε τότε, πρὸς τὴν χωλότητα τοῦ ἀγησιλάου. καὶ δυσθυμία πολλή. καὶ πτοία πρὸς τὸ θεῖον, ὡς διὰ τοῦτο πραττούσης κακῶς τῆς πόλεως, ὅτι τὸν ἀρτίποδα τῆς βασιλείας ἐκβαλόντες, εἵλοντο χωλὸν καὶ πεπηρωμένον ὃ παντὸς μᾶλλον αὐτοὺς ἐδίδασκε φράζεσθαι καὶ φυλάττεσθαι τὸ δαιμόνιον. διὰ δὲ τὴν ἄλλην δύναμιν αὐτοῦ καὶ ἀρετὴν καὶ δόξαν, οὐ μόνον ἐχρῶντο βασιλεῖ καὶ στρατηγῷ τῶν κατὰ πόλεμον, ἀλλὰ καὶ τῶν πολιτικῶν ἀπορειῶν ἰατρῷ καὶ διαιτητῇ τοῖς ἐν τῇ μάχῃ καταδειλιάσασιν, οὓς αὐτοὶ τρέσαντας ὀνομάζουσιν, ὀκνοῦντες τὰς ἐκ τῶν νόμων ἀτιμίας προσάγειν, πολλοῖς οὖσι καὶ δυνατοῖς. φοβούμενοι νεωτερισμὸν ἀπ' αὐτῶν. οὐ γὰρ μόνον ἀρχῆς ἀπείργονται πάσης, ἀλλὰ καὶ δοῦναί τινι τούτων γυναῖκα καὶ λαβεῖν ἄδοξόν ἐστι. παίει δὲ ὁ βουλόμενος αὐτοὺς τῶν ἐντυγχανόντων. οἱ δὲ καρτεροῦσι περιιόντες αὐχμηροὶ καὶ ταπεινοί, τρίβωνάς τε προσερραμμένους χρώματος βαπτοῦ φέρουσι. καὶ ξυρῶνται μέρος τῆς ὑπήνης, μέρος δὲ τρέφουσι. δεινὸν οὖν ἦν τοιούτους ἐν τῇ πόλει περιορᾶν πολλοὺς, οὐκ ὀλίγων δεομένους στρατιωτῶν. καὶ νομοθέτην αἱροῦνται τὸν ἀγησίλαον, ὁ δὲ μήτε προσθεὶς τι. μήτε ἀφελὼν μήτε μεταγράψας, εἰσῆλθεν εἰς τὸ πλῆθος τῶν λακεδαιμονίων. καὶ φήσας ὅτι τοὺς νόμους δεῖ σήμερον ἐᾶν καθεύδειν, ἐκ δὲ τῆς σήμερον ἡμέρας κυρίους εἶναι πρὸς τὸ λοιπὸν, ἅμα τούς τε νόμους τῇ πόλει. καὶ τοὺς ἄνδρας ἐπιτίμους ἐφύλαξε. βουλόμενος οὖν τὴν παροῦσαν ἀθυμίαν καὶ κατήφειαν ἀφελεῖν τῶν νέων, ἐνέβαλεν εἰς ἀρκαδίαν, καὶ μάχην μὲν ἰσχυρῶς ἐφυλάξατο συνάψαι τοῖς ἐναντίοις. ἑλὼν δὲ πολίχνην τινὰ τῶν μαντινέων, καὶ τὴν χώραν ἐπιδραμὼν, ἐλαφροτέραν ἐποίησε ταῖς ἐλπίσι, καὶ ἡδίω τὴν πόλιν, ὡς οὐ παντάπασιν ἀπεγνωσμένην. ἐκ δὲ τούτου παρῆν εἰς τὴν λακωνικὴν ὁ ἐπαμινώνδας μετὰ τῶν συμμάχων, οὐκ ἐλάττονας ἔχων τετρακισμυρίων ὁπλιτῶν. πολλοὶ δὲ καὶ ψιλοὶ καὶ ἄοπλοι πρὸς ἁρπαγὴν συνηκολούθουν, ὥστε μυριάδας ἑπτὰ τοῦ σύμπαντος ὄχλου συνεισβαλεῖν εἰς τὴν λακωνικήν. ἦν μὲν δὴ χρόνος οὐκ ἐλάττων ἐτῶν ἑξακοσίων, ἀφ' οὗ κατῴκουν τὴν λακεδαίμονα δωριεῖς. ἐν δὲ τούτῳ ἅπαντι, τότε πρῶτον ὤφθησαν ἐν τῇ χώρᾳ πολέμιοι, πρότερον δὲ οὐδεὶς ἐτόλμησεν, ἀλλὰ ἀδήωτον καὶ ἄθικτον οὖσαν ἐμβαλόντες, ἐπυρπόλουν καὶ διήρπαζον ἄχρι τοῦ ποταμοῦ καὶ τῆς πόλεως, μηδενὸς ἐπεξιόντος. ὁ γὰρ ἀγησίλαος οὐκ εἴα πρὸς τοσοῦτον ὥς φησι θεόπομπος ῥεῦμα καὶ κλύδωνα πολέμου μάχεσθαι τοὺς λακεδαιμονίους. ἀλλὰ τὰ μέσα τῆς πόλεως καὶ κυριώτατα τοῖς ὁπλίταις περιεσπειραμένος, ἐκαρτέρει τὰς ἀπειλὰς καὶ τὰς μεγαλαυχίας τῶν θηβαίων προσκαλουμένων ἐκεῖνον ὀνομαστὶ. καὶ διαμάχεσθαι περὶ τῆς χώρας κελευόντων. ὃς τῶν κακῶν αἴτιός ἐστιν ἐκκαύσας τὸν πόλεμον. οὐχ ἧττον δὲ τούτων ἐλύπουν τὸν ἀγησίλαον, οἱ κατὰ τὴν πόλιν θόρυβοι καὶ κραυγαὶ καὶ διαδρομαὶ, τῶν πρεσβυτέρων δυσανασχετούντων τὰ γινόμενα. καὶ τῶν γυναικῶν οὐ δυναμένων ἡσυχάζειν, ἀλλὰ παντάπασιν ἐκφρόνων οὐσῶν, πρός τε τὴν κραυγὴν, καὶ τὸ πῦρ τῶν πολεμίων, ἀνία δὲ καὶ τὸ τῆς δόξης αὐτοῦ, ὅτι τὴν πόλιν μεγίστην παραλαβὼν καὶ δυνατωτάτην, ἑώρα συνεσταλμένον αὐτῆς τὸ ἀξίωμα καὶ τὸ καύχημα κεκολουμένον. ᾧ καὶ αὐτὸς ἐχρήσατο πολλάκις εἰπών. ὅτι γυνὴ λάκαινα καπνὸν οὐχ ἑώρακε πολέμιον. λέγεται δὲ καὶ ἀνταλκίδας ἀθηναίου τινὸς ἀμφισβητοῦντος περὶ ἀνδρείας πρὸς αὐτὸν, καὶ εἰπόντος ἡμεῖς μέντοι πολλάκις ὑμᾶς ἀπὸ τοῦ κηφισοῦ ἐδιώξαμεν, ὑποτυχεῖν. ἀλλ' ἡμεῖς γε οὐδέποτε ὑμᾶς ἀπὸ τοῦ εὐρώτα. παραπλησίως δὲ καὶ πρὸς τὸν ἀργεῖον ἀπεκρίνατο, τῶν ἀσημοτέρων τις σπαρτιατῶν. ὁ μὲν γὰρ εἶπε. πολλοὶ ὑμῶν ἐν τῇ ἀργολίδι κεῖνται. ὁ δὲ ἀπήντησεν, ὑμῶν δέ γε

δι' ἐπιθυμίαν ἄτοπον καὶ παιδαριώδη, δοκῶν ἐμποδὼν γεγονέναι κρίσει δικαίᾳ. καὶ τὴν πόλιν παραίτιον ἀπεργάσασθαι παρανομημάτων τηλικούτων εἰς τοὺς Ἕλληνας. ἐπεὶ δὲ τὸν υἱὸν Κλεόμβροτος οὐκ εἴα, πρόθυμον ὄντα πολεμεῖν τοῖς Θηβαίοις. οὕτω δὴ χαίρειν τὸν νόμον ἐάσας, ᾧ πρόσθεν ἐχρῆτο περὶ τῆς στρατείας, αὐτὸς εἰς Βοιωτίαν ἐνέβαλεν ἤδη, καὶ κακῶς ἐποίει τοὺς Θηβαίους. καὶ πάλιν ἀντέπασχεν, ὥστε καὶ φωραθέντος αὐτοῦ ποτε, τὸν Ἀνταλκίδαν εἰπεῖν· ἦ καλὰ διδασκάλια παρὰ Θηβαίων ἀπολαμβάνεις, μὴ βουλομένους αὐτοὺς μηδὲ ἐπισταμένους μάχεσθαι διδάξας. τῷ γὰρ ὄντι Θηβαίους αὐτοὺς ἑαυτῶν πολεμικωτάτους τότε γενέσθαι φασὶ, ταῖς πολλαῖς στρατείαις τῶν Λακεδαιμονίων ἐπ' αὐτοὺς ὥσπερ ἐγγυμνασαμένους. διὸ καὶ Λυκοῦργος ὁ παλαιὸς ἐν ταῖς καλουμέναις τρισὶ ῥήτραις, ἀπεῖπε μὴ πολλάκις ἐπὶ τοὺς αὐτοὺς στρατεύειν, ὅπως μὴ πολεμεῖν μανθάνωσιν. ἦν δὲ, καὶ τοῖς συμμάχοις τῶν Λακεδαιμονίων ἐπαχθὴς ὁ Ἀγησίλαος. ὡς δι' οὐδὲν ἔγκλημα δημόσιον, ἀλλὰ θυμῷ τινι καὶ φιλονεικίᾳ τοὺς Θηβαίους ἀπολέσαι ζητῶν. οὐδὲν οὖν ἔλεγον δεόμενοι φέρεσθαι, δεῦρο κἀκεῖσε καθ' ἕκαστον ἐνιαυτὸν ὀλίγοις τοσοῦτοι συνακολουθοῦντες. ἔνθα δὴ λέγεται τὸν Ἀγησίλαον ἐξελέγξαι βουλόμενον αὐτῶν τὸ πλῆθος, τάδε μηχανήσασθαι. πάντας ἐκέλευσε καθίσαι τοὺς συμμάχους, μετ' ἀλλήλων ἀναμεμιγμένους, ἰδίᾳ δὲ τοὺς Λακεδαιμονίους ἐφ' ἑαυτῶν, εἶτα ἐκήρυττε τοὺς κεραμεῖς ἀνίστασθαι πρότερον. ὡς δὲ ἀνέστησαν οὗτοι, δεύτερον ἐκήρυττε τοὺς χαλκεῖς. εἶτα τέκτονας. ἑξῆς καὶ οἰκοδόμους, καὶ τῶν ἄλλων τεχνῶν ἑκάστην. πάντες οὖν ὀλίγου δεῖν ἀνέστησαν οἱ σύμμαχοι, τῶν δὲ Λακεδαιμονίων οὐδείς. ἀπείρητο γὰρ αὐτοῖς τέχνην ἐργάζεσθαι καὶ μανθάνειν βάναυσον. οὕτω δὴ γελάσας ὁ Ἀγησίλαος, ὁρᾶτε εἶπεν ὦ ἄνδρες, ὅσῳ πλείονας ὑμῶν στρατιώτας ἐκπέμπομεν ἡμεῖς. ἐν δὲ Μεγάροις, ὅτε τὴν στρατείαν ἀπῆγεν ἐκ Θηβῶν, ἀναβαίνοντος αὐτοῦ πρὸς τὸ ἀρχεῖον εἰς τὴν ἀκρόπολιν, σπάσμα καὶ πόνος ἰσχυρὸς ἔλαβε τὸ ὑγιὲς σκέλος. ἐκ δὲ τούτου διογκωθὲν, μεστὸν αἵματος ἔδοξε γεγονέναι. καὶ φλεγμονὴν ὑπερβάλλουσαν παρεῖχεν, ἰατροῦ δέ τινος Συρακουσίου τὴν ὑπὸ τῷ σφυρῷ φλέβα σχάσαντος, αἱ μὲν ἀλγηδόνες ἔληξαν. αἵματος δὲ πολλοῦ φερομένου καὶ ῥέοντος ἀνεπισχέτως, λειποψυχία πολλὴ καὶ κίνδυνος ὀξὺς ἀπ' αὐτῆς περιέστη τὸν Ἀγησίλαον. οὐ μὴν, ἀλλὰ τότε γε τὴν φορὰν τοῦ αἵματος ἔπαυσε, καὶ κομισθεὶς εἰς Λακεδαίμονα, πολὺν χρόνον ἔσχεν ἀῤῥώστως, καὶ πρὸς τὰς στρατείας ἀδυνάτως. ἐν δὲ τῷ χρόνῳ τούτῳ πολλὰ συνέβη πταίσματα τοῖς Σπαρτιάταις καὶ κατὰ γῆν, καὶ κατὰ θάλατταν. ὧν ἦν τὸ περὶ Λεῦκτρα μέγιστον. ὅπου πρῶτον ἐκ παρατάξεως κρατηθέντες ὑπὸ Θηβαίων ἡττήθησαν. ἔδοξεν οὖν πᾶσι θέσθαι πρὸς πάντας εἰρήνην. καὶ συνῆλθον ἀπὸ τῆς Ἑλλάδος πρέσβεις εἰς Λακεδαίμονα, ποιησόμενοι τὰς διαλύσεις, ὧν εἷς ἦν Ἐπαμεινώνδας, ἀνὴρ ἔνδοξος ἐπὶ παιδείᾳ καὶ φιλοσοφίᾳ, στρατηγίας δὲ πεῖραν οὔπω δεδωκώς. οὗτος ὁρῶν τοὺς ἄλλους ἅπαντας ὑποκατακλινομένους τῷ Ἀγησιλάῳ, μόνος ἐχρήσατο φρονήματι παῤῥησίαν ἔχοντι. καὶ διεξῆλθε λόγον, οὐχ ὑπὲρ Θηβαίων, ἀλλ' ὑπὲρ τῆς Ἑλλάδος ὁμοῦ κοινόν. τὸν μὲν πόλεμον, ἀποδεικνύων αὔξοντα τὴν Σπάρτην, ἐξ ὧν ἅπαντες οἱ λοιποὶ κακῶς πάσχουσι. τὴν δὲ εἰρήνην, ἰσότητι καὶ τῷ δικαίῳ κτᾶσθαι κελεύων. οὕτω γὰρ αὐτὴν διαμενεῖν, ἴσων ἁπάντων γενομένων. ὁρῶν οὖν ὁ Ἀγησίλαος ὑπερφυῶς θαυμάζοντας καὶ προσέχοντας αὐτῷ τοὺς Ἕλληνας, ἠρώτησεν εἰ νομίζοι δίκαιον εἶναι καὶ ἴσον, αὐτονομεῖσθαι τὴν Βοιωτίαν. ἀντερωτήσαντος δὲ τοῦ Ἐπαμεινώνδου ταχὺ καὶ τεθαῤῥηκότως, εἰ κἀκεῖνος οἴεται δίκαιον εἶναι αὐτονομεῖσθαι τὴν Λακωνικήν, ἀναπηδήσας ὁ Ἀγησίλαος μετ' ὀργῆς, ἐκέλευσε λέγειν σαφῶς αὐτὸν εἰ τὴν Βοιωτίαν ἀφήσει αὐτόνομον. τὸ δ' αὐτὸ πάλιν τοῦ Ἐπαμεινώνδου φήσαντος, εἰ τὴν Λακωνικὴν ἀφήσει αὐτόνομον, οὕτω τραχέως ἔσχεν ὁ Ἀγησίλαος, καὶ τὴν πρόφασιν ἠγάπησεν, ὡς εὐθὺς ἐξαλεῖψαι τὸ τῶν Θηβαίων ὄνομα τῆς εἰρήνης, καὶ προειπεῖν πόλεμον αὐτοῖς. τοὺς δὲ ἄλλους Ἕλληνας διαλλαγέντας, ἐκέλευσεν ἀπιέναι. τὰ μὲν ἀκεστὰ τῆς εἰρήνης. τὰ δὲ ἀνήκεστα τοῦ πολέμου ποιοῦντας. ἔργον γὰρ ἦν πάσας ἐκκαθᾶραι καὶ διαλῦσαι τὰς ἀμφιλογίας. ἔτυχε δὲ κατ' ἐκεῖνον τὸν χρόνον ἐν Φωκεῦσιν ὢν ὁ Κλεόμβροτος μετὰ δυνάμεως, εὐθὺς οὖν ἔπεμπον οἱ ἔφοροι, κελεύοντες αὐτὸν ἐπὶ Θηβαίους ἄγειν τὸ στράτευμα. καὶ τοὺς συμμάχους περιπέμποντες ἤθροιζον. ἀπροθύμους μὲν ὄντας καὶ βαρυνομένους τὸν πόλεμον. οὔπω δὲ θαῤῥοῦντας ἀντιλέγειν, οὐδὲ ἀπειθεῖν τοῖς Λακεδαιμονίοις. πολλῶν δὲ σημείων μοχθηρῶν γενομένων ὡς ἐν τῷ περὶ Ἐπαμεινώνδου γέγραπται. καὶ Προθόου τοῦ Λάκωνος ἐναντιουμένου πρὸς τὴν στρατείαν, οὐκ ἀνῆκεν ὁ Ἀγησίλαος, ἀλλ' ἐξέπεμψε τὸν πόλεμον ἐλπίζων αὐτοῖς μὲν αὐτονόμου τῆς Ἑλλάδος ὅλης ὑπαρχούσης, ἐκσπόνδων δὲ τῶν Θηβαίων γινομένων, καιρὸν εἶναι δίκην λαβεῖν παρ' αὐτῶν. δηλοῖ δὲ τὸ σὺν ὀργῇ μᾶλλον ἢ λογισμῷ γενέσθαι τὴν στρατείαν ἐκείνην ὁ καιρός. τῇ γὰρ τετράδι ἐπὶ δέκα τοῦ Σκιροφοριῶνος μηνὸς ἐποιήσαντο τὰς σπονδὰς ἐν Λακεδαίμονι. τῇ δὲ πέμπτῃ τοῦ Ἑκατομβαιῶνος ἡττήθησαν ἐν Λεύκτροις, ἡμερῶν εἴκοσι διαγενομένων. ἀπέθανον δὲ χίλιοι Λακεδαιμονίων, καὶ Κλεόμβροτος ὁ βασιλεύς, καὶ περὶ αὐτὸν οἱ κράτιστοι τῶν Σπαρτιατῶν, ἐν οἷς καὶ Κλεώνυμόν φασι τὸν Σφοδρίου τὸν καλὸν, τρὶς πεσόντα πρὸ τοῦ βασιλέως, καὶ τοσαυτάκις ἐξαναστάντα καὶ μαχόμενον τοῖς Θηβαίοις ἀποθανεῖν. συμβάντος δὲ τοῖς τε Λακεδαιμονίοις πταίσματος ἀπροσδοκήτου, καὶ τοῖς Θηβαίοις πρὸς

ἀνδρείας μὲν γὰρ, οὐδὲν ὄφελος εἶναι, μὴ παρούσης δικαιοσύνης. εἰ δὲ δίκαιοι πάντες γένοιντο, μηδὲν ἀνδρείας δεήσεσθαι. πρὸς δὲ τοὺς λέγοντας, ὅτι ταῦτα δοκεῖ τῷ μεγάλῳ βασιλεῖ, τί δὲ ἐκεῖνος ἐμοῦ εἶπε μείζων, εἰ μὴ δικαιότερος. ὀρθῶς καὶ καλῶς οἰόμενος δεῖν τῷ δικαίῳ, καθάπερ μέτρῳ βασιλικῷ μετρεῖσθαι τὴν ὑπεροχὴν τοῦ μείζονος. ἐπεὶ δὲ τῆς εἰρήνης γενομένης, ἔπεμψεν αὐτῷ περὶ ξενίας καὶ φιλίας ἐπιστολὴν ὁ βασιλεὺς οὐκ ἔλαβεν. εἰπὼν ἐξαρκεῖν τὴν κοινὴν φιλίαν. καὶ μηδὲν ἰδίας δεήσεσθαι μενούσης ἐκείνης. ἐν δὲ τοῖς ἔργοις, οὐκέτι ταύτην διαφυλάττων τὴν δόξαν. ἀλλὰ τῇ φιλοτιμίᾳ καὶ τῇ φιλονεικίᾳ πολλαχοῦ συνεκφερόμενος, καὶ μάλιστα τῇ πρὸς θηβαίους, οὐ μόνον ἔσωσε τὸν φοιβίδαν, ἀλλὰ καὶ τὴν πόλιν ἔπεισεν εἰς αὑτὴν ἀναδέξασθαι τὸ ἀδίκημα, καὶ κατέχειν τὴν καδμείαν, δι᾽ ἑαυτῆς. τῶν δὲ πραγμάτων καὶ τῆς πολιτείας, ἀρχίαν καὶ λεοντίδαν ἀποδεῖξαι κυρίους, δι᾽ ὧν ὁ φοιβίδας εἰσῆλθε, καὶ κατέλαβε τὴν ἀκρόπολιν. ἦν μὲν οὖν εὐθὺς ἐκ τούτων ὑπόνοια, φοιβίδου μὲν ἔργον εἶναι. βούλημα δὲ ἀγησιλάου τὸ πεπραγμένον. αἱ δὲ ὕστεραι πράξεις, ὁμολογουμένην ἐποίησαν τὴν αἰτίαν. ὡς γὰρ ἐξέβαλον οἱ ἀθηναῖοι τὴν φρουρὰν, καὶ τὴν πόλιν ἠλευθέρουν, ἐγκαλῶν αὐτοῖς ὅτι τὸν ἀρχίαν καὶ τὸν λεοντίδαν ἀπεκτόνεσαν. ἔργῳ μὲν τυράννους. λόγῳ δὲ πολεμάρχους ὄντας, ἐξήνεγκε πόλεμον πρὸς αὐτούς. καὶ κλεόμβροτος ἤδη βασιλεύων, ἀγησιπόλιδος τεθνηκότος, εἰς βοιωτίαν ἐπέμφθη μετὰ δυνάμεως. ὁ γὰρ ἀγησίλαος ὡς ἔτι τεσσαράκοντα γεγονὼς ἀφ᾽ ἥβης, καὶ στρατείας ἔχων ἄφεσιν ὑπὸ τῶν νόμων, ἔφυγε τὴν στρατείαν ἐκείνην αἰσχυνόμενος, εἰ φλιασίοις ὀλίγον ἔμπροσθεν ὑπὲρ φυγάδων πεπολεμηκὼς, αὖθις ὀφθήσεται θηβαίους κακῶς ποιῶν διὰ τοὺς τυράννους. ἦν δέ τις λάκων σφοδρίας, ἐκ τῆς ὑπεναντίας στάσεως τῷ ἀγησιλάῳ, τεταγμένος ἐν θεσπιαῖς ἁρμοστὴς, οὐκ ἄτολμος μὲν οὐδ᾽ ἀφιλότιμος ἀνήρ. ἀεὶ δ᾽ ἐλπίδων μᾶλλον ἢ φρενῶν ἀγαθῶν μεστός. οὗτος ἐπιθυμῶν ὀνόματος μεγάλου, καὶ τὸν φοιβίδαν νομίζων ἔνδοξον γεγονέναι καὶ περιβόητον ἀπὸ τοῦ περὶ θήβας τολμήματος, ἐπείσθη πολὺ κάλλιον εἶναι καὶ λαμπρότερον, εἰ τὸν πειραιᾶ καταλάβοι δι᾽ ἑαυτοῦ. καὶ τῶν ἀθηναίων ἀφέλοιτο τὴν θάλασσαν ἐκ γῆς ἀπροσδοκήτως ἐπελθών. λέγουσι δὲ τὸ μηχάνημα γενέσθαι τῶν περὶ πελοπίδαν καὶ γέλωνα βοιωταρχῶν. ὑπέπεμψαν γὰρ ἀνθρώπους λακωνίζειν προσποιουμένους. οἳ τὸν σφοδρίαν ἐπαινοῦντες καὶ μεγαλύνοντες ὡς ἔργου τηλικούτου μόνον ἄξιον, ἐπῆραν καὶ παρώρμησαν ἀνελέσθαι πρᾶξιν ἄδικον μὲν ὁμοίως ἐκείνῃ καὶ παράνομον. τόλμης δὲ καὶ τύχης ἐνδεᾶ γενομένην. ἡμέρα γὰρ αὐτὸν ἐν τῷ θριασίῳ πεδίῳ κατέλαβε καὶ κατέλαμψεν, ἐλπίσαντα νυκτὸς προσμίξειν τῷ πειραιεῖ. καὶ φῶς ἀφ᾽ ἱερῶν τινῶν ἐλευσινόθεν ἰδόντας, λέγουσι φρῖξαι καὶ περιφόβους γενέσθαι τοὺς στρατιώτας. αὐτὸς δὲ τοῦ θάρσους ἐξέπεσεν, ὡς οὐκέτι λαθεῖν ἦν. καί τινα βραχεῖαν ἁρπαγὴν θέμενος. αἰσχρῶς ἀνεχώρησε καὶ ἀδόξως εἰς τὰς θεσπιάς. ἐκ δὲ τούτου, κατήγοροι μὲν ἐπέμφθησαν εἰς σπάρτην ἐξ ἀθηνῶν. εὗρον δὲ κατηγόρων μηδὲν δεομένους τοὺς ἄρχοντας, ἀλλὰ θανάτου κρίσιν αὐτῷ προειρηκότας, ἣν ἐκεῖνος ὑπομένειν ἀπέγνω, φοβούμενος τὴν ὀργὴν τῶν πολιτῶν, αἰσχυνομένων τοὺς ἀθηναίους, καὶ βουλομένων συναδικεῖσθαι δοκεῖν, ἵνα μὴ συναδικεῖν δοκῶσιν. εἶχεν οὖν ὁ σφοδρίας υἱὸν κλεώνυμον, οὗ παιδὸς ὄντος ἔτι καὶ καλοῦ τὴν ὄψιν, ἀρχίδαμος ὁ ἀγησιλάου τοῦ βασιλέως υἱὸς ἤρα. καὶ τότε συνηγωνία μὲν ὡς εἰκὸς ἦν κινδυνεύοντι αὐτῷ περὶ τοῦ πατρὸς, συμπράττειν δὲ φανερῶς καὶ βοηθεῖν οὐκ εἶχεν. ἦν γὰρ ὁ σφοδρίας ἐκ τῶν διαφόρων τοῦ ἀγησιλάου. τοῦ δὲ κλεωνύμου προσελθόντος αὐτῷ καὶ μετὰ δεήσεως καὶ δακρύων ἐντυχόντος, ὅπως τὸν ἀγησίλαον εὔνουν παράσχῃ. μάλιστα γὰρ ἐκεῖνον αὐτοῖς φοβερὸν εἶναι. τρεῖς μὲν ἢ τέσσαρας ἡμέρας αἰδούμενος τὸν πατέρα καὶ δεδιὼς, σιωπῇ παρηκολούθει. τέλος δὲ τῆς κρίσεως ἐγγὺς οὔσης, ἐτόλμησεν εἰπεῖν πρὸς τὸν ἀγησίλαον ὅτι κλεώνυμος αὐτοῦ δεηθείη περὶ τοῦ πατρός. ὁ δὲ ἀγησίλαος εἰδὼς ἐρῶντα τὸν ἀρχίδαμον, οὐκ ἔπαυεν. ἦν γὰρ ὁ κλεώνυμος εὐθὺς ἐκ παίδων ἐπίδοξος εἴ τις καὶ ἄλλος, ἀνὴρ ἔσεσθαι σπουδαῖος. οὐ μὴν ἐνέδωκέ τι τότε χρηστὸν ἢ φιλάνθρωπον ἐλπίσαι, δεομένῳ τῷ παιδί. σκέψεσθαι δὲ φήσας ὅ, τι καλῶς ἔχει καὶ πρεπόντως, ἀπῆλθεν. αἰδούμενος οὖν ὁ ἀρχίδαμος, ἐξέλιπε τὸ προσεῖναι τῷ κλεωνύμῳ. καίπερ εἰωθὼς πολλάκις τοῦτο τῆς ἡμέρας ποιεῖν πρότερον. ἐκ δὲ τούτου, κἀκεῖνοι τὰ κατὰ τὸν σφοδρίαν μᾶλλον ἀπέγνωσαν. ἄχρις οὗ τῶν ἀγησιλάου φίλων ἐτυμοκλῆς ἔν τινι κοινολογίᾳ πρὸς αὐτοὺς, ἀπεγύμνωσε τὴν γνώμην τοῦ ἀγησιλάου. τὸ μὲν γὰρ ἔργον, ὡς ἐνὶ μάλιστα ψέγειν αὐτόν. ἄλλως γε μὴν ἄνδρα τὸν σφοδρίαν ἀγαθὸν ἡγεῖσθαι. καὶ τὴν πόλιν ὁρᾶν, τοιούτων στρατιωτῶν δεομένην. τούτους γὰρ ὁ ἀγησίλαος ἑκάστοτε τοὺς λόγους ἐποιεῖτο περὶ τῆς δίκης τῷ παιδὶ χαρίζεσθαι βουλόμενος. ὥστε καὶ τὸν κλεώνυμον εὐθὺς αἰσθάνεσθαι τὴν σπουδὴν τοῦ ἀρχιδάμου, καὶ τοὺς φίλους τοὺς τοῦ σφοδρίου θαρροῦντας ἤδη βοηθεῖν. ἦν δὲ καὶ φιλότεκνος ὁ ἀγησίλαος διαφερόντως, καὶ περὶ ἐκείνου τὸ τῆς παιδιᾶς λέγουσιν, ὅτι μικροῖς τοῖς παιδίοις οὖσι κάλαμον περιβεβηκὼς ὥσπερ ἵππον, οἴκοι συνέπαιζεν. ὀφθεὶς δὲ ὑπό τινος τῶν φίλων, παρεκάλει μηδενὶ φράσαι, πρὶν ἂν καὶ αὐτὸς πατὴρ παίδων γένηται. ἀπολυθέντος δὲ τοῦ σφοδρίου, καὶ τῶν ἀθηναίων ὡς ἐπύθοντο πρὸς πόλεμον τρεπομένων, σφόδρα κακῶς ὁ ἀγησίλαος ἤκουσε,

ἠλευθέρωσ. κ.

σιν ἄρτι τῷ θεῷ τεθυκότας, τὴν παρασκευὴν ἅπασαν ἀπολιπόντας. ἐπεὶ δὲ τῶν κορινθίων οἱ φυγάδες ἔτυχον παρόντες, ἐδεήθησαν αὐτοῦ τὸν ἀγῶνα διαθεῖναι, τοῦτο μὲν οὐκ ἐποίησεν. αὐτῶν δὲ ἐκείνων διατιθέντων καὶ συντελούντων, παρέμεινε καὶ παρέσχεν ἀσφάλειαν. ὕστερον δὲ ἀπελθόντος αὐτοῦ, πάλιν ὑπ' ἀργείων ἤχθη τὰ ἴσθμια, καί τινες μὲν ἐνίκησαν πάλιν. εἰσὶ δὲ οἱ νενικηκότες πρότερον. ὕστερον δὲ ἡττημένοι ἀνεγράφησαν. ἐπὶ τούτῳ δὲ πολλὴν ἀπέφαινε δειλίαν κατηγορεῖν ἑαυτῶν τοὺς ἀργείους ὁ ἀγησίλαος, εἰ σεμνὸν οὕτω καὶ μέγα τὴν ἀγωνοθεσίαν ἡγούμενοι, μάχεσθαι περὶ αὐτῆς οὐκ ἐτόλμησαν. αὐτὸς δὲ πρὸς ταῦτα πάντα, μετρίως ᾤετο δεῖν ἔχειν, καὶ τοὺς μὲν οἴκοι χοροὺς καὶ ἀγῶνας ἐπεκόσμει, καὶ συμπαρὼν ἀεὶ φιλοτιμίας καὶ σπουδῆς μεστὸς ὤν, καὶ οὔτε παίδων, οὔτε παρθένων ἁμίλλης ἀπολειπόμενος. ἃ δὲ τοὺς ἄλλους ἑώρα θαυμάζοντας, ἐδόκει μὴ δὲ γινώσκειν. καί ποτε καλλιππίδης ὁ τῶν τραγῳδῶν ὑποκριτὴς, ὄνομα καὶ δόξαν ἔχων ἐν τοῖς ἕλλησι, καὶ σπουδαζόμενος ὑπὸ πάντων, πρῶτον μὲν ἀπήντησεν αὐτῷ καὶ προσεῖπεν. ἔπειτα σοβαρῶς εἰς τοὺς περιπατοῦντας ἐμβαλὼν ἑαυτὸν, ἐπεδείκνυτο, νομίζων ἐκεῖνον ἄρξειν τινὸς φιλοφροσύνης. τέλος δὲ εἶπεν· οὐκ ἐπιγινώσκεις με βασιλεῦ; κἀκεῖνος ἀποβλέψας πρὸς αὐτὸν εἶπεν· ἀλλὰ οὐ σύ γε ἐσσὶ καλλιππίδας ὁ δεικηλίκτας; οὕτω δὲ λακεδαιμόνιοι, τοὺς μίμους καλοῦσι. παρακαλούμενος δὲ πάλιν ἀκοῦσαι τοῦ τὴν ἀηδόνα μιμουμένου, παρῃτήσατο, φήσας, αὐτᾶς ἄκουκα. τοῦ δὲ ἰατροῦ μενεκράτους, ἐπεὶ κατατυχὼν ἔν τισιν ἀπεγνωσμέναις θεραπείαις, ζεὺς ἐπεκλήθη, φορτικῶς ταύτῃ χρωμένου τῇ προσωνυμίᾳ. καὶ δὴ καὶ πρὸς ἐκεῖνον ἐπιστεῖλαι τολμήσαντος οὕτως, μενεκράτης ζεὺς, βασιλεῖ ἀγησιλάῳ χαίρειν, ἀντέγραψε. βασιλεὺς ἀγησίλαος, μενεκράτῃ, ὑγιαίνειν. διατρίβοντος δὲ περὶ τὴν κορινθίαν αὐτοῦ. καὶ τὸ ἥραιον εἰληφότος, καὶ τὰ αἰχμάλωτα τοὺς στρατιώτας ἄγοντας καὶ φέροντας ἐπιβλέποντος, ἀφίκοντο πρέσβεις ἐκ θηβῶν περὶ φιλίας. ὁ δὲ, μισῶν μὲν ἀεὶ τὴν πόλιν. οἰόμενος δὲ τότε καὶ συμφέρειν ἐνυβρίσαι, προσεποιεῖτο, μήτε ὁρᾶν αὐτοὺς, μήτε ἀκούειν ἐντυγχανόντων. ἔπαθε δὲ πρᾶγμα νεμεσητόν. οὔπω γὰρ ἀπηλλαγμένων τῶν θηβαίων, ἧκόν τινες ἀγγέλλοντες αὐτῷ τὴν μόραν ὑπὸ ἰφικράτους κατακεκόφθαι. καὶ πάθος τοῦτο μέγα διὰ πολλοῦ χρόνου, συνέπεσεν αὐτοῖς. πολλοὺς γὰρ ἄνδρας ἀγαθοὺς ἀπέβαλον κρατηθέντας, ὑπό τε πελταστῶν ὁπλίτας. καὶ μισθοφόρων λακεδαιμονίους. ἀνεπήδησε μὲν οὖν εὐθὺς ὁ ἀγησίλαος ὡς βοηθήσων. ἐπεὶ δὲ ἔγνω διαπεπραγμένους, αὖθις εἰς τὸ ἥραιον ἧκε. καὶ τοὺς βοιωτοὺς τότε προσελθεῖν κελεύσας, ἐχρημάτιζεν. ὡς δὲ ἀνθυβρίζοντες ἐκεῖνοι, τῆς μὲν εἰρήνης, οὐκ ἐμέμνηντο. παρελθεῖν δὲ ἠξίουν εἰς κόρινθον. ὀργισθεὶς ὁ ἀγησίλαος, εἶπεν. εἴγε βούλεσθε τοὺς φίλους ὑμῶν ἰδεῖν μέγα φρονοῦντας ἐφ' οἷς εὐτυχοῦσιν, αὔριον ἀσφαλῶς ὑμῖν τοῦτο ὑπάρξει. καὶ παραλαβὼν αὐτοὺς τῇ ὑστεραίᾳ, τήν τε χώραν τῶν κορινθίων ἔκοπτε, καὶ πρὸς τὴν πόλιν αὐτὴν προσῆλθεν. οὕτω δὲ τοὺς κορινθίους ἐξελέγξας ἀμύνεσθαι μὴ τολμῶντας, ἀφῆκε τὴν πρεσβείαν. αὐτὸς δὲ τοὺς περιλελειμμένους ἄνδρας ἐκ τῆς μόρας ἀναλαβὼν, ἀπῆγεν εἰς λακεδαίμονα πρὸ ἡμέρας ποιούμενος τὰς ἀναζεύξεις. καὶ πάλιν σκοταίους τὰς καταλύσεις, ὅπως οἱ μισοῦντες καὶ βασκαίνοντες τῶν ἀρκάδων, μὴ ἐπιχαίρωσιν. ἐκ τούτου χαριζόμενος τοῖς ἀχαιοῖς, διέβαινεν εἰς ἀκαρνανίαν στρατιᾷ μετ' αὐτῶν. καὶ πολλὴν μὲν ἤλασε λείαν. μάχῃ δὲ τοὺς ἀκαρνᾶνας ἐνίκησε. δεομένων δὲ τῶν ἀχαιῶν ὅπως τὸν χειμῶνα παραμείνας, ἀφέληται τὸν σπόρον τῶν πολεμίων, τοὐναντίον ἔφη ποιήσειν. μᾶλλον γὰρ φοβηθήσεσθαι τὸν πόλεμον αὐτοὺς, ἐὰν ἐσπαρμένην τὴν γῆν εἰς ὥρας ἔχωσιν, ὃ καὶ συνέβη. παραγενομένης γὰρ αὖθις ἐπ' αὐτοὺς στρατείας, διηλλάγησαν τοῖς ἀχαιοῖς. ἐπεὶ δὲ κόνων καὶ φαρνάβαζος τῷ βασιλέως ναυτικῷ θαλαττοκρατοῦντες, ἐπολιόρκουν τὰ παράλια τῆς λακωνικῆς. ἐτειχίσθη δὲ καὶ τὸ ἄστυ τῶν ἀθηναίων φαρναβάζου χρήματα δόντος, ἔδοξε τοῖς λακεδαιμονίοις εἰρήνην ποιεῖσθαι πρὸς βασιλέα. καὶ πέμπουσιν ἀνταλκίδαν πρὸς τηρίβαζον, αἴσχιστα καὶ παρανομώτατα τοὺς τὴν ἀσίαν κατοικοῦντας ἕλληνας ὑπὲρ ὧν ἐπολέμησεν ἀγησίλαος βασιλεῖ παραδιδόντες. ὅθεν ἥκιστα συνέβη τῆς κακοδοξίας ταύτης ἀγησιλάῳ μετασχεῖν. ὁ γὰρ ἀνταλκίδας ἐχθρὸς ἦν αὐτῷ, καὶ τὴν εἰρήνην ἐξ ἅπαντος ἔπραττεν, ὡς τοῦ πολέμου τὸν ἀγησίλαον αὔξοντος, καὶ ποιοῦντος ἐνδοξότατον καὶ μέγιστον. οὐ μὴν, ἀλλὰ καὶ πρὸς τὸν εἰπόντα τοὺς λακεδαιμονίους μηδίζειν, ὁ ἀγησίλαος ἀπεκρίνατο, μᾶλλον τοὺς μήδους λακωνίζειν. τοὺς δὲ μὴ βουλομένους δέχεσθαι τὴν εἰρήνην ἀπειλῶν, καὶ καταγγέλλων πόλεμον, ἠνάγκασεν ἐμμεῖναι πάντας, οἷς ὁ πέρσης ἐδικαίωσε. μάλιστα διὰ τοὺς θηβαίους, ὅπως αὐτόνομον τὴν βοιωτίαν ἀφέντες, ἀσθενέστεροι γένωνται. δῆλον δὲ τοῦτο τοῖς ὕστερον ἐποίησεν. ἐπεὶ γὰρ φοιβίδας ἔργον εἰργάσατο δεινὸν, ἐν σπονδαῖς καὶ εἰρήνῃ τὴν καδμείαν καταλαβὼν, καὶ πάντες μὲν ἠγανάκτουν οἱ ἕλληνες. χαλεπῶς δὲ ἔφερον οἱ σπαρτιᾶται. καὶ μάλιστα οἱ διαφερόμενοι τῷ ἀγησιλάῳ μετ' ὀργῆς ἐπυνθάνοντο τοῦ φοιβίδου, τίνος ταῦτα κελεύσαντος ἔπραξεν. εἰς ἐκεῖνον τὴν ὑπόνοιαν τρέποντες, οὐκ ὤκνησε τῷ φοιβίδᾳ βοηθῶν λέγειν ἀναφανδὸν. ὅτι δεῖ τὴν πρᾶξιν αὐτὴν, εἴ τι χρήσιμον ἔχει σκοπεῖν. τὰ γὰρ συμφέροντα τῇ λακεδαίμονι καλῶς ἔχειν αὐτοματίζεσθαι, κἂν μηδεὶς κελεύσῃ. καίτοι τῷ λόγῳ πανταχοῦ τὴν δικαιοσύνην ἀπέφαινε, πρωτεύειν τῶν ἀρετῶν. ἀν-

δεδιττόμενοι τὸν ἄνδρα. ἔλυσε δὲ τὸν φόβον ἐπιστολὴ παρὰ Πομπηίου κομισθεῖσα, κατωρθωκότος ἄνευ μάχης τὸν πόλεμον. ὁ γὰρ Βροῦτος, εἴτε παραδοὺς τὴν δύναμιν αὐτὸς, εἴτε προδοθεὶς μεταβαλλομένης ἐκείνης, ἐνεχείρισε τῷ Πομπηίῳ τὸ σῶμα, καὶ λαβὼν ἱππεῖς προπομποὺς, ἀπεχώρησεν εἰς πολίχνιόν τι τῶν περὶ τὸν Πάδον. ὅπου μεθ' ἡμέραν μίαν ἐπιπέμψαντος αὐτῷ τοῦ Πομπηίου Γεμίνιον ἀνῃρέθη. καὶ πολλὴν ἔσχεν ἀπὸ τούτου Πομπήιος αἰτίαν. γεγραφὼς γὰρ εὐθὺς ἐν ἀρχῇ τῆς μεταβολῆς πρὸς τὴν σύγκλητον ὡς ἑκὼν αὐτῷ προσθοῖτο Βροῦτος, ἑτέρας αὖθις ἔπεμψεν ἐπιστολὰς ἀνῃρημένου τοῦ ἀνθρώπου κατηγορούσας. τούτου Βροῦτος ἦν υἱὸς ὁ Καίσαρα σὺν Κασσίῳ κτείνας, ἀνὴρ ὅμοιος τῷ πατρὶ, μήτε πολεμήσας, μήτε ἀποθανὼν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. Λέπιδος μὲν οὖν εὐθὺς ἐκπεσὼν τῆς Ἰταλίας, ἀπέδρασεν εἰς Σαρδόνα, κἀκεῖ νοσήσας, ἐτελεύτησε δι' ἀθυμίαν, οὐ τῶν πραγμάτων ὥς φασιν, ἀλλὰ γραμματίῳ περιπεσὼν, ἐξ οὗ μοιχείαν τινὰ τῆς γυναικὸς κατεφώρασε. Λέπιδω δὲ οὐδὲν ὅμοιος στρατηγὸς Ἰβηρίαν κατέχων Σερτώριος, ἐπῃωρεῖτο Ῥωμαίοις φοβερὸς, ὥσπερ ἔσχατον νόσημα τῶν ἐμφυλίων πολέμων εἰς τοῦτον τὸν ἄνδρα συνερρυηκότων. πολλοὺς μὲν ἤδη τῶν ἐλαττόνων στρατηγῶν ἀνῃρηκότα, Μετέλλῳ δὲ Πίῳ τότε συμπεπλεγμένον, ἀνδρὶ λαμπρῷ μὲν καὶ πολεμικῷ, δοκοῦντι δὲ ἀργότερον ὑπὸ γήρως ἕπεσθαι τοῖς καιροῖς τοῦ πολέμου. καὶ ἀπολείπεσθαι τῶν πραγμάτων, ἁρπαζομένων ὀξύτητι καὶ τάχει τοῦ Σερτωρίου παραβόλως, καὶ λῃστρικώτερον αὐτῷ προσφερομένου, καὶ ταράττοντος ἐνέδραις καὶ περιδρομαῖς ἄνδρα νόμιμον ἀθλητὴν ἀγώνων, καὶ δυνάμεως σταδίμου καὶ βαρείας ἡγεμόνα. πρὸς ταῦτα Πομπήιος ἔχων στρατιὰν ὑφ' ἑαυτῷ, διεπράττετο Μετέλλῳ πεμφθῆναι βοηθός. καὶ Κάτλου κελεύοντος οὐ διέλυεν, ἀλλ' ἐν τοῖς ὅπλοις ἦν περὶ τὴν πόλιν, ἀεί τινας ποιούμενος προφάσεις, ἕως ἔδωκαν αὐτῷ τὴν ἀρχὴν Λευκίου Φιλίππου γνώμην εἰπόντος. ὅτε καὶ φασὶν ἐν συγκλήτῳ πυνθανομένου τινὸς καὶ θαυμάζοντος εἰ Πομπήιον ἀνθύπατον οἴεται δεῖν ἐκπεμφθῆναι Φίλιππος, οὐκ ἔγωγε φάναι τὸν Φίλιππον, ἀλλ' ἀνθυπάτων. ὡς ἀμφοτέρους τοὺς τότε ὑπατεύοντας, οὐδενὸς ἀξίους ὄντας. ἐπεὶ δὲ τῆς Ἰβηρίας ἁψάμενος ὁ Πομπήιος, οἷα φιλεῖ πρὸς νέου δόξαν ἡγεμόνος, ἑτέραις ταῖς ἐλπίσιν ἐποίησε τοὺς ἀνθρώπους. καὶ τὰ μὴ πάνυ βεβαίως τῷ Σερτωρίῳ συνεστῶτα τῶν ἐθνῶν ἐκινεῖτο καὶ μετέβαλλε, λόγους ὑπερηφάνους ὁ Σερτώριος κατὰ τοῦ Πομπηίου διέσπειρε. καὶ σκώπτων ἔλεγε νάρθηκος αὐτῷ δεήσειν καὶ σκύτους ἐπὶ τὸν παῖδα τοῦτον, εἰ μὴ τὴν γραῦν ἐκείνην ἐφοβεῖτο, λέγων τὸν Μέτελλον. ἔργα μέντοι φυλαττόμενος σφόδρα καὶ δεδιὼς τὸν Πομπήιον, ἀσφαλέστερον ἐστρατήγει. καὶ γὰρ ὁ Μέτελλος, ὅπερ οὐκ ἄν τις ᾠήθη, διετέθρυπτο τῷ βίῳ κομιδῇ πρὸς τὰς ἡδονὰς ἐνδεδωκώς. καὶ μεγάλη τις εἰς ὄγκον καὶ πολυτέλειαν ἐξαίφνης ἐγεγόνει μεταβολὴ περὶ αὐτόν. ὥστε τῷ Πομπηίῳ, καὶ τοῦτο θαυμαστὴν εὔνοιαν ἅμα δόξῃ φέρειν. ἐπιτείνοντι τὴν εὐτέλειαν τῆς διαίτης, οὐ πολλῆς ἐπιτηδεύσεως δεομένην. φύσει γὰρ ἦν σώφρων καὶ τεταγμένος ἐν ταῖς ἐπιθυμίαις. τοῦ δὲ πολέμου πολλὰς ἰδέας ἔχοντος, ἠνίασε μάλιστα τὸν Πομπήιον, ἡ Λαύρωνος ἅλωσις ὑπὸ Σερτωρίου. κυκλοῦσθαι γὰρ αὐτὸν οἰηθεὶς, καί τι μεγαληγορήσας, αὐτὸς ἐξαίφνης ἀνεφάνη περιεχόμενος κύκλῳ. καὶ διὰ τοῦτο κινεῖσθαι δεδιὼς, ἐπεῖδε καταπιμπραμένην τὴν πόλιν αὐτοῦ παρόντος. Ἑρέννιον δὲ καὶ Περπένναν, ἄνδρας ἡγεμονικοὺς τῶν πρὸς Σερτώριον καταπεφευγότων καὶ στρατηγούντων ἐκείνῳ νικήσας περὶ Οὐαλεντίαν, ὑπὲρ μυρίους ἀπέκτεινεν. ἐπαρθεὶς δὲ τῇ πράξει καὶ μέγα φρονῶν, ἐπ' αὐτὸν ἐβάδιζε Σερτώριον ὡς μὴ μετάσχοι τῆς νίκης Μέτελλος. περὶ δὲ Σούκρωνι ποταμῷ τῆς ἡμέρας ἤδη τελευτώσης συνέβαλλον τὰς δυνάμεις, δεδιότες μετελθεῖν τὸν Μέτελλον. ὁ μὲν ὡς μόνος. ὁ δὲ, ὡς μόνῳ διαγωνίσαιτο. τὸ μὲν οὖν τέλος ἀμφίδοξον ἔσχεν ὁ ἀγών. ἑκατέρου γὰρ θάτερον κέρας ἐνίκησε. τῶν δὲ στρατηγῶν πλέον ἠνέγκατο Σερτώριος. ἐτρέψατο γὰρ τὸ καθ' αὐτὸν ἑκάτερος ἀντιταχθείς. Πομπηίῳ δὲ ἀνὴρ μέγας ἱππότης πεζὸς ἐφώρμησε. συμπεσόντων δὲ εἰς τὸ αὐτὸ καὶ γενομένων ἐν λαβαῖς, ἀπέσκηψαν αἱ πληγαὶ τῶν ξιφῶν εἰς τὰς χεῖρας ἀμφοῖν οὐχ ὁμοίως. ἐτρώθη μὲν γὰρ ὁ Πομπήιος μόνον. ἐκείνου δὲ ἀπέκοψε τὴν χεῖρα. πλειόνων δὲ συνδραμόντων ἐπ' αὐτὸν, ἤδη τῆς τροπῆς γεγενημένης, ἀνελπίστως διέφυγε, προέμενος τὸν ἵππον τοῖς πολεμίοις, φάλαρα χρυσᾶ, καὶ κόσμον ἄξιον πολλοῦ περικείμενον. ταῦτα γὰρ διανεμόμενοι καὶ περὶ τούτων μαχόμενοι πρὸς ἀλλήλους, ἀπελείφθησαν. ἅμα δὲ ἡμέρᾳ, παρετάξαντο μὲν ἀμφότεροι πάλιν, ἐκβεβαιούμενοι τὸ νίκημα. Μετέλλου δὲ προσιόντος, ἀνεχώρησεν ὁ Σερτώριος σκεδασθέντι τῷ στρατῷ. τοιαῦται γὰρ ἦσαν αἱ διαλύσεις. καὶ πάλιν συνδρομαὶ τῶν ἀνθρώπων, ὥστε πολλάκις μόνον πλανᾶσθαι τὸν Σερτώριον. πολλάκις δὲ αὖθις ἐπιέναι μυριάσι πεντεκαίδεκα στρατιᾶς, ὥσπερ χειμάρρουν ἐξαίφνης πιμπλάμενον. ὁ δ' οὖν Πομπήιος ἐπεὶ μετὰ τὴν μάχην ἀπήντα τῷ Μετέλλῳ καὶ πλησίοι ἀλλήλων ἦσαν, ἐκέλευσεν ὑφεῖναι τὰς ῥάβδους θεραπεύων ὡς προύχοντα τιμῇ τὸν Μέτελλον. ὁ δὲ καὶ τοῦτο διεκώλυσε, καὶ τἆλλα χρηστὸς ἦν ἀνὴρ περὶ αὐτὸν, οὐδὲν ὡς ὑπατικῷ καὶ πρεσβυτέρῳ νέμων ἑαυτῷ πλέον, ἀλλ' ἢ τὸ σύνθημα κοινῇ στρατοπεδευόντων εἰς ἅπαντας ἐξεπέμπετο παρὰ Μετέλλου. τὰ πολλὰ δὲ χωρὶς ἐστρατοπέδευον. διέκοπτε γὰρ αὐτοὺς καὶ διίστη ποικίλος ὢν ὁ πολέμιος, καὶ δεινὸς ἐν βραχεῖ πολλαχοῦ περιφανῆναι, καὶ μεταγαγεῖν ἀπ' ἄλλων εἰς ἄλλους

ἐνῆν προθυμότατα μεγάλῃ φωνῇ, μάγνον ἠσπάσατο, καὶ τοὺς παρόντας οὕτως ἐκέλευσε προσαγορεύειν. σημαίνει δὲ μέγαν ὁ μάγνος. ἕτεροι δέ φασιν ἐν λιβύῃ πρῶτον ἀναφώνημα τοῦτο τοῦ στρατοῦ παντὸς γενέσθαι. κράτος δὲ λαβεῖν καὶ δύναμιν, ὑπὸ σύλλα βεβαιωθέν. αὐτὸς μέντοι πάντων ὕστατος, καὶ μετὰ πολὺν χρόνον εἰς ἰβηρίαν, ἀνθύπατος ἐκπεμφθεὶς ἐπὶ σερτώριον, ἤρξατο γράφειν ἑαυτὸν ἐν ταῖς ἐπιστολαῖς καὶ τοῖς διατάγμασι, μάγνον πομπήϊον. οὐκ ἔτι γὰρ ἦν ἐπίφθονον τοὔνομα, συνήθες γενόμενον. ὅθεν εἰκότως ἂν ἀγασθείη καὶ θαυμάσειεν ἄν τις τοὺς πάλαι ῥωμαίους, οἳ ταῖς τοιαύταις κλήσεσι καὶ προσωνυμίαις, οὐ τὰς πολεμικὰς ἠμείβοντο καὶ στρατιωτικὰς κατορθώσεις μόνον, ἀλλὰ καὶ τὰς πολιτικὰς πράξεις καὶ ἀρετὰς ἐκόσμουν. δύο γοῦν μαξίμους ὅπερ ἐστὶ μεγίστους, ἀνηγόρευσεν ὁ δῆμος. οὐαλλέριον μὲν ἐπὶ τῷ διαλλάξαι στασιάζουσαν αὐτῷ τὴν σύγκλητον. φάβιον δὲ ῥοῦλλον, ὅτι πλουσίους τινὰς ἐξ ἀπελευθέρων γεγονότας καὶ κατειλεγμένους εἰς τὴν σύγκλητον ἐξέβαλεν. ἐκ τούτου, θρίαμβον ᾔτει πομπήϊος, ἀντέλεγε δὲ σύλλας. ὑπάτῳ γὰρ ἢ στρατηγῷ μόνον, ἄλλῳ δὲ οὐδενὶ δίδωσιν ὁ νόμος. διὸ καὶ σκηπίων ὁ πρῶτος ἀπὸ μειζόνων καὶ κρειττόνων ἀγώνων ἐν ἰβηρίᾳ καρχηδονίων κρατήσας, οὐκ ᾔτησε θρίαμβον. ὕπατος γὰρ οὐκ ἦν οὐδὲ στρατηγός. εἰ δὲ πομπήϊος οὔπω πάνυ γενειῶν εἰσελᾷ θριαμβεύων εἰς τὴν πόλιν, ᾧ βουλῆς διὰ τὴν ἡλικίαν οὐ μέτεστι, παντάπασιν ἐπίφθονον ἔσεσθαι, καὶ τὴν ἀρχὴν ἑαυτῷ, καὶ τὴν τιμὴν ἐκείνῳ. ταῦτα πρὸς πομπήϊον ὁ σύλλας ἔλεγεν. ὡς οὐκ ἐάσων, ἀλλ' ἐνστησόμενος αὐτῷ. καὶ κωλύσων τὸ φιλόνεικον ἀπειθοῦντος. ὁ δὲ πομπήϊος, οὐχ ὑπέπτηξεν, ἀλλ' ἐννοεῖν ἐκέλευε τὸν σύλλαν, ὅτι τὸν ἥλιον ἀνατέλλοντα πλείονες, ἢ δυόμενον προσκυνοῦσιν. ὡς αὐτῷ μὲν αὐξανομένης μειουμένης δὲ καὶ μαραινομένης ἐκείνῳ τῆς δυνάμεως. ταῦτα ὁ σύλλας οὐκ ἀκριβῶς ἀκούσας. ὁρῶν δὲ τοὺς ἀκούσαντας, ἀπὸ τοῦ προσώπου καὶ τοῦ σχήματος ἐν θαύματι ποιουμένους, ἤρετο τί τὸ λεχθὲν εἴη. πυθόμενος δὲ καὶ καταπλαγεὶς τοῦ πομπηΐου τὴν τόλμαν, ἀνεβόησε δὶς ἐφεξῆς, θριαμβευσάτω. πολλῶν δὲ δυσχεραινόντων καὶ ἀγανακτούντων, ἔτι μᾶλλον αὐτοὺς ὥς φασι βουλόμενος ἀνιᾶν ὁ πομπήϊος, ἐπεχείρησεν ἅρματι ἐλεφάντων τεττάρων ἐπιβὰς εἰσελαύνειν. ἤγαγε γὰρ ἐκ λιβύης τῶν βασιλικῶν συχνοὺς αἰχμαλώτους. ἀλλὰ τῆς πύλης στενωτέρας οὔσης, ἀπέστη καὶ μετῆλθεν ἐπὶ τοὺς ἵππους. ἐπεὶ δὲ οἱ στρατιῶται μὴ τυχόντες ἡλίκων προσεδόκησαν, ἐνοχλεῖν ἐβούλοντο καὶ θορυβεῖν. οὐδὲν ἔφη φροντίζειν, ἀλλὰ ἀφήσειν μᾶλλον φησὶ τὸν θρίαμβον, ἢ κολακεύσειν ἐκείνους. ὅτε δὴ καὶ σερουΐλιος ἀνὴρ ἐπιφανής. καὶ μάλιστα πρὸς τὸν θρίαμβον ἐνστὰς τοῦ πομπηΐου, νῦν ἔφη τὸν πομπήϊον ὁρᾶν, καὶ μέγαν ἀληθῶς καὶ ἄξιον τοῦ θριάμβου. δῆλον δ' ἐστίν, ὅτι καὶ βουλῆς ἂν ἐθελήσας τότε ῥᾳδίως ἔτυχεν. ἀλλ' οὐκ ἐσπούδασεν ὥς λέγουσι, τὸ ἔνδοξον ἐκ τοῦ παραδόξου θηρώμενος. οὐ γὰρ ἦν θαυμαστὸν, εἰ πρὸ ἡλικίας ἐβούλευε πομπήϊος, ἀλλ' ὑπέρλαμπρον, ὅτι μηδέπω βουλεύων, ἐθριάμβευε. τοῦτο δὲ αὐτῷ καὶ πρὸς εὔνοιαν ὑπῆρχε τῶν πολλῶν οὐ μικρόν. ἔχαιρε γὰρ ὁ δῆμος αὐτῷ μετὰ θρίαμβον ἐν τοῖς ἱππικοῖς ἐξεταζομένῳ. σύλλας δὲ ἠνιᾶτο μὲν ὁρῶν εἰς ὅσον δόξης πρόεισι καὶ δυνάμεως. αἰσχυνόμενος δὲ κωλύειν, ἡσυχίαν ἦγε. πλὴν ὅτε βίᾳ καὶ ἄκοντος αὐτοῦ, λέπιδον εἰς ὑπατείαν κατέστησε συναρχαιρεσιάσας, καὶ τὸν δῆμον τῇ πρὸς αὐτὸν εὐνοίᾳ, ἐκείνῳ σπουδάζοντα παρασχὼν, θεασάμενος αὐτὸν ἀπιόντα μετὰ πλήθους δι' ἀγορᾶς ὁ σύλλας, ὁρῶ σε εἶπεν ὦ νεανία χαίροντα τῇ νίκῃ. πῶς γὰρ οὐχὶ γενναῖα ταῦτα καὶ καλά. κάτλου τοῦ πάντων ἀρίστου, λέπιδον τῶν πάντων κάκιστον ἀποδειχθῆναι πρότερον ὕπατον, σοῦ τὸν δῆμον οὕτω παρασκευάσαντος. ὥρα μέντοι σοι μὴ καθεύδειν, ἀλλὰ προσέχειν τοῖς πράγμασιν. ἰσχυρότερον γὰρ τὸν ἀνταγωνιστὴν σεαυτοῦ παρεσκεύακας. ἐδήλωσε δὲ μάλιστα σύλλας. ὅτι πρὸς πομπήϊον οὐκ εὐμενῶς εἶχε, ταῖς διαθήκαις ἃς ἔγραψεν. ἑτέροις γὰρ φίλοις δωρεὰς ἀπολιπὼν, καὶ τοῦ παιδὸς ἀποδείξας ἐπιτρόπους, τὸν πομπήϊον ὅλως παρῆλθεν. ἤνεγκε μέντοι τοῦτο μετρίως πάνυ καὶ πολιτικῶς ἐκεῖνος. ὥστε λεπίδου καί τινων ἄλλων ἐνισταμένων μὴ ταφῆναι τὸν νεκρὸν ἐν τῷ πεδίῳ, μὴ δὲ δημοσίᾳ τὴν ἐκφορὰν γενέσθαι, βοηθῆσαι καὶ παρασχεῖν, δόξαν ἅμα ταῖς ταφαῖς καὶ ἀσφάλειαν. ἐπεὶ δὲ ταχὺ τοῦ σύλλα τελευτήσαντος, εἰς φῶς παρῄει τὰ μαντεύματα. καὶ λέπιδος εἰσῳκίζεν ἑαυτὸν εἰς τὴν ἐκείνου δύναμιν, οὐ κύκλῳ περιιὼν οὐδὲ μετὰ σχήματος, ἀλλὰ εὐθὺς ἐν τοῖς ὅπλοις ἦν. τὰ πάλαι νοσοῦντα καὶ διαφυγόντα τὸν σύλλαν ὑπολείμματα τῶν στάσεων αὖθις ἀνακινῶν καὶ περιβαλλόμενος. ὁ δὲ συνάρχων αὐτοῦ κάτλος, ᾧ τὸ καθαρὸν καὶ ὑγιαῖνον μάλιστα τῆς βουλῆς καὶ τοῦ δήμου προσεῖχεν, ἦν μὲν ἀξιώματι σωφροσύνης καὶ δικαιοσύνης μέγιστος τῶν τότε ῥωμαίων, ἐδόκει δὲ πολιτικῆς ἡγεμονίας μᾶλλον, ἢ στρατιωτικῆς οἰκεῖος εἶναι, τῶν πραγμάτων αὐτῶν ποθούντων τὸν πομπήϊον, οὐ διεμέλλησεν ὅπῃ τράποιτο. προσθεὶς δὲ τοῖς ἀρίστοις ἑαυτὸν, ἀπεδείχθη στρατεύματος ἡγεμὼν ἐπὶ τὸν λέπιδον, ἤδη πολλὰ τῆς ἰταλίας κεκινηκότα, καὶ τὴν ἐντὸς ἄλπεων γαλατίαν κατέχοντα διὰ βρούτου στρατεύματι. τῶν μὲν οὖν ἄλλων, ἐκράτησε ῥᾳδίως ἐπελθὼν ὁ πομπήϊος, ἐν δὲ μουτίνῃ τῆς γαλατίας, ἀντεκάθητο τῷ βρούτῳ συχνὸν χρόνον. ἐν ᾧ λέπιδος ἐπὶ τὴν ῥώμην ῥυεὶς, καὶ προσκαθήμενος ἔξωθεν, ὑπατείαν ᾔτει δευτέραν ὄχλῳ πολλῷ

ζε τῶν δ' ἄλλων ὅσοις ἐξῆν, πολλοὺς ἑώρα λανθάνοντας. ἐνίους δὲ καὶ συνεξέπεμψε. τὴν δ' Ἱμεραίων πόλιν ἐγνωκότος αὐτοῦ κολάζειν γενομένην μετὰ τῶν πολεμίων, Σθένις ὁ δημαγωγὸς αἰτησάμενος λόγον, οὐκ ἔφη δίκαια ποιήσειν τὸν Πομπήιον, ἐὰν τὸν αἴτιον ἀφεὶς ἀπολέσῃ τοὺς μηδὲν ἀδικοῦντας. ἐρομένου δὲ ἐκείνου τίνα λέγει τὸν αἴτιον, ἑαυτὸν ὁ Σθένις ἔφη, τοὺς μὲν φίλους πείσαντα τῶν πολιτῶν, τοὺς δ' ἐχθροὺς βιασάμενον. ἀγασθεὶς οὖν τὴν παρρησίαν καὶ τὸ φρόνημα τοῦ ἀνδρὸς ὁ Πομπήιος, ἀφῆκε τῆς αἰτίας πρῶτον ἐκεῖνον, εἶτα τοὺς ἄλλους ἅπαντας. ἀκούων δὲ τοὺς στρατιώτας ἐν ταῖς ὁδοιπορίαις ἀτακτεῖν, σφραγῖδα ταῖς μαχαίραις αὐτῶν ἐπέβαλεν, ἣν ὁ μὴ φυλάξας ἐκολάζετο. ταῦτα πράττων ἐν Σικελίᾳ καὶ πολιτευόμενος, ἐδέξατο δόγμα συγκλήτου, καὶ γράμματα Σύλλα, κελεύοντα εἰς Λιβύην πλεῖν, καὶ πολεμεῖν Δομετίῳ κατὰ κράτος, ἠθροικότι πολλαπλασίαν δύναμιν, ἧς ἔχων Μάριος οὐ πάλαι διεπέρασεν ἐκ Λιβύης εἰς Ἰταλίαν καὶ συνέχεε τὰ Ῥωμαίων πράγματα, τύραννος ἐκ φυγάδος καταστάς. ὀξέως οὖν ἅπαντα παρασκευασάμενος ὁ Πομπήιος, Σικελίας μὲν ἄρχοντα Μέμμιον κατέλιπε τὸν ἄνδρα τῆς ἀδελφῆς. αὐτὸς δὲ ἀνήγετο ναυσὶ μὲν μακραῖς ἑκατὸν εἴκοσι, φορτηγοῖς δὲ σῖτον καὶ βέλη καὶ χρήματα καὶ μηχανὰς κομιζούσαις ὀκτακοσίαις. καταχθέντι δὲ αὐτῷ ταῖς μὲν εἰς Ἰτύκην ναυσὶ, ταῖς δὲ εἰς Καρχηδόνα, τῶν πολεμίων ἀποστάντες ἑπτακισχίλιοι προσεχώρησαν. αὐτὸς δὲ ἦγεν ἓξ ἐντελῆ τάγματα. συμβῆναι δ' αὐτῷ πρᾶγμα γελοῖον ἱστοροῦσι. στρατιῶται γάρ τινες ὡς ἔοικε θησαυρῷ περιπεσόντες, ἔλαβον συχνὰ χρήματα. τοῦ δὲ πράγματος γενομένου φανεροῦ, ἔδοξε τοῖς ἄλλοις πᾶσι χρημάτων μεστὸν εἶναι τὸν τόπον, ἐν ταῖς ποτὲ τύχαις τῶν Καρχηδονίων ἀποτεθειμένων. οὐδὲν οὖν ὁ Πομπήιος εἶχε χρῆσθαι τοῖς στρατιώταις, ἐπὶ πολλὰς ἡμέρας θησαυροὺς ζητοῦσιν, ἀλλὰ περιῄει γελῶν καὶ θεώμενος ὁμοῦ μυριάδας τοσαύτας ὀρυττούσας καὶ στρεφούσας τὸ πεδίον, ἕως ἀπειπόντες, ἐκέλευον αὐτοὺς ἄγειν ὅποι βούλεται τὸν Πομπήιον, ὡς δίκην ἱκανὴν τῆς ἀβελτηρίας δεδωκότας. ἀντιτεταγμένου δὲ τοῦ Δομετίου καὶ χαράδραν τινὰ προβεβλημένου χαλεπὴν περᾶσαι καὶ τραχεῖαν, ὄμβρος ἅμα πνεύματι πολὺς ἕωθεν ἀρξάμενος κατεῖχεν, ὥστε ἀπογνόντα τῆς ἡμέρας ἐκείνης μαχέσασθαι τὸν Δομέτιον, ἀναζυγὴν παραγγεῖλαι. Πομπήιος δὲ τοῦτον αὐτοῦ ποιούμενος τὸν καιρὸν, ὀξέως ἐπῄει καὶ διέβαινε τὴν χαράδραν. οἱ δὲ ἀτάκτως καὶ θορυβούμενοι, καὶ οὐ πάντες, οὐδὲ ὁμαλῶς ὑφίσταντο. καὶ τὸ πνεῦμα περιφέρον τὴν ζάλην αὐτοῖς προσέβαλλεν ἐναντίαν. οὐ μὴν, ἀλλὰ καὶ τοὺς Ῥωμαίους ὁ χειμὼν ἐτάραξεν, οὐ καθορῶντας ἀλλήλους ἀκριβῶς, αὐτός τε Πομπήιος ἐκινδύνευσεν ἀγνοηθεὶς ἀποθανεῖν, ἐρωτῶντι στρατιώτῃ τὸ σύνθημα, βράδιον ἀποκρινάμενος. ὠσάμενοι δὲ πολλῷ φόνῳ τοὺς πολεμίους. λέγονται γὰρ ἀπὸ δισμυρίων τρισχίλιοι διαφυγεῖν, αὐτοκράτορα τὸν Πομπήιον ἠσπάσαντο. φήσαντος δὲ ἐκείνου, μὴ δέχεσθαι τὴν τιμὴν ἕως ὀρθὸν ἕστηκε τὸ στρατόπεδον τῶν πολεμίων. εἰ δὲ αὐτὸν ἀξιοῦσι ταύτης τῆς προσηγορίας, ἐκεῖνο χρῆναι πρότερον καταβαλεῖν, ὥρμησαν εὐθὺς ἐπὶ τὸν χάρακα. καὶ Πομπήιος ἄνευ κράνους ἠγωνίζετο, δεδοικὼς τὸ πρότερον πάθος. ἁλίσκεται δὲ τὸ στρατόπεδον, καὶ ἀποθνήσκει Δομέτιος. τῶν δὲ πόλεων, αἱ μὲν εὐθὺς ὑπήκουον, αἱ δὲ κατὰ κράτος ἐλήφθησαν. εἷλε δὲ καὶ τῶν βασιλέων Ἰάρβαν τὸν συμμαχήσαντα Δομετίῳ. τὴν δὲ βασιλείαν Ἱάμψᾳ παρέδωκε. χρώμενος δὲ τῇ τύχῃ καὶ τῇ ῥώμῃ τοῦ στρατεύματος, εἰς τὴν Νομαδικὴν ἐνέβαλε. καὶ πολλῶν ὁδὸν ἡμερῶν ἐλάσας, καὶ πάντων κρατήσας οἷς ἐνέτυχε, καὶ τὸ πρὸς Ῥωμαίους δέος ἤδη τῶν βαρβάρων ἐξερρυηκὸς, αὖθις ἰσχυρὸν καὶ φοβερὸν καταστήσας, οὐδὲ τὰ θηρία δεῖν ἔφη τὰ τὴν Λιβύην κατοικοῦντα τῆς τῶν Ῥωμαίων ἄπειρα ῥώμης καὶ τύχης ἀπολιπεῖν. ὅθεν ἐν θήραις λεόντων καὶ ἐλεφάντων, ἡμέρας διέτριψεν οὐ πολλάς. ταῖς δὲ πάσαις ὥς φασι τεσσαράκοντα, τοὺς πολεμίους συνεῖλε, καὶ Λιβύην ἐχειρώσατο, καὶ διῄτησε τὰ τῶν βασιλέων. ἔτος ἄγων ἐκεῖνο τέταρτον καὶ εἰκοστόν. ἐπανελθόντι δὲ εἰς Ἰτύκην αὐτῷ γράμματα κομίζεται Σύλλα προστάττοντος, ἀφεῖναι μὲν τὴν ἄλλην στρατιάν, αὐτὸν δὲ μεθ' ἑνὸς τάγματος περιμένειν αὐτόθι τὸν διαδεξόμενον στρατηγόν. ἐπὶ τούτοις, ἀδήλως μὲν αὐτὸς ἤχθετο, καὶ βαρέως ἔφερεν. ἐμφανῶς δὲ ὁ στρατὸς ἠγανάκτει. καὶ δεηθέντος τοῦ Πομπηίου προελθεῖν, τόν τε Σύλλαν κακῶς ἔλεγον, κἀκεῖνον οὐκ ἔφασαν προήσεσθαι χωρὶς αὐτῶν, οὐδὲ ἐᾶν πιστεύειν τῷ τυράννῳ. τὸ μὲν οὖν πρῶτον ὁ Πομπήιος ἐπειρᾶτο πραΰνειν καὶ παρηγορεῖν αὐτούς. ὡς δ' οὐκ ἔπειθε, καταβὰς ἀπὸ τοῦ βήματος, ἐπὶ τὴν σκηνὴν ἀπῄει δεδακρυμένος. οἱ δὲ συλλαβόντες αὐτὸν, αὖθις ἐπὶ τοῦ βήματος κατέστησαν. καὶ πολὺ μέρος τῆς ἡμέρας ἀνηλώθη, τῶν μὲν μένειν καὶ ἄρχειν κελευόντων, τοῦ δὲ, πείθεσθαι δεομένου καὶ μὴ στασιάζειν. ἄχρις οὗ προσλιπαρούντων καὶ καταβοώντων, ὤμοσεν ἀναιρήσειν ἑαυτὸν εἰ βιάζοιντο. καὶ μόλις ἐπαύσαντο οὕτως. τῷ δὲ Σύλλα πρώτη μὲν ἦλθεν ἀγγελία, τὸν Πομπήιον ἀφεστάναι, καὶ πρὸς τοὺς φίλους εἶπεν, ὡς ἄρα πεπρωμένον ἦν αὐτῷ γενομένῳ γέροντι, παίδων ἀγῶνας ἀγωνίζεσθαι, διὰ τὸ καὶ Μάριον αὐτῷ νέον ὄντα κομιδῇ πλεῖστα πράγματα παρασχεῖν, καὶ εἰς τοὺς ἐσχάτους περιστῆσαι κινδύνους. πυθόμενος δὲ τἀληθῆ. καὶ πάντας ἀνθρώπους αἰσθανόμενος δέχεσθαι καὶ προπέμπειν τὸν Πομπήιον ὡρμημένους μετ' εὐνοίας, ἔσπευδεν ὑπερβαλέσθαι. καὶ προελθὼν ἀπήντησεν αὐτῷ, καὶ δεξιωσάμενος ὡς

νος εἰς χαλεπὰ καὶ ἄβατα χωρία, πάντας ἐμβάλλει διώκων. οἱ δὲ τὴν σωτηρίαν ἀνέλπιστον ὁρῶντες, ἐνεχείρισαν αὑτοὺς μετὰ τῶν ὅπλων καὶ τῶν ἵππων. οὔπω δὲ ταῦτα σύλλας ἐπέπυστο. πρὸς δὲ τὰς πρώτας ἀγγελίας καὶ φήμας περὶ αὐτοῦ δεδοικώς, ἐν τοσούτοις καὶ τηλικούτοις ἀναστρεφομένου στρατηγοῖς πολεμίοις, ἐδίωκε βοηθήσων. γνοὺς δὲ ὁ πομπήϊος ἐγγὺς ὄντα, προσέταξε τοῖς ἡγεμόσιν, ἐξοπλίζειν καὶ διακοσμεῖν τὴν δύναμιν, ὡς καλλίστη τῷ αὐτοκράτορι καὶ λαμπροτάτη φανείη. μεγάλας γὰρ ἤλπιζε παρ' αὐτοῦ τιμάς. ἔτυχε δὲ μειζόνων. ὡς γὰρ εἶδεν αὐτὸν ὁ σύλλας προσιόντα, καὶ τὴν στρατιὰν παρεστῶσαν, εὐανδρίᾳ τε θαυμαστὴν, καὶ διὰ τὰς κατορθώσεις ἐπηρμένην καὶ ἱλαρὰν, ἀποπηδήσας τοῦ ἵππου καὶ προσαγορευθεὶς ὡς εἰκὸς αὐτοκράτωρ, ἀντιπροσηγόρευσεν αὐτοκράτορα τὸν πομπήϊον. οὐδενὸς ἂν προσδοκήσαντος ἀνδρὶ νέῳ καὶ μηδέπω βουλῆς μετέχοντι κοινώσασθαι τοὔνομα τὸν σύλλαν, περὶ οὗ σκηπίωσι καὶ μαρίοις ἐπολέμει. καὶ τἆλλα δὲ ἦν ὁμολογοῦντα, ταῖς πρώταις φιλοφροσύναις, ὑπεξανισταμένου τε προσιόντι τῷ πομπηΐῳ, καὶ τῆς κεφαλῆς ἀπάγοντος τὸ ἱμάτιον. ἃ πρὸς ἄλλον οὐ ῥᾳδίως ἑωρᾶτο ποιῶν, καίπερ ὄντων πολλῶν καὶ ἀγαθῶν περὶ αὐτόν. οὐ μὴν ἐκουφίσθη γε τούτοις ὁ πομπήϊος, ἀλλὰ εὐθὺς εἰς τὴν κελτικὴν ὑπ' αὐτοῦ πεμπόμενος, ἣν εἶχεν ὁ μέτελλος, ἐδόκει μηδὲν ἄξιον πράττειν τῆς παρασκευῆς, οὐ καλῶς ἔφη ἔχειν πρεσβύτερον καὶ προὔχοντα δόξῃ στρατηγίας ἀφαιρεῖσθαι, βουλομένῳ μέντοι τῷ μετέλλῳ, καὶ κελεύοντι συμπολεμεῖν καὶ βοηθεῖν, ἕτοιμος εἶναι. δεξαμένου δὲ τοῦ μετέλλου καὶ γράψαντος ἥκειν, ἐμβαλὼν εἰς τὴν κελτικὴν, αὐτός τε καθ' αὑτὸν ἔργα θαυμαστὰ διεπράττετο. καὶ τοῦ μετέλλου τὸ μάχιμον καὶ θαρσαλέον ἤδη σβεννύμενον ὑπὸ γήρως, αὖθις ἐξερρίπιζε καὶ συνεξεθέρμαινεν, ὥσπερ ὁ ῥέων καὶ πεπυρωμένος χαλκὸς, τῷ πεπηγότι καὶ ψυχρῷ περιχυθεὶς, λέγεται τοῦ πυρὸς μᾶλλον ἀνυγραίνειν καὶ συντήκειν. ἀλλὰ γὰρ ὥσπερ ἀθλητοῦ πρωτεύσαντος ἐν ἀνδράσι καὶ τοὺς πανταχοῦ καθελόντος ἐνδόξως ἀγῶνας, εἰς οὐδένα λόγον τὰς παιδικὰς τίθενται νίκας, οὐδ' ἀναγράφουσιν, οὕτως ἃς ἔπραξε τότε πράξεις ὁ πομπήϊος αὐτὰς καθ' ἑαυτὰς ὑπερφυεῖς οὔσας, πλήθει τε καὶ μεγέθει τῶν ὑστέρων ἀγώνων καὶ πολέμων κατακεχωσμένας, ἐδεδίειν κινεῖν, μὴ περὶ τὰ πρῶτα πολλῆς διατριβῆς γενομένης, τῶν μεγίστων καὶ μάλιστα δηλούντων τὸ ἦθος ἔργων καὶ παθημάτων τοῦ ἀνδρὸς ἀπολειφθῶμεν. ἐπεὶ τοίνυν ἐκράτησε τῆς ἰταλίας ὁ σύλλας, καὶ δικτάτωρ ἀνηγορεύθη, τοὺς μὲν ἄλλους ἡγεμόνας καὶ στρατηγοὺς ἠμείβετο, πλουσίους ποιῶν καὶ προάγων ἐπ' ἀρχάς. καὶ χαριζόμενος ἀφθόνως καὶ προθύμως ὧν ἕκαστος ἐδεῖτο. πομπήϊον δὲ θαυμάζων δι' ἀρετήν. καὶ μέγα νομίζων ὄφελος εἶναι τοῖς ἑαυτοῦ πράγμασιν, ἐσπούδασεν ἁμωσγέπως οἰκειότητι προσδήσασθαι. συμβουλομένης δὲ τῆς γυναικὸς αὐτοῦ τῆς μετέλλης, πείθουσι τὸν πομπήϊον ἀπαλλαγέντα τῆς ἀντιστίας, λαβεῖν γυναῖκα τὴν σύλλα πρόγονον αἰμιλίαν ἐκ μετέλλης καὶ σκαύρου γεγενημένην. ἀνδρὶ δὲ συνοικοῦσαν ἤδη καὶ κύουσαν τότε. ἦν οὖν τυραννικὰ τοῦ γάμου καὶ τοῖς σύλλα καιροῖς μᾶλλον, ἢ τῷ πομπηΐου βίῳ πρέποντα. τῆς μὲν αἰμιλίας ἀγομένης ἐγκύμονος παρ' ἑτέρου πρὸς αὐτὸν, ἐξελαυνομένης δὲ τῆς ἀντιστίας ἀτίμως καὶ οἰκτρῶς, ἅτε δὴ καὶ τοῦ πατρὸς ἔναγχος ἐστερημένης διὰ τὸν ἄνδρα. κατεσφάγη γὰρ ὁ ἀντίστιος ἐν τῷ βουλευτηρίῳ, δοκῶν τὰ σύλλα φρονεῖν διὰ πομπήϊον. ἡ δὲ μήτηρ αὐτῆς ἰδοῦσα ταῦτα, προήκατο τὸν βίον ἑκουσίως. ὥστε καὶ τοῦτο τὸ πάθος τῇ περὶ τὸν γάμον ἐκεῖνον τραγῳδίᾳ προσγενέσθαι. καὶ νὴ δία τὸ τὴν αἰμιλίαν εὐθὺς διαφθαρῆναι παρὰ τῷ πομπηΐῳ τίκτουσαν ἐκ τούτου. σικελίαν ἠγγέλλετο περπέννας αὐτῷ κρατύνεσθαι. καὶ τοῖς περιοῦσιν ἔτι τῆς ἐναντίας στάσεως, ὁρμητήριον παρέχειν τὴν νῆσον. αἰωρουμένου καὶ κάρβωνος αὐτόθι ναυτικῷ, καὶ δομιτίου λιβύῃ προσπεπλωκότος, ἄλλων τε πολλῶν ἐπιφανῶν μεγάλων ὠθουμένων φυγάδων, ὅσοι τὰς προγραφὰς ἔφθησαν ἀποδράντες. ἐπὶ τούτους πομπήϊος ἀπεστάλη μετὰ πολλῆς δυνάμεως. καὶ περπέννας μὲν εὐθὺς αὐτῷ τῆς σικελίας ἐξέστη. τὰς δὲ πόλεις ἀνελάμβανε τετρυχωμένας, καὶ φιλανθρώπως πάσαις ἐχρῆτο, πλὴν μαμερτίνων τῶν ἐν μεσσήνῃ. παραιτουμένων γὰρ αὐτῶν τὸ βῆμα καὶ τὴν δικαιοδοσίαν, ὡς νόμῳ παλαιῷ ῥωμαίων ἀπειρημένα, οὐ παύσεσθε εἶπεν ἡμῖν ὑπεζωσμένοις ξίφη, νόμους ἀναγινώσκοντες; ἔδοξε δὲ καὶ ταῖς κάρβωνος οὐκ ἀνθρωπίνως ἐνυβρίσαι συμφοραῖς. εἰ γὰρ ἦν ἀναγκαῖον αὐτὸν ὡς περ ἦν ἴσως ἀνελεῖν, εὐθὺς ἔδει λαβόντα, καὶ τοῦ κελεύσαντος ἂν ἦν τὸ ἔργον. ὁ δὲ, δέσμιον προαγαγὼν ἄνδρα ῥωμαίων τρὶς ὑπατεύσαντα, καὶ πρὸ τοῦ βήματος στήσας, καθεζόμενος αὐτὸς ἀνέκρινεν, ἀχθομένων καὶ βαρυνομένων τῶν παρόντων. εἶτα ἐκέλευσεν ἀπαγαγόντας ἀνελεῖν. ἀπαχθέντα μέντοι φασὶν αὐτὸν, ὡς εἶδεν ἑλκόμενον ἤδη τὸ ξίφος, δεῖσθαι τόπον αὐτῷ καὶ χρόνον βραχὺν, ὡς ὑπὸ κοιλίας ἐνοχλουμένῳ παρασχεῖν. γάϊος δὲ ὄππιος ὁ καίσαρος ἑταῖρος, ἀπανθρώπως φησὶ καὶ κοΐντῳ οὐαλλερίῳ χρήσασθαι τὸν πομπήϊον. ἐπιστάμενον γὰρ ὡς ἔστι φιλόλογος ἀνὴρ καὶ φιλομαθὴς ἐν ὀλίγοις, ὁ οὐαλλέριος, ὡς ἤχθη πρὸς αὐτὸν ἐπισπασάμενον καὶ συμπεριπατήσαντα, καὶ πυθόμενον ὧν ἔχρῃζε καὶ μαθόντα, προστάξαι τοῖς ὑπηρέταις εὐθὺς ἀνελεῖν ἀπαγαγόντας. ἀλλ' ὀππίῳ μὲν ὅταν περὶ τῶν καίσαρος πολεμίων ἢ φίλων διαλέγηται, σφόδρα δεῖ πιστεύειν μετ' εὐλαβείας. πομπήϊος δὲ, τοὺς μὲν ἐνδοξοτάτους τῶν σύλλα πολεμίων, καὶ φανερῶς ἁλισκομένους, ἀναγκαίως ἐκόλα-

ζε. τῶν

ἐράσας, ἕνα τῶν ἀπελευθέρων νενοσφισμένον ὁ πομπήιος ἀλέξανδρον ἀπέδειξε τοῖς ἄρχουσι. αὐτὸς δὲ λίνα θηρευτικὰ καὶ βιβλία τῶν ἐν ἄσκλῳ ληφθέντων ἔχειν κατηγορεῖτο. ταῦτα δὲ ἔλαβε μὲν παρὰ τοῦ πατρὸς ἑλόντος τὸ ἄσκλον. ἀπώλεσε δὲ τῶν κίννα δορυφόρων ὅτε κατῆλθεν ὠσαμένων εἰς τὴν οἰκίαν αὐτοῦ καὶ διαρπασάντων. ἐγίνοντο δὲ τῆς δίκης αὐτῷ προαγῶνες οὐκ ὀλίγοι πρὸς τὸν κατήγορον. ἐν οἷς ὀξὺς ἅμα καὶ παρ᾽ ἡλικίαν εὐσταθὴς φαινόμενος, δόξαν ἔσχε μεγάλην καὶ χάριν, ὥστε ἀντίστιον στρατηγοῦντα καὶ βραβεύοντα τὴν δίκην ἐκείνην, ἐρασθῆναι τοῦ πομπηΐου, καὶ γυναῖκα δοῦναι τὴν ἑαυτοῦ θυγατέρα, καὶ περὶ τούτου τοῖς φίλοις διαλέγεσθαι. δεξαμένου δὲ πομπηΐου καὶ γενομένων ἐν αὐτοῖς ἀπορρήτων ὁμολογιῶν, ὅμως οὐκ ἔλαθε τοὺς πολλοὺς τὸ πρᾶγμα, διὰ τὴν τοῦ ἀντιστίου σπουδήν. τέλος δὲ τὴν γνώμην ἀναγορεύσαντος αὐτοῦ τῶν δικαστῶν ἀπολύουσαν, ὥσπερ ἐκ παραγγέλματος, ὁ δῆμος ἐπεφώνησε, τοῦτο δὴ τοῖς γαμοῦσιν ἐπιφωνούμενον ἐξ ἔθους παλαιοῦ, ταλασίῳ. τὸ δὲ ἔθος ἀρχὴν λαβεῖν φασὶ τοιαύτην. ὅτε τὰς θυγατέρας τῶν σαβίνων ἐπὶ θέαν ἀγῶνος εἰς ῥώμην παραγινομένας οἱ πρωτεύοντες ἀρετῇ ῥωμαίων ἥρπαζον ἑαυτοῖς γυναῖκας. ἄδοξοί τινες αἰγελάται καὶ βοτῆρες ἀράμενοι κόρην καλὴν καὶ μεγάλην ἐκόμιζον. ὅπως οὖν μὴ προστυχών τις ἀφέληται τῶν κρειττόνων, ἐβόων θέοντες ἅμα ταλασίῳ. τῶν δὲ χαριέντων καὶ γνωρίμων τις ἦν ὁ ταλάσιος, ὥστε τοὺς ἀκούσαντας τοὔνομα κροτεῖν καὶ βοᾶν, οἷον συνηδομένους καὶ συνεπαινοῦντας. ἐκ τούτου φασίν. καὶ γὰρ εὐτυχὴς ὁ γάμος ἀπέβη τῷ ταλασίῳ, ταύτην τὴν ἐπιφώνησιν μετὰ παιδιᾶς γενέσθαι τοῖς γαμοῦσιν. οὗτος ὁ λόγος πιθανώτατός ἐστι, τῶν περὶ τοῦ ταλασίου λεγομένων. ὀλίγαις οὖν ὕστερον ἡμέραις ὁ πομπήιος ἠγάγετο τὴν ἀντιστίαν. ἐπεὶ δὲ πρὸς κίνναν εἰς τὸ στρατόπεδον πορευθεὶς, ἐξ αἰτίας τινὸς καὶ διαβολῆς ἔδεισε, καὶ ταχὺ λαθὼν ἐκποδὼν ἐποίησεν ἑαυτόν, οὐκ ὄντος δὲ ἐμφανοῦς αὐτοῦ θροῦς διῆλθεν ἐν τῷ στρατοπέδῳ, καὶ λόγος ὡς ἀνῃρήκοι τὸν νεανίσκον ὁ κίννας. ἐκ δὲ τούτου οἱ πάλαι βαρυνόμενοι καὶ μισοῦντες, ὥρμησαν ἐπ᾽ αὐτόν. ὁ δὲ φεύγων. καὶ καταλαμβανόμενος ὑπό τινος τῶν λοχαγῶν γυμνῷ τῷ ξίφει διώκοντος, προσέπεσε τοῖς γόνασι. καὶ τὴν σφραγῖδα προὔτεινε πολύτιμον οὖσαν. ὁ δὲ, καὶ μάλα ὑβριστικῶς εἰπών. ἀλλ᾽ οὐκ ἐγγύην ἔρχομαι σφραγιούμενος, ἀλλὰ ἀνόσιον καὶ παράνομον τιμωρησόμενος τύραννον, ἀπέκτεινεν αὐτόν. οὕτω δὲ τοῦ κίννα τελευτήσαντος, ἐδέξατο μὲν τὰ πράγματα καὶ συνεῖχε κάρβων, ἐμπληκτότερος ἐκείνου τύραννος. ἐπῄει δὲ σύλλας, τοῖς πλείστοις ποθεινὸς ὑπὸ τῶν παρόντων κακῶν. οὐδὲ δεσπότου μεταβολὴν μικρὸν ἡγουμένοις ἀγαθόν, εἰς τοῦτο προήγαγον αἱ συμφοραὶ τὴν πόλιν, ὡς δουλείαν ἐπιεικεστέραν ζητεῖν ἀπογνώσει τῆς ἐλευθερίας. τότε οὖν ὁ πομπήιος ἐν τῇ πικηνίδι τῆς ἰταλίας διέτριβεν, ἔχων μὲν αὐτόθι καὶ χωρία. τὸ δὲ πλέον ταῖς πόλεσιν ἡδόμενος, οἰκείως καὶ φιλικῶς πατρόθεν ἐχούσαις πρὸς αὐτόν. ὁρῶν δὲ τοὺς ἐπιφανεστάτους καὶ βελτίστους τῶν πολιτῶν ἀπολιπόντας τὰ οἰκεῖα, καὶ πανταχόθεν εἰς τὸ σύλλα στρατόπεδον, ὥσπερ εἰς λιμένα καταθέοντας, αὐτὸς οὐκ ἠξίωσεν ἀποδράς. οὐδὲ ἀσύμβολος. οὐδὲ χρῄζων βοηθείας, ἀλλὰ ὑπάρξας τινὸς χάριτος, ἐνδόξως καὶ μετὰ δυνάμεως ἐλθεῖν πρὸς αὐτόν. ὅθεν ἐκίνει τοὺς πικηνοὺς ἀποπειρώμενος. οἱ δὲ ὑπήκουον αὐτῷ προθύμως. καὶ τοῖς παρὰ κάρβωνος ἥκουσιν οὐ προσεῖχον. οὐϊνδίου δέ τινος εἰπόντος, ὅτι δημαγωγὸς αὐτοῖς ἐκ παιδαγωγείου παραπεπήδηκεν ὁ πομπήιος, οὕτως ἠγανάκτησαν, ὥστε εὐθὺς ἀνελεῖν προσπεσόντες τὸν οὐΐνδιον. ἐκ τούτου πομπήιος ἔτη μὲν τρία καὶ εἴκοσι γεγονὼς, ὑπ᾽ οὐδενὸς δὲ ἀνθρώπων ἀποδεδειγμένος στρατηγὸς, αὐτὸς ἑαυτῷ δοὺς τὸ ἄρχειν, ἐν αὐξίμῳ πόλει μεγάλῃ, βῆμα θεὶς ἐν ἀγορᾷ, καὶ τοὺς πρωτεύοντας αὐτῶν ἀδελφοὺς δύο οὐεντιδίους ὑπὲρ κάρβωνος ἀντιπράττοντας, διατάγματι μεταστῆναι τῆς πόλεως κελεύσας, στρατιώτας κατέλεγε. καὶ λοχαγοὺς καὶ ταξιάρχους κατὰ κόσμον ἀποδείξας ἑκάστοις, τὰς κύκλῳ πόλεις ἐπῄει τὸ αὐτὸ ποιῶν. ἐξανισταμένων δὲ καὶ ὑποχωρούντων ὅσοι τὰ κάρβωνος ἐφρόνουν. τῶν δὲ ἄλλων ἀσμένως ἐπιδιδόντων ἑαυτοὺς, οὕτω καταναγκάσας ἐν ὀλίγῳ χρόνῳ τρία τάγματα τέλεια, καὶ τροφὴν πορίσας, καὶ σκευαγωγὰ καὶ ἁμάξας, καὶ τὴν ἄλλην πᾶσαν παρασκευήν, ἦγε πρὸς σύλλαν οὐκ ἐπειγόμενος. οὐδὲ τὸ λαθεῖν ἀγαπῶν. ἀλλὰ διατρίβων καθ᾽ ὁδόν, ἐν τῷ κακῶς ποιεῖν τοὺς πολεμίους. καὶ πᾶν ὅσον ἐπῄει τῆς ἰταλίας πειρώμενος ἀφιστάναι τοῦ κάρβωνος. ἀνέστησαν οὖν ἐπ᾽ αὐτὸν τρεῖς ἅμα στρατηγοὶ πολέμιοι. καρείννας. καὶ κοίλιος. καὶ βροῦτος. οὐκ ἐναντίοι πάντες οὐδὲ ὁμόθεν, ἀλλὰ κύκλῳ τρισὶ στρατοπέδοις περιχωροῦντες ὡς ἀναρπασόμενοι, ὁ δὲ οὐκ ἔδεισεν, ἀλλὰ πᾶσαν εἰς ταὐτὸ τὴν δύναμιν συναγαγών, ὥρμησεν ἐφ᾽ ἓν τὸ τοῦ βρούτου στράτευμα, τοὺς ἱππεῖς ἐν οἷς ἦν αὐτὸς προτάξας. ἐπεὶ δὲ καὶ παρὰ τῶν πολεμίων ἀντεξίππευσαν οἱ κελτοί. τὸν πρῶτον αὐτὸν καὶ ῥωμαλεώτατον, φθάνει παίσας ἐκ χειρὸς δόρατι καὶ καταβαλών. οἱ δὲ ἄλλοι τραπόμενοι, καὶ τὸ πεζὸν συνετάραξαν. ὥστε φυγὴν γενέσθαι πάντων. ἐκ δὲ τούτου στασιάσαντες οἱ στρατηγοὶ πρὸς ἀλλήλους, ἀνεχώρησαν ὡς ἕκαστος ἔτυχε. πομπηΐῳ δὲ προσεχώρουν αἱ πόλεις, ὡς διὰ φόβον ἐσκεδασμένων τῶν πολεμίων. αὖθις δὲ σκηπίωνος ἐπιόντος αὐτῷ τοῦ ὑπάτου, πρὶν ἐν ἐμβολαῖς ὑσσῶν γενέσθαι τὰς φάλαγγας, οἱ σκηπίωνος ἀσπασάμενοι τοὺς πομπηΐου, μετεβάλοντο. σκηπίων δὲ ἔφυγεν. τέλος δὲ κάρβωνος αὐτοῦ περὶ τὸν ἄρσιν ποταμὸν ἱππέων συχνὰς ἴλας ἀφέντος, εὐρώστως ὑποστὰς καὶ τρεψάμε-

ἀγελάται η.
ὑπάρξας ς. κ. π.
ὑΐνδιου. π. ς. κ.
οὐΐδιου. π. ς. κ.
οὐεντιδίων. ς. π.

Πρὸς πομπήϊον ἔοικε τοῦτο παθεῖν ὁ ῥωμαίων δῆμος εὐθὺς ἐξ ἀρχῆς, ὅπερ ὁ αἰσχύλου προμηθεὺς πρὸς τὸν ἡρακλέα, σωθεὶς ὑπ' αὐτοῦ καὶ λέγων. ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον. οὔτε γὰρ μῖσος οὕτως ἰσχυρὸν καὶ ἄγριον ἐπεδείξαντο ῥωμαῖοι πρὸς ἕτερον στρατηγὸν, ὡς τὸν πομπηΐου πατέρα στράβωνα. ζῶντος μὲν αὐτοῦ, φοβούμενοι τὴν ἐν τοῖς ὅπλοις δύναμιν. ἦν γὰρ ἀνὴρ πολεμικώτατος. ἐπεὶ δὲ ἀπέθανε κεραυνωθεὶς, ἐκκομιζόμενον τὸ σῶμα, κατασπάσαντες ἀπὸ τοῦ λέχους καὶ καθυβρίσαντες, οὔτε μὴν εὔνοιαν αὖ πάλιν σφοδροτέραν ἢ θᾶσσον ἀρξαμένην ἢ μᾶλλον εὐτυχοῦντι συνακμάσασαν, ἢ πταίσαντι παραμείνασαν, βεβαιότερον ἄλλος ἔσχε ῥωμαίων, ἢ πομπήϊος. αἰτία δὲ, τοῦ μὲν μίσους ἐκείνῳ μία, χρημάτων ἄπληστος ἐπιθυμία. τούτῳ δὲ πολλαὶ τοῦ ἀγαπᾶσθαι, σωφροσύνη περὶ δίαιταν, ἄσκησις ἐν ὅπλοις. πιθανότης λόγου. πίστις ἤθους. εὐαρμοστία πρὸς ἔντευξιν, ὡς μηδενὸς ἀλυπότερον δεηθῆναι, μηδὲ ἥδιον ἀπουργῆσαι δεομένῳ. προσῆν γὰρ αὐτοῦ ταῖς χάρισι, καὶ τὸ ἀνεπαχθὲς διδόντος, καὶ τὸ σεμνὸν λαμβάνοντος. ἐν ἀρχῇ δὲ καὶ τὴν ὄψιν ἔσχεν οὐ μετρίως συνδημαγωγοῦσαν καὶ προεντυγχάνουσαν αὐτοῦ τῆς φωνῆς. τὸ γὰρ ἐράσμιον ἀξιωματικὸν ἦν φιλανθρώπως. καὶ τῷ νεαρῷ καὶ ἀνθοῦντι, διέφαινεν εὐθὺς ἡ ἀκμὴ τὸ γεραρὸν καὶ βασιλικὸν τοῦ ἤθους. ἦν δέ τις καὶ ἀναστολὴ τῆς κόμης ἀτρέμα. καὶ τῶν περὶ τὰ ὄμματα ῥυθμῶν ὑγρότης, τοῦ προσώπου ποιοῦσα μᾶλλον λεγομένην ἢ φαινομένην ὁμοιότητα, πρὸς τὰς ἀλεξάνδρου τοῦ βασιλέως εἰκόνας, ᾗ καὶ τοὔνομα πολλῶν ἐν ἀρχῇ συνεπιφερόντων, οὐκ ἔφυγεν ὁ πομπήϊος. ὥστε καὶ χλευάζοντας αὐτὸν ἐνίους, ἤδη καλεῖν ἀλέξανδρον. διὸ καὶ λεύκιος φίλιππος ἀνὴρ ὑπατικὸς συνηγορῶν αὐτῷ, μηδὲν ἔφη ποιεῖν παράλογον εἰ φίλιππος ὢν, φιλαλέξανδρός ἐστι. φλώραν δὲ τὴν ἑταίραν ἔφασιν ἤδη πρεσβυτέραν οὖσαν, ἐπιεικῶς ἀεὶ μνημονεύειν τῆς γενομένης αὐτῇ πρὸς τὸν πομπήϊον ὁμιλίας, λέγουσαν, ὡς οὐκ ἦν ἐκείνῳ συναναπαυσαμένην, ἀδήκτως ἀπελθεῖν. πρὸς δὲ τούτοις διηγεῖσθαι τὴν φλώραν ἐπιθυμῆσαί τινα τῶν πομπηΐου συνήθων αὐτῆς γεμίνιον. καὶ πράγματα πολλὰ παρέχειν πειρῶντα. αὐτῆς δὲ φαμένης οὐκ ἂν ἐθελῆσαι διὰ πομπήϊον, ἐκείνῳ τὸν γεμίνιον διαλέγεσθαι. τὸν οὖν πομπήϊον, ἐπιτρέψαι μὲν τῷ γεμινίῳ, μηκέτι δὲ αὐτὸν ἅψασθαι τὸ παράπαν, μηδὲ ἐντυχεῖν αὐτῇ, καίπερ ἐρᾶν δοκοῦντα. ταύτην δὲ αὐτὴν, οὐχ ἑταιρικῶς ἐνεγκεῖν, ἀλλὰ πολὺν ὑπὸ λύπης καὶ πόθου χρόνον νοσῆσαι. καίτοι τὴν φλώραν οὕτω λέγουσιν ἀνθῆσαι καὶ γενέσθαι περιβόητον, ὥστε κεκίλιον μέτελλον ἀνδριάσι καὶ γραφαῖς κοσμοῦντα τὸν νεὼν τῶν διοσκούρων, κἀκείνης εἰκόνα γραψάμενον ἀναθεῖναι διὰ τὸ κάλλος. πομπήϊος δὲ, καὶ τῇ δημητρίου τοῦ ἀπελευθέρου γυναικὶ, πλεῖστον ἰσχύσαντος παρ' αὐτῷ, καὶ τετρακισχιλίων ταλάντων ἀπολιπόντος οὐσίαν, ἐχρῆτο παρὰ τὸν αὐτοῦ τρόπον, οὐκ ἐπιεικῶς οὐδ' ἐλευθερίως, φοβηθεὶς τὴν εὐμορφίαν αὐτῆς, ἄμαχόν τινα καὶ περιβόητον οὖσαν, ὡς μὴ φανείη κεκρατημένος. οὕτω δὲ πάνυ πόρρωθεν εὐλαβὴς ὢν πρὸς τὰ τοιαῦτα καὶ πεφυλαγμένος, ὅμως οὐ διέφυγε τῶν ἐχθρῶν, τὸν ἐπὶ τούτῳ ψόγον. ἀλλ' ἐπὶ ταῖς γαμεταῖς ἐσυκοφαντεῖτο, πολλὰ τῶν κοινῶν παριδεῖν καὶ προέσθαι χαριζόμενος ἐκείναις. τῆς δὲ περὶ τὴν δίαιταν εὐκολίας καὶ λιτότητος, καὶ ἀπομνημόνευμα λέγεται τοιοῦτο. ἰατρὸς αὐτῷ νοσοῦντι, καὶ κακῶς ἔχοντι πρὸς τὰ σιτία, κίχλην προσέταξε λαβεῖν. ὡς δὲ ζητοῦντες οὐχ εὗρον ὤνιον. ἦν γὰρ παρ' ὥραν. ἔφη δέ τις εὑρεθήσεσθαι παρὰ λευκούλλῳ δι' ἔτους τρεφομένας. εἶτα εἶπεν, εἰ μὴ λεύκουλλος ἐτρύφα, πομπήϊος οὐκ ἂν ἔζησεν, καὶ χαίρειν ἐάσας τὸν ἰατρὸν, ἔλαβέ τι τῶν εὐπορίστων. ταῦτα μὲν οὖν ὕστερον. ἔτι δὲ μειράκιον ὢν παντάπασι καὶ τῷ πατρὶ συστρατευόμενος ἀντιτεταγμένῳ πρὸς κίνναν. λεύκιόν τινα τερέντιον εἶχεν ἑταῖρον καὶ σύσκηνον. οὗτος ὑπὸ κίννα πεισθεὶς χρήμασιν, αὐτὸς μὲν ἔμελλε πομπήϊον ἀποκτενεῖν. ἕτεροι δὲ τὴν σκηνὴν ἐμπρήσειν τοῦ στρατηγοῦ. μηνύσεως δὲ τῷ πομπηΐῳ περὶ δεῖπνον ὄντι προσπεσούσης, οὐδὲν διαταραχθεὶς ἀλλὰ καὶ πιὼν προθυμότερον, καὶ φιλοφρονησάμενος τὸν τερέντιον, ἅμα τῷ τραπέσθαι πρὸς ἀνάπαυσιν ὑπεκρυεὶς τῆς σκηνῆς, ἔλαθε. καὶ τῷ πατρὶ φρουρὰν περιστήσας ἡσύχαζεν. ὁ δὲ τερέντιος ὡς ἐνόμιζε καιρὸν εἶναι, σπασάμενος τὸ ξίφος ἀνέστη, καὶ τῇ στιβάδι τοῦ πομπηΐου προσελθὼν ὡς κατακειμένου, πολλὰς ἐνεφόρει πληγὰς τοῖς στρώμασιν. ἐκ δὲ τούτου γίνεται μέγα κίνημα μίσει τοῦ στρατηγοῦ. καὶ πρὸς ἀπόστασιν ὁρμὴ τῶν στρατιωτῶν. τάς τε σκηνὰς ἀνασπώντων, καὶ τὰ ὅπλα λαμβανόντων. ὁ μὲν οὖν στρατηγὸς, οὐ προσῄει δεδιὼς τὸν θόρυβον. ὁ δὲ πομπήϊος ἐν μέσοις ἀναστρεφόμενος καὶ δακρύων ἱκέτευε. τέλος δὲ ῥίψας ἑαυτὸν ἐπὶ στόμα πρὸ τῆς πύλης τοῦ χάρακος ἐμποδὼν ἔκειτο κλαίων, καὶ πατεῖν κελεύων τοὺς ἐξιόντας, ὥστε ἕκαστον ἀναχωρεῖν ὑπ' αἰδοῦς. καὶ πάντας οὕτω πλὴν ὀκτακοσίων μεταβαλέσθαι καὶ διαλλαγῆναι πρὸς τὸν στρατηγόν. ἅμα δὲ τῷ τελευτῆσαι τὸν στράβωνα, δίκην κλοπῆς ἔσχεν ὑπὲρ αὐτοῦ δημοσίων χρημάτων ὁ πομπήϊος. καὶ τὰ μὲν πλεῖστα φω-

πρὸς πάλαισμα τοῖς πολεμίοις. τὰ μὲν γὰρ, ὑποφεύγων καὶ ὑπάγων. τὰ δὲ, ἀντιπαραχωρῶν, ἐμβάλλει τὸ πλῆθος αὐτῶν εἰς τόπον ἔχουσαν διώρυχα βαθεῖαν, ἐξ ἑκατέρας πλευρᾶς παραρρέουσαν. ὧν τὸ μέσον ἐμφράξας. καὶ καταλαβὼν τῷ μετώπῳ τῆς φάλαγγος, ἐξισώσας πρὸς τοὺς μαχομένους τῶν πολεμίων τὸ πλῆθος. οὐκ ἔχοντας περιδρομὴν καὶ κύκλωσιν. ὅθεν οὐ πολὺν χρόνον ἀντιστάντες, ἐτράποντο. καὶ πολλοὶ μὲν ἀνῃρέθησαν. οἱ δὲ φεύγοντες ἐσκεδάσθησαν καὶ διερρύησαν. ἐκ δὲ τούτου, καλῶς μὲν εἶχε τὰ πράγματα, καὶ βεβαίως τῷ αἰγυπτίῳ πρὸς ἀσφάλειαν. ἀγαπῶν δὲ καὶ φιλοφρονούμενος, ἐδεῖτο μεῖναι καὶ συνδιαχειμάσαι μετ᾽ αὐτοῦ τὸν ἀγησίλαον. ὁ δὲ, ὥρμητο πρὸς τὸν οἴκοι πόλεμον, εἰδὼς χρημάτων δεομένην τὴν πόλιν καὶ ξενοτροφοῦσαν. προὔπεμψεν οὖν αὐτὸν ἐντίμως καὶ μεγαλοπρεπῶς, ἄλλας τε λαβόντα τιμὰς καὶ δωρεὰς, καὶ πρὸς τὸν πόλεμον ἀργυρίου διακόσια, καὶ τριάκοντα τάλαντα. χειμῶνος δὲ ὄντος, ἤδη τῆς γῆς ἐχόμενος ταῖς ναυσὶ, καὶ παρὰ τὴν λιβύην εἰς χωρίον ἔρημον κομισθεὶς, ὃ καλοῦσι μενελάου λιμένα, ἀποθνήσκει βιώσας μὲν ὀγδοήκοντα καὶ τέσσαρα ἔτη. βασιλεύσας δὲ τῆς σπάρτης, ἐνὶ τῶν τεσσαράκοντα πλέον. καὶ τούτων ὑπὲρ τριάκοντα, πάντων μέγιστος καὶ δυνατώτατος γενόμενος. καὶ σχεδὸν ὅλης τῆς ἑλλάδος ἡγεμὼν καὶ βασιλεὺς νομισθεὶς, ἄχρι τῆς ἐν λεύκτροις μάχης. ἔθους δὲ ὄντος λακωνικοῦ, τῶν μὲν ἄλλων ἐπὶ ξένης ἀποθανόντων αὐτοῦ τὰ σώματα κηδεύειν καὶ ἀπολείπειν. τὰ δὲ τῶν βασιλέων οἴκαδε κομίζειν, οἱ παρόντες σπαρτιᾶται κηρὸν ἐπιτήξαντες τῷ νεκρῷ μέλιτος οὐ παρόντος, ἀπήγαγον εἰς λακεδαίμονα. τὴν δὲ βασιλείαν ἀρχίδαμος ὁ υἱὸς αὐτοῦ παρέλαβε. καὶ διέμεινε τῷ γένει μέχρις ἄγιδος. ὃν ἐπιχειροῦντα τὴν πάτριον ἀναλαβεῖν πολιτείαν, ἀπέκτεινε λεωνίδας, πέμπτον ἀπ᾽ ἀγησιλάου γεγονότα.

νίων προσκομισθέντων καὶ προσαχθέντων, ἄλφιτα μὲν καὶ μόσχους καὶ χῆνας ἔλαβε. τραγήματα δὲ καὶ πέμματα καὶ μύρα διωθεῖτο. καὶ βιαζομένων λαβεῖν καὶ λιπαρούντων, ἐκέλευσε τοῖς εἵλωσι διδόναι κομίζοντας. τῇ μέντοι στεφανωτρίδι βίβλῳ φησὶν αὐτὸν ἡσθέντα θεόφραστος διὰ τὴν λιτότητα τῶν στεφάνων αἰτήσασθαι καὶ λαβεῖν, ὅτε ἀπέπλει παρὰ τοῦ βασιλέως. τότε δὲ συμμίξας τῷ τάχῳ παρασκευαζομένῳ πρὸς τὴν στρατείαν οὐχ ὡς προσήλπιζεν, ἁπάσης στρατηγὸς ἀπεδείχθη τῆς δυνάμεως, ἀλλὰ τῶν μισθοφόρων μόνων. τοῦ δὲ ναυτικοῦ, χαβρίας ὁ ἀθηναῖος. ἡγεμὼν δὲ συμπάντων, αὐτὸς ἦν ὁ τάχως. καὶ τοῦτο πρῶτον ἠνίασε τὸν ἀγησίλαον. ἔπειτα, τὴν ἄλλην ἀλαζονείαν καὶ κενοφροσύνην τοῦ αἰγυπτίου βαρυνόμενος, ἠναγκάζετο φέρειν. καὶ συνεξέπλευσεν ἐπὶ τοὺς φοίνικας αὐτῷ. παρὰ τὴν ἀξίαν τὴν ἑαυτοῦ, καὶ τὴν φύσιν ὑπείκων καὶ καρτερῶν, ἄχρις οὗ καιρὸν ἔλαβε. νεκτάναβις γὰρ ἀνεψιὸς ὢν τοῦ τάχω, καὶ μέρος ἔχων ὑφ' ἑαυτῷ τῆς δυνάμεως, ἀπέστη. καὶ βασιλεὺς ὑπὸ τῶν αἰγυπτίων ἀναγορευθεὶς, διέπεμπε πρὸς τὸν ἀγησίλαον, ἀξιῶν αὐτῷ βοηθεῖν. τὰ δ' αὐτὰ, καὶ τὸν χαβρίαν παρεκάλει. μεγάλας ὑπισχνούμενος ἀμφοτέροις δωρεάς. αἰσθομένου δὲ ταῦτα τοῦ τάχω, καὶ τραπομένου πρὸς δέησιν αὐτῶν. ὁ μὲν χαβρίας ἐπειρᾶτο καὶ τὸν ἀγησίλαον ἐν τῇ φιλίᾳ τοῦ τάχω πείθων καὶ παραμυθούμενος κατέχειν. ὁ δὲ ἀγησίλαος εἶπεν. ὅτι σοὶ μὲν ὦ χαβρία κατὰ σαυτὸν ἀφιγμένῳ, χρῆσθαι τοῖς σαυτοῦ λογισμοῖς ἔξεστιν, ἐγὼ δὲ ὑπὸ τῆς πατρίδος ἐδόθην αἰγυπτίοις στρατηγὸς. οὐκ οὖν ἂν ἔχοιμι καλῶς οἷς ἐπέμφθην σύμμαχος πολεμεῖν, ἐὰν μὴ πάλιν ἡ πατρὶς κελεύσῃ. ταῦτα δὲ εἰπὼν ἔπεμψεν ἄνδρας, οἳ τοῦ μὲν τάχω κατηγορεῖν, ἐπαινέσασθαι δὲ τὸν νεκτάναβιν ἔμελλον. ἔπεμψαν δὲ κἀκεῖνοι δεόμενοι τῶν λακεδαιμονίων. ὁ μὲν, ὡς πάλαι σύμμαχος γεγονὼς καὶ φίλος. ὁ δὲ ὡς εὔνους καὶ πρόθυμότερος περὶ τὴν πόλιν ἐσόμενος. ἀκούσαντες οὖν οἱ λακεδαιμόνιοι, τοῖς μὲν αἰγυπτίοις ἀπεκρίναντο φανερῶς, ἀγησιλάῳ περὶ τούτων μελήσειν, ἐκείνῳ δὲ ἀπέστειλαν ὁρᾶν κελεύοντες, ὅπως πράξῃ τὸ τῇ σπάρτῃ συμφέρον. οὕτω δὴ λαβὼν τοὺς μισθοφόρους ὁ ἀγησίλαος, ἀπὸ τοῦ τάχω μετέστη πρὸς τὸν νεκτάναβιν, ἀτόπου καὶ ἀλλοκότου πράγματος. παρακαλύμματι τῷ συμφέροντι τῆς πατρίδος χρησάμενος. ἐπεὶ ταύτης γε τῆς προφάσεως ἀφαιρεθείσης, τὸ δικαιότατον ὄνομα τῆς πράξεως ἦν, προδοσία. λακεδαιμόνιοι δὲ, τὴν πρώτην τοῦ καλοῦ μερίδα, τῷ τῆς πατρίδος συμφέροντι διδόντες, οὔτε μανθάνουσιν, οὔτε ἐπίστανται δίκαιον ἄλλο, πλὴν ὃ τὴν σπάρτην αὔξειν νομίζουσιν. ὁ μὲν οὖν τάχος, ἔρημωθεὶς τῶν μισθοφόρων, ἔφυγεν. ἐκ δὲ μένδητος ἕτερος ἐπανίσταται τῷ νεκτανάβιδι βασιλεὺς ἀναγορευθείς. καὶ συναγαγὼν δέκα μυριάδας ἐπῄει. θαρσύνοντος δὲ τοῦ νεκτανάβιδος τὸν ἀγησίλαον καὶ λέγοντος, ὅτι πολλοὶ μὲν εἰσὶν οἱ πολέμιοι, μιγάδες δὲ καὶ βάναυσοι, καὶ δι' ἀπειρίαν εὐκαταφρόνητοι. καὶ μὴν οὐ τὸ πλῆθος αὐτῶν ὁ ἀγησίλαος εἶπεν, ἀλλὰ τὴν ἀπειρίαν φοβοῦμαι, καὶ τὴν ἀμαθίαν, ὡς δυσεξαπάτητον. αἱ γὰρ ἀπάται, τὸ παράδοξον ἐπάγουσι τοῖς πρὸς ἄμυναν ὑπονοοῦσι καὶ προσδοκῶσι φερομένοις. ὁ δὲ μὴ προσδοκῶν μὴ δὲ ὑπονοῶν μηδὲν, οὐ δίδωσι τῷ παραλογιζομένῳ λαβὴν, ὥσπερ οὐδὲ τῷ παλαίοντι ῥοπὴν, ὁ μὴ κινούμενος. ἐκ τούτου καὶ ὁ μενδήσιος ἔπεμπε πειρῶν τὸν ἀγησίλαον. ἔδεισεν οὖν ὁ νεκτάναβις, καὶ κελεύοντος αὐτοῦ διαμάχεσθαι τὴν ταχίστην, καὶ μὴ χρόνῳ πολεμεῖν πρὸς ἀνθρώπους ἀπείρους ἀγώνων, πολυχειρίᾳ δὲ περιελθεῖν καὶ περιταφρεῦσαι, καὶ φθάσαι πολλὰ, καὶ προλαβεῖν δυναμένους, ἔτι μᾶλλον ἐν ὑποψίᾳ καὶ φόβῳ γενόμενος πρὸς αὐτὸν, ἀπεχώρησεν εἰς πόλιν εὐερκῆ καὶ μέγαν ἔχουσαν περίβολον. ὁ δὲ ἀγησίλαος, ἠγανάκτει μὲν ἀπιστούμενος, καὶ βαρέως ἔφερεν. αἰσχυνόμενος δὲ πάλιν μεταστῆναι πρὸς τὸν ἕτερον, καὶ τελέως ἀπελθεῖν ἄπρακτος, ἠκολούθησε, καὶ συνῆλθεν εἰς τὸ τεῖχος. ἐπελθόντων δὲ τῶν πολεμίων καὶ περιταφρευόντων τὴν πόλιν, αὖθις αὖ δείσας τὴν πολιορκίαν ὁ αἰγύπτιος, ἐβούλετο μάχεσθαι, καὶ τοὺς ἕλληνας μάλα, συμπροθυμουμένους εἶχεν. οὐ γὰρ ἦν ἐν τῷ χωρίῳ σῖτος. ὁ δὲ ἀγησίλαος, οὐκ ἐῶν. ἀλλὰ κωλύων, ἤκουε μὲν ἔτι μᾶλλον κακῶς, ἢ πρότερον ὑπὸ τῶν αἰγυπτίων. καὶ προδότης ἀπεκαλεῖτο τοῦ βασιλέως. ἔφερε δὲ πρᾳότερον ἤδη τὰς διαβολὰς, καὶ προσεῖχε τῷ καιρῷ τοῦ στρατηγήματος. ἦν δὲ τοιόνδε. τάφρον ἔξωθεν ἦγον οἱ πολέμιοι περὶ τὸ τεῖχος βαθεῖαν. ὡς παντάπασιν ἀποκλείσοντες αὐτούς. ὡς οὖν ἐγγὺς ἦσαν αἱ τελευταὶ τοῦ ὀρύγματος, ἀπαντῶντος αὐτῷ καὶ περιιόντες ἐν κύκλῳ τὴν πόλιν, ἑσπέραν ἀναμείνας γενέσθαι, κελεύσας ὑποζώννυσθαι τοὺς ἕλληνας, ἔλεγεν ἐλθὼν πρὸς τὸν αἰγύπτιον. ὁ μὲν τῆς σωτηρίας ὦ νεανία καιρὸς, οὗτός ἐστιν. ὃν ἐγὼ διαφθεῖραι μὴ βουλόμενος, οὐκ ἔφραζον πρὶν ἐλθεῖν. ἐπεὶ δὲ ὑμῖν οἱ πολέμιοι τὴν ἀσφάλειαν αὐτοὶ διὰ τῶν χειρῶν παρεσκευάκασι. τοσαύτην ὀρύξαμενοι τάφρον. ἧς τὸ μὲν ἐξειργασμένον, ἐκείνοις ἐμποδών ἐστι τοῦ πλήθους. τὸ δὲ διαλεῖπον ἡμῖν δίδωσιν, ἴσῳ καὶ δικαίῳ μέτρῳ διαμάχεσθαι πρὸς αὐτοὺς, φέρε νῦν προθυμηθεὶς ἀνὴρ ἀγαθὸς γενέσθαι. καὶ μεθ' ἡμῶν ἐπιφερόμενος δρόμῳ σῶζε σεαυτὸν ἅμα καὶ τὴν στρατείαν. ἡμᾶς γὰρ, οἱ μὲν κατὰ στόμα τῶν πολεμίων οὐχ ὑπομενοῦσιν. οἱ δὲ ἄλλοι διὰ τὴν τάφρον οὐ βλάψουσιν. ἐθαύμασεν οὖν ὁ νεκτάναβις τοῦ ἀγησιλάου τὴν δεινότητα. καὶ δοὺς ἑαυτὸν εἰς μέσα τὰ τῶν ἑλλήνων ὅπλα καὶ προσπεσὼν, ἐτρέψατο ῥᾳδίως τοὺς ἀντιστάντας. ὡς δὲ ἅπαξ ἔλαβε πειθόμενον αὐτῷ τὸν νεκτάναβιν ὁ ἀγησίλαος, αὖθις ἐπῆγε τὸ αὐτὸ στρατήγημα, καταβαλ

γῶν πείθεσθαι τοῖς ἔργῳ κρατοῦσι τὴν χώραν, ἀλλὰ φιλονεικῶν, ἐκείνην μὲν οὐκ ἀπέλαβε, μικροῦ δὲ τὴν σπάρτην προσαπέβαλε καταστρατηγηθείς. ἐπεὶ γὰρ οἱ μαντινεῖς αὖθις ἀπέστησαν τῶν θηβαίων, καὶ μετεπέμποντο τοὺς λακεδαιμονίους, αἰσθόμενος ἐπαμινώνδας τὸν ἀγησίλαον ἐξεστρατευμένον μετὰ τῆς δυνάμεως καὶ προσιόντα, λαθὼν τοὺς μαντινεῖς, ἀνέζευξε νυκτὸς ἐκ τεγέας ἄγων ἐπ' αὐτὴν τὴν λακεδαίμονα τὸ στράτευμα, καὶ μικρὸν ἐδέησε παραλλάξας τὸν ἀγησίλαον, ἔρημον ἐξαίφνης καταλαβεῖν τὴν πόλιν. εὐθύνου δὲ θεσπιέως ὡς καλλισθένης φησὶν, ὡς δὲ ξενοφῶν, κρητός τινος ἐξαγγείλαντος τῷ ἀγησιλάῳ, ταχὺ προπέμψας ἱππέα τοῖς ἐν τῇ πόλει φράσοντα, μετ' οὐ πολὺ καὶ αὐτὸς παρῆλθεν εἰς τὴν σπάρτην. ὀλίγῳ δὲ ὕστερον οἱ θηβαῖοι διέβαινον τὸν εὐρώταν, καὶ προσέβαλλον τῇ πόλει. μάλα ῥωμένως τοῦ ἀγησιλάου καὶ παρ' ἡλικίαν ἐπαμύνοντος. οὐ γὰρ ὡς πρότερον ἀσφαλείας ἑώρα τὸν καιρὸν ὄντα καὶ φυλακῆς, ἀλλὰ μᾶλλον ἀπονοίας καὶ τόλμης, οἷς τὸν ἄλλον χρόνον οὐδέποτε πιστεύσας οὐδὲ χρησάμενος, τότε μόνοις ἀπώσατο τὸν κίνδυνον, ἐκ τῶν χειρῶν τοῦ ἐπαμινώνδου τὴν πόλιν ἐξαρπάσας, καὶ στήσας τρόπαιον, καὶ τοῖς παισὶ καὶ ταῖς γυναιξὶν ἐπιδειξάμενος τὰ κάλλιστα τροφεῖα, τῇ πατρίδι τοὺς λακεδαιμονίους ἀποδιδόντας. ἐν δὲ πρώτοις τὸν ἀρχίδαμον ἀγωνιζόμενον ὑπερφυῶς, τῇ τε ῥώμῃ τῆς ψυχῆς, καὶ τῇ κουφότητι τοῦ σώματος, ὀξέως ἐπὶ τὰ θλιβόμενα τῆς μάχης διαθέοντα διὰ τῶν στενωπῶν, καὶ πανταχοῦ μετ' ὀλίγων ἀντερείδοντα τοῖς πολεμίοις. ἰσάδαν δὲ τὸν φοιβίδου υἱὸν, οὐ τοῖς πολίταις μόνον, ἀλλὰ καὶ τοῖς πολεμίοις θέαμα φανῆναι καλὸν καὶ ἀγαστόν. ἦν μὲν γὰρ ἐκπρεπὴς τὸ εἶδος, καὶ τὸ μέγεθος τοῦ σώματος. ὥραν δὲ ἐν ᾗ τὸ ἥδιστον ἀνθοῦσιν ἄνθρωποι περαιοῦντες εἰς ἄνδρας ἐκ παίδων, εἶχε. γυμνὸς δὲ, καὶ ὅπλων τῶν σκεπόντων καὶ ἱματίων. λίπα χρισάμενος τὸ σῶμα. καὶ τῇ μὲν ἔχων χειρὶ λόγχην. τῇ δὲ, ξίφος, ἐξήλατο τῆς οἰκίας, καὶ διὰ μέσων τῶν μαχομένων ὠσάμενος, ἐν τοῖς πολεμίοις ἀνεστρέφετο. παίων τὸν προστυχόντα καὶ καταβάλλων. ἐτρώθη δὲ ὑπ' οὐδενός. εἴτε θεοῦ δι' ἀρετὴν φυλάττοντος αὐτὸν, εἴτε μεῖζόν τι καὶ κρεῖττον ἀνθρώπου φανεὶς τοῖς ἐναντίοις. ἐπὶ τούτῳ δὲ λέγεται τοὺς ἐφόρους στεφανώσαντας αὐτὸν, εἶτα χιλίων δραχμῶν ἐπιβαλεῖν ζημίαν, ὅτι χωρὶς ὅπλων διακινδυνεύειν ἐτόλμησεν. ὀλίγαις δὲ ὕστερον ἡμέραις περὶ τὴν μαντίνειαν ἐμαχέσαντο. καὶ τὸν ἐπαμινώνδαν ἤδη κρατοῦντα τῶν πρώτων. ἔτι δὲ ἐγκείμενον καὶ κατασπεύδοντα τὴν δίωξιν, ἀντικράτης λάκων ὑποστὰς, ἔπαισε δόρατι μὲν ὡς διοσκουρίδης ἱστόρηκε. λακεδαιμόνιοι δὲ, μαχαιρίωνας ἔτι νῦν τοὺς ἀπογόνους τοῦ ἀντικράτους καλοῦσιν, ὡς μαχαίρᾳ πατάξαντος. οὕτω γὰρ ἐθαύμασαν καὶ ὑπερηγάπησαν αὐτὸν, φόβῳ τοῦ ἐπαμινώνδου ζῶντος, ὥστε τιμὰς μὲν ἐκείνῳ καὶ δωρεὰς ψηφίσασθαι. γένει δὲ, ἀτέλειαν. ἣν ἔτι καὶ καθ' ἡμᾶς ἔχει καλλικράτης εἷς τῶν ἀντικράτους ἀπογόνων. μετὰ δὲ τὴν μάχην καὶ θάνατον τοῦ ἐπαμινώνδου, γενομένης εἰρήνης τοῖς ἕλλησι πρὸς αὐτοὺς, ἀπήλαυνον οἱ περὶ τὸν ἀγησίλαον τοῦ ὅρκου τοὺς μεσσηνίους, ὡς πόλιν οὐκ ἔχοντας. ἐπεὶ δὲ οἱ λοιποὶ πάντες ἐδέχοντο, καὶ τοὺς ὅρκους ἐλάμβανον παρ' αὐτῶν, ἀπέστησαν οἱ λακεδαιμόνιοι. καὶ μόνοις αὐτοῖς πόλεμος ἦν, ἐλπίζουσιν ἀναλήψεσθαι τὴν μεσσηνίαν. βίαιος οὖν ἐδόκει καὶ ἀτενὴς, καὶ πολέμων ἄπληστος ὁ ἀγησίλαος εἶναι. τὰς μὲν κοινὰς διαλύσεις, πάντα τρόπον ὑπορύττων καὶ ἀναβαλλόμενος. πάλιν δὲ ὑπὸ χρημάτων ἀπορίας ἀναγκαζόμενος ἐνοχλεῖν, τοῖς κατὰ πόλιν φίλοις καὶ δανείζεσθαι καὶ συνερανίζεσθαι, δέον ἀπηλλάχθαι κακῶν εἰς τὸ περιήκοντι τῷ καιρῷ. καὶ μὴ τὴν ἅπαξ ἀρχὴν τοιαύτην γενομένην ἀφεικότα καὶ πόλεις καὶ γῆν καὶ θάλατταν, ὑπὲρ τῶν ἐν μεσσήνῃ κτημάτων καὶ προσόδων σφαδάζειν. ἔτι δὲ μᾶλλον ἠδόξησε, τάχῳ τῷ αἰγυπτίῳ στρατηγὸν ἐπιδοὺς ἑαυτόν. οὐ γὰρ ἠξίουν ἄνδρα τῆς ἑλλάδος ἄριστον κεκριμένον, καὶ δόξης ἐμπεπληκότα τὴν οἰκουμένην, ἀποστάτῃ βασιλέως ἀνθρώπῳ βαρβάρῳ χρῆσαι τὸ σῶμα, καὶ τοὔνομα καὶ τὴν δόξαν ἀποδόσθαι χρημάτων, ἔργα μισθοφόρου καὶ ξεναγοῦ διαπραττόμενον, εἰ γὰρ ὑπὲρ ὀγδοήκοντα γεγονὼς ἔτη, καὶ πᾶν ὑπὸ τραυμάτων τὸ σῶμα κατακεκομμένος, ἐκείνην αὖθις ἀνεδέξατο τὴν καλὴν καὶ περίβλεπτον ἡγεμονίαν, ὑπὲρ τῆς ἑλλήνων ἐλευθερίας, οὐ πάμπαν ἄμεμπτον εἶναι τὴν ὥραν καὶ τὴν φιλοτιμίαν. τοῦ γὰρ καλοῦ, καὶ καιρὸν δεῖ οἰκεῖον εἶναι, καὶ ὥραν. μᾶλλον δὲ ὅλως τὰ καλὰ τῶν αἰσχρῶν, τῷ μετρίῳ διαφέρειν. οὐ μὴν ἐφρόντιζε τούτων ὁ ἀγησίλαος. οὐδὲ ᾤετο παρ' ἀξίαν εἶναι λειτούργημα δημόσιον οὐδέν. ἀλλὰ μᾶλλον ἀνάξιον ἑαυτοῦ τὸ ζῆν ἄπρακτον ἐν τῇ πόλει, καὶ καθῆσθαι περιμένοντα τὸν θάνατον. ὅθεν ἤθροισε μισθοφόρους, ἀφ' ὧν ὁ τάχως αὐτῷ χρημάτων ἔπεμψε. καὶ πλοῖα πληρώσας, ἀνήχθη τριάκοντα συμβούλους ἔχων μεθ' ἑαυτοῦ σπαρτιάτας ὡς πρότερον. ἐπεὶ δὲ κατέπλευσεν εἰς τὴν αἴγυπτον, εὐθὺς οἱ πρῶτοι τῶν βασιλικῶν ἡγεμόνων καὶ διοικητῶν, ἐβάδιζον ἐπὶ ναῦν θεραπεύοντες αὐτόν. ἦν δὲ καὶ τῶν ἄλλων αἰγυπτίων σπουδή τε μεγάλη καὶ προσδοκία διὰ τοὔνομα, καὶ τὴν δόξαν τοῦ ἀγησιλάου. καὶ συνετρόχαζον ἅπαντες ἐπὶ τὴν θέαν. ὡς δὲ ἑώρων λαμπρότητα μὲν καὶ κατασκευὴν οὐδεμίαν. ἄνθρωπον δὲ πρεσβύτην κατακείμενον ἔν τινι πόᾳ παρὰ τὴν θάλασσαν, εὐτελῆ καὶ μικρὸν τὸ σῶμα, τραχὺ καὶ φαῦλον ἱμάτιον ἀμπεχόμενον, σκώπτειν αὐτοῖς καὶ γελωτοποιεῖν ἐπῄει καὶ λέγειν. ὅτι τοῦτ' ἦν τὸ μυθολογούμενον, ὠδίνειν ὄρος, εἶτα μῦν ἀποτεκεῖν. ἔτι δὲ μᾶλλον αὐτοῦ τὴν ἀτοπίαν ἐθαύμαζον, ὅτε ξε-

ἐῤῥωμένως π.

παρήκοντι .ς.

λ τῶν .ς. π.

οὐδεὶς ἐν τῇ λακωνικῇ. τότε μὲν τὸν ἀνταλκίδαν φασὶν ἔφορον ὄντα, τοὺς παῖδας εἰς κύθηρα ὑπεκθέσθαι, περίφοβον γενόμενον. ὁ δὲ ἀγησίλαος ἤδη χειρούντων διαβαίνειν τὸν ποταμὸν τῶν πολεμίων, καὶ βιάζεσθαι πρὸς τὴν πόλιν, ἐκλιπὼν τὰ λοιπὰ, παρετάξατο πρὸ τῶν μέσων καὶ ὑψηλῶν. ἐρρύη δὲ πλεῖστος ἑαυτοῦ καὶ μέγιστος τότε ὁ εὐρώτας χιόνων γενομένων. καὶ τὸ ῥεῦμα μᾶλλον ὑπὸ ψυχρότητος ἢ τραχύτητος ἐγένετο σκληρὸν καὶ χαλεπὸν τοῖς θηβαίοις, πορευόμενον δὲ πρῶτον τῆς φάλαγγος τὸν ἐπαμινώνδαν, ἐδείκνυσάν τινες τῷ ἀγησιλάῳ, κἀκεῖνος ὡς λέγεται πολὺν χρόνον ἐμβλέψας αὐτῷ καὶ συμπαραπέμψας τὴν ὄψιν, οὐδὲν ἢ τοσοῦτον μόνον εἶπεν. ὦ τοῦ μεγαλοπράγμονος ἀνθρώπου. ἐπεὶ δὲ φιλοτιμούμενος ὁ ἐπαμινώνδας ἐν τῇ πόλει μάχην συνάψαι καὶ στῆσαι τρόπαιον, οὐκ ἴσχυσεν ἐξαγαγεῖν οὐδὲ προσκαλέσασθαι τὸν ἀγησίλαον. ἐκεῖνος μὲν ἀναζεύξας πάλιν, ἐπόρθει τὴν χώραν. ἐν δὲ λακεδαίμονι τῶν πάλαι τινὲς ὑπούλων καὶ πονηρῶν, ὡς διακόσιοι συστραφέντες, κατελάβοντο τὸ ἰσσώριον, οὗ τὸ τῆς ἀρτέμιδος ἱερόν ἐστιν, εὐερκῆ καὶ δυσεκβίαστον τόπον. ἐφ' οὓς βουλομένων εὐθὺς ὠθεῖσθαι τῶν λακεδαιμονίων. φοβηθεὶς τὸν νεωτερισμὸν ὁ ἀγησίλαος, ἐκέλευσε τοὺς μὲν ἄλλους ἡσυχίαν ἄγειν. αὐτὸς δὲ ἐν ἱματίῳ καὶ μεθ' ἑνὸς οἰκέτου προσῄει βοῶν, ἄλλως ἀκηκοέναι τοῦ προστάγματος αὐτούς. οὐ γὰρ ἐνταῦθα κελεῦσαι συνελθεῖν. οὐδὲ πάντας. ἀλλὰ τοὺς μὲν ἐκεῖ, δείξας ἕτερον τόπον. τοὺς δὲ ἀλλαχόσε, τῆς πόλεως. οἱ δὲ ἀκούσαντες, ἥσθησαν οἰόμενοι λανθάνειν, καὶ διαστάντες ἐπὶ τοὺς τόπους οὓς ἐκεῖνος ἐκέλευσεν, ἀπεχώρουν. ὁ δὲ τὸν μὲν ἰσσώριον εὐθὺς μεταπεμψάμενος ἑτέρους, κατέσχε. τῶν δὲ συστάντων ἐκείνων περὶ πεντεκαίδεκα τινὰς συλλαβὼν, νυκτὸς ἀπέκτεινεν. ἄλλη δὲ μείζων ἐμηνύθη συνωμοσία καὶ σύνοδος ἀνδρῶν σπαρτιατῶν, ἐπὶ πράγμασι νεωτέροις, εἰς οἰκίαν κρύφα συνερχομένων. οὓς καὶ κρίνειν ἄπορον ἦν ἐν ταραχῇ τοσαύτῃ, καὶ περιορᾶν ἐπιβουλεύοντας. ἀπέκτεινεν οὖν καὶ τούτους, μετὰ τῶν ἐφόρων βουλευσάμενος ὁ ἀγησίλαος ἀκρίτους, οὐδενὸς δίχα δίκης τεθανατωμένου πρότερον σπαρτιατῶν. ἐπεὶ δὲ πολλοὶ τῶν τεταγμένων εἰς τὰ ὅπλα περιοίκων καὶ εἱλώτων ἀπεδίδρασκον ἐκ τῆς πόλεως πρὸς τοὺς πολεμίους, καὶ τοῦτο πλείστην ἀθυμίαν παρεῖχεν, ἐδίδαξε τοὺς ὑπηρέτας περὶ ὄρθρον ἐπὶ φοιτᾶν ταῖς στιβάσι, καὶ τὰ ὅπλα τῶν ἀποκεχωρηκότων λαμβάνειν καὶ ἀποκρύπτειν, ὅπως ἀγνοῆται τὸ πλῆθος. ἀναχωρῆσαι δὲ τοὺς θηβαίους ἐκ τῆς λακωνικῆς. οἱ μὲν ἄλλοι λέγουσι, χειμώνων γενομένων, καὶ τῶν ἀρκάδων ἀρξαμένων ἀπιέναι καὶ διαρρεῖν ἀτάκτως. οἱ δὲ, τρεῖς μῆνας ἐμμεμενηκότας ὅλους, καὶ τὰ πλεῖστα τῆς χώρας διαπεπορθηκότας. θεόπομπος δέ φησιν ἤδη τῶν βοιωταρχῶν ἐγνωκότων ἀπαίρειν, ἀφικέσθαι πρὸς αὐτοὺς φρίξον ἄνδρα σπαρτιάτην παρὰ ἀγησιλάου δέκα τάλαντα κομίζοντα τῆς ἀναχωρήσεως μισθόν. ὥστε τὰ πάλαι δεδογμένα πράττουσιν αὐτοῖς, ἐφόδιον παρὰ τῶν πολεμίων προσγενέσθαι. τοῦτο μὲν οὖν, οὐκ οἶδα ὅπως ἠγνόησαν οἱ ἄλλοι. μόνος δὲ θεόπομπος ᾔσθετο. τοῦ δὲ σωθῆναι τὴν σπάρτην τότε, πάντες αἴτιον ὁμολογοῦσι γενέσθαι τὸν ἀγησίλαον, ὅτι τῶν ἐμφύτων αὐτῷ παθῶν φιλονεικίας καὶ φιλοτιμίας ἀποστὰς, ἐχρήσατο τοῖς πράγμασιν ἀσφαλῶς. οὐ μέντοι τήν γε δύναμιν καὶ τὴν δόξαν ἐδυνήθη τῆς πόλεως ἀναλαβεῖν ἐκ τοῦ πτώματος. ἀλλ' ὥσπερ σώματος ὑγιεινοῦ, λίαν δὲ ἀκριβεῖ καὶ κατησκημένῃ κεχρημένου διαίτῃ, πάντα τὸν χρόνον, ἁμαρτία μία καὶ ῥοπὴ, τὴν πᾶσαν ἔκλινεν εὐτυχίαν τῆς πόλεως οὐκ ἀλόγως. πρὸς γὰρ εἰρήνην καὶ ἀρετὴν καὶ ὁμόνοιαν ἄριστα συντεταγμένῳ πολιτεύματι, προσάγοντες ἀρχὰς καὶ δυναστείας βιαίους. ὧν οὐδενὸς ἡγεῖτο δεῖσθαι πόλιν εὐδαιμόνως βιωσομένην ὁ λυκοῦργος, ἐσφάλησαν. αὐτὸς οὖν ὁ ἀγησίλαος, ἤδη πρὸς τὰς στρατείας ἀπειρήκει διὰ τὸ γῆρας, ἀρχίδαμος δὲ ὁ υἱὸς αὐτοῦ, τὴν ἐκ σικελίας ἥκουσαν παρὰ τοῦ τυράννου βοήθειαν ἔχων, ἐνίκησεν ἀρκάδας. τὴν λεγομένην ἄδακρυν μάχην. οὐδεὶς γὰρ ἔπεσε τῶν μετ' αὐτοῦ, συχνοὺς δὲ τῶν ἐναντίων ἀνεῖλεν. αὕτη μάλιστα τὴν ἀσθένειαν ἤλεγξεν ἡ νίκη τῆς πόλεως. πρότερον μὲν γὰρ οὕτω σύνηθες ἡγοῦντο, καὶ προσῆκον ἑαυτοῖς εἶναι τὸ νικᾶν τοὺς πολεμίους, ὥστε μήτε θύειν τοῖς θεοῖς, πλὴν ἀλεκτρυόνα νικητήριον ἐν τῇ πόλει. μήτε μεγαληγορεῖν, τοὺς ἀγωνιζομένους, μήτε ὑπερχαίρειν τοὺς πυθομένους. ἀλλὰ καὶ τῆς ἐν μαντινείᾳ μάχης γινομένης, ἣν θουκυδίδης γέγραφε, τῷ πρώτῳ φράσαντι τὴν νίκην οἱ ἄρχοντες ἐκ φιδιτίου κρέας ἔπεμψαν εὐαγγέλιον, ἄλλο δὲ οὐδέν. τότε δὲ τῆς μάχης ἀγγελθείσης, καὶ τοῦ ἀρχιδάμου προσιόντος, οὐδεὶς ἐκαρτέρησεν, ἀλλὰ πρῶτος ὁ πατὴρ ὑπήντα δακρύων ὑπὸ χαρᾶς, καὶ μετ' ἐκεῖνον τὰ ἀρχεῖα. τῶν δὲ πρεσβυτέρων καὶ τῶν γυναικῶν τὸ πλῆθος, ἐπὶ τὸν ποταμὸν κατῄει τάς τε χεῖρας ὀρεγόντων καὶ θεοκλυτούντων. ὥσπερ ἀπεωσμένης τὰ παρ' ἀξίαν ὀνείδη τῆς σπάρτης, καὶ λαμπρὸν αὖθις ἐξ ἀρχῆς τὸ φῶς ὁρώσης. ἐπεὶ πρότερόν γέ φασιν οὐδὲ ταῖς γυναιξὶν ἀντιβλέπειν τοὺς ἄνδρας αἰσχυνομένους, ἐφ' οἷς ἔπταισαν. οἰκιζομένης δὲ μεσσήνης ὑπὸ τῶν περὶ τὸν ἐπαμινώνδαν, καὶ τῶν ἀρχαίων πολιτῶν πανταχόθεν εἰς αὐτὴν συμπορευομένων, διαμάχεσθαι μὲν οὐκ ἐτόλμων. οὐδὲ κωλύειν ἐδύναντο. χαλεπῶς δὲ καὶ βαρέως πρὸς τὸν ἀγησίλαον εἶχον, ὅτι χώραν οὔτε πλήθει τῆς λακωνικῆς ἐλάσσονα, ἀλλὰ καὶ πρωτεύουσαν ἀρετῇ τῆς ἑλληνικῆς ἔχοντες, καὶ καρπούμενοι χρόνον τοσοῦτον, ἐπὶ τῆς ἐκείνου βασιλείας ἀπολωλέκασι. διὸ καὶ προτεινομένην ὑπὸ τῶν θηβαίων, τὴν εἰρήνην ὁ ἀγησίλαος οὐκ ἐδέξατο. μὴ βουλόμενος δὲ τῷ λό-

βαίοις πρὸς δόξαν εὐτυχήματος, ὃ οὐ γέγονεν ἄλλοις Ἕλλησι πρὸς Ἕλληνας ἀγωνισαμένοις. οὐδὲν αὖτις ἧττον ἐζήλωσε τῆς ἀρετῆς καὶ ἠγάσθη τὴν ἡττημένην πόλιν, ἢ τὴν νικῶσαν. ὁ μὲν γὰρ Ξενοφῶν φησὶ τῶν ἀγαθῶν ἀνδρῶν, ἔχειν τι καὶ τὰς ἐν οἴνῳ καὶ παιδιᾷ φωνὰς, καὶ διατριβὰς, ἀξιομνημόνευτον. ὀρθῶς λέγων. ἔστι δὲ οὐχ ἧττον, ἀλλὰ καὶ μᾶλλον ἄξιον κατανοεῖν καὶ θεᾶσθαι τῶν ἀγαθῶν, ἃ περὶ τὰς τύχας πράττουσι καὶ λέγουσι δυσχημονοῦντες. πρὸ ÷ π. ἔτυχε μὲν γὰρ ἡ πόλις ἑορτὴν ἄγουσα, καὶ ξένων οὖσα μεστή. γυμνοπαιδίαι γὰρ ἦσαν ἀγωνιζομένων χορῶν ἐν τῷ θεάτρῳ. παρῆσαν δ᾽ ἀπὸ Λεύκτρων οἱ τὴν συμφορὰν ἀπαγγέλλοντες. οἱ δὲ ἔφοροι καίπερ εὐθὺς ὄντος καταφανοῦς, ὅτι διέφθαρται τὰ πράγματα καὶ τὴν ἀρχὴν ἀπολωλέκασιν, οὔτε χορὸν ἐξελθεῖν εἴασαν. οὔτε τὸ σχῆμα τῆς ἑορτῆς μεταβαλεῖν τὴν πόλιν. ἀλλὰ κατ᾽ οἰκίαν τῶν τεθνεώτων τοῖς προσήκουσι τὰ ὀνόματα πέμψαντες, αὐτοὶ τὰ περὶ τὴν θέαν, καὶ τὸν ἀγῶνα τῶν χορῶν ἔπραττον. ἅμα δὲ ἡμέρᾳ φανερῶν ἤδη γεγονότων, πᾶσι τῶν τε σωζομένων καὶ τῶν τεθνεώτων. οἱ μὲν τῶν τεθνεώτων πατέρες, καὶ κηδεσταὶ καὶ οἰκεῖοι καταβαίνοντες εἰς ἀγορὰν ἀλλήλους ἐδεξιοῦντο λιπαροὶ τὰ πρόσωπα, φρονήματος μεστοὶ καὶ γήθους. οἱ δὲ τῶν σωζομένων ὥσπερ ἐπὶ πένθει μετὰ τῶν γυναικῶν, οἴκοι διέτριβον. εἰ δέ τις ὑπ᾽ ἀνάγκης προέλθοι, καὶ σχήματι, καὶ φωνῇ καὶ βλέμματι ταπεινὸς ἐφαίνετο καὶ συνεσταλμένος. ἔτι δὲ μᾶλλον τὰς γυναῖκας ἰδεῖν ἦν καὶ πυθέσθαι. τὴν μὲν ζῶντα προσδεχομένην υἱὸν ἀπὸ τῆς μάχης κατηφῆ καὶ σιωπηλήν. τὰς δὲ τῶν πεπτωκέναι λεγομένων, ἔν τε τοῖς ἱεροῖς εὐθὺς ἀναστρεφομένας, καὶ πρὸς ἀλλήλας ἱλαρῶς καὶ φιλοτίμως βαδιζούσας. οὐ μὴν ἀλλὰ τοῖς πολλοῖς, ὡς ἀφίσταντο μὲν οἱ σύμμαχοι, προσεδοκᾶτο δὲ νενικηκὼς Ἐπαμινώνδας καὶ μεγαλοφρονῶν ἐμβαλεῖν εἰς Πελοπόννησον. ἔννοια τῶν χρησμῶν ἐνέπεσε τότε, πρὸς τὴν χωλότητα τοῦ Ἀγησιλάου. καὶ δυσθυμία πολλή. καὶ πτοία πρὸς τὸ θεῖον, ὡς διὰ τοῦτο πραττούσης κακῶς τῆς πόλεως, ὅτι τὸν ἀρτίποδα τῆς βασιλείας ἐκβαλόντες, εἵλοντο χωλὸν καὶ πεπηρωμένον ὃ παντὸς μᾶλλον αὐτοὺς ἐδίδασκε φράζεσθαι καὶ φυλάττεσθαι τὸ δαιμόνιον. διὰ δὲ τὴν ἄλλην δύναμιν αὐτοῦ καὶ ἀρετὴν καὶ δόξαν, οὐ μόνον ἐχρῶντο βασιλεῖ καὶ στρατηγῷ τῶν κατὰ πόλεμον, ἀλλὰ καὶ τῶν πολιτικῶν ἀπορειῶν ἰατρῷ καὶ διαιτητῇ τοῖς ἐν τῇ μάχῃ καταδειλιάσασιν, οὓς αὐτοὶ τρέσαντας ὀνομάζουσιν, ὀκνοῦντες τὰς ἐκ τῶν νόμων ἀτιμίας προσάγειν, πολλοῖς οὖσι καὶ δυνατοῖς. φοβούμενοι νεωτερισμὸν ἀπ᾽ αὐτῶν. οὐ γὰρ μόνον ἀρχῆς ἀπείργονται πάσης, ἀλλὰ καὶ δοῦναί τινι τούτων γυναῖκα καὶ λαβεῖν ἄδοξόν ἐστι. παίει δὲ ὁ βουλόμενος αὐτοὺς τῶν ἐντυγχανόντων. οἱ δὲ καρτεροῦσι περιιόντες αὐχμηροὶ καὶ ταπεινοί, τρίβωνάς τε προσερραμμένους χρώματος βαπτοῦ φέρουσι. καὶ ξυρῶνται μέρος τῆς ὑπήνης, μέρος δὲ τρέφουσι. δεινὸν οὖν ἦν τοιούτους ἐν τῇ πόλει περιορᾶν πολλούς, οὐκ ὀλίγων δεομένους στρατιωτῶν. καὶ νομοθέτην αἱροῦνται τὸν Ἀγησίλαον, ὁ δὲ μήτε προσθείς τι. μήτε ἀφελὼν μήτε μεταγράψας, εἰσελθὼν εἰς τὸ πλῆθος τῶν Λακεδαιμονίων. καὶ φήσας ὅτι τοὺς νόμους δεῖ σήμερον ἐᾶν καθεύδειν, ἐκ δὲ τῆς σήμερον ἡμέρας κυρίους εἶναι πρὸς τὸ λοιπὸν, ἅμα τούς τε νόμους τῇ πόλει. καὶ τοὺς ἄνδρας ἐπιτίμους ἐφύλαξε. φορῆσι π.

π. βουλόμενος οὖν τὴν παροῦσαν ἀθυμίαν καὶ κατήφειαν ἀφελεῖν τῶν νέων, ἐνέβαλεν εἰς Ἀρκαδίαν, καὶ μάχην π. μὲν ἰσχυρῶς ἐφυλάξατο συνάψαι τοῖς ἐναντίοις. ἑλὼν δὲ πολίχνην τινὰ τῶν Μαντινέων, καὶ τὴν χώραν ἐπιδραμὼν, ἐλαφροτέραν ἐποίησε ταῖς ἐλπίσι, καὶ ἡδίω τὴν πόλιν, ὡς οὐ παντάπασιν ἀπεγνωσμένην. ἐκ δὲ τούτου παρῆν εἰς τὴν Λακωνικὴν ὁ Ἐπαμινώνδας μετὰ τῶν συμμάχων, οὐκ ἐλάττονας π. ἔχων τετρακισμυρίων ὁπλιτῶν. πολλοὶ δὲ καὶ ψιλοὶ καὶ ἄοπλοι πρὸς ἁρπαγὴν συνηκολούθουν, ὥς π. τε μυριάδας ἑπτὰ τοῦ σύμπαντος ὄχλου συνεισβαλεῖν εἰς τὴν Λακωνικήν. ἦν μὲν δὴ χρόνος οὐκ ἐλάττων ἐτῶν ἑξακοσίων, ἀφ᾽ οὗ κατῴκησαν τὴν Λακεδαίμονα Δωριεῖς. ἐν δὲ τούτῳ ἅπαντι, τότε πρῶτον ὤφθησαν ἐν τῇ χώρᾳ πολέμιοι, πρότερον δὲ οὐδεὶς ἐτόλμησεν, ἀλλὰ ἀδῄωτον καὶ ἄθικτον οὖσαν ἐμβαλόντες, ἐπυρπόλουν καὶ διήρπαζον ἄχρι τοῦ ποταμοῦ καὶ τῆς πόλεως, μηδενὸς ἐπεξιόντος. ὁ γὰρ Ἀγησίλαος οὐκ εἴα πρὸς τοσοῦτον ὥς φησι Θεόπομπος ῥεῦμα καὶ κλύδωνα πολέμου μάχεσθαι τοὺς Λακεδαιμονίους. ἀλλὰ τὰ μέσα τῆς πόλεως καὶ κυριώτατα τοῖς ὁπλίταις περιεσπειραμένος, ἐκαρτέρει τὰς ἀπειλὰς καὶ τὰς μεγαλαυχίας τῶν Θηβαίων προκαλουμένων ἐκεῖνον ὀνομαστί. καὶ διαμάχεσθαι περὶ τῆς χώρας κελευόντων. ὃς τῶν κακῶν αἴτιός ἐστιν ἐκκαύσας τὸν πόλεμον. οὐχ ἧττον δὲ τούτων ἐλύπουν τὸν Ἀγησίλαον, οἱ κατὰ τὴν πόλιν θόρυβοι καὶ κραυγαὶ καὶ διαδρομαί, τῶν πρεσβυτέρων δυσανασχετούντων τὰ γινόμενα. καὶ τῶν γυναικῶν οὐ δυναμένων ἡσυχάζειν, ἀλλὰ παντάπασιν ἐκφρόνων οὐσῶν, πρός τε τὴν κραυγὴν, καὶ τὸ πῦρ τῶν πολεμίων, ἠνία δὲ καὶ τὸ τῆς δόξης αὐτοῦ, ὅτι τὴν πόλιν μεγίστην παραλαβὼν καὶ δυνατωτάτην, ἑώρα συνεσταλμένον αὐτῆς τὸ ἀξίωμα καὶ τὸ καύχημα κεκολουμένον. ᾧ καὶ αὐτὸς ἐχρήσατο πολλάκις εἰπών. ὅτι γυνὴ Λάκαινα καπνὸν οὐχ ἑώρακε πολέμιον. λέγεται δὲ καὶ Ἀνταλκίδας Ἀθηναίου τινὸς ἀμφισβητοῦντος ὑπὲρ ἀνδρίας πρὸς αὐτὸν, καὶ εἰπόντος ἡμεῖς μέντοι πολλάκις ὑμᾶς ἀπὸ τοῦ Κηφισοῦ ἐδιώξαμεν, ὑποτυχεῖν. ἀλλ᾽ ἡμεῖς γε οὐδέποτε ὑμᾶς ἀπὸ τοῦ Εὐρώτα. παραπλησίως δὲ καὶ πρὸς τὸν Ἀργεῖον ἀπεκρίνατο, τῶν ἀσημοτέρων τις Σπαρτιατῶν. ὁ μὲν γὰρ εἶπε. πολλοὶ ὑμῶν ἐν τῇ Ἀργολίδι κεῖνται. ὁ δὲ ἀπήντησεν, ὑμῶν δέ γε

δι' ἐπιθυμίαν ἄτοπον καὶ παιδαριώδη, δοκῶν ἐμποδὼν γεγονέναι κρίσει δικαίᾳ. καὶ τὴν πόλιν παραίτιον ἀπεργάσασθαι παρανομημάτων τηλικούτων εἰς τοὺς Ἕλληνας. ἐπεὶ δὲ τὸν υἱὸν Κλεόμβροτος, οὐχ ἑώρα πρόθυμον ὄντα πολεμεῖν τοῖς Θηβαίοις· οὕτω δὴ χαίρειν τὸν νόμον ἐάσας, ᾧ πρόσθεν ἐχρῆτο περὶ τῆς στρατείας, αὐτὸς εἰς Βοιωτίαν ἐνέβαλεν ἤδη, καὶ κακῶς ἐποίει τοὺς Θηβαίους. καὶ πάλιν ἀντέπασχεν, ὥστε καὶ τρωθέντος αὐτοῦ ποτὲ, τὸν Ἀνταλκίδαν εἰπεῖν· ἦ καλὰ διδασκάλια παρὰ Θηβαίων ἀπολαμβάνεις, μὴ βουλομένους αὐτοὺς μηδ' ἐπισταμένους, μάχεσθαι διδάξας. τῷ γὰρ ὄντι Θηβαίους αὐτοὺς ἑαυτῶν πολεμικωτάτους τότε γενέσθαι φασὶ, ταῖς πολλαῖς στρατείαις τῶν Λακεδαιμονίων ἐπ' αὐτοὺς ὥσπερ ἐγγυμνασαμένους. διὸ καὶ Λυκοῦργος ὁ παλαιὸς ἐν ταῖς καλουμέναις τρισὶ ῥήτραις, ἀπεῖπε μὴ πολλάκις ἐπὶ τοὺς αὐτοὺς στρατεύειν, ὅπως μὴ πολεμεῖν μανθάνωσιν. ἦν δὲ, καὶ τοῖς συμμάχοις τῶν Λακεδαιμονίων, ἐπαχθὴς ὁ Ἀγησίλαος. ὡς δι' οὐδὲν ἔγκλημα δημόσιον, ἀλλὰ θυμῷ τινι καὶ φιλονεικίᾳ τοὺς Θηβαίους ἀπολέσαι ζητῶν. οὐδὲν οὖν ἔλεγον δεόμενοι φέρεσθαι, δεῦρο κἀκεῖσε καθ' ἕκαστον ἐνιαυτὸν ὀλίγοις τοσοῦτοι συνακολουθοῦντες. ἔνθα δὴ λέγεται τὸν Ἀγησίλαον ἐξελέγξαι βουλόμενον αὐτῶν τὸ πλῆθος, τάδε μηχανήσασθαι. πάντας ἐκέλευσε καθίσαι τοὺς συμμάχους, μετ' ἀλλήλων ἀναμεμιγμένους. ἰδίᾳ δὲ τοὺς Λακεδαιμονίους ἐφ' ἑαυτῶν, εἶτα ἐκήρυττε τοὺς κεραμεῖς ἀνίστασθαι πρότερον. ὡς δὲ ἀνέστησαν οὗτοι, δεύτερον ἐκήρυττε τοὺς χαλκεῖς. εἶτα, τέκτονας. ἑξῆς καὶ οἰκοδόμους, καὶ τῶν ἄλλων τεχνῶν ἑκάστην. πάντες οὖν ὀλίγου δεῖν ἀνέστησαν οἱ σύμμαχοι, τῶν δὲ Λακεδαιμονίων οὐδείς. ἀπείρητο γὰρ αὐτοῖς τέχνην ἐργάζεσθαι καὶ μανθάνειν βάναυσον. οὕτω δὴ γελάσας ὁ Ἀγησίλαος, ὁρᾶτε εἶπεν ὦ ἄνδρες. ὅσῳ πλείονας ὑμῶν στρατιώτας ἐκπέμπομεν ἡμεῖς. ἐν δὲ Μεγάροις, ὅτε τὴν στρατείαν ἀπῆγεν ἐκ Θηβῶν, ἀναβαίνοντος αὐτοῦ πρὸς τὸ ἀρχεῖον εἰς τὴν ἀκρόπολιν, σπάσμα καὶ πόνος ἰσχυρὸς ἔλαβε τὸ ὑγιὲς σκέλος. ἐκ δὲ τούτου διογκωθὲν, μεστὸν αἵματος ἔδοξε γεγονέναι. καὶ φλεγμονὴν ὑπερβάλλουσαν παρεῖχεν, ἰατροῦ δέ τινος Συρακουσίου τὴν ὑπὸ τῷ σφυρῷ φλέβα σχάσαντος, αἱ μὲν ἀλγηδόνες ἔληξαν. αἵματος δὲ πολλοῦ φερομένου καὶ ῥέοντος ἀνεπισχέτως, λειποψυχία πολλὴ καὶ κίνδυνος ὀξὺς ἀπ' αὐτῆς περιέστη τὸν Ἀγησίλαον. οὐ μὴν, ἀλλὰ τότε γε τὴν φορὰν τοῦ αἵματος ἔπαυσε, καὶ κομισθεὶς εἰς Λακεδαίμονα, πολὺν χρόνον ἔσχεν ἀρρώστως, καὶ πρὸς τὰς στρατείας ἀδυνάτως. ἐν δὲ τῷ χρόνῳ τούτῳ πολλὰ συνέβη πταίσματα τοῖς Σπαρτιάταις καὶ κατὰ γῆν, καὶ κατὰ θάλατταν. ὧν ἦν τὸ περὶ Λεῦκτρα μέγιστον. ὅπου πρῶτον ἐκ παρατάξεως κρατηθέντες ὑπὸ Θηβαίων ἡττήθησαν. ἔδοξεν οὖν πᾶσι θέσθαι πρὸς πάντας εἰρήνην. καὶ συνῆλθον ἀπὸ τῆς Ἑλλάδος πρέσβεις εἰς Λακεδαίμονα, ποιησόμενοι τὰς διαλύσεις, ὧν εἷς ἦν Ἐπαμινώνδας, ἀνὴρ ἔνδοξος ἐπὶ παιδείᾳ καὶ φιλοσοφίᾳ, στρατηγίας δὲ πεῖραν οὔπω δεδωκώς. οὗτος ὁρῶν τοὺς ἄλλους ἅπαντας ὑποκατακλινομένους τῷ Ἀγησιλάῳ, μόνος ἐχρήσατο φρονήματι παρρησίαν ἔχοντι. καὶ διεξῆλθε λόγον, οὐχ ὑπὲρ Θηβαίων, ἀλλ' ὑπὲρ τῆς Ἑλλάδος ὁμοῦ κοινόν. τὸν μὲν πόλεμον, ἀποδεικνύων αὔξοντα τὴν Σπάρτην, ἐξ ὧν ἅπαντες οἱ λοιποὶ κακῶς πάσχουσι. τὴν δὲ εἰρήνην, ἰσότητι καὶ τῷ δικαίῳ κτᾶσθαι κελεύων. οὕτω γὰρ ἀεὶ αὐτὴν διαμένειν, ἴσων ἁπάντων γενομένων. ὁρῶν οὖν ὁ Ἀγησίλαος ὑπερφυῶς ἀγαμένους καὶ προσέχοντας αὐτῷ τοὺς Ἕλληνας, ἠρώτησεν εἰ νομίζοι δίκαιον εἶναι καὶ ἴσον, αὐτονομεῖσθαι τὴν Βοιωτίαν. ἀντερωτήσαντος δὲ τοῦ Ἐπαμινώνδου ταχὺ καὶ τεθαρρηκότως, εἰ κἀκεῖνος οἴεται δίκαιον εἶναι αὐτονομεῖσθαι τὴν Λακωνικήν, ἀναπηδήσας ὁ Ἀγησίλαος μετ' ὀργῆς, ἐκέλευσε λέγειν σαφῶς αὐτὸν εἰ τὴν Βοιωτίαν ἀφίησιν αὐτόνομον. τὸ δὲ αὐτὸ τοῦτο πάλιν τοῦ Ἐπαμινώνδου φήσαντος, εἰ τὴν Λακωνικὴν ἀφίησιν αὐτόνομον, οὕτω τραχέως ἔσχεν ὁ Ἀγησίλαος, καὶ τὴν πρόφασιν ἠγάπησεν, ὡς εὐθὺς ἐξαλεῖψαι τὸ τῶν Θηβαίων ὄνομα τῆς εἰρήνης, καὶ προειπεῖν πόλεμον αὐτοῖς. τοὺς δὲ ἄλλους Ἕλληνας διαλλαγέντας, ἐκέλευσεν ἀπιέναι. τὰ μὲν ἀκεστὰ τῆς εἰρήνης. τὰ δὲ ἀνήκεστα τοῦ πολέμου ποιοῦντας. ἔργον γὰρ ἦν πάσας ἐκκαθᾶραι καὶ διαλῦσαι τὰς ἀμφιλογίας. ἔτυχε δὲ κατ' ἐκεῖνον τὸν χρόνον ἐν Φωκεῦσιν ὢν ὁ Κλεόμβροτος μετὰ δυνάμεως, εὐθὺς οὖν ἔπεμπον οἱ ἔφοροι, κελεύοντες αὐτὸν ἐπὶ Θηβαίους ἄγειν τὸ στράτευμα καὶ τοὺς συμμάχους περιπέμποντες ἤθροιζον. ἀπροθύμους μὲν ὄντας καὶ βαρυνομένους τὸν πόλεμον. οὔπω δὲ θαρροῦντας ἀντιλέγειν. οὐδὲ ἀπειθεῖν τοῖς Λακεδαιμονίοις. πολλῶν δὲ σημείων μοχθηρῶν γενομένων ὡς ἐν τῷ περὶ Ἐπαμινώνδου γέγραπται. καὶ Προθόου τοῦ Λάκωνος ἐναντιουμένου πρὸς τὴν στρατείαν, οὐκ ἀνῆκεν ὁ Ἀγησίλαος, ἀλλ' ἐξέπραξε τὸν πόλεμον ἐλπίζων αὐτοῖς μὲν αὐτονόμου τῆς Ἑλλάδος ὅλης ὑπαρχούσης, ἐκ σπονδῶν δὲ τῶν Θηβαίων γενομένων, καιρὸν εἶναι δίκην λαβεῖν παρ' αὐτῶν. δηλοῖ δὲ τὸ σὺν ὀργῇ μᾶλλον, ἢ λογισμῷ γενέσθαι τὴν στρατείαν ἐκείνην ὁ καιρός. τῇ γὰρ τετράδι ἐπὶ δέκα τοῦ Σκιροφοριῶνος μηνὸς ἐποιήσαντο τὰς σπονδὰς ἐν Λακεδαίμονι. τῇ δὲ πέμπτῃ, τοῦ Ἑκατομβαιῶνος ἡττήθησαν ἐν Λεύκτροις, ἡμερῶν εἴκοσι διαγενομένων. ἀπέθανον δὲ χίλιοι Λακεδαιμονίων, καὶ Κλεόμβροτος ὁ βασιλεὺς, καὶ περὶ αὐτὸν οἱ κράτιστοι τῶν Σπαρτιατῶν, ἐν οἷς καὶ Κλεώνυμόν φασι τὸν Σφοδρίου τὸν καλὸν, τρὶς πεσόντα πρὸ τοῦ βασιλέως, καὶ τοσαυτάκις ἐξαναστάντα καὶ μαχόμενον τοῖς Θηβαίοις ἀποθανεῖν. συμβάντος δὲ τοῖς τε Λακεδαιμονίοις πταίσματος ἀπροσδοκήτου. καὶ τοῖς Θηβαίοις πρὸς

δρείας μὲν γὰρ, οὐδὲν ὄφελος εἶναι, μὴ παρούσης δικαιοσύνης. εἰ δὲ δίκαιοι πάντες γένοιντο, μηδὲν ἀνδρείας δεήσεσθαι. πρὸς δὲ τοὺς λέγοντας, ὅτι ταῦτα δοκεῖ τῷ μεγάλῳ βασιλεῖ, τί δὲ ἐκεῖνος ἐμοῦ εἶπε μείζων, εἰ μὴ δικαιότερος. ὀρθῶς καὶ καλῶς οἰόμενος δεῖν τῷ δικαίῳ, καθάπερ μέτρῳ βασιλικῷ μετρεῖσθαι τὴν ὑπεροχὴν τοῦ μείζονος. τῆς δὲ τῆς εἰρήνης γενομένης, ἔπεμψεν αὐτῷ περὶ ξενίας καὶ φιλίας ἐπιστολήν. ὁ βασιλεὺς οὐκ ἔλαβεν. εἰπὼν ἐξαρκεῖν τὴν κοινὴν φιλίαν. καὶ μηδὲν ἰδίας δεήσεσθαι μενούσης ἐκείνης. ἐν δὲ τοῖς ἔργοις, οὐκέτι ταύτην διαφυλάττων τὴν δόξαν. ἀλλὰ τῇ φιλοτιμίᾳ καὶ τῇ φιλονεικίᾳ πολλαχοῦ συνεκφερόμενος, καὶ μάλιστα τῇ πρὸς Θηβαίους, οὐ μόνον ἔσωσε τὸν φοιβίδαν, ἀλλὰ καὶ τὴν πόλιν ἔπεισεν εἰς αὑτὴν ἀναδέξασθαι τὸ ἀδίκημα, καὶ κατέχειν τὴν καδμείαν, δι᾽ ἑαυτῆς. τῶν δὲ πραγμάτων καὶ τῆς πολιτείας, ἀρχίαν καὶ λεοντίδαν ἀποδεῖξαι κυρίους, δι᾽ ὧν ὁ φοιβίδας εἰσῆλθε, καὶ κατέλαβε τὴν ἀκρόπολιν. ἡ τὴν μὲν οὖν εὐθὺς ἐκ τούτων ὑπόνοια, φοιβίδου μὲν ἔργον εἶναι. βούλευμα δὲ ἀγησιλάου τὸ πεπραγμένον. αἱ δὲ ὕστεραι πράξεις, ὁμολογουμένην ἐποίησαν τὴν αἰτίαν. ὡς γὰρ ἐξέβαλον οἱ ἀθηναῖοι τὴν φρουρὰν, καὶ τὴν πόλιν ἠλευθέρουν, [ἠλευθέρωσε. k.] ἐγκαλῶν αὐτοῖς ὅτι τὸν ἀρχίαν καὶ τὸν λεοντίδαν ἀπεκτόνεσαν. ἔργῳ μὲν τυράννους. λόγῳ δὲ πολεμάρχους ὄντας, ἐξήνεγκε πόλεμον πρὸς αὐτούς. καὶ κλεόμβροτος ἤδη βασιλεύων, ἀγησιπόλιδος τεθνηκότος, εἰς βοιωτίαν ἐπέμφθη μετὰ δυνάμεως. ὁ γὰρ ἀγησίλαος ὢν ἔτη τεσσαράκοντα γεγονὼς ἀφ᾽ ἥβης, καὶ στρατείας ἔχων ἄφεσιν ὑπὸ τῶν νόμων, ἔφυγε τὴν στρατείαν ἐκείνην αἰσχυνόμενος, εἰ φλιασίοις ὀλίγον ἔμπροσθεν ὑπὲρ φυγάδων πεπολεμηκὼς, αὖθις ὀφθήσεται θηβαίους κακῶς ποιῶν διὰ τοὺς τυράννους. ἦν δέ τις λάκων σφοδρίας, ἐκ τῆς ὑπεναντίας στάσεως τῷ ἀγησιλάῳ, τεταγμένος ἐν θεσπιαῖς ἁρμοστὴς, οὐκ ἄτολμος μὲν οὐδ᾽ ἀφιλότιμος ἀνήρ. ἀεὶ δ᾽ ἐλπίδων μᾶλλον, ἢ φρενῶν ἀγαθῶν μεστός. οὗτος ἐπιθυμῶν ὀνόματος μεγάλου, καὶ τὸν φοιβίδαν νομίζων ἔνδοξον γεγονέναι καὶ περιβόητον ἀπὸ τοῦ περὶ θήβας τολμήματος, ἐπείσθη πολὺ κάλλιον εἶναι καὶ λαμπρότερον, εἰ τὸν πειραιᾶ καταλάβοι δι᾽ ἑαυτοῦ. καὶ τῶν ἀθηναίων ἀφέλοιτο τὴν θάλασσαν ἐκ γῆς ἀπροσδοκήτως ἐπελθών. λέγουσι δὲ τοῦτο μηχάνημα γενέσθαι τῶν περὶ πελοπίδαν καὶ γέλωνα βοιωτάρχων. ὑπέπεμψαν γὰρ ἀνθρώπους λακωνίζειν προσποιουμένους. οἳ τὸν σφοδρίαν ἐπαινοῦντες καὶ μεγαλύνοντες ὡς ἔργου τηλικούτου μόνον ἄξιον, ἐπῆραν καὶ παρώρμησαν ἀνελέσθαι πρᾶξιν ἄδικον μὲν ὁμοίως ἐκείνῃ καὶ παράνομον. τόλμης δὲ καὶ τύχης ἐνδεᾶ γενομένην. ἡμέρα γὰρ αὐτὸν ἐν τῷ θριασίῳ πεδίῳ κατέλαβε καὶ κατέλαμψεν, ἐλπίσαντα νυκτὸς προσμίξειν τῷ πειραιεῖ. καὶ φῶς ἀφ᾽ ἱερῶν τινων ἐλευσινόθεν ἰδόντας, λέγουσι φρῖξαι καὶ περιφόβους γενέσθαι τοὺς στρατιώτας. αὐτὸς δὲ τοῦ θράσους ἐξέπεσεν, ὡς οὐκέτι λαθεῖν ἦν. καί τινα βραχεῖαν ἁρπαγὴν θέμενος. αἰσχρῶς ἀνεχώρησε καὶ ἀδόξως εἰς τὰς θεσπιάς. ἐκ δὲ τούτου, κατήγοροι μὲν ἐπέμφθησαν εἰς σπάρτην ἐξ ἀθηνῶν. εὗρον δὲ κατηγόρων μηδὲν δεηθέντα τὸν σφοδρίαν δεομένους τοὺς ἄρχοντας, ἀλλὰ θανάτου κρίσιν αὐτῷ προειρηκότας, ἣν ἐκεῖνος ὑπομένειν ἀπέγνω, φοβούμενος τὴν ὀργὴν τῶν πολιτῶν, αἰσχυνομένων τοὺς ἀθηναίους, καὶ βουλομένων συναδικεῖσθαι δοκεῖν, ἵνα μὴ συναδικεῖν δοκῶσιν. εἶχεν οὖν ὁ σφοδρίας υἱὸν κλεώνυμον, οὗ παιδὸς ὄντος ἔτι καὶ καλοῦ τὴν ὄψιν, ἀρ- π. χίδαμος ὁ ἀγησιλάου τοῦ βασιλέως υἱὸς, ἤρα. καὶ τότε συνηγωνία μὲν ὡς εἰκὸς ἦν κινδυνεύοντι αὐτῷ περὶ τοῦ πατρὸς, συμπράττειν δὲ φανερῶς καὶ βοηθεῖν οὐκ εἶχεν. ἦν γὰρ ὁ σφοδρίας ἐκ τῶν διαφόρων τοῦ ἀγησιλάου. τοῦ δὲ κλεωνύμου προσελθόντος αὐτῷ καὶ μετὰ δεήσεως καὶ δακρύων ἐντυχόντος, ὅπως τὸν ἀγησίλαον εὔνουν παράσχῃ. μάλιστα γὰρ ἐκεῖνον αὐτοῖς φοβερὸν εἶναι. τρεῖς μὲν ἢ τέσσαρας ἡμέρας αἰδούμενος τὸν πατέρα καὶ δεδιὼς, σιωπῇ παρηκολούθει. τέλος δὲ τῆς κρίσεως ἐγγὺς οὔσης, ἐτόλμησεν εἰπεῖν πρὸς τὸν ἀγησίλαον ὅτι κλεώνυμος αὐτοῦ δεηθείη περὶ τοῦ πατρός. ὁ δὲ ἀγησίλαος εἰδὼς ἐρῶντα τὸν ἀρχίδαμον, οὐκ ἔπαυσεν. ἦν γὰρ ὁ κλεώνυμος εὐθὺς ἐκ παίδων ἐπίδοξος εἴ τις καὶ ἄλλος, ἀνὴρ ἔσεσθαι σπουδαῖος. οὐ μὴν ἐνέδωκέ τι τότε χρηστὸν ἢ φιλάνθρωπον ἐλπίσαι, δεομένῳ τῷ παιδί. σκέψασθαι δὲ φήσας ὅ, τι καλῶς ἔχει καὶ πρεπόντως, ἀπῆλθεν. αἰδούμενος οὖν ὁ ἀρχίδαμος, ἐξέλιπε τὸ προσεῖναι τῷ κλεωνύμῳ. καίπερ εἰωθὼς πολλάκις τοῦτο τῆς ἡμέρας ποιεῖν πρότερον. ἐκ δὲ τούτου, κἀκεῖνοι τὰ κατὰ τὸν σφοδρίαν μᾶλλον ἀπέγνωσαν. ἄχρις οὗ τῶν ἀγησιλάου φίλων ἐτυμοκλῆς ἔν τινι κοινολογίᾳ πρὸς αὐτοὺς, ἀπεγύμνωσε τὴν γνώμην τοῦ ἀγησιλάου. τὸ μὲν γὰρ ἔργον, ὡς ἔνι μάλιστα ψέγειν αὐτόν. ἄλλως γε μὴν ἄνδρα τὸν σφοδρίαν ἀγαθὸν ἡγεῖσθαι. καὶ τὴν πόλιν ὁρᾶν, τοιούτων στρατιωτῶν δεομένην. ταῦτα γὰρ ὁ ἀγησίλαος ἑκάστοτε τοὺς λόγους ἐποιεῖτο περὶ τῆς δίκης τῷ παιδὶ χαρίζεσθαι βουλόμενος. ὥστε καὶ τὸν κλεώνυμον εὐθὺς αἰσθάνεσθαι τὴν σπουδὴν τοῦ ἀρχιδάμου, καὶ τοὺς φίλους τοὺς τοῦ σφοδρίου θαρροῦντας ἤδη βοηθεῖν. ἦν δὲ καὶ φιλότεκνος ὁ ἀγησίλαος διαφερόντως, καὶ περὶ ἐκείνου τὸ τῆς παιδιᾶς λέγουσιν, ὅτι μικροῖς τοῖς παιδίοις οὖσι κάλαμον περιβεβηκὼς ὡς ἵππον, οἴκοι συνέπαιζεν. ὀφθεὶς δὲ ὑπό τινος τῶν φίλων, παρεκάλει μηδενὶ φράσαι, πρὶν ἂν καὶ αὐτὸς πατὴρ παίδων γένηται. ἀπολυθέντος δὲ τοῦ σφοδρίου, καὶ τῶν ἀθηναίων ὡς ἐπύθοντο πρὸς πόλεμον τρεπομένων, σφόδρα κακῶς ὁ ἀγησίλαος ἤκουσε,

σιν ἄρτι τῷ θεῷ τεθυκότας, τὴν παρασκευὴν ἅπασαν ἀπολιπόντας. ἐπεὶ δὲ τῶν κορινθίων ὅσοι φυγάδες ἔτυχον παρόντες, ἐδεήθησαν αὐτοῦ τὸν ἀγῶνα διαθεῖναι, τοῦτο μὲν οὐκ ἐποίησεν. αὐτῶν δὲ ἐκείνων διατιθέντων καὶ συντελούντων, παρέμεινε καὶ παρέσχεν ἀσφάλειαν. ὕστερον δὲ ἀπελθόντος αὐτοῦ, πάλιν ὑπ᾽ ἀργείων ἤχθη τὰ ἴσθμια, καί τινες μὲν ἐνίκησαν πάλιν. εἰσὶ δὲ οἱ νενικηκότες πρότερον. ὕστερον δὲ ἡττημένοι ἀνεγράφησαν. ἐπὶ τούτῳ δὲ πολλὴν ἀπέφηνε δειλίαν κατηγορεῖν ἑαυτῶν τοὺς ἀργείους ὁ ἀγησίλαος, εἰ σεμνὸν οὕτω καὶ μέγα τὴν ἀγωνοθεσίαν ἡγούμενοι, μάχεσθαι περὶ αὐτῆς οὐκ ἐτόλμησαν. αὐτὸς δὲ πρὸς ταῦτα πάντα μετρίως ᾤετο δεῖν ἔχειν, καὶ τοὺς μὲν οἴκοι χοροὺς καὶ ἀγῶνας ἐπεκόσμει, καὶ συμπαρὼν ἀεὶ φιλοτιμίας καὶ σπουδῆς μεστὸς ὤν, καὶ οὔτε παίδων, οὔτε παρθένων ἁμίλλης ἀπολειπόμενος. ἃ δὲ τοὺς ἄλλους ἑώρα θαυμάζοντας, ἐδόκει μὴ δὲ γινώσκειν. καί ποτε καλλιππίδης ὁ τῶν τραγῳδῶν ὑποκριτής, ὄνομα καὶ δόξαν ἔχων ἐν τοῖς ἕλλησι, καὶ σπουδαζόμενος ὑπὸ πάντων, πρῶτον μὲν ἀπήντησεν αὐτῷ καὶ προσεῖπεν. ἔπειτα σοβαρῶς εἰς τοὺς συμπεριπατοῦντας ἐμβαλὼν ἑαυτόν, ἐπεδείκνυτο. νομίζων ἐκεῖνον ἄρξειν τινὸς φιλοφροσύνης. τέλος δὲ εἶπεν οὐκ ἐπιγινώσκεις με βασιλεῦ, κἀκεῖνος ἀποβλέψας πρὸς αὐτὸν εἶπεν. ἀλλὰ οὐ σύ γε ἐσσὶ καλλιππίδας ὁ δεικηλίκτας, οὕτω δὲ λακεδαιμόνιοι τοὺς μίμους καλοῦσι. παρακαλούμενος δὲ πάλιν ἀκοῦσαι τοῦ τὴν ἀηδόνα μεμουμένου, παρῃτήσατο, φήσας, αὐτᾶς ἄκουκα. τοῦ δὲ ἰατροῦ μενεκράτους, ἐπεὶ κατατυχὼν ἔν τισιν ἀπεγνωσμέναις θεραπείαις, ζεὺς ἐπεκλήθη. φορτικῶς ταύτῃ χρωμένου τῇ προσωνυμίᾳ. καὶ δὴ τὰ πρὸς ἐκεῖνον ἐπιστεῖλαι τολμήσαντος, οὕτως, μενεκράτης ζεύς, βασιλεῖ ἀγησιλάῳ χαίρειν, ἀντέγραψε. βασιλεὺς ἀγησίλαος, μενεκράτῃ, ὑγιαίνειν. διατρίβοντος δὲ περὶ τὴν κορινθίαν αὐτοῦ. καὶ τὸ ἡραῖον εἰληφότος, καὶ τὰ αἰχμάλωτα τοὺς στρατιώτας ἄγοντας καὶ φέροντας ἐπιβλέποντος, ἀφίκοντο πρέσβεις ἐκ θηβῶν περὶ φιλίας. ὁ δέ, μισῶν μὲν ἀεὶ τὴν πόλιν. οἰόμενος δὲ τότε καὶ συμφέρειν ἐνυβρίσαι, προσεποιεῖτο, μήτε ὁρᾶν αὐτούς, μήτε ἀκούειν ἐντυγχανόντων. ἔπαθε δὲ πρᾶγμα νεμεσητόν. οὔπω γὰρ ἀπηλλαγμένων τῶν θηβαίων, ἧκόν τινες ἀγγέλλοντες αὐτῷ τὴν μόραν ὑπὸ ἰφικράτους κατακεκόφθαι. καὶ πάθος τοῦτο μέγα διὰ πολλοῦ χρόνου, συνέπεσεν αὐτοῖς. πολλοὺς γὰρ ἄνδρας ἀγαθοὺς ἀπέβαλον κρατηθέντας, ὑπό τε πελταστῶν ὁπλίτας. καὶ μισθοφόρων λακεδαιμονίους. ἀνεπήδησε μὲν οὖν εὐθὺς ὁ ἀγησίλαος ὡς βοηθήσων. ἐπεὶ δὲ ἔγνω διαπεπραγμένους, αὖθις εἰς τὸ ἡραῖον ἧκε. καὶ τοὺς βοιωτοὺς τότε προσελθεῖν κελεύσας, ἐχρημάτιζεν. ὡς δὲ ἀνθυβρίζοντες ἐκεῖνοι, τῆς μὲν εἰρήνης, οὐκ ἐμέμνηντο. παρελθεῖν δὲ ἠξίουν εἰς κόρινθον. ὀργισθεὶς ὁ ἀγησίλαος, εἶπεν. εἴ γε βούλεσθε τοὺς φίλους ὑμῶν ἰδεῖν μέγα φρονοῦντας ἐφ᾽ οἷς εὐτυχοῦσιν, αὔριον ἀσφαλῶς ὑμῖν τοῦτο ὑπάρξει. καὶ παραλαβὼν αὐτοὺς τῇ ὑστεραίᾳ, τήν τε χώραν τῶν κορινθίων ἔκοπτε, καὶ πρὸς τὴν πόλιν αὐτὴν προσῆλθεν. οὕτω δὲ τοὺς κορινθίους ἐξελέγξας ἀμύνεσθαι μὴ τολμῶντας, ἀφῆκε τὴν πρεσβείαν. αὐτὸς δὲ τοὺς περιλελειμμένους ἄνδρας ἐκ τῆς μόρας ἀναλαβών, ἀπῆγεν εἰς λακεδαίμονα πρὸ ἡμέρας ποιουμένους τὰς ἀναζεύξεις. καὶ πάλιν σκοταίους τὰς καταλύσεις, ὅπως οἱ μισοῦντες καὶ βασκαίνοντες τῶν ἀρκάδων, μὴ ἐπιχαίρωσιν. ἐκ τούτου χαριζόμενος τοῖς ἀχαιοῖς, διέβαινεν εἰς ἀκαρνανίαν στρατείᾳ μετ᾽ αὐτῶν. καὶ πολλὴν μὲν ἤλασε λείαν. μάχῃ δὲ τοὺς ἀκαρνᾶνας ἐνίκησε. δεομένων δὲ τῶν ἀχαιῶν ὅπως τὸν χειμῶνα παραμείνας, ἀφέληται τὸν σπόρον τῶν πολεμίων, τοὐναντίον ἔφη ποιήσειν. μᾶλλον γὰρ φοβηθήσεσθαι τὸν πόλεμον αὐτούς, ἐὰν ἐσπαρμένην τὴν γῆν εἰς ὥρας ἔχωσιν, ὃ καὶ συνέβη. παραγγελλομένης γὰρ αὖθις ἐπ᾽ αὐτοὺς στρατείας, διηλλάγησαν τοῖς ἀχαιοῖς. ἐπεὶ δὲ κόνων καὶ φαρνάβαζος τῷ βασιλέως ναυτικῷ θαλαττοκρατοῦντες, ἐπολιόρκουν τὰ παράλια τῆς λακωνικῆς. ἐτειχίσθη δὲ καὶ τὸ ἄστυ τῶν ἀθηναίων φαρναβάζου χρήματα δόντος, ἔδοξε τοῖς λακεδαιμονίοις εἰρήνην ποιεῖσθαι πρὸς βασιλέα. καὶ πέμπουσιν ἀνταλκίδαν πρὸς τιρίβαζον, αἴσχιστα καὶ παρανομώτατα τοὺς τὴν ἀσίαν κατοικοῦντας ἕλληνας ὑπὲρ ὧν ἐπολέμησεν ἀγησίλαος βασιλεῖ παραδιδόντες. ὅθεν ἥκιστα συνέβη τῆς κακοδοξίας ταύτης ἀγησιλάῳ μετασχεῖν. ὁ γὰρ ἀνταλκίδας ἐχθρὸς ἦν αὐτῷ, καὶ τὴν εἰρήνην ἐκ παντὸς ἔπραττεν, ὡς τοῦ πολέμου τὸν ἀγησίλαον αὔξοντος, καὶ ποιοῦντος ἐνδοξότατον καὶ μέγιστον. οὐ μήν, ἀλλὰ καὶ πρὸς τὸν εἰπόντα τοὺς λακεδαιμονίους μηδίζειν, ὁ ἀγησίλαος ἀπεκρίνατο, μᾶλλον τοὺς μήδους λακωνίζειν, τοὺς δὲ μὴ βουλομένους δέχεσθαι τὴν εἰρήνην ἀπειλῶν, καὶ καταγγέλλων πόλεμον, ἠνάγκασεν ἐμμεῖναι πάντας, οἷς ὁ πέρσης ἐδικαίωσε. μάλιστα διὰ τοὺς θηβαίους, ὅπως αὐτόνομον τὴν βοιωτίαν ἀφέντες, ἀσθενέστεροι γένωνται. δῆλον δὲ τοῦτο τοῖς ὕστερον ἐποίησεν. ἐπεὶ γὰρ φοιβίδας ἔργον εἰργάσατο δεινόν, ἐν σπονδαῖς καὶ εἰρήνῃ τὴν καδμείαν καταλαβών, καὶ πάντες μὲν ἠγανάκτουν οἱ ἕλληνες. χαλεπῶς δὲ ἔφερον οἱ σπαρτιᾶται. καὶ μάλιστα οἱ διαφερόμενοι τῷ ἀγησιλάῳ μετ᾽ ὀργῆς ἐπυνθάνοντο τοῦ φοιβίδου, τίνος ταῦτα κελεύσαντος ἔπραξεν. εἰς ἐκεῖνον τὴν ὑπόνοιαν τρέποντες, οὐκ ὤκνησε τῷ φοιβίδᾳ βοηθῶν λέγειν ἀναφανδόν. ὅτι δεῖ τὴν πρᾶξιν αὐτήν, εἴ τι χρήσιμον ἔχει σκοπεῖν. τὰ γὰρ συμφέροντα τῇ λακεδαίμονι καλῶς ἔχειν αὐτοματίζεσθαι, κἂν μηδεὶς κελεύσῃ. καίτοι τῷ λόγῳ πανταχοῦ τὴν δικαιοσύνην ἀπέφαινε, πρωτεύειν τῶν ἀρετῶν. ἀν-

δι' ὅλου μὲν ἰσχυρὰ τοῦ στρατεύματος. ἰσχυροτάτη δὲ κατ' ἐκεῖνον αὐτὸν, ἐν τοῖς πεντήκοντα τεταγμένον. ὧν εἰς καιρὸν ἔοικεν ἡ φιλοτιμία τῷ βασιλεῖ γενέσθαι καὶ σωτήριος. ἀγωνιζόμενοι γὰρ ἐκθύμως καὶ προκινδυνεύοντες, ἄτρωτον μὲν οὐκ ἐδυνήθησαν αὐτὸν φυλάξαι. πολλὰς δὲ διὰ τῶν ὅπλων δεξάμενον εἰς τὸ σῶμα πληγὰς δόρασι καὶ ξίφεσι, μόλις ἀνήρπασαν ζῶντα, καὶ συμφράξαντες πρὸ αὐτοῦ, πολλοὺς μὲν ἀνῄρουν. πολλοὶ δὲ ἔπιπτον. ὡς δὲ μέγα ἔργον ἦν ὤσασθαι προτροπάδην τοὺς θηβαίους, ἠναγκάσθησαν, ὅπερ ἐξ ἀρχῆς οὐκ ἐβούλοντο ποιῆσαι. διέστησαν γὰρ αὐτοῖς τὴν φάλαγγα καὶ διέσχον. εἶτα ἀτακτότερον ἤδη πορευομένους, ὡς διεξέπεσον ἀκολουθοῦντες καὶ παραθέοντες ἐκ πλαγίων ἔπαιον. οὐ μὴν ἔτρεψαν, ἀλλ' ἀπεχώρησαν οἱ θηβαῖοι πρὸς τὸν ἑλικῶνα. μέγα τῇ μάχῃ φρονοῦντες, ὡς ἀήττητοι καθ' αὐτοὺς γεγονότες. ἀγησίλαος δὲ καίπερ ὑπὸ τραυμάτων πολλῶν κακῶς τὸ σῶμα διακείμενος, οὐ πρότερον ἐπὶ σκηνὴν ἀπῆλθεν, ἢ φοράδην ἐνεχθῆναι πρὸς τὴν φάλαγγα. καὶ τοὺς νεκροὺς ἰδεῖν ἐντὸς τῶν ὅπλων συγκεκομισμένους. ὅσοι μέντοι τῶν πολεμίων εἰς τὸ ἱερὸν κατέφυγον, πάντας ἐκέλευσεν ἀφεθῆναι. πλησίον γὰρ ὁ νεώς ἐστιν ὁ τῆς ἰτωνίας ἀθηνᾶς. καὶ πρὸ αὐτοῦ τρόπαιον ἕστηκεν, ὃ πάλαι βοιωτοὶ σπάρτωνος στρατηγοῦντος ἐνταῦθα νικήσαντες ἀθηναίους, καὶ τολμίδην ἀποκτείναντες ἔστησαν. ἅμα δ' ἡμέρᾳ, βουλόμενος ἐξελέγξαι τοὺς θηβαίους ὁ ἀγησίλαος εἰ διαμαχοῦνται, στεφανοῦσθαι μὲν ἐκέλευσε τοὺς στρατιώτας. αὐλεῖν δὲ τοὺς αὐλητάς. ἱστάναι δὲ καὶ κοσμεῖν τρόπαιον, ὡς νενικηκότας. ὡς δὲ ἔπεμψαν οἱ πολέμιοι νεκρῶν ἀναίρεσιν αἰτοῦντες, ἐσπείσατο. καὶ τὴν νίκην οὕτως ἐκβεβαιωσάμενος, εἰς δελφοὺς ἀπεκομίσθη πυθίων ἀγομένων. καὶ τήν τε πομπὴν ἐπετέλει τῷ θεῷ. καὶ τὴν δεκάτην ἀπέθυε τῶν ἐκ τῆς ἀσίας λαφύρων ἑκατὸν ταλάντων γενομένην. ἐπεὶ δὲ ἀπενόστησεν οἴκαδε, προσφιλὴς μὲν ἦν εὐθὺς τοῖς πολίταις καὶ περίβλεπτος, ἀπὸ τοῦ βίου καὶ τῆς διαίτης. οὐ γὰρ ὥσπερ οἱ πλεῖστοι τῶν στρατηγῶν καινὸς ἐπανῆλθεν ἀπὸ τῆς ξένης, καὶ κεκινημένος ὑπ' ἀλλοτρίων ἐθῶν καὶ δυσκολαίνων πρὸς τὰ οἴκοι καὶ ζυγομαχῶν, ἀλλὰ ὁμοίως τοῖς μηδεπώποτε τὸν εὐρώταν διαβεβηκόσι τὰ παρόντα τιμῶν καὶ στέργων, οὐ δεῖπνον ἤλλαξεν. οὐ λουτρόν. οὐ θεραπείαν γυναικός. οὐχ ὅπλων κόσμον. οὐκ οἰκίας κατασκευήν. ἀλλὰ καὶ τὰς θύρας ἀφῆκεν οὕτως οὔσας σφόδρα παλαιὰς, ὡς δοκεῖν εἶναι ταύτας ἐκείνας, ἃς ἐπέθηκεν ἀριστόδημος. καὶ τὸ κάναθρον φησὶν ὁ ξενοφῶν, οὐδέν τι σεμνότερον εἶναι τῆς ἐκείνου θυγατρὸς, ἢ τῶν ἄλλων. κάναθρα δὲ καλοῦσιν, εἴδωλα γρυπῶν ξύλινα καὶ τραγελάφων. ἐν οἷς κομίζουσι τὰς παῖδας ἐν ταῖς πομπαῖς. ὁ μὲν οὖν ξενοφῶν, ὄνομα τῆς ἀγησιλάου θυγατρὸς οὐ γέγραφε. καὶ ὁ δικαίαρχος, ἐπηγανάκτησεν, ὡς μήτε τὴν ἀγησιλάου θυγατέρα, μήτε τὴν ἐπαμεινώνδου μητέρα, ἐπιγινωσκόντων ἡμῶν. ἡμεῖς δὲ εὕρομεν ἐν ταῖς λακωνικαῖς ἀναγραφαῖς, ὀνομαζομένην γυναῖκα μὲν ἀγησιλάου κλεόραν. θυγατέρας δὲ ἀπολίαν καὶ προλύταν. ἔστι δὲ καὶ λόγχην ἰδεῖν αὐτοῦ κειμένην ἄχρι νῦν ἐν λακεδαίμονι, μηδὲν τῶν ἄλλων διαφέρουσαν. οὐ μὴν, ἀλλὰ ὁρῶν ἐνίους τῶν πολιτῶν ἀπὸ ἱπποτροφίας δοκοῦντας εἶναί τινας καὶ μεγάλα φρονοῦντας, ἔπεισε τὴν ἀδελφὴν κυνίσκαν εἰς ἅρμα καθεῖσαν, ὀλυμπίασιν ἀγωνίσασθαι. βουλόμενος ἐνδείξασθαι τοῖς ἕλλησιν ὡς οὐδεμιᾶς ἐστὶν ἀρετῆς, ἀλλὰ πλούτου καὶ δαπάνης ἡ νίκη. ξενοφῶντα δὲ τὸν σοφὸν ἔχων μεθ' ἑαυτοῦ σπουδαζόμενον. ἐκέλευσε τοὺς παῖδας ἐν λακεδαίμονι τρέφειν μεταπεμψάμενον, ὡς μαθησομένους τῶν μαθημάτων τὸ κάλλιστον, ἄρχεσθαι καὶ ἄρχειν. τοῦ δὲ λυσάνδρου τετελευτηκότος, εὑρὼν ἑταιρείαν πολλὴν συνεστῶσαν, ἣν ἐκεῖνος εὐθὺς ἐπανελθὼν ἀπὸ τῆς ἀσίας, συνέστησεν ἐπὶ τὸν ἀγησίλαον, ὥρμησεν αὐτὸν ἐξελέγχειν. οἷος ἦν ζῶν πολίτης. καὶ λόγον ἀναγνοὺς ἐν βίβλῳ ἀπολελειμμένον, ὃν ἔγραψε μὲν κλέων ὁ ἁλικαρνασεύς. ἔμελλε δὲ λέγειν ἀναλαβὼν ὁ λύσανδρος ἐν τῷ δήμῳ περὶ πραγμάτων καινῶν καὶ μεταστάσεως τοῦ πολιτεύματος, ἠθέλησεν εἰς μέσον ἐξενεγκεῖν. ἐπεὶ δέ τις τῶν γερόντων τὸν λόγον ἀναγνοὺς, καὶ φοβηθεὶς τὴν δεινότητα, συνεβούλευσε μὴ τὸν λύσανδρον ἀνορύττειν, ἀλλὰ τὸν λόγον μᾶλλον αὐτῷ συγκατορύττειν, ἐπείσθη καὶ καθησύχασε. τοὺς δὲ ὑπεναντιουμένους αὐτῷ, φανερῶς μὲν οὐκ ἔβλαπτε. διαπραττόμενος δὲ πέμπεσθαί τινας ἀεὶ, στρατηγοὺς καὶ ἄρχοντας ἐξ αὐτῶν, ἐπεδείκνυε γινομένους ἐν ταῖς ἐξουσίαις, πονηροὺς καὶ πλεονέκτας. εἶτα κρινομένοις πάλιν αὖ βοηθῶν καὶ συναγωνιζόμενος, οἰκείους ἐκ διαφόρων ἐποιεῖτο. καὶ μεθίστη πρὸς αὐτὸν, ὥστε μηδένα ἀντίπαλον εἶναι. ὁ γὰρ ἕτερος βασιλεὺς ἀγησίπολις, ἅτε δὴ πατρὸς μὲν ὢν φυγάδος, ἡλικίᾳ δὲ παντάπασι μειράκιον, φύσει δὲ πρᾶος καὶ κόσμιος, οὐ πολλὰ τῶν πολιτικῶν ἔπραττεν. οὐ μὴν, ἀλλὰ καὶ τοῦτον ἐποιεῖτο χειροήθη. συσσιτοῦσι γὰρ οἱ βασιλεῖς εἰς τὸ αὐτὸ φοιτῶντες φιδίτιον, ὅταν ἐπιδημῶσιν. εἰδὼς οὖν ἔνοχον ὄντα τοῖς ἐρωτικοῖς τὸν ἀγησίπολιν, ὥσπερ ἦν αὐτὸς, ἀεί τινος ὑπῆρχε λόγου περὶ τῶν ἐν ὥρᾳ, καὶ προῆγε τὸν νεανίσκον εἰς ταυτό. καὶ συνήρα καὶ συνέπραττε. τῶν λακωνικῶν ἐρώτων οὐδὲν αἰσχρόν. αἰδῶ δὲ πολλὴν καὶ φιλοτιμίαν καὶ ζῆλον ἀρετῆς ἐχόντων, ὡς ἐν τοῖς περὶ λυκούργου γέγραπται. μέγιστον οὖν δυνάμενος ἐν τῇ πόλει, διαπράττεται τελευτίαν τὸν ὁμομήτριον ἀδελφὸν ἐπὶ τοῦ ναυτικοῦ γενέσθαι. καὶ στρατευσάμενος εἰς κόρινθον, αὐτὸς μὲν ᾕρει κατὰ γῆν τὰ μακρὰ τείχη. ταῖς δὲ ναυσὶν, ὁ τελευτίας. ἀργείων δὲ τὴν κόρινθον ἐχόντων τότε, καὶ τὰ ἴσθμια συντελούντων ἐπιφανεὶς, ἐκείνους μὲν ἐξήλα-

ἀννίβας ἤδη κακῶς πράττων καὶ περιωθούμενος ἐκ τῆς ἰταλίας μάλα μόλις ὑπήκουσε, τοῖς μὲν ἐπὶ τὸν οἴκοι πόλεμον καλοῦσιν. ἀλέξανδρος δὲ καὶ προσεπέσκωψε πυθόμενος τὴν πρὸς ἆγιν ἀντιπάτρου μάχην εἰπών. ἔοικεν ὦ ἄνδρες, ὅτε Δαρεῖον ἡμεῖς ἐνικῶμεν ἐνταῦθα, ἐκεῖ τις ἐν ἀρκαδίᾳ γεγονέναι μυομαχία, πῶς οὖν οὐκ ἦν ἄξιον τὴν σπάρτην μακαρίσαι τῆς ἀγησιλάου τιμῆς, πρὸς ταύτην καὶ πρὸς τοὺς νόμους τῆς εὐλαβείας, ὃς ἅμα τῷ τὴν σκυτάλην ἐλθεῖν, εὐτυχίαν τοσαύτην καὶ δύναμιν παροῦσαν, καὶ τηλικαύτας ἐλπίδας ὑφηγουμένας ἀφεὶς καὶ προέμενος, εὐθὺς ἀπέπλευσεν ἀτελευτήτῳ ἐπὶ ἔργῳ πολὺν ἑαυτοῦ πόθον τοῖς συμμάχοις ἀπολιπών. καὶ μάλιστα δὴ μὲν ἐρασιστράτου τοῦ φαίακος ἐλέγξας λόγον, εἰπόντος. ὡς εἰσὶ δημοσίᾳ μὲν λακεδαιμόνιοι βελτίονες. ἰδίᾳ δὲ ἀθηναῖοι, βασιλέα γὰρ αὑτὸν καὶ στρατηγὸν ἄριστον ἐπιδειξάμενος, ἔτι βελτίονα, καὶ ἡδίονα τοῖς χρωμένοις ἰδίᾳ φίλον καὶ συνήθη παρεῖχε. τοῦ δὲ περσικοῦ νομίσματος χάραγμα τοξότην ἔχοντος ἀναζευγνύων ἔφη μυρίοις τοξόταις ὑπὸ βασιλέως ἐξελαύνεσθαι τῆς ἀσίας. τοσούτων γὰρ εἰς ἀθήνας καὶ θήβας κομισθέντων καὶ διαδοθέντων τοῖς δημαγωγοῖς, ἐξεπολεμώθησαν οἱ δῆμοι πρὸς τοὺς σπαρτιάτας. ὡς δὲ διαβὰς τὸν ἑλλήσποντον ἐβάδιζε διὰ τῆς θράκης, ἐδεήθη μὲν οὐδενὸς τῶν βαρβάρων. πέμπων δὲ πρὸς ἑκάστους, ἐπυνθάνετο πότερον ὡς φιλίαν ἢ ὡς πολεμίαν διαπορεύηται τὴν χώραν. οἱ μὲν οὖν ἄλλοι πάντες, φιλικῶς ἐδέχοντο καὶ παρέπεμπον. οἱ δὲ καλούμενοι τράλλεις. οἷς καὶ ξέρξης ἔδωκεν ὡς λέγεται δῶρα τῆς διόδου, μισθὸν ᾔτουν τὸν ἀγησίλαον, ἑκατὸν ἀργυρίου τάλαντα καὶ τοσαύτας γυναῖκας. ὁ δὲ, κατειρωνευσάμενος αὐτούς, καὶ φήσας, τί οὖν οὐκ εὐθὺς ἦλθον ληψόμενοι, προῆγε. καὶ συμβαλὼν αὐτοῖς παρατεταγμένοις, ἐτρέψατο καὶ διέφθειρε πολλούς. τὸ δ᾽ αὐτὸ καὶ τῷ βασιλεῖ τῶν μακεδόνων, ἐρώτημα προσέπεμψε. φήσαντος δὲ βουλεύσεσθαι, βουλευέσθω τοίνυν ἐκεῖνος εἶπεν. ἡμεῖς δὲ διαπορευσόμεθα, θαυμάσας οὖν τὴν τόλμαν αὐτοῦ καὶ δείσας ὁ βασιλεὺς, ἐκέλευσεν ὡς φίλον προάγειν. τῶν δὲ θετταλῶν τοῖς πολεμίοις συμμαχούντων, ἐπόρθει τὴν χώραν. εἰς δὲ λάρισσαν ἔπεμψε ξενοκλέα καὶ σκύθην περὶ φιλίας. συλληφθέντων δὲ τούτων καὶ παραφυλαττομένων, οἱ μὲν ἄλλοι βαρέως φέροντες, ᾤοντο δεῖν τὸν ἀγησίλαον περιστρατοπεδεύσαντα, πολιορκεῖν τὴν λάρισσαν. ὁ δὲ φήσας οὐκ ἂν ἐθελῆσαι θετταλίαν ὅλην λαβεῖν, ἀπολέσας τῶν ἀνδρῶν τὸν ἕτερον, ὑπὸ σπονδοὺς αὐτοὺς ἀπέλαβε. καὶ τοῦτο ἴσως ἐπ᾽ ἀγησιλάῳ θαυμαστὸν οὐκ ἦν, ὃς πυθόμενος μάχην μεγάλην γεγονέναι περὶ κόρινθον, καὶ ἄνδρας τῶν πάνυ ἐνδόξων ὡς ἔνι μάλιστα αἰφνίδιον ἀπολωλέναι. καὶ σπαρτιατῶν μὲν ὀλίγους παντάπασι τεθνηκέναι, παμπόλλους δὲ τῶν πολεμίων, οὐκ ὤφθη περιχαρὴς οὐδὲ ἐπηρμένος. ἀλλὰ καὶ πάνυ βαρὺ στενάξας, φεῦ τῆς ἑλλάδος ἔφη, τοσούτους ἄνδρας ἀπολωλεκυίας ὑφ᾽ αὑτῆς, ὅσοι ζῶντες ἐδύναντο νικᾶν ὁμοῦ σύμπαντας τοὺς βαρβάρους μαχόμενοι. τῶν δὲ φαρσαλίων προσκειμένων αὐτῷ, καὶ κακούντων τὸ στράτευμα, πεντακοσίοις ἱππεῦσιν ἐμβαλεῖν κελεύσας σὺν αὐτῷ, καὶ τρεψάμενος, ἔστησε τρόπαιον ὑπὸ τῷ ναρθακίῳ, καὶ τὴν νίκην ὑπερηγάπησεν ἐκείνην, ὅτι συστησάμενος ἱππικὸν αὐτὸς δι᾽ ἑαυτοῦ, τούτῳ μόνῳ τοὺς μέγιστον ἐφ᾽ ἱππικῇ φρονοῦντας ἐκράτησεν. ἐνταῦθα διφρίδας οἴκοθεν ἔφορος ὢν, ἀπήντησεν αὐτῷ κελεύων εὐθὺς ἐμβαλεῖν εἰς τὴν βοιωτίαν. ὁ δὲ καίπερ ἀπὸ μείζονος παρασκευῆς ὕστερον τοῦτο ποιῆσαι διανοούμενος, οὐδὲν ᾤετο δεῖν ἀπειθεῖν τοῖς ἄρχουσιν, ἀλλὰ τοῖς τε μεθ᾽ ἑαυτοῦ προεῖπεν ἐγγὺς εἶναι τὴν ἡμέραν ἐφ᾽ ἣν ἐξ ἀσίας ἥκουσι, καὶ δύο μόρας μετεπέμψατο τῶν περὶ κόρινθον στρατευομένων. οἱ δὲ ἐν τῇ πόλει λακεδαιμόνιοι τιμῶντες αὐτὸν, ἐκήρυξαν τῶν νέων ἀπογράφεσθαι τὸν βουλόμενον, τῷ βασιλεῖ βοηθεῖν. ἀπογραψαμένων δὲ πάντων προθύμως, οἱ ἄρχοντες πεντήκοντα τοὺς ἀκμαιοτάτους καὶ ἐρρωμενεστάτους ἐκλεξάμενοι ἀπέστειλαν. ὁ δὲ ἀγησίλαος εἴσω πυλῶν παρελθὼν, καὶ διοδεύσας τὴν φωκίδα φίλην οὖσαν. ἐπεὶ τῆς βοιωτίας πρῶτον ἐπέβη. καὶ περὶ τὴν χαιρώνειαν κατεστρατοπέδευσεν. ἅμα μὲν τὸν ἥλιον ἐκλείποντα καὶ γινόμενον μηνοειδῆ κατεῖδεν. ἅμα δὲ ἤκουσε τεθνάναι πείσανδρον, ἡττημένον ναυμαχίᾳ περὶ κνίδον ὑπὸ φαρναβάζου καὶ κόνωνος. ἠχθέσθη μὲν ὡς εἰκὸς ἐπὶ τούτοις. καὶ διὰ τὸν ἄνδρα καὶ διὰ τὴν πόλιν. ὅπως δὲ μὴ τοῖς στρατιώταις ἐπὶ μάχην βαδίζουσιν, ἀθυμία καὶ φόβος ἐμπέσῃ, τἀναντία λέγειν ἐκέλευσε τοὺς ἀπὸ θαλάττης ἥκοντας, ὅτι νικῶσι τὴν ναυμαχίαν, καὶ προελθὼν αὐτὸς ἐστεφανωμένος, ἔθυσεν εὐαγγέλια καὶ διέπεμπε μερίδας τοῖς φίλοις, ἀπὸ τῶν τεθυμένων. ἐπεὶ δὲ προϊὼν καὶ γενόμενος ἐν κορωνείᾳ κατεῖδε τοὺς πολεμίους καὶ κατώφθη, παρετάξατο δοὺς ὀρχομενίοις τὸ εὐώνυμον κέρας. αὐτὸς δὲ τὸ δεξιὸν ἐπῆγε. οἱ δὲ θηβαῖοι. τὸ μὲν δεξιὸν εἶχον αὐτοί. τὸ δὲ εὐώνυμον ἀργεῖοι. λέγει δὲ τὴν μάχην ὁ ξενοφῶν ἐκείνην, οἵαν οὐκ ἄλλην τῶν πώποτε γενέσθαι καὶ παρῆν αὐτὸς τῷ ἀγησιλάῳ συναγωνιζόμενος, ἐξ ἀσίας διαβεβηκώς. ἡ μὲν οὖν πρώτη σύρραξις, οὐκ ἔσχεν ὠθισμὸν, οὐδὲ ἀγῶνα πολύν. ἀλλὰ οἵ τε θηβαῖοι ταχὺ τοὺς ὀρχομενίους ἐτρέψαντο, καὶ τοὺς ἀργείους ὁ ἀγησίλαος. ἐπεὶ δὲ ἀκούσαντες ἀμφότεροι τὰ εὐώνυμα πιέζεσθαι καὶ φεύγειν, ἀνέστρεψαν. ἐνταῦθα τῆς νίκης ἀκινδύνου παρούσης, εἰ τῆς κατὰ στόμα μάχης ὑφέσθαι τοῖς θηβαίοις ἠθέλησε. καὶ παίειν ἑπόμενος παραλλάξαντας, ὑπὸ θυμοῦ καὶ φιλονεικίας, ἐναντίος ἐχώρει τοῖς ἀνδράσιν, ὤσασθαι κατὰ κράτος βουλόμενος. οἱ δὲ οὐχ ἧττον ἐρρωμένως ἐδέξαντο. καὶ μάχη γίνεται.

ἀπορίᾳ λόγων δικαίων. ἅτε δὴ πολλὰ καὶ μεγάλα λακεδαιμονίοις χρήσιμος γεγονὼς ἐν τῷ πρὸς ἀθηναίους πολέμῳ. νῦν δὲ πορθούμενος ὑπ' αὐτῶν. ὁ δὲ ἀγησίλαος ὁρῶν τοὺς σὺν αὐτῷ σπαρτιάτας ὑπ' αἰσχύνης κύπτοντας εἰς τὴν γῆν καὶ διαπορούντας. ἀδικοῦντα γὰρ ἑώρων τὸν φαρνάβαζον, ἡμεῖς εἶπεν ὦ φαρνάβαζε. καὶ φίλοι ὄντες πρότερον βασιλέως, ἐχρώμεθα τοῖς ἐκείνου πράγμασι φιλικῶς. καὶ νῦν πολέμιοι γεγονότες, πολεμικῶς. ἐν οὖν καὶ σὲ τῶν βασιλέως κτημάτων ὁρῶντες εἶναι βουλόμενον, εἰκότως διὰ σοῦ βλάπτομεν ἐκεῖνον. ἀφ' ἧς δ' ἡμέρας σεαυτὸν ἀξιώσεις, ἑλλήνων φίλον καὶ σύμμαχον μᾶλλον, ἢ δοῦλον γενέσθαι βασιλέως. ταύτην νόμιζε τὴν φάλαγγα καὶ τὰ ὅπλα καὶ τὰς ναῦς καὶ πάντας ἡμᾶς τῶν σῶν κτημάτων φύλακας εἶναι καὶ τῆς ἐλευθερίας, ἧς ἄνευ καλὸν ἀνθρώποις οὐδὲν, οὐδὲ ζηλωτόν ἐστιν. ἐκ τούτου λέγει πρὸς αὐτὸν, ὁ φαρνάβαζος τὴν ἑαυτοῦ διάνοιαν. ἐγὼ γὰρ εἶπεν, ἐὰν μὲν ἄλλον ἐκπέμψῃ βασιλεὺς στρατηγὸν, ἔσομαι μεθ' ὑμῶν, ἐὰν δ' ἐμοὶ παραδῷ τὴν ἡγεμονίαν, οὐδὲν ἐλλείψω προθυμίας, ἀμυνόμενος ὑμᾶς καὶ κακῶς ποιῶν ὑπὲρ ἐκείνου. ταῦτα δ' ἀκούσας ὁ ἀγησίλαος ἥσθη καὶ τῆς δεξιᾶς αὐτοῦ λαβόμενος καὶ συνεξαναστὰς εἶθε εἶπεν ὦ φαρνάβαζε τοιοῦτος ὢν φίλος ἡμῖν γένοιο μᾶλλον, ἢ πολέμιος. ἀπιόντος δὲ τοῦ φαρναβάζου μετὰ τῶν φίλων, ὁ υἱὸς ὑπολειφθεὶς, προσέδραμε τῷ ἀγησιλάῳ καὶ μειδιῶν εἶπεν. ἐγώ σε ξένον ὦ ἀγησίλαε ποιοῦμαι, καὶ παλτὸν ἔχων ἐν τῇ χειρὶ, δίδωσιν αὐτῷ. δεξάμενος οὖν ὁ ἀγησίλαος, καὶ ἡσθεὶς τῇ τε ὄψει καὶ τῇ φιλοφροσύνῃ τοῦ παιδὸς, ἐπεσκόπει τοὺς παρόντας, εἴ τις ἔχει τι τοιοῦτον, οἷ' ἀντιδοῦναι καλῷ καὶ γενναίῳ δῶρον. ἰδὼν δὲ ἵππον ἀδαίου τοῦ γραφέως κεκοσμημένον φαλάροις. ταχὺ ταῦτα περισπάσας, τῷ μειρακίῳ δίδωσι. καὶ τὸ λοιπὸν οὐκ ἐπαύσατο μεμνημένος, ἀλλὰ καὶ χρόνῳ προϊόντι τὸν οἶκον ἀφαιρεθέντος αὐτοῦ καὶ φυγόντος, ὑπὸ τῶν ἀδελφῶν εἰς πελοπόννησον, ἰσχυρῶς ἐπεμελεῖτο. καί τι καὶ τῶν ἐρωτικῶν αὐτῷ συνέπραξεν. ἠράσθη γὰρ ἀθλητοῦ παιδὸς ἐξ ἀθηνῶν. ἐπεὶ δὲ μέγας ὢν καὶ σκληρὸς ὀλυμπίασιν ἐκινδύνευσεν ἐκκριθῆναι. καταφεύγει πρὸς τὸν ἀγησίλαον ὁ πέρσης, δεόμενος ὑπὲρ τοῦ παιδός. ὁ δὲ καὶ τοῦτο βουλόμενος αὐτῷ χαρίζεσθαι, μάλα μόλις διεπράξατο σὺν πολλῇ πραγματείᾳ. τἆλλα μὲν γὰρ ἦν ἀκριβὴς καὶ νόμιμος. ἐν δὲ τοῖς φιλικοῖς, πρόφασιν ἐνόμιζεν εἶναι τὸ λίαν δίκαιον. ἀναφέρεται γοῦν ἐπιστόλιον αὐτοῦ πρὸς ἰδριέα τὸν κᾶρα τοιοῦτο. νικίας εἰ μὲν μὴ ἀδικεῖ, ἄφες. εἰ δὲ ἀδικεῖ ἡμῖν ἄφες. πάντως δὲ ἄφες. ἐν μὲν οὖν τοῖς πλείστοις, τοιοῦτος ὑπὲρ τῶν φίλων ὁ ἀγησίλαος. ἔστι δὲ ὅπου πρὸς τὸ συμφέρον ἐχρῆτο τῷ καιρῷ, καὶ μᾶλλον ὡς ἐδήλωσεν ἀναζυγῆς αὐτῷ θορυβωδεστέρας γενομένης, ἀσθενοῦντα καταλιπὼν τὸν ἐρώμενον. ἐκείνου γὰρ δεομένου καὶ καλοῦντος, αὐτὸν ἀπιόντα, μεταστραφεὶς εἶπεν. ὡς χαλεπὸν ἐλεεῖν ἅμα καὶ φρονεῖν. τουτὶ μὲν ἱερώνυμος ὁ φιλόσοφος ἱστόρηκεν. ἤδη δὲ περιιόντος ἐνιαυτοῦ τῇ στρατηγίᾳ πολὺς ἄνω λόγος ἐχώρει τοῦ ἀγησιλάου. καὶ δόξα θαυμαστὴ κατεῖχε τῆς τε σωφροσύνης αὐτοῦ καὶ ἀπλείας καὶ μετριότητος. ἐσκήνου μὲν γὰρ ἀποδημῶν καθ' αὑτὸν ἐν τοῖς ἁγιωτάτοις ἱεροῖς, ἃ μὴ πολλοὶ καθορῶσιν ἄνθρωποι πράττοντας ἡμᾶς, τούτων θεοὺς ποιούμενος ἐπόπτας καὶ μάρτυρας. ἐν δὲ χιλιάσι στρατιωτῶν τοσαύταις, οὐ ῥᾳδίως ἄν τις εἶδε φαυλοτέραν στιβάδα τῆς ἀγησιλάου. πρός τε θάλπος οὕτω καὶ ψῦχος εἶχεν, ὥσπερ μόνος ἀεὶ χρῆσθαι ταῖς ὑπὸ θεοῦ κεκραμέναις ὥραις πεφυκώς. ἥδιστον δὲ θέαμα τοῖς κατοικοῦσι τὴν ἀσίαν ἕλλησιν ἦσαν, οἱ πάλαι βαρεῖς καὶ ἀφόρητοι καὶ διαρρέοντες ὑπὸ πλούτου καὶ τρυφῆς ὕπαρχοι καὶ στρατηγοὶ δεδιότες καὶ θεραπεύοντες ἄνθρωπον ἐν τρίβωνι περιϊόντα λιτῷ, καὶ πρὸς ἓν ῥῆμα βραχὺ καὶ λακωνικὸν ἁρμόζοντες ἑαυτοὺς καὶ μετασχηματίζοντες, ὥστε πολλοῖς ἐπῄει τὰ τιμοθέου λέγειν. ἄρης τύραννος. χρυσὸν δ' ἑλλὰς οὐ δέδοικε. κινουμένης δὲ τῆς ἀσίας καὶ πολλαχοῦ πρὸς ἀπόστασιν ὑπεικούσης ἁρμοσάμενος τὰς αὐτόθι πόλεις. καὶ ταῖς πολιτείαις δίχα φόνου καὶ φυγῆς ἀνθρώπων, ἀποδοὺς τὸν προσήκοντα κόσμον, ἐγνώκει πρόσω χωρεῖν. καὶ τὸν πόλεμον διάρας ἀπὸ τῆς ἑλληνικῆς θαλάσσης, περὶ τοῦ σώματος βασιλεῖ καὶ τῆς ἐν ἐκβατάνοις καὶ σούσοις εὐδαιμονίας διαμάχεσθαι. καὶ περισπάσαι πρῶτον αὐτοῦ τὴν σχολὴν, ὡς μὴ καθέζοιτο τοὺς πολέμους βραβεύων τοῖς ἕλλησι. καὶ διαφθείρων τοὺς δημαγωγούς. ἐν τούτῳ δὲ ἀφικνεῖται πρὸς αὐτὸν ἐπικυδίδας ὁ σπαρτιάτης, ἀπαγγέλλων ὅτι πολὺς περιέστηκε τὴν σπάρτην πόλεμος ἑλληνικός. καὶ καλοῦσιν ἐκεῖνον οἱ ἔφοροι. καὶ κελεύουσι τοῖς οἴκοι βοηθεῖν. ὦ βάρβαρα ἐξευρόντες ἕλληνες κακά. τί γὰρ ἄν τις ἄλλο τὸν φθόνον ἐκεῖνον προσείποι, καὶ τὴν τότε σύστασιν καὶ σύνταξιν ἐφ' ἑαυτοὺς τῶν ἑλλήνων. οἳ τῆς τύχης ἄνω φερομένης, ἐπελάβοντο. καὶ τὰ ὅπλα πρὸς τοὺς βαρβάρους βλέποντα, καὶ τὸν πόλεμον τῆς ἑλλάδος ἤδη ἐξῳκισμένον, αὖθις εἰς ἑαυτοὺς ἔτρεψαν. οὐ γὰρ ἔγωγε συμφέρομαι τῷ κορινθίῳ δημαράτῳ μεγάλης ἡδονῆς ἀπολελεῖφθαι φήσαντι τοὺς μὴ θεασαμένους ἕλληνας. ἀλέξανδρον ἐν τῷ δαρείου θρόνῳ καθήμενον. ἀλλ' εἰκότως ἂν οἶμαι δακρῦσαι συννοήσαντας ὅτι ταῦτα ἀλεξάνδρῳ καὶ μακεδόσιν ἀπέλιπον, οἱ τότε τοὺς τῶν ἑλλήνων στρατηγοὺς περὶ λεῦκτρα. καὶ κορώνειαν. καὶ κόρινθον, καὶ ἀρκαδίαν, καταναλώσαντες. ἀγησιλάῳ μέντοι, οὐδὲν κρεῖττον, ἢ μεῖζον ἐστὶ τῆς ἀναχωρήσεως ἐκείνης διαπεπραγμένον. οὐδὲ γέγονε παράδειγμα πειθαρχίας καὶ δικαιοσύνης ἕτερον κάλλιον. ὅπου γὰρ

τῆς καρίας νομίζων, οὔσης δυσίππου, πολὺ τῷ ἱππικῷ λειπόμενον. ἐπεὶ δὲ ὡς προεῖπεν ὁ ἀγησίλαος ἧκεν εἰς τὸ περὶ σάρδεις πεδίον, ἠναγκάζετο κατὰ σπουδὴν ἐκεῖθεν αὖ βοηθεῖν ὁ τισαφέρνης, καὶ τῇ ἵππῳ διεξελαύνων διέφθειρε πολλοὺς τῶν ἀτάκτως τὸ πεδίον πορθούντων. ἐννοήσας οὖν ὁ ἀγησίλαος ὅτι τοῖς πολεμίοις οὔπω πάρεστι τὸ πεζόν, αὐτῷ δὲ τῆς δυνάμεως οὐδὲν ἄπεστιν, ἔσπευσε διαγωνίσασθαι. καὶ τοῖς μὲν ἱππεῦσιν ἀναμίξας τὸ πελταστικὸν, ἐλαύνειν ἐκέλευσεν ὡς τάχιστα καὶ προσβάλλειν τοῖς ἐναντίοις. αὐτὸς δὲ εὐθὺς τοὺς ὁπλίτας ἐπῆγε. γενομένης δὲ τροπῆς τῶν βαρβάρων, ἐπακολουθήσαντες οἱ ἕλληνες, ἔλαβον τὸ στρατόπεδον, καὶ πολλοὺς ἀνεῖλον. ἐκ ταύτης τῆς μάχης οὐ μόνον ὑπῆρχεν αὐτοῖς ἄγειν καὶ φέρειν ἀδεῶς τὴν βασιλέως χώραν, ἀλλὰ καὶ δίκην ἐπιδεῖν τισαφέρνην διδόντα, μοχθηρὸν ἄνθρωπον, καὶ τῷ γένει τῶν ἑλλήνων ἐχθιστον. ἔπεμψε γὰρ εὐθέως ὁ βασιλεὺς, τιθραύστην ἐπ' αὐτὸν, ὃς ἐκείνου μὲν τὴν κεφαλὴν ἀπέτεμε. τὸν δὲ ἀγησίλαον ἠξίου διαλυσάμενον, ἀποπλεῖν οἴκαδε, καὶ χρήματα διδοὺς, αὐτῷ προσέπεμψεν. ὁ δὲ, τῆς μὲν εἰρήνης ἔφη, τὴν πόλιν εἶναι κυρίαν. αὐτὸς δὲ πλουτίζων τοὺς στρατιώτας ἥδεσθαι μᾶλλον, ἢ πλουτῶν αὐτὸς. καὶ ἄλλως γε μέντοι νομίζειν ἕλληνας καλὸν, οὐ δῶρα λαμβάνειν, ἀλλὰ λάφυρα παρὰ τῶν πολεμίων. ὅμως δὲ τῷ τιθραύστῃ χαρίζεσθαι βουλόμενος, ὅτι τὸν κοινὸν ἐχθρὸν ἑλλήνων ἐτιμωρήσατο τισαφέρνην, ἀπήγαγεν εἰς φρυγίαν τὸ στράτευμα, λαβὼν ἐφόδιον παρ' αὐτοῦ λʹ τάλαντα. καθ' ὁδὸν δ' ὢν, σκυτάλην δέχεται παρὰ τῶν οἴκοι τελῶν, κελεύουσαν αὐτὸν ἄρχειν ἅμα καὶ τοῦ ναυτικοῦ. τοῦτο μόνῳ πάντων ὑπῆρξεν ἀγησιλάῳ. καὶ μέγιστος μὲν ἦν ὁμολογουμένως, καὶ τῶν τότε ζώντων ἐπιφανέστατος. ὡς εἴρηκέ που καὶ θεόπομπος. ἑαυτῷ γε μὴν ἐδίδου δι' ἀρετὴν φρονεῖν μεῖζον, ἢ διὰ τὴν ἡγεμονίαν. τότε δὲ τοῦ ναυτικοῦ καταστήσας ἄρχοντα πείσανδρον, ἁμαρτεῖν ἔδοξεν ὅτι πρεσβυτέρων καὶ φρονιμωτέρων παρόντων, οὐ σκεψάμενος τὸ τῆς πατρίδος, ἀλλὰ τὴν οἰκειότητα τιμῶν καὶ τῇ γυναικὶ χαριζόμενος ἧς ἀδελφὸς ἦν ὁ πείσανδρος, ἐκείνῳ παρέδωκε τὴν ναυαρχίαν. αὐτὸς δὲ τὸν στρατὸν καταστήσας εἰς τὴν ὑπὸ φαρναβάζου τεταγμένην χώραν, οὐ μόνον ἐν ἀφθόνοις διῆγε πᾶσιν, ἀλλὰ καὶ χρήματα συνῆγε πολλά. καὶ προελθὼν ἄχρι παφλαγονίας, προσηγάγετο τὸν βασιλέα τῶν παφλαγόνων κότυν, ἐπιθυμήσαντα τῆς φιλίας αὐτοῦ δι' ἀρετὴν καὶ πίστιν. ὁ δὲ σπιθριδάτης ὡς ἀποστὰς τοῦ φαρναβάζου τὸ πρῶτον ἦλθε πρὸς τὸν ἀγησίλαον, ἀεὶ συναπεδήμει καὶ συνεστράτευεν αὐτῷ, κάλλιστον μὲν υἱὸν ἔχων μεγαβάτην, οὗ παιδὸς ὄντος ἤρα σφοδρῶς ἀγησίλαος. καλὴν δὲ καὶ θυγατέρα παρθένον ἐν ἡλικίᾳ γάμου. ταύτην μὲν ἔπεισε γῆμαι τὸν κότυν ὁ ἀγησίλαος, καὶ λαβὼν παρ' αὐτοῦ χιλίους ἱππεῖς καὶ δισχιλίους πελταστὰς, αὖθις ἀνεχώρησεν εἰς φρυγίαν, καὶ κακῶς ἐποίει τὴν φαρναβάζου χώραν, οὐχ ὑπομένοντος οὐδὲ πιστεύοντος τοῖς ἐρύμασιν. ἀλλ' ἔχων ἀεὶ τὰ πλεῖστα τῶν ἑαυτῷ τιμίων καὶ ἀγαπητῶν, ὑπεξεχώρει καὶ ὑπέφευγεν. ἄλλοτε ἀλλαχόσε τῆς χώρας μεθιδρυόμενος, μέχρις οὗ

παγαβὰν s. a. παραφυλάξας αὐτὸν ὁ σπιθριδάτης, καὶ λαβὼν ἡριππίδαν τὸν σπαρτιάτην, ἔλαβε τὸ στρατόπεδον καὶ τῶν χρημάτων ἁπάντων ἐκράτησεν. ἔνθα δὴ πικρὸς ὢν ὁ ἡριππίδας ἐξεταστὴς τῶν κλαπέντων, καὶ τοὺς βαρβάρους ἀναγκάζων ἀποτίθεσθαι, καὶ πάντα ἐφορῶν καὶ διερευνώμενος, παρώξυνε τὸν σπιθριδάτην ὥστε ἀπελθεῖν εὐθὺς εἰς σάρδεις μετὰ τῶν παφλαγόνων. τοῦτο λέγεται τῷ ἀγησιλάῳ γενέσθαι πάντων ἀνιαρότατον. ἤχθετο μὲν γὰρ ἄνδρα γενναῖον ἀποβεβληκὼς τὸν σπιθριδάτην, καὶ σὺν αὐτῷ δύναμιν οὐκ ὀλίγην. ᾐσχύνετο δὲ τῇ διαβολῇ τῆς μικρολογίας καὶ ἀνελευθερίας, ἧς οὐ μόνον αὑτὸν ἀλλὰ καὶ τὴν πατρίδα καθαρεύουσαν ἀεὶ παρέχειν ἐφιλοτιμεῖτο. χωρὶς δὲ τῶν ἐπιφανῶν τούτων, ἔκνιζεν αὐτὸν οὐ μετρίως ὁ τοῦ παιδὸς ἔρως ἐνεστηγμένος εἰ καὶ πάνυ παρόντος αὐτοῦ τῷ φιλονείκῳ χρώμενος, ἐπειρᾶτο νεανικῶς ἀπομάχεσθαι πρὸς τὴν ἐπιθυμίαν. καί ποτε τοῦ μεγαβάτου προσιόντος ὡς ἀσπασομένου καὶ φιλήσοντος, ἐξέκλινεν. ἐπεὶ δὲ ἐκεῖνος αἰσχυνθεὶς ἐπαύσατο, καὶ τὸ λοιπὸν ἄπωθεν ἤδη προσηγόρευεν, ἀχθόμενος αὖ πάλιν καὶ μεταμελόμενος τῇ φυγῇ τοῦ φιλήματος ὁ ἀγησίλαος, προσεποιεῖτο θαυμάζειν ὅ τι δὴ παθὼν αὐτὸν ὁ μεγαβάτης ἀπὸ στόματος οὐ φιλοφρονοῖτο. σὺ γὰρ αἴτιος οἱ συνήθεις ἔφασαν, οὐχ ὑποστὰς ἀλλὰ δείσας τὸ φίλημα τοῦ καλοῦ καὶ φοβηθείς. ἐπεὶ καὶ νῦν ἂν ἔλθοι σοι πεισθεὶς ἐκεῖνος εἰς λόγους φιλήματος. ἀλλ' ὅπως αὖθις οὐκ ἀποδειλιάσεις.

πρὸς χρόνον οὖν τινὰ πρὸς ἑαυτῷ γενόμενος ὁ ἀγησίλαος, καὶ διασιωπήσας, οὐδὲν ἔφη δεῖν πείθειν ὑμᾶς ἐκεῖνον. ἐγὼ γάρ μοι δοκῶ τὴν αὐτὴν ταύτην μάχην τὴν περὶ τοῦ φιλήματος ἥδιον μάχεσθαι πάλιν, ἢ πάντα ὅσα τεθέαμαι χρυσᾶ μοι γενέσθαι. τοιοῦτος μὲν ἦν τοῦ μεγαβάτου παρόντος, ἀπελθόντος γε μὴν οὕτω περιεκαύθη ὡς ἔχειν, ὡς χαλεπὸν εἰπεῖν εἰ πάλιν αὖ μεταβαλομένου καὶ φανέντος, ἐνεκαρτέρησε μὴ φιληθῆναι. μετὰ ταῦτα φαρνάβαζος εἰς λόγους αὐτῷ συνελθεῖν ἠθέλησεν. καὶ συνῆγεν ἀμφοτέρους ὁ ξένος ὁ κυζικηνὸς ἀπολλοφάνης. πρότερος δὲ μετὰ τῶν φίλων ὁ ἀγησίλαος, ἐλθὼν εἰς τὸ χωρίον ὑπὸ σκιᾷ τινὶ πόας οὔσης βαθείας, καταβαλὼν ἑαυτὸν ἐνταῦθα, περιέμενε τὸν φαρνάβαζον. ὁ δὲ ὥσπερ ἦλθεν ὑποβεβλημένων τε αὐτῷ κῳδίων μαλακῶν καὶ ποικίλων δαπίδων, αἰδεσθεὶς τὸν ἀγησίλαον οὕτω κατακείμενον, κατεκλίνη καὶ αὐτὸς ὡς ἔτυχεν ἐπὶ τῆς πόας χαμᾶζε. καίπερ ἐσθῆτα θαυμαστὴν λεπτότητι καὶ βαφαῖς ἐνδεδυκώς. ἀσπασάμενοι δὲ ἀλλήλους, ὁ μὲν φαρνάβαζος, οὐκ

τον, ὡς ὄνομα μὲν καὶ σχῆμα τῆς στρατηγίας τὸν Ἀγησίλαον ὄντα διὰ τὸν νόμον, ἔργῳ δὲ κύριον ἁπάντων καὶ δυνάμενον καὶ πράττοντα πάντα τὸν Λύσανδρον. οὐδεὶς γὰρ δεινότερος οὐδὲ φοβερώτερος ἐκείνου τῶν εἰς τὴν Ἀσίαν ἀποσταλέντων ἐγένετο στρατηγῶν. οὐδὲ μείζονα τοὺς φίλους αὐτὸς ἄλλος εὐεργέτησεν. οὐδὲ κακὰ τηλικαῦτα τοὺς ἐχθροὺς ἐποίησεν. η. ὧν ἔτι προσφάτων ὄντων, οἱ ἄνθρωποι μνημονεύοντες. ἄλλως δὲ, τὸν μὲν Ἀγησίλαον ἀφελῆ καὶ λιτὸν ἐν ταῖς ὁμιλίαις καὶ δημοτικὸν ὁρῶντες. ἐκείνῳ δὲ τὴν αὐτὴν ὁμοίως σφοδρότητα καὶ τραχύτητα καὶ βραχυλογίαν παροῦσαν, ὑπέπιπτον αὐτῷ παντάπασι καὶ μόνῳ προσεῖχον. ἐκ δὲ τούτου πρῶτον μὲν οἱ λοιποὶ Σπαρτιᾶται χαλεπῶς ἔφερον, ὑπηρέται μᾶλλον Λυσάνδρου ἢ σύμβουλοι βασιλέως ὄντες. ἔπειτα δὲ αὐτὸς ὁ Ἀγησίλαος εἰ καὶ μὴ φθονερὸς ἦν μηδὲ ἤχθετο τοῖς τιμωμένοις, ἀλλὰ φιλότιμος ὢν σφόδρα καὶ φιλόνικος, ἐφοβεῖτο μὴ καὶ ἐνέγκωσί τι λαμπρὸν αἱ πράξεις, τοῦτο Λυσάνδρου γένηται διὰ τὴν δόξαν. οὕτως οὖν ἐποίει. πρῶτον ἀντέκρουε ταῖς συμβουλίαις αὐτοῦ. καὶ πρὸς ἃς ἐκεῖνος ἐσπουδάκει μάλιστα, πράξεις ἐᾶν χαίρειν καὶ παραμελῶν, ἕτερα πρὸ ἐκείνων ἔπραττεν. ἔπειτα τῶν ἐντυγχανόντων καὶ δεομένων οὓς αἴσθοιτο Λυσάνδρῳ μάλιστα πεποιθότας, ἀπράκτους ἀπέπεμπε. καὶ περὶ τὰς κρίσεις ὁμοίως οἷς ἐκεῖνος ἐπηρεάζοι, τούτους ἔδει πλέον ἔχοντας ἀπελθεῖν. καὶ τοὐναντίον οὓς φανερὸς γένοιτο προθυμούμενος ὠφελεῖν, χαλεπὸν ἦν μὴ καὶ ζημιωθῆναι. γινομένων δὲ τούτων οὐ κατὰ τύχην, ἀλλ᾽ οἷον ἐκ παρασκευῆς καὶ ὁμαλῶς, αἰσθόμενος τὴν αἰτίαν ὁ Λύσανδρος, οὐκ ἀπεκρύπτετο πρὸς τοὺς φίλους, ἀλλ᾽ ἔλεγεν ὡς δι᾽ αὐτὸν ἀτιμάζοιντο. καὶ παρεκάλει θεραπεύειν ἰόντας τὸν βασιλέα. καὶ τοὺς μᾶλλον αὐτοῦ δυναμένους. ὡς οὖν ταῦτα πράττειν καὶ λέγειν ἐδόκει φθόνῳ ἐκείνῳ μηχανώμενος, ἔτι μᾶλλον αὐτοῦ καθάψασθαι βουλόμενος Ἀγησίλαος, ἀπέδειξε κρεωδαίτην. καὶ προσεῖπεν ὡς λέγεται πολλῶν ἀκουόντων. νῦν οὖν θεραπευέτωσαν οὗτοι, ἀπιόντες τὸν ἐμὸν κρεωδαίτην. ἀχθόμενος οὖν ὁ Λύσανδρος, λέγει πρὸς αὐτόν. ἤδεις ἄρα σαφῶς Ἀγησίλαε, φίλους ἐλαττοῦν. ἤδειν ἔφη τοὺς ἐμοῦ μεῖζον δύνασθαι βουλομένους. καὶ ὁ Λύσανδρος. ἀλλ᾽ ἴσως ἔφη ταῦτά σοι λέλεκται βέλτιον, ἢ ἐμοὶ πέπρακται. δὸς δέ μοι τινὰ τάξιν καὶ χώραν ἔνθα μὴ λυπῶν, ἔσομαί σοι χρήσιμος. ἐκ τούτου πέμπεται μὲν ἐφ᾽ Ἑλλήσποντον. καὶ μεθίστησι Σπιθριδάτην ἄνδρα Πέρσην ἀπὸ τῆς Φαρναβάζου χώρας, μετὰ χρημάτων συχνῶν καὶ διακοσίων ἱππέων, ἤγαγε πρὸς τὸν Ἀγησίλαον. οὐκ ἔληγε δὲ τῆς ὀργῆς, ἀλλὰ βαρέως φέρων ἤδη τὸν λοιπὸν χρόνον, ἐβουλεύετο ὅπως τῶν δυεῖν οἴκων τὴν βασιλείαν ἀφελόμενος, εἰς μέσον ἅπασιν ἀποδοίη Σπαρτιάταις. καὶ ἐδόκει μεγάλην ἂν ἀπεργάσασθαι κίνησιν ἐκ ταύτης τῆς διαφορᾶς, εἰ μὴ πρότερον ἐτελεύτησεν, εἰς Βοιωτίαν στρατεύσας. οὕτως αἱ φιλότιμοι φύσεις ἐν ταῖς πολιτείαις τὸ ἄγαν μὴ φυλαξάμεναι, τοῦ ἀγαθοῦ μεῖζον τὸ κακὸν ἔχουσι. καὶ γὰρ ὁ Λύσανδρος φορτικὸς ἦν ὥσπερ ἦν, ὑπερβάλλων τῇ φιλοτιμίᾳ τὸν καιρόν, οὐκ ἠγνόει δήπου δὲ Ἀγησίλαος, ἑτέραν ἀμεμπτοτέραν ἐπανόρθωσιν οὖσαν ἀνδρὸς ἐνδόξου καὶ φιλοτίμου πλημμελοῦντος. ἀλλ᾽ ἔοικε τῷ αὐτῷ πάθει, μήτε ἐκεῖνος ἄρχοντος ἐξουσίαν γινώσκειν, μήτε οὗτος ἄγνοιαν ἐνεγκεῖν συνήθους. ἐπεὶ δὲ Τισαφέρνης ἐν ἀρχῇ μὲν φοβηθεὶς τὸν Ἀγησίλαον ἐποιήσατο σπονδάς, ὡς τὰς πόλεις αὐτῷ τὰς Ἑλληνικὰς ἀφήσοντος αὐτονόμους βασιλέως. ὕστερον δὲ πεισθεὶς ἔχειν δύναμιν ἱκανὴν ἐξήνεγκε τὸν πόλεμον, ἀσμένως ὁ Ἀγησίλαος ἐδέξατο. προσδοκία γὰρ ἦν μεγάλη τῆς στρατείας καὶ δεινὸν ἡγεῖτο, τοὺς μὲν σὺν Ξενοφῶντι μυρίους ἥκειν ἐπὶ θάλατταν. ὁσάκις ἐβουλήθησαν αὐτοὶ τοσαυτάκις βασιλέα νενικηκότας. αὐτοῦ δὲ Λακεδαιμονίων ἄρχοντος, κρατούντων γῆς καὶ θαλάσσης, μηδὲν ἔργον ἄξιον μνήμης φανῆναι πρὸς τοὺς Ἕλληνας. εὐθὺς οὖν ἀμυνόμενος ἀπάτῃ δικαίᾳ τὴν Τισαφέρνους ἐπιορκίαν, ἐπέδειξεν ὡς ἐπὶ Καρίαν πράξων. ἐκεῖ δὲ τοῦ βαρβάρου τὴν δύναμιν συναθροίζοντος, ἄρας εἰς Φρυγίαν ἐνέβαλε. καὶ πόλεις μὲν εἷλε συχνάς, καὶ χρημάτων ἀφθόνων ἐκυρίευσεν, ἐπιδεικνύμενος τοῖς φίλοις. ὅτι τὸ μὲν σπεισάμενον ἀδικεῖν, τῶν θεῶν ἐστὶ καταφρονεῖν. ἐν δὲ τῷ παραλογίζεσθαι τοὺς πολεμίους, οὐ μόνον τὸ δίκαιον, ἀλλὰ καὶ δόξα πολλή, καὶ τὸ μεθ᾽ ἡδονῆς κερδαίνειν ἔνεστι. τοῖς δὲ ἱππεῦσιν ἐλαττωθείς, καὶ τῶν ἱερῶν ἀλόβων φανέντων, ἀναχωρήσας εἰς Ἔφεσον, ἱππικὸν συνῆγε, τοῖς ἀπόροις προειπὼν εἰ μὴ βούλονται στρατεύεσθαι, παρασχεῖν ἕκαστον ἵππον ἀνθ᾽ ἑαυτοῦ καὶ ἄνδρα. πολλοὶ δὲ ἦσαν οὗτοι, καὶ συνέβαινε τῷ Ἀγησιλάῳ ταχὺ πολλοὺς καὶ πολεμικοὺς ἔχειν ἱππεῖς ἀντὶ ψιλῶν ὁπλιτῶν. ἐμισθοῦντο γὰρ οἱ μὴ βουλόμενοι στρατεύεσθαι τοὺς βουλομένους στρατεύεσθαι. οἱ δὲ μὴ βουλόμενοι ἱππεύειν, τοὺς βουλομένους ἱππεύειν. καὶ γὰρ τὸν Ἀγαμέμνονα ποιῆσαι καλῶς, ὅτι θήλειαν ἵππον ἀγαθὴν λαβών, κακὸν ἄνδρα καὶ πλούσιον ἀπήλλαξε τῆς στρατείας. ἐπεὶ δὲ κελεύσαντος αὐτοῦ τοὺς αἰχμαλώτους ἀποδύοντες ἐπώλουν οἱ λαφυροπῶλαι, καὶ τῆς μὲν ἐσθῆτος ἦσαν ὠνηταὶ πολλοί. τῶν δὲ σωμάτων λευκῶν καὶ ἁπαλῶν παντάπασι διὰ τὰς σκιατροφίας γυμνουμένων κατεγέλων ὡς ἀχρήστων καὶ μηδενὸς ἀξίων, ἐπιστὰς ὁ Ἀγησίλαος, οὗτοι μὲν εἶπεν οἷς μάχεσθε. ταῦτα δὲ, ὑπὲρ ὧν μάχεσθε. καιροῦ δὲ ὄντος αὖθις ἐμβαλεῖν εἰς τὴν πολεμίαν, προεῖπεν εἰς Λυδίαν ἀπάξειν. οὐκέτι ψευδόμενος ἐνταῦθα τὸν Τισαφέρνην, ἀλλ᾽ ἐκεῖνος ἑαυτὸν ἐξηπάτησε, διὰ τὴν ἔμπροσθεν ἀπάτην ἀπιστῶν τῷ Ἀγησιλάῳ. καὶ νῦν οὖν αὐτὸν ἅψασθαι

ἐκεῖνος. π. η.

λ εἰ καὶ. ς.

καὶ π. η. ς.

εὐπόροις. ς. τ. η. π.

π

γοῦν π. ς.

τε ποιεῖν ὃ βούλοιτο. τοιοῦτο γὰρ ἦν τῶν ἐφόρων τότε καὶ τῶν γερόντων τὸ μέγιστον ἐν τῇ πολιτείᾳ κράτος. ὧν, οἱ μὲν ἐνιαυτὸν ἄρχουσι μόνον. οἱ δὲ γέροντες διαβίου ταύτην ἔχουσι τὴν τιμήν, ἐπὶ τῷ μὴ πάντα τοῖς βασιλεῦσιν ἐξεῖναι συνταχθέντες, ὡς ἐν τῷ περὶ λυκούργου γέγραπται. διὸ καὶ πατρικήν τινα πρὸς αὐτοὺς ἀπὸ τοῦ παλαιοῦ διετέλουν εὐθὺς οἱ βασιλεῖς φιλονεικίαν καὶ διαφορὰν παραλαμβάνοντες. ὁ δὲ ἀγησίλαος ἐπὶ τὴν ἐναντίαν ὁδὸν ἦλθε. καὶ τὸ πολεμεῖν καὶ προσκρούειν αὐτοῖς ἐάσας, ἐθεράπευε. πάσης μὲν ἀπ' ἐκείνων πράξεως ἀρχόμενος. εἰ δὲ κληθείη, θᾶττον ἢ βάδην ἐπειγόμενος. ὁσάκις δὲ τύχοι καθήμενος ἐν τῷ βασιλικῷ θώκῳ καὶ χρηματίζων, ἐπιοῦσι τοῖς ἐφόροις ὑπεξανίστατο. τῶν δὲ εἰς τὴν γερουσίαν ἀεὶ καταταττομένων ἑκάστῳ χλαῖναν ἔπεμπε καὶ βοῦν ἀριστεῖον. ἐκ δὲ τούτων, τιμᾶν δοκῶν καὶ μεγαλύνειν τὸ ἀξίωμα τῆς ἐκείνων ἀρχῆς, ἐλάνθανεν αὔξων τὴν ἑαυτοῦ δύναμιν καὶ τῇ βασιλείᾳ προστιθέμενος μέγεθος, ἐκ τῆς πρὸς αὐτὸν εὐνοίας συγχωρούμενον. ἐν δὲ ταῖς πρὸς τοὺς ἄλλους πολίτας ὁμιλίαις, ἐχθρὸς ἦν ἀμεμπτότερος ἢ φίλος. τοὺς μὲν γὰρ ἐχθροὺς, ἀδίκως οὐκ ἔβλαπτε. τοῖς δὲ φίλοις καὶ τὰ μὴ δίκαια συνέπραττε. καὶ τοὺς μὲν ἐχθροὺς, ᾐσχύνετο μὴ τιμᾶν κατορθοῦντας. τοὺς δὲ φίλους, οὐκ ἐδύνατο ψέγειν ἁμαρτάνοντας. ἀλλὰ καὶ βοηθῶν ἠγάλλετο, καὶ συνεξαμαρτάνων αὐτοῖς. οὐδὲν γὰρ ᾤετο τῶν φιλικῶν ὑπουργημάτων αἰσχρὸν εἶναι. τοῖς δ' αὖ διαφόροις καὶ πταίσασι πρῶτος συναχθόμενος, καὶ δεηθεῖσι συμπράττων προθύμως, ἐδημαγώγει καὶ προσήγετο πάντας. ὁρῶντες οὖν οἱ ἔφοροι ταῦτα, καὶ φοβούμενοι τὴν δύναμιν, ἐζημίωσαν αὐτόν. αἰτίαν ὑπειπόντες, ὅτι τοὺς κοινοὺς πολίτας, ἰδίους κτᾶται. καθάπερ γὰρ οἱ φυσικοὶ τὸ νεῖκος οἴονται καὶ τὴν ἔριν εἰ τῶν ὅλων ἐξαιρεθείη, στῆναι μὲν ἂν τὰ οὐράνια. παύσασθαι δὲ πάντων τὴν γένεσιν καὶ κίνησιν, ὑπὸ τῆς πρὸς ταῦτα πάντων ἁρμονίας. οὕτως ἔοικε ὁ λακωνικὸς νομοθέτης ὑπέκκαυμα τῆς ἀρετῆς ἐμβαλεῖν εἰς τὴν πολιτείαν τὸ φιλότιμον καὶ φιλόνεικον, ἀεί τινα τοῖς ἀγαθοῖς διαφορὰν καὶ ἅμιλλαν εἶναι πρὸς ἀλλήλους βουλόμενος. τὴν δὲ αὖθ' ὑπείκουσαν τῷ ἀνελέγκτῳ χάριν, ἀργὴν καὶ ἀναγώνιστον οὖσαν, οὐκ ὀρθῶς ὁμόνοιαν λέγεσθαι. τοῦτο δὲ ἀμέλει συνεωρακέναι καὶ τὸν ὅμηρον οἴονταί τινες. οὐ γὰρ τὸν ἀγαμέμνονα ποιῆσαι χαίροντα, τοῦ ὀδυσσέως καὶ τοῦ ἀχιλλέως εἰς λοιδορίαν προαχθέντων, ἐκπάγλοις ἐπέεσσιν, εἰ μὴ μέγα τοῖς κοινοῖς ἀγαθὸν ᾤετο εἶναι, τὸν πρὸς ἀλλήλους ζῆλον, καὶ τὴν διαφορὰν τῶν ἀρίστων. ταῦτα μὲν οὖν, οὐκ ἂν οὕτως τις ἁπλῶς συγχωρήσειεν. αἱ γὰρ ὑπερβολαὶ τῶν φιλονεικιῶν χαλεπαὶ ταῖς πόλεσι, καὶ μεγάλους κινδύνους ἔχουσι. τοῦ δὲ ἀγησιλάου τὴν βασιλείαν νεωστὶ παρειληφότος, ἀπήγγειλαν τινὲς ἐξ ἀσίας ἥκοντες, ὡς ὁ περσῶν βασιλεὺς παρασκευάζοιτο μεγάλῳ στόλῳ, λακεδαιμονίους ἐκβαλεῖν τῆς θαλάσσης. ὁ δὲ λύσανδρος ἐπιθυμῶν αὖθις εἰς ἀσίαν ἀποσταλῆναι καὶ βοηθῆσαι τοῖς φίλοις, οὓς αὐτὸς μὲν ἄρχοντας καὶ κυρίους τῶν πόλεων ἀπέλιπε, κακῶς δὲ χρώμενοι καὶ βιαίως τοῖς πράγμασιν ἐξέπιπτον ὑπὸ τῶν πολιτῶν καὶ ἀπέθνησκον, ἀνέπεισε τὸν ἀγησίλαον ἐπιθέσθαι τῇ στρατείᾳ, καὶ πολεμῆσαι τῆς ἑλλάδος ἀπωτάτω διαβάντα, καὶ φθάσαντα τὴν τοῦ βαρβάρου παρασκευήν. ἅμα δὲ τοῖς ἐν ἀσίᾳ φίλοις ἐπέστελλε πέμπειν εἰς λακεδαίμονα, καὶ στρατηγὸν ἀγησίλαον αἰτεῖσθαι. παρελθὼν οὖν εἰς τὸ πλῆθος ἀγησίλαος, ἀνεδέξατο τὸν πόλεμον. εἰ δοῖεν αὐτῷ, τριάκοντα μὲν ἡγεμόνας καὶ συμβούλους σπαρτιάτας, νεοδαμώδεις δὲ λογάδας δισχιλίους. τὴν δὲ συμμαχικὴν εἰς ἑξακισχιλίους δύναμιν. συμπράττοντος δὲ τοῦ λυσάνδρου, πάντα προθύμως ἐψηφίσαντο. καὶ τὸν ἀγησίλαον ἐξέπεμπον εὐθὺς ἔχοντα τοὺς λ' σπαρτιάτας, ὧν ὁ λύσανδρος ἦν εὐθὺς πρῶτος. οὐ διὰ τὴν ἑαυτοῦ δόξαν καὶ δύναμιν μόνον, ἀλλὰ καὶ διὰ τὴν ἀγησιλάου φιλίαν, ᾧ μεῖζον ἐδόκει τῆς βασιλείας διαπεπρᾶχθαι ἀγαθὸν, τὴν στρατηγίαν ἐκείνην. ἀθροιζομένης δὲ τῆς δυνάμεως εἰς γεραιστόν, αὐτὸς εἰς αὐλίδα κατελθὼν μετὰ τῶν φίλων καὶ νυκτερεύσας, ἔδοξε κατὰ τοὺς ὕπνους εἰπεῖν τινα πρὸς αὐτὸν, ὦ βασιλεῦ λακεδαιμονίων. ὅτι μὲν οὐδεὶς τῆς ἑλλάδος ὁμοῦ συμπάσης ἀπεδείχθη στρατηγὸς, ἢ πρότερον ἀγαμέμνων. καὶ σὺ νῦν μετ' ἐκεῖνον, ἐννοεῖς δήπουθεν. ἐπεὶ δὲ τῶν αὐτῶν ἄρχεις ἐκείνῳ. τοῖς δὲ αὐτοῖς πολεμεῖς. ἀπὸ δὲ τῶν αὐτῶν τόπων ὁρμᾷς ἐπὶ τὸν πόλεμον, εἰκὸς ἐστὶ καὶ θῦσαι τῇ θεῷ θυσίαν ἣν ἐκεῖνος ἐνταῦθα θύσας ἐξέπλευσεν. ἅμα δέ πως ὑπῆλθε τὸν ἀγησίλαον, ὁ τῆς κόρης σφαγιασμὸς ἣν ὁ πατὴρ ἔσφαξε πεισθεὶς τοῖς μάντεσιν. οὐ μὴν δὲ ἐτάραξεν αὐτὸν, ἀλλ' ἀναστὰς καὶ διηγησάμενος τοῖς φίλοις τὰ φανέντα. τὴν μὲν θεὸν ἔφη τιμήσειν, οἷς εἰκὸς ἐστὶ χαίρειν θεὸν οὖσαν. οὐ μιμήσεσθαι δὲ τὴν ἀμαθίαν τοῦ τότε στρατηγοῦ. καὶ καταστέψας ἔλαφον, ἐκέλευσεν ἀπάρξασθαι τὸν ἑαυτοῦ μάντιν, οὐχ ὥσπερ εἰώθει τοῦτο ποιεῖν, ὁ ὑπὸ τῶν βοιωτῶν τεταγμένος. ἀκούσαντες οὖν οἱ βοιωτάρχαι, πρὸς ὀργὴν κινηθέντες, ἔπεμψαν ὑπηρέτας ἀπαγορεύοντες τῷ ἀγησιλάῳ μὴ θύειν παρὰ τοὺς νόμους καὶ τὰ πάτρια βοιωτῶν. οἱ δὲ καὶ ταῦτα ἀπήγγειλαν, καὶ τὰ μηρία διέρριψαν ἀπὸ τοῦ βωμοῦ. χαλεπῶς οὖν ἔχων ὁ ἀγησίλαος ἀπέπλει τοῖς τε θηβαίοις διωργισμένος, καὶ γεγονὼς δύσελπις διὰ τὸν οἰωνὸν, ὡς ἀτελῶν αὐτῷ τῶν πράξεων γενησομένων, καὶ τῆς στρατείας ἐπὶ τὸ προσῆκον οὐκ ἀφιξομένης. ἐπεὶ δὲ ἧκεν εἰς ἔφεσον, εὐθὺς ἀξίωμα μέγα καὶ δύναμις ἦν ἐπαχθὴς καὶ βαρεῖα περὶ τὸν λύσανδρον, ὄχλου φοιτῶντος περὶ τὰς θύρας ἑκάστοτε. καὶ πάντων παρακολουθούντων καὶ θεραπευόντων ἐκεῖνον, ὡς ὄνομα

ἀρχίδαμος ὁ ζευξιδάμου βασιλεύσας ἐπιφανῶς λακεδαιμονίων κατέλιπεν υἱὸν ἐκ γυναικὸς εὐδοκίμου λαμπιδοῦς ἆγιν. καὶ πολὺ νεώτερον ἐξ εὐπωλίας τῆς μελισιππίδα θυγατρὸς ἀγησίλαον. ἐπεὶ δὲ τῆς βασιλείας ἄγιδι προσηκούσης κατὰ τὸν νόμον, ἰδιώτης ἐδόκει βιώσεσθαι ἀγησίλαος. ἤχθη τὴν λεγομένην ἀγωγὴν ἐν λακεδαίμονι, σκληρὰν μὲν οὖσαν τῇ διαίτῃ καὶ πολύπονον, παιδεύουσαν δὲ τοὺς νέους ἄρχεσθαι. διὸ καὶ φασὶν ὑπὸ τοῦ σιμωνίδου τὴν σπάρτην προσηγορεῦσθαι δαμασίμβροτον. ὡς μάλιστα διὰ τῶν ἐθῶν τοὺς πολίτας τοῖς νόμοις πειθηνίους καὶ χειροήθεις ποιοῦσαν, ὥσπερ ἵππους εὐθὺς ἐξ ἀρχῆς δαμαζομένους. ταύτης ἀφίησιν ὁ νόμος τῆς ἀνάγκης τοὺς ἐπὶ βασιλείᾳ τρεφομένους παῖδας. ἀγησιλάῳ δὲ καὶ τοῦτο ὑπῆρξεν ἴδιον. ἐλθεῖν ἐπὶ τὸ ἄρχειν μὴ ἀπαίδευτον τοῦ ἄρχεσθαι. διὸ καὶ πολὺ τῶν βασιλέων εὐαρμοστότατον αὑτὸν τοῖς ὑπηκόοις παρέσχε. τῷ φύσει ἡγεμονικῷ καὶ βασιλικῷ προσκτησάμενος ἀπὸ τῆς ἀγωγῆς τὸ δημοτικὸν καὶ φιλάνθρωπον. ἐν δὲ ταῖς καλουμέναις ἀγέλαις τῶν συντρεφομένων παίδων, λύσανδρον ἔσχεν ἐραστὴν, ἐκπλαγέντα μάλιστα τῷ κοσμίῳ τῆς φύσεως αὐτοῦ. φιλονεικότατος γὰρ ὢν καὶ θυμοειδέστατος ἐν τοῖς νέοις, καὶ πάντα πρωτεύειν βουλόμενος, καὶ τὸ σφοδρὸν ἔχον καὶ ῥαγδαῖον ἄμαχον καὶ δυσεκβίαστον, εὐπειθείᾳ πάλιν αὖ καὶ πρᾳότητι τοιοῦτος ἦν, οἷος φόβῳ μηδὲν, αἰσχύνῃ δὲ πάντα ποιεῖν τὰ προστασσόμενα, καὶ τοῖς ψόγοις ἀλγύνεσθαι μᾶλλον, ἢ τοὺς πόνους βαρύνεσθαι. τήν τε τοῦ σκέλους πήρωσιν, ἥ τε ὥρα τοῦ σώματος ἀνθοῦντος ἀπέκρυπτε. καὶ τὸ ῥᾳδίως φέρειν καὶ ἱλαρῶς τὸ τοιοῦτο, παίζοντα καὶ σκώπτοντα πρῶτον ἑαυτὸν, οὐ μικρὸν ἦν ἐπανόρθωμα τοῦ πάθους. ἀλλὰ καὶ τὴν φιλοτιμίαν ἐνδηλοτέραν ἐποίει, πρὸς μηδένα πόνον μηδὲ πρᾶξιν ἀπαγορεύοντος αὐτοῦ διὰ τὴν χωλότητα. τῆς δὲ μορφῆς εἰκόνα μὲν οὐκ ἔχομεν. αὐτὸς γὰρ οὐκ ἠθέλησεν. ἀλλὰ καὶ ἀποθνήσκων ἀπεῖπε, μήτε πλαστὰν, μήτε μιμηλὰν τινὰ ποιήσασθαι τοῦ σώματος εἰκόνα. λέγεται δὲ, μικρός τε γενέσθαι, καὶ τὴν ὄψιν εὐκαταφρόνητος. ἡ δὲ ἱλαρότης καὶ τὸ εὔθυμον, ἐν ἅπαντι καιρῷ καὶ παιγνιῶδες, ἀχθεινὸν δὲ καὶ τραχὺ μηδέποτε, μήτε φωνῇ μήτε ὄψει, τῶν καλῶν καὶ ὡραίων ἐρασμιώτερον αὐτὸν, ἄχρι γήρως παρέχων. ὡς δὲ θεόφραστος ἱστορεῖ, τὸν ἀρχίδαμον ἐζημίωσαν οἱ ἔφοροι, γήμαντα γυναῖκα μικράν. οὐ γὰρ βασιλεῖς ἔφασαν ἁμῖν, ἀλλὰ βασιλείδια γεννάσει. βασιλεύοντος δὲ ἄγιδος, ἧκεν ἐκ σικελίας ἀλκιβιάδης φυγὰς εἰς λακεδαίμονα. καὶ χρόνον οὔπω πολὺν ἐν τῇ πόλει διάγων, αἰτίαν ἔσχε τῇ γυναικὶ τοῦ βασιλέως τιμαίᾳ συνεῖναι, καὶ τὸ γεννηθὲν ἐξ αὐτῆς παιδάριον οὐκ ἔφη γνώσκειν ὁ ἆγις, ἀλλ' ἐξ ἀλκιβιάδου γεγονέναι. τοῦτο δὲ οὐ πάνυ δυσκόλως τὴν τιμαίαν ἐνεγκεῖν φησὶ δοῦρις, ἀλλὰ καὶ ψιθυρίζουσαν οἴκοι πρὸς τὰς εἱλωτίδας ἀλκιβιάδην τὸ παιδίον, οὐ λεωτυχίδην καλεῖν. καὶ μέντοι καὶ τὸν ἀλκιβιάδην αὐτὸν, οὐ πρὸς ὕβριν τιμαίᾳ φάναι πλησιάζειν, ἀλλὰ φιλοτιμούμενον βασιλεύεσθαι σπαρτιάτας, ὑπὸ τῶν ἐξ ἑαυτοῦ γεγονότων. διὰ ταῦτα μὲν τῆς λακεδαίμονος ἀλκιβιάδης ὑπεξῆλθε φοβηθεὶς τὸν ἆγιν. ὁ δὲ παῖς τὸν μὲν ἄλλον χρόνον, ὕποπτος ἦν τῷ ἄγιδι. καὶ γνησίου τιμὴν οὐκ εἶχε παρ' αὐτῷ. νοσοῦντι δὲ προσπεσὼν καὶ δακρύων, ἔπεισεν υἱὸν ἀποφῆναι πολλῶν ἐναντίον. οὐ μὴν, ἀλλὰ τελευτήσαντος τοῦ ἄγιδος, ὁ λύσανδρος ἤδη κατανεναυμαχηκὼς ἀθηναίους, καὶ μέγιστον ἐν σπάρτῃ δυνάμενος, τὸν ἀγησίλαον ἐπὶ τὴν βασιλείαν προῆγεν, ὡς οὐ προσήκουσαν, ὄντι νόθῳ τῷ λεωτυχίδῃ. πολλοὶ δὲ καὶ τῶν ἄλλων πολιτῶν τὴν ἀρετὴν τοῦ ἀγησιλάου, καὶ τὸ συντετράφθαι καὶ μετεσχηκέναι τῆς ἀγωγῆς, ἐφιλοτιμοῦντο καὶ συνέπραττον αὐτῷ προθύμως. ἦν δὲ διοπείθης ἀνὴρ χρησμολόγος ἐν σπάρτῃ, μαντειῶν τε παλαιῶν ὑπόπλεως, καὶ δοκῶν περὶ τὰ θεῖα σοφὸς εἶναι καὶ περιττός. οὗτος οὐκ ἔφη θεμιτὸν εἶναι χωλὸν γενέσθαι τῆς λακεδαίμονος βασιλέα. καὶ χρησμὸν ἐν τῇ δίκῃ τοιοῦτον ἀνεγίνωσκε.

» φράζεο δὴ σπάρτη καίπερ μεγάλαυχος ἐοῦσα. μὴ σέθεν ἀρτίποδος βλάστῃ χωλὴ βασιλεία. δηρὸν γὰρ νοῦσοί σε κατασχήσουσιν ἄελπτοι. φθισιμβρότου τ' ἐπὶ κῦμα κυλινδόμενον πολέμοιο.

πρὸς ταῦτα λύσανδρος ἔλεγεν, ὡς εἰ πάνυ φοβοῖντο τὸν χρησμὸν οἱ σπαρτιᾶται, φυλακτέον αὐτοῖς εἴη τὸν λεωτυχίδην. οὐ γὰρ εἰ προσπταίσας τις τὸν πόδα βασιλεύοι τῷ θεῷ διαφέρειν. ἀλλ' εἰ μὴ γνήσιος ὢν μηδὲ ἡρακλείδης, τοῦτο τὴν χωλὴν εἶναι βασιλείαν. ὁ δὲ ἀγησίλαος ἔφη καὶ τὸν ποσειδῶνα καταμαρτυρεῖν τοῦ λεωτυχίδου τὴν νοθείαν, ἐκβαλόντα σεισμῷ τοῦ θαλάμου τὸν ἆγιν. ἀπ' ἐκείνου δὲ πλέον ἢ δέκα μηνῶν διελθόντων, γενέσθαι τὸν λεωτυχίδην. οὕτω δὲ καὶ διὰ ταῦτα βασιλεὺς ἀποδειχθεὶς ὁ ἀγησίλαος, εὐθὺς εἶχε καὶ τὰ χρήματα τοῦ ἄγιδος, ὡς νόθον ἀπελάσας τὸν λεωτυχίδην. ὁρῶν δὲ τοὺς ἀπὸ μητρὸς οἰκείους, ἐπιεικεῖς μὲν ὄντας, ἰσχυρῶς δὲ πενομένους, ἀπένειμεν αὐτοῖς τὰ ἡμίσεα τῶν χρημάτων. εὔνοιαν ἑαυτῷ καὶ δόξαν ἀντὶ φθόνου καὶ δυσμενείας ἐπὶ τὴν κληρονομίαν κατασκευαζόμενος. ὡς δέ φησιν ὁ ξενοφῶν, ὅτι τῇ πατρίδι πειθόμενος ἴσχυε πλεῖστον. ὡς

τοῦ δὲ συμμείναντας ὁ περπέννας ἀναλαβὼν, ἐπεχείρει τι πράττειν. χρησάμενος δὲ ταῖς σερτωρίου
παρασκευαῖς ὅσον ἀσχημονῆσαι καὶ φανερὸς γενέσθαι, μήτε ἄρχειν, μήτε ἄρχεσθαι πεφυκὼς, πομ-
πηΐῳ προσέβαλε, καὶ ταχὺ συντριβεὶς ὑπ' αὐτοῦ, καὶ γενόμενος αἰχμάλωτος. οὐδὲ τὴν ἐσχάτην ὑ-
πέμεινε συμφορὰν ἡγεμονικῶς, ἀλλὰ τῶν σερτωρίου γραμμάτων κύριος γεγονὼς, ὑπισχνεῖτο πομ-
πηΐῳ, δείξειν ὑπατικῶν ἀνδρῶν, καὶ μέγιστον ἐν ῥώμῃ δυναμένων, αὐτογράφους ἐπιστολὰς, καλούν-
των σερτώριον εἰς ἰταλίαν. ὡς πολλῶν ποθούντων τὰ παρόντα κινῆσαι, καὶ μεταβαλεῖν τὴν πολι-
τείαν. ἔργον οὖν ὁ πομπήϊος, οὐ νέας φρενὸς, ἀλλ' εὖ μάλα βεβηκυίας, καὶ κατηρτυμένης ἐργασάμε-
νος, μεγάλων ἀπήλλαξε τὴν ῥώμην φόβων καὶ νεωτερισμῶν. τὰς μὲν γὰρ ἐπιστολὰς ἐκείνας,
καὶ τὰ γράμματα τοῦ σερτωρίου συναγαγὼν, ἅπαντα κατέκαυσεν, οὔτε ἀναγνοὺς, οὔτ'
ἐάσας ἕτερον. αὐτὸν δὲ τὸν περπένναν, κατὰ τάχος ἀνεῖλε. φοβηθεὶς, μὴ
τῶν ὀνομάτων ἐξενεχθέντων πρός τινας, ἀποστάσεις καὶ ταραχαὶ γένων-
ται. τῶν δὲ τῷ περπέννᾳ συνομωμοσμένων, οἱ μὲν ἤδη πομπηΐῳ
ἀναχθέντες διεφθάρησαν. οἱ δὲ φεύγοντες εἰς λιβύην, ὑπὸ
μαυρουσίων κατηκοντίσθησαν. διέφυγε δ' οὐδεὶς, πλὴν
αὐφίδιος ὁ τοῦ μαλλίου ἀντεραστής. οὗτος δὲ, ἢ
λαθὼν, ἢ παραμεληθεὶς ἔν τινι βαρ-
βάρῳ κώμῃ, πενόμενος καὶ μι-
σούμενος κατεγήρασεν.

σπενδόμενος δὲ, πρὸς σύλλαν ἀφῆκε, ταύτην, οὐκ ἔφη περιόψεσθαι πάλιν ὑπ' ἐκείνῳ γενομένην. δεῖν γὰρ αὔξεσθαι τὴν πόλιν ὑπ' αὐτοῦ κρατοῦντος, οὐκ ἐλαττώσει τῶν ἐκείνης κρατεῖν αὐτόν. γενναίῳ γὰρ ἀνδρὶ μετὰ τοῦ καλοῦ νικᾶν αἱρετόν. αἰσχρῶς δὲ οὐδὲ σώζεσθαι. Ταῦτα ἀπαγγελθέντα μιθριδάτης, διὰ θάμβους ἐποιεῖτο. καὶ λέγεται μὲν εἰπεῖν πρὸς τοὺς φίλους. τί δῆτα προστάξει σερτώριος ἐν παλατίῳ καθεζόμενος, εἰ νῦν εἰς τὴν ἀτλαντικὴν ἐξεωσμένος θάλασσαν, ὅρους ἡμῶν τῇ βασιλείᾳ τίθησι. καὶ πειρωμένοις ἀσίας, ἀπειλεῖ πόλεμον. οὐ μὴν, ἀλλὰ γίνονταί γε συνθῆκαι καὶ ὅρκοι, καππαδοκίαν καὶ βιθυνίαν, ἔχειν μιθριδάτην, σερτωρίου στρατηγὸν αὐτῷ καὶ στρατιώτας πέμποντος. σερτώριον δὲ παρὰ μιθριδάτου λαβεῖν τρισχίλια τάλαντα, καὶ τεσσαράκοντα ναῦς. πέμπεται δὲ καὶ στρατηγὸς εἰς ἀσίαν ὑπὸ σερτωρίου τῶν ἀπὸ βουλῆς πεφευγότων πρὸς αὐτὸν, μάρκος μάριος. ᾧ συνεξελὼν τινὰς πόλεις τῶν ἀσιάδων ὁ μιθριδάτης εἰσελαύνοντι, μετὰ ῥάβδων καὶ πελέκεων αὐτὸς ἐφείπετο, δευτέραν τάξιν καὶ σχῆμα θεραπεύοντος ἑκουσίως ἀνειληφώς. ὁ δὲ, τὰς μὲν ἠλευθέρου. ταῖς δὲ, ἀτέλειαν γράφων χάριτι σερτωρίου κατήγγελλεν. ὥστε τὴν ἀσίαν αὖθις ὀχλουμένην μὲν ὑπὸ τῶν τελωνῶν. βαρυνομένην δὲ ταῖς πλεονεξίαις καὶ ὑπερηφανίαις τῶν ἐπισκήνων, ἀναπτοηθῆναι πρὸς τὴν ἐλπίδα, καὶ ποθεῖν τὴν προσδοκωμένην μεταβολὴν τῆς ἡγεμονίας. ἐν δ' ἰβηρίᾳ τῶν περὶ σερτώριον συγκλητικῶν καὶ ἰσοτίμων. ὡς πρῶτον εἰς ἀντίπαλον ἐλπίδα κατέστησαν, ἐπανέντος τοῦ φόβου, φθόνος ἥπτετο καὶ ζῆλος ἀνόητος, τῆς ἐκείνου δυνάμεως. ἦγε δὲ περπέννας δι' εὐγένειαν ἐπαιρόμενος φρονήματι κενῷ, πρὸς τὴν ἡγεμονίαν, καὶ λόγους μοχθηροὺς διεδίδου κρύφα τοῖς ἐπιτηδείοις. τίς ἄρα πονηρὸς ἡμᾶς ὑπολαβὼν ἐκ κακῶν, εἰς χείρονα φέρει δαίμων, οἳ σύλλᾳ μὲν ὁμοῦ τι συμπάσης ἄρχοντι γῆς καὶ θαλάττης, ποιεῖν τὸ προστασσόμενον οὐκ ἠξιοῦμεν, οἴκοι μένοντες. δεῦρο δὲ φθαρέντες, ὡς ἐλεύθεροι βιωσόμενοι, δουλεύομεν ἑκουσίως, τὴν σερτωρίου δορυφοροῦντες φυγὴν, ὄνομα χλευαζόμενον, ὑπὸ τῶν ἀκουόντων σύγκλητος ὄντες. ὕβρεις δὲ καὶ προστάγματα καὶ πόνους, οὐκ ἐλάττονας ἰβήρων καὶ λυσιτανῶν ὑπομένοντες. τοιούτων ἀναπιμπλάμενοι λόγων οἱ πολλοί. φανερῶς μὲν, οὐκ ἀφίσταντο, δεδιότες αὐτοῦ τὴν δύναμιν. κρύφα δὲ τάς τε πράξεις ἐλυμαίνοντο, καὶ τοὺς βαρβάρους ἐκάκουν κολάζοντες πικρῶς, καὶ δασμολογοῦντες, ὡς σερτωρίου κελεύοντος. ἐξ ὧν ἀποστάσεις ἐγίνοντο, καὶ ταραχαὶ περὶ τὰς πόλεις. οἱ δὲ πεμπόμενοι ταῦτα θεραπεύειν, καὶ ἀποπραΰνειν, ἐπανήρχοντο πλείονας ἐξειργασμένοι πολέμους, καὶ τὰς ὑπαρχούσας, ηὐξηκότες ἀπειθείας. ὥστε τὸν σερτώριον, ἐκ τῆς πρόσθεν ἐπιεικείας καὶ πραότητος μεταβαλόντα, περὶ τοὺς ἐν ὄσκῃ τρεφομένους παρανομῆσαι παῖδας τῶν ἰβήρων. τοὺς μὲν, ἀνελόντα. τοὺς δὲ, ἀποδόμενον. Ὁ δ' οὖν περπέννας. πλείονας συνωμότας ἔχων πρὸς τὴν ἐπίθεσιν, προσάγεται καὶ μάλλιον ἕνα τῶν ἐφ' ἡγεμονίας. οὗτος ἐρῶν τινὸς τῶν ἐν ὥρᾳ μειρακίων, καὶ φιλοφρονούμενος πρὸς αὐτὸ, φράζει τὴν ἐπιβουλὴν, κελεύων ἀμελήσαντα τῶν ἄλλων ἐραστῶν, αὐτῷ μόνῳ προσέχειν, ὡς ἐντὸς ἡμερῶν ὀλίγων μεγάλῳ γενησομένῳ. τὸ δὲ μειράκιον, ἑτέρῳ τινὶ τῶν ἐραστῶν αὐφιδίῳ μᾶλλον προσπεπονθὸς, ἐκφέρει τὸν λόγον. ἀκούσας δὲ ὁ αὐφίδιος, ἐξεπλάγη. καὶ γὰρ αὐτὸς μετεῖχε τῆς ἐπὶ σερτώριον συνωμοσίας. οὐ μέντοι τὸν μάλλιον ἐγίνωσκε μετέχοντα.

Περπένναν δὲ καὶ γραικῖνον καί τινας ἄλλους, ὧν αὐτὸς ᾔδει συνωμοτῶν ὀνομάζοντος τοῦ μειρακίου, διαταραχθεὶς, πρὸς ἐκεῖνον μὲν, ἐξεφλαύριζε τὸν λόγον. καὶ παρεκάλει τοῦ μαλλίου καταφρονεῖν, ὡς κενοῦ καὶ ἀλαζόνος. αὐτὸς δὲ πρὸς τὸν περπένναν πορευθεὶς, καὶ φράσας τὴν ὀξύτητα τοῦ καιροῦ καὶ τὸν κίνδυνον, ἐκέλευσεν ἐπιχειρεῖν. οἱ δὲ, ἐπείθοντο, καὶ παρασκευάσαντες ἄνθρωπον γράμματα κομίζοντα τῷ σερτωρίῳ προσήγαγον. ἐδήλου δὲ τὰ γράμματα, νίκην τινὸς τῶν ὑπ' αὐτῷ στρατηγῶν, καὶ φόνον πολὺν τῶν πολεμίων. ἐφ' οἷς τοῦ σερτωρίου περιχαροῦς ὄντος, καὶ θύοντος εὐαγγέλια. περπέννας, ἑστίασιν αὐτῷ, καὶ τοῖς παροῦσι φίλοις. οὗτοι δὲ ἦσαν ἐκ τῆς συνωμοσίας, ἐπηγγέλλετο. καὶ πολλὰ λιπαρήσας, ἔπεισεν ἐλθεῖν. ἀεὶ μὲν οὖν τὰ μετὰ σερτωρίου δεῖπνα πολλὴν εἶχεν αἰδῶ καὶ κόσμον, οὔτε ὁρᾶν τι τῶν αἰσχρῶν, οὔτε ἀκούειν ὑπομένοντος. ἀλλὰ καὶ τοὺς συνόντας εὐτάκτοις καὶ ἀνυβρίστοις παιδιαῖς χρῆσθαι καὶ φιλοφροσύναις ἐθίζοντος. τότε δὲ τοῦ πότου μεσοῦντος, ἀρχὴν ἁψιμαχίας ζητοῦντες, ἀναφανδὸν ἀκολάστοις ἐχρῶντο ῥήμασι. καὶ πολλὰ προσποιούμενοι μεθύειν, ἠσέλγαινον, ὡς παροξυνοῦντες ἐκεῖνον. ὁ δὲ, εἴτε δυσχεραίνων τὴν ἀκοσμίαν, εἴτε τὴν διάνοιαν αὐτῶν τῇ βραδυτῆτι τῆς λαλιᾶς, καὶ τῇ παρὰ τὸ εἰωθὸς ὀλιγωρίᾳ συμφρονήσας, μετέβαλε τὸ σχῆμα τῆς κλίσεως ὕπτιον ἀνεὶς ἑαυτὸν, ὡς οὐδὲ προσέχων οὔτε κατακούων. ἐπεὶ δὲ ὁ περπέννας φιάλην τινὰ λαβὼν ἀκράτου καὶ μεταξὺ πίνων, ἀφῆκεν ἐκ τῶν χειρῶν, καὶ ψόφον ἐποίησεν ὅπερ ἦν αὐτοῖς σύμβολον. ἀντώνιος ὑπερκατακείμενος παίει τῷ ξίφει τὸν σερτώριον. ἀναστρέψαντος δὲ πρὸς τὴν πληγὴν ἐκείνου καὶ συνεξανισταμένου περιπεσὼν εἰς τὸ στῆθος, κατέλαβε τὰς χεῖρας ἀμφοτέρας. ὥστε μηδὲ ἀμυνόμενον, πολλῶν παιόντων, ἀποθανεῖν. οἱ μὲν οὖν πλεῖστοι τῶν ἰβήρων εὐθὺς ᾤχοντο, καὶ παρέδωκαν ἑαυτοὺς ἐπιπρεσβευσάμενοι τοῖς περὶ πομπήιον καὶ μέτελλον.

καὶ τὸ χωρίον οὐ χαλεπῶς λήψεσθαι προσδοκῶντες, τούς τε φεύγοντας τῶν βαρβάρων προσίεντο, καὶ τῆς ἀθροιζομένης αὖθις τῷ σερτωρίῳ δυνάμεως ἠμέλησαν. ἠθροίζετο δὲ πέμψαντος ἡγεμόνας ἐπὶ τὰς πόλεις αὐτοῦ καὶ κελεύοντος, ὅταν ἤδη πολλοὺς ἔχωσιν ἄγγελον ἀποστεῖλαι πρὸς αὐτόν, ἐπεὶ δὲ ἀπέστειλαν, ῥᾳδίως οὐδενὶ πόνῳ διεκπαισάμενος τοὺς πολεμίους, συνέμιξε τοῖς ἑαυτοῦ, καὶ πάλιν ἐπῄει πολὺς γεγονὼς, καὶ περιέκοπτεν αὐτῶν, τὴν μὲν ἀπὸ τῆς γῆς εὐπορίαν, ἐνέδραις καὶ κυκλώσεσιν, καὶ τῷ πανταχόσε φοιτᾶν ὀξὺς ἐπιών. τὰ δ' ἐκ θαλάττης λῃστρικοῖς σκάφεσιν κατέχων τὴν παραλίαν. ὥστε ἠναγκάσθησαν οἱ στρατηγοὶ διαλυθέντες, ὁ μὲν, εἰς γαλατίαν ἀπελθεῖν. πομπήιος δὲ περὶ βακκαίους διαχειμάσαι μοχθηρῶς ὑπὸ ἀχρηματίας, γράφων πρὸς τὴν σύγκλητον, ὡς ἀπάξει τὸν στρατὸν εἰ μὴ πέμποιεν ἀργύριον αὐτῷ. καταναλωκέναι γὰρ ἤδη τὰ αὑτοῦ προπολεμῶν τῆς ἰταλίας. καὶ πολὺς ἦν οὗτος ἐν ῥώμῃ λόγος, ὡς πομπηΐου πρότερος εἰς ἰταλίαν ἀφίξοιτο σερτώριος. εἰς τοσοῦτον τοὺς πρώτους καὶ δυνατωτάτους τῶν τότε στρατηγῶν, ἡ σερτωρίου δεινότης κατέστησεν. ἐδήλωσεν δὲ καὶ μέτελλος ἐκπεπληγμένος τὸν ἄνδρα καὶ μέγαν ἡγούμενος, ἐπεκήρυξεν γάρ. εἴ τις αὐτὸν ἀνέλοι ῥωμαῖος, ἑκατὸν ἀργυρίου τάλαντα δώσειν, καὶ πλέθρα δισμύρια γῆς. εἰ δὲ φυγὰς κάθοδον εἰς ῥώμην, ὡς ἀπογνώσει φανερᾶς ἀμύνης, ὠνούμενος τὸν ἄνδρα διὰ προδοσίας. ἔτι δὲ νικήσας ποτὲ μάχῃ τὸν σερτώριον, οὕτως ἐπήρθη, καὶ τὴν εὐτυχίαν ἠγάπησεν, ὥστε αὐτοκράτωρ ἀναγορευθῆναι. θυσίαις δ' αὐτὸν αἱ πόλεις ἐπιφοιτῶντα, καὶ βωμοῖς ἐδέχοντο. λέγεται δὲ καὶ στεφάνων ἀναδέσεις προσίεσθαι, καὶ δείπνων σοβαρωτέρων, ὑποδοχὰς, ἐν οἷς ἐσθῆτα θριαμβικὴν ἔχων, ἔπινε. καὶ νῖκαι πεποιημέναι δι' ὀργάνων ἐπιδρόμων χρύσεα τρόπαια, καὶ στεφάνους διαφέρουσαι κατήγοντο. καὶ χοροὶ παίδων, καὶ γυναικῶν, ἐπινικίους ὕμνους ᾖδον εἰς αὐτόν. ἐφ' οἷς εἰκότως ἦν καταγέλαστος, εἰ δραπέτην σύλλα, καὶ λείψανον τῆς κάρβωνος φυγῆς ἀποκαλῶν τὸν σερτώριον, οὕτω κεχαύνωται, καὶ περιχαρὴς γέγονεν, ὑποχωρήσαντος αὐτοῦ περιγενόμενος. μεγαλοφροσύνης δὲ τοῦ σερτωρίου. πρῶτον μὲν τὸ τοὺς φεύγοντας ἀπὸ ῥώμης βουλευτὰς καὶ παρ' αὐτῷ διατρίβοντας, σύγκλητον ἀναγορεῦσαι. ταμίας τε καὶ στρατηγοὺς ἐξ ἐκείνων ἀποδεικνύναι. καὶ πάντα τοῖς πατρίοις νόμοις τὰ τοιαῦτα κοσμεῖν. ἔπειτα, τὸ χρώμενον ὅπλοις, καὶ χρήμασιν, καὶ πόλεσι ταῖς ἰβήρων, μὴ δ' ἄχρι λόγου τῆς ἄκρας ἐξουσίας ὑφίεσθαι πρὸς αὐτούς. ῥωμαίους δὲ καθιστάναι στρατηγοὺς καὶ ἄρχοντας αὐτῶν, ὡς ῥωμαίοις ἀνακτώμενον τὴν ἐλευθερίαν, οὐκ ἐκείνους αὔξοντα κατὰ ῥωμαίων. καὶ γὰρ ἦν ἀνὴρ φιλόπατρις, καὶ πολὺν ἔχων ἵμερον, τοῦ κατελθεῖν. ἀλλὰ δυσπραγῶν μὲν, ἠνδραγάθει. καὶ ταπεινὸν μὲν οὐδὲν ἔπραττεν πρὸς τοὺς πολεμίους ἐν δὲ ταῖς νίκαις, διέπεμπε πρὸς μέτελλον καὶ πρὸς πομπήϊον, ἕτοιμος ὢν τὰ ὅπλα καταθέσθαι, καὶ βιοῦν ἰδιώτης καθόδου τυχών. μᾶλλον γὰρ ἐθέλειν, ἀσημότατος ἐν ῥώμῃ πολίτης, ἢ φεύγων τὴν ἑαυτοῦ, πάντων ὁμοῦ τῶν ἄλλων αὐτοκράτωρ, ἀναγορεύεσθαι. λέγεται δὲ οὐχ ἥκιστα τῆς πατρίδος ἐπιθυμεῖν, διὰ τὴν μητέρα τραφεὶς ὀρφανὸς ὑπ' αὐτῇ, καὶ τὸ σύμπαν ἀνακείμενος ἐκείνῃ. καλούντων δὲ τῶν περὶ τὴν ἰβηρίαν φίλων αὐτὸν ἐφ' ἡγεμονία, πυθόμενος τὴν τελευτὴν τῆς μητρὸς ὀλίγον ἐδέησεν, ὑπὸ λύπης προέσθαι τὸν βίον. ἑπτὰ γὰρ ἡμέρας, οὔτε σύνθημα δοὺς, οὔτε ὀφθείς τινι τῶν φίλων, ἔκειτο. καὶ μόλις οἱ συστράτηγοι καὶ ὁμότιμοι, τὴν σκηνὴν περιστάντες ἠνάγκασαν αὐτὸν προελθόντα, τοῖς στρατιώταις ἐντυχεῖν. καὶ τῶν πραγμάτων εὖ φερομένων, ἀντιλαμβάνεσθαι. διὸ καὶ πολλοῖς ἔδοξεν, ἥμερος ἀνὴρ φύσει γεγονὼς, καὶ πρὸς ἡσυχίαν ἔχων ἐπιεικῶς, δι' αἰτίας παρὰ γνώμην ταῖς στρατηγικαῖς ἀρχαῖς χρῆσθαι, καὶ μὴ τυγχάνων ἀδείας, ἀλλὰ συνελαυνόμενος ὑπὸ τῶν ἐχθρῶν εἰς τὰ ὅπλα, φρουρὰν ἀναγκαίαν τοῦ σώματος περιβάλλεσθαι τὸν πόλεμον. ἦν δὲ καὶ τὰ πρὸς μιθριδάτην αὐτοῦ πολιτεύματα μεγαλοφροσύνης. ἐπεὶ γὰρ ἐκ τοῦ κατὰ σύλλαν σφάλματος ὁ μιθριδάτης, ὥσπερ εἰς πάλαισμα δεύτερον ἀνιστάμενος αὖθις, ἐπεχείρησεν τῇ ἀσίᾳ. μέγα δὲ ἤδη τὸ σερτωρίου κλέος ἐφοίτα πανταχόσε. καὶ τῶν περὶ αὐτοῦ λόγων, ὥσπερ φορτίων ξενικῶν οἱ πλέοντες ἀπὸ τῆς ἑσπέρας, ἀναπεπλήκεσαν τὸν πόντον. ὥρμητο διαπρεσβεύεσθαι πρὸς αὐτὸν, ἐπηρμένος μάλιστα ταῖς τῶν κολάκων ἀλαζονείαις. οἱ τὸν μὲν σερτώριον, ἀννίβᾳ, τὸν δὲ μιθριδάτην, πύρρῳ παρεικάζοντες, οὐκ ἂν ἔφασαν ῥωμαίους. πρὸς τηλικαύτας ὁμοῦ φύσεις τε καὶ δυνάμεις, ἐπιχειρουμένους διχόθεν ἀντισχεῖν, τοῦ δεινοτάτου στρατηγοῦ, τῷ μεγίστῳ τῶν βασιλέων προσγενομένου. πέμπει δὴ πρέσβεις ὁ μιθριδάτης εἰς ἰβηρίαν, γράμματα σερτωρίῳ, καὶ λόγους κομίζοντας. δι' ὧν αὐτὸς μὲν ἐπηγγέλλετο χρήματα, καὶ ναῦς παρέξειν εἰς τὸν πόλεμον. ὑπ' ἐκείνου δὲ ἠξίου τὴν ἀσίαν αὐτῷ βεβαιοῦσθαι πᾶσαν, ἧς ὑπεχώρησε ῥωμαίοις κατὰ τὰς πρὸς σύλλαν γενομένας συνθήκας. ἀθροίσαντος δὲ σερτωρίου βουλὴν, ἣν σύγκλητον ὠνόμαζεν, καὶ τῶν ἄλλων δέχεσθαι τὰς προκλήσεις, καὶ ἀγαπᾶν κελευόντων. ὄνομα γὰρ καὶ γράμμα κενὸν αἰτουμένους περὶ τῶν οὐκ ὄντων ἐπ' αὐτοῖς, ἀντὶ τούτων λαμβάνειν ὧν μάλιστα δεόμενοι τυγχάνουσιν. οὐκ ἠνέσχετο ὁ σερτώριος, ἀλλὰ βιθυνίαν μὲν ἔφη, καὶ καππαδοκίαν λαμβάνοντι, μιθριδάτῃ μὴ φθονεῖν ἔθνη βασιλευόμενα, καὶ μηδὲν προσήκοντα ῥωμαίοις. ἣν δὲ τῷ δικαιοτάτῳ τρόπῳ ῥωμαίων κεκτημένων ἐπαρχίαν, ἀφελόμενος καὶ κατασχὼν, πολεμῶν μὲν ἐξέπεσεν ὑπὸ φιμβρίου,

οὕτω γὰρ τὸν πομπήιον ἐπὶ σκώπτων προσηγόρευεν, αὐτὸς ἔφη διδάξειν, ὅτι δεῖ τὸν στρατηγὸν κατόπιν μᾶλλον, ἢ κατὰ πρόσωπον βλέπειν. ταῦτα δὲ λέγων ἅμα τοῖς πολιορκουμένοις ἐπεδείκνυεν, ἑξακισχιλίους ὁπλίτας ὑπ' αὐτοῦ καταλελειμμένους, ἐπὶ τοῦ προτέρου χάρακος, ὅθεν ὁρμηθέντες κατειλήφει τὸν λόφον. ὅπως ἐπὶ σφᾶς τρεπομένῳ τῷ πομπηίῳ κατὰ νώτου προσπέσοιεν. ὃ δὴ καὶ πομπήιος ὀψὲ μάλα συμφρονήσας, ἐπιχειρεῖν μὲν οὐκ ἐθάρρει, κυκλωθῆναι δεδιώς. ἀπολιπεῖν δὲ ᾐσχύνετο κινδυνεύοντας ἀνθρώπους. παρὼν δὲ καὶ καθήμενος, ἠναγκάζετο ὁρᾶν ἀπολλυμένους. ἀπέγνωσαν γὰρ αὐτοὺς οἱ βάρβαροι, καὶ τῷ σερτωρίῳ παρέδωκαν. ὁ δὲ, τῶν μὲν σωμάτων ἐφείσατο, καὶ πάντας ἀφῆκεν. τὴν δὲ πόλιν κατέπρησεν, οὐχ ὑπ' ὀργῆς οὐδ' ὠμότητος. ἐλάχιστα γὰρ δοκεῖ θυμῷ χαρίσασθαι τῶν στρατηγῶν οὗτος ἀνήρ, ἀλλ' ἐπ' αἰσχύνῃ καὶ κατηφείᾳ τῶν τεθαυμακότων πομπήιον. ἵνα ᾖ λόγος ἐν τοῖς βαρβάροις, ὅτι παρὼν ἐγγὺς καὶ μόνον οὐ θερμαινόμενος τῷ πυρὶ τῶν συμμάχων οὐ προσήμυνεν. ἧτται μὲν οὖν τῷ σερτωρίῳ πλείονες συνέβαινον, αὐτὸν μὲν ἀήττητον ἀεὶ φυλάττοντι καὶ τοὺς καθ' αὐτόν, θραυομένῳ δὲ περὶ τοὺς ἄλλους ἡγεμόνας. ἐκ δὲ ὧν ἐπηνωρθοῦτο τὰς ἥττας, μᾶλλον ἐθαυμάζετο, νικώντων τῶν ἀντιστρατήγων. οἷον ἐν τῇ περὶ σούκρωνι μάχῃ πρὸς πομπήιον, καὶ πάλιν ἐν τῇ περὶ τουττίαν πρός τε τοῦτον ὁμοῦ καὶ μέτελλον. ἡ μὲν οὖν περὶ σούκρωνι μάχη, λέγεται γενέσθαι τοῦ πομπηίου κατεπείξαντος, ὡς μὴ μετάσχοι τῆς νίκης μέτελλος. ὁ δὲ σερτώριος, ἐβούλετο μὲν τῷ πομπηίῳ πρὶν ἐπελθεῖν τὸν μέτελλον, διαγωνίσασθαι. παραγαγὼν δὲ ἑσπέρας ἤδη, συνέβαλεν. οἰόμενος ξένοις οὖσι καὶ ἀπείροις τῶν χωρίων τοῖς πολεμίοις, τὸ σκότος ἔσεσθαι, καὶ φεύγουσιν ἐμπόδιον, καὶ διώκουσι. γενομένης δὲ τῆς μάχης ἐν χερσίν, ἔτυχε μὲν οὐ πρὸς πομπήιον αὐτὸς, ἀλλὰ πρὸς ἀφράνιον ἐν ἀρχῇ συνεστηκώς, ἔχοντα τὸ ἀριστερόν, αὐτὸς ἐπὶ τοῦ δεξιοῦ τεταγμένος. ἀκούσας δὲ τῷ πομπηίῳ τοὺς συνεστῶτας ὑποχωρεῖν ἐγκειμένῳ καὶ κρατεῖσθαι, τὸ μὲν δεξιὸν ἐπ' ἄλλοις ἐποιήσατο στρατηγοῖς, πρὸς δὲ ἐκεῖνο τὸ νικώμενον αὐτὸς ἐβοηδρόμει. καὶ τοὺς μὲν ἤδη φευγομένους, τοὺς δὲ ἔτι μένοντας ἐν τάξει συναγαγὼν καὶ ἀναθαρρύνας, ἐξ ὑπαρχῆς ἐνέβαλε τῷ πομπηίῳ διώκοντι, καὶ φυγὴν ἐποιήσατο πολλήν. ὅτε καὶ πομπήιος ἐγγὺς ἐλθὼν ἀποθανεῖν, καὶ τραυματισθεὶς, παραλόγως διέφυγεν. οἱ γὰρ μετὰ σερτωρίου λίβυες, ὡς ἔλαβον αὐτοῦ τὸν ἵππον χρυσῷ κεκοσμημένον, καὶ φαλάρων ἀνάπλεων πολυτελῶν, ἐν τῷ διανέμεσθαι καὶ διαφέρεσθαι πρὸς ἀλλήλους, προήκαντο τὴν δίωξιν. ἀφράνιος δὲ τοὺς ἀνθεστῶτας πρὸς αὐτὸν ἅμα τῷ σερτώριον ἀπελθεῖν ἐπὶ θάτερα βοηθοῦντα, τρεψάμενος εἰς τὸ στρατόπεδον κατήραξε, καὶ συνεισπεσὼν, ἐπόρθει σκότους ἤδη ὄντος. μήτε τὴν πομπηίου φυγὴν εἰδώς, μήτε τοὺς στρατιώτας τῆς ἁρπαγῆς ἐπισχεῖν δυνάμενος. ἐν τούτῳ δὲ σερτώριος ἀνέστρεψε τὸ καθ' αὐτὸν νενικηκώς, καὶ τοῖς ἀφρανίου δι' ἀταξίαν ταραττομένοις ἐπιπεσὼν, πολλοὺς διέφθειρε. πρωῒ δὲ αὖθις ἐξοπλισθεὶς, ἐπὶ μάχην κατέβαινεν. εἶτα, μέτελλον αἰσθόμενος ἐγγὺς εἶναι, λύσας τὴν τάξιν, ἀνέζευξεν εἰπών. ἀλλ' ἔγωγε τὸν παῖδα τοῦτον, εἰ μὴ παρῆν ἡ γραῦς ἐκείνη, πληγαῖς ἂν νουθετήσας, εἰς ῥώμην ἀπεστάλκειν. ἠθύμει δὲ δεινῶς διὰ τὸ μηδαμοῦ φανερὰν τὴν ἔλαφον ἐκείνην εἶναι. μηχανῆς γὰρ ἐπὶ τοὺς βαρβάρους ἐστέρητο θαυμαστῆς, τότε δὴ μάλιστα παραμυθίας δεομένους. εἶτα μέντοι, νυκτὸς ἄλλως πλανώμενοί τινες, ἐπιτυγχάνουσιν αὐτῇ. καὶ γνωρίσαντες ἀπὸ τῆς χρόας, λαμβάνουσιν. ἀκούσας δὲ ὁ σερτώριος, ἐκείνοις μὲν ὡμολόγησεν, εἰ μηδενὶ φράσωσι, χρήματα πολλὰ δώσειν. ἀποκρύψας δὲ τὴν ἔλαφον, καὶ διαλιπὼν ὀλίγας ἡμέρας, προῆλθε μάλα φαιδρὸς ἀπ' ὄψεως ἐπὶ τὸ βῆμα, διηγούμενος τοῖς ἡγεμόσι τῶν βαρβάρων, ὡς ἀγαθόν τι μέγα τοῦ θεοῦ προμηνύοντος αὐτῷ κατὰ τοὺς ὕπνους. εἶτα ἀναβὰς ἐπὶ τὸ βῆμα, τοῖς ἐντυγχάνουσιν ἐχρημάτιζεν.

Ἡ δὲ ἔλαφος ὑπὸ τῶν φυλαττόντων αὐτὴν ἐγγὺς ἀφεθεῖσα, καὶ κατιδοῦσα τὸν σερτώριον, ἐχώρει δρόμῳ περιχαρὴς πρὸς τὸ βῆμα, καὶ παραστᾶσα τὴν κεφαλὴν ἐπέθηκε τοῖς γόνασιν αὐτοῦ, καὶ τῷ στόματι τῆς δεξιᾶς ἔψαυεν, εἰθισμένη καὶ πρότερον τοῦτο ποιεῖν. ἀντιφιλοφρονουμένου δὲ τοῦ σερτωρίου πιθανῶς, καί τι καὶ δακρύσαντος, ἔκπληξις εἶχε τοὺς παρόντας τὸ πρῶτον. εἶτα, κρότῳ καὶ βοῇ τὸν σερτώριον ὡς δαιμόνιον ἄνδρα καὶ θεοῖς φίλον, οἴκαδε προπέμψαντες, ἐν εὐθυμίαις καὶ χρησταῖς ἐλπίσιν ἦσαν.

Ἐν δὲ τοῖς τῶν σεγουντίνων πεδίοις, εἰς τὰς ἐσχάτας ἀπορίας κατακεκλεικὼς πολεμίους, ἠναγκάσθη συμβαλεῖν αὐτοῖς καταβαίνουσιν ἐφ' ἁρπαγὴν καὶ σιτολογίαν. ἠγωνίσθη δὲ λαμπρῶς παρ' ἀμφοτέρων, καὶ μέμμιος μὲν, ὁ τῶν ὑπὸ πομπηίῳ στρατηγῶν ἡγεμονικώτατος, ἐν τῷ καρτερωτάτῳ τῆς μάχης ἔπεσεν. ἐκράτει δὲ σερτώριος, καὶ φόνῳ πολλῷ τῶν ἔτι συνεστώτων, ἐωθεῖτο πρὸς αὐτὸν μέτελλον. ὁ δὲ παρ' ἡλικίαν ὑποστὰς καὶ περιφανῶς ἀγωνιζόμενος, παίεται δόρατι. τοῦτο τοὺς μὲν ἰδόντας τῶν ῥωμαίων, τοὺς δὲ ἀκούσαντας, αἰδὼς ἔσχεν ἐγκαταλιπεῖν τὸν ἡγεμόνα, καὶ θυμὸς ἅμα πρὸς τοὺς πολεμίους παρέστη. προθέμενοι τοὺς θυρεοὺς, καὶ συνεξενεγκόντες ἐρρωμένως, ἐξωθοῦσι τοὺς ἴβηρας. καὶ γενομένης οὕτω παλιντρόπου τῆς νίκης, ὁ σερτώριος ἐκείνοις τε φυγὰς ἀδεεῖς μηχανώμενος, καὶ τεχνάζων ἑτέραν αὐτῷ δύναμιν συνελθεῖν ἐφ' ἡσυχίας, εἰς πόλιν ὀρεινὴν καὶ καρτερὰν ἀναφυγὼν, ἐφράγνυε τὰ τείχη, καὶ τὰς πύλας ὠχύρου, πάντα μᾶλλον ἢ πολιορκίαν ὑπομένειν διανοούμενος, ἀλλ' ἐξηπάτα τοὺς πολεμίους. ἐκείνῳ γὰρ προσκαθεζόμενοι,

μίαν ἀφελεῖν μεθ' ἡμέρας ὀλίγας πάνδημον ἐκκλησίαν ἀθροίσας, ἵππους εἰσήγαγε δύο, τὸν μὲν ἀσθε-
νῆ τελέως καὶ πρεσβύτερον ἤδη. τὸν δὲ ἕτερον, εὐμεγέθη μὲν αὐτὸν καὶ ἰσχυρὸν, θαυμαστὴν δὲ πυκνό-
τητι καὶ κάλλει τριχῶν οὐρὰν ἔχοντα. παρειστήκει δὲ, τῷ μὲν ἀσθενεῖ, μέγας ἀνὴρ καὶ ῥωμαλέος. τῷ δὲ
ἰσχυρῷ μικρὸς ἕτερος. καὶ τὴν ὄψιν εὐκαταφρόνητος. σημείου δὲ δοθέντος αὐτοῖς. ὁ μὲν ἰσχυρὸς, ἀμφο-
τέραις ταῖς χερσὶν, τοῦ ἵππου τὴν κέρκον ὡς ἀπορρήξων, εἷλκε βίᾳ πρὸς αὑτόν. ὁ δὲ ἀσθενὴς τοῦ ἰσχυροῦ
ἐπεὶ κατὰ μίαν τῶν τριχῶν ἐξέτιλλεν. ἐπεὶ δὲ ὁ μὲν οὐκ ὀλίγα πράγματα μάτην ἑαυτῷ καὶ πολὺν γέλω-
τα τοῖς θεωμένοις παρασχὼν, ἀπεῖπεν. ὁ δὲ ἀσθενὴς, ἀκαρεῖ καὶ σὺν οὐδενὶ πόνῳ, ψιλὴν τριχῶν ἀπέδει-
ξε τὴν οὐράν, ἀναστὰς ὁ σερτώριος ὁρᾶτε εἶπεν ἄνδρες σύμμαχοι τὴν ἐπιμονὴν ἀνυσιμωτέραν τῆς
βίας οὖσαν. καὶ πολλὰ τῶν ἀθρόως ἀλήπτων, ἐνδιδόντα τῷ κατὰ μικρόν. ἄμαχον γὰρ τὸ ἐνδελεχὲς,
ᾧ πᾶσαν ἐπιὼν ὁ χρόνος, αἱρεῖ, καὶ κατεργάζεται δύναμιν, εὐμενὴς ὢν σύμμαχος τοῖς δεχομένοις λο-
γισμῷ τὸν καιρὸν αὐτοῦ. τοῖς δὲ ἀκαίρως ἐπειγομένοις, πολεμιώτατος. Τοιαῦτα μὲν ὁ σερτώριος
ἑκάστοτε πλέκων παραμύθια τοῖς βαρβάροις, διεπαιδαγώγει τὸν καιρόν. οὐδενὸς δὲ ἧττον αὐτοῦ τῶν
ἔργων πολεμικῶν ἔργον ἐθαυμάσθη, τὸ περὶ τοὺς λεγομένους χαρακιτανούς. εἰσὶ δὲ δῆμος ὑπὲρ τὸν ταγώ-
νιον ποταμὸν, οὐκ ἄστεσιν οὐδὲ κώμαις ἐνοικοῦντες. ἀλλὰ λόφος ἐστὶν εὐμεγέθης καὶ ὑψηλὸς, ἄντρα καὶ
κοιλώματα πετρῶν βλέποντα πρὸς βορέαν περιέχων. ἡ δ' ὑποκειμένη πᾶσα χώρα, πηλὸν ἀργιλ-
λώδη, καὶ γῆν ὑπὸ χαυνότητος εὔθρυπτον ἀναδίδωσιν. οὔτε τοὺς ἐπιβαίνοντας ἀνέχεσθαι καρτερὰν,
καὶ μικρὸν ἁψαμένων ὥσπερ ἄσβεστον ἢ τέφραν ἐπὶ πολὺ διαχεομένην. τῶν οὖν βαρβάρων ὁσάκις
συναγαγόν φόβῳ πολέμου καταδύντες εἰς τὰ σπήλαια, καὶ τὴν λείαν εἴσω συναγαγόντες, ἀτρεμοῖεν ὄντων ἀ-
λήπτων ὑπὸ βίας. τὸν δὲ σερτώριον. τότε διακεκριμένον ἀπὸ τοῦ μετέλλου, καὶ καταστρατοπεδεύ-
σαντα παρὰ τὸν λόφον ὑπερφρονούντων ὡς κεκρατημένον. εἴτε ὑπ' ὀργῆς ἐκεῖνος. εἴτε τὸ μὴ δοκεῖν
φεύγειν βουλόμενος, ἅμ' ἡμέρᾳ προσελάσας, κατεσκέπτετο τὸν τόπον. οὐδαμόθεν δὲ προσβολὴν ἔ-
χοντος, ἄλλως δ' ἀλύων, καὶ κεναῖς χρώμενος ἀπειλαῖς, ὁρᾷ τῆς γῆς ἐκείνης κονιορτὸν ἄνω πολὺν ὑπὸ
πνεύματος ἐπ' αὐτοὺς φερόμενον. τέτραπται μὲν γὰρ ὡς ἔφην τὰ σπήλαια, πρὸς βορέαν. ὁ δὲ ἀπὸ τῆς
ἄρκτου ῥέων ἄνεμος, ὃν καικίαν ἔνιοι καλοῦσιν, ἐπέχει μάλιστα καὶ πλεῖστός ἐστι τῶν ἐκεῖ πνευμάτων,
ἐξ ὑγρῶν πεδίων καὶ νιφοβόλων συμφυσώμενος ὀρῶν. τότε δὲ καὶ θέρους ἀκμάζοντος ἰσχύων καὶ τρε-
φόμενος τῇ τῶν ὑπαρκτίων ἀνέσει πάγων, ἥδιστος ἐπέπνει, καὶ κατεῖχεν αὐτούς τε καὶ βοτὰ δι' ἡμέ-
ρας ἀναψύχων. Ταῦτα δὴ συλλογιζόμενος ὁ σερτώριος, καὶ παρὰ τῶν ἐγχωρίων ἀκούων, ἐκέλευ-
σε τοὺς στρατιώτας, τῆς ἀραιᾶς καὶ τεφρώδους γῆς ἐκείνης ἀποσπῶντας καὶ παραφέροντας κατ' ἀν-
τικρὺ τοῦ λόφου θῖνα ποιεῖν. ἣν οἱ βάρβαροι χώματος ἐπ' αὐτοὺς εἶναι κατασκευὴν ὑπονοοῦντες,
ἐχλεύαζον. τότε μὲν οὖν ἐργαζομένους τοὺς στρατιώτας ἄχρι νυκτὸς ἀπήγαγεν, ἅμα δὲ ἡμέρᾳ, πρῶτον
μὲν, αὔρα μαλακὴ προσέπνει, διακινοῦσα τῆς συμπεφορημένης γῆς τὸ λεπτότατον, ὥσπερ ἄχνην σκι-
δναμένην, ἔπειτα, σοβαροῦ τοῦ καικίου πρὸς τὸν ἥλιον ἐκχεομένου, καὶ τῶν λόφων κονιωμένων, ἐπι-
αὖλον | τῆς στάντες οἱ στρατιῶται, τόν τε χοῦν ἀνέτρεπον διὰ βάθους, καὶ τὸν πηλὸν ἔκοπτον. ἔνιοι δὲ καὶ τοὺς ἵππους
ἄνω καὶ κάτω διεξήλασαν. ἀνιστάντες τὸ χαύνωμα, καὶ τῇ πνοῇ μετέωρον παραδιδόντες. ἡ δὲ, ὑπο-
λαμβάνουσα πᾶν τὸ θρυπτόμενον καὶ κινούμενον ἄνω, προσέβαλλε τοῖς οἰκήμασι τῶν βαρβάρων,
κατὰ θύρας δεχομένοις τὸν καικίαν. Οἱ δὲ ἅτε δὴ τῶν σπηλαίων μίαν ἐκείνην ἀναπνοὴν ἐχόντων,
ᾗ τὸ πνεῦμα προσέπιπτεν, ταχὺ μὲν ἀπεσκοτοῦντο τὰς ὄψεις. ταχὺ δ' ἀνεπίμπλαντο πνιγώδους ἄ-
συμπεφορημένον ἡ στ. σθματος, τραχὺν ἀέρα καὶ πολλῇ κόνει συμπεφυρμένον ἕλκοντες. ὅθεν ἡμέρας δύο μόλις ἀνασχόμενοι,
τῇ τρίτῃ παρέδωκαν ἑαυτοὺς, οὐ τοσοῦτον σερτωρίῳ δυνάμεως, ὅσον δόξης προσθέντες. ὡς τὰ δι'
ὅπλων ἀνάλωτα, σοφίᾳ κατεργασαμένῳ. μέχρι μὲν οὖν τοῖς περὶ μέτελλον ἐπολέμει, τὰ πλεῖστα
κατευτυχεῖν ἐδόκει γῆρας καὶ φυσικῇ βραδυτῆτι τοῦ μετέλλου πρὸς ἄνδρα τολμητὴν, καὶ λῃστρικῆς
μᾶλλον ἢ στρατιωτικῆς ἡγούμενον δυνάμεως, οὐκ ἀναφέροντος. ἐπεὶ δὲ, καὶ πομπηΐῳ τὴν πυρήνην ὑ-
περβάλλοντι παραστρατοπεδεύσας, καὶ πᾶσαν ἅμα μὲν διδοὺς, ἅμα δὲ λαμβάνων στρατηγικῶν πα-
λαισμάτων πεῖραν, ἀντιτεχνώμενός τε καὶ φυλαττόμενος πλέον εἶχε, κομιδῆ διεβοήθη μέχρι ῥώ-
μης. ὡς δεινότατος ὢν πόλεμον μεταχειρίσασθαι τῶν τότε στρατηγῶν. οὐ γάρ τι μικρὸν ἦν τὸ πομ-
πηΐου κλέος, ἀλλ' ἤνθει τότε μάλιστα πρὸς δόξαν ἐκ τῶν περὶ σύλλαν ἀνδραγαθημάτων. ἐφ' οἷς καὶ μά-
γνος ὑπ' αὐτοῦ τουτέστι, μέγας ἐπωνομάσθη. τιμῶν τε θριαμβικῶν, οὔπω γενειῶν ἔτυχεν. ὅθεν καὶ πολ-
λαὶ τῶν ὑπὸ σερτωρίῳ πόλεων ἀποβλέψασαι πρὸς αὐτὸν, ὁρμὴν μεταβολῆς ἔσχον. εἶτα, ἐπαύσαν-
το τοῦ περὶ λαύρωνα πάθους παρὰ πᾶσαν ἐλπίδα συμβάντος. σερτωρίου γὰρ πολιορκοῦντος αὐ-
τοὺς, ἧκε πομπήϊος πανστρατιᾷ βοηθήσων, εἶτα, ὁ μὲν, λόφον εὖ δοκοῦντα πεφυκέναι κατὰ τῆς πό-
λεως προληψόμενος, ὁ δὲ τοῦτο κωλύσων, ἠπείγετο. τοῦ δὲ σερτωρίου φθάσαντος, ἐπιστήσας τὸν στρα-
τὸν ὁ πομπήϊος, ἔχαιρε τῇ συντυχίᾳ. νομίζων, ἐν μέσῳ τῆς πόλεως καὶ τῆς αὐτοῦ στρατιᾶς, ἀπειλῆ-
φθαι τὸν σερτώριον. καὶ πρὸς τοὺς λαυρωνίτας εἰσέπεμψε θαρρεῖν κελεύων καὶ καθῆσθαι περὶ τὰ
τείχη θεωμένους πολιορκούμενον σερτώριον. ἐκεῖνος δ' ἀκούσας, ἐγέλασε. καὶ τὸν σύλλα μαθητὴν,

εἴθιστο, καὶ φαύλοις ἀρκούμενος σιτίοις διαφορὰν. πλάναις δὲ χρώμενος ἀεὶ, καὶ κυνηγεσίοις, ὁπότε σχολάζοι πάσης διεκδύσεως φεύγοντι, καὶ διώκοντι κυκλώσεως ἀβάτων τε καὶ βασίμων τόπων ἐμπειρίαν προσειλήφει. διὸ τῷ μὲν εἰργομένῳ μάχης, ὅσα νικώμενοι πάσχουσιν ἄνθρωποι, βλάπτεσθαι συνέβαινεν. ὁ δὲ τῷ φεύγειν εἶχε τὰ τῶν διωκόντων. καὶ γὰρ ὑδρείας ἀπέκοπτε, καὶ σιτολογίας εἶργε. καὶ προϊόντι μὲν, ἐν ποδῶν ἦν. ἐκίνει δὲ ἱδρυνθέντα. πολιορκοῦντι δὲ ἄλλους ἐπιφαινόμενος, ἀντεπολιόρκει ταῖς τῶν ἀναγκαίων ἀπορίαις. ὥστε τοὺς στρατιώτας ἀπαγορεύειν, καὶ τοῦ σερτωρίου μονομαχῆσαι προκαλουμένου τὸν μέτελλον, βοᾶν καὶ κελεύειν, μάχεσθαι στρατηγὸν στρατηγῷ, καὶ ῥωμαῖον, ῥωμαίῳ. ἀναδυόμενον δὲ, χλευάζειν. ὁ δὲ τούτων μὲν εὖ ποιῶν, κατεγέλα. στρατηγοῦ γὰρ ὡς ἔφη θεόφραστος, δεῖ θάνατον ἀποθνήσκειν τὸν στρατηγὸν, οὐ πελταστοῦ τοῦ τυχόντος. ὁρῶν δὲ τοὺς λαγγοβρίτας, οὐ μικρὰ τῷ σερτωρίῳ συλλαμβανομένους, δίψῃ δὲ ὄντας εὐαλώτους. ἓν γὰρ ἦν αὐτοῖς φρέαρ ἐν τῇ πόλει. τῶν δ' ἐν τοῖς προαστείοις καὶ παρὰ τὰ τείχη ναμάτων, ὁ πολιορκῶν ἐπικρατεῖν ἔμελλεν, ἧκεν εὐθὺ τὴν πόλιν ὡς ἡμέραις δυσὶν συναιρήσων τὴν πολιορκίαν, ὕδατος οὐκ ὄντος. διὸ καὶ πέντε ἡμερῶν εὐθὺ φέρεσθαι σιτία μόνον προείρητο τοῖς στρατιώταις. ὁ σερτώριος δ' ὀξέως βοηθήσας, ἐκέλευσεν δισχιλίους ἀσκοὺς ὕδατος ἐμπλῆσαι, καθ' ἕκαστον ἀσκὸν, ἀργύριον συχνὸν τάξας. καὶ πολλῶν μὲν ἰβήρων, πολλῶν δὲ μαυρουσίων, ὑφισταμένων τὸ ἔργον, ἐπιλεξάμενος ἄνδρας εὐρώστους ἅμα καὶ ποδώκεις, ἔπεμψε διὰ τῆς ὀρεινῆς, κελεύσας, ὅταν παραδῶσι τοὺς ἀσκοὺς τοῖς ἐν τῇ πόλει, τὸν ἄχρηστον ὑπεξαγαγεῖν ὄχλον, ὅπως ἐξαρκῇ τοῖς ἀμυνομένοις τὸ ποτόν. ἐκπύστου δὲ τούτου γενομένου πρὸς τὸν μέτελλον, ἤχθετο μὲν ἤδη, τὰ ἐπιτήδεια τῶν στρατιωτῶν ὑπαναλωκότων, ἐξέπεμψε δὲ ἐπὶ σιτολογίαν ἀκυῖνον ἑξακισχιλίων ἡγούμενον. αἰσθόμενος δὲ ὁ σερτώριος καὶ προλοχίσας τὴν ὁδὸν, ἐπανερχομένῳ τῷ ἀκυΐνῳ, τρισχιλίους ἄνδρας, ἔκ τινος συσκίου χαράδρας ἐπανίστησιν. αὐτὸς δὲ, κατὰ στόμα προσβαλὼν τρέπεται, καὶ τοὺς μὲν, διαφθείρει, τοὺς δὲ λαμβάνει ζῶντας. ἀκυῖνον δὲ μετὰ τῶν ὅπλων καὶ τὸν ἵππον ἀποβεβληκότα δεξάμενος μέτελλος, αἰσχρῶς ἀπῆλθε, πολλὰ χλευαζόμενος ὑπὸ τῶν ἰβήρων. ἔκ τε δὴ τούτων, θαυμαζόμενος ἠγαπᾶτο παρὰ τοῖς βαρβάροις ὁ σερτώριος. καὶ ὅτι ῥωμαϊκοῖς ὁπλισμοῖς καὶ τάξεσι καὶ συνθήμασιν, ἀφαιρῶν τὸ μανικὸν καὶ θηριῶδες αὐτῶν τῆς ἀλκῆς, ἀντὶ λῃστηρίου μεγάλου, στρατὸν ἐποιεῖτο τὴν δύναμιν. ἔτι δ' ἀργύρῳ χρώμενος ἀφειδῶς καὶ χρυσῷ, κράνη τε κατεκόσμει, καὶ θυρεοὺς αὐτῶν διεποίκιλλεν. καὶ χλαμύσιν ἀνθιναῖς, καὶ χιτῶσι χρῆσθαι διδάσκων, καὶ χορηγῶν εἰς ταῦτα καὶ συμφιλοκαλῶν, ἐδημαγώγει. μάλιστα δὲ, εἷλεν αὐτοὺς τὰ τῶν παίδων. τοὺς γὰρ εὐγενεστάτους ἀπὸ τῶν ἐθνῶν συναγαγὼν εἰς ὄσκαν πόλιν μεγάλην. διδασκάλους ἐπιστήσας ἑλληνικῶν τε καὶ ῥωμαϊκῶν μαθημάτων. ἔργῳ μὲν, ἐξωμηρεύσατο. λόγῳ δὲ, ἐπαίδευεν ὡς ἀνδράσι γενομένοις πολιτείας τε μεταδώσων καὶ ἀρχῆς. οἱ δὲ πατέρας ἥδοντο θαυμαστῶς, τοὺς παῖδας ἐν περιπορφύροις ὁρῶντες, μάλα κοσμίως φοιτῶντας εἰς τὰ διδασκαλεῖα. καὶ τὸν σερτώριον ὑπὲρ αὐτῶν μισθοὺς τελοῦντα, καὶ πολλάκις ἀποδείξεις λαμβάνοντα, καὶ γέρα τοῖς ἀξίοις νέμοντα, καὶ τὰ χρυσᾶ περιδέραια δωρούμενον. ἃ ῥωμαῖοι βούλλας καλοῦσιν. ἔθους δ' ὄντος ἰβηρικοῦ, τοὺς περὶ τὸν ἄρχοντα τεταγμένους συναποθνήσκειν αὐτῷ πεσόντι, καὶ τοῦτο τῶν ἐκεῖ βαρβάρων κατάσπεισιν ὀνομαζόντων. τοῖς μὲν ἄλλοις ἡγεμόσιν, ὀλίγοι τῶν ὑπασπιστῶν καὶ τῶν ἑταίρων. σερτωρίῳ δὲ, πολλαὶ μυριάδες ἀνθρώπων κατεσπεικότων, ἑαυτοὺς ἠκολούθουν. Λέγεται δὲ πρός τινι πόλει τροπῆς γενομένης, καὶ τῶν πολεμίων ἐπικειμένων, τοὺς ἴβηρας ἀμελήσαντας αὐτῶν, τὸν σερτώριον σώζειν. καὶ τοῖς ὤμοις ἐπαραμένους, ἄλλους πρὸ ἄλλων, ἀνακουφίσαι πρὸς τὰ τείχη. γενομένου δ' ἐν ἀσφαλεῖ τοῦ ἄρχοντος, οὕτω τρέπεσθαι πρὸς φυγὴν ἕκαστον αὐτῶν. οὐ μόνον δὲ τοῖς ἴβηρσιν ἦν ποθεινὸς, ἀλλὰ καὶ τοῖς ἐξ ἰταλίας στρατευομένοις. περπέννα γοῦν οὐέντωνος, ἀπὸ τῆς αὐτῆς σερτωρίῳ στάσεως, εἰς ἰβηρίαν παραγενομένου μετὰ χρημάτων πολλῶν, καὶ μεγάλης δυνάμεως. ἰδίᾳ δὲ καθ' ἑαυτὸν ἐγνωκότος πολεμεῖν πρὸς τὸν μέτελλον, ἐδυσχέραινον οἱ στρατιῶται, καὶ πολὺς ἦν τοῦ σερτωρίου λόγος ἐν τῷ στρατοπέδῳ. τὸν περπένναν ἀνιῶν, εὐγενείᾳ καὶ πλούτῳ τετυφωμένον. Οὐ μὴν, ἀλλ' ἐπεὶ πομπήϊος ἠγγέλθη τὴν πυρήνην ὑπερβάλλων, ἀναλαβόντες οἱ στρατιῶται τὰ ὅπλα, καὶ τὰ σημεῖα τῶν τάξεων ἀναρπάσαντες, κατεβόησαν τοῦ περπέννα, κελεύοντες ὡς τὸν σερτώριον ἄγειν αὐτούς. εἰ δὲ μὴ, καταλιπόντες ἐκεῖνον, ἠπείλουν αὐτοὶ βαδιεῖσθαι πρὸς ἄνδρα σώζεσθαι, καὶ σώζειν δυνάμενον. συγχωρήσας δὲ ὁ περπέννας, ἤγαγεν αὐτοὺς καὶ συνέμιξε τῷ σερτωρίῳ, πεντήκοντα καὶ τρεῖς ἔχων σπείρας. σερτωρίου δὲ τῶν ἐντὸς ἴβηρος αὐτῷ ποταμοῦ πάντων ὁμοῦ τι προστιθεμένων, πλήθει μὲν ἦν μέγας. ἐπέρρεον γὰρ ἀεὶ καὶ συνεφέροντο πανταχόθεν πρὸς αὐτὸν, ἀταξίᾳ δὲ βαρβαρικῇ καὶ θρασύτητι ταραττόμενος ἐπιχειρεῖν τοῖς πολεμίοις βοώντων, καὶ τὴν τριβὴν δυσανασχετούντων, ἐπειρᾶτο παραμυθεῖσθαι διὰ λόγων. ὡς δὲ ἑώρα χαλεπαίνοντας καὶ βιαζομένους ἀκαίρως, προήκατο καὶ περιεῖδε συμπλεκομένους τοῖς πολεμίοις. ἐν οἷς οὐ παντελῶς συντριβέντας, ἀλλὰ πληγὰς λαβόντας, ἤλπιζε πρὸς τὰ λοιπὰ κατηκόους μᾶλλον ἕξειν. ὧν δὲ εἴκαζε γενομένων, ἐπιβοηθήσας, ἀνέλαβέ τε φεύγοντας αὐτοὺς, καὶ κατέστησεν ἀσφαλῶς εἰς τὸ στρατόπεδον. βουλόμενος δὲ καὶ τὴν ἀθυ

ἐκποδὼν .ς.κ.τ.

πατέρες

ἐμφαίνοντες ἐφ' ἡγεμονίᾳ. πάντως μὲν ἄρχοντος ἀξίωμα μέγα καὶ ἐμπειρίαν ἔχοντος δεόμενοι πρὸς τὸν ἀπὸ ῥωμαίων φόβον. ἐκείνῳ δὲ πιστεύοντες αὐτοὺς μόνῳ, καὶ πυνθανόμενοι παρὰ τῶν συγγεγονότων τὸ ἦθος αὐτοῦ. λέγεται δὲ ὁ σερτώριος, οὔτε ὑφ' ἡδονῆς, οὔτε ὑπὸ δέους εὐάλωτος γενέσθαι. φύσει δὲ ἀνέκπληκτος ὢν παρὰ τὰ δεινά, καὶ μετρίως εὐτυχίαν ἐνεγκεῖν. καὶ πρὸς μὲν εὐθυμαχίαν, οὐδενὸς ἀτολμότερος τῶν καθ' ἑαυτὸν ἡγεμόνων. ὅσα δὲ κλωπείας ἐν πολέμοις ἔργα καὶ πλεονεξίας, περὶ τόπους ἐχυρούς, καὶ διαβάσεις, τάχους δεομένας ἀπάτης τε καὶ ψευδῶν, ἐνδέοντι, σοφιστὴς δεινότατος. ἐν δὲ ταῖς τιμαῖς τῶν ἀνδραγαθημάτων, δαψιλὴς φαινόμενος, περὶ τὰς τιμωρίας ἐμετρίαζε τῶν ἁμαρτημάτων. καίτοι δοκεῖ περὶ τὸν ἔσχατον αὐτοῦ βίον ὠμότητος καὶ βαρυθυμίας, τὸ περὶ τοὺς ὁμήρους πραχθὲν ἔργον, ἐπιδεῖξαι τὴν φύσιν οὐκ οὖσαν ἥμερον, ἀλλ' ἐπαμπεχομένην λογισμῷ, διὰ τὴν ἀνάγκην. ἐμοὶ δέ, ἀρετὴν μὲν εἰλικρινῆ, καὶ κατὰ λόγον συνεστῶσαν, οὐκ ἄν ποτε δοκεῖ τύχη τις ἐκστῆσαι πρὸς τοὐναντίον. ἄλλως δὲ προαιρέσεις καὶ φύσεις χρηστάς, ὑπὸ συμφορῶν μεγάλων παρ' ἀξίαν κακωθείσας, οὐκ ἀδύνατον τῷ δαίμονι συμμεταβαλεῖν τὸ ἦθος. ὃ καὶ σερτώριον οἶμαι παθεῖν, ἤδη τῆς τύχης αὐτὸν ἐπιλειπούσης, ἐκτραχυνόμενον ὑπὸ τῶν πραγμάτων, γενέσθαι πονηρὸν πρὸς τοὺς ἀδικοῦντας. οὐ μὴν ἀλλὰ τότε γε λυσιτανῶν καλούντων, ἀπῆρεν ἐκ λιβύης, καὶ τούτους συνέταττεν εὐθύς, αὐτοκράτωρ στρατηγός, καὶ τὴν ἐγγὺς ἰβηρίαν ὑπήκοον ἐποιεῖτο τῶν πλείστων ἑκουσίως προστιθεμένων. μάλιστα μὲν διὰ τὸ πρᾶον αὐτοῦ καὶ δραστήριον. ἔστι δὲ ἃ καὶ σοφιστικῶς αὐτὸς εἰς ἀπάτην καὶ κήλησιν ἐμηχανᾶτο. καὶ πρῶτόν γε πάντων, τὸ περὶ τὴν ἔλαφον. ἦν δὲ τοιόνδε.

σπάνος ἀνὴρ δημότης τῶν αὐτόθι χωρίοις βιούντων, ἐλάφῳ νεοτόκῳ φευγούσῃ κυνηγέτας ἐπιτυχών, αὐτῆς μὲν ἀπελείφθη, τὴν δὲ νεβρὸν ἐκπλαγεὶς τῇ καινότητι τῆς χρόας, λευκὴ γὰρ ἦν πᾶσα, λαμβάνει διώξας. κατὰ τύχην δέ, σερτωρίου τοῖς τόποις ἐναυλιζομένου, καὶ πᾶν ὅ τις ἐξ ἄγρας ἢ γεωργίας ἥκοι κομίζων δῶρον ἀσμένως δεχομένου καὶ φιλοφρόνως ἀμειβομένου τοὺς θεραπεύοντας, ἐγχειρίζει φέρων αὐτῷ τὴν νεβρόν. ὁ δὲ δεξάμενος, αὐτίκα μέν, ἥσθη μετρίως. χρόνῳ δὲ ποιησάμενος τιθασὸν οὕτω καὶ φιλάνθρωπον, ὥστε καὶ καλοῦντος ἀκούειν, καὶ βαδίζοντί που παρακολουθεῖν, ὄχλου τε καὶ θορύβου παντὸς ἀνέχεσθαι στρατιωτικοῦ, κατὰ μικρὸν ἐξεθείαζε φάσκων, ἀρτέμιδος δῶρον τὴν ἔλαφον εἶναι. καὶ πολλὰ τῶν ἀδήλων ἐπεφήμιζεν αὐτῷ δηλοῦν. γινώσκων, εὐάλωτον εἰς δεισιδαιμονίαν εἶναι φύσει τὸ βαρβαρικόν. ὁ δὲ καὶ προσετεχνᾶτο τοιάδε. γνοὺς γὰρ ἂν κρύφα τοὺς πολεμίους ἐμβεβληκότας ποι τῆς ὑπ' αὐτὸν χώρας, ἢ πόλιν ἀφιστάντας, προσεποιεῖτο τὴν ἔλαφον αὐτῷ κατὰ τοὺς ὕπνους διειλέχθαι, κελεύουσαν ἐν ἑτοίμῳ τὰς δυνάμεις ἔχειν. αὖθις δὲ νίκην τινὰ τῶν ἑαυτοῦ στρατηγῶν ἀκούσας, τὸν μὲν ἄγγελον ἔκρυπτε, τὴν δὲ ἔλαφον ἐστεφανωμένην ἐπ' εὐαγγελίοις προῆγεν, εὐθυμεῖσθαι παρακαλῶν, καὶ τοῖς θεοῖς θύειν, ὡς ἀγαθόν τι πευσομένους. οὕτω δὲ χειροήθεις ποιησάμενος αὐτούς, ἐχρῆτο πρὸς ἅπαντα μετριωτέροις, οὐχ ὑπ' ἀνδρὸς ἀλλοδαποῦ λογισμῶν, ἀλλ' ὑπὸ θεοῦ στρατηγεῖσθαι πειθομένους. ἅμα καὶ τῶν πραγμάτων ἐπιμαρτυρούντων τῷ παρὰ λόγον τὴν δύναμιν αὐξάνεσθαι. δισχιλίοις γὰρ ἑξακοσίοις οὓς ὠνόμαζε ῥωμαίους, συμμίκτοις δὲ ἑπτακοσίοις λιβύων, εἰς λυσιτανίαν αὐτῷ συνδιαβᾶσι, πελτασταῖς τετρακισχιλίους λυσιτανῶν καὶ ἱππεῖς ἑπτακοσίους προσλαβών, ἐπολέμει τέτρασι ῥωμαίων στρατηγοῖς, ὑφ' οἷς ἦσαν πεζῶν μὲν, δώδεκα μυριάδες. ἱππεῖς δέ, ἑξακισχίλιοι. τοξόται δέ, καὶ σφενδονῆται, δισχίλιοι. πόλεις δὲ ἀναρίθμητοι τὸ πλῆθος. αὐτός, εἴκοσι τὰς πάσας ἐν ἀρχῇ κεκτημένος. ἀλλ' ὅμως, ἀσθενὴς οὕτω καὶ μικρὸς ἀρξάμενος, οὐ μόνον ἐθνῶν ἐκράτησε μεγάλων. καὶ πόλεις εἷλε πολλάς. ἀλλὰ καὶ τῶν ἀντιστρατήγων κότταν μὲν ἐν τῷ περὶ τὴν μελλαρίαν πορθμῷ κατεναυμάχησέν που. φιδίαν δέ, τὸν ἄρχοντα τῆς βαιτικῆς περὶ τὸν βαῖτιν ἐτρέψατο, δισχιλίους ἀποκτείνας ῥωμαίων. δομίτιον δὲ καὶ λούσιον ἀνθύπατον ὄντα τῆς ἑτέρας ἰβηρίας, διὰ τοῦ ταμίου καταπολεμησάμενος. καὶ θωράνιον ἄλλον ἡγεμόνα τῶν ὑπὸ μετέλλου πεμφθέντων, μετὰ δυνάμεως ἀνεῖλεν. αὐτόν τε τὸν μέτελλον, ἄνδρα ῥωμαίων ἐν τοῖς τότε μέγιστον καὶ δοκιμώτατον, οὐκ ὀλίγοις σφάλμασι περιβαλών, εἰς τοσαύτην ἀχρείαν κατέστησεν, ὥστε λεύκιον μὲν λόλλιον ἐκ τῆς περὶ ναρβωνία γαλατίας, ἐλθεῖν αὐτῷ βοηθόν. πομπήιον δὲ μάγνον ἐκ ῥώμης κατὰ τάχος ἀποσταλῆναι, μετὰ δυνάμεως. οὐ γὰρ εἶχεν ὁ μέτελλος ὅτι χρήσαιτο προσπολεμῶν ἀνδρὶ τολμητῇ, πάσης ὑποφευγομένῳ φανερᾶς μάχης. πᾶσαν δὲ μεταβαλλομένῳ μεταβολήν. εὐσταλίᾳ καὶ κουφότητι τῆς ἰβηρικῆς στρατιᾶς. αὐτὸς ὀπλιτικῶν καὶ νομίμων ἀσκητὴς γεγονὼς ἀγώνων, καὶ στρατηγὸς ἐμβριθοῦς καὶ μονίμου φάλαγγος, ὤσασθαι μὲν εἰς χεῖρας ἐλθόντας πολεμίους, καὶ καταβαλεῖν ἄριστα γεγυμνασμένης, ὀρειβατεῖν δέ, καὶ συνηρτῆσθαι διώξεσι καὶ φυγαῖς ἀπαύστοις, ἀνθρώπων ὑπηνεμίων, καὶ λιμὸν ἀνέχεσθαι, καὶ δίαιταν ἄπυρον καὶ ἄσκηνον, ὥσπερ ἐκεῖνοι μὴ δυναμένης. ἔτι δὲ αὐτὸς μὲν ἤδη πρεσβύτερος ἦν. καί τι καὶ πρὸς ἀνειμένην ἤδη καὶ τρυφερὰν δίαιταν ἐκ πολλῶν ἀγώνων καὶ μεγάλων ἐνδεδωκώς. τῷ δὲ σερτωρίῳ συνειστήκει, πνεύματος ἀκμαίου γέμοντι, καὶ κατεσκευασμένον ἔχοντι θαυμασίως τὸ σῶμα, ῥώμῃ καὶ τάχει καὶ λιτότητι. μέθης μὲν γάρ, οὐδὲ ῥᾳθυμῶν ἥπτετο. πόνους δὲ μεγάλους καὶ μακρὰς ὁδοιπορίας, καὶ συνεχεῖς ἀγρυπνίας, ὀλίγοις

ὁπλιτικῶν

εἴθιστο, καὶ

μάλιστα πήγνυσθαι, πρῶτος αὐτὸς οὔπω κατασκευάσων. οὐ μὴν ἐπὶ τῇ τῶν βαρβάρων εὐνοίᾳ τὸ πᾶν ἐποιήσατο. ῥωμαίων δὲ τῶν αὐτόθι μετοικούντων, τοὺς ἐν ἡλικίᾳ καθοπλίσας, μηχανάς τε παντοδαπάς, καὶ ναυπηγίας τριηρῶν ὑποβαλλόμενος, διὰ χειρῶν εἶχε τὰς πόλεις. ἥμερος μὲν ὢν ἐν ταῖς εἰρηνικαῖς χρείαις, φοβερὸς δὲ τῇ παρασκευῇ κατὰ τῶν πολεμίων φαινόμενος. ὡς δὲ σύλλαν μὲν ἐπυνθάνετο τῆς ῥώμης κρατεῖν, ἔρρειν δὲ τὴν μαρίου καὶ κάρβωνος στάσιν, αὐτίκα προσδοκῶν στρατιὰν διαπολεμήσουσαν αὐτῷ μετὰ ἡγεμόνος ἀφίξεσθαι, φράγνυται τὰ πυρηναῖα ὄρη διὰ ἰουλίου σαλινάτορος, ἑξακισχιλίους ὁπλίτας ἔχοντος. καὶ μετ' οὐ πολύ, γάϊος ἄννιος ἐκπεμφθεὶς ὑπὸ σύλλα καὶ τὸν ἰούλιον ἀπρόσμαχον ὁρῶν, ἐν ἀπόρῳ καθῆστο παρὰ ταῖς ὑπωρείαις. καλπουρνίου δέ τινος ἐπίκλησιν λαναρίου, δολοφονήσαντος τὸν ἰούλιον, καὶ τῶν στρατιωτῶν, τὰ ἄκρα τῆς πυρήνης ἐκλιπόντων, ὑπερβαλὼν ἄννιος, ἐπῄει χειρὶ μεγάλῃ τοὺς ἐμποδὼν ἀνιστάς. σερτώριος δέ, οὐκ ὢν ἀξιόμαχος μετὰ τρισχιλίων εἰς καρχηδόνα τὴν νέαν καταφυγών, κἀκεῖθεν ἐπιβὰς τῶν νεῶν, καὶ διαπεράσας τὸ πέλαγος, λιβύῃ κατὰ τὴν μαυρουσίαν προσέσχεν. ἀφυλάκτοις δὲ τοῖς στρατιώταις ὑδρευομένοις, τῶν βαρβάρων ἐπιπεσόντων, συχνοὺς ἀποβαλών, αὖθις εἰς ἰβηρίαν ἀπέπλει, καὶ ταύτης μὲν, ἀποκρούεται, κιλισσῶν δὲ λῃστρίδων αὐτῷ προσγενομένων, πιτυούσῃ νήσῳ προσέβαλε καὶ ἀπέβη, τὴν παρ' ἀννίου φρουρὰν βιασάμενος. ἄννιος δὲ μετ' οὐ πολὺ παρῆν ναυσί τε πολλαῖς καὶ πεντακισχιλίοις ὁπλίταις. πρὸς ὃν ἐπεχείρησεν μὲν διαναυμαχεῖν, καίπερ ἐλαφροῖς καὶ πρὸς τάχος, οὐ πρὸς ἀλκὴν πεπηγμένοις σκάφεσι χρώμενος, ζεφύρῳ δὲ λαμπρῷ τοῦ πελάγους ἀνισταμένου, καὶ τὰ πολλὰ τῶν τοῦ σερτωρίου πλοίων ὑπὸ κουφότητος πλάγια ταῖς ῥαχίαις περιβάλλοντος, αὐτὸς ὀλίγαις ναυσὶ τῆς μὲν θαλάσσης, ὑπὸ τοῦ χειμῶνος εἰργόμενος, τῆς δὲ γῆς ὑπὸ τῶν πολεμίων, ἡμέρας δέκα σαλεύων πρὸς ἐναντίον κῦμα, καὶ κλύδωνα τραχύν, ἐπιπόνως διεκαρτέρησεν. ἐνδόντος δὲ τοῦ πνεύματος, φερόμενος νήσοις τισίν, ἐναυλίζεται σποράσιν ἀνύδροις. κἀκεῖθεν ἄρας καὶ διεκβαλὼν τὸν γαδειραῖον πορθμόν, ἐν δεξιᾷ τοῖς ἐκτὸς ἐπιβάλλει τῆς ἰβηρίας, μικρὸν ὑπὲρ τῶν τοῦ βαίτιος ἐκβολῶν. ὃς εἰς τὴν ἀτλαντικὴν ἐκφερόμενος θάλατταν, ὄνομα τῇ περὶ αὐτὸν ἰβηρίᾳ παρέσχεν. ἐνταῦθα ναῦταί τινες ἐντυγχάνουσιν αὐτῷ, νέον ἐκ τῶν ἀτλαντικῶν νήσων ἀναπεπλευκότες. αἳ δύο μέν εἰσι, λεπτῷ παντάπασι πορθμῷ διαιρούμεναι, μυρίους δ' ἀπέχουσαι λιβύης σταδίους, καὶ ὀνομάζονται μακάρων. ὄμβροις δὲ χρώμεναι μετρίοις σπανίως, τὰ δὲ πλεῖστα πνεύμασι μαλακοῖς καὶ δροσοβόλοις, οὐ μόνον ἀροῦν καὶ φυτεύειν παρέχουσιν ἀγαθὴν καὶ πίονα χώραν, ἀλλὰ καὶ καρπὸν αὐτοφυῆ φέρουσιν, ἀποχρῶντα πλήθει καὶ γλυκύτητι βόσκειν ἄνευ πόνων καὶ πραγματείας σχολάζοντα δῆμον. ἀὴρ δέ, ἄλυπος ὡρῶν τε κράσει, καὶ μεταβολῆς μετριότητι, κατέχει τὰς νήσους. οἱ μὲν γὰρ ἐνθένδε τῆς γῆς ἀποπνέοντες ἔξω βορέαι καὶ ἀπηλιῶται διὰ μῆκος ἐκπεσόντες εἰς τόπον ἀχανῆ, διασπείρονται, καὶ προαπολείπουσι. πελάγιοι δὲ περιρρέοντες ἀργέσται καὶ ζέφυροι, βληχροὺς μὲν ὑετούς, καὶ σποράδας ἐκ θαλάττης ἐπάγοντες. τὰ δὲ πολλά, νοτεραῖς αἰθρίαις ἐπιψύχοντες ἡσυχῇ τρέφουσιν. ὥστε μέχρι τῶν βαρβάρων, διῖχθαι πίστιν ἰσχυράν, αὐτόθι τὸ ἠλύσιον εἶναι πεδίον. καὶ τὴν τῶν εὐδαιμόνων οἴκησιν. ἣν ὅμηρος ὕμνησεν. ταῦθ' ὁ σερτώριος ἀκούσας ἔρωτα θαυμαστὸν ἔσχεν οἰκῆσαι τὰς νήσους καὶ ζῆν ἐν ἡσυχίᾳ τυραννίδος ἀπαλλαγεὶς καὶ πολέμων ἁπάντων. αἰσθόμενοι δὲ οἱ κίλικες, οὐδὲν εἰρήνης δεόμενοι καὶ σχολῆς, ἀλλὰ πλούτου καὶ λαφύρων, εἰς λιβύην ἀπέπλευσαν. ἄσκαλιν τὸν ἴφθα καταξόντες ἐπὶ τὴν μαυρουσίων βασιλείαν. οὐ μὴν ἀπέκαμεν ὁ σερτώριος, ἀλλὰ τοῖς πρὸς τὸν ἄσκαλιν διαπολεμοῦσιν, ἔγνω βοηθεῖν, ὡς οἱ σὺν αὐτῷ καινήν τινα λαβόντες ἐλπίδων ἀρχήν, καὶ πράξεων ἑτέρων ὑπόθεσιν μὴ διαλυθεῖεν ὑπὸ τῆς ἀπορίας. ἀσμένοις δὲ τοῖς μαυρουσίοις ἀφικόμενος. εἴχετο ἔργου. καὶ καταμαχεσάμενος τὸν ἄσκαλιν ἐπολιόρκει. σύλλα δὲ πακκιανὸν ἐκπέμψαντος βοηθῆσαι τοῖς περὶ τὸν ἄσκαλιν μετὰ δυνάμεως, συμβαλὼν ὁ σερτώριος, τὸν μὲν πακκιανὸν ἀπέκτεινε τὴν δὲ στρατιὰν κρατήσας προσηγάγετο, καὶ τὴν τιγγῖνιν εἰς ἣν ὁ ἄσκαλις συνέφυγε μετὰ τῶν ἀδελφῶν ἐξεπολιόρκησεν. ἐνταῦθα τὸν ἀνταῖον οἱ λίβυες ἱστοροῦσι κεῖσθαι καὶ τὸν τάφον αὐτοῦ, σερτώριος διέσκαψεν τοῖς βαρβάροις ἀπιστῶν διὰ μέγεθος. ἐντυχὼν δὲ τῷ σώματι, πηχῶν ἑξήκοντα μῆκος, ὥς φασι, κατεπλάγη. καὶ σφάγιον ἐντεμών, συνέχωσε τὸ μνῆμα. καὶ τὴν περὶ αὐτοῦ τιμήν τε καὶ φήμην συνηύξησε. τιγγιτανοὶ δὲ μυθολογοῦσιν ἀνταίου τελευτήσαντος, τὴν γυναῖκα τίγγην ἡρακλεῖ συνελθεῖν. σόφακα δ' ἐξ αὐτῶν γενόμενον, βασιλεῦσαι τῆς χώρας, καὶ πόλιν ἐπώνυμον τῆς μητρὸς ἀποδεῖξαι. σόφακος δὲ παῖδα γενέσθαι διόδωρον, ᾧ πολλὰ τῶν λιβυκῶν ἐθνῶν ὑπήκουσεν, ἑλληνικὸν ἔχοντι στράτευμα, τῶν αὐτόθι κατῳκισμένων ὑφ' ἡρακλέους, ὀλβιανῶν καὶ μυκηναίων. ἀλλὰ ταῦτα μέν, ἀνακείσθω τῇ ἰόβα χάριτι τοῦ πάντων ἱστορικωτάτου βασιλέων. ἐκείνου γὰρ ἱστοροῦσι τοὺς προγόνους διοδώρου καὶ σόφακος ἀπογόνους εἶναι. σερτώριος δὲ πάντων ἐγκρατὴς γενόμενος τοὺς δεηθέντας αὐτοῦ καὶ πιστεύσαντας οὐκ ἠδίκησεν, ἀλλὰ καὶ χρήματα καὶ πόλεις καὶ τὴν ἀρχὴν ἀπέδωκεν αὐτοῖς, ὅσα καλῶς εἶχε δεξάμενος διδόντων. ἐντεῦθεν ὅποι χρὴ τραπέσθαι βουλευόμενον, ἐκάλουν λυσιτανοί, πρέσβεις

τούτου, σερτώριος ἐν τῇ ἰβηρίᾳ διεβοήθη. καὶ ὅτε πρῶτον ἐπανῆκεν εἰς ῥώμην, ταμίας ἀποδείκνυται τῆς περὶ πάδον γαλατίας ἐν δέοντι. τοῦ γὰρ μαρσικοῦ πολέμου συνισταμένου, στρατιώτας τε προσταχθὲν αὐτῷ καταλέγειν, καὶ ὅπλα ποιεῖσθαι, σπουδὴν, καὶ τάχος προσθεὶς τῷ ἔργῳ παρὰ τὴν τῶν ἄλλων νέων βραδυτῆτα καὶ μαλακίαν, ἀνδρὸς ἐμπράκτως βιωσομένου, δόξαν ἔσχεν. οὐ μὴν ὑφήκετο, τῆς στρατιωτικῆς τόλμης, εἰς ἀξίωμα προεληλυθὼς ἡγεμόνος. ἀλλὰ καὶ χειρὸς ἤδη δεικνύμενος ἔργα θαυμαστά. καὶ τὸ σῶμα τοῖς ἀγῶσιν ἀφειδῶς ἐπιδιδοὺς, τῶν ὄψεων ἀπέβαλε τὴν ἑτέραν ἐκκοπεῖσαν. ἐπὶ τούτῳ δὲ, καὶ καλλωπιζόμενος ἀεὶ διετέλει, τοὺς μὲν γὰρ ἄλλους, οὐκ ἀεὶ τὰ μαρτύρια τῶν ἀριστείων περιφέρειν, ἀλλὰ καὶ ἀποτίθεσθαι στρεπτὰ καὶ δόρατα καὶ στεφάνους. αὐτῷ δὲ τῆς ἀνδραγαθίας παραμένειν τὰ γνωρίσματα, τοὺς αὐτοὺς ἔχοντι τῆς ἀρετῆς ἅμα καὶ τῆς συμφορᾶς θεατάς. ἀπέδωκεν δὲ καὶ ὁ δῆμος αὐτῷ τιμὴν πρέπουσαν. εἰσελθόντα γὰρ εἰς θέατρον, ἐξεδέξατό τε κρότῳ, καὶ κατευφήμησαν. ὧν, οὐδὲ τοῖς πάνυ προήκουσιν ἡλικίᾳ τε καὶ δόξῃ τυχεῖν ἦν ῥᾴδιον. δημαρχίαν μέντοι μετιὼν, σύλλα καταστασιάσαντος αὐτὸν, ἐξέπεσεν. διὸ καὶ δοκεῖ γενέσθαι μισοσύλλας. ἐπεὶ δὲ μάριος μὲν ὑπὸ σύλλα κρατηθεὶς ἔφυγε. σύλλας δὲ μιθριδάτῃ πολεμήσων ἀπῆρεν. τῶν δὲ ὑπάτων, ὀκτάβιος μὲν ἐπὶ τῆς σύλλα προαιρέσεως ἔμενε. κίννας δὲ νεωτερίζων, ὑποφερομένην ἀνεκαλεῖτο τὴν μαρίου στάσιν. τούτῳ προσένειμεν αὐτὸν ὁ σερτώριος, ἄλλως τε καὶ τὸν ὀκτάβιον ὁρῶν μὲν αὐτὸν ἀμβλύτερον ὄντα, τοῖς δὲ μαρίου φίλοις ἀπιστοῦντα. γενομένοις δὲ τοῖς ὑπάτοις ἐν ἀγορᾷ μάχης μεγάλης, ὀκτάβιος μὲν ἐκράτησεν. κίννας δὲ καὶ σερτώριος οὐ πολλῷ ἐλάττους τῶν μυρίων ἀποβαλόντες ἔφυγον. καὶ τῶν περὶ τὴν ἰταλίαν ἔτι διεσπαρμένων στρατοπέδων, προσαγόμενοι τὰ πλεῖστα πειθοῖ, ταχὺ κατέστησαν ἀξιόμαχοι τοῖς περὶ τὸν ὀκτάβιον. μαρίου δὲ καταπλεύσαντος ἐκ λιβύης. καὶ τῷ κίννᾳ προστιθέντος ἑαυτὸν, ὡς ἰδιώτην ὑπάτῳ. τοῖς μὲν ἄλλοις, ἐδόκει δέχεσθαι. σερτώριος δὲ, ἀπηγόρευεν. εἴτε τὸν κίνναν ἧττον οἰόμενος ἑαυτῷ προσέξειν, ἀνδρὸς ἡγεμονικωτέρου παρόντος. εἴτε τὴν βαρύτητα τοῦ μαρίου δεδοικὼς, μὴ πάντα τὰ πράγματα συγχέῃ, θυμῷ μέτρον οὐκ ἔχοντι πέρα δίκης ἐν τῷ κρατεῖν προσερχόμενος. ἔλεγεν οὖν, μικρὸν εἶναι τὸ ἀπολειπόμενον ἔργον αὐτοῖς ἤδη κρατοῦσι. δεξαμένων δὲ τὸν μάριον τὸ σύμπαν οἴσεσθαι τῆς δόξης ἐκεῖνον καὶ τῆς δυνάμεως, χαλεπὸν ὄντα πρὸς κοινωνίαν ἀρχῆς καὶ ἄπιστον. εἰπόντος δὲ τοῦ κίννα, ταῦτα μὲν ὀρθῶς ὑπολογίζεσθαι τὸν σερτώριον. αἰδεῖσθαι δὲ καὶ διαπορεῖν, ὅπως ἀπώσεται τὸν μάριον, αὐτὸς ἐπὶ κοινωνίᾳ πραγμάτων κεκληκώς, ὑπολαβὼν ὁ σερτώριος εἶπεν. ἀλλ' ἐγὼ μὲν, αὐτὸν ἀφ' ἑαυτοῦ μάριον ἥκειν νομίζων εἰς ἰταλίαν τὸ συμφέρον ἐσκόπουν. σοὶ δὲ τὴν ἀρχὴν, οὐδὲ βουλεύεσθαι καλῶς εἶχεν ἥκοντος, ὃν αὐτὸς ἐλθεῖν ἠξίωσας, ἀλλὰ χρῆσθαι καὶ δέχεσθαι τῆς πίστεως, μηδενὶ λογισμῷ χώραν διδούσης. οὕτως, μεταπέμπεται τὸν μάριον κίννας. καὶ τριχῇ τῆς δυνάμεως διανεμηθείσης, ἦρχον οἱ τρεῖς. διαπολεμηθέντος δὲ τοῦ πολέμου. καὶ τῶν περὶ τὸν κίνναν καὶ μάριον ἐμφορουμένων ὕβρεώς τε καὶ πικρίας ἁπάσης. ὥστε χρυσὸν ἀποδεῖξαι ῥωμαίοις τὰ τοῦ πολέμου κακὰ, σερτώριος λέγεται μόνος. οὔτε ἀποκτεῖναι τινὰ πρὸς ὀργὴν, οὔτε ἐνυβρίσαι κρατῶν. ἀλλὰ καὶ τῷ μαρίῳ δυσχεραίνειν. καὶ τὸν κίνναν ἐντυγχάνων ἰδίᾳ καὶ δεόμενος, μετριώτερον ποιεῖν. τέλος δὲ τῶν δούλων, οὓς μάριος συμμάχους μὲν ἐν τῷ πολέμῳ, δορυφόρους δὲ τῆς τυραννίδος ἔχων, ἰσχυροὺς καὶ πολλοὺς ἐποίησεν. τὰ μὲν ἐκείνου διδόντος καὶ κελεύοντος, τὰ δὲ, καὶ βίᾳ παρανομούντων εἰς τοὺς δεσπότας. σφαττόντων μὲν αὐτοὺς, ταῖς δὲ δεσποίναις πλησιαζόντων καὶ βιαζομένων τοὺς παῖδας, οὐκ ἀνασχετὰ ποιούμενος ὁ σερτώριος, ἅπαντας ἐν ταυτῷ στρατοπεδεύοντας κατηκόντισεν, οὐκ ἐλάττους τετρακισχιλίων ὄντας. ἐπεὶ δὲ μάριος μὲν ἐτελεύτησε καὶ κίννας ἀνῃρέθη μικρὸν ὕστερον. ὁ δὲ νεανίας μάριος ἄκοντος αὐτοῦ παρὰ τοὺς νόμους, ὑπατείαν ἔλαβεν. κάρβωνες δὲ καὶ νωρβανοὶ, καὶ σκιπίωνες ἐπιόντι σύλλᾳ κακῶς ἐπολέμουν. καὶ τὰ μὲν ἀνανδρίᾳ καὶ μαλακίᾳ, τῶν στρατηγῶν ἐφθείρετο. τὰ δὲ, οἱ προδιδόντες ἀπώλλυσαν. ἔργον δὲ οὐδὲν ἦν αὐτοῦ παρόντος τοῖς πράγμασι μοχθηρῶς ὑποφερομένοις διὰ τὸ χεῖρον φρονεῖν τοὺς μᾶλλον δυναμένους. τέλος δὲ σύλλας σκιπίωνι παραστρατοπεδεύσας, καὶ φιλοφρονούμενος ὡς εἰρήνης ἐσομένης. διέφθειρε τὸ στράτευμα, καὶ ταῦτα προλέγων σκιπίωνι καὶ διδάσκων σερτώριος οὐκ ἔπειθεν, παντάπασιν ἀπογνοὺς τὴν πόλιν ὥρμησεν εἰς ἰβηρίαν. ὡς εἰ φθάσει τὴν ἐκεῖ κρατυνάμενος ἀρχὴν, καταφυγὴ τοῖς πταίουσιν ἐνταῦθα τῶν φίλων ἐσόμενος. χειμῶσι δὲ χαλεποῖς χρησάμενος, ἐν χωρίοις ὀρεινοῖς ὑπὸ βαρβάρων ἐπράττετο τέλη καὶ μισθοὺς τοῦ παρελθεῖν τὴν ὁδόν. ἀγανακτούντων δὲ τῶν σὺν αὐτῷ καὶ δεινολογουμένων εἰ ῥωμαίων ἀνθύπατος τέλη καταβάλλει βαρβάροις ὀλέθροις, μικρὰ φροντίσας τοῦ δοκοῦντος αἰσχροῦ, καὶ καιρὸν ὠνεῖσθαι φήσας, οὗ σπανιώτερον οὐδὲν ἀνδρὶ μεγάλων ἐφιεμένῳ. τοὺς μὲν βαρβάρους, ἐθεράπευσε χρήμασι. τὴν δ' ἰβηρίαν ἐπειχθεὶς, κατέσχεν. παραλαβὼν δὲ ἔθνη πλήθει μὲν καὶ ἡλικίᾳ ἀκμάζοντα. πλεονεξίᾳ δὲ καὶ ὕβρει τῶν πεμπομένων ἑκάστοτε στρατηγῶν, πρὸς ὅλην κακῶς διακείμενα τὴν ἡγεμονίαν, ἀνελάμβανεν ὁμιλίᾳ τε τοὺς δυνατοὺς, καὶ φόρων ἀνέσει τοὺς πολλούς. μάλιστα δὲ τῶν ἐπισταθμιῶν ἀπαλλάξας ἠγαπήθη. τοὺς γὰρ στρατιώτας ἠνάγκαζεν ἐν τοῖς προαστείοις χει-

αὐτὸ μὲν. η. γενομένης. η.

προερχόμενος ἴσ. vel magis προσερχόμενος

κατὰ

τ. η. φ.

ΣΕΡΤΩΡΙΟΣ. λʹ.

Θαυμαστὸν μὲν ἴσως οὐκ ἔστιν ἐν ἀπείρῳ τῷ χρόνῳ τῆς τύχης ἄλλοτε ἄλλως ῥεούσης, ἐπὶ ταυτὰ συμπτώματα πολλάκις καταφέρεσθαι τὸ αὐτόματον. εἴτε γὰρ οὐκ ἔστιν τῶν ὑποκειμένων ὡρισμένον τὸ πλῆθος, ἄφθονον ἔχει τῆς τῶν ἀποτελουμένων ὁμοιότητος χορηγὸν ἡ τύχη τὴν τῆς ὕλης εὐπορίαν. εἴτ' ἔκ τινων ὡρισμένων ἀριθμῶν ἐμπλέκεται τὰ πράγματα, πολλάκις ἀνάγκη ταυτὰ γίνεσθαι, διὰ τῶν αὐτῶν περαινόμενα. ἐπεὶ δ' ἀγαπῶντες ἔνιοι τὰ τοιαῦτα συνάγουσιν ἱστορίᾳ καὶ ἀκοῇ τῶν κατὰ τύχην γεγονότων, ὅσα λογισμοῦ καὶ προνοίας ἔργοις ἔοικεν. οἷον, ὅτι δυεῖν ἄττεων γενομένων ἐμφανῶν. τοῦ μὲν σύρου. τοῦ δὲ, ἀρκάδος. ἑκάτερος ὑπὸ συὸς ἀπώλετο. δυεῖν δὲ ἀκταιώνων. ὁ μὲν ὑπὸ τῶν κυνῶν. ὁ δ' ὑπὸ τῶν ἐραστῶν διεσπάσθη. δυεῖν δὲ σκιπιώνων ὑφ' οὗ μὲν ἐνικήθησαν καρχηδόνιοι πρότερον. ὑφ' οὗ δὲ, ὕστερον ἄρδην ἀνῃρέθησαν. ἑάλω δὲ, τὸ ἴλιον ὑφ' ἡρακλέους, διὰ τὰς λαομέδοντος ἵππους. καὶ ὑπὸ ἀγαμέμνονος διὰ τοῦ δουρείου προσαγορευθέντος ἵππου. τρίτον δ' ὑπὸ χαριδήμου ταῖς πύλαις ἵππου τινὸς ἐμπεσόντος, ἀποκλεῖσαι ταχὺ τῶν ἰλιέων μὴ δυνηθέντων.

Δυεῖν δὲ ὁμωνύμων τοῖς εὐωδεστάτοις φυτοῖς πόλεων, ἴου καὶ σμύρνης, τὸν ποιητὴν ὅμηρον, ἐν ᾗ μὲν γενέσθαι λέγουσιν. ἐν ᾗ δὲ ἀποθανεῖν. φέρε καὶ τοῦτο προσθῶμεν αὐτοῖς, ὅτι καὶ τῶν στρατηγῶν οἱ πολεμικώτατοι, καὶ πλεῖστα δόλῳ κατεργασάμενοι μετὰ δεινότητος, ἑτερόφθαλμοι γεγόνασιν. φίλιππος. ἀντίγονος. ἀννίβας. περὶ οὗ, τόδε τὸ σύγγραμμα, σερτώριος. ὃν φιλίππου μὲν ἄν τις ἀποφαίνοιτο σωφρονέστερον περὶ τὰς γυναῖκας. ἀντιγόνου δὲ πιστότερον περὶ φίλους. ἀννίβου δὲ, ἡμερώτερον πρὸς πολεμίους. λειπόμενον δὲ, συνέσει μὲν, οὐδενὸς τούτων. τύχῃ δὲ πάντων. ᾗ πολὺ τῶν ἐμφανῶν πολεμίων χαλεπωτέρᾳ περὶ πάντα χρησάμενος, ἐπανίσωσεν ἑαυτὸν. ἐμπειρίᾳ μὲν, τῇ μετέλλου. τόλμῃ δὲ, τῇ πομπηΐου. τύχῃ δὲ, τῇ σύλλα. δυνάμει δὲ τῇ ῥωμαίων. φυγὰς καὶ βαρβάρων ἐπήλυς ἄρχων ἀντιταξάμενος. τούτῳ δὴ μάλιστα τῶν ἑλλήνων, τὸν καρδιανὸν ὁμοιοῦμεν εὐμενῆ. ἀμφότεροι γὰρ, ἀρχικοί. καὶ σὺν δόλῳ πολεμικοί. καὶ τῆς μὲν αὐτῶν ἀποξενωθέντες, ἡγησάμενοι δ' ἀλλοδαπῶν. τύχῃ δὲ, χρησάμενοι, βιαίῳ καὶ ἀδίκῳ, περὶ τὴν τελευτήν. ἐπιβουλευθέντες γὰρ ἀμφότεροι. μεθ' ὧν τοὺς πολεμίους ἐνίκων, ὑπὸ τούτων ἀνῃρέθησαν. Κοΐντῳ σερτωρίῳ γένος ἦν οὐκ ἀσημότατον ἐν πόλει νούρσοις τῆς σαβίνων. τραφεὶς δὲ κοσμίως ὑπὸ μητρὶ χήρᾳ πατρὸς ὀρφανὸς, ὑπερφυῶς δοκεῖ φιλομήτωρ γενέσθαι. ὄνομα τῆς μητρὸς, ῥέαν λέγουσιν. ἤσκητο μὲν οὖν καὶ περὶ δίκας ἱκανῶς. καί τινα καὶ δύναμιν ἐν τῇ πόλει, μειράκιον ὢν, ἀπὸ τοῦ λέγειν ἔσχεν. αἱ δὲ περὶ τὰ στρατιωτικὰ λαμπρότητες αὐτοῦ καὶ κατορθώσεις, ἐνταῦθα τὴν φιλοτιμίαν μετέστησαν. Πρῶτον μὲν οὖν, κίμβρων, καὶ τευτόνων ἐμβεβληκότων, εἰς γαλατίαν, στρατευόμενος ὑπὸ σκιπίωνι κακῶς ἀγωνισαμένων τῶν ῥωμαίων, καὶ τροπῆς γενομένης, ἀποβεβληκὼς τὸν ἵππον, καὶ κατατετρωμένος τὸ σῶμα, τὸν ῥοδανὸν διεπέρασεν, αὐτῷ τε τῷ θώρακι, καὶ θυρεῷ, πρὸς ἐναντίον ῥεῦμα πολὺ νηχόμενος. οὕτω τὸ σῶμα, ῥωμαλέον ἦν αὐτῷ, καὶ διάπονον τῇ ἀσκήσει. δεύτερον δὲ τῶν αὐτῶν ἐπερχομένων μυριάσι πολλαῖς καὶ δειναῖς ἀπειλαῖς. ὥστε καὶ τὸ μένειν ἄνδρα ῥωμαῖον ἐν τάξει τότε, καὶ τὸ πείθεσθαι τῷ στρατηγῷ μέγα ἔργον εἶναι. μάριος μὲν ἡγεῖτο, σερτώριος δὲ κατασκοπὴν ὑπέστη τῶν πολεμίων. ἐσθῆτι δὲ κελτικῇ σκευασάμενος, καὶ τὰ κοινότατα τῆς διαλέκτου πρὸς ἔντευξιν ἐπὶ καιροῦ παραλαβὼν, ἀναμίγνυται τοῖς βαρβάροις. καὶ τὰ μὲν ἰδών. τὰ δ' ἀκοῇ πυθόμενος τῶν ἐπειγόντων, ἐπανῆλθε πρὸς μάριον. Τότε μὲν οὖν ἀριστείων ἔτυχεν. ἐν δὲ τῇ λοιπῇ στρατείᾳ, πολλὰ καὶ συνέσεως ἔργα, καὶ τόλμης ἀποδειξάμενος, εἰς ὄνομα καὶ πίστιν, ὑπὸ τοῦ στρατηγοῦ προήχθη. μετὰ δὲ τὸν κίμβρων καὶ τευτόνων πόλεμον. ἐκπεμφθεὶς ὑπὸ δειδίῳ στρατηγῷ χιλίαρχος ἐπὶ ἰβηρίας, ἐν τῇ πόλει κάστλωνι παρεχείμαζε τῆς κελτιβήρων. ἐπεὶ δὲ τῶν στρατιωτῶν ἐν ἀφθόνοις ὑβριζόντων. καὶ τὰ πολλὰ μεθυόντων, καταφρονήσαντες οἱ βάρβαροι, μετεπέμψαντο νυκτὸς ἐπικουρίαν, παρὰ τῶν ἀστυγειτόνων γυρισοινῶν. καὶ κατ' οἰκίας ἐπιόντες, ἔκτεινον αὐτοὺς, ὑπεκδὺς ὁ σερτώριος μετ' ὀλίγων, καὶ τοὺς ἐκπίπτοντας συναγαγὼν, κύκλῳ τὴν πόλιν περιῆλθεν. καὶ καθ' ἃς οἱ βάρβαροι πύλας, ἔλαθον παρεισπεσόντες ἀνεῳγμένας εὑρὼν, οὐ ταὐτὸν ἐκείνοις ἔπαθεν, ἀλλὰ φρουρὰς ἐπιστήσας, καὶ καταλαβὼν πανταχόθεν τὴν πόλιν, ἔκτεινε τοὺς ἐν ἡλικίᾳ πάντας. ὡς δὲ ἀνῃρέθησαν, ἐκέλευσεν τοὺς στρατιώτας πάντας. τὰ μὲν αὐτῶν ὅπλα, καὶ τὴν ἐσθῆτα καταθέσθαι, τοῖς δὲ τῶν βαρβάρων ἐνσκευασμένους, ἕπεσθαι πρὸς τὴν πόλιν ἐκείνην, ἐξ ἧς ἀπεστάλησαν οἱ νύκτωρ ἐπιπεσόντες αὐτοῖς. ψευσάμενος δὲ, τὴν τῶν ὅπλων ὄψει τοὺς βαρβάρους, τάς τε πύλας ἀνεῳγμένας εὗρε. καὶ πλῆθος ἀνθρώπων ἔλαβεν οἰομένων ἀπαντᾶν εὖ πεπραχόσι φίλοις καὶ πολίταις. διὸ πλεῖστοι μὲν ὑπὸ τῶν ῥωμαίων ἐσφάγησαν περὶ τὰς πύλας. οἱ δὲ λοιποὶ παραδόντες ἑαυτοὺς ἐπράθησαν. ἐκ

ἐνσκευασαμένους ς. η. κ.
τῇ. ς. η. τ.

μόνον ταῖς ναυσὶν ἐλάττοσι πρὸς τὴν ἀρχὴν ἀφορμαῖς, ἀλλὰ καὶ μείζοσι πρὸς τὴν αὔξησιν ἐχρήσατο κωλύμασιν εὐμενής. καὶ γὰρ ἀντιπάλους, τοὺς ἡττημένους, καὶ κρύφα τοὺς ἐπιβουλεύοντας εἶχε πολλούς. οὐχ ὥσπερ τῷ ἑτέρῳ, φανερῶς μὲν οὐδείς. λάθρα δὲ ὕστερον, καὶ ὀλίγοι τῶν συμμάχων ἐπανέστησαν. διὸ, τῷ μὲν ἦν πέρας τοῦ κινδυνεύειν, τὸ νικᾷν τοὺς πολεμίους. τῷ δὲ, ἐκ τοῦ νικᾷν ὁ κίνδυνος, ὑπὸ τῶν φθονούντων. Τὰ μὲν οὖν κατὰ τὴν στρατείαν, ἐφάμιλλα καὶ, παράλληλα. τῷ δὲ ἄλλῳ τρόπῳ, φιλοπόλεμος μὲν ὁ εὐμενὴς καὶ φιλόνεικος. ἡσυχίας δὲ καὶ πραότητος, οἰκεῖος ὁ σερτώριος. ὁ μὲν γὰρ ἀσφαλῶς, καὶ μετὰ τιμῆς βιοῦν ἐξὸν ἐκποδὼν γενόμενος. τοῖς πρώτοις, μαχόμενος, καὶ κινδυνεύων διετέλεσεν. τῷ δὲ, οὐδὲν δεομένῳ πραγμάτων, ὑπὲρ αὐτῆς τῆς τοῦ σώματος ἀσφαλείας, πρὸς οὐκ ἐῶντας εἰρήνην ἄγειν ἦν ὁ πόλεμος. εὐμενεῖ μὲν γὰρ, ἀντίγονος ἐκστάντι τῶν ὑπὲρ τοῦ πρωτεύειν ἀγώνων, ἡδέως ἂν ἐχρῆτο τὴν μετ' αὐτὸν ἀγαπῶντι τάξιν. σερτωρίῳ δὲ, οἱ περὶ πομπήϊον, οὐδὲ ζῆν ἀπραγμόνως ἐπέτρεπον. διὸ τῷ μὲν, ἑκόντι συνέβαινε πολεμεῖν ἐν ἀρχῇ. τῷ δὲ ἀκουσίως ἄρχειν, διὰ τὸ πολεμεῖσθαι. φιλοπόλεμος μὲν οὖν, ὁ τῆς ἀσφαλείας, τὴν πλεονεξίαν προτιμῶν. πολεμικὸς δὲ, ὁ τῷ πολέμῳ κτώμενος τὴν ἀσφάλειαν. καὶ μὴν, θανεῖν γε συνέβη. τῷ μὲν, οὐ προαισθομένῳ. τῷ δὲ, καὶ προσδεχομένῳ τὴν τελευτήν. ὧν τὸ μὲν ἐπιεικείας, φίλοις γὰρ ἐδόκει πιστεύειν. τὸ δὲ ἀσθενείας. βουλόμενος γὰρ φυγεῖν, συνελήφθη. καὶ τοῦ μὲν οὐ κατῄσχυνε τὸν βίον ὁ θάνατος, πάσχοντος ὑπὸ τῶν συμμάχων, ἃ τῶν πολεμίων αὐτὸν οὐδεὶς ἐποίησεν. ὁ δὲ, φεύγειν μὲν πρὸ αἰχμαλωσίας μὴ δυνηθείς. ζῆν δὲ μετ' αἰχμαλωσίαν βουληθείς. οὔτε ἐφυλάξατο καλῶς τὴν τελευτὴν, οὔθ' ὑπέμεινεν. ἀλλὰ προσλιπαρῶν καὶ δεόμενος, τοῦ σώματος μόνου κρατεῖν δοκοῦντα τὸν πολέμιον, καὶ τῆς ψυχῆς αὐτοῦ κύριον ἐποίησεν.

οἱ μὲν ἀποδυρόμενοι περὶ τῆς ἀποσκευῆς, οἱ δὲ, θαρρεῖν ὡς νενικηκότα κελεύοντες, οἱ δὲ, τῶν ἄλλων ἡγεμόνων κατηγοροῦντες. ἔπειτα προσπεσόντες, ἐξήρπασαν τὸ ἐγχειρίδιον αὐτοῦ, καὶ τῇ ζώνῃ τὰς χεῖρας ἀποστρέψαντες ἔδησαν. ἐπεὶ δὲ, ὑπὸ ἀντιγόνου, νικάνωρ ἐπέμφθη, παραληψόμενος αὐτὸν, ἐδεῖτο λόγου τυχεῖν, ἀγόμενος διὰ τῶν μακεδόνων, οὐκ εἰς δέησιν, ἢ παραίτησιν, ἀλλ' ὡς περὶ τῶν ἐκείνοις συμφερόντων διαλεξόμενος. γενομένης δὲ σιωπῆς ἐν ὑψηλῷ τινὶ καταστὰς, καὶ τὰς χεῖρας δεδεμένας προτείνας, ποῖον εἶπεν ὦ κάκιστοι μακεδόνων τρόπαιον, ἀντίγονος ἐθελήσας, ἀνέστησε καθ' ἡμῶν, οἷον ὑμεῖς καθ' αὑτῶν ἀνίστατε, τὸν στρατηγὸν αἰχμάλωτον ἐκδιδόντες. οὐκ ἄρα δεινὸν ἦν κρατοῦντας ὑμᾶς. ἧτταν ἐξομολογεῖσθαι διὰ τὰς ἀποσκευὰς, ὡς ἐν τοῖς χρήμασιν, οὐκ ἐν τοῖς ὅπλοις τοῦ κρατεῖν ὄντος. ἀλλὰ καὶ τὸν ἡγεμόνα πέμπετε λύτρον τῆς ἀποσκευῆς. ἐγὼ μὲν οὖν, ἀήττητος ἄγομαι. νικῶν τοὺς πολεμίους, ὑπὸ τῶν συμμάχων ἀπολλύμενος. ὑμεῖς δὲ, πρὸς διὸς στρατίου καὶ θεῶν ὁρκίων, ἐνταῦθά με δι' αὑτῶν κτείνατε. πάντως κἀκεῖ κτεινόμενος, ὑμέτερον ἔργον εἰμί. μέμψεται δὲ οὐδὲν ἀντίγονος. νεκροῦ γὰρ εὐμενοῦς δεῖται, καὶ οὐ ζῶντος. εἰ δὲ φείδεσθε τῶν χειρῶν, ἀρκέσει τῶν ἐμῶν ἡ ἑτέρα λυθεῖσα πρᾶξαι τὸ ἔργον. εἰ δὲ οὐ πιστεύετέ μοι ξίφος, ὑπορρίψατε τοῖς θηρίοις δεδεμένον. καὶ ταῦτα πράξαντας ὑμᾶς, ἀφίημι τῆς ἐπ' ἐμοὶ δίκης, ὡς ἄνδρας ὁσιωτάτους καὶ δικαιοτάτους περὶ τὸν αὑτῶν στρατηγὸν γενομένους.

Ταῦτα τοῦ εὐμενοῦς λέγοντος τὸ μὲν ἄλλο πλῆθος, ἄχθει κατείχετο, καὶ κλαυθμὸς ἦν, οἱ δὲ ἀργυράσπιδες, ἄγειν ἐβόων καὶ μὴ φλυαροῦντι προσέχειν. οὐ γὰρ εἶναι δεινὸν, εἰ χερρονησίτης ὄλεθρος οἰμώξεται μυρίοις γυμνάσας πολέμοις μακεδόνας, ἀλλ' εἰ τῶν ἀλεξάνδρου καὶ φιλίππου στρατιωτῶν οἱ κράτιστοι τοσαῦτα καμόντες ἐν γήρᾳ στέρονται τῶν ἐπάθλων. καὶ τροφὴν παρ' ἑτέρων λαμβάνουσιν. αἱ δὲ γυναῖκες αὐτῶν, ἤδη τρίτην νύκτα τοῖς πολεμίοις συγκαθεύδουσιν. ἅμα δὲ ἦγον αὐτὸν ἐπιταχύνοντες. Ἀντίγονος δὲ δείσας τὸν ὄχλον. ἀπελείφθη γὰρ οὐδεὶς ἐν τῷ στρατοπέδῳ. δέκα τοὺς κρατιστεύοντας ἐλέφαντας ἐξέπεμψεν, καὶ λογχοφόρους συχνοὺς, μήδους καὶ παρθυαίους, διακρουσομένους τὸ πλῆθος. εἶτ' αὐτὸς μὲν, ἰδεῖν οὐχ ὑπέμεινε τὸν εὐμενῆ διὰ τὴν προγεγενημένην φιλίαν καὶ συνήθειαν. πυνθανομένων δὲ τῶν παρειληφότων τὸ σῶμα πῶς φυλάξουσιν, οὕτως εἶπεν, ὡς ἐλέφαντα ὡς λέοντα. μετὰ μικρὸν δὲ συμπαθὴς γενόμενος, τῶν τε δεσμῶν τοὺς βαρεῖς, ἐκέλευσεν ἀφελεῖν, καὶ παῖδα παραδέξασθαι τῶν συνήθων, ὅπως ἀλείψαιτο. καὶ τῶν φίλων ἐφῆκε τῷ βουλομένῳ συνδιημερεύειν, καὶ κομίζειν τὰ ἐπιτήδεια. βουλευόμενος δὲ περὶ αὐτοῦ, πλείονας ἡμέρας, προσίετο, καὶ λόγους, καὶ ὑποσχέσεις, νεάρχου τε τοῦ κρητὸς, καὶ δημητρίου τοῦ υἱοῦ, φιλοτιμουμένων τὸν εὐμενῆ σῶσαι. τῶν δὲ ἄλλων, ὁμοῦ τι πάντων ἐνισταμένων καὶ κελευόντων ἀναιρεῖν. λέγεται δὲ τὸν εὐμενῆ, τοῦ φυλάσσοντος αὐτὸν ὀνομάρχου, πυθέσθαι. τί δήποτε ἀντίγονος, ἐχθρὸν ἄνδρα καὶ πολέμιον λαβὼν ὑποχείριον, οὔτε ἀποκτίννυσι ταχέως, οὔτε εὐγενῶς ἀφίησι. τοῦ δὲ ὀνομάρχου πρὸς ὕβριν εἰπόντος. ὡς οὐ νῦν, ἀλλ' ἐπὶ τῆς μάχης ἔδει πρὸς θάνατον ἔχειν εὐθαρσῶς. καὶ μὰ τὸν δία φάναι τὸν εὐμενῆ, καὶ τότε εἶχον. ἐροῦ δὲ τοὺς εἰς χεῖρας ἐλθόντας. ἀλλ' οὐδενὶ κρείττονι προστυχὼν οἶδα. καὶ τὸν ὀνόμαρχον, οὐκοῦν ἐπεὶ νῦν φάναι, τὸν κρείττονα εὕρηκας, τί οὐκ ἀναμένεις τὸν ἐκείνου καιρόν. Ὡς δ' οὖν ἔδοξε τῷ ἀντιγόνῳ τὸν εὐμενῆ κτείνειν, ἐκέλευσεν αὐτοῦ τὴν τροφὴν ἀφελεῖν. καὶ δύο μὲν ἡμέρας ἢ τρεῖς, ἄσιτος οὕτω προσήγετο πρὸς τὴν τελευτήν. αἰφνιδίου δὲ, ἀναζυγῆς γενομένης, εἰσπέμψαντες ἄνθρωπον ἀποσφάττουσιν αὐτόν. τὸ δὲ σῶμα τοῖς φίλοις παραδοὺς ὁ ἀντίγονος, ἐπέτρεψεν καῦσαι, καὶ τὰ λείψανα συνθέντας, εἰς ἀργυρᾶν ὑδρίαν κομίζειν ἀποδοθησόμεθα τῇ γυναικὶ, καὶ τοῖς παισίν. οὕτω δὲ ἀποθανόντος εὐμενοῦς, οὐκ ἐπ' ἄλλῳ τινὶ τὴν τιμωρίαν ἐποιήσατο τῶν προδόντων αὐτὸν ἡγεμόνων, καὶ στρατιωτῶν τὸ δαιμόνιον, ἀλλ' αὐτὸς ἀντίγονος προβαλλόμενος ὡς ἀσεβεῖς, καὶ θηριώδεις, τοὺς ἀργυράσπιδας, παρέδωκεν ἰβυρτίῳ τῷ διοικοῦντι τὴν ἀραχωσίαν, πάντα τρόπον ἐκτρῖψαι καὶ καταφθεῖραι κελεύσας. ὅπως μηδεὶς αὐτῶν εἰς μακεδονίαν ἄπεισι μηδὲ ὄψεται τὴν ἑλληνικὴν θάλατταν. ταῦτά ἐστιν ἃ περὶ εὐμενοῦς καὶ σερτωρίου, μνήμης ἄξια παρειλήφαμεν. ἐν δὲ τῇ συγκρίσει. κοινὸν μὲν ἀμφοτέροις ὑπάρχει, τὸ ξένους καὶ ἀλλοδαποὺς καὶ φυγάδας ὄντας. ἐθνῶν τε παντοδαπῶν, καὶ στρατευμάτων μαχίμων τε καὶ μεγάλων δυνάμεων ἡγουμένους διατελεῖν. ἴδιον δὲ σερτωρίῳ μὲν τὸ παρὰ πάντων τῶν συμμάχων διδομένην ἔχειν, διὰ τὸ ἀξίωμα τὴν ἀρχήν. εὐμενεῖ δὲ, τὸ πολλῶν διαφερομένων περὶ τῆς ἡγεμονίας πρὸς αὐτὸν, ἐκ τῶν πράξεων λαμβάνειν τὸ πρωτεῖον, καὶ τῷ μὲν ἄρχεσθαι βουλόμενοι, δικαίως εἵποντο. τῷ δὲ ἄρχειν μὴ δυνάμενοι, πρὸς τὸ συμφέρον ὑπήκουον. καὶ γὰρ ὁ μὲν, ἰβήρων καὶ λυσιτανῶν ῥωμαῖος. ὁ δὲ, χερρονησίτης, μακεδόνων ἦρχεν. ὧν οἱ μὲν, ἐκ πάλαι ῥωμαίοις ἐδούλευον. οἱ δὲ, τότε πάντας ἀνθρώπους ἐδουλοῦντο. καὶ σερτώριος μὲν ἀπὸ βουλῆς καὶ στρατηγίας θαυμαζόμενος. εὐμενὴς δὲ, διὰ τὴν γραμματείαν καταφρονούμενος, ἐφ' ἡγεμονίαν προῆλθεν. ὁ

εὐθὺς ἀπῆγε τὴν δύναμιν ὀπίσω καὶ κατεστρατοπέδευσεν. οἱ δὲ μικρὸν ἀναπνεύσαντες, αὖθις ἐδημαγωγοῦντο καὶ τοῖς ἡγεμόσιν ἐντρυφῶντες, σχεδὸν ὅλην εἰς τὰ χειμάδια κατενείμαντο τὴν γαβηνῶν. ὥστε τοὺς ἐσχάτους τῶν πρώτων ἀποσκηνοῦν, ὁμοῦ τι χιλίους σταδίους. Ταῦτα γνοὺς ὁ ἀντίγονος, ὥρμησεν ἐξαίφνης ἐπ' αὐτοὺς ὑποστρέψας, χαλεπὴν ὁδὸν καὶ ἄνυδρον, σύντομον δὲ καὶ βραχεῖαν, ἐλπίζων εἰ διεσπαρμένοις ἐπιπέσοι περὶ τὰ χειμάδια, μὴ δ' ἂν συνελθεῖν ἔτι τὸ πλῆθος ῥᾳδίως εἰς τὸ αὐτὸ τοῖς στρατηγοῖς. ἐμβαλόντι δὲ εἰς γῆν ἀοίκητον αὐτῷ, πνεύματά τε δεινὰ, καὶ κρύη μεγάλα, διελυμαίνετο τὴν πορείαν, ἐνοχλουμένου τοῦ στρατεύματος. ἦν οὖν ἀναγκαία βοήθεια, πυρὰ πολλὰ καίειν. ὅθεν, οὐκ ἔλαθε τοὺς πολεμίους. ἀλλὰ τῶν βαρβάρων οἱ τὰ βλέποντα πρὸς τὴν ἀοίκητον ὄρη νεμόμενοι θαυμάζοντες τὸ τῶν πυρῶν πλῆθος, ἔπεμψαν ἀπαστρίαις καμήλοις, ἀγγέλους πρὸς πευκέσταν. ὁ δὲ ὡς ἤκουσεν, αὐτός τε παντάπασιν ἔκφρων ὑπὸ δέους γενόμενος, καὶ τοὺς ἄλλους ὁρῶν ὁμοίως ἔχοντας, ὥρμητο φεύγειν ἀναστήσας τοὺς καθ' ὁδὸν ὄντας αὐτοῖς, μάλιστα τῶν στρατιωτῶν. εὐμενὴς δὲ, τὴν ταραχὴν ἀφῄρει καὶ τὸν φόβον, ὑπισχνούμενος ἐπιστήσειν τῶν πολεμίων τὸ τάχος. ὥστε τρισὶν ὕστερον ἡμέραις ἢ προσδοκῶνται παραγενέσθαι. Πεισθέντων δὲ αὐτῶν, ἅμα μὲν, ἀγγέλους περιέπεμπε, τὰς δυνάμεις ἐκ τῶν χειμαδίων, καὶ τοὺς ἄλλους ἀθροίζεσθαι κατὰ τάχος κελεύων. ἅμα δὲ αὐτὸς ἐξιππασάμενος μετὰ τῶν ἄλλων ἡγεμόνων. καὶ τόπον, ἐξ ἀπόπτου καταφανῆ τοῖς ὁδεύουσι τὴν ἔρημον περιβαλλόμενος, καὶ διαμετρήσας, ἐκέλευε πυρὰ πολλὰ καίειν ἐν διαστήμασιν, ὥσπερ οἱ στρατοπεδεύοντες. Γινομένου δὲ τούτου, καὶ τῶν πυρῶν τοῖς περὶ ἀντίγονον ἐκ τῆς ὀρεινῆς καταφανέντων, ἄχος ἔσχεν καὶ δυσθυμία τὸν ἀντίγονον, οἰόμενον ᾐσθημένους ἔκπαλαι τοὺς πολεμίους ἀπαντᾶν. ἵν' οὖν μὴ κατάκοπος καὶ τετρυμμένος ἐκ πορείας ἀναγκάζηται μάχεσθαι πρὸς ἀνθρώπους ἑτοίμους καὶ καλῶς κεχειμακότας, προέμενος τὴν σύντομον, ἦγε διὰ κωμῶν, καὶ πόλεων, καθ' ἡσυχίαν ἀναλαμβάνων τὸ στράτευμα. Μηδενὸς δὲ ἐμποδὼν ὄντος, ὥσπερ εἴωθεν ἀντικαθημένων πολεμίων. τῶν δὲ περιχώρων λεγόντων στράτευμα μηδὲν ὦφθαι, πυρῶν δὲ κεκαυμένων μεστὸν εἶναι τὸν τόπον, ᾔσθετο καταστρατηγημένος ὑπὸ εὐμενοῦς, καὶ βαρέως φέρων, προσῆγεν ὡς φανερᾷ μάχῃ κριθησόμενος. Ἐν τούτῳ δὲ τῆς δυνάμεως περὶ τὸν εὐμενῆ τὸ πλεῖστον ἠθροισμένον, ἐθαύμαζε τὴν σύνεσιν αὐτοῦ, καὶ μόνον ἐκέλευεν ἄρχειν. ἐφ' ᾧ λυπούμενοι καὶ φθονοῦντες οἱ τῶν ἀργυρασπίδων ἡγεμόνες, ἀντιγένης καὶ τεύταμος, ἐπεβούλευον αὐτῷ, καὶ τοὺς πλείστους τῶν τε σατραπῶν καὶ τῶν στρατηγῶν συναγαγόντες, ἐβουλεύοντο πότε χρὴ καὶ πῶς τὸν εὐμενῆ διαφθεῖραι. Συνδόξαν δὲ πᾶσιν, ἀποχρήσασθαι πρὸς τὴν μάχην αὐτῷ, μετὰ δὲ τὴν μάχην εὐθὺς ἀνελεῖν, εὔδαμος ὁ τῶν ἐλεφάντων ἡγεμὼν, καὶ φαίδιμος ἐξαγγέλλουσι κρύφα τῷ εὐμενεῖ τὰ δεδογμένα, δι' εὔνοιαν μὲν οὐδεμίαν, ἢ χάριν, εὐλαβούμενοι δὲ, μὴ τῶν χρημάτων, ἃ δεδανείκεσαν αὐτῷ, στερηθῶσιν. εὐμενὴς δὲ, τούτους μὲν, ἐπῄνεσεν, εἰς δὲ τὴν σκηνὴν ἀπελθὼν, καὶ πρὸς τοὺς φίλους εἰπὼν, ὡς ἐν πανηγύρει θηρίων ἀναστρέφοιτο, διαθήκας ἔγραψε καὶ τὰ γραμματεῖα κατέκαυσε καὶ διέφθειρεν, οὐ βουλόμενος αὐτοῦ τελευτήσαντος ἐκ τῶν ἀπορρήτων, αἰτίας καὶ συκοφαντήματα τοῖς γράψασι γενέσθαι. Ταῦτα διοικησάμενος, ἐβουλεύετο τὴν νίκην παρεῖναι τοῖς ἐναντίοις, ἢ φυγὼν διὰ μηδίας καὶ ἀρμενίας, ἐμβαλεῖν εἰς καππαδοκίαν. οὐδὲν δὲ κυρώσας τῶν φίλων παρόντων, ἀλλ' ἐπὶ πολλὰ τῇ γνώμῃ πολυτρόπῳ παρὰ τὰς τύχας οὔσῃ, κινήσας αὐτὸν, ἐξέταττε τὴν δύναμιν, τοὺς μὲν ἕλληνας καὶ τοὺς βαρβάρους παρορμῶν, ὑπὸ δὲ τῆς φάλαγγος καὶ τῶν ἀργυρασπίδων αὐτὸς παρακαλούμενος θαρρεῖν ὡς οὐ δεξομένων τῶν πολεμίων. καὶ γὰρ ἦσαν οἱ πρεσβύτατοι τῶν περὶ φίλιππον καὶ ἀλέξανδρον, ὥσπερ ἀθληταὶ πολέμων ἀήττητοι, καὶ ἀπτῶτες εἰς ἐκεῖνο χρόνου. πολλοὶ μὲν ἑβδομήκοντα ἔτη γεγονότες, νεώτερος δὲ οὐδεὶς ἑξηκονταετοῦς. διὸ καὶ τοῖς περὶ τὸν ἀντίγονον ἐπιόντες, ἐβόων. ἐπὶ τοὺς πατέρας ἁμαρτάνετε ὦ κακαὶ κεφαλαί. καὶ μετ' ὀργῆς ἐμπεσόντες, ὅλην ὁμοῦ τὴν φάλαγγα συνέτριψαν, οὐδενὸς ὑποστάντος αὐτοὺς, τῶν δὲ πλείστων, ἐν χερσὶ διαφθαρέντων. Ταύτῃ μὲν οὖν ὁ ἀντίγονος ἡττᾶτο, κατὰ κράτος. τοῖς δ' ἱππεῦσιν ἐπεκράτει. τοῦ δὲ πευκέστου παντάπασιν ἐκλελυμένως καὶ ἀγεννῶς ἀγωνισαμένου, καὶ τὴν ἀποσκευὴν ἔλαβε πᾶσαν, αὐτῷ τε νήφοντι χρησάμενος παρὰ τὰ δεινὰ, καὶ τοῦ τόπου συνεργοῦντος. ἀχανὲς γὰρ ἦν τὸ πεδίον, οὔτε βαθύτερον, οὔτε ἀπόκροτον καὶ στερεὸν, ἀλλὰ θινῶδες, καὶ μεστὸν ἁλμυρίδος αὐχμηρᾶς. ἣ τοσούτων μὲν ἵππων, τοσούτων δὲ ἀνθρώπων ξαινομένη δρόμοις ὑπὸ τὸν τῆς μάχης καιρὸν, ἐξώθει κόνιν, ὥσπερ ἄσβεστον, ἀπολευκαίνουσαν τὸν ἀέρα καὶ τὰς ὄψεις διαθολοῦσαν. ᾗ καὶ ῥᾴδιον λαθὼν, ὁ ἀντίγονος, τῆς ἀποσκευῆς τῶν πολεμίων ἐκράτησεν. παυσαμένης δὲ τῆς μάχης, εὐθὺς οἱ περὶ τὸν τεύταμον ἐπρεσβεύοντο, περὶ τῆς ἀποσκευῆς. ἀντιγόνου δὲ καὶ ταύτην ἀποδώσειν ὑπισχνουμένου τοῖς ἀργυράσπισι, καὶ τἆλλα χρήσεσθαι φιλανθρώπως, εἰ παραλάβοι τὴν εὐμενῆ, βούλευμα δεινὸν οἱ ἀργυράσπιδες ἐβουλεύσαντο, ἐγχειρίσαι ζῶντα τοῖς πολεμίοις τὸν ἄνδρα. καὶ πρῶτον μὲν, ἀνυπόπτως προσεπέλαζον αὐτῷ καὶ παρεφύλαττον.

λίπου τοῦ βασιλέως κελευόντων ἀντιγόνῳ πολεμεῖν, τῆς ἐν καππαδοκίᾳ δυνάμεως ἄρχοντα. καὶ τῶν ἐν κουίνδοις χρημάτων πεντακόσια μὲν τάλαντα λαβεῖν, εἰς τὴν τῶν ἰδίων ἐπανόρθωσιν, εἰς δὲ τὸν πόλεμον, ὁπόσοις βούλεται χρῆσθαι. περὶ δὲ τούτων, καὶ ἀντιγένει καὶ τευτάμῳ, τοῖς τῶν ἀργυρασπίδων ἡγουμένοις ἐγεγράφεισαν. ἐπεὶ δὲ λαβόντες ἐκεῖνοι τὰ γράμματα, τῷ μὲν λόγῳ φιλανθρώπως ἐδέξαντο τὸν εὐμενῆ, φθόνου δὲ καὶ φιλονεικίας ἐφαίνοντο μεστοί. δευτερεύειν ἀπαξιοῦντες ἐκείνῳ, τὸν μὲν φθόνον ὁ εὐμενὴς ἐθεράπευε, τῷ τὰ χρήματα μὴ λαβεῖν ὡς οὐδὲν δεόμενος. ταῖς δὲ φιλονεικίαις καὶ φιλαρχίαις αὐτῶν, μήτε ἡγεῖσθαι δυναμένων, μήτε ἕπεσθαι βουλομένων, ἐπῆγε δεισιδαιμονίαν. ἔφη γὰρ ἀλέξανδρον αὐτῷ κατὰ τοὺς ὕπνους φανῆναι, καὶ δεῖξαί τινα σκηνὴν κατεσκευασμένην βασιλικῶς, καὶ θρόνον ἐν αὐτῇ κείμενον. εἶτα εἰπεῖν, ὡς ἐνταῦθα συνεδρεύουσιν αὐτοῖς καὶ χρηματίζουσιν, αὐτὸς παρέσται καὶ συνεφάψεται βουλῆς τε πάσης, καὶ πράξεως ἀρχομένοις ἀπ' αὐτοῦ. ταῦτα ῥᾳδίως ἔπεισε τὸν ἀντιγένη, καὶ τὸν τεύταμον, οὔτε ἐκείνων βαδίζειν βουλομένων πρὸς αὐτόν, οὔτε αὐτὸς ἀξιῶν ἐπὶ θύραις ἑτέρων ὁρᾶσθαι. καὶ τιθέντες οὕτω σκηνὴν βασιλικήν, καὶ θρόνον, ἀλεξάνδρῳ καταπεφημισμένον, ἐκεῖ συνεπορεύοντο βουλευόμενοι περὶ τῶν μεγίστων. ἐπεὶ δὲ προϊοῦσιν αὐτοῖς εἰς τὴν ἄνω χώραν ὁ πευκέστας μετὰ τῶν ἄλλων σατραπῶν, ἀπήντησε φίλος ὤν, καὶ συνεμίξαντο τὰς δυνάμεις, πλήθει μὲν ὅπλων, καὶ λαμπρότητι παρασκευῆς, ἐπέρρωσαν τοὺς μακεδόνας. αὐτοὶ δὲ, ἀνάγωγοι ταῖς ἐξουσίαις, καὶ μαλακοὶ ταῖς διαίταις γεγονότες, μετὰ τὴν ἀλεξάνδρου τελευτήν, καὶ φρονήματα τυραννικὰ καὶ τεθραμμένα βαρβαρικαῖς ἀλαζονείαις ἐπὶ ταὐτὸ συνενεγκάμενοι, πρὸς μὲν ἀλλήλους, βαρεῖς ἦσαν καὶ δυσάρμοστοι. τοὺς δὲ μακεδόνας κολακεύοντες ἐκκεχυμένως, καὶ καταχορηγοῦντες εἰς δεῖπνα καὶ θυσίας, ὀλίγου χρόνου τὸ στρατόπεδον, ἀσωτίας πανηγυριζούσης καταγώγιον ἐποίησαν, καὶ δημαγωγούμενον ἐπὶ αἱρέσει στρατηγῶν ὄχλον, ὥσπερ ἐν ταῖς δημοκρατίαις. αἰσθόμενος δὲ ὁ εὐμενὴς αὐτοὺς ἀλλήλων μὲν καταφρονοῦντας, αὐτὸν δὲ φοβουμένους καὶ παραφυλάττοντας ἀνελεῖν, εἰ γένοιτο καιρός, ἐσκήψατο χρημάτων δεῖσθαι, καὶ συνεδανείσατο τάλαντα πολλά, παρὰ τῶν μάλιστα μισούντων αὐτόν, ἵνα καὶ πιστεύωσι καὶ ἀπέχωνται, περὶ τῶν δανείων ἀγωνιῶντες. ὥστε συνέβη τὸν ἀλλότριον πλοῦτον αὐτῷ, φύλακα τοῦ σώματος εἶναι. καὶ τῶν ἄλλων ἐπὶ σωτηρίᾳ διδόντων, μόνον ἐκ τοῦ λαβεῖν, κτήσασθαι τὴν ἀσφάλειαν. οὐ μὴν, ἀλλ' οἱ μακεδόνες ἀδείας μὲν οὔσης, ἐφθείροντο πρὸς τοὺς διδόντας, καὶ τὰς ἐκείνων θύρας ἐθεράπευον, δορυφορουμένων καὶ στρατηγιώντων. ἐπεὶ δὲ ἀντίγονος αὐτοῖς παρεστρατοπέδευσεν μετὰ πολλῆς δυνάμεως, καὶ τὰ πράγματα φωνὴν ἀφιέντα τὸν ἀληθινὸν ἐκάλει στρατηγόν, οὐ μόνον οἱ στρατευόμενοι τῷ εὐμενεῖ προσεῖχον, ἀλλὰ καὶ τῶν ἐν εἰρήνῃ καὶ τρυφῇ μεγάλων ἐκείνων, ἕκαστος ἐνέδωκεν. καὶ παρεῖχεν ἑαυτὸν σιωπῇ τὴν δοθεῖσαν φυλάττοντα τάξιν. καὶ γάρ τοι περὶ τὸν πασίτιγριν ποταμόν, ἐπιχειρήσαντα διαβαίνειν τὸν ἀντίγονον, οἱ μὲν ἄλλοι, παραφυλάττοντες, οὐδὲ ᾔσθοντο, μόνος δὲ εὐμενὴς ὑπέστη καὶ συνάψας μάχην, πολλοὺς μὲν κατέβαλεν, καὶ νεκρῶν ἐνέπλησε τὸ ῥεῖθρον, ἔλαβε δὲ τετρακισχιλίους αἰχμαλώτους. μάλιστα δὲ οἱ μακεδόνες περὶ τὴν συμβᾶσαν ἀρρωστίαν αὐτῷ καταφανεῖς ἐγένοντο, τοὺς μὲν ἄλλους, ἑστιᾶν λαμπρῶς καὶ πανηγυρίζειν, ἄρχειν δὲ καὶ πολεμεῖν δυνατὸν ἡγούμενοι μόνον ἐκεῖνον. ὁ μὲν γὰρ πευκέστας ἐν τῇ περσικῇ, λαμπρῶς αὐτοὺς ἑστιάσας, καὶ κατ' ἄνδρα διαδοὺς ἱερεῖον εἰς θυσίαν, ἤλπιζεν εἶναι μέγιστος. ὀλίγαις δὲ ὕστερον ἡμέραις τῶν στρατιωτῶν ἐπὶ τοὺς πολεμίους βαδιζόντων, ἐτύγχανεν ὁ εὐμενὴς, ἐκ νόσου τινὸς ἐπισφαλοῦς, ἐν φορείῳ κομιζόμενος ἔξω τοῦ στρατεύματος ἐν ἡσυχίᾳ διὰ τὰς ἀγρυπνίας. μικρὸν δὲ προελθοῦσιν αὐτοῖς, ἄφνω λόφους τινὰς ὑπερβαλόντες, ἐξεφάνησαν οἱ πολέμιοι καταβαίνοντες εἰς τὸ πεδίον. ὡς οὖν αἵ τε τῶν χρυσῶν ὅπλων αὐγαὶ πρὸς τὸν ἥλιον ἐξέλαμψαν ἀπὸ τῶν ἄκρων τοῦ τάγματος ἐν τάξει πορευομένων, καὶ τῶν θηρίων τοὺς πύργους ἄνω, καὶ τὰς πορφύρας εἶδον, ὅσπερ ἦν αὐτοῖς κόσμος, εἰς μάχην ἀγομένοις, ἐπιστήσαντες οἱ πρῶτοι τὴν πορείαν, ἐβόων εὐμενῆ καλεῖν αὐτούς. οὐ γὰρ ἂν προελθεῖν ἐκείνου μὴ στρατηγοῦντος. καὶ τὰ ὅπλα πρὸς τὴν γῆν ἐρείσαντες, ἀλλήλοις μένειν διεκελεύοντο, καὶ τοῖς ἡγεμόσιν ἡσυχίαν ἔχειν, καὶ χωρὶς εὐμενοῦς μὴ μάχεσθαι μηδὲ κινδυνεύειν πρὸς τοὺς πολεμίους. ἀκούσας δὲ ὁ εὐμενὴς, ἧκε πρὸς αὐτοὺς δρόμῳ, τοὺς κομίζοντας ἐπιταχύνας. καὶ τοῦ φορείου τὰς ἑκατέρωθεν αὐλαίας ἀνακαλύψας, προὔτεινε τὴν δεξιὰν γεγηθώς. οἱ δὲ ὡς εἶδον, εὐθὺς ἀσπασάμενοι μακεδονιστὶ τῇ φωνῇ, τάς τε ἀσπίδας ἀνείλοντο, καὶ ταῖς σαρίσαις ἐπιδουπήσαντες, ἠλάλαξαν προκαλούμενοι τοὺς πολεμίους, ὡς τοῦ ἡγεμόνος αὐτοῖς παρόντος. ἀντίγονος δὲ, παρὰ τῶν ἁλισκομένων ἀκούων τὸν εὐμενῆ νοσεῖν, καὶ κομίζεσθαι κακῶς διακείμενον, οὐ μέγα ἔργον ἡγεῖτο συντρῖψαι τοὺς ἄλλους, ἐκείνου νοσοῦντος. διὸ καὶ σπεύδων ἐπὶ τὴν μάχην προσῆγεν. ὡς δὲ τῶν πολεμίων εἰς τάξιν καθισταμένων παρελάσας, κατεῖδε τὸ σχῆμα καὶ τὴν διακόσμησιν, ἐκπλαγεὶς, ἐπέστη πλείω χρόνον. εἶτα ὤφθη τὸ φορεῖον ἀπὸ θατέρου κέρως ἐπὶ θάτερον διαφερόμενον. γελάσας οὖν ὁ ἀντίγονος ὥσπερ εἰώθει μέγα, καὶ πρὸς τοὺς φίλους εἰπών, τοῦτ' ἦν τὸ φορεῖον ὡς ἔοικε τὸ ἀντιπαραταττόμενον ἡμῖν.

τὴν χαλεπότητα, καὶ τῆς διαίτης τὴν ἀνάγκην οὐ φέροντες. πάντας ἀσπασάμενος καὶ φιλοφρονηθεὶς, ἀπέπεμψεν. ὡς δὲ ἐπελθὼν ὁ ἀντίγονος εἰς λόγους αὐτὸν ἐκάλει πρὸ τῆς πολιορκίας, ἀπεκρίνατο. πολλοὺς εἶναι τοὺς ἀντιγόνου φίλους, καὶ μετὰ ἀντίγονον ἡγεμόνας. ὧν δὲ αὐτὸς προπολεμεῖ, μηδένα λείπεσθαι μετ᾽ αὐτόν. ὁμήρους δὲ, πέμπειν ἐκέλευσεν, εἰ χρήζει διὰ λόγων αὐτῷ γενέσθαι.

τοῦ δὲ ἀντιγόνου κελεύοντος ὡς κρείττονι λαλεῖν, οὐδένα εἶπεν, ἐμαυτοῦ κρείττονα νομίζω μέχρις ἂν ὦ τοῦ ξίφους κύριος. ὅμως δὲ, πέμψαντος τοῦ ἀντιγόνου, τὸν ἀδελφιδοῦν πτολεμαῖον εἰς τὸ χωρίον, ὥσπερ ἠξίωσεν ὁ εὐμενὴς κατέβη, καὶ περιβαλόντες ἀλλήλους ἠσπάσαντο φιλικῶς καὶ οἰκείως. ἅτε δὴ ἀλλήλοις κεχρημένοι πολλὰ, καὶ συνήθεις γεγονότες. λόγων δὲ γενομένων πολλῶν, καὶ τοῦ εὐμενοῦς οὐχ ὑπὲρ ἀσφαλείας μεμνημένου καὶ διαλύσεως, ἀλλὰ καὶ τὰς σατραπείας ἀξιοῦντος αὐτῷ βεβαιοῦσθαι, καὶ τὰς δωρεὰς ἀποδίδοσθαι, θαῦμα τοὺς παρόντας εἶχε, τὸ φρόνημα καὶ τὴν εὐτολμίαν ἀγαμένους. ἅμα δὲ, πολλοὶ συνέτρεχον τῶν μακεδόνων, ἰδεῖν ὅστις ἐστὶ τὸν εὐμενῆ ποθοῦντες. οὐ γὰρ ἑτέρου λόγος ἦν τοσοῦτος ἐν τῷ στρατῷ μετὰ τὴν τοῦ κρατεροῦ τελευτήν. δείσας δὲ ὁ ἀντίγονος ὑπὲρ αὐτοῦ, μή τι πάθῃ βίαιον, πρῶτον μὲν ἀπηγόρευε μὴ προσιέναι βοῶν, καὶ τοῖς λίθοις ἔβαλλε τοὺς ἐπιφερομένους. τέλος δὲ, ταῖς χερσὶ τὸν εὐμενῆ περιβαλὼν, καὶ τὸν ὄχλον ἀπερύκων τοῖς δορυφόροις, μόλις εἰς τὸ ἀσφαλὲς ἀποκατέστησεν. τουντεῦθεν, ὁ μὲν περιτειχίσας τὰ νῶρα, καὶ φρουρὰν καταλιπὼν, ἀνέζευξεν. εὐμενὴς δὲ πολιορκούμενος, ἐγκρατὴς τοῦ χωρίου γέγονε, σῖτον καὶ ὕδωρ ἄφθονον καὶ ἅλας, καὶ ἄλλο μηδὲν ἔχοντος ἐδώδιμον, μηδὲ ἥδυσμα πρὸς τὸν σῖτον, ἐκ τῶν παρόντων ὅμως κατεσκεύαζε τοῖς συνοῦσιν ἱλαρὰν τὴν δίαιταν, ἐν μέρει τε παραλαμβάνων πάντας ἐπὶ τὴν αὑτοῦ τράπεζαν, καὶ τὸ συσσίτιον ὁμιλίᾳ χάριν ἐχούσῃ καὶ φιλοφροσύνῃ ἐφηδύνων. ἦν δὲ καὶ τὸ εἶδος ἡδὺς, οὐ πολεμικῷ καὶ τετριμμένῳ δι᾽ ὅπλων ἐοικὼς, ἀλλὰ γλαφυρὸς, καὶ νεοπρεπής. καὶ πᾶν τὸ σῶμα διηρθρωμένος, ὡς ὑπὸ τέχνης ἀκριβῶς τοῖς μέλεσι θαυμαστὴν συμμετρίαν ἔχουσιν. εἰπεῖν δὲ, οὐ δεινὸς, αἱμύλος δὲ, καὶ πιθανὸς, ὡς ἐκ τῶν ἐπιστολῶν συμβάλλειν ἐστίν. ἐπεὶ δὲ τοὺς σὺν αὐτῷ πολιορκουμένους, ἡ στενοχωρία μάλιστα ἁπάντων ἔβλαπτεν ἐν οἰκήμασι μικροῖς καὶ τόπῳ δυεῖν σταδίοιν ἔχοντι τὴν περίμετρον ἀναστρεφομένους. τροφὴν δὲ, ἀγυμνάστους μὲν αὐτοὺς λαμβάνοντας, ἀργοῖς δὲ τοῖς ἵπποις προσφέροντας. οὐ μόνον τὴν ἄλυν αὐτῶν ὑπὸ τῆς ἀπραξίας μαραινομένων, ἀπαλλάξαι βουλόμενος, ἀλλὰ καὶ πρὸς φυγὴν, εἰ παραπέσοι καιρὸς, ἁμωσγέπως ἠσκημένοις χρήσασθαι. τοῖς μὲν ἀνθρώποις. οἶκον, ὃς ἦν μέγιστος ἐν τῷ χωρίῳ, δεκατεσσάρων πηχῶν τὸ μῆκος, ἀπέδειξε περίπατον, κατὰ μικρὸν ἐπιτείνειν τὴν κίνησιν κελεύων. τῶν δ᾽ ἵππων ἕκαστον ῥυτῆρσι μεγάλοις, εἰς τὴν ὀροφὴν ἀναδεδεμένοις. ὑποζώσας ἐκ τῶν περὶ τὸν αὐχένα μερῶν, ἐμετεώριζε. καὶ παρήγειρεν διὰ τροχιλίας, ὥστε τοῖς μὲν ὀπισθίοις σκέλεσιν ἐπὶ τῆς γῆς ἐρείδεσθαι. τοῖς δὲ ἐμπροσθίοις ποσὶν, ἀκρωνυχεὶ ἐπιψαύειν. οὕτω δὴ ἀνηρτημένους οἱ ἱπποκόμοι παρεστῶτες ἅμα, ταῖς τε κραυγαῖς καὶ ταῖς μάστιξιν, ἐπηρέθιζον. οἱ δὲ πιμπλάμενοι θυμοῦ καὶ ὀργῆς, τοῖς μὲν ὀπισθίοις, ἐνήλλοντο καὶ διεσκίρτων σκέλεσι, τοῖς δὲ μετεώροις. ἐφιέμενοι στηρίσασθαι, καὶ κροτοῦντες τὸ ἔδαφος, κατετείνοντο πᾶν τὸ σῶμα, καὶ πολὺν ἠφίεσαν ἱδρῶτα καὶ σταλαγμόν. οὔτε πρὸς τάχος, οὔτε πρὸς ῥώμην γυμναζόμενοι κακῶς. τὰς δὲ κριθὰς, ἐνέβαλλον αὐτοῖς ἐπτισμένας, ἵνα κατεργάζωνται θᾶττον, καὶ πέττωσι βέλτιον. ἤδη δὲ τῆς πολιορκίας χρόνον λαμβανούσης, ἀντίγονος τεθνηκέναι πυνθανόμενος ἀντίπατρον ἐν μακεδονίᾳ, καὶ τεταράχθαι τὰ πράγματα, κασσάνδρου καὶ πολυπέρχοντος διαφερομένων, οὐδὲν ἔτι μικρὸν ἐλπίζων, ἀλλὰ τῇ γνώμῃ τὴν ὅλην περιβαλλόμενος ἡγεμονίαν, ἐβούλετο τὸν εὐμενῆ φίλον ἔχειν καὶ συνεργὸν ἐπὶ τὰς πράξεις. διὸ πέμψας ἱερώνυμον, ἐσπένδετο τῷ εὐμενεῖ προτείνας ὅρκον, ὃν ὁ εὐμενὴς διορθώσας, ἐπέτρεψεν ἐπικρῖναι τοῖς πολιορκοῦσιν αὐτὸν μακεδόσιν, πότερος εἴη δικαιότερος. ἀντίγονος μὲν γὰρ ἀφοσιώσεως ἕνεκεν ἐν ἀρχῇ, τῶν βασιλέων ἐπιμνησθεὶς, τὸν λοιπὸν ὅρκον εἰς ἑαυτὸν ὥρκιζεν. εὐμενὴς δὲ, πρώτην μὲν ἐνέγραψε τοῖς ὅρκοις ὀλυμπιάδα μετὰ τῶν βασιλέων. ἔπειτα, ὤμνυεν οὐκ ἀντιγόνῳ μόνον εὐνοήσειν, οὐδ᾽ ἐκείνῳ τὸν αὐτὸν ἐχθρὸν ἕξειν καὶ φίλον, ἀλλὰ καὶ ὀλυμπιάδι, καὶ τοῖς βασιλεῦσιν. ὧν δικαιοτέρων φανέντων, οἱ μακεδόνες ταῦτα ὁρκίσαντες τὸν εὐμενῆ, τὴν πολιορκίαν ἔλυσαν. καὶ πρὸς τὸν ἀντίγονον ἀπέστελλον ὅπως καὶ αὐτὸς ἀποδῷ τῷ εὐμενεῖ τὸν ὅρκον. ἐν τούτῳ δὲ εὐμενὴς ὅσους εἶχεν ἐν νώροις τῶν καππαδοκῶν ὁμήρους, ἀπεδίδου. λαμβάνων ἵππους, καὶ ὑποζύγια καὶ σκηνὰς, παρὰ τῶν κομιζομένων. καὶ συνῆγε τῶν στρατιωτῶν, ὅσοι διασπαρέντες ἀπὸ τῆς φυγῆς, ἐπλανῶντο κατὰ τὴν χώραν, ὥστε περὶ αὐτὸν ἱππεῖς ὀλίγῳ τῶν χιλίων ἀποδέοντας γενέσθαι. μεθ᾽ ὧν ἐξελάσας, ἔφυγεν ὀρθῶς φοβηθεὶς τὸν ἀντίγονον. οὐ γὰρ μόνον ἐκεῖνον ἐκέλευσεν πολιορκεῖν αὖθις περιτειχίσαντας, ἀλλὰ καὶ τοῖς μακεδόσι, πικρῶς ἀντέγραψεν δεξαμένοις τοῦ ὅρκου τὴν διόρθωσιν. φεύγοντι δὲ εὐμενεῖ, γράμματα κομίζεται, παρὰ τῶν ἐν μακεδονίᾳ τὴν ἀντιγόνου δεδιότων αὔξησιν ὀλυμπιάδος μὲν, παρακαλούσης ἐλθόντα τὸ ἀλεξάνδρου παιδίον παραλαβεῖν, καὶ τρέφειν ὡς ἐπιβουλευόμενον. πολυπέρχοντος δὲ καὶ φι-

λίππου τοῦ

καὶ χερσὶν τῶν μακεδόνων, τὸν πρῶτον αὐτῶν καὶ δοκιμώτατον ἀνῃρηκώς. ἀλλ' εἰ μὲν ἔφθη περδίκκας πυθόμενος τὴν κρατεροῦ τελευτὴν, οὐκ ἂν ἄλλος ἐπρώτευσε μακεδόνων. νυνὶ δὲ ἀνῃρημένου περδίκκου κατὰ στάσιν ἐν αἰγύπτῳ, δυσὶν ἡμέραις πρότερον, ἧκεν οὗτος ὁ περὶ τῆς μάχης λόγος εἰς τὸ στρατόπεδον, καὶ πρὸς ὀργὴν εὐθὺς οἱ μακεδόνες, θάνατον τοῦ εὐμενοῦς κατέγνωσαν. ἀπεδείχθη δὲ τοῦ πολέμου τοῦ πρὸς αὐτὸν ἀντίγονος μετὰ ἀντιπάτρου στρατηγός. Ἐπεὶ δὲ εὐμενὴς τοῖς βασιλικοῖς ἱπποφορβίοις περὶ τὴν ἴδην νεμομένοις ἐπιτυχὼν, καὶ λαβὼν ἵππους ὅσων ἔχρῃζε, τοῖς ἐπιμεληταῖς τὴν γραφὴν ἔπεμψεν, λέγεται γελάσαι τὸν ἀντίπατρον καὶ εἰπεῖν, ὅτι θαυμάζει τὸν εὐμενῆ τῆς προνοίας, ἐλπίζοντα λόγον αὐτοῖς ἀποδώσειν, τῶν βασιλικῶν, ἢ λήψεσθαι παρ' αὐτῶν.

Περὶ δὲ τὰς σάρδεις ἐβούλετο μὲν ἱπποκρατῶν ὁ εὐμενὴς τοῖς λυδοῖς ἐναγωνίσασθαι πεδίοις, ἅμα καὶ τῇ κλεοπάτρᾳ τὴν δύναμιν ἐπιδεῖξαι φιλοτιμούμενος. αὐτῆς δὲ ἐκείνης δεηθείσης, ἐφοβεῖτο γὰρ αἰτίαν τινὰ λαβεῖν ὑπὸ τῶν περὶ τὸν ἀντίπατρον, ἐξήλασεν εἰς τὴν ἄνω φρυγίαν, καὶ διεχείμαζεν ἐν κελαιναῖς. ὅπου τῶν μὲν περὶ τὸν ἀλκέταν καὶ πολέμωνα, καὶ δόκιμον, ὑπὲρ ἡγεμονίας διαφιλοτιμουμένων πρὸς αὐτὸν, τοῦτ' ἦν ἔφη τὸ λεγόμενον. ὀλέθρου δὲ οὐδεὶς λόγος. τοῖς δὲ στρατιώταις ὑπεσχημένος ἐν τρισὶν ἡμέραις τὸν μισθὸν ἀποδώσειν, ἐπίπρασκε αὐτοῖς τὰς κατὰ τὴν χώραν ἐπαύλεις καὶ τετραπυργίας σωμάτων καὶ βοσκημάτων γεμούσας. ὁ δὲ πριάμενος ἡγεμὼν τάγματος, ἢ ξεναγὸς, ὄργανα, καὶ μηχανὰς λαβὼν τοῦ εὐμενοῦς παρέχοντος, ἐξεπολιόρκει. καὶ πρὸς τὸν ὀφειλόμενον μισθὸν οἱ στρατιῶται διενέμοντο τῶν ἁλισκομένων ἕκαστον. ἐκ δὴ τούτου πάλιν ὁ εὐμενὴς ἠγαπᾶτο. καί ποτε γραμμάτων ἐν τῷ στρατοπέδῳ φανέντων, ἃ διέρριψαν οἱ τῶν πολεμίων ἡγεμόνες, ἑκατὸν τάλαντα καὶ τιμὰς διδόντες τῷ κτείναντι τὸν εὐμενῆ, σφόδρα παρωξύνθησαν οἱ μακεδόνες, καὶ δόγμα ποιοῦνται, χιλίους τῶν ἡγεμονικῶν περὶ αὐτὸν ἀεὶ δορυφοροῦντας εἶναι. καὶ φυλάττειν ἐν περιόδῳ καὶ παρανυκτερεύειν. οἱ δὲ ἐπείθοντο, καὶ τιμὰς ἠγάπων παρ' αὐτοῦ λαμβάνοντες, ἃς οἱ φίλοι παρὰ τῶν βασιλέων. ἐξῆν γὰρ εὐμενεῖ, καὶ καυσίας ἁλουργεῖς, καὶ χλαμύδας διανέμειν. ἥτις ἦν δωρεὰ βασιλικωτάτη παρὰ μακεδόσι. τὸ μὲν οὖν εὐτυχεῖν καὶ τοὺς φύσει μικροὺς, συνεπικουφίζει τοῖς φρονήμασιν, ὥστε φαίνεσθαί τι μέγεθος περὶ αὐτοὺς, καὶ ὄγκον, ἐκ πραγμάτων ὑπερεχόντων ἀποβλεπομένους. ὁ δὲ ἀληθῶς μεγαλόφρων καὶ βέβαιος, ἐν τοῖς σφάλμασι μᾶλλον καὶ ταῖς δυσημερίαις ἀναφέρων, γίνεται κατάδηλος, ὥσπερ εὐμενής. πρῶτον μὲν γὰρ ἐν ὀρκυνίοις τῆς καππαδοκίας ἡττηθεὶς ὑπὸ ἀντιγόνου διὰ προδοσίαν, καὶ διωκόμενος, οὐ παρῆκε τὸν προδότην ἐκ τῆς φυγῆς διαπεσεῖν πρὸς τοὺς πολεμίους, ἀλλὰ συλλαβὼν ἐκρέμασεν. φεύγων δὲ τὴν ἐναντίαν ὁδὸν τοῖς διώκουσι μετέβαλε λαθὼν, καὶ παραλλάξας ὡς ἦλθεν ἐπὶ τὸν τόπον οὗ τὴν μάχην συνέβη γενέσθαι, κατεστρατοπέδευσεν. συναγαγὼν τοὺς νεκροὺς, καὶ τῶν ἐν κύκλῳ κωμῶν, τὰ θυρώματα κατασχίσας, ἔκαυσεν. ἰδίᾳ μὲν ἡγεμόνας. ἰδίᾳ δὲ, τοὺς πολλοὺς, καὶ πολυάνδρια χώσας ἀπῆλθεν. ὥστε καὶ τὸν ἀντίγονον ὕστερον ἐπελθόντα, θαυμάζειν τὸ θάρσος αὐτοῦ καὶ τὴν εὐστάθειαν. ἔπειτα ταῖς ἀποσκευαῖς τοῦ ἀντιγόνου περιπεσὼν, καὶ λαβεῖν ῥᾳδίως δυνάμενος, πολλὰ μὲν ἐλεύθερα σώματα, πολλὴν δὲ θεραπείαν καὶ πλοῦτον ἐκ πολέμων τοσούτων καὶ λεηλασιῶν ἠθροισμένον, ἔδεισε μὴ καταπλησθέντες ὠφελείας καὶ λαφύρων οἱ σὺν αὐτῷ, βαρεῖς γένωνται πρὸς τὴν φυγὴν, καὶ μαλακώτεροι τὰς πλάνας ὑπομένειν καὶ τὸν χρόνον, ἐν ᾧ μάλιστα τοῦ πολέμου τὰς ἐλπίδας εἶχεν, ὡς ἀποστρέψων τὸν ἀντίγονον. ἐπεὶ δὲ ἄντικρυς χαλεπὸν ἦν ἀποτρέπειν μακεδόνας, χρημάτων ἐν ἐφικτῷ παρόντων, ἐκέλευεν θεραπεύσαντας αὑτοὺς, καὶ τοῖς ἵπποις χιλὸν ἐμβαλόντας, οὕτω βαδίζειν ἐπὶ τοὺς πολεμίους. αὐτὸς δὲ πέμπει κρύφα πρὸς τὸν ἐπὶ τῆς ἀποσκευῆς τῶν πολεμίων μένανδρον, ὡς κηδόμενος αὐτοῦ, φίλου γεγονότος καὶ συνήθους, φράξασθαι παραινῶν, καὶ ἀναχωρῆσαι τὴν ταχίστην ἐκ τῶν ἐπιδρόμων καὶ ταπεινῶν πρὸς τὴν ἐγγὺς ὑπώρειαν ἄφιππον οὖσαν καὶ κυκλώσεις οὐκ ἔχουσαν. τοῦ δὲ μενάνδρου ταχὺ συμφρονήσαντος τὸν κίνδυνον καὶ ἀνασκευασαμένου, κατασκόπους ἔπεμπεν ὁ εὐμενὴς φανερῶς. καὶ παρήγγελλεν τοῖς στρατιώταις ὁπλίζεσθαι καὶ τοὺς ἵππους ἐγχαλινοῦν, ὡς προσάξων τοῖς πολεμίοις. τῶν δὲ κατασκόπων ἀπαγγειλάντων, ὅτι παντάπασιν ὁ μένανδρος ἄληπτος εἴη καταπεφευγὼς εἰς τόπους χαλεποὺς, ἄχθεσθαι προσποιούμενος ὁ εὐμενὴς, ἀπῆγε τὴν στρατιάν. λέγεται δὲ τοῦ μενάνδρου ταῦτα μαρτυρήσαντος πρὸς τὸν ἀντίγονον, καὶ τῶν μακεδόνων ἐπαινούντων τὸν εὐμενῆ καὶ φιλανθρωπότερον διατεθέντων, ὅτι καὶ παῖδας αὐτῶν ἀνδραποδίσασθαι, καὶ γυναῖκας αἰσχῦναι παρὸν ἐφείσατο καὶ παρῆκεν. ἀλλ' ἐκεῖνος φάναι τὸν ἀντίγονον, οὐχ ὑμῶν ὦ μακάριοι κηδόμενος παρῆκεν, ἀλλ' αὑτῷ φεύγοντι δεδιὼς περιθεῖναι πέδας τοσαύτας. ἐκ τούτου πλανώμενος ὁ εὐμενὴς, καὶ ὑποφεύγων, ἔπεισε τοὺς πολλοὺς τῶν στρατιωτῶν ἀπελθεῖν, εἴτε κηδόμενος αὐτῶν, εἴτε ἐφέλκεσθαι μὴ βουλόμενος, ἐλάττονας μὲν τοῦ μάχεσθαι, πλείονας δὲ τοῦ λανθάνειν ὄντας.

Καταφυγὼν δὲ εἰς νῶρα, χωρίον ἐν μεθορίῳ λυκαονίας καὶ καππαδοκίας, μετὰ πεντακοσίων ἱππέων καὶ διακοσίων ὁπλιτῶν.. κἀντεῦθεν αὖθις, ὅσοι τῶν φίλων ἐδεήθησαν ἀφεθῆναι τοῦ χωρίου

κιλικίαν ἀπέστελλεν. αὐτὸς δὲ τῆς δυνάμεως ἀναλαβὼν πολὺ μέρος, ἐπὶ τὸν εὐμενῆ μετὰ τοῦ νεοπτολέμου προσῆγεν, οἰόμενος οὐ προσδεχομένῳ, καὶ μετὰ πρόσφατον νίκην, ἐν ἀταξίᾳ, καὶ περὶ πότους ἔχοντι τὴν δύναμιν, ἐπιπεσεῖσθαι. τὸ μὲν οὖν προαισθέσθαι τὴν ἔφοδον αὐτοῦ τὸν εὐμενῆ, καὶ προπαρασκευάσασθαι, νηφούσης αὐτῆς ἡγεμονίας. οὐ μὴν ἄκρας ἄν τις θείη δεινότητος. τὸ δὲ μὴ μόνον τοὺς πολεμίους, ἃ μὴ καλῶς εἶχεν αἰσθέσθαι διαφυγεῖν, ἀλλὰ καὶ τοὺς μετ᾽ αὐτοῦ στρατευομένους ἀγνοοῦντας ᾧ μαχοῦνται προσενστῆσαι τῷ κρατέρῳ, καὶ ἀποκρύψαι τὸν ἀντιστράτηγον. ἴδιον δοκεῖ τοῦτο τοῦ ἡγεμόνος ἔργον γενέσθαι. διέδωκεν μὲν οὖν λόγον, ὡς νεοπτόλεμος αὖθις ἐπίοι, καὶ πίγρης ἔχοντες ἱππεῖς, καὶ καππαδοκῶν, καὶ παφλαγόνων. νυκτὸς δὲ ἀναζεῦξαι βουλόμενος, εἶτα καταδαρθὼν, ὄψιν εἶδεν ἀλλόκοτον. ἐδόκει γὰρ ὁρᾶν ἀλεξάνδρους δύο. παρασκευαζομένους, ἀλλήλοις μάχεσθαι, μιᾶς ἑκάτερον ἡγούμενον φάλαγγος. εἶτα, τῷ μὲν, τὴν ἀθηνᾶν. τῷ δὲ τὴν δήμητρα βοηθοῦσαν ἐλθεῖν. γενομένου δὲ ἀγῶνος ἰσχυροῦ, κρατηθῆναι τὸν μετὰ τῆς ἀθηνᾶς. τῷ δὲ νικῶντι, σταχύων δρεπομένην τὴν δήμητρα, συμπλέκειν στέφανον. αὐτόθεν μὲν οὖν τὴν ὄψιν εἴκαζεν, εἶναι πρὸς αὐτοῦ μαχομένου περὶ τῆς ἀρίστης, καὶ τότε πολὺν καὶ καλὸν ἐχούσης ἐν κάλυκι στάχυν. ἅπασα γὰρ κατέσπαρτο, καὶ παρεῖχεν εἰρήνης πρέπουσαν ὄψιν, ἀμφιλαφῶς τῶν πεδίων κομώντων. μᾶλλον δὲ ἐπερρώσθη πυθόμενος σύνθημα τοῖς πολεμίοις, ἀθηνᾶν καὶ ἀλέξανδρον εἶναι. δήμητρα δὲ δὴ καὶ αὐτὸς ἐδίδου σύνθημα καὶ ἀλέξανδρον. ἀναδεῖσθαί τε πάντας ἐκέλευεν, καὶ καταστέφειν τὰ ὅπλα τῶν σταχύων λαμβάνοντας. ὁρμήσας δὲ πολλάκις ἐξαγορεῦσαι καὶ φράσαι τοῖς περὶ αὐτὸν ἡγεμόσι καὶ στρατηγοῖς, πρὸς ὃν ἔμελλεν ὁ ἀγὼν ἔσεσθαι, καὶ μὴ μόνος ἐν αὐτῷ θέμενος ἀποκρύψαι, καὶ κατασχεῖν ἀπόρρητον οὕτως ἀναγκαῖον, ὅμως ἐνέμεινε τοῖς λογισμοῖς, καὶ διεπίστευσε τῇ γνώμῃ τὸν κίνδυνον. ἀντέταξε δὲ κρατέρῳ, μακεδόνων μὲν οὐδένα, δύο δὲ ἱππαρχίας ξενικὰς. ὧν φαρνάβαζος ὁ ἀρταβάζου. καὶ φοῖνιξ ὁ τενέδιος, ἡγοῦντο διακελευσάμενος ὀφθέντων τῶν πολεμίων, ἐλαύνειν κατὰ τάχος καὶ συμπλέκεσθαι, μὴ διδόντας ἀναστροφὴν, μὴ δὲ φωνὴν, μὴ δὲ κήρυκα πεμπόμενον προσιεμένους. ἐδεδίει γὰρ ἰσχυρῶς τοὺς μακεδόνας μὴ γνωρίσαντες τὸν κρατερὸν, οἴχωνται μεταβαλόμενοι πρὸς ἐκεῖνον.

αὐτὸς δὲ τοὺς ἐρρωμενεστάτους ἱππεῖς τριακοσίους εἰς ἄγημα συντάξας, καὶ παρελάσας ἐπὶ τὸ δεξιὸν, ἔμελλε τοῖς περὶ νεοπτόλεμον ἐπιχειρεῖν. ὡς δὲ τὸν ἐν μέσῳ λόφον, ὑπερβαλόντες ὤφθησαν, ὀξεῖαν καὶ μετ᾽ ὁρμῆς σφοδροτέρας ποιούμενοι τὴν ἔφοδον, ἐκπλαγεὶς ὁ κρατερὸς, καὶ πολλὰ λοιδορήσας τὸν νεοπτόλεμον ὡς ἐξηπατημένος ὑπ᾽ αὐτοῦ περὶ τῆς τῶν μακεδόνων μεταβολῆς. ἐγκελευσάμενος ἀνδραγαθεῖν τοῖς περὶ αὐτὸν ἡγεμόσιν, ἀντεξήλασε. γενομένης δὲ τῆς πρώτης συρράξεως βαρείας, καὶ τῶν δοράτων ταχὺ συντριβέντων. τοῦ δὲ ἀγῶνος ἐν τοῖς ξίφεσιν ὄντος. οὐ κατῄσχυνας ὁ κρατερὸς τὸν ἀλέξανδρον, ἀλλὰ πολλοὺς μὲν καταβαλὼν, πολλάκις δὲ τρεψάμενος τοὺς ἀντιτεταγμένους. τέλος δὲ, πληγεὶς ὑπὸ θρακὸς, ἐκ πλαγίων προσελάσαντος, ἀπερρύη τοῦ ἵππου. πεσόντα δὲ αὐτὸν, οἱ μὲν ἄλλοι, παρήλασαν ἀγνοοῦντες. γοργίας δὲ, τῶν εὐμενοῦς στρατηγῶν, ἔγνω τε, καὶ καταβὰς, περιέστησεν φρουρὰν τῷ σώματι, κακῶς ἤδη διακειμένου καὶ δυσθανατοῦντος. ἐν τούτῳ δὲ καὶ νεοπτόλεμος, εὐμενεῖ συνήρχετο. μισοῦντες γὰρ ἀλλήλους πάλαι καὶ δι᾽ ὀργῆς ἔχοντες. ἐν μὲν δυσὶν ἀναστροφαῖς, οὐ κατεῖδον. ἐν δὲ τῇ τρίτῃ γνωρίσαντες, εὐθὺς ἤλαυνον, σπασάμενοι τὰ ἐγχειρίδια καὶ βοῶντες. τῶν δ᾽ ἵππων ἐξ ἐναντίας βίᾳ συμπεσόντων, ὡς περ τριήρων, τὰς ἡνίας ἀφέντες, ἀλλήλων ἀπελάβοντο ταῖς χερσὶν, τά τε κράνη περισπῶντες, καὶ περιρρηγνύντες ἐκ τῶν ἐπωμίδων τοὺς θώρακας. πρὸς δὲ τὸν σπαραγμὸν ὑποδραμόντων ἅμα τῶν ἵππων, ἀπορρυέντες εἰς γῆν, καὶ περιπεσόντες ἀλλήλοις ἐν λαβαῖς ἦσαν καὶ διεπάλαιον. εἶτα, ὁ μὲν εὐμενὴς τοῦ νεοπτολέμου προεξανισταμένου, τὴν ἰγνύαν ὑπέκοψεν, αὐτὸς εἰς ὀρθὸν φθάσας καταστῆναι. ὁ δὲ νεοπτόλεμος εἰς θάτερον ἐρεισάμενος γόνυ, θάτερον δὲ πεπηρωμένος, ἠμύνετο μὲν εὐρώστως, κάτωθεν. οὐ θανασίμους δὲ πληγὰς ὑπὸ φέρων. πληγεὶς δὲ παρὰ τὸν τράχηλον, ἔπεσεν καὶ παρείθη. τοῦ δὲ εὐμενοῦς δι᾽ ὀργὴν καὶ μῖσος παλαιὸν, τά τε ὅπλα περισπῶντος αὐτοῦ, καὶ κακῶς λέγοντος, ἔτι τὸ ξίφος ἔχων, ἔλαθεν ὑπὸ τὸν θώρακα τρώσας, ᾗ παρέψαυσε τοῦ βουβῶνος ἀποβάς. ἡ δὲ πληγὴ μᾶλλον ἐφόβησεν, ἢ ἔβλαψε τὸν εὐμενῆ, δι᾽ ἀσθένειαν ἀμυδρὰ γενομένη. σκυλεύσας δὲ τὸν νεκρὸν, εἶχε μὲν χαλεπῶς ὑπὸ τραυμάτων μηροὺς καὶ βραχίονας, διακεκομμένος. ὅμως δὲ, ἀναβληθεὶς ἐπὶ τὸν ἵππον, ἐδίωκε πρὸς θάτερον κέρας ὡς ἔτι συνεστώτων τῶν πολεμίων. πυθόμενος δὲ τὴν κρατεροῦ τελευτὴν, καὶ προσελάσας, ὡς εἶδεν ἐμπνέοντα καὶ συνιέντα. καταβὰς, ἀπεδάκρυσεν. καὶ τὴν δεξιὰν ἐνέβαλεν. καὶ πολλὰ μὲν ἐλοιδόρησεν τὸν νεοπτόλεμον. πολλὰ δὲ, ἐκεῖνον μὲν ᾠκτίσατο τῆς τύχης. αὑτὸν δὲ τῆς ἀνάγκης. δι᾽ ἣν ἀνδρὶ φίλῳ καὶ συνήθει. ταῦτα πεισόμενος, ἢ δράσων συνῃνέχθη.

Ταύτην τὴν μάχην εὐμενὴς ἡμέραις δέκα σχεδὸν τῇ μετὰ τὴν προτέραν ἐνίκησεν, καὶ δόξῃ μὲν, ἤρθη μέγας ἀπ᾽ αὐτῆς, ὡς τὰ μὲν σοφίᾳ. τὰ δὲ, ἀνδρείᾳ κατειργασμένος, φθόνον δὲ πολὺν ἔσχεν, καὶ μῖσος ὁμαλῶς, παρά τε τοῖς συμμάχοις, καὶ τοῖς πολεμίοις. ὡς ἔπηλυς ἀνὴρ καὶ ξένος, ὅπλοις καὶ

νειν, καὶ τὸν εὐμενῆ παρεκάλει, καὶ διήλλαττε πρὸς ἑκαταῖον. ἦν γὰρ αὐτοῖς, πατρική τις ἐκ πολιτικῶν διαφορῶν ὑποψία πρὸς ἀλλήλους. καὶ πολλάκις ὁ εὐμενὴς ἐγεγόνει φανερὸς κατηγορῶν τοῦ ἑκαταίου τυραννοῦντος, καὶ παρακαλῶν ἀλέξανδρον, ἀποδοῦναι τοῖς καρδιανοῖς τὴν ἐλευθερίαν.

Διὸ καὶ τότε τοῦ εὐμενοῦς παραιτουμένου τὴν ἐπὶ τοὺς ἕλληνας στρατείαν, καὶ δεδιέναι φάσκοντος ἀντίπατρον, μή πως ἑκαταίῳ χαριζόμενος, καὶ πάλαι μισῶν αὐτὸν ἀνέλῃ. πιστεύσας ὁ λεοννάτος, οὐδὲν ὧν ἐφρόνει πρὸς αὐτὸν ἀπεκρύψατο. λόγος μὲν γὰρ ἦν ἡ βοήθεια, καὶ πρόφασις. ἐγνώκει δὲ διαβὰς, εὐθὺς ἀντιποιεῖσθαι μακεδονίας. καί τινας ἐπιστολὰς ἔδειξε κλεοπάτρας μεταπεμπομένης αὐτὸν, εἰς πέλλαν, ὡς γαμησομένης. ὁ δ' εὐμενὴς, εἴτε τὸν ἀντίπατρον δεδοικώς. εἴτε τὸν λεοννάτον ἔμπληκτον ὄντα, καὶ φορᾶς μεστὸν ἀβεβαίου, καὶ ὀξείας, ἀπογνοὺς νύκτωρ ἀνέζευξε τὴν ἑαυτοῦ λαβὼν ἀποσκευήν, εἶχε δὲ τριακοσίους μὲν ἱππεῖς, διακοσίους δὲ τῶν παίδων ὁπλοφόρους. ἐν δὲ χρυσοῖς εἰς ἀργυρίου λόγον, τάλαντα πεντακισχίλια. φυγὼν δὲ οὕτω πρὸς περδίκκαν, καὶ τὰ λεοννάτου βουλεύματα κατειπὼν, εὐθὺς μὲν ἴσχυε μέγα παρ' αὐτῷ, καὶ τοῦ συνεδρίου μετεῖχεν. ὀλίγον δὲ ὕστερον εἰς καππαδοκίαν κατήχθη, μετὰ δυνάμεως, αὐτοῦ περδίκκου παρόντος καὶ στρατηγοῦντος, ἀριαράθου δὲ ληφθέντος αἰχμαλώτου, καὶ τῆς χώρας ὑποχειρίου γενομένης, ἀποδείκνυται σατράπης. καὶ τὰς μὲν πόλεις, τοῖς ἑαυτοῦ φίλοις παρέδωκε, καὶ φρουράρχους ἐγκατέστησεν. καὶ δικαστὰς ἀπέλιπεν καὶ διοικητὰς οὓς ἐβούλετο, τοῦ περδίκκου μηδὲν ἐν τούτοις πολυπραγμονοῦντος. αὐτὸς δὲ συνανέζευξεν ἐκεῖνόν τε θεραπεύων, καὶ τῶν βασιλείων ἀπολείπεσθαι μὴ βουλόμενος. οὐ μὴν ἀλλ' ὁ περδίκκας, ἐφ' ἃ μὲν ὥρμητο πιστεύων δι' αὐτοῦ προσάξεσθαι. τὰ δὲ ὑπολειπόμενα δεῖσθαι δραστηρίου τε καὶ πιστοῦ φύλακος οἰόμενος, ἀπέπεμψεν ἐκ κιλικίας τὸν εὐμενῆ, λόγῳ μὲν ἐπὶ τὴν ἑαυτοῦ σατραπείαν. ἔργῳ δὲ, τὴν ὅμορον ἀρμενίαν τεταραγμένην ὑπὸ νεοπτολέμου διὰ χειρὸς ἕξοντα. τοῦτον μὲν οὖν ὁ εὐμενὴς, καίπερ ὄγκῳ τινὶ καὶ φρονήματι κενῷ διεφθαρμένον ἐπειρᾶτο ταῖς ὁμιλίαις κατέχειν, αὐτὸς δὲ τὴν φάλαγγα τῶν μακεδόνων ἐπηρμένην καὶ θρασεῖαν εὑρὼν, ὥσπερ ἀντίταγμα κατεσκεύαζεν αὐτῇ δύναμιν ἱππικήν. τῶν μὲν ἐγχωρίων τοῖς ἱππεύειν δυναμένοις, ἀνεισφορίας διδοὺς, καὶ ἀτελείας. τῶν δὲ περὶ αὐτὸν, οἷς μάλιστα ἐπίστευεν ὠνητοὺς διανέμων ἵππους, φιλοτιμίαις τε καὶ δωρεαῖς, τὰ δὲ φρονήματα παροξύνων, καὶ τὰ σώματα, κινήσεσιν καὶ μελέταις διαπονῶν. ὥστε τοὺς μὲν ἐκπλαγῆναι, τοὺς δὲ θαρρῆσαι τῶν μακεδόνων, ὁρῶντας ὀλίγῳ χρόνῳ περὶ αὐτὸν, ἠθροισμένους ἱππεῖς. οὐκ ἐλάττους ἑξακισχιλίων καὶ τριακοσίων. ἐπεὶ δὲ κρατερὸς καὶ ἀντίπατρος τῶν ἑλλήνων περιγενόμενοι διέβαινον εἰς ἀσίαν τὴν περδίκκου καταλύσοντες ἀρχὴν, καὶ προσηγγέλλοντο μέλλοντες ἐμβαλεῖν εἰς καππαδοκίαν, ὁ περδίκκας αὐτὸς, ἐπὶ πτολεμαῖον στρατεύων, ἀπέδειξε τὸν εὐμενῆ τῶν ἐν ἀρμενίᾳ καὶ καππαδοκίᾳ δυνάμεων αὐτοκράτορα στρατηγόν. καὶ περὶ τούτων, ἐπιστολὰς ἔπεμψεν, ἀλκέταν μὲν καὶ νεοπτόλεμον, εὐμενεῖ προσέχειν κελεύσας, εὐμενῆ δὲ χρῆσθαι τοῖς πράγμασιν. ὅπως αὐτὸς ἔγνωκεν. ἀλκέτας μὲν, οὖν ἀντικρὺς ἀπείπατο τὴν στρατείαν, ὡς τῶν ὑπ' αὐτῷ μακεδόνων ἀντιπάτρῳ μὲν, αἰδουμένων μάχεσθαι, κρατερὸν δὲ καὶ δέχεσθαι, δι' εὔνοιαν ἑτοίμων ὄντων.

Νεοπτόλεμος δὲ, βουλεύων μὲν ἐπ' εὐμενεῖ προδοσίαν, οὐκ ἔλαθε. καλούμενος δὲ, οὐχ ὑπήκουσεν, ἀλλὰ παρετάττε τὴν δύναμιν. ἔνθα πρῶτον ὁ εὐμενὴς, ἀπέλαυσε τῆς ἑαυτοῦ προνοίας καὶ παρασκευῆς. ἡττώμενος γὰρ ἤδη, κατὰ τὸ πεζὸν, ἐτρέψατο τοῖς ἱππεῦσι τὸν νεοπτόλεμον, καὶ τὴν ἀποσκευὴν ἔλαβεν αὐτοῦ. καὶ τῇ φάλαγγι διεσπαρμένῃ περὶ τὴν δίωξιν, ἀθρόους ἐπελάσας, ἠνάγκασε τὰ ὅπλα θέσθαι καὶ λαβόντας, ὅρκους αὐτῷ συστρατεύειν. ὁ μὲν οὖν νεοπτόλεμος ὀλίγους τινὰς συναγαγὼν ἐκ τῆς τροπῆς, ἔφυγε πρὸς κρατερὸν καὶ ἀντίπατρον. παρ' ἐκείνων δὲ, ἀπέσταλτο πρεσβεία πρὸς εὐμενῆ παρακαλοῦσα μεταθέσθαι πρὸς αὐτοὺς, καρπούμενον μὲν, ἃς εἶχε σατραπείας, προσλαβόντα δὲ στρατείαν, καὶ χώραν παρ' αὐτῶν. ἀντιπάτρῳ μὲν, ἀντ' ἐχθροῦ, φίλον γενόμενον. κρατερῷ δὲ μὴ γενόμενον ἐκ φίλου πολέμιον. Ταῦτα ὁ εὐμενὴς ἀκούσας, ἀντιπάτρῳ μὲν, οὐκ ἂν ἔφη παλαιὸς ὢν ἐχθρὸς, νῦν γενέσθαι φίλος, ὅτε αὐτὸν ὁρᾷ τοῖς φίλοις ὡς ἐχθροῖς χρώμενον. κρατερὸν δὲ, περδίκκᾳ διαλλάττειν, ἕτοιμος εἶναι, καὶ συνάγειν ἐπὶ τοῖς ἴσοις καὶ δικαίοις. ἄρχοντος δὲ πλεονεξίας, τῷ ἀδικουμένῳ βοηθήσειν. μέχρις ἂν ἐμπνέῃ. καὶ μᾶλλον τὸ σῶμα καὶ τὸν βίον, ἢ τὴν πίστιν προήσεσθαι.

Οἱ μὲν οὖν περὶ τὸν ἀντίπατρον, πυθόμενοι ταῦτα κατὰ σχολὴν, ἐβουλεύοντο περὶ τῶν ὅλων. ὁ νεοπτόλεμος δὲ μετὰ τὴν φυγήν. ἀφικόμενος πρὸς αὐτοὺς, τήν τε μάχην ἀπήγγελλεν καὶ παρεκάλει βοηθεῖν. μάλιστα μὲν, ἀμφοτέρους, πάντως δὲ κρατερόν. ποθεῖσθαι γὰρ ὑπερφυῶς ἐκεῖνον, ὑπὸ τῶν μακεδόνων. κἂν μόνον ἴδωσι τὴν καυσίαν αὐτοῦ καὶ τὴν φωνὴν ἀκούσωσιν, μετὰ τῶν ὅπλων ἥξειν φερομένους. καὶ γὰρ ἦν ὄντως ὄνομα τοῦ κρατεροῦ μέγα. καὶ μετὰ τὴν ἀλεξάνδρου τελευτὴν τοῦτον ἐπόθησαν οἱ πολλοὶ, μνημονεύοντες ὅτι καὶ πρὸς ἀλέξανδρον, ὑπὲρ αὐτῶν ἀνεδέξατο πολλάκις ἀπεχθείας πολλὰς, ὑποφερομένου πρὸς τὸν περσικὸν ζῆλον ἀντιλαμβανόμενος, καὶ τοῖς πατρίοις ἀμύνων, διὰ τρυφὴν καὶ ὄγκον ἤδη περιυβριζομένοις. Τότε δ' οὖν ὁ κρατερὸς τὸν μὲν ἀντίπατρον, εἰς

Εὐμενῆ δὲ τὸν καρδιανὸν, ἱστορεῖ δοῦρις, πατρὸς μὲν ἁμαξεύοντος ἐν χερρονήσῳ διὰ πενίαν γενέσθαι, τραφῆναι δὲ, ἐλευθερίως ἐν γράμμασι καὶ περὶ παλαίστραν. ἔτι δὲ παιδὸς ὄντος αὐτοῦ, φίλιππον παρεπιδημοῦντα, καὶ σχολὴν ἄγοντα, τὰ τῶν καρδιανῶν θεάσασθαι παγκράτια μειρακίων, καὶ παλαίσματα παίδων. ἐν οἷς εὐημερήσαντα τὸν εὐμενῆ, καὶ φανέντα συνετὸν καὶ ἀνδρεῖον, ἀρέσαι τῷ φιλίππῳ καὶ ἀναληφθῆναι. δοκοῦσι δὲ εἰκότα λέγειν μᾶλλον, οἱ διὰ ξενίαν, καὶ φιλίαν πατρῴαν, τὸν εὐμενῆ λέγοντες, ὑπὸ τοῦ φιλίππου προαχθῆναι. μετὰ δὲ τὴν ἐκείνου τελευτὴν, οὔτε συνέσει τινὸς οὔτε πίστει λείπεσθαι δοκῶν, τῶν περὶ ἀλέξανδρον, ἐκαλεῖτο μὲν ἀρχιγραμματεὺς, τιμῆς δὲ, ὥσπερ οἱ μάλιστα φίλοι, καὶ συνήθεις ἐτύγχανε. ὥστε καὶ στρατηγὸς ἀποσταλῆναι, κατὰ τὴν ἰνδικὴν ἐφ' ἑαυτοῦ μετὰ δυνάμεως, καὶ τὴν περδίκκου παραλαβεῖν ἱππαρχίαν. ὅτε περδίκκας, ἀποθανόντος ἡφαιστίωνος, εἰς τὴν ἐκείνου προῆλθε τάξιν. Διὸ καὶ νεοπτολέμου τοῦ ἀρχιυπασπιστοῦ μετὰ τὴν ἀλεξάνδρου τελευτὴν λέγοντες. ὡς αὐτὸς μὲν ἀσπίδα καὶ λόγχην. εὐμενὴς δὲ, γραφεῖον ἔχων καὶ πινακίδιον, ἠκολούθει, κατεγέλων οἱ μακεδόνες. μετὰ τῶν ἄλλων καλῶν τὸν εὐμενῆ, καὶ τῆς κατὰ τὸν γάμον οἰκειότητος, ὑπὸ τοῦ βασιλέως εἰδότες ἀξιωθέντα. βαρσίνην γὰρ τὴν ἀρταβάζου πρώτην ἐν ἀσίᾳ, γνοὺς ὁ ἀλέξανδρος, ἐξ ἧς υἱὸν ἔσχεν ἡρακλέα, τῶν ταύτης ἀδελφῶν πτολεμαίῳ μὲν, ἀπάμαν. εὐμενεῖ δὲ, βαρσίνην ἐξέδωκεν, ὅτε καὶ τὰς ἄλλας περσίδας διένειμε καὶ συνῴκιζε τοῖς ἑταίροις. οὐ μὴν, ἀλλὰ καὶ προσέκρουσε πολλάκις ἀλεξάνδρῳ καὶ παρεκινδύνευσεν δι' ἡφαιστίωνα. πρῶτον μὲν γὰρ, εὐίῳ τῷ αὐλητῇ τοῦ ἡφαιστίωνος οἰκίαν κατανείμαντος, ἣν οἱ παῖδες ἔτυχον τῷ εὐμενεῖ προκατειληφότες. ἐλθὼν ὑπὸ ὀργῆς πρὸς τὸν ἀλέξανδρον ὁ εὐμενὴς, ἐβόα μετὰ μέντορος ὡς αὐλεῖν εἴη κράτιστον, ἢ τραγῳδεῖν τὰ ὅπλα ῥίψαντας ἐκ τῶν χειρῶν, ὥστε ἀλέξανδρον αὐτῷ συναγανακτεῖν, καὶ λοιδορεῖσθαι τῷ ἡφαιστίωνι. ταχὺ μέντοι μεταπεσὼν, αὖθις εἶχε τὸν εὐμενῆ δι' ὀργῆς ὡς ὕβρει μᾶλλον πρὸς ἑαυτὸν, ἢ παρρησίᾳ πρὸς ἡφαιστίωνα χρησάμενον. ἔπειτα. νέαρχον ἐκπέμπων μετὰ νεῶν ἐπὶ τὴν ἔξω θάλασσαν, ᾔτει χρήματα τοὺς φίλους, οὐ γὰρ ἦν ἐν τῷ βασιλείῳ. τοῦ δ' εὐμενοῦς αἰτηθέντος μὲν τριακόσια τάλαντα. δόντος δὲ ἑκατὸν μόνα, καὶ ταῦτα γλίσχρως καὶ μόλις αὐτῷ συνειλέχθαι διὰ τῶν ἐπιτρόπων, φάσκοντος. οὐδὲν ἐγκαλέσας οὐδὲ δεξάμενος, ἐκέλευσε τοὺς παῖδας κρύφα τῇ σκηνῇ τοῦ εὐμενοῦς πῦρ ἐνεῖναι, βουλόμενος ἐκκομιζομένων τῶν χρημάτων, λαβεῖν ἐπ' αὐτοφώρῳ ψευδόμενον. ἔφθη δὲ ἡ σκηνὴ καταφλεχθεῖσα καὶ μετενόησε τῶν γραμμάτων διαφθαρέντων ὁ ἀλέξανδρος. τὸ δὲ συγχυθὲν χρυσίον ἢ ἀργύριον ὑπὸ τοῦ πυρὸς, ἀνευρέθη πλεῖον ἢ χιλίων ταλάντων. ἔλαβε δὲ οὐδὲν, ἀλλὰ καὶ γράψας τοῖς πανταχοῦ σατράπαις, καὶ στρατηγοῖς ἀντίγραφα τῶν διεφθαρμένων ἀποστέλλειν, πάντα παραλαμβάνειν ἐκέλευσε τὸν εὐμενῆ. πάλιν δὲ περὶ δωρεᾶς τινὸς εἰς διαφορὰν καταστὰς πρὸς τὸν ἡφαιστίωνα, καὶ πολλὰ μὲν ἀκούσας κακῶς, πολλὰ δὲ εἰπὼν, τότε μὲν, οὐκ ἔλαττον ἔσχεν. μετ' ὀλίγον δὲ, τελευτήσαντος ἡφαιστίωνος, περιπαθῶν ὁ βασιλεὺς, καὶ πᾶσιν οὓς ἐδόκει, ζῶντι μὲν ἐκείνῳ φθονεῖν, ἐπιχαίρειν δὲ τεθνηκότι, τραχέως ὁμιλῶν, καὶ χαλεπὸς ὢν, μάλιστα τὸν εὐμενῆ δι' ὑποψίας εἶχεν, καὶ προὔφερε πολλάκις τὰς διαφορὰς καὶ λοιδορίας ἐκείνας. ὁ δὲ πανοῦργος ὢν καὶ πιθανὸς, ἐπεχείρησεν οἷς ἀπώλλυτο σώζειν ἑαυτόν. κατέφυγε γὰρ εἰς τὴν πρὸς ἡφαιστίωνα φιλοτιμίαν ἀλεξάνδρου καὶ χάριν. ὑφηγούμενός τε τιμὰς αἳ μάλιστα κοσμεῖν ἔμελλον τὸν τεθνηκότα, καὶ χρήματα τελῶν εἰς τὴν τοῦ τάφου κατασκευὴν, ἀφειδῶς καὶ προθύμως. ἀποθανόντος δὲ ἀλεξάνδρου καὶ τῆς φάλαγγος διεστώσης πρὸς τοὺς ἑταίρους. τῇ μὲν γνώμῃ, τούτοις προσένειμεν ἑαυτὸν ὁ εὐμενής. τῷ δὲ λόγῳ, κοινός τις ἦν πρὸς ἀμφοτέρους καὶ ἰδιώτης. ὡς οὐδὲν αὐτῷ προσῆκον, ξένῳ ὄντι πολυπραγμονεῖν ταῖς μακεδόνων διαφοραῖς, καὶ τῶν ἄλλων ἑταίρων, ἐκ βαβυλῶνος ἀνασκευασαμένων, αὐτὸς ὑπολειφθεὶς ἐν τῇ πόλει, κατεπράϋνε πολλοὺς τῶν πεζῶν. καὶ πρὸς τὰς διαλύσεις ἡδίους ἐποίησεν. ἐπεὶ δὲ ἀναμιχθέντες ἀλλήλοις οἱ στρατηγοὶ, καὶ καταστάντες ἐκ τῶν πρώτων ταραχῶν, διενέμοντο, σατραπείας καὶ στρατηγίας. εὐμενὴς, λαμβάνει καππαδοκίαν καὶ παφλαγονίαν τὴν ὑποκειμένην τῇ ποντικῇ θαλάττῃ, μέχρι τραπεζοῦντος, οὔπω τότε μακεδόνων οὖσαν. ἀριαράθης γὰρ αὐτῆς ἐβασίλευεν. ἀλλ' ἔδει λεοννάτον καὶ ἀντίγονον χειρὶ μεγάλῃ τὸν εὐμενῆ κατάγοντας, ἀποδεῖξαι τῆς χώρας σατράπην. ἀντίγονος μὲν οὖν, οὐ προσέχων τοῖς γραφεῖσιν ὑπὸ περδίκκου, μετέωρος ὢν ἤδη καὶ περιφρονῶν ἁπάντων. λεοννάτος δὲ, κατέβη μὲν ἄνωθεν, εἰς φρυγίαν, ἀναδεξάμενος εὐμενεῖ τὴν στρατείαν. ἑκαταίου δὲ τοῦ καρδιανῶν τυράννου συμμίξαντος αὐτῷ καὶ δεομένου βοηθεῖν μᾶλλον ἀντιπάτρῳ καὶ μακεδόνων τοῖς ἐν λαμίᾳ πολιορκουμένοις, ὥρμητο διαβαί-

καίσαρα μυριάδας τριάκοντα χειρωσάμενον, συνεβούλευεν ὁ κάτων ἐκδοῦναι τοῖς ἡττημένοις. καὶ δέξασθαι τὸ μήνυμα τοῦ παρασπονδήματος εἰς ἐκεῖνον. ὁ δὲ δῆμος, ἐρρῶσθαι φράσας κάτωνι, πεντεκαίδεκα ἡμέρας ἔθυεν ἐπινίκια, καὶ περιχαρὴς ἦν. πῶς οὖν ἂν διετέθη. καὶ πόσας ἔθυσεν ἡμέρας, εἰ κράσσος ἐκ βαβυλῶνος ἔγραψε νικῶν. εἶτ' ἐπελθὼν μηδίαν. περσίδα. ὑρκανούς. σοῦσα. βάκτρα, ῥωμαίων ἐπαρχίας ἀπέδειξεν. εἴπερ γὰρ ἀδικεῖν χρὴ κατὰ τὸν εὐριπίδην, ἡσυχίαν ἄγειν μὴ δυναμένους. μηδὲ χρῆσθαι τοῖς παροῦσιν ἀγαθοῖς εἰδότας, οὐ σκάνδειαν. οὐ μένδην ἐκκοπτέον. οὐδὲ φεύγοντας αἰγινήτας ἀπολελοιπότας τὴν ἑαυτῶν, ὥσπερ ὄρνιθας εἰς ἑτέραν χώραν ἀποκεκρυμμένους ἐκθηρατέον, ἀλλὰ πολλοῦ τιμητέον τὸ ἀδικεῖν. μὴ ῥᾳδίως. μηδ' ἐπὶ τοῖς τυχοῦσιν, ὥς τι φαῦλον ἢ μικρὸν προϊεμένους τὸ δίκαιον. οἱ δὲ τὴν μὲν τῆς ἀλεξάνδρου στρατείας ὁρμὴν ἐπαινοῦντες, τὴν δὲ κράσσου ψέγοντες, οὐκ εὖ τὰ πρῶτα κρίνουσιν ἀπὸ τῶν τελευταίων. ἐν δὲ ταῖς στρατηγίαις αὐταῖς, νικίου μὲν οὐκ ὀλίγα γενναῖα. καὶ γὰρ μάχαις πολλαῖς, ἐνίκησε τοὺς πολεμίους. καὶ τοῦ λαβεῖν συρακούσας, ὀλίγον ἐδέησε. καὶ πάντα δι' αὐτὸν οὐκ ἔπταισεν. ἀλλὰ καὶ νόσον ἄν τις αἰτιάσαιτο. καὶ φθόνον τῶν οἴκοι πολιτῶν. κράσσος δὲ διὰ πλῆθος ἁμαρτημάτων, οὐδὲν τῇ τύχῃ χρηστὸν ἀποδείξασθαι παρῆκεν. ὥστε θαυμάζειν αὐτοῦ τὴν ἀβελτηρίαν. οὐ τῆς πάρθων δυνάμεως ἡττηθεῖσαν, ἀλλὰ τῆς ῥωμαίων εὐτυχίας περιγενομένην. ἐπεὶ δ' ὁ μὲν μηδενὸς τῶν ἀπὸ μαντικῆς καταφρονῶν, ὁ δὲ, πάντα ὑπερορῶν, ὁμοίως ἀπώλοντο, χαλεπὴ μὲν ἐν τούτοις ἡ ἀσφάλεια καὶ δύσκριτος, ἐπιεικέστερον δὲ αὐτῆς, τοῦ παρανόμου καὶ αὐθάδους, τὸ μετὰ δόξης παλαιᾶς καὶ συνήθους δι' εὐλάβειαν ἁμαρτανόμενον. περὶ μέντοι τὴν τελευτὴν, ἀμεμπτότερος ὁ κράσσος, οὐ παραδοὺς ἑαυτὸν, οὐδὲ δεθεὶς, οὐδὲ φενακισθεὶς, ἀλλ' εἴξας τοῖς φίλοις δεομένοις, καὶ παρασπονδηθεὶς ὑπὸ τῶν πολεμίων. ὁ δὲ νικίας αἰσχρᾶς καὶ ἀκλεοῦς ἐλπίδι σωτηρίας, ὑποπεσὼν τοῖς πολεμίοις, αἰσχίονα ἑαυτῷ τὸν θάνατον ἐποίησεν.

νας, πολιτικώτερος μὲν ὁ νικίας ἀναθήμασι καὶ γυμνασιαρχίαις καὶ διδασκαλίαις χορῶν φιλο-
τιμούμενος. ὧν δ' ὁ κράσσος ἀνάλωσεν ἑστιάσας ἅμα τοσαύτας μυριάδας ἀνθρώπων, εἶτα θρέψας πά-
λιν, οὐδὲν ἦν μέρος ὁ νικίας ἐκέκτητο σὺν οἷς ἀνήλωσεν, ὥστε θαυμάζειν εἴ τινα λέληθε τὸ τὴν κακίαν
αἰσχρῶς ἀνωμαλίαν εἶναί τινα τρόπου καὶ ἀνομολογίαν, ὁρῶντα τοὺς αἰσχροὺς συλλέγοντας εἶτα χρηστῶς ἐκ-
χέοντας. περὶ μὲν τοῦ πλούτου, τοσαῦτα. τοῖς δὲ πολιτεύμασι, τοῦ μὲν νικίου, πανοῦργον οὐδὲν οὐδὲ ἄ-
δικον οὐδὲ βίαιον πρόσεστιν. οὐδὲ θρασύτης, ἀλλ' ἐξηπατᾶτο μᾶλλον ὑπὸ ἀλκιβιάδου. καὶ τῷ δήμῳ
προσῄει μετ' εὐλαβείας. τοῦ δὲ κράσσου, πολλὴν μὲν ἐν ταῖς πρὸς ἔχθραν καὶ φιλίαν μεταβολαῖς, ἀπι-
στίαν καὶ ἀνελευθερίαν κατηγοροῦσι. βίᾳ δ' οὐδ' αὐτὸς ἠρνεῖτο τὴν ὑπατείαν μετιέναι, μισθωσάμενος
ἄνδρας, τοὺς κάτωνι καὶ δομιτίῳ τὰς χεῖρας προσοίσοντας. ἐν δὲ τῇ περὶ τῶν ἐπαρχιῶν ψηφοφο-
ρίᾳ, τοῦ δήμου, πολλοὶ μὲν ἐτρώθησαν. ἔπεσον δὲ τέσσαρες. αὐτὸς δ', ὅπερ ἡμᾶς ἐν τῇ διηγήσει παρε-
λήλυθε, λεύκιον ἀνάλιον, ἄνδρα βουλευτὴν, ἀντιλέγοντα, πὺξ πατάξας εἰς τὸ πρόσωπον, ἐξέβα-
λεν ᾑμαγμένον. ὡς δὲ περὶ ταῦτα βίαιος ὁ κράσσος καὶ τυραννικὸς, οὕτως αὖ πάλιν ἐκείνου τὸ ψοφο-
δεὲς ἐν τῇ πολιτείᾳ καὶ ἄτολμον, καὶ τοῖς κακίστοις ὑφιέμενον, τῶν μεγίστων ἐπιλήψεων ἄξιον. ὁ δὲ
κράσσος, ὑψηλὸς περί γε ταῦτα καὶ μεγαλόφρων, οὐ πρὸς κλέωνας οὐδ' ὑπερβόλους μὰ δία τοῦ
ἀγῶνος ὄντος, ἀλλὰ πρὸς τὴν καίσαρος λαμπρότητα. καὶ τρεῖς τοῦ πομπηΐου θριάμβους οὐχ ὑπείξας,
ἀλλ' ἀντάρας ἑκατέρῳ τὴν δύναμιν, ἀξιώματι δὲ τῆς τιμητικῆς ἀρχῆς καὶ πομπήϊον ὑπερβαλλό-
μενος. δεῖ γὰρ ἐπὶ μεγίστοις, οὐ τὸ ἐπίφθονον, ἀλλὰ τὸ λαμπρὸν ἐν πολιτείᾳ λαμβάνειν. μεγέθει δυνά-
μεως ἐξαμαυροῦντα τὸν φθόνον. εἰ δ' ἐξ ἅπαντος ἀγαπᾷς ἀσφάλειαν καὶ ἡσυχίαν. καὶ δέδιας ἀλκι-
βιάδην μὲν ἐπὶ τοῦ βήματος. ἐν δὲ πύλῳ λακεδαιμονίους. περδίκκαν δ' ἐν θρᾴκῃ, πολλὴν εὐρυχωρίαν
ἡ πόλις ἔχει σχολῆς, ἐκ μέσου γενόμενον καθῆσθαι πλέκοντα τῆς ἀταραξίας σεαυτῷ στέφανον. ὡς ἔ-
νιοι σοφισταὶ λέγουσιν. ὁ μὲν γὰρ τῆς εἰρήνης ἔρως, θεῖος ἦν ὡς ἀληθῶς. καὶ τὸ λῦσαι τὸν πόλεμον ἑλ-
ληνικώτατον πολίτευμα, καὶ τῆς πράξεως ἕνεκα ταύτης, οὐκ ἄξιον νικίᾳ παραβαλεῖν κράσσον, οὐ-
δ' εἰ τὸ κάσπιον φέρων πέλαγος, ἢ τὸν ἰνδὸν ὠκεανὸν τῇ ῥωμαίων ἡγεμονίᾳ, προσώρισε. πόλει μέντοι
χρώμενον ἀρετῆς αἰσθανομένῃ, καὶ κρείττονα ὄντα τῇ δυνάμει, χώραν οὐ δοτέον τοῖς πονηροῖς. οὐδ' ἀρ-
χὴν μὴ ἄρχουσιν. οὐδὲ πίστιν ἀπιστουμένοις. ὅπερ ἐποίησεν ὁ νικίας. τὸν κλέωνα μηδὲν ὄντα πλέον ἐν τῇ
πόλει τῆς ἀπὸ τοῦ βήματος ἀναισχυντίας καὶ κραυγῆς, αὐτὸς εἰς τὸ στρατηγεῖν καταστήσας. οὐκ ἐπαι-
νῶ μὲν ἐγὼ τὸν κράσσον ἐν τοῖς σπαρτακίοις ἐπειχθέντα θᾶσσον ἢ ἀσφαλέστερον διαγωνίσασθαι. καί-
τοι φιλοτιμίας ἦν, τὸ δεῖσαι μὴ πομπήϊος ἐλθὼν ἀφέληται τὴν δόξαν αὐτοῦ, καθάπερ ἀφείλετο με-
κόμμιος τέλλου, μόμμιος τὴν κόρινθον. τὸ δὲ τοῦ νικίου, παντάπασιν ἄτοπον καὶ δεινόν. οὐ γὰρ ἐλπίδας, οὐδὲ
ῥᾳστώνην ἐχούσης, ἐξέστη τῷ ἐχθρῷ φιλοτιμίας καὶ ἀρχῆς. ἀλλὰ κίνδυνον ὑφορώμενος ἐν τῇ στρατη-
γίᾳ μέγαν, ἠγάπησε τὸ καθ' αὑτὸν ἐν ἀσφαλεῖ θέμενος, προέσθαι τὸ κοινόν. καίτοι ὅ γε θεμιστοκλῆς ἵνα
μὴ φαῦλος ἄνθρωπος ἐν τοῖς περσικοῖς καὶ ἄφρων στρατηγήσας ἀπολέσῃ τὴν πόλιν, ἀργυρίῳ τῆς ἀρ-
ὅτε .ς. χῆς ἀπέστησεν αὐτόν. καὶ κάτων ὅτι μάλιστα ἑώρα πράγματα καὶ κινδύνους ἔχουσαν ὑπὲρ τῆς πό-
λεως τὴν δημαρχίαν μετῆλθεν. ὁ δ' αὑτὸν ἐπὶ τὴν μινώαν καὶ κύθηρα καὶ μηλίους τοὺς ταλαιπώ-
μονίοις, ρους φυλάττων στρατηγόν. εἰ δέοι μάχεσθαι λακεδαιμονίους, ἀποδυόμενος τὴν χλαμύδα, καὶ τῇ κλέω-
νος ἀπειρίᾳ καὶ θρασύτητι, ναῦς, καὶ ἄνδρας καὶ ὅπλα. καὶ στρατηγίαν ἐμπειρίας ἄκρας δεομέ-
νην παραδιδοὺς, οὐ τὴν ἑαυτοῦ προΐεται δόξαν, ἀλλὰ τὴν τῆς πατρίδος ἀσφάλειαν καὶ σωτηρίαν. ὅθεν
ὕστερον, οὐχ ἑκὼν οὐδὲ βουλόμενος συρακουσίοις πολεμεῖν, ἠναγκάζετο. δοκῶν, οὐ λογισμῷ τοῦ συμφέ-
ροντος, ἀλλὰ ῥᾳστώνῃ καὶ μαλακίᾳ τὸ παρ' αὐτὸν ἀποστερεῖν σικελίας τὴν πόλιν. ἐκεῖνο μέντοι μεγάλης
ἐπιεικείας σημεῖον. ὅτι δυσχεραίνοντα τὸ πολεμεῖν ἀεὶ, καὶ φεύγοντα τὸ στρατηγεῖν, οὐκ ἐπαύοντο χει-
ροτονοῦντες, ὡς ἐμπειρότατον καὶ βέλτιστον. τῷ δὲ κράσσῳ παρὰ πάντα τὸν χρόνον ἐφιεμένῳ στρατη-
γίας, οὐχ ὑπῆρξε τυχεῖν, πλὴν ἐπὶ τὸν δουλικὸν πόλεμον ἐξ ἀνάγκης. πομπηΐου καὶ μετέλλου. καὶ
λευκούλλων ἀμφοτέρων ἀπόντων. καίτοι τότε τιμωμένῳ μάλιστα καὶ δυναμένῳ πλεῖστον. ἀλλ' ὡς ἔοι-
κε καὶ τοῖς σπουδάζουσι περὶ αὐτὸν, ἐδόκει κατὰ τὸν κωμικὸν, ἀνὴρ ἄριστος εἶναι τἄλλα πλὴν ἐν ἀ-
σπίδι. καὶ τοὺς ῥωμαίους οὐδὲν ὤνησεν, ἐκβιασθέντας ὑπὸ τῆς φιλαρχίας αὐτοῦ, καὶ φιλοτιμί-
ας. ἀθηναῖοι μὲν γὰρ ἄκοντα νικίαν ἐξέπεμψαν ἐπὶ τὸν πόλεμον, ῥωμαίους δὲ, κράσσος ἄκοντας ἐ-
ξήγαγε. καὶ διὰ μὲν τοῦτον, ἡ πόλις. ἐκεῖνος δὲ, διὰ τὴν πόλιν ἠτύχησεν. οὐ μὴν, ἀλλὰ μᾶλλόν ἐστιν ἐν τού-
τοις τὸν νικίαν ἐπαινεῖν, ἢ ψέγειν τὸν κράσσον. ὁ μὲν γὰρ ἐμπειρίᾳ καὶ λογισμῷ χρησάμενος ἡγεμόνος
ἔδεισε .ς. ἔμφρονος, οὐ συναπατήθη ταῖς ἐλπίσι τῶν πολιτῶν. ἀλλ' ἔπειπε καὶ ἀπέγνω λήψεσθαι σικελίαν.
ὁ δ' ὡς ἐπὶ ῥᾷστον ἔργον, τὸν παρθικὸν ὁρμήσας πόλεμον, ἥμαρτε μὲν, ὠρέχθη δὲ μεγάλων, ἢ καίσαρος τὰ
ἑσπέρια, καὶ κελτοὺς, καὶ γερμανοὺς καταστρεφομένου, καὶ βρεττανίαν, αὐτὸς ἐπὶ τὴν ἕω καὶ τὴν ἰν-
ἐλάσαι .ς. δικὴν ἐλάσας θάλασσαν, καὶ προσεργάσασθαι τὴν ἀσίαν, οἷς πομπήϊος ἐπῆλθε. καὶ λούκουλλος ἀν-
τέσχον, ἄνδρες εὐμενεῖς καὶ πρὸς πάντας ἀγαθοὶ διαμείναντες, προελόμενοι δ' ὅμοια κράσσῳ καὶ τὰς
αὐτὰς ὑποθέσεις λαβόντες. ἐπεὶ καὶ πομπηΐῳ τῆς ἀρχῆς διδομένης, ἡ σύγκλητος ἠναντιοῦτο. καὶ

ἀνεπήδησαν ἐπὶ τὸν λόφον. πλησιαζόντων δὲ τῶν πάρθων. καὶ λεγόντων, ὅτι κράσσος μὲν δίκην ἔδωκε. τοὺς δ' ἄλλους κελεύει σουρήνας κατιέναι θαρροῦντας. οἱ μὲν, ἐνεχείρισαν αὑτοὺς καταβάντες. οἱ δὲ, τῆς νυκτὸς ἐσπάρησαν. καὶ τούτων ὀλίγοι παντάπασι διεσώθησαν. τοὺς δ' ἄλλους ἐκθηρεύοντες οἱ ἄραβες, συνελάμβανον καὶ διέφθειρον. λέγονται δ' οἱ πάντες, δισμύριοι μὲν ἀποθανεῖν. μύριοι δ' ἁλῶναι ζῶντες. ὁ δὲ σουρήνας τὴν κεφαλὴν τοῦ κράσσου καὶ τὴν χεῖρα πρὸς ὑρώδην ἔπεμψεν εἰς ἀρμενίαν. αὐτὸς δὲ, διαδοὺς λόγον ὑπ' ἀγγέλων εἰς σελεύκειαν, ὡς ζῶντα κράσσον ἄγοιτο, παρεσκεύαζε πομπήν τινα γελοίαν, ὕβρει προσαγορεύων θρίαμβον. ὁ μὲν γὰρ ἐμφερέστατος κράσσῳ τῶν αἰχμαλώτων, γάιος πακκιανὸς, ἐσθῆτα βαρβαρικὴν ἐνδὺς, καὶ διδαχθεὶς κράσσος ὑπακούειν καὶ αὐτοκράτωρ τοῖς καλοῦσιν, ἐφ' ἵππου καθήμενος, ἤγετο. πρὸ αὐτοῦ δὲ σαλπικταὶ καὶ ῥαβδοῦχοί τινες ὀχούμενοι καμήλοις, ἤλαυνον. ἐξήρτητο δὲ τῶν ῥάβδων βαλάντια, καὶ παρὰ τοὺς πελέκεις, πρόσφατοι κεφαλαὶ ῥωμαίων ἀποτετμημέναι. κατόπιν δ' εἵποντο, σελευκίδες ἑταῖραι μουσουργοί. πολλὰ βωμολόχα καὶ γελοῖα δι' ᾀσμάτων εἰς θηλύτητα καὶ ἀνανδρείαν τοῦ κράσσου λέγουσαι. ταῦτα μὲν οὖν πάντες ἐθεῶντο. τὴν δὲ γερουσίαν τῶν σελευκέων, ἀθροίσας, εἰσήνεγκεν ἀκόλαστα βιβλία τῶν ἀριστείδου μιλησιακῶν, οὔτι ταῦτά γε καταψευσάμενος. εὑρέθη γὰρ ἐν τοῖς ῥουστίου σκευοφόροις. καὶ παρέσχε τῷ σουρήνᾳ καθυβρίσαι πολλὰ καὶ κατασκῶψαι τοὺς ῥωμαίους, εἰ μηδὲ πολεμοῦντες, ἀπέχεσθαι πραγμάτων καὶ γραμμάτων δύνανται τοιούτων. τοῖς μέντοι σελευκεῦσιν, ἐδόκει σοφὸς ἀνὴρ αἴσωπος εἶναι, τὸν σουρήναν ὁρῶσι, τὴν μὲν τῶν μιλησιακῶν ἀκολαστημάτων πήραν, ἐξηρτημένον πρόσωθεν. ὄπισθεν δὲ, παρθικὴν συβαρῖτιν ἐφελκόμενον, ἐν τοσαύταις παλλακίδων ἁμάξαις. τρόπον τινὰ

ταῖς λεγομέναις ἐχίδναις καὶ σκυτάλαις ἀντιμέρφους, τὰ μὲν ἐμφανῆ καὶ πρόσθια μέρη, φοβερὰ ἴσ. ἀντίμορφοι

καὶ θηριώδη, δόρασι καὶ τόξοις καὶ ἵπποις προβαλλόμενον, κατ' οὐρὰν δὲ τῆς φάλαγγος, εἰς πόρνας καὶ κρόταλα, καὶ ψαλμοὺς καὶ παννυχίδας μετὰ γυναικῶν τελευτῶσαν. ψεκτὸς μὲν γὰρ ὁ ῥούστιος, ἀναιδεῖς δὲ πάρθοι, τὰ μιλησιακὰ ψέγοντες. ὧν πολλοὶ βεβασιλεύκασιν ἐκ μιλησίων καὶ ἰωνίδων ἑταιρῶν, γεγονότες ἀρσακίδαι. τούτων δὲ πραττομένων, ὑρώδης ἐτύγχανεν ἤδη διηλλαγμένος ἀρταουάσδῃ τῷ ἀρμενίῳ. καὶ τὴν ἀδελφὴν αὐτοῦ γυναῖκα πακόρῳ τῷ παιδὶ καθωμολογημένος. ἑστιάσεις τε καὶ πότοι δι' ἀλλήλων ἦσαν αὐτοῖς. καὶ πολλὰ παρεισήγετο τῶν ἀπὸ τῆς ἑλλάδος ἀκουσμάτων. ἦν γὰρ οὔτε φωνῆς οὔτε γραμμάτων ὑρώδης ἑλληνικῶν ἄπειρος. ὁ δ' ἀρταουάσδης καὶ τραγῳδίας ἐποίει, καὶ λόγους ἔγραφε καὶ ἱστορίας, ὧν ἔνιαι διασῴζονται. τῆς δὲ κεφαλῆς τοῦ κράσσου κομισθείσης ἐπὶ θύρας, ἀπηρμέναι μὲν ἦσαν αἱ τράπεζαι. τραγῳδιῶν δὲ ὑποκριτὴς ἰάσων ὄνομα τραλλιανὸς, ᾖδεν εὐριπίδου βακχῶν τὰ περὶ τὴν ἀγαύην. εὐδοκιμοῦντος δ' αὐτοῦ, σιλλάκης ἐπιστὰς τῷ ἀνδρῶνι καὶ προσκυνήσας, προὔβαλλεν εἰς μέσον, τοῦ κράσσου τὴν κεφαλήν. κρότον δὲ τῶν πάρθων μετὰ κραυγῆς καὶ χαρᾶς ἀραμένων, τὸν μὲν σιλλάκην κατέκλιναν οἱ ὑπηρέται, βασιλέως κελεύσαντος. ὁ δ' ἰάσων, τὰ μὲν τοῦ πενθέως σκευοποιήματα, παρέδωκέ τινι τῶν χορευτῶν, τῆς δὲ τοῦ κράσσου κεφαλῆς λαβόμενος καὶ ἀναβακχεύσας, ἐπέραινεν ἐκεῖνα τὰ μέλη μετ' ἐνθουσιασμοῦ καὶ ᾠδῆς. Jal. pol. 103.

» φέρομεν ἐξ ὄρεος ἕλικα νεότομον. ἐπὶ μέλαθρα, μακαρίαν θήραν. καὶ ταῦτα πάντας ἔτερπεν.
» ᾀδομένων δὲ τῶν ἐφεξῆς ἀμοιβαίων πρὸς τὸν χορὸν, τίς ἐφόνευσεν; ἐμὸν τὸ γέρας, ἀναπηδήσας ὁ πομαξάθρης, ἐτύγχανε δὲ δειπνῶν, ἀντελαμβάνετο τῆς κεφαλῆς, ὡς αὑτῷ ταῦτα λέγειν μᾶλλον, ἢ ἐκείνῳ προσῆκον. ἡσθεὶς δ' ὁ βασιλεὺς, τὸν μὲν, οἷς πάτριόν ἐστιν, ἐδωρήσατο. τῷ δ' ἰάσονι τάλαντον ἔδωκεν. εἰς τοιοῦτό φασιν ἐξόδιον τὴν κράσσου στρατηγίαν, ὥσπερ τραγῳδίαν τελευτῆσαι. δίκη μέντοι καὶ τῆς ὠμότητος ὑρώδην, καὶ τῆς ἐπιορκίας σουρήναν ἀξία μετῆλθε. σουρήναν μὲν γὰρ οὐ μετὰ πολὺν χρόνον, ὑρώδης φθόνῳ τῆς δόξης ἀπέκτεινεν. ὑρώδῃ δ' ἀποβαλόντι πάκορον, ὑπὸ ῥωμαίων μάχῃ κρατηθέντα, καὶ νοσήσαντι νόσον εἰς ὕδρωπα τραπεῖσαν, φραάτης ὁ υἱὸς ἐπιβουλεύων, ἀκόνιτον ἔδωκεν. ἀναδεξαμένης δὲ τῆς νόσου τὸ φάρμακον ὑφ' ἑαυτήν, ὥστε συνεκκριθῆναι. καὶ τοῦ σώματος ἐκκουφισθέντος, ἐπὶ τὴν ταχίστην τῶν ὁδῶν ἐλθὼν ὁ φραάτης, ἀπέπνιξεν αὐτόν. ἐν δὲ τῇ συγκρίσει, πρῶτον ὁ νικίου πλοῦτος, τῷ κράσσου παραβαλλόμενος, ἀμεμπτοτέραν ἔχει τὴν κτῆσιν. ἄλλως μὲν γὰρ οὐκ ἄν τις δοκιμάσειε τὴν ἀπὸ μετάλλων ἐργασίαν, ἧς τὰ πλεῖστα περαίνεται διὰ κακούργων ἢ βαρβάρων ὠνίων δεδεμένων καὶ φθειρομένων, ἐν τόποις ὑπούλοις καὶ νοσεροῖς. παραβαλλομένη δὲ πρὸς τὰ σύλλα δημιόπρατα, καὶ τὰς περὶ τὸ πῦρ ἐργολαβίας, ἐπιεικεστέρα φανεῖται. ταύταις γὰρ ὁ κράσσος ἀναφανδὸν ὡς τῷ γεωργεῖν ἐχρῆτο καὶ τῷ δανείζειν. ἃ δ' ἔξαρνος ἦν ἐλεγχόμενος, ἐπὶ κέρδεσιν ἐν βουλῇ λέγειν, καὶ τοὺς συμμάχους ἀδικεῖν, καὶ γύναια περιιὼν κολακεύειν, καὶ συνεπικρύπτειν τοὺς πονηρούς, τούτων αἰτίαν οὐδὲ ψευδῆ πώποτε νικίας ἔλαβεν. ἄλλως δὲ διδοὺς καὶ προϊέμενος ἀργύριον ὑπὸ δειλίας τοῖς συκοφάνταις, ἐχλευάζετο, πρᾶγμα ποιῶν περικλεῖ μὲν ἴσως καὶ ἀριστείδῃ, μὴ πρέπον. αὐτῷ δ' ἀναγκαῖον, οὐκ εὖ πεφυκότι πρὸς τὸ θαρρεῖν. ᾧ καὶ λυκοῦργος ὕστερον ὁ ῥήτωρ, ἐπαρρησιάσατο πρὸς τὸν δῆμον, αἰτίαν ἔχων ἐξωνεῖσθαί τινα τῶν συκοφαντῶν. ἥδομαι γὰρ εἰπὼν εἰ τοσοῦτον χρόνον πεπολιτευμένος ὑμῖν, διδοὺς πεφώραμαι πρότερον, ἢ λαμβάνων. ἦν δὲ ταῖς δαπά-

νὴ παραλλάξῃ τὸν σκορπίον. ἀλλ' ἔγωγε εἰπὼν ἔτι τοῦτον μᾶλλον φοβοῦμαι τὸν τοξότην, ἀπήλαυνεν εἰς ἀσσυρίαν μεθ' ἱππέων πεντακοσίων. ἄλλοι δὲ χρησάμενοι πιστοῖς ὁδηγοῖς ἐλάβοντο χωρίων ὀρεινῶν, ἃ καλεῖται σίνακα. καὶ κατέστησαν ἐν ἀσφαλεῖ πρὸ ἡμέρας. οὗτοι περὶ πεντακισχιλίους ἦσαν. ἡγεῖτο δ' αὐτῶν ἀνὴρ ἀγαθὸς ὀκταούϊος. τὸν δὲ κράσσον, ἡμέρα κατελάμβανεν ἔτι βουλευόμενον ὑπ' ἀνδρομάχου περὶ τὰς δυσχωρίας καὶ τὸ ἕλος. ἦσαν δὲ τέσσαρες σπεῖραι σὺν αὐτῷ θυρεοφόρων. ἱππεῖς δὲ παντελῶς ὀλίγοι καὶ πέντε ῥαβδοῦχοι. μεθ' ὧν ἐπιπόνως εἰς τὴν ὁδὸν καὶ μόλις καταστάς, ἤδη τῶν πολεμίων ἐπικειμένων ὅσον δώδεκα σταδίους, ἀπολιπὼν τοῦ συμμῖξαι τοῖς περὶ τὸν ὀκταούϊον, ἐπ' ἄλλον ἀναφεύγει λόφον. οὐχ οὕτω μὲν ἄφιππον οὐδ' ὀχυρόν, ὑποκείμενον δὲ τοῖς σινάκοις καὶ συνηρτημένον αὐχένι μακρῷ, διὰ μέσου κατατείνοντι τοῦ πεδίου πρὸς ἐκεῖνον. ἦν οὖν ἐν ὄψει τοῖς περὶ τὸν ὀκταούϊον, ὁ κίνδυνος αὐτοῦ. καὶ πρῶτος ὀκταούϊος ἔθει μετ' ὀλίγων ἄνωθεν ἐπιβοηθῶν. εἶτα οἱ λοιποὶ κακίσαντες ἑαυτούς, ἐπεφέροντο. καὶ προσπεσόντες καὶ ὠσάμενοι τοὺς πολεμίους ἀπὸ τοῦ λόφου, περιέσχον ἐν μέσῳ τὸν κράσσον. καὶ περιεβάλλοντο τοὺς θυρεούς, μεγαληγοροῦντες, ὡς οὐκ ἔστι πάρθοις βέλος, ὃ προσπεσεῖται τῷ σώματι τοῦ αὐτοκράτορος, πρὶν ἢ σφᾶς ἅπαντας ὑπὲρ αὐτοῦ μαχομένους ἀποθανεῖν.

προεβάλλοντο ς.τ.

ὁρῶν οὖν ὁ σουρήνας τούς τε πάρθους ἀμβλύτερον ἤδη κινδυνεύοντας, καὶ ἢν ἥ τε νὺξ ἐπίσχῃ, καὶ τῶν ὀρῶν οἱ ῥωμαῖοι λάβωνται, παντάπασιν αὐτοὺς ἐσομένους ἀλήπτους, ἐπῆγε τῷ κράσσῳ δόλον. ἀφείθησαν μὲν γὰρ ἔνιοι τῶν αἰχμαλώτων ἀκηκοότες ἐν τῷ στρατοπέδῳ τῶν βαρβάρων πρὸς ἀλλήλους ἐπίτηδες διαλεγομένων, ὡς οὐ βούλεται βασιλεὺς ἄσπονδον αὐτῷ τὸν πόλεμον εἶναι πρὸς ῥωμαίους. τὴν δὲ φιλίαν ἀναλαβεῖν χάριτι κράσσῳ χρησάμενος φιλανθρώπως. ἔσχοντο δὲ μάχης οἱ βάρβαροι. σουρήνας δὲ μετὰ τῶν ἀρίστων προσελάσας ἀτρέμα τῷ λόφῳ, τοῦ μὲν τόξου τὸν τόνον ἀνῆκε, τὴν δὲ δεξιὰν προὔτεινε, καλεῖ δὲ τὸν κράσσον ἐπὶ συμβάσεις, εἰπὼν ὅτι τῆς μὲν ἀνδρείας καὶ δυνάμεως ἄκοντος πεπείραται βασιλέως. πρᾳότητα δ' αὐτοῖς καὶ φιλοφροσύνην ἑκὼν ἐπιδείκνυται σπενδόμενος ἀπιοῦσι καὶ παρέχων σώζεσθαι. ταῦτα τοῦ σουρήνα λέγοντος, οἱ μὲν ἄλλοι προθύμως ἐδέξαντο καὶ περιχαρεῖς ἦσαν. ὁ δὲ κράσσος, οὐδὲν ὅτι μὴ δι' ἀπάτης ἐσφαλμένος ὑπ' αὐτῶν, καὶ τὸ αἰφνίδιον τῆς μεταβολῆς ἄλογον ἡγούμενος, οὐχ ὑπήκουεν, ἀλλ' ἐβουλεύετο. τῶν δὲ στρατιωτῶν βοώντων καὶ κελευόντων, εἶτα λοιδορούντων καὶ κακιζόντων, ὡς προβάλλοντα μαχουμένους αὐτούς, οἷς αὐτὸς ἀνόπλοις εἰς λόγους οὐ θαρρεῖ συνελθεῖν, πρῶτον μὲν ἐπειρᾶτο δεῖσθαι καὶ λέγειν, ὅτι τὸ λειπόμενον μέρος τῆς ἡμέρας διακαρτερήσαντες ἐν τοῖς ὀρεινοῖς καὶ τραχέσι, δύναιντο διὰ νυκτὸς ἰέναι, καὶ τὴν ὁδὸν ἐδείκνυε, καὶ παρεκάλει τὴν ἐλπίδα μὴ προέσθαι τῆς σωτηρίας, ἐγγὺς οὔσης. ὡς δὲ χαλεπαίνοντες αὐτῷ καὶ τὰ ὅπλα κρούοντες ἠπείλουν, φοβηθεὶς ἐχώρει. καὶ τοσοῦτον εἶπε μεταστραφείς. ὀκταούϊε καὶ πετρώνιε, καὶ ὅσοι πάρεστε ῥωμαίων ἄρχοντες. ὑμεῖς ὁρᾶτε τῆς ἐμῆς ὁδοῦ τὴν ἀνάγκην. καὶ σύνιστε παρόντες, ὡς αἰσχρὰ πάσχω καὶ βίαια. τοῖς δ' ἄλλοις ἅπασιν ἀνθρώποις λέγετε σωθέντες. ὡς κράσσος ἀπατηθεὶς ὑπὸ τῶν πολεμίων, οὐκ ἐκδοθεὶς ὑπὸ τῶν πολιτῶν, ἀπώλετο. οὐ μὴν ἔμειναν οἱ περὶ τὸν ὀκταούϊον, ἀλλὰ συγκατέβαινον ἀπὸ τοῦ λόφου. τοὺς δὲ

ἀπήλασε ς.
ἀλλόμενοι ς.

ῥαβδούχους ἑπομένους, ὁ κράσσος ἐπήλασε. πρῶτοι δὲ τῶν βαρβάρων ἀπήντησαν αὐτῷ, δύο μιξέλληνες. οἳ καὶ προσεκύνησαν τὸν κράσσον ἀπὸ τῶν ἵππων ἀλόμενοι. καὶ προσαγορεύσαντες ἑλλάδι φωνῇ, παρεκάλουν προπέμψαι τινάς, οἷς ἐπιδείξεται σουρήνας ἑαυτόν, καὶ τοὺς περὶ αὐτὸν ἀνόπλους καὶ ἀσιδήρους προσερχομένους. ὁ δὲ κράσσος, ἀπεκρίνατο μέν, ὡς εἰ καὶ τὸν ἐλάχιστον εἶχε τοῦ

ὅμως δὲ

ζῆν λόγον, οὐκ ἂν εἰς χεῖρας αὐτοῖς ἦλθεν. [δύο] ῥωσκίους ἀδελφοὺς ἔπεμψε πευσομένους ἐπὶ τίσι καὶ πόσοι συνίασιν. οὓς εὐθὺς συλλαβὼν ὁ σουρήνας, κατέσχεν. αὐτὸς δὲ μετὰ τῶν ἀρίστων, ἱππότης προσῄει. καὶ τί τοῦτ' ἔφη; πεζὸς ὁ ῥωμαίων αὐτοκράτωρ, ἡμεῖς δὲ ὀχούμεθα. καὶ προσαγαγεῖν ἐκέλευσεν ἵππον αὐτῷ. τοῦ δὲ κράσσου φήσαντος, οὔτ' αὐτὸν ἁμαρτάνειν οὔτ' ἐκεῖνον, ὡς ἑκατέρῳ πάτριον ἔστι ποιουμένους τὴν σύνοδον. εἶναι μὲν αὐτόθεν ἔφη σπονδὰς καὶ εἰρήνην ὁ σουρήνας, ὑρώδῃ τε βασιλεῖ καὶ ῥωμαίοις. δεῖν δὲ γράψασθαι τὰς συνθήκας, ἐπὶ τὸν ποταμὸν προελθόντας. οὐ γὰρ

πάνυ ς.τ.

ὑμεῖς γε ἔφη μνήμονες ὁμολογιῶν, οἱ ῥωμαῖοι. καὶ προὔτεινε τὴν δεξιὰν αὐτῷ. μεταπεμπομένου δ' ἵππον, οὐδὲν ἔφη δεῖν. βασιλεὺς γάρ σοι δίδωσι τοῦτον. ἅμα δ' ἵππος τῷ κράσσῳ παρέστη χρυσοχάλινος, οἵ τε ἀναβολεῖς αὐτὸν ἀράμενοι περιεβίβασαν, καὶ παρείποντο, πληγῇ τὸν ἵππον ἐπιταχύνοντες. ὀκταούϊος δὲ πρῶτος ἀντιλαμβάνεται τῶν χαλινῶν. καὶ μετ' ἐκεῖνον, εἷς τῶν χιλιάρχων, πετρώνιος. εἶτα οἱ λοιποὶ περιΐσταντο, τόν τε ἵππον ἀνακόπτειν πειρώμενοι. καὶ τοὺς πιέζοντας κράσσον, ἐξ ἑκατέρου μέρους ἀφέλκοντες. ὠθισμοῦ δὲ γενομένου καὶ ταραχῆς, εἶτα πληγῶν, ὀκταούϊος μὲν ἀνασπάσας τὸ ξίφος, ἑνὸς τῶν βαρβάρων κτείνει τὸν ἱπποκόμον. ἕτερος δὲ τὸν ὀκταούϊον, ἐκ τῶν ὄπισθεν πατάξας. πετρώνιος δὲ, ὅπλου μὲν οὐκ εὐπόρησεν. εἰς δὲ τὸν θώρακα πληγεὶς, ἀπεπήδησεν ἀπὸ τοῦ ἵππου ἄτρωτος. τὸν δὲ κράσσον, ὄνομα πομαξάθρης πάρθος ἀπέκτεινεν. οἱ δ' οὔ φασιν, ἀλλ' ἕτερον μὲν εἶναι τὸν ἀποκτείναντα. τοῦτον δὲ, κειμένου τὴν κεφαλὴν ἀποκόψαι καὶ τὴν δεξιάν. εἰκάζεται δὲ ταῦτα μᾶλλον, ἢ γινώσκεται. τῶν γὰρ παρόντων, οἱ μὲν ἐκεῖ μαχόμενοι περὶ τὸν κράσσον ἀνῃρέθησαν. οἱ δ' εὐθὺς

ἀνεπήδησαν

μένοι ἀνδρῶν ὑπὸ ῥώμης διαπορευομένων. οὕτω διαγωνισάμενοι, νυκτὸς ἐπιούσης, ἀπηλλάγησαν. εἰπόντες ῥώμης. s. / μένοι. s. τ.
ὅτι κράσσῳ χαρίζονται νύκτα μίαν ἀποθρηνῆσαι τὸν υἱὸν, ἢν ἄρα μὴ βέλτιον ὑπὲρ ἑαυτοῦ σκεψάμε-
νος, ἐλθεῖν μᾶλλον ἐθελήσῃ πρὸς ἀρσάκην, ἢ κομισθῆναι. οὗτοι μὲν οὖν ἐπαυλισάμενοι πλησίον, ἐν
ἐλπίσι μεγάλαις ἦσαν. νὺξ δὲ χαλεπὴ τοὺς ῥωμαίους κατελάμβανεν. οὔτε ταφῆς τῶν κειμένων, οὔτε
θεραπείας τῶν τετρωμένων καὶ ψυχορραγούντων, ποιουμένους λόγον. ἑκάστου δ' αὐτὸν ἀποκλαίοντες.
ἄφυκτα γὰρ ἐφαίνετο. τήν τε ἡμέραν αὐτοῦ προσμείνασι, καὶ νύκτωρ ἐς πεδίον ἀχανὲς ἐμβάλλουσιν.
οἵ τε τραυματίαι, πολλὴν ἀπορίαν παρεῖχον. καὶ κομίζειν ἐμπόδιον τῷ τάχει τῆς φυγῆς ἐσόμενοι, καὶ
ἀπολιπεῖν, βοῇ τὴν ἀπόδρασιν ἐξαγγελοῦντες. τοῦ δὲ κράσσου, καίπερ αἴτιον ἁπάντων νομίζοντες,
ἐπόθουν ὅμως τήν τε ὄψιν καὶ τὴν φωνήν. ὁ δὲ καθ' ἑαυτὸν ἐγκεκαλυμμένος ὑπὸ σκότους, ἔκει-
το παράδειγμα τοῖς πολλοῖς, τύχης. τοῖς δ' εὖ φρονοῦσιν ἀβουλίας καὶ φιλοτιμίας, δι' ὧν οὐκ ἠγά-
πα μὴ πρῶτος ὢν καὶ μέγιστος ἐν μυριάσιν ἀνθρώπων τοσαύταις, ἀλλ' ὅτι δυοῖν μόνον ἀνδρῶν, ὕστε-
ρος ἐκείνου, τοῦ παντὸς ἀποδεῖν νομίζων. τότε δ' οὖν αὐτὸν ὀκταούιος ὁ πρεσβευτὴς καὶ κάσσιος, ἀ-
νίστασαν καὶ παρεθάρρυνον. ὡς δ' ἀπηγορεύκει παντάπασιν, αὐτοὶ συγκαλέσαντες ἑκατοντάρχας, καὶ
λοχαγοὺς, ὡς ἔδοξε βουλευομένοις μὴ μένειν, ἀνίστασαν τὸν στρατὸν, ἄνευ σάλπιγγος, καὶ δι' ἡσυχίας
τὸ πρῶτον, εἶτ' αἰσθομένων ὡς ἀπελείποντο τῶν ἀδυνάτων, ἀκοσμία δεινὴ καὶ σύγχυσις μετ' οἰμωγῆς
καὶ βοῆς, τὸ στρατόπεδον κατεῖχεν. ἐκ τούτου δὲ ταραχὴ καὶ πτοία, προϊόντας αὐτοὺς ὑπελάμβανεν,
ὡς ἐπιφερομένων τῶν πολεμίων. καὶ πολλάκις μὲν, ἐκτρεπόμενοι. πολλάκις δὲ εἰς τάξιν καθι-
στάμενοι, τῶν τετραυματιῶν, ὅσοι παρηκολούθουν, τοὺς μὲν, ἀναλαμβάνοντες. τοὺς δ' ἀποτιθέμενοι,
διατριβὴν εἶχον. πλὴν τριακοσίων ἱππέων, οὓς ἰγνάτιος ἔχων, προσέμιξε ταῖς κάρραις περὶ μέσας
νύκτας. φθεγξάμενος δὲ ῥωμαϊστὶ τοῖς τειχοφυλακοῦσιν, ὡς ὑπήκουσαν, ἐκέλευσε κωπωνίῳ τῷ ἄρ-
χοντι φράζειν, ὅτι γέγονε μάχη μεγάλη κράσσῳ πρὸς πάρθους. ἄλλο δ' οὐδὲν εἰπὼν, οὐδ' αὐτὸν ὅς τις
ἦν, ἀπήλαυνεν ἐπὶ τὸ ζεῦγμα. καὶ διέσωσε μὲν τοὺς σὺν αὐτῷ. κακῶς δ' ἤκουσε καταλιπὼν τὸν στρα-
τηγόν. οὐ μὴν ἀλλ' ὤνησέ γε τὸν κράσσον ἡ προσριφεῖσα τότε τῷ κωπωνίῳ φωνή. συμφρονήσας γὰρ,
ὅτι οὐδὲν χρηστὸν ἀγγέλλειν ἔχοντός ἐστι, τὸ τάχος καὶ τὸ συγκεχυμένον τοῦ λόγου, παρήγγειλεν εὐθὺς
ἐξοπλίζεσθαι τοὺς στρατιώτας. καὶ ἅμα τῷ πρῶτον αἰσθέσθαι τὸν κράσσον ἐν ὁδῷ γεγενημένον ἀ- τοῦ
παντήσας, ἀνελάμβανε καὶ παρέπεμπε τὴν στρατιὰν εἰς τὴν πόλιν. οἱ δὲ πάρθοι, νυκτὸς μὲν αἰ-
σθόμενοι τὴν ἀπόδρασιν, οὐκ ἐδίωκον. ἅμα δ' ἡμέρᾳ, τοὺς μὲν ἐν τῷ στρατοπέδῳ καταλειφθέντας,
οὐ μείους τετρακισχιλίων, ἐπελθόντες ἀπέσφαξαν. ἐν δὲ τῷ πεδίῳ, πλανωμένους πολλοὺς ἱππασά-
μενοι συνέλαβον. τέσσαρας δ' ὁμοῦ σπείρας ἔτι νυκτὸς ἀπέρρηξε, βαργοντήιος ὁ πρεσβευτὴς, ἐκ-
πεσούσας τῆς ὁδοῦ. ἃς περισχόντες ἔν τινι λόφῳ, διέφθειραν ἀμυνομένας, πλὴν ἀνδρῶν εἴκοσι. τού-
τους δὲ γυμνοῖς τοῖς ξίφεσιν ὠθουμένους δι' αὐτῶν, θαυμάσαντες εἶξαν, καὶ διέξοδον ἀπιοῦσι βάδην
εἰς τὰς κάρρας ἐδίδοσαν. τῷ δὲ σουρήνᾳ προσέπεσε ψευδὴς λόγος ἐκπεφευγέναι κράσσον μετὰ τῶν
ἀρίστων. τὸν δ' εἰς κάρρας συνερρυηκότα, ὄχλον εἶναι σύμμικτον. οὐκ ἀξίων σπουδῆς ἀνθρώπων.
οἰόμενος οὖν ἀποβεβληκέναι τὸ τῆς νίκης τέλος, ἔτι δ' ἀμφιδοξῶν, καὶ μαθεῖν βουλόμενος τὸ ἀληθὲς,
ὅπως, ἢ προσμένων ἐνταῦθα πολιορκοίη, ἢ κράσσον διώκοι, χαίρειν ἐάσας καρρηνοὺς, ὑποπέμπει
τινὰ τῶν παρ' αὐτῷ διγλώττων πρὸς τὰ τείχη, κελεύσας ἱέντα ῥωμαϊκὴν διάλεκτον, καλεῖν κράσ-
σον αὐτὸν, ἢ κάσσιον. ὡς σουρήνα διὰ λόγων ἐθέλοντος αὐτοῖς συγγενέσθαι. ταῦτα τοῦ διγλώττου φρά-
σαντος, ὡς ἀπηγγέλη τοῖς περὶ κράσσον, ἐδέχοντο τὰς προκλήσεις. καὶ μετὰ μικρὸν, ἧκον, ἀπὸ τῶν
βαρβάρων ἄραβές οἱ κράσσον εὖ καὶ κάσσιον ἀπ' ὄψεως ἐγνώριζον, ἐν τῷ στρατοπέδῳ, πρὸ τῆς μά-
χης γεγονότες. οὗτοι τὸν κάσσιον ἰδόντες ἀπὸ τοῦ τείχους, ἔλεγον, ὅτι σουρήνας σπένδεται. καὶ δίδω-
σιν αὐτοῖς φίλοις οὖσι βασιλέως σώζεσθαι, μεσοποταμίαν ἐκλιποῦσι. τοῦτο γὰρ ὁρᾶν λυσιτελὲς ἀμ-
φοτέροις, πρὸ τῆς ἐσχάτης ἀνάγκης. δεξαμένου δὲ τοῦ κασσίου, καὶ τόπον ὁρισθῆναι καὶ χρόνον ἀξιοῦν-
τος ἐν ᾧ συνίασι σουρήνας, καὶ κράσσος, οὕτω φάμενοι ποιήσειν, ἀπήλαυνον. ἡσθεὶς οὖν ὁ σουρήνας,
ἐπὶ τῷ τοὺς ἄνδρας ἐνέχεσθαι τῇ πολιορκίᾳ, μεθ' ἡμέραν ἐπῆγε τοὺς πάρθους, πολλὰ καθυβρίζον-
τας καὶ κελεύοντας. εἰ βούλονται τυχεῖν σπονδῶν ῥωμαῖοι, κράσσον ἐγχειρίσαι σφίσι καὶ κάσσιον δεδε-
μένους. οἱ δ' ἤχθοντο μὲν ἀπατώμενοι. μακρὰς δὲ καὶ κενὰς τὰς ἀρμενίων ἐλπίδας καταβαλλόντων τῷ καταβαλόντες. s. κ. τ.
κράσσῳ φράσαντες, εἴχοντο δρασμοῦ. καὶ τοῦτ' ἔδει, μηδένα πρὸ καιροῦ καρρηνῶν πυθέσθαι. πυνθά-
νεται δ' ὁ πάντων ἀπιστότατος ἀνδρόμαχος ὑπὸ κράσσου. καὶ τούτῳ πιστευθεὶς τῆς ὁδοῦ τὴν ἡγεμονίαν,
οὐδὲν τῶν ἔλαθε τοὺς πάρθους ἐξαγγέλλοντος τοῦ ἀνδρομάχου καθ' ἕκαστον. ἐπεὶ δὲ νυκτομαχεῖν οὐ πά-
τριον αὐτοῖς ἐστιν οὐδὲ ῥᾴδιον, ἐξῄει δὲ νύκτωρ ὁ κράσσος, ὅπως μὴ καθυστερήσωσι πολὺ τῇ διώξει, στρα-
τηγῶν ὁ ἀνδρόμαχος, ἄλλοτε ἄλλας ὁδοὺς ὑφηγεῖτο. καὶ τέλος ἐξέτρεψεν εἰς ἕλη βαθέα καὶ χωρία
τάφρων μεστὰ τὴν πορείαν, χαλεπὴν καὶ πολυπλανῆ γενομένην τοῖς ἐπισπωμένοις. ἐγένοντο γάρ τινες, ἐπισπωμένοις. s. τ.
οἳ μηδὲν ὑγιὲς τὸν ἀνδρόμαχον στρέφειν καὶ περιελίττειν εἰκάσαντες, οὐκ ἠκολούθησαν, ἀλλὰ κάσσιος
μὲν ἐπανῆλθεν εἰς κάρρας πάλιν, καὶ τῶν ὁδηγῶν, ἄραβες δ' ἦσαν, ἀναμένειν κελευόντων ἄχρις ἂν σελή-

ἄμυναν. αὐτὸς οὖν τοὺς ἱππεῖς παρορμήσας, προσέβαλε μὲν ἐρρωμένως, καὶ συνῆψε τοῖς ἀνδράσιν. ἦν δὲ ἄνισος ἔν τε ταῖς πληγαῖς, καὶ τῷ φυλάττεσθαι. παίων μὲν ἀσθενεῖ καὶ μικροῖς δορατίοις θώρακας ὠμοβύρσους καὶ σιδηροῦς, παιόμενος δὲ κοντοῖς εἰς εὐσταλῆ καὶ γυμνὰ σώματα τῶν γαλατῶν. τούτοις γὰρ ἐθάρρει μάλιστα. καὶ μετὰ τούτων ἔργα θαυμαστὰ διεπράττετο. τῶν τε γὰρ κοντῶν ἐπελαμβάνοντο καὶ συμπλεκόμενοι, τοὺς ἄνδρας ἀπὸ τῶν ἵππων ἐώθουν, τῇ βαρύτητι τοῦ ὁπλισμοῦ δυσκινήτους ὄντας. πολλοὶ δὲ τοὺς ἑαυτῶν ἀπολιπόντες ἵππους, καὶ δυόμενοι τοῖς ἐκείνων, ἔτυπτον εἰς τὰς γαστέρας. οἱ δ' ἀνεσκίρτων ὑπ' ὀδύνης καὶ συμπατοῦντες ἐν ταὐτῷ τοὺς ἐπιβάτας καὶ τοὺς πολεμίους ἀναπεφυρμένους ἀπέθνησκον. ἐπίεζε δὲ τοὺς γαλάτας μάλιστα, τό τε θάλπος καὶ τὸ δίψος ἀμφοτέρων ἀήθεις ὄντας. καὶ τῶν ἵππων ἀπωλώλεσαν οἱ πλεῖστοι, πρὸς ἐναντίους ἐλαυνόμενοι τοὺς κοντούς. ἐβιάσθησαν οὖν ἀναχωρῆσαι πρὸς τοὺς ὁπλίτας, ἔχοντες τὸν πόπλιον ὑπὸ τραυμάτων ἤδη κακῶς διακείμενον. ἰδόντες δὲ θῖνα βουνώδη πλησίον, ἐχώρουν ἐπ' αὐτήν, καὶ τοὺς μὲν ἵππους ἐν μέσῳ κατέδησαν. ἔξωθεν δὲ τοῖς θυρεοῖς συγκλείσαντες, ᾤοντο ῥᾷον ἀμυνεῖσθαι τοὺς βαρβάρους. ἀπέβαινε δὲ τοὐναντίον. ἐν μὲν γὰρ τῷ ὁμαλῷ, τοῖς ὄπισθεν ἁμωσγέπως παρέχουσιν οἱ πρότακτοι ῥᾳστώνην. ἐκεῖ δ' ἄλλον ὑπὲρ ἄλλον διὰ τὴν ἀνωμαλίαν ἔχοντος τοῦ χωρίου, καὶ μᾶλλον ἀεὶ τὸν κατόπιν ἐξαίροντος, οὐκ ἐδύναντο διαφυγεῖν, ἀλλ' ἐβάλλοντο πάντες ὁμαλῶς, ὀδυρόμενοι τὴν ἀκλεῆ καὶ ἄπρακτον αὐτῶν τελευτήν. ἦσαν δὲ περὶ τὸν πόπλιον, ἄνδρες ἕλληνες δύο τῶν αὐτόθι κατοικούντων, ἐν κάρραις ἱερώνυμος καὶ νικόμαχος, οἳ συνέπειθον αὐτόν, ὑπεξελθεῖν μετ' αὐτῶν καὶ διαφυγεῖν εἰς ἰχνάς, πόλιν ᾑρημένην τὰ ῥωμαίων, καὶ οὐ μακρὰν οὖσαν. ὁ δὲ φήσας, οὐδένα δεινὸν οὕτως ἔσεσθαι θάνατον, ὃν φοβηθεὶς πόπλιος ἀπολείψει τοὺς ἀπολλυμένους δι' αὐτόν, ἐκείνους μὲν ἐκέλευσε σώζεσθαι καὶ δεξιωσάμενος ἀπέλυσεν. αὐτὸς δὲ τῇ χειρὶ χρήσασθαι μὴ δυνάμενος (διελήλατο γὰρ βέλει) τὸν ὑπασπιστὴν ἐκέλευσε πατάξαι τῷ ξίφει, παρασχὼν τὸ πλευρόν. ὁμοίως δὲ καὶ κηνσωρῖνον ἀποθανεῖν λέγουσι. μεγάβακχος δ' αὐτὸν διεχρήσατο. καὶ τῶν ἄλλων οἱ δοκιμώτατοι. τοὺς δ' ἀπολελειμμένους, ἀναβαίνοντες οἱ πάρθοι τοῖς κοντοῖς διήλαυνον μαχομένους. ζῶντας δ' οὐ πλείονας ἁλῶναι φασὶ πεντακοσίων. τὰς δὲ κεφαλὰς τῶν περὶ τὸν πόπλιον ἀποκόψαντες, ἤλαυνον εὐθὺς ἐπὶ τὸν κράσσον. εἶχε δὲ τὰ κατ' αὐτὸν οὕτως. ὡς ἐκέλευσε τὸν υἱὸν ἐμβαλεῖν τοῖς πάρθοις, καί τις ἤγγειλεν αὐτῷ μακρὰν τροπὴν εἶναι καὶ δίωξιν ἰσχυρὰν τῶν πολεμίων, ἑώρα δὲ καὶ τοὺς καθ' αὐτὸν οὐκέτι προσκειμένους ὁμοίως. ἐκεῖ γὰρ ἐρρύησαν οἱ πλεῖστοι, μικρὸν ἀνεθάρρησε, καὶ συναγαγὼν ὑπέστειλεν ἐν χωρίοις προσάντεσι τὸν στρατόν, αὐτίκα προσδοκῶν τὸν υἱὸν ἐπανήξειν ἀπὸ τῆς διώξεως. τῶν δὲ πεμφθέντων ὑπὸ τοῦ ποπλίου πρὸς αὐτόν, ὡς ἐκινδύνευεν, οἱ μὲν πρῶτοι διεφθάρησαν ἐμπεσόντες εἰς τοὺς βαρβάρους. οἱ δ' ὕστεροι, μόγις διαφυγόντες, ἀπήγγελλον οἴχεσθαι τὸν πόπλιον, εἰ μὴ ταχεῖα καὶ πολλὴ βοήθεια παρ' ἐκείνου γένοιτο. τὸν δὲ κράσσον ἅμα πολλὰ πάθη κατέσχε. καὶ λογισμῷ μὲν, οὐδὲν ἔτι τῶν πραγμάτων ἑώρα. φόβῳ δὲ περὶ τοῦ σύμπαντος ἅμα καὶ πόθῳ τοῦ παιδὸς ἑλκόμενος βοηθεῖν, τέλος, ὥρμησε προάγειν τὴν δύναμιν. ἐν τούτῳ δ' οἱ πολέμιοι προσεφέροντο, κλαγγῇ καὶ παιᾶνι, φοβερώτεροι. καὶ πολλὰ τῶν τυμπάνων αὖθις περιεμυκᾶτο τοὺς ῥωμαίους, ἑτέρας μάχης ἀρχὴν προσδοκῶντας. οἱ δὲ τὴν κεφαλὴν τοῦ ποπλίου κομίζοντες ὑπὲρ αἰχμῆς ἀναπεπηγυῖαν, ἐγγὺς προσελάσαντες ἀνέδειξαν, ὕβρει πυνθανόμενοι τοκέας αὐτοῦ καὶ γένος. οὐ γὰρ δὴ πρέπειν γε κράσσου πατρὸς ἀνανδροτάτου καὶ κακίστου, γενναῖον οὕτω παῖδα καὶ λαμπρόν, ἀρετῇ γενέσθαι. τοῦτο τὸ θέαμα ῥωμαίων ὑπὲρ ἅπαντα τἆλλα δεινὰ τὰς ψυχὰς κατέκλασε καὶ παρέλυσεν, οὐ θυμοῦ πρὸς ἄμυναν ὥσπερ ἦν εἰκός, ἀλλὰ φρίκης καὶ τρόμου, πᾶσιν ἐγγενομένου, καίτοι τόν γε κράσσον αὐτοῦ λαμπρότατον ἐν τῷ τότε πάθει, φανῆναι λέγουσιν. ἐβόα γὰρ ἐπιὼν τὰς τάξεις. ἐμόν, ὦ ῥωμαῖοι, τὸ πένθος ἴδιόν ἐστιν. ἡ δὲ μεγάλη τύχη καὶ δόξα τῆς ῥώμης ἐν ὑμῖν ἕστηκε σῳζομένοις, ἄθραυστος καὶ ἀήττητος. εἰ δὲ καὶ ἐμοῦ τις οἶκτος ἀφῃρημένου παῖδα πάντων ἄριστον, ἐπιδείξασθε τοῦτον ὀργῇ πρὸς τοὺς πολεμίους. ἀφέλεσθε τὴν χαρὰν αὐτῶν. τιμωρήσασθε τὴν ὠμότητα. μὴ καταπλαγῆτε τοῖς γεγενημένοις, εἰ δεῖ τι καὶ παθεῖν μεγάλων ἐφιεμένους. οὐδὲ λούκουλλος τιγράνην ἀναιμωτὶ καθεῖλεν. οὐδὲ σκηπίων ἀντίοχον. χιλίας δὲ ναῦς οἱ παλαιοὶ περὶ σικελίαν ἀπώλεσαν. ἐν δ' ἰταλίᾳ, πολλοὺς αὐτοκράτορας καὶ στρατηγούς, ὧν οὐδεὶς προηττηθεὶς ἐκώλυσεν αὐτοὺς κρατῆσαι τῶν νενικηκότων. οὐ γὰρ εὐτυχίᾳ τὰ ῥωμαίων, ἀλλὰ τλημοσύνῃ καὶ ἀρετῇ πρὸς τὰ δεινὰ χωρούντων εἰς τοσοῦτο προῆλθε δυνάμεως. τοιαῦτα λέγων καὶ παραθαρσύνων, ὁ κράσσος, οὐ πολλοὺς ἑώρα προθύμως ὑπακούοντας. ἀλλὰ καὶ συναλαλάξαι κελεύσας, ἤλεγξε τοῦ στρατοῦ τὴν κατήφειαν, ὡς ἀσθενῆ καὶ ὀλίγην καὶ ἀνώμαλον κραυγὴν ἐποίησαν. ἡ δὲ παρὰ τῶν βαρβάρων, λαμπρὰ καὶ θρασεῖα κατεῖχε. τραπομένων δὲ πρὸς ἔργον, οἱ μὲν ἱππόται, πλάγιοι περιελαύνοντες ἐτόξευον. αὐτοὶ δὲ τοῖς κοντοῖς οἱ πρότακτοι χρώμενοι, συνέστελλον εἰς ὀλίγον τοὺς ῥωμαίους. πλὴν ὅσοι τὸν ὑπὸ τῶν τοξευμάτων φεύγοντες θάνατον, ἀπετόλμων παραβόλως εἰς αὐτοὺς φέρεσθαι, μικρὰ μὲν βλάπτοντες, ὀξέως δὲ θνήσκοντες, ὑπὸ τραυμάτων μεγάλων καὶ καιρίων, παχὺν ἐπωθούντων τῷ σιδήρῳ τὸν κοντὸν εἰς τοὺς ἱππέας, πολλάκις δὲ καὶ διὰ δυεῖν

τὸν ἱππέων ἐγκελευομένοις ἄγειν καὶ συνάπτειν, ἐπαρθεὶς ἐκέλευσεν ἑστῶτας ἐν τάξει φαγεῖν καὶ πιεῖν τοὺς δεομένους. καὶ πρὶν ἢ τοῦτο διὰ πάντων γενέσθαι, καλῶς ἦγεν οὐ σχέδην, οὐδ᾽ ὡς ἐπὶ μάχην διαναπαύων, ἀλλ᾽ ὀξείᾳ καὶ συντόνῳ χρώμενος τῇ πορείᾳ, μέχρις οὗ κατώφθησαν οἱ πολέμιοι παρὰ δόξαν, οὔτε πολλοὶ φανέντες, οὔτε σοβαροὶ τοῖς ῥωμαίοις. τὸ μὲν γὰρ πλῆθος ὑπέστειλε τοῖς προτάκτοις σουρήνας, τὴν δὲ λαμπρότητα κατέκρυπτε τῶν ὅπλων, ἱμάτια καὶ διφθέρας προΐσχεσθαι κελεύσας. ὡς δ᾽ ἐγγὺς ἐγένοντο καὶ σημεῖον ἤρθη παρὰ τοῦ στρατηγοῦ, πρῶτον μὲν ἐπίμπλατο φθογγῆς βαρείας καὶ βρόμου φρικώδους τὸ πεδίον. πάρθοι γὰρ οὐ κέρασιν, οὐδὲ σάλπιγξιν ἐποτρύνουσιν ἑαυτοὺς εἰς μάχην, ἀλλὰ ῥόπτρα βυρσοπαγῆ καὶ κοῖλα περιτείναντες ἠχείοις χαλκοῖς ἅμα πολλαχόθεν ἐπιδουποῦσι. τὰ δὲ φθέγγεται βύθιόν τι καὶ δεινὸν ὠρυγῇ θηριώδει καὶ τραχύτητι βροντῆς μεμιγμένον, εὖ πως συνεωρακότες ὅτι τῶν αἰσθητηρίων ἀκοὴ ταρακτικώτατόν ἐστι τῆς ψυχῆς, καὶ τὰ περὶ ταύτην πάθη τάχιστα κινεῖ, καὶ μάλιστα ἐξίστησι τὴν διάνοιαν. ἐκπεπληγμένων δὲ τῶν ῥωμαίων διὰ τὸν ἦχον, ἐξαίφνης τὰ προκαλύμματα τῶν ὅπλων καταβαλόντες, ὤφθησαν αὐτοί τε φλογοειδεῖς κράνεσι καὶ θώραξι τοῦ μαργιανοῦ σιδήρου στίλβοντος ὀξὺ καὶ περιλαμπές. οἵ θ᾽ ἵπποι καταπεφραγμένοι χαλκοῖς καὶ σιδηροῖς ὑφάσμασι. ὁ δὲ σουρήνας μέγιστος καὶ κάλλιστος αὐτὸς, τῇ κατ᾽ ἀνδρείαν δόξῃ τὴν θηλύτητα τοῦ κάλλους οὐκ ἐοικὼς, ἀλλὰ μηδικώτερον ἐσκευασμένος ἐντρίμμασι προσώπου καὶ κόμης διακρίσει, τῶν ἄλλων πάρθων ἔτι σκυθικῶς ἐπὶ τὸ φοβερὸν τῶν ἀνασίλλων κομώντων. καὶ πρῶτον μὲν διενοοῦντο τοῖς κοντοῖς εἰσελαύνοντες, ὠθεῖν καὶ βιάζεσθαι τοὺς προτάκτους. ὡς δ᾽ ἑώρων τό τε βάθος τοῦ συνασπισμοῦ καὶ τῶν ἀνδρῶν τὸ μόνιμον καὶ παρεστηκὸς, ἀνῆγον ὀπίσω καὶ σκίδνασθαι δοκοῦντες ἅμα καὶ διαλύειν τὴν τάξιν, ἐλάνθανον ἐν κύκλῳ περιβάλλοντες τὸ πλινθίον αὐτῶν. κράσσου δὲ τοὺς ψιλοὺς ἐκδραμεῖν κελεύσαντος, οὗτοι μὲν, οὐ πολὺ προῆλθον, ἀλλὰ πολλοῖς τοξεύμασιν ἐντυχόντες ταχὺ καὶ συμπαρέντες, αὖθις ἐνεδύοντο τοῖς ὁπλίταις. καὶ παρεῖχον ἀκοσμίας ἀρχὴν καὶ δέους, ὁρῶσι τὸν τόνον τῶν ὀϊστῶν καὶ τὴν ῥώμην, ὅπλα τε ῥηγνύντων, καὶ διὰ παντὸς φερομένων ὁμοίως ἀντιτύπου καὶ μαλακοῦ τοῦ τάγματος. οἱ δὲ πάρθοι διαστάντες, ἐκ μήκους ἤρξαντο τοξεύειν ἅμα πανταχόθεν, οὐ τὴν ἀκριβῆ τάξιν. ἡ γὰρ συνέχεια καὶ πυκνότης τῶν ῥωμαίων, οὐδὲ τῷ βουλομένῳ διαμαρτάνειν ἀνδρὸς παρεῖχεν. εὐτόνους δὲ τὰς πληγὰς καὶ βιαίους διδόντες, ἀπὸ τόξων κραταιῶν καὶ μεγάλων, καὶ τῇ σκολιότητι τῆς καμπῆς ἠναγκασμένον τὸ βέλος ἀποστελλόντων. ἦν οὖν αὐτόθεν ἤδη μοχθηρὰ τὰ ῥωμαίων. καὶ γὰρ μένοντες ἐν τάξει συνετιτρώσκοντο. καὶ χωρεῖν ὁμόσε πειρώμενοι, τοῦ μὲν ποιεῖν, ἴσον ἀπεῖχον, ὁμοίως δ᾽ ἔπασχον. ὑπέφευγον γὰρ ἅμα βάλλοντες οἱ πάρθοι. καὶ τοῦτο κράτιστα ποιοῦσι μετὰ σκύθας. καὶ σοφώτατόν ἐστιν ἀμυνομένους ἐπὶ τῷ σῴζεσθαι, τῆς φυγῆς ἀφαιρεῖν τὸ αἰσχρόν. ἄχρι μὲν οὖν ἤλπιζον αὐτοὺς ἐκχεαμένους τὰ βέλη, σχήσεσθαι μάχης, ἢ συνάψειν εἰς χεῖρας, ἐκαρτέρουν. ὡς δ᾽ ἔγνωσαν ὅτι πολλαὶ κάμηλοι παρεστᾶσι τοξευμάτων πλήρεις, ἀφ᾽ ὧν περιελαύνοντες οἱ πρῶτοι λαμβάνουσιν, οὐδὲν πέρας ὁρῶν ὁ κράσσος, ἠθύμει. καὶ σκοπεῖν ἐκέλευσεν ἀγγέλους πέμψας πρὸς τὸν υἱὸν, ὅπως προσμῖξαι βιάσηται τοῖς ἐναντίοις, πρὶν ἢ κυκλωθῆναι. μάλιστα γὰρ ἐκείνῳ προσέκειντο καὶ περιίππευον τὸ κέρας, ὡς κατὰ νώτου γενησόμενοι. λαβὼν οὖν ὁ νεανίας ἱππεῖς τε χιλίους τριακοσίους. ὧν οἱ χίλιοι παρὰ καίσαρος ἦσαν. καὶ τοξότας πεντακοσίους. καὶ τῶν ἔγγιστα θυρεοφόρων, ὀκτὼ σπείρας, συνήγαγεν εἰς ἐμβολήν. τῶν δὲ πάρθων οἱ περιελαύνοντες, εἴτε τέλμασιν ἐντυχόντες ὥς τινές φασιν, εἴτε λαβεῖν τὸν κράσσον ἀπωτάτω τοῦ πατρὸς στρατηγοῦντες, ὀπίσω στρέψαντες, ἐδίωκον. ὁ δὲ, βοήσας ὡς οὐ μένουσιν οἱ ἄνδρες, ἤλαυνε. καὶ σὺν αὐτῷ κηνσωρῖνός τε καὶ μεγάβακχος. ὁ μὲν, εὐψυχίᾳ καὶ ῥώμῃ διαφέρων. κηνσωρῖνος δὲ βουλευτικὸν ἔχων ἀξίωμα καὶ δεινὸς εἰπεῖν. ἑταῖροι δὲ κράσσου καὶ παραπλήσιοι καθ᾽ ἡλικίαν. ἐπισπομένων δὲ τῶν ἱππέων, οὐδὲ τὸ πεζὸν ἀπελείπετο προθυμίᾳ καὶ χαρᾷ τῆς ἐλπίδος. νικᾶν γὰρ ᾤοντο καὶ διώκειν, ἄχρις οὗ πολὺ προελθόντες ᾔσθοντο τὴν ἀπάτην, μεταβαλλομένων ἅμα τῶν φεύγειν δοκούντων, καὶ πλειόνων ἄλλων ἐπιφερομένων. ἐνταῦθα ἔστησαν. οἰόμενοι συνάψειν αὐτοῖς εἰς χεῖρας ὀλίγοις οὖσι τοὺς πολεμίους. οἱ δὲ, τοὺς καταφράκτους προτάξαντες ἐναντίους τοῖς ῥωμαίοις, τὴν δ᾽ ἄλλην ἵππον ἄτακτον περὶ αὐτοὺς ἐλαύνοντες καὶ συνταράττοντες τὸ πεδίον, ἀνίσταν ἐκ βυθοῦ θῖνας ἄμμου, κονιορτὸν ἐπαγούσας ἄπλετον. ὡς μήτε διορᾶν ῥᾳδίως μήτε φθέγγεσθαι τοὺς ῥωμαίους. εἰλουμένους δὲ ἐν ὀλίγῳ καὶ συμπίπτοντας ἀλλήλοις, βάλλεσθαι καὶ ἀποθνήσκειν, οὐ ῥᾴδιον, οὐδ᾽ ὀξὺν θάνατον, ἀλλ᾽ ὑπὸ σπασμοῦ καὶ ὀδύνης, δυσανασχετοῦντας καὶ κυλινδουμένους. περὶ τοῖς ὀϊστοῖς ἐναποθνήσκειν τοῖς τραύμασι, βίᾳ τε πειρωμένους ἐξέλκειν ἠγκιστρωμένας ἀκίδας, καὶ δεδυκυίας διὰ φλεβῶν καὶ νεύρων προσαναρρηγνύναι καὶ λυμαίνεσθαι σφᾶς αὐτούς. οὕτω δὲ πολλῶν ἀποθνησκόντων, ἄπρακτοι καὶ οἱ ζῶντες ἦσαν πρὸς ἀλκήν. καὶ τοῦ ποπλίου παρακαλοῦντος ἐμβαλεῖν εἰς τὴν κατάφρακτον, ἐπεδείκνυσαν ἑαυτῶν χεῖράς τε θυρεοῖς συμπεπερονημένας, καὶ πόδας διαμπὰξ προσεληλαμένους πρὸς τοὔδαφος. ὥστε καὶ πρὸς φυγὴν ἀμηχάνους εἶναι, καὶ πρὸς

σοβαροὶ

βύθιον. q.

σκεπάσμασι. γρ. τ

ἀνάσιλλος ἀκόσμου τ κεφαλήν.

χιλίους

τὰς μὲν ἀρμενίαν ἐπόρθει, πυνθανόμενος ἀρταουάσδην. σουρήναν δ' ἀφῆκεν ἐπὶ ῥωμαίους. οὐχ ὑπερφροσύνῃ χρώμενος, ὥς ἔνιοί φασιν. οὐ γὰρ ἦν αὐτῷ κράσσον μὲν ἀπαξιοῦν ἀνταγωνιστὴν, ἄνδρα ῥωμαίων πρῶτον. ἀρταουάσδῃ δὲ προσπολεμεῖν, καὶ τὰς ἀρμενίων ἐπιόντα χώρας ἐξαιρεῖν. ἀλλὰ καὶ πάνυ δοκεῖ καταδείσας τὸν κίνδυνον, αὐτὸς μὲν ἐφεδρεύειν καὶ καραδοκεῖν τὸ μέλλον. σουρήναν δὲ προκαθεῖναι πειρασόμενον μάχης καὶ περιέλξοντα τοὺς πολεμίους. οὐδὲ γὰρ ἦν τῶν τυχόντων ὁ σουρήνας. ἀλλὰ πλούτῳ μὲν καὶ γένει καὶ δόξῃ, μετὰ βασιλέα, δεύτερος. ἀνδρείᾳ δὲ καὶ δεινότητι τῶν καθ' αὑτὸν ἐν πάρθοις, πρῶτος. ἔτι δὲ μεγέθει καὶ κάλλει σώματος, ὡς οὐδεὶς ἕτερος. ἐξήλαυνε δὲ καθ' ἑαυτὸν ἀεὶ, χιλίαις σκευοφορούμενος καμήλοις, καὶ διακοσίας ἀπήνας ἐπήγετο παλλακίδων. ἱππεῖς δὲ κατάφρακτοι χίλιοι, πλείονες δὲ τῶν κούφων παρέπεμπον. εἶχε δὲ τοὺς σύμπαντας ἱππεῖς ὁμοῦ πελάτας τε καὶ δούλους, μυρίων οὐκ ἀποδέοντας. κατὰ γένος μὲν οὖν ἐξ ἀρχῆς ἐκέκτητο, βασιλεῖ γινομένῳ πάρθων, ἐπιτιθέναι τὸ διάδημα πρῶτος. ὑρώδην δὲ τοῦτον αὐτὸν ἐξεληλαμένον, εἰς πάρθους κατήγαγε. καὶ σελεύκειαν αὐτῷ τὴν μεγάλην εἷλε, πρῶτος ἐπιβὰς τοῦ τείχους, καὶ τρεψάμενος ἰδίᾳ χειρὶ τοὺς ἀντιστάντας. οὔπω δὲ γεγονὼς ἔτη τριάκοντα κατ' ἐκεῖνον τὸν χρόνον, εὐβουλίας καὶ συνέσεως δόξαν εἶχε μεγίστην. οἷς οὐχ ἥκιστα καὶ τὸν κράσσον ἔσφηλε, διὰ θάρσος καὶ φρόνημα πρῶτον, εἶτα ὑπὸ δέους καὶ συμφορῶν ταῖς ἀπάταις εὐχειρώτατον γενόμενον. τότ' οὖν ὁ βάρβαρος ὡς ἔπεισεν αὐτὸν, ἀποσπάσας τοῦ ποταμοῦ, διὰ μέσων ἦγε τῶν πεδίων, ὁδὸν ἐπιεικῆ καὶ κούφην τὸ πρῶτον. εἶτα μοχθηρὰν ἄμμου βαθείας ὑποδεχομένης, καὶ πεδίων ἀδένδρων καὶ ἀνύδρων, καὶ πρὸς οὐδὲν οὐδαμῆ πέρας ἐφικτὸν αἰσθήσει παυομένων. ὥστε μὴ μόνον δίψῃ καὶ χαλεπότητι τῆς πορείας ἀπαγορεύειν, ἀλλὰ καὶ τὸ τῆς ὄψεως ἀπαραμύθητον, ἀθυμίαν παρέχειν. οὐ φυτὸν ὁρώντων, οὐ ῥεῖθρον, οὐ προβολὴν ὄρους καθιέντος. οὐ πόαν διαβλαστάνουσαν, ἀλλ' ἀτεχνῶς, πελάγιόν τι χεῦμα θινῶν τινῶν ἐρήμων περιεχόντων τὸν στρατόν. ἦν μὲν οὖν καὶ ἀπὸ τούτων ὁ δόλος ὕποπτος. ἐπεὶ δὲ καὶ παρὰ ἀρτουάσδου τοῦ ἀρμενίου παρῆσαν ἄγγελοι φράζοντες, ὡς πολλῷ συνέχοιτο πολέμῳ, ῥυέντος ἐπ' αὐτὸν ὑρώδου. καὶ πέμπειν μὲν ἐκείνῳ βοήθειαν οὐ δύναται, παραινεῖ δὲ κράσσῳ, μάλιστα μὲν ἐκεῖ τραπέσθαι, καὶ γενόμενον μετ' ἀρμενίων, ὁμοῦ διαγωνίζεσθαι πρὸς τὸν ὑρώδην. εἰ δὲ μὴ, πορεύεσθαι καὶ στρατοπεδεύειν, ἀεὶ τὰ ἱππάσιμα φεύγοντα, καὶ προσχωροῦντα τοῖς ὀρεινοῖς, κράσσος μὲν οὐδὲν ἀντιγράψας ὑπ' ὀργῆς καὶ σκαιότητος ἀπεκρίνατο. νῦν μὲν ἀρμενίοις μὴ σχολάζειν, αὖθις δ' ἀφίξεσθαι δίκην ἐπιθήσων ἀρταουάσδῃ τῆς προδοσίας. οἱ δὲ περὶ κάσσιον, αὖθις ἠγανάκτουν, καὶ κράσσον μὲν ἀχθόμενον αὐτοῖς, ἐπαύσαντο νουθετοῦντες. ἰδίᾳ δὲ τὸν βάρβαρον ἐλοιδόρουν. τίς σε δαίμων πονηρὸς ὦ κάκιστε ἀνθρώπων ἤγαγε πρὸς ἡμᾶς. τίσι δὲ φαρμάκοις καὶ γοητείαις ἔπεισας κράσσον, εἰς ἐρημίαν ἀχανῆ καὶ βυθὸν ἐκχέαντα τὴν στρατιὰν, ὁδὸν ὁδεύειν νομάδι λῃστάρχῃ μᾶλλον, ἢ ῥωμαίων αὐτοκράτορι προσήκουσαν. ὁ δὲ βάρβαρος, ἀνὴρ ὢν ποικίλος, ἐκείνους μὲν ὑποπίπτων ἐθάρρυνε, καὶ παρεκάλει μικρὸν ἔτι καρτερῆσαι. τοὺς δὲ στρατιώτας, ἅμα συμπαραθέων καὶ παραβοηθῶν, ἐπέσκωπτε μετὰ γέλωτος. ὑμεῖς δὲ διὰ καμπανίας ὁδεύειν οἴεσθε, κρήνας καὶ νάματα, καὶ σκιὰς, καὶ λουτρὰ δηλαδὴ καὶ πανδοχεῖα ποθοῦντες. οὐ μέμνησθε δὲ τὴν ἀράβων διεξιόντες καὶ ἀσσυρίων μεθορίαν. οὕτω μὲν ὁ βάρβαρος διεπαιδαγώγησε τοὺς ῥωμαίους, καὶ πρὶν ἢ γενέσθαι φανερὸς ἐξαπατῶν, ἀφίππευσεν. οὐ λαθὼν τὸν κράσσον, ἀλλὰ καὶ τοῦτο πείσας, ὡς ὑπεργάσεται καὶ διαταράξει τὰ τῶν πολεμίων. λέγεται δὲ τῆς ἡμέρας ἐκείνης τὸν κράσσον, οὐχ ὥσπερ ἔθος ἐστὶ ῥωμαίων στρατηγοῖς, ἐν φοινικίδι ἐλθεῖν, ἀλλ' ἐν ἱματίῳ μέλανι. καὶ τοῦτο μὲν εὐθὺς ἀλλάξαι προνοήσαντα. τῶν δὲ σημαιῶν ἐνίας, μόλις ὥσπερ πεπηγυίας, πολλὰ παθόντας, ἀνελέσθαι τοὺς φέροντας, ὧν ὁ κράσσος καταγελῶν, ἐπετάχυνε τὴν πορείαν, προσβιαζόμενος ἀκολουθεῖν τὴν φάλαγγα τοῖς ἱππεῦσι, πρίν γε δὴ τῶν ἐπὶ κατάσκοπην ἀποσταλέντων ὀλίγοι προσελάσαντες ἀπήγγειλαν ἀπολωλέναι τοὺς ἄλλους ὑπὸ τῶν πολεμίων, αὐτοὺς δὲ μόλις ἐκφυγεῖν. ἐπιέναι δὲ μαχουμένους, πλήθει πολλῷ καὶ θάρσει τοὺς ἄνδρας. ἅπαντες μὲν οὖν ἐθορυβήθησαν. ὁ δὲ κράσσος, ἐξεπλάγη παντάπασι, καὶ διὰ σπουδῆς, οὐ πάνυ καθεστηκὼς, παρέταττε. πρῶτον μὲν, ὡς οἱ περὶ κάσσιον ἠξίουν, ἀραιὰν τὴν φάλαγγα τῶν ὁπλιτῶν, ἐπὶ πλεῖστον ἀνάγων τοῦ πεδίου πρὸς τὰς κυκλώσεις. τοὺς δ' ἱππεῖς, διανέμων τοῖς κέρασιν, ἔπειτα μετέδοξε. καὶ συναγαγὼν, ἀμφίστομον ἐποίησε καὶ βαθὺ πλινθίον. ἐν δώδεκα σπείραις προερχομένης τῶν πλευρῶν ἑκάστης. παρὰ δὲ σπεῖραν, ἴλην ἱππέων ἔταξεν ὡς μηδὲν ἔχοι μέρος ἐνδεὲς ἱππικῆς βοηθείας. ἀλλὰ πανταχόθεν, ὁμαλῶς προσφέροιτο πεφραγμένος. τῶν δὲ κεράτων, τὸ μὲν, κασσίῳ. τὸ δὲ, τῷ νέῳ κράσσῳ παρέδωκεν. αὐτὸς δ' εἰς μέσον κατέστη. καὶ προάγοντες οὕτως, ἐπὶ ῥεῖθρον ἦλθον, ὃ καλεῖται βάλισσος. οὐ πολὺ μὲν ἄλλως, οὐδὲ ἄφθονον. ἀσμένοις δὲ τότε τοῖς στρατιώταις φανὲν, ἐν αὐχμῷ καὶ καύματι, καὶ παρὰ τὴν ἄλλην ἐπίπονον καὶ ἄνυδρον πορείαν. οἱ μὲν οὖν πλεῖστοι τῶν ἡγεμόνων, ᾤοντο δεῖν ἐνταῦθα καταυλισαμένους καὶ νυκτερεύσαντας καὶ πυθομένους ἐφ' ὅσον οἷόν τε τὸ πλῆθος καὶ τάξιν τῶν πολεμίων, ἅμ' ἡμέρᾳ χωρεῖν ἐπ' αὐτούς. κράσσος δὲ τῷ παιδὶ καὶ τοῖς περὶ αὐ-

νίζεσθαι προσμαχόμενοι ταῖς πόλεσιν. οἷα δὲ φιλεῖ πάντα πρὸς τὸ δεινότερον ἐξαγγέλλοντες, ὡς ἄφυκτοι μὲν, οἱ ἄνδρες διώκοντες, ἄληπτοι δὲ φεύγοντες. βέλη δὲ καινὰ προθέοντα τῆς ὄψεως, καὶ πρὶν ὀφθῆναι τὸν βάλλοντα, χωροῦντα διὰ τοῦ προστυχόντος. τῶν δὲ καταφράκτων ὅπλων, τὰ μὲν, διὰ παντὸς ὠθεῖσθαι. τὰ δὲ, πρὸς μηδὲν ἐνδιδόναι πεποιημένα. ταῦτα τῶν στρατιωτῶν ἀκουόντων, τὸ θράσος ὑπέπιπτε. πεπεισμένοι γὰρ οὐδὲν Ἀρμενίων διαφέρειν Πάρθους, οὐδὲ Καππαδοκῶν, οὓς ἄγων καὶ φέρων Λούκουλλος ἀπεῖπε. καὶ τοῦ πολέμου τὸ χαλεπώτατον ἡγούμενοι, μακρὰν ὁδὸν ἔσεσθαι καὶ δίωξιν ἀνθρώπων εἰς χεῖρας οὐκ ἀφιξομένων, παρ' ἐλπίδας ἀγῶνα καὶ κίνδυνον μέγαν προσεδόκων. ὥστε καὶ τῶν ἐν τέλει τινὰς οἴεσθαι δεῖν ἐπισχόντα τὸν Κράσσον, αὖθις ὑπὲρ τῶν ὅλων γνώμην προθέσθαι. τούτων ἦν Κάσσιος ὁ ταμίας. ἡσυχῆ δὲ παρεδήλουν καὶ οἱ μάντεις, ὡς ἀεὶ πονηρὰ σημεῖα καὶ δυσέκθυτα προφαίνοιτο τῷ Κράσσῳ διὰ τῶν ἱερῶν. ἀλλ' οὔτε τούτοις προσεῖχεν. οὔτε τοῖς ἕτερόν τι πλὴν ἐπείγεσθαι παραινοῦσιν. οὐχ ἥκιστα δ' αὐτὸν Ἀρταβάζης ὁ Ἀρμενίων βασιλεὺς ἐπέρρωσεν. ἦλθε γὰρ εἰς τὸ στρατόπεδον μεθ' ἑξακισχιλίων ἱππέων. καὶ οὗτοι μὲν ἐλέγοντο φύλακες καὶ προπομποὶ βασιλέως. ἑτέρους δὲ μυρίους ὑπισχνεῖτο καταφράκτους. καὶ τρισμυρίους πεζοὺς οἰκοσίτους. ἔπεισε δὲ Κράσσον ἐμβαλεῖν δι' Ἀρμενίας εἰς τὴν Παρθίαν. οὐ γὰρ μόνον ἐν ἀφθόνοις διάξειν τὴν στρατιὰν αὐτοῦ παρέχοντος, ἀλλὰ καὶ πορεύσεσθαι δι' ἀσφαλείας, ὄρη πολλὰ καὶ λόφους συνεχεῖς καὶ χωρία δύσιππα πρὸς τὴν ἵππον, ἣ μόνη Πάρθων ἀλκὴ, προβαλλόμενον. ὁ δὲ τὴν προθυμίαν αὐτοῦ καὶ τὴν λαμπρότητα τῆς βοηθείας, μετρίως ἠγάπησε. βαδιεῖσθαι δ' ἔφη διὰ Μεσοποταμίας, ὅπου πολλοὺς καὶ ἀγαθοὺς Ῥωμαίων ἄνδρας ἀπέλιπεν. ὁ μὲν οὖν Ἀρμένιος, ἐνταῦθα ἀπήλαυνε. τῷ δὲ Κράσσῳ διαβιβάζοντι τὴν στρατιὰν κατὰ τὸ Ζεῦγμα, πολλαὶ μὲν ὑπερφυεῖς βρονταὶ περιερρήγνυντο, πολλὰ δὲ καὶ ἤστραπτεν ἐναντία τῷ στρατῷ. πνεῦμα δὲ νέφει καὶ πρηστῆρι μεμιγμένον ἐρεῖσαν αὐτοῦ κατὰ τῆς σχεδίας, ἀνέρρηξε πολλὰ καὶ συνέτριψεν. ἐβλήθη δὲ καὶ κεραυνοῖς δυσὶν ὁ χῶρος, οὗ στρατοπεδεύειν ἔμελλεν. ἵππος δὲ τῶν στρατηγικῶν ἐπιφανῶς κεκοσμημένος βίᾳ συνεπισπάσας τὸν ἡνίοχον, εἰς τὸ ῥεῖθρον, ὑποβρύχιος ἠφανίσθη. λέγεται δὲ καὶ τῶν ἀετῶν ὁ πρῶτος, ἀρθεὶς ἀπὸ ταὐτομάτου, μεταστραφῆναι. πρὸς δὲ τούτοις, συνέπεσε μετὰ τὴν διάβασιν μετρουμένοις τὰ ἐπιτήδεια τοῖς στρατιώταις, πρῶτον πάντων δοθῆναι φακοὺς καὶ ἅλας, ἃ νομίζουσι Ῥωμαῖοι πένθιμα, καὶ προτίθενται τοῖς νέκυσιν. αὐτοῦ τε Κράσσου δημηγοροῦντος, ἐξέπεσε φωνὴ, δεινῶς συγχέασα τὸν στρατόν. ἔφη γὰρ τὸ ζεῦγμα τοῦ ποταμοῦ διαλύειν, ὅπως μηδεὶς αὐτῶν ἐπανέλθῃ. καὶ δέον ὡς ᾔσθετο τοῦ ῥήματος τὴν ἀτοπίαν, ἀναλαβεῖν καὶ διασαφῆσαι πρὸς τοὺς ἀποδειλιῶντας τὸ εἰρημένον, ἠμέλησεν ὑπὸ αὐθαδείας. τέλος δὲ τὸν εἰθισμένον καθαρμὸν ἐσφαγιάζετο. καὶ τὰ σπλάγχνα τοῦ μάντεως αὐτῷ προσδόντος, ἐξέβαλε τῶν χειρῶν. ἐφ' ᾧ καὶ μάλιστα δυσχεραίνοντας ἰδὼν τοὺς παρόντας, ἐμειδίασε. καὶ τοιοῦτον ἔφη τὸ γῆρας. ἀλλὰ τῶν γε ὅπλων, οὐδὲν ἂν ἐκφύγοι τὰς χεῖρας. ἐκ τούτου παρὰ τὸν ποταμὸν ἐξήλαυνεν, ἑπτὰ μὲν ἔχων ὁπλιτῶν τάγματα, καὶ τετρακισχιλίων ὀλίγον ἀποδέοντας ἱππεῖς. ψιλοὺς δὲ τοῖς ἱππεῦσι παραπλησίους. τῶν δὲ προδρόμων τινὲς ἀπὸ σκοπιᾶς ἐπανελθόντες, ἤγγελλον ἀνθρώπων μὲν ἔρημον εἶναι τὴν χώραν. ἵππων δ' ἐντετυχηκέναι πολλῶν ἴχνεσιν, οἷον ἐκ μεταβολῆς ὀπίσω διωκομένων. ὅθεν αὐτός τε Κράσσος ἔτι μᾶλλον εὔελπις ἦν, καὶ τοῖς στρατιώταις παντάπασι τῶν Πάρθων παρέστη καταφρονεῖν, ὡς οὐκ ἀφιξομένων εἰς χεῖρας. ὅμως δ' οἱ περὶ Κάσσιον, αὖθις διελέγοντο τῷ Κράσσῳ, καὶ παρῄνουν, μάλιστα μὲν ἐν πόλει τινὶ τῶν φρουρουμένων ἀναλαβεῖν τὴν δύναμιν, ἄχρις οὗ τι πύθηται περὶ τῶν πολεμίων βέβαιον. εἰ δὲ μὴ, χωρεῖν ἐπὶ Σελευκείας παρὰ τὸν ποταμόν. εὐπορίαν γὰρ τὰ σιτηγὰ τῆς ἀγορᾶς παρέξειν, ἅμα συγκαταίροντα πρὸς τὸ στρατόπεδον. καὶ φύλακα τοῦ μὴ κυκλωθῆναι τὸν ποταμὸν ἔχοντας, ἀπ' ἴσης ἀεὶ πρὸς ἐναντίους μαχεῖσθαι τοὺς πολεμίους. ταῦτα τοῦ Κράσσου διασκοποῦντος ἔτι καὶ βουλευομένου, παραγίνεται φύλαρχος Ἀράβων Ἀριάμνης ὄνομα, δολερὸς καὶ παλίμβολος ἀνήρ. καὶ πάντων ὅσα συνήνεγκεν εἰς ὄλεθρον ἡ τύχη κακὰ, μέγιστον αὐτοῖς καὶ τελειότατον γενόμενον. τοῦτον δ' ᾔδεσαν ἔνιοι τῶν Πομπηΐῳ συνεστρατευμένων, ἀπολαύσαντά τι τῆς ἐκείνου φιλανθρωπίας. καὶ δόξαντα φιλορώμαιον εἶναι. τότε δ' ὑφεῖτο τῷ Κράσσῳ μετὰ γνώμης τῶν βασιλέως στρατηγῶν, εἰ δύναιτο παρατρέψας αὐτὸν ἀπωτάτω τοῦ ποταμοῦ καὶ τῶν ὑπέρων, εἰς πεδίον ἐκβαλεῖν ἀχανὲς, περιελαυνόμενον. πάντα γὰρ διενοοῦντο μᾶλλον, ἢ κατὰ στόμα προσφέρεσθαι Ῥωμαίοις. ἐλθὼν οὖν πρὸς τὸν Κράσσον ὁ βάρβαρος, ἦν δὲ καὶ πιθανὸς εἰπεῖν, Πομπήϊον μὲν ὡς εὐεργέτην ἐπῄνει. Κράσσον δὲ τῆς δυνάμεως μακαρίσας, ἐμέμφετο τῆς διατριβῆς, μέλλοντα καὶ παρασκευαζόμενον ὥσπερ ὅπλων αὐτῷ δεησόντων, οὐ χειρῶν οὐδὲ ποδῶν τῶν ταχίστων, ἐπ' ἀνθρώπους οἳ πάλαι ζητοῦσιν ἁρπάσαντες τὰ τιμιώτατα τῶν χρημάτων καὶ σωμάτων, εἰς Σκύθας ἢ Ὑρκανοὺς ἀναπτέσθαι. καίτοι μάχεσθαι μέλλοντας ἔφη, σπεύδειν ἔδει, πρὶν ἅπασαν ἐν ταὐτῷ γενέσθαι τὴν δύναμιν ἀναθαρρήσαντος βασιλέως. ἐπεὶ νῦν γε Σουρήνας ὑμῖν προβέβληται καὶ Σιλλάκης, ἐφ' αὐτοὺς ἀναδεξάμενοι τὴν δίωξιν. ὁ δ' οὐδαμῆ φανερός ἐστι. ταῦτα δὲ ἦν ψευδῆ πάντα. διχῆ γὰρ εὐθὺς Ὑρώδης διελὼν τὴν δύναμιν, αὐ-

ἔπειθε. s. τ.
γενόμενος s. κ. τ.
ὑπωρειῶν. ἴσ.
ἀναθαρρήσαντ. s. τ. κ.
ὑρώδης. s.
κ.

ἐποιεῖτο τῆς εὐπραξίας. ἀλλ' ὡς παιδιὰν ἀποφαίνων τὰ Λουκούλλου πρὸς Τιγράνην καὶ Πομπηΐου πρὸς Μιθριδάτην, ἄχρι Βακτρίων καὶ Ἰνδῶν καὶ τῆς ἔξω θαλάσσης, ἀνῆγεν ἑαυτὸν ταῖς ἐλπίσι. καίτοι τῷ γραφέντι περὶ τούτων νόμῳ, Παρθικὸς πόλεμος οὐ προσῆν. ᾔδεσαν δὲ πάντες, ὅτι πρὸς τοῦτο Κράσσος ἐπτόηται. καὶ Καῖσαρ ἐκ Γαλατίας ἔγραψεν αὐτῷ, τὴν ὁρμὴν ἐπαινῶν, καὶ παροξύνων ἐπὶ τὸν πόλεμον. ἐπεὶ δὲ δημαρχῶν Ἀτήϊος, ἔμελλε πρὸς τὴν ἔξοδον ἐναντιώσεσθαι. καὶ συνίσταντο πολλοὶ χαλεπαίνοντες, εἴ τις ἀνθρώποις οὐδὲν ἀδικοῦσιν, ἀλλ' ἐνσπόνδοις πολεμήσων ἄπεισι, δείσας ὁ Κράσσος, ἐδεήθη Πομπηΐου, παραγενέσθαι καὶ συμπροπέμψαι. μέγα γὰρ ἦν ἐκείνου τὸ πρὸς τὸν ὄχλον ἀξίωμα. καὶ τότε παρεσκευασμένους πολλοὺς ἐνίστασθαι, καὶ καταβοᾶν, ὁρώμενος πρὸ αὐτοῦ φαιδρῷ βλέμματι καὶ προσώπῳ, κατεπράϋνεν ὁ Πομπήϊος, ὥσθ' ὑπείκειν σιωπῇ δι' αὐτῶν προϊοῦσιν. ὁ δ' Ἀτήϊος ἀπαντήσας, πρῶτον μὲν ἀπὸ φωνῆς ἐκώλυε καὶ διεμαρτύρετο μὴ βαδίζειν, ἔπειτα τὸν ὑπηρέτην ἐκέλευεν ἁψάμενον τοῦ σώματος κατέχειν. ἄλλων δὲ δημάρχων οὐκ ἐώντων, ὁ μὲν ὑπηρέτης, οὐκ ἀφῆκε τὸν Κράσσον. ὁ δ' Ἀτήϊος προδραμὼν ἐπὶ τὴν πύλην, ἔθηκεν ἐσχαρίδα καιομένην. καὶ τοῦ Κράσσου γινομένου, ἐπιθυμιῶν καὶ κατασπένδων, ἀρὰς ἐπηρᾶτο, δεινὰς μὲν αὐτὰς καὶ φρικώδεις, δεινούς δέ τινας θεοὺς καὶ ἀλλοκότους ἐπ' αὐταῖς καλῶν καὶ ὀνομάζων. ταύτας φασὶ Ῥωμαῖοι τὰς ἀρὰς ἀποθέτους καὶ παλαιάς, τοιαύτην ἔχειν δύναμιν ὡς περιφυγεῖν μηδένα τῶν ἐνσχεθέντων αὐταῖς. κακῶς δὲ πράττειν καὶ τὸν χρησάμενον. ὅθεν οὐκ ἐπὶ τοῖς τυχοῦσιν αὐτάς, οὐδ' ὑπὸ πολλῶν ἀρᾶσθαι. καὶ τότ' οὖν ἐμέμφοντο τὸν Ἀτήϊον, εἰ δι' ἣν ἐχαλέπαινε τῷ Κράσσῳ πόλιν, εἰς αὐτὴν ἀρὰς ἀφῆκε, καὶ δεισιδαιμονίαν τοσαύτην. ὁ δὲ Κράσσος εἰς Βρεντέσιον ἦλθεν. ἔτι δ' ἀστάτου οὔσης χειμῶνι τῆς θαλάσσης, οὐ περιέμεινεν, ἀλλ' ἀνήχθη, καὶ συχνὰ τῶν πλοίων ἀπέβαλε. τὴν δ' ἄλλην ἀναλαβὼν δύναμιν, ἠπείγετο πεζῇ διὰ Γαλατίας. εὑρὼν δὲ τὸν βασιλέα Δηϊόταρον πάνυ μὲν ὄντα γηραιὸν ἤδη, κτίζοντα δὲ νέαν πόλιν, ἐπέσκωψεν εἰπών. ὦ βασιλεῦ δωδεκάτης ὥρας οἰκοδομεῖν ἄρχῃ. γελάσας δ' ὁ Γαλάτης, ἀλλ' οὐδ' αὐτὸς εἶπεν ὦ αὐτοκράτωρ ὡς ὁρῶ πρωῒ λίαν ἐπὶ Πάρθους ἐλαύνεις. ἦν δ' ὁ Κράσσος ἑξήκοντα μὲν ἔτη παραλλάττων. πρεσβύτερος δὲ τὴν ὄψιν ἢ καθ' ἡλικίαν. ἀφικόμενον δ' αὐτόν, ἐδέξατο τὰ πράγματα τῆς ἐλπίδος ἀξίως τὸ πρῶτον. καὶ γὰρ ἔζευξε ῥᾳδίως τὸν Εὐφράτην. καὶ διήγαγε τὸν στρατὸν ἀσφαλῶς. καὶ πόλεις πολλὰς ἐν τῇ Μεσοποταμίᾳ κατέσχεν, ἑκουσίως προσθεμένας. ἐν μιᾷ δ' ἧς Ἀπολλώνιός τις ἐτυράννει, στρατιωτῶν ἑκατὸν ἀναιρεθέντων, ἐπαγαγὼν τὴν δύναμιν αὐτοῖς. καὶ κρατήσας, διήρπασε τὰ χρήματα καὶ τοὺς ἀνθρώπους ἀπέδοτο. Ζηνοδοτίαν ἐκάλουν τὴν πόλιν οἱ Ἕλληνες. ἐπὶ ταύτης ἁλούσης, δεξάμενος αὐτοκράτωρ ἀπὸ τῆς στρατιᾶς ἀναγορευθῆναι, πολλὴν ὦφλεν αἰσχύνην, καὶ ταπεινὸς ἐφάνη, καὶ περὶ τὰ μείζονα δύσελπις, οὕτω πλεονέκτημα μικρὸν ἠγαπηκώς. ἐμβαλὼν δὲ φρουρὰς ταῖς προσκεχωρηκυίαις πόλεσιν, ὧν ἀριθμὸς ἦν ἑπτακισχίλιοι πεζοί, χίλιοι δ' ἱππεῖς, ἀνεχώρησεν αὐτὸς ἐν Συρίᾳ διαχειμάσων, καὶ δεξάμενος αὐτόθι τὸν υἱὸν ἥκοντα παρὰ Καίσαρος ἐκ Γαλατίας, αὐτόν τε κεκοσμημένον ἀριστείοις, καὶ χιλίους ἱππεῖς ἐπιλέκτους ἄγοντα, τοῦτο πρῶτον ἁμαρτεῖν ἔδοξεν ὁ Κράσσος, μετά γε τὴν στρατείαν αὐτήν, μέγιστον ἁμαρτημάτων γενομένων. ὅτι πρόσω χωρεῖν δέον, ἔχεσθαί τε Βαβυλῶνος καὶ Σελευκείας, δυσμενῶν ἀεὶ Πάρθοις πόλεων, χρόνον ἔδωκε τοῖς πολεμίοις παρασκευῆς. ἔπειτα τὰς ἐν Συρίᾳ διατριβὰς ᾐτιῶντο, χρηματιστικὰς μᾶλλον οὔσας, ἢ στρατηγικάς, οὐ γὰρ ὅπλων ἀριθμὸν ἐξετάζων, οὐδὲ γυμνασιῶν ποιούμενος ἁμίλλας, ἀλλὰ προσόδους πόλεων ἐκλογιζόμενος. καὶ τὰ χρήματα τῆς ἐν Ἱερᾷ πόλει θεοῦ σταθμοῖς καὶ τρυτάναις μεταχειριζόμενος, ἐπὶ πολλὰς ἡμέρας. ἐπιγράφων δὲ καὶ δήμοις καὶ δυναστείαις στρατιωτῶν καταλόγους. εἶτ' ἀνιεὶς ἀργύριον διδόντας, ἠδόξει καὶ κατεφρονεῖτο τούτοις. γίνεται δὲ πρῶτον αὐτῷ σημεῖον ἀπὸ τῆς θεοῦ ταύτης, ἣν οἱ μὲν, Ἀφροδίτην, οἱ δὲ, Ἥραν. οἱ δὲ, τὴν ἀρχὰς καὶ σπέρματα πᾶσιν ἐξ ὑγρῶν παρασχοῦσαν αἰτίαν, καὶ φύσιν νομίζουσι, καὶ τὴν πάντων εἰς ἀνθρώπους ἀρχὴν ἀγαθῶν καταδείξασαν. ἐξιόντων γὰρ ἐκ τοῦ ἱεροῦ, πρῶτος ἐσφάλη κατὰ τὰς πύλας ὁ νεανίας Κράσσος. εἶτ' ἐπ' αὐτῷ περιπεσὼν ὁ πρεσβύτερος. ἤδη δὲ τὰς δυνάμεις ἐκ τῶν χειμαδίων συναθροίζοντος αὐτοῦ, πρέσβεις ἀφίκοντο παρ' Ἀρσάκου βραχύν τινα λόγον κομίζοντες. ἔφασαν γάρ, εἰ μὲν ὑπὸ Ῥωμαίων ὁ στρατὸς ἀπέσταλται, πόλεμον ἄσπονδον εἶναι καὶ ἀδιάλλακτον. εἰ δὲ τῆς πατρίδος ἀκούσης ὡς πυνθάνονται, Κράσσος ἰδίων ἕνεκα κερδῶν, ὅπλα Πάρθοις ἐπενήνοχε. καὶ χώραν κατείληφε, μετριάζειν Ἀρσάκην, καὶ τὸ Κράσσου γῆρας οἰκτείρειν. ἀφιέναι δὲ Ῥωμαίοις τοὺς ἄνδρας, οὓς ἔχει φρουρουμένους μᾶλλον ἢ φρουροῦντας. πρὸς ταῦτα, Κράσσου κομπάσαντος, ὡς ἐν Σελευκείᾳ δώσει τὰς ἀποκρίσεις, γελάσας ὁ πρεσβύτατος τῶν πρέσβεων Οὐαγίσης, καὶ τῆς χειρὸς ὑπτίας δείξας τὸ μέσον, ἐντεῦθεν εἶπεν ὦ Κράσσε, φύσονται τρίχες. ἢ σὺ ὄψει Σελεύκειαν. οὗτοι μὲν οὖν, ἀπήλαυνον ὡς βασιλέα Ὑρώδην πολεμητέα φράσοντες. ἐκ δὲ τῶν πόλεων ἃς ἐφρούρουν Ῥωμαῖοι τῆς Μεσοποταμίας, παραβόλως, τινὲς διεκπεσόντες, ἄξια φροντίδων ἀπήγγελλον, αὐτόπται γεγονότες τοῦ τε πλήθους τῶν πολεμίων, καὶ τῶν ἀγώνων οὓς ἠγω-

νοια τοῦ κράσσου καὶ προσῆλθεν ἄνθρωπος, ὀνομάζων ἀπὸ τῆς συνωμοσίας, οὐδεὶς δ' ἐπίστευσεν. ὅμως δ' ὁ κικέρων ἔν τινι λόγῳ φανερὸς ἦν κράσσῳ καὶ καίσαρι τὴν αἰτίαν προστριβόμενος. ἀλλ' οὗτος μὲν ὁ λόγος ἐξεδόθη μετὰ τὴν ἀμφοῖν τελευτήν. ἐν δὲ τῷ περὶ ὑπατείας ὁ κικέρων, νύκτωρ φησὶ τὸν κράσσον ἀφικέσθαι πρὸς αὐτὸν, ἐπιστολὴν κομίζοντα περὶ τοῦ κατιλίνα καὶ ζητουμένην, ὡς ἤδη βεβαιοῦντα τὴν συνωμοσίαν. ὁ δ' οὖν κράσσος, ἀεὶ μὲν ἐμίσει τὸν κικέρωνα διὰ τοῦτο· τοῦ δὲ βλάπτειν ἀναφανδὸν, ἐμποδὼν εἶχε τὸν υἱὸν, ὁ γὰρ πόπλιος ὢν φιλολόγος καὶ φιλομαθὴς, ἐξήρτητο τοῦ κικέρωνος. ὥς τε καὶ συμμεταβαλεῖν αὐτῷ τὴν ἐσθῆτα κρινομένῳ. καὶ τοὺς ἄλλους νέους ταυτὰ ποιοῦντας παρασχεῖν. τέλος δὲ τὸν πατέρα πείσας, φίλον ἐποίησεν. ὁ δὲ καῖσαρ ὡς ἐπανῆλθεν ἀπὸ τῆς ἐπαρχίας παρασκευαζόμενος ὑπατείαν μετιέναι. καὶ κράσσον ὁρῶν καὶ πομπήϊον αὖθις ἐν διαφοραῖς πρὸς ἀλλήλους ὄντας, οὔτε θατέρου δεηθεὶς ἐβούλετο λαβεῖν ἐχθρὸν τὸν ἕτερον, οὔτε μηδετέρου συνεργοῦντος ἤλπιζε κατορθώσειν. ἔπραττεν οὖν διαλλαγὰς αὐτοῖς, προσκείμενος καὶ διδάσκων, ὡς καταλύοντες ἀλλήλους, αὔξουσι κικέρωνας καὶ κάτλους καὶ κάτωνας. ὧν οὐδεὶς λόγος ἂν ἐκεῖνοι συνενεγκόντες εἰς ταυτὸ τὰς φιλίας καὶ τὰς ἑταιρείας, ἑνὶ κράτει καὶ μιᾷ γνώμῃ τὴν πόλιν ἄγωσι. πείσας δὲ καὶ διαλλάξας, συνήγαγε καὶ συνέστησεν ἐκ τῶν τριῶν ἰσχὺν ἄμαχον. ᾗ κατέλυσε ῥωμαίων τὴν βουλὴν καὶ τὸν δῆμον. οὐκ ἐκείνους δι' ἀλλήλων μείζονας, ἀλλὰ δι' ἐκείνων ἑαυτὸν μέγιστον ἀπεργασάμενος. εὐθὺς γὰρ αἱρεθεὶς ὑπ' ἀμφοτέρων, ὕπατος ἀπεδείχθη λαμπρῶς. ὑπατεύοντι δ' αὐτῷ καλῶς, ψηφισάμενοι στρατευμάτων ἡγεμονίαν, καὶ γαλατίαν ἐγχειρίσαντες, ὥσπερ εἰς ἀκρόπολιν κατέστησαν. οἰόμενοι καθ' ἡσυχίαν νεμήσεσθαι τὰ λοιπὰ πρὸς ἀλλήλους, ἐκείνῳ βεβαιοῦντες ἣν ἔλαχεν ἀρχήν. πομπήϊος μὲν οὖν ὑπὸ φιλαρχίας ἀμέτρου, ταῦτ' ἔπραττε. τῶν δὲ κράσσου νοσημάτων τὸ ἀρχαῖον ἡ φιλοπλουτία, καινὸν ἔρωτα προσλαβοῦσα καὶ ζῆλον, ἐπὶ ταῖς καίσαρος ἀριστείαις, τροπαίων καὶ θριάμβων, ὥς τε μόνοις ἐλαττοῦσθαι προὔχοντα τοῖς ἄλλοις, ἐκεῖθεν οὐκ ἀνῆκεν, οὐδ' ἐλώφησε, πρὶν εἰς ὄλεθρον ἀκλεῆ, καὶ δημοσίας συμφορὰς τελευτῆσαι. καίσαρος γὰρ εἰς λουκίαν πόλιν ἐκ γαλατίας καταβάντος, ἄλλοι τε πολλοὶ ῥωμαίων ἀφίκοντο. καὶ πομπήϊος καὶ κράσσος, ἰδίᾳ συγγενόμενοι πρὸς αὐτὸν, ἔγνωσαν ἐγκρατέστερον ἔχεσθαι τῶν πραγμάτων, καὶ πᾶσαν ὑφ' ἑαυτοῖς ποιεῖσθαι τὴν ἡγεμονίαν. καίσαρος μὲν ἐν τοῖς ὅπλοις μένοντος. ἄλλας δὲ ἐπαρχίας καὶ στρατεύματα πομπηΐου καὶ κράσσου λαβόντων. ἐνταῦθα δ' ὁδὸς ἦν μία, δευτέρας ὑπατείας αἴτησις. ἣν μετιόντων ἐκείνων, ἔδει συμπράττειν καίσαρα. τοῖς τε φίλοις γράφοντα. καὶ τῶν στρατιωτῶν πέμποντα πολλοὺς ἀρχαιρεσιάσοντας. ἐπὶ τούτοις, οἱ περὶ κράσσον εἰς ῥώμην ἐπανελθόντες, εὐθὺς ἦσαν ὕποπτοι, καὶ πολὺς ἐχώρει διὰ πάντων λόγος, οὐκ ἐπ' ἀγαθῷ γεγονέναι τὴν σύνοδον αὐτῶν. ἐν δὲ τῇ βουλῇ μαρκελλίνου καὶ δομιτίου πομπήϊον ἐρωτώντων, εἰ μέτεισιν ὑπατείαν, ἀπεκρίνατο, τυχὸν μὲν μετιέναι. τυχὸν δὲ, μὴ μετιέναι. καὶ πάλιν ἐρωτώμενος, ἔφη μετιέναι τοῖς δικαίοις πολίταις. μὴ μετιέναι δὲ τοῖς ἀδίκοις. τούτου δὲ δόξαντος ὑπερηφάνους ἀποκρίσεις καὶ τετυφωμένας ποιεῖσθαι, μετριώτερον ὁ κράσσος εἶπεν. εἰ τῇ πόλει μετιέναι συμφέρει τὴν ἀρχήν. εἰ δὲ μὴ, πεπαύσεσθαι. διὸ καί τινες ἐθάρρησαν ὑπατείαν μετελθεῖν, ὧν ἦν καὶ δομίτιος. γενομένων δὲ φανερῶν ἐκείνων ἐν ταῖς παραγγελίαις, οἱ μὲν ἄλλοι δείσαντες, ἀπέστησαν. δομίτιον δὲ κάτων οἰκεῖον ὄντα καὶ φίλον, ἐθάρρυνεν, ἐγκελευόμενος καὶ παρορμῶν, ἔχεσθαι τῆς ἐλπίδος, ὡς ὑπερμαχοῦντα τῆς κοινῆς ἐλευθερίας. οὐ γὰρ ὑπατείας πομπήϊον δεῖσθαι καὶ κράσσον, ἀλλὰ τυραννίδος. οὐδ' ἀρχῆς αἴτησιν, ἀλλ' ἁρπαγὴν ἐπαρχιῶν καὶ στρατοπέδων εἶναι τὰ πραττόμενα. ταῦτα δὲ καὶ λέγων οὕτω καὶ φρονῶν ὁ κάτων, μονονοὺ βίᾳ προῆγεν εἰς ἀγορὰν τὸν δομίτιον. καὶ συνίσταντο πολλοὶ πρὸς αὐτούς. καὶ τὸ θαυμαζόμενον οὐκ ὀλίγον ἦν. τί δὴ δευτέρας οὗτοι χρῄζουσιν ὑπατείας. τί δὲ πάλιν μετ' ἀλλήλων. τί δ' οὐ μεθ' ἑτέρων. πολλοὶ δ' εἰσὶν ἄνδρες ἡμῖν, οὐκ ἀνάξιοι δήπου, κράσσῳ καὶ πομπηΐῳ συνάρχειν. ἐκ τούτου δείσαντες οἱ περὶ πομπήϊον, οὐδενὸς ἀπείχοντο τῶν ἀκοσμοτάτων καὶ βιαιοτάτων. ἀλλὰ πρὸς πᾶσι τοῖς ἄλλοις λόχον ὑφέντες τῷ δομιτίῳ νυκτὸς ἔτι μετὰ τῶν ἄλλων κατερχομένῳ, κτείνουσι μὲν τὸν ἀνέχοντα τὸ φῶς πρὸ αὐτοῦ, συντιτρώσκουσι δὲ πολλοὺς, ὧν ἦν καὶ κάτων. τρεψάμενοι δὲ καὶ κατακλείσαντες εἰς τὴν οἰκίαν ἐκείνους, ἀνηγορεύθησαν ὕπατοι. καὶ μετ' οὐ πολὺν χρόνον αὖθις ὅπλοις περισχόντες τὸ οἴκημα. καὶ τὸν κάτωνα τῆς ἀγορᾶς ἐκβαλόντες, καί τινας ὑποστάντας ἀποκτείναντες, καίσαρι μὲν ἄλλην ἐπέδοσαν πενταετίαν τῆς ἀρχῆς. αὐτοῖς δὲ τῶν ἐπαρχιῶν ἐψηφίσαντο συρίαν, καὶ ἰβηρίας συναμφοτέρας. κληρουμένων δὲ, συρίαν ἔλαχε κράσσος. τὰ δ' ἰβηρικὰ, πομπήϊος. ἦν δ' οὐκ ἀκούσιος ὁ κλῆρος ἅπασιν. οἵ τε γὰρ πολλοὶ πομπήϊον μὴ μακρὰν εἶναι τῆς πόλεως ἐβούλοντο. καὶ πομπήϊος ἐρῶν τῆς γυναικὸς, αὐτόθι τὰ πολλὰ διατρίβειν ἔμελλε. κράσσος δὲ ὑπὸ χαρᾶς εὐθὺς ἐκπεσόντι τῷ κλήρῳ καταφανὴς ἦν, οὐδὲν εὐτύχημα λαμπρότερον ἑαυτῷ γεγονέναι τοῦ παρόντος ἡγούμενος, ὡς μόλις ἐν ἀλλοτρίοις καὶ πολλοῖς ἡσυχίαν ἄγειν. πρὸς δὲ τοὺς συνήθεις πολλὰ κενὰ καὶ μειρακιώδη λέγειν παρ' ἡλικίαν τὴν ἑαυτοῦ καὶ φύσιν, ἥκιστα κομπαστὴς, ἢ σοβαρὸς τῷ βίῳ γεγονώς. τότε δ' ἐπηρμένος κομιδῇ καὶ διεφθαρμένος, οὐ συρίαν, οὐδὲ πάρθους ὅρον

σος, ὑπεξέωσε μὲν ἀπὸ τῆς λίμνης, ἀφῃρέθη δὲ τὸν φόνον. καὶ τὴν δίωξιν αὐτῶν, ἐπιφανέντος ὀξέως τοῦ σπαρτάκου. καὶ τὴν φυγὴν ἐπιστήσαντος. γεγραφὼς δὲ τῇ βουλῇ πρότερον ὡς χρὴ καὶ λούκουλλον ἐκ θρᾴκης καλεῖν. καὶ πομπήιον ἐξ ἰβηρίας, μετενόει. καὶ πρὶν ἥκειν ἐκείνους, ἔσπευδε διαπράξασθαι τὸν πόλεμον. εἰδὼς ὅτι τοῦ προσγενομένου καὶ βοηθήσαντος, οὐκ αὐτοῦ τὸ κατόρθωμα δόξει. πρῶτον μὲν οὖν διαγνοὺς, τοῖς ἀφεστῶσι καὶ κατ' ἰδίαν στρατευομένοις. ὧν ἀφηγοῦντο γάϊος καννίκιος καὶ κάστος, ἐπιθέσθαι, λόφον τινὰ προκαταληψομένους ἄνδρας ἑξακισχιλίους ἀπέστειλε, λανθάνειν κελεύσας πειρᾶσθαι. οἱ δ' ἐπειρῶντο μὲν τὴν αἴσθησιν ἀποκρύπτειν, τὰ κράνη καταμπέχοντες. ὀφθέντες δ' ὑπὸ δυοῖν γυναικῶν προθυομένων τοῖς πολεμίοις, ἐκινδύνευσαν, εἰ μὴ κράσσος ὀξέως ἐπιφανεὶς, μάχην ἔθετο πασῶν καρτερωτάτην. ἐν ᾗ τρισχιλίους ἐπὶ δισχιλίοις καὶ μυρίοις καταβαλὼν, δύο μόνους εὗρε κατὰ νώτου τετρωμένους. οἱ δ' ἄλλοι πάντες ἑστῶτες ἐν τάξει, καὶ μαχόμενοι τοῖς ῥωμαίοις, ἀπέθανον. σπαρτάκῳ δὲ μετὰ τὴν τούτων ἧτταν ἀναχωροῦντι πρὸς τὰ ὄρη τὰ πιτηλῖνα, κόϊντος τῶν περὶ κράσσον ἡγεμόνων καὶ σκρώφας ταμίας ἐξαπτόμενοι παρηκολούθουν. ἐπιστρέψαντος δὲ γίνεται φυγὴ μεγάλη τῶν ῥωμαίων. καὶ μόλις τρωθέντα τὸν ταμίαν ἁρπάσαντες ἀπεσώθησαν. τοῦτο τὸν σπάρτακον ἀπώλεσε τὸ κατόρθωμα φρονήματος ἐπιγενομένου τοῖς δραπέταις. οὐκέτι γὰρ ἠξίουν φυγομαχεῖν, οὐδ' ἐπείθοντο τοῖς ἄρχουσιν. ἀλλ' ἤδη καθ' ὁδὸν ὄντας ἐν τοῖς ὅπλοις περισχόντες, ἠνάγκασαν αὖθις ὀπίσω διὰ τῆς λευκανίας ἄγειν ἐπὶ τοὺς ῥωμαίους. εἰς ταὐτὸ τῷ κράσσῳ σπεύδοντες. ἤδη γὰρ ὁ πομπήϊος προσιὼν ἀπηγγέλλετο. καὶ δὴ ἀρχαιρεσιάζοντες ἦσαν οὐκ ὀλίγοι, τὴν νίκην ἐκείνῳ τοῦ πολέμου προσήκειν. ἐλθόντα γὰρ εὐθὺς μαχεῖσθαι καὶ καταλύσειν τὸν πόλεμον. ἐπειγόμενος οὖν διαγωνίσασθαι καὶ παραστρατοπεδευσάμενος τοῖς πολεμίοις, ὤρυττε τάφρον, πρὸς ἣν ἐκπηδῶντες οἱ δοῦλοι, προσεμάχοντο τοῖς ἐργαζομένοις. ἀεὶ δὲ πλειόνων ἑκατέρωθεν ἐκβοηθούντων, ὁρῶν τὴν ἀνάγκην ὁ σπάρτακος, ἅπαν παρέταξε τὸ στράτευμα. καὶ πρῶτον μὲν τοῦ ἵππου προσαχθέντος αὐτῷ, σπασάμενος τὸ ξίφος καὶ εἰπὼν, ὅτι νικῶν μὲν ἕξει πολλοὺς ἵππους καὶ καλοὺς τῶν πολεμίων, ἡττώμενος δὲ οὐ δεῖται, κατέσφαξε τὸν ἵππον. ἔπειτα πρὸς κράσσον αὐτὸν ὠθούμενος, διὰ πολλῶν ὅπλων καὶ τραυμάτων, ἐκείνου μὲν, οὐκ ἔτυχεν. ἑκατοντάρχας δὲ δύο συμπεσόντας, ἀνεῖλε. τέλος δὲ φυγόντων τῶν περὶ αὐτὸν, αὐτὸς ἑστὼς καὶ κυκλωθεὶς ὑπὸ πολλῶν, ἀμυνόμενος κατεκόπη. κράσσου δὲ τῇ τύχῃ χρησαμένου. καὶ στρατηγήσαντος ἄριστα. καὶ τὸ σῶμα τῷ κινδύνῳ παρασχόντος, ὅμως οὐ διέφυγε τὸ κατόρθωμα, τὴν πομπηΐου δόξαν. οἱ γὰρ διαπεσόντες αὐτῷ διεφθάρησαν. ὥστε καὶ γράψαι πρὸς τὴν σύγκλητον, ὅτι μάχῃ μὲν τοὺς δραπέτας φανερᾷ, κράσσος νενίκηκεν. αὐτὸς δὲ, τοῦ πολέμου τὴν ῥίζαν ἀνῄρηκε. πομπήϊος μὲν οὖν ἀπὸ σερτωρίου καὶ ἰβηρίας, ἐπιφανῶς ἐθριάμβευσε. κράσσος δὲ τὸν μὲν μέγαν θρίαμβον οὐδ' αὐτὸς αἰτεῖν ἐπεχείρησεν. ἐδόκει δὲ καὶ τὸν πεζὸν ὀβάν δὲ καλοῦμεν, ἀγεννῶς καὶ παρ' ἀξίαν ἐπὶ δουλικῷ πολέμῳ θριαμβεύσαι. τί δ' οὗτος ἐκείνου διαφέρει, καὶ περὶ τῆς κλήσεως, ἐν τῷ μαρκέλλου βίῳ γέγραπται. μετὰ δὲ ταῦτα, τοῦ πομπηΐου αὐτόθεν ἐπὶ τὴν ὑπατείαν καλουμένου, ἐλπίδας ἔχων ὁ κράσσος συνάρξειν, ὅμως οὐκ ὤκνησε τοῦ πομπηΐου δεηθῆναι. δεξάμενος δὲ τὴν χρείαν ἀσμένως ἐκεῖνος. ἐπεθύμει γὰρ ἁμωσγέπως ἀεὶ χάριτός τινος ὀφειλέτην λαβεῖν τὸν κράσσον, ἐσπούδασε προθύμως καὶ τέλος εἶπεν ἐκκλησιάζων, ὡς οὐκ ἐλάττονα περὶ τοῦ συνάρχοντος ἕξει χάριν, ἢ περὶ τῆς ἀρχῆς. οὐ μὴν ἔμειναν ἐπὶ τῆς αὐτῆς φιλοφροσύνης εἰς τὴν ἀρχὴν καταστάντες. ἀλλ' ὀλίγου δεῖν περὶ πάντων διαφερόμενοι καὶ πάντα δυσκολαίνοντες ἀλλήλοις καὶ φιλονεικοῦντες, ἀπολίτευτον καὶ ἄπρακτον αὐτοῖς τὴν ὑπατείαν ἐποίησαν. πλὴν ὅτι κράσσος ἡρακλεῖ μεγάλην θυσίαν ποιησάμενος, εἱστίασε τὸν δῆμον ἀπὸ μυρίων τραπεζῶν. καὶ σῖτον ἐμέτρησεν εἰς τρίμηνον. ἤδη δὲ τῆς ἀρχῆς αὐτοῖς τελευτώσης, ἔτυχον μὲν ἐκκλησιάζοντες. ἀνὴρ δέ τις οὐ τῶν ἐπιφανῶν, ἱππεὺς ῥωμαίων, ἀγροῖκος δὲ τῷ βίῳ καὶ ἰδιώτης, ὀνάτιος αὐρήλιος, ἀναβὰς ἐπὶ τὸ βῆμα καὶ προσελθὼν, ὄψιν διηγεῖτο κατὰ τοὺς ὕπνους αὐτῷ γενομένην. ὁ γὰρ ζεὺς ἔφη μοι φανεὶς, προσέταξεν εἰς κοινὸν εἰπεῖν, ὅπως μὴ πρότερον περιίδητε τοὺς ὑπάτους ἀποθέσθαι τὴν ἀρχὴν, ἢ φίλους γενέσθαι. ταῦτα λέγοντος τοῦ ἀνθρώπου. καὶ τοῦ δήμου διαλλάττεσθαι κελεύοντος, ὁ μὲν πομπήϊος ἡσυχίαν ἦγεν ἑστώς. ὁ δὲ κράσσος ἐμβαλὼν τὴν δεξιὰν αὐτῷ πρότερος, οὐδὲν εἶπεν ὦ ἄνδρες, οἶμαι πολῖται ταπεινὸν πράττειν οὐδ' ἀνάξιον ἐμαυτοῦ, καταρχόμενος εὐνοίας καὶ φιλίας πρὸς πομπήιον, ὃν ὑμεῖς μήπω γενειῶντα μέγαν ἀνηγορεύσατε. καὶ μήπω μετέχοντι βουλῆς, ἐψηφίσασθε θρίαμβον. ἡ μὲν οὖν ὑπατεία τοῦ κράσσου, ταῦτ' ἔχων ἄξια μνήμης. ἡ δὲ τιμητεία, παντάπασιν ἀτελὴς καὶ ἄπρακτος αὐτῷ διῆλθεν. οὔτε γὰρ βουλῆς ἐξέτασιν. οὔθ' ἱππέων ἐπίσκεψιν. οὔτ' ἀποτίμησιν πολιτῶν ἐποιήσατο. καίτοι συνάρχοντα ῥωμαίων ἔχοντι, τὸν πρᾳότατον λουτάτιον κάτλον. ἀλλὰ φασὶν ἐπὶ δεινὸν ὁρμήσαντι τῷ κράσσῳ πολίτευμα καὶ βίαιον, αἴγυπτον ποιεῖν ὑποτελῆ ῥωμαίοις, ἀντιβῆναι τὸν κάτλον ἐρρωμένως. ἐκ δὲ τούτου γενομένης διαφορᾶς, ἑκόντας ἀποθέσθαι τὴν ἀρχήν. ἐν δὲ τοῖς περὶ κατιλίναν πράγμασι μεγάλοις καὶ μικροῦ δεήσασιν ἀνατρέψαι τὴν ῥώμην, ἥψατο μέν τις ὑπόνοια τοῦ

ἐψηφίσαντο

τοι ταῦτα μετελάμβανον. ἀπορρίψαντες ὡς ἄτιμα καὶ βάρβαρα τὰ τῶν μονομάχων. ἔπειτα κλω-
δίου στρατηγοῦ μετὰ τρισχιλίων πεμφθέντος ἐκ ῥώμης. καὶ πολιορκοῦντος αὐτοὺς, ἐν ὄρει μίαν ἔ-
χοντι καὶ χαλεπὴν καὶ στενὴν ἄνοδον, ἣν ὁ κλώδιος ἐφρούρει. τὰ δ' ἄλλα κρημνοὺς ἀποτόμους καὶ
λυσσάδας, ἄμπελον δὲ πολλὴν ἀγρίαν ἐπιπολῆς πεφυκυῖαν, ἔτεμνον τῶν κλημάτων τὰ χρήσιμα.

λισσάδας. ς. τ. κ.

καὶ συμπλέκοντες ἐξ αὐτῶν κλιμακίδας εὐτόνους καὶ βαθείας, ὥστ' ἄνωθεν ἀνηρτημένας παρὰ
τὸ κρημνῶδες, ἅπτεσθαι τῶν ἐπιπέδων, κατέβαινον ἀσφαλῶς δι' αὐτῶν, πλὴν ἑνός. οὗτος δὲ τῶν ὅ-
πλων ἕνεκα μείνας, ἐπεὶ κατέβησαν, ἠφίει κάτω τὰ ὅπλα, καὶ βαλὼν ἅπαντα τελευταῖος, ἀπεσώ-
ζετο καὶ αὐτός. ταῦτ' ἠγνόουν οἱ ῥωμαῖοι. διὸ καὶ περιελθόντες αὐτοὺς, ἐξέπληξαν τῷ αἰφνιδίῳ, καὶ
φυγῆς γενομένης, ἔλαβον τὸ στρατόπεδον. καὶ προσεγίνοντο πολλοὶ τῶν αὐτόθι βοτήρων, καὶ ποιμέ-
νων αὐτοῖς, πλῆκται καὶ ποδώκεις ἄνδρες. ὧν τοὺς μὲν, ὥπλιζον. τοῖς δὲ, προδρόμοις καὶ ψιλοῖς ἐ-
χρῶντο. δεύτερος ἐκπέμπεται πρὸς αὐτοὺς, στρατηγὸς, πούπλιος βαρῖνος. οὗ πρῶτα μὲν ὑποστρα-
τηγόν τινα φούριον ἔχοντα δισχιλίους στρατιώτας, ἐτρέψαντο συμβαλόντες. ἔπειτα σύμβουλον αὐ-
τοῦ καὶ συνάρχοντα κοσσίνιον ἀποσταλέντα μετὰ πολλῆς δυνάμεως ἐπιτηρήσας ὁ σπάρτακος λουό-
μενον περὶ σαλίνας, μικρὸν ἐδέησε συναρπάσαι. χαλεπῶς δὲ καὶ μόλις ἐκφυγόντος, εὐθὺς μὲν
ἐκράτησε τῆς ἀποσκευῆς. ἐκ ποδὸς δὲ κατέχων καὶ διώκων, φόνῳ πολλῷ τὸ στρατόπεδον εἷλεν. ἔπεσε
δὲ καὶ κοσσίνιος. αὐτὸν δὲ τὸν στρατηγὸν ἄλλαις μάχαις πολλαῖς καταγωνισάμενος, τέλος τούς τε ῥα-
βδούχους καὶ τὸν ἵππον αὐτοῦ λαβὼν, ἤδη μὲν μέγας καὶ φοβερὸς ἦν. ἐφρόνει δὲ τὰ εἰκότα. καὶ μὴ
προσδοκῶν ὑπερβαλέσθαι τὴν ῥωμαίων δύναμιν, ἦγεν ἐπὶ τὰς ἄλπεις τὸν στρατόν. οἰόμενος δεῖν
ὑπερβαλόντας, αὐτοὺς ἐπὶ τὰ οἰκεῖα χωρεῖν. τοὺς μὲν, εἰς θρᾴκην. τοὺς δ' εἰς γαλατίαν. οἱ δὲ, πλήθει τε
ὄντες ἰσχυροὶ, καὶ μέγα φρονοῦντες, οὐχ ὑπήκουον, ἀλλ' ἐπόρθουν ἐπιπορευόμενοι τὴν ἰταλίαν. οὐκέτ'
οὖν τὸ παρ' ἀξίαν καὶ τὸ αἰσχρὸν ἠνώχλει τῆς ἀποστάσεως τὴν σύγκλητον. ἀλλὰ δὴ διὰ φόβον τε καὶ
κίνδυνον, ὡς πρὸς ἕνα τῶν δυσκολωτάτων πολέμων καὶ μεγίστων, ἀμφοτέρους ἐξέπεμπον τοὺς ὑπά-
τους. ὧν γέλλιος μὲν τὸ γερμανικὸν ὕβρει καὶ φρονήματι, τῶν σπαρτακείων ἀποσχισθὲν, ἐξαίφνης ἐμπε-
σὼν, ἅπαν διέφθειρε. λεντούλου δὲ τὸν σπάρτακον μεγάλοις στρατοπέδοις περιλαβόντος. ὁρμήσας ὁμό-
σε, καὶ μάχην συνάψας, ἐκράτησε μὲν τῶν πρεσβευτῶν, ἔλαβε δὲ τὴν ἀποσκευὴν ἅπασαν. ὠθουμέ-
νῳ δ' αὐτῷ πρὸς τὰς ἄλπεις κάσσιος ὁ τῆς περὶ πάδον γαλατίας στρατηγὸς, ἔχων μυρίους ἀπήντη-
σε. καὶ γενομένης μάχης κρατηθεὶς καὶ πολλοὺς ἀποβαλὼν, μόλις αὐτὸς ἐξέφυγε. ταῦθ' ἡ βουλὴ πυ-
θομένη, τοὺς μὲν ὑπάτους, πρὸς ὀργὴν ἐκέλευσεν ἡσυχίαν ἄγειν. κράσσον δὲ, τοῦ πολέμου στρατηγὸν εἵ-
λοντο. καὶ πολλοὶ διὰ δόξαν αὐτῷ καὶ φιλίαν συνεστράτευον τῶν ἐπιφανῶν. αὐτὸς μὲν οὖν ὑπέμεινε
πρὸ τῆς πικηνίδος ὡς τὸν σπάρτακον ἐκεῖ φερόμενον δεξόμενος. μόμμιον δὲ πρεσβευτὴν ἄγοντα δύο
τάγματα κύκλῳ περιέπεμψεν, ἕπεσθαι κελεύσας τοῖς πολεμίοις. συμπλέκεσθαι δὲ, μή. μηδὲ ἀψι-
μαχεῖν. ὁ δ' ἅμα τῷ πρῶτον ἐπ' ἐλπίδος γενέσθαι, μάχην θέμενος ἡττήθη. καὶ πολλοὶ μὲν, ἔπεσον. πολ-
λοὶ δὲ ἄνευ τῶν ὅπλων φεύγοντες, ἐσώθησαν. ὁ δὲ κράσσος αὐτόν τε τὸν μόμμιον ἐδέξατο τραχέως, καὶ
τοὺς στρατιώτας ὁπλίζων αὖθις, ἐγγυητὰς ᾔτει τῶν ὅπλων ὅτι φυλάξουσι. πεντακοσίους δὲ τοὺς
πρώτους. καὶ μάλιστα τοὺς τρέσαντας εἰς πεντήκοντα διανείμας δεκάδας, ἀφ' ἑκάστης ἀπέκτεινεν ἕνα
τὸν κλήρῳ λαχόντα. πάτριόν τι τοῦτο διὰ πολλῶν χρόνων κόλασμα τοῖς στρατιώταις ἐπαγαγὼν, καὶ
γὰρ αἰσχύνη τοῦ θανάτου τῷ τρόπῳ πρόσεστι. καὶ δρᾶται πολλὰ φρικώδη καὶ σκυθρωπὰ περὶ τὴν κό-
λασιν ἁπάντων θεωμένων. οὕτω δ' ἐπιστρέψας τοὺς ἄνδρας, ἦγεν ἐπὶ τοὺς πολεμίους. ὁ δὲ σπάρτα-
κος, ὑπεξεχώρει διὰ λευκανίας εἰς τὴν θάλασσαν. ἐν δὲ πορθμῷ, λῃστρίσι κιλίσσαις ἐπιτυχὼν, ὥρμη-
σεν ἅψασθαι σικελίας. καὶ δισχιλίους ἄνδρας ἐμβαλὼν εἰς τὴν νῆσον, αὖθις ἐξεζωπύρησε τὸν δου-
λικὸν ἐκεῖ πόλεμον οὔπω πολὺν χρόνον ἀπεσβηκότα, καὶ μικρῶν πάλιν ὑπεκκαυμάτων δεόμενον

ἐξεζωοπύρησε. ω.
ἐκζωοπυρῆσαι. q.

ὁμολογήσαντες δὲ οἱ κίλικες αὐτῷ καὶ δῶρα λαβόντες, ἐξηπάτησαν καὶ ἀπέπλευσαν. οὕτω δὴ
πάλιν ἀπὸ θαλάσσης ἀναζεύξας, ἐκάθισε τὸν στρατὸν, εἰς τὴν ῥηγίνων χερρόνησον. ἐπελθὼν δ' ὁ κράσ-
σος. καὶ τοῦ τόπου τὴν φύσιν ὁρῶν ὑφηγουμένην τὸ δέον, ὥρμησεν ἀποτειχίσαι τὸν ἰσθμὸν, ἅμα καὶ τὴν
σχολὴν τῶν στρατιωτῶν ὑφαιρῶν, καὶ τὴν εὐπορίαν τῶν πολεμίων. μέγα μὲν οὖν ἦν καὶ χαλεπὸν τὸ
ἔργον. ἤνυσε δὲ καὶ κατειργάσατο παρὰ δόξαν ἐν ὀλίγῳ χρόνῳ, τάφρον ἐμβαλὼν ἐκ θαλάσσης εἰς θά-
λασσαν διὰ τοῦ αὐχένος σταδίων τριακοσίων εὖρος δὲ καὶ βάθος, πεντεκαίδεκα ποδῶν. ὑπὲρ δὲ τῆς τά-
φρου τεῖχος ἔστησεν ὕψει καὶ ῥώμῃ θαυμαστόν. ὧν ὁ σπάρτακος ἠμέλει καὶ κατεφρόνει τοπρῶτον. ὡς δὲ
τῆς λείας ὑπολειπούσης προϊέναι βουλόμενος συνεῖδε τὸν ἀποτειχισμὸν, καὶ λαμβάνειν οὐδὲν ἦν
ἐκ τῆς χερρονήσου, νύκτα νιφετώδη, καὶ πνεῦμά τι χειμέριον παραφυλάξας, ἔχωσε τῆς τάφρου μέ-
ρος οὐ πολὺ. γῇ καὶ ὕλῃ, καὶ κλάδοις δένδρων, ὥστε τῆς στρατείας περαιῶσαι τὸ τρίτον. ἐφοβήθη
μὲν οὖν ὁ κράσσος μὴ λάβοι τις ὁρμὴ τὸν σπάρτακον ἐπὶ τὴν ῥώμην ἐλαύνειν. ἐθάρρησε δὲ πολλῶν ἐκ
διαφορᾶς ἀποστάντων αὐτοῦ, καὶ στρατοπεδευσαμένων καθ' αὐτοὺς, ἐπὶ λευκανίδος λίμνης. ἥν φασι
τρέπεσθαι διὰ χρόνου, γινομένην γλυκεῖαν, καὶ αὖθις ἁλμυρὰν καὶ ἄποτον. τούτοις ἐπελθὼν ὁ κράσ-

λασσούμενον. ἐμπειρίας τε γὰρ ἐνδεὴς ἦν. καὶ τῶν πράξεων αὐτοῦ τὴν χάριν ἀφῄρουν αἱ συγγενεῖς κῆρες, ἐπιφερόμεναι φιλοκέρδεια καὶ μικρολογία. καὶ γὰρ πόλιν ὀμβρικὴν τουδερτίαν ἑλὼν, ἔδοξε πλεῖστα τῶν χρημάτων σφετερίσασθαι, καὶ διεβλήθη πρὸς σύλλαν. ἀλλ' ἔν γε τῷ περὶ τὴν ῥώμην ἀγῶνι πάντων γενομένῳ μεγίστῳ καὶ τελευταίῳ, σύλλας μὲν ἡττήθη, τῶν καθ' αὐτὸν ὠσθέντων, καὶ συντριβέντων, κράσσος δὲ τὸ δεξιὸν κέρας ἔχων, ἐνίκησε καὶ μέχρι νυκτὸς διώξας τοὺς πολεμίους, ἔπεμψε πρὸς σύλλαν, δεῖπνον αἰτῶν τοῖς στρατιώταις, καὶ τὸ κατόρθωμα φράζων. ἐν δὲ ταῖς προγραφαῖς καὶ δημεύσεσι, πάλιν κακῶς ἤκουσεν, ὠνούμενός τε τιμῆς βραχείας μεγάλα πράγματα, καὶ δωρεὰς αἰτῶν. ἐν δὲ βρεττίοις λέγεται καὶ προγράψαι τινὰ οὐ σύλλα κελεύσαντος, ἀλλ' ἐπὶ χρηματισμῷ. διὸ καὶ σύλλαν καταγνόντα, πρὸς μηδὲν ἔτι χρῆσθαι δημόσιον αὐτῷ. καίτοι δεινότατος ἦν κράσσος, πάντας ἀνθρώπους κολακείᾳ κατεργάσασθαι. πάλιν δ' αὐτὸς ὑπὸ πάντων διὰ κολακείας εὐάλωτος. ἴδιον δὲ κἀκεῖνο περὶ αὐτοῦ λέγεται, φιλοκερδέστατον ὄντα μάλιστα, μισεῖν καὶ λοιδορεῖν τοὺς ὁμοίους. ἠνία δὲ πομπήϊος αὐτὸν εὐημερῶν ἐν ἡγεμονίαις. καὶ πρὶν ἢ βουλῆς μεταλαβεῖν, θριαμβεύων. καὶ μάγνος ὅπερ ἐστὶ μέγας ὑπὸ τῶν πολιτῶν ἀναγορευθείς. καί ποτε φήσαντός τινος ὡς πομπήϊος μάγνος πρόσεισι, γελάσας, ἠρώτησεν ὡς πηλίκος. ἀπογνοὺς δὲ τοῖς πολεμικοῖς ἐξισώσασθαι πρὸς ἐκεῖνον, ὑπέδυ τὴν πολιτείαν. σπουδαῖς καὶ συνηγορίαις καὶ δανεισμοῖς. καὶ τῷ συμπαραγγέλλειν καὶ συνεξετάζεσθαι τοῖς δεομένοις τι τοῦ δήμου κτώμενος δύναμιν ἀντίπαλον καὶ δόξαν, ἣν πομπήϊος εἶχεν ἀπὸ πολλῶν καὶ μεγάλων στρατειῶν, καὶ πρᾶγμα συνέβαινεν αὐτοῖς ἴδιον. μεῖζον γὰρ ἦν ἀπόντος ὄνομα τοῦ πομπηΐου, καὶ κράτος ἐν τῇ πόλει διὰ τὰς στρατείας. παρὼν δὲ πολλάκις ἠλαττοῦτο τοῦ κράσσου, διὰ τὸν ὄγκον καὶ τὸ πρόσχημα τοῦ βίου, φεύγων τὰ πλήθη. καὶ ἀναδυόμενος ἐξ ἀγορᾶς, καὶ τῶν δεομένων ὀλίγοις, καὶ μὴ πάνυ προθύμως βοηθῶν ὡς ἀκμαιοτέραν ἔχοι τὴν δύναμιν ὑπὲρ αὐτοῦ χρώμενος. ὁ δὲ κράσσος ἐνδελεχὲς τὸ χρήσιμον ἔχων καὶ σπάνιος οὐκ ὢν, οὐδὲ δυσπρόσοδος, ἀλλ' ἐν μέσαις ἀεὶ ταῖς σπουδαῖς ἀναστρεφόμενος, τῷ κοινῷ καὶ φιλανθρώπῳ περιεγένετο, τῆς ἐκείνου σεμνότητος. σώματος δὲ ἀξίωμα καὶ λόγου πειθὼ. καὶ προσώπου χάριν ἀγωγὸν, ἀμφοτέροις ὁμοίως προσεῖναι λέγουσιν. οὐ μέντοι πρὸς ἔχθραν τινὰ τὸν κράσσον, ἢ κακόνοιαν ἐξήνεγκεν οὗτος ὁ ζῆλος. ἀλλὰ καὶ πομπηΐῳ καὶ καίσαρι τιμωμένοις ὑπὲρ αὐτὸν ἤχθετο. τῇ δὲ φιλοτιμίᾳ ταύτῃ, δυσμένειαν ἢ κακοήθειαν οὐ συνῆπτε. καίτοι καῖσαρ ὑπὸ λῃστῶν ἁλοὺς ἐν ἀσίᾳ, καὶ φρουρούμενος, ἀνεβόησεν. ἡλίκης ὦ κράσσε χαρᾶς ἀπολαύσεις πυθόμενος τὴν ἐμὴν ἅλωσιν. ἀλλ' ὕστερόν γε, φιλικῶς ἀλλήλοις προσεφέροντο. καί ποτε τῷ καίσαρι μέλλοντι μὲν εἰς ἰβηρίαν ἐξιέναι στρατηγῷ, χρήματα δ' οὐκ ἔχοντι τῶν δανειστῶν ἐπιπεσόντων, καὶ τῆς παρασκευῆς ἐπιλαμβανομένων, ὁ κράσσος οὐ περιεῖδεν, ἀλλ' ἀπήλλαξεν ὑποθεὶς αὑτὸν ἔγγυον, τριάκοντα καὶ ὀκτακοσίων ταλάντων. καθόλου δὲ τῆς ῥώμης εἰς τρεῖς νεμημένης [νενεμημένης] δυνάμεις, τὴν πομπηΐου. τὴν καίσαρος. τὴν κράσσου. κάτωνος γὰρ ἡ δόξα μείζων ἦν τῆς δυνάμεως, καὶ τὸ θαυμαζόμενον πλέον ἴσχυεν, ἡ μὲν ἔμφρων καὶ καθεστῶσα μερὶς ἐν τῇ πόλει, πομπήϊον ἐθεράπευε. τὸ δ' ὀξὺ καὶ φερόμενον μετ' εὐχερείας, ταῖς καίσαρος ἐλπίσιν ἐπηκολούθει. κράσσος δὲ μέσος ὢν, ἀμφοτέροις ἐχρῆτο. καὶ πλείστας μεταβολὰς ἐν τῇ πολιτείᾳ μεταβαλλόμενος, οὔτε φίλος ἦν βέβαιος, οὔτ' ἀνήκεστος ἐχθρὸς, ἀλλὰ ῥᾳδίως, καὶ χάριτος καὶ ὀργῆς ἐξέπιπτεν ὑπὸ τοῦ συμφέροντος. ὥς τε πολλάκις μὲν ἀνθρώπων. πολλάκις δὲ νόμων, ἐν ὀλίγῳ φανῆναι τῶν αὐτῶν συνήγορος καὶ ἀντίδικος. ἴσχυε δὲ χάριτι καὶ φόβῳ. φόβῳ δ' οὐκ ἔλαττον. ὁ γοῦν πλεῖστα πράγματα παρασχὼν τοῖς καθ' αὐτὸν ἄρχουσι καὶ δημαγωγοῖς σικίννιος, πρὸς τὸν εἰπόντα, τί δὴ μόνον οὐ σπαράττει τὸν κράσσον ἀλλὰ παρίησιν αὐτὸν, χόρτον ἔχειν φησὶν ἐπὶ τοῦ κέρατος. εἰώθεσαν δὲ ῥωμαῖοι τὸν κυρίττοντα τῶν βοῶν ὑπὲρ τοῦ φυλάττεσθαι τοὺς ἐντυγχάνοντας, χόρτῳ περιελίσσειν τὸ κέρας. ἡ δὲ τῶν μονομάχων ἐπανάστασις καὶ λεηλασία τῆς ἰταλίας, ἣν οἱ πολλοὶ σπαρτάκειον πόλεμον ὀνομάζουσιν, ἀρχὴν ἔλαβεν ἐκ τοιαύτης αἰτίας. λέντλου τινὸς βατιάτου μονομάχους ἐν καπύῃ τρέφοντος. ὧν οἱ πολλοὶ, γαλάται καὶ θρᾶκες ἦσαν, ἐξ αἰτιῶν οὐ πονηρῶν, ἀλλ' ἀδικίᾳ τοῦ πριαμένου, συνειρχθέντες ὑπ' ἀνάγκης ἐπὶ τῷ μονομαχεῖν, ἐβουλεύσαντο μὲν διακόσιοι φεύγειν, γενομένης δὲ μηνύσεως οἱ προαισθόμενοι καὶ φθάσαντες, ὀγδοήκοντα δυοῖν δέοντες, ἔκ τινος ὀπτανείου κοπίδας ἀράμενοι καὶ ὀβελίσκους, ἐξεπήδησαν. ἐντυχόντες δὲ κατὰ τὴν ὁδὸν ἁμάξαις ὅπλα κομιζούσαις μονομάχων εἰς ἑτέραν πόλιν, ἀφήρπασαν καὶ ὡπλίσαντο καὶ τόπον τινὰ καρτερὸν καταλαβόντες, ἡγεμόνας εἵλοντο τρεῖς. ὧν πρῶτος ἦν, σπάρτακος ἀνὴρ θρᾷξ τοῦ νομαδικοῦ γένους, οὐ μόνον φρόνημα μέγα, καὶ ῥώμην ἔχων, ἀλλὰ καὶ συνέσει καὶ πρᾳότητι τῆς τύχης ἀμείνων. καὶ τοῦ γένους ἑλληνικώτερος. τούτῳ δὲ λέγουσιν ὅτε πρῶτον εἰς ῥώμην ὤνιος ἤχθη, δράκοντα κοιμωμένῳ περιπεπλεγμένον φανῆναι περὶ τὸ πρόσωπον, ἡ γυνὴ δ' ὁμόφυλος οὖσα τοῦ σπαρτάκου, μαντικὴ δὲ καὶ κάτοχος τοῖς περὶ τὸν διόνυσον ὀργιασμοῖς, ἔφραζε τὸ σημεῖον εἶναι μεγάλης καὶ φοβερᾶς περὶ αὐτὸν εἰς εὐτυχὲς τέλος ἐσομένης δυνάμεως. ἣ καὶ τότε συνῆν αὐτῷ καὶ συνέφευγε. καὶ πρῶτον μὲν τοὺς ἐκ καπύης ἐλθόντας ὠσάμενοι, καὶ πολλῶν ὅπλων ἐπιλαβόμενοι πολεμιστηρίων, ἄσμε-

εἶχεν ἀλέξανδρον, ἄνθρωπον εὐκολίας καὶ πρᾳότητος ἀπόδειξιν διδόντα τὴν πρὸς κράσσον συνήθει-
αν. οὐ γὰρ ἦν ἀποφήνασθαι ῥᾳδίως, πότερον προσῆλθεν αὐτῷ πενέστερος, ἢ προσελθὼν ἐγένετο. μό-
νος δ' οὖν ἀεὶ τῶν φίλων αὐτῷ συναποδημῶν, στέγαστρον ἐλάμβανεν εἰς τὴν ὁδόν. καὶ τοῦτ' ἐπανελθὼν
ἀπῃτεῖτο. φεῦ τῆς ὑπομονῆς, οὐδὲ τὴν πενίαν ὁ τλήμων ἀδιάφορον ἡγούμενος. ἀλλὰ ταῦτα μὲν ὕστε-
ρον. ἐπεὶ δὲ κίννα καὶ μαρίου κρατήσαντος, εὐθὺς ἦσαν ἔνδηλοι κατιόντες, οὐκ ἐπ' ἀγαθῷ τῆς πατρί-
δος, ἐπ' ἀναιρέσει δ' ἄντικρυς καὶ ὀλέθρῳ τῶν ἀρίστων, οἱ μὲν ἐγκαταληφθέντες, ἀπέθνησκον. ὧν ἦν
καὶ ὁ πατὴρ κράσσου καὶ ὁ ἀδελφός. αὐτὸς δὲ νέος ὢν παντάπασι, τὸ μὲν αὐτίκα δεινόν, ἐξέφυγε, πάν-
τῃ δὲ περιβαλλόμενον ἑαυτὸν αἰσθανόμενος καὶ κυνηγετούμενον ὑπὸ τῶν τυράννων, τρεῖς φίλους
ἀναλαβών, καὶ θεράποντας δέκα. τάχει δ' ὑπερβάλλοντι χρησάμενος, εἰς ἰβηρίαν ἔφυγε, γεγονὼς
πάλαι στρατηγοῦντος αὐτόθι τοῦ πατρός, καὶ φίλους πεποιημένος. εὑρὼν δὲ πάντας περιδεεῖς, καὶ
τὴν ὠμότητα τὴν μαρίου καθάπερ ἐφεστῶτος αὐτοῖς τρέμοντας, οὐδενὶ γενέσθαι φανερὸς ἐθάρρησεν,
ἀλλ' εἰς ἀγροὺς ἐμβαλών, παραλίους οὐιβίου πακιακοῦ, σπήλαιον ἔχοντας εὐμεγέθες, ἔκρυψεν ἑ-
αυτόν. πρὸς δὲ τὸν οὐίβιον ἔπεμψεν ἕνα δοῦλον ἀποπειρώμενος, ἤδη καὶ τῶν ἐφοδίων ἐπιλιπόντων. ὁ
δὲ οὐίβιος ἀκούσας, ἥσθη τε σῳζομένῳ καὶ πυθόμενος τὸ πλῆθος τῶν σὺν αὐτῷ καὶ τὸν τόπον, αὐτὸς
μὲν οὐκ ἦλθεν εἰς ὄψιν, τὸν δὲ τῶν χωρίων ἐπίτροπον προσαγαγὼν εὐθύς, ἐκέλευσε καθ' ἡμέραν δεῖ-
πνον πεποιημένον κομίζειν. καὶ θέντα παρὰ τὴν πέτραν, ἀπέρχεσθαι σιωπῇ. καὶ μὴ πολυπραγμο-
νεῖν μηδ' ἐξετάζειν, προειπών, πολυπραγμονοῦντι, θάνατον. συμπράττοντι δὲ τοῦτο πιστῶς, ἐλευθε-
ρίαν. τὸ δὲ σπήλαιον, οὐκ ἄπωθεν μέν ἐστι θαλάσσης. κρημνοὶ δὲ περὶ αὐτὸ συμφερόμενοι, λεπτὴν καὶ
ἀσαφῆ παραπέμπουσιν αὔραν ἀκάχισιν εἴσω. παρελθόντι δ' ὕψος τε θαυμαστόν, ἀναπέπταται. καὶ ·ἀγχίαλον. s. R.
κατ' εὖρος, ἔχει κόλπους δι' ἀλλήλων ἀνοιγομένους μεγάλαις περιφερείαις. ἀμοιρεῖ δ' οὔτε ὕδατος, οὔτε
φωτός, ἀλλὰ πηγὴ μὲν ἡδίστου νάματος ὑπορρεῖ, παρὰ τὸν κρημνόν. αὐτοφυεῖς δὲ ῥωχμοὶ τῆς πέτρας,
ᾗ μάλιστα περιπίπτει τὸ φῶς ἔξωθεν ὑπολαμβάνουσι. καὶ καταλάμπεται μεθ' ἡμέραν τὸ χωρίον. ὁ δ'
ἐντὸς ἀήρ, ἀστάλακτος καὶ καθαρὸς πυκνότητι τῆς πέτρας, τὸ νοτερὸν καὶ ἀποτηκόμενον εἰς τὴν πη-
γὴν ἐκπιεζούσης. ἐνταῦθα διατρίβοντι τῷ κράσσῳ, τὰ ἐπιτήδεια καθ' ἡμέραν, ἐφοίτα κομίζων ὁ ἄν-
θρωπος. αὐτὸς μὲν οὐχ ὁρῶν ἐκείνους οὐδὲ γινώσκων, ὑπ' ἐκείνων δὲ καθορώμενος, εἰδότων καὶ παρα-
φυλαττόντων τὸν καιρόν. ἦν δ' ἄφθονα καὶ πρὸς ἡδονήν, οὐ μόνον χρείαν ποιοῦντα τὰ πρὸς τὸ δεῖ-
πνον. ἐγνώκει γὰρ ὁ οὐίβιος ἁπάσῃ φιλοφροσύνῃ, θεραπεύειν τὸν κράσσον. ᾧ γε καὶ τὸ τῆς ὥρας ἐν
νῷ λαβεῖν ἐπῆλθεν, ὡς παντάπασι νεανίας εἴη. καί τι καὶ ταῖς καθ' ἡλικίαν ὥραις αὐτοῦ χαριστέον. ·ἡδοναῖς. s. τ.
ἐπεὶ τήν γε χρείαν, ἀναγκαίως μᾶλλον ἢ προθύμως ὑπουργοῦντος εἶναι. δύο δὴ θεραπαινίδας εὐ-
πρεπεῖς ἀναλαβών, ἐβάδιζεν ἐπὶ τὴν θάλασσαν. ὡς δ' ἦλθεν ἐπὶ τὸν τόπον, δείξας τὴν ἄνοδον, ἐκέ-
λευσεν εἴσω πορεύεσθαι καὶ θαρρεῖν. οἱ δὲ περὶ τὸν κράσσον ἰδόντες προσερχομένας, ἔδεισαν μὴ κατα-
φανὲς καὶ γνώριμον εἴη τὸ χωρίον. ἀνέκρινον οὖν αὐτάς, τί βούλονται καὶ τίνες εἰσίν. ὡς δ' ἀπεκρί-
ναντο δεδιδαγμέναι, δεσπότην ζητεῖν ἐνταῦθα κρυπτόμενον, μαθὼν ὁ κράσσος τοῦ οὐιβίου τὴν πρὸς
αὐτὸν παιδιὰν καὶ φιλοφροσύνην, ἀνέλαβε τὰς παιδίσκας. καὶ συνῆσαν αὐτῷ τὸν λοιπὸν χρόνον,
ὧν ἐδεῖτο φράζουσαι καὶ διαγγέλλουσαι πρὸς τὸν οὐίβιον. τούτων φησὶ τὴν ἑτέραν ἤδη πρεσβῦτιν
οὖσαν, ὁ φενεστέλλας ἰδεῖν αὐτός. καὶ πολλάκις ἀκοῦσαι, μεμνημένης ταῦτα καὶ διεξιούσης προθύ-
μως. ὁ δὲ κράσσος ὀκτὼ μῆνας οὕτω διαγαγὼν καὶ διακλαπείς, ἅμα τῷ πυθέσθαι καὶ κίννα τελευτὴν
φανερὸς γενόμενος, συνδραμόντων πρὸς αὐτὸν οὐκ ὀλίγων ἀνθρώπων, ἐπιλεξάμενος δισχιλίους καὶ
πεντακοσίους, ἐπῄει τὰς πόλεις. καὶ μίαν γε διήρπασε μαλάκην, ὡς πολλοὶ γεγράφασιν. αὐτὸν δέ- μαλάκη πόλ. ἰβηρί.
φασιν ἀρνεῖσθαι καὶ διαμάχεσθαι πρὸς τοὺς λέγοντας. ἐκ τούτου συναγαγὼν πλοῖα καὶ διαπεράσας
εἰς λιβύην, ἀφίκετο πρὸς μέτελλον πῖον ἔνδοξον ἄνδρα, συνειλοχότα στρατιὰν οὐκ εὐκαταφρόνητον.
οὐ πολὺν δὲ χρόνον ἐνταῦθα παρέμεινεν, ἀλλὰ στασιάσας τῷ μετέλλῳ, πρὸς σύλλαν ἀπῆρε. καὶ συνῆν
ἐν τοῖς μάλιστα τιμώμενος. ἐπεὶ δὲ διαβὰς εἰς ἰταλίαν ὁ σύλλας, πάντας ἐβούλετο τοὺς σὺν αὐτῷ
νέους ἔχειν συνεργούς. καὶ πρὸς ἄλλην ἄλλον ἔταττε πρᾶξιν. ἀποστελλόμενος εἰς μαρσοὺς ἐπὶ στρατείαν
ὁ κράσσος, ᾔτει φυλακάς. ἦν γὰρ ἡ πάροδος παρὰ τοὺς πολεμίους. εἰπόντος δὲ τοῦ σύλλα σὺν ὀργῇ καὶ
σφόδρα πρὸς αὐτόν. δίδωμί σοι φύλακας, τὸν πατέρα. τὸν ἀδελφόν. τοὺς φίλους. τοὺς συγγενεῖς. ὧν
παρανόμως καὶ ἀδίκως ἀναιρεθέντων, ἐγὼ μετέρχομαι τοὺς φονεῖς, οὕτω παθόντι καὶ παροξυν-
θεὶς ὁ κράσσος, εὐθὺς ἐξῆλθε. καὶ διὰ τῶν πολεμίων ὠσάμενος εὐρώστως δύναμίν τε συχνὴν ἤθροισε,
καὶ πρόθυμον αὑτὸν ἐν τοῖς ἀγῶσι τῷ σύλλᾳ παρεῖχεν. ἀπ' ἐκείνων δὲ τῶν πράξεων, λέγουσιν αὐτῷ
πρῶτον ἐγγενέσθαι τὴν πρὸς πομπήϊον ὑπὲρ δόξης ἅμιλλαν καὶ φιλοτιμίαν. ὁ γὰρ πομπήϊος ἡλι-
κίᾳ τε λειπόμενος αὐτοῦ, καὶ πατρὸς ἀδοξήσαντος ἐν ῥώμῃ καὶ μισηθέντος ἔσχατον μῖσος ὑπὸ τῶν
πολιτῶν. ἐν ἐκείνοις τοῖς πράγμασιν, ἐξέλαμψε καὶ διεφάνη μέγας. ὥστε σύλλαν, ἃ πρεσβυτέροις
καὶ ἰσοτίμοις οὐ πάνυ πολλάκις παρεῖχεν, ὑπεξανίστασθαι προσιόντος αὐτοῦ, καὶ κεφαλὴν ἀποκα-
λύπτεσθαι καὶ προσειπεῖν αὐτοκράτορα. ταῦτα διέκαιε καὶ παρώξυνε τὸν κράσσον. οὐκ ἀλόγως ἐ-

Μάρκος δὲ Κράσσος, ἦν τιμητικοῦ καὶ θριαμβικοῦ πατρός. ἐτράφη δ' ἐν οἰκίᾳ μικρᾷ, μετὰ δυοῖν ἀδελφῶν. καὶ τοῖς ἀδελφοῖς αὐτοῦ γυναῖκες ἦσαν, ἔτι τῶν γονέων ζώντων. καὶ πάντες ἐπὶ τὴν αὐτὴν ἐφοίτων τράπεζαν. ὅθεν οὐχ ἥκιστα δοκεῖ καὶ διὰ τοῦτο σώφρων καὶ μέτριος γενέσθαι περὶ τὴν δίαιταν. ἀποθανόντος δὲ τοῦ ἑτέρου τῶν ἀδελφῶν, τῇ γυναικὶ συνῴκησε. καὶ τοὺς παῖδας ἐξ ἐκείνης ἔσχεν, οὐδενὸς ἧττον καὶ περὶ ταῦτα Ῥωμαίων εὔτακτος γενόμενος. καίτοι προϊὼν καθ' ἡλικίαν, αἰτίαν ἔσχε Λικιννίᾳ συνιέναι τῶν ἑστιάδων μιᾷ παρθένων. καὶ δίκην ἔφυγεν ἡ Λικιννία, Πλωτίνου τινὸς διώκοντος. ἦν δὲ προάστειον αὐτῇ καλὸν, ὃ βουλόμενος λαβεῖν ὀλίγης τιμῆς ὁ Κράσσος, καὶ διὰ τοῦτο προσκείμενος ἀεὶ τῇ γυναικὶ καὶ θεραπεύων, εἰς τὴν ὑποψίαν ἐκείνην ἐνέπεσε. καὶ τρόπον τινὰ τῇ φιλοπλουτίᾳ, τὴν αἰτίαν τῆς φθορᾶς ἀπολυσάμενος, ὑπὸ τῶν δικαστῶν ἀφείθη. τὴν δὲ Λικιννίαν οὐκ ἀνῆκε πρότερον ἢ τοῦ κτήματος κρατῆσαι. Ῥωμαῖοι μὲν οὖν λέγουσι, πολλαῖς ἀρεταῖς τοῦ Κράσσου, κακίαν μόνην ἐπισκοτῆσαι τὴν φιλοπλουτίαν. ἔοικε δὲ μία, πασῶν δ' ἐρρωμενεστέρα τῶν ἐν αὐτῷ κακιῶν γενομένη, τὰς ἄλλας ἀμαυρῶσαι. τεκμήρια δὲ τῆς φιλοπλουτίας αὐτοῦ μέγιστα ποιοῦνται, τόν τε τρόπον τοῦ πορισμοῦ, καὶ τῆς οὐσίας τὸ μέγεθος. τριακοσίων γὰρ οὐ πλείω κεκτημένος ἐν ἀρχῇ ταλάντων, εἶτα παρὰ τὴν πολιτείαν, ἀποθύσας μὲν τῷ Ἡρακλεῖ τὴν δεκάτην, καὶ τὸν δῆμον ἑστιάσας, τρεῖς δὲ μῆνας ἑκάστῳ Ῥωμαίων σιτηρέσιον ἐκ τῶν αὐτοῦ παρασχὼν, ὅμως πρὸ τῆς ἐπὶ Πάρθους στρατείας, αὐτὸς αὑτῷ θέμενος ἐκλογισμὸν τῆς οὐσίας, εὗρεν ἑκατὸν ταλάντων τίμημα πρὸς ἑπτακισχιλίοις. τὰ δὲ πλεῖστα τούτων, εἰ δεῖ μετὰ βλασφημίας εἰπεῖν τὸ ἀληθὲς, ἐκ πυρὸς συνήγαγε καὶ πολέμου, ταῖς κοιναῖς ἀτυχίαις προσόδῳ τῇ μεγίστῃ χρησάμενος. ὅτε γὰρ Σύλλας ἑλὼν τὴν πόλιν, ἐπώλει τὰς οὐσίας τῶν ἀνῃρημένων ὑπ' αὐτοῦ, λάφυρα καὶ νομίζων καὶ ὀνομάζων, καὶ βουλόμενος ὅτι πλείστοις καὶ κρατίστοις προσομόρξασθαι τὸ ἄγος, οὔτε λαμβάνων οὔτ' ὠνούμενος ἀπεῖπε. πρὸς δὲ τούτοις ὁρῶν τὰς συγγενεῖς καὶ συνοίκους τῆς Ῥώμης κῆρας ἐμπρησμοὺς καὶ συνιζήσεις, διὰ βάρος καὶ πλῆθος οἰκοδομημάτων, ἐωνεῖτο δούλους ἀρχιτέκτονας καὶ οἰκοδόμους. εἶτ' ἔχων τούτους ὑπὲρ πεντακοσίους ὄντας, ἐξηγόραζε τὰ καιόμενα καὶ γειτνιῶντα τοῖς καιομένοις, διὰ φόβον καὶ ἀδηλότητα, τῶν δεσποτῶν ἀπ' ὀλίγης τιμῆς προϊεμένων. ὥστε τῆς Ῥώμης τὸ πλεῖστον μέρος, ὑπ' αὐτῷ γενέσθαι. τοσούτους δὲ κεκτημένος τεχνίτας, οὐδὲν ᾠκοδόμησεν αὐτὸς, ἢ τὴν ἰδίαν οἰκίαν. ἀλλ' ἔλεγε τοὺς φιλοικοδόμους, αὐτοὺς ὑφ' ἑαυτῶν καταλύεσθαι, χωρὶς ἀνταγωνιστῶν. ὄντων δ' αὐτῷ παμπόλλων ἀργυρείων. πολυτιμήτου δὲ χώρας, καὶ τῶν ἐργαζομένων ἐν αὐτῇ, ὅμως ἄν τις ἡγήσαιτο μηδὲν εἶναι ταῦτα πάντα, πρὸς τὴν τῶν οἰκετῶν τιμὴν, τοσούτους ἐκέκτητο καὶ τοιούτους ἀναγνώστας. ὑπογραφεῖς. ἀργυρογνώμονας. διοικητὰς, τραπεζοκόμους. αὐτὸς ἐπιστατῶν μανθάνουσι καὶ προσέχων καὶ διδάσκων. καὶ ὅλως νομίζων τῷ δεσπότῃ προσήκειν μάλιστα τὴν περὶ τοὺς οἰκέτας ἐπιμέλειαν, ὡς ὄργανα ἔμψυχα τῆς οἰκονομικῆς. καὶ τοῦτο μὲν ὀρθῶς ὁ Κράσσος, εἴπερ ὡς ἔλεγεν ἡγεῖτο, τὰ μὲν ἄλλα διὰ τῶν οἰκετῶν χρῆναι, τοὺς δ' οἰκέτας δι' αὐτοῦ κυβερνᾶν. τὴν γὰρ οἰκονομικὴν, ἐν ἀψύχοις χρηματιστικὴν οὖσαν, ἐν ἀνθρώποις, πολιτικὴν γιγνομένην ὁρῶμεν. ἐκεῖνο δὲ οὐκ εὖ, τὸ μηδένα νομίζειν, μηδὲ φάσκειν εἶναι πλούσιον, ὃς οὐ δύναται τρέφειν ἀπὸ τῆς οὐσίας, στρατόπεδον. ὁ γὰρ πόλεμος, οὐ τεταγμένα σιτεῖται κατὰ τὸν Ἀρχίδαμον, ὥσθ' ὁ πρὸς πόλεμον πλοῦτος, ἀόριστος. καὶ πολὺ τῆς Μαρίου γνώμης ἀπηρτημένος. ἐκεῖνος γὰρ ἐπεὶ κατ' ἄνδρα νείμας ἑκάστῳ δέκα καὶ τέσσαρα πλέθρα γῆς, ἔγνω πλέον ἐπιζητοῦντας, μηδεὶς ἔφη γένοιτο Ῥωμαίων, ὀλίγην ἡγούμενος τὴν τρέφειν ἀρκοῦσαν, οὐ μὴν, ἀλλὰ καὶ περὶ ξένους ἦν φιλότιμος ὁ Κράσσος. ἀνέῳκτο γὰρ οἰκία πᾶσι, καὶ τοῖς φίλοις ἐδάνειζεν ἄνευ τόκων, ἀπῄτει δ' ἀποτόμως, τοῦ χρόνου παρελθόντος εἰς ὃν ἐδάνειζε. καὶ τὸ προῖκα, πολλῶν ἐγίνετο τόκων ἐπαχθέστερον. ἐν δὲ τοῖς δείπνοις, ἡ μὲν κλῆσις ἦν ὡς τὰ πολλὰ δημοτικὴ καὶ λαώδης. ἡ δ' εὐτέλεια, τὴν καθαριότητα καὶ τὴν φιλοφροσύνην, ἡδίονα τοῦ πολυτελοῦς εἶχε. παιδείας δὲ τῆς περὶ λόγον, μάλιστα μὲν τὸ ῥητορικὸν καὶ χρειῶδες εἰς πολλοὺς ἤσκησε. καὶ γενόμενος δεινὸς εἰπεῖν ἐν τοῖς μάλιστα Ῥωμαίων, ἐπιμελείᾳ καὶ πόνῳ τοὺς εὐφυεστάτους ὑπερέβαλεν. οὐδεμίαν γὰρ οὕτω δίκην φασὶ μικρὰν οὐδ' εὐκαταφρόνητον γενέσθαι, πρὸς ἣν ἀπαράσκευος ἦλθεν. ἀλλὰ καὶ Πομπηΐου πολλάκις ὀκνοῦντος, καὶ Καίσαρος ἐξαναστῆναι καὶ Κικέρωνος, ἐκεῖνος ἀνεπλήρου τὴν συνηγορίαν. καὶ διὰ τοῦτο μᾶλλον ἤρεσκεν ὡς ἐπιμελὴς καὶ βοηθητικός. ἤρεσκε δὲ καὶ τὸ περὶ τὰς δεξιώσεις καὶ προσαγορεύσεις φιλάνθρωπον αὐτοῦ καὶ δημοτικόν. οὐδενὶ γὰρ οὕτως ἀπήντησε Ῥωμαίων ἀδόξῳ καὶ ταπεινῷ Κράσσος, ὃν ἀσπασάμενον, οὐκ ἀντιπροσηγόρευσεν ἐξ ὀνόματος. λέγεται δὲ καὶ πολυμαθὴς καθ' ἱστορίαν γενέσθαι. καί τι καὶ φιλοσοφῆσαι τοῖς Ἀριστοτέλους λόγοις προσθέμενος. ὧν διδάσκαλον

χίαις ὄνομα καὶ δόξαν ἔχοι. τῶν δ' ἄλλων ἀθηναίων, ἐννοηθέντας ὅτι κοιναὶ μὲν αἱ τύχαι τοῦ πολέμου. μετρίως δ' αὐταῖς καὶ πρᾴως ἐχρήσαντο, ἐν οἷς ηὐτύχουν ἀθηναῖοι πρὸς ὑμᾶς. τοιαῦτα τοῦ νικίου λέγοντος, ἔπαθε μέν τι καὶ πρὸς τὴν ὄψιν αὐτοῦ. καὶ πρὸς τοὺς λόγους ὁ γύλιππος. ᾔδει γὰρ τοὺς λακεδαιμονίους εὖ πεπονθότας ὑπ' αὐτοῦ περὶ τὰς γενομένας διαλύσεις. μέγα δ' ἡγεῖτο πρὸς δόξαν εἰ ζῶντας ἀπαγάγοι τοὺς ἀντιστρατήγους. διὸ τόν τε νικίαν ἀναλαβὼν, ἐθάρρυνε, καὶ τοὺς ἄλλους ζωγρεῖν παρήγγελε. βραδέως δὲ τοῦ παραγγέλματος διικνουμένου, πολλῷ τῶν φονευθέντων ἐλάττονες οἱ διασωθέντες ἐγένοντο. καίτοι πολλοὶ διεκλάπησαν ὑπὸ τῶν στρατιωτῶν. τοὺς δὲ φανερῶς ἑαλωκότας ἀθροίσαντες, τὰ μὲν κάλλιστα καὶ μέγιστα δένδρα τῶν περὶ τὸν ποταμὸν, ἀνέδησαν αἰχμαλώτοις πανοπλίαις. ἐστεφανωμένοι δὲ αὐτοὶ καὶ κοσμήσαντες ἵππους διαπρεπῶς. κείραντες δὲ τοὺς τῶν πολεμίων, εἰσήλαυνον εἰς τὴν πόλιν. ἀγῶνα λαμπρότατον ὧν ἕλληνες πρὸς ἕλληνας ἠγωνίσαντο, καὶ νίκην τελεωτάτην, κράτει πλείστῳ καὶ ῥώμῃ μεγίστῃ προθυμίας καὶ ἀρετῆς κατωρθωκότες. ἐκκλησίας δὲ πανδήμου συρακουσίων καὶ τῶν συμμάχων γενομένης, εὐρυκλῆς δημαγωγὸς ἔγραψεν. πρῶτον μὲν τὴν ἡμέραν ἐν ᾗ τὸν νικίαν ἔλαβον, ἱερὰν ἔχειν, θύοντας καὶ σχολάζοντας ἔργων, ἀσιναρίαν τὴν ἑορτὴν ἀπὸ τοῦ ποταμοῦ καλοῦντας. ἡμέρα δ' ἦν τετρὰς φθίνοντος τοῦ καρνείου μηνός. ὃν ἀθηναῖοι μεταγειτνιῶνα προσαγορεύουσι. τῶν δ' ἀθηναίων, τοὺς μὲν οἰκέτας ἀποδόσθαι καὶ τοὺς ἄλλους συμμάχους. αὐτοὺς δὲ καὶ τοὺς ἀπὸ σικελίας φρουρεῖν ἐμβαλόντας εἰς τὰς λατομίας. πλὴν τῶν στρατηγῶν. ἐκείνους δὲ ἀποκτεῖναι. ταῦτα προσδεχομένων τῶν συρακουσίων, ἑρμοκράτης μὲν εἰπὼν ὅτι τοῦ νικᾶν, κρεῖττόν ἐστι τὸ καλῶς χρῆσθαι τῇ νίκῃ, οὐ μετρίως ἐθορυβήθη. γύλιππον δὲ τοὺς στρατηγοὺς τῶν ἀθηναίων ἐξαιτούμενον ζῶντας ἀγαγεῖν λακεδαιμονίοις, ὑβρίζοντες ἤδη τοῖς εὐτυχήμασιν οἱ συρακούσιοι, κακῶς ἔλεγον. ἄλλως τε καὶ παρὰ τὸν πόλεμον, αὐτοῦ τὴν τραχύτητα καὶ τὸ λακωνικὸν τῆς ἐπιστασίας οὐ ῥᾳδίως ἐνηνοχότες. ὡς δὲ τίμαιός φησι καὶ μικρολογίαν τινὰ καὶ πλεονεξίαν κατεγνωκότες, ἀρρώστημα πατρῷον, ἐφ' ᾧ καὶ κλεανδρίδης ὁ πατὴρ αὐτοῦ, δώρων ἁλοὺς, ἔφυγε. καὶ οὗτος αὐτὸς ἀπὸ τῶν χιλίων ταλάντων ἃ λύσανδρος ἔπεμψεν εἰς σπάρτην ὑφελόμενος τριάκοντα, καὶ κρύψας ὑπὸ τὸν ὄροφον τῆς οἰκίας, εἶτα μηνυθεὶς, αἴσχιστα πάντων ἐξέπεσεν. ἀλλὰ ταῦτα μὲν ἐν τῷ λυσάνδρου βίῳ μᾶλλον διηκρίβωται. δημοσθένην δὲ καὶ νικίαν, ἀποθανεῖν τίμαιος οὔ φησιν ὑπὸ τῶν συρακουσίων κελευσθέντας, ὡς φίλιστος ἔγραψε καὶ θουκυδίδης, ἀλλ' ἑρμοκράτους πέμψαντος ἔτι τῆς ἐκκλησίας συνεστώσης, καὶ δι' ἑνὸς τῶν φυλάκων παρέντων, αὐτοὺς δι' ἑαυτῶν ἀποθανεῖν. τὰ μέντοι σώματα πρὸς ταῖς πύλαις ἐκβληθέντα, κεῖσθαι φανερὰ τοῖς δεομένοις τοῦ θεάματος. πυνθάνομαι δὲ μέχρι νῦν ἐν συρακούσαις ἀσπίδα κειμένην πρὸς ἱερῷ δείκνυσθαι, νικίου μὲν λεγομένην, χρυσοῦ δὲ καὶ πορφύρας εὖ πως πρὸς ἄλληλα μεμιγμένων δι' ὑφῆς συγκεκροτημένην. τῶν δ' ἀθηναίων οἱ μὲν πλεῖστοι διεφθάρησαν ἐν ταῖς λατομίαις, ὑπὸ νόσου καὶ διαίτης πονηρᾶς, εἰς ἡμέραν ἑκάστην κοτύλας δύο κριθῶν λαμβάνοντες, καὶ μίαν ὕδατος. οὐκ ὀλίγοι δ' ἐπράθησαν διακλαπέντες. ἢ καὶ διαλαθόντες ὡς οἰκέται. καὶ τούτους ὡς οἰκέτας ἐπώλουν, στίζοντες ἵππον εἰς τὸ μέτωπον. ἀλλ' ἦσαν οἱ καὶ τοῦτο πρὸς τῷ δουλεύειν ὑπομένοντες. ἐβοήθει δὲ καὶ τούτοις ἥ τ' αἰδὼς καὶ τὸ κόσμιον. ἢ γὰρ ἠλευθεροῦντο ταχέως, ἢ τιμώμενοι παρέμενον τοῖς κεκτημένοις. ἔνιοι δὲ καὶ δι' εὐριπίδην ἐσώθησαν. μάλιστα γὰρ ὡς ἔοικε, τῶν ἐκτὸς ἑλλήνων ἐπόθησαν αὐτοῦ τὴν μοῦσαν, οἱ περὶ σικελίαν. καὶ μικρὰ τῶν ἀφικνουμένων ἑκάστοτε δείχματα καὶ γεύματα κομιζόντων ἐκμανθάνοντες, ἀγαπητῶς μετεδίδοσαν ἀλλήλοις. τότε γοῦν φασὶ τῶν σωθέντων οἴκαδε συχνοὺς ἀσπάζεσθαι τὸν εὐριπίδην φιλοφρόνως, καὶ διηγεῖσθαι τοὺς μὲν, ὅτι δουλεύοντες ἀφείθησαν ἐκδιδάξαντες ὅσα τῶν ἐκείνου ποιημάτων ἐμέμνηντο. τοὺς δ' ὅτι πλανώμενοι μετὰ τὴν μάχην, τροφῆς καὶ ὕδατος μετέλαβον τῶν μελῶν ᾄσαντες. οὐ δεῖ δὴ θαυμάζειν ὅτι τοὺς καυνίους φασὶ πλοίου προσφερομένου τοῖς λιμέσιν, ὑπὸ λῃστρίδων διωκομένου, μὴ δέχεσθαι τὸ πρῶτον, ἀλλ' ἀπείργειν. εἶτα μέντοι διαπυνθανομένους, εἰ γινώσκουσιν ᾄσματα τῶν εὐριπίδου, φησάντων ἐκείνων, οὕτω παρεῖναι καὶ καταγαγεῖν τὸ πλοῖον. ἀθηναίους δέ φασι τὴν συμφορὰν, οὐχ ἥκιστα διὰ τὸν ἄγγελον ἄπιστον γενέσθαι. ξένος γάρ τις ὡς ἔοικεν ἀποβὰς εἰς πειραιᾶ καὶ καθίσας ἐπὶ κουρεῖον, ὡς ἐγνωκότων ἤδη τῶν ἀθηναίων, λόγους ἐποιεῖτο περὶ τῶν γεγονότων. ὁ δὲ κουρεὺς ἀκούσας, πρὶν ἄλλους πυνθάνεσθαι, δρόμῳ συντείνας εἰς τὸ ἄστυ, καὶ προσβαλὼν τοῖς ἄρχουσιν, εὐθὺς κατ' ἀγορὰν ἐνέβαλε τὸν λόγον. ἐκπλήξεως δὲ καὶ ταραχῆς ὡς εἰκὸς γενομένης, οἱ μὲν ἄρχοντες ἐκκλησίαν συναγαγόντες εἰσήγαγον τὸν ἄνθρωπον. ὡς δ' ἐρωτώμενος παρ' οὗ πύθοιτο, σαφὲς οὐδὲν εἶχε φράζειν, δόξας λογοποιὸς εἶναι καὶ ταράττειν τὴν πόλιν, εἰς τὸν τροχὸν καταδεθεὶς, ἐστρεβλοῦτο πολὺν χρόνον, ἕως ἐπῆλθον οἱ τὸ πᾶν κακὸν ὡς εἶχεν ἀπαγγέλλοντες. οὕτω μόλις ὁ νικίας ἐπιστεύθη παθὼν ἃ πολλάκις αὐτοῖς προεῖπε.

νην θυσίαν, τῷ Ἡρακλεῖ τῶν Συρακουσίων, θύσαι τούς τε ἱερεῖς καὶ στρατηγοὺς ἀναβάντας. ἤδη δὲ πληρουμένων τῶν τριηρῶν, ἐπειδὴ οἱ μάντεις τοὺς Συρακουσίους ἀπήγγειλαν ἐκ τῶν ἱερῶν λαμπρότητα καὶ νίκην, μὴ καταρχομένοις μάχης, ἀλλ᾽ ἀμυνομένοις. καὶ γὰρ τὸν Ἡρακλέα πάντων κρατεῖν ἀμυνόμενον καὶ προεπιχειρούμενον, ἀνήχθησαν. ἡ δὲ ναυμαχία πολὺ μεγίστη καὶ καρτερωτάτη γενομένη, καὶ μηδὲν ἐλάττονα πάθη καὶ θορύβους παρασχοῦσα τοῖς θεωμένοις ἢ τοῖς ἀγωνιζομένοις, διὰ τὴν παντὸς ἐπίβλεψιν τοῦ ἔργου, ποικίλας μεταβολὰς καὶ ἀπροσδοκήτως ἐν ὀλίγῳ λαμβάνοντος, ἔβλαπτε ταῖς αὑτῶν παρασκευαῖς οὐχ ἧττον τῶν πολεμίων τοὺς Ἀθηναίους. ἀθρόαις γὰρ ἐμάχοντο ταῖς ναυσὶ, καὶ βαρείαις πρὸς κούφας, ἀλλαχόθεν ἄλλαις ἐπιφερομέναις. καὶ βαλλόμενοι λίθοις, ὁμοίαν ἔχουσι τὴν πληγὴν πανταχόθεν, ἀντέβαλλον ἀκοντίοις καὶ τοξεύμασιν, ὧν ὁ σάλος τὴν εὐθυβολίαν διέστρεφεν, ὥστε μὴ πάντα κατ᾽ αἰχμὴν προσφέρεσθαι. ταῦτα δ᾽ Ἀρίστων ὁ Κορίνθιος κυβερνήτης ἐδίδαξε τοὺς Συρακουσίους. καὶ παρὰ τὴν μάχην αὐτὴν ἀγωνιζόμενος προθύμως, ἔπεσεν, ἤδη κρατούντων τῶν Συρακουσίων. γενομένης δὲ μεγάλης τροπῆς καὶ φθορᾶς, ἡ μὲν κατὰ θάλασσαν φυγὴ τοῖς Ἀθηναίοις ἀπεκέκοπτο. χαλεπὴν δὲ καὶ διὰ γῆς τὴν σωτηρίαν ὁρῶντες, οὔτε ναῦς ἀφέλκοντας ἐγγύθεν ἔτι τοὺς πολεμίους ἐκώλυον, οὔτε νεκρῶν ᾔτησαν ἀναίρεσιν. ἅτε δὴ τῆς ἐκείνων ἀταφίας, τὴν τῶν νοσούντων καὶ τετρωμένων ἀπόλειψιν οἰκτροτέραν οὖσαν, ἃ δὴ πρὸ ὀφθαλμῶν ἔχοντες. αὐτοὺς δὲ κἀκείνων εἶναι πονωτέρους ἡγούμενοι, μετὰ πλειόνων κακῶν εἰς ταὐτὸ πάντως ἀφιξομένους τέλος. ὡρμημένων δ᾽ αὐτῶν ἀπαίρειν διὰ νυκτὸς, οἱ μὲν περὶ τὸν Γύλιππον ὁρῶντες ἐν θυσίαις καὶ πότοις τοὺς Συρακουσίους διά τε τὴν νίκην καὶ τὴν ἑορτὴν ὄντας, οὔτε πείσειν, οὔτε βιάσεσθαι προσεδόκων, ἀναστάντας ἤδη προσφέρεσθαι τοῖς πολεμίοις ἀπιοῦσιν. Ἑρμοκράτης δ᾽ αὐτὸς ἀφ᾽ ἑαυτοῦ συνθεὶς ἐπὶ τὸν Νικίαν ἀπάτην, ἔπεμψέ τινας τῶν ἑταίρων πρὸς αὐτὸν, ἀπ᾽ ἐκείνων μὲν ἥκειν τῶν ἀνδρῶν φάσκοντας, οἳ καὶ πρότερον εἰώθεσαν κρύφα τῷ Νικίᾳ διαλέγεσθαι. παραινοῦντας δὲ μὴ πορεύεσθαι διὰ τῆς νυκτὸς, ὡς τῶν Συρακουσίων ἐνέδρας πεποιημένων αὐτοῖς καὶ προκατεχόντων τὰς παρόδους. τούτῳ δὲ καταστρατηγηθεὶς ὁ Νικίας, διέμεινεν ἀψευδῶς, καὶ ἔδεισε μὴ ὑπὸ τῶν πολεμίων ἀληθῶς παθεῖν. προελθόντες γὰρ ἅμ᾽ ἡμέρᾳ τὰς δυσχωρίας τῶν ὁδῶν κατέλαβον. καὶ τὰς διαβάσεις τῶν ποταμῶν ἀπετείχισαν. τάς τε γεφύρας ἀπέκοψαν. ἐν δὲ τοῖς ὁμαλοῖς καὶ πεδινοῖς τοὺς ἱππεῖς ἔταξαν. ὥστε μηδένα λελεῖφθαι τοῖς Ἀθηναίοις τόπον ἀμαχεὶ προελθεῖν. οἱ δὲ, καὶ τὴν ἡμέραν ἐκείνην, καὶ τὴν νύκτα τὴν ἑτέραν ἐπιμείναντες, ἐπορεύοντο κλαυθμῷ καὶ ὀλοφυρμῷ καθάπερ ἐκ πατρίδος οὐ πολεμίας ἀνιστάμενοι, διὰ τὰς ἀπορίας τῶν ἀναγκαίων, καὶ τὰς ἀπολείψεις τῶν ἀδυνάτων φίλων καὶ συνήθων, ὅμως τὰ παρόντα κακὰ κουφότερα τῶν προσδοκωμένων, νομίζοντες, εἶναι. πολλῶν δὲ δεινῶν ἐν τῷ στρατοπέδῳ φαινομένων, οὐδὲν ἦν οἰκτρότερον αὐτοῦ Νικίου θέαμα. κεκακωμένου μὲν ὑπὸ τῆς ἀσθενείας, συνεσταλμένου δὲ παρ᾽ ἀξίαν εἰς ἀναγκαίαν δίαιταν, καὶ τὰ σμικρότατα τῶν ἐφοδίων εἰς τὸ σῶμα, πολλῶν διὰ τὴν νόσον δεόμενον. πράττοντος δὲ μετ᾽ ἀρρωστίας καὶ καρτεροῦντος, ἃ πολλοὶ τῶν ἐρρωμένων μόλις ὑπέμενον. καταφανοῦς δὲ πᾶσιν ὄντος, οὐ δι᾽ αὑτὸν, οὐδὲ τῷ φιλοψυχεῖν τοῖς πόνοις ἐμμένοντος, ἀλλὰ δι᾽ ἐκείνους τὴν ἐλπίδα μὴ προϊεμένου. καὶ γὰρ εἰς δάκρυα καὶ ὀδυρμοὺς τῶν ἄλλων ὑπὸ φόβου καὶ λύπης τετραμμένων, ἐκεῖνος εἴποτε βιασθείη τοῦτο ποιῆσαι, δῆλος ἦν τὸ αἰσχρὸν καὶ τὸ ἀκλεὲς τῆς στρατείας ἀναλογιζόμενος πρὸς τὸ μέγεθος καὶ τὴν δόξαν ὧν ἤλπιζε κατορθώσειν. οὐ μόνον δ᾽ αὐτοῦ τὴν ὄψιν ὁρῶντες, ἀλλὰ καὶ τῶν λόγων μνημονεύοντες, καὶ τῶν παραινέσεων ἃς ἐποιήσατο, κωλύων τὸν ἔκπλουν ἔτι μᾶλλον ἐνόμιζον ἀναξίως ταλαιπωρεῖν. καὶ πρὸς τὰς ἐκ θεῶν ἐλπίδας, ἀθύμως εἶχον. ἐννοοῦντες ὡς ἀνὴρ θεοφιλὴς καὶ πολλὰ καὶ μεγάλα λαμπρυνόμενος πρὸς τὸ θεῖον, οὐδενὸς ἐπιεικεστέρᾳ τύχῃ χρῆται τῶν κακίστων ἐν τῷ στρατεύματι καὶ ταπεινοτάτων. οὐ μὴν, ἀλλ᾽ ὅγε Νικίας, ἐπειρᾶτο καὶ φωνῇ καὶ προσώπῳ, καὶ δεξιώσει, κρείττων ὁρᾶσθαι τῶν δεινῶν. καὶ παρὰ πᾶσάν γε τὴν πορείαν ἐφ᾽ ἡμέρας ὀκτὼ, βαλλόμενος καὶ τραυματιζόμενος ὑπὸ τῶν πολεμίων, ἀήττητον ἐφύλαττε τὴν σὺν αὐτῷ δύναμιν, ἄχρις οὗ Δημοσθένης ἑάλω, καὶ τὸ μετ᾽ ἐκείνου στράτευμα περὶ τὴν Πολυζήλιον αὐλὴν ἐν τῷ διαμάχεσθαι καὶ ὑπολείπεσθαι κυκλωθέν. αὐτὸς δὲ Δημοσθένης σπασάμενος τὸ ξίφος, ἔπληξε μὲν ἑαυτὸν, οὐ μὴν ἀπέθανε, ταχὺ τῶν πολεμίων περισχόντων καὶ συλλαβόντων. ὡς δὲ τῷ Νικίᾳ προσελάσαντες ἔφραζον οἱ Συρακούσιοι. καὶ πέμψας ἱππέας, ἔγνω τὴν ἐκείνου τοῦ στρατεύματος ἅλωσιν, ἠξίου σπείσασθαι πρὸς τὸν Γύλιππον, ὅπως ἀφῶσι τοὺς Ἀθηναίους ἐκ Σικελίας ὅμηρα λαβόντες ὑπὲρ τῶν χρημάτων, ὅσα Συρακουσίοις ἀνήλωτο πρὸς τὸν πόλεμον. οἱ δ᾽ οὐ προσεῖχον, ἀλλὰ πρὸς ὕβριν καὶ μετ᾽ ὀργῆς ἀπειλοῦντες καὶ λοιδοροῦντες, ἔβαλλον ἤδη πάντων ἐνδεῶς ἔχοντα τῶν ἀναγκαίων. οὐ μὴν ἀλλὰ καὶ τὴν νύκτα διεκαρτέρησε. καὶ τὴν ἐπιοῦσαν ἡμέραν προῆγε βαλλόμενος, πρὸς τὸν Ἀσίναρον ποταμόν. ἐκεῖ δὲ, τοὺς μὲν οἱ πολέμιοι συνενέγκοντες, ἐνέσεισαν εἰς τὸ ῥεῖθρον. οἱ δὲ, φθάνοντες ὑπὸ δίψους ἐρρίπτουν ἑαυτοὺς, καὶ πλεῖστος ἐνταῦθα φόνος ἦν, καὶ ὠμότατος ἐν τῷ ποταμῷ, πινόντων ἅμα καὶ σφαττομένων, ἄχρι Νικίας Γυλίππῳ προσπεσὼν, εἶπεν. ἔλεος ὑμᾶς ὦ Γύλιππε λαβέτω νικῶντας, ἐμοῦ μὲν μηδείς. ὃς ἐπὶ τηλικαύταις ἀτυ-

πολεμίους ἡμέρας ἐπιγενομένης, οἱ ἱππεῖς καταλαμβάνοντες διέφθειρον. ἐγένοντο δὲ νεκροὶ δισχίλιοι. καὶ
τῶν περιγενομένων, ὀλίγοι μετὰ τῶν ὅπλων ἀπεσώθησαν. ὁ μὲν οὖν νικίας πληγεὶς οὐκ ἀπροσδο-
κήτως, ᾐτιᾶτο τοῦ δημοσθένους τὴν προπέτειαν. ἐκεῖνος δὲ περὶ τούτων ἀπολογησάμενος, ἐκέλευσεν
ἀποπλεῖν τὴν ταχίστην. οὔτε γὰρ ἄλλην ἀφίξεσθαι δύναμιν αὐτοῖς. οὔτ' ἀπὸ τῆς παρούσης τῶν πο-
λεμίων κρατεῖν. ὅπου γε καὶ κρατοῦντας ἐκείνων, ἔδει μεταστῆναι καὶ φυγεῖν τὸ χωρίον. ἀεὶ μὲν ὡς πυν-
θάνονται, βαρὺ καὶ νοσῶδες ὂν στρατοπέδῳ. νῦν δ' ὡς βλέπουσι καὶ διὰ τὴν ὥραν ὀλέθριον. μετοπώ-
ρου γὰρ ἦν ἀρχή, καὶ πολλοὶ μὲν ἠσθένουν ἤδη, πάντες δὲ ἠθύμουν. ὁ δὲ νικίας, χαλεπῶς ἤκουε τὴν
φυγὴν καὶ τὸν ἀπόπλουν. οὐ τῷ μὴ δεδιέναι τοὺς συρακουσίους, ἀλλὰ τῷ μᾶλλον τοὺς ἀθηναίους καὶ τὰς
ἐκείνων δίκας καὶ συκοφαντίας φοβεῖσθαι. δεινὸν μὲν οὖν οὐδὲν αὐτόθι προσδοκᾶν ἔφασκεν. εἰ δὲ
συμβαίνοι, μᾶλλον αἱρεῖσθαι τὸν ὑπὸ τῶν πολεμίων θάνατον, ἢ τὸν ὑπὸ τῶν πολιτῶν. οὐχ ὅμοια φρο-
νῶν, οἷς ὕστερον ὁ βυζάντιος λέων εἶπε πρὸς τοὺς ἑαυτοῦ πολίτας. βούλομαι γὰρ ἔφη μᾶλλον ὑφ' ὑ-
μῶν, ἢ μεθ' ὑμῶν ἀποθανεῖν. περὶ μέν τοι τόπου καὶ χώρας, εἰς ἣν μετάξουσι τὸ στρατόπεδον, βου-
λεύσεσθαι καθ' ἡσυχίαν. ταῦτα δ' αὐτοῦ λέγοντος, ὁ μὲν δημοσθένης, οὐδὲ τῇ προτέρᾳ γνώμῃ κατευ-
τυχήσας, ἐπαύσατο βιαζόμενος. τοῖς δ' ἄλλοις, παρέσχε τὸν νικίαν προσδοκῶντα καὶ πιστεύοντα τοῖς
ἔνδον, οὕτως ἐρρωμένως ἀναμάχεσθαι περὶ τῆς ἀποβάσεως. διὸ καὶ συνεχώρησαν. ὡς μέν τοι στρατιὰ
συρακουσίοις ἐπῆλθεν ἄλλη, καὶ μᾶλλον ἥπτετο τῶν ἀθηναίων ἡ νόσος, ἤδη καὶ τῷ νικίᾳ συνεδόκει
μεθίστασθαι. καὶ παρήγγελλε τοῖς στρατιώταις, εὐτρεπεῖς εἶναι πρὸς ἀπόπλουν. ὡς δ' ἦν ἕτοιμα ταῦ-
τα πάντα, καὶ τῶν πολεμίων οὐδεὶς παρεφύλαττε, ἅτε δὴ μὴ προσδοκώντων, ἐξέλιπεν ἡ σελήνη
τῆς νυκτός. μέγα δέος τῷ νικίᾳ καὶ τῶν ἄλλων τοῖς ὑπ' ἀπειρίας ἢ δεισιδαιμονίας ἐκπεπληγμέ-
νοις τὰ τοιαῦτα. τοῦ μὲν γὰρ ἡλίου τὴν περὶ τὰς τριακάδας ἐπισκότησιν, ἁμωσγέπως ἤδη συνε-
φρόνουν καὶ οἱ πολλοί, γινομένην ὑπὸ τῆς σελήνης. αὐτὴν δὲ τὴν σελήνην, ᾧ τινι συντυγχάνουσαν, καὶ
πῶς αἰφνίδιον ἐκ πανσελήνου τὸ φῶς ἀπόλλυσι, καὶ χρόας ἵησι παντοδαπάς, οὐ ῥᾴδιον ἦν κατα-
λαβεῖν, ἀλλ' ἀλλόκοτον ἡγοῦντο, καὶ πρὸς συμφορῶν τινῶν μεγάλων ἐκ θεοῦ γινόμενον σημεῖον. ὁ γὰρ
πρῶτος, σαφέστατόν γε πάντων καὶ θαρραλεώτατον περὶ σελήνης καταυγασμῶν καὶ σκιᾶς λόγον
εἰς γραφὴν καταθέμενος ἀναξαγόρας, οὔτ' αὐτὸς ἦν παλαιός, οὔτε ὁ λόγος ἔνδοξος, ἀλλ' ἀπόρρητος
ἔτι καὶ δι' ὀλίγων, καὶ μετ' εὐλαβείας τινὸς ἢ πίστεως βαδίζων. οὐ γὰρ ἠνείχοντο τοὺς φυσικοὺς καὶ με-
τεωρολέσχας τότε καλουμένους, ὡς εἰς αἰτίας ἀλόγους, καὶ δυνάμεις ἀπρονοήτους, καὶ κατηναγκασμέ-
να πάθη διατρίβοντας τὸ θεῖον. ἀλλὰ καὶ πρωταγόρας ἔφυγε. καὶ ἀναξαγόραν εἰρχθέντα, μόλις πε-
ριεποιήσατο περικλῆς. καὶ σωκράτης οὐδὲν αὐτῷ τῶν γε τοιούτων προσῆκον, ὅμως ἀπώλετο διὰ φι-
λοσοφίαν. ὀψὲ δ' ἡ πλάτωνος ἐκλάμψασα δόξα διὰ τὸν βίον τοῦ ἀνδρὸς, καὶ ὅτι ταῖς θείαις καὶ κυ-
ριωτέραις ἀρχαῖς ὑπέταξε τὰς φυσικὰς ἀνάγκας, ἀφεῖλε τὴν τῶν λόγων τούτων διαβολήν, καὶ
τοῖς μαθήμασιν εἰς ἅπαντας ὁδὸν ἐνέδωκεν. ὁ γοῦν ἑταῖρος αὐτοῦ δίων, καθ' ὃν χρόνον ἔμελλεν αἴρειν
ἐκ ζακύνθου, πλεῖν ἐπὶ διονύσιον, ἐκλιπούσης τῆς σελήνης, οὐδὲν διαταραχθεὶς ἀνήχθη. καὶ κατασχὼν
ἐν συρακούσαις, ἐξέβαλε τὸν τύραννον. τῷ μέν τοι νικίᾳ, συνηνέχθη τότε, μηδὲ μάντιν ἔχειν ἔμπειρον.
ὁ γὰρ συνήθης αὐτοῦ καὶ τὸ πολὺ τῆς δεισιδαιμονίας ἀφαιρῶν στιλβίδης ἐτεθνήκει μικρὸν ἔμπρο-
σθεν. ἐπεὶ τὸ σημεῖον ὥς φησι φιλόχορος, φεύγουσιν οὐκ ἦν πονηρόν, ἀλλὰ καὶ πάνυ χρηστόν. ἐπικρύ-
ψεως γὰρ αἱ σὺν φόβῳ πράξεις δέονται. τὸ δὲ φῶς, πολέμιόν ἐστιν αὐταῖς. ἄλλως τε καὶ τῶν περὶ ἥ-
λιον καὶ σελήνην, ἐπὶ τρεῖς ἡμέρας ἐποιοῦντο φυλακήν, ὡς αὐτοκλείδης διέγραψεν ἐν τοῖς ἐξη-
γητικοῖς. ὁ δὲ νικίας ἄλλην ἔπεισε σελήνης ἀναμένειν περίοδον, ὥσπερ οὐκ εὐθὺς θεασάμενος αὐ-
τὴν ἀποκαθαρθεῖσαν, ὅτε τὸν σκιερὸν τόπον καὶ ὑπὸ τῆς γῆς ἀντιφραττόμενον παρῆλθε. μικροῦ
δὲ πάντων ἀφέμενος τῶν ἄλλων, ἔθυέ τε καθήμενος, ἕως ἐπῆλθον αὐτοῖς οἱ πολέμιοι. τῷ μὲν πεζῷ,
τὰ τείχη καὶ τὸ στρατόπεδον αὐτῶν πολιορκοῦντες. ταῖς δὲ ναυσί, κύκλῳ τὸν λιμένα περιλαμβάνον-
τες. οὐκ αὐτοὶ μόνον ταῖς τριήρεσιν, ἀλλὰ καὶ τὰ παιδάρια πανταχόθεν ἐπιβαίνοντα τῶν ἁλιά-
δων, καὶ ταῖς σκάφαις προσπλέοντα, προὐκαλεῖτο τοὺς ἀθηναίους, καὶ προὐπηλάκιζον. ὧν ἕνα παῖ-
δα γνωρίμων γονέων ἡρακλείδην προεξελάσαντα τῷ πλοίῳ, ναῦς ἀττικὴ διώκουσα κατελάμβανε.
δείσας δὲ περὶ αὐτῷ πόλλιχος ὁ θεῖος, ἀντέπλευσε δέκα τριήρεσιν ὧν ἦρχεν. οἱ δὲ ἄλλοι περὶ τοῦ πολ-
λίχου φοβηθέντες, ὡσαύτως ἀνήγοντο. καὶ ναυμαχίας ἰσχυρᾶς γενομένης, ἐνίκησαν οἱ συρακούσιοι. καὶ
τὸν εὐρυμέδοντα πολλῶν μετ' ἄλλων διέφθειραν. ἦν οὖν οὐκέτι μενετὰ τοῖς ἀθηναίοις. ἀλλὰ τῶν
στρατηγῶν κατεβόων, πεζῇ κελεύοντες ἀναχωρεῖν. καὶ γὰρ οἱ συρακούσιοι νικήσαντες, εὐθὺς ἐνέφραξαν
καὶ ἀπέκλεισαν τὸν διέκπλουν τοῦ λιμένος. οἱ δὲ περὶ τὸν νικίαν, τοῦτο μὲν οὐκ ἐπείθοντο. δεινὸν γὰρ ἦν
ἀπολιπεῖν ὁλκάδας τε πολλάς, καὶ τριήρεις ὀλίγον ἀριθμὸν διακοσίων ἀπολειπούσας. ἐμβιβάσαντες δὲ
τῶν πεζῶν τοὺς ἀρίστους, καὶ τῶν ἀκοντιστῶν τοὺς ἀλκιμωτάτους, ἐπλήρωσαν ἑκατὸν καὶ δέκα τριή-
ρεις. αἱ γὰρ ἄλλαι ταρσῶν ἐνδεεῖς ἦσαν. τὸν δὲ λοιπὸν ὄχλον, ἔστησε παρὰ τὴν θάλασσαν ὁ νικίας, ἐκλιπὼν
τὸ μέγα στρατόπεδον, καὶ τὰ τείχη τὰ συνάπτοντα πρὸς τὸ ἡράκλειον. ὥστε μὴ τεθυκότων τὴν εἰθισμέ-

την, πολλὰς διατριβὰς ἐμβαλόντων, ὅτε γοῦν ἐπ' εὐθὺ βοηθεῖν. καὶ Δημοσθένης μὲν, ἔμελλε μεγάλῳ στόλῳ πλεῖν ἐκ χειμῶνος. Εὐρυμέδων δὲ διὰ χειμῶνος προεξέπλευσε χρήματα κομίζων καὶ συστρατήγους ἀποφαίνων ᾑρημένους τῷ Νικίᾳ τῶν αὐτόθι στρατευομένων, Εὐθύδημον καὶ Μένανδρον. ἐν τούτῳ δὲ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐξαίφνης ἐπιχειρούμενος ὁ Νικίας, ταῖς μὲν ναυσὶν ἡττώμενος τὸ πρῶτον, ὅμως ἐξέωσε καὶ κατέδυσε πολλὰς τῶν πολεμίων. πρὸς δὲ τὸ πεζὸν οὐκ ἔφθασε βοηθῶν, ἀλλ' ἄφνω προσπεσὼν ὁ Γύλιππος, εἷλε τὸ Πλημμύριον. ἐν ᾧ σκευῶν τριηρικῶν καὶ χρημάτων πολλῶν ἀποκειμένων, ἐκράτησε πάντων, καὶ διέφθειρεν ἄνδρας οὐκ ὀλίγους. καὶ ζῶντας ἔλαβε. τὸ δὲ μέγιστον, ἀφείλετο τοῦ Νικίου τῆς ἀγορᾶς τὴν εὐπέτειαν. ἦν γὰρ ἡ κομιδὴ παρὰ τὸ Πλημμύριον ἀσφαλὴς καὶ ταχεῖα τῶν Ἀθηναίων κρατούντων. ἐκπεσόντων δέ, χαλεπὴ, καὶ μετὰ μάχης ἐγίνετο πρὸς τοὺς πολεμίους ἐκεῖ ναυλοχοῦντας. ἔτι δὲ καὶ τὸ ναυτικὸν τοῖς Συρακουσίοις οὐκ ἀπὸ κράτους ἐφαίνετο νενικημένον, ἀλλ' ἀταξίᾳ περὶ τὴν δίωξιν. αὖθις οὖν ἐπεχείρουν, παρασκευαζόμενοι λαμπρότερον. ὁ δὲ Νικίας οὐκ ἐβούλετο ναυμαχεῖν. ἀλλὰ πολλὴν ἀβελτηρίαν ἔλεγεν εἶναι, στόλου τοσούτου προσπλέοντος αὐτοῖς, καὶ δυνάμεως ἀκραιφνοῦς, ἣν ἦγε Δημοσθένης σπεύδων, ἀπ' ἐλαττόνων καὶ κεχορηγημένων φαύλως, διαγωνίσασθαι. τοῖς δὲ περὶ τὸν Μένανδρον καὶ τὸν Εὐθύδημον ἀρτίως εἰς τὴν ἀρχὴν καθισταμένοις, φιλοτιμία καὶ ζῆλος ἦν πρὸς ἀμφοτέρους τοὺς στρατηγούς. τὸν μὲν Δημοσθένην, φθῆναι πράξαντάς τι λαμπρόν. ὑπερβαλέσθαι δὲ τὸν Νικίαν. πρόσχημα δ' ἦν ἡ δόξα τῆς πόλεως. ἣν ἀπόλλυσθαι, καὶ καταλύεσθαι παντάπασι φάσκοντες εἰ φοβηθήσονται Συρακουσίους ἐπιπλέοντας, ἐξεβιάσαντο ναυμαχῆσαι. καὶ καταστρατηγηθέντες ὑπ' Ἀρίστωνος τοῦ Κορινθίων κυβερνήτου, τοῖς περὶ τὸ ἄριστον ὡς εἴρηκε Θουκυδίδης κατὰ κράτος ἡττήθησαν, καὶ πολλοὺς ἀπέβαλον, καὶ ἀθυμία πολλὴ περιειστήκει τὸν Νικίαν, τῇ τε μοναρχίᾳ κακοπαθοῦντα, καὶ σφαλλόμενον αὖθις ὑπὸ τῶν συναρχόντων. ἐν τούτῳ δέ, Δημοσθένης ὑπὲρ τῶν λιμένων ἐπεφαίνετο λαμπρότατος τῇ παρασκευῇ, καὶ δεινότατος τοῖς πολεμίοις, ἄγων ἐπὶ νεῶν ἑβδομήκοντα καὶ τριῶν ὁπλίτας πεντακισχιλίους. ἀκοντιστὰς δὲ καὶ τοξότας καὶ σφενδονήτας τρισχιλίων οὐκ ἐλάττους. ὅπλων δὲ κόσμῳ, καὶ παρασήμοις τριήρων, καὶ πλήθει κελευστῶν καὶ αὐλητῶν, θεατρικῶς καὶ πρὸς ἔκπληξιν πολεμίων ἐξησκημένος. ἦν οὖν ὡς εἰκὸς αὖθις, ἐν φόβῳ μεγάλῳ τὰ Συρακουσίων. εἰς οὐδὲν πέρας οὐδὲ ἀπαλλαγήν, ἀλλὰ πονοῦντας ἄλλως καὶ φθειρομένους αὐτοὺς μάτην ὁρώντων. τὸν δὲ Νικίαν, οὐ πολὺν χρόνον εὔφρανεν ἡ παρουσία τῆς δυνάμεως. ἀλλ' ἅμα τῷ πρῶτον ἐν λόγοις γενέσθαι, τοῦ Δημοσθένους εὐθὺς ἐπιχειρεῖν τοῖς πολεμίοις κελεύοντος. καὶ τῷ ταχίστῳ τῶν κινδύνων περὶ τοῦ παντὸς διαγωνισαμένους, ἑλεῖν Συρακούσας, καὶ ἀποπλεῖν οἴκαδε. δείσας καὶ θαυμάσας τὴν ὀξύτητα καὶ τόλμαν, ἐδεῖτο μηδὲν ἀπεγνωσμένως πράττειν, μηδὲ ἀνοήτως. τὴν γὰρ τριβὴν, εἶναι κατὰ τῶν πολεμίων, οὔτε χρήματα κεκτημένων ἔτι, μήτε τῶν συμμάχων αὐτοῖς πολὺν χρόνον παραμενόντων. εἰ δὲ θλίβοιντο ταῖς ἀπορίαις, ταχὺ πάλιν ἐπ' αὐτὸν περὶ συμβάσεις τραπησομένων ὡς πρότερον. καὶ γὰρ ἦσαν ἄνδρες οὐκ ὀλίγοι τῶν ἐν Συρακούσαις διαλεγόμενοι τῷ Νικίᾳ κρύφα. καὶ μένειν κελεύοντες. ὡς καὶ νῦν ὑπερπονούντων τῷ πολέμῳ, καὶ τὸν Γύλιππον βαρυνομένων. ἐὰν δὲ μικρὸν ἐπιτείνωσιν αἱ ἀνάγκαι, παντάπασιν ἀπαγορευσόντων. τούτων ὁ Νικίας, τὰ μὲν, αἰνιττόμενος, τὰ δ' οὐ θέλων ἐν φανερῷ λέγειν, ἀτολμίας παρέσχε τοῖς στρατηγοῖς, δόξαν. καὶ ταῦτ' ἐκεῖνα πάλιν ἥκειν, φάσκοντες αὐτοῦ, μελλήματα καὶ διατριβάς. καὶ ἀκριβολογίας, αἷς ἀπώλεσε τὴν ἀκμὴν οὐκ εὐθὺς ἐπιχειρῶν τοῖς πολεμίοις, ἀλλ' ἕωλος καὶ καταφρονούμενος, τῷ Δημοσθένει προσετίθεντο. καὶ ὁ Νικίας μόλις συνεχώρησεν ἐκβιασθείς. οὕτω δὴ τὴν πεζὴν στρατιὰν ἀναλαβὼν ὁ Δημοσθένης νυκτός, ἐπεχείρει ταῖς Ἐπιπολαῖς. καὶ τοὺς μὲν, φθάσας πρὶν αἰσθέσθαι τῶν πολεμίων ἀπέκτεινε. τοὺς δ' ἀμυνομένους ἐτρέψατο. καὶ κρατῶν, οὐκ ἔμενεν. ἀλλ' ἐχώρει προσωτέρω. μέχρις οὗ τοῖς Βοιωτοῖς ἐνέτυχε, πρῶτοι γὰρ οὗτοι συστρέψαντες ἑαυτοὺς καὶ συνδραμόντες εἰς τοὺς Ἀθηναίους ἐναντίοις τοῖς δόρασι μετὰ βοῆς ἐώσαντο, καὶ πολλοὺς αὐτοῦ κατέβαλον. δι' ὅλου δὲ τοῦ στρατεύματος εὐθὺς ἦν πτοία καὶ ταραχή. καὶ τοῦ φεύγοντος ἤδη καταπιμπλάμενον, τὸ ἔτι νικῶν. καὶ τὸ ἐπιβαῖνον καὶ προσφερόμενον ὑπὸ τῶν πεφοβημένων ἀνακοπτόμενον, ἑαυτῷ περιέπιπτε. τοὺς μὲν φεύγοντας οἰόμενον διώκειν. τοῖς δὲ φίλοις, ὡς πολεμίοις χρώμενον. ἡ γὰρ ἄτακτος ἀνάμιξις ἐν ταὐτῷ μετὰ φόβου καὶ ἀγνοίας. καὶ τὸ τῆς ὄψεως ἄπιστον ἐν νυκτὶ, μήτε σκότος ἄκρατον, μήτε φῶς ἐχούσῃ βέβαιον, ἀλλ' οἷον εἰκὸς ἤδη καταφερομένης σελήνης, καὶ περισκιαζομένης, ὅπλοις πολλοῖς, καὶ σώμασι κινουμένοις, διὰ τοῦ φωτὸς μὴ διασαφοῦσαν τὰ εἴδη φόβῳ τοῦ πολεμίου καὶ τὸ οἰκεῖον ποιεῖν ὕποπτον, εἰς δεινὰς ἀπορίας καὶ περιπετείας καθίστη τοὺς Ἀθηναίους. ἔτυχον δέ πως καὶ τὴν σελήνην ἔχοντες ὄπισθεν. ὅθεν αὐτοὶ μὲν αὑτοῖς τὰς σκιὰς ἐπιβάλλοντες, ἀπέκρυπτον τὸ πλῆθος τῶν ὅπλων, καὶ τὴν λαμπρότητα. τοὺς δ' ἐναντίους, ὁ πρὸς τὴν σελήνην τῶν ἀσπίδων ἀντιφωτισμὸς, πολὺ πλείονας ὁρᾶσθαι καὶ λαμπροτέρους ἐποίει. τέλος δὲ, πανταχόθεν αὐτοῖς ὡς ἐνέδοσαν προσκειμένων τῶν πολεμίων φεύγοντες, οἱ μὲν, ὑπ' ἐκείνων. οἱ δ' ὑπ' ἀλλήλων ἀπέθνησκον. οἱ δὲ, κατὰ τῶν κρημνῶν ὀλισθαίνοντες. τοὺς δ' ἀποσκεδασθέντας καὶ πλανωμένους

νωμένους

ναίων, ὃ κωλύσειν ἔμελλε διὰ μέσου τὸν ἀποτειχισμόν. τῷ δὲ κρατεῖν τῶν ἀθηναίων ἀτακτότερον φερομένων πρὸς τὰς διώξεις, ἀπομονωθεὶς ὁ λάμαχος, ὑπέστη τῶν συρακουσίων τοὺς ἱππεῖς ἐπιφερομένους. ἦν δὲ πρῶτος αὐτῶν καλλικράτης, ἀνὴρ πολεμικὸς καὶ θυμοειδής. πρὸς τοῦτον ἐκ προκλήσεως καταστὰς ὁ λάμαχος, ἐμονομάχησε. καὶ λαβὼν πληγὴν πρότερος, εἶτα δοὺς καὶ πεσὼν, ὁμοῦ συναπέθανε τῷ καλλικράτει. καὶ τὸ μὲν σῶμα κρατήσαντες αὐτοῦ μετὰ τῶν ὅπλων, ἐξῆραν οἱ συρακούσιοι. δρόμῳ δ' ἐφέροντο πρὸς τὰ τείχη τῶν ἀθηναίων ἐν οἷς ὁ νικίας ἦν οὐκ ἔχων τοὺς βοηθοῦντας. ὅμως δ' ὑπὸ τῆς ἀνάγκης ἐξαναστὰς καὶ κατιδὼν τὸν κίνδυνον, ἐκέλευσε τοὺς καθ' ἑαυτὸν, ὅσα ξύλα πρὸ τῶν τειχῶν ἐτύγχανεν εἰς μηχανὰς παραβεβλημένα, καὶ τὰς μηχανὰς αὐτὰς, πῦρ κομίσαντας, ἅψαι. τοῦτο τοὺς συρακουσίους ἐπέσχε. καὶ τὸν νικίαν ἔσωσε, καὶ τὰ τείχη καὶ τὰ χρήματα τῶν ἀθηναίων. φλόγα γὰρ ἀρθεῖσαν διὰ μέσου πολλὴν ἰδόντες, ἀπετράπησαν οἱ συρακούσιοι. τούτων δὲ πραχθέντων, ἀπελείπετο μὲν ὁ νικίας μόνος τῶν στρατηγῶν. ἦν δ' ἐλπίδος μεγάλης. καὶ γὰρ πόλεις μεθίσταντο. καὶ πλοῖα μεστὰ σίτου πολλαχόθεν εἰς τὸ στρατόπεδον, τοῖς πράγμασιν εὖ φερομένοις, πάντων προστιθεμένων. καὶ λόγοι τινὲς ἤδη παρὰ τῶν συρακουσίων ἐγίνοντο περὶ συμβάσεως πρὸς αὐτὸν, ἀπεγνωκότων τὴν πόλιν. ὅπου καὶ γύλιππος ἐκ λακεδαίμονος πλέων βοηθὸς αὐτοῖς, ὡς ἤκουσε κατὰ πλοῦν τὸν ἀποτειχισμὸν καὶ τὰς ἀπορίας, οὕτως ἔπλει τὸ λοιπὸν ὡς ἐχομένης μὲν ἤδη τῆς σικελίας, ἰταλιώταις δὲ τὰς πόλεις διαφυλάξων. εἰ καὶ τοῦτό πως ἐγγένοιτο. μεγάλη γὰρ ἡ δόξα διεφοίτα τοῦ κρατεῖν πάντα τοὺς ἀθηναίους. καὶ στρατηγὸν ἔχειν ἄμαχον δι' εὐτυχίαν καὶ φρόνησιν. ὁ δὲ νικίας αὐτὸς εὐθὺς καὶ παρὰ φύσιν ὑπὸ τῆς ἐν τῷ παρόντι ῥώμης καὶ τύχης ἀνατεθαρρηκὼς, μάλιστα δὲ τοῖς ἐκ συρακουσῶν διαλεγομένοις κρύφα καὶ πέμπουσι πρὸς αὐτὸν, ὅσον οὔπω τὴν πόλιν ἐνδίδοσθαι κατὰ συμβάσεις νομίζων, οὐδένα τοῦ γυλίππου λόγον ἔσχε προσπλέοντος. οὐδὲ φυλακὴν ἐποιήσατο καθαράν. ἀλλὰ τῷ παντελῶς ὑπερορᾶσθαι καὶ καταφρονεῖσθαι, λαθὼν αὐτὸν ὁ ἀνὴρ, εἰσέπλευσε διὰ πορθμοῦ. καὶ προσκομισθεὶς ἀπωτάτω τῶν συρακουσίων, στρατιὰν συνήγαγε πολλὴν, οὐδ' εἰ πάρεστι τῶν συρακουσίων ἐπισταμένων, οὐδὲ προσδοκώντων. διὸ καὶ παρήγγελτο μὲν αὐτοῖς ἐκκλησία περὶ τῆς πρὸς τὸν νικίαν ὁμολογίας. καί τινες ἐβάδιζον ἤδη πρὶν ἢ παντελῶς ἀποτειχισθῆναι τὴν πόλιν, οἰόμενοι δεῖν γενέσθαι τὰς διαλύσεις. βραχὺ γὰρ ἦν κομιδῆ τὸ ἀπολειπόμενον τοῦ ἔργου. καὶ τοῦτο παραβεβλημένην εἶχε τὴν παρασκευὴν τῆς τειχοδομίας, σύμπασαν. ἐν τούτῳ δὲ καιροῦ παρόντος τοῦ κινδύνου, ἀφικνεῖται γογγύλος ἐκ κορίνθου μιᾷ τριήρει. καὶ συνδραμόντων πρὸς αὐτὸν ὡς εἰκὸς πάντων, ἔφρασεν ὅτι γύλιππος ἀφίξεται διὰ ταχέων, καὶ νῆες ἄλλαι βοηθοὶ προσπλέουσιν. οὔπω δὲ τῷ γογγύλῳ πιστευόντων βεβαίως, ἧκεν ἄγγελος παρὰ τοῦ γυλίππου κελεύοντος ἀπαντᾶν. οἱ δὲ, θαρρήσαντες ἐξωπλίζοντο. καὶ προσῆγεν εὐθὺς ὁ γύλιππος ἐξ ὁδοῦ παρατεταγμένους ἐπὶ τοὺς ἀθηναίους. ὡς δὲ κἀκείνους ἀντέταξεν ὁ νικίας, θέμενος ἐπὶ τοὺς ἀθηναίους ὁ γύλιππος τὰ ὅπλα, καὶ κήρυκα πέμψας, ἔλεγε διδόναι τοῖς ἀθηναίοις ἄδειαν ἀπιοῦσιν ἐκ σικελίας. ὁ μὲν οὖν νικίας, οὐδὲν ἠξίωσεν ἀποκρίνασθαι, τῶν δὲ στρατιωτῶν τινὲς καταγελῶντες, ἠρώτων. εἰ διὰ παρουσίαν ἑνὸς τρίβωνος καὶ βακτηρίας λακωνικῆς, οὕτως ἰσχυρὰ τὰ συρακουσίων ἐξαίφνης γέγονεν, ὥστ' ἀθηναίων καταφρονεῖν. οἳ πολὺ ῥωμαλεωτέρους γυλίππου, καὶ μᾶλλον κομῶντας, τριακοσίους ἔχοντες ἐν πέδαις δεδεμένους, ἀπέδωκαν λακεδαιμονίοις. τίμαιος δὲ καὶ τοὺς σικελιώτας φησὶν ἐν μηδενὶ λόγῳ ποιεῖσθαι τὸν γύλιππον, ὕστερον μὲν αἰσχροκέρδειαν αὐτοῦ καὶ μικρολογίαν καταγνόντας. ὡς δὲ πρῶτον ὤφθη σκώπτοντας εἰς τὸν τρίβωνα καὶ τὴν κόμην. εἶτα μέντοι φησὶν αὐτὸς, ὅτι τῷ γυλίππῳ φανέντι καθάπερ γλαυκὶ, πολλοὶ προσέπτησαν ἑτοίμως στρατοπαιδευόμενοι. καὶ ταῦτα τῶν πρώτων ἀληθέστερά ἐστιν. ἐν γὰρ τῇ βακτηρίᾳ καὶ τῷ τρίβωνι, τὸ σύμβολον καὶ τὸ ἀξίωμα τῆς σπάρτης καθορῶντες, συνίσταντο. κἀκείνου τὸ πᾶν ἔργον γεγονέναι φησὶν ὁ θουκυδίδης μόνου. ἀλλὰ καὶ φίλιστος, ἀνὴρ συρακούσιος καὶ τῶν πραγμάτων ὁρατὴς γενόμενος. τῇ μὲν οὖν πρώτῃ μάχῃ κρατήσαντες οἱ ἀθηναῖοι τῶν συρακουσίων, ὀλίγους τινὰς ἀπέκτειναν καὶ γογγύλον τὸν κορίνθιον. εἰς δὲ τὴν ἐπιοῦσαν ἡμέραν, ἔδειξεν ὁ γύλιππος οἷόν ἐστιν ἐμπειρία. τοῖς γὰρ αὐτοῖς ὅπλοις καὶ ἵπποις καὶ χωρίοις χρησάμενος, οὐχ ὡσαύτως, ἀλλὰ μεταθεὶς τὴν τάξιν, ἐνίκησε τοὺς ἀθηναίους. καὶ φυγόντων εἰς τὸ στρατόπεδον ἐπιστήσας τοὺς συρακουσίους, τοῖς λίθοις οἷς ἐκεῖνοι προσεκόμιζον, καὶ τῇ ὕλῃ παροικοδομῶν εἰς διαστολὰς, ἀπέκοψε τὸν ἐκείνων περιτειχισμόν. ὥστ' αὐτοῖς μηδὲν εἶναι πλέον κρατοῦσιν. ἐκ τούτου δὲ θαρρήσαντες οἱ συρακούσιοι, τάς τε ναῦς ἐπλήρουν, καὶ τοῖς ἱππεῦσι τοῖς ἑαυτῶν καὶ ἀκολούθοις περιελαύνοντες, πολλοὺς ᾕρουν. καὶ ὁ γύλιππος ἐπιὼν ἐπὶ τὰς πόλεις, αὐτὸς ἐξώρμα καὶ συνίστη πάντας, ἐρρωμένως ὑπακούοντας αὐτῷ, καὶ συλλαμβανομένους. ὥστε τὸν νικίαν αὖθις εἰς ἐκείνους ἀποφερόμενον τοὺς πρώτους λογισμοὺς καὶ συμφρονοῦντα τὴν τῶν πραγμάτων μεταβολὴν, ἀθυμεῖν καὶ γράφειν τοῖς ἀθηναίοις, κελεύοντα πέμπειν ἕτερον στρατὸν, ἢ καὶ τοῦτον ἀπάγειν ἐκ σικελίας. αὐτῷ δὲ πάντως αἰτούμενος τῆς στρατηγίας ἄφεσιν διὰ τὴν νόσον. οἱ δ' ἀθηναῖοι, καὶ πρότερον μὲν, ὥρμηντο πέμπειν ἑτέραν δύναμιν εἰς σικελίαν, φθόνῳ δὲ τῶν πρώτων πραττομένων πρὸς εὐτυχίαν τοῦ νικίου τοσαύ-

ϛρατευόμενοι

χας. ταύτης δὲ τοσοῦτον καὶ λιτὸς, ὥστε καθ' ἑκάστην στρατηγίαν ἀπολογίζεσθαι τοῖς ἀθηναίοις μικρὸν ἀργύριον εἰς ἐσθῆτα, καὶ κρηπῖδας ἑαυτῷ. τοῦ δὲ νικίου, καὶ διὰ τἆλλα μέγας ἦν, καὶ διὰ τὸν πλοῦτον, καὶ τὴν δόξαν, ὁ ὄγκος. λέγεται δ' ἐν τῷ στρατηγίῳ ποτὲ βουλευομένων τι κοινῇ τῶν συναρχόντων, κελευσθεὶς ὑπ' αὐτοῦ πρῶτος εἰπεῖν σοφοκλῆς ὁ ποιητὴς ὡς πρεσβύτατος ὢν τῶν συστρατήγων, ἐγὼ φάναι παλαιότατός εἰμι, σὺ δὲ πρεσβύτατος. οὕτω δὴ καὶ τότε τὸν λάμαχον ἄγων ὑφ' ἑαυτοῦ στρατηγικώτερον ὄντα. καὶ χρώμενος εὐλαβῶς καὶ διὰ μελλήσεως ἀεὶ τῇ δυνάμει, πρῶτον μὲν ἀπωτάτω τῶν πολεμίων ἐκ περιπλέων σικελίαν, θάρσος ἔδωκεν αὐτοῖς, ἔπειτα προσβαλὼν ὕβλῃ πολιχνίῳ μικρῷ. καὶ πρὶν ἑλεῖν ἀποστὰς, κομιδῇ κατεφρονήθη. καὶ τέλος, εἰς κατάνην ἀπῆλθε, πράξας οὐδὲν ἢ καταστρεψάμενος ὕκκαρα βαρβαρικὸν χωρίον. ὅθεν λέγεται καὶ λαΐδα τὴν ἑταίραν ἔτι κόρην ἐν τοῖς αἰχμαλώτοις πραθεῖσαν, εἰς πελοπόννησον κομισθῆναι. τοῦ δὲ θέρους διελθόντος, ἐπεὶ τοὺς συρακουσίους ἐπυνθάνετο προτέρους ἐπ' αὐτοὺς ἀφίξεσθαι τεθαῤῥηκότας. οἱ δ' ἱππεῖς ὕβρει προσελαύνοντες ἤδη πρὸς τὸ στρατόπεδον, ἠρώτων, εἰ καταναίοις συνοικήσοντες, ἢ λεοντίνους κατοικιοῦντες ἥκοιεν, μόλις ὁ νικίας ὥρμησε πλεῖν ἐπὶ συρακούσας. καὶ βουλόμενος ἀδεῶς καὶ καθ' ἡσυχίαν ἱδρύσαι τὸν στρατὸν, ὑπέπεμψεν ἄνθρωπον ἐκ κατάνης κελεύοντα τοὺς συρακουσίους εἰ βούλονται λαβεῖν ἔρημον ἀνδρῶν τὸ στρατόπεδον, καὶ τὰ ὅπλα τῶν ἀθηναίων, ἐν ἡμέρᾳ ῥητῇ πρὸς κατάνην πανστρατιᾷ παραγενέσθαι. τῶν δ' ἀθηναίων ἐν τῇ πόλει τὰ πλεῖστα διατριβόντων, ἐγνωκέναι τοὺς συρακουσίων φίλους ὅταν ἐκείνους προσιόντας αἴσθωνται, τάς τε πύλας καταλαμβάνειν ἅμα. καὶ τὸν ναύσταθμον ὑποπιμπράναι. πολλοὺς δὲ εἶναι τοὺς συνεστῶτας ἤδη καὶ τὴν ἐκείνων περιμένοντας ἄφιξιν. τοῦτ' ἄριστα νικίας ἐστρατήγησε περὶ σικελίαν. πανστρατιᾷ γὰρ ἐξαγαγὼν τοὺς πολεμίους καὶ τὴν πόλιν ὁμοῦ τι ποιήσας ἔρημον ἀνδρῶν, αὐτὸς ἐκ κατάνης ἀναχθεὶς, τῶν τε λιμένων ἐκράτησε, καὶ τῷ στρατοπέδῳ κατέλαβε χώραν, ὅθεν ἥκιστα βλαπτόμενος οἷς λείπεσθαι τῶν πολεμίων, ἤλπισεν ἐξ ὧν ἐθάῤῥει πολεμήσειν ἀκωλύτως. ἐπεὶ δ' ἀναστρέψαντες ἐκ κατάνης, οἱ συρακούσιοι, παρετάξαντο πρὸ τῆς πόλεως ἐπαγαγὼν ταχὺ τοὺς ἀθηναίους, ἐκράτησε. καὶ πολλοὺς μὲν οὐκ ἀπέκτεινε τῶν πολεμίων. οἱ γὰρ ἱππεῖς, ἐμπόδιον ἐγένοντο τῇ διώξει. τοῦ δὲ ποταμοῦ διαφθείρων, καὶ ἀποκόπτων τὰς γεφύρας, παρέσχεν ἑρμοκράτει λέγειν παραθαῤῥύνοντι τοὺς συρακουσίους, ὅτι γελοῖός ἐστιν ὁ νικίας, ὅπως οὐ μαχεῖται στρατηγῶν, ὥσπερ οὐκ ἐπὶ μάχῃ πεπλευκώς. οὐ μὴν, ἀλλὰ φόβον τε καὶ κατάπληξιν ἰσχυρὰν ἐνειργάσατο τοῖς συρακουσίοις, ὥστ' ἀντὶ τῶν ὄντων τότε πεντεκαίδεκα στρατηγῶν, ἑτέρους ἑλέσθαι τρεῖς, οἷς πίστιν ἔδωκεν ὁ δῆμος δι' ὅρκων, ἦ μὴν ἐάσειν ἄρχειν αὐτοκράτορας. τοῦ δ' ὀλυμπίου πλησίον ὄντος, ὥρμησαν οἱ ἀθηναῖοι καταλαβεῖν πολλῶν ὄντων ἐν αὐτῷ χρυσῶν καὶ ἀργυρῶν ἀναθημάτων. ὁ δὲ νικίας ἐπίτηδες ἀναβαλλόμενος ὑστέρησε, καὶ περιεῖδε φρουρὰν εἰσελθοῦσαν παρὰ τῶν συρακουσίων. ἡγούμενος ἐὰν τὰ χρήματα διαρπάσωσιν οἱ στρατιῶται, τὸ μὲν κοινὸν οὐκ ὠφεληθήσεσθαι. τὴν δ' αἰτίαν αὐτὸς ἕξειν τοῦ ἀσεβήματος. τῇ δὲ νίκῃ, περιβοήτῳ γενομένῃ, χρησάμενος εἰς οὐδὲν, ὀλίγων ἡμερῶν διαγενομένων, εὐθὺς ἀνεχώρησεν εἰς νάξον, κἀκεῖ διεχείμασε, πολλὰ μὲν ἀναλίσκων στρατιᾷ τοσαύτῃ, πράττων δὲ μικρὰ πρὸς σικελούς τινας, ἀφισταμένους πρὸς αὐτόν. ὥστε τοὺς συρακουσίους αὖθις ἀναθαῤῥήσαντας, ἐξελάσαι πρὸς κατάνην. καὶ τήν τε χώραν τεμεῖν, καὶ τὸ στρατόπεδον κατακαῦσαι τῶν ἀθηναίων. ἃ δὴ πάντες ᾐτιῶντο τὸν νικίαν, ὡς ἐν τῷ διαλογίζεσθαι καὶ μέλλειν, καὶ φυλάττεσθαι, τὸν τῶν πράξεων ἀπολλύντα καιρόν. ἐπεὶ τάς γε πράξεις οὐδεὶς ἂν ἐμέμψατο τοῦ ἀνδρός. ὁρμῆσαι γὰρ ἦν ἐνεργὸς καὶ δραστήριος. τολμῆσαι δὲ μελλητὴς καὶ ἄτολμος. ὡς δ' οὖν ἐκίνησε τὴν στρατιὰν πάλιν ἐπὶ τὰς συρακούσας, οὕτως ἐστρατήγησε, καὶ μετὰ τοσαύτης ὀξύτητος ἅμα καὶ ἀσφαλείας ἐπῆλθεν, ὥστε λαθεῖν μὲν εἰς θάψον ταῖς ναυσὶ προσμίξας καὶ ἀποβάς. φθάσαι δὲ τὰς ἐπιπολὰς καταλαβών. τῶν δὲ προσβοηθούντων λογάδων κρατήσας, ἑλεῖν μὲν τριακοσίους, τρέψασθαι δὲ καὶ τὴν ἵππον τῶν πολεμίων, ἄμαχον εἶναι δοκοῦσαν. ὃ δὲ μάλιστα πάντων καὶ σικελιώτας ἐξέπληξε, καὶ τοῖς ἕλλησιν ἀπιστίαν παρέσχεν, ὀλίγῳ χρόνῳ περιετείχισε συρακούσας. πόλιν ἀθηνῶν οὐκ ἐλάττονα. δυσεργοτέραν δὲ χωρίων ἀνωμαλίαις, καὶ θαλάσσῃ γειτνιώσῃ, καὶ παρακειμένοις ἕλεσι, τεῖχος κύκλῳ περὶ αὐτὴν τοσοῦτον ἀγαγεῖν. ἀλλὰ τοῦτ' ἐξεργάσασθαι, μικρὸν ἐδέησε τοῦ παντὸς, ἄνθρωπος, οὐδ' ὑγιαίνοντι χρώμενος ἑαυτῷ πρὸς τοσαύτας φροντίδας, ἀλλὰ νόσον νοσῶν νεφρῖτιν, ἧς τὸ μὴ προσεκπονηθὲν, λεῖμμα ποιεῖσθαι δίκαιόν ἐστι. θαυμάζω δὲ τοῦ στρατηγοῦ τὴν ἐπιμέλειαν. καὶ τὴν τῶν στρατιωτῶν ἀνδραγαθίαν, ἐν οἷς κατώρθουν. ὁ μὲν γὰρ εὐριπίδης μετὰ τὴν ἧτταν αὐτῶν καὶ τὸν ὄλεθρον γράφων ἐπικήδειον, ἐποίησεν.

» Οἱ δὲ, συρακουσίους, ὀκτὼ νίκας ἐκράτησαν ἄνδρες,
» ὅτ' ἦν τὰ θεῶν ἐξ ἴσου ἀμφοτέροις.

οὐκ ὀκτὼ δὲ νίκας, ἀλλὰ πλείονας ἄν τις εὕροι συρακουσίους νενικημένους ὑπ' αὐτῶν, πρὶν ἐκ θεῶν ὄντως ἢ τύχης ἀντίστασίν τινα γενέσθαι τοῖς ἀθηναίοις, ἐπὶ πλεῖστον, αἰρομένοις δυνάμεως. ταῖς μὲν οὖν πλείσταις πράξεσι βιαζόμενος τὸ σῶμα, παρῆν ὁ νικίας. ἀκμὴν δέ ποτε τῆς ἀῤῥωστίας λαβούσης, ὁ μὲν, ἐν τείχεσι μετ' ὀλίγων ὑπηρετῶν κατέκειτο. τὴν δὲ στρατιὰν ἔχων ὁ λάμαχος προσεμάχετο τοῖς συρακουσίοις ἐκ τῆς πόλεως τεῖχος ἀνάγουσι πρὸς τὸ τῶν ἀθη-

πρᾳότητα, τῆς ἐκείνου συγκαθαιρουμένης εὐλαβείας, βεβαιοτέραν ἐποίησε τὴν χειροτονίαν. ἀναστὰς γὰρ ὁ μάλιστα τῶν δημαγωγῶν ἐπὶ τὸν πόλεμον παροξύνων τοὺς ἀθηναίους δημόστρατος, ἔφη. τὸν νικίαν, προφάσεις λέγοντα παύσειν. καὶ ψήφισμα γράψας ὅπως αὐτοκράτορες ὦσιν οἱ στρατηγοί, κἀνταῦθα κἀκεῖ βουλευόμενοι καὶ πράττοντες, ἔπεισε τὸν δῆμον ψηφίσασθαι. καίτοι λέγεται πολλὰ καὶ παρὰ τῶν ἱερέων ἐναντιοῦσθαι πρὸς τὴν στρατείαν. ἀλλ' ἑτέρους ἔχων μάντεις ὁ ἀλκιβιάδης ἔκ δή τινων λογίων προὔφερε παλαιῶν, μέγα κλέος τῶν ἀθηναίων ἀπὸ σικελίας ἔσεσθαι. καὶ θεοπρόποι τινὲς αὐτῷ παρ' ἄμμωνος ἀφίκοντο χρησμὸν κομίζοντες, ὡς λήψονται συρακουσίους ἅπαντας ἀθηναῖοι. τὰ δ' ἐναντία, φοβούμενοι δυσφημεῖν, ἔκρυπτον. οὐδὲ γὰρ τὰ προὔπτα καὶ καταφανῆ τῶν σημείων, ἀπέτρεπε. ἥτε τῶν ἑρμῶν περικοπὴ μιᾷ νυκτὶ πάντων ἀκρωτηριασθέντων, πλὴν ἑνὸς ὃν ἀνδοκίδου καλοῦσιν, ἀνάθημα μὲν τῆς αἰγηΐδος φυλῆς, κείμενον δὲ πρὸ τῆς τότε οὔσης ἀνδοκίδου οἰκίας. καὶ τὸ πραχθὲν περὶ τὸν βωμὸν τῶν δώδεκα θεῶν. ἄνθρωπος γάρ τις ἐξαίφνης ἀναπηδήσας ἐπ' αὐτὸν, εἶτα περιβὰς, ἀπέκοψεν αὑτοῦ λίθῳ τὸ αἰδοῖον. ἐν δὲ δελφοῖς παλλάδιον ἕστηκε χρυσοῦν ἐπὶ φοίνικος χαλκοῦ βεβηκὸς, ἀνάθημα τῆς πόλεως ἀπὸ τῶν μηδικῶν ἀριστείων, τοῦτ' ἔκοπτον ἐφ' ἡμέρας πολλὰς προσπετόμενοι κόρακες. καὶ τὸν καρπὸν ὄντα χρυσοῦν τοῦ φοίνικος ἀπέτρωγον καὶ κατέβαλον. οἱ δὲ, ταῦτα μὲν ἔφασαν εἶναι δελφῶν πλάσματα. πεπεισμένων ὑπὸ συρακουσίων. χρησμοῦ δέ τινος κελεύοντος αὐτοὺς ἐκ κλαζομενῶν τὴν ἱέρειαν τῆς ἀθηνᾶς ἄγειν, μετεπέμψαντο τὴν ἄνθρωπον, ἐκαλεῖτο δὲ ἡσυχία. καὶ τοῦτ' ἦν ὡς ἔοικεν ὃ παρῄνει τῇ πόλει τὸ δαιμόνιον ἐν τῷ παρόντι τὴν ἡσυχίαν ἄγειν. εἴτε δὴ ταῦτα δείσας. εἴτ' ἀνθρωπίνῳ λογισμῷ τὴν στρατείαν φοβηθεὶς ὁ ἀστρολόγος μέτων, ἦν γὰρ ἐφ' ἡγεμονίας τινὸς τεταγμένος, προσεποιεῖτο τὴν οἰκίαν ὑφάπτειν ὡς μεμηνώς. οἱ δέ φασιν, οὐ μανίαν σκηψάμενον, ἀλλὰ νύκτωρ ἐμπρήσαντα τὴν οἰκίαν, προσελθεῖν εἰς τὴν ἀγορὰν ταπεινὸν, καὶ δεῖσθαι τῶν πολιτῶν ὅπως ἐπὶ συμφορᾷ τοσαύτῃ τὸν υἱὸν αὐτοῦ μέλλοντα πλεῖν τριήραρχον εἰς σικελίαν, ἀφῶσι τῆς στρατείας. σωκράτει δὲ τῷ σοφῷ τὸ δαιμόνιον οἷς εἰώθει συμβόλοις χρησάμενον πρὸς αὐτὸν, ἐμήνυσε κἀκεῖνα, τὸν ἔκπλουν ἐπ' ὀλέθρῳ τῆς πόλεως πραττόμενον. ὁ δὲ, τοῖς συνήθεσι καὶ φίλοις ἔφρασε. καὶ διῆλθεν εἰς πολλοὺς ὁ λόγος. οὐκ ὀλίγους δὲ καὶ τὰ τῶν ἡμερῶν ἐν αἷς τὸν στόλον ἐξέπεμπον, ὑπέθραττεν. ἀδώνεια γὰρ εἶχον αἱ γυναῖκες τότε καὶ προὔκειτο πολλαχόσε τῆς πόλεως εἴδωλα, καὶ ταφαὶ περὶ αὐτὰ, καὶ κοπετοὶ γυναικῶν ἦσαν. ὥστε τοὺς ἐν λόγῳ ποιουμένους τινὶ τὰ τοιαῦτα, δυσχεραίνειν καὶ δεδιέναι, περὶ τῆς παρασκευῆς ἐκείνης καὶ δυνάμεως, μὴ λαμπρότητα καὶ ἀκμὴν ἐπιφανεστάτην σχοῦσα, ταχέως μαρανθῇ. τὸ μὲν οὖν ἐναντιωθῆναι ψηφιζομένῃ τῇ στρατείᾳ τὸν νικίαν, καὶ μήθ' ὑπ' ἐλπίδων ἐπαρθέντα, μήτε πρὸς τὸ τῆς ἀρχῆς μέγεθος ἐκπλαγέντα μεταθέσθαι τὴν γνώμην, ἀνδρὸς ἦν χρηστοῦ καὶ σώφρονος. ἐπεὶ δ' οὔτε τοῦ πολέμου τὸν δῆμον ἀποτρέψαι πειρώμενος, οὔθ' αὑτὸν ἐξελέσθαι τῆς στρατηγίας, δεόμενος ἴσχυσεν, ἀλλ' ὥσπερ ἀράμενος καὶ φέρων αὐτὸν ὁ δῆμος, ἐπέθηκε τῇ δυνάμει στρατηγὸν, οὐδεὶς ἔτι καιρὸς ἦν τῆς πολλῆς εὐλαβείας καὶ μελλήσεως. ὥστε παιδὸς δίκην ἀπὸ τῆς νεὼς ὀπίσω βλέποντα, καὶ τὸ μὴ κρατηθῆναι τοῖς λογισμοῖς ἀναλαμβάνοντα καὶ στρέφοντα πολλάκις, ἐναμβλῦναι καὶ τοὺς συνάρχοντας αὐτῷ, καὶ τὴν ἀκμὴν διαφθαρῆναι τῶν πράξεων. ἀλλ' εὐθὺς ἔδει τοῖς πολεμίοις ἐμφύντα καὶ προσκείμενον, ἐλέγχειν τὴν τύχην ἐπὶ τῶν ἀγώνων. ὁ δὲ, λαμάχου μὲν, ἄντικρυς ἀξιοῦντος, πλεῖν ἐπὶ συρακούσας καὶ μάχην ἔγγιστα τῆς πόλεως τιθέναι. ἀλκιβιάδου δὲ τὰς πόλεις ἀφιστάναι συρακουσίων. εἶθ' οὕτως ἐπ' αὐτοὺς βαδίζειν. τὰ ἐναντία λέγων καὶ κελεύων, ἀτρέμα παρὰ τὴν σικελίαν κομιζομένους, καὶ περιπλέοντας, ἐπιδείξασθαι τὰ ὅπλα καὶ τὰς τριήρεις, εἶτ' ἀποπλεῖν ἀθήναζε. μικρὸν τῆς δυνάμεως αἰγεστεῦσιν ἀπαρξαμένους, αὐτίκα τε τὴν γνώμην, ἐξέλυσε καὶ κατέβαλε τὸ φρόνημα τῶν ἀνδρῶν. καὶ μετ' ὀλίγον χρόνον ἀλκιβιάδην ἀθηναίων μεταπεμψαμένων εἰς κρίσιν, λόγῳ μὲν ἀποδειχθεὶς δεύτερος ἡγεμὼν, δυνάμει δὲ μόνος ὢν, οὐκ ἐπαύσατο καθήμενος, ἢ περιπλέων, ἢ βουλευόμενος, πρὶν ἐγγηρᾶσαι μὲν αὐτῶν τὴν ἀκμὴν τῆς ἐλπίδος, ἐκρυῆναι δὲ, τῶν πολεμίων τὸ θάμβος, καὶ τὸν φόβον, ὃν ἡ πρώτη παρέσχηκεν αὐτοῖς ὄψις τῶν δυνάμεων. ἔτι δὲ τοῦ ἀλκιβιάδου παρόντος, ἑξήκοντα ναυσὶ πλεύσαντες ἐπὶ συρακούσας, τὰς μὲν ἄλλας, ἀνεῖχον ὑπὲρ τοῦ λιμένος, ἔξω παρατάξαντες. δέκα δὲ κατέπλευσαν εἴσω κατασκοπῆς ἕνεκα. καὶ λεοντίνους ἐπὶ τὴν οἰκείαν ἀνακαλοῦσαι διὰ κήρυκος, αὗται λαμβάνουσι ναῦν πολεμίαν σανίδας κομίζουσαν, εἰς ἃς ἀπεγράφοντο κατὰ φυλὰς αὑτοὺς οἱ συρακούσιοι. κείμεναι δ' ἄπωθεν τῆς πόλεως ἐν ἱερῷ διὸς ὀλυμπίου, τότε πρὸς ἐξέτασιν καὶ κατάλογον τῶν ἐν ἡλικίᾳ μετεπέμφθησαν. ὡς οὖν ὑπὸ τῶν ἀθηναίων ἁλοῦσαι πρὸς τοὺς στρατηγοὺς ἐκομίσθησαν, καὶ τὸ πλῆθος ὤφθη τῶν ὀνομάτων, ἠχθέσθησαν οἱ μάντεις, μήποτ' ἄρα τὸ χρεὼν ἐνταῦθα τοῦ χρησμοῦ περαίνοι λέγοντες. ὡς ἀθηναῖοι λήψονται συρακουσίους ἅπαντας. οὐ μὴν, ἀλλ' ἕτερον φασὶν ἔργον τοῦτο τοῖς ἀθηναίοις γενέσθαι ἐπιτελὲς, καθ' ὅσον χρόνον ἀποκτείνας δίωνα κάλιππος ὁ ἀθηναῖος ἔσχε συρακούσας. ἀποπλεύσαντος δὲ τοῦ ἀλκιβιάδου μετ' ὀλίγον ἐκ σικελίας, τὸ πᾶν ἤδη κράτος, ὁ νικίας ἔσχεν. ὁ δὲ λάμαχος, ἦν μὲν ἀνδρώδης καὶ δίκαιος ἀνὴρ καὶ τῇ χειρὶ χρώμενος ἀφειδῶς κατὰ τὰς μά-

σθαι συμμάχους. ἐβοήθησε δὲ τῷ νικίᾳ σεισμός τις διὰ μέσου γενόμενος, καὶ διαλύσας τὴν ἐκκλησίαν. τῇ δ' ὑστεραίᾳ πάλιν τοῦ δήμου συνελθόντος πολλὰ ποιήσας καὶ εἰπών, ἔπεισε. μόλις ἀνασχεῖν τὰ πρὸς ἀργείους. αὐτὸν δὲ πέμψαι πρὸς λακεδαιμονίους ὡς πάντων καλῶς γενησομένων. ἐλθὼν δ' εἰς σπάρτην, τἆλλα μὲν, ὡς ἀνὴρ ἀγαθὸς καὶ πρόθυμος εἰς αὐτοὺς ἐτιμήθη. πράξας δ' οὐδὲν κρατηθεὶς. ἀλλ' ὑπὸ τῶν βοιωτιαζόντων ἐπανῆλθεν, οὐ μόνον ἀδοξῶν καὶ κακῶς ἀκούων, ἀλλὰ καὶ δεδιὼς τοὺς ἀθηναίους λυπουμένους καὶ ἀγανακτοῦντας, ὅτι πεισθέντες ὑπ' ἐκείνου, τοσούτους καὶ τοιούτους ἄνδρας ἀπέδωκαν. οἱ γὰρ ἐκ πύλου κομισθέντες ἦσαν ἐξ οἴκων τε πρώτων τῆς σπάρτης. καὶ φίλους καὶ συγγενεῖς, τοὺς δυνατωτάτους ἔχοντες. οὐ μὴν ἔπραξαν τι τραχύτερον, ὀργῇ πρὸς ἐκεῖνον, ἀλλὰ τὸν ἀλκιβιάδην στρατηγὸν εἵλοντο. καὶ μαντινεῖς καὶ ἠλείους λακεδαιμονίων ἀποστάντας, ἐποιήσαντο συμμάχους μετ' ἀργείων. καὶ λῃστὰς εἰς πύλον ἔπεμψαν, κακουργεῖν τὴν λακωνικήν. ἐξ ὧν αὖθις εἰς πόλεμον κατέστησαν. ἀκμαζούσης δὲ τῆς πρὸς τὸν νικίαν τοῦ ἀλκιβιάδου διαφορᾶς καὶ γινομένης ὀστρακοφορίας, ἣν εἰώθει διὰ χρόνου τινὸς ὁ δῆμος ποιεῖσθαι. ἕνα τῶν ὑπόπτων, ἢ διὰ δόξαν ἄλλως ἢ πλοῦτον ἐπιφθόνων, τῷ ὀστράκῳ μεθιστὰς εἰς δέκα ἔτη, πολὺς θόρυβος ἀμφοτέρους περιΐστατο, καὶ κίνδυνος, ὡς θατέρου πάντως ὑποπεσουμένου τῷ ἐξοστρακισμῷ. τοῦ μὲν γὰρ ἀλκιβιάδου, καὶ τὸν βίον ἐβδελύττοντο, καὶ τὸ θράσος ὠρρώδουν, ὡς μᾶλλον ἐν τοῖς περὶ ἐκείνου γεγραμμένοις δηλοῦται. τὸν δὲ νικίαν, ὅ τε πλοῦτος, ἐπίφθονον ἐποίει. καὶ μάλιστα τῆς διαίτης τὸ μὴ φιλάνθρωπον μὴ δὲ δημοτικὸν, ἀλλ' ἄμικτον καὶ ὀλιγαρχικὸν, ἀλλόκοτον ἐδόκει, πολλὰ δ' ἤδη ταῖς ἐπιθυμίαις αὐτῶν ἀντιτείνων παρὰ γνώμην καὶ βιαζόμενος πρὸς τὸ συμφέρον, ἐπαχθὴς ἦν. ὡς δ' ἁπλῶς εἰπεῖν, νέων ἦν καὶ πολεμοποιῶν ἅμιλλα πρὸς εἰρηνοποιοὺς καὶ πρεσβυτέρους. τῶν μὲν, εἰς τοῦτον. τῶν δ' εἰς ἐκεῖνον τὸ ὄστρακον τρεπόντων. ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔμμορε τιμῆς, ὡς που καὶ τότε διαστὰς ὁ δῆμος δίχα, χώραν ἔδωκε τοῖς ἰταμωτάτοις καὶ πανουργοτάτοις, ὧν ἦν καὶ ὑπέρβολος ὁ περιθοίδης, ἄνθρωπος ἀπ' οὐδεμιᾶς τολμῶν δυνάμεως, ἀλλ' ἀπὸ τοῦ τολμᾶν, εἰς δύναμιν προελθών, καὶ γενόμενος δι' ἣν εἶχεν ἐν τῇ πόλει δόξαν, ἀδοξία τῆς πόλεως. οὗτος ἐν τῷ τότε χρόνῳ, τοῦ μὲν ὀστράκου, πόρρω τιθέμενος ἑαυτὸν, ἅτε δὴ τῷ κύφωνι μᾶλλον προσήκων, ἐλπίζων δὲ, θατέρου τῶν ἀνδρῶν ἐκπεσόντος αὐτὸς ἀντίπαλος τῷ λειπομένῳ γενέσθαι, καταφανὴς ἦν ἡδόμενός τε τῇ διαφορᾷ καὶ παροξύνων τὸν δῆμον ἐπ' ἀμφοτέρους. συνιδόντες οὖν τὴν μοχθηρίαν οἱ περὶ τὸν νικίαν καὶ τὸν ἀλκιβιάδην, καὶ λόγον δόντες ἀλλήλοις κρύφα, καὶ τὰς στάσεις συναγαγόντες εἰς ἓν ἀμφοτέρας καὶ ἀναμίξαντες, ἐκράτησαν, ὥστε μὴ δέτερον αὐτῶν, ἀλλὰ τὸν ὑπέρβολον ἐξοστρακισθῆναι. καὶ παραυτίκα μὲν ἡδονὴν τοῦτο καὶ γέλωτα τῷ δήμῳ παρέσχεν. ὕστερον δὲ ἠγανάκτουν ὡς καθυβρισμένον τὸ πρᾶγμα τοῦτο, πρὸς ἄνθρωπον ἀνάξιον γεγονέναι νομίζοντες. εἶναι γάρ τι καὶ κολάσεως ἀξίωμα, μᾶλλον δὲ κόλασιν τὸν ἐξοστρακισμὸν ἡγούμενοι, θουκυδίδῃ καὶ ἀριστείδῃ καὶ τοῖς ὁμοίοις. ὑπερβόλῳ δὲ τιμὴν καὶ προσποίησιν ἀλαζονείας, εἰ διὰ μοχθηρίαν ταυτὰ ἔπαθε τοῖς ἀρίστοις. ὥς που καὶ πλάτων ὁ κωμικὸς εἴρηκε περὶ αὐτοῦ.

" Καίτοι πέπραχε τῶν τρόπων μὲν ἄξια, αὑτοῦ δὲ καὶ τῶν στιγμάτων, ἀνάξια.
" Οὐ γὰρ τοιούτων εἵνεκ' ὄστραχ' εὑρέθη.

καὶ τὸ πέρας, οὐδεὶς ἔτι τὸ παράπαν ἐξωστρακίσθη μετὰ ὑπέρβολον. ἀλλ' ἔσχατος ἐκεῖνος. πρῶτος δ' ἵππαρχος ὁ χολαργεὺς, συγγενής τις ὢν τοῦ τυράννου. ἄκριτον δ' ἡ τύχη πρᾶγμα καὶ ἄληπτον λογισμῷ. νικίας γὰρ εἰ τὸν περὶ ὀστράκου κίνδυνον ἀνέρριψε πρὸς τὸν ἀλκιβιάδην, ἢ κρατήσας ἂν ἀσφαλῶς ᾤκει τὴν πόλιν ἐκεῖνον ἐξελάσας. ἢ κρατηθεὶς αὐτὸς ἐξῄει, πρὸ τῶν ἐσχάτων ἀτυχιῶν, τὸ δοκεῖν ἄριστος εἶναι στρατηγὸς διαφυλάξας. οὐκ ἀγνοῶ δ' ὅτι θεόφραστος ἐξοστρακισθῆναί φησι τὸν ὑπέρβολον φαίακος οὐ νικίου πρὸς ἀλκιβιάδην ἐρίζοντος. ἀλλ' οἱ πλείονες οὕτω γεγράφασιν. ὁ γοῦν νικίας τῶν αἰγεστέων πρέσβεων καὶ λεοντίνων παραγενομένων, καὶ πειθόντων τοὺς ἀθηναίους στρατεύειν ἐπὶ σικελίαν ἀνθιστάμενος, ἡττᾶτο τῆς βουλῆς ἀλκιβιάδου καὶ φιλοτιμίας, πρὶν ὅλως ἐκκλησίαν γενέσθαι, κατασχόντος ἤδη τὸ πλῆθος ἐλπίσι καὶ λόγοις προδιεφθαρμένον. ὥστε καὶ νέους ἐν παλαίστραις, καὶ γέροντας ἐν ἐργαστηρίοις καὶ ἡμικυκλίοις συγκαθεζομένους, ὑπογράφειν τὸ σχῆμα τῆς σικελίας. καὶ τὴν φύσιν τῆς περὶ αὐτὴν θαλάσσης. καὶ λιμένας καὶ τόπους, οἷς τέτραπται πρὸς λιβύην ἡ νῆσος. οὐ γὰρ ἆθλον ἐποιοῦντο τοῦ πολέμου σικελίαν, ἀλλ' ὁρμητήριον ὡς ἀπ' αὐτῆς διαγωνισόμενοι πρὸς καρχηδονίους. καὶ σχήσοντες ἅμα λιβύην, καὶ τὴν ἐντὸς ἡρακλείων στηλῶν θάλασσαν. ὡς οὖν ὥρμηντο πρὸς ταῦτα, ὁ νικίας ἐναντιούμενος, οὔτε πολλοὺς, οὔτε δυνατοὺς εἶχε συναγωνιστάς. οἱ γὰρ εὔποροι δεδιότες μὴ δοκῶσι τὰς λειτουργίας καὶ τριηραρχίας ἀποδιδράσκειν, παρὰ γνώμην ἡσύχαζον. ὁ δ' οὐκ ἔκαμνεν οὐδ' ἀπηγόρευεν. ἀλλὰ μετὰ τὸ ψηφίσασθαι τὸν πόλεμον ἀθηναίους, καὶ στρατηγὸν ἑλέσθαι πρῶτον ἐκεῖνον, μετ' ἀλκιβιάδου καὶ λαμάχου, πάλιν ἐκκλησίας γενομένης, ἀναστὰς, ἀπέτρεπε, καὶ διεμαρτύρετο. καὶ τελευτῶν διέβαλλε τὸν ἀλκιβιάδην ἰδίων ἕνεκα κερδῶν καὶ φιλοτιμίας τὴν πόλιν εἰς χαλεπὸν ἐξωθεῖν καὶ διαπόντιον κίνδυνον. ἔπραξε δ' οὐδὲν μᾶλλον, ἀλλ' ὑπὸ ἐμπειρίας δόξας ἐπιτηδειότερος εἶναι, καὶ πολλὴν ἀσφάλειαν ἕξειν πρὸς τὴν ἀλκιβιάδου τόλμαν, καὶ τὴν λαμάχου

στα καὶ αὐτὸς ἀπέλαυσε. καὶ τὸν ἐπὶ τοῦ βήματος κόσμον ἀνελὼν, καὶ πρῶτος ἐν τῷ δημηγορεῖν ἀνακραγὼν, καὶ περισπάσας τὸ ἱμάτιον, καὶ τὸν μηρὸν πατάξας. καὶ δρόμῳ μετὰ τοῦ λέγειν ἅμα χρησάμενος, τὴν ὀλίγον ὕστερον ἅπαντα τὰ πράγματα συγχέασαν εὐχέρειαν καὶ ὀλιγωρίαν τοῦ πρέποντος, ἐνεποίησε τοῖς πολιτευομένοις. ἤδη δέ που καὶ ἀλκιβιάδης, ἐνεφύετο τηνικαῦτα, τοῖς ἀθηναίοις δημαγωγὸς. οὐχ ὁμοίως ἄκρατος. ἀλλ' οἷον ἡ αἰγυπτίων χώρα λέγεται δι' ἀρετὴν ἐκφέρειν ὁμοῦ φάρμακα, ›› πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρὰ, οὕτως ἡ ἀλκιβιάδου φύσις, ἐπ' ἀμφότερα πολλὴ ῥυεῖσα καὶ λαμπρὰ, μεγάλων ἐνέδωκεν ἀρχὰς νεωτερισμῶν. ὅθεν οὐδ' ἀπαλλαγεὶς τοῦ κλέωνος ὁ νικίας καιρὸν ἔσχε, παντάπασιν ἀναπαῦσαι καὶ καταστορέσαι τὴν πόλιν, ἀλλ' εἰς ὁδὸν τὰ πράγματα καταστήσας σωτήριον, ἐξέπεσε ῥύμῃ καὶ σφοδρότητι τῆς ἀλκιβιάδου φιλοτιμίας αὖθις ἐξωσθεὶς εἰς τὸν πόλεμον. ἐπράχθη δὲ οὕτως. οἱ μάλιστα προσπολεμοῦντες τῇ εἰρήνῃ τῆς ἑλλάδος, κλέων καὶ βρασίδας ἦσαν. ὧν ὁ πόλεμος, τοῦ μὲν, ἀπέκρυπτε τὴν κακίαν. τοῦ δὲ, τὴν ἀρετὴν ἐκόσμει. τῷ μὲν γὰρ, ἀδικημάτων μεγάλων. τῷ δὲ, κατορθωμάτων ἀφορμὰς παρεῖχε. τούτων οὖν ἅμα πεσόντων ἐν μάχῃ μιᾷ περὶ ἀμφίπολιν, εὐθὺς ὁ νικίας παραλαβὼν, τοὺς μὲν σπαρτιάτας, ἔκπαλαι τῆς εἰρήνης ὀρεγομένους. τοὺς δ' ἀθηναίους οὐκέτι τῷ πολέμῳ θαῤῥοῦντας, ἀμφοτέρους δ' οἷον ἐκλελυμένους καὶ παρακαθιέντας ἑκουσίως τὰς χεῖρας ἔπραττεν, ὅπως εἰς φιλίαν τὰς πόλεις συναγαγὼν, καὶ τοὺς ἄλλους ἕλληνας ἀπαλλάξας κακῶν καὶ ἀναπαυσάμενος, βέβαιον οὕτω τὸ τῆς εὐτυχίας ὄνομα πρὸς τὸν αὖθις χρόνον ποιοῖτο. τοὺς μὲν οὖν εὐπόρους καὶ πρεσβυτέρους, καὶ τῶν γεωργῶν τὸ πλῆθος, αὐτόθεν εἰρηνικοὺς εἶχεν. ἐπεὶ δὲ καὶ τῶν ἄλλων πολλοῖς ἐντυγχάνων ἰδίᾳ, καὶ διδάσκων ἀμβλυτέρους ἐποίησε πρὸς τὸν πόλεμον, οὕτως ἤδη τοῖς σπαρτιάταις ἐλπίδας ἐνδιδοὺς, προεκαλεῖτο καὶ προὔτρεπεν, ἔχεσθαι τῆς εἰρήνης. οἱ δ' ἐπίστευον αὐτῷ διά τε τὴν ἄλλην ἐπιείκειαν, καὶ ὅτι τοῖς ἁλωκόσι περὶ πύλον καὶ δεδεμένοις ἐπιμελόμενος καὶ περιέπων φιλανθρώπως, ἐλαφροτέραν ἐποίει τὴν ἀτυχίαν. ἦσαν οὖν πρότερον πεποιημένοι τινὰ πρὸς ἀλλήλους ἐκεχειρίαν ἐνιαύσιον, ἐν ᾗ συνιόντες εἰς ταυτὸ, καὶ γευσάμενοι πάλιν ἀδείας καὶ σχολῆς, καὶ πρὸς ξένους καὶ οἰκείους ἐπιμιξίας, ἐπόθουν τὸν ἀμίαντον καὶ ἀπόλεμον βίον. ἡδέως μὲν ᾀδόντων τὰ τοιαῦτα χορῶν ἀκούοντες. κείσθω δόρυ μοι μίτον ἀμφιπλέκειν ἀράχναις. ἡδέως δὲ μεμνημένοι τοῦ εἰπόντος. ›› ὅτι τοὺς ἐν εἰρήνῃ καθεύδοντας, οὐ σάλπιγγες, ἀλλ' ἀλεκτρυόνες ἀφυπνίζουσι. λοιδοροῦντες οὖν καὶ προβαλλόμενοι τοὺς λέγοντας ὡς τρὶς ἐννέα ἔτη διαπολεμηθῆναι πέπρωται τὸν πόλεμον. ἔπειθ' οὕτω περὶ παντὸς εἰς λόγους συμβάλλοντες ἐποιήσαντο τὴν εἰρήνην. δόξα τε παρέστη τοῖς πλείστοις, ἀπαλλαγὴν κακῶν σαφῆ γεγονέναι. καὶ τὸν νικίαν διὰ στόματος εἶχον, ὡς ἀνὴρ εἴη θεοφιλὴς. καὶ τὸ δαιμόνιον αὐτῷ δι' εὐσέβειαν, ἐπωνύμῳ γενέσθαι τοῦ μεγίστου καὶ καλλίστου τῶν ἀγαθῶν δέδωκε. τῷ γὰρ ὄντι, νικίου τὴν εἰρήνην ἐνόμιζον ἔργον, ὡς περικλέους τὸν πόλεμον. ὁ μὲν γὰρ ἐπ' αἰτίαις μικραῖς, εἰς συμφορὰς μεγάλας, ἐμβαλεῖν ἐδόκει τοὺς ἕλληνας. ὁ δὲ, τῶν μεγίστων κακῶν, ἔπεισεν ἐκλαθέσθαι φίλους γενομένους. διὸ καὶ τὴν εἰρήνην ἐκείνην ἄχρι νῦν, νικίειον καλοῦσι. γενομένων δὲ συνθηκῶν ὅπως τὰ χωρία καὶ τὰς πόλεις ἃς εἶχον ἀλλήλων καὶ τοὺς αἰχμαλώτους ἀποδιδῶσι. προτέρων ἀποδιδόντων τῶν κλήρῳ λαχόντων, ὠνήσατο τὸν κλῆρον ὁ νικίας κρύφα χρήμασιν, ὥστε προτέρους ἀποδιδόναι τοὺς λακεδαιμονίους. καὶ τοῦτο μὲν ἱστορεῖ θεόφραστος. ἐπεὶ δὲ κορίνθιοι καὶ βοιωτοὶ πρὸς τὰ πραττόμενα δυσκολαίνοντες, αἰτίαις καὶ μέμψεσιν αὖθις ἐδόκουν ἀνακαλεῖσθαι τὸν πόλεμον, ἔπεισεν ὁ νικίας τοὺς ἀθηναίους καὶ λακεδαιμονίους τῇ εἰρήνῃ τὴν συμμαχίαν ὥσπερ κράτος ἢ δεσμὸν ἐπιθέντας, φοβερωτέρους τε τοῖς ἀφισταμένοις καὶ βεβαιοτέρους ἀλλήλοις γενέσθαι. πραττομένων δὲ τούτων, ὁ ἀλκιβιάδης, οὔτε πρὸς ἡσυχίαν πεφυκὼς, καὶ τοῖς λακεδαιμονίοις ἀχθόμενος, ὅτι τῷ νικίᾳ προσέκειντο καὶ προσεῖχον, αὐτὸν δ' ὑπερεώρων καὶ κατεφρόνουν, ἐν ἀρχῇ μὲν εὐθὺς ὑπεναντιωθεὶς τῇ εἰρήνῃ καὶ ἀντιστὰς, οὐδὲν ἐπέραινεν. ὀλίγῳ δ' ὕστερον ὁρῶν, οὐκέτι τοῖς ἀθηναίοις ὁμοίως ἀρέσκοντας τοὺς λακεδαιμονίους, ἀλλ' ἀδικεῖν δοκοῦντας, ὅτι βοιωτοῖς ἔθεντο συμμαχίαν, καὶ πάνακτον ἑστῶσαν, οὐ παρέδωκαν. οὔτ' ἀμφίπολιν, ἐπεφύετο ταῖς αἰτίαις καὶ παρώξυνε τὸν δῆμον ἐφ' ἑκάστῃ. τέλος δὲ, πρεσβείαν μεταπεμψάμενος, ἀργείων, ἔπραττε συμμαχίαν πρὸς τοὺς ἀθηναίους. ἐπεὶ δὲ πρέσβεις ἐλθόντες ἐκ λακεδαίμονος αὐτοκράτορες, καὶ τῇ βουλῇ προσεντυγχάνοντες, ἔδοξαν ἐπὶ πᾶσιν ἥκειν τοῖς δικαίοις, δείσας ὁ ἀλκιβιάδης, μὴ καὶ τὸν δῆμον ἀπὸ τῶν αὐτῶν λόγων ἐπαγάγωνται, περιῆλθεν αὐτοὺς δι' ἀπάτης καὶ ὅρκων, ὡς ἅπαντα συμπράξων ἂν μὴ φανῶσι, μηδ' ὁμολογήσωσιν ἥκειν αὐτοκράτορες. μάλιστα γὰρ οὕτως, ἃ βούλονται γενήσεσθαι. πεισθέντων δὲ καὶ μεταστάντων ἀπὸ τοῦ νικίου πρὸς ἐκεῖνον, ἐμβαλὼν αὐτοὺς εἰς τὸν δῆμον, ἠρώτα πρῶτον, εἰ περὶ πάντων ἥκουσιν αὐτοκράτορες. ὡς δ' ἠρνοῦντο, παρ' ἐλπίδας μεταβαλλόμενος, τήν τε βουλὴν ἐπεκαλεῖτο, μάρτυρα τῶν λόγων. καὶ τὸν δῆμον ἐκέλευε μὴ προσέχειν μηδὲ πιστεύειν, οὕτω περιφανῶς, ψευδομένοις. καὶ νῦν μὲν ταῦτα. νῦν δὲ τἀναντία περὶ τῶν αὐτῶν λέγουσι. θορυβουμένων δ' ὡς εἰκὸς αὐτῶν, καὶ τοῦ νικίου μηδὲν ἔχοντος εἰπεῖν, ἀλλ' ἄχει καὶ θαύματι πεπληγότος, ὁ μὲν δῆμος εὐθὺς ὥρμητο τοὺς ἀργείους καλεῖν καὶ ποιεῖ-

πάχητα ς. κ. ϥ. στρακισμῷ, καὶ τῇ πρὸς ἀντιφῶντα τὸν ῥαμνούσιον ἀπιστίᾳ τῶν πολλῶν. καὶ μάλιστα δὴ τοῖς περὶ λά
χητα τὸν ἑλόντα λέσβον. ὃς εὐθύνας διδοὺς τῆς στρατηγίας ἐν αὐτῷ τῷ δικαστηρίῳ σπασάμενος ξί
φος, ἀνεῖλεν ἑαυτὸν, τὰς μὲν ἐπιπόνους πάνυ καὶ μακρὰς ἐπειρᾶτο διακρούεσθαι στρατηγίας. ὅπου
δ' αὐτὸς στρατεύοιτο, τῆς ἀσφαλείας ἐχόμενος καὶ τὰ πλεῖστα κατορθῶν ὡς εἰκὸς, εἰς οὐδεμίαν αὑτοῦ
σοφίαν ἢ δύναμιν, ἢ ἀρετὴν ἀνέφερε τὰς πράξεις, ἀλλὰ παρεχώρει τῇ τύχῃ. καὶ κατέφευγεν εἰς τὸ
θεῖον, τῷ φθόνῳ τῆς δόξης ὑφιέμενος. ἐπεμαρτύρει δὲ καὶ τὰ πράγματα. πολλῶν γὰρ τότε προσκρου
σμάτων τῇ πόλει καὶ μεγάλων γινομένων, οὐδενὸς ἁπλῶς ἐκεῖνος μετέσχεν. ἀλλὰ περὶ θρᾴκην μὲν ἡτ
τήθησαν ὑπὸ χαλκιδέων, καλλιάδου τε καὶ ξενοφῶντος, στρατηγούντων. τὸ δ' αἰτωλικὸν πταῖσμα
συνέβη, δημοσθένους ἄρχοντος. ἐν δὲ δηλίῳ, χιλίους αὐτῶν ἀπέβαλον, ἱπποκράτους ἡγουμένου. τοῦ δὲ
λοιμοῦ τὴν πλείστην αἰτίαν, ἔλαβε περικλῆς διὰ τὸν πόλεμον, εἰς τὸ ἄστυ κατακλείσας τὸν ἀπὸ τῆς
γενομένου ἰσ χώρας ὄχλον ἐκ τῆς μεταβολῆς τῶν τόπων, καὶ διαίτης ἀήθους γινομένων. νικίας δὲ τούτων ἁπάν 7
των, ἀναίτιος ἔμεινε. καὶ στρατηγῶν, εἷλε μὲν, κύθηρα, νῆσον εὖ κατὰ τῆς λακωνικῆς πεφυκυῖαν, καὶ λακε
δαιμονίους ἔχουσαν οἰκήτορας. ἔλαβε δὲ καὶ πολλὰ τῶν ἐπὶ θρᾴκης ἀφεστώτων, καὶ προσηγάγετο. κα
τακλείσας δὲ μεγαρεῖς εἰς τὴν πόλιν, εὐθὺς μὲν ἔσχε μινώαν τὴν νῆσον, ὀλίγῳ δ' ὕστερον ἐκ ταύτης ὁρ
μώμενος, νισαίας ἐκράτησεν. εἰς δὲ τὴν κορινθίαν ἀποβὰς, ἐνίκησε μάχῃ καὶ διέφθειρε κορινθίων πολ
λοὺς, καὶ λυκόφρονα τὸν στρατηγόν. ἔνθα δὴ αὐτῷ συνέβη, τῶν οἰκείων, δύο νεκροὺς ἀπολιπεῖν. διαλα
θόντας περὶ τὴν ἀναίρεσιν. ὡς οὖν τοῦτ' ἔγνω, τάχιστα τὸν στόλον ἐπιστήσας, ἔπεμψε κήρυκα πρὸς τοὺς
πολεμίους, περὶ ἀναιρέσεως. καίτοι κατὰ νόμον τινὰ καὶ συνήθειαν, ἐδόκουν οἱ νεκρῶν ὑπόσπονδων
λαβόντες ἀναίρεσιν, ἀπολέγεσθαι τὴν νίκην, καὶ τρόπαιον ἱστάναι τοὺς τούτου τυχόντας, οὐκ ἔνθεσμον
ἦν. νικᾶν γὰρ τοὺς κρατοῦντας, μὴ κρατεῖν δὲ τοὺς αἰτοῦντας, ὡς λαβεῖν μὴ δυναμένους. ἀλλ' ὅμως ἐκεῖ
νος, ὑπέμεινε μᾶλλον προέσθαι τὸ νίκημα καὶ τὴν δόξαν, ἢ καταλιπεῖν ἀτάφους δύο τῶν πολιτῶν. πορθή
σας δὲ τὴν παραλίαν τῆς λακωνικῆς, καὶ τοὺς ἀντιστάντας λακεδαιμονίων τρεψάμενος, εἷλε θυρέαν, αἰγι
νητῶν ἐχόντων καὶ τοὺς αἱρεθέντας, ἀπήγαγε ζῶντας εἰς ἀθήνας. ἐπεὶ δὲ δημοσθένους, πύλον τειχίσαν
τος, ἐπεστράτευσαν ἅμα πεζῷ, καὶ ναυσὶ πελοποννήσιοι. καὶ μάχης γινομένης, ἀπελείφθησαν ἐν τῇ σφα
κτηρίᾳ νήσῳ, σπαρτιατῶν ἄνδρες, ἀμφὶ τοὺς τετρακοσίους. μέγα μὲν ὥσπερ ἦν ἡγούμενοι τὸ λαβεῖν αὐ
τοὺς ἀθηναῖοι. χαλεπῆς δὲ καὶ δυσέργου τῆς πολιορκίας οὔσης, ἐν χωρίοις ἀνύδροις. καὶ θέρους μὲν μακρὰν καὶ
πολυτελῆ τὴν περιαγωγὴν τῶν ἐπιτηδείων ἐχούσης, σφαλερὰν δὲ χειμῶνος καὶ παντελῶς ἄπορον,
ἤχθοντο. καὶ μετεμέλοντο πρεσβείαν λακεδαιμονίων ἀπωσάμενοι περὶ σπονδῶν καὶ εἰρήνης ἀφικο
μένην πρὸς αὐτοὺς, ἀπεώσαντο δὲ, κλέωνος ἐναντιωθέντος, οὐχ ἥκιστα διὰ νικίαν. ἐχθρὸς γὰρ ὢν αὐτοῦ καὶ
προθύμως ὁρῶν συμπράττοντα τοῖς λακεδαιμονίοις, ἔπεισε τὸν δῆμον ἀποψηφίσασθαι τὰς σπον
δάς. ὡς οὖν ἥ τε πολιορκία, μῆκος ἐλάμβανε. καὶ δεινὰς ἀπορίας ἐπυνθάνοντο περιεστάναι τὸ στρατό
πεδον, δι' ὀργῆς εἶχον τὸν κλέωνα. τοῦ δ' εἰς τὸν νικίαν ἐκτρέποντος τὴν αἰτίαν, καὶ κατηγοροῦντος ὅτι δει
λίᾳ καὶ μαλακίᾳ προΐεται τοὺς ἄνδρας, ὡς αὐτοῦ γε στρατηγοῦντος, οὐκ ἂν περιγενομένους χρόνον το
σοῦτον, τοῖς ἀθηναίοις εἰπεῖν παρέστη. τί δ' οὐχὶ καὶ νῦν αὐτὸς σὺ πλεῖς ἐπὶ τοὺς ἄνδρας, ὅ τε νικίας
ἀναστὰς, ἐξίστατο τῆς ἐπὶ πύλον στρατηγίας αὐτῷ, καὶ λαμβάνειν ὁπόσην βούλεται δύναμιν, ἐκέλευ
σε, καὶ μὴ θρασύνεσθαι λόγοις ἀκινδύνοις, ἀλλ' ἔργον τί τῇ πόλει παρασχεῖν, ἄξιον σπουδῆς. ὁ δὲ, τὸ
μὲν πρῶτον, ἀνεδύετο τῷ μὴ προσδοκῆσαι τοῦτο θορυβούμενος. ἐγκελευομένων δὲ ταῦτα τῶν ἀθη
ναίων. καὶ τοῦ νικίου καταβοῶντος, ἐξαρθεὶς καὶ ἀναφλεχθεὶς τὸ φιλότιμον, ὑπεδέξατό τε τὴν στρα
τηγίαν καὶ προσδιωρίσατο, πλεύσας ἐντὸς ἡμερῶν εἴκοσιν, ἢ κατακτενεῖν ἐκεῖ τοὺς ἄνδρας, ἢ ζῶντας
ἄξειν ἀθήναζε. τοῖς δ' ἀθηναίοις, ἐπῆλθε γελάσαι μέγα μᾶλλον ἢ πιστεῦσαι. καὶ γὰρ ἄλλως εἰώθεσαν
αὐτοῦ τὴν κουφότητα καὶ μανίαν φέρειν, μετὰ παιδιᾶς οὐκ ἀηδῶς. λέγεται γὰρ ἐκκλησίας ποτὲ
οὔσης, τὸν μὲν δῆμον, καθήμενον ἄνω περιμένειν πολὺν χρόνον, ὀψὲ δ' εἰσελθεῖν ἐκεῖνον ἐστεφανωμένον,
καὶ παρακαλεῖν ὑπερθέσθαι τὴν ἐκκλησίαν εἰς αὔριον. ἀσχολοῦμαι γὰρ ἔφη σήμερον, ἑστιᾶν μέλ
λων ξένους καὶ τεθυκὼς τοῖς θεοῖς. τοὺς δ' ἀθηναίους γελάσαντας, ἀναστῆναι καὶ διαλῦσαι τὴν ἐκ
κλησίαν. οὐ μὴν ἀλλὰ καὶ τότε τύχῃ χρησάμενος ἀγαθῇ καὶ στρατηγήσας ἄριστα μετὰ δημοσθένην, ἐν
τὸς οὗ προεῖπε χρόνου τῶν σπαρτιατῶν ὅσοι μὴ κατὰ τὴν μάχην ἔπεσον, τὰ ὅπλα παραδόντας ἤνεγ
κεν αἰχμαλώτους. καὶ τοῦτο τῷ νικίᾳ, μεγάλην ἤνεγκεν ἀδοξίαν. οὐ γὰρ ἀσπίδος ῥῖψις. ἀλλ' αἴσχιόν τι καὶ χεῖ
ρον ἐδόκει τὸ δειλίᾳ τὴν στρατηγίαν ἀποβαλεῖν ἑκουσίως, καὶ προέσθαι τῷ ἐχθρῷ τηλικούτου κατορθώ
ματος ἀφορμὰς, αὑτὸν ἀποχειροτονήσαντα τῆς ἀρχῆς. σκώπτει δ' αὐτὸν εἰς ταῦτα πάλιν ἀριστοφάνης.
» ἐν μὲν ὄρνισιν οὕτω πως λέγων. καὶ μὴν μὰ τὸν δί' οὐχὶ νυστάζειν γ' ἔτι ὥρα 'στὶν ἡμῖν, οὐδὲ μελλονι
» κιᾶν. ἐν δὲ γεωργοῖς ταῦτα γράφων. ἐθέλω γεωργεῖν. εἶτα τίς σε κωλύει. ὑμεῖς, ἐπεὶ δίδωμι χιλίας
ἀρχῶν » δραχμὰς, ἐάν με τῶν ἀρχῶν ἀφῆτε. δεχόμεθα. δισχίλιαι γάρ εἰσι σὺν ταῖς νικίου. καὶ μέντοι καὶ τὴν πό
λ ϥσ .ς. λιν ἔβλαψεν οὐ μικρὰ, τῷ κλέωνι τοσοῦτον προσγενέσθαι δόξης ἐάσας καὶ δυνάμεως, ὑφ' ἧς βαρὺ
φρόνημα, καὶ θράσος ἐμπεσὼν ἀκάθεκτον, ἄλλας τε τῇ πόλει προσετρίψατο συμφορὰς, ὧν οὐχ ἥκι

πεφημισμένον θεῷ σῶμα. καὶ τὸν νεανίσκον ἀπηλευθέρωσε. μνημονεύεται δ' αὐτοῦ καὶ τὰ περὶ δῆλον, ὡς λαμπρὰ καὶ θεοπρεπῆ φιλοτιμήματα. τῶν γὰρ χορῶν, οὓς αἱ πόλεις ἔπεμπον ᾀσομένους τῷ θεῷ, προσπλεόντων μὲν ὡς ἔτυχεν, εὐθὺς δ' ὄχλου πρὸς τὴν ναῦν ἀπαντῶντος, ᾄδειν κελευομένων κατ' οὐδένα κόσμον, ἀλλ' ὑπὸ σπουδῆς ἀσυντάκτως ἀποβαινόντων ἅμα καὶ στεφανουμένων, καὶ μεταμφιεννυμένων, ἐκεῖνος ὅτε τὴν θεωρίαν ἦγεν, αὐτὸς μὲν εἰς ῥήνειαν ἀπέβη τὸν χορὸν ἔχων, καὶ τὰ ἱερεῖα, καὶ τὴν ἄλλην παρασκευήν, ζεῦγμα δὲ πεποιημένον ἀθήνησι πρὸς τὰ μέτρα, καὶ κεκοσμημένον ἐκπρεπῶς χρυσώσεσι καὶ βαφαῖς, καὶ στεφάνοις, καὶ αὐλαίαις κομίζων, διὰ νυκτὸς ἐγεφύρωσε τὸν μεταξὺ ῥηνείας καὶ δήλου, πόρον, οὐκ ὄντα μέγαν, εἶθ' ἅμα ἡμέρᾳ, τήν τε πομπὴν τῷ θεῷ, καὶ τὸν χορὸν ᾄδοντα κεκοσμημένον πολυτελῶς καὶ ᾄδοντα, διὰ τῆς γεφύρας ἀπεβίβαζε. μετὰ δὲ τὴν θυσίαν, καὶ τὸν ἀγῶνα καὶ τὰς ἑστιάσεις, τόν τε φοίνικα τὸν χαλκοῦν ἔστησεν, ἀνάθημα τῷ θεῷ. καὶ χωρίον, μυρίων δραχμῶν πριάμενος καθιέρωσεν. οὗ τὰς προσόδους ἔδει δηλίους καταθύοντας ἑστιᾶσθαι, πολλὰ καὶ ἀγαθὰ νικίᾳ παρὰ τῶν θεῶν αἰτουμένους. καὶ γὰρ τοῦτο τῇ στήλῃ ἐνέγραψεν, ἣν ὥσπερ φύλακα τῆς δωρεᾶς ἐν δήλῳ κατέλιπεν. ὁ δὲ φοῖνιξ ἐκεῖνος ὑπὸ τῶν πνευμάτων ἀποκλασθεὶς, ἐνέπεσε τῷ ναξίων ἀνδριάντι τῷ μεγάλῳ, καὶ ἀνέτρεψεν. τούτοις δ' ὅτι μὲν πολὺ τὸ πρὸς δόξαν καὶ φιλοτιμίαν πανηγυρικὸν, καὶ ἀγοραῖον ἔνεστιν, οὐκ ἄδηλον. ἀλλὰ τῷ λοιπῷ τρόπῳ τοῦ ἀνδρὸς καὶ ἤθει, πιστεύσειεν ἄν τις εὐσεβείας ἐπακολούθημα τὴν τοιαύτην χάριν καὶ δημαγωγίαν γενέσθαι. σφόδρα γὰρ ἦν τῶν ἐκπεπληγμένων τὰ δαιμόνια, καὶ θειασμῷ προσκείμενος ὥς φησι θουκυδίδης. ἐν δέ τινι τῶν πασιφῶντος διαλόγων γέγραπται, ὅτι καθ' ἡμέραν ἔθυε τοῖς θεοῖς καὶ μάντιν ἔχων ἐπὶ τῆς οἰκίας προσεποιεῖτο μὲν ἀεὶ σκέπτεσθαι περὶ τῶν δημοσίων. τὰ δὲ πλεῖστα, περὶ τῶν ἰδίων. καὶ μάλιστα περὶ τῶν ἀργυρείων μετάλλων. ἐκέκτητο γὰρ ἐν τῇ λαυρεωτικῇ, πολλὰ καὶ μεγάλα εἰς πρόσοδον, οὐκ ἀκινδύνως δὲ τὰς ἐργασίας ἔχοντα. καὶ πλῆθος ἀνδραπόδων ἔτρεφεν αὐτόθι. καὶ τῆς οὐσίας, ἐν ἀργυρίῳ τὸ πλεῖστον εἶχεν. ὅθεν οὐκ ὀλίγοι περὶ αὐτὸν ἦσαν, αἰτοῦντες καὶ λαμβάνοντες. ἐδίδου γὰρ οὐχ ἧττον τοῖς κακῶς ποιεῖν δυναμένοις, ἢ τοῖς εὖ πάσχειν ἀξίοις. καὶ ὅλως πρόσοδος ἦν αὐτοῦ τοῖς τε πονηροῖς, ἡ δειλία. καὶ τοῖς χρηστοῖς ἡ φιλανθρωπία. λαβεῖν δὲ περὶ τούτων μαρτυρίαν, καὶ παρὰ τῶν κωμικῶν ἔστι. τηλεκλείδης μὲν γὰρ εἴς τινα τῶν συκοφαντῶν, ταυτὶ πεποίηκε.

» Χαρικλῆς μὲν οὐκ ἔδωκε μνᾶν, ἵν' αὐτὸν μὴ λέγῃ. ὡς ἔφυ τῇ μητρὶ παίδων πρῶτος ἐκβαλαντίου.
» Τέσσαρας δὲ μνᾶς ἔδωκε νικίας νικηράτου. ὧν δ' ἕκατι τοῦτ' ἔδωκε, καίπερ εὖ εἰδὼς ἐγὼ, οὐκ ἐρῶ.
φίλος γὰρ ἁνὴρ, σωφρονεῖν δέ μοι δοκεῖ. ὁ δ' ὑπ' εὐπόλιδος κωμῳδούμενος ἐν τῷ μαρικᾷ, παράγων τινὰ τῶν ἀπραγμόνων καὶ πενήτων, λέγει.
» Πόσου χρόνου γὰρ συγγεγένησαι νικίᾳ.
» Οὐδ' εἶδον, εἰ μὴ ἔναγχος ἑστῶτ' ἐν ἀγορᾷ.
Ἁνὴρ ὁμολογεῖ νικίαν ἑωρακέναι.
» Καίτοι τί μαθὼν ἂν εἶδεν, εἰ μὴ προὐδίδου.
Ἠκούσατ' ὦ ξυνήλικες ἐπαυτοφώρῳ νικίαν εἰλημμένον. ὑμεῖς γὰρ ὦ φρενοβλαβεῖς λάβῃ τ' ἂν ἄνδρ' ἄριστον ἐν κακῷ τινί. ὁ δ' ἀριστοφάνους κλέων, ἀπειλῶν λέγει, λαρυγγιῶ τοὺς ῥήτορας καὶ νικίαν ταράξω. ὑποδηλοῖ δὲ καὶ φρύνιχος, τὸ ἀθαρσὲς αὐτοῦ
» καὶ καταπεπληγμένον ἐν τούτοις.
Ἦν γὰρ πολίτης ἀγαθὸς ὡς εὖ οἶδ' ἐγὼ
κοὐχ ὑποταγεὶς ἐβάδιζεν ὥσπερ νικίας. οὕτω δὴ διακείμενος εὐλαβῶς πρὸς τοὺς συκοφάντας, οὔτε συνεδείπνει τινὶ τῶν πολιτῶν, οὔτε κοινολογίαις, οὔτε συνδιημερεύσεσιν ἐνέβαλεν ἑαυτόν. οὐδ' ὅλως ἐσχόλαζε ταῖς τοιαύταις διατριβαῖς. ἀλλ' ἄρχων μὲν, ἐν τῷ στρατηγίῳ διετέλει μέχρι νυκτός. ἐκ δὲ βουλῆς ὕστατος ἀπῄει, πρῶτος ἀφικνούμενος. εἰ δὲ μηδὲν ἐν κοινῷ πράττειν ἔχοι, δυσπρόσοδος ἦν καὶ δυσέντευκτος. οἰκουρῶν καὶ κατακεκλεισμένος. οἱ δὲ φίλοι τοῖς ἐπὶ ταῖς θύραις φοιτῶσιν, ἐνετύγχανον, καὶ παρῃτοῦντο συγγνώμην ἔχειν, ὡς καὶ τότε νικίου πρὸς δημοσίας χρείας τινὰς καὶ ἀσχολίας ὄντος. καὶ ὁ μάλιστα ταῦτα συντραγῳδῶν καὶ συμπεριτιθεὶς ὄγκον αὐτῷ καὶ δόξαν, ἱέρων ἦν ἀνὴρ τεθραμμένος ἐπὶ τῆς οἰκίας τοῦ νικίου, περί τε γράμματα καὶ μουσικὴν ἐξησκημένος ὑπ' αὐτοῦ, προσποιούμενος δ' υἱὸς εἶναι διονυσίου τοῦ χαλκοῦ προσαγορευθέντος. οὗ καὶ ποιήματα σῴζεται. καὶ τῆς εἰς ἰταλίαν ἀποικίας ἡγεμὼν γενόμενος, ἔκτισε θουρίους. οὗτος οὖν ὁ ἱέρων τά τε πρὸς τοὺς μάντεις ἀπόρρητα διεπράττετο τῷ νικίᾳ, καὶ λόγους ἐξέφερεν εἰς τὸν δῆμον, ὡς ἐπίπονόν τινα καὶ ταλαίπωρον διὰ τὴν πόλιν, ζῶντος αὐτοῦ βίον. ὅς γ' ἔφη καὶ περὶ λουτρὸν ὄντι καὶ περὶ δεῖπνον, ἀεί τι προσπίπτειν δημόσιον. ἀμελῶν δὲ τῶν ἰδίων, ὑπὸ τοῦ τὰ κοινὰ φροντίζειν, μόλις ἄρχεται καθεύδειν περὶ πρῶτον ὕπνον. ὅθεν αὐτῷ καὶ τὸ σῶμα διάκειται κακῶς. καὶ τοῖς φίλοις οὐ προσηνὴς, οὐδὲ ἡδύς ἐστιν. ἀλλὰ καὶ τούτους προσαποβέβληκε τοῖς χρήμασι πολιτευόμενος. οἱ δ' ἄλλοι καὶ φίλους κτώμενοι, καὶ πλουτίζοντες αὑτοὺς ἀπὸ τοῦ βήματος, εὐπαθοῦσι καὶ προσπαίζουσι τῇ πολιτείᾳ. τῷ δ' ὄντι τοιοῦτος ἦν ὁ νικίου βίος, ὥστ' αὐτὸν εἰπεῖν, τὰ τοῦ ἀγαμέμνονος εἰς αὐτόν. προστάτην δὲ τοῦ βίου,
» τὸν ὄγκον ἔχομεν, τῷ δ' ὄχλῳ δουλεύομεν. ὁρῶν δὲ τῶν ἐν λόγῳ δυνατῶν, ἢ τῷ φρονεῖν διαφερόντων, ἀποχρώμενον εἰς ἔνια ταῖς ἐμπειρίαις τὸν δῆμον, ὑφορώμενον δ' ἀεὶ καὶ φυλαττόμενον τὴν δεινότητα, καὶ κολούοντα τὸ φρόνημα καὶ τὴν δόξαν, ὡς δῆλον ἦν τῇ περικλέους καταδίκῃ, καὶ τῷ δάμωνος ἐξο-

πεὶ δοκοῦμεν, οὐκ ἀτόπως τῷ νικίᾳ τὸν κράσσον παραβάλλειν, καὶ τὰ παρθικὰ παθήματα τοῖς σικελικοῖς, ὥρα παραιτεῖσθαι καὶ παρακαλεῖν ὑπὲρ ἐμοῦ τοὺς ἐντυγχάνοντας τοῖς συγγράμμασι τούτοις, ὅπως ἐπὶ ταῖς διηγήσεσιν, αἷς θουκυδίδης αὐτὸς αὑτοῦ περὶ ταῦτα παθητικώτατος, ἐναργέστατος, ποικιλώτατος γενόμενος, ἀμιμήτως ἐξενήνοχε, μηδὲν ἡμᾶς ὑπολάβωσι πεπονθέναι τιμαίῳ πάθος ὅμοιον. ὃς ἐλπίσας τὸν μὲν θουκυδίδην ὑπερβαλεῖσθαι δεινότητι, τὸν δὲ φίλιστον ἀποδείξειν παντάπασι φορτικὸν καὶ ἰδιώτην, διὰ μέσων ὠθεῖται τῇ ἱστορίᾳ, τῶν μάλιστα κατωρθωμένων ἐκείνοις ἀγώνων καὶ ναυμαχιῶν καὶ δημηγοριῶν, οὐ μὰ δία παρὰ λύδιον ἅρμα πεζὸς ἰχνεύων, ὥς φησι πίνδαρος, ἀλλ' ὅλως τις ὀψιμαθὴς καὶ μειρακιώδης φαινόμενος ἐν τούτοις, καὶ κατὰ τὸν δίφιλον παχύς, ὠνθυλευμένος στέατι σικελικῷ. πολλαχοῦ δ' ὑπορρέων εἰς τὸν ξέναρχον. ὥσπερ ὅταν λέγῃ τοῖς ἀθηναίοις, οἰωνὸν ἡγήσασθαι γεγονέναι, τὸν ἀπὸ τῆς νίκης ἔχοντα τοὔνομα στρατηγόν, ἀντειπόντα πρὸς τὴν στρατηγίαν. καὶ τῇ περικοπῇ τῶν ἑρμῶν, προσημαίνειν αὐτοῖς τὸ δαιμόνιον, ὡς ὑπὸ ἑρμοκράτους τοῦ ἕρμωνος, πλεῖστα πείσονται παρὰ τὸν πόλεμον. ἔτι δ' εἰκὸς εἶναι τὸν ἡρακλέα, τοῖς μὲν συρακουσίοις βοηθεῖν διὰ τὴν κόρην, παρ' ἧς ἔλαβε τὸν κέρβερον. ὀργίζεσθαι δὲ τοῖς ἀθηναίοις ὅτι τοὺς αἰγεστέας, ἀπογόνους ὄντας τρώων, ἔσωζον. αὐτὸς δ' ὑπὸ λαομέδοντος ἀδικηθείς, ἀνάστατον ἐποίησε τὴν πόλιν. ἀλλὰ τούτῳ μὲν ἴσως ἀπὸ τῆς αὐτῆς ἐμμελείας, ταῦτά τε γράφειν ἐπῄει, καὶ τὴν φιλίστου διάλεκτον εὐθύνειν, καὶ τοῖς περὶ πλάτωνα καὶ ἀριστοτέλη, λοιδορεῖσθαι. ἐμοὶ δ' ὅλως μὲν, ἡ περὶ λέξιν ἅμιλλα καὶ ζηλοτυπία πρὸς ἑτέρους, μικροπρεπὲς φαίνεται καὶ σοφιστικόν. ἂν δὲ πρὸς τὰ ἀμίμητα γίγνηται, καὶ τελέως ἀναίσθητον. ἃς γοῦν θουκυδίδης ἐξήνεγκε πράξεις καὶ φίλιστος, ἐπεὶ παρελθεῖν οὐκ ἔστι, μάλιστά γε δὴ τὸν τρόπον καὶ τὴν διάθεσιν τοῦ ἀνδρὸς ὑπὸ πολλῶν καὶ μεγάλων παθῶν καλυπτομένην περιεχούσας, ἐπιδραμὼν βραχέως καὶ διὰ τῶν ἀναγκαίων, ἵνα μὴ παντάπασιν ἀμελὴς δοκῶ καὶ ἀργὸς εἶναι, τὰ διαφεύγοντα τοὺς πολλούς, ὑφ' ἑτέρων δ' εἰρημένα σποράδην, ἢ πρὸς ἀναθήμασιν, ἢ ψηφίσμασιν εὑρημένα παλαιοῖς, πεπείραμαι συναγαγεῖν. οὐ τὴν ἄχρηστον ἀθροίζων ἱστορίαν, ἀλλὰ τὴν πρὸς κατανόησιν ἤθους καὶ τρόπου παραδιδούς. ἔστιν οὖν περὶ νικίου πρῶτον εἰπεῖν ὃ γέγραφεν ἀριστοτέλης, ὅτι τρεῖς ἐγένοντο βέλτιστοι τῶν πολιτῶν, καὶ πατρικὴν ἔχοντες εὔνοιαν καὶ φιλίαν πρὸς τὸν δῆμον, νικίας ὁ νικηράτου. καὶ θουκυδίδης ὁ μελησίου, καὶ θηραμένης ὁ ἅγνωνος. ἧττον δὲ οὗτος, ἢ ἐκεῖνοι. καὶ γὰρ εἰς δυσγένειαν ὡς ξένος ἐκ κέω λελοιδόρηται, καὶ διὰ τὸ μὴ μόνιμον, ἀλλὰ καὶ ἐπαμφοτερίζον ἀεὶ τῇ προαιρέσει τῆς πολιτείας, ἐπεκλήθη κόθορνος. ἐκείνων δὲ πρεσβύτερος μὲν, ὁ θουκυδίδης ἦν, καὶ πολλὰ περικλεῖ δημαγωγοῦντι τῶν καλῶν καὶ ἀγαθῶν προϊστάμενος, ἀντεπολιτεύσατο. νεώτερος δὲ νικίας γενόμενος, ἦν μὲν ἔν τινι λόγῳ καὶ περικλέους ζῶντος, ὥστε κἀκείνῳ συστρατηγῆσαι, καὶ καθ' αὑτὸν ἄρξαι πολλάκις. περικλέους δ' ἀποθανόντος, εὐθὺς εἰς τὸ πρωτεύειν προήχθη. μάλιστα μὲν ὑπὸ τῶν πλουσίων καὶ γνωρίμων, ἀντίταγμα ποιουμένων αὐτὸν, πρὸς τὴν κλέωνος βδελυρίαν καὶ τόλμαν. οὐ μὴν, ἀλλὰ καὶ τὸν δῆμον εἶχεν εὔνουν συμφιλοτιμούμενον. ἴσχυε μὲν γὰρ ὁ κλέων μέγα, γεροντογωγῶν, καὶ ἀναμισθαρνεῖν διδούς. ὅμως δὲ καὶ τὴν πλεονεξίαν αὐτοῦ καὶ τὴν ἰταμότητα καὶ θράσος ὁρῶντες αὐτοὶ οἷς πρὸς χάριν ἔπραττεν, οἱ πολλοὶ τὸν νικίαν ἐπήγοντο. καὶ γὰρ οὐκ ἦν αὐστηρὸν οὐδ' ἐπαχθὲς ἄγαν αὐτοῦ τὸ σεμνὸν, ἀλλ' εὐλαβείᾳ τινὶ μεμιγμένον, αὐτῷ τῷ δεδιέναι δοκοῦντι τοὺς πολλοὺς δημαγωγῶν. τῇ φύσει γὰρ ὢν ἀθαρσὴς καὶ δύσελπις, ἐν μὲν τοῖς πολεμικοῖς ἀπέκρυπτεν εὐτυχίᾳ τὴν δειλίαν. κατώρθου γὰρ ὁμαλῶς στρατηγῶν. τὸ δ' ἐν τῇ πολιτείᾳ ψοφοδεὲς, καὶ πρὸς τοὺς συκοφάντας εὐθορύβητον αὐτοῦ καὶ δημοτικὸν ἐδόκει, καὶ δύναμιν οὐ μικρὰν ἀπ' εὐνοίας τοῦ δήμου παρεῖχεν, τῷ δεδιέναι τοὺς ὑπερορῶντας, αὔξειν δὲ τοὺς δεδιότας. τοῖς γὰρ πολλοῖς τιμὴ μεγίστη παρὰ τῶν μειζόνων, τὸ μὴ καταφρονεῖσθαι. περικλῆς μὲν οὖν ἀπό τε ἀρετῆς ἀληθινῆς καὶ λόγου δυνάμεως τὴν πόλιν ἄγων, οὐδενὸς ἐδεῖτο σχηματισμοῦ πρὸς τὸν ὄχλον, οὐδὲ πιθανότητος. νικίας δὲ, τούτοις μὲν λειπόμενος, οὐσίᾳ δὲ προέχων, ἀπ' αὐτῆς ἐδημαγώγει. καὶ τῇ κλέωνος εὐχερείᾳ καὶ βωμολοχίᾳ πρὸς ἡδονὴν μεταχειριζομένῃ τοὺς ἀθηναίους, διὰ τῶν ὁμοίων ἀντιπαρεξάγειν ἀπίθανος ὤν, χορηγίαις ἀνελάμβανε καὶ γυμνασιαρχίαις, ἑτέραις τε τοιαύταις φιλοτιμίαις, τὸν δῆμον, ὑπερβαλλόμενος πολυτελείᾳ καὶ χάριτι τοὺς πρὸ αὐτοῦ καὶ καθ' ἑαυτὸν ἅπαντας. εἱστήκει δὲ καὶ τῶν ἀναθημάτων αὐτοῦ καθ' ἡμᾶς, τό τε παλλάδιον ἐν ἀκροπόλει, τὴν χρύσωσιν ἀποβεβληκὸς, καὶ ὁ τοῖς χορηγικοῖς τρίποσιν ὑποκείμενος ἐν διονύσου νεώς. ἐνίκησε γὰρ πολλάκις χορηγήσας, ἐλείφθη δὲ οὐδέποτε. λέγεται δ' ἔν τινι χορηγίᾳ παρελθεῖν οἰκέτης αὐτοῦ κεκοσμημένος εἰς σχῆμα διονύσου, κάλλιστος ὀφθῆναι καὶ μέγιστος, οὔπω γενειῶν. ἡσθέντων δὲ τῶν ἀθηναίων τῇ ὄψει, καὶ κροτούντων ἐπὶ πολὺν χρόνον, ἀναστὰς ὁ νικίας, εἶπεν. ὡς οὐχ ὅσιον ἡγοῖτο δουλεύειν, κατα-

παρὰ δὲ τῶν συμμάχων, ἡγεμονίαν. πρὸς δὲ λακεδαιμονίους, ὁμόνοιαν. μεγάλας τοίνυν ἐπιχειρήσαντες ἀμφότεροι καταλῦσαι ἡγεμονίας καὶ καταστρέψασθαι τὴν ἀσίαν πᾶσαν, ἀτελεῖς ἐγένοντο τῶν πράξεων. ὁ μὲν, καθάπαξ διὰ τὴν τύχην. ἐτελεύτησε γὰρ στρατηγῶν καὶ εὐημερῶν. τὸν δ' οὐ παντελῶς ἄν τις ἐξέλοιτο τῆς παρ' αὐτὸν αἰτίας. εἴτ' ἠγνόησεν, εἴτ' οὐκ ἐθεράπευσε τὰς ἐν τῷ στρατιωτικῷ διαφορὰς καὶ μέμψεις, ἐφ' ὧν εἰς τηλικαύτας ἀπεχθείας προῆλθεν. ἢ τοῦτό γε καὶ πρὸς κίμωνα κοινόν ἐστι. καὶ γὰρ ἐκεῖνον ὑπηγαγόν τε εἰς δίκας οἱ πολῖται καὶ τελευτῶντες, ἐξωστράκισαν, ἵν' αὐτοῦ δέκα ἐτῶν, ὥς φησιν ὁ πλάτων τῆς φωνῆς μὴ ἀκούσωσιν. αἱ γὰρ ἀριστοκρατικαὶ φύσεις ὀλίγα τοῖς πολλοῖς ἄδουσι καὶ πρὸς ἡδονὴν ἔχουσι. τὰ δὲ πολλὰ προσβιαζόμεναι τῷ κατευθύνειν διαστρεφομένους, ἀνιῶσιν. ὥσπερ οἱ τῶν ἰατρῶν δεσμοί, καίπερ εἰς τὰ κατὰ φύσιν ἄγοντες τὰς παραρθρήσεις. ταύτης μὲν οὖν ἴσως ἀπαλλακτέον τῆς αἰτίας ἑκάτερον. πολὺ δ' ὁ λούκουλλος προῆλθε τῷ πολέμῳ, τόν τε ταῦρον ὑπερβαλὼν στρατοπέδῳ ῥωμαίων πρῶτος. καὶ τὸν τίγριν διαβὰς καὶ τὰ βασίλεια τῆς ἀσίας ἐν ὄψει τῶν βασιλέων τιγρανόκερτα καὶ κάβειρα. καὶ σινώπην καὶ νίσιβιν, ἑλὼν καὶ καταφλέξας, καὶ τὰ μὲν βόρεια, μέχρι φάσιδος. τὰ δὲ ἑῷα, μέχρι μηδίας. τὰ δὲ πρὸς νότον. καὶ τὴν ἐρυθρὰν θάλασσαν οἰκειωσάμενος, διὰ τῶν ἀραβικῶν βασιλέων. συντρίψας δὲ τὰς δυνάμεις τῶν βασιλέων, ἀπολειφθεὶς δὲ μόνου τοῦ τὰ σώματα λαβεῖν, ὥσπερ θηρίων εἰς ἐρημίας καὶ ὕλας, ἀστιβεῖς καὶ ἀβάτους ἀποδιδρασκόντων. τεκμήριον δὲ μέγα. πέρσαι μὲν γὰρ ὡς οὐδὲν μέγα πεπονθότες ὑπὸ κίμωνος, εὐθὺς ἀντετάττοντο τοῖς ἕλλησι. καὶ τήν γε πολλὴν δύναμιν αὐτῶν ἐν αἰγύπτῳ κρατήσαντες, διέφθειραν. τιγράνου δὲ καὶ μιθριδάτου μετὰ λούκουλλον, οὐδὲν ἄλλο ἔργον ἐγένετο, ἀλλ' ὁ μὲν, ἀσθενὴς ἤδη καὶ συγκεκομμένος ὑπὸ τῶν πρώτων ἀγώνων, οὐδ' ἅπαξ ἐτόλμησε δεῖξαι πομπηΐῳ τὴν δύναμιν ἔξω τοῦ χάρακος, ἀλλὰ φυγὼν εἰς βόσπορον κατέβη, κἀκεῖ κατέστρεψε. τιγράνης δ' αὐτὸς ἑαυτὸν γυμνὸν καὶ ἄνοπλον φέρων ὑπέρριψε πομπηΐῳ. καὶ τὸ διάδημα τῆς κεφαλῆς ἀφελόμενος, ἔθηκε πρὸ τῶν ποδῶν. οὐ τοῖς ἑαυτοῦ κολακεύων πομπήϊον, ἀλλὰ τοῖς ὑπὸ λουκούλλου τεθριαμβευμένοις. ἠγάπησε γοῦν ἀπολαμβάνων τὰ σύμβολα τῆς βασιλείας ὡς ἀφῃρημένος πρότερον. μείζων οὖν στρατηγὸς, ὥσπερ ἀθλητὴς, ὁ τῷ μεθ' ἑαυτὸν ἀσθενέστερον παραδοὺς τὸν ἀντίπαλον. ἔτι τοίνυν κίμων μὲν, συντετριμμένην τὴν βασιλέως δύναμιν, καὶ τὸ περσῶν φρόνημα συνεσταλμένον, ἥτταις μεγάλαις καὶ ἀπαύστοις φυγαῖς ὑπὸ θεμιστοκλέους καὶ παυσανίου καὶ λεωτυχίδου καταλαβὼν, ἐπενέβη. καὶ προπεπτωκότων καὶ προηττημένων ταῖς ψυχαῖς, τὰ σώματα ῥᾳδίως ἐνίκησε. λουκούλλῳ δὲ τιγράνης ἀήττητος ἐκ πολλῶν ἀγώνων καὶ μέγα φρονῶν συνέπεσε. πλήθει δ' οὐδ' ἄξιον παραβαλεῖν τοὺς ἤδη λούκουλλον συνελθοῦσι, τοὺς ὑπὸ κίμωνος κρατηθέντας. ὥστε παντὶ μεταλαμβάνοντι, δυσδιαίτητον εἶναι τὴν κρίσιν. ἐπεὶ καὶ τὸ δαιμόνιον ἀμφοτέροις ἔοικεν εὐμενὲς γενέσθαι τῷ μὲν, ἃ χρὴ κατορθοῦν. τῷ δ' ἃ φυλάττεσθαι χρὴ, προμηνῦον. ὥστε καὶ τὴν παρὰ τῶν θεῶν ψῆφον αὐτοῖς ὑπάρχειν ὡς ἀγαθοῖς καὶ θείοις τὴν φύσιν ἀμφοτέροις.

ὁμόνοιαν · ω.

ἐφ' ὧν · ς · τ · κ ·

πλήθει ς · κ · τ ·
παντὶ · ς ·

λόγῳ προσέχων. ἀλλὰ καὶ παραυτίκα, δῆλος ἦν ὁ ἄνθρωπος ἤδη συκοφαντίᾳ καὶ διαβολῇ πεπονημένος ὑπ' αὐτῶν· καὶ μᾶλλον ἐφωράθη τὸ πρᾶγμα μετ' ὀλίγας ἡμέρας, ῥιφθέντος ἐκ τῆς εἱρκτῆς νεκροῦ, λεγομένου μὲν αὐτομάτως τεθνάναι. σημεῖα δ' ἀγχόνης καὶ πληγῶν ἔχοντος, ἐδόκει παρ' αὐτῶν ἀνῃρῆσθαι τῶν παρασκευακότων. ταῦτα δὴ καὶ μᾶλλον ἀπῆγε τῆς πολιτείας τὸν λούκουλλον. ἐπεὶ δὲ κικέρων ἐξέπεσε τῆς πόλεως, καὶ κάτων εἰς κύπρον ἀπεστάλη, παντάπασιν ἐξελύθη. καὶ πρό γε τῆς τελευτῆς, λέγεται νοσῆσαι τὴν διάνοιαν αὐτὸν, κατὰ μικρὸν ἀπομαραινομένην. νέπως δὲ κορνήλιος οὐχ ὑπὸ γήρως φησὶν οὐδὲ νόσου παραλλάξαι τὸν λούκουλλον, ἀλλὰ φαρμάκοις ὑπό τινος τῶν ἀπελευθέρων καλλισθένους διαφθαρέντα. τὰ δὲ φάρμακα, δοθῆναι μὲν ὡς ἀγαπῷτο μᾶλλον ὁ καλλισθένης ὑπ' αὐτοῦ, τοιαύτην ἔχειν δοκοῦντα τὴν δύναμιν. ἐκστῆσαι δὲ καὶ καταλῦσαι τὸν λογισμὸν, ὥστ' ἔτι ζῶντος αὐτοῦ, τὴν οὐσίαν διοικεῖν τὸν ἀδελφόν. οὐ μὴν, ἀλλ' ὡς ἀπέθανε, καθάπερ ἐν ἀκμῇ τῆς στρατηγίας καὶ τῆς πολιτείας αὐτοῦ τελευτήσαντος, ὁ δῆμος ἠχθέσθη καὶ συνέδραμε. καὶ τὸ σῶμα κομισθὲν εἰς ἀγορὰν ὑπὸ τῶν εὐγενεστάτων νεανίσκων, ἐβιάζετο θάπτειν ἐν τῷ πεδίῳ τοῦ ἄρεος, ὅπου καὶ σύλλαν ἔθαψεν. οὐδενὸς δὲ τοῦτο προσδοκήσαντος, οὐδὲ ῥᾳδίας οὔσης τῆς παρασκευῆς, ὁ ἀδελφὸς αὐτοῦ δεόμενος καὶ παραιτούμενος, ἔπεισεν ἐπιτρέψαι τὴν παρεσκευασμένην ἐν τῷ περὶ τοῦσκλον ἀγρῷ τοῦ νεκροῦ κηδείαν γενέσθαι. πολὺν δ' οὐδ' αὐτὸς προσεβίω χρόνον, ἀλλ' ὡς ἡλικίᾳ καὶ δόξῃ μικρὸν ἀπελείφθη, καὶ τῷ χρόνῳ τῆς τελευτῆς, φιλαδελφότατος γενόμενος. μάλιστα δ' ἄν τις εὐδαιμονήσειε τοῦ τέλους λούκουλλον ὅτι πρὸ τῆς μεταβολῆς ἦν ἤδη κατὰ τῆς πολιτείας ἐτεκταίνετο τοῖς ἐμφυλίοις πολέμοις τὸ πεπρωμένον, ἔφθη προαποθανὼν, καὶ καταλύσας ἐν νοσούσῃ μὲν, ἔτι δ' ἐλευθέρᾳ τῇ πατρίδι τὸν βίον. καὶ τοῦτό γε πάντων αὐτῷ πρὸς κίμωνα κοινότατόν ἐστι. καὶ γὰρ ἐκεῖνος, οὔπω συντεταραγμένων τῶν ἑλληνικῶν, ἀλλ' ἀκμὴν ἐχόντων, ἐτελεύτησεν, ἤδη στρατοπέδου μέντοι δὴ καὶ στρατηγῶν. οὐκ ἀπειρηκὼς οὐδ' ἀλύων. οὐδὲ τῶν ὅπλων καὶ στρατηγιῶν, καὶ τῶν τροπαίων ἔπαθλον ποιούμενος, εὐωχίας καὶ πότους. ὥσπερ πλάτων ἐπισκώπτει τοὺς περὶ τὸν ὀρφέα τοῖς εὖ βεβιωκόσι, φάσκοντας ἀποκεῖσθαι γέρας ἐν ἅδου, μέθην αἰώνιον. σχολὴ μὲν οὖν καὶ ἡσυχία καὶ διατριβὴ περὶ λόγους, ἡδονήν τινα καὶ θεωρίαν ἔχοντας, εὐπρεπέστατον ἀνδρὶ πρεσβύτῃ καὶ πεπαυμένῳ πολέμων καὶ πολιτείας, παραμύθιον. τὸ δ' ἐφ' ἡδονὴν ὡς τέλος καταστρέψαντα τὰς καλὰς πράξεις, ἤδη λοιπὸν ἀφροδίσια τῶν πολέμων καὶ στρατηγιῶν ἄγοντα παίζειν καὶ τρυφᾶν, οὐκ ἄξια τῆς καλῆς ἀκαδημίας. οὐδὲ τὸν ξενοκράτη, ζηλοῦντος, ἀλλ' ἐγκεκλικότος πρὸς τὸν ἐπίκουρον. ὃ καὶ θαυμαστόν ἐστι. ὑπεναντίως γὰρ, ἡ νεότης τοῦ μὲν, ἐπίψογος καὶ ἀκόλαστος εἶναι δοκεῖ. τοῦ δὲ, πεπαιδευμένη καὶ σώφρων βελτίων οὖν ὧ πρὸς τὸ βέλτιον ἡ μεταβολή. χρηστοτέρα γὰρ ἡ φύσις ἐν ᾗ γηρᾷ μὲν τὸ χεῖρον, ἐπακμάζει δὲ τὸ ἄμεινον. καὶ μὴν ὁμοίως γε πλουτήσαντες, οὐχ ὁμοίως διέθεντο τὸν πλοῦτον. οὐ γὰρ ἄξιον ὁμοιῶσαι τῷ νοτίῳ τείχει τῆς ἀκροπόλεως, ὃ τοῖς ὑπὸ κίμωνος κομισθεῖσιν ἐτελέσθη χρήμασι, τοὺς ἐν νεαπόλει θαλάμους καὶ τὰς περικλύστους ἀπόψεις, ἃς λούκουλλος ἀπὸ τῶν βαρβαρικῶν ἐξῳκοδόμει λαφύρων. οὐδέ γε τῇ κίμωνος τραπέζῃ, τὴν λουκούλλου παραβαλεῖν τῇ δημοκρατικῇ καὶ φιλανθρώπῳ, τὴν πολυτελῆ καὶ σατραπικήν. ἡ μὲν γὰρ ἀπὸ μικρᾶς δαπάνης, πολλοὺς καθ' ἡμέραν διέτρεφε. ἡ δ' εἰς ὀλίγους τρυφῶντας, ἀπὸ πολλῶν παρεσκευάζετο χρημάτων, εἰ μὴ νὴ δία τῶν πραγμάτων ἐποίει διαφορὰν ὁ χρόνος. ἄδηλον γὰρ εἰ καὶ κίμων ἀπὸ τῶν πράξεων καὶ στρατηγιῶν εἰς ἀπόλεμον καὶ ἀπολίτευτον γῆρας ἀφεὶς αὑτὸν, ἔτι μᾶλλον ἂν ἐχρήσατο σοβαρὰ καὶ πρὸς ἡδονὴν ἀνειμένῃ διαίτῃ. καὶ γὰρ φιλοπότης καὶ πανηγυρικός. καὶ τὰ πρὸς γυναῖκας ὡς εἴρηται διαβεβλημένος. αἱ δ' ἤδη τὰς πράξεις καὶ τοὺς ἀγῶνας κατορθώσεις, ἡδονὰς ἑτέρας ἔχουσαι τῶν χειρόνων ἐπιθυμιῶν, ἀσχολίαν ποιοῦσι καὶ λήθην ταῖς πολιτικαῖς καὶ φιλοτίμοις φύσεσιν. εἰ γοῦν καὶ λούκουλλος ἐτελεύτησεν ἀγωνιζόμενος καὶ στρατηγῶν, οὐδ' ἂν ὁ ψογερώτατος καὶ φιλομεμφότατος εὑρεῖν μοι δοκεῖ διαβολὴν ἐπ' αὐτόν. καὶ ταῦτα μὲν περὶ τῆς διαίτης. ἐν δὲ τοῖς πολεμικοῖς, ὅτι μὲν ἀμφότεροι καὶ κατὰ γῆν, καὶ κατὰ θάλασσαν ἀγαθοὶ γεγόνασιν ἀγωνισταὶ δῆλον. ὥσπερ δὲ τῶν ἀθλητῶν, τοὺς ἡμέρᾳ μιᾷ, πάλῃ μιᾷ καὶ παγκρατίῳ στεφανουμένους, ἔθει τινὶ παραδόξῳ νίκας καλοῦσιν, οὕτω κίμων ἐν ἡμέρᾳ μιᾷ πεζομαχίας καὶ ναυμαχίας ἅμα τροπαίῳ στεφανώσας τὴν ἑλλάδα, δίκαιός ἐστιν ἔχειν τινὰ προεδρίαν ἐν τοῖς στρατηγοῖς, καὶ μὴν λουκούλλῳ μὲν ἡ πατρίς. κίμων δὲ τῇ πατρίδι τὴν ἡγεμονίαν περιέθηκε. καὶ ὁ μὲν, ἀρχούσης τῶν συμμάχων προσεκτήσατο τὰ τῶν πολεμίων. ὁ δ' ἄλλοις ἑπομένην παραλαβὼν, ἅμα καὶ τῶν συμμάχων ἄρχειν καὶ τῶν πολεμίων κρατεῖν ἐποίησε. πέρσας μὲν οὖν ἀναγκάσας ἡττηθέντας, ἐκβῆναι τῆς θαλάσσης. λακεδαιμονίους δὲ, πείσας ἑκόντας ἐκστῆναι. εἰ τοίνυν μέγιστον ἔργον, ἡγεμόνος εὐπείθειαν ἐργάσασθαι δι' εὔνοιαν, λούκουλλος μὲν ὑπὸ τῶν στρατιωτῶν κατεφρονήθη. κίμων δ' ὑπὸ τῶν συμμάχων ἐθαυμάσθη. παρ' οὗ μὲν γὰρ ἀπέστησαν. πρὸς ὃν δὲ μετέστησαν. καὶ ὁ μὲν, ὧν ἄρχων ἐξῆλθεν, ὑπὸ τούτων ἀπολειφθεὶς, ἐπανῆλθεν. ὁ δὲ, μεθ' ὧν ἑτέρους ποιήσων τὸ προσταττόμενον ἐξεπέμφθη, τούτοις αὐτὸς διδοὺς τὸ παράγγελμα, κατέπλευσε. τρία τὰ πάντων δυσκολώτατα διαπεπραγμένος ὁμοῦ τῇ πόλει. πρὸς μὲν τοὺς πολεμίους, εἰρήνην.

οὐκ ἂν εὑρεῖν ἀλλαχόθι φαμένων, θέρους ὥρα κίχλην ἢ παρὰ Λουκούλλῳ σιτευομένην, οὐκ εἴασε λαβεῖν ἐκεῖθεν. ἀλλ' εἰπὼν πρὸς τὸν ἰατρὸν, οὐκοῦν εἰ μὴ Λούκουλλος ἐτρύφα, Πομπήϊος οὐκ ἂν ἔζησεν; ἄλλο τι παρασκευάσαι τῶν εὐπορίστων ἐκέλευσε. Κάτων δ' ἦν αὐτῷ φίλος καὶ οἰκεῖος. οὕτω δὲ τὸν βίον αὐτοῦ καὶ τὴν δίαιταν ἐδυσχέραινεν, ὥστε νέου τινὸς ἐν τῇ βουλῇ λόγον ἐπαχθῆ καὶ μακρὸν ἀκαίρως ὑπὲρ εὐτελείας καὶ σωφροσύνης διελθόντος, ἐπαναστὰς ὁ Κάτων, οὐ παύσῃ ἔφη σύ, πλουτῶν μὲν ὡς Κράσσος, ζῶν δ' ὡς Λούκουλλος, λέγων δὲ, ὡς Κάτων; ἔνιοι δὲ τοῦτο ῥηθῆναι μὲν οὕτως, ὑπὸ Κάτωνος δὲ οὐ λέγουσιν. ὁ μέντοι Λούκουλλος, οὐχ ἡδόμενος μόνον, ἀλλὰ καὶ σεμνυνόμενος τῷ βίῳ τούτῳ, δῆλος ἦν ἐκ τῶν ἀπομνημονευομένων. λέγεται γὰρ Ἕλληνας ἀνθρώπους ἀναβάντας εἰς Ῥώμην, ἑστιᾶν ἐπὶ πολλὰς ἡμέρας. τοὺς δ' ὄντως Ἑλληνικόν τι παθόντας, αἰσχύνεσθαι καὶ διωθεῖσθαι τὴν κλῆσιν, ὡς δι' αὐτοὺς καθ' ἡμέραν τοσούτων ἀναλισκομένων. τὸν οὖν Λούκουλλον εἰπεῖν μειδιάσαντα πρὸς αὐτούς· γίνεται μέντοι τούτων καὶ δι' ὑμᾶς ὦ ἄνδρες Ἕλληνες. τὰ μέντοι πλεῖστα γίνεται διὰ Λούκουλλον. ἐπεὶ δὲ μόνου δειπνοῦντος αὐτοῦ, μία τράπεζα καὶ μέτριον παρεσκευάσθη δεῖπνον, ἠγανάκτει καλέσας τὸν ἐπὶ τούτῳ τεταγμένον οἰκέτην. τοῦ δὲ, φήσαντος ὡς οὐκ ᾤετο μηδενὸς κεκλημένου, πολυτελοῦς τινὸς αὐτὸν δεήσεσθαι, τί λέγεις εἶπεν, οὐκ ᾔδεις ὅτι σήμερον παρὰ Λουκούλλῳ δειπνεῖ Λούκουλλος; ὄντος δὲ περὶ τούτου λόγου πολλοῦ ὡς εἰκὸς ἐν τῇ πόλει, προσῆλθον αὐτῷ κατ' ἀγορὰν σχολὴν ἄγοντι, Κικέρων καὶ Πομπήϊος. ὁ μὲν, ἐν τοῖς μάλιστα φίλος ὢν καὶ συνήθης. Πομπηΐῳ δ' ἦν μὲν ἐκ τῆς στρατηγίας διαφορὰ πρὸς αὐτὸν, εἰώθεισαν δὲ χρῆσθαι, καὶ διαλέγεσθαι πολλάκις ἐπιεικῶς ἀλλήλοις. ἀσπασάμενος οὖν ὁ Κικέρων αὐτὸν ἠρώτησεν ὅπως ἔχει πρὸς ἔντευξιν. τοῦ δὲ, φήσαντος ὡς ἄριστα καὶ παρακαλοῦντος ἐντυγχάνειν. ἡμεῖς ἔφη βουλόμεθα δειπνῆσαι παρὰ σοὶ τήμερον οὕτως, ὅπως ἐστί σοι παρεσκευασμένα. θρυπτομένου δὲ τοῦ Λουκούλλου καὶ μεταλαβεῖν ἡμέραν ἀξιοῦντος, οὐκ ἔφασαν ἐπιτρέψειν. οὐδ' εἴων διαλέγεσθαι τοῖς οἰκέταις, ἵνα μή τι πλέον κελεύσῃ γενέσθαι τῶν αὐτῷ βουλομένων. πλὴν τοσοῦτο μόνον αἰτουμένῳ, συνεχώρησαν εἰπεῖν πρὸς ἕνα τῶν οἰκετῶν ἐναντίον ἐκείνων ὅτι σήμερον ἐν τῷ Ἀπόλλωνι δειπνήσει. τοῦτο γάρ τις εἶχε τῶν πολυτελῶν οἴκων ὄνομα. καὶ τοῦτο σεσοφισμένος, ἐλελήθει τοὺς ἄνδρας. ἑκάστῳ γὰρ ὡς ἔοικε δειπνωτηρίῳ τεταγμένον ἦν τίμημα δείπνου. καὶ χορηγίαν ἰδίαν καὶ παρασκευὴν ἕκαστον εἶχεν· ὥστε τοὺς δούλους ἀκούσαντας ὅπου βούλεται δειπνεῖν, εἰδέναι πόσον δαπάνημα, καὶ ποῖόν τι κόσμῳ καὶ διαθέσει γενέσθαι δεῖ τὸ δεῖπνον. εἰώθει δὲ δειπνεῖν ἐν τῷ Ἀπόλλωνι, πέντε μυριάδων. καὶ τότε τοσούτου τελεσθέντος, ἐξέπληξε τοὺς περὶ τὸν Πομπήϊον, ἐν τῷ μεγέθει τῆς δαπάνης, τὸ τάχος τῆς παρασκευῆς. εἰς ταῦτα μὲν οὖν ὑβριστικῶς ἐχρῆτο τῷ πλούτῳ, καθάπερ ὄντως αἰχμαλώτῳ καὶ βαρβάρῳ. σπουδῆς δ' ἄξια καὶ λόγου, τὰ περὶ τὴν τῶν βιβλίων κατασκευήν. καὶ γὰρ πολλὰ καὶ γεγραμμένα καλῶς, συνῆγεν. ἥ τε χρῆσις ἦν, φιλοτιμοτέρα τῆς κτήσεως, ἀνειμένων πᾶσι τῶν βιβλιοθηκῶν, καὶ τῶν περὶ αὐτὰς περιπάτων καὶ σχολαστηρίων ἀκωλύτως ὑποδεχομένων τοὺς Ἕλληνας ὥσπερ εἰς Μουσῶν τι καταγώγιον, ἐκεῖσε φοιτῶντας, καὶ συνδιημερεύοντας ἀλλήλοις, ἀπὸ τῶν ἄλλων χρειῶν ἀσμένως ἀποτρέχοντας. πολλάκις δὲ καὶ συνεσχόλαζεν, αὐτὸς ἐμβάλλων εἰς τοὺς περιπάτους τοῖς φιλολόγοις. καὶ τοῖς πολιτικοῖς, συνέπραττεν ὅτου δέοιντο. καὶ ὅλως ἑστία καὶ πρυτανεῖον Ἑλληνικὸν ὁ οἶκος ἦν αὐτοῦ τοῖς ἀφικνουμένοις εἰς Ῥώμην. φιλοσοφίαν δὲ, πᾶσαν μὲν ἠσπάζετο, καὶ πρὸς πᾶσαν εὐμενὴς ἦν καὶ οἰκεῖος. ἴδιον δὲ τῆς Ἀκαδημίας ἐξ ἀρχῆς ἔρωτα καὶ ζῆλον ἔσχεν. οὐ τῆς νέας λεγομένης, καίπερ ἀνθούσης τότε τοῖς Καρνεάδου λόγοις, διὰ Φίλωνος, ἀλλὰ τῆς παλαιᾶς, πιθανὸν ἄνδρα καὶ δεινὸν εἰπεῖν τότε προστάτην ἐχούσης τὸν Ἀσκαλωνίτην Ἀντίοχον. ὃν πάσῃ σπουδῇ ποιησάμενος φίλον ὁ Λούκουλλος καὶ συμβιωτὴν, ἀντετάττετο τοῖς Φίλωνος ἀκροαταῖς, ὧν καὶ Κικέρων ἦν. καὶ σύγγραμμά γε πάγκαλον ἐποίησεν εἰς τὴν αἵρεσιν, ἐν ᾧ τὸν ὑπὲρ τῆς καταλήψεως λόγον, Λουκούλλῳ περιτέθεικεν, αὑτῷ δὲ, τὸν ἐναντίον. Λούκουλλος δ' ἀναγέγραπται τὸ βιβλίον. ἦσαν δ' ὥσπερ εἴρηται φίλοι σφόδρα καὶ κοινωνοὶ τῆς ἐν πολιτείᾳ προαιρέσεως. οὐδὲ γὰρ αὖ πάμπαν ἀπήλλαξε τῆς πολιτείας ἑαυτὸν ὁ Λούκουλλος, ἀλλὰ τὴν ὑπὲρ τοῦ μέγιστος εἶναι καὶ πλεῖστον δύνασθαι φιλοτιμίαν καὶ ἅμιλλαν, ὡς οὔτ' ἀκίνδυνον, οὔτ' ἀνύβριστον οὖσαν, εὐθὺς ἀφῆκε Κράσσῳ καὶ Κάτωνι. τούτους γὰρ οἱ τὴν Πομπηΐου δύναμιν ὑφορώμενοι, προεβάλλοντο τῆς βουλῆς, ἀπολεγομένου τοῦ Λουκούλλου τὰ πρωτεῖα. κατέβαινε δ' εἰς τὴν ἀγορὰν διὰ τοὺς φίλους. εἰς δὲ τὴν σύγκλητον, εἰ Πομπηΐου τινὰ δέοι σπουδὴν ἢ φιλοτιμίαν ἐπηρεάσαι. καὶ τάς τε διατάξεις ἃς ἐκεῖνος ἐποιήσατο, τῶν βασιλέων κρατήσας, ἐξέκρουσε. καὶ νέμησίν τινα τοῖς στρατιώταις αὐτοῦ γράφοντος, ἐκώλυσε δοθῆναι, συμπράττοντος Κάτωνος. ὥστε Πομπήϊον εἰς τὴν Κράσσου καὶ Καίσαρος φιλίαν, μᾶλλον δὲ συνωμοσίαν, καταφυγεῖν. καὶ πληρώσαντα τὴν πόλιν ὅπλων καὶ στρατιωτῶν, βίᾳ κυρῶσαι τὰ δόγματα. τοὺς περὶ τὸν Κάτωνα καὶ Λούκουλλον ἐκβαλόντα τῆς ἀγορᾶς. ἀγανακτούντων δὲ τῶν βελτίστων ἐπὶ τοῖς γινομένοις, προσῆγον οἱ Πομπηϊανοὶ, Βέττιόν τινα συνειλῆφθαι λέγοντες, ἐπιβουλεύοντα Πομπηΐῳ. κἀκεῖνος ἀνακρινόμενος, ἐν μὲν τῇ συγκλήτῳ, κατηγόρησεν ἑτέρων τινῶν. ἐν δὲ τῷ δήμῳ, Λούκουλλον ὠνόμασεν, ὡς ὑπ' ἐκείνου παρεσκευασμένος ἀποκτεῖναι Πομπήϊον. οὐδεὶς δὲ τῷ

ἀποφυγόντος, ἐπεὶ τοῦτον αὐτὸν ὁ μέμμιος μεταβαλλόμενος, παρώξυνε τὸν δῆμον. καὶ ὡς πολλὰ νενοσφισμένῳ, καὶ μηκύναντι τὸν πόλεμον, ἔπεισεν αὐτῷ μὴ δοῦναι θρίαμβον. ἐλθόντος δὲ εἰς ἀγῶνα τοῦ λουκούλλου μέγαν, οἱ πρῶτοι καὶ δυνατώτατοι καταμίξαντες ἑαυτοὺς ταῖς φυλαῖς, πολλῇ δεήσει καὶ σπουδῇ, μόλις ἔπεισαν τὸν δῆμον, ἐπιτρέψαι θριαμβεῦσαι. οὐχ ὥσπερ ἔνιοι μήκει τε πομπῆς, καὶ πλήθει τῶν κομιζομένων, ἐκπληκτικὸν καὶ ὀχλώδη θρίαμβον. ἀλλὰ τοῖς ὅπλοις τῶν πολεμίων οὖσι παμπόλλοις καὶ τοῖς βασιλικοῖς μηχανήμασι, τὸν φλαμίνειον ἱππόδρομον διεκόσμησε. καὶ θέα τις ἦν αὐτὴ καθ' ἑαυτὴν οὐκ εὐκαταφρόνητος. ἐν δὲ τῇ πομπῇ, τῶν τε καταφράκτων ἱππέων ὀλίγοι. καὶ τῶν δρεπανηφόρων ἁρμάτων δέκα παρῆλθον. ἑξήκοντα δὲ φίλοι καὶ στρατηγοὶ τῶν βασιλικῶν. μακραὶ δὲ χαλκέμβολοι νῆες, ἑκατὸν καὶ δέκα ἅμα παρεκομίσθησαν. αὐτοῦ τε μιθριδάτου, χρυσοῦς ἑξάπους κολοσσός. καὶ θυρεός τις διάλιθος. καὶ φορήματα, εἴκοσι μὲν ἀργυρῶν σκευῶν. χρυσῶν δὲ ἐκπωμάτων καὶ ὅπλων. καὶ νομίσματος, δύο καὶ τεσσαράκοντα. ταῦτα μὲν οὖν, ἄνδρες παρεκόμιζον. ἡμίονοι δὲ ὀκτὼ κλίνας χρυσᾶς ἔφερον. ἓξ δὲ καὶ πεντήκοντα, κεχωνευμένον ἀργύριον. ἄλλοι δὲ ἑκατὸν ἑπτὰ νομίσματος καὶ ἀργυρίου, μικρῷ τινι δεούσας ἑβδομήκοντα καὶ διακοσίας μυριάδας. ἐν δὲ δέλτοις, ἀναγραφαὶ τῶν ἤδη δεδομένων χρημάτων ὑπ' αὐτοῦ πομπηΐῳ πρὸς τὸν πειρατικὸν πόλεμον, καὶ τοῖς ἐπὶ τοῦ δημοσίου ταμιείου. καὶ χωρίς, ὅτι στρατιώτης ἕκαστος, ἐννακοσίας καὶ πεντήκοντα δραχμὰς ἔλαβεν. ἐπὶ τούτοις, τήν τε πόλιν εἱστίασε λαμπρῶς. καὶ τὰς περιοικίδας κώμας ἃς, οὐΐκους καλοῦσι. τῆς δὲ κλωδίας ἀπηλλαγμένος, οὔσης ἀσελγοῦς καὶ πονηρᾶς, σερουϊλίαν ἔγημεν ἀδελφὴν κάτωνος. οὐδὲ τοῦτον εὐτυχῆ γάμον. ἐν γὰρ οὐ προσῆν αὐτῷ τῶν κλωδίας κακῶν μόνον, ἡ τῶν ἀδελφῶν διαβολή. τἆλλα δὲ βδελυρὰν ὁμοίως οὖσαν καὶ ἀκόλαστον, ἠναγκάζετο φέρειν, αἰδούμενος κάτωνα. τέλος δὲ ἀπεῖπεν. ἐλπίδας δὲ θαυμαστὰς τῇ βουλῇ παρασχών, ὡς ἕξουσα τὸν ἄνδρα τοῦτον ἀντίταγμα πρὸς τὴν πομπηΐου τυραννίδα, καὶ τῆς ἀριστοκρατίας πρόμαχον, ἀπὸ δόξης καὶ δυνάμεως ὁρμώμενον μεγάλης, ἐγκατέλιπε καὶ προήκατο τὴν πολιτείαν. εἴτε δυσκάθεκτον ἤδη καὶ νοσοῦσαν ὁρῶν, εἴθ' ὥς φασιν ἔνιοι, μεστὸς ὢν δόξης, καὶ πρὸς τὸ ῥᾷστον ἀναπίπτων τοῦ βίου καὶ μαλακώτατον, ἐκ πολλῶν ἀγώνων καὶ πόνων, οὐκ εὐτυχέστατον τέλος λαβόντων. οἱ μὲν γὰρ ἐπαινοῦσιν αὐτοῦ τὴν τοσαύτην μεταβολήν. τὸ μαρίου πάθος μὴ παθόντος. ὃς ἐπὶ ταῖς κιμβρικαῖς νίκαις, καὶ τοῖς μεγάλοις καὶ καλοῖς ἐκείνοις κατορθώμασιν, οὐκ ἠθέλησεν αὑτὸν ἀναθεῖναι τιμῇ τοσαύτῃ ζηλωτόν, ἀλλ' ἀπληστίᾳ δόξης καὶ ἀρχῆς, νέοις ἀνδράσι γέρων ἀντιπολιτευόμενος, εἰς ἔργα δεινὰ καὶ πάθη δεινότερα τῶν ἔργων, ἐξώκειλε. βέλτιον δ' ἂν καὶ κικέρωνα γηράσαι μετὰ κατιλίναν ὑποστειλάμενον. καὶ σκιπίωνα καρχηδόνι προσθέντα νομαντίαν, εἶτα παυσάμενον. εἶναι γάρ τινα καὶ πολιτικῆς περιόδου κατάλυσιν. τῶν γὰρ ἀθλητικῶν ἀγώνων τοὺς πολιτικούς, οὐδὲν ἧττον ἀκμῆς καὶ ὥρας ἀπολιπούσης ἐλέγχεσθαι. οἱ δὲ περὶ τὸν κράσσον καὶ πομπήϊον, ἐχλεύαζον τὸν λούκουλλον, εἰς ἡδονὴν ἀφεικότα καὶ πολυτέλειαν αὑτόν. ὥσπερ οὐ τοῦ τρυφᾶν μᾶλλον τοῖς τηλικούτοις παρ' ἡλικίαν ὄντος, ἢ τοῦ πολιτεύεσθαι καὶ στρατηγεῖν. ἔστι δ' οὖν τοῦ λουκούλλου βίου, καθάπερ ἀρχαίας κωμῳδίας ἀναγνῶναι. τὰ μὲν πρῶτα, πολιτείας καὶ στρατηγίας. τὰ δ' ὕστερα, πότους καὶ δεῖπνα. καὶ μονονουχὶ κώμους καὶ λαμπάδας καὶ παιδιὰν ἅπασαν. εἰς παιδιὰν γὰρ ἔγωγε τίθεμαι. καὶ οἰκοδομὰς πολυτελεῖς. καὶ κατασκευὰς περιπάτων καὶ λουτρῶν. καὶ ἔτι μᾶλλον γραφὰς καὶ ἀνδριάντας. καὶ τὴν περὶ ταύτας τὰς τέχνας σπουδήν, ἃς ἐκεῖνος συνῆγε μεγάλοις ἀναλώμασιν, εἰς ταῦτα τῷ πλούτῳ ῥύδην καταχρώμενος ὃν ἠθροίκει πολὺν καὶ λαμπρὸν ἀπὸ τῶν στρατειῶν. ὅπου καὶ νῦν ἐπιδόσιν τοιαύτην τῆς τρυφῆς ἐχούσης, οἱ λουκουλλιανοὶ κῆποι, τῶν βασιλικῶν ἐν τοῖς πολυτελεστάτοις ἀριθμοῦνται. τὰ δ' ἐν τοῖς παραλίοις καὶ περὶ νέαν πόλιν ἔργα, λόφους ἀνακρεμαννύντος αὐτοῦ, μεγάλοις ὀρύγμασι. καὶ τροχοὺς θαλάσσης. καὶ διαδρομὰς ἰχθυοτρόφους τοῖς οἰκητηρίοις περιελίσσοντος. καὶ διαίτας ἐναλίους κτίζοντος, ὁ στωϊκὸς τουβέρων θεασάμενος, ξέρξην αὐτὸν ἐκ τηβέννου προσηγόρευσεν. ἦσαν δὲ αὐτῷ περὶ τοῦσκλον ἐγχώριοι δίαιται. καὶ κατασκοπαὶ περιόπτων. καὶ κατασκευαὶ ἀναπεπταμένων ἀνδρώνων καὶ περιπάτων. ἐν αἷς ὁ πομπήϊος γενόμενος, ἐμέμφετο τὸν λούκουλλον, ὅτι πρὸς θέρος ἄριστα διαθεὶς τὴν ἔπαυλιν, ἀοίκητον ἐν χειμῶνι πεποίηκε. γελάσας οὖν ἐκεῖνος, εἶτα ἔφη, σοὶ δοκῶ ἐλάττονα τῶν γεράνων νοῦν ἔχειν καὶ τῶν πελαργῶν, ὥστε ταῖς ὥραις μὴ συμμεταβάλλειν τὰς διαίτας. στρατηγοῦ δέ ποτε φιλοτιμουμένου περὶ θέας. καὶ χορῷ τινὶ κόσμον αἰτουμένου πορφυρᾶς χλαμύδας, ἀπεκρίνατο, σκεψάμενος ἂν ἔχῃ, δώσειν. εἶτα μεθ' ἡμέραν, ἠρώτησεν αὐτόν, ὁπόσων δέοιτο. τοῦ δὲ, ἑκατὸν ἀρκέσειν φήσαντος, ἐκέλευσε λαβεῖν δὶς τοσαύτας. εἰς ὃ καὶ φλάκκος ὁ ποιητής, ἐπιπεφώνηκεν, ὡς οὐ νομίζει πλοῦτον, οὗ μὴ τὰ παρορώμενα καὶ λανθάνοντα, πλείονα τῶν φαινομένων ἐστί. νεόπλουτα δ' ἦν τοῦ λουκούλλου τὰ δεῖπνα τὰ καθημερινά, οὐ μόνον στρωμναῖς ἁλουργέσι καὶ διαλίθοις ἐκπώμασι καὶ χοροῖς καὶ ἀκροάμασιν ἐπεισοδίοις, ἀλλ' ὄψων τε παντοδαπῶν καὶ πεμμάτων περιττῶς διαπεπονημένων παρασκευαῖς, ζηλωτὸν ἀνελευθέροις ποιοῦντος ἑαυτόν. ὁ γοῦν πομπήϊος, εὐδοκίμησε νοσῶν, τοῦ μὲν ἰατροῦ, κίχλην αὐτὸν λαβεῖν κελεύσαντος. τῶν δ' οἰκετῶν

Horatius

σαι τὸ νίκημα, πρὶν ἐπελθεῖν Λούκουλλον ἐγγὺς ὄντα φιλοτιμούμενος, ἡττᾶται μάχῃ μεγάλῃ. λέγονται γὰρ ὑπὲρ ἑπτακισχιλίους ῥωμαίων ἀποθανεῖν. ἐν οἷς ἑκατόνταρχοι μὲν ἑκατὸν πεντήκοντα. χιλίαρχοι δ' εἴκοσι καὶ τέσσαρες. τὸ δὲ στρατόπεδον, εἷλε μιθριδάτης. ἐπελθὼν δὲ Λούκουλλος ὀλίγαις ὕστερον ἡμέραις, τριάριον μὲν ἀπὸ τῶν στρατιωτῶν ζητούμενον πρὸς ὀργὴν, ὑπεξέκλεψε. μιθριδάτου δὲ μὴ θέλοντος μάχεσθαι, ἀλλὰ τιγράνην περιμένοντος, ἤδη καταβαίνοντα μετὰ πολλῆς δυνάμεως, ἔγνω πρὶν ἀμφοτέρους συνελθεῖν, πάλιν ἀπαντῆσαι καὶ διαγωνίσασθαι πρὸς τὸν τιγράνην. πορευομένῳ δ' αὐτῷ καθ' ὁδὸν οἱ φιμβριανοὶ στασιάσαντες ἀπέλιπον τὰς τάξεις, ὡς ἀφειμένοι δόγματι τῆς στρατείας καὶ μηκέτι τῷ Λουκούλλῳ προσῆκον ἄρχειν, ἑτέροις ἀποδεδειγμένων τῶν ἐπαρχιῶν. οὐδὲν οὖν ἔστιν ὅτι τῶν παρ' ἀξίαν ὁ Λούκουλλος οὐχ ὑπέμεινεν, ἀντιβολῶν καθ' ἕνα καὶ κατὰ σκηνὰς περιιὼν, ταπεινὸς καὶ δεδακρυμένος. ἔστι δ' ὧν καὶ χειρὸς ἁπτόμενος. οἱ δ' ἀπετρέποντο τὰς δεξιώσεις, καὶ κενὰ προσερρίπτουν βαλάντια. καὶ μόνον μάχεσθαι τοῖς πολεμίοις ἐκέλευον, ἀφ' ὧν μόνος ἠπίστατο πλουτεῖν. οὐ μὴν ἀλλὰ τῶν ἄλλων στρατιωτῶν δεομένων ἐκβιασθέντες οἱ φιμβριανοὶ, συνέθεντο παραμεῖναι τὸ θέρος. ἐὰν δὲ μηδεὶς ἐν τῷ χρόνῳ τούτῳ κατίῃ πρὸς αὐτοὺς ἀγωνιούμενος, ἀπηλλάχθαι. ταῦτ' ἔδει στέργειν ὑπ' ἀνάγκης τὸν Λούκουλλον, ἢ προέσθαι τοῖς βαρβάροις τὴν χώραν ἀπολειφθέντα. συνεῖχεν οὖν αὐτοὺς οὐκέτι προσβιαζόμενος, οὐδὲ προάγων πρὸς μάχην, ἀλλ' εἰ παραμένοιεν ἀγαπῶν, καὶ περιορῶν πορθουμένην ὑπὸ τοῦ τιγράνου τὴν καππαδοκίαν. καὶ πάλιν ὑβρίζοντα μιθριδάτην, ὃν αὐτὸς ἐπεστάλκει τῇ συγκλήτῳ γράφων καταπεπολεμῆσθαι. καὶ οἱ πρέσβεις παρῆσαν αὐτῷ πρὸς τὴν διάθεσιν τῶν ἐν πόντῳ πραγμάτων, ὡς δὴ βεβαίως ἐχομένων. καὶ δὴ παρόντες, ἑώρων οὐδ' αὑτοῦ κύριον, ἀλλὰ παροινούμενον καὶ προπηλακιζόμενον ὑπὸ τῶν στρατιωτῶν. οἷς γε τοσοῦτο περιῆν τῆς εἰς τὸν στρατηγὸν ἀσελγείας, ὥστε τοῦ θέρους λήγοντος, ἐνδύντες τὰ ὅπλα, καὶ σπασάμενοι τὰς μαχαίρας, προσεκαλοῦντο τοὺς μηδαμοῦ παρόντας, ἀλλ' ἀπειρηκότας ἤδη πολεμίους. ἀλαλάξαντες δὲ καὶ σκιαμαχήσαντες ἀπεχώρησαν ἐκ τοῦ χάρακος. ἐπιμαρτυράμενοι πεπληρῶσθαι τὸν χρόνον, ὃν ὡμολόγησαν τῷ Λουκούλλῳ παραμενεῖν. τοὺς δ' ἄλλους ἐκάλει διὰ γραμμάτων πομπήϊος. ἤδη γὰρ ἀποδέδεικτο τοῦ πρὸς μιθριδάτην καὶ τιγράνην πολέμου στρατηγὸς, χάριτι τοῦ δήμου καὶ κολακείᾳ τῶν δημαγωγῶν. ἐπεὶ τῇ γε βουλῇ καὶ τοῖς ἀρίστοις ἄδικα πάσχειν ἐδόκει Λούκουλλος οὐ πολέμου διαδοχὴν, ἀλλὰ θριάμβου λαμβάνων. οὐδὲ τῆς στρατηγίας ἀναγκαζόμενος, ἀλλὰ τῶν ἐπάθλων τῆς στρατηγίας ἐξίστασθαι καὶ παραχωρεῖν ἑτέροις. ἔτι δὲ μᾶλλον ἐφαίνετο τὸ γινόμενον τοῖς ἐκεῖ παροῦσι νεμεσητόν. οὔτε γὰρ τιμῆς ὁ Λούκουλλος, οὔτε τιμωρίας τῶν ἐν πολέμῳ κύριος ὑπῆρχεν. οὐδ' εἴα τινὰ πομπήϊος βαδίζειν πρὸς αὐτὸν, οὐδὲ προσέχειν οἷς ἐκεῖνος ἔγραφε καὶ διένεμε μετὰ τῶν δέκα πρέσβεων. ἀλλ' ἐκώλυεν ἐκτιθεὶς διαγράμματα, καὶ φοβερὸς παρὼν ἀπὸ μείζονος δυνάμεως. ὅμως ἔδοξε τοῖς φίλοις, συναγαγεῖν αὐτοὺς, καὶ συνῆλθον ἐν κώμῃ τινὶ τῆς γαλατίας. καὶ προσεῖπον ἀλλήλους φιλοφρόνως. καὶ συνήσθησαν ἐπὶ τοῖς κατωρθωμένοις ἑκατέρῳ. πρεσβύτερος μὲν ὢν ὁ Λούκουλλος. ἀξίωμα δ' ἦν τὸ πομπηΐου μεῖζον, ἀπὸ πλειόνων στρατηγιῶν καὶ δυοῖν θριάμβων. ῥάβδοι δ' ἀμφοτέρων προηγοῦντο δαφνηφόροι διὰ τὰς νίκας. καὶ τοῦ γε πομπηΐου μακρὰν ὁδὸν διὰ τόπων ἀνύδρων καὶ αὐχμηρῶν διοδεύσαντος, τὰς δάφνας ξηρὰς περικειμένας ταῖς ῥάβδοις ἰδόντες οἱ τοῦ Λουκούλλου ῥαβδοφόροι, φιλοφρονούμενοι, τοῖς ἐκείνου μετέδωκαν ἐκ τῶν ἰδίων, προσφάτους καὶ θαλερὰς ἔχοντες. καὶ τὸ γινόμενον, εἰς οἰωνὸν ἐτίθεντο χρηστὸν οἱ πομπηΐου φίλοι. τῷ γὰρ ὄντι τὴν ἐκείνου στρατηγίαν αἱ τούτου πράξεις ἐκόσμησαν. ἐκ δὲ τῶν λόγων, πρὸς οὐδὲν ἐπιεικὲς συνέβησαν, ἀλλ' ἔτι μᾶλλον ἀλλοτριωθέντες πρὸς ἀλλήλους, ἀπῆλθον. καὶ τὰς ὑπὸ τοῦ Λουκούλλου γενομένας διατάξεις, ἠκύρωσεν ὁ πομπήϊος. στρατιώτας δὲ τοὺς ἄλλους ἀπαγαγὼν, μόνους αὐτῷ χιλίους ἑξακοσίους, ἀπέλιπε θριαμβεύοντας. οὐδὲ τούτους μάλα προθύμως ἑπομένους. οὕτω τις ἦν ἀφυὴς ἢ δυστυχὴς ὁ Λούκουλλος, πρὸς τὸ πάντων ἐν ἡγεμονίᾳ πρῶτον καὶ μέγιστον. ὡς εἰ τοῦτο μετὰ τῶν ἄλλων ὑπῆρξεν αὐτῷ, τηλικούτων ὄντων καὶ τοσούτων, μετ' ἀνδρείας, ἐπιμελείας, συνέσεως, δικαιοσύνης. οὐκ ἂν εἶχεν ἡ ῥωμαίων ἡγεμονία τὸν εὐφράτην τῆς ἀσίας ὅρον. ἀλλὰ τὰ ἔσχατα, καὶ τὴν ὑρκανίαν θάλασσαν. τῶν μὲν ἄλλων ἐθνῶν, τιγράνῃ προηττημένων. τῆς δὲ πάρθων δυνάμεως οὐχ ὅση κατὰ κράσσον ἐξεφάνη, τοσαύτης κατὰ Λούκουλλον οὔσης, οὐδ' ὁμοίως συνεστώσης, ἀλλ' ὑπὸ ἐμφυλίων καὶ προσοίκων πολέμων, οὐδ' ἀρμενίους ὑβρίζοντας ἐρρωμένης ἀμύνεσθαι. νῦν δέ μοι δοκεῖ Λούκουλλος ὧν ὠφέλησε δι' αὐτοῦ τὴν πατρίδα, βλάψαι μείζονα δι' ἑτέρων. τὰ γὰρ ἐν ἀρμενίᾳ τρόπαια, πάρθων πλησίον ἑστῶτα. καὶ τιγρανόκερτα. καὶ νίσιβις. καὶ πλοῦτος ἐκ τούτων πολὺς εἰς ῥώμην κομισθείς. καὶ τὸ τιγράνου διάδημα πομπευθὲν αἰχμάλωτον, ἐπῆρε κράσσον ἐπὶ τὴν ἀσίαν, ὡς λάφυρα καὶ λείαν τοὺς βαρβάρους, ἄλλο δ' οὐδὲν ὄντας. ταχὺ μέντοι τοῖς πάρθων τοξεύμασιν ἐντυχὼν, ἀπέδειξε τὸν Λούκουλλον οὐκ ἀφροσύνῃ καὶ μαλακίᾳ τῶν πολεμίων, αὐτοῦ δὲ τόλμῃ καὶ δεινότητι περιγενόμενον. ἀλλὰ ταῦτα μὲν ὕστερον. ὁ δὲ Λούκουλλος ἀναβὰς εἰς ῥώμην, πρῶτον μὲν κατέλαβε τὸν ἀδελφὸν μάρκον ὑπὸ γαΐου μεμμίου κατηγορούμενον ἐφ' οἷς ἔπραξε ταμιεύων σύλλα προστάξαντος. ἐκείνου δ'

ἀπηρκότας · ω. q.
πεπληρῶσθαι q

δυστυχὴς

ποιοῦντο. πρῶτον δεόμενοι καὶ διὰ τῶν χιλιάρχων προπέμποντες. ἔπειτα θορυβωδέστερον συνιστάμενοι, καὶ κατὰ σκηνὰς νυκτὸς ἀλαλάζοντες, ὅπερ εἶναι δοκεῖ σύμβολον ἀποστατικῶς ἐχούσης στρατιᾶς. καίτοι πολλὰ προσελιπάρει λούκουλλος, ἀξιῶν αὐτοὺς μακρόθυμίαν ἐμβαλέσθαι ταῖς ψυχαῖς. ἄχρις οὗ τὴν ἐν ἀρμενίοις καρχηδόνα λαβόντες, ἀνδρὸς ἐχθίστου, τὸν ἀννίβαν λέγων ἔργον, ἀνατρέψωσιν. ὡς δ' οὐκ ἔπειθεν, ἀπῆγεν αὐτοὺς ὀπίσω. καὶ κατ' ἄλλας ὑπερβολὰς διελθὼν τὸν ταῦρον, εἰς τὴν λεγομένην μυγδονικὴν κατέβαινε χώραν. πάμφορον καὶ ἀλεεινήν. καὶ πόλιν ἐν αὐτῇ μεγάλην καὶ πολυάνθρωπον ἔχουσαν. ἣν οἱ μὲν βάρβαροι, νίσιβιν, οἱ δ' ἕλληνες, ἀντιόχειαν μυγδονικὴν προσηγόρευον. ταύτην εἶχεν ἀξιώματι μὲν, ἀδελφὸς τιγράνου, γούρας. ἐμπειρίᾳ δὲ καὶ δεινότητι μηχανικῇ, καλλίμαχος ὁ καὶ περὶ ἀμισὸν πλεῖστα πράγματα λουκούλλῳ παρασχών. βαλόμενος δὲ στρατόπεδον. καὶ πᾶσαν ἰδέαν πολιορκίας ἐπαγαγὼν ὀλίγῳ χρόνῳ κατὰ κράτος λαμβάνει τὴν πόλιν. καὶ γούραν μὲν ἑαυτὸν ἐγχειρίσαντι, φιλανθρώπως ἐχρήσατο. καλλιμάχῳ δὲ ὑπισχνουμένῳ θήκας ἀρρήτους μεγάλων χρημάτων ἀνακαλύψειν, οὐ προσέσχεν, ἀλλ' ἐκέλευσεν ἐν πέδαις κομίζεσθαι δίκην ὑφέξοντα τοῦ πυρὸς, ᾧ τὴν ἀμισηνῶν διαλυμηνάμενος πόλιν, ἀφείλετο φιλοτιμίας αὐτοῦ καὶ χρηστότητος ἐπίδειξιν πρὸς τοὺς ἕλληνας. μέχρι τοῦδε φαίη τις ἂν λουκούλλῳ τὴν τύχην ἑπομένην συστρατηγεῖν. ἐντεῦθεν δ' ὥσπερ πνεύματος ἐπιλιπόντος προσβιαζόμενος πάντα. καὶ πανταπᾶσιν ἀντικρούων, ἀρετὴν μὲν ἐπεδείκνυτο καὶ μακροθυμίαν ἡγεμόνος ἀγαθοῦ. δόξαν δὲ καὶ χάριν, οὐδεμίαν αἱ πράξεις ἔσχον. ἀλλὰ καὶ τὴν προϋπάρχουσαν, ἐγγὺς ἦλθε δυσπραγῶν καὶ διαφερόμενος μάτην, ἀποβαλεῖν. τῶν δ' αἰτιῶν, αὐτὸς οὐχὶ τὴν ἐλαχίστην εἰς τοῦτο παρέχων, οὐκ ὢν θεραπευτικὸς πλήθους στρατιωτικοῦ. καὶ πᾶν τὸ πρὸς ἡδονὴν τοῦ ἀρχομένου γινόμενον, ἀρχῆς ἀτιμίας καὶ καταλύσεως ἡγούμενος. τὸ δὲ μέγιστον, οὐδὲ τοῖς δυνατοῖς καὶ ἰσοτίμοις εὐάρμοστος εἶναι πεφυκὼς, ἀλλὰ πάντων καταφρονῶν, καὶ μηδενὸς ἀξίους πρὸς αὐτὸν ἡγούμενος. ταῦτα γὰρ ὑπάρξαι λουκούλλῳ κακὰ λέγουσιν ἐν πᾶσι τοῖς ἄλλοις ἀγαθοῖς. καὶ γὰρ μέγας. καὶ καλὸς. καὶ δεινὸς εἰπεῖν. καὶ φρόνιμος ὁμαλῶς, ἐν ἀγορᾷ, καὶ στρατοπέδῳ δοκεῖ γενέσθαι. σαλούστιος μὲν οὖν φησι, χαλεπῶς διατεθῆναι τοὺς στρατιώτας πρὸς αὐτὸν, εὐθὺς ἐν ἀρχῇ τοῦ πολέμου πρὸς κυζίκῳ, καὶ πάλιν πρὸς ἀμισῷ δύο χειμῶνας ἑξῆς ἐν χάρακι διαγαγεῖν ἀναγκασθέντας. ἠνίων δ' αὐτοὺς καὶ οἱ λοιποὶ χειμῶνες. ἢ γὰρ ἐν τῇ πολεμίᾳ διεχείμαζον, ἢ παρὰ τοῖς συμμάχοις ὕπαιθροι σκηνοῦντες. εἰς δὲ πόλιν ἑλληνίδα καὶ φίλην, οὐδ' ἅπαξ εἰσῆλθε μετὰ στρατοπέδου λούκουλλος. οὕτω δὲ διακειμένοις αὐτοῖς, τὰς μεγίστας ἐνέδωκαν ἀπὸ τῆς ῥώμης οἱ δημαγωγοὶ προφάσεις, φθόνῳ τοῦ λουκούλλου κατηγοροῦντες. ὡς ὑπὸ φιλαρχίας καὶ φιλοπλουτίας ἕλκοντος τὸν πόλεμον, καὶ μονονοὺ κατέχοντος ἐν ταυτῷ κιλικίαν. ἀσίαν. βιθυνίαν. παφλαγονίαν. γαλατίαν. πόντον. ἀρμενίαν, τὰ μέχρι φάσιδος. νῦν δὲ καὶ τὰ τιγράνου βασίλεια πεπορθηκότος. ὥσπερ ἐκδῦσαι τοὺς βασιλεῖς, οὐ καταπολεμῆσαι πεμφθέντος. τοῦτο γὰρ εἰπεῖν φασιν ἕνα τῶν στρατηγῶν λεύκιον κόϊντον. ὑφ' οὗ μάλιστα πεισθέντες, ἐψηφίσαντο, πέμπειν διαδόχους τῷ λουκούλλῳ τῆς ἐπαρχίας. ἐψηφίσαντο δὲ καὶ τῶν ὑπ' αὐτῷ στρατευομένων πολλοὺς ἀφεῖσθαι στρατείας. τούτοις δὲ τηλικούτοις οὖσι, προσγίνεται τὸ μάλιστα λουκούλλῳ διεργασάμενον τὰς πράξεις, πόπλιος κλώδιος ἀνὴρ ὑβριστὴς καὶ μεστὸς ὀλιγωρίας ἁπάσης καὶ θρασύτητος. ἦν δὲ τῆς λουκούλλου γυναικὸς ἀδελφὸς, ἣν καὶ διαφθείρειν ἔσχεν αἰτίαν ἀκολαστοτάτην οὖσαν. τότε δὲ τῷ λουκούλλῳ συστρατευόμενος, οὐχ ὅσης αὐτὸν ἠξίου τιμῆς ἐτύγχανεν. ἠξίου δὲ πρῶτος εἶναι. καὶ πολλῶν ἀπολειπόμενος διὰ τὸν τρόπον, ὑπεποιεῖτο τὴν φιμβριανὴν στρατιὰν καὶ παρώξυνε κατὰ τοῦ λουκούλλου, λόγους χρηστοὺς εἰς οὐκ ἄκοντας οὐδ' ἀήθεις τοῦ δημαγωγεῖσθαι διαδούς. οὗτοι γὰρ ἦσαν οὓς καὶ πρότερον ἀνέπεισε φιμβρίας, ἀποκτείναντας τὸν ὕπατον φλάκκον, αὑτὸν ἑλέσθαι στρατηγόν. διὸ καὶ τὸν κλώδιον, ἡδέως ἐδέχοντο. καὶ φιλοστρατιώτην προσηγόρευον, ἀγανακτεῖν προσποιούμενον ὑπὲρ αὐτῶν, εἰ πέρας οὐδὲν ἔσται πολέμων τοσούτων καὶ πόνων, ἀλλὰ παντὶ μὲν ἔθνει μαχόμενοι. πᾶσαν δὲ γῆν πλανώμενοι κατατρίψουσι τὸν βίον, οὐδὲν ἄξιον ἐκ τηλικαύτης φερόμενοι στρατείας, ἀλλὰ τὰς λουκούλλου παραπέμποντες ἁμάξας καὶ καμήλους, ἐκπωμάτων χρυσῶν, καὶ διαλίθων γεμούσας. οἱ δὲ πομπηΐου στρατιῶται, δῆμος ὄντες ἤδη που μετὰ γυναικῶν καὶ τέκνων κάθηνται. γῆν εὐδαίμονα καὶ πόλεις ἔχοντες, οὐ μιθριδάτην καὶ τιγράνην εἰς τὰς ἀοικήτους ἐμβαλόντες ἐρημίας. οὐδὲ τῆς ἀσίας τὰ βασίλεια καταρρίψαντες, ἀλλὰ φυγάσιν ἀνθρώποις ἐν ἰβηρίᾳ καὶ δραπέταις ἐν ἰταλίᾳ, πολεμήσαντες. τί οὖν εἰ δεῖ μηδέποτε παύσασθαι στρατευομένους, οὐχὶ τοιούτῳ στρατηγῷ, καὶ σώματα τὰ λοιπὰ καὶ ψυχὰς φυλάσσομεν. ᾧ κάλλιστος εἶναι δοκεῖ κόσμος, ὁ τῶν στρατευομένων πλοῦτος. τοιαύταις αἰτίαις τὸ λουκούλλου στράτευμα διαφθαρὲν, οὔτ' ἐπὶ τιγράνην ἠκολούθησεν, οὔτ' ἐπὶ μιθριδάτην, εὐθὺς ἐξ ἀρμενίας εἰς πόντον ἐμβαλόντα. καὶ τὴν ἀρχὴν ἀναλαμβάνοντα. πρόφασιν δὲ τὸν χειμῶνα ποιούμενοι, περὶ τὴν γορδυηνὴν διέτριβον, ὅσον οὔπω πομπήϊον ἢ τιν' ἄλλον τῶν ἡγεμόνων, λουκούλλῳ διάδοχον ἀφίξεσθαι προσδοκῶντες. ἐπεὶ δὲ μιθριδάτης ἠγγέλλετο, φάβιον νενικηκὼς ἐπὶ σωρνάτιον καὶ τριάριον βαδίζειν, αἰσχυνθέντες, εἵποντο τῷ λουκούλλῳ. τριάριος δ' ὡς ἕτοιμον ἁρπά-

λεῖσθαι, καὶ τὸν λούκουλλον θαυμάζεσθαι, ὅτι δραχμὴν μίαν, ἐκ τοῦ δημοσίου ταμείου μὴ λαβὼν αὐτὸς ἐξ αὐτοῦ διώκει τὸν πόλεμον. ἐνταῦθα καὶ παρὰ τοῦ πάρθων βασιλέως, ἧκε πρεσβεία παρ' αὐτὸν, εἰς φιλίαν προκαλουμένου καὶ συμμαχίαν. ἦν δ' ἀσμένω ταῦτα τῷ λουκούλλῳ, καὶ πάλιν ἀντέπεμψε παρ' ἑαυτοῦ πρεσβείαν πρὸς τὸν πάρθον. οἳ κατεφώρασαν αὐτὸν, ἐπαμφοτερίζοντα τῇ γνώμῃ, καὶ μισθὸν αἰτοῦντα κρύφα τοῦ συμμαχῆσαι τῷ τιγράνῃ, τὴν μεσοποταμίαν. ὡς οὖν ταῦθ' ὁ λούκουλλος ᾔσθετο, τιγράνην μὲν ἔγνω καὶ μιθριδάτην παρελθεῖν, ὥσπερ ἀνταγωνιστὰς ἀπειρηκότας, ἀποπειρᾶσθαι δὲ τῆς πάρθων δυνάμεως, καὶ στρατεύειν ἐπ' αὐτούς. καλὸν ἡγούμενος μιᾷ ῥύμῃ πολέμου, τρεῖς ἐφεξῆς ὥσπερ ἀθλητὴς βασιλεῖς καταπαλαῖσαι. καὶ διὰ τριῶν τῶν ὑπὸ τὸν ἥλιον μεγίστων ἡγεμόνων, ἀήττητος καὶ νικῶν διεξελθεῖν. ἔπεμψεν οὖν εἰς πόντον, τοῖς περὶ σορνάτιον ἡγεμόσιν ἐπιστείλας, ἄγειν τὴν ἐκεῖ στρατιὰν πρὸς αὐτὸν, ὡς ἐκ τῆς γορδυηνῆς ἀναβησόμενον. οἱ δὲ, καὶ πρότερον χαλεποῖς χρώμενοι καὶ δυσπειθέσι τοῖς στρατιώταις, τότε παντελῶς ἀπεκάλυψαν αὐτῶν τὴν ἀκολασίαν. οὐδενὶ τρόπῳ πειθοῦς οὐδ' ἀνάγκης, εὑρόμενοι προσαγαγέσθαι, μαρτυρομένους καὶ βοῶντας, ὡς οὐδ' αὐτόθι μενοῦσιν, ἀλλ' οἰχήσονται τὸν πόντον ἔρημον ἀπολιπόντες. ταῦτα πρὸς λούκουλλον ἐπαγγελθέντα, καὶ τοὺς ἐκεῖ προσδιέφθειρε στρατιώτας ἤδη μὲν ὑπὸ πλούτου καὶ τρυφῆς βαρεῖς γεγονότας πρὸς τὴν στρατείαν, καὶ σχολῆς δεομένους. ὡς δὲ τὴν ἐκείνων ἐπύθοντο παρρησίαν, ἄνδρας αὐτοὺς ἀπεκάλουν, καὶ μιμητέον αὐτοὺς ἔφασκον εἶναι. πολλὰ γὰρ αὐτοῖς ἄξια σωτηρίας καὶ ἀναπαύσεως κατειργάσθαι. τοιούτων δὲ καὶ πονηροτέρων ἔτι λόγων αἰσθόμενος ὁ λούκουλλος, τὴν ἐπὶ πάρθους στρατείαν ἀφῆκεν. αὖθις δ' ἐπὶ τὸν τιγράνην ἐβάδιζε θέρους ἀκμάζοντος. καὶ τὸν ταῦρον ὑπερβαλὼν, ἠθύμησε χλωρῶν τῶν πεδίων ἐκφανέντων. τοσοῦτον αἱ ὧραι διὰ τὴν ψυχρότητα τοῦ ἀέρος ὑστερίζουσιν. οὐ μὴν ἀλλὰ καταβὰς, καὶ δὶς ἢ τρὶς ἀνατολμήσαντας ἐπ' αὐτὸν, τοὺς ἀρμενίους τρεψάμενος, ἀδεῶς ἐπόρθει τὰς κώμας. καὶ τὸν παρεσκευασμένον τῷ τιγράνῃ σῖτον ἐξαιρῶν, ἣν αὐτὸς ἐφοβεῖτο, τοῖς πολεμίοις περιέστησεν ἀπορίαν. ἐπεὶ δὲ προσκαλούμενος εἰς μάχην αὐτοὺς περιταφρεύων τὸν χάρακα καὶ πορθῶν ἐν ὄψει τὴν χώραν, οὐκ ἐκίνει πεπληγότας πολλάκις, ἀναστὰς ἐβάδιζεν ἐπ' ἀρτάξατα τὸ τιγράνου βασίλειον, ὅπου καὶ παῖδες αὐτῷ νήπιοι καὶ γαμεταὶ γυναῖκες ἦσαν, οὐκ ἂν οἰόμενος ἀμαχεὶ ταῦτα προέσθαι τὸν τιγράνην. λέγεται δ' ἀννίβαν τὸν καρχηδόνιον, ἀντιόχου καταπολεμηθέντος ὑπὸ ῥωμαίων μεταβάντα πρὸς ἀρτάξαν τὸν ἀρμένιον, ἄλλων τε πολλῶν εἰσηγητὴν καὶ διδάσκαλον αὐτῷ γενέσθαι χρήσιμον, καὶ τῆς χώρας καταμαθόντα τόπον εὐφυέστατον, καὶ ἥδιστον ἀργοῦντα καὶ παρορώμενον, σχῆμα πόλεως ἐν αὐτῷ προϋπογράψασθαι, καὶ τὸν ἀρτάξαν ἐπαγαγόντα, δεῖξαι καὶ παρορμῆσαι πρὸς τὸν οἰκισμόν. ἡσθέντος δὲ τοῦ βασιλέως καὶ δεηθέντος ὅπως αὐτὸς ἐπιστατήσῃ τοῦ ἔργου, μέγα τι καὶ πάγκαλον χρῆμα πόλεως ἀναστῆναι, καὶ γενομένην ἐπώνυμον τοῦ βασιλέως, μητρόπολιν ἀποδειχθῆναι τῆς ἀρμενίας. ἐπὶ ταύτην τοῦ λουκούλλου βαδίζοντος, οὐκ ἠνέσχετο τιγράνης, ἀλλὰ τὴν δύναμιν ἀναλαβὼν, ἡμέρᾳ τετάρτῃ παρεστρατοπέδευσε τοῖς ῥωμαίοις, ἐν μέσῳ λαβὼν τὸν ἀρσανίαν ποταμὸν, ὃν ἐξ ἀνάγκης διαβατέον ἦν τοῖς ῥωμαίοις, τοῖς ἐπ' ἀρτάξατα πορευομένοις. θύσας δὲ τοῖς θεοῖς λούκουλλος ὡς ἐν χερσὶν οὔσης τῆς νίκης, διεβίβαζε τὸν στρατὸν, ἐν δώδεκα σπείραις προτεταγμέναις. ταῖς δ' ἄλλαις ἐπιτεταγμέναις διὰ τὰς κυκλώσεις τῶν πολεμίων. πολλοὶ γὰρ ἦσαν ἱππεῖς καὶ λογάδες ἀντιπαρατεταγμένοι. πρὸ δ' αὐτῶν, ἱπποτοξόται μάρδοι καὶ λογχοφόροι ἴβηρες. οἷς μάλιστα τῶν ξένων ὁ τιγράνης ἐπίστευεν, ὡς μαχιμωτάτοις. οὐ μὴν ἐπράχθη τι λαμπρὸν ἀπ' αὐτῶν. μικρὰ δὲ τοῖς ἱππεῦσι τῶν ῥωμαίων διαπληκτισάμενοι, τοὺς πεζοὺς ἐπιόντας οὐχ ὑπέμειναν, ἀλλ' ἑκατέρωσε τῆς φυγῆς σχισθέντες, ἐπεσπάσαντο τοὺς ἱππεῖς πρὸς τὴν δίωξιν. ἅμα δὲ τῷ τούτους διασπαρῆναι, τῶν περὶ τὸν τιγράνην ἐξιππασαμένων, ἰδὼν τὴν λαμπρότητα καὶ τὸ πλῆθος ὁ λούκουλλος, ἔδεισε. καὶ τοὺς μὲν ἱππεῖς ἀπὸ τῆς διώξεως ἀνεκαλεῖτο, πρῶτος δ' αὐτὸς ἀντέστη τοῖς ἀτροπατηνοῖς, κατ' αὐτὸν οὖσι μετὰ τῶν ἀρίστων. καὶ πρὶν εἰς χεῖρας ἐλθεῖν, φοβήσας ἐτρέψατο. τριῶν δ' ὁμοῦ παρατεταγμένων βασιλέων, αἴσχιστα δοκεῖ φυγεῖν ὁ ποντικὸς μιθριδάτης οὐδὲ τὴν κραυγὴν τῶν ῥωμαίων ἀνασχόμενος. γενομένης δὲ τῆς διώξεως μακρᾶς καὶ δι' ὅλης νυκτὸς οὐ μόνον κτείνοντες αὐτοὺς, ἀλλὰ καὶ ζωγροῦντες, καὶ χρήματα καὶ λείαν ἄγοντες καὶ φέροντες, ἀπεῖπον οἱ ῥωμαῖοι. φησὶ δὲ ὁ λιούϊος ἐν μὲν τῇ προτέρᾳ μάχῃ, πλείονας. ἐν δὲ ταύτῃ, γνωριμωτέρους πεσεῖν καὶ ληφθῆναι τῶν πολεμίων. ἐκ τούτου, λούκουλλος μὲν ἐπηρμένος καὶ τεθαῤῥηκὼς, ἄνω προσάγειν διενοεῖτο καὶ καταστρέφεσθαι τὸν βάρβαρον, ὥρᾳ δ' ἰσημερίας φθινοπωρινῆς, οὐκ ἂν ἐλπίσαντι, χειμῶνες ἐπέπεσον βαρεῖς, τὰ μὲν πλεῖστα κατανίφοντες, ἐν δὲ τοῖς αἰθρίοις, πάχνην ἐπιφέροντες καὶ πάγον. ὑφ' οὗ χαλεποὶ μὲν ἦσαν οἱ ποταμοὶ τοῖς ἵπποις πίνεσθαι διὰ ψυχρότητος ὑπερβολήν. χαλεπαὶ δ' αὐτῶν αἱ διαβάσεις ἐκρηγνυμένου τοῦ κρυστάλλου καὶ διακόπτοντος τὰ νεῦρα τῶν ἵππων, τῇ τραχύτητι. τῆς δὲ χώρας ἡ πολλὴ, συνηρεφὴς οὖσα καὶ στενόπορος καὶ ὑλώδης, ἀεὶ καθύγραινεν αὐτοὺς, χιόνος ἀναπιμπλαμένους ἐν ταῖς ὁδοιπορίαις καὶ κακῶς ἐν τόποις νοτεροῖς νυκτερεύοντες. οὐ πολλὰς δὲ ἡμέρας ἀκολουθήσαντες τῷ λουκούλλῳ μετὰ τὴν μάχην, ἠναν-

πὸν. δὲ τὸ κἀκεῖνον ἐν τοῖς ὅπλοις ὁρᾶν πρῶτον κακοπαθοῦντα, πεζὸν καὶ προσβιαζόμενον. γενόμενος δ' ἄνω καὶ στὰς ἐν τῷ περιφανεῖ τοῦ χωρίου, μέγα βοήσας, νενικήκαμεν ἔφη νενικήκαμεν ὦ συστρατιῶται, καὶ ταῦτ' εἰπὼν, ἐπῆγε τοῖς καταφράκτοις καὶ κελεύσας μηδὲν ἔτι χρῆσθαι τοῖς ὑσσοῖς, ἀλλ' ἐκ χειρὸς ἕκαστον διαλαβόντα, παίειν τῶν πολεμίων κνήμας τε καὶ μηρούς, ἃ μόνα γυμνὰ τῶν καταφράκτων ἐστὶν, οὐ μὴν ἐδέησέ τι ταύτης τῆς μάχης. οὐ γὰρ ἐδέξαντο τοὺς ῥωμαίους, ἀλλ' ἀλαλάξαντες καὶ φυγόντες αἴσχιστα πάντων, ἐνέωσαν ἑαυτούς τε καὶ ἵππους βαρεῖς ὄντας εἰς τὰ τῶν πεζῶν ὅπλα, πρὶν ἄρξασθαι τινὰς ἐκείνους μάχης. ὥστε μήτε τραύματος γενομένου, μήθ' αἵματος ὀφθέντος, ἡττῆσθαι τὰς τοσαύτας μυριάδας. ὁ δὲ πολὺς φόνος ἤδη φευγόντων ἐγίνετο, μᾶλλον δὲ βουλομένων φεύγειν. οὐ γὰρ ἐδύναντο τῇ πυκνότητι καὶ βάθει τῶν τάξεων, ὑφ' αὑτῶν ἐμποδιζόμενοι. τιγράνης δ' ἐξελάσας ἐν ἀρχῇ μετ' ὀλίγων ἔφευγε. καὶ τὸν υἱὸν ὁρῶν κοινωνοῦντα τῆς αὐτῆς τύχης, περιελόμενος τὸ διάδημα τῆς κεφαλῆς, κἀκείνῳ δακρύσας παρέδωκε, σώζειν ἑαυτὸν ὅπως δύναται καθ' ἑτέρας ὁδοὺς κελεύσας. ὁ δὲ νεανίας, ἀναδήσασθαι μὲν οὐκ ἐτόλμησε. τῶν δὲ παίδων τῷ πιστοτάτῳ φυλάττειν ἔδωκεν. οὗτος ἁλοὺς κατὰ τύχην, ἀνήχθη πρὸς λούκουλλον, ὥστε μετὰ τῶν ἄλλων αἰχμαλώτων, καὶ τὸ διάδημα γενέσθαι τὸ τιγράνου. λέγεται δὲ τῶν μὲν πεζῶν, ὑπὲρ δέκα μυριάδας διαφθαρῆναι. τῶν δ' ἱππέων, ὀλίγους παντάπασι διαφυγεῖν. ῥωμαίων δ' ἑκατὸν ἐτρώθησαν, ἔπεσον δὲ πέντε. ταύτης τῆς μάχης ἀντίοχος ὁ φιλόσοφος ἐν τῇ περὶ θεῶν γραφῇ μνησθεὶς, οὔ φησιν ἄλλην ἐφεωρακέναι τοιαύτην τὸν ἥλιον. στράβων δ' ἕτερος φιλόσοφος ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασιν, αὐτοὺς λέγει τοὺς ῥωμαίους, αἰσχύνεσθαι καὶ καταγελᾶν ἑαυτῶν, ἐπ' ἀνδράποδα τοιαῦτα δεηθέντας ὅπλων. λιούιος δ' εἴρηκεν, ὡς οὐδέποτε ῥωμαῖοι πολεμίοις ἀξιόμαχοι ὄντες τοσούτῳ πλήθει παρετάξαντο. σχεδὸν γὰρ οὐδ' εἰκοστὸν, ἀλλ' ἔλαττον ἐγένοντο μέρος οἱ νικῶντες, τῶν ἡττημένων. ῥωμαίων δ' οἱ δεινότατοι στρατηγοὶ, καὶ πλεῖστα πολέμοις ὡμιληκότες, ἐπῄνουν μάλιστα τοῦ λουκούλλου τὸ, δύο βασιλεῖς τοὺς ἐπιφανεστάτους καὶ μεγίστους, δυσὶ τοῖς ἐναντιωτάτοις τάχει καὶ βραδυτῆτι καταστρατηγῆσαι. μιθριδάτην μὲν γὰρ ἀκμάζοντα χρόνῳ καὶ τριβῇ κατανάλωσε. τιγράνην δὲ, τῷ σπεῦσαι, συνέτριψεν. ἐν ὀλίγοις τῶν πώποτε ἡγεμόνων, τῇ μελλήσει μὲν ἐνέργῳ, τῇ τόλμῃ δ' ὑπὲρ ἀσφαλείας χρησάμενος. διὸ καὶ μιθριδάτης, οὐ συνέτεινεν οὐδὲ τὴν μάχην, τῇ συνήθει τὸν λούκουλλον εὐλαβείᾳ καὶ παραγωγῇ πολεμήσειν οἰόμενος. ἀλλὰ καθ' ἡσυχίαν ἐπορεύετο πρὸς τὸν τιγράνην. καὶ πρῶτον μὲν ὀλίγοις τῶν ἀρμενίων ἐντυχὼν καθ' ὁδὸν ἐπτοημένοις καὶ περιφόβοις ἀπιοῦσιν, εἴκασε τὸ πάθος. εἶτ' ἤδη πλειόνων γυμνῶν καὶ τετρωμένων ἀπαντώντων, πυθόμενος τὴν ἧτταν, ἐζήτει τὸν τιγράνην. εὑρὼν δὲ πάντα ἔρημον καὶ ταπεινὸν, οὐκ ἀνθύβρισεν, ἀλλὰ καταβὰς καὶ συνδακρύσας τὰ κοινὰ πάθη, θεραπείαν τε τὴν ἑπομένην αὐτῷ βασιλικὴν ἔδωκε. καὶ κατεθάρρυνε πρὸς τὸ μέλλον. οὗτοι μὲν οὖν αὖθις ἑτέρας δυνάμεις συνῆγον. ἐν δὲ τῇ πόλει τοῖς τιγρανοκέρτοις τῶν ἑλλήνων πρὸς τοὺς βαρβάρους στασιασάντων, καὶ τῷ λουκούλλῳ τὴν πόλιν ἐνδιδόντων, προσβαλὼν εἷλε. καὶ τοὺς μὲν ἐν τῇ πόλει θησαυροὺς παρελάμβανε. τὴν δὲ πόλιν, διαρπάσαι παρέδωκε τοῖς στρατιώταις, μετὰ τῶν ἄλλων χρημάτων, ὀκτακισχίλια τάλαντα νομίσματος ἔχουσαν. χωρὶς δὲ τούτων, ὀκτακοσίας δραχμὰς κατ' ἄνδρα διένειμεν, ἀπὸ τῶν λαφύρων. πυνθανόμενος δὲ πολλοὺς ἐν τῇ πόλει κατειλῆφθαι τῶν περὶ τὸν διόνυσον τεχνιτῶν, οὓς ὁ τιγράνης πανταχόθεν ἠθροίκει, μέλλων ἀποδεικνύναι τὸ κατεσκευασμένον ὑπ' αὐτοῦ θέατρον, ἐχρήσατο τούτοις πρὸς τοὺς ἀγῶνας καὶ τὰς θέας τῶν ἐπινικίων. τοὺς δ' ἕλληνας εἰς τὰς αὑτῶν πατρίδας ἔπεμψε προσθεὶς ἐφόδια. καὶ τῶν βαρβάρων ὁμοίως τοὺς ἠναγκασμένους κατοικεῖν. ὥστε συνέβη μιᾶς πόλεως διαλυθείσης, πολλὰς ἀνοικίζεσθαι πάλιν κομιζομένας, τοὺς αὑτῶν οἰκήτορας. ὑφ' ὧν ὡς εὐεργέτης ὁ λούκουλλος καὶ κτίστης ἠγαπᾶτο. προὐχώρει δὲ καὶ τἄλλα κατ' ἀξίαν τἀνδρὶ, τῶν ἀπὸ δικαιοσύνης καὶ φιλανθρωπίας ἐπαίνων ἐρώμενος μᾶλλον ἢ τῶν ἐπὶ τοῖς πολεμικοῖς κατορθώμασιν. ἐκείνων μὲν γὰρ οὐκ ὀλίγον ἡ στρατιὰ, καὶ πλεῖστον ἡ τύχη μετεῖχε. ταῦτα δ' ἦν ἡμέρου ψυχῆς καὶ πεπαιδευμένης ἐπιδείξεις. οἷς ὁ λούκουλλος τότε χωρὶς ὅπλων, ἐχειροῦτο τοὺς βαρβάρους. καὶ γὰρ ἀράβων βασιλεῖς ἧκον πρὸς αὐτὸν ἐγχειρίζοντες τὰ σφέτερα. καὶ τὸ σωφηνῶν ἔθνος προσεχώρει. τὸ δὲ γορδυηνῶν, οὕτω διέθηκεν, ὥστε βούλεσθαι τὰς πόλις ἐκλιπόντας, ἀκολουθεῖν ἐκείνῳ, μετὰ παίδων καὶ γυναικῶν ἐθελοντὰς, δι' αἰτίας τοιᾶσδε. ζαρβιηνὸς γὰρ ὁ τῶν γορδυηνῶν βασιλεὺς, ὡς προείρηται, δι' ἀππίου, κρύφα λουκούλλῳ διείλεκτο περὶ συμμαχίας, τὴν τιγράνου τυραννίδα βαρυνόμενος, μηνυθεὶς δ' ἀπεσφάγη. καὶ παῖδες αὐτοῦ, καὶ γυνὴ συναπώλοντο, πρὶν ἢ ῥωμαίους εἰς ἀρμενίαν ἐμβαλεῖν. τούτων οὐκ ἠμνημόνευσεν ὁ λούκουλλος, ἀλλὰ παρελθὼν εἰς τὴν γορδυηνῶν, ταφὰς προὔθετο τοῦ ζαρβιηνοῦ, καὶ πυρὰν ἐσθῆτι καὶ χρυσῷ βασιλικῷ καὶ τοῖς ἀπὸ τιγράνου κοσμήσας λαφύροις, αὐτὸς παρὼν ὑφῆψε. καὶ χοὰς ἐπήνεγκε μετὰ φίλων καὶ οἰκείων τοῦ ἀνδρὸς, ἑταῖρον ἑαυτοῦ καὶ ῥωμαίων σύμμαχον ἀνακαλούμενος. ἐκέλευσε δὲ, καὶ μνημεῖον ἀπὸ χρημάτων συχνῶν αὐτῷ γενέσθαι. πάμπολλα γὰρ εὑρέθη, καὶ χρυσὸς καὶ ἄργυρος ἐν τοῖς ζαρβιηνοῦ βασιλείοις. σίτου δ' ἀπέκειντο, μυριάδες τρισχίλιαι μεδίμνων. ὥστε καὶ τοὺς στρατιώτας ὠφελεῖσθαι, καὶ τὸν

μελλήσει .ϊ. ἐνέργῳ

πάντων τ.ς.κ.

πόλεις

βανοῖς προσεικάζοντες, οὐκ ὀλίγοι δὲ τῶν περὶ τὸν ἀράξην νεμομένων, ἀβασίλευτοι. χάριτι καὶ δώροις πεισθέντες ἀπήντησαν. ἐλπίδων δὲ καὶ θράσους καὶ βαρβαρικῶν ἀπειλῶν, μεστὰ ἦν τὰ συμπόσια τοῦ βασιλέως. μεστὰ δὲ τὰ συμβούλια. παρεκινδύνευσε μὲν ὁ ταξίλης ἀποθανεῖν, ὑπεναντιούμενος τῇ γνώμῃ τῆς μάχης, ἐδόκει δὲ καὶ μιθριδάτης φθονῶν, ἀποτρέπειν μεγάλου κατορθώματος. ὅθεν οὐδ᾽ ἀνέμεινεν αὐτὸν ὁ τιγράνης, ἵνα μὴ μετάσχοι τῆς δόξης· ἀλλ᾽ ἐχώρει παντὶ τῷ στρατῷ σφόδρα δυσφορῶν, ὡς λέγεται πρὸς τοὺς φίλους, ὅτι πρὸς λούκουλλον αὐτῷ μόνον, οὐ πρὸς ἅπαντας ὁ ἀγὼν ἔσοιτο τοὺς ῥωμαίων στρατηγοὺς, ἐν ταὐτῷ γενομένους. καὶ οὐ παντάπασιν ἦν τὸ θράσος αὐτοῦ μανιῶδες, οὐδ᾽ ἄλογον ἔθνη τοσαῦτα καὶ βασιλεῖς ἑπομένους. καὶ φάλαγγας ὁπλιτῶν. καὶ μυριάδας ἱππέων ἀποβλέποντος. τοξότας μὲν γὰρ καὶ σφενδονήτας, δισμυρίους ἦγεν. ἱππεῖς δὲ, πεντακισμυρίους καὶ πεντακισχιλίους. ὧν ἑπτακισχίλιοι καὶ μύριοι, κατάφρακτοι ἦσαν. ὡς λούκουλλος ἔγραψε πρὸς τὴν σύγκλητον. ὁπλιτῶν δὲ, τῶν μὲν εἰς σπείρας τῶν δ᾽ εἰς φάλαγγας συντεταγμένων, πεντεκαίδεκα μυριάδας. ὁδοποιοὺς δὲ καὶ γεφυρωτάς. καὶ καθαρτὰς ποταμῶν καὶ ὑλοτόμους, καὶ τῶν ἄλλων χρειῶν ὑπηρέτας, τρισμυρίους καὶ πεντακισχιλίους. οἳ τοῖς μαχομένοις ἐπιτεταγμένοι κατόπιν, ὄψιν ἅμα καὶ ῥώμην παρεῖχον. ὡς δ᾽ ὑπερβαλὼν τὸν ταῦρον, ἀθρόος κατεφάνη, καὶ κατεῖδε πρὸς τοῖς τιγρανοκέρτοις ἐπικαθήμενον τὸ στράτευμα τῶν ῥωμαίων, ὁ μὲν ἐν τῇ πόλει βάρβαρος ὅμιλος, ὀλολυγῇ καὶ κρότῳ τὴν ὄψιν ἐδέξατο, καὶ τοῖς ῥωμαίοις ἀπὸ τῶν τειχῶν ἀπειλοῦντες, ἐδείκνυσαν τοὺς ἀρμενίους. λουκούλλῳ δὲ σκοποῦντι περὶ τῆς μάχης, οἱ μὲν, ἄγειν ἐπὶ τιγράνην, ἐάσαντα τὴν πολιορκίαν συνεβούλευον. οἱ δὲ, μὴ καταλιπεῖν ὀπίσω πολεμίους τοσούτους, μηδ᾽ ἀνεῖναι τὴν πολιορκίαν. ὁ δ᾽ εἰπὼν ἑκατέρους μὲν οὐκ ὀρθῶς, ἀμφοτέρους δὲ καλῶς παραινεῖν, διεῖλε τὴν στρατιάν. καὶ μουρήναν μὲν ἑξακισχιλίους ἔχοντα πεζοὺς, ἐπὶ τῆς πολιορκίας ἀπέλιπεν. αὐτὸς δὲ τέσσαρας καὶ εἴκοσι σπείρας ἀναλαβὼν, ἐν αἷς οὐ πλείονες ἦσαν, μυρίων ὁπλιτῶν. καὶ τοὺς ἱππεῖς ἅπαντας καὶ σφενδονήτας καὶ τοξότας, περὶ χιλίους ἐχώρει. καὶ παρὰ τὸν ποταμὸν ἐν πεδίῳ μεγάλῳ καταστρατοπεδεύσας, παντάπασι μικρὸς ἐφάνη τιγράνῃ, καὶ τοῖς κολακεύουσιν αὐτὸν διατριβὴν παρεῖχεν. οἱ μὲν γοῦν, ἔσκωπτον. οἱ δὲ ὑπὲρ τῶν λαφύρων ἐν παιδιᾷ διεβάλλοντο κλῆρον. τῶν δὲ στρατηγῶν καὶ βασιλέων ἕκαστος ᾐτεῖτο προσιὼν, αὐτοῦ μόνου γενέσθαι τὸ ἔργον, ἐκεῖνον δὲ καθέζεσθαι θεατήν. βουλόμενος δέ τι καὶ αὐτὸς ὁ τιγράνης χαρίεις εἶναι καὶ σκωπτικὸς, εἶπε τὸ θρυλλούμενον. εἰ μὲν ὡς πρεσβευταὶ, πολλοὶ πάρεισιν. εἰ δ᾽ ὡς στρατιῶται, ὀλίγοι. καὶ τότε μὲν οὕτως εἰρωνευόμενοι καὶ παίζοντες, διετέλεσαν. ἅμα δ᾽ ἡμέρᾳ λούκουλλος ὁπλισμένην τὴν δύναμιν ἐξῆγε. καὶ πρὸς ἕω μὲν ἦν τοῦ ποταμοῦ τὸ βαρβαρικὸν στράτευμα. τοῦ δὲ ῥεύματος ἀποστροφὴν λαμβάνοντος ἐπὶ τὰς δύσεις ᾗ μάλιστα περάσιμον ἦν, αὐτὸς παρεξάγων τὴν δύναμιν, καὶ σπεύδων, ἔδοξεν ἀποχωρεῖν τῷ τιγράνῃ. καὶ καλέσας τὸν ταξίλην ἅμα γέλωτι, τοὺς ἀμάχους ἔφη ῥωμαίων ὁπλίτας, οὐχ ὁρᾷς φεύγοντας. καὶ ὁ ταξίλης. βουλοίμην ἂν εἶπεν ὦ βασιλεῦ, γενέσθαι τι τῷ σῷ δαίμονι τῶν παραλόγων. ἀλλ᾽ οὔτ᾽ ἐσθῆτα λαμπρὰν οἱ ἄνδρες λαμβάνουσιν. ὁδοιποροῦντες, οὔτε θυρεοῖς ἐκκεκαθαρμένοις χρῶνται καὶ κράνεσι γυμνοῖς, ὥσπερ νῦν τὰ σκύτινα τῶν ὅπλων σκεπάσματα, περισπάσαντες. ἀλλὰ μαχουμένων ἐστὶν ἡ λαμπρότης αὕτη, καὶ βαδιζόντων ἤδη πρὸς τοὺς πολεμίους. ταῦτα λέγοντος ἔτι τοῦ ταξίλου, καταφανὴς ἦν πρῶτος ἀετὸς ἐπιστρέφοντος τοῦ λουκούλλου, καὶ τάξιν αἱ σπεῖραι κατὰ λόχους λαμβάνουσαι πρὸς τὴν διάβασιν, καὶ μόλις ὥσπερ ἐκ μέθης τινὸς ἀναφέρων ὁ τιγράνης, δὶς ἢ τρὶς, ἀνέκραγεν, ἐφ᾽ ἡμᾶς οἱ ἄνδρες. ὥστε θορύβῳ πολλῷ, τὸ πλῆθος εἰς τάξιν καθίστασθαι, βασιλέως μὲν αὐτοῦ τὸ μέσον ἔχοντος. τῶν δὲ κεράτων, τὸ μὲν ἀριστερὸν, τῷ ἀδιαβηνῷ. τὸ δὲ δεξιὸν τῷ μήδῳ παραδόντος. ἐφ᾽ οὗ καὶ τῶν καταφράκτων ἐν προτάγμασι τὸ πλεῖστον ἦν. λουκούλλῳ δὲ μέλλοντι διαβαίνειν τὸν ποταμὸν, ἔνιοι τῶν ἡγεμόνων παρῄνουν, φυλάττεσθαι τὴν ἡμέραν μίαν οὖσαν τῶν ἀποφράδων, ἃς μελαίνας καλοῦσιν. ἐν ἐκείνῃ γὰρ τῇ ἡμέρᾳ, ἡ μετὰ σκηπίωνος ἀπώλετο στρατιὰ, συμβαλοῦσα κίμβροις. ὁ δ᾽ ἀπεκρίνατο τὴν μνημονευομένην φωνὴν, ἐγὼ γὰρ ἔφη καὶ ταύτην, εὐτυχῆ ποιήσω ῥωμαίοις τὴν ἡμέραν. ἦν δὲ καὶ πρὸ μιᾶς νωνῶν ὀκτωβρίων. ταῦτα δ᾽ εἰπὼν καὶ θαρρεῖν κελεύσας, τόν τε ποταμὸν διέβαινε. καὶ πρῶτος ἐπὶ τοὺς πολεμίους ἡγεῖτο, θώρακα μὲν ἔχων σιδηροῦν φολιδωτὸν ἀποστίλβοντα. κρασπεδωτὴν δὲ ἐφεστρίδα. τὸ δὲ ξίφος αὐτόθεν ὑποφαίνων γυμνὸν ὡς εὐθὺς εἰς χεῖρας ἵεσθαι δέοι ἑκηβόλοις ἀνδράσι, καὶ συναιρήσειν τὴν διατοξεύσιμον χώραν τῷ τάχει τῆς ἐπαγωγῆς. ἐπεὶ δὲ τὴν κατάφρακτον ἵππον, ἧς πλεῖστος ἦν λόγος, κατεῖδε καταπεφραγμένην ὑπὸ λόφῳ τινὶ, τὴν ἄνω χώραν ἐπίπεδον καὶ πλατεῖαν ἔχοντι. πρόσβασιν δὲ τεττάρων σταδίων οὐ παντάπασι χαλεπὴν οὐδ᾽ ἀποκεκομμένην, θρᾶκας μὲν ἱππεῖς καὶ γαλάτας οὓς εἶχεν ἐκέλευσεν ἐκ πλαγίου προσφερομένους παρακρούεσθαι, ταῖς μαχαίραις τοὺς κοντούς. μία γὰρ ἀλκὴ τῶν καταφράκτων κοντός. ἄλλο δ᾽ οὐδὲν οὔθ᾽ ἑαυτοῖς οὔτε τοῖς πολεμίοις χρῆσθαι δύνανται, διὰ βάρος καὶ σκληρότητα τῆς σκευῆς· ἀλλ᾽ ἐγκατῳκοδομημένοις ἐοίκασιν. αὐτὸς δὲ δύο σπείρας ἀναλαβὼν, ἡμιλλᾶτο πρὸς τὸν λόφον ἐρρωμένως ἑπομένων τῶν στρατιω-

σας ἤδη τὸν εὐφράτην, καὶ κατιόντα πολὺν καὶ θολερὸν ὑπὸ χειμῶνος, εὑρὼν, ἤσχαλλεν ὡς διατριβῆς αὐτῷ καὶ πραγματείας ἐσομένης, συνάγοντι πορθμεῖα, καὶ πηγνυμένῳ σχεδίας. ἀρξάμενον δ᾽ ἀφ᾽ ἑσπέρας ὑποχωρεῖν τὸ ῥεῦμα καὶ μειούμενον διὰ τῆς νυκτὸς, ἅμ᾽ ἡμέρᾳ, κοῖλον ὀφθῆναι παρέχει τὸν ποταμόν. οἱ δ᾽ ἐπιχώριοι νησῖδας ἐν τῷ πόρῳ μικρὰς διαφανείσας θεασάμενοι, καὶ τεναγίζοντα τὸν ῥοῦν ἐπ᾽ αὐταῖς, προσεκύνουν τὸν λούκουλλον, ὡς δὴ ὀλιγάκις τούτου συμβεβηκότος πρότερον. ἐκείνῳ δ᾽ ἑκουσίως χειροήθη καὶ πρᾶον αὑτὸν ἐνδιδόντος τοῦ ποταμοῦ, καὶ παρέχοντος ἀπράγμονα καὶ ταχεῖαν τὴν διάβασιν, χρησάμενος οὖν τῷ καιρῷ, διεβίβαζε τὴν στρατιάν. καὶ γίνεται σημεῖον αὐτῷ χρηστὸν, ἅμα τῇ διαβάσει. βόες ἱεραὶ νέμονται, περσίας ἀρτέμιδος, ἣν μάλιστα θεῶν οἱ πέραν εὐφράτου βάρβαροι τιμῶσι, χρῶνται δὲ ταῖς βουσὶ πρὸς θυσίαν μόνον. ἄλλως δὲ πλάζονται κατὰ τὴν χώραν ἄφετοι, χαράγματα φέρουσαι τῆς θεοῦ, λαμπάδα. καὶ λαβεῖν ἐξ αὐτῶν ὅταν δεηθῶσιν, οὐ πάνυ ῥᾴδιόν ἐστιν, οὐδὲ μικρᾶς πραγματείας. τούτων μία τοῦ στρατοῦ διαβάντος τὸν εὐφράτην, ἐλθοῦσα πρός τινα πέτραν ἱερὰν τῆς θεοῦ νομιζομένην, ἐπ᾽ αὐτῆς ἔστη. καὶ καταβαλοῦσα τὴν κεφαλὴν, ὥσπερ αἱ δεσμῷ κατατεινόμεναι, θῦσαι τῷ λουκούλλῳ παρέσχεν αὑτήν. ἔθυσε δὲ καὶ τῷ εὐφράτῃ ταῦρον διαβατήρια. κἀκείνην μὲν αὐτοῦ τὴν ἡμέραν ηὐλίσατο. τῇ δ᾽ ὑστεραίᾳ καὶ ταῖς ἐφεξῆς, προῆγε διὰ τῆς σωφηνῆς. οὐδὲν ἀδικῶν τοὺς ἀνθρώπους, προσχωροῦντας αὐτῷ, καὶ δεχομένους τὴν στρατιὰν ἀσμένους. ἀλλὰ καὶ τῶν στρατιωτῶν, φρούριόν τι δοκοῦν ἔχειν χρήματα πολλὰ, βουλομένων λαβεῖν, ἐκεῖνο ἔφη μᾶλλον τὸ φρούριον ἡμῖν ἐκκοπτέον ἐστὶ, δείξας τὸν ταῦρον ἄπωθεν ὄντα. ταῦτα δ᾽ ἀπόκειται τοῖς νικῶσι. συντείνας δὲ τὴν πορείαν, καὶ τὸν τίγριν διαβὰς, ἐνέβαλεν εἰς τὴν ἀρμενίαν. τιγράνῃ δ᾽ ὡς ὁ πρῶτος ἀγγείλας ἥκοντα λούκουλλον, οὐκ ἐχαίρησεν, ἀλλ᾽ ἀπετέτμητο τὴν κεφαλὴν, οὐδεὶς ἄλλος ἔφραζεν, ἀλλ᾽ ἀγνοῶν καθῆστο, περικαιόμενος ἤδη τῷ πολεμίῳ πυρί. λόγους ἀκούων πρὸς χάριν, ὡς μέγαν ὄντα λούκουλλον στρατηγὸν, εἰ πρὸς ἐφέσῳ τιγράνην ὑποσταίη, καὶ μὴ φεύγων εὐθὺς ἐξ ἀσίας οἴχοιτο, τὰς τοσαύτας μυριάδας ἰδών. οὕτως οὔτε σώματος παντός ἐστι πολὺν ἄκρατον ἐνεγκεῖν. οὔτε διανοίας τῆς τυχούσης ἐν εὐτυχήμασι μεγάλοις μὴ ἐκστῆναι τῶν λογισμῶν. πρῶτος δ᾽ αὐτῷ τῶν φίλων ἐτόλμησε μιθροβαρζάνης φράσαι τὸ ἀληθές. οὐχ οὗτος δὲ χρηστὸν ἠνέγκατο γέρας τῆς παρρησίας. ἐπέμφθη γὰρ εὐθὺς ἐπὶ τὸν λούκουλλον σὺν ἱππεῦσι τρισχιλίοις, πεζοῖς δὲ παμπόλλοις, κελευσθεὶς, τὸν μὲν στρατηγὸν, ἄγειν ζῶντα, τοὺς δ᾽ ἄλλους καταπατῆσαι. λουκούλλῳ δὲ, τῆς στρατιᾶς, ἡ μὲν, ἤδη κατεζεύγνυεν. ἡ δὲ, ἔτι προσῄει. τῶν δὲ σκοπῶν αὐτῷ φρασάντων, ἐπελαύνοντα τὸν βάρβαρον, ἔδεισε μὴ χωρὶς ὄντας καὶ οὐκ ἐν τάξει προσπεσὼν ταράξῃ. καὶ αὐτὸς μὲν, καθίστατο τὴν στρατοπεδείαν, σεξτίλιον δὲ πρεσβευτὴν ἔπεμψεν ἱππεῖς ἔχοντα χιλίους ἑξακοσίους, ὁπλίτας δὲ καὶ ψιλοὺς οὐ πολλῷ πλείονας, κελεύσας ἐγγὺς προσελθόντα τοῖς πολεμίοις μένειν, ἕως ἂν πύθηται τοὺς μετ᾽ αὐτοῦ κατεστρατοπεδευκότας. ἐβούλετο μὲν οὖν ὁ σεξτίλιος ταῦτα ποιεῖν, ἐβιάσθη δ᾽ ὑπὸ τοῦ μιθροβαρζάνου θρασέως ἐπελαύνοντος εἰς χεῖρας ἐλθεῖν. καὶ γενομένης μάχης, ὁ μὲν μιθροβαρζάνης, ἔπεσεν ἀγωνιζόμενος. οἱ δ᾽ ἄλλοι φεύγοντες ἀπώλοντο πλὴν ὀλίγων ἅπαντες. ἐκ τούτου, τιγράνης μὲν ἐκλιπὼν τιγρανόκερτα μεγάλην πόλιν, ἐκτισμένην ὑπ᾽ αὐτοῦ. πρὸς τὸν ταῦρον ἀνεχώρησε, καὶ τὰς δυνάμεις πανταχόθεν ἐνταῦθα συνῆγε. λούκουλλος δὲ τῇ παρασκευῇ χρόνον οὐ διδοὺς, μουρήναν μὲν, ἐξέπεμψεν ὀχλήσοντα καὶ περικόψοντα τοὺς ἀθροιζομένους πρὸς τὸν τιγράνην. σεξτίλιον δὲ πάλιν, ἀράβων χεῖρα μεγάλην ἀνείρξοντα βασιλεῖ προσιοῦσαν. ὁμοῦ δὲ σεξτίλιος μὲν ἤδη πεσὼν στρατόπεδον ποιουμένοις τοῖς ἄραψι, τοὺς πλείστους διέφθειρε. μουρήνας δ᾽ ἑπόμενος τιγράνῃ, τραχὺν αὐλῶνα καὶ στενόπορον στρατῷ μακρῷ διεκβάλλοντι, καιροῦ παρασχόντος ἐπιτίθεται. καὶ φεύγει μὲν αὐτὸς τιγράνης, προθέμενος τὴν ἀποσκευὴν ἅπασαν. ἀποθνήσκουσι δὲ πολλοὶ, καὶ πλείονες ἁλίσκονται τῶν ἀρμενίων. οὕτω δὲ τούτων προχωρούντων, ἄρας ὁ λούκουλλος, ἐπορεύετο πρὸς τιγρανόκερτα, καὶ περιστρατοπεδεύσας, ἐπολιόρκει τὴν πόλιν. ἦσαν δ᾽ ἐν αὐτῇ πολλοὶ μὲν ἕλληνες τῶν ἀνασπάστων ἐκ κιλικίας. πολλοὶ δὲ βάρβαροι τοῖς ἕλλησιν ὅμοια πεπονθότες. ἀδιαβηνοί. καὶ ἀσσύριοι, καὶ γορδυηνοί. καὶ καππάδοκες. ὧν κατασκάψας τὰς πατρίδας, αὐτοὺς δὲ κομίσας, ἐκεῖ κατοικεῖν ἠνάγκασεν. ἦν δὲ καὶ χρημάτων ἡ πόλις μεστὴ καὶ ἀναθημάτων. παντὸς ἰδιώτου καὶ δυνάστου, τῷ βασιλεῖ συμφιλοτιμουμένου πρὸς αὔξησιν καὶ κατασκευὴν τῆς πόλεως. διὸ καὶ συντόνως ἐπολιόρκει ὁ λούκουλλος αὐτὴν, οὐκ ἀνέξεσθαι τὸν τιγράνην οἰόμενος, ἀλλὰ καὶ παρὰ γνώμην ὑπ᾽ ὀργῆς καταβήσεσθαι διαμαχούμενον, ὀρθῶς οἰόμενος. πολλὰ δὲ μιθριδάτης ἀπηγόρευσεν, ἀγγέλους πέμπων καὶ γράμματα, μὴ συνάπτειν μάχην, ἀλλὰ τοῖς ἱππεῦσι περικόπτειν τὴν ἀγοράν. πολλὰ δὲ ταξίλης ἥκων παρ᾽ αὐτοῦ καὶ συστρατεύων, ἐδεῖτο τοῦ βασιλέως φυλάττεσθαι καὶ φεύγειν, ὡς ἄμαχον πρᾶγμα τὰ ῥωμαίων ὅπλα. καὶ τάγε πρῶτα, πρᾴως ἤκουε τούτων. ἐπεὶ δὲ πανστρατιᾷ μὲν αὐτῷ συνῆλθον ἀρμένιοι καὶ γορδυηνοί. πανστρατιᾷ δὲ μήδους καὶ ἀδιαβηνοὺς ἄγοντες οἱ βασιλεῖς παρῆσαν. ἧκον δὲ πολλοὶ μὲν ἀπὸ τῆς ἐν βαβυλῶνι θαλάσσης ἄραβες. πολλοὶ δὲ ἀπὸ τῆς κασπίας ἀλβανοί καὶ ἴβηρες, ἀλ-

ἐκβάλλοντι

πανστρατιᾷ. π.ς.

ρῶς. ὅτε δὴ σὺν τιμῇ καὶ φιλοφροσύνῃ μετεπέμψατο αὐτόν. καὶ δὴ λέγων εἰς τὰ βασίλεια γενομένων ἀπορρήτων, τὰς πρὸς ἀλλήλους ἐθεράπευσεν ὑποψίας ἐπὶ κακῷ τῶν φίλων, εἰς ἐκείνους τὰς αἰτίας τρέποντες. ὧν ἦν καὶ μητρόδωρος ὁ σκήψιος, ἀνὴρ εἰπεῖν οὐκ ἀηδὴς, καὶ πολυμαθής. ἀκμῇ δὲ φιλίας τοσαύτῃ χρησάμενος, ὥστε πατὴρ προσαγορεύεσθαι τοῦ βασιλέως. τοῦτον ὡς ἔοικεν ὁ τιγράνης πεμφθέντα πρεσβευτὴν ὑπὸ τοῦ μιθριδάτου πρὸς αὐτὸν δεομένου βοηθεῖν ἐπὶ ῥωμαίους, ἤρετο. σὺ δ' αὐτὸς ὦ μητρόδωρε, τί μοι περὶ τούτων παραινεῖς. κἀκεῖνος εἴτε πρὸς τὸ τιγράνου συμφέρον, εἴτε μιθριδάτην σώζεσθαι μὴ βουλόμενος, ὡς μὲν πρεσβευτὴς ἔφη κελεύειν, ὡς δὲ σύμβουλος, ἀπαγορεύειν. ταῦτ' ἐξήνεγκεν ὁ τιγράνης τῷ μιθριδάτῃ, καὶ κατεῖπεν, ὡς οὐδὲν ἐργασομένῳ τὸν μητρόδωρον ἀνήκεστον. ὁ δ' εὐθὺς ἀνῄρητο. καὶ μετάνοια τὸν τιγράνην εἶχεν, οὐ παντελῶς ὄντα τῷ μητροδώρῳ τῆς συμφορᾶς αἴτιον, ἀλλὰ ῥοπήν τινα πρὸς αὐτὸν, ἔχθει τοῦ μιθριδάτου προσθέντα. πάλαι γὰρ ὑπούλως εἶχε πρὸς τὸν ἄνδρα. καὶ τοῦτ' ἐφωράθη τῶν ἀπορρήτων αὐτοῦ γραμμάτων ἁλόντων, ἐν οἷς ἦν καὶ μητρόδωρον ἀπολέσθαι διατεταγμένον. ἔθαψεν οὖν ὁ τιγράνης λαμπρῶς τὸ σῶμα, μηδεμιᾶς πολυτελείας φεισάμενος εἰς νεκρὸν, ὃν ζῶντα προὔδωκεν. ἐτελεύτησε δὲ παρὰ τῷ τιγράνῃ καὶ ἀμφικράτης ὁ ῥήτωρ, εἰ δεῖ καὶ τούτου μνήμην τινὰ γενέσθαι διὰ τὰς ἀθήνας. λέγεται γὰρ φυγεῖν μὲν αὐτὸν εἰς σελεύκειαν τὴν ἐπὶ τίγρει. δεομένων δ' αὐτόθι σοφιστεύειν, ὑπεριδεῖν καταλαζονευσάμενον, ὡς οὐδὲ λεκάνη δελφῖνα χωροίη. μεταστάντα δὲ πρὸς κλεοπάτραν τὴν μιθριδάτου θυγατέρα, τιγράνῃ δὲ συνοικοῦσαν, ἐν διαβολῇ γενέσθαι ταχύ. καὶ τῆς πρὸς τοὺς ἕλληνας ἐπιμιξίας εἰργόμενον, ἀποκαρτερῆσαι. ταφῆναι δὲ καὶ τοῦτον ἐντίμως ὑπὸ τῆς κλεοπάτρας. καὶ κεῖσθαι, περὶ σαφὰν ἐκεῖ τι χωρίον οὕτω καλούμενον. λούκουλλος δὲ τὴν ἀσίαν πολλῆς μὲν εὐνομίας, πολλῆς δ' εἰρήνης ἐμπεπληκὼς, οὐδὲ τῶν πρὸς ἡδονὴν καὶ χάριν ἠμέλησεν, ἀλλὰ πομπαῖς καὶ πανηγύρεσιν ἐπινικίοις καὶ ἀγῶσιν ἀθλητῶν καὶ μονομάχων ἐν ἐφέσῳ καθήμενος, ἐδημαγώγει τὰς πόλεις. αἱ δ' ἀμειβόμεναι, λουκούλλιά τε ἦγον ἐπὶ τιμῇ τοῦ ἀνδρός. καὶ τῆς τιμῆς ἡδίονα τὴν ἀληθινὴν εὔνοιαν αὐτῷ παρεῖχον. ἐπεὶ δ' ἄππιός τε ἧκε, καὶ πολεμητέον πρὸς τιγράνην ἐφαίνετο, παρῆλθεν αὖθις εἰς πόντον. καὶ τοὺς στρατιώτας ἀναλαβὼν, ἐπολιόρκει σινώπην. μᾶλλον δὲ τοὺς κατέχοντας αὐτὴν βασιλικοὺς κίλικας. οἳ πολλοὺς μὲν ἀνελόντες τῶν σινωπέων, τὴν δὲ πόλιν ἐμπρήσαντες, διὰ νυκτὸς ἔφυγον. αἰσθόμενος δ' ὁ λούκουλλος καὶ παρελθὼν εἰς τὴν πόλιν, ὀκτακισχιλίους αὐτῶν τοὺς ἐγκαταληφθέντας ἀπέκτεινε. τοῖς δ' ἄλλοις, ἀπέδωκε τὰ οἰκεῖα. καὶ τῆς πόλεως ἐπεμελήθη, μάλιστα διὰ τὴν τοιαύτην ὄψιν. ἔδοξέ τινα κατὰ τοὺς ὕπνους εἰπεῖν παραστάντα, πρόελθε λούκουλλε μικρόν. ἥκει γὰρ αὐτόλυκος ἐντυχεῖν σοι βουλόμενος. ἐξαναστὰς δὲ, τὴν μὲν ὄψιν, οὐκ εἶχε συμβαλεῖν εἰς ὅτι φέροι. τὴν δὲ πόλιν, εἷλε κατ' ἐκείνην τὴν ἡμέραν. καὶ τοὺς ἐκπλέοντας τῶν κιλίκων διώκων, ὁρᾷ παρὰ τὸν αἰγιαλὸν ἀνδριάντα κείμενον. ὃν ἐκκομίζοντες οἱ κίλικες, οὐκ ἔφθασαν ἐμβαλέσθαι. τὸ δ' ἔργον ἦν σθένιδος τῶν καλῶν. φράζει οὖν τις, ὡς αὐτολύκου τοῦ κτίσαντος τὴν σινώπην, ὁ ἀνδριὰς εἴη. λέγεται δ' ὁ αὐτόλυκος γενέσθαι τῶν ἐπὶ τὰς ἀμαζόνας ἐκ θετταλίας, ἡρακλεῖ συστρατευσάντων, δηιμάχου παῖς. ἐκεῖθεν δ' ἀποπλέων ἅμα δημολέοντι καὶ φλογίῳ, τὴν μὲν ναῦν ἀπολέσαι, περιπεσοῦσαν τῆς χερρονήσου κατὰ τὸν καλούμενον πηδάλιον, αὐτὸς δὲ σωθεὶς μετὰ τῶν ὅπλων καὶ τῶν ἑταίρων πρὸς τὴν σινώπην, ἀφελέσθαι τοὺς σύρους τὴν πόλιν. σύροι γὰρ αὐτὴν κατεῖχον, ἀπὸ σύρου γεγονότες τοῦ ἀπόλλωνος ὡς λέγεται, καὶ σινώπης τῆς ἀσωπίδος. ταῦτ' ἀκούων ὁ λούκουλλος, ἀνεμιμνήσκετο τῆς σύλλα παραινέσεως. παρῄνει δὲ διὰ τῶν ὑπομνημάτων ἐκεῖνος, μηδὲν οὕτως ἀξιόπιστον ἡγεῖσθαι καὶ βέβαιον, ὡς ὅτι ἂν ἀποσημαίνηται διὰ τῶν ἐνυπνίων. πυνθανόμενος δὲ μιθριδάτην τε καὶ τιγράνην εἰς λυκαονίαν καὶ κιλικίαν, ὅσον οὔπω διαβιβάζειν δύναμιν ὡς προτέρους ἐμβαλοῦντας εἰς τὴν ἀσίαν, ἐθαύμαζε τὸν ἀρμένιον, εἰ γνώμην ἔχων ἐπιθέσθαι ῥωμαίοις, ἀκμάζοντι μὲν οὐκ ἐχρήσατο μιθριδάτῃ πρὸς τὸν πόλεμον, οὐδ' ἐρρωμένοις τοῖς ἐκείνου τὰ παρ' αὐτοῦ συνῆψεν. ἀπολέσθαι δ' ἐάσας καὶ συντριβῆναι, νῦν ἐπὶ ψυχραῖς ἐλπίσιν ἄρχεται πολέμου, τοῖς ἀναστῆναι μὴ δυναμένοις συγκαταβάλλων ἑαυτόν. ἐπειδὴ δὲ καὶ μαχάρης ὁ μιθριδάτου παῖς ἔχων τὸν βόσπορον, ἔπεμψεν αὐτῷ στέφανον ἀπὸ χρυσῶν χιλίων, δεόμενος ῥωμαίων ἀναγραφῆναι φίλος καὶ σύμμαχος, ἤδη οἰόμενος τὰ τοῦ προτέρου πολέμου πέρας ἔχειν, σωρνάτιον μὲν αὐτοῦ φύλακα τῶν ποντικῶν ἀπέλιπε μετὰ στρατιωτῶν ἑξακισχιλίων. αὐτὸς δὲ μυρίους μὲν ἄγων καὶ δισχιλίους πεζούς. ἱππεῖς δὲ, τρισχιλίων ἐλάττους, ἐπὶ τὸν δεύτερον ἐχώρει πόλεμον, ὁρμῇ τινι δοκῶν παραβόλῳ καὶ σωτήριον οὐκ ἐχούσῃ λογισμὸν, ἐμβαλεῖν αὐτὸν εἰς ἔθνη μάχιμα, καὶ μυριάδας ἱππέων πολλὰς, καὶ ἀχανῆ χώραν, βαθέσι μὲν ποταμοῖς, ἀεὶ δὲ κατανιφομένοις ὄρεσι περιεχομένην. ὥστε τοὺς μὲν στρατιώτας οὐδ' ἄλλως ὄντας εὐτάκτους, ἄκοντας ἕπεσθαι καὶ ζυγομαχοῦντας. ἐν δὲ ῥώμῃ καταβοᾶν καὶ διαμαρτύρεσθαι τοὺς δημαγωγοὺς, ὡς πόλεμον ἐκ πολέμου διώκει λούκουλλος, οὐδὲν τῆς πόλεως δεομένης. ἀλλ' ὑπὲρ τοῦ στρατηγῶν μηδέποτε καταθέσθαι τὰ ὅπλα, μηδὲ παύσασθαι χρηματιζόμενος ἀπὸ τῶν κοινῶν κινδύνων. οὗτοι μὲν οὖν ἐξειργάσαντο χρόνῳ τὴν αὐτῶν ὑπόθεσιν. λούκουλλος δὲ συντόνως ὁδοι-

ἀνελευθέρως τῇ δωρεᾷ χρησάμενος. οὐ γὰρ ἠξίου λούκουλλος ἄνδρα διὰ παιδείαν ἐσπουδασμένον δοῦλον γενέσθαι πρότερον, εἶτα ἀπελεύθερον. ἀφαίρεσις γὰρ ἦν τῆς ὑπαρχούσης ἡ τῆς δοκούσης ἐλευθερίας, δόσις. ἀλλὰ μουρήνας μὲν, οὐκ ἐνταῦθα μόνον ὤφθη πολὺ τῆς τοῦ στρατηγοῦ καλοκαγαθίας ἀποδέων. λούκουλλος δὲ τρέπεται πρὸς τὰς ἐν ἀσίᾳ πόλεις, ὅπως τῶν πολεμικῶν ἔργων σχολάζοντος αὐτοῦ, καὶ δίκης τινὸς μετάσχῃ καὶ θεσμῶν. ὧν ἐπὶ πολὺν χρόνον ἐνδεῆ τὴν ἐπαρχίαν οὖσαν, ἄρρητοι καὶ ἄπιστοι δυστυχίαι κατεῖχον, ὑπὸ τῶν τελωνῶν καὶ τῶν δανειστῶν πορθουμένην καὶ ἀνδραποδιζομένην, πιπράσκειν ἰδίᾳ μὲν υἱοὺς εὐπρεπεῖς, θυγατέρας δὲ παρθένους. δημοσίᾳ δ' ἀναθήματα. γραφάς. ἱεροὺς ἀνδριάντας, ἀναγκαζομένων. αὐτοῖς δὲ τέλος μὲν ἦν προσθέτοις γενομένοις, δουλεύειν. τὰ δὲ πρὸ τούτου χαλεπώτερα. σχοινισμοὶ καὶ κιγκλίδες καὶ ἵπποι. καὶ στάσεις ὕπαιθροι, καύματος μὲν ἐν ἡλίῳ, ψύχους δ' εἰς πηλὸν ἐμβιβαζομένων, ἢ πάγον, ὥστε τὴν δουλείαν σεισάχθειαν δοκεῖν εἶναι καὶ εἰρήνην. τοιαῦτα μὲν κακὰ λούκουλλος εὑρὼν ἐν ταῖς πόλεσιν ὀλίγῳ χρόνῳ πάντων ἀπήλλαξε τοὺς ἀδικουμένους. πρῶτον μὲν γὰρ ἑκατοστὴν ἐκέλευσε καὶ μὴ πλέον εἰς τοὺς τόκους λογίζεσθαι. δεύτερον δὲ τοὺς μακροτέρους τοῦ ἀρχαίου τόκους ἀπέκοψε. τὸ δὲ τρίτον καὶ μέγιστον ἔταξε τῶν τοῦ χρεωφειλέτου προσόδων τὴν τετάρτην μερίδα, καρποῦσθαι τὸν δανειστήν. ὁ δὲ τόκον κεφαλαίῳ συνάψας, ἐστέρητο τοῦ παντός, ὥστ' ἐν ἐλάττονι χρόνῳ τετραετίας, διαλυθῆναι τὰ χρέα πάντα. καὶ τὰς κτήσεις ἐλευθέρας ἀποδοθῆναι τοῖς δεσπόταις, ἦν δὲ τοῦτο κοινὸν δάνειον, ἐκ τῶν δισμυρίων ταλάντων, οἷς τὴν ἀσίαν ἐζημίωσεν ὁ σύλλας. καὶ διπλοῦν ἀπεδόθη τοῖς δανείσασιν, ὑπ' ἐκείνων ἀνηγμένον ἤδη τοῖς τόκοις εἰς δώδεκα μυριάδας ταλάντων. ἐκεῖνοι μὲν οὖν ὡς δεινὰ παθόντες, ἐν ῥώμῃ τοῦ λουκούλλου κατεβόων, καὶ χρήμασιν ἀνίστασαν ἐπ' αὐτὸν ἐνίους τῶν δημαγωγῶν. μέγα δυνάμενοι. καὶ πολλοὺς ὑποχρέως πεποιημένοι τῶν πολιτευομένων. ὁ δὲ λούκουλλος, οὐ μόνον ὑπὸ τῶν εὖ πεπονθότων ἠγαπᾶτο δήμων, ἀλλὰ καὶ ταῖς ἄλλαις ἐπαρχίαις ποθεινὸς ἦν εὐδαιμονιζούσαις, τοὺς ἡγεμόνος τοιούτου τυχόντας. ἄππιος δὲ κλώδιος ὁ πεμφθεὶς πρὸς τιγράνην. ἦν δὲ ὁ κλώδιος ἀδελφὸς τῆς τότε λουκούλλῳ συνοικούσης, πρῶτον μὲν ὑπὸ τῶν βασιλικῶν ὁδηγῶν, κύκλον τινὰ καὶ περιβολὴν ἔχουσαν οὐκ ἀναγκαίαν καὶ πολυήμερον ὁδὸν διὰ τῆς ἄνω χώρας ἀγόμενος, μηνύσαντος αὐτῷ τὴν εὐθεῖαν ὁδὸν ἀπελευθέρου σύρου τὸ γένος, ἐκτρέπεται τῆς μακρᾶς ἐκείνης καὶ σοφιστικῆς ἐρρῶσθαι φράσας πολλὰ τοῖς βαρβάροις ἀγωγοῖς. καὶ δι' ἡμερῶν ὀλίγων τὸν εὐφράτην περάσας, εἰς ἀντιόχειαν ἧκε τὴν ἐπὶ δάφνης ἐπεὶ δὲ τιγράνην αὐτοῦ κελευσθεὶς περιμένειν. ἀπῆν γὰρ ἐνίας ἔτι τῶν ἐν φοινίκῃ πόλεων καταστρεφόμενος, πολλοὺς μὲν ᾠκειώσατο τῶν ὑπούλως ἀκροωμένων τοῦ ἀρμενίου δυναστῶν. ὧν εἷς ἦν καὶ ζαρβιηνὸς ὁ τῆς γορδυηνῆς βασιλεὺς, πολλαῖς δὲ κρύφα τῶν δεδουλωμένων πόλεων διαπεμπομέναις πρὸς αὐτὸν, ὑπέσχετο τὴν λουκούλλου βοήθειαν, ἐν τῷ παρόντι κελεύσας ἡσυχάζειν. ἦν γὰρ οὐκ ἀνασχετὴ τῶν ἀρμενίων ἡ ἀρχὴ τοῖς ἕλλησιν, ἀλλὰ χαλεπή. καὶ μάλιστα τοῦ βασιλέως αὐτοῦ τὸ φρόνημα τραγικὸν καὶ ὑπέρογκον ἐν ταῖς μεγάλαις εὐτυχίαις ἐγεγόνει, πάντων ὅσα ζηλοῦσιν οἱ πολλοὶ καὶ θαυμάζουσιν. οὐ μόνον ὄντων περὶ αὐτόν. ἀλλὰ καὶ δι' αὐτὸν γεγονέναι δοκούντων. ἀρξάμενος γὰρ ἀπὸ μικρᾶς καὶ καταφρονουμένης ἐλπίδος, ἔθνη πολλὰ κατεστρέψατο. καὶ τὴν πάρθων ὡς ἄλλος οὐδεὶς δύναμιν ἐταπείνωσεν. ἑλλήνων δὲ τὴν μεσοποταμίαν ἐνέπλησε. πολλοὺς μὲν ἐκ κιλικίας, πολλοὺς δ' ἐκ καππαδοκίας ἀνασπάστους κατοικίζων. ἐκίνησε δ' ἐξ ἠθῶν καὶ ἄραβας τοὺς σκηνίτας μεταγαγών. καὶ πλησίον ἱδρύσας, ὅπως χρῷτο δι' ἐκείνων ταῖς ἐμπορίαις. βασιλεῖς δὲ πολλοὶ μὲν ἦσαν οἱ θεραπεύοντες αὐτόν. τέσσαρας δὲ, οὓς ἀεὶ περὶ αὐτὸν εἶχεν, ὥσπερ ὀπαδοὺς ἢ δορυφόρους, ἱππότῃ μὲν ἐλαύνοντι, πεζοὺς παραθέοντας ἐν χιτωνίσκοις. καθημένῳ δὲ καὶ χρηματίζοντι περιεστῶτας ἐπηλλαγμέναις δι' ἀλλήλων ταῖς χερσὶν, ὅπερ ἐδόκει μάλιστα τῶν σχημάτων, ἐξομολόγησις εἶναι δουλείας. οἷον ἀποδομένων τὴν ἐλευθερίαν, καὶ τὸ σῶμα τῷ κυρίῳ παρεχόντων παθεῖν ἑτοιμότερον ἢ ποιῆσαι. ταύτην μέντοι τὴν τραγῳδίαν οὐχ ὑποτρέσας, οὐδ' ἐκπλαγεὶς ἄππιος ὡς ἔτυχε λόγου πρῶτον, ἄντικρυς ἥκειν ἔφη μιθριδάτην ἀπάξων, ὀφειλόμενον τοῖς λουκούλλου θριάμβοις. ἢ καταγγέλλων τιγράνῃ πόλεμον. ὥστε τὸν τιγράνην καίπερ ἐν διαχύσει τοῦ προσώπου, καὶ μειδιάματι πεπλασμένῳ πειρώμενον ἀκούειν τῶν λόγων, μὴ λαθεῖν τοὺς παρόντας ἠλλοιωμένον τῇ παρρησίᾳ τοῦ νεανίσκου. φωνῆς σχεδὸν ἐλευθέρας ἀκούοντι διὰ πέντε καὶ εἴκοσιν ἐτῶν. τοσαῦτα γὰρ ἐβασίλευσε. μᾶλλον δὲ, ὕβρισεν. ἀπεκρίνατο μὲν οὖν τῷ ἀππίῳ μὴ προήσεσθαι μιθριδάτην, καὶ ῥωμαίους πολέμου ἄρχοντας ἀμυνεῖσθαι. λουκούλλῳ δ' ὀργιζόμενος, ὅτι βασιλέα μόνον αὐτὸν, οὐ βασιλέων ἐν τῇ ἐπιστολῇ προσηγόρευσεν. οὐδ' αὐτὸς ἀντιγράφων, αὐτοκράτορα προσεῖπεν. ἔπεμψε δὲ δῶρα τῷ ἀππίῳ λαμπρά. καὶ μὴ λαβόντος, ἄλλα πλείω προσέθηκεν. ἐκ τούτων ὁ ἄππιος οὐκ ἐθέλων δοκεῖν ἔχθρᾳ τινὶ διωθεῖσθαι, φιάλην δεξάμενος μίαν, ἀπέπεμψε τὰ λοιπὰ, καὶ διὰ ταχέων ἀπήλαυνε πρὸς τὸν αὐτοκράτορα. τιγράνης δὲ μιθριδάτην, πρότερον μὲν, οὐδὲ ἰδεῖν ἠξίωσεν, οὐδὲ προσειπεῖν οἰκεῖον ἄνδρα βασιλείας ἐκπεπτωκότα τηλικαύτης, ἀλλ' ἀτίμως καὶ ὑπερηφάνως ἀπωτάτω περιεῖδεν αὐτὸν, τρόπον τινὰ φρουρούμενον ἐν χωρίοις ἑλώδεσι καὶ νοσ

ἠκούοντα

ἀπέπεμψε

μαχόμενοι πρὸς ἀλλήλους, καθυστέρησαν. καὶ οὐ γὰρ μόνον αὐτῶν, ἀπέλαυσε τῆς πλεονεξίας λού-
κουλλος, ἀλλὰ καὶ τὸν ἐπὶ τῶν ἀπορρήτων τοῦ βασιλέως ὄντα καλλίστρατον, ὃ μὲν, ἄγειν ἐκέλευσεν, οἱ
δ' ἄγοντες, αἰσθόμενοι πεντακοσίους χρυσοῦς ὑπεζωσμένον, ἀπέκτειναν. οὐ μὴν ἀλλὰ τούτοις μὲν, ἐπέτρε-
ψε τὸν χάρακα πορθῆσαι. τὰ δὲ κάβειρα λαβὼν, καὶ τῶν ἄλλων φρουρίων τὰ πλεῖστα, θησαυρούς τε
μεγάλους εὗρε καὶ δεσμωτήρια, πολλῶν μὲν ἑλλήνων, πολλῶν δὲ συγγενῶν τοῦ βασιλέως καθειργμέ-
νων, οἷς πάλαι τεθνάναι δοκοῦσιν, οὐ σωτηρίαν, ἀλλ' ἀναβίωσιν, καὶ δευτέραν τινὰ γένεσιν, ἡ λουκούλ-
λου χάρις παρέσχεν. ἑάλω δὲ καὶ ἀδελφὴ τοῦ μιθριδάτου νύσσα, σωτήριον ἅλωσιν. αἱ δ' ἀπωτάτω τοῦ
κινδύνου καὶ καθ' ἡσυχίαν ἀποκεῖσθαι δοκοῦσαι, περὶ φαρνακίαν, ἀδελφαὶ καὶ γυναῖκες, οἰκτρῶς ἀ- :~ στφ. χώρα καὶ πόλις πον-
πώλοντο μιθριδάτου πέμψαντος ἐπ' αὐτὰς ἐκ τῆς φυγῆς βακχίδην εὐνοῦχον. ἦσαν δὲ μετὰ πολλῶν τική. sed φαρνακίαν
ἀδελφαί τε δύο τοῦ βασιλέως, ῥωξάνη καὶ στάτειρα, περὶ τεσσαράκοντα ἔτη παρθενευόμεναι. καὶ γα- apud ipsum legitur.
μεταὶ δύο, γένος ἰωνίδες, βερενίκη μὲν ἐκ χίου. μονίμη δὲ μιλησία. ταύτης ὁ πλεῖστος ἦν λόγος ἐν
τοῖς ἕλλησιν, ὅτι τοῦ βασιλέως πειρῶντος αὐτῆς. καὶ μυρίους πεντακισχιλίους χρυσοῦς προσπέμψαν-
τος, ἀντέσχε μέχρις οὗ γάμων ἐγένοντο συνθῆκαι. καὶ διάδημα πέμψας αὐτῇ, βασίλισσαν ἀνηγόρευ-
σεν. αὕτη καὶ παρὰ τὸν ἄλλον χρόνον, ἀνιαρῶς εἶχε καὶ ἀπεθρήνει τὴν τοῦ σώματος εὐμορφίαν, ὡς δε-
σπότην μὲν ἀντ' ἀνδρὸς αὐτῇ, φρουρὰν δὲ βαρβάρων, ἀντὶ γάμου καὶ οἴκου προξενήσασαν, πόρρω δέ-
που τῆς ἑλλάδος ἀπῳκισμένη, τοῖς ἐλπισθεῖσιν ἀγαθοῖς, ὄναρ σύνεστι, τῶν δ' ἀληθινῶν ἐκείνων ἀπεστέ-
ρηται. καὶ δὴ τοῦ βακχίδου παραγενομένου, καὶ προστάξαντος αὐταῖς ἀποθνήσκειν ὡς ἑκάστῃ δοκοίη
ῥᾷστον εἶναι καὶ ἀλυπότατον, περισπάσασα τῆς κεφαλῆς τὸ διάδημα, τῷ τραχήλῳ περιῆψε καὶ ἀ-
νήρτησεν ἑαυτήν, ταχὺ δ' ἀπορραγέντος ὦ κατηραμένον ἔφη ῥάκος, οὐδὲ πρὸς τοῦτό μοι χρήσιμον ἔσῃ,
κἀκεῖνο μὲν ἀπέρριψε προσπτύσασα, τῷ δὲ βακχίδῃ τὴν σφαγὴν παρεῖχεν. ἡ δὲ βερενίκη κύλικα
φαρμάκου λαβοῦσα, τῆς μητρὸς αὐτῇ παρούσης καὶ δεομένης, μετέδωκε. καὶ συνεξέπιον μὲν ἀμφό-
τεραι, ἤρκεσε δὲ ἡ τοῦ φαρμάκου δύναμις, εἰς τὸ ἀσθενέστερον σῶμα. τὴν δὲ βερενίκην οὐχ ὅσον ἔδει
πιοῦσαν, οὐκ ἀπήλλαξεν, ἀλλὰ δυσθανατοῦσαν, τοῦ βακχίδου σπεύδοντος, ἀπεπνίγη. λέγεται δὲ καὶ τῶν
ἀγάμων ἀδελφῶν ἐκείνων, τὴν μὲν, ἐπαρωμένην πολλὰ καὶ λοιδοροῦσαν, ἐκπιεῖν τὸ φάρμακον. τὴν
δὲ στάτειραν, οὔτε δύσφημόν τι φθεγξαμένην, οὔτ' ἀγεννές, ἀλλ' ἐπαινοῦσαν τὸν ἀδελφόν, ὅτι περὶ τοῦ
σώματος κινδυνεύων, οὐκ ἠμέλησεν αὐτῶν ἀλλὰ προὐνόησεν ἐλευθέρας καὶ ἀνυβρίστους ἀποθανεῖν.
ταῦτα μὲν οὖν φύσει χρηστὸν ὄντα καὶ φιλάνθρωπον ἠνία τὸν λούκουλλον. ἐλάσας δ' ἄχρι ταλαύρων,
ἦλθεν. ἡμέρᾳ δὲ τετάρτῃ πρότερον ἠφθάκει μιθριδάτης εἰς ἀρμενίαν πρὸς τιγράνην πεφευγὼς ἀπο- ἰφθάκει s. k.
τρέπεται. καταστρεψάμενος δὲ χαλδαίους καὶ τιβαρηνούς, καὶ τὴν μικρὰν ἀρμενίαν παραλαβὼν,
καὶ φρούρια καὶ πόλεις παραστησάμενος, ἄππιον μὲν ἔπεμψε πρὸς τιγράνην, ἐξαιτῶν μιθριδάτην,
αὐτὸς δ' ἧκε πρὸς ἀμισὸν ἔτι πολιορκουμένην. αἴτιος δ' ἦν καλλίμαχος ὁ στρατηγὸς ἐμπειρίᾳ μηχα-
νικῆς παρασκευῆς καὶ δεινότητι πανουργίας, ὅσην πολιορκία δέχεται, πλεῖστα λυπήσας ῥωμαίους.
ὧν ὕστερον ἔδωκε δίκην. τότε δ' ὑπὸ λουκούλλου καταστρατηγηθεὶς, ὑφ' ἣν ἔθος εἶχεν ὥραν τῆς ἡμέ-
ρας ἀπάγειν καὶ ἀναπαύειν τοὺς στρατιώτας, ἐν ἐκείνῃ προσβαλόντος ἀφνιδίως, καὶ κατασχόντος οὐ
πολὺ μέρος τοῦ τείχους, αὐτὸς ἐκλιπὼν τὴν πόλιν, ὑφῆψεν. εἴτε φθονῶν ὠφεληθῆναι ῥωμαίοις, εἴ-
τε ῥαστώνην φυγῆς ἑαυτῷ μηχανώμενος. οὐδεὶς γὰρ ἐφρόντιζε τῶν ἐκπλεόντων. ἀλλὰ καὶ ὡς ἡ φλὸξ
ἀναδραμοῦσα πολλή, τὰ τείχη περιέσχεν. καὶ οἱ μὲν στρατιῶται παρεσκευάζοντο πρὸς ἁρπαγήν.
ὁ δὲ λούκουλλος οἰκτείρων ἀπολλυμένην τὴν πόλιν, ἔξωθεν ἐβοήθει πρὸς τὸ πῦρ, καὶ σβεννύναι πα-
ρεκάλει. μηδενὸς αὐτῷ προσέχοντος, ἀλλ' ἐξαιρουμένων τὰ χρήματα. καὶ μετὰ βοῆς, ὅπλα κρουόν-
των. ἕως ἐκβιασθεὶς, ἐπέτρεψεν, ὡς αὐτήν γε τὴν πόλιν, ἐξαιρησόμενος τοῦ πυρός. οἱ δὲ, τοὐναντίον
ἔπραξαν. πάντα γὰρ ἐξερευνῶντες ὑπὸ λαμπάδων καὶ πανταχοῦ φῶς περιφέροντες, αὐ-
τοὶ τὰ πλεῖστα τῶν οἰκημάτων καθεῖλον. ὥστε τὸν λούκουλλον, εἰσελθόντα μεθ' ἡμέραν καὶ δακρύ-
σαντα πρὸς τοὺς φίλους εἰπεῖν, ὡς πολλάκις ἤδη σύλλαν μακαρίσας, μάλιστα τῇ σήμερον ἡμέρᾳ, τὴν
τ' ἀνδρὸς εὐτυχίαν θαυμάσειεν, ὅτι σῶσαι βουληθεὶς ἐδυνήθη τὰς ἀθήνας. ἐμὲ δ' ἔφη τούτου ζηλω-
τὴν γενόμενον, εἰς τὴν μομμίου δόξαν ὁ δαίμων περιέστησεν. οὐ μὴν ἀλλ' ἐκ τῶν παρόντων, ἀνα-
λαμβάνειν ἐπειρᾶτο τὴν πόλιν. καὶ τὸ μὲν πῦρ, ὄμβροι κατέσβεσαν ἔκ τινος θείας τύχης περὶ τὴν
ἅλωσιν αὐτῆς, συμπεσόντες. τὰ δὲ πλεῖστα τῶν ἀπολωλότων, αὐτὸς ἔτι παρὼν ἀνῳκοδόμησε. καὶ
τοὺς φεύγοντας ἀμισηνῶν, ἐδέξατο. καὶ τῶν ἄλλων ἑλλήνων κατῴκισε τοὺς βουλομένους. εἴκοσι καὶ κατῴκησε s. π. k.
ἑκατὸν σταδίων χώραν προσορίσας. ἦν δ' ἡ πόλις ἀθηναίων ἄποικος, ἐν ἐκείνοις ἄρα τοῖς καιροῖς ἐν οἷς
ἤκμαζεν ἡ δύναμις αὐτῶν, καὶ κατεῖχε τὴν θάλασσαν, οἰκισθεῖσα. καὶ δὴ γὰρ, τῶν τὴν ἀρι-
στίωνος τυραννίδα βουλομένων φεύγειν, εἰσπλεύσαντες αὐτοῦ κατῴκουν, καὶ μετεῖχον τῆς πολι-
τείας. οἷς συνέβη τὰ οἰκεῖα διαφεύγουσιν ἀπολαῦσαι τῶν ἀλλοτρίων. ἀλλὰ τούς γε σωθέντας
αὐτῶν ὁ λούκουλλος ἀμφιέσας καλῶς, καὶ διακοσίας ἑκάστῳ δραχμὰς ἐπιδοὺς ἀπέστειλε. τότε
καὶ τυραννίων ὁ γραμματικὸς ἑάλω. μουρήνας δ' αὐτὸν ἐξῃτήσατο. καὶ λαβὼν, ἀπηλευθέρωσεν,

στεύσας δ' ὁ λούκουλλος ἅμα τῇ νυκτὶ πυρὰ καύσας, ἐκίνει. καὶ τὰ στενὰ παρελθὼν ἀσφαλῶς τὸ χωρίον εἶχε. καὶ μεθ' ἡμέραν ὑπερεφαίνετο τῶν πολεμίων, ἱδρύων τὸν στρατὸν ἐν τόποις, οἳ μάχεσθαι βουλομένῳ, προσαγωγὴν ἐδίδοσαν. καὶ τὸ μὴ βιασθῆναι, παρεῖχον ἡσυχάζοντι. γνώμην μὲν οὖν οὐδέτεροι εἶχον ἔν γε τῷ παρόντι διακινδυνεύειν. ἔλαφον δὲ λέγεται τῶν βασιλικῶν διωκόντων, ὑποτεμνομένους ἀπαντῆσαι τοὺς ῥωμαίους. ἐκ δὲ τούτου, συμπεσόντας ἀγωνίζεσθαι, πλειόνων ἑκατέροις ἀεὶ προσγινομένων. τέλος δ' ἐνίκων οἱ βασιλικοί, καὶ τὴν φυγὴν ἐκ τοῦ χάρακος οἱ ῥωμαῖοι καθορῶντες, ἤσχαλλον, καὶ συνέτρεχον πρὸς τὸν λούκουλλον, ἄγειν σφᾶς δεόμενοι, καὶ σύνθημα πρὸς τὴν μάχην αἰτοῦντες. ὁ δὲ, βουλόμενος αὐτοὺς μαθεῖν ἡλίκον ἐστὶν ἐν ἀγῶνι πολέμου καὶ κινδύνου παρουσία καὶ ὄψις ἡγεμόνος ἔμφρονος. ἐκείνους μὲν ἡσυχίαν ἄγειν ἐκέλευσεν, αὐτὸς δὲ κατέβαινεν εἰς τὸ πεδίον, καὶ τοῖς πρώτοις ἀπαντήσας τῶν φευγόντων, ἵστασθαι προσέταξε καὶ ἀναστρέφειν μετ' αὐτοῦ. πειθομένων δὲ τούτων, καὶ οἱ λοιποὶ μεταβαλλόμενοι καὶ συστάντες, ὀλίγῳ πόνῳ τρέπονται τοὺς πολεμίους. καὶ καταδιώκουσιν εἰς τὸ στρατόπεδον. ἐπανελθὼν δὲ λούκουλλος, ἀτιμίαν τινὰ τοῖς φυγοῦσι νενομισμένην, προσέβαλε. κελεύσας ἐν χιτῶσιν ἀζώστοις, ὀρύξαι δωδεκάποδον τάφρον, ἐφεστώτων καὶ θεωμένων τῶν ἄλλων στρατιωτῶν. ἦν δέ τις ἐν τῷ μιθριδάτου στρατοπέδῳ δανδαρίων δυνάστης, ὀλθακός. γένος δ' εἰσὶν οἱ δανδάριοι, βαρβάρων τῶν περὶ τὴν μαιῶτιν οἰκούντων. ἀνὴρ ὅσα χειρὸς ἔργα, καὶ τόλμης ἐν πολέμῳ, διαπρεπὴς ἅπαντα, καὶ γνώμην ἱκανὸς ἐν τοῖς μεγίστοις, ἔτι δ' ἐμμελὴς ὁμιλῆσαι καὶ θεραπευτικός. οὗτος ἔχων ἀεὶ πρός τινα τῶν ὁμοφύλων δυναστῶν ἅμιλλαν ὑπὲρ πρωτείων καὶ ζηλοτυπίαν, ὑπέσχετο τῷ μιθριδάτῃ μέγα ἔργον, ἀποκτενεῖν λούκουλλον. ἐπαινέσαντος δὲ τοῦ βασιλέως, καί τινας αὐτῷ προσβαλόντος ἐπίτηδες ἀτιμίας εἰς προσποίησιν ὀργῆς, ἀφιππάσατο πρὸς λούκουλλον, ὁ δ' ἀσμένως ἐδέξατο. λόγος γὰρ ἦν αὐτοῦ πολὺς ἐν τῷ στρατοπέδῳ. καὶ ταχὺ πειρώμενος, ἠσπάζετο τήν τε ἀγχίνοιαν αὐτοῦ καὶ τὸ λιπαρές, ὥστε τραπέζης καὶ συνεδρίου ποτὲ ποιεῖσθαι κοινωνόν. ἐπεὶ δ' ἔδοξε καιρὸν ἔχειν ὁ δανδάριος, τὸν μὲν ἵππον ἔξω τοῦ χάρακος ἐκέλευσε προαγαγεῖν τοὺς παῖδας. αὐτὸς δὲ μεσημβρίας οὔσης καὶ τῶν στρατιωτῶν ἐνδιαζόντων καὶ ἀναπαυομένων, ἐβάδιζεν ἐπὶ τὴν στρατηγικὴν σκηνήν, ὡς οὐδενὸς κωλύσοντος εἰσελθεῖν, ἄνδρα συνήθη καὶ λόγους τινὰς ἀξίους σπουδῆς τῷ στρατηγῷ κομίζειν φάσκοντα. κἂν εἰσῆλθεν ἀδεῶς, εἰ μὴ ὁ πολλοὺς ἀνῃρηκὼς στρατηγοὺς ὕπνος, λούκουλλον ἔσωσεν. ἐτύγχανε γὰρ καθεύδων, καὶ μενέδημος εἷς τῶν κατευναστῶν παρὰ ταῖς θύραις ἑστώς, οὐκ ἔφη κατὰ καιρὸν ἥκειν τὸν ὀλθακόν, ἄρτι λουκούλλου πρὸς ἀνάπαυσιν ἐκ μακρᾶς ἀγρυπνίας καὶ πόνων τοσούτων, δεδωκότος ἑαυτόν. ἐπεὶ δ' οὐκ ἀπῄει κελεύοντος, ἀλλ' ἔφη κωλύοντος εἰσελεύσεσθαι περὶ πράγματος ἀναγκαίου καὶ μεγάλου διαλεχθῆναι βουλόμενος, ἤδη πρὸς ὀργὴν ὁ μενέδημος εἰπών, μηδὲν ἀναγκαιότερον τοῦ σώζεσθαι λούκουλλον, ἀπέωσε τὸν ἄνθρωπον ἀμφοτέραις ταῖς χερσίν. ὁ δὲ, δείσας, ὑπεξῆλθε τοῦ χάρακος, καὶ λαβὼν τὸν ἵππον, ἀπήλασεν εἰς τὸ μιθριδάτου στρατόπεδον, ἄπρακτος. οὕτως ἄρα καὶ τοῖς πράγμασιν ὁ καιρὸς ὥσπερ τοῖς φαρμάκοις τὴν σώζουσαν καὶ τὴν ἀναιροῦσαν ῥοπὴν προστίθησιν. ἐκ τούτου σωρνάτιος μὲν, ἐπὶ σίτου κομιδὴν ἐπέμφθη μετὰ δέκα σπειρῶν, καὶ καταδιωχθεὶς ὑπὸ μενάνδρου τῶν μιθριδάτου στρατηγῶν ἀντέστη. καὶ συμβαλών, φόνον ἐποίησε πολὺν καὶ τροπὴν τῶν πολεμίων. αὖθις δὲ πεμφθέντος ἀδριανοῦ μετὰ δυνάμεως, ὅπως ἐκ περιουσίας ἔχωσιν οἱ στρατιῶται σῖτον, οὐ περιεῖδε μιθριδάτης, ἀλλ' ἀπέστειλε μενέμαχον καὶ μύρωνα. πολλῶν μὲν ἱππέων. πολλῶν δὲ πεζῶν ἡγουμένους. οὗτοι πάντες ὡς λέγεται πλὴν δυοῖν, κατεκόπησαν ὑπὸ τῶν ῥωμαίων. καὶ μιθριδάτης μὲν, ἔκρυπτε τὴν συμφοράν. ὡς οὐ τοσαύτην οὖσαν, ἀλλὰ μικράν, προσκεκρουκότων ἀπειρίᾳ τῶν στρατηγῶν. ἀδριανὸς δὲ λαμπρῶς παρημείβετο τὸ στρατόπεδον, πολλὰς κατάγων ἁμάξας, σίτου καὶ λαφύρων γεμούσας. ὥστε δυσθυμίαν μὲν αὐτῷ, ταραχὴν δὲ καὶ φόβον ἀμήχανον ἐμπεσεῖν τοῖς στρατιώταις. ἐδέδοκτο μὲν οὖν μηκέτι μένειν. ἐπεὶ δὲ προεξέπεμπον οἱ βασιλικοὶ τὰ σφέτερα χρήματα καθ' ἡσυχίαν, τοὺς δ' ἄλλους ἐκώλυον, ἤδη καὶ πρὸς ὀργὴν ἐπὶ τὰς ἐξόδους ὠθούμενοι καὶ βιαζόμενοι, τὰ μὲν χρήματα ἥρπαζον, αὐτοὺς δὲ ἀπέσφαττον. ὅπου καὶ δορύλαος στρατηγὸς οὐδὲν ἕτερον ἔχον, ἢ τὴν πορφύραν περὶ αὐτόν, ἀπώλετο διὰ ταύτην. ἑρμαῖος δὲ ὁ θύτης, κατεπατήθη περὶ τὰς πύλας. αὐτὸς δ' ὁ μιθριδάτης οὔτε ὀπαδοῦ τινός, οὔτε ἱπποκόμου παραμείναντος αὐτῷ, συνεξέπεσεν ἀπὸ τοῦ στρατοπέδου, τοῖς πολλοῖς ἀναμεμιγμένος. οὐδ' ἵππου τῶν βασιλικῶν εὐπορήσας. ἀλλ' ὀψέ που κατιδὼν αὐτὸν ἐν τῷ ῥεύματι τῆς τροπῆς ἐκείνης διαφερόμενον πτολεμαῖος ὁ εὐνοῦχος, ἵππον ἔχων, αὐτὸς ἀπεπήδησε καὶ παρέσχεν. ἤδη γὰρ αὐτὸν οἱ ῥωμαῖοι κατεῖχον ἐπικείμενοι. καὶ τάχει μὲν οὐκ ἀπελείποντο τοῦ λαβεῖν αὐτόν, ἀλλ' ἦλθον ἔγγιστα τούτου. φιλοπλουτία δὲ καὶ μικρολογία στρατιωτικὴ τὸ πολλοῖς ἀγῶσι καὶ μεγάλοις κινδύνοις διωκόμενον ἐκ μακροῦ θήραμα, ῥωμαίους ἀφείλετο. καὶ λούκουλλον ἀπεστέρησε νικῶντα τῶν ἐπάθλων. ἦν μὲν γὰρ ἐν ἐφικτῷ τῆς διώξεως ὁ ὑποφέρων τὸν ἄνδρα ἵππος, ἡμιόνου δὲ τῶν τὸ χρυσίον κομιζόντων μεταξὺ τοῦ βασιλέως, εἴτ' ἀπὸ ταὐτομάτου παρεμπεσόντος, εἴτε τοῦ βασιλέως ἐπίτηδες ἐμβαλόντος αὐτὸν εἰς τοὺς διώκοντας, ἁρπάζοντες καὶ συλλέγοντες τὸ χρυσίον καὶ δια-

γὰρ ἔτι περὶ βιθυνίαν εὑρήσειν αὐτὸν ὑπὸ βοκωνίου φρουρούμενον, ὃν αὐτὸς ἐνστησόμενον τῇ φυγῇ μετὰ νεῶν ἀπεστάλκει πρὸς νικομήδειαν. ἀλλὰ βοκώνιος μὲν ἐν σαμοθράκῃ μυούμενος καὶ πανηγυρίζων, καθυστέρησε. μιθριδάτην δὲ ἀναχθέντα μετὰ τοῦ στόλου, σπεύδοντα πρὶν ἐπιστρέφειν λούκουλλον εἰς τὸν πόντον εἰσπλεῦσαι, καταλαμβάνει χειμὼν πολὺς, ὑφ' οὗ τὰ μὲν, ἀφηρπάγη τὰ δ' ἐβυθίσθη τῶν σκαφῶν. πᾶσα δ' ἡ παραλία τῶν ναυαγίων ἐκφερομένων ὑπὸ τοῦ κλύδωνος, ἐπὶ πολλὰς ἡμέρας ἦν περίπλεως. αὐτὸς δὲ τῆς ὁλκάδος ἐφ' ἧς ἔπλει, μήτε πρὸς τὴν γῆν, εὐπαρακομίστου διὰ μέγεθος ἐν σάλῳ μεγάλῳ καὶ κύματι τυφλῷ παρισταμένης τοῖς κυβερνήταις. πρός τε τὴν θάλασσαν ἤδη βαρείας καὶ ὑπεράντλου γενομένης, μετεμβὰς εἰς λῃστρικὸν μυοπάρωνα, καὶ τὸ σῶμα πειραταῖς ἐγχειρίσας ἀνελπίστως καὶ παραβόλως, εἰς τὴν ποντικὴν ἡράκλειαν ἐξεσώθη. λουκούλλῳ δ' ἀνεμέσητος ἡ πρὸς τὴν σύγκλητον ἀπέβη φιλοτιμία. ψηφιζομένης γὰρ αὐτῆς πρὸς τὸν πόλεμον ἀπὸ τρισχιλίων ταλάντων ἐξαρτύεσθαι ναυτικὸν ἐκώλυσε πέμψας γράμματα καὶ μεγαληγορήσας, ὡς ἄνευ δαπάνης. καὶ τοσαύτης παρασκευῆς, ταῖς τῶν συμμάχων ναυσὶ, μιθριδάτην ἐκβαλεῖν τῆς θαλάττης. καὶ τοῦτο ὑπῆρξεν αὐτῷ τοῦ θεοῦ συναγωνισαμένου. λέγεται γὰρ ἀρτέμιδος χόλῳ πριαπίνης, ὁ χειμὼν ἐμπεσεῖν τοῖς ποντικοῖς συλήσασιν αὐτοῖς τὸ ἱερὸν καὶ τὸ ξόανον ἀνασπάσασι. πολλῶν δὲ, λουκούλλῳ παραινούντων ἀναβάλλεσθαι τὸν πόλεμον, οὐ φροντίσας ἐνέβαλε διὰ βιθυνίας καὶ γαλατίας εἰς τὴν βασιλικήν. ἐν ἀρχῇ μὲν ἐνδεὴς τῶν ἀναγκαίων, ὥς τε γαλάτας ἕπεσθαι τρισμυρίους, ἕκαστον ἐπὶ τῶν ὤμων, κομίζοντα σίτου μέδιμνον. προϊὼν δὲ καὶ κρατῶν ἁπάντων, εἰς τοσαύτην ἦλθεν εὐπορίαν, ὥς τε τὸν μὲν βοῦν, ἐν στρατοπέδῳ, δραχμῆς. τὸ δὲ ἀνδράποδον, τεττάρων ὤνιον εἶναι. τὴν δ' ἄλλην λείαν, ἐν οὐδενὶ λόγῳ. τοὺς μὲν, ἀπολείπειν. τοὺς δὲ, ἀναλίσκειν. διάθεσις γὰρ ἦν οὐδενὸς πρὸς οὐδένα, πάντων εὐπορούντων, ἀλλ' ὅσον φθεῖραι καὶ κακῶσαι τὴν χώραν, ἱππασάμενοι καὶ καταδραμόντες ἄχρι θεμισκύρας, καὶ τῶν περὶ θερμώδοντα πεδίων, ᾐτιῶντο τὸν λούκουλλον, ὅτι πάσας προσάγεται τὰς πόλεις. κατὰ κράτος δὲ οὐδὲ μίαν ᾕρηκεν, οὐδὲ παρέσχηκεν αὐτοῖς ὠφεληθῆναι διαρπάσασιν. ἀλλὰ καὶ νῦν ἔφασαν ἀμισὸν πόλιν εὐδαίμονα καὶ πλουσίαν, οὐ μέγα ὂν ἔργον εἴ τις ἐντείναι τὴν πολιορκίαν, κατασχεῖν ἀπολιπόντας ἡμᾶς, ἄγει περὶ τὴν τιβαρηνῶν καὶ χαλδαίων ἐρημίαν, μιθριδάτῃ πολεμήσοντας. ἀλλὰ ταῦτα μὲν οὐκ ἂν ὁ λούκουλλος ἐλπίσας εἰς τοσοῦτον ἀπονοίας τοὺς στρατιώτας παραγαγεῖν, ὅσον ὕστερον ἐξέφηνεν, ὑπερεώρα καὶ οὐκ ἐφρόντιζεν. ἐκείνοις δ' ἀπελογεῖτο μᾶλλον, οἳ βραδυτῆτα κατηγόρουν αὐτοῦ διατρίβοντος ἐνταῦθα περὶ κώμας καὶ πόλεις, οὐ πολλοῦ τινὸς ἀξίας πολὺν χρόνον, ἐῶντος δ' αὔξεσθαι μιθριδάτην. αὐτὸ γὰρ ἔφη τοῦτο καὶ βούλομαι καὶ κάθημαι τεχνάζων, μέγαν αὖθις γενέσθαι τὸν ἄνδρα καὶ συναγαγεῖν αὐτὸν ἀξιόμαχον δύναμιν, ἵνα μένῃ καὶ μὴ φύγῃ προσιόντας ἡμᾶς. ἢ οὐχ ὁρᾶτε πολλὴν μὲν αὐτῷ καὶ ἀτέκμαρτον ἐρημίαν ὀπίσω παροῦσαν. ἐγγὺς δὲ ὁ καύκασος καὶ ὄρη πολλὰ καὶ βαθέα, καὶ μυρίους βασιλεῖς φυγομαχοῦντας ἀρκοῦντα κατακρύψαι καὶ περισχεῖν. ὀλίγων δ' ἡμερῶν ὁδὸς εἰς ἀρμενίαν ἐκ καβείρων. καὶ ὑπὲρ ἀρμενίας κάθηται τιγράνης, βασιλεὺς βασιλέων. ἔχων δύναμιν ᾗ πάρθους τε περικόπτει τῆς ἀσίας. καὶ πόλεις ἑλληνίδας εἰς μηδίαν ἀνακομίζει. καὶ συρίας κρατεῖ καὶ παλαιστίνης. καὶ τοὺς ἀπὸ σελεύκου βασιλεῖς ἀποκτιννύει. θυγατέρας δ' αὐτῶν ἄγει καὶ γυναῖκας ἀνασπάστους. οὗτος, οἰκεῖός ἐστι μιθριδάτου καὶ γαμβρός. οὐ περιόψεται δὴ αὐτὸν ἱκέτην ὑποδεξάμενος. ἀλλὰ πολεμήσει πρὸς ἡμᾶς. καὶ σπεύδοντες ἐκβάλλειν μιθριδάτην, κινδυνεύσομεν ἐπισπάσασθαι τιγράνην, πάλαι μὲν αἰτίας δεόμενον ἐφ' ἡμᾶς, εὐπρεπεστέρας δὲ οὐκ ἂν λαβόντα τῆς ὑπὲρ ἀνδρὸς οἰκείου καὶ βασιλέως ἀναγκασθέντος ὑποσυργεῖν αὐτῷ. τί οὖν δεῖ τοῦθ' ἡμᾶς ἐξεργάσασθαι. καὶ διδάξαι μιθριδάτην ἀγνοοῦντα, μεθ' ὧν ἐστιν αὐτῷ πρὸς ἡμᾶς πολεμητέον, καὶ μὴ βουλόμενον, ἀλλ' ἀδοξοῦντα, συνελαύνειν ἐπὶ τὰς τοῦ τιγράνου χεῖρας. ἀλλ' οὐχὶ δόντας αὐτῷ χρόνον ἐκ τῶν οἰκείων παρασκευάσασθαι, καὶ ἀναθαρρῆσαι, κόλχοις καὶ τιβαρηνοῖς καὶ καππάδοξιν ὧν πολλάκις κεκρατήκαμεν, μάχεσθαι μᾶλλον, ἢ μήδοις καὶ ἀρμενίοις. ἐπὶ τοιούτων λογισμῶν γενόμενος ὁ λούκουλλος, περί τε τὴν ἀμισὸν διέτριψε μαλακῶς τῇ πολιορκίᾳ χρώμενος. καὶ μετὰ χειμῶνα μουρήναν ἀπολιπὼν ἐπὶ τῆς πολιορκίας, ἐβάδιζεν ἐπὶ μιθριδάτην καθήμενον ἐν καβείροις, καὶ διανοούμενον ὑφίστασθαι τοὺς ῥωμαίους ἠθροισμένης αὐτῷ δυνάμεως εἰς τετρακισμυρίους πεζοὺς, ἱππεῖς δὲ τετρακισχιλίους, οἷς ἐθάρρει μάλιστα. καὶ διαβὰς τὸν λύκον ποταμὸν, εἰς τὸ πεδίον προυκαλεῖτο τοὺς ῥωμαίους. γενομένης δ' ἱππομαχίας, ἔφυγον οἱ ῥωμαῖοι. πομπώνιος δ' ἀνὴρ οὐκ ἄδοξος, ἑάλω τετρωμένος, καὶ πρὸς τὸν μιθριδάτην ἀνήχθη κακῶς ὑπὸ τραυμάτων διακείμενος. πυθομένου δὲ τοῦ βασιλέως, εἰ σωθεὶς ὑπ' αὐτοῦ γένοιτ' ἂν φίλος. ἄν γε δὴ ἔφη ῥωμαίοις διαλλαγῇς. εἰ δὲ μὴ πολέμιος. τοῦτον μὲν θαυμάσας ὁ μιθριδάτης, οὐκ ἠδίκησε. τοῦ δὲ λουκούλλου τὰ μὲν πεδία τῶν πολεμίων ἱπποκρατούντων, δεδιότος, τὴν δ' ὀρεινὴν ὀκνοῦντος προϊέναι, μακρὰν καὶ ὑλώδη καὶ δύσβατον οὖσαν, ἁλίσκονταί τινες κατὰ τύχην ἕλληνες, εἰς σπήλαιον καταφυγόντες. ὧν ὁ πρεσβύτερος ἀρτεμίδωρος ὑπέσχετο τὸν λούκουλλον ἄξειν καὶ καταστήσειν ἐπὶ τόπῳ ἀσφαλεῖ τῷ στρατοπέδῳ, καὶ φρούριον ἔχοντι τοῖς καβείροις ἐπικρεμάμενον. τα

ἐντείνας. s. R. T. q.

τὰς ἐπιβάσεις, ἔλαθον δὲ νυκτὸς διαπράξαντες καὶ παρεισῆλθον εἰς τὴν πόλιν. ἔοικε δὲ καὶ τὸ θεῖον ἐπιθαῤῥῦναι τοὺς Κυζικηνοὺς, ἀγασθὲν αὐτῶν τὴν ἀνδραγαθίαν, ἄλλοις τε σημείοις ἐναργέσι, καὶ τῆς τῶν Φερεφαττίων ἑορτῆς ἐνεστώσης, οἱ μὲν ἠπόρουν βοὸς μελαίνης πρὸς τὴν θυσίαν, καὶ σταιτίνην πλάσαντες τῷ βωμῷ παρέστησαν. ἡ δ' ἱερὰ καὶ τρεφομένη τῇ θεῷ, νομὴν μὲν εἶχεν ὥσπερ τἆλλα βοτὰ τῶν Κυζικηνῶν ἐν τῇ περαίᾳ, κατ' ἐκείνην δὲ τὴν ἡμέραν ἀποκριθεῖσα τῆς ἀγέλης, μόνη διενήξατο πρὸς τὴν πόλιν καὶ κατέστησεν ἑαυτὴν ἐπὶ τὴν θυσίαν. ὄναρ δ' ἡ θεὸς Ἀρισταγόρᾳ τῷ τοῦ δήμου γραμματεῖ παραστᾶσα, καὶ μὴν ἔγωγε εἶπεν ἥκω τὸν Λιβυκὸν αὐλητὴν ἐπὶ τὸν Ποντικὸν σαλπικτὴν ἐπάγουσα. φράσον οὖν θαῤῥεῖν τοῖς πολίταις. θαυμαζόντων δὲ τὴν φωνὴν τῶν Κυζικηνῶν, ἅμ' ἡμέρᾳ σάλον εἶχεν ἡ θάλασσα κατιόντος ἀκραέος πνεύματος. αἵ τε μηχαναὶ τοῦ βασιλέως παρεστῶσαι τοῖς τείχεσιν, ἔργα θαυμαστὰ Νικωνίδου τοῦ Θεσσαλοῦ, ῥοίζῳ καὶ πατάγῳ πρῶτον ἀπεδήλουν τὸ μέλλον. εἶτα νότος ἐκραγεὶς ἄπιστος τὸ μέγεθος, τά τ' ἄλλα συνέτριψε μηχανήματα, ἐν ὥρας βραχεῖ μέρει, καὶ τὸν ξύλινον πύργον, ἑκατὸν πηχῶν ὕψος ὄντα, βίᾳ σείσας κατέβαλεν. ἱστορεῖ δὲ τῶν ἐν Ἰλίῳ πολλοῖς καθ' ὕπνον ὀφθῆναι τὴν Ἀθηνᾶν, ἱδρῶτι πολλῷ ῥεομένην καὶ ὑποφαίνουσάν τι τοῦ πέπλου παρεῤῥωγὸς, λέγουσαν, ὡς ἀρτίως ἥκοι βοηθήσασα Κυζικηνοῖς. καὶ στήλην τινὰ δόγματα καὶ γράμματα περὶ τούτων ἔχουσαν, ἐδείκνυον Ἰλιεῖς. Μιθριδάτην δὲ ἄχρι μὲν ὑπὸ τῶν ἑαυτοῦ στρατηγῶν φενακιζόμενος ἠγνόει τὸν ἐν τῷ στρατοπέδῳ λιμὸν, ἠνίων Κυζικηνοὶ διαφεύγοντες τὴν πολιορκίαν, ταχὺ δ' ἐξεῤῥύη τὸ φιλότιμον αὐτοῦ καὶ φιλόνεικον ἐν αἰσθήσει γενομένου τῶν ἀποριῶν, αἷς οἱ στρατιῶται συνείχοντο, καὶ τῶν ἀνθρωποφαγιῶν. ἅτε δὴ μὴ θεατρικῶς μηδ' ἐπιδεικτικῶς Λουκούλλου πολεμοῦντος, ἀλλὰ τοῦτο δὴ τὸ λεγόμενον, εἰς τὴν γαστέρα ἐναλλομένου. καὶ ὅπως ὑφαιρήσῃ τὴν τροφὴν ἅπαντα πραγματευομένου. διὸ καὶ φρούριόν τι πολιορκοῦντος αὐτοῦ τῷ καιρῷ χρήσασθαι σπεύδων ὁ Μιθριδάτης ἐξέπεμψεν εἰς Βιθυνίαν, τοὺς μὲν ἱππεῖς σχεδὸν ἅπαντας, μετὰ τῶν ὑποζυγίων, τῶν δὲ πεζῶν τοὺς ἀχρήστους. πυθόμενος δ' ὁ Λούκουλλος ἔτι νυκτὸς ἧκεν εἰς τὸ στρατόπεδον. πρωῒ δὲ χειμῶνος ὄντος ἀναλαβὼν σπείρας δέκα, καὶ τὴν ἵππον, ἐδίωκε νιφόμενος καὶ κακοπαθῶν, ὥστε πολλοὺς ὑπὸ κρύους ἐνδιδόντας ἀπολείπεσθαι τῶν στρατιωτῶν. τοῖς δ' ἄλλοις περὶ τὸν Ῥυνδακὸν ποταμὸν καταλαβὼν τοὺς πολεμίους τοσαύτην τροπὴν ἐποίησεν, ὥστε τὰς γυναῖκας ἐκ τῆς Ἀπολλωνίας, προερχομένας, ἁρπάζειν τὰ φορτία, καὶ σκυλεύειν τοὺς φονευομένους. πολλῶν δ' ὡς εἰκὸς ἀποθανόντων, ἑάλωσαν ἵπποι μὲν ἑξακισχίλιοι, καὶ πλῆθος ἀναρίθμητον ὑποζυγίων, ἄνδρες δὲ, μύριοι πεντακισχίλιοι. καὶ τούτους ἄγων πάντας, παρεξῆλθε παρὰ τὸ στρατόπεδον τῶν πολεμίων. Σαλουστίου δὲ θαυμάζω, τότε πρῶτον ὦφθαι Ῥωμαίοις καμήλους λέγοντος, εἰ μήτε πρότερον τοὺς μετὰ Σκιπίωνος νικήσαντας Ἀντίοχον ᾤετο, μήτε τοὺς ἔναγχος πρὸς Ὀρχομενῷ καὶ περὶ Χαιρώνειαν Ἀρχελάῳ μεμαχημένους, ἐγνωκέναι κάμηλον. ἀλλὰ τῷ γε Μιθριδάτῃ, φεύγειν μὲν ἔγνωστο τὴν ταχίστην, ἀνθελκὰς δὲ Λουκούλλῳ καὶ διατριβὰς ὀπίσω μηχανώμενος, ἔστελλε τὸν ναύαρχον Ἀριστόνικον ἐπὶ τὴν Ἑλληνικὴν θάλασσαν. καὶ ὅσον οὔπω μέλλοντος ἐκπλεῖν, ἐκ προδοσίας, ὁ Λούκουλλος ἐκυρίευσε μετὰ χρυσῶν μυρίων, οὓς ἐκόμιζε διαφθερῶν τι τοῦ Ῥωμαϊκοῦ στρατεύματος. ἐκ τούτου Μιθριδάτης μὲν ἔφυγεν ἐπὶ θάλασσαν. οἱ δὲ στρατηγοὶ πεζοὶ τὸν στρατὸν ἀπῆγον. ἐπιπεσὼν δὲ Λούκουλλος αὐτοῖς περὶ τὸν Γρανικὸν ποταμὸν, εἷλέ τε παμπόλλους, καὶ δισμυρίους ἀπέκτεινε. λέγονται δ' ἐκ τοῦ παντὸς ἀκολούθων τε καὶ μαχίμων ὄχλου, μυριάδες οὐ πολὺ δὴ τῶν τριάκοντα λείπουσαι διαφθαρῆναι. Λούκουλλος δὲ πρῶτον εἰς Κύζικον παρελθὼν, ἀπέλαυσεν ἡδονῆς καὶ φιλοφροσύνης πρεπούσης. ἔπειτα ναυτικὸν ἐξήρτυε τὸν Ἑλλήσποντον ἐπιπορευόμενος, εἰς δὲ Τρῳάδα καταχθεὶς, ἐσκήνωσε μὲν ἐν τῷ ἱερῷ τῆς Ἀφροδίτης, κατακοιμηθεὶς δὲ νύκτωρ, ἐδόκει τὴν θεὸν ὁρᾶν, ἐφεστῶσαν αὐτῷ καὶ λέγουσαν.

» τί κνώσσεις, μεγάθυμε λέον; νεβροὶ δέ τοι ἐγγύς. ἐξαναστὰς δὲ καὶ τοὺς φίλους καλέσας, διηγεῖτο τὴν ὄψιν, ἔτι νυκτὸς οὔσης. καὶ παρῆσαν ἐξ Ἰλίου τινὲς ἀπαγγέλλοντες, ὦφθαι περὶ τὸν Ἀχαιῶν λιμένα, τρεισκαίδεκα πεντήρεις τῶν βασιλικῶν, ἐπὶ Λῆμνον πλεούσας. εὐθὺς οὖν ἀναχθεὶς, τούτους μὲν εἷλε, καὶ τὸν στρατηγὸν αὐτῶν Ἰσίδωρον ἀπέκτεινεν. ἐπὶ δὲ τοὺς ἄλλους ἔπλει πρωρέας. (ἔπλει q.) οἱ δ' ἔτυχον ὁρμοῦντες, καὶ τὰ πλοῖα πάντα πρὸς τὴν γῆν συνέλκοντες, ἀπὸ τῶν καταστρωμάτων διεμάχοντο. καὶ πληγὰς ἐδίδοσαν τοῖς περὶ τὸν Λούκουλλον, οὔτε περιπλεῦσαι τοῦ χωρίου διδόντος, οὔτε βιάσασθαι ναυσὶ μετεώροις, τὰς τῶν πολεμίων προσηρεισμένας τῇ γῇ, καὶ βεβηκυίας ἀσφαλῶς. οὐ μὴν ἀλλὰ μόλις, ᾗ προσβολήν τινα ὕφαλος εἶχεν, (ἡ νῆσος) ἀποβιβάζει τῶν στρατιωτῶν τοὺς ἀρίστους, οἳ κατόπιν ἐπιπεσόντες τοῖς πολεμίοις, τοὺς μὲν διέφθειρον αὐτῶν. τοὺς δ' ἠνάγκαζον ἀποκόπτοντας τὰ πρυμνήσια τῶν νεῶν, καὶ φεύγοντας ἐκ τῆς γῆς, ἀλλήλοις τε συγκρούειν τὰ πλοῖα, καὶ ταῖς ἐμβολαῖς ταῖς περὶ τὸν Λούκουλλον, ὑποπίπτειν. πολλοὶ μὲν οὖν διεφθάρησαν. ἐν δὲ τοῖς ἁλοῦσιν ἀνήχθη καὶ Μάριος ὁ παρὰ Σερτωρίου στρατηγός. ἦν γὰρ ἑτερόφθαλμος. καὶ παρήγγελτο τοῖς στρατιώταις εὐθὺς ἐπιπλέουσιν ὑπὸ Λουκούλλου, μηδένα κτείνειν ἑτερόφθαλμον, ὅπως ἐξονειδισθεὶς καὶ καθυβρισθεὶς ἀποθάνοι. γενόμενος δ' ἀπὸ τούτων, ἠπείγετο πρὸς τὴν αὐτοῦ Μιθριδάτου δίωξιν. ἤλπιζε

γὰρ ἔτι

πρόσθεν νοσημάτων εἶχεν, ἀφόρητα πάσχουσαν ἀπὸ ῥωμαϊκῶν δανειστῶν καὶ τελωνῶν, οὓς ὕστερον μὲν ὡς ἅρπυίας τὴν τροφὴν ἁρπάζοντας αὐτῶν, ὁ λούκουλλος ἐξήλασε. τότε δὲ μετεώρους ἐπειρᾶτο νουθετῶν ποιεῖν. καὶ τὰς ἀποστάσεις κατέπαυε τῶν δήμων. οὐδενὸς ὡς ἔπος εἰπεῖν ἡσυχάζοντος. ὃν δὲ περὶ ταῦτα λούκουλλος ἠσχολεῖτο χρόνον, αὐτοῦ καιρὸν εἶναι νομίζων ὁ κόττας, παρεσκευάζετο μάχεσθαι πρὸς μιθριδάτην. καὶ πολλῶν ἀπαγγελλόντων ἤδη λούκουλλον ἐν φρυγίᾳ στρατοπεδεύειν ἐπιόντα, μονοὐκ ἐν ταῖς χερσὶν ἔχειν τὸν θρίαμβον οἰόμενος, ὡς μὴ μεταλάβοι λούκουλλος αὐτοῦ, συμβαλεῖν ἔσπευσε. πληγὰς δ' ἅμα καὶ κατὰ γῆν, καὶ κατὰ θάλατταν, ἑξήκοντα μὲν ἀπώλεσεν αὔτανδρα σκάφη. πεζοὺς δὲ τετρακισχιλίους. αὐτὸς δὲ κατακλεισθεὶς εἰς χαλκηδόνα καὶ πολιορκούμενος, εἰς τὰς λουκούλλου χεῖρας ἀπέβλεπεν. ἦσαν μὲν οὖν οἱ τὸν λούκουλλον ἀμελήσαντα κόττα, πρόσω χωρεῖν παρορμῶντες ὡς ἔρημον αἱρήσοντα τὴν μιθριδάτου βασιλείαν. καὶ μάλιστα τῶν στρατιωτῶν οὗτος ἦν ὁ λόγος ἀγανακτούντων, εἰ μὴ μόνον αὑτὸν ἀπολεῖ καὶ τοὺς σὺν αὐτῷ βουλευσάμενος κακῶς ὁ κόττας, ἀλλὰ καὶ σφίσιν ἐμποδὼν ἔσται, νικᾶν ἀμαχεὶ δυναμένοις. λούκουλλος δὲ, πρὸς μὲν τούτους δημηγορῶν, εἶπεν. ὡς ἕνα βούλοιτ' ἂν ἐκ πολεμίων σῶσαι ῥωμαῖον, ἢ πάντα λαβεῖν τὰ τῶν πολεμίων. ἀρχελάου δὲ τοῦ περὶ βοιωτίαν μιθριδάτῃ στρατηγήσαντος, εἶτ' ἀποστάντος καὶ ῥωμαίοις συστρατεύοντος, διαβεβαιουμένου, ὀφθέντα λούκουλλον ἐν πόντῳ πάντων ὁμοῦ κρατήσειν, οὐκ ἔφη δειλότερος εἶναι τῶν κυνηγῶν, ὥστε τὰ θηρία παρελθὼν ἐπὶ κενοὺς αὐτῶν τοὺς φωλεοὺς βαδίζειν. καὶ ταῦτ' εἰπὼν, ἐπὶ μιθριδάτην προῆγε. πεζοὺς μὲν ἔχων τρισμυρίους. ἱππεῖς δὲ, δισχιλίους πεντακοσίους. καταστὰς δ' εἰς ἔποψιν τῶν πολεμίων, καὶ θαυμάσας τὸ πλῆθος, ἐβούλετο μὲν ἀπέχεσθαι μάχης καὶ τρίβειν τὸν χρόνον. μαρίου δ' ὃν σερτώριος ἐξ ἰβηρίας ἀπεστάλκει μιθριδάτῃ μετὰ δυνάμεως στρατηγὸν, ἀπαντήσαντος αὐτῷ, καὶ προκαλουμένου, κατέστησεν εἰς τάξιν ὡς διαμαχούμενος. ἤδη δὲ ὅσον οὔπω συμφερομένων, ἀπ' οὐδεμιᾶς ἐπιφανοῦς μεταβολῆς, ἀλλ' ἐξαίφνης τοῦ ἀέρος ἀπορραγέντος, ὤφθη μέγα σῶμα φλογοειδὲς εἰς μέσον τῶν στρατοπέδων καταφερόμενον. τὸ μὲν σχῆμα, πίθῳ μάλιστα. τὴν δὲ χρόαν, ἀργύρῳ διαπύρῳ προσεοικὸς, ὥστε δείσαντας ἀμφοτέρους, τὸ φάσμα, διακριθῆναι. τοῦτο μὲν οὖν φασιν ἐν φρυγίᾳ περὶ τὰς λεγομένας ὀθρύας συμβῆναι τὸ πάθος. ὁ δὲ λούκουλλος οὐδεμιᾶς εἶναι νομίζων ἀνθρωπίνης παρασκευῆς, οὐδὲ πλούτου θρέψαι μυριάδας ἐπὶ πολὺν χρόνον ἀντικαθημένων πολεμίων, τοσαύτας, ὅσας εἶχε μιθριδάτης, ἐκέλευσεν ἀχθῆναι τῶν αἰχμαλώτων ἕνα. καὶ πρῶτον ἀνέκρινε, μεθ' ὅσων διαιτῷτο συσκηνῶν. ἔπειτα πόσον ἐν τῇ σκηνῇ καταλέλοιπε σῖτον. ἀποκριναμένου δὲ τἀνθρώπου, τὸν μὲν, ἐκέλευσε μεταστῆναι. δεύτερον δὲ καὶ τρίτον ὁμοίως ἀνέκρινε, εἶτα συνθεὶς τὸ τῆς παρεσκευασμένης τροφῆς πλῆθος, πρὸς τὸ τῶν τρεφομένων, ἔγνω τρισὶν ἢ τέσσαρσιν ἡμέραις ἐπιλείψοντα σῖτον τοὺς πολεμίους, καὶ πολὺ μᾶλλον εἴχετο τοῦ χρόνου, καὶ συνῆγεν εἰς τὸν χάρακα παμπληθῆ σῖτον, ὡς ἐν ἀφθόνοις διάγων αὐτὸς ἐφεδρεύειν ταῖς ἐκείνων ἀπορίαις. ἐν τούτῳ δὲ μιθριδάτης ἐπεβούλευε κυζικηνοῖς πεπληγόσιν ἐν τῇ περὶ καλχηδόνα μάχῃ. τρισχιλίους γὰρ ἄνδρας, καὶ δέκα ναῦς ἐστέρηντο. βουλόμενος οὖν λαθεῖν τὸν λούκουλλον, εὐθὺς ἀπὸ δείπνου, νύκτα δυσφαῆ καὶ νοτερὰν ἔχων, ἐκίνει. καὶ φθάνει τῆς πόλεως ἀντικρὺς, ἅμ' ἡμέρᾳ περὶ τὸ τῆς ἀδραστείας ὄρος ἱδρύσας τὴν δύναμιν. ὁ δὲ λούκουλλος αἰσθόμενος καὶ διώξας, ἠγάπησε μὲν οὐκ ἐμπεσὼν ἀσύντακτος εἰς τοὺς πολεμίους, καθίζει δὲ τὸν στρατὸν περὶ τὴν θρακίαν λεγομένην κώμην ἐν τόπῳ, κατὰ τῶν ὁδῶν ἄριστα πεφυκότι, καὶ τῶν χωρίων, ἀφ' ὧν καὶ δι' ὧν ἀναγκαῖον ἦν τοῖς μιθριδατικοῖς τὰ ἐπιτήδεια φοιτᾶν. διὸ καὶ περιλαβὼν τῇ διανοίᾳ τὸ μέλλον, οὐκ ἀπεκρύψατο τοὺς στρατιώτας, ἀλλ' ἅμα τῷ θέσθαι τὸ στρατόπεδον, καὶ ἀπὸ τῶν ἔργων γενέσθαι, συναγαγὼν αὐτοὺς, ἐμεγαληγόρησεν, ὡς ὀλίγων ἡμερῶν ἀναίμακτον τὸ νίκημα παραδώσων αὐτοῖς. κυζικηνοὺς δὲ μιθριδάτης, δέκα μὲν ἐκ γῆς στρατοπέδοις περιλαβὼν, ταῖς δὲ ναυσὶν ἐκ θαλάσσης τὸν ἀπὸ τῆς ἠπείρου διείργοντα τὴν πόλιν εὔριπον ἐμφράξας, ἑκατέρωθεν ἐπολιόρκει, τὰ μὲν ἄλλα διακειμένους πρὸς τὸν κίνδυνον εὐθαρσῶς, καὶ πᾶν ἕνεκα ῥωμαίων ἐγνωκότας ἐκδέχεσθαι δυσχερὲς, ἀγνοοῦντας δὲ ὅπη λούκουλλος εἴη, καὶ τῷ μηδὲν περὶ αὐτοῦ πεπύσθαι ταραττομένους. καίτοι, καταφανὴς ἦν ἡ στρατοπεδεία καὶ ἄποπτος, ἀλλ' ἀπὸ τῶν μιθριδατικῶν ἐξηπατῶντο. δεικνύντες γὰρ αὐτοῖς τοὺς ῥωμαίους ἄνω παραβεβληκότας, ὁρᾶτε τούτους ἔφασαν, ἀρμενίων στρατὸς οὗτος καὶ μήδων, τιγράνου μιθριδάτῃ καταπέμψαντος ἐπικουρίαν. οἱ δ' ἐξεπλήσσοντο, τοσούτου πολέμου περικεχυμένου, μηδ' εἰ παραγένοιτο λούκουλλος, χώραν ἔτι λελεῖφθαι βοηθείας ἐλπίζοντες. οὐ μὴν ἀλλὰ πρῶτος αὐτοῖς εἰσπεμφθεὶς ὑπ' ἀρχελάου, δημῶναξ, ἔφρασε τὴν τοῦ λουκούλλου παρουσίαν. τούτῳ δ' ἀπιστούντων, καὶ νομιζόντων αὐτὸν, τῶν παρόντων ἐπὶ παρηγορίᾳ πεπλασμένα λέγειν, ἧκε παιδάριον αἰχμάλωτον ἐκ τῶν πολεμίων ἀποδεδρακός. πυνθανομένων δ' αὐτῶν, ποῦ λέγοι τὸν λούκουλλον εἶναι, κατεγέλα, παίζειν αὐτοὺς οἰόμενον. ὡς δ' ἑώρα σπουδάζοντας, ἐσήμηνε τῇ χειρὶ τὸν χάρακα τῶν ῥωμαίων, οἱ δ' ἀνεθάρρησαν. τῆς δὲ δασκυλίτιδος λίμνης πλεομένης ἀκατίοις ἐπιεικῶς εὐμεγέθεσι, τὸ μέγιστον αὐτῶν ὁ λούκουλλος ἀνελκύσας, καὶ διαγαγὼν ἁμάξῃ πρὸς τὴν θάλατταν, ὅσους ἐχώρει στρατιώτας

μόνον οὐκ. ς. R.
πληγάς. ς. R.

νήσοις οὖσι καὶ διαπύροις πρὸς δόξαν. ὀλίγῳ δ' ὕστερον ἢ σύλλαν ἀποθανεῖν, ὑπάτευσε μετὰ μάρκου κόττα, περὶ τὴν ἕκτην καὶ ἑβδομηκοστὴν πρὸς ταῖς ἑκατὸν ὀλυμπιάδα. πολλῶν οὖν αὖθις ἀνακινούντων τὸν μιθριδατικὸν πόλεμον, ἔφη μάρκος αὐτὸν οὐ πεπαῦσθαι, ἀλλ' ἀναπεπαῦσθαι. διὸ καὶ λαχὼν τῶν ἐπαρχιῶν ὁ λούκουλλος τὴν ἐντὸς ἄλπεων γαλατίαν, ἤχθετο, πράξεων ὑποθέσεις μεγάλων οὐκ ἐχούσης. μάλιστα δ' αὐτὸν εὐδοκιμῶν πομπήϊος ἐν ἰβηρίᾳ παρώξυνεν ὡς ἄλλος οὐδεὶς, ἐπίδοξος ὢν εἰ συμβαίη παύσασθαι τὸν ἰβηρικὸν πόλεμον, εὐθὺς αἱρεθήσεσθαι στρατηγὸς ἐπὶ μιθριδάτην. διὸ καὶ χρήματα αἰτοῦντος αὐτοῦ, καὶ γράφοντος ὡς εἰ μὴ πέμποιεν, ἀφεὶς ἰβηρίαν καὶ σερτώριον, εἰς ἰταλίαν ἀπάξει τὰς δυνάμεις, συνέπραξεν ὁ λούκουλλος προθυμότατα, πεμφθῆναι τὰ χρήματα, καὶ μὴ δι' ἀφ' ἡντινοσοῦν προφάσεως ἐκεῖνον ἐπανελθεῖν, ὑπατεύοντος αὐτοῦ. πάντα γὰρ ἂν ὑπ' ἐκείνῳ γενήσεσθαι τὰ τῆς πόλεως, παρόντι μετὰ τοσαύτης στρατιᾶς. καὶ γὰρ ὁ κρατῶν τότε τῆς πολιτείας, τῷ πρὸς χάριν ἅπαντα καὶ λέγειν καὶ πράττειν, κέθηγος, ἔχθραν τινὰ πρὸς λούκουλλον εἶχε, βδελυττόμενον αὐτοῦ τὸν βίον, αἰσχρῶν ἐρώτων καὶ ὕβρεως καὶ πλημμελείας μεστὸν ὄντα. τοῦτον μὲν οὖν ἄντικρυς ἐπολέμει. λεύκιον δὲ κόϊντον ἄλλον δημαγωγὸν ἐπαναστάντα τοῖς σύλλα πολιτεύμασι, καὶ ταράττειν τὰ πράγματα πειρώμενον ἐκ τοῦ καθεστῶτος, ἰδίᾳ τε πολλὰ παραμυθούμενος, καὶ δημοσίᾳ νουθετῶν, ἀπέστησε τῆς πείρας, καὶ κατεστόρεσε τὴν φιλοτιμίαν ὡς ἐνῆν, μάλιστα πολιτικῶς καὶ σωτηρίως, ἀρχὴν νοσήματος μεγάλου μεταχειρισάμενος. ἐν τούτῳ δ' ὁ τὴν κιλικίαν ἔχων ὀκταούϊος ἠγγέλθη τεθνηκώς. σπαργώντων δὲ πολλῶν ἐπὶ τὴν ἐπαρχίαν, καὶ κέθηγον ὡς δυνατώτατον ὄντα διαπράξασθαι θεραπευόντων, αὐτῆς μὲν ὁ λούκουλλος κιλικίας, οὐ πολὺν εἶχε λόγον. οἰόμενος δ' εἰ λάβοι ταύτην ἐγγὺς οὔσης καππαδοκίας, ἄλλον οὐδένα πεμφθήσεσθαι πολεμήσοντα μιθριδάτην, πᾶσαν ἔστρεφε μηχανὴν, ὑπὲρ τοῦ μὴ προέσθαι τὴν ἐπαρχίαν ἑτέρῳ. καὶ τελευτῶν, ἔργον οὐ σεμνὸν οὐδ' ἐπαινετὸν, ἄλλως δ' ἀνύσιμον πρὸς τὸ τέλος, ἐκ τῆς ἀνάγκης ὑπέμεινε παρὰ τὴν ἑαυτοῦ φύσιν. πραικία τις ἦν ὄνομα, τῶν ἐφ' ὥρᾳ καὶ λαμυρίᾳ διαβοήτων ἐν τῇ πόλει. τὰ μὲν ἄλλα κρείττων οὐδὲν ἀνέδην ἑταιρούσης γυναικός. ἐκ δὲ τοῦ χρῆσθαι τοῖς ἐντυγχάνουσιν αὐτῇ καὶ διαλεγομένοις πρὸς τὰς ὑπὲρ τῶν φίλων σπουδὰς καὶ πολιτείας, προσλαβοῦσα τῇ λοιπῇ χάριτι, τὸ δοκεῖν φιλέταιρός τις εἶναι καὶ δραστήριος, ἴσχυσε μέγιστον. ὡς δὲ κέθηγον ἀνθοῦντα τῇ δόξῃ τότε καὶ φέροντα τὴν πόλιν ὑπηγάγετο, καὶ συνῆν ἐρῶντι, παντάπασιν εἰς ἐκείνην περιῆλθεν ἡ τῆς πόλεως δύναμις. οὐδὲ γὰρ ἐπράττετό τι δημοσίᾳ, κεθήγου μὴ σπουδάζοντος. οὐδὲ πραικίας μὴ κελευούσης παρὰ κεθήγῳ. ταύτην οὖν ὑπελθὼν δώροις ὁ λούκουλλος καὶ κολακείαις. ἦν δέ που καὶ τῷ λουκούλλῳ συμφιλοτιμουμένην ὁρᾶσθαι, μέγας γυναικὶ σοβαρᾷ καὶ πανηγυρικῇ μισθὸς, εὐθὺς εἶχε τὸν κέθηγον ἐπαινέτην, καὶ προμνώμενον αὐτῷ κιλικίαν. ἐπεὶ δ' ἅπαξ ἔτυχε ταύτης, οὐδὲν ἔτι πραικίαν οὐδὲ κέθηγον ἔδει παρακαλεῖν, ἀλλὰ πάντες ὁμαλῶς ἐκείνῳ φέροντες, ἐνεχείριζον τὸν μιθριδατικὸν πόλεμον, ὡς ὑφ' ἑτέρου μηδενὸς ἄμεινον διαπολεμηθῆναι δυνάμενον. πομπηΐου μὲν ἔτι σερτωρίῳ προσπολεμοῦντος. μετέλλου δ' ἀπειρηκότος ἤδη διὰ γῆρας. οὓς μόνους ἄν τις ἐνάμιλλους ἐποιήσατο λουκούλλου περὶ τῆς στρατηγίας ἀμφισβητοῦντας. οὐ μὴν ἀλλὰ κόττας ὁ συνάρχων αὐτοῦ, πολλὰ λιπαρήσας τὴν σύγκλητον, ἀπεστάλη μετὰ νεῶν, τὴν προποντίδα φυλάξων, καὶ προπολεμήσων βιθυνίας. λούκουλλος δὲ, τάγμα μὲν αὐτόθεν ἔχων συντεταγμένον ὑπ' αὐτοῦ, διέβαινεν εἰς τὴν ἀσίαν. ἐκεῖ δὲ, τὴν ἄλλην παρέλαβε δύναμιν. πάντων μὲν πάλαι τρυφαῖς διεφθορότων καὶ πλεονεξίαις. τῶν δὲ φιμβριανῶν λεγομένων καὶ διὰ συνήθειαν ἀναρχίας δυσμεταχειρίστων γεγονότων. οὗτοι γὰρ ἦσαν οἱ φλάκκον τε μετὰ φιμβρίου τὸν ὕπατον καὶ στρατηγὸν ἀνῃρηκότες. αὐτόν τε τὸν φιμβρίαν σύλλᾳ προδεδωκότες. αὐθάδεις μὲν ἄνθρωποι καὶ παράνομοι, μάχιμοι δὲ καὶ τλήμονες μετ' ἐμπειρίας πολέμου. οὐ μὴν ἀλλὰ βραχεῖ χρόνῳ, καὶ τούτων τὸ θράσος ὁ λούκουλλος ἐξέκοψε. καὶ τοὺς ἄλλους ἐπέστρεψε, τότε πρῶτον ὡς ἔοικε πειρωμένους ἄρχοντος ἀληθινοῦ καὶ ἡγεμόνος. ἄλλως δ' ἐδημαγωγοῦντο πρὸς ἡδονὴν ἐρεθιζόμενοι στρατεύεσθαι. τὰ δὲ τῶν πολεμίων, οὕτως εἶχε. μιθριδάτης, ὥσπερ οἱ πολλοὶ τῶν σοφιστῶν, κομπώδης ἐν ἀρχῇ καὶ σοβαρὸς ἐπὶ ῥωμαίους ἀναστὰς διακένῳ δυνάμει, λαμπρᾷ δὲ καὶ πανηγυρικῇ τὴν ὄψιν. εἶτ' ἐκπεσὼν καταγελάστως καὶ νουθετηθεὶς ὅτε τὸ δεύτερον πολεμεῖν ἔμελλεν, εἰς ἀληθινὴν καὶ πραγματικὴν συνέστελλε τὰς δυνάμεις παρασκευήν. ἀφελὼν γὰρ τὰ παντοδαπὰ πλήθη καὶ τὰς πολυγλώσσους ἀπειλὰς τῶν βαρβάρων. ὅπλων τε διαχρύσων, καὶ διαλίθων κατασκευὰς, ὡς λάφυρα τῶν κρατούντων, οὐκ ἀλκὴν τινὰ τῶν κεκτημένων ὄντα, ξίφη μὲν ἤλαυνε τὰ ῥωμαϊκὰ, καὶ θυρεοὺς ἐμβριθεῖς ἐπήγνυτο. καὶ γεγυμνασμένους μᾶλλον ἢ κεκοσμημένους, ἤθροιζεν ἵππους. πεζῶν δὲ μυριάδας δώδεκα κατεσκευασμένων, εἰς φάλαγγα ῥωμαϊκήν. ἱππεῖς δὲ πρὸς μυρίοις ἑξακισχιλίους ἄνευ τῶν δρεπανηφόρων τεθρίππων. ταῦτα δ' ἦν ἑκατόν. ἔτι δὲ ναῦς οὐ χρυσοφόροις σκηνώσιν. οὐδὲ λουτροῖς παλλακίδων καὶ γυναικωνίτισι τρυφώσαις ἠσκημένας. ἀλλ' ὅπλων καὶ βελῶν καὶ χρημάτων γεμούσας, παρασκευασάμενος ἐνέβαλεν εἰς βιθυνίαν. τῶν πόλεων αὖθις ἀσμένως ὑποδεχομένων. οὐ μόνον τούτων, ἀλλὰ καὶ τὴν ἀσίαν ὅλην ὑποτροπὴ τῶν ἐμ-

λιπε τὴν συμμαχίαν ὁ πτολεμαῖος, πρὸς τὸν πόλεμον ἀποδειλιάσας. ἐκείνῳ δὲ ναῦς ἄχρι κύπρου προπομποὺς παρέσχε, καὶ περὶ τὸν ἔκπλουν αὐτὸν ἀσπαζόμενος καὶ θεραπεύων, ἐδωρεῖτο χρυσοδετον σμάραγδον τῶν πολυτελῶν. τὸ μὲν πρῶτον ὁ λούκουλλος παρῃτεῖτο, δείξαντος δὲ τὴν γλυφὴν τοῦ βασιλέως εἰκόνα οὖσαν ἰδίαν, ἐφοβήθη διώσασθαι μὴ παντάπασιν ἐχθρὸς ἀποπλεῖν νομισθεὶς, ἐπιβουλευθείη κατὰ θάλατταν. ἐπεὶ δὲ πλῆθος ἐν παράπλῳ νεῶν ἐκ τῶν παραλίων πόλεων ἀθροίσας, πλὴν ὅσει πειρατικῶν μετεῖχον ἀδικημάτων, εἰς τὴν κύπρον διεπέρασεν, ἐνταῦθα πυνθανόμενος τοὺς πολεμίους ναυλοχοῦντας ἐπὶ ταῖς ἄκραις παραφυλάττειν αὐτὸν, ἀνείλκυσε τὰ σκάφη πάντα, καὶ ταῖς πόλεσιν ἔγραψε περὶ χειμαδίων καὶ ἀγορᾶς, ὡς αὐτόθι τὴν ὥραν ἀναμενῶν. εἶτα πλοῦ φανέντος, ἐξαπίνης καταστάσας τὰς ναῦς, ἀνήχθη, καὶ μεθ' ἡμέραν μὲν ὑφειμένοις πλέων τοῖς ἱστίοις καὶ ταπεινοῖς, νύκτωρ δ' ἐπηρμένοις, εἰς ῥόδον ἐσώθη. ῥοδίων δὲ ναῦς αὐτῷ προσπαρασχόντων, κῴους ἔπεισε καὶ κνιδίους τῶν βασιλικῶν ἀπαλλαγέντας, ἐπὶ σαμίους συστρατεύειν. ἐκ δὲ χίου τοὺς βασιλικοὺς αὐτὸς ἐξήλασε, κολοφωνίους δ' ἠλευθέρωσε, συλλαβὼν ἐπίγονον τὸν τύραννον αὐτῶν. ἐτύγχανε δὲ κατ' ἐκεῖνον τὸν χρόνον ἤδη μιθριδάτης τὸ πέργαμον ἐκλελοιπὼς καὶ συνεσταλμένος εἰς πιτάνην. ἐκεῖ δὲ φιμβρίου κατέχοντος αὐτὸν ἐκ γῆς καὶ πολιορκοῦντος, εἰς τὴν θάλατταν ἀφορῶν, συνῆγε καὶ μετεπέμπετο τοὺς πανταχόθεν στόλους πρὸς αὐτὸν, ἀνδρὶ τολμητῇ καὶ νενικηκότι τῷ φιμβρίᾳ, συμπλέκεσθαι καὶ πολεμεῖν ἀπεγνωκώς. ὁ δὲ ταῦτα συνορῶν, ναυτικῷ δὲ λειπόμενος, πρὸς λούκουλλον ἔπεμπεν ἥκειν τῷ στόλῳ δεόμενος, καὶ συνεξελεῖν ἔχθιστον καὶ πολεμιώτατον βασιλέων, ὡς μὴ τὸ μέγα καὶ διὰ πολλῶν ἀγώνων καὶ πόνων διωκόμενον ἆθλον, ἐκφύγῃ ῥωμαίους, μιθριδάτης εἰς λαβὰς ἥκων καὶ γεγονὼς ἐντὸς ἀρκύων. οὗ ληφθέντος, οὐδένα τῆς δόξης οἴσεσθαι πλέον, ἢ τὸν ἐμποδὼν τῇ φυγῇ στάντα, καὶ διαδράσκοντος ἐπιλαβόμενον. ὑφ' ἑαυτοῦ μὲν ἐξωσμένον τῆς γῆς, ὑπ' ἐκείνου δὲ τῆς θαλάττης εἰργόμενον, ἀμφοτέροις ἀποδώσειν τὸ κατόρθωμα. τὰς δὲ σύλλα πρὸς ὀρχομενῷ καὶ χαιρώνειαν ὑμνουμένας δυναστείας, ἐν οὐδενὶ λόγῳ θήσεσθαι ῥωμαίους. καὶ οὐδὲν ἦν ἀπὸ τρόπου τῶν λεγομένων, ἀλλὰ παντὶ δῆλον ὡς εἰ φιμβρίᾳ τότε πεισθεὶς ὁ λούκουλλος οὐ μακρὰν ὢν ἐπήγαγεν ἐκεῖσε τὰς ναῦς, καὶ συνέφραξε τὸν λιμένα τῷ στόλῳ, πέρας ἂν εἶχεν ὁ πόλεμος. καὶ μυρίων ἀπηλλαγμένοι κακῶν ἅπαντες ἦσαν. ἀλλ' εἴτε τὰ πρὸς σύλλαν δίκαια πρεσβεύων πρὸ παντὸς ἰδίου τε καὶ κοινοῦ συμφέροντος, εἴτε τὸν φιμβρίαν μιαρὸν ὄντα καὶ φονέα γεγενημένον ἔναγχος ἀνδρὸς φίλου καὶ στρατηγοῦ διὰ φιλαρχίαν προβαλλόμενος. εἴτε κατὰ θείαν δή τινα τύχην περιφεισάμενος αὐτοῦ μιθριδάτου, καὶ φυλάξας ἀνταγωνιστὴν, οὐχ ὑπήκουσεν, ἀλλὰ μιθριδάτην μὲν ἐκπλεῦσαι παρέσχε καὶ καταγελάσαι τῆς φιμβρίου δυνάμεως, αὐτὸς δὲ πρῶτον μὲν ἐπὶ λεκτῷ τῆς τρῳάδος βασιλικὰς ναῦς ἐπιφανείσας κατεναυμάχησεν. αὖθις δὲ πρὸς τενέδῳ ναυλοχοῦντα μείζονι παρασκευῇ κατιδὼν νεοπτόλεμον, ἐπέπλει πρὸ τῶν ἄλλων, ῥοδιακῆς πεντήρους ἐπιβεβηκὼς, ἧς ἐναυάρχει δημαγόρας, ἀνὴρ εὔνους τε ῥωμαίοις καὶ θαλασσίων ἀγώνων ἐμπειρότατος. ἐπελαύνοντος δὲ ῥοθίῳ τοῦ νεοπτολέμου καὶ κελεύσαντος εἰς ἐμβολὴν ἄγειν τὸν κυβερνήτην, δείσας ὁ δημαγόρας τὸ βάρος τῆς βασιλικῆς, καὶ τὴν τραχύτητα τοῦ χαλκώματος, οὐκ ἐτόλμησε συμπεσεῖν ἀντίπρῳρος, ἀλλ' ὀξέως ἐκ περιαγωγῆς ἀποστρέψας, ἐκέλευσεν ἐπὶ πρύμναν ὤσασθαι, καὶ πιεσθείσης ἐνταῦθα τῆς νεὼς, ἐδέξατο τὴν πληγὴν ἀβλαβῆ γενομένην, ἅτε δὴ τοῖς θαλαττεύουσι τῆς νεὼς μέρεσι προσπεσοῦσαν. ἐν τούτῳ δὲ τῶν φίλων προσφερομένων, ἐγκελευσάμενος ὁ λούκουλλος ἐπιστρέφειν, καὶ πολλὰ δράσας ἄξια λόγου, τρέπεται τοὺς πολεμίους, καὶ καταδιώκει τὸν νεοπτόλεμον. ἐκεῖθεν δὲ σύλλα περὶ χερρόνησον μέλλοντι διαβαίνειν συμβαλὼν, τόν τε πόρον ἀσφαλῆ παρέσχε, καὶ τὴν στρατιὰν συνδιεβίβασεν. ἐπεὶ δὲ συνθηκῶν γενομένων μιθριδάτης μὲν ἀπέπλευσεν εἰς τὸν εὔξεινον πόντον, σύλλας δὲ τὴν ἀσίαν δισμυρίοις ταλάντοις ἐζημίωσε, προσταχθὲν αὐτῷ τότε χρήματα ταῦτα πρᾶξαι, καὶ νόμισμα κόψαι, παραμύθιόν τι δοκεῖ τῆς σύλλα χαλεπότητος γενέσθαι ταῖς πόλεσιν. οὐ μόνον καθαρὸν καὶ δίκαιον, ἀλλὰ καὶ πρᾷον εἰς οὕτω βαρὺ καὶ σκυθρωπὸν ὑπηρέτημα παρασχὼν ἑαυτόν. μιτυληναίους δ' ἄντικρυς ἀφεστῶτας ἐβούλετο μὲν εὐγνωμονῆσαι καὶ δίκης τυχεῖν μετρίας ἐφ' οἷς περὶ μάριον ἐξήμαρτον, ὡς δ' ἑώρα κακοδαιμονοῦντας, ἐπιπλεύσας ἐνεκράτησε μάχῃ καὶ κατέκλεισεν εἰς τὰ τείχη, καὶ πολιορκίαν συστησάμενος, ἐξέπλευσε μὲν καὶ φανερῶς ἡμέρας εἰς ἐλαίαν. ὑπέστρεψε δὲ λεληθότως, καὶ περὶ τὴν πόλιν ὑφεὶς ἐνέδραν, ἡσύχαζεν. ἐπεὶ δ' ἀτάκτως καὶ μετὰ θράσους ὡς ἔρημον ἁρπασόμενοι τὸ στρατόπεδον οἱ μιτυληναῖοι προσῆλθον, ἐμπεσὼν αὐτοῖς, ἔλαβέ τε παμπόλλους ζῶντας, καὶ τῶν ἀμυνομένων πεντακοσίους ἀπέκτεινεν, ἀνδραπόδων δὲ χιλιάδας ἓξ καὶ τὴν ἄλλην ἀναρίθμητον ἤλασε λείαν. τῶν δὲ περὶ τὴν ἰταλίαν κακῶν ἃ τότε σύλλας καὶ μάριος ἄφθονα καὶ παντοδαπὰ τοῖς ἀνθρώποις παρεῖχον, οὐ πάνυ μετέσχε, θείᾳ τινὶ τύχῃ περὶ τὰς ἐν ἀσίᾳ πράξεις βραδύνας. οὐ μὴν ἔλαττόν τι παρὰ σύλλα τῶν ἄλλων φίλων ἔσχεν. ἀλλὰ τήν τε γραφὴν ὡς εἴρηται τῶν ὑπομνημάτων, ἐκείνῳ δι' εὔνοιαν ἔθηκε, καὶ τελευτῶν, ἐπίτροπον τοῦ παιδὸς ἔγραψεν, ὑπερβὰς πομπήϊον. καὶ δοκεῖ τοῦτο πρῶτον αὐτοῖς ὑπάρξαι διαφορᾶς αἴτιον καὶ ζηλοτυπίας,

ὅσαι. ς.

περὶ. ς.

Λουκούλλῳ δὲ πάππος μὲν ἦν ὑπατικός. θεῖος δὲ πρὸς μητρὸς, Μέτελλος ὁ νομαδικὸς ἐπικληθείς. τῶν δὲ γονέων, ὁ μὲν πατὴρ ἑάλω κλοπῆς. καικιλία δὲ ἡ μήτηρ ἠδόξησεν, ὡς οὐ βεβιωκυῖα σωφρόνως. αὐτὸς δ᾽ ὁ λούκουλλος, ἔτι μειράκιον ὢν, πρὶν ἀρχήν τινα μετελθεῖν καὶ πολιτείας ἅψασθαι, πρῶτον ἔργον ἐποιήσατο τὸν τοῦ πατρὸς κατήγορον κρῖναι σερουίλιον αὔγουραν, λαβὼν ἀδικοῦντα δημόσια. καὶ τὸ πρᾶγμα λαμπρὸν ἐφάνη ῥωμαίοις. καὶ τὴν δίκην ἐκείνην, ὥσπερ ἀριστείαν διὰ στόματος εἶχον. ἐδόκει δὲ καὶ ἄλλως αὐτοῖς ἄνευ προφάσεως οὐκ ἀγεννὲς εἶναι τὸ τῆς κατηγορίας ἔργον. ἀλλὰ καὶ πάνυ τοὺς νέους ἐβούλοντο τοῖς ἀδικοῦσιν ἐπιφυομένους ὁρᾶν, ὥσπερ θηρίοις εὐγενεῖς σκύλακας. οὐ μὴν ἀλλὰ μεγάλης περὶ τὴν δίκην ἐκείνης φιλονεικίας γενομένης, ὥστε καὶ τρωθῆναί τινας καὶ πεσεῖν, ἀπέφυγεν ὁ σερουίλιος. ὁ δὲ λούκουλλος, ἤσκητο καὶ λέγειν ἱκανῶς ἑκατέραν γλῶτταν. ὥστε καὶ σύλλας τὰς αὐτοῦ πράξεις ἀναγράφων, ἐκείνῳ προσεφώνησεν ὡς συνταξομένῳ καὶ διαθήσοντι τὴν ἱστορίαν ἄμεινον. ἦν γὰρ οὐκ ἐπὶ τὴν χρείαν μόνην ἐμμελὴς αὐτοῦ καὶ πρόχειρος ὁ λόγος, καθάπερ ὁ τῶν ἄλλων, τὴν μὲν ἀγορὰν θύννος βολαῖος πέλαγος ὣς διεσσόβει. γενόμενος δὲ τῆς ἀγορᾶς ἐκτὸς, αὖος ἀμουσίᾳ τεθνηκώς. ἀλλὰ καὶ τὴν ἐμμελῆ ταύτην καὶ λεγομένην ἐλευθέριον ἐπὶ τῷ καλῷ προσεποιεῖτο παιδείαν, ἔτι καὶ μειράκιον ὤν. γενόμενος δὲ πρεσβύτερος, ἤδη παντάπασιν ὥσπερ ἐκ τῶν πολλῶν ἀγώνων ἀφῆκε τὴν διάνοιαν ἐν φιλοσοφίᾳ σχολάζειν, καὶ ἀναπαύεσθαι, τὸ θεωρητικὸν αὐτῆς ἐγείρας, καταλύσας δ᾽ ἐν καιρῷ καὶ κολούσας τὸ φιλότιμον ἐκ τῆς πρὸς πομπήιον διαφορᾶς. περὶ μὲν οὖν τῆς φιλολογίας αὐτοῦ, πρὸς τοῖς εἰρημένοις καὶ ταῦτα λέγεται. νέον ὄντα πρὸς ὁρτήσιον τὸν δικολόγον, καὶ σισενναν τὸν ἱστορικὸν, ἐκ παιδιᾶς τινὸς εἰς σπουδὴν προελθούσης, ὁμολογῆσαι προθεμένων ποίημα, καὶ λόγον ἑλληνικόν τε καὶ ῥωμαϊκὸν, εἰς ὅ τι ἂν λάχῃ τούτων, τὸν μαρσικὸν ἐντεμεῖν πόλεμον. καί πως ἔοικεν εἰς λόγον ἑλληνικὸν ὁ κλῆρος ἀφικέσθαι. διασώζεται γοῦν ἑλληνική τις ἱστορία τοῦ μαρσικοῦ πολέμου. τῆς δὲ πρὸς τὸν ἀδελφὸν αὐτοῦ μᾶρκον εὐνοίας, πολλῶν τεκμηρίων ὄντων, μάλιστα ῥωμαῖοι τοῦ πρώτου μνημονεύουσι. πρεσβύτερος γὰρ ὢν αὐτοῦ, λαβεῖν ἀρχὴν μόνος οὐκ ἠθέλησεν. ἀλλὰ τὸν ἐκείνου καιρὸν ἀναμείνας, οὕτως ὑπηγάγετο τὸν δῆμον, ὥστε σὺν ἐκείνῳ μὴ παρὼν ἀγορανόμος αἱρεθῆναι. νέος δ᾽ ὢν ἐν τῷ μαρσικῷ πολέμῳ, πολλὰ μὲν τόλμης δείγματα παρέσχε καὶ συνέσεως. μᾶλλον γε μὴν αὐτὸν δι᾽ εὐστάθειαν καὶ πρᾳότητα, σύλλας προσηγάγετο. καὶ χρώμενος ἀπ᾽ ἀρχῆς ἐπὶ τὰ πλείστης ἄξια σπουδῆς, διετέλεσεν. ὧν ἦν καὶ ἡ περὶ τὸ νόμισμα πραγματεία. δι᾽ ἐκείνου γὰρ ἐκόπη τὸ πλεῖστον ἐν πελοποννήσῳ περὶ τὸν μιθριδατικὸν πόλεμον. καὶ λουκούλλειον ἀπ᾽ ἐκείνου προσηγορεύθη. καὶ διετέλεσεν ἐπὶ πλεῖστον ὑπὸ τῶν στρατιωτικῶν χρειῶν ἐν τῷ πολέμῳ λαμβάνον ἀμοιβὴν ταχεῖαν. ἐκ τούτου, τῆς μὲν γῆς ἐπικρατῶν ὁ σύλλας ἐν ταῖς ἀθήναις. περικοπτόμενος δὲ τὴν ἀγορὰν ἐκ τῆς θαλάττης ὑπὸ τῶν πολεμίων ναυκρατούντων, ἐξέπεμψεν ἐπ᾽ αἰγύπτου καὶ λιβύης τὸν λούκουλλον, ἄξοντα ναῦς ἐκεῖθεν. ἦν μὲν οὖν ἀκμὴ χειμῶνος. ἐξέπλευσε δὲ τρισὶν ἑλληνικαῖς μυοπάρωσι, καὶ δικρότοις ἴσαις ῥοδιακαῖς, πρὸς μέγα πέλαγος, καὶ ναῦς πολεμίας πανταχόσε τῷ κρατεῖν πολλὰς διαφερομένας παραβαλλόμενος. οὐ μὴν ἀλλὰ καὶ κρήτην καταρας ᾠκειώσατο. καὶ κυρηναίους καταλαβὼν, ἐκ τυραννίδων συνεχῶν καὶ πολέμων ταραττομένους, ἀνέλαβε καὶ κατεστήσατο τὴν πολιτείαν, πλατωνικῆς τινος φωνῆς ἀναμνήσας τὴν πόλιν, ἣν ἐκεῖνος ἀπεθέσπισε πρὸς αὐτούς. δεομένων γὰρ ὡς ἔοικεν ὅπως τοὺς νόμους γράψῃ, καὶ τὸν δῆμον αὐτῶν εἰς τύπον τινὰ κατασήσῃ πολιτείας σώφρονος, ἔφη. χαλεπὸν εἶναι κυρηναίοις οὕτως εὐτυχοῦσι νομοθετεῖν. οὐδὲν γὰρ ἀνθρώπου δυσαρκτότερον, εὖ πράσσειν δοκοῦντος. οὐδ᾽ αὖ πάλιν δεκτικώτερον ἐπιστασίας, συσταλέντος ὑπὸ τῆς τύχης. ὃ καὶ τότε κυρηναίους νομοθετοῦντι λουκούλλῳ πράους παρέσχεν. ἐκεῖθεν δ᾽ ἀναχθεὶς ἐπ᾽ αἰγύπτου, τὰ πλεῖστα τῶν σκαφῶν ἀπέβαλε, πειρατῶν ἐπιφανέντων. αὐτὸς δὲ διασωθεὶς, κατήγετο λαμπρῶς εἰς ἀλεξάνδρειαν. ἀπήντησε γὰρ αὐτῷ σύμπας ὁ στόλος, ὥσπερ εἰώθει βασιλεῖ καταπλέοντι, κεκοσμημένος ἐκπρεπῶς. καὶ τὸ μειράκιον ὁ πτολεμαῖος, ἄλλην τε θαυμαστὴν ἐπεδείκνυτο φιλοφροσύνην πρὸς αὐτὸν, οἴκησιν τε καὶ δίαιταν ἐν τοῖς βασιλείοις ἔδωκεν, οὐδένα πω ξένον πρότερον ἡγεμόνος αὐτόθι καταχθέντος. δαπάνην δὲ καὶ σύνταξιν οὐχ ὅσην ἐδίδου τοῖς ἄλλοις, ἀλλὰ τετραπλῆν ἐκείνῳ παρεῖχεν, οὐ προσιεμένῳ τῶν ἀναγκαίων πλέον οὐδὲν οὐδὲ δῶρον λαβόντι, καίπερ ὀγδοήκοντα ταλάντων ἄξια πέμψαντος αὐτῷ. λέγεται δὲ μήτ᾽ εἰς μέμφιν ἀναβῆναι, μήτ᾽ ἄλλο τῶν θαυμαζομένων ἐν αἰγύπτῳ καὶ περιβοήτων ἱστορῆσαι. σχολάζοντος γὰρ εἶναι ταῦτα θεατοῦ καὶ τρυφῶντος, οὐχ ὡς αὐτὸς ἐν ὑπαίθρῳ τὸν αὐτοκράτορα σκηνοῦντα παρὰ ταῖς ἐπάλξεσι τῶν πολεμίων ἀπολελοιπότος. ἐπεὶ δ᾽ ἀπ-

ἀνεπάλυτοι συμφορᾶς, ἡ δὲ φιλοτιμία πάντων ἐπεκράτησε τῶν παθῶν, τοῖς τῆς πατρίδος ὑπεχώρει καιροῖς. εὐθὺς μὲν οὖν ὁ κίμων κατελθὼν, ἔλυσε τὸν πόλεμον καὶ διήλλαξε τὰς πόλεις. γενομένης δ' εἰρήνης, ὁρῶν τοὺς ἀθηναίους ἡσυχίαν ἄγειν μὴ δυναμένους, ἀλλὰ κινεῖσθαι καὶ αὐξάνεσθαι ταῖς στρατείαις βουλομένους, ἵνα μὴ τοῖς ἕλλησι διοχλῶσι. μὴ δὲ περὶ τὰς νήσους ἢ πελοπόννησον ἀναστρεφόμενοι ναυσὶ πολλαῖς, αἰτίας ἐμφυλίων πολέμων καὶ συμμαχικῶν ἐγκλημάτων ἀρχὰς, ἐπισπῶνται κατὰ τῆς πόλεως, ἐπλήρου διακοσίας τριήρεις, ὡς ἐπ' αἴγυπτον καὶ κύπρον αὖθις ἐκστρατευσόμενος. ἅμα μὲν ἐμμελετᾶν τοῖς πρὸς τοὺς βαρβάρους ἀγῶσι βουλόμενος τοὺς ἀθηναίους, ἅμα δ' ὠφελεῖσθαι δικαίως τὰς ἀπὸ τῶν φύσει πολεμίων εὐπορίας, εἰς τὴν ἑλλάδα κομίζοντας. ἤδη δὲ παρεσκευασμένων ἁπάντων, καὶ τοῦ στρατοῦ παρὰ ταῖς ναυσὶν ὄντος, ὄναρ εἶδεν ὁ κίμων. ἐδόκει κύνα θυμουμένην ὑλακτεῖν πρὸς αὐτὸν, ἐκ δὲ ὑλακῆς μεμιγμένον ἀφεῖσαν ἀνθρώπου φθόγγον, εἰπεῖν. στεῖχε· φίλος γὰρ ἔσῃ καὶ ἐμοὶ, καὶ ἐμοῖς σκυλάκεσσιν. οὕτω δὲ δυσκρίτου τῆς ὄψεως οὔσης, ἀστύφιλος ὁ ποσειδωνιάτης μαντικὸς ἀνὴρ καὶ συνήθης τῷ κίμωνι, φράζει θάνατον αὐτῷ προσημαίνειν τὴν ὄψιν, οὕτω διαιρῶν. κύων ἀνθρώπῳ πρὸς ὃν ὑλακτεῖ πολέμιος. πολεμίῳ δ' οὐκ ἂν ἄλλως μᾶλλον ἢ τελευτήσας φίλος γένοιτο. τὸ δὲ μῖγμα τῆς φωνῆς, μῆδον ἀποδηλοῖ τὸν ἐχθρόν. ὁ γὰρ μήδων στρατὸς ἕλλησιν ὁμοῦ καὶ βαρβάροις μέμικται. μετὰ δὲ ταύτην ὄψιν αὐτοῦ, τῷ διονύσῳ θύσαντος, ὁ μὲν μάντις ἀπέτεμε τὸ ἱερεῖον. τοῦ δ' αἵματος τὸ πηγνύμενον ἤδη, μύρμηκες πολλοὶ λαμβάνοντες κατὰ μικρὸν ἔφερον πρὸς τὸν κίμωνα. καὶ τοῦ ποδὸς περὶ τὸν μέγαν δάκτυλον περιέπλαττον, ἐπὶ πολὺν χρόνον λανθάνοντες. ἅμα δέ πως ὅ τε κίμων τῷ γινομένῳ προσέσχε, καὶ παρῆν ὁ θύτης ἐπιδεικνύμενος αὐτῷ τὸν λοβὸν, οὐκ ἔχοντα κεφαλήν. ἀλλ' οὐ γὰρ ἦν ἀνάδυσις τῆς στρατείας, ἐξέπλευσε. καὶ τῶν νεῶν ἑξήκοντα μὲν ἀπέστειλεν εἰς αἴγυπτον, ταῖς δ' ἄλλαις πάλιν ἔπλει. καὶ καταναυμαχήσας φοινίσσας νέας καὶ κιλισσῶν βασιλικὸν στόλον, ἀνέκτα τότε τὰς ἐν κύκλῳ πόλεις, καὶ τοῖς περὶ αἴγυπτον ἐφήδρευεν. οὐδὲν μικρὸν, ἀλλ' ὅλης ἐπινοῶν τῆς βασιλέως ἡγεμονίας κατάλυσιν. καὶ μάλιστα ὅτι τοῦ θεμιστοκλέους ἐπυνθάνετο δόξαν εἶναι καὶ δύναμιν ἐν τοῖς βαρβάροις μεγάλην, ὑποδεδεγμένου, βασιλεῖ κινοῦντι τὸν ἑλληνικὸν πόλεμον στρατηγήσειν. θεμιστοκλῆς μὲν οὖν οὐχ ἥκιστα λέγεται τὰς ἑλληνικὰς πράξεις ἀπογνοὺς, ὡς οὐκ ἂν ὑποβαλλόμενος τὴν κίμωνος εὐτυχίαν καὶ ἀρετὴν, ἑκὼν τελευτῆσαι. κίμων δὲ μεγάλων ἐπαιρόμενος ἀρχὰς ἀγώνων, καὶ περὶ κύπρον συνέχων τὸ ναυτικὸν, ἔπεμψεν εἰς ἄμμωνος ἄνδρας, ἀπόρρητόν τινα μαντείαν ποιησομένους παρὰ τῷ θεῷ. γινώσκει γὰρ οὐδεὶς ὑπὲρ ὧν ἐπέμφθησαν. οὐδὲ χρησμὸν αὐτοῖς ὁ θεὸς ἐξήνεγκεν, ἀλλ' ἅμα τῷ προσελθεῖν, ἐκέλευσεν ἀπιέναι τοὺς θεοπρόπους. αὐτὸν γὰρ ἤδη τὸν κίμωνα παρ' ἑαυτῷ τυγχάνειν ὄντα. ταῦτα ἀκούσαντες οἱ θεοπρόποι, κατέβαινον ἐπὶ θάλασσαν. γενόμενοι δ' ἐν τῷ στρατοπέδῳ τῶν ἑλλήνων, ὃ τότε περὶ αἴγυπτον ἦν, ἐπύθοντο τεθνάναι τὸν κίμωνα. καὶ τὰς ἡμέρας πρὸς τὸ μαντεῖον ἀνάγοντες, ἔγνωσαν ᾐνιγμένην τὴν τελευτὴν τοῦ ἀνδρὸς, ὡς ἤδη παρὰ θεοῖς ὄντος. ἀπέθανε δὲ πολιορκῶν κίτιον, ὡς οἱ πλεῖστοι λέγουσι, νοσήσας, ἔνιοι δέ φασιν ἐκ τραύματος ὃ πρὸς τοὺς βαρβάρους ἀγωνιζόμενος ἔσχε. τελευτῶν δὲ τοὺς περὶ αὐτὸν ἐκέλευσεν εὐθὺς ἀποπλεῖν, ἀποκρυψαμένους τὸν θάνατον αὐτοῦ. καὶ συνέβη μήτε τῶν πολεμίων, μήτε τῶν συμμάχων αἰσθομένων, ἀσφαλῶς αὐτοὺς ἀνακομισθῆναι στρατηγουμένους ὑπὸ κίμωνος, ὥς φησι φανόδημος, τεθνηκότος ἐφ' ἡμέρας τριάκοντα. μετὰ δὲ τὴν ἐκείνου τελευτὴν, πρὸς μὲν τοὺς βαρβάρους οὐδὲν ἔτι λαμπρὸν ὑπ' οὐδενὸς ἐπράχθη στρατηγούντων ἑλλήνων. ἀλλὰ τραπέντες ὑπὸ δημαγωγῶν, καὶ πολεμοποιῶν ἐπ' ἀλλήλους, οὐδενὸς τὰς χεῖρας ἐν μέσῳ διασχόντος, συνερράγησαν εἰς τὸν πόλεμον. ἀναπνοὴ μὲν τοῖς βασιλέως πράγμασι γενόμενοι, φθόρον δ' ἀμύθητον τῆς ἑλληνικῆς δυνάμεως ἀπεργασάμενοι. ὀψὲ δ', οἱ περὶ τὸν ἀγησίλαον εἰς τὴν ἀσίαν ἐξενεγκάμενοι τὰ ὅπλα, βραχέος ἥψαντο πολέμου πρὸς τοὺς ἐπὶ θαλάσσῃ βασιλέως στρατηγοὺς, καὶ λαμπρὸν οὐδὲν οὐδὲ μέγα δράσαντες, αὖθις δὲ ταῖς ἑλληνικαῖς στάσεσι καὶ ταραχαῖς ἀφ' ἑτέρας ἀρχῆς ὑπενεχθέντες, ᾤχοντο τοὺς περσῶν φορολόγους ἐν μέσαις ταῖς συμμαχίσι καὶ φίλαις πόλεσιν ἀπολιπόντες. ὧν οὐδὲ γραμματοφόρος κατέβαινεν. οὐδ' ἵππος πρὸς θάλασσαν τετρακοσίων σταδίων ἐντὸς ὤφθη στρατηγοῦντος κίμωνος. ὅτι μὲν οὖν εἰς τὴν ἀττικὴν ἀπεκομίσθη τὰ λείψανα αὐτοῦ, μαρτυρεῖ τῶν μνημάτων, τὰ μέχρι νῦν κιμώνια προσαγορευόμενα. τιμῶσι δὲ καὶ κιτιεῖς τάφον τινὰ κίμωνος, ὡς ναυσικράτης ὁ ῥήτωρ φησὶν, ἐν λιμῷ καὶ γῆς ἀφορίᾳ τοῦ θεοῦ προστάξαντος αὐτοῖς μὴ ἀμελεῖν κίμωνος, ἀλλ' ὡς κρείττονα σέβεσθαι καὶ γεραίρειν. τοιοῦτος μὲν ὁ ἑλληνικὸς ἀγών.

[Margin notes: ὑπερβαλόμενος ς. — νοσήσας]

τῶν κίμωνος υἱῶν, θετταλὸν δὲ ἐξ ἰσοδίκης γεγονέναι τῆς εὐρυπτολέμου τοῦ μεγακλέους. ηὐξήθη δ' ὑπὸ τῶν λακεδαιμονίων ἤδη τῷ θεμιστοκλεῖ προσπολεμούντων. καὶ τοῦτον ὄντα νέον ἐν ἀθήναις μᾶλλον ἰσχύειν καὶ κρατεῖν ἐβούλοντο. οἱ δ' ἀθηναῖοι τὸ πρῶτον ἡδέως ἑώρων, οὐ μικρὰ τῆς πρὸς ἐκεῖνον εὐνοίας τῶν σπαρτιατῶν ἀπολαύοντες. αὐξανομένοις γὰρ αὐτοῖς κατ' ἀρχὰς καὶ τῶν συμμάχων πολυπραγμονοῦσιν, οὐκ ἤχθοντο τιμῇ καὶ χάριτι τοῦ κίμωνος. τὰ γὰρ πλεῖστα δι' ἐκείνου τῶν ἑλληνικῶν διεπράττοντο, πρᾴως μὲν τοῖς συμμάχοις, κεχαρισμένως δὲ τοῖς λακεδαιμονίοις ὁμιλοῦντος. ἔπειτα δυνατώτεροι γενόμενοι καὶ τὸν κίμωνα τοῖς σπαρτιάταις οὐκ ἠρέμα προσκείμενον ὁρῶντες, ἤχθοντο. καὶ γὰρ αὐτὸς ἐπὶ παντὶ μεγαλύνων τὴν λακεδαίμονα πρὸς ἀθηναίους, καὶ μάλιστα ὅτε τύχοι μεμφόμενος αὐτοῖς, ἢ παροξύνων ὥς φησι στησίμβροτος, εἰώθει λέγειν. ἀλλ' οὐ λακεδαιμόνιοί γε τοιοῦτοι. ὅθεν φθόνον ἑαυτῷ συνῆγε καὶ δυσμένειάν τινα παρὰ τῶν πολιτῶν. ἣν δ' ἴσχυσε μάλιστα κατ' αὐτοῦ τῶν διαβολῶν, αἰτίαν ἔχει τοιαύτην. ἀρχιδάμου τοῦ ζευξιδάμου τέταρτον ἔτος ἐν σπάρτῃ βασιλεύοντος, ὑπὸ σεισμοῦ, μεγίστου δὴ τῶν μνημονευομένων πρότερον, ἥ τε χώρα τῶν λακεδαιμονίων χάσμασιν ἐνώλισθε πολλοῖς, καὶ τῶν ταϋγέτων τιναχθέντων, κορυφαί τινες ἀπερράγησαν. αὐτὴ δ' ἡ πόλις ὅλη συνεχύθη, πλὴν οἰκιῶν πέντε, τὰς δ' ἄλλας ἤρειπεν ὁ σεισμός. ἐν δὲ μέσῃ τῇ στοᾷ γυμναζομένων ὁμοῦ τῶν ἐφήβων καὶ τῶν νεανίσκων, λέγεται μικρὸν πρὸ τοῦ σεισμοῦ λαγὼν παραφανῆναι. καὶ τοὺς μὲν νεανίσκους ὥσπερ ἦσαν ἀληλιμμένοι, μετὰ παιδιᾶς ἐκδραμεῖν καὶ διώκειν. τοῖς δ' ἐφήβοις ὑπολειφθεῖσιν ἐπιπεσεῖν τὸ γυμνάσιον, καὶ πάντας ὁμοῦ τελευτῆσαι. τὸν δὲ τάφον αὐτῶν ἔτι νῦν σεισματίαν προσαγορεύουσι. ταχὺ δὴ συνιδὼν ἀπὸ τοῦ παρόντος τὸν μέλλοντα κίνδυνον ὁ ἀρχίδαμος, καὶ τοὺς πολίτας ὁρῶν ἐκ τῶν οἰκιῶν τὰ τιμιώτατα πειρωμένους σῴζειν, ἐκέλευε τῇ σάλπιγγι σημαίνειν ὡς πολεμίων ἐπιόντων, ὅπως ὅτι τάχιστα μετὰ τῶν ὅπλων ἀθροίζωνται πρὸς αὐτόν. ὃ δὴ καὶ μόνον ἐν τῷ τότε καιρῷ τὴν σπάρτην διέσωσεν. οἱ γὰρ εἵλωτες ἐκ τῶν ἀγρῶν συνέδραμον πανταχόθεν ὡς συναρπασόμενοι τοὺς σεσωσμένους τῶν σπαρτιατῶν. ὡπλισμένους δὲ καὶ συντεταγμένους εὑρόντες, ἀνεχώρησαν ἐπὶ τὰς πόλεις, καὶ φανερῶς ἐπολέμουν, τῶν τε περιοίκων ἀναπείσαντες οὐκ ὀλίγους, καὶ μεσσηνίων ἅμα τοῖς σπαρτιάταις συνεπιθεμένων. πέμπουσιν οὖν οἱ λακεδαιμόνιοι περικλείδαν εἰς ἀθήνας δεόμενοι βοηθεῖν, ὅν φησι κωμῳδῶν ἀριστοφάνης καθεζόμενον ἐπὶ τοῖς βωμοῖς ὠχρὸν ἐν φοινικίδι στρατιὰν ἀπαιτεῖν. ἐφιάλτου δὲ κωλύοντος καὶ διαμαρτυρομένου μὴ βοηθεῖν μηδ' ἀνιστάναι πόλιν ἀντίπαλον ἐπὶ τὰς ἀθήνας, ἀλλ' ἐᾶν κεῖσθαι καὶ πατηθῆναι τὸ φρόνημα τῆς σπάρτης, κίμωνά φησι κριτίας τὴν τῆς πατρίδος αὔξησιν ἐν ὑστέρῳ θέμενον τοῦ λακεδαιμονίων συμφέροντος, ἀναπείσαντα τὸν δῆμον, ἐξελθεῖν βοηθοῦντα μετὰ πολλῶν ὁπλιτῶν. ὁ δ' ἴων ἀπομνημονεύει καὶ τὸν λόγον, ᾧ μάλιστα τοὺς ἀθηναίους ἐκίνησε παρακαλῶν, μήτε τὴν ἑλλάδα χωλὴν, μήτε τὴν πόλιν ἑτερόζυγα περιιδεῖν γεγενημένην. ἐπεὶ δὲ βοηθήσας τοῖς λακεδαιμονίοις ἀπῄει διὰ κορίνθου τὴν στρατιὰν ἄγων, ἐνεκάλει λάχαρτος αὐτῷ πρὶν ἐντυχεῖν τοῖς πολίταις, εἰσαγαγόντι τὸ στράτευμα. καὶ γὰρ θύραν κόψαντας ἀλλοτρίαν, οὐκ εἰσιέναι πρότερον ἢ τὸν κύριον κελεῦσαι. καὶ ὁ κίμων, ἀλλ' οὐχ ὑμεῖς εἶπεν ὦ λάχαρτε τὰς κλεωναίων καὶ μεγαρέων θύρας κόψαντες, ἀλλὰ κατασχίσαντες, εἰσεβιάσασθε μετὰ τῶν ὅπλων, ἀξιοῦντες ἀνεῳγέναι πάντα τοῖς μεῖζον δυναμένοις. οὕτω μὲν ἐθρασύνατο πρὸς τὸν κορίνθιον ἐν δέοντι, καὶ μετὰ τῆς στρατιᾶς διεξῆλθεν. οἱ δὲ λακεδαιμόνιοι τοὺς ἀθηναίους αὖθις ἐκάλουν ἐπὶ τοὺς ἐν ἰθώμῃ μεσσηνίους καὶ εἵλωτας. ἐλθόντων δὲ, τὴν τόλμαν καὶ τὴν λαμπρότητα δείσαντες ἀπέπεμψατο μόνους τῶν συμμάχων ὡς νεωτεριστάς. οἱ δὲ, πρὸς ὀργὴν ἀπελθόντες, ἤδη τοῖς λακωνίζουσι φανερῶς ἐχαλέπαινον. καὶ τὸν κίμωνα, μικρᾶς ἐπιλαβόμενοι προφάσεως ἐξωστράκισαν εἰς ἔτη δέκα, τοσοῦτον γὰρ ἦν χρόνου τεταγμένον ἅπασι τοῖς ἐξοστρακιζομένοις. ἐν δὲ τούτῳ τῶν λακεδαιμονίων ὡς ἐπανήρχοντο δελφοὺς ἀπὸ φωκέων ἐλευθερώσαντες, ἐν τανάγρᾳ καταστρατοπεδευσάντων, ἀθηναῖοι μὲν ἀπήντων διαμαχούμενοι. κίμων δὲ μετὰ τῶν ὅπλων ἧκεν εἰς τὴν αὑτοῦ φυλὴν τὴν οἰνηΐδα, πρόθυμος ὢν ἀμύνεσθαι τοὺς λακεδαιμονίους μετὰ τῶν πολιτῶν. ἡ δὲ βουλὴ τῶν πεντακοσίων πυθομένη καὶ φοβηθεῖσα, τῶν ἐχθρῶν αὐτοῦ καταβοώντων, ὡς συνταράξαι τὴν φάλαγγα βουλομένου, καὶ τῇ πόλει λακεδαιμονίους ἐπαγαγεῖν, ἀπηγόρευσε τοῖς στρατηγοῖς μὴ δέχεσθαι τὸν ἄνδρα. κἀκεῖνος μὲν, ᾤχετο δεηθεὶς εὐθίππου τοῦ ἀναφλυστίου, καὶ τῶν ἄλλων ἑταίρων ὅσοι μάλιστα τὴν τοῦ λακωνίζειν αἰτίαν εἶχον, ἐρρωμένως ἀγωνίσασθαι πρὸς τοὺς πολεμίους, καὶ δι' ἔργων ἀπολύσασθαι τὴν αἰτίαν πρὸς τοὺς πολίτας. οἱ δὲ, λαβόντες αὐτοῦ τὴν πανοπλίαν, εἰς τὸν λόχον ἔθεντο. καὶ μετ' ἀλλήλων συστάντες, ἑκατὸν ὄντες ἔπεσον. πολὺν αὑτῶν πόθον καὶ μεταμέλειαν ἐφ' οἷς ᾐτιάσαντο ἀδίκως ἀπολιπόντες τοῖς ἀθηναίοις. ὅθεν οὐδὲ τῷ πρὸς κίμωνα θυμῷ πολὺν χρόνον ἐνέμειναν. τὰ μὲν, ὡς εἰκὸς ὧν ἔπαθον εὖ μεμνημένοι. τὰ δὲ, τοῦ καιροῦ συλλαμβανομένου. νενικημένοι γὰρ ἐν τανάγρᾳ μάχῃ μεγάλῃ, καὶ προσδοκῶντες εἰς ὥραν ἔτους στρατιὰν πελοποννησίων ἐπ' αὐτοὺς, ἐκάλουν ἐκ τῆς φυγῆς τὸν κίμωνα, καὶ κατῆλθε, τὸ ψήφισμα γράψαντος περικλέους. οὕτω τότε πολιτικαὶ μὲν ἦσαν αἱ διαφοραὶ, μέτριοι δ' οἱ θυμοὶ, καὶ πρὸς τὸ κοινὸν

ἀπέπεμψαν τ.τ.εκ.

στου.
ἀναφλύστιος δῆμος τῆς ἀττικῆς φυλῆς ἀντιοχίδος :—

ἥρουν αὐτούς τε καὶ σκηνὰς παντοδαπῶν χρημάτων γεμούσας. κίμων δ᾽ ὥσπερ ἀθλητὴς δεινὸς ἡμέρα μιᾷ δύο καθῃρηκὼς ἀγωνίσματα, καὶ τὸ μὲν ἐν σαλαμῖνι πεζομαχίᾳ, τὸ δ᾽ ἐν πλαταιαῖς ναυμαχίᾳ παρεληλυθώς, τρόπαιον ἐπηγωνίσατο ταῖς νίκαις. καὶ τὰς ὀγδοήκοντα φοινίσσας τριήρεις, αἳ τῆς μάχης ἀπελείφθησαν, ὕδρῳ προσβεβληκέναι πυθόμενος, διὰ τάχους ἔπλευσεν. οὐδὲν εἰδότων βέβαιον οὔπω περὶ τῆς μείζονος δυνάμεως τῶν στρατηγῶν, ἀλλὰ δυσπίστως ἔτι καὶ μετεώρως ἐχόντων, ἣ καὶ μᾶλλον ἐκπλαγέντες, ἀπώλεσαν τὰς ναῦς ἁπάσας, καὶ τῶν ἀνδρῶν οἱ πλεῖστοι συνδιεφθάρησαν. τοῦτο τὸ ἔργον, οὕτως ἐταπείνωσε τὴν γνώμην τοῦ βασιλέως, ὥστε συνθέσθαι τὴν περιβόητον εἰρήνην ἐκείνην. ἵππου μὲν δρόμον ἀεὶ τῆς ἑλληνικῆς ἀπέχειν θαλάσσης. ἔνδον δὲ κυανέων καὶ χελιδονίων, μακρᾷ νηὶ καὶ χαλκεμβόλῳ μὴ πλέειν. καίτοι καλλισθένης οὔ φησι ταῦτα συνθέσθαι τὸν βάρβαρον, ἔργῳ δὲ ποιεῖν διὰ φόβον τῆς ἥττης ἐκείνης, καὶ μακρὰν οὕτως ἀποστῆναι τῆς ἑλλάδος, ὥστε πεντήκοντα ναυσὶ περικλέα. καὶ τριάκοντα μόναις ἐφιάλτην, ἐπέκεινα πλεῦσαι χελιδονίων, καὶ μηδὲν αὐτοῖς ναυτικὸν ἀπαντῆσαι παρὰ τῶν βαρβάρων. ἐν δὲ τοῖς ψηφίσμασιν ἃ συνήγαγε κρατερός, ἀντίγραφα συνθηκῶν, ὡς γενομένων κατατέτακται. φασὶ δὲ καὶ βωμὸν εἰρήνης, διὰ ταῦτα τοὺς ἀθηναίους ἱδρύσασθαι. καὶ καλλίαν τὸν πρεσβεύσαντα τιμῆσαι διαφερόντως. πραθέντων δὲ τῶν αἰχμαλώτων λαφύρων, εἴς τε τὰ ἄλλα χρήμασιν ὁ δῆμος ἐρρώσθη, καὶ τῇ ἀκροπόλει τὸ νότιον τεῖχος κατεσκεύασεν. ἀπ᾽ ἐκείνης εὐπορήσας τῆς στρατείας. λέγεται δὲ καὶ τῶν μακρῶν τειχῶν ἃ σκέλη καλοῦσι συντελεσθῆναι μὲν ὕστερον τὴν οἰκοδομίαν. τὴν δὲ πρώτην θεμελίωσιν εἰς τόπους ἑλώδεις καὶ διαβρόχους τῶν ἔργων ἐμπεσόντων, ἐρεισθῆναι διὰ κίμωνος ἀσφαλῶς χάλικι πολλῇ καὶ λίθοις βαρέσι, τῶν ἑλῶν πιεσθέντων, ἐκείνου χρήματα πορίζοντος καὶ διδόντος. πρῶτος δὲ ταῖς λεγομέναις ἐλευθερίοις καὶ γλαφυραῖς διατριβαῖς, ἃ μικρὸν ὕστερον ὑπερφυῶς ἠγαπήθησαν, ἐκαλλώπισε τὸ ἄστυ. τὴν μὲν ἀγορὰν, πλατάνοις καταφυτεύσας. τὴν δ᾽ ἀκαδημίαν ἐξ ἀνύδρου καὶ αὐχμηρᾶς, κατάρρυτον ἀποδείξας ἄλσος ἠσκημένον ὑπ᾽ αὐτοῦ δρόμοις καθαροῖς καὶ συσκίοις περιπάτοις. ἐπεὶ δὲ τῶν περσῶν τινὲς οὐκ ἐβούλοντο τὴν χερρόνησον καταλιπεῖν, ἀλλὰ καὶ τοὺς θρᾷκας ἄνωθεν ἐπεκαλοῦντο, καταφρονοῦντες τοῦ κίμωνος, μετ᾽ ὀλίγων παντάπασι τριήρων ἀθήνηθεν ἐκπεπλευκότος. ὁρμήσας ἐπ᾽ αὐτοὺς τέσσαρσι μὲν ναυσὶ, τρισκαίδεκα τὰς ἐκείνων ἔλαβεν. ἐξελάσας δὲ τοὺς πέρσας, καὶ κρατήσας τῶν θρᾳκῶν, πᾶσαν ᾠκειώσατο τῇ πόλει τὴν χερρόνησον. ἐκ δὲ τούτου, θασίους μὲν ἀποστάντας ἀθηναίων, καταναυμαχήσας, τρεῖς καὶ τριάκοντα ναῦς ἔλαβε. καὶ τὴν πόλιν ἐξεπολιόρκησε. καὶ τὰ χρύσια τὰ πέραν, ἀθηναίοις προσεκτήσατο. καὶ χώραν ἧς ἐπῆρχον θάσιοι, παρέλαβεν. ἐκεῖθεν δὲ ῥᾳδίως ἐπιβῆναι μακεδονίας, καὶ πολλὴν ἀποτεμέσθαι παρασχὸν, ὡς ἐδόκει μὴ θελήσας, αἰτίαν ἔσχε δώροις ὑπὸ τοῦ βασιλέως ἀλεξάνδρου συμπεπεῖσθαι, καὶ δίκην ἔφυγε, τῶν ἐχθρῶν συστάντων ἐπ᾽ αὐτόν. ἀπολογούμενος δὲ πρὸς τοὺς δικαστὰς, οὐκ ἰώνων ἔφη προξενεῖν, οὐδὲ θετταλῶν πλουσίων ὄντων ὥσπερ ἑτέρους, ἵνα θεραπεύωνται καὶ λαμβάνωσιν, ἀλλὰ μακεδονίους μιμούμενος, καὶ ἀγαπῶν τὴν παρ᾽ αὐτοῖς εὐτέλειαν καὶ σωφροσύνην. ἧς οὐδένα προτιμᾶν πλοῦτον, ἀλλὰ πλουτίζων ἀπὸ τῶν πολεμίων τὴν πόλιν, ἀγάλλεσθαι. μνησθεὶς δὲ τῆς κρίσεως ἐκείνης ὁ στησίμβροτος, φησὶ τὴν ἐλπινίκην ὑπὲρ τοῦ κίμωνος δεομένην ἐλθεῖν ἐπὶ τὰς θύρας τοῦ περικλέους. οὗτος γὰρ ἦν τῶν κατηγόρων ὁ σφοδρότατος. τὸν δὲ, μειδιάσαντα, γραῦς εἶ φάναι, γραῦς ὦ ἐλπινίκη, ὡς τηλικαῦτα διαπράττεσθαι πράγματα. πλὴν ἔν γε τῇ δίκῃ, πρᾳότατον γενέσθαι τῷ κίμωνι. καὶ πρὸς τὴν κατηγορίαν, ἅπαξ ἀναστῆναι μόνον, ὥσπερ ἀφοσιούμενον. ἐκείνην μὲν οὖν ἀπέφυγε τὴν δίκην. ἐν δὲ τῇ λοιπῇ πολιτείᾳ, παρὼν μὲν, ἐκράτει καὶ συνέστελλε τὸν δῆμον, ἐπιβαίνοντα τοῖς ἀρίστοις. καὶ περισπῶντα τὴν πᾶσαν εἰς ἑαυτὸν ἀρχὴν καὶ δύναμιν. ὡς δὲ πάλιν ἐπὶ στρατείαν ἐξέπλευσε, τελέως ἀνεθέντες οἱ πολλοὶ, καὶ συγχέαντες τὸν καθεστῶτα τῆς πολιτείας κόσμον τά τε πάτρια νόμιμα, οἷς ἐχρῶντο πρότερον, ἐφιάλτου προεστῶτος, ἀφείλοντο τῆς ἐξ ἀρείου πάγου βουλῆς τὰς κρίσεις, πλὴν ὀλίγων ἁπάσας. καὶ τῶν δικαστηρίων κυρίους ἑαυτοὺς ποιήσαντες, εἰς ἄκρατον δημοκρατίαν ἐνέβαλον τὴν πόλιν, ἤδη περικλέους δυναμένου, καὶ τὰ τῶν πολλῶν φρονοῦντος. διὸ καὶ τοῦ κίμωνος ὡς ἐπανῆλθεν ἀγανακτοῦντος ἐπὶ τῷ προπηλακίζεσθαι τὸ ἀξίωμα τοῦ συνεδρίου. καὶ πειρωμένου πάλιν ἄνω τὰς δίκας ἀνακαλεῖσθαι, καὶ τὴν ἐπὶ κλεισθένους ἐγείρειν ἀριστοκρατίαν, κατεβόων συνιστάμενοι, καὶ τὸν δῆμον ἐξηρέθιζον. ἐκεῖνά τε τὰ πρὸς τὴν ἀδελφὴν ἀνανεούμενοι, καὶ λακωνισμὸν ἐπικαλοῦντες, εἰς ἃ καὶ τὰ εὐπόλιδος διατεθρύληται περὶ κίμωνος, ὅτι

» κακὸς μὲν οὐκ ἦν, φιλοπότης δὲ κἀμελής.
» κἀνίοτ᾽ ἀπεκοιμᾶτ᾽ ἂν ἐν λακεδαίμονι, κἂν ἐλπινίκην τήνδε καταλιπὼν μόνην.

εἰ δ᾽ ἀμελῶν καὶ μεθυσκόμενος τοσαύτας πόλεις εἷλε. καὶ τοσαύτας νίκας ἐνίκησε, δῆλον ὅτι νήφοντος αὐτοῦ καὶ προσέχοντος, οὐδεὶς ἂν οὔτε τῶν πρότερον. οὔτε τῶν ὕστερον ἑλλήνων, παρῆλθε τὰς πράξεις. ἦν μὲν οὖν ἀπ᾽ ἀρχῆς φιλολάκων. καὶ τῶν γε παίδων τῶν διδύμων τὸν ἕτερον, λακεδαιμόνιον ὠνόμασε. τὸν δ᾽ ἕτερον, ἠλεῖον, ἐκ γυναικὸς αὐτῷ κλιτορίας γενομένους, ὡς στησίμβροτος ἱστορεῖ, διὸ πολλάκις τὸν περικλέα, τὸ μητρῷον αὐτοῖς γένος ὀνειδίζειν. διόδωρος δ᾽ ὁ περιηγητὴς, καὶ τούτους φησὶ καὶ τὸν τρίτον

ἐπαλαίσατο. ἰσό
πραθέντων. s. κ. τ.
ἂ s.
χρύσια. κ.
λακεδαιμονίους. s. τ.
κλίτωρ fluuius Arcadiæ et Clitorii populi Arcadiæ.

κῆς καὶ λακωνικῆς οὔσης. ὅς γε καὶ θεμιστοκλεῖ παρὰ τὸ δέοντος ἐπαίροντι τὴν δημοκρατίαν, ἀντέβαινε μετ' ἀριστείδου. καὶ πρὸς ἐφιάλτην ὕστερον χάριτι τοῦ δήμου καταλύοντα τὴν ἐξ ἀρείου πάγου βουλὴν, διηνέχθη. λημμάτων δὲ δημοσίων τοὺς ἄλλους, πλὴν ἀριστείδου καὶ ἐφιάλτου πάντας ἀναπιμπλαμένους ὁρῶν, αὐτὸν ἀδέκαστον καὶ ἄθικτον ἐν τῇ πολιτείᾳ δωροδοκίας, καὶ πάντα προῖκα καὶ καθαρῶς πράττοντα καὶ λέγοντα, διὰ τέλους παρέσχε. λέγεται γοῦν ῥοισάκην τινὰ βάρβαρον ἀποστάτην βασιλέως ἐλθεῖν μετὰ χρημάτων πολλῶν εἰς ἀθήνας, καὶ σπαραττόμενον ὑπὸ τῶν συκοφαντῶν, καταφυγεῖν πρὸς κίμωνα. καὶ θεῖναι παρὰ τὴν αὔλειον αὐτοῦ φιάλας δύο. τὴν μὲν, ἀργυρείων ἐμπλησάμενον δαρεικῶν. τὴν δὲ, χρυσῶν. ἰδόντα δὲ τὸν κίμωνα καὶ μειδιάσαντα, πυθέσθαι τοῦ ἀνθρώπου, πότερον αἱρεῖται, κίμωνα μισθωτὸν, ἢ φίλον ἔχειν. τοῦ δὲ, φήσαντος φίλον. οὐκοῦν φάναι ταῦτ' ἄπιθι μετὰ σεαυτοῦ κομίζων. χρήσομαι γὰρ αὐτοῖς ὅταν δέωμαι φίλος γενόμενος. ἐπεὶ δ' οἱ σύμμαχοι τοὺς φόρους μὲν ἐτέλουν. ἄνδρας δὲ καὶ ναῦς ὡς ἐτάχθησαν οὐ παρεῖχον, ἀλλ' ἀπαγορεύοντες ἤδη πρὸς τὰς στρατείας, καὶ πολέμου μὲν οὐδὲν δεόμενοι. γεωργεῖν δὲ καὶ ζῆν καθ' ἡσυχίαν ἐπιθυμοῦντες, ἀπηλλαγμένων τῶν βαρβάρων καὶ μὴ διοχλούντων, οὔτε τὰς ναῦς ἐπλήρουν οὔτ' ἄνδρας ἀπέστελλον, οἱ μὲν ἄλλοι στρατηγοὶ τῶν ἀθηναίων προσηνάγκαζον αὐτοὺς ταῦτα ποιεῖν, καὶ τοὺς ἐλλείποντας ὑπάγοντες δίκαις καὶ κολάζοντες, ἐπαχθῆ τὴν ἀρχὴν καὶ λυπηρὰν ἐποίουν. κίμων δὲ

πορευόμ(εν)ος ς.κ.τ.

τὴν ἐναντίαν ὁδὸν ἐν τῇ στρατηγίᾳ πορευόμενος, βίαν μὲν οὐδενὶ τῶν ἑλλήνων προσῆγε, χρήματα δὲ λαμβάνων παρὰ τῶν οὐ βουλομένων στρατεύεσθαι καὶ ναῦς κενὰς, ἐκείνους εἴα δελεαζομένους τῇ σχολῇ περὶ τὰ οἰκεῖα διατρίβειν, γεωργοὺς καὶ χρηματιστὰς ἀπολέμους ἐκ πολεμικῶν ὑπὸ τρυφῆς καὶ ἀνοίας γινομένους. τῶν δ' ἀθηναίων ἀνὰ μέρος πολλοὺς ἐμβιβάζων, καὶ διαπονῶν ταῖς στρατείαις ἐν ὀλίγῳ χρόνῳ, τοῖς παρὰ τῶν συμμάχων μισθοῖς καὶ χρήμασι, δεσπότας αὐτῶν τῶν διδόντων ἐποίησε. πλέοντας γὰρ αὐτοὺς συνεχῶς, καὶ διὰ χειρὸς ἔχοντας ἀεὶ τὰ ὅπλα, καὶ τρεφομένους καὶ ἀσκοῦντας ἐκ τῆς αὐτῶν στρατείας, ἐθισθέντες φοβεῖσθαι καὶ κολακεύειν, ἔλαθον ἀντὶ συμμάχων ὑποτελεῖς καὶ δοῦλοι γεγονότες. καὶ μὴν αὐτοῦ γε τοῦ μεγάλου βασιλέως, οὐδεὶς ἐταπείνωσε καὶ συνέστειλε τὸ φρόνημα μᾶλλον, ἢ κίμων. οὐ γὰρ ἀνῆκεν ἐκ τῆς ἑλλάδος ἀπηλλαγμένον. ἀλλ' ὥσπερ ἐκ ποδὸς διώκων, πρὶν διαπνεῦσαι καὶ στῆναι τοὺς βαρβάρους, τὰ μὲν ἐπόρθει καὶ κατέστρεφε. τὰ δὲ, ἀφίστη καὶ προσήγετο τοῖς ἕλλησιν, ὥστε τὴν ἀπ' ἰωνίας ἀσίαν, ἄχρι παμφυλίας παντάπασι περσικῶν ὅπλων ἐρημῶσαι. πυθόμενος δὲ τοὺς βασιλέως στρατηγοὺς μεγάλῳ στρατῷ καὶ ναυσὶ πολλαῖς ἐφεδρεύειν 5.
περὶ παμφυλίαν. καὶ βουλόμενος αὐτοῖς ἄπλουν καὶ ἀνέμβατον ὅλως ὑπὸ φόβου τὴν ἐντὸς χελιδονίων ποιήσασθαι θάλατταν, ὥρμησεν ἄρας ἀπὸ κνίδου καὶ τριοπίου διακοσίαις τριήρεσι, πρὸς μὲν τάχος ἀπ' ἀρχῆς καὶ περιαγωγὴν ὑπὸ θεμιστοκλέους ἄριστα κατεσκευασμέναις. ἐκεῖνος δὲ τότε καὶ πλατυτέρας ἐποίησεν αὐτὰς, καὶ διάβασιν τοῖς καταστρώμασιν ἔδωκεν, ὡς ἂν ὑπὸ πολλῶν ὁπλιτῶν μαχιμώτεραι προσφέροιντο τοῖς πολεμίοις. ἐπιπλεύσας δὲ τῇ πόλει τῶν φασηλιτῶν, ἑλλήνων μὲν ὄντων, οὐ δεχομένων δὲ τὸν στόλον, οὐδὲ βουλομένων ἀφίστασθαι βασιλέως, τήν τε χώραν κακῶς ἐποίει, καὶ προσέβαλε τοῖς τείχεσιν. οἱ δὲ χῖοι συμπλέοντες αὐτῷ, πρὸς δὲ τοὺς φασηλίτας ἐκ παλαιοῦ φιλικῶς ἔχοντες, ἅμα μὲν τὸν κίμωνα κατεπράυνον, ἅμα δὲ τοξεύοντες ὑπὲρ τὰ τείχη βιβλίδια προσδεδεμένα τοῖς οἰστοῖς, ἐξήγγελλον τοῖς φασηλίταις, τέλος δὲ διήλλαξαν αὐτοὺς, ὅπως δέκα τάλαντα δόντες ἀκολουθῶσι καὶ συστρατεύωσιν ἐπὶ τοὺς βαρβάρους. ἔφορος μὲν οὖν τιθραύστην φησὶ τῶν βασιλικῶν νεῶν ἄρχειν, καὶ τοῦ πεζοῦ φερενδάτην. καλλισθένης δὲ ἀριομάνδην τὸν γωβρύου κυριώτατον ὄντα τῆς δυνάμεως, παρὰ τὸν εὐρυμέδοντα ταῖς ναυσὶ παρορμεῖν, οὐκ ὄντα μάχεσθαι τοῖς ἕλλησι πρόθυμον, ἀλλὰ προσδεχόμενον ὀγδοήκοντα ναῦς φοινίσσας ἀπὸ κύπρου προσπλεούσας. ταύτας φθῆναι βουλόμενος ὁ κίμων ἀνήχθη, βιάζεσθαι παρεσκευασμένος ἂν ἑ- 5.
κόντες μὴ ναυμαχῶσιν. οἱ δὲ, πρῶτον μὲν ὡς μὴ βιασθεῖεν, εἰς τὸν ποταμὸν εἰσωρμίσαντο. προσφερομένων δὲ τῶν ἀθηναίων ἀντεξέπλευσαν, ὡς ἱστορεῖ φανόδημος, ἑξακοσίαις ναυσίν. ὡς δ' ἔφορος, πεντήκοντα καὶ τριακοσίαις. ἔργον δὲ κατὰ γοῦν τὴν θάλατταν, οὐδὲν ὑπ' αὐτῶν ἐπράχθη τῆς δυνάμεως ἄξιον, ἀλλ' εὐθὺς εἰς τὴν γῆν ἀποστρέφοντες, ἐξέπιπτον οἱ πρῶτοι, καὶ κατέφευγον εἰς τὸ πεζὸν ἐγγὺς παρατεταγμένον. οἱ δὲ, καταλαμβανόμενοι, διεφθείροντο μετὰ τῶν νεῶν. ᾧ καὶ δῆλόν ἐστιν, ὅτι πάμπολλαί τινες αἱ πεπληρωμέναι τοῖς βαρβάροις νῆες ἦσαν, ὅτε πολλῶν μὲν ὡς εἰκὸς ἐκφυγουσῶν, πολλῶν δὲ συντριβεισῶν, ὅμως διακοσίους αἰχμαλώτους ἔλαβον οἱ ἀθηναῖοι. τῶν δὲ πεζῶν ἐπικαταβάντων πρὸς τὴν θάλασσαν, μέγα μὲν ἔργον ἐφαίνετο τῷ κίμωνι τὸ βιάζεσθαι τὴν ἀπόβασιν, καὶ κεκμηκότας ἀκμῆσι καὶ πολλαπλασίοις ἐπάγειν τοὺς ἕλληνας, ὅμως δὲ ῥώμῃ καὶ φρονήματι τοῦ κρατεῖν ὁρῶν ἐπηρμένους καὶ προθύμους, ὁμόσε χωρεῖν τοῖς βαρβάροις, ἀπεβίβαζε τοὺς ὁπλίτας ἔτι θερμοὺς τῷ κατὰ τὴν ναυμαχίαν ἀγῶνι, μετὰ κραυγῆς καὶ δρόμου προσφερομένους. ὑποστάντων δὲ τῶν περσῶν καὶ δεξαμένων οὐκ ἀγεννῶς, καρτερὰ μάχη συνέστη. καὶ τῶν ἀθηναίων ἄνδρες ἀγαθοὶ καὶ τοῖς ἀξιώμασι πρῶτοι καὶ διαπρεπεῖς ἔπεσον. πολλῷ δὲ πόνῳ τρεψάμενοι τοὺς βαρβάρους ἔκτεινον, εἶτα

ἥρουν αὐτοὺς

νεῦσι ληιζόμενοι τὴν πόλιν ὑπ' αὐτῶν ἐνδιδομένην. παραλαβὼν δ' οὕτω τὴν νῆσον ὁ κίμων, τοὺς μὲν δόλοπας ἐξήλασε, καὶ τὸν αἰγαῖον ἠλευθέρωσε. πυνθανόμενος δὲ τὸν παλαιὸν θησέα τὸν αἰγέως φυγόντα μὲν ἐξ ἀθηνῶν εἰς σκῦρον, αὐτοῦ δ' ἀποθανόντα δόλῳ διὰ φόβον ὑπὸ λυκομήδους τοῦ βασιλέως, ἐσπούδασε τὸν τάφον ἀνευρεῖν. καὶ γὰρ ἦν χρησμὸς ἀθηναίοις, τὰ θησέως λείψανα κελεύων ἀνακομίζειν εἰς ἄστυ, καὶ τιμᾶν ὡς ἥρωα πρεπόντως. ἀλλ' ἠγνόουν ὅπου κεῖται, σκυρίων οὐχ ὁμολογούντων, οὐδ' ἐώντων ἀναζητεῖν. τότε δὴ πολλῇ φιλοτιμίᾳ τοῦ σηκοῦ μόγις ἐξευρεθέντος, ἐνθέμενος ὁ κίμων εἰς τὴν αὑτοῦ τριήρη τὰ ὀστᾶ, καὶ τἄλλα κοσμήσας μεγαλοπρεπῶς, κατήγαγεν εἰς τὴν αὑτοῦ δι' ἐτῶν σχεδὸν τετρακοσίων, ἐφ' ᾧ καὶ μάλιστα πρὸς αὐτὸν ἡδέως ὁ δῆμος ἔσχεν. ἔθεντο δ' εἰς μνήμην αὐτοῦ καὶ τὴν τῶν τραγῳδῶν κρίσιν ὀνομαστὴν γενομένην. πρώτην γὰρ διδασκαλίαν τοῦ σοφοκλέους ἔτι νέου καθέντος, ἀψεφίων ὁ ἄρχων φιλονεικίας οὔσης καὶ παρατάξεως τῶν θεατῶν, κριτὰς μὲν οὐκ ἐκλήρωσε τοῦ ἀγῶνος. ὡς δὲ κίμων μετὰ τῶν συστρατήγων προελθὼν εἰς τὸ θέατρον ἐποιήσατο τῷ θεῷ τὰς νενομισμένας σπονδάς, οὐκ ἀφῆκεν αὐτοὺς ἀπελθεῖν, ἀλλ' ὁρκώσας, ἠνάγκασε καθίσαι καὶ κρῖναι δέκα ὄντας, ἀπὸ φυλῆς μιᾶς ἕκαστον. ὁ μὲν οὖν ἀγὼν καὶ διὰ τὸ τῶν κριτῶν ἀξίωμα, τὴν φιλοτιμίαν ὑπερέβαλε. νικήσαντος δὲ τοῦ σοφοκλέους, λέγεται τὸν αἰσχύλον περιπαθῆ γενόμενον καὶ βαρέως ἐνεγκόντα, χρόνον οὐ πολὺν ἀθήνησι διαγαγεῖν, εἶτ' οἴχεσθαι δι' ὀργὴν εἰς σικελίαν, ὅπου καὶ τελευτήσας περὶ γέλαν τέθαπται. συνδειπνῆσαι δὲ τῷ κίμωνι φησὶν ὁ ἴων παντάπασι μειράκιον ἥκων εἰς ἀθήνας ἐκ χίου, παρὰ λαομέδοντι. καὶ τῶν σπονδῶν γενομένων, παρακληθέντος ᾆσαι, καὶ ᾄσαντος οὐκ ἀηδῶς, ἐπαινεῖν τοὺς παρόντας ὡς δεξιώτερον θεμιστοκλέους. ἐκεῖνον γὰρ ᾄδειν μὲν, οὐ φάναι μαθεῖν, οὐδὲ κιθαρίζειν, πόλιν δὲ ποιῆσαι μεγάλην καὶ πλουσίαν ἐπίστασθαι. τοὐντεῦθεν δ', οἷον εἰκὸς ἐν πότῳ, τοῦ λόγου ῥυέντος ἐπὶ τὰς πράξεις τοῦ κίμωνος, καὶ μνημονευομένων τῶν μεγίστων, αὐτὸν ἐκεῖνον ἓν διελθεῖν στρατήγημα τῶν ἰδίων ὡς σοφώτατον. ἐπεὶ γὰρ ἐκ σηστοῦ καὶ βυζαντίου πολλοὺς τῶν βαρβάρων αἰχμαλώτους λαβόντες οἱ σύμμαχοι τῷ κίμωνι διανεῖμαι προσέταξαν. ὁ δὲ, χωρὶς μὲν αὐτούς, χωρὶς δὲ τὸν περὶ τοῖς σώμασι κόσμον αὐτῶν ἔθηκεν, ᾐτιῶντο τὴν διανομὴν ὡς ἄνισον. ὁ δὲ, τῶν μερίδων ἐκέλευσεν αὐτοὺς ἑλέσθαι τὴν ἑτέραν, ἣν δ' ἂν ἐκεῖνοι καταλίπωσιν, ἀγαπήσειν ἀθηναίους. ἡροφύτου δὲ τοῦ σαμίου συμβουλεύσαντος αἱρεῖσθαι τὰ περσῶν μᾶλλον, ἢ πέρσας, τὸν μὲν κόσμον αὐτοὶ ἔλαβον. ἀθηναίοις δὲ, τοὺς αἰχμαλώτους ἀπέλιπον, καὶ τότε μὲν ὁ κίμων ἀπῄει γελοῖος εἶναι δοκῶν διανομεύς. τῶν μὲν συμμάχων ψέλλια χρυσᾶ καὶ μανιάκας, καὶ στρεπτοὺς καὶ κάνδυας, καὶ πορφύραν φερομένων. τῶν δ' ἀθηναίων γυμνὰ σώματα κακῶς ἠσκημένα πρὸς ἐργασίαν παραλαβόντων. μικρὸν δ' ὕστερον οἱ τῶν ἑαλωκότων φίλοι καὶ οἰκεῖοι καταβαίνοντες ἐκ φρυγίας καὶ λυδίας, ἐλυτροῦντο μεγάλων χρημάτων ἕκαστον, ὥστε τῷ κίμωνι τεσσάρων μηνῶν τροφὰς εἰς τὰς ναῦς ὑπάρξαι. καὶ προσέτι τῇ πόλει χρυσίον οὐκ ὀλίγον, ἐκ τῶν λύτρων περιγενέσθαι. ἤδη δ' εὐπορῶν ὁ κίμων ἐφόδια τῆς στρατείας ἃ καλῶς ἀπὸ τῶν πολεμίων ἔδοξεν ὠφελεῖσθαι, κάλλιον ἀνήλισκεν εἰς τοὺς πολίτας. τῶν τε γὰρ ἀγρῶν τοὺς φραγμοὺς ἀφεῖλεν, ἵνα καὶ τοῖς ξένοις καὶ τῶν πολιτῶν τοῖς δεομένοις ἀδεῶς ὑπάρχῃ λαμβάνειν τῆς ὀπώρας. καὶ δεῖπνον οἴκοι παρ' αὐτῷ, λιτὸν μὲν, ἀρκοῦν δὲ πολλοῖς ἐποιεῖτο καθημέραν, ἐφ' ὃ τῶν πενήτων ὁ βουλόμενος εἰσῄει, καὶ διατροφὴν εἶχεν ἀπράγμονα, μόνοις τοῖς δημοσίοις σχολάζων. ὡς δ' ἀριστοτέλης φησὶν, οὐχ ἁπάντων ἀθηναίων, ἀλλὰ τῶν δημοτῶν αὐτοῦ λακιαδῶν παρεσκευάζετο τῷ βουλομένῳ τὸ δεῖπνον. αὐτῷ δὲ νεανίσκοι παρείποντο συνήθεις ἀμπεχόμενοι καλῶς. ὧν ἕκαστος εἴ τις συντύχοι τῷ κίμωνι τῶν ἀστῶν πρεσβύτερος ἠμφιεσμένος ἐνδεῶς, διημείβετο πρὸς αὐτὸν τὰ ἱμάτια. καὶ τὸ γινόμενον ἐφαίνετο σεμνόν. οἱ δ' αὐτοὶ καὶ νόμισμα κομίζοντες ἄφθονον, παριστάμενοι τοῖς κομψοῖς τῶν πενήτων ἐν ἀγορᾷ, σιωπῇ τῶν κερματίων ἐνέβαλλον εἰς τὰς χεῖρας. ὧν δὴ καὶ κρατῖνος ὁ κωμικὸς ἐν ἀρχιλόχοις ἔοικε μεμνῆσθαι διὰ τούτων. κἀγὼ γοῦν ηὐχόμην μη-

» τρόβιος ὁ γραμματεὺς σὺν ἀνδρὶ θείῳ καὶ φιλοξενωτάτῳ καὶ πάντ' ἀρίστῳ τῶν πανελλήνων πρώτῳ,

» κίμωνι λιπαρὸν γῆρας εὐωχούμενος αἰῶνα πάντα συνδιατρίψειν. ὁ δὲ, λιπών, βέβηκε πρότερος.

ἔτι τοίνυν γοργίας μὲν ὁ λεοντῖνος φησὶ τὸν κίμωνα τὰ χρήματα κτᾶσθαι μὲν ὡς χρῷτο. χρῆσθαι δὲ, ὡς τιμῷτο. κριτίας δὲ, τῶν τριάκοντα γενόμενος ἐν ταῖς ἐλεγείαις εὔχεται.

» Πλοῦτον μὲν σκοπαδῶν. μεγαλοφροσύνην δὲ, κίμωνος. νίκας δ' ἀγησιλάου τοῦ λακεδαιμονίου.

καίτοι λίχαν γε τὸν σπαρτιάτην ἀπ' οὐδενὸς ἄλλου γινώσκομεν ἐν τοῖς ἕλλησιν ὀνομαστὸν γενόμενον, ἢ ὅτι τοὺς ξένους ἐν ταῖς γυμνοπαιδίαις ἐδείπνιζεν. ἡ δὲ κίμωνος ἀφθονία, καὶ τὴν παλαιὰν τῶν ἀθηναίων φιλοξενίαν καὶ φιλανθρωπίαν, ὑπερέβαλεν. οἱ μὲν γὰρ, ἐφ' οἷς ἡ πόλις μέγα φρονεῖ δικαίως, τό τε σπέρμα τῆς τροφῆς εἰς τοὺς ἕλληνας ἐξέδωκαν. ὑδάτων τε πηγαίων καὶ πυρὸς ἔναυσιν χρῄζουσιν ἀνθρώποις ἐδίδαξαν. ὁ δὲ, τὴν μὲν οἰκίαν τοῖς πολίταις πρυτανεῖον ἀποδείξας κοινόν. ἐν δὲ τῇ χώρᾳ καρπῶν ἑτοίμων ἀπαρχὰς, καὶ ὅσα ὧραι καλὰ φέρουσι χρῆσθαι καὶ λαμβάνειν ἅπαντα τοῖς ξένοις παρέχων, τρόπον τινὰ τὴν ἐπὶ κρόνου μυθολογουμένην κοινωνίαν, εἰς τὸν βίον αὖθις κατῆγεν. οἱ δὲ ταῦτα κολακείαν ὄχλου καὶ δημαγωγίαν εἶναι διαβάλλοντες, ὑπὸ τῆς ἄλλης ἐξελέγχονται τοῦ ἀνδρὸς προαιρέσεως, ἀριστοκρατι-

μος ἐδέξατο. καὶ μεστὸς ὢν τοῦ θεμιστοκλέους, ἀνῆγε τὰς μεγίστας ἐν τῇ πόλει τιμὰς καὶ ἀρχάς, εὐάρμοστον ὄντα καὶ προσφιλῆ τοῖς πολλοῖς, διὰ πρᾳότητα καὶ ἀφέλειαν. οὐχ ἥκιστα δὲ αὐτὸν ηὔξησεν, ἀριστείδης ὁ λυσιμάχου, τὴν εὐφυΐαν ἐνορῶν τῷ ἤθει. καὶ ποιούμενος οἷον ἀντίπαλον πρὸς τὴν θεμιστοκλέους δεινότητα καὶ τόλμαν. ἐπεὶ δὲ μήδων φυγόντων ἐκ τῆς ἑλλάδος, ἐξεπέμφθη στρατηγὸς κατὰ θάλατταν, οὔπω τὴν ἀρχὴν ἀθηναίων ἐχόντων, ἔτι δὲ παυσανίᾳ καὶ λακεδαιμονίοις ἑπομένων, πρῶτον μὲν ἐν ταῖς στρατηγίαις ἀεὶ παρεῖχε τοὺς πολίτας. κόσμῳ τε θαυμαστούς, καὶ προθυμίᾳ πολὺ πάντων διαφέροντας. ἔπειτα παυσανίου τοῖς μὲν βαρβάροις διαλεγομένου περὶ προδοσίας, καὶ βασιλεῖ γράφοντος ἐπιστολάς. τοῖς δὲ συμμάχοις τραχέως καὶ αὐθαδῶς προσφερομένου, καὶ πολλὰ δι' ἐξουσίαν καὶ ὄγκον ἀνόητον ὑβρίζοντος, ὑπολαμβάνων πράως τοὺς ἀδικουμένους, καὶ φιλανθρώπως ἐξομιλῶν, ἔλαθεν οὐ δι' ὅπλων τὴν ἑλλάδος ἡγεμονίαν, ἀλλὰ λόγῳ καὶ ἤθει παρελόμενος. προσετίθεντο γὰρ οἱ πλεῖστοι τῶν συμμάχων ἐκείνῳ τε καὶ ἀριστείδῃ, τὴν χαλεπότητα τοῦ παυσανίου καὶ ὑπεροψίαν μὴ φέροντες. οἱ δὲ, καὶ τούτους ἅμα προσηγοντο, καὶ τοῖς ἐφόροις, πέμποντες ἔφραζον. ὡς ἀδοξούσης τῆς σπάρτης. καὶ ταραττομένης τῆς ἑλλάδος, ἀνακαλεῖν τὸν παυσανίαν. λέγεται δὲ παρθένον τινὰ βυζαντίαν ἐπιφανῶν γονέων, ὄνομα κλεονίκην ἐπ' αἰσχύνῃ τοῦ παυσανίου μεταπεμπομένου, τοὺς μὲν γονεῖς ὑπ' ἀνάγκης καὶ φόβου, προέσθαι τὴν παῖδα. τὴν δὲ, τῶν πρὸ τοῦ δωματίου δεηθεῖσαν ἀνελέσθαι τὸ φῶς, διὰ σκότους καὶ σιωπῆς τῇ κλίνῃ προσιοῦσαν ἤδη τοῦ παυσανίου καθεύδοντος, ἐμπεσεῖν καὶ ἀνατρέψαι τὸ λυχνίον ἄκουσαν. τὸν δ' ὑπὸ τοῦ ψόφου ταραχθέντα. καὶ σπασάμενον τὸ παρακείμενον ἐγχειρίδιον ὥς τινος ἐπ' αὐτὸν ἐχθροῦ βαδίζοντος, πατάξαι καὶ καταβαλεῖν τὴν παρθένον. ἐκ δὲ τῆς πληγῆς ἀποθανοῦσαν αὐτὴν, οὐκ ἐᾶν τὸν παυσανίαν ἡσυχάζειν, ἀλλὰ νύκτωρ εἴδωλον αὐτῷ φοιτῶσαν εἰς τὸν ὕπνον, ὀργῇ λέγειν, τόδε τὸ ἡρῷον.

» Στεῖχε δίκης ἆσσον, μάλα τοι κακὸν, ἀνδράσιν ὕβρις.

ἐφ' ᾧ καὶ μάλιστα χαλεπῶς ἐνεγκόντες οἱ σύμμαχοι μετὰ τοῦ κίμωνος ἐξεπολιόρκησαν αὐτὸν, ὁ δ' ἐκπεσὼν τοῦ βυζαντίου καὶ τῷ φάσματι ταραττόμενος ὡς λέγεται, κατέφυγε πρὸς τὸ νεκυομαντεῖον εἰς ἡράκλειαν, καὶ τὴν ψυχὴν ἀνακαλούμενος τῆς κλεονίκης, παρῃτεῖτο τὴν ὀργήν. ἡ δ' εἰς ὄψιν ἐλθοῦσα, ταχέως ἔφη παύσεσθαι τῶν κακῶν αὐτὸν, ἐν σπάρτῃ γενόμενον. αἰνιττομένη ὡς ἔοικε, τὴν μέλλουσαν αὐτῷ τελευτήν. ταῦτα μὲν οὖν ὑπὸ πολλῶν ἱστόρηται. κίμων δὲ τῶν συμμάχων ἤδη προσκεχωρηκότων αὐτῷ, στρατηγὸς εἰς θρᾴκην ἔπλευσεν, πυνθανόμενος πέρσων ἄνδρας ἐνδόξους καὶ συγγενεῖς βασιλέως ἠϊόνα πόλιν παρὰ τῷ στρυμόνι κειμένην ποταμῷ κατέχοντας, ἐνοχλεῖν τοῖς περὶ τὸν τόπον ἐκεῖνον ἕλλησιν. πρῶτον μὲν οὖν μάχῃ τοὺς πέρσας αὐτοὺς ἐνίκησε, καὶ κατέκλεισεν εἰς τὴν πόλιν. ἔπειτα τοὺς ὑπὲρ στρυμόνα θρᾷκας, ὅθεν αὐτοῖς ἐφοίτα σῖτος, ἀναστάτους ποιῶν, καὶ τὴν χώραν παραφυλάττων ἅπασαν, εἰς τοσαύτην ἀπορίαν τοὺς πολιορκουμένους κατέστησεν, ὥστε βούτην τὸν βασιλέως στρατηγὸν, ἀπογνόντα τὰ πράγματα τῇ πόλει πῦρ ἐνεῖναι καὶ διαφθεῖραι μετὰ τῶν φίλων καὶ τῶν χρημάτων ἑαυτόν. οὕτω δὲ λαβὼν τὴν πόλιν, ἄλλο μὲν οὐδὲν ἄξιον λόγου ὠφελήθη, τῶν πλείστων τοῖς βαρβάροις συγκατακαέντων, τὴν δὲ χώραν εὐφυεστάτην οὖσαν καὶ καλλίστην, οἰκῆσαι παρέδωκε τοῖς ἀθηναίοις. καὶ τοὺς ἑρμᾶς αὐτῷ τοὺς λιθίνους ὁ δῆμος ἀναθεῖναι συνεχώρησεν. ὧν ἐπιγέγραπται τῷ μὲν πρώτῳ,

ἐνῆκαι. ς·

» Ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε μήδων,
» Παισὶν ἐπ' ἠϊόνι στρυμόνος ἀμφὶ ῥοὰς,
» Λιμόν τ' αἴθωνα, κρυερόν τ' ἐπάγοντες ἄρηα,
» Πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην. τῷ δὲ δευτέρῳ.

ἔδωκαν. ς·

» Ἡγεμόνεσσι δὲ μισθὸν ἀθηναῖοι τάδ' ἐπέδωκαν
» Ἀντ' εὐεργεσίης καὶ μεγάλων ἀγαθῶν.
» Μᾶλλόν τις τάδ' ἰδὼν καὶ ἐπεσσομένων, ἐθελήσει
» Ἀμφὶ περὶ ξυνοῖς πράγμασι δῆριν ἔχειν. τῷ δὲ τρίτῳ.
» Ἔκ ποτε τῆσδε πόλεως, ἅμ' ἀτρείδῃσι μενεσθεὺς
» Ἡγεῖτο ζάθεον τρωϊκὸν ἐς πεδίον.
» Ὅν ποθ' ὅμηρος ἔφη δαναῶν πύκα θωρηκτάων,
» Κοσμητῆρα μάχης ἔξοχον ὄντα μολεῖν.
» Οὕτως οὐδὲν ἀεικὲς ἀθηναίοισι καλεῖσθαι
» Κοσμηταῖς πολέμου τ' ἀμφὶ καὶ ἠνορέης.

ταῦτα καίπερ οὐδαμοῦ τὸ κίμωνος ὄνομα δηλοῦντα, τιμῆς ὑπερβολὴν ἔχειν ἐδόκει τοῖς τότε ἀνθρώποις. οὔτε γὰρ θεμιστοκλῆς τοιούτου τινὸς, οὔτε μιλτιάδης ἔτυχεν. ἀλλὰ τούτῳ γε θαλλοῦ στέφανον αἰτοῦντι, σωχάρης ὁ δεκελεὺς ἐκ μέσου τῆς ἐκκλησίας ἀναστὰς, ἀντεῖπεν, οὐκ εὐγνώμονα μὲν, ἀρέσασαν δὲ τῷ δήμῳ τότε φωνὴν ἀφεὶς, ὅταν γὰρ ἔφη μόνος ἀγωνισάμενος ὦ μιλτιάδη νικήσῃς τοὺς βαρβάρους, τότε καὶ τιμᾶσθαι μόνος ἀξίου. διατί τοίνυν τὸ κίμωνος ὑπερηγάπησαν ἔργον, ἢ ὅτι τῶν μὲν ἄλλων στρατηγούντων ὑπὲρ τοῦ μὴ παθεῖν ἠμύνοντο τοὺς πολεμίους. τούτου δὲ, καὶ ποιῆσαι κακῶς ἠδυνήθησαν ἐπελθόντες τὴν ἐκείνων αὐτοὶ στρατεύσαντες. καὶ προσεκτήσαντο χώρας, αὐτήν τε τὴν ἠϊόνα καὶ τὴν ἀμφίπολιν οἰκίσαντες. ᾤκησαν δὲ καὶ σκῦρον, ἑλόντος κίμωνος, διὰ αἰτίας τοιαύτης. δόλοπες ᾤκουν τὴν νῆσον ἐργάται κακοὶ γῆς. λῃζόμενοι δὲ τὴν θάλατταν, ἐκ παλαιοῦ, τελευτῶντες οὐδὲ τῶν εἰσπλεόντων παρ' αὐτοὺς καὶ χρωμένων ἀπείχοντο ξένων. ἀλλὰ θετταλούς τινας ἐμπόρους περὶ τὸ κτήσιον ὁρμισαμένους συλήσαντες εἷρξαν. ἐπεὶ δὲ διαδράντες ἐκ τῶν δεσμῶν οἱ ἄνθρωποι, δίκην κατεδικάσαντο τῆς πόλεως ἀμφικτυονικὴν, οὐ βουλομένων τὰ χρήματα τῶν πολλῶν συνεκτίνειν, ἀλλὰ τοὺς ἔχοντας καὶ διηρπακότας ἀποδοῦναι κελευόντων, δείσαντες ἐκεῖνοι, πέμπουσι γράμματα πρὸς κίμωνα, κελεύοντες ἥκειν μετὰ τῶν

※ ἡ σκαπτησύλη· ζήτει. σκαπτησύλη πόλις θράκης μικρά.

λόμενοι περιβόητοι. οὔτε γὰρ ἑλλήνων κίμωνος, οὔτε ῥωμαίων λουκούλλου πρότερος οὐδεὶς, οὕτω μακρὰν πολεμῶν προῆλθεν. ἔξω λόγου τιθεμένων τῶν καθ᾽ ἡρακλέα καὶ διόνυσον. εἴ τε τι περσέως πρὸς αἰθίοπας, ἢ μήδους καὶ ἀρμενίους, ἢ ἰάσονος ἔργον ἀξιόπιστον ἐκ τῶν τότε χρόνων μνήμης φερόμενον εἰς τοὺς νῦν ἀφῖκται. κοινὸν δέ πως αὐτῶν καὶ τὸ ἀτελὲς γέγονε τῆς στρατηγίας. ἑκατέρου μὲν συντρίψαντος, οὐδετέρου δὲ καταλύσαντος τὸν ἀνταγωνιστήν. μάλιστα δ᾽ ἡ περὶ τὰς ὑποδοχὰς καὶ τὰς φιλανθρωπίας ταύτας, ὑγρότης καὶ δαψίλεια, καὶ τὸ νεαρὸν καὶ ἀνειμένον ἐν τῇ διαίτῃ, παραπλήσιον ἐπ᾽ ἀμφοτέρων ἰδεῖν ὑπάρχει. παραλείπομεν δ᾽ ἴσως καὶ ἄλλας τινὰς ὁμοιότητας, ἃς οὐ χαλεπὸν ἐκ τῆς διηγήσεως αὐτῆς συναγαγεῖν. κίμων ὁ μιλτιάδου μητρὸς ἦν ἡγησιπύλης, γένος θρᾴττης, θυγατρὸς ὀλόρου τοῦ βασιλέως. ὡς ἐν τοῖς ἀρχελάου καὶ μελανθίου ποιήμασιν εἰς αὐτὸν κίμωνα γεγραμμένοις ἱστόρηται. διὸ καὶ θουκυδίδης ὁ ἱστορικὸς, τοῖς περὶ κίμωνα κατὰ γένος προσήκων, ὀλόρου τε πατρὸς ἦν, εἰς τὸν πρόγονον ἀναφέροντος τὴν ὁμωνυμίαν. καὶ τὰ χρυσεῖα περὶ τὴν θρᾴκην ἐκέκτητο, καὶ τελευτῆσαι μὲν ἐν τῇ σκαπτῇ ὕλῃ, τοῦτο δ᾽ ἐστὶ τῆς θρᾴκης χωρίον, λέγεται, φονευθεὶς ἐκεῖ. μνῆμα δ᾽ αὐτοῦ τῶν λειψάνων εἰς τὴν ἀττικὴν κομισθέντων ἐν τοῖς κιμωνείοις δείκνυται, παρὰ τὸν ἐλπινίκης τῆς κίμωνος ἀδελφῆς τάφον. ἀλλὰ θουκυδίδης μὲν ἁλιμούσιος γέγονε τῶν δήμων. οἱ δὲ περὶ τὸν μιλτιάδην, λακιάδαι. μιλτιάδης μὲν οὖν πεντήκοντα ταλάντων ὀφλὼν δίκην, καὶ πρὸς τὴν ἔκτισιν εἱρχθεὶς, ἐτελεύτησεν ἐν τῷ δεσμωτηρίῳ. κίμων δὲ μειράκιον παντάπασιν ἀπολειφθεὶς μετὰ τῆς ἀδελφῆς ἔτι κόρης οὔσης καὶ ἀγάμου, τὸν πρῶτον ἠδόξει χρόνον ἐν τῇ πόλει, καὶ κακῶς ἤκουεν ὡς ἄτακτος καὶ πολυπότης. καὶ τῷ πάππῳ κίμωνι προσεοικὼς τὴν φύσιν. ὃν δι᾽ εὐήθειαν φασὶ κοάλεμον προσαγορευθῆναι. στησίμβροτος δ᾽ ὁ θάσιος περὶ τὸν αὐτὸν ὁμοῦ τι χρόνον τῷ κίμωνι γεγονὼς φησὶν αὐτὸν, οὔτε μουσικὴν, οὔτ᾽ ἄλλο τι μάθημα τῶν ἐλευθερίων καὶ τοῖς ἕλλησιν ἐπιχωριαζόντων ἐκδιδαχθῆναι. δεινότητός τε καὶ στωμυλίας ἀττικῆς ὅλως ἀπηλλάχθαι. καὶ τῷ τρόπῳ πολὺ τὸ γενναῖον καὶ ἀληθὲς ἐνυπάρχειν. καὶ μᾶλλον εἶναι πελοποννήσιον τὸ σχῆμα τῆς ψυχῆς τοῦ ἀνδρός,

» φαῦλον, ἄκομψον, τὰ μέγιστ᾽ ἀγαθόν, κατὰ τὸν εὐριπίδειον ἡρακλέα.

ταῦτα γάρ ἐστι τοῖς ὑπὸ τοῦ στησιμβρότου γεγραμμένοις ἐπειπεῖν. ἔτι δὲ νέος ὢν, αἰτίαν ἔσχε πλησιάζειν τῇ ἀδελφῇ. καὶ γὰρ οὐδ᾽ ἄλλως τὴν ἐλπινίκην εὔτακτόν τινα γεγονέναι λέγουσιν, ἀλλὰ καὶ πρὸς πολύγνωτον ἐξαμαρτεῖν τὸν ζωγράφον. καὶ διὰ τοῦτό φασιν ἐν τῇ πλησιακτίῳ τότε καλουμένῃ, ποικίλῃ δὲ νῦν στοᾷ, γράφοντα τὰς τρῳάδας, τὸ τῆς λαοδίκης ποιῆσαι πρόσωπον, ἐν εἰκόνι τῆς ἐλπινίκης. ὁ δὲ πολύγνωτος, οὐκ ἦν τῶν βαναύσων, οὐδ᾽ ἀπ᾽ ἐργολαβίας ἔγραφε τὴν στοάν, ἀλλὰ προῖκα, φιλοτιμούμενος πρὸς τὴν πόλιν. ὡς οἵ τε συγγραφεῖς ἱστοροῦσι, καὶ μελάνθιος ὁ ποιητὴς λέγει τὸν τρόπον τοῦτον.

» αὐτοῦ γὰρ δαπάναισι θεῶν ναοὺς ἀγοράν τε κεκροπίαν κόσμησ᾽ ἡμιθέων ἀρεταῖς.

εἰσὶ δ᾽ οἳ τὴν ἐλπινίκην, οὐ κρύφα τῷ κίμωνι, φανερῶς δὲ γημαμένην συνοικῆσαι λέγουσιν, ἀξίου τῆς εὐγενείας νυμφίου διὰ τὴν πενίαν ἀποροῦσαν. ἐπεὶ δὲ καλλίας τῶν εὐπόρων τις ἀθήνησιν, ἐρασθεὶς προσῆλθε, τὴν ὑπὲρ τοῦ πατρὸς καταδίκην ἐκτίσειν ἕτοιμος ὢν, πρὸς τὸ δημόσιον, αὐτήν τε πεισθῆναι, καὶ τὸν κίμωνα τῷ καλλίᾳ συνοικίσαι τὴν ἐλπινίκην. οὐ μὴν ἀλλὰ καὶ ὅλως φαίνεται τοῖς περὶ τὰς γυναῖκας ἐρωτικοῖς ὁ κίμων ἔνοχος γενέσθαι. καὶ γὰρ ἀστερίας τῷ γένει σαλαμινίας. καὶ πάλιν μνήστρας τινὸς ὁ ποιητὴς μελάνθιος, μνημονεύει πρὸς τὸν κίμωνα παίζων δι᾽ ἐλεγείας, ὡς σπουδαζομένων ὑπ᾽ αὐτοῦ. δῆλος δ᾽ ἐστὶ καὶ πρὸς ἰσοδίκην, τὴν εὐρυπτολέμου μὲν θυγατέρα τοῦ μεγακλέους, κατὰ νόμους δ᾽ αὐτῷ συμβιώσασαν, ὁ κίμων ἐμπαθέστερον διατεθεὶς καὶ δυσφορήσας ἀποθανούσης, εἴ τι δεῖ τεκμαίρεσθαι ταῖς γεγραμμέναις ἐπὶ παρηγορίᾳ τοῦ πένθους ἐλεγείαις πρὸς αὐτόν. ὧν παναίτιος ὁ φιλόσοφος οἴεται ποιητὴν γεγονέναι τὸν φυσικὸν ἀρχέλαον, οὐκ ἀπὸ τρόπου τοῖς χρόνοις εἰκάζων. τὰ δ᾽ ἄλλα πάντα τοῦ ἤθους ἀγαθὰ καὶ γενναῖα τοῦ κίμωνος. οὔτε γὰρ τόλμῃ μιλτιάδου λειπόμενος, οὔτε συνέσει θεμιστοκλέους, δικαιότερος ἀμφοῖν ὁμολογεῖται γενέσθαι. καὶ ταῖς πολεμικαῖς οὐδὲ μικρὸν ἀπολειπόμενος ἀρεταῖς ἐκείνων, ἀμήχανον ὅσον ἐν ταῖς πολιτικαῖς ὑπερβαλέσθαι, νέος ὢν ἔτι καὶ πολέμων ἄπειρος. ὅτε γὰρ τὸν δῆμον ἐπιόντων μήδων, θεμιστοκλῆς ἔπειθε προέμενον τὴν πόλιν καὶ τὴν χώραν ἐκλιπόντα, πρὸ τῆς σαλαμῖνος ἐν ταῖς ναυσὶ τὰ ὅπλα θέσθαι καὶ διαγωνίσασθαι κατὰ θάλατταν, ἐκπεπληγμένων τῶν πολλῶν τὸ τόλμημα, πρῶτος κίμων ὤφθη, διὰ τοῦ κεραμεικοῦ φαιδρὸς ἀνιὼν εἰς τὴν ἀκρόπολιν μετὰ τῶν ἑταίρων, ἵππου τινὰ χαλινὸν ἀναθεῖναι τῇ θεῷ διὰ χειρῶν κομίζων, ὡς οὐδὲν ἱππικῆς ἀλκῆς, ἀλλὰ ναυμάχων ἀνδρῶν ἐν τῷ παρόντι τῆς πόλεως δεομένης. ἀναθεὶς δὲ τὸν χαλινὸν, καὶ λαβὼν ἐκ τῶν περὶ τὸν ναὸν κρεμαμένων ἀσπίδων, καὶ προσευξάμενος τῇ θεῷ, κατέβαινεν ἐπὶ θάλασσαν, οὐκ ὀλίγοις ἀρχὴ τοῦ θαρρεῖν γενόμενος. ἦν δὲ καὶ τὴν ἰδέαν, οὐ μεμπτὸς, ὡς ἴων ὁ ποιητής φησιν, ἀλλὰ μέγας. οὔλῃ καὶ πολλῇ τριχὶ κομῶν τὴν κεφαλήν. φανεὶς δὲ καὶ κατ᾽ αὐτὸν τὸν ἀγῶνα λαμπρὸς καὶ ἀνδρώδης, ταχὺ δόξαν ἐν τῇ πόλει μετ᾽ εὐνοίας ἔσχεν, ἀθροιζομένων πολλῶν πρὸς αὐτὸν καὶ παρακαλούντων ἄξια τοῦ μαραθῶνος, ἤδη διανοεῖσθαι καὶ πράττειν. ὁρμήσαντα δ᾽ αὐτὸν ἐπὶ τὴν πολιτείαν ἀσμένως ὁ δῆ-

σκαπτησύλη.

:— που· ἁλιμοῦς δῆμος ἐστὶ τῆς λεοντίδος. λακιάδαι δῆμος τῆς ἀττικῆς

λακιάδαι δῆμος τῆς οἰνηΐδος φυλῆς:—

πλησιανακτίῳ. ω.κ.ς.

ἀγαθὰ. ς.κ.τ.

Περιπόλτας ὁ μάντις ἐκ θετταλίας εἰς βοιωτίαν ὀφέλταν τὸν βασιλέα, καὶ τοὺς ὑπ' αὐτῷ λαοὺς καταγαγὼν, γένος εὐδοκιμῆσαν ἤδη πολλοὺς χρόνους κατέλιπεν. οὗ τὸ πλεῖστον ἐν χαιρωνείᾳ κατῴκησεν, ἣν πρώτην πόλιν ἔσχον, ἐξελάσαντες τοὺς βαρβάρους. οἱ μὲν οὖν πλεῖστοι τοῦ γένους, φύσει μάχιμοι καὶ ἀνδρώδεις γενόμενοι, κατηναλώθησαν ἐν ταῖς μηδικαῖς ἤδη ἐπιδρομαῖς, καὶ τοῖς γαλατικοῖς ἀγῶσιν, ἀφειδήσαντες ἑαυτῶν. λείπεται δὲ παῖς ὀρφανὸς γονέων, ὄνομα δάμων, παρωνύμιον δὲ περιπόλτας. πολὺ δή τι καὶ σώματος κάλλει καὶ ψυχῆς φρονήματι τοὺς καθ' αὑτὸν ὑπεραίρων νέους. ἄλλως δ' ἀπαίδευτος καὶ σκληρὸς τὸ ἦθος. τούτου ῥωμαῖος, ἡγεμὼν σπείρας τινὸς ἐν χαιρωνείᾳ διαχειμαζούσης, ἐρασθεὶς ἄρτι τὴν παιδικὴν ἡλικίαν παρηλλαχότος, ὡς οὐκ ἔπειθε πειρῶν, καὶ διδοὺς, δῆλος ἦν οὐκ ἀφεξόμενος βίας, ἅτε δὴ καὶ τῆς πατρίδος ἡμῶν τότε λυπρὰ πραττούσης, καὶ διὰ μικρότητα καὶ πενίαν παρορωμένης. τοῦτο δὴ δεδιὼς ὁ δάμων, καὶ τὴν πεῖραν αὐτὴν δι' ὀργῆς πεποιημένος, ἐπεβούλευε τῷ ἀνδρί. καὶ συνίστη τῶν ἡλικιωτῶν τινὰς ἐπ' αὐτὸν, οὐ πολλοὺς, ἕνεκα τοῦ λανθάνειν. ἀλλ' οἱ σύμπαντες ἑκκαίδεκα γενόμενοι, χρίονται μὲν αἰθάλῳ τὰ πρόσωπα νυκτὸς, ἐμπιόντες δὲ ἄκρατον ἅμ' ἡμέρᾳ προσπίπτουσι τῷ ῥωμαίῳ κατ' ἀγορὰν θύοντι. καὶ καταβαλόντες αὐτόν τε καὶ τῶν περὶ αὐτὸν οὐκ ὀλίγους, ἐκ τῆς πόλεως μετέστησαν. γενομένης δὲ ταραχῆς, ἡ τῶν χαιρωνέων βουλὴ συνελθοῦσα, θάνατον αὐτῶν κατέγνω. καὶ τοῦτο ἦν ὑπὲρ τῆς πόλεως ἀπολόγημα πρὸς τοὺς ῥωμαίους. ἑσπέρας δὲ τῶν ἀρχόντων, ὥσπερ ἔθος ἐστὶ, κοινῇ δειπνούντων, οἱ περὶ τὸν δάμωνα παρεισπεσόντες εἰς τὸ ἀρχεῖον, ἀπέσφαξαν αὐτοὺς καὶ πάλιν ᾤχοντο, φεύγοντες ἐκ τῆς πόλεως. ἔτυχε δὲ περὶ τὰς ἡμέρας ἐκείνας, λεύκιος λούκουλλος ἐπί τινα πρᾶξιν μετὰ δυνάμεως παρερχόμενος. ἐπιστήσας δὲ τὴν πορείαν καὶ τῶν γεγονότων προσφάτων ὄντων ἐξέτασιν ποιησάμενος, εὗρε τὴν πόλιν οὐδενὸς αἰτίαν, ἀλλὰ μᾶλλον συνηδικημένην, καὶ τοὺς στρατιώτας ἀναλαβὼν, ἀπήγαγε μεθ' ἑαυτοῦ. τὸν δὲ δάμωνα λῃστείαις καὶ καταδρομαῖς πορθοῦντα τὴν χώραν καὶ τῇ πόλει προσκείμενον, ὑπηγάγοντο πρεσβείαις καὶ ψηφίσμασι φιλανθρώποις οἱ πολῖται. κατελθόντα δὲ, γυμνασίαρχον κατέστησαν. εἶτ' ἀλειφόμενον ἐν τῷ πυριατηρίῳ, διέφθειραν. ἐπὶ πολὺν δὲ χρόνον, εἰδώλων τινῶν ἐν τῷ τόπῳ προφαινομένων, καὶ στεναγμῶν ἐξακουομένων, ὡς οἱ πατέρες ἡμῶν λέγουσι, τὰς θύρας ἀνῳκοδόμησαν τοῦ πυριατηρίου. καὶ μέχρι νῦν οἱ τῷ τόπῳ γειτνιῶντες, οἴονταί τινας ὄψεις καὶ φωνὰς ταραχώδεις φέρεσθαι. τοὺς δ' ἀπὸ τοῦ γένους αὐτοῦ, διασῴζονται γὰρ ἔνιοι μάλιστα τῆς φωκίδος περὶ στεῖριν αἰολίζοντες, ἀσβολωμένους καλοῦσι, διὰ τὸ τὸν δάμωνα πρὸς τὸν φόνον ἀσβόλῳ χρισάμενον ἐξελθεῖν. ἐπεὶ δ' ἀστυγείτονες ὄντες ὀρχομένιοι καὶ διάφοροι τοῖς χαιρωνεῦσιν, ἐμισθώσαντο ῥωμαϊκὸν συκοφάντην, ὃ δ' ὥσπερ ἑνὸς ἀνθρώπου τὸ τῆς πόλεως ὄνομα κατειπὼν, ἐδίωκε φόνου τῶν ὑπὸ δάμωνος ἀνῃρημένων, ἡ δὲ κρίσις ἦν ἐπὶ τοῦ στρατηγοῦ τῆς μακεδονίας. οὔπω γὰρ εἰς τὴν ἑλλάδα ῥωμαῖοι στρατηγοὺς διεπέμποντο. οἱ δὲ λέγοντες ὑπὲρ τῆς πόλεως, ἐπεκαλοῦντο τὴν λουκούλλου μαρτυρίαν. γράψαντος δὲ τοῦ στρατηγοῦ πρὸς λούκουλλον, ἐκεῖνος ἐμαρτύρησε τἀληθῆ, καὶ τὴν δίκην οὕτως ἀπέφυγεν ἡ πόλις, κινδυνεύουσα περὶ τῶν μεγίστων. ἐκεῖνοι μὲν οὖν οἱ τότε σωθέντες, εἰκόνα τοῦ λουκούλλου λιθίνην ἐν ἀγορᾷ παρὰ τὸν διόνυσον ἀνέστησαν. ἡμεῖς δ' εἰ καὶ πολλαῖς ἡλικίαις λειπόμεθα, τὴν μὲν χάριν οἰόμεθα διατείνειν καὶ πρὸς ἡμᾶς τοὺς νῦν ὄντας, εἰκόνα δὲ πολὺ καλλίονα νομίζοντες εἶναι, τῆς τὸ σῶμα καὶ τὸ πρόσωπον ἀπομιμουμένης, τὴν τὸ ἦθος καὶ τὸν τρόπον ἐμφανίζουσαν, ἀναληψόμεθα τῇ γραφῇ τῶν παραλλήλων βίων, τὰς πράξεις τοῦ ἀνδρὸς, τἀληθῆ διεξιόντες. ἀρκεῖ γὰρ ἡ τῆς μνήμης χάρις. ἀληθοῦς δὲ μαρτυρίας, οὐδ' ἂν αὐτὸς ἐκεῖνος ἠξίωσε μισθὸν λαβεῖν ψευδῆ καὶ πεπλασμένην ὑπὲρ αὐτοῦ διήγησιν. ὥσπερ γὰρ τοὺς τὰ καλὰ καὶ πολλὴν ἔχοντα χάριν εἴδη ζωγραφοῦντας, ἂν προσῇ τι μικρὸν αὐτοῖς δυσχερὲς, ἀξιοῦμεν μήτε παραλιπεῖν τοῦτο τελέως, μήτε ἐξακριβοῦν. τὸ μὲν γὰρ αἰσχράν, τὸ δ' ἀνομοίαν παρέχεται τὴν ὄψιν, οὕτως ἐπεὶ χαλεπόν ἐστι, μᾶλλον δ' ἴσως ἀμήχανον, ἀμεμφῆ καὶ καθαρὸν ἀνδρὸς ἐπιδεῖξαι βίον, ἐν τοῖς καλοῖς ἀναπληρωτέον, ὥσπερ ὁμοιότητα τὴν ἀλήθειαν. τὰς δ' ἐκ πάθους τινὸς ἢ πολιτικῆς ἀνάγκης ἐπιτρεχούσας ταῖς πράξεσιν ἁμαρτίας καὶ κῆρας, ἐλλείμματα μᾶλλον ἀρετῆς τινος ἢ κακίας πονηρεύματα νομίζοντας, οὐ δεῖ πάνυ προθύμως ἐναποσημαίνειν τῇ ἱστορίᾳ καὶ περιττῶς. ἀλλ' ὥσπερ αἰδουμένους ὑπὲρ τῆς ἀνθρωπίνης φύσεως, εἰ καλὸν οὐδὲν εἰλικρινὲς οὐδ' ἀναμφισβήτητον εἰς ἀρετὴν ἦθος γεγονὸς ἀποδίδωσιν. ὅθεν οὖν λούκουλλος ἐδόκει σκοποῦσιν ἡμῖν τῷ κίμωνι παραβλητέος εἶναι. πολεμικοὶ γὰρ ἀμφότεροι, καὶ πρὸς τοὺς βαρβάρους λαμπροί. πρᾶοι δὲ τὰ πολιτικὰ, καὶ μάλιστα τῶν ἐμφυλίων στάσεων ἀνάπνοιαν ταῖς πατρίσι παρασχόντες. ἑκάτερος δέ τις αὐτῶν στήσαντες τρόπαια καὶ νίκας αἱ

ὡς ἐγὼ νομίζω τῶν εἰρημένων ἐκεῖνό ἐστιν, ὅτι λύσανδρος μὲν κατώρθου πάντα, τῶν οἴκοι συναγωνιζο-
μένων. σύλλας δὲ φυγὰς ὢν καὶ καταστασιασμένος ὑπὸ τῶν ἐχθρῶν. καθ᾽ ὃν χρόνον ἠλαύνετο μὲν αὐ-
τοῦ γυνή. κατεσκάπτετο δὲ οἰκία. φίλοι δὲ ἀπέθνησκον. αὐτὸς ἐν βοιωτίᾳ ταῖς ἀναριθμήτοις μυριάσι πα-
ραταττόμενος καὶ κινδυνεύων, ὑπὲρ τῆς πατρίδος, ἵστη τρόπαιον. καὶ μιθριδάτῃ συμμαχίαν διδόν-
τι καὶ δύναμιν ἐπὶ τοὺς ἐχθροὺς, οὐδὲν οὐδαμῆ μαλακὸν ἐνέδωκεν οὐδὲ φιλάνθρωπον. ἀλλ᾽ οὐδὲ προ-
σεῖπεν. οὐδὲ τὴν δεξιὰν ἐνέβαλε πρότερον, ἢ πυθέσθαι παρόντος, ὅτι καὶ τὴν ἀσίαν ἀφίησι. καὶ
τὰς ναῦς παραδίδωσι. καὶ τοῖς βασιλεῦσιν ἐξίσταται καὶ βιθυνίας. καὶ καππαδο-
κίας. ὧν οὐδὲν ὅλως δοκεῖ σύλλας κάλλιον ἔργον, οὐδὲ ἀπὸ μείζονος ἐργάσασθαι φρο-
νήματος. ὅτι τὸ κοινὸν τοῦ οἰκείου πρόσθεν θέμενος. καὶ καθάπερ οἱ γενναῖοι
κύνες, οὐκ ἀνεὶς τὸ δῆγμα καὶ τὴν λαβὴν πρότερον, ἢ τὸν ἀνταγω-
νιστὴν ἀπειπεῖν. τότε πρὸς τὴν τῶν ἰδίων ἄμυναν ὥρμησεν. ἔτι
πᾶσι δὲ καὶ τὸ περὶ τὰς ἀθήνας ἔχει τινὰ ῥοπὴν εἰς ἤθους
σύγκρισιν. εἴγε σύλλας μὲν ὑπὲρ τῆς μιθριδά-
του δυνάμεως καὶ ἡγεμονίας, πολεμήσασαν
αὐτῷ τὴν πόλιν ἑλὼν, ἐλευθέραν ἀ-
φῆκε καὶ αὐτόνομον. λύσαν-
δρος δὲ, τοσαύτης ἡγε-
μονίας καὶ ἀρχῆς
ἐκπεσοῦ-
σαν, οὐκ ᾤκτει-
ρεν. ἀλλὰ καὶ τὴν
δημοκρατίαν
ἀφελόμε-
νος, ὠμοτάτους αὐ-
τῇ καὶ παρανόμους ἀπέ-
δειξε τυράννους. ὥρα δὴ σκο-
πεῖν μὴ πολὺ τἀληθοῦς διαμαρτάνω-
μεν. ἀποφαινόμενοι πλεῖστα μὲν κατωρθωκέ-
ναι σύλλαν. ἐλάττονα δὲ ἐξημαρτηκέναι λύσαν-
δρον. καὶ τῷ μὲν ἐγκρατείας, καὶ σωφροσύνης.
τῷ δὲ στρατηγίας, καὶ ἀνδρείας ἀποδιδόντες τὸ πρωτεῖον.

δυσγένειαν. ὥσπερ γὰρ κυνηγὸς οὐ ζητεῖ τὸ ἔκγονον, ἀλλὰ κύνα. καὶ ἱππικὸς ἵππον. οὐ τὸ ἐξ ἵππου. τί γὰρ ἂν ἐξ ἵππου ἡμίονος γένηται. οὕτω τι ὁ πολιτικὸς ἁμαρτήσεται τοῦ παντὸς, ἐὰν μὴ ζητῇ τὸν ἄρχοντα τίς ἐστιν, ἀλλ' ἐκ τίνος. αὐτοί γέτοι σπαρτιᾶται βασιλεύοντας ἐνίους, ἀφείλοντο τὴν ἀρχὴν, ὡς οὐ βασιλικοὺς, ἀλλὰ φαύλους, καὶ τὸ μηδὲν ὄντας. εἰ δὲ κακία καὶ μετὰ γένους ἄτιμον. οὐδ' ἀρετὴ δι' εὐγένειαν, ἀλλ' ἀφ' ἑαυτῆς ἔντιμον. αἱ τοίνυν ἀδικίαι. τῷ μὲν, ὑπὲρ φίλων τῷ δὲ, ἄχρι φίλων ἐπράχθησαν. λύσανδρος μὲν γὰρ, ὁμολογεῖται τὰ πλεῖστα διὰ τοὺς ἑταίρους ἐξαμαρτεῖν. καὶ τὰς πλείστας σφαγὰς, ὑπὲρ τῆς ἐκείνων ἀπεργάσασθαι δυναστείας καὶ τυραννίδος. σύλλας δὲ καὶ πομπηΐου τὸ στρατιωτικὸν φθονήσας. καὶ δολοβέλλα τὴν ναυαρχίαν ἐπιχειρήσας δοὺς, ἀφελέσθαι. καὶ λουκρήτιον ὀφέλλαν, ἀντὶ πολλῶν καὶ μεγάλων ὑπατείαν μνώμενον, ἐν ὀφθαλμοῖς ἀποσφάξαι προσέταξε. φρίκην καὶ δέος ἐμποιῶν πρὸς αὐτὸν ἀνθρώποις ἅπασι, διὰ τῆς τῶν φιλτάτων ἀναιρέσεως. ἔτι δὲ μᾶλλον ἡ περὶ τὰς ἡδονὰς καὶ τὰ χρήματα σπουδὴ, δείκνυσι. τοῦ μὲν, ἡγεμονικὴν. τοῦ δὲ, τυραννικὴν τὴν προαίρεσιν οὖσαν. ὁ μὲν γὰρ, οὐδὲν ἀκόλαστον, οὐδὲ μειρακιῶδες ἐν ἐξουσίᾳ, καὶ δυνάμει τηλικαύτῃ φαίνεται διαπεπραγμένος. ἀλλ' εἴ τις ἄλλος ἐκπεφευγὼς τουτὶ τὸ περίακτον. οἴκοι λέοντες. ἐν ὑπαίθρῳ δ' ἀλώπεκες. οὕτω σώφρονα, καὶ λακωνικὴν, καὶ κεκολασμένην ἐπεδείκνυτο πανταχοῦ τὴν δίαιταν. ὁ δὲ, οὔτε νέος ὢν περὶ τὰς ἐπιθυμίας ἐμετρίαζε διὰ τὴν πενίαν. οὔτε γηράσας, διὰ τὴν ἡλικίαν. ἀλλὰ τοὺς περὶ γάμων καὶ σωφροσύνης εἰσηγεῖτο νόμους τοῖς πολίταις. αὐτὸς ἐρῶν καὶ μοιχεύων, ὥς φησι σαλούστιος. ὅθεν οὕτω τὴν πόλιν, πτωχὴν καὶ κενὴν ἐποίησε χρημάτων. ὥστε ταῖς συμμαχίσι καὶ φίλαις πόλεσιν ἀργυρίου πωλεῖν τὴν ἐλευθερίαν καὶ τὴν αὐτονομίαν. καίτοι τοὺς πολυαργυρωτάτους οἴκους καὶ μεγίστους, ὁσημέραι δημεύοντος αὐτοῦ καὶ ἀποκηρύττοντος. ἀλλὰ μέτρον οὐδὲν ἦν τῶν ῥιπτουμένων, καὶ καταχορηγουμένων εἰς τοὺς κόλακας. τίνα γὰρ εἰκὸς εἶναι λογισμὸν ἢ φειδὼ πρὸς τὰς παρ' οἶνον συνουσίας αὐτοῦ καὶ χάριτας, ὃς ἐν φανερῷ ποτε τοῦ δήμου περιεστῶτος, οὐσίαν μεγάλην διαπιπράσκων τιμῆς τῆς τυχούσης εἰς ἕνα τῶν φίλων, ἐκέλευε κατακηρύξαι. ἑτέρου δὲ τὴν τιμὴν ὑπερβαλλομένου. καὶ τοῦ κήρυκος τὸ προστεθὲν ἀγορεύσαντος, διηγανάκτησε. δεινά γε ὦ φίλοι πολῖται καὶ τυραννικὰ πάσχω φάμενος, εἰ τὰ ἐμά μοι λάφυρα διαθέσθαι μὴ ἔξεστιν ὡς βούλομαι. λύσανδρος δὲ καὶ τὰς αὐτῷ δοθείσας δωρεὰς μετὰ τῶν ἄλλων ἐξέπεμψε τοῖς πολίταις καὶ οὐκ ἐπαινῶ τὸ ἔργον. ἴσως γὰρ ἔβλαψε τῇ κτήσει τῶν χρημάτων τὴν σπάρτην οὗτος, ὅσον οὐκ ἔβλαψε τῇ ἀφαιρέσει, τὴν ῥώμην ἐκεῖνος, ἀλλὰ τεκμήριον τοῦτο ποιοῦμαι τῆς ἀφιλοπλουτίας τοῦ ἀνδρός. ἴδιον δέ τι πρὸς τὴν ἑαυτοῦ πόλιν ἑκάτερος ἔπαθε. σύλλας μὲν γὰρ ἀκόλαστος ὢν καὶ πολυτελὴς, ἐσωφρόνιζε τοὺς πολίτας, λύσανδρος δ' ὧν αὐτὸς ἀπείχετο παθῶν, ἐνέπλησε τὴν πόλιν. ὥστε ἁμαρτάνειν. τὸν μὲν αὐτὸν ὄντα χείρονα τῶν ἰδίων νόμων. τὸν δὲ αὑτοῦ χείρονας ἀπεργαζόμενον τοὺς πολίτας. δεῖσθαι γὰρ ἐδίδαξε τὴν σπάρτην, ὧν αὐτὸς ἔμαθε μὴ προσδεῖσθαι. καὶ τὰ μὲν πολιτικὰ, ταῦτα. πολέμων δὲ ἀγῶσι, καὶ στρατηγικαῖς πράξεσι. καὶ πλήθει τροπαίων, καὶ μεγέθει κινδύνων. ἀσύγκριτος ὁ σύλλας. ὁ μέντοι γε δύο νίκας ἐξηνέγκατο, ναυμαχίας δυσί, προσθήσω δὲ αὐτῷ τὴν ἀθηνῶν πολιορκίαν. ἔργῳ μὲν, οὐ μεγάλην. τῇ δὲ δόξῃ λαμπροτάτην γενομένην. τὰ δ' ἐν βοιωτίᾳ καὶ ἁλιάρτῳ, δυστυχίᾳ μὲν ἴσως ἐπράχθη τινί. κακοβουλίᾳ δὲ προσέοικεν οὐκ ἀναμείναντος ὅσον οὔπω παροῦσαν ἐκ πλαταιῶν τὴν μεγάλην βασιλέως δύναμιν. ἀλλὰ θυμῷ καὶ φιλοτιμίᾳ παρὰ καιρὸν ὠσαμένου πρὸς τὸ τεῖχος, ὥστε τοὺς τυχόντας ἀνθρώπους ἐκπηδήσαντας ἐν οὐδενὶ λόγῳ καταβαλεῖν αὐτόν. οὐ γὰρ ὡς κλεόμβροτος ἐν λεύκτροις ἀντερείδων ἐπικειμένοις τοῖς πολεμίοις, οὐδ' ὡς κῦρος, οὐδ' ὡς ἐπαμεινώνδας κατέχων ἐγκεκλικότας, καὶ τὴν νίκην βεβαιούμενος, πληγῇ καιρίᾳ περιέπεσεν. ἀλλ' οὗτοι μὲν βασιλέων καὶ στρατηγῶν θάνατον ἀπέθνησκον. λύσανδρος δὲ ψιλοῦ καὶ προδρόμου δίκην ἀκλεῶς παραναλώσας ἑαυτὸν, ἐμαρτύρησε τοῖς παλαιοῖς σπαρτιάταις. ὅτι καλῶς ἐφυλάττοντο τὰς τειχομαχίας. ἐν αἷς οὐχ ὑπ' ἀνδρὸς μόνον τοῦ τυχόντος. ἀλλὰ καὶ ὑπὸ παιδὸς καὶ γυναικὸς, ἀποθανεῖν ἂν συντύχοι, πληγέντα τὸν κράτιστον. ὥσπερ τὸν ἀχιλλέα φασὶν ὑπὸ τοῦ πάριδος ἐν ταῖς πύλαις ἀναιρεθῆναι. σύλλας μὲν οὖν ὅσας ἐκ παρατάξεως ἐνίκησε νίκας καὶ κατέβαλε μυριάδας πολεμίων, οὐδ' ἀριθμῆσαι ῥᾴδιόν ἐστιν. αὐτὴν δὲ τὴν ῥώμην δὶς εἷλε. καὶ τὸν πειραιᾶ τῶν ἀθηνῶν, οὐ λιμῷ καθάπερ λύσανδρος, ἀλλὰ πολλοῖς ἀγῶσι καὶ μεγάλοις ἐκβαλὼν ἀρχέλαον ἐκ τῆς γῆς, ἐπὶ τὴν θάλατταν κατέσχεν. ἔστι δὲ μέγα καὶ τὸ τῶν ἀντιστρατήγων. τρυφὴν γὰρ οἶμαι καὶ παιδιὰν πρὸς ἀντίοχον διαναυμαχεῖν τὸν ἀλκιβιάδου κυβερνήτην. καὶ φιλοκλέα τὸν ἀθηναίων ἐξαπατᾶν δημαγωγόν. ἄδοξον ἄκραν γλῶσσαν ἠκονημένον. οὓς οὐκ ἂν ἱπποκόμον μιθριδάτης, οὐδὲ ῥαβδοῦχον μάριος, ἠξίωσε παραβαλεῖν τῶν ἑαυτοῦ. τῶν δὲ πρὸς τὸν σύλλαν ἀνταραμένων δυναστῶν. ὑπάτων. στρατηγῶν. δημαγωγῶν. ἵνα τοὺς ἄλλους ἐάσω, τίς ἦν ῥωμαίων μαρίου φοβερώτερος. ἢ μιθριδάτου βασιλέων δυνατώτερος. ἢ λαμπωνίου καὶ τελεσίνου, τῶν ἰταλικῶν, μαχιμώτερος. ὧν ἐκεῖνος τὸν μὲν, ἐξέβαλε. τὸν δὲ, ὑπέταξε. τοὺς δὲ, ἀπέκτεινε. τὸ δὲ πάντων μέγιστον,

ἀπεκόλουσε κ.π.ς.

ζῆ π.ς.

προσδεῖσθαι κ.ς.

πλαταιῶν ς.

ἀνθρώπους π.

μα π.

ἐπιγινομένου, τὸ ἀφαιρούμενον. ἀλλὰ πᾶσαν ἐσθῆτα, καὶ λουτρὸν καὶ ἀπόνιμμα καὶ σιτίον, ἀναπίμπλασθαι τοῦ ῥεύματος ἐκείνου καὶ τῆς φθορᾶς. τοσοῦτον ἐξήνθει. διὸ πολλάκις τῆς ἡμέρας εἰς ὕδωρ ἐνέβαινεν, ἐκλύζων τὸ σῶμα καὶ ἀπορρυπτόμενος. ἦν δὲ οὐδὲν ὄφελος. ἐκράτει γὰρ ἡ μεταβολὴ τῷ τάχει. καὶ περιεγίνετο παντὸς καθαρμοῦ τὸ πλῆθος. λέγεται δὲ, τῶν μὲν πάνυ παλαιῶν, ἄκαστον φθειριάσαντα τὸν Πελίου τελευτῆσαι. τῶν δὲ ὑστέρων Ἀλκμᾶνα τὸν μελοποιὸν, καὶ Φερεκύδην τὸν θεολόγον. καὶ Καλλισθένη τὸν Ὀλύνθιον, ἐν εἱρκτῇ φρουρούμενον. ἔτι δὲ Μούκιον τὸν νομικόν. εἰ δὲ δεῖ καὶ τῶν ἀπ' οὐδενὸς μὲν χρηστοῦ, γνωρίμων δὲ ἄλλως ἐπιμνησθῆναι, λέγεται τὸν ἄρξαντα τοῦ δουλικοῦ πολέμου περὶ Σικελίαν δραπέτην Εὔνουν ὄνομα μετὰ τὴν ἅλωσιν εἰς Ῥώμην ἀγόμενον, ὑπὸ φθειριάσεως ἀποθανεῖν. ὁ δὲ Σύλλας, οὐ μόνον προέγνω τὴν ἑαυτοῦ τελευτὴν, ἀλλὰ τρόπον τινὰ καὶ γέγραφε περὶ αὐτῆς. τὸ γὰρ εἰκοστὸν καὶ δεύτερον τῶν ὑπομνημάτων, πρὸ δυεῖν ἡμερῶν ἢ ἐτελεύτα, γράφων ἐπαύσατο. καί φησι τούς τε Χαλδαίους αὐτῷ προειπεῖν. ὡς δέοι βεβιωκότα καλῶς αὐτὸν ἐν ἀκμῇ τῶν εὐτυχημάτων καταστρέψαι. λέγει δὲ καὶ τὸν υἱὸν αὐτοῦ τεθνηκότα μικρὸν ἔμπροσθεν τῆς Μετέλλης φανῆναι κατὰ τοὺς ὕπνους ἐν ἐσθῆτι φαύλῃ παρεστῶτα, καὶ δεόμενον τοῦ πατρὸς, παύσασθαι τῶν φροντίδων. ἰόντα δὲ σὺν αὐτῷ παρὰ τὴν μητέρα Μετέλλαν ἐν ἡσυχίᾳ καὶ ἀπραγμόνως ζῆν μετ' αὐτῆς. οὐ μὴν ἐπαύσατό γε τοῦ πράττειν τὰ δημόσια. δέκα μὲν γὰρ ἡμέραις ἔμπροσθεν τῆς τελευτῆς, τοὺς ἐν Δικαιαρχίᾳ στασιάζοντας διαλλάξας, νόμον ἔγραψεν αὐτοῖς καθ' ὃν πολιτεύονται. πρὸ μιᾶς δὲ ἡμέρας πυθόμενος τὸν ἄρχοντα Γράνιον ὡς ὀφείλων δημόσιον χρέος οὐκ ἀποδίδωσιν, ἀλλ' ἀναμένει τὴν αὐτοῦ τελευτὴν, μετεπέμψατο τὸν ἄνθρωπον εἰς τὸ δωμάτιον. καὶ περιστήσας τοὺς ὑπηρέτας ἐκέλευσε πνίγειν. τῇ δὲ κραυγῇ καὶ τῷ σπαραγμῷ τὸ ἀπόστημα ῥήξας πλῆθος αἵματος ἐξέβαλεν. ἐκ δὲ τούτου τῆς δυνάμεως ἐπιλιπούσης, διαγαγὼν τὴν νύκτα μοχθηρῶς, ἀπέθανε. δύο παῖδας ἐκ τῆς Μετέλλης νηπίους καταλιπών. ἡ γὰρ Οὐαλλερία μετὰ τὴν τελευτὴν αὐτοῦ, θυγάτριον ἀπεκύησεν, ὃ Ποστούμαν ἐκάλουν. τοὺς γὰρ ὕστερον τῆς τῶν πατέρων τελευτῆς γενομένους, οὕτω Ῥωμαῖοι προσαγορεύουσιν. ὥρμησαν μὲν οὖν πολλοὶ, καὶ συνέστησαν πρὸς Λέπιδον ὡς εἴρξοντες τὸ σῶμα κηδείας τῆς νενομισμένης. Πομπήιος δὲ, καίπερ ἐγκαλῶν τῷ Σύλλᾳ. μόνον γὰρ αὐτὸν ἐν ταῖς διαθήκαις τῶν φίλων παρέλιπε. τοὺς μὲν, χάριτι καὶ δεήσει. τοὺς δὲ ἀπειλῇ διακρουσάμενος, εἰς Ῥώμην παρέπεμψε τὸ σῶμα. καὶ ταῖς ταφαῖς, ἀσφάλειαν ἅμα καὶ τιμὴν παρέσχε. λέγεται δὲ τοσοῦτον πλῆθος ἀρωμάτων ἐπενεγκεῖν τὰς γυναῖκας αὐτῷ, ὥστε ἄνευ τῶν ἐν φορήμασι δέκα καὶ διακοσίοις διακομιζομένων πλασθῆναι μὲν εἴδωλον εὐμέγεθες αὐτοῦ Σύλλα. πλασθῆναι δὲ καὶ ῥαβδοῦχον. ἔκ τε λιβανωτοῦ πολυτελοῦς καὶ κινναμώμου. τῆς δὲ ἡμέρας συννεφοῦς ἕωθεν οὔσης, ὕδωρ ἐξ οὐρανοῦ προσδοκῶντες, ἐνάτης ὥρας μόλις ἦραν τὸν νεκρὸν, ἀνέμου δὲ λαμπροῦ καταιγίσαντος εἰς τὴν πυρὰν, καὶ φλόγα πολλὴν ἐγείραντος, ἔφθη τὸ σῶμα συγκομισθέν. ὅσον δ' ἤδη τῆς πυρᾶς μαραινομένης καὶ τοῦ πυρὸς ἀπιόντος, ἐκχυθῆναι πολὺν ὄμβρον καὶ κατασχεῖν ἄχρι νυκτός. ὥστε τὴν τύχην αὐτοῦ δοκεῖν τὸ σῶμα συνεκθάπτειν, παραμένουσαν. τὸ μὲν οὖν μνημεῖον, ἐν τῷ πεδίῳ τοῦ Ἄρεώς ἐστι. τὸ δὲ ἐπίγραμμα, φασὶν αὐτὸν ὑπογραψάμενον καταλιπεῖν. οὗ κεφάλαιόν ἐστιν, ὡς οὔτε τῶν φίλων τις αὐτὸν εὖ ποιῶν, οὔτε τῶν ἐχθρῶν κακῶς, ὑπερεβάλετο.

ἐπεὶ δὲ καὶ τὸν τούτου διεληλύθαμεν βίον, ἴωμεν ἤδη πρὸς τὴν σύγκρισιν. τὸ μὲν οὖν ἐφ' ἑαυτῶν αὐξήσεως ἀρχὴν λαβοῦσι μεγάλοις γενέσθαι, κοινὸν ἀμφοτέροις ὑπῆρξεν, ἴδιον δὲ Λυσάνδρου, τὸ βουλομένων τῶν πολιτῶν καὶ ὑγιαινόντων ὅσας ἔσχεν ἀρχὰς λαβεῖν. βιάσασθαι δὲ μηδὲν ἀκόντων, μηδ' ἰσχῦσαι παρὰ τοὺς νόμους. ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκαλως ἔλλαχε τιμῆς. ὡς τότε ἐν Ῥώμῃ τότε. διεφθαρμένου τοῦ δήμου. καὶ νοσοῦντος αὐτοῖς τοῦ πολιτεύματος, ἄλλος ἀλλαχόθεν ἀνίστατο δυνάστης. καὶ οὐδὲν ἦν θαυμαστὸν, εἰ Σύλλας ἦρχεν. ὅτε Γλαυκίαι καὶ Σατουρνῖνοι Μετέλλους ἤλαυνον, ἐκ τῆς πόλεως. ὑπάτων δὲ ἀπεσφάττοντο παῖδες ἐν ἐκκλησίαις. ἀργυρίῳ δὲ καὶ χρυσίῳ τὰ ὅπλα παρελάμβανον ὠνούμενοι τοὺς στρατευομένους. πυρὶ δὲ καὶ σιδήρῳ τοὺς νόμους ἐτίθεσαν, βιαζόμενοι τοὺς ἀντιλέγοντας. οὐκ αἰτιῶμαι δὲ τὸν ἐν τοσούτοις πράγμασι μέγιστον ἰσχῦσαι διαπραξάμενον, ἀλλὰ σημεῖον οὐ τίθεμαι τοῦ βέλτιστον εἶναι, τὸ γενέσθαι πρῶτον, οὕτω πονηρὰ πραττούσης τῆς πόλεως. ὁ δὲ ἀπὸ τῆς Σπάρτης εὐνομουμένης τότε μάλιστα καὶ σωφρονούσης, ἐπὶ τὰς μεγίστας ἐκπεμπόμενος ἡγεμονίας, καὶ πράξεις, σχεδὸν ἀρίστων ἄριστος ἐκεῖνος. καὶ πρώτων πρῶτος. ὅθεν. ὁ μὲν, πολλάκις τὴν ἀρχὴν ἀποδοὺς τοῖς πολίταις, ἀνέλαβε πολλάκις, διέμενε γὰρ ἡ τιμὴ τῆς ἀρετῆς ἔχουσα τὸ πρωτεῖον. ὁ δὲ ἅπαξ αἱρεθεὶς στρατεύματος ἡγεμὼν ἔτη συνεχῶς δέκα. νῦν μὲν ὕπατον. νῦν δὲ ἀνθύπατον. νῦν δὲ δικτάτωρα ποιῶν ἑαυτόν. ἀεὶ δὲ ὢν τύραννος, ἐν τοῖς ὅπλοις ἔμενεν. ἐπεχείρησε μὲν οὖν ὁ Λύσανδρος ὡς εἴρηται μεταστῆσαι τὰ περὶ τὴν πολιτείαν, πρᾳότερον καὶ νομιμώτερον ἢ Σύλλας. πειθοῖ γε, οὐδ' ὅπλων, οὐδὲ πάντα συλλήβδην ἀναιρῶν ὥσπερ ἐκεῖνος, ἀλλ' αὐτὴν ἐπανορθούμενος, τὴν κατάστασιν τῶν βασιλέων, ὃ καὶ φύσει που δίκαιον ἐδόκει, τὸν ἐξ ἀρίστων ἄριστον ἄρχειν ἐν πόλει τῆς Ἑλλάδος ἡγουμένῃ δι' ἀρετὴν, οὐδ'

ἐκκλύζων. ς. κ.
πράττειν. π. ς. κ.
πλασθῆναι. π. ς.
παραμένουσαν π.
πάγκακος π. ς. κ.
τοιούτοις π. κ. ς.
ὃ π. ς. κ.

δὲ ἡ κόρη παρὰ τῷ πομπηΐῳ τίκτουσα. λουκρητίου δὲ ὀφέλλα τοῦ μάριον ἐκπολιορκήσαντος, αἰτουμένου καὶ μετιόντος ὑπατείαν, πρῶτον μὲν ἐκώλυε. ὡς δὲ ἐκεῖνος ὑπὸ πολλῶν σπουδαζόμενος εἰς τὴν ἀγορὰν ἐνέβαλε, πέμψας τινὰ τῶν περὶ αὐτὸν ἑκατοντάρχων, ἀπέσφαξε τὸν ἄνδρα. καθεζόμενος αὐτὸς ἐπὶ βήματος ἐν τῷ διοσκουρείῳ, καὶ τὸν φόνον ἐφορῶν ἄνωθεν. τῶν δὲ ἀνθρώπων τὸν ἑκατοντάρχην συλλαβόντων καὶ προσαγαγόντων τῷ βήματι, σιωπῆσαι κελεύσας τοὺς θορυβοῦντας, αὐτὸς ἔφη κελεῦσαι τοῦτο· καὶ τὸν ἑκατοντάρχην ἀφεῖναι προσέταξεν. ὁ μέντοι θρίαμβος αὐτοῦ τῇ πολυτελείᾳ καὶ καινότητι τῶν βασιλικῶν λαφύρων σοβαρὸς γενόμενος, μείζονα κόσμον ἔσχε. καὶ καλὸν θέαμα τοὺς φυγάδας. οἱ γὰρ ἐνδοξότατοι καὶ δυνατώτατοι τῶν πολιτῶν ἐστεφανωμένοι παρείποντο. σωτῆρα καὶ πατέρα τὸν σύλλαν ἀποκαλοῦντες ἅτε δὴ δι' ἐκεῖνον εἰς τὴν πατρίδα κατιόντες. καὶ κομιζόμενοι παῖδας καὶ γυναῖκας. ἤδη δὲ συνηρημένων ἁπάντων, ἀπολογισμὸν ἐν ἐκκλησίᾳ τῶν πράξεων ποιούμενος. οὐκ ἐλάσσονι σπουδῇ τὰς εὐτυχίας ἢ τὰς ἀνδραγαθίας κατηριθμεῖτο. καὶ πέρας ἐκέλευσεν ἑαυτὸν ἐπὶ τούτοις εὐτυχῆ προσαγορεύεσθαι. τοῦτο γὰρ ὁ φῆλιξ βούλεται μάλιστα δηλοῦν. αὐτὸς δὲ τοῖς ἕλλησι γράφων καὶ χρηματίζων, ἑαυτὸν ἐπαφρόδιτον ἀνηγόρευε. καὶ παρ' ἡμῖν ἐν τοῖς τροπαίοις οὕτως ἀναγέγραπται. λεύκιος κορνήλιος σύλλας, ἐπαφρόδιτος, ἔτι δὲ τῆς μετέλλης παιδία τεκούσης δίδυμα. τὸ μὲν ἄρρεν, φαῦστον. τὸ δὲ θῆλυ, φαῦσταν ὠνόμασε. τὸ γὰρ εὐτυχὲς καὶ ἱλαρὸν ῥωμαῖοι, φαῦστον καλοῦσιν. οὕτω γὰρ ἄρα οὐ ταῖς πράξεσιν ὡς τοῖς εὐτυχήμασιν ἐπίστευεν. ὥστε παμπόλλων μὲν ἀνῃρημένων ὑπ' αὐτοῦ, καινοτομίας δὲ γενομένης καὶ μεταβολῆς ἐν τῇ πόλει τοσαύτης, ἀποθέσθαι τὴν ἀρχήν, καὶ τὸν δῆμον ἀρχαιρεσιῶν ὑπατικῶν ποιῆσαι κύριον. αὐτὸς δὲ μὴ προσελθεῖν. ἀλλ' ἐν ἀγορᾷ τὸ σῶμα παρέχων τοῖς βουλομένοις ὑπεύθυνον, ὥσπερ ἰδιώτης ἀναστρέφεσθαι. καὶ τις παρὰ γνώμην αὐτοῦ θρασὺς ἀνὴρ καὶ πολέμιος, ἐπίδοξος ἦν ὕπατος αἱρεθήσεσθαι. μάρκος λέπιδος. οὐ δι' ἑαυτόν, ἀλλὰ πομπηΐῳ σπουδάζοντι καὶ δεομένῳ, τοῦ δήμου χαριζομένου. διὸ καὶ χαίροντα τῇ νίκῃ τὸν πομπήϊον ὁ σύλλας ἰδὼν, ἀπιόντα καλέσας πρὸς ἑαυτόν, ὡς καλὸν ἔφη τοῦτο πολίτευμα ὦ νεανία, τὸ κάτλου πρότερον ἀναγορεῦσαι λέπιδον, τοῦ πάντων ἀρίστου, τὸν ἐμπληκτικώτατον. ὥρα μέντοι σοι μὴ καθεύδειν, ὡς ἰσχυρότερον πεποιηκότι κατὰ σαυτοῦ τὸν ἀνταγωνιστήν. τοῦτο μὲν οὖν ὁ σύλλας ὥσπερ ἀπεθέσπισε. ταχὺ γὰρ ἐξυβρίσας ὁ λέπιδος, εἰς πόλεμον κατέστη τοῖς περὶ τὸν πομπήϊον. ἀποθύων δὲ τῆς οὐσίας ἁπάσης ὁ σύλλας τῷ ἡρακλεῖ δεκάτην, ἑστιάσεις ἐποιεῖτο τῷ δήμῳ πολυτελεῖς. καὶ τοσοῦτον περιττὴ ἦν ἡ παρασκευὴ τῆς χρείας, ὥστε παμπληθῆ καθ' ἑκάστην ἡμέραν εἰς τὸν ποταμὸν ὄψα ῥιπτεῖσθαι. πίνεσθαι δὲ οἶνον, ἐτῶν τεσσαράκοντα καὶ παλαιότερον. διὰ μέσου δὲ τῆς θοίνης πολυημέρου γενομένης, ἀπέθνησκεν ἡ μετέλλα νόσῳ, καὶ τῶν ἱερέων τὸν σύλλαν οὐκ ἐώντων αὐτῇ προσελθεῖν, οὐδὲ τὴν οἰκίαν τῷ κήδει μιανθῆναι, γραψάμενος διάλυσιν τοῦ γάμου πρὸς αὐτὴν ὁ σύλλας, ἔτι ζῶσαν ἐκέλευσεν εἰς ἑτέραν οἰκίαν μετακομισθῆναι. καὶ τοῦτο μὲν ἀκριβῶς τὸ νόμιμον ὑπὸ δεισιδαιμονίας ἐτήρησε. τὸν δὲ τῆς ταφῆς ὁρίζοντα τὴν δαπάνην νόμον αὐτὸς προεισενηνοχὼς παρέβη, μηδενὸς ἀναλώματος φεισάμενος. παρέβαινε δὲ καὶ τὰ περὶ τῆς εὐτελείας τῶν δείπνων ὑπ' αὐτοῦ τεταγμένα, πότοις καὶ συνδείπνοις, τρυφὰς καὶ βωμολοχίας ἔχουσι, παρηγορῶν τὸ πένθος. ὀλίγων δὲ μηνῶν διαγενομένων, ἦν μὲν θέα μονομάχων. οὔπω δὲ τῶν τόπων διακεκριμένων, ἀλλ' ἔτι τοῦ θεάτρου συμμιγοῦς ἀνδράσι καὶ γυναιξὶν ὄντος, ἔτυχε πλησίον τοῦ σύλλα καθεζομένη γυνὴ, τὴν ὄψιν εὐπρεπὴς, καὶ γένους λαμπροῦ. μεσσάλα γὰρ ἦν θυγάτηρ. ὀρτησίου δὲ τοῦ ῥήτορος ἀδελφή. οὐαλλερία δὲ τοὔνομα. συνεβεβήκει δὲ αὐτῇ νεωστὶ πρὸς ἄνδρα διάστασις. αὕτη παρὰ τὸν σύλλαν ἐξόπισθεν παραπορευομένη, τήν τε χεῖρα πρὸς αὐτὸν ἀπηρείσατο, καὶ κροκίδα τοῦ ἱματίου σπάσασα, παρῆλθεν ἐπὶ τὴν ἑαυτῆς χώραν. ἐμβλέψαντος δὲ τοῦ σύλλα καὶ θαυμάσαντος, οὐδὲν ἔφη δεινὸν αὐτοκράτορ, ἀλλὰ βούλομαι τῆς σῆς κἀγὼ μικρὸν εὐτυχίας μεταλαβεῖν. τοῦτο ἤκουσεν οὐκ ἀηδῶς ὁ σύλλας, ἀλλὰ καὶ δῆλος εὐθὺς ἦν, ὑποκεκνισμένος. ἠρώτα γὰρ ὑποπέμπων αὐτῆς ὄνομα καὶ γένος καὶ βίον ἐμάνθανεν. ἐκ δὲ τούτων, ῥίψεις ὀμμάτων ὑπ' ἀλλήλους ἐγένοντο, καὶ παραστροφαὶ συνεχεῖς προσώπων, καὶ μειδιαμάτων διαδόσεις. τέλος δὲ, ὁμολογίαι, καὶ συνθέσεις περὶ γάμων. ἐκείνη μὲν ἴσως ἄμεμπτοι. σύλλας δὲ εἰ καὶ τὰ μάλιστα σώφρονα, καὶ γενναίαν, ἀλλ' οὐκ ἐκ σώφρονος καὶ καλῆς ἔγημεν ἀρχῆς, ὄψει καὶ λαμυρίᾳ μειρακίου δίκην παραβληθεὶς, ὑφ' ὧν τὰ αἴσχιστα καὶ ἀναιδέστατα πάθη, κινεῖσθαι πέφυκεν. οὐ μὴν, ἀλλὰ καὶ ταύτην ἔχων ἐπὶ τῆς οἰκίας, συνῆν μίμοις γυναιξὶ καὶ κιθαριστρίαις. καὶ θυμελικοῖς ἀνθρώποις ἐπὶ στιβάδων ἀφ' ἡμέρας συμπίνων. οὗτοι γὰρ οἱ τότε παρ' αὐτῷ δυνάμενοι μέγιστον ἦσαν. ῥώσκιος ὁ κωμῳδὸς. καὶ σῶριξ ὁ ἀρχιμῖμος, καὶ μητρόβιος ὁ λυσιῳδός. οὗ καίπερ ἐξώρου γενομένου, διετέλει μέχρι παντὸς ἐρᾶν οὐκ ἀρνούμενος. ὅθεν καὶ τὴν νόσον ἀπ' αἰτίας ἐλαφρᾶς ἀρξαμένην ἐξέθρεψε. καὶ πολὺν χρόνον ἠγνόει περὶ τὰ σπλάγχνα γεγονὼς ἔμπυος. ὑφ' ἧς καὶ τὴν σάρκα διαφθαρεῖσαν, εἰς φθεῖρας μετέβαλε πᾶσαν. ὥστε πολλῶν δι' ἡμέρας ἅμα καὶ νυκτὸς ἀφαιρούντων. μηδὲν εἶναι μέρος τοῦ ἐπιγινομένου, τὸ

ἱδρὸν. ἅμα δὲ αὐτός τε λέγειν ἀνήρχετο, καὶ κατέκοπτον οἱ τεταγμένοι τοὺς ἑξακισχιλίους. κραυγῆς δὲ ὡς εἰκὸς ἐν χωρίῳ μικρῷ τοσούτων σφαττομένων φερομένης. καὶ τῶν συγκλητικῶν ἐκπλαγέντων, ὥσπερ ἐτύγχανε λέγων ἀτρέπτῳ καὶ καθεστηκότι τῷ προσώπῳ, προσέχειν ἐκέλευσεν αὐτοὺς τῷ λόγῳ. τὰ δ' ἔξω γινόμενα μὴ πολυπραγμονεῖν. νουθετεῖσθαι γὰρ αὐτοῦ κελεύσαντος, ἐνίους τῶν πονηρῶν. τοῦτο καὶ τῷ βραδυτάτῳ ῥωμαίων νοῆσαι παρέστησεν, ὡς ἀλλαγὴ τὸ χρῆμα τυραννίδος, οὐκ ἀπαλλαγὴ γέγονε. μάριος μὲν οὖν ἀπ' ἀρχῆς χαλεπὸς ὤν, ἐπέτεινεν. οὐ μετέβαλε τῇ ἐξουσίᾳ τὴν φύσιν. σύλλας δὲ, μετρίως τὰ πρῶτα καὶ πολιτικῶς ὁμιλήσας τῇ τύχῃ. καὶ δόξαν ἀριστοκρατικοῦ καὶ δημοφελοῦς ἡγεμόνος παρασχὼν, ἔτι δὲ καὶ φιλογέλως ἐκ νέου γενόμενος. καὶ πρὸς οἶκτον ὑγρὸς, ὥστε ῥᾳδίως ἐπιδακρύειν. εἰκότως προσετρίψατο ταῖς μεγάλαις ἐξουσίαις διαβολὴν, ὡς τὰ ἤθη μένειν οὐκ ἐώσαις ἐπὶ τῶν ἐξ ἀρχῆς τρόπων. ἀλλ' ἔμπληκτα καὶ χαῦνα καὶ ἀπάνθρωπα ποιούσαις. τοῦτο μὲν οὖν, εἴτε κίνησίς ἐστι καὶ μεταβολὴ φύσεως ὑπὸ τύχης, εἴτε μᾶλλον ὑποκειμένης ἀποκάλυψις ἐν ἐξουσίᾳ κακίας, ἑτέρα τις ἂν διορίσειε πραγματεία. τοῦ δὲ σύλλα πρὸς τὸ σφάττειν τραπομένου. καὶ φόνων οὔτε ἀριθμὸν, οὔτε ὅρον ἐχόντων ἐμπιπλάντος τὴν πόλιν, ἀναιρουμένων πολλῶν καὶ κατ' ἰδίας ἔχθρας. οἷς οὐδὲν ἦν πρᾶγμα πρὸς σύλλαν ἐφιέντος αὐτοῦ καὶ χαριζομένου τοῖς περὶ αὐτὸν, ἐτόλμησε τῶν νέων εἷς γάϊος μέτελλος ἐν τῇ συγκλήτῳ τοῦ σύλλα πυθέσθαι, τί πέρας ἔσται τῶν κακῶν. καὶ ποῖ προελθόντος αὐτοῦ, δεῖ τι παύσασθαι τὰ γινόμενα προσδοκᾶν. παραιτούμεθα γὰρ εἶπεν. οὐχ οὓς σὺ ἔγνωκας ἀναιρεῖν τῆς τιμωρίας, ἀλλὰ τῆς ἀμφιβολίας οὓς ἔγνωκας σώζειν. ἀποκριναμένου δὲ τοῦ σύλλα, μηδέπω γινώσκειν οὓς ἀφίησιν. ὑπολαβὼν ὁ μέτελλος, οὐκοῦν ἔφη δήλωσον, οὓς μέλλεις κολάζειν. καὶ ὁ σύλλας ἔφη τοῦτο ποιήσειν. ἔνιοι δὲ, οὐ τὸν μέτελλον, ἀλλὰ ἀφίδιόν τινα τῶν πρὸς χάριν ὁμιλούντων τῷ σύλλᾳ, τὸ τελευταῖον εἰπεῖν λέγουσιν. ὁ δ' οὖν σύλλας, εὐθὺς ὀγδοήκοντα προσέγραψεν, οὐδενὶ τῶν ἐν τέλει κοινωσάμενος. ἀγανακτούντων δὲ πάντων. μίαν ἡμέραν διαλιπὼν, ἄλλους προσέγραψεν εἴκοσι, καὶ διακοσίους. εἶτα τρίτῃ. πάλιν οὐκ ἐλάττους. ἐπὶ δὲ τούτοις δημηγορῶν εἶπεν, ὅσους μεμνημένους τυγχάνει προγράφειν. τοὺς δὲ νῦν διαλανθάνοντας, αὖθις προγράψειν. προέγραψε δὲ, τῷ μὲν ὑποδεξαμένῳ καὶ διασώσαντι τὸν προγεγραμμένον, ζημίαν τῆς φιλανθρωπίας ὁρίζων θάνατον οὐκ ἀδελφὸν. οὐχ υἱὸν, οὐ γονεῖς ὑπεξελόμενος. τῷ δὲ ἀποκτείναντι γέρας, δύο τάλαντα τῆς ἀνδροφονίας. κἂν δοῦλος δεσπότην. κἂν πατέρα υἱὸς ἀνέλῃ. ὃ δὲ πάντων ἀδικώτατον ἔδοξε, τῶν γὰρ προγεγραμμένων ἠτίμωσε καὶ υἱοὺς καὶ υἱωνοὺς, καὶ τὰ χρήματα πάντων ἐδήμευσε. προεγράφοντο δὲ, οὐκ ἐν ῥώμῃ μόνον, ἀλλὰ καὶ ἐν πάσῃ πόλει τῆς ἰταλίας, καὶ φονευομένων, οὔτε ναὸς ἦν καθαρὸς θεοῦ, οὔτε ἑστία ξένιος. οὔτε οἶκος πατρῷος. ἀλλὰ καὶ παρὰ γυναιξὶ γαμεταῖς, ἄνδρες ἐσφάττοντο. καὶ παρὰ μητράσι, παῖδες. ἦσαν δὲ οἱ δι' ὀργὴν ἀπολλύμενοι, καὶ δι' ἔχθραν, οὐδὲν μέρος τῶν διὰ χρήματα σφαττομένων. ἀλλὰ καὶ λέγειν ἐπῄει τοῖς κολάζουσιν. ὡς τόνδε μὲν ἀνῄρηκεν οἰκία μεγάλη. τόνδε δὲ, κῆπος. ἄλλον ὕδατα θερμά. κόϊντος δὲ αὐρήλιος, ἀνὴρ ἀπράγμων, καὶ τοσοῦτον αὐτῷ μετεῖναι τῶν κακῶν νομίζων, ὅσον ἄλλοις συναλγεῖν ἀτυχοῦσιν. εἰς ἀγορὰν ἐλθὼν, ἀνεγίνωσκε τοὺς προγεγραμμένους. εὑρὼν δὲ ἑαυτὸν, οἴμοι τάλας εἶπε, διώκει με τὸ ἐν ἀλβανῷ χωρίον. καὶ βραχὺ προελθὼν, ὑπό τινος ἀπεσφάγη καταδιώξαντος. ἐν τούτῳ δὲ μάριος μὲν ἁλισκόμενος, ἑαυτὸν διέφθειρε. σύλλας δὲ εἰς πραινεστὸν ἐλθὼν, πρῶτα μὲν ἰδίᾳ καθ' ἄνδρα κρίνων ἐκόλαζεν. εἶτα ὡς οὐ σχολῆς οὔσης, πάντας ἀθρόως εἰς ταὐτὸ συναγαγὼν, μυρίους καὶ δισχιλίους ὄντας, ἐκέλευσεν ἀποσφάττειν. μόνῳ τῷ ξένῳ διδοὺς ἄδειαν. ὁ δὲ εὐγενῶς πάνυ φήσας πρὸς αὐτὸν, ὡς οὐδέποτε σωτηρίας χάριν εἴσεται τῷ φονεῖ τῆς πατρίδος, ἀναμιχθεὶς, ἑκὼν συγκατεκόπη τοῖς πολίταις. ἔδοξε δὲ καινότατον γενέσθαι, τὸ περὶ λεύκιον κατιλίναν. οὗτος γὰρ οὔπω τῶν πραγμάτων κεκριμένων, ἀνῃρηκὼς ἀδελφὸν ἐδεήθη τοῦ σύλλα ὅτι προγράψαι τὸν ἄνθρωπον ὡς ζῶντα, καὶ προσεγράφη. τούτου δὲ τῷ σύλλᾳ χάριν ἐκτίνων, μάρκον τινὰ μάριον τῶν ἐκ τῆς ἐναντίας στάσεως ἀποκτείνας, τὴν μὲν κεφαλὴν ἐν ἀγορᾷ καθεζομένῳ τῷ σύλλᾳ προσήνεγκε. τῷ δὲ περιρραντηρίῳ τοῦ ἀπόλλωνος ἐγγὺς ὄντι προσελθὼν, ἀπενίψατο τὰς χεῖρας. ἔξω δὲ τῶν φονικῶν καὶ τὰ λοιπὰ τοὺς ἀνθρώπους ἐλύπει, δικτάτωρα μὲν γὰρ ἑαυτὸν ἀνηγόρευσε, δι' ἐτῶν ἑκατὸν εἴκοσι τοῦτο τὸ γένος τῆς ἀρχῆς ἀναλαβών. ἐψηφίσθη δὲ αὐτῷ πάντων ἄδεια τῶν γεγονότων. πρὸς δὲ τὸ μέλλον ἐξουσία θανάτου. δημεύσεως. κληρουχιῶν, κτίσεως πορθήσεως. ἀφελέσθαι βασιλείαν. ᾧ βούλοιτο χαρίσασθαι. τὰς δὲ διαπράσεις τῶν δεδημευμένων οἴκων, οὕτως ὑπερηφάνως ἐποιεῖτο καὶ δεσποτικῶς ἐπὶ βήματος καθεζόμενος, ὥστε τῶν ἀφαιρέσεων, ἐπαχθεστέρας αὐτοῦ τὰς δωρεὰς εἶναι. καὶ γυναιξὶν εὐμόρφοις καὶ λυρῳδοῖς καὶ μίμοις. καὶ καθάρμασιν ἐξελευθερικοῖς, ἐθνῶν χώρας. καὶ πόλεων χαριζομένου προσόδους. ἐνίοις δὲ γάμους, ἀκουσίως ζευγνυμένων γυναικῶν. πομπήϊον γοῦν βουλόμενος οἰκειώσασθαι τὸν μάγνον. ἣν μὲν εἶχε γαμετὴν ἀφεῖναι προσέταξεν. αἰμιλίαν δὲ σκαύρου θυγατέρα καὶ μετέλλης τῆς ἑαυτοῦ γυναικὸς, ἀποσπάσας μάγνου λαβιῶνος, ἐγκύμονα συνῴκισεν αὐτῷ. ἀπέθανε

δηκοῦν π. η.

μεμνημένοις π. ς. η.

φιλανθρωπίας. π.

κεν, ἀρχομένων αὐτῶν τὸν χάρακα βάλλειν καὶ τάφρον ὀρύσσειν πρὸ τῆς στρατοπεδείας, ἐπήλαυνε
σοβαρῶς ὁ Μάριος προϊππεύων, ὡς ἀτάκτους, καὶ τεθορυβημένους διασκεδάσων. ἐνταῦθα τὴν σύλ-
λα τὴν κατὰ τοὺς ὕπνους φωνὴν ὁ δαίμων συνετέλει. ὀργὴ γὰρ αὐτοῦ τοῖς στρατιώταις παρέστη. καὶ
παυσάμενοι τῶν ἔργων, τοὺς μὲν ὑσσοὺς κατέπηξαν ἐπὶ τῇ τάφρῳ. σπασάμενοι δὲ τὰ ξίφη καὶ συνα-
λαλάξαντες, ἐν χερσὶν ἦσαν τῶν πολεμίων. οἱ δὲ, οὐ πολὺν ὑπέστησαν χρόνον, ἀλλὰ γίνεται πολὺς φό-
νος αὐτῶν τραπέντων. μάριος δὲ φεύγων εἰς πραινεστὸν, ἤδη τὰς πύλας εὗρε κεκλεισμένας. καλωδίου
δὲ ἄνωθεν ἀφεθέντος, ἐνζώσας ἑαυτὸν, ἀνελήφθη πρὸς τὸ τεῖχος. ἔνιοι δέ φασιν ὧν καὶ φενέστελλας
ἐστὶν, οὐδὲ αἰσθέσθαι τῆς μάχης τὸν μάριον, ἀλλ' ὑπ' ἀγρυπνιῶν καὶ κόπων ὑπὸ σκιᾷ τινὶ χαμαὶ κα-
τακλινέντα τοῦ συνθήματος δοθέντος, ἐνδοῦναι πρὸς ὕπνον. εἶτα μόλις ἐξεγείρεσθαι τῆς φυγῆς
γινομένης. ἐν ταύτῃ τῇ μάχῃ σύλλας φησὶν, εἴκοσι τρεῖς μόνους ἀποβαλεῖν. ἀποκτεῖναι δὲ τῶν πολε-
μίων, δισμυρίους. καὶ λαβεῖν ζῶντας, ὀκτακισχιλίους. καὶ τἆλλα δὲ ὁμοίως εὐτυχεῖτο, διὰ τῶν στρα-
τηγῶν. πομπηΐου. κράσσου. μετέλλου. σερουιλίου. οὐδὲν γὰρ, ἢ μικρὰ προσκρούσαντες οὗτοι, μεγάλας
συνέτριψαν δυνάμεις τῶν πολεμίων. ὥστε τὸν μάλιστα τὴν ἐναντίαν στάσιν συνέχοντα κάρβωνα, νύ-
κτωρ ἀποδράντα τὴν ἑαυτοῦ στρατιὰν, εἰς λιβύην ἐκπλεῦσαι. τὸν μέντοι τελευταῖον ἀγῶνα, καθάπερ
ρθ.κ. ἔφεδρος ἀθλητὴς, καταπόνῳ προσενεχθεὶς ὁ σαυνίτης τελεσῖνος, ἐγγὺς ἦλθεν τοῦ σφῆλαι καὶ κατα-
βαλεῖν ἐπὶ θύραις τῆς ῥώμης. ἔσπευδε μὲν γὰρ ἅμα λαμπονίῳ τῷ λευκανῷ χεῖρα πολλὴν ἀθροίσας,
ἐπὶ πραινεστὸν ὡς ἐξαρπασόμενος τῆς πολιορκίας τὸν μάριον. ἐπεὶ δὲ ᾔσθετο. σύλλαν μὲν κατὰ στό-
μα. πομπήϊον δὲ κατ' οὐρὰν, βοηδρομοῦντας ἐπ' αὐτὸν, εἰργόμενος τοῦ πρόσω καὶ ὀπίσω, πολεμιστὴς,
ἀνὴρ, καὶ μεγάλων ἀγώνων ἔμπειρος, ἄρας νυκτὸς ἐπ' αὐτὴν ἐχώρει παντὶ τῷ στρατοπέδῳ τὴν ῥώ-
μην. καὶ μικροῦ μὲν ἐδέησεν ἐμπεσεῖν εἰς ἀφύλακτον. ἀποσχὼν δὲ τῆς κολλίνης πύλης δέκα σταδίους, ἐ-
πηυλίσατο τῇ πόλει, μεγαλοφρονῶν καὶ ταῖς ἐλπίσιν ἐπηρμένος. ὡς τοσούτους ἡγεμόνας καὶ τηλι-
κούτους καταστρατηγηκώς. ἅμα δ' ἡμέρᾳ τῶν λαμπροτάτων νέων, ἐξιππασαμένων ἐπ' αὐτόν. ἄλλους
τε πολλοὺς, καὶ κλαύδιον ἄππιον, εὐγενῆ καὶ ἀγαθὸν ἄνδρα κατέβαλε. θορύβου δὲ οἷα εἰκὸς, ὄντος ἐν
τῇ πόλει, καὶ βοῆς γυναικείας καὶ διαδρομῶν, ὡς ἁλισκομένων κατὰ κράτος. πρῶτος ὤφθη βάλ-
βος ἀπὸ σύλλα προσελαύνων ἀνὰ κράτος ἱππεῦσιν ἑπτακοσίοις. διαλιπὼν δὲ ὅσον ἀναψῦξαι τὸν ἱδρῶ-
τα τῶν ἵππων. εἶτ' αὖθις ἐγχαλινώσας διὰ ταχέων, ἐξήπτετο τῶν πολεμίων. ἐν τούτῳ δὲ καὶ σύλ-
λας ἐφαίνετο. καὶ τοὺς πρώτους εὐθὺς ἀριστᾶν κελεύων εἰς τάξιν καθίστη. πολλὰ δὲ δολοβέλλα καὶ
τορκουάτου δεομένων ἐπισχεῖν, καὶ μὴ κατακόπους ἔχοντα τοὺς ἄνδρας ἀποκινδυνεῦσαι περὶ τῶν
ἐσχάτων. οὐ γὰρ κάρβωνα καὶ μάριον, ἀλλὰ σαυνίτας καὶ λευκανοὺς τὰ ἔχθιστα τῇ ῥώμῃ καὶ τὰ πο-
λεμιώτατα φῦλα συμφέρεσθαι. παρωσάμενος αὐτοὺς ἐκέλευσε σημαίνειν τὰς σάλπιγγας ἀρ-
χὴν ἐφόδου. σχεδὸν εἰς ὥραν δεκάτην ἤδη τῆς ἡμέρας καταστρεφούσης. γενομένου δὲ ἀγῶνος οἷος οὐχ
ἕτερος. τὸ μὲν δεξιὸν ἐν ᾧ κράσσος ἐτέτακτο, λαμπρῶς ἐνίκα. τῷ δὲ εὐωνύμῳ πονοῦντι καὶ κακῶς ἔ-
χοντι, σύλλας παρεβοήθει λευκὸν ἵππον ἔχων, θυμοειδῆ καὶ ποδωκέστατον. ἀφ' οὗ γνωρίσαντες αὐ-
τὸν δύο τῶν πολεμίων, διετείνοντο τὰς λόγχας ὡς ἀφήσοντες. αὐτὸς μὲν οὖν οὐ προσενόησε. τοῦ δ' ἱππο-
κόμου μαστίξαντος τὸν ἵππον, ἔφθη παρενεχθεὶς τοσοῦτον, ὅσον περὶ τὴν οὐρὰν, τοῦ ἵππου τὰς αἰχμὰς
συμπεσούσας, εἰς τὴν γῆν παγῆναι. λέγεται δὲ, ἔχων τι χρυσοῦν ἀπόλλωνος ἀγαλμάτιον ἐκ δελφῶν,
ἀεὶ μὲν αὐτὸ κατὰ τὰς μάχας περιφέρειν ἐν τῷ κόλπῳ, ἀλλὰ καὶ τότε τοῦτο καταφιλεῖν, οὕτω δὴ λέ-
γων. ὦ πύθιε ἄπολλον, τὸν εὐτυχῆ σύλλαν κορνήλιον ἐν τοσούτοις ἀγῶσιν ἄρας λαμπρὸν καὶ μέγαν,
ἐνταῦθα ῥίψεις ἐπὶ θύραις τῆς πατρίδος ἀγαγὼν, αἴσχιστα τοῖς ἑαυτοῦ συναπολούμενον πολίταις,
τοιαῦτα φησὶ τὸν σύλλαν θεοκλυτοῦντα. τοὺς μὲν ἀντιβολεῖν. τοῖς δὲ ἀπειλεῖν. τῶν δὲ ἐπιλαμ-
βάνεσθαι τέλος δὲ τοῦ εὐωνύμου συντριβέντος, ἀναμιχθέντα τοῖς φεύγουσιν εἰς τὸ στρατόπεδον κα-
ταφυγεῖν, πολλοὺς ἀποβαλόντα τῶν ἑταίρων, καὶ γνωρίμων. οὐκ ὀλίγοι δὲ καὶ τῶν ἐκ τῆς πό-
λεως ἐπὶ θέαν προσελθόντες ἀπώλοντο καὶ κατεπατήθησαν. ὥστε τὴν μὲν πόλιν, οἴεσθαι διαπε-
πρᾶχθαι. παρ' ὀλίγον δὲ καὶ τὴν μαρίου πολιορκίαν λυθῆναι, πολλῶν ἐκ τῆς τροπῆς ὠσαμένων ἐκεῖ.
καὶ τὸν ἐπὶ τῇ πολιορκίᾳ τεταγμένον ὀφέλλαν λουκρήτιον, ἀναζευγνύναι κατὰ τάχος κελευόν-
των, ὡς ἀπολωλότος τοῦ σύλλα, καὶ τῆς ῥώμης ἐχομένης ὑπὸ τῶν πολεμίων. ἤδη δὲ νυκτὸς οὔσης
βαθείας ἧκον εἰς τὸ τοῦ σύλλα στρατόπεδον παρὰ τοῦ κράσσου, δεῖπνον αὐτῷ καὶ τοῖς στρατιώταις με-
τιόντες. ὡς γὰρ ἐνίκησε τοὺς πολεμίους εἰς ἄντεμναν καταδιώξαντες, ἐκεῖ κατεστρατοπέδευσαν.
ταῦτ' οὖν πυθόμενος ὁ σύλλας. καὶ ὅτι τῶν πολεμίων οἱ πλεῖστοι διολώλασιν. ἧκεν εἰς ἄντεμναν
ἅμ' ἡμέρᾳ καὶ τρισχιλίων ἐπικηρυκευσαμένων πρὸς αὐτὸν, ὑπέσχετο δώσειν τὴν ἀσφάλειαν, εἰ κα-
κόν τι τοὺς ἄλλους ἐργασάμενοι πολεμίους ἔλθοιεν πρὸς αὐτόν. οἱ δὲ πιστεύσαντες, ἐπέθεντο τοῖς λοι-
ποῖς. καὶ πολλοὶ κατεκόπησαν ὑπ' ἀλλήλων. οὐ μὴν ἀλλὰ καὶ τούτους, καὶ τοὺς ἄλλους τοὺς περιγενο-
μένους εἰς ἑξακισχιλίους ἀθροίσας παρὰ τὸν ἱππόδρομον, ἐκάλει τὴν σύγκλητον εἰς τὸ τῆς ἐνυοῦς

τες, αὖθις εἰς τὴν πόλιν συνελθεῖν. σύλλας δὲ διὰ θετταλίας καὶ μακεδονίας καταβὰς ἐπὶ θάλατταν, παρεσκευάζετο χιλίαις ναυσὶ καὶ διακοσίαις ἀπὸ δυρραχίου διαβάλλειν εἰς βρεντέσιον. ἡ δὲ ἀπολλωνία πλησίον ἐστὶ καὶ πρὸς αὐτῇ τὸ νυμφαῖον, ἱερὸς τόπος ἐκ χλοερᾶς νάπης καὶ λειμώνων ἀναδιδοὺς πυρὸς πηγὰς σποράδας ἐνδελεχῶς ῥέοντες. ἐνταῦθά φασι κοιμώμενον ἁλῶναι σάτυρον, οἷον οἱ πλάσται καὶ γραφεῖς εἰκάζουσιν. ἀχθέντα δὲ ὡς σύλλαν, ἐρωτᾶσθαι δι᾽ ἑρμηνέων πολλῶν ὅστις εἴη. φθεγξαμένου δὲ μόλις οὐδὲν συνετῶς, ἀλλὰ τραχεῖαν καὶ μάλιστα μεμιγμένην ἵππου τε χρεμετισμῷ καὶ τράγου μηκασμῷ φωνὴν ἀφέντος, ἐκπλαγέντα τὸν σύλλαν ἀποδιοπομπήσασθαι. μέλλοντος δὲ τοὺς στρατιώτας διαπεραιοῦν, καὶ δεδιότος μὴ τῆς ἰταλίας ἐπιλαβόμενοι κατὰ πόλεις ἕκαστοι διαρρυῶσι, πρῶτον μὲν ὤμοσαν ἀφ᾽ αὐτῶν παραμενεῖν, καὶ μηδὲν ἑκουσίως κακουργήσειν τὴν ἰταλίαν. ἔπειτα χρημάτων δεόμενον πολλῶν ὁρῶντες, ἀπήρχοντο καὶ συνεισέφερον ὡς ἕκαστος εἶχεν εὐπορίας. οὐ μὴν ἐδέξατο τὴν ἀπαρχὴν ὁ σύλλας, ἀλλ᾽ ἐπαινέσας καὶ παρορμήσας, διέβαινεν ὥς φησιν αὐτὸς, ἐπὶ πεντεκαίδεκα στρατηγοὺς πολεμίους, πεντήκοντα καὶ τετρακοσίας σπείρας ἔχοντας. ἐκδηλότατα τοῦ θεοῦ τὰς εὐτυχίας προσημαίνοντος αὐτῷ. θύσαντος μὲν γὰρ εὐθέως ἧ διέβη περὶ τάραντα, δάφνης στεφάνου τύπον ἔχων ὁ λοβὸς ὤφθη, καὶ λημνίσκων δύο κατηρτημένων. μικρὸν δὲ πρὸ τῆς διαβάσεως ἐν καμπανίᾳ περὶ τὸ ἥφαιον ὄρος ἡμέρας, ὤφθησαν δύο τράγοι μεγάλοι συμφερόμενοι, καὶ πάντα δρῶντες καὶ πάσχοντες ἃ συμβαίνει μαχομένοις ἀνθρώποις, ἦν δὲ ἄρα φάσμα. καὶ κατὰ μικρὸν αἰρόμενον ἀπὸ γῆς, διεσπείρετο πολλαχοῦ τοῦ ἀέρος εἰδώλοις ἀμαυροῖς ὅμοιον. εἶτα οὕτως ἠφανίσθη. καὶ μετ᾽ οὐ πολὺν χρόνον ἐν τῷ τόπῳ τούτῳ, μαρίου τοῦ νέου, καὶ νορβανοῦ τοῦ ὑπάτου, μεγάλας δυνάμεις ἐπαγαγόντων, ὁ σύλλας, οὔτε τάξιν ἀποδοὺς, οὔτε λοχίσας τὸ οἰκεῖον στράτευμα, ῥώμῃ δὲ προθυμίας κοινῆς, καὶ φορᾷ τόλμης ἀποχρησάμενος, ἐτρέψατο τοὺς πολεμίους καὶ κατέκλεισεν εἰς καπύην πόλιν τὸν νορβανὸν, ἑπτακισχιλίους ἀποκτείνας. τοῦτ᾽ αἴτιον αὐτῷ γενέσθαι φησὶ, τοῦ μὴ διαλυθῆναι τοὺς στρατιώτας κατὰ πόλεις, ἀλλὰ συμμεῖναι καὶ καταφρονῆσαι τῶν ἐναντίων, πολλαπλασίων ὄντων. ἐν δὲ σιλβίῳ φησὶ οἰκέτην ποντίου θεοφόρητον ἐντυχεῖν αὐτῷ λέγοντα παρὰ τῆς ἐνυοῦς κράτος πολέμου καὶ νίκην ἀπαγγέλλειν. εἰ δὲ μὴ σπεύσειε, ἐμπεπρήσεσθαι τὸ καπιτώλιον. ὃ καὶ συμβῆναι τῆς ἡμέρας ἐκείνης, ἧς ὁ ἄνθρωπος προηγόρευσεν. ἦν δὲ αὕτη, πρὸ μιᾶς νωνῶν κυντιλίων, ἃς νῦν ἰουλίας καλοῦμεν. ἔτι δὲ μάρκος λεύκολλος εἷς τῶν ὑπὸ σύλλα στρατηγούντων περὶ φιδεντίαν ἑκκαίδεκα σπείραις πρὸς πεντήκοντα τὰς τῶν πολεμίων ἀντιταχθεὶς, τῇ μὲν προθυμίᾳ τῶν στρατιωτῶν ἐπίστευεν, ἀνόπλους δὲ τοὺς πολλοὺς ἔχων, ὤκνει. βουλευομένου δὲ αὐτοῦ καὶ διαμέλλοντος, ἀπὸ τοῦ πλησίον πεδίου λειμῶνα ἔχοντος, αὔρα φέρουσα μαλακὴ πολλὰ τῶν ἀνθέων, ἐπέβαλε τῇ στρατιᾷ καὶ κατέσπειρεν αὐτομάτως ἐπιμένοντα καὶ περιπίπτοντα τοῖς θυρεοῖς, καὶ τοῖς κράνεσιν αὐτῶν, ὥστε φαίνεσθαι τοῖς πολεμίοις ἐστεφανωμένους. γενόμενοι δὲ ὑπὸ τούτου προθυμότεροι συνέβαλον. καὶ νικήσαντες ὀκτακισχιλίους ἐπὶ μυρίοις ἀπέκτειναν. καὶ τὸ στρατόπεδον εἷλον. οὗτος ὁ λεύκολλος, ἀδελφὸς ἦν λευκόλλου τοῦ μιθριδάτην ὕστερον καὶ τιγράνην καταπολεμήσαντος. ὁ δὲ σύλλας, ἔτι πολλοῖς στρατοπέδοις καὶ μεγάλαις δυνάμεσι περικεχυμένους αὐτῷ τοὺς πολεμίους ὁρῶν πανταχόθεν, ἥπτετο δυνάμει καὶ δι᾽ ἀπάτης προσκαλούμενος εἰς διαλύσεις τὸν ἕτερον τῶν ὑπάτων σκηπίωνα. δεξαμένου δ᾽ ἐκείνου, σύλλογοι μὲν ἐγίνοντο καὶ κοινολογίαι πλείονες. ἀεὶ δέ τινα παραγωγὴν καὶ πρόφασιν ἐμβάλλων ὁ σύλλας, διέφθειρε τοὺς περὶ σκηπίωνα τοῖς ἑαυτοῦ στρατιώταις ἠσκημένοις πρὸς ἀπάτην καὶ γοητείαν ἅπασαν ὥσπερ αὐτὸς ὁ ἡγεμών. εἰσιόντες γὰρ εἰς τὸν χάρακα τῶν πολεμίων καὶ ἀναμιγνύμενοι, τοὺς μὲν εὐθὺς ἀργυρίῳ, τοὺς δὲ ὑποσχέσει, τοὺς δὲ κολακεύοντες καὶ ἀναπείθοντες, προσήγοντο. τέλος δὲ τοῦ σύλλα μετὰ σπειρῶν εἴκοσι προσελθόντος ἐγγὺς, οἱ μὲν ἀσπασάμενοι προσεχώρησαν. ὁ δὲ σκηπίων ἔρημος ἐν τῇ σκηνῇ ληφθεὶς, ἀφείθη. σύλλας δὲ ταῖς εἴκοσι σπείραις ὥσπερ ὄρνισι τετταράκοντα ταῖς τῶν πολεμίων παλεύσας, ἀπήγαγεν εἰς τὸ στρατόπεδον ἅπαντας. ὅτε καὶ κάρβωνά φασιν εἰπεῖν, ὡς ἀλώπεκι καὶ λέοντι πολεμῶν ἐν τῇ σύλλα ψυχῇ κατοικοῦσιν, ὑπὸ τῆς ἀλώπεκος ἀνιῷτο μᾶλλον. ἐκ τούτου περὶ σίγνιον, μάριος ὀγδοήκοντα καὶ πέντε σπείρας ἔχων, προυκαλεῖτο σύλλαν. ὁ δὲ, καὶ πάνυ πρόθυμος ἦν διαγωνίσασθαι κατ᾽ ἐκείνην τὴν ἡμέραν. ἐτύγχανε γὰρ ὄψιν ἑωρακὼς τοιαύτην κατὰ τοὺς ὕπνους. ἐδόκει τὸν γέροντα μάριον τεθνηκότα πάλαι τῷ παιδὶ μαρίῳ παραινεῖν, φυλάξασθαι τὴν ἐπιοῦσαν ἡμέραν ὡς μεγάλην αὐτῷ δυστυχίαν φέρουσαν. διὰ τοῦτο μὲν δὴ πρόθυμος ὁ σύλλας ἦν μάχεσθαι. καὶ μετεπέμπετο τὸν δολοβέλλαν ἄπωθεν στρατοπεδεύοντα. τῶν δὲ πολεμίων ἐφισταμένων ταῖς ὁδοῖς καὶ ἀποφραττόντων, οἱ τοῦ σύλλα προσμαχόμενοι καὶ ὁδοποιοῦντες, ἔκαμνον. καὶ πολὺς ὄμβρος ἅμα τοῖς ἔργοις ἐπιγενόμενος, μᾶλλον ἐκάκωσεν αὐτούς. ὅθεν οἱ ταξίαρχοι, προσιόντες τῷ σύλλᾳ, ἐδέοντο τὴν μάχην ἀναβαλέσθαι, δεικνύντες ἅμα τοὺς στρατιώτας ἐρριμμένους ὑπὸ κόπου, καὶ προσαναπαυομένους χαμάζε τοῖς θυρεοῖς κεκλιμένοις. ἐπεὶ δὲ συνεχώρησεν ἄκων καὶ πρόσταγμα καταζεύξεως ἔδω

θῆναι. χαλεπήνας ὁ σύλλας, τί φατὲ εἶπε, μιθριδάτης παφλαγονίας ἀντιποιεῖται. καὶ περὶ τῆς
νεμέσεως ἐξαρνός ἐστιν, ὃν ἐγὼ προσκυνήσειν ἐνόμιζον εἰ τὴν δεξιὰν αὐτῷ καταλείποι μου χεῖρα. δι᾽ ἧς τοσ-
ούτους ῥωμαίων ἀνεῖλεν, ἑτέρας μέν τοι ταχὺ φωνὰς ἀφήσει διαβάντος εἰς ἀσίαν ἐμοῦ. νῦν δ᾽ ἐν
περγάμῳ καθήμενος, ὃν οὐχ ἑώρακε διαστρατηγεῖ τὸν πόλεμον. οἱ μὲν οὖν πρέσβεις φοβηθέντες, ἡσύ-
χαζον. ὁ δὲ ἀρχέλαος ἐδεῖτο τοῦ σύλλα, καὶ κατεπράϋνε τὴν ὀργὴν, ἁπτόμενος τῆς δεξιᾶς αὐτοῦ καὶ δα-
κρύων. τέλος δὲ ἔπεισεν ἀποσταλῆναι αὐτὸν πρὸς τὸν μιθριδάτην. διαπράξασθαι γὰρ ἐφ᾽ οἷς βούλε-
ται τὴν εἰρήνην. εἰ δὲ μὴ πείθοι, κτενεῖν αὐτὸς ἑαυτόν. ἐπὶ τούτοις ἐκπέμψας ἐκεῖνον, αὐτὸς εἰς τὴν
μαιδικὴν ἐνέβαλε. καὶ τὰ πολλὰ διαπορθήσας, πάλιν ἀνέστρεψεν εἰς μακεδονίαν. καὶ τὸν ἀρχέλαον
ἐδέξατο περὶ φιλίππους, ἀγγέλλοντα καλῶς ἔχειν πάντα. δεῖσθαι δὲ πάντως αὐτῷ τὸν μιθριδά-
την εἰς λόγους ἐλθεῖν. αἴτιος δὲ ἦν μάλιστα φιμβρίας, ὃς τὸν ἀπὸ τῆς ἑτέρας στάσεως ἄρχοντα φλάκ-
κον ἀνελὼν, καὶ τῶν μιθριδατικῶν στρατηγῶν κρατήσας, ἐπ᾽ αὐτὸν ἐκεῖνον ἐβάδιζε. ταῦτα γὰρ δεί-
σας ὁ μιθριδάτης, μᾶλλον εἵλετο τῷ σύλλᾳ φίλος γενέσθαι. συνῆλθον οὖν τῆς τρῳάδος ἐν δαρδά-
νῳ. μιθριδάτης μὲν ἔχων ναῦς αὐτόθι διακοσίας ἐνήρεις. καὶ τῆς πεζῆς δυνάμεως, ὁπλίτας μὲν δισ-
μυρίους. ἱππεῖς δὲ ἑξακισχιλίους. καὶ συχνὰ τῶν δρεπανηφόρων. σύλλας δὲ, τέσσαρας σπείρας
καὶ διακοσίους ἱππεῖς. ἀπαντήσαντος δὲ τοῦ μιθριδάτου, καὶ τὴν δεξιὰν προτείναντος, ἠρώτησεν αὐ-
τὸν εἰ καταλύσεται τὸν πόλεμον, ἐφ᾽ οἷς ὡμολόγησεν ἀρχέλαος. σιωπῶντος δὲ τοῦ βασιλέως, ὁ σύλ-
λας. ἀλλὰ μὴν ἔφη τῶν δεομένων ἐστὶ τὸ προτέρους λέγειν. τοῖς δὲ νικῶσιν, ἐξαρκεῖ τὸ σιωπᾶν. ἐπεὶ
δὲ ἀρξάμενος τῆς ἀπολογίας ὁ μιθριδάτης, ἐπειρᾶτο τοῦ πολέμου. τὰ μὲν εἰς δαίμονας τρέπειν.
τὰ δὲ αὐτοὺς αἰτιᾶσθαι τοὺς ῥωμαίους. ὑπολαβὼν ὁ σύλλας ἔφη. πάλαι μὲν ἑτέρων ἀκούειν. νῦν
δ᾽ αὐτὸς ἐγνωκέναι τὸν μιθριδάτην δεινότατον ὄντα ῥητορεύειν. ὃς ἐπὶ πράξεσιν οὕτω πονηραῖς καὶ
παρανόμοις, λόγων ἐχόντων εὐπρέπειαν οὐκ ἠπόρηκας. ἐξελέγξας δὲ τὰ πεπραγμένα πικρῶς ὑπ᾽
αὐτοῦ καὶ κατηγορήσας, πάλιν ἠρώτησεν. εἰ ποιεῖ τὰ συγκείμενα δι᾽ ἀρχελάου, φήσαντος δὲ ποιεῖν. οὕ-
τως ἠσπάσατο. καὶ περιλαβὼν ἐφίλησεν αὐτὸν, ἀριοβαρζάνην δὲ αὖθις καὶ νικομήδην τοὺς βασι-
λεῖς, προσαγαγὼν διήλλαξεν. ὁ μὲν οὖν μιθριδάτης ἑβδομήκοντα ναῦς παραδοὺς, καὶ τοξότας πεν-
τακοσίους, εἰς πόντον ἀπέπλευσεν. ὁ δὲ σύλλας αἰσθόμενος ἀχθομένους τοὺς στρατιώτας τῇ διαλύσει.
τὸν γὰρ ἔχθιστον τῶν βασιλέων, καὶ δεκαπέντε μυριάδας ἡμέρᾳ μιᾷ τῶν ἐν ἀσίᾳ ῥωμαίων κατασφα-
γῆναι παρασκευάσαντα, δεινὸν ἡγοῦντο μετὰ πλούτου καὶ λαφύρων ὁρᾶν ἐκπλέοντα τῆς ἀσίας. ἣν
ἔτη τέσσαρα λεηλατῶν καὶ φορολογῶν διετέλεσεν, ἀπελογεῖτο πρὸς αὐτούς. ὡς οὐκ ἂν ἅμα φιμβρίᾳ
καὶ μιθριδάτῃ πολεμεῖν, εἰ συνέστησαν ἀμφότεροι κατ᾽ αὐτοῦ δυνηθείς. ὁρμήσας δὲ ἐκεῖθεν ἐπὶ φιμ-
βρίαν πρὸς θυατείροις στρατοπεδεύοντα, καὶ πλησίον καταζεύξας, τάφρον τῷ στρατοπέδῳ περιέ-
βαλεν. οἱ δὲ τοῦ φιμβρίου στρατιῶται μονοχίτωνες ἐκ τοῦ στρατοπέδου προϊόντες, ἠσπάζοντο τοὺς
ἐκείνου, καὶ συνελάμβανον αὐτοῖς τῶν ἔργων προθύμως. ὁρῶν δὲ ὁ φιμβρίας τὴν μεταβολὴν, καὶ
τὸν σύλλαν ὡς ἀδιάλλακτον δεδοικὼς, αὐτὸς ἑαυτὸν ἐν τῷ στρατοπέδῳ διέφθειρε. σύλλας δὲ, κοινῇ μὲν
ἐζημίωσε τὴν ἀσίαν δισμυρίοις ταλάντοις, ἰδίᾳ δὲ τοὺς οἴκους ἐξέτριψεν, ὕβρει καὶ πολυτελείᾳ τῶν ἐπι-
σταθμευόντων. ἐτέτακτο γὰρ ἑκάστης ἡμέρας τῷ καταλύτῃ τὸν ξένον διδόναι, τέσσαρα τετράδραχμα.
καὶ παρέχειν δεῖπνον αὐτῷ καὶ φίλοις, ὅσους ἂν ἐθέλῃ καλεῖν. ταξίαρχον δὲ πεντήκοντα δραχμὰς
λαμβάνειν τῆς ἡμέρας. ἐσθῆτα δὲ ἄλλην μὲν οἰκουρῶν, ἄλλην δὲ εἰς ἀγορὰν προερχόμενος. ἀναχθεὶς
δὲ πάσαις ταῖς ναυσὶν ἐξ ἐφέσου, τριταῖος ἐν πειραιεῖ καθωρμίσθη. καὶ μυηθεὶς, ἐξεῖλεν ἑαυτῷ τὴν
ἀπελλικῶνος τοῦ τηΐου βιβλιοθήκην. ἐν ᾗ τὰ πλεῖστα τῶν ἀριστοτέλους καὶ θεοφράστου βιβλίων ἦν.
οὔπω τότε σαφῶς, γνωριζόμενα τοῖς πολλοῖς. λέγεται δὲ κομισθείσης αὐτῆς εἰς ῥώμην, τυραννίω-
να τὸν γραμματικὸν ἐνσκευάσασθαι τὰ πολλά. καὶ παρ᾽ αὐτοῦ τὸν ῥόδιον ἀνδρόνικον εὐπορήσαντα
τῶν ἀντιγράφων, εἰς μέσον θεῖναι καὶ ἀναγράψαι τοὺς νῦν φερομένους πίνακας. οἱ δὲ πρεσβύτεροι πε-
ριπατητικοὶ φαίνονται μὲν καθ᾽ ἑαυτοὺς γενόμενοι χαρίεντες καὶ φιλολόγοι. τῶν δὲ ἀριστοτέλους καὶ
θεοφράστου γραμμάτων οὔτε πολλοῖς. οὔτε ἀκριβῶς ἐντετυχηκότες, διὰ τὸ τὸν νηλέως τοῦ σκηψίου κλη-
ρονόμον. ᾧ τὰ βιβλία κατέλιπε θεόφραστος, εἰς ἀφιλοτίμους καὶ ἰδιώτας ἀνθρώπους παραγενέσθαι.
σύλλᾳ δὲ διατρίβοντι περὶ τὰς ἀθήνας, ἄλγημα ναρκῶδες μετὰ βάρους εἰς τοὺς πόδας ἐνέπεσεν, ὅ
φησιν ὁ στράβων ποδάγρας ψελλισμὸν εἶναι. διαπλεύσας οὖν εἰς αἴδηψον, ἐχρῆτο τοῖς θερμοῖς ὕδα-
σι. ῥᾳθυμῶν ἅμα καὶ συνδιημερεύων τοῖς περὶ τὸν διόνυσον τεχνίταις. περιπατοῦντος δὲ πρὸς τὴν
θάλατταν, ἁλιεῖς τινὲς ἰχθῦς αὐτῷ παγκάλους προσήνεγκαν. ἡσθεὶς δὲ τοῖς δώροις, καὶ πυθόμενος
ὡς ἐξ ἁλαιῶν εἶεν, ἔτι γὰρ ζῇ τις ἁλαιῶν ἔφη, ἐτύγχανε γὰρ ὅτε τὴν πρὸς ὀρχομενῷ μάχην νενική-
κὼς ἐδίωκε τοὺς πολεμίους, ἅμα τρεῖς πόλεις τῆς βοιωτίας. ἀνθηδόνα λάρυμναν. ἁλαίας ἀνῃρηκώς.
τῶν δὲ ἀνθρώπων ὑπὸ δέους ἀφώνων γενομένων, διαμειδιάσας, ἐκέλευσεν ἀπιέναι χαίροντας, ὡς οὐ
μετὰ φαύλων οὐδὲ ἀξίων ὀλιγωρίας ἥκοντας ἀπαραιτήτων. ἁλαιοὶ μὲν ἐκ τούτου λέγουσι θαρρήσαν-

q. μαιδικήν
Quæ sit hæc regio
ignorat[ur] a me.

λος, καὶ φέρων ὅμοια τοῖς ἐκεῖ τὰ φυόμενα, πλὴν ἄκαρπα καὶ ἀναυξῆ. πόῤῥω δὲ οὐ πρόεισιν. ἀλλὰ
τὸ μὲν πλεῖστον εὐθὺς, εἰς λίμνας τυφλὰς καὶ ὑλώδεις ἀφανίζεται. μέρος δὲ οὐ πολὺ τῷ κηφισσῷ
συμμίγνυται. περὶ ὃν μάλιστα τόπον ἡ λίμνη δοκεῖ τὸν αὐλητικὸν ἐκφέρειν κάλαμον. ἐπεὶ δὲ ἐγγὺς κα κατεστρατοπέδευσαν. ς. π. κ.
τεστρατοπέδευσαν. ὁ μὲν ἀρχέλαος ἡσύχαζεν. ὁ δὲ σύλλας ὤρυττε τάφρους ἑκατέρωθεν, ὅπως εἰ δύ
ναιτο τῶν στερεῶν καὶ ἱππασίμων ἀποτεμόμενος τοὺς πολεμίους, ὤσειεν εἰς τὰ ἕλη. τῶν δὲ οὐκ ἀνα
σχομένων. ἀλλ' ὡς ἀφείθησαν ὑπὸ τῶν στρατηγῶν ἐντόνως καὶ ῥύδην ἐλαυνόντων, οὐ μόνον οἱ περὶ τὰ
ἔργα τοῦ σύλλα διεσκεδάσθησαν, ἀλλὰ καὶ τοῦ παρατεταγμένου συνεχύθη τὸ πλεῖστον φυγόντος.
ἔνθα δὴ σύλλας αὐτὸς ἀποπηδήσας τοῦ ἵππου, καὶ σημεῖον ἀναρπάσας, ὠθεῖτο διὰ τῶν φευγόντων
εἰς τοὺς πολεμίους βοῶν. ἐμοὶ μὲν ἐνταῦθά που καλὸν ὦ ῥωμαῖοι τελευτᾶν. ὑμεῖς δὲ τοῖς πυνθανο
μένοις που προδεδώκατε τὸν αὐτοκράτορα, μεμνημένοι φράζειν, ὡς ἐν ὀρχομενῷ. τούτους τε δὴ τὸ ῥηθὲν π. κό λι.
ἐπέστρεψε. καὶ τῶν ἐπὶ τοῦ δεξιοῦ κέρως σπειρῶν, δύο προσεβοήθησαν. ἃς ἐπαγαγὼν τρέπεται τοὺς
πολεμίους. ἀναγαγὼν δὲ μικρὸν ὀπίσω καὶ δοὺς ἄριστον αὐτοῖς, αὖθις ἀπετάφρευε τὸν χάρακα τῶν πο
λεμίων. οἱ δὲ αὖθις ἐν τάξει μᾶλλον ἢ πρότερον προσεφέροντο. καὶ διογένης μὲν ὁ τῆς ἀρχελάου γυ
ναικὸς υἱὸς, ἀριστεύων ἐπὶ τοῦ δεξιοῦ περιόπτως ἔπεσεν. οἱ δὲ τοξόται, τῶν ῥωμαίων ἐκβιαζομένων, οὐκ
ἔχοντες ἀναστροφὴν, ἀθρόοις τοῖς οἰστοῖς ἐκ χειρὸς ὥσπερ ξίφεσι παίοντες, ἀνέκοπτον αὐτούς. τέλος δὲ
κατακλεισθέντες εἰς τὸν χάρακα, μοχθηρῶς ὑπὸ τραυμάτων καὶ φόνου διενυκτέρευσαν. ἡμέρας δὲ
πάλιν τῷ χάρακι τοὺς στρατιώτας προσαγαγὼν ὁ σύλλας, ἀπετάφρευεν. ἐξελθόντας δὲ τοὺς πολ
λοὺς ὡς ἐπὶ μάχην, συμβαλὼν τρέπεται. καὶ πρὸς τὸν ἐκείνων φόβον οὐδενὸς μένοντος, αἱρεῖ κατὰ κρά
τος τὸ στρατόπεδον. καὶ κατέπλησαν ἀποθνήσκοντες, αἵματος τὰ ἕλη, καὶ νεκρῶν τὴν λίμνην, ὥστε
μέχρι νῦν πολλὰ βαρβαρικὰ τόξα. καὶ κράνη. καὶ θωράκων σπάσματα σιδηρῶν. καὶ μαχαίρας ἐμ
βεβαπτισμένας τοῖς τέλμασιν εὑρίσκεσθαι, σχεδὸν ἐτῶν διακοσίων, ἀπὸ τῆς μάχης διαγεγονότων. τὰ λεκάνης. π. ς. κ.
μὲν οὖν περὶ χαιρώνειαν καὶ πρὸς ὀρχομενῷ, τοιαῦτα λέγεται γενέσθαι. κίννα δὲ καὶ κάρβωνος, ἐν
ῥώμῃ τοῖς ἐπιφανεστάτοις ἀνδράσι χρωμένων παρανόμως καὶ βιαίως. πολλοὶ τὴν τυραννίδα φεύγον
τες, ὥσπερ εἰς λιμένα τὸ σύλλα τὸ στρατόπεδον κατέφευγον. καὶ περὶ αὐτὸν ὀλίγου χρόνου, σχῆμα βου
λῆς ἐγεγόνει. καὶ μετέλλα μόλις διακλέψασα ἑαυτὴν καὶ τοὺς παῖδας, ἧκεν ἀγγέλλουσα τὴν οἰκίαν
αὐτοῦ καὶ τὰς ἐπαύλεις ὑπὸ τῶν ἐχθρῶν ἐμπεπρῆσθαι καὶ δεομένη τοῖς οἴκοι βοηθεῖν. ἀπορουμένῳ
δ' αὐτῷ καὶ μήτε τῆς πατρίδος ἀμελεῖν ὑπομένοντι κακουμένης. μήτε ὅπως ἄπεισιν ἀτελὲς λιπὼν
τοσοῦτον ἔργον τὸν μιθριδατικὸν πόλεμον ἐπινοοῦντι, παραγίνεται δηλιακὸς ἔμπορος ἀρχέλαος,
ἐλπίδας τινὰς καὶ λόγους, κρύφα παρὰ τοῦ βασιλικοῦ κομίζων ἀρχελάου. καὶ τὸ πρᾶγμα σύλλας
οὕτως ἠγάπησεν, ὥστε αὐτὸς εἰς λόγους σπεῦσαι τῷ ἀρχελάῳ συνελθεῖν, καὶ συνῆλθον ἐπὶ θαλάτ
τῃ περὶ δήλιον. οὗ τὸ ἱερὸν τοῦ ἀπόλλωνός ἐστιν. ἀρξαμένου δὲ τοῦ ἀρχελάου διαλέγεσθαι, καὶ τὸν σύλ
λαν ἀξιοῦντος ἀφέντα τὴν ἀσίαν καὶ τὸν πόντον ἐπὶ τὸν ἐν ῥώμῃ πόλεμον πλεῖν, χρήματα λαβόντα
καὶ τριήρεις καὶ δύναμιν ὅσην βούλοιτο παρὰ τοῦ βασιλέως. ὑπολαβὼν ὁ σύλλας μιθριδάτου μὲν
ἀμελεῖν ἐκέλευεν, αὐτὸν δὲ βασιλεύειν ἀντ' ἐκείνου, σύμμαχον ῥωμαίων γενόμενον, καὶ παραδόντα
τὰς ναῦς. ἀφοσιουμένου δὲ τοῦ ἀρχελάου τὴν προδοσίαν, εἶτα ἔφη. σὺ μὲν ὦ ἀρχέλαε καππαδόκης ὤν, π. κό λι.
καὶ βαρβάρου βασιλέως δοῦλος. εἰ δὲ βούλει φίλος, οὐχ ὑπομένεις ἐπὶ τηλικούτοις ἀγαθοῖς τὸ αἰ
σχρόν. ἐμοὶ δὲ ἡγεμόνι ῥωμαίων ὄντι καὶ σύλλᾳ, τολμᾷς διαλέγεσθαι περὶ προδοσίας, ὥσπερ οὐκ ἐ
κεῖνος ὢν ἀρχέλαος, ὁ φυγὼν μὲν ἐκ χαιρωνείας ὀλιγοστὸς ἀπὸ μυριάδων δυοκαίδεκα. κρυφθεὶς δὲ δύο
ἡμέρας ἐν τοῖς ὀρχομενίων ἕλεσιν. ἄβατον δὲ τὴν βοιωτίαν ὑπὸ νεκρῶν πλήθους ἀπολελοιπώς. ἐκ
ς. τούτου μεταβαλὼν ὁ ἀρχέλαος καὶ προσκυνήσας, ἐδεῖτο παύσασθαι τοῦ πολέμου, καὶ διαλλαγῆναι
πρὸς τὸν μιθριδάτην. δεξαμένου δὲ τοῦ σύλλα τὴν πρόκλησιν, ἐγένοντο συνθῆκαι. μιθριδάτην μὲν,
ἀσίαν ἀφεῖναι. καὶ παφλαγονίαν, ἐκστῆναι δὲ βιθυνίας νικομήδη. καππαδοκίας, ἀριοβαρζάνη. κα-
ταβαλεῖν δὲ ῥωμαίοις δισχίλια τάλαντα, καὶ δοῦναι ναῦς ἑβδομήκοντα χαλκήρεις, μετὰ τῆς οἰκείας
παρασκευῆς. σύλλαν δὲ ἐκείνῳ τήν τε ἄλλην ἀρχὴν βεβαιοῦν. καὶ σύμμαχον ῥωμαίων ψηφίζεσθαι.
c τούτων ὁμολογηθέντων ἀναστρέψας, ἐβάδιζε διὰ θετταλίας καὶ μακεδονίας ἐπὶ τὸν ἑλλήσπον
τον. ἔχων μετ' αὐτοῦ τὸν ἀρχέλαον ἐν τιμῇ. καὶ νοσήσαντος ἐπισφαλῶς περὶ λάρισσαν, ἐπιστήσας τὴν
πορείαν, ὡς ἑνὸς τῶν ὑπ' αὐτὸν ἡγεμόνων καὶ συστρατήγων ἐπεμελήθη. ταῦτά τε δὴ διέβαλε τὸ περὶ
χαιρώνειαν ἔργον οὐχὶ καθαρῶς ἀγωνισθέν. καὶ ὅτι τοὺς ἄλλους μιθριδάτῃ φίλους, οὓς εἶχεν αἰχμα
λώτους ἀποδιδοὺς ὁ σύλλας, ἀριστίωνα μόνον τὸν τύραννον ἀνεῖλε διὰ φαρμάκων, ἀρχελάῳ διάφορον
ὄντα. μάλιστα δ' ἡ δοθεῖσα γῆ τῷ καππαδόκῃ μυρίων πλέθρων ἐν εὐβοίᾳ, καὶ τὸ ῥωμαίων φίλον αὐ
τὸν καὶ σύμμαχον, ὑπὸ σύλλα ἀναγεγράφθαι. περὶ μὲν οὖν τούτων, αὐτὸς ὁ σύλλας ἐν τοῖς ὑπο
μνήμασιν ἀπολογεῖται. τότε δὲ πρεσβευτῶν παρὰ τοῦ μιθριδάτου παραγενομένων. καὶ τὰ μὲν ἄλλα
φασκόντων δέχεσθαι. παφλαγονίαν δὲ ἀξιούντων, μὴ ἀφαιρεθῆναι. τὰς δὲ ναῦς οὐδὲ ὅλως ὁμολογη

τὴν τῶν δρεπανηφόρων ἐνέργειαν. ἔῤῥωται γὰρ μάλιστα μήκει δρόμου, σφοδρότητά τε καὶ ῥύμην τῇ διεξελάσει διδόντος. αἱ δὲ ἐκ βραχέος ἀφέσεις, ἄπρακτοι καὶ ἀμβλεῖαι, καθάπερ βελῶν τάσις οὐ λαβόντων. ὃ δὴ καὶ τότε τοῖς βαρβάροις ἀπήντα. καὶ τὰ πρῶτα τῶν ἁρμάτων ἀργῶς ἐξελαυνόμενα, καὶ προσπίπτοντα νωθρῶς, ἐκκρούσαντες οἱ ῥωμαῖοι μετὰ κρότου καὶ γέλωτος, ἄλλα ᾔτουν, ὥσπερ εἰώθασιν ἐν ταῖς θεατρικαῖς ἱπποδρομίαις. τουντεῦθεν αἱ πεζαὶ δυνάμεις συνεῤῥάγησαν. τῶν μὲν βαρβάρων προβαλλομένων τὰς σαρίσσας μακράς, καὶ πειρωμένων τῷ συνασπισμῷ τὴν φάλαγγα διατηρεῖν ἐν τάξει. τῶν δὲ ῥωμαίων, τοὺς μὲν ὑσσοὺς αὐτοῦ καταβαλόντων, σπασαμένων δὲ τὰς μαχαίρας, καὶ παρακρουομένων τὰς σαρίσσας ὡς τάχιστα προσμίξειαν αὐτοῖς δι᾽ ὀργήν. προτεταγμένους γὰρ ἑώρων τῶν πολεμίων μυρίους καὶ πεντακισχιλίους θεράποντας, οὓς ἐκ τῶν πολεμίων κηρύγματι ἐλευθεροῦντες οἱ βασιλέως στρατηγοὶ, κατελόχιζον εἰς τοὺς ὁπλίτας. καί τις ἑκατοντάρχης λέγεται ῥωμαῖος εἰπεῖν, ὡς ἐν κρονίοις μόνον εἰδείη τῆς παῤῥησίας δούλους μετέχοντας. τούτους μὲν οὖν διὰ βάθος καὶ πυκνότητα βραδέως ἐξωθουμένους ὑπὸ τῶν ὁπλιτῶν, καὶ παρὰ φύσιν μένειν τολμῶντας, αἵ τε βελοσφενδόναι καὶ οἱ γρόσφοι, χρωμένων ἀφειδῶς τῶν κατόπιν ῥωμαίων, ἀπέστρεφον καὶ συνετάραττον. ἀρχελάου δὲ τὸ δεξιὸν κέρας εἰς κύκλωσιν ἀνάγοντος, ὁρτήσιος ἐφῆκε τὰς σπείρας δρόμῳ προσφερομένας ὡς ἐμβαλῶν πλαγίοις. ἐπιστρέψαντος δὲ ταχέως ἐκείνου τοὺς περὶ αὑτὸν ἱππεῖς δισχιλίους, ἐκθλιβόμενος ὑπὸ πλήθους, προσεστέλλετο τοῖς ὀρεινοῖς κατὰ μικρὸν ἀποῤῥηγνύμενος τῆς φάλαγγος, καὶ περιλαμβανόμενος ὑπὸ τῶν πολεμίων. πυθόμενος δὲ ὁ σύλλας ἀπὸ τοῦ δεξιοῦ μήπω συμπεπτωκότος εἰς μάχην, ἐδίωκε βοηθῶν. ἀρχέλαος δὲ τῷ κονιορτῷ τῆς ἐλάσεως ὅπερ ἦν τεκμηράμενος, ὁρτήσιον μὲν εἴα χαίρειν. αὐτὸς δ᾽ ἐπιστρέψας ὅθεν ὥρμησεν ὁ σύλλας πρὸς τὸ δεξιὸν ὡς ἔρημον ἄρχοντος αἱρήσων. ἅμα δὲ καὶ μουρήναν ταξίλλης ἐπῆγεν, ἔχων τοὺς χαλκάσπιδας. ὥστε τῆς κραυγῆς διχόθεν φερομένης, καὶ τῶν ὀρῶν ἀνταποδιδόντων τὴν περιήχησιν, ἐπιστήσαντα τὸν σύλλαν διαπορεῖν ὁποτέρωσε χρὴ προσγενέσθαι. δόξαν δὲ τὴν ἑαυτοῦ τάξιν ἀναλαμβάνειν, μουρήναν μὲν, ἀρωγὸν ἔπεμψεν ὁρτησίῳ ἔχοντα τέσσαρας σπείρας. αὐτὸς δὲ τὴν πέμπτην ἕπεσθαι κελεύσας, ἐπὶ τὸ δεξιὸν ἠπείγετο. καὶ καθ᾽ ἑαυτὸ μὲν ἀξιομάχως ἤδη τῷ ἀρχελάῳ συνεστηκός. ἐκείνου δὲ ἐπιφανέντος, παντάπασιν ἐξεβιάσαντο, καὶ κρατήσαντες ἐδίωκον, πρός τε τὸν ποταμὸν καὶ τὸ ἀκόντιον ὄρος προτροπάδην φεύγοντας. οὐ μὴν ὅγε σύλλας ἠμέλησε, μουρήνα κινδυνεύοντος, ἀλλὰ ὥρμησε τοῖς ἐκεῖ βοηθεῖν. ἰδὼν δὲ νικῶντας, τότε τῆς διώξεως μετεῖχε. πολλοὶ μὲν οὖν ἐν τῷ πεδίῳ τῶν βαρβάρων ἀνῃροῦντο. πλεῖστοι δὲ τῷ χάρακι προσφερόμενοι κατεκόπησαν, ὥστε μυρίους διαπεσεῖν εἰς χαλκίδα μόνους, ἀπὸ τοσούτων μυριάδων. ὁ δὲ σύλλας λέγει τέσσαρας καὶ δέκα ἐπιζητῆσαι τῶν αὑτοῦ στρατιωτῶν. εἶτα καὶ τούτων δύο πρὸς τὴν ἑσπέραν παραγενέσθαι. διὸ καὶ τοῖς τροπαίοις ἐπέγραψεν ἄρη καὶ νίκην καὶ ἀφροδίτην. ὡς οὐχ ἧττον εὐτυχίᾳ κατορθώσας, ἢ δεινότητι καὶ δυνάμει τὸν πόλεμον. ἀλλὰ τοῦτο μὲν τὸ τρόπαιον ἕστηκε τῆς πεδιάδος μάχης, ᾗ πρῶτον ἀνέκλιναν οἱ περὶ ἀρχέλαον μέχρι παρὰ τὸ μόλου ῥεῖθρον. ἕτερον δ᾽ ἐστὶ τοῦ θουρίου, κατὰ κορυφὴν βεβηκὸς ἐπὶ τῇ κυκλώσει τῶν βαρβάρων γράμμασιν ἑλληνικοῖς ἐπισημαῖνον ὁμολώιχον καὶ ἀναξίδαμον ἀριστεῖς. ταύτης τὰ ἐπινίκια τῆς μάχης ἦγεν ἐν θήβαις, περὶ τὴν οἰδιπόδειον κρήνην κατασκευάσας θυμέλην. οἱ δὲ κρίνοντες ἦσαν ἕλληνες, ἐκ τῶν ἄλλων ἀνακεκλημένοι πόλεων. ἐπεὶ πρός γε θηβαίους ἀδιαλλάκτως εἶχε. καὶ τῆς χώρας αὐτῶν ἀποτεμόμενος τὴν ἡμίσειαν, τῷ πυθίῳ καὶ τῷ ὀλυμπίῳ καθιέρωσεν, ἐκ τῶν προσόδων κελεύσας ἀποδίδοσθαι τὰ χρήματα τοῖς θεοῖς, ἅπερ αὐτὸς εἰλήφει. μετὰ ταῦτα πυνθανόμενος φλάκκον ἀπὸ τῆς ἐναντίας στάσεως ὕπατον ᾑρημένον, διαπεραιοῦν τὸν ἰόνιον μετὰ δυνάμεως, λόγῳ μὲν ἐπὶ μιθριδάτην, ἔργῳ δὲ ἐπ᾽ ἐκεῖνον αὐτὸν, ὥρμησεν ἐπὶ θετταλίας ὡς ἀπαντήσων. γενομένῳ δὲ αὐτῷ περὶ πόλιν μελίτειαν, ἀφικνοῦνται πολλαχόθεν ἀγγελίαι, πορθεῖσθαι τὰ κατόπιν αὖθις, οὐκ ἐλάττονι στρατιᾷ βασιλικῇ τῆς πρότερον. δορύλαος γὰρ εἰς χαλκίδα καταχθεὶς παρασκευῇ νεῶν πολλῇ, ἐν αἷς ἦγεν ὀκτὼ μυριάδας, ἠσκημένας καὶ συντεταγμένας ἄριστα δὴ τῆς μιθριδατικῆς στρατιᾶς. εὐθὺς εἰς βοιωτίαν ἐνέβαλε. καὶ κατεῖχε τὴν χώραν, προθυμούμενος εἰς μάχην ἐπισπάσασθαι τὸν σύλλαν, οὐ προσέχων ἀρχελάῳ διακωλύοντι. καὶ λόγον περὶ τῆς προτέρας μάχης διαδοὺς, ὡς οὐκ ἄνευ προδοσίας μυριάδες τοσαῦται διαφθαρεῖεν. οὐ μὴν, ἀλλὰ ὁ σύλλας ταχέως ὑποστρέψας, ἀπέδειξε τῷ δορυλάῳ τὸν ἀρχέλαον ἄνδρα φρόνιμον, καὶ τῆς ῥωμαίων ἐμπειρότατον ἀρετῆς. ὥστε μικρὰ αὐτὸν τῷ σύλλᾳ περὶ τὸ τιλφώσσιον ἐμπεσόντα, πρῶτον εἶναι τῶν οὐκ ἀξιούντων κρίνεσθαι διὰ μάχης, ἀλλὰ δαπάναις καὶ χρόνῳ τρίβειν τὸν πόλεμον. ὅμως δὲ, θάρσος τι τῷ ἀρχελάῳ παρεῖχεν ὁ περὶ ὀρχομενὸν τόπος, ἐν ᾧ κατεστρατοπέδευσαν, εὐφυέστατος ὢν ἱπποκρατοῦσιν ἐναγωνίσασθαι. τῶν γὰρ βοιωτίων πεδίων, ὅ τι περ ἐστὶ κάλλιστον καὶ μέγιστον, τοῦτο τῆς ὀρχομενίων ἐξηρτημένον πόλεως, μόνον ἀναπέπταται. καὶ ἄδενδρον ἄχρι τῶν ἑλῶν, ἐν οἷς ὁ μέλας καταναλίσκεται ποταμός. ἀνατέλλων μὲν ὑπὸ τὴν πόλιν τῶν ὀρχομενίων πολὺς, καὶ πλόϊμος ἐν πηγαῖς μόνος τῶν ἑλληνικῶν ποταμῶν, αὐξόμενος δὲ ὑπὸ τροπὰς θερινὰς, ὥσπερ ὁ νεῖ-

σχολάζειν, ἀλλὰ προσάγων αὐτοὺς ἠνάγκαζεν. τόν τε κηφισὸν ἐκ τοῦ ῥείθρου παρατρέπειν. καὶ τάφρους ὀρύσσειν, ἀνάπαυλαν οὐδενὶ διδοὺς, καὶ τῶν ἐνδιδόντων ἀπαραίτητος ἐφεστὼς κολαστής. ὅπως ἀπαγορεύσαντες πρὸς τὰ ἔργα διὰ τῶν πόνων, ἀσπάσωνται τὸν κίνδυνον. ὃ καὶ συνέβη. τρίτην γὰρ ἡμέραν ἐργαζόμενοι, τοῦ σύλλα παρεξιόντος, ἐδέοντο μετὰ κραυγῆς ἄγειν ἐπὶ τοὺς πολεμίους. ὁ δὲ, οὐ μάχεσθαι βουλομένων, ἀλλὰ μὴ βουλομένων πονεῖν, ἔφησεν εἶναι τὸν πόλεμον. εἰ δὲ ὄντως ἔχουσιν ἀγωνιστικῶς, ἐκέλευσεν ἤδη μετὰ τῶν ὅπλων ἐλθεῖν ἐκεῖσε. δείξας αὐτοῖς τὴν πρότερον μὲν γενομένην ἀκρόπολιν, τῶν παραποταμίων. τότε δὲ ἀνῃρημένης τῆς πόλεως, λόφος ἐλέλειπτο πετρώδης καὶ περίκρημνος, τοῦ ἡδυλίου διωρισμένος ὄρους. ὅσον ὁ ἄσσος ἐπέχει ῥέων εἶτα συμπίπτων ὑπὸ τὴν ῥίζαν αὐτὴν τῷ κηφισῷ καὶ συνεκτραχυνόμενος, ὀχυρὰν ἐκ στρατοπεδεύσασθαι τὴν ἄκραν ποιεῖ. διὸ καὶ τοὺς χαλκάσπιδας ὁρῶν τῶν πολεμίων ὠθουμένους ἐπ᾽ αὐτὴν ὁ σύλλας, ἐβούλετο φθῆναι καταλαβὼν τὸν τόπον. καὶ κατέλαβε χρησάμενος τοῖς στρατιώταις προθύμοις. ἐπεὶ δὲ ἀποκρουσθεὶς ἐκεῖθεν ὁ ἀρχέλαος, ὥρμησεν ἐπὶ τὴν χαιρώνειαν. οἱ δὲ συστρατευσάμενοι τῶν χαιρωνέων ἐδέοντο τοῦ σύλλα μὴ προέσθαι τὴν πόλιν. ἐκπέμπει τῶν χιλιάρχων ἕνα γαμίνιον, μετὰ τάγματος ἑνὸς, καὶ τοὺς χαιρωνεῖς ἀφίησι βουληθέντας μὲν, οὐ μὴν δυνηθέντας φθῆναι τὸν γαμίνιον. οὕτως ἦν ἀγαθὸς καὶ προθυμότερος εἰς τὸ σῶσαι, τῶν σωθῆναι δεομένων. ὁ δὲ ἰόβας, οὐ γαμίνιόν φησι πεμφθῆναι, ἀλλὰ ἔρικιον. ἡ μὲν οὖν πόλις ἡμῶν παρὰ τοσοῦτον ἐξέφυγε τὸν κίνδυνον. ἐκ δὲ λεβαδείας καὶ τοῦ τροφωνίου, φῆμαί τε χρησταὶ, καὶ νικηφόρα μαντεύματα τοῖς ῥωμαίοις ἐξεπέμποντο. περὶ ὧν. οἱ μὲν ἐπιχώριοι, πλείονα λέγουσιν. ὡς δὲ σύλλας αὐτὸς ἐν τῷ δεκάτῳ τῶν ὑπομνημάτων γέγραφε. κόϊντος τίτιος, οὐκ ἀφανὴς ἀνὴρ τῶν ἐν τῇ ἑλλάδι πραγματευομένων, ἧκε πρὸς αὐτὸν ἤδη τὴν ἐν χαιρωνείᾳ νενικηκότα μάχην. παραγγέλλων ὅτι καὶ δευτέραν ὁ τροφώνιος αὐτόθι μάχην καὶ νίκην προσημαίνει ἐντὸς ὀλίγου χρόνου. μετὰ δὲ τοῦτον, ἀνὴρ τῶν ἐν τάξει στρατευομένων ὄνομα σαλουήνιος, ἀνήνεγκε παρὰ τοῦ θεοῦ τέλος, οἷον αἱ κατὰ τὴν ἰταλίαν πράξεις ἔμελλον ἕξειν. ἀμφότεροι δὲ ταῦτα περὶ τῆς ὀμφῆς ἔφραζον. τῷ γὰρ ὀλυμπίῳ διῒ καὶ τὸ κάλλος καὶ τὸ μέγεθος, παραπλήσιον ἰδεῖν ἔφασαν. ἐπεὶ δὲ διέβη τὸν ἄσσον ὁ σύλλας παρελθὼν ὑπὸ τὸ ἡδύλιον, τῷ ἀρχελάῳ παρεστρατοπέδευσε, βεβλημένῳ χάρακα καρτερὸν ἐν μέσῳ τοῦ ἀκοντίου καὶ τοῦ ἡδυλίου, πρὸς τοῖς λεγομένοις ἀσσίοις. ὁ μέντοι τόπος ἐν ᾧ κατεσκήνωσεν, ἄχρι νῦν ἀρχέλαος ἀπ᾽ ἐκείνου καλεῖται. διαλιπὼν δὲ μίαν ἡμέραν ὁ σύλλας, μουρήναν μὲν ἔχοντα τάγμα, καὶ σπείρας δύο πρὸς τὸ τοῖς πολεμίοις ἐνοχλῆσαι παρατεταγμένοις ἀπέλιπεν. αὐτὸς δὲ παρὰ τὸν κηφισὸν, ἐσφαγιάζετο. καὶ τῶν ἱερῶν γενομένων, ἐχώρει πρὸς τὴν χαιρώνειαν, ἀναληψόμενός τε τὴν αὐτόθι στρατιὰν. καὶ κατοψόμενος τὸ καλούμενον θούριον ὑπὸ τῶν πολεμίων προκατειλημμένον. ἔστι δὲ κορυφὴ τραχεῖα καὶ στροβιλώδης ὄρος, ὃ καλοῦμεν ὀρθόπαγον. ὑπὸ δὲ αὐτὸ τὸ ῥεῦμα τοῦ μορίου καὶ θουρίου νεὼς ἀπόλλωνος. ὠνόμασται δὲ ὁ θεὸς ἀπὸ θουροῦς τῆς χαίρωνος μητρὸς, ὃν οἰκιστὴν γεγονέναι τῆς χαιρωνείας ἱστοροῦσιν. οἱ δὲ φασὶ τὴν κάδμῳ δοθεῖσαν ὑπὸ τοῦ πυθίου καθηγεμόνα βοῦν ἐκεῖ φανῆναι, καὶ τὸν τόπον ἀπ᾽ αὐτῆς οὕτω προσαγορευθῆναι. θὼρ γὰρ οἱ φοίνικες, τὴν βοῦν καλοῦσι. προσιόντος δὲ τοῦ σύλλα πρὸς τὴν χαιρώνειαν ὁ τεταγμένος ἐν τῇ πόλει χιλίαρχος ἐξωπλισμένους ἄγων τοὺς στρατιώτας, ἀπήντησε στέφανον δάφνης κομίζων. ὡς δὲ δεξάμενος ἠσπάσατο τοὺς στρατιώτας, καὶ παρώρμησε πρὸς τὸν κίνδυνον, ἐντυγχάνουσιν αὐτῷ δύο τῶν χαιρωνέων ἄνδρες, ὁμολώϊχος, καὶ ἀναξίδαμος ὑφιστάμενοι τοὺς τὸ θούριον κατασχόντας ἐκκόψειν. ὀλίγους στρατιώτας παρ᾽ ἐκείνου λαβόντες. ἀτραπὸν γὰρ εἶναι τοῖς βαρβάροις ἄδηλον, ἀπὸ τοῦ καλουμένου πετώχου παρὰ τὸ μουσεῖον ἐπὶ τὸ θούριον ὑπὲρ κεφαλῆς ἄγουσαν. ἣ πορευθέντες οὐ χαλεπῶς ἐπιστήσεσθαι, καὶ καταλεύσειν ἄνωθεν αὐτούς. ἢ συνώσειν εἰς τὸ πεδίον. τοῦ γαμινίου τοῖς ἀνδράσι μαρτυρήσαντος ἀνδρείαν καὶ πίστιν, ἐκέλευσεν ἐπιχειρεῖν ὁ σύλλας. αὐτὸς δὲ συνέταττε τὴν φάλαγγα, καὶ διένεμε τοὺς ἱππότας ἐπὶ κέρως ἑκατέρου. τὸ δεξιὸν αὐτὸς ἔχων. τὸ δ᾽ εὐώνυμον ἀποδοὺς μουρήνᾳ. γάλλος δὲ καὶ ὁρτήσιος οἱ πρεσβευταὶ, σπείρας ἐπιτάκτους ἔχοντες ἔσχατοι, παρενέβαλον ἐπὶ τῶν ἄκρων φύλακες πρὸς τὰς κυκλώσεις. ἑώρωντο γὰρ οἱ πολέμιοι κατασκευάζοντες ἱππεῦσι πολλοῖς. καὶ ψιλοῖς πεδιώκεσιν εἰς ἐπιστροφὴν τὸ κέρας ἀγαμπτὲς καὶ κοῦφον. ὡς μακρὰν ἀνάξοντες, καὶ κυκλωσόμενοι τοὺς ῥωμαίους. ἐν δὲ τούτῳ, τὸν τῶν χαιρωνέων ἐρίκιον ἄρχοντα παρὰ τῷ σύλλα λαβόντων καὶ περιελθόντων ἀδήλως τὸ θούριον, εἶτα ἐπιφανέντων, θόρυβος ἦν πολὺς, καὶ φυγὴ τῶν βαρβάρων, καὶ φόνος ὑπ᾽ ἀλλήλων ὁ πλεῖστος. οὐ γὰρ ὑπέμειναν, ἀλλὰ κατὰ πρανοῦς φερόμενοι. τοῖς τε δόρασι περιέπιπτον αὐτοὶ τοῖς ἑαυτῶν. καὶ κατεκρήμνιζον ὠθοῦντες ἀλλήλους ἄνωθεν ἐπικειμένων τῶν πολεμίων. καὶ τὰ γυμνὰ παιόντων. ὥστε τρισχιλίους πεσεῖν περὶ τὸ θούριον. τῶν δὲ φευγόντων. τοὺς μὲν, εἰς τάξιν ἤδη καθεστὼς ὁ μουρήνας ἀπετέμνετο. καὶ διέφθειρεν ὑπαντιάζων. οἱ δὲ ὠσάμενοι πρὸς τὸ φίλιον στρατόπεδον, καὶ τῇ φάλαγγι φύρδην ἐμπεσόντες, ἀνέπλησαν δέους καὶ ταραχῆς τὸ πλεῖστον μέρος, καὶ διατριβὴν τοῖς στρατηγοῖς ἐνεποίησαν, οὐχ ἥκιστα βλάψασαν αὐτούς. ὀξέως γὰρ ὁ σύλλας ταρασσομένοις ἐπαγαγὼν, καὶ τὸ μέσον διάστημα τῷ τάχει συνελὼν, ἀφείλετο

πολλοῖς, ἀλαλαγμῷ καὶ κραυγῇ τῆς δυνάμεως ἐφ' ἁρπαγὴν καὶ φόνον ἀφειμένης ὑπ' αὐτοῦ, καὶ φερομένης διὰ τῶν στενωπῶν ἐσπασμένοις τοῖς ξίφεσιν. ὥστε ἀριθμὸν μηδένα γενέσθαι τῶν ἀποσφαγέντων, ἀλλὰ τῷ τόπῳ τοῦ ῥυέντος αἵματος ἔτι νῦν μετρεῖσθαι τὸ πλῆθος. ἄνευ γὰρ τῶν κατὰ τὴν ἄλλην πόλιν ἀναιρεθέντων, ὁ περὶ τὴν ἀγορὰν φόνος ἐπέσχε πάντα τὸν ἐντὸς τοῦ διπύλου κεραμεικόν. πολλοῖς δὲ λέγεται καὶ διὰ πυλῶν κατακλύσαι τὸ προάστειον. ἀλλὰ τῶν οὕτως ἀποθανόντων, τοσούτων γενομένων οὐκ ἐλάττονες ἦσαν, οἱ σφᾶς αὐτοὺς διαφθείροντες οἴκτῳ καὶ πόθῳ τῆς πατρίδος, ὡς ἀναιρεθησομένης. τοῦτο γὰρ ἀπογνῶναι καὶ φοβηθῆναι τὴν σωτηρίαν ἐποίησε τοὺς βελτίστους, οὐδὲν ἐν τῷ σύλλα φιλάνθρωπον οὐδὲ μέτριον ἐλπίσαντας. ἀλλὰ γὰρ τοῦτο μὲν μιδίου καὶ καλλιφῶντος τῶν φυγάδων δεομένων καὶ προκυλινδουμένων αὐτοῦ. τοῦτο δὲ τῶν συγκλητικῶν ὅσοι συνεστράτευον ἐξαιτουμένων τὴν πόλιν, αὐτός τε μεστὸς ὢν ἤδη τῆς τιμωρίας, ἐγκώμιόν τι τῶν παλαιῶν ἀθηναίων ἐπειπὼν, ἔφη χαρίζεσθαι πολλοὺς μὲν ὀλίγοις. ζῶντας δὲ τεθνηκόσιν. ἑλεῖν δὲ τὰς ἀθήνας αὐτός φησιν ἐν τοῖς ὑπομνήμασι, μαρτίαις καλάνδαις. ἥτις ἡμέρα συμπίπτει μάλιστα τῇ νουμηνίᾳ τοῦ ἀνθεστηριῶνος μηνὸς ἐν ᾧ κατὰ τύχην ὑπομνήματα πολλὰ τοῦ διὰ τὴν ἐπομβρίαν ὀλέθρου καὶ τῆς φθορᾶς ἐκείνης δρῶσιν, ὡς τότε καὶ περὶ τὸν χρόνον ἐκεῖνον, μάλιστα τοῦ κατακλυσμοῦ συμπεσόντος. ἑαλωκότος δὲ τοῦ ἄστεος. ὁ μὲν τύραννος εἰς τὴν ἀκρόπολιν καταφυγὼν ἐπολιορκεῖτο κουρίωνος ἐπὶ τούτῳ τεταγμένου. καὶ χρόνον ἐγκαρτερήσας συχνὸν, αὑτὸν ἐνεχείρισε. δίψει πιεσθείς. καὶ τὸ δαιμόνιον εὐθὺς ἐπεσήμηνε. τῆς γὰρ αὐτῆς ἡμέρας τε καὶ ὥρας, ἐκεῖνόν τε κουρίων κατῆγε. καὶ νεφέλαι δι' αἰθρίας συνδραμοῦσαι, πλῆθος ὄμβρου καταρρήξασαι, ἐπλήρωσαν ὕδατος τὴν ἀκρόπολιν. εἷλε δὲ καὶ τὸν πειραιᾶ, μετ' οὐ πολὺν χρόνον ὁ σύλλας, καὶ τὰ πλεῖστα κατέκαυσεν. ὧν ἦν καὶ ἡ φίλωνος ὁπλοθήκη, θαυμαζόμενον ἔργον. ἐν δὲ τούτῳ, ταξίλης ὁ μιθριδάτου στρατηγὸς, ἐκ θρᾴκης καὶ μακεδονίας καταβεβηκὼς, δέκα μυριάσι πεζῶν καὶ μυρίοις ἱππεῦσι, καὶ τεθρίπποις ἐνενήκοντα δρεπανηφόροις, ἐκάλει τὸν ἀρχέλαον ἔτι ναυλοχοῦντα περὶ τὴν μουνυχίαν. καὶ μήτε τῆς θαλάσσης βουλόμενον ἀποστῆναι. μήτε πρόθυμον ὄντα συμπλέκεσθαι τοῖς ῥωμαίοις, ἀλλὰ τρίβειν χρόνῳ τὸν πόλεμον. καὶ τὰς εὐπορίας αὐτῶν ἀφαιρεῖν. ἃ δὴ πολὺ μᾶλλον ἐκείνου συνεωρῶν ὁ σύλλας, ἀνέζευξεν εἰς βοιωτίαν ἐκ χωρίων γλίσχρων, καὶ μηδὲ ἐν εἰρήνῃ τρέφειν ἱκανῶν ὄντων. καὶ τοῖς πολλοῖς ἐδόκει σφάλλεσθαι τὸν λογισμὸν, ὅτι τὴν ἀττικὴν τραχεῖαν οὖσαν καὶ δύσιππον ἀπολιπὼν, ἐνέβαλεν ἑαυτὸν πεδιάσι καὶ ἀναπεπταμέναις ταῖς περὶ τὴν βοιωτίαν χώραις, ὁρῶν ἐν ἅρμασι καὶ ἵπποις τὴν βαρβαρικὴν οὖσαν ἀλκήν. ἀλλὰ φεύγων ὥσπερ εἴρηται λιμὸν καὶ σπάνιν, ἠναγκάζετο διώκειν τὸν ἐκ τῆς μάχης κίνδυνον. ἔτι δὲ ὁρτήσιος αὐτὸν ἐφόβει, στρατηγικὸς ἀνὴρ καὶ φιλόνεικος, ὃν ἐκ θετταλίας ἄγοντα τῷ σύλλᾳ δύναμιν, ἐν τοῖς στενοῖς οἱ βάρβαροι παρεφύλαττον. διὰ ταῦτα μὲν εἰς τὴν βοιωτίαν ἀνέζευξεν ὁ σύλλας. ὁρτήσιον δὲ καφὶς ἡμέτερος ὢν, ἑτέραις ὁδοῖς ψευσάμενος τοὺς βαρβάρους, διὰ τοῦ παρνασοῦ κατῆγεν ὑπ' αὐτὴν τὴν τιθόραν, οὔπω τοσαύτην πόλιν οὖσαν, ὅση νῦν ἐστιν, ἀλλὰ φρούριον ἀπορρῶγι κρημνῷ περικοπτόμενον, εἰς ὃ καὶ πάλαι ποτὲ φωκέων οἱ ξέρξην ἐπιόντα φεύγοντες, ἀνεσκευάσαντο καὶ διεσώθησαν. ἐνταῦθα καταστρατοπεδεύσας ὁ ὁρτήσιος, ἡμέρας μὲν ἀπεκρούετο τοὺς πολεμίους. νύκτωρ δὲ εἰς πατρωνίδα ταῖς δυσχωρίαις καταβὰς ἀπαντήσαντι τῷ σύλλᾳ μετὰ τῆς δυνάμεως συνέμιξε. γενόμενοι δὲ κοινῇ, καταλαμβάνουσι βουνὸν ἐκ μέσων ἑστῶτα τῶν ἐλατικῶν πεδίων, εὔγεων καὶ ἀμφιλαφῆ, καὶ παρὰ τὴν ῥίζαν ὕδωρ ἔχοντα, φιλοβοιωτὸς καλεῖται. καὶ τὴν φύσιν αὐτοῦ καὶ τὴν θέσιν, ἐπαινεῖ θαυμασίως ὁ σύλλας. στρατοπεδεύσαντες δὲ παντάπασιν ὀλίγοι τοῖς πολεμίοις κατεφαίνοντο. ἱππεῖς μὲν γὰρ, οὐ πλείους πεντακοσίων καὶ χιλίων ἐγένοντο. πεζοὶ δὲ πεντακισχιλίων, καὶ μυρίων ἐλάττους. ὅθεν ἐκβιασάμενοι τὸν ἀρχέλαον οἱ λοιποὶ στρατηγοὶ, καὶ παραταξάμενοι τὴν δύναμιν, ἀνέπλησαν ἵππων. ἁρμάτων. ἀσπίδων. θυρεῶν τὸ πεδίον. τὴν δὲ κραυγὴν καὶ ἀλαλαγμὸν, οὐκ ἔστεγεν ὁ ἀὴρ ἐθνῶν τοσούτων ἅμα καθισταμένων εἰς τάξιν. ἦν δὲ ἅμα καὶ τὸ κομπῶδες καὶ σοβαρὸν αὐτῶν τῆς πολυτελείας οὐκ ἀργὸν οὐδὲ ἄχρηστον εἰς ἔκπληξιν, ἀλλ' αἵ τε μαρμαρυγαὶ τῶν ὅπλων ἠσκημένων χρυσῷ τε καὶ ἀργύρῳ διαπρεπῶς. αἵ τε βαφαὶ τῶν μηδικῶν καὶ σκυθικῶν χιτώνων, ἀναμεμιγμέναι χαλκῷ καὶ σιδήρῳ λάμποντι, πυροειδῆ καὶ φοβερὰν ἐν τῷ σαλεύεσθαι καὶ διαφέρεσθαι προσέβαλλον ὄψιν. ὥστε τοὺς ῥωμαίους ὑπὸ τὸν χάρακα συστέλλειν ἑαυτοὺς, καὶ τὸν σύλλαν μηδενὶ λόγῳ τὸ θάμβος αὐτῶν ἀφελεῖν δυνάμενον. βιάζεσθαι δὲ ἀποδιδράσκοντας, οὐ βουλόμενον, ἡσυχίαν ἄγειν, καὶ φέρειν βαρέως ἐφυβρίζοντας ὁρῶντα κομπασμῷ καὶ γέλωτι τοὺς βαρβάρους. ὤνησε μέντοι τοῦτο μάλιστα πάντων αὐτόν. οἱ γὰρ ἐναντίοι καταφρονήσαντες ἐτρέποντο πρὸς ἀταξίαν πολλήν. οὐδὲ ἄλλως ὑπήκοοι τῶν στρατηγῶν, διὰ πολυαρχίαν ὄντες. ὀλίγοι μὲν ἐν τῷ χάρακι διεκαρτέρουν. ὁ δὲ πλεῖστος ὄχλος ἁρπαγαῖς καὶ πορθήμασι δελεαζόμενος ὁδὸν ἡμερῶν πολλῶν ἀπὸ τοῦ στρατοπέδου διεσπείρετο. καὶ τήν τε πανοπέων πόλιν ἐκκόψαι λέγονται. καὶ τὴν λεβαδέων διαρπάσαι. καὶ συλῆσαι τὸ μαντεῖον. οὐδενὸς στρατηγοῦ πρόσταγμα δόντος. ὁ δὲ σύλλας, ἐν ὄμμασιν αὐτοῦ πόλεων ἀπολλυμένων δυσανασχετῶν καὶ λυπούμενος, οὐκ εἴα τοὺς στρατιώτας

σχολάζειν,

τοῖς αὐτῶν ῥείθροις καὶ πυρπολεῖσθαι βαλλόμενα συνεχῶς ὑπὸ τῶν πολεμίων, ἐπεχείρησε τοῖς ἱεροῖς ἄλσεσι. καὶ τήν τε ἀκαδημίαν ἔκειρε δενδροφορωτάτην προαστείων οὖσαν. καὶ τὸ λύκειον. ἐπεὶ δὲ καὶ χρημάτων ἔδει πολλῶν πρὸς τὸν πόλεμον ἐκίνει τὰ τῆς ἑλλάδος ἄσυλα. τοῦτο μὲν ἐξ ἐπιδαύρου. τοῦτο δὲ ἐξ ὀλυμπίας, τὰ κάλλιστα καὶ πολυτελέστατα τῶν ἀναθημάτων μεταπεμπόμενος. ἔγραψε δὲ καὶ τοῖς ἀμφικτύοσιν εἰς δελφοὺς, ὅτι τὰ χρήματα τοῦ θεοῦ βέλτιον εἶναι κομισθῆναι πρὸς αὐτόν, ἢ γὰρ φυλάξειν ἀσφαλέστερον, ἢ καὶ ἀποχρησάμενος, ἀποδώσειν οὐκ ἐλάττω. καὶ τῶν φίλων ἀπέστειλε κάφιν τὸν φωκέα, κελεύσας σταθμῷ παραλαβεῖν ἕκαστον. ὁ δὲ κάφις, ἧκε μὲν εἰς δελφούς. ὤκνει δὲ τῶν ἱερῶν θιγεῖν. καὶ πολλὰ τῶν ἀμφικτυόνων παρόντων, ἀπεδάκρυσε τὴν ἀνάγκην. ἐνίων δὲ φασκόντων ἀκοῦσαι φθεγγομένης τῆς ἐν τοῖς ἀνακτόροις κιθάρας. εἴτε πιστεύσας, εἴτε τὸν σύλλαν βουλόμενος ἐμβαλεῖν εἰς δεισιδαιμονίαν, ἀπέστειλε πρὸς αὐτόν. ὁ δὲ, σκώπτων, ἀντέγραφε θαυμάζειν τὸν κάφιν, εἰ μὴ συνίησιν, ὅτι χαίροντος οὐ χαλεπαίνοντος εἴη τὸ ᾄδειν. ὥστε θαῤῥοῦντα λαμβάνειν ἐκέλευσεν, ὡς ἡδομένου τοῦ θεοῦ καὶ διδόντος. τὰ μὲν οὖν ἄλλα διέλαθε τούς τε πολλοὺς ἕλληνας ἐκπεμπόμενα. τὸν δὲ ἀργυροῦν πίθον, ὃς ἦν ὑπόλοιπος ἔτι τῶν βασιλικῶν, διὰ βάρος καὶ μέγεθος οὐ δυναμένων ἀναλαβεῖν τῶν ὑποζυγίων, ἀναγκαζόμενοι κατακόπτειν οἱ ἀμφικτύονες, εἰς μνήμην ἐβάλοντο. τοῦτο μέν τοι τὸν φλαμίνιον. καὶ μάνιον ἀκύλιον. τοῦτο δὲ, αἰμίλιον παῦλον. ὧν, ὁ μὲν, ἀντίοχον ἐξελάσας τῆς ἑλλάδος. οἱ δὲ τοὺς μακεδόνων βασιλεῖς καταπολεμήσαντες, οὐ μόνον ἀπέσχοντο τῶν ἱερῶν τῶν ἑλληνικῶν, ἀλλὰ καὶ δῶρα καὶ τιμὴν αὐτοῖς, καὶ σεμνότητα πολλὴν προσέθεσαν. ἀλλ' ἐκεῖνοι μὲν, ἀνδρῶν τε σωφρόνων καὶ μεμαθηκότων σιωπῇ τοῖς ἄρχουσι παρέχειν τὰς χεῖρας ἡγούμενοι κατὰ νόμον, αὐτοί τε ταῖς ψυχαῖς, βασιλικοὶ, καὶ ταῖς δαπάναις εὐτελεῖς ὄντες, μετρίοις ἐχρῶντο, καὶ τεταγμένοις ἀναλώμασι. τὸ κολακεύειν τοὺς στρατιώτας, αἴσχιον ἡγούμενοι, τοῦ δεδιέναι τοὺς πολεμίους. οἱ δὲ τότε στρατηγοὶ, βίᾳ τὸ πρωτεῖον καὶ ἀρετῇ κτώμενοι. καὶ μᾶλλον ἐπ' ἀλλήλους δεόμενοι τῶν ὅπλων. καὶ τοὺς πολεμίους, ἠναγκάζοντο δημαγωγεῖν ἐν τῷ στρατηγεῖν, εἶθ' ὧν εἰς τὰς ἡδυπαθείας τοῖς στρατευομένοις ἀνήλισκον, ὠνούμενοι τοὺς πόνους αὐτῶν, ἔλαθον ὤνιον ὅλην τὴν πατρίδα ποιήσαντες. ἑαυτούς τε δούλους τῶν κακίστων, ἐπὶ τῷ τῶν βελτιόνων ἄρχειν. ταῦτα ἐξήλαυνε μάριον. εἶτ' αὖθις, ἐπὶ σύλλαν κατῆγε. ταῦτα ὀκταουΐου τοὺς περὶ κίνναν. ταῦτα φλάκκου, τοὺς περὶ φιμβρίαν, αὐτόχειρας ἐποίησεν. ὧν οὐχ ἥκιστα σύλλας ἐνέδωκεν ἀρχὰς, ἐπὶ τῷ διαφθείρειν, καὶ μετακαλεῖν, τοὺς ὑπ' ἄλλοις ταττομένους, καταχορηγῶν εἰς τοὺς ὑφ' αὐτῷ, καὶ δαπανώμενος. ὥστε ἅμα τοὺς ἄλλους μὲν εἰς προδοσίαν. τοὺς δὲ ὑπ' αὐτῷ, εἰς ἀσωτίαν διαφθείρων. χρημάτων δεῖσθαι πολλῶν. καὶ μάλιστα πρὸς τὴν πολιορκίαν ἐκείνην. δεινὸς γάρ τις αὐτὸν καὶ ἀπαραίτητος εἶχεν ἔρως, ἑλεῖν τὰς ἀθήνας. εἴτε ζήλῳ τινὶ πρὸς τὴν πάλαι σκιαμαχοῦντα τῆς πόλεως δόξαν, εἴτε θυμῷ, τὰ σκώμματα φέροντα καὶ τὰς βωμολοχίας, αἷς αὐτόν τε καὶ τὴν μετέλλαν ἀπὸ τῶν τειχῶν ἑκάστοτε γεφυρίζων καὶ κατορχούμενος, ἐξηρέθιζεν ὁ τύραννος ἀριστίων. ἄνθρωπος ἐξ ἀσελγείας ὁμοῦ καὶ ὠμότητος ἔχων συγκειμένην τὴν ψυχὴν, καὶ τὰ χείριστα τῶν μιθριδατικῶν συνεῤῥυηκότα νοσημάτων καὶ παθῶν εἰς ἑαυτὸν ἀνειληφὼς, καὶ τὴν πόλιν. μυρίους μὲν πολέμους. πολλὰς δὲ τυραννίδας καὶ στάσεις διαπεφευγυῖαν πρότερον, ὥσπερ νόσημα θανατηφόρον, εἰς τοὺς ἐσχάτους καιροὺς ἐπιτιθέμενος. χιλίων δραχμῶν ὠνίου τοῦ μεδίμνου τῶν πυρῶν ὄντος ἐν ἄστει. τότε τῶν ἀνθρώπων σιτουμένων, τὸ περὶ τὴν ἀκρόπολιν φυόμενον παρθένιον. ὑποδήματα δὲ καὶ ληκύθους ἑφθὰς ἐσθιόντων, αὐτὸς ἐνδελεχῶς πότοις μεθημερινοῖς, καὶ κώμοις χρώμενος καὶ πυῤῥιχίζων καὶ γελωτοποιῶν πρὸς τοὺς πολεμίους. τὸν μὲν ἱερὸν τῆς θεοῦ λύχνον ἀπεσβηκότα διὰ σπάνιν ἐλαίου περιεῖδε. τῇ δὲ ἱεροφαντίδι πυρῶν ἡμίεκτον προσαιτούσῃ, πεπέρεως ἔπεμψε. τοὺς δὲ βουλευτὰς καὶ ἱερεῖς ἱκετεύοντας οἰκτεῖραι τὴν πόλιν, καὶ διαλύσασθαι πρὸς τὸν σύλλαν. τοξεύμασι βάλλων, διεσκέδασεν. ὀψὲ δὲ ἤδη που μόλις ἐξέπεμψεν ὑπὲρ εἰρήνης, δύο ἢ τρεῖς, τῶν συμποτῶν, πρὸς οὓς, οὐδὲν ἀξιοῦντας σωτήριον, ἀλλὰ τὸν θησέα καὶ τὸν εὔμολπον, καὶ τὰ μηδικὰ σεμνολογουμένους, ὁ σύλλας. ἄπιτε εἶπεν ὦ μακάριοι τοὺς λόγους τούτους ἀναλαβόντες. ἐγὼ γὰρ οὐ φιλομαθὴς ὢν εἰς ἀθήνας ὑπὸ ῥωμαίων ἐπέμφθην, ἀλλὰ τοὺς ἀφισταμένους καταστρεψόμενος. ἐν δὲ τούτῳ λέγεταί τινας ἐν κεραμεικῷ πρεσβυτῶν ἀκούσαντας διαλεγομένων πρὸς ἀλλήλους, καὶ κακιζόντων τὸν τύραννον, ὡς μὴ φυλάττοντα τοῦ τείχους τὴν περὶ τὸ ἑπτάχαλκον ἔφοδον καὶ προσβολὴν, ᾗ μόνῃ δυνατὸν εἶναι καὶ ῥᾴδιον ὑπερβῆναι τοὺς πολεμίους, ἀπαγγεῖλαι ταῦτα πρὸς τὸν σύλλαν. ὁ δὲ οὐ κατεφρόνησεν, ἀλλὰ ἐπελθὼν νυκτὸς, καὶ θεασάμενος τὸν τόπον ἁλώσιμον, εἴχετο τοῦ ἔργου. λέγει δὲ αὐτὸς ὁ σύλλας ἐν τοῖς ὑπομνήμασι, τὸν πρῶτον ἐπιβάντα τοῦ τείχους, μάρκον τήϊον, ἀντιστάντος αὐτῷ πολεμίου δόντα πληγὴν, ἐκ καταφορᾶς τῷ κράνει περικλάσαι τὸ ξίφος. οὐ μὴν ὑφέσθαι τῆς χώρας, ἀλλὰ μεῖναι καὶ κατασχεῖν κατελήφθη μὲν οὖν ἡ πόλις ἐκεῖθεν, ὡς ἀθηναίων οἱ πρεσβύτατοι διεμνημόνευον. αὐτὸς δὲ σύλλας τὸ μεταξὺ τῆς πειραϊκῆς πύλης. καὶ τῆς ἱερᾶς κατασκάψας καὶ συνομαλύνας, περὶ μέσας νύκτας εἰσήλαυνε φρικώδης. ὑπό τε σάλπιγξι, καὶ κέρασι

Medimnus	μέδιμνος	108 lib.
Sextarius medimni	ἑκτεὺς	18
Dimidius sext. med.	ἡμίεκτον	9

συνῆπτε. τῶν δὲ περὶ τὸν βάσιλλον εἰς τὴν πόλιν ἐμπεσόντων καὶ κρατούντων, ὁ πολὺς καὶ ἄνοπλος δῆμος ἀπὸ τῶν τεγῶν, κεράμῳ καὶ λίθῳ βάλλοντες, ἐπέσχον αὐτοὺς τοῦ πρόσω χωρεῖν. καὶ συνέστειλαν εἰς τὸ τεῖχος. ἐν τούτῳ δὲ ὁ σύλλας παρῆν ἤδη, καὶ συνιδὼν τὸ γινόμενον, ἐβόα τὰς οἰκίας ὑφάπτειν. καὶ λαβὼν δᾷδα καιομένην, ἐχώρει πρῶτος αὐτὸς, καὶ τοὺς τοξότας ἐκέλευε χρῆσθαι τοῖς πυροβόλοις ἄνω τῶν στεγασμάτων ἐφιεμένους, κατ' οὐδένα λογισμὸν, ἀλλ' ἐμπαθὴς ὢν, καὶ τῷ θυμῷ παραδεδωκὼς τὴν τῶν πρασσομένων ἡγεμονίαν, ὥς γε τοὺς ἐχθροὺς μόνον ἑώρα. φίλους δὲ καὶ συγγενεῖς, καὶ οἰκείους, εἰς οὐδένα λόγον θέμενος. οὐδ' οἶκτον, κατῄει διὰ πυρός. ᾧ τῶν αἰτίων, καὶ μὴ, διάγνωσις οὐκ ἦν. τούτων δὲ γινομένων, ὁ μάριος ἐξωσθεὶς πρὸς τὸ τῆς γῆς ἱερὸν, ἐκάλει διακηρύγματος ἐπ' ἐλευθερίᾳ τὸ οἰκετικόν. ἐπελθόντων δὲ τῶν πολεμίων κρατηθεὶς, ἐξέπεσε τῆς πόλεως. σύλλας δὲ τὴν βουλὴν συναγαγὼν, καταψηφίζεται θάνατον, αὐτοῦ τε μαρίου, καὶ ὀλίγων ἄλλων. ἐν οἷς σουλπίκιος ἦν ὁ δήμαρχος. ἀλλὰ σουλπίκιος μὲν, ἀπεσφάγη προδοθεὶς ὑπὸ θεράποντος, ὃν ὁ σύλλας ἠλευθέρωσεν. εἶτα κατεκρήμνισε. μαρίῳ δὲ ἐπεκήρυξεν ἀργύριον, οὐκ εὐγνωμόνως, οὐδὲ πολιτικῶς. ᾧ γε μικρὸν ἔμπροσθεν ὑποχείριον εἰς τὴν οἰκίαν δοὺς ἑαυτὸν, ἀσφαλῶς ἀφείθη. καίτοι μαρίῳ τότε μὴ διέντι σύλλαν, ἀλλ' ἀποθανεῖν ὑπὸ σουλπικίου προεμένῳ πάντων κρατεῖν ὑπῆρχεν. ἀλλ' ὅμως ἐφείσατο. καὶ μεθ' ἡμέρας ὀλίγας τὴν αὐτὴν λαβὴν παρασχὼν, οὐκ ἔτυχε τῶν ὁμοίων. ἐφ' οἷς ὁ σύλλας τὴν μὲν σύγκλητον, ἀδήλως ἠνίασεν. ἡ δὲ παρὰ τοῦ δήμου δυσμένεια καὶ νέμεσις αὐτῷ, φανερὰ δι' ἔργων ἀπήντα. νώνιον μέν γε τὸν ἀδελφιδοῦν δι' αὐτοῦ, καὶ σερουΐλιον ἀρχὰς μετιόντας, ἀποψηφισάμενοι καὶ καθυβρίσαντες, ἑτέρους κατέστησαν ἄρχοντας. οὓς μάλιστα τιμῶντες, ᾤοντο λυπεῖν ἐκεῖνον. ὁ δὲ τούτοις τε προσεποιεῖτο χαίρειν, ὡς τοῦ δήμου τῷ ποιεῖν ἃ βούλοιτο δι' αὐτὸν, ἀπολαύοντος τῆς ἐλευθερίας. καὶ θεραπεύων τὸ τῶν πολλῶν μῖσος, ὕπατον καθίστησιν ἀπὸ τῆς ἐναντίας στάσεως λεύκιον κίνναν. ἀραῖς καὶ ὅρκοις καταλαβὼν, εὐνοήσειν τοῖς ἑαυτοῦ πράγμασιν. ὁ δὲ, ἀναβὰς εἰς τὸ καπιτώλιον ἔχων ἐν τῇ χειρὶ λίθον, ὤμνυεν. εἶτα ἐπαρασάμενος ἑαυτῷ μὴ φυλάττοντι τὴν πρὸς ἐκεῖνον εὔνοιαν ἐκπεσεῖν τῆς πόλεως ὡς περ ὁ λίθος διὰ τῆς χειρὸς, κατέβαλε χαμᾶζε τὸν λίθον οὐκ ὀλίγων παρόντων. παραλαβὼν δὲ τὴν ἀρχὴν, εὐθὺς ἐπιχείρει τὰ καθεστῶτα κινεῖν. καὶ δίκην ἐπὶ τὸν σύλλαν παρεσκεύασε. καὶ κατηγορεῖν ἐπέστησεν οὐεργίνιον ἕνα τῶν δημάρχων. ὃν ἐκεῖνος ἅμα τῷ δικαστηρίῳ χαίρειν ἐάσας, ἐπὶ μιθριδάτην ἀπῆρε. λέγεται δὲ ὑπὸ τὰς ἡμέρας ἐκείνας, ἐν αἷς ὁ σύλλας ἀπὸ τῆς ἰταλίας ἐκίνει τὸν στόλον, ἄλλα τε πολλὰ μιθριδάτῃ διατρίβοντι περὶ τὸ πέργαμον ἐπισκῆψαι δαιμόνια, καὶ νίκην στεφανηφόρον καθιεμένην ὑπὸ τῶν περγαμηνῶν ἐπ' αὐτὸν, ἔκ τινων ὀργάνων ἄνωθεν ὅσον οὔπω τῆς κεφαλῆς ψαύουσαν συντριβῆναι. καὶ τὸν στέφανον ἐκπεσόντα κατὰ τοῦ θεάτρου φέρεσθαι χαμᾶζε διαθρυπτόμενον. ὥστε φρίκην μὲν, τῷ δήμῳ ἀθυμίαν δὲ πολλὴν μιθριδάτῃ παρασχεῖν. καίπερ αὐτῷ τότε τῶν πραγμάτων ἐλπίδος πέρα προχωρούντων. αὐτὸς μὲν γὰρ ἀσίαν τε ῥωμαίων, καὶ βιθυνίαν καὶ καππαδοκίαν τῶν βασιλέων ἀφηρημένος, ἐν περγάμῳ καθῆστο. πλούτους καὶ δυναστείας καὶ τυραννίδας διανέμων τοῖς φίλοις. τῶν δὲ παίδων, ὁ μὲν ἐν πόντῳ καὶ βοσπόρῳ τὴν παλαιὰν ἄχρι τῶν ὑπὲρ τὴν μαιῶτιν ἀοικήτων ἀρχὴν κατεῖχεν, οὐδενὸς παρενοχλοῦντος. ἀριαράθης δὲ θρᾴκην, καὶ μακεδονίαν, ἐπὶ στρατῷ μεγάλῳ προσαγόμενος. ἄλλους δὲ οἱ στρατηγοὶ τόπους, ἐχειροῦντο δυνάμεις ἔχοντες. ὧν ὁ μέγιστος ἀρχέλαος. ταῖς μὲν ναυσὶν ὁ μοῦ τι συμπάσης ἐπικρατῶν τῆς θαλάττης, τάς τε κυκλάδας νήσους ἐδουλοῦτο. καὶ τῶν ἄλλων ὅσαι μαλέας ἐντὸς ἵδρυνται, καὶ τὴν εὔβοιαν αὐτὴν εἶχεν. ἐκ δὲ ἀθηνῶν ὁρμώμενος, τὰ μέχρι θετταλίας ἔθνη τῆς ἑλλάδος ἀφίστη. μικρὰ προσκρούσας περὶ χαιρώνειαν. ἐνταῦθα γὰρ αὐτῷ βρέττιος σούρρας ἀπήντησε. πρεσβευτὴς μὲν ὢν σεντίου, τοῦ στρατηγοῦ τῆς μακεδονίας. ἀνὴρ δὲ τόλμῃ καὶ φρονήσει διαφέρων. οὗτος ἀρχελάῳ δίκην ῥεύματος φερομένῳ διὰ τῆς βοιωτίας, ἐπὶ πλεῖστον ἀντιστὰς, καὶ τρισὶ μάχαις διαγωνισάμενος περὶ χαιρώνειαν, ἐξέωσε καὶ συνέστειλε πάλιν ἐπὶ τὴν θάλατταν. λευκίου δὲ λευκόλλου κελεύσαντος αὐτὸν ὑποχωρεῖν ἐπιόντι σύλλα, καὶ τὸν ἐψηφισμένον ἐκείνῳ ἐᾶν πόλεμον, εὐθὺς ἐκλιπὼν τὴν βοιωτίαν, ὀπίσω πρὸς σέντιον ἀπήλαυνε. καίπερ αὐτῷ τῶν πραγμάτων ἐλπίδος πέρα προχωρούντων. καὶ τῆς ἑλλάδος οἰκείως ἐχούσης πρὸς μεταβολὴν, διὰ τὴν ἐκείνου καλοκαγαθίαν. ἀλλὰ γὰρ βρεττίῳ μὲν ταῦτα λαμπρότατα τῶν πεπραγμένων. σύλλας δὲ, τὰς μὲν ἄλλας πόλεις εὐθὺς εἶχεν ἐπιπρεσβευομένας, καὶ καλούσας. ταῖς δὲ ἀθήναις, διὰ τὸν τύραννον ἀριστίωνα βασιλεύεσθαι ἠναγκασμέναις. ἄθρους ἐπέστη. καὶ τὸν πειραιᾶ περιλαβὼν, ἐπολιόρκει. μηχανήν τε πᾶσαν ἐφιστὰς, καὶ μάχας παντοδαπὰς ποιούμενος. καίτοι χρόνον οὐ πολὺν ἀναμείνας, παρῆν ἀκινδύνως ἑλεῖν τὴν ἄνω πόλιν ὑπὸ λιμοῦ συνηγμένην ἤδη τῇ χρείᾳ τῶν ἀναγκαίων εἰς τὸν ἔσχατον καιρόν. ἀλλ' ἐπειγόμενος εἰς ῥώμην, καὶ δεδιὼς τὸν ἐκεῖ νεωτερισμὸν, πολλοῖς μὲν κινδύνοις, πολλαῖς δὲ μάχαις, μεγάλαις δὲ δαπάναις, κατέσπευδε τὸν πόλεμον. ᾧ γε δίχα τῆς ἄλλης παρασκευῆς, ἡ περὶ τὰ μηχανήματα πραγματεία, ζεύγεσι μυρίοις ὀρικοῖς ἐχορηγεῖτο καθ' ἡμέραν ἐνεργοῖς οὖσι, πρὸς τὴν ὑπηρεσίαν. ἐπιλειπούσης δὲ τῆς ὕλης, διὰ τὸ κόπτεσθαι πολλὰ τῶν ἔργων περικλώμενα

γενέσθαι, καὶ καταπλῆξαι τὸ μέγεθος. Τυρρηνῶν δὲ οἱ λόγιοι μεταβολὴν ἑτέρου γένους ἀπεφαίνοντο καὶ μετακόσμησιν ἀποσημαίνειν τὸ τέρας. εἶναι μὲν γὰρ ὀκτὼ τὰ σύμπαντα γένη διαφέροντα τοῖς βίοις καὶ τοῖς ἤθεσι δι' ἀλλήλων. ἑκάστῳ δὲ ἀφωρίσθαι χρόνων ἀριθμὸν ὑπὸ τοῦ θεοῦ συμπεραινόμενον ἐνιαυτοῦ μεγάλου περιόδῳ. καὶ ὅταν αὐτὴ σχῇ τέλος, ἑτέρας ἐνισταμένης κινῆσθαί τι σημεῖον ἐκ γῆς ἢ οὐρανοῦ θαυμάσιον. ὡς δῆλον εἶναι τοῖς πεφροντικόσι τὰ τοιαῦτα καὶ μεμαθηκόσιν εὐθὺς ὅτι καὶ τρόποις ἄλλοις καὶ βίοις ἄνθρωποι χρώμενοι γεγόνασι. καὶ θεοῖς ἧττον ἢ μᾶλλον τῶν προτέρων μέλλοντες. τά τε γὰρ ἄλλα φασὶν ἐν τῇ τῶν γενῶν ἀμείψει λαμβάνειν μεγάλας καινοτομίας. καὶ τὴν μαντικήν, ποτὲ μὲν αὔξεσθαι τῇ τιμῇ καὶ κατατυγχάνειν ταῖς προσαγορεύσεσι, καθαρὰ καὶ φανερὰ σημεῖα τοῦ δαιμονίου προπέμποντος. αὖθις δ' ἐν ἑτέρῳ γένει ταπεινὰ πράττειν, αὐτοσχέδιον οὖσαν τὰ πολλὰ καὶ δι' ἀμυδρῶν καὶ σκοτεινῶν ὀργάνων τοῦ μέλλοντος ἀπτομένην. ταῦτα μὲν οὖν οἱ λογιώτατοι Τυρρηνῶν, καὶ πλέον τι τῶν ἄλλων εἰδέναι δοκοῦντες, ἐμυθολόγουν. τῆς δὲ συγκλήτου, τοῖς μάντεσι περὶ τούτων σχολαζούσης καὶ καθημένης ἐν τῷ ναῷ τῆς Ἐνυοῦς, στρουθὸς εἰσέπτη πάντων ὁρώντων τέττιγα φέρων τῷ στόματι. καὶ τὸ μὲν ἐκβαλών, μέρος αὐτοῦ κατέλιπε, τὸ δὲ ἔχων ἀπῆλθεν, ὑφεωρῶντο δὴ στάσιν οἱ τερατοσκόποι. καὶ διαφορὰν τῶν κτηματικῶν πρὸς τὸν ἀστικὸν ὄχλον καὶ ἀγοραῖον. φωνάεντα γὰρ τοῦτον εἶναι, καθάπερ τέττιγα. τοὺς δὲ χωρίτας ἀγοραίους. Μάριος δὲ παραλαμβάνει Σουλπίκιον ἄνθρωπον οὐδενὸς δεύτερον ἐν ταῖς ἄκραις κακίαις. ὥστε μὴ ζητεῖν τίνος ἑτέρου μοχθηρότερος. ἀλλὰ πρὸς τί μοχθηρότατος ἑαυτοῦ. καὶ γὰρ ὠμότης καὶ τόλμα καὶ πλεονεξία περὶ αὐτὸν ἦν ἀπερίσκεπτος αἰσχροῦ καὶ παντὸς κακοῦ. ὅς γε τὴν Ῥωμαίων πολιτείαν ἐξελευθερικοῖς καὶ μετοίκοις πωλῶν ἀναφανδόν, ἠρίθμει τιμὴν διὰ τραπέζης ἐν ἀγορᾷ κειμένης. ἔτρεφε δὲ καὶ τρισχιλίους μαχαιροφόρους. καὶ πλῆθος ἱππικῶν νεανίσκων πρὸς ἅπαν ἑτοίμων, περὶ αὐτὸν εἶχεν. οὓς ἀντισύγκλητον ὠνόμαζε. νόμον δὲ κυρώσας μηδένα συγκλητικὸν ὑπὲρ δισχιλίας δραχμὰς ὀφείλειν, αὐτὸς ἀπέλιπε μετὰ τὴν τελευτήν, ὀφλήματος μυριάδας τριακοσίας. οὗτος εἰς τὸν δῆμον ἀφεθεὶς ὑπὸ τοῦ Μαρίου, καὶ συνταράξας πάντα τὰ πράγματα βίᾳ καὶ σιδήρῳ, νόμους ἔγραφεν, ἄλλους τε μοχθηρούς, καὶ τὸν διδόντα Μαρίῳ τοῦ Μιθριδατικοῦ πολέμου τὴν ἡγεμονίαν. ἀπραξίας δὲ διὰ ταῦτα τῶν ὑπάτων ψηφισαμένων, ἐπαγαγὼν αὐτοῖς ἐκκλησιάζουσι περὶ τὸν νεὼν τῶν Διοσκούρων ὄχλον, ἄλλους τε πολλοὺς καὶ τὸν Πομπηΐου τοῦ ὑπάτου μειράκιον, ἤδη τῆς ἀγορᾶς ἀνεῖλεν. αὐτὸς δὲ Πομπήϊος λαθὼν ἐξέφυγε. Σύλλας δὲ εἰς τὴν οἰκίαν τοῦ Μαρίου συνδιωχθείς, ἠναγκάσθη προελθὼν τὰς ἀπραξίας λῦσαι. καὶ διὰ τοῦτο τὸν Πομπήϊον ἐπάρχοντα ποιήσας ὁ Σουλπίκιος, οὐκ ἀφείλετο τοῦ Σύλλα τὴν ὑπατείαν. ἀλλὰ τὴν ἤδη Μιθριδατικὴν στρατείαν, μόνον εἰς Μάριον μετήνεγκε. καὶ πέμπει χιλιάρχους εὐθὺς εἰς Νῶλαν, παραληψομένους τὸ στράτευμα καὶ πρὸς τὸν Μάριον ἄξοντας. φθάσαντος δὲ τοῦ Σύλλα διαφυγεῖν εἰς τὸ στρατόπεδον, καὶ τῶν στρατιωτῶν ὡς ἐπύθοντο ταῦτα, καταλευσάντων τοὺς χιλιάρχους, οἱ περὶ τὸν Μάριον αὖθις ἐν τῇ πόλει τοὺς Σύλλα φίλους ἀνῄρουν. καὶ χρήματα διήρπαζον αὐτῶν. ἦσαν δὲ μεταστάσεις καὶ φυγαί. τῶν μὲν εἰς πόλιν ἀπὸ στρατοπέδου. τῶν δὲ ἐκεῖσε διαφοιτώντων ἐκ τῆς πόλεως. ἡ δὲ σύγκλητος, ἦν μὲν οὐχ αὑτῆς, ἀλλὰ τοῖς Μαρίου καὶ Σουλπικίου διῳκεῖτο προστάγμασι. πυθομένη δὲ τὸν Σύλλαν ἤδη τὴν πόλιν ἐλαύνειν, ἔπεμψε δύο τῶν στρατηγῶν, Βροῦτον καὶ Σερουίλιον, ἀπαγορεύσοντας αὐτῷ βαδίζειν. τούτους θρασύτερον Σύλλᾳ διαλεχθέντας, ὥρμησαν μὲν ἀνελεῖν οἱ στρατιῶται. τὰς δὲ ῥάβδους κατέκλασαν. καὶ τὰς περιπορφύρους ἀφείλοντο. καὶ πολλὰ περιυβρισμένους ἀπέπεμψαν. αὐτόθεν τε δεινὴν κατήφειαν, ὁρωμένους τῶν στρατηγικῶν παρασήμων ἐρήμους, καὶ τὴν στάσιν οὐκέτι καθεκτὴν ἀλλ' ἀνήκεστον ἀπαγγέλλοντας. οἱ μὲν οὖν περὶ τὸν Μάριον ἐν παρασκευαῖς ἦσαν. ὁ δὲ Σύλλας ἄγων ἓξ τάγματα τέλεια μετὰ τοῦ συνάρχοντος, ἀπὸ Νώλης ἐκίνει. τὸν μὲν στρατὸν ὁρῶν πρόθυμον ὄντα χωρεῖν εὐθὺς ἐπὶ τὴν πόλιν, αὐτὸς δὲ διστάζων ἐν τῇ γνώμῃ παρ' ἑαυτῷ καὶ δεδοικὼς τὸν κίνδυνον. Ὁ δὲ μάντις Ποστούμιος, θύσαντος αὐτοῦ καταμαθὼν τὰ σημεῖα, καὶ τὰς χεῖρας ἀμφοτέρας τῷ Σύλλᾳ προτείνας, ἠξίου δεθῆναι καὶ φυλάττεσθαι μέχρι τῆς μάχης, ὡς εἰ μὴ πάντα ταχὺ καὶ καλῶς συντελεσθείη, τὴν ἐσχάτην δίκην ὑποσχεῖν βουλόμενος. λέγεται δὲ καὶ κατὰ τοὺς ὕπνους αὐτῷ Σύλλᾳ φανῆναι θεόν, ἣν τιμῶσι Ῥωμαῖοι, παρὰ Καππαδοκῶν μαθόντες. εἴτε δὴ Σελήνην οὖσαν, εἴτε Ἀθηνᾶν, εἴτε Ἐνυώ. ταύτην ὁ Σύλλας ἔδοξεν ἐπιστᾶσαν ἐγχειρίσαι κεραυνὸν αὐτῷ. καὶ τῶν ἐχθρῶν ἕκαστον ὀνομάζουσαν τῶν ἐκείνου, βάλλειν κελεῦσαι. τοὺς δὲ πίπτειν βαλλομένους, καὶ ἀφανίζεσθαι. θαρσήσας δὲ τῇ ὄψει καὶ φράσας τῷ συνάρχοντι, μεθ' ἡμέραν ἐπὶ τὴν Ῥώμην ἡγεῖτο. καὶ περὶ Πικίνας αὐτῷ πρεσβείας ἐντυχούσης, καὶ δεομένης μὴ βαδίζειν εὐθὺς ἐξ ἐφόδου. πάντα γὰρ ἔσεσθαι τὰ δίκαια τῆς βουλῆς ψηφισαμένης, ὡμολόγησε μὲν αὐτοῦ καταστρατοπεδεύσειν. καὶ διαμετρεῖν ἐκέλευε χώρας, ὥσπερ εἰώθει τῷ στρατοπέδῳ τοὺς ἡγεμόνας. ὥστε τοὺς πρέσβεις ἀπελθεῖν πιστεύσαντας. ἐκείνων δὲ ἀπελθόντων, εὐθὺς ἐκπέμψας Λεύκιον Βάσιλλον καὶ Γάϊον Μόμμιον, καταλαμβάνει τὴν πύλην δι' αὐτῶν, καὶ τὰ τείχη τὰ περὶ τὸν λόφον τὸν Αἰσκυλῖνον. εἶτ' αὐτὸς ἁπάσῃ σπουδῇ

αὕτη | κινεῖσθαι π.

τῶν πρὸς τοὺς ταῦτα ποιοῦντας. ὡς ἀφαιρούμενος ὑπ' αὐτῶν τῆς ἐπὶ ταῖς πράξεσι δόξης, ἔφη ποτὲ
πρὸς τὸν δῆμον ἐπανήκων ἐκ στρατείας, οὐδὲν ἀθηναῖοι ἄνδρες τῇ τύχῃ μέτεστι. πρὸς τιμόθεον μὲν οὖν
φασὶν οὕτω φανέντα φιλότιμον, ἀντιμέμψασθαι τὸ δαιμόνιον, ὥστε μηδὲν ἔτι πρᾶξαι λαμπρὸν,
ἀλλ' ὅλως ἀποτυγχάνοντα ταῖς πράξεσι καὶ προσκρούοντα τῷ δήμῳ, τέλος ἐκπεσεῖν τῆς πόλεως.
σύλλας δὲ οὐ μόνον ἡδέως προσιέμενος τὸν τοιοῦτον εὐδαιμονισμὸν καὶ ζῆλον. ἀλλὰ καὶ συναύξων, καὶ
συνεπιθειάζων τὰ πραττόμενα τῆς τύχης ἐξῆπτεν, εἴτε κόμπῳ χρώμενος. εἴθ' οὕτως ἔχων τῇ δόξῃ
πρὸς τὸ θεῖον, καὶ γὰρ ἐν τοῖς ὑπομνήμασι γέγραφεν, ὅτι τῶν καλῶς αὐτῷ βεβουλεῦσθαι δοκούν-
των, αἱ μὴ κατὰ γνώμην ἀλλὰ πρὸς καιρὸν ἀποτολμώμεναι πράξεις, ἐπέπιπτον εἰς ἄμεινον, ἔτι δὲ καὶ
δι' ὧν φησι πρὸς τύχην εὖ πεφυκέναι μᾶλλον ἢ πρὸς πόλεμον τῇ τύχῃ τῆς ἀρετῆς πλέον ἔοικε νέμειν.
καὶ ὅλως ἔοικε ἑαυτὸν τοῦ δαίμονος ποιεῖν. ὅς γε καὶ τῆς πρὸς μέτελλον ὁμονοίας, ἰσότιμον ἄνδρα
καὶ κηδεστὴν, εὐτυχίαν τινὰ θείαν αἰτιᾶται. πολλὰ γὰρ αὐτῷ πράγματα παρέξειν ἐπίδοξον ὄντα,
πραότατον ἐν τῇ κοινωνίᾳ γενέσθαι τῆς ἀρχῆς. ἔτι δὲ λευκούλλῳ μὲν ἐν τοῖς ὑπομνήμασιν, ὧν ἐκεί-
νῳ τὴν γραφὴν ἀνατέθεικε, παραινεῖ μηδὲν οὕτως ἡγεῖσθαι βέβαιον ὡς ὅτι ἂν αὐτῷ προστάξῃ νύ-
κτωρ τὸ δαιμόνιον. ἐκπεμπομένου δὲ αὐτοῦ μετὰ δυνάμεως εἰς τὸν συμμαχικὸν πόλεμον, ἱστορεῖ χά-
σμα τῆς γῆς μέγα γενέσθαι περὶ λαβέρνην. ἐκ δὲ τούτου, πῦρ ἀναβλύσαι πολὺ καὶ φλόγα λαμ-
πρὰν, στηρίσαι πρὸς τὸν οὐρανὸν, εἰπεῖν δὴ καὶ τοὺς μάντεις. ὡς ἀνὴρ ἀγαθὸς ὄψει διάφορος καὶ περιτ-
τὸς, ἀρξάμενος, ἀπαλλάξει τῇ πόλει ταραχὰς τὰς παρούσας. τοῦτον δὲ, αὐτὸν εἶναί φησιν ὁ σύλλας. τῆς
μὲν γὰρ ὄψεως ἴδιον εἶναι τὸ περὶ τὴν κόμην χρυσωπόν. ἀρετὴν δὲ οὐκ αἰσχύνεσθαι μαρτυρῶν ἑ-
αυτῷ, μετὰ πράξεις οὕτω καλὰς καὶ μεγάλας. ταῦτα μὲν οὖν περὶ τῆς θειότητος. τὸν δὲ ἄλλον τρό-
πον, ἀνώμαλός τις ἔοικε γεγονέναι καὶ διάφορος πρὸς ἑαυτόν. ἀφελέσθαι πολλὰ, χαρίσασθαι πλείο-
να. τιμῆσαι παραλόγως. ἐφυβρίσαι. θεραπεύειν ὧν δέοιτο. θρύπτεσθαι πρὸς τοὺς δεομένους, ὥστε ἀ-
γνοεῖσθαι πότερον ὑπερόπτης φύσει μᾶλλον ἢ κόλαξ γέγονε. τὴν μὲν γὰρ ἐν ταῖς τιμωρίαις ἀνω-
μαλίαν, ἐξ ὧν ἔτυχεν αἰτιῶν, ἀποτυμπανίζοντος αὐτοῦ. καὶ πάλιν τὰ μέγιστα τῶν ἀδικημάτων
πράως φέροντος. καὶ διαλλαττομένου μὲν ἐπὶ τοῖς ἀνηκέστοις μετ' εὐκολίας. τὰ δὲ μικρὰ καὶ φαῦ-
λα προσκρούματα, σφαγαῖς καὶ δημεύσεσιν οὐσιῶν μετιόντος, οὕτως ἄν τις διαιτήσειεν ὡς φύσει μὲν
ὀργὴν χαλεπὸν ὄντα καὶ τιμωρητικόν. ὑφιέμενον δὲ τῆς πικρίας λογισμῷ πρὸς τὸ συμφέρον. ἐν αὐ-
τῷ γε τούτῳ τῷ συμμαχικῷ πολέμῳ τῶν στρατιωτῶν αὐτοῦ στρατηγικὸν ἄνδρα πρεσβευτὴν, ἀλβῖ-
νον ὄνομα, ξύλοις καὶ λίθοις διαχρησαμένων, παρῆλθε καὶ οὐκ ἐπεξῆλθεν ἀδίκημα τοσοῦτον. ἀλλὰ καὶ
σεμνυνόμενος διεδίδου λόγον ὡς προθυμοτέροις διὰ τοῦτο χρήσοιτο πρὸς τὸν πόλεμον αὐτοῖς, ἰώμε-
νος τὸ ἁμάρτημα δι' ἀνδραγαθίας. τῶν δ' ἐγκαλούντων, οὐδὲν ἐφρόντιζεν. ἀλλὰ ἤδη καταλῦσαι μάριον
διανοούμενος. καὶ τοῦ πρὸς τοὺς συμμάχους πολέμου, τέλος ἔχειν δοκοῦντος, ἀποδειχθῆναι στρατηγὸς
ἐπὶ μιθριδάτην, ἐθεράπευε τὴν ὑφ' ἑαυτῷ στρατιάν. καὶ παρελθὼν εἰς τὴν πόλιν, ὕπατος μὲν ἀπο-
δείκνυται μετὰ κοΐντου πομπηίου, πεντήκοντα ἔτη γεγονώς. γαμεῖ δὲ γάμον ἐνδοξότατον καικιλίαν
τὴν μετέλλου θυγατέρα τοῦ ἀρχιερέως. ἐφ' ᾧ πολλὰ μὲν εἰς αὐτὸν ᾖδον οἱ δημοτικοί, πολλοὶ δὲ τῶν πρώ-
των ἐνεμέσων. οὐκ ἄξιον ἡγούμενοι τῆς γυναικὸς, ὃν ἄξιον ὑπατείας ἔκριναν, ὥς φησιν ὁ τῖτος. οὐ μό-
νην δὲ ταύτην ἔγημεν, ἀλλὰ πρώτην μὲν ἔτι μειράκιον ὢν, ἰλίαν ἔσχε, τὴν θυγατέρα τεκοῦσαν αὐτῷ,
εἶτα μετ' ἐκείνην, αἰλίαν. τρίτην δὲ, κοιλίαν. ἣν ἀπεπέμψατο μὲν ὡς στεῖραν, ἐντίμως καὶ μετ' εὐφημί-
ας καὶ δῶρα προσθείς. ὀλίγαις δὲ ὕστερον ἡμέραις ἀγαγόμενος τὴν μετέλλαν, ἔδοξε διὰ τοῦτο τὴν κοι-
λίαν οὐ καλῶς αἰτιάσασθαι. τὴν μέντοι μετέλλαν ἐν πᾶσι θεραπεύων διετέλεσεν, ὥστε καὶ τὸν ῥω-
μαίων δῆμον, ὅτε τοὺς περὶ σουλπίκιον φυγάδας ἐπεθύμει κατάγειν, ἀρνουμένου τοῦ σύλλα, δεόμενος
ἐπιβοήσασθαι τὴν μετέλλαν. ἐδόκει δὲ καὶ τοῖς ἀθηναίοις ἑλὼν τὸ ἄστυ προσενεχθῆναι τραχύτερον. ὅτι
τὴν μετέλλαν ἀπὸ τοῦ τείχους γεφυρίζοντες, ἐλοιδόρησαν. ἀλλὰ ταῦτα μὲν ὕστερον. τότε δὲ τὴν ὑπα-
τείαν πρὸς τὰ μέλλοντα μικρὸν ἡγούμενος, ἐπτόητο τὴν γνώμην πρὸς τὸν μιθριδατικὸν πόλεμον.
ἀντανίστατο δὲ αὐτῷ μάριος, ὑπὸ δοξομανίας καὶ φιλοτιμίας, ἀγηράτων παθῶν. ἀνὴρ τῷ τε σώ-
ματι βαρὺς, καὶ ταῖς ἔναγχος ἀπειρηκὼς στρατείαις διὰ γῆρας, ἐκδήμων καὶ διαποντίων πολέμων
ἐφιέμενος. καὶ τοῦ σύλλα πρὸς τὰς ἐπιλοίπους πράξεις ὁρμήσαντος εἰς τὸ στρατόπεδον, αὐτὸς οἰκουρῶν,
ἐτεκταίνετο τὴν ὀλεθριωτάτην ἐκείνην. καὶ ὅσα σύμπαντες οἱ πόλεμοι τὴν ῥώμην οὐκ ἔβλαψαν
ἀπεργασαμένην στάσιν, ὡς καὶ τὸ δαιμόνιον αὐτοῖς προεσήμαινε. πῦρ μὲν γὰρ αὐτόματον ἐκ τῶν τὰ
σημεῖα δοράτων ὑποφερόντων, ἀνέλαμψε. καὶ κατεσβέσθη μόλις. κόρακες δὲ τρεῖς, τοὺς νεοσσοὺς προ-
σαγαγόντες, κατέφαγον. τὰ δὲ λείψανα πάλιν εἰς τὴν νεοσσιὰν, ἀνήνεγκαν. καὶ μυῶν δὲ ἐν ἱερῷ χρυ-
σὸν ἀνακείμενον διαφαγόντων, μίαν οἱ ζάκοροι πάγῃ θήλειαν λαμβάνουσιν. ἡ δὲ, ἐν αὐτῇ τῇ πάγῃ
τεκοῦσα, πέντε, κατέφαγε τὰ τρία. τὸ δὲ πάντων μέγιστον, ἐξ ἀνεφέλου καὶ διαίθρου τοῦ περιέ-
χοντος, ἤχησε φωνὴ σάλπιγγος, ὀξὺ ἀποτείνουσα, καὶ θρηνώδη φθόγγον. ὥστε πάντας ἔκφρονας

Marginalia: ἀν κεχωρηκέναι δοκούσης, ἀλλὰ ταύτης γε τῆς στρατείας — κ. ς. κ. π. νό δι — ἰσ. ἀνατέθεικε. ς. φ. κ. — ἰωμένοις — ἀ καὶ π. — δεόμενον. π. — ἀφ' τ' ὁδὸν ς. ς. π. — νεοσσιάν. κ. ς. π. φ. — ἤχησε

γραφόμενος ἀεὶ διετέλεσεν. ἦν δὲ ἡ γραφὴ, Βόκχος μὲν παραδιδοὺς. Σύλλας δὲ παραλαμβάνων τὸν Ἰουγούρθαν. ἠνία μὲν οὖν ταῦτα τὸν Μάριον. ἔτι δὲ ἡγούμενος ἐλάττονα αὐτοῦ φθονεῖσθαι τὸν Σύλλαν, ἐχρῆτο πρὸς τὰς στρατείας. τὸ μὲν δεύτερον ὑπατεύων, πρεσβευτῇ. τὸ δὲ τρίτον, χιλιάρχῳ. καὶ πολλὰ δι' ἐκείνου τῶν χρησίμων κατωρθοῦτο. πρεσβεύων τε γὰρ ἡγεμόνα Τεκτοσάγων Κόπιλλον εἷλε. καὶ χιλιαρχῶν, μέγα καὶ πολυάνθρωπον ἔθνος Μαρσοὺς, ἔπεισε φίλους γενέσθαι καὶ συμμάχους Ῥωμαίων. ἐκ δὲ τούτου, τὸν Μάριον αἰσθόμενος ἀχθόμενον αὐτῷ, καὶ μηκέτι προϊέμενον ἡδέως πράξεων ἀφορμὰς, ἀλλὰ ἐνιστάμενον τῇ αὐξήσει, Κάτλῳ τῷ συνάρχοντι τοῦ Μαρίου προσένειμεν ἑαυτὸν, ἀνδρὶ χρηστῷ μὲν, ἀμβλυτέρῳ δὲ πρὸς ἀγῶνας. ὑφ' οὗ τὰ πρῶτα καὶ μέγιστα πιστευόμενος εἰς δύναμιν ἅμα δόξῃ προῄει. καὶ πολέμῳ μὲν αἱρεῖ πολὺ μέρος τῶν ἐν ταῖς Ἄλπεσι βαρβάρων. ἤδη λιπούσης δὲ τῆς ἀγορᾶς, ἀναδεξάμενος τὴν ἐπιμέλειαν, τοσαύτην ἐποίησε περιουσίαν, ὥστε τῶν Κάτλου στρατιωτῶν ἐν ἀφθόνοις διαγόντων, καὶ τοῖς Μαρίου προσπαρασχεῖν. ἐφ' ᾧ φησιν αὐτὸν ἰσχυρῶς ἀνιᾶσαι τὸν Μάριον. ἡ μὲν οὖν ἔχθρα βραχεῖαν οὕτω καὶ μειρακιώδη λαβοῦσα τὴν πρώτην ὑπόθεσιν καὶ ἀρχήν. εἶτα χωροῦσα δι' αἵματος ἐμφυλίου, καὶ στάσεων ἀνικέστων, ἤδη τυραννίδα καὶ σύγχυσιν ἁπάντων τῶν πραγμάτων, ἀπέδειξε τὸν Εὐριπίδην σοφὸν ἄνδρα καὶ πολιτικῶν ἐπιστήμονα νοσημάτων, διακελευσάμενον φυλάττεσθαι τὴν φιλοτιμίαν ὡς ὀλεθριωτάτην καὶ κακίστην δαίμονα τοῖς χρωμένοις. ὁ δὲ Σύλλας οἰόμενος αὐτῷ τὴν ἀπὸ τῶν πολεμικῶν δόξαν, ἤδη τὰς πολιτικὰς πράξεις διαρκεῖν. καὶ δοὺς ἑαυτὸν ἀπὸ τῆς στρατείας εὐθὺς ἤδη τὴν τοῦ δήμου πρᾶξιν, ἤδη στρατηγίας πολιτικὴν ἀπεγράψατο καὶ διεψεύσθη. τὴν δ' αἰτίαν τοῖς ὄχλοις ἀνατίθησι. φησὶ γὰρ αὐτοὺς εἰδότας τὴν πρὸς Βόκχον φιλίαν, καὶ προσδεχομένους εἰ πρὸ τῆς στρατηγίας ἀγορανομήσει κυνηγέσια λαμπρὰ, καὶ Λιβυκῶν ἀγῶνας θηρίων, ἑτέρους ἀποδεῖξαι στρατηγοὺς, ὡς αὐτὸν ἀγορανομεῖν ἀναγκάσοντας. ἔοικε δὲ τὴν ἀληθῆ τῆς ἀποτεύξεως αἰτίαν, οὐχ ὁμολογῶν ὁ Σύλλας, ἐλέγχεσθαι τοῖς πράγμασι. ἐνιαυτῷ γὰρ κατόπιν ἔτυχε τῆς στρατηγίας, τοῦ δήμου τὸ μέν τι θεραπείᾳ. τὸ δὲ, καὶ χρήμασι προσαγαγόμενος. διὸ δὴ καὶ στρατηγοῦντος αὐτοῦ, καὶ πρὸς Καίσαρα μετ' ὀργῆς εἰπόντος. ὡς χρήσεται τῇ ἰδίᾳ πρὸς αὐτὸν ἐξουσίᾳ, γελάσας ὁ Καῖσαρ, ὀρθῶς ἔφη τὴν ἀρχὴν ἰδίαν νομίζεις. ἔχεις γὰρ αὐτὴν πριάμενος. μετὰ δὲ τὴν στρατηγίαν, εἰς τὴν Καππαδοκίαν ἀποστέλλεται. τὸν μὲν ἐμφανῆ λόγον ἔχων πρὸς τὴν στρατείαν, Ἀριοβαρζάνην καταγαγεῖν. αἰτίαν δὲ ἀληθῆ, Μιθριδάτην ἐπισχεῖν πολυπραγμονοῦντα καὶ περιβαλλόμενον ἀρχὴν καὶ δύναμιν οὐκ ἐλάττονα τῆς ὑπαρχούσης. ἰδίαν μὲν οὖν δύναμιν, οὐ πολλὴν ἐπήγετο. χρησάμενος δὲ τοῖς συμμάχοις προθύμοις. καὶ πολλοὺς μὲν αὐτῶν Καππαδοκῶν, πλείονας δ' αὖθις Ἀρμενίων προσβοηθοῦντας ἀποκτείνας, Γόρδιον μὲν ἐξήλασεν. Ἀριοβαρζάνην δὲ, ἀπέδειξε βασιλέα. διατρίβοντι δὲ αὐτῷ παρὰ τὸν Εὐφράτην, ἐντυγχάνει Πάρθος, Ὀρόβαζος Ἀρσάκου βασιλέως πρεσβευτὴς, οὔπω πρότερον ἀλλήλους ἐπιμεμιγμένων τῶν γενῶν. ἀλλὰ καὶ τοῦτο τῆς μεγάλης δοκεῖ Σύλλα τύχης γενέσθαι, τῷ, πρώτῳ Ῥωμαίων ἐκείνῳ, Πάρθους συμμαχίας καὶ φιλίας δεομένους διὰ λόγων ἐλθεῖν. ὅτε καὶ λέγεται τρεῖς δίφρους προθέμενος, τὸν μὲν Ἀριοβαρζάνῃ, τὸν δὲ, Ὀροβάζῳ. τὸν δὲ αὐτῷ, μέσος ἀμφοῖν καθεζόμενος χρηματίζειν. ἐφ' ᾧ τὸν μὲν Ὀρόβαζον ὕστερον, ὁ τῶν Πάρθων βασιλεὺς ἀπέκτεινε. τὸν δὲ Σύλλαν, οἱ μὲν, ἐπῄνεσαν ἐντρυφήσαντα τοῖς βαρβάροις. οἱ δὲ, ὡς φορτικὸν, ᾐτιάσαντο. καὶ ἀκαίρως φιλότιμον. ἱστορεῖται δέ τις ἀνὴρ τῶν μετὰ Ὀροβάζου καταβεβηκότων, Χαλκιδεὺς εἰς τὸ τοῦ Σύλλα πρόσωπον ἀπιδὼν, καὶ ταῖς κινήσεσι τῆς τε διανοίας καὶ σώματος οὐ παρέργως ἐπιστήσας, ἀλλὰ πρὸς τὰς τῆς τέχνης ὑποθέσεις τὴν φύσιν ἐπισκεψάμενος εἰπεῖν, ὡς ἀναγκαῖον εἴη τοῦτον τὸν ἄνδρα μέγιστον γενέσθαι. θαυμάζειν δὲ καὶ νῦν πῶς ἀνέχεται μὴ πρῶτος ὢν ἁπάντων. ἀναχωρήσαντι δὲ αὐτῷ, δίκην ἔλαχε δώρων Κηνσωρῖνος, ὡς πολλὰ χρήματα συνειλοχότι παρὰ τὸν νόμον ἐκ φίλης καὶ συμμάχου βασιλείας. οὐ μὴν ἀπήντησεν ἤδη τὴν κρίσιν, ἀλλ' ἀπέστη τῆς κατηγορίας. ἡ μέντοι πρὸς Μάριον αὐτῷ στάσις ἀνερριπίζετο καινὴν ὑπόθεσιν λαβοῦσα τὴν Βόκχου φιλοτιμίαν. ὃς τὸν δῆμον ἅμα θεραπεύων ἐν Ῥώμῃ καὶ τῷ Σύλλᾳ χαριζόμενος, ἀνέθηκεν εἰκόνας ἐν Καπιτωλίου τροπαιοφόρους. καὶ παρ' αὐτοῖς χρυσοῦν Ἰουγούρθαν ὑφ' ἑαυτοῦ Σύλλᾳ παραδιδόμενον. ἐφ' ᾧ τοῦ Μαρίου βαρυθυμουμένου καὶ καθαιρεῖν ἐπιχειροῦντος, ἑτέρων δὲ ἀμυνόντων τῷ Σύλλᾳ. καὶ τῆς πόλεως ὅσον οὔπω διακεκαυμένης ὑπ' ἀμφοῖν, ὁ συμμαχικὸς πόλεμος πάλαι τυφόμενος ἤδη τὴν πόλιν ἀναλάμψας, τότε τὴν στάσιν ἐπέσχεν. ἐν τούτῳ μεγίστῳ καὶ ποικιλωτάτῳ γενομένῳ καὶ πλεῖστα κακὰ καὶ βαρυτάτους παρασχόντι κινδύνους Ῥωμαίους, Μάριος μὲν οὐδὲν ἀποδεῖξαι μέγα δυνηθεὶς, ἤλεγξε τὴν πολεμικὴν ἀρετὴν ἀκμῆς καὶ ῥώμης δεομένην. Σύλλας δὲ πολλὰ δράσας ἄξια λόγου, δόξαν ἔσχεν ἡγεμόνος, μεγάλου μὲν παρὰ τοῖς πολίταις. μεγίστου δὲ παρὰ τοῖς φίλοις. εὐτυχεστάτου δὲ καὶ παρὰ τοῖς ἐχθροῖς. ἀλλ' οὐκ ἔπαθε ταὐτὸ Τιμοθέῳ τῷ τοῦ Κόνωνος. ὃς εἰς τὴν τύχην αὐτοῦ τὰ κατορθώματα τῶν ἐχθρῶν τιθεμένων καὶ γραφόντων ἐν πίναξι κοιμώμενον ἐκεῖνον, τὴν δὲ τύχην δικτύῳ τὰς πόλεις περιβάλλουσαν, ἀγροικιζόμενος καὶ χαλεπαί-

ἀνηκέστων π.

ἀγορανομοίη π. H.S.R.

ἀλλήλοις π.

τῷ ς.

ἐσκενάζετο π.

λίῳ π.

ῥωμαίοις π.

Λεύκιος δὲ κορνήλιος, σύλλας, γένει μὲν ἦν ἐκ πατρικίων, οὓς εὐπατρίδας ἄν τις εἴποι. τῶν δὲ προγόνων αὐτοῦ λέγουσι ῥουφῖνον ὑπατεῦσαι. καὶ τούτῳ δὲ τῆς τιμῆς, ἐπιφανεστέραν γενέσθαι τὴν ἀτιμίαν. εὑρέθη γὰρ ἀργυρίου κοίλου κεκτημένος ὑπὲρ δέκα λίτρας. τοῦ νόμου μὴ διδόντος. ἐπὶ τούτῳ τῆς βουλῆς ἐξέπεσεν. οἱ δὲ μετ' ἐκεῖνον ἤδη ταπεινὰ πράττοντες διετέλεσαν. αὐτός τε σύλλας ἐν οὐκ ἀφθόνοις ἐτράφη τοῖς πατρῴοις. γενόμενος δὲ μειράκιον, ᾤκει παρ' ἑτέροις ἐνοίκιον οὐ πολὺ τελῶν, ὡς ὕστερον ὠνειδίζετο, παρ' ἀξίαν εὐτυχεῖν δοκῶν. σεμνυνόμενον μὲν γὰρ αὐτὸν καὶ μεγαληγοροῦντι μετὰ τὴν ἐν λιβύῃ στρατείαν, λέγεταί τις εἰπεῖν, τῶν καλῶν τε καὶ ἀγαθῶν ἀνδρῶν, καὶ πῶς ἂν εἴης σὺ χρηστὸς, ὃς τοῦ πατρός σοι μηδὲν ἐγκαταλιπόντος, τοσαῦτα κέκτησαι. καὶ γὰρ οὐκ ἔτι τῶν, βίον ἐν ἤθεσιν ὀρθίοις καὶ καθαροῖς μενόντων. ἀλλ' ἐγκεκλικότων καὶ παραδεδεγμένων τρυφῆς καὶ πολυτελείας ζῆλον, εἰς ἴσον ὅμως ὄνειδος ἐτίθετο τοὺς ὑπάρχουσαν εὐπορίαν ἀπολέσαντας. καὶ τοὺς πενίαν πατρῴαν μὴ διαφυλάξαντας. ὕστερον δὲ ἤδη κρατοῦντος αὐτοῦ. καὶ πολλοὺς ἀποκτιννύντος, ἀπελευθερικὸς ἄνθρωπος δοκῶν κρύπτειν ἕνα τῶν προγεγραμμένων, καὶ κατακρημνίζεσθαι διὰ τοῦτο μέλλων, ὠνείδισε τὸν σύλλαν, ὅτι πολὺν χρόνον ἐν μιᾷ συνοικίᾳ συνδιῃτῶντο, φέροντες ἐνοίκιον, αὐτὸς μὲν τῶν ἄνω δισχιλίους νούμμους. ἐκεῖνος δὲ τῶν ὑποκάτω, τρισχιλίους. ὥστε τῆς τύχης αὐτῶν, τὸ μεταξὺ χιλίους νούμμους εἶναι. οἳ πεντήκοντα καὶ διακοσίας δραχμὰς ἀττικὰς δύνανται. ταῦτα μὲν οὖν ἱστοροῦσι περὶ τῆς παλαιᾶς τοῦ σύλλα τύχης. τοῦ δὲ σώματος αὐτοῦ τὸ μὲν ἄλλο εἶδος ἐπὶ τῶν ἀνδριάντων φαίνεται, τὴν δὲ τῶν ὀμμάτων γλαυκότητα, δεινῶς καὶ πικρὰν καὶ ἄκρατον οὖσαν, ἡ χρόα τοῦ προσώπου φοβερωτέραν ἐποίει προσορᾶν. ἐξήνθει γὰρ τὸ ἐρύθημα τραχὺ, καὶ σποράδην καταμεμιγμένον τῇ λευκότητι. πρὸς ὃ καὶ τοὔνομα λέγουσι γενέσθαι τῆς χρόας ἐπίθετον. καὶ τῶν ἀθήνησι γεφυριστῶν ἐπέσκωψέ τις εἰς τοῦτο ποιήσας. συκάμινόν ἐσθ' ὁ σύλλας, ἀλφίτῳ πεπασμένον. τοῖς δὲ τοιούτοις τῶν τεκμηρίων οὐκ ἄτοπόν ἐστι χρῆσθαι περὶ ἀνδρὸς, ὃν οὕτω φιλοσκώμμονα φύσει γεγονέναι λέγουσιν, ὥστε νέον μὲν ἔτι καὶ ἄδοξον ὄντα μετὰ μίμων καὶ γελωτοποιῶν διαιτᾶσθαι καὶ συνακολασταίνειν. ἐπεὶ δὲ κύριος ἁπάντων κατέστη, συναγαγόντα τῶν ἀπὸ σκηνῆς καὶ θεάτρου τοὺς ἰταμωτάτους ὁσημέραι πίνειν καὶ διαπληκτίζεσθαι τοῖς σκώμμασι. τοῦτο γῆρας ἀωρότερα πράττειν δοκοῦντα καὶ πρὸς τὸ ἀξίωμα τῆς ἀρχῆς, πολλὰ τῶν δεομένων ἐπιμελείας προϊέμενον. οὐ γὰρ ἦν τῷ σύλλᾳ περὶ δεῖπνον ὄντι, χρηματίζεσθαι σπουδαῖον οὐδὲν, ἀλλ' ἐνεργὸς ὢν καὶ σκυθρωπότερος παρὰ τὸν ἄλλον χρόνον, ἀθρόαν ἐλάμβανε μεταβολὴν, ὁπότε πρῶτον ἑαυτὸν εἰς συνουσίαν καταβάλοι καὶ πότον. ὥστε μιμῳδοῖς καὶ ὀρχησταῖς πιθασὸς εἶναι, καὶ πρὸς πᾶσαν ἔντευξιν, ὑποχείριος καὶ κατάντης. ταύτης δὲ τῆς ἀνέσεως ἔοικε γεγονέναι νόσημα, καὶ ἡ πρὸς τοὺς ἔρωτας εὐχέρεια καὶ ῥύσις αὐτοῦ τῆς φιληδονίας. ἧς οὐδὲ γηράσας ἐπαύσατο. μητροβίου δὲ τῶν ἀπὸ σκηνῆς τινὸς ἐρῶν, διετέλεσεν ἔτι νέος ὤν, καὶ συνέβη ἐρασθῆναι αὐτῷ τὸ τοιοῦτον. ἀρξάμενος γὰρ ἐρᾶν κοινῆς μὲν, εὐπόρου δὲ γυναικὸς ὄνομα νικοπόλεως. καὶ διὰ συνήθειαν καὶ χάριν ἣν ἀφ' ὥρας εἶχεν εἰς ἐρωμένου σχῆμα περιελθὼν, ἀπελήφθη κληρονόμος ὑπὸ τῆς ἀνθρώπου τελευτώσης. ἐκληρονόμησε δὲ καὶ τὴν μητρυιὰν ἀγαπηθεὶς ὡς υἱὸς ὑπ' αὐτῆς. καὶ μετρίως μὲν ἀπὸ τούτων εὐπόρησεν. ἀποδειχθεὶς δὲ ταμίας ὑπατεύοντι μαρίῳ τὴν πρώτην ὑπατείαν, συνεξέπλευσεν εἰς λιβύην, πολεμήσων ἰογόρθαν. γενόμενος δὲ ἐπὶ στρατοπέδου, τά τε ἄλλα παρεῖχεν ἑαυτὸν εὐδόκιμον. καὶ καιρῷ παραπεσόντι, χρησάμενος εὖ, φίλον ἐποιήσατο τῶν νομάδων βασιλέα, βόκχον. πρεσβευτὰς γὰρ αὐτοῦ λῃστήριον νομαδικὸν ἐκφυγόντας, ὑποδεξάμενος καὶ φιλοφρονηθεὶς, δῶρα καὶ πομπὴν ἀσφαλῆ παρασχὼν, ἀπέστειλεν. ὁ δὲ βόκχος, ἐτύγχανε μὲν ἔτι γε πάλαι γαμβρὸν ὄντα μισῶν, καὶ φοβούμενος τὸν ἰογόρθαν. τότε δὲ ἡττημένῳ, καὶ πεφευγότι πρὸς αὐτὸν ἐπιβουλεύων, ἐκάλει τὸν σύλλαν, δι' ἐκείνου μάλιστα βουλόμενος τὴν σύλληψιν καὶ παράδοσιν τοῦ ἰογόρθα γενέσθαι, ἢ δι' αὐτοῦ. κοινωσάμενος δὲ τῷ μαρίῳ, καὶ λαβὼν στρατιώτας ὀλίγους ὁ σύλλας, τὸν μέγιστον ὑπέδυ κίνδυνον. ὅτι βαρβάρῳ καὶ πρὸς τοὺς οἰκειοτάτους ἀπίστῳ, πιστεύσας, ὑπὲρ τοῦ παραλαβεῖν ἕτερον, ἑαυτὸν ἐνεχείρισεν. οὐ μὴν ἀλλ' ὁ βόκχος ὑπ' ἀμφοτέρων κύριος γενόμενος, καὶ καταστήσας ἑαυτὸν εἰς ἀνάγκην τοῦ παρασπονδῆσαι τὸν ἕτερον, καὶ πολλὰ διενεχθεὶς τῇ γνώμῃ, τέλος ἐκύρωσε τὴν πρώτην προδοσίαν. καὶ παρέδωκε τῷ σύλλᾳ τὸν ἰογόρθαν. ὁ μὲν οὖν θριαμβεύων, ἐπὶ τούτῳ μάριος ἦν. ἡ δὲ δόξα τοῦ κατορθώματος, ἣν ὁ μαρίου φθόνος σύλλᾳ προσετίθει, παρελύπει τὸν μάριον ἡσυχῇ. καὶ γὰρ αὐτὸς ὁ σύλλας φύσει τε μεγάλαυχος ὤν, καὶ τότε πρῶτον ἐκ βίου ταπεινοῦ καὶ ἀγνῶτος ἐν τινὶ λόγῳ γεγονὼς παρὰ τοῖς πολίταις καὶ τοῦ τιμᾶσθαι γευόμενος, εἰς τοῦτο φιλοτιμίας προῆλθεν, ὥστε γλυψάμενος ἐν δακτυλίῳ φορεῖν εἰκόνα τῆς πράξεως, καὶ ταύτῃ

φυγον πρὸς τὴν φάλαγγα. τῶν δὲ θηβαίων οὐκ ἀνιέντων, ἀλλὰ προσκειμένων αὐτοῖς, ἐτράποντο πάντες ἀνὰ τοὺς λόφους φεύγειν. καὶ χίλιοι πίπτουσιν αὐτῶν. ἀπέθανον δὲ καὶ θηβαίων τριακόσιοι, πρὸς τὰ τραχέα καὶ καρτερὰ τοῖς πολεμίοις συνεκπεσόντες. οὗτοι δὲ ἦσαν ἐν αἰτίᾳ τοῦ λακωνίζειν. οὓς σπουδάζοντες ἀπολύσασθαι τοῖς πολίταις, καὶ σφᾶς αὐτῶν ἀφειδοῦντες ἐν τῇ διώξει παρανηλώθησαν. τῷ δὲ παυσανίᾳ τὸ πάθος ἀγγέλλεται καθ' ὁδὸν ἐκ πλαταιῶν εἰς θεσπιὰς πορευομένῳ. καὶ συνταξάμενος, ἧκε πρὸς τὸν ἁλίαρτον, ἧκε δὲ καὶ θρασύβουλος ἐκ θηβῶν, ἄγων τοὺς ἀθηναίους. βουλομένου δὲ τοῦ παυσανίου, τοὺς νεκροὺς ὑπὸ σπονδὰς ἀπαιτεῖν, δυσφοροῦντες οἱ πρεσβύτεροι τῶν σπαρτιατῶν, αὐτοί τε καθ' ἑαυτοὺς ἠγανάκτουν, καὶ τῷ βασιλεῖ προσιόντες, ἐμαρτύραντο μὴ διὰ σπονδῶν ἀναιρεῖσθαι λύσανδρον, ἀλλὰ δι' ὅπλων περὶ τοῦ σώματος, ἀγωνισαμένους καὶ νικήσαντας, οὕτω τὸν ἄνδρα θάπτειν. ἡττημένοις δὲ, καλὸν ἐνταῦθα κεῖσθαι μετὰ τοῦ στρατηγοῦ. ταῦτα τῶν πρεσβυτέρων λεγόντων, ὁρῶν ὁ παυσανίας μέγα μὲν ἔργον ὑπερβαλέσθαι μάχῃ τοὺς θηβαίους ἄρτι κεκρατηκότας. ἐγγὺς δὲ τῶν τειχῶν τὸ σῶμα τοῦ λυσάνδρου πεπτωκὸς, ὥστε χαλεπὴν ἄνευ σπονδῶν καὶ νικῶσιν εἶναι τὴν ἀναίρεσιν, ἔπεμψε κήρυκα. καὶ σπεισάμενος ἀπήγαγε τὴν δύναμιν ὀπίσω. τὸν δὲ λύσανδρον εὐθὺς πρῶτον κομίζοντες ὑπὲρ τοὺς ὅρους ἐγένοντο τῆς βοιωτίας, ἐν φίλῃ καὶ συμμαχίδι χώρᾳ τῇ πανοπαίων, κατέθεσαν. οὗ νῦν τὸ μνημεῖον ἐστὶ παρὰ τὴν ὁδὸν εἰς χαιρώνειαν ἐκ δελφῶν πορευομένοις. ἐνταῦθα δὴ τῆς στρατιᾶς καταυλισαμένης, λέγεταί τινα τῶν φωκέων ἑτέρῳ μὴ παρατυχόντι τὸν ἀγῶνα διηγούμενον εἰπεῖν, ὡς οἱ πολέμιοι προσπέσοιεν αὐτοῖς τοῦ λυσάνδρου τὸν ὁπλίτην ἤδη διαβεβηκότος. θαυμάσαντος δὲ, σπαρτιάτην ἄνδρα τοῦ λυσάνδρου φίλον, ἐρέσθαι τίνα λέγει τὸν ὁπλίτην. οὐ γὰρ εἰδέναι τοὔνομα. καὶ μὴν ἐκεῖ γε φάναι τοὺς πρώτους ἡμῶν οἱ πολέμιοι κατέβαλον. τὸ γὰρ παρὰ τὴν πόλιν ῥεῖθρον, ὁπλίτην καλοῦσιν. ἀκούσαντα δὲ τὸν σπαρτιάτην, ἐκδακρῦσαι καὶ εἰπεῖν, ὡς ἄφυκτόν ἐστιν ἀνθρώπῳ τὸ πεπρωμένον. ἦν γὰρ ὡς ἔοικε τῷ λυσάνδρῳ δεδομένος χρησμὸς,

» οὕτως ἔχων. ὁπλίτην κελάδοντα φυλάξασθαι σε κελεύω. γῆς τε δράκοντα γόνον δόλιον κατόπισθεν

» ἰόντα. τινὲς δὲ τὸν ὁπλίτην, οὐ πρὸς ἁλιάρτῳ ῥεῖν λέγουσιν, ἀλλὰ πρὸς κορώνειαν χειμάρρουν εἶναι, τῷ φλιάρῳ ποταμῷ συμφερόμενον παρὰ τὴν πόλιν. ὃν πάλαι μὲν ὁπλίαν, νῦν δὲ ἰσόμαντον προσαγορεύουσιν. ὁ δὲ ἀποκτείνας τὸν λύσανδρον ἁλιάρτιος ἀνὴρ ὄνομα νεόχωρος, ἐπίσημον εἶχε τῆς ἀσπίδος δράκοντα. καὶ τοῦτο σημαίνειν ὁ χρησμὸς εἰκάζετο. λέγεται δὲ καὶ θηβαίοις ὑπὸ τὸν πελοποννησιακὸν πόλεμον ἐν ἰσμηνίῳ γενέσθαι χρησμὸν. ἅμα τήν τε πρὸς δηλίῳ μάχην, καὶ τὴν πρὸς ἁλιάρτῳ

» ταύτην ἐκείνης ὕστερον ἔτει τριακοστῷ γενομένην προμηνύοντα. ἦν δὲ τοιοῦτος. ἐσχατιὰν πεφύ-

» λαξο λύκον, καμάκεσι δοκεύων. καὶ λόφον ὀρχαλίδην, ὃν ἀλώπηξ οὔποτε λείπει. τὸν μὲν οὖν περὶ δήλιον τόπον, ἐσχατιὰν προσεῖπε καθ' ἣν ἡ βοιωτία τῇ ἀττικῇ, σύνορός ἐστιν. ὀρχαλίδην δὲ λόφον, ὃν νῦν ἀλωπεκὸν καλοῦσιν, ἐν τοῖς πρὸς τὸν ἑλικῶνα μέρεσι τοῦ ἁλιάρτου κείμενον. τοιαύτης δὲ τῷ λυσάνδρῳ τῆς τελευτῆς γενομένης παραχρῆμα μὲν οὕτως ἤνεγκαν βαρέως οἱ σπαρτιᾶται, ὥστε τῷ βασιλεῖ κρίσιν προσγράψαι θανατικὴν. ἣν οὐχ ὑποστὰς ἐκεῖνος, εἰς τεγέαν ἔφυγε κἀκεῖ κατεβίωσεν ἱκέτης ἐν τῷ τεμένει τῆς ἀθηνᾶς. καὶ γὰρ ἡ πενία τοῦ λυσάνδρου τελευτήσαντος ἐκκαλυφθεῖσα, φανερωτέραν ἐποίησε τὴν ἀρετὴν, ἀπὸ χρημάτων πολλῶν καὶ δυνάμεως. θεραπείας τε πόλεων καὶ βασιλείας τοιαύτης, μηδὲ μικρὸν ἐπιλαμπρύναντος τὸν οἶκον εἰς χρημάτων λόγον, ὡς ἱστορεῖ θεόπομπος. ᾧ μᾶλλον ἐπαινοῦντες πιστεύσειεν ἄν τις, ἢ ψέγοντι. ψέγειν γὰρ ἥδιον ἢ ἐπαινεῖν. χρόνῳ δὲ ὕστερον ἔφορός φησιν ἀντιλογίας τινὸς συμμαχικῆς ἐν σπάρτῃ γενομένης. καὶ τὰ γράμματα διασκέψασθαι δεήσαν, ἃ παρ' ἑαυτῷ κατεῖχεν ὁ λύσανδρος, ἐλθεῖν ἐπὶ τὴν οἰκίαν τὸν ἀγησίλαον. εὑρόντα δὲ τὸ βιβλίον, ἐν ᾧ γεγραμμένος ἦν ὁ περὶ τῆς πολιτείας λόγος, ὡς χρὴ τῶν εὐρυπωντιδῶν, καὶ ἀγιαδῶν τὴν βασιλείαν ἀφελομένους εἰς μέσον θεῖναι καὶ ποιεῖσθαι τὴν αἵρεσιν ἐκ τῶν ἀρίστων, ὁρμῆσαι μὲν εἰς τοὺς πολίτας τὸν λόγον ἐξενεγκεῖν καὶ παραδεικνύναι τὸν λύσανδρον, οἷος ὢν πολίτης διαλάθοι. λακρατίδαν δὲ ἄνδρα φρόνιμον καὶ τότε προεστῶτα τῶν ἐφόρων, ἐπιλαβέσθαι τοῦ ἀγησιλάου καὶ εἰπεῖν ὡς δεῖ μὴ ἀνορύττειν τὸν λύσανδρον. ἀλλὰ καὶ τὸν λόγον αὐτῷ συγκατορύττειν, οὕτω συντεταγμένον πιθανῶς, καὶ πανούργως. οὐ μὴν ἀλλὰ τάς γε ἄλλας τιμὰς ἀπέδοσαν αὐτῷ τελευτήσαντι. καὶ τοὺς μνηστευσαμένους τὰς θυγατέρας. εἶτα μετὰ τὴν τελευτὴν τοῦ λυσάνδρου πένητος εὑρεθέντος ἀπειπαμένους, ἐζημίωσαν. ὅτι πλούσιον μὲν νομίζοντες, ἐθεράπευον. δίκαιον δὲ καὶ χρηστὸν ἐκ τῆς πενίας ἐπιγνόντες, ἐγκατέλιπον. ἦν γὰρ ὡς ἔοικεν ἐν σπάρτῃ, καὶ ἀγαμίου δίκη. καὶ ὀψιγαμίου. καὶ κακογαμίου. ταύτῃ δὲ ὑπῆγον μάλιστα τοὺς ἀντὶ τῶν ἀγαθῶν καὶ οἰκείων τοῖς πλουσίοις κηδεύοντας. τὰ μὲν οὖν περὶ λύσανδρον οὕτως ἱστορήσαμεν ἔχοντα.

δυνάμεως. π.ς.

ἐπαινοῦντι π.ς.κ.τ.

ἀποδέξασθαι τὴν ἐκτροφὴν αὐτοῦ καὶ τὴν ἐπιμέλειαν. ὄνομα δὲ τῷ παιδὶ σιληνὸς ἐκ δή τινος αἰτίας
ξυνύφαινεν
ἐτέθη. ταύτην λαβὼν ὁ λύσανδρος ἀρχὴν, τὰ λοιπὰ παρ' ἑαυτοῦ προσετεκταίνετο, καὶ συνύφαινεν, οὐκ ὀλίγοις χρώμενος οὐδὲ φαύλοις τοῦ μύθου προσαγωνισταῖς, οἳ τήν τε φήμην τῆς γενέσεως τοῦ παιδὸς εἰς πίστιν ἀνυπόπτως προσῆγον. ἄλλον τέ λόγον ἐκ δελφῶν ἀντικομίσαντες εἰς τὴν σπάρτην κατέβαλον καὶ διέσπειραν, ὡς ἐν γράμμασιν ἀπορρήτοις ὑπὸ τῶν ἱερέων φυλάττοιντο παμπάλαιοι δή τινες χρησμοὶ καὶ λαβεῖν οὐκ ἔξεστι τούτοις. οὐδ' ἐντυχεῖν θεμιτὸν, εἰ μή τις ἄρα γεγονὼς ἐξ ἀπόλλωνος ἀφίκοιτο τῷ πολλῷ χρόνῳ. καὶ σύνθημα τοῖς φυλάττουσι τῆς γενέσεως γνώριμον παρασχὼν, κομίσαιτο τὰς δέλτους ἐν αἷς ἦσαν οἱ χρησμοί. τούτων δὲ προκατεσκευασμένων, ἔδει τὸν σιληνὸν ἐλθόντα τοὺς χρησμοὺς ἀπαιτεῖν, ὡς ἀπόλλωνος παῖδα. τοὺς δὲ συμπράττοντας τῶν ἱερέων, ἐξακριβοῦν ἕκαστα καὶ διαπυνθάνεσθαι περὶ τῆς γενέσεως. τέλος δὲ πεπεισμένους δῆθεν ὡς ἀπόλλωνος υἱῷ δεῖξαι τὰ γράμματα, τὸν δὲ, ἀναγνῶναι πολλῶν παρόντων. ἄλλας τε μαντείας καὶ ἧς ἕνεκα τἆλλα ἐπλάσθη, τὴν περὶ τῆς βασιλείας. ὡς ἄμεινον εἴη καὶ λῷον σπαρτιάταις ἐκ τῶν ἀρίστων πολιτῶν αἱρουμένοις τοὺς βασιλέας. ἤδη δὲ τοῦ σιληνοῦ μειρακίου γεγονότος, καὶ πρὸς τὴν πρᾶξιν ἥκοντος, ἐξέπεσε τοῦ δράματος ὁ λύσανδρος, ἀτολμίᾳ τῶν ὑποκριτῶν καὶ συνεργῶν ἑνὸς ὡς ἐπ' αὐτὸ τὸ ἔργον ἦλθεν ἀποδειλιάσαντος, καὶ
ἀναδυέντος κ.τ. s.π.
ἀναδύντος. οὐ μὴν ἐφωράθη γε τοῦ λυσάνδρου ζῶντος οὐθὲν. ἀλλὰ μετὰ τὴν τελευτήν, ἐτελεύτησε δὲ πρὶν ἐξ ἀσίας ἐπανελθεῖν τὸν ἀγησίλαον. ἐμπεσὼν εἰς τὸν βοιωτικὸν πόλεμον, ἢ μᾶλλον ἐμβαλὼν τὴν ἑλλάδα. λέγεται γὰρ ἀμφοτέρως. καὶ τὴν αἰτίαν οἱ μέν τινες ἐκείνου ποιοῦσιν. οἱ δὲ, θηβαίων. οἱ δὲ, κοινὴν θηβαίοις μὲν ἐγκαλοῦντες τὴν ἐν αὐλίδι τῶν ἱερῶν διάρριψιν. καὶ ὅτι τῶν περὶ ἀνδροκλείδην καὶ ἀμφίθεον, χρήμασι βασιλικοῖς διαφθαρέντων, ἐπὶ τῷ λακεδαιμονίοις ἑλληνικὸν περιστῆσαι πόλεμον, ἐπέθεντο φωκεῦσι καὶ τὴν χώραν αὐτῶν ἐπόρθησαν. λύσανδρον δέ φασιν ὀργῇ φέρειν ὅτι τῆς δεκάτης ἀντεποιήσαντο τοῦ πολέμου θηβαῖοι μόνοι τῶν ἄλλων συμμάχων ἡσυχαζόντων. καὶ περὶ χρημάτων ἠγανάκτησαν ἃ λύσανδρος εἰς σπάρτην ἀπέστειλε. μάλιστα δὲ ἐπὶ τῷ παρασχεῖν ἀρχὴν ἀθηναίοις ἐλευθερώσεως ἀπὸ τῶν τριάκοντα τυράννων, οὓς λύσανδρος μὲν κατέστησε, λακεδαιμόνιοι δὲ δύναμιν καὶ φόβον αὐτοῖς προστιθέντες, ἐψηφίσαντο τοὺς φεύγοντας ἐξ ἀθηνῶν ἀγωγίμους εἶναι πανταχόθεν, ἐκσπόνδους δὲ τοὺς ἐνισταμένους τοῖς ἄγουσι. πρὸς ταῦτα γὰρ ἀντεψηφίσαντο θηβαῖοι ψηφίσματα πρέποντα, καὶ ἀδελφὰ ταῖς ἡρακλέους καὶ διονύσου πράξεσιν. οἰκίαν μὲν ἀνεῷχθαι πᾶσαν καὶ πόλιν ἐν βοιωτίᾳ τοῖς δεομένοις ἀθηναίων. τὸν δὲ τῷ ἀγομένῳ φυγάδι μὴ βοηθήσαντα, ζημίαν ὀφείλειν τάλαντον. εἰ δέ τις ἀθήναζε διὰ τῆς βοιωτίας ἐπὶ τοὺς τυράννους ὅπλα κομίζοι, μήτε ὁρᾶν τινα θηβαίων μήτε ἀκούειν. καὶ οὐκ ἐψηφίσαντο μὲν οὕτως ἑλληνικὰ καὶ φιλάνθρωπα, τὰς δὲ πράξεις τοῖς γράμμασιν ὁμοίως οὐ παρεῖχον, ἀλλὰ θρασύβουλος καὶ οἱ σὺν αὐτῷ, φυλὴν καταλαβόντες, ἐκ θηβῶν ὡρμήθησαν, ὅπλα καὶ χρήματα καὶ τὸ λαθεῖν καὶ τὸ ἄρξασθαι, θηβαίων αὐτοῖς συμπαρασκευασάντων. αἰτίας μὲν οὖν ταύτας ἔλαβε κατὰ τῶν θηβαίων ὁ λύσανδρος. ἤδη δὲ παντάπασι χαλεπὸς ὢν ὀργὴν διὰ τὴν μελαγχολίαν ἐπιτείνουσαν εἰς γῆρας, παρώξυνε τοὺς ἐφόρους, καὶ συνέπεισε πεμφθῆναι φρουρὰν ἐπ'
αὐτὸν s.π.
αὐτοὺς, καὶ λαβὼν τὴν ἡγεμονίαν, ἐξεστράτευσεν. ὕστερον δὲ καὶ παυσανίαν τὸν βασιλέα μετὰ στρατιᾶς ἀπέστειλαν. ἀλλὰ παυσανίας μὲν κύκλῳ περιελθὼν διὰ τοῦ κιθαιρῶνος, ἔμελλεν εἰς τὴν βοιωτίαν ἐμβαλεῖν. λύσανδρος δὲ διὰ φωκέων ἀπήντα,
πρὸς s.π.
στρατιώτας ἔχων πολλοὺς, καὶ τὴν μὲν ὀρχομενίων πόλιν ἑκουσίως προσχωρήσασαν ἔλαβε. τὴν δὲ λεβάδειαν ἐπελθὼν διεπόρθησεν. ἔπεμψε δὲ τῷ παυσανίᾳ γράμματα κελεύων εἰς ἁλίαρτον ἐκ πλαταιῶν συνάπτειν. ὡς αὐτὸς ἅμ' ἡμέρᾳ πρὸς τοῖς τείχεσι τῶν ἁλιαρτίων γενησόμενος. ταῦτα τὰ γράμματα πρὸς τοὺς θηβαίους ἀπηνέχθη, τοῦ κομίζοντος εἰς κατασκόπους τινὰς ἐμπεσόντος. οἱ δὲ, προσβοηθησάντων αὐτοῖς ἀθηναίων, τὴν μὲν πόλιν ἐκείνοις διεπίστευσαν. αὐτοὶ δὲ περὶ πρῶτον ὕπνον ἐξορμήσαντες, ἔφθασαν ὀλίγῳ τὸν λύσανδρον, ἐν ἁλιάρτῳ γενόμενοι. καὶ μέρει τινὶ παρῆλθον εἰς τὴν πόλιν. ἐκεῖνος δὲ τὸ μὲν πρῶτον, ἔγνω τὴν στρατιὰν ἱδρύσας ἐπί τινος λόφου, περιμένειν τὸν παυσανίαν. ἔπειτα προϊούσης τῆς ἡμέρας ἀτρεμεῖν οὐ δυνάμενος. λαβὼν τὰ ὅπλα καὶ τοὺς συμμάχους παρορμήσας,
ὀρθίᾳ π.
ἐρθίᾳ τῇ φάλαγγι παρὰ τὴν ὁδὸν ἦγε πρὸς τὸ τεῖχος. τῶν δὲ θηβαίων, οἱ μὲν ἔξω μεμενηκότες,
ἀριστερᾷ
ἐν ἀριστᾷ τὴν πόλιν λαβόντες, ἐβάδιζον ἐπὶ τοὺς ἐσχάτους τῶν πολεμίων. ἀπὸ τὴν κρήνην τὴν κισσοῦσαν προσαγορευομένην. ἔνθα μυθολογοῦσι τὰς τιθήνας, νήπιον ἐκ τῆς λοχείας, ἀπολοῦσαι
πιεῖν π.
τὸν διόνυσον. καὶ γὰρ οἰνωπὸν ἐπιστίλβει τὸ χρῶμα, καὶ διαυγὲς, καὶ ποιεῖν, ἥδιστον. οἱ δὲ κρήσσαι στύρακες, οὐ πρόσω περιπεφύκασιν. ἃ τεκμήρια τῆς ῥαδαμάνθυος αὐτόθι κατοικήσεως ἁλιάρτιοι ποιοῦν-
δεικνύασι π.
ται. καὶ τάφον αὐτοῦ δεικνύουσιν ἀλέα καλοῦντες. ἔστι δὲ καὶ τὸ τῆς ἀλκμήνης μνημεῖον ἐγγύς. ἐνταῦθα γὰρ ὥς φασιν ἐκηδεύθη, συνοικήσασα ῥαδαμάνθυι μετὰ τὴν ἀμφιτρύωνος τελευτήν. οἱ δὲ ἐν τῇ πόλει θηβαῖοι μετὰ τῶν ἁλιαρτίων συντεταγμένοι, τέως μὲν ἡσύχαζον. ἐπεὶ δὲ τὸν λύσανδρον ἅμα τοῖς πρώτοις προσπελάζοντα τῷ τείχει κατεῖδον, ἐξαπίνης ἀνοίξαντες τὰς πύλας καὶ προσπεσόντες, αὐτόν τε μετὰ τοῦ μάντεως κατέβαλον. καὶ τῶν ἄλλων ὀλίγους τινάς. οἱ γὰρ πλεῖστοι, ταχέως ἀνέ-

φυγον πρὸς

δίαις ἐπιεικῶς συμβαίνει περὶ τοὺς ὑποκειτάς. τὸν μὲν ἀγγέλου τινὸς ἢ θεράποντος ἐπικείμενον πρόσωπον, εὐδοκιμεῖν καὶ πρωταγωνιστεῖν. τὸν δὲ, διάδημα καὶ σκῆπτρον φοροῦντα, μηδὲ ἀκούεσθαι φθεγγόμενον. οὕτω περὶ τὸν σύμβουλον ἦν τὸ πᾶν ἀξίωμα τῆς ἀρχῆς. τῷ δὲ βασιλεῖ τοὔνομα τῆς δυνάμεως ἔρημον ἀπελείπετο. γενέσθαι μὲν οὖν ἴσως ἔδει τινὰ τῆς ἐμμελοῦς ταύτης φιλοτιμίας ἐπαφὴν, καὶ συσταλῆναι τὸν λύσανδρον ἄχρι τῶν δευτέρων. τὸ δὲ παντελῶς ἀπορρῖψαι καὶ προπηλακίσαι διὰ δόξαν εὐεργέτην ἄνδρα καὶ φίλον, οὐκ ἦν ἄξιον ἀγησιλάῳ προσεῖναι. πρῶτον μὲν οὖν οὐ παρεῖχεν αὐτῷ πράξεων ἀφορμὰς. οὐδὲ ἔταττεν ἐφ᾽ ἡγεμονίας, ἔπειτα ὑπὲρ ὧν αἴσθοιτό τι πράττοντα καὶ σπουδάζοντα τὸν λύσανδρον, ἀεὶ τούτους πάντων ἀπράκτους καὶ τῶν ἐπιτυχόντων ἔλαττον ἔχοντας, ἀπέπεμπεν. παραλύων ἠσυχῆ καὶ διαψύχων τὴν ἐκείνου δύναμιν. ἐπεὶ δὲ τῶν πάντων διαμαρτάνων ὁ λύσανδρος, ἔγνω τοῖς φίλοις τὴν παρ᾽ αὐτοῦ σπουδὴν ἐναντίωμα γινομένην, αὐτός τε τὸ βοηθεῖν ἐξέλιπε, κἀκείνων ἐδεῖτο μὴ προσιέναι μηδὲ θεραπεύειν αὐτόν. ἀλλὰ τῷ βασιλεῖ διαλέγεσθαι καὶ τοῖς δυναμένοις ὠφελεῖν τοὺς τιμῶντας αὐτοὺς μᾶλλον ἐν τῷ παρόντι. ταῦτα ἀκούοντες οἱ πολλοὶ τοῦ μὲν ἐνοχλεῖν αὐτὸν περὶ πραγμάτων ἀπείχοντο. τὰς δὲ θεραπείας οὐ κατέλιπον. ἀλλὰ προσφοιτῶντες ἐν τοῖς περιπάτοις καὶ γυμνασίοις, ἔτι μᾶλλον ἢ πρότερον ἠνίων τὸν ἀγησίλαον ἀπὸ φθόνου τῆς τιμῆς. ὥστε τοῖς πολλοῖς στρατιώταις ἡγεμονίας πραγμάτων καὶ διοικήσεις πόλεων ἀποδιδοὺς, τὸν λύσανδρον ἀπέδειξε κρεωδαίτην. εἶτα οἷον ἐφυβρίζων πρὸς τοὺς ἴωνας, ἀπιόντες ἔφη νῦν τὸν ἐμὸν κρεωδαίτην θεραπευέτωσαν. ἔδοξεν οὖν λυσάνδρῳ διὰ λόγων πρὸς αὐτὸν ἐλθεῖν. καὶ γίνεται βραχὺς καὶ λακωνικὸς αὐτῶν διάλογος. ἦ καλῶς ἤδεις ὦ ἀγησίλαε φίλους ἐλαττοῦν. καὶ ὃς, ἄν γε ἐμοῦ βούλωνται μείζονες εἶναι. τοὺς δὲ αὔξοντας τὴν ἐμὴν δύναμιν, καὶ μετέχειν αὐτῆς δίκαιον. ἀλλ᾽ ἴσως μὲν ὦ ἀγησίλαε σοὶ λέλεκται μᾶλλον ἢ ἐμοὶ πέπρακται. δέομαι δέ σου καὶ διὰ τοὺς ἐκτὸς ἀνθρώπους οἳ πρὸς ἡμᾶς ἀποβλέπουσιν, ἐνταῦθά με τῆς σεαυτοῦ στρατηγίας τάξον, ὅπου τεταγμένον, ἥκιστα μὲν ἐπαχθῆ. μᾶλλον δὲ χρήσιμον ἔσεσθαι σεαυτῷ νομίζεις. ἐκ τούτου πρεσβευτὴς εἰς ἑλλήσποντον ἐπέμπετο. καὶ τὸν μὲν ἀγησίλαον δι᾽ ὀργῆς εἶχεν. οὐκ ἠμέλει δὲ τοῦ τὰ δέοντα πράττειν. μιθριδάτην δὲ τὸν περσὴν προσκεκρουκότα φαρναβάζῳ γενναῖον ἄνδρα καὶ στρατείαν ἔχοντα περὶ αὐτὸν ἀποστήσας, ἦγαγε πρὸς τὸν ἀγησίλαον. ἄλλο δὲ οὐδὲν ἐχρήσατο αὐτῷ πρὸς τὸν πόλεμον. ἀλλὰ τοῦ χρόνου διελθόντος, ἀπέπλευσεν εἰς τὴν σπάρτην ἀτίμως. ὀργιζόμενος μὲν τῷ ἀγησιλάῳ. μισῶν δὲ καὶ τὴν ἄλλην πολιτείαν μᾶλλον ἔτι ἢ πρότερον καὶ τὰ πάλαι δοκοῦντα συγκεῖσθαι καὶ μεμηχανῆσθαι πρὸς μεταβολὴν καὶ νεωτερισμὸν ἐγνωκὼς ἐγχειρεῖν τότε καὶ μὴ διαμέλλειν, ἦν δὲ τοιάδε. τῶν ἀναμιχθέντων δωριεῦσιν ἡρακλειδῶν, καὶ κατελθόντων εἰς πελοπόννησον, πολὺ μὲν ἐν σπάρτῃ καὶ λαμπρὸν ἦν θησαυρος· οὐ παντὶ δὲ αὐτῶν τῆς βασιλικῆς μετῆν διαδοχῆς. ἀλλ᾽ ἐβασίλευον ἐκ δυεῖν οἴκων μόνον εὐρυποντίδαι καὶ ἀγιάδαι προσαγορευόμενοι. τοῖς δὲ ἄλλοις οὐδὲν ἕτερον πλέον ἔχειν ἐν τῇ πολιτείᾳ διὰ τὴν εὐγένειαν ὑπῆρχεν. αἱ δὲ ἀπ᾽ ἀρετῆς τιμαὶ, πᾶσι προὔκειντο τοῖς δυναμένοις. τούτων οὖν γεγονὼς ὁ λύσανδρος, ὡς εἰς δόξαν τῶν πράξεων ἤρθη μεγάλην. καὶ φίλους ἐκέκτητο πολλοὺς καὶ δύναμιν, ἤχθετο τὴν πόλιν ὁρῶν, ὑπ᾽ αὐτοῦ μὲν αὐξανομένην. ὑφ᾽ ἑτέρων δὲ βασιλευομένην οὐδὲν βέλτιον αὐτοῦ γεγονότων. καὶ διενοεῖτο τὴν ἀρχὴν ἐκ τῶν δυεῖν οἴκων μεταστήσας εἰς κοινὸν ἀποδοῦναι πᾶσιν ἡρακλείδαις. ὡς δὲ ἔνιοι φασὶν, οὐχ ἡρακλείδαις ἀλλὰ σπαρτιάταις. ἵνα μὴ τῶν ἀφ᾽ ἡρακλέους, ἀλλὰ τῶν οἷος ἡρακλῆς τὸ γέρας ἀρετῇ κρινομένων, ἣ κἀκεῖνον εἰς θεῶν τιμὰς ἀνήγαγεν. ἤλπιζε δὲ τῆς βασιλείας οὕτω δικαζομένης οὐδένα πρὸ αὐτοῦ σπαρτιάτην ἂν αἱρεθήσεσθαι. πρῶτον μὲν οὖν ἐπιχείρησε καὶ παρεσκευάσατο πείθειν δι᾽ ἑαυτοῦ τοὺς πολίτας. καὶ λόγον ἐξεμελέτα πρὸς τὴν ὑπόθεσιν γεγραμμένον ὑπὸ κλέωνος τοῦ ἁλικαρνασέως. ἔπειτα τὴν ἀτοπίαν καὶ τὸ μέγεθος τοῦ καινοτομουμένου πράγματος ὁρῶν ἰταμωτέρας δεόμενον βοηθείας ὥσπερ ἐν τραγῳδίᾳ μηχανὴν αἴρων ἐπὶ τοὺς πολίτας, λόγια πυθόχρηστα καὶ χρησμοὺς συνετίθει, καὶ κατεσκεύαζεν, ὡς οὐδὲν ὠφελησόμενος ὑπὸ τῆς κλέωνος δεινότητος, εἰ μὴ φόβῳ τινὶ θεοῦ καὶ δεισιδαιμονίᾳ προεκπλήξας καὶ χειρωσάμενος, ὑπαγάγοι πρὸς τὸν λόγον τοὺς πολίτας. ἔφορος μὲν οὖν φησὶν αὐτὸν, ὡς τήν τε πυθίαν ἐπιχειρήσας διαφθεῖραι καὶ τὰς δωδωνίδας αὖθις ἀναπείθων διὰ φερεκλέους ἀπέτυχεν, εἰς ἄμμωνος ἀναβῆναι, καὶ διαλέγεσθαι τοῖς πολίταις πολὺ χρυσίον διδόντα. τοὺς δὲ δυσχεραίνοντας, εἰς σπάρτην τινὰς ἀποστεῖλαι τοῦ λυσάνδρου κατηγορήσοντας.

Ἐπεὶ δὲ ἀπελύθη, τοὺς λίβυας ἀπιόντας εἰπεῖν, ἀλλ᾽ ὑμεῖς γε βέλτιον ὦ σπαρτιᾶται κρινοῦμεν ὅταν ἥκητε πρὸς ἡμᾶς εἰς λιβύην οἰκήσοντες. ὡς δὴ χρησμοῦ τινος ὄντος παλαιοῦ, λακεδαιμονίους ἐν λιβύῃ κατοικῆσαι. τὴν δὲ ὅλην ἐπιβουλὴν, καὶ σκευωρίαν τοῦ πλάσματος οὐ φαύλην οὖσαν οὐδὲ ἀφ᾽ ὧν ἔτυχεν ἀρξαμένην. ἀλλὰ πολλὰς καὶ μεγάλας ὑποθέσεις ὥσπερ ἐν διαγράμματι μαθηματικῷ προσλαβοῦσαν καὶ διὰ λημμάτων χαλεπῶν καὶ δυσπορίστων ἐπὶ τὸ συμπέρασμα προϊοῦσαν, ἡμεῖς ἀναγράψωμεν, ἀνδρὸς ἱστορικοῦ καὶ φιλοσόφου λόγῳ κατακολουθήσαντες. ἦν γύναιον ἐν πόντῳ κύειν ἐξ ἀπόλλωνος φάσκον. ᾧ πολλοὶ μὲν ὡς εἰκὸς ἠπίστουν. πολλοὶ δὲ καὶ προσεῖχον. ὥστε καὶ τεκούσης παιδίον ἄρρεν ὑπὸ πολλῶν καὶ γνωρίμων

ἀφοσιουμένους ἄμμωνι θύειν. καὶ τὸν θεὸν ἐσπούδασεν εἰς τὴν λιβύην πορευθεὶς ἐξιλάσασθαι. τοῖς δὲ πλείστοις ἐδόκει πρόσχημα ποιεῖσθαι τὸν θεόν. ἄλλως δὲ τοὺς ἐφόρους δεδιὼς, καὶ τὸν οἴκοι ζυγὸν οὐ φέρων οὐδ' ἀνεχόμενος ἄρχεσθαι, πλάνης ὀρέγεσθαι καὶ περιφοιτήσεώς τινος. ὥσπερ ἵππος ἐκ νομῆς ἀφέτου, καὶ λειμῶνος αὖθις ἥκων ἐπὶ φάτνης, καὶ πρὸς τὸ σύνηθες ἔργον αὖθις ἀγόμενος. ἣν μὲν γὰρ ἔφορος τῆς ἀποδημίας ταύτης αἰτίαν ἀναγράφει, μετὰ μικρὸν ἀφηγήσομαι. μόλις δὲ καὶ χαλεπῶς ἀφεθῆναι διαπραξάμενος ὑπὸ τῶν ἐφόρων, ἐξέπλευσεν. οἱ δὲ βασιλεῖς ἀποδημήσαντος αὐτοῦ συμφρονήσαντες, ὅτι ταῖς ἑταιρείαις τὰς πόλεις κατέχων διαπαντὸς ἄρχει καὶ κύριός ἐστι τῆς ἑλλάδος, ἔπραττον ὅπως ἀποδώσουσι τοῖς δημόταις τὰ πράγματα, τοὺς ἐκείνου φίλους ἐκβαλόντες. οὐ μὴν ἀλλὰ πάλιν πρὸς ταῦτα κινήματος γενομένου, καὶ πρῶτον τῶν ἀπὸ φυλῆς ἀθηναίων ἐπιθεμένων τοῖς τριάκοντα καὶ κρατούντων, ἐπανελθὼν διὰ ταχέων ὁ λύσανδρος, ἔπεισε τοὺς λακεδαιμονίους ταῖς ὀλιγαρχίαις βοηθεῖν, καὶ τοὺς δήμους κολάζειν. καὶ πρώτοις τοῖς τριάκοντα πέμπουσιν ἑκατὸν τάλαντα πρὸς τὸν πόλεμον, καὶ στρατηγὸν αὐτὸν, λύσανδρον. οἱ δὲ βασιλεῖς φθονοῦντες καὶ δεδιότες μὴ πάλιν ἕλῃ τὰς ἀθήνας, ἔγνωσαν ἐξιέναι τὸν ἕτερον αὐτῶν. ἐξῆλθε δὲ ὁ παυσανίας, λόγῳ μὲν ὑπὲρ τῶν τυράννων ἐπὶ τὸν δῆμον, ἔργῳ δὲ καταλύσων τὸν πόλεμον, ὡς μὴ πάλιν ὁ λύσανδρος διὰ τῶν φίλων κύριος γένοιτο τῶν ἀθηνῶν. τοῦτο μὲν οὖν διεπράξατο ῥᾳδίως. καὶ τοὺς ἀθηναίους διαλλάξας καὶ καταπαύσας τὴν στάσιν, ἀφεῖλε τοῦ λυσάνδρου τὴν φιλοτιμίαν. ὀλίγῳ δὲ ὕστερον ἀποστάντων πάλιν τῶν ἀθηναίων, αὐτὸς μὲν αἰτίαν ἔλαβεν ὡς ἐγκεχαλινωμένον τῇ ὀλιγαρχίᾳ τὸν δῆμον, ἀνεὶς αὖθις ἐξυβρίσαι καὶ θρασύνεσθαι. τῷ δὲ λυσάνδρῳ προσετίθετο δόξαν ἀνδρὸς οὐ πρὸς ἑτέρων χάριν, οὐδὲ θεατρικῶς, ἀλλὰ πρὸς τὸ τῇ σπάρτῃ συμφέρον αὐθεκάστως στρατηγοῦντος. ἦν δὲ καὶ τῷ λόγῳ θρασὺς καὶ καταπληκτικὸς πρὸς τοὺς ἀντιπίπτοντας. ἀργείοις μὲν γὰρ ἀμφιλογουμένοις περὶ γῆς ὅρων, καὶ δικαιότερα τῶν λακεδαιμονίων οἰομένοις λέγειν, δείξας τὴν μάχαιραν, ὁ ταύτης ἔφη κρατῶν, βέλτιστα περὶ γῆς ὅρων διαλέγεται. μεγαρέως δὲ ἀνδρὸς ἔν τινι συλλόγῳ παρρησιασαμένου πρὸς αὐτὸν, οἱ λόγοι σου εἶπεν ὦ ξένε, πόλεως δέονται. τοὺς δὲ βοιωτοὺς ἐπαμφοτερίζοντας, ἠρώτα πότερον ὀρθοῖς τοῖς δόρασιν, ἢ κεκλιμένοις διαπορεύηται τὴν χώραν αὐτῶν. ἐπεὶ δὲ τῶν κορινθίων ἀφεστώτων, παρερχόμενος πρὸς τὰ τείχη, τοὺς λακεδαιμονίους ἑώρα προσβάλλειν ὀκνοῦντας, καὶ λαγώς τις ὤφθη διαπηδῶν τὴν τάφρον, οὐκ αἰσχύνεσθαι ἔφη τοιούτους φοβούμενοι πολεμίους, ὧν οἱ λαγωοὶ δι' ἀργίαν τοῖς τείχεσιν ἐγκαθεύδουσιν. ἐπεὶ δὲ ἆγις ὁ βασιλεὺς ἐτελεύτησεν, ἀδελφὸν μὲν ἀγησίλαον καταλιπὼν, υἱὸν δὲ νομιζόμενον λεωτυχίδην, ἐραστὴς τοῦ ἀγησιλάου γεγονὼς ὁ λύσανδρος, ἔπεισεν αὐτὸν ἀντιλαμβάνεσθαι τῆς βασιλείας, ὡς ἡρακλείδην ὄντα γνήσιον. ὁ γὰρ λεωτυχίδης διαβολὴν εἶχεν ἐξ ἀλκιβιάδου γεγονέναι συνόντος αὐτοῦ κρύφα τῇ ἄγιδος γυναικὶ τιμαίᾳ, καθ' ὃν χρόνον φεύγων ἐν σπάρτῃ διέτριβεν. ὁ δὲ ἆγις ὥς φασι χρόνου μὲν λογισμῷ τὸ πρᾶγμα συνελὼν ὡς οὐ κυήσειεν ἐξ αὐτοῦ, παρημέλει τοῦ λεωτυχίδου, καὶ φανερὸς ἦν ἀπαναινόμενος αὐτὸν, παρὰ τὸν λοιπὸν χρόνον. ἐπεὶ δὲ νοσῶν εἰς ἡραίαν ἐκομίσθη καὶ τελευτᾶν ἔμελλε, τὰ μὲν ὑφ' αὐτοῦ νεανίσκου, τὰ δὲ ὑπὸ τῶν φίλων ἐκλιπαρηθεὶς, ἐναντίον πολλῶν ἀπέφηνεν υἱὸν αὐτοῦ τὸν λεωτυχίδην. καὶ δεηθεὶς τῶν παρόντων ἐπιμαρτυρῆσαι ταῦτα πρὸς τοὺς λακεδαιμονίους, ἀπέθανεν. οὗτοι μὲν οὖν ἐμαρτύρουν ταῦτα τῷ λεωτυχίδῃ. τὸν δὲ ἀγησίλαον λαμπρὸν ὄντα τἆλλα, καὶ συναγωνιστῇ τῷ λυσάνδρῳ χρώμενον, ἔβλαπτε διοπείθης ἀνὴρ εὐδόκιμος ἐπὶ χρησμολογίᾳ, τοιόνδε μάντευμα προσφέρων εἰς τὴν χωλότητα τοῦ ἀγησιλάου.

» Φράζεο δὴ σπάρτη καίπερ μεγάλαυχος ἐοῦσα. Μὴ σέθεν ἀρτίποδος
» βλάστῃ χωλὴ βασιλεία. Δηρὸν γὰρ μόχθοισι κατασχήσουσιν ἄελπτοι. Φθισιμβρότου τ' ἐπὶ κῦμα
» κυλινδόμενον πολέμοιο.

Πολλῶν οὖν ὑποκατακλινομένων πρὸς τὸ λόγιον, καὶ τρεπομένων πρὸς τὸν λεωτυχίδην, ὁ λύσανδρος οὐκ ὀρθῶς ἔφη τὸν διοπείθην τὴν μαντείαν ὑπολαμβάνειν. οὐ γὰρ ἂν προσπταίσας τις ἄρχῃ λακεδαιμονίων, δυσχεραίνειν τὸν θεὸν, ἀλλὰ χωλὴν εἶναι τὴν βασιλείαν, εἰ νόθοι καὶ κακῶς γεγονότες βασιλεύσουσιν ἡρακλείδαις. τοιαῦτα λέγων καὶ δυνάμενος πλεῖστον, ἔπεισε. καὶ γίνεται βασιλεὺς ἀγησίλαος. εὐθὺς οὖν αὐτὸν ἐξώρμα, καὶ προὔτρεπεν ὁ λύσανδρος εἰς τὴν ἀσίαν στρατεύειν, ὑποτιθεὶς ἐλπίδας ὡς καταλύσοντι πέρσας, καὶ μεγίστῳ γενησομένῳ. πρός τε τοὺς ἐν ἀσίᾳ φίλους ἔγραψεν αἰτεῖσθαι κελεύων παρὰ λακεδαιμονίων στρατηγὸν ἀγησίλαον ἐπὶ τὸν πρὸς τοὺς βαρβάρους πόλεμον. οἱ δὲ ἐπείθοντο, καὶ πρέσβεις ἔπεμπον εἰς λακεδαίμονα δεόμενοι. ὃ δοκεῖ τῆς βασιλείας οὐκ ἔλαττον ἀγησιλάῳ καλὸν ὑπάρξαι διὰ λύσανδρον. ἀλλ' αἱ φιλότιμοι φύσεις, ἄλλως μὲν οὐ κακαὶ πρὸς τὰς ἡγεμονίας εἰσί. τὸ δὲ φθονεῖν τοῖς ὁμοίοις διὰ δόξαν, οὐ μικρὸν ἐμπόδιον τῶν καλῶν πράξεων ἔχουσι. ποιοῦνται γὰρ ἀνταγωνιστὰς τῆς ἀρετῆς οἷς πάρεστι χρῆσθαι συνεργοῖς. ἀγησίλαος μὲν οὖν ἐπηγάγετο λύσανδρον ἐν τοῖς τριάκοντα συμβούλοις, ὡς μάλιστα καὶ πρώτῳ τῶν φίλων χρησόμενος. ἐπεὶ δὲ εἰς τὴν ἀσίαν παραγενομένων, πρὸς ἐκεῖνον μὲν οὐκ ἔχοντες οἱ ἄνθρωποι συνήθως, βραχέα καὶ σπανίως διελέγοντο. τὸν δὲ λύσανδρον ἐκ πολλῆς τῆς πρόσθεν ὁμιλίας, οἵ τε φίλοι θεραπεύοντες, οἵ θ' ὑπόπτως δεδιότες, ἐφοίτων ἐπὶ θύρας καὶ παρηκολούθουν, ὅσοι ἐν σπάρ-

ἑλλήνων βωμοὺς αἱ πόλεις ἀνέστησαν ὡς θεῷ, καὶ θυσίας ἔθυσαν. εἰς δὲ πρῶτον παιᾶνες ᾔσθησαν.
» ὧν ἑνὸς ἀρχὴν ἀπομνημονεύουσι τοιάνδε. τὸν ἑλλάδος ἀγαθέας στρατηγὸν ἀπ' εὐρυχόρου σπάρτας ὑ-
» μνήσομεν ὢ ἰὴ παιάν. σάμιοι δὲ τὰ παρ' αὐτοῖς ἡραῖα, λυσάνδρια καλεῖν ἐψηφίσαντο. τῶν δὲ ποι-
ητῶν χοίριλλον μὲν ἀεὶ περὶ αὑτὸν εἶχεν ὡς κοσμήσοντα τὰς πράξεις διὰ ποιητικῆς. ἀντιλόχῳ δὲ ποιή-
σαντι μετρίους τινὰς εἰς αὐτὸν στίχους, ἡσθεὶς ἔδωκε πλήσας ἀργυρίου τὸν πῖλον. ἀντιμάχου δὲ τοῦ
κολοφωνίου, καὶ νικηράτου τινὸς ἡρακλεώτου ποιήμασι λυσάνδρια διαγωνισαμένων ἐπ' αὐτοῦ, τὸν νική-
ρατον ἐστεφάνωσεν. ὁ δὲ ἀντίμαχος ἀχθεσθεὶς, ἠφάνισε τὸ ποίημα. πλάτων δὲ νέος ὢν τότε καὶ θαυμά-
ζων τὸν ἀντίμαχον ἐπὶ τῇ ποιητικῇ βαρέως φέροντα τὴν ἧτταν, ἀνελάμβανε καὶ παρεμυθεῖτο, τοῖς
ἀγνοοῦσι κακὸν εἶναι φάμενος τὴν ἄγνοιαν, ὥσπερ τὴν τυφλότητα τοῖς μὴ βλέπουσιν. ἐπεὶ μέν-
τοι ὁ κιθαρῳδὸς ἀριστόνους ἑξάκις πύθια νενικηκὼς ἐπηγγέλλετο τῷ λυσάνδρῳ φιλοφρονούμενος, ἂν
νικήσῃ πάλιν, λυσάνδρου κηρύξειν ἑαυτὸν, ἢ δοῦλον εἶπεν. ἀλλ' ἡ μὲν φιλοτιμία τοῦ λυσάνδρου, τοῖς
πρώτοις καὶ ἰσοτίμοις ἦν ἐπαχθὴς μόνον, ὑπερηφανίας δὲ πολλῆς ἅμα τῇ φιλοτιμίᾳ διὰ τοὺς θερα-
πεύοντας ἐγγινομένης τῷ ἤθει καὶ βαρύτητος, οὔτε τιμῆς, οὔτε τιμωρίας μέτρον ἦν παρ' αὐτῷ
δημοτικόν. ἀλλὰ φιλίας μὲν ἆθλα καὶ ξενίας ἀνυπεύθυνοι δυναστεῖαι πόλεων, καὶ τυραννίδες ἀνε-
ξέταστοι. θυμοῦ δὲ μία πλήρωσις ἀπολέσθαι τὸν ἀπεχθανόμενον, οὔτε γὰρ φυγεῖν ἐξῆν. ἀλλὰ καὶ μι-
λησίων ὕστερον τοὺς τοῦ δήμου προϊσταμένους δεδιὼς μὴ φύγωσι καὶ προαγαγεῖν τοὺς κεκρυμμένους βου-
λόμενος, ὤμοσε μὴ ἀδικήσειν. πιστεύσαντας δὲ καὶ προελθόντας ἀποσφάξαι τοῖς ὀλιγαρχικοῖς πα-
ρέδωκεν, οὐκ ἐλάττονας ὀκτακοσίων συναμφοτέρους ὄντας. ἦν δὲ καὶ τῶν ἄλλων ἐν ταῖς πόλεσι δη-
μοτικῶν, φόνος οὐκ ἀριθμητὸς, ἅτε δὴ μὴ κατ' ἰδίας μόνον αἰτίας αὐτοῦ κτείνοντος. ἀλλὰ πολλαῖς μὲν
ἔχθραις. πολλαῖς δὲ πλεονεξίαις τῶν ἑκασταχόθι φίλων χαριζομένου τὰ τοιαῦτα καὶ συνεργοῦν-
τος. ὅθεν εὐδοκίμησεν ἐτεοκλῆς ὁ λακεδαιμόνιος εἰπὼν, ὡς οὐκ ἂν ἡ ἑλλὰς δύο λυσάνδρους ἤνεγκε.
τὸ δὲ αὐτὸ τοῦτο καὶ περὶ ἀλκιβιάδου φησὶ θεόφραστος εἰπεῖν ἀρχέστρατον. ἀλλ' ἐκεῖ μὲν ὕβρις ἦν καὶ
τρυφὴ σὺν αὐθαδείᾳ τὸ μάλιστα δυσχεραινόμενον. τὴν δὲ λυσάνδρου δύναμιν, ἡ τοῦ τρόπου χαλεπότης,
φοβερὰν ἐποίει καὶ βαρεῖαν. οἱ δὲ λακεδαιμόνιοι τοῖς μὲν ἄλλοις οὐ πάνυ προσεῖχον ἐγκαλοῦσιν.
ἐπεὶ δὲ φαρνάβαζος ἀδικούμενος ὑπ' αὐτοῦ τὴν χώραν ἄγοντος καὶ φέροντος, ἀπέστειλεν εἰς τὴν σπάρ-
την κατηγόρους, ἀγανακτήσαντες οἱ ἔφοροι, τῶν μὲν φίλων αὐτοῦ καὶ συστρατήγων, ἕνα θώρακα λαβόν-
τες ἀργύριον ἰδίᾳ κεκτημένον, ἀπέκτειναν. ἐκείνῳ δὲ σκυτάλην ἀπέπεμψαν, ἥκειν κελεύοντες. ἔστι
δὲ ἡ σκυτάλη τοιοῦτον. ἐπὰν ἐκπέμπωσι ναύαρχον ἢ στρατηγὸν οἱ ἔφοροι, ξύλα δύο στρογγύλα μῆ-
κος καὶ πάχος ἀκριβῶς ἐπισώσαντες ὥστε ταῖς τομαῖς ἐφαρμόζειν πρὸς ἄλληλα, τὸ μὲν, αὐτοὶ
φυλάττουσι. θάτερον δὲ τῷ πεμπομένῳ διδόασι. ταῦτα δὲ τὰ ξύλα, σκυτάλας καλοῦσιν. ὅταν οὖν ἀ-
πόρρητόν τι καὶ μέγα φράσαι βουληθῶσι, βιβλίον ὥσπερ ἱμάντα μακρὸν, καὶ στενὸν ποιοῦντες πε-
ριελίττουσι τὴν παρ' αὐτοῖς σκυτάλην, οὐδὲν διάλειμμα ποιοῦντες, ἀλλὰ πανταχόθεν κύκλῳ τὴν
ἐπιφάνειαν αὐτῆς τῷ βιβλίῳ καταλαμβάνοντες. τοῦτο δὲ ποιήσαντες, ἃ βούλονται καταγράφου-
σιν εἰς τὸ βιβλίον. ὥσπερ ἐστὶ τῇ σκυτάλῃ περικείμενον. ὅταν δὲ γράψωσιν ἀφελόντες τὸ βιβλίον,
ἄνευ τοῦ ξύλου πρὸς τὸν στρατηγὸν ἀποστέλλουσι. δεξάμενος δὲ ἐκεῖνος, ἄλλως μὲν οὐδὲν ἀναλέξασθαι
δύναται τῶν γραμμάτων συναφὴν οὐκ ἐχόντων ἀλλὰ διεσπασμένων, τὴν δὲ παρ' αὐτῷ σκυτάλην
λαβὼν, τὸ τμῆμα τοῦ βιβλίου περὶ αὐτὴν περιέτεινεν. ὥστε τῆς ἕλικος εἰς τάξιν ὁμοίως ἀποκαθιστα-
μένης ἐπιβάλλοντα τοῖς πρώτοις τὰ δεύτερα, κύκλῳ τὴν ὄψιν ἐπάγειν τὸ συνεχὲς ἀνευρίσκουσαν.
καλεῖται δὲ ὁμωνύμως τῷ ξύλῳ σκυτάλη τὸ βιβλίον, ὡς τῷ μετροῦντι τὸ μετρούμενον. ὁ δὲ λύ-
σανδρος ἐλθούσης τῆς σκυτάλης πρὸς αὐτὸν εἰς τὸν ἑλλήσποντον, διεταράχθη. καὶ μάλιστα τὰς τοῦ φαρ-
ναβάζου δεδιὼς κατηγορίας, ἐσπούδασεν εἰς λόγους αὐτῷ, ὡς λύσων συνελθεῖν τὴν διαφοράν. καὶ
συνελθὼν ἐδεῖτο γράψαι περὶ αὐτοῦ πρὸς τοὺς ἄρχοντας ἑτέραν ἐπιστολὴν ὡς οὐδὲν ἠδικημένον,
οὐδ' ἐγκαλοῦντα. πρὸς κρῆτα δὲ ἄρα τὸ τοῦ λόγου κρητίζων ἠγνόει τὸν φαρνάβαζον. ὑποσχόμενος γὰρ
ἅπαντα ποιήσειν, φανερῶς μὲν ἔγραψεν οἵαν ὁ λύσανδρος ἠξίωσεν ἐπιστολὴν, κρύφα δὲ εἶχεν ἑτέ-
ραν αὐτόθι γεγραμμένην. ἐν δὲ τῷ τὰς σφραγῖδας ἐπιβάλλειν, ἐναλλάξας τὰ βιβλία μηδὲν δια-
φέροντα τῇ ὄψει, δίδωσιν ἐκείνην αὐτῷ τὴν κρύφα γεγραμμένην. ἀφικόμενος οὖν ὁ λύσανδρος
εἰς λακεδαίμονα, καὶ πορευθεὶς ὥσπερ ἔθος ἐστὶ πρὸς τὸ ἀρχεῖον, ἀπέδωκε τοῖς ἐφόροις τὰ γράμμα-
τα τοῦ φαρναβάζου, πεπεισμένος ἀνῃρῆσθαι τὸ μέγιστον αὐτοῦ τῶν ἐγκλημάτων. ἠγαπᾶτο γὰρ ὁ φαρ-
νάβαζος ὑπὸ τῶν λακεδαιμονίων προθυμότατος ἐν τῷ πολέμῳ τῶν βασιλέως στρατηγῶν γεγενη-
» μένος. ἐπεὶ δὲ ἀναγνόντες οἱ ἔφοροι τὴν ἐπιστολὴν, ἔδειξαν αὐτῷ, καὶ συνῆκεν ὡς οὐκ ἄρα ὀδυσσεὺς
» ἐστὶν αἱμύλος μόνος, τότε μὲν ἰσχυρῶς τεθορυβημένος ἀπῆλθεν. ἡμέραις δὲ ὀλίγαις ὕστερον ἐντυχὼν τοῖς
ἄρχουσιν, ἔφη δεῖν αὐτὸν, εἰς ἄμμωνος ἀναβῆναι. καὶ τῷ θεῷ θῦσαι θυσίας ἃς ηὔξατο πρὸ τῶν ἀ-
γώνων. ἔνιοι μὲν οὖν ὡς ἀληθῶς φασιν αὐτὸν πολιορκοῦντι τὴν τῶν ἀφυταίων πόλιν ἐν θρᾴκῃ κατὰ τοὺς
ὕπνους παραστῆναι τὸν ἄμμωνα. διὸ καὶ τὴν πολιορκίαν ἀφεὶς ὡς τοῦ θεοῦ προστάξαντος, ἐκέλευσε τοὺς

» τῆς εὐριπίδου ἠλέκτρας τὴν πάροδον, ἧς ἡ ἀρχή. Ἀγαμέμνονος ὦ κόρα ἤλυθον ἠλέκτρα
» ποτὶ σὰν ἀγρότειραν αὐλάν, πάντας ἐπικλασθῆναι καὶ φανῆναι σχέτλιον ἔργον τὴν οὕτως εὐκλεᾶ καὶ τοιούτους ἄνδρας φέρουσαν ἀνελεῖν καὶ διεργάσασθαι τὴν πόλιν. ὁ δ' οὖν λύσανδρος ἐνδόντων τῶν ἀθηναίων πρὸς ἅπαντα, πολλὰς μὲν ἐξ ἄστεος μεταπεμψάμενος αὐλητρίδας, πάσας δὲ τὰς ἐν τῷ στρατοπέδῳ συναγαγών, τὰ τείχη κατέσκαπτε καὶ τὰς τριήρεις κατέφλεγε πρὸς τὸν αὐλόν, ἐστεφανωμένων καὶ παιζόντων ἅμα τῶν συμμάχων, ὡς ἐκείνην τὴν ἡμέραν ἄρχουσαν τῆς ἐλευθερίας. εὐθὺς δὲ καὶ τὰ περὶ τὴν πολιτείαν ἐκίνησε, τριάκοντα μὲν ἐν ἄστει, δέκα δ' ἐν πειραιεῖ καταστήσας ἄρχοντας, ἐμβαλὼν δὲ φρουρὰν εἰς τὴν ἀκρόπολιν καὶ καλλίβιον ἁρμοστὴν ἄνδρα σπαρτιάτην ἐπιστήσας. ἐπεὶ δὲ οὗτος αὐτόλυκον τὸν ἀθλητήν, ἐφ' ᾧ τὸ συμπόσιον ὁ ξενοφῶν πεποίηκε, τὴν βακτηρίαν διαράμενος παίσειν ἔμελλεν. ὁ δὲ, τῶν σκελῶν συναρπάσας, ἀνέτρεψεν αὐτόν, οὐ συνηγανάκτησεν ὁ λύσανδρος, ἀλλὰ καὶ συνεπετίμησε. φήσας αὐτὸν οὐκ ἐπίστασθαι τὸν καλλίβιον ἐλευθέρων ἄρχειν. ἀλλὰ τὸν μὲν αὐτόλυκον οἱ τριάκοντα τῷ καλλιβίῳ χαριζόμενοι, μικρὸν ὕστερον ἀνεῖλον. ὁ δὲ λύσανδρος ἀπὸ τούτων γενόμενος, αὐτὸς μὲν ἐπὶ θρᾴκης ἐξέπλευσε. τῶν δὲ χρημάτων τὰ περιόντα καὶ ὅσας δωρεὰς αὐτὸς ἢ στεφάνους ἐδέξατο πολλῶν ὡς εἰκὸς διδόντων ἀνδρὶ δυνατωτάτῳ καὶ τρόπον τινὰ κυρίῳ τῆς ἑλλάδος, ἀπέστειλεν εἰς λακεδαίμονα διὰ γυλίππου τοῦ στρατηγήσαντος περὶ σικελίαν, ὁ δέ, ὡς λέγεται, τὰς ῥαφὰς τῶν ἀγγείων κάτωθεν ἀναλύσας καὶ ἀφελὼν συχνὸν ἀργύριον ἐξ ἑκάστου, πάλιν συνέρραψεν, ἀγνοήσας ὅτι γραμματίδιον ἐνῆν ἑκάστῳ τὸν ἀριθμὸν σημαῖνον. ἐλθὼν δ' εἰς σπάρτην, ἃ μὲν ὑφῄρητο, κατέκρυψεν ὑπὸ τὸν κέραμον τῆς οἰκίας. τὰ δ' ἀγγεῖα παρέδωκε τοῖς ἐφόροις καὶ τὰς σφραγῖδας ἐπέδειξεν. ἐπεὶ δὲ ἀνοιξάντων καὶ ἀριθμούντων διεφώνει πρὸς τὰ γράμματα τὸ πλῆθος τοῦ ἀργυρίου. καὶ παρεῖχε τοῖς ἐφόροις ἀπορίαν τὸ πρᾶγμα, φράζει θεράπων τοῦ γυλίππου πρὸς αὐτοὺς αἰνιξάμενος ὑπὸ τῷ κεραμεικῷ κοιτάζεσθαι πολλὰς γλαῦκας. ἦν γὰρ ὡς ἔοικε τὸ χάραγμα τοῦ πλείστου τότε νομίσματος διὰ τοὺς ἀθηναίους γλαῦκες. ὁ μὲν οὖν γύλιππος, αἰσχρὸν οὕτω καὶ ἀγεννὲς ἔργον ἐπὶ λαμπροῖς τοῖς ἔμπροσθεν καὶ μεγάλοις ἐργασάμενος, μετέστησεν ἑαυτὸν ἐκ λακεδαίμονος. οἱ δὲ φρονιμώτατοι τῶν σπαρτιατῶν οὐχ ἥκιστα καὶ διὰ τοῦτο τὴν τοῦ νομίσματος ἰσχὺν φοβηθέντες ὡς οὐχὶ τῶν τυχόντων ἁπτομένην πολιτῶν, τόν τε λύσανδρον ἐλοιδόρουν καὶ διεμαρτύραντο τοῖς ἐφόροις ἀποδιοπομπεῖσθαι πᾶν τὸ ἀργύριον καὶ τὸ χρυσίον, ὥσπερ κῆρας ἐπαγωγίμους. οἱ δὲ, προὔθεσαν γνώμην. καὶ θεόπομπος μέν φησι σκιραφίδαν. ἔφορος δὲ φλογίδαν εἶναι τὸν ἀποφηνάμενον, ὡς οὐ χρὴ προσδέχεσθαι νόμισμα χρυσοῦν καὶ ἀργυροῦν εἰς τὴν πόλιν. ἀλλὰ χρῆσθαι τῷ πατρίῳ. τοῦτο δὲ ἦν σιδηροῦν. πρῶτον μὲν ὄξει μεταβαπτόμενον ἐκ πυρός, ὅπως μὴ καταχαλκεύοιτο. ἀλλὰ διὰ τὴν βαφὴν ἄστομον καὶ ἀδρανὲς γένοιτο. ἔπειτα βαρύσταθμον καὶ δυσπαρακόμιστον καὶ ἀπὸ πολλοῦ τινὸς πλήθους καὶ ὄγκου, μικρὰν τινὰ ἀξίαν δυνάμενον. κινδυνεύει δὲ καὶ τὸ πάμπαν ἀρχαῖον οὕτως ἔχειν, ὀβελίσκοις χρωμένων νομίσμασι σιδηροῖς. ἐνίων δὲ χαλκοῖς. ἀφ' ὧν παραμένει πλῆθος ἔτι καὶ νῦν τῶν κερμάτων ὀβολοὺς καλεῖσθαι. δραχμὴν δὲ τοὺς ἓξ ὀβολούς, τοσούτων γὰρ ἡ χεὶρ περιεδράττετο. τῶν δὲ λυσάνδρου φίλων ὑπεναντιουμένων καὶ σπουδασάντων ἐν τῇ πόλει καταμεῖναι τὰ χρήματα, δημοσίᾳ μὲν ἔδοξεν εἰσάγεσθαι νόμισμα τοιοῦτον. ἂν δέ τις ἁλῷ κεκτημένος ἰδίᾳ, ζημίαν ὥρισαν θάνατον. ὥσπερ τοῦ λυκούργου τὸ νόμισμα φοβηθέντος, οὐ τὴν ἐπὶ τῷ νομίσματι φιλαργυρίαν, ἣν οὐκ ἀφῄρει τὸ μὴ κεκτῆσθαι τὸν ἰδιώτην, ὡς τὸ κεκτῆσθαι τὴν πόλιν εἰσεποίει τῆς χρείας ἀξίαν προσλαμβανούσης καὶ ζῆλον. οὐ γὰρ ἦν δημοσίᾳ τιμώμενον ὁρῶντας ἰδίᾳ καταφρονεῖν ὡς ἀχρήστου καὶ πρὸς τὰ οἰκεῖα νομίζειν ἑκάστῳ μηδενὸς ἄξιον πρᾶγμα, τὸ κοινῇ οὕτως εὐδοκιμοῦν καὶ ἀγαπώμενον. ἀλλὰ καὶ πολλῷ τάχιον ἀπὸ τῶν κοινῶν ἐπιτηδευμάτων ἐπιρρέουσιν οἱ ἐθισμοὶ τοῖς ἰδιωτικοῖς βίοις, ἢ τὰ καθ' ἕκαστον ὀλισθήματα καὶ πάθη τὰς πόλεις ἀναπίμπλησι πραγμάτων πονηρῶν. τῷ γὰρ ὅλῳ συνδιαστρέφεσθαι τὰ μέρη μᾶλλον, ὅταν ἐνδῷ πρὸς τὸ χεῖρον εἰκός. αἱ δὲ ἀπὸ μέρους εἰς ὅλον ἁμαρτίαι, πολλὰς ἀντιτάσεις καὶ βοηθείας ἀπὸ τῶν ὑγιαινόντων ἔχουσιν. οἱ δὲ, ταῖς μὲν οἰκίαις τῶν πολιτῶν ὅπως οὐ πάρεισιν εἰς αὐτὰς νόμισμα, τὸν φόβον ἐπέστησαν φύλακα καὶ τὸν νόμον. αὐτὰς δὲ τὰς ψυχὰς ἀνεκπλήκτους καὶ ἀπαθεῖς πρὸς ἀργύριον οὐ διετήρησαν, ἐμβαλόντες εἰς ζῆλον, ὡς σεμνοῦ δή τινος καὶ μεγάλου τοῦ πλουτεῖν ἅπαντας. περὶ μὲν οὖν τούτων καὶ δι' ἑτέρας που γραφῆς ἡψάμεθα λακεδαιμονίων. ὁ δὲ λύσανδρος ἔστησεν ἀπὸ τῶν λαφύρων ἐν δελφοῖς αὑτοῦ χαλκῆν εἰκόνα καὶ τῶν ναυάρχων ἑκάστου, καὶ χρυσοῦς ἀστέρας τῶν διοσκούρων, οἳ πρὸ τῶν λευκτρικῶν ἠφανίσθησαν. ἐν δὲ τῷ βρασίδου καὶ ἀκανθίων θησαυρῷ, τριήρης ἔκειτο διὰ χρυσοῦ πεποιημένη καὶ ἐλέφαντος δυοῖν πηχῶν. ἣν κῦρος αὐτῷ νικητήριον ἔπεμψεν. ἀλεξανδρίδης δὲ ὁ δελφὸς ἱστορεῖ καὶ παρακαταθήκην ἐνταῦθα λυσάνδρου κεῖσθαι τάλαντον ἀργυρίου καὶ μνᾶς πεντήκοντα δύο. καὶ πρὸς τούτοις ἕνδεκα στατῆρας, οὐχ ὁμολογούμενα γράφων τοῖς περὶ τῆς πενίας τοῦ ἀνδρὸς ὁμολογουμένοις. τότε δ' οὖν ὁ λύσανδρος ὅσον οὐδεὶς τῶν πρόσθεν ἑλλήνων δυνηθείς, ἐδόκει φρονήματι καὶ ὄγκῳ μείζονι κεχρῆσθαι τῆς δυνάμεως. πρώτῳ μὲν γὰρ ὡς ἱστορεῖ δοῦρις,

ἐκριφῆναι καὶ πεσεῖν. εἰ μὴ νὴ Δία πῦρ μὲν ἦν ὄντως τὸ φαινόμενον ἐπὶ πολλὰς ἡμέρας. σβέσις δὲ καὶ φθορὰ μεταβολὴν ἀέρι παρέσχεν, εἰς πνεύματα βιαιότερα καὶ κινήσεις, ὑφ' ὧν συνέτυχε καὶ τὸν λίθον ἐκριφῆναι. ταῦτα μὲν οὖν ἑτέρῳ γένει γραφῆς διακριβωτέον. ὁ δὲ Λύσανδρος ἐπὶ τῶν τρισχιλίων Ἀθηναίων οὓς ἔλαβεν αἰχμαλώτους ὑπὸ τῶν συνέδρων θάνατος κατέγνωστο, καλέσας Φιλοκλέα τὸν στρατηγὸν, ἠρώτησεν αὐτὸν τίνα τιμᾶται δίκην ἑαυτῷ, τοιαῦτα περὶ Ἑλλήνων συμβεβουλευκὼς τοῖς πολίταις. ὁ δὲ, οὐδέν τι πρὸς τὴν συμφορὰν ἐνδοὺς, ἐκέλευσε μὴ κατηγορεῖν ὧν οὐδείς ἐστι δικαστὴς, ἀλλὰ νικῶντα πράττειν, ἅπερ ἂν νικηθεὶς ἔπασχεν. εἶτα λουσάμενος, καὶ λαβὼν χλαμύδα λαμπρὰν, πρῶτος ἐπὶ τὴν σφαγὴν ἡγεῖτο τοῖς πολίταις, ὡς ἱστορεῖ Θεόφραστος. ἐκ δὲ τούτου πλέων ὁ Λύσανδρος ἐπὶ τὰς πόλεις, Ἀθηναίων μὲν οἷς ἐπιτύχοι, ἐκέλευε πάντας εἰς Ἀθήνας ἀπιέναι. φείσεσθαι γὰρ οὐδενὸς, ἀλλ' ἀποσφάξειν ὃν ἂν ἔξω λάβῃ τῆς πόλεως. ταῦτα δ' ἔπραττε καὶ συνήλαυνεν ἅπαντας εἰς τὸ ἄστυ βουλόμενος ἐν τῇ πόλει ταχὺ λιμὸν ἰσχυρὸν γενέσθαι καὶ σπάνιν, ὅπως μὴ πράγματα παράσχοιεν αὐτῷ τὴν πολιορκίαν εὐπόρως ὑπομένοντες. καταλύων δὲ τοὺς δήμους, καὶ τὰς ἄλλας πολιτείας, ἕνα μὲν ἁρμοστὴν ἑκάστῃ Λακεδαιμόνιον κατέλιπεν. δέκα δὲ ἄρχοντας ἐκ τῶν ὑπ' αὐτοῦ συγκεκροτημένων, κατὰ πόλιν ἑταιρειῶν. καὶ ταῦτα πράττων ὁμοίως ἔν τε ταῖς πολεμίαις καὶ ταῖς συμμάχοις γεγενημέναις πόλεσι, παρέπλει σχολαίως τρόπον τινὰ κατασκευαζόμενος ἑαυτῷ τὴν τῆς Ἑλλάδος ἡγεμονίαν. οὔτε γὰρ ἀριστίνδην, οὔτε πλουτίνδην ἀπεδείκνυε τοὺς ἄρχοντας. ἀλλὰ ἑταιρείαις καὶ ξενίαις χαριζόμενος τὰ πράγματα καὶ κυρίους ποιῶν τιμῆς τε καὶ κολάσεως. πολλαῖς δὲ παραγινόμενος αὐτὸς σφαγαῖς καὶ συνεκβάλλων τοὺς τῶν φίλων ἐχθροὺς, οὐκ ἐπιεικὲς ἐδίδου τοῖς Ἕλλησι δεῖγμα τῆς Λακεδαιμονίων ἀρχῆς. ἀλλὰ καὶ ὁ κωμικὸς Θεόπομπος ἔοικε ληρεῖν ἀπεικάζων τοὺς Λακεδαιμονίους ταῖς καπηλίσιν, ὅτι τοὺς Ἕλληνας ἥδιστον ποτὸν τῆς ἐλευθερίας γεύσαντες, ὄξος ἐνέχεαν. εὐθὺς γὰρ ἦν τὸ γεῦμα δυσχερὲς καὶ πικρόν. οὔτε τοὺς δήμους κυρίους τῶν πραγμάτων ἐῶντος εἶναι τοῦ Λυσάνδρου, καὶ τῶν ὀλίγων τοῖς θρασυτάτοις καὶ φιλονεικοτάτοις τὰς πόλεις ἐγχειρίζοντος. διατρίψας δὲ περὶ ταῦτα χρόνον οὐ πολὺν καὶ προπέμψας εἰς Λακεδαίμονα τοὺς ἀπαγγελοῦντας ὅτι προσπλεῖ μετὰ νεῶν διακοσίων, συνέμιξε περὶ τὴν Ἀττικὴν, Ἄγιδι καὶ Παυσανίᾳ τοῖς βασιλεῦσιν, ὡς ταχὺ συναιρήσων τὴν πόλιν. ἐπεὶ δὲ ἀντεῖχον οἱ Ἀθηναῖοι, λαβὼν τὰς ναῦς, πάλιν εἰς Ἀσίαν διεπέρασεν. καὶ τῶν μὲν ἄλλων πόλεων ὁμαλῶς ἁπασῶν κατέλυε τὰς πολιτείας καὶ καθίστη δεκαδαρχίας. πολλῶν μὲν ἐν ἑκάστῃ σφαττομένων, πολλῶν δὲ φευγόντων, Σαμίους δὲ πάντας ἐκβαλὼν, παρέδωκε τοῖς φυγάσι τὰς πόλεις. Σηστὸν δὲ Ἀθηναίων ἐχόντων, ἀφελόμενος, οὐκ εἴασεν οἰκεῖν Σηστίους. ἀλλὰ τοῖς γενομένοις ὑπ' αὐτῷ κυβερνήταις καὶ κελευσταῖς, ἔδωκε τὴν πόλιν καὶ τὴν χώραν νέμεσθαι. πρὸς ὃ καὶ πρῶτον ἀντέκρουσαν οἱ Λακεδαιμόνιοι καὶ τοὺς Σηστίους αὖθις ἐπὶ τὴν χώραν κατήγαγον. ἀλλ' ἐκεῖνά γε τοῦ Λυσάνδρου, πάντες ἡδέως ἑώρων οἱ Ἕλληνες, Αἰγινήτας τε διὰ πολλοῦ χρόνου τὴν αὐτῶν πόλιν ἀπολαμβάνοντας. καὶ Μηλίους καὶ Σκιωναίους ὑπ' αὐτοῦ συνοικιζομένους ἐξελαυνομένων Ἀθηναίων καὶ τὰς πόλεις ἀποδιδόντων. ἤδη δὲ καὶ τοὺς ἐν ἄστει κακῶς ἔχειν ὑπὸ λιμοῦ πυνθανόμενος, κατέπλευσεν εἰς τὸν Πειραιᾶ. καὶ παρεστήσατο τὴν πόλιν ἀναγκασθεῖσαν, ἐφ' οἷς ἐκεῖνος ἐκέλευε ποιήσασθαι τὰς διαλύσεις. καίτοι Λακεδαιμονίων ἐστὶν ἀκοῦσαι λεγόντων, ὡς Λύσανδρος μὲν ἔγραψε τοῖς ἐφόροις τάδε. ἑάλωκαντι ταὶ Ἀθᾶναι. Λυσάνδρῳ δὲ, ἀντέγραψαν οἱ ἔφοροι. ἀρκεῖ τό γε ἑαλωκέναι. ἀλλ' εὐπρεπείας χάριν οὗτος ὁ λόγος πέπλασται. τὸ δ' ἀληθινὸν δόγμα τῶν ἐφόρων, οὕτως » εἶχε. τάδε τὰ τέλη τῶν Λακεδαιμονίων ἔγνω. καββαλόντες τὸν Πειραιᾶ, καὶ τὰ μακρὰ σκέλη, καὶ ἐκ» βάντες ἐκ πασῶν τῶν πόλεων, τὰν αὐτῶν γᾶν ἔχοντες. ταῦτα κα δρῶντες τὰν εἰράναν ἔχοιτε. αἰ χρῄ» δοιτε. καὶ τοὺς φυγάδας ἀνέντες περὶ τᾶν ναῶν τῶ πλήθεος, οἰκεῖόν τι κατῆνι δοκέοι, ταῦτα ποιέετε. ταύτην δὲ προσεδέξαντο τὴν σκυτάλην οἱ Ἀθηναῖοι, Θηραμένους τοῦ Ἅγνωνος συμβουλεύσαντος. ὅτε καί φασιν ὑπὸ τῶν νέων τινὸς δημαγωγῶν Κλεομένους ἐρωτώμενον, εἰ τολμᾷ τἀναντία Θεμιστοκλεῖ πράττειν καὶ λέγειν, παραδιδοὺς τὰ τείχη τοῖς Λακεδαιμονίοις, ἃ Λακεδαιμονίων ἀκόντων, ἐκεῖνος ἀνέστησεν, εἰπεῖν. ἀλλ' οὐδὲν ὦ μειράκιον ὑπεναντίον ἐγὼ πράττω Θεμιστοκλεῖ. τὰ γὰρ αὐτὰ τείχη κἀκεῖνος ἐπὶ σωτηρίᾳ τῶν πολιτῶν ἀνέστησε. καὶ ἡμεῖς ἐπὶ σωτηρίᾳ καταβαλοῦμεν. εἰ δὲ τὰ τείχη τὰς πόλεις εὐδαίμονας ἐποίει, πασῶν ἔδει πράττειν κάκιστα τὴν Σπάρτην ἀτείχιστον οὖσαν. ὁ δ' οὖν Λύσανδρος ὡς παρέλαβε τάς τε ναῦς ἁπάσας πλὴν δώδεκα. καὶ τὰ τείχη τῶν Ἀθηναίων ἕκτῃ ἐπὶ δεκάτῃ Μουνυχιῶνος μηνὸς, ἐν ᾗ καὶ τὴν ἐν Σαλαμῖνι ναυμαχίαν ἐνίκων τὸν βάρβαρον, ἐβούλευσεν εὐθὺς καὶ τὴν πολιτείαν μεταστῆσαι. δυσπειθῶς δὲ καὶ τραχέως φερόντων, ἀποστείλας πρὸς τὸν δῆμον ἔφη, τὴν πόλιν εἰληφέναι παρασπονδοῦσαν. ἑστάναι γὰρ τὰ τείχη τῶν ἡμερῶν, ἐν αἷς ἔδει καθῃρῆσθαι παρῳχημένων. ἑτέραν οὖν ἐξ ἀρχῆς προθήσειν γνώμην περὶ αὐτῶν ὡς τὰς ὁμολογίας λελυκότων. ἔνιοι δὲ καὶ προτεθῆναί φασιν ὡς ἀληθῶς ὑπὲρ ἀνδραποδισμοῦ γνώμην ἐν τοῖς συμμάχοις. ὅτε καὶ τὸν Θηβαῖον Ἐρίανθον εἰσηγήσασθαι, τὸ μὲν ἄστυ κατασκάψαι, τὴν δὲ χώραν ἀνεῖναι μηλόβοτον. εἶτα μέντοι συνουσίας γενομένης τῶν ἡγεμόνων παρὰ πότον, καί τινες Φωκέως ᾄσαντες ἐκ

οὐδ' ἀσφαλῶς στρατοπεδεύειν ἐν αἰγιαλοῖς δυσόρμοις καὶ ἀναπεπταμένοις. ἔπειτα πόρρωθεν ἐκ σηστοῦ τὰ ἐπιτήδεια λαμβάνοντας, ἁμαρτάνειν. δέον, εἰς λιμένα καὶ πόλιν ἐγγὺς δι' ὀλίγου περιπλεύσαντας ἀπωτέρω γενέσθαι τῶν πολεμίων ἐφορμούντων στρατεύματι μοναρχουμένῳ, καὶ πάντα πρὸς φόβον ὀξέως ἀπὸ συνθήματος ὑπηρετοῦντι. ταῦτα δὲ αὐτοῦ διδάσκοντος, οὐκ ἐπείθοντο. τυδεὺς δὲ καὶ πρὸς ὕβριν ἀπεκρίνατο, φήσας οὐκ ἐκεῖνον, ἀλλ' ἑτέρους στρατηγεῖν. ὁ μὲν οὖν ἀλκιβιάδης ὑπονοήσας τι καὶ προδοσίας ἐν αὐτοῖς, ἀπηλλάττετο. πέμπτῃ δὲ ἡμέρᾳ τῶν ἀθηναίων ἐπιπλευσαμένων τὸν ἐπίπλουν καὶ πάλιν ἀπερχομένων ὥσπερ εἰώθεσαν, ὀλιγώρως πάνυ καὶ καταφρονητικῶς, ὁ λύσανδρος ἐκπέμπων τὰς κατασκόπους ναῦς ἐκέλευσε τοὺς τριηράρχους, ὅταν ἴδωσι τοὺς ἀθηναίους ἐκβεβηκότας, ἐλαύνειν ἀποστρέψαντας ὀπίσω τάχει παντί. καὶ γενομένους κατὰ μέσον τὸν πόρον, ἀσπίδα χαλκῆν ἐπάρασθαι πρῴραθεν, ἐπίπλου σύμβολον. αὐτὸς δὲ τοὺς κυβερνήτας καὶ τριηράρχους ἐπιπλέων ἀνεκαλεῖτο καὶ παρώρμα, συνέχειν ἕκαστον ἐν τάξει τὸ πλήρωμα καὶ τοὺς ναύτας καὶ τοὺς ἐπιβάτας. ὅταν δὲ σημανθῇ, μετὰ προθυμίας καὶ ῥώμης ἐλαύνειν ἐπὶ τοὺς πολεμίους. ὡς δὲ ἥ τε ἀσπὶς ἀπὸ τῶν νεῶν ἤρθη. καὶ τῇ σάλπιγγι τὴν ἀναγωγὴν ἐσήμαινεν ἀπὸ τῆς ναυαρχίδος, ἐπέπλεον μὲν αἱ νῆες, ἡμιλλῶντο δὲ οἱ πεζοὶ παρὰ τὸν αἰγιαλὸν ἐπὶ τὴν ἄκραν. τὸ δὲ μεταξὺ τῶν ἠπείρων διάστημα, ταύτῃ, πεντεκαίδεκα σταδίων ἐστί. καὶ ταχέως ὑπὸ σπουδῆς καὶ προθυμίας τῶν ἐλαυνόντων, συνῄρητο. κόνων δὲ πρῶτος ὁ τῶν ἀθηναίων στρατηγὸς ἀπὸ τῆς γῆς ἰδὼν ἐπιπλέοντα τὸν στόλον, ἐξαίφνης ἀνεβόησεν ἐμβαίνειν. καὶ περιπαθῶν τῷ κακῷ, τοὺς μὲν ἐκάλει, τῶν δὲ ἐδεῖτο, τοὺς δὲ ἠνάγκαζε πληροῦν τὰς τριήρεις. ἦν δὲ οὐδὲν ἔργον αὐτοῦ τῆς σπουδῆς ἐσκεδασμένων τῶν ἀνθρώπων. ὡς γὰρ ἐξέβησαν, εὐθὺς ἅτε μηδὲν προσδοκῶντες, ἠγόραζον, ἐπλανῶντο περὶ τὴν χώραν. ἐκάθευδον ὑπὸ ταῖς σκηναῖς, ἠριστοποιοῦντο. πορρωτάτω τοῦ μέλλοντος ἀπειρίᾳ τῶν ἡγουμένων ὄντες. ἤδη δὲ κραυγῇ καὶ ῥοθίῳ προσφερομένων τῶν πολεμίων, ὁ μὲν κόνων ὀκτὼ ναυσὶν ὑπεξέπλευσε, καὶ διαφυγὼν ἀπέδρασεν εἰς τὴν κύπρον πρὸς εὐαγόραν. ταῖς δὲ ἄλλαις ἐπιπεσόντες οἱ πελοποννήσιοι, τὰς μὲν, κενὰς παντάπασιν ᾕρουν. τὰς δ' ἔτι πληρουμένας, ἔκοπτον. οἱ δὲ ἄνθρωποι, πρός τε ταῖς ναυσὶν ἀπέθνησκον, ἄνοπλοι καὶ σποράδες ἐπιβοηθοῦντες. ἔν τε τῇ γῇ φεύγοντες ἀποβάντων τῶν πολεμίων, ἐκτείνοντο. λαμβάνει δὲ ὁ λύσανδρος τρισχιλίους ἄνδρας αἰχμαλώτους μετὰ τῶν στρατηγῶν. ἅπαν δὲ τὸ ναύσταθμον, ἄνευ τῆς παράλου καὶ τῶν μετὰ κόνωνος ἐκφυγουσῶν. ἀναδησάμενος δὲ τὰς ναῦς καὶ διαπορθήσας τὸ στρατόπεδον, μετ' αὐλοῦ καὶ παιάνων, ἀνέπλευσεν εἰς λάμψακον. ἔργον ἐλαχίστῳ πόνῳ μέγιστον ἐξειργασμένος. καὶ συνῃρηκὼς ὥρᾳ μιᾷ χρόνον μήκιστον καὶ ποικιλώτατον πάθεσί τε καὶ τύχαις ἀπιστότατον τῶν πρὸ αὐτοῦ πολέμων. ὃς μυρίας μορφὰς ἀγώνων καὶ πραγμάτων μεταβολὰς ἀμείψας, καὶ στρατηγοὺς ὅσους οὐδὲ οἱ σύμπαντες οἱ πρὸ αὐτοῦ τῆς ἑλλάδος ἀναλώσας, ἑνὸς ἀνδρὸς εὐβουλίᾳ καὶ δεινότητι συνῄρητο. διὸ καὶ θεῖον τινὲς ἡγοῦντο τοῦτο τὸ ἔργον. ἦσαν δέ τινες οἳ τοὺς διοσκόρους ἐπὶ τῆς λυσάνδρου νεὼς ἑκατέρωθεν ὅτε τοῦ λιμένος ἐξέπλει πρῶτον ἐπὶ τοὺς πολεμίους, ἄστρα τοῖς οἴαξιν ἐπιλάμψαι λέγοντες. οἱ δὲ, καὶ τὴν τοῦ λίθου πτῶσιν, ἐπὶ τῷ πάθει τούτῳ σημεῖον φασὶ γενέσθαι. κατηνέχθη γὰρ ὡς ἡ δόξα τῶν πολλῶν, ἐξ οὐρανοῦ παμμεγέθης λίθος ὡς αἰγὸς ποταμούς. καὶ δείκνυται μὲν ἔτι νῦν σεβομένων αὐτὸν τῶν χερρονησιτῶν. λέγεται δὲ ἀναξαγόραν προειπεῖν ὡς τῶν κατὰ τὸν οὐρανὸν ἐνδεδεμένων σωμάτων, γενομένου τινὸς ὀλισθήματος ἢ σάλου, ῥῖψις ἔσται καὶ πτῶσις ἑνὸς ἀπορραγέντος. εἶναι δὲ καὶ τῶν ἄστρων ἕκαστον, οὐκ ἐν ᾗ πέφυκε χώρᾳ. λιθώδη γὰρ ὄντα καὶ βαρέα, λάμπειν μὲν ἀντερείσει καὶ περικλάσει τοῦ αἰθέρος. ἕλκεσθαι δὲ ὑπὸ βίας σφιγγόμενα δίνῃ καὶ τόνῳ τῆς περιφορᾶς, ὥς που καὶ τὸ πρῶτον ἐκρατήθη μὴ πεσεῖν δεῦρο τῶν ψυχρῶν καὶ βαρέων ἀποκρινομένων τοῦ παντός. ἔστι δέ τις πιθανωτέρα δόξα ταύτης, εἰρηκότων ἐνίων ὡς οἱ διάττοντες ἀστέρες, οὐ ῥύσεις εἰσὶν, οὐδ' ἐπινεμήσεις αἰθερίου πυρὸς ἐν ἀέρι κατασβεννυμένου περὶ τὴν ἔξαψιν αὐτὴν, οὐδὲ ἀέρος εἰς τὴν ἄνω χώραν πλήθει λυθέντος, ἔκπρησις καὶ ἀνάφλεξις. ῥῖψις δὲ καὶ πτῶσις οὐρανίων σωμάτων, οἷον ἐνδόσει τινὶ τόνου καὶ παραφόρου κινήσεως, ἐκπαλμῶν φερομένων οὐ πρὸς τὸν οἰκούμενον τόπον τῆς γῆς, ἀλλὰ τῶν πλείστων ἐκτὸς, εἰς τὴν μεγάλην ἐκπιπτόντων θάλατταν. διὸ καὶ λανθάνουσι. τῷ δὲ ἀναξαγόρᾳ μαρτυρεῖ καὶ δαΐμαχος ἐν τοῖς περὶ εὐσεβείας ἱστορῶν, ὅτι πρὸ τοῦ πεσεῖν τὸν λίθον ἐφ' ἡμέρας ἑβδομήκοντα καὶ πέντε, συνεχῶς κατὰ τὸν οὐρανὸν ἑωρᾶτο πύρινον σῶμα παμμεγέθες, ὥσπερ νέφος φλογοειδὲς, οὐ σχολάζον, ἀλλὰ πολυπλόκους καὶ κεκλασμένας φορὰς φερόμενον, ὡς τὰ ὑπὸ σάλου καὶ πλάνης ἀπορρηγνύμενα πυροειδῆ σπάσματα φέρεσθαι πολλαχοῦ καὶ ἀστράπτειν, ὥσπερ οἱ διάττοντες ἀστέρες. ἐπεὶ δὲ ἐνταῦθα τῆς γῆς ἔβρισε, καὶ παυσάμενοι φόβου καὶ θάμβους οἱ ἐπιχώριοι συνῆλθον, ὤφθη πυρὸς μὲν οὐδὲν ἔργον, οὐδ' ἴχνος τοσοῦτον. λίθος δὲ κείμενος ἄλλως μὲν μέγας. οὐθὲν δὲ μέρος ὡς εἰπεῖν ἐκείνης τῆς πυροειδοῦς περιοχῆς ἔχων. ὅτι μὲν οὖν εὐγνωμόνων ὁ δαΐμαχος ἀκροατῶν δεῖται, δῆλός ἐστιν. εἰ δὲ ἀληθὴς ὁ λόγος, ἐξελέγχει κατὰ κράτος τοὺς φάσκοντας ἔκ τινος ἀκρωρείας ἀπὸ κατασείσεως πνεύμασι καὶ ζάλαις πέτραν, ὑπαρθεῖσαν δὲ ὥσπερ οἱ στρόβιλοι καὶ φερομένην ᾗ πρῶτον ἐνέδωκε, καὶ διελύθη τὸ περιδινοῦσαν,

πολ.

ἐπιστολεὺς ὁ ἐπὶ τῷ στόλῳ διάδοχος τοῦ ναυάρχ.

αὐτὰ καὶ κῦρος ἀξιῶν ἐπέστελλεν. ἐπεὶ δὲ νόμος ἦν οὐκ ἐῶν δὶς τὸν αὐτὸν ναυαρχεῖν, ἐβούλοντό τε χαρίζεσθαι τοῖς συμμάχοις οἱ λακεδαιμόνιοι, τὸ μὲν ὄνομα τῆς ναυαρχίας ἀράκῳ τινὶ περιέθεσαν. τὸν δὲ λύσανδρον ἐπιστολέα τῷ λόγῳ. τῷ δὲ ἔργῳ, κύριον ἁπάντων ἐξέπεμψαν. τοῖς μὲν οὖν πλείστοις τῶν πολιτευομένων καὶ δυναμένων ἐν ταῖς πόλεσι, πάλαι ποθούμενος ἧκεν. ἤλπιζον γὰρ ἔτι μᾶλλον ἰσχύσειν δι᾽ αὐτοῦ, παντάπασι τῶν δήμων καταλυθέντων, τοῖς δὲ τὸ ἁπλοῦν καὶ γενναῖον ἀγαπῶσι τῶν ἡγεμόνων τρόπον, ὁ λύσανδρος τῷ καλλικρατίδᾳ παραβαλλόμενος, ἐδόκει πανοῦργος εἶναι καὶ σοφιστής, ἀπάταις τὰ πολλὰ διαποικίλλων τοῦ πολέμου, καὶ τὸ δίκαιον ἐπὶ τῷ λυσιτελοῦντι μεγαλύνων. εἰ δὲ μή, τῷ συμφέροντι χρώμενος ὡς καλῷ. καὶ τὸ ἀληθὲς οὐ φύσει τοῦ ψεύδους κρεῖττον ἡγούμενος, ἀλλ᾽ ἑκατέρου τῇ χρείᾳ τὴν τιμὴν ὁρίζων. τῶν δ᾽ ἀξιούντων μὴ πολεμεῖν μετὰ δόλου τοὺς ἀφ᾽ ἡρακλέους γεγονότας, καταγελᾶν ἐκέλευεν. ὅπου γὰρ ἡ λεοντῆ μὴ ἐφικνεῖται, προσραπτέον ἐκεῖ τὴν ἀλωπεκῆν. τοιαῦτα δὲ αὐτοῦ καὶ τὰ περὶ μίλητον ἱστορεῖται. τῶν γὰρ φίλων καὶ ξένων οἷς ὑπέσχετο συγκαταλύσειν τε τὸν δῆμον, καὶ συνεκβαλεῖν τοὺς διαφόρους, μεταβαλομένων καὶ διαλλαγέντων τοῖς ἐχθροῖς, φανερῶς μὲν ἥδεσθαι προσεποιεῖτο καὶ συνδιαλλάττειν. κρύφα δὲ λοιδορῶν αὐτοὺς καὶ κακίζων, παρώξυνεν ἐπιθέσθαι τοῖς πολλοῖς. ὡς δὲ ᾔσθετο πυνθανόμενος τὴν ἐπανάστασιν, ὀξέως βοηθήσας καὶ παρελθὼν εἰς τὴν πόλιν, οἷς πρώτοις ἐπετύγχανε τῶν νεωτεριζόντων, ἐχαλέπαινε τῇ φωνῇ καὶ προσῆγε τραχυνόμενος, ὡς ἐπιθήσων δίκην αὐτοῖς. τοὺς δὲ ἄλλους, ἐκέλευε θαρρεῖν, καὶ μηδὲν ἔτι προσδοκᾶν δεινὸν, αὐτοῦ παρόντος. ὑπεκρίνετο δὲ ταῦτα καὶ διεποίκιλλε, τοὺς δημοτικωτάτους καὶ κρατίστους βουλόμενος μὴ φεύγειν, ἀλλ᾽ ἀποθανεῖν ἐν τῇ πόλει μείναντας. ὃ καὶ συνέβη. πάντες γὰρ ἀπεσφάγησαν οἱ καταπιστεύσαντες. ἀπομνημονεύεται δὲ ὑπὸ ἀνδροκλείδου λόγος, πολλὴν εἶναι κατηγορῶν τοῦ λυσάνδρου, περὶ τοὺς ὅρκους εὐχέρειαν. ἐκέλευε γὰρ ὥς φασι, τοὺς μὲν παῖδας ἀστραγάλοις. τοὺς δὲ ἄνδρας, ὅρκοις ἐξαπατᾶν. ἀπομιμούμενος, πολυκράτη τὸν σάμιον, οὐκ ὀρθῶς τύραννον στρατηγός. οὐδὲ λακωνικὸν τὸ χρῆσθαι τοῖς θεοῖς ὥσπερ τοῖς πολεμίοις. μᾶλλον δὲ ὑβριστικώτερον. ὁ γὰρ ὅρκῳ παρακρουόμενος, τὸν μὲν ἐχθρὸν, ὁμολογεῖ δεδιέναι. τοῦ δὲ θεοῦ καταφρονεῖν. ὁ δ᾽ οὖν κῦρος εἰς σάρδεις μεταπεμψάμενος τὸν λύσανδρον, τὰ μὲν, ἔδωκε. τὰ δὲ, ὑπέσχετο. νεανιευσάμενος εἰς τὴν ἐκείνου χάριν. καὶ εἰ μηδὲν ὁ πατὴρ διδοίη καταχορηγήσειν τὰ οἰκεῖα. κἂν ἐπιλίπῃ πάντα, κατακόψειν ἔφη τὸν θρόνον ἐφ᾽ ᾧ καθήμενος ἐχρημάτιζε, χρυσοῦν καὶ ἀργυροῦν ὄντα. τέλος δὲ εἰς μηδίαν ἀναβαίνων πρὸς τὸν πατέρα, τούς τε φόρους ἀπέδειξε τῶν πόλεων, λαμβάνειν ἐκεῖνον. καὶ τὴν αὐτοῦ διεπίστευσεν ἀρχήν. ἀσπασάμενος δὲ καὶ δεηθεὶς μὴ ναυμαχεῖν ἀθηναίοις πρὶν αὐτὸν ἀφικέσθαι πάλιν. ἀφίξεσθαι δὲ ναῦς ἔχοντα πολλὰς ἔκ τε φοινίκης καὶ κιλικίας, ἀνέβαινεν ὡς βασιλέα. λύσανδρος δὲ μήτε ναυμαχεῖν ἀγχωμάλῳ πλήθει δυνάμενος, μήτε ἀργὸς καθῆσθαι μετὰ νεῶν τοσούτων, ἀναχθεὶς ἐνίας προσηγάγετο τῶν νήσων, αἴγιναν τε καὶ σαλαμῖνα προσμίξας κατέδραμεν. εἰς δὲ τὴν ἀττικὴν ἀποβὰς, καὶ τὸν ἆγιν ἀσπασάμενος, κατέβη γὰρ ἐκ δεκελείας πρὸς αὐτὸν ἐπιλέξαι τῷ πεζῷ παρόντι τὴν τοῦ ναυτικοῦ ῥώμην, ὡς πλέοι ᾗ βούλοιτο κρατῶν τῆς θαλάττης. οὐ μὴν ἀλλὰ τοὺς ἀθηναίους διώκοντας αὐτὸν, ἄλλῳ δρόμῳ διὰ νήσων, ἔφυγεν εἰς τὴν ἀσίαν. καὶ τὸν ἑλλήσποντον ἔρημον καταλαβὼν, ἐπεχείρει λαμψακηνοῖς αὐτὸς ἐκ θαλάττης ταῖς ναυσί. θώραξ δὲ τῷ πεζῷ στρατῷ συνακούσας, εἰς ταὐτὸ προσέβαλε τοῖς τείχεσι. ἑλὼν δὲ τὴν πόλιν κατὰ κράτος, διαρπάσαι τοῖς στρατιώταις ἔδωκεν. ὁ δὲ τῶν ἀθηναίων στόλος ὀγδοήκοντα καὶ ἑκατὸν τριήρων, ἐτύγχανε μὲν ἄρτι καθωρμισμένος εἰς ἐλαιοῦντα τῆς χερρονήσου. πυνθανόμενοι δὲ ἀπολωλέναι τὴν λάμψακον, εὐθὺς εἰς σηστὸν καταίρουσι, κἀκεῖθεν ἐπισιτισάμενοι, παρέπλευσαν εἰς αἰγὸς ποταμοὺς, ἀντιπέρας τῶν πολεμίων ἔτι ναυλοχούντων, περὶ τὴν λάμψακον. ἐστρατήγουν δὲ τῶν ἀθηναίων, ἄλλοι τε πλείους, καὶ φιλοκλῆς ὁ πείσας ποτὲ ψηφίσασθαι τὸν δῆμον, ἀποκόπτειν τὸν δεξιὸν ἀντίχειρα τῶν ἁλισκομένων κατὰ πόλεμον. ὅπως δόρυ μὲν φέρειν μὴ δύνωνται. κώπην δὲ ἐλαύνωσι. τότε μὲν οὖν ἀνεπαύοντο πάντες, ἐλπίζοντες εἰς τὴν ὑστεραίαν ναυμαχήσειν. ὁ δὲ λύσανδρος ἄλλα μὲν διενοεῖτο. προσέταττε δὲ ναύταις καὶ κυβερνήταις, ὡς ἀγῶνος ἅμα ἡμέρᾳ γενησομένου περὶ ὄρθρον, ἐμβαίνειν εἰς τὰς τριήρεις καὶ καθέζεσθαι κόσμῳ καὶ σιωπῇ, δεχομένους τὸ παραγγελλόμενον. ὡσαύτως, καὶ τὸ πεζὸν ἐν τάξει παρὰ τὴν θάλατταν ἡσυχάζειν. ἀνίσχοντος δὲ τοῦ ἡλίου, καὶ τῶν ἀθηναίων μετωπηδὸν ἁπάσαις ἐπιπλεόντων, καὶ προκαλουμένων, ἀντιπρώρους ἔχων τὰς ναῦς καὶ πεπληρωμένας, ἔτι νυκτὸς οὐκ ἀνήγετο. πέμπων δὲ ὑπηρετικὰ παρὰ τὰς πρώτας τῶν νεῶν, ἀτρεμεῖν ἐκέλευε, καὶ μένειν ἐν τάξει, μὴ θορυβουμένους μηδ᾽ ἀντεκπλέοντας. οὕτω δὲ περὶ δείλην ἀποπλεόντων ὀπίσω τῶν ἀθηναίων, οὐ πρότερον ἐκ τῶν νεῶν τοὺς στρατιώτας ἀφῆκεν, ἂν μὴ δύο ἢ τρεῖς τριήρεις, ἃς ἔπεμψε κατασκόπους ἐλθεῖν, ἰδούσας ἀποβεβηκότας τοὺς πολεμίους. τῇ δ᾽ ὑστεραίᾳ πάλιν ἐγίνοντο ταὐτὰ. καὶ τῇ τρίτῃ μέχρι τετάρτης. ὥστε πολὺ τοῖς ἀθηναίοις ἐγγενέσθαι θάρσος καὶ καταφρόνησιν, ὡς δεδιότων καὶ συνεσταλμένων τῶν πολεμίων. ἐν τούτῳ δὲ ἀλκιβιάδης, ἐτύγχανε γὰρ περὶ χερρόνησον ἐν τοῖς ἑαυτοῦ τείχεσι διατώμενος, ἵππῳ προσελάσας πρὸς τὸ στράτευμα τῶν ἀθηναίων, ᾐτιᾶτο τοὺς στρατηγοὺς, πρῶτον μὲν οὐ καλῶς,

ἐπιδεῖξαι. ἴσ.

νήσων

De hoc loco meminit in Alcibiade. &c. Plinius l. iiij. uidetur uelle locum hunc fluuium esse. Stephanus ciuitatem facit.

π̄ nō ht διαι. π.

κενὰς

τῶν ναυτῶν, ὀβολόν. ὅπως τετρώβολον, ἀντὶ τριωβόλου λαμβάνωσιν. ἡσθεὶς οὖν ὁ κῦρος, ἐπὶ τῇ φιλοτιμίᾳ τοῦ ἀνδρός, μυρίους αὐτῷ δαρεικοὺς ἔδωκεν. ἐξ ὧν ἐπιμετρήσας τὸν ὀβολὸν τοῖς ναύταις, καὶ λαμπρυνάμενος, ὀλίγῳ χρόνῳ τὰς ναῦς τῶν πολεμίων, καινὰς ἐποίησεν. ἀπεφοίτων γὰρ οἱ πολλοὶ πρὸς τοὺς πλέον διδόντας. οἱ δὲ μένοντες ἀπρόθυμοι καὶ στασιώδεις ἐγίνοντο. καὶ κακὰ παρεῖχον ὁσημέραι τοῖς στρατηγοῖς. οὐ μὴν ἀλλὰ καίπερ οὕτως περισπάσας καὶ κακώσας τοὺς πολεμίους ὁ λύσανδρος, ὤκνει ναυμαχεῖν, δραστήριον ὄντα τὸν ἀλκιβιάδην. καὶ νεῶν πλήθει περιόντα. καὶ μάχας καὶ κατὰ γῆν, καὶ κατὰ θάλατταν εἰς ἐκεῖνο χρόνου πάσας ἀήττητον ἠγωνισμένον δεδοικώς. ἐπεὶ δὲ ὁ μὲν ἀλκιβιάδης εἰς φώκεαν ἐκ σάμου διέπλευσεν, ἐπὶ τοῦ στόλου καταλιπὼν ἀντίοχον τὸν κυβερνήτην. ὁ δὲ ἀντίοχος οἷον, ἐφυβρίζων τῷ λυσάνδρῳ, καὶ θρασυνόμενος, εἰσέπλευσε δυσὶ τριήρεσιν εἰς τὸν λιμένα τῶν ἐφεσίων. καὶ παρὰ τὸν ναύσταθμον γέλωτι καὶ πατάγῳ χρώμενος σοβαρῶς παρήλαυνεν, ἀγανακτήσας ὁ λύσανδρος καὶ κατασπάσας, τὸ πρῶτον οὐ πολλὰς τῶν τριήρων, ἐδίωκεν αὐτόν, ἰδὼν δὲ αὖ τοὺς ἀθηναίους βοηθοῦντας, ἄλλας ἐπλήρου. καὶ τέλος, ἐναυμάχουν συμπεσόντες. ἐνίκα δὲ λύσανδρος. καὶ πεντεκαίδεκα τριήρεις λαβών, ἔστησε τρόπαιον. ἐπὶ τούτῳ τὸν ἀλκιβιάδην ὁ μὲν ἐν ἄστει δῆμος ὀργισθείς, ἀπεχειροτόνησεν, ὑπὸ δὲ τῶν ἐν σάμῳ στρατιωτῶν ἀτιμαζόμενος καὶ κακῶς ἀκούων, ἀπέπλευσεν εἰς χερρόνησον ἐκ τοῦ στρατοπέδου. ταύτην μὲν οὖν τὴν μάχην καίπερ οὐ μεγάλην τῇ πράξει γενομένην, ἡ τύχη δι' ἀλκιβιάδην ὀνομαστὴν ἐποίησεν. ὁ δὲ λύσανδρος ἀπὸ τῶν πόλεων εἰς ἔφεσον μεταπεμπόμενος οὓς ἑώρα μάλιστα ταῖς τε τόλμαις καὶ τοῖς φρονήμασιν ὑπὲρ τοὺς πολλοὺς ὄντας, ἀρχὰς ὑπέσπειρε τῶν ὕστερον ἐπ' αὐτοῦ γενομένων δεκαδαρχιῶν καὶ νεωτερισμῶν. προτρέπων καὶ παροξύνων ἑταιρικὰ συνίστασθαι, καὶ προσέχειν τὸν νοῦν τοῖς πράγμασιν. ὡς ἅμα τῷ καταλυθῆναι τοὺς ἀθηναίους, τῶν τε δήμων ἀπαλλαξομένους, καὶ δυναστεύσοντας ἐν ταῖς πατρίσι. τούτων δὲ τὴν πίστιν ἑκάστῳ δι' ἔργων παρεῖχε, τοὺς ἤδη γεγονότας φίλους αὐτῷ καὶ ξένους, εἰς μεγάλα πράγματα καὶ τιμὰς καὶ στρατηγίας ἀνάγων. καὶ συναδικῶν καὶ συνεξαμαρτάνων αὐτός, ὑπὲρ τῆς ἐκείνων πλεονεξίας. ὥστε προσέχειν ἅπαντας αὐτῷ καὶ χαρίζεσθαι καὶ ποθεῖν. ἐλπίζοντας οὐδενὸς ἀτυχήσειν τῶν μεγίστων, ἐκείνου κρατοῦντος. διὸ καὶ καλλικρατίδαν οὔτ' εὐθὺς ἡδέως εἶδον ἐλθόντα τῷ λυσάνδρῳ διάδοχον τῆς ναυαρχίας, οὔτε, ὡς ὕστερον, διδοὺς καὶ πεῖραν ἀνὴρ ἐφαίνετο πάντων ἄριστος καὶ δικαιότατος, ἠρέσκοντο τῷ τρόπῳ τῆς ἡγεμονίας, ἁπλοῦν τι καὶ δώριον ἐχούσης καὶ ἀληθινόν. ἀλλὰ τούτου μὲν τὴν ἀρετὴν ὥσπερ ἀγάλματος ἡρωϊκοῦ κάλλος ἐθαύμαζον. ἐπόθουν δὲ τὴν ἐκείνου σπουδήν. καὶ τὸ φιλέταιρον καὶ χρειῶδες ἐζήτουν. ὥστε ἀθυμεῖν ἐκπλέοντος αὐτοῦ καὶ δακρύειν. ὁ δέ, τούτους τε τῷ καλλικρατίδᾳ δυσμενεστέρους ἐποίει ἔτι μᾶλλον. καὶ τῶν ὑπὸ κύρου χρημάτων αὐτῷ δεδομένων εἰς τὸ ναυτικόν, τὰ περιόντα πάλιν εἰς σάρδεις ἀνέπεμψεν. αὐτὸν αἰτεῖν εἰ βούλοιτο τὸν καλλικρατίδαν. καὶ σκοπεῖν ὅπως θρέψει τοὺς στρατιώτας κελεύσας. τέλος δὲ ἀποπλέων ἐμαρτύρατο πρὸς αὐτόν, ὅτι θαλασσοκρατοῦν τὸ ναυτικὸν παραδίδωσιν. ὁ δέ, βουλόμενος ἐλέγξαι τὴν φιλοτιμίαν ἀλαζονικὴν καὶ κενὴν οὖσαν, οὐκοῦν ἔφη λαβὼν ἐν ἀριστερᾷ σάμον καὶ περιπλεύσας εἰς μίλητον, ἐκεῖ μοι παράδος τὰς τριήρεις. δεδιέναι γὰρ οὐ χρὴ παραπλέοντας ἡμᾶς τοὺς ἐν σάμῳ πολεμίους, εἰ θαλασσοκρατοῦμεν. πρὸς ταῦτα εἰπὼν ὁ λύσανδρος, ὅτι οὐκ αὐτός, ἀλλ' ἐκεῖνος ἄρχοι τῶν νεῶν, ἀπέπλευσεν εἰς πελοπόννησον. ἐν πολλῇ τὸν καλλικρατίδαν ἀπορίᾳ καταλιπών, οὔτε γὰρ οἴκοθεν ἀφῖκτο χρήματα κομίζων. οὔτε τὰς πόλεις ἀργυρολογεῖν καὶ βιάζεσθαι, μοχθηρὰ πραττούσας, ὑπέμενε. λοιπὸν οὖν ἦν ἐπὶ θύρας ἰόντα τῶν βασιλέως στρατηγῶν, ὥσπερ λύσανδρος αἰτεῖν. πρὸς ὃ πάντων ἀφυέστατος ἐτύγχανεν, ἀνὴρ ἐλευθέριος καὶ μεγαλόφρων καὶ πᾶσαν ὑφ' ἑλλήνων ἧτταν, ἕλλησιν ἡγούμενος εὐπρεπεστέραν εἶναι τοῦ κολακεύειν καὶ φοιτᾶν ἐπὶ θύρας ἀνθρώπων βαρβάρων, πολὺ χρυσίον, ἄλλο δ' οὐδὲν καλὸν ἐχόντων. ἐκβιαζόμενος δὲ ὑπὸ τῆς ἀπορίας, ἀναβὰς εἰς λυδίαν, εὐθὺς ἐπορεύετο εἰς τὴν οἰκίαν τοῦ κύρου. καὶ φράζειν προσέταξεν, ὅτι καλλικρατίδας ὁ ναύαρχος ἥκει, διαλεχθῆναι βουλόμενος αὐτῷ. τῶν δ' ἐπὶ θύραις τινὸς εἰπόντος, ἀλλ' οὐ σχολὴ νῦν ὦ ξένε κύρῳ. πίνει γάρ, ἀφελέστατά πως ὁ καλλικρατίδας. ἀλλ' οὐδὲν ἔφη δεινόν, αὐτοῦ γὰρ ἑστὼς ἀναμενῶ μέχρι πίῃ. τότε μὲν οὖν δόξας ἀγροῖκός τις εἶναι καταγελασθεὶς ὑπὸ τῶν βαρβάρων, ἀπῆλθεν. ἐπεὶ δὲ καὶ δεύτερον ἐλθὼν ἐπὶ θύρας οὐ παρείθη, βαρέως ἐνεγκών, εἰς ἔφεσον ᾤχετο. πολλὰ μὲν ἐπαρώμενος κακὰ τοῖς πρώτοις ἐντρυφηθεῖσιν ὑπὸ βαρβάρων καὶ διδάξασιν αὐτοὺς ὑβρίζειν διὰ πλοῦτον. ὀμνύων δὲ πρὸς τοὺς παρόντας, ἦ μὴν ὅταν πρῶτον εἰς σπάρτην παραγένηται, πάντα ποιήσειν ὑπὲρ τοῦ διαλυθῆναι τοὺς ἕλληνας. ὡς φοβεροὶ τοῖς βαρβάροις εἶεν αὐτοὶ καὶ παύσαιντο τῆς ἐκείνων ἐπ' ἀλλήλους δεόμενοι δυνάμεως. ἀλλὰ καλλικρατίδας μὲν ἄξια τῆς λακεδαίμονος διανοηθείς, καὶ γενόμενος τοῖς ἄκροις ἐνάμιλλος τῶν ἑλλήνων, διὰ δικαιοσύνην καὶ μεγαλοψυχίαν καὶ ἀνδρείαν, μετ' οὐ πολὺν χρόνον ἐν ἀργινούσαις καταναυμαχηθείς, ἠφανίσθη. τῶν δὲ πραγμάτων ὑποφερομένων οἱ σύμμαχοι πρεσβείαν πέμποντες εἰς σπάρτην, ᾐτοῦντο λύσανδρον ἐπὶ τὴν ναυαρχίαν, ὡς πολὺ προθυμότερον ἀντιληψόμενοι τῶν πραγμάτων ἐκείνου στρατηγοῦντος. τὰ δὲ

αὐτὰ καὶ

ΛΥΣΑΝΔΡΟΣ. κγ.

Ὁ Ἀκανθίων θησαυρὸς ἐν δελφοῖς, ἐπιγραφὴν ἔχει τοιαύτην. βρασίδας καὶ ἀκάνθιοι ἀπ᾽ ἀθηναίων. διὸ καὶ πολλοὶ τὸν ἐντὸς ἑστῶτα τοῦ οἴκου παρὰ ταῖς θύραις λίθινον ἀνδριάντα, βρασίδου νομίζουσιν εἶναι. λυσάνδρου δέ ἐστιν εἰκονικός. εὖ μάλα κομῶντος ἔθει τῷ παλαιῷ. καὶ πώγωνα καθειμένου γενναῖον. οὐ γὰρ ὡς ἔνιοί φασιν, ἀργείων μετὰ τὴν μεγάλην ἧτταν, ἐπὶ πένθει κειράντων, οἱ σπαρτιᾶται πρὸς τὸ ἀντίπαλον αὐτοὶ τὰς κόμας, ἀγαλλόμενοι τοῖς πεπραγμένοις ἀνῆκαν. οὐδὲ βακχιαδῶν τῶν ἐκ κορίνθου φυγόντων εἰς λακεδαίμονα ταπεινῶν καὶ ἀμόρφων διὰ τὸ κείρασθαι τὰς κεφαλὰς φανέντων, εἰς ζῆλον αὐτοὶ τοῦ κομᾶν ἦλθον. ἀλλὰ καὶ τοῦτο λυκούργειόν ἐστι. καὶ φασὶν εἰπεῖν αὐτὸν, ὡς ἡ κόμη τοὺς μὲν καλοὺς, εὐπρεπεστέρους ὁρᾶσθαι ποιεῖ. τοὺς δὲ αἰσχροὺς φοβερωτέρους. λέγεται δὲ ὁ λυσάνδρου πατὴρ ἀριστόκλειτος, οἰκίας μὲν οὐ γενέσθαι βασιλικῆς. ἄλλως δὲ, γένους εἶναι τοῦ τῶν ἡρακλειδῶν. ἐτράφη δὲ ὁ λύσανδρος ἐν πενίᾳ. καὶ παρέσχεν ἑαυτὸν εὔτακτον, ὡς εἴ τις ἄλλος πρὸς τοὺς ἐθισμούς. καὶ ἀνδρώδη καὶ κρείττονα πάσης ἡδονῆς. πλὴν εἴ τινα τιμωμένοις καὶ κατορθοῦσιν, αἱ καλαὶ πράξεις ἐπιφέρουσι. ταύτης δὲ οὐκ αἰσχρόν ἐστιν ἡττᾶσθαι τοὺς νέους ἐν σπάρτῃ. βούλονται γὰρ εὐθὺς ἐξ ἀρχῆς, πάσχειν τι τοὺς παῖδας αὐτῶν πρὸς δόξαν. ἀλγυνομένους τε τοῖς ψόγοις, καὶ μεγαλυνομένους ὑπὸ τῶν ἐπαίνων. ὁ δὲ ἀπαθὴς καὶ ἀκίνητος ἐν τούτοις, ὡς ἀφιλότιμος πρὸς ἀρετὴν, καὶ ἀργὸς, καταφρονεῖται. τὸ μὲν οὖν φιλότιμον, αὐτῷ καὶ φιλόνεικον, ἐκ τῆς λακωνικῆς παρέμεινε παιδείας ἐγγενόμενον. καὶ οὐδέν τι μέγα χρὴ τὴν φύσιν ἐν τούτοις αἰτιᾶσθαι. θεραπευτικὸς δὲ τῶν δυνατῶν μᾶλλον ἢ κατὰ σπαρτιάτην φύσει δοκεῖ γενέσθαι. καὶ βάρος ἐξουσίας διὰ χρείαν ἐνεγκεῖν εὔκολος. ὃ πολιτικῆς δεινότητος οὐ μικρὸν ἔνιοι ποιοῦνται μέρος. ἀριστοτέλης δὲ τὰς μεγάλας φύσεις ἀποφαίνων μελαγχολικὰς, ὡς τὴν σωκράτους καὶ πλάτωνος καὶ ἡρακλέους. ἱστορεῖ καὶ λύσανδρον οὐκ εὐθὺς, ἀλλὰ πρεσβύτερον ὄντα, τῇ μελαγχολίᾳ περιπεσεῖν. ἴδιον δὲ αὐτοῦ μάλιστα τὸ καλῶς πενίαν φέροντα καὶ μηδαμοῦ κρατηθέντα μηδὲ διαφθαρέντα χρήμασιν αὐτὸν, ἐμπλῆσαι τὴν πατρίδα πλούτου καὶ φιλοπλουτίας. καὶ παῦσαι θαυμαζομένην, ἐπὶ τῷ μὴ θαυμάζειν πλοῦτον, εἰσάγοντα χρυσίου καὶ ἀργυρίου πλῆθος μετὰ τὸν ἀττικὸν πόλεμον, ἑαυτῷ δὲ, μηδὲ μίαν δραχμὴν ὑπολειπόμενον. διονυσίου δὲ τοῦ τυράννου πέμψαντος αὐτοῦ ταῖς θυγατράσι πολυτελῆ χιτώνια τῶν σικελικῶν, οὐκ ἔλαβεν εἰπὼν, φοβεῖσθαι μὴ διὰ ταῦτα μᾶλλον αἰσχραὶ φανῶσιν. ἀλλ᾽ ὀλίγον ὕστερον. πρὸς τὸν αὐτὸν τύραννον ἐκ τῆς αὐτῆς πόλεως ἀποσταλεὶς πρεσβευτὴς, προσπέμψαντος αὐτῷ δύο στολὰς ἐκείνου. καὶ κελεύσαντος ἣν βούλεται τούτων ἑλόμενον τῇ θυγατρὶ κομίζειν αὐτὴν, ἐκείνην ἔφη βέλτιον αἱρήσεσθαι. καὶ λαβὼν ἀμφοτέρας, ἀπῆλθεν. ἐπεὶ δὲ τοῦ πελοποννησιακοῦ πολέμου μῆκος λαμβάνοντος. καὶ μετὰ τὴν ἐν σικελίᾳ τῶν ἀθηναίων κακοπραγίαν, αὐτίκα μὲν ἐπιδόξων ὄντων ἐκπεσεῖσθαι τῆς θαλάσσης. οὐ πολλῷ δὲ ὕστερον ἀπαγορεύσειν παντάπασιν, ἀλκιβιάδης ἀπὸ τῆς φυγῆς ἐπιστὰς τοῖς πράγμασι, μεγάλην μεταβολὴν ἐποίησε καὶ κατέστησε τοὺς ναυτικοὺς ἀγῶνας εἰς ἀντίπαλον αὐτοῖς. δείσαντες οὖν οἱ λακεδαιμόνιοι πάλιν καὶ γενόμενοι ταῖς προθυμίαις καινοὶ πρὸς τὸν πόλεμον ὡς ἡγεμόνος τε δεινοῦ καὶ παρασκευῆς ἐρρωμενεστέρας δεόμενον, ἐκπέμπουσιν ἐπὶ τὴν τῆς θαλάσσης ἡγεμονίαν λύσανδρον. γενόμενος δὲ ἐν ἐφέσῳ, καὶ τὴν πόλιν εὑρὼν εὔνουν μὲν αὐτῷ καὶ λακωνίζουσαν προθυμότατα. πράττουσαν δὲ τότε λυπηρῶς. καὶ κινδυνεύουσαν ἐκβαρβαρωθῆναι τοῖς περσικοῖς ἔθεσι διὰ τὰς ἐπιμιξίας. ἅτε δὴ τῆς λυδίας περικεχυμένης καὶ τῶν βασιλικῶν στρατηγῶν αὐτόθι τὰ πολλὰ διατριβόντων, στρατόπεδον βαλλόμενος. καὶ τὰ πλοῖα πανταχόθεν ἕλκεσθαι κελεύσας ἐκεῖ τὰ φορτικὰ, καὶ ναυπηγίαν τριήρων ἐκεῖ κατασκευασάμενος, τοῖς μὲν ἐμπόροις τοὺς λιμένας αὐτῶν ἀνέλαβεν. ἐργασίαις δὲ τὴν ἀγοράν. χρηματισμῶν δὲ τοὺς οἴκους καὶ τὰς τέχνας ἐνέπλησεν, ὥστε πρῶτον ἀπ᾽ ἐκείνου τοῦ χρόνου τὴν πόλιν ἐν ἐλπίδι τοῦ περὶ αὐτὴν νῦν ὄντος ὄγκου καὶ μεγέθους διὰ λύσανδρον γενέσθαι. πυθόμενος δὲ κῦρον εἰς σάρδεις ἀφῖχθαι τὸν βασιλέως υἱὸν, ἀνέβη διαλεξόμενος αὐτῷ καὶ τισσαφέρνου κατηγορήσων. ὃς ἔχων πρόσταγμα λακεδαιμονίοις βοηθεῖν, καὶ τῆς θαλάσσης ἐξελάσαι τοὺς ἀθηναίους, ἐδόκει δι᾽ ἀλκιβιάδην ὑφιέμενος, ἀπρόθυμος εἶναι, καὶ γλίσχρως χορηγῶν, τὸ ναυτικὸν φθείρειν. ἦν δὲ καὶ κύρῳ βουλομένῳ τὸν τισσαφέρνην ἐν αἰτίαις εἶναι. καὶ κακῶς ἀκούειν, πονηρὸν ὄντα. καὶ πρὸς αὐτὸν ἰδίᾳ διαφερόμενον. ἔκ τε δὴ τούτων καὶ τῆς ἄλλης συνδιαιτήσεως ὁ λύσανδρος ἀγαπηθεὶς, καὶ τῷ θεραπευτικῷ μάλιστα τῆς ὁμιλίας ἑλὼν τὸ μειράκιον, ἐπέρρωσε πρὸς τὸν πόλεμον. ἐπεὶ δὲ ἀπαλλάττεσθαι βουλόμενον αὐτὸν, ἑστιῶν ὁ κῦρος, ἠξίου μὴ διωθεῖσθαι τὰς παρ᾽ αὐτοῦ φιλοφροσύνας. ἀλλ᾽ αἰτεῖν ὃ βούλοιτο καὶ φράζειν, ὡς οὐδενὸς ἁπλῶς ἀποτευξόμενον, ὑπολαβὼν ὁ λύσανδρος. ἐπεὶ τοίνυν εἶπεν, οὕτως ἔχεις ὦ κῦρε προθυμίας, αἰτοῦμαί σε καὶ παρακαλῶ, προσθεῖναι τῷ μισθῷ

καὶ ἀτελὴς ὢν ἐπόθει παραποθνήσκων. πλάτων μὲν οὖν ἤδη πρὸς τῷ τελευτᾶν γενόμενος, ὕμνει τὸν αὑτοῦ δαίμονα καὶ τὴν τύχην, ὅτι πρῶτον μὲν ἄνθρωπος. εἶτα ἕλλην, οὐ βάρβαρος. οὐδὲ ἄλογον τῇ φύσει θηρίον γένοιτο. πρὸς δὲ τούτοις, ὅτι τοῖς σωκράτους χρόνοις ἀπήντησεν ἡ γένεσις αὐτοῦ. καὶ νὴ δία τὸν ταρσέα λέγουσιν ἀντίπατρον, ὡσαύτως ὑπὸ τὴν τελευτὴν ἀναλογιζόμενον ὧν τύχοι μακαρίων, μὴ δὲ τῆς εἰς ἀθήνας οἴκοθεν εὐπλοίας ἐπιλαθέσθαι, καθάπερ φιλοχρήστου τῆς τύχης ἅπασαν δόσιν εἰς μεγάλην χάριν τιθέμενον, καὶ σώζοντα τῇ μνήμῃ διὰ τέλους. ἧς οὐδέν ἐστιν ἀνθρώπῳ ταμιεῖον ἀγαθῶν βεβαιότερον. τοὺς δὲ ἀμνήμονας καὶ ἀνοήτους, ὑπεκρεῖ τὰ γινόμενα μετὰ τοῦ χρόνου. διὸ μηδὲν στέγοντες. μὴ δὲ διατηροῦντες ἀεὶ, κενοὶ μὲν ἀγαθῶν. πλήρεις δὲ ἐλπίδων πρὸς τὸ μέλλον ἀποβλέπουσι, τὸ παρὸν προϊέμενοι. καί τοι τὸ μὲν, ἂν ἡ τύχη κωλῦσαι δύναιτο. τὸ δὲ, ἀναφαίρετόν ἐστιν. ἀλλ᾽ ὅμως τοῦτο τῆς τύχης, ὡς ἀλλότριον ἐκβάλλοντες, ἐκεῖνο τὸ ἄδηλον ὀνειρώττουσιν, εἰκότα πάσχοντες. πρὶν γὰρ ἐκ λόγου καὶ παιδείας ἕδραν ὑποβαλέσθαι καὶ κρηπῖδα τοῖς ἔξωθεν ἀγαθοῖς, συνάγοντες αὐτὰ καὶ συμφοροῦντες, ἐμπλῆσαι τῆς ψυχῆς οὐ δύνανται τὸ ἀκόρεστον. ἀποθνήσκει δ᾽ οὖν μάριος ἡμέρας ἑπτακαιδεκάτης τῆς ἑβδόμης ὑπατείας ἐπιλαβών. καὶ μέγα ἔσχε παραυτίκα τὴν ῥώμην χάρμα καὶ θάρσος, ὡς χαλεπῆς τυραννίδος ἀπηλλαγμένην. ὀλίγαις δὲ ἡμέραις, ᾔσθοντο νέον αὐτὴ ἠλλαγμένοι καὶ ἀκμάζοντα ἀντὶ πρεσβύτου δεσπότην. τοσαύτην ὁ υἱὸς αὐτοῦ μάριος, ὠμότητα καὶ πικρίαν ἐπεδείξατο, τοὺς ἀρίστους καὶ δοκιμωτάτους ἀναιρῶν. δόξας δὲ καὶ τολμητὴς καὶ φιλοκίνδυνος εἶναι πρὸς τοὺς πολεμίους, ἐν ἀρχῇ παῖς ἄρεος ὠνομάζετο. ταχὺ δὲ τοῖς ἔργοις ἐλεγχόμενος, αὖθις ἀφροδίτης υἱὸς ἐκαλεῖτο. τέλος δὲ κατακλεισθεὶς εἰς πραινεστὸν ὑπὸ σύλλα, καὶ πολλὰ φιλοψυχήσας μάτην, ὡς ἦν ἄφυκτα τῆς πόλεως ἁλισκομένης, αὐτὸς αὑτὸν ἀπέκτεινε.

ἡμέρας ἑπτακαι- δεκάτῃ α.τ.ς.

φίλῳ χρησάμενος, ἠτύχησεν. ὁ γὰρ ἄνθρωπος ἦν μὲν πένης καὶ δημοτικός. ὑποδεξάμενος δὲ πρῶτον ἄνδρα ῥωμαίων καὶ φιλοφρονούμενος ἐκ τῶν παρόντων, οἰκέτην ἔπεμψε πρός τινα τῶν ἐγγὺς καπήλων ληψόμενον οἶνον. διαγευομένου δὲ ἐπιμελέστερον, καὶ βελτίονα μετρῆσαι κελεύοντος, ἠρώτησεν ὁ κάπηλος ὅτι παθὼν, οὐχὶ τὸν νέον ὥσπερ εἰώθει ὠνεῖται καὶ δημοτικόν. ἀλλὰ τοῦ σπουδαίου καὶ πολυτελοῦς. ἁπλῶς δέ πως ἐκείνου φράσαντος, ὡς πρὸς συνήθη καὶ γνώριμον. ὅτι μάρκον αὐτῷ ἀντώνιον ὁ δεσπότης ἑστιᾷ παρ' αὐτῷ κρυπτόμενον. ἀσεβὴς καὶ μιαρὸς ὢν ὁ κάπηλος, ἅμα τῷ τὸν οἰκέτην ἀπελθεῖν, αὐτὸς συνέτεινε πρὸς μάριον, ἤδη περὶ δεῖπνον ὄντα. καὶ προσαχθεὶς ὡμολόγησε παραδώσειν αὐτῷ τὸν ἀντώνιον. ἀκούσας οὖν ἐκεῖνος ἐκκραγεῖν λέγεται μέγα. καὶ ταῖς χερσὶν ὑφ' ἡδονῆς ἀνακροτῆσαι. καὶ μικροῦ μὲν ἐδέησεν ἐξαναστὰς αὐτὸς εὐθὺ τὸν τόπον φέρεσθαι. τῶν δὲ φίλων κατασχόντων, ἄννιον ἔπεμπε καὶ στρατιώτας μετ' αὐτοῦ. κελεύσας κατὰ τάχος τὴν κεφαλὴν τοῦ ἀντωνίου κομίζειν. ὡς οὖν ἧκον εὐθὺ τὴν οἰκίαν, ὁ μὲν ἄννιος ὑπέστη παρὰ τὰς θύρας. οἱ δὲ στρατιῶται διὰ κλιμάκων ἀναβάντες εἰς τὸ δωμάτιον, καὶ θεασάμενοι τὸν ἀντώνιον, ἄλλος, ἄλλον εὐθὺ τὴν σφαγὴν ἀνθ' ἑαυτοῦ παρεκάλει καὶ προυβάλλετο. τοιαύτη δέ τις ἦν ὡς ἔοικεν τοῦ ἀνδρὸς ἡ τῶν λόγων σειρὴν καὶ χάρις, ὥστε ἀρξαμένου λέγειν καὶ παραιτεῖσθαι τὸν θάνατον. ἅψασθαι μὲν οὐδεὶς ἐτόλμησεν, οὐδὲ ἀντιβλέψαι, κάτω δὲ κύψαντες, ἐδάκρυον ἅπαντες. διατριβῆς δὲ γενομένης, ἀναβὰς ὁ ἄννιος, ὁρᾷ τὸν μὲν ἀντώνιον διαλεγόμενον. τοὺς δὲ στρατιώτας, ἐκπεπληγμένους καὶ κατακεκηλημένους ὑπ' αὐτοῦ. κακίσας οὖν ἐκείνους καὶ προσδραμὼν, αὐτὸς, ἀποτέμνει τὴν κεφαλήν. κάτλος δὲ λουτάτιος, μαρίῳ συνάρξας, καὶ συνθριαμβεύσας ἀπὸ κίμβρων, ἐπεὶ πρὸς τοὺς δεομένους ὑπὲρ αὐτοῦ καὶ παραιτουμένης, ὁ μάριος τοσοῦτον μόνον εἶπεν, ἀποθανεῖν δεῖ, κατακλεισάμενος εἰς οἴκημα, καὶ πολλοὺς ἄνθρακας ἐκζωπυρήσας, ἀπεπνίγη. ῥιπτουμένων δὲ τῶν σωμάτων ἀκεφάλων καὶ πατουμένων ἐν ταῖς ὁδοῖς ἔλεος οὐκ ἦν, ἀλλὰ φρίκη καὶ τρόμος ἁπάντων πρὸς τὴν ὄψιν. ἠνία δὲ μάλιστα τὸν δῆμον ἡ τῶν καλουμένων βαρδιαίων ἀσέλγεια. τοὺς γὰρ δεσπότας, ἐν ταῖς οἰκίαις σφάττοντες, ᾔσχυνον μὲν αὐτῶν παῖδας. ἐμίγνυντο δὲ βίᾳ ταῖς δεσποίναις. ἀκατάσχετοι δὲ ἦσαν ἁρπάζοντες καὶ μιαιφονοῦντες. ἕως οἱ περὶ κίνναν καὶ σερτώριον συμφρονήσαντες, ἐπέθεντο κοιμωμένοις αὐτοῖς ἐν τῷ στρατοπέδῳ καὶ κατηκόντισαν ἅπαντας. ἐν τούτῳ δὲ ὥσπερ τροπαίας τινὸς ἀμειβούσης, ἐφοίτων ἀγγελίαι πανταχόθεν ὡς σύλλας συνῃρηκὼς τὸν μιθριδατικὸν πόλεμον. καὶ τὰς ἐπαρχίας ἀνειληφὼς, ἐπιπλέοι μετὰ πολλῆς δυνάμεως, καὶ ταῦτα βραχεῖαν ἐπίσχεσιν ἐποίησε καὶ παῦλαν ὀλίγην, ἀφάτων κακῶν, ὅσον οὔπω τὸν πόλεμον ἥκειν ἐπ' αὐτοὺς οἰομένων. ὕπατος μὲν οὖν ἀπεδείχθη τὸ ἕβδομον μάριος. καὶ προσελθὼν αὐταῖς καλάνδαις ἰαννουαρίαις ἔτους ἀρχῇ, σέξτον τινὰ λουκῖνον, κατεκρήμνισεν. ὃ καὶ ἐκείνοις καὶ τῇ πόλει τῶν αὖθις ἐδόκει κακῶν γεγονέναι σημεῖον μέγιστον. αὐτὸς δὲ ἤδη τοῖς τε πόνοις ἀπειρηκὼς καὶ ταῖς φροντίσιν οἷον ὑπέραντλος ὢν καὶ κατάπονος τὴν ψυχὴν, πρὸς τοσαύτην αὖθις ἐπίνοιαν νέου πολέμου καὶ καινῶν ἀγώνων καὶ φόβων ὑπὸ ἐμπειρίας δεινῶν καὶ καμάτου τρέμουσαν, οὐκ ἀνέφερε, λογιζόμενος, ὡς οὐ πρὸς ὀκτάβιον οὐδὲ μερούλαν σύγκλυδος ὁμίλου καὶ στασιώδους ὄχλου στρατηγοὺς, ὁ κίνδυνος ἔσοιτο. σύλλας δὲ ἐκεῖνος ἔπεισιν ὁ τῆς πατρίδος αὐτὸν ἐξελάσας πάλαι νῦν δὲ μιθριδάτην συνεσταλκὼς εἰς τὸν εὔξεινον πόντον. ὑπὸ τοιούτων θραυόμενος λογισμῶν. καὶ τὴν μακρὰν ἄλην αὐτοῦ καὶ φυγὰς καὶ κινδύνους διὰ γῆς καὶ θαλάττης ἐλαυνομένου λαμβάνων πρὸ ὀφθαλμῶν, εἰς ἀπορίας ἐνέπιπτε δεινὰς καὶ νυκτερινὰ δείματα καὶ ταραχώδεις ὀνείρους ἀεί τινος ἀκούειν φθεγγομένου δοκῶν. δειναὶ γὰρ κοῖται καὶ ἀποιχομένοιο λέοντος. μάλιστα δὲ πάντων φοβούμενος τὰς ἀγρυπνίας, ἐνέβαλλεν εἰς πότους ἑαυτὸν καὶ μέθας ἀώρους καὶ παρ' ἡλικίαν, ὥσπερ ἀπόδρασιν τῶν φροντίδων τὸν ὕπνον μηχανώμενος. τέλος δὲ ὡς ἧκέ τις ἀπαγγέλλων ἀπὸ θαλάσσης. νέοι προσπίπτοντος αὐτῷ φόβοι. τὰ μὲν, δέει τοῦ μέλλοντος. τὰ δὲ, ὥσπερ ἄχθει καὶ κόρῳ τῶν παρόντων. ῥοπῆς βραχείας ἐπιγενομένης, εἰς νόσον κατηνέχθη πλευρῖτιν, ὡς ἱστορεῖ ποσειδώνιος ὁ φιλόσοφος, αὐτὸς εἰσελθεῖν καὶ διαλεχθῆναι περὶ ὧν ἐπρέσβευεν ἤδη νοσοῦντι φάσκων αὐτῷ. γάϊος δέ τις πείσων, ἀνὴρ ἱστορικὸς, ἱστορεῖ τὸν μάριον, ἀπὸ δείπνου περιπατοῦντα μετὰ τῶν φίλων, ἐν λόγοις γενέσθαι, περὶ τῶν ἑαυτοῦ πραγμάτων, ἄνωθεν ἀρξάμενον, καὶ τὰς ἐπ' ἀμφότερα πολλάκις μεταβολὰς ἀφηγησάμενον εἰπεῖν. ὡς οὐκ ἔστι νοῦν ἔχοντος ἀνδρὸς ἔτι τῇ τύχῃ πιστεύειν ἑαυτὸν, ἐκ δὲ τούτου τοὺς παρόντας ἀσπασάμενον, καὶ κατακλιθέντα συνεχῶς ἡμέρας ἑπτὰ, τελευτῆσαι. τινὲς δὲ τὴν φιλοτιμίαν αὐτοῦ φασὶν ἐν τῇ νόσῳ, παντάπασιν ἀποκαλυφθεῖσαν, εἰς ἄτοπον ἐξοκεῖλαι παρακοπὴν, οἰομένου τὸν μιθριδατικὸν στρατηγεῖν πόλεμον. εἶτα ὥσπερ ἐπ' αὐτῶν εἰώθει τῶν ἀγώνων σχήματα παντοδαπὰ καὶ κινήματα σώματος μετὰ συντόνου κραυγῆς. καὶ πυκνῶν ἀλαλαγμάτων ἀποδιδόντος. οὕτω δεινὸς αὐτῷ καὶ δυσπαραμύθητος ἐκ φιλαρχίας καὶ ζηλοτυπίας ἔρως ἐντετήκει τῶν πράξεων ἐκείνων. διὸ ἔτη μὲν ἑβδομήκοντα βεβιωκώς. ὕπατος δὲ πρῶτος ἀνθρώπων ἑπτάκις ἀνηγορευμένος. οἶκόν τε καὶ πλοῦτον ἀρκοῦντα βασιλείαις ὁμοῦ πολλαῖς κεκτημένος, ὠδύρετο τὴν αὑτοῦ τύχην, ὡς ἐνδεὴς

παραιτουμένους π.

προσπίπτοντες π.

καθ' ἑαυτόν. π. ς. η. τ. κ.

θεσώσῃ πολιτείᾳ, τούτῳ προσνέμειν ἑαυτὸν ἔγνω μετὰ τῆς δυνάμεως. ἔπεμψεν οὖν ἐπαγγελλόμενος, ὡς ὑπάτῳ πάντα ποιήσειν τὰ προσταττόμενα. δεξαμένου δὲ τοῦ κίννα καὶ προσαγορεύσαντος αὐτὸν ἀνθύπατον, ῥάβδους δὲ καὶ τἄλλα τὰ παράσημα τῆς ἀρχῆς ἀποστείλαντος, οὐκ ἔφη πρέπειν αὐτοῦ ταῖς τύχαις τὸν κόσμον. ἀλλ' ἐσθῆτι φαύλῃ κεχρημένος, καὶ κομῶν ἀφ' ἧς ἔφυγεν ἡμέρας, ὑπὲρ ἑβδομήκοντα γεγονὼς ἔτη, βάδην προσῄει. βουλόμενος μὲν, ἐλεεινὸς εἶναι. τῷ δὲ οἴκτῳ συμμεμιγμένον τὸ οἰκεῖον τῆς ὄψεως αὐτοῦ πλέον τὸ φοβερὸν, καὶ διέφαινεν ἡ κατήφεια τὸν θυμὸν οὐ τεταπεινωμένον, ἀλλ' ἐξηγριωμένον ὑπὸ τῆς μεταβολῆς. ἀσπασάμενος δὲ τὸν κίνναν, καὶ τοῖς στρατιώταις ἐντυχὼν, εὐθὺς εἴχετο τοῦ ἔργου, καὶ μεγάλην μεταβολὴν τῶν πραγμάτων ἐποίησεν. πρῶτον μὲν γὰρ ταῖς ναυσὶ τὰ σιτηγὰ περικόπτων καὶ τοὺς ἐμπόρους λῃζόμενος, ἐκράτησε τῆς ἀγορᾶς. ἔπειτα τὰς παραλίους πόλεις ἐπιπλέων, ᾕρει. τέλος δὲ τὴν ὠστίαν αὐτὴν λαβὼν ἐκ προδοσίας, τά τε χρήματα διήρπασε, καὶ τῶν ἀνθρώπων τοὺς πολλοὺς ἀπέκτεινε. καὶ γεφυρώσας τὸν ποταμὸν, ἀπέκοψε κομιδῆ, τὰς ἐκ θαλάσσης εὐπορίας τῶν πολεμίων. ἄρας δὲ τῷ στρατῷ, πρὸς τὴν πόλιν ἐχώρει. καὶ τὸ καλούμενον ἰανοῦκλον ὄρος, κατέσχεν. οὐ τοσοῦτον ἀπειρίᾳ τοῦ ὀκταβίου τὰ πράγματα βλάπτοντος, ὅσον ἀκριβείᾳ τῶν δικαίων προϊεμένου τὰ χρειώδη παρὰ τὸ συμφέρον. ὅς γε πολλῶν κελευόντων αὐτὸν, ἐπ' ἐλευθερίᾳ καλεῖν τοὺς οἰκέτας, οὐκ ἔφη δούλοις μεταδώσειν τῆς πατρίδος, ἧς γάιον μάριον εἴργει, τοῖς νόμοις ἀμύνων. ἐπεὶ δὲ μέτελλος υἱὸς ὢν μετέλλου τοῦ στρατηγήσαντος ἐν λιβύῃ, καὶ διὰ μάριον ἐκπεσόντος, ἧκεν εἰς ῥώμην. καὶ πολὺ τοῦ ὀκταβίου στρατηγικώτερος ἐφαίνετο. καταλιπόντες οἱ στρατιῶται τὸν ὀκτάβιον, ἧκον ὡς ἐκεῖνον. ἄρχειν δεόμενοι καὶ σώζειν τὴν πόλιν. εὖ γὰρ ἀγωνιεῖσθαι καὶ κρατήσειν, ἔμπειρον ἡγεμόνα καὶ δραστήριον λαβόντες. ἀγανακτήσαντος δὲ τοῦ μετέλλου, καὶ κελεύσαντος ἐπανιέναι πρὸς τὸν ὕπατον, ᾤχοντο πρὸς τοὺς πολεμίους. ὑπεξέστη δὲ καὶ μέτελλος, ἀπογνοὺς τὴν πόλιν. ὀκτάβιον δὲ, χαλδαῖοι καὶ θύται τινὲς καὶ σιβυλλισταὶ πείσαντες, ἐν ῥώμῃ κατέσχον ὡς εὖ γενησομένων. ὁ γὰρ ἀνὴρ οὗτος, δοκεῖ τἄλλα, ῥωμαίων εὐγνωμονέστατος γενόμενος, καὶ μάλιστα δὴ τὸ πρόσχημα τῆς ὑπατείας ἀκολάκευτον ἐν τοῖς πατρίοις ἔθεσι καὶ νόμοις, ὥσπερ διαγράμμασιν ἀμεταβόλοις φυλάξας, ἀρρωστίᾳ τῇ περὶ ταῦτα χρήσασθαι. πλείονα δὲ συνὼν χρόνον, ἀγύρταις καὶ μάντεσιν ἢ πολιτικοῖς καὶ πολεμικοῖς ἀνδράσιν. οὗτος μὲν οὖν πρὶν εἰσελθεῖν τὸν μάριον ὑπὸ τῶν προπεμφθέντων ἀπὸ τοῦ βήματος κατασπασθεὶς ἐσφάττετο. καὶ λέγεται διάγραμμα χαλδαϊκὸν ἐν τοῖς κόλποις αὐτοῦ φονευθέντος, εὑρεθῆναι. καὶ τὸ πρᾶγμα πολλὴν ἀλογίαν εἶχε. τὸ, δυοῖν ἡγεμόνων ἐπιφανεστάτων, μάριον μὲν ῥῶσαι, τὸ μὴ καταφρονῆσαι μαντικῆς, ὀκτάβιον δὲ, ἀπολέσαι. οὕτω δὴ τῶν πραγμάτων ἐχόντων ἡ βουλὴ συνελθοῦσα, πρέσβεις ἐξέπεμψε πρὸς κίνναν καὶ μάριον εἰσιέναι καὶ φείσασθαι δεομένη τῶν πολιτῶν. κίννας μὲν οὖν ὡς ὕπατος ἐπὶ τοῦ δίφρου καθήμενος, ἐχρημάτιζε. καὶ φιλανθρώπους ἀποκρίσεις ἔδωκε τοῖς πρέσβεσι. μάριος δὲ τῷ δίφρῳ παρειστήκει φθεγγόμενος μὲν οὐδέν. ὑποδηλῶν δὲ ἀεὶ τῇ βαρύτητι τοῦ προσώπου καὶ τῇ στυγνότητι τοῦ βλέμματος, ὡς εὐθὺς ἐμπλήσων φόνων τὴν πόλιν. ἐπεὶ δὲ ἀναστάντες ἐβάδιζον, κίννας μὲν εἰσῄει δορυφορούμενος. μάριος δὲ παρὰ ταῖς πύλαις ὑποστὰς εἰρωνεύετο πρὸς ὀργήν. φυγὰς εἶναι, καὶ τῆς πατρίδος εἴργεσθαι κατὰ τὸν νόμον. εἰ δὲ χρήζοι τις αὐτοῦ παρόντος, ἑτέρᾳ ψήφῳ λυτέον εἶναι τὴν ἐκβάλλουσαν. ὡς δὴ νόμιμός τις ὢν ἀνὴρ καὶ κατιὼν εἰς πόλιν ἐλευθέραν. ἐκάλει δὴ τὸ πλῆθος εἰς ἀγορὰν, καὶ πρὸ τοῦ τρεῖς ἢ τέσσαρας φυλὰς ἐνεγκεῖν τὴν ψῆφον, ἀφεὶς τὸ πλάσμα καὶ τὴν φυγαδικὴν ἐκείνην δικαιολογίαν, κατῄει δορυφόρους ἔχων λογάδας ἐκ τῶν προσπεφοιτηκότων δούλων. οὓς βαρδιαίους προσηγόρευεν. οὗτοι, πολλοὺς μὲν ἀπὸ φωνῆς. πολλοὺς δὲ ἀπὸ νεύματος, ἀνῄρουν προστάσσοντος αὐτοῦ, καὶ τέλος ἀγχάριον ἄνδρα βουλευτὴν καὶ στρατηγικὸν ἐντυγχάνοντα τῷ μαρίῳ καὶ μὴ προσαγορευθέντα κατέβαλλουσιν ἔμπροσθεν αὐτοῦ ταῖς μαχαίραις τύπτοντες. ἐκ δὲ τούτου, καὶ τοὺς ἄλλους ὅσους ἀσπασαμένους μὴ προσαγορεύσειε, μηδὲ ἀντασπάσαιτο. τοῦτο αὐτὸ σύμβολον ἦν ἀποσφάττειν αὐτοῖς εὐθὺς ἐν ταῖς ὁδοῖς. ὥστε καὶ τῶν φίλων ἕκαστον ἀγωνίας μεστὸν εἶναι καὶ φρίκης, ὁσάκις ἀσπασάμενοι τῷ μαρίῳ πλάζοιεν. κτεινομένων δὲ πολλῶν, κίννας μὲν ἀμβλὺς ἦν καὶ μεστὸς ἤδη τοῦ φονεύειν. μάριος δὲ καθ' ἑκάστην ἡμέραν ἀκμάζοντι τῷ θυμῷ καὶ διψῶντι, διὰ πάντων ἐχώρει, τῶν ὁπωσοῦν ἐν ὑποψίᾳ γεγονότων. καὶ πᾶσα μὲν ὁδός. πᾶσα δὲ πόλις τῶν διωκόντων καὶ κυνηγετούντων τοὺς ὑποφεύγοντας καὶ κεκρυμμένους ἔγεμεν. ἠλέγχετο δὲ καὶ ξενίας καὶ φιλίας πίστις οὐδὲν ἔχουσα παρὰ τὰς τύχας βέβαιον. ὀλίγοι γὰρ ἐγένοντο παντάπασιν οἱ μὴ προδόντες αὐτοῖς τοὺς παρὰ σφᾶς καταφυγόντας. ἄξιον οὖν ἄγασθαι καὶ θαυμάσαι, τοὺς τοῦ κορνούτου θεράποντας. οἳ τὸν δεσπότην ἀποκρύψαντες οἴκοι. νεκρὸν δέ τινα τῶν πολλῶν ἀναρτήσαντες ἐκ τοῦ τραχήλου, καὶ περιθέντες αὐτῷ χρυσοῦν δακτύλιον, ἐπιδείκνυον τοῖς μαρίου δορυφόροις. καὶ κοσμήσαντες, ὡς ἐκεῖνον αὐτὸν ἔθαπτον, ὑπενόησε δὲ οὐδείς. ἀλλ' οὕτω λαθὼν ὁ κορνοῦτος ὑπὸ τῶν οἰκετῶν εἰς γαλατίαν διεκομίσθη. χρηστῷ δὲ καὶ μᾶρκος ἀντώνιος ὁ ῥήτωρ

ἐκ τοῦ οἰκήματος ἐν ᾧ ἔτυχε μὲν ἔτι κατακείμενος, οὐ πάνυ λαμπρὸν φῶς ἔχοντος, ἀλλ' ὄντος ἐπισκίου, λέγεται τὰ μὲν ὄμματα τοῦ μαρίου, φλόγα πολλὴν ἐκβάλλοντα τῷ στρατιώτῃ φανῆναι. φωνὴν δὲ μεγάλην ἐκ τοῦ ἐπλισκίου γενέσθαι. σὺ δὴ τολμᾷς ἄνθρωπε γάϊον μάριον ἀνελεῖν. ἐξῆλθεν οὖν εὐθὺς ὁ βάρβαρος φυγῇ καὶ τὸ ξίφος ἐν μέσῳ καταβαλὼν, ἐχώρει διὰ θυρῶν. τοῦτο μόνον βοῶν, οὐ δύναμαι γάϊον μάριον ἀποκτεῖναι. πάντας οὖν ἔκπληξις ἔσχεν. εἶτα οἶκτος καὶ μετάνοια τῆς γνώμης, καὶ κατάμεμψις ἑαυτῶν. ὡς βούλευμα βεβουλευκότων, ἄνομον καὶ ἀχάριστον, ἐπ' ἀνδρὶ σωτῆρι τῆς ἰταλίας, ᾧ μὴ βοηθῆσαι δεινὸν ἦν. ἴτω δ' οὖν ὅπη χρῄζει φυγὰς ἀναπλησόμενος ἀλλαχόθι τὸ πεπρωμένον. ἡμεῖς δὲ εὐχώμεθα μὴ νεμεσῆσαι θεοὺς, μάριον ἄπορον καὶ γυμνὸν ἐκ τῆς πόλεως ἐκβαλοῦσιν. ὑπὸ τοιούτων λογισμῶν, εἰσπεσόντες ἀθρόοι καὶ περισχόντες αὐτὸν, ἐξῆγον ἐπὶ τὴν θάλασσαν, ἄλλου δὲ ἄλλο τι προθύμως ὑπηρετοῦντος. καὶ σπευδόντων ἁπάντων, ἐγίνετο τριβὴ τοῦ χρόνου. τὸ γὰρ τῆς λεγομένης μαρίκας ἄλσος ὃ σέβονται καὶ παραφυλάττουσι, μηδὲν ἐκεῖθεν ἐκκομισθῆναι τῶν εἰσκομισθέντων, ἐμποδὼν ἦν τῆς ἐπὶ θάλασσαν ὁδοῦ, καὶ κύκλῳ περιιόντας, ἔδει βραδύνειν, ἄχρις οὗ τῶν πρεσβυτέρων τὶς ἀναβοήσας, ἔφη. μηδεμίαν ἄβατον. μηδὲ ἀπόρευτον ὁδὸν εἶναι, δι' ἧς σώζεται μάριος. καὶ πρῶτος αὐτὸς λαβών τι τῶν κομιζομένων ἐπὶ ναῦν, διὰ τοῦ τόπου διεξῆλθε. τοιαύτῃ δὲ προθυμίᾳ ταχὺ πάντων συμπορισθέντων, καὶ βηλαίου τινὸς ναῦν τῷ μαρίῳ παρασχόντος, ὕστερον πίνακα τῶν πράξεων ἐκείνων γραψάμενος, ἀνέθηκεν εἰς τὸ ἱερόν. ὅθεν ἐκβὰς ὁ μάριος, ἀνήχθη τῷ πνεύματι φερόμενος. ἐφέρετο δέ πως κατὰ τύχην πρὸς αἰναρίαν τὴν νῆσον. ὅπου τὸν γράνιον καὶ τοὺς ἄλλους φίλους εὑρὼν, ἔπλει μετ' αὐτῶν ἐπὶ λιβύης. ὕδατος δὲ ἐπιλιπόντος αὐτοὺς, ἀναγκαίως σικελίᾳ κατὰ τὴν ἐρυκίνην προσέσχον. ἔτυχε δὲ περὶ τοὺς τόπους ἐκείνους, ὁ ῥωμαίων ταμίας παραφυλάσσων, καὶ μικροῦ μὲν αὐτὸν ἀποβάντα τὸν μάριον, εἷλεν, ἀπέκτεινε δὲ περὶ ἑκκαίδεκα τῶν ὑδρευομένων. μάριος δὲ κατὰ σπουδὴν ἀναχθεὶς καὶ διαπεράσας τὸ πέλαγος πρὸς μήνιγγα τὴν νῆσον, ἐνταῦθα διαπυνθάνεται πρῶτον, ὡς ὁ παῖς αὐτοῦ διασέσωσται μετὰ κεθήγου. καὶ πορεύονται πρὸς τὸν βασιλέα τῶν νομάδων, ἰάμψαν, δεησόμενοι βοηθεῖν. ἐφ' οἷς μικρὸν ἀναπνεύσας, ἐθάρρησεν ἀπὸ τῆς νήσου, πρὸς τὴν καρχηδονίαν προσβαλεῖν. ἐστρατήγει δὲ τῆς λιβύης τότε σεξτίλιος ἀνὴρ ῥωμαῖος, οὔτε φαῦλον οὐδὲν οὔτε χρηστὸν ἐκ μαρίου προειληφὼς, ἀλλ' ὅσον ἀπ' οἴκτου τι προσδοκώμενος ὠφελήσειν. ἄρτι δὲ αὐτοῦ μετ' ὀλίγων ἀποβεβηκότος, ὑπηρέτης ἀπαντήσας καὶ καταστὰς ἐναντίον εἶπεν. ἀπαγορεύει σοι σεξτίλιος ὁ στρατηγὸς ὦ μάριε λιβύης ἐπιβαίνειν. εἰ δὲ μὴ, φησὶν ἀμυνεῖν τοῖς τῆς βουλῆς δόγμασιν, ὡς ῥωμαίων πολεμίῳ χρώμενος. ταῦτα ἀκούσαντα τὸν μάριον, ὑπὸ λύπης καὶ βαρυθυμίας, ἀπορία λόγων ἔσχε. καὶ πολὺν χρόνον ἡσυχίαν ἦγε. δεινὸν εἰς τὸν ὑπηρέτην ἀποβλέπων. ἐρομένου δὲ ἐκείνου, τί φράζει καὶ τί λέγει πρὸς τὸν στρατηγόν. ἀπεκρίνατο μέγα στενάξας. ἄγγελλε τοίνυν ὅτι γάϊον μάριον ἐν τοῖς καρχηδόνος ἐρειπίοις φυγάδα καθεζόμενον εἶδες. οὐ κακῶς. ἅμα τήν τε τῆς πόλεως ἐκείνης τύχην καὶ τὴν ἑαυτοῦ μεταβολὴν ἐν παραδείγματος λόγῳ θέμενος. ἐν τούτῳ δὲ ἰάμψας ὁ βασιλεὺς τῶν νομάδων, ἐπαμφοτερίζων τοῖς λογισμοῖς. ἐν τιμῇ μὲν ἦγε τοὺς περὶ τὸν νέον μάριον, ἀπιέναι δὲ βουλομένους, ἔκ τινος ἀεὶ προφάσεως κατεῖχε. καὶ δῆλος ἦν ἐπ' οὐδενὶ χρηστῷ ποιούμενος τὴν ἀναβολὴν, οὐ μὴν ἀλλὰ συμβαίνει τι τῶν εἰκότων αὐτοῖς πρὸς σωτηρίαν. ὁ γὰρ νέος μάριος, εὐπρεπὴς ὢν τὴν ὄψιν, ἠνία τινὰ τῶν παλλακίδων τοῦ βασιλέως, παρ' ἀξίαν πράττων. ὁ δὲ οἶκτος οὗτος, ἀρχὴ καὶ πρόφασις ἦν ἔρωτος. τὸ μὲν οὖν πρῶτον, ἀπετρίβετο τὴν ἄνθρωπον. ὡς δὲ οὔτε φυγῆς ἑτέραν ὁδὸν ἑώρα, καὶ τὰ παρ' ἐκείνης σπουδαιότερον ἢ πρὸς ἡδονὴν ἀκόλαστον ἐπράττετο, δεξάμενος τὴν φιλοφροσύνην καὶ συνεκπεμφθεὶς ὑπ' αὐτῆς, ἀπέδρα μετὰ τῶν φίλων, καὶ διέφυγε πρὸς τὸν μάριον. ἐπεὶ δὲ ἀλλήλους ἠσπάσαντο, πορευόμενοι παρὰ τὴν θάλασσαν, ἐντυγχάνουσι σκορπίοις μαχομένοις. καὶ τὸ σημεῖον ἐφάνη τῷ μαρίῳ πονηρόν, εὐθὺς οὖν ἐπιβάντες ἁλιάδος, εἰς κερκίναν διεπέρων νῆσον, ἀπέχουσαν οὐ πολὺ τῆς ἠπείρου. καὶ τοσοῦτον ἔφθασαν, ὅσον ἀνηγμένων αὐτῶν, ἱππεῖς ὁρᾶσθαι παρὰ τοῦ βασιλέως ἐλαύνοντας ἐπὶ τὸν τόπον ὅθεν ἀνήχθησαν. τοῦτον οὐδενὸς ἐλάττονα κίνδυνον ἔδοξεν ἐκφυγεῖν ὁ μάριος. ἐν δὲ ῥώμῃ, σύλλας μὲν ἠκούετο τοῖς μιθριδάτου πολεμεῖν στρατηγοῖς περὶ βοιωτίαν. οἱ δὲ ὕπατοι στασιάσαντες, ἐχώρουν εἰς ὅπλα. καὶ μάχης γενομένης ὀκτάβιος μὲν κρατήσας ἐξέβαλε κίνναν, ἐπιχειροῦντα τυραννικώτερον ἄρχειν. καὶ κατέστησεν ἀντ' αὐτοῦ, κορνήλιον μερούλαν ὕπατον. ὁ δὲ κίννας ἐκ τῆς ἄλλης ἰταλίας συναγαγὼν δύναμιν, ἐπολέμει πρὸς αὐτοὺς. ταῦτα τῷ μαρίῳ πυνθανομένῳ, πλεῦσαι τὴν ταχίστην ἐφαίνετο. καὶ παραλαβὼν ἐκ τῆς λιβύης μαυρουσίων τινὰς ἱππότας. καὶ τῶν ἀπὸ τῆς ἰταλίας τινὰς καταφερομένων, συναμφοτέρους οὐ πλείονας χιλίων γενομένους, μετ' αὐτῶν ἀνήχθη. προσβαλὼν δὲ τελαμῶνι τῆς τυρρηνίας καὶ ἀποβὰς, ἐκήρυττε δούλοις ἐλευθερίαν, καὶ τῶν αὐτόθι γεωργούντων καὶ νεμόντων ἐλευθέρων κατὰ δόξαν αὐτοῦ συντρεχόντων ἐπὶ τὴν θάλασσαν, ἀναπείθων τοὺς ἀκμαιοτάτους, ἐν ἡμέραις ὀλίγαις χεῖρα μεγάλην ἤθροισε, καὶ τεσσαράκοντα ναῦς ἐπλήρωσεν. εἰδὼς δὲ τὸν μὲν ὀκτάβιον ἄνδρα ἄριστον, καὶ τῷ δικαιοτάτῳ τρόπῳ βουλόμενον ἄρχειν, τὸν δὲ κίνναν ὕποπτόν τε τῷ σύλλᾳ, καὶ πολεμοῦντα τῇ κα-

οὕτω λέγουσιν. οἱ δὲ, τούτοις τε καὶ παρὰ τὴν ἄλλην φυγὴν ἀκούσαντας αὐτοῦ καὶ πιστεύσαντας, ἀναγράψαι πρᾶγμα κομιδῇ μυθῶδες. ἀετὸς γὰρ οὐ τίκτει πλείονα τῶν δυοῖν. ἀλλὰ καὶ Μουσαῖον ἐψεῦσθαι λέγουσιν εἰπόντα περὶ τοῦ ἀετοῦ, ὡς τρία μὲν τίκτει, δύο δ' ἐκλέπει, ἓν δ' ἀλεγίζει. τὸ μέντοι πολλάκις ἐν τῇ φυγῇ καὶ ταῖς ἐσχάταις ἀπορίαις Μάριον εἰπεῖν, ὡς ἄχρις ἑβδόμης ὑπατείας πρόεισιν, ὁμολογούμενόν ἐστιν. ἤδη δὲ Μιντούρνης πόλεως Ἰταλικῆς ὅσον εἴκοσι σταδίων ἀπέχοντες, ὁρῶσιν ἱππέων ἴλην πρόσωθεν ἐλαύνοντας ἐπ' αὐτοὺς, καὶ κατὰ τύχην ὁλκάδας δύο φερομένας. ὡς οὖν εἶχε τάχους ποδῶν ἕκαστος καὶ ῥώμης, καταδραμόντες ἐπὶ τὴν θάλασσαν, καὶ καταβαλόντες ἑαυτοὺς, προσενήχοντο ταῖς ναυσί. καὶ λαβόμενοι τῆς ἑτέρας οἱ περὶ τὸν Γράνιον, ἀπεπέρασαν εἰς τὴν ἀντιπέρα νῆσον, Αἰναρία καλεῖται. αὐτὸν δὲ Μάριον, βαρὺν ὄντα τῷ σώματι καὶ δύσχρηστον, οἰκέται δύο μόλις καὶ χαλεπῶς ὑπὲρ τῆς θαλάσσης ἐξάραντες, εἰς τὴν ἑτέραν ἔθεντο ναῦν, ἤδη τῶν ἱππέων ἐφεστώτων, καὶ διακελευομένων ἀπὸ γῆς τοῖς ναύταις κατάγειν τὸ πλοῖον, ἢ τὸν Μάριον ἐκβαλόντας, αὐτοὺς ἀποπλεῖν ὅποι χρήζοιεν. ἱκετεύοντος δὲ τοῦ Μαρίου καὶ δακρύοντος, οἱ κύριοι τῆς ὁλκάδος, ὡς ἐν ὀλίγῳ πολλὰς ἐπ' ἀμφότερα τῆς γνώμης ῥοπὰς λαβόντες, ὅμως ἀπεκρίναντο τοῖς ἱππεῦσι, μὴ προέσθαι τὸν Μάριον. ἐκείνων δὲ πρὸς ὀργὴν ἀπελασάντων, αὖθις ἑτέρων γενόμενοι λογισμῶν, κατεφέροντο πρὸς τὴν γῆν. καὶ περὶ τὰς ἐκβολὰς τοῦ Λίρεως ποταμοῦ, διάχυσιν λιμνώδη λαμβάνοντος, ἀγκύρας βαλλόμενοι, παρεκάλουν αὐτὸν ἐκβῆναι καὶ τροφὴν ἐπὶ γῆς λαβεῖν, καὶ τὸ σῶμα θεραπεῦσαι κακωμένον, ἄχρις οὗ φορὰ γένηται. γίγνεσθαι δὲ τὴν εἰωθυῖαν ὥραν τοῦ πελαγίου μαραινομένου, καὶ τῶν ἑλῶν αὔραν ἀναδιδόντων ἐπιεικῶς διαρκῆ. ταῦτα πεισθεὶς ὁ Μάριος ἐποίησε. καὶ τῶν ναυτῶν ἐξελομένων αὐτὸν ἐπὶ τὴν γῆν, κατακλινεὶς ἔν τινι πόᾳ, πορρωτάτω τοῦ μέλλοντος εἶχε τὴν διάνοιαν. οἱ δὲ, εὐθὺς ἐπιβάντες ἐπὶ τὴν ναῦν, καὶ τὰς ἀγκύρας ἀναλαβόντες, ἔφυγον. ὡς οὔτε καλὸν ἐκδοῦναι τὸν Μάριον αὐτοῖς, οὔτε σώζειν ἀσφαλές. οὕτω δὴ πάντων ἔρημος ἀπολειφθεὶς, πολὺν μὲν χρόνον ἄναυδος ἐπὶ τῆς ἀκτῆς ἔκειτο. μόλις δέ πως ἀναλαβὼν ἑαυτὸν, ἐπορεύετο ταλαιπώρως ἀνοδίαις. καὶ διεξελθὼν ἕλη βαθέα καὶ τάφρους ὕδατος καὶ πηλοῦ γεμούσας, ἐπιτυγχάνει καλύβῃ λιμνουργοῦ γέροντος. ὃν περιπεσὼν, ἱκέτευε γενέσθαι σωτῆρα καὶ βοηθὸν, ἀνδρὸς εἰ διαφύγοι τὰ παρόντα, μείζονας ἐλπίδων ἀμοιβὰς ἀποδώσοντος. ὁ δ' ἄνθρωπος εἴτε πάλαι γνώστης ὢν, εἴτε πρὸς τὴν ὄψιν ὡς κρείττονα θαυμάσας, ἀναπαύσασθαι μὲν ἔφη δεομένῳ τὸ σκηνύδριον ἐξαρκεῖν. εἰ δέ τινας ὑποφεύγων πλάζοιτο, κρύψειν αὐτὸν ἐν τόπῳ μᾶλλον ἡσυχίαν ἔχοντι. τοῦ δὲ Μαρίου δεηθέντος οὕτω ποιεῖν, ἀγαγὼν αὐτὸν εἰς τὸ ἕλος, καὶ πτῆξαι κελεύσας ἐν χωρίῳ κοίλῳ παρὰ τὸν ποταμὸν, ἐπέβαλε τῶν τε καλάμων πολλοὺς, καὶ τῆς ἄλλης ἐπιφέρων ὕλης ὅση κούφη καὶ περιπτύσσειν ἀβλαβῶς δυναμένη. χρόνου δὲ οὐ πολλοῦ διαγενομένου, ψόφος αὐτῷ καὶ θόρυβος ἀπὸ τῆς καλύβης προσέπεσεν. ὁ γὰρ Γεμίνιος ἐκ Ταρρακίνης, ἔπεμψε πολλοὺς ἐπὶ τὴν δίωξιν. ὧν ἔνιοι κατὰ τύχην ἐκεῖ προσελθόντες, ἐξεφόβουν καὶ κατεβόων τοῦ γέροντος, ὡς ὑποδεξαμένου καὶ κατακρύπτοντος πολέμιον Ῥωμαίων. ἐξαναστὰς οὖν ὁ Μάριος καὶ ἀποδυσάμενος, καθῆκεν ἑαυτὸν εἰς τὴν λίμνην, ὕδωρ παχὺ καὶ τελματῶδες ἔχουσαν. ὅθεν οὐ διέλαθε τοὺς ζητοῦντας, ἀλλ' ἀνασπασθεὶς, βορβόρου κατάπλεως καὶ γυμνὸς, εἰς Μιντούρνας ἀνήχθη, καὶ παρεδόθη τοῖς ἄρχουσιν. ἦν γὰρ εἰς ἅπασαν ἤδη πόλιν ἐξενηνεγμένον παράγγελμα περὶ τοῦ Μαρίου, δημοσίᾳ διώκειν καὶ κτείνειν τοὺς λαβόντας. ὅμως δὲ βουλεύσασθαι πρότερον ἔδοξε τοῖς ἄρχουσι. καὶ κατατίθενται τὸν Μάριον εἰς οἰκίαν Φαννίας γυναικὸς οὐκ εὐμενῶς δοκούσης ἔχειν πρὸς αὐτὸν ἐξ αἰτίας παλαιᾶς. ἦν τ' ἀνὴρ τῇ Φαννίᾳ Τιννίος. τούτου διαστᾶσα τὴν φερνὴν ἀπῄτει λαμπρὰν οὖσαν. ὁ δὲ, μοιχείαν ἐνεκάλει. καὶ γίνεται Μάριος ὑπατεύων τὸ ἕκτον, δικαστής. ἐπεὶ δὲ τῆς δίκης λεγομένης, ἐφαίνετο καὶ τὴν Φαννίαν ἀκόλαστον γεγονέναι, καὶ τὸν ἄνδρα τοιαύτην εἰδότα λαβεῖν καὶ συμβιῶσαι πολὺν χρόνον, ἀμφοτέρους δυσχεράνας, τὸν μὲν ἄνδρα, τὴν φερνὴν ἐκέλευσεν ἀποδοῦναι. τῆς δὲ γυναικὸς ἀτιμίας ἕνεκα τῇ καταδίκῃ χαλκοῦς τέσσαρας προσετίμησεν. οὐ μὴν ἥγε Φαννία τότε πάθος γυναικὸς ἠδικημένης ἔλαβεν, ἀλλ' ὡς εἶδε τὸν Μάριον, πορρωτάτω γενομένη τοῦ μνησικακεῖν, ἐκ τῶν παρόντων ἐπεμελεῖτο. καὶ παρεθάρρυνεν αὐτόν. ὁ δὲ, κἀκείνην ἐπῄνει καὶ θαρρεῖν ἔφασκε. σημεῖον γὰρ αὐτῷ γεγονέναι χρηστόν. ἦν δὲ τοιοῦτον. ὡς ἀγόμενος πρὸς τῇ οἰκίᾳ τῆς Φαννίας ἐγεγόνει, τῶν θυρῶν ἀνοιχθεισῶν, ὄνος ἔνδοθεν ἐχώρει δρόμῳ πιόμενος ἀπὸ κρήνης ἐγγὺς ἀπορρεούσης. προσβλέψας δὲ τῷ Μαρίῳ λαμυρόν τι καὶ γεγηθὸς, ἔστη πρῶτον ἐναντίον, εἶτα φωνὴν ἀφῆκε λαμπρὰν, καὶ παρεσκίρτησε παρ' αὐτὸν ὑπὸ γαυρότητος. ἐξ οὗ συμβαλὼν ὁ Μάριος, ἔφασκεν ὡς διὰ θαλάσσης αὐτῷ μᾶλλον, ἢ διὰ γῆς ὑποδείκνυσι σωτηρίαν τὸ δαιμόνιον. τὸν γὰρ ὄνον οὐ προσέχοντα τῇ ξηρᾷ τροφῇ πρὸς τὸ ὕδωρ ἀπ' αὐτῆς τραπέσθαι. ταῦτα διαλεχθεὶς τῇ Φαννίᾳ καθ' αὑτὸν ἀνεπαύετο, τὴν θύραν τοῦ δωματίου προσθεῖναι κελεύσας. βουλευομένοις δὲ τοῖς ἄρχουσι καὶ συνέδροις τῶν Μιντουρνησίων, ἔδοξε μὴ μέλλειν, ἀλλὰ διαχρήσασθαι τὸν ἄνδρα. καὶ τῶν μὲν πολιτῶν οὐδεὶς ὑπέστη τὸ ἔργον. ἱππεὺς δὲ Γαλάτης τὸ γένος, ἢ Κίμβρος, ἀμφοτέρως γὰρ ἱστορεῖται, λαβὼν ξίφος, ἐπεισῆλθεν αὐτῷ. τοῦ

βελτίστοις ὁρῶσιν, οἰκτείρειν ἐπῄει τὴν πλεονεξίαν καὶ τὴν φιλοδοξίαν, ὅτι πλουσιώτατος ἐκ πένητος, καὶ μέγιστος ἐκ μικροῦ γεγονὼς, ὅρον οὐκ οἶδεν εὐτυχίας. οὐδὲ θαυμαζόμενος ἀγαπᾷ καὶ ἀπολαύων ἐν ἡσυχίᾳ τῶν παρόντων, ἀλλ' ὥσπερ ἐνδεὴς ἁπάντων, εἰς Καππαδοκίαν καὶ τὸν Εὔξεινον πόντον ἄρας ἐκ θριάμβων καὶ δόξης ἐκφέρει τοσοῦτον γῆρας. Ἀρχελάῳ καὶ Νεοπτολέμῳ τοῖς Μιθριδάτου σατράπαις διαμαχούμενος. αἱ δὲ πρὸς ταῦτα τοῦ Μαρίου δικαιολογίαι, παντάπασιν ἐφαίνοντο ληρώδεις. ἔφη γὰρ ἐθέλειν τὸν υἱὸν ἀσκῆσαι, παρὼν αὐτὸς ἐπὶ στρατείας.

ταῦτα τὴν πόλιν ἐκ πολλῶν χρόνων ὕπουλον γεγενημένην καὶ νοσοῦσαν, ἀνέρρηξεν. εὐφυέστατον εὑρόντος ὄργανον Μαρίου πρὸς τὸν κοινὸν ὄλεθρον, τὸ Σουλπικίου θράσος. ὃς τἆλλα πάντα θαυμάζων καὶ ζηλῶν τὸν Σατορνῖνον, ἀτολμίαν ἐπεκάλει τοῖς πολιτεύμασιν αὐτοῦ καὶ μέλλησιν. αὐτὸς δὲ μὴ μέλλων, ἑξακοσίους μὲν εἶχε περὶ αὑτὸν, τῶν ἱππικῶν, οἷον δορυφόρους. καὶ τούτους, ἀντισύγκλητον ὠνόμαζεν. ἐπελθὼν δὲ μεθ' ὅπλων ἐκκλησιάζουσι τοῖς ὑπάτοις, τοῦ μὲν ἑτέρου φυγόντος ἐξ ἀγορᾶς τὸν υἱὸν ἐγκαταλαβὼν, ἀπέσφαξε. Σύλλας δὲ παρὰ τὴν οἰκίαν τὴν Μαρίου διωκόμενος, οὐδενὸς ἂν προσδοκήσαντος, εἰσέπεσε. καὶ τοὺς μὲν διώκοντας ἔλαθε δρόμῳ παρενεχθέντας, ὑπ' αὐτοῦ δὲ Μαρίου λέγεται κατὰ θύρας ἑτέρας ἀσφαλῶς ἀφειμένος, διεκπεσεῖν εἰς τὸ στρατόπεδον. αὐτὸς δὲ Σύλλας ἐν τοῖς ὑπομνήμασιν, οὔ φησι καταφυγεῖν πρὸς τὸν Μάριον, ἀλλ' ἀποχωρῆσαι βουλευσόμενος, ὑπὲρ ὧν Σουλπίκιος ἠνάγκαζεν αὐτὸν ἄκοντα ψηφίσασθαι, περιέχων ἐν κύκλῳ ξίφεσι γυμνοῖς, καὶ συνελάσας πρὸς τὸν Μάριον, ἄχρις οὗ προελθὼν ἐκεῖθεν εἰς ἀγορὰν, ὡς ἠξίουν ἐκεῖνοι τὰς πράξεις ἔλυσε. γενομένων δὲ τούτων, ὁ Σουλπίκιος ἤδη κρατῶν ἐπεχειροτόνησε τῷ Μαρίῳ τὴν στρατηγίαν. ὁ δὲ Μάριος ἐν παρασκευῇ τῆς ἐξόδου καθεστηκὼς, δύο χιλιάρχους ἐξέπεμψε, παραληψομένους τὸ Σύλλα στράτευμα. Σύλλας δὲ τοὺς στρατιώτας παροξύνας. ἦσαν δὲ τρισμυρίων ἱππεῖς, καὶ πεντακισχιλίων οὐ μείους ὁπλῖται, προήγαγεν ἐπὶ τὴν Ῥώμην. τοὺς δὲ χιλιάρχους οὓς ἔπεμψε Μάριος, προσπεσόντες οἱ στρατιῶται, διέφθειραν. πολλοὺς δὲ καὶ Μάριος ἐν Ῥώμῃ τῶν Σύλλα φίλων, ἀνῃρήκει. καὶ δούλοις ἐλευθερίαν ἐκήρυττεν ἐπὶ συμμαχίᾳ. λέγονται δὲ, τρεῖς μόνοι προσγενέσθαι. μικρὰ δ' ἀντιστὰς, εἰσελάσαντι τῷ Σύλλᾳ, καὶ ταχέως ἐκβιασθεὶς, ἔφυγε. τῶν δὲ περὶ αὐτὸν ὡς πρῶτον ἐξέπεσε τῆς πόλεως, διασπαρέντων, σκότους ὄντος, ἔς τι τῶν ἐπαυλίων αὐτοῦ Σολώνιον κατέφυγε. καὶ τὸν μὲν υἱὸν ἔπεμψεν ἐκ τῶν Μουκίου τοῦ πενθεροῦ χωρίων, οὐ μακρὰν ὄντων, τὰ ἐπιτήδεια ληψόμενον. αὐτὸς δὲ καταβὰς εἰς Ὠστίαν, φίλου τινὸς Νουμερίου πλοῖον αὐτῷ παρασκευάσαντος, οὐκ ἀναμείνας τὸν υἱὸν, ἀλλὰ Γράνιον ἔχων μετ' αὑτοῦ τὸν πρόγονον, ἐξέπλευσεν. ὁ δὲ νεανίας ὡς ἦλθεν εἰς τὰ χωρία τοῦ Μουκίου καὶ λαμβάνων τι καὶ συσκευαζόμενος, ἡμέρας καταλαβούσης, οὐ παντάπασι τοὺς πολεμίους διέλαθεν, ἀλλ' ἦλθον ἱππεῖς ἐλαύνοντες καθ' ὑπόνοιαν ἐπὶ τὸν τόπον. οὓς ὁ τῶν ἀγρῶν ἐπιμελητὴς προϊδόμενος, ἔκρυψε τὸν Μάριον ἐν ἁμάξῃ κυάμους ἀγούσῃ. καὶ βοῦς ὑποζεύξας, ἀπήντα τοῖς ἱππεῦσιν, εἰς πόλιν ἐλαύνων τὴν ἅμαξαν. οὕτω δὲ πρὸς τὴν οἰκίαν τῆς γυναικὸς ὁ Μάριος διακομισθεὶς, καὶ λαβὼν ὅσων ἐδεῖτο, νυκτὸς ἐπὶ θάλατταν ἧκε. καὶ νεὼς ἐπιβὰς εἰς Λιβύην πλεούσης, ἀπεπέρασεν.

ὁ δὲ πρεσβύτης Μάριος ὡς ἀνήχθη πνεύματι φορῷ κομιζόμενος παρὰ τὴν Ἰταλίαν, ἐφοβήθη Γεμίνιόν τινα τῶν ἐν Ταρρακίνῃ δυνατῶν, ἐχθρὸν αὑτοῦ, καὶ τοῖς ναύταις προεῖπε, φυλάττεσθαι Ταρρακίνης. οἱ δὲ, ἐβούλοντο μὲν αὐτῷ χαρίζεσθαι. τοῦ δὲ πνεύματος εἰς πέλαγος μεθισταμένου καὶ κλύδωνα κατάγοντος πολὺν, οὔτε τὸ πορθμεῖον ἐδόκει περικλυζόμενον ἀνθέξειν. τοῦ τε Μαρίου δυσφοροῦντος καὶ κακῶς ἔχοντος ὑπὸ ναυτίας, μόλις ἀντελαμβάνοντο τῶν περὶ τὸ Κιρκαῖον αἰγιαλῶν. τοῦ δὲ χειμῶνος αὐξανομένου καὶ τῶν σιτίων ὑπολειπόντων ἐκβάντες ἐπλάζοντο πρὸς οὐδένα σκοπόν. ἀλλ' οἷα συμβαίνει ταῖς μεγάλαις ἀπορίαις, ἀεὶ φεύγειν ἐκ τοῦ παρόντος ὡς χαλεπωτάτου. καὶ τὰς ἐλπίδας ἔχειν ἐν τοῖς ἀδήλοις. ἐπεὶ πολεμία μὲν ἐκείνοις ἡ γῆ. πολεμία δὲ ἡ θάλασσα. φοβερὸν δὲ τὸ ἀνθρώποις περιπεσεῖν, φοβερὸν δὲ μὴ περιπεσεῖν δι' ἔνδειαν τῶν ἀναγκαίων. ὀψὲ μὲν ἀλλ' ὀψέ που βουτήρσιν ὀλίγοις ἐντυγχάνουσιν, οἳ δοῦναι μὲν οὐδὲν ἔσχον αὐτοῖς δεομένοις. γνωρίσαντες δὲ τὸν Μάριον, ἐκέλευον ἀπαλλάττεσθαι τὴν ταχίστην. ὀλίγον γὰρ ἔμπροσθεν αὐτόθι κατὰ ζήτησιν αὐτοῦ, συχνοὺς ἱππέας ὀφθῆναι διεξελαύνοντας. ἐν παντὶ δὴ γεγονὼς ἀπορίας. μάλιστα δὲ νηστείᾳ τῶν περὶ αὐτὸν ἀπαγορευόντων, ὅτε μὲν ἐκτραπόμενος τῆς ὁδοῦ καὶ καταβαλὼν ἑαυτὸν εἰς ὕλην βαθεῖαν, ἐπιπόνως διενυκτέρευσε. τῇ δ' ὑστεραίᾳ συνηγμένος ὑπ' ἐνδείας, καὶ τῷ σώματι πρὶν ἐκλελύσθαι παντάπασι χρήσασθαι βουλόμενος, ἐχώρει παρὰ τὸν αἰγιαλὸν ἐπιθαρσύνων τοὺς ἑπομένους καὶ δεόμενος, μὴ ἀφηγάμενον τῆς τελευταίας ἐλπίδος, ἐφ' ἣν ἑαυτὸν φυλάττει μαντεύμασι παλαιοῖς πιστεύων. νέος γὰρ ὢν ἔτι παντελῶς καὶ διατρίβων κατ' ἀγρὸν, ὑποδέξασθαι τῷ ἱματίῳ καταφερομένην ἀετοῦ νεοττιὰν ἑπτὰ νεοττοὺς ἔχουσαν. ἰδόντας δὲ τοὺς γονεῖς καὶ θαυμάσαντας, διαπυνθάνεσθαι τῶν μάντεων. τοὺς δὲ, εἰπεῖν. ὡς ἐπιφανέστατος ἀνθρώπων ἔσοιτο καὶ τὴν μεγίστην ἡγεμονίαν καὶ ἀρχὴν, ἑπτάκις αὐτῷ λαβεῖν ἀναγκαῖον εἴη. ταῦτα οἱ μὲν ἀληθῶς τῷ Μαρίῳ συντυχεῖν

πολλοῖς μὴ θέλειν ἀπεχθάνεσθαι, τοὺς βίους αὐτῶν καὶ τὰ ἤθη πικρῶς ἐξετάζων. δόγματος δὲ εἰσφερομένου μέτελλον ἀπὸ τῆς φυγῆς ἀνακαλεῖσθαι, πολλὰ καὶ διὰ λόγων καὶ δι᾽ ἔργων μάτην ἐναντιωθεὶς, τέλος, ἀπεῖπε. καὶ δεξαμένου τὴν γνώμην τοῦ δήμου προθύμως, οὐχ ὑπομένων κατερχόμενον ἰδεῖν τὸν μέτελλον, ἐξέπλευσεν εἰς καππαδοκίαν καὶ γαλατίαν, λόγῳ μὲν ἀποδώσων ἃς εὔξατο τῇ μητρὶ τῶν θεῶν θυσίας, ἑτέραν δὲ τῆς ἀποδημίας ἔχων ὑπόθεσιν λανθάνουσαν τοὺς πολλούς. ἀφυὴς γὰρ ὢν πρὸς εἰρήνην καὶ ἀπολίτευτος, ηὐξημένος δὲ τοῖς πολέμοις. εἶτα κατὰ μικρὸν αὖθις ὑπὸ ἀργίας καὶ ἡσυχίας ἀπομαραίνεσθαι τὴν δύναμιν αὐτοῦ καὶ τὴν δόξαν οἰόμενος, ἐζήτει καινῶν πραγμάτων ἀρχάς. ἤλπιζε γὰρ τοὺς βασιλεῖς συνταράξας καὶ μιθριδάτην ἐπίδοξον ὄντα πολεμήσειν, ἀναστήσας καὶ παροξύνας, εὐθὺς ἐπ᾽ αὐτὸν ἡγεμὼν αἱρεθήσεσθαι. καὶ νέων μὲν τὴν πόλιν θριάμβων. σκύλων δὲ ποντικῶν καὶ πλούτου βασιλικοῦ, τὸν οἶκον ἐμπλήσειν. διὸ καὶ μιθριδάτου πάσῃ χρησαμένου θεραπείᾳ καὶ τιμῇ πρὸς αὐτὸν, οὐ καμφθεὶς οὐδὲ ὑπείξας. ἀλλ᾽ εἰπὼν ἢ μεῖζον ὦ βασιλεῦ πειρῶ δύνασθαι ῥωμαίων, ἢ ποίει σιωπῇ τὸ προστασσόμενον, ἐξέπληξεν αὐτὸν, ὡς φωνῆς μὲν πολλάκις, παρρησίας δὲ τότε πρῶτον ἀκούσαντα ῥωμαϊκῆς. ἐπανελθὼν δὲ εἰς ῥώμην, οἰκίαν ἐδείματο τῆς ἀγορᾶς πλησίον. εἴτε ὡς αὐτὸς ἔλεγε τοὺς θεραπεύοντας αὐτὸν ἐνοχλεῖσθαι μὴ βουλόμενος μακρὰν βαδίζοντας. εἴτε τοῦτ᾽ αἴτιον οἰόμενος εἶναι, τοῦ πλείονας ἄλλους ἐπὶ θύρας αὐτοῦ φοιτᾶν. τὸ δὲ, οὐκ ἦν ἄρα τοιοῦτον. ἀλλ᾽ ὁμιλίας χάριτι καὶ πολιτικαῖς χρείαις ἑτέρων λειπόμενος. ὥσπερ ὄργανον πολεμικὸν, ἐπ᾽ εἰρήνης παρημελεῖτο. καὶ τοὺς μὲν ἄλλους ἧττον ἤχθετο παρευδοκιμούμενος. σφόδρα δὲ αὐτὸν ἠνία σύλλας ἐκ τοῦ πρὸς ἐκεῖνον αὐξανόμενος φθόνου τῶν δυνατῶν. καὶ τὰς πρὸς ἐκεῖνον διαφορὰς, ἀρχὴν πολιτείας ποιούμενος. ἐπεὶ δὲ καὶ βόκχος ὁ νομὰς σύμμαχος ῥωμαίων ἀναγεγραμμένος, ἔστησεν ἐν καπιτωλίῳ νίκας τροπαιοφόρους, καὶ παρ᾽ αὐταῖς ἐν εἰκόσι χρυσαῖς ἰουγούρθαν ἐγχειριζόμενον ὑπ᾽ αὐτοῦ, σύλλᾳ, τοῦτο ἐξέστησεν ὀργῇ καὶ φιλονεικίᾳ μάριον, ὡς σύλλα περισπῶντος εἰς ἑαυτὸν τὰ ἔργα, καὶ παρεσκευάζετο βίᾳ τὰ ἀναθήματα καταβάλλειν. ἀντεφιλονείκει δὲ σύλλας. καὶ τὴν στάσιν ὅσον οὔπω φερομένην εἰς μέσον, ἐπέσχεν ὁ συμμαχικὸς πόλεμος ἐξαίφνης ἐπὶ τὴν πόλιν ἀναρραγείς. τὰ γὰρ μαχιμώτατα τῶν ἰταλικῶν ἐθνῶν καὶ πολυανθρωπότατα κατὰ τῆς ῥώμης συνέστησαν. καὶ μικρὸν ἐδέησε συγχέαι τὴν ἡγεμονίαν. οὐ μόνον ὅπλοις ἐρρωμένα καὶ σώμασιν, ἀλλὰ καὶ τόλμαις στρατηγῶν καὶ δεινότησι χρησάμενα θαυμασταῖς καὶ ἀντιπάλοις. οὗτος ὁ πόλεμος τοῖς πάθεσι ποικίλος γενόμενος καὶ ταῖς τύχαις πολυτροπώτατος, ὅσον σύλλᾳ προσέθηκε δόξης καὶ δυνάμεως, τοσοῦτον ἀφεῖλε μαρίου. βραδὺς γὰρ ἐφάνη ταῖς ἐπιβολαῖς. ὄκνου τε περὶ πάντα καὶ μελλήσεως, ὑπόπλεως. εἴτε τοῦ γήρως τὸ δραστήριον ἐκεῖνο καὶ θερμὸν ἐν αὐτῷ κατασβεννύντος. ἑξηκοστὸν γὰρ ἤδη καὶ πέμπτον ἔτος ὑπερέβαλλεν. εἴτε ὡς αὐτὸς ἔλεγε περὶ νεῦρα γεγονὼς νοσώδης καὶ σώματι δύσεργος ὢν, ὑπέμεινε παρὰ δύναμιν αἰσχύνῃ τὰς στρατείας. οὐ μὴν, ἀλλὰ καὶ τότε μάχῃ τε μεγάλῃ νικήσας, ἑξακισχιλίους ἀνεῖλε τῶν πολεμίων, καὶ λαβὴν, οὐδαμῇ παρέχων αὐτοῖς. ἀλλὰ καὶ περιταφρευόμενος, ἠνείχετο καὶ χλευαζόμενος καὶ καλούμενος, οὐ παρωξύνθη. λέγεται δὲ ποπλίου σίλωνος, ὃς μέγιστον εἶχε τῶν πολεμίων ἀξίωμα καὶ δύναμιν, εἰπόντος πρὸς αὐτόν. εἰ μέγας εἶ στρατηγὸς ὦ μάριε διαγώνισαι καταβάς, ἀποκρίνασθαι. σὺ μὲν οὖν εἰ μέγας εἶ στρατηγὸς ἀνάγκασόν με διαγωνίσασθαι, μὴ βουλόμενον. πάλιν δέ ποτε τῶν μὲν πολεμίων καιρὸν ἐπιχειρήσεως παραδιδόντων, τῶν δὲ ῥωμαίων ἀποδειλιασάντων, ὡς ἀνεχώρησαν ἀμφότεροι, συναγαγὼν εἰς ἐκκλησίαν τοὺς στρατιώτας, ἀπορῶ φησὶ, πότερον εἴπω, τοὺς πολεμίους ἀνανδροτέρους, ἢ ὑμᾶς, οὔτε γὰρ ἐκεῖνοι τὸν νῶτον ὑμῶν, οὔτε ὑμεῖς ἐκείνων τὸ ἰνίον ἰδεῖν ἐδυνήθητε. τέλος δὲ, ἀφῆκεν τὴν στρατηγίαν ὡς ἐξαδυνατῶν τῷ σώματι διὰ τὴν ἀσθένειαν. ἐπεὶ δὲ ἤδη τῶν ἰταλικῶν ἐγκεκλικότων, ἐμνηστεύοντο πολλοὶ τὸν μιθριδατικὸν πόλεμον ἐν ῥώμῃ διὰ τῶν δημαγωγῶν. παρὰ πᾶσαν ἐλπίδα σουλπίκιος δήμαρχος ἀνὴρ θρασύτατος παραγαγὼν μάριον ἀπεδείκνυεν ἀνθύπατον στρατηγὸν ἐπὶ μιθριδάτην. καὶ ὁ δῆμος διέστη. τῶν μὲν, αἱρουμένων τὰ μαρίου. τῶν δὲ, σύλλαν καλούντων. καὶ τὸν μάριον ἐπὶ θερμὰ κελευόντων εἰς βαΐας βαδίζειν, καὶ τὸ σῶμα θεραπεύειν ὑπό τε γήρως καὶ ῥευμάτων, ἀπειρηκὼς ὡς αὐτὸς ἔλεγε. καὶ γὰρ ἦν ἐκεῖ περὶ μισηνοὺς τῷ μαρίῳ πολυτελὴς οἰκία, τρυφὰς ἔχουσα καὶ διαίτας θηλυτέρας ἢ κατ᾽ ἄνδρα, πολέμων τοσούτων καὶ στρατειῶν αὐτουργόν. ταύτην λέγεται μυριάδων ἑπτὰ ἡμίσους κορνηλία πρίασθαι. χρόνου δ᾽ οὐ πάνυ πολλοῦ γενομένου, λεύκιος λεύκουλλος ὠνεῖται μυριάδων πεντήκοντα καὶ διακοσίων. οὕτως ταχέως ἀνέδραμεν ἡ πολυτέλεια. καὶ τοσαύτην ἐπίδοσιν τὰ πράγματα πρὸς τρυφὴν ἔλαβεν. οὐ μὴν, ἀλλὰ μάριος φιλοτίμως πάνυ καὶ μειρακιωδῶς ἀποτριβόμενος τὸ γῆρας καὶ τὴν ἀσθένειαν, ὁσημέραι κατέβαινεν εἰς τὸ πεδίον, καὶ μετὰ τῶν νεανίσκων γυμναζόμενος, ἐπεδείκνυε τὸ σῶμα, κοῦφον μὲν ὅπλοις. ἔποχον δὲ ταῖς ἱππασίαις. καίπερ οὐκ εὐσταλὴς γεγονὼς ἐν γήρᾳ τὸν ὄγκον, ἀλλ᾽ εἰς σάρκα περιπληθῆ καὶ βαρεῖαν ἐνδεδωκώς. ἐνίοις μὲν οὖν ἤρεσκε ταῦτα πράττων. καὶ κατιόντες, ἐθεῶντο τὴν φιλοτιμίαν αὐτοῦ καὶ τὰς ἁμίλλας. τοῖς δὲ

βελτίστοις

τὴν δημαγωγοῦσιν ἐπιβουλεύει τῆς πόλεως ἐκβαλεῖν τὸν ἄνδρα. καὶ πρὸς τοῦτο γλαυκίαν καὶ σατορνῖνον ἀνθρώπους θρασυτάτους καὶ πλῆθος ἄπορον καὶ θορυβοποιὸν ὑπ' αὐτοῖς ἔχοντας οἰκειωσάμενος, εἰσέφερε νόμους δι' αὐτῶν. καὶ τὸ στρατιωτικὸν ἐπαίρων, κατεμίγνυε ταῖς ἐκκλησίαις καὶ κατεστασίαζε τὸν μέτελλον. ὡς δὲ ῥουτίλιος ἱστορεῖ, τὰ μὲν ἄλλα, φιλαλήθης ἀνὴρ καὶ χρηστὸς. ἰδίᾳ δὲ τῷ μαρίῳ προσκεκρουκὼς φησὶν, ὡς καὶ τῆς ἕκτης ἔτυχεν ὑπατείας, ἀργύριον εἰς τὰς φυλὰς καταβαλὼν πολὺ καὶ πριάμενος, τὸν μέτελλον ἐκκροῦσαι τῆς ἀρχῆς, οὐαλλέριον δὲ φλάκκον ὑπηρέτην μᾶλλον ἢ συνάρχοντα τῆς ὑπατείας λαβεῖν. οὐδενὶ μέντοι τῶν πρὸ αὐτοῦ, πλὴν μόνῳ κορβίνῳ οὐαλλερίῳ τοσαύτας ὑπατείας ἔδωκεν ὁ δῆμος, ψηφίσαιτο καὶ πρὸς μηδὲν ἐναντιώσεσθαι. ἀλλ' ἐκείνῳ μὲν ἀπὸ τῆς πρώτης εἰς τὴν τελευταίαν, ἔτη πέντε καὶ τεσσαράκοντα γενέσθαι λέγουσι. μάριος δὲ μετὰ τὴν πρώτην τὰς πέντε ῥύμῃ μιᾶς τύχης διέδραμε. καὶ μάλιστα περὶ τὴν τελευταίαν ἐφθονεῖτο, πολλὰ συνεξαμαρτάνων, τοῖς περὶ τὸν σατορνῖνον. ὧν ἦν καὶ ὁ ὀνίου φόνος, ὃν ἀντιπαραγγέλλοντα δημαρχίαν, ἀπέσφαξεν ὁ σατορνῖνος. εἶτα δημαρχῶν, εἰσῆγε τὸν περὶ τῆς χώρας νόμον, ᾧ προσεγέγραπτο τὴν σύγκλητον ὀμόσαι προσελθοῦσαν, ἦ μὴν ἐμμενεῖν οἷς ἂν ὁ δῆμος ψηφίσαιτο, καὶ πρὸς μηδὲν ὑπεναντιώσεσθαι. τούτου τοῦ νόμου τὸ μέρος προσποιούμενος ἐν τῇ βουλῇ διώκειν ὁ μάριος, οὐκ ἔφη δέξασθαι τὸν ὅρκον, οὐδὲ ἄλλον οἴεσθαι σωφρονοῦντα. καὶ γὰρ εἰ μὴ μοχθηρὸς ἦν ὁ νόμος, ὕβριν εἶναι τοιαῦτα τὴν βουλὴν διδόναι βιαζομένην, ἀλλὰ μὴ πειθοῖ μηδὲ ἑκοῦσαν. ταῦτα δὲ, οὐχ οὕτως φρονῶν ἔλεγεν. ἀλλὰ τῷ μετέλλῳ, ἀπάτην περιτιθεὶς ἄφυκτον. αὐτὸς μὲν γὰρ εἰς ἀρετῆς καὶ δεινότητος μέρος τὸ ψεύσασθαι τιθέμενος, λόγον οὐδένα τῶν πρὸς τὴν σύγκλητον ὡμολογημένων, ἕξειν ἔμελλε. τὸν δὲ μέτελλον εἰδὼς βέβαιον ἄνδρα καὶ τὴν ἀλήθειαν ἀρχὴν μεγάλης ἀρετῆς, κατὰ πίνδαρον ἡγούμενον, ἐβούλετο τῇ πρὸς τὴν σύγκλητον ἀρνήσει προληφθέντα καὶ μὴ δεξάμενον τὸν ὅρκον, εἰς ἀνήκεστον ἐμβαλεῖν πρὸς τὸν δῆμον ἔχθραν. ὃ καὶ συνέβη. τοῦ γὰρ μετέλλου φήσαντος μὴ ὀμόσειν, τότε μὲν ἡ βουλὴ διελύθη. μετὰ δὲ ἡμέρας ὀλίγας, τοῦ σατορνίνου πρὸς τὸ βῆμα τοὺς συγκλητικοὺς ἀνακαλουμένου. καὶ τὸν ὅρκον ὀμνύειν ἀναγκάζοντος, ὁ μάριος προσελθὼν, γενομένης σιωπῆς καὶ πάντων εἰς ἐκεῖνον ἀνηρτημένων, μακρὰ χαίρειν φράσας τοῖς ἐν τῇ βουλῇ νεανιευθεῖσιν ἀπὸ φωνῆς, οὐχ οὕτω πλατὺν ἔφη φορεῖν τὸν τράχηλον ὡς προαποφαίνεσθαι καθάπαξ εἰς πρᾶγμα τηλικοῦτον. ἀλλ' ὀμεῖσθαι καὶ τῷ νόμῳ πειθαρχήσειν, εἴπερ ἔστι νόμος. καὶ γὰρ τοῦτο προσέθηκε τὸ σοφὸν, ὥσπερ παρακάλυμμα τῆς αἰσχύνης. ὁ μὲν οὖν δῆμος ἡσθεὶς ὀμόσαντος, ἀνεκρότησε καὶ κατευφήμησε. τοὺς δὲ ἀρίστους κατήφεια δεινὴ καὶ μῖσος ἔσχε τοῦ μαρίου τῆς μεταβολῆς. ὤμνυσαν οὖν ἅπαντες ἐφεξῆς δεδιότες τὸν δῆμον, ἄχρι μετέλλου. μέτελλος δὲ καίπερ αὐτὸν παρακαλούντων καὶ δεομένων τῶν φίλων ὀμόσαι καὶ μὴ περιβαλεῖν ἑαυτὸν ἐπιτιμίοις ἀνηκέστοις, ἃ κατὰ τῶν μὴ ὀμνυόντων ὁ σατορνῖνος εἰσέφερεν, οὐχ ὑφῆκε τοῦ φρονήματος, οὐδὲ ὤμοσεν, ἀλλ' ἐμμένων τῷ ἤθει, καὶ πᾶν παθεῖν δεινὸν ἕτοιμος ὢν ἐπὶ τῷ μηδὲν αἰσχρὸν ἐργάσασθαι, ἀπῆλθεν ἐκ τῆς ἀγορᾶς, διαλεγόμενος τοῖς περὶ αὐτὸν, ὡς τὸ κακόν τι πρᾶξαι, φαῦλον εἴη. τὸ δὲ καλὸν μὲν, ἀκινδύνως δὲ, κοινόν. ἴδιον δὲ ἀνδρὸς ἀγαθοῦ, τὸ μετὰ κινδύνων τὰ καλὰ πράσσειν. ἐκ τούτου ψηφίζεται σατορνῖνος ἀποκηρύξαι τοὺς ὑπάτους, ὅπως πυρὸς καὶ ὕδατος καὶ στέγης εἴργηται μέτελλος. καὶ τὸ φαυλότατον αὐτοῖς τοῦ πλήθους παρῆν ἕτοιμον ἀποκτιννύναι τὸν ἄνδρα. τῶν δὲ βελτίστων περιπαθούντων καὶ συντρεχόντων πρὸς τὸν μέτελλον, οὐκ εἴασε στασιάσαι δι' αὐτόν. ἀλλὰ ἀπῆλθεν ἐκ τῆς πόλεως ἔμφρονι λογισμῷ χρησάμενος. ἢ γὰρ ἀμεινόνων ἔφη τῶν πραγμάτων γενομένων, καὶ τοῦ δήμου μετανοήσαντος, ἀφίξομαι παρακαλούμενος, ἢ μενόντων ὁμοίων, ἀπηλλάχθαι κράτιστον. ἀλλὰ γὰρ ὅσης μὲν ἀπέλαυσεν εὐνοίας παρὰ τὴν φυγὴν καὶ τιμῆς μέτελλος, ὃν δὲ τρόπον ἐν ῥόδῳ φιλοσοφῶν διητήθη, βέλτιον ἐν τοῖς περὶ ἐκείνου γραφομένοις εἰρήσεται. μάριος δὲ τὸν σατορνῖνον ἀντὶ τῆς ὑπουργίας ταύτης ἤδη πᾶν προϊόντα τόλμης καὶ δυνάμεως περιορᾶν ἀναγκαζόμενος, ἔλαθεν οὐκ ἀνεκτὸν ἀπεργασάμενος κακὸν, ἀλλ' ἄντικρυς ὅπλοις καὶ σφαγαῖς ἤδη τυραννίδα καὶ πολιτείας ἀνατροπὴν πορευόμενον. αἰδούμενος δὲ τοὺς κρατίστους. θεραπεύων δὲ τοὺς πολλοὺς, ἔργον ἀνελεύθερον ἐσχάτως ὑπέμεινε, καὶ παλίμβολον. ἐλθόντων γὰρ ὡς αὐτὸν ὑπὸ νύκτα τῶν πρώτων ἀνδρῶν καὶ παρακαλούντων ἤδη τὸν σατορνῖνον, ἑτέραις θύραις ἐκεῖνον ὑπεδέξατο, τούτων ἀγνοούντων. εἶτα πρόφασιν λέγων πρὸς ἀμφοτέρους κοιλίας διάρροιαν. νῦν μὲν ὡς τούτους. νῦν δὲ ὡς ἐκεῖνον ἤδη τῆς οἰκίας ἀνὰ μέρος διαφέρων, συνέκρουε καὶ παρώξυνεν. οὐ μὴν ἀλλὰ καὶ τῆς βουλῆς καὶ τῶν ἱππέων συνισταμένων καὶ ἀγανακτούντων, ἐξενέγκας εἰς ἀγορὰν τὰ ὅπλα. καὶ καταδιωχθέντας αὐτοὺς εἰς τὸ καπιτώλιον, ἐξεπολιόρκησε δίψει. τοὺς γὰρ ὀχετοὺς ἀπέκοψεν. οἱ δὲ, ἀπειπόντες ἐκεῖνον ἐκάλουν, καὶ παρέδωκαν σφᾶς αὐτοὺς διὰ τῆς λεγομένης δημοσίας πίστεως. ἐπεὶ δὲ παντοῖος γενόμενος ὑπὲρ τοῦ σῶσαι τοὺς ἄνδρας οὐδὲν ὤνησεν, ἀλλὰ κατιόντες εἰς ἀγορὰν, ἀνῃρέθησαν. ἐκ τούτου, τοῖς τε δυνατοῖς ἅμα καὶ τῷ δήμῳ προσκεκρουκὼς, τιμητείας παραπιπτούσης, ἐπίδοξος ὢν, οὐ μετῆλθεν, ἀλλ' εἴασεν ἑτέρους ὑποδεεστέρους αἱρεθῆναι, δεδιὼς ἀποτυχεῖν. ἄλλως δὲ αὐτὸς ἐκαλλωπίζετο,

πρὸς τὸν οὐρανὸν ἀνασχὼν, ηὔξατο τοῖς θεοῖς κατὰ ἑκατόμβης. ηὔξατο δὲ καὶ κάτλος ὁμοίως ἀνασχὼν τὰς χεῖρας, καθιδρύσειν τὴν τύχην τῆς ἡμέρας ἐκείνης. τὸν δὲ μάριον καὶ θύσαντα λέγεται τῶν ἱερῶν αὐτῷ δειχθέντων, μέγα φθεγξάμενον εἰπεῖν. ἐμὴ νίκη. γενομένης δὲ τῆς ἐφόδου πρᾶγμα νεμεσητὸν παθεῖν τὸν μάριον οἱ περὶ σύλλαν ἱστοροῦσι. κονιορτοῦ γὰρ ἀρθέντος, οἷ εἰκὸς ἀπλέτου. καὶ τῶν στρατοπέδων ἀποκεκρυμμένων, ἐκεῖνον μὲν, ὡς τὸ πρῶτον ὥρμησε, πρὸς τὴν δίωξιν ἐπισπασάμενον τὴν δύναμιν, ἀστοχῆσαι τῶν πολεμίων. καὶ παρενεχθέντα τῆς φάλαγγος ἐν τῷ πεδίῳ διαφέρεσθαι πολὺν ἤδη χρόνον. τῷ δὲ κάτλῳ τοὺς βαρβάρους ἀπὸ τύχης συρραγῆναι. καὶ γενέσθαι τὸν ἀγῶνα κατ' ἐκεῖνον καὶ τοὺς ἐκείνου μάλιστα στρατιώτας, ἐν οἷς αὐτὸς ὁ σύλλας τετάχθαι φησί. συναγωνίσασθαι δὲ τοῖς ῥωμαίοις τὸ καῦμα καὶ τὸν ἥλιον ἀντιλάμποντα τοῖς κίμβροις. δεινοὶ γὰρ ὄντες ὑπομεῖναι κρύη. καὶ τόποις ἐν τεθραμμένοι σκιεροῖς, ὡς λέλεκται καὶ ψυχροῖς, ἀνετρέποντο πρὸς τὸ θάλπος. ἱδρῶτά τε μετὰ ἄσθματος πολὺν ἐκ τῶν σωμάτων ἀφιέντες. καὶ τοὺς θυρεοὺς προβαλλόμενοι πρὸ τῶν προσώπων. ἅτε δὴ καὶ μετὰ τροπὰς θέρους τῆς μάχης γενομένης, ὡς ἄγουσι ῥωμαῖοι πρὸ τριῶν ἡμερῶν τῆς νουμηνίας, τοῦ νῦν μὲν αὐγούστου, τότε δὲ, σεξτιλίου μηνός. ὤνησε δὲ καὶ πρὸς τὸ θαρρεῖν ὁ κονιορτὸς, ἀποκρύψας τοὺς πολεμίους. οὐ γὰρ κατεῖδον ἐκ πολλοῦ τὸ πλῆθος αὐτῶν, ἀλλὰ δρόμῳ τοῖς καθ' αὑτοὺς ἕκαστοι προσμίξαντες, ἐν χερσὶν ἦσαν, ὑπὸ τῆς ὄψεως μὴ προεκφοβηθέντες. οὕτω δὲ ἦσαν διάπονοι τὰ σώματα καὶ κατηθληκότες, ὡς μήτε ἱδροῦντά τινα, μήτε ἀσθμαίνοντα ῥωμαίων ὀφθῆναι διὰ πνίγους τοσούτου, καὶ μετὰ δρόμου τῆς συρράξεως γενομένης, ὡς τὸν κάτλον αὐτὸν ἱστορεῖν λέγουσι μεγαλύνοντα τοὺς στρατιώτας. τὸ μὲν οὖν πλεῖστον μέρος καὶ μαχιμώτατον τῶν πολεμίων αὐτοῦ κατεκόπη. καὶ γὰρ ἦσαν ὑπὲρ τοῦ μὴ διασπᾶσθαι τὴν τάξιν οἱ πρόμαχοι, μακραῖς ἁλύσεσι πρὸς ἀλλήλους συνεχόμενοι διὰ τῶν ζωστήρων ἀναδεδεμένοι. τοὺς δὲ φεύγοντας ὤσαντες πρὸς τὸ χαράκωμα, τραγικωτάτοις ἐνετύγχανον πάθεσιν. αἱ γὰρ γυναῖκες ἐπὶ τῶν ἁμαξῶν μελανείμονες ἐφεστῶσαι, τούς τε φεύγοντας ἔκτεινον. αἱ μὲν, ἄνδρας. αἱ δὲ, ἀδελφούς. αἱ δὲ, πατέρας. καὶ τὰ νήπια τῶν τέκνων ἀπάγχουσαι ταῖς χερσὶν, ἐρρίπτουν ὑπὸ τοὺς τροχοὺς καὶ τοὺς πόδας τῶν ὑποζυγίων. αὑτὰς δὲ, ἀπέσφαττον. μίαν δέ φασιν ἐξ ἄκρου ῥυμοῦ κρεμαμένην, τὰ παιδία τῶν αὐτῆς σφυρῶν ἀνημμένα βρόχοις, ἑκατέρωθεν ἠρτῆσθαι. τοὺς δὲ ἄνδρας ἀπορίᾳ δένδρων, τοῖς κέρασι τῶν βοῶν, τοὺς δὲ, τοῖς σκέλεσι προσδεῖν τοὺς αὐτῶν τραχήλους. εἶτα κέντρα προσφέροντας, ἐξαλλομένων τῶν βοῶν, ἐφελκομένους καὶ πατουμένους, ἀπόλλυσθαι. πλὴν καίπερ οὕτως αὐτῶν διαφθαρέντων, ἑάλωσαν ὑπὲρ ἓξ μυριάδας. οἱ δὲ τῶν πεσόντων, ἐλέγοντο δὶς τοσοῦτοι γενέσθαι. τὰ μὲν οὖν χρήματα διήρπασαν, οἱ μαρίου στρατιῶται. τὰ δὲ λάφυρα καὶ τὰς σημαίας καὶ τὰς σάλπιγγας, εἰς τὸ κάτλου στρατόπεδον ἀνενεχθῆναι λέγουσιν. ᾧ καὶ μάλιστα τεκμηρίῳ χρῆσθαι τὸν κάτλον, ὡς κατ' αὐτὸν ἡ νίκη γένοιτο. καὶ μέντοι καὶ τοῖς στρατιώταις ὡς ἔοικεν ἐμπεσούσης ἔριδος, ᾑρέθησαν δὴ διαιτηταὶ πρέσβεις παρμιτῶν παρόντες. οὓς οἱ κάτλου διὰ τῶν πολεμίων νεκρῶν ἄγοντες, ἐπεδείκνυντο τοῖς ἑαυτῶν ὑσσοῖς διαπεπαρμένους. γνώριμοι δὲ ἦσαν ὑπὸ γραμμάτων, τοὔνομα τοῦ κάτλου παρὰ τὸ ξύλον αὐτῶν ἐγχαράξαντος. οὐ μὴν ἀλλὰ τῷ μαρίῳ προσετίθετο σύμπαν τὸ ἔργον, ἥ τε προτέρα νίκη καὶ τὸ πρόσχημα τῆς ἀρχῆς. μάλιστα δὲ οἱ πολλοὶ, κτίστην τε ῥώμης τρίτον ἐκεῖνον ἀνηγόρευον. ὡς οὐχ ἧττονα τοῦ κελτικοῦ τοῦτον ἀπωσάμενον τὸν κίνδυνον. εὐθυμούμενοί τε μετὰ παίδων καὶ γυναικῶν ἕκαστοι κατ' οἶκον ἅμα τοῖς θεοῖς καὶ μαρίῳ, δείπνου καὶ λοιβῆς ἀπήρχοντο. καὶ θριαμβεύειν μόνον ἠξίουν, ἀμφοτέρους τοὺς θριάμβους. οὐ μὴν ἐθριάμβευσεν οὕτως, ἀλλὰ μετὰ τοῦ κάτλου, μέτριον ἐπὶ τηλικαύταις εὐτυχίαις βουλόμενος παρέχειν ἑαυτόν. ἔστι δὲ ὅτι καὶ τοὺς στρατιώτας φοβηθεὶς παρατεταγμένους, εἰ κάτλος ἀπείργοιτο τῆς τιμῆς, μὴ δὲ ἐκεῖνον ἐᾶν θριαμβεύειν. πέμπτην μὲν οὖν ὑπατείαν διεῖπε. τῆς δὲ ἕκτης, ὡς οὐδὲ εἷς πρώτης ὠρέγετο, θεραπείαις τὸν δῆμον ἀνελάμβανε. καὶ πρὸς χάριν ἐνδιδοὺς τοῖς πολλοῖς, οὐ μόνον παρὰ τὸν ὄγκον, καὶ τὸ κοινὸν ἀξίωμα τῆς ἀρχῆς, ἀλλὰ καὶ παρὰ τὴν αὐτοῦ φύσιν, ὑγρός τις εἶναι βουλόμενος, καὶ δημοτικὸς, ἥκιστα τοιοῦτος πεφυκώς. ἀλλ' ἦν ὡς λέγουσι πρὸς πολιτείαν, καὶ τοὺς ἐν ὄχλοις θορύβους, ὑπὸ φιλοδοξίας, ἀτολμότατος. καὶ τὸ παρὰ τὰς μάχας ἀνέκπληκτον, καὶ στάσιμον, ἐν ταῖς ἐκκλησίαις ἀπέλιπεν αὐτὸν, ὑπὸ τῶν τυχόντων ἐπαίνων καὶ ψόγων, ἐξιστάμενον. καίτοι λέγεται καμερίνων ἄνδρας ὁμοῦ χιλίους διαπρεπῶς ἀγωνισαμένους ἐν τῷ πολέμῳ, δωρησάμενος πολιτείᾳ. δοκοῦντος εἶναι τούτου παρανόμου. καί τινων ἐγκαλούντων, εἰπεῖν. ὅτι τοῦ νόμου διὰ τὸν τῶν ὅπλων ψόφον, οὐ κατακούσειεν. οὐ μὴν ἀλλὰ μᾶλλον ἔοικεν ἐκπλήττεσθαι καὶ δεδιέναι τὴν ἐν ταῖς ἐκκλησίαις κραυγήν. ἐν μέν γε τοῖς ὅπλοις, ἀξίωμα καὶ δύναμιν εἶχε διὰ τὴν χρείαν. ἐν δὲ τῇ πολιτείᾳ περικοπτόμενος τὰ πρωτεῖα, κατέφυγεν ἐπὶ τὴν τῶν πολλῶν εὔνοιαν καὶ χάριν, ὑπὲρ τοῦ μέγιστος γενέσθαι, τὸ βέλτιστος εἶναι προϊέμενος. πᾶσι μὲν οὖν προσέκρουε τοῖς ἀριστοκρατικοῖς. μάλιστα δὲ ὀρρωδῶν τὸν μέτελλον ἠχαριστημένον ὑπ' αὐτοῦ, καὶ φύσει δι' ἀρετὴν ἀληθῆ πολεμοῦντα, τοῖς οὐ κατὰ τὸ βέλτιστον ὑποδυομένοις τὰ πλήθη, καὶ πρὸς ἡδο-

πλιτῶν τιθέμενον. ἐπεὶ γὰρ οὐκ ἔπειθε τοὺς στρατιώτας μένειν, ἀλλ' ἑώρα περιδεῶς ἀναζευγνύν-
τας, ἄρασθαι κελεύσας τὸν ἀετὸν, εἰς τοὺς πρώτους τῶν ἀπερχομένων, ὥρμησε δρόμῳ καὶ πρῶτος
ἡγεῖτο. βουλόμενος αὐτοῦ τὸ αἰσχρὸν, ἀλλὰ μὴ τῆς πατρίδος γενέσθαι, καὶ δοκεῖν μὴ φεύγοντας, ἀλλ'
ἑπομένους τῷ στρατηγῷ ποιεῖσθαι τὴν ἀποχώρησιν. οἱ δὲ βάρβαροι τὸ μὲν πέραν τοῦ ἀτίσωνος φρού-
ριον ἐπελθόντες, ἔλαβον. καὶ τοὺς αὐτόθι ῥωμαίους ἄνδρας κρατίστους γενομένους καὶ προκινδυνεύ-
σαντας ἀξίως τῆς πατρίδος θαυμάσαντες, ὑπὸ σπονδοὺς ἀφῆκαν, ὀμόσαντες τὸν χαλκοῦν ταῦ-
ρον, ὃν ὕστερον ἁλόντα μετὰ τὴν μάχην, εἰς τὴν κάτλου φασὶν οἰκίαν, ὥσπερ ἀκροθίνιον τῆς νίκης κομι-
σθῆναι. τὴν δὲ χώραν ἔρημον βοηθείας, ἐπιχυθέντες ἐπόρθουν. ἐπὶ τούτοις, ἐκαλεῖτο μάριος εἰς τὴν
πόλιν καὶ παραγενόμενος, πάντων αὐτὸν οἰομένων θριαμβεύσειν, καὶ τῆς βουλῆς προθύμως ψηφι-
σαμένης, οὐκ ἠξίωσεν. εἴτε τοὺς στρατιώτας καὶ συναγωνιστὰς ἀποστερῆσαι τῆς φιλοτιμίας μὴ βου-
λόμενος, εἴτε πρὸς τὰ παρόντα θαρρυνῶν τὸ πλῆθος, ὡς τῇ τύχῃ τῆς πόλεως, παρακατατιθέμενος
τὴν τῶν πρώτων κατορθωμάτων δόξαν ἐν τοῖς δευτέροις λαμπροτέραν ἀποδοθησομένην. διαλεχθεὶς δὲ
τὰ πρέποντα τῷ καιρῷ καὶ πρὸς τὸν κάτλον ἐξορμήσας, τοῦτόν τε παρεθάρρυνε, καὶ τοὺς αὐτοῦ μετε-
πέμπετο στρατιώτας ἐκ γαλατίας. ὡς δὲ ἀφίκοντο διαβὰς τὸν ἠριδανὸν, εἴργειν ἐπειρᾶτο τῆς ἐντὸς ἰ-
ταλίας τοὺς βαρβάρους. οἱ δὲ, τοὺς τεύτονας ἐκδέχεσθαι καὶ θαυμάζειν ὡς βραδυνόντων φάσκον-
τες, ἀνεβάλλοντο τὴν μάχην, εἴτε ἀγνοοῦντες ὄντως τὴν ἐκείνων φθορὰν, εἴτε βουλόμενοι δοκεῖν ἀπι-
στεῖν. καὶ γὰρ τοὺς ἀγγέλλοντας ᾐκίζοντο δεινῶς. καὶ τὸν μάριον ᾔτουν πέμψαντες, ἑαυτοῖς καὶ τοῖς
ἀδελφοῖς χώραν καὶ πόλεις ἱκανὰς ἐνοικεῖν. ἐρομένου δὲ τοῦ μαρίου τοὺς πρέσβεις περὶ τῶν ἀδελφῶν,
κἀκείνων ὀνομασάντων τοὺς τεύτονας, οἱ μὲν ἄλλοι πάντες ἐγέλασαν. ὁ δὲ μάριος ἔσκωψεν εἰπὼν, ἐᾶ-
τε τοίνυν τοὺς ἀδελφούς, ἔχουσι γὰρ γῆν ἐκεῖνοι καὶ διὰ παντὸς ἕξουσι παρ' ἡμῶν λαβόντες. οἱ δὲ
πρέσβεις τὴν εἰρωνείαν συνιέντες, ἐλοιδόρουν αὐτὸν, ὡς δίκην ὑφέξοντα, κίμβροις μὲν αὐτίκα, τεύτο-
σι δὲ ὅταν παραγένωνται. καὶ μὴν πάρεισιν ἔφη ὁ μάριος. καὶ οὐχ ἕξει καλῶς ὑμᾶς ἀπαλλαγῆναι
πρότερον, ἢ τοὺς ἀδελφοὺς ἀσπάσασθαι. καὶ ταῦτα εἰπὼν, ἐκέλευσε τοὺς βασιλεῖς τῶν τευτόνων
προαχθῆναι δεδεμένους. ἑάλωσαν γὰρ ἐν ταῖς ἄλπεσι φεύγοντες ὑπὸ σηκουανῶν. ὡς δὲ ἀπηγγέλ-
θη ταῦτα τοῖς κίμβροις, εὐθὺς ἐξ ἀρχῆς ἐχώρουν ἐπὶ τὸν μάριον, ἡσυχάζοντα καὶ διαφυλάσσοντα
τὸ στρατόπεδον. λέγεται δὲ εἰς ἐκείνην τὴν μάχην, πρῶτον ὑπὸ μαρίου καινοτομηθῆναι τὸ περὶ τοὺς
ὑσσούς. τὸ γὰρ εἰς τὸν σίδηρον ἔμβλημα τοῦ ξύλου, πρότερον μὲν ἦν δυσὶ περόναις κατειλημμένον σι-
δηραῖς. τότε δὲ ὁ μάριος, τὴν μὲν, ὥσπερ εἶχεν εἴασε. τὴν δὲ ἑτέραν ἐξελὼν, ξύλινον ἧλον εὔθραυστον ἀν-
τ' αὐτῆς ἐνέβαλε. τεχνάζων προσπεσόντα τὸν ὑσσὸν τῷ θυρεῷ τοῦ πολεμίου, μὴ μένειν ὀρθόν. ἀλλὰ τοῦ
ξυλίνου κλασθέντος ἥλου, καμπὴν γίνεσθαι περὶ τὸν σίδηρον. καὶ παρέλκεσθαι τὸ δόρυ διὰ τὴν στρε-
βλότητα τῆς αἰχμῆς ἐνεχόμενον. βοιώριξ δὲ ὁ τῶν κίμβρων βασιλεὺς ὀλιγοστὸς προσιππεύσας τῷ
στρατοπέδῳ, προὐκαλεῖτο τὸν μάριον, ἡμέραν ὁρίσαντα καὶ τόπον, προελθεῖν καὶ διαγωνίσασθαι πε-
ρὶ τῆς χώρας. τοῦ δὲ μαρίου φήσαντος. οὐδέποτε ῥωμαίους συμβούλοις κεχρῆσθαι περὶ μάχης τοῖς
πολεμίοις. οὐ μὴν, ἀλλὰ καὶ χαριεῖσθαι τοῦτο κίμβροις, ἡμέραν μὲν ἔθεντο τὴν ἀπ' ἐκείνης τρίτην.
χώραν τε καὶ πεδίον, τὸ περὶ βερκέλλας. ῥωμαίοις μὲν ἐπιτήδειον ἐνιππάσασθαι. τῶν δὲ, ἀνάχυσιν
τῷ πλήθει παρασχεῖν. τηρήσαντες οὖν τὸν ὡρισμένον χρόνον, ἀντιπαρετάσσοντο. κάτλος μὲν ἔχων
δισμυρίους καὶ τριακοσίους στρατιώτας. οἱ δὲ μαρίου, δισχίλιοι μὲν ἐπὶ τρισμυρίοις ἐγένοντο. περιέ-
σχον δὲ τὸν κάτλον ἐν μέσῳ νεμηθέντες εἰς ἑκάτερον κέρας. ὡς σύλλας ἠγωνισμένος ἐκείνην τὴν μά-
χην γέγραφε. καὶ φασὶ τὸν μάριον ἐλπίσαντα τοῖς ἄκροις, μάλιστα καὶ κατὰ κέρας συμπεσεῖν εἰς τὰς
φάλαγγας, ὅπως ἴδιος ἡ νίκη τῶν ἐκείνου στρατιωτῶν γένοιτο, καὶ μὴ μετάσχοι τοῦ ἀγῶνος ὁ κάτλος. μη-
δὲ προσμίξειε τοῖς πολεμίοις, κόλπωμα τῶν μέσων ὥσπερ εἴωθεν ἐν μεγάλοις μετώποις λαμβανόν-
των, οὕτω διαστῆσαι τὰς δυνάμεις. ὅμοια δὲ καὶ τὸν κάτλον αὐτὸν ἀπολογεῖσθαι περὶ τούτων ἱστοροῦ-
σι, πολλὴν κατηγοροῦντα τοῦ μαρίου κακοήθειαν πρὸς αὐτόν. τοῖς δὲ κίμβροις. τὸ μὲν πεζὸν ἐκ τῶν ἐρυ-
μάτων καθ' ἡσυχίαν προῄει. βάθος ἴσον τῷ μετώπῳ ποιούμενον. ἑκάστη γὰρ ἐπεῖχε πλευρὰ σταδίους τριά-
κοντα τῆς παρατάξεως. οἱ δὲ ἱππεῖς μύριοι καὶ πεντακισχίλιοι τὸ πλῆθος ὄντες, ἐξήλασαν λαμπροί.
κράνη μὲν εἰκασμένα θηρίων φοβερῶν χάσμασι καὶ προτομαῖς ἰδιομόρφοις ἔχοντες. ἃς ἐπαιρόμε-
νοι λόφοις πτερωτοῖς εἰς ὕψος, ἐφαίνοντο μείζους. θώραξι δὲ κεκοσμημένοι σιδηροῖς. θυρεοῖς δὲ λευ-
κοῖς στίλβοντας. ἀκόντισμα δὲ ἦν ἑκάστῳ διβόλια. συμπεσόντες δὲ, μεγάλαις ἐχρῶντο καὶ βαρείαις μα-
χαίραις. τότε δὲ, οὐχὶ κατὰ στόμα προσεφέροντο τοῖς ῥωμαίοις, ἀλλ' ἐκκλίνοντες ἐπὶ δεξιὰ, ὑπῆγον
αὐτοὺς κατὰ μικρὸν ἐμβάλλοντες εἰς τὸ μέσον αὐτῶν τε καὶ τῶν πεζῶν ἐξ ἀριστερᾶς παρατεταγμέ-
νων. καὶ συνεῖδον μὲν, οἱ τῶν ῥωμαίων στρατηγοὶ τὸν δόλον ἐπισχεῖν δὲ τοὺς στρατιώτας, οὐκ ἔφθησαν,
ἀλλ' ἑνὸς ἐκβοήσαντος, ὅτι φεύγουσιν οἱ πολέμιοι, πάντες ὥρμησαν διώκειν. καὶ τὸ πεζὸν ἐν τούτῳ τῶν
βαρβάρων ἐπῄει καθάπερ πέλαγος ἀχανὲς κινούμενον. ἐνταῦθα νιψάμενος ὁ μάριος τὰς χεῖρας καὶ

κος ἀγαγών. καὶ προεξέπεμπε τοὺς ἱππέας εἰς τὸ πεδίον. θεασάμενοι δὲ οἱ τεύτονες, οὐκ ἀνέμενον κατὰ βαίνοντας αὐτοὺς ἐξ ἴσου διαγωνίζεσθαι τοῖς ῥωμαίοις. ἀλλὰ σὺν τάχει καὶ δι' ὀργῆς ὁπλισάμενοι, τῷ λόφῳ προσέβαλλον, ὁ δὲ μάριος, ἑκασταχοῦ διαπέμπων τοὺς ἡγεμόνας, ἑστάναι καὶ καρτερεῖν παρεκάλει. πελασάντων δὲ εἰς ἐφικτὸν, ἐξακοντίζειν τοὺς ὑσσούς. εἶτα χρῆσθαι ταῖς μαχαίραις. καὶ τοῖς θυρεοῖς ἀντερείσαντας, βιάζεσθαι. τῶν γὰρ τόπων ἐπισφαλῶν ὄντων ἐκείνοις, οὔτε τόνον ἕξειν τὰς πληγὰς, οὔτε ῥώμην τὸν συνασπισμὸν ἐν περιτροπῇ καὶ σάλῳ τῶν σωμάτων ὄντων διὰ τὴν ἀνωμαλίαν. ταῦτα ἅμα παρῄνει, καὶ δρῶν ἑωρᾶτο πρῶτος. οὐδενὸς γὰρ ἤσκητο χεῖρον τὸ σῶμα, καὶ πάντας, πολὺ τῇ τόλμῃ παρήλλαττεν. ὡς οὖν ἀντιστάντες αὐτοῖς οἱ ῥωμαῖοι καὶ συμπεσόντες ἔσχον ἄνω φερομένους, ἐκθλιβόμενοι κατὰ μικρὸν ὑπεχώρουν εἰς τὸ πεδίον. καὶ τῶν πρώτων ἤδη καθισταμένων εἰς τάξιν ἐν τοῖς ἐπιπέδοις, βοὴ καὶ διασπασμὸς ἦν περὶ τοὺς ὄπισθεν. ὁ γὰρ καιρὸς οὐκ ἔλαθε τὸν μάρκελλον. ἀλλὰ τῆς κραυγῆς ὑπὲρ τοὺς λόφους ἄνω φερομένης, ἀναστήσας τοὺς μετ' αὐτοῦ, δρόμῳ καὶ ἀλαλαγμῷ προσέπιπτε κατὰ νώτου κτείνων τοὺς ἐσχάτους. οἱ δὲ, τοὺς πρὸ αὐτῶν ἐπισπώμενοι, ταχὺ πᾶν τὸ στράτευμα ταραχῆς ἐνέπλησαν. οὐ πολύν τε χρόνον ἀνέσχον τὸ παιόμενοι διχόθεν, ἀλλὰ τὴν τάξιν λύσαντες ἔφυγον. οἱ δὲ ῥωμαῖοι διώκοντες, αὐτῶν μὲν ὑπὲρ δέκα μυριάδας, ἢ ζῶντας εἷλον, ἢ κατέβαλον. σκηνῶν δὲ καὶ ἁμαξῶν καὶ χρημάτων κρατήσαντες, ὅσα μὴ διεκλάπη, μάριον λαβεῖν ἐψηφίσαντο. καὶ δωρεᾶς ταύτης λαμπροτάτης τυχὼν, οὐδὲν ἄξιον ἔχειν ὧν ἐστρατήγησεν ἐνομίσθη, διὰ τὸ τοῦ κινδύνου μέγεθος. ἕτεροι δὲ περὶ τῆς δωρεᾶς τῶν λαφύρων οὐχ ὁμολογοῦσιν. οὐδὲ περὶ τοῦ πλήθους τῶν πεσόντων. μασσαλίτας μὲν λέγουσι τοῖς ὀστέοις περιθριγκῶσαι τοὺς ἀμπελῶνας. τὴν δὲ γῆν τῶν νεκρῶν καταναλωθέντων ἐν αὐτῇ καὶ διὰ χειμῶνος, ὄμβρων ἐπιπεσόντων, οὕτως ἐκλιπανθῆναι καὶ γενέσθαι διὰ βάθους περίπλεω τῆς σηπεδόνος ἐνδυούσης, ὥστε καρπῶν ὑπερβάλλον εἰς ὥρας πλῆθος ἐξενεγκεῖν. καὶ μαρτυρῆσαι τῷ ἀρχιλόχῳ λέγοντι, πιαίνεσθαι πρὸς τῷ τοιούτῳ τὰς ἀρούρας. ἐπιεικῶς δὲ ταῖς μεγάλαις μάχαις ἐξαισίους ὑετοὺς ἐπικαταρρήγνυσθαι λέγουσιν. εἴτε δαιμονίου τινὸς τὴν γῆν καθαροῖς καὶ διιπετέσιν ἁγνίζοντος ὕδασι καὶ κατακλύζοντος. εἴτε τοῦ φόνου καὶ τῆς σηπεδόνος ἐξανιείσης ὑγρὰν καὶ βαρεῖαν ἀναθυμίασιν, ἣ τὸν ἀέρα συνίστησιν εὔτρεπτον ὄντα καὶ ῥᾴδιον μεταβάλλειν ἀπὸ σμικροτάτης ἐπὶ πλεῖστον ἀρχῆς. μετὰ δὲ τὴν μάχην ὁ μάριος, τῶν βαρβαρικῶν ὅπλων καὶ λαφύρων, τὰ μὲν ἐκπρεπῆ καὶ ὁλόκληρα καὶ πομπικὴν ὄψιν τῷ θριάμβῳ δυνάμενα παρασχεῖν, ἐπέλεξε. τῶν δὲ ἄλλων ἐπὶ πυρᾶς μεγάλης κατασωρεύσας τὸ πλῆθος, ἔθυσε θυσίαν μεγαλοπρεπῆ καὶ τοῦ στρατοῦ παρεστῶτος ἐν ὅπλοις ἐστεφανωμένου περιζωσάμενος ὥσπερ ἔθος ἐστὶν, ἀναλαβὼν τὴν περιπόρφυρον καὶ λαβὼν δᾷδα καιομένην, καὶ δι' ἀμφοτέρων τῶν χειρῶν ἀνασχὼν πρὸς τὸν οὐρανὸν, ἔμελλεν ὑφήσειν τῇ πυρᾷ. καὶ προσελαύνοντες ἵπποις ἑωρῶντο φίλοι σὺν τάχει πρὸς αὐτὸν, ὥστε πολλὴν γενέσθαι σιωπὴν καὶ προσδοκίαν ἁπάντων. ἐπεὶ δ' ἐγγὺς ἦσαν ἀποπηδήσαντες, ἐδεξιοῦντο τὸν μάριον, εὐαγγελιζόμενοι τὸ πέμπτον αὐτὸν ὕπατον ᾑρῆσθαι. καὶ γράμματα περὶ τούτων ἀπέδοσαν. μεγάλης οὖν χαρᾶς τοῖς ἐπινικίοις προσγενομένης, ὅ, τε στρατὸς ὑφ' ἡδονῆς ἐνοπλίῳ τινὶ κρότῳ καὶ πατάγῳ συνηλάλαξεν, καὶ τῶν ἡγεμόνων, τὸν μάριον αὖθις ἀναδούντων δάφνης στεφάνοις, ἐνῆψε τὴν πυρὰν καὶ τὴν θυσίαν ἐπετελέωσεν. ἡ δὲ μηδὲν ἐῶσα τῶν μεγάλων εὐτυχημάτων ἄκρατον εἰς ἡδονὴν καὶ καθαρὸν, ἀλλὰ μίξει κακῶν καὶ ἀγαθῶν ποικίλλουσα τὸν ἀνθρώπινον βίον, ἢ τύχη τις, ἢ νέμεσις. ἢ πραγμάτων ἀναγκαία φύσις, οὐ πολλαῖς ὕστερον ἡμέραις ἐπήγαγε τῷ μαρίῳ καὶ τὴν περὶ κάτλου τοῦ συνάρχοντος ἀγγελίαν, ὥσπερ ἐν εὐδίᾳ καὶ γαλήνῃ, νέφος αὖθις ἕτερον, φόβον καὶ χειμῶνα τῇ ῥώμῃ περιστήσασα. ὁ γὰρ δὴ κάτλος ἀντικαθήμενος τοῖς κίμβροις, τὰς μὲν ὑπερβολὰς τῶν ἄλπεων ἀπέγνω φυλάσσειν. μὴ κατὰ πολλὰ τὴν δύναμιν μέρη διαιρεῖν ἀναγκαζόμενος, ἀσθενὴς γένοιτο, καταβὰς δ' εὐθὺς εἰς ἰταλίαν καὶ τὸν ἀτισῶνα ποταμὸν λαβὼν πρὸ αὐτοῦ καὶ φραξάμενος πρὸς τὰς διαβάσεις ἑκατέρωθεν ἰσχυροῖς χαρακώμασιν, ἔζευξε τὸν πόρον. ὡς ἐπιβοηθεῖν εἴη τοῖς πέραν. εἰ πρὸς τὰ φρούρια βιάζοιντο διὰ τῶν στενῶν οἱ βάρβαροι. τοῖς δὲ, τοσοῦτον περιῆν ὑπερηφανίας καὶ θράσους κατὰ τῶν πολεμίων ὥστε ῥώμην καὶ τόλμαν ἐπιδεικνύμενοι μᾶλλον, ἢ πράττοντές τι τῶν ἀναγκαίων. γυμνοὶ μὲν ἠνείχοντο νιφόμενοι, καὶ διὰ πάγων καὶ χιόνος βαθείας, τοῖς ἄκροις προσέβαινον. ἄνωθεν δὲ τοὺς θυρεοὺς πλατεῖς ὑποτιθέντες τοῖς σώμασιν, εἶτα ἀφιέντες αὑτοὺς ὑπεφέροντο κατὰ κρημνῶν, ὀλισθήματα καὶ λισσάδας ἀχανεῖς ἐχόντων. ὡς δὲ παραστρατοπεδεύσαντες ἐγγὺς καὶ κατασκεψάμενοι τὸν πόρον, ἤρξαντο χωννύειν. καὶ τοὺς πέριξ λόφους ἀναρρηγνύντες, ὥσπερ οἱ γίγαντες, ἅμα δένδρα πρόρριζα καὶ κρημνῶν σπαράγματα καὶ γῆς κολωνοὺς ἐφόρουν εἰς τὸν ποταμὸν ἐκθλίβοντες τὸ ῥεῦμα καὶ τοῖς ἐρείδουσι τὰ ζεύγματα βάθροις, ἐφιέντες βαρέα μεγάλα συρόμενα κατὰ ῥοῦν καὶ τινάσσοντα ταῖς πληγαῖς τὴν γέφυραν, ἀποδειλιάσαντες οἱ πλεῖστοι τῶν στρατιωτῶν ἐξέλειπον τὸ μέγα στρατόπεδον καὶ ἀνεχώρουν. ἔνθα δὴ κάτλος ἔδειξεν ἑαυτὸν ὥσπερ χρὴ τὸν ἀγαθὸν καὶ τέλειον ἄρχοντα, τὴν αὑτοῦ δόξαν ἐν ὑστέρῳ τῆς τῶν

ἐπεὶ δὲ παρήλλαξαν οἱ βάρβαροι καὶ προὔκοψαν, ἄρας καὶ αὐτὸς, ἐπηκολούθει σχολῇ. ἐγγὺς μὲν ἀεὶ καὶ παρ' αὐτοῖς ἐκείνοις ἱδρυόμενος, ὀχυραῖς τε χρώμενος στρατοπεδείαις. καὶ χωρία καρτερὰ προβαλλόμενος ὥστε ἐν ἀσφαλεῖ νυκτερεύειν. οὕτω δὴ προϊόντες, ἐγένοντο πρὸς τοῖς καλουμένοις ὕδασι σεξτιλίοις, ὅθεν ἔδει πορευθέντας οὐ πολλὴν ὁδὸν, ἐν ταῖς ἄλπεσιν εἶναι. διὸ δὴ καὶ μάριος ἐνταῦθα παρεσκευάζετο μάχεσθαι. καὶ κατέλαβε τῷ στρατοπέδῳ τόπον ὀχυρὸν μὲν, ὕδωρ δὲ ἄφθονον οὐκ ἔχοντα. βουλόμενος ὥς φασι καὶ τούτῳ παροξῦναι τοὺς στρατιώτας. πολλῶν γέ τοι δυσχεραινόντων καὶ διψήσειν λεγόντων, δείξας τῇ χειρὶ ποταμόν τινα ῥέοντα πλησίον τοῦ βαρβαρικοῦ χάρακος, ἐκεῖθεν αὐτοῖς ἔφησεν εἶναι τὸ ποτὸν ὤνιον αἵματος. τί οὖν ἔφασαν οὐκ εὐθὺς ἡμᾶς ἄγεις ἐπ' αὐτοὺς ἕως ὑγρὸν τὸ αἷμα ἔχομεν. κἀκεῖνος ἠρέμα τῇ φωνῇ πρότερον εἶπεν ὀχυρωτέον ἡμῖν τὸ στρατόπεδον. οἱ μὲν οὖν στρατιῶται καίπερ ἀσχάλλοντες, ἐπείθοντο. τῆς δὲ θεραπείας τὸ πλῆθος, οὔτ' αὐτοὶ ποτὸν, οὔθ' ὑποζυγίοις ἔχοντες, ἀθρόοι κατέβαινον ἐπὶ τὸν ποταμόν. οἱ μὲν, ἀξίνας. οἱ δὲ, πελέκεις. ἔνιοι δὲ καὶ ξίφη καὶ λόγχας ἅμα ταῖς ὑδρίαις ἀναλαβόντες, ὡς καὶ διὰ μάχης ὑδρευσόμενοι. τούτοις τὸ πρῶτον ὀλίγοι προσεμάχοντο τῶν πολεμίων. ἔτυχον γὰρ ἀριστῶντες οἱ πολλοὶ μετὰ λουτρόν. οἱ δὲ, ἐλούοντο. ῥήγνυσι γὰρ αὐτόθι ναμάτων θερμῶν πηγὰς ὁ χῶρος. καὶ μέρος τι περὶ ταῦτα τοὺς βαρβάρους εὐπαθοῦντας καὶ πανηγυρίζοντας ἡδονῇ καὶ θαύματι τοῦ τόπου, κατέλαβον οἱ ῥωμαῖοι. πρὸς δὲ τὴν κραυγὴν πλειόνων συντρεχόντων. τῷ τε μαρίῳ χαλεπὸν ἦν ἔτι τοὺς στρατιώτας ἐπισχεῖν περὶ τῶν οἰκετῶν δεδιότας. καὶ τῶν πολεμίων τὸ μαχιμώτατον μέρος ὑφ' οὗ προήττηντο ῥωμαῖοι μετὰ μαλλίου καὶ σκιπίωνος πρότερον, ἄμβρωνες δ' ὠνομάζοντο, καὶ πλῆθος ὑπὲρ τρισμυρίους αὐτοὶ καθ' αὑτοὺς ἦσαν ἀναΐξαντες, ἐπὶ τὰς πανοπλίας ἐχώρουν. τὰ μὲν σώματα πλησμονῇ βεβαρημένοι. τοῖς δὲ φρονήμασι γαῦροι καὶ διακεχυμένοι πρὸς τὸν ἄκρατον. οὐκ ἀτάκτοις οὐδὲ μανιώδεσι φερόμενοι δρόμοις. οὐδὲ ἄναρθρον ἀλαλαγμὸν ἱέντες, ἀλλὰ κρούοντες ἐνρυθμῶς τὰ ὅπλα καὶ συναλλόμενοι πάντες ἅμα, τὴν αὑτῶν ἐφθέγγοντο πολλάκις προσηγορίαν, ἄμβρωνες. εἴτε ἀνακαλούμενοι σφᾶς αὐτούς. εἴτε τοὺς πολεμίους τῇ προδηλώσει προεκφοβοῦντες. τῶν δὲ ἰταλικῶν πρῶτοι καταβαίνοντες ἐπ' αὐτοὺς λίγυες, ὡς ἤκουσαν βοώντων καὶ συνῆκαν, ἀντεφώνουν καὶ αὐτοὶ τὴν πάτριον ἐπίκλησιν αὑτῶν εἶναι. σφᾶς γὰρ αὐτοὺς, οὕτως ὀνομάζουσι κατὰ γένος λίγυες. πυκνὸν οὖν καὶ παράλληλον ἀντήχει πρὶν εἰς χεῖρας συνελθεῖν τὸ ἀναφώνημα. καὶ τῶν στρατηγῶν ἑκατέροις ἀνὰ μέρος συναναφθεγγομένων καὶ φιλοτιμουμένων πρῶτον ἀλλήλους τῷ μεγέθει τῆς βοῆς ὑπερβαλέσθαι, παρώξυνε καὶ διηρέθιζε τὸν θυμὸν ἡ κραυγή. τοὺς μὲν οὖν ἄμβρωνας, διέσπασε τὸ ῥεῖθρον, οὐ γὰρ ἔφθασαν εἰς τάξιν καταστῆναι διαβάντες. ἀλλὰ τοῖς πρώτοις εὐθὺς μετὰ δρόμου τῶν λιγύων προσπεσόντων, ἐν χερσὶν ἦν ἡ μάχη. τοῖς δὲ λίγυσι τῶν ῥωμαίων ἐπιβοηθούντων, καὶ φερομένων ἄνωθεν ἐπὶ τοὺς βαρβάρους, βιασθέντες ἐτράποντο. καὶ πλεῖστοι μὲν αὐτοῦ περὶ τὸ ῥεῖθρον ὠθούμενοι καθ' ἀλλήλων ἐπαίοντο. καὶ κατέπιμπλασαν φόνου καὶ νεκρῶν τὸν ποταμὸν, τοὺς δὲ διαβάντας οἱ ῥωμαῖοι μὴ τολμῶντας ἀναστρέφειν, ἔκτεινον ἄχρι τοῦ στρατοπέδου καὶ τῶν ἁμαξῶν φεύγοντας. ἐνταῦθα δὲ αἱ γυναῖκες ἀπαντῶσαι μετὰ ξιφῶν καὶ πελέκεων. δεινὸν τετριγυῖαι καὶ περίθυμον, ἠμύνοντο τοὺς φεύγοντας. ὁμοίως καὶ τοὺς διώκοντας. τοὺς μὲν, ὡς προδότας. τοὺς δὲ, ὡς πολεμίους, ἀναπεφυρμέναι μαχομένοις, καὶ χερσὶ γυμναῖς τούς τε θυρεοὺς τῶν ῥωμαίων ἀποσπῶσαι, καὶ τῶν ξιφῶν ἐπιλαμβανόμεναι, καὶ τραύματα, καὶ διακοπὰς σωμάτων ὑπομένουσαι μέχρι τελευτῆς ἀήττητοι τοῖς θυμοῖς. τὴν μὲν οὖν παραποτάμιον μάχην, οὕτω κατὰ τύχην μᾶλλον, ἢ γνώμῃ τοῦ στρατηγοῦ γενέσθαι λέγουσιν. ἐπεὶ δὲ πολλοὺς τῶν ἀμβρώνων οἱ ῥωμαῖοι διαφθείραντες ἀνεχώρησαν ὀπίσω καὶ σκότος ἐπέσχεν, οὐχ ὥσπερ ἐπ' εὐτυχήματι τοσούτῳ τὸν στρατὸν ἐδέξαντο παιᾶνες ἐπινίκιοι, καὶ πότοι κατὰ σκηνὰς, καὶ φιλοφροσύναι περὶ δεῖπνα, καὶ τὸ πάντων ἥδιστον ἀνδράσιν εὐτυχῶς μεμαχημένοις, ὕπνος ἤπιος. ἀλλ' ἐκείνην μάλιστα τὴν νύκτα, φοβερὰν καὶ ταραχώδη διήγαγον. ἦν μὲν γὰρ αὐτοῖς, ἀχαράκωτον τὸ στρατόπεδον καὶ ἀτείχιστον. ἀπελείποντο δὲ τῶν βαρβάρων ἔτι πολλαὶ μυριάδες ἀήττητοι. καὶ συμμεμιγμένων τούτοις ὅσοι διαφύγεσαν τῶν ἀμβρώνων, ὀδυρμὸς ἦν διὰ νυκτὸς, οὐ κλαυθμοῖς, οὐδὲ στεναγμοῖς ἀνθρώπων ἐοικώς. ἀλλὰ θηρομιγής τις ὠρυγὴ, καὶ βρύχημα μεμιγμένον ἀπειλαῖς, καὶ θρήνοις, ἀναπεμπόμενον ἐκ πλήθους τοσούτου. τά τε πέριξ ὄρη καὶ τὰ κοῖλα τοῦ ποταμοῦ περιεφώνει. καὶ κατεῖχε φρικώδης ἦχος τὸ πεδίον. τοὺς δὲ ῥωμαίους, δέος, αὐτόν τε τὸν μάριον ἔκπληξις, ἀκοσμόν τινα καὶ ταραχώδη νυκτομαχίαν προσδεχομένων. οὐ μὴν ἐπῆλθον οὔτε νυκτὸς, οὔτε τῆς ἐπιούσης ἡμέρας. ἀλλὰ συντάττοντες ἑαυτοὺς καὶ παρασκευαζόμενοι διετέλουν. ἐν τούτῳ δὲ μάριος, ἦσαν γὰρ ὑπὲρ κεφαλῆς τῶν βαρβάρων, νάπαι περικλινεῖς καὶ κατάσκιοι δρυμοῖς αὐλῶνες. ἐνταῦθα κλαύδιον μάρκελλον. ἐκπέμπει μετὰ τρισχιλίων ὁπλιτῶν ἐνεδρεῦσαι κελεύσας κρύφα, καὶ μαχομένοις ἐξόπισθεν ἐπιφανῆναι. τοὺς δὲ ἄλλους δειπνήσαντας ἐν ὥρᾳ καὶ κοιμηθέντας, ἅμ' ἡμέρᾳ, συνέταττε πρὸ τοῦ χάρα

π ηδ ἦν

ἰαύδιοι π. α.

διαπεφύγεσαν π. ς. η

ἀκοσμόν τινα π. ς.

προσδεχόμενον ς. η.

προσεκαλοῦντο δίου μέγα καὶ στρατοπεδεύσαντες, προσεκαλοῦντο τὸν μάριον εἰς μάχην. ὁ δὲ, τούτων μὲν οὐκ ἐφρόντιζεν.
ἐν δὲ τῷ χάρακι, τοὺς στρατιώτας συνεῖχε. καὶ καθήπτετο πικρῶς τῶν θρασυνομένων. καὶ τοὺς προπί-
πτοντας ὑπὸ θυμοῦ καὶ μάχεσθαι βουλομένους, προδότας ἀπεκάλει τῆς πατρίδος. οὐ γὰρ ὑπὲρ
θριάμβων τὴν φιλοτιμίαν εἶναι καὶ τροπαίων, ἀλλ' ὅπως, νέφος τοσοῦτον πολέμου καὶ σκηπτὸν ὠσά-
μενοι διασώσουσι τὴν ἰταλίαν. ταῦτα μὲν ἰδίᾳ πρὸς τοὺς ἡγεμόνας καὶ τοὺς ὁμοτίμους ἔλεγε. τοὺς δὲ
στρατιώτας ὑπὲρ τοῦ χάρακος ἱστὰς ἀνὰ μέρος καὶ θεᾶσθαι κελεύων, εἴθιζε τὴν μορφὴν ἀνέχεσθαι
τῶν πολεμίων, καὶ τὴν φωνὴν ὑπομένειν, ὅλως οὖσαν ἀλλόκοτον καὶ θηριώδη. σκευήν τε καὶ κί-
νησιν αὐτῶν καταμανθάνειν. ἅμα τῷ χρόνῳ τὰ φαινόμενα δεινὰ, ποιουμένους τῇ διανοίᾳ χειροήθη διὰ
τῆς ὄψεως. ἡγεῖτο γὰρ πολλὰ μὲν ἐπιψεύδεσθαι τῶν οὐ προσόντων, τὴν καινότητα τοῖς φοβεροῖς.
ἐν δὲ τῇ συνηθείᾳ, καὶ τὰ τῇ φύσει δεινὰ τὴν ἔκπληξιν ἀποβάλλειν. τῶν δὲ, οὐ μόνον ἡ καθ' ἡμέραν
θάμβους π. ὄψις ἀφῄρει τι τοῦ θεάμβους, ἀλλὰ καὶ πρὸς τὰς ἀπειλὰς τῶν βαρβάρων καὶ τὸν κόμπον οὐκ ἀνεκ-
τὸν ὄντα, θυμὸς αὐτοῖς παριστάμενος, ἐξεθέρμαινε καὶ διέφλεγε τὰς ψυχάς. οὐ μόνον ἀγόντων καὶ
φερόντων τὰ πέριξ ἅπαντα τῶν πολεμίων, ἀλλὰ καὶ τῷ χάρακι ποιουμένων προσβολὰς, μετὰ πολ-
λῆς ἀσελγείας καὶ θρασύτητος, ὥστε φωνὰς καὶ διαγανακτήσεις τῶν στρατιωτῶν πρὸς τὸν μάριον ἐκ-
φέρεσθαι. τίνα δὴ καταγνοὺς ἀνανδρίαν ἡμῶν μάριος, εἴργει μάχης ὥσπερ γυναῖκας ὑπὸ κλεισὶ
καὶ θυρωροῖς, φέρε παθόντες ἀνδρῶν πάθος ἐλευθέρων, ἐρώμεθα, πότερον ἄλλους ἀναμένει μα-
ἰταλίας .π.ς.κ. χουμένους ὑπὲρ τῆς ἐλευθερίας. ἡμῖν δὲ λειτουργοῖς χρῆται διὰ παντὸς ὅταν δέηται τάφρους
ὀρύσσειν. καὶ πηλὸν ἐκκαθαίρειν. καὶ ποταμούς τινας παρατρέπειν. ἤδη ταῦτα γοῦν ὡς ἔοικεν ἤσκει
ἐπὶ .π. τοῖς πολλοῖς πόνοις ἡμᾶς. καὶ ταῦτα τῆς ὑπατείας ἀποδειξάμενος ἔργα τοῖς πολίταις ἐπάνεισιν,
ἢ τὰ κάρβωνος αὐτὸν φοβεῖ καὶ σκηπίωνος, οὓς ἐνίκησαν οἱ πολέμιοι. πολὺ μὲν αὐτοὺς τῆς μαρίου δό-
ξης καὶ ἀρετῆς ἀποδέοντας. πολὺ δὲ χείρονα στρατὸν ἄγοντας. ἀλλὰ καὶ παθεῖν τι δρῶντας ὡς ἐκεῖνοι,
κάλλιον, ἢ καθῆσθαι πορθουμένων τῶν συμμάχων θεατάς. ταῦτ' ἀκούων ὁ μάριος, ἥδετο. καὶ κατε-
πράϋνεν αὐτοὺς ὡς οὐκ ἐκείνοις ἀπιστῶν, ἀλλ' ἔκ τινων λογίων τὸν τῆς νίκης ἅμα καιρὸν καὶ τόπον ἐκδε-
χόμενος. καὶ γάρ τινα σύραν γυναῖκα μάρθαν ὄνομα, μαντεύεσθαι λεγομένην, ἐν φορείῳ κατακειμέ-
νην, σεμνῶς περιήγετο. καὶ θυσίας ἔθυεν ἐκείνης κελευούσης. ἣν πρότερον μὲν ἀπήλασεν ἡ σύγ-
κλητος ἐντυχεῖν ὑπὲρ τούτων βουλομένην. καὶ τὰ μέλλοντα προθεσπίζουσαν. ἐπεὶ δὲ πρὸς τὰς γυ-
ἐπιτυχῶς ναῖκας εἰσιοῦσα διάπειραν ἐδίδου. καὶ μάλιστα τὴν μαρίου παρακαθίζουσα παρὰ τοὺς πόδας τῶν
μονομάχων, ἐπιτυχῶν προηγόρευε τὸν μέλλοντα νικᾶν, ἀναπεμφθεῖσα πρὸς μάριον ὑπ' ἐκείνης, ἐθαυ-
μάζετο. καὶ τὰ πολλὰ μὲν ἐν φορείῳ παρεκομίζετο. πρὸς δὲ τὰς θυσίας κατῄει φοινικίδα διπλῆν
ἐμπεπορπημένη. καὶ λόγχην ἀναδεδεμένην ταινίαις καὶ στεφανώμασι φέρουσα. τοῦτο μὲν οὖν τὸ δρᾶ-
λοῦν μα, πολλοῖς ἀμφισβήτησιν παρεῖχεν. εἴτε πεπεισμένος ὡς ἀληθῶς. εἴτε πλαττόμενος καὶ συνυποκρι-
νόμενος ἐπιδείκνυται τὴν ἄνθρωπον. τὸ δὲ περὶ τοὺς γῦπας, θαύματος ἄξιον, ἀλέξανδρος ὁ μύνδιος ἱ-
στόρηκε. δύο γὰρ ἐφαίνοντο πρὸ τῶν κατορθωμάτων ἀεὶ περὶ τὰς στρατιάς. καὶ παρηκολούθουν γνω-
ριζόμενοι χαλκοῖς περιδεραίοις. ταῦτα δὲ οἱ στρατιῶται συλλαβόντες αὐτοὺς περιῆψαν. εἶτα ἀφῆ-
καν. ἐκ δὲ τούτου γνωρίζοντες, ἠσπάζοντο τοὺς στρατιώτας. καὶ φανέντων ἐπὶ ταῖς ἐξόδοις, ἔχαιρον
ὡς ἀγαθόν τι πράξοντες. πολλῶν δὲ σημείων προφαινομένων, τὰ μὲν ἄλλα χαρακτῆρα κοινὸν εἶχεν. ἐκ
δὲ ἀμερίας καὶ τουδέρτου πόλεων ἰταλικῶν ἀπηγγέλθη νυκτὸς ὦφθαι κατὰ τὸν οὐρανὸν, αἰχμάς τε
φλογοειδεῖς, καὶ θυρεοὺς διαφερομένους τὸ πρῶτον. εἶτα συμπίπτοντας ἀλλήλοις, καὶ σχήματα, καὶ
κινήματα λαμβάνοντας οἷα γίνεται μαχομένων ἀνδρῶν. τέλος δὲ, τῶν μὲν, ἐνδιδόντων. τῶν δ' ἐπιφε-
ρομένων, πάντας ἐπὶ δυσμὰς ῥυῆναι. περὶ τοῦτον δέ πως τὸν χρόνον ἀφίκετο καὶ βαταβάκης ἐκ πεσ-
σινοῦντος, ὁ τῆς μεγάλης μητρὸς ἱερεὺς, ἀπαγγέλλων, ὡς ἡ θεὸς ἐκ τῶν ἀνακτόρων αὐτῷ ἐφθέγξα-
προσιεμένης ς.π. το, νίκην καὶ μέγα κράτος πολέμου ῥωμαίοις ὑπάρχειν. τῆς δὲ συγκλήτου προσθεμένης. καὶ τῇ θεῷ
προσεμένης .ἀ. ναὸν ἐπινίκιον ἱδρύσασθαι ψηφισαμένης, τὸν βαταβάκην εἰς τὸν δῆμον προελθόντα, καὶ ταῦτα
βουλόμενον εἰπεῖν, ἐκώλυσε δημαρχῶν, αὖλος πομπήιος, ἀγύρτην ἀποκαλῶν. καὶ πρὸς ὕβριν ἀπ-
ελαύνων τοῦ βήματος. ὃ δὴ καὶ μάλιστα τῷ λόγῳ τοῦ ἀνθρώπου, πίστιν παρέσχεν. οὐ γὰρ ἔφθη τῆς ἐκ-
κλησίας λυθείσης ὁ αὖλος εἰς οἶκον ἐπανελθεῖν, καὶ πυρετὸς ἐξελώθησεν αὐτῷ τοσοῦτος, ὥστε, πᾶσι
καταφανῆ γενόμενον καὶ περιβόητον, ἐντὸς ἑβδόμης ἡμέρας ἀποθανεῖν. οἱ δὲ τεύτονες, ἐπεχείρησαν
μὲν, ἡσυχάζοντος τοῦ μαρίου πολιορκεῖν τὸ στρατόπεδον. βέλεσι δὲ πολλοῖς ἐντυχόντες ἀπὸ τοῦ χάρα-
κος φερομένοις, καί τινας ἐξ αὐτῶν ἀποβαλόντες, ἔγνωσαν εἰς τοὔμπροσθεν χωρεῖν ὡς ὑπερβα-
λοῦντες ἀδεῶς τὰς ἄλπεις. καὶ συσκευασάμενοι, παρήμειβον τὸ στρατόπεδον τῶν ῥωμαίων. τότε δὴ
μάλιστα, παμπληθεῖς μήκει καὶ χρόνῳ τῆς παρόδου φανέντες. ἡμέραις γὰρ ἓξ λέγονται τὸν χάρα-
κα τοῦ μαρίου παραμείψασθαι, συνεχῶς ὁδεύοντες. ἐπορεύοντο δὲ ἐγγὺς, πυνθανόμενοι τῶν ῥω-
μαίων μετὰ γέλωτος, εἴ τι πρὸς τὰς γυναῖκας ἐπιστέλλοιεν. αὐτοὶ γὰρ ἔσεσθαι ταχέως παρ' αὐταῖς.

τὴν περιπόρφυρον, αὖθις ἦλθεν. ἐν δὲ τῇ στρατείᾳ τὴν δύναμιν διεπόνει καθ᾽ ὁδὸν ἐξασκῶν, δρόμοις τε παντοδαποῖς καὶ μακραῖς ὁδοιπορείαις. ἑαυτῷ δὲ ἀχθοφορεῖν ἀναγκάζων καὶ αὐτουργεῖν τὰ πρὸς τὴν δίαιταν. ὥστε καὶ μετὰ ταῦτα, τοὺς φιλοπόνους καὶ μετ᾽ εὐκολίας σιωπῇ τὰ προστασσόμενα ποιοῦντας, ἡμιόνους μαριανοὺς καλεῖσθαι. καίτοι τινὲς αἰτίαν ἑτέραν τοῦ λόγου τούτου νομίζουσι. σκιπίωνος γὰρ ὅτε νομαντίαν ἐπολιόρκει, βουληθέντος ἐπιδεῖν, μὴ μόνον τὰ ὅπλα, μηδὲ τοὺς ἵππους, ἀλλὰ καὶ τοὺς ὀρεῖς, καὶ τὰς ἁμάξας ὅπως ἑκάστοις ἐξησκημένα καὶ παρεσκευασμένα τυγχάνοι, προαγαγεῖν τὸν μάριον, ἵππον τε κάλλιστα τεθραμμένον ὑπ᾽ αὐτοῦ καὶ ἡμίονον εὐεξίᾳ καὶ πραότητι καὶ ῥώμῃ διαφέροντα πολὺ τῶν ἄλλων. ἡσθέντος οὖν τοῦ στρατηγοῦ τοῖς τοῦ μαρίου θρέμμασι καὶ πολλάκις αὐτῶν μνησθέντος, οὕτως ἄρα τοὺς σκώπτοντας, ἐπαινῶ τὸν ἐνδελεχῆ καὶ τλήμονα καὶ φιλόπονον, μαριανὸν ἡμίονον προσαγορεύειν. εὐτύχημα δὲ δοκεῖ τῷ μαρίῳ μέγα γενέσθαι. τῶν γὰρ βαρβάρων ὥσπερ τινὰ παλίρροιαν τῆς ὁρμῆς λαβόντων καὶ ῥυέντων πρότερον ἐπὶ τὴν ἰβηρίαν, χρόνον ἔσχε καὶ τὰ σώματα γυμνάσαι τῶν ἀνδρῶν, καὶ τὰ φρονήματα πρὸς τὸ θαρρεῖν ἀναρρῶσαι. τὸ δὲ μέγιστον αὐτὸς οἷος ἦν κατανοηθῆναι. τὸ γὰρ ἐν ἀρχῇ σκυθρωπὸν αὐτοῦ καὶ περὶ τὰς τιμωρίας δυσμείλικτον, ἐθισθεῖσι μηδὲν ἁμαρτάνειν μηδὲ ἀπειθεῖν, ἅμα τῷ δικαίῳ, σωτήριον ἐφαίνετο. τήν τε τοῦ θυμοῦ σφοδρότητα καὶ τὸ τραχὺ τῆς φωνῆς καὶ ἀγριωπὸν τοῦ προσώπου συνηθιζόμενον κατὰ μικρὸν, οὐκ αὐτοῖς ἐνόμιζον εἶναι φοβερὸν, ἀλλὰ τοῖς πολεμίοις. μάλιστα δὲ ἡ περὶ τὰς κρίσεις ὀρθότης αὐτοῦ, τοῖς στρατιώταις ἤρεσκεν. ἧς, καὶ τοιόνδε τι δεῖγμα λέγεται. γάϊος λούσιος ἀδελφιδοῦς αὐτοῦ, τεταγμένος ἐφ᾽ ἡγεμονίας, ἐστρατεύετο. τἄλλα μὲν ἀνὴρ οὐ δοκῶν εἶναι πονηρός. ἥττων δὲ μειρακίων καλῶν. οὗτος ἤρα νεανίσκου τῶν ὑφ᾽ αὐτῷ στρατευομένων, ὄνομα τρεβωνίου. καὶ πολλάκις πειρῶν, οὐκ ἐτύγχανε. τέλος δὲ, νύκτωρ ὑπηρέτην ἀποστείλας, μετεπέμπετο τὸν τρεβώνιον. ὁ δὲ νεανίας, ἧκε μὲν, ἀντειπεῖν γὰρ οὐκ ἐξῆν καλούμενον. εἰσαχθεὶς δὲ ὑπὸ τὴν σκηνὴν πρὸς αὐτὸν, ἐπιχειροῦντα βιάζεσθαι, σπασάμενος τὸ ξίφος, ἀπέκτεινε. ταῦτα ἐπράχθη, τοῦ μαρίου μὴ παρόντος. ἐπανελθὼν δὲ, προὔθηκε τῷ τρεβωνίῳ κρίσιν. ἐπεὶ δὲ πολλῶν κατηγορούντων, οὐδενὸς συνηγοροῦντος, αὐτὸς εὐθαρσῶς καταστὰς, διηγήσατο τὸ πρᾶγμα, καὶ μάρτυρας ἔχων, ὅτι πειρῶντι, πολλάκις ἀντεῖπε τῷ λουσίῳ. καὶ μεγάλων διδομένων, ἐπ᾽ οὐδενὶ προήκατο τὸ σῶμα. θαυμάσας ὁ μάριος καὶ ἡσθεὶς, ἐκέλευσε τὸν πάτριον ἐπὶ ταῖς ἀριστείαις στέφανον κομισθῆναι. καὶ λαβὼν, αὐτὸς ἐστεφάνωσε τὸν τρεβώνιον, ὡς κάλλιστον ἔργον ἐν καιρῷ παραδειγμάτων δεομένῳ καλῶν ἀποδεδειγμένον. τοῦτο εἰς τὴν ῥώμην ἀπαγγελθὲν, οὐχ ἥκιστα τῷ μαρίῳ συνέπραξε τὴν τρίτην ὑπατείαν. ἅμα δὲ καὶ τῶν βαρβάρων ἐν τῇ ὥρᾳ προσδοκίμων ὄντων, ἐβούλοντο μετὰ μηδενὸς ἄλλου στρατηγοῦ κινδυνεῦσαι πρὸς αὐτούς. οὐ μὴν ἧκον ὡς προσεδοκῶντο ταχέως, ἀλλὰ πάλιν διῆλθε τῷ μαρίῳ ὁ τῆς ὑπατείας χρόνος. ἐνισταμένων δὲ τῶν ἀρχαιρεσιῶν, καὶ τοῦ συνάρχοντος αὐτοῦ τελευτήσαντος, ἀπολιπὼν ἐπὶ τῶν δυνάμεων, μάνιον ἀκύλλιον, αὐτὸς ἧκεν εἰς ῥώμην. μετιόντων δὲ πολλῶν καὶ ἀγαθῶν τὴν ὑπατείαν, λούκιος σατορνῖνος ὁ μάλιστα τῶν δημάρχων ἄγων τὸ πλῆθος, ὑπὸ τοῦ μαρίου τεθεραπευμένος, ἐδημηγόρει, κελεύων ἐκεῖνον ὕπατον αἱρεῖσθαι. θρυπτομένου δὲ τοῦ μαρίου, καὶ παραιτεῖσθαι τὴν ἀρχὴν φάσκοντος, ὡς δὴ μὴ δεομένου, προδότην αὐτὸν ὁ σατορνῖνος ἐκάλει τῆς πατρίδος, ἐν κινδύνῳ τοσούτῳ, φεύγοντα τὸ στρατηγεῖν. καὶ φανερὸς μὲν ἦν ἀπιθάνως συνυποκρινόμενος τὸ προσποίημα τῷ μαρίῳ. τὸν δὲ καιρὸν ὁρῶντες οἱ πολλοὶ τῆς ἐκείνου δεινότητος ἅμα καὶ τύχης δεόμενον, ἐψηφίσαντο τὴν τετάρτην ὑπατείαν, καὶ συνάρχοντα κάτλον αὐτῷ λουτάτιον κατέστησαν. ἄνδρα καὶ τιμώμενον ὑπὸ τῶν ἀρίστων, καὶ τοῖς πολλοῖς οὐκ ἐπαχθῆ. πυνθανόμενος δὲ τοὺς πολεμίους ὁ μάριος ἐγγὺς εἶναι, διὰ ταχέων ὑπερέβαλε τὰς ἄλπεις. καὶ τειχίσας στρατόπεδον παρὰ τῷ ῥοδανῷ ποταμῷ, συνῆγεν εἰς αὐτὸ, χορηγίαν ἄφθονον. ὡς μηδέποτε παρὰ τὸν τοῦ συμφέροντος λογισμὸν ἐκβιασθείη δι᾽ ἔνδειαν τῶν ἀναγκαίων, εἰς μάχην καταστῆναι. καὶ δὲ κομιδὴν ὧν ἐδεῖτο τῷ στρατεύματι μακρὰν, καὶ πολυτελῆ πρότερον οὖσαν πρὸς τὴν θάλασσαν, αὐτὸς εἰργάσατο ῥᾳδίαν καὶ ταχεῖαν. τὰ γὰρ στόματα τοῦ ῥοδανοῦ, πρὸς τὰς ἀνακοπὰς τῆς θαλάσσης, ἰλύν τε πολλὴν λαμβάνοντα καὶ θῖνα πηλῷ βαθεῖ συμπεπλησμένην ὑπὸ τοῦ κλύδωνος χαλεπὴν, ἐπίπονον καὶ βραχύπορον τοῖς σιταγωγοῖς ἐποίει τὸν εἴσπλουν ὧδε. τρέψας ἐνταῦθα τὸν στρατὸν σχολάζοντα, τάφρον μεγάλην ἐνέβαλε. καὶ ταύτῃ πολὺ μέρος τοῦ ποταμοῦ μεταστήσας, περιήγαγεν εἰς ἐπιτήδειον αἰγιαλόν. βαθὺν μὲν, καὶ ναυσὶ μεγάλαις ἔποχον, λεῖον δὲ καὶ ἄκλυστον στόμα λαβοῦσαν πρὸς τὴν θάλασσαν. αὕτη μὲν οὖν ἀπ᾽ ἐκείνου τὴν ἐπωνυμίαν ἔτι φυλάττει. τῶν δὲ βαρβάρων διελόντων σφᾶς αὐτοὺς δίχα. κίμβροι μὲν ἔλαχον διὰ νωρικῶν ἄνωθεν ἐπὶ κάτλον χωρεῖν. καὶ τὴν πάροδον ἐκείνην βιάζεσθαι. τεύτονες δὲ καὶ ἄμβρωνες διὰ λιγύων, ἐπὶ μάριον παρὰ θάλατταν. καὶ κίμβροις μὲν ἐγίνετο πλείων ἡ διατριβὴ καὶ μέλλησις. τεύτονες δὲ καὶ ἄμβρωνες ἄραντες εὐθὺς καὶ διελθόντες τὴν ἐν μέσῳ χώραν, ἐφαίνοντο πλήθει τε ἄπειροι καὶ δυσπρόσωποι τὰ εἴδη. φθόγγον τε καὶ θόρυβον οὐχ ἑτέροις ὅμοιοι, περιβαλλόμενοι δὲ τοῦ πε-

ἀπὸ τῆς ἑσπέρας κίνδυνος, ἅμα τῷ πρῶτον ἐν χρείᾳ μεγάλου στρατηγοῦ γενέσθαι, καὶ περισκέψασθαι τὴν πόλιν, ᾧ χρωμένη κυβερνήτῃ διαφεύξεται κλύδωνα πολέμου τοσοῦτον. οὐδενὸς ἀνασχομένου τῶν ἀπὸ γένους μεγάλων ἢ πλουσίων οἴκων ἐπὶ τὰς ὑπατικὰς καταβαινόντων ἀρχαιρεσίας. ἀλλὰ ἀπόντα τὸν μάριον ἀναγορευσάντων. ἄρτι γὰρ ἀπηγγελμένης αὐτοῖς τῆς ἰουγούρθα συλλήψεως, αἱ περὶ τευτόνων, καὶ κίμβρων, φῆμαι προσέπιπτον. ἀπιστίαν μὲν ἐν ἀρχῇ παρέχουσαι, πλήθους τε καὶ ῥώμης τῶν ἐπερχομένων στρατῶν. ὕστερον δὲ, τῆς ἀληθείας, ὑποδεέστεραι φανεῖσαι. μυριάδες μὲν γὰρ αἱ μάχιμοι τριάκοντα, σὺν ὅπλοις ἐχώρουν. ὄχλοι δὲ παίδων καὶ γυναικῶν ἐλέγοντο πολὺ πλείους συμπεριάγεσθαι, γῆς χρῄζοντες ἣ θρέψει τοσοῦτο πλῆθος. καὶ πόλεων, ἐν αἷς ἱδρυνθέντες βιώσονται. καθάπερ πρὸ αὐτῶν ἐπυνθάνοντο, κελτοὺς τῆς ἰταλίας τὴν ἀρίστην κατασχεῖν τυρρηνῶν ἀφελομένους. αὐτοὶ μὲν γὰρ ἀμιξίᾳ τῇ πρὸς ἑτέρους, μήκει τε χώρας ἣν ἐπῆλθον, ἠγνοοῦντο τίνες ὄντες ἀνθρώπων. ἢ πόθεν ὁρμηθέντες, ὥσπερ νέφος ἐμπέσοιεν γαλατίᾳ καὶ ἰταλίᾳ. καὶ μάλιστα μὲν εἰκάζοντο γερμανικὰ γένη τῶν καθηκόντων ἐπὶ τὸν βόρειον ὠκεανὸν εἶναι, τοῖς μεγέθεσι τῶν σωμάτων. καὶ τῇ χαροπότητι τῶν ὀμμάτων. καὶ ὅτι κίμβρους ἐπονομάζουσι γερμανοὶ τοὺς λῃστάς. εἰσὶ δὲ, οἱ καὶ τὴν κελτικὴν διὰ βάθος χώρας καὶ μέγεθος ἀπὸ τῆς ἔξωθεν θαλάσσης καὶ τῶν ὑπαρκτίων κλιμάτων πρὸς ἥλιον ἀνίσχοντα κατὰ τὴν μαιῶτιν ἐπιστρέφουσαν ἅπτεσθαι τῆς ποντικῆς σκυθίας λέγουσι. κἀκεῖθεν τὰ γένη μεμῖχθαι. τούτους ἐξαναστάντας οὐκ ἐκ μιᾶς ὁρμῆς. οὐδὲ συνεχῶς. ἀλλὰ ἔτους ὥρᾳ καθ' ἕκαστον ἐνιαυτὸν, εἰς τοὔμπροσθεν ἀεὶ χωροῦντας. πολέμῳ χρόνοις πολλοῖς ἐπελθεῖν τὴν ἤπειρον. διὸ καὶ πολλὰς κατὰ μέρος ἐπικλήσεις ἐχόντων, κοινῇ κελτοσκύθας τὸν στρατὸν ὠνόμαζον. ἄλλοι δέ φασι κιμμερίων, τὸ μὲν πρῶτον ὑφ' ἑλλήνων τῶν πάλαι γνωσθέντων, οὐ μέγα γενέσθαι τοῦ παντὸς μόριον. ἀλλὰ φυγὴν ἢ στάσιν τινὰ βιασθεῖσαν ὑπὸ σκυθῶν, εἰς ἀσίαν ἀπὸ τῆς μαιώτιδος διαπερᾶσαι, λυγδάμιος ἡγουμένου. τὸ δὲ πλεῖστον αὐτῶν, καὶ μαχιμώτατον, ἐπ' ἐσχάτοις ᾤκουν παρὰ τὴν ἔξω θάλασσαν. γῆν μὲν νέμεσθαι σύσκιον καὶ ὑλώδη καὶ δυσήλιον πάντη διὰ βάθος καὶ πυκνότητα δρυμῶν. οὓς μέχρι τῶν ἑρκυνίων εἴσω διήκειν. οὐρανοῦ δὲ εἰληχέναι, καθ' ὃ δοκεῖ μεταλαμβάνων ὁ πόλος ἔξαρμα διὰ τὴν ἔγκλισιν τῶν παραλλήλων, ὀλίγον ἀπολείπειν τοῦ κατὰ κορυφὴν ἱσταμένου σημείου πρὸς τὴν οἴκησιν. αἵ τε ἡμέραι, βραχύτητι καὶ μήκει πρὸς τὰς νύκτας ἴσαι κατανέμεσθαι τὸν χρόνον. διὸ καὶ τὴν εὐπορίαν τοῦ μυθεύματος, ὁμήρῳ γενέσθαι πρὸς τὴν νεκυίαν. ἔνθεν οὖν τὴν ἔφοδον εἶναι τῶν βαρβάρων τούτων ἐπὶ τὴν ἰταλίαν. κιμμερίων μὲν ἐξ ἀρχῆς. τότε δὲ κίμβρων, οὐκ ἀπὸ τρόπου, προσαγορευομένων. ἀλλὰ ταῦτα μὲν, εἰκασμῷ μᾶλλον, ἢ κατὰ βέβαιον ἱστορίαν λέγεται. τὸ δὲ πλῆθος οὐκ ἔλαττον, ἀλλὰ πλέον εἶναι τοῦ λεχθέντος, ὑπὸ πολλῶν ἱστόρηται. θυμὸν δὲ καὶ τόλμαν, ἀνυπόστατοι. καὶ χειρῶν ἔργα παρὰ τὰς μάχας ὀξύτητι, καὶ βίᾳ πυρὸς ἐοικότες ἐπῄεσαν. οὐδενὸς ἀντέχοντος αὐτῶν πρὸς τὴν ἔφοδον, ἀλλὰ πάντων μὲν, ὅσοις ἐπῆλθον ἐν λόγῳ λείας ἀγομένων καὶ φερομένων. πολλῶν δὲ, καὶ μεγάλων ῥωμαϊκῶν στρατοπέδων, καὶ στρατηγῶν, ὅσοι προεστήκεσαν τῆς ἐκ τῶν ἄλπεων γαλατίας ἀνηρπασμένων ἀκλεῶς. οἳ καὶ μάλιστα τὴν φορὰν αὐτῶν κακῶς ἀγωνισάμενοι, κατὰ τῆς ῥώμης ἐπεσπάσαντο. νικήσαντες γὰρ οἷς ἐνέτυχον, καὶ χρημάτων πολλῶν κρατήσαντες, ἔγνωσαν μηδαμοῦ γῆς ἑαυτοὺς ἱδρύειν, πρὶν ἀναιρήσουσι τὴν ῥώμην καὶ διαπορθήσουσι τὴν ἰταλίαν. ταῦτα ῥωμαῖοι πυνθανόμενοι, πολλαχόθεν ἐκάλουν μάριον ἐπὶ τὴν στρατηγίαν. καὶ τὸ δεύτερον, ὕπατος ἀπεδείχθη. τοῦ μὲν νόμου κωλύοντος ἀπόντα καὶ μὴ διαλιπόντα χρόνον ὡρισμένον αὖθις αἱρεῖσθαι. τοῦ δὲ δήμου τοὺς ἀντιλέγοντας ἐκβαλόντος. ἡγοῦντο γὰρ οὔτε νῦν πρῶτον εἴξειν τῷ συμφέροντι τὸν νόμον. οὔτε ἀλογωτέραν εἶναι τὴν παροῦσαν αἰτίαν ἐκείνης, δι' ἣν τὸν σκηπίωνα παρὰ τοὺς νόμους ὕπατον ἀπέδειξαν. οὐ φοβούμενοι τὴν ἑαυτῶν ἀποβαλεῖν. ἀλλὰ τὴν καρχηδονίων ἐπιθυμοῦντες ἀνελεῖν. ταῦτα ἔδοξε. καὶ μάριος ἐκ λιβύης μετὰ τοῦ στρατεύματος διακομισθεὶς, αὐταῖς καλάνδαις ἰανουαρίαις ἣν ἔτους ἀρχὴν ἄγουσι ῥωμαῖοι, τήν τε ὑπατείαν ἀνέλαβε. καὶ τὸν θρίαμβον εἰσήλασεν. ἄπιστον ἐπιδειξάμενος θέαμα ῥωμαίοις, ἰουγούρθαν αἰχμάλωτον. οὗ ζῶντος οὐδ' ἂν εἷς ἤλπισε πολεμίων κρατήσειν. οὕτω τις ἦν ποικίλος ἀνὴρ τύχαις ὁμιλῆσαι καὶ πανουργίαν πολλὴν μεμιγμένον ἔχων τῷ θυμοειδεῖ. ἀλλ' ἐξέστη γε πομπευθεὶς ὡς λέγουσι τοῦ φρονεῖν. καὶ μετὰ τὸν θρίαμβον εἰς τὸ δεσμωτήριον ἐμπεσών. ὡς οἱ μὲν, αὐτοῦ βίᾳ περιέρρηξαν τὸν χιτωνίσκον. οἱ δὲ, σπεύδοντες ἀφελέσθαι βίᾳ τὸ χρυσοῦν ἐλλόβιον, ἅμα τὸν λοβὸν συναπέρρηξαν. ὠσθεὶς δὲ γυμνὸς εἰς τὸ βάραθρον κατεβλήθη μεστὸς ὢν ταραχῆς, καὶ διασεσηρὼς, ἡράκλεις εἶπεν, ὡς ψυχρὸν ὑμῶν τὸ βαλανεῖον. ἀλλὰ τοῦτον μὲν ἓξ ἡμέραις ζυγομαχήσαντα τῷ λιμῷ. καὶ μέχρι τῆς ἐσχάτης ὥρας ἐκκρεμασθέντα τῆς τοῦ ζῆν ἐπιθυμίας, ἔσχεν ἀξία δίκη τῶν ἀσεβημάτων. ἐν δὲ τῷ θριάμβῳ κομισθῆναι λέγουσι. χρυσοῦ μὲν, ἑπτὰ καὶ τρισχιλίας λίτρας. ἀργύρου δὲ ἀσήμου, πεντακισχιλίας ἑπτακοσίας ἑβδομήκοντα πέντε. νομίσματος δὲ, δραχμὰς ἑπτακισχιλίας ἐπὶ μυριάσιν ὀκτὼ καὶ εἴκοσι. μετὰ δὲ τὴν πομπὴν ὁ μάριος, συνῆγε τὴν βουλὴν ἐν καπιτωλίῳ. καὶ παρῆλθε μὲν εἴτε λαθὼν αὑτὸν, εἴτε τῇ τύχῃ χρώμενος, ἀγροικότερον ἐν τῇ θριαμβικῇ κατασκευῇ. ταχὺ δὲ τὴν βουλὴν ἀχθεσθεῖσαν αἰσθόμενος ἐξανέστη, καὶ μεταλαβὼν τὴν περιπόρφυρον,

τοῖς προσφέρεσθαι πιστεύων, ἔλαθεν ὑπὸ χείρους τοῖς πολεμίοις γενόμενος. παρεδέξαντο γὰρ τὸν Ἰουγούρθαν, τὸν δὲ Τουρπίλλιον οὐδὲν ἠδίκησαν, ἀλλὰ σῶον ἐξαιτησάμενοι διῆκαν. ἔσχεν οὖν αἰτίαν προδοσίας. καὶ παρὼν ὁ Μάριος τῇ κρίσει σύμβουλος, αὐτός τε πικρὸς ἦν, καὶ τῶν ἄλλων παρώξυνε τοὺς πλείστους. ὥστε ἄκοντα τὸν Μέτελλον ἐκβιασθῆναι, καὶ καταψηφίσασθαι θάνατον τοῦ ἀνθρώπου. μετ' ὀλίγον δὲ τῆς αἰτίας ψευδοῦς φανείσης, οἱ μὲν ἄλλοι συνήχθοντο τῷ Μετέλλῳ βαρέως φέροντι. Μάριος δὲ χαίρων καὶ ποιούμενος ἴδιον τὸ ἔργον, οὐκ ᾐσχύνετο λέγειν περιιών, ὡς αὐτὸς εἴη προστετριφὼς ἀλάστορα τῷ Μετέλλῳ ξενοκτόνον. ἐκ τούτου, φανερῶς ἀπηχθάνοντο. καὶ λέγεταί ποτε τοῦ Μαρίου παρόντος οἷον ἐφυβρίζων ὁ Μέτελλος εἰπεῖν. σὺ δὴ καταλιπὼν ἡμᾶς ὦ γενναῖε πάλιν ἐπ' οἴκου διανοῇ καὶ παραγγέλλειν ὑπατείαν; οὐ γὰρ ἀγαπήσεις ἂν τῷ παιδὶ τούτῳ συνυπατεύσῃς; ἦν δὲ ὁ παῖς τότε τοῦ Μετέλλου παντάπασι μειράκιον. οὐ μὴν ἀλλὰ τοῦ Μαρίου σπουδάζοντος ἀφεθῆναι, πολλὰς ἀναβολὰς ποιησάμενος. ἔτι δώδεκα λειπομένων ἡμερῶν, ἐπὶ τὴν τῶν ὑπάτων ἀνάδειξιν ἀφῆκεν αὐτόν. ὁ δέ, πολλὴν ἀπὸ στρατοπέδου τὴν ἐπὶ θάλασσαν εἰς Ἰτύκην ὁδόν, ἡμέραις δυσὶ καὶ μιᾷ νυκτὶ συνελών, ἔθυε πρὸ τοῦ πλοῦ. καὶ λέγεται τὸν μάντιν εἰπεῖν, ὡς ἀπίστους τινὰς τὸ μέγεθος, καὶ κρείττονας ἐλπίδος ἁπάσης, εὐπραξίας προφαίνοι τῷ Μαρίῳ τὸ δαιμόνιον. ὁ δέ, τούτοις ἐπαρθεὶς ἀνήχθη. καὶ τὸ πέλαγος τεταρταῖος οὐρίῳ πνεύματι περάσας, αὐτίκα τε τῷ δήμῳ, ποθεινὸς ὤφθη, καὶ προαχθεὶς ὑπό τινος τῶν δημάρχων εἰς τὸ πλῆθος, ἐπὶ πολλαῖς κατὰ τοῦ Μετέλλου διαβολαῖς ᾐτεῖτο τὴν ἀρχήν, ὑπισχνούμενος ἢ κτενεῖν, ἢ ζῶντα λήψεσθαι τὸν Ἰουγούρθαν.

ἀναγορευθεὶς δὲ λαμπρῶς, εὐθὺς ἐστρατολόγει παρὰ τὸν νόμον καὶ τὴν συνήθειαν, πολὺ τὸ ἄπορον καὶ δοῦλον καταγράφων, τῶν πρόσθεν ἡγεμόνων οὐ προσδεχομένων τοὺς τοιούτους, ἀλλ' ὥσπερ ἄλλο τι τῶν καλῶν, τὰ ὅπλα μετὰ τιμῆς τοῖς ἀξίοις νεμόντων, ἐνέχυρον τὴν οὐσίαν ἑκάστου, τιθέναι δοκοῦντος. οὐ μὴν ταῦτά γε μάλιστα διέβαλλε τὸν Μάριον, ἀλλ' οἱ λόγοι θρασεῖς ὄντες ὑπεροψίᾳ καὶ ὕβρει τοὺς πρώτους ἐλύπουν. σκῦλον τε βοῶντος αὐτοῦ τὴν ὑπατείαν φέρεσθαι τῆς τῶν εὐγενῶν καὶ πλουσίων μαλακίας. καὶ τραύμασιν οἰκείοις πρὸς τὸν δῆμον, οὐ μνήμασι νεκρῶν οὐδὲ ἀλλοτρίαις εἰκόσι νεανιεύεσθαι. πολλάκις δὲ καὶ τοὺς ἀτυχήσαντας ἐν Λιβύῃ στρατηγούς. πρότερον μὲν Βηστίαν. ὕστερον δὲ Ἀλβῖνον. ἀνθρώπους οἴκων μὲν ἐπιφανῶν, αὐτοὺς δὲ ἀπολέμους, καὶ δι' ἀπειρίαν πταίσαντας, ὀνομάζων ἐπυνθάνετο τῶν παρόντων. εἰ μὴ καὶ τοὺς ἐκείνων οἴονται προγόνους, αὐτῷ μᾶλλον ἂν εὔξασθαι παραπλησίους ἐκγόνους ἀπολιπεῖν. ἅτε μηδὲ αὐτοὺς δι' εὐγένειαν ἀλλ' ὑπ' ἀρετῆς καὶ καλῶν ἔργων ἐνδόξους γενομένους. ταῦτα δὲ οὐ κενῶς οὐδὲ ἀλαζονικῶς ἔλεγεν, οὐδὲ μάτην ἀπεχθάνεσθαι τοῖς δυνατοῖς βουλόμενος, ἀλλ' ὁ δῆμος αὐτόν, ἡδόμενός τε τῇ βουλῇ προπηλακιζομένῃ. καὶ λόγου κόμπῳ, μέτρον ἀεὶ φρονήματος καὶ μέγεθος ἐξεκούφιζε καὶ συνεξώρμα μὴ φείδεσθαι τῶν ἀξιολόγων χαριζόμενον τοῖς πολλοῖς. ὡς δὲ διέπλευσεν εἰς Λιβύην. Μέτελλος μὲν ἥττων τοῦ φθόνου γενόμενος καὶ περιπαθῶν ὅτι κατειργασμένου τὸν πόλεμον αὐτοῦ, καὶ μηδὲν ὑπόλοιπον, ἢ τὸ σῶμα τοῦ Ἰουγούρθα λαβεῖν ἔχοντος, ἧκε Μάριος ἐπὶ τὸν στέφανον καὶ τὸν θρίαμβον ἐκ τῆς πρὸς ἐκεῖνον ἀχαριστίας ηὐξημένος, οὐχ ὑπέμεινεν εἰς τὸ αὐτὸ συνελθεῖν. ἀλλ' αὐτὸς μὲν ὑπεξεχώρησε. Ῥουτίλιος δὲ τὸ στράτευμα τῷ Μαρίῳ παρέδωκε. πρεσβευτὴς γεγονὼς τοῦ Μετέλλου. καὶ περιῆλθέ τις νέμεσις ἐν τῷ τέλει τῶν πράξεων Μάριον. ἀφῃρέθη γὰρ ὑπὸ Σύλλα τὴν τοῦ κατορθώματος δόξαν, ὡς ὑπ' ἐκείνου Μέτελλος. ὃν τρόπον δέ, ἀφηγήσομαι βραχέως ἐπεὶ τὰ καθ' ἕκαστον μᾶλλον ἐν τοῖς περὶ Σύλλα γέγραπται. Βόκχος ὁ τῶν ἄνω βαρβάρων βασιλεύς, ἦν πενθερὸς Ἰουγούρθα, καὶ πολεμοῦντι μέν, οὐ πάνυ τι συλλαμβάνειν ἐδόκει προβαλλόμενος αὐτοῦ τὴν ἀπιστίαν. καὶ τὴν αὔξησιν δεδιώς. ἐπεὶ δὲ φεύγων καὶ πλανώμενος, ἐκεῖνον ὑπ' ἀνάγκης ἔθετο τῶν ἐλπίδων τελευταῖον, καὶ κατῆρε πρὸς αὐτόν, αἰσχύνῃ μᾶλλον ὡς ἱκέτην, ἢ δι' εὔνοιαν ὑποδεξάμενος, διὰ χειρὸς εἶχε, φανερῶς μέν, ὑπὲρ ἑαυτοῦ παραιτούμενος Μάριον. καὶ γράφων ὡς οὐκ ἂν ἐκδῷ, καὶ παρρησιαζόμενος, κρύφα δὲ βουλεύων προδοσίαν ἐπ' αὐτῷ καὶ μεταπεμπόμενος Λεύκιον Σύλλαν, ταμίαν μὲν ὄντα Μαρίου. χρήσιμον δὲ τῷ Βόκχῳ γεγενημένον ἐπὶ στρατείας. ὡς δὲ πιστεύσας, ἀνέβη πρὸς αὐτὸν ὁ Σύλλας, ἔσχε μέν τις τροπὴ γνώμης καὶ μετάνοια τὸν βάρβαρον. ἡμέρας τε συχνάς, διηνέχθη τῷ λογισμῷ βουλευόμενος, ἢ παραδοῦναι τὸν Ἰουγούρθαν, ἢ μηδὲ τὸν Σύλλαν ἀφεῖναι. τέλος δέ, τὴν προτέραν κυρώσας προδοσίαν, ἐνεχείρισε τῷ Σύλλᾳ ζῶντα τὸν Ἰουγούρθαν. καὶ τοῦτο πρῶτον ὑπῆρξεν αὐτοῖς σπέρμα τῆς ἀνηκέστου καὶ χαλεπῆς ἐκείνης στάσεως, ἣ μικροῦ ἐδέησεν ἀνατρέψαι τὴν Ῥώμην. πολλοὶ γὰρ ἐβούλοντο τοῦ Σύλλα τὸ ἔργον εἶναι τῷ Μαρίῳ φθονοῦντες. αὐτός τε Σύλλας σφραγῖδα ποιησάμενος, ἐφόρει γλυφὴν ἔχουσαν ἐγχειριζόμενον ὑπὸ τοῦ Βόκχου τὸν Ἰουγούρθαν ἑαυτῷ. καὶ ταύτῃ χρώμενος ἀεὶ διετέλει. φιλότιμον ἄνδρα καὶ πρὸς κοινωνίαν δόξης ἀγνώμονα καὶ δύσεριν, ἐρεθίζων τὸν Μάριον. ἐναγόντων μάλιστα τῶν ἐχθρῶν τῶν ἐκείνου. καὶ τὰ μὲν πρῶτα τοῦ πολέμου καὶ μέγιστα τῷ Μετέλλῳ. τὰ δ' ἔσχατα καὶ τὸ πέρας αὐτοῦ, Σύλλᾳ προστιθέντων. ὡς παύσαιτο θαυμάζων καὶ προσέχων ἐκείνῳ μάλιστα πάντων ὁ δῆμος. ταχὺ μέντοι τὸν φθόνον ἐκεῖνον καὶ τὰ μίση, καὶ τὰς διαβολὰς ἀπεσκέδασε τοῦ Μαρίου καὶ κατέστησεν, ὁ κατασχὼν τὴν Ἰταλίαν

διανομῆς τοῖς πολίταις, ἐναντιωθεὶς ἐρρωμενέστατα καὶ κρατήσας, εἰς τὸ ἴσον ἑαυτὸν κατέστησε τῇ τιμῇ πρὸς ἀμφοτέρους, ὡς μηδετέροις παρὰ τὸ συμφέρον χαριζόμενος. μετὰ δὲ τὴν δημαρχίαν, ἀγορανομίαν τὴν μείζονα παρήγγελε. δύο γάρ εἰσι τάξεις ἀγορανομιῶν. ἡ μὲν, ἀπὸ τῶν δίφρων τῶν ἀγκυλοπόδων, ἐφ' ὧν καθεζόμενοι χρηματίζουσιν, ἔχουσα τοὔνομα τῆς ἀρχῆς. τὴν δ' ὑποδεεστέραν, δημοτικὴν καλοῦσιν. ὅταν δὲ τοὺς ἐντιμοτέρους ἕλωνται, περὶ τῶν ἑτέρων πάλιν τὴν ψῆφον λαμβάνουσιν. ὡς οὖν ὁ μάριος φανερὸς ἦν λειπόμενος ἐν ἐκείνῃ, ταχὺ μεταστὰς αὖθις, ᾔτει τὴν ἑτέραν. δόξας δὲ θρασὺς εἶναι, καὶ αὐθάδης, ἀπέτυχε. καὶ δυσὶν ἐν ἡμέρᾳ μιᾷ περιπεσὼν ἀποτεύξεσιν, ὃ μηδεὶς ἔπαθεν ἄλλος, οὐδὲ μικρὸν ὑφήκατο τοῦ φρονήματος. ὕστερον δὲ οὐ πολλῷ στρατηγίαν μετελθὼν, ὀλίγου ἐδέησεν ἐκπεσεῖν. ἔσχατος δὲ πάντων ἀναγορευθεὶς, δίκην ἔσχε δεκασμοῦ. μάλιστα δὲ ὑποψίαν παρέσχε, κασσίου σαβάκωνος οἰκέτης ὀφθεὶς ἐντὸς τῶν δρυφάκτων, ἀναμεμιγμένος τοῖς φέρουσι τὰς ψήφους. ὁ γὰρ σαβάκων ἦν ἑταῖρος ἐν τοῖς μάλιστα μαρίου. κληθεὶς οὖν οὗτος ὑπὸ τῶν δικαστῶν, ἔφη διὰ τὸ καῦμα διψήσας, ὕδωρ ψυχρὸν αἰτῆσαι, καὶ τὸν οἰκέτην ἔχοντα ποτήριον, εἰσελθεῖν εἰς αὐτὸν, εἶτ' εὐθὺς οἴχεσθαι πιόντος. οὗτος μὲν οὖν ὑπὸ τῶν μετὰ ταῦτα τιμητῶν, ἐξέπεσε τῆς βουλῆς. ἐπιτήδειος εἶναι παθεῖν τοῦτο δόξας, ἢ διὰ τὴν ψευδομαρτυρίαν, ἢ διὰ τὴν ἀκρασίαν. ἤδη δὲ τὸν μάριον, καὶ γάϊος ἑρέννιος μάρτυς ἐπικληθεὶς, οὐκ ἔφη πάτριον εἶναι κατὰ μαρτυρεῖν πελατῶν, ἀλλὰ τοὺς νόμον ἀφιέναι ταύτης τῆς ἀνάγκης τοὺς πάτρωνας. οὕτω γὰρ οἱ ῥωμαῖοι τοὺς προστάτας καλοῦσι. τοῦ δὲ ἑρεννίων οἴκου, τοὺς μαρίου γονεῖς καὶ μάριον αὐτὸν, ἐξ ἀρχῆς γεγονέναι πελάτας. ἀποδεξαμένων δὲ τὴν ἀπόρρησιν τῆς μαρτυρίας τῶν δικαστῶν, αὐτὸς ἀντεῖπεν ὁ μάριος πρὸς τὸν ἑρέννιον, ὡς ὅτε πρῶτος ἄρχων ἀνηγορεύθη, τὸν πελάτην ἐκβεβηκὼς, ὅπερ ἦν οὐ παντάπασιν ἀληθές. ἀρχὴ γὰρ οὐ πᾶσα τοῦ νέμειν προστάτην, ἀπαλλάσσει τοὺς τυχόντας αὐτοὺς καὶ γένος, ἀλλ' ᾗ τὸν ἀγκυλόποδα δίφρον ὁ νόμος δίδωσιν. οὐ μὴν ἀλλὰ ταῖς πρώταις ἡμέραις ἐν τῇ δίκῃ κακῶς πράττων ὁ μάριος, καὶ χαλεπῶς χρώμενος τοῖς δικασταῖς, τῇ τελευταίᾳ, παραλόγως ἀπέφυγεν. ἴσων τῶν ψήφων γενομένων. ἐν μὲν οὖν τῇ στρατηγίᾳ μετρίως ἐπαινούμενον ἑαυτὸν παρέσχε. μετὰ δὲ τὴν στρατηγίαν, κλήρῳ λαβὼν τὴν ἐκτὸς ἰβηρίαν, λέγεται καθᾶραι λῃστηρίων τὴν ἐπαρχίαν. ἀνήμερον οὖσαν ἔτι, τοῖς ἐθισμοῖς, καὶ θηριώδη. καὶ τὸ λῃστεύειν οὔπω τότε τῶν ἰβήρων οὐχὶ κάλλιστον ἡγουμένων. ἐν δὲ τῇ πολιτείᾳ γενόμενος, οὐκ εἶχεν οὐδὲ πλοῦτον, οὐδὲ λόγον οἷς ἦγον οἱ τότε μάλιστα τιμώμενοι τὸν δῆμον. αὐτὴν δὲ τὴν ἀνάτασιν τοῦ φρονήματος καὶ τὸ περὶ τοὺς πόνους ἐνδελεχὲς αὐτοῦ, καὶ τὸ δημοτικὸν τῆς διαίτης. ἔν τινι σπουδῇ τιθεμένων τῶν πολιτῶν, ηὔξανε τῇ τιμῇ πρὸς δύναμιν. ὥστε καὶ γάμον γῆμαι λαμπρὸν, οἰκίας ἤδη φανοῦς τῆς καισάρων, ἰουλίαν, ἧς ἦν ἀδελφιδοῦς καῖσαρ, ὁ χρόνοις ὕστερον ῥωμαίων μέγιστος γενόμενος, καί τι κατ' οἰκειότητα ζηλώσας μάριον, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. τῷ δὲ μαρίῳ, καὶ σωφροσύνην μαρτυροῦσι, καὶ καρτερίαν. ἧς δεῖγμα καὶ τὸ περὶ τὴν χειρουργίαν ἐστίν, ἰξῶν γὰρ ὡς ἔοικε μεγάλων ἀνάπλεως ἄμφω τὰ σκέλη γεγονὼς, καὶ τὴν ἀμορφίαν δυσχεραίνων, ἔγνω παραδοῦναι ἑαυτῷ ἰατρὸν, καὶ παρέσχεν ἄδετος θάτερον σκέλος, οὐδὲ κινηθεὶς, οὐδὲ στενάξας, ἀλλὰ καθεστῶτι τῷ προσώπῳ καὶ μετὰ σιωπῆς ὑπερβολάς τινας ἀλγηδόνων ἐν ταῖς τομαῖς ἀνασχόμενος. τοῦ δ' ἰατροῦ μετιόντος ἤδη θάτερον, οὐκέτι παρέσχε. φήσας, ὁρᾶν τὸ ἐπανόρθωμα, τῆς ἀλγηδόνος οὐκ ἄξιον. ἐπεὶ δὲ καικίλιος μέτελλος ἀποδειχθεὶς ἤδη τὸν κατὰ ἰουγούρθαν πόλεμον ὕπατος στρατηγὸς εἰς λιβύην, ἐπηγάγετο πρεσβευτὴν μάριον, ἐνταῦθα πράξεων μεγάλων, καὶ λαμπρῶν ἀγώνων ἐπιλαβόμενος, τὸ μὲν αὔξειν τὸν μέτελλον ὡς περ οἱ λοιποὶ, καὶ πολιτεύεσθαι πρὸς ἐκεῖνον, εἴασε χαίρειν. ἀξιωθεὶς δὲ, οὐχ ὑπὸ μετέλλου κεκλῆσθαι πρεσβευτὴς, ὑπὸ δὲ τῆς τύχης, εἰς εὐφυέστατον καιρὸν ὁμοῦ, καὶ μέγιστον εἰσάγεσθαι πράξεων θέατρον, ἐπεδείκνυτο πᾶσαν ἀνδραγαθίαν. καὶ πολλὰ τοῦ πολέμου δυσχερῆ φέροντος, οὔτε τῶν μεγάλων τινὰ πόνον ὑποστείλας, οὔτε τῶν μικρῶν ἀπαξιώσας, ἀλλὰ τοὺς μὲν ὁμοτίμους, εὐβουλίᾳ καὶ προνοίᾳ τοῦ συμφέροντος ὑπερβαλλόμενος. πρὸς δὲ τοὺς στρατιώτας ὑπὲρ εὐτελείας καὶ καρτερίας διαμιλλώμενος, εὔνοιαν ἔσχε πολλὴν παρ' αὐτοῖς. ὅλως μὲν γὰρ ἔοικε τοῦ κάμνειν ἑκάστῳ παραμυθία, τὸ συγκάμνον ἑκουσίως εἶναι. δοκεῖ γὰρ ἀφαιρεῖν τὴν ἀνάγκην. ἥδιστον δὲ ῥωμαίων θέαμα, στρατιώτῃ στρατηγὸς ἐσθίων ἐν ὄψει κοινὸν ἄρτον. ἢ κατακείμενος ἐπὶ στιβάδος εὐτελοῦς. ἢ περὶ ταφρείαν τινὰ καὶ χαράκωσιν ἔργου συνεφαπτόμενος. οὐ γὰρ οὕτω τοὺς τῆς τιμῆς καὶ χρημάτων μεταδιδόντας, ὡς τοὺς πόνου καὶ κινδύνου μεταλαμβάνοντας ἡγεμόνας θαυμάζουσιν. ἀλλὰ μᾶλλον ἀγαπῶσι τῶν ῥᾳθυμεῖν ἐπιτρεπόντων, τοὺς συμπονεῖν ἐθέλοντας. ταῦτα πάντα ποιῶν ὁ μάριος καὶ διὰ τούτων τοὺς στρατιώτας δημαγωγῶν, ταχὺ μὲν ἐνέπλησε τὴν λιβύην, ταχὺ δὲ τὴν ῥώμην ὀνόματος καὶ δόξης. τῶν ἀπὸ στρατοπέδου τοῖς οἴκοι γραφόντων. ὡς οὐκ ἔστι πέρας οὐδὲ ἀπαλλαγὴ τοῦ πρὸς τὸν βάρβαρον πολέμου, μὴ γάϊον μάριον ἑλομένοις ὕπατον, ἐφ' οἷς δῆλος ἦν ὁ μέτελλος ἀχθόμενος. μάλιστα δὲ αὐτὸν ἠνίασε τὰ περὶ τουρπίλλιον. οὗτος γὰρ ὁ ἀνὴρ ἦν μὲν ἐκ πατέρων ξένος τῷ μετέλλῳ, καὶ ὅτε τὴν ἐπὶ τῶν τεκτόνων ἔχων ἀρχὴν συνεστράτευε. φρουρῶν δὲ βάγαν πόλιν μεγάλην. καὶ τῷ μηδὲν ἀδικεῖν τοὺς ἐνοικοῦντας, ἀλλὰ πρᾴως καὶ φιλανθρώπως ἀν

γαΐου μαρίου, τρίτον οὐκ ἔχομεν εἰπεῖν ὄνομα. καθάπερ οὐδὲ κοΐντου σερτωρίου τοῦ κατασχόντος ἰβηρίαν. οὐδὲ λευκίου μομμίου τοῦ κόρινθον ἑλόντος. ὁ γὰρ ἀχαϊκὸς, τούτω γε τῆς πράξεως ἐπώνυμον γέγονεν. ὡς ὁ ἀφρικανὸς σκιπίωνι. καὶ ὁ μακεδονικὸς, μετέλλω. ἐξ οὗ καὶ μάλιστα ποσειδώνιος ἐλέγ-

γ

χειν οἴεται τοὺς τὸ τρίτον ὄνομα ῥωμαίους κύριον εἶναι νομίζοντας. οἷον τὸν κάμιλλον. καὶ τὸν μάρκελλον. καὶ τὸν κάτωνα. γίνεσθαι γὰρ ἀνωνύμους τοὺς ἀπὸ μόνων τῶν δυοῖν προσαγορευομένους. λανθάνει δὲ αὐτὸν ὅτι τούτω τῷ λόγω πάλιν αὐτὸς ἀνωνύμους ποιεῖται τὰς γυναῖκας. οὐδὲ μιᾷ γὰρ γυναικὶ τίθεται τῶν ὀνομάτων τὸ πρῶτον, ὅπερ οἴεται κυρίως ὄνομα ῥωμαίους ὑπάρχειν ὁ ποσειδώνιος. τῶν δὲ ἄλλων, τὸ μὲν κοινὸν, ἀπὸ συγγενείας. τοὺς πομπηΐους καὶ τοὺς μαλλίους καὶ τοὺς κορνηλίους. ὥσπερ ἂν ἡρακλείδας τις εἴποι καὶ πελοπίδας. τὸ δὲ προσηγορικὸν ἐκ ἐπιθέτου, πρὸς τὰς φύσεις ἢ τὰς πράξεις. ἢ τὰ τοῦ σώματος εἴδη καὶ πάθη τίθεσθαι. τὸν μακρῖνον, καὶ τὸν τορκουάτον καὶ τὸν σύλλαν. οἷόν ἐστιν ὁ μνήμων. ἢ ὁ γρύπος. ἢ ὁ καλλίνικος. εἰς μὲν οὖν ταῦτα, πολλὰς δίδωσιν ἐπιχειρήσεις ἡ τῆς συνηθείας ἀνωμαλία. τῆς δὲ ὄψεως τῆς μαρίου, λιθίνην εἰκόνα κειμένην ἐν ῥαβέννῃ τῆς γαλατίας ἐθεώμεθα. πάνυ τῇ λεγομένῃ περὶ τὸ ἦθος στρυφνότητι καὶ πικρίᾳ πρέπουσαν. ἀνδρώδης γὰρ φύσει καὶ πολεμικὸς γενόμενος. καὶ στρατιωτικῆς μᾶλλον, ἢ πολιτικῆς παιδείας μεταλαβὼν, ἄκρατον ἐν ταῖς ἐξουσίαις τὸν θυμὸν ἔσχε. λέγεται δὲ μήτε γράμματα μαθεῖν ἑλληνικά. μήτε γλώττῃ πρὸς μηδὲν ἑλληνίδι χρῆσθαι τῶν σπουδῆς ἐχομένων, ὡς γελοῖον γράμματα μανθάνειν, ὧν οἱ διδάσκαλοι δουλεύοιεν ἑτέροις. μετὰ δὲ τὸν δεύτερον θρίαμβον, ἐπὶ ναοῦ τινος καθιερώσει θέας ἑλληνικὰς παρέχων, εἰς τὸ θέατρον ἐλθὼν καὶ μόνον καθίσας, εὐθὺς ἀπαλλαγῆναι. ὥσπερ οὖν ξενοκράτει τῷ φιλοσόφῳ σκυθρωποτέρῳ δοκοῦντι τὸ ἦθος εἶναι, πολλάκις εἰώθει λέγειν ὁ πλάτων. ὦ μακάριε ξενόκρατες, θῦε ταῖς χάρισιν, οὕτως εἴ τις ἔπεισε μάριον θύειν ταῖς ἑλληνικαῖς μούσαις καὶ χάρισιν, οὐκ ἂν, εὐπρεπεστάταις στρατηγίαις καὶ πολιτείαις, ἀμορφοτάτην ἐπέθηκεν κορωνίδα ὑπὸ θυμοῦ καὶ φιλαρχίας ἀώρου. καὶ πλεονεξιῶν ἀπαρηγορήτων, εἰς ὠμότατον καὶ ἀγριώτατον γῆρας ἐξοκείλας. ταῦτα μὲν οὖν αὐτίκα ἐπὶ τῶν πράξεων αὐτῶν εὐθὺς θεωρείσθω. γενόμενος δὲ γονέων παντάπασιν ἀδόξων, αὐτουργῶν δὲ καὶ πενήτων. πατρὸς μὲν, ὁμωνύμου, μητρὸς δὲ, φουλκινίας, ὀψέ ποτε πόλιν εἶδε, καὶ τῶν ἐν πόλει διατριβῶν ἐγεύσατο. τὸν δὲ ἄλλον χρόνον. ἐν κώμῃ κιρραιάτωνι τῆς ἀρπίνης, δίαιταν εἶχε. πρὸς μὲν ἀστεῖον καὶ γλαφυρὸν βίον, ἀγροικοτέραν. σώφρονα δὲ καὶ ταῖς πάλαι ῥωμαίων τροφαῖς ἐοικυῖαν. πρώτην δὲ στρατείαν στρατευσάμενος ἐπὶ κελτίβηρας, ὅτε σκιπίων ἀφρικανὸς νομαντίαν ἐπολιόρκει, τὸν στρατηγὸν οὐκ ἐλάνθανεν, ἀνδρείᾳ τῶν ἄλλων νέων διαφέρων. καὶ τὴν μεταβολὴν τῆς διαίτης, ἣν ὑπὸ τρυφῆς καὶ πολυτελείας διεφθαρμένοις, ἐπῆγε τοῖς στρατεύμασιν ὁ σκιπίων, εὐκολώτατα προσδεχόμενος. λέγεται δὲ καὶ πολέμιον ἄνδρα συστὰς, καταβαλεῖν ἐν ὄψει τοῦ στρατηγοῦ. διὸ ταῖς τε ἄλλαις προσήγετο τιμαῖς ὑπ᾽ αὐτοῦ, καί ποτε λόγου μετὰ δεῖπνον ἐμπεσόντος περὶ στρατηγῶν, καὶ τῶν παρόντων ἑνὸς εἴτε ἀληθῶς διαπορήσαντος, εἴτε πρὸς ἡδονὴν ἐρομένου τὸν σκιπίωνα, τίνα δὴ τοιοῦτον ἕξει μετ᾽ ἐκεῖνον ἡγεμόνα καὶ προστάτην ὁ ῥωμαίων δῆμος, ὑπὲρ κατακειμένου τοῦ μαρίου, τῇ χειρὶ τὸν ὦμον πατάξας ἠρέμα ὁ σκιπίων. τάχα δὲ τοῦτον εἶπεν. οὕτως ἐκφυὴς ἦν, ὁ μὲν, ἐκ μειρακίου φανῆναι μέγας. ὁ δὲ ἀπὸ τῆς ἀρχῆς τὸ τέλος νοῆσαι. τὸν δ᾽ οὖν μάριον ὑπὸ ταύτης λέγεται μάλιστα τῆς φωνῆς, ὥσπερ ὑπὸ θείας κληδόνος ἐπαρθέντα ταῖς ἐλπίσιν ὁρμῆσαι πρὸς τὴν πολιτείαν καὶ τυχεῖν δημαρχίας, κεκιλίου μετέλλου σπουδάσαντος, οὗ τὸν οἶκον ἐξ ἀρχῆς καὶ πατρόθεν ἐθεράπευεν. ἐν δὲ τῇ δημαρχίᾳ, νόμον τινὰ περὶ ψηφοφορίας γράφοντος αὐτοῦ δοκοῦντα τῶν δυνατῶν ἀφαιρεῖσθαι τὴν περὶ τὰς κρίσεις ἰσχὺν, ἐνιστάμενος κόττας ὁ ὕπατος, συνέπεισε τὴν βουλὴν, τῷ μὲν νόμῳ, μάχεσθαι. τὸν δὲ μάριον καλεῖν, λόγον ὑφέξοντα. καὶ τοῦ δόγματος τούτου γραφέντος, εἰσελθὼν ἐκεῖνος, οὐκ ἔπαθε νέου πάθος, ἀπὸ μηδενὸς λαμπροῦ προεληλυθότος ἄρτι πρὸς τὴν πολιτείαν. ἀλλ᾽ ἑαυτῷ δηλοὺς ἤδη φρονεῖν, ἡλίκον ἔδωκαν αἱ μετέπειτα πράξεις, ἠπείλησε τὸν κότταν ἀπάξειν εἰς τὸ δεσμωτήριον εἰ μὴ διαγράψειε τὸ δόγμα. τοῦ δὲ, πρὸς μέτελλον ἐπιστραφέντος καὶ γνώμην ἐρωτῶντος, μέτελλος μὲν ἀναστὰς, συνηγόρει τῷ ὑπάτῳ. μάριος δὲ τὸν ὑπηρέτην μεταπεμψάμενος ἔξωθεν, ἐκέλευσεν ἀπάγειν αὐτὸν τὸν μέτελλον εἰς τὸ δεσμωτήριον. ἐκείνου δὲ τοὺς ἄλλους ἐπικαλουμένου δημάρχους, ἐβοήθει μὲν οὐδείς. ἡ δὲ σύγκλητος εἴξασα, προήκατο τὸ δόγμα. καὶ λαμπρὸς ἐξελάσας ὁ μάριος εἰς τὸ πλῆθος, ἐπεκύρωσε τὸν νόμον. δόξας ἄκαμπτος μὲν εἶναι πρὸς φόβον. ἄτρεπτος δὲ ὑπ᾽ αἰδοῦς. δεινὸς δὲ, κατὰ τῆς βουλῆς ἀνίστασθαι χάριτι τῶν πολλῶν δημαγωγῶν. οὐ μὴν, ἀλλὰ ταύτην μὲν ταχέως μετέστησεν ἑτέρῳ πολιτεύματι τὴν δόξαν. νόμου γὰρ εἰσφερομένου περὶ σίτου

λε. καὶ δόρατι πληγεὶς διὰ τοῦ θώρακος, οὐ καιρίαν πληγὴν οὐδὲ μεγάλην, ἐπέστρεψε κατὰ τοῦ πατάξαντος, ὃς ἦν ἀργεῖος, οὐ τῶν ἐπιφανῶν, ἀλλὰ πενιχρᾶς καὶ πρεσβύτιδος υἱὸς γυναικός. αὕτη τότε θεωμένη τὴν μάχην ὥσπερ αἱ λοιπαὶ γυναῖκες ἀπὸ τοῦ τέγους, ὡς ἐπέγνω συνεστῶτα τῷ πύρρῳ τὸν υἱόν, ἐκπαθὴς γενομένη πρὸς τὸν κίνδυνον, ἄρασα κεραμίδα ταῖς χερσὶν ἀμφοτέραις ἀφῆκεν ἐπὶ τὸν πύρρον. ἐμπεσούσης δὲ τῇ κεφαλῇ κατὰ τοῦ κράνους, καὶ τῶν σφονδύλων πρὸς τὴν βάσιν τοῦ τραχήλου συντριβέντων, αἵ τε ὄψεις συνεχύθησαν αὐτοῦ. καὶ προήκαντο τὰς ἡνίας, αἱ χεῖρες. αὐτὸς δὲ κατενεχθεὶς παρὰ τὸν τοῦ λικυμνίου σηκὸν ἔπεσεν, ὑπὸ τῶν πολλῶν ἀγνοούμενος. ζώπυρος δέ τις τῶν παρ' ἀντιγόνῳ στρατευομένων, καὶ δύο ἢ τρεῖς ἕτεροι προσδραμόντες καὶ κατανοήσαντες, εἴς τινα θυρῶνα παρείλκυσαν αὐτόν, ἀρχόμενον ἐκ τῆς πληγῆς ἀναφέρεσθαι. σπασαμένου δὲ τοῦ ζωπύρου μάχαιραν ἰλλυρικήν, ὡς τὴν κεφαλὴν ἀποτεμοῦντος, ἐνέβλεψε δεινόν. ὥστε τὸν ζώπυρον περίφοβον γενόμενον. καὶ τὰ μὲν, τρέμοντα ταῖς χερσί, τὰ δὲ, ἐπιχειροῦντα, θορύβου δὲ καὶ ταραχῆς μεστὸν ὄντα, μὴ κατ' ὀρθόν, ἀλλὰ παρὰ τὸ στόμα καὶ τὸ γένειον, ἀποτέμνοντα, βραδέως καὶ μόλις ἀφαιρῆσαι τὴν κεφαλήν. ἤδη δὲ σύνδηλον ἦν τὸ γεγονὸς πλείοσι. καὶ προσδραμὼν ὁ ἀλκυονεύς, ᾔτησε τὴν κεφαλὴν ὡς καταγνωσόμενος. λαβὼν δὲ ἀφίππευσε πρὸς τὸν πατέρα. καὶ καθεζομένῳ μετὰ τῶν φίλων προσέβαλε. θεασάμενος δὲ καὶ γνοὺς ὁ ἀντίγονος, τὸν μὲν υἱὸν ἀπήλασε τῇ βακτηρίᾳ παίων, καὶ καλῶν ἐναγῆ καὶ βάρβαρον. αὐτὸς δὲ τὴν χλαμύδα προθέμενος τοῖς ὄμμασιν ἐδάκρυσεν. ἀντιγόνου τοῦ πάππου μνησθείς, καὶ δημητρίου πατρός, οἰκείων παραδειγμάτων, εἰς τύχης μεταβολήν. τὴν μὲν οὖν κεφαλὴν καὶ τὸ σῶμα τοῦ πύρρου κοσμήσας, ἔκαυσεν. ἐπεὶ δὲ ὁ ἀλκυονεὺς τῷ ἑλένῳ περιτυχὼν ταπεινῷ, καὶ χλαμύδιον λιτὸν ἀμπεχομένῳ, φιλανθρώπως ἐνέτυχε καὶ τῷ πατρὶ προσήγαγεν, ἰδὼν ὁ ἀντίγονος, βελτίονα μὲν εἶπεν ὦ παῖ ταῦτα τῶν προτέρων, ἀλλ' οὐδὲ νῦν ὀρθῶς, τῷ μὴ περιελεῖν τὴν ἐσθῆτα ταύτην, ἣ μᾶλλον ἡμᾶς καταισχύνει τοὺς κρατεῖν δοκοῦντας. ἐκ τούτου φιλοφρονησάμενος καὶ κοσμήσας τὸν ἕλενον, ἀπέστειλεν εἰς ἤπειρον. καὶ τοῖς φίλοις τοῦ πύρρου, πρᾴως ἐνετύγχανε, τοῦ στρατοπέδου καὶ τῆς δυνάμεως πάσης κύριος γενόμενος.

περὶ τὴν ναυπλίαν ἐστρατοπέδευσε. τῇ δ' ὑστεραίᾳ, κήρυκα πρὸς τὸν ἀντίγονον ἔπεμψε. λυμεῶνά τε καλῶν καὶ προκαλούμενος εἰς τὸ πεδίον καταβάντα διαγωνίσασθαι περὶ τῆς βασιλείας. ὁ δὲ, ἀπεκρίνατο τὴν μὲν αὑτοῦ στρατηγίαν οὐχ ὅπλων μᾶλλον, ἢ καιρῶν εἶναι. τῷ δὲ πύρρῳ πολλὰς ὁδοὺς ἀνεῷχθαι πρὸς θάνατον εἰ ζῆν μὴ σχολάζει. πρὸς δὲ ἀμφοτέρους, πρέσβεις ἧκον, ἐξ ἄργους ἀπαλλάττεσθαι δεόμενοι. καὶ τὴν πόλιν ἐᾶν μηδετέρου γενομένην. εὔνουν δὲ οὖσαν ἀμφοτέροις. ὁ μὲν οὖν ἀντίγονος ἐπείθετο. καὶ τὸν υἱὸν ἐδίδου τοῖς ἀργείοις ὅμηρον. ὁ δὲ πύρρος ὡμολόγει μὲν ἀπαλλαγήσεσθαι, μὴ παρέχων δὲ πίστιν, ὕποπτος ἦν. γίνεται δὲ σημεῖον αὐτῷ τε τῷ πύρρῳ μέγα. τῶν γὰρ βοῶν τεθυμένων αἱ κεφαλαὶ κείμεναι χωρὶς ἤδη, τάς τε γλώττας ὤφθησαν προβάλλουσαι καὶ περιλιχμώμεναι τὸν ἑαυτῶν φόνον, ἔν τε τῇ πόλει τῶν ἀργείων, ἡ τοῦ λυκείου προφῆτις ἀπόλλωνος, ἐξέδραμε βοῶσα νεκρῶν ὁρᾶν καὶ φόνου κατάπλεω τὴν πόλιν. τὸν δ' ἀετὸν ἐπὶ τὸν ἀγῶνα χωροῦντα. εἶτα φροῦδον εἶναι. σκότους δὲ πολλοῦ προσμίξας ὁ πύρρος τοῖς τείχεσι. καὶ πύλην εὑρὼν, ἣν διαμπερὲς καλοῦσιν, ἀνεῳγμένην ὑπὸ τοῦ ἀριστέου αὐτοῖς, ἄχρι μὲν τοῦ παρεισπεσεῖν τοὺς γαλάτας τοὺς παρ' αὐτῷ, καὶ τὴν ἀγορὰν καταλαβεῖν ἐλάνθανε. τῆς δὲ πύλης τοὺς ἐλέφαντας οὐ δεχομένης. καὶ δεῆσαν τοὺς πύργους αὐτῶν ἀφαιρούντων. εἶτα πάλιν ἐν σκότει καὶ θορύβῳ περιτιθέντων, καὶ γενομένης διατριβῆς, οἱ ἀργεῖοι συναισθόμενοι, πρὸς τὴν ἀσπίδα καὶ τοὺς ὀχυροὺς τόπους ἀνέθεον. καὶ τὸν ἀντίγονον ἐκάλουν πέμποντες. ὁ δὲ, αὐτὸς μὲν ἐγγὺς προσελάσας ἐφήδρευε. τοὺς δὲ στρατηγοὺς καὶ τὸν υἱὸν εἰσέπεμψε συχνὴν βοήθειαν ἄγοντας. ἧκε δὲ καὶ ἄρευς ἔχων χιλίους κρῆτας, καὶ σπαρτιάτας τοὺς ἐλαφροτάτους. καὶ πάντες ἅμα τοῖς γαλάταις προσβαλόντες, εἰς πολὺν θόρυβον κατέστησαν αὐτούς. ὁ δὲ πύρρος εἰσιὼν μετ' ἀλαλαγμοῦ καὶ βοῆς παρὰ τὴν κυλάραβιν, ὡς οἱ γαλάται τοῖς περὶ αὐτὸν ἀντηλάλαξαν, οὐκ ἱταμὸν οὐδὲ θαρραλέον ᾔκασε, ταραττομένων δὲ εἶναι τὴν φωνὴν καὶ πονούντων. ἐπῆγεν οὖν θᾶττον ὠθῶν τοὺς πρὸ αὐτοῦ τῶν ἱππέων δυσοδοῦντας ἐν τοῖς ὑπονόμοις, ὧν ἡ πόλις ἐστὶ μεστὴ καὶ κινδυνεύοντας. ἦν δὲ καὶ ἀσάφεια πολλὴ τῶν δρωμένων καὶ παραγγελλομένων ἐν νυκτομαχίᾳ. καὶ πλάναι καὶ διασπασμοὶ περὶ τοὺς στενωπούς. καὶ στρατηγίας οὐδὲν ἔργον ὑπὸ σκότους καὶ βοῆς ἀκρίτου καὶ στενότητος. ἀλλὰ διέτριβον ἄλλως περιμένοντες ἀμφότεροι τὴν ἡμέραν. ἤδη δὲ διαλάμποντος, ἥ τε ἀσπὶς ὅπλων περίπλεως πολεμίων ὀφθεῖσα, τὸν πύρρον διετάραξε. καὶ τῆς ἀγορᾶς ἐν πολλοῖς ἀναθήμασι, κατιδὼν λύκον χαλκοῦν καὶ ταῦρον οἷον εἰς μάχην συνιόντας ἀλλήλοις, ἐξεπλάγη. χρησμόν τινα πρὸς ἑαυτὸν ἀνενεγκὼν παλαιὸν ὡς ἀποθανεῖν αὐτῷ πεπρωμένον, ὅταν λύκον ἤδη ταύρῳ μαχόμενον. ταῦτα δὲ ἀργεῖοι πάθους ὑπόμνημα παλαιοῦ γενέσθαι παρ' αὐτοῖς λέγουσι. δαναὸν γὰρ ὅτε πρῶτον ἐπέβη τῆς χώρας κατὰ τὰ πυράμια τῆς θυρεάτιδος, εἰς ἄργος πορευόμενον, λύκον φανῆναι ταύρῳ μαχόμενον. θέμενον δὲ τὸν δαναὸν ὡς ὁ λύκος εἴη πρὸς αὐτόν. ξένον γὰρ ὄντα τοῖς ἐγχωρίοις ἐπιτίθεσθαι καθάπερ αὐτὸν, ἐφορᾶν τὴν μάχην καὶ τοῦ λύκου κρατήσαντος, ἀπόλλωνι λυκίῳ προσευξάμενον ἐπιχειρῆσαι καὶ περιγενέσθαι στάσει, γελάνορος ὃς τότε τῶν ἀργείων ἐβασίλευεν ἐκπεσόντος. τὸ μὲν οὖν ἀνάθημα τοῦτον ἔχει τὸν λόγον. πρὸς δὲ τὴν ὄψιν ὁ πύρρος ἅμα καὶ τὸ μηδὲν ὧν προχωρεῖν ἤλπιζεν ἀθυμῶν, ἀναστρέφειν διενοεῖτο. τὰς δὲ πύλας στενὰς οὔσας φοβούμενος, ἔπεμψε πρὸς τὸν υἱὸν ἕλενον, μετὰ τῆς πολλῆς δυνάμεως ἔξω καταλελειμμένον, κελεύων τοῦ τείχους διασκάπτειν καὶ δέχεσθαι τοὺς ἐκπίπτοντας, ἂν ἐνοχλῶσιν οἱ πολέμιοι. σπουδῇ δὲ καὶ θορύβῳ τοῦ πεμφθέντος οὐδὲν σαφὲς ἀπαγγέλλοντος, ἀλλὰ καὶ διαμαρτίας γενομένης, τῶν θηρίων τὰ λοιπὰ καὶ στρατιώτας ἀναλαβὼν ὁ νεανίσκος τοὺς κρατίστους, εἴσω διὰ τῆς πύλης ἐχώρει τῷ πατρὶ βοηθήσων. ἔτυχε δὲ ὁ πύρρος ἀναστρέφων ἤδη. καὶ μέχρι μὲν ἡ ἀγορὰ παρεῖχεν ὑπεξάγοντι χώραν καὶ μαχομένῳ, ἐκ μεταβολῆς ἠμύνετο τοὺς ἐπιφερομένους. ἐπεὶ δὲ τῆς ἀγορᾶς εἰς τὸν στενωπὸν ἐξωσθεὶς τὸν ἐπὶ τὴν πύλην ἀνήκοντα, συνέπιπτε τοῖς ἐπιβοηθοῦσιν ἐξ ἐναντίας προσφερομένοις, οἱ μὲν οὐκ ὑπήκουσαν ὑποχωρεῖν βοῶντος αὐτοῦ. τοὺς δὲ καὶ πάνυ προθύμους ὄντας, εἶργον οἱ κατόπιν ἀπὸ τῆς πύλης ἐπιχεόμενοι. καὶ γὰρ ὁ μέγιστος ἐλέφας ἐν τῇ πύλῃ πλάγιος παραπεσὼν καὶ βρυχώμενος, ἐμπόδιον ἔκειτο τοῖς ἀποτρεπομένοις. καὶ τῶν προεισεληλυθότων ἕτερος ὁ νίκων ὄνομα, ἀπορρυέντα τὸν ἐπιβάτην ὑπὸ τραυμάτων ζητῶν ἀναλαβεῖν, καὶ φερόμενος πρὸς τοὐναντίον, τοῖς ὑπεξάγουσιν ἀνέμιξε φίλους ὁμοῦ καὶ πολεμίους ὠθουμένους ὑπ' αὐτοῦ. καὶ περιέπιπτον ἀλλήλοις, ἕως εὑρὼν νεκρὸν ἀνείλετο τῇ προβοσκίδι, καὶ τοῖς ὀδοῦσιν ἀμφοτέροις ὑπολαβὼν, ἀνέστρεφε πάλιν ὥσπερ ἐμμανὴς ἀνατρέπων καὶ διαφθείρων τοὺς ἐντυγχάνοντας. οὕτω δὲ θλιβομένων καὶ συμπιλουμένων πρὸς ἀλλήλους, οὐδεὶς οὐδὲν ἑαυτῷ καθ' ἕνα χρῆσθαι δυνατὸς ἦν. ἀλλ' ὥσπερ ἓν σῶμα συγγεγομφωμένον ἑαυτῷ, τὸ πᾶν πλῆθος ἐλάμβανε πολλὰς ἀποκλίσεις καὶ μεταβολὰς ἐπ' ἀμφότερα. καὶ μάχαι μὲν ἦσαν ὀλίγαι πρὸς τοὺς ἐπιλαμβανομένους ἀεὶ τῶν πολεμίων ἢ προσκειμένους ὄπισθεν. πλεῖστα δὲ ἑαυτοὺς εἰργάζοντο κακά. σπασάμενος γάρ τις τὸ ξίφος ἢ κλίναντα λόγχην, οὐκ ἦν ἀναλαβεῖν οὐδὲ καταθέσθαι πάλιν, ἀλλ' ἐχώρει δι' ὧν ἔτυχε τὰ τοιαῦτα, καὶ περιπίπτοντες ἀλλήλοις, ἔθνησκον. ὁ δὲ πύρρος ἐφορῶν τὸν περιέχοντα χειμῶνα καὶ κλύδωνα, τὴν μὲν στεφάνην ᾗ διάσημον ἦν τὸ κράνος ἀφελὼν, ἔδωκέ τινι τῶν ἑταίρων. αὐτὸς δὲ τῷ ἵππῳ πεποιθὼς, εἰς τοὺς ἑπομένους τῶν πολεμίων ἐνέβα-

μόνον παῖδας ἀγαθοὺς, τὰ ἀπάρτια ποιεῖ. κατὰ δὲ τὸν πύρρον αὐτὸν ἰσχυρᾶς μάχης συνεστώσης, ἄλλοι τε λαμπρῶς ἠγωνίζοντο καὶ φύλλιος ἐπὶ πλεῖστον ἀντισχὼν, καὶ πλείστους ἀποκτείνας τῶν βιαζομένων, ὡς ᾔσθετο τραυμάτων πλήθει παραλυόμενον ἑαυτὸν, ἐκστὰς τινὶ τῶν ἐπιτεταγμένων τῆς χώρας, ἔπεσεν ἐντὸς τῶν ὅπλων, ὥστε μὴ γενέσθαι τὸν νεκρὸν ὑπὸ τοῖς πολεμίοις. νυκτὸς δὲ ἡ μάχη διεκρίθη. καὶ κοιμώμενος ὁ πύρρος, ὄψιν εἶδε τοιαύτην. ἐδόκει βάλλεσθαι κεραυνοῖς ὑπ' αὐτοῦ τὴν λακεδαίμονα καὶ φλέγεσθαι πᾶσαν. αὐτὸς δὲ χαίρειν. ὑπὸ δὲ τῆς χαρᾶς ἐξεγρόμενος, τούς τε ἡγεμόνας ἐκέλευεν ἐν παρασκευῇ τὸν στρατὸν ἔχειν, καὶ τοῖς φίλοις διηγεῖτο τὸν ὄνειρον, ὡς ληψόμενος κατὰ κράτος τὴν πόλιν. οἱ μὲν οὖν ἄλλοι, θαυμαστῶς ἐπείθοντο. λυσιμάχῳ δὲ οὐκ ἤρεσκεν ἡ ὄψις. ἀλλ' ἔφη δεδιέναι, μὴ καθάπερ τὰ βαλλόμενα τοῖς κεραυνοῖς ἀνέμβατα μένει χωρία, καὶ τῷ πύρρῳ προσημαίνει τὸ θεῖον ἀνεπίβατον ἔσεσθαι τὴν πόλιν. ὁ δὲ πύρρος εἰπὼν, ὅτι ταῦτα μὲν ἔστι πυλαικῆς ὀχλαγωγίας, καὶ ἀσάφειαν ἔχοντα πολλήν. ἐκεῖνο δὲ δεῖ τὰ ὅπλα διὰ χειρῶν ἔχοντας, ὑποβάλλειν ἑαυτοῖς. εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πύρρου, ἐξανίστη καὶ προσῆγεν ἅμ' ἡμέρᾳ τὸν στρατόν. ἠμύνοντο δὲ προθυμίᾳ καὶ ἀρετῇ παρὰ δύναμιν οἱ λακεδαιμόνιοι. καὶ παρῆσαν αἱ γυναῖκες, ὀρέγουσαι βέλη καὶ σιτία καὶ ποτὸν τοῖς δεομένοις. προσφέρουσαι καὶ ἀναλαμβάνουσαι τοὺς τιτρωσκομένους. τήν τε τάφρον οἱ μακεδόνες, χοῦν ἐπειρῶντο, πολλὴν συμφοροῦντες ὕλην, ὑφ' ἧς ὅπλα καὶ σώματα νεκρῶν ἐπιχεομένης ἀπεκρύπτετο. καὶ πρὸς τοῦτο τῶν λακεδαιμονίων βοηθούντων, ὤφθη παρὰ τὴν τάφρον καὶ τὰς ἁμάξας ὁ πύρρος, ἵππῳ βιαζόμενος εἰς τὴν πόλιν. κραυγῆς δὲ τῶν κατὰ τοῦτο τεταγμένων γενομένης, καὶ δρόμου καὶ ἀλαλαγμοῦ τῶν γυναικῶν, ἤδη διεξελαύνοντι τῷ πύρρῳ, καὶ προσκειμένῳ τοῖς κατὰ πρόσωπον, ἐξήλατο κρητικῷ βέλει πληγεὶς ὁ ἵππος ὑπὸ τὴν γαστέρα, καὶ κατέβαλε δυσθανατῶν τὸν πύρρον εἰς τόπους ὀλισθηροὺς, καὶ κατάντεις. θορυβουμένων δὲ περὶ αὐτὸν τῶν ἑταίρων, ἐπιδραμόντες οἱ σπαρτιᾶται, καὶ χρώμενοι τοῖς βέλεσιν, ἐξέωσαν ἅπαντας. ἐκ τούτου καὶ τὴν ἄλλην μάχην ἔπαυσεν, οἰόμενος ἐνδώσειν τι τοὺς λακεδαιμονίους, σχεδὸν ἁπάντων κατατετρωμένων αὐτοῖς, πεπτωκότων δὲ πολλῶν. ἡ δ' ἀγαθὴ τύχη τῆς πόλεως, εἴτε πεῖραν ἀρετῆς λαμβάνουσα τῶν ἀνδρῶν ἐφ' ἑαυτῆς, εἴθ' ὅσην ἐν ἀπόροις ἔχει δύναμιν, ἀπόδειξιν διδοῦσα, μοχθηρὰς ἤδη τῶν λακεδαιμονίων ἐχόντων τὰς ἐλπίδας, ἀμεινίαν τε φωκέα τῶν ἀντιγόνου στρατηγῶν ἐκ κορίνθου βοηθήσοντα παρεισήγαγε μετὰ ξένων. καὶ τούτων ἄρτι δεδεγμένων, ὁ βασιλεὺς αὐτοῖς ἀρεὺς, ἧκεν ἐκ κρήτης, δισχιλίους στρατιώτας κομίζων. αἵ τε δὴ γυναῖκες, εὐθὺς ἐπὶ τὰς οἰκίας ἐσκεδάσθησαν. οὐδὲν ἔτι πολυπραγμονεῖν ἀξιοῦσαι τῶν πολεμικῶν. καὶ τοὺς παρ' ἡλικίαν ἐν τοῖς ὅπλοις ὑπ' ἀνάγκης γενομένους ἀφέντες, αὖθις ἐπὶ τὴν μάχην ἐτάξαντο. τὸν δὲ πύρρον, ἔσχεν μέν τις ἀλκὴ καὶ φιλοτιμία μᾶλλον διὰ τοὺς προσγεγονότας κρατῆσαι τῆς πόλεως. ὡς δὲ οὐδὲν ἐπέραινε, πληγὰς λαβὼν ἀπέστη. καὶ τὴν χώραν ἐπόρθει. διανοούμενος αὐτόθι χειμάσαι. τὸ δὲ χρεὼν ἦν ἄφυκτον. ἐν γὰρ ἄργει στάσις ἦν ἀριστέα πρὸς ἀρίστιππον. ἐπεὶ δὲ ὁ ἀρίστιππος ἐδόκει χρῆσθαι φίλῳ τῷ ἀντιγόνῳ, φθάσας ὁ ἀρίστιος ἐκάλει τὸν πύρρον εἰς τὸ ἄργος. ὁ δὲ, ἐλπίδας ἐξ ἐλπίδων ἀεὶ κυλινδῶν, καὶ ταῖς μὲν εὐτυχίαις ἐπ' ἄλλας χρώμενος ἀφορμαῖς, ἃ δὲ ἔπταιεν, ἑτέροις βουλόμενος ἀναπληροῦν πράγμασιν, οὔτε ἧτταν, οὔτε νίκην ὅρον ἐποιεῖτο τοῦ ταράττεσθαι καὶ ταράττειν. εὐθὺς οὖν ἀνέζευγνυεν ἐπὶ τὸ ἄργος. ὁ δὲ ἀρεὺς ἐνέδρας τε πολλὰς ὑφεὶς, καὶ καταλαβὼν τὰ χαλεπώτατα τῆς ὁδοῦ, παρέκοπτε τοὺς γαλάτας καὶ τοὺς μολοσσοὺς ὀπισθοφυλακοῦντας. τῷ δὲ πύρρῳ προείρητο μὲν ἐκ τῶν ἱερῶν ἀλόβων γενομένων, ὑπὸ τοῦ μάντεως, ἀποβολὴν τινὸς τῶν ἀναγκαίων. παρὰ δὲ τὸν καιρὸν τότε τῷ θορύβῳ καὶ τῷ κινήματι τὸν λογισμὸν ἐκκρουσθεὶς, ἐκέλευσε τὸν υἱὸν πτολεμαῖον λαβόντα τοὺς ἑταίρους παραβοηθεῖν. αὐτὸς δὲ θᾶττον ἐκ τῶν στενῶν ἐφελκόμενος τὴν στρατιὰν ὑπῆγεν. ὀξείας δὲ περὶ τὸν πτολεμαῖον μάχης γενομένης, καὶ τῶν ἐπιλέκτων λακεδαιμονίων ὧν εὔαλκος ἡγεῖτο, τοῖς μαχομένοις πρὸς αὐτοὺς συμπλεκομένων, ἀνὴρ πλήκτης καὶ δραμεῖν ὀξὺς ὄρεσσος ὄνομα, κρὴς ἀπτεραῖος, ἐκ πλαγίου παραδραμὼν, ἀγωνιζόμενον ἐκθύμως τὸν νεανίσκον, ἐπάταξε καὶ κατέβαλε. πεσόντος δὲ ἐκείνου, καὶ τροπῆς γενομένης τῶν περὶ αὐτὸν, οἱ λακεδαιμόνιοι διώκοντες καὶ κρατοῦντες, ἔλαθον εἰς τὸ πεδίον, συμβαλόντες καὶ ἀποληφθέντες ὑπὸ τῶν ὁπλιτῶν. ἐφ' οὓς ὁ πύρρος, ἄρτι τὸν θάνατον τοῦ παιδὸς ἀκηκοὼς καὶ περιπαθῶν, ἐπέστρεψε τοὺς ἱππεῖς τῶν μολοσσῶν. καὶ πρῶτος εἰσελάσας, ἐνεπίμπλατο φόνου τῶν λακεδαιμονίων. ἀεὶ μέν τις ἄμαχος καὶ δεινὸς ἐν τοῖς ὅπλοις φαινόμενος. τότε δ' ὑπερβάλλων τόλμῃ καὶ βίᾳ τοὺς προτέρους ἀγῶνας, ἐπεὶ δὲ ἐπέβαλε τῷ εὐάλκῳ τὸν ἵππον, ὁ μὲν ἐκ πλαγίου παραστὰς, μικρὸν ἐδέησε τῷ ξίφει τὴν ἐπὶ τῆς ἡνίας χεῖρα διακόψαι τοῦ πύρρου. τὴν δὲ ἡνίαν πατάξας, ἀπέκοψεν. ὁ δὲ πύρρος ἅμα τῇ πληγῇ τοῦ δόρατος διελάσας ἐκεῖνον, ἀπερρύη τοῦ ἵππου. καὶ πεζὸς ἤδη πάντας ἐπὶ τῷ εὐάλκῳ μαχομένους ἀπέκτεινε τοὺς λογάδας. καὶ μέγα τοῦτο τῇ σπάρτῃ παρανάλωμα τοῦ πολέμου πέρας ἔχοντος, ἐποίησεν ἡ φιλοτιμία τῶν ἀρχόντων. ὁ δὲ πύρρος ὥσπερ ἐναγισμόν τινα τῷ παιδὶ τελέσας, καὶ λαμπρὸν ἐπιτάφιον ἀγωνισάμενος, καὶ πολὺ τῆς λύπης ἐν τῷ πρὸς τοὺς πολεμίους ἀφεὶς θυμῷ, προῆγεν ἐπὶ τὸ ἄργος, καὶ τὸν ἀντίγονον ἤδη πυνθανόμενος ἐπὶ τῶν ἄκρων ὑπὲρ τοῦ πεδίου καθῆσθαι,

[Margin notes: πτ (beside "νουσα τῶν ἀνδρῶν"); ἀριστέας π. (beside "πρὸς ἀρίστιππον"); στρατιὰν π.ς. (beside "στενῶν ἐφελκόμενος"); ἄπτερα πόλις τ κρητικσ (beside "ὀξὺς ὄρεσσος")]

βαρβάρους. ὅθεν ἤκουσε κακῶς ὑπὸ τῶν μακεδόνων. οὕτω δὲ τῶν πραγμάτων αὐτῷ βεβαιότητα καὶ σύστασιν ἐχόντων μόνιμον, ἑωρεῖτο τῇ γνώμῃ πάλιν πρὸς ἑτέρας ἐλπίδας. καὶ τὸν μὲν ἀντίγονον ἐφυβρίζων, ἀναίσχυντον ἐκάλει μὴ λαμβάνοντα θοἰμάτιον, ἀλλ' ἔτι τὴν πορφύραν φοροῦντα. κλεωνύμου δὲ τοῦ σπαρτιάτου παραγενομένου, καὶ καλοῦντος αὐτὸν ἐπὶ τὴν λακεδαίμονα, προθύμως ὑπήκουσεν. ὁ δὲ κλεώνυμος ἦν μὲν γένους βασιλικοῦ, δοκῶν δὲ βίαιος εἶναι καὶ μοναρχικὸς, οὔτ' εὔνοιαν, οὔτε πίστιν εἶχεν. ἀλλ' ἀρεὺς ἐβασίλευε. καὶ τοῦτο μὲν ἦν κοινὸν ἔγκλημα καὶ πρεσβύτερον αὐτῷ πρὸς τοὺς πολίτας. γυναῖκα δὲ καλὴν, καὶ γένους βασιλικοῦ, χελιδωνίδα τὴν λεωτυχίδου πρεσβύτερος ὢν ἔγημεν ὁ κλεώνυμος. ἡ δὲ, ἀκροτάτῳ τῷ ἀρέως ἐπιμανεῖσα, μειρακίῳ καθ' ὥραν ἀκμάζοντι, λυπηρὸν ἐποίει τῷ κλεωνύμῳ καὶ ἄδοξον ὁμοῦ παρεῖχε τὸν γάμον. οὐδένα γὰρ ἐλάνθανε σπαρτιατῶν καταφρονούμενος ὑπὸ τῆς γυναικός. οὕτω δὲ τῶν κατ' οἶκον ἀνιαρῶν, τοῖς πολιτικοῖς προσγενομένων, ὑπ' ὀργῆς καὶ βαρυθυμίας, ἐπῆγε τῇ σπάρτῃ τὸν πύρρον ἔχοντα δισμυρίους καὶ πεντακισχιλίους πεζούς. δισχιλίους δ' ἱππεῖς. ἐλέφαντας δὲ εἰκοσιτέσσαρας. ὥστε τῷ μεγέθει τῆς παρασκευῆς, εὐθὺς εἶναι κατάδηλον, οὐ κλεωνύμῳ τὴν σπάρτην, ἀλλὰ τὴν πελοπόννησον ἑαυτῷ κτώμενος. ἐπεὶ τῷ γε λόγῳ, καὶ πρὸς αὐτοὺς ἔξαρνος ἦν τοὺς λακεδαιμονίους πρεσβεύσαντας εἰς μεγάλην πόλιν. ἔφη γὰρ ἐλευθερώσων τὰς ὑπ' ἀντιγόνῳ πόλεις ἀφῖχθαι. καὶ νὴ δία τοὺς νεωτέρους παῖδας εἰς σπάρτην, εἰ μή τι κωλύει, πέμψων, ἐκτραφησομένους τοῖς λακωνικοῖς ἔθεσιν, ὡς τούτῳ πλέον ἔχοιεν ἤδη τῶν πάντων βασιλέων. ταῦτα πλαττόμενος καὶ παράγων τοὺς ἐντυγχάνοντας αὐτῷ καθ' ὁδὸν, ὡς πρῶτον ἥψατο τῆς λακωνικῆς, ἁρπαγὴν ἐποιεῖτο καὶ λεηλασίαν. ἐγκαλούντων δὲ τῶν πρέσβεων ὅτι μὴ καταγγείλας, πόλεμον ἐξενήνοχε πρὸς αὐτούς. ἀλλ' οὐδ' ὑμᾶς ἔφη τοὺς σπαρτιάτας ἴσμεν ὅτι ἂν μέλλητε ποιεῖν, ἑτέροις προλέγοντας. εἷς δὲ τῶν παρόντων ὄνομα μανδρικίδας, εἶπε τῇ φωνῇ λακωνίζων. αἰ μὲν ἐσσὶ τύ γε θεός. οὐδὲν μὴ πάθωμεν. οὐ γὰρ ἀδικεῦμεν. αἰ δ' ἄνθρωπος, ἔσται καὶ πευκαρπῶν ἄλλος. ἐκ τούτου, κατέβαινεν ἐπὶ τὴν λακεδαίμονα. καὶ τοῦ κλεωνύμου κελεύοντος, εὐθὺς ἐφόδου προσβαλεῖν, φοβηθεὶς ὁ πύρρος ὥς λέγεται μὴ διαρπάσωσιν οἱ στρατιῶται τὴν πόλιν ἐν νυκτὶ προσπεσόντες, ἐπέσχεν, εἰπὼν ὅτι ταὐτὸ ποιήσουσι μεθ' ἡμέραν. αὐτοί τε γὰρ ἦσαν ὀλίγοι καὶ ἀπαράσκευοι, διὰ τὸ αἰφνίδιον. ὁ δὲ ἀρεὺς, οὐκ ἐτύγχανε παρὼν, ἀλλ' ἐν κρήτῃ γορτυνίοις πολεμουμένοις βοηθῶν. καὶ τοῦτο δὴ μάλιστα τὴν πόλιν ἔσωσε, δι' ἐρημίαν καὶ ἀσθένειαν καταφρονηθεῖσαν. ὁ μὲν γὰρ πύρρος οὐδένα μαχεῖσθαι νομίζων, κατηυλίσατο. τοῦ δὲ κλεωνύμου τὴν οἰκίαν, οἵ τε φίλοι καὶ εἵλωτες, οὕτως ἐκόσμησαν καὶ παρεσκεύασαν, ὡς δειπνήσοντος τοῦ πύρρου παρ' αὐτῷ. γενομένης δὲ νυκτὸς οἱ λακεδαιμόνιοι πρῶτον μὲν ἐβουλεύσαντο, τὰς γυναῖκας εἰς κρήτην ἀποστέλλειν. αἱ δὲ, ἀντέστησαν. ἀρχιδαμία δὲ καὶ ξίφος ἔχουσα πρὸς τὴν γερουσίαν ἦλθεν, ἐγκαλοῦσα τοῖς ἀνδράσιν ὑπὲρ τῶν γυναικῶν, εἰ ζῆν αὐτὰς ἀξιοῦσι, τῆς σπάρτης ἀφῃρουμένης. ἔπειτα τῷ στρατοπέδῳ τῶν πολεμίων, παράλληλον ἔγνωσαν ἐμβαλόντες τάφρον, ἔνθεν καὶ ἔνθεν αὐτῆς στῆσαι τὰς ἁμάξας, μέχρι τὸ μέσον τῶν τροχῶν καταχώσαντες, ὅπως ἑδραῖαι ἔχουσαι δυσεκβίαστον, ἐμποδὼν ὦσι τοῖς θηρίοις. ἀρχομένοις δὲ ταῦτα πράττειν, ἧκον αὐτοῖς τῶν παρθένων καὶ γυναικῶν, αἱ μὲν ἱματίοις καταζωσάμεναι τοὺς χιτωνίσκους. αἱ δὲ, μονοχίτωνες συνεργασόμεναι τοῖς πρεσβυτέροις. τοὺς δὲ μάχεσθαι μέλλοντας, ἐκέλευον ἡσυχάζειν. καὶ λαβοῦσαι μέτρον αὐταὶ καθ' αὑτὰς ἐξειργάσαντο τῆς τάφρου τὸ τρίτον μέρος. ἦν δὲ τὸ μὲν πλάτος αὐτῆς, πήχεων ἕξ. τὸ δὲ βάθος, τεττάρων. τὸ δὲ μῆκος, ὀκτάπλεθρον ὡς ἱστορεῖ φύλαρχος, ὡς δ' ἱερώνυμος, ἔλαττον. ἅμα δ' ἡμέρᾳ κινουμένων τῶν πολεμίων, τὰ ὅπλα τοῖς νέοις ὀρέγουσαι, καὶ παραδιδοῦσαι τὴν τάφρον, ἀμύνειν καὶ φυλάττειν ἐκέλευον. ὡς ἡδὺ μὲν νικᾶν ἐν ὀφθαλμοῖς τῆς πατρίδος. εὐκλεὲς δὲ θνήσκειν ἐν χερσὶ μητέρων καὶ γυναικῶν, ἀξίως τῆς σπάρτης πεσόντας. ἡ δὲ χελιδωνὶς ἐκποδὼν οὖσα, καθ' ἑαυτὴν βρόχον εἶχεν ἐνημμένον, ὅπως ἐπὶ τῷ κλεωνύμῳ μὴ γένοιτο, τῆς πόλεως ἁλούσης. αὐτὸς μὲν οὖν ὁ πύρρος ἐβιάζετο κατὰ στόμα τοῖς ὁπλίταις, πρὸς ἀσπίδας πολλὰς τῶν σπαρτιατῶν αὐτῇ παρατεταγμένας. καὶ τάφρον οὐ περατὴν, οὐδὲ βάσιν ἀσφαλῆ τοῖς μαχομένοις παρέχουσαν ὑπὸ χαυνότητος. ὁ δὲ παῖς πτολεμαῖος, ἔχων δισχιλίους γαλάτας, καὶ χαόνων λογάδας, ἐξελίξας τὴν τάφρον, ἐπειρᾶτο κατὰ τὰς ἁμάξας ὑπερβαίνειν. αἱ δὲ, ὑπὸ βάθους καὶ πυκνότητος, οὐ μόνον τούτοις τὴν ἔφοδον, ἀλλὰ καὶ τοῖς λακεδαιμονίοις δύσεργον ἐποίουν τὴν βοήθειαν. ἀνασπώντων δὲ τῶν γαλατῶν τοὺς τροχοὺς, καὶ ὑποσυρόντων τὰς ἁμάξας εἰς τὸν ποταμὸν, κατιδὼν τὸν κίνδυνον ὁ νεανίας ἀκρότατος, καὶ τήν τε πόλιν διαδραμὼν μετὰ τριακοσίων, περιῆλθε τὸν πτολεμαῖον οὐ συνορώμενος ὑπ' αὐτοῦ διά τινας συγκλινίας, ἕως προσέβαλε τοῖς ἐσχάτοις. καὶ μεταβαλόντας ἠνάγκασε μάχεσθαι πρὸς ἑαυτὸν, ὠθουμένους ὑπ' ἀλλήλων, εἴς τε τὴν τάφρον καὶ ὑπὸ τὰς ἁμάξας πίπτοντας. ἄχρι δὲ φόνῳ πολλῷ μόλις ἀνεκόπησαν. ἐθεῶντο δὲ οἵ τε πρεσβύτεροι, καὶ τῶν γυναικῶν τὸ πλῆθος ἀριστεύοντα τὸν ἀκρότατον. ἐπεὶ δὲ ἀπῄει πάλιν διὰ τῆς πόλεως ἐπὶ τὴν αὑτοῦ τάξιν αἵματος κατάπλεως, καὶ γαῦρος ὑπὸ τῆς νίκης ἐπηρμένος, καὶ μείζων ἔδοξε γεγονέναι καὶ καλλίων ταῖς λακαίναις. καὶ τὴν χελιδωνίδα τοῦ ἔρωτος ἐζήλουν. τῶν δὲ πρεσβυτέρων τινὲς, ἐπηκολούθουν βοῶντες. ὤχευ ἀκρότατε. καὶ οἶφε τὰν χελιδωνίδα.

ὑπὸ . Η. — *λεω. ς. π.* — *χιλωνίδα. π. ς. Η.* — *μανδροκλείδας. ς. π.* — *ἔσσεται ς. τεῦ. ς.* — *leg. ἔσσεται καὶ σεῦ κάρρων* — *ἀπολλυμένης* — *χιλωνὶς π.* — *ἀντιπαρατεταγμ. π.* — *περὶ τὰς ἁμάξας π. ς. Η.* — *χιλωνίδα* — *χιλωνίδα*

τῷ, τε σώματι μέγας, καὶ τοῖς ὅπλοις λαμπρὸς, ἐχρῆτο τῇ φωνῇ θρασυτέρᾳ, καὶ προελθεῖν ἐκέλευεν αὐτὸν, εἰ ζῇ. παροξυνθεὶς δ' ὁ πύῤῥος, ἐπέστρεψε βίᾳ μετὰ τῶν ὑπασπιστῶν, καὶ μετ' ὀργῆς αἵματι πεφυρμένος, καὶ δεινὸς ὀφθῆναι τὸ πρόσωπον, ὠσάμενος δι' αὐτῶν καὶ φθάσας τὸν βάρβαρον ἔπληξε κατὰ τῆς κεφαλῆς τῷ ξίφει, πληγὴν, ῥώμῃ τε τῆς χειρὸς ἅμα καὶ βαφῆς ἀρετῇ τοῦ σιδήρου, μέχρι τῶν κάτω διαδραμοῦσαν. ὥστε ἐν χρόνῳ περιπεσεῖν ἑκατέρωσε τὰ μέρη τοῦ σώματος διχοτομηθέντος. τοῦτο τοὺς βαρβάρους ἐπέσχε τοῦ πρόσω χωρεῖν, ὥς τινα τῶν κρειττόνων θαυμάσαντας καὶ καταπλαγέντας τὸν πύῤῥον. ὁ δὲ, τὴν ἄλλην ὁδὸν ἀδεῶς διεξελθὼν, ἧκεν εἰς τάραντα, δισμυρίους πεζοὺς, καὶ τρισχιλίους ἱππεῖς κομίζων. ἀναλαβὼν δὲ τῶν ταραντίνων τοὺς κρατίστους, εὐθὺς ἐπὶ ῥωμαίους ἦγεν ἐν τῇ σαυνίτιδι στρατοπεδεύοντας. τῶν δὲ σαυνιτῶν, τά τε πράγματα διέφθαρτο, καὶ τοῦ φρονήματος ὑφεῖντο, κεκρατημένοι μάχαις πολλαῖς ὑπὸ τῶν ῥωμαίων. ἐνῆν δέ τι καὶ πρὸς τὸν πύῤῥον ὀργῆς, διὰ τὸν εἰς σικελίαν πλοῦν. ὅθεν οὐ πολλοὶ τούτων αὐτῷ συνῆλθον. πάντας δὲ νείμας δίχα, τοὺς μὲν, εἰς τὴν λευκανίαν ἔπεμψεν ἀντιληψομένους, τοῦ ἑτέρου τῶν ὑπάτων, ὡς μὴ βοηθοίη. τοὺς δὲ, ἦγεν αὐτὸς ἐπὶ μάνιον κούριον πόλιν βενεουέντον ἱδρυμένον ἐν ἀσφαλεῖ, καὶ περιμένοντα τὴν ἐκ τῆς λευκανίας βοήθειαν. ἔστι δ' ὅτε καὶ μάντεων αὐτὸν οἰωνοῖς καὶ ἱεροῖς ἀποτρεπόντων, ἡσύχαζε. σπεύδων οὖν ὁ πύῤῥος ἐπιθέσθαι τούτοις πρὶν ἐκείνους ἐπελθεῖν, ἄνδρας τε τοὺς κρατίστους, καὶ τῶν θηρίων τὰ μαχιμώτατα λαβὼν, νυκτὸς ὥρμησεν ἐπὶ τὸ στρατόπεδον. περιϊόντι δὲ αὐτῷ μακρὰν καὶ δασεῖαν ὕλαις ὁδὸν, οὐκ ἀντέσχε τὰ φῶτα, καὶ πλάναι τοῖς στρατιώταις συνέτυχον. καὶ περὶ ταῦτα γενομένης διατριβῆς, ἥ τε νὺξ ἐπέλιπε, καὶ καταφανὴς ἦν ἅμ' ἡμέρᾳ τοῖς πολεμίοις ἐπερχόμενος ἀπὸ τῶν ἄκρων. ὥστε θόρυβον πολὺν καὶ κίνησιν παρασχεῖν. οὐ μὴν ἀλλὰ τῶν ἱερῶν τῷ μανίῳ γενομένων καὶ τοῦ καιροῦ βοηθεῖν ἀναγκάζοντος, ἐξελθὼν, ἐνέβαλε τοῖς πρώτοις, καὶ τρεψάμενος, ἐφόβησε πάντας. ὥστε καὶ πεσεῖν οὐκ ὀλίγους καὶ τῶν ἐλεφάντων τινὰς ἁλῶναι καταληφθέντας. αὕτη τὸν μάνιον ἡ νίκη, κατήγαγε μαχούμενον εἰς τὸ πεδίον. καὶ συμβαλὼν ἐκ προδήλου, τὸ μὲν, ἐτρέψατο τῶν πολεμίων. ἔστι δ' ᾗ βιασθεὶς ὑπὸ τῶν θηρίων καὶ συσταλεὶς πρὸς τὸ στρατόπεδον, τοὺς φύλακας ἐκάλει πολλοὺς ἐφεστῶτας τῷ χάρακι μετὰ τῶν ὅπλων καὶ ἀκμῆτας. οἱ δὲ, ἐπιφανέντες ἐκ τόπων ὀχυρῶν καὶ τὰ θηρία βάλλοντες, ἠνάγκασαν ἀποστρέφεσθαι. καὶ φυγῇ χωροῦντα διὰ τῶν συμμάχων ὀπίσω, ταραχὴν ἀπεργάσασθαι καὶ σύγχυσιν. ἣ τὸ νίκημα παρέδωκε τοῖς ῥωμαίοις. ἅμα δὲ καὶ τὸ κράτος τῆς ἡγεμονίας. καὶ γὰρ φρόνημα καὶ δύναμιν καὶ δόξαν, ὡς ἄμαχοι προσλαβόντες ἐκ τῆς ἀρετῆς ἐκείνης καὶ τῶν ἀγώνων, ἰταλίαν μὲν εὐθὺς, ὀλίγῳ δὲ ὕστερον σικελίαν κατέσχον. οὕτω μὲν ἐξέπεσε τῶν ἰταλικῶν καὶ σικελικῶν ἐλπίδων ὁ πύῤῥος, ἑξαετῆ χρόνον ἀναλώσας περὶ τοὺς ἐκεῖ πολέμους καὶ τοῖς πράγμασιν ἐλαττωθεὶς. τὸ δὲ ἀνδρεῖον, ἀήττητον ἐν ταῖς ἥτταις διαφυλάξας. καὶ νομισθεὶς, ἐμπειρίᾳ μὲν πολεμικῇ καὶ χειρὶ καὶ τόλμῃ πολὺ πρῶτος εἶναι τῶν καθ' αὐτὸν βασιλέων. ἃ δὲ ταῖς πράξεσιν ἐκτᾶτο, ταῖς ἐλπίσιν ἀπολλύναι, δι' ἔρωτα τῶν ἀπόντων, οὐδὲν εἰς ὃ δεῖ θέσθαι τῶν ὑπαρχόντων, σώσας. ὅθεν ἀπείκαζεν αὐτὸν ὁ ἀντίγονος κυβευτῇ πολλὰ βάλλοντι καὶ καλὰ, χρῆσθαι δὲ οὐκ ἐπισταμένῳ τοῖς πεσοῦσι. κομίσας δὲ εἰς ἤπειρον ὀκτακισχιλίους πεζοὺς, καὶ πεντακοσίους ἱππεῖς, χρήματα δὲ οὐκ ἔχων, ἐζήτει πόλεμον ᾧ θρέψει τὸ στράτευμα, καί τινων γαλατῶν αὐτῷ προσγενομένων, ἐνέβαλεν εἰς μακεδονίαν, ἀντιγόνου τοῦ δημητρίου βασιλεύοντος, ὡς ἁρπαγῇ καὶ λεηλασίᾳ χρησόμενος, ἐπεὶ δὲ καὶ πόλεις ἐλάμβανε συχνὰς, καὶ στρατιῶται δισχίλιοι μετέστησαν ὡς αὐτὸν, ἐλπίσας τι πλέον, ὥρμησεν ἐπὶ τὸν ἀντίγονον. καὶ περὶ τὰ στενὰ προσπεσὼν, συνετάραξε τὴν στρατείαν ἅπασαν. οἱ δὲ ἐπὶ τῆς οὐραγίας τεταγμένοι γαλάται τοῦ ἀντιγόνου, συχνοὶ τὸ πλῆθος ὄντες, ὑπέστησαν εὐρώστως. καὶ καρτερᾶς μάχης γενομένης, τούτων μὲν οἱ πλεῖστοι κατεκόπησαν. οἱ δὲ τῶν ἐλεφάντων ἡγεμόνες ἐγκαταλαμβανόμενοι, παρέδωκαν ἑαυτοὺς καὶ τὰ θηρία πάντα. προσλαβὼν δὲ ὁ πύῤῥος τηλικαῦτα. καὶ τῇ τύχῃ μᾶλλον ἢ τοῖς λογισμοῖς χρώμενος, ἐπῆγε τῇ φάλαγγι τῶν μακεδόνων ἀναπεπλησμένῃ ταραχῆς καὶ φόβου διὰ τὴν ἧτταν. ὅθεν ἐμβολῆς μὲν ἤρχοντο καὶ μάχης πρὸς αὐτὸν, τὴν δὲ δεξιὰν προτείνων, καὶ στρατηγοὺς καὶ ταξιάρχους ἀνακαλούμενος ἅπαντας ὁμαλῶς, ἀπέστησε τοὺς πεζοὺς τοῦ ἀντιγόνου. κἀκεῖνος μὲν ὑποφεύγων, ἅμα τῶν παραλίων τινὰς πόλεων κατεῖχεν. ὁ δὲ πύῤῥος εὐτυχήμασι τοσούτοις μέγιστον αὐτῷ πρὸς δόξαν οἰόμενος διαπεπρᾶχθαι τὸ περὶ τοὺς γαλάτας, τὰ κάλλιστα καὶ λαμπρότατα τῶν λαφύρων, ἀνέθηκεν εἰς τὸ ἱερὸν τῆς ἰτωνίδος ἀθηνᾶς. τόδε τὸ ἐλεγεῖον ἐπιγράψας.

» Τοὺς θυρεοὺς ὁ μολοσσὸς ἰτωνίδι δῶρον ἀθάνᾳ, Πύῤῥος ἀπὸ θρασέων ἐκρέμασεν γαλατᾶν,
» Πάντα τὸν ἀντιγόνου καθελὼν στρατὸν οὐ μέγα θαῦμα, αἰχμηταὶ καὶ νῦν καὶ πάρος αἰακίδαι.

μετὰ τὴν μάχην δὲ εὐθὺς, ἀνελάμβανε τὰς πόλεις. τῶν δὲ αἰγαίων κρατήσας, τά τε ἄλλα χαλεπῶς ἐχρήσατο τοῖς ἀνθρώποις, καὶ φρουρὰν γαλατικὴν ἐν τῇ πόλει κατέλιπε, τῶν μετ' αὐτοῦ στρατευομένων, οἱ δὲ γαλάται γένος ἀπληστότατον χρημάτων ὄντες, ἐπέθεντο τῶν βασιλέων αὐτόθι κεκηδευμένων, τοὺς τάφους ὀρύττειν. καὶ τὰ μὲν χρήματα διήρπασαν. τὰ δὲ ὀστᾶ, πρὸς ὕβριν διέῤῥιψαν. τοῦτο κούφως ἔδοξε καὶ ὀλιγώρως ἐνεγκεῖν ὁ πύῤῥος. ἢ δι' ἀσχολίας τινὰς ὑπερθέμενος. ἢ παρεὶς ὅλως διὰ φόβον, τὸ κολάσαι τοὺς βαρβάρους.

βαλεῖν, καὶ τῶν τυράννων ἀπαλλάξαι τὴν νῆσον. ἐκ δὲ τῆς Ἑλλάδος ἀγγέλλοντες, ὡς Πτολεμαῖος ὁ Κεραυνὸς ἀπώλετο συμπεσὼν Γαλάταις μετὰ τῆς δυνάμεως. καὶ νῦν ἂν ἐν καιρῷ μάλιστα δεομένοις βασιλέως Μακεδόσι παραγένοιτο. πολλὰ δὴ τὴν τύχην μεμψάμενος, ὅτι πράξεων μεγάλων ὑποθέσεις εἰς ἕνα καιρὸν αὐτῷ συνήνεγκε. καὶ νομίζων ὡς ἀμφοτέρων ὑπαρχόντων ἀπολλύναι θατέραν, διηνέχθη τοῖς λογισμοῖς πολὺν χρόνον. εἶτα τοῖς Σικελικοῖς μειζόνων ὑποκεῖσθαι πραγμάτων δοκούντων, Λιβύης ἐγγὺς εἶναι δοκούσης, ἐπὶ ταῦτα τρεψάμενος, Κινέαν μὲν εὐθὺς ἐξέπεμψε, προδιαλεξόμενον ὥσπερ εἰώθει ταῖς πόλεσιν. αὐτὸς δὲ τοῖς Ταραντίνοις δυσχεραίνουσιν ἐμβαλὼν φρουράν, καὶ ἀξιοῦσιν ἢ παρέχειν ἐφ' οἷς ἧκε συμπολεμοῦντα Ῥωμαίοις, ἢ τὴν χώραν προέμενον, αὐτῶν ἀπολιπεῖν τὴν πόλιν οἵαν παρέλαβε, μηδὲν ἐπιεικὲς ἀποκρινάμενος, ἀλλὰ προστάξας ἡσυχίαν ἄγειν, καὶ περιμένειν τὸν ἑαυτοῦ καιρόν, ἐξέπλευσεν. ἁψαμένῳ δὲ αὐτῷ Σικελίας, ἃ μὲν ἤλπισεν, εὐθὺς ἀπήντα βέβαια. καὶ παρεῖχον αἱ πόλεις ἑαυτὰς προθύμως. τῶν δὲ ἀγῶνος καὶ βίας δεηθέντων, οὐδὲν ἀντεῖχε τὸ πρῶτον. ἀλλὰ τρισμυρίοις πεζοῖς καὶ δισχιλίοις πεντακοσίοις ἱππεῦσι καὶ διακοσίαις ναυσὶν ἐπιών, τούς τε Φοίνικας ἐξήρει καὶ κατεστρέφετο τὴν ἐπικράτειαν αὐτῶν. τοῦ δὲ Ἔρυκος ἐχυρωτάτου τῶν χωρίων ὄντος, καὶ πολλοὺς ἀμυνομένους ἔχοντος, ἔγνω βιάζεσθαι πρὸς τὰ τείχη. καὶ τῆς στρατιᾶς γενομένης ἑτοίμης, ἐνδυσάμενος τὴν πανοπλίαν, καὶ προσελθὼν, ηὔξατο τῷ Ἡρακλεῖ ποιήσειν ἀγῶνα καὶ θυσίαν ἀριστεῖον, ἂν τοῦ γένους καὶ τῶν ὑπαρχόντων ἄξιον ἀγωνιστὴν ἑαυτὸν ἀποδείξῃ τοῖς Σικελίαν οἰκοῦσιν Ἕλλησι. τῇ δὲ σάλπιγγι σημήνας, καὶ τοῖς βέλεσι τοὺς βαρβάρους ἀνασκεδάσας, καὶ τὰς κλίμακας προσαγαγών, πρῶτος ἐπέβη τοῦ τείχους. ἀντιστάντων δὲ πολλῶν, ἀμυνόμενος, τοὺς μὲν ἐξέωσε τοῦ τείχους ἐπ' ἀμφότερα καὶ κατέβαλε. πλείστους δὲ περὶ αὐτὸν τῷ ξίφει χρώμενος, ἐπισώρευσε νεκρούς. ἔπαθε δὲ αὐτὸς οὐδέν, ἀλλὰ καὶ προσιδεῖν δεινὸς ἐφάνη τοῖς πολεμίοις. καὶ τὸν Ὅμηρον ἔδειξεν, ὀρθῶς καὶ μετὰ ἐμπειρίας ἀποφαίνοντα, τῶν ἀρετῶν μόνην τὴν ἀνδρείαν, φορὰς πολλάκις ἐνθουσιώδεις καὶ μανικὰς φερομένην. ἁλούσης δὲ τῆς πόλεως, ἔθυσέ τε τῷ θεῷ μεγαλοπρεπῶς, καὶ θέας ἀγώνων παντοδαπῶν παρέσχε. τῶν δὲ περὶ Μεσσήνην βαρβάρων, Μαμερτίνων δὲ καλουμένων, πολλὰ τοῖς Ἕλλησιν ἐνοχλούντων. ἐνίους δὲ καὶ φόροις πεποιημένων ὑποτελεῖς. πολλῶν δὲ καὶ μαχίμων ὄντων, δι' ὃ καὶ προσηγορεύθησαν Ἄρειοι γλώσσῃ τῇ Λατίνων, τοὺς μὲν φορολόγους συλλαβὼν, ἀπέκτεινεν, αὐτοὺς δὲ νικήσας μάχῃ, πολλὰ τῶν φρουρίων ἐξέκοψε. Καρχηδονίοις δὲ συμβατικῶς ἔχουσι καὶ χρήματα βουλομένοις τελεῖν, εἰ γένοιτο φιλία, καὶ ναῦς ἀποστέλλειν, ἀπεκρίνατο, πλειόνων ἐφιέμενος, μίαν εἶναι διάλυσιν καὶ φιλίαν πρὸς αὐτούς, εἰ πᾶσαν ἐκλιπόντες Σικελίαν, ὅρῳ χρῶντο τῇ Λιβυκῇ θαλάσσῃ πρὸς τοὺς Ἕλληνας. εὐτυχίᾳ δὲ καὶ ῥώμῃ τῶν παρόντων ἐπαιρόμενος, καὶ διώκων τὰς ἐλπίδας ἐφ' αἷς ἀπ' ἀρχῆς ἔπλευσε, πρώτης δὲ Λιβύης ἐφιέμενος. καὶ ναῦς ἔχων πολλὰς, ἀνδρῶν πληρωμάτων. ἐπεὶ δὲ εἰσήγειρεν ἐρέτας, οὐκ ἐπιεικῶς ἐντυγχάνων οὐδὲ πράως ταῖς πόλεσιν, ἀλλὰ δεσποτικῶς καὶ πρὸς ὀργὴν βιαζόμενος καὶ κολάζων, οὐκ εὐθὺς ὤν, οὐδὲ ἐν ἀρχῇ τοιοῦτος, ἀλλὰ καὶ μᾶλλον ἑτέρων τῷ πρὸς χάριν ὁμιλεῖν καὶ πάντα πιστεύειν, καὶ μηδὲν ἐνοχλεῖν ὑπαγόμενος. εἶτα γινόμενος ἐκ δημαγωγοῦ τύραννος, ἀχαριστίας τῇ χαλεπότητι καὶ ἀπιστίας προσωφλίσκανε δόξαν. οὐ μὴν ἀλλὰ ταῦτα μὲν ὡς ἀναγκαῖα συνεχώρουν, καίπερ δυσφοροῦντες. ἐπεὶ δὲ Θοίνωνα καὶ Σώστρατον, ἄνδρας ἡγεμονικοὺς ἐν Συρακούσαις, οἳ πρῶτοι μὲν αὐτὸν ἐλθεῖν ἔπεισαν εἰς Σικελίαν, ἐλθόντι δὲ τὴν πόλιν εὐθὺς ἐνεχείρισαν, καὶ τὰ πλεῖστα συγκατειργάσαντο τῶν Σικελικῶν, μήτε ἄγειν σὺν αὐτῷ, μήτε ἀπολιπεῖν βουλόμενος, ἐν ὑποψίαις εἶχε. καὶ Σώστρατος μὲν, ἀπέστη φοβηθείς. Θοίνωνα δὲ τὰ αὐτὰ φρονεῖν αἰτιασάμενος, ἀπέκτεινεν, οὐ κατὰ μικρὸν οὐδὲ καθ' ἓν αὐτῷ μεθίστατο τῶν πραγμάτων. ἀλλὰ δεινοῦ τινος μίσους ἐγγενομένου ταῖς πόλεσι πρὸς αὐτόν, αἱ μὲν προσετίθεντο Καρχηδονίοις, αἱ δὲ, ἐπήγοντο Μαμερτίνους. ἀποστάσεις δὲ ὁρῶν ἅπαντα καὶ νεωτερισμοὺς καὶ σύστασιν ἰσχυρὰν ἐπ' αὐτόν, ἐδέξατο γράμματα Σαυνιτῶν καὶ Ταραντίνων, μόλις ἀντεχόντων ταῖς πόλεσιν αὐταῖς πρὸς τὸν πόλεμον. εἰργομένων δὲ τῆς χώρας ἁπάσης καὶ δεομένων βοηθεῖν, ἔσχε δὲ τὴν εὐπρέπειαν, μὴ φυγὴν εἶναι μηδὲ ἀπόγνωσιν τὸν ἀπόπλουν τῶν αὐτόθι πραγμάτων. τὸ δὲ ἀληθὲς οὐ δυνάμενος κρατεῖν Σικελίας, ὥσπερ νεὼς ταραχθείσης, ἀλλ' ἔκβασιν ζητῶν, αὖθις ἔρριψεν ἑαυτὸν εἰς Ἰταλίαν. λέγεται δὲ ἀπαλλαττόμενος ἤδη πρὸς τὴν νῆσον ἀπιδὼν, εἰπεῖν τοῖς περὶ αὐτόν, οἵαν ἀπολείπομεν ὦ φίλοι Καρχηδονίοις καὶ Ῥωμαίοις παλαίστραν. καὶ τοῦτο μὲν ὥσπερ εἰκάσθη μετ' οὐ πολὺν χρόνον ἐγένετο. τῶν δὲ βαρβάρων συστάντων ἐπ' αὐτὸν ἀποπλέοντα, Καρχηδονίοις μὲν ἐν τῷ πορθμῷ ναυμαχήσας, ἀπέβαλε τῶν νεῶν πολλάς. ταῖς δ' ἄλλαις κατέφυγε πρὸς τὴν Ἰταλίαν. Μαμερτῖνοι δὲ μυρίων οὐκ ἐλάττους προδιαβάντες, ἀντιτάξασθαι μὲν ἐφοβήθησαν. ἐν δὲ ταῖς δυσχωρίαις ἐπιτιθέμενοι καὶ προσπίπτοντες, ἅπαν τὸ στράτευμα συνετάραξαν. ἔπεσε δὲ, δύο θηρία καὶ συχνοὶ τῶν ὀπισθοφυλακούντων, ἀπέθνησκον. αὐτὸς οὖν ἀπὸ τοῦ στόματος παρελάσας, ἠμύνετο, καὶ διεκινδύνευε πρὸς ἄνδρας ἠσκημένους μάχεσθαι καὶ θυμοειδεῖς. πληγεὶς δὲ τὴν κεφαλὴν ξίφει καὶ μικρὸν ἐκ τῶν μαχομένων ἀποστὰς, ἔτι μᾶλλον ἐπῆρε τοὺς πολεμίους. εἷς δὲ καὶ πολὺ πρὸ τῶν ἄλλων ἐπιδραμών, ἀνὴρ

ζοντες. ἔτι δὲ αὐτοῦ λέγοντος, ἀνακραγὼν ὁ φαβρίκιος, ὦ ἡράκλεις εἶπε, πύρρῳ τὰ δόγματα μέλλοι ταῦτα καὶ σαυνίταις ἕως πολεμοῦσι πρὸς ἡμᾶς. οὕτω δὴ θαυμάσας τὸ φρόνημα τοῦ ἀνδρὸς καὶ τὸ ἦθος ὁ πύρρος, ἔτι μᾶλλον ὠρέγετο φιλίαν ἀντὶ πολέμου πρὸς τὴν πόλιν αὐτῷ γενέσθαι. κἀκεῖνον ἰδίᾳ παρεκάλει ποιησάμενον τὰς διαλύσεις, ἕπεσθαι καὶ συζῆν μετ' αὐτοῦ, πρῶτον ὄντα πάντων τῶν ἑταίρων καὶ τῶν στρατηγῶν. ὁ δὲ ἡσυχῆ λέγεται πρὸς αὐτὸν εἰπεῖν. ἀλλ' οὐδὲ σοὶ τοῦτο, βασιλεῦ λυσιτελές ἐστιν. αὐτοὶ γὰρ οἱ νῦν σε τιμῶντες καὶ θαυμάζοντες, ἂν ἐμοῦ πεῖραν λάβωσιν, ὑπ' ἐμοῦ μᾶλλον ἐθελήσουσιν, ἢ σοῦ βασιλεύεσθαι. τοιοῦτος μὲν ὁ φαβρίκιος. ὁ δὲ πύρρος, οὐ πρὸς ὀργὴν οὐδὲ τυραννικῶς ἐδέξατο τὸν λόγον, ἀλλὰ καὶ τοῖς φίλοις ἀπήγγελλε τοῦ φαβρικίου τὴν μεγαλοφροσύνην. καὶ τοὺς αἰχμαλώτους ἐκείνῳ μόνῳ διεπίστευσεν, ὅπως εἰ μὴ ψηφίσαιτο τὴν εἰρήνην ἡ σύγκλητος, ἀσπασάμενοι τοὺς προσήκοντας, καὶ τὰ κρόνια διεορτάσαντες, ἀποπεμφθεῖεν πάλιν πρὸς αὐτόν. καὶ ἀπεπέμφθησαν μετὰ τὴν ἑορτήν, τῷ ἀπολειφθέντι τῆς βουλῆς ζημίαν θάνατον ψηφισαμένης. μετὰ ταῦτα τοῦ φαβρικίου τὴν ἀρχὴν παραλαβόντος, ἧκεν ἀνὴρ εἰς τὸ στρατόπεδον πρὸς αὐτὸν, ἐπιστολὴν κομίζων, ἣν ἔγραψεν ὁ τοῦ βασιλέως ἰατρὸς ἐπαγγελλόμενος φαρμάκοις ἀναιρήσειν τὸν πύρρον, εἰ χάρις αὐτῷ παρ' ἐκείνων ὁμολογηθείη, λύσαντι τὸν πόλεμον ἀκινδύνως. ὁ δὲ φαβρίκιος δυσχεράνας πρὸς τὴν ἀδικίαν τοῦ ἀνθρώπου, καὶ τὸν συνάρχοντα διαθεὶς ὁμοίως, ἔπεμψε γράμματα πρὸς τὸν πύρρον κατὰ τάχος, φυλάττεσθαι τὴν ἐπιβουλὴν κελεύων. εἶχε δὲ οὕτως τὰ γεγραμμένα. γάϊος φαβρίκιος καὶ κόϊντος αἰμύλιος ὕπατοι ῥωμαίων, πύρρῳ βασιλεῖ χαίρειν. οὔτε φίλων εὐτυχεῖς ἔοικας εἶναι κριτής, οὔτε πολεμίων. γνώσῃ δὲ τὴν πεμφθεῖσαν ἡμῖν ἐπιστολὴν ἀναγνούς, ὅτι χρηστοῖς καὶ δικαίοις ἀνδράσι πολεμεῖς, ἀδίκοις δὲ καὶ κακοῖς πιστεύεις. οὐδὲ γὰρ ταῦτα σοὶ χάριτι μηνύομεν, ἀλλ' ὅπως μὴ τὸ σὸν πάθος ἡμῖν διαβολὴν ἐνέγκῃ, καὶ δόλῳ δόξωμεν, ὡς ἀρετῇ μὴ δυνάμενοι, κατεργάσασθαι τὸν πόλεμον. ἐντυχὼν τούτοις τοῖς γράμμασιν ὁ πύρρος, καὶ τὴν ἐπιβουλὴν ἐξελέγξας, τὸν μὲν ἰατρὸν ἐκόλασε. φαβρικίῳ δὲ καὶ ῥωμαίοις ἀμοιβὴν ἐδωρεῖτο προῖκα τοὺς αἰχμαλώτους. καὶ πάλιν ἔπεμψε τὸν κινέαν διαπραξόμενον αὐτῷ τὴν εἰρήνην. οἱ δὲ ῥωμαῖοι μήτε ἐκ χάριτος εἶναι παρὰ πολεμίου, μήτε μισθὸς τοῦ μὴ ἀδικηθῆναι, λαβεῖν προῖκα τοὺς ἄνδρας ἀξιώσαντες, ἴσους ἀπέλυσαν αὐτῷ ταραντίνων καὶ σαυνιτῶν. περὶ δὲ φιλίας καὶ εἰρήνης, οὐδὲν εἴων διαλέγεσθαι, πρὶν ἀράμενος τὰ ὅπλα καὶ τὸν στρατὸν ἐξ ἰταλίας, αἷς ἦλθε ναυσὶν, ἀποπλεύσει πάλιν εἰς ἤπειρον. ἐκ τούτου, μάχης ἄλλης τῶν πραγμάτων αὐτῷ δεομένων, ἀναλαβὼν τὴν στρατιὰν ἐχώρει. καὶ περὶ ἄσκλον πόλιν τοῖς ῥωμαίοις συνάψας, καὶ βιαζόμενος πρὸς χωρία δύσιππα καὶ ποταμὸν ὑλώδη καὶ βραχὺν, ἐφόδων τῶν θηρίων οὐ λαβόντων ὥστε προσμῖξαι τῇ φάλαγγι, τραυμάτων πολλῶν γινομένων καὶ νεκρῶν πεσόντων, τότε μὲν διεκρίθη μέχρι νυκτὸς ἀγωνισάμενος. τῇ δ' ὑστεραίᾳ στρατηγῶν ἐν ὁμαλοῦ τὴν μάχην θέσθαι, καὶ τοὺς ἐλέφαντας ἐν τοῖς ὅπλοις γενέσθαι τῶν πολεμίων, προκατέλαβε τὰς δυσχωρίας φυλακῇ. καὶ πολλὰ καταμίξας ἀκοντίσματα καὶ τοξεύματα τοῖς θηρίοις, ἐπῆγε μετὰ ῥώμης καὶ βίας πυκνὴν καὶ συντεταγμένην τὴν δύναμιν. οἱ δὲ ῥωμαῖοι τὰς διακλίσεις καὶ τὰς ἀντιπαραγωγὰς τὰς πρότερον οὐκ ἔχοντες, ἐξ ἐπιπέδου συνεφέροντο κατὰ στόμα. καὶ σπεύδοντες ὤσασθαι τοὺς ὁπλίτας, πρὶν ἐπιβῆναι τὰ θηρία, δεινοὺς περὶ τὰς σαρίσας τῶν ξιφῶν ἀγῶνας εἶχον, ἀφειδοῦντες ἑαυτῶν, καὶ τὸ τρῶσαι καὶ καταβαλεῖν ὁρῶντες, τὸ δὲ παθεῖν, εἰς οὐδὲν τιθέμενοι. χρόνῳ δὲ πολλῷ λέγεται μὲν ἀρχὴ τροπῆς, κατ' αὐτὸν γενέσθαι τὸν πύρρον ἐπερείδοντα τοῖς ἀντιτεταγμένοις. τὸ δὲ πλεῖστον, ἀλκῇ καὶ βίᾳ τῶν ἐλεφάντων κατεργάσασθαι. χρήσασθαι τῇ ἀρετῇ πρὸς τὴν μάχην, τῶν ῥωμαίων μὴ δυναμένων. ἀλλ' οἷον ἐφόδῳ κύματος ἢ σεισμοῦ κατερείποντος, οἰομένων δεῖν ὑπείκειν, μὴ δὲ περιμένειν ἀπράκτους ἀποθνήσκειν, ἐν τῷ μηδὲν ὠφελεῖν, πάντα πάσχοντας τὰ χαλεπώτατα. τῆς δὲ φυγῆς οὐ μακρᾶς εἰς τὸ στρατόπεδον γινομένης, ἑξακισχιλίους ἀποθανεῖν φησι τῶν ῥωμαίων, ἱερώνυμος. τῶν δὲ περὶ πύρρον ἐν τοῖς βασιλικοῖς ὑπομνήμασιν ἀναγεγράφθαι, τρισχιλίους πεντακοσίους καὶ πέντε, τεθνηκότας. ὁ μέντοι διονύσιος, οὔτε δύο, περὶ ἄσκλον μάχας, οὔτε ὁμολογουμένην ἧτταν ἱστορεῖ γενέσθαι ῥωμαίων. ἅπαξ δὲ μέχρι δυσμῶν ἡλίου μαχεσαμένους, μόλις ἀπαλλαγῆναι τοῦ πύρρου τρωθέντος ὑσσῷ τὸν βραχίονα. καὶ τὴν ἀποσκευὴν ἅμα σαυνιτῶν διαρπασάντων. ἀποθανεῖν δὲ καὶ πύρρου καὶ ῥωμαίων ἄνδρας, ὑπὲρ μυρίους πεντακισχιλίους ἑκατέρων. διελύθησαν δὲ ἀμφότεροι, καὶ λέγεται τὸν πύρρον εἰπεῖν πρός τινα τῶν συνηδομένων αὐτῷ. ἂν ἔτι μίαν μάχην ῥωμαίους νικήσωμεν, ἀπολούμεθα παντελῶς. πολὺ μὲν γὰρ ἀπωλώλει μέρος ἧς ἄγων ἧκε δυνάμεως. φίλοι δὲ καὶ στρατηγοὶ πλὴν ὀλίγων ἅπαντες. μεταπέμπεσθαι δὲ, οὐκ ἦσαν ἕτεροι. καὶ τοὺς αὐτόθι συμμάχους, ἀμβλυτέρους ἑώρα. τοῖς δὲ ῥωμαίοις, ὥσπερ ἐκ πηγῆς οἴκοθεν ἐπιρρεούσης, ἀναπληρούμενον εὐπόρως καὶ ταχὺ τὸ στρατόπεδον. καὶ ταῖς ἥτταις οὐκ ἀποβαλόντας τὸ θαρρεῖν, ἀλλὰ ῥώμην καὶ φιλοτιμίαν ὑπ' ὀργῆς, ἐπὶ τὸν πόλεμον προσλαμβάνοντας. ἐν τοιαύταις δὲ ὢν ἀπορίαις, εἰς ἐλπίδας αὖ πάλιν κενὰς ἐνέπεσε, καὶ πράγματα διχοστασίαν ἔχοντα τῆς γνώμης. ἅμα γὰρ ἧκον ἐκ μὲν σικελίας, ἄνδρες ἀκράγαντα καὶ συρακούσας. καὶ λεοντίνους, ἐγχειρίζοντες αὐτῷ. καὶ δεόμενοι καρχηδονίους τε συνεκ-

λέγεται γάϊον φαβρίκιον εἰπεῖν. ὡς οὐκ ἠπειρῶται ῥωμαίους. ἀλλὰ πύῤῥος νενίκηκε λαβῖνον. οἰόμε-
νον οὐ τῆς δυνάμεως, ἀλλὰ τῆς στρατηγίας γεγονέναι τὴν ἧτταν. ἀναπληροῦντες δὲ τὰς τάξεις, καὶ
συντάττοντες ἑτέρους προθύμως. καὶ λόγους ἀδεεῖς καὶ σοβαροὺς περὶ τοῦ πολέμου λέγοντες, ἔκ-
πληξιν τῷ πύῤῥῳ παρεῖχον. ἔδοξεν οὖν αὐτῷ πέμψαντι πρότερον διάπειραν λαβεῖν τῶν ἀνδρῶν,
εἰ συμβατικῶς ἔχοιεν. ἡγουμένῳ τὸ μὲν ἑλεῖν τὴν πόλιν καὶ κρατῆσαι παντάπασιν, οὐ μικρὸν ἔργον,
οὐδὲ τῆς παρούσης δυνάμεως εἶναι. τὴν δὲ φιλίαν καὶ τὰς διαλύσεις κάλλιστα ἔχειν πρὸς δόξαν αὐ-
τῷ μετὰ νίκην. πεμφθεὶς οὖν ὁ κινέας, ἐνετύγχανε τοῖς δυνατοῖς. καὶ δῶρα πᾶσιν αὐτῶν καὶ γυναι-
ξὶν ἔπεμψεν παρὰ τοῦ βασιλέως. ἔλαβε δὲ οὐδείς, ἀλλ' ἀπεκρίναντο πάντες καὶ πᾶσαι. ὅτι δημοσίᾳ
σπονδῶν γενομένων, καὶ τὰ παρ' αὐτῶν ὑπάρξει πρόθυμα τῷ βασιλεῖ καὶ κεχαρισμένα. πρὸς δὲ τὴν
σύγκλητον ἐπαγωγὰ τοῦ κινέου πολλὰ καὶ φιλάνθρωπα διαλεχθέντος, ἄσμενοι μὲν οὐδὲν οὐδὲ ἑτοί-
μως ἐδέχοντο. καίπερ ἄνδρας τε τοὺς ἡλωκότας ἐν τῇ μάχῃ δίχα λύτρων ἀφιέντος αὐτοῖς τοῦ πύῤ-
ῥου, καὶ συγκατεργάσεσθαι τὴν ἰταλίαν ἐπαγγελλομένου, φιλίαν δὲ ἀντὶ τούτων, ἑαυτῷ καὶ τοῖς
ταραντίνοις ἄδειαν. ἕτερον δὲ, μηδὲν αἰτουμένου, δῆλοί γε μὴν ἦσαν ἐνδιδόντες οἱ πολλοὶ πρὸς τὴν εἰρή-
νην. ἡττημένοι τε μεγάλην μάχην, καὶ προσδοκῶντες ἑτέραν ἀπὸ μείζονος δυνάμεως τῶν ἰταλικῶν
τῷ πύῤῥῳ προσγεγονότων. ἔνθα δὴ κλαύδιος ἄππιος ἀνὴρ ἐπιφανὴς ὑπὸ δὲ γήρως ἅμα καὶ πηρώ-
σεως ὀμμάτων, ἀπειρηκὼς πρὸς τὴν πολιτείαν καὶ πεπαυμένος. ἀπαγγελλομένων δέ τε τῶν παρὰ
τοῦ βασιλέως. καὶ λόγου κατασχόντος, ὡς μέλλει ψηφίζεσθαι τὰς διαλύσεις ἡ σύγκλητος, οὐκ ἐκαρ-
τέρησεν. ἀλλὰ τοὺς θεράποντας ἄρασθαι κελεύσας αὐτὸν, ἐκομίζετο πρὸς τὸ βουλευτήριον ἐν φορείῳ
δι' ἀγορᾶς. γενόμενον δὲ πρὸς ταῖς θύραις, οἱ μὲν παῖδες ἅμα τοῖς γαμβροῖς ὑπολαβόντες καὶ περι-
σχόντες εἰσῆγον. ἡ δὲ βουλὴ σιωπὴν, αἰδουμένη τὸν ἄνδρα μετὰ τιμῆς ἔσχεν. ὁ δὲ αὐτόθεν καταστὰς, πρό-
τερον μὲν ἔφη τὴν περὶ τὰ ὄμματα τύχην ἀνιαρῶς ἔφερον ὦ ῥωμαῖοι. νῦν δὲ ἄχθομαι πρὸς τῷ
τυφλὸς εἶναι μὴ καὶ κωφὸς ὤν, ἀλλ' ἀκούων αἰσχρὰ βουλεύματα καὶ δόγματα ὑμῶν, ἀνατρέποντα
τῆς ῥώμης τὸ κλέος. ποῦ γὰρ ὑμῶν ὁ πρὸς ἅπαντας ἀνθρώπους θρυλλούμενος ἀεὶ λόγος, ὡς εἰ παρῆν
ἐκεῖνος εἰς ἰταλίαν ὁ μέγας ἀλέξανδρος. καὶ συνηνέχθη νέοις ἡμῖν, καὶ τοῖς πατράσιν ἡμῶν ἀκμάζου-
σιν, οὐκ ἂν ὑμνεῖτο νῦν ἀνίκητος. ἀλλ' ἢ φυγὼν ἂν, ἤ που πεσὼν ἐνταῦθα, τὴν ῥώμην ἐνδοξοτέραν
ἀπέλιπε. ταῦτα μέντοι κενὴν ἀλαζονείαν καὶ κόμπον ἀποδείκνυτε. χάονας, καὶ μολοσσοὺς, τὴν ἀεὶ
μακεδόνων λείαν δεδιότες καὶ τρέμοντες πύῤῥον. ὃς τῶν ἀλεξάνδρου δορυφόρων ἕνα γοῦν ἀεὶ περιέπων
καὶ θεραπεύων, διατετέλεκε. καὶ νῦν οὐ βοηθῶν τοῖς ἐνταῦθα μᾶλλον ἕλλησιν, ἢ φεύγων τοὺς ἐκεῖ πο-
λεμίους, πλανᾶται περὶ τὴν ἰταλίαν, ἐπαγγελλόμενος ἡμῖν τὴν ἡγεμονίαν ἀπὸ ταύτης τῆς δυ-
νάμεως, ἣ μέρος μικρὸν αὐτῷ μακεδονίας, οὐκ ἤρκεσε διαφυλάξαι. μὴ τοίνυν οὖν ἀπαλλάξειν νομί-
ζετε, ποιησάμενοι φίλον, ἀλλὰ ἐκείνους ἐπάξεσθαι καταφρονήσαντας ὑμῶν ὡς πᾶσιν εὐκατεργά-
στων, εἰ πύῤῥος ἄπεισι μὴ δοὺς δίκην ὧν ὕβρισεν, ἀλλὰ καὶ προσλαβὼν μισθὸν, τοῦ ἐπεγγελάσαι ῥωμαί-
οις ταραντίνους καὶ σαυνίτας. τοιαῦτα τοῦ ἀππίου διαλεχθέντος, ὁρμὴ παρέστη πρὸς τὸν πόλεμον αὐ-
τοῖς. καὶ τὸν κινέαν ἀποπέμπουσιν, ἀποκρινάμενοι, πύῤῥον ἐξελθόντα τῆς ἰταλίας, οὕτως εἰ δέοιτο
περὶ φιλίας καὶ συμμαχίας διαλέγεσθαι. μέχρι δὲ οὗ πάρεστιν ἐν ὅπλοις, πολεμήσειν αὐτῷ ῥω-
μαίους κατὰ κράτος, κἂν ἔτι μυρίους λαβίνους τρέψηται μαχόμενος. λέγεται δὲ κινέαν ἐν ᾧ ταῦ-
τα ἔπραττεν, ἅμα ποιησάμενον ἔργον. καὶ σπουδάσαντα, τῶν τε βίων γενέσθαι θεατὴν. καὶ τῆς πο-
λιτείας τὴν ἀρετὴν κατανοῆσαι. καὶ διὰ λόγων ἐλθόντα τοῖς ἀρίστοις, τά τε ἄλλα τῷ πύῤῥῳ φράσαι
καὶ εἰπεῖν, ὡς ἡ σύγκλητος αὐτῷ βασιλέων πολλῶν συνέδριον φανείη. περὶ δὲ τοῦ πλήθους, δεδιέ-
ναι μὴ πρός τινα φανῶσι λερναίαν ὕδραν μαχόμενοι. διπλασίους γὰρ ἤδη τῷ ὑπάτῳ τῶν παρατε-
ταγμένων πρότερον ἠθροῖσθαι. καὶ πολλάκις εἶναι τοσούτους ἔτι τῶν ῥωμαίων, ὅπλα φέρειν δυνα-
μένους. ἐκ τούτου, πρέσβεις ἀφίκοντο περὶ τῶν αἰχμαλώτων, οἱ περὶ γάϊον φαβρίκιον οὗ πλεῖστον ἔ-
φη ῥωμαίους λόγον ἔχειν ὁ κινέας. ὡς ἀνδρὸς ἀγαθοῦ καὶ πολεμικοῦ, πένητος δὲ ἰσχυρῶς. τοῦτον οὖν
ὁ πύῤῥος ἰδίᾳ φιλοφρονούμενος, ἔπειθε λαβεῖν χρυσίον, ἐπ' οὐδενὶ δῆθεν αἰσχρῷ. φιλίας δέ τι τοῦτο
καὶ ξενίας ἐπονομάζων σύμβολον. ἀπωσαμένου δὲ τοῦ φαβρικίου, τότε μὲν ἡσύχασε. τῇ δ' ὑστεραίᾳ βου-
λόμενος αὐτὸν ἐκπλῆξαι, μήπω θέαν ἐλέφαντος γεγενημένον, ἐκέλευσε τῶν θηρίων τὸ μέγιστον ἐξό-
πισθεν αὐτοῖς παραστῆσαι κοινολογουμένοις, αὐλαίαν παρατείναντας. ἐγένετο δὴ ταῦτα, καὶ σημείου
δοθέντος, ἡ μὲν αὐλαία παρήχθη, τὸ δὲ θηρίον ἄφνω τήν τε προνομαίαν ἀράμενον, ὑπερέσχε τῆς κε-
φαλῆς τοῦ φαβρικίου, καὶ φωνὴν ἀφῆκε φοβερὰν καὶ τραχεῖαν. ὁ δὲ, ἠρέμα μεταστραφεὶς καὶ διαμει-
διάσας, πρὸς τὸν πύῤῥον εἶπεν. οὔτε χθές με τὸ χρυσίον ἐκίνησεν, οὔτε σήμερον τὸ θηρίον. ἐν δὲ τῷ δείπνῳ
λόγων παντοδαπῶν γενομένων, πλείστων δὲ περὶ τῆς ἑλλάδος καὶ τῶν φιλοσοφούντων, ἔτυχέ πως
ὁ κινέας ἐπιμνησθεὶς τοῦ ἐπικούρου. καὶ διῆλθεν ἃ λέγουσι περὶ θεῶν καὶ πολιτείας. καὶ τέλος τὸ
μὲν, ἐν ἡδονῇ τιθέμενοι. πολιτείαν δὲ φεύγοντες ὡς βλάβην καὶ σύγχυσιν τοῦ μακαρίου. τὸ δὲ θεῖον ἀ-
πωτάτω χάριτος καὶ ὀργῆς, καὶ τοῦ μέλειν ἡμῶν εἰς ἀπράγμονα βίον καὶ μεστὸν εὐπαθειῶν ἀποικί-

μαίων ὕπατος ἐγγὺς ἦλθε πολλῇ στρατιᾷ χωρεῖν ἐπ' αὐτὸν ἅμα τὴν λευκανίαν διαπορθῶν, οὔπω μὲν οἱ σύμμαχοι παρῆσαν αὐτῷ. δεινὸν δὲ ποιούμενος ἀνασχέσθαι καὶ περιιδεῖν τοὺς πολεμίους ἐγγυτέρω προϊόντας, ἐξῆλθε μετὰ τῆς δυνάμεως, προπέμψας κήρυκα πρὸς τοὺς ῥωμαίους, εἰ φίλον ἐστὶν αὐτοῖς πρὸ πολέμου δίκας λαβεῖν παρὰ τῶν ἰταλιωτῶν, αὐτῷ δικαστῇ καὶ διαλλακτῇ χρησαμένους. ἀποκριναμένου δὲ τοῦ ἀλβίνου, μήτε διαλλακτὴν πύῤῥον αἱρεῖσθαι ῥωμαίους, μήτε δεδιέναι πολέμιον, προελθὼν κατεστρατοπέδευσεν ἐν τῷ μεταξὺ πεδίῳ, πανδοσίας πόλεως καὶ ἡρακλείας, πυθόμενος δὲ τοὺς ῥωμαίους ἐγγὺς εἶναι, καὶ πέραν τοῦ σίριος ποταμοῦ καταστρατοπεδεύειν, προσίππευσε τῷ ποταμῷ, θέας ἕνεκα. καὶ κατιδὼν τάξιν τε καὶ φυλακὰς, καὶ κόσμον αὐτῶν, καὶ τὸ σχῆμα τῆς στρατοπεδείας, ἐθαύμασε. καὶ τῶν φίλων προσαγορεύσας τὸν ἐγγυτάτω, τάξις μὲν εἶπεν ὦ μεγάκλεις αὕτη τῶν βαρβάρων, οὐ βάρβαρος. τὸ δὲ ἔργον εἰσόμεθα. καὶ διὰ φροντίδος ἔχων ἤδη τὸ μέλλον, ἔγνω τοὺς συμμάχους ἀναμένειν. τοῖς δὲ ῥωμαίοις ἂν πρότερον ἐπιχειρῶσι διαβαίνειν, ἐπέστησε φυλακὴν ὑπὲρ τοῦ ποταμοῦ τὴν εἴρξουσαν. οἱ δὲ ἅπερ ἐκεῖνος ἔγνω περιμένειν, φθῆναι σπεύδοντες, ἐνεχείρουν τῇ διαβάσει. κατὰ πόρον μὲν οἱ πεζοὶ, πολλαχόθεν δὲ οἱ ἱππεῖς, διεξελαύνοντες τὸν ποταμόν. ὥστε δείσαντας τὴν κύκλωσιν, ἀναχωρεῖν τοὺς ἕλληνας. αἰσθόμενον δὲ τὸν πύῤῥον καὶ διαταραχθέντα, τοῖς μὲν ἡγεμόσι τοῦ πεζοῦ παρεγγυᾶν εὐθὺς εἰς τάξιν καθίστασθαι, καὶ περιμένειν ἐν τοῖς ὅπλοις. αὐτὸν δὲ τοῖς ἱππεῦσι παρεξελάσαι τρισχιλίοις οὖσιν, ἐλπίζοντα διαβαίνοντας ἔτι καὶ διεσπασμένους ἀτάκτους λήψεσθαι τοὺς ῥωμαίους. ἐπεὶ δὲ ἑώρα θυρεούς τε πολλοὺς ὑπερφαινομένους τοῦ ποταμοῦ, καὶ τοὺς ἱππεῖς ἐλαύνοντας ἐν τάξει, συστρέψας, ἐνέβαλε πρῶτος, αὐτόθεν τε περίοπτος ὢν ὅπλων κάλλει καὶ λαμπρότητι κεκοσμημένων περιττῶς, καὶ τὴν δόξαν ἐπιδεικνύμενος, ἔργοις οὐκ ἀποδέουσαν αὐτοῦ τῆς ἀρετῆς. μάλιστα δὲ ὅτι τὰς χεῖρας καὶ τὸ σῶμα παρέχων τῷ ἀγῶνι, καὶ τοὺς καθ' αὑτὸν ἀμυνόμενος ἐῤῥωμένως, οὐ συνεχεῖτο τὸν λογισμὸν, οὐδὲ τοῦ φρονεῖν ἐξέπιπτεν. ἀλλ' ὥσπερ ἔξωθεν ἐφορῶν, διεκυβέρνα τὸν πόλεμον, αὐτὸς μεταθέων ἑκασταχόσε, καὶ παραβοηθῶν τοῖς ἐκβιάζεσθαι δοκοῦσιν. ἔνθα δὴ λεοννάτος ὁ μακεδὼν, ἄνδρα κατιδὼν ἰταλὸν ἐπέχοντα τῷ πύῤῥῳ, καὶ τὸν ἵππον ἀντιπαρεξάγοντα, καὶ συμμεθιστάμενον ἀεὶ καὶ συγκινούμενον, ὁρᾷς εἶπεν ὦ βασιλεῦ τὸν βάρβαρον ἐκεῖνον, ὃν ὁ μέλας ἵππος ὁ λευκόπους φορεῖ, μέγα τι βουλευομένῳ καὶ δεινὸν ὅμοιός ἐστι. σοὶ γὰρ ἐνορᾷ, καὶ πρὸς σὲ τέταται, πνεύματος μεστὸς ὢν καὶ θυμοῦ, τοὺς δὲ ἄλλους ἐᾷ χαίρειν. ἀλλὰ σὺ φυλάττου τὸν ἄνδρα. καὶ ὁ πύῤῥος ἀπεκρίνατο. τὸ μὲν εἱμαρμένον ὦ λεοννάτε, διαφυγεῖν ἀδύνατον. χαίρων δὲ οὔτε οὗτος, οὔτ' ἄλλος τις ἰταλῶν, εἰς χεῖρας ἡμῖν σύνεισιν. ἔτι ταῦτα προσδιαλεγομένων, ὁ ἰταλὸς διαλαβὼν τὸ δόρυ, καὶ συστρέψας τὸν ἵππον, ὥρμησεν ἐπὶ τὸν πύῤῥον. εἶτα ἅμα παίει μὲν αὐτὸς τῷ δόρατι τοῦ βασιλέως τὸν ἵππον. παίει δὲ τὸν ἐκείνου παρελάσας ὁ λεοννάτος. ἀμφοτέρων δὲ τῶν ἵππων πεσόντων, τὸν μὲν πύῤῥον οἱ φίλοι περισχόντες ἀνήρπασαν. τὸν δὲ ἰταλὸν μαχόμενον διέφθειραν. ἦν δὲ τῷ γένει φρεντανὸς, ἴλης ἡγεμὼν, ὄπλακος ὄνομα. τοῦτο δὲ ἐδίδαξε τὸν πύῤῥον μᾶλλον φυλάττεσθαι. καὶ τοὺς ἱππεῖς ὁρῶν ἐνδιδόντας, μετεπέμπετο τὴν φάλαγγα καὶ παρετάττεν. αὐτὸς δὲ τὴν χλαμύδα καὶ τὰ ὅπλα, παραδοὺς ἑνὶ τῶν ἑταίρων μεγακλεῖ. τοῖς δ' ἐκείνου, τρόπον τινὰ κατακρύψας ἑαυτὸν, ἐπῆγε τοῖς ῥωμαίοις. δεξαμένων δὲ ἐκείνων καὶ συμβαλόντων, χρόνον τε πολὺν εἱστήκει τὰ τῆς μάχης ἄκριτα. καὶ τροπὰς ἑπτὰ λέγεται φευγόντων ἅμα πάλιν καὶ διωκόντων γενέσθαι. καὶ γὰρ ἡ διάμειψις τῶν ὅπλων ἐν καιρῷ πρὸς σωτηρίαν αὐτοῦ γεγονυῖα τοῦ βασιλέως ὀλίγον ἐδέησεν ἀνατρέψαι τὰ πράγματα, καὶ διαφθεῖραι τὴν νίκην. πολλῶν γὰρ ἐφεμένων τοῦ μεγακλέους, ὁ πρῶτος πατάξας καὶ καταβαλὼν αὐτὸν, ὄνομα δέξοος, ἁρπάσας τὸ κράνος καὶ τὴν χλαμύδα, τῷ ἀλβίνῳ προσίππευσεν, ἀναδεικνὺς ἅμα καὶ βοῶν ἀνῃρηκέναι τὸν πύῤῥον. ὡς οὖν παρὰ τὰς τάξεις τῶν λαφύρων παραφερομένων καὶ ἀναδεικνυμένων, τοῖς τε ῥωμαίοις χαρὰ μετ' ἀλαλαγμοῦ, καὶ τοῖς ἕλλησιν ἀθυμία καὶ κατάπληξις, ἄχρις οὗ μαθὼν ὁ πύῤῥος τὸ γινόμενον, παρήλαυνε γυμνῷ τῷ προσώπῳ, τήν τε δεξιὰν ὀρέγων τοῖς μαχομένοις, καὶ τῇ φωνῇ σημαίνων ἑαυτόν. τέλος δὲ τῶν θηρίων ἐκβιαζομένων μάλιστα τοὺς ῥωμαίους, καὶ τῶν ἵππων πρὶν ἐγγὺς γενέσθαι, δυσανασχετούντων καὶ παραφερόντων τοὺς ἐπιβάτας, ἐπαγαγὼν τὴν θεσσαλικὴν ἵππον αὐτοῖς ταρασσομένοις, ἐτρέψατο πολλῷ φόνῳ. διονύσιος μὲν οὖν, ὀλίγῳ τῶν πεντακισχιλίων καὶ μυρίων ἐλάσσονας, πεσεῖν ἱστορεῖ ῥωμαίων. ἱερώνυμος δὲ, μόνους ἑπτακισχιλίους. τῶν δὲ περὶ πύῤῥον, ὁ μὲν διονύσιος, μυρίους καὶ τρισχιλίους. ὁ δὲ ἱερώνυμος, ἐλάττονας τῶν τετρακισχιλίων. κράτιστοι δὲ ἦσαν οὗτοι καὶ τῶν φίλων καὶ τῶν στρατηγῶν, οἷς ὁ πύῤῥος μάλιστα χρώμενος διετέλει καὶ πιστεύων, ἀπέβαλεν. οὐ μὴν ἀλλὰ καὶ τὸ στρατόπεδον ἔλαβε τῶν ῥωμαίων ἐκλιπόντων. καὶ πόλεις συμμαχίδας αὐτῶν προσηγάγετο. καὶ χώραν πολλὴν διεπόρθησε. καὶ προῆλθεν ὅσον μὴ πλέον σταδίων τριακοσίων ἀποσχεῖν τῆς ῥώμης. ἀφίκοντο δὲ αὐτῷ λευκανῶν τε πολλοὶ καὶ σαυνιτῶν μετὰ τὴν μάχην. οὓς ἐμέμψατο μὲν ὑστερήσαντας. ἦν δὲ δῆλος ἡδόμενος καὶ μέγα φρονῶν, ὅτι μόνοις τοῖς μετ' αὐτοῦ ταραντίνοις ἐκράτησε τῆς μεγάλης ῥωμαίων δυνάμεως. ῥωμαῖοι δὲ ἀλβῖνον μὲν οὐκ ἀπήλλαξαν τῆς ἀρχῆς. καίτοι

κῶν ἱκανὸς εἶναι, δημοσθένους δὲ τοῦ ῥήτορος ἀκηκοὼς ἐδόκει μόνος μάλιστα τῶν τότε λεγόντων, οἷον ἐν εἰκόνι τῆς ἐκείνου δυνάμεως καὶ δεινότητος ἀναμιμνήσκειν τοὺς ἀκούοντας. συνὼν δὲ τῷ πύρρῳ καὶ πεμπόμενος ἐπὶ τὰς πόλεις, ἐβεβαίου τὸ εὐριπίδειον, ὅτι πᾶν ἐξαιρεῖ λόγος, ὃ καὶ σίδηρος πολεμίων δράσειεν ἄν. ὁ γοῦν πύρρος ἔλεγε πλείονας πόλεις ὑπὸ κινέου τοῖς λόγοις, ἢ τοῖς ὅπλοις ὑφ' ἑαυτοῦ προσῆχθαι. καὶ διετέλει τὸν ἄνδρα τιμῶν, ἐν τοῖς μάλιστα χρώμενος. οὗτος οὖν τὸν πύρρον ὡρμημένον τότε ὁρῶν ἐπὶ τὴν ἰταλίαν, εἰς λόγους ἀπηγάγετο τοιούτοις, ἰδὼν σχολάζοντα. πολεμισταὶ μὲν ὦ πύρρε, ῥωμαῖοι λέγονται, καὶ πολλῶν ἐθνῶν μαχίμων ἄρχοντες. εἰ δὲ δοίη θεὸς περιγενέσθαι τῶν ἀνδρῶν, τί χρησόμεθα τῇ νίκῃ. καὶ ὁ πύρρος. ἐρωτᾷς εἶπεν ὦ κινέα πρᾶγμα φαινόμενον. οὔτε βάρβαρος ἡμῖν ἐκεῖ πόλις. οὔτε ἑλληνὶς ἀξιόμαχος, ῥωμαίων κρατηθέντων, ἀλλ' ἕξομεν εὐθὺς, ἰταλίαν ἅπασαν. ἧς μέγεθος καὶ ἀρετὴν καὶ δύναμιν ἄλλῳ που τινὶ μᾶλλον ἀγνοεῖν, ἢ σοὶ προσήκει. μικρὸν οὖν ἐπισχὼν, ὁ κινέας. ἰταλίαν δὲ εἶπεν ὦ βασιλεῦ λαβόντες, τί ποιήσομεν, καὶ ὁ πύρρος οὔπω τὴν διάνοιαν αὐτοῦ καθορῶν, ἐγγὺς εἶπεν ἡ σικελία, χεῖρας ὀρέγει, νῆσος εὐδαίμων καὶ πολυάνθρωπος, ἁλῶναι δὲ ῥᾴστη. στάσις γὰρ ὦ κινέα πάντα νῦν ἐκεῖνα καὶ ἀναρχία πόλεων, καὶ δημαγωγῶν ὀξύτης, ἀγαθοκλέους ἐκλελοιπότος. εἰκότα ἔφη λέγεις ὁ κινέας. ἀλλ' ἦ τοῦτο πέρας ἡμῖν τῆς στρατείας, λαβεῖν σικελίαν. θεὸς ἔφη ὁ πύρρος νίκην διδῴη καὶ κατόρθωσιν, τούτοις δὲ προαγῶσι χρησόμεθα πραγμάτων μεγάλων. τίς γὰρ ἂν ἀπόσχοιτο, λιβύης καὶ καρχηδόνος, ἐν ἐφικτῷ γενομένης, ἣν ἀγαθοκλῆς ἀποδρὰς ἐκ συρακουσῶν κρύφα καὶ περάσας ναυσὶν ὀλίγαις, λαβεῖν παρ' οὐδὲν ἦλθεν. ὅτι δὲ τούτων κρατήσασιν ἡμῖν, οὐδεὶς ἀντιστήσεται τῶν νῦν ὑβριζόντων πολεμίων, τί ἂν λέγοι τις. οὐδὲν ὁ κινέας εἶπεν. δῆλον γὰρ ὅτι, καὶ μακεδονίαν ἀναλαβεῖν. καὶ τῆς ἑλλάδος ἄρχειν ὑπάρξει βεβαίως, ἀπὸ τηλικαύτης δυνάμεως. γενομένων δὲ πάντων ὑφ' ἡμῖν, τί ποιήσομεν. καὶ ὁ πύρρος γελάσας, σχολὴν ἔφη ἄξομεν πολλὴν, καὶ κώθων ὦ μακάριε καθημερινὸς ἔσται. καὶ διὰ λόγων συνόντες ἀλλήλους εὐφρανοῦμεν. ἐνταῦθα δὲ τῶν λόγων καταστήσας τὸν πύρρον ὁ κινέας, εἶτα ἔφη. τί νῦν ἐμποδών ἐστιν ἡμῖν βουλομένοις, κώθωνι χρῆσθαι καὶ σχολάζειν μετ' ἀλλήλων. εἰ ταῦτα ἔχομεν ἤδη, καὶ πάρεστιν ἀπραγμόνως, ἐφ' ἃ δι' αἵματος καὶ πόνων μεγάλων καὶ κινδύνων μέλλομεν ἀφίξεσθαι, πολλὰ καὶ δράσαντες ἑτέρους κακὰ καὶ παθόντες. τούτοις τοῖς λόγοις, ἠνίασε μᾶλλον ἢ μετέθηκε τὸν πύρρον ὁ κινέας. νοήσαντα μὲν ὅσην ἀπέλειπεν εὐδαιμονίαν, ὧν δὲ ὠρέγετο τὰς ἐλπίδας ἀφεῖναι μὴ δυνάμενον. πρῶτον μὲν οὖν ἀπέστειλε τὸν κινέαν τοῖς ταραντίνοις, στρατιώτας ἄγοντα τρισχιλίους. ἔπειτα πολλῶν ἱππηγῶν καὶ καταφράκτων. καὶ πορθμείων παντοδαπῶν ἐκ τάραντος κομισθέντων, ἐνεβίβαζεν ἐλέφαντας εἴκοσι, καὶ τρισχιλίους ἱππεῖς. πεζοὺς δὲ δισμυρίους. καὶ δισχιλίους τοξότας. καὶ σφενδονήτας, πεντακοσίους. γενομένων δὲ πάντων ἑτοίμων, ἀναχθεὶς ἔπλει. καὶ μέσον ἔχων τὸν ἰόνιον, ἁρπάζεται βορέᾳ ἀνέμῳ, παρ' ὥραν ἐκραγέντι. καὶ βιασθεὶς, αὐτὸς μὲν ἀρετῇ καὶ προθυμίᾳ ναυτῶν καὶ κυβερνητῶν, ἐξανέφερε, καὶ προσανήγετο τῇ γῇ πολυπόνως καὶ παραβόλως, τοῦ δὲ ἄλλου στόλου συγχυθέντος. καὶ τῶν νεῶν σκεδασθεισῶν, αἱ μὲν ἀποσφαλεῖσαι τῆς ἰταλίας, ἐξεώσθησαν, εἰς τὸ λιβυκὸν καὶ σικελικὸν πέλαγος. τὰς δὲ ὑπερβαλεῖν μὴ δυνηθείσας ἄκραν ἰαπυγίαν, νὺξ τε κατελάμβανε, καὶ πολλῇ, καὶ χαλεπῇ θαλάσσῃ παίουσα πρὸς χωρία δύσορμα καὶ τυφλὰ, πάσας διέφθειρε πλὴν τῆς βασιλικῆς. αὕτη δὲ πλαγίου μὲν ἔτι ὄντος τοῦ κύματος, ἠμύνετο καὶ διέφυγε μεγέθει καὶ ῥώμῃ τὰς ἐπιβολὰς τῆς θαλάσσης. ἐπεὶ δὲ περιελθὸν ἀπὸ γῆς ἀπήντα τὸ πνεῦμα καὶ κίνδυνον εἶχεν ἡ ναῦς ἀντίπρωρος ἐνισταμένη πρὸς κλύδωνα πολὺν, ἀναρραγῆναι. τὸ δὲ ἐφεῖναι πάλιν αὐτὴν ἠγριωμένῳ πελάγει καὶ πνεύματι τροπὰς λαμβάνοντι παντοδαπὰς φέρεσθαι, φοβερώτατον ἐφαίνετο τῶν παρόντων κακῶν, ἀναστὰς ὁ πύρρος αὑτὸν ἀφῆκεν εἰς θάλασσαν. καὶ τῶν φίλων, καὶ τῶν δορυφόρων, εὐθὺς ἦν ἅμιλλα καὶ προθυμία περὶ αὐτόν. ἡ δὲ νὺξ καὶ τὸ κῦμα μετὰ ψόφου μεγάλου καὶ τραχείας ἀνακοπῆς, χαλεπὴν ἐποίει τὴν βοήθειαν. ὥστε μόλις τῆς ἡμέρας ἤδη μαραινομένου τοῦ πνεύματος, ἐκπεσεῖν αὐτὸν ἐπὶ τὴν γῆν. τῷ μὲν σώματι παντάπασιν ἀδυνάτως ἔχοντι, τόλμῃ δὲ καὶ ῥώμῃ τῆς ψυχῆς ἀντέχοντα πρὸς τὴν ἀπορίαν. ἅμα δὲ οἵ τε μεσσάπιοι καθ' οὓς ἐξεβράσθη συνέθεον βοηθοῦντες ἐκ τῶν παρόντων προθύμως, καὶ προσεφέροντο τῶν σῳζομένων ἔνιαι νεῶν. ἐν αἷς ἦσαν, ἱππεῖς μὲν ὀλίγοι παντάπασι. πεζοὶ δὲ δισχιλίων ἐλάττους. ἐλέφαντες δὲ, δύο. τούτους ἀναλαβὼν ὁ πύρρος, ἐβάδιζεν εἰς τάραντα. καὶ τοῦ κινέου προσαγαγόντος εἰς συνάντησιν, ὡς ᾔσθετο τοὺς στρατιώτας, παρελθὼν, οὐδὲν ἀκόντων οὐδὲ πρὸς βίαν ἔπραττε τῶν ταραντίνων, ἕως ἀνεσώθησαν αἱ νῆες ἐκ τῆς θαλάττης, καὶ συνῆλθεν ἡ πλείστη τῆς δυνάμεως. τηνικαῦτα δὲ ὁρῶν τὸ πλῆθος οὐκ ἄνευ μεγάλης ἀνάγκης, μήτε σῴζειν δυνάμενον, μήτε σῴζεσθαι. ἀλλ' ἐκείνου προπολεμοῦντος, οἴκοι καθῆσθαι περὶ λουτρὰ καὶ συνουσίας γινόμενον, ἀπέκλεισε μὲν τὰ γυμνάσια καὶ τοὺς περιπάτους, ἐν οἷς ἀλύοντες ὑπὲρ τῶν πραγμάτων λόγῳ διεστρατήγουν. πότους δὲ καὶ κώμους καὶ θαλίας ἀκαίρους ἀνεῖλεν. ἐκάλει δὲ πρὸς τὰ ὅπλα, καὶ περὶ τοὺς καταλόγους τῶν στρατευομένων, ἀπαραίτητος ἦν καὶ λυπηρός. ὥστε πολλοὺς ἐκ τῆς πόλεως ἀπελθεῖν, ἀηθείᾳ τοῦ ἄρχεσθαι, δουλείαν τὸ μὴ πρὸς ἡδονὴν ζῆν καλοῦντας. ἐπεὶ δὲ λαβῖνος ὁ τῶν ῥω-

ἐπ. π. | τοιούσδε. π.

διὰ τῶν λόγων. π. ς. π.

ἢ καὶ

ἔχοντα. ς. π.

ἀπάντησιν. ς. π.

πέλου. καὶ φοβηθεὶς, κρύφα διεξέπεσε, καυσίᾳ τινὶ καὶ λιτῷ χλαμυδίῳ περιστειλάμενος ἑαυτόν. ἐπελ-
θὼν δὲ ὁ πύῤῥος, ἀμαχὶ παρέλαβε τὸ στρατόπεδον. καὶ βασιλεὺς ἀνηγορεύθη μακεδόνων. ἐπιφανέν-
τος δὲ λυσιμάχου. καὶ κοινὸν ἔργον ἀμφοῖν ποιουμένου τὴν δημητρίου κατάλυσιν. καὶ νέμεσθαι τὴν βα-
σιλείαν ἀξιοῦντος, οὔπω πάνυ βεβαίως τοῖς μακεδόσι πιστεύων ὁ πύῤῥος, ἀλλ᾽ ἀμφίβολος ὢν ἐν αὐ-
τοῖς, ἐδέξατο τοῦ λυσιμάχου τὴν πρόκλησιν. καὶ διενείμαντο τὴν χώραν, καὶ τὰς πόλεις πρὸς ἀλλήλους.
τοῦτο δὲ, ὤνησε μὲν ἐν τῷ παρόντι καὶ κατέπαυσε τὸν πόλεμον αὐτοῖς. ὀλίγῳ δὲ ὕστερον ἔγνωσαν, οὐκ
ἀπαλλαγὴν ἔχθρας, ἀλλ᾽ ἐγκλημάτων καὶ διαφορᾶς ἀρχὴν πεποιημένοι τὴν νέμησιν. οἷς γὰρ οὐ πέλαγος.
οὐκ ὄρος. οὐκ ἀοίκητος ἐρημία πέρας ἐστὶ πλεονεξίας. οὐδ᾽ οἱ διαιροῦντες εὐρώπην καὶ ἀσίαν τέρμονες
ὁρίζουσι τὰς ἐπιθυμίας, πῶς ἂν ἁπτόμενοι καὶ ψαύοντες ἀλλήλων ἀτρεμοῖεν ἐν τοῖς παροῦσι μὴ ἀδι-
κοῦντες, οὐκ ἔστιν εἰπεῖν, ἀλλὰ πολεμοῦσι μὲν ἀεὶ τὸ ἐπιβουλεύειν καὶ φθονεῖν ἔμφυτον ἔχοντες. δυοῖν
δὲ ὀνομάτων, ὥσπερ νομισμάτων πολέμου, καὶ εἰρήνης, τῷ παρατυχόντι χρῶνται πρὸς τὸ συμφέ-
ρον, οὐ πρὸς τὸ δίκαιον. ἐπεὶ βελτίους γε πολεμεῖν ὁμολογοῦντες εἰσὶν, ἢ τῆς ἀδικίας τὸ ἀργοῦν καὶ
σχολάζον, δικαιοσύνην καὶ φιλίαν προσαγορεύοντες. ἐδήλωσε δὲ ὁ πύῤῥος. ἐμποδὼν γὰρ αὐξομένῳ
δημητρίῳ πάλιν ἱστάμενος, καὶ κωλύων τὴν δύναμιν. ὥσπερ ἐξ ἀῤῥωστίας μεγάλης ἀναλαμβάνου-
σαν, ἐβοήθει τοῖς ἕλλησι, καὶ παρῆλθεν εἰς τὰς ἀθήνας. ἀναβὰς δὲ εἰς τὴν ἀκρόπολιν καὶ θύσας τῇ
θεῷ καὶ καταβὰς αὐθημερὸν, ἀγαπᾶν μὲν ἔφησε τοῦ δήμου τὴν πρὸς αὐτὸν εὔνοιαν καὶ πίστιν. οὐ μέν-
τοι σωφρονοῦσι, μηδένα τῶν βασιλέων ἔτι παρήσειν αὐτοὺς εἰς τὴν πόλιν. μηδὲ τὰς πύλας ἀνοίξειν.
ἐκ τούτου, καὶ πρὸς τὸν δημήτριον, εἰρήνην ἐποιήσατο. καὶ μετ᾽ ὀλίγον χρόνον, εἰς ἀσίαν ἀπάραντος αὐ-
τοῦ, πάλιν πεισθεὶς ὑπὸ λυσιμάχου, θετταλίαν ἀφίστη καὶ ταῖς ἑλληνικαῖς φρουραῖς προσεπολέ-
μει. βελτίοσι χρώμενος τοῖς μακεδόσι στρατευομένοις ἢ σχολάζουσι. καὶ ὅλως αὐτὸς οὐκ εὖ πρὸς ἡσυχί-
αν πεφυκώς. τέλος δὲ δημητρίου καταπολεμηθέντος ἐν συρίᾳ, λυσίμαχος ἐπ᾽ ἀδείας γενόμενος καὶ
σχολάζων, εὐθὺς ἐπὶ τὸν πύῤῥον ὥρμησε. καὶ καθημένου περὶ τὴν ἔδεσσαν αὐτοῦ ταῖς ἀγοραῖς κομι-
ζομέναις ἐπιθέμενος καὶ κρατήσας, ἀπορίαν πρῶτον αὐτῷ περιέστησεν. εἶτα γράμμασι καὶ λόγοις διέ-
φθειρε τοὺς πρώτους τῶν μακεδόνων ὀνειδίζων, εἰ ξένον ἄνδρα, καὶ προγόνων ἀεὶ δεδουλευκότων μακεδό-
σι δεσπότην ἑλόμενοι, τοὺς ἀλεξάνδρου φίλους καὶ συνήθεις ἀπωθοῦσι μακεδονίας. ἀναπειθομένων
δὲ πολλῶν, δείσας ὁ πύῤῥος ἀπηλλάγη μετὰ τῆς ἠπειρωτικῆς καὶ συμμαχικῆς δυνάμεως, ἀποβαλὼν
μακεδονίαν, ᾧ τρόπῳ παρέλαβεν. ὅθεν οὐδ᾽ αἰτιᾶσθαι τοὺς πολλοὺς ἔχουσιν οἱ βασιλεῖς μεταπιθεμέ-
ταῦτα π νους πρὸς τὸ συμφέρον. ἐκείνους γὰρ αὐτοὺς ταῦτα μιμοῦνται ποιοῦντες, ἀπιστίας καὶ προδοσίας
διδασκάλους ὄντας. καὶ πλεῖστα νομίζοντες ὠφελεῖσθαι, τὸν, ἐλάχιστα τῷ δικαίῳ χρώμενον. τότε δ᾽
οὖν εἰς ἤπειρον ἐκπεσόντι τῷ πύῤῥῳ καὶ προεμένῳ μακεδονίαν, ἡ μὲν τύχη παρεῖχε χρῆσθαι τοῖς πα-
ροῦσιν ἀπραγμόνως καὶ ζῆν ἐν εἰρήνῃ, βασιλεύοντα τῶν οἰκείων. ὁ δὲ, τὸ μὴ παρέχειν ἑτέροις κακὰ,
μηδὲ ἔχειν ὑφ᾽ ἑτέρων, ἄλυν τινὰ ναυτιώδη νομίζων, ὥσπερ ὁ ἀχιλλεὺς οὐκ ἔφερε τὴν σχολὴν, ἀλλὰ
αὐτήν τε » φθινύθεσκε φίλον κῆρ αὖθι μένων. ποθέεσκε δ᾽ αὐτήν τε πόλεμόν τε. δεόμενος δ᾽ οὖν, ἔλαβε πρα-
» γμάτων καινῶν τοιαύτην ὑπόθεσιν. ῥωμαῖοι ταραντίνοις ἐπολέμουν. οἱ δὲ, μήτε φέρειν τὸν πόλεμον
δυνάμενοι, μήτε θέσθαι θρασύτητι καὶ μοχθηρίᾳ δημαγωγῶν, ἐβουλεύοντο ποιεῖσθαι πύῤῥον ἡγεμόνα
καὶ καλεῖν ἐπὶ τὸν πόλεμον. ὡς σχολὴν ἄγοντα πλείστην τῶν βασιλέων, καὶ στρατηγὸν ὄντα δεινότα-
τον. τῶν δὲ πρεσβυτέρων καὶ νοῦν ἐχόντων πολιτῶν, οἱ μὲν, ἄντικρυς ἐνιστάμενοι, πρὸς τὴν γνώμην,
πολεμοποιοῦ π. ἐξέπιπτον ὑπὸ κραυγῆς καὶ βίας τῶν πολλῶν. οἱ δὲ, ταῦτα ὁρῶντες, ἀπέλειπον τὰς ἐκκλησίας.
εἷς δέ τις ἀνὴρ ἐπιεικὴς μέτων ὄνομα, τῆς ἡμέρας ἐκείνης ἐν ᾗ τὸ δόγμα κυροῦν ἔμελλον ἐνστάσης, καὶ
τοῦ δήμου καθεζομένου λαβὼν στέφανον τῶν ἑώλων καὶ λαμπάδιον, ὥσπερ οἱ μεθύοντες, αὐλητρί-
δος ὑφηγουμένης αὐτῷ, πρὸς τὴν ἐκκλησίαν ἐκώμαζεν. οἷα δὲ ἐν ὄχλῳ δημοκρατίας κόσμον οὐκ ἐχού-
σης. οἱ μὲν, ἐκρότουν ἰδόντες. οἱ δὲ, ἐγέλων. ἐκώλυε δὲ οὐδείς, ἀλλὰ καὶ τὸ γύναιον αὐλεῖν, κἀκεῖνον ᾄδειν
ἐκέλευον εἰς μέσον προσελθόντα. καὶ τοῦτο ποιήσων ἐπίδοξος ἦν. γενομένης δὲ σιωπῆς. ἄνδρες ἔφη τα-
ραντῖνοι, καλῶς ποιεῖτε, παίζειν καὶ κωμάζειν ἕως ἔξεστι τοῖς βουλομένοις μὴ φθονοῦντες. ἐὰν δὲ σω-
φρονῆτε, καὶ πάντες ἀπολαύσετε ἔτι τῆς ἐλευθερίας. ὡς ἕτερα πράγματα, καὶ βίον, καὶ δίαιταν
ἕξοντες, ὅταν πύῤῥος εἰς τὴν πόλιν παραγένηται. ταῦτα ῥηθέντα, τοὺς πολλοὺς ἔπεισε τῶν ταραντί-
νων, καὶ θροῦς διέδραμε τῆς ἐκκλησίας, ὡς εὖ λεγομένων. οἱ δὲ, τοὺς ῥωμαίους δεδιότες, μὴ γενομένης
εἰρήνης ἐκδοθῶσι, τόν τε δῆμον ἐλοιδόρουν, εἰ φέρει πράως ἐπικωμαζόμενος οὕτως ἀσελγῶς, καὶ πα-
ροινούμενος. τόν τε μέτωνα συστραφέντες ἐξέβαλον. οὕτω δὲ τοῦ δόγματος κυρίου γενομένου, πρέσβεις
ἔπεμψαν εἰς ἤπειρον. οὐχ αὑτῶν μόνων, ἀλλὰ καὶ τῶν ἰταλιωτῶν δῶρα τῷ πύῤῥῳ κομίζοντας. καὶ λέ-
λέγοντ π. γοντας ὡς ἡγεμόνος ἔμφρονος δέονται καὶ δόξαν ἔχοντος. δυνάμεις δὲ αὐτόθεν ὑπάρξουσι. μεγάλαι.
παρά τε λευκανῶν. καὶ μεσαπίων. σαυνιτῶν, καὶ ταραντίνων εἰς δισμυρίους ἱππεῖς. πεζῶν δὲ ὁμοῦ,
μυριάδες π. πέντε καὶ τριάκοντα μυριάδες. ταῦτα οὐ μόνον αὐτὸν ἐπῆρε τὸν πύῤῥον, ἀλλὰ καὶ τοῖς ἠπειρώταις
προθυμίαν ἐνέβαλε καὶ ὁρμὴν τῆς στρατείας. ἦν δέ τις κινέας, θετταλὸς ἀνὴρ, τῷ μὲν φρονεῖν, δο-

ρὼν οἶνος ἦ μὲν, γελάσας ἀφῆκε. γυναῖκας δὲ πραγμάτων ἕνεκα καὶ δυνάμεως, πλείονας ἔγημε μετὰ τὴν ἀντιγόνης τελευτήν. καὶ γὰρ αὐτολέοντος τοῦ παιόνων βασιλέως ἔλαβε θυγατέρα, καὶ βιρκένναν τὴν βαρδύλλιος τοῦ ἰλλυριῶν. καὶ λάνασσαν τὴν ἀγαθοκλέους τοῦ συρακουσίου. προῖκα προσφερομένην αὐτῷ τὴν κερκυραίων πόλιν ἡλωκυῖαν ὑπὸ ἀγαθοκλέους. ἐκ μὲν οὖν ἀντιγόνης, πτολεμαῖον υἱὸν ἔσχεν. ἐκ δὲ λανάσσης ἀλέξανδρον. ἕλενον δὲ τὸν νεώτατον, ἐκ βιρκέννης. καὶ πάντας ἀγαθοὺς ἐν τοῖς ὅπλοις ἐθρέψατο, καὶ διαπύρους, εὐθὺς ἐκ γενετῆς ἐπὶ τοῦτο θηγομένους ὑπ' αὐτοῦ. λέγεται δὲ ὡς ἐρωτηθεὶς ὑφ' ἑνὸς αὐτῶν ἔτι παιδὸς ὄντος, ᾧ τινι καταλείψει τὴν βασιλείαν, εἰπεῖν. ὃς ἂν ὑμῶν τὴν μάχαιραν ὀξυτέραν ἔχῃ. τοῦτο δὲ οὐδὲν ἀπολείπει τῆς τραγικῆς ἀρᾶς ἐκείνης. θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν τοὺς ἀδελφούς. οὕτως ἄμικτός ἐστι καὶ θηριώδης, ἡ τῆς πλεονεξίας ὑπόθεσις. μετὰ δὲ τὴν μάχην ταύτην, ὁ πύῤῥος ἐπανελθὼν οἴκαδε λαμπρὸς, ἀπὸ δόξης καὶ φρονήματος ἔχαιρε. καὶ ἀετὸς ὑπὸ τῶν ἠπειρωτῶν προσαγορευόμενος, δι' ὑμᾶς ἔλεγεν ἀετός εἰμι. πῶς γὰρ οὐ μέλλω τοῖς ὑμετέροις ὅπλοις ὥσπερ ὠκυπτέροις ἐπαιρόμενος. ὀλίγῳ δὲ ὕστερον πυθόμενος νοσεῖν τὸν δημήτριον ἐπισφαλῶς, ἐνέβαλε μὲν ἐξαίφνης εἰς μακεδονίαν, ὡς ἐπιδρομήν τινα καὶ λεηλασίαν ποιησόμενος, παρ' ὀλίγον δὲ ἦλθε πάντων ὁμοῦ κρατῆσαι καὶ λαβεῖν ἀμαχεὶ τὴν βασιλείαν, ἐλάσας ἄχρις ἐδέσσης, μηδενὸς ἀμυνομένου, πολλῶν δὲ καὶ προστιθεμένων καὶ συστρατευόντων. αὐτόν τε δὴ τὸν δημήτριον ὁ κίνδυνος ἐξανέστησε παρὰ δύναμιν. οἵ τε φίλοι καὶ ἡγεμόνες ὀλίγῳ χρόνῳ πολλοὺς ἀθροίσαντες, ἐῤῥωμένως καὶ προθύμως ἐπὶ τὸν πύῤῥον ὥρμησαν. ὁ δὲ, ληστρικώτερον ἀφιγμένος, οὐκ ἔμεινεν, ἀλλὰ φεύγων, μέρος τι τῆς στρατείας ἀπέβαλε καθ' ὁδὸν, ἐπιθεμένων τῶν μακεδόνων. οὐ μὴν ὅτι ῥᾳδίως καὶ ταχὺ τὸν πύῤῥον ἐξέβαλε τῆς χώρας ὁ δημήτριος, ἠμέλησεν. ἐγνωκὼς δὲ μεγάλων πραγμάτων ἀντιλαμβάνεσθαι. καὶ τὴν πατρῴαν ἀρχὴν ἀνακτᾶσθαι, δέκα μυριάσι στρατοῦ, καὶ ναυσὶ πεντακοσίαις, οὐκ ἐβούλετο τῷ πύῤῥῳ προσπταίειν. οὐδὲ ἀπολιπεῖν μακεδόσι, πάροικον ἐργώδη καὶ χαλεπόν. ἀλλ' ἐπεὶ μὴ ἐσχόλαζε πολεμεῖν πρὸς αὐτὸν, διαλυθεὶς καὶ θέμενος εἰρήνην, οὕτως ἐπὶ τοὺς ἄλλους βασιλεῖς τρέπεσθαι. γενομένων δὲ διὰ ταῦτα τῶν ὁμολογιῶν. καὶ τῆς γνώμης ἅμα τῷ μεγέθει τῆς παρασκευῆς ἐκφανείσης τοῦ δημητρίου, φοβηθέντες οἱ βασιλεῖς διεπέμποντο πρὸς τὸν πύῤῥον, ἀγγέλους καὶ γράμματα. θαυμάζειν φάσκοντες, εἰ τὸν αὑτοῦ προέμενος καιρὸν, ἐν τῷ δημητρίου πολεμῆσαι περιμένει. καὶ δυνάμενος μακεδονίας ἐκβαλεῖν αὐτὸν πολλὰ πράττοντα, καὶ ταραττόμενον, ἐκδέχεται καὶ σχολάζοντι. καὶ μεγάλῳ γενομένῳ, περὶ τῶν ἐν μολοττοῖς ἱερῶν καὶ τάφων διαγωνίσασθαι. καὶ ταῦτα, κέρκυραν ἔναγχος ἀφῃρημένος ὑπ' αὐτοῦ μετὰ τῆς γυναικός. ἡ γὰρ λάνασσα μεμψαμένη τὸν πύῤῥον, ὡς μᾶλλον προσέχοντα ταῖς βαρβάροις γυναιξὶν, εἰς κέρκυραν ἀπεχώρησε. καὶ δεομένη γάμων βασιλικῶν, ἐκάλει δημήτριον, ἐπισταμένη μάλιστα τῶν βασιλέων, εὐκόλως ἔχοντα πρὸς γάμους γυναικῶν. ἐκεῖνος δὲ πλεύσας, τῇ τε λανάσσῃ συνῆλθε, καὶ φρουρὰν ἐν τῇ πόλει κατέλιπε. ταῦτα πρὸς τὸν πύῤῥον οἱ βασιλεῖς γράφοντες, ἅμα καὶ δι' ἑαυτῶν. ἔτι μέλλοντα καὶ παρασκευαζόμενον τὸν δημήτριον, ἐκίνουν. πτολεμαῖος γὰρ ἐπιπλεύσας μεγάλῳ στόλῳ, τὰς ἑλληνίδας ἀφίστη πόλεις. λυσίμαχος δὲ τὴν ἄνω μακεδονίαν ἐκ θρᾴκης ἐμβαλὼν, ἐπόρθει. πύῤῥος δὲ τούτοις ἅμα συνεξαναστὰς, ἐπὶ βέῤῥοιαν ἤλαυνε. προσδοκῶν ὅπερ συνέβη, δημήτριον ὑπαντιάζοντα λυσιμάχῳ, τὴν κάτω χώραν ἀπολείψειν ἔρημον. ἐκείνης δὲ τῆς νυκτὸς, ἔδοξε κατὰ τοὺς ὕπνους, ὑπὸ ἀλεξάνδρου καλεῖσθαι τοῦ μεγάλου, καὶ παραγενόμενος, κλινήρη μὲν αὐτὸν ἰδεῖν, λόγων δὲ χρηστῶν τυχεῖν καὶ φιλοφροσύνης, ἐπαγγελλομένου προθύμως βοηθήσειν. αὐτοῦ δὲ τολμήσαντος εἰπεῖν, καὶ πῶς ἂν ὦ βασιλεῦ νοσῶν δυνατὸς εἴης ἐμοὶ βοηθεῖν, αὐτῷ φάναι τῷ ὀνόματι. καὶ περιβάντα νισαῖον ἵππον, ἡγεῖσθαι. ταύτην ἰδὼν τὴν ὄψιν, ἐπεῤῥώσθη. τάχει δὲ χρησάμενος καὶ διαδραμὼν τὰ μεταξὺ, καταλαμβάνει τὴν βέῤῥοιαν. καὶ τὸ πλεῖστον αὐτόθι τῆς στρατείας ἱδρύσας, τὰ λοιπὰ προσήγετο διὰ τῶν στρατηγῶν. ὁ δὲ δημήτριος ἐπεὶ ταῦτα ἤκουσε, καὶ πονηρὸν ἐν τῷ στρατοπέδῳ θόρυβον ᾔσθετο τῶν μακεδόνων, ἔδεισε ποῤῥωτέρω προαγαγεῖν, μὴ πλησίον γενόμενοι βασιλέως μακεδόνος καὶ δόξαν ἔχοντος μεταβάλλωνται πρὸς αὐτόν. ὅθεν ἐπιστρέψας, ἐπὶ τὸν πύῤῥον ἦγεν ὡς ξένον καὶ μισούμενον ὑπὸ τῶν μακεδόνων. ἐπεὶ δὲ παρεστρατοπέδευσεν αὐτόθι, πολλοὶ τῶν ἐκ τῆς βεῤῥοίας ἀφικνούμενοι, τὸν πύῤῥον ἐνεκωμίαζον ὡς ἄμαχον μὲν ἐν τοῖς ὅπλοις, καὶ λαμπρὸν ἄνδρα, πρᾴως δὲ καὶ φιλανθρώπως τοῖς ἡλωκόσι χρώμενον. ἦσαν δέ τινες οὓς αὐτὸς ὁ πύῤῥος ἐγκαθίει προσποιουμένους, εἶναι μακεδόνας, καὶ λέγοντας ὅτι νῦν καιρός ἐστι τῆς δημητρίου βαρύτητος ἀπαλλαγῆναι, πρὸς ἄνδρα δημοτικὸν καὶ φιλοστρατιώτην μεταβαλλομένους τὸν πύῤῥον. ἐκ τούτου, τὸ πλεῖστον ἀνηρέθιστο τῆς στρατείας. καὶ τὸν πύῤῥον ἐζήτουν περισκοποῦντες. ἔτυχε γὰρ ἀφῃρημένος τὸ κράνος. ἄχρις οὗ πάλιν συμφρονήσας καὶ περιθέμενος, ἐγνώσθη, τῷ τε λόφῳ διαπρέποντι, καὶ τοῖς τραγικοῖς κέρασιν, ὥστε τοὺς μακεδόνας σύνθημα προσδέχοντας αἰτεῖν. ἄλλους δὲ κλάδοις δρυὸς ἀναστέφεσθαι διὰ τὸ, καὶ τοὺς περὶ ἐκεῖνον ἐστεφανωμένους ἑωρᾶν. ἤδη δὲ καὶ πρὸς αὐτὸν τινὲς ἐτόλμων λέγειν τὸν δημήτριον ὡς ὑπεικὰς καὶ προέμενος τὰ πράγματα, καλῶς δόξει βεβουλεῦσθαι. τούτοις τοῖς λόγοις, ὅμοιον ὁρῶν τὸ κίνημα τοῦ στρα-

καὶ τὴν παραλίαν τῆς μακεδονίας. καὶ τῶν ἐπικτήτων ἐθνῶν. ἀμβρακίαν. ἀκαρνανίαν. ἀμφιλοχίαν. προεμένου δὲ τοῦ νεανίσκου, ταῦτα μὲν αὐτὸς εἶχε. φρουραῖς καταλαβών. τὰ δὲ λοιπὰ κτώμενος ἐκείνῳ, περιέκοπτε τὸν ἀντίπατρον. λυσίμαχος δὲ ὁ βασιλεὺς, αὐτὸς μὲν ἦν ἐν ἀσχολίαις προθυμούμενος ἀντιπάτρῳ βοηθεῖν. εἰδὼς δὲ τὸν πύρρον οὐδὲν ἀχαριστεῖν, οὐδὲ ἀρνεῖσθαι πτολεμαίῳ βουλόμενον, ἔπεμψε πλαστὰ γράμματα πρὸς αὐτὸν, ὡς πτολεμαίου κελεύοντος, ἀπαλλάττεσθαι τῆς στρατιᾶς, τριακόσια τάλαντα παρὰ τοῦ ἀντιπάτρου λαβόντα. λύσας δὲ τὴν ἐπιστολὴν ὁ πύρρος, εὐθὺς τὸ ῥᾳδιούργημα τοῦ λυσιμάχου συνεῖδεν. οὐ γὰρ ἦν ἡ συνήθης γεγραμμένη προσαγόρευσις, ὁ πατὴρ τῷ υἱῷ χαίρειν. ἀλλὰ βασιλεὺς πτολεμαῖος, βασιλεῖ πύρρῳ χαίρειν. λοιδορήσας δὲ τὸν λυσίμαχον, ὅμως ἐποιεῖτο τὴν εἰρήνην. καὶ συνῄεσαν ὡς κατὰ σφαγίων ὁρκωμοτήσοντες. ἐπεὶ δὲ κάπρου καὶ ταύρου καὶ
αὐτομάτη. π. κριοῦ προσαχθέντων, ὁ κριὸς αὐτόματος ἀπέθανε, τοῖς μὲν ἄλλοις, γελᾶν ἐπῄει. τὸν δὲ πύρρον ὁ μάντις θεόδοτος ὀμόσαι διεκώλυσε, φήσας τὸ δαιμόνιον ἑνὶ προσημαίνειν τῶν τριῶν βασιλέων θάνατον. ὁ μὲν οὖν πύρρος, οὕτως ἀπέστη τῆς εἰρήνης. τῷ δὲ ἀλεξάνδρῳ τῶν πραγμάτων ἤδη κατάστασιν ἐχόντων, ὅμως ὁ δημήτριος ἀφίκετο. καὶ δῆλος μὲν ἦν εὐθὺς ἥκων, μὴ δεομένῳ. καὶ φόβον παρεῖχεν. ὀλίγας δὲ ἡμέρας συγγενόμενοι, δι' ἀπιστίας ἐπεβούλευσαν ἀλλήλοις ἀμφότεροι. καιρῷ δὲ χρησάμενος καὶ φθάσας, ἀποκτίννυσιν ὁ δημήτριος τὸ μειράκιον. καὶ βασιλεὺς ἀνηγορεύθη μακεδονίας. ἦν μὲν οὖν καὶ πρότερον αὐτῷ πρὸς τὸν πύρρον ἐγκλήματα. καὶ καταδρομαὶ τῆς θεσσαλίας, ἐγεγόνεισαν ὑπ' ἐκείνου. καὶ τὸ σύμφυτον νόσημα ταῖς δυναστείαις, ἡ πλεονεξία, τὴν γειτνίασιν αὐτοῖς ἐπίφοβον καὶ ἄπιστον παρεῖχε. καὶ μᾶλλον ἔτι μετὰ τὴν, τῆς δηϊδαμείας τελευτὴν, ἐπεὶ δὲ καὶ κατασχόντες ἀμφότεροι μακεδονίας συνέπιπτον εἰς τὸ αὐτὸ, καὶ μείζονας ἐλάμβανε προφάσεις ἡ διαφορὰ, δημήτριος μὲν ἐπ' αἰτωλοὺς στρατευσάμενος καὶ κρατήσας πάνταυχον αὐτόθι μετὰ πολλῆς δυνάμεως καταλιπὼν, αὐτὸς ἐβάδιζεν ἐπὶ πύρρον. καὶ πύρρος ἐπ' ἐκεῖνον, ὡς ᾔσθετο. γενομένης δὲ διαμαρτίας καθ' ὁδὸν, ἀλλήλους παρήλλαξαν. καὶ δημήτριος μὲν ἐμβαλὼν εἰς ἤπειρον ἐλεηλάτει. πύρρος δὲ πανταύχῳ περιπεσὼν, εἰς μάχην κατέστη. καὶ τῶν στρατιωτῶν συμπεσόντων, δεινὸς ἦν καὶ μέγας ἀγὼν, μάλιστα κατὰ τοὺς ἡγεμόνας. ὅ, τε γὰρ πάνταυχος, ἀνδρείᾳ καὶ χειρὶ καὶ ῥώμῃ σώματος ἄριστος ὢν ὁμολογουμένως τῶν περὶ δημήτριον στρατηγῶν. καὶ θάρσος ἔχων. καὶ φρόνημα, προὐκαλεῖτο τὸν πύρρον, εἰς τὰς χεῖρας. ὅ, τε πύρρος οὐδενὶ τῶν βασιλέων ὑφιέμενος ἀλκῆς καὶ δόξης. καὶ τὴν ἀχιλλέως δόξαν αὐτῷ δι' ἀρετὴν μᾶλλον ἢ κατὰ γένος συνοικειοῦν βουλόμενος, ἐναντίος ἐχώρει διὰ τῶν προμάχων ἐπὶ τὸν πάνταυχον. ἦν δὲ δορατισμὸς τὸ πρῶτον. εἶτα ἐν χερσὶν γενόμενοι μετὰ τέχνης, ἀλλὰ καὶ βίας, ἐχρῶντο τοῖς ξίφεσιν. λαβὼν δὲ ὁ πύρρος ἓν τραῦμα, δοὺς δὲ, δύο. τὸ μὲν, εἰς τὸν μηρόν. τὸ δὲ, παρὰ τὸν τράχηλον, ἐτρέψατο καὶ κατέβαλε τὸν πάνταυχον, οὐ μὴν ἀνεῖλεν. ἀνηρπάγη γὰρ ὑπὸ τῶν φίλων. οἱ δὲ ἠπειρῶται τῇ νίκῃ τοῦ βασιλέως ἐπαρθέντες καὶ θαυμάσαντες τὴν ἀρετὴν, ἐβιάσαντο καὶ διέκοψαν τὴν φάλαγγα τῶν μακεδόνων. καὶ φεύγοντας, διώκοντες, ἀπέκτεινάν τε πολλοὺς καὶ πεντακισχιλίους ζῶντας εἷλον. ὁ δὲ ἀγὼν οὗτος οὐ τοσοῦτον ὀργῆς ὧν ἔπαθον, οὐδὲ μίσους ἐνέπλησε τοὺς μακεδόνας
π. πρὸς τὸν πύρρον, ὅσην δόξαν αὐτοῦ, καὶ θαῦμα τῆς ἀρετῆς, καὶ λόγον, ἐνειργάσατο τοῖς ἰδοῦσι τὰ ἔργα, καὶ συνενεχθεῖσι κατὰ τὴν μάχην. καὶ γὰρ ὄψιν ὤοντο καὶ τάχος ἐοικέναι καὶ κίνημα τοῖς ἀλεξάνδρου. καὶ τῆς φορᾶς ἐκείνης καὶ βίας, παρὰ τοὺς ἀγῶνας, ἐν τούτῳ σκιὰς ὁρᾶσθαι καὶ μιμήματα. τῶν μί π.
ἄλλων βασιλέων, ἐν πορφύραις καὶ δορυφόροις καὶ κλίσει τραχήλου, καὶ τῷ μεῖζον διαλέγεσθαι. μόνου δὲ πύρρου τοῖς ὅπλοις καὶ ταῖς χερσὶν ἐπιδεικνυμένου τὸν ἀλέξανδρον. τῆς δὲ περὶ τάξεις καὶ στρατηγίας ἐπιστήμης αὐτοῦ καὶ δεινότητος, ἔνεστι δείγματα λαβεῖν, ἐκ τῶν γραμμάτων ἃ περὶ τούτων ἀπολέλοιπε. λέγεται δὲ καὶ ἀντίγονος ἐρωτηθεὶς, τίς ἄριστος τῶν στρατηγῶν, φάναι. πύρρος ἂν γηράσῃ, περὶ τῶν καθ' αὑτὸν, οὕτως ἀποφηνάμενος μόνον. ἀννίβας δὲ συμπάντων ἀπέφαινε τῶν στρατηγῶν, πρῶτον μὲν ἐμπειρίᾳ καὶ δεινότητι πύρρον. σκιπίωνα δὲ, δεύτερον. ἑαυτὸν δὲ, τρίτον. ὡς ἐν τοῖς περὶ σκιπίωνος γέγραπται. καὶ ὅλως τοῦτο μελετῶν ἔοικε καὶ φιλοσοφῶν ἀεὶ διατελεῖν ὁ πύρρος, ὡς
λέγεται. π. μαθημάτων βασιλικώτατον. τὰς δὲ ἄλλας γλαφυρίας, ἐν οὐδενὶ λόγῳ τίθεσθαι. λέγεσθαι γὰρ ὡς ἐρωτηθεὶς ἐν πότῳ. πότερον φαίνεται αὐτῷ πύθων αὐλητὴς ἀμείνων, ἢ καφισίας, εἰπεῖν, ὅτι πολυσπέρχων στρατηγός. ὡς ταῦτα τῷ βασιλεῖ ζητεῖν μόνα καὶ γινώσκειν, προσῆκον. ἦν δὲ καὶ πρὸς τοὺς συνήθεις ἐπιεικὴς, καὶ πρᾶος ὀργήν. σφοδρὸς δὲ καὶ πρόθυμος ἐν ταῖς χάρισιν. ἀερόπου γοῦν ἀποθανόντος, οὐκ ἤνεγκε μετρίως. ἐκεῖνον μὲν ἀνθρώπινα πεπονθέναι φάσκων. ἑαυτὸν δὲ μεμφόμενος καὶ κακίζων,, ὅτι μέλλων ἀεὶ καὶ βραδύνων, χάριν οὐκ ἀπέδωκεν αὐτῷ. τὰ μὲν γὰρ χρέα, καὶ κληρονόμοις ἔστιν ἀποδοῦναι τῶν δανεισάντων. αἱ δὲ τῶν χαρίτων ἀμοιβαὶ μὴ γενόμεναι πρὸς αἰσθανομένους, ἀνιῶσι τὸν χρηστὸν καὶ δίκαιον. ἐν δὲ ἀμβρακίᾳ κακολόγον τινὰ καὶ βλάσφημον ἄνθρωπον, οἰομένων δεῖν μεταστῆσαι τὸν πύρρον, αὐτοῦ μένων ἔφη μᾶλλον ἡμᾶς ἐν ὀλίγοις, ἢ περιιὼν πρὸς ἅπαντας ἀνθρώπους, κακῶς λεγέτω. καὶ τοὺς παρ' οἶνον αὐτὸν λοιδορήσαντας, εἶτα ἐλεγχομένους, ἠρώτησεν εἰ ταῦτα εἶπον.
λέγει. π. ς. κ. ἀποκριναμένου δὲ τῶν νεανίσκων ἑνὸς, ταῦτα ὦ βασιλεῦ. πλείονα δ' ἂν τούτων εἰρήκειμεν, εἰ πλείων παρῆν οἶνος

μα τὸ σπλάγχνον. οὐδεὶς δὲ ἦν πένης, οὔτ' ἄδοξος οὕτως, ὥς τε μὴ τυχεῖν τῆς ἰατρείας δεηθείς. ἐλάμβανε δὲ καὶ τὸν ἀλεκτρυόνα θύσας, καὶ τὸ γέρας τοῦτο, ἥδιστον ἦν αὐτῷ. λέγεται δὲ τοῦ ποδὸς ἐκείνου τὸν μείζονα δάκτυλον ἔχειν δύναμιν θείαν, ὥς τε μετὰ τὴν τελευτὴν τοῦ λοιποῦ σώματος κατακαέντος, ἀπαθῆ καὶ ἄθικτον ὑπὸ τοῦ πυρὸς εὑρεθῆναι. ταῦτα μὲν οὖν ὕστερον. γενομένῳ δὲ περὶ ἑπτακαίδεκα ἔτη καὶ δοκοῦντι τὴν ἀρχὴν ἔχειν βεβαίως, ἀποδημία τις συνέτυχε, τῶν γλαυκίου παίδων ἑνός, οἷς συνετέθραπτο γυναῖκα λαμβάνοντος, πάλιν οὖν οἱ μολοσσοὶ συστάντες, ἐξέβαλον τοὺς φίλους αὐτοῦ. καὶ τὰ χρήματα διήρπασαν. καὶ νεοπτολέμῳ παρέδωκαν ἑαυτούς. ὁ δὲ πύρρος οὔπω τὴν ἀρχὴν ἀποβαλών. καὶ γενόμενος πάντων ἔρημος, δημητρίῳ τῷ ἀντιγόνου, προσέμιξεν ἑαυτόν, ἔχοντι τὴν ἀδελφὴν ἑαυτοῦ δηιδάμειαν. ἣν ἔτι μὲν οὖσαν κόρην, ὠνόμαζον ἀλεξάνδρου τοῦ ῥωξάνης, γυναῖκα. τῶν δὲ κατ' ἐκείνους δυστυχηθέντων, ὥραν ἔχουσαν αὐτήν, ἔγημεν ὁ δημήτριος. τῆς δὲ μεγάλης μάχης ἣν ἐν ἰψῷ πάντες οἱ βασιλεῖς τῆς γῆς ἠγωνίσαντο, παρὼν ὁ πύρρος, τοῖς δημητρίου συμμετεῖχε, μειράκιον ὢν ἔτι. καὶ τοὺς καθ' αὑτὸν ἐτρέψατο. καὶ διεφάνη λαμπρὸς ἐν τοῖς μαχομένοις. πταίσαντα δὲ δημήτριον οὐκ ἐγκατέλιπεν, ἀλλὰ καὶ τὰς ἐν τῇ ἑλλάδι πόλεις πιστευθείς, διεφύλαξε. καὶ συμβάσεων αὐτῷ γενομένων πρὸς πτολεμαῖον, ἔπλευσεν εἰς αἴγυπτον ὁ μηρεύσων. καὶ πτολεμαίῳ μὲν ἐν τε θήραις καὶ γυμνασίοις, ἐπίδειξιν ἀλκῆς καὶ καρτερίας παρέχων. τὴν δὲ βερενίκην ὁρῶν, μέγιστον δυναμένην, καὶ πρωτεύουσαν ἀρετῇ καὶ φρονήσει τῶν πτολεμαίου γυναικῶν, ἐθεράπευε μάλιστα. καὶ δεινὸς ὢν ὑπελθεῖν ἐπ' ὠφελείᾳ τοὺς κρείττονας, ὥσπερ ὑπερόπτης τῶν ταπεινοτέρων. κόσμιος δὲ καὶ σώφρων περὶ δίαιταν, ἐκ πολλῶν νέων ἡγεμονικῶν προεκρίθη λαβεῖν ἀντιγόνην, γυναῖκα τῶν βερενίκης θυγατέρων. ἣν ἔσχεν ἐκ φιλίππου, πρὶν ἢ πτολεμαίῳ συνοικεῖν. μετὰ δὲ τὸν γάμον τοῦτον, ἔτι μᾶλλον εὐδοκιμῶν. καὶ γυναικὸς ἀγαθῆς τῆς ἀντιγόνης περὶ αὐτὸν οὔσης, διεπράξατο χρήματα λαβὼν καὶ δύναμιν, εἰς ἤπειρον ἐπὶ τὴν βασιλείαν ἀποσταλῆναι, καὶ παρῆν οὐκ ἄκουσι πολλοῖς διὰ τὴν ἀπέχθειαν τοῦ νεοπτολέμου, χαλεπῶς καὶ βιαίως ἄρχοντος. πλὴν ἀλλὰ δείσας μὴ πρός τινας τῶν ἄλλων βασιλέων ὁ νεοπτόλεμος τράπηται, διαλύσεις ἔθετο καὶ φιλίαν πρὸς αὐτόν, ἐπὶ κοινωνίᾳ τῆς ἀρχῆς. χρόνου δὲ προϊόντος, ἦσαν οἱ παροξύνοντες αὐτοὺς κρύφα. καὶ κατ' ἀλλήλων ἐμποιοῦντες ὑποψίας. ἡ μέντοι μάλιστα κινήσασα τὸν πύρρον αἰτία, λέγεται τοιαύτην ἀρχὴν λαβεῖν. εἰώθεισαν οἱ βασιλεῖς ἐν πασσαρῶνι χώρᾳ τῆς μολοσσίδος, ἀρείῳ διῒ θύσαντες, ὁρκωμοτεῖν τοῖς ἠπειρώταις καὶ ὁρκίζειν. αὐτοὶ μὲν ἄρξειν κατὰ τοὺς νόμους. ἐκείνους δὲ τὴν βασιλείαν διαφυλάξειν κατὰ τοὺς νόμους. τοῦτ' οὖν ἐπράττετο ἀμφοτέρων τῶν βασιλέων παρόντων. καὶ συνῆσαν ἀλλήλοις μετὰ τῶν φίλων. δῶρα πολλὰ τὰ μὲν διδόντες. τὰ δὲ, λαμβάνοντες. ἐνταῦθα δὴ γέλων ἀνὴρ πιστὸς νεοπτολέμῳ δεξιωσάμενος φιλοφρόνως τὸν πύρρον, ἐδωρήσατο βοῶν ἀροτήρων δυσὶ ζεύγεσι. ταῦτα μυρτίλος ὁ ἐπὶ τοῦ οἴνου παρών, ᾔτει τὸν πύρρον, ἐκείνου δὲ μὴ διδόντος, ἀλλ' ἑτέρῳ, χαλεπῶς ἐνεγκὼν ὁ μυρτίλος, οὐκ ἔλαθε τὸν γέλωνα. καλέσας οὖν αὐτὸν ἐπὶ δεῖπνον, ὡς δὲ φασὶν ἔνιοι καὶ χρησάμενος παρ' οἶνον ὥραν ἔχοντι, λόγους προσήνεγκε, παρακαλῶν ἑλέσθαι τὰ τοῦ νεοπτολέμου, καὶ φαρμάκοις διαφθεῖραι τὸν πύρρον. ὁ δὲ μυρτίλος, ἐδέξατο μὲν τὴν πεῖραν, ὡς ἐπαινῶν καὶ συμπεπεισμένος, ἐμήνυσε δὲ τῷ πύρρῳ. καὶ κελεύσαντος ἐκείνου, τὸν ἀρχοινοχόον ἀλεξικράτην, τῷ γέλωνι συνέστησεν, ὡς δὴ μεθέξοντα τῆς πράξεως αὐτοῖς. ἐβούλετο γὰρ ἐν πλείοσιν ὁ πύρρος, τὸν ἔλεγχον γενέσθαι τοῦ ἀδικήματος. οὕτω δὲ τοῦ γέλωνος ἐξαπατωμένου, συνεξαπατώμενος ὁ νεοπτόλεμος, καὶ τὴν ἐπιβουλὴν ὁδῷ βαδίζειν οἰόμενος, οὐ κατεῖχεν. ἀλλ' ὑπὸ χαρᾶς, ἐξέφερε πρὸς τοὺς φίλους. καί ποτε κωμάσας παρὰ τὴν ἀδελφὴν καδμείαν, ἐχρῆτο λαλιᾷ περὶ τούτων, οὐδένα συνακούειν οἰόμενος. οὐδεὶς γὰρ ἦν πλησίον ἄλλος, ἢ φαιναρέτη γυνὴ σάμωνος τοῦ τὰ ποίμνια καὶ τὰ βουκόλια τῷ νεοπτολέμῳ διοικοῦντος. αὕτη δὲ ἀπεστραμμένη πρὸς τεῖχον ἐπὶ κλίνης τινός, ἐδόκει καθεύδειν. συνεῖσα δὲ πάντων γενομένων καὶ λαθοῦσα, μεθ' ἡμέραν ἧκε πρὸς τὴν πύρρου γυναῖκα. καὶ πάντα κατεῖπεν, ὅσα τοῦ νεοπτολέμου πρὸς τὴν ἀδελφὴν ἤκουσε λέγοντος. πυθόμενος δὲ ὁ πύρρος, ἐκεῖ μὲν ἡσυχίαν ἦγεν. ἐν δὲ θυσίᾳ καλέσας ἐπὶ δεῖπνον τὸν νεοπτόλεμον, ἀπέκτεινεν. αἰσθόμενος τῶν ἠπειρωτῶν τοὺς κρατίστους προσέχοντας αὐτῷ, καὶ παρακελευομένους ἀπαλλαγῆναι τοῦ νεοπτολέμου, καὶ μὴ μερίδα μικρὰν ἔχοντα βασιλείας ἀγαπᾶν, ἀλλὰ τῇ φύσει χρῆσθαι, μειζόνων πραγμάτων ἀντιλαμβανόμενον. καί τινος ὑποψίας ἅμα προσγενομένης, τὸν νεοπτόλεμον φθάσας ἀνελεῖν. μεμνημένος δὲ βερενίκης καὶ πτολεμαίου, παιδίον μὲν αὐτῷ γενόμενον ἐξ ἀντιγόνης, πτολεμαῖον ὠνόμασεν. οἰκίσας δὲ πόλιν ἐν τῇ χερρονήσῳ τῆς ἠπείρου, βερενικίδα προσηγόρευσεν. ἐκ δὲ τούτου, πολλὰ μὲν ἐνενόει καὶ μεγάλα τῇ γνώμῃ, ταῖς δὲ ἐλπίσι μάλιστα καὶ πρῶτον ἀντιλαμβανόμενος τῶν πλησίον, εὗρεν ἐμφῦναι τοῖς μακεδόνων πράγμασιν ἐκ τοιαύτης τινὸς προφάσεως. τῶν κασσάνδρου παίδων ὁ πρεσβύτερος ἀντίπατρος, τήν τε μητέρα θεσσαλονίκην ἀνεῖλε, καὶ τὸν ἀδελφὸν ἀλέξανδρον ἤλαυνεν. ὁ δὲ, πρός τε δημήτριον ἔπεμψε, δεόμενος βοηθεῖν καὶ πύρρον ἐπεκαλεῖτο. δημητρίου δ' ὑπ' ἀσχολιῶν βραδύνοντος, ἐπελθὼν ὁ πύρρος, ᾔτησε μισθὸν τῆς συμμαχίας, τήν τε νυμφαίαν.

ς. τ. κ. ρ. π. ς.

εσπρωτῶν καὶ μολοσσῶν, μετὰ τὸν κατακλυσμὸν, ἱστοροῦσι φαέθοντα, βασιλεῦσαι πρῶτον, ἕνα τῶν μετὰ πελασγοῦ παραγενομένων, εἰς τὴν ἤπειρον. ἔνιοι δὲ δευκαλίωνα καὶ πύρραν, εἱσαμένους τὸ περὶ δωδώνην ἱερὸν, αὐτόθι κατοικεῖν, ἐν μολοσσοῖς. χρόνῳ δὲ ὕστερον νεοπτόλεμος ὁ ἀχιλλέως λαὸν ἀγαγὼν, αὐτός τε τὴν χώραν κατέσχε. καὶ διαδοχὴν βασιλέων ἀφ' αὑτοῦ κατέλιπε πυρρίδας ἐπικαλουμένους. καὶ γὰρ αὐτῷ πύρρος ἦν παιδικὸν ἐπωνύμιον. καὶ τῶν γνησίων παίδων ἐκ λανάσσης τῆς κλεοδαίου τοῦ ὕλλου γενομένων, ἕνα πύρρον ὠνόμασεν. ἐκ τούτου δὲ, καὶ ἀχιλλεὺς ἐν ἠπείρῳ, τιμὰς ἰσοθέους ἔσχεν. ἄσπετος ἐπιχωρίῳ φωνῇ, προσαγορευόμενος. μετὰ δὲ τοὺς πρώτους, τῶν διὰ μέσου βασιλέων ἐκβαρβαρωθέντων. καὶ γενομένων τῇ τε δυνάμει καὶ τοῖς βίοις ἀμαυροτέρων, θαρρύπαν πρῶτον ἱστοροῦσιν, ἑλληνικοῖς ἔθεσι καὶ γράμμασι καὶ νόμοις φιλανθρώποις διακοσμήσαντα τὰς πόλεις, ὀνομαστὸν γενέσθαι. θαρρύπου δὲ, ἀλκέτας υἱὸς ἦν. ἀλκέτου δὲ, ἀρύββας. ἀρύββα δὲ καὶ τρῳάδος, αἰακίδης. οὗτος ἔγημε τὴν μένωνος τοῦ θεσσαλοῦ θυγατέρα, φθίαν. ἀνδρὸς εὐδοκίμου περὶ τὸν λαμιακὸν πόλεμον γενομένου. καὶ μέγιστον ἀξίωμα τῶν συμμάχων μετὰ λεωσθένην λαβόντος. ἐκ δὲ τῆς φθίας, τῷ αἰακίδῃ, γίνονται θυγατέρες. δηιδάμεια καὶ τρῳάς, υἱὸς δὲ πύρρος. ἐπεὶ δὲ στασιάσαντες οἱ μολοσσοὶ, καὶ τὸν αἰακίδην ἐκβαλόντες, ἐπηγάγοντο τοὺς νεοπτολέμου παῖδας. οἱ μὲν φίλοι τοῦ αἰακίδου διεφθάρησαν καταληφθέντες. τὸν δὲ πύρρον ἔτι νήπιον ὄντα, καὶ ζητούμενον ὑπὸ τῶν πολεμίων, ἐκκλέψαντες οἱ περὶ ἀνδροκλείδην καὶ ἄγγελον, ἔφευγον. οἰκέτας ὀλίγους καὶ γύναια τιθηνούμενα τὸ παιδίον, ἀναγκαίως ἐφελκόμενοι. καὶ διὰ τοῦτο τῆς φυγῆς γενομένης αὐτοῖς δυσέργου καὶ βραδείας, καταλαμβανόμενοι, τὸ μὲν παιδίον ἐγχειρίζουσιν ἀνδροκλείωνι καὶ ἱππίᾳ καὶ νεάνδρῳ, νεανίσκοις οὖσι πιστοῖς καὶ ῥωμαλέοις, ἀνακρατὶ φεύγειν καὶ μεγάρων ἔχεσθαι, χωρίου μακεδονικοῦ προστάξαντες. αὐτοὶ δὲ, τὰ μὲν δεόμενοι. τὰ δὲ, διαμαχόμενοι τοῖς διώκουσιν, ἐμποδὼν ἦσαν ἄχρι δείλης ὀψίας. ἀφεπομένων δὲ μόλις ἐκείνων, μετέθεον τοὺς τὸν πύρρον κομίζοντας. ἤδη δὲ τοῦ ἡλίου καταδεδυκότος, ἐγγὺς γενόμενοι τῆς ἐλπίδος, ἐξαίφνης ἀπεκόπησαν ἐντυχόντες τῷ παρὰ πόλιν παραρρέοντι ποταμῷ, χαλεπῷ μὲν ὀφθῆναι καὶ ἀγρίῳ, πειρωμένοις δὲ διαβῆναι παντάπασιν ἀπορωτάτῳ. πολύ τε γὰρ ὕδωρ ἐπῆγε τὸ ῥεῦμα καὶ θολερὸν, ὄμβρων ἤδη γενομένων, καὶ τὸ σκότος ἐποίει πάντα φοβερώτερα. καθ' αὑτοὺς μὲν οὖν ἀπέγνωσαν ἤδη περᾶν παιδίον φέροντες, καὶ γύναια τὰ φέροντα τὸ παιδίον. αἰσθόμενοι δὲ τινὰς τῶν ἐγχωρίων, ἐν τῷ πέραν ἑστῶτας, ἐδέοντο συλλαβέσθαι πρὸς τὴν διάβασιν. καὶ τὸν πύρρον ἀνεδείκνυσαν, βοῶντες καὶ ἱκετεύοντες. οἱ δὲ, οὐ κατήκουον διὰ τραχύτητα καὶ πάταγον τοῦ ῥεύματος. ἀλλ' ἦν διατριβή. τῶν μὲν βοώντων. τῶν δὲ, μὴ συνιέντων. ἄχρι τις ἐννοήσας, καὶ περιελὼν δρυὸς φλοιὸν, ἀνέγραψε περόνῃ γράμματα φράζοντα. τήν τε χρείαν καὶ τὴν τύχην τοῦ παιδός. εἶτα λίθῳ τὸν φλοιὸν περιελίξας, καὶ χρησάμενος ὥσπερ ὁρμῇ τῆς βολῆς, ἀφῆκεν εἰς τὸ πέραν. ἔνιοι δὲ φασὶ, <u>σαυνίῳ</u> περιπήξαντας, ἀκοντίσαι τὸν φλοιόν. ὡς δ' οὖν ἀνέγνωσαν οἱ πέραν τὰ γράμματα καὶ συνεῖδον τὴν ὀξύτητα τοῦ καιροῦ. κόπτοντες ξύλα καὶ πρὸς ἄλληλα συνδέοντες, ἐπεραιοῦντο. καὶ κατὰ τύχην ὁ πρῶτος αὐτῶν περαιωθεὶς, ἀχιλλεὺς τοὔνομα, τὸν πύρρον ἐδέξατο. τοὺς δ' ἄλλους, ὡς ἔτυχον οἱ ἄλλοι διεκόμιζον. οὕτω δὲ σωθέντες καὶ φθάσαντες τὴν δίωξιν, εἰς ἰλλυριοὺς παρεγένοντο πρὸς γλαυκίαν τὸν βασιλέα. καὶ καθεζόμενον εὑρόντες οἴκοι μετὰ τῆς γυναικὸς, ἐν μέσῳ τὸ παιδίον ἐπὶ τῆς γῆς κατέθεσαν. ὁ δὲ, ἦν ἐπὶ γνώμης, κάσανδρον δεδοικὼς, ἐχθρὸν ὄντα τοῦ αἰακίδου. καὶ σιωπὴν εἶχε πολὺν χρόνον, βουλευόμενος. ἐν τούτῳ δὲ ὁ πύρρος ἀπὸ ταὐτομάτου προσερπύσας καὶ λαβόμενος τοῦ <u>ἱματίου</u> ταῖς χερσὶ, καὶ προσεξαναστὰς πρὸς τὰ γόνατα τοῦ γλαυκίου, γέλωτα πρῶτον. εἶτα οἶκτον παρέσχεν. ὥσπερ τις ἱκέτης δεόμενος καὶ δακρύων. ἔνιοι δὲ φασὶν, οὐ τῷ γλαυκίᾳ προσπεσεῖν αὐτὸν, ἀλλὰ βωμοῦ θεῶν προσλαβόμενον, ἑστάναι πρὸς αὐτῷ περιβάλλοντα τὰς χεῖρας. καὶ τὸ πρᾶγμα τῷ γλαυκίᾳ, θεῖον φανῆναι. διὸ καὶ παραυτίκα τὸν πύρρον, ἐνεχείρισε τῇ γυναικὶ, κελεύσας ἅμα τοῖς τέκνοις τρέφεσθαι. καὶ μικρὸν ὕστερον, ἐξαιτουμένων τῶν πολεμίων. κασάνδρου δὲ καὶ διακόσια τάλαντα διδόντος, οὐκ ἐξέδωκεν. ἀλλὰ καὶ γενόμενον δυοκαιδεκέτη, καταγαγὼν εἰς ἤπειρον μετὰ δυνάμεως, βασιλέα κατέστησεν. ἦν δὲ ὁ πύρρος. τῇ μὲν ἰδέᾳ τοῦ προσώπου, φοβερώτερον ἔχων ἢ σεμνότερον τὸ βασιλικόν. πολλοὺς δὲ ὀδόντας οὐκ εἶχεν. ἀλλ' ἓν ὀστέον συνεχὲς ἦν ἄνωθεν. λεπταῖς ἀμυχαῖς, τὰς διαφυὰς ὑπογεγραμμένον τῶν ὀδόντων. τοῖς δὲ σπληνιῶσιν ἐδόκει βοηθεῖν, ἀλεκτρυόνα <u>θῦον</u> λευκὸν, ὑπτίων τε κατακειμένων, τῷ δεξιῷ ποδὶ πιέζων ἀρέμα

[Marginal notes:]

τρωάδος. ς. κ.

τρωάδ. π.

μενοι π.

σαυνίον ἀκόντιον, βαρβαρικόν. ἢ ὅπλον.

ἱμάτιον

εἶχεν τ. π. ς. θύων

π

τῆς πατρίδος δι' ὀργὴν, ἀφεῖλε τὴν περιοικίδα συντέλειαν. ἔτι δὲ, ὁ μὲν τοῖς παθοῦσιν ἀεὶ βέβαιος. ὁ δὲ, ἣν μὴ λῦσαι χάριν ἕτοιμος. λακεδαιμονίων μὲν γὰρ εὐεργέτης πρότερον ὤν, ὕστερον, καὶ τὰ τείχη κατέσκαψεν, καὶ τὴν χώραν περιέκοψεν. καὶ τέλος, αὐτὴν μετέβαλε καὶ διέφθειρε τὴν πολιτείαν. ἐδόκει δὲ καὶ τὸν βίον ὀργῇ προέσθαι καὶ φιλονεικίᾳ, μὴ κατὰ καιρὸν, ἀλλ' ὀξύτερον τοῦ δέοντος, εἰς μεσσήνην ἐπειχθείς. οὐχ ὥσπερ τίτος παντὶ λογισμῷ καὶ πρὸς ἀσφάλειαν στρατηγήσας. ἀλλὰ πλήθει τε πολέμων καὶ τροπαίων, ἡ φιλοποίμενος ἐμπειρία βεβαιοτέρα. τῷ μὲν γὰρ τὰ πρὸς φίλιππον ἐκρίθη δυοῖν ἀγώνοιν. ὁ δὲ μυρίας μάχας κατορθώσας, οὐδὲ μίαν ἀμφισβήτησιν τῇ τύχῃ πρὸς τὴν ἐπιστήμην ἀπολέλοιπεν. ἔτι δὲ, ὁ μὲν, τῇ ῥωμαίων ἀκμὴν ἐχούσῃ δυνάμει χρησάμενος. ὁ δὲ τῆς ἑλλάδος ἤδη φθινούσης, ἐπακμάσας, δόξαν ἔσχεν. ὥστε τοῦ μὲν, ἴδιον. τοῦ δὲ, κοινὸν ἔργον εἶναι τὸ κατορθούμενον. ὁ μὲν γὰρ, ἦρχεν ἀγαθῶν. ὁ δὲ ἄρχων, ἀγαθοὺς ἐποίει. καὶ μὴν τῷ γε πρὸς ἕλληνας τούτῳ γενέσθαι τοὺς ἀγῶνας, οὐκ εὐτυχῆ μὲν, ἰσχυρὰν δὲ τῆς ἀρετῆς ἀπόδειξιν παρεῖχεν. οἷς γὰρ ὅμοια τἆλλα, τῷ προὔχειν, ἀρετῇ κρατοῦσι. καὶ γὰρ δὴ πολεμικωτάτοις ἑλλήνων κρησὶ καὶ λακεδαιμονίοις πολεμήσας. τῶν μὲν πανουργοτάτων, δόλῳ. τῶν δὲ ἀλκιμωτάτων, τόλμῃ περιεγένετο. πρὸς δὲ τούτοις, τίτος μὲν, ἐξ ὑποκειμένων οἰκεῖα χρώμενος πολέμοις καὶ τάξεσιν ἃς παρέλαβεν. φιλοποίμην δὲ, αὐτὸς ἐπεισενεγκὼν, καὶ μεταβαλὼν τὸν περὶ ταῦτα κόσμον. ὥστε τὸ νικηκότατον, ὑφ' οὗ μὲν, ὅλον εὑρῆσθαι. τῷ δὲ, ὑπάρχειν βοηθεῖν. κατὰ χεῖρα τοίνυν, φιλοποίμενος μὲν ἔργα, πολλὰ καὶ μεγάλα. τίτου δὲ, οὐδέν. ἀλλὰ καὶ τῶν αἰτωλῶν τις αὐτὸν ἀρχέδημος ἐπέσκωπτεν. ὡς ὅτε αὐτὸς ἐσπασμένος τὴν μάχαιραν, ἔθει δρόμῳ πρὸς τοὺς μαχομένους, καὶ τοὺς συνεστῶτας τῶν μακεδόνων, τοῦ τίτου, τὰς χεῖρας εἰς τὸν οὐρανὸν ὑπτίας ἀνατείναντος ἑστῶτος καὶ προσευχομένου. καὶ μὴν, τίτῳ μὲν ἄρχοντι συνέβη, καὶ πρεσβεύοντι, πάντα πρᾶξαι τὰ καλά. φιλοποίμην δὲ, οὐ χείρονα παρέσχεν, οὐδὲ ἀπρακτότερον ἑαυτὸν ἰδιώτην, ἢ στρατηγὸν, τοῖς ἀχαιοῖς. στρατηγὸς μὲν γὰρ ὢν νάβιν ἐξέβαλεν ἐκ μεσσήνης, καὶ μεσσηνίους ἠλευθέρωσεν. ἰδιώτης δὲ, διοφάνην τὸν στρατηγὸν, καὶ τίτον ἐπερχομένους, ἀπέκλεισε τῆς σπάρτης. καὶ λακεδαιμονίους διέσωσεν. οὕτως ἡγεμονικὴν φύσιν ἔχων, οὐ κατὰ τοὺς νόμους, ἀλλὰ καὶ τῶν νόμων ἄρχειν ἠπίστατο πρὸς τὸ συμφέρον. οὐ δεόμενος παρὰ τῶν ἀρχομένων λαβεῖν τὸ ἄρχειν, ἀλλὰ χρώμενος αὐτοῖς, ὅπου καιρὸς εἴη τὸν ὑπὲρ αὐτῶν φρονοῦντα μᾶλλον, ἢ τὸν ὑπ' αὐτῶν ᾑρημένον ἡγούμενος στρατηγόν. γενναῖα μὲν οὖν τίτου, τὰ πρὸς τοὺς ἕλληνας ἐπιεικῆ καὶ φιλάνθρωπα. γενναιότερα δὲ φιλοποίμενος τὰ πρὸς τοὺς ῥωμαίους ἰσχυρὰ καὶ φιλελεύθερα. ῥᾷον γὰρ χαρίζεσθαι τοῖς δεομένοις, ἢ λυπεῖν ἀντιτείνοντα τοὺς δυνατωτέρους. ἐπεὶ δὲ οὕτως ἐξεταζομένων δυσθεώρητος ἡ διαφορὰ, σκόπει, μὴ τῷ μὲν ἕλληνι τὸν ἐμπειρίας πολεμικῆς, καὶ στρατηγίας στέφανον. τῷ δὲ ῥωμαίῳ, τὸν δικαιοσύνης καὶ χρηστότητος ἀποδιδόντες, οὐ φαύλως διαιτᾶν, δόξωμεν.

οἰκίαν ἀφικόμενος, καὶ τὸν Ἀννίβαν ἰδὼν αὐτόθι διαιτώμενον, ἠγανάκτησεν εἰ ζῇ. καὶ πολλὰ τοῦ Προυσίου δεομένου καὶ λιπαροῦντος ὑπὲρ ἀνδρὸς ἱκέτου καὶ συνήθους, οὐ παρῆκεν. χρησμοῦ δέ τινος ὡς ἔοικε παλαιοῦ, περὶ τῆς Ἀννίβου τελευτῆς οὕτως ἔχοντος. Λίβυσσα κρύψει βῶλος Ἀννίβου δέμας. ὁ μὲν ἄρα Λιβύην ὑπενόει καὶ τὰς ἐν Καρχηδόνι ταφάς, ὡς ἐκεῖ καταβιωσόμενος. ἐν δὲ Βιθυνίᾳ τόπος ἐστὶ θινώδης ἐπὶ θαλάσσης, καὶ πρὸς αὐτῷ κώμη τις οὐ μεγάλη, Λίβυσσα καλεῖται. περὶ ταύτην ἔτυχε διατρίβων Ἀννίβας. ἀεὶ δὲ ἀπιστῶν τῇ τοῦ Προυσίου μαλακίᾳ, καὶ φοβούμενος τοὺς Ῥωμαίους, τὴν οἰκίαν ἔτι πρότερον ἐξόδοις ἑπτὰ καταγείοις συντετρημένην ἐκ τῆς ἑαυτοῦ διαίτης εἶχεν, ἄλλην κατ' ἄλλο τῶν ὑπονόμων, πόρρω δὲ πάντων ἀδήλως ἐκφερόντων. ὡς οὖν ἤκουσε τότε τὸ πρόσταγμα τοῦ Τίτου, φεύγειν μὲν ὥρμησε διὰ τῶν ὑπονόμων, ἐντυχὼν δὲ φυλακαῖς βασιλικαῖς, ἔγνω δι' αὑτοῦ τελευτᾶν. ἔνιοι μὲν οὖν λέγουσιν, ὡς ἱμάτιον τῷ τραχήλῳ περιβαλὼν, καὶ κελεύσας οἰκέτῃ ὄπισθεν ἐρείσαντα κατὰ τοῦ ἰσχίου τὸ γόνυ, καὶ σφοδρῶς ἀνακλάσαντα, συντεῖναι καὶ περιστρέψαι, μέχρι ἂν ἐκθλίψας τὸ πνεῦμα διαφθείρῃ αὐτόν. ἔνιοι δὲ, μιμησάμενον Θεμιστοκλέα καὶ Μίδαν, αἷμα ταύρειον πιεῖν. Λίβιος δέ φησι φάρμακον ἔχοντα κεράσαι, καὶ τὴν κύλικα δεξάμενον εἰπεῖν. ἀναπαύσωμεν ἤδη ποτὲ τὴν πολλὴν φροντίδα Ῥωμαίων, οἳ μακρὸν ἡγήσαντο καὶ βαρὺ, μισουμένου γέροντος ἀναμεῖναι θάνατον. οὐ μὴν οὐδὲ Τίτος ἀξιοζήλωτον οἴσεται νίκην. οὐδὲ τῶν προγόνων ἀξίαν, οἳ Πύρρῳ πολεμοῦντι καὶ κρατοῦντι, τὴν μέλλουσαν ὑποπέμψαντες κατεμήνυσαν φαρμακείαν. οὕτω μὲν τὸν Ἀννίβαν ἀποθανεῖν λέγουσιν. ἀπαγγελθέντων δὲ τούτων πρὸς τὴν σύγκλητον, οὐκ ὀλίγοις ἐπαχθὴς ἔδοξεν ὁ Τίτος, καὶ περιττὸς ἄγαν, καὶ ὠμός, ὥσπερ ὄρνιν ὑπὸ γήρως ἄπτιλα καὶ κόλουρον ἀφειμένον ζῆν, χειροήθη τὸν Ἀννίβαν, ἀποκτείνας οὐδενὸς ἐπείγοντος, ἀλλὰ διὰ δόξαν, ὡς ἐπώνυμος τοῦ θανάτου γένοιτο. καὶ τὴν Ἀφρικανοῦ Σκηπίωνος ἐκ τούτου πραότητα καὶ μεγαλοψυχίαν, ἔτι μᾶλλον ἐθαύμαζον, ὃς ἀήττητον ὄντα καὶ φοβερὸν, ἐν Λιβύῃ καταπολεμήσας Ἀννίβαν, οὔτε ἐξήλασεν, οὔτε ἐξῃτήσατο παρὰ τῶν πολιτῶν, ἀλλὰ καὶ πρὸ τῆς μάχης εἰς λόγους ἐλθὼν, ἐδεξιώσατο. καὶ μετὰ τὴν μάχην σπενδόμενος, οὐδὲν ἐπετόλμησεν, οὐδ' ἐπενέβη τῇ τύχῃ τοῦ ἀνδρός. λέγεται δὲ αὖθις ἐν Ἐφέσῳ συμβαλεῖν αὐτούς, καὶ πρῶτον μὲν ἐν τῷ συμπεριπατεῖν τοῦ Ἀννίβου τὴν προσήκουσαν ἐν ἀξιώματι τάξιν εἶναι προλαβόντος, ἀνέχεσθαι καὶ περιπατεῖν ἀφελῶς τὸν Ἀφρικανόν. ἔπειτα, λόγου περὶ στρατηγῶν ἐμπεσόντος, καὶ τοῦ Ἀννίβου κράτιστον ἀποφηναμένου γεγονέναι τῶν στρατηγῶν Ἀλέξανδρον, εἶτα Πύρρον, τρίτον δὲ αὑτὸν, ἠσυχῆ μειδιάσαντα τὸν Ἀφρικανὸν ἐπερέσθαι. τί δὲ εἰ μή σε ἐγὼ ἐνενικήκειν; καὶ τὸν Ἀννίβαν, οὐκ ἂν ὦ Σκηπίων φάναι τρίτον ἐμαυτὸν, ἀλλὰ πρῶτον ἐποιούμην τῶν στρατηγῶν.

Ταῦτα δὴ τοῦ Σκηπίωνος οἱ πολλοὶ θαυμάζοντες, ἐκάκιζον τὸν Τίτον, ὡς ἀλλοτρίῳ νεκρῷ προσενεγκόντα τὰς χεῖρας. ἔνιοι δὲ ἦσαν οἱ τὸ πεπραγμένον ἐπαινοῦντες. καὶ τὸν Ἀννίβαν ἕως ἔζη, πῦρ ἡγούμενοι δεόμενον τοῦ ῥιπίζοντος. μὴ δὲ γὰρ ἀκμάζοντος αὐτοῦ τὸ σῶμα Ῥωμαίοις καὶ τὴν χεῖρα φοβερὰν, ἀλλὰ τὴν δεινότητα καὶ τὴν ἐμπειρίαν γεγονέναι μετὰ τῆς ἐμφύτου πικρίας καὶ δυσμενείας, ὧν οὐδὲν ἀφαιρεῖ τὸ γῆρας, ἀλλ' ὑπομένει τὴν φύσιν ἐν τῷ ἤθει. τὴν δὲ τύχην, οὐ διαμένειν ὁμοίαν, ἀλλὰ μεταπίπτουσαν, ἐκκαλεῖσθαι ταῖς ἐλπίσι πρὸς τὰς ἐπιθέσεις, τοὺς ἀεὶ τῷ μισεῖν πολεμοῦντας. καὶ τὰ ὕστερά πως ἔτι μᾶλλον ἐμαρτύρησε τῷ Τίτῳ. τοῦτο μὲν Ἀριστόνικος ὁ τοῦ κιθαρῳδοῦ, διὰ τὴν Εὐμενοῦς δόξαν ἐμπλήσας ἅπασαν ἀποστάσεων καὶ πολέμων τὴν Ἀσίαν. τοῦτο δὲ Μιθριδάτης μετὰ Σύλλαν καὶ Φιμβρίαν, καὶ τοσοῦτον ὄλεθρον στρατευμάτων καὶ στρατηγῶν, αὖθις ἐπὶ Λεύκολλον ἐκ γῆς ὁμοῦ καὶ θαλάττης ἀναστὰς τηλικοῦτος. οὐ μὴν οὐδὲ Γαΐου Μαρίου ταπεινότερος Ἀννίβας ἔκειτο. τῷ μὲν γὰρ, βασιλεὺς φίλος ὑπῆρχε καὶ βίος καὶ συνήθεις, καὶ διατριβαὶ περὶ ναῦς καὶ ἵππους, καὶ στρατιωτῶν ἐπιμέλειαι.

Τὰς δὲ Μαρίου τύχας Ῥωμαῖοι γελῶντες, ἀλωμένου καὶ πτωχεύοντος ἐν Λιβύῃ, μετὰ μικρὸν ἐν Ῥώμῃ σφαττόμενοι καὶ μαστιγούμενοι προσεκύνουν. οὕτως οὐδὲν οὔτε μικρὸν, οὔτε μέγα τῶν παρόντων πρὸς τὸ μέλλον ἐστίν. ἀλλὰ μία τοῦ μεταβάλλειν τελευτὴ καὶ τοῦ εἶναι. διὸ καὶ φασὶν ἔνιοι τὸν Τίτον οὐκ ἀφ' ἑαυτοῦ ταῦτα πρᾶξαι, πεμφθῆναι δὲ πρεσβευτὴν μετὰ Λευκίου Σκηπίωνος, οὐδὲν ἄλλο τῆς πρεσβείας ἐχούσης ἔργον, ἢ τὸν Ἀννίβου θάνατον. ἐπεὶ δὲ οὐδεμίαν ἔτι τούτων κατόπιν, οὔτε πολιτικὴν τοῦ Τίτου πρᾶξιν, οὔτε πολεμικὴν ἱστορήκαμεν, ἀλλὰ καὶ τελευτῆς ἔτυχεν εἰρηνικῆς, ὥρα τὴν σύγκρισιν ἐπισκοπεῖν. μεγέθει μὲν οὖν τῶν εἰς τοὺς Ἕλληνας εὐεργεσιῶν, οὔτε Φιλοποίμενα Τίτῳ παραβάλλειν, οὔτε πάνυ πολλοὺς τῶν Φιλοποίμενος ἀμεινόνων ἀνδρῶν, ἄξιόν ἐστι. τοῖς μὲν γὰρ Ἕλλησι, πρὸς Ἕλληνας ὁ πόλεμος. τῷ δὲ, οὐχ Ἕλληνι, καὶ ὑπὲρ Ἑλλήνων. καὶ ὅτε Φιλοποίμην ἀμηχανῶν τοῖς ἑαυτοῦ πολίταις ἀμύνειν πολεμουμένοις, εἰς Κρήτην ἀπῆρε, τότε νικήσας Τίτος ἐν μέσῃ τῇ Ἑλλάδι Φίλιππον, ἠλευθέρου καὶ τὰ ἔθνη, καὶ πόλεις ἁπάσας. εἰ δέ τις ἐξετάζοι τὰς μάχας ἑκατέρου, πλείους Ἕλληνας Φιλοποίμην, Ἀχαιῶν στρατηγῶν, ἢ Μακεδόνας Τίτος Ἕλλησι βοηθῶν ἀνεῖλε. τά τε ἴσα ἁμαρτήματα, τοῦ μὲν φιλοτιμίας, τοῦ δὲ φιλονεικίας γέγονε. καὶ πρὸς ὀργὴν, ὁ μὲν, εὐκίνητος. ὁ δὲ καὶ δυσπαραίτητος. Τίτος μὲν γὰρ καὶ Φιλίππῳ τὸ ἀξίωμα τῆς βασιλείας ἐφύλαξε, καὶ πρὸς Αἰτωλοὺς εὐγνωμόνησε. Φιλοποίμην δὲ

καλὰ

ἴσ.
καὶ βίος συνήθης,
καὶ βίος ἦν συνήθης; [illegible]
καὶ βίος καὶ συνήθεις [illegible]

τὸν Τίτον ἠξίου βοηθεῖν αὐτῷ διαπονουμένῳ τὴν Μεσσήνην ἀφιστάναι τῶν Ἀχαιῶν. Ταῦτα μὲν ἔφη σκέψασθαι. θαυμάζειν δὲ ἐκεῖνον, εἰ τηλικαύταις ἐπικεχειρηκὼς πράξεσιν, ὀρχεῖσθαι δύναται παρὰ πότον καὶ ᾄδειν. πρὸς δὲ τοὺς Ἀχαιοὺς τῶν παρὰ Ἀντιόχου πρέσβεων πλῆθός τι, τῆς βασιλικῆς στρατιᾶς καταλεγόντων, καὶ καταριθμουμένων πολλὰς προσηγορίας, ὁ Τίτος ἔφη. δειπνοῦντος αὐτοῦ παρὰ τῷ ξένῳ, καὶ μεμφομένου τὸ πλῆθος τῶν κρεῶν, καὶ θαυμάζοντος πόθεν οὕτω ποικίλης ἀγορᾶς εὐπόρησεν, εἰπεῖν τὸν ξένον, ὡς ὕεια πάντα ἐστίν, τῇ σκευασίᾳ διαφέροντα, καὶ τοῖς ἡδύσμασιν. μὴ τοίνυν ἔφη μηδ᾽ ὑμεῖς ὦ ἄνδρες Ἀχαιοί, θαυμάζετε τὴν Ἀντιόχου δύναμιν, λογχοφόρους, καὶ ξυστοφόρους, καὶ πεζεταίρους ἀκούοντες. πάντες γὰρ οὗτοι, Σύροι εἰσίν, ὁπλαρίοις διαφέροντες. Μετὰ δὲ τὰς Ἑλληνικὰς πράξεις, καὶ τὸν Ἀντιοχικὸν πόλεμον, ᾑρέθη τιμητής. ἥτις ἐστὶν ἀρχὴ μεγίστη, καὶ τρόπον τινὰ τῆς πολιτείας ἐπιτελείωσις. καὶ συνῆρχεν μὲν αὐτῷ, Μαρκέλλου τοῦ πεντάκις ὑπατεύσαντος υἱός. ἐξέβαλον δὲ τῆς βουλῆς, τῶν οὐ πάνυ ἐπιφανῶν τέσσαρας. προσεδέξαντο δὲ πολίτας ἀπογραφομένους πάντας, ὅσοι γονέων ἐλευθέρων ἦσαν. ἀναγκασθέντες ὑπὸ τοῦ δημάρχου Τερεντίου τοῦ Λέοντος, ὃς ἐπηρεάζων τοῖς ἀριστοκρατικοῖς, ἔπεισε τὸν δῆμον ταῦτα ψηφίσασθαι. τῶν δὲ γνωριμωτάτων κατ᾽ αὐτὸν ἀνδρῶν, καὶ μεγίστων ἐν τῇ πόλει διαφερομένων πρὸς ἀλλήλους, Ἀφρικανοῦ Σκιπίωνος, καὶ Μάρκου Κάτωνος, τὸν μὲν, προέγραψε τῆς βουλῆς, ὡς ἄριστον ἄνδρα καὶ πρῶτον. Κάτωνι δ᾽ εἰς ἔχθραν ἦλθεν, συμφορᾷ τοιαύτῃ χρησάμενος. ἀδελφὸς ἦν Τίτῳ Λεύκιος Φλαμίνιος, οὔτε τὰ ἄλλα προσεοικὼς ἐκείνῳ τὴν φύσιν, ἔν τε ταῖς ἡδοναῖς ἀνελεύθερος δεινῶς, καὶ ὀλιγωρότατος τοῦ πρέποντος. τούτῳ συνῆν μειρακίσκος ἐρώμενος, ὃν καὶ στρατιᾶς ἄρχων ἐπήγετο, καὶ διέπων ἐπαρχίας, εἶχεν ἀεὶ περὶ αὐτόν. ἐν οὖν πότῳ τινὶ θρυπτόμενος πρὸς τὸν Λεύκιον, οὕτως ἔφη σφόδρα φιλεῖν αὐτόν, ὥστε θέαν μονομάχων ἀπολιπεῖν, οὔπω γεγονὼς ἀνθρώπου φονευομένου θεατής, τὸ πρὸς ἐκεῖνον ἡδὺ, τοῦ πρὸς αὑτὸν ἐν πλείονι λόγῳ θέμενος. ὁ δὲ Λεύκιος ἡσθείς, οὐδὲν ἔφη δεινόν, ἰάσομαι γὰρ ἐγώ σου τὴν ἐπιθυμίαν. καὶ κελεύσας ἕνα τῶν κατακρίτων ἐκ τοῦ δεσμωτηρίου προαχθῆναι, καὶ τὸν ὑπηρέτην μεταπεμψάμενος ἐν τῷ συμποσίῳ, προσέταξεν ἀποκόψαι τοῦ ἀνθρώπου τὸν τράχηλον. Οὐαλέριος δὲ Ἀντίας, οὐκ ἐρωμένῳ φησίν, ἀλλ᾽ ἐρωμένῃ τοῦτο χαρίσασθαι τὸν Λεύκιον. ὁ δὲ Λίβιος ἐν λόγῳ Κάτωνος αὐτοῦ γεγράφθαι φησίν, ὡς Γαλάτην αὐτόμολον ἐλθόντα, μετὰ παίδων καὶ γυναικὸς ἐπὶ τὰς θύρας, δεξάμενος εἰς τὸ συμπόσιον ὁ Λεύκιος, ἀπέκτεινεν ἰδίᾳ χειρί, τῷ ἐρωμένῳ χαριζόμενος. Τοῦτο μὲν οὖν εἰκὸς εἰς δείνωσιν εἰρῆσθαι τῆς κατηγορίας ὑπὸ τοῦ Κάτωνος. ὅτι δὲ οὐκ αὐτόμολος ἦν, ἀλλὰ δεσμώτης ὁ ἀναιρεθείς, καὶ ἐκ τῶν κατακρίτων, ἄλλοι τε πολλοί, καὶ Κικέρων ὁ ῥήτωρ ἐν τῷ περὶ γήρως, αὐτῷ Κάτωνι τὴν διήγησιν ἀναθείς, εἴρηκεν. ἐπὶ τοῦτο Κάτων τιμητὴς γενόμενος, καὶ καθαίρων τὴν σύγκλητον, ἀπήλασε τῆς βουλῆς τὸν Λεύκιον, ὑπατικοῦ μὲν ἀξιώματος ὄντα, συνατιμοῦσθαι δὲ τοῦ ἀδελφοῦ δοκοῦντος αὐτῷ. διὸ καὶ προσελθόντες εἰς τὸν δῆμον ἀμφότεροι, ταπεινοὶ καὶ δεδακρυμένοι, μέτρια λέγεσθαι τῶν πολιτῶν ἐδόκουν, ἀξιοῦντες αἰτίαν εἰπεῖν τὸν Κάτωνα, καὶ λόγον ᾧ χρησάμενος, οἶκον ἔνδοξον ἀτιμίᾳ τοσαύτῃ περιβέβληκεν. οὐδὲν οὖν ὑποστειλάμενος ὁ Κάτων προῆλθεν. καὶ καταστὰς μετὰ τοῦ συνάρχοντος, ἠρώτησε τὸν Τίτον, εἰ γινώσκει τὸ συμπόσιον. ἀρνουμένου δὲ ἐκείνου, διηγησάμενος, εἰς ὁρισμὸν προεκαλεῖτο τὸν Λεύκιον, εἴ τί φησι τῶν εἰρημένων μὴ ἀληθὲς εἶναι. τοῦ δὲ Λευκίου σιωπήσαντος, ὁ μὲν δῆμος ἔγνω δικαίαν γεγονέναι τὴν ἀτιμίαν. καὶ τὸν Κάτωνα προέπεμψε λαμπρῶς ἀπὸ τοῦ βήματος. Ὁ δὲ Τίτος τῇ συμφορᾷ τοῦ ἀδελφοῦ περιπαθῶν, συνέστη μετὰ τῶν πάλαι μισούντων τὸν Κάτωνα, καὶ πάσας μὲν ἃς ἐκεῖνος ἐποιήσατο τῶν δημοσίων ἐκδόσεις, καὶ μισθώσεις, καὶ ὠνάς, ἠκύρωσεν, καὶ ἀνέλυσεν ἐν τῇ βουλῇ κρατήσας. πολλὰς δὲ καὶ μεγάλας δίκας κατ᾽ αὐτοῦ παρεσκεύασεν, οὐκ οἶδ᾽ ὅπως εὖ καὶ πολιτικῶς, καὶ πρὸς ἄρχοντα νόμιμον, καὶ πολίτην ἄριστον ὑπὲρ ἀνδρὸς οἰκείου μέν, ἀναξίου δέ, καὶ τὰ προσήκοντα πεπονθότος, ἀνήκεστον ἔχθραν ἀράμενος. οὐ μὴν, ἀλλὰ τοῦ Ῥωμαίων ποτὲ δήμου, θέαν ἔχοντος ἐν τῷ θεάτρῳ, καὶ τῆς βουλῆς ὥσπερ εἴωθεν, κόσμῳ προκαθημένης, ὀφθεὶς ὁ Λεύκιος ἐπ᾽ ἐσχάτοις που καθήμενος ἀτίμως καὶ ταπεινῶς, οἶκτον ἔσχεν, καὶ τὸ πλῆθος οὐκ ἠνέσχετο τὴν ὄψιν, ἀλλ᾽ ἐβόων μεταβῆναι κελεύοντες, ἕως μετέβη, δεξαμένων αὐτὸν εἰς ἑαυτοὺς τῶν ὑπατικῶν.

Τὸ δ᾽ οὖν φύσει τοῦ Τίτου φιλότιμον, ἄχρι μὲν ἱκανὴν εἶχεν ὕλην περὶ τοὺς εἰρημένους πολέμους διατρίβοντος, εὐδοκίμει. καὶ γὰρ ἐχιλιάρχησεν αὖθις, μετὰ τὴν ὑπατείαν οὐδενὸς ἐπείγοντος. ἀπαλλαγεὶς δὲ τοῦ ἄρχειν, καὶ πρεσβύτερος ὢν ἠλέγχετο μᾶλλον, ἐν οὐκ ἔχοντι πράξεις ἔτι τῷ λοιπῷ βίῳ σπαργῶντι τὰ πρὸς δόξαν, καὶ νεανίζοντι τῷ πάθει, κατέχειν ἑαυτὸν οὐ δυνάμενος. τοιαύτη γάρ τινι καὶ τὴν περὶ Ἀννίβαν φορᾷ ἔδοξε πρᾶξαι, ἐπαχθὴς γενέσθαι τοῖς πολλοῖς. ὁ γὰρ Ἀννίβας, οἴκοθεν μὲν ἐκ Καρχηδόνος ὑπεκδρὰς, Ἀντιόχῳ συνῆν. ἐκείνου δὲ μετὰ τὴν ἐν Φρυγίᾳ μάχην, εἰρήνης ἀγαπητῶς τυχόντος, αὖθις φυγὼν καὶ πλανηθεὶς πολλά, τέλος ἐν τῇ Βιθυνίᾳ κατέστη, Προυσίαν θεραπεύων, οὐδενὸς Ῥωμαίων ἀγνοοῦντος, ἀλλὰ παρορώντων ἁπάντων δι᾽ ἀσθένειαν καὶ γῆρας, ὥσπερ ἐρριμμένον ὑπὸ τῆς τύχης. Τίτος δὲ πρεσβευτὴς δι᾽ ἑτέρας δή τινας πράξεις ὑπὸ τῆς βουλῆς πρὸς τὸν Πρου-

πεζαιτέρους

προέγραψε. ς. κ.

ἡσθείς

Illud ἢ est in ς. κ. τ. q.

τούτῳ. κ.

τῷ. ς. κ.

ὅταν ἐλευθερωθῶσι, ξύρεσθαί τε τὰς κεφαλὰς, καὶ πιλία φορεῖν, ταῦτα δράσαντες αὐτοὶ θριαμβεύοντι τῷ τίτῳ παρείποντο. καλλίω δὲ καὶ τὰ λάφυρα πομπευόμενα παρεῖχεν ὄψιν. ἑλληνικὰ κράνη, καὶ πέλται μακεδονικαὶ, καὶ σαρίσαι. τό, τε τῶν χρημάτων πλῆθος, οὐκ ὀλίγον ἦν, ὡς ἀναγράφουσιν οἱ περὶ τὸν ἰτανὸν, ἐν τῷ θριάμβῳ κομισθῆναι. χρυσίου μὲν συγκεχωνευμένου, λίτρας τρισχιλίας ἑπτακοσίας δέκα τρεῖς. ἀργύρου δὲ, τετρακισμυρίας τρισχιλίας διακοσίας ἑβδομήκοντα. φιλιππείους δὲ χρυσοῦς μυρίους τετρακισχιλίους πεντακοσίους δεκατέσσαρας. χωρὶς δὲ τούτων τὰ χίλια τάλαντα ἃ φίλιππος ὤφειλε. ἀλλὰ ταῦτα μὲν ὕστερον ἐπείσθησαν ῥωμαῖοι, μάλιστα τοῦ τίτου συμπράττοντος ἀφεῖναι τῷ φιλίππῳ, καὶ σύμμαχον ἐψηφίσαντο, καὶ τὸν υἱὸν ἀπήλλαξαν αὐτῷ τῆς ὁμηρείας. ἐπεὶ δὲ ὁ ἀντίοχος εἰς τὴν ἑλλάδα ναυσὶ πολλαῖς, καὶ στρατῷ περαιωθεὶς ἀφίστη τὰς πόλεις, καὶ διεστασίαζεν, αἰτωλῶν αὐτῷ συνεπιλαμβανομένων, καὶ πάλαι διακειμένων πρὸς τὸν ῥωμαίων δῆμον ἐχθρῶς, καὶ πολεμικῶς, ὑπόθεσιν τοῦ πολέμου καὶ πρόφασιν διδόντων, ἐλευθεροῦν τοὺς ἕλληνας οὐδὲν δεομένους. ἐλεύθεροι γὰρ ἦσαν, ἀλλ᾽ εὐπρεπεστέρας αἰτίας ἀπορίᾳ τῷ καλλίστῳ τῶν ὀνομάτων χρῆσθαι διδασκόντων, καὶ σφόδρα δείσαντες οἱ ῥωμαῖοι τὴν ἀνάστασιν, καὶ δόξαν αὐτοῦ τῆς δυνάμεως, στρατηγὸν μὲν ὕπατον τοῦ πολέμου, μάνιον ἀκίλιον κατέπεμψαν. πρεσβευτὴν δὲ τίτον διὰ τοὺς ἕλληνας. ὧν τοὺς μὲν εὐθὺς ὀφθεὶς, ἐποίησε βεβαιοτέρους. τοὺς δὲ ἀρχομένους νοσεῖν, ὥσπερ τις ἐν καιρῷ φάρμακον ἐνδιδοὺς τὴν πρὸς αὐτὸν εὔνοιαν, ἔστησε καὶ διεκώλυσεν ἐξαμαρτεῖν. ὀλίγοι δὲ αὐτὸν ἐξέφυγον ἤδη προκατειλημμένοι καὶ διεφθαρμένοι παντάπασιν ὑπὸ τῶν αἰτωλῶν. οὓς καίπερ ὀργισθεὶς καὶ παροξυνθεὶς, ὅμως μετὰ τὴν μάχην περιεποίησεν. ἀντίοχος γὰρ ἡττηθεὶς ἐν θερμοπύλαις, καὶ φυγὼν, εὐθὺς εἰς ἀσίαν ἀπέπλευσεν. μάνιος δὲ ὁ ὕπατος τοὺς μὲν αὐτὸς ἐπιὼν τῶν αἰτωλῶν, ἐπολιόρκει. τοὺς δὲ τῷ βασιλεῖ φιλίππῳ συνεχώρησεν ἐξαιρεῖν. ἀγομένων δὲ, καὶ φερομένων ὑπὸ τοῦ μακεδόνος. τῶν μὲν, δολόπων καὶ μαγνήτων. τῶν δὲ ἀθαμάνων καὶ ἀπεραίτων. αὐτοῦ δὲ τοῦ μανίου τὴν μὲν ἡράκλειαν διαπεπορθηκότος. τὴν δὲ ναύπακτον αἰτωλῶν ἐχόντων πολιορκοῦντος. οἰκτείρων τοὺς ἕλληνας ὁ τίτος, διέπλευσεν ἐκ πελοποννήσου πρὸς τὸν ὕπατον. καὶ πρῶτον μὲν ἐπετίμησεν, εἰ νενικηκὼς αὐτὸς τὰ ἔπαθλα τοῦ πολέμου, φίλιππον ἐᾷ φέρεσθαι, καὶ τριβόμενος περὶ μίαν πόλιν κάθηται δι᾽ ὀργὴν, ἔθνη δὲ οὐκ ὀλίγα καὶ βασιλεῖς, μακεδόνες αἱροῦσιν. ἔπειτα τῶν πολιορκουμένων, ὡς εἶδον αὐτὸν ἀπὸ τοῦ τείχους ἀνακαλούντων, καὶ χεῖρας ὀρεγόντων, καὶ δεομένων, τότε μὲν οὐδὲν εἰπὼν, ἀλλὰ στραφεὶς καὶ δακρύσας ἀπῆλθεν, ὕστερον δὲ διαλεχθεὶς τῷ μανίῳ, καὶ καταπαύσας τὸν θυμὸν αὐτοῦ, διεπράξατο τοῖς αἰτωλοῖς, ἀνοχὰς δίδοσθαι καὶ χρόνον, ἐν ᾧ πρεσβεύσαντες εἰς ῥώμην, μετρίου τινὸς τυχεῖν ἀξιώσουσιν. πλεῖστον δὲ ἀγῶνα καὶ πόνον αὐτῷ παρεῖχον αἱ περὶ χαλκιδέων δεήσεις πρὸς τὸν μάνιον ἐν ὀργῇ γεγονότων διὰ τὸν γάμον, ὃν παρ᾽ αὐτοῖς ἔγημεν ἀντίοχος, ἤδη τοῦ πολέμου συνεστῶτος, οὐ καθ᾽ ὥραν οὐδὲ κατὰ καιρὸν, ἀλλ᾽ ἐρασθεὶς ἀνὴρ πρεσβύτερος κόρης, ἣ θυγάτηρ μὲν ἦν κλεοπτολέμου, καλλίστη δὲ λέγεται παρθένων γενέσθαι. τοῦτο τοὺς χαλκιδεῖς ἐποίησε βασιλίζειν προθυμότατα, καὶ τὴν πόλιν αὐτῷ πρὸς τὸν πόλεμον, ὁρμητήριον παρασχεῖν. ἐκεῖνος μὲν οὖν ὡς τάχιστα μετὰ τὴν μάχην φεύγων, προσέμιξε τῇ χαλκίδι. τὴν δὲ κόρην ἀναλαβὼν, καὶ τὰ χρήματα, καὶ τοὺς φίλους, εἰς ἀσίαν ἀπέπλευσεν. τὸν δὲ μάνιον εὐθὺς ἐπὶ τοὺς χαλκιδεῖς σὺν ὀργῇ πορευόμενον, ὁ τίτος παρακολουθῶν, ἐμάλαττε καὶ παρῃτεῖτο. καὶ τέλος, ἔπεισεν, καὶ κατεπράϋνεν, αὐτοῦ τε καὶ τῶν ἐν τέλει ῥωμαίων δεόμενος. οὕτω διασωθέντες οἱ χαλκιδεῖς, τὰ κάλλιστα καὶ μέγιστα τῶν παρ᾽ αὐτοῖς ἀναθημάτων, τῷ τίτῳ καθιέρωσαν. ὧν ἐπιγραφὰς ἔστι τοιαύτας, ἄχρι νῦν ὁρᾶν. ὁ δῆμος τίτῳ καὶ ἡρακλεῖ τὸ γυμνάσιον. ἑτέρωθι δὲ πάλιν. ὁ δῆμος τίτῳ καὶ ἀπόλλωνι τὸ δελφίνιον. ἔτι δὲ καὶ καθ᾽ ἡμᾶς ἱερεὺς χειροτονητὸς, ἀπεδείκνυτο τίτου. καὶ θύσαντες αὐτῷ, τῶν σπονδῶν γενομένων, ᾄδουσι παιᾶνα πεποιημένον. οὗ τἆλλα διὰ μῆκος ἡμεῖς παρέντες, ἀνεγράψαμεν, ἃ παυόμενοι τῆς ᾠδῆς λέγουσι. πίστιν δὲ ῥωμαίων σέβομεν, τὰν μεγαλευκτοτάταν ὅρκοις φυλάσσειν. μέλπετε κοῦραι ζῆνα μέγαν ῥώμαν τε, τίτον τε ἅμα ῥωμαίων τε πίστιν. ἰήϊε, παιὰν ὦ τίτε σῶτερ. ἦσαν δὲ καὶ παρὰ τῶν ἑλλήνων, τιμαὶ πρέπουσαι. καὶ τὸ τὰς τιμὰς, ἀληθινὰς ποιοῦν, εὔνοια θαυμαστὴ, δι᾽ ἐπιείκειαν ἤθους. καὶ γὰρ εἴ τισιν ἐκ πραγμάτων, ἢ φιλοτιμίας ἕνεκα, καθάπερ φιλοποίμενι, καὶ πάλιν διοφάνει στρατηγοῦντι τῶν ἀχαιῶν προσέκρουσεν, οὐκ ἦν βαρὺς, οὐδὲ εἰς ἔργα διατείνων ὁ θυμὸς, ἀλλ᾽ ἐν λόγῳ, παρρησίαν τινὰ πολιτικὴν ἔχοντι παυόμενος. πικρὸς μὲν οὖν, οὐδενί. πολλοῖς δὲ ὀξὺς ἐδόκει, καὶ κοῦφος εἶναι τὴν φύσιν. ἄλλως δὲ, συγγενέσθαι πάντων ἥδιστος, καὶ εἰπεῖν, ἐπίχαρις μετὰ δεινότητος. ἀχαιοὺς μὲν γὰρ, σφετεριζομένους τὴν ζακυνθίων νῆσον ἀποτρέπων, ἔφη. κινδυνεύσειν ἂν ὥσπερ αἱ χελῶναι, πορρωτέρω τὴν κεφαλὴν τῆς πελοποννήσου προτείνωσιν. φιλίππου δὲ, ὁπηνίκα περὶ σπονδῶν καὶ εἰρήνης τὸ πρῶτον εἰς λόγους συνῄεσαν, εἰπόντος μετὰ πολλῶν ἥκειν ἐκεῖνον, αὐτὸν δὲ μόνον, ὑπολαβὼν ὁ τίτος σαυτὸν γὰρ ἔφη μόνον ἐποίησας, ἀποκτείνας τοὺς φίλους καὶ συγγενεῖς. ἐπεὶ δὲ δεινοκράτης, ὁ μεσσήνιος ἐν ῥώμῃ παρὰ πότον μεθυσθεὶς ὠρχήσατο λαβὼν ἱμάτιον γυναικεῖον. τῇ δ᾽ ὑστεραίᾳ

ἐν σαλαμῖνι ναυμαχίαν, καὶ πλαταιὰς, καὶ θερμοπύλας, καὶ τὰ πρὸς εὐρυμέδοντι, καὶ τὰ περὶ κύπρον κίμωνος ἔργα, πάσας τὰς μάχας ἡ ἑλλὰς ἐπὶ δουλείᾳ μεμάχηται πρὸς αὑτὴν, καὶ πᾶν τρόπαιον αὐτῆς, συμφορὰ καὶ ὄνειδος ἐπ' αὐτὴν ἕστηκεν, τὰ πλεῖστα κακίᾳ καὶ φιλονεικίᾳ τῶν ἡγουμένων περιτραπείσης. ἀλλόφυλοι δὲ ἄνδρες, ἐναύσματα μικρὰ, καὶ γλίσχρα κοινωνήματα παλαιοῦ γένους ἔχειν δοκοῦντες, ἀφ' ὧν καὶ λόγῳ τι καὶ γνώμῃ, τῶν χρησίμων ὑπάρξαι τῇ ἑλλάδι θαυμαστὸν ἦν. οὗτοι τοῖς μεγίστοις κινδύνοις καὶ πόνοις ἐξελόμενοι τὴν ἑλλάδα δεσποτῶν χαλεπῶν καὶ τυράννων ἐλευθεροῦσιν. Ταῦτα δὴ τοὺς ἕλληνας ὑπῄει. καὶ τὰ τῶν ἔργων ὁμολογοῦντα τοῖς κηρύγμασιν. ἅμα γὰρ ἐξέπεμπεν ὁ τίτος, λέντλον μὲν, εἰς ἀσίαν, βαργυλιήτας ἐλευθερώσοντα. τιτίλλιον δὲ εἰς θρᾴκην, τὰς αὐτόθι πόλεις καὶ νήσους ἀπαλλάξοντα τῶν φιλίππου φρουρῶν. πόπλιος δὲ οὐίλλιος ἔπλει διαλεξόμενος ἀντιόχῳ περὶ τῆς τῶν ὑπ' αὐτὸν ἑλλήνων ἐλευθερίας. αὐτὸς δὲ ὁ τίτος εἰς χαλκίδα παρελθὼν, εἶτα πλεύσας ἐκεῖθεν ἐπὶ μαγνησίαν, ἐξῆγε τὰς φρουρὰς, καὶ τὰς πολιτείας ἀπεδίδου τοῖς δήμοις. ἀγωνοθέτης δὲ νεμείων ἀποδειχθεὶς ἐν ἄργει, τήν τε πανήγυριν ἄριστα διέθηκεν, καὶ πάλιν ἐκεῖ τοῖς ἕλλησι τὴν ἐλευθερίαν ἀπὸ κήρυκος ἀνεῖπεν. ἐπιφοιτῶν τε ταῖς πόλεσιν εὐνομίαν ἅμα, καὶ δίκην πολλὴν, ὁμόνοιάν τε καὶ φιλοφροσύνην πρὸς ἀλλήλους παρεῖχεν. καταπαύων μὲν τὰς στάσεις. κατάγων δὲ τὰς φυγὰς, ἀγαλλόμενος δὲ τῷ πείθειν καὶ διαλλάσσειν τοὺς ἕλληνας οὐχ ἧττον, ἢ τῷ κεκρατηκέναι τῶν μακεδόνων. ὥστε, μικρότατον ἤδη τὴν ἐλευθερίαν δοκεῖν ὧν εὐεργετοῦντο. ξενοκράτη μὲν οἶμαι τὸν φιλόσοφον, ὅτε λυκοῦργος αὐτὸν ὁ ῥήτωρ, ὑπὸ τῶν τελωνῶν ἀγόμενον πρὸς τὸ μετοίκιον ἀφείλετο, καὶ τοῖς ἄγουσιν ἐπέθηκε δίκην τῆς ἀσελγείας, λέγεται τοῖς παισὶν ἀπαντήσαντα τοῦ λυκούργου, καλήν γε ὑμῶν ὦ παῖδες φάναι τῷ πατρὶ χάριν ἀποδίδωμι. πάντες γὰρ αὐτὸν ἐπαινοῦσιν ἐφ' οἷς ἔπραξεν. τίτῳ δὲ καὶ ῥωμαίοις, ὧν τοὺς ἕλληνας εὐεργέτησαν, οὐκ εἰς ἐπαίνους μόνον, ἀλλὰ καὶ πίστιν ἐν πᾶσιν ἀνθρώποις καὶ δύναμιν, ἡ χάρις ἀπήντα δικαίως. οὐ γὰρ προσδεχόμενοι μόνον τοὺς ἡγεμόνας αὐτῶν, ἀλλὰ καὶ μεταπεμπόμενοι, καὶ καλοῦντες ἐνεχείριζον αὑτούς. οὐδὲ δῆμοι καὶ πόλεις, ἀλλὰ καὶ βασιλεῖς ὑφ' ἑτέρων ἀδικούμενοι βασιλέων, κατέφευγον εἰς τὰς ἐκείνων χεῖρας, ὥστε ἐν βραχεῖ χρόνῳ, τάχα που καὶ θεοῦ συνεφαπτομένου, πάντα αὐτοῖς ὑπήκοα γενέσθαι. καὶ αὐτὸς δὲ, μέγιστον ἐφρόνησεν, ἐπὶ τῇ τῆς ἑλλάδος ἐλευθερώσει. ἀνατιθεὶς γὰρ εἰς

» δελφοὺς ἀσπίδας ἀργυρᾶς, καὶ τὸν ἑαυτοῦ θυρεὸν ἐπέγραψεν. Ζηνὸς ἰὼ κραιπναῖα γεγαθότες
» ἱπποσύνῃσι. Κοῦροι ἰὼ σπάρτας τυνδαρίδαι βασιλεῖς, Αἰνεάδας, τίτος ὔμμιν ὑπέρτατον
» ὤπασε δῶρον. Ἑλλήνων τεύξας παισὶν ἐλευθερίαν. ἀνέθηκε δὲ καὶ χρυσοῦν τῷ ἀπόλλωνι στέφα-
» νον. ἐπιγράψας Τόνδ' ἐοι ἀμβροσίοισιν ἐπὶ πλοκάμοισιν ἔθηκε κεῖσθαι λατοΐδα χρυσοφαῆ
» στέφανον. Ὃν πόρεν αἰνεαδᾶν ταγὸς μέγας, ἀλλ' ἑκάεργε Ἀλκᾶς τῷ θείῳ κῦδος ὄπαζε τίτῳ.

Τῇ γοῦν κορινθίων πόλει, πρὸς τοὺς ἕλληνας, τὸ αὐτὸ δὶς ἤδη συμβέβηκεν. καὶ γὰρ τίτος ἐν κορίνθῳ τότε, καὶ νέρων αὖθις καθ' ἡμᾶς ἐν κορίνθῳ παραπλησίως ἰσθμίων ἀγομένων, τοὺς ἕλληνας ἐλευθέρους καὶ αὐτονόμους ἀφῆκεν. ὁ μὲν, διὰ κήρυκος ὡς εἴρηται. νέρων δὲ αὐτὸς ἐπὶ τῆς ἀγορᾶς ἀπὸ βήματος ἐν τῷ πλήθει δημηγορήσας, ἀλλὰ ταῦτα μὲν ὕστερον. ὁ δὲ τίτος τότε καλλίστου καὶ δικαιοτάτου, τὸν πρὸς νάβιν ἀρξάμενος πολέμου, τῶν λακεδαιμονίων ἐξωλέστατον καὶ παρανομώτατον τύραννον, ἐν τῷ τέλει διεψεύσατο τὰς τῆς ἑλλάδος ἐλπίδας, ἑλεῖν παρὸν οὐκ ἐθελήσας, ἀλλὰ σπεισάμενος, καὶ προέμενος τὴν σπάρτην ἀναξίως δουλεύουσαν. εἴτε δείσας μὴ τοῦ πολέμου μῆκος λαμβάνοντος, ἄλλος ἀπὸ ῥώμης ἐπελθὼν στρατηγὸς, ἀνέληται τὴν δόξαν. εἴτε φιλονεικίᾳ καὶ ζηλοτυπίᾳ τῶν φιλοποιμένος τιμῶν, ὃν ἔν τε τοῖς ἄλλοις ἅπασιν ἄνδρα δεινότατον τῶν ἑλλήνων ὄντα, καὶ περὶ ἐκεῖνον τὸν πόλεμον ἔργα θαυμαστὰ τόλμης καὶ δεινότητος ἀποδειξάμενον, ἴσα τῷ τίτῳ κυδαίνοντες ἀχαιοὶ, καὶ τιμῶντες ἐν τοῖς θεάτροις, ἐλύπουν ἐκεῖνον, οὐκ ἀξιοῦντα ῥωμαίων ὑπάτῳ προπολεμοῦντι τῆς ἑλλάδος ἄνθρωπον ἀρκάδα, μικρῶν καὶ ὁμόρων πολέμων στρατηγὸν, ὅμοια θαυμάζεσθαι παρ' αὐτοῖς. Οὐ μὴν ἀλλ' αὐτὸς ὁ τίτος, ὑπὲρ τούτων ἀπελογεῖτο, καταθέσθαι τὸν πόλεμον, ὡς ἑώρα σὺν κακῷ μεγάλῳ τῶν ἄλλων σπαρτιατῶν ἀπολούμενον τὸν τύραννον. τῶν δὲ ἀχαιῶν αὐτῷ πολλὰ πρὸς τιμὴν ψηφιζομένων, οὐδὲν ἐδόκει πρὸς τὰς εὐεργεσίας ἐξισοῦσθαι, πλὴν μιᾶς δωρεᾶς, ἣν ἐκεῖνος ἀντὶ πάντων ἠγάπησεν. ἦν δὲ τοιάδε. ῥωμαίων οἱ δυστυχήσαντες ἐν τῷ πρὸς ἀννίβαν πολέμῳ, πολλαχοῦ μὲν, ὤνιοι γενόμενοι, καὶ διασπαρέντες, ἐδούλευον. ἐν δὲ τῇ ἑλλάδι, χίλιοι καὶ διακόσιοι τὸ πλῆθος ἦσαν. ἀεὶ μὲν οἰκτροὶ τῆς μεταβολῆς, τότε καὶ μᾶλλον, ὡς εἰκὸς ἐντυγχάνοντες, οἱ μὲν, υἱοῖς. οἱ δὲ, ἀδελφοῖς. οἱ δὲ, συνήθεσιν, ἐλευθέροις δοῦλοι, καὶ νικῶσιν, αἰχμάλωτοι. τούτους, ὁ μὲν τίτος, οὐκ ἀφείλετο τῶν κεκτημένων, καίπερ ἀνιώμενος ἐπ' αὐτοῖς. οἱ δὲ ἀχαιοὶ, λυτρωσάμενοι πέντε μνῶν ἕκαστον ἄνδρα, καὶ συναγαγόντες εἰς ταυτὸ πάντας, ἤδη περὶ πλοῦν ὄντι τῷ τίτῳ, παρέδωκαν. ὥστε αὐτὸν εὐφραινόμενον ἀποπλεῖν, ἀπὸ καλῶν ἔργων καλὰς ἀμοιβὰς, καὶ πρεπούσας ἀνδρὶ μεγάλῳ, καὶ φιλοπολίτῃ κεκομισμένον. ὃ δὴ δοκεῖ πρὸς τὸν θρίαμβον αὐτῷ πάντων ὑπάρξαι λαμπρότατον. οἱ γὰρ ἄνδρες οὗτοι. καθάπερ ἔθος ἐστὶ τοῖς οἰκέταις

ἰούλιος ς. η.
λ ὁ· ς. η.
κραιπνᾶσι η. ς.
ἰάθιον ς.
παραλῶν τ. η.
ὄν. τ. η.
καλὰ

παρώξυναι τὰ τοιαῦτα. διὸ καὶ τὰ ὑπόλοιπα τῶν πραγμάτων, ἔπραττε καθ' ἑαυτὸν, ἐλάχιστα φροντίζων τῶν αἰτωλῶν. οἱ δὲ, ἤχθοντο καὶ προσδεξαμένου λόγους αὐτοῦ καὶ πρεσβείαν ἐλθεῖν συμβᾶσι παρὰ τοῦ μακεδόνος. ταῦτ' ἐκεῖνοι περιϊόντες, περὶ τὰς ἄλλας πόλεις ἐβόων, πωλεῖσθαι τὴν εἰρήνην φιλίππῳ, παρὸν ἐκκόψαι τὸν πόλεμον ἄρδην, καὶ ἀνελεῖν ἀρχὴν, ὑφ' ἧς πρώτης ἐδουλώθη τὸ ἑλληνικόν. ταῦτα τῶν αἰτωλῶν λεγόντων, καὶ διαταραττόντων τοὺς συμμάχους, αὐτὸς ὁ φίλιππος ἐλθὼν πρὸς τὰς διαλύσεις, ἀνεῖλεν τὴν ὑποψίαν, ἐπιτρέψας τῷ τίτῳ καὶ ῥωμαίοις τὰ καθ' αὑτόν. καὶ οὕτω καταλύεται τὸν πόλεμον ὁ τίτος, καὶ τὴν μὲν μακεδονικὴν ἀπέδωκεν αὐτῷ βασιλείαν. τῆς δὲ ἑλλάδος, προσέταξεν ἀποστῆναι. χιλίοις δὲ ταλάντοις ἐζημίωσεν. τὰς δὲ ναῦς πάσας παρείλετο πλὴν δέκα. τῶν δὲ παίδων τὸν ἕτερον δημήτριον ὁμηρεύσοντα λαβὼν, εἰς ῥώμην ἀπέστειλεν, ἄριστα τῷ καιρῷ χρησάμενος, καὶ προλαβὼν τὸ μέλλον. ἀννίβου γὰρ τοῦ λίβυος, ἀνδρὸς ἐχθίστου τε ῥωμαίοις, καὶ φυγάδος, ἤδη τότε πρὸς ἀντίοχον ἥκοντος τὸν βασιλέα, καὶ παροξύνοντος αὐτὸν εἰς τὸ πρόσθεν προϊέναι τῇ τύχῃ, τῆς δυνάμεως εὖ ῥεούσης ἤδη καθ' ἑαυτὸν ἀπὸ πραγμάτων μεγάλων, ἃ κατεργασάμενος μέγας ἐπωνομάσθη, πρὸς τὴν ἁπάντων ἡγεμονίαν ἀποβλέποντα. μάλιστα δὲ κατὰ ῥωμαίων ἀνιστάμενον. εἰ μὴ τοῦτο προϊδὼν ὁ τίτος ἐμφρόνως, ἐνέδωκε πρὸς τὰς διαλύσεις. ἀλλὰ τὸν φιλιππικὸν ὁ ἀντιοχικὸς κατείληφε πόλεμος ἐν τῇ ἑλλάδι, καὶ συνέστησαν ὑπ' αἰτιῶν ἀμφότεροι κοινῶν, οἱ μέγιστοι τῶν τότε καὶ δυνατώτατοι βασιλέων ἐπὶ τὴν ῥώμην, ἔσχεν ἂν ἀγῶνας αὖ ἐξ ὑπαρχῆς καὶ κινδύνους, τῶν πρὸς ἀννίβαν οὐκ ἐλάττους. νῦν δὲ τῶν πολέμων μέσην κατὰ καιρὸν ἐμβαλὼν τὴν εἰρήνην ὁ τίτος, καὶ πρὶν ἄρξασθαι τὸν μέλλοντα, διακόψας τὸν παρόντα. τοῦ μὲν τὴν ἐσχάτην ἐλπίδα. τοῦ δὲ τὴν πρώτην ὑφεῖλεν. ἐπεὶ δὲ οἱ δέκα πρέσβεις, οὓς ἡ σύγκλητος ἔπεμψεν τῷ τίτῳ, συνεβούλευον, τοὺς μὲν ἄλλους ἕλληνας ἐλευθεροῦν. κόρινθον δὲ καὶ χαλκίδα καὶ δημητριάδα, διατηρεῖν ἐμφρούρους ἕνεκα τῆς πρὸς ἀντίοχον ἀσφαλείας. ἐνταῦθα δὴ ταῖς κατηγορίαις λαμπροὶ λαμπρῶς τὰς πόλεις ἀνερρήγνυσαν αἰτωλοί. τὸν μὲν τίτον κελεύοντες τὰς πέδας τῆς ἑλλάδος λύειν. οὕτω γὰρ ὁ φίλιππος εἰώθει τὰς προειρημένας πόλεις ὀνομάζειν. τοὺς δὲ ἕλληνας, ἐρωτῶντες, εἰ κλοιὸν ἔχοντες βαρύτερον μὲν, λειότερον δὲ τοῦ πάλαι τὸν νῦν, χαίρουσι καὶ θαυμάζουσι τὸν τίτον ὡς εὐεργέτην. ὅτι τοῦ ποδὸς λύσας τὴν ἑλλάδα, τοῦ τραχήλου δέδεκεν. ἐφ' οἷς ἀχθόμενος ὁ τίτος καὶ βαρέως φέρων καὶ δεόμενος τοῦ συνεδρίου, τέλος ἐξέπεισεν, καὶ ταύτας τὰς πόλεις ἀνεῖναι τῆς φρουρᾶς, ὅπως ὁλόκληρος ἡ χάρις ὑπάρξῃ παρ' αὐτοῦ τοῖς ἕλλησιν. ἰσθμίων οὖν ἀγομένων, πλῆθος μὲν ἀνθρώπων ἐν τῷ σταδίῳ καθῆστο, τὸν γυμνικὸν ἀγῶνα θεώμενον, οἷα δὴ διὰ χρόνου, πεπαυμένης μὲν πολέμων τῆς ἑλλάδος ἐπ' ἐλπίσιν ἐλευθερίας, σαφεῖ δὲ εἰρήνῃ πανηγυριζούσης. τῇ σάλπιγγι δὲ σιωπῆς εἰς ἅπαντας διαδοθείσης, προσελθὼν εἰς μέσον ὁ κῆρυξ, ἀνεῖπεν. ὅτι ῥωμαίων ἡ σύγκλητος, καὶ τίτος κοΐντιος, στρατηγὸς ὕπατος, καταπολεμήσαντες βασιλέα φίλιππον, καὶ μακεδόνας, ἀφιᾶσιν ἀφρουρήτους καὶ ἐλευθέρους καὶ ἀφορολογήτους, νόμοις χρωμένους τοῖς πατρίοις. κορινθίους. λοκρούς. φωκεῖς. εὐβοέας. ἀχαιούς. φθιώτας. μάγνητας. θετταλούς. περραιβούς. τὸ μὲν οὖν πρῶτον, οὐ πάνυ πάντες, οὐδὲ σαφῶς ἐπήκουσαν, ἀλλ' ἀνώμαλος καὶ θορυβώδης κίνησις ἦν ἐν τῷ σταδίῳ θαυμαζόντων, καὶ διαπυνθανομένων. καὶ πάλιν ἀνειπεῖν κελευόντων. ὡς δ' αὖθις ἡσυχίας γενομένης, ἀναγαγὼν ὁ κῆρυξ τὴν φωνήν.

ἐγεγώνει. γρ.

προθυμότερον εἰς ἅπαντας ἐγεγώνησεν, καὶ διῆλθε τὸ κήρυγμα, κραυγὴ μὲν ἄπιστος τὸ μέγεθος διὰ χαρᾶς ἐχώρει, μέχρι θαλάττης. ὀρθὸν δὲ ἀνειστήκει τὸ θέατρον. οὐδεὶς δὲ λόγος ἦν τῶν ἀγωνιζομένων. ἔσπευδον δὲ πάντες ἀναπηδῆσαι καὶ δεξιώσασθαι καὶ προσειπεῖν τὸν σωτῆρα τῆς ἑλλάδος καὶ πρόμαχον. τὸ δὲ πολλάκις λεγόμενον εἰς ὑπερβολὴν τῆς φωνῆς καὶ μέγεθος ὤφθη τότε. κόρακες γὰρ περιπετόμενοι κατὰ τύχην, ἔπεσον εἰς τὸ στάδιον. αἰτία δὲ ἡ τοῦ ἀέρος ῥῆξις. ὅταν γὰρ ἡ φωνὴ, πολλὴ καὶ μεγάλη φέρηται, διασπώμενος ὑπ' αὐτῆς οὐκ ἀντερείδει τοῖς πετομένοις, ἀλλ' ὀλίσθημα ποιεῖ, καθάπερ κενεμβατοῦσιν. εἰ μὴ νὴ δία, πληγῇ τινὶ μᾶλλον, ὡς ὑπὸ βέλους διελαυνόμενα, πίπτει καὶ ἀποθνήσκει. δύναται δὲ καὶ περιδίνησις εἶναι τοῦ ἀέρος, οἷον ἑλιγμὸν ἐν πελάγει καὶ παλίρρυμην τοῦ σάλου διὰ μέγεθος λαμβάνοντος. Ὁ δ' οὖν τίτος εἰ μὴ τάχιστα τῆς θέας διαλυθείσης, ὑπειδόμενος τὴν φορὰν τοῦ πλήθους καὶ τὸν δρόμον, ἐξέκλινεν, οὐκ ἂν ἐδόκει περιγενέσθαι τοσούτων ὁμοῦ, καὶ πάντοθεν αὐτῷ περιχεομένων. ὡς δ' ἀπέκαμον περὶ τὴν σκηνὴν αὐτοῦ βοῶντες, ἤδη νυκτὸς οὔσης αὖθις οὕς τινας ἴδοιεν, ἢ φίλους, ἢ πολίτας, ἀσπαζόμενοι καὶ περιπλεκόμενοι πρὸς δεῖπνα καὶ πότους ἐτρέποντο μετ' ἀλλήλων. ἐν ᾧ καὶ μᾶλλον ὡς εἰκὸς ἡδομένοις, ἐπῄει λογίζεσθαι καὶ διαλέγεσθαι περὶ τῆς ἑλλάδος, ὅσους πολεμήσασα, πολέμους διὰ τὴν ἐλευθερίαν, οὔπω τύχοι βεβαιότερον, οὐδὲ ἥδιον, αὐτῆς ἑτέρων προαγωνισαμένων, ὀλίγου δεῖν ἀναίμακτος αὐτὴ καὶ ἀπενθὴς φερομένη τὸ κάλλιστον, καὶ περιμαχητότατον ἆθλον. ἦν δ' ἄρα σπάνιον μὲν ἀνδρεία, καὶ φρόνησις ἐν ἀνθρώποις. σπανιώτατον δὲ τῶν ἄλλων ἀγαθῶν ὁ δίκαιος. οἱ γὰρ ἀγησίλαοι καὶ λύσανδροι, καὶ οἱ νικίαι, καὶ οἱ ἀλκιβιάδαι. πολέμους μὲν, εὖ διέπειν, καὶ μάχας νικᾶν, κατά τε γῆν καὶ θάλασσαν ἄρχοντες ἠπίσταντο. χρήσασθαι δὲ πρὸς χάριν εὐγενῆ, καὶ τὸ καλὸν, οἷς κατώρθουν οὐκ ἔγνωσαν. ἀλλ' εἰ τὸ μαραθώνιόν τις ἔργον ἀφέλοι, καὶ τὴν

ἐπεὶ δὲ ἑλέσθαι τὰ ῥωμαίων, ἀττάλου τοῦ βασιλέως συναγορεύοντος αὐτῷ καὶ συνεξορμῶν-
τος τοὺς θηβαίους. ἀλλ' ἄτταλος μὲν ὡς ἔοικεν ὑπὲρ τὸ γῆρας προθυμότερον ἑαυτὸν τῷ τίτῳ ῥήτορα πα-
ρασχεῖν φιλοτιμούμενος, ἐν αὐτῷ τῷ λέγειν προσπεσόντος ἰλίγγου τινὸς, ἢ ῥεύματος ἄφνω τὴν αἴσθη-
σιν ἐπιληφθεὶς ἔπεσεν. καὶ μετ' οὐ πολὺ ταῖς ναυσὶν εἰς ἀσίαν ἀποκομισθεὶς ἐτελεύτησεν. οἱ δὲ βοιω-
τοὶ προσεχώρησαν τοῖς ῥωμαίοις. φιλίππου δὲ πρέσβεις πέμψαντος εἰς ῥώμην, ἀπέστειλεν καὶ ὁ
τίτος παρ' αὐτοῦ τοὺς πράξαντας, ὅπως ἐπιψηφίσηται ἡ σύγκλητος χρόνον αὐτῷ τοῦ πολέμου μέ-
νοντος. εἰ δὲ μὴ, δι' ἐκείνου τὴν εἰρήνην γενέσθαι. φιλότιμος γὰρ ὢν ἰσχυρῶς ἐδεδίει, μὴ πεμφθέντος ἐπὶ
τὸν πόλεμον ἑτέρου στρατηγοῦ, τὴν δόξαν ἀφαιρεθῆναι. διαπραξαμένων δὲ τῶν φίλων αὐτῷ, μήτε τὸν
φίλιππον ὧν ἔχρῃζε τυχεῖν, καὶ τοῦ πολέμου τὴν ἡγεμονίαν ἐκείνῳ φυλαχθῆναι, δεξάμενος τὸ δό-
γμα καὶ ταῖς ἐλπίσιν ἐπαρθεὶς, εὐθὺς εἰς θετταλίαν ἐπὶ τὸν φίλιππον πόλεμον ὥρμησεν, ὑπὲρ ἑ-
ξακισχιλίους καὶ δισμυρίους ἔχων στρατιώτας, ὧν αἰτωλοὶ πεζοὺς ἑξακισχιλίους, καὶ ἱππεῖς τετρακο-
σίους παρεῖχον. ἦν δὲ καὶ τοῦ φιλίππου τὸ στράτευμα, τῷ πλήθει παραπλήσιον. ἐπεὶ δὲ βαδίζοντες
ἐπ' ἀλλήλους, καὶ γενόμενοι περὶ τὴν σκοτοῦσαν, ἐνταῦθα διακινδυνεύειν ἔμελλεν, οὐχ ὅπερ εἰκὸς ἦν   ἔμελλον. ς. κ.
πρὸς δέος ἔλαβον οἱ στρατηγοὶ τὴν ἀλλήλων γειτνίασιν, ἀλλὰ μᾶλλον ὁρμῆς καὶ φιλοτιμίας ἐπλη-
ροῦντο, ῥωμαῖοι μὲν, εἰ μακεδόνων κρατήσουσιν, ὧν ὄνομα δι' ἀλέξανδρον ἀλκῆς καὶ δυνάμεως πλεῖ-
στον ἦν παρ' αὐτοῖς. μακεδόνες δὲ, ῥωμαίους περσῶν ἡγούμενοι διαφέρειν, ἤλπιζον εἰ περιγένοιντο,
λαμπρότερον ἀποδείξειν ἀλεξάνδρου φίλιππον. ὁ μὲν οὖν τίτος, παρεκάλει τοὺς στρατιώτας, ἄν-
δρας ἀγαθοὺς γενέσθαι καὶ προθύμους, ὡς ἐν τῷ καλλίστῳ θεάτρῳ τῇ ἑλλάδι μέλλοντας ἀγωνίζε-
σθαι, πρὸς τοὺς ἀρίστους τῶν ἀνταγωνιστῶν. ὁ δὲ φίλιππος, εἴτε ἀπὸ τύχης, εἴτε ὑπὸ σπουδῆς πα-
ρὰ τὸν καιρὸν ἀγνοήσας. ἦν γάρ τι πολυάνδριον ὑψηλὸν ἔξω τοῦ χάρακος, ἐπὶ τοῦτο προβὰς, ἤρξατο
μὲν οἷα πρὸ μάχης φιλεῖ διαλέγεσθαι, καὶ παρορμᾶν. ἀθυμίας δὲ δεινῆς πρὸς τὸν οἰωνὸν, ἐμπεσού-
σης διαταραχθεὶς ἐπέσχε τὴν ἡμέραν ἐκείνην. τῇ δ' ὑστεραίᾳ περὶ τὸν ὄρθρον, ἐκ μαλακῆς καὶ νοτίου νυ-
κτὸς, εἰς ὁμίχλην τῶν νεφῶν τρεπομένων, ἀνεπίμπλατο ζόφου βαθέος πᾶν τὸ πεδίον, καὶ κατῄει πα-
χὺς ἐκ τῶν ἄκρων ἀὴρ εἰς τὸ μεταξὺ τῶν στρατοπέδων, εὐθὺς ἀρχομένης ἡμέρας, ἀποκρύπτων τοὺς τό-
πους. οἱ δὲ ὑπ' ἀμφοτέρων ἀποσταλέντες ἐφεδρείας ἕνεκα καὶ κατασκοπῆς, ἐν πάνυ βραχεῖ περιπε-
σόντες ἀλλήλοις, ἐμάχοντο περὶ τὰς καλουμένας κυνὸς κεφαλάς. αἳ λόφων οὖσαι πυκνῶν καὶ πα-
ραλλήλων ἄκραι λεπταὶ, δι' ὁμοιότητα τοῦ σχήματος, οὕτως ὠνομάσθησαν. γενομένων δὲ οἵων εἰκὸς ἐν τό-
ποις σκληροῖς μεταβολῶν κατὰ τὰς φυγὰς καὶ διώξεις, ἑκάτεροι τοῖς πονοῦσιν ἀεὶ καὶ ὑποχωροῦ-
σιν ἐπιπέμποντες βοήθειαν ἐκ τῶν στρατοπέδων, καὶ ἤδη τοῦ ἀέρος ἀνακαθαιρομένου, καθορῶντες τὰ
γινόμενα, πανστρατιᾷ συνέβαλον. τῷ μὲν οὖν δεξιῷ περιῆν ὁ φίλιππος, ἐκ τόπων ἐπιφόρων ὅλην
ἐπερείσας τὴν φάλαγγα τοῖς ῥωμαίοις, τὸ βάρος τοῦ συνασπισμοῦ καὶ τὴν τραχύτητα τῆς προσβο-
λῆς, τῶν ἀρίστων οὐχ ὑπομενόντων. τοῦ δ' εὐωνύμου διασπασμὸν ἀνὰ τοὺς λόφους καὶ περικλα-
q. σιν λαμβάνοντος, ὁ τίτος τὸ μὲν ἡττώμενον ἀπογνοὺς, πρὸς δὲ θάτερον ὀξέως παρελάσας προσέβα-   ἀπόγνοια
λε τοῖς μακεδόσι, συστῆναι μὲν εἰς φάλαγγα καὶ πυκνῶσαι τὴν τάξιν εἰς βάθος, ἥπερ ἦν ἀλκὴ τῆς ἐ-
κείνων δυνάμεως, κωλυομένοις διὰ τὴν ἀνωμαλίαν καὶ τραχύτητα τῶν χωρίων, πρὸς δὲ τὸ καθ' ἄνδρα
συμπλέκεσθαι, καὶ βαρεῖ καὶ δυσέργῳ χρωμένοις ὁπλισμῷ. ζώῳ γὰρ ἡ φάλαγξ ἔοικεν ἀμάχῳ τὴν   ὁπλισμοῖ. κ.
ἰσχὺν, ἕως ἓν ἐστὶ σῶμα, καὶ τηρεῖ τὸν συνασπισμὸν ἐν τάξει μιᾷ. διαλυθείσης δὲ, καὶ τὴν καθ' ἕνα ῥώμην
ἀπόλλυσι τῶν μαχομένων ἕκαστος, διά τε τὸν τρόπον τῆς ὁπλίσεως, καὶ ὅτι παντὸς ὅλου τοῖς παρ' ἀλ-
λήλων μέρεσι μᾶλλον, ἢ δι' αὑτὸν ἰσχύει. τραπομένων δὲ τούτων, οἱ μὲν ἐδίωκον τοὺς φεύγοντας, οἱ δὲ τοὺς
μαχομένους τῶν μακεδόνων παρεκδραμόντες, ἐκ πλαγίων ἔκτεινον, ὥστε ταχὺ καὶ τοὺς νικῶντας πε-
ρισπᾶσθαι καὶ φεύγειν, τὰ ὅπλα καταβάλλοντας. ἔπεσον μὲν οὖν, ὀκτακισχιλίων οὐκ ἐλάττους. ἑά-
λωσαν δὲ, περὶ πεντακισχιλίους. τοῦ δὲ τὸν φίλιππον ἀσφαλῶς ἀπελθεῖν, τὴν αἰτίαν ἔλαβον αἰτωλοὶ,
περὶ ἁρπαγὴν γινόμενοι καὶ πόρθησιν τοῦ χάρακος, ἔτι τῶν ῥωμαίων διωκόντων, ὥστε μηδὲν εὑ-
ρεῖν ἐκείνους ἐπανελθόντας. πρῶτον μὲν οὖν, ἐγένοντο λοιδορίαι καὶ διαφοραὶ πρὸς ἀλλήλους αὐ-
τοῖς. ἐκ δὲ τούτων, μᾶλλον ἀεὶ τὸν τίτον ἐλύπουν, ἑαυτοῖς ἀνατιθέντες τὸ νίκημα. καὶ τῇ φήμῃ προκα-
ταλαμβάνοντες τοὺς ἕλληνας, ὥστε καὶ γράφεσθαι καὶ ᾄδεσθαι προτέρους ἐκείνους ὑπὸ ποιη-
τῶν καὶ ἰδιωτῶν ὑμνούντων τὸ ἔργον. ὧν μάλιστα διασώματος ἦν, τουτὶ τὸ ἐπίγραμμα.

» Ἄκλαυστοι καὶ ἄθαπτοι ὁδοιπόρε, τῷδ' ἐπὶ τύμβῳ   Θεσσαλίας τρισσαὶ κείμεθα μυριάδες.
» Αἰτωλῶν δμηθέντες ὑπ' ἄρεος, ἠδὲ λατίνων.   Οὓς τίτος εὐρείης ἤγαγ' ἀπ' ἰταλίης.
» Ἠμαθίῃ μέγα πῆμα, τὸ δὲ θρασὺ κεῖνο φιλίππου   Πνεῦμα θοῶν ἐλάφων ᾤχετ' ἐλαφρότερον.

Τοῦτο ἐποίησεν μὲν ἀλκαῖος ἐφυβρίζων φιλίππῳ, καὶ τὸν ἀριθμὸν τῶν ἀποθανόντων ἐπιψευσάμε-
νος. λεγόμενον δὲ πολλαχοῦ καὶ ὑπὸ πολλῶν, μᾶλλον ἠνία τὸν τίτον, ἢ τὸν φίλιππον. ὁ μὲν γὰρ ἀντι-
» κωμῳδῶν τὸν ἀλκαῖον, τῷ ἐλεγείῳ παρέβαλεν. Ἄφλοιος καὶ ἄφυλλος ὁδοιπόρε, τῷδ' ἐπὶ νώτῳ
» Ἀλκαίῳ σταυρὸς πήγνυται ἠλίβατος. τὸν δὲ τίτον φιλοτιμούμενον πρὸς τοὺς ἕλληνας, οὐ μετρίως

κῶς, μὴ πόῤῥω θαλάττης ἐμβαλὼν ἑαυτὸν εἰς τόπους γλίσχρους καὶ ἀπειρομένους πυκνηρεφεῖς, τοῦ φιλίππου φυγομαχοῦντος, ἀποροίη σιτίων, καὶ πάλιν ἄπρακτος, ὥσπερ ὁ πρὸ αὐτοῦ στρατηγὸς ἀναχωρεῖν ἀναγκασθῇ, πρὸς τὴν θάλασσαν, ἔγνω προσβαλὼν ἀνακράτος διὰ τῶν ἄκρων, βιάσασθαι τὴν πάροδον. ἐπεὶ δὲ τὰ ὄρη τοῦ φιλίππου τῇ φάλαγγι κατέχοντος, ἐκ τῶν πλαγίων πανταχόθεν εἰς τοὺς ῥωμαίους ἀκοντίων καὶ τοξευμάτων φερομένων, πληγαὶ μὲν ἐγίνοντο καὶ ἀγῶνες ὀξεῖς, καὶ νεκροὶ παρ᾽ ἀμφοτέρων ἔπιπτον, οὐδὲν δὲ τοῦ πολέμου πέρας ἐφαίνετο, προσῆλθον ἄνθρωποι τῶν αὐτόθι νεμόντων, φράζοντές τινα κύκλωσιν ἀμελουμένην ὑπὸ τῶν πολεμίων, ᾗ τὸν στρατὸν ἄξειν ὑπισχνοῦντο, καὶ καταστήσειν μάλιστα τεταρταῖοι ἐπὶ τῶν ἄκρων. γνώστην δὲ τῆς πίστεως παρείχοντο καὶ βεβαιωτὴν, χάροπα τὸν μαχάταν, πρωτεύοντα μὲν ἠπειρωτῶν, εὔνουν δὲ ῥωμαίοις ὄντα. καὶ κρύφα φόβῳ τοῦ φιλίππου συναγωνιζόμενον. ᾧ πιστεύσας ὁ τίτος, ἐκπέμπει χιλίαρχον ἕνα, πεζοὺς ἔχοντα τετρακισχιλίους, καὶ ἱππεῖς τριακοσίους. ἡγοῦντο δὲ οἱ νομεῖς ἐκεῖνοι, δεδεμένοι, καὶ τὰς μὲν ἡμέρας ἀνεπαύοντο, κοίλους προβαλλόμενοι καὶ ὑλώδεις τόπους, ὥδευον δὲ νύκτωρ πρὸς τὴν σελήνην. καὶ γὰρ ἦν διχόμηνος. ὁ δὲ τίτος, τούτους ἀποστείλας, τὰς μὲν ἄλλας ἡμέρας, διανέπαυε τὸν στρατὸν, ὅσα μὴ περισπᾶν τοῖς ἀκροβολισμοῖς τοὺς πολεμίους. καθ᾽ ἣν δὲ ἔμελλον ὑποφανήσεσθαι τῶν ἄκρων οἱ περιιόντες, ἅμ᾽ ἡμέρᾳ πᾶν μὲν βαρὺ, πᾶν δὲ γυμνητικὸν ὅπλον ἐκίνει. καὶ τριχῇ νείμας τὴν δύναμιν, αὐτὸς μὲν εἰς στενώτατον παρὰ τὸ ῥεῖθρον, ὀρθίας ἀνῆγε τὰς σπείρας, βαλλόμενος ὑπὸ τῶν μακεδόνων, καὶ συμπλεκόμενος τοῖς ἀπαντῶσι περὶ τὰς δυσχωρίας. τῶν δὲ ἄλλων, ἑκατέρωθεν ἅμα πειρωμένων ἁμιλλᾶσθαι καὶ ταῖς τραχύτησιν ἐμφυομένων προθύμως, ὅ τε ἥλιος ἀνέσχε, καὶ καπνὸς οὐ βέβαιος, ἀλλ᾽ οἷον ὄρειος ὁμίχλη, πόῤῥωθεν ἀνατέλλων καὶ διαφαινόμενος, τοὺς μὲν πολεμίους ἐλάνθανε. κατὰ νώτου γὰρ ἦν αὐτοῖς, ἤδη τῶν ἄκρων ἐχομένων. οἱ δὲ ῥωμαῖοι, δόξαν εἶχον ἀμφίβολον ἐν ἀγῶνι καὶ πόνῳ, τὴν ἐλπίδα πρὸς τὸ βουλόμενον λαμβάνοντες. Ἐπεὶ δὲ μᾶλλον αὐξανόμενος καὶ διαμελαίνων τὸν ἀέρα, καὶ πολὺς ἄνω χωρῶν, ἐδηλοῦτο πυρσὸς εἶναι φίλιος, οἱ μὲν ἀλαλάξαντες, ἐπέβαινον ἐῤῥωμένως, καὶ συνέστελλον εἰς τὰ τραχύτατα τοὺς πολεμίους. οἱ δὲ ὄπισθεν ἀπὸ τῶν ἄκρων ἀντηλάλαξαν. φυγὴ μὲν οὖν ἦν εὐθὺς ὀξεῖα πάντων. ἔπεσον δὲ, δισχιλίων οὐ πλείους. ἀφῃροῦντο γὰρ αἱ δυσχωρίαι τὴν δίωξιν. χρήματα δὲ καὶ σκηνὰς, καὶ θεράποντας, οἱ ῥωμαῖοι διαρπάσαντες, ἐκράτουν τῶν στενῶν, καὶ διώδευον τὴν ἤπειρον, οὕτω κοσμίως καὶ μετ᾽ ἐγκρατείας τοσαύτης, ὥστε τῶν πλοίων καὶ τῆς θαλάσσης μακρὰν ὄντας αὐτοὺς, καὶ τὸν ἔμμηνον σῖτον μὴ μεμετρημένους, οὐδ᾽ εὐποροῦντας ἀγορᾶς, ἀπέχεσθαι τῆς χώρας ἀμφιλαφῆ ὠφέλειαν ἐχούσης. Ὁ γὰρ τίτος πυνθανόμενος τὸν φίλιππον ὡς ὅμοια φεύγοντι τὴν θετταλίαν διερχόμενος, τοὺς μὲν ἀνθρώπους, ἐκ τῶν πόλεων ἀνίστησιν εἰς τὰ ὄρη. τὰς δὲ πόλεις καταπίμπρησι. τῶν δὲ χρημάτων τὰ λειπόμενα διὰ πλῆθος ἢ βάρος ἁρπαγὴν προτίθεται, τρόπον τινὰ τῆς χώρας ἐξιστάμενος ἤδη ῥωμαίοις, ἐφιλοτιμεῖτο. καὶ παρεκάλει τοὺς στρατιώτας ὡς ὑπὲρ οἰκείας, καὶ παρακεχωρημένης κηδομένους βαδίζειν. καὶ μέντοι, καὶ παρεῖχεν αὐτοῖς τὰ γινόμενα, τῆς εὐταξίας αἴσθησιν εὐθύς. προσεχώρουν μὲν γὰρ αἱ πόλεις, ἁψαμένοις θετταλίας. οἱ δ᾽ ἐντὸς πυλῶν ἕλληνες, ἐπόθουν καὶ διεπτόηντο ταῖς ὁρμαῖς πρὸς τὸν τίτον. ἀχαιοὶ δὲ, τὴν φιλίππου συμμαχίαν ἀπειπάμενοι, πολεμεῖν ἐψηφίσαντο μετὰ ῥωμαίων πρὸς αὐτόν. ὀπούντιοι δὲ, καίπερ αἰτωλῶν τότε ῥωμαίοις συναγωνιζομένων προθυμότατα, καὶ τὴν πόλιν ἀξιούντων παραλαβεῖν καὶ φυλάττειν, οὐ προσέσχον, ἀλλὰ μεταπεμψάμενοι τὸν τίτον, ἐκείνῳ διεπίστευσαν ἑαυτοὺς καὶ παρέδωκαν. Πύῤῥον μὲν οὖν λέγουσιν, ὅτε πρῶτον ἀπὸ σκοπῆς κατιδὼν τὸ στράτευμα τῶν ῥωμαίων διακεκοσμημένον εἰπεῖν, οὐ βαρβαρικὴν αὐτῷ φανῆναι τὴν τῶν βαρβάρων παράταξιν. οἱ δὲ τίτῳ πρῶτον ἐντυγχάνοντες, ἠναγκάζοντο παραπλησίας ἀφιέναι φωνάς. ἀκούοντες γὰρ τῶν μακεδόνων, ὡς ἄνθρωπος ἄρχων βαρβάρου στρατιᾶς ἔπεισι, δι᾽ ὅπλων πάντα καταστρεφόμενος, καὶ δουλούμενος. εἶτα ἀπαντῶντες ἀνδρὶ τήν τε ἡλικίαν νέῳ, καὶ τὴν ὄψιν φιλανθρώπῳ, φωνήν τε καὶ διάλεκτον ἕλληνι, καὶ τιμῆς ἀληθοῦς ἐραστῇ, θαυμασίως ἐκηλοῦντο, καὶ τὰς πόλεις ἀπιόντες, ἐνεπίμπλασαν εὐνοίας τῆς πρὸς αὐτὸν, ὡς ἐχούσας ἡγεμόνα τῆς ἐλευθερίας. Ἐπεὶ δὲ καὶ φιλίππῳ δοκοῦντι συμβατικῶς ἔχειν, εἰς ταὐτὸν ἐλθὼν, προὔτεινεν εἰρήνην καὶ φιλίαν, ἐφ᾽ ᾧ τοὺς ἕλληνας αὐτονόμους ἐᾶν, καὶ τὰς φρουρὰς ἀπαλλάττειν. ὁ δὲ οὐκ ἐδέξατο. παντάπασιν ἤδη τότε καὶ τοῖς θεραπεύουσι τὰ τοῦ φιλίππου παρέστη ῥωμαίους πολεμήσοντας ἥκειν, οὐχ ἕλλησιν, ἀλλ᾽ ὑπὲρ ἑλλήνων μακεδόσιν. Τὰ μὲν οὖν ἄλλα προσεχώρει καθ᾽ ἡσυχίαν αὐτῷ. τὴν δὲ βοιωτίαν ἀπολέμως ἐπιπορευομένῳ, θηβαίων ἀπήντησαν οἱ πρῶτοι, φρονοῦντες μὲν τὰ τοῦ μακεδόνος, διὰ βραχύλλην, ἀσπαζόμενοι δὲ καὶ τιμῶντες τὸν τίτον ὡς φιλίας πρὸς ἀμφοτέρους ὑπαρχούσης. ὁ δ᾽ ἐντυχὼν αὐτοῖς φιλανθρώπως, καὶ δεξιωσάμενος, προῆγεν ἡσυχῇ καθ᾽ ὁδόν. τὰ μὲν ἐρωτῶν καὶ πυνθανόμενος. τὰ δὲ διηγούμενος, καὶ παράγων ἐπίτηδες, ἄχρι τοὺς στρατιώτας ἀναλαβεῖν ἐκ τῆς πορείας. οὕτω δὲ προσάγων τοῖς θηβαίοις εἰς τὴν πόλιν, οὐ πάνυ μὲν ἡδομένοις, ὀκνοῦσι δὲ κωλύειν, ἐπεὶ στρατιῶταί γε μέτριοι τῷ πλήθει εἵποντο. καὶ μέντοι παρελθὼν ὁ τίτος, ὡς οὐκ ἔχων τὴν πό-

μαχάτου υἱός.

ἦν πανσέληνος. ἢ οὐχὶ διχομηνία τὸ ἥμισυ τοῦ μηνὸς τῆς σελήνης ὅτε πανσέληνός ἐστι. Et convenit cum Livio qui ait L. 2. dec 4. Et pernox forte luna erat.

διεπτόηντο [illegible]

[illegible]

ς. τ. η. θ.

ΤΙΤΟΣ ΦΛΑΜΙΝΙΟΣ. Κ.

ὃ

ν δὲ παραβάλλομεν αὐτῷ, Τίτος Κοΐντιος Φλαμίνιος. ἰδέαν μὲν ὁποῖος ἦν πάρεστι θεάσασθαι τοῖς βουλομένοις, ἀπὸ τῆς ἐν Ῥώμῃ χαλκῆς εἰκόνος, ἣ κεῖται παρὰ τὸν μέγαν Ἀπόλλωνα, τὸν ἐκ Καρχηδόνος ἀντικρὺ τοῦ ἱπποδρόμου, γράμμασιν ἑλληνικοῖς ἐπιγεγραμμένη. τὸ δὲ ἦθος, ὀξὺς λέγεται γενέσθαι, καὶ πρὸς ὀργὴν καὶ πρὸς χάριν. οὐ μὴν ὅμοιος. ἀλλ' ἐλαφρὸς μὲν ἐν τῷ κολάζειν, καὶ οὐκ ἐπίμονος. πρὸς δὲ τὰς χάριτας, τελεσιουργός. καὶ τοῖς εὐεργετηθεῖσι, διαπαντὸς ὥσπερ εὐεργέταις, εὔνους καὶ πρόθυμος. ὡς κάλλιστα τῶν κτημάτων, τοὺς εὖ πεπονθότας ὑπ' αὐτοῦ, περιέπειν καὶ σώζειν. φιλοτιμότατος δὲ καὶ φιλοδοξότατος ὢν, ἐβούλετο τῶν ἀρίστων καὶ μεγίστων πράξεων αὐτουργὸς εἶναι. καὶ τοῖς δεομένοις εὖ παθεῖν μᾶλλον, ἢ τοῖς εὖ ποιῆσαι δυναμένοις ἔχαιρεν. τοὺς μὲν, ὕλην τῆς ἀρετῆς. τοὺς δὲ, ὥσπερ ἀντιπάλους πρὸς δόξαν ἡγούμενος. παιδευθεὶς δὲ παιδείαν τὴν διὰ τῶν ἐθῶν τῶν στρατιωτικῶν, πολλοὺς τότε καὶ μεγάλους τῆς Ῥώμης ἀγωνιζομένης ἀγῶνας, καὶ τῶν νέων εὐθὺς ἐξ ἀρχῆς ἐν τῷ στρατεύεσθαι, στρατηγεῖν διδασκομένων, πρῶτον μὲν, ἐν τῷ πρὸς Ἀννίβαν πολέμῳ, χιλίαρχος ὑπατεύοντι Μαρκέλλῳ συνεστρατεύσατο. καὶ Μάρκελλος μὲν, ἐνέδρᾳ περιπεσὼν, ἐτελεύτησεν. Τίτος δὲ, τῆς περὶ Τάραντα χώρας. καὶ Τάραντος αὐτοῦ τὸ δεύτερον ἡλωκότος, ἔπαρχος ἀποδειχθεὶς, εὐδοκίμησεν, οὐχ ἧττον ἐπὶ τοῖς δικαίοις, ἢ κατὰ τὴν στρατείαν. διὸ καὶ πεμπομένων ἀποίκων εἰς δύο πόλεις Νάρνειάν τε καὶ Κῶσσαν, ἄρχων ᾑρέθη καὶ οἰκιστής. τοῦτο δὲ αὐτὸν ἐπῇρε μάλιστα, τὰς διὰ μέσου καὶ συνήθεις τοῖς νέοις ἀρχὰς ὑπερβάντα, δημαρχίαν καὶ στρατηγίαν καὶ ἀγορανομίαν, εὐθὺς αὑτὸν ὑπατείας ἀξιοῦν, καὶ κατῄει τοὺς ἀπὸ τῶν κληρουχιῶν ἔχων προθύμους, τῶν δὲ περὶ Φούλβιον καὶ Μάλλιον δημάρχων ἐνισταμένων. καὶ δεινὸν εἶναι λεγόντων ἄνδρα νέον, εἰς τὴν μεγίστην ἀρχὴν εἰσβιάζεσθαι παρὰ τοὺς νόμους, οἷον ἀτέλεστον ἔτι τῶν πρώτων ἱερῶν καὶ μυστηρίων τῆς πολιτείας. ἡ μὲν σύγκλητος ἀπέδωκε τῷ δήμῳ τὴν ψῆφον, ὁ δὲ δῆμος, ἀπέδειξεν αὐτὸν ὕπατον, μετὰ Σέξτου Αἰλίου. καίπερ οὔπω τριάκοντα ἔτη γεγονότα. κλήρῳ δὲ λαγχάνει τὸν πρὸς Φίλιππον καὶ Μακεδόνας πόλεμον, εὐτυχίᾳ τινὶ τῶν Ῥωμαίων συλλαχὼν πράγμασι, καὶ ἀνθρώποις οὐ πάντα πολέμῳ καὶ βίᾳ χρωμένου δεομένοις ἄρχοντος, ἀλλὰ πειθοῖ καὶ ὁμιλίᾳ μᾶλλον ἁλωσίμοις. Φιλίππῳ γὰρ ἦν στόμωμα μὲν εἰς μάχην ἀποχρῶν, ἡ Μακεδόνων ἀρχή. ῥώμη δὲ πολέμου τριβὴν ἔχοντος καὶ χορηγία καὶ καταφυγὴ, καὶ ὄργανον ὅλως τῆς φάλαγγος, ἡ τῶν Ἑλλήνων δύναμις, ὧν μὴ διαλυθέντων ἀπὸ τοῦ Φιλίππου, μιᾶς μάχης οὐκ ἦν ἔργον ὁ πρὸς αὐτὸν πόλεμος. ἡ δ' Ἑλλὰς, οὔπω πολλὰ συνενηνεγμένη Ῥωμαίοις, ἀλλὰ τότε πρῶτον ἐπιμιγνυμένη ταῖς πράξεσιν, εἰ μὴ φύσει τε χρηστὸς ἦν ὁ ἄρχων, καὶ λόγῳ μᾶλλον ἢ πολέμῳ χρώμενος, ἐντυγχάνοντί τε προσῆν πιθανότης καὶ πρᾳότης ἐντυγχανομένῳ, καὶ τόνος πλεῖστος ὑπὲρ τῶν δικαίων, οὐκ ἂν οὕτω ῥᾳδίως, ἀντὶ τῶν συνήθων, ἀλλόφυλον ἀρχὴν ἠγάπησεν. ταῦτα μὲν οὖν, ἐπὶ τῶν πράξεων αὐτοῦ δηλοῦται. Πυνθανόμενος δὲ ὁ Τίτος, τοὺς πρὸ ἑαυτοῦ στρατηγοὺς, τοῦτο μὲν Σουλπίκιον, τοῦτο δὲ Πόπλιον, ὀψὲ τῆς ὥρας ἐμβαλόντας εἰς Μακεδονίαν, καὶ τοῦ πολέμου βραδέως ἁψαμένους, κατατετρῖφθαι τοπομαχοῦντας καὶ διαπληκτιζομένους ἀκροβολισμοῖς ὑπὲρ ὁδῶν καὶ σιτολογίας πρὸς τὸν Φίλιππον, οὐκ ᾤετο δεῖν, ὥσπερ ἐκεῖνοι καταναλώσαντες οἴκοι τὸν ἐνιαυτὸν ἐν τιμαῖς, καὶ πολιτείᾳ, ὕστερον ἐξώρμησαν ἐπὶ τὰς στρατείας, οὕτω καὶ αὐτὸς ἐν τιμαῖς καὶ πολιτείαις, ἐνιαυτὸν ἐπικερδᾶναι τῇ ἀρχῇ. τὸν μὲν ὑπατεύσας, τῷ δὲ πολεμήσας, ἀλλ' ὁμοῦ φιλοτιμούμενος ἐνεργὸν τῷ πολέμῳ, τὴν ἀρχὴν παρασχεῖν. τὰς μὲν ἐν τῇ πόλει τιμὰς καὶ προεδρίας, ἀφῆκεν. αἰτησάμενος δὲ παρὰ τῆς βουλῆς τὸν ἀδελφὸν αὐτοῦ Λεύκιον ἄρχοντα νεῶν συστρατεύειν, καὶ τῶν μετὰ Σκιπίωνος, ἐν Ἰβηρίᾳ μὲν Ἀσδρούβαν, ἐν Λιβύῃ δὲ Ἀννίβαν αὐτὸν, καταμεμαχημένων, τοὺς ἀκμάζοντας ἔτι, καὶ προθύμους ἀναλαβὼν, ὥσπερ στόμωμα τρισχιλίους γενομένους, εἰς τὴν ἤπειρον ἀσφαλῶς διεπέρασεν. καὶ τὸν Πόπλιον εὑρὼν μετὰ τῆς δυνάμεως ἀντιστρατοπεδεύοντα τῷ Φιλίππῳ, τὰς περὶ τὸν Ἄψον ποταμὸν ἐμβολὰς καὶ τὰ στενὰ φυλάττοντι πολὺν ἤδη χρόνον, οὐδὲν δὲ περαίνοντα, διὰ τὴν ὀχυρότητα τῶν χωρίων, παρέλαβε τὸ στράτευμα, καὶ τὸν Πόπλιον ἀποπέμψας, κατεσκέπτετο τοὺς τόπους. εἰσὶ δὲ ὀχυροὶ μὲν, οὐχ ἧττον τῶν περὶ τὰ Τέμπη. κάλλη δὲ δένδρων ὡς ἐκεῖνοι καὶ χλωρότητα ὕλης καὶ διατριβὰς, καὶ λειμῶνας ἡδεῖς οὐκ ἔχουσιν. ὀρῶν δὲ μεγάλων καὶ ὑψηλῶν ἑκατέρωθεν εἰς μίαν φάραγγα, μεγίστην καὶ βαθεῖαν συμφερομένων, διεκπίπτων ὁ Ἄψος, καὶ σχῆμα καὶ τάχος ἐξομοιοῦται πρὸς τὸν Πηνειόν. τὴν μὲν ἄλλην ἅπασαν ἀποκρύπτων ὑπώρειαν, ἐκτομὴν δὲ κρημνώδη, καὶ στενὴν παρὰ τὸ ῥεῖθρον ἀπολείπων ἀτραπὸν, οὐδὲ ἄλλως ῥᾳδίαν στρατεύματι διελθεῖν, εἰ δὲ καὶ φυλάττοιτο, παντελῶς ἄπορον. ἦσαν μὲν οὖν οἱ τὸν Τίτον ἄγειν κύκλῳ διὰ τῆς Δασσαρήτιδος κατὰ Λύκον, εὔπορον ὁδὸν καὶ ῥᾳδίαν ἐπιχειροῦντες. ὁ δὲ, δεδι-

ς τ (margin)

χαρνίαν. η. θ. (margin)

Lingo appellat Livius L°. 2. dec. 4. Stephanus item nominat λίγγον. aitque esse φρούριον κασσανδρίων sed ibi Livius montem esse dicit.

μα λαμβάνων, οὔτε φῶς ἔξωθεν, οὔτε θύρας ἔχον, ἀλλὰ μεγάλῳ λίθῳ περιαγομένῳ κατακλειόμενον, ἐνταῦθα κατέθεντο, καὶ τὸν λίθον ἐπιρράξαντες, ἄνδρας ἐνόπλους κύκλῳ περιέστησαν. οἱ δ' ἱππεῖς τῶν Ἀχαιῶν, ἐκ τῆς φυγῆς ἀναλαβόντες αὑτούς, ὡς οὐδαμοῦ φανερὸς ἦν ὁ Φιλοποίμην, ἀλλ' ἐδόκει τεθνάναι, πολὺν μὲν χρόνον ἐπέστησαν ἀνακαλούμενοι τὸν ἄνδρα, καὶ διαδιδόντες ἀλλήλοις λόγον, ὡς αἰσχρὰν σωτηρίαν καὶ ἄδικον σῴζονται, προέμενοι τοῖς πολεμίοις τὸν στρατηγὸν ἀφειδήσαντα τοῦ ζῆν δι' αὐτούς. ἔπειτα προϊόντες ἅμα καὶ πολυπραγμονοῦντες, ἐπύθοντο τὴν σύλληψιν αὐτοῦ, καὶ διήγγελλον εἰς τὰς πόλεις τῶν Ἀχαιῶν. οἱ δὲ συμφορὰν ποιούμενοι μεγάλην, ἀπαιτεῖν μὲν ἔγνωσαν τὸν ἄνδρα, παρὰ τῶν Μεσσηνίων, πρεσβείαν πέμψαντες. αὐτοὶ δὲ, παρεσκευάζοντο στρατεύειν.

Οὗτοι μὲν οὖν, ταῦτα ἔπραττον. ὁ δὲ Δεινοκράτης, μάλιστα τὸν χρόνον, ὡς σωτήριον τῷ Φιλοποίμενι δεδοικώς, καὶ φθάσαι τὰ παρὰ τῶν Ἀχαιῶν βουλόμενος, ἐπεὶ νὺξ ἐπῆλθε καὶ τὸ πλῆθος ἀπεχώρησε τῶν Μεσσηνίων, ἀνοίξας τὸ δεσμωτήριον, εἰσέπεμψεν δημόσιον οἰκέτην, φάρμακον κομίζοντα προσενεγκεῖν, καὶ παραστῆναι, μέχρις ἂν ἐκπίῃ κελεύσας. ἐτύγχανε μὲν οὖν ἐν τῷ χλαμυδίῳ κατακείμενος, οὐ καθεύδων, ἀλλὰ λύπῃ καὶ θορύβῳ κατεχόμενος. ἰδὼν δὲ φῶς, καὶ παρεστῶτα πλησίον τὸν ἄνθρωπον ἔχοντα τὴν κύλικα τοῦ φαρμάκου, συναγαγὼν μόλις ἑαυτὸν ὑπ' ἀσθενείας, ἀνεκάθιζε. καὶ δεξάμενος, ἠρώτησεν, εἴ τι περὶ τῶν ἱππέων, καὶ μάλιστα Λυκόρτα πέπυσμενος εἶεν. εἰπόντος δὲ τοῦ ἀνθρώπου διαπεφευγέναι τοὺς πολλούς, ἐπένευσε τῇ κεφαλῇ, καὶ διαβλέψας πράως πρὸς τὸν ἄνθρωπον, εὖ λέγεις εἶπεν, εἰ μὴ πάντα κακῶς πεπράχαμεν. ἄλλο δὲ μηδὲν εἰπών, μηδὲ φθεγξάμενος, ἐξέπιε. καὶ πάλιν αὑτὸν ἀπέκλινεν, οὐ πολλὰ πράγματα τῷ φαρμάκῳ παρασχών, ἀλλ' ἀποσβεσθεὶς ταχὺ διὰ τὴν ἀσθένειαν. ὡς οὖν ὁ περὶ τῆς τελευτῆς λόγος ἧκεν εἰς τοὺς Ἀχαιούς, τὰς μὲν πόλεις αὐτῶν, κοινὴ κατήφεια καὶ πένθος εἶχεν. οἱ δ' ἐν ἡλικίᾳ μετὰ τῶν προβούλων συνελθόντες εἰς Μεγάλην πόλιν, οὐδ' ἣν τινοῦν ἀναβολὴν ἐποιήσαντο τῆς τιμωρίας, ἀλλ' ἑλόμενοι στρατηγὸν Λυκόρταν, εἰς τὴν Μεσσηνίαν ἐνέβαλον, καὶ κακῶς ἐποίουν τὴν χώραν, ἄχρι οὗ συμφρονήσαντες, ἐδέξαντο τοὺς Ἀχαιούς. καὶ Δεινοκράτης μὲν, αὐτὸς αὑτὸν φθάσας, διεχρήσατο. τῶν δὲ ἄλλων, ὅσοι μὲν ἀνελεῖν ἔδοξε Φιλοποίμενα, δι' αὑτῶν ἀπέθνησκον. ὅσοι δὲ καὶ βασανίσαι, τούτους ἐπ' αἰκίαις ποιούμενος συνελάμβανεν ὁ Λυκόρτας. τὸ δὲ σῶμα καύσαντες αὐτοῦ, καὶ τὰ λείψανα συνθέντες εἰς ὑδρίαν, ἀνεζεύγνυσαν, οὐκ ἀτάκτως οὐδὲ ὡς ἔτυχεν, ἀλλ' ἐπινίκιον πομπήν τινα ἅμα ταῖς ταφαῖς μίξαντες. ἦν μὲν γὰρ ἐστεφανωμένους ἰδεῖν. ἦν δὲ τοὺς αὐτοὺς καὶ δακρύοντας. ἦν δὲ τοὺς ἐχθροὺς, δεσμίους ἀγομένους. αὐτὴν δὲ τὴν ὑδρίαν, ὑπὸ πλήθους ταινιῶν τε καὶ στεφάνων, μόλις ὁρωμένην, ἐκόμιζεν δὲ ὁ τοῦ στρατηγοῦ τῶν Ἀχαιῶν παῖς Πολύβιος, καὶ περὶ αὐτὸν, οἱ πρῶτοι τῶν Ἀχαιῶν. οἱ δὲ στρατιῶται, ὡπλισμένοι μὲν αὐτοί, τοῖς δ' ἵπποις κεκοσμημένοις, ἐπηκολούθουν. οὔτε οἷον ἐπὶ πένθει τοσούτῳ κατηφεῖς, οὔτε τῇ νίκῃ γαυριῶντες. ἐκ δὲ τῶν διὰ μέσου πόλεων καὶ κωμῶν ἀπαντῶντες, ὥσπερ αὐτὸν ἀπὸ στρατείας ἐπανιόντα δεξιούμενοι, τῆς ὑδρίας ἐφήπτοντο, καὶ συμπροῆγον εἰς Μεγάλην πόλιν. ὡς οὖν συνανεμίχθησαν αὐτοῖς οἱ πρεσβύτεροι μετὰ γυναικῶν καὶ παίδων, ὀλοφυρμὸς ἤδη διὰ παντὸς ἐχώρει τοῦ στρατεύματος, εἰς τὴν πόλιν ἐπιποθοῦσαν τὸν ἄνδρα, καὶ βαρέως φέρουσαν, οἰομένην συναποβεβληκέναι τὸ πρωτεύειν ἐν τοῖς Ἀχαιοῖς. ἐτάφη μὲν οὖν ὡς εἰκὸς ἐνδόξως. καὶ περὶ τὸ μνημεῖον αὐτοῦ οἱ τῶν Μεσσηνίων αἰχμάλωτοι κατελεύσθησαν. οὐσῶν δὲ, πολλῶν μὲν εἰκόνων αὐτοῦ, μεγάλων δὲ τιμῶν ἃς αἱ πόλεις ἐψηφίσαντο, Ῥωμαῖός τις ἀνὴρ ἐν τοῖς περὶ Κόρινθον ἀτυχήμασι τῆς Ἑλλάδος, ἐπιχείρησιν ἀνελεῖν ἁπάσας, καὶ διώκειν αὐτὸν, ἐνδεικνύμενος, ὥσπερ ἔτι ζῶντα Ῥωμαίοις πολέμιον καὶ κακόνουν γενέσθαι. λόγων δὲ λεχθέντων, καὶ Πολυβίου πρὸς τὸν συκοφάντην ἀντειπόντος, οὔθ' ὁ Μόμμιος, οὔθ' οἱ πρέσβεις ὑπέμειναν, ἀνδρὸς ἐνδόξου τιμὰς ἀφανίσαι. καίπερ οὐκ ὀλίγα τοῖς περὶ Τίτον καὶ Μάνιον ἐναντιωθέντος. ἀλλὰ τῆς χρείας, τὴν ἀρετὴν ἐκεῖνοι, καὶ τὸ καλὸν ὡς ἔοικε, τοῦ λυσιτελοῦς διώριζον, ὀρθῶς καὶ προσηκόντως. τοῖς μὲν ὠφελοῦσι, μισθὸν καὶ χάριν παρὰ τῶν εὖ παθόντων. τοῖς δ' ἀγαθοῖς, τιμὴν ὀφείλεσθαι παρὰ τῶν ἀγαθῶν, ἀεὶ νομίζοντες. Ταῦτα περὶ Φιλοποίμενος.

τας, οὐ καθ' ὥραν κολάζονται· τοὺς δὲ σύρους ἐν ἀταξίᾳ πολλῇ καὶ χωρὶς ἡγεμόνων ἐν ταῖς πόλεσιν πλαζομένους καὶ τρυφῶντας, ἤχθετο μὴ στρατηγῶν τότε τῶν ἀχαιῶν. καὶ ῥωμαίοις ἔλεγεν φθονεῖν τῆς νίκης. ἐγὼ γὰρ ἂν ἔφη στρατηγῶν ἐν τοῖς καπηλείοις κατέκοψα τούτους πάντας. ἐπεὶ δὲ νικήσαντες οἱ ῥωμαῖοι τὸν ἀντίοχον, ἐνεφύοντο τοῖς ἑλληνικοῖς μᾶλλον ἤδη, καὶ περιεβάλλοντο τῇ δυνάμει τοὺς ἀχαιούς, ὑποκατακλινομένων αὐτοῖς τῶν δημαγωγῶν, ἡ δ' ἰσχὺς ἤδη πάντα πολλή, μετὰ τοῦ δαίμονος ἐχώρει, καὶ τὸ τέλος ἐγγὺς ἦν, εἰς ὃ τὴν τύχην ἔδει περιφερομένην ἐξικέσθαι, καθάπερ ἀγαθὸς κυβερνήτης πρὸς κῦμα διερειδόμενος ὁ φιλοποίμην, τὰ μὲν ἐνδιδόναι καὶ παρείκειν ἠναγκάζετο τοῖς καιροῖς· περὶ δὲ τῶν πλείστων διαφερόμενος, τοὺς τῷ λέγειν καὶ πράττειν ἰσχύοντας, ἀντισπᾶν ἐπειρᾶτο πρὸς τὴν ἐλευθερίαν. ἀρισταινέτου δὲ τοῦ μεγαλοπολίτου, δυναμένου μὲν ἐν τοῖς ἀχαιοῖς μέγα, τοὺς δὲ ῥωμαίους ἀεὶ θεραπεύοντος, καὶ τοὺς ἀχαιοὺς μὴ οἰομένου δεῖν ἐναντιοῦσθαι μηδὲ ἀχαριστεῖν ἐκείνοις ἐν τῷ συνεδρίῳ, λέγεται τὸν φιλοποίμενα σιωπᾶν ἀκούοντα καὶ βαρέως φέρειν. τέλος δὲ ὑπ' ὀργῆς δυσανασχετοῦντα πρὸς τὸν ἀρισταίνετον, εἰπεῖν. ὦ ἄνθρωπε, τί σπεύδεις τὴν πεπρωμένην τῆς ἑλλάδος ἐπιδεῖν. μανίου δὲ τοῦ ῥωμαίων ὑπάτου νενικηκότος μὲν ἀντίοχον, αἰτουμένου δὲ παρὰ τῶν ἀχαιῶν, ὅπως ἐάσωσι τοὺς λακεδαιμονίων φυγάδας κατελθεῖν, καὶ τίτου, ταὐτὰ τῷ μανίῳ, περὶ τῶν φυγάδων ἀξιοῦντος, διεκώλυσεν ὁ φιλοποίμην. οὐ τοῖς φυγάσι πολεμῶν, ἀλλὰ βουλόμενος δι' αὐτοῦ καὶ τῶν ἀχαιῶν, ἀλλὰ μὴ τίτου, μηδὲ ῥωμαίων χάριτι τοῦτο πραχθῆναι. καὶ στρατηγῶν εἰς τοὐπιόν, αὐτὸς κατήγαγε τοὺς φυγάδας. οὕτως εἶχέν τι πρὸς τὰς ἐξουσίας ὑπὸ φρονήματος, δύσερι, καὶ φιλόνεικον. ἤδη δὲ γεγονὼς ἔτος ἑβδομηκοστόν, ὄγδοον δὲ τῶν ἀχαιῶν στρατηγῶν, ἤλπιζεν οὐ μόνον ἐκείνην τὴν ἀρχὴν ἀπολέμως διάξειν, ἀλλὰ καὶ τοῦ βίου τὸ λοιπὸν αὐτῷ μεθ' ἡσυχίας καταβιῶναι, τὰ πράγματα παρέξειν. ὡς γὰρ αἱ νόσοι ταῖς τῶν σωμάτων ῥώμαις συναπομαραίνεσθαι δοκοῦσιν, οὕτως ἐν ταῖς ἑλληνικαῖς πόλεσιν ἐπιλιπούσης τῆς δυνάμεως, ἔληγεν τὸ φιλόνεικον. οὐ μὴν, ἀλλὰ νέμεσίς τις ὥσπερ ἀθλητὴν εὐδρομοῦντα, πρὸς τέρμασι τοῦ βίου κατέβαλεν. λέγεται γὰρ ἔν τινι συλλόγῳ τῶν παρόντων ἐπαινούντων, ἄνδρα δεινὸν εἶναι δοκοῦντα περὶ στρατηγίαν, εἰπεῖν τὸν φιλοποίμενα. καὶ πῶς ἄξιον ἐκείνου λόγον ἔχειν τοῦ ἀνδρός, ὅς τις ἥλω ζῶν ὑπὸ τῶν πολεμίων. μεθ' ἡμέρας δὲ ὀλίγας δεινοκράτης ὁ μεσσήνιος, ἄνθρωπος ἰδίᾳ τε τῷ φιλοποίμενι προσκεκρουκώς, καὶ τοῖς ἄλλοις ἐπαχθὴς διὰ πονηρίαν καὶ ἀκολασίαν, τήν τε μεσσήνην ἀπέστησεν τῶν ἀχαιῶν, καὶ κώμην τὴν καλουμένην κολωνίδα, προσηγγέλθη μέλλων καταλαμβάνειν. ὁ δὲ φιλοποίμην, ἔτυχε μὲν ἐν ἄργει πυρέσσων, πυθόμενος δὲ ταῦτα, συνέτεινεν εἰς μεγάλην πόλιν, ἡμέρᾳ μιᾷ σταδίους πλείονας ἢ τετρακοσίους. κἀκεῖθεν εὐθὺς, ἐβοήθει τοὺς ἱππεῖς ἀναλαβών, οἵπερ ἦσαν ἐνδοξότατοι μὲν τῶν πολιτῶν, νέοι δὲ κομιδῇ, δι' εὔνοιαν τοῦ φιλοποίμενος καὶ ζῆλον ἐθελονταὶ συστρατεύοντες, ἱππασάμενοι δὲ πρὸς τὴν μεσσήνην, καὶ περὶ τὸν εὐάνδρου λόφον, ἀπαντῶντι τῷ δεινοκράτει συμπεσόντες, ἐκεῖνον μὲν, ἐτρέψαντο. τῶν δὲ πεντακοσίων, οἳ τὴν χώραν τῶν μεσσηνίων παρεφύλαττον ἐξαίφνης ἐπιφερομένων, καὶ τῶν πρότερον ἡττωμένων, ὡς τούτους κατεῖδον, αὖθις ἀνὰ τοὺς λόφους ἀθροιζομένων, δείσας ὁ φιλοποίμην κυκλωθῆναι καὶ τῶν ἱππέων φειδόμενος, ἀνεχώρει διὰ τόπων χαλεπῶν, αὐτὸς οὐραγῶν, καὶ πολλάκις ἀντεξελαύνων τοῖς πολεμίοις. καὶ ὅλως ἐπισπώμενος ἐφ' ἑαυτὸν οὐ τολμώντων ἀντεμβαλεῖν ἐκείνων, ἀλλὰ κραυγαῖς καὶ περιδρομαῖς χρωμένων ἄπωθεν, ἀφιστάμενος οὖν πολλάκις διὰ τοὺς νεανίσκους, καὶ καθ' ἕνα παραπέμπων, ἔλαθεν ἐν πολλοῖς ἀπομονωθεὶς πολεμίοις. καὶ συνάψαι μὲν εἰς χεῖρας, οὐδεὶς ἐτόλμησεν αὐτῷ. πόῤῥωθεν δὲ βαλλόμενος, καὶ βιαζόμενος πρὸς χωρία πετρώδη καὶ παράκρημνα, χαλεπῶς μετεχειρίζετο, καὶ κατέξαινε τὸν ἵππον. αὐτῷ δὲ, τὸ μὲν γῆρας ὑπὸ ἀσκήσεως πολλῆς, ἐλαφρὸν ἦν, καὶ πρὸς οὐδὲν ἐμπόδιον εἰς τὸ σωθῆναι, τότε δὲ καὶ διὰ τὴν ἀσθένειαν τοῦ σώματος ἐνδεοῦς γεγονότος, καὶ διὰ τὴν ὁδοιπορίαν κατακόπου, βαρὺν ὄντα καὶ δυσκίνητον ἤδη, σφαλεὶς ὁ ἵππος, εἰς τὴν γῆν κατέβαλεν. σκληροῦ δὲ τοῦ πτώματος γενομένου, καὶ τῆς κεφαλῆς παθούσης. ἔκειτο πολὺν χρόνον ἄναυδος, ὥστε καὶ τοὺς πολεμίους τεθνάναι δόξαντας αὐτόν, ἐπιχειρεῖν στρέφειν τὸ σῶμα καὶ σκυλεύειν. ἐπεὶ δὲ τὴν κεφαλὴν ἐπάρας διέβλεψεν, ἀθρόοι περιπεσόντες, ἀπέστρεφον αὐτοῦ τὰς χεῖρας ὀπίσω, καὶ δήσαντες ἦγον, ὕβρει χρώμενοι πολλῇ, καὶ λοιδορίᾳ κατ' ἀνδρός, οὐδὲ ὄναρ ἄν ποτε παθεῖν ὑπὸ δεινοκράτους ταῦτα προσδοκήσαντος. οἱ δ' ἐν τῇ πόλει τῇ μὲν ἀγγελίᾳ θαυμαστῶς ἐπαρθέντες, ἠθροίζοντο περὶ τὰς πύλας, ὡς δὲ εἶδον ἑλκόμενον τὸν φιλοποίμενα παρ' ἀξίαν τῆς τε δόξης καὶ τῶν ἔμπροσθεν ἔργων καὶ τροπαίων, ἠλέησαν οἱ πλεῖστοι καὶ συνήλγησαν. ὥστε καὶ δακρῦσαι, καὶ τὴν ἀνθρωπίνην ἐκφλαυρίσαι δύναμιν, ὡς ἄπιστον καὶ τὸ μηδὲν οὖσαν. οὕτω δὲ κατὰ μικρὸν εἰς πολλοὺς φιλάνθρωπος ἐχώρει λόγος, ὡς μνημονευτέον εἴη τῶν πρόσθεν εὐεργεσιῶν καὶ τῆς ἐλευθερίας, ἣν ἀπέδωκεν αὐτοῖς, νάβιν ἐξελάσας τὸν τύραννον. ὀλίγοι δὲ ἦσαν οἳ τῷ δεινοκράτει χαριζόμενοι, στρεβλοῦν τὸν ἄνδρα, καὶ κτείνειν ἐκέλευον, ὡς βαρὺν πολέμιον καὶ δυσμείλικτον, αὐτῷ τε δεινοκράτει φοβερώτερον εἰ διαφύγοι, καθυβρισμένος ὑπ' αὐτοῦ καὶ γεγονὼς αἰχμάλωτος. οὐ μὴν, ἀλλὰ κομίσαντες αὐτὸν εἰς τὸν καλούμενον θησαυρόν, οἴκημα κατάγειον, ὅτε πνεῦ-

παράκρημνα

τῆς χώρας, ἄλλον ἄλλῃ διασπειρόμενον, ὑλώδης δὲ καὶ περὶ βουνοὺς ἦν πᾶσα καὶ δύσιππος ὑπὸ ῥεέθρων καὶ φαράγγων. τὴν μὲν δίωξιν ἐπέσχεν, καὶ κατεστρατοπέδευσεν ἔτι φωτὸς ὄντος, τεκμαιρόμενος δὲ τοὺς πολεμίους ἐκ τῆς φυγῆς καθ' ἕνα καὶ δύο πρὸς τὴν πόλιν ὑπάξειν σκοταίους, ἐλόχιζε τοῖς περὶ τὸ ἄστυ ῥεέθροις καὶ λόφοις, πολλοὺς ἔχοντας ἐγχειρίδια τῶν ἀχαιῶν. ἐνταῦθα πλείστους ἀποθανεῖν συνέβη τῶν τοῦ νάβιδος. ἅτε γὰρ οὐκ ἀθρόαν ποιούμενοι τὴν ἀναχώρησιν, ἀλλ' ὡς ἑκάστοις αἱ φυγαὶ συνετύγχανον, ὥσπερ ὄρνιθες ἡλίσκοντο περὶ τὴν πόλιν, εἰς τὰς τῶν πολεμίων χεῖρας καταίροντες. ἐπὶ τούτοις ἀγαπώμενος καὶ τιμώμενος ἐκπρεπῶς ὑπὸ τῶν ἑλλήνων ἐν τοῖς θεάτροις, φιλότιμον ὄντα τὸν τίτον, ἡσυχῆ παρελύπει. καὶ γὰρ ὡς ῥωμαίων ὕπατος, ἀνδρὸς ἀρκάδος ἠξίου θαυμάζεσθαι μᾶλλον ὑπὸ τῶν ἀχαιῶν. καὶ ταῖς εὐεργεσίαις ὑπερβάλλειν οὐ παρὰ μικρὸν ἡγεῖτο, δι' ἑνὸς κηρύγματος ἐλευθερώσας τὴν ἑλλάδα, ὅση φιλίππῳ καὶ μακεδόσιν ἐδούλευσεν. ἐκ δὲ τούτου, καταλύεται μὲν ὁ τίτος τῷ νάβιδι τὸν πόλεμον. ἀποθνήσκει δὲ ὁ νάβις ὑπὸ αἰτωλῶν δολοφονηθείς. τεταραγμένης δὲ τῆς σπάρτης, ὁ φιλοποίμην ἁρπάσας τὸν καιρὸν, ἐπῆλθε μετὰ δυνάμεως, καὶ τῶν μὲν, ἀκόντων. τοὺς δὲ, συμπείσας προσηγάγετο, καὶ μετεκόσμησεν εἰς τοὺς ἀχαιοὺς τὴν πόλιν. οὗ γενομένου, θαυμαστῶς μὲν εὐδοκίμησε, παρὰ τοῖς ἀχαιοῖς, προσκτησάμενος αὐτοῖς ἀξίωμα πόλεως τηλικαύτης καὶ δύναμιν. οὐ γὰρ ἦν μικρὸν, ἀχαΐας μέρος γενέσθαι τὴν σπάρτην, ἀνέλαβεν δὲ καὶ λακεδαιμονίων τοὺς ἀρίστους, φύλακας τῆς ἐλευθερίας ἐκεῖνον ἐλπίσαντας ἕξειν. διὸ καὶ τὴν νάβιδος οἰκίαν καὶ οὐσίαν ἐξαργυρισθεῖσαν, καὶ γενομένην εἴκοσι καὶ ἑκατὸν ταλάντων, ἐψηφίσαντο δωρεὰν αὐτῷ δοῦναι, πρεσβείαν ὑπὲρ τούτων πέμψαντες. ἔνθα δὴ καὶ διεφάνη καθαρὸς ἐκεῖνος ὁ ἀνὴρ, οὐ δοκῶν μόνον, ἀλλὰ καὶ ὢν ἄριστος. πρῶτον μὲν γὰρ, οὐδεὶς ἐβούλετο τῶν σπαρτιατῶν, ἀνδρὶ τοιούτῳ διαλέγεσθαι περὶ δωροδοκίας, ἀλλὰ δεδιότες καὶ ἀναδυόμενοι, προεβάλοντο τὸν ξένον αὐτοῦ τιμόλαον. ἔπειτα δὲ αὐτὸς ὁ τιμόλαος, ὡς ἦλθεν εἰς μεγάλην πόλιν ἑστιαθεὶς παρὰ τῷ φιλοποίμενι, καὶ τὴν σεμνότητα τῆς ὁμιλίας αὐτοῦ, καὶ τὴν ἀφέλειαν τῆς διαίτης, καὶ τὸ ἦθος ἐγγύθεν οὐδαμῇ προσιτὸν, οὐδὲ εὐάλωτον ὑπὸ χρημάτων κατανοήσας, ἀπεσιώπησε περὶ τῆς δωρεᾶς. ἑτέραν δέ τινα πρόφασιν τῆς πρὸς αὐτὸν ὁδοῦ ποιησάμενος ὤχετο ἀπιών. καὶ πάλιν ἐκ δευτέρου πεμφθεὶς, ταυτὸ ἔπαθεν. τρίτῃ δὲ ὁδῷ μόλις ἐντυχὼν, ἐδήλωσε τὴν προθυμίαν τῆς πόλεως. Ὁ δὲ φιλοποίμην ἡδέως ἀκούσας, ἧκεν αὐτὸς εἰς λακεδαίμονα καὶ συνεβούλευσεν αὐτοῖς μὴ τοὺς φίλους ἀγαθοὺς δεκάζειν, ὧν προῖκα τῆς ἀρετῆς ἔξεστιν ἀπολαύειν. ἀλλὰ τοὺς πονηροὺς καὶ τὴν πόλιν ἐν τῷ συνεδρίῳ καταστασιάζοντας, ὠνεῖσθαι καὶ διαφθείρειν, ἵνα τῷ λαβεῖν ἐπιστομισθέντες, ἧττον ἐνοχλοῖεν αὐτοῖς· βέλτιον γὰρ εἶναι τῶν ἐχθρῶν παραιρεῖσθαι τὴν παῤῥησίαν, ἢ τῶν φίλων. οὕτω μὲν ἦν πρὸς χρήματα λαμπρός. ἐπεὶ δὲ πάλιν τοὺς λακεδαιμονίους νεωτερίζειν ἀκούσας ὁ στρατηγὸς τῶν ἀχαιῶν διοφάνης, ἐβούλετο κολάζειν, οἱ δὲ, εἰς πόλεμον καθιστάμενοι, διετάραττον τὴν πελοπόννησον. ἐπειρᾶτο πραΰνειν καὶ καταπαύειν τὸν διοφάνη τῆς ὀργῆς ὁ φιλοποίμην, διδάσκων τὸν καιρὸν ὡς ἀντιόχου τοῦ βασιλέως, καὶ ῥωμαίων ἐν τῇ ἑλλάδι τηλικούτοις αἰωρουμένων στρατοπέδοις, ἐκεῖσε χρὴ τὸν ἄρχοντα τὴν γνώμην ἔχειν. τὰ δὲ οἰκεῖα μὴ κινεῖν, ἀλλὰ καὶ παριδεῖν τι καὶ παρακοῦσαι τῶν ἁμαρτανομένων. Οὐ προσέχοντος δὲ τοῦ διοφάνους, ἀλλ' εἰς τὴν λακωνικὴν ἐμβαλόντος, ἅμα τῷ τίτῳ, καὶ βαδιζόντων εὐθὺς ἐπὶ τὴν πόλιν, ἀγανακτήσας ὁ φιλοποίμην, ἔργον οὐ νόμιμον, οὐδ' ἀπηκριβωμένον ἐκ τῶν δικαίων, ἀλλὰ μέγα καὶ μεγάλῳ φρονήματι τολμήσας, εἰς τὴν λακεδαίμονα παρῆλθεν. καὶ τόν τε στρατηγὸν τῶν ἀχαιῶν, καὶ τὸν ὕπατον τῶν ῥωμαίων, ἰδιώτης ὢν ἀπέκλεισεν, τὰς δ' ἐν τῇ πόλει ταραχὰς, ἔπαυσε καὶ κατέστησε τοὺς λακεδαιμονίους πάλιν εἰς τὸ κοινὸν, ὥσπερ ἐξ ἀρχῆς ἦσαν. χρόνῳ δὲ ὕστερον ἐγκαλέσας τι τοῖς λακεδαιμονίοις στρατηγῶν ὁ φιλοποίμην, τοὺς μὲν φυγάδας κατήγαγεν εἰς τὴν πόλιν, ὀγδοήκοντα δὲ σπαρτιάτας ἀπέκτεινεν, ὡς πολύβιος φησίν. ὡς δὲ ἀριστοκράτης, πεντήκοντα καὶ τριακοσίους. τὰ δὲ τείχη, καθεῖλεν. χώραν δὲ πολλὴν ἀποτεμόμενος, προσένειμε τοῖς μεγαλοπολίταις. ὅσοι δὲ ἦσαν ὑπὸ τῶν τυράννων ἀποδεδειγμένοι πολῖται τῆς σπάρτης, μετῴκιζεν ἅπαντας, ἀπάγων εἰς ἀχαΐαν, πλὴν τρισχιλίων. τούτους δὲ ἀπειθοῦντας, καὶ μὴ βουλομένους ἀπελθεῖν ἐκ τῆς λακεδαίμονος, ἐπώλησεν. εἶθ' οἷον ἐφυβρίζων, ἀπὸ τῶν χρημάτων τούτων ἐν μεγαλοπόλει στοὰν ᾠκοδόμησεν. ἐμπιπλάμενος δὲ τῶν λακεδαιμονίων, καὶ παρ' ἀξίαν πεπραχόσιν ἐπεμβαίνων, τὸ περὶ τὴν πολιτείαν ἔργον ὠμότατον ἐξειργάσατο καὶ παρανομώτατον. ἀνεῖλεν γὰρ καὶ διέφθειρε τὴν λυκούργειον ἀγωγὴν, ἀναγκάσας τοὺς παῖδας καὶ τοὺς ἐφήβους, τὴν ἀχαϊκὴν, ἀντὶ τῆς πατρίου παιδείαν μεταλαβεῖν. ὡς οὐδέποτε μικρὸν ἐν τοῖς λυκούργου νόμοις φρονήσαντας. τότε μὲν οὖν ὑπὸ συμφορῶν μεγάλων, ὥσπερ νεῦρα τῆς πόλεως ἐκτεμεῖν, τῷ φιλοποίμενι παρασχόντες, ἐγένοντο χειροήθεις καὶ ταπεινοί. χρόνῳ δ' ὕστερον αἰτησάμενοι παρὰ ῥωμαίων, τὴν μὲν ἀχαϊκὴν ἔφυγον πολιτείαν, ἀνέλαβον δὲ καὶ κατεστήσαντο τὴν πάτριον ὡς ἦν ἀνυστὸν, ἐκ κακῶν καὶ φθορᾶς τηλικαύτης. Ἐπεὶ δὲ ῥωμαίοις ὁ πρὸς ἀντίοχον ἐν τῇ ἑλλάδι συνέστη πόλεμος, ἦν μὲν ἰδιώτης ὁ φιλοποίμην. ὁρῶν δὲ τὸν ἀντίοχον αὐτὸν ἐν χαλκίδι καθήμενον περὶ γάμον καὶ παρθένων ἔρω-

ἀρχὰς κρύφα τοὺς ἀναιρήσοντας αὐτόν. ἐπιγνωσθείσης δὲ τῆς ἐπιβουλῆς, παντάπασιν ἐξεμισήθη, καὶ διεβλήθη πρὸς τοὺς ἕλληνας. βοιωτοὶ δὲ, πολιορκοῦντες μέγαρα, καὶ λήψεσθαι ταχέως ἐλπίζοντες, ἐξαίφνης λόγου προσπεσόντος αὐτοῖς, ὃς οὐκ ἦν ἀληθής, φιλοποίμενα βοηθοῦντα τοῖς πολιορκουμένοις ἐγγὺς εἶναι, τὰς κλίμακας ἀφέντες ἤδη προσηρεισμένας τοῖς τείχεσιν, ᾤχοντο φεύγοντες. νάβιδος δὲ τοῦ μετὰ μαχανίδαν τυραννοῦντος λακεδαιμονίων, μεσσήνην ἄφνω καταλαβόντος, ἐτύγχανε μὲν, ἰδιώτης ὢν τότε ὁ φιλοποίμην, καὶ δυνάμεως οὐδεμιᾶς κύριος. ἐπεὶ δὲ τὸν στρατηγοῦντα τῶν ἀχαιῶν λύσιππον, οὐκ ἔπειθεν βοηθεῖν τοῖς μεσσηνίοις, ἀπολωλέναι κομιδῇ φάσκοντα τὴν πόλιν, ἔνδον γεγονότων τῶν πολεμίων, αὐτὸς ἐβοήθει, τοὺς ἑαυτοῦ πολίτας ἀναλαβών, οὔτε νόμον, οὔτε χειροτονίαν περιμείναντας, ἀλλ' ὡς διαπαντὸς ἄρχοντι τῷ κρείττονι κατὰ φύσιν ἑπομένους. ἤδη δ' αὐτοῦ πλησίον ὄντος, ἀκούσας ὁ νάβις, οὐχ ὑπέστη, καίπερ ἐν τῇ πόλει στρατοπεδεύων, ἀλλ' ὑπεκδὺς διὰ πυλῶν ἑτέρων, κατὰ τάχος ἀπήγαγε τὴν δύναμιν, εὐτυχεῖν χρήσεσθαι δοκῶν, εἰ διαφύγοι. καὶ διέφυγε. μεσσήνη δ' ἠλευθέρωτο. ταῦτα μὲν οὖν καλὰ τοῦ φιλοποίμενος. ἡ δ' εἰς κρήτην αὖθις ἀποδημία, γορτυνίων δεηθέντων, ὡς χρήσαιντο πολεμούμενοι στρατηγῷ, διαβολὴν ἔσχεν, ὅτι τῆς πατρίδος αὐτοῦ πολεμουμένης ὑπὸ νάβιδος, ἀπῆν φυγομαχῶν, ἢ φιλοτιμούμενος ἀκαίρως πρὸς ἑτέρους. καίτοι συντόνως οὕτως ἐπολεμήθησαν μεγαλοπολῖται κατὰ τὸν χρόνον ἐκεῖνον, ὥστε, τοῖς μὲν τείχεσιν ἐνοικεῖν. σπείρειν δὲ τοὺς στενωπούς, περικεκομμένης τῆς χώρας, καὶ τῶν πολεμίων σχεδὸν ἐν ταῖς πύλαις στρατοπεδευόντων. ὁ δὲ, κρησὶ πολεμῶν τηνικαῦτα, καὶ στρατηγῶν διαπόντιος, ἐγκλήματα παρεῖχεν καθ' ἑαυτοῦ τοῖς ἐχθροῖς, ὡς ἀποδιδράσκων τὸν οἴκοι πόλεμον. ἦσαν δέ τινες οἱ λέγοντες, ἑτέρους τῶν ἀχαιῶν ἡρημένων ἄρχοντας, ἰδιώτην ὄντα τὸν φιλοποίμενα, χρῆσαι τὴν ἑαυτοῦ σχολὴν, ἐφ' ἡγεμονίᾳ δεηθεῖσι τοῖς γορτυνίοις. ἦν γὰρ ἀλλότριος σχολῆς, καθάπερ ἄλλο τι κτῆμα, τὴν στρατηγικὴν καὶ πολεμικὴν ἀρετὴν, ἔχειν διαπαντὸς ἐν χρήσει καὶ τριβῇ βουλόμενος. ὡς καὶ τὸ περὶ πτολεμαίου ποτὲ ῥηθὲν τοῦ βασιλέως, ἀπεδήλωσεν. ἐκεῖνον γὰρ ἐγκωμιαζόντων τινῶν, ὡς εὖ μὲν ἐξασκοῦντα τὸ στράτευμα καθ' ἡμέραν, εὖ δὲ γυμνάζοντα καὶ φιλοπόνως διὰ τῶν ὅπλων τὸ σῶμα, καὶ τίς ἂν ἔφη βασιλέα θαυμάσειεν, ἐν τούτῳ τῆς ἡλικίας μὴ ἐπιδεικνύμενον, ἀλλὰ μελετῶντα. χαλεπῶς δ' οὖν οἱ μεγαλοπολῖται φέροντες ἐπὶ τούτῳ, καὶ προδίδοσθαι νομίζοντες, ἐπεχείρησαν ἀποξενοῦν αὐτόν. οἱ δ' ἀχαιοὶ, διεκώλυσαν, ἀρίσταινον πέμψαντες εἰς μεγάλην πόλιν στρατηγόν. ὃς καίπερ ὢν διάφορος τῷ φιλοποίμενι περὶ τὴν πολιτείαν, οὐκ εἴασεν τελεσθῆναι τὴν καταδίκην. ἐκ δὲ τούτου, παρορώμενος ὑπὸ τῶν πολιτῶν ὁ φιλοποίμην, ἀπέστησε πολλὰς τῶν περιοικίδων κωμῶν, λέγειν διδάξας, ὡς οὐ συνετέλουν, οὐδὲ ἦσαν ἐξ ἀρχῆς ἐκείνων. καὶ λεγούσαις ταῦτα, φανερῶς συνηγωνίσατο. καὶ συγκατεστασίασεν τὴν πόλιν, ἐπὶ τῶν ἀχαιῶν. ταῦτα μὲν οὖν ὕστερον. ἐν δὲ τῇ κρήτῃ συνεπολέμει τοῖς γορτυνίοις, οὐχ ὡς πελοποννήσιος ἀνὴρ καὶ ἀρκὰς ἁπλοῦν τινα καὶ γενναῖον πόλεμον, ἀλλὰ τὸ κρητικὸν ἦθος ἐνδύς, καὶ τοῖς ἐκείνων σοφίσμασιν καὶ δόλοις, κλωπείαις τε καὶ λοχισμοῖς χρώμενος ἐπ' αὐτούς, ταχὺ παῖδας ἀπέδειξεν, ἀνόητα καὶ κενὰ πρὸς ἐμπειρίαν ἀληθινὴν πανουργοῦντας. ἐπὶ τούτοις δὲ θαυμασθεὶς καὶ λαμπρῶς περὶ τῶν ἐκεῖ πράξεων ἀνακομισθεὶς εἰς πελοπόννησον, εὗρεν τὸν μὲν φίλιππον ὑπὸ τοῦ τίτου καταπεπολεμημένον. τὸν δὲ νάβιν, ὑπὸ τῶν ἀχαιῶν, καὶ τῶν ῥωμαίων πολεμούμενον. ἐφ' ὃν εὐθὺς αἱρεθεὶς ἄρχων, καὶ ναυμαχίᾳ παραβαλλόμενος, τὸ τοῦ ἐπαμεινώνδου παθεῖν ἔδοξε, πολὺ τῆς περὶ αὐτὸν ἀρετῆς καὶ τῆς δόξης ἀφαιρεθεὶς ἐν τῇ θαλάσσῃ κάκιον ἀγωνισάμενος. πλὴν ἐπαμεινώνδαν μὲν ἔνιοι λέγουσιν ὀκνοῦντα γεῦσαι τῶν κατὰ θάλατταν ὠφελειῶν τοὺς πολίτας, ὅπως αὐτῷ μὴ λάθωσιν, ἀντὶ μονίμων ὁπλιτῶν κατὰ πλάτωνα, ναῦται γενόμενοι καὶ διαφθαρέντες, ἄπρακτον ἐκ τῆς ἀσίας καὶ τῶν νήσων ἀπελθεῖν ἑκουσίως. φιλοποίμην δὲ τὴν ἐν τοῖς πεζοῖς ἐπιστήμην καὶ διὰ θαλάττης ἀρκέσειν αὐτῷ πρὸς τὸ καλῶς ἀγωνίσασθαι πεπεισμένος, ἔγνω τὴν ἄσκησιν, ἡλίκον μέρος ἐστὶ τῆς ἀρετῆς, καὶ πόσην ἐπὶ πάντα τοῖς ἐθισθεῖσιν δύναμιν προστίθησιν. οὐ γὰρ μόνον ἐν τῇ ναυμαχίᾳ διὰ τὴν ἀπειρίαν ἔλαττον ἔσχεν, ἀλλὰ καὶ ναῦν τινά, παλαιὰν μὲν, ἔνδοξον δὲ, δι' ἐτῶν τεσσαράκοντα κατασπάσας ἐπλήρωσεν. ὥστε μὴ στεγούσης, κινδυνεῦσαι τοὺς πολίτας. πρὸς ταῦτα γινώσκων, καταφρονοῦντας αὐτοῦ τοὺς πολεμίους, ὡς παντάπασιν πεφευγότος ἐκ τῆς θαλάττης, καὶ πολιορκοῦντας ὑπερηφάνως τὸ γύθιον, εὐθὺς ἐπέπλευσεν αὐτοῖς οὐ προσδοκῶσιν, ἀλλ' ἐκλελυμένοις διὰ τὴν νίκην. καὶ νυκτὸς ἐκβιβάσας τοὺς στρατιώτας, καὶ προσαγαγὼν πῦρ, ἐνῆκε ταῖς σκηναῖς. καὶ τὸ στρατόπεδον κατέκαυσε. καὶ πολλοὺς διέφθειρεν. ὀλίγαις δ' ὕστερον ἡμέραις, καθ' ὁδὸν ἐν δυσχωρίαις τισὶν ἄφνω τοῦ νάβιδος ἐπιφανέντος αὐτῷ, καὶ φοβήσαντος τοὺς ἀχαιούς, ἀνέλπιστον ἡγουμένους τὴν σωτηρίαν, ἐκ τόπων χαλεπῶν, καὶ γεγονότων ὑποχειρίων τοῖς πολεμίοις, ὀλίγον χρόνον ἐπιστάς, καὶ περιλαβὼν ὄψει τὴν τοῦ χωρίου φύσιν, ἐπέδειξεν τὴν τακτικὴν, τῶν ἄκρων τῆς πολεμικῆς τέχνην οὖσαν. οὕτω μικρὰ κινήσας τὴν ἑαυτοῦ φάλαγγα, καὶ πρὸς τὰ παρόντα μεθαρμόσας, ἀθορύβως καὶ ῥᾳδίως διεκρούσατο τὴν ἀπορίαν. καὶ προσβαλὼν τοῖς πολεμίοις, τροπὴν ἰσχυρὰν ἐποίησεν. ἐπεὶ δὲ οὐ πρὸς τὴν πόλιν ἑώρα φεύγοντας, ἀλλὰ

πεζοῖς

φοινικῶν ς. κρανῶν καὶ παραβαφαῖς κοσμουμένων, καὶ χιτώνων ἱππικῶν, καὶ στρατιωτικῶν χλαμύδων διηνθισ-
μένων. ἡ δ' ὄψις αὕτη τὸ θάρσος αὔξουσα καὶ παρακαλοῦσα τὴν ὁρμήν, ἐποίει φιλοπαράβολον καὶ
πρόθυμον ἐπὶ τοὺς κινδύνους. ἡ μὲν γὰρ ἐν τοῖς ἄλλοις θεάμασι πολυτέλεια τρυφὴν ἐπάγεται. καὶ
κνησμῶν ς. μαλακίαν ἐνδίδωσι τοῖς χρωμένοις, ὥσπερ ἀπὸ νυγμῶν καὶ γαργαλισμῶν τῆς αἰσθήσεως συνεπι-
κλώσης τὴν διάνοιαν. ἡ δ' εἰς τὰ τοιαῦτα, ῥώννυσι καὶ μεγαλύνει τὸν θυμόν. ὥσπερ Ὅμηρος ἐποίησε
τὸν ἀχιλλέα τῶν καινῶν ὅπλων παρατεθέντων ἐγγὺς ἀπὸ τῆς ὄψεως, ὀργῶντα καὶ φλεγόμε-
νον πρὸς τὴν δι' αὐτῶν ἐνέργειαν. οὕτω δὲ κοσμήσας τοὺς νέους ἐγύμναζε καὶ διεπόνει, ταῖς κινήσεσι
προθύμως ὑπακούοντας καὶ φιλοτίμως. καὶ γὰρ ἡ τάξις θαυμαστῶς ἠγαπᾶτο, ἄθραυστόν τι λαμ-
βάνειν πύκνωμα δοκοῦσα. καὶ τὰ ὅπλα, τοῖς σώμασιν ἐγίνετο χειροήθη καὶ κοῦφα μεθ' ἡδονῆς διὰ λαμ-
τὸ βουλόμενον. ς. πρότητα καὶ κάλλος ἁπτομένων καὶ φορούντων ἐναγωνίσασθαί τι βουλομένων, καὶ διακριθῆναι τά-
χιστα πρὸς τοὺς πολεμίους. Ἦν δὲ τότε τοῖς ἀχαιοῖς ὁ πρὸς μαχανίδαν πόλεμος, τὸν λακεδαιμο-
νίων τύραννον, ἀπὸ πολλῆς καὶ μεγάλης δυνάμεως ἐπιβουλεύοντα πᾶσι πελοποννησίοις. ὡς δ' εἰς τὴν
μαντινικὴν ἐμβεβληκὼς ἀπηγγέλθη, κατὰ τάχος ὁ φιλοποίμην ἐξήγαγε τὴν στρατιὰν ἐπ' αὐτόν. ἐγ-
γὺς δὲ τῆς πόλεως παρετάξαντο, πολλοῖς μὲν ξένοις ἑκάτεροι, πάσαις δὲ ὁμοῦ τι ταῖς πολιτικαῖς
δυνάμεσι. γενομένου δὲ τοῦ ἀγῶνος ἐν χερσίν, ὁ μαχανίδας τοῖς ξένοις, τοὺς τῶν ἀχαιῶν προτεταγμέ-
νους ἀκοντιστὰς καὶ ταραντίνους τρεψάμενος, ἀντὶ τοῦ χωρεῖν εὐθὺς ἐπὶ τοὺς μαχομένους, καὶ παραρ-
ρηγνύναι τὸ συνεστηκός, ἐξέπεσε διώκων. καὶ παρήλλαξε τὴν φάλαγγα, τῶν ἀχαιῶν ἐν τάξει μενόν-
των. ὁ δὲ φιλοποίμην τηλικούτου πταίσματος ἐν ἀρχῇ γενομένου, καὶ τῶν πραγμάτων ἀπολωλέναι
κομιδῇ καὶ διεφθάρθαι δοκούντων, τοῦτο μὲν ὅμως, προσεποιεῖτο παρορᾶν, καὶ μηδὲν ἡγεῖσθαι
δεινόν. κατιδὼν δὲ τοὺς πολεμίους, ὅσον ἡμάρτανον ἐν τῇ διώξει, τῆς φάλαγγος ἀπορρηγνυμένους, καὶ
κενὴν χώραν διδόντας, οὐκ ἀπήντησεν οὐδ' ἐνέστη φερομένοις αὐτοῖς ἐπὶ τοὺς φεύγοντας, ἀλλ' ἐάσας
παρελθεῖν, καὶ διάσπασμα ποιῆσαι μέγα, πρὸς τοὺς ὁπλίτας εὐθὺς ἦγε, τῶν λακεδαιμονίων, ὁρῶν
τὴν φάλαγγα γυμνὴν ἀπολελειμμένην, καὶ κατὰ κέρας παραδραμών, ἐνέβαλεν. μήτε ἄρχοντος αὐ-
τοῖς παρόντος, μήτε μάχεσθαι προσδεχομένοις. νικᾶν γὰρ ἡγοῦντο, καὶ κρατεῖν παντάπασι διώκον-
τα τὸν μαχανίδαν ὁρῶντες. ὠσάμενος δὲ τούτους σὺν φόνῳ πολλῷ, λέγονται γὰρ ὑπὲρ τοὺς τετρακισχιλί-
ους ἀποθανεῖν, ὥρμησεν ἐπὶ τὸν μαχανίδαν, ἐκ τῆς διώξεως ἀναστρέφοντα μετὰ τῶν ξένων. τάφρου δὲ
μεγάλης καὶ βαθείας ἐν μέσῳ διειργούσης, παρεξήλαυνον ἀλλήλοις ἑκατέρωθεν. ὁ μὲν, διαβῆναι καὶ
φυγεῖν. ὁ δὲ τοῦτο κωλῦσαι βουλόμενος. ἦν δὲ ὄψις οὐχ ὡς στρατηγῶν μαχομένων, ἀλλ' ὥσπερ θηρίων
πρὸς ἀλκὴν ὑπ' ἀνάγκης τρεπομένων, δεινοῦ κυνηγέτου τοῦ φιλοποίμενος συνεστῶτος. ἔνθα ὁ μὲν ἵπ-
πος τοῦ τυράννου ῥωμαλέος ὢν καὶ θυμοειδής, καὶ τοῖς μύωψιν αἱμαχθεὶς ἑκατέρωθεν, ἐπετόλμησε
τῇ διαβάσει. καὶ προσβαλὼν τῇ τάφρῳ τὸ στῆθος, ἐβιάζετο τοῖς προσθίοις ὑπερείσασθαι σκέλε-
σιν. ἐν δὲ τούτῳ σιμμίας καὶ πολύαινος, οἱ περὶ ἀεὶ τῷ φιλοποίμενι παρῆσαν μαχομένῳ καὶ συνήσπι-
ζον, ὁμοῦ προσήλαυνον ἀμφότεροι, τὰς αἰχμὰς κλίναντες ἐναντίας. φθάνει δὲ αὐτοὺς ὁ φιλοποίμην,
ἀπαντήσας τῷ μαχανίδᾳ. καὶ τὸν ἵππον αὐτοῦ μετεωρίζοντα τὴν κεφαλὴν πρὸ τοῦ σώματος ὁρῶν,
μικρὸν ἐνέκλινε τὸν ἴδιον, καὶ διαλαβὼν τὸ ξυστόν, ἐκ χειρὸς ὠθεῖ, καὶ περιτρέπει τὸν ἄνδρα συνεπε-
ρείσας. τοῦτο ἔχων τὸ σχῆμα, χαλκοῦς ἐν δελφοῖς ἕστηκεν ὑπὸ τῶν ἀχαιῶν, θαυμασάντων μάλιστα καὶ
τὴν πρᾶξιν αὐτοῦ, καὶ τὴν στρατηγίαν ἐκείνην. λέγεται δὲ τῆς τῶν νεμείων πανηγύρεως συνεστώσης,
στρατηγοῦντα τὸν φιλοποίμενα τὸ δεύτερον, καὶ νενικηκότα μὲν οὐ πάλαι τὴν ἐν μαντινείᾳ μάχην,
τότε δὴ σχολὴν ἄγοντα διὰ τὴν ἑορτήν, πρῶτον μὲν ἐπιδεῖξαι τοῖς ἕλλησι κεκοσμημένην τὴν φάλαγ-
γα, καὶ κινουμένην ὥσπερ εἴθιστο τοὺς τακτικοὺς ῥυθμοὺς μετὰ τάχους, καὶ ῥώμης. ἔπειτα κιθαρῳ-
δῶν ἀγωνιζομένων, εἰς τὸ θέατρον παρελθεῖν, ἔχοντα τοὺς νεανίσκους ἐν ταῖς στρατιωτικαῖς χλαμύσι,
καὶ τοῖς φοινικοῖς ὑποδύταις, ἀκμάζοντάς τε τοῖς σώμασιν ἅπαντας, καὶ ταῖς ἡλικίαις παραλλή-
λους, αἰδῶ δὲ πολλὴν πρὸς τὸν ἄρχοντα. καὶ φρόνημα νεανικὸν ὑποφαίνοντας, ἐκ πολλῶν καὶ κα-
λῶν ἀγώνων. ἄρτι δὲ αὐτῶν εἰσεληλυθότων, κατὰ τύχην πυλάδην τὸν κιθαρῳδὸν ᾄδοντα τοὺς τιμοθέου
» πέρσας ἐνάρξασθαι. κλεινὸν ἐλευθερίας τεύχων μέγαν ἑλλάδι κόσμον. Ἅμα δὲ τῇ λαμπρότητι
» τῆς φωνῆς, τοῦ περὶ τὴν ποίησιν ὄγκου συμπρέψαντος, ἐπίβλεψιν γενέσθαι τοῦ θεάτρου, πανταχό-
θεν εἰς τὸν φιλοποίμενα. καὶ κρότον μετὰ χαρᾶς, τῶν ἑλλήνων τὸ παλαιὸν ἀξίωμα ταῖς ἐλπίσιν ἀνα-
τὸ. ς. λαμβανόντων, καὶ τοῦ τότε φρονήματος ἔγγιστα τῷ θαρρεῖν γενομένων. παρὰ δὲ τὰς μάχας καὶ τοὺς κιν-
δύνους, ὥσπερ οἱ πῶλοι τοὺς συνήθεις ἐπιβάτας ποθοῦντες, ἐὰν ἄλλον φέρωσι πτύρονται καὶ ξε-
νοπαθοῦσιν, οὕτως ἡ δύναμις τῶν ἀχαιῶν, ἑτέρου στρατηγοῦντος ἠθύμει, καὶ πρὸς ἐκεῖνον ἐπάπται-
νεν. καὶ μόνον ὀφθέντος, εὐθὺς ὀρθὴ καὶ δραστήριος ἦν, διὰ τὸ θαρρεῖν. ἅτε δὴ καὶ τοὺς ἐναντίους αἰσθα-
νόμενοι, πρὸς ἕνα τοῦτον τῶν στρατηγῶν ἀντιβλέπειν οὐ δυναμένους, ἀλλὰ καὶ τὴν δόξαν αὐτοῦ, καὶ τοὔ-
νομα δεδιότας ὡς ἦν φανερὸν ἐξ ὧν ἔπραττον. Φίλιππος μὲν γὰρ ὁ τῶν μακεδόνων βασιλεύς,
οἰόμενος ἂν ἐκποδὼν ὁ φιλοποίμην γένηται, πάλιν ὑποπτήξειν αὐτῷ τοὺς ἀχαιούς, ἔπεμψεν εἰς

ἄργος κρύφα

ἀντίγονος, ἐκεῖνο τοίνυν τὸ μειράκιον εἶπεν, ἔργον ἡγεμόνος μεγάλου πεποίηκεν. ἐκ τούτου δόξαν ἔχων, ὥσπερ εἰκὸς ὁ φιλοποίμην, καὶ τοῦ μὲν ἀντιγόνου σπουδάζοντος ὅπως στρατεύοιτο μετ' αὐτοῦ, καὶ διδόντος ἡγεμονίαν καὶ χρήματα, παρῃτήσατο. μάλιστα τὴν ἑαυτοῦ φύσιν καταμαθὼν πρὸς τὸ ἄρχεσθαι, δυσκόλως καὶ χαλεπῶς ἔχουσαν. ἀργεῖν δὲ καὶ σχολάζειν οὐ βουλόμενος ἀσκήσεως ἕνεκα καὶ μελέτης τῶν πολεμικῶν, εἰς κρήτην ἔπλευσεν ἐπὶ στρατείαν. κἀκεῖ, συχνὸν χρόνον ἐγγυμνασάμενος ἀνδράσι μαχίμοις καὶ ποικίλοις μεταχειρίσασθαι πόλεμον, ἔτι δὲ σώφροσι καὶ κεκολασμένοις περὶ δίαιταν, ἐπανῆλθεν οὕτω λαμπρὸς εἰς τοὺς ἀχαιούς, ὥστε εὐθὺς ἵππαρχος ἀποδειχθῆναι.

Παραλαβὼν δὲ τοὺς ἱππεῖς, φαύλοις μὲν ἱππαρίοις ἐκ τοῦ προστυχόντος, ὅτε συμβαίνοι στρατεία, προσχρωμένους, αὐτοὺς δὲ τὰς πολλὰς τῶν στρατειῶν ἀποδιδράσκοντας, ἑτέρους δὲ πέμποντας ἀνθ' ἑαυτῶν, δεινὴν δὲ ἀπειρίαν, μετὰ ἀτολμίας πάντων οὖσαν, περιορῶντας δὲ ταῦτα τοὺς ἄρχοντας ἀεί, διὰ τὸ πλεῖστον ἐν τοῖς ἀχαιοῖς τοὺς ἱππεῖς δύνασθαι, καὶ μάλιστα κυρίους εἶναι τιμῆς καὶ κολάσεως, οὐχ ὑπεῖξεν οὐδὲ ἀνῆκεν, ἀλλὰ καὶ τὰς πόλεις ἐπιὼν, καὶ κατ' ἄνδρα τῶν νέων ἕκαστον ἐπὶ τὴν φιλοτιμίαν συνεξορμῶν, καὶ κολάζων τοὺς ἀνάγκης δεομένους, μελέταις τε καὶ πομπαῖς, καὶ πρὸς ἀλλήλους ἁμίλλαις χρώμενος, ὅπου πλεῖστοι θεάσεσθαι μέλλοιεν, ὀλίγῳ χρόνῳ πᾶσι ῥώμην τε θαυμαστὴν, καὶ προθυμίαν παρέστησεν. καὶ ὃ μέγιστον ἦν ἐν τοῖς τακτικοῖς, ἐλαφροὺς καὶ ὀξεῖς· ὥστε τὰς κατ' οὐλαμὸν ἐπιστροφὰς καὶ περισπασμοὺς, καὶ τὰς καθ' ἵππον ἐπιστροφὰς καὶ κλίσεις ἀπειργάσατο καὶ συνείθισεν, ὡς ἐν ἑνὶ σώματι κινουμένῳ καθ' ὁρμὴν ἑκούσιον, ἐοικέναι τὴν ὅλου τοῦ συστήματος ἐν ταῖς μεταβολαῖς εὐχέρειαν. συστάσης δὲ τῆς περὶ τὸν λάρισσον αὐτοῖς ποταμὸν ἰσχυρᾶς μάχης πρὸς αἰτωλοὺς καὶ ἠλείους, ὁ τῶν ἠλείων ἵππαρχος δαμόφαντος, ὥρμησεν ἐπὶ τὸν φιλοποίμενα προεξελάσας, δεξάμενος δὲ τὴν ὁρμὴν ἐκεῖνος αὐτοῦ, καὶ φθάσας τῷ δόρατι παίει, καὶ καταβάλλει τὸν δαμόφαντον. εὐθὺς δὲ τούτου πεσόντος, ἔφυγον οἱ πολέμιοι, καὶ λαμπρὸς ἦν ὁ φιλοποίμην, ὡς οὔτε κατὰ χεῖρα τῶν νέων τινὸς, οὔτε συνέσει τῶν πρεσβυτέρων ἀπολειπόμενος, ἀλλὰ καὶ μάχεσθαι, καὶ στρατηγεῖν ἱκανώτατος. τὸ δὲ κοινὸν τῶν ἀχαιῶν, πρῶτος μὲν ἄρατος εἰς ἀξίωμα καὶ δύναμιν ἤγειρεν, ἐκ ταπεινοῦ καὶ διερριμμένου κατὰ πόλεις συναγαγὼν καὶ πολιτευσάμενος ἑλληνικὴν καὶ φιλάνθρωπον πολιτείαν. ἔπειτα ὥσπερ ἐν τοῖς ὕδασιν ἀρξαμένων ὀλίγων ὑφίστασθαι, καὶ μικρῶν σωμάτων, ἤδη τὰ ἐπιρρέοντα τοῖς πρώτοις ἐνισχόμενα καὶ περιπίπτοντα πῆξιν ἰσχυρὰν καὶ στερεότητα ποιεῖ δι' ἀλλήλων, οὕτω τῆς ἑλλάδος ἀσθενοῦς καὶ εὐδιαλύτου φερομένης κατὰ πόλεις ἐν τῷ τότε χρόνῳ, πρῶτον συστάντες οἱ ἀχαιοὶ, καὶ τῶν κύκλῳ πόλεων, τὰς μὲν ἐκ τοῦ βοηθεῖν καὶ συνελευθεροῦν ἀπὸ τῶν τυραννικῶν ἀπολαμβάνοντες, τὰς δὲ ὁμονοίᾳ, καὶ πολιτείᾳ καταμιγνύντες εἰς ἑαυτοὺς ἓν σῶμα καὶ μίαν δύναμιν κατασκευάσαι διενοοῦντο τὴν πελοπόννησον. ἀλλ' ἀράτου μὲν ζῶντος ἔτι τοῖς μακεδόνων ὅπλοις ὑπεδύοντο τὰ πολλὰ, θεραπεύοντες πτολεμαῖον. εἶτ' αὖθις ἀντίγονον καὶ φίλιππον ἐν μέσαις ἀναστρεφομένους ταῖς ἑλληνικαῖς πράξεσιν. ἐπεὶ δὲ φιλοποίμην εἰς τὸ πρωτεύειν προῆλθεν, ἤδη καθ' ἑαυτοὺς ἀξιόμαχοι τοῖς ἰσχύουσι πλεῖστον ὄντες, ἐπαύσαντο χρώμενοι προστάταις ἐπεισάκτοις. ἄρατος μὲν γὰρ ἀργότερος εἶναι δοκῶν πρὸς τοὺς πολεμικοὺς ἀγῶνας, ὁμιλίᾳ καὶ πραότητι καὶ φιλίαις βασιλικαῖς τὰ πλεῖστα κατειργάσατο τῶν πραγμάτων, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. φιλοποίμην δὲ ἀγαθὸς πολεμιστὴς ὢν, καὶ διὰ τῶν ὅπλων ἐνεργὸς, ἔτι δ' εὐτυχὴς καὶ κατορθωτικὸς, εὐθὺς ἐν ταῖς πρώταις γινομέναις μάχαις, ἅμα τῇ δυνάμει τὸ φρόνημα τῶν ἀχαιῶν ηὔξησεν νικᾶν ἐθισθέντων μετ' αὐτοῦ, καὶ κατευτυχεῖν ἐν τοῖς πλείστοις ἀγῶσι. πρῶτον μὲν οὖν τὰ περὶ τὰς τάξεις καὶ τοὺς ὁπλισμοὺς, φαύλως ἔχοντα τοῖς ἀχαιοῖς ἐκίνησεν. ἐχρῶντο γὰρ θυρεοῖς μὲν εὐπετέσι διὰ λεπτότητα καὶ στενωτέροις, τοῦ περιστέλλειν τὰ σώματα. δόρασι δὲ μικροτέροις πολὺ τῶν σαρισσῶν. καὶ διὰ τοῦτο πληκτικοὶ καὶ μάχιμοι πόρρωθεν ἦσαν ἀπὸ κουφότητος, προσμίξαντες δὲ τοῖς πολεμίοις, ἔλαττον εἶχον. εἶδος δὲ τάξεως καὶ σχήματος, εἰς σπεῖραν οὐκ ἦν συνῆθες. φάλαγγι δὲ χρώμενοι, μήτε προβολὴν ἐχούσῃ, μήτε συνασπισμὸν, ὡς ἡ μακεδόνων, ῥᾳδίως ἐξεθλίβοντο καὶ διεσπῶντο. ταῦτα ὁ φιλοποίμην διδάξας, ἔπεισεν αὐτοὺς, ἀντὶ μὲν θυρεοῦ καὶ δόρατος, ἀσπίδα λαβεῖν καὶ σάρισσαν. κράνεσι δὲ καὶ θώραξι, καὶ περικνημῖσι πεφραγμένους, μόνιμον καὶ βεβηκυῖαν, ἀντὶ δρομικῆς καὶ πελταστικῆς μάχην ἀσκεῖν. πείσας δὲ καθοπλίσασθαι τοὺς ἐν ἡλικίᾳ. πρῶτον μὲν, ἐπῆρε θαρρεῖν, ὡς ἀμάχους γεγονότας. ἔπειτα τὰς τρυφὰς αὐτῶν καὶ τὰς πολυτελείας ἄριστα μετεκόσμησεν. ἀφελεῖν γὰρ οὐκ ἦν παντάπασιν ἐκ πολλοῦ νοσούντων τὸν κενὸν καὶ μάταιον ζῆλον. ἐσθῆτας ἀγαπώντων περιττὰς, στρωμνάς τε βαπτομένων ἁλουργεῖς. καὶ περὶ δεῖπνα φιλοτιμουμένων καὶ τραπέζας. ὁ δὲ, ἀρξάμενος ἐκτρέπειν ἀπὸ τῶν οὐκ ἀναγκαίων ἐπὶ τὰ χρήσιμα καὶ καλὰ τὴν φιλοκοσμίαν, ταχὺ πάντας ἔπεισεν καὶ παρώρμησε τὰς καθ' ἡμέραν περὶ σῶμα δαπάνας κολούσαντας, ἐν ταῖς στρατιωτικαῖς καὶ πολεμικαῖς παρασκευαῖς διαπρεπεῖς ὁρᾶσθαι καὶ κεκοσμημένους. ἦν οὖν ἰδεῖν, τὰ μὲν ἐργαστήρια μεστὰ κατακοπτομένων κυλίκων καὶ θηρικλείων. χρυσουμένων δὲ θωράκων, καὶ καταργυρουμένων θυρεῶν καὶ χαλινῶν. τὰ δὲ στάδια, πώλων δαμαζομένων, καὶ νεανίσκων ὁπλομαχούντων. ἐν δὲ ταῖς χερσὶ τῶν γυναικῶν,

πόλιν ἀπῄει, καὶ περὶ τὰ δημόσια τοῖς φίλοις καὶ τοῖς ἄρχουσι συνησχολεῖτο. Τὰ μὲν οὖν ἐκ τῆς στρατείας προσιόντα κατανήλισκεν εἰς ἵππους καὶ ὅπλα καὶ λύσεις αἰχμαλώτων. τὸν δὲ οἶκον, ἀπὸ τῆς γεωργίας αὔξειν ἐπειρᾶτο, δικαιοτάτῳ τῶν χρηματισμῶν. οὐδὲ τοῦτο ποιούμενος πάρεργον, ἀλλὰ καὶ πάνυ προσήκειν οἰόμενος, οἰκεῖα κεκτῆσθαι, τῶν ἀλλοτρίων ἀφεξόμενον. ἠκροᾶτο δὲ λόγων, καὶ συγγράμμασι φιλοσόφων ἐνετύγχανεν, οὐ πᾶσιν, ἀλλ᾽ ἀφ᾽ ὧν ἐδόκει πρὸς ἀρετὴν ὠφελεῖσθαι, καὶ τῶν ὁμηρικῶν, ὅσα τὰς πρὸς ἀνδρείαν ἐγείρειν καὶ παροξύνειν ἐνόμιζε φαντασίας, τούτοις προσεῖχεν. τῶν δ᾽ ἄλλων ἀναγνωσμάτων, μάλιστα τοῖς εὐαγγέλου τακτικοῖς ἐνεφύετο. καὶ τὰς περὶ ἀλέξανδρον ἱστορίας κατεῖχεν, τοὺς λόγους ἐπὶ τὰ πράγματα καταστρέφειν οἰόμενος, εἰ μὴ σχολῆς ἄλλως ἕνεκα καὶ λαλιᾶς ἀκάρπου περαίνοιτο. καὶ γὰρ τῶν τακτικῶν θεωρημάτων, τὰς ἐπὶ τοῖς πινακίοις διαγραφὰς ἐῶν χαίρειν, ἐπὶ τῶν τόπων αὐτῶν ἐλάμβανεν ἔλεγχον, καὶ μελέτην ἐποιεῖτο, χωρίων συγκλινίας, καὶ πεδίων ἀποκοπάς, καὶ ὅσα περὶ ῥείθροις, ἢ τάφροις, ἢ στενωποῖς πάθη καὶ σχήματα διασπωμένης, καὶ πάλιν συστελλομένης φάλαγγος, ἐπισκοπῶν αὐτὸς πρὸς αὐτὸν ἐν ταῖς ὁδοιπορίαις καὶ τοῖς μεθ᾽ ἑαυτοῦ προβάλλων. ἔοικε γὰρ οὗτος ἀνὴρ περαιτέρω τῆς ἀνάγκης ἐμφιλοκαλῆσαι τοῖς στρατιωτικοῖς καὶ τὸν πόλεμον ὡς ποικιλωτάτην ὑπόθεσιν τῆς ἀρετῆς ἀσπάζεσθαι. καὶ ὅλως καταφρονεῖν τῶν ἀπολειπομένων ὡς ἀπράκτων. ἤδη δὲ αὐτοῦ τριάκοντα ἔτη γεγονότος, κλεομένης ὁ βασιλεὺς λακεδαιμονίων, νυκτὸς ἐξαίφνης προσπεσὼν τῇ μεγάλῃ πόλει καὶ τὰς φυλακὰς βιασάμενος, εἴσω παρῆλθεν καὶ τὴν ἀγορὰν κατέλαβεν. ἐκβοηθήσας δὲ φιλοποίμην τοὺς μὲν πολεμίους, οὐ κατίσχυσεν ἐξελάσαι,

καθίκισεν ς.τ.

καίπερ ἐρρωμένως καὶ παραβόλως διαγωνισάμενος. τοὺς δὲ πολίτας τρόπον τινὰ τῆς πόλεως ἐξέκλεψεν. προσμαχόμενος τοῖς ἐπιδιώκουσι, καὶ τὸν κλεομένην περισπῶν ἐφ᾽ ἑαυτόν. ὡς χαλεπῶς καὶ μόλις ὕστατος ἀπελθεῖν, ἀποβαλὼν τὸν ἵππον καὶ τραυματίας γενόμενος. ἐπεὶ δὲ προσέπεμψεν αὐτοῖς ὁ κλεομένης, εἰς μεσσήνην ἀπελθοῦσιν, τήν τε πόλιν μετὰ τῶν χρημάτων ἀποδιδοὺς καὶ τὴν χώραν, ὁρῶν ὁ φιλοποίμην τοὺς πολίτας ἀσμένως δεχομένους καὶ σπεύδοντας ἐπανελθεῖν, ἐνέστη καὶ διεκώλυσε τῷ λόγῳ διδάσκων, ὡς οὐκ ἀποδίδωσι τὴν πόλιν κλεομένης, προσκτᾶται δὲ τοὺς πολίτας, ὅπως καὶ τὴν πόλιν ἔχῃ βεβαιότερον. οὐ γὰρ ἕξειν αὐτόν, ὅπως οἰκίας, καὶ τείχη κενὰ φυλάξῃ καθήμενος, ἀλλὰ καὶ τούτων ὑπ᾽ ἐρημίας ἐκπεσεῖσθαι. ταῦτα λέγων, τοὺς μὲν πολίτας ἀπέστρεψεν, τῷ δὲ κλεομένει πρόφασιν παρέσχεν, λυμήνασθαι καὶ καταβαλεῖν τὰ πλεῖστα τῆς πόλεως, καὶ χρημάτων εὐπορήσαντι μεγάλων ἀπελθεῖν. ἐπεὶ δὲ ἀντίγονος ὁ βασιλεὺς βοηθῶν ἐπὶ τὸν κλεομένην, μετὰ τῶν ἀχαιῶν ἐστράτευσεν, καὶ τὰς περὶ σελλασίαν ἄκρας καὶ τὰς ἐμβολὰς κατέχοντος αὐτοῦ, παρέταξε τὴν δύναμιν ἐγγύς, ἐπιχειρεῖν καὶ βιάζεσθαι διανοούμενος. ἦν μὲν ἐν τοῖς ἱππεῦσι μετὰ τῶν αὐτοῦ πολιτῶν τεταγμένος, ὁ φιλοποίμην, καὶ παραστάτας εἶχεν ἰλλυριούς, οἷς τὰ λήγοντα τῆς παρατάξεως συνεπέφρακτο, πολλοῖς οὖσι καὶ μαχίμοις. εἴρητο δὲ αὐτοῖς ἐφεδρεύουσιν, ἡσυχίαν ἔχειν, ἄχρις ἂν ἀπὸ θατέρου κέρως ἀπὸ τοῦ βασιλέως ἀρθῇ φοινικὶς ὑπὲρ σαρίσης διατεταγμένη.

διατεταγμένη κ.ς.

τῶν δὲ ἡγεμόνων τοῖς ἰλλυριοῖς, πειρωμένων ἐκβιάζεσθαι τοὺς λακεδαιμονίους, καὶ τῶν ἀχαιῶν, ὥσπερ προσετέτακτο τὴν ἐφεδρείαν ἐν τάξει διαφυλαττόντων, εὐκλείδας ὁ τοῦ κλεομένους ἀδελφός, καταμαθὼν τὸ γινόμενον διάσπασμα περὶ τοὺς πολεμίους, ταχὺ τοὺς ἐλαφροτάτους τῶν ψιλῶν περιέπεμψεν ἐξόπισθεν, τοῖς ἰλλυριοῖς ἐπιπεσεῖν κελεύσας. καὶ περισπᾶν, ἐρήμους τῶν ἱππέων ἀπολελειμμένους. Γινομένων δὲ τούτων, καὶ τῶν ψιλῶν τοὺς ἰλλυριοὺς περισπώντων καὶ διαταραττόντων. συνιδὼν ὁ φιλοποίμην, οὐ μέγα ὂν ἔργον ἐπιθέσθαι τοῖς ψιλοῖς, καὶ τὸν καιρὸν ὑφηγούμενον τοῦτο, πρῶτον μὲν, ἔφραζε τοῖς βασιλικοῖς. ὡς δὲ οὐκ ἔπειθεν, ἀλλὰ μανιωδῶς δοκῶν κατεφρονεῖτο, οὐδέπω μεγάλης οὐδὲ ἀξιοπίστου, πρὸς τηλικοῦτο στρατήγημα δόξης περὶ αὐτὸν οὔσης, αὐτὸς ἐμβάλλει συνεπισπασάμενος τοὺς πολίτας. γενομένης δὲ ταραχῆς τὸ πρῶτον. εἶτα, φυγῆς καὶ φόνου πολλοῦ τῶν ψιλῶν. βουλόμενος ἔτι μᾶλλον ἐπιρρῶσαι τοὺς βασιλικούς, καὶ προσμίξαι κατὰ τὸ τάχος θορυβουμένοις τοῖς πολεμίοις. τὸν μὲν ἵππον, ἀφῆκεν. αὐτὸς δὲ πρὸς χωρία σκολιὰ καὶ μεστὰ ῥείθρων καὶ φαράγγων πεζὸς ἐν ἱππικῷ θώρακι, καὶ σκευῇ βαρυτέρᾳ, χαλεπῶς καὶ ταλαιπώρως ἁμιλλώμενος, διελαύνεται διαμπερές, ὁμοῦ τοὺς μηροὺς ἑκατέρους ἐν μεσαγκύλῳ,

μεσαγκύλῳ κ.ς.

καιρίας μὲν οὐ γενομένης, ἰσχυρᾶς δὲ τῆς πληγῆς, ὥστε τὴν αἰχμὴν ἐπιθάτερα διῶσαι. τὸ μὲν οὖν πρῶτον ἐνσχεθεὶς ὥσπερ δεσμῷ, παντάπασιν ἀπόρως εἶχεν. τὸ γὰρ ἔναμμα τῆς ἀγκύλης χαλεπὴν ἐποίει τοῦ ἀκοντίσματος ἀνελκομένου, διὰ τῶν τραυμάτων τὴν πάροδον. ὡς δὲ ὤκνουν οἱ παρόντες ἅψασθαι, καὶ τῆς μάχης ἀκμὴν ὀξεῖαν ἐχούσης ἐσφάδαζεν ὑπὸ θυμοῦ καὶ φιλοτιμίας πρὸς τὸν ἀγῶνα, τῇ παραβάσει καὶ τῇ παραλλάξει τῶν σκελῶν, διὰ μέσου κλάσας τὸ ἀκόντισμα χωρὶς ἐκέλευσεν ἑλκύσαι τῶν ἁμμάτων ἑκάτερον. οὕτω δέ, ἀπαλλαγεὶς καὶ σπασάμενος τὸ ξίφος, ἐχώρει διὰ τῶν προμάχων ἐπὶ τοὺς πολεμίους, ὥστε πολλὴν προθυμίαν, καὶ ζῆλον ἀρετῆς παρασχεῖν, τοῖς ἀγωνιζομένοις. Νικήσας οὖν ὁ ἀντίγονος, ἀπεπειρᾶτο τῶν μακεδόνων, ἐρωτῶν, διατί μὴ κελεύσαντος αὐτοῦ τὸ ἱππικὸν ἐκίνησαν. τῶν δὲ ἀπολογουμένων ὡς παρὰ γνώμην βιασθεῖεν εἰς χεῖρας ἐλθεῖν τοῖς πολεμίοις, μειρακίου μεγαλοπολιτικοῦ προεμβαλόντος, γελάσας ὁ

Κλέανδρος, ἦν ἐν μαντινείᾳ, γένους τε πρώτου, καὶ δυνηθεὶς ἐν τοῖς μάλιστα τῶν πολιτῶν. τύχῃ δὲ χρησάμενος, καὶ τὴν ἑαυτοῦ φυγών, ἧκεν εἰς μεγάλην πόλιν, οὐχ ἥκιστα διὰ τὸν φιλοποίμενος πατέρα κραῦσιν, ἄνδρα πάντως ἔνδοξα λαμπρόν. ἰδίᾳ δὲ πρὸς ἐκεῖνον οἰκείως ἔχοντα. ζῶντος μὲν οὖν αὐτοῦ πάντων ἐτύγχανε. τελευτήσαντος δὲ, τὴν ἀμοιβὴν τῆς φιλοξενίας ἀποδιδοὺς, ἔθρεψεν αὐτοῦ τὸν υἱὸν ὀρφανὸν ὄντα καθάπερ φησὶν ὅμηρος, ὑπὸ τοῦ φοίνικος, τὸν ἀχιλλέα τραφῆναι. γενναίαν τινὰ καὶ βασιλικὴν τοῦ ἤθους εὐθὺς ἐξ ἀρχῆς πλάσιν καὶ αὔξησιν λαμβάνοντος. Ἤδη δὲ τοῦ φιλοποίμενος ἀντίπαιδος ὄντος, ἔκδημος καὶ δημοφάνης, οἱ μεγαλοπολῖται διεδέξαντο τὴν ἐπιμέλειαν. ἀρκεσιλάῳ συνήθεις ἐν ἀκαδημίᾳ γεγονότες, καὶ φιλοσοφίαν, μάλιστα τῶν καθ' ἑαυτοὺς ἐπὶ πολιτείαν καὶ πράξεις προαγαγόντες. οὗτοι καὶ τὴν ἑαυτῶν πατρίδα τυραννίδος ἀπήλλαξαν, τοὺς ἀποκτενοῦντας ἀριστόδημον, κρύφα παρασκευάσαντες. καὶ νικοκλέα τὸν σικυώνιον τύραννον, ἀράτῳ συνεξέβαλον, καὶ κυρηναίοις δεηθεῖσι τεταραγμένων τῶν κατὰ τὴν πόλιν, καὶ νοσούντων πλεύσαντες, εὐνομίαν ἔθεντο, καὶ διεκόσμησαν ἄριστα τὴν πόλιν. αὐτοί γε μὴν, ἐν τοῖς ἄλλοις ἔργοις, καὶ τὴν φιλοποίμενος ἐποιοῦντο παίδευσιν. ὡς κοινὸν ὄφελος τῇ ἑλλάδι τὸν ἄνδρα τοῦτον ὑπὸ φιλοσοφίας ἀπεργασάμενοι. καὶ γὰρ ὥσπερ ὀψίγονον ἐν γήρᾳ ταῖς τῶν παλαιῶν ἡγεμόνων, ἐπιτεκοῦσα τοῦτον ἀρεταῖς, ἡ ἑλλὰς, ἠγάπησε διαφερόντως, καὶ συνηύξησε τῇ δόξῃ τὴν δύναμιν. ῥωμαίων δέ τις ἐπαινῶν, ἔσχατον αὐτὸν ἑλλήνων προσεῖπεν. ὡς οὐδένα μέγαν μετὰ τοῦτον ἔτι τῆς ἑλλάδος ἄνδρα γεννησάσης, οὐδὲ αὐτῆς ἄξιον. ἦν δὲ τὸ μὲν εἶδος, οὐκ αἰσχρὸς, ὡς ἔνιοι νομίζουσιν. εἰκόνα γὰρ αὐτοῦ διαμένουσαν, ἐν δελφοῖς ὁρῶμεν. τὴν δὲ τῆς ξένης τῆς μεγαρικῆς ἄγνοιαν συμβῆναι λέγουσιν δι' εὐκολίαν τινὰ καὶ ἀφέλειαν αὐτοῦ. πυνθανομένη γὰρ ἔρχεσθαι πρὸς αὐτοὺς τὸν στρατηγὸν τῶν ἀχαιῶν, ἐθορυβεῖτο, παρασκευάζουσα δεῖπνον οὐ παρόντος κατὰ τύχην τοῦ ἀνδρός. ἐν τούτῳ δὲ τοῦ φιλοποίμενος εἰσελθόντος, χλαμύδιον εὐτελὲς ἔχοντος, οἰομένη τινὰ τῶν ὑπηρετῶν εἶναι καὶ πρόδρομον, παρεκάλει τῆς διακονίας συνεφάψασθαι. καὶ ὁ μὲν εὐθὺς ἀπορρίψας τὴν χλαμύδα, τῶν ξύλων ἔσχιζεν. ὁ δὲ ξένος ἐπεισελθὼν καὶ θεασάμενος, τί τοῦτο ἔφη ὦ φιλοποίμην. τί γὰρ ἄλλο ἔφη δωρίζων ἐκεῖνος, ἢ κακᾶς ὄψεως δίκας δίδωμι. τοῦ δὲ ἄλλου σώματος τὴν φύσιν ἐπισκώπτων ὁ τίτος εἶπεν. ὦ φιλοποίμην, ὡς καλὰς χεῖρας ἔχεις καὶ σκέλη. γαστέρα δ' οὐκ ἔχεις. ἦν γὰρ ἐκ τῶν μέσων στενώτερος. τὸ μέντοι σκῶμμα, πρὸς τὴν δύναμιν αὐτοῦ μᾶλλον ἐλέχθη. καὶ γὰρ ὁπλίτας ἔχων ἀγαθοὺς, καὶ ἱππεῖς, χρημάτων πολλάκις οὐκ εὐπόρει. ταῦτα μὲν οὖν ἐν ταῖς σχολαῖς περὶ τοῦ φιλοποίμενος λέγεται. τοῦ δ' ἤθους τὸ φιλότιμον, οὐκ ἦν παντάπασι φιλονεικίας καθαρὸν, οὐδ' ὀργῆς ἀπηλλαγμένον. ἀλλὰ καίπερ ἐπαμινώνδου βουλόμενος εἶναι μάλιστα ζηλωτὴς, τὸ δραστήριον, καὶ συνετὸν αὐτοῦ καὶ ὑπὸ χρημάτων ἀπαθὲς ἰσχυρῶς ἐμιμεῖτο. τῷ δὲ πράῳ καὶ βαθεῖ καὶ φιλανθρώπῳ παρὰ τὰς πολιτικὰς διαφορὰς, ἐμμένειν οὐ δυνάμενος δι' ὀργὴν καὶ φιλονεικίαν, μᾶλλον ἐδόκει στρατιωτικῆς, ἢ πολιτικῆς ἀρετῆς οἰκεῖος εἶναι. καὶ γὰρ ἐκ παίδων, εὐθὺς ἦν φιλοστρατιώτης. καὶ τοῖς πρὸς τοῦτο χρησίμοις μαθήμασιν ὑπήκουε προθύμως, ὁπλομαχεῖν καὶ ἱππεύειν. ἐπεὶ δὲ καὶ παλαίειν εὐφυῶς ἐδόκει. καὶ παρεκάλουν αὐτὸν ἐπὶ τὴν ἄθλησιν. ἔνιοι τῶν φίλων καὶ τῶν ἐπιτρόπων, ἠρώτησεν αὐτοὺς, μή τι πρὸς τὴν στρατιωτικὴν ἄσκησιν ὑπὸ τῆς ἀθλήσεως βλαβήσοιτο, τῶν δὲ φασκόντων, ὅπερ ἦν, ἀθλητικὸν, στρατιωτικοῦ σῶμα καὶ βίον διαφέρειν τοῖς πᾶσιν, μάλιστα δὲ δίαιταν ἑταίραν καὶ ἄσκησιν εἶναι, τοὺς μὲν, ὕπνῳ τε πολλῷ καὶ πλησμοναῖς ἐνδελεχέσι, καὶ κινήσεσι τεταγμέναις καὶ ἡσυχίαις, αὐξόντων τε καὶ διαφυλαττόντων τὴν ἕξιν, ὑπὸ πάσης ῥοπῆς καὶ παρεκβάσεως τοῦ συνήθους, ἀκροσφαλῆ πρὸς μεταβολὴν οὖσαν. τὰ δὲ, πάσης μὲν πλάνης ἔμπειρα, καὶ πάσης ἀνωμαλίας προσῆκον εἶναι. μάλιστα δὲ φέρειν ῥᾳδίως μὲν, ἔνδειαν εἰθισμένα. ῥᾳδίως δὲ, ἀγρυπνίαν, ἀκούσας ὁ φιλοποίμην, οὐ μόνον αὐτὸς ἔφυγε τὸ πρᾶγμα καὶ κατεγέλασεν, ἀλλὰ καὶ στρατηγῶν ὕστερον, ἀτιμίαις καὶ προπηλακισμοῖς, ὅσον ἦν ἐπ' αὐτῷ, πᾶσαν ἄθλησιν ἐξέβαλλεν. ὡς τὰ χρησιμώτατα τῶν σωμάτων, εἰς τοὺς ἀναγκαίους ἀγῶνας, ἄχρηστα ποιοῦσαν. ἀπαλλαγεὶς δὲ διδασκάλων καὶ παιδαγωγῶν. ἐν μὲν ταῖς πολιτικαῖς στρατείαις ἃς ἐποιοῦντο κλωπείας ἕνεκα, καὶ λεηλασίας, εἰς τὴν λακωνικὴν ἐμβάλλοντες, εἴθισεν αὑτὸν, πρῶτον μὲν, ἐκστρατευόντων, ὕστερον δὲ ἀπερχομένων βαδίζειν. σχολῆς δὲ οὔσης, ἢ κυνηγῶν διεπόνει τὸ σῶμα, καὶ κατεσκεύαζε κοῦφον ἅμα καὶ ῥωμαλέον, ἢ γεωργῶν. ἦν γὰρ ἀγρὸς αὐτῷ καλὸς ἀπὸ σταδίων εἴκοσι τῆς πόλεως εἰς τοῦτον ἐβάδιζε, καθ' ἡμέραν μετὰ τὸ ἄριστον ἢ μετὰ τὸ δεῖπνον, καὶ καταβαλὼν ἑαυτὸν ἐπὶ στιβαδίου τοῦ τυχόντος ὥσπερ ἕκαστος τῶν ἐργατῶν, ἀνεπαύετο. πρωῒ δὲ ἀναστὰς καὶ συνεφαψάμενος ἔργου, τοῖς ἀμπελουργοῦσιν ἢ βοηλατοῦσιν, αὖθις εἰς

ἀνωμαλίας, προσῆκον εἶναι μάλιστα φέρειν. q.

ρος, οὐκ ἂν οὕτω δοκεῖ καταισχῦναι τὴν αὐτοῦ δόξαν ὡς κοσμῆσαι τὴν ἐκείνου. τὸ δὲ πλασθὲν, ἄδηλον. ἀνάζεται δὲ τὰ χρηστότερα περὶ καίσαρος. ἐτελεύτησε δὲ, κάτων ἔτη δυεῖν δέοντα πεντήκοντα βεβιωκώς. ὁ δὲ υἱὸς αὐτοῦ, ὑπὸ καίσαρος μὲν, οὐδὲν ἠδικήθη. λέγεται δὲ, ῥάθυμος γενέσθαι, καὶ περὶ γυναῖκας, οὐκ ἀνεπίληπτος. ἐν δὲ καππαδοκίᾳ ξένῳ τινὶ χρησάμενος, μαρφαδάτῃ τῶν βασιλικῶν, ἔχοντι γύναιον εὐπρεπὲς, καὶ πλείονα παρ' αὐτοῖς, ἢ καλῶς εἶχε διατρίβων χρόνον, ἐσκώπτετο τοιαῦτα γραφόντων εἰς αὐτόν. αὔριον κάτων βαδίζει, μετὰ τριάκονθ' ἡμέρας, καὶ πόρκιος, καὶ μαρφαδάτης δύο φίλοι, ψυχὴ μία. ψυχὴ γὰρ ἐκαλεῖτο τοῦ μαρφαδάτου τὸ γύναιον. καὶ ἔτι εὐγενὴς, καὶ λαμπρὸς ὁ κάτων, βασιλικὴν ψυχὴν ἔχει. ἀλλὰ πᾶσάν γε τὴν τοιαύτην, ἐξήλειψε καὶ ἠφάνισε τῷ θανάτῳ δύσκλειαν. ἀγωνιζόμενος γὰρ ἐν φιλίπποις πρὸς καίσαρα καὶ ἀντώνιον ὑπὲρ τῆς ἐλευθερίας, καὶ κλινομένης τῆς φάλαγγος, οὔτε φυγεῖν, οὔτε λαθεῖν ἀξιώσας, προκαλούμενος τοὺς πολεμίους, ἔμπροσθεν ἑαυτὸν ἐμφανίζων, καὶ συνεξορμῶν τοὺς συμμένοντας, ἔπεσεν θαῦμα τῆς ἀρετῆς τοῖς ἐναντίοις παρασχών. ἔτι δὲ μᾶλλον ἡ θυγάτηρ τοῦ κάτωνος, οὔτε σωφροσύνης, οὔτε ἀνδρίας ἀπολειφθεῖσα. βρούτῳ γὰρ συνῴκει, τῷ κτείναντι καίσαρα. αὐτῆς τε τῆς συνωμοσίας μετέσχε, καὶ προήκατο τὸν βίον, ἀξίως τῆς εὐγενείας καὶ ἀρετῆς, ὡς ἐν τοῖς περὶ βρούτου γέγραπται. στατύλλιος δὲ, φήσας μιμεῖσθαι κάτωνα. τότε μὲν, ὑπὸ τῶν φιλοσόφων ἐκωλύθη βουλόμενος ἑαυτὸν ἀνελεῖν. ὕστερον δὲ τῷ βρούτῳ πιστότατον ἑαυτὸν παρασχὼν καὶ χρησιμώτατον, ἐν φιλίπποις ἀπέθανεν.

τῶν οἰκετῶν. καὶ μᾶλλον ἐνέτεινε τὴν φωνὴν, τὸ ξίφος ἀπαιτῶν. εἷς δὲ, καὶ πὺξ τὸ στόμα πατάξας ᾕμαξε τὴν αὑτοῦ χεῖρα, χαλεπαίνων καὶ βοῶν ἤδη μέγα παραδίδοσθαι τῷ πολεμίῳ γυμνὸς, ὑπὸ τοῦ παιδὸς αὑτοῦ, καὶ τῶν οἰκετῶν. ἄχρις οὗ κλαίων ὁ υἱὸς, εἰσέδραμε μετὰ τῶν φίλων. καὶ περιπεσὼν, ὠδύρετο καὶ καθικέτευεν. ὁ δὲ κάτων ἐξαναστὰς, ἐνέβλεψέ τε δεινόν. καὶ πότε εἶπεν ἐγώ. καὶ ποῦ λέληθα παρανοίας ἡλωκὼς, ὅτι διδάσκει μὲν, οὐδεὶς οὐδὲ μεταπείθει, περὶ ὧν δοκῶ κακῶς βεβουλεῦσθαι. κωλύομαι δὲ χρῆσθαι τοῖς ἐμαυτοῦ λογισμοῖς καὶ παροπλίζομαι. τί δ' οὐχὶ καὶ συνδεῖς ὦ γενναῖε τὸν πατέρα, καὶ τὰς χεῖρας ἀποστρέφεις, μέχρις ἂν ἐλθὼν καῖσαρ, εὕρῃ με μηδὲ ἀμύνασθαι δυνάμενον. οὐ γὰρ ἐπ' ἐμαυτόν γε δέομαι ξίφους. ὅπου καὶ τὸ πνεῦμα βραχὺν χρόνον ἐπισχόντα, καὶ τὴν κεφαλὴν ἅπαξ πατάξαντα πρὸς τὸν τοῖχον, ἀποθανεῖν ἔξεστιν. Ταῦτα λέγοντος αὐτοῦ, τὸ μὲν μειράκιον, ἐξῆλθε μετὰ κλαυθμοῦ, καὶ πάντες οἱ λοιποί. τῷ δὲ δημητρίῳ καὶ τῷ ἀπολλωνίδῃ μόνοις ὑπολειφθεῖσι, πρᾳότερον ἤδη λαλῶν. ἦ που καὶ ὑμῖν ἔφη δέδοκται βίᾳ κατέχειν ἄνδρα τοσοῦτον ἡλικίας ἐν τῷ βίῳ. καὶ καθημένους αὐτοῦ σιωπῇ παραφυλάσσειν. ἢ λόγον ἥκετε κομίζοντες, ὡς οὐ δεινὸν οὐδ' αἰσχρόν ἐστιν, ἀποροῦντα σωτηρίας ἑτέρας κάτωνα, τὴν ἀπὸ τοῦ πολεμίου περιμένειν. Τί οὖν οὐ λέγετε πείθοντες ἡμᾶς ταῦτα, καὶ μεταδιδάσκοντες. ἵνα τὰς προτέρας δόξας ἐκείνας καὶ λόγους οἷς συμβεβιώκαμεν ἐκβαλόντες, καὶ γενόμενοι διὰ καίσαρα σοφώτεροι, μείζονα χάριν εἰδῶμεν αὐτῷ. καίτοι βεβούλευμαι μὲν, οὐδὲν ἔγωγε περὶ ἐμαυτοῦ. δεῖ δέ με βουλευσάμενον, εἶναι κύριον, οἷς ἔγνωκα χρῆσθαι. βουλεύσομαι δὲ τρόπον τινὰ μεθ' ὑμῶν βουλευόμενος μετὰ τῶν λόγων, οἷς καὶ ὑμεῖς φιλοσοφοῦντες χρῆσθαι. θαρροῦντες οὖν ἄπιτε, καὶ κελεύετε τὸν υἱὸν, ἃ μὴ δύναται τὸν πατέρα πείθειν, μὴ βιάζεσθαι. Πρὸς ταῦτα μηδὲν ἀντειπόντες οἱ περὶ τὸν δημήτριον, ἀλλὰ δακρύσαντες ὑπεξῆλθον. εἰσπέμπεται δὲ διὰ παιδίου μικροῦ τὸ ἐγχειρίδιον. καὶ λαβὼν ἐσπάσατο, καὶ κατενόησεν. ὡς δὲ εἶδεν ἑστῶτα τὸν ἀθέρα, καὶ τὴν ἀκμὴν διαμένουσαν, εἰπὼν νῦν ἐμός εἰμι. τὸ μὲν ξίφος, ἔθηκεν. τὸ δὲ βιβλίον αὖθις ἀνεγίνωσκε. καὶ λέγεται δὶς ὅλον διεξελθεῖν. εἶτα κοιμηθεὶς ὕπνον βαθὺν ὥστε τοὺς ἐκτὸς αἰσθέσθαι, περὶ μέσας νύκτας ἐκάλει τῶν ἀπελευθέρων κλεάνθην τὸν ἰατρόν. καὶ βούταν, ᾧ μάλιστα πρὸς τὰς πολιτικὰς πράξεις ἐχρῆτο. καὶ τοῦτον μὲν, ἐπὶ θάλασσαν ἔπεμψεν, ὅπως σκεψάμενος εἰ πάντες ἀνηγμένοι τυγχάνωσι, φράσῃ πρὸς αὐτόν. Τῷ δὲ ἰατρῷ τὴν χεῖρα φλεγμαίνουσαν ὑπὸ τῆς πληγῆς ἣν ἔπληξε τὸν οἰκέτην, ἐπιδῆσαι παρεῖχεν. καὶ τοῦτ' ἐποίησεν ἡδίους ἅπαντας, ὡς ζωτικῶς ἔχοντος αὐτοῦ. μετ' ὀλίγον δὲ παρῆν ὁ βούτας, ἀπαγγέλλων τοὺς μὲν ἄλλους ἀνῆχθαι. κράσσον δὲ λείπεσθαι ὑπ' ἀσχολίας τινός. ὄντα δὲ οὔπω, καὶ τοῦτον ἐμβαίνειν. πολὺν δὲ χειμῶνα καὶ μέγα πνεῦμα κατέχειν τὴν θάλασσαν. Τοῦτο ἀκούσας ὁ κάτων, ἐστέναξεν. οἴκτῳ τῶν πλεόντων, καὶ πάλιν ἔπεμψε τὸν βούταν ἐπὶ θάλασσαν, εἴ τις ἄρα παλινδρομήσας, δέοιτό τινος τῶν ἀναγκαίων, ἀπαγγελοῦντα πρὸς αὐτόν. ἤδη δὲ, ὄρνιθες ᾖδον, καὶ μικρὸν αὖθις κατηνέχθη πρὸς ὕπνον. ἐπανελθόντος δὲ τοῦ βούτα, καὶ φράσαντος πολλὴν ἡσυχίαν περὶ τοὺς λιμένας εἶναι, προσέταξεν αὐτῷ τὴν θύραν κλεῖσαι, καὶ καθῆκεν ἑαυτὸν, εἰς τὸ κλινίδιον. ὡς τὸ λοιπὸν ἔτι τῆς νυκτὸς, ἀναπαυσόμενος. ἐξελθόντος δὲ τοῦ βούτα, σπασάμενος τὸ ξίφος, ἔωσε μὲν ὑπὸ τὸ στῆθος. τῇ δὲ χειρὶ κουφότερον διὰ τὴν φλεγμονὴν χρησάμενος, οὐκ εὐθὺς ἀπήλλαξεν ἑαυτόν. ἀλλὰ δυσθανατῶν, ἐξέπεσε τῆς κλίνης, καὶ ψόφον ἐποίησεν, καταβαλὼν ἀβάκιόν τι τῶν γεωμετρικῶν παρακείμενον, ὥστε τοὺς θεράποντας αἰσθομένους ἀναβοῆσαι. καὶ τὸν υἱὸν αὐτίκα, καὶ τοὺς φίλους ἐπεισελθεῖν. ἰδόντες δὲ πεφυρμένον αἵματι, καὶ τῶν ἐντέρων τὰ πολλὰ προπεπτωκότα, ζῶντα δ' αὐτὸν ἔτι, καὶ βλέποντα, δεινῶς μὲν ἅπαντες ἔσχον. ὁ δὲ ἰατρὸς προσελθὼν, ἐπειρᾶτο τῶν ἐντέρων ἀτρώτων διαμεινάντων, ταῦτά τε καθιστάναι, καὶ τὸ τραῦμα διαρράπτειν. ὡς οὖν ἀνήνεγκεν ὁ κάτων καὶ συνεφρόνησεν, τὸν μὲν ἰατρὸν ἀπεώσατο. ταῖς χερσὶ δὲ τὰ ἔντερα σπαράξας, καὶ τὸ τραῦμα ἐπαναρρήξας, ἀπέθανεν. καθιζάνει. η.

Ἐν ᾧ δὲ οὐκ ἄν τις ᾤετο χρόνῳ, τοὺς κατὰ τὴν οἰκίαν πάντας ᾐσθῆσθαι τὸ πάθος, ἐπὶ ταῖς θύραις ἦσαν οἱ τριακόσιοι. καὶ μικρὸν ὕστερον, ὁ δῆμος ἤθροιστο τῶν ἰτυκαίων μιᾷ φωνῇ, τὸν εὐεργέτην, καὶ σωτῆρα, καὶ μόνον ἐλεύθερον, καὶ μόνον ἀήττητον καλούντων. καὶ ταῦτα ἔπραττον, ἀγγελλομένου προσιέναι καίσαρος. ἀλλ' οὔτε φόβος αὐτοὺς, οὔτε κολακεία τοῦ κρατοῦντος. οὔτε ἡ πρὸς ἀλλήλους διαφορὰ καὶ στάσις, ἀμβλυτέρους ἐποίησε τῇ πρὸς κάτωνα τιμῇ. Κοσμήσαντες δὲ τὸ σῶμα λαμπρῶς. καὶ πομπὴν ἐπιφανῆ παρασχόντες, καὶ θάψαντες παρὰ τὴν θάλασσαν, οὗ νῦν ἀνδριὰς ἐφέστηκεν αὐτοῦ ξιφήρης, οὕτως ἐτράποντο πρὸς τὸ σώζειν ἑαυτοὺς καὶ τὴν πόλιν. καῖσαρ δὲ πυνθανόμενος παρὰ τῶν ἀφικνουμένων, ὑπομένειν ἐν ἰτύκῃ τὸν κάτωνα μηδὲ φεύγειν, ἀλλὰ τοὺς ἄλλους προπέμπειν. αὐτὸν δὲ καὶ τοὺς ἑταίρους, καὶ τὸν υἱὸν, ἀδεῶς ἀναστρέφεσθαι. δυστέκμαρτον ἡγεῖτο τὴν γνώμην τοῦ ἀνδρός. ἅτε δὴ τὸν πλεῖστον λόγον ἔχων ἐκείνου. καὶ προσῆγε μετὰ τῆς δυνάμεως ἐπειγόμενος. ὡς δὲ ἤκουσε τὸν θάνατον αὐτοῦ. λέγεται τοσοῦτον εἰπεῖν. ὦ κάτων, φθονῶ σοι τοῦ θανάτου. καὶ γὰρ ἐμοὶ σὺ τῆς σαυτοῦ σωτηρίας ἐφθόνησας. τῷ γὰρ ὄντι, σωθῆναι κάτων ἀνασχόμενος ὑπὸ καίσα-

ἀνδρείας ἡμᾶς ἐκεῖνος. καὶ τραπόμενος πρὸς τοὺς συγκλητικοὺς ἐκέλευε μὴ μέλλειν, ἀλλ' ἕως παραμένουσιν οἱ ἱππεῖς, σώζεσθαι. καὶ τὰς μὲν ἄλλας ἀπέκλεισε θύρας. μιᾶς δὲ τῆς πρὸς θάλασσαν φερούσης, τά τε πλοῖα, τοῖς ὑφ' ἑαυτὸν διένεμεν. καὶ τάξεως ἐπεμελεῖτο, παύων τὰς ἀδικίας, καὶ διαλύων τοὺς θορύβους. καὶ τοὺς ἀπόρως ἔχοντας ἐφοδιάζων. Ἐπεὶ δὲ Μάρκος Ὀκτάβιος, ἄγων δύο τάγματα, πλησίον κατεστρατοπέδευσε. καὶ πέμπων ἠξίου τὸν Κάτωνα περὶ ἀρχῆς διορίσασθαι πρὸς αὐτόν. ἐκείνῳ μὲν, οὐδὲν ἀπεκρίνατο, πρὸς δὲ τοὺς φίλους εἶπεν. εἶτα, θαυμάζομεν ὅπως ἀπόλωλε τὰ πράγματα, τὴν φιλαρχίαν ὁρῶντες ἡμῖν, ἐν αὐτῷ τῷ ὀλέθρῳ βεβηκόσι παραμένουσαν. ἐν τούτῳ δὲ τοὺς ἱππεῖς ἀκούσας ἀπιόντας, ἤδη φέρειν καὶ ἄγειν τὰ τῶν Ἰτυκαίων ὥσπερ λάφυρα. δρόμῳ συνέτεινε πρὸς αὐτούς. καὶ τοῖς πρώτοις ἐντυχὼν, ἀφῃρεῖτο. τῶν δὲ ἄλλων ἕκαστος, ἔφθανε ῥίπτων καὶ καταπιθέμενος. πάντες δὲ ὑπ' αἰσχύνης, σιωπῇ καὶ κάτω βλέποντες ἀπῄεσαν. Ὁ δὲ Κάτων εἰς τὴν πόλιν τοὺς Ἰτυκαίους συναγαγὼν, ἐδεῖτο περὶ τῶν τριακοσίων, μὴ παροξῦναι Καίσαρα κατ' αὐτῶν, ἀλλὰ καὶ κοινῇ τὴν σωτηρίαν πράττειν ἀλλήλοις. εἶτα πάλιν τραπόμενος πρὸς τὴν θάλατταν, ἐπεσκόπει τοὺς ἐμβαίνοντας, καὶ τῶν φίλων καὶ ξένων ὅσους ἔπεισεν ἠσπάζετο καὶ προὔπεμψεν. τὸν δὲ υἱὸν, οὐκ ἔπεισε λαβεῖν πλοῖον. οὐδὲ ᾤετο δεῖν ἀποτρέπειν περιεχόμενον τοῦ πατρός. Ἦν δέ τις, Στατύλλιος ἀνήρ, τῇ μὲν ἡλικίᾳ νέος. ἰσχυρὸς δὲ τῇ γνώμῃ βουλόμενος εἶναι, καὶ τοῦ Κάτωνος ἀπομιμεῖσθαι τὴν ἀπάθειαν. τοῦτον ἠξίου πλεῖν, καὶ γὰρ ἦν καταφανὴς μισοκαῖσαρ. ὡς δὲ οὐκ ἤθελεν, Ἀπολλωνίδῃ τῷ στωϊκῷ, καὶ Δημητρίῳ τῷ περιπατητικῷ. προσβλέψας ὁ Κάτων, ὑμέτερον εἶπεν ἔργον οἰδοῦντα τοῦτον, μαλάξαι, καὶ καταρτίσαι πρὸς τὸ συμφέρον. αὐτὸς δὲ τοὺς λοιποὺς συνεκπέμπων, καὶ χρηματίζων τοῖς δεομένοις. τήν τε νύκτα διέτριβε περὶ ταῦτα, καὶ τῆς ἐπιούσης ἡμέρας, τὸ πλεῖστον μέρος. ἐπεὶ δὲ Λεύκιος Καῖσαρ, οἰκεῖος μὲν ὢν Καίσαρος ἐκείνου, μέλλων δὲ πρεσβεύειν ὑπὲρ τῶν τριακοσίων, παρεκάλει τὸν Κάτωνα λόγον αὐτῷ συνυποθέσθαι πιθανόν. ᾧ χρήσεται περὶ ἐκείνων. ὑπὲρ σοῦ μὲν γὰρ αὐτοῦ, καὶ χεῖρας ἐμοὶ καλὸν ἅψασθαι. καὶ γόνασι προσπεσεῖν Καίσαρος. οὐκ εἴα ταῦτα ποιεῖν ὁ Κάτων αὐτόν. ἐμοὶ γὰρ εἶπεν. εἰ σώζεσθαι χάριτι Καίσαρος ἐβουλόμην, αὐτῷ βαδιστέον ἦν πρὸς ἐκεῖνον μόνον. οὐ βούλομαι δὲ τῷ τυράννῳ χάριν ἔχειν, ὑπὲρ ὧν παρανομεῖ. παρανομεῖ δὲ, σώζων ὡς κύριος, ὧν αὐτῷ δεσπόζειν οὐδὲν προσῆκεν. ὅπως μέντοι παραιτήσῃ τοὺς τριακοσίους, κοινῇ σκοπῶμεν εἰ βούλει. Γενόμενος δὲ πρὸς τούτῳ μετὰ τοῦ Λευκίου, τὸν υἱὸν αὐτῷ συνέστησε. καὶ τοὺς ἑταίρους ἀπιόντι. καὶ προπέμψας ἐκεῖνον καὶ δεξιωσάμενος, ἐπανῆλθεν οἴκαδε καὶ τὸν υἱὸν καὶ τοὺς φίλους συναγαγών. ἄλλα τε πολλὰ διελέχθη, καὶ πολιτείας ἀπεῖπεν ἅψασθαι τῷ μειρακίῳ. τὸ μὲν γὰρ ἀξίως Κάτωνος, οὐκ ἔτι τὰ πράγματα δέχεσθαι. τὸ δὲ ἄλλως αἰσχρὸν εἶναι. καὶ περὶ ἑσπέραν ἤδη, τρέπεται πρὸς τὸ βαλανεῖον. ἐν δὲ τῷ λούεσθαι τοῦ Στατυλλίου μνησθεὶς καὶ μέγα φθεγξάμενος, ἐξέπεμψας εἶπεν ὦ Ἀπολλωνίδη τὸν Στατύλλιον ἀπὸ τοῦ φρονήματος ἐκείνου καθελών. καὶ πέπλευκεν ὁ ἀνήρ, μὴ δὲ ἀσπασάμενος ἡμᾶς. πόθεν εἶπεν ὁ Ἀπολλωνίδης, καίτοι πολλὰ διελέχθημεν, ἀλλ' ὑψηλός ἐστι καὶ ἄτρεπτος, καὶ μένειν φησὶ καὶ πράττειν, ὅ τι ἂν σὺ πράττῃς.

Πρὸς ταῦτα φασὶ τὸν Κάτωνα μειδιάσαι καὶ εἰπεῖν. ἀλλὰ τοῦτο μὲν, αὐτίκα φανεῖται. λουσάμενος δὲ, μετὰ πολλῶν ἐδείπνει καθήμενος, ὥσπερ εἰώθει μετὰ τὴν μάχην. οὐ γὰρ κατεκλίθη, πλὴν καθεύδων. συνεδείπνουν δὲ πάντες οἱ ἑταῖροι καὶ τῶν Ἰτυκαίων οἱ ἄρχοντες. καὶ μετὰ τὸ δεῖπνον, ὁ πότος ἔσχε μοῦσαν πολλὴν, καὶ χάριν. ἄλλων ἐπ' ἄλλοις λόγων φιλοσόφων κυκλούντων. ἄχρι οὗ περιῆλθεν ἡ ζήτησις. εἰς ταῦτα δὴ τὰ παράδοξα καλούμενα τῶν στωϊκῶν. τὸ μόνον εἶναι τὸν ἀγαθὸν ἐλεύθερον. δούλους δὲ τοὺς φαύλους ἅπαντας. ἐνταῦθα δὴ, ὡς εἰκὸς ἀντιβάντος τοῦ περιπατητικοῦ. σφοδρὸς ἐμπεσὼν ὁ Κάτων. καὶ τόνον προσθείς. καὶ τραχύτητα φωνῆς, ἀπέτεινε πορρωτάτω τὸν λόγον, ἀγῶνι θαυμαστῷ χρησάμενος. ὥστε μηδένα λαθεῖν ὅτι τῷ βίῳ πέρας ἔγνωκεν ἐπιθεὶς ἀπαλλάττεσθαι τῶν παρόντων. διὸ καὶ μετὰ τὸν λόγον, σιωπῆς καὶ κατηφείας γενομένης ἐν πᾶσιν ἀναλαμβάνων αὐτοὺς καὶ ἀπάγων τῆς ὑποψίας ὁ Κάτων. αὖθις ὑπὲρ τῶν παρόντων ἐνέβαλλεν ἐρωτήματα, καὶ φροντίδας. ὡς δεδιὼς μὲν ὑπὲρ τῶν πλεόντων. δεδιὼς δὲ ὑπὲρ τῶν ὁδευόντων, δι' ἐρημίας ἀνύδρου καὶ βαρβάρου. οὕτω δὲ διαλύσας τὸ σύνδειπνον. καὶ περιπατήσας μετὰ τῶν φίλων τὸν συνήθη μετὰ τὸ δεῖπνον περίπατον. καὶ τοῖς ἄρχουσι τῶν φυλάκων, ἃ καιρὸς ἦν προστάξας. ἀπιὼν εἰς τὸ δωμάτιον. ἤδη τόν τε παῖδα καὶ τῶν φίλων ἕκαστον, μᾶλλον ἢ πρότερον εἰώθει προσαγαγόμενος, καὶ φιλοφρονηθεὶς, πάλιν ὑποψίαν παρέσχε τοῦ μέλλοντος. Εἰσελθὼν δὲ καὶ κατακλιθεὶς, ἔλαβεν εἰς χεῖρας, τῶν Πλάτωνος διαλόγων, τὸν περὶ ψυχῆς. καὶ διελθὼν τοῦ βιβλίου τὸ πλεῖστον. καὶ ἀναβλέψας ὑπὲρ κεφαλῆς, ὡς οὐκ εἶδεν κρεμάμενον τὸ ξίφος, ὑφῄρητο γὰρ ὁ παῖς ἔτι δειπνοῦντος αὐτοῦ, καλέσας οἰκέτην, ἠρώτησεν, ὅς τις λάβοι τὸ ἐγχειρίδιον. σιωπῶντος δὲ ἐκείνου, πάλιν ἦν πρὸς τὸ βιβλίον. καὶ μικρὸν διαλιπὼν, ὥσπερ οὐ σπεύδων οὐδὲ ἐπειγόμενος, ἄλλως δὲ τὸ ξίφος ἐπιζητῶν, ἐκέλευσε κομίσαι. διατριβῆς δὲ γενομένης καὶ μηδενὸς κομίζοντος, ἐξαναγνοὺς τὸ βιβλίον, αὖθις ἐκάλει καθ' ἕνα

οἱ μετριώτατοι τῶν τριακοσίων παρῄνουν. οἱ δὲ πλεῖστοι, τοῖς συγκλητικοῖς ἐπεβούλευον, ὡς εἰ τούτους συλλάβοιεν, ἱλασόμενοι τὴν πρὸς αὐτοὺς ὀργὴν τοῦ καίσαρος. ὁ δὲ κάτων ὑπονοῶν, τὴν μεταβολὴν, οὐκ ἤλεγχεν. τῷ μέντοι σκηπίωνι καὶ τῷ ἰόβᾳ, γράψας ἀπέχεσθαι τῆς ἰτύκης, ἀπιστίᾳ τῶν τριακοσίων, ἐξέπεμψε τοὺς γραμματοφόρους. Τῶν δὲ ἱππέων οἱ διαφυγόντες ἀπὸ τῆς μάχης, ἀριθμὸς οὐκ εὐκαταφρόνητος, προσελάσαντες τῇ ἰτύκῃ, πέμπουσι πρὸς τὸν κάτωνα τρεῖς ἄνδρας οὐ τὴν αὐτὴν γνώμην ἀπὸ πάντων ἔχοντας. οἱ μὲν γὰρ ἀπιέναι πρὸς ἰόβαν. οἱ δὲ, τῷ κάτωνι προσχωρεῖν ὥρμηντο. τοὺς δὲ, καὶ δέος εἶχεν, εἰς ἰτύκην παριέναι. Ταῦτα ὁ κάτων ἀκούσας. τοῖς μὲν τριακοσίοις, ἐκέλευσε προσέχειν μάρκον ῥούβριον, ἀτρέμα τὰς ἀπογραφὰς, τῶν ἐλευθερούντων δεχόμενον, καὶ μὴ προσβιαζόμενον. αὐτὸς δὲ τοὺς συγκλητικοὺς ἀναλαβὼν, προῆλθεν ἔξω τῆς ἰτύκης, καὶ τοῖς ἱππάρχοις ἐνέτυχεν δεόμενος, μὴ προέσθαι ῥωμαίων ἄνδρας ἀπὸ βουλῆς τοσούτους. μὴ δὲ ἰόβαν ἑλέσθαι στρατηγὸν ἀντὶ κάτωνος, ἀλλὰ σώζεσθαι κοινῇ, καὶ σώζειν παρελθόντας εἰς πόλιν, οὔτε κατὰ κράτος ἁλώσιμον, εἰς ἔτη δὲ πάμπολλα σῖτον, καὶ τὴν ἄλλην παρασκευὴν ἔχουσαν. Ταῦτα δὲ καὶ τῶν συγκλητικῶν δεομένων, καὶ δακρυόντων οἱ μὲν ἵππαρχοι διελέγοντο τοῖς ἱππεῦσιν. ὁ δὲ κάτων ἐπί τι χῶμα καθίσας μετὰ τῶν συγκλητικῶν, ἀνέμενεν τὰς ἀποκρίσεις. ἐν δὲ τούτῳ παρῆν ὁ ῥούβριος σὺν ὀργῇ κατηγορῶν τῶν τριακοσίων, ἀκοσμίαν πολλὴν καὶ θόρυβον. ὡς ἀφισταμένων καὶ διαταραττόντων τὴν πόλιν. ἐφ' οἷς οἱ μὲν ἄλλοι, παντάπασιν ἀπογνόντες ἑαυτῶν, εἰς δάκρυα καὶ ὀδυρμοὺς ἐξέπεσον. ὁ δὲ κάτων, ἐκείνους τε θαρσύνειν ἐπειρᾶτο. καὶ πρὸς τοὺς τριακοσίους ἔπεμψεν, ἀναμεῖναι κελεύων. οἱ δὲ ἀπὸ τῶν ἱππέων ἧκον, οὐ μέτρια προστάττοντες. ἔφασαν γὰρ, οὔτε ἰόβα δεῖσθαι μισθολογοῦντες. οὔτε καίσαρα φοβεῖσθαι, κάτωνος αὐτῶν ἄρχοντος. ἰτυκαίοις δὲ, φοίνιξιν ἀνθρώποις εὐμεταβόλοις συγκαθείργνυσθαι, δεινὸν εἶναι. καὶ γὰρ εἰ νῦν ἀτρεμοῦσιν. ὅταν καίσαρ ἐπίῃ, συνεπιθήσεσθαι καὶ προδώσειν. εἴπερ οὖν, δεῖταί τις αὐτῶν συμπολεμούντων καὶ συμπαρόντων, ἐκβαλὼν ἅπαντας ἰτυκαίους ἢ διαφθείρας, οὕτως εἰς πόλιν, καθαρὰν πολεμίων, καὶ βαρβάρων καλείτω. Ταῦτα ὁ κάτων, ἄγρια μὲν δεινῶς ἡγεῖτο. καὶ βάρβαρα. πράως δὲ, ἀπεκρίνατο βουλεύσασθαι μετὰ τῶν τριακοσίων. καὶ παρελθὼν αὖθις εἰς τὴν πόλιν, ἐνετύγχανε τοῖς ἀνδράσι οὐκ ἔτι σκήψεις, οὐδὲ παραγωγὰς πλασσομένοις ὑπ' αἰδοῦς, πρὸς αὐτόν. ἄντικρυς δὲ χαλεπαίνουσιν. εἴ τις αὐτοὺς βιάζοιτο πολεμεῖν καίσαρι μὴ δυναμένους, μὴ δὲ βουλομένους. ἔνιοι δὲ καὶ παρεφθέγγοντο, περὶ τῶν συγκλητικῶν. ὡς καθεκτέον ἐν τῇ πόλει καίσαρος παρόντος. ἀλλὰ τοῦτο μὲν, ὡς οὐκ ἀκούσας ὁ κάτων παρῆκεν. καὶ γὰρ ἦν ὑποκωφότερος. ὡς δέ τις αὐτῷ προσελθὼν ἀπήγγειλε. τοὺς μὲν ἱππεῖς ἀπιέναι φοβηθεὶς, μὴ παντάπασιν οἱ τριακόσιοι κατὰ τῶν συγκλητικῶν ἀπονοηθῶσι, ἐβάδιζε μετὰ τῶν φίλων ἐξαναστάς. καὶ θεασάμενος ἤδη προκεχωρηκότας, ἵππον λαβὼν, ἐδίωκε πρὸς αὐτούς. οἱ δὲ, ἰδόντες ἄσμενοι προσελαύνοντα, καὶ ἐδέξαντο, καὶ παρεκάλουν σώζεσθαι μετ' αὐτῶν. τότε καὶ δακρῦσαι τὸν κάτωνά φασιν ὑπὲρ τῶν συγκλητικῶν δεόμενον καὶ προτείνοντα τὰς χεῖρας. ἐνίων δὲ καὶ τοὺς ἵππους ἀναστρέφοντα. καὶ τῶν ὅπλων ἀντιλαμβανόμενον, μέχρι οὗ κατειργάσατο, τὴν γοῦν ἡμέραν ἐκείνην ἐπιμείναντας, ἀσφαλῆ τοῖς ἀνδράσι φυγὴν παρασχεῖν. ὡς οὖν ἔχων αὐτοὺς ἀφίκετο. καὶ τοὺς μὲν ἐπὶ τὰς πύλας κατέστησεν. τοῖς δὲ τὴν ἄκραν φυλάττειν παρέδωκεν. ἔδεισαν οἱ τριακόσιοι, μὴ δίκην δῶσιν τῆς μεταβολῆς καὶ πρὸς τὸν κάτωνα πέμποντες, ἐδέοντο πάντως ἀφικέσθαι πρὸς αὐτούς. οἱ δὲ συγκλητικοὶ περιχυθέντες οὐκ εἴων. οὐδὲ ἔφασαν προήσεσθαι. τὸν κηδεμόνα καὶ σωτῆρα, τοῖς ἀπίστοις καὶ προδόταις. σαφεστάτη γὰρ ὡς ἔοικεν αἴσθησις τότε παρέστη, καὶ πόθος, καὶ θαῦμα τῆς τοῦ κάτωνος ἀρετῆς πᾶσιν ὁμαλῶς τοῖς ἐν τῇ ἰτύκῃ γενομένοις, ὡς οὐδὲν ἄρα κίβδηλον, οὔτε ἀπατηλὸν ἐμέμικτο τοῖς πραττομένοις ὑπ' αὐτοῦ. πάλαι δὲ ἄνθρωπος ἑαυτὸν ἐγνωκὼς ἀνελεῖν δεινοὺς πόνους ἐπόνει, καὶ φροντίδας, καὶ ὠδῖνας εἶχεν ὑπὲρ ἄλλων, ὅπως εἰς ἀσφαλὲς καταστήσας ἅπαντας ἀπαλλάξαιτο τοῦ ζῆν. καὶ γὰρ ἦν ἄδηλος ἡ πρὸς τὸν θάνατον αὐτοῦ φορὰ, καί περ οὐ προσποιουμένου. ὑπήκουσεν οὖν τότε τοῖς τριακοσίοις παραμυθησάμενος τοὺς συγκλητικούς, καὶ μόνος ἧκεν πρὸς αὐτοὺς, χάριν ἔχειν ὁμολογοῦντας καὶ δεομένους τὰ μὲν ἄλλα, χρῆσθαι καὶ πιστεύειν. εἰ δὲ κάτωνες οὐκ εἰσὶν, οὐδὲ τὸ κάτωνος φρόνημα χωροῦσιν, οἰκτείρειν τὴν ἀσθένειαν αὐτῶν. ἐγνωκότες δ' οὖν καίσαρος δεῖσθαι καὶ πέμπειν πρὸς αὐτὸν ὑπὲρ ἐκείνου μάλιστα, καὶ πρώτου ποιήσασθαι δέησιν. εἰ δὲ μὴ πείθοιεν, οὐδὲ αὑτοῖς διδομένην δέξασθαι χάριν. ἀλλ' ἄχρι ἂν ἐμπνέωσιν πολεμήσειν ὑπὲρ ἐκείνου. πρὸς ταῦτα ὁ κάτων ἐπαινέσας τὴν εὔνοιαν. ἔφη χρῆναι τῆς αὐτῶν σωτηρίας ἕνεκα πέμπειν κατὰ τάχος. ὑπὲρ αὐτοῦ δὲ μὴ δεῖσθαι. κεκρατημένων γὰρ εἶναι δέησιν, καὶ ἀδικούντων παραίτησιν. αὐτὸς δὲ οὐ μόνον ἀήττητος γεγονέναι παρὰ πάντα τὸν βίον. ἀλλὰ καὶ νικᾶν ἐφ' ὅσον ἐβούλετο καὶ κρατεῖν καίσαρος τοῖς καλοῖς καὶ δικαίοις. ἐκεῖνον δὲ εἶναι, τὸν ἑαλωκότα καὶ νενικημένον. ἃ γὰρ ἠρνεῖτο πράττων κατὰ τῆς πατρίδος πάλαι νῦν ἐξελέγχεσθαι, καὶ πεφωρᾶσθαι. ταῦτα διαλεχθεὶς τοῖς τριακοσίοις, ἀπηλλάττετο. καὶ πυθόμενος καίσαρα πᾶσαν ἄγοντα τὴν στρατιὰν, ἤδη καθ' ὁδὸν εἶναι. παπαὶ εἶπεν, ὡς ἐπ'

μισθολογοῦντ. τ. ς.
μισθοδοτοῦντος. η.

πρὸς ἑσπέραν βαθεῖαν, ἧκέ τις ἀπὸ στρατοπέδου τριταῖος ἀγγέλλων. ὅτι μάχης μεγάλης πρὸς θάψῳ γενομένης, διέφθαρται παντάπασι τὰ πράγματα. καὶ κρατεῖ καῖσαρ τῶν στρατοπέδων. σκιπίων δὲ καὶ ἰόβας, σὺν ὀλίγοις ἐκπεφεύγασιν. ἡ δ' ἄλλη δύναμις ἀπόλωλε. τούτων προσπεσόντων, ἡ μὲν πόλις οἷον εἰκὸς ἐν νυκτὶ καὶ πολέμῳ, πρὸς τοιοῦτον ἄγγελμα, μικροῦ δεῖν ἔκφρων γενομένη, μόλις ἑαυτὴν ἐντὸς τειχῶν κατεῖχεν. ὁ δὲ κάτων προελθὼν, τότε μὲν ὡς ἑκάστοις ἀπήντα, διαθέουσι καὶ βοῶσιν, ἐπιλαμβανόμενος, καὶ παραμυθούμενος, ἀφῄρει τοῦ δέους τὸ ἐκθαμβὲς καὶ ταραχῶδες, ὡς οὐ τηλικούτων ἴσως γεγονότων, ἀλλ' ἐπὶ μεῖζον αἰρομένων τῷ λόγῳ, καὶ κατέστησε τὸν θόρυβον. ἅμα δ' ἡμέρᾳ τοὺς τριακοσίους, οἷς ἐχρῆτο βουλῇ, ῥωμαίους μὲν ὄντας, ἐν δὲ λιβύῃ πραγματευομένους, ἀπ' ἐμπορίας καὶ δανεισμῶν, εἰς ἱερὸν διὸς ἐκήρυττεν συνιέναι. καὶ ὅσοι παρῆσαν ἀπὸ συγκλήτου, καὶ παῖδας αὐτῶν. ἔτι δὲ συλλεγομένων ἐκείνων, προσελθὼν ἀθορύβως καὶ μετ' εὐσταθείας, ὡς περὶ οὐδενὸς καινοῦ γεγονότος, βιβλίον ἔχων ἐν ταῖς χερσὶν ἀνεγίνωσκεν. ἦν δὲ ἀναγραφὴ τῶν πρὸς τὸν πόλεμον · ὀργάνων · ὅπλων. σίτου. τόξων. ὁπλιτῶν. ἐπεὶ δὲ συνῆλθον ἀρξάμενος ἀπὸ τῶν τριακοσίων καὶ διελθὼν, πολὺ ἐπῄνεσεν, τῆς προθυμίας αὐτῶν καὶ τῆς πίστεως, ἣν ἐπεδείξαντο, καὶ χρήμασι, καὶ σώμασι, καὶ βουλαῖς, ὠφελιμώτατοι γενόμενοι, παρεκάλει μὴ διαλυθῆναι ταῖς ἐλπίσιν, ἕκαστον αὐτῶν φυγὴν ἰδίαν, ἢ ἀπόδρασίν τινα πορίζομενον. ἂν γὰρ ἐν ταὐτῷ συμμένωσι, καὶ πολεμοῦσιν, ἧττον καταφρονήσειν καίσαρα, καὶ φείσεσθαι μᾶλλον δεομένων. βουλεύεσθαι δ' ἐκέλευεν αὐτοὺς, ὑπὲρ αὐτῶν οὐδ' ὑπὲρ ἂν μεμψάμενος. ἀλλ' εἰ μὲν τρέποιντο τῇ γνώμῃ πρὸς τὴν τύχην, τῆς ἀνάγκης θησόμενος τὴν μεταβολήν. ἱσταμένων δὲ πρὸς τὰ δεινὰ, καὶ δεχομένων τὸν ὑπὲρ τῆς ἐλευθερίας κίνδυνον, οὐκ ἐπαινεσόμενος μόνον, ἀλλὰ καὶ θαυμασόμενος τὴν ἀρετὴν, καὶ παρέξων ἑαυτὸν, ἄρχοντα καὶ συναγωνιζόμενον, ἄχρι οὗ τὴν ἐσχάτην τύχην τῆς πατρίδος ἐξελέγξωσιν. ἣν οὐχ ἰτύκην, οὐδ' ἀδρούμητον οὖσαν, ἀλλὰ ῥώμην, πολλάκις ἐκ χαλεπωτέρων σφαλμάτων, ὑπὸ μεγέθους ἀναφέρεσθαι. πολλῶν δὲ αὐτοῖς εἰς σωτηρίαν καὶ ἀσφάλειαν ὑποκειμένων, καὶ μεγίστου, πρὸς ἄνδρα πολεμεῖν ἐπὶ πολλὰ τοῖς καιροῖς ἀνθελκόμενον. ἰβηρίας τε πρὸς πομπήιον ἀφισταμένης τὸν νέον. αὐτῆς τε τῆς ῥώμης οὔπω δι' ἀήθειαν παντάπασι δεδεγμένης τὸν χαλινὸν, ἀλλ' ἀναξιοπαθούσης, καὶ συνεξανισταμένης, πρὸς πᾶσαν μεταβολὴν, οὐδὲ τὸν κίνδυνον εἶναι φευκτέον. ἀλλ' ἔχειν διδάσκαλον τὸν πολέμιον ἀφειδοῦντα τῆς ψυχῆς ἐπὶ ταῖς μεγίσταις ἀδικίαις. οὐχ ὡς περὶ ἑαυτοῖς εἰς τὸν εὐτυχέστατον βίον κατορθοῦσιν. ἢ πταίουσιν εἰς τὸν εὐκλεέστατον θάνατον. τὴν ἀδηλότητα τοῦ πολέμου τελευτᾶν. οὐ μὴν ἀλλ' ἐκείνους γε δεῖν ἔφη βουλεύεσθαι καθ' ἑαυτοὺς συνευχόμενος, ἀντὶ τῆς πρόσθεν ἀρετῆς καὶ προθυμίας, αὐτοῖς τὰ δόξαντα συνενεγκεῖν. τοιαῦτα τοῦ κάτωνος εἰπόντος. ἦσαν μὲν, οἱ καὶ τοῖς λόγοις ἀγόμενοι πρὸς τὸ θαρρεῖν. οἱ δὲ πλεῖστοι πρὸς τὸ ἄφοβον καὶ γενναῖον αὐτοῦ καὶ φιλάνθρωπον, ὀλίγου δεῖν ἐκλαθόμενοι τῶν παρόντων, ὡς μόνον ὄντα τοῦτον ἀήττητον ἡγεμόνα, καὶ πάσης κρείττονα τύχης, ἐδέοντο χρῆσθαι καὶ σώμασιν αὐτῶν καὶ χρήμασι, καὶ ὅπλοις, ὅπως αὐτὸς ἔγνωκε. κρεῖττον γὰρ ἐκείνῳ πειθομένους ἀποθανεῖν, ἢ σώζεσθαι προδόντας ἀρετὴν τοσαύτην. εἰπόντος δέ τινος ὡς χρὴ ψηφίζεσθαι δούλοις ἐλευθερίαν, καὶ τῶν πλείστων συνεπαινεσάντων, οὐκ ἔφη τοῦτο ποιήσειν ὁ κάτων. οὐ γὰρ εἶναι νόμιμον οὐδὲ δίκαιον, αὐτῶν μέντοι τῶν δεσποτῶν ἀφιέντων τοὺς ἐν ἡλικίᾳ δέχεσθαι. γενομένων δὲ πολλῶν ὑποσχέσεων, κελεύσας ἀπογράφεσθαι τὸν βουλόμενον, ἀπηλλάττετο. καὶ μετὰ μικρὸν, ἧκεν αὐτῷ γράμματα παρὰ ἰόβα, καὶ σκιπίωνος. ἰόβα μὲν, ἐν ὄρει κεκρυμμένου. ἐρωτῶντος, ὅ τι πράττειν δέδοκται τῷ κάτωνι. καὶ γὰρ περιμενεῖν ἰτύκην ἐκλιπόντα. καὶ πολιορκουμένῳ, μετὰ στρατιᾶς ἐπιβοηθήσειν. σκιπίωνος δὲ πρὸς ἄκρᾳ τινὶ ναυλοχοῦντος, οὐ πόρρω τῆς ἰτύκης, ἐπὶ τοῖς αὐτοῖς καραδοκοῦντος. ἔδοξεν οὖν τῷ κάτωνι τοὺς γραμματοφόρους ἐπισχεῖν, ἄχρι οὗ βεβαιώσῃ τὰ παρὰ τῶν τριακοσίων. οἱ μὲν γὰρ ἀπὸ βουλῆς, ἦσαν πρόθυμοι. καὶ τοὺς οἰκέτας εὐθὺς ἀφιέντες ἐλευθέρους, ὥπλιζον. τῶν δὲ τριακοσίων ἅτε δὴ πλωτικῶν καὶ δανειστικῶν ἀνθρώπων, καὶ τὸ πλεῖστον, ἐν τοῖς οἰκέταις τῆς οὐσίας ἐχόντων, οὐ πολὺ οἱ κάτωνος λόγοι χρόνον ἐμμείναντες, ἐξερρύησαν. καθάπερ τῶν σωμάτων, τὰ μὲν ἀραιὰ δέχεται ῥᾳδίως τὴν θερμότητα, καὶ πάλιν μεθίησι, τοῦ πυρὸς ἀπαχθέντος ψυχόμενα. παραπλησίως ἐκείνους. ὁ μὲν κάτων ὁρώμενος ἀνεζωπύρει καὶ διεθέρμαινεν. αὐτοὺς δ' ἑαυτοῖς λόγον διδόντας, ὁ καίσαρος φόβος ἐξέκρουσε, τῆς πρὸς κάτωνα καὶ τὸ καλὸν αἰδοῦς. τίνες γὰρ ἔφασαν ὄντες, καὶ τίνι προστασσόμενοι ποιεῖν ἀπαξιοῦμεν. οὐχὶ καῖσαρ μὲν οὗτος εἰς ὃν ἡ ῥωμαίων ἅπασα περιέστηκεν ἰσχύς, ἡμῶν δὲ σκιπίων οὐδείς. οὐδὲ πομπήιος, οὐδὲ κάτων. ἀλλ' ἐν οἷς καιροῖς πάντες ἄνθρωποι, ταπεινότερα τῶν προσηκόντων διὰ φόβον φρονοῦσιν, ἐν τούτοις ἡμεῖς ὑπερμαχοῦντες τῆς ῥωμαίων ἐλευθερίας, πολεμοῦμεν ἐξ ἰτύκης ᾧ κάτων μετὰ πομπηίου μάγνου φεύγων, ὑφεῖτο τῆς ἰταλίας, καὶ δούλους ἐλευθεροῦμεν κατὰ καίσαρος, οἷς αὐτοῖς ἐλευθερίας ὅσον ἂν ἐκεῖνος θέλῃ μέτεστιν. ἀλλ' ἔτι νῦν ὦ μοχθηροὶ γνόντες ἑαυτοὺς, παραιτώμεθα τὸν κρατοῦντα καὶ πέμψωμεν τοὺς δεησομένους. ταῦτα

προς

προελθὼν. ς. η. τ.

μεθίησι. ς. τ. κ.

χου ς. τ. κ.

νύματος ἀκαίρου βουλόμενον κολάζειν τοὺς ἀποπλέοντας. πρῶτον δὲ μέλλοντα τῷ κικέρωνι προσφέρειν τὰς χεῖρας, ἐνουθέτησεν ἰδίᾳ καὶ κατεπράϋνεν. ὥστε τὸν κικέρωνα περισῶσαι σαφῶς ἐκ θανάτου. καὶ τοῖς ἄλλοις ἄδειαν παρασχεῖν. τεκμαιρόμενος δὲ πομπήϊον μάγνον εἰς αἴγυπτον, ἢ λιβύην διεκπεσεῖσθαι, καὶ σπεύδων πρὸς ἐκεῖνον, ἀνήχθη μὲν ἔχων ἅπαντας, ἔπλει δὲ πρῶτον ἀπεῖναι διδοὺς καὶ ἀπολείπεσθαι τοὺς οὐ προθύμως συστρατευομένους. ἁψάμενος δὲ λιβύης καὶ παραπλέων ἐντυγχάνει σέξτῳ τῷ νεωτέρῳ τῶν πομπηΐου παίδων, ἀγγέλλοντι τὴν ἐπ' αἰγύπτου τοῦ πρεσβυτέρου τελευτήν. πάντες μὲν οὖν βαρέως ἤνεγκαν, οὐδεὶς δὲ μετὰ πομπήϊον ἠξίου κάτωνος παρόντος, οὐδὲ ἀκούειν ἄλλον ἡγεμόνα. διὸ καὶ κάτων αἰδούμενος, καὶ οἰκτείρων ἄνδρας ἀγαθοὺς καὶ πίστεως δεδωκότας πεῖραν ἤδη ξένης ἐρήμους καὶ ἀπόρους ἀπολιπεῖν, ὑπέστη τε τὴν ἀρχὴν, καὶ παρῆλθεν εἰς κυρήνην. ἐδέξαντο γὰρ ἐκεῖνον ὀλίγαις ἡμέραις ἔμπροσθεν ἀποκλείσαντες λαβιηνόν. ἐνταῦθα πυνθανόμενος σκιπίωνα τὸν πομπηΐου πενθερὸν ὑπὸ ἰόβα τοῦ βασιλέως ἀνειλῆφθαι. καὶ οὔαρον ἄττιον, ὃς ἦν ὑπὸ πομπηΐου λιβύης ἀποδεδειγμένος ἡγεμὼν, εἶναι σὺν αὐτοῖς μετὰ δυνάμεως, ἐξώρμησε πεζῇ χειμῶνος ὥρᾳ, πολλοὺς μὲν ὄνους ὕδωρ κομίζοντας συναγαγὼν, πολλὴν δὲ λείαν ἐλαύνων. ἔτι δὲ ἅρματα καὶ τοὺς καλουμένους ψύλλους ἐπαγόμενος. οἳ τά τε δήγματα τῶν θηρίων ἰῶνται τοῖς στόμασιν ἕλκοντες [illegible], αὐτά τε τὰ θηρία κατεπᾴδοντες ἀμβλύνουσι καὶ κηλοῦσιν. ἡμέρας δὲ συνεχῶς ἑπτὰ τῆς πορείας γενομένης, πρῶτος ἡγήσατο μήτε ἵππῳ, μήτε ὑποζυγίῳ χρησάμενος. ἐδείπνει δὲ καθήμενος, ἀφ' ἧς ἡμέρας τὴν κατὰ φάρσαλον ἔγνω ἧτταν καὶ τοῦτο τῷ λοιπῷ προσέθηκε πένθει, τὸ μὴ κατακλιθῆναι πλὴν καθεύδων. ἐν δὲ λιβύῃ διαγαγὼν τοῦ χειμῶνος, ἐξήγαγε τὴν στρατείαν. ἦσαν δὲ μυρίων ὀλίγον ἀποδέοντες. τὰ δὲ πράγματα κακῶς εἶχε τοῖς περὶ σκιπίωνα καὶ οὔαρον, ἐκ διαφορᾶς καὶ στάσεως ὑποδυομένοις, καὶ θεραπεύουσι τὸν ἰόβαν, οὐκ ἀνεκτὸν ὄντα βαρύτητι φρονήματος, καὶ ὄγκῳ διὰ πλοῦτον καὶ δύναμιν. ὅς γε κάτωνι πρῶτον ἐντυγχάνειν μέλλων μέσον ἔθηκε τὸν ἑαυτοῦ θρόνον, τοῦ σκιπίωνος καὶ τοῦ κάτωνος, ὁ μέντοι κάτων, ὡς εἶδεν, ἄρας τὸν ἑαυτοῦ θρόνον μετέθηκε θάτερα, μέσον λαμβάνων τὸν σκιπίωνα, καίπερ ἐχθρὸν ὄντα. καίτοι καὶ βιβλίον ἐκδεδωκότα βλασφημίας ἔχοντα τοῦ κάτωνος, εἶτα τοῦτο μὲν εἰς οὐδένα τίθενται λόγον, εἰ δὲ φιλόστρατον, ἐν σικελίᾳ μέσον εἶχεν ἐπὶ περιπάτων ἐπὶ τιμῇ φιλοσοφίας, ἐγκαλοῦσι. τότε δ' οὖν καὶ τὸν ἰόβαν ἔπαυσεν, μονονουχὶ σατράπας πεποιημένον ἑαυτοῦ, τοὺς περὶ τὸν σκιπίωνα. κἀκείνους διήλλαξεν. ἀξιούντων δὲ πάντων ἄρχειν αὐτὸν καὶ πρώτων τῶν περὶ σκιπίωνα καὶ οὔαρον ἐξισταμένων καὶ παραδιδόντων τὴν ἡγεμονίαν, οὐκ ἔφη καταλύσειν τοὺς νόμους περὶ ὧν, τῷ καταλύοντι πολεμοῦσιν. οὐδὲ ἑαυτὸν ἀντιστράτηγον ὄντα, παρόντος ἀνθυπάτου προστάξειν. ἀνθύπατος γὰρ ὁ σκιπίων, ἀπεδέδεικτο. καὶ θάρσος εἶχον οἱ πολλοὶ διὰ τοὔνομα κατορθώσειν, ἄρχοντος ἐν λιβύῃ σκιπίωνος. ἐπεὶ μέντοι τὴν ἀρχὴν ὁ σκιπίων παραλαβὼν. εὐθὺς ἐβούλετο ἰόβᾳ χαριζόμενος, ἰτυκαίους ἡβηδὸν ἀποκτεῖναι καὶ κατασκάψαι τὴν πόλιν, ὡς τὰ καίσαρος φρονοῦσαν, οὐχ ὑπέμεινεν ὁ κάτων, ἀλλὰ μαρτυρόμενος καὶ κεκραγὼς ἐν τῷ συνεδρίῳ καὶ θεοκλυτῶν μόλις ἐξείλετο τῆς ὠμότητος αὐτῶν τοὺς ἀνθρώπους. καὶ τὰ μὲν αὐτῶν δεηθέντων. τὰ δὲ τοῦ σκιπίωνος ἀξιοῦντος, ἀνεδέξατο φρουρήσειν τὴν πόλιν. ὡς μήτε ἑκοῦσα, μήτε ἄκουσα καίσαρι προσγένοιτο. καὶ γὰρ ἦν εἰς ἅπαντα τὸ χωρίον, ὠφέλιμον καὶ διαρκὲς τοῖς ἔχουσιν. ἔτι δὲ μᾶλλον, ὑπὸ τοῦ κάτωνος ἐρρώσθη. καὶ γὰρ σῖτον εἰσήγαγεν, ὑπερβάλλοντα πλήθει, καὶ κατεσκεύασε τὰ τείχη, πύργους ἐπαιρόμενος καὶ τάφρους ὀχυρὰς, καὶ χαρακώματα πρὸ τῆς πόλεως βαλλόμενος. ἰτυκαίων δὲ τοὺς μὲν ἡβῶντας ἐν τοῖς χαρακώμασιν ἔταξεν οἰκεῖν, τὰ ὅπλα παραδόντας αὐτῷ. τοὺς δὲ ἄλλους ἐν τῇ πόλει συνεῖχεν ἰσχυρῶς ἐπιμελόμενος μὴ ἀδικεῖσθαι μηδὲ πάσχειν κακῶς ὑπὸ τῶν ῥωμαίων. ὅπλα δὲ πολλὰ καὶ χρήματα καὶ σῖτον ἐξέπεμψε τοῖς ἐπὶ στρατοπέδου. καὶ ὅλως εἶχε τοῦ πολέμου τὴν πόλιν ταμιεῖον, ἃ δὲ πομπηΐῳ συνεβούλευε πρότερον, καὶ τότε σκιπίωνι, μὴ μάχεσθαι πρὸς ἄνδρα πολεμιστὴν καὶ δεινὸν, ἀλλὰ τῷ χρόνῳ χρῆσθαι πᾶσαν ἀκμὴν ᾗ τυραννὶς ἰσχύει μαραίνοντι. τούτων ὁ σκιπίων ὑπ' αὐθαδείας κατεφρόνει. καί ποτε τῷ κάτωνι, δειλίαν ὀνειδίζων ἔγραψεν. εἰ μὴ μόνον αὐτὸς ἀγαπᾷ καθήμενος ἐν πόλει καὶ τείχεσιν, ἀλλὰ μηδ' ἑτέρους ἐᾷ πρὸς τὸν καιρὸν, εὐθαρσῶς χρῆσθαι τοῖς λογισμοῖς. πρὸς ταῦτα ὁ κάτων ἀντέγραψεν. ὡς ἕτοιμός ἐστιν, οὓς ἤγαγεν αὐτὸς εἰς λιβύην, ὁπλίτας καὶ ἱππεῖς. παραλαβὼν εἰς ἰταλίαν περαιοῦν, καὶ καίσαρα μεθιστάναι καὶ τρέπειν, ἀπ' ἐκείνων πρὸς αὑτόν. ὡς δὲ καὶ τούτων ὁ σκιπίων κατεγέλα, πάνυ δῆλος ἦν καὶ ἀχθόμενος ὁ κάτων τῇ παραχωρήσει τῆς ἀρχῆς. ὡς οὔτε τῷ πολέμῳ καλῶς τὸν σκιπίωνα χρησόμενον. οὔτε ἂν παραλόγως εὐτυχήσῃ, μέτριον ἐν τῷ κρατεῖν πρὸς τοὺς πολίτας ἐσόμενον. διὸ καὶ γνώμην εἶχεν ὁ κάτων, καὶ πρὸς τοὺς συνήθεις ἔλεγεν, οὐ χρηστὰς μὲν ἐλπίδας ἔχειν ὑπὲρ τοῦ πολέμου δι' ἀπειρίαν καὶ θρασύτητα τῶν ἡγεμόνων. εἰ δ' οὖν εὐτυχία τις γένοιτο καὶ καταλυθείη καῖσαρ, οὐ μένειν ἐν ῥώμῃ. φεύξεσθαι δὲ τὴν χαλεπότητα καὶ πικρίαν τοῦ σκιπίωνος, ἤδη τότε δεινὰς καὶ ὑπερηφάνους ποιουμένου κατὰ πολλῶν ἀπειλάς. ἀπέβη δὲ μᾶλλον ἢ προσεδόκα. καὶ

τὴν σὴν νομίζω δειλίαν ὦ ἡρακλεῦ. ὅμοιον γάρ ἐστι τῷ ἡρακλεῖ μαλακίαν ὀνειδίζειν, καὶ κατηγορεῖν αἰσχροκέρδειαν κάτωνος. εἰ δὲ ἄλλῃ πῃ μὴ καλῶς πέπρακται περὶ τὸν γάμον, ἐπισκεπτέον. ἐγγυησάμενος γὰρ τὴν μαρκίαν ὁ κάτων καὶ τὸν οἶκον ἐπιτρέψας ἐκείνῃ, καὶ τὰς θυγατέρας, αὐτὸς ἐδίωκε πομπήϊον. ἀπ᾽ ἐκείνης δὲ λέγεται τῆς ἡμέρας, μήτε κεφαλὴν ἔτι κείρασθαι, μήτε γένεια, μήτε στέφανον ἐπιθέσθαι. πένθους δὲ καὶ κατηφείας καὶ βαρύτητος ἐπὶ ταῖς συμφοραῖς τῆς πατρίδος, ἓν σχῆμα νικώντων ὁμοίως καὶ νικωμένων, ἄχρι τελευτῆς διαφυλάξαι. τότε δὲ κλήρῳ λαχὼν σικελίαν, διέβη μὲν εἰς συρακούσας. πυθόμενος δὲ ἀσίννιον πολλίωνα παρὰ τῶν πολεμίων ἀφῖχθαι μετὰ δυνάμεως εἰς μεσσήνην, ἔπεμψε λόγον ἀπαιτῶν παρ᾽ αὐτοῦ τῆς διαβάσεως. ἀνταπαιτηθεὶς δὲ λόγον ὑπ᾽ ἐκείνου τῆς τῶν πραγμάτων μεταβολῆς, καὶ πομπήϊον ἀκούσας ἐκλελοιπότα παντελῶς ἰταλίαν, ἐν δυρραχίῳ στρατοπεδεύειν, πολὺν ἔφη περὶ τὰ θεῖα πλάνον εἶναι καὶ ἀσάφειαν. εἰ πομπήϊον ἐν οἷς ὑγιὲς οὐδὲν οὐδὲ δίκαιον ἔπραττεν ἀήττητον γενόμενον. νῦν ὅτε τὴν πατρίδα βούλεται σώζειν καὶ τῆς ἐλευθερίας ὑπερμάχεται προλέλοιπε τὸ εὐτυχεῖν. ἀσίννιον μὲν οὖν ἔφη δυνατὸς εἶναι σικελίας ἐκβαλεῖν. ἄλλης δὲ μείζονος ὑπερχομένης δυνάμεως, οὐ βούλεσθαι τὴν νῆσον ἐν πολέμῳ ἀπολέσθαι. χωρεῖν δὲ πρὸς τὸ κρατοῦν καὶ σώζεσθαι παραινέσας συρακουσίοις, ἐξέπλευσεν. ἀφικόμενος δὲ πρὸς πομπήϊον. ἀεὶ μὲν εἴχετο μιᾶς γνώμης, χρονοτριβεῖν τὸν πόλεμον, ἐλπίζων διαλύσεις, καὶ μὴ βουλόμενος ἐν ἀγῶνι χείρω γενομένην τὴν πόλιν αὐτὴν ὑφ᾽ αὑτῆς παθεῖν τὰ ἔσχατα σιδήρῳ διακριθεῖσαν. ἄλλα δὲ τούτων ἀδελφὰ πομπήϊον ἔπεισε, καὶ τοὺς συνέδρους ψηφίσασθαι, μήτε πόλιν ὑπήκοον ῥωμαίων διαρπάζειν, μήτε ἄνδρα ῥωμαῖον ἔξω παρατάξεως ἀναιρεῖν. καὶ δόξαν ἤνεγκε, καὶ προσηγάγετο πολλοὺς τῇ πομπηΐου μερίδι, τὴν ἐπιείκειαν αὐτοῦ καὶ τὸ ἥμερον ἀσπαζομένους. ἐκπεμφθεὶς δὲ εἰς ἀσίαν ὡς τοῖς ἐκεῖ συνάγουσι πλοῖα καὶ στρατιὰν ὠφέλιμος γένοιτο, σερβιλίαν ἐπηγάγετο ἀδελφιδῆν. καὶ τὸ λευκόλλου παιδίον ἐξ ἐκείνης γεγονός. ἠκολούθησε γὰρ αὐτῷ χηρεύουσα, καὶ πολὺ τῶν εἰς τὸ ἀκόλαστον αὐτῆς διαβολῶν ἀφεῖλεν, ὑποδῦσα τὴν ὑπὸ κάτωνι φρουρὰν καὶ πλάνην καὶ δίαιταν ἑκουσίως. ἀλλ᾽ ὅγε καῖσαρ, οὐδὲ τῶν ἐπ᾽ ἐκείνῃ βλασφημιῶν τοῦ κάτωνος ἐφείσατο. πρὸς μὲν οὖν τἄλλα, τοῦ κάτωνος, οὐδὲν ὡς ἔοικεν ἐδεήθησαν οἱ πομπηΐου στρατηγοί. ῥοδίους δὲ πειθοῖ προσαγαγόμενος, καὶ τὴν σερβιλίαν αὐτόθι καὶ τὸ παιδίον ἀπολιπών, ἐπανῆλθε πρὸς πομπήϊον. ἤδη πεζικῆς τε λαμπρᾶς καὶ ναυτικῆς δυνάμεως περὶ αὐτὸν οὔσης. ἔνθα δὴ καὶ μάλιστα τῆς γνώμης κατάφωρος ἔδοξε γεγονέναι πομπήϊος. ὥρμησε μὲν γὰρ ἐγχειρίσαι τῷ κάτωνι τὴν τῶν νεῶν ἡγεμονίαν. ἦσαν δὲ πεντακοσίων μὲν οὐκ ἐλάττους αἱ μάχιμοι. λιβυρνικὰ δὲ καὶ κατασκοπικὰ, καὶ ἄφρακτα, παμπληθῆ. ταχὺ δὲ ἐννοήσας, ἢ διδαχθεὶς ὑπὸ τῶν φίλων, ὡς ἕν ἐστι κεφάλαιον κάτωνι, πάσης πολιτείας ἐλευθερῶσαι τὴν πατρίδα. κἂν γένηται κύριος τηλικαύτης δυνάμεως, ἧς ἂν ἡμέρας καταγωνίσωνται καίσαρα, τῆς αὐτῆς ἐκείνης ἀξιώσει καὶ πομπήϊον τὰ ὅπλα καταθέσθαι. καὶ τοῖς νόμοις ἕπεσθαι, μετέγνω. καίπερ ἤδη διειλεγμένος αὐτῷ, καὶ βύβλον ἀπέδειξεν ναύαρχον. οὐ μὴν ᾔσθετό γε παρὰ τοῦτο τῆς προθυμίας τοῦ κάτωνος ἀμβλυτέρας. ἀλλὰ καὶ λέγεται πρός τινα μάχην πρὸ τοῦ δυρραχίου, αὐτοῦ τε πομπηΐου παρορμῶντος τὴν δύναμιν, καὶ τῶν ἄλλων ἕκαστον ἡγεμόνων εἰπεῖν τι καὶ προτρέψασθαι κελεύοντος, ἀργῶς καὶ σιωπῇ τοὺς στρατιώτας ἀκούειν. κάτωνος δὲ μετὰ πάντας, ὅσα καιρὸν εἶχε τῶν ἀπὸ φιλοσοφίας ἀκούειν λεγομένων περὶ ἐλευθερίας καὶ ἀρετῆς καὶ θανάτου καὶ δόξης διελθόντος αὐτοπαθῶς, καὶ τελευτῶντα τρέψαντος τὸν λόγον εἰς θεῶν ἀνάκλησιν, ὡς παρόντων καὶ ἐφορώντων τὸν ὑπὲρ τῆς πατρίδος ἀγῶνα, τηλικοῦτον ἀλαλαγμὸν γενέσθαι καὶ τοσοῦτον κίνημα τῆς στρατιᾶς ἐπαρθείσης, ὥστε πάντας ἐλπίδων μεστοὺς ἐπὶ τὸν κίνδυνον ὁρμῆσαι τοὺς ἡγεμόνας. τρεψαμένων δὲ καὶ κρατησάντων, ἀφείλετο τὴν παντελῆ νίκην ὁ καίσαρος δαίμων, τῇ πομπηΐου χρησάμενος εὐλαβείᾳ καὶ ἀπιστίᾳ περὶ τὸ εὐτύχημα. ταῦτα μὲν οὖν, ἐν τοῖς περὶ πομπηΐου γέγραπται. χαιρόντων δὲ πάντων καὶ μεγαλυνόντων τὸ ἔργον, ὁ κάτων ἀπεδάκρυε τὴν πατρίδα καὶ τὴν ὀλέθριον καὶ κακοδαίμονα φιλαρχίαν ὠδύρετο, πολλοὺς καὶ ἀγαθοὺς ὁρῶν πολίτας ὑπ᾽ ἀλλήλων πεπτωκότας. ἐπεὶ δὲ καίσαρα διώκων πομπήϊος εἰς θετταλίαν ἀνέζευγνυε, πολλὰ καταλιπὼν περὶ δυρράχιον ὅπλα καὶ σώματα συγγενῆ καὶ οἰκεῖα, πάντων ἀπέδειξεν ἡγεμόνα καὶ φύλακα τὸν κάτωνα, πεντεκαίδεκα σπείρας ἔχοντα στρατιωτῶν, δι᾽ ἀπιστίαν ἅμα καὶ φόβον τοῦ ἀνδρός. ἡττωμένου μὲν γὰρ πάντων εἶναι βεβαιότατον ἐνόμιζεν. εἰ δὲ νικῴη μὴ ἐπιτρέψειν παρόντα χρήσασθαι τοῖς πράγμασιν ὡς προῄρηται. πολλοὶ δὲ καὶ τῶν ἐπιφανῶν ἀνδρῶν ἀπερρίφησαν ἐν δυρραχίῳ μετὰ κάτωνος. γενομένης δὲ τῆς κατὰ φάρσαλον ἥττης. οὕτως ἔστη τοῖς λογισμοῖς ὁ κάτων. ὡς εἰ μὲν τεθνήκοι πομπήϊος, εἰς ἰταλίαν τοὺς σὺν αὐτῷ περαιώσων. αὐτὸς δὲ πορρωτάτω τῆς τυραννίδος ἐπὶ φυγῇ βιωσόμενος. εἰ δὲ σώζοιτο, πάντως ἐκείνῳ διαφυλάξων τὴν δύναμιν. οὕτω δὴ διαβαλὼν εἰς κέρκυραν ὅπου τὸ ναυτικὸν ἦν, ἐξίστατο μὲν κικέρωνι τῆς ἀρχῆς, ὡς ὑπατικῷ στρατηγῷ. οὐ δεξαμένου δὲ κικέρωνος. ἀλλ᾽ ἀπαίροντος εἰς ἰταλίαν ἰδὼν τὸν πομπήϊον ὑπ᾽ αὐθαδείας καὶ φρο-

ἐπὶ χειρῶν ὑπὸ πόλεως, ὥρμησεν ὁ κάτων ὑπατείαν παραγγέλλειν ὡς ἀφαιρησόμενος εὐθὺς τὰ ὅπλα τοῦ καίσαρος, ἢ τὴν ἐπιβουλὴν ἐξελέγξων. οἱ δ' ἀντιπαραγγέλλοντες αὐτῷ, χαρίεντες μὲν ἦσαν ἀμφότεροι. σουλπίκιος δὲ καὶ πολλὰ τῆς τοῦ κάτωνος ἐν τῇ πόλει δόξης τε καὶ δυνάμεως ἀπολελαυκώς, οὐ μέτριον οὖν ἐδόκει πρᾶγμα ποιεῖν οὐδ' εὐχάριστον. οὐ μὴν ὅ γε κάτων ἐνεκάλει. τί γὰρ ἔφη θαυμαστὸν εἰ ὅ τις νομίζει τῶν ἀγαθῶν μέγιστον, ἑτέρῳ μὴ παρίησι. πείσας δὲ τὴν βουλὴν ψηφίσασθαι τοὺς μετιόντας τὴν ἀρχὴν, αὐτοὺς δεξιοῦσθαι τὸν δῆμον, δι' ἑτέρου δὲ μὴ δεῖσθαι, μηδὲ ἐντυγχάνειν ὑπὲρ αὐτῶν περιιόντας, ἔτι μᾶλλον ἐξηγρίανε τοὺς ἀνθρώπους. εἰ μὴ μόνον τὸ λαβεῖν μισθὸν, ἀλλὰ καὶ τὸ διδόναι χάριν αὐτοὺς ἀφῃρημένος, ἄπορον καὶ ἄτιμον ὁμοῦ τὸν δῆμον πεποίηκε. πρὸς δὲ τούτῳ μήτε αὐτὸς ἐντυχεῖν ὑπὲρ αὐτοῦ πιθανὸς ὢν, ἀλλ' ἐν ἤθει τὸ τοῦ βίου μᾶλλον ἀξίωμα βουλόμενος φυλάττειν, ἢ προσλαβεῖν τὸ τῆς ἀρχῆς, ποιούμενος τὰς δεξιώσεις, μήτε τοὺς φίλους ἐάσας οἷς ὄχλος ἁλίσκεται καὶ θεραπεύεται ποιεῖν, ἀπέτυχε τῆς ἀρχῆς. φέροντος δὲ τοῦ πράγματος οὐκ αὐτοῖς μόνοις τοῖς ἀποτυχοῦσιν, ἀλλὰ καὶ φίλοις αὐτῶν καὶ οἰκείοις σὺν αἰσχύνῃ τινὶ κατήφειαν καὶ πένθος ἐφ' ἡμέρας πολλὰς, οὕτως ἤνεγκε ῥαθύμως τὸ συμβεβηκὸς, ὥστε ἀλειψάμενος μὲν ἐν τῷ πεδίῳ σφαιρίσαι. μετ' ἄριστον δὲ πάλιν ὥσπερ εἴθιστο καταβὰς εἰς ἀγορὰν ἀνυπόδητος καὶ ἀχίτων, περιπατῆσαι μετὰ τῶν συνήθων. αἰτιᾶται δὲ κικέρων ὅτι τῶν πραγμάτων ἄρχοντος τοιούτου δεομένων, οὐκ ἐποιήσατο σπουδὴν οὐδ' ὑπῆλθεν ὁμιλίᾳ φιλανθρώπῳ τὸν δῆμον, ἀλλὰ καὶ πρὸς τὸ λοιπὸν ἐξέκαμε καὶ ἀπηγόρευσε. καίτοι τὴν στρατηγίαν αὖθις ἐξ ὑπαρχῆς μετελθών. ἔλεγεν οὖν ὁ κάτων, ὅτι τῆς μὲν στρατηγίας, οὐ κατὰ γνώμην ἐξέπεσε τῶν πολλῶν, ἀλλὰ βιασθέντων, ἢ διαφθαρέντων. ἐν δὲ ταῖς ὑπατικαῖς ψήφοις, μηδεμιᾶς κακουργίας γενομένης, ἔγνω καὶ τῷ δήμῳ προσκεκρουκὼς διὰ τὸν αὐτοῦ τρόπον, ὃν οὔτε μεταθέσθαι πρὸς ἑτέρων χάριν, οὔτε χρώμενον ὁμοίῳ, πάλιν ὅμοια παθεῖν, νοῦν ἔχοντος ἀνδρὸς εἶναι. τοῦ δὲ καίσαρος ἐμβαλόντος εἰς ἔθνη μάχιμα, καὶ παραβόλως κρατήσαντος, γερμανοῖς δὲ καὶ σπονδῶν γενομένων, δοκοῦντος ἐπιθέσθαι καὶ καταβαλεῖν τριάκοντα μυριάδας, οἱ μὲν ἄλλοι τὸν δῆμον ἠξίουν εὐαγγέλια θύειν. ὁ δὲ κάτων ἐκέλευεν ἐκδιδόναι τὸν καίσαρα τοῖς παρανομηθεῖσι, καὶ μὴ τρέπειν εἰς αὑτοὺς, μηδὲ ἀναδέχεσθαι τὸ ἄγος εἰς τὴν πόλιν. οὐ μὴν ἀλλὰ καὶ τοῖς θεοῖς ἔφη θύομεν, ὅτι τῆς τοῦ στρατηγοῦ μανίας καὶ ἀπονοίας τὴν δίκην εἰς τοὺς στρατιώτας οὐ τρέπουσιν, ἀλλὰ φείδονται τῆς πόλεως. ἐκ τούτου καῖσαρ ἐπιστολὴν γράψας ἀπέστειλεν εἰς τὴν σύγκλητον. ὡς δὲ ἀνεγνώσθη βλασφημίας πολλὰς ἔχουσα καὶ κατηγορίας τοῦ κάτωνος, ἀναστὰς ἐκεῖνος, οὐχ ὑπ' ὀργῆς οὐδὲ φιλονεικίας, ἀλλ' ὥσπερ ἐκ λογισμοῦ καὶ παρασκευῆς, τὰ μὲν εἰς ἑαυτὸν ἐγκλήματα, λοιδορίαις καὶ σκώμμασιν ὅμοια καὶ παιδιάν τινα καὶ βωμολοχίαν τοῦ καίσαρος ἀπέδειξεν. ἁψάμενος δὲ τῶν ἐκείνου βουλευμάτων ἀπ' ἀρχῆς, καὶ πᾶσαν αὐτοῦ τὴν διάνοιαν, ὥσπερ οὐκ ἐχθρὸς, ἀλλὰ συνωμότης καὶ κοινωνὸς ἐκκαλύψας, καὶ διδάξας, ὡς οὐ βρεττανῶν, οὐδὲ κελτῶν παῖδας, ἀλλ' ἐκεῖνον αὐτὸν εἰ σωφρονοῦσιν, φοβητέον ἐστὶν αὐτοῖς, οὕτως ἐπέστρεψε καὶ παρώξυνεν, ὥστε τοὺς φίλους τοῦ καίσαρος μετανοεῖν, ὅτι τὴν ἐπιστολὴν ἀναγνόντες ἐν τῇ βουλῇ, καιρὸν τῷ κάτωνι λόγων δικαίων καὶ κατηγοριῶν ἀληθῶν παρέσχον. ἐκυρώθη μὲν οὖν οὐδὲν, ἀλλ' ἐλέχθη μόνον ὅτι καλῶς ἔχει, διάδοχον καίσαρι δοθῆναι. τῶν δὲ φίλων ἀξιούντων, καὶ πομπήϊον ἐξ ἴσου τὰ ὅπλα καταθέσθαι, καὶ ἀποδοῦναι τὰς ἐπαρχίας, ἢ μηδὲ καίσαρα. νῦν ἐκεῖνα βοῶν ὁ κάτων, ἃ προὔλεγεν αὐτοῖς, ἥκειν, καὶ βιάζεσθαι τὸν ἄνθρωπον, ἀναφανδὸν ἤδη τῇ δυνάμει χρώμενον, ἣν ἔσχεν ἐξαπατῶν καὶ φενακίζων τὴν πόλιν. ἔξω μὲν οὖν οὐδὲν ἐπέραινε, τοῦ δήμου θέλοντος ἀεὶ τὸν καίσαρα μέγιστον εἶναι. τὴν δὲ σύγκλητον εἶχε πειθομένην, καὶ φοβουμένην τὸν δῆμον. ὡς δὲ ἀρίμινον κατείληπτο, καὶ καῖσαρ κατηγγέλλετο μετὰ στρατιᾶς ἐλαύνειν ἐπὶ τὴν πόλιν, ἐνταῦθα δὴ πάντες ἐπ' ἐκεῖνον ἀφεώρων, οἵ τε πολλοὶ, καὶ πομπήϊος, ὡς μόνον μὲν ἐξ ἀρχῆς προαισθόμενον, πρῶτον δὲ φανερῶς προειπόντα τὴν καίσαρος γνώμην. εἶπεν οὖν ὁ κάτων. ἀλλ' εἴ γε οἷς ἐγὼ προὔλεγον ἀεὶ καὶ συνεβούλευον, ἐπείσθη τις ὑμῶν ἄνδρες, οὔτ' ἂν ἕνα ἐφοβεῖσθε νῦν, οὔτε ἐν ἑνὶ τὰς ἐλπίδας εἴχετε. πομπηΐου δὲ εἰπόντος μαντικώτερα μὲν εἰρῆσθαι κάτωνι, φιλικώτερα δὲ αὑτῷ πεπρᾶχθαι, συνεβούλευεν ὁ κάτων ἑνὶ πομπηΐῳ τὰ πράγματα τὴν σύγκλητον ἐγχειρίσαι. τῶν γὰρ αὐτῶν εἶναι καὶ ποιεῖν τὰ μεγάλα κακὰ καὶ παύειν. ὁ μὲν οὖν πομπήϊος οὔτε δύναμιν ἔχων ἑτοίμην, οὔτε οὓς κατέλεγε τότε προθύμους ὁρῶν, ἐξέλιπε τὴν ῥώμην. ὁ δὲ κάτων ἕπεσθαι καὶ συμφεύγειν ἐγνωκὼς, τὸν μὲν νεώτερον υἱὸν, εἰς βρεττίους ὑπεξέθετο πρὸς μουνάτιον. τὸν δὲ πρεσβύτερον εἶχε σὺν ἑαυτῷ. τῆς δὲ οἰκίας καὶ τῶν θυγατέρων κηδεμόνος δεομένης, ἀνέλαβε πάλιν τὴν μαρκίαν χηρεύουσαν ἐπὶ χρήμασι πολλοῖς. ὁ γὰρ ὁρτήσιος θνήσκων, ἐκείνην ἀπέλιπε κληρονόμον. εἰς ὃ δὴ μάλιστα λοιδορούμενος ὁ καῖσαρ τῷ κάτωνι φιλοπλουτίαν προσφέρει καὶ μισθαρνίαν ἐπὶ τῷ γάμῳ. τί γὰρ ἔδει παραχωρεῖν δεόμενον γυναικὸς, ἢ τί μὴ δεόμενον αὖθις ἀναλαμβάνειν, εἰ μὴ δέλεαρ ἐξ ἀρχῆς ὑφείθη τὸ γύναιον ὁρτησίῳ, καὶ νέαν ἔχρησεν, ἵνα πλουσίαν ἀπολάβῃ. πρὸς μὲν οὖν ταῦτα μετρίως ἔχει τὸ εὐριπίδειον ἐκεῖνο. πρῶτα μὲν οὖν τἄρρητα, ἐν ἀρρήτοισι γάρ

ἐξηγρίαινε τ. ς.

ὁμοίως τ. η.

ἐγκλήματα τ. η. ς.

πεπρᾶχθαι

ἀπολάβῃ τ. ς. η.

τῇ πόλει παρέσχε. ἐπεὶ τὰς στάσεις ἀγωνοθετῶν ἐν ταῖς παραγγελίαις, καὶ θορύβους μηχανώμενος. ἐξ ὧν οὐ λέληθε δι' ἀναρχίας μοναρχίαν ἑαυτῷ μνηστευόμενος. οὕτως μὲν ἠμύνατο τὸν πομπήϊον. ἦν δὲ μᾶρκος φαώνιος ἑταῖρος αὐτοῦ καὶ ζηλωτὴς, οἷος ὁ φαληρεὺς ἀπολλόδωρος ἱστορεῖται περὶ σωκράτην γενέσθαι τὸν παλαιὸν, ἐμπαθὴς καὶ παρακεκινηκὼς πρὸς τὸν λόγον, οὐ σχέδην, οὐδὲ πράως, ἀλλ' ἄκρατον αὐτοῦ καθαψάμενον ὡς πάροινον καὶ μανικώτερον. οὗτος ἀγορανομίαν μετιὼν, ἡττᾶτο· συμπαρὼν δὲ ὁ κάτων προσέσχε ταῖς δέλτοις μιᾷ χειρὶ γεγραμμέναις, καὶ τὴν κακουργίαν ἐξελέγξας· τότε μὲν ἐπικλήσει δημάρχων ἔλυσε τὴν ἀνάδειξιν. ὕστερον δὲ τοῦ φαωνίου κατασταθέντος ἀγορανόμου, τά τε ἄλλα τῆς ἀρχῆς ἐπεμελεῖτο καὶ τὰς θέας διέπεν ἐν τῷ θεάτρῳ, διδοὺς καὶ τοῖς θυμελικοῖς στεφάνους μὲν οὐ χρυσοῦς, ἀλλ' ὥσπερ ἐν ὀλυμπίᾳ κοτίνων. δῶρα δὲ ἀντὶ τῶν πολυτελῶν. τοῖς μὲν ἕλλησι, τεῦτλα καὶ θρίδακας. καὶ ῥαφανίδας καὶ ἀπίους. τοῖς δὲ ῥωμαίοις οἴνου κεράμια. καὶ κρέα ὕεια. καὶ σῦκα. καὶ σικύους. καὶ ξύλων ἀγκαλίδας. ὧν τὴν εὐτέλειαν, οἱ μὲν ἐγέλων. οἱ δὲ ᾐδοῦντο τοῦ κάτωνος τὸ αὐστηρὸν καὶ κατεσταλμένον ὁρῶντες, ἡσυχῇ μετέβαλλον εἰς διάχυσιν. τέλος δὲ ὁ φαώνιος, εἰς τὸν ὄχλον ἐμβαλὼν ἑαυτὸν, καὶ καθεζόμενος ἐν τοῖς θεαταῖς, ἐκρότει τὸν κάτωνα. καὶ διδόναι τοῖς εὐημεροῦσι, καὶ τιμᾶν ἐβόα. καὶ συμπαρεκάλει τοὺς θεατὰς ὡς ἐκείνῳ τὴν ἐξουσίαν παραδεδωκώς. ἐν δὲ τῷ ἑτέρῳ θεάτρῳ δουρίων ὁ φαωνίου συνάρχων, ἐχορήγει πολυτελῶς. ἀλλ' ἐκεῖνον ἀπολιπόντες οἱ ἄνθρωποι, μετέβαινον ἐνταῦθα καὶ συνέπαιζον προθύμως ὑποκρινομένῳ τῷ φαωνίῳ ἰδιώτην, καὶ τῷ κάτωνι τὸν ἀγωνοθέτην. ἔπραττε δὲ ταῦτα διασύρων τὸ πρᾶγμα καὶ διδάσκων ὅτι παίζοντα δεῖ τῇ παιδιᾷ χρῆσθαι. καὶ χάριτι παραπέμπειν ἀτύφῳ μᾶλλον, ἢ παρασκευαῖς καὶ πολυτελείαις, εἰς τὰ μηδενὸς ἄξια φροντίδας μεγάλας, καὶ σπουδὰς, κατατιθέμενον. ἐπεὶ δὲ σκηπίωνος καὶ ὑψαίου καὶ μίλωνος, ὑπατείαν μετερχομένων. οὐ μόνον ἐκείνοις τοῖς συντρόφοις ἤδη καὶ συμπολιτευομένοις ἀδικήμασι, δωροδοκίαις καὶ δεκασμοῖς, ἀλλ' ἄντικρυς δι' ὅπλων καὶ φόνων εἰς ἐμφύλιον πόλεμον ὠθουμένων τόλμῃ καὶ ἀπονοίᾳ, πομπήϊόν τινες ἠξίουν ἐπιστῆναι ταῖς ἀρχαιρεσίαις, τὸ μὲν πρῶτον, ἀντεῖπεν ὁ κάτων. οὐ τοῖς νόμοις ἐκ πομπηΐου φάμενος, ἀλλ' ἐκ τῶν νόμων πομπηΐῳ δεῖν ὑπάρχειν τὴν ἀσφάλειαν. ὡς δὲ πολλὴν χρόνον ἀναρχίας οὔσης, καὶ τριῶν στρατοπέδων τὴν ἀγορὰν ὁσημέραι περιεχόντων, ὀλίγον ἀπέλειπεν ἀνεπίσχετον γεγονέναι τὸ κακὸν, ἔγνω τὰ πράγματα πρὸ τῆς ἐσχάτης ἀνάγκης εἰς πομπήϊον ἑκουσίῳ χάριτι τῆς βουλῆς περιστῆσαι. καὶ τῷ μετριωτάτῳ παρανομημάτων χρησάμενος ἰάματι, τῆς τῶν μεγίστων καταστάσεως, τὴν μοναρχίαν ἐπαγαγέσθαι μᾶλλον, ἢ περιϊδεῖν τὴν στάσιν, εἰς μοναρχίαν τελευτῶσαν. εἶπεν οὖν ἐν τῇ βουλῇ γνώμην βύβλος ὢν οἰκεῖος κάτωνος. ὡς χρὴ μόνον ἑλέσθαι πομπήϊον ὕπατον. ἢ γὰρ ἕξει καλῶς τὰ πράγματα, ἐκείνου καταστήσαντος, ἢ τῷ κρατίστῳ δουλεύσει τὴν πόλιν. ἀναστὰς δὲ ὁ κάτων οὐδενὸς ἂν προσδοκήσαντος, ἐπῄνεσε τὴν γνώμην καὶ συνεβούλευε πᾶσαν ἀρχὴν ὡς ἀναρχίας κρείττονα, πομπήϊον δὲ καὶ προσδοκᾶν ἄριστα τοῖς παροῦσι χρήσασθαι πράγμασι. καὶ φυλάξειν διαπιστευθέντα τὴν πόλιν. οὕτω δὲ ἀποδειχθεὶς ὕπατος ὁ πομπήϊος, ἐδεήθη τοῦ κάτωνος ἐλθεῖν πρὸς αὐτὸν εἰς τὸ προάστειον. ἐλθόντα δὲ δεξάμενος φιλοφρόνως, ἀσπασμοῖς καὶ δεξιώσεσι, καὶ χάριν ὁμολογήσας, παρεκάλει σύμβουλον αὐτῷ καὶ πάρεδρον εἶναι τῆς ἀρχῆς. ὁ δὲ κάτων ἀπεκρίνατο, μήτε τὰ πρῶτα, πρὸς ἀπέχθειαν εἰπεῖν πομπηΐου, μήτε ταῦτα πρὸς χάριν, ἀλλ' ἐπὶ συμφέροντι πάντα τῆς πόλεως. ἰδίᾳ μὲν οὖν αὐτῷ παρακαλοῦντι, σύμβουλος ἔσεσθαι, δημοσίᾳ δὲ κἂν μὴ παρακαλῆται πάντως ἐρεῖν τὸ φαινόμενον. καὶ ταῦτα ἔπραττεν ὡς εἶπε. πρῶτον μὲν γὰρ ἐπὶ τοὺς δεκάσαντας ἤδη τὸν δῆμον ἐπιτίμια καινὰ καὶ δίκας μεγάλας τοῦ πομπηΐου νομοθετοῦντος, ἀμελεῖν ἐκέλευε τῶν γεγονότων καὶ προσέχειν τοῖς μέλλουσιν. οὔτε γὰρ ὅπου στήσεται τὰ προημαρτημένα ζητεῖν ὁρίσαι ῥᾴδιον, ἐάν τε νεώτερα γράφηται τῶν ἀδικημάτων ἐπιτίμια, δεινὰ πείσεσθαι τοὺς ὃν οὐ παρέβαινον, οὔτ' ἠδίκουν νόμον κατὰ τοῦτον κολαζομένους. ἔπειτα πολλῶν κρινομένων ἐπιφανῶν ἀνδρῶν. ἐνίων δὲ, καὶ φίλων τοῦ πομπηΐου καὶ οἰκείων. ὁρῶν αὐτὸν ἐνδιδόντα ἐν πολλοῖς καὶ καμπτόμενον, ἐπετίμα σφοδρῶς, καὶ διήγειρεν. ἐπεὶ δὲ νόμῳ τοὺς εἰωθότας λέγεσθαι περὶ τῶν κρινομένων ἐπαίνους, αὐτὸς ἀφελὼν, μουνατίῳ φλάκκῳ συγγραφὰς ἐπαίνων ἐπὶ τῆς δίκης ἔδωκεν, ἐπισχόμενος ὁ κάτων τὰ ὦτα ταῖς χερσὶν, ἔτυχε γὰρ δικάζων, ἐκώλυεν ἀναγινώσκεσθαι τὴν μαρτυρίαν. ὁ δὲ φλάκκος ἀπέλεξεν αὐτὸν ἐκ τῶν δικαστῶν μετὰ τοὺς λόγους, καὶ οὐδὲν ἧττον ἥλω, καὶ ὅλως ἄπορον ἦν πρᾶγμα καὶ δυσμεταχείριστον ὁ κάτων τοῖς φεύγουσι, μήτε βουλομένοις αὐτὸν ἀπολιπεῖν δικαστὴν, μήτε ἀπολέγειν τολμῶσιν. ἥλωσαν γὰρ οὐκ ὀλίγοι, τὸν κάτωνα φεύγειν δόξαντες, οὐ θαρρεῖν τοῖς δικαίοις. ἐνίους δὲ καὶ προὔφερον οἱ λοιδοροῦντες ὡς ὄνειδος μέγα τὸ μὴ δέξασθαι κριτὴν κάτωνα προτεινομένου. ἐπεὶ δὲ καίσαρος αὐτοῦ μὲν ἐμπεφυκότος τοῖς στρατεύμασιν ἐν γαλατίᾳ. καὶ τῶν ὅπλων ἐχομένου. δώροις δὲ καὶ χρήμασι καὶ φίλοις μάλιστα πρὸς τὴν ἐν τῇ πόλει χρωμένου δύναμιν. ἤδη μὲν αἱ κάτωνος προαγορεύσεις περιέφερον τὸν πομπήϊον ἐκ πολλῆς ἤδη τῆς πρόσθεν ἀπιστίας ὀνειροπολοῦντα τὸ δεινόν. ἐπεὶ δὲ ἦν ὄκνου καὶ μελλήσεως ἀτόλμου πρὸς τὸ κωλύειν καὶ

Sic Lambinus. hunc locum emendandum putat.
Μηδ πείσεσθαι τὸ, οἳ οὐ παρέβαινον, οὔτ' ἠδίκουν νόμον, κατὰ τοῦτον κολαζομένους.

κάτωνα βροντῆς γεγονέναι βοῶντες, τῆς ἀγορᾶς ἐκβάλλοντες, οὐκ ὀλίγους δὲ τρώσαντες, ἐνίων δὲ καὶ πεσόντων, βίᾳ τὸν νόμον ἐκύρωσαν. ὥστε πολλοὺς συστραφέντας ὀργῇ τοὺς πομπηΐου βάλλειν ἀνδριάντας, ἀλλὰ τούτους μὲν ἐπελθὼν ὁ κάτων διεκώλυσε. τῷ δὲ καίσαρι πάλιν νόμου γραφομένου περὶ τῶν ἐπαρχιῶν καὶ τῶν στρατοπέδων, οὐκέτι πρὸς τὸν δῆμον ὁ κάτων. ἀλλὰ πρὸς αὐτὸν τραπόμενος πομπήϊον ἐμαρτύρατο καὶ προύλεγεν, ὡς ἐπὶ τὸν αὑτοῦ τράχηλον ἀναλαμβάνων καίσαρα, νῦν μὲν οὐκ οἶδεν, ὅταν δὲ ἄρχηται βαρύνεσθαι, καὶ κρατεῖσθαι, μήτε ἀποθέσθαι δυνάμενος, μήτε φέρειν ὑπομένων, εἰς τὴν πόλιν ἐμπεσεῖται σὺν αὐτῷ, καὶ μεμνήσεται τότε τῶν κάτωνος παραινέσεων, ὡς οὐδὲν ἧττον ἐν αὐταῖς πομπηΐου συμφέρον ἐνῆν, ἢ τὸ καλὸν καὶ δίκαιον. ταῦτα πολλάκις ἀκούων ὁ πομπήϊος ἠμέλει καὶ παρέπεμπεν ἀπιστίᾳ τῆς καίσαρος μεταβολῆς, διὰ πίστιν εὐτυχίας τῆς αὑτοῦ καὶ δυνάμεως. εἰς δὲ τοὐξῆς ἔτος αἱρεθεὶς ὁ κάτων στρατηγὸς, οὐδὲν ἔδοξε προστιθέναι τῇ ἀρχῇ τοσοῦτον εἰς σεμνότητα καὶ μέγεθος ἄρχων καλῶς, ὅσον ἀφαιρεῖν καὶ καταισχύνειν, ἀνυπόδητος καὶ ἀχίτων πολλάκις ἐπὶ τὸ βῆμα προσερχόμενος, καὶ θανατικὰς δίκας ἐπιφανῶν ἀνδρῶν οὕτω βραβεύων. ἔνιοι δέ φασι, καὶ μετ' ἄριστον οἶνον πεπωκότα χρηματίζειν. ἀλλὰ τοῦτο μὲν οὐκ ἀληθῶς λέγεται. διαφθειρομένου δὲ τοῦ δήμου ταῖς δωροδοκίαις ὑπὸ τῶν φιλαρχούντων καὶ χρωμένων τῷ δεκάζεσθαι καθάπερ ἐργασίᾳ συνήθει τῶν πολλῶν, βουλόμενος ἐκκόψαι παντάπασι τὸ νόσημα τοῦτο τῆς πόλεως, ἔπεισε δόγμα θέσθαι τὴν σύγκλητον, ὅπως οἱ κατασταθέντες ἄρχοντες, εἰ μηδένα κατήγορον ἔχοιεν, αὐτοὶ παριόντες ἐξ ἀνάγκης εἰς ἔνορκον δικαστήριον, εὐθύνας διδῶσιν. ἐπὶ τούτῳ χαλεπῶς μὲν ἔσχον οἱ μετιόντες ἀρχὰς, ἔτι δὲ χαλεπώτερον ὁ μισθαρνῶν ὄχλος. ἕωθεν οὖν ἐπὶ τὸ βῆμα τοῦ κάτωνος προσελθόντες ἀθρόοι προσπεσόντες ἐβόων, ἐβλασφήμουν, ἔβαλλον, ὥστε φεύγειν ἀπὸ τοῦ βήματος ἅπαντας. αὐτὸν δὲ ἐκεῖνον ἐξωσθέντα τῷ πλήθει καὶ παραφερόμενον μόλις ἐπιλαβέσθαι τῶν ἐμβόλων. ἐνταῦθα ἀναστὰς τῷ μὲν ἰταμῷ καὶ θαρροῦντι τῆς ὄψεως εὐθὺς ἐκράτησε τοῦ θορύβου, καὶ τὴν κραυγὴν ἔπαυσεν. εἰπὼν δὲ τὰ πρέποντα, καὶ μεθ' ἡσυχίας ἀκουσθεὶς, παντάπασι διέλυσε τὴν ταραχήν. ἐπαινούσης δὲ τῆς βουλῆς αὐτὸν, ἐγὼ δὲ εἶπεν ὑμᾶς οὐκ ἐπαινῶ, κινδυνεύοντα στρατηγὸν ἐγκαταλιπόντας, καὶ μὴ προσαμύναντας. τῶν δὲ μετιόντων ἀρχὴν ἕκαστος ἀπόρῳ πάθει συνείχετο. φοβούμενος μὲν αὐτὸς δεκάζειν. φοβούμενος δὲ ἑτέρου τοῦτο πράξαντος ἐκπεσεῖν τῆς ἀρχῆς. ἔδοξεν οὖν αὐτοῖς, εἰς ταυτὸ συνελθοῦσι παραβαλέσθαι δραχμὰς ἕκαστον ἀργυρίου δεκαδύο ἥμισυ μυριάδας. εἶτα μετιέναι τὴν ἀρχὴν, πάντας ὀρθῶς καὶ δικαίως. τὸν δὲ παραβάντα καὶ χρησάμενον δεκασμῷ στέρεσθαι τοῦ ἀργυρίου. ταῦτα ὁμολογήσαντες, αἱροῦνται φύλακα καὶ βραβευτὴν καὶ μάρτυρα τὸν κάτωνα. καὶ χρήματα φέροντες, ἐκείνῳ προσετίθεντο, καὶ τὰς συνθήκας ἐγράψαντο πρὸς ἐκεῖνον, ἀντὶ τῶν χρημάτων ἐγγυητὰς λαβόντα, τὰ δὲ χρήματα μὴ δεξάμενον. ὡς δὲ ἧκεν ἡ κυρία τῆς ἀναδείξεως, παραστὰς ὁ κάτων τῷ βραβεύοντι δημάρχῳ καὶ παραφυλάξας τὴν ψῆφον, ἕνα τῶν παραβαλλομένων ἀπέφηνε κακουργοῦντα, καὶ προσέταξεν ἀποδοῦναι τοῖς ἄλλοις τὸ ἀργύριον. ἀλλ' ἐκεῖνοι μὲν ἐπαινέσαντες αὐτοῦ τὴν ὀρθότητα καὶ θαυμάσαντες, ἀνεῖλον τὸ πρόστιμον. ὡς ἱκανὴν δίκην ἔχοντες παρὰ τοῦ ἀδικήσαντος. τοὺς δὲ ἄλλους ἐλύπησεν ὁ κάτων, καὶ φθόνον ἔσχεν ἀπὸ τούτου πλεῖστον, ὡς βουλῆς καὶ δικαστηρίου καὶ ἀρχόντων δύναμιν αὑτῷ περιποιησάμενος. οὐδεμιᾶς γὰρ ἀρετῆς δόξα καὶ πίστις ἐπιφθόνους ποιεῖ μᾶλλον, ἢ τῆς δικαιοσύνης. ὅτι καὶ δύναμις αὐτῇ καὶ πίστις ἕπεται μάλιστα παρὰ τῶν πολλῶν. οὐ γὰρ τιμῶσι μόνον ὡς τοὺς ἀνδρείους. οὐδὲ θαυμάζουσιν ὡς τοὺς φρονίμους. ἀλλὰ καὶ φιλοῦσι τοὺς δικαίους, καὶ θαρροῦσιν αὐτοῖς, καὶ πιστεύουσιν. ἐκείνων δὲ τοὺς μὲν φοβοῦνται. τοῖς δὲ ἀπιστοῦσι πρὸς δὲ τούτοις, ἐκείνους μὲν οἴονται φύσει μᾶλλον ἢ τῷ βούλεσθαι διαφέρειν, ἀνδρείαν, καὶ φρόνησιν. τὴν μὲν ὀξύτητά τινα, τὴν δὲ, εὐρωστίαν ψυχῆς τιθέμενοι. δικαίου δὲ ὑπάρχοντος, εὐθὺς εἶναι τῷ βουλομένῳ, μάλιστα τὴν ἀδικίαν ὡς κακίαν ἀπροφάσιστον αἰσχύνονται. διὸ καὶ τῷ κάτωνι πάντες οἱ μεγάλοι προσεπολέμουν ὡς ἐλεγχόμενοι. πομπήϊος δὲ καὶ κατάλυσιν τῆς ἑαυτοῦ δυνάμεως, τὴν ἐκείνου δόξαν ἡγούμενος, ἀεί τινας προσέβαλλεν, αὐτῷ λοιδορησομένους, ὧν καὶ κλώδιος, ἦν ὁ δημαγωγὸς, αὖθις εἰς πομπήϊον καταρρευεὶς, καὶ καταβοῶν τοῦ κάτωνος, ὡς πολλὰ μὲν ἐκ κύπρου χρήματα νοσφισαμένου, πομπηΐῳ δὲ πολεμοῦντος ἀπαξιώσαντι γάμον αὐτοῦ θυγατρός. ὁ δὲ κάτων ἔλεγεν, ὅτι χρήματα μὲν ἐκ κύπρου τοσαῦτα τῇ πόλει συναγάγοι, μήτε ἵππον ἕνα μήτε στρατιώτην λαβὼν, ὅσα πομπήϊον ἐκ πολέμων τοσούτων καὶ θριάμβων τὴν οἰκουμένην κυκήσας, οὐκ ἀνήνεγκε. κηδεστὴν δὲ μηδέποτε προελέσθαι πομπήϊον, οὐκ ἀνάξιον ἡγούμενος, ἀλλ' ὁρῶν τὴν ἐν τῇ πολιτείᾳ διαφοράν. αὐτὸς μὲν γάρ ἔφη διδομένης μοι μετὰ τὴν στρατηγίαν ἐπαρχίας, ἀπέστην. οὗτος δὲ τὰς μὲν ἔχει λαβών. τὰς δὲ, δίδωσιν ἑτέροις, νυνὶ δὲ καὶ τέλος ἑξακισχιλίων ὁπλιτῶν δύναμιν καίσαρι κέχρηκεν εἰς γαλατίαν. ἃ οὔτ' ἐκεῖνος ᾔτησε παρ' ὑμῶν, οὔτε οὗτος ἔδωκε μεθ' ὑμῶν. ἀλλὰ δυνάμεις τηλικαῦται καὶ ὅπλα καὶ ἵπποι, χάριτές εἰσιν ἰδιωτῶν καὶ ἀντιδόσεις. καλούμενος δὲ αὐτοκράτωρ καὶ στρατηγὸς. ἄλλοις τὰ στρατεύματα καὶ τὰς ἐπαρχίας παραδέδωκεν, αὐτὸς δὲ

δημοτικὸν οἶκον. εἰ δὲ μοχθηρὸς, ὥσπερ ἄλλοι γέγονεν ἄρχων, αὐτὸν εὐθύνειν τὸν ἀδικήσαντα, μὴ λύειν τὴν συναδικηθεῖσαν ἀρχὴν, εἶναι προσῆκον. ἐκ τούτου δι' ὀργῆς ὁ Νικόστρατος ἔχων τὸν Κάτωνα, καὶ φίλῳ χρώμενος ἐπαύσατο χρόνον πολύν. εἶτα μέντοι διηλλάγησαν ἐκ τούτου. Πομπήϊος καὶ Κράσσος, ὑπερβάλλοντι τὰς Ἄλπεις Καίσαρι συγγενόμενοι, γνώμην ἐποιήσαντο κοινῇ δευτέραν ὑπατείαν μετιέναι. καὶ καταστάντες εἰς αὐτὴν, Καίσαρι μὲν τῆς ἀρχῆς, ἄλλον τοσοῦτον ἐπιψηφίζεσθαι χρόνον. αὑτοῖς δὲ, τῶν ἐπαρχιῶν τὰς μεγίστας, καὶ χρήματα καὶ στρατιωτικὰς δυνάμεις, ὅπερ ἦν ἐπὶ νεμήσει τῆς ἡγεμονίας, καὶ καταλύσει τῆς πολιτείας συνωμοσία. πολλῶν δὲ καὶ ἀγαθῶν ἀνδρῶν μετιέναι τὴν ἀρχὴν τότε παρασκευαζομένων, τοὺς μὲν ἄλλους ὀφθέντες ἐν ταῖς παραγγελίαις ἀπέτρεψαν. μόνον δὲ Λεύκιον Δομέτιον Πορκία συνοικοῦντα τῇ ἀδελφῇ Κάτων ἔπεισε μὴ ἐκστῆναι, μηδ' ὑφέσθαι τοῦ ἀγῶνος, οὐ περὶ ἀρχῆς ὄντος, ἀλλὰ περὶ τῆς Ῥωμαίων ἐλευθερίας. καὶ μέντοι καὶ λόγος ἐχώρει, διὰ τοῦ σωφρονοῦντος ἔτι τῆς πόλεως μέρους, ὡς οὐ περιοπτέον εἰς ταὐτὸ τῆς Κράσσου, καὶ Πομπηΐου δυνάμεως συνελθούσης, παντάπασιν ὑπέρογκον, καὶ βαρεῖαν τὴν ἀρχὴν γενομένην. ἀλλ' ἀφαιρετέον αὐτῆς, τὸν ἕτερον. καὶ συνίσταντο πρὸς τὸν Δομέτιον, παρορμῶντες καὶ παραθαρρύνοντες, ἀντιλαμβάνεσθαι. πολλοὺς γὰρ αὐτῷ καὶ τῶν σιωπώντων διὰ δέος, ἐν ταῖς ψήφοις ὑπάρξειν. τοῦτο δὴ δείσαντες οἱ περὶ Πομπήϊον ὑφεῖσαν ἄνδρας τῷ Δομετίῳ καταβαίνοντι ὄρθριον ὑπὸ λαμπάδων εἰς τὸ πεδίον. καὶ πρῶτος μὲν, ὁ προφαίνων ἐπιστὰς τῷ Δομετίῳ πληγεὶς καὶ πεσὼν, ἀπέθανε. μετὰ δὲ τοῦτον ἤδη καὶ τῶν ἄλλων συντιτρωσκομένων, ἐγίνετο φυγὴ, πλὴν Κάτωνος καὶ Δομετίου. κατεῖχε γὰρ
αὐτὸς τ. ς. η. αὐτὸν ὁ Κάτων, καίπερ αὐτὸν εἰς τὸν βραχίονα τετρωμένος καὶ παρεκελεύετο μένειν, καὶ μὴ προλιπεῖν ἕως ἐμπνέωσι, τὸν ὑπὲρ τῆς ἐλευθερίας ἀγῶνα πρὸς τοὺς τυράννους. οἵ τινα τρόπον χρήσονται τῇ ἀρχῇ, δηλοῦσι διὰ τηλικούτων ἀδικημάτων ἐπ' αὐτὴν βαδίζοντες. οὐχ ὑποστάντος δὲ τοῦ Δομετίου τὸ δεινὸν, ἀλλ' εἰς τὴν οἰκίαν καταφυγόντος, ᾑρέθησαν μὲν ὕπατοι, Πομπήϊος καὶ Κράσσος. οὐκ ἀπέκαμεν δὲ ὁ Κάτων, ἀλλ' αὐτὸς προελθὼν, στρατηγίαν μετῄει, βουλόμενος ὁρμητήριον ἔχειν τῶν πρὸς ἐκείνους ἀγώνων. καὶ πρὸς ἄρχοντας ἀντικαθίστασθαι, μὴ ἰδιώτης. οἱ δὲ καὶ τοῦτο δείσαντες ὡς τῆς στρατηγίας ἀξιομάχου διὰ Κάτωνα πρὸς τὴν ὑπατείαν γενησομένης, πρῶτον μὲν ἐξαίφνης καὶ τῶν πολλῶν ἀγνοούντων, βουλὴν συναγαγόντες, ἐψηφίσαντο τοὺς αἱρεθέντας στρατηγοὺς, εὐθὺς ἄρχειν, καὶ μὴ διαλιπόντας τὸν νόμιμον χρόνον, ἐν ᾧ καὶ τοῖς δικάσασι τὸν δῆμον ἦσαν, ἔπειτα διὰ τοῦ ψηφίσματος τὸ διδόναι δίκας, ἀνυπευθύνους κατασκευάσαντες, ὑπηρέτας αὐτῶν καὶ φίλους ἐπὶ τὴν στρατηγίαν
προσῆγον προσῆγον. αὐτοὶ μὲν διδόντες ἀργύριον. αὐτοὶ δὲ ταῖς ψήφοις φερομέναις ἐφεστῶτες. ὡς δὲ καὶ τούτων ἡ Κάτωνος ἀρετὴ καὶ δόξα περιῆν ὑπ' αἰδοῦς τῶν πολλῶν ἐν δεινῷ πολλῷ τιθεμένων ἀποδόσθαι Κάτωνα ταῖς ψήφοις, ὃν καλῶς εἶχε πρίασθαι τῇ πόλει στρατηγόν. ἥ τε πρώτη κληθεῖσα τῶν φυλῶν ἐκεῖνον ἀπέδειξεν, ἐξαίφνης ὁ Πομπήϊος βροντῆς ἀκηκοέναι ψευσάμενος, αἴσχιστα ἔλυσε τὴν ἐκκλησίαν εἰθισμένων ἀφοσιοῦσθαι τὰ τοιαῦτα, καὶ μηδὲν ἐπικυροῦν, διοσημείας γενομένης. αὖθις δὲ πολλῷ χρησάμενοι τῷ δεκασμῷ. τοὺς βελτίστους ὤσαντες ἐκ τοῦ πεδίου. βίᾳ διεπράξαντο Βατίνιον ἀντὶ Κάτωνος αἱρεθῆναι στρατηγόν. Ἔνθα δὴ λέγεται τοὺς μὲν οὕτω παρανόμως καὶ ἀδίκως θεμένους τὴν ψῆφον, εὐθὺς ὥσπερ ἀποδράντας οἴχεσθαι. τοῖς δὲ ἄλλοις συνισταμένοις καὶ ἀγανακτοῦσι, δημάρχου τινὸς αὐτόθι παρασχόντος ἐκκλησίαν, καὶ καταστάντα τὸν Κάτωνα, ἅπαντα μὲν, ὥσπερ ἐκ θεῶν ἐπίπνουν, τὰ μέλλοντα τῇ πόλει προειπεῖν. παρορμῆσαι δὲ τοὺς πολίτας, ἐπὶ Πομπήϊον καὶ Κράσσον, ὡς τοιαῦτα συνειδότας αὑτοῖς, καὶ τοιαύτης ἁπτομένους πολιτείας, δι' ἣν ἔδεισαν Κάτωνα, μὴ στρατηγὸς αὐτῶν περιγένηται. τέλος δὲ ἀπιόντα εἰς τὴν οἰκίαν, προύπεμψε πλῆθος τοσοῦτον, ὅσον οὐδὲ σύμπαντας ἅμα τοὺς ἀποδεδειγμένους στρατηγούς. Γαΐου δὲ Τρεβωνίου γράψαντος νόμον, ὑπὲρ νομῆς ἐπαρχιῶν τοῖς ὑπάτοις· ὥστε τὸν μὲν, Ἰβηρίαν ἔχοντα καὶ Λιβύην ὑπ' αὐτῷ, τὸν δὲ, Συρίαν καὶ Αἴγυπτον, οἷς βούλοιντο πολεμεῖν καὶ καταστρέφεσθαι, ναυτικαῖς καὶ πεζικαῖς δυνάμεσιν ἐπιόντας, οἱ μὲν ἄλλοι, τὴν ἀντίπραξιν καὶ κώλυσιν ἀπεγνωκότες, ἐξέλιπον καὶ τὸ ἀντειπεῖν. Κάτωνι δὲ ἀναβάντι, πρὸ τῆς ψηφοφορίας ἐπὶ τὸ βῆμα, καὶ βουλομένῳ λέγειν, μόλις ὡρῶν δυοῖν λόγον ἔδωκαν. ὡς δὲ πολλὰ λέγων καὶ διδάσκων, καὶ προθεσπίζων κατανάλωσε τὸν χρόνον. οὐκέτι λέγειν αὐτὸν εἴων, ἀλλ' ἐπιμένοντα κατέσπασεν ὑπηρέτης προσελθών. ὡς δὲ καὶ κάτωθεν ἱστάμενος ἐβόα καὶ τοὺς ἀκούοντας καὶ συναγανακτοῦντας εἶχε, πάλιν ὁ ὑπηρέτης ἐπιλαβόμενος καὶ ἀγαγὼν αὐτὸν, ἔξω τῆς ἀγορᾶς κατέστησε. καὶ οὐκ ἔφθη πρῶτον ἀφεθεὶς. καὶ πάλιν ἀναστρέψας ἵετο πρὸς τὸ βῆμα, μετὰ κραυγῆς, ἐγκελευόμενος τοῖς πολίταις ἀμύνειν. πολλάκις δὲ τούτου γενομένου, περιπαθὼν ὁ Τρεβώνιος ἐκέλευσεν αὐτὸν εἰς τὸ δεσμωτήριον ἄγεσθαι καὶ πλῆθος ἐπηκολούθει λέγοντος ἅμα τὴν τῷ βαδίζειν ἀκροώμενον. ὥστε δείσαντα τὸν Τρεβώνιον ἀφεῖναι. κἀκείνην μὲν οὕτω τὴν ἡμέραν ὁ Κάτων κατηνάλωσε. ταῖς δ' ἐφεξῆς. οὓς μὲν δεδιξάμενοι τῶν πολιτῶν, οὓς δὲ συσκευασάμενοι χάρισι καὶ δωροδοκίαις. ἕνα δὲ τῶν δημάρχων Ἀκύλλιον ὅπλοις εἴρξαντες ἐκ τοῦ βουλευτηρίου προελθεῖν. αὐτὸν δὲ τὸν

τῶν Μουνάτιον εἰς ὀργὴν ὀλίγου δεῖν, ἀνήκεστον γενομένην ἐνέβαλεν. ὥς τε καὶ Καίσαρι γράφοντι λό/
γον κατὰ τοῦ Κάτωνος, πικρότατον ἔχειν τὸ μέρος τῆς κατηγορίας διατριβὴν παρασχεῖν.
ὁ μέντοι Μουνάτιος, οὐκ ἀπιστίᾳ τοῦ Κάτωνος, ἀλλ' ἐκείνου μὲν ὀλιγωρίᾳ πρὸς αὐτόν, αὐτοῦ δέ τινι ζη/
λοτυπίᾳ πρὸς τὸν Κανίδιον, ἱστορεῖ γενέσθαι τὴν ὀργήν. καὶ γὰρ αὐτὸς σύγγραμμα περὶ Κάτωνος ἐ/
ξέδωκεν, ᾧ μάλιστα Θρασέας ἐπηκολούθησεν. λέγει δέ, ὕστερος μὲν εἰς Κύπρον ἀφικέσθαι. καὶ λαβεῖν
παρημελημένην ξενίαν. ἐλθὼν δὲ ἐπὶ θύρας, ἀπωσθῆναι, σκευωρουμένου τι τοῦ Κάτωνος οἴκοι, σὺν
τῷ Κανιδίῳ. μεμψάμενος δὲ μετρίως, οὐ μετρίας τυχεῖν ἀποκρίσεως. ὅτι κινδυνεύει τὸ λίαν φιλεῖν,
ὥς φησι Θεόφραστος, αἴτιον τοῦ μισεῖν γίνεσθαι πολλάκις. ἐπεὶ καὶ σύ, φάναι, τῷ μάλιστα φιλεῖν ἧττον
οἰόμενος, ἢ προσήκει τιμᾶσθαι χαλεπαίνεις. Κανιδίῳ δὲ καὶ δι' ἐμπειρίαν χρῶμαι, καὶ διὰ πίστιν ἑτέ/
ρων μᾶλλον, ἐξ ἀρχῆς μὲν ἀφιγμένῳ, καθαρῷ δὲ φαινομένῳ. ταῦτα μέντοι μόνον, αὐτῷ μόνῳ δια-
λεχθέντα τὸν Κάτωνα, πρὸς τὸν Κανίδιον ἐξενεγκεῖν. αἰσθόμενος οὖν αὐτός, οὔτε ἐπὶ δεῖπνον ἔτι φοι
τᾶν, οὔτε σύμβουλος ὑπακούειν καλούμενος. ἀπειλοῦντος δὲ τοῦ Κάτωνος, ὥσπερ εἰώθασιν τῶν ἀπει/
θούντων ἐνέχυρα λήψεσθαι, μηδὲν φροντίσας, ἐκπλεῦσαι καὶ πολὺν χρόνον ἐν ὀργῇ διατελεῖν. εἶτα
τῆς Μαρκίας, ἔτι γὰρ συνῴκει τῷ Κάτωνι διαλεχθείσης, τυχεῖν μὲν ὑπὸ Βάρκα κεκλημένους ἐπὶ
δεῖπνον. εἰσελθόντα δὲ ὕστερον τὸν Κάτωνα τῶν ἄλλων κατακειμένων, ἐρωτᾶν ὅπου κατακλιθείη. τοῦ δὲ
Βάρκα κελεύσαντος, ὅπου βούλεται. περιβλεψάμενον, εἰπεῖν. ὅτι παρὰ Μουνάτιον. καὶ περιελθόν πεὶ. τ.
τα πλησίον αὐτοῦ κατακλιθῆναι. πλέον δέ, μηδὲν φιλοφρονήσασθαι παρὰ τὸ δεῖπνον. ἀλλὰ πά/
λιν τῆς Μαρκίας δεομένης. τὸν μὲν Κάτωνα, γράψαι πρὸς αὐτόν, ὡς ἐντυχεῖν τι βουλόμενον. αὐτὸν
δὲ ἥκειν ἕωθεν εἰς τὴν οἰκίαν. καὶ ὑπὸ τῆς Μαρκίας κατασχεθῆναι, μέχρι πάντες ἀπηλλάγησαν. οὕ/
τω δὲ εἰσελθόντα τὸν Κάτωνα, καὶ περιβαλόντα τὰς χεῖρας ἀμφοτέρας, ἀσπάσασθαι, καὶ φιλο/
φρονεῖσθαι. ταῦτα μὲν οὖν, οὐχ ἧττον οἰόμενοι τῶν ὑπαίθρων, καὶ μεγάλων πράξεων, πρὸς ἔνδειξιν
ἤθους, καὶ κατανόησιν, ἔχειν τινὰ σαφήνειαν, ἐπὶ πλέον διήλθομεν. τῷ δὲ Κάτωνι συνήχθη μὲν ἀρ/
γυρίου τάλαντα μικρὸν ἑπτακισχιλίων ἀποδέοντα. δεδιὼς δὲ τοῦ πλοῦ τὸ μῆκος, ἀγγεῖα πολλὰ κατα
σκευάσας ὧν ἕκαστον ἐχώρει δύο τάλαντα, καὶ δραχμὰς πεντακοσίας, καλῴδιον ἑκάστῳ μακρὸν προσ/
ήρτησεν, οὗ τῇ ἀρχῇ προσείχετο φελλὸς εὐμεγέθης. ὅπως εἰ ῥαγείη τὸ πλοῖον, ἔχων διὰ βυθοῦ τὸ
ἄρτημα, σημαίνοι τὸν τόπον. τὰ μὲν οὖν χρήματα, πλὴν ὀλίγων τινῶν, ἀσφαλῶς διεκομίσθη. λό/
γους δὲ πάντων, ὧν διῴκησε, γεγραμμένους ἐπιμελῶς ἔχων ἐν δυσὶ βιβλίοις, οὐδέτερον ἔσωσεν.
ἀλλὰ τὸ μὲν ἀπελεύθερος αὐτοῦ κομίζων ὄνομα Φιλάργυρος, ἐκ Κεγχρεῶν ἀναχθείς, ἀνετράπη καὶ συ
ναπώλεσε τοῖς φορτίοις. τὸ δέ, αὐτὸς ἄχρι Κερκύρας φυλάξας, ἐν ἀγορᾷ κατεσκήνωσεν. τῶν δέ, ναυ
τῶν διὰ τὸ ῥιγοῦν πυρὰ πολλὰ καιόντων τῆς νυκτός, ἥφθησαν αἱ σκηναί, καὶ τὸ βιβλίον ἠφανίσθη. τοὺς
μὲν οὖν ἐχθροὺς καὶ συκοφάντας ἐπιστομεῖν ἤμελλον οἱ βασιλικοὶ διοικηταὶ παρόντες. ἄλλως τε. τῷ δὲ. κ.
Κάτωνι τὸ πρᾶγμα, δηγμὸν ἐνήνοχεν. οὐ γὰρ εἰς πίστιν ὑπὲρ αὐτοῦ τοὺς λόγους, ἀλλὰ παράδειγμα
τοῖς ἄλλοις ἀκριβείας ἐξενεγκεῖν φιλοτιμούμενος, ἐνεμεσήθη. περαιωθεὶς δὲ ταῖς ναυσίν, οὐκ ἔλα/
θε τοὺς Ῥωμαίους. ἀλλὰ πάντες μὲν ἄρχοντες καὶ ἱερεῖς. πᾶσα δὲ ἡ βουλή, πολὺ δὲ τοῦ δήμου μέ/
ρος, ἀπαντῶν πρὸς τὸν ποταμόν. ὥστε τὰς ὄχθας ἀμφοτέρας ἀποκεκρύφθαι, καὶ θριάμβου μηδέν,
ὄψει καὶ φιλοτιμίᾳ λείπεσθαι τὸν ἀνάπλουν αὐτοῦ καί τοι ἐνίοις ἔχειν ἐφαίνετο καὶ αὔθαδες. ὅτι τῶν λ σκαιόν. τ. κ. ς. κ.
ὑπάτων καὶ τῶν στρατηγῶν παρόντων, οὔτε ἀπέβη πρὸς αὐτούς, οὔτε ἐπέσχε τὸν πλοῦν. ἀλλὰ ῥοθίῳ
τὴν ὄχθην παρεξελαύνων ἐπὶ νεὼς ἑξήρους βασιλικῆς, οὐκ ἀνῆκε πρότερον, ἢ καθορμίσαι τὸν
στόλον εἰς τὸ νεώριον. οὐ μὴν ἀλλὰ τῶν χρημάτων παρακομιζομένων δι' ἀγορᾶς, ὅ τε δῆμος ἐθαύμαζε τὸ
πλῆθος. ἥ τε βουλὴ συναχθεῖσα μετὰ τῶν πρεπόντων ἐπαίνων, ἐψηφίσατο τῷ Κάτωνι στρατηγίαν
ἐξαίρετον δοθῆναι. καὶ τὰς θέας αὐτὸν ἐν ἐσθῆτι περιπορφύρῳ θεάσασθαι. Ταῦτα μὲν οὖν
ὁ Κάτων παρῃτήσατο, Νικίαν δὲ τὸν οἰκονόμον τῶν βασιλικῶν, ἐλεύθερον ἔπεισε τὴν βουλὴν ἀφεῖναι,
μαρτυρήσας ἐπιμέλειαν καὶ πίστιν. ὑπάτευε δὲ Φίλιππος, ὁ πατὴρ τῆς Μαρκίας. καὶ τρόπον τινὰ τὸ
ἀξίωμα τῆς ἀρχῆς καὶ ἡ δύναμις, εἰς Κάτωνα περιῆλθεν. οὐκ ἐλάττονα τοῦ συνάρχοντος δι' ἀρετήν,
ἢ δι' οἰκειότητα τοῦ Φιλίππου, τῷ Κάτωνι τιμὴν προστιθέντος. Ἐπεὶ δὲ Κικέρων ἐκ τῆς φυγῆς
ἣν ἔφυγεν ὑπὸ Κλωδίου κατελθών. καὶ δυνάμενος μέγα. τὰς δημαρχικὰς δέλτους, ἃς ὁ Κλώδιος
ἔθηκεν ἀναγράψας εἰς τὸ Καπιτώλιον, ἀπέσπασε βίᾳ, καὶ καθεῖλε τοῦ Κλωδίου μὴ παρόντος. ἐπὶ
τούτοις δὲ βουλῆς ἀθροισθείσης, καὶ τοῦ Κλωδίου κατηγοροῦντος, ἔλεγε παρανόμως τῷ Κλωδίῳ τῆς
δημαρχίας γενομένης, ἀτελῆ καὶ ἄκυρα δεῖν εἶναι, τά τε πραχθέντα, καὶ γραφέντα, προσέ/
κρουσεν ὁ Κάτων αὐτῷ λέγοντι. καὶ τέλος ἀναστὰς ἔφη. τῆς μὲν Κλωδίου πολιτείας μηδὲν ὑγιὲς μὴ δὲ
χρηστὸν ὅλως νομίζειν. εἰ δὲ ἀναιρεῖ τις ὅσα δημαρχῶν ἔπραξεν, ἀναιρεῖσθαι πᾶσαν αὐτοῦ τὴν περὶ Κύ/
προν πραγματείαν. καὶ μὴ γεγονέναι τὴν ἀποστολὴν νόμιμον, ἄρχοντος παρανόμου ψηφισαμένου.
". παρανόμως μὲν οὖν δήμαρχον αἱρεθῆναι τὸν Κλώδιον, ἐκ πατρικίων μεταστάντα νόμου διδόντος εἰς ἀναιρεθῆναι κ. τ. ς.

παραινοῦντα, παύσασθαι τοιαῦτα πολιτευομένους. ἐπηκολούθει δὲ ἡ βουλὴ μετὰ κατηφείας, καὶ τοῦ δήμου τὸ βέλτιστον ἀγανακτοῦν σιωπῇ καὶ ἀχθόμενον. ὥστε τὸν Καίσαρα μὴ λανθάνειν βαρέως φέροντας, ἀλλὰ φιλονεικοῦντι καὶ περιμένοντι ὑπὸ τοῦ Κάτωνος ἐπίκλησιν γενέσθαι καὶ δέησιν προάγειν. ἐπεὶ δὲ ἐκεῖνος ἦν δῆλος, οὐδὲ μελλήσων τι ποιεῖν, ἡττηθεὶς ὑπὸ αἰσχύνης καὶ ἀδοξίας ὁ Καῖσαρ. αὐτός τινα τῶν δημάρχων ὑφῆκεν, πείσας ἐξελέσθαι τὸν Κάτωνα.

Τοῖς μέντοι νόμοις ἐκείνοις καὶ ταῖς χάρισι τιθασεύσαντες τὸν ὄχλον, ἐψηφίσαντο Καίσαρι μὲν Ἰλλυριῶν καὶ Γαλατίας ἄρχειν ἁπάσης, καὶ τέσσαρα τάγματα στρατιᾶς, εἰς πενταετίαν. προλέγοντος Κάτωνος, εἰς ἀκρόπολιν τὸν τύραννον, αὐτοὶ ταῖς ἑαυτῶν ψήφοις ἱδρύουσιν. Πόπλιον δὲ Κλώδιον ἐκ πατρικίων, εἰς δημοτικοὺς παρανόμως μεταστήσαντες, ἀπέδειξαν δήμαρχον. ἐπὶ μισθῷ τῇ Κικέρωνος ἐξελάσει, πάντα πρὸς χάριν ἐκείνοις πολιτευόμενον.

Ὑπάτους δὲ Πείσωνά τε καὶ Καλπούρνιον, ὃς ἦν πατὴρ τῆς Καίσαρος γυναικός, καὶ Γαβίνιον Παῦλον, ἐκ τῶν Πομπηΐου κόλπων ἄνθρωπον ὥς φασιν οἱ τὸν τρόπον αὐτοῦ καὶ τὸν βίον εἰδότες. ἀλλὰ καίπερ οὕτως τὰ πράγματα κατειληφότες ἐγκρατῶς, καὶ τὸ μὲν, χάριτι τῆς πόλεως, τὸ δὲ, φόβῳ μέρος ὑφ' ἑαυτοῖς ἔχοντες, ὅμως ἐφοβοῦντο τὸν Κάτωνα. καὶ γὰρ ἐν οἷς περιῆσαν αὐτοῦ, τὸ χαλεπῶς καὶ μετὰ πόνων, καὶ μὴ χωρὶς αἰσχύνης, ἀλλ' ἐλεγχομένους βιάζεσθαι μόλις, ἀνιαρὸν ἦν καὶ πρόσαντες.

Ὁ δὲ Κλώδιος, οὐδὲ Κικέρωνα καταλύσειν ἤλπιζεν Κάτωνος παρόντος. ἀλλὰ τοῦτο διαμηχανώμενος πρῶτον ὡς εἰς ἀρχὴν κατέστη, μετεπέμψατο Κάτωνα, καὶ λόγους αὐτῷ προσήνεγκεν, ὡς πάντων ἐκεῖνον ἡγούμενος, ἄνδρα Ῥωμαίων καθαρώτατον, ἔργῳ διδόναι πίστιν ἕτοιμός ἐστιν. πολλῶν γὰρ αἰτουμένων τὴν ἐπὶ Κύπρον ἀρχὴν, καὶ δεομένων ἀποσταλῆναι, μόνον ἄξιον ἐκεῖνον ἡγεῖσθαι, καὶ διδόναι τὴν χάριν ἡδέως. ἀνακραγόντος δὲ τοῦ Κάτωνος, ὡς ἐνέδρα τὸ πρᾶγμα, καὶ προπηλακισμὸς, οὐ χάρις ἐστίν. ὑπερηφάνως ὁ Κλώδιος, καὶ ὀλιγώρως, οὐκοῦν εἶπεν, εἰ μὴ χάριν ἔχεις, ἀνιώμενος πλεύσῃ. καὶ προσελθὼν εὐθὺς εἰς τὸν δῆμον, ἐκύρωσεν νόμῳ τὴν ἔκπεμψιν τοῦ Κάτωνος. ἐξιόντι δὲ, οὐ ναῦν, οὐ στρατιώτην. οὐχ ὑπηρέτην ἔδωκεν. πλὴν ἢ δύο γραμματεῖς μόνον. ὧν ὁ μὲν, κλέπτης καὶ παμπόνηρος. ἅτερος δὲ, Κλωδίου πελάτης. ὡς δὲ μικρὸν ἔργον αὐτῷ, Κύπρον καὶ Πτολεμαῖον ἀναθεὶς, ἔτι καὶ Βυζαντίων φυγάδας κατάγειν προσέταξεν, βουλόμενος ὅτι πλεῖστον χρόνον ἐκποδὼν, ἄρχοντος αὐτοῦ γενέσθαι τὸν Κάτωνα.

Τοιαύτῃ δὲ καταληφθεὶς ἀνάγκῃ, Κικέρωνι μὲν ἐλαυνομένῳ, παρῄνεσεν μὴ στασιάσαι, μηδὲ εἰς ὅπλα καὶ φόνους τὴν πόλιν ἐμβαλεῖν. ἀλλ' ὑπεκστάντα τῷ καιρῷ, πάλιν γενέσθαι σωτῆρα τῆς πατρίδος. Κανίδιον δέ τινα τῶν φίλων, προπέμψας εἰς Κύπρον, ἔπειθε τὸν Πτολεμαῖον, ἄνευ μάχης εἴκειν. ὡς οὔτε χρημάτων, οὔτε τιμῆς ἐνδεᾶ βιωσόμενον. ἱερωσύνην γὰρ αὐτῷ τῆς ἐν Πάφῳ θεοῦ, δώσειν τὸν δῆμον. αὐτὸς δὲ διέτριβεν ἐν Ῥόδῳ, παρασκευαζόμενος ἅμα καὶ τὰς ἀποκρίσεις ἀναμένων. ἐν δὲ τούτῳ Πτολεμαῖος ὁ Αἰγύπτου βασιλεὺς ὑπ' ὀργῆς τινος καὶ διαφορᾶς πρὸς τοὺς πολίτας, ἀπολελοιπὼς μὲν Ἀλεξάνδρειαν, εἰς δὲ Ῥώμην πλέων, ὡς Πομπηΐου καὶ Καίσαρος, αὖθις αὐτὸν μετὰ δυνάμεως καταξόντων, ἐντυχεῖν τῷ Κάτωνι βουληθεὶς, προσέπεμψεν ἐλπίζων ἐκεῖνον ὡς αὐτὸν ἥξειν. ὁ δὲ Κάτων ἐτύγχανε μὲν, ὢν τότε περὶ κοιλίας κάθαρσιν. ἥκειν δὲ τὸν Πτολεμαῖον, εἰ βούλοιτο κελεύσας πρὸς αὐτόν. ὡς δὲ ἦλθεν οὔτε ἀπαντήσας, οὔτε ὑπεξαναστάς. ἀλλ' ὡς ἕνα τῶν ἐπιτυχόντων ἀσπασάμενος, καὶ καθίσαι κελεύσας. πρῶτον, αὐτὸν τοῦτο διετάραξε, θαυμάζοντα πρὸς τὸ δημοτικὸν, καὶ λιτὸν αὐτοῦ τῆς κατασκευῆς, τὴν ὑπεροψίαν καὶ βαρύτητα τοῦ ἤθους. ἐπεὶ δὲ καὶ διαλέγεσθαι περὶ τῶν καθ' αὑτὸν ἀρξάμενος ἠκροάσατο λόγων, νοῦν πολὺν ἐχόντων, καὶ παρρησίαν, ἐπιτιμῶντος αὐτῷ τοῦ Κάτωνος καὶ διδάσκοντος, ὅσην εὐδαιμονίαν ἀπολιπὼν, ὅσαις ἑαυτὸν ὑποτίθησι λατρείαις, καὶ πόνοις καὶ δωροδοκίαις, καὶ πλεονεξίαις, τῶν ἐν Ῥώμῃ δυναστῶν, οὓς μόλις ἐξαργυρισθεῖσαν ἐμπλήσειν Αἴγυπτον. συμβουλεύοντος δὲ πλεῖν, ὀπίσω καὶ διαλλάττεσθαι τοῖς πολίταις. αὐτοῦ δὲ καὶ συμπλεῖν, καὶ συνδιαλλάττειν ἑτοίμως ἔχοντος. οἷον ἐκ μανίας τινὸς ἢ παρακοπῆς, ὑπὸ τῶν λόγων ἔμφρων καθιστάμενος, καὶ κατανοῶν τὴν ἀλήθειαν, καὶ τὴν σύνεσιν τοῦ ἀνδρὸς, ὥρμησε μὲν, χρῆσθαι τοῖς ἐκείνου λογισμοῖς. ἀνατραπεὶς δὲ ὑπὸ τῶν φίλων αὖθις, ἅμα τῷ πρῶτον ἐν Ῥώμῃ γενέσθαι, καὶ θύραις ἑνὸς ἄρχοντος προσελθεῖν, ἔστενε τὴν αὑτοῦ κακοβουλίαν. ὡς οὐκ ἀνδρὸς ἀγαθοῦ λόγον, θεοῦ δὲ μαντείας καταφρονήσας. ὁ δ' ἐν Κύπρῳ Πτολεμαῖος, εὐτυχίᾳ τινὶ τοῦ Κάτωνος, ἑαυτὸν φαρμάκοις ἀπέκτεινε. πολλῶν δὲ χρημάτων ἀπολελεῖφθαι λεγομένων. αὐτὸς μὲν, ἔγνω πλεῖν εἰς Βυζαντίους. πρὸς δὲ τὴν Κύπρον, ἐξέπεμψε τὸν ἀδελφιδοῦν Βροῦτον. οὐ πάνυ τι πιστεύων τῷ Κανιδίῳ. τοὺς δὲ φυγάδας διαλλάξας, καὶ καταλιπὼν ἐν ὁμονοίᾳ τὸ Βυζάντιον, οὕτως εἰς Κύπρον ἔπλευσεν.

Οὔσης δὲ πολλῆς καὶ βασιλικῆς ἐν ἐκπώμασι καὶ τραπέζαις καὶ λίθοις, καὶ πορφύραις κατασκευῆς. ἣν ἔδει πραθεῖσαν ἐξαργυρισθῆναι, πάντα βουλόμενος ἐξακριβοῦν, καὶ πάντα κατατείνειν, εἰς ἄκραν τιμήν. καὶ πᾶσιν αὐτὸς παρεῖναι, καὶ προσάγειν τὸν ἔσχατον ἐκλογισμόν. οὐδὲ τοῖς ἔθεσι τῆς ἀγορᾶς ἐπίστευεν. ἀλλὰ ὑπονοῶν ὁμοῦ πάντας, ὑπηρέτας. κήρυκας. ὠνητάς. φίλους. τέλος αὐτὸς ἰδίᾳ τοῖς ὠνουμένοις διαλεγόμενος καὶ προσβιβάζων ἕκαστον, οὕτω τὰ πλεῖστα τῶν ἀγορασμάτων ἐπώλει. διὸ τοῖς τε ἄλλοις φίλοις ὡς ἀπιστῶν προσέκρουσε. καὶ τὸν συνηθέστατον ἁπάντων Μουνάτιον,

βουλευσάμενος, ἀλλὰ πληγεὶς, εὐθὺς εἶπε. βάδιζε μουνάτιε βάδιζε, καὶ λέγε πρὸς πομπήιον, ὡς κάτων οὐκ ἔστι διὰ τῆς γυναικωνίτιδος ἁλώσιμος, ἀλλὰ τὴν μὲν εὔνοιαν ἀγαπᾷ, καὶ τὰ δίκαια ποιοῦντι φιλίαν παρέξει, πάσης πιστοτέραν οἰκειότητος. ὅμηρα δὲ οὐ προήσεται τῇ πομπηίου δόξῃ κατὰ τῆς πατρίδος. ἐπὶ τούτοις, ἤχθοντο μὲν αἱ γυναῖκες, ᾐτιῶντο δὲ οἱ φίλοι τοῦ κάτωνος, ὡς ἄγροικον ἅμα καὶ ὑπερήφανον τὴν ἀπόκρισιν. εἶτα μέντοι, πράττων τινὶ τῶν φίλων ὑπατείαν ὁ πομπήιος ἀργύριον εἰς τὰς φυλὰς ἔπεμπε, καὶ περιβόητος ὁ δεκασμὸς ἦν, ἐν κήποις ἐκείνου, τῶν χρημάτων ἀριθμουμένων. εἰπόντος οὖν τοῦ κάτωνος πρὸς τὰς γυναῖκας ὅτι τοιούτων ἦν κοινωνεῖν, καὶ ἀναπίμπλασθαι πραγμάτων ἀνάγκη, πομπηίῳ συναφθέντα δι' οἰκειότητος. ὡμολόγουν ἐκεῖναι κάλλιον αὐτὸν βεβουλεῦσθαι διακρουσάμενον. εἰ δὲ δεῖ πρὸς τὰ συμβάντα κρίνειν, τοῦ παντὸς ἔοικεν ὁ κάτων ἁμαρτεῖν τὴν οἰκειότητα μὴ δεξάμενος, ἀλλ' ἐάσας πρὸς καίσαρα τραπέσθαι, καὶ γῆμαι γάμον. ὃς τὴν πομπηίου δύναμιν, καὶ καίσαρος εἰς ταυτὸ συνενεγκὼν, ὀλίγου τὰ μὲν ῥωμαίων ἀνέτρεψε πράγματα, τὴν δὲ πολιτείαν ἀνεῖλεν. ὧν οὐδὲν ἂν ἴσως συνέπεσεν, εἰ μὴ κάτων τὰ μικρὰ τοῦ πομπηίου φοβηθεὶς ἁμαρτήματα, τῶν μεγίστων περιεῖδεν αὐτὸν, ἑτέρῳ δύναμιν προσγενόμενον. ταῦτα μὲν οὖν ἔμελλεν ἔτι. λευκόλλῳ δὲ περὶ τῶν ἐν πόντῳ διατάξεων στασιάσαντος πρὸς πομπήιον. ἠξίουν γὰρ ἰσχύειν ἑκάτεροι τὰ ὑφ' αὑτοῦ γενόμενα. καὶ λευκόλλῳ κάτωνος ἀδικουμένῳ περιφανῶς προσαμύνοντος, ἐλαττούμενος ὁ πομπήιος ἐν συγκλήτῳ, καὶ δημαγωγῶν ἐπὶ νομὴν χώρας ἐκάλει τὸ στρατιωτικόν. ὡς δὲ κἀνταῦθα κάτων ἐνιστάμενος ἐξέκρουσε τὸν νόμον, οὕτω κλωδίου τε περιείχετο τότε θρασυτάτου τῶν δημαγωγῶν. καὶ καίσαρα προσῳκειοῦτο τρόπον τινὰ, κάτωνος αὐτοῦ παρασχόντος ἀρχήν.

Ὁ γὰρ καῖσαρ ἀπὸ τῆς ἐν ἰβηρίᾳ στρατηγίας ἐπανήκων, ἅμα μὲν ὑπατείαν ἐβούλετο παραγγέλλειν, ἅμα δὲ ᾔτει θρίαμβον. ἐπεὶ δὲ κατὰ νόμον ἔδει, τοὺς μὲν ἀρχὴν μετιόντας παρεῖναι, τοὺς δὲ μέλλοντας εἰσελαύνειν θρίαμβον, ἔξω τείχους ὑπομένειν, ἠξίου παρὰ τῆς βουλῆς αὐτῷ δοθῆναι, δι' ἑτέρων αἰτεῖσθαι τὴν ἀρχήν. βουλομένων δὲ πολλῶν ἀντέλεγεν ὁ κάτων. ὡς δὲ ᾔσθετο χαριζομένους τῷ καίσαρι, λέγων ὅλην κατανάλωσε τὴν ἡμέραν, καὶ τὴν βουλὴν οὕτως ἐξέκρουσε. χαίρειν οὖν ἐάσας τὸν θρίαμβον ὁ καῖσαρ εἰσελθὼν εὐθὺς εἴχετο πομπηίου, καὶ τῆς ὑπατείας. ἀποδειχθεὶς δὲ ὕπατος, τήν τε ἰουλίαν ἐνεγγύησεν αὐτῷ, καὶ συστάντες ἤδη μετ' ἀλλήλων ἐπὶ τὴν πόλιν. ὁ μὲν εἰσέφερε νόμους, τοῖς πένησι κληρουχίαν καὶ νομὴν χώρας διδόντας. ὁ δὲ παρῆν τοῖς νόμοις βοηθῶν. οἱ δὲ περὶ λεύκολλον καὶ κικέρωνα, βύβλῳ τῷ ἑτέρῳ τῶν ὑπάτων συντάξαντες ἑαυτοὺς, ἀντέπραττον. μάλιστα δὲ κάτων, ἤδη μὲν ὑφορώμενος τὴν καίσαρος καὶ πομπηίου φιλίαν καὶ σύστασιν ἐπ' οὐδενὶ δικαίῳ γεγενημένην. φοβεῖσθαι δὲ φάσκων, οὐ τὴν νομὴν τῆς χώρας, ἀλλ' ὃν ἀντὶ ταύτης ἀπαιτήσουσι μισθὸν, οἱ χαριζόμενοι καὶ δελεάζοντες τὸ πλῆθος. ὡς δὲ ταῦτα λέγων, τήν τε βουλὴν ὁμόψηφον εἶχε, καὶ τῶν ἐκτὸς ἀνθρώπων οὐκ ὀλίγοι παρειστήκεσαν, δυσχεραίνοντες τὴν ἀτοπίαν τοῦ καίσαρος. ἃ γὰρ οἱ θρασύτατοι δήμαρχοι καὶ ὀλιγωρότατοι, πρὸς χάριν ἐπολιτεύοντο τῶν πολλῶν, ταῦτα ἀπ' ἐξουσίας ὑπατικῆς, αἰσχρῶς καὶ ταπεινῶς ὑποδυόμενος τὸν δῆμον, ἔπραττε. φοβηθέντες οὖν ἐχώρουν διὰ βίας. καὶ πρῶτον μὲν, αὐτῷ τῷ βύβλῳ καταβαίνοντι κοπρίων ἐπεσκεδάσθη κόφινος. ἔπειτα τοῖς ῥαβδούχοις προσπεσόντες αὐτοῦ, κατέκλασαν τὰς ῥάβδους. τέλος δὲ, καὶ βελῶν φερομένων, καὶ πολλῶν συντιτρωσκομένων, ἔφυγον ἐξ ἀγορᾶς δρόμῳ μὲν, οἱ λοιποὶ πάντες. ἔσχατος δὲ, κάτων ἀπῄει βάδην μεταστρεφόμενος, καὶ καταρώμενος τοὺς πολίτας. οὐ μόνον οὖν τὴν διανομὴν ἐκύρωσαν, ἀλλὰ καὶ προσεψηφίσαντο τὴν σύγκλητον ὀμόσαι πᾶσαν ἦ μὴν, ἐπιβεβαιώσειν τὸν νόμον, καὶ βοηθήσειν ἄν τις τἀναντία πράττῃ. μεγάλα τάξαντες ἐπιτίμια κατὰ τῶν μὴ ὀμοσάντων. ὤμνυσαν οὖν ἅπαντες, ἐξ ἀνάγκης, τὸ μετέλλου τοῦ παλαιοῦ πάθος ἐν νῷ λαμβάνοντες. ὃν εἰς νόμον ὅμοιον ὀμόσαι μὴ θελήσαντα περιεῖδεν ὁ δῆμος, ἐκπεσόντα φυγῇ τῆς ἰταλίας. διὸ καὶ τὸν κάτωνα, πολλὰ μὲν αἱ γυναῖκες οἴκοι δακρύουσαι καθικέτευον εἶξαι καὶ ὀμόσαι. πολλὰ δὲ οἱ φίλοι καὶ συνήθεις. ὁ δὲ μάλιστα καὶ συμπείσας, καὶ ἀγαγὼν ἐπὶ τὸν ὅρκον, ἦν κικέρων ὁ ῥήτωρ παραινῶν καὶ διδάσκων, ὡς τάχα μὲν, οὐδὲ δίκαιόν ἐστι τοῖς ἐγνωσμένοις κοινῇ μόνον οἴεσθαι δεῖν ἀπειθεῖν. ἐν δὲ ἀδυνάτῳ τῷ μεταστῆσαί τι τῶν γεγονότων, ἀφειδεῖν ἑαυτοῦ, παντάπασιν ἀνόητον καὶ μανικόν. ἔσχατον δὲ κακῶν, εἰ δι' ἣν ἅπαντα πράττει πόλιν ἀφεὶς καὶ προέμενος τοῖς ἐπιβουλεύουσιν, ὥσπερ ἀσμένως ἀπαλλάξεται τῶν ὑπὲρ αὐτῆς ἀγώνων. καὶ γὰρ εἰ μὴ κάτων τῆς ῥώμης, ἀλλ' ἡ ῥώμη δεῖται κάτωνος. δέονται δὲ οἱ φίλοι πάντες. ὧν αὐτὸν εἶναι πρῶτον ὁ κικέρων ἔλεγεν, ἐπιβουλευόμενον ὑπὸ κλωδίου, διὰ δημαρχίας ἄντικρυς ἐπ' αὐτὸν βαδίζοντος. ὑπὸ τούτων φασὶ καὶ τοιούτων τὸν κάτωνα λόγων, καὶ δεήσεων μαλασσόμενον οἴκοι καὶ κατ' ἀγορὰν ἐκβιασθῆναι μόλις καὶ προσελθεῖν πρὸς τὸν ὅρκον, ἔσχατον ἁπάντων πλὴν ἑνὸς φαωνίου τῶν φίλων καὶ συνήθων.

Ἐπαρθεὶς οὖν ὁ καῖσαρ, ἄλλον εἰσέφερε νόμον, τὴν καμπανίαν σχεδὸν ὅλην, προσκατανέμοντα τοῖς ἀπόροις καὶ πένησιν. ἀντέλεγε δὲ οὐδεὶς, πλὴν τοῦ κάτωνος. καὶ τοῦτον ἀπὸ τοῦ βήματος ὁ καῖσαρ, εἷλκεν εἰς δεσμωτήριον. οὐδέν τι μᾶλλον ὑφιέμενον τῆς παρρησίας. ἀλλ' ἐν τῷ βαδίζειν ἅμα περὶ τοῦ νόμου διαλεγόμενον, καὶ

τάξεων. τ.

παραινῶν. τ. ς. η.

λους ὦ θρασέος ἐστὶν ἀνθρώπου καὶ δειλοῦ, ὃς καθ' ἑνὸς ἀνόπλου καὶ γυμνοῦ, τοσούτους ἐστρατολόγησεν. ἅμα δ' εὐθὺς ἐβάδιζε μετὰ τοῦ Θέρμου. καὶ διέστησαν αὐτοῖς ἐκεῖνοι, οἱ τὰς ἀναβάσεις κατέχοντες. ἄλλον δὲ οὐδένα παρῆκαν, ἢ μόλις ἐπισπασάμενος τῆς χειρὸς ὁ Κάτων, τὸν Μουνάτιον ἀνήγαγεν, καὶ βαδίζων εὐθὺς ὡς εἶχεν, καθίζει μέσον ἐμβαλὼν ἑαυτὸν τοῦ Μετέλλου καὶ τοῦ Καίσαρος. ὥστε διακόψαι τὴν κοινολογίαν. κἀκεῖνοι μὲν, διηπόρησαν. οἱ δὲ χαρίεντες θεασάμενοι καὶ θαυμάσαντες τὸ πρόσωπον καὶ τὸ φρόνημα καὶ τὸ θάρσος τοῦ Κάτωνος, ἐγγυτέρω προσῆλθον καὶ βοῇ διεκελεύσαντο τῷ μὲν Κάτωνι, θαρρεῖν. μένειν δὲ ἀλλήλοις, καὶ συστρέφεσθαι, καὶ μὴ προδιδόναι τὴν ἐλευθερίαν, καὶ τὸν ὑπὲρ αὐτῆς ἀγωνιζόμενον. ἔνθα δὴ, τοῦ ὑπηρέτου τὸν νόμον προχειρισαμένου, τοῦ δὲ Κάτωνος οὐκ ἐῶντος ἀναγινώσκειν. τοῦ δὲ Μετέλλου παραλαβόντος αὐτὸν καὶ ἀναγινώσκοντος. ὁ μὲν Κάτων ἐξήρπασε τὸ βιβλίον. ὁ δὲ Θέρμος ἀπὸ στόματος τοῦ Μετέλλου τὸν νόμον ἐπισταμένου καὶ λέγοντος, ἐπέσχε τῇ χειρὶ τὸ στόμα. καὶ τὴν φωνὴν ἀπέκλεισεν. ἄχρι οὗ, ἄμαχον ὁρῶν ἀγῶνα τοὺς ἄνδρας ὁ Μέτελλος ἀγωνιζομένους, καὶ τὸν δῆμον ἡττώμενον, πρὸς τὸ συμφέρον τρεπόμενον ἐκέλευσεν οἴκοθεν ὁπλίτας μετὰ φόβου καὶ κραυγῆς ἐπιθέειν. γενομένου δὲ τούτου, καὶ πάντων διασκεδασθέντων. ὑποστάντα μόνον τὸν Κάτωνα. καὶ βαλλόμενον λίθοις καὶ ξύλοις ἄνωθεν, οὐ περιεῖδε Μουρήνας ὁ τὴν δίκην φυγὼν ὑπ' αὐτοῦ, καὶ κατηγορηθείς. ἀλλὰ τὴν τήβενναν προϊσχόμενος, καὶ βοῶν ἀνασχεῖν τοῖς βάλλουσι, καὶ τέλος αὐτὸν τὸν Κάτωνα πείθων καὶ περιπτύσσων, εἰς τὸν νεὼν τῶν Διοσκούρων ἀπήγαγεν. ἐπεὶ δὲ κατεῖδεν ὁ Μέτελλος ἐρημίαν περὶ τὸ βῆμα, καὶ φυγὴν δι' ἀγορᾶς τῶν ἐναντιουμένων. παντάπασι πεισθεὶς κρατεῖν, ἐκέλευσεν ἀπιέναι πάλιν τοὺς ὁπλοφόρους, καὶ προσελθὼν κοσμίως αὐτὸς, ἐπεχείρει πράττειν τὰ περὶ τὸν νόμον. οἱ δὲ ἐναντίοι, ταχέως ἀναλαβόντες ἑαυτοὺς ἐκ τῆς τροπῆς, ἐπῄεσαν αὖθις ἐμβοήσαντες μέγα καὶ θαρραλέον. ὥστε τοῖς περὶ τὸν Μέτελλον ἐμπεσεῖν ταραχὴν καὶ δέος, οἰομένοις ὅπλων ποθὲν εὐπορήσαντας αὐτοὺς ἐπιφέρεσθαι, καὶ μηδένα μεῖναι, ἀλλὰ φυγεῖν ἅπαντας ἀπὸ τοῦ βήματος. Οὕτω δὴ σκεδασθέντων ἐκείνων. τοῦ δὲ Κάτωνος προελθόντος. καὶ τὰ μὲν ἐπαινέσαντος. τὰ δ' ἐπιρρώσαντος τὸν δῆμον. οἵ τε πολλοὶ παρετάξαντο παντὶ τρόπῳ καταλῦσαι τὸν Μέτελλον. ἥ τε σύγκλητος ἀθροισθεῖσα, παρήγγελλεν ἀρχῆθεν βοηθεῖν τῷ Κάτωνι καὶ διαμάχεσθαι πρὸς τὸν νόμον, ὡς στάσιν ἐπεισάγοντα τῇ ῥώμῃ καὶ πόλεμον ἐμφύλιον. ὁ δὲ Μέτελλος αὐτὸς μὲν ἦν ἄτρεπτος καὶ θρασὺς ἔτι. ὁρῶν δὲ τοὺς περὶ αὐτὸν ἐκπεπληγμένους κομιδῇ τὸν Κάτωνα, καὶ νομίζοντας ἄμαχον καὶ δυσεκβίαστον. αἰφνίδιον ἐξεπήδησεν εἰς τὴν ἀγορὰν, καὶ συναγαγὼν τὸν δῆμον, ἄλλα τε πολλὰ περὶ τοῦ Κάτωνος ἐπίφθονα διῆλθεν. καὶ φεύγειν τὴν τυραννίδα βοῶν τὴν ἐκείνου, καὶ τὴν κατὰ Πομπηΐου συνωμοσίας, ἐφ' ᾗ μετανοήσειν ταχὺ τὴν πόλιν, ἀτιμάζουσαν ἄνδρα τοσοῦτον, ὥρμησεν εὐθὺς εἰς ἀσίαν, ὡς ταῦτα πρὸς ἐκεῖνον κατηγορήσων. ἦν οὖν δόξα μεγάλη τοῦ Κάτωνος ἄχθος οὐ μικρὸν ἀποσκευασαμένου τῆς δημαρχίας, καὶ τρόπον τινὰ τὴν Πομπηΐου δύναμιν ἐν Μετέλλῳ καθῃρηκότος. ἔτι δὲ μᾶλλον εὐδοκίμησε τὴν σύγκλητον ὡρμημένην ἀτιμοῦν καὶ ἀποψηφίζεσθαι τὸν Μέτελλον, οὐκ ἐάσας, ἀλλ' ἐναντιωθεὶς καὶ παραιτησάμενος. οἵ τε γὰρ πολλοὶ φιλανθρωπίας ἐποιοῦντο καὶ μετριότητος, τὸ μὴ ἐπεμβῆναι τῷ ἐχθρῷ, μηδὲ ἐνυβρίσαι, κατὰ κράτος περιγενόμενον. τοῖς τε φρονίμοις, ὀρθῶς ἐφαίνετο καὶ συμφερόντως, μὴ παροξῦναι Πομπήϊον. ἐκ τούτου Λεύκουλλος ἐπανελθὼν ἐκ τῆς στρατείας, ἧς ἔδοξε τὸ τέλος καὶ τὴν δόξαν ἀφῃρῆσθαι Πομπήϊος, εἰς κίνδυνον ἦλθεν τοῦ μὴ θριαμβεῦσαι, Γαΐου Μεμμίου καταστασιάζοντος αὐτὸν ἐν τῷ δήμῳ, καὶ δίκας ἐπάγοντος εἰς τὴν Πομπηΐου χάριν μᾶλλον, ἢ κατὰ ἔχθος ἴδιον. ὁ δὲ Κάτων, οἰκειότητός τε πρὸς Λεύκολλον αὐτῷ γεγενημένης, ἔχοντος Σερβιλίαν τὴν ἀδελφὴν αὐτοῦ, καὶ τὸ πρᾶγμα δεινὸν ἡγούμενος, ἀντέστη τῷ Μεμμίῳ, καὶ πολλὰς ὑπέμεινε διαβολὰς, καὶ κατηγορίας. τέλος δὲ τῆς ἀρχῆς ἐκβαλλόμενος ὡς τυραννίδος. τοσοῦτον ἐκράτησεν, ὥστε τὸν Μέμμιον αὐτὸν ἀναγκάσαι, τῶν δικῶν ἀποστῆναι, καὶ φυγεῖν τὸν ἀγῶνα. Λεύκολλος μὲν οὖν θριαμβεύσας, ἔτι μᾶλλον ἐνεφύετο, τῇ φιλίᾳ τοῦ Κάτωνος, ἔχων ἔρυμα καὶ πρόβλημα μέγα πρὸς τὴν Πομπηΐου δύναμιν. Πομπήϊος δὲ, μέγας ἀπὸ τῆς στρατείας ἐπανιών. καὶ τῇ λαμπρότητι καὶ προθυμίᾳ τῆς ἀποδοχῆς πεποιθὼς, οὐδὲν ἂν δεηθεὶς ἀποτυχεῖν τῶν πολιτῶν, προὔπεμπεν ἀξιῶν, τὰς ὑπατικὰς ἀρχαιρεσίας ἀναβάλλεσθαι τὴν σύγκλητον, ὡς ἂν αὐτὸς παρὼν Πείσωνι συναρχαιρεσιάσῃ. τῶν δὲ πλείστων ὑπεικόντων, οὐ τὴν ἀναβολὴν μέγιστον ὁ Κάτων ἡγούμενος, ἀλλὰ τὴν πεῖραν ἀποκόψαι καὶ τὴν ἐλπίδα τοῦ Πομπηΐου βουλόμενος, ἀντεῖπε καὶ μετέστησε τὴν βουλὴν, ὥστε ἀποψηφίσασθαι. τοῦτο τὸν Πομπήϊον, οὐχ ἡσυχῇ διετάραξε. καὶ νομίζων, οὐ μικρὰ προσπταίσειν τῷ Κάτωνι μὴ φίλῳ γενομένῳ, μετεπέμψατο Μουνάτιον ἑταῖρον αὐτοῦ. καὶ δύο τοῦ Κάτωνος ἀδελφιδᾶς ἐπιγάμους ἔχοντος, ᾔτει τὴν μὲν πρεσβυτέραν, ἑαυτῷ γυναῖκα, τὴν δὲ νεωτέραν τῷ υἱῷ. τινὲς δὲ φασὶν, οὐ τῶν ἀδελφιδῶν, ἀλλὰ τῶν θυγατέρων τὴν μνηστείαν γενέσθαι.

Τοῦ δὲ Μουνατίου ταῦτα πρὸς τὸν Κάτωνα, καὶ τὴν γυναῖκα καὶ τὰς ἀδελφὰς φράσαντος, αἱ μὲν ὑπερηγάπησαν τὴν οἰκειότητα, πρὸς τὸ μέγεθος καὶ τὸ ἀξίωμα τοῦ ἀνδρός. ὁ δὲ Κάτων, οὔτ' ἐπισχὼν, οὔτε

περὶ δε. q.
τήβεννοι

φιλανθρωπί. τ.

σα παιδίον, ἐξέπεσε τοῦ οἴκου δι' ἀκολασίαν. τὸ δ' αἴσχιστον, οὐδ' ἡ γυνὴ τοῦ κάτωνος ἀτιλία, τοιούτων ἐκαθάρευσεν ἁμαρτημάτων. ἀλλὰ καίπερ ἐξ αὐτῆς δύο παιδία πεποιημένος, ἀνάγκην ἔχων ἐκβαλεῖν ἀσχημονοῦσαν. εἶτα, ἔγημε θυγατέρα φιλίππου, μαρκίαν, ἐπιεικῆ δοκοῦσαν εἶναι γυναῖκα. περὶ ἧς ὁ πλεῖστος λόγος καθάπερ ἐν δράματι τῷ βίῳ. τοῦτο τὸ μέρος, προβληματῶδες γέγονε καὶ ἄπορον. ἐπράχθη δὲ, τοῦτον τὸν τρόπον, ὡς ἱστορεῖ θρασέας, εἰς μουνάτιον ἄνδρα κάτωνος ἑταῖρον, καὶ συμβιωτὴν ἀναφέρων τὴν πίστιν. ἐν πολλοῖς ἐρασταῖς, καὶ θαυμασταῖς τοῦ κάτωνος, ἦσαν ἑτέρων, ἕτεροι μᾶλλον ἔκδηλοι καὶ διαφανεῖς. ὧν καὶ κόϊντος ὁρτήσιος, ἀνὴρ ἀξιώματός τε λαμπροῦ, καὶ τὸν τρόπον ἐπιεικής. ἐπιθυμῶν οὖν τῷ κάτωνι, μὴ συνήθης εἶναι μηδὲ ἑταῖρος μόνον, ἀλλ' ἁμωσγέπως εἰς οἰκειότητα καταμῖξαι, καὶ κοινωνίαν, πάντα τὸν οἶκον καὶ τὸ γένος, ἐπεχείρησε συμπείθειν, ὅπως τὴν θυγατέρα πορκίαν, βύβλῳ συνοικοῦσαν, καὶ πεποιημένην ἐκείνῳ δύο παῖδας, αὐτῷ πάλιν ὥσπερ εὐγενῆ χώραν ἐντεκνώσασθαι παράσχῃ. δόξῃ μὲν γὰρ ἀνθρώπων ἄτοπον εἶναι τὸ τοιοῦτον. φύσει δὲ, καλὸν καὶ πολιτικὸν, ἐν ὥρᾳ καὶ ἀκμῇ γυναῖκα μήτε ἀργεῖν, τὸ γόνιμον ἀποσβέσασαν. μήτε πλείονα τῶν ἱκανῶν ἐπιτίκτουσαν, ἐνοχλεῖν καὶ καταπτωχεύειν, οὐδὲν δεόμενον. κοινουμένους δὲ τὰς διαδοχὰς ἀξίοις ἀνδράσι. τήν τε ἀρετὴν ἄφθονον ποιεῖν, καὶ πολύχουν τοῖς γένεσι, καὶ τὴν πόλιν αὐτὴν, πρὸς αὑτὴν ἀνακεραννύναι ταῖς οἰκειότησιν. εἰ δὲ πάντως περιέχοιτο τῆς γυναικὸς ὁ βύβλος, ἀποδώσειν εὐθὺς τεκοῦσαν. οἰκειότερος αὐτῷ τε βύβλῳ καὶ κάτωνι κοινωνίᾳ παίδων γενόμενος. ἀποκριναμένου δὲ τοῦ κάτωνος. ὡς ὁρτήσιον μὲν ἀγαπᾷ καὶ δοκιμάζει κοινωνὸν οἰκειότητος. ἄτοπον δὲ ἡγεῖται ποιεῖσθαι λόγον περὶ γάμου θυγατρὸς, ἑτέρῳ δεδομένης, μεταβαλὼν ἐκεῖνος, οὐκ ὤκνησεν ἀποκαλυψάμενος, αἰτεῖν τὴν αὐτοῦ γυναῖκα κάτωνος. νέαν μὲν οὖσαν ἔτι πρὸς τὸ τίκτειν, ἔχοντος δὲ τοῦ κάτωνος ἀποχρῶσαν διαδοχήν. καὶ οὐκ ἔστιν εἰπεῖν, ὡς ταῦτα ἔπραττεν, εἰδὼς οὐ προσέχοντα τῇ μαρκίᾳ τὸν κάτωνα. κύουσαν γὰρ αὐτὴν τότε τυγχάνειν λέγουσιν. Ὁ δ' οὖν κάτων ὁρῶν τὴν τοῦ ὁρτησίου σπουδὴν καὶ προθυμίαν, οὐκ ἀντεῖπεν. ἀλλ' ἔφη δεῖν, καὶ φιλίππῳ ταῦτα συνδόξαι τῷ πατρὶ τῆς μαρκίας. ὡς οὖν ὁ φίλιππος ἐντευχθεὶς, ἔγνω τὴν συγχώρησιν, οὐκ ἄλλως ἐνεγγύησε τὴν μαρκίαν, ἢ παρόντος τοῦ κάτωνος αὐτοῦ, καὶ συνεγγυῶντος.

Ταῦτα μὲν οὖν εἰ καὶ χρόνοις ὕστερον ἐπράχθη, μνησθέντι μοι τὸ τῶν γυναικῶν, προλαβεῖν ἔδοξε. τῶν δὲ περὶ τὸν λέντλον ἀναιρεθέντων. καὶ τοῦ καίσαρος περὶ ὧν εἰσηγγέλθη καὶ διεβλήθη πρὸς τὴν σύγκλητον, εἰς τὸν δῆμον καταφυγόντος, καὶ τὰ πολλὰ νοσοῦντα καὶ διεφθαρμένα τῆς πολιτείας μέρη ταράττοντος καὶ συνάγοντος πρὸς αὐτόν. ὁ κάτων φοβηθεὶς, ἔπεισε τὴν βουλὴν ἀναλαβεῖν τὸν ἄπορον καὶ ἀνέμητον ὄχλον εἰς τὸ σιτηρέσιον. ἀναλώματος μὲν ὄντος ἐνιαυσίου, χιλίων καὶ διακοσίων, καὶ πεντήκοντα ταλάντων. περιφανῶς δὲ τῇ φιλανθρωπίᾳ ταύτῃ καὶ χάριτι, τῆς ἀπειλῆς ἐκείνης διαλυθείσης. ἐντεῦθεν ἐς τὴν δημαρχίαν ἐμπεσὼν ὁ μέτελλος, ἐκκλησίας τε θορυβώδεις συνῆγε, καὶ νόμον ἔγραψεν, πομπήιον μάγνον ἥκειν κατὰ τάχος μετὰ τῶν δυνάμεων εἰς ἰταλίαν, καὶ παραλαβόντα σώζειν τὴν πόλιν. ὡς ὑπὸ κατιλίνα κινδυνεύουσαν. ἦν δὲ τοῦτο, λόγος εὐπρεπής. ἔργον δὲ τοῦ νόμου καὶ τέλος, ἐγχειρίσαι τὰ πράγματα πομπηίῳ καὶ παραδοῦναι τὴν ἡγεμονίαν. γενομένης δὲ βουλῆς καὶ τοῦ κάτωνος, οὐχ ὥσπερ εἰώθει τῷ μετέλλῳ, σφοδρῶς ἐμπεσόντος. ἀλλ' ἐπιεικῆ πολλὰ καὶ μέτρια παραινέσαντος. τέλος δὲ καὶ πρὸς δεήσεις τραπομένου. καὶ τῷ μετέλλῳ οἰκίαν, ἀεὶ γενομένην ἀριστοκρατικὴν ἐπαινέσαντος, ἔτι μᾶλλον ἐξαρθεὶς καὶ καταφρονήσας ὁ μέτελλος, ὡς ἐνδιδόντος αὐτοῦ καὶ πτήσσοντος, εἰς ὑπερηφάνους ἀπειλὰς, καὶ λόγους θρασεῖς ἐξέπεσεν. ὡς βίᾳ πάντα τῆς βουλῆς διαπραξόμενος. οὕτω δὴ μεταβαλὼν ὁ κάτων, καὶ σχῆμα καὶ φωνὴν καὶ λόγον. ἐπειπὼν δὲ πᾶσι τοῖς ἄλλοις διατεταμένως, ὅτι ζῶντος αὐτοῦ πομπήιος οὐ πάρεσται μετ' ὅπλων εἰς τὴν πόλιν, ἐκεῖνο τῇ βουλῇ παρέστησεν, ὡς οὐδέτερος μὲν καθέστηκεν, οὐδὲ χρῆται λογισμοῖς ἀσφαλέσιν. ἔστι δὲ ἡ μὲν μετέλλου πολιτεία μανία, δι' ὑπερβολὴν κακίας φερομένη πρὸς ὄλεθρον καὶ σύγχυσιν ἁπάντων. ἡ δὲ κάτωνος ἀρετὴ, ἐνθουσιασμὸς, ὑπὲρ τῶν καλῶν καὶ δικαίων, ἀγωνιζόμενος. ἐπεὶ δὲ τὴν ψῆφον ὑπὲρ τοῦ νόμου φέρειν ὁ δῆμος ἔμελλεν, καὶ μετέλλῳ μὲν ὅπλα, καὶ ξένοι καὶ μονομάχοι, καὶ θεράποντες, ἐπὶ τὴν ἀγορὰν τεταγμένοι παρῆσαν. καὶ τὸ ποθοῦν μεταβολῆς ἐλπίδι πομπηίου, ὑπῆρχεν τοῦ δήμου μέρος οὐκ ὀλίγον, ἦν δὲ μεγάλη καὶ ἀπὸ καίσαρος ῥώμη, στρατηγοῦντος τότε. κάτωνι δὲ, οἱ πρῶτοι τῶν πολιτῶν συνηγανάκτουν, καὶ συνηδικοῦντο μᾶλλον, ἢ συνηγωνίζοντο. πολλὴ δὲ τὴν οἰκίαν αὐτοῦ κατήφεια καὶ φόβος εἶχεν, ὥστε τῶν φίλων ἐνίους, ἀσίτους διαγρυπνῆσαι μετ' ἀλλήλων, ἐν ἀπόροις ὄντας ὑπὲρ αὐτοῦ λογισμοῖς καὶ γυναῖκας καὶ ἀδελφὰς, ποτνιωμένας καὶ δακρυούσας, αὐτὸς δὲ ἀδεῶς, καὶ τεθαρρηκότως ἐντυχὼν πᾶσι, καὶ παρηγορήσας, καὶ γενόμενος περὶ δεῖπνον ὥσπερ εἰώθει, καὶ νυκτερεύσας. ὑφ' ἑνὸς τῶν συναρχόντων, μινικίου θέρμου, βαθέως καθεύδων, ἐπηγέρθη καὶ κατέβησαν εἰς ἀγοράν. ὀλίγων μὲν αὐτοὺς προπεμπόντων, πολλῶν δὲ ἀπαντώντων, καὶ φυλάττεσθαι διακελευομένων. ὡς οὖν ἐπιστὰς ὁ κάτων, κατεῖδε τὸν νεὼν τῶν διοσκούρων ὅπλοις περιεχόμενον, καὶ τὰς ἀναβάσεις φρουρουμένας ὑπὸ μονομάχων. αὐτὸν δὲ καθήμενον ἄνω μετὰ καίσαρος τὸν μέτελλον. ἐπιστρέψας πρὸς τοὺς φί-

Vide in Vita Cesaris ubi est hoc signum 232. b.

τὴν . τ. ς.

πομπείου τ. ς. κ.

μεγάλη τ. ς. κ.

καὶ τῷ μετ᾽ ἄλλῳ τὰς ὑπατικὰς ἀρχαιρεσίας ὁρῶν ὠνίους οὔσας, ἐπετίμησεν τῷ δήμῳ. καὶ καταπαύων τὸν λόγον, ἐπώμοσε, τὸν δόντος ἀργύριον, ὅστις ἂν ᾖ, κατηγορήσειν. πλὴν Σιλανὸν ὑπεξελόμενος, δι᾽ οἰκειότητα. Σερβιλίαν γὰρ ἀδελφὴν Κάτωνος ὁ Σιλανὸς εἶχεν. διὸ τοῦτον μὲν παρῆκεν. Λεύκιον δὲ Μουρήναν ἐδίωκεν, ἀργυρίῳ διαπραξάμενον ἄρχοντα μετὰ τοῦ Σιλανοῦ γενέσθαι. νόμῳ δέ τινι τοῦ φεύγοντος ἀεὶ φύλακα τῷ κατηγόρῳ διδόντος, ὥστε μὴ λαθεῖν ἃ συνάγει, καὶ παρασκευάζεται πρὸς τὴν κατηγορίαν, ὁ τῷ Κάτωνι δοθεὶς ὑπὸ τοῦ Μουρήνα, παρακολουθῶν καὶ παραφυλάττων, ὡς ἑώρα μηθὲν ἐπιβούλως πράττοντα μηδὲ ἀδίκως ἀλλὰ γενναίως καὶ φιλανθρώπως, ἁπλῆν τινα τῆς κατηγορίας καὶ δικαίαν ὁδὸν πορευόμενον, οὕτως ἐθαύμαζε τὸ φρόνημα καὶ τὸ ἦθος, ὥστε κατ᾽ ἀγορὰν προσιὼν ἢ φοιτῶν ἐπὶ θύρας, πυνθάνεσθαι τοῦ Κάτωνος εἰ μέλλει τι σήμερον πραγματεύεσθαι, τῶν περὶ τὴν κατηγορίαν. εἰ δὲ μὴ φαίη, πιστεύων ἀπῄει. τῆς δὲ δίκης λεγομένης, ὁ Κικέρων ὕπατος ὢν τότε καὶ τῷ Μουρήνᾳ συνδικῶν, πολλὰ διὰ τὸν Κάτωνα τοὺς Στωϊκοὺς φιλοσόφους, καὶ ταῦτα δὴ τὰ παράδοξα καλούμενα δόγματα χλευάζων καὶ παρασκώπτων, γέλωτα παρεῖχε τοῖς δικασταῖς.

φαίη τ. σ. η.

Τὸν οὖν Κάτωνα φασὶ διαμειδιάσαντα, πρὸς τοὺς παρόντας εἰπεῖν. ὦ ἄνδρες, ὡς γελοῖον ὕπατον ἔχομεν. ἀποφυγὼν δὲ ὁ Μουρήνας, οὐ πονηροῦ πάθος οὐδὲ ἄφρονος ἔπαθεν ἀνθρώπου πρὸς τὸν Κάτωνα. καὶ γὰρ ὑπατεύων, ἐχρῆτο συμβούλῳ τῶν μεγίστων. καὶ τἆλλα τιμῶν καὶ πιστεύων ἐπὶ τοῦ βήματος διετέλεσεν. αἴτιος δὲ ἦν ὁ Κάτων αὐτὸς, ἄχρι τοῦ βήματος καὶ τοῦ συνεδρίου χαλεπὸς ὢν καὶ φοβερὸς ὑπὲρ τῶν δικαίων. εἶτα πᾶσιν εὐνοϊκῶς καὶ φιλανθρώπως προσφερόμενος. πρὶν δὲ εἰς τὴν δημαρχίαν καθίστασθαι, Κικέρωνος ὑπατεύοντος, ἄλλοις τε πολλοῖς ἀγῶσι τὴν ἀρχὴν ὤρθωσεν αὐτοῦ. καὶ ταῖς περὶ Κατιλίναν πράξεσι μεγίσταις, καὶ καλλίσταις γενομέναις, τέλος ἐπέθηκεν. αὐτὸς μὲν γὰρ ὁ Κατιλίνας, ὀλέθριόν τε καὶ παντελῆ μεταβολὴν ἐπάγων τοῖς Ῥωμαίων πράγμασι. καὶ στάσεις ὁμοῦ καὶ πολέμους ταράττων, ἐξελεγχθεὶς ὑπὸ τοῦ Κικέρωνος, ἐξέπεσε τῆς πόλεως. Λέντλος δὲ καὶ Κέθηγος, καὶ μετ᾽ αὐτῶν ἕτεροι συχνοί, δεξάμενοι τὴν συνωμοσίαν, καὶ τῷ Κατιλίνᾳ δειλίαν καὶ μικρολογίαν τῶν τολμημάτων ἐπικαλοῦντες, αὐτοὶ διενοοῦντο τὴν πόλιν, ἄρδην ἀναιρεῖν πυρὶ καὶ τὴν ἡγεμονίαν, ἐθνῶν ἀποστάσεσι, καὶ πολέμοις ἀλλοφύλοις ἀνατρέπειν.

τὴν πρὸ τοῦ βήματος … ἐστὶ ἐν τ. περὶ … περὶ τ. σ. περὶ … περὶ ἐν δ.

Φανερᾶς δὲ τῆς παρασκευῆς αὐτῶν γενομένης, ὡς ἐν τοῖς περὶ Κικέρωνος γέγραπται, ἐν βουλῇ γνώμην προθέντος, ὁ μὲν πρῶτος εἰπὼν Σιλανός, ἀπεφήνατο δοκεῖν αὐτῷ, τὰ ἔσχατα παθεῖν χρῆναι τοὺς ἄνδρας. οἱ δὲ μετ᾽ αὐτὸν ἐφεξῆς ἠκολούθησαν, ἄχρι Καίσαρος. Καῖσαρ δὲ ἀναστάς, ἅτε δὴ καὶ δεινὸς εἰπεῖν, καὶ πᾶσαν ἐν τῇ πόλει μεταβολὴν καὶ κίνησιν, ὥσπερ ὕλην ὧν αὐτὸς διενοεῖτο βουλόμενος αὔξειν μᾶλλον, ἢ σβεννυμένην περιορᾶν, ἐπαγωγὰ πολλὰ καὶ φιλάνθρωπα διαλεχθείς, ἀποκτεῖναι μὲν ἀκρίτους, οὐκ εἴα τοὺς ἄνδρας. εἱρχθέντας δέ, τηρεῖν ἐκέλευσεν. οὕτω δὲ τὰς γνώμας μετέστησε, τῆς βουλῆς φοβηθείσης τὸν δῆμον, ὥστε καὶ Σιλανὸν ἔξαρνον εἶναι λέγειν, ὡς οὐδ᾽ αὐτὸς εἴποι θάνατον, ἀλλ᾽ εἱργμόν. ἔσχατον γὰρ ἀνδρὶ Ῥωμαίῳ τοῦτο κακῶν ἁπάντων.

προθέντος κ. τ. σ. η.

Γενομένης δὲ τοιαύτης τῆς τροπῆς, καὶ ἁπάντων ἐπὶ τὸ πρᾳότερον ῥυέντων καὶ φιλανθρωπότερον, ὁ Κάτων πρὸς τὴν γνώμην ἀναστάς, εὐθὺς ἵετο τῷ λόγῳ μετ᾽ ὀργῆς καὶ πάθους, τόν τε Σιλανὸν κακίζων τῆς μεταβολῆς, καὶ καθαπτόμενος τοῦ Καίσαρος, ὡς σχήματι δημοτικῷ καὶ λόγῳ φιλανθρώπῳ, τὴν πόλιν ἀνατρέποντος, καὶ δεδιττομένου τὴν βουλήν, ἐφ᾽ οἷς αὐτὸν ἔδει δεδιέναι καὶ ἀγαπᾶν, εἰ τῶν γεγονότων ἀθῷος ἀπαλλάξαι, καὶ ἀνύποπτος, οὕτως περιφανῶς καὶ ἰταμῶς τοὺς κοινοὺς ἐξαρπάζων πολεμίους, καὶ τὴν παρ᾽ οὐδὲν ἐλθοῦσαν ἀπολέσθαι πατρίδα, τοιαύτην καὶ τοσαύτην ὁμολογῶν μὴ ἐλεεῖν. ἀλλ᾽ οὓς ἔδει μὴ γενέσθαι μηδὲ φῦναι, δακρύων καὶ ἀνακλαιόμενος, εἰ φόνων μεγάλων καὶ κινδύνων ἀπαλλάξουσι τὴν πόλιν ἀποθανόντες.

Τοῦτον μόνον ὧν Κάτων εἶπε διασώζεσθαί φασι τὸν λόγον, Κικέρωνος τοῦ ὑπάτου, τοὺς διαφέροντας ὀξύτητι τῶν γραφέων, σημεῖα προδιδάξαντος, ἐν μικροῖς καὶ βραχέσι τύποις, πολλῶν γραμμάτων ἔχοντα δύναμιν. εἶτα ἄλλον ἀλλαχόσε τοῦ βουλευτηρίου σποράδην ἐμβαλόντος. οὔπω γὰρ ἤσκουν, οὐδ᾽ ἐκέκτηντο τοὺς καλουμένους σημειογράφους. ἀλλὰ τότε πρῶτον εἰς ἴχνος τι καταστῆναι λέγουσιν. ἐκράτησεν δ᾽ οὖν ὁ Κάτων, καὶ μετέστησε τὰς γνώμας. ὥστε θάνατον καταψηφίσασθαι τῶν ἀνδρῶν. εἰ δὲ δεῖ μηδὲ τὰ μικρὰ τῶν ἠθῶν σημεῖα παραλιπεῖν, ὥσπερ εἰκόνα ψυχῆς ὑπογραφομένους, λέγεται ὅτι πολλὴν ἅμιλλαν καὶ μέγαν ἀγῶνα πρὸς τὸν Κάτωνα τοῦ Καίσαρος ἔχοντος, καὶ τῆς βουλῆς εἰς ἐκείνους ἀνηρτημένης, δελτάριόν τι μικρὸν ἔξωθεν εἰσκομισθῆναι τῷ Καίσαρι. τοῦ δὲ Κάτωνος εἰς ὑποψίαν ἄγοντος τὸ πρᾶγμα καὶ διαβάλλοντος, εἶναί τινας τοὺς κινουμένους, καὶ κελεύοντος ἀναγνῶναι τὰ γεγραμμένα, τὸν Καίσαρα τῷ Κάτωνι προσδοῦναι τὸ δελτάριον, ἐγγὺς ἑστῶτι. τὸν δὲ ἀναγνόντα, Σερβιλίας τῆς ἀδελφῆς ἐπιστόλιον ἀκόλαστον πρὸς τὸν Καίσαρα γεγραμμένης ἐρώσης καὶ διεφθαρμένης ὑπ᾽ αὐτοῦ, προσρῖψαί τε τῷ Καίσαρι, καὶ εἰπεῖν, κράτει μέθυσε. καὶ πάλιν, οὕτως ἐπὶ τὸν ἐξ ἀρχῆς λόγον τραπέσθαι. φαίνεται δὲ ὅλως, ἀτύχημα γενέσθαι τοῦ Κάτωνος, ἡ γυναικωνῖτις. αὕτη μὲν γὰρ ἐπὶ Καίσαρι, κακῶς ἤκουσεν. τὰ δὲ τῆς ἑτέρας Σερβιλίας, ἀδελφῆς δὲ Κάτωνος, ἀσχημονέστερα. Λευκόλλῳ γὰρ γαμηθεῖσα πρωτεύσαντι Ῥωμαίων κατὰ δόξαν ἀνδρί, καὶ τεκοῦ

δεῖ. η.

χεὶς καὶ χαλεπὸς φανείς, ὕβριν ἠγαπᾶτο, τοῖς ἐκ τοῦ μὴ χαρίζεσθαι τὰ δημόσια, μὴ δὲ κρίνειν κακῶς ἀπεχθείαις, ὑποτιθεὶς ἑαυτὸν ἀντὶ πάντων, καὶ παρέχων ἀπολογεῖσθαι, πρὸς τοὺς δεομένους καὶ βιαζομένους ἐκείνους. ὡς ἀμήχανόν ἐστιν ἄκοντος κάτωνος. Τῇ δὲ ἡμέρᾳ τῇ τελευταίᾳ σχεδὸν ὑπὸ πάντων πολιτῶν προπεμφθεὶς εἰς οἶκον, ἤκουσεν ὅτι μάρκελλον πολλοὶ συνήθεις καὶ δυνατοὶ προσπεσόντες ἐν τῷ ταμιείῳ καὶ περιέχοντες, ἐκβιάζονται γράψαι τινὰ δόσιν χρημάτων ὀφειλομένην. ἦν δὲ ὁ μάρκελλος ἐκ παίδων, φίλος τῷ κάτωνι. καὶ σὺν ἐκείνῳ, βέλτιστος ἄρχων. αὐτὸς δὲ καθ' αὑτὸν ἀγώγιμος ὑπ' αἰδοῦς τοῖς δεομένοις, καὶ καταντὴς πρὸς πᾶσαν χάριν. εὐθὺς οὖν ὁ κάτων ἐπιστρέψας, καὶ τὸν μάρκελλον εὑρὼν, ἐκβεβιασμένον γράψαι τὴν δόσιν, ᾔτησε τὰς δέλτους καὶ ἀπήλειψεν, αὐτοῦ παρεστῶτος σιωπῇ. καὶ τοῦτο πράξας, κατήγαγεν αὐτὸν ἐκ τοῦ ταμιείου καὶ κατέστησεν εἰς οἶκον. οὔτε τότε μεμψάμενον, οὔτε ὕστερον. ἀλλ' ἐμμείναντα τῇ συνηθείᾳ καὶ φιλίᾳ μέχρι παντός. οὐ μὴν οὐδὲ ἀπαλλαγεὶς τῆς ταμιείας. ἀφῆκε τῆς φρουρᾶς ἔρημον τὸ ταμιεῖον. ἀλλ' οἰκέται μὲν αὐτοῦ καθ' ἡμέραν ἀπογραφόμενοι τὰς διοικήσεις παρῆσαν. αὐτὸς δὲ, βιβλία λόγους περιέχοντα δημοσίων οἰκονομιῶν ἀπὸ τῶν σύλλα χρόνων εἰς τὴν ἑαυτοῦ ταμιείαν. ὠνησάμενος πέντε ταλάντων, ἀεὶ διὰ χειρὸς εἶχεν. εἰς δὲ σύγκλητον εἰσῄει τε πρῶτος, καὶ τελευταῖος ἀπηλλάττετο. πολλάκις δὲ τῶν ἄλλων σχολῇ συναγομένων, καθεζόμενος ἀνεγίνωσκεν ἡσυχῇ, τὸ ἱμάτιον τοῦ βιβλίου προϊσχόμενος. ἀπεδήμησεν δὲ οὐδέποτε, βουλῆς γενομένης.

Ἐπεὶ δὲ ὕστερον οἱ περὶ πομπήϊον, ὁρῶντες αὐτὸν ἐν οἷς ἐσπούδαζον ἀδίκως ἀμετάπειστον καὶ δυσεκβίαστον ἀεὶ, διεμηχανῶντο φιλικαῖς τισὶ συνηγορίαις, ἢ διαίταις, ἢ πραγματείαις, ἔξω περισπᾶν. συνεὶς οὖν ταχὺ τὴν ἐπιβουλὴν, ἀπεῖπε πᾶσι καὶ παρετάξατο, βουλῆς ἀγομένης, μηδὲν ἄλλο πράττειν. οὔτε γὰρ δόξης χάριν οὔτε πλεονεξίας, οὔτε αὐτομάτως, καὶ κατὰ τύχην ὥσπερ ἕτεροί τινες, ἐμπεσὼν εἰς τὸ πράττειν τὰ τῆς πόλεως. ἀλλ' ὡς ἴδιον ἔργον ἀνδρὸς ἀγαθοῦ τὴν πολιτείαν ἑλόμενος, μᾶλλον ᾤετο δεῖν. προσέχεσθαι τοῖς κοινοῖς, ἢ τῷ κηρίῳ τὴν μέλιτταν, ὅς γε καὶ τὰ τῶν ἐπαρχιῶν πράγματα καὶ δόγματα, καὶ κρίσεις, καὶ πράξεις τὰς μεγίστας, ἔργον πεποίητο διὰ τῶν ἑκασταχόθι ξένων, καὶ φίλων, πέμπεσθαι πρὸς αὐτόν.

Ἐνστὰς δέ ποτε κλωδίῳ τῷ δημαγωγῷ κινοῦντι καὶ πράττοντι, μεγάλων ἀρχὰς νεωτερισμῶν. καὶ διαβάλλοντι πρὸς τὸν δῆμον, ἱερεῖς καὶ ἱερείας. ἐν οἷς καὶ φαβία τερεντία, ἀδελφὴ τῆς κικέρωνος γυναικὸς ἐκινδύνευσεν. τὸν μὲν κλώδιον, αἰσχύνῃ περιβαλὼν, ἠνάγκασεν ὑπεκστῆναι τῆς πόλεως. τοῦ δὲ κικέρωνος εὐχαριστοῦντος, τῇ πόλει δεῖν ἔχειν ἔφη χάριν αὐτὸν, ὡς ἐκείνης ἕνεκα πάντα ποιῶν καὶ πολιτευόμενος. ἐκ τούτου μεγάλη δόξα περὶ αὐτὸν ἦν. ὥστε ῥήτορα μὲν, δίκῃ τινὶ μαρτυρίας μιᾶς φερομένης. εἰπεῖν πρὸς τοὺς δικαστάς. ὡς ἑνὶ μαρτυροῦντι προσέχειν, οὐδὲ κάτωνι καλῶς ἔχειν. πολλοὺς δὲ ἤδη περὶ τῶν ἀπίστων καὶ παραδόξων. ὥσπερ ἐν παροιμίᾳ τινὶ λέγειν. ὅτι τοῦτο μὲν οὐδὲ κάτωνος λέγοντος πιθανόν ἐστιν. μοχθηροῦ δὲ ἀνθρώπου καὶ πολυτελοῦς. λόγον ἐν συγκλήτῳ διαθεμένου πρὸς εὐτέλειαν καὶ σωφρονισμὸν, ἐπαναστὰς ἀμναῖος ὦ ἄνθρωπε εἶπε, τίς ἀνέξεταί σου. δειπνοῦντος μὲν ὡς κράσσου. οἰκοδομοῦντος δὲ ὡς λευκούλλου. δημηγοροῦντος δὲ ἡμῖν ὡς κάτωνος. καὶ τῶν ἄλλων δὲ τοὺς φαύλους καὶ ἀκολάστους, τοῖς λόγοις δὲ σεμνοὺς καὶ αὐστηρούς, χλευάζοντες, ἐκάλουν κάτωνας.

Πολλῶν δὲ αὐτὸν ἐπὶ δημαρχίαν καλούντων. οὐκ ᾤετο καλῶς ἔχειν μεγάλης ἐξουσίας καὶ ἀρχῆς, ὥσπερ ἰσχυροῦ φαρμάκου δύναμιν ἐν πράγμασιν οὐκ ἀναγκαίοις ἐξαναλῶσαι. καὶ ἅμα σχολῆς οὔσης τῶν δημοσίων. παραλαβὼν βιβλία καὶ φιλοσόφους. ἐβάδιζεν εἰς λευκανίαν, ἀγροὺς αὐτόθι κεκτημένος, ἔχοντας οὐκ ἀνελευθέρους διατριβάς. εἶτα καθ' ὁδὸν, πολλοῖς τισὶν ὑποζυγίοις καὶ σκεύεσι. καὶ ἀκολούθοις ἀπαντήσας, καὶ πυθόμενος, νέπωτα μέτελλον εἰς ῥώμην ἐπανέρχεσθαι. δημαρχίαν μετιέναι παρεσκευασμένον, ἐπέστη σιωπῇ. καὶ διαλιπὼν μικρὸν, ἐκέλευσεν ἀναστρέφειν ὀπίσω τοὺς ἑαυτοῦ. τῶν δὲ φίλων θαυμασάντων. οὐκ ἴστε εἶπεν, ὅτι καθ' αὑτόν ἐστιν ὑπὸ ἐμπληξίας, φοβερός ἐστιν μέτελλος, καὶ νῦν ἐκ τῆς πομπηΐου γνώμης ἀφιγμένος, εἰς τὴν πολιτείαν ἐμπεσεῖται δίκην σκηπτοῦ, πάντα πράγματα ταράττων. οὔκουν σχολῆς, οὐδὲ ἀποδημίας καιρὸς, ἀλλὰ δεῖ κρατῆσαι τοῦ ἀνδρὸς, ἢ καλῶς ἀποθανεῖν, ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιζόμενον. ὅμως δὲ τῶν φίλων παραινεσάντων, ἀφίκετο πρῶτον εἰς τὰ χωρία, καὶ διέτριψεν οὐ πολὺν χρόνον. εἶτα ἐπανῆκεν εἰς πόλιν ἑσπέρας δὲ ἐλθὼν, εὐθὺς ἕωθεν εἰς ἀγορὰν κατέβαινε. δημαρχίαν μετιὼν, ὡς ἀντιταξόμενος πρὸς τὸν μέτελλον. τὸ γὰρ ἰσχυρὸν, ἡ ἀρχὴ, πρὸς τὸ κωλύειν ἔχει μᾶλλον, ἢ πρὸς τὸ πράττειν, κἂν πάντες οἱ λοιποὶ παρ' ἕνα ψηφίσωνται, τοῦ μὴ θέλοντος μὴ δὲ ἐῶντος, τὸ κράτος ἐστίν. τὸ μὲν οὖν πρῶτον ὀλίγοι περὶ τὸν κάτωνα τῶν φίλων ἦσαν. φανερᾶς δὲ τῆς γνώμης αὐτοῦ γενομένης, ὀλίγου χρόνου, πάντες οἱ χρηστοὶ καὶ γνώριμοι, συνέτρεχον καὶ παρεκάλουν καὶ παρεθάρρυνον αὐτόν. ὡς οὐ λαμβάνοντα χάριν, ἀλλὰ τὴν μεγίστην διδόντα τῇ πατρίδι καὶ τοῖς ἐπιεικεστάτοις τῶν πολιτῶν. ὅτι πολλάκις ἀπραγμόνως ἄρξαι παρὸν, οὐ θελήσας νῦν ὑπὲρ τῆς ἐλευθερίας, καὶ πολιτείας ἀγωνιούμενος, οὐκ ἀκινδύνως κάτεισι. λέγεται δὲ πολλῶν ὑπὸ σπουδῆς, καὶ φιλοφροσύνης ὠθουμένων πρὸς αὐτόν. ἐν κινδύνῳ γενόμενος, μόλις ἐξικέσθαι διὰ τὸ πλῆθος εἰς τὴν ἀγοράν. ἀποδειχθεὶς δὲ δήμαρχος σὺν ἑτέροις,

ἀπαίρειν. προελθὼν μέντοι μιᾶς ἡμέρας ὁδὸν, εὗρεν ἐν Πεσινοῦντι, πλείονα τῶν ἐκεῖ δώρων αὖθις αὐτὸν ἀπομένοντα. καὶ γράμματα τοῦ Γαλάτου, δεομένου λαβεῖν αὐτὸν εἰ δὲ μὴ πρόθυμός ἐστιν, ἀλλὰ τοὺς φίλους ἐᾶσαι. πάντως μὲν ἀξίους ὄντας, εὖ παθεῖν δι' ἐκεῖνον. οὐκ ὄντων δὲ τῶν ἰδίων τοῦ Κάτωνος τοσούτων. ἀλλ' οὐδὲ τούτοις ἐνέδωκεν ὁ Κάτων. καίπερ ἐνίους τῶν φίλων μαλασσομένους καὶ ὑπομεμφομένους ὁρῶν. ἀλλὰ φήσας ὅτι πᾶσα δωροδοκία, προφάσεως ἂν εὐπορήσειεν. οἱ δὲ φίλοι μεθέξουσιν ὧν ἂν ἔχῃ καλῶς καὶ δικαίως κτησάμενος, ἀπέπεμψε τὰ δῶρα πρὸς τὸν Δηιόταρον. ἐπεὶ δὲ μέλλοντος ἀπαίρειν εἰς τὸ Βρεντέσιον, ᾤοντο δεῖν οἱ φίλοι τὰ λείψανα τοῦ Καιπίωνος εἰς ἕτερον ἐνθέσθαι πλοῖον, εἰπὼν ὅτι τῆς ψυχῆς μεθήσεται μᾶλλον ἢ τούτων, ἀνήχθη. καὶ μέντοι λέγεται κατὰ τύχην ἐπισφαλέστατα πλεῦσαι, τῶν ἄλλων μετρίως κομιζομένων. ἐπανελθὼν δὲ εἰς Ῥώμην τὸν μὲν ἄλλον χρόνον, κατ' οἶκον Ἀθηνοδώρῳ, ἢ κατ' ἀγορὰν τοῖς φίλοις παριστάμενος διετέλεσεν.

ταμιευτικὴν κ.ς.τ.

ἐπιβάλλουσαν δὲ αὐτῷ τὴν ταμιευτικὴν ἀρχὴν, οὐ πρότερον μετῆλθεν ἢ τούς τε νόμους ἀναγνῶναι τοὺς ταμιευτικοὺς, καὶ διαπυθέσθαι τῶν ἐμπείρων ἕκαστα. καὶ τύπῳ τινὶ τῆς ἀρχῆς τὴν δύναμιν περιλαβεῖν. ὅθεν εὐθὺς εἰς τὴν ἀρχὴν καταστὰς, μεγάλην ἐποίησε μεταβολὴν τῶν περὶ τὸ ταμιεῖον ὑπηρετῶν, καὶ γραμματέων. οἳ διὰ χειρὸς ἀεὶ τὰ δημόσια γράμματα καὶ τοὺς νόμους ἔχοντες. εἶτα νέους ἄρχοντας παραλαμβάνοντες, δι' ἀπειρίαν καὶ ἄγνοιαν ἀτεχνῶς διδασκάλων ἑτέρων καὶ παιδαγωγῶν δεομένους, οὐχ ὑφίεντο τῆς ἐξουσίας ἐκείνοις. ἀλλ' ἦσαν ἄρχοντες αὐτοί. μέχρις οὗ Κάτων ἐπιστὰς τοῖς πράγμασι νεανικῶς, οὐκ ὄνομα καὶ τιμὴν ἔχων ἄρχοντος, ἀλλὰ καὶ νοῦν, καὶ φρόνημα καὶ λόγον, ὑπηρέταις ὅπερ ἦσαν ἠξίου χρῆσθαι, τοῖς γραμματεῦσι. τὰ μὲν ἐξελέγχων κακουργοῦντας αὐτούς. τὰ δὲ ἁμαρτάνοντας ἀπειρίᾳ διδάσκων. ὡς δὲ ἦσαν ἴταμοὶ καὶ τοὺς ἄλλους ἐθώπευον ὑποφέροντες, ἐκείνῳ δὲ ἐπολέμουν. τὸν μὲν πρῶτον αὐτῶν, καταγνοὺς περὶ πίστιν ἐν κληρονομίᾳ γεγονέναι πονηρὸν, ἀπήλασε τοῦ ταμιείου. δευτέρῳ δέ τινι ῥᾳδιουργίας προὔθηκε κρίσιν, ᾧ Κάτλος Λουτάτιος ὁ τιμητὴς, ἀνέβη βοηθήσων, ἀνὴρ μέγα τὸ τῆς ἀρχῆς ἔχων ἀξίωμα. τὸ δὲ τῆς ἀρετῆς, ἔχων μέγιστον. ὡς πάντων δικαιοσύνῃ καὶ σωφροσύνῃ Ῥωμαίων διαφέρων. ἦν δὲ καὶ τοῦ Κάτωνος ἐπαινέτης, καὶ συνήθης διὰ τὸν βίον. ὡς οὖν ἡττώμενος τοῖς δικαίοις, ἐξῃτεῖτο φανερῶς τὸν ἄνθρωπον, οὐκ εἴα ταῦτα ποιεῖν αὐτὸν ὁ Κάτων. ἔτι δὲ μᾶλλον προσλιπαροῦντος. αἰσχρὸν εἶπεν ὦ Κάτλε σὲ τὸν τιμητὴν καὶ τοὺς ἡμετέρους βίους ὀφείλοντα δοκιμάζειν, ὑπὸ τῶν ἡμετέρων ὑπηρετῶν ἐκβάλλεσθαι.

Ταύτην τὴν φωνὴν ἀφέντος τοῦ Κάτωνος, ὁ Κάτλος, προσέβλεψε μὲν αὐτὸν ὡς ἀμειψόμενος. εἶπε δὲ οὐδέν. ἀλλ' εἴτε ὑπ' ὀργῆς, εἴτε ὑπ' αἰσχύνης, ἀπῆλθε σιωπῇ διηπορημένος. οὐ μὴν ἥλω γε ὁ ἄνθρωπος. ἀλλ' ἐπεὶ μιᾷ ψήφῳ τὰς ἀφιείσας ὑπερέβαλον αἱ καθαιροῦσαι. καὶ Λόλλιος Μάρκος, εἷς συνάρχων τοῦ Κάτωνος ὑπὸ ἀσθενείας ἀπελέλειπτο τῆς δίκης. πέμπει πρὸς τοῦτον ὁ Κάτλος, δεόμενος βοηθῆσαι τῷ ἀνθρώπῳ. κἀκεῖνος ἐν φορείῳ κομισθεὶς μετὰ τὴν δίκην, ἔθετο τὴν ἀπολύουσαν. οὐ μὴν ἐχρήσατό γε τῷ γραμματεῖ ὁ Κάτων, οὐδὲ τὸν μισθὸν ἀπέδωκεν. οὐδὲ ὅλως ἐνάριθμον τοῦ Λολλίου τὴν ψῆφον ἔσχεν. οὕτω δὲ τοὺς γραμματεῖς ταπεινώσας καὶ ποιήσας ὑποχειρίους, καὶ τοῖς γράμμασιν ὡς αὐτὸς ἐβούλετο χρώμενος, ὀλίγῳ χρόνῳ τὸ ταμιεῖον ἀπέδειξε τοῦ βουλευτηρίου σεμνότερον, ὡς καὶ λέγειν καὶ φρονεῖν ἅπαντας. ὅτι Κάτων, ὑπατείας ἀξίωμα τῇ ταμιείᾳ περιέθηκεν. πρότερον μὲν γὰρ εὑρὼν χρέα παλαιὰ τῷ δημοσίῳ πολλοὺς ὀφείλοντας, καὶ πολλοῖς τὸ δημόσιον, ἅμα τὴν πόλιν ἔπαυσεν ἀδικουμένην, καὶ ἀδικοῦσαν. τοὺς μὲν εὐτόνως καὶ ἀπαραιτήτως ἀπαιτῶν. τοῖς δὲ, ταχέως ἀποδιδοὺς καὶ προθύμως. ὥς τε τὸν δῆμον αἰδεῖσθαι. τοὺς μὲν οἰομένους ἀποστερήσειν, ἐκτίνοντας ὁρῶντα. τοὺς δὲ, ἃ μὴ προσεδόκων, ἀπολαμβάνοντας. ἔπειτα γράμματα πολλῶν πολλάκις, οὐ προσηκόντως ἀναφερόντων. καὶ δόγματα ψευδῆ παραδέχεσθαι χάριτι καὶ δεήσει τῶν πρότερον εἰωθότων, οὐδὲν αὐτὸν ἔλαθε γινόμενον τοιοῦτον. ἀλλ' ὑπὲρ ἑνός ποτε δόγματος ἐνδοιάσας εἰ κύριον γέγονε, πολλῶν μαρτυρούντων, οὐκ ἐπίστευσεν. οὐδὲ κατέταξε πρότερον, ἢ τοὺς ὑπάτους ἐπομόσαι παραγενομένους. ὄντων δὲ πολλῶν οἷς, Σύλλας ἐκεῖνος ἀποκτείνασιν ἄνδρας, ἐκ προγραφῆς ἑτέρας. ἔδωκεν ἀνὰ μυρίας διακοσίας δραχμὰς, ἅπαντες μὲν αὐτούς. ὡς ἐναγεῖς καὶ μιαροὺς ἐμίσουν, ἀμύνεσθαι δὲ οὐδεὶς ἐτόλμα. Κάτων δὲ, προσκαλούμενος ἕκαστον ἔχοντα δημόσιον ἀργύριον ἀδίκως, ἐξέπραττεν ἅμα θυμῷ καὶ λόγῳ, τὸ τῆς πράξεως ἀνόσιον καὶ παράνομον ἐξονειδίζων. οἱ δὲ τοῦτο παθόντες, εὐθὺς ἦσαν ἔνοχοι φόνῳ. καὶ τρόπον τινὰ προεαλωκότες, ἀπήγοντο πρὸς τοὺς δικαστὰς, καὶ δίκας ἔτινον, ἡδομένων πάντων καὶ νομιζόντων συνεξαλείφεσθαι τὴν τότε τυραννίδα, καὶ Σύλλαν αὐτὸν ἐφορᾶν κολαζόμενον. ἥρει δὲ τοὺς πολλοὺς, καὶ τὸ ἐνδελεχὲς αὐτοῦ τῆς ἐπιμελείας καὶ ἄτρυτον. οὔτε γὰρ πρότερός τις ἀνέβη τῶν συναρχόντων εἰς τὸ ταμιεῖον Κάτωνος, οὔτε ὕστερος ἀπῆλθεν. ἐκκλησίαν δὲ καὶ βουλὴν, οὐδεμίαν παρῆκεν. δεδιὼς καὶ παραφυλάττων, τοὺς ἑτοίμως καὶ πρὸς χάριν ὀφλημάτων καὶ τελῶν ἀνέσεις ἢ δόσεις οἷς ἔτυχεν ἐπιψηφιζομένους. ἐπιδεικνύμενος δὲ τὸ ταμιεῖον, ἄβατόν τε καὶ καθαρὸν συκοφαντῶν, πλῆρες δὲ χρημάτων, ἐδίδασκεν ὅτι τῇ πόλει πλουτεῖν ἔξεστι, μὴ ἀδικούσῃ. κατ' ἀρχὰς δὲ τῶν συναρχόντων ἐνίοις ἐπα-

καὶ δυνάσται πολλὰ κατὰ τιμὴν τοῦ τεθνεῶτος ἔπεμπον· ὧν ἐκεῖνος χρήματα μὲν, παρ' οὐδενὸς ἐδέξατο, θυμιάματα δὲ καὶ κόσμον ἐλάμβανε, τιμὴν ἀποδιδοὺς τοῖς πέμπουσιν. τῆς δὲ κληρονομίας, εἴς αὐτόν τε καὶ θυγατέρα τοῦ καιπίωνος ἡκούσης, οὐδὲν ὧν ἀνήλωσε περὶ τὸν τάφον ἀπῄτησεν ἐν τῇ νεμήσει. καὶ ταῦτα πράξαντος αὐτοῦ καὶ πράττοντος, ἦν ὁ γράψας, ὅτι κοσκίνῳ τὴν τέφραν τοῦ νεκροῦ μετέβαλε καὶ διήθησε, χρυσίον ζητῶν κατακεκαυμένον. οὕτως οὐ τῷ ξίφει μόνον, ἀλλὰ καὶ τῷ γραφείῳ, τὸ ἀνυπεύθυνον καὶ ἀνυπόδικον ἐπίστευσεν. Ἐπεὶ δὲ τέλος εἶχεν ἡ στρατεία τῷ κάτωνι, προεπέμφθη, οὐκ εὐχαῖς, ὃ κοινόν ἐστιν, οὐδ' ἐπαίνοις, ἀλλὰ δάκρυσι καὶ περιβολαῖς ἀπλήστοις, ὑποτιθέντων τὰ ἱμάτια τοῖς ποσὶν ᾗ βαδίζοι, καὶ καταφιλούντων τὰς χεῖρας, ἃ τῶν αὐτοκρατόρων ὀλίγοις μόλις ἐποίουν οἱ τότε ῥωμαῖοι. βουληθεὶς δὲ πρὸ τοῦ πολιτείᾳ προσελθεῖν, ἅμα μὲν πλανηθῆναι καθ' ἱστορίαν τῆς ἀσίας, καὶ γενέσθαι θεατὴς, ἠθῶν καὶ βίων, καὶ δυνάμεως, τῆς περὶ ἑκάστην ἐπαρχίαν. ἅμα δὲ τῷ γαλάτῃ δηιοτάρῳ, διὰ ξενίαν καὶ φιλίαν πατρῴαν δεομένῳ πρὸς αὐτὸν ἐλθεῖν, μὴ ἀχαριστῆσαι, τοῦτον τὸν τρόπον, ἐποιεῖτο τὴν ἀποδημίαν. προὔπεμπεν ἅμ' ἡμέρᾳ τὸν ἀρτοποιὸν, καὶ τὸν μάγειρον, ὅπου καταλύειν ἔμελλεν. οἱ δὲ πάνυ κοσμίως καὶ μεθ' ἡσυχίας εἰσελθόντες ἂν εἰς τὴν πόλιν, εἰ μηδεὶς τύχοι τῷ κάτωνι φίλος ὢν αὐτόθι, πατρῷος ἢ γνώριμος, ἐν πανδοκείῳ τὴν ὑποδοχὴν αὐτῷ παρεσκεύαζον, ἐνοχλοῦντες οὐδενί. πανδοκείου δὲ μὴ ὄντος, οὕτως πρὸς τοὺς ἄρχοντας τραπόμενοι, ξενίαν ἐλάμβανον, ἀγαπῶντες τὴν δοθεῖσαν. πολλάκις δὲ ἀπιστούμενοι, καὶ περιορώμενοι, διὰ τὸ μὴ θορύβῳ μηδὲ ἀπειλῇ ταῦτα πράττειν πρὸς τοὺς ἄρχοντας ὑπὸ τοῦ κάτωνος ἄπρακτοι κατελαμβάνοντο. καὶ μᾶλλον αὐτὸς ὀφθεὶς, ὠλιγωρεῖτο καὶ παρεῖχεν, ἐπὶ τῶν φορτίων σιωπῇ καθεζόμενος, ὑπόνοιαν ἀνθρώπου ταπεινοῦ καὶ περιδεοῦς. οὐ μὴν ἀλλὰ καὶ προσκαλούμενος αὐτοὺς εἰώθει λέγειν. ὦ μοχθηροί, μεταβάλλεσθε ταύτης τῆς κακοξενίας. οὐ πάντες ὑμῖν ἀφίξονται κάτωνες. ἀμβλύνατε ταῖς φιλοφροσύναις τὴν ἐξουσίαν αὐτῶν, δεομένων προφάσεως, ἵνα βίᾳ λαμβάνωσιν, ὡς παρ' ἑκόντων μὴ τυγχάνοντες. ἐν δὲ συρίᾳ, καὶ γελοῖόν τι λέγεται παθεῖν. βαδίζων γὰρ εἰς ἀντιόχειαν, εἶδε περὶ τὰς πύλας ἔξω πλῆθος ἀνθρώπων ἑκατέρωθεν τῆς ὁδοῦ παρακεκριμένων. ἐν οἷς ἔφηβοι μὲν χωρὶς ἐν χλαμύσι. καὶ παῖδες ἑτέρωθι κοσμίως εἱστήκεσαν. ἐσθῆτας δὲ καθαρὰς ἔνιοι καὶ στεφάνους εἶχον, ἱερεῖς θεῶν ὄντες, ἢ ἄρχοντες. πάντων οὖν μᾶλλον οἰηθεὶς ὁ κάτων αὑτῷ τινὰ πράττεσθαι τιμὴν, καὶ δεξίωσιν ὑπὸ τῆς πόλεως, ὠργίζετο μὲν, τοῖς προπεμφθεῖσι τῶν ἰδίων, ὡς μὴ κωλύσασιν, ἐκέλευσε δὲ καταβῆναι τοὺς φίλους, καὶ πεζῇ προῄει μετ' αὐτῶν. ὡς δ' ἐγγὺς ἦσαν, ὁ πάντα διακοσμῶν ἐκεῖνα, καὶ τὸν ὄχλον εἰς τάξιν καθιστὰς ἀνὴρ πρεσβύτερος ἤδη, ῥάβδον ἐν τῇ χειρὶ καὶ στέφανον κρατῶν, ἀπήντησε τῷ κάτωνι πρὸ τῶν ἄλλων, καὶ μηδὲ ἀσπασάμενος, ἠρώτα ποῦ δημήτριον ἀπολελοίπασι καὶ πηνίκα παρέσται. πομπηίου δὲ ἦν γεγονὼς ὁ δημήτριος οἰκέτης. τότε δὲ πάντων ὡς ἔπος εἰπεῖν ἀνθρώπων εἰς πομπήιον ἀποβλεπόντων, ἐθεραπεύετο παρ' ἀξίαν, μέγα παρ' αὐτῷ δυνάμενος. Τοῖς μὲν οὖν φίλοις τοῦ κάτωνος γέλως ἐνέπεσε τοσοῦτος, ὥστε ἀναλαβεῖν ἑαυτοὺς οὐκ ἐδύναντο, διὰ τοῦ πλήθους ἅμα βαδίζοντες. ὁ δὲ κάτων, τότε μὲν ἰσχυρῶς διατραπεὶς, ὦ τῆς κακοδαίμονος ἔφη πόλεως. ἄλλο δὲ οὐδὲν ἐφθέγξατο. χρόνῳ δὲ ὕστερον εἰώθει γελᾶν καὶ αὐτὸς ἐπὶ τούτῳ, καὶ διηγούμενος, καὶ μνημονεύων. οὐ μὴν ἀλλὰ πομπήιος, αὐτὸς ἐπέστρεψε τοὺς ἀνθρώπους, οὕτω πλημμελοῦντας εἰς τὸν κάτωνα δι' ἄγνοιαν. ὡς γὰρ εἰς ἔφεσον ἐλθὼν, ἐπορεύετο πρὸς αὐτὸν ἀσπασόμενος, πρεσβύτερον ὄντα, καὶ δόξῃ πολὺ προήκοντα, καὶ δυνάμεων τότε μεγίστων ἡγούμενον. ἰδὼν ὁ πομπήιος, οὐκ ἔμεινεν οὐδὲ εἴασεν καθεζομένῳ προσελθεῖν. ἀλλ' ὥς τινι τῶν κρειττόνων ἀναθορὼν, ἀπήντησε καὶ τὴν δεξιὰν ἐνέβαλε. καὶ πολλὰ μὲν εὐθὺς ἐν τῷ φιλοφρονεῖσθαι καὶ ἀσπάζεσθαι παρόντα. πλείω δ' ἔτι μεταστάντος, ἐγκώμια διῆλθεν αὐτοῦ τῆς ἀρετῆς. ὥστε πάντας ἐπιστρεφομένους καὶ προσέχοντας ἤδη τῷ κάτωνι, θαυμάζειν ἐξ ὧν πρότερον κατεφρονεῖτο, καὶ πρᾳότητα καὶ μεγαλοψυχίαν ἀναθεωρεῖν. καὶ γὰρ ἡ πομπηίου σπουδὴ, περὶ αὐτὸν οὐκ ἐλάνθανε θεραπεύοντος οὖσα μᾶλλον, ἢ φιλοῦντος ἀλλ' ἔγνωσαν ὅτι θαυμάζει μὲν, παρόντα, χαίρει δὲ ἀπερχομένῳ. τοὺς γὰρ ἄλλους νέους, ὅσοι παρ' αὐτὸν ἀφικνοῦντο, φιλοτιμούμενος, κατεῖχεν, καὶ ποθῶν αὐτῷ συνεῖναι. τοῦ δὲ κάτωνος οὐδὲν ἐδεήθη τοιοῦτον, ἀλλ' ὥσπερ οὐκ ἀνυπεύθυνος ἄρχων, ἐκείνου παρόντος, ἐξέπεμψεν ἄσμενος. μόνῳ σχεδὸν ἐκείνῳ, τῶν εἰς ῥώμην πλεόντων, τὰ τέκνα καὶ τὴν γυναῖκα παρακαταθέμενος. ἄλλως αὐτῷ προσήκοντα καὶ διὰ συγγένειαν. ἐκ τούτου δόξα καὶ σπουδὴ καὶ ἅμιλλα περὶ αὐτὸν ἦν τῶν πόλεων. καὶ δεῖπνα. καὶ κλήσεις. ἐν οἷς τοὺς φίλους ἐκέλευεν προσέχειν αὐτῷ, μὴ λάθῃ βεβαιώσας τὸν κουρίωνος λόγον. ὁ γὰρ κουρίων ἀχθόμενος τῷ αὐστηρῷ τοῦ κάτωνος, φίλου καὶ συνήθους ὄντος, ἠρώτησεν αὐτὸν, εἰ πρόθυμός ἐστι μετὰ τὴν στρατείαν γενέσθαι τῆς ἀσίας θεατής. τοῦ δὲ καὶ πάνυ φήσαντος. εὖ λέγεις εἶπεν ὁ κουρίων. ἡδίων γὰρ ἐπανήξεις ἐκεῖθεν, καὶ μᾶλλον ἥμερος. οὕτω πως καὶ τῷ ῥήματι χρησάμενος. Δηιόταρος δὲ ὁ γαλάτης, μετεπέμψατο μὲν τὸν κάτωνα, πρεσβύτερος μὲν ὢν ἤδη, παραθέσθαι τοὺς παῖδας αὐτῷ βουλόμενος, καὶ τὸν οἶκον. ἐλθόντι δὲ προσφέρων δῶρα παντοδαπά. καὶ πειρῶν καὶ δεόμενος πάντα τρόπον, οὕτω παρώξυνεν, ὥστε δείλης ἐλθόντα καὶ νυκτερεύσαντα, τῇ ὑστεραίᾳ περὶ τρίτην ὥραν

ἀτιλίαν

καὶ νεότητί τι τρέψας ἑαυτὸν εἰς ἰάμβους. πολλὰ τὸν σκιπίωνα καθύβρισε. τῷ πικρῷ προσχρησάμενος τοῦ ἀρχιλόχου. τὸ δὲ ἀκόλαστον ἀφεὶς καὶ παιδαριῶδες. ἔγημε μὲν δὲ, ἀτιλίαν σωρράνου θυγατέρα, καὶ ταύτῃ πρώτον συνῆλθεν. οὐ μόνῃ δὲ καθάπερ λαίλιος ὁ σκιπίωνος ἑταῖρος. ἀλλ' εὐτυχέστερος ἐκεῖνος ἐν πολλοῖς οἷς ἐβίωσε χρόνοις, μίαν ἣν ἔγημεν ἐξ ἀρχῆς γνοὺς γυναῖκα. τοῦ δὲ δουλικοῦ πολέμου συνεστῶτος, ὃν σπαρτάκειον ἐκάλουν. γέλλιος μὲν ἐστρατήγει. κάτων δὲ τῆς στρατηγίας μετεῖχεν, ἐθελοντὴς διὰ τὸν ἀδελφόν. ἐχιλιάρχει γὰρ ὁ ἀδελφὸς αὐτοῦ καιπίων. καὶ χρήσασθαι μὲν, εἰς ὅσον ἐβούλετο τῇ προθυμίᾳ καὶ ἀσκήσει τῆς ἀρετῆς, οὐχ ὑπῆρξεν αὐτῷ διὰ τὸ μὴ καλῶς στρατηγεῖσθαι τὸν πόλεμον. ἄλλως δὲ παρὰ πολλὴν μαλακίαν καὶ τρυφὴν τῶν ἐκεῖ στρατευομένων ἐπιδεικνύμενος εὐταξίαν. καὶ ἀνδρείαν ἀναγκαίαν. καὶ τὸ θαρραλέον ἐν πᾶσι καὶ ξυνετὸν, ἐδόκει μηδὲν ἀποδεῖν τοῦ παλαιοῦ κάτωνος. ὁ δὲ γέλλιος ἀριστεῖα καὶ τιμὰς αὐτῷ διαπρεπεῖς ἔγραψεν, ἃς ἐκεῖνος οὐκ ἔλαβεν, οὐδὲ προσήκατο, φήσας ἄξιον μηδὲν εἰργάσθαι τιμῶν. ἔκ τε δὴ τούτων, ἀλλόκοτος ἐδόκει. καὶ νόμου γραφέντος, ὅπως τοῖς παραγγέλλουσιν ἐπ' ἀρχὴν, ὀνοματολόγοι μὴ παρῶσιν, χιλιαρχίαν μετιὼν, μόνος ἐπείθετο τῷ νόμῳ. καὶ δι' αὑτοῦ ποιησάμενος ἔργον, ἀσπάζεσθαι, καὶ προσαγορεύειν τοὺς ἐντυγχάνοντας. οὐδὲ αὐτοῖς ἀνεπαχθὴς ἦν τοῖς ἐπαινοῦσιν. ὅσον μᾶλλον ἐνόουν τὸ καλὸν ὧν ἐπετήδευεν, τὸ δυσμίμητον αὐτῶν βαρυνομένοις. ἀποδειχθεὶς δὲ χιλίαρχος εἰς μακεδονίαν, ἐπέμπετο πρὸς ῥούβριον τὸν στρατηγόν. ἔνθα δὴ λέγεται τῆς γυναικὸς ἀχθομένης, καὶ δακρυούσης. ἕνα τῶν φίλων τοῦ κάτωνος, μουνάτιον εἰπεῖν. ὦ ἀτιλία θάρσει, τοῦτον ἐγώ σοι φυλάξω. πάνυ μὲν οὖν φάναι τὸν κάτωνα, καὶ προελθόντας μιᾶς ἡμέρας ὁδὸν, εὐθὺς εἰπεῖν μετὰ τὸ δεῖπνον. ἄγε, ὅπως ὦ μουνάτιε, τῇ ἀτιλίᾳ τὴν ὑπόσχεσιν ἐμπεδώσῃς, μήτε ἡμέρας ἐμοῦ, μήτε νυκτὸς ἀφιστάμενος. ἐκ δὲ τούτου δύο κλίνας εἰς ταυτὸ δωμάτιον ἐκέλευσε τίθεσθαι καὶ τὸν μουνάτιον οὕτως ἀεὶ καθεύδειν μετὰ παιδιᾶς φυλασσόμενον ὑπὸ τοῦ κάτωνος. εἵποντο δὲ αὐτῷ, πεντεκαίδεκα μὲν οἰκέται. δύο δὲ, ἀπελεύθεροι. φίλοι δὲ τέσσαρες. ὧν ὀχουμένων ἵπποις, αὐτὸς ἀεὶ περιπατῶν ἑκάστῳ παρέβαλλεν, ἐν μέρει προσδιαλεγόμενος. ἐπεὶ δὲ ἧκεν εἰς τὸ στρατόπεδον, πλειόνων ταγμάτων ὄντων ἑνὸς ἄρχων ἀποδειχθεὶς ὑπὸ τοῦ στρατηγοῦ. τῆς μὲν ἰδίας ἀρετῆς μιᾶς οὔσης, μικρὸν ἔργον ἡγεῖτο καὶ οὐ βασιλικὸν τὴν ἐπίδειξιν. αὐτῷ δὲ ποιῆσαι τοὺς ἀρχομένους ὁμοίους μάλιστα φιλοτιμούμενος. οὐ τὸν φόβον ἀφεῖλεν τῆς ἐξουσίας, ἀλλὰ προσέθηκε τὸν λόγον. ᾧ πείθων περὶ ἑκάστου, καὶ διδάσκων, ἑπομένης τιμῆς καὶ κολάσεως χαλεπὸν ἦν εἰπεῖν, πότερον εἰρηνικοὺς μᾶλλον, ἢ πολεμικοὺς, ἢ προθυμοτέρους, ἢ δικαιοτέρους παρεσκεύασε τοὺς ἄνδρας. οὕτως ἐφαίνοντο φοβεροὶ μὲν τοῖς πολεμίοις. ἥμεροι δὲ, τοῖς συμμάχοις. ἄτολμοι δὲ, πρὸς τὸ ἀδικεῖν. φιλότιμοι δὲ πρὸς τοὺς ἐπαίνους. οὗ δὲ ἥκιστα κάτων ἐπεμελήθη, τοῦτο πλεῖστον αὐτῷ ὑπῆρχεν. καὶ δόξα, καὶ χάρις, καὶ ὑπερβάλλουσα τιμὴ, καὶ φιλοφροσύνη παρὰ τῶν στρατιωτῶν. ἃ γὰρ ἑτέροις ἐπέταττεν, ἑκουσίως διαπονῶν. καὶ στολὴν μὲν καὶ δίαιταν καὶ πορείαν ἐκείνοις μᾶλλον, ἢ τοῖς ἄρχουσιν ὁμοιούμενος. ἤθει δὲ καὶ φρονήματι καὶ λόγῳ πάντας ὑπεραίρων τοὺς αὐτοκράτορας, καὶ στρατηγοὺς προσαγορευομένους, ἔλαθε διὰ τούτων ἅμα τὴν πρὸς αὑτὸν εὔνοιαν ἐργασάμενος τοῖς ἀνδράσιν. ἀρετῆς γὰρ ἀληθινὸς οὐκ ἐγγίνεται ζῆλος, ἢ δι' ἄκρας τοῦ παραδιδόντος εὐνοίας, καὶ τιμῆς. οἱ δὲ ἄνευ τοῦ φιλεῖν ἐπαινοῦντες τοὺς ἀγαθοὺς, αἰδοῦνται τὴν δόξαν αὐτῶν, οὐ θαυμάζουσι δὲ τὴν ἀρετὴν οὐδὲ μιμοῦνται. Πυθόμενος δὲ ἀθηνόδωρον τὸν ἐπικαλούμενον κορδυλίωνα, μεγάλην ἕξιν ἐν τοῖς στωϊκοῖς λόγοις ἔχοντα, διατρίβειν περὶ πέργαμον, ἤδη γηραιὸν ὄντα, καὶ πάσαις ἐρρωμενέστατα ταῖς ἡγεμονικαῖς καὶ βασιλικαῖς συνηθείαις, καὶ φιλίαις διαμεμαχημένον, οὐδὲν ᾤετο πέμπων καὶ γράφων περαίνειν πρὸς αὐτόν. ἀλλὰ ἔχων παρὰ τοῦ νόμου δεδομένην ἀποδημίαν, δυεῖν μηνοῖν. ἔπλευσεν εἰς τὴν ἀσίαν ἐπὶ τὸν ἄνδρα, πιστεύων τοῖς ἐν αὐτῷ καλοῖς μὴ ἀτυχήσειν τῆς ἄγρας. συγγενόμενος δὲ καὶ καταγωνισάμενος, καὶ μεταστήσας ἐκ τῆς προαιρέσεως αὐτὸν, ἧκεν ἄγων εἰς τὸ στρατόπεδον, περιχαρὴς καὶ μεγαλοφρονῶν ὥς τι κάλλιστον ᾑρηκὼς καὶ λαμπρότερον, ὧν πομπήϊος τότε καὶ λεύκολλος ἐθνῶν καὶ βασιλειῶν, κατεστρέφοντο σὺν ὅπλοις περιιόντες. Ἔτι δὲ αὐτοῦ περὶ τὴν στρατηγίαν ὄντος, ὁ ἀδελφὸς εἰς τὴν ἀσίαν βαδίζων, ἐνόσησε περὶ θρᾴκην ἐν αἴνῳ. καὶ γράμματα μὲν εὐθὺς ἧκε πρὸς τὸν κάτωνα. χειμῶνος δὲ πολλοῦ κατέχοντος τὴν θάλατταν, καὶ νεὼς ἱκανῆς μεγέθει μὴ παρούσης, εἰς μικρὰν ὁλκάδα μόνον δύο φίλους, καὶ τρεῖς οἰκέτας ἀναλαβὼν, ἐκ θεσσαλονίκης ἀνήχθη. καὶ παρ' οὐδὲν ἐλθὼν καταποντωθῆναι, τύχῃ τινὶ παραλόγῳ σωθεὶς, ἄρτι τεθνηκότος τοῦ καιπίωνος, ἐμπαθέστερον ἔδοξεν, ἢ φιλοσοφώτερον ἐνεγκεῖν τὴν συμφοράν. οὐ μόνον κλαυθμοῖς καὶ περιπτύξεσι τοῦ νεκροῦ καὶ βαρύτητί τι λύπης, ἀλλὰ καὶ δαπάνῃ περὶ τὴν ταφὴν, καὶ πραγματείαις θυμιαμάτων, καὶ ἱματίων πολυτελῶν συγκατακαέντων, καὶ μνήματος ξεστοῦ λίθων θασίων ἀπὸ ταλάντων ὀκτὼ κατασκευασθέντος, ἐν τῇ αἰνίων ἀγορᾷ. ταῦτα γὰρ ἔνιοι ἐσυκοφάντουν, πρὸς τὴν ἄλλην ἀτυφίαν τοῦ κάτωνος, οὐ καθορῶντες ὅσον, ἐν τῷ πρὸς ἡδονὰς καὶ φόβους καὶ δεήσεις ἀναισχύντους ἀγνάμπτῳ καὶ στερρῷ τοῦ ἀνδρὸς, τὸ ἥμερον ἐνῆν καὶ φιλόστοργον. εἰς δὲ ταῦτα καὶ πόλεις αὐτῷ

ἴσ. κ.κ.

ῥούβριον

ἑκάς. κ.ς.
ἑπομένης

τυραννόν. ὅτι δὴ τοῦτον τὸν ἄνθρωπον, οὐδεὶς ἀποκτίννυσιν. Εἰπόντος δ' ἐκείνου φοβοῦνται γὰρ αὐτὸν ὦ παῖ, μᾶλλον, ἢ μισοῦσι. τί οὖν εἶπεν, οὐκ ἐμοὶ ξίφος ἔδωκας ἵνα αὐτὸν ἀνελὼν, ἀπαλλάξω δουλείας τὴν πατρίδα. τοῦτον τὸν λόγον ἀκούσας ὁ σαρπηδών. ἅμα καὶ τὸ βλέμμα καὶ τὸ πρόσωπον πιμπλάμενον αὐτοῦ ὀργῆς καὶ μένους, κατιδὼν οὕτως ἔδεισεν, ὥστε τὸ λοιπὸν ἤδη προσέχειν ἀκριβῶς, καὶ παραφυλάττειν, μή τι τολμήσῃ παραβολώτερον. ἔτι μὲν οὖν παιδάριον ὢν μικρὸν, ἀπεκρίνατο τοῖς ἐρωτῶσι. τίνα φιλεῖ μάλιστα τὸν ἀδελφόν. τίνα δεύτερον, ὁμοίως τὸν ἀδελφόν. καὶ τρίτον, ἄχρις οὗ πολλάκις λέγοντος, ἀπεῖπεν ὁ ἐρωτῶν. γενόμενος δὲ ἐν ἡλικίᾳ μᾶλλον. ἐβεβαίου τὴν πρὸς τὸν ἀδελφὸν εὔνοιαν. ἔτη γὰρ εἴκοσι γεγονὼς, χωρὶς καιπίωνος, οὐκ ἐδείπνησεν, οὐκ ἀπεδήμησεν. εἰς ἀγορὰν οὐ προῆλθεν, μύρον δὲ ἐκείνου λαμβάνοντος. αὐτὸς παρῃτεῖτο. καὶ τἄλλα τὰ περὶ τὴν δίαιταν, ἦν ἀκριβὴς καὶ σύντονος. ὁ γοῦν καιπίων ἐπὶ σωφροσύνῃ καὶ μετριότητι θαυμαζόμενος, ὡμολόγει τοιοῦτος εἶναι, πρὸς τοὺς ἄλλους ἐξεταζόμενος. ἀλλ' ὅταν ἔφη παρὰ τὸν κάτωνος βίον παραβάλω τὸν ἐμὸν, οὐδὲν ἐμαυτῷ φαίνομαι σιππίου διαφέρειν τῶν ἐπὶ τρυφῇ τινὰ καὶ μαλακίᾳ περιβοήτων ὀνομάσας. ὁ δὲ κάτων, ἐπειδὴ τὴν ἱερωσύνην ἔλαβε τοῦ ἀπόλλωνος, μετοικήσας, καὶ νειμάμενος μοῖραν τῶν πατρῴων ἑκατὸν εἴκοσι ταλάντων γενομένην. τὴν μὲν δίαιταν, ἔτι μᾶλλον συνέστειλεν. ἀντίπατρον δὲ τύριον τῶν ἀπὸ τῆς στοᾶς φιλοσόφων προσεταιρισάμενος, τοῖς ἠθικοῖς μάλιστα καὶ πολιτικοῖς ἐνεφύετο δόγμασι. περὶ πᾶσαν μὲν ἀρετὴν, ὥσπερ ἐπιπνοίᾳ τινὶ κατάσχετος γεγονώς. διαφερόντως δὲ τοῦ καλοῦ, τὸ περὶ τὴν δικαιοσύνην ἀτενὲς καὶ ἄκαμπτον εἰς ἐπιείκειαν ἢ χάριν ὑπερηγαπηκώς. ἤσκει δὲ καὶ τὸν ὀργανικὸν εἰς πλήθη λόγον ἀξιῶν, ὥσπερ ἐν πόλει μεγάλῃ τῇ πολιτικῇ φιλοσοφίᾳ, καὶ μάχιμον εἶναί τι παρατρεφόμενον. οὐ μέντοι μεθ' ἑτέρων ἐποιεῖτο τὰς μελέτας. οὐδ' ἠκροάσατο λέγοντος οὐδείς. ἀλλὰ καὶ πρός τινα τῶν ἑταίρων εἰπόντα μέμφονταί σου κάτων οἱ ἄνθρωποι τὴν σιωπήν. μόνον ἔφη, μὴ τὸν βίον. ἄρξομαι δὲ λέγειν, ὅταν μὴ μέλλω λέγειν ἄξια σιωπῆς. ἡ δὲ καλουμένη πορκία βασιλικὴ, τιμητικὸν ἦν ἀνάθημα τοῦ παλαιοῦ κάτωνος. εἰωθότες οὖν ἐκεῖ χρηματίζειν οἱ δήμαρχοι, καὶ κίονος τοῖς δίφροις ἐμποδὼν εἶναι δοκοῦντος, ἔγνωσαν ὑφελεῖν αὐτὸν ἢ μεταστῆσαι. τοῦτο κάτωνα πρῶτον εἰς ἀγορὰν ἄκοντα προήγαγεν. ἀντέστη γὰρ αὐτοῖς. καὶ πεῖραν ἅμα τοῦ λόγου καὶ τοῦ φρονήματος δοὺς, ἐθαυμάσθη. καὶ γὰρ ὁ λόγος, νεαρὸν μὲν οὐδὲ κομψὸν εἶχεν. ἀλλ' ἦν ὄρθιος, καὶ περιπληθής. καὶ τραχύς. οὐ μὴν, ἀλλὰ καὶ χάρις ἀγωγὸς ἀκοῆς ἐπέτρεχε τῇ τραχύτητι τῶν νοημάτων. καὶ τὸ ἦθος αὐτοῦ καταμιγνύμενον, ἡδονήν τινα καὶ μειδίαμα τῷ σεμνῷ παρεῖχεν οὐκ ἀπάνθρωπον. ἡ δὲ φωνὴ, μεγέθει μὲν, ἀποχρῶσα καὶ διαρκὴς, εἰς τοσοῦτον ἐξικέσθαι δῆμον. ἰσχὺν δὲ καὶ τόνον ἄρρηκτον εἶχεν καὶ ἄτρυτον. ἡμέραν γὰρ ὅλην εἰπὼν πολλάκις, οὐκ ἀπηγόρευσεν. Τότε δ' οὖν, κρατήσας τῆς δίκης, πάλιν ἑαυτὸν εἰς τὴν σιωπὴν καὶ τὴν ἄσκησιν συνέστειλε. καὶ διεπόνει τὸ σῶμα γυμνασίοις ἐνεργοῖς. ἐθιζόμενος ἀνέχεσθαι, καὶ καύματα, καὶ νιφετὸν, ἀκαλύπτῳ κεφαλῇ, καὶ βαδίζειν ἐν ταῖς ὁδοῖς πᾶσαν ὥραν, ἄτερ ὀχήματος. τῶν δὲ φίλων οἱ συνεκδημοῦντες, ἵπποις ἐχρῶντο. καὶ πολλάκις ἑκάστῳ παρέβαλλεν ὁ κάτων, ἐν μέρει προσδιαλεγόμενος περιπατῶν αὐτὸς, ὀχουμένων. θαυμαστῇ δὲ καὶ περὶ τὰς νόσους ὑπομονῇ μετ' ἐγκρατείας ἐχρῆτο. πυρέττων γὰρ μόνος ἐφ' ἑαυτοῦ διημέρευε, μηδένα προσιέμενος, ἄχρι οὗ βέβαιον αἴσθοιτο ῥᾳστώνην καὶ μεταβολὴν τοῦ νοσήματος. ἐν δὲ τοῖς δείπνοις, ἐκληροῦτο περὶ τῶν μερίδων, εἰ δὲ ἀπολάχοι, πρῶτον αἴρειν τῶν φίλων κελευόντων, ἔλεγε μὴ καλῶς ἔχειν, ἀκούσης τῆς ἀφροδίτης. καὶ κατ' ἀρχὰς μὲν ἅπαξ ἐπιπιὼν ἐπὶ τὸ δεῖπνον ἀνέλυε. προϊόντι δὲ τῷ χρόνῳ μάλιστα προσίετο πίνειν, ὥστε πολλάκις ἐν οἴνῳ διάγειν εἰς ὄρθρον. αἰτίαν δ' ἔλεγον οἱ φίλοι τούτου, τὴν πολιτείαν καὶ τὰ δημόσια πράγματα. πρὸς οἷς ὅλας τὸν κάτωνα τὰς ἡμέρας ὄντα. καὶ κωλυόμενον φιλολογεῖν, νύκτωρ καὶ παρὰ πότον συγγίνεσθαι τοῖς φιλοσόφοις. διὸ καὶ μεμμίου τινὸς ἐν συλλόγῳ φήσαντος, ὅλας τὸν κάτωνα μεθύσκεσθαι τὰς νύκτας, ὑπολαβὼν ὁ κικέρων. ἐκεῖνο δὲ οὐ λέγεις εἶπεν. ὅτι καὶ τὰς ἡμέρας ὅλας κυβεύει. καθόλου δὲ τοῖς τότε βίοις καὶ τοῖς ἐπιτηδεύμασιν ὁ κάτων τὴν ἐναντίαν ὁδὸν οἰόμενος δεῖν βαδίζειν, ὡς οὖσι φαύλοις. καὶ μεγάλης δεομένοις μεταβολῆς, ἐπεὶ πορφύραν ἑώρα, τὴν κατακόρως ἐρυθρὰν, καὶ ὀξεῖαν ἀγαπωμένην, αὐτὸς ἐφόρει τὴν μέλαιναν. πολλάκις δ' ἀνυπόδητος καὶ ἀχίτων εἰς τὸ δημόσιον προῄει μετ' ἄριστον. οὐ δόξαν ἐκ ταύτης τῆς καινότητος θηρώμενος, ἀλλ' ἐθίζων ἑαυτὸν ἐπὶ τοῖς αἰσχροῖς αἰσχύνεσθαι μόνοις. τῶν δὲ ἄλλων ἀδόξων καταφρονεῖν. καὶ κληρονομίαν δὲ αὐτῷ προσγενομένην, ἀνεψιοῦ κάτωνος, ἑκατὸν ταλάντων, εἰς ἀργύριον συναγαγὼν, παρεῖχεν ἄνευ τόκων, χρῆσθαι τῷ δεομένῳ τῶν φίλων. ἔνιοι δὲ καὶ χωρία. καὶ θεράποντας αὐτοῦ διδόντος καὶ βεβαιοῦντος, ὑπέθεντο πρὸς τὸ δημόσιον. Ἐπεὶ δὲ, ὥραν ᾤετο πρὸς γάμον ἔχειν, οὐδεμιᾷ γυναικὶ συνεληλυθὼς ἡρμόσατο λεπίδαν. πρότερον μὲν, ἐγγυηθεῖσαν σκιπίωνι μετέλλῳ. τότε δὲ ἀπειπαμένου τοῦ σκιπίωνος, καὶ τῆς ἐγγύης λυθείσης, σχολάζουσαν. οὐ μὴν ἀλλὰ πρὸ τοῦ γάμου μεταμεληθεὶς πάλιν ὁ σκιπίων καὶ πάντα ποιήσας, ἔλαβε τὴν κόρην. ὁ δὲ κάτων σφόδρα παροξυνθεὶς καὶ διακαεὶς, ἐπεχείρησε μὲν ἐπεξελθεῖν διὰ δίκης. ὡς δὲ οἱ φίλοι τοῦτο ἐκώλυσαν, ὀργῇ

οὐδὲν τ.ς.η.
ἀκοῆς. τ.
ὀχουμένων ς.τ.

Κάτωνι δὲ, τὸ μὲν γένος, ἀρχὴν ἐπὶ φανείας ἔλαβεν, καὶ δόξης, ἀπὸ τοῦ προπάππου Κάτωνος. ἀνδρὸς ἐν δόξῃ καὶ δυνάμει μάλιστα ῥωμαίων γενομένου δι' ἀρετὴν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. κατελείφθη δὲ γονέων ὀρφανὸς, μετ' ἀδελφοῦ Καιπίωνος, καὶ Πορκίας ἀδελφῆς. ἦν δὲ καὶ Σερβιλία Κάτωνος ὁμομήτριος ἀδελφή. καὶ πάντες οὗτοι, παρὰ Λιβίῳ Δρούσῳ, τροφὴν καὶ δίαιταν εἶχον. θείῳ μὲν ὄντι τῆς μητρὸς, ἄγοντι δὲ τὴν πολιτείαν τότε. καὶ γὰρ εἰπεῖν δεινότατος ἦν, καὶ τἆλλα σώφρων ἀνὴρ, ἐν τοῖς μάλιστα, καὶ φρονήματος οὐδενὶ ῥωμαίων ὑφιέμενος. λέγεται δὲ ὁ Κάτων, εὐθὺς ἐκ παιδίου, τῇ τε φωνῇ καὶ τῷ προσώπῳ, καὶ ταῖς περὶ τὰς παιδιὰς διατριβαῖς, ἦθος ὑποφαίνειν ἄτρεπτον καὶ ἀπαθὲς καὶ βέβαιον ἐν πᾶσιν. ἰσχύν τε γὰρ εἶχεν αὐτοῦ παρ' ἡλικίαν τελεσιουργὸν, αἱ ὁρμαί. καὶ τοῖς κολακεύουσι τραχὺς ὢν καὶ προσάντης, ἔτι μᾶλλον ἐκράτει τῶν ἐκφοβούντων. ἦν δὲ καὶ πρὸς γέλωτα κομιδῇ δυσκίνητος, ἄχρι μειδιάματος, σπανίως τῷ προσώπῳ διαχεόμενος. καὶ πρὸς ὀργὴν, οὐ ταχὺς, οὐδ' ὀλισθηρός. ὀργισθεὶς δὲ, δυσπαραίτητος. ὡς οὖν εἰς τὸ μανθάνειν ἧκε, νωθρὸς ἦν ἀναλαβεῖν, καὶ βραδύς. ἀναλαβὼν δὲ, κάτοχος καὶ μνημονικός. ὃ δὴ καὶ πέφυκεν ἄλλων, τοὺς μὲν εὐφυεῖς, ἀναμνηστικοὺς μᾶλλον εἶναι. μνημονικοὺς δὲ, τοὺς μετὰ πόνου καὶ πραγματείας παραδεχομένους. γίνεται γὰρ οἷον ἔγκαυμα τῆς ψυχῆς τῶν μαθημάτων ἕκαστον. ἔοικε δὲ καὶ τὸ δύσπειστον τῷ Κάτωνι ποιεῖν ἐργωδεστέραν τὴν μάθησιν. πάσχειν γάρ τι τὸ μανθάνειν ἀτεχνῶς ἐστί. καὶ τὸ πείθεσθαι ταχὺ τοῖς ἧττον ἀντέχειν δυναμένοις συμβέβηκεν. διὸ πείθονται μᾶλλον νέοι γερόντων, καὶ νοσοῦντες, ὑγιαινόντων. καὶ ὅλως, ἐν οἷς τὸ ἀποροῦν ἀσθενέστατόν ἐστιν, ῥᾷστον τὸ προστιθέμενον. τῷ μέντοι παιδαγωγῷ, τὸν Κάτωνα πείθεσθαι μὲν λέγουσι. καὶ ποιεῖν ἅπαν τὸ προστατ(τ)όμενον. ἑκάστου δὲ τὴν αἰτίαν ἀπαιτεῖν, καὶ τὸ διὰ τί πυνθάνεσθαι. καὶ γὰρ ἦν χαρίεις ὁ παιδαγωγὸς αὐτοῦ, καὶ λόγον ἔχων τοῦ κονδύλου προχειρότερον, ὄνομα Σαρπηδών. Ἔτι δὲ παιδὸς τοῦ Κάτωνος ὄντος, ἔπραττον οἱ σύμμαχοι τῶν ῥωμαίων, ὅπως μεθέξουσι τῆς ἐν ῥώμῃ πολιτείας, καί τις Πομπαίδιος Σίλλων. ἀνὴρ πολεμικὸς, καὶ μέγιστον ἔχων ἀξίωμα, τοῦ δὲ Δρούσου φίλος, κατέλυσεν παρ' αὐτῷ πλείονας ἡμέρας. ἐν αἷς γεγονὼς τοῖς παιδίοις συνήθης. ἄγε εἶπεν, ὅπως ὑπὲρ ἡμῶν δεήσεσθε τοῦ θείου, συναγωνίζεσθαι περὶ τῆς πολιτείας. ὁ μὲν οὖν Καιπίων διαμειδιάσας ἐπένευσεν, τοῦ δὲ Κάτωνος οὐδὲν ἀποκριναμένου, καὶ βλέποντος εἰς τοὺς ξένους, ἀτενὲς καὶ βλοσυρὸν, ὁ Πομπαίδιος. σὺ δὲ εἶπεν ἡμῖν ὦ νεανία, τί λέγεις. οὐχ οἷος εἶ τοῖς ξένοις συλλαμβάνεσθαι πρὸς τὸν θεῖον, ὥσπερ ὁ ἀδελφός. μὴ φθεγγομένου δὲ τοῦ Κάτωνος, ἀλλὰ τῇ σιωπῇ καὶ τῷ προσώπῳ δοκοῦντος ἀπολέγεσθαι τὴν δέησιν, ἀράμενος αὐτὸν ὁ Πομπαίδιος, ὑπὲρ θυρίδος ὡς ἀφήσων, ὁμολογεῖν ἐκέλευεν, ἢ ῥίψειν ἔφασκεν. ἅμα τῇ τε φωνῇ τραχυτέρᾳ χρώμενος, καὶ ταῖς χερσὶν ἀπηρτημένον τὸ σῶμα πολλάκις, ὑπὲρ τῆς θυρίδος κραδαίνων. ἐπεὶ δὲ πολὺν χρόνον οὕτω διεκαρτέρησεν ὁ Κάτων, ἀνέκπληκτος καὶ ἀδεὴς, καταθέμενος αὐτὸν ὁ Πομπαίδιος, ἡσυχῇ πρὸς τοὺς φίλους εἶπεν. οἷον εὐτύχημα τῆς Ἰταλίας, ὅτι παῖς οὗτός ἐστιν. εἰ δὲ ἀνὴρ ἦν, μίαν οὐκ ἂν οἶμαι ψῆφον ἡμῖν ἐν τῷ δήμῳ γενέσθαι. πάλιν δὲ συγγενοῦς τινος ἐν γενεθλίοις καλέσαντος ἐπὶ δεῖπνον, ἄλλους τε παῖδας καὶ τοὺς περὶ Κάτωνα, σχολὴν ἄγοντες ἔν τινι μέρει τῆς οἰκίας, ἔπαιζον αὐτοὶ καθ' ἑαυτοὺς ἀναμεμιγμένοι νεώτεροι καὶ πρεσβύτεροι. τὸ δὲ παιζόμενον ἦν, δίκαι, καὶ κατηγορίαι, καὶ ἀγωγαὶ τῶν ἁλισκομένων. εἷς οὖν τῶν ἑαλωκότων παίδων, εὐπρεπὴς τὴν ὄψιν, ὑπὸ πρεσβυτέρου παιδὸς ἀχθεὶς εἴς τι δωμάτιον, καὶ εἱρχθεὶς, ἐπεκαλεῖτο τὸν Κάτωνα. ταχὺ δὴ τὸ γινόμενον συνεὶς, ἧκεν ἐπὶ τὰς θύρας ὁ Κάτων, καὶ διωσάμενος τοὺς προεστῶτας, καὶ διακωλύοντας, ἐξήγαγε τὸν παῖδα, καὶ μετ' ὀργῆς ἔχων, ἀπῆλθεν οἴκαδε. καὶ παῖδες ἕτεροι συνηκολούθησαν. οὕτω δ' ἦν περιβόητος, ὥς τ' ἐπεὶ Σύλλας τὴν παιδικὴν καὶ ἱερὰν ἱπποδρομίαν, ἣν καλοῦσι Τροίαν ἐπὶ θέας διδάσκων, καὶ συναγαγὼν τοὺς εὐγενεῖς παῖδας, ἀπέδειξεν ἡγεμόνας δύο. ὧν τὸν μὲν ἕτερον, οἱ παῖδες ἐδέξαντο, διὰ τὴν μητέρα. Μετέλλης γὰρ ἦν υἱὸς τῆς Σύλλα γυναικός. τὸν δὲ ἕτερον, ἀδελφιδοῦν ὄντα, Πομπηΐου Σέξτον. οὐκ εἴων, οὐδὲ ἐβούλοντο μελετᾶν, οὐδὲ ἕπεσθαι. πυνθανομένου δὲ τοῦ Σύλλα, τίνα βούλοιντο, πάντες ἐβόησαν Κάτωνα, καὶ ὅτε Σέξτος αὐτὸς εἴξας παρῆκεν, ὡς κρείττονι τὴν φιλοτιμίαν. ἔτυχε δὲ καὶ φίλος ὢν ὁ Σύλλας πατρικὸς αὐτοῖς. καί ποτε προσηγάγετο καὶ προσωμίλησεν, ὀλίγοις πάνυ νέμων τοιαύτην φιλοφροσύνην, διὰ βάρος καὶ ὄγκον, ἧς εἶχεν ἀρχῆς καὶ δυνάμεως. μέγα δὴ ποιούμενος ὁ Σαρπηδὼν τοῦτο πρὸς τιμὴν ἅμα καὶ ἀσφάλειαν, ἦγεν ἀσπασόμενον τὸν Κάτωνα συνεχῶς εἰς τὴν οἰκίαν τοῦ Σύλλα. μηδὲν τότε προσιδεῖν ἀσεβῶν χώρου διαφέρουσαν, ὑπὸ πλήθους τῶν ἀγομένων καὶ στρεβλουμένων. Ἦν μὲν οὖν ἔτος ἐκεῖνο τῷ Κάτωνι τεσσαρεσκαιδέκατον. ἰδὼν δὲ κεφαλὰς ἐπιφανῶν ἀνδρῶν λεγομένων ἐκκομιζομένας, καὶ κρύφα τοὺς παρόντας ἐπιστένοντας, ἠρώτησε τὸν παιδα-

λάκις αὐτῷ πολλὰ καὶ διδόντος καὶ δεομένου λαβεῖν, οὐκ ἠθέλησεν, ἀποκρινόμενος, ὡς μᾶλλον αὐτῷ διὰ τὴν πενίαν μέγα φρονεῖν, ἢ καλλίᾳ διὰ πλοῦτον προσήκει. πλούτῳ μὲν γὰρ ἔστι πολλοὺς ἰδεῖν εὖ τε καὶ κακῶς χρωμένους, πενίαν δὲ φέροντι γενναίως, οὐ ῥᾴδιον ἐντυχεῖν. αἰσχύνεσθαι δὲ πενίαν, τοὺς ἀκουσίως πενομένους. ταῦτα δὲ τοῦ ἀριστείδου τῷ καλλίᾳ προσμαρτυρήσαντος οὐδεὶς ἦν τῶν ἀκουόντων ὃς οὐκ ἀπῄει πένης μᾶλλον ὡς ἀριστείδης εἶναι βουλόμενος, ἢ πλουτεῖν ὡς καλλίας. ταῦτα μὲν αἰσχίνης ὁ σωκρατικὸς ἀναγέγραφε. πλάτων δὲ τῶν μεγάλων δοκούντων καὶ ὀνομαστῶν ἀθήνησι, μόνον ἄξιον λόγου τοῦτον ἀποφαίνει τὸν ἄνδρα. θεμιστοκλέα μὲν γάρ, καὶ κίμωνα, καὶ περικλέα στοῶν καὶ χρημάτων καὶ φλυαρίας πολλῆς ἐμπλῆσαι τὴν πόλιν. ἀριστείδην δὲ πολιτεύσασθαι πρὸς ἀρετήν. μεγάλα δ᾽ αὐτοῦ καὶ τὰ πρὸς θεμιστοκλέα τῆς ἐπιεικείας σημεῖα. χρησάμενος γὰρ αὐτῷ παρὰ πᾶσαν τὴν πολιτείαν ἐχθρῷ, καὶ δι᾽ ἐκεῖνον ἐξοστρακισθεὶς ἐπεὶ τὴν αὐτὴν λαβὴν παρέσχεν ὁ ἀνὴρ ἐν αἰτίᾳ γενόμενος πρὸς τὴν πόλιν, οὐκ ἐμνησικάκησεν ἀλλ᾽ ἀλκμαιώνος καὶ κίμωνος καὶ πολλῶν ἄλλων ἐλαυνόντων καὶ κατηγορούντων, μόνος ἀριστείδης, οὔτ᾽ ἔπραξέ τι, οὔτ᾽ εἶπε φαῦλον, οὐδ᾽ ἀπέλαυσεν ἐχθροῦ δυστυχοῦντος, ὥσπερ οὐδ᾽ εὐημεροῦντι πρότερον ἐφθόνησε. τελευτῆσαι δὲ ἀριστείδην. οἱ μὲν, ἐν πόντῳ φασὶν ἐκπλεύσαντα πράξεων ἕνεκα δημοσίων. οἱ δ᾽ ἀθήνησι γήρᾳ, τιμώμενον καὶ θαυμαζόμενον ὑπὸ τῶν πολιτῶν. κρατερὸς δ᾽ ὁ μακεδών, τοιαῦτά τινα περὶ τῆς τελευτῆς τοῦ ἀνδρὸς εἴρηκε. μετὰ γὰρ τὴν θεμιστοκλέους φυγήν, φησὶν ὥσπερ ἐξυβρίσαντα τὸν δῆμον, ἀναφῦσαι πλῆθος συκοφαντῶν. οἳ τοὺς ἀρίστους καὶ δυνατωτάτους ἄνδρας διώκοντες, ὑπέβαλλον τῷ φθόνῳ τῶν πολλῶν ἐπαιρομένων ὑπ᾽ εὐτυχίας καὶ δυνάμεως. ἐν τούτοις καὶ ἀριστείδην ἁλῶναι δωροδοκίας διοφάντου τοῦ ἀμφιτροπῆθεν κατηγοροῦντος, ὡς ὅτε τοὺς φόρους ἔταττε, παρὰ τῶν ἰώνων χρήματα λαβόντος. ἐκτῖσαι δ᾽ οὐκ ἔχοντος τὴν καταδίκην, πεντήκοντα μνῶν οὖσαν, ἐκπλεῦσαι, καὶ περὶ τὴν ἰωνίαν ἀποθανεῖν. τούτων οὐδὲν ἔγγραφον ὁ κρατερὸς τεκμήριον παρέχων. οὔτε δίκην οὔτε ψήφισμα. καίπερ εἰωθὼς, ἐπιεικῶς γράφειν τὰ τοιαῦτα, καὶ παρατίθεσθαι τοὺς ἱστοροῦντας. οἱ δ᾽ ἄλλοι πάντες ὡς ἔπος εἰπεῖν, ὅσοι τὰ πλημμεληθέντα τῷ δήμῳ περὶ τοὺς στρατηγοὺς διεξίασι, τὴν μὲν θεμιστοκλέους φυγήν. καὶ τὰ μιλτιάδου δεσμά, καὶ τὴν περικλέους ζημίαν. καὶ τὸν πάχητος ἐν τῷ δικαστηρίῳ θάνατον ἀνελόντος αὑτὸν ἐπὶ τοῦ βήματος, ὡς ἡλίσκετο. καὶ πολλὰ τοιαῦτα, συνάγουσι καὶ θρυλλοῦσιν, ἀριστείδου δὲ τὸν μὲν ἐξοστρακισμὸν παρατίθενται, καταδίκης δὲ τοιαύτης οὐδαμοῦ μνημονεύουσι. καὶ μέντοι καὶ τάφος ἐστὶν αὐτοῦ φαληροῖ δεικνύμενος. ὅν φασι κατασκευάσαι τὴν πόλιν αὐτῷ, μηδ᾽ ἐντάφια καταλιπόντι. καὶ τὰς μὲν θυγατέρας ἱστοροῦσιν ἐκ τοῦ πρυτανείου τοῖς νυμφίοις ἐκδοθῆναι, δημοσίᾳ τῆς πόλεως τὸν γάμον ἐγγυώσης, καὶ προῖκα τρισχιλίας δραχμὰς ἑκατέρᾳ ψηφισαμένης, λυσιμάχῳ δὲ τῷ υἱῷ, μνᾶς μὲν ἑκατὸν ἀργυρίου, καὶ γῆς τοσαῦτα πλέθρα πεφυτευμένης, ἔδωκεν ὁ δῆμος, ἄλλας δὲ δραχμὰς τέσσαρας εἰς ἡμέραν ἑκάστην ἀπέταξεν, ἀλκιβιάδου τὸ ψήφισμα γράψαντος. ἔτι δὲ λυσιμάχου θυγατέρα πολυκρίτην ἀπολιπόντος, ὡς καλλισθένης φησί, καὶ ταύτῃ σίτησιν ὅσην καὶ τοῖς ὀλυμπιονίκαις ὁ δῆμος ἐψηφίσατο. δημήτριος δ᾽ ὁ φαληρεὺς καὶ ἱερώνυμος ὁ ῥόδιος καὶ ἀριστόξενος ὁ μουσικὸς καὶ ἀριστοτέλης, εἰ δὴ τὸ περὶ εὐγενείας βιβλίον ἐν τοῖς γνησίοις ἀριστοτέλους θετέον, ἱστοροῦσι, μυρτὼ θυγατριδῆν ἀριστείδου, σωκράτει τῷ σοφῷ συνοικῆσαι. γυναῖκα μὲν ἑτέραν ἔχοντι, ταύτην δ᾽ ἀναλαβόντι χηρεύουσαν διὰ πενίαν καὶ τῶν ἀναγκαίων ἐνδεομένην. πρὸς μὲν οὖν τούτους, ἱκανῶς ὁ παναίτιος ἐν τοῖς περὶ σωκράτους ἀντείρηκεν. ὁ δὲ φαληρεὺς ἐν τῷ σωκράτει φησὶ μνημονεύειν ἀριστείδου θυγατριδοῦν εὖ μάλα πένητα λυσίμαχον, ὃς ἑαυτὸν ἐκ πινακίου τινὸς ὀνειροκριτικοῦ, παρὰ τὸ ἰακχεῖον λεγόμενον καθεζόμενος, ἔβοσκε. τῇ δὲ μητρὶ καὶ τῇ ταύτης ἀδελφῇ ψήφισμα γράψας, δωρεὰν ἔπεισε τὸν δῆμον διδόναι, τριόβολον ἑκάστης ἡμέρας. αὐτὸς μέντοι ὁ δημήτριος νομοθετῶν, ἐψηφίσατο δραχμὴν ἑκατέρᾳ τάξαι τῶν γυναικῶν, καὶ οὐδέν ἐστι θαυμαστὸν οὕτω φροντίσαι τῶν ἐν ἄστει τὸν δῆμον, ὅπου θυγατριδῆν ἀριστογείτονος ἐν λήμνῳ πυθόμενοι ταπεινὰ πράττειν ἀνδρὸς ἀποροῦσαν διὰ πενίαν, κατήγαγον ἀθήναζε. καὶ συνοικίσαντες ἀνδρὶ τῶν εὖ γεγονότων, τὸ ποταμοῖ χωρίον εἰς φερνὴν ἐπέδωκαν. ἧς φιλανθρωπίας καὶ χρηστότητος ἔτι πολλὰ καὶ καθ᾽ ἡμᾶς ἡ πόλις ἐκφέρουσα δείγματα, θαυμάζεται καὶ ζηλοῦται δικαίως.

χίοις τῶν συμμάχων, ἀεὶ μετ' ὀργῆς ἐντύγχανε καὶ τραχέως, τούς τε πολλοὺς ἐκόλαζε πληγαῖς. ἢ σιδηρᾶν ἄγκυραν ἐπιτιθεὶς ἠνάγκαζεν ἑστάναι δι' ὅλης τῆς ἡμέρας. στιβάδα δ' οὐκ ἦν λαβεῖν οὐδὲ χόρτον οὐδὲ κρήνῃ προσελθεῖν, ὑδρευσόμενον οὐδένα πρὸ τῶν σπαρτιατῶν, ἀλλὰ μάστιγας ἔχοντες ὑπηρέται, τοὺς προσιόντας ἀπήλαυνον. ὑπὲρ ὧν τοῦ ἀριστείδου ποτ' ἐγκαλέσαι καὶ διδάξαι βουλομένου, συναγαγὼν τὸ πρόσωπον ὁ παυσανίας, οὐκ ἔφη σχολάζειν, οὐδ' ἤκουσεν. ἐκ τούτου προσιόντες οἱ ναύαρχοι καὶ στρατηγοὶ τῶν ἑλλήνων. μάλιστα δὲ χῖοι καὶ σάμιοι καὶ λέσβιοι, τὸν ἀριστείδην ἔπειθον ἀναδέξασθαι τὴν ἡγεμονίαν, καὶ προσαγαγέσθαι τοὺς συμμάχους, πάλαι δεομένους ἀπαλλαγῆναι τῶν σπαρτιατῶν καὶ μεταταξασθαι πρὸς τοὺς ἀθηναίους. ἀποκρινομένου δ' ἐκείνου τοῖς μὲν λόγοις αὐτῶν, τὸ ἀναγκαῖον ὁρᾶν καὶ τὸ δίκαιον. ἔργου δὲ δεῖσθαι τὴν πίστιν, ὃ πραχθὲν οὐκ ἐάσει πάλιν μεταβαλέσθαι τοὺς πολλούς, οὕτως οἱ περὶ τὸν σάμιον οὐλιάδην, καὶ τὸν χῖον ἀνταγόραν συνομοσάμενοι, περὶ βυζάντιον ἐμβάλλουσιν εἰς τὴν τριήρη τοῦ παυσανίου προεκπλέουσαν ἐν μέσῳ λαβόντες. ὡς δὲ κατιδὼν ἐκεῖνος ἐξανέστη, καὶ μετ' ὀργῆς ἠπείλησεν ὀλίγῳ χρόνῳ τοὺς ἄνδρας ἐπιδείξειν, οὐκ εἰς τὴν αὐτοῦ ναῦν ἐμβεβληκότας, ἀλλ' εἰς τὰς ἰδίας πατρίδας, ἐκέλευον αὐτὸν ἀπιέναι καὶ ἀγαπᾶν τὴν συναγωνισαμένην τύχην ἐν πλαταιαῖς. ἐκείνην γὰρ ἔτι τοὺς ἕλληνας αἰσχυνομένους μὴ λαμβάνειν ἀξίαν δίκην παρ' αὐτοῦ. τέλος δ' ἀποστάντες, ᾤχοντο πρὸς τοὺς ἀθηναίους. ἔνθα δὴ καὶ τὸ φρόνημα τῆς σπάρτης, διεφάνη θαυμαστόν. ὡς γὰρ ᾔσθοντο διὰ τὰ μεγέθη τῆς ἐξουσίας διαφθειρομένους αὐτῶν τοὺς ἄρχοντας, ἀφῆκαν ἑκουσίως τὴν ἡγεμονίαν. καὶ πέμποντες ἐπὶ τὸν πόλεμον, ἔπαυσαν τοὺς στρατηγούς, μᾶλλον αἱρούμενοι σωφρονοῦντας ἔχειν καὶ τοῖς ἔθεσιν ἐμμένοντας τοὺς πολίτας, ἢ τῆς ἑλλάδος ἔχειν τὴν ἀρχὴν ἁπάσης. οἱ δ' ἕλληνες ἐτέλουν μέν τινα καὶ λακεδαιμονίων ἡγουμένων ἀποφορὰν, εἰς τὸν πόλεμον ταχθῆναι δὲ βουλόμενοι κατὰ πόλιν ἑκάστοις τὸ μέτριον, ᾐτήσαντο παρὰ τῶν ἀθηναίων ἀριστείδην, καὶ προσέταξαν αὐτῷ χώραν τε καὶ προσόδους ἐπισκεψάμενον, ὁρίσαι τὸ κατ' ἀξίαν ἑκάστῳ καὶ δύναμιν. ὁ δὲ τηλικαύτης ἐξουσίας κύριος γενόμενος, καὶ τρόπον τινὰ τῆς ἑλλάδος ἐπ' αὐτῷ μόνῳ τὰ πράγματα πάντα θεμένης, πένης μὲν ἐξῆλθεν, ἐπανῆλθε δὲ πενέστερος, οὐ μόνον καθαρῶς καὶ δικαίως, ἀλλὰ καὶ προσφιλῶς πᾶσι καὶ ἁρμοδίως τὴν ἐπιγραφὴν τῶν χρημάτων ποιησάμενος. ὡς γὰρ οἱ παλαιοὶ τὸν ἐπὶ κρόνου βίον, οὕτως οἱ σύμμαχοι τῶν ἀθηναίων, τὸν ἐπ' ἀριστείδου φόρον, εὐποτμίαν τινὰ τῆς ἑλλάδος ὀνομάζοντες, ὕμνουν καὶ μάλιστα, μετ' οὐ πολὺν χρόνον διπλασιασθέντος, εἶτ' αὖθις τριπλασιασθέντος. ὃν μὲν γὰρ ἀριστείδης ἔταξεν, ἦν εἰς ἑξήκοντα καὶ τετρακοσίων ταλάντων λόγον. τούτῳ περικλῆς μὲν ἐπέθηκεν ὀλίγου δεῖν τὸ τρίτον μέρος. ἑξακόσια γὰρ τάλαντα θουκυδίδης φησὶν ἀρχομένου τοῦ πολέμου προσιέναι τοῖς ἀθηναίοις ἀπὸ τῶν συμμάχων. περικλέους δ' ἀποθανόντος, ἐπιτείνοντες οἱ δημαγωγοὶ κατὰ μικρὸν, εἰς χιλίων καὶ τριακοσίων ταλάντων κεφάλαιον ἀνήγαγον. οὐχ οὕτω τοῦ πολέμου διὰ μῆκος καὶ τύχας δαπανηροῦ γενομένου καὶ πολυτελοῦς ὡς τὸν δῆμον εἰς διανομὰς καὶ θεωρικὰ καὶ κατασκευὰς ἀγαλμάτων καὶ ἱερῶν προαγαγόντες. μέγα δ' οὖν ὄνομα τοῦ ἀριστείδου καὶ θαυμαστὸν ἔχοντος, ἐπὶ τῇ διατάξει τῶν φόρων, ὁ θεμιστοκλῆς λέγεται καταγελᾶν ὡς οὐκ ἀνδρὸς ὄντα τὸν ἔπαινον, ἀλλὰ θυλάκου χρυσοφύλακος, ἀνομοίως ἀμυνόμενος τὴν ἀριστείδου παρρησίαν. ἐκεῖνος γὰρ εἰπόντος ποτὲ τοῦ θεμιστοκλέους, ἀρετὴν ἡγεῖσθαι μεγίστην στρατηγοῦ, τὸ γινώσκειν καὶ προαισθάνεσθαι τὰ βουλεύματα τῶν πολεμίων, τοῦτο μὲν εἰπεῖν ἀναγκαῖόν ἐστιν ὦ θεμιστόκλεις, καλὸν δὲ καὶ στρατηγικὸν ἀληθῶς, ἡ περὶ τὰς χεῖρας ἐγκράτεια. ὁ δ' ἀριστείδης ὥρκισε μὲν τοὺς ἕλληνας καὶ ὤμοσεν ὑπὲρ τῶν ἀθηναίων, μύδρους ἐμβαλὼν ἐπὶ ταῖς ἀραῖς εἰς τὴν θάλατταν. ὕστερον δὲ τῶν πραγμάτων ἄρχειν ἐγκρατέστερον ὡς ἔοικεν ἐκβιαζομένων, ἐκέλευε τοὺς ἀθηναίους τὴν ἐπιορκίαν τρέψαντας εἰς αὑτὸν, ᾗ συμφέρει χρῆσθαι τοῖς πράγμασι. καθ' ὅλου δ' ὁ θεόφραστός φησι τὸν ἄνδρα τοῦτον, περὶ τὰ οἰκεῖα καὶ τοὺς πολίτας ἄκρως ὄντα δίκαιον, ἐν τοῖς κοινοῖς πολλὰ πρᾶξαι πρὸς τὴν ὑπόθεσιν τῆς πατρίδος, ὡς συχνῆς ἀδικίας δεομένης. καὶ γὰρ τὰ χρήματά φησιν ἐκ δήλου βουλευομένων ἀθήναζε κομίσαι παρὰ τὰς συνθήκας καὶ σαμίων εἰσηγουμένων εἰπεῖν ἐκεῖνον, ὡς οὐ δίκαιον μὲν, συμφέρον δὲ τοῦτ' ἐστί. καὶ τέλος εἰς τὸ ἄρχειν ἀνθρώπων τοσούτων καταστήσας τὴν πόλιν, αὐτὸς ἔμεινε τῇ πενίᾳ. καὶ τὴν ἀπὸ τοῦ πένης εἶναι δόξαν οὐδὲν ἧττον ἀγαπῶν, τῆς ἀπὸ τῶν τροπαίων διετέλεσε. δῆλον δ' ἐκεῖθεν. καλλίας ὁ δᾳδοῦχος, ἦν αὐτῷ γένει προσήκων. τοῦτον οἱ ἐχθροὶ θανάτου διώκοντες, ἐπεὶ περὶ ὧν ἐγράψαντο μετρίως κατηγόρησαν, εἶπόν τινα λόγον ἔξωθεν τοιοῦτον πρὸς τοὺς δικαστάς. ἀριστείδην ἔφησαν ἴστε τὸν λυσιμάχου θαυμαζόμενον ἐν τοῖς ἕλλησι, τούτῳ πῶς οἴεσθε τὰ κατ' οἶκον ἔχειν, ὁρῶντες αὐτὸν ἐν τρίβωνι τοιούτῳ προερχόμενον εἰς τὸ δημόσιον. ἆρ' οὐκ εἰκός ἐστι τὸν ῥιγοῦντα φανερῶς καὶ πεινᾶν οἴκοι, καὶ τῶν ἄλλων ἐπιτηδείων σπανίζειν; τοῦτον μέντοι καλλίας ἀνεψιὸν ὄντα πλουσιώτατος ὢν ἀθηναίων, περιορᾷ μετὰ τέκνων καὶ γυναικὸς ἐνδεόμενον, πολλὰ κεχρημένος τῷ ἀνδρί. καὶ πολλάκις αὐτοῦ τῆς παρ' ὑμῖν δυνάμεως ἀπολελαυκώς. ὁ δὲ καλλίας ὁρῶν ἐπὶ τούτῳ μάλιστα θορυβοῦντας τοὺς δικαστὰς καὶ χαλεπῶς πρὸς αὐτὸν ἔχοντας, ἐκάλει τὸν ἀριστείδην ἀξιῶν μαρτυρῆσαι πρὸς τοὺς δικαστὰς, ὅτι πολ-

αἰτήσων τὸ ἀριστεῖον. ἦν γὰρ ἐν ἀξιώματι μεγίστῳ μετὰ τὴν σπάρτην καὶ τὰς ἀθήνας ἡ κόρινθος. εἶπε δὲ, πᾶσιν ἀρέσαντα καὶ θαυμαστὸν λόγον, ὑπὲρ πλαταιέων. καὶ συνεβούλευσε τὴν φιλονεικίαν σβεῖν, ἐκείνοις τὸ ἀριστεῖον ἀποδόντας, οἷς οὐδετέρους τιμωμένοις ἄχθεσθαι. ῥηθέντων δὲ τούτων, πρῶτος μὲν ἀριστείδης συνεχώρησεν ὑπὲρ τῶν ἀθηναίων. ἔπειτα παυσανίας ὑπὲρ τῶν λακεδαιμονίων. οὕτω δὲ διαλλαγέντες, ἐξεῖλον ὀγδοήκοντα τάλαντα τοῖς πλαταιεῦσιν, ἀφ᾽ ὧν τὸ τῆς ἀθηνᾶς ᾠκοδόμησαν ἱερὸν, καὶ τὸ ἕδος ἔστησαν. καὶ γραφαῖς τὸν νεὼν διεκόσμησαν. αἳ μέχρι νῦν ἀκμάζουσαι διαμένουσιν. ἔστησαν δὲ τρόπαιον, ἰδίᾳ μὲν λακεδαιμόνιοι. χωρὶς δ᾽ ἀθηναῖοι. περὶ δὲ θυσίας ἐρομένοις αὐτοῖς, ἀνεῖλεν ὁ πύθιος. διὸς ἐλευθερίου βωμὸν ἱδρύσασθαι. θῦσαι δὲ μὴ πρότερον, ἢ τὸ κατὰ τὴν χώραν πῦρ ἀποσβέσαντας, ὡς ὑπὸ τῶν βαρβάρων μεμιασμένον, ἐναύσασθαι καθαρὸν ἐκ δελφῶν ἀπὸ τῆς κοινῆς ἑστίας. οἱ μὲν οὖν ἄρχοντες τῶν ἑλλήνων περιιόντες εὐθὺς, ἠνάγκαζον ἀποσβεννύναι τὰ πυρὰ πάντα τοὺς χρωμένους. ἐκ δὲ πλαταιέων, εὐχίδας ὑποσχόμενος, ὡς ἐνδέχεται τάχιστα κομιεῖν τὸ παρὰ τοῦ θεοῦ πῦρ, ἧκεν εἰς δελφούς. ἁγνίσας δὲ τὸ σῶμα καὶ περιρρανάμενος, ἐστεφανώσατο δάφνῃ. καὶ λαβὼν ἀπὸ τοῦ βωμοῦ τὸ πῦρ, δρόμῳ πάλιν εἰς τὰς πλαταιὰς ἐχώρει. καὶ πρὸ ἡλίου δυσμῶν ἐπανῆλθε, τῆς αὐτῆς ἡμέρας χιλίους σταδίους ἀνύσας. ἀσπασάμενος δὲ τοὺς πολίτας καὶ τὸ πῦρ παραδοὺς, εὐθὺς ἔπεσε, καὶ μετὰ μικρὸν ἐξέπνευσεν. ἀράμενοι δ᾽ αὐτὸν οἱ πλαταιεῖς, ἔθαψαν ἐν τῷ ἱερῷ τῆς εὐκλείας ἀρτέμιδος, ἐπιγράψαντες, τόδε τὸ τετράμετρον. εὐχίδας πυθῶδε θρέξας, ἦλθε τᾷδ᾽ αὐθημερόν. τὴν δ᾽ εὔκλειαν, οἱ μὲν πολλοὶ, καὶ καλοῦσι καὶ νομίζουσιν ἄρτεμιν. ἔνιοι δέ φασιν, ἡρακλέους μὲν θυγατέρα καὶ μυρτοῦς γενέσθαι τῆς μενοιτίου μὲν θυγατρὸς, πατρόκλου δ᾽ ἀδελφῆς. τελευτήσασαν δὲ παρθένον, ἔχειν παρά τε βοιωτοῖς καὶ λοκροῖς τιμάς. βωμὸς γὰρ αὐτῇ καὶ ἄγαλμα παρὰ πᾶσαν ἀγορὰν ἵδρυται, καὶ προθύουσιν, αἵ τε γαμούμεναι καὶ οἱ γαμοῦντες. ἐκ τούτου γενομένης ἐκκλησίας κοινῆς τῶν ἑλλήνων, ἔγραψεν ἀριστείδης ψήφισμα, συνιέναι μὲν εἰς πλαταιὰς καθ᾽ ἕκαστον ἐνιαυτὸν, τοὺς ἀπὸ τῆς ἑλλάδος προβούλους καὶ θεωρούς, ἄγεσθαι δὲ, πενταετηρικὸν ἀγῶνα τῶν ἐλευθερίων. εἶναι δὲ σύνταξιν ἑλληνικὴν, μυρίας μὲν ἀσπίδας. χιλίους δὲ ἵππους. ναῦς δ᾽ ἑκατὸν, ἐπὶ τὸν πρὸς βαρβάρους πόλεμον. πλαταιεῖς δ᾽ ἀσύλους καὶ ἱεροὺς ἀφεῖσθαι τῷ θεῷ θύοντας ὑπὲρ τῆς ἑλλάδος. κυρωθέντων δὲ τούτων, οἱ πλαταιεῖς ὑπεδέξαντο τοῖς πεσοῦσι καὶ κειμένοις αὐτόθι τῶν ἑλλήνων, ἐναγίζειν καθ᾽ ἕκαστον ἐνιαυτὸν καὶ τοῦτο μέχρι νῦν δρῶσι τοῦτον τὸν τρόπον. τοῦ μαιμακτηριῶνος μηνὸς, ὅς ἐστι παρὰ βοιωτοῖς ἀλαλκομένιος, τῇ ἕκτῃ ἐπὶ δέκα πέμπουσι πομπήν. ἧς προηγεῖται μὲν, ἅμ᾽ ἡμέρᾳ σαλπιγκτὴς, ἐγκελευόμενος τὸ πολεμικὸν, ἕπονται δ᾽ ἅμαξαι μυρρίνης μεσταὶ καὶ στεφανωμάτων. καὶ μέλας ταῦρος. καὶ χοὰς οἴνου καὶ γάλακτος ἐν ἀμφορεῦσιν. ἐλαίου τε καὶ μύρου κρωσσοὺς, νεανίσκοι κομίζοντες ἐλεύθεροι. δούλῳ γὰρ οὐδενὸς ἔξεστι τῶν περὶ τὴν διακονίαν ἐκείνην προσάψασθαι. διὰ τὸ τοὺς ἄνδρας ἀποθανεῖν ὑπὲρ ἐλευθερίας. ἐπὶ πᾶσι δὲ τῶν πλαταιέων ὁ ἄρχων ᾧ τὸν ἄλλον χρόνον οὔτε σιδήρου θιγεῖν ἔξεστιν. οὔθ᾽ ἑτέραν ἐσθῆτα πλὴν λευκῆς ἀναλαβεῖν, τότε χιτῶνα φοινικοῦν ἐνδεδυκὼς, ἀράμενός τε ὑδρίαν ἀπὸ τοῦ γραμματοφυλακίου, ξιφήρης ἐπὶ τοὺς τάφους προάγει διὰ μέσης τῆς πόλεως. εἶτα λαβὼν ὕδωρ ἀπὸ τῆς κρήνης, αὐτὸς ἀπολούει τὰς στήλας. καὶ μύρῳ χρίει. καὶ τὸν ταῦρον εἰς τὴν πυρὰν σφάξας, καὶ κατευξάμενος, διὶ καὶ ἑρμῇ χθονίῳ παρακαλεῖ τοὺς ἀγαθοὺς ἄνδρας τοὺς ὑπὲρ τῆς ἑλλάδος ἀποθανόντας, ἐπὶ τὸ δεῖπνον καὶ τὴν αἱμοκουρίαν, ἔπειτα κρατῆρα κεράσας οἴνου, καὶ χεάμενος, ἐπιλέγει. προπίνω τοῖς ἀνδράσι τοῖς ὑπὲρ τῆς ἐλευθερίας τῶν ἑλλήνων ἀποθανοῦσι. ταῦτα μὲν οὖν ἔτι καὶ νῦν διαφυλάττουσιν οἱ πλαταιεῖς. ἐπεὶ δ᾽ ἀναχωρήσαντας εἰς τὸ ἄστυ τοὺς ἀθηναίους ὁ ἀριστείδης ζητοῦντας ἑώρα ἀπολαβεῖν τὴν δημοκρατίαν. ἅμα μὲν ἄξιον ἡγούμενος διὰ τὴν ἀνδραγαθίαν ἐπιμελείας τὸν δῆμον, ἅμα δ᾽ οὐκ ἔτι ῥᾴδιον ἰσχύοντα τοῖς ὅπλοις, καὶ μέγα φρονοῦντα ταῖς νίκαις ἐκβιασθῆναι, γράφει ψήφισμα κοινὴν εἶναι τὴν πολιτείαν, καὶ τοὺς ἄρχοντας ἐξ ἀθηναίων πάντων αἱρεῖσθαι. θεμιστοκλέους δὲ πρὸς τὸν δῆμον εἰπόντος ὡς ἔχει τι βούλευμα καὶ γνώμην ἀπόρρητον, ὠφέλιμον δὲ τῇ πόλει καὶ σωτήριον, ἐκέλευσαν ἀριστείδην μόνον ἀκοῦσαι καὶ συνδοκιμάσαι. φράσαντος δὲ τῷ ἀριστείδῃ ὡς διανοεῖται τὸν ναύσταθμον ἐμπρῆσαι τῶν ἑλλήνων. οὕτω γὰρ ἔσεσθαι μεγίστους ἁπάντων καὶ κυρίους τοὺς ἀθηναίους, παρελθὼν εἰς τὸν δῆμον ὁ ἀριστείδης, ἔφη. τῆς πράξεως ἣν ὁ θεμιστοκλῆς πράττειν διανοεῖται, μήτε λυσιτελεστέραν ἄλλην, μήτ᾽ ἀδικωτέραν εἶναι. ταῦτ᾽ ἀκούσαντες οἱ ἀθηναῖοι, παύσασθαι τὸν θεμιστοκλέα προσέταξαν. οὕτω μὲν ὁ δῆμος ἦν φιλοδίκαιος. οὕτω δὲ τῷ δήμῳ ὁ ἀνὴρ πιστὸς καὶ βέβαιος. ἐπεὶ δὲ στρατηγὸς ἐκπεμφθεὶς μετὰ κίμωνος ἐπὶ τὸν πόλεμον, ἑώρα τόν τε παυσανίαν καὶ τοὺς ἄλλους ἄρχοντας τῶν σπαρτιατῶν ἐπαχθεῖς καὶ χαλεποὺς τοῖς συμμάχοις ὄντας, αὐτός τε πρᾴως καὶ φιλανθρώπως ὁμιλῶν καὶ τὸν κίμωνα παρέχων εὐάρμοστον αὐτοῖς καὶ κοινὸν ἐν ταῖς στρατείαις, ἔλαθε τῶν λακεδαιμονίων οὐχ ὅπλοις, οὐδὲ ναυσὶν, οὐδ᾽ ἵπποις, εὐγνωμοσύνῃ δὲ καὶ πολιτείᾳ τὴν ἡγεμονίαν παρελόμενος. προσφιλεῖς γὰρ ὄντας τοὺς ἀθηναίους τοῖς ἕλλησι διὰ τὴν ἀριστείδου δικαιοσύνην καὶ τὴν κίμωνος ἐπιείκειαν, ἔτι μᾶλλον ἡ παυσανίου πλεονεξία καὶ βαρύτης, ποθεινοὺς ἐποίει. τοῖς τε γὰρ ἄρ-

συντελεῖσθαι. δυσφορῶν οὖν ὁ παυσανίας τοῖς παροῦσιν, ἄλλα τοῦ μάντεως ἐπ᾽ ἄλλοις ἱερεῖα καταβάλλοντος, τρέπεται πρὸς τὸ ἡραῖον τῇ ὄψει δεδακρυμένος. καὶ τὰς χεῖρας ἀνασχὼν, εὔξατο κιθαιρωνίᾳ ἥρα, καὶ θεοῖς ἄλλοις οἳ πλαταιΐδα γῆν ἔχουσιν, εἰ μὴ πέπρωται τοῖς ἕλλησι νικᾶν, ἀλλὰ δράσαντάς γέ τι παθεῖν, καὶ δείξαντας ἔργῳ τοῖς πολεμίοις, ὡς ἐπ᾽ ἄνδρας ἀγαθοὺς, καὶ μάχεσθαι μεμαθηκότας ἐστράτευσαν. ταῦτα τοῦ παυσανίου θεοκλυτοῦντος ἅμα ταῖς εὐχαῖς, ἐφάνη τὰ ἱερὰ καὶ νίκην οἱ μάντεις ἐμήνυον. καὶ δοθέντος εἰς ἅπαντας παραγγέλματος καθίστασθαι πρὸς τοὺς πολεμίους, ἥ τε φάλαγξ ὄψιν ἔσχεν αἰφνιδίως, ἑνὸς ζώου θυμοειδοῦς πρὸς ἀλκὴν τρεπομένου καὶ φρίξαντος, τοῖς τε βαρβάροις τότε παρέστη λογισμὸς, ὡς πρὸς ἄνδρας ὁ ἀγὼν ἔσοιτο, μαχουμένους ἄχρι θανάτου. διὸ καὶ προθέμενοι πολλὰ τῶν γέρρων, ἐτόξευον τοὺς λακεδαιμονίους. οἱ δὲ τηροῦντες ἅμα τὸν συνασπισμὸν ἐπέβαινον. καὶ προσπεσόντες, ἐξεώθουν τὰ γέρρα. καὶ τοῖς δόρασι τύπτοντες πρόσωπα καὶ στέρνα τῶν περσῶν, πολλοὺς κατέβαλλον, οὐκ ἀπράκτως, οὐδὲ ἀθύμως πίπτοντας. καὶ γὰρ ἀντιλαμβανόμενοι τῶν δορατίων ταῖς χερσὶ γυμναῖς, συνέθραυον τὰ πλεῖστα. καὶ πρὸς τὰς ξιφουλκίας ἐχώρουν, οὐκ ἀργῶς. ἀλλὰ ταῖς κοπίσι καὶ τοῖς ἀκινάκαις χρώμενοι, χρόνον πολὺν ἀντεῖχον. οἱ δ᾽ ἀθηναῖοι, τέως μὲν ἠρέμουν ἀναμένοντες τοὺς λακεδαιμονίους. ἐπεὶ δὲ κραυγὴ προσέπιπτε πολλὴ μαχομένων, καὶ παρῆν ὥς φασιν ἄγγελος παρὰ παυσανίου τὰ γινόμενα φράζων, ὥρμησαν κατὰ τάχος βοηθεῖν. καὶ προχωροῦσιν αὐτοῖς διὰ τοῦ πεδίου πρὸς τὴν βοὴν, ἐπεφέροντο τῶν ἑλλήνων οἱ μηδίζοντες. ἀριστείδης δὲ, πρῶτον μὲν ὡς εἶδε, πολὺ προελθὼν, ἐβόα μαρτυρόμενος ἑλληνίους θεοὺς, ἀπέχεσθαι μάχης, καὶ μὴ σφίσιν ἐμποδὼν εἶναι. μὴ δὲ κωλύειν ἐπαμύνοντας τοῖς προκινδυνεύουσιν ὑπὲρ τῆς ἑλλάδος. ἐπεὶ δ᾽ ἑώρα μὴ προσέχοντας αὐτῷ καὶ συντεταγμένους ἐπὶ τὴν μάχην. οὕτω τῆς ἐκεῖ βοηθείας ἀποτραπόμενος, συνέβαλλε τούτοις περὶ πεντακισμυρίους οὖσιν. ἀλλὰ τὸ μὲν πλεῖστον, εὐθὺς ἐνέδωκε, καὶ ἀπεχώρησεν, ἅτε δὴ καὶ τῶν βαρβάρων ἀπηλλαγμένων. ἡ δὲ μάχη λέγεται μάλιστα κατὰ θηβαίους γενέσθαι προθυμότατα, τῶν πρώτων καὶ δυνατωτάτων τότε παρ᾽ αὐτοῖς μηδιζόντων. καὶ τὸ πλῆθος οὐ κατὰ γνώμην, ἀλλ᾽ ὀλιγαρχούμενον ἀγόντων. οὕτω δὲ τοῦ ἀγῶνος δίχα συνεστῶτος, πρῶτον μὲν ἐώσαντο τοὺς πέρσας οἱ λακεδαιμόνιοι. καὶ τὸν μαρδόνιον ἀνὴρ σπαρτιάτης ὄνομα ἀείμνηστος, ἀποκτίννυσι λίθῳ τὴν κεφαλὴν πατάξας, ὥσπερ αὐτῷ προεσήμανε, τὸ ἐν ἀμφιαράου μαντεῖον. ἔπεμψε γὰρ ἄνδρα λυδὸν ἐνταῦθα, καὶ ἕτερον εἰς τροφωνίου, ὁ μαρδόνιος. καὶ τοῦτον μὲν ὁ προφήτης καρικῇ γλώσσῃ προσεῖπεν. ὁ δὲ λυδὸς ἐν τῷ σηκῷ τοῦ ἀμφιαράου κατευνασθεὶς, ἔδοξεν ὑπηρέτην τινὰ τοῦ θεοῦ παραστῆναι. καὶ κελεύειν αὐτὸν ἀπεῖναι. μὴ βουλομένου δὲ, λίθον εἰς τὴν κεφαλὴν ἐμβαλεῖν μέγαν, ὥστε δόξαι πληγέντα, τεθνάναι τὸν ἄνθρωπον. καὶ ταῦτα μὲν οὕτω γενέσθαι λέγεται. τοὺς δὲ φεύγοντας, εἰς τὰ ξύλινα τείχη καθεῖρξαν. ὀλίγῳ δ᾽ ὕστερον ἀθηναῖοι, τοὺς θηβαίους τρέπονται, τριακοσίους τοὺς ἐπιφανεστάτους καὶ πρώτους διαφθείραντες ἐν αὐτῇ τῇ μάχῃ. γεγενημένης γὰρ τῆς τροπῆς, ἧκεν αὐτοῖς ἄγγελος πολιορκεῖσθαι τὸ βαρβαρικὸν, εἰς τὰ τείχη κατακεκλεισμένον. οὕτω δὴ σώζεσθαι τοὺς ἕλληνας ἐάσαντες, ἐβοήθουν πρὸς τὰ τείχη. καὶ τοῖς λακεδαιμονίοις παντάπασιν ἀργῶς πρὸς τειχομαχίαν καὶ ἀπείρως ἔχουσιν, ἐπιφανέντες, αἱροῦσι τὸ στρατόπεδον φόνῳ πολλῷ τῶν πολεμίων. λέγονται γὰρ ἀπὸ τριάκοντα μυριάδων, τετρακισμύριοι φυγεῖν, σὺν ἀρταβάζῳ. τῶν δ᾽ ὑπὲρ τῆς ἑλλάδος ἀγωνισαμένων, ἔπεσον οἱ πάντες, ἐπὶ χιλίοις ἑξήκοντα καὶ τριακόσιοι. τούτων, ἀθηναῖοι μὲν ἦσαν δύο καὶ πεντήκοντα. πάντες ἐκ τῆς αἰαντίδος φυλῆς, ὥς φησι κλείδημος, ἀγωνισαμένης ἄριστα. διὸ καὶ ταῖς σφραγίτισι νύμφαις, ἔθυον αἰαντίδαι τὴν πυθόχρηστον θυσίαν ὑπὲρ τῆς νίκης, ἐκ δημοσίου τὸ ἀνάλωμα λαμβάνοντες. λακεδαιμόνιοι δ᾽ ἐν πλείους τῶν ἐνενήκοντα. τεγεᾶται δ᾽ ἑκκαίδεκα. θαυμαστὸν οὖν τὸ ἡροδότου, πῶς μόνους τούτους φησὶν εἰς χεῖρας ἐλθεῖν τοῖς πολεμίοις, τῶν δ᾽ ἄλλων ἑλλήνων μηδένα. καὶ γὰρ τὸ πλῆθος τῶν πεσόντων μαρτυρεῖ καὶ τὰ μνήματα κοινὸν γενέσθαι τὸ κατόρθωμα. καὶ τὸν βωμὸν, οὐκ ἂν ἐπέγραψαν οὕτως, εἰ μόναι τρεῖς πόλεις ἠγωνίσαντο, τῶν ἄλλων ἀτρέμα καθεζομένων.

» Τόνδε ποθ᾽ ἕλληνες νίκας κράτει ἔργῳ ἄρηος
» πέρσας ἐξελάσαντες ἐλεύθερα ἑλλάδι κοινὸν, ἱδρύσαντο διὸς βωμὸν ἐλευθερίου.

ταύτην τὴν μάχην ἐμαχέσαντο τῇ τετράδι τοῦ βοηδρομιῶνος ἱσταμένου κατ᾽ ἀθηναίους. κατὰ δὲ βοιωτοὺς, τετράδι τοῦ πανέμου φθίνοντος. ᾗ καὶ νῦν ἔτι τὸ ἑλληνικὸν ἐν πλαταιαῖς ἀθροίζεται συνέδριον. καὶ θύουσι τῷ ἐλευθερίῳ διῒ πλαταιεῖς ὑπὲρ τῆς νίκης. τὴν δὲ τῶν ἡμερῶν ἀνωμαλίαν οὐ θαυμαστέον, ὅπου καὶ νῦν διηκριβωμένων τῶν ἐν ἀστρολογίᾳ μᾶλλον, ἄλλην ἄλλοι μηνὸς ἀρχὴν καὶ τελευτὴν ἄγουσιν. ἐκ τούτου τῶν ἀθηναίων τὸ ἀριστεῖον οὐ παραδιδόντων τοῖς σπαρτιάταις, οὐδὲ τρόπαιον ἱστάναι συγχωρούντων ἐκείνοις, παρ᾽ οὐδὲν ἂν ἦλθεν εὐθὺς ἀπολέσθαι τὰ πράγματα, τῶν ἑλλήνων ἐν τοῖς ὅπλοις διαστάντων, εἰ μὴ πολλὰ παρηγορῶν καὶ διδάσκων τοὺς συστρατήγους ὁ ἀριστείδης. μάλιστα δὲ λεωκράτη καὶ μυρωνίδην ἔσχε καὶ συνέπεισε τὴν κρίσιν ἀφεῖναι τοῖς ἕλλησιν. ἐνταῦθα βουλευομένων τῶν ἑλλήνων, θεογείτων μὲν ὁ μεγαρεὺς εἶπεν. ὡς ἑτέρᾳ πόλει δοτέον εἴη τὸ ἀριστεῖον, εἰ μὴ βούλονται συνταράξαι πόλεμον ἐμφύλιον, ἐπὶ τούτῳ δ᾽ ἀναστὰς κλεόκριτος ὁ κορίνθιος, δόξαν μὲν παρέσχεν ὡς κορινθίοις

νίας Ἀριστείδῃ προσέφερε λόγον, ἀξιῶν τοὺς Ἀθηναίους ἐπὶ τὸ δεξιὸν μεταταχθέντας κατὰ τοὺς Πέρσας ἀντιταχθῆναι. βέλτιον γὰρ ἀγωνιεῖσθαι, τῆς τε μάχης ἐμπείρους γεγονότας, καὶ τῷ προνενικηκέναι θαρροῦντας. αὐτῷ δὲ παραδοῦναι τὸ εὐώνυμον, ὅπου τῶν Ἑλλήνων οἱ μηδίζοντες ἐπιβάλλειν ἔμελλον. οἱ μὲν οὖν ἄλλοι στρατηγοὶ τῶν Ἀθηναίων ἀγνώμονα καὶ φορτικὸν ἡγοῦντο τὸν Παυσανίαν, εἰ τὴν ἄλλην ἐῶν τάξιν ἐν χώρᾳ, μόνους αὐτοὺς ἄνω καὶ κάτω μεταφέρει σφᾶς ὥσπερ εἵλωτας, κατὰ τὸ μαχιμώτατον προβαλλόμενος. ὁ δ' Ἀριστείδης, διαμαρτάνειν αὐτοὺς ἔφασκε τοῦ παντὸς, εἰ πρώην μὲν ὑπὲρ τοῦ τὸ εὐώνυμον κέρας ἔχειν διεφιλοτιμοῦντο Τεγεάταις, καὶ προκριθέντες ἐσεμνύνοντο. νῦν δὲ Λακεδαιμονίων ἑκουσίως αὐτοῖς ἐξισταμένων τοῦ δεξιοῦ. καὶ τρόπον τινὰ τὴν ἡγεμονίαν παραδιδόντων, οὔτε τὴν δόξαν ἀγαπῶσιν, οὔτε κέρδος ἡγοῦνται τὸ μὴ πρὸς ὁμοφύλους καὶ συγγενεῖς, ἀλλὰ βαρβάρους καὶ φύσει πολεμίους ἀνταγωνίσασθαι. ἐκ τούτου πάνυ προθύμως, οἱ Ἀθηναῖοι διημείβοντο τοῖς Σπαρτιάταις τὴν τάξιν. καὶ λόγος ἐχώρει δι' αὐτῶν πολὺς ἀλλήλοις παρεγγυώντων, ὡς οὔτε ὅπλα βελτίω λαβόντες, οὔτε ψυχὰς ἀμείνους οἱ πολέμιοι τῶν ἐν Μαραθῶνι προσίασιν, ἀλλὰ τὰ αὐτὰ μὲν ἐκείνοις, τόξα τ' αὐτὰ δ' ἐσθῆτος ποικίλματα καὶ χρυσὸς ἐπὶ σώμασι μαλακοῖς καὶ ψυχαῖς ἀνάνδροις. ἡμῖν, δ' ὅμοια μὲν ὅπλα καὶ σώματα. μεῖζον δὲ ταῖς νίκαις τὸ θάρσος. ὁ δ' ἀγὼν, οὐχ ὑπὲρ χώρας καὶ πόλεως μόνον ὡς ἐκείνοις. ἀλλ' ὑπὲρ τῶν ἐν Μαραθῶνι καὶ Σαλαμῖνι τροπαίων. ὡς μὴ δ' ἐκεῖνα Μιλτιάδου δοκοίη, καὶ τύχης, ἀλλ' Ἀθηναίων. οὗτοι μὲν οὖν σπεύδοντες, ἐν ἀμείψει τῶν τάξεων ἦσαν. αἰσθόμενοι δὲ Θηβαῖοι παρ' αὐτομόλων, Μαρδονίῳ φράζουσι, κἀκεῖνος εὐθὺς εἴτε δεδιὼς τοὺς Ἀθηναίους, εἴτε τοῖς Λακεδαιμονίοις συμπεσεῖν φιλοτιμούμενος, ἀντιπαρεξῆγε τοὺς Πέρσας ἐπὶ τὸ δεξιόν. τοὺς δ' Ἕλληνας ἐκέλευε τοὺς σὺν αὐτῷ κατὰ τοὺς Ἀθηναίους ἵστασθαι. γενομένης δὲ τῆς μετακοσμήσεως καταφανοῦς, ὅ τε Παυσανίας ἀπελθὼν αὖθις, ἐπὶ τοῦ δεξιοῦ κατέστη. καὶ Μαρδόνιος ὥσπερ εἶχεν ἐξ ἀρχῆς, ἀνέλαβε τὸ εὐώνυμον κατὰ τοὺς Λακεδαιμονίους γενόμενος. ἥ τε ἡμέρα, διεξῆλθεν ἀργή. καὶ τοῖς Ἕλλησι βουλευομένοις, ἔδοξε πορρωτέρω μεταστρατοπεδεῦσαι, καὶ καταλαβεῖν εὔυδρον χωρίον, ἐπεὶ τὰ πλησίον νάματα καθύβριστο καὶ διέφθαρτο τῶν βαρβάρων ἱπποκρατούντων. ἐπελθούσης δὲ νυκτὸς καὶ τῶν στρατηγῶν ἀγόντων ἐπὶ τὴν ἀποδεδειγμένην στρατοπεδείαν, οὐ πάνυ πρόθυμον ἦν ἕπεσθαι καὶ συμμένειν τὸ πλῆθος. ἀλλ' ὡς ἐξανέστησαν ἐκ τῶν πρώτων ἐρυμάτων, ἐφέροντο πρὸς τὴν πόλιν τῶν Πλαταιέων οἱ πολλοὶ, καὶ θόρυβος ἦν ἐκεῖ διασκιδναμένων καὶ κατασκηνούντων ἀτάκτως. Λακεδαιμονίοις δὲ, συνέβη μὲν ἄκουσι μόνοις ἀπολείπεσθαι τῶν ἄλλων. Ἀμομφάρετος γὰρ, ἀνὴρ θυμοειδὴς καὶ φιλοκίνδυνος, ἔκπαλαι πρὸς τὴν μάχην σπαργῶν, καὶ βαρυνόμενος τὰς πολλὰς ἀναβολὰς καὶ μελλήσεις. τότε δὴ παντάπασι τὴν μετανάστασιν φυγεῖν ἀποκαλῶν καὶ ἀπόδρασιν, οὐκ ἔφη λείψειν τὴν τάξιν, ἀλλ' αὐτόθι μένων μετὰ τῶν ἑαυτοῦ λοχιτῶν, ὑποστήσεσθαι Μαρδόνιον. ὡς δὲ Παυσανίας ἐπελθὼν ἔλεγε ταῦτα πράττειν ἐψηφισμένα καὶ δεδογμένα τοῖς Ἕλλησιν. ἀράμενος ταῖν χεροῖν πέτρον μέγαν ὁ Ἀμομφάρετος, καὶ καταβαλὼν πρὸ τῶν ποδῶν τοῦ Παυσανίου, ταύτην ἔφη ψῆφον αὐτὸς περὶ τῆς μάχης τίθεσθαι, τὰ δὲ τῶν ἄλλων δειλὰ βουλεύματα καὶ δόγματα, χαίρειν ἐᾶν. ἀπορούμενος δὲ Παυσανίας τῷ παρόντι πρὸς μὲν τοὺς Ἀθηναίους ἔπεμψεν ἀπιόντας ἤδη περιμεῖναι δεόμενος καὶ κοινῇ βαδίζειν. αὐτὸς δὲ τὴν ἄλλην δύναμιν ἦγε πρὸς τὰς Πλαταιὰς ὡς ἀναστήσων τὸν Ἀμομφάρετον. ἐν τούτῳ δὲ κατελάμβανεν ἡμέρα, καὶ Μαρδόνιος. οὐ γὰρ ἔλαθον τὴν στρατοπεδείαν ἐκλιπόντες οἱ Ἕλληνες, ἔχων συντεταγμένην τὴν δύναμιν, ἐπεφέρετο τοῖς Λακεδαιμονίοις βοῇ πολλῇ καὶ πατάγῳ βαρβάρων, ὡς οὐ μάχης ἐσομένης, ἀλλὰ φεύγοντας ἀναρπασομένων τοὺς Ἕλληνας. ὃ μικρὰς ῥοπῆς ἐδέησε γενέσθαι. κατιδὼν γὰρ τὸ γινόμενον ὁ Παυσανίας, ἔσχετο μὲν τῆς πορείας. καὶ τὴν ἐπὶ μάχῃ τάξιν ἐκέλευσε λαμβάνειν ἕκαστον. ἔλαθε δ' αὐτὸν, εἴθ' ὑπὸ τῆς πρὸς Ἀμομφάρετον ὀργῆς, εἴτε τῷ τάχει θορυβηθέντα τῶν πολεμίων, σύνθημα δοῦναι τοῖς Ἕλλησιν. ὅθεν οὔτ' εὐθὺς, οὔτ' ἀθρόοι, κατ' ὀλίγους δὲ καὶ σποράδην, ἤδη τῆς μάχης ἐν χερσὶν οὔσης, προσεβοήθουν. ὡς δὲ θυόμενος οὐκ ἐκαλλιέρει, προσέταξε τοῖς Λακεδαιμονίοις τὰς ἀσπίδας πρὸ τῶν ποδῶν θεμένους, ἀτρέμα καθέζεσθαι, καὶ προσέχειν αὐτῷ, μηδένα τῶν πολεμίων ἀμυνομένους. αὐτὸς δὲ πάλιν ἐσφαγιάζετο, καὶ προσέπιπτον οἱ ἱππεῖς. ἤδη δὲ καὶ βέλος ἐξικνεῖτο. καί τις ἐπεπλήκτο τῶν Σπαρτιατῶν. ἐν τούτῳ δὲ καὶ Καλλικράτης, ὃν ἰδέᾳ τε κάλλιστον Ἑλλήνων καὶ σώματι μέγιστον ἐν ἐκείνῳ τῷ στρατῷ γενέσθαι λέγουσι, τοξευθεὶς καὶ θνήσκων, οὐκ ἔφη τὸν θάνατον ὀδύρεσθαι. καὶ γὰρ ἐλθεῖν οἴκοθεν ὑπὲρ τῆς Ἑλλάδος ἀποθανούμενον, ἀλλ' ὅτι θνήσκει τῇ χειρὶ μὴ χρησάμενος. ἦν δὲ τὸ μὲν πάθος δεινόν. ἡ δ' ἐγκράτεια θαυμαστὴ τῶν ἀνδρῶν. οὐ γὰρ ἠμύνοντο τοὺς πολεμίους ἐπιβαίνοντας, ἀλλὰ τὸν παρὰ τοῦ θεοῦ καὶ τοῦ στρατηγοῦ καιρὸν ἀναμένοντες, ἠνείχοντο βαλλόμενοι καὶ πίπτοντες ἐν ταῖς τάξεσιν. ἔνιοι δέ φασι τῷ Παυσανίᾳ μικρὸν ἔξω τῆς παρατάξεως θύοντι καὶ κατευχομένῳ, τῶν Λυδῶν τινὰς ἄφνω προσπεσόντας, ἁρπάζειν καὶ διαρρίπτειν τὰ περὶ τὴν θυσίαν. τὸν δὲ Παυσανίαν καὶ τοὺς περὶ αὐτὸν, οὐκ ἔχοντας ὅπλα, ῥάβδοις καὶ μάστιξι παίειν. διὸ καὶ νῦν ἐκείνης τῆς ἐπιδρομῆς μιμήματα τὰς περὶ τὸν βωμὸν ἐν Σπάρτῃ πληγὰς τῶν ἐφήβων, καὶ τὴν μετὰ ταῦτα τῶν Λυδῶν πομπὴν

πολυπράγμον g. ω. s. τ. k.

φυγήν

καὶ θάτερον αὐτοῖς κέρας ἀπέδοσαν. οὔσης δὲ μετεώρου τῆς ἑλλάδος, καὶ μάλιστα τοῖς ἀθηναίοις τῶν πραγμάτων οὐκ ἀσφαλῶς ἐχόντων, ἄνδρες ἐξ οἴκων ἐπιφανῶν, καὶ χρημάτων μεγάλων, πένητες ἀπὸ τοῦ πολέμου γεγονότες. καὶ πᾶσαν ἅμα τῷ πλούτῳ τὴν ἐν τῇ πόλει δύναμιν αὐτῶν καὶ δόξαν οἰχομένην ὁρῶντες, ἑτέρων τιμωμένων καὶ ἀρχόντων, συνῆλθον εἰς οἰκίαν τινὰ τῶν ἐν πλαταιαῖς κρύφα, καὶ συνωμόσαντο καταλύσειν τὸν δῆμον. εἰ δὲ μὴ προχωροίη, λυμανεῖσθαι τὰ πράγματα καὶ τοῖς βαρβάροις προδώσειν. πραττομένων δὲ τούτων ἐν τῷ στρατοπέδῳ. καὶ συχνῶν ἤδη διεφθαρμένων, αἰσθόμενος ὁ ἀριστείδης, καὶ φοβηθεὶς τὸν καιρὸν, ἔγνω μήτ' ἐᾶν ἀμελούμενον τὸ πρᾶγμα, μήθ' ἅπαν ἐκκαλύπτειν, ἀγνοούμενον εἰς ὅσον ἐκβήσεται πλῆθος ὁ ἔλεγχος, τὸν τοῦ δικαίου ζητῶν ὅρον ἀντὶ τοῦ συμφέροντος. ὀκτὼ δή τινας ἐκ πολλῶν συνέλαβε. καὶ τούτων, δύο μὲν οἷς πρώτοις ἡ κρίσις προεγράφη, οἳ καὶ πλείστην αἰτίαν εἶχον. αἰσχίνης λαμπτρεύς. καὶ ἀγησίας ἀχαρνεύς. ᾤχοντο φεύγοντες ἐκ τοῦ στρατοπέδου. τοὺς δ' ἄλλους ἀφῆκε. θαρσῆσαι διδοὺς, καὶ μεταγνῶναι τοῖς ἔτι λανθάνειν οἰομένοις, ὑπειπών. ὡς μέγα δικαστήριον ἔχουσι τὸν πόλεμον ἀπολύσασθαι τὰς αἰτίας ὀρθῶς καὶ δικαίως τῇ πατρίδι βουλευόμενοι. μετὰ ταῦτα μαρδόνιος, ᾧ πλεῖστον ἐδόκει διαφέρειν τῶν ἑλλήνων, ἀποπειρῶν τὴν ἵππον ἀθρόαν αὐτοῖς ἐφεὶς καθεζομένοις ὑπὸ τὸν πρόποδα τοῦ κιθαιρῶνος, ἐν χωρίοις ὀχυροῖς καὶ πετρώδεσι, πλὴν μεγαρέων. οὗτοι δὲ τρισχίλιοι τὸ πλῆθος ὄντες, ἐν τοῖς ἐπιπέδοις μᾶλλον ἐστρατοπεδεύοντο. διὸ καὶ κακῶς ἔπασχον, ὑπὸ τῆς ἵππου ῥυείσης ἐπ' αὐτοὺς, καὶ προσβολὰς ἐχούσης πανταχόθεν. ἔπεμπον οὖν ἄγγελον κατὰ τάχος πρὸς παυσανίαν, βοηθεῖν κελεύοντες, ὡς οὐ δυνάμενοι καθ' αὑτοὺς ὑποστῆναι τὸ τῶν βαρβάρων πλῆθος. ταῦτα παυσανίας ἀκούων, ἤδη δὲ καὶ καθορῶν ἀποκεκρυμμένον ἀκοντισμάτων καὶ τοξευμάτων πλήθει τὸ στρατόπεδον τῶν μεγαρέων. καὶ συνεσταλμένους αὐτοὺς εἰς ὀλίγον, αὐτὸς μὲν ἀμήχανος ἦν πρὸς ἱππότας ἀμύνειν, ὁπλιτικῇ φάλαγγι καὶ βαρείᾳ τῇ σπαρτιατῶν. τοῖς δ' ἄλλοις στρατηγοῖς καὶ λοχαγοῖς τῶν ἑλλήνων περὶ αὐτὸν οὖσι, προὔθετο ζῆλον ἀρετῆς καὶ φιλοτιμίας. εἰ δή τινες ἑκόντες ἀναδέξαιντο, προαγωνίσασθαι καὶ βοηθῆσαι τοῖς μεγαρεῦσι. τῶν δ' ἄλλων ὀκνούντων, ἀριστείδης ἀναδεξάμενος ὑπὲρ τῶν ἀθηναίων τὸ ἔργον. ἀποστέλλει τὸν προθυμότατον τῶν λοχαγῶν ὀλυμπιόδωρον, ἔχοντα τοὺς ὑφ' ἑαυτὸν τεταγμένους λογάδας τριακοσίους, καὶ τοξότας ἀναμεμιγμένους σὺν αὐτοῖς. τούτων ὀξέως διασκευασαμένων καὶ προσφερομένων δρόμῳ, μασίστιος ὁ τῶν βαρβάρων ἵππαρχος, ἀνὴρ ἀλκῇ τε θαυμαστὸς, μεγέθει τε καὶ κάλλει σώματος περιττὸς, ὡς κατεῖδεν, ἐναντίον ἐπιστρέψας τὸν ἵππον, ἐς αὐτοὺς ἤλαυνε. τῶν δ' ἀνασχομένων καὶ συμβαλόντων, ἦν ἀγὼν καρτερὸς, ὡς πεῖραν ἐν τούτῳ τοῦ παντὸς λαμβανόντων. ἐπεὶ δὲ τοξευθεὶς ὁ ἵππος τὸν μασίστιον ἀπέρριψε, καὶ πεσὼν ὑπὸ βάρους τῶν ὅπλων, αὐτός τε δυσκίνητος ἦν ἀναφέρειν, καὶ τοῖς ἀθηναίοις ἐπικειμένοις καὶ παίουσι, δυσμεταχείριστος, οὐ μόνον στέρνα καὶ κεφαλὴν, ἀλλὰ καὶ τὰ γυῖα, χρυσῷ καὶ χαλκῷ καὶ σιδήρῳ καταπεφραγμένος. τοῦτον μὲν ᾗ τὸ κράνος ὑπέφαινε τὸν ὀφθαλμὸν, ἀκοντίου στύρακι παίων τις, ἀνεῖλεν. οἱ δ' ἄλλοι πέρσαι προέμενοι τὸν νεκρὸν ἔφυγον. ἐγνώσθη δὲ τοῦ κατορθώματος τὸ μέγεθος τοῖς ἕλλησιν, οὐκ ἀπὸ τῶν νεκρῶν τοῦ πλήθους. ὀλίγοι γὰρ οἱ πεσόντες ἦσαν, ἀλλὰ τῷ πένθει τῶν βαρβάρων. καὶ γὰρ ἑαυτοὺς ἔκειραν, ἐπὶ τῷ μασιστίῳ, καὶ ἵππους καὶ ἡμιόνους, οἰμωγῆς τε καὶ κλαυθμοῦ τὸ πεδίον ἐμπεπλήκασιν, ὡς ἄνδρα πολὺ πρῶτον ἀρετῇ καὶ δυνάμει μετά γε μαρδόνιον αὐτῶν ἀποβαλόντες. μετὰ δὲ τὴν ἱππομαχίαν, ἀμφότεροι μάχης ἔσχοντο χρόνον πολύν. ἀμυνομένοις γὰρ οἱ μάντεις, νίκην προὔφαινον ἐκ τῶν ἱερῶν, ὁμοίως καὶ τοῖς πέρσαις καὶ τοῖς ἕλλησιν, εἰ δ' ἐπιχειροῖεν, ἧτταν. ἔπειτα μαρδόνιος ὡς αὐτῷ μὲν ἡμερῶν ὀλίγων τὰ ἐπιτήδεια παρῆν. οἱ δ' ἕλληνες ἀεί τινων ἐπιρρεόντων πλείονες ἐγίνοντο, δυσανασχετῶν, ἔγνω μηκέτι μένειν, ἀλλὰ διαβὰς ἅμα φάει τὸν ἀσωπὸν ἐπιθέσθαι τοῖς ἕλλησιν ἀπροσδοκήτως. καὶ παράγγελμα τοῖς ἡγεμόσιν ἑσπέρας ἔδωκε. μεσούσης δὲ μάλιστα τῆς νυκτὸς, ἀνὴρ ἵππον ἔχων, ἀτρέμα προσεμίγνυε τῷ στρατοπέδῳ τῶν ἑλλήνων, ἐντυχὼν δὲ ταῖς φυλακαῖς, ἐκέλευεν αὐτῷ προσελθεῖν ἀριστείδην τὸν ἀθηναῖον. ὑπακούσαντος δὲ ταχέως, ἔφησεν. εἰμὶ μὲν ἀλέξανδρος ὁ μακεδόνων βασιλεὺς, ἥκω δὲ κίνδυνον τὸν μέγιστον εὐνοίᾳ τῇ πρὸς ὑμᾶς αἱρούμενος, ὡς μὴ τὸ αἰφνίδιον ἐκπλήξειεν ὑμᾶς, χεῖρον ἀγωνίσασθαι. μαχεῖται γὰρ ὑμῖν μαρδόνιος αὔριον, οὐχ ὑπ' ἐλπίδος χρηστῆς οὐδὲ θάρσους, ἀλλ' ἀπορίας τῶν παρόντων, ἐπεὶ καὶ μάντεις ἐκεῖνον, ἀπαισίοις ἱεροῖς καὶ λογίοις χρησμῶν, εἴργουσι μάχης, καὶ τὸν στρατὸν ἔχει δυσθυμία πολλὴ καὶ κατάπληξις, ἀλλ' ἀνάγκη τολμῶντα πειρᾶσθαι τῆς τύχης, ἢ τὴν ἐσχάτην ὑπομένειν ἀπορίαν καθεζόμενον. ταῦτα φράσας ὁ ἀλέξανδρος, ἐδεῖτο τὸν ἀριστείδην αὐτὸν εἰδέναι καὶ μνημονεύειν, ἑτέρῳ δὲ μὴ κατειπεῖν. ὁ δ' οὐ καλῶς ἔχειν ἔφη ταῦτα παυσανίαν ἀποκρύψασθαι. ἐκείνῳ γὰρ ἀνακεῖσθαι τὴν ἡγεμονίαν. πρὸς δὲ τοὺς ἄλλους, ἄρρητα πρὸ τῆς μάχης ἔδοξεν ἔσεσθαι. νικώσης δὲ τῆς ἑλλάδος, οὐδένα τὴν ἀλεξάνδρου προθυμίαν καὶ ἀρετὴν ἀγνοήσειν. λεχθέντων δὲ τούτων, ὅ, τε βασιλεὺς τῶν μακεδόνων ἀπήλαυνεν ὀπίσω πάλιν, ὅ, τε ἀριστείδης ἀφικόμενος ἐπὶ τὴν σκηνὴν τοῦ παυσανίου, διηγεῖτο τοὺς λόγους, καὶ μετεπέμποντο τοὺς ἄλλους ἡγεμόνας. καὶ παρήγγελλον ἐν κόσμῳ τὸν στρατὸν ἔχειν ὡς μάχης ἐσομένης. ἐν τούτῳ δ' ὡς ἡρόδοτος ἱστορεῖ, παυσανίας ἀριστείδῃ

περὶ τῆς ἀδηωμένης χώρας, καὶ τῶν ἠσεβημένων, καὶ κατακεκαυμένων ἱερῶν. ἔτι δὲ ἀρὰς θέσθαι
τοὺς ἱερεῖς ἔγραψεν, εἴ τις ἐπικηρυκεύσαιτο μήδοις, ἢ τὴν συμμαχίαν ἀπολίποι τῶν ἑλλήνων. ἐμβαλόν-
τος δὲ μαρδονίου τὸ δεύτερον εἰς τὴν ἀττικὴν, αὖθις εἰς σαλαμῖνα διεπέρασαν. ἀριστείδης δὲ πεμφθεὶς
εἰς λακεδαίμονα, τῆς μὲν βραδυτῆτος αὐτοῖς ἐνεκάλει καὶ τῆς ὀλιγωρίας, προεμένοις αὖθις τῷ
βαρβάρῳ τὰς ἀθήνας. ἠξίου δὲ πρὸς τὰ ἔτι σωζόμενα τῆς ἑλλάδος βοηθεῖν. ταῦτα ἀκούσαντες οἱ
ἔφοροι, μεθημέραν μὲν, ἐδόκουν παίζειν καὶ ῥαθυμεῖν ἑορτάζοντες. ἦν γὰρ αὐτοῖς ὑακίνθια, νυκτὸς
δὲ πεντακισχιλίους σπαρτιατῶν ἐπιλέξαντες ὧν ἕκαστος ἑπτὰ περὶ αὐτὸν εἵλωτας εἶχεν, ἐξέπεμψαν
οὐκ εἰδότων τῶν ἀθηναίων. ἐπεὶ δὲ πάλιν ἐγκαλῶν ὁ ἀριστείδης προσῆλθεν. οἱ δὲ, σὺν γέλωτι ληρεῖν
αὐτὸν ἔφασκον, καὶ καθεύδειν. ἤδη γὰρ ἐν ὀρεστείῳ τὸν στρατὸν εἶναι πορευόμενον ἐπὶ τοὺς ξένους. ξέ- ἔφασαν s.T.
νους γὰρ ἐκάλουν τοὺς πέρσας, οὐ κατὰ καιρὸν ἔφη παίζειν αὐτοὺς, ὁ ἀριστείδης ἀντὶ τῶν πολεμίων
τοὺς φίλους ἐξαπατῶντας. ταῦθ' οἱ περὶ τὸν ἰδομενέα λέγουσιν. ἐν δὲ τῷ ψηφίσματι τοῦ ἀριστείδου
πρεσβευτὴς οὐκ αὐτὸς, ἀλλὰ κίμων καὶ ξάνθιππος καὶ μυρωνίδης φέρονται. χειροτονηθεὶς δὲ στρα-
τηγὸς αὐτοκράτωρ ἐπὶ τὴν μάχην. καὶ τῶν ἀθηναίων ὀκτακισχιλίους ὁπλίτας ἀναλαβὼν, ἧκεν εἰς
πλαταιάς. ἐκεῖ δὲ παυσανίας ὁ τοῦ σύμπαντος ἡγούμενος ἑλληνικοῦ, συνέμιξεν. ἔχων τοὺς σπαρ-
τιάτας. καὶ τῶν ἄλλων ἑλλήνων ἐπέρρει τὸ πλῆθος. τῶν δὲ βαρβάρων, τὸ μὲν ὅλον τῆς στρατοπεδεί-
ας παρὰ τὸν ἀσωπὸν ποταμὸν παρεκτεταμένης, οὐδεὶς ἦν ὅρος διὰ μέγεθος. περὶ δὲ τὰς ἀποσκευὰς λ γρ. ι
καὶ τὰ κυριώτατα, τεῖχος περιεφράξαντο τετράγωνον, οὗ τῶν πλευρῶν ἑκάστη, μῆκος ἦν, δέκα στα-
δίων. παυσανίᾳ μὲν οὖν καὶ τοῖς ἕλλησι κοινῇ, τισαμενὸς ὁ ἠλεῖος ἐμαντεύσατο, καὶ προεῖπεν νίκην
ἀμυνομένοις καὶ μὴ προεπιχειροῦσιν. ἀριστείδου δὲ πέμψαντος εἰς δελφοὺς, ἀνεῖλεν ὁ θεὸς ἀθηναίους ἀνῆλθεν s.T.k.
καθυπερτέρους ἔσεσθαι τῶν ἐναντίων, εὐχομένους τῷ διὶ καὶ τῇ ἥρᾳ τῇ κιθαιρωνίᾳ. καὶ πανὶ καὶ
νύμφαις σφραγίτισι. καὶ θύοντας ἥρωσιν, ἀνδροκράτει. λεύκωνι. πεισάνδρῳ. δαμοκράτει. ὑψίωνι. ἀ-
κταίωνι. πολυΐδῳ. καὶ τὸν κίνδυνον ἐν τῇ ἰδίᾳ ποιουμένοις ἐν τῷ πεδίῳ τῆς δήμητρος τῆς ἐλευσινί- ποιουμένοις s.
ας, καὶ τῆς κόρης. οὗτος ὁ χρησμὸς ἀπενεχθεὶς, ἀπορίαν τῷ ἀριστείδῃ παρεῖχεν. οἱ μὲν γὰρ ἥρωες, οἷς
ἐκέλευε θύειν, ἀρχηγέται πλαταιέων ἦσαν. καὶ τὸ τῶν σφραγιτίδων νυμφῶν ἄντρον, ἐν μιᾷ κορυφῇ
τοῦ κιθαιρῶνός ἐστιν, εἰς δυσμὰς ἡλίου θερινὰς τετραμμένον. ἐν ᾧ καὶ μαντεῖον ἦν πρότερον ὥς φασι.
καὶ πολλοὶ κατείχοντο τῶν ἐπιχωρίων οὓς νυμφολήπτους προσηγόρευον. τὸ δὲ τῆς ἐλευσινίας δήμη-
τρος πεδίον. καὶ τὸ τὴν μάχην ἐν ἰδίᾳ χώρᾳ ποιουμένοις τοῖς ἀθηναίοις νίκην δίδοσθαι, πάλιν εἰς τὴν
ἀττικὴν ἀνεκαλεῖτο καὶ μεθίστη τὸν πόλεμον. ἔνθα τῶν πλαταιέων ὁ στρατηγὸς ἀρίμνηστος, ἔδοξε
κατὰ τοὺς ὕπνους ὑπὸ τοῦ διὸς τοῦ σωτῆρος ἐπερωτώμενον αὐτὸν, ὅτι δὴ πράττειν δέδοκται τοῖς
ἕλλησιν, εἰπεῖν, αὔριον εἰς ἐλευσῖνα τὴν στρατιὰν ἀπάξομεν ὦ δέσποτα καὶ διαμαχούμεθα τοῖς βαρ-
βάροις ἐκεῖ κατὰ τὸ πυθόχρηστον. τὸν οὖν θεὸν, φάναι διαμαρτάνειν αὐτοὺς τοῦ παντός. αὐτόθι γὰρ
εἶναι περὶ τὴν πλαταϊκὴν τὰ πυθόχρηστα καὶ ζητοῦντας, ἀνευρήσειν. τούτων ἐναργῶς τῷ ἀριμνή-
στῳ φανέντων. ἐξεγειρόμενος, τάχιστα μετεπέμψατο τοὺς ἐμπειροτάτους καὶ πρεσβυτάτους τῶν πο-
λιτῶν. μεθ' ὧν διαλεγόμενος καὶ συνδιαπορῶν, εὗρεν ὅτι τῶν ὑσιῶν πλησίον, ὑπὸ τὸν κιθαιρῶνα, ὑσιῶν. Καὶ ὑσιαὶ Strab.
ναός ἐστιν ἀρχαῖος πάνυ δήμητρος ἐλευσινίας καὶ κόρης προσαγορευόμενος. εὐθὺς οὖν παραλαβὼν Libro viiij Civitas est
τὸν ἀριστείδην, ἦγεν ἐπὶ τὸν τόπον, εὐφυέστατον ὄντα παρατάξαι φάλαγγα πεζικήν. ἱπποκρατουμέ- hoc in loco. Ita Herod.
νοις διὰ τὰς ὑπωρείας τοῦ κιθαιρῶνος, ἄφιππα ποιούσας τὰ καταλήγοντα καὶ συγκυροῦντα τοῦ L. enim nono. dequa
πεδίου πρὸς τὸ ἱερόν. αὐτοῦ δ' ἦν καὶ τὸ τοῦ ἀνδροκράτους ἡρῷον, ἐγγὺς ἄλσει πυκνῶν καὶ συσκίων Stephanus memorat.
δένδρων περιεχόμενον. ὅπως δὲ μηδὲν ἐλλιπὲς ἔχῃ πρὸς τὴν ἐλπίδα τῆς νίκης ὁ χρησμὸς, ἔδοξε τοῖς
πλαταιεῦσιν ἀριμνήστου γνώμην εἰπόντος, ἀνελεῖν τὰ πρὸς τὴν ἀττικὴν ὅρια τῆς πλαταιΐδος. καὶ
τὴν χώραν ἐπιδοῦναι τοῖς ἀθηναίοις ὑπὲρ τῆς ἑλλάδος, ἐν οἰκείᾳ κατὰ τὸν χρησμὸν ἐναγωνίσασθαι. ταύ-
την μὲν οὖν τὴν φιλοτιμίαν τῶν πλαταιέων οὕτω συνέβη περιβόητον γενέσθαι, ὥστε καὶ ἀλέξαν-
δρον ἤδη βασιλεύοντα τῆς ἀσίας ὕστερον πολλοῖς ἔτεσι, τειχίζοντα τὰς πλαταιὰς, ἀνειπεῖν ὀλυμπία-
σιν ὑπὸ κήρυκος, ὅτι ταύτην ὁ βασιλεὺς ἀποδίδωσι πλαταιεῦσι, τῆς ἀνδραγαθίας καὶ τῆς μεγαλοψυ-
χίας χάριν. ἐπειδὴ τοῖς ἕλλησιν ἐν τῷ μηδικῷ πολέμῳ, τὴν χώραν ἐπέδωκαν. καὶ παρέσχον αὐτοὺς προ-
θυμοτάτους. ἀθηναῖοι δὲ τεγεάταις περὶ τάξεως ἐρίσαντες, ἠξίουν ὥσπερ ἀεὶ λακεδαιμονίων τὸ δε- ἀθηναίοις δὲ τεγεάτ. q.
ξιὸν ἐχόντων κέρας, αὐτοὶ τὸ εὐώνυμον ἔχειν. πολλὰ τοὺς αὐτῶν προγόνους ἐγκωμιάζοντες. ἀγανακτούντων
δὲ τῶν ἀθηναίων, παρελθὼν ὁ ἀριστείδης, εἶπε. τεγεάταις μὲν ἀντειπεῖν περὶ εὐγενείας καὶ ἀνδραγα-
θίας, ὁ παρὼν καιρὸς οὐ δίδωσι. πρὸς δ' ὑμᾶς ὦ σπαρτιᾶται καὶ τοὺς ἄλλους ἕλληνας λέγομεν, ὅτι
τὴν ἀρετὴν οὐκ ἀφαιρεῖται τόπος. οὐδὲ δίδωσιν. ἣν δ' ἂν ὑμεῖς ἡμῖν τάξιν ἀποδῶτε, πειρασόμεθα κοσμοῦν-
τες καὶ φυλάττοντες, μὴ καταισχύνειν τοὺς προηγωνισμένους ἀγῶνας. ἥκομεν γὰρ οὐ τοῖς συμμάχοις
στασιάσοντες, ἀλλὰ μαχούμενοι τοῖς πολεμίοις. οὐδ' ἐπαινεσόμενοι τοὺς πατέρας, ἀλλ' αὐτοὺς, ἄν-
δρας ἀγαθοὺς τῇ ἑλλάδι παρέξοντες. ὡς οὗτος ὁ ἀγὼν δείξει, καὶ πόλιν καὶ ἄρχοντα καὶ ἰδιώτην, ὁ-
πόσου τοῖς ἕλλησιν ἄξιός ἐστι. ταῦτ' ἀκούσαντες οἱ σύνεδροι καὶ ἡγεμόνες, ἀπεδέξαντο τοὺς ἀθηναίους,

νας ἐπὶ τὴν ἐλευθερίαν. καὶ μετὰ τὸ δόγμα τοῦτο θεμιστοκλέους στρατηγοῦντος αὐτοκράτορος, πάντα συνέπραττε καὶ συνεβούλευεν, ἐνδοξότατον ἐπὶ σωτηρίᾳ κοινῇ ποιῶν τὸν ἔχθιστον. ὡς γὰρ ἀπολιπεῖν τὴν σαλαμῖνα βουλευομένων τῶν περὶ εὐρυβιάδην. καὶ βαρβαρικαὶ τριήρεις νύκτωρ ἀναχθεῖσαι καὶ περιβαλοῦσαι, τόν τε πόρον ἐν κύκλῳ καὶ τὰς νήσους κατεῖχον. οὐδενὸς προειδότος τὴν κύκλωσιν, ἧκεν ὁ ἀριστείδης ἀπ᾽ αἰγίνης παραβόλως διὰ τῶν πολεμίων νεῶν διεκπλεύσας, καὶ νυκτὸς ἐλθὼν ἐπὶ τὴν σκηνὴν τοῦ θεμιστοκλέους, καὶ καλέσας αὐτὸν ἔξω μόνον, ἡμεῖς εἶπεν ὦ θεμιστόκλεις, εἰ σωφρονοῦμεν, ἤδη τὴν κενὴν καὶ μειρακιώδη στάσιν ἀφέντες, ἀρξώμεθα σωτηρίου καὶ καλῆς φιλονεικίας πρὸς ἀλλήλους ἁμιλλώμενοι, σῶσαι τὴν ἑλλάδα. σὺ μὲν ἄρχων καὶ στρατηγῶν, ἐγὼ δ᾽ ὑπουργῶν καὶ συμβουλεύων. ἐπεὶ καὶ νῦν σε πυνθάνομαι μόνον ἅπτεσθαι τῶν ἀρίστων λογισμῶν, κελεύοντα διαναυμαχεῖν ἐν τοῖς στενοῖς τὴν ταχίστην. καὶ σοι τῶν συμμάχων ἀντιπραττόντων, οἱ πολέμιοι συνεργεῖν ἐοίκασι. τὸ γὰρ ἐν κύκλῳ καὶ κατόπιν ἤδη πέλαγος ἐμπέπλησται νεῶν πολεμίων. ὥστε καὶ τοὺς μὴ θέλοντας, ἀνάγκη κατείληφεν ἀγαθοὺς ἄνδρας εἶναι καὶ μάχεσθαι. φυγῆς γὰρ ὁδὸς οὐ λέλειπται. πρὸς ταῦτα ὁ θεμιστοκλῆς εἶπεν. οὐκ ἂν ἐβουλόμην ὦ ἀριστείδη σε κατὰ τοῦτό μου κρείττονα γενέσθαι. πειράσομαι δὲ πρὸς καλὴν ἀρχὴν ἁμιλλώμενος, ὑπερβαλέσθαι τοῖς ἔργοις. ἅμα δ᾽ αὐτῷ φράσας τὴν ὑφ᾽ ἑαυτοῦ κατασκευασθεῖσαν ἀπάτην πρὸς τὸν βάρβαρον, παρεκάλει πείθειν τὸν εὐρυβιάδην, καὶ διδάσκειν ὡς ἀμήχανόν ἐστι σωθῆναι μὴ ναυμαχήσαντας. εἶχε γὰρ αὐτοῦ μᾶλλον πίστιν, ὅθεν ἐν τῷ συλλόγῳ τῶν στρατηγῶν εἰπόντος κλεοκρίτου τοῦ κορινθίου πρὸς τὸν θεμιστοκλέα. μὴ δ᾽ ἀριστείδῃ τὴν γνώμην ἀρέσκειν αὐτοῦ. παρόντα γὰρ σιωπᾶν, ἀντεῖπεν ὁ ἀριστείδης, ὡς οὐκ ἂν ἐσιώπα μὴ λέγοντος τὰ ἄριστα τοῦ θεμιστοκλέους. νῦν δ᾽ ἡσυχίαν ἄγειν, οὐ δι᾽ εὔνοιαν τοῦ ἀνδρὸς, ἀλλὰ τὴν γνώμην ἐπαινῶν. οἱ μὲν οὖν ναύαρχοι τῶν ἑλλήνων, ταῦτ᾽ ἔπραττον. ἀριστείδης δ᾽ ὁρῶν τὴν ψυττάλειαν ἣ πρὸ τῆς σαλαμῖνος ἐν τῷ πόρῳ κεῖται νῆσος οὐ μεγάλη, πολεμίων ἀνδρῶν μεστὴν οὖσαν, ἐμβιβάσας εἰς ὑπηρετικὰ τοὺς προθυμοτάτους καὶ μαχιμωτάτους τῶν πολιτῶν, προσέμιξε τῇ ψυτταλείᾳ. καὶ μάχην πρὸς τοὺς βαρβάρους συνάψας, ἀπέκτεινε πάντας, πλὴν ὅσοι τῶν ἐπιφανῶν, ζῶντες ἥλωσαν. ἐν δὲ τούτοις ἦσαν, ἀδελφῆς βασιλέως ὄνομα σανδαύκης, τρεῖς παῖδες. οὓς εὐθὺς ἀπέστειλε πρὸς τὸν θεμιστοκλέα. καὶ λέγονται κατά τι λόγιον τοῦ μάντεως, εὐφραντίδου κελεύσαντος, ὠμηστῇ διονύσῳ καθιερωθῆναι. τὴν δὲ νησῖδα τοῖς ὁπλίταις πανταχόθεν ὁ ἀριστείδης περιστέψας, ἐφήδρευε τοῖς ἐκφερομένοις πρὸς αὐτήν. ὡς μήτε τῶν φίλων τινὰ διαφθαρῆναι, μήτε τῶν πολεμίων διαφυγεῖν. ὁ γὰρ πλεῖστος ὠθισμὸς τῶν νεῶν καὶ τῆς μάχης τὸ καρτερώτατον, ἔοικε περὶ τὸν τόπον ἐκεῖνον γενέσθαι. διὸ καὶ τρόπαιον ἕστηκεν ἐν τῇ ψυτταλείᾳ. μετὰ δὲ τὴν μάχην ὁ θεμιστοκλῆς ἀποπειρώμενος τοῦ ἀριστείδου, καλὸν μὲν εἶναι τὸ πεπραγμένον αὐτοῖς ἔργον ἔλεγε. κρεῖττον δὲ λείπεσθαι, τὸ λαβεῖν ἐν τῇ εὐρώπῃ τὴν ἀσίαν. ἀναπλεύσαντας εἰς ἑλλήσποντον τὴν ταχίστην, καὶ τὸ ζεῦγμα διακόψαντας. ἐπεὶ δ᾽ ἀριστείδης ἀνακραγὼν τοῦτον μὲν ἐκέλευε τὸν λόγον καταβαλεῖν, σκοπεῖν δὲ καὶ ζητεῖν ὅπως τὴν ταχίστην ἐκβάλωσι τὸν μῆδον ἐκ τῆς ἑλλάδος, μὴ κατακλεισθεὶς ἀπορίᾳ φυγῆς μετὰ τοσαύτης δυνάμεως τραπῇ πρὸς ἄμυναν ὑπ᾽ ἀνάγκης, οὕτω πέμπει πάλιν ἀρνάκην εὐνοῦχον ὁ θεμιστοκλῆς ἐκ τῶν αἰχμαλώτων, κρύφα φράσαι τῷ βασιλεῖ κελεύσας. ὅτι πλεῖν ἐπὶ τὰς γεφύρας ὡρμημένους τοὺς ἕλληνας, αὐτὸς ἀποστρέψειε, σώζεσθαι βασιλέα βουλόμενος. ἐκ τούτου ξέρξης μὲν περίφοβος γενόμενος, εὐθὺς ἐπὶ τὸν ἑλλήσποντον ἠπείγετο, μαρδόνιος δὲ τοῦ στρατοῦ τὸ μαχιμώτατον ἔχων περὶ τριάκοντα μυριάδας, ὑπελείπετο. καὶ φοβερὸς ἦν ἀπ᾽ ἰσχυρᾶς τῆς περὶ τὸ πεζὸν ἐλπίδος ἀπειλῶν τοῖς ἕλλησι καὶ γράφων τοιαῦτα. νενικήκατε θαλασσίοις ξύλοις χερσαίους ἀνθρώπους, οὐκ ἐπισταμένους κώπην ἐλαύνειν. ἀλλὰ νῦν πλατεῖα μὲν ἡ θετταλῶν γῆ. καλὸν δὲ τὸ βοιώτιον πεδίον ἀγαθοῖς ἱππεῦσι καὶ ὁπλίταις ἐναγωνίζεσθαι. πρὸς δὲ ἀθηναίους, ἔπεμψεν ἰδίᾳ γράμματα καὶ λόγους παρὰ βασιλέως, τήν τε πόλιν αὐτοῖς ἀναστήσειν ἐπαγγελλομένου, καὶ χρήματα πολλὰ δώσειν, καὶ τῶν ἑλλήνων κυρίους καταστήσειν, ἐκποδὼν τοῦ πολέμου γενομένους. οἱ δὲ λακεδαιμόνιοι πυθόμενοι ταῦτα καὶ δείσαντες, ἔπεμψαν ἀθήναζε πρέσβεις, δεόμενοι τῶν ἀθηναίων, ὅπως παῖδας μὲν καὶ γυναῖκας εἰς σπάρτην ἀποστείλωσι. τοῖς δὲ πρεσβυτέροις, τροφὰς παρ᾽ αὐτῶν λαμβάνωσιν. ἰσχυρὰ γὰρ ἦν ἀπορία περὶ τὸν δῆμον ἀπολωλεκότα τὴν χώραν καὶ τὴν πόλιν. οὐ μὴν ἀλλὰ τῶν πρέσβεων ἀκούσαντες, ἀριστείδου ψήφισμα γράψαντος, ἀπεκρίναντο θαυμαστὴν ἀπόκρισιν. τοῖς μὲν πολεμίοις συγγνώμην ἔχειν φάσκοντες, εἰ πάντα πλούτου καὶ χρημάτων ὤνια νομίζοιεν, ὧν κρεῖττον οὐδὲν ἴσασιν. ὀργίζεσθαι δὲ λακεδαιμονίοις ὅτι τὴν πενίαν καὶ τὴν ἀπορίαν τὴν νῦν παροῦσαν ἀθηναίοις μόνον ὁρῶσι, τῆς δ᾽ ἀρετῆς καὶ τῆς φιλοτιμίας ἀμνημονοῦσιν. ἐπὶ σιτίοις ὑπὲρ τῆς ἑλλάδος ἀγωνίζεσθαι παρακαλοῦντες. ταῦτα γράψας ἀριστείδης, καὶ τοὺς πρέσβεις εἰς τὴν ἐκκλησίαν παραγαγὼν, λακεδαιμονίοις μὲν ἐκέλευσε φράζειν. ὡς οὐκ ἔστι χρυσοῦ τοσοῦτον πλῆθος, οὔθ᾽ ὑπὲρ γῆν, οὔτε ὑπὸ γῆν, ὅσον ἀθηναῖοι δέξαιντο ἂν πρὸ τῆς τῶν ἑλλήνων ἐλευθερίας. τοῖς δὲ παρὰ μαρδονίου, τὸν ἥλιον δείξας, ἄχρις ἂν οὗτος ἔφη ταύτην πορεύεται τὴν πορείαν, ἀθηναῖοι πολεμήσουσι πέρσαις ὑ-

καθιερωθῆναι
περιστρέψας

σιτίοις. ς. τ. κ.

οἰηθεὶς βασιλέα διὰ τὴν κόμην καὶ τὸ στρόφιον εἶναι. προσκυνήσας δὲ καὶ λαβόμενος τῆς δεξιᾶς, ἔδειξε πολὺ χρυσίον ἐν λάκκῳ τινὶ κατορωρυγμένον. ὁ δὲ καλλίας ὠμότατος ἀνθρώπων καὶ παρανομώτατος γενόμενος, τὸ μὲν χρυσίον ἀνείλετο, τὸν δ᾽ ἄνθρωπον ὡς μὴ κατείποι πρὸς ἑτέρους, ἀπέκτεινεν. ἐκ τούτου φασὶ καὶ λακκοπλούτους ὑπὸ τῶν κωμικῶν τοὺς ἀπὸ τῆς οἰκίας λέγεσθαι, σκωπτόντων εἰς τὸν τόπον, ἐν ᾧ τὸ χρυσίον ὁ καλλίας εὗρεν. ἀριστείδης δὲ τὴν ἐπώνυμον εὐθὺς ἀρχὴν ἦρξε. καίτοι φησὶν ὁ φαληρεὺς δημήτριος, ἄρξαι τὸν ἄνδρα μικρὸν ἔμπροσθεν τοῦ θανάτου μετὰ τὴν ἐν πλαταιαῖς μάχην. ἐν δὲ ταῖς ἀναγραφαῖς, μετὰ μὲν ξανθιππίδην ἐφ᾽ οὗ μαρδόνιος ἡττήθη πλαταιᾶσιν, οὐδ᾽ ὁμώνυμον ἀριστείδην ἐν πάνυ πολλοῖς λαβεῖν ἐστι. μετὰ δὲ φαίνιππον ἐφ᾽ οὗ τὴν ἐν μαραθῶνι μάχην ἐνίκων, εὐθὺς ἀριστείδης ἄρχων ἀναγέγραπται. πασῶν δὲ τῶν περὶ αὐτὸν ἀρετῶν, ἡ δικαιοσύνη μάλιστα τοῖς πολλοῖς αἴσθησιν παρεῖχε, διὰ τὸ τὴν χρείαν ἐνδελεχεστάτην αὐτοῖς καὶ κοινοτάτην ὑπάρχειν. ὅθεν ἀνὴρ πένης καὶ δημοτικὸς, ἐκτήσατο τὴν βασιλικωτάτην καὶ θειοτάτην προσηγορίαν τὸ δίκαιον, ὃ τῶν βασιλέων καὶ τυράννων, οὐδεὶς ἐζήλωσεν, ἀλλὰ πολιορκηταὶ καὶ κεραυνοὶ καὶ νικάτορες. ἔνιοι δ᾽ ἀετοὶ καὶ ἱέρακες ἔχαιρον προσαγορευόμενοι. τὴν ἀπὸ τῆς βίας καὶ τῆς δυνάμεως ὡς ἔοικε μᾶλλον, ἢ τὴν ἀπὸ τῆς ἀρετῆς δόξαν ἀγαπῶντες. καίτοι τὸ θεῖον, ᾧ γλίχονται συνοικειοῦν καὶ συναφομοιοῦν ἑαυτοὺς, τρισὶ δοκεῖ διαφέρειν. ἀφθαρσίᾳ καὶ δυνάμει καὶ ἀρετῇ. ὧν σεμνότατον ἡ ἀρετὴ καὶ θειότατόν ἐστι. ἄφθαρτον μὲν γὰρ εἶναι καὶ τῷ κενῷ καὶ τοῖς στοιχείοις συμβέβηκε. δύναμιν δὲ, σεισμοὶ καὶ κεραυνοὶ καὶ πνευμάτων ὁρμαὶ καὶ ῥευμάτων ἐπιφοραὶ, μεγάλην ἔχουσι. δίκης δὲ καὶ θέμιδος, οὐδὲν ὅτι μὴ τῷ φρονεῖν καὶ λογίζεσθαι τὸ θεῖον μεταλαγχάνει. διὸ καὶ τριῶν ὄντων, ἃ πεπόνθασιν οἱ πολλοὶ πρὸς τὸ θεῖον, ζήλου καὶ φόβου καὶ τιμῆς. ζηλοῦν μὲν αὐτοὺς καὶ μακαρίζειν ἐοίκασι κατὰ τὸ ἄφθαρτον καὶ ἀΐδιον. ἐκπλήττεσθαι δὲ καὶ δεδιέναι, κατὰ τὸ κύριον καὶ δυνατόν. ἀγαπᾶν δὲ καὶ τιμᾶν καὶ σέβεσθαι κατὰ τὴν δικαιοσύνην. ἀλλὰ καίπερ οὕτω διακείμενοι, τῆς μὲν ἀθανασίας ἣν ἡ φύσις ἡμῶν οὐ δέχεται καὶ τῆς δυνάμεως, ἧς ἐν τύχῃ κεῖται τὸ πλεῖστον, ἐπιθυμοῦσι. τὴν δ᾽ ἀρετὴν, ὃ μόνον ἐστὶ τῶν θείων ἀγαθῶν ἐν ἡμῖν, ἐν ὑστέρῳ τίθενται. κακῶς φρονοῦντες, ὡς τὸν ἐν δυνάμει καὶ τύχῃ καὶ ἀρχῇ βίον, ἡ μὲν δικαιοσύνη, ποιεῖ θεῖον. ἡ δ᾽ ἀδικία, θηριώδη. τῷ δ᾽ οὖν ἀριστείδῃ συνέβη τὸ πρῶτον ἀγαπωμένῳ διὰ τὴν ἐπωνυμίαν, ὕστερον φθονεῖσθαι. μάλιστα μὲν τοῦ θεμιστοκλέους λόγον εἰς τοὺς πολλοὺς ἐμβαλόντος ὡς ἀριστείδης ἀνῃρηκὼς τὰ δικαστήρια τῷ κρίνειν ἅπαντα καὶ δικάζειν, λέληθε μοναρχίαν ἀδορυφόρητον ἑαυτῷ κατεσκευασμένος. ἤδη δέ που καὶ ὁ δῆμος ἐπὶ τῇ νίκῃ μέγα φρονῶν καὶ τῶν μεγίστων ἀξιῶν αὑτὸν, ἤχθετο τοῖς ὄνομα καὶ δόξαν ὑπὲρ τοὺς πολλοὺς ἔχουσι. καὶ συνελθόντες εἰς ἄστυ πανταχόθεν, ἐξοστρακίζουσι τὸν ἀριστείδην. ὄνομα τῷ φθόνῳ τῆς δόξης, φόβον τυραννίδος θέμενοι. μοχθηρίας γὰρ οὐκ ἦν κόλασις ὁ ἐξοστρακισμὸς, ἀλλ᾽ ἐκαλεῖτο μὲν δι᾽ εὐπρέπειαν, ὄγκου καὶ δυνάμεως βαρυτέρας ταπείνωσις καὶ κόλασις. ἦν δὲ φθόνου παραμυθία φιλάνθρωπος, εἰς ἀνήκεστον οὐδὲν, ἀλλ᾽ εἰς μετάστασιν ἐτῶν δέκα τὴν πρὸς τὸ λυποῦν ἀπερειδομένου δυσμένειαν. ἐπεὶ δ᾽ ἤρξαντό τινες ἀνθρώπους ἀγεννεῖς καὶ πονηροὺς ὑποβάλλειν τῷ πράγματι, τελευταῖον ἁπάντων, ὑπέρβολον ἐξοστρακίσαντες, ἐπαύσαντο. λέγεται δὲ τὸν ὑπέρβολον ἐξοστρακισθῆναι, διὰ τοιαύτην αἰτίαν. ἀλκιβιάδης καὶ νικίας, μέγιστον ἐν τῇ πόλει δυνάμενοι, διεστασίαζον. ὡς οὖν ὁ δῆμος ἔμελλεν ἐκφέρειν τὸ ὄστρακον. καὶ δῆλος ἦν τὸν ἕτερον γράψων. διαλεχθέντες ἀλλήλοις, καὶ τὰς στάσεις ἑκατέρας εἰς ταὐτὸ συναγαγόντες, τὸν ὑπέρβολον ἐξοστρακισθῆναι παρεσκεύασαν. ἐκ δὲ τούτου δυσχεράνας ὁ δῆμος ὡς καθυβρισμένον τὸ πρᾶγμα καὶ προπεπηλακισμένον, ἀφῆκε παντελῶς καὶ κατέλυσεν. ἦν δὲ τοιοῦτον, ὡς τύπῳ φράσαι τὸ γινόμενον. ὄστρακον λαβὼν ἕκαστος, καὶ γράψας ὃν ἐβούλετο μεταστῆσαι τῶν πολιτῶν, ἔφερεν εἰς ἕνα τόπον τῆς ἀγορᾶς περιπεφραγμένον ἐν κύκλῳ δρυφάκτοις. οἱ δ᾽ ἄρχοντες, πρῶτον μὲν διηρίθμουν τὸ σύμπαν ἐν ταὐτῷ τῶν ὀστράκων πλῆθος. εἰ γὰρ ἑξακισχιλίων ἐλάττονες οἱ γράψαντες εἶεν, ἀτελὴς ἦν ὁ ἐξοστρακισμὸς, ἔπειτα τῶν ὀνομάτων ἕκαστον ἰδίᾳ θέντες, τὸν ὑπὸ τῶν πλείστων γεγραμμένον, ἐξεκήρυττον εἰς ἔτη δέκα, καρπούμενον τὰ αὑτοῦ. γραφομένων οὖν τότε τῶν ὀστράκων, λέγεταί τινα τῶν ἀγραμμάτων καὶ παντελῶς ἀγροίκων, ἀναδόντα τῷ ἀριστείδῃ τὸ ὄστρακον, ὡς ἑνὶ τῶν τυχόντων παρακαλεῖν, ὅπως ἀριστείδην ἐγγράψῃ. τοῦ δὲ, θαυμάσαντος καὶ πυθομένου μή τι κακὸν αὐτῷ ἀριστείδης πεποίηκεν, οὐδὲν εἶπεν, οὐδὲ γινώσκω τὸν ἄνθρωπον, ἀλλ᾽ ἐνοχλοῦμαι πανταχοῦ τὸν δίκαιον ἀκούων, ταῦτα ἀκούσαντα τὸν ἀριστείδην, ἀποκρίνασθαι μὲν οὐδὲν, ἐγγράψαι δὲ, τοὔνομα τῷ ὀστράκῳ καὶ ἀποδοῦναι. τῆς δὲ πόλεως ἀπαλλαττόμενος, ἤδη τὰς χεῖρας ἀνατείνας εἰς τὸν οὐρανὸν, ηὔξατο τὴν ἐναντίαν ὡς ἔοικεν εὐχὴν τῷ ἀχιλλεῖ. μηδένα καιρὸν ἀθηναίους καταλαβεῖν, ὃς ἀναγκάσει τὸν δῆμον, ἀριστείδου μνησθῆναι. τρίτῳ δ᾽ ἔτει ξέρξου διὰ θετταλίας καὶ βοιωτίας ἐλαύνοντος ἐπὶ τὴν ἀττικὴν, λύσαντες τὸν νόμον, ἐψηφίσαντο τοῖς μεθεστῶσι κάθοδον, μάλιστα φοβούμενοι τὸν ἀριστείδην, μὴ προσθέμενος τοῖς πολεμίοις, διαφθείρῃ καὶ μεταστήσῃ πολλοὺς τῶν πολιτῶν πρὸς τὸν βάρβαρον. οὐκ ὀρθῶς στοχαζόμενοι τοῦ ἀνδρός. ὅς γε καὶ πρὸ τοῦ δόγματος τούτου, διετέλει προτρέπων καὶ παροξύνων τοὺς ἕλλη-

μὲν ἀμυνόμενος· τὰ δὲ, κολούων τὴν ἐκείνου δύναμιν χάριτι τῶν πολλῶν αὐξομένην, ὑπεναντιοῦσθαι οἷς ἔπραττεν ὁ θεμιστοκλῆς. βέλτιον ἡγούμενος παρελθεῖν ἔνια τῶν συμφερόντων τῷ δήμῳ, ἢ τῷ κρατεῖν ἐκεῖνον ἐν πᾶσιν ἰσχυρὸν γενέσθαι. τέλος δέ ποτε τοῦ θεμιστοκλέους πράττοντός τι τῶν δεόντων, ἀντικρούσας καὶ περιγενόμενος, οὐ κατέσχεν, ἀλλ' εἶπεν ἀπὸ τῆς ἐκκλησίας ἀπιὼν, ὡς οὐκ ἔστι σωτηρία τοῖς ἀθηναίων πράγμασιν, εἰ μὴ καὶ θεμιστοκλέα, καὶ αὐτὸν εἰς τὸ βάραθρον ἐμβάλοιεν. πάλιν δὲ γράψας τινὰ γνώμην εἰς τὸν δῆμον, ἀντιλογίας οὔσης πρὸς αὐτὴν καὶ φιλονεικίας, ἐκράτει. μέλλοντος δὲ τοῦ προέδρου τὸν δῆμον ἐπερωτᾶν, αἰσθόμενος ἐκ τῶν λόγων αὐτῶν τὸ ἀσύμφορον, ἀπέστη τοῦ ψηφίσματος. πολλάκις δὲ, καὶ δι' ἑτέρων εἰσέφερε τὰς γνώμας, ὡς μὴ φιλονεικίᾳ τῇ πρὸς αὐτὸν ὁ θεμιστοκλῆς, ἐμπόδιος εἴη τῷ συμφέροντι. θαυμαστὴ δέ τις ἐφαίνετο αὐτοῦ παρὰ τὰς ἐν τῇ πολιτείᾳ μεταβολὰς, ἡ εὐστάθεια. μήτε τοῖς τιμαῖς ἐπαιρομένου πρός τε τὰς δυσημερίας ἀθορύβως καὶ πράως ἔχοντος. καὶ ὁμοίως ἡγουμένου χρῆναι τῇ πατρίδι παρέχειν ἑαυτὸν, οὐ χρημάτων μόνον, ἀλλὰ καὶ δόξης, προῖκα καὶ ἀμισθὶ πολιτευόμενον. ὅθεν ὡς ἔοικε τῶν εἰς ἀμφιάραον ὑπ' αἰσχύλου πεποιημένων

» ἰαμβείων, ἐν τῷ θεάτρῳ λεγομένων. οὐ γὰρ δοκεῖν δίκαιος ἀλλ' εἶναι θέλει, βαθεῖαν ἄλοκα διὰ

» φρενὸς καρπούμενος. ἀφ' ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα, πάντας ἀποβλέψαι εἰς ἀριστείδην, ὡς ἐκείνῳ μάλιστα τῆς ἀρετῆς ταύτης προσηκούσης. οὐ μόνον δὲ πρὸς εὔνοιαν καὶ χάριν, ἀλλὰ καὶ πρὸς ὀργὴν καὶ πρὸς ἔχθραν ἰσχυρότατος ἦν ὑπὲρ τῶν δικαίων ἀντιβῆναι. λέγεται γοῦν ποτε διώκων ἐχθρὸν ἐν δικαστηρίῳ μετὰ τὴν κατηγορίαν, οὐ βουλομένων ἀκούειν τοῦ κινδυνεύοντος τῶν δικαστῶν, ἀλλὰ τὴν ψῆφον εὐθὺς αἰτούντων ἐπ' αὐτὸν, ἀναπηδήσας, τῷ κρινομένῳ συνικετεύειν, ὅπως ἀκουσθείη καὶ τύχοι τῶν νομίμων. πάλιν δὲ κρίνων ἰδιώταις δυσὶ τοῦ ἑτέρου λέγοντος ὡς πολλὰ τυγχάνει τὸν ἀριστείδην ὁ ἀντίδικος λελυπηκὼς, λέγ' ὠγαθὲ φάναι μᾶλλον, εἴ τι σὲ κακὸν πεποίηκεν· σοὶ γὰρ οὐκ ἐμαυτῷ δικάζω. τῶν δὲ δημοσίων προσόδων αἱρεθεὶς ἐπιμελητὴς, οὐ μόνον τοὺς καθ' αὑτὸν, ἀλλὰ καὶ τοὺς πρὸ αὐτοῦ γενομένους ἄρχοντας, ἀπεδείκνυε πολλὰ νενοσφισμένους καὶ μάλιστα τὸν θεμιστοκλέα. σοφὸς γὰρ ἀνὴρ, τῆς δὲ χειρὸς οὐ κρατῶν. διὸ καὶ συναγαγὼν πολλοὺς ἐπὶ τὸν ἀριστείδην ἐν ταῖς εὐθύναις διώκων, κλοπῆς καταδίκῃ περιέβαλεν, ὥς φησιν ἰδομενεύς. ἀγανακτούντων δὲ τῶν πρώτων ἐν τῇ πόλει καὶ βελτίστων, οὐ μόνον ἀφείθη τῆς ζημίας, ἀλλὰ καὶ πάλιν ἄρχων ἐπὶ τὴν αὐτὴν διοίκησιν ἀπεδείχθη. προσποιούμενος δὲ τῶν προτέρων μεταμέλειν αὐτῷ. καὶ μαλακώτερον ἐνδιδοὺς ἑαυτὸν, ἤρεσκε τοῖς τὰ κοινὰ κλέπτουσιν, οὐκ ἐξελέγχων, οὐδ' ἀκριβολογούμενος. ὥστε καταπιμπλαμένους τῶν δημοσίων, ὑπερεπαινεῖν τὸν ἀριστείδην, καὶ δεξιοῦσθαι τὸν δῆμον ὑπὲρ αὐτοῦ σπουδάζοντας ἄρχοντα πάλιν αἱρεθῆναι. μελλόντων δὲ χειροτονεῖν, ἐπετίμησε τοῖς ἀθηναίοις. ὅτε μὲν γὰρ ἔφη πιστῶς καὶ καλῶς ὑμῖν ἦρξα, προυπηλακίσθην. ἐπεὶ δὲ πολλὰ τῶν κοινῶν καταπροεῖμαι τοῖς κλέπτουσι, θαυμαστὸς εἶναι δοκῶ πολίτης. αὐτὸς μὲν οὖν αἰσχύνομαι τῇ νῦν τιμῇ μᾶλλον, ἢ τῇ πρώην καταδίκῃ. συνάχθομαι δ' ὑμῖν παρ' οἷς ἐνδοξότερόν ἐστι, τοῦ σώζειν τὰ δημόσια, τὸ χαρίζεσθαι τοῖς πονηροῖς. ταῦτα δ' εἰπὼν καὶ τὰς κλοπὰς ἐξελέγξας, τοὺς μὲν τότε βοῶντας, καὶ μαρτυροῦντας ὑπὲρ αὐτοῦ κατεστόμισε. τὸν δ' ἀληθινὸν καὶ δίκαιον, ἀπὸ τῶν βελτίστων ἔπαινον εἶχεν. ἐπεὶ δὲ δᾶτις ὑπὸ δαρείου πεμφθεὶς, λόγῳ μὲν ἐπιθεῖναι δίκην ἀθηναίοις, ὅτι σάρδεις ἐνέπρησαν, ἔργῳ δὲ καταστρέψασθαι τοὺς ἕλληνας, εἰς μαραθῶνα παντὶ τῷ στόλῳ κατέσχε, καὶ τὴν χώραν ἐπόρθει, τῶν δὲ καθεστώτων τοῖς ἀθηναίοις ἐπὶ τὸν πόλεμον στρατηγῶν, μέγιστον μὲν εἶχεν ἀξίωμα μιλτιάδης, δόξῃ δὲ καὶ δυνάμει, δεύτερος ἦν ἀριστείδης. καὶ τότε περὶ τῆς μάχης γνώμῃ τῇ μιλτιάδου προσθέμενος, οὐ μικρὰν ἐποίησε καὶ ῥοπήν. καὶ παρ' ἡμέραν ἑκάστου στρατηγοῦ τὸ κράτος ἔχοντος, ὡς περιῆλθεν εἰς αὐτὸν ἡ ἀρχὴ, παρέδωκε μιλτιάδῃ, διδάσκων τοὺς συνάρχοντας, ὅτι τὸ πείθεσθαι καὶ ἀκολουθεῖν τοῖς εὖ φρονοῦσιν, οὐκ αἰσχρὸν, ἀλλὰ σεμνόν ἐστι καὶ σωτήριον. οὕτω δὲ πραΰνας τὴν φιλονεικίαν, καὶ προτρεψάμενος αὐτοὺς ἀγαπᾶν μιᾷ γνώμῃ τῇ κρατίστῃ χρωμένους, ἔρρωσε τὸν μιλτιάδην, τῷ ἀπερισπάστῳ τῆς ἐξουσίας ἰσχυρὸν γενόμενον. χαίρειν γὰρ ἐῶν ἕκαστος ἤδη τὸ καθ' ἡμέραν ἄρχειν, ἐκείνῳ προσεῖχεν. ἐν δὲ τῇ μάχῃ μάλιστα τῶν ἀθηναίων τοῦ μέσου πονήσαντος, καὶ πλεῖστον ἐνταῦθα χρόνον τῶν βαρβάρων ἀντερεισάντων κατὰ τὴν λεοντίδα καὶ ἀντιοχίδα φυλὴν, ἠγωνίσαντο λαμπρῶς τεταγμένοι παρ' ἀλλήλους ὅ τε θεμιστοκλῆς, καὶ ὁ ἀριστείδης. ὁ μὲν γὰρ, λεοντίδης ἦν, ὁ δ' ἀντιοχίδης. ἐπεὶ δὲ τρεψάμενοι τοὺς βαρβάρους ἐνέβαλον εἰς τὰς ναῦς, καὶ πλέοντας οὐκ ἐπὶ νήσων ἑώρων, ἀλλ' ὑπὸ τοῦ πνεύματος καὶ τῆς θαλάσσης εἴσω πρὸς τὴν ἀττικὴν ἀποβιαζομένους, φοβηθέντες μὴ τὴν πόλιν ἔρημον λάβωσι τῶν ἀμυνομένων, ταῖς μὲν ἐννέα φυλαῖς ἠπείγοντο πρὸς τὸ ἄστυ, καὶ κατήνυσαν αὐθημερόν. ἐν δὲ μαραθῶνι μετὰ τῆς ἑαυτοῦ φυλῆς ἀριστείδης ἀφεθεὶς φύλαξ τῶν αἰχμαλώτων καὶ τῶν λαφύρων, οὐκ ἐψεύσατο τὴν δόξαν. ἀλλὰ χύδην μὲν ἀργυρίου καὶ χρυσοῦ παρόντος. ἐσθῆτος δὲ παντοδαπῆς καὶ χρημάτων ἄλλων ἀμυθήτων ἐν ταῖς σκηναῖς καὶ τοῖς ἡλωκόσι σκάφεσιν ὑπαρχόντων, οὔτ' αὐτὸς ἐπεθύμησε θιγεῖν, οὔτ' ἄλλον εἴασε, πλὴν εἴ τινες ἐκεῖνον λαθόντες ὠφελήθησαν. ὧν ἦν καὶ καλλίας ὁ δᾳδοῦχος. τούτῳ γάρ τις ὡς ἔοικε τῶν βαρβάρων προσέπεσεν.

ριστείδης ὁ Λυσιμάχου, φυλῆς μὲν ἦν Ἀντιοχίδος, τῶν δὲ δήμων, Ἀλωπεκῆθεν. περὶ δ' οὐσίας αὐτοῦ λόγοι διάφοροι γεγόνασιν. οἱ μὲν, ὡς ἐν πενίᾳ συντόνῳ καταβιώσαντος, καὶ μετὰ τὴν τελευτὴν ἀπολιπόντος θυγατέρας δύο, πολὺν χρόνον ἀνεκδότους δι' ἀπορίαν γενομένας. πρὸς δὲ τοῦτον τὸν λόγον ὑπὸ πολλῶν εἰρημένον ἀντιταττόμενος ὁ Φαληρεὺς Δημήτριος ἐν τῷ Σωκράτει, χωρίον τε Φαληροῖ φησὶ γινώσκειν Ἀριστείδου λεγόμενον ἐν ᾧ τέθαπται. καὶ τεκμήρια τῆς περὶ τὸν οἶκον εὐπορίας, ἓν μὲν ἡγεῖται τὴν ἐπώνυμον ἀρχὴν, ἣν ἦρξε τῷ κυάμῳ λαχὼν, ἐκ τῶν γενῶν τῶν τὰ μέγιστα τιμήματα κεκτημένων, οὓς πεντακοσιομεδίμνους προσηγόρευον. ἕτερον δὲ, τὸν ἐξοστρακισμόν. οὐδενὶ γὰρ τῶν πενήτων, ἀλλὰ τοῖς ἐξ οἴκων μεγάλων καὶ δι' ὄγκον ἐπιφθόνων, ὄστρακον ἐπιφέρεσθαι. τρίτον δὲ καὶ τελευταῖον, ὅτι νίκης ἀναθήματα, χορηγικοὺς τρίποδας ἐν Διονύσου καταλέλοιπεν. οἳ καὶ καθ' ἡμᾶς ἐδείκνυντο, τοιαύτην ἐπιγραφὴν διασῴζοντες. ἀντιοχὶς ἐνίκα. Ἀριστείδης ἐχορήγει. Ἀρχέστρατος ἐδίδασκε. τουτὶ μὲν οὖν καίπερ εἶναι δοκοῦν μέγιστον, ἀσθενέστατόν ἐστι. καὶ γὰρ Ἐπαμινώνδας, ὃν πάντες ἄνθρωποι γινώσκουσιν ἐν πενίᾳ καὶ τραφέντα πολλῇ καὶ βιώσαντα, καὶ Πλάτων ὁ φιλόσοφος, οὐκ ἀφιλοτίμους ἀνεδέξαντο χορηγίας. ὁ μὲν, αὐληταῖς ἀνδράσιν. ὁ δὲ παισὶ κυκλίοις χορηγήσας. τούτῳ μὲν, Δίωνος τοῦ Συρακουσίου τὴν δαπάνην παρέχοντος. Ἐπαμινώνδᾳ δὲ, τῶν περὶ Πελοπίδαν. οὐ γάρ ἐστι τοῖς ἀγαθοῖς ἀκήρυκτος καὶ ἄσπονδος πρὸς τὰς παρὰ τῶν φίλων δωρεὰς πόλεμος. ἀλλὰ τὰς εἰς ἀπόθεσιν καὶ πλεονεξίαν ἀγεννεῖς ἡγούμενοι καὶ ταπεινὰς, ὅσαι φιλοτιμίας τινὸς ἀκερδοῦς ἔχονται καὶ λαμπρότητος, οὐκ ἀπωθοῦνται. Παναίτιος μέντοι περὶ τοῦ τρίποδος ἀποφαίνει τὸν Δημήτριον ὁμωνυμίᾳ διεψευσμένον. ἀπὸ γὰρ τῶν Περσικῶν εἰς τὴν τελευτὴν τοῦ Πελοποννησιακοῦ πολέμου, δύο μόνους Ἀριστείδας χορηγοὺς ἀναγράφεσθαι νικῶντας, ὧν οὐδέτερον εἶναι τῷ Λυσιμάχου τὸν αὐτόν. ἀλλὰ τὸν μὲν, Ξενοφίλου πατρός. τὸν δὲ, χρόνῳ πολλῷ νεώτερον, ὡς ἐλέγχει τὰ γράμματα, τῆς μετ' Εὐκλείδην ὄντα γραμματικῆς, καὶ προσγεγραμμένος Ἀρχέστρατος, ὃν ἐν τοῖς Μηδικοῖς οὐδεὶς, ἐν δὲ τοῖς Πελοποννησιακοῖς συχνοὶ χορῶν διδάσκαλον ἀναγράφουσι. τὸ μὲν οὖν τοῦ Παναιτίου, βέλτιον ἐπισκεπτέον ὅπως ἔχει. τῷ δ' ὀστράκῳ, πᾶς ὁ διὰ δόξαν ἢ γένος, ἢ λόγου δύναμιν ὑπὲρ τοὺς πολλοὺς νομιζόμενος, ὑπέπιπτεν. ὅπου καὶ Δάμων ὁ Περικλέους διδάσκαλος, ὅτι τῷ φρονεῖν ἐδόκει τις εἶναι περιττὸς, ἐξωστρακίσθη. καὶ μὴν ἄρξαι γε τὸν Ἀριστείδην ὁ Ἰδομενεὺς, οὐ κυαμευτὸν, ἀλλ' ἑλομένων Ἀθηναίων φησίν. εἰ δὲ καὶ μετὰ τὴν ἐν Πλαταιαῖς μάχην ἦρξεν, ὡς αὐτὸς ὁ Δημήτριος γέγραφε, καὶ πάνυ πιθανόν ἐστιν ἐπὶ δόξῃ τοσαύτῃ καὶ κατορθώμασι τηλικούτοις ἀξιωθῆναι δι' ἀρετὴν, ἧς διὰ πλοῦτον ἐτύγχανον οἱ λαμβάνοντες. ἀλλὰ γὰρ ὁ Δημήτριος, οὐ μόνον Ἀριστείδην, ἀλλὰ καὶ Σωκράτη, δῆλός ἐστι τῆς πενίας ἐξελέσθαι φιλοτιμούμενος ὡς μεγάλου κακοῦ. καὶ γὰρ ἐκείνῳ φησὶν οὐ μόνον τὴν οἰκίαν ὑπάρχειν, ἀλλὰ καὶ μνᾶς ἑβδομήκοντα τοκιζομένας ὑπὸ Κρίτωνος.

α Ἀριστείδης δὲ, Κλεισθένους μὲν τοῦ καταστησαμένου τὴν πολιτείαν μετὰ τοὺς τυράννους ἑταῖρος γενόμενος, ζηλώσας δὲ καὶ θαυμάσας μάλιστα τῶν πολιτικῶν ἀνδρῶν, Λυκοῦργον τὸν Λακεδαιμόνιον, ἥψατο μὲν ἀριστοκρατικῆς πολιτείας, ἔσχε δ' ἀντιταττόμενον ὑπὲρ τοῦ δήμου Θεμιστοκλέα τὸν Νεοκλέους. ἔνιοι μὲν οὖν φασιν αὐτοὺς παῖδας ὄντας καὶ συντρεφομένους ἀπ' ἀρχῆς, ἐν παντὶ καὶ σπουδῆς ἐχομένῳ καὶ παιδιᾶς πράγματι καὶ λόγῳ διαφέρεσθαι πρὸς ἀλλήλους, καὶ τὰς φύσεις εὐθὺς ὑπὸ φιλονεικίας ἐκείνης ἀνακαλύπτεσθαι. τὴν μὲν, εὐχερῆ καὶ παράβολον καὶ πανοῦργον οὖσαν, καὶ μετ' ὀξύτητος ἐπὶ πάντα ῥᾳδίως φερομένην. τὴν δ' ἱδρυμένην ἐν ἤθει βεβαίῳ, καὶ πρὸς τὸ δίκαιον ἀτενῆ. ψεῦδος δὲ καὶ βωμολοχίαν καὶ ἀπάτην οὐδ' ἐν παιδιᾶς τινὶ τρόπῳ προσιεμένην. Ἀρίστων δ' ὁ Χῖος, ἐξ ἐρωτικῆς ἀρχῆς γενέσθαι φασὶ, καὶ προελθεῖν ἐπὶ τοσοῦτον τὴν ἔχθραν αὐτῶν. Στησίλεω γὰρ, ὃς ἦν γένει Κεῖος, ἰδέᾳ τε καὶ μορφῇ σώματος πολὺ τῶν ἐν ὥρᾳ λαμπρότατος, ἀμφοτέρους ἐρασθέντας, οὐ μετρίως ἐνεγκεῖν τὸ πάθος. οὐδ' ἅμα λήγοντι τῷ κάλλει τοῦ παιδὸς, ἀποθέσθαι τὴν φιλονεικίαν. ἀλλ' ὥσπερ ἐγγυμνασαμένους ἐκείνῃ πρὸς τὴν πολιτείαν, εὐθὺς ὁρμῆσαι, διαπύρους ὄντας καὶ διαφόρως ἔχοντας. ὁ μὲν οὖν Θεμιστοκλῆς εἰς ἑταιρείαν ἐμβαλὼν ἑαυτὸν, εἶχε πρόβλημα καὶ δύναμιν οὐκ εὐκαταφρόνητον. ὥστε καὶ πρὸς τὸν εἰπόντα καλῶς αὐτὸν ἄρξειν Ἀθηναίων, ἂν ἴσος ᾖ καὶ κοινὸς ἅπασι, μηδέποτε εἶπεν εἰς τοῦτον ἐγὼ καθίσαιμι τὸν θρόνον, ἐν ᾧ πλέον οὐδὲν ἕξουσιν οἱ φίλοι παρ' ἐμοὶ τῶν ἀλλοτρίων. Ἀριστείδης δὲ καθ' ἑαυτὸν ὥσπερ ὁδὸν ἰδίαν ἐβάδιζε διὰ τῆς πολιτείας. πρῶτον μὲν οὐ βουλόμενος συναδικεῖν τοῖς ἑταίροις, ἢ λυπηρὸς εἶναι μὴ χαριζόμενος. ἔπειτα τὴν ἀπὸ τῶν φίλων δύναμιν, οὐκ ὀλίγους ὁρῶν ἐπαίρουσαν ἀδικεῖν, ἐφυλάττετο, μόνῳ τῷ χρηστὰ καὶ δίκαια πράττειν καὶ λέγειν ἀξιῶν θαρρεῖν τὸν ἀγαθὸν πολίτην. οὐ μὴν ἀλλὰ πολλὰ κινουμένου τοῦ Θεμιστοκλέους παραβόλως, καὶ πρὸς πᾶσαν αὐτῷ πολιτείαν ἐνισταμένου καὶ διακόπτοντος, ἠνάγκαζέ που καὶ αὐτὸς τὰ

αἰχμάλωτοι δὲ τῶν μὲν ῥαβδούχων, πέντε. τῶν δὲ ἱππέων, εἴκοσι δυεῖν δέοντες. ἐτελεύτησεν δὲ καὶ κρισπῖνος ἐκ τῶν τραυμάτων, οὐ πολλὰς ἡμέρας ἐπιβιώσας. καὶ πάθος τοῦτο ῥωμαίοις συνέπεσεν, πρότερον οὐ γεγονὸς ἀμφοτέρους ὑφ' ἑνὸς ἀγῶνος τοὺς ὑπάτους ἀποθανεῖν. ἀννίβα δὲ, τῶν μὲν ἄλλων, ἐλάχιστος ἦν λόγος. μάρκελλον δὲ πεπτωκέναι πυθόμενος, αὐτὸς ἐξέδραμεν ἐπὶ τὸν τόπον. καὶ τῷ νεκρῷ παραστὰς, καὶ πολὺν χρόνον, τήν τε ῥώμην τοῦ σώματος καταμαθὼν, καὶ τὸ εἶδος, οὔτε φωνὴν ἀφῆκεν ὑπερήφανον, οὔτ' ἀπὸ τῆς ὄψεως τὸ χαῖρον, ὡς ἄν τις ἐργώδη πολέμιον, καὶ βαρὺν ἀπεκτονὼς ἐξέφηνεν, ἀλλ' ἐπιθαυμάσας τὸ παράλογον τῆς τελευτῆς, τὸν μὲν δακτύλιον, ἀφείλετο. τὸ δὲ σῶμα κοσμήσας, πρέποντι κόσμῳ καὶ περιστείλας ἐντίμως, ἔκαυσε. καὶ τὰ λείψανα συνθεὶς εἰς κάλπιν ἀργυρᾶν, καὶ χρυσοῦν ἐμβαλὼν στέφανον, ἀπέστειλε πρὸς τὸν υἱόν. τῶν δὲ νομάδων τινὲς περιτυχόντες τοῖς κομίζουσιν, ὥρμησαν ἀφαιρεῖσθαι τὸ τεῦχος. ἀντιλαμβανομένων δ' ἐκείνων, ἐκβιαζόμενοι καὶ μαχόμενοι, διέρριψαν τὰ ὀστᾶ. πυθόμενος δὲ ἀννίβας καὶ πρὸς τοὺς παρόντας εἰπών. οὐδὲν ἄρα δυνατὸν γενέσθαι ἄκοντος θεοῦ, τοῖς μὲν νομάσιν, ἐπέθηκε δίκην. οὐκέτι δὲ κομιδῆς, ἢ συλλογῆς τῶν λειψάνων ἐφρόντισεν, ὡς δὴ κατὰ θεόν τινα καὶ τῆς τελευτῆς καὶ τῆς ἀταφίας, παραλόγως οὕτω τῷ μαρκέλλῳ γενομένης. Ταῦτα μὲν οὖν οἱ περὶ κορνήλιον νέπωτα καὶ οὐαλέριον μάξιμον, ἱστορήκασι. λίβιος δὲ, καὶ καῖσαρ ὁ σεβαστὸς, κομισθῆναι τὴν ὑδρίαν πρὸς τὸν υἱὸν εἰρήκασιν, καὶ ταφῆναι λαμπρῶς. ἦν δὲ ἀναθήματα μαρκέλλου, δίχα τῶν ἐν ῥώμῃ, γυμνάσιον μὲν ἐν κατάνῃ τῆς σικελίας. ἀνδριάντες δὲ καὶ πίνακες τῶν ἐκ συρακουσῶν, ἔν τε σαμοθρᾴκῃ παρὰ τοῖς θεοῖς, οὓς καβείρους ὠνόμαζον. καὶ περὶ λίνδον, ἐν τῷ ἱερῷ τῆς ἀθηνᾶς. ἐκεῖ δὲ αὐτοῦ τῷ ἀνδριάντι, τοῦτ' ἦν ἐπιγεγραμμένον, ὡς ποσειδώνιός φησι τὸ ἐπίγραμμα.

» Οὗτός τοι ῥώμης ὁ μέγας ξένε πατρίδος ἀστὴρ, Μάρκελλος κλεινῶν κλαυδίος ἐκ πατέρων

» Ἑπτάκις τὰν ὑπάταν ἀρχὰν ἐν ἄρηι φυλάξας. Καὶ πολὺν ἀντι-

» πάλων ἐγκατέχευε φόνον.

Τὴν γὰρ ἀνθύπατον ἀρχὴν ἣν δὶς ἦρξε, ταῖς πέντε προσκατηρίθμησεν ὑπατείαις ὁ τὸ ἐπίγραμμα ποιήσας. γένος δ' αὐτοῦ λαμπρὸν, ἄχρι μαρκέλλου τοῦ καίσαρος ἀδελφιδοῦ διέτεινεν. ὃς ὀκταβίας ἦν τῆς καίσαρος ἀδελφῆς υἱὸς, ἐκ γαΐου μαρκέλλου γεγονώς. ἀγορανομῶν δὲ ῥωμαίων, ἐτελεύτησε νυμφίος, καίσαρος θυγατρὶ χρόνον οὐ πολὺν συνοικήσας. εἰς δὲ τιμὴν αὐτοῦ καὶ μνήμην ὀκταβία μὲν ἡ μήτηρ, τὴν βιβλιοθήκην ἀνέθηκεν. καῖσαρ δὲ, θέατρον ἐπιγράψας μαρκέλλου. ὅσα μὲν οὖν ἔδοξεν ἡμῖν ἀναγραφῆς ἄξια τῶν ἱστορουμένων περὶ μαρκέλλου καὶ πελοπίδου, ταῦτ' ἐστί. τῶν δὲ κατὰ τὰς φύσεις καὶ τὰ ἤθη κοινοτήτων ὥσπερ ἐφαμίλλων οὐσῶν, καὶ γὰρ ἀνδρεῖοι καὶ φιλόπονοι καὶ θυμοειδεῖς, καὶ μεγαλόφρονες, ἀμφότεροι γεγόνασιν, ἐκεῖνο δόξειεν ἂν διαφορὰν ἔχειν μόνον ὅτι μάρκελλος μὲν ἐν πολλαῖς πόλεσιν ὑποχειρίοις γενομέναις σφαγὰς ἐποίησεν. ἐπαμινώνδας δὲ καὶ πελοπίδας, οὐδένα πώποτε κρατήσαντες ἀπέκτειναν. οὐδὲ πόλεις ἠνδραποδίσαντο. λέγονται δὲ θηβαῖοι, μὴ ἂν ὀρχομενίους οὕτω μεταχειρίσασθαι, παρόντων ἐκείνων.

Ἐν δὲ ταῖς πράξεσι θαυμαστὰ μὲν καὶ μεγάλα τοῦ μαρκέλλου, τὰ πρὸς κελτοὺς, ὠσαμένου τοσοῦτο πλῆθος, ἱππέων ὁμοῦ καὶ πεζῶν, ὀλίγοις τοῖς περὶ αὐτὸν ἱππεῦσιν, ὃ ῥᾳδίως ὑφ' ἑτέρου στρατηγοῦ γεγονὸς οὐχ ἱστόρηται. καὶ τὸν ἄρχοντα τῶν πολεμίων ἀνελόντος. ἐν ᾧ τρόπῳ πελοπίδας ἔπταισεν ὁρμήσας ἐπὶ ταυτὰ, προαναιρεθεὶς δὲ ὑπὸ τοῦ τυράννου. καὶ παθὼν πρότερον, ἢ δράσας. οὐ μὴν ἀλλὰ τούτοις μὲν, ἔστι παραβαλεῖν τὰ λεῦκτρα, καὶ τεγύρας, ἐπιφανεστάτους καὶ μεγίστους ἀγώνων. κρυφαίᾳ δὲ σὺν λόχῳ κατορθωθείσῃ πράξει, οὐκ ἔχομεν τοῦ μαρκέλλου παραβαλεῖν. ἣν πελοπίδας περὶ τὴν ἐκ φυγῆς κάθοδον. καὶ ἀναίρεσιν τῶν ἐν θήβαις τυράννων ἔπραξεν. ἀλλ' ἐκεῖνο πολὺ πάντων ἔοικεν πρωτεύειν τῶν ὑπὸ σκότῳ, καὶ δι' ἀπάτης γενομένων τὸ ἔργον. ἀννίβας φοβερὸς μὲν ἦν καὶ δεινὸς ἐνέκειτο, ὥσπερ ἀμέλει λακεδαιμόνιοι τότε θηβαίοις. ἐνδοῦναι μὲν τούτοις δὲ, πελοπίδαν καὶ περὶ τεγύρας, καὶ περὶ λεῦκτρα βέβαιόν ἐστιν. ἀννίβαν δὲ μάρκελλος, ὡς μὲν οἱ περὶ πολύβιον λέγουσιν, οὐδ' ἅπαξ ἐνίκησεν. ἀλλ' ἀήττητος ἁνὴρ δοκεῖ διαγενέσθαι μέχρι σκιπίωνος. ἡμεῖς δὲ λιβίῳ. καὶ καίσαρι. καὶ νέπωτι, καὶ τῶν ἑλληνικῶν, τῷ βασιλεῖ ἰόβᾳ πιστεύομεν, ἥττας τινὰς καὶ τροπὰς ὑπὸ μαρκέλλου τῶν σὺν ἀννίβᾳ γενέσθαι. μεγάλην δὲ αὗται ῥοπὴν, οὐδὲ μίαν ἐποίησαν. ἀλλ' ἔοικε ψευδώματί τι γενέσθαι περὶ τὸν λίβυν, ἐν ταῖς συμπλοκαῖς ἐκείναις. ὃ δὴ κατὰ λόγον καὶ προσηκόντως ἐθαυμάσθη, μετὰ τοσαύτας τροπὰς στρατοπέδων. καὶ φόνους στρατηγῶν, καὶ σύγχυσιν ὅλης ὁμοῦ τῆς ῥωμαίων ἡγεμονίας. εἰς ἀντίπαλα τῷ θαρρεῖν καθισταμένων. ὁ γὰρ ἐκ πολλοῦ τοῦ πάλαι περιδεοῦς καὶ καταπεπληγότος, αὖθις ἐμβαλὼν τῷ στρατεύματι ζῆλον, καὶ φιλονεικίαν πρὸς τοὺς πολεμίους. καὶ τοῦτο δὴ τὸ μὴ ῥᾳδίως τῆς νίκης ἐφιέμενον, ἀλλὰ καὶ ἀμφισβητοῦντα καὶ φιλοτιμούμενον. ἐπάρας καὶ θαρρύνας, εἷς ἀνὴρ ἦν μάρκελλος. εἰθισμένους γὰρ ὑπὸ τῶν συμφορῶν εἰ φεύγοντες ἐκφύγοιεν ἀννίβαν, ἀγαπᾶν, ἐδίδαξεν αἰσχύνεσθαι σωζομένους μεθ' ἥττης. ἀρνεῖσθαι δὲ παρὰ μικρὸν ἐνδόντας. ἀλγεῖν δὲ μὴ κρατήσαντας. Ἐπεὶ τοίνυν πελοπίδας μὲν οὐδεμίαν ἡττήθη μάχην στρατηγῶν. μάρκελλος δὲ πλείστας τῶν καθ' αὑτὸν ῥωμαίων ἐνίκησεν, δόξειεν ἂν ἴσως, τῷ δυσνικήτῳ πρὸς τὸ ἀήττητον, ὑπὸ πλήθους τῶν κατορθωμάτων ἐπανισοῦσθαι. καὶ μὴν οὗτος μὲν, εἷλε συρακούσας. ἐκεῖνος δὲ,

ἱστόρισι . s. τ. κ. q.

ἢ ποτέ

ἐνδοῦναι δὲ τούτοις μὲν πελοπίδαν - q. u.

Corruptus mihi locus. Gem:

Ita videtur legendum. ἐνδοῦναι δὲ τούτοις μὲν πελοπίδα.

Corruptus mihi videtur locus nam praeter alia genitivus ille καθισταμένων non video quo referatur. Et vox illa ἀμφισβητοῦντα non convenit cum aliis, [illegible] codices.

λογισάμενος, εἰς ῥώμην ἐπανῆλθεν. ἐκ δὲ τῶν διαβολῶν ἐκείνων δίκην εὗρεν παρεσκευασμένην ἐπ' αὐτόν. ἡμέρας οὖν ὁρισθείσης καὶ τοῦ δήμου συνελθόντος εἰς τὸν φλαμίνιον ἱππόδρομον. ὁ μὲν βίβλος, ἀναβὰς κατηγόρησεν. ὁ δὲ μάρκελλος, ἀπελογεῖτο, βραχέα μὲν καὶ ἁπλᾶ δι' ἑαυτοῦ, πολλὴν δὲ καὶ λαμπρὰν οἱ δοκιμώτατοι καὶ πρῶτοι τῶν πολιτῶν παρρησίαν ἦγον. παρακαλοῦντες μὴ χείρονας τοῦ πολεμίου κριτὰς φανῆναι, δειλίαν μαρκέλλου καταψηφισαμένους. ὃν μόνον φεύγει τῶν ἡγεμόνων ἐκεῖνος καὶ διατελεῖ τούτῳ μὴ μάχεσθαι στρατηγῶν, ὡς τοῖς ἄλλοις μάχεσθαι. ῥηθέντων δὲ τῶν λόγων τούτων, τοσοῦτον ἡ τῆς δίκης ἐλπὶς ἐψεύσατο τὸν κατήγορον, ὥστε μὴ μόνον ἀφεθῆναι τῶν αἰτιῶν τὸν μάρκελλον, ἀλλὰ καὶ τὸ πέμπτον ὕπατον ἀποδειχθῆναι. Παραλαβὼν δὲ τὴν ἀρχήν. πρῶτον μὲν, ἐν τυρρηνίᾳ μέγα κίνημα πρὸς ἀπόστασιν ἔπαυσεν, καὶ κατεπράϋνεν ἐπελθὼν τὰς πόλεις. ἔπειτα, ναὸν ἐκ τῶν σικελικῶν λαφύρων ᾠκοδομημένον ὑπ' αὐτοῦ, δόξης καὶ ἀρετῆς, καθιερῶσαι βουλόμενος, καὶ κωλυθεὶς ὑπὸ τῶν ἱερέων, οὐκ ἀξιούντων ἐν ἑνὶ ναῷ δύο θεοὺς περιέχεσθαι, πάλιν ἤρξατο προσοικοδομεῖν ἕτερον, οὐ ῥᾳδίως φέρων τὴν γεγενημένην ἀντίκρουσιν, ἀλλ' ὥσπερ οἰωνιζόμενος. καὶ γὰρ ἄλλα πολλὰ σημεῖα διετάραττεν αὐτόν. ἱερῶν τινῶν κεραυνώσεις, καὶ μύες τὸν ἐν διὸς χρυσὸν διαφαγόντες. ἐλέχθη δὲ καὶ βοῦν ἀνθρώπου φωνὴν ἀφεῖναι. καὶ παιδίον ἐκκεφαλῆς ἐλέφαντος γενέσθαι. καὶ περὶ γενέσθαι, περὶ τὰς ἐκχύσεις καὶ ἀποτροπὰς δυσιεροῦντας. οἱ δὲ μάντεις κατεῖχον αὐτὸν ἐν ῥώμῃ, σπαργῶντα καὶ φλεγόμενον. οὐδεὶς γὰρ ἔρωτα τοσοῦτον ἠράσθη πράγματος οὐδενὸς, ὅσον οὗτος ἀνὴρ τοῦ μάχῃ κριθῆναι πρὸς ἀννίβαν. τοῦτο καὶ νύκτωρ ὄνειρον ἦν αὐτῷ. καὶ μετὰ φίλων καὶ συναρχόντων, ἓν βούλευμα καὶ μία πρὸς θεοὺς φωνή, παρατεταγμένος ἀννίβαν λαβεῖν. ἥδιστα δ' ἄν μοι δοκεῖ, τείχους ἑνὸς, ἤ τινος χάρακος ἀμφοτέροις τοῖς στρατεύμασι περιτεθέντος, διαγωνίζεσθαι. καὶ εἰ μὴ πολλῆς μὲν ἤδη μεστὸς ὑπῆρξε δόξης. πολλὴν δὲ πεῖραν παρεσχήκει τοῦ παρ' ὁντινοῦν τῶν στρατηγῶν ἐμβριθὴς γεγονέναι καὶ φρόνιμος, καὶ εἰπεῖν. ὅτι μειρακιῶδες αὐτῷ προσπέπτωκεν, καὶ φιλοτιμότερον πάθος, ἢ κατὰ πρεσβύτην τηλικοῦτον. ὑπὲρ γὰρ ἑξήκοντα γεγονὼς ἔτη, τὸ πέμπτον ὑπάτευσεν. οὐ μὴν, ἀλλὰ θυσιῶν καὶ καθαρμῶν ὧν ὑπηγόρευον οἱ μάντεις γενομένων, ἐξῆλθεν μετὰ τοῦ συνάρχοντος ἐπὶ τὸν πόλεμον. καὶ πολλὰ μεταξὺ βαντίας πόλεως καὶ βενουσίας καθήμενον, ἠρέθιζε τὸν ἀννίβαν. ὁ δὲ εἰς μάχην μὲν, οὐ κατέβαινεν. αἰσθόμενος δὲ, πεμπομένην ὑπ' αὐτῶν στρατιὰν ἐπὶ λοκροὺς τοὺς ἐπιζεφυρίους, καὶ τὸ περὶ πετηλίνον λόφον, ὑφεὶς ἐνέδρας πεντακοσίους καὶ δισχιλίους ἀπέκτεινε. τοῦτο μάρκελλον ἐξέφερεν τῷ θυμῷ πρὸς τὴν μάχην, καὶ προσῆγεν ἄρας ἐγγυτέρω τὴν δύναμιν. ἦν δὲ μεταξὺ τῶν στρατοπέδων λόφος ἐπιεικῶς μὲν εὐερκὴς, ὕλης δὲ παντοδαπῆς ἀνάπλεως. εἶχε δὲ καὶ σκοπὰς περικλινεῖς ἐπ' ἀμφότερα, καὶ ναμάτων ὑπεφαίνοντο πηγαὶ καταρρεόντων. ἐθαύμαζον οὖν οἱ ῥωμαῖοι ἀννίβαν, ὅτι πρῶτος ἑλὼν εὐφυᾶ τόπον, οὕτως οὐ κατέσχεν, ἀλλ' ἀπέλιπε τοῖς πολεμίοις. τῷ δ' ἄρα καλὸν μὲν τῷ στρατοπεδεῦσαι τὸ χωρίον ἐφαίνετο, πολὺ δὲ κρεῖττον ἐνεδρεῦσαι. καὶ πρὸς τοῦτο μᾶλλον αὐτῷ χρῆσθαι βουλόμενος, ἐνέπλησε τὴν ὕλην καὶ τὰς κοιλάδας, ἀκοντιστῶν τε πολλῶν καὶ λογχοφόρων, πεπεισμένος, ἐπάξεσθαι δι' εὐφυΐαν αὐτὰ τὰ χωρία τοὺς ῥωμαίους, οὐδὲ ἀπεψεύσθη τῆς ἐλπίδος. εὐθὺς γὰρ ἦν πολὺς ἐν τῷ στρατοπέδῳ τῶν ῥωμαίων λόγος, ὡς χρὴ τὸ χωρίον καταλαμβάνειν, καὶ διεστρατήγουν, ὅσα πλεονεκτήσουσι τοὺς πολεμίους, μάλιστα μὲν ἐκεῖ στρατοπεδεύσαντες. εἰ δὲ μὴ, τειχίσαντες τὸν λόφον. ἔδοξεν οὖν τῷ μαρκέλλῳ μετ' ὀλίγων ἱππέων προσελάσαντι κατασκέψασθαι, καὶ λαβὼν τὸν μάντιν, ἐθύετο. καὶ τοῦ πρώτου πεσόντος ἱερείου, δείκνυσιν αὐτῷ τὸ ἧπαρ, οὐκ ἔχον κεφαλὴν ὁ μάντις. ἐπιθυσαμένου δὲ τὸ δεύτερον ἥ τε κεφαλὴ μέγεθος ὑπερφυὲς ἀνέσχεν, καὶ τἄλλα φαιδρὰ θαυμαστῶς διεφάνη. καὶ λύσιν ἔχειν ὁ τῶν πρώτων φόβος ἔδοξεν. οἱ δὲ μάντεις, ταῦτα μᾶλλον ἔφασαν δεδιέναι καὶ ταράττεσθαι. λαμπροτάτων γὰρ ἐπ' αἰσχίστοις καὶ σκυθρωποτάτοις ἱεροῖς γενομένων, ὕποπτον εἶναι τῆς μεταβολῆς τὴν ἀτοπίαν. ἀλλὰ γὰρ τὸ πεπρωμένον. οὐ πῦρ οὐ σιδαροῦν σχήσει τεῖχος κατὰ πίνδαρον. ἐξῄει οὖν τόν τε συνάρχοντα κρισπῖνον παραλαβὼν, καὶ τὸν υἱὸν χιλιαρχοῦντα. καὶ τοὺς σύμπαντας ἱππεῖς, εἴκοσι καὶ διακοσίους, ὧν ῥωμαῖος οὐδεὶς ἦν, ἀλλ' οἱ μὲν ἄλλοι, τυρρηνοί. τεσσαράκοντα δὲ φρεγελλανοί, πεῖραν ἀρχῆς καὶ πίστεως ἀεὶ, τῷ μαρκέλλῳ δεδωκότες. ὑλώδους δὲ τοῦ λόφου καὶ συνηρεφοῦς ὄντος ἀνὴρ καθήμενος ἄνω, σκοπὴν εἶχεν τοῖς πολεμίοις, αὐτὸς οὐ συνορώμενος, καθορῶν δὲ τῶν ῥωμαίων τὸ στρατόπεδον. καὶ τὰ γινόμενα τούτου φράσαντος τοῖς λοχῶσι, προσελαύνοντα τὸν μάρκελλον ἐάσαντες ἐγγὺς προσελθεῖν, ἐξαίφνης ἀνέστησαν, καὶ περιχυθέντες ἅμα πανταχόθεν. ἠκόντιζον. ἔπαιον. ἐδίωκον τοὺς φεύγοντας. συνεπλέκοντο τοῖς ὑφισταμένοις. οὗτοι δ' ἦσαν οἱ τεσσαράκοντα φρεγελλανοί. καὶ τῶν τυρρηνῶν, εὐθὺς ἐν ἀρχῇ διατρεσάντων, αὐτοὶ συστραφέντες, ἠμύνοντο πρὸ τῶν ὑπάτων. ἄχρι οὗ κρισπῖνος μὲν, ἀκοντίσμασι δυσὶ βεβλημένος, ἐπέστρεψεν εἰς φυγὴν τὸν ἵππον. μάρκελλον δέ τις, λόγχῃ πλατείᾳ διὰ τῶν πλευρῶν διήλασεν, ἣν λαγκίαν καλοῦσιν. οὕτω δὲ καὶ τῶν φρεγελλανῶν οἱ περιόντες ὀλίγοι παντάπασιν, αὐτὸν μὲν πεσόντα λείπουσι, τὸν δ' υἱὸν ἁρπάσαντες τετρωμένον, φεύγουσιν ἐπὶ τὸ στρατόπεδον. ἐγένοντο δὲ νεκροὶ μὲν, οὐ πολλῷ τῶν τεσσαράκοντα πλείους,

αἰχμάλωτοι

[Marginal notes: "Suspectus est mihi locus iste"; "ὑπῆρχε τ. ς. κ."; "ἔδει μ... / ἔδει οὖν ..."; "ἀρετῆς"]

κρῶν, καὶ προὐκαλεῖτο διαγωνίσασθαι περὶ τῆς νίκης τὸν ἀννίβαν. ἀναζεύξαντος δὲ ἐκείνου, σκυλεύσας τοὺς πολεμίους νεκρούς, καὶ θάψας τοὺς φίλους, ἐδίωκεν αὖθις. καὶ πολλὰς μὲν ὑφέντος ἐνέδρας, οὐδεμιᾷ περιπεσών. ἐν δὲ πᾶσι τοῖς ἀκροβολισμοῖς, πλεῖστον ἔχων, ἐθαυμάζετο. διὸ καὶ τῶν ἀρχαιρεσιῶν ἐπειγόντων, ἔδοξε τῇ βουλῇ μᾶλλον ἐκ σικελίας τὸν ἕτερον ὑπάγειν ὕπατον, ἢ μάρκελλον, ἀννίβᾳ συνηρτημένον κινεῖν. ἐλθόντα δ' ἐκέλευεν εἰπεῖν δικτάτωρα κόϊντον φάβιον. ὁ γὰρ δικτάτωρ, οὐκ ἔστιν ὑπὸ τοῦ πλήθους, οὐδὲ τῆς βουλῆς αἱρετός, ἀλλὰ τῶν ὑπάτων τις ἢ τῶν στρατηγῶν προελθὼν εἰς τὸν δῆμον, ὃν αὐτῷ δοκεῖ, λέγει δικτάτωρα, καὶ διὰ τοῦτο δικτάτωρ ὁ ῥηθεὶς καλεῖται. τὸ γὰρ λέγειν, δίκερε ῥωμαῖοι καλοῦσιν. ἔνιοι δὲ τὸν δικτάτωρα, τῷ μὴ προτιθέναι ψῆφον ἢ χειροτονίαν, ἀλλ' ἀφ' αὑτοῦ τὰ δόξαντα προστάττειν, οὕτως ὠνομάσθαι. καὶ γὰρ τὰ διαγράμματα τῶν ἀρχόντων, ἕλληνες μὲν διατάγματα, ῥωμαῖοι δὲ, ἔδικτα προσαγορεύουσιν. Ἐπεὶ δὲ ἐλθὼν ἀπὸ τῆς σικελίας ὁ τοῦ μαρκέλλου συνάρχων, ἕτερον ἐβούλετο λαβεῖν δικτάτωρα, καὶ βιασθῆναι παρὰ γνώμην μὴ βουλόμενος, ἐξέπλευσε νυκτὸς εἰς σικελίαν. οὕτως, ὁ μὲν δῆμος ὠνόμασεν δικτάτωρα κόϊντον φάβιον. ἡ βουλὴ δ' ἔγραψε μαρκέλλῳ, κελεύουσα τοῦτον εἰπεῖν. ὁ δὲ πεισθεὶς ἀνεῖπε καὶ συνεπεκύρωσεν τοῦ δήμου τὴν γνώμην. αὐτὸς δὲ, πάλιν ἀνθύπατος εἰς τοὐπιὸν ἀπεδείχθη. συνθέμενος δὲ πρὸς φάβιον μάξιμον, ὅπως ἐκεῖνος μὲν, ἐπιχειρῇ ταραντίνοις, αὐτὸς δὲ συμπλεκόμενος καὶ περιέλκων ἀννίβαν ἐμποδὼν ᾖ τοῦ βοηθεῖν πρὸς ἐκεῖνον, ἐπέβαλλε περὶ κανύσιον. καὶ πολλὰς ἀλλάσσοντι στρατοπεδείας καὶ φυγομαχοῦντι πανταχόθεν ἐπεφαίνετο. τέλος δ' ἱδρυθέντι προσκείμενος, ἐξανίστη τοῖς ἀκροβολισμοῖς. ὁρμήσαντος δὲ μάχεσθαι, δεξάμενος ὑπὸ νυκτὸς διελύθη. καὶ μεθ' ἡμέραν, αὖθις ἐν τοῖς ὅπλοις ἑωρᾶτο τὸν στρατὸν ἔχων παρατεταγμένον. ὥστε τὸν ἀννίβαν περιαλγῆ γενόμενον, τοὺς καρχηδονίους ἀθροῖσαι καὶ δεηθῆναι τὴν μάχην ἐκείνην ὑπὲρ πασῶν ἀγωνίσασθαι τῶν ἔμπροσθεν. ὁρᾶτε γὰρ εἶπεν, ὡς οὐδ' ἀναπνεῦσαι μετὰ νίκας τοσαύτας. οὐδὲ σχολὴν ἄγειν κρατοῦσιν ἡμῖν ἔστιν. εἰ μὴ τοῦτον ὠσαίμεθα τὸν ἄνθρωπον. ἐκ τούτου συμβαλόντες ἐμάχοντο καὶ δοκεῖ παρὰ τὸ ἔργον, ἀκαίρῳ στρατηγήματι χρώμενος ὁ μάρκελλος σφαλῆναι. τοῦ γὰρ δεξιοῦ πονοῦντος, ἐκέλευσε τῶν ταγμάτων εἰς τοὔμπροσθεν προελθεῖν. ἡ δὲ μετακίνησις αὕτη, ταράξασα τοὺς μαχομένους, παρέδωκε τὸ νίκημα τοῖς πολεμίοις. ἑπτακοσίοις ἐπὶ δισχιλίοις ῥωμαίων πεσόντων. ἀναχωρήσας δὲ ὁ μάρκελλος εἰς τὸν χάρακα, καὶ συναγαγὼν τὸν στρατόν. ὁρῶ ἔφη ῥωμαίων ὅπλα πολλὰ καὶ σώματα, ῥωμαίους δὲ, μηδένα ὁρῶ. αἰτουμένων δὲ συγγνώμην, οὐκ ἔφη διδόναι νενικημένοις, ἐὰν δὲ νικήσωσι δώσειν. αὔριον δὲ μαχεῖσθαι πάλιν, ὅπως οἱ πολῖται τὴν νίκην πρότερον, ἢ τὴν φυγὴν ἀκούσωσιν. διαλεχθεὶς δὲ ταῦτα, προσέταξε ταῖς ἡττημέναις σπείραις, ἀντὶ πυρῶν, κριθὰς μετρῆσαι. δι' ἃ πολλῶν ἐκ τῆς μάχης ἐπικινδύνως καὶ πονηρῶς ἐχόντων, οὐδένα φασὶν ὃν οἱ μαρκέλλου λόγοι τῶν τραυμάτων οὐχὶ μᾶλλον ἤλγυναν. ἅμα δὲ ἡμέρᾳ προὔκειτο μὲν ὁ φοινικοῦς χιτὼν ὡς εἰώθει, μάχης ἐσομένης σύμβολον. αἱ δὲ ἠτιμασμέναι σπεῖραι, τὴν πρώτην αὐταὶ δεηθεῖσαι τάξιν ἐλάμβανον. τὴν δὲ ἄλλην ἐξάγοντες οἱ χιλίαρχοι στρατιὰν, παρενέβαλον. ἀκούσας δὲ ὁ ἀννίβας, ὦ ἡράκλεις εἶπε. τί χρήσεταί τις ἀνθρώπῳ, μήτε τὴν χείρονα τύχην, μήτε τὴν βελτίονα φέρειν εἰδότι. μόνος γὰρ οὗτος, οὐδὲ νικῶν δίδωσιν ἀνάπαυσιν, οὔτε λαμβάνει νικώμενος. ἀλλ' ἀεὶ μαχησόμεθα πρὸς τοῦτον ὡς ἔοικεν. ᾧ τοῦ τολμᾶν ἀεὶ καὶ θαρρεῖν, εὐτυχοῦντι καὶ σφαλλομένῳ, τὸ αἰδεῖσθαι πρόφασίς ἐστιν. ἐκ τούτου συνέπεσον αἱ δυνάμεις, καὶ τῶν ἀνδρῶν ἴσα φερομένων. ἐκέλευσεν ἀννίβας τὰ θηρία καταστήσαντας εἰς πρώτην τάξιν, ἐπάγειν τοῖς ὅπλοις τῶν ῥωμαίων. ὠθισμοῦ δὲ μεγάλου καὶ ταραχῆς, εὐθὺς ἐν τοῖς πρώτοις γενομένης. εἷς τῶν χιλιάρχων ὄνομα φλάβιος, ἀναρπάσας σημαίαν, ὑπηντίαζεν. καὶ τῷ στύρακι τὸν πρῶτον ἐλέφαντα τύπτων, ἀπέστρεψεν. ὁ δὲ ἐμβαλὼν εἰς τὸν ὀπίσω, συνετάραξε καὶ τοῦτον καὶ τοὺς ἐπιφερομένους. κατιδὼν δὲ τοῦτο μάρκελλος ἐκέλευσε τοὺς ἱππεῖς, ἐλαύνειν ἀνακράτος πρὸς τὸ θορυβούμενον, καὶ ποιεῖν ἔτι μᾶλλον αὐτοῖς περιπετεῖς τοὺς πολεμίους. οὗτοι δὲ δή. λαμπρῶς ἐμβαλόντες ἀνέκοπτον ἄχρι τοῦ στρατοπέδου τοὺς καρχηδονίους. καὶ τῶν θηρίων τὰ κτεινόμενα καὶ πίπτοντα τὸν πλεῖστον αὐτῶν φόνον ἀπειργάζετο. λέγονται γὰρ ὑπὲρ ὀκτακισχιλίους ἀποθανεῖν. ῥωμαίων δὲ, νεκροὶ μὲν ἐγένοντο, τρισχίλιοι, τραυματίαι δὲ, ὀλίγου δεῖν ἅπαντες. καὶ τοῦτο παρέσχεν ἀννίβᾳ καθ' ἡσυχίαν ἀναστάντι νυκτὸς, ἆραι πορρωτάτω τοῦ μαρκέλλου, διώκειν γὰρ οὐκ ἦν δυνατὸς ὑπὸ πλήθους τῶν τετρωμένων. ἀλλὰ κατὰ σχολὴν, εἰς καμπανίαν ἀνέζευξεν, καὶ τὸ θέρος ἐν σινοέσσῃ διῆγεν, ἀναλαμβάνων τοὺς στρατιώτας. Ὁ δὲ ἀννίβας ὡς ἀπέρρηξεν ἑαυτὸν τοῦ μαρκέλλου. χρώμενος ὥσπερ λελυμένῳ τῷ στρατεύματι, πᾶσαν ἀδεῶς ἐν κύκλῳ περιιὼν, ἔφλεγε τὴν ἰταλίαν. καὶ κακῶς ἤκουσεν ἐν ῥώμῃ μάρκελλος. οἱ δὲ ἐχθροὶ πουβλίκιον βίβλον, ἕνα τῶν δημάρχων ἀνέστησαν ἐπὶ τὴν κατηγορίαν αὐτοῦ. δεινὸν εἰπεῖν ἄνδρα καὶ βίαιον, ὃς πολλάκις συναγαγὼν τὸν δῆμον, ἔπειθεν ἄλλῳ παραδοῦναι στρατηγῷ τὴν δύναμιν. ἐπεὶ μάρκελλος ἔφη, μικρὰ τῷ πολέμῳ προσγεγυμνασμένος, ὥσπερ ἐκ παλαίστρας, ἐπὶ θερμὰ λουτρὰ, θεραπεύσων ἑαυτὸν τέτραπται. ταῦτα πυνθανόμενος ὁ μάρκελλος, ἐπὶ μὲν τοῦ στρατοπέδου, τοὺς πρεσβευτὰς ἀπέλιπεν. αὐτὸς δὲ πρὸς τὰς διαβολὰς ἐπαν-

οὗτος ὀνομάζεται. καὶ γὰρ ἐκεῖνον ἐφυάζοντες καὶ ᾄδοντες, παραπέμπουσιν. ἀλλ' ὑφ' Ἑλλήνων εἰς τὸ συνήθες αὐτοῖς παρῆκται τοὔνομα, πεπεισμένων ἅμα καὶ Διονύσῳ τι, τῆς τιμῆς προσήκειν, ὃν εὔϊον καὶ θρίαμβον ὀνομάζομεν. οὐχ οὕτω δὲ ἔχει τὸ ἀληθὲς ἀλλ' ἐπὶ μὲν τῷ μεγάλῳ θριάμβῳ. βουθυτεῖν πάτριον ἦν τοῖς στρατηγοῖς. ἐπὶ δὲ τούτῳ, πρόβατον ἔθυον. ὄβα δὲ τὰ πρόβατα Ῥωμαῖοι καλοῦσιν, ἐκ τούτου καὶ τὸν θρίαμβον ὄβαν ὠνόμασαν. ἄξιον δὲ καὶ τὸν λακωνικὸν ἀποθεωρῆσαι νομοθέτην ὑπεναντίως Ῥωμαϊκῷ τάξαντα τὰ θυσίας. θύει γὰρ ἐν Σπάρτῃ τῶν ἀποστρατηγούντων. ὁ μὲν δι' ἀπάτης ἢ πειθοῦς, ὃ βούλεται διαπραξάμενος, βοῦν. ὁ δὲ διὰ μάχης, ἀλεκτρυόνα. καίπερ γὰρ ὄντες πολεμικώτατοι, μείζονα καὶ μᾶλλον ἀνθρώπῳ πρέπουσαν ἡγοῦντο τὴν διὰ λόγου καὶ συνέσεως πρᾶξιν, ἢ τὴν μετὰ βίας καὶ ἀνδρείας. ταῦτα μὲν οὖν ὅπως ἔχει, σκοπεῖν πάρεστιν. τοῦ δὲ Μαρκέλλου τὸ τέταρτον ὑπατεύοντος, οἱ ἐχθροὶ, τοὺς Συρακουσίους ἀνέπειθον εἰς Ῥώμην ἀφικομένους, κατηγορεῖν καὶ καταβοᾶν πρὸς τὴν σύγκλητον, ὡς δεινὰ καὶ παράσπονδα πεπονθότας. ἔτυχε μὲν οὖν ἐν Καπιτωλίῳ, θυσίαν τινὰ συντελῶν ὁ Μάρκελλος. ἔτι δὲ συγκαθεζομένῃ τῇ γερουσίᾳ τῶν Συρακουσίων προσπεσόντων, καὶ δεομένων λόγου τυχεῖν καὶ δίκης. ὁ μὲν συνάρχων, ἐξεῖργεν αὐτοὺς, ἀγανακτῶν ὑπὲρ τοῦ Μαρκέλλου, μὴ παρόντος. ὁ δὲ Μάρκελλος εὐθὺς, ἧκεν ἀκούσας. καὶ πρῶτον μὲν, ἐπὶ τοῦ δίφρου καθίσας, ὡς ὕπατος ἐχρημάτιζεν. ἔπειτα, τῶν ἄλλων τέλος ἐχόντων, καταβὰς ἀπὸ τοῦ δίφρου καὶ καταστὰς ὥσπερ ἰδιώτης εἰς τὸν τόπον ἐν ᾧ λέγειν εἰώθασιν οἱ κρινόμενοι, τοῖς Συρακουσίοις, ἐλέγχειν αὐτὸν παρεῖχεν. οἱ δὲ δεινῶς μὲν συνεταράχθησαν πρὸς τὸ ἀξίωμα, καὶ τὸ πεποιθὸς τοῦ ἀνδρὸς, καὶ τὸ ἐν τοῖς ὅπλοις ἀνυπόστατον, ἔτι μᾶλλον ἐν τῇ περιπορφύρῳ, φοβερὸν ἡγοῦντο καὶ δυσαντίβλεπτον. οὐ μὴν, ἀλλὰ καὶ παραθαῤῥυνόντων αὐτοὺς τῶν διαφερομένων πρὸς τὸν Μάρκελλον, ἤρξαντο τῆς κατηγορίας, καὶ διεξῆλθον, ὀλοφυρμῷ τινὶ μεμιγμένην δικαιολογίαν, ἧς ἦν τὸ κεφάλαιον. ὅτι σύμμαχοι καὶ φίλοι ὄντες Ῥωμαίοις, πεπόνθασιν, ἃ πολλοῖς τῶν πολεμίων, ἕτεροι στρατηγοὶ, μὴ παθεῖν ἐχαρίσαντο. πρὸς ταῦτα ὁ Μάρκελλος ἔλεγεν ὡς ἀντὶ πολλῶν ὧν δεδράκασι Ῥωμαίους κακῶς, οὐδὲν πεπόνθασι πλὴν, ἃ πολέμῳ, καὶ κατὰ κράτος ἁλόντας ἀνθρώπους κωλῦσαι παθεῖν οὐ δυνατόν ἐστιν. οὕτω δὲ ἁλῶναι δι' αὐτοὺς, πολλὰ προκαλουμένῳ, πεισθῆναι μὴ ἐθελήσαντας. οὐ γὰρ ὑπὸ τῶν τυράννων πολεμῆσαι βιασθέντας, ἀλλὰ κἀκείνους, ἐπὶ τῷ πολεμεῖν ἑλέσθαι τυραννήσειν. λεχθέντων δὲ τῶν λόγων, καὶ μεθισταμένοις, ὥσπερ ἔθος, ἔξωθεν ἐκ τῆς βουλῆς τοῖς Συρακουσίοις, συνεξῆλθεν Μάρκελλος ἐπὶ τῷ συνάρχοντι ποιησάμενος τὴν σύγκλητον. καὶ πρὸ τῶν θυρῶν τοῦ βουλευτηρίου διέτριβεν. οὔτε φόβῳ διὰ τὴν δίκην, οὔτε θυμῷ πρὸς τοὺς Συρακουσίους, τοῦ συνήθους μεταβαλὼν καταστήματος, ἀλλὰ πρᾴως πάνυ καὶ κοσμίως, τὸ τῆς δίκης τέλος ἐκδεχόμενος. ἐπεὶ δὲ διηνέχθησαν αἱ γνῶμαι καὶ νικῶν ἀπεδείχθη, προσπίπτουσιν αὐτῷ οἱ Συρακούσιοι μετὰ δακρύων δεόμενοι, τὴν ὀργὴν τὴν

ὧν εἰς αὐτοὺς, ἀφεῖναι τοὺς παρόντας, οἰκτεῖραι δὲ τὴν ἄλλην πόλιν μεμνημένην ὧν ἔτυχεν ἀεὶ καὶ χάριν ἔχουσαν. ἐπικλασθεὶς οὖν ὁ Μάρκελλος, τούτοις τε διηλλάγη, καὶ τοῖς ἄλλοις Συρακουσίοις, ἀεί τι πράττων ἀγαθὸν διετέλει. καὶ τὴν ἐλευθερίαν, ἣν ἀπέδωκεν αὐτοῖς. καὶ τοὺς νόμους. καὶ τῶν κτημάτων τὰ περιόντα, βέβαια παρέσχεν ἡ σύγκλητος, ἀνθ' ὧν ἄλλας τε τιμὰς, ὑπερφυεῖς ἔσχε παρ' αὐτοῖς, καὶ νόμον ἔθεντο τοιοῦτον. ὁπότ' ἂν ἐπιβῇ Σικελίας Μάρκελλος, ἢ τῶν ἐκγόνων τις αὐτοῦ, στεφανηφορεῖν Συρακουσίους καὶ θύειν τοῖς θεοῖς. τοὐντεῦθεν ἤδη, τρέπεται πρὸς Ἀννίβαν καὶ τῶν ἄλλων ὑπάτων καὶ ἡγεμόνων σχεδὸν ἁπάντων μετὰ τὰ ἐν Κάνναις, ἑνὶ στρατηγήματι τῷ φυγομαχεῖν χρωμένων ἐπὶ τὸν ἄνδρα. παρατάττεσθαι δὲ, καὶ συμπλέκεσθαι μηδενὸς τολμῶντος, αὐτὸς ἐπὶ τὴν ἐναντίαν ὥρμησεν ὁδὸν, οἰόμενος τῷ δοκοῦντι καταλύειν Ἀννίβαν χρόνῳ, πρότερον ἐκτριβεῖσαν ὑπ' ἐκείνου, λήσεσθαι τὴν Ἰταλίαν. καὶ τὸν Φάβιον ἀεὶ, τῆς ἀσφαλείας ἐχόμενον, οὐ καλῶς ἔχειν ἰᾶσθαι τὸ νόσημα τῆς πατρίδος, περιμένοντα τῇ Ῥώμῃ μαραινομένῃ, συναποσβῆναι τὸν πόλεμον. ὥσπερ ἰατρῶν τοὺς ἀτόλμους καὶ δειλοὺς πρὸς τὰ βοηθήματα τῆς νόσου, παρακμὴν τῆς δυνάμεως ἐξαναλώσειν ἡγούμενος. πρῶτον μὲν οὖν, τὰς Σαυνιτικὰς πόλεις μεγάλας ἀφεστώσας ἑλὼν, σῖτόν τε πολὺν ἀποκείμενον ἐν αὐταῖς. καὶ χρήματα. καὶ τοὺς φυλάσσοντας Ἀννίβου στρατιώτας, τρισχιλίους ὄντας ἔλαβεν. ἔπειτα τοῦ Ἀννίβου Φούλβιον Γναῖον ἀνθύπατον ἐν Ἀπουλίᾳ κατακτείναντος μὲν αὐτὸν, σὺν ἕνδεκα χιλιάρχοις. κατακόψαντος δὲ τῆς στρατιᾶς τὸ πλεῖστον, ἔπεμψεν εἰς Ῥώμην γράμματα, τοὺς πολίτας παρακαλῶν θαῤῥεῖν, αὐτὸς γὰρ ἤδη βαδίζειν, ὡς ἀφέλοιτο τὴν χαρὰν Ἀννίβου. καὶ ταῦτα μὲν, ὁ Λίβιός φησιν ἀναγνωσθέντα τὰ γράμματα, μὴ τῆς λύπης ἀφελεῖν, ἀλλὰ τῷ φόβῳ προσθεῖναι τῶν Ῥωμαίων, μεῖζον ἡγουμένων τοῦ γεγονότος τὸ κινδυνευόμενον, ὅσῳ Φουλβίου, κρείττων ἦν Μάρκελλος. ὁ δὲ ὥσπερ ἔγραψεν, εὐθὺς Ἀννίβαν διώκων, εἰς τὴν Λευκανίαν ἐνέβαλεν. καὶ περὶ πόλιν

καθημένου. κ· Νομίστρωνα καθήμενος, ὑπὲρ λόφων ὀχυρῶν καταλαβὼν, αὐτὸς ἐν τῷ πεδίῳ κατεστρατοπέδευσεν. τῇ δ' ὑστεραίᾳ πρότερος εἰς μάχην παρατάξας τὸ στράτευμα, καὶ καταβάντος Ἀννίβου, συνέβαλε μάχην, κρίσιν οὐ λαβοῦσαν. ἰσχυρὰν δὲ καὶ μεγάλην γενομένην. ἀπὸ γὰρ ὥρας τρίτης συμπεσόντες, ἤδη σκότους, μόλις διέλυσαν. ἅμα δ' ἡμέρᾳ προαγαγὼν αὖθις τὸ στράτευμα, παρέταξε διὰ τῶν νε

δὲ οὐλίξου, τουτέστιν οὐδύσεως ἐπιγραφὰς, ἀνατεθεικότων ταῖς θεαῖς. ταύτην τὴν πόλιν μάλιστα καρχηδονιάζουσαν, νικίας ἀνὴρ πρῶτος τῶν πολιτῶν, ἔπειθε μεταθέσθαι πρὸς ῥωμαίους, ἀναφανδὸν ἐν ταῖς ἐκκλησίαις παρρησιαζόμενος, καὶ κακῶς φρονοῦντας ἐξελέγχων τοὺς ὑπεναντίους. οἱ δὲ φοβούμενοι τὴν δύναμιν αὐτοῦ καὶ τὴν δόξαν, ἐβουλεύσαντο συναρπάσαι καὶ παραδοῦναι τοῖς φοίνιξιν. αἰσθόμενος οὖν ὁ νικίας ἤδη καὶ παραφυλαττόμενον ἀδήλως ἑαυτὸν, ἐξέφερεν ἐν φανερῷ λόγους περὶ τῶν ματέρων ἀνεπιτηδείους. καὶ πολλὰ πρὸς τὴν νομιζομένην ἐπιφάνειαν καὶ δόξαν ὡς ἀπιστῶν καὶ καταφρονῶν ἔπραττεν, ἡδομένων τῶν ἐχθρῶν, ὅτι τὴν μεγίστην αἰτίαν αὐτὸς ἐφ' ἑαυτὸν, ὧν πείσεται παρεῖχε. γεγονότων δὲ τῶν πρὸς τὴν σύλληψιν ἑτοίμων. ἦν μὲν ἐκκλησία τῶν πολιτῶν. ὁ δὲ νικίας, μεταξύ τι λέγων, καὶ συμβουλεύων πρὸς τὸν δῆμον, ἐξαίφνης ἀφῆκεν εἰς τὴν γῆν τὸ σῶμα. καὶ μικρὸν διαλιπὼν, οἷον εἰκὸς ἡσυχίας σὺν ἐκπλήξει γενομένης, τὴν κεφαλὴν ἐπάρας, καὶ περιενεγκὼν ὑποτρόμῳ φωνῇ καὶ βαρείᾳ κατὰ μικρὸν συντείνων καὶ παροξύνων τὸν ἦχον, ὡς ἑώρα φρίκῃ καὶ σιωπῇ κατεχόμενον τὸ θέατρον, ἀπορρίψας τὸ ἱμάτιον, καὶ περιρρηξάμενος τὸν χιτωνίσκον, ἡμίγυμνος ἀναπηδήσας ἔθει πρὸς τὴν ἔδοξον τοῦ θεάτρου, βοῶν ὑπὸ τῶν ματέρων ἐλαύνεσθαι. μηδενὸς δὲ τολμῶντος ἅψασθαι, μηδ' ἀπαντῆσαι διὰ δεισιδαιμονίαν, ἀλλ' ἐκτρεπομένων, ἐπὶ τὰς πύλας ἐξέδραμεν, οὔτε φωνῆς τινος, οὔτε κινήσεως πρεπούσης δαιμονῶντι καὶ παραφρονοῦντι χρησάμενος. ἡ δὲ γυνὴ συνειδυῖα καὶ συντεχνάζουσα τῷ ἀνδρὶ, λαβοῦσα τὰ παιδία, πρῶτον μὲν ἱκέτης προσεκυλινδεῖτο τοῖς μεγάροις τῶν θεῶν. ἔπειτα, πλανώμενον ἐκεῖνον προσποιουμένη ζητεῖν, κωλύοντος οὐδενὸς, ἀσφαλῶς ἀπῆλθεν ἐκ τῆς πόλεως, καὶ διεσώθησαν μὲν οὕτως εἰς συρακούσας πρὸς μάρκελλον. ἐπεὶ δὲ πολλὰ τοὺς ἐγγυίους ὑβρίσαντας καὶ πλημμελήσαντας. ἐλθὼν μάρκελλος ἔδησε πάντας, ὡς τιμωρησόμενος. ὁ δὲ νικίας, ἐδάκρυσε παρεστώς. τέλος δὲ χειρῶν καὶ γονάτων ἁπτόμενος παρῃτεῖτο τοὺς πολίτας, ἀπὸ τῶν ἐχθρῶν ἀρξάμενος. ἐπικλασθεὶς, ἀφῆκε πάντας καὶ τὴν πόλιν οὐδὲν ἠδίκησε. τῷ δὲ νικίᾳ, χώραν τε πολλὴν, καὶ δωρεὰς πολλὰς ἔδωκε. ταῦτα μὲν οὖν, ποσειδώνιος ὁ φιλόσοφος ἱστόρησε. τὸν δὲ μάρκελλον ἀνακαλουμένων τῶν ῥωμαίων ἐπὶ τὸν ἐγχώριον καὶ σύνοικον πόλεμον, ἐπανερχόμενος, τὰ πλεῖστα καὶ κάλλιστα τῶν ἐν συρακούσαις ἐκίνησεν ἀναθημάτων. ὡς αὐτῷ τε πρὸς τὸν θρίαμβον ὄψις εἴη, καὶ τῇ πόλει κόσμος. οὐδὲν γὰρ εἶχεν οὐδ' ἐγνώκει πρότερον, τῶν κομψῶν καὶ περιττῶν. οὐδ' ἦν ἐν αὐτῇ τὸ χάριεν τοῦτο καὶ γλαφυρὸν, καὶ ἀγαπώμενον. ὅπλων δὲ βαρβαρικῶν, καὶ λαφύρων ἐναίμων ἀνάπλεως οὖσα, καὶ περιεστεφανωμένη θριάμβων ὑπομνήμασι καὶ τροπαίοις. οὐχ ἱλαρὸν οὐδ' ἄφοβον, οὐδὲ δειλῶν ἦν θέαμα, καὶ τρυφώντων θεατῶν. ἀλλ' ὥσπερ ἐπαμεινώνδας, τὸ βοιώτιον πεδίον, ἄρεως ὀρχήστραν. ξενοφῶν δὲ τὴν ἔφεσον, πολέμου ἐργαστήριον. οὕτως ἄν μοι δοκεῖ τις, ὅτε τὴν ῥώμην κατὰ πίνδαρον, βαθυπτολέμου τέμενος ἄρεως προσειπεῖν. διὸ καὶ μᾶλλον εὐδοκίμησεν, παρὰ μὲν τῷ δήμῳ, μάρκελλος ἡδονὰς ἐχούσαις καὶ χάριν ἑλληνικὴν καὶ πιθανότητα, διὰ ποικιλίαν ὄψεσι τὴν πόλιν. παρὰ δὲ τοῖς πρεσβυτέροις, φάβιος μάξιμος. οὐδὲν γὰρ ἐκίνησε τοιοῦτον, οὐδὲ μετήνεγκεν ἐκ τῆς ταραντίνων πόλεως ἁλούσης. ἀλλὰ τὰ μὲν ἄλλα χρήματα, καὶ τὸν πλοῦτον ἐξεφόρησε. τὰ δ' ἀγάλματα, μένειν εἴασεν. ἐπειπὼν τὸ μνημονευόμενον. ἀπολείπωμεν γὰρ ἔφη τοὺς θεοὺς τούτους τοῖς ταραντίνοις κεχολωμένους. μάρκελλον δὲ ᾐτιῶντο. πρῶτον μὲν, ὡς ἐπίφθονον ποιοῦντα τὴν πόλιν. οὐ μόνον ἀνθρώπων, ἀλλὰ καὶ θεῶν, οἷον αἰχμαλώτων ἀγομένων ἐν αὐτῇ, καὶ πομπευομένων. ἔπειτα, ὅτι τὸν δῆμον ἐθισμένον πολεμεῖν, ἢ γεωργεῖν, τρυφῆς δὲ καὶ ῥᾳθυμίας ἄπειρον ὄντα, καὶ κατὰ τὸν εὐριπίδειον ἡρακλέα, φαῦλον ἄκομψον, τὰ μέγιστα τἀγαθὸν, σχολῆς ἐνέπλησε καὶ λαλιᾶς, περὶ τεχνῶν καὶ τεχνιτῶν ἀστειζόμενον, καὶ διατρίβοντα πρὸς τοῦτο, πολὺ μέρος τῆς ἡμέρας. οὐ μὴν, ἀλλὰ τοῦτ' ἐσεμνύνετο καὶ πρὸς τοὺς ἕλληνας, ὡς τὰ καλὰ καὶ τὰ θαυμαστὰ τῆς ἑλλάδος, οὐκ ἐπισταμένους τιμᾶν καὶ θαυμάζειν ῥωμαίους, διδάξας. ἐνισταμένων δὲ τῶν ἐχθρῶν τῷ μαρκέλλῳ πρὸς τὸν θρίαμβον, ἐπεὶ καὶ πράξεις τινὲς ὑπολιπεῖς ἦσαν ἔτι περὶ σικελίαν, καὶ φθόνον εἶχεν ὁ τρίτος θρίαμβος, συνεχώρησεν αὐτὸς, τὸν μὲν ἐντελῆ καὶ μέγαν, εἰς τὸ ἀλβανὸν ὄρος ἐξελάσαι. τὸν δὲ ἐλάττω, καταγαγεῖν εἰς τὴν πόλιν. ὃν εὔαν ἕλληνες, ὄβαν δὲ ῥωμαῖοι καλοῦσι. πέμπει δὲ αὐτὸν, οὐκ ἐπὶ τοῦ τεθρίππου βεβηκώς. οὐδὲ δάφνης ἔχων στέφανον. οὐδὲ περισαλπιζόμενος, ἀλλὰ πεζὸς ἐν βλαύταις, ὑπ' αὐλητῶν μάλα πολλῶν. καὶ μυρρίνης στέφανον ἐπικείμενος, ὡς ἀπόλεμος, καὶ ἡδὺς ὀφθῆναι μᾶλλον, ἢ καταπληκτικός. ὃ καὶ μέγιστον ἐμοὶ τεκμήριόν ἐστι τοῦ τρόπῳ πράξεως, ἀλλὰ μὴ μεγέθει διωρίσθαι τοὺς θριάμβους τὸ παλαιόν. οἱ μὲν γὰρ μετὰ μάχης καὶ φόνου τῶν πολεμίων ἐπικρατήσαντες, τὸν ἀρήϊον ἐκεῖνον, ὡς ἔοικε, καὶ φοβερὸν εἰσῄεσαν. ὥσπερ ἐν τοῖς καθαρμοῖς τῶν στρατοπέδων εἰώθεσαν, δάφνῃ πολλῇ καταστέψαντες τὰ ὅπλα καὶ τοὺς ἄνδρας. τοῖς δὲ πολέμου μὲν, μὴ δεηθεῖσι στρατηγοῖς, ὁμιλίᾳ δὲ καὶ πειθοῖ, καὶ διὰ λόγου πάντα θεμένοις καλῶς, οἷον ἐπιπαιανίσαι τὴν ἀπόλεμον ταύτην καὶ πανηγυρικὴν ἀπεδίδου πομπὴν ὁ νόμος. καὶ γὰρ ὁ αὐλὸς, εἰρήνης μέρος. καὶ τὸ μύρτον, ἀφροδίτης φυτόν. ἣ μάλιστα θεῶν ἀπέχθεται βίᾳ καὶ πολέμοις. ὄβας δὲ, οὐ παρὰ τὸν εὐασμὸν, ὡς οἱ πολλοὶ νομίζουσιν, ὁ θρίαμβος

ματος ὑπελίμπανε. βίᾳ δὲ πολλάκις ἑλκόμενος ἐπ᾽ ἄλειμμα καὶ λουτρὸν ἐν ταῖς ἐσχάραις, ἔγραφεν σχήματα τῶν γεωμετρικῶν. καὶ τοῦ σώματος ἀληλιμμένου, διῆγε τῷ δακτύλῳ γραμμὰς ὑπὸ ἡδονῆς μεγάλης κάτοχος ὢν καὶ μουσόληπτος ἀληθῶς. πολλῶν δὲ καὶ καλῶν εὑρετὴς γεγονὼς λέγεται τῶν φίλων δεηθῆναι καὶ τῶν συγγενῶν, ὅπως αὐτοῦ μετὰ τὴν τελευτὴν, ἐπιστήσωσι τῷ τάφῳ τὸν περιλαμβάνοντα τὴν σφαῖραν ἐντὸς κύλινδρον. ἐπιγράψαντες τὸν λόγον τῆς ὑπεροχῆς τοῦ περιέχοντος στερεοῦ πρὸς τὸ περιεχόμενον.

Ἀρχιμήδης μὲν οὖν τοιοῦτος γενόμενος ἀήττητον ἑαυτόν τε καὶ τὴν πόλιν ὅσον ἐφ᾽ ἑαυτῷ διεφύλαξεν. τῆς δὲ πολιορκίας διαμέσου μάρκελλος εἷλε μὲν, μεγαρέας πόλιν ἐν ταῖς παλαιοτάταις τῶν σικελιωτίδων. εἷλε δὲ, τὸ ἱπποκράτους, πρὸς ἀκίλας στρατόπεδον. καὶ κατέκτεινεν, ὑπὲρ ὀκτακισχιλίους, ἐπιπεσὼν χάρακα βαλλομένοις. ἐπέδραμε δὲ, πολλὴν τῆς σικελίας. καὶ πόλεις ἀπέστησε καρχηδονίων. καὶ μάχας ἐνίκησε πάσας, τοὺς ἀντιταχθῆναι τολμήσαντας. χρόνῳ δὲ προϊόντι, δάμιππόν τινα σπαρτιάτην, ἐκ συρακουσῶν λαβὼν ἐκπλέοντα αἰχμάλωτον, ἀξιούντων ἐπὶ λύτροις τῶν συρακουσίων κομίσασθαι τὸν ἄνδρα. πολλάκις ὑπὲρ τούτου διαλεγόμενος καὶ συντιθέμενος, πύργον τινὰ κατεσκέψατο, φυλαττόμενον μὲν ἀμελῶς, ἄνδρας δὲ δυνάμενον δέξασθαι κρύφα, τοῦ τείχους ἐπιβατοῦ παρ᾽ αὐτὸν ὄντος. ὡς οὖν τό τε ὕψος ἐκ τοῦ πολλάκις προσιέναι, καὶ διαλέγεσθαι πρὸς τὸν πύργον, εἰκάσθη καλῶς. καὶ κλίμακες παρεσκευάσθησαν. ἑορτὴν ἀρτέμιδι τοὺς συρακουσίους ἄγοντας, καὶ πρὸς οἶνον ὡρμημένους, καὶ παιδιὰν παραφυλάξας ἔλαθεν, οὐ μόνον τὸν πύργον κατασχὼν, ἀλλὰ καὶ κύκλῳ τὸ τεῖχος παρεμπλήσας ὅπλων, πρὶν ἡμέραν γενέσθαι. καὶ τὰ ἑξάπυλα διακόψας.

Ἀρχομένων δὲ κινεῖσθαι, καὶ ταράττεσθαι τῶν συρακουσίων πρὸς τὴν αἴσθησιν, ἅμα πανταχόθεν ταῖς σάλπιγξι χρῆσθαι κελεύσας, φυγὴν ἐποίησε πολλὴν καὶ φόβον, ὡς οὐδενὸς μέρους ἀναλώτου μένοντος. ἔμενε δὲ τὸ καρτερώτατον καὶ κάλλιστον καὶ μέγιστον, ἀχραδινὴ καλεῖται. καὶ διὰ τὸ τετειχίσθαι πρὸς τὴν ἔξω πόλιν. ἧς τὸ μὲν νέαν. τὸ δὲ τύχην ὀνομάζουσι. καὶ τούτων ἐχομένων ἅμα φαύσει διὰ τῶν ἑξαπύλων ὁ μάρκελλος κατῄει, μακαριζόμενος ὑπὸ τῶν ὑφ᾽ ἑαυτὸν ἡγεμόνων. αὐτὸς μέντοι λέγεται κατιδὼν ἄνωθεν καὶ περισκεψάμενος τῆς πόλεως τὸ μέγεθος καὶ τὸ κάλλος, ἐπὶ πολὺ δακρῦσαι καὶ τῷ μέλλοντι γίνεσθαι συμπαθήσας. ἐννοήσας οἵαν ἐξ οἵου σχήματος, καὶ μορφὴν ἀμείψει μετὰ μικρὸν, ὑπὸ τοῦ στρατοπέδου διαφορηθεῖσα. τῶν γὰρ ἡγεμόνων, οὐδεὶς μὲν ἦν ὁ τολμῶν ἐναντιοῦσθαι τοῖς στρατιώταις αἰτουμένοις δι᾽ ἁρπαγῆς ὠφεληθῆναι. πολλοὶ δὲ καὶ πυρπολεῖν καὶ κατασκάπτειν ἐκέλευον, ἀλλὰ τοῦτον μὲν, οὐδὲ ὅλως προσήκατο τὸν λόγον ὁ μάρκελλος. μάλα δὲ, ἄκων βιασθεὶς, ἔδωκεν ἀπὸ χρημάτων καὶ ἀνδραπόδων ὠφελεῖσθαι. τῶν δὲ ἐλευθέρων σωμάτων, ἀπεῖπεν ἅψασθαι, καὶ διεκελεύσατο, μήτε ἀποκτεῖναι τινὰ, μήτε αἰσχῦναι, μήτε ἀνδραποδίσασθαι συρακουσίων. οὐ μὴν, ἀλλὰ καίπερ οὕτω μετριάσαι δόξας, οἰκτρὰ πάσχειν ἡγεῖτο τὴν πόλιν. καὶ τὸ συμπαθοῦν καὶ τὸ συναλγοῦν ὅμως ἐν τοσούτῳ μεγέθει χαρᾶς, ἡ ψυχὴ διέφαινεν. ὁρῶντος ἐν βραχεῖ χρόνῳ. πολλῆς καὶ λαμπρᾶς ἀφανισμὸν εὐδαιμονίας. λέγεται γὰρ, οὐκ ἐλάττονα τοῦτον, ἢ τὸν ὕστερον ἀπὸ καρχηδόνος διαφορηθέντα πλοῦτον γενέσθαι. καὶ γὰρ τὴν ἄλλην πόλιν. οὐ μετὰ πολὺν χρόνον ἁλοῦσαν ἐκ προδοσίας ἐβιάσαντο διαρπάσαι. πλὴν τῶν βασιλικῶν χρημάτων.

Ταῦτα δὲ εἰς τὸ δημόσιον ἐξῃρέθη. μάλιστα δὲ, τὸ ἀρχιμήδους πάθος ἠνίασε μάρκελλον. ἔτυχε μὲν γὰρ αὐτός τι καθ᾽ ἑαυτὸν, ἀνασκοπῶν ἐπὶ διαγράμματος. καὶ τῇ θεωρίᾳ δεδωκὼς ἅμα τήν τε διάνοιαν, καὶ τὴν πρόσοψιν, οὐ προῄσθετο τὴν καταδρομὴν τῶν ῥωμαίων, οὐδὲ τὴν ἅλωσιν τῆς πόλεως. ἄφνω δὲ ἐπιστάντος αὐτῷ στρατιώτου καὶ κελεύοντος ἀκολουθεῖν πρὸς μάρκελλον, οὐκ ἐβούλετο πρὶν ἢ τελέσαι τὸ πρόβλημα, καὶ καταστῆσαι πρὸς τὴν ἀπόδειξιν. ὁ δὲ ὀργισθεὶς, καὶ σπασάμενος τὸ ξίφος, ἀνεῖλεν αὐτόν. ἕτεροι μὲν οὖν λέγουσιν ἐπιστῆναι μὲν εὐθὺς, ὡς ἀποκτενοῦντα ξιφήρη τὸν ῥωμαῖον. ἐκεῖνον δ᾽ ἰδόντα δεῖσθαι καὶ ἀντιβολεῖν, ἀναμεῖναι βραχὺν χρόνον, ὡς μὴ καταλίπῃ τὸ ζητούμενον ἀτελὲς καὶ ἀθεώρητον. τὸν δὲ οὐ φροντίσαντα διαχρήσασθαι. καὶ τρίτος ἐστὶ λόγος, ὡς κομίζοντι πρὸς μάρκελλον αὐτῷ τῶν μαθηματικῶν ὀργάνων, σκιόθηρα, καὶ σφαίρας, καὶ γωνίας, αἷς ἐναρμόττει τὸ τοῦ ἡλίου μέγεθος πρὸς τὴν ὄψιν, στρατιῶται περιτυχόντες, καὶ χρυσίον ἐν τῷ τεύχει δόξαντες φέρειν ἀπέκτειναν. ὅτι μέντοι μάρκελλος ἤλγησε, καὶ τὸν αὐτόχειρα τοῦ ἀνδρὸς ἀπεστράφη καθάπερ ἐναγῆ. τοὺς δὲ οἰκείους ἀνευρὼν ἐτίμησεν, ὁμολογεῖται. τῶν δὲ ῥωμαίων τοῖς ἐκτὸς ἀνθρώποις δεινῶν μὲν εἶναι πόλεμον μεταχειρίσασθαι, καὶ φοβερῶν εἰς χεῖρας ἐλθεῖν νομιζομένων. εὐγνωμοσύνης, δὲ καὶ φιλανθρωπίας, καὶ ὅλως πολιτικῆς ἀρετῆς ὑποδείγματα μὴ δεδωκότων. πρῶτος δοκεῖ τότε μάρκελλος ὑποδεῖξαι τοῖς ἕλλησι δικαιοτέρους ῥωμαίους. οὕτω γὰρ ἐχρῆτο τοῖς συμβάλλουσι. καὶ τοσαύτας πόλεις καὶ ἰδιώτας εὐηργέτησεν. ὥστε εἴ τι περὶ ἔνναν, ἢ μεγαρεῖς, ἢ συρακουσίους, ἔργον ἦν εἰργασμένον, οὐκ ἐπιεικὲς αὐτοῖς, τοῦτο τῶν πεπονθότων αἰτίᾳ μᾶλλον, ἢ τῶν πεποιηκότων δοκεῖν γεγονέναι. μνησθήσομαι δὲ ἑνὸς ἀπὸ πολλῶν.

Πόλις ἐστὶ τῆς σικελίας ἐγγύϊον οὐ μεγάλη, ἀρχαία δὲ πάνυ καὶ διὰ θεῶν ἐπιφάνειαν, ἔνδοξος, ἃς καλοῦσι ματέρας. ἵδρυμα λέγεται κρητῶν γενέσθαι τὸ ἱερόν. καὶ λόγχας τινὰς ἐδείκνυσαν, καὶ κράνη χαλκᾶ. τὰ μὲν, ἔχοντα μηριόνου. τὰ

διάδοχος οὐ μέγας. quaerendum quid sibi velit haec significatio.

καὶ συννοήσας τῆς τέχνης τὴν δύναμιν, ἔπεισε τὸν Ἀρχιμήδην ὅπως αὐτῷ τὰ μὲν ἀμυνομένῳ, τὰ δ᾽ ἐπιχειροῦντι, μηχανήματα κατασκευάσῃ πρὸς πᾶσαν ἰδέαν πολιορκίας. οἷς αὐτὸς μὲν οὐκ ἐχρήσατο, τοῦ βίου τὸ πλεῖστον ἀπόλεμον καὶ πανηγυρικὸν βιώσας. τότε δ᾽ ὑπῆρχε τοῖς Συρακουσίοις εἰς δέον ἡ παρασκευὴ καὶ μετὰ τῆς παρασκευῆς ὁ δημιουργός. ὡς οὖν προσέβαλον οἱ Ῥωμαῖοι διχόθεν, ἔκπληξις ἦν τῶν Συρακουσίων καὶ σιγὴ διὰ δέος, μηδὲν ἂν ἀνθέξειν πρὸς βίαν καὶ δύναμιν οἰομένων τοσαύτην. σχάσαντος δὲ τὰς μηχανὰς τοῦ Ἀρχιμήδους, ἅμα τοῖς μὲν πεζοῖς ἀπήντα τοξεύματά τε παντοδαπὰ καὶ λίθων ὑπέρογκα μεγέθη, ῥοίζῳ καὶ τάχει καταφερομένων ἀπίστῳ. καὶ μηδενὸς ὅλως τὸ βρῖθος στέγοντος, ἀθρόους ἀναρριπτούντων τοὺς ὑποπίπτοντας καὶ τὰς τάξεις συγχεόντων. ταῖς δὲ ναυσὶν, ἀπὸ τῶν τειχῶν ἄφνω ὑπεραιωρούμεναι κεραῖαι, τὰς μὲν ὑπὸ βρίθους στηρίζοντος ἄνωθεν ὠθοῦσαι κατέδυον εἰς βυθόν· τὰς δὲ χερσὶ σιδηραῖς, ἢ στόμασιν εἰκασμένοις γεράνων, ἀνασπῶσαι πρῴραθεν ὀρθὰς ἐπὶ πρύμναν ἀνεβάπτιζον· ἢ δι᾽ ἀντιτόνων ἔνδον ἐπιστρεφόμεναι καὶ περιαγόμεναι τοῖς ὑπὸ τὸ τεῖχος ἐκπεφυκόσι κρημνοῖς καὶ σκοπέλοις προσήρασσον, ἅμα φθόρῳ πολλῷ τῶν ἐπιβατῶν συντριβομένων. πολλάκις δὲ μετέωρος ἐξαρθεῖσα ναῦς ἀπὸ τῆς θαλάσσης, δεῦρο κἀκεῖσε περιδινουμένη καὶ κρεμαμένη, θέαμα φρικῶδες ἦν, μέχρις οὗ τῶν ἀνδρῶν ἀπορριφέντων καὶ διασφενδονηθέντων, κενὴ προσπέσοι τοῖς τείχεσιν, ἢ περιολίσθοι τῆς λαβῆς ἀνείσης. ἣν δὲ ὁ Μάρκελλος ἀπὸ τοῦ ζεύγματος ἐπῆγε μηχανὴν, σαμβύκη μὲν ἐκαλεῖτο, δι᾽ ὁμοιότητά τινα σχήματος πρὸς τὸ μουσικὸν ὄργανον, ἔτι δὲ ἄπωθεν αὐτῆς προσφερομένης πρὸς τὸ τεῖχος, ἐξήλατο λίθος, δεκατάλαντος ὁλκήν, εἶτα ἕτερος ἐπὶ τούτῳ καὶ τρίτος. ὧν οἱ μὲν αὐτῆς ἐμπεσόντες μεγάλῳ κτύπῳ καὶ κλύδωνι, τῆς μηχανῆς τήν τε βάσιν συνηλόησαν, καὶ τὸ γόμφωμα διέσεισαν, καὶ διέσπασαν τοῦ ζεύγματος, ὥστε τὸν Μάρκελλον ἀπορούμενον, αὐτόν τε ταῖς ναυσὶν ἀποπλεῖν κατὰ τάχος, καὶ τοῖς πεζοῖς ἀναχώρησιν παρεγγυῆσαι. βουλευομένοις δὲ, ἔδοξεν αὐτοῖς, ἔτι νυκτὸς ἂν δύνωνται, προσμῖξαι τοῖς τείχεσιν. τοὺς γὰρ τόνους, οἷς χρῆσθαι τὸν Ἀρχιμήδην ῥώμην ἔχοντας, ὑπερπετεῖς ποιήσεσθαι τὰς τῶν βελῶν ἀφέσεις. ἐγγύθεν δὲ καὶ τελέως ἀπράκτους εἶναι, διάστημα τῆς πληγῆς οὐκ ἐχούσης. ὁ δ᾽ ἦν ὡς ἔοικεν ἐπὶ ταῦτα πάλαι παρεσκευασμένος, ὀργάνων τε συμμέτρους πρὸς πᾶν διάστημα κινήσεις, καὶ βέλη βραχέα, καὶ διάδοχος οὐ μέγας. πολλῶν δὲ καὶ συνεχῶν θαυμάτων οἱ σκορπίοι, βραχύτονοι μὲν, ἐγγύθεν δὲ πλῆξαι παρεστήκεσαν, ἀόρατοι τοῖς πολεμίοις. ὡς οὖν προσέμιξαν οἰόμενοι λανθάνειν, αὖθις αὖ βέλεσι πολλοῖς ἐντυγχάνοντες, πληγαὶ πετρῶν μὲν ἐκ κεφαλῆς ἐπ᾽ αὐτοὺς φερομένων, ὥσπερ πρὸς κάθετον, τοῦ τείχους τοξεύματα πανταχόθεν ἀναπέμποντος, ἀνεχώρουν ὀπίσω. κἀνταῦθα πάλιν αὐτῶν εἰς μῆκος ἐκτεταγμένων, βελῶν ἐκθεόντων καὶ καταλαμβανόντων ἀπιόντας, ἐγίνετο πολὺς μὲν αὐτῶν φθόρος, πολὺς δὲ τῶν νεῶν συγκρουσμὸς, οὐδὲν ἀντιδρᾶσαι τοὺς πολεμίους δυναμένων. τὰ γὰρ πλεῖστα τῶν ὀργάνων, ὑπὸ τὸ τεῖχος ἐσκευοποίητο τῷ Ἀρχιμήδει. καὶ θεομαχοῦσιν ἐῴκεσαν οἱ Ῥωμαῖοι, μυρίων αὐτοῖς κακῶν ἐξ ἀφανοῦς ἐπιχεομένων. οὐ μὴν ἀλλ᾽ ὁ Μάρκελλος ἀπέφυγέ τε καὶ τοὺς σὺν ἑαυτῷ σκώπτων τεχνίτας καὶ μηχανοποιοὺς ἔλεγεν. οὐ παυσόμεθα πρὸς τὸν γεωμετρικὸν τοῦτον βριάρεων πολεμοῦντες, ὃς τὰς μὲν ναῦς ἡμῶν κυαθίζων πρὸς τὴν θάλασσαν, παίζων μετ᾽ αἰσχύνης ἐκβέβληκεν. τοὺς δὲ μυθικοὺς ἑκατόγχειρας ὑπεραίρει, τοσαῦτα βάλλων ἅμα βέλη καθ᾽ ἡμῶν. τῷ γὰρ ὄντι πάντες οἱ λοιποὶ Συρακούσιοι, σῶμα τῆς Ἀρχιμήδους παρασκευῆς ἦσαν. ἡ δὲ κινοῦσα πάντα καὶ στρέφουσα ψυχὴ μία. τῶν μὲν ἄλλων ὅπλων, ἀτρέμα κειμένων, μόνοις δὲ τοῖς ἐκείνου τότε τοῖς πολεμίοις χρωμένης. καὶ πρὸς ἄμυναν καὶ πρὸς ἀσφάλειαν. τέλος δὲ, τοὺς Ῥωμαίους οὕτω περιφόβους γεγονότας ὁ Μάρκελλος, ὥσπερ εἰ καλῴδιον, ἢ ξύλον ὑπὲρ τοῦ τείχους μικρὸν ὀφθείη προτεινόμενον, τοῦτ᾽ ἐκεῖνο, μηχανήν τινα κινεῖν ἐπ᾽ αὐτοὺς Ἀρχιμήδη, βοῶντας ἀποτρέπεσθαι καὶ φεύγειν. ἀπέσχετο μάχης ἁπάσης καὶ προσβολῆς, τὸ λοιπὸν ἐπὶ τῷ χρόνῳ τὴν πολιορκίαν θέμενος. τηλικοῦτον μέντοι φρόνημα καὶ βάθος ψυχῆς, καὶ τοσοῦτον ἐκέκτητο θεωρημάτων πλοῦτον Ἀρχιμήδης, ὥστε ἐφ᾽ οἷς ὄνομα καὶ δόξαν, οὐκ ἀνθρωπίνης, ἀλλὰ δαιμονίου τινὸς ἔσχε συνέσεως, μηδὲν ἐθελῆσαι σύγγραμμα περὶ τούτων ἀπολιπεῖν, ἀλλὰ τὴν περὶ τὰ μηχανικὰ πραγματείαν καὶ πᾶσαν ὅλως τέχνην χρείας ἐφαπτομένην, ἀγεννῆ, καὶ βάναυσον ἡγησάμενος, ἐκεῖνα καταθέσθαι μόνα τὴν αὐτοῦ φιλοτιμίαν, οἷς τὸ καλὸν καὶ περιττὸν, ἀμιγὲς τοῦ ἀναγκαίου πρόσεστιν. ἀσύγκριτα μὲν ὄντα τοῖς ἄλλοις, ἔριν δὲ παρέχοντα πρὸς τὴν ὕλην τῇ ἀποδείξει. τῆς μὲν, τὸ μέγεθος καὶ τὸ κάλλος. τῆς δὲ, τὴν ἀκρίβειαν καὶ τὴν δύναμιν ὑπερφυῆ παρεχομένης. οὐ γάρ ἐστιν ἐν γεωμετρίᾳ χαλεπωτέρας, καὶ βαρυτέρας ὑποθέσεις ἐν ἁπλουστέροις λαβεῖν, καὶ καθαρωτέροις στοιχείοις γραφομένας. καὶ τοῦθ᾽ οἱ μὲν, εὐφυΐᾳ τοῦ ἀνδρὸς προσάπτουσιν. οἱ δὲ, ὑπερβολῇ τινὶ πόνου νομίζουσιν, ἀπόνως πεποιημένῳ καὶ ῥᾳδίως ἕκαστον ἐοικὸς γεγονέναι. ζητῶν μὲν γὰρ οὐκ ἄν τις εὕροι δι᾽ αὑτοῦ τὴν ἀπόδειξιν, ἅμα δὲ τῇ μαθήσει παρίσταται δόξα τοῦ κἂν αὐτὸν εὑρεῖν, οὕτω λείαν ὁδὸν ἄγει καὶ ταχεῖαν, ἐπὶ τὸ δεικνύμενον. οὔκουν οὐδὲ ἀπιστῆσαι τοῖς περὶ αὐτοῦ λεγομένοις ἐστὶν, ὡς ὑπ᾽ οἰκείας δή τινος καὶ συνοίκου θελγόμενος ἀεὶ σειρῆνος, ἐλέληστο καὶ σίτου, καὶ θεραπείας σώ-

ἀπράκτους

καὶ πληγαῖς ἴσως διόρθωσον (?)

χρωμένη q. μόνοις. κ. ὑπὲρ

μόνην q. Constructio φορτική

] καὶ πληγαὶ, nec est quo referatur. forsitan legendum καὶ πληγαῖς. Et erit rectus sermonis ductus q. est πληγαῖς.

χρωμένης. alibi legitur χρωμένη quod si recipiatur, legendum erit τῷ πολεμ. In aliis codicibus legitur χρωμένοις, ut sit dativus pro genitivo positus.

ὑπερπειθόντος, ἀλλ' ἐκ ποικίλων καὶ πολυτρόπων συμμεμιγμένον ἐθνῶν, βαρβαρικὸν στράτευμα, πλεῖστον χρόνον ἐν μιᾷ γνώμῃ διαφυλάξαντος. Οὗτοι μὲν οὖν, φασὶ, παρέμειναν εἰς ἅπαν, αὐτῷ τε τῷ μαρκέλλῳ, καὶ τοῖς μετ' αὐτὸν στρατηγοῖς. ὁ δὲ μάρκελλος ἀποδειχθεὶς ὕπατος τὸ τρίτον, εἰς σικελίαν ἔπλευσεν. αἱ γὰρ ἀννίβου περὶ τὸν πόλεμον εὐπραξίαι, καρχηδονίους ἐπῆραν αὖθις ἀντιλαμβάνεσθαι τῆς νήσου, μάλιστα τεταραγμένων τῶν περὶ τὰς συρακούσας, μετὰ τὴν ἱερωνύμου τοῦ τυράννου τελευτήν, διὸ καὶ ῥωμαίων ἦν ἐκεῖ προαπεσταλμένη δύναμις, καὶ στρατηγὸς ἄππιος.

Ταύτην παραλαμβάνοντι τῷ μαρκέλλῳ, προσπίπτουσι ῥωμαῖοι πολλοὶ, συμφορᾷ κεχρημένοι τοιαύτῃ. τῶν περὶ κάνναν παραταξαμένων πρὸς ἀννίβαν, οἱ μὲν ἔφυγον, οἱ δὲ ζῶντες ἥλωσαν τοσοῦτον πλῆθος, ὡς δοκεῖν ῥωμαίους ὑπολελεῖφθαι μηδὲ τοὺς τὰ τείχη διαφυλάξοντας. τοῖς δὲ ἄρα τοσοῦτο τοῦ φρονήματος καὶ μεγαλοψυχίας περιῆν, ὥστε τοὺς μὲν αἰχμαλώτους, ἐπὶ μικροῖς λύτροις ἀποδιδόντος ἀννίβου, μὴ λαβεῖν, ἀλλ' ἀποψηφίσασθαι, καὶ περιιδεῖν, τοὺς μὲν ἀναιρεθέντας, τοὺς δὲ πραθέντας, ἔξω τῆς ἰταλίας. τῶν δὲ φυγῇ περιγενομένων τὸ πλῆθος, εἰς σικελίαν ἀποστεῖλαι, διακελευσαμένους, ἰταλίας μὴ ἐπιβαίνειν, ἕως πολεμοῦσι πρὸς ἀννίβαν. Οὗτοι δὴ τῷ μαρκέλλῳ παραγενομένῳ, προσπεσόντες ἀθρόοι καὶ χαμαὶ καταβαλόντες αὑτοὺς, ᾐτοῦντο τάξιν ἐπίσημον στρατείας, μετὰ πολλῆς βοῆς καὶ δακρύων ἐπαγγελλόμενοι δείξειν δι' ἔργων ἀτυχίᾳ τινὶ μᾶλλον, ἢ δι' ἀνανδρίαν αὐτῶν τὴν τροπὴν ἐκείνην γενομένην. οἰκτείρας οὖν αὐτοὺς ὁ μάρκελλος, ἔγραψε πρὸς τὴν σύγκλητον αἰτούμενος ἐκ τούτων ἀεὶ τῆς στρατείας τὸ ἀπολεῖπον ἀναπληροῦν, λόγων δὲ πολλῶν γενομένων, ἐποιήσατο γνώμην ἡ βουλὴ, μηδὲν εἰς δημόσια πράγματα δεῖσθαι ῥωμαίους, ἀνθρώπων ἀνάνδρων. εἰ δὲ βούλεται χρῆσθαι μάρκελλος αὐτοῖς ἴσως, μηδενὶ τῶν ἐπ' ἀνδρείᾳ νομιζομένων στεφάνων καὶ γερῶν τυχεῖν ὑπ' ἄρχοντος. τοῦτο τὸ δόγμα μάρκελλον ἠνίασεν, καὶ μετὰ τὸν ἐν σικελίᾳ πόλεμον ἐπανελθὼν, ἐμέμψατο τὴν βουλὴν ὡς ἀντὶ πολλῶν καὶ μεγάλων οὐ παραχωροῦσαν αὐτῷ τοσούτων, δυστυχίαν ἐπανορθώσασθαι πολιτῶν. τότε δ' ἐν σικελίᾳ πρῶτον μὲν, ἀδικηθεὶς ὑπὸ ἱπποκράτους συρακουσίων στρατηγοῦ, ὃς καρχηδονίοις χαριζόμενος καὶ τυραννίδα κτώμενος αὑτῷ, πολλοὺς διέφθειρε ῥωμαίων πρὸς λεοντίνοις, καὶ εἷλε τὴν τῶν λεοντίνων πόλιν κατὰ κράτος, καὶ λεοντίνους μὲν οὐκ ἠδίκησεν, τῶν δὲ αὐτομόλων ὅσους ἔλαβε μαστιγώσας, ἀπέκτεινεν. τοῦ δ' ἱπποκράτους πρῶτον μὲν λόγον εἰς τὰς συρακούσας προπέμψαντος, ὡς λεοντίνους ἡβηδὸν ἀποσφάττει μάρκελλος. ἔπειτα δὲ, τεταραγμένοις ἐπιπεσόντος, καὶ τὴν πόλιν καταλαβόντος, ἄρας ὁ μάρκελλος τῷ στρατῷ παντὶ, πρὸς τὰς συρακούσας ἐχώρει. καὶ καταστρατοπεδεύσας πλησίον, εἰσέπεμψε μὲν πρέσβεις περὶ τῶν ἐν λεοντίνοις διδάξοντας. ὡς δὲ οὐδὲν ἦν ὄφελος, μὴ πειθομένων συρακουσίων, ἐκράτουν γὰρ οἱ περὶ τὸν ἱπποκράτην, προσβολὰς ἐποιεῖτο κατὰ γῆν ἅμα καὶ κατὰ θάλασσαν, ἀππίου μὲν τὸν πεζὸν ἐπάγοντος στρατὸν, αὐτὸς δὲ πεντήρεις ἔχων ἑξήκοντα παντοδαπῶν ὅπλων, καὶ βελῶν πλήρεις. ὑπὲρ δὲ μεγάλου ζεύγματος νεῶν ὀκτὼ πρὸς ἀλλήλας συνδεδεμένων μηχανὴν ἄρας, ἐπέπλει πρὸς τὸ τεῖχος τῷ πλήθει καὶ τῇ λαμπρότητι τῆς παρασκευῆς, καὶ τῇ δόξῃ τῇ περὶ αὑτὸν πεποιθὼς, ἧς ἄρα λόγος οὐδεὶς ἦν ἀρχιμήδει, καὶ τοῖς ἀρχιμήδους μηχανήμασιν. ὧν, ὡς μὲν ἔργον ἄξιον σπουδῆς, οὐδὲν ὁ ἀνὴρ προὔθετο. γεωμετρίας δὲ παιζούσης, ἐγεγόνει πάρεργα τὰ πλεῖστα. πρότερον φιλοτιμηθέντος ἱέρωνος τοῦ βασιλέως, καὶ πείσαντος ἀρχιμήδη, τρέψαι τι τῆς τέχνης ἀπὸ τῶν νοητῶν ἐπὶ τὰ σωματικὰ, καὶ τὸν λόγον ἁμωσγέπως δι' αἰσθήσεως μίξαντα ταῖς χρείαις, ἐμφανέστερον καταστῆσαι τοῖς πολλοῖς. τὴν γὰρ ἀγαπωμένην ταύτην καὶ περιβόητον ὀργανικὴν, ἤρξαντο μὲν κινεῖν οἱ περὶ εὔδοξον καὶ ἀρχύταν, ποικίλλοντες τῷ γλαφυρῷ γεωμετρίαν, καὶ λογικῆς καὶ γραμματικῆς ἀποδείξεως, οὐκ εὐποροῦντα προβλήματα δι' αἰσθητῶν καὶ ὀργανικῶν παραδειγμάτων ὑπερείδοντες. ὡς τὸ περὶ δύο μέσας ἄλογον πρόβλημα, καὶ στοιχεῖον ἐπὶ πολλὰ τῶν γραφομένων ἀναγκαῖον εἰς ὀργανικὰς ἐξῆγον ἀμφότεροι κατασκευὰς, μεσογράφους τινὰς ἀπὸ καμπύλων γραμμάτων, καὶ τμημάτων μεθαρμόζοντες. ἐπεὶ δὲ πλάτων ἠγανάκτησεν, καὶ διετείνατο πρὸς αὐτοὺς, ὡς ἀπολλύντας καὶ διαφθείροντας τὸ γεωμετρίας ἀγαθὸν, ἀπὸ τῶν ἀσωμάτων καὶ νοητῶν ἀποδιδρασκούσης ἐπὶ τὰ αἰσθητὰ, καὶ προσχρωμένης αὖθις αὖ σώματι πολλῆς καὶ φορτικῆς βαναύσου ἐργασίας δεομένης. οὕτω διεκρίθη γεωμετρίας ἐκπεσοῦσα μηχανικὴ, καὶ περιορωμένη πολὺν χρόνον ὑπὸ φιλοσοφίας, μία τῶν στρατιωτίδων τεχνῶν ἐγεγόνει. καὶ μέντοι καὶ ἀρχιμήδης, ἱέρωνι τῷ βασιλεῖ συγγενὴς ὢν καὶ φίλος ἔγραψεν, ὡς τῇ δοθείσῃ δυνάμει, τὸ δοθὲν βάρος κινῆσαι δυνατόν ἐστιν. καὶ νεανιευσάμενος ὥς φασι, ῥώμῃ τῆς ἀποδείξεως, εἶπεν, ὡς εἰ γῆν εἶχεν ἑτέραν, ἐκίνησεν ἂν ταύτην μεταβὰς εἰς ἐκείνην. θαυμάσαντος δὲ τοῦ ἱέρωνος, καὶ δεηθέντος εἰς ἔργον ἐξαγαγεῖν τὸ πρόβλημα, καὶ δεῖξαί τι τῶν μεγάλων κινούμενον ὑπὸ σμικρᾶς δυνάμεως, ὁλκάδα τριάρμενον τῶν βασιλικῶν, πόνῳ μεγάλῳ, καὶ χειρὶ πολλῇ νεωλκηθεῖσαν, ἐμβαλὼν ἀνθρώπους τε πολλοὺς, καὶ τὸν συνήθη φόρτον, αὐτὸς ἄπωθεν καθήμενος, οὐ μετὰ σπουδῆς, ἀλλὰ ἠρέμα τῇ χειρὶ σείων, ἀρχήν τινα πολυσπάστου μηχανήματος, προσηγάγετο λείως καὶ ἀπταίστως καὶ ὥσπερ διὰ θαλάσσης ἐπιθέουσαν. ἐκπλαγεὶς οὖν ὁ βασιλεὺς

ὑπερείδοντες. ἀνάλογον. [marginal note]

δοθείσῃ [marginal note]

q. καὶ ... [marginal note]

Nescio an hoc loco loquatur de linea illa quam Geometrae appellant lineam irrationalem potentia in duo media. de qua loquitur 35 ... Euclid.

καὶ δραστήριον πρὸς τὴν ἐκείνου κεραννύντες καὶ ἁρμόττοντες εὐλάβειαν καὶ πρόνοιαν. ποτὲ μὲν, ἀμφοτέρους ἅμα χειροτονοῦντες ὑπάτους. ποτὲ δὲ ἐν μέρει. τὸν μὲν ὕπατον. τὸν δὲ ἀνθύπατον, ἐξέπεμπον. ὁ δὲ ποσειδώνιός φησι. τὸν μὲν φάβιον. θυρεὸν καλεῖσθαι. τὸν δὲ μάρκελλον ξίφος. αὐτὸς δὲ ὁ ἀννίβας ἔλεγε. τὸν μὲν φάβιον, ὡς παιδαγωγὸν φοβεῖσθαι. τὸν δὲ μάρκελλον, ὡς ἀνταγωνιστήν. ὑφ᾽ οὗ μὲν γὰρ κωλύεσθαι κακόν τι ποιεῖν, ὑφ᾽ οὗ δὲ, καὶ πάσχειν. πρῶτον μὲν οὖν, ἀνέσεως πολλῆς καὶ θρασύτητος ἐκ τοῦ κρατεῖν τὸν ἀννίβαν τοῖς στρατιώταις ἐγγενομένης, τοὺς ἀποσκιδναμένους τοῦ στρατοπέδου, καὶ κατατρέχοντας τὴν χώραν, ἐπιτιθέμενος κατέκοπτε. καὶ ὑπανήλισκε τῆς δυνάμεως. ἔπειτα, πρὸς νέαν πόλιν, καὶ νῶλαν βοηθήσας. νεαπολίτας μὲν ἐπέρρωσεν, αὐτοὺς καθ᾽ αὑτοὺς, βεβαίους ὄντας ῥωμαίοις. εἰς δὲ νῶλαν εἰσελθὼν, στάσιν εὗρε, τῆς βουλῆς τὸν δῆμον ἀννιβίζοντα, μεταχειρίζεσθαι καὶ καταπεῖσαι μὴ δυναμένης. Ἦν γάρ τις ἀνὴρ εὐγενείᾳ τε πρωτεύων ἐν τῇ πόλει, καὶ κατ᾽ ἀνδρείαν ἐπιφανὴς, ὄνομα βάνδιος, καὶ τοῦτον ἐν κάνναις περιφανῶς ἀγωνισάμενον, καὶ πολλοὺς μὲν ἀνελόντα τῶν καρχηδονίων. τέλος δὲ, αὐτὸν ἐν τοῖς νεκροῖς εὑρεθέντα, πολλῶν βελῶν κατάπλεων τὸ σῶμα, θαυμάσας ὁ ἀννίβας, οὐ μόνον ἀφῆκεν ἄνευ λύτρων, ἀλλὰ καὶ δῶρα προσέθηκεν, καὶ φίλον ἐποιήσατο, καὶ ξένον. ἀμειβόμενος οὖν ταύτην τὴν χάριν ὁ βάνδιος, εἷς ἦν τῶν ἀννιβιζόντων προθύμως, καὶ τὸν δῆμον ἰσχύων ἐξῆγε πρὸς ἀπόστασιν. ὁ δὲ μάρκελλος, ἀνελεῖν μὲν ἄνδρα λαμπρὸν οὕτω τὴν τύχην, κεκοινωνηκότα τῶν μεγίστων ῥωμαίοις ἀγώνων, οὐχ ὅσιον ἡγεῖτο, πρὸς δὲ τῷ φύσει φιλανθρώπῳ, καὶ πιθανὸς ὢν ὁμιλίᾳ. καὶ προσάγεσθαι φιλότιμον ἦθος, ἀσπασαμένου ποτὲ τοῦ βανδίου αὐτὸν, ἠρώτησεν ὅστις ἀνθρώπων εἴη. πάλαι μὲν εὖ εἰδὼς, ἀρχὴν δὲ καὶ πρόφασιν ἐντεύξεως ζητῶν. ὡς γὰρ εἶπεν λεύκιος βάνδιος, οἷον ἡσθεὶς, καὶ θαυμάσας ὁ μάρκελλος. ἦ γὰρ ἐκεῖνος ἔφη σὺ βάνδιος, οὗ πλεῖστος ἐν ῥώμῃ λόγος τῶν ἐν κάνναις ἀγωνισαμένων, ὡς μόνου παῦλον αἰμίλιον τὸν ἄρχοντα μὴ προλιπόντος, ἀλλὰ τὰ πλεῖστα τῶν ἐκείνῳ φερομένων βελῶν ὑποστάντος τῷ σώματι καὶ ἀναδεξαμένου; φήσαντος δὲ τοῦ βανδίου, καί τι καὶ παραφήναντος αὐτῷ τῶν τραυμάτων. εἶτα ἔφη, τηλικαῦτα γνωρίσματα φέρων τῆς πρὸς ἡμᾶς φιλίας, οὐκ εὐθὺς προσῄεις; ἢ κακοί σοι δοκοῦμεν ἀρετὴν ἀμείβεσθαι φίλων, οἷς ἐστι τιμὴ καὶ παρὰ τοῖς πολεμίοις. Ταῦτα φιλοφρονηθεὶς καὶ δεξιωσάμενος, ἵππον τε δωρεῖται πολεμιστὴν αὐτῷ, καὶ δραχμὰς ἀργυρίου πεντακοσίας. ἐκ τούτου βεβαιότατος μὲν ἦν μαρκέλλῳ παραστάτης καὶ σύμμαχος. δεινότατος δὲ μηνυτὴς καὶ κατήγορος τῶν τἀναντία φρονούντων ὁ βάνδιος. ἦσαν δὲ πολλοὶ καὶ διενοοῦντο τῶν ῥωμαίων ἐπεξιόντων τοῖς πολεμίοις, αὐτοὶ διαρπάσαι τὰς ἀποσκευάς. διὸ συντάξας ὁ μάρκελλος τὴν δύναμιν ἐντὸς παρὰ τὰς πύλας, ἔστησε τὰ σκευοφόρα. καὶ τοῖς νωλανοῖς διὰ κηρύγματος ἀπεῖπε, πρὸς τὰ τείχη προσπελάζειν. ἦν οὖν ὅπλων ἐρημία. καὶ τὸν ἀννίβαν ἐπεσπάσατο προσάγειν ἀτακτότερον ὡς τῶν ἐν τῇ πόλει ταραττομένων. ἐν τούτῳ δὲ τὴν καθ᾽ αὑτὸν πύλην ἀναπετάσαι κελεύσας ὁ μάρκελλος, ἐξήλασεν ἔχων μεθ᾽ ἑαυτοῦ, τῶν ἱπποτῶν τοὺς λαμπροτάτους, καὶ προσπεσὼν κατὰ στόμα, συνείχετο τοῖς πολεμίοις. μετ᾽ ὀλίγον δὲ οἱ πεζοὶ, καθ᾽ ἑτέραν πύλην ἐχώρουν μετὰ δρόμου καὶ βοῆς. καὶ πρὸς τούτοις, αὖθις αὐτοῦ ἀννίβα μερίζοντος τὴν δύναμιν, ἡ τρίτη τῶν πυλῶν ἀνεῴγνυτο, καὶ δι᾽ αὐτῆς, ἐξέθεον οἱ λοιποὶ, καὶ προσέκειντο πανταχόθεν, ἐκπεπληγμένοις τῷ ἀπροσδοκήτῳ, καὶ κακῶς ἀμυνομένοις τοὺς ἐν χερσὶν ἤδη, διὰ τοὺς ὕστερον ἐπιφερομένους. κἀνταῦθα πρῶτον οἱ σὺν ἀννίβα ῥωμαίοις ἐνέδωκαν, ὠθούμενοι φόνῳ πολλῷ καὶ τραύμασι πρὸς τὸ στρατόπεδον. λέγονται γὰρ, ὑπὲρ πεντακισχιλίους ἀποθανεῖν, ἀποκτεῖναι δὲ ῥωμαίων, οὐ πλείονας, ἢ πεντακοσίους. Ὁ δὲ λίβιος, οὕτω μὲν οὐ διαβεβαιοῦται γενέσθαι μεγάλην ἧτταν, οὐδὲ πεσεῖν νεκροὺς τοσούτους τῶν πολεμίων. κλέος δὲ μέγα μαρκέλλῳ, καὶ ῥωμαίοις ἐκ κακῶν θάρσος ἀπὸ τῆς μάχης ἐκείνης ὑπάρξαι θαυμαστὸν, οὐχ ὡς πρὸς ἄμαχον, οὐδὲ ἄτρωτον, ἀλλά τι καὶ παθεῖν δυνάμενον, διαγωνιζομένους πολέμιον. διὸ καὶ θατέρου τῶν ὑπάτων ἀποθανόντος, ἐκάλει μάρκελλον ὁ δῆμος ἐπὶ τὴν διαδοχὴν ἀπόντα. καὶ βίᾳ τῶν ἀρχόντων, ὑπερέθετο τὴν κατάστασιν, ἕως ἐκεῖνος ἦλθεν ἀπὸ τοῦ στρατοπέδου. καὶ πάσαις μὲν ἀπεδείχθη ταῖς ψήφοις ὕπατος.

Ἐπιβροντήσαντος δὲ τοῦ θεοῦ, καὶ τῶν ἱερέων οὐκ αἴσιον τιθεμένων τὸ σημεῖον, ἐμφανῶς δὲ κωλύειν ὀκνούντων καὶ δεδιότων τὸν δῆμον, αὐτὸς ἐξωμόσατο τὴν ἀρχὴν, οὐ μέντοι τὴν στρατείαν ἔφυγεν, ἀλλ᾽ ἀνθύπατος ἀναγορευθεὶς, καὶ πάλιν πρὸς νῶλαν ἐπανελθὼν εἰς τὸ στρατόπεδον, κακῶς ἐποίει τοὺς ᾑρημένους τὰ τοῦ φοίνικος. ὡς δὲ ὀξεῖαν ἐπ᾽ αὐτὸν θέμενος βοήθειαν ἐκεῖνος ἧκεν. προκαλουμένῳ μὲν ἐκ παρατάξεως, οὐκ ἠβουλήθη διαγωνίζεσθαι. τρέψαντι δὲ τὸ πλεῖστον ἐφ᾽ ἁρπαγὴν τοῦ στρατοῦ. καὶ μηκέτι προσδεχομένῳ μάχην, ἐπεξῆλθεν διαδοὺς δόρατα τῶν ναυμάχων μεγάλα τοῖς πεζοῖς, καὶ διδάξας, πόρρωθεν συντηροῦσι παίειν τοὺς καρχηδονίους, ἀκοντιστὰς μὲν οὐκ ὄντας, αἰχμαῖς δὲ χρωμένους ἐκ χειρὸς βραχείαις. διὸ καὶ δοκοῦσι τότε δεῖξαι τὰ νῶτα ῥωμαίοις, ὅσοι συνέβαλον, καὶ φυγὴν ἀπροφάσιστον φυγεῖν, ἀποβαλόντες ἐξ ἑαυτῶν, νεκροὺς μὲν γενομένους, πεντακισχιλίους. καὶ τῶν ἐλεφάντων, τέσσαρας μὲν, πεσόντας. δύο δὲ ζῶντας ἁλόντας. ὃ δ᾽ ἦν μέγιστον, ἡμέρᾳ τρίτῃ μετὰ τὴν μάχην, ἱππεῖς ἰβήρων, καὶ νομάδων μιγάδες, αὐτομολοῦσιν ὑπὲρ τοὺς τριακοσίους, οὔπω πρότερον ἀννίβα

ὥσπερ ἀστραπῇ διαφέρων στίλβουσα.

ρῳ καὶ χρυσῷ καὶ βαφαῖς πᾶσι καὶ ποικίλμασιν ὥσπερ ἀστραπῇ διαφέρων στίλβουσα. ὡς οὖν ἐπιβλέψαντι τὴν φάλαγγα τῷ μαρκέλλῳ, ταῦτα τῶν ὅπλων ἔδοξε κάλλιστα. καὶ κατὰ τούτων ὑπέλαβε πεποιῆσθαι τῷ θεῷ τὴν κατευχήν, ὥρμησεν ἐπὶ τὸν ἄνδρα, καὶ τῷ δόρατι διακόψας τὸν θώρακα, καὶ συνεπερείσας τῇ ῥύμῃ τοῦ ἵππου, ζῶντα μὲν αὐτὸν περιέτρεψεν. δευτέραν δὲ καὶ τρίτην πληγὴν ἐνθεὶς, εὐθὺς ἀπέκτεινεν. ἀποπηδήσας δὲ τοῦ ἵππου, καὶ τῶν ὅπλων τοῦ νεκροῦ ταῖς χερσὶν ἐφαψάμενος, πρὸς τὸν οὐρανὸν εἶπεν. ὦ μεγάλα, καὶ ἡγεμόνων ἔργα στρατηγῶν καὶ πράξεις, καὶ περιβλέπων ἐν πολέμοις καὶ μάχαις φερέτριε ζεῦ, μαρτύρομαί σε ῥωμαίων τρίτος ἄρχων. ἄρχοντα καὶ βασιλέα, στρατηγὸς, ἰδίᾳ χειρὶ τόνδε τὸν ἄνδρα κατεργασάμενος καὶ κτείνας, σοὶ καθιεροῦν τὰ πρῶτα καὶ κάλλιστα τῶν λαφύρων. σὺ δὲ δίδου τύχην ὁμοίαν, ἐπὶ τὰ λοιπὰ τοῦ πολέμου προτρεπομένοις. ἐκ τούτου, συνέμισγον οἱ ἱππεῖς, οὐ διακεκριμένοις τοῖς ἱππεῦσιν, ἀλλὰ καὶ πρὸς τοὺς πεζοὺς ὁμοῦ προσφερομένους μαχόμενοι καὶ νικῶσι νίκην ἰδίαν τε, καὶ τρόπῳ περιττὴν καὶ παράδοξον. ἱππεῖς γὰρ, ἱππεῖς καὶ πεζοὺς ἅμα τοσοῦτοι, τοσούτους, οὔτε πρότερον, οὔτε ὕστερον νικῆσαι λέγονται. κτείνας δὲ τοὺς πλείστους, καὶ κρατήσας ὅπλων, καὶ χρημάτων, ἐπανῆλθε πρὸς τὸν συνάρχοντα μοχθηρῶς πολεμοῦντα κελτοῖς, περὶ πόλιν μεγίστην καὶ πολυανθρωποτάτην τῶν γαλατικῶν, μεδιόλανον καλεῖται. καὶ μητρόπολιν μὲν αὐτὴν οἱ τῇδε κελτοὶ νομίζουσιν. ὅθεν ἐκθύμως μαχόμενοι περὶ αὐτῆς, ἀντεπολιόρκουν τὸν κορνήλιον. ἐπελθόντος δὲ μαρκέλλου καὶ τῶν γαισατῶν, ὡς ἐπύθοντο τὴν τοῦ βασιλέως ἧτταν καὶ τελευτὴν, ἀπελθόντων. τὸ μὲν μεδιόλανον, ἁλίσκεται, τὰς δὲ ἄλλας πόλεις, αὐτοὶ παραδιδόασιν οἱ κελτοὶ, καὶ τὰ καθ' ἑαυτοὺς ἐπιτρέπουσι πάντα ῥωμαίοις. καὶ τούτοις μὲν ἦν εἰρήνη μετρίων τυχοῦσα. ψηφισαμένης δὲ τῆς συγκλήτου, μόνῳ μαρκέλλῳ θρίαμβον, εἰσήλαυνε τῇ μὲν ἄλλῃ λαμπρότητι καὶ πλούτῳ καὶ λαφύροις, καὶ σώμασιν ὑπερφυέσιν αἰχμαλώτων, ἐν ὀλίγοις θαυμαστός. ἥδιστον δὲ πάντων θέαμα, καὶ καινότατον ἐπιδεικνύμενος, αὑτὸν κομίζοντα τῷ θεῷ τὴν τοῦ βαρβάρου πανοπλίαν, δρυὸς γὰρ εὐκτεάνου πρέμνον ὄρθιον καὶ μέγα τεμών. καὶ ἀσκήσας ὥσπερ τρόπαιον ἀνεδήσατο καὶ κατήρτησεν ἐξ αὐτοῦ τὰ λάφυρα, κόσμῳ διαθεὶς καὶ περιαρμόσας ἕκαστον. προϊούσης δὲ τῆς πομπῆς ἀράμενος αὐτὸς, ἐπέβη τοῦ τεθρίππου, καὶ τροπαιοφόρον ἄγαλμα τῶν ἐκείνου κάλλιστον καὶ διαπρεπέστατον ἐπόμπευε διὰ τῆς πόλεως. ὁ δὲ στρατὸς, εἵπετο καλλίστοις ὅπλοις κεκοσμημένος, ᾄδων ἅμα πεποιημένα μέλη, καὶ παιᾶνας ἐπινικίους, εἰς τὸν θεὸν καὶ τὸν στρατηγόν. Οὕτω δὲ προβὰς καὶ παρελθὼν εἰς τὸν νεὼν τοῦ φερετρίου διὸς, ἀνέστησε καὶ καθιέρωσε. τρίτος καὶ τελευταῖος, ἄχρι τοῦ καθ' ἡμᾶς αἰῶνος. πρῶτος μὲν γὰρ, ἀνήνεγκε σκῦλα, ῥωμύλος, ἀπὸ ἄκρωνος τοῦ καινινήτου. δεύτερος δὲ, κόσσος, κορνήλιος, ἀπὸ τολουμνίου τυρρηνοῦ. μετὰ δὲ τούτους, μάρκελλος ἀπὸ βριτομάτου βασιλέως γαλατῶν. μετὰ δὲ μάρκελλον, οὐδείς. καλεῖται δὲ, ὁ μὲν θεὸς ᾧ πέμπεται, φερέτριος ζεύς. ὡς μὲν ἔνιοι φασὶν, ἀπὸ τοῦ φερετρευομένου τροπαίου, κατὰ τὴν ἑλληνίδα γλῶσσαν, ἔτι πολλὴν τότε συμμεμιγμένην τῇ λατίνων. ὡς δὲ ἕτεροι, διός ἐστιν ἡ προσωνυμία κεραυνοβαλοῦντος. τὸ γὰρ τύπτειν, φέριεν οἱ ῥωμαῖοι καλοῦσιν. ἄλλοι δὲ, παρὰ τὴν τοῦ πολεμίου πληγὴν γεγονέναι τοὔνομα λέγουσιν. καὶ γὰρ νῦν ἐν ταῖς μάχαις ὅταν διώκωσι τοὺς πολεμίους, πυκνὸν τὸ φέρι. τουτέστιν παῖε, παρεγγυῶσιν ἀλλήλοις. τὰ δὲ σκῦλα, σπόλια μὲν κοινῶς, ἰδίως δὲ, ὀπίμια, ταῦτα καλοῦσι. καίτοι φασὶν ἐν τοῖς ὑπομνήμασι, νομᾶν πομπίλιον, καὶ πρώτων ὀπιμίων. καὶ δευτέρων. καὶ τρίτων μνημονεύειν. τὰ μὲν πρῶτα, ληφθέντα τῷ φερετρίῳ διὶ κελεύοντα καθιεροῦν. τὰ δεύτερα δὲ, τῷ ἄρει. τὰ δὲ τρίτα, τῷ κυρίνῳ. καὶ λαμβάνειν γέρας, ἀσσάρια τ. τὸν πρῶτον. τὸν δὲ δεύτερον, π. τὸν δὲ τρίτον, ρ. ὁ μέντοι πολὺς οὗτος ἐπικρατεῖ λόγος, ὡς ἐκείνων μόνον τιμίων ὄντων, ὅσα καὶ παρατάξεως οὔσης, καὶ πρῶτα. καὶ στρατηγοῦ στρατηγὸν ἀνελόντος. περὶ μὲν οὖν τούτων, ἐπὶ τοσοῦτον. οἱ δὲ ῥωμαῖοι τὴν νίκην ἐκείνην, καὶ τοῦ πολέμου τὴν κατάλυσιν οὕτως ὑπερηγάπησαν, ὥστε καὶ τῷ πυθίῳ χρυσοῦν κρατῆρα ἀπὸ λύτρων εἰς δελφοὺς ἀποστεῖλαι, χαριστήριον. καὶ τῶν λαφύρων, ταῖς τε συμμαχίσι μεταδοῦναι πόλεσιν λαμπρῶς. καὶ πρὸς ἱέρωνα πολλὰ πέμψαι τὸν συρακουσίων βασιλέα φίλον ὄντα καὶ σύμμαχον. ἀννίβου δὲ ἐμβαλόντος εἰς ἰταλίαν, ἐπέμφθη μὲν ὁ μάρκελλος ἐπὶ σικελίαν, στόλον ἄγων. ἐπεὶ δὲ ἡ περὶ κάννας ἀτυχία συνέπεσε, καὶ ῥωμαίων οὐκ ὀλίγαι μυριάδες ἐν τῇ μάχῃ διεφθάρησαν. ὀλίγοι δὲ σωθέντες εἰς κανύσιον συνεπεφεύγεσαν. ἦν δὲ προσδοκία τὸν ἀννίβαν, εὐθὺς ἐπὶ τὴν ῥώμην ἐλᾶν, ὅπερ ἦν κράτιστον, τῆς δυνάμεως ἀνῃρηκότα. πρῶτον μὲν ὁ μάρκελλος, ἀπὸ τῶν νεῶν, ἔπεμψε τῇ πόλει φυλακὴν, πεντακοσίους καὶ χιλίους ἄνδρας. ἔπειτα δόγμα τῆς βουλῆς δεξάμενος, εἰς κανύσιον παρῆλθεν, καὶ τοὺς ἐκεῖ συνειλεγμένους παραλαβὼν, ἐξήγαγε τῶν ἐρυμάτων, ὡς οὐ προησόμενος τὴν χώραν. ῥωμαίοις δὲ, τῶν ἡγεμονικῶν καὶ δυνατῶν ἀνδρῶν οἱ μὲν ἐτεθνήκεσαν ἐν ταῖς μάχαις. φαβίου δὲ μαξίμου, τὸ πλεῖστον ἔχοντος ἀξίωμα πίστεως καὶ συνέσεως, τὸ λίαν ἀπηκριβωμένον, ἐν τοῖς ὑπὲρ τοῦ μὴ παθεῖν λογισμοῖς, ὡς ἀργὸν ἐπὶ τὰς πράξεις καὶ ἄτολμον, ᾐτιῶντο. καὶ νομίζοντες ἀποχρῶντα τοῦτον ἔχειν πρὸς ἀσφάλειαν. οὐ διαρκῆ δὲ, πρὸς ἄμυναν στρατηγὸν, ἐπὶ τὸν μάρκελλον, καὶ τὸ θαρραλέον αὐτοῦ,

καὶ δραστήριον

\+ videt[ur] deesse ver-
\+ bu[m] in q. est: ἀ-
φεωρων. ita enim legendum ἐπὶ τὸν μάρκελλον ἀφεώρων, τὸ θαρραλέον

ἐπὶ τὸ στρατόπεδον γράμματα καλοῦσα. καὶ μεταπεμπομένη τοὺς ὑπάτους, ὅπως ἐπανελθόντες, ἢ
τάχιστα τὴν ἀρχὴν ἀπείπωνται. καὶ μηδὲν ὡς ὕπατοι φθάσωσι πρᾶξαι, πρὸς τοὺς πολεμίους.
Ταῦτα δεξάμενος τὰ γράμματα Φλαμμίνιος. οὐ πρότερον ἔλυσεν, ἢ μάχῃ συνάψας, τρέψασθαι
τοὺς βαρβάρους καὶ τὴν χώραν αὐτῶν ἐπιδραμεῖν. ὡς οὖν ἐπανῆλθε μετὰ πολλῶν λαφύρων, οὐκ
ἀπήντησεν ὁ δῆμος, ἀλλ' ὅτι καλούμενος οὐκ εὐθὺς ὑπήκουσεν, οὐδ' ἐπείσθη τοῖς γράμμασιν, ἀλλ' ἐνύ-
βρισε καὶ κατεφρόνησε, μικροῦ μὲν ἐδέησεν ἀποψηφίζεσθαι τὸν θρίαμβον αὐτοῦ, θριαμβεύσαντα
δὲ, ἰδιώτην ἐποίησεν, ἀναγκάσας ἐξομόσασθαι τὴν ὑπατείαν, μετὰ τοῦ συνάρχοντος. οὕτω πάντα
τὰ πράγματα Ῥωμαίοις, εἰς τὸν θεὸν ἀνήγετο. μαντειῶν δὲ καὶ πατρίων ὑπεροψίαν, οὐδ' ἐπὶ ταῖς
μεγίσταις εὐπραξίαις ἀπεδέχοντο, μεῖζον ἡγούμενοι πρὸς σωτηρίαν πόλεως, τὸ θαυμάζειν τὰ θεῖα τοὺς
ἄρχοντας, ἢ τὸ κρατεῖν τῶν πολεμίων. Τιβέριος οὖν Σεμπρώνιος. ἀνὴρ δι' ἀνδρίαν καὶ καλοκαγαθί-
αν, οὐδενὸς ἧττον ἀγαπηθεὶς ὑπὸ Ῥωμαίων, ἀπέδειξε μὲν ὑπατεύων διαδόχους, Σκιπίωνα Νασικᾶν, καὶ
Γάϊον Μάρκιον. ἤδη δὲ, ἐχόντων αὐτῶν ἐπαρχίας, καὶ στρατευματικοῖς ὑπομνήμασιν ἐντυχὼν, εὗ-
ρεν ἠγνοημένον ὑφ' αὑτοῦ τι τῶν πατρίων. ἦν δὲ τοιοῦτον. ὅτ' ἂν ἄρχων ἐπ' ὄρνισι καθεζόμενος, ἔξω πό- *ὅταν q. + deest aliq.*
q. λεως οἶκον. ἢ σκηνὴν, μεμισθωμένην, ὑπ' αἰτίας τινὸς ἀναγκασθῇ, μήπω γεγονότων σημείων βεβαίων
ἐπανελθεῖν εἰς πόλιν, ἀφεῖναι ἐχρῆν, τὸ προμεμισθωμένον οἴκημα, καὶ λαβεῖν ἕτερον ἐξ οὗ ποιήσε-
ται τὴν θέαν αὖθις ἐξ ὑπαρχῆς. τοῦτο ἔλαθεν ὡς ἔοικε τὸν Τιβέριον. καὶ δὶς τῷ αὐτῷ χρησάμενος,
ἀπέδειξε τοὺς εἰρημένους ἄνδρας ὑπάτους. ὕστερον δὲ γνοὺς τὴν ἁμαρτίαν, ἀνήνεγκε πρὸς τὴν σύγκλη-
τον. ἡ δὲ οὐ κατεφρόνησε τοῦ κατὰ μικρὸν οὕτως ἐλλείμματος. ἀλλ' ἔγραψε τοῖς ἀνδράσι. καὶ ἐκεῖνοι τὰς
ἐπαρχίας ἀπολιπόντες, ἐπανῆλθον εἰς Ῥώμην ταχὺ, καὶ κατέθεντο τὴν ἀρχήν. ἀλλὰ ταῦτα μὲν ὕ-
στερον ἐπράχθη. περὶ δὲ τοὺς αὐτοὺς ἐκείνους χρόνους. καὶ δύο ἱερεῖς ἐπιφανέστατοι, τὰς ἱερωσύνας ἀ-
φῃρέθησαν. Κορνήλιος μὲν Κέθηγος· ὅτι τὰ σπλάγχνα τοῦ ἱερείου, παρὰ τάξιν ἐπέδωκεν. Κοΐντος
δὲ Σουλπίκιος, ἐπὶ τῷ θύοντος αὐτοῦ τὸν κορυφαῖον ἀποῤῥυῆναι τῆς κεφαλῆς πῖλον, ὃν οἱ καλούμε-
νοι Φλαμμίνιοι φοροῦσι. Μινυκίου δὲ δικτάτωρος, ἵππαρχον ἀποδείξαντος Γάϊον Φλαμμίνιον. ἐπεὶ
τετρισμὸς ἠκούσθη μυὸς, ὃν σόρικα καλοῦσιν, ἀποψηφισάμενοι τούτους, αὖθις ἑτέρους κατέστησαν. καὶ
τὴν ἐν οὕτω μικροῖς ἀκρίβειαν φυλάττοντες, οὐδεμιᾷ προσεμίγνυσαν δεισιδαιμονίᾳ, τῷ μηδὲν ἀλ-
λάττειν μηδὲ παρεκβαίνειν τῶν πατρίων. Ὡς δ' οὖν ἐξωμόσαντο τὴν ἀρχὴν οἱ περὶ τὸν Φλαμμί-
νιον, διὰ τῶν καλουμένων μεσοβασιλέων, ὕπατος ἀποδείκνυται Μάρκελλος. καὶ παραλαβὼν τὴν ἀρ-
χὴν, ἀποδείκνυσιν αὑτῷ συνάρχοντα Γναῖον Κορνήλιον. ἐλέχθη μὲν οὖν ὡς πολλὰ συμβατικὰ τῶν Γα-
λατῶν, καὶ τῆς βουλῆς εἰρηναῖα βουλομένης, ὁ Μάρκελλος ἐξετράχυνε τὸν δῆμον ἐπὶ τὸν πόλεμον.
οὐ μὴν, ἀλλὰ καὶ γενομένης εἰρήνης, ἀνακαινίσαι τὸν πόλεμον οἱ Γαισάται δοκοῦσι, τὰς Ἄλπεις ὑπερ-
βαλόντες, καὶ τοὺς Ἰνσόμβρους ἐπάραντες, τρισμύριοι γὰρ ὄντες προσεγένοντο, πολλαπλασίοις ἐκεί-
νοις οὖσι. καὶ μέγα φρονοῦντες, εὐθὺς ἐπ' Ἀκέρρας ὥρμησαν πόλιν, ὑπὲρ ποταμοῦ Πάδου ἀνῳκισμέ-
νην. ἐκεῖθεν δὲ μυρίους τῶν Γαισατῶν ὁ βασιλεὺς Βριτόματος ἀναλαβὼν, τὴν περὶ Πάδον χώραν ἐπόρ-
θει. ταῦτα Μάρκελλος πυθόμενος, τὸν μὲν συνάρχοντα, πρὸς Ἀκέρρας ἀπέλιπε, τὴν πεζὴν καὶ βα-
ρεῖαν ὁμοῦ πᾶσαν ἔχοντα δύναμιν, καὶ τῶν ἱππέων μέρος τρίτον. αὐτὸς δὲ, τοὺς λοιποὺς ἱππεῖς ἀνα-
λαβὼν, καὶ τοὺς ἐλαφροτάτους τῶν ὁπλιτῶν περὶ ἑξακοσίους, ἤλαυνεν. οὔτε ἡμέρας, οὔτε νύκτας
q. ἀνεὶς τὸν δρόμον, ἕως ἐπέβαλε τοῖς μυρίοις Γαισάταις, περὶ τὸν καλούμενον Καπίδιον, Γαλατικὴν κώ- *κλαστίδιον*
μην, οὐ πρὸ πολλοῦ, Ῥωμαίοις ὑπήκοον γεγενημένην. ἀναλαβεῖν δὲ καὶ διαναπαῦσαι τὸν στρατὸν, οὐκ
ὑπῆρξεν αὐτῷ. ταχὺ γὰρ αἴσθησιν τοῖς βαρβάροις ἀφικνουμένοις παρέσχε, καὶ κατεφρονήθη, πεζῶν *ἀφικόμενος q.*
μὲν ὀλίγων παντάπασιν ὄντων σὺν αὐτῷ. τὸ δ' ἱππικὸν ἐν οὐδενὶ λόγῳ τῶν Κελτῶν τιθεμένων, κρά-
τιστοι γὰρ ὄντες ἱππομαχεῖν, καὶ μάλιστα τούτῳ διαφέρειν δοκοῦντες, τότε καὶ πλήθει πολὺ τὸν Μάρ-
κελλον ὑπερέβαλλον. εὐθὺς οὖν ἐπ' αὐτὸν ὡς ἀναρπασόμενοι, μετὰ βίας πολλῆς καὶ δεινῶν ἀπει-
λῶν ἐφέροντο, τοῦ βασιλέως προϊππεύοντος. ὁ δὲ Μάρκελλος ὡς μὴ φθαῖεν αὐτὸν ἐγκυκλωσάμενοι,
καὶ περιχυθέντες, ὀλίγιστον ὄντα, τὰς ἴλας ἦγε πόῤῥω τῶν ἱππέων, καὶ περιήλαυνε, λεπτὸν ἐκτεί-
νων τὸ κέρας, ἄχρι οὗ μικρὸν ἀπεῖχε τῶν πολεμίων. ἤδη δέ πως εἰς ἐμβολὴν ἐπιστρέφοντος αὐτοῦ,
συντυγχάνει τὸν ἵππον πτυρέντα τῇ γαυρότητι τῶν πολεμίων, ἀποτραπέσθαι, καὶ βίᾳ φέρειν ὀπίσω
τὸν Μάρκελλον. ὁ δὲ, τοῦτο δείσας, μὴ ταραχὴν ἐκ δεισιδαιμονίας τοῖς Ῥωμαίοις ἐνεργάσηται, ταχὺ
περισπάσας, ἐφ' ἡνίαν τῷ χαλινῷ, καὶ περιστρέψας τὸν ἵππον, ἐναντίον τοῖς πολεμίοις, καὶ τὸν ἥ-
λιον αὐτὸς προσεκύνησεν, ὡς δὴ μὴ κατὰ τύχην, ἀλλ' ἕνεκα τούτου τῇ περιαγωγῇ χρησάμενος. οὕτω
γὰρ ἔθος ἐστὶ Ῥωμαίοις, προσκυνεῖν τοὺς θεοὺς, περιστρεφομένους, αὐτὸν ἤδη, προσμιγνύντα τοῖς ἐ- *q. idest deesse uerbum in q. est καὶ ut legit καὶ αὐτὸν*
ναντίοις, προσεύξασθαι τῷ Φερετρίῳ Διῒ τὰ κάλλιστα τῶν παρὰ τοῖς πολεμίοις ὅπλων καθιερώ-
σειν. ἐν τούτῳ δὲ, κατιδὼν ὁ τῶν Γαλατῶν βασιλεὺς, καὶ τεκμηράμενος ἀπὸ τῶν συμβόλων ἄρχοντα
τοῦτον εἶναι. πολὺ πρὸ τῶν ἄλλων ἐξελάσας τὸν ἵππον, ὑπηντίασεν ἅμα τῇ φωνῇ, προκλητικὸν ἐπα-
λαλάζων, καὶ τὸ δόρυ κραδαίνων, ἀνὴρ μεγέθει τε σώματος, ἔξοχος Γαλατῶν, καὶ πανοπλίᾳ ἐν ἀργυ-

Μᾶρκον δὲ κλαύδιον τὸν πεντάκις ὑπατεύσαντα ῥωμαίων, μάρκου μὲν υἱὸν γενέσθαι λέγουσιν. κληθῆναι δὲ τῶν ἀπὸ τῆς οἰκίας πρῶτον μάρκελλον. ὅπερ ἐστὶν ἀρήιον, ὥς φησι ποσειδώνιος. ἦν γὰρ τῇ μὲν ἐμπειρίᾳ πολεμικός. τῷ δὲ σώματι, ῥωμαλέος. τῇ δὲ χειρί, πλήκτης. τῇ δὲ φύσει φιλοπόλεμος. καὶ τοῦτο δή, πολὺ τὸ γαῦρον καὶ ἀγέρωχον ἐπιφαίνων ἐν τοῖς ἀγῶσι. τῷ δὲ ἄλλῳ τρόπῳ, σώφρων. φιλάνθρωπος. ἑλληνικῆς παιδείας καὶ λόγων, ἄχρι τοῦ τιμᾶν, καὶ θαυμάζειν τοὺς κατορθοῦντας ἐραστής. αὐτὸς δέ, ὑπ' ἀσχολιῶν ἐφ' ὅσον ἦν πρόθυμος ἀσκῆσαι καὶ μαθεῖν οὐκ ἐξικόμενος. εἰ γὰρ ἄλλοις τισὶν ἀνθρώποις ὁ θεός, ὥσπερ ὅμηρος εἴρηκεν, ἐκ νεότητος ἔδωκεν καὶ εἰς γῆρας τολυπεύειν. ἀργαλέους πολέμους, καὶ τοῖς τότε πρωτεύουσι ῥωμαίων. οἳ νέοι μὲν ὄντες, περὶ σικελίαν καρχηδονίοις. ἀκμάζοντες δὲ γαλάταις, ὑπὲρ αὐτῆς ἰταλίας ἐπολέμουν. ἤδη δὲ γηρῶντες, ἀννίβᾳ πάλιν συνείχοντο, καὶ καρχηδονίοις οὐκ ἔχοντες ὥσπερ οἱ πολλοί, διὰ γῆρας ἀνάπαυσιν στρατειῶν, ἀλλ' ἐπὶ στρατηγίας πολέμων καὶ ἡγεμονίας, κατ' εὐγένειαν καὶ ἀρετὴν ἀγόμενοι.

Μάρκελλος δέ, πρὸς οὐδὲν μὲν ἦν μάχης εἶδος ἀργός, οὐδὲ ἀνάσκητος. αὐτὸς δὲ αὑτοῦ, κράτιστος ἐν τῷ μονομαχεῖν γινόμενος, οὐδὲ μίαν πρόκλησιν ἔφυγεν. πάντας δὲ τοὺς προκαλεσαμένους, ἀπέκτεινεν. ἐν δὲ σικελίᾳ τὸν ἀδελφὸν ὀτακίλιον κινδυνεύοντα διέσωσεν ὑπερασπίσας καὶ ἀποκτείνας τοὺς ἐπιφερομένους. ἀνθ' ὧν ὄντι μὲν ἔτι νέῳ στέφανοι καὶ γέρα παρὰ τῶν στρατηγῶν ἦσαν. εὐδοκιμοῦντα δὲ μᾶλλον, ἀγορανόμον μὲν ἀπέδειξεν τῆς ἐπιφανεστέρας τάξεως ὁ δῆμος. οἱ δ' ἱερεῖς αὔγουρα. τοῦτο δ' ἐστὶν ἱερωσύνης εἶδος ᾧ μάλιστα, τὴν ἀπ' οἰωνῶν μαντικὴν ἐπιβλέπειν, καὶ παραφυλάττειν νόμος δέδωκεν. ἠναγκάσθη δὲ ἀγορανομῶν. δίκην ἀβούλητον εἰσενεγκεῖν. ἦν γὰρ αὐτῷ παῖς ὁμώνυμος. ἐν ὥρᾳ τὴν ὄψιν ἐκπρεπής, οὐχ ἧττον δέ, τῷ σωφρονεῖν, καὶ πεπαιδεῦσθαι περίβλεπτος ὑπὸ τῶν πολιτῶν. τούτῳ καπιτωλῖνος ὁ τοῦ μαρκέλλου συνάρχων, ἀσελγὴς ἀνὴρ καὶ θρασὺς ἐρῶν, λόγους προσήνεγκεν. τοῦ δὲ παιδός, τὸ μὲν πρῶτον αὐτοῦ καθ' ἑαυτὸν ἀποτριψαμένου τὴν πεῖραν. ὡς δὲ αὖθις ἐπεχείρησεν, κατειπόντος πρὸς τὸν πατέρα, βαρέως ἐνεγκὼν ὁ μάρκελλος, προσήγγειλε τῇ βουλῇ τὸν ἄνθρωπον. ὁ δέ, πολλὰς μὲν ἀποδράσεις καὶ παραγραφὰς ἐμηχανᾶτο, τοὺς δημάρχους ἐπικαλούμενος. ἐκείνων δὲ μὴ προσδεχομένων τὴν ἐπίκλησιν, ἀρνήσει τὴν αἰτίαν ἔφυγε. καὶ μάρτυρος οὐδενὸς τῶν λόγων γεγονότος, ἔδοξε μεταπέμπεσθαι τὸν παῖδα τῇ βουλῇ. παραγενομένου δ' ἰδόντες ἐρύθημα καὶ δάκρυον, καὶ μεμιγμένον ἀπαύστῳ θυμῷ τὸ αἰδούμενον, οὐδενὸς ἄλλου δεηθέντες τεκμηρίου κατεψηφίσαντο, καὶ χρήμασιν ἐζημίωσαν καπιτωλῖνον. ἐξ ὧν ὁ μάρκελλος ἀργυρᾶ λοιβεῖα ποιησάμενος, τοῖς θεοῖς καθιέρωσεν. ἐπεὶ δὲ τοῦ πρώτου τῶν καρχηδονίων πολέμου ἔτει δευτέρῳ καὶ εἰκοστῷ συναιρεθέντος, ἀρχαὶ πάλιν γαλατικῶν ἀγώνων, διεδέχοντο τὴν ῥώμην. οἱ δὲ τὴν ὑπαλπείαν νεμόμενοι τῆς ἰταλίας ἴβηρες, κελτικὸν ἔθνος, μεγάλοι καὶ καθ' ἑαυτοὺς ὄντες, δυνάμεις ἐκάλουν, καὶ μετεπέμποντο γαλατῶν, τοὺς μισθοῦ στρατευομένους οἳ γαισᾶται καλοῦνται. καὶ θαυμαστὸν μὲν ἐδόκει, καὶ τύχης ἀγαθῆς γενέσθαι, τὸ μὴ συρραγῆναι τὸν κελτικόν. εἰς τὸ αὐτὸ τῷ λιβυκῷ πόλεμον. ἀλλ' ὥσπερ ἐφεδρείαν εἰληφότας τοὺς γαλάτας, ὀρθῶς καὶ δικαίως ἀτρεμήσαντας μαχομένων ἐκείνων, οὕτω τότε δὴ τοῖς νενικηκόσιν ἐπαποδύεσθαι, καὶ προκαλεῖσθαι σχολὴν ἄγοντας. οὐ μήν, ἀλλὰ μέγαν ἥ τε χώρα παρεῖχε φόβον. διὰ τὴν γειτνίασιν ὁμόρῳ καὶ προσοίκῳ πολέμῳ συνοισομένοις, καὶ τὸ παλαιὸν ἀξίωμα τῶν γαλατῶν, οὓς μάλιστα ῥωμαῖοι δεῖσαι δοκοῦσιν. ἅτε δὴ καὶ τὴν πόλιν ὑπ' αὐτῶν ἀποβαλόντες. ἐξ ἐκείνου δέ, καὶ θέμενοι νόμον, ἀτελεῖς εἶναι στρατείας τοὺς ἱερέας. πλήν, εἰ μὴ γαλατικὸς πάλιν ἐπέλθοι πόλεμος. ἐδήλου δὲ καὶ τὸν φόβον αὐτῶν, ἥ τε παρασκευή, μυριάδες γὰρ ἐν ὅπλοις ἅμα τοσαῦται ῥωμαίων, οὔτε πρότερον, οὔτε ὕστερον γενέσθαι λέγονται. καὶ τὰ περὶ τὰς θυσίας καινοτομούμενα. βαρβαρικὸν μὲν οὐδέν, οὐδ' ἔκφυλον ἐπιτηδεύοντες, ἀλλ' ὡς ἔνι μάλιστα ταῖς δόξαις, ἑλληνικῶς διακείμενοι. καὶ πράως πρὸς τὰ θεῖα. τότε τοῦ πολέμου συμπεσόντος, ἠναγκάσθησαν εἶξαι λογίοις τισὶν ἐκ τῶν σιβυλλείων, δύο μὲν ἕλληνας. ἄνδρα καὶ γυναῖκα. δύο δὲ γαλάτας ὁμοίως ἐν τῇ καλουμένῃ βοῶν ἀγορᾷ, κατορύξαι ζῶντας. οἷς ἔτι καὶ νῦν ἐν τῷ νοεμβρίῳ μηνὶ δρῶσιν ἕλλησι, καὶ γαλάταις, ἀπορρήτους καὶ ἀθεάτους ἱερουργίας. οἱ μὲν οὖν πρῶτοι τῶν ἀγώνων, νίκας τε μεγάλας καὶ σφάλματα τοῖς ῥωμαίοις ἐνεγκόντες, εἰς οὐδὲν ἐτελεύτησαν πέρας βέβαιον. φλαμμινίου δὲ καὶ φουρίου τῶν ὑπάτων, μεγάλαις ἐκστρατευσάντων δυνάμεσιν ἐπὶ τοὺς ἰνσόμβρας, ὤφθη μὲν αἵματι ῥέων, ὁ διὰ τῆς πικηνίδος χώρας ποταμός, ἐλέχθη δὲ τρεῖς σελήνας φανῆναι, περὶ πόλιν ἀρίμινον. οἱ δὲ περὶ τὰς ὑπατικὰς ψηφοφορίας παραφυλάττοντες οἰωνοὺς ἱερεῖς, διεβεβαιοῦντο, μοχθηρὰς καὶ δυσόρνιθας αὐτοῖς γεγονέναι, τὰς τῶν ὑπάτων ἀναγορεύσεις. εὐθὺς οὖν, ἔπεμψεν ἡ σύγκλητος

λειν τῶν τειχῶν, ὡς ἂν δοκοῖεν αἱ πόλεις πενθεῖν, αὐτὴ τῆς πρόσθεν μορφῆς κουρείμον σχῆμα καὶ ἄτιμον ἀναλαμβάνουσαι. ταῦτα μὲν οὖν προστάγματα δεσποτῶν ὄντα, καὶ μετὰ πολλῆς ἀνάγκης περαινόμενα, καὶ μετὰ φθόνου τῶν τυχόντων, καὶ μίσους τῶν βιαζομένων, οὐδεμιᾶς χάριτος ἦν, οὐδὲ τιμῆς, ὄγκου δὲ βαρβαρικοῦ, καὶ τρυφῆς καὶ ἀλαζονείας ἐπίδειξις, εἰς κενὰ καὶ ἄζηλα τὴν περιουσίαν διαπιθεμένων. ἀνὴρ δὲ δημοτικὸς ἐπὶ ξένης τεθνηκώς, οὐ γυναικός, οὐ παίδων, οὐ συγγενῶν παρόντων, οὐ δεομένου τινός, οὐκ ἀναγκάζοντος, ὑπὸ δήμων τοσούτων καὶ πόλεων ἁμιλλωμένων, προπεμπόμενος καὶ συνεκκομιζόμενος, καὶ στεφανούμενος, εἰκότως ἐδόκει τὸν τελειότατον ἐπέχειν εὐδαιμονισμόν. οὐ γὰρ ὡς Αἴσωπος ἔφασκε, χαλεπώτατός ἐστιν ὁ τῶν εὐτυχούντων θάνατος, ἀλλὰ μακαριώτατος, εἰς ἀσφαλῆ χώραν τὰς εὐπραξίας κατατιθέμενος τῶν ἀγαθῶν, καὶ τύχην μεταβάλλεσθαι μὴ ἀπολείπων. διὸ βέλτιον ὁ Λάκων τὸν Ὀλυμπιονίκην Διαγόραν ἐπιδόντα μὲν υἱοὺς στεφανουμένους Ὀλυμπίασιν, ἐπιδόντα δ' υἱωνοὺς καὶ θυγατριδοῦς, ἀσπασάμενος, κάτθανε, εἶπε Διαγόρα, οὐκ εἰς τὸν Ὄλυμπον ἀναβήσῃ. τὰς δ' Ὀλυμπικὰς καὶ Πυθικὰς νίκας, οὐκ ἄν οἶμαι τις, εἰς τὸ αὐτὸ συνθεὶς ἁπάσας, ἑνὶ τῶν Πελοπίδου παραβαλεῖν ἀγώνων ἀξιώσειεν. οὓς πολλοὺς ἀγωνισάμενος καὶ κατορθώσας· καὶ τοῦ βίου τὸ πλεῖστον ἐν δόξῃ καὶ τιμῇ βιώσας, τέλος ἐν τῇ τρισκαιδεκάτῃ βοιωταρχίᾳ τυραννοκτονίᾳ μεμιγμένην ἀριστείαν ἀριστεύων, ὑπὲρ τῆς τῶν Θετταλῶν ἐλευθερίας ἀπέθανεν.

Ὁ δὲ θάνατος αὐτοῦ, μεγάλα μὲν ἐλύπησε τοὺς συμμάχους, μείζονα δὲ ὠφέλησεν. Θηβαῖοι γὰρ ὡς ἐπύθοντο τὴν τοῦ Πελοπίδου τελευτήν, οὐδεμίαν ἀναβολὴν ποιησάμενοι τῆς τιμωρίας, κατὰ τάχος ἐστράτευσαν ὁπλίταις ἑπτακισχιλίοις, ἱππεῦσι δ' ἑπτακοσίοις, ἡγουμένου Μαλκίτου καὶ Διογείτονος. καταλαβόντες δὲ, συνεσταλμένον, καὶ περικεκομμένον τῆς δυνάμεως Ἀλέξανδρον, ἠνάγκασαν Θετταλοῖς μὲν ἀποδοῦναι τὰς πόλεις ἃς εἶχεν αὐτῶν. Μάγνητας δὲ καὶ Φθιώτας, καὶ Ἀχαιοὺς, ἀφεῖναι, καὶ τὰς φρουρὰς ἐξαγαγεῖν. ὀμόσαι δὲ αὐτὸν, ἐφ' οἷς ἂν ἡγῶνται Θηβαῖοι, καὶ κελεύωσιν, ἀκολουθήσειν, Θηβαῖοι μὲν οὖν, τούτοις ἠρκέσθησαν. ἣν δὲ ὀλίγον ὕστερον τοῖς θεοῖς ὑπὲρ Πελοπίδου δίκην ἔδωκεν, διηγήσομαι. Θήβην τὴν συνοικοῦσαν αὐτῷ, πρῶτον μὲν ὡς εἴρηται, Πελοπίδας ἐδίδαξε, μὴ φοβεῖσθαι τὴν ἔξω λαμπρότητα, καὶ παρασκευὴν τῆς τυραννίδος, ἐντὸς τῶν ὅπλων καὶ τῶν φυλάκων οὖσαν. ἔπειτα δὲ, φοβουμένη τὴν ἀπιστίαν αὐτοῦ, καὶ μισοῦσα τὴν ὠμότητα, συνθεμένη μετὰ τῶν ἀδελφῶν, τριῶν ὄντων, Τισιφόνου, Πυθολάου, Λυκόφρονος, ἐπεχείρει τὸν δὲ τὸν τρόπον. τὴν μὲν ἄλλην οἰκίαν τοῦ τυράννου, κατεῖχον αἱ φυλακαὶ τῶν παρανυκτερευόντων. ὁ δὲ θάλαμος ἐν ᾧ καθεύδειν εἰώθεσαν, ὑπερῷος ἦν, καὶ πρὸ αὐτοῦ φυλακὴν εἶχε κύων δεδεμένος πᾶσι φοβερός, πλὴν αὐτοῖς ἐκείνοις, καὶ ἑνὶ τῶν οἰκετῶν τῷ τρέφοντι. καθ' ὃν οὖν ἔμελλε καιρὸν ἐπιχειρεῖν ἡ Θήβη, τοὺς μὲν ἀδελφοὺς, ἀφ' ἡμέρας εἶχε πλησίον ἐν οἴκῳ τινὶ κεκρυμμένους. εἰσελθοῦσα δὲ ὥσπερ εἰώθει μόνη πρὸς τὸν Ἀλέξανδρον ἤδη καθεύδοντα, καὶ μετὰ μικρὸν πάλιν προελθοῦσα, τῷ μὲν οἰκέτῃ προσέταξεν ἀπάγειν ἔξω τὸν κύνα. βούλεσθαι γὰρ ἀναπαύεσθαι μεθ' ἡσυχίας ἐκεῖνον, αὐτὴ δὲ τὴν κλίμακα φοβουμένη μὴ κτύπον παράσχῃ τῶν νεανίσκων ἀναβαινόντων, ἐρίοις κατεστόρεσεν. εἶτα οὕτως ἀναγαγοῦσα τοὺς ἀδελφοὺς ξιφήρεις. καὶ στήσασα πρὸ τῶν θυρῶν, εἰσῆλθεν αὐτή, καὶ καθελοῦσα τὸ ξίφος ὑπὲρ τῆς κεφαλῆς κρεμάμενον, σημεῖον εἶναι τοῦ κατέχεσθαι τὸν ἄνδρα καὶ καθεύδειν ἔδειξεν. ἐκπεπληγμένων δὲ τῶν νεανίσκων, καὶ κατοκνούντων, κακίζουσα καὶ διομνυμένη μετ' ὀργῆς, αὐτὴ τὸν Ἀλέξανδρον ἐξεγείρασα μηνύσειν τὴν πρᾶξιν, αἰσχυνθέντας αὐτοὺς ἅμα καὶ φοβηθέντας, εἰσήγαγε, καὶ περιέστησεν τῇ κλίνῃ προσφέρουσα τὸν λύχνον. τῶν δὲ ὁ μὲν, τοὺς πόδας κατεῖχε πιέσας. ὁ δὲ τὴν κεφαλὴν λαβόμενος τῶν τριχῶν ἀνέκλασεν. ὁ δὲ τρίτος, τῷ ξίφει τύπτων αὐτὸν διεχρήσατο. τῷ μὲν τάχει τῆς τελευτῆς, πρᾳότερον ἴσως ἢ προσῆκον ἦν ἀποθανόντα, τῷ δὲ μόνον, ἢ πρῶτον τύραννον ὑπὸ γυναικὸς ἰδίας ἀπολέσθαι. καὶ τῇ μετὰ θάνατον αἰκίᾳ τοῦ πτώματος, ῥιφέντος καὶ πατηθέντος ὑπὸ τῶν Φεραίων, ἄξια πεπονθέναι δόξαντα τῶν παρανομημάτων.

ἴφ. ς. τ.

σώματος . ς . τ . κ . q.

συνῆγεν ἤδη καὶ διεφθαρμένην εὑρήσειν, ἐξ ὧν διείλεκτο τῇ Θήβῃ, μάλιστα δ' αὐτὸν καὶ παρεκάλει τὸ τῆς πράξεως καλὸν, ἄλλως τε ἐπιθυμοῦντα, καὶ φιλοτιμούμενον, ἐν οἷς χρόνοις Λακεδαιμόνιοι Διονυσίῳ τῷ Σικελίας τυράννῳ στρατηγοὺς καὶ ἁρμοστὰς ἔπεμπον, Ἀθηναῖοι δὲ, μισθοδότην Ἀλέξανδρον εἶχον, καὶ χαλκοῦν ἵστασαν ὡς εὐεργέτην, τότε τοῖς Ἕλλησιν ἐπιδεῖξαι Θηβαίους μόνους ὑπὲρ τῶν τυραννουμένων στρατευομένους, καὶ καταλύοντας ἐν τοῖς Ἕλλησι τὰς παρανόμους καὶ βιαίους δυναστείας. ὡς οὖν εἰς Φάρσαλον ἐλθὼν, ἤθροιζε τὴν δύναμιν, εὐθὺς ἐβάδιζεν ἐπὶ τὸν Ἀλέξανδρον. ὁ δὲ, Θηβαίους μὲν ὀλίγους περὶ τὸν Πελοπίδαν ὁρῶν, αὐτὸς δὲ πλέους ἔχων, ἢ διπλασίους ὁπλίτας τῶν Θεσσαλῶν, ἀπήντα πρὸς τὸ Θετίδειον. εἰπόντος δέ τινος τῷ Πελοπίδᾳ, πολλοὺς ἔχοντα τὸν τύραννον ἐπέρχεσθαι, βέλτιον ἔφη· πλείονας γὰρ νικήσομεν. ἀντιτεινόντων δὲ πρὸς τὸ μέσον κατὰ τὰς καλουμένας Κυνὸς κεφαλὰς, λόφων περικλινῶν καὶ ὑψηλῶν, ὥρμησαν ἀμφότεροι τούτους καταλαβεῖν τοῖς πεζοῖς. τοὺς δ' ἱππεῖς ὁ Πελοπίδας, πολλοὺς καὶ ἀγαθοὺς ὄντας, ἐφῆκε τοῖς ἱππεῦσι τῶν πολεμίων. ὡς δὲ οὗτοι μὲν ἐκράτουν, καὶ συνεξέπεσον εἰς τὸ πεδίον τοῖς φεύγουσιν. ὁ δὲ Ἀλέξανδρος ὤφθη τοὺς λόφους καταλαβὼν, τοῖς ὁπλίταις τῶν Θεσσαλῶν ὕστερον ἐπερχομένοις, καὶ πρὸς ἰσχυρὰ καὶ μετέωρα χωρία βιαζομένοις, ἐμβαλὼν, ἔκτεινε τοὺς πρώτους· οἱ δὲ ἄλλοι, πληγὰς λαβόντες οὐδὲν ἔπραξαν. κατιδὼν οὖν ὁ Πελοπίδας, τοὺς μὲν ἱππεῖς, ἀνεκαλεῖτο, καὶ πρὸς τὸ συνεστηκὸς τῶν πολεμίων ἐλαύνειν ἐκέλευεν, αὐτὸς δὲ συνέμιξε δρόμῳ τοῖς περὶ τοὺς λόφους μαχομένοις, εὐθὺς τὴν ἀσπίδα λαβὼν, καὶ διὰ τῶν ὄπισθεν ὠσάμενος εἰς τοὺς πρώτους, τοσαύτην ἐνεποίησε ῥώμην καὶ προθυμίαν ἅπασιν, ὥστε καὶ τοῖς πολεμίοις ἑτέρους δοκεῖν γεγονότας, καὶ σώμασι καὶ ψυχαῖς ἐπέρχεσθαι. καὶ δύο μὲν ἢ τρεῖς ἀπεκρούσαντο προσβολάς. ὁρῶντες δὲ καὶ τούτους ἐπιβαίνοντας ἐρρωμένως καὶ τὴν ἵππον ἀπὸ τῆς διώξεως ἀναστρέφουσαν, εἶξαν ἐπὶ σκέλος ποιούμενοι τὴν ἀναχώρησιν. ὁ δὲ Πελοπίδας, ἀπὸ τῶν ἄκρων κατιδὼν ἅπαν τὸ στρατόπεδον τῶν πολεμίων, οὔπω μὲν εἰς φυγὴν τετραμμένον, ἤδη δὲ θορύβου καὶ ταραχῆς ἀναπιμπλάμενον, ἔστη καὶ περιέσκεπτεν αὐτὸν, ζητῶν τὸν Ἀλέξανδρον. ὡς δ' εἶδεν ἐπὶ τοῦ δεξιοῦ παραθαρρύνοντα, καὶ συντάττοντα τοὺς μισθοφόρους, οὐ κατέσχε τῷ λογισμῷ τὴν ὀργὴν, ἀλλὰ πρὸς τὴν βλέψιν ἀναφλεχθεὶς, καὶ τῷ θυμῷ παραδοὺς τὸ σῶμα, καὶ τὴν ἡγεμονίαν τῆς πράξεως, πολὺ πρὸ τῶν ἄλλων ἐξαλλόμενος ἐφέρετο βοῶν καὶ προκαλούμενος τὸν τύραννον. ἐκεῖνος μὲν οὖν, οὐκ ἐδέξατο τὴν ὁρμὴν οὐδὲ ὑπέμεινεν, ἀλλ' ἀναφυγὼν πρὸς τοὺς δορυφόρους ἐνέκρυψεν ἑαυτόν. τῶν δὲ μισθοφόρων, οἱ μὲν πρῶτοι συμβαλόντες εἰς χεῖρας, ἀνεκόπησαν ὑπὸ τοῦ Πελοπίδου, τινὲς δὲ καὶ πληγέντες ἐτελεύτησαν. οἱ δὲ πολλοὶ τοῖς δόρασι πόρρωθεν διὰ τῶν ὅπλων τύπτοντες αὐτὸν κατετραυμάτιζον, ἕως οἱ Θεσσαλοὶ περιπαθήσαντες ἀπὸ τῶν λόφων, δρόμῳ προσεβοήθησαν. ἤδη δὲ πεπτωκότος, οἵ τε ἱππεῖς προσελάσαντες, ὅλην ἐτρέψαντο τὴν φάλαγγα, καὶ διώξαντες ἐπὶ πλεῖστον, ἐνέπλησαν νεκρῶν τὴν χώραν, πλέον ἢ τρισχιλίους καταβαλόντες.

Τὸ μὲν οὖν Θηβαίων τοὺς παρόντας ἐπὶ τῇ τοῦ Πελοπίδου τελευτῇ, βαρέως φέρειν, πατέρα καὶ σωτῆρα, καὶ διδάσκαλον τῶν μεγίστων καὶ καλλίστων ἀγαθῶν ἀποκαλοῦντας ἐκεῖνον, οὐ πάνυ θαυμαστὸν ἦν. οἱ δὲ Θεσσαλοὶ καὶ οἱ σύμμαχοι, πᾶσαν ἀνθρωπίνην πρέπουσαν ἀρετῇ τιμὴν, τοῖς ψηφίσμασιν ὑπερβαλόντες, ἔτι μᾶλλον ἐπεδείξαντο τοῖς πάθεσι, τὴν πρὸς τὸν ἄνδρα χάριν. τοὺς μὲν γὰρ παραγεγονότας τῷ ἔργῳ λέγουσι, μήτε θώρακα θέσθαι, μήτε ἵππον ἐκχαλινῶσαι, μήτε τραῦμα δήσασθαι πρότερον, ὡς ἐπύθοντο τὴν ἐκείνου τελευτὴν, ἀλλὰ μετὰ τῶν ὅπλων, θερμοὺς ἰόντας ἐπὶ τὸν νεκρὸν, ὥσπερ αἰσθανόμενον τὰ τῶν πολεμίων κύκλῳ περὶ τὸ σῶμα σωρεύειν λάφυρα. κεῖραι δὲ ἵππους, κείρασθαι δὲ καὶ αὐτούς. ἀπιόντας δὲ πολλοὺς ἐπὶ σκηνὰς, μήτε πῦρ ἀνάψαι, μήτε δεῖπνον ἑλέσθαι, σιγὴν δὲ καὶ κατήφειαν εἶναι τοῦ στρατοπέδου παντὸς, ὥσπερ οὐ νενικηκότας ἐπιφανεστάτην νίκην καὶ μεγίστην, ἀλλ' ἡττημένων ὑπὸ τοῦ τυράννου, καὶ καταδεδουλωμένων. ἐκ δὲ τῶν πόλεων ὡς ἀπηγγέλθη ταῦτα, παρῆσαν αἵ τε ἀρχαὶ, καὶ μετ' αὐτῶν ἔφηβοι, καὶ παῖδες, καὶ ἱερεῖς, πρὸς τὴν ὑποδοχὴν τοῦ σώματος, τρόπαια καὶ στεφάνους καὶ πανοπλίας χρυσᾶς ἐπιφέροντες. ὡς δὲ ἔμελλεν ἐκκομίζεσθαι τὸ σῶμα, προσελθόντες οἱ πρεσβύτατοι τῶν Θεσσαλῶν, ᾐτοῦντο τοὺς Θηβαίους δι' αὐτῶν θάψαι τὸν νεκρόν. εἷς δὲ αὐτῶν ἔλεγεν. ἄνδρες σύμμαχοι, χάριν αἰτοῦμεν παρ' ὑμῶν, κόσμον ἡμῖν ἐπ' ἀτυχίᾳ τοσαύτῃ, καὶ παραμυθίαν φέρουσαν. οὐ γὰρ ζῶντα Θεσσαλοὶ Πελοπίδαν προπέμψουσιν, οὐδὲ αἰσθανομένῳ τὰς ἀξίας τιμὰς ἀποδώσουσιν. ἀλλ' ἐὰν ψαῦσαί τε τοῦ νεκροῦ τύχωμεν, καὶ δι' αὐτῶν κοσμῆσαι, καὶ θάψαι τὸ σῶμα, δόξομεν ὑμῖν οὐκ ἀπιστεῖν, ὅτι μείζων ἡ συμφορὰ γέγονε Θεσσαλοῖς, ἢ Θηβαίοις. ὑμῖν γὰρ ἡγεμόνος ἀγαθοῦ μόνον, ἡμῖν δὲ καὶ τούτου καὶ τῆς ἐλευθερίας στέρεσθαι συμβέβηκεν. πῶς γὰρ ἔτι τολμήσομεν αἰτῆσαι στρατηγὸν ἄλλον παρ' ὑμῶν, οὐκ ἀποδόντες Πελοπίδαν;

Ταῦτα μὲν, οἱ Θηβαῖοι συνεχώρησαν. ἐκείνων δὲ τῶν ταφῶν, οὐ δοκοῦσιν ἕτεραι λαμπρότεραι γενέσθαι, τοῖς τὸ λαμπρὸν, οὐκ ἐν ἐλέφαντι καὶ χρυσῷ καὶ πορφύραις εἶναι νομίζουσιν, ὡς Φίλιστος ὑμνῶν καὶ θαυμάζων, τὴν Διονυσίου ταφὴν, οἷον τραγῳδίας μεγάλης τῆς τυραννίδος, ἐξόδιον θεατρικὴν γενομένην. Ἀλέξανδρος δὲ ὁ μέγας Ἡφαιστίωνος ἀποθανόντος, οὐ μόνον ἵππους ἔκειρε καὶ ἡμιόνους, ἀλλὰ καὶ τὰς ἐπάλξεις ἀφε-

τα καὶ τὴν ὀλιγωρίαν τῶν καλῶν καὶ δικαίων, ὡς ζῶντας μὲν ἀνθρώπους κατώρυττεν, ἑτέροις δὲ, δέρματα συῶν ἀγρίων καὶ ἄρκτων περιτιθεὶς, καὶ τοὺς θηρευτικοὺς ἐπάγων κύνας, καὶ διέσπα καὶ κατηκόντιζε παιδιᾷ ταύτῃ χρώμενος. μελιβοία δὲ καὶ σκοτούσῃ, πόλεσιν ἐνσπόνδοις καὶ φίλαις ἐκκλησιαζούσαις, περιστήσας ἅμα τοὺς δορυφόρους ἡβηδὸν ἀπέσφαξε. τὴν δὲ λόγχην ᾗ πολύφρονα τὸν θεῖον ἀπέκτεινεν, καθιερώσας καὶ καταστέψας, ἔθυεν ὥσπερ θεῷ, καὶ τύχωνα προσηγόρευεν. τραγωδὸν δέ ποτε θεώμενος εὐριπίδου τρωάδας ὑποκρινόμενον, ᾤχετο ἀπιὼν ἐκ τοῦ θεάτρου, καὶ πέμψας πρὸς αὐτὸν ἐκέλευε θαρρεῖν καὶ μηδὲν ἀγωνίζεσθαι, διὰ τοῦτο χεῖρον. οὐ γὰρ ἐκείνου καταφρονῶν ἀπελθεῖν, ἀλλ' αἰσχυνόμενος τοὺς πολίτας, εἰ μηδένα πώποτε τῶν ὑπ' αὐτοῦ φονευομένων ἠλεηκὼς, ἐπὶ τοῖς ἑκάβης καὶ ἀνδρομάχης κακοῖς ὀφθήσεται δακρύων. οὗτος μέντοι τὴν δόξαν αὐτὴν καὶ τοὔνομα, καὶ τὸ πρόσχημα τῆς ἐπαμεινώνδου στρατηγίας καταπλαγεὶς, ἔπτηξ' ἀλέκτωρ δοῦλος ὡς κλίνας πτερόν. καὶ τοὺς ἀπολογησαμένους ταχὺ πρὸς αὐτὸν ἔπεμπεν. ὁ δὲ συνθέσθαι μὲν εἰρήνην καὶ φιλίαν πρὸς τοιοῦτον ἄνδρα θηβαίοις, οὐχ ὑπέμεινε. σπεισάμενος δὲ τριακονθημέρους ἀνοχὰς τοῦ πολέμου, καὶ λαβὼν τὸν πελοπίδαν, καὶ τὸν ἰσμηνίαν, ἀνεχώρησεν.

Οἱ δὲ θηβαῖοι παρὰ τῶν λακεδαιμονίων καὶ τῶν ἀθηναίων αἰσθόμενοι, πρὸς τὸν μέγαν βασιλέα πρέσβεις ἀναβαίνοντας ὑπὲρ συμμαχίας, ἔπεμψαν καὶ αὐτοὶ πελοπίδαν, ἄριστα βουλευσάμενοι πρὸς τὴν δόξαν αὐτοῦ. πρῶτον μὲν γὰρ, ἀνέβαινε διὰ τῶν βασιλέως ἐπαρχιῶν, ὀνομαστὸς ὢν καὶ περιβόητος. οὐ γὰρ ἠρέμα διῆκτο τῆς ἀσίας, οὐδ' ἐπὶ μικρὸν ἡ δόξα τῶν πρὸς λακεδαιμονίους ἀγώνων, ἀλλ' ὡς πρῶτος ἐπὶ τῆς ἐν λεύκτροις μάχης, ἐξέδραμε λόγος. ἀεί τινος καινοῦ προστιθεμένου κατορθώματος, αὐξανομένη καὶ ἀναβαίνουσα πορρωτάτω κατέσχεν. ἔπειτα τοῖς ἐπὶ θύραις σατράπαις καὶ στρατηγοῖς καὶ ἡγεμόσιν ὀφθεὶς, θαῦμα καὶ λόγον παρεῖχεν. ὡς οὗτος ἀνήρ ἐστιν ὁ γῆς καὶ θαλάσσης ἐκβαλὼν λακεδαιμονίους. καὶ συστείλας ὑπὸ τὸν ταΰγέταν, καὶ τὸν εὐρώταν τὴν σπάρτην, τὴν ὀλίγον ἔμπροσθεν βασιλεῖ τῷ μεγάλῳ καὶ πέρσαις δι' ἀγησιλάου τὸν περὶ σούσων καὶ ἐκβατάνων ἐπαραμένην πόλεμον. ταῦτ' οὖν ὁ ἀρταξέρξης ἔχαιρεν. καὶ τὸν πελοπίδαν ἔτι μᾶλλον ἐθαύμαζε τῆς δόξης, καὶ μέγαν ἐποίει, ταῖς τιμαῖς, ὑπὸ τῶν μεγίστων εὐδαιμονίζεσθαι, καὶ θεραπεύεσθαι βουλόμενος δοκεῖν. ἐπεὶ δὲ, καὶ τὴν ὄψιν αὐτοῦ εἶδεν, καὶ τοὺς λόγους κατενόησεν. τῶν μὲν ἀττικῶν βεβαιοτέρους. τῶν δὲ λακεδαιμονίων, ἁπλουστέρους ὄντας, ἔτι μᾶλλον ἠγάπησεν, καὶ πάθος βασιλικὸν παθὼν, οὐκ ἀπεκρύψατο τὴν πρὸς τὸν ἄνδρα τιμὴν, οὐδ' ἔλαθε τοὺς ἄλλους πρέσβεις. πλεῖστον νέμων ἐκείνῳ. καίτοι δοκεῖ, μάλιστα τῶν ἑλλήνων. ἀνταλκίδαν τιμῆσαι τὸν λακεδαιμόνιον, ὅτι τὸν στέφανον ὃν πίνων περιέκειτο, βάψας εἰς μύρον ἀπέστειλεν. πελοπίδᾳ δὲ οὕτω μὲν, οὐκ ἐνετρύφησεν, δῶρα δὲ λαμπρότατα καὶ μέγιστα τῶν νομιζομένων, ἐξέπεμψεν, καὶ τὰς ἀξιώσεις ἐπεκύρωσεν. αὐτονόμους μὲν εἶναι, τοὺς ἕλληνας. οἰκεῖσθαι δὲ μεσσήνην. θηβαίους δὲ, πατρικοὺς φίλους, νομίζεσθαι βασιλέως. ταύτας ἔχων τὰς ἀποκρίσεις, τῶν δὲ δώρων οὐδὲν ὅτι μὴ χάριτος ἦν σύμβολον καὶ φιλοφροσύνης δεξάμενος, ἀνέζευξεν. ὃ καὶ μάλιστα τοὺς ἄλλους πρέσβεις διέβαλεν. τιμαγόραν γοῦν ἀθηναῖοι κρίναντες, ἀπέκτειναν. εἰ μὲν ἐπὶ τῷ πλήθει τῶν δωρεῶν, ὀρθῶς καὶ δικαίως. οὐ γὰρ μόνον χρυσίον οὐδὲ ἀργύριον ἔλαβεν, ἀλλὰ καὶ κλίνην πολυτελῆ. καὶ στρώτας θεράποντας, ὡς τῶν ἑλλήνων οὐκ ἐπισταμένων. ἔτι δὲ, βοῦς ὀγδοήκοντα, καὶ βουκόλους. ὡς δὴ πρὸς ἀρρωστίαν τινὰ, γάλακτος βοείου δεόμενος. τέλος δὲ, κατέβαινεν ἐπὶ θάλασσαν ἐν φορείῳ κομιζόμενος, καὶ τέσσαρα τάλαντα τοῖς κομίζουσι, μισθὸς ἐδόθη παρὰ βασιλέως. ἀλλ' ἔοικεν οὐχ ἡ δωροδοκία μάλιστα παροξῦναι τοὺς ἀθηναίους, ἐπικράτους γοῦν ποτε τοῦ σκευοφόρου, μήτε ἀρνουμένου δῶρα δέξασθαι παρὰ βασιλέως, ψήφισμά τε γράφειν, φάσκοντος, ἀντὶ τῶν ἐννέα ἀρχόντων, χειροτονεῖσθαι κατ' ἐνιαυτὸν ἐννέα πρέσβεις πρὸς βασιλέα τῶν δημοτικῶν καὶ πενήτων, ὅπως λαμβάνοντες εὐπορῶσιν, ἐγέλασεν ὁ δῆμος. ἀλλ' ὅτι θηβαίοις ἐγεγόνει πάντα, χαλεπῶς ἔφερον. οὐ λογιζόμενοι τὴν πελοπίδου δόξαν, ὅσων ἦν ῥητορειῶν καὶ λόγων κρείττων, παρ' ἀνθρώπῳ θεραπεύοντι τοὺς τῶν ὅπλων ἀεὶ κρατοῦντας. ἡ μὲν οὖν πρεσβεία, τῷ πελοπίδᾳ προσέθηκεν οὐ μικρὰν εὔνοιαν ἐπανελθόντι. διὰ τὸν μεσσήνης συνοικισμὸν καὶ τὴν τῶν ἄλλων ἑλλήνων αὐτονομίαν.

Ἀλεξάνδρου δὲ τοῦ φεραίου, πάλιν εἰς τὴν αὑτοῦ φύσιν ἀναδραμόντος καὶ θεσσαλῶν μὲν, οὐκ ὀλίγας περικόπτοντος πόλεις. φθιώτας δὲ καὶ ἀχαιοὺς ἅπαντας. καὶ τὸ μαγνήτων ἔθνος, ἔμφρουρα πεποιημένου. πυνθανόμεναι πελοπίδαν ἐπανήκειν, αἱ πόλεις εὐθὺς, ἐπρέσβευον εἰς θήβας, αἰτούμεναι δύναμιν καὶ στρατηγὸν ἐκεῖνον. ψηφισαμένων δὲ τῶν θηβαίων προθύμως, καὶ ταχὺ πάντων ἑτοίμων γενομένων, καὶ στρατηγοῦ περὶ ἔξοδον ὄντος, ὁ μὲν ἥλιος, ἐξέλιπεν, καὶ σκότος ἐν ἡμέρᾳ τὴν πόλιν ἔσχεν. ὁ δὲ πελοπίδας ὁρῶν πρὸς τὸ φάσμα συντεταραγμένους ἅπαντας, οὐκ ᾤετο δεῖν βιάζεσθαι καταφόβους καὶ δυσέλπιδας ὄντας, οὐδὲ ἀποκινδυνεύειν, ἑπτακισχιλίοις πολίταις. ἀλλ' ἑαυτὸν μόνον τοῖς θεσσαλοῖς ἐπιδοὺς, καὶ τριακοσίους τῶν ἱππέων ἐθελοντὰς ἀναλαβὼν, καὶ ξένους, ἐξώρμησεν, οὔτε τῶν μάντεων ἐώντων, οὔτε τῶν ἄλλων συμπροθυμουμένων πολιτῶν. μέγα γὰρ ἐδόκει καὶ πρὸς ἄνδρα λαμπρὸν ἐξ οὐρανοῦ γεγονέναι σημεῖον. ὁ δὲ, ἦν μὲν καὶ δι' ὀργὴν ὧν καθύβριστο, θερμότερος ἐπὶ τὸν ἀλέξανδρον. ἤλπιζε δὲ, καὶ τὴν οἰκίαν αὐτοῦ νο-

καταστέψας ς. τ.

φονευομένων

δοῦλος

γίας θρασύνειν ἴσως καταινέσας. ὃ μικρὸν ἦν τῆς τοῦ ἀνδρὸς ἀρετῆς μόριον. ἐγκρατείας δὲ καὶ δικαιοσύνης καὶ μεγαλοψυχίας καὶ πρᾳότητος, οἷς ἦν ἀληθῶς μέγας ἐκεῖνος, οὐδὲν οὔτε φύσει Φίλιππος, οὔτε μιμήσει μετέσχεν. μετὰ δὲ ταῦτα, πάλιν τῶν Θετταλῶν αἰτιωμένων τὸν Φεραῖον Ἀλέξανδρον, ὡς διαταράττοντα τὰς πόλεις, ἀπεστάλη μετὰ Ἰσμηνίου, πρεσβεύων ὁ Πελοπίδας. καὶ παρῆν, οὔτε οἴκοθεν ἄγων δύναμιν, οὔτε πόλεμον προσδοκήσας. αὐτοῖς δὲ τοῖς Θετταλοῖς, χρῆσθαι πρὸς τὸ κατεπεῖγον τῶν πραγμάτων ἀναγκαζόμενος. ἐν τούτῳ δὲ πάλιν τῶν κατὰ Μακεδονίαν ταραττομένων, ὁ γὰρ Πτολεμαῖος ἀνῃρήκει τὸν βασιλέα καὶ τὴν ἀρχὴν κατεῖχεν, οἱ δὲ φίλοι τοῦ τεθνηκότος ἐκάλουν τὸν Πελοπίδαν. βουλόμενος μὲν οὖν ἐπιφανῆναι τοῖς πράγμασιν, ἰδίους δὲ στρατιώτας οὐκ ἔχων, μισθοφόρους τινὰς αὐτόθεν προσλαβόμενος, μετὰ τούτων εὐθὺς ἐβάδιζεν ἐπὶ τὸν Πτολεμαῖον. ὡς δ᾽ ἐγγὺς ἀλλήλων ἐγένοντο, τοὺς μὲν μισθοφόρους Πτολεμαῖος χρήμασι διαφθείρας, ἔπεισεν ὡς αὐτὸν μεταστῆναι. τοῦ δὲ Πελοπίδου, τὴν δόξαν αὐτὴν καὶ τοὔνομα δεδοικὼς, ἀπήντησεν ὡς κρείσσονι, καὶ δεξιωσάμενος καὶ δεηθεὶς, ὡμολόγησε τὴν μὲν ἀρχὴν, τοῖς τοῦ τεθνηκότος ἀδελφοῖς διαφυλάξειν. Θηβαίοις δὲ τὸν αὐτὸν ἐχθρὸν ἕξειν, καὶ φίλον. ὁμήρους δ᾽ ἐπὶ τούτοις, τὸν υἱὸν Φιλόξενον ἔδωκεν καὶ πεντήκοντα τῶν ἑταίρων. τούτους μὲν οὖν, ἀπέστειλεν εἰς Θήβας ὁ Πελοπίδας. αὐτὸς δὲ βαρέως φέρων τὴν τῶν μισθοφόρων προδοσίαν, καὶ πυνθανόμενος τὰ πλεῖστα τῶν χρημάτων αὐτοῖς, καὶ παῖδας καὶ γυναῖκας ἀποκεῖσθαι περὶ Φάρσαλον, ὥστε τούτων κρατήσας, ἱκανὴν δίκην ὧν καθύβρισται λήψεσθαι. καὶ συναγαγὼν τῶν Θετταλῶν τινὰς, ἧκεν εἰς Φάρσαλον. ἀρτίως δ᾽ αὐτοῦ παρεληλυθότος, Ἀλέξανδρος ὁ τύραννος ἐπιφαίνεται μετὰ τῆς δυνάμεως. καὶ νομίσαντες οἱ περὶ τὸν Πελοπίδαν, ἀπολογησόμενον ἥκειν, ἐβάδιζον αὐτοὶ πρὸς αὐτὸν, ἐξώλη μὲν ὄντα καὶ μιαιφόνον εἰδότες, διὰ δὲ τὰς Θήβας καὶ τὸ περὶ αὐτοὺς ἀξίωμα καὶ δόξαν, οὐδὲν ἂν παθεῖν προσδοκήσαντες. ὁ δὲ ὡς εἶδεν ἀνόπλους καὶ μόνους προσιόντας, ἐκείνους μὲν εὐθὺς συνέλαβε. τὴν δὲ Φάρσαλον, κατέσχε. φρίκην δὲ καὶ φόβον ἐνειργάσατο τοῖς ὑπηκόοις πᾶσιν, ὡς μετὰ τηλικαύτην ἀδικίαν καὶ τόλμαν, ἀφειδήσων ἁπάντων, καὶ χρησόμενος οὕτω, τοῖς παραπίπτουσιν ἀνθρώποις καὶ πράγμασιν, ὡς τότε γε κομιδῇ τὸν ἑαυτοῦ βίον ἀπεγνωκώς. Οἱ μὲν οὖν Θηβαῖοι ταῦτα ἀκούσαντες, ἔφερόν τε βαρέως, καὶ στρατιὰν ἐξέπεμπον εὐθὺς, δι᾽ ὀργήν τινα πρὸς τὸν Ἐπαμινώνδαν, ἑτέρους ἀποδείξαντες ἄρχοντας. τὸν δὲ Πελοπίδαν εἰς τὰς Φερὰς ἀπαγαγὼν ὁ τύραννος, τὸ μὲν πρῶτον, εἴα τοὺς βουλομένους αὐτῷ διαλέγεσθαι, νομίζων ἐλεεινὸν γεγενῆσθαι, καὶ ταπεινὸν ἀπὸ τῆς συμφορᾶς. ἐπεὶ δὲ τοὺς μὲν Φεραίους ὁ Πελοπίδας ὀδυρομένους παρεκάλει θαρρεῖν, ὡς νῦν μάλιστα δώσοντος τοῦ τυράννου δίκην, πρὸς δὲ αὐτὸν ἐκεῖνον ἀποστείλας ἔλεγεν, ὡς ἄτοπόν ἐστι τοὺς μὲν ἀθλίους πολίτας καὶ μηδὲν ἀδικοῦντας, ὁσημέραι στρεβλοῦν καὶ φονεύειν, αὐτοῦ δὲ φείδεσθαι, ὃν μάλιστα γινώσκει τιμωρησόμενον αὐτὸν, ἄνπερ διαφύγῃ. θαυμάσας τὸ φρόνημα καὶ τὴν ἄδειαν αὐτοῦ, τί δὲ φησὶ σπεύδει Πελοπίδας ἀποθανεῖν; κἀκεῖνος ἀκούσας, ὅπως εἶπε, σὺ τάχιον ἀπόλῃ, μᾶλλον ἢ νῦν, θεομισὴς γενόμενος. ἐκ τούτου διεκώλυσεν ἐντυγχάνειν αὐτῷ τοὺς ἐκτός. Ἡ δὲ Θήβη θυγάτηρ μὲν Ἰάσονος οὖσα, γυνὴ δὲ Ἀλεξάνδρου, πυνθανομένη παρὰ τῶν φυλαττόντων Πελοπίδαν, τὸ θαρραλέον αὐτοῦ καὶ γενναῖον, ἐπεθύμησεν ἰδεῖν τὸν ἄνδρα καὶ προσειπεῖν. ὡς δὲ ἦλθε πρὸς αὐτὸν, καὶ ἅτε δὴ γυνὴ τὸ μὲν μέγεθος τοῦ ἤθους, οὐκ εὐθὺς ἐν τοσαύτῃ συμφορᾷ κατεῖδεν. κουρᾷ δὲ καὶ στολῇ καὶ διαίτῃ τεκμαιρομένη, λυπρὰ καὶ μὴ πρέποντα τῇ δόξῃ πάσχειν αὐτὸν, ἀπεδάκρυσεν. τὸ μὲν πρῶτον ἀγνοῶν ὁ Πελοπίδας τίς εἴη γυναικῶν, ἐθαύμαζεν. ὡς δ᾽ ἔγνω, προσηγόρευσεν αὐτὴν πατρόθεν. ἦν γὰρ τῷ Ἰάσονι συνήθης, καὶ φίλος. εἰπούσης δὲ ἐκείνης, ἐλεῶ σου τὴν γυναῖκα. καὶ γὰρ ἐγώ σε, εἶπεν, ὅτι ἄδετος οὖσα, ὑπομένεις Ἀλέξανδρον. οὗτος ἔθιγέ πως ὁ λόγος τῆς γυναικός. ἐβαρύνετο γὰρ τὴν ὠμότητα, καὶ τὴν ὕβριν τοῦ τυράννου μετὰ τῆς ἄλλης ἀσελγείας, καὶ τὸν νεώτατον αὐτῆς τῶν ἀδελφῶν, παιδικὰ πεποιημένου. διὸ καὶ συνεχῶς φοιτῶσα πρὸς τὸν Πελοπίδαν, καὶ παρρησιαζομένη περὶ ὧν ἔπασχεν, ὑπεπίμπλατο θυμοῦ καὶ φρονήματος καὶ δυσμενείας πρὸς τὸν Ἀλέξανδρον. ἐπεὶ δὲ οἱ στρατηγοὶ τῶν Θηβαίων εἰς τὴν Θετταλίαν ἐμβαλόντες ἔπραξαν οὐδὲν, ἀλλὰ δι᾽ ἀπειρίαν ἢ δυστυχίαν αἰσχρῶς ἀνεχώρησαν, ἐκείνων μὲν ἕκαστον, ἡ πόλις, μυρίαις δραχμαῖς ἐζημίωσεν. Ἐπαμινώνδαν δὲ, μετὰ δυνάμεως ἀπέστειλεν. εὐθὺς οὖν κίνησίς τε μεγάλη Θετταλῶν ἦν, ἐπαιρομένων πρὸς τὴν δόξαν τοῦ στρατηγοῦ, καὶ τὰ πράγματα τοῦ τυράννου, ῥοπῆς ἐδέετο μικρᾶς ἀπολωλέναι. τοσοῦτος ἐνεπεπτώκει φόβος, τοῖς περὶ αὐτὸν ἡγεμόσι καὶ φίλοις. τοσαύτη δὲ πρὸς τοὺς ὑπηκόους ὁρμὴ πρὸς ἀπόστασιν εἶχε, καὶ χαρὰ τοῦ μέλλοντος, ὡς νῦν ἐποψομένους δίκην διδόντα, τὸν τύραννον. οὐ μὴν ἀλλ᾽ Ἐπαμινώνδας τὴν αὐτοῦ δόξαν ἐν ὑστέρῳ τῆς Πελοπίδου σωτηρίας τιθέμενος, καὶ δεδοικὼς, μὴ τῶν πραγμάτων ταραχθέντων ἀπογνοὺς ἑαυτὸν Ἀλέξανδρος, ὥσπερ θηρίον τράπηται πρὸς ἐκεῖνον, ἐπηωρεῖτο τῷ πολέμῳ. καὶ κύκλῳ περιιὼν τῇ παρασκευῇ καὶ τῇ μελλήσει κατεσκεύαζε, καὶ συνέστελλε τὸν τύραννον, ὡς μήτε ἀνεῖναι τὸ αὔθαδες αὐτοῦ καὶ θρασυνόμενον, μήτε τὸ πικρὸν καὶ θυμοειδὲς ἐξαγριῶσαι, πυνθανόμενος τὴν ὠμότη

γεμονίας, ἐπ' αὐτῶν τῶν ἀγώνων καὶ παρὰ τὰ δεινὰ τοῖς ἐκείνων αὐθαιρέτως πειθόμενοι στρατηγοῖς ἠκολούθουν. οἱ ἐκείνῃ τῇ στρατιᾷ, πᾶσαν μὲν ἀρκαδίαν, εἰς μίαν δύναμιν συνέστησαν, τὴν δὲ μεσσηνίαν χώραν, νεμομένων σπαρτιατῶν ἀποτεμόμενοι, τοὺς παλαιοὺς μεσσηνίους ἐκάλουν, καὶ κατῆγον, ἰθώμην συνοικίζοντες, ἀπιόντες δ' ἐπ' οἴκου διὰ κεγχρεῶν, ἀθηναίους ἐνίκων ἤδη χειροῦντας ἀψιμαχεῖν περὶ τὰ στενὰ καὶ κωλύειν τὴν πορείαν. Ἐπὶ δὲ τούτοις, οἱ μὲν ἄλλοι πάντες, ὑπερηγάπων τὴν ἀρετὴν καὶ τὴν τύχην ἐθαύμαζον, ὁ δὲ συγγενὴς καὶ πολιτικὸς φθόνος, ἅμα τῇ δόξῃ τῶν ἀνδρῶν συναυξόμενος, οὐ καλὰς οὐδὲ πρεπούσας ὑποδοχὰς παρεσκεύαζεν αὐτοῖς. θανάτου γὰρ ἀμφότεροι δίκας ἔφυγον ἐπανελθόντες ὅτι τοῦ νόμου κελεύοντος ἐν τῷ πρώτῳ μηνὶ παραδοῦναι τὴν βοιωταρχίαν ἑτέροις, ὃν βουκάτιον ὀνομάζουσιν, τέτταρας ὅλους προσεπεβάλοντο μῆνας, ἐν οἷς τὰ περὶ μεσσήνην καὶ ἀρκαδίαν, καὶ τὴν λακωνικὴν διῴκησαν. Εἰσήχθη μὲν οὖν πρότερος εἰς τὸ δικαστήριον, πελοπίδας, διὸ καὶ μᾶλλον ἐκινδύνευσεν, ἀμφότεροι δ' ἀπελύθησαν. τὸ δὲ συκοφάντημα καὶ τὴν πεῖραν ἐπαμεινώνδας ἤνεγκε πράως, μέγα μέρος ἀνδρείας καὶ μεγαλοψυχίας τὴν ἐν τοῖς πολιτικοῖς ἀνεξικακίαν ποιούμενος. πελοπίδας δὲ, καὶ φύσει θυμοειδέστερος ὤν, καὶ παροξυνόμενος ὑπὸ τῶν φίλων, ἀμύνασθαι τοὺς ἐχθροὺς, ἐπελάβετο τοιαύτης αἰτίας. Μενεκλείδης ὁ ῥήτωρ ἦν μὲν εἷς τῶν μετὰ πελοπίδου καὶ μέλωνος εἰς τὴν χάρωνος οἰκίαν συνελθόντων. ἐπεὶ δὲ τῶν ἴσων οὐκ ἠξιοῦτο παρὰ τοῖς θηβαίοις, δεινότατος μὲν ὢν λέγειν, ἀκόλαστος δὲ καὶ κακοήθης τὸν τρόπον, ἐχρῆτο τῇ φύσει πρὸς τὸ συκοφαντεῖν καὶ διαβάλλειν τοὺς κρείττονας, οὐδὲ μετὰ δίκην ἐκείνην παυσάμενος. Ἐπαμεινώνδαν μὲν οὖν, ἐξέκρουσε τῆς βοιωταρχίας, καὶ κατεπολιτεύσατο πολὺν χρόνον. πελοπίδαν δὲ πρὸς μὲν τὸν δῆμον, οὐκ ἴσχυσε διαβαλεῖν. ἐπεχείρει δὲ συγκροῦσαι τῷ χάρωνι. καὶ κοινὴν τινὰ τοῦ φθόνου παραμυθίαν ἔχοντος, ὧν ἂν αὐτοὶ μὴ δύνωνται βελτίους φανῆναι, τούτους ἄλλους γέ πως ἑτέρων ἀποδείξωσι κακίους, πολὺς ἦν πρὸς τὸν δῆμον αὔξων, τὰ τοῦ χάρωνος ἔργα, καὶ τὰς στρατηγίας τὰς ἐκείνου, καὶ τὰς νίκας ἐγκωμιάζων. τῆς δὲ πρὸς πλαταιὰς ἱππομαχίας, ἣν πρὸ τῶν λευκτρικῶν ἐνίκησαν, ἡγουμένου χάρωνος, ἐπεχείρησεν ἀνάθημα τοιόνδε ποιῆσαι. Ἀνδροκύδης ὁ κυζικηνὸς ἐκλαβὼν παρὰ τῆς πόλεως πίνακα γράψαι μάχης ἑτέρας, ἐπετέλει τὸ ἔργον ἐν θήβαις. γενομένης δὲ τῆς ἀποστάσεως, καὶ τοῦ πολέμου συμπεσόντος, οὐ πολὺ τοῦ τέλους ἐλλείποντα τὸν πίνακα παρ' ἑαυτοῖς οἱ θηβαῖοι κατέσχον. τοῦτον οὖν, ὁ μενεκλείδας, ἔπεισεν ἀναθέντας ἐπιγράψαι τοὔνομα τοῦ χάρωνος, ὡς ἀμαυρώσων τὴν πελοπίδου καὶ ἐπαμεινώνδου δόξαν. ἦν δ' ἀβέλτερος ἡ φιλοτιμία, παρὰ τοσούτους καὶ τηλικούτους ἀγῶνας, ἑνὸς ἔργου καὶ μιᾶς νίκης ἀγαπωμένης, ἐν ᾗ γεράδαν τινὰ τῶν ἀσήμων σπαρτιατῶν, καὶ τεσσαράκοντα μετ' αὐτοῦ πεσεῖν, ἄλλο δὲ οὐδὲν μέγα πραχθῆναι λέγουσι. Τοῦτο τὸ ψήφισμα, γράφεται πελοπίδας παρανόμων, ἰσχυριζόμενος, ὅτι θηβαίοις οὐ πάτριον ἦν ἰδίᾳ κατ' ἄνδρα τιμᾶν, ἀλλὰ τῇ πατρίδι κοινῶς τὸ τῆς νίκης ὄνομα σώζειν. καὶ τὸν μὲν χάρωνα, παρὰ πᾶσαν τὴν δίκην ἐγκωμιάζων ἀφθόνως διετέλεσεν. τὸν δὲ μενεκλείδαν, βάσκανον καὶ πονηρὸν ἐξελέγχων. καὶ τοὺς θηβαίους ἐρωτῶν, εἰ μηδὲν αὐτοῖς καλὸν πέπρακται. ὥστε τὸν μενεκλείδαν ζημιῶσαι χρήμασιν, ἃ μὴ δυνάμενος ἐκτῖσαι διὰ πλῆθος, ὕστερον ἐπεχείρησεν κινῆσαι, καὶ μεταστῆσαι τὴν πολιτείαν. ταῦτα μὲν οὖν, ἔχει τινὰ καὶ τοῦ βίου ἀναθεώρησιν. Ἐπεὶ δ' ἀλεξάνδρου τοῦ φεραίων τυράννου πολεμοῦντος μὲν ἐκ προδήλου πολλοῖς θετταλῶν, ἐπιβουλεύοντος δὲ πᾶσιν, ἐπρέσβευσαν εἰς θήβας αἱ πόλεις στρατηγὸν αἰτούμεναι καὶ δύναμιν, ὁρῶν ὁ πελοπίδας τὸν ἐπαμεινώνδαν τὰς ἐν πελοποννήσῳ πράξεις διοικοῦντα, αὐτὸς ἑαυτὸν ἐπέδωκεν, καὶ προσένειμε τοῖς θετταλοῖς, μήτε τὴν ἰδίαν ἐπιστήμην καὶ δύναμιν ἀργοῦσαν περιορᾶν ὑπομένων, μήτε ὅπου πάρεστιν ἐπαμεινώνδας, ἑτέρου δεῖσθαι στρατηγοῦ νομίζων. ὡς οὖν ἐστράτευσεν ἤδη θετταλίαν μετὰ δυνάμεως, τήν τε λάρισσαν εὐθὺς παρέλαβε, καὶ τὸν ἀλέξανδρον, ἐλθόντα καὶ δεόμενον, διαλλάττειν ἐπειρᾶτο, καὶ ποιεῖν ἐκ τυράννου πρᾶον ἄρχοντα τοῖς θετταλοῖς καὶ νόμιμον. ὡς δὲ ἦν αἴκιστος καὶ θηριώδης. καὶ πολλὴ μὲν ὠμότης αὐτοῦ. πολλὴ δὲ ἀσέλγεια καὶ πλεονεξία κατηγορεῖτο, τραχυνομένου τοῦ πελοπίδου πρὸς αὐτὸν καὶ χαλεπαίνοντος, ἀποδρὰς ᾤχετο μετὰ τῶν δορυφόρων. Ὁ δὲ πελοπίδας ἄδειάν τε πολλὴν ἀπὸ τοῦ τυραννοῦντος θετταλοῖς ἀπολιπὼν, καὶ πρὸς ἀλλήλους ὁμόνοιαν, αὐτὸς εἰς μακεδονίαν ἀπῆρε. πτολεμαίου μὲν ἀλεξάνδρῳ, τῷ βασιλεύοντι τῶν μακεδόνων πολεμοῦντος, ἀμφοτέρων δὲ μεταπεμπομένων ἐκεῖνον, ὡς διαλλακτὴν καὶ δικαστὴν καὶ σύμμαχον, καὶ βοηθὸν, τοῦ δοκοῦντος ἀδικεῖσθαι γενησόμενον. ἐλθὼν δὲ καὶ διαλύσας τὰς διαφορὰς, καὶ καταγαγὼν τοὺς φεύγοντας, ὅμηρον ἔλαβε, τὸν ἀδελφὸν τοῦ βασιλέως φίλιππον, καὶ τριάκοντα παῖδας ἄλλους τῶν ἐπιφανεστάτων, καὶ κατέστησεν εἰς θήβας. ἐπιδειξάμενος τοῖς ἕλλησιν, ὡς πόρρω διήκει τὰ θηβαίων πράγματα τῇ δόξῃ τῆς δυνάμεως, καὶ τῇ πίστει τῆς δικαιοσύνης. Οὗτος ἦν φίλιππος, ὁ τοῖς ἕλλησιν ὕστερον πολεμήσας ὑπὲρ τῆς ἐλευθερίας. τότε δὲ παῖς ὢν ἐν θήβαις παρὰ παμμένει δίαιταν εἶχεν. ἐκ δὲ τούτου, καὶ ζηλωτὴς γεγονέναι ἔδοξεν ἐπαμεινώνδου, τὸ περὶ τοὺς πολέμους καὶ τὰς στρατη-

Handwritten marginal notes: πλέω· μ. — ἀγομένης ἴσ. — ἴσ. λείπει τι. — ἀνήκεστος. ς. Η.τ.

κατακοιμηθεὶς, ἔδοξε τάς τε παῖδας ὁρᾶν περὶ τὰ μνήματα θρηνούσας, καὶ καταρωμένας τοῖς σπαρτιάταις. τόν τε σκίδασον κελεύοντα ταῖς κόραις σφαγιάσαι, παρθένον ξανθὴν, εἰ βούλοιτο τῶν πολεμίων ἐπικρατῆσαι. Δεινοῦ δὲ καὶ παρανόμου τοῦ προστάγματος αὐτῷ φανέντος, ἐξαναστὰς ἐκοινοῦτο, τοῖς τε μάντεσι καὶ τοῖς ἄρχουσιν. ὧν οἱ μὲν, οὐκ εἴων παραμελεῖν οὐδ' ἀπειθεῖν. τὸν μὲν παλαιῶν, προφέροντες μενοικέα, τὸν κρέοντος. καὶ μακαρίαν τὴν ἡρακλέους τὸν δ' ὕστερον, φερεκύδην τε τὸν σοφὸν, ὑπὸ λακεδαιμονίων ἀναιρεθέντα, καὶ τὴν δορὰν αὐτοῦ κατά τι λόγιον, ὑπὸ τῶν βασιλέων φρουρουμένην λεωνίδαν τε, τῷ χρησμῷ τρόπον τινὰ προθυσάμενον ἑαυτὸν, ὑπὲρ τῆς ἑλλάδος. ἔτι δὲ, τοὺς ὑπὸ θεμιστοκλέους σφαγιασθέντας ὠμηστῇ διονύσῳ, πρὸ τῆς ἐν σαλαμῖνι ναυμαχίας. ἐκείνοις γὰρ ἐπιμαρτυρῆσαι τὰ κατορθώματα. τοὐναντίον δὲ, ὡς ἀγησίλαον ἀπὸ τῶν αὐτῶν ἀγαμέμνονι τόπων, ἐπὶ τοὺς αὐτοὺς στρατευόμενον πολεμίους, ᾔτησε μὲν ἡ θεὸς τὴν θυγατέρα σφάγιον, καὶ ταύτην εἶδε τὴν ὄψιν ἐν αὐλίδι κοιμώμενος. ὁ δ' οὐκ ἔδωκεν, ἀλλ' ἀπομαλθακωθεὶς, κατέλυσε τὴν στρατείαν, ἄδοξον καὶ ἀτελῆ γενομένην. οἱ δὲ, τοὐναντίον ἀπηγόρευον, ὡς οὐδενὶ τῶν κρειττόνων καὶ ὑπὲρ ἡμᾶς ἀρεστὴν οὖσαν, οὕτω βάρβαρον καὶ παράνομον θυσίαν. οὐ γὰρ τοὺς τυφῶνας ἐκείνους. οὐδὲ τοὺς γίγαντας ἄρχειν, ἀλλὰ τὸν πάντων πατέρα, θεῶν καὶ ἀνθρώπων. δαίμονας δὲ, χαίροντας ἀνθρώπων αἵματι καὶ φόνῳ πιστεύειν μὲν ἴσως ἐστὶν ἀβέλτερον. ὄντων δὲ τοιούτων, ἀμελητέον ὡς ἀδυνάτων. ἀσθενείᾳ γὰρ καὶ μοχθηρίᾳ ψυχῆς ἐμφύεσθαι καὶ παραμένειν τὰς ἀτόπους καὶ χαλεπὰς ἐπιθυμίας. Ἐν τοιούτοις οὖν διαλόγοις τῶν πρώτων ὄντων. καὶ μάλιστα τοῦ πελοπίδου διαποροῦντος, ἵππος ἐξ ἀγέλης, καὶ πῶλος ἀποφυγοῦσα, καὶ φερομένη διὰ τῶν ὅπλων, ὡς ἦν θέουσα κατ' αὐτοὺς ἐκείνους ἐπέστη. καὶ τοῖς μὲν ἄλλοις, θέαν παρεῖχεν, ἥ τε χρόα στίλβουσα τῆς χαίτης πυρσότατον, ἥ τε γαυρότης καὶ τὸ σοβαρὸν καὶ τεθαῤῥηκὸς τῆς φωνῆς. θεόκριτος δὲ ὁ μάντις συμφωνήσας ἀνεβόησε πρὸς τὸν πελοπίδαν. ἥκει σοι τὸ ἱερεῖον ὦ δαιμόνιε καὶ παρθένον ἄλλην μὴ περιμένωμεν, ἀλλὰ χρῶ δεξάμενος ἣν ὁ θεὸς δίδωσιν. ἐκ τούτου λαβόντες τὴν ἵππον, ἐπὶ τοὺς τάφους ἦγον τῶν παρθένων, καὶ κατευξάμενοι καὶ καταστέψαντες, ἐνέτεμνον αὐτοί τε χαίροντες, καὶ λόγον εἰς τὸ στρατόπεδον περὶ τῆς ὄψεως τοῦ πελοπίδου, καὶ τῆς θυσίας διδόντες. Ἐν δὲ τῇ μάχῃ τοῦ ἐπαμεινώνδου τὴν φάλαγγα λοξὴν ἐπὶ τὰ εὐώνυμον ἕλκοντος. ὅπως τῶν ἄλλων ἑλλήνων ἀπωτάτω γένηται, τὸ δεξιὸν τῶν σπαρτιατῶν, καὶ τὸν κλεόμβροτον ἐξώσῃ προσπεσὼν ἀθρόως κατὰ κέρας, καὶ βιασάμενος. οἱ μὲν πολέμιοι καταμαθόντες τὸ γινόμενον, ἤρξαντο μετακινεῖν τῇ τάξει σφᾶς αὐτοὺς, καὶ τὸ δεξιὸν ἀνέπτυσσον καὶ περιῆγον, ὡς κυκλωσόμενοι καὶ περιβαλοῦντες ὑπὸ πλήθους τὸν ἐπαμεινώνδαν. Ὁ δὲ πελοπίδας ἐν τούτῳ προεξέδραμεν, καὶ συστρέψας τοὺς τριακοσίους δρόμῳ, φθάνει πρὶν ἀνατεῖναι τὸν κλεόμβροτον τὸ κέρας, ἢ συνάγειν πάλιν εἰς τὸ αὐτὸ, καὶ συγκλεῖσαι τὴν τάξιν, οὐ καθεστῶσιν, ἀλλὰ θορυβουμένοις δι' ἀλλήλων τοῖς λακεδαιμονίοις ἐπιβαλών. καίτοι, πάντων ἄκροι τεχνῖται καὶ σοφισταὶ, τῶν πολεμικῶν ὄντες οἱ σπαρτιᾶται, πρὸς οὐδὲν οὕτως ἐπαίδευον αὐτοὺς καὶ συνείθιζον, ὡς τὸ μὴ πλανᾶσθαι μηδὲ ταράττεσθαι τάξεως διαλυθείσης, ἀλλὰ χρώμενοι πᾶσι πάντες ἐπιστάταις καὶ ζυγίταις, ὅποι ποτὲ συνίστησιν ὁ κίνδυνος καὶ καταλαμβάνοι, καὶ συναρμόττειν καὶ μάχεσθαι παραπλησίως. τότε δὴ, ἡ τοῦ ἐπαμεινώνδου φάλαγξ ἐπιφερομένη μόνοις ἐκείνοις καὶ παραλλάττουσα τοὺς ἄλλους. ὅτε πελοπίδας μετὰ τάχους ἀπίστου καὶ τόλμης ἐν τοῖς ὅπλοις γενόμενος, συνέχεεν τά τε φρονήματα, καὶ τὰς ἐπιστήμας αὐτῶν οὕτως, ὥστε φυγὴν καὶ φόνον σπαρτιατῶν, ὅσον οὔπω πρότερον γενέσθαι. διὸ τῷ ἐπαμεινώνδᾳ βοιωταρχοῦντι, μὴ βοιωταρχῶν, καὶ πάσης ἡγεμὼν τῆς δυνάμεως, μικροῦ μέρους ἄρχων, ἴσον ἠνέγκατο δόξης τῆς νίκης ἐκείνης, καὶ τοῦ κατορθώματος.

συμφρονήσ· τ·

συνέχεον· κ·

Εἰς μέντοι πελοπόννησον ἀμφότεροι βοιωταρχοῦντες, ἐνέβαλον, καὶ τῶν ἐθνῶν τὰ πλεῖστα προσηγάγοντο, λακεδαιμονίων ἀποστήσαντες. ἦλιν. ἄργος. ἀρκαδίαν σύμπασαν, αὐτῆς τῆς λακωνικῆς τὰ πλεῖστα. καὶ τοι χειμῶνος μὲν ἦσαν, αἱ περὶ τροπὰς ἀκμαί. μηνὸς δὲ τοῦ τελευταίου φθίνοντος, ὀλίγαι περιῆσαν ἡμέραι, καὶ τὴν ἀρχὴν ἔδει παραλαμβάνειν ἑτέρους εὐθὺς, ἱσταμένου τοῦ πρώτου μηνὸς, ἢ θνήσκειν τοὺς μὴ παραδιδόντας. οἱ δὲ ἄλλοι βοιωτάρχαι, καὶ τὸν νόμον δεδιότες τοῦτον, καὶ τὸν χειμῶνα φεύγοντες, ἀπάγειν ἔσπευδον ἐπ' οἴκου τὸ στράτευμα. πελοπίδας δὲ πρῶτος ἐπαμεινώνδᾳ γενόμενος σύμψηφος, καὶ συμπαρορμήσας τοὺς πολίτας, ἦγεν ἐπὶ τὴν σπάρτην, καὶ διεβίβαζε τὸν εὐρώταν. καὶ πολλὰς μὲν, ᾕρει πόλεις αὐτῶν, πᾶσαν δὲ τὴν χώραν ἐπόρθει, μέχρι θαλάσσης, ἡγούμενος ἑπτὰ μυριάδων ἑλληνικῆς στρατείας, ἧς ἔλαττον ἢ δωδέκατον ἦσαν αὐτοὶ θηβαῖοι μέρος. ἀλλ' ἡ δόξα τῶν ἀνδρῶν ἄνευ δόγματος κοινοῦ καὶ ψηφίσματος. ἐποίει τοὺς συμμάχους ἕπεσθαι σιωπῇ πάντας, ἡγεμόσιν ἐκείνοις. ὁ γὰρ πρῶτος ὡς ἔοικε καὶ κυριώτατος νόμος, τῷ σῴζεσθαι δεομένῳ, τὸν σῴζειν δυνάμενον, ἄρχοντα κατὰ φύσιν ἀποδίδωσι. καὶ ὥσπερ οἱ πλέοντες εὐδίας οὔσης, ἢ παρ' ἀκτὴν ὁρμοῦντες, ἀσελγῶς προσενεχθῶσι τοῖς κυβερνήταις, καὶ θρασέως, ἅμα τῷ χειμῶνα καὶ κίνδυνον καταλαμβάνειν, πρὸς ἐκείνους ἀποβλέπουσι, καὶ τὰς ἐλπίδας ἐν ἐκείνοις ἔχουσι. καὶ γὰρ ἀργεῖοι. καὶ ἠλεῖοι. καὶ ἀρκάδες, ἐν τοῖς συνεδρίοις ἐρίζοντες καὶ διαφερόμενοι πρὸς τοὺς θηβαίους ὑπὲρ ἡ-

γεμονίας,

τοῦ ἱερὸν οὖν. considerandum quid sit illud προβαλλόμενος. an sit mendum in illis verbis καὶ παρὰ πολὺ μεμιγμένον ἢ τὸ φαυλότερον :—

πρῶτος ἐξ ἀνδρῶν ἐπιλέκτων, τριακοσίων. οἷς ἡ πόλις, ἄσκησιν καὶ δίαιταν ἐν τῇ Καδμείᾳ στρατευομένους παρεῖχε, καὶ διὰ τοῦτο ἐκ πόλεως λόχος ἐκαλοῦντο. τὰς γὰρ ἀκροπόλεις ἐπιεικῶς, οἱ τότε πόλεις ὠνόμαζον. ἔνιοι δέ φασιν, ἐξ ἐραστῶν καὶ ἐρωμένων, γενέσθαι τὸ σύστημα τοῦτο. καὶ Παμμένους ἀπομνημονεύεταί τι, μετὰ παιδιᾶς εἰρημένον. οὐ γὰρ ἔφη τακτικὸν εἶναι τὸν Ὁμήρου Νέστορα, κελεύοντα κατὰ φῦλα, καὶ φρήτρας συλλοχίζεσθαι τοὺς Ἕλληνας. ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ, φῦλα δὲ φύλοις. δέον ἐραστὴν παρ᾽ ἐρώμενον τάττειν. φυλέτας μὲν γὰρ, φυλετῶν, καὶ φράτορας φρατόρων, οὐ πολλὴν λόγον ἔχειν ἐν τοῖς δεινοῖς. τὸ δ᾽ ὑπὸ ἐρωτικῆς φιλίας συγκεκροτημένον στῖφος, ἀδιάλυτον εἶναι, καὶ ἄρρηκτον. ὅταν οἱ μὲν ἀγαπῶντες τοὺς ἐρωμένους, οἱ δὲ αἰσχυνόμενοι τοὺς ἐρῶντας, ἐμμένωσι τοῖς δεινοῖς ὑπὲρ ἀλλήλων. καὶ τοῦτο, θαυμαστὸν οὐκ ἔστιν, εἴ γε δὴ καὶ μὴ παρόντας αἰδοῦνται, μᾶλλον ἑτέρων παρόντων. ὡς ἐκεῖνος ὁ τοῦ πολεμίου κείμενον αὐτὸν ἐπισφάττειν μέλλοντος, δεόμενος καὶ ἀντιβολῶν διὰ τοῦ στέρνου διεῖναι τὸ ξίφος, ὅπως ἔφη μή με νεκρὸν ὁ ἐρώμενος ὁρῶν, κατὰ νώτου τετρωμένον, αἰσχυνθῇ. λέγεται δὲ καὶ τὸν Ἰόλεων τοῦ Ἡρακλέους ἐρώμενον ὄντα, κοινωνεῖν τῶν ἄθλων καὶ παρασπίζειν. Ἀριστοτέλης δὲ, καὶ καθ᾽ αὑτὸν ἔτι φησὶν, ἐπὶ τοῦ τάφου τοῦ Ἰόλεω, τὰς καταπιστώσεις ποιεῖσθαι τοὺς ἐρωμένους καὶ τοὺς ἐραστάς. εἰκὸς οὖν, καὶ τὸν λόχον ἱερὸν προσαγορεύεσθαι. καθ᾽ ὅτι καὶ Πλάτων ἔνθεον φίλον τὸν ἐραστὴν προσεῖπεν. λέγεται δὲ διαμεῖναι μέχρι τῆς ἐν Χαιρωνείᾳ μάχης, ἀήττητον. ὡς δὲ μετὰ τὴν μάχην ἐφορῶν τοὺς νεκροὺς ὁ Φίλιππος, ἔστη κατὰ τοῦτο τὸ χωρίον, ἐν ᾧ συνετύγχανον κείμενοι τοὺς τριακοσίους ἐναντίους ἀπηντηκότας ταῖς σαρίσαις ἅπαντας ἐν τοῖς στενοῖς ὅπλοις, καὶ μετ᾽ ἀλλήλων ἀναμεμιγμένους, θαυμάσαντα καὶ πυθόμενον, ὡς ὁ τῶν ἐραστῶν καὶ τῶν ἐρωμένων οὗτος εἴη λόχος, δακρῦσαι καὶ εἰπεῖν. ἀπόλοιντο κακῶς, οἱ τούτους τι ποιεῖν ἢ πάσχειν, αἰσχρὸν ὑπονοοῦντες. ὅλως δὲ, τῆς περὶ τοὺς ἐραστὰς συνηθείας, οὐχ ὡς περ οἱ ποιηταὶ λέγουσι, Θηβαίοις, τὸ Λαΐου πάθος ἀρχὴν παρέσχεν, ἀλλ᾽ οἱ νομοθέται, τὸ φύσει θυμοειδὲς αὐτῶν καὶ ἄκρατον, ἀνιέναι καὶ ἀνυγραίνειν εὐθὺς ἐκ παίδων βουλόμενοι, πολὺν μὲν ἀνεμίξαντο, καὶ σπουδῇ καὶ παιδιᾷ πάσῃ τὸν αὐλὸν εἰς τιμὴν καὶ προεδρίαν ἄγοντες. λαμπρὸν δὲ τὸν ἔρωτα ταῖς παλαίστραις ἐνεθρέψαντο, συγκεραννύντες τὰ ἤθη τῶν νέων. ὀρθῶς δὲ πρὸς τοῦτο, καὶ τὴν ἐξ Ἄρεως καὶ Ἀφροδίτης γεγονέναι λεγομένην θεὸν τῇ πόλει συνῳκείωσαν. ὡς ὅπου τὸ μαχητικὸν καὶ πολεμικὸν, μάλιστα τῷ μετέχοντι πειθοῦς, καὶ χαρίτων ὁμιλεῖ, καὶ συνέστιν εἰς τὴν ἐμμελεστάτην καὶ κοσμιωτάτην πολιτείαν, δι᾽ ἁρμονίας καθισταμένων ἁπάντων. τὸν οὖν ἱερὸν λόχον τοῦτον, ὁ μὲν Γοργίδας διαιρῶν εἰς τὰ πρῶτα ζυγὰ, καὶ παρ᾽ ὅλην τὴν φάλαγγα τῶν ὁπλιτῶν προβαλλόμενος, ἐπίδηλον οὐκ ἐποίει τὴν ἀρετὴν τῶν ἀνδρῶν. οὐδ᾽ ἐχρῆτο τῇ δυνάμει πρὸς κοινὸν ἔργον, ἅτε δὴ διαλελυμένης, καὶ παρὰ πολὺ μεμιγμένον ἢ τὸ φαυλότερον. ὁ δὲ Πελοπίδας ὡς ἐξέλαμψεν αὐτῶν ἡ ἀρετὴ, περὶ Τεγύρας, καθαρῶς καὶ περὶ αὐτὸν ἀγωνισαμένων, οὐκέτι διεῖλεν οὐδὲ διέσπασεν, ἀλλ᾽ ὡς περ σώματι χρώμενος ὅλῳ προεκινδύνευε τοῖς μεγίστοις ἀγῶσιν. ὡς περ γὰρ οἱ ἵπποι θᾶσσον ὑπὸ τοῖς ἅρμασιν, ἢ καθ᾽ αὑτοὺς ἐλαυνόμενοι θέουσιν, οὐχ ὅτι μᾶλλον ἐκπίπτοντες ἐκβιάζονται τὸν ἀέρα τῷ πλήθει ῥηγνύμενον, ἀλλ᾽ ὅτι συνεκκαίει τὸν θυμὸν, ἡ μετ᾽ ἀλλήλων ἅμιλλα καὶ τὸ φιλόνεικον, οὕτως ᾤετο τοὺς ἀγαθοὺς ζῆλον ἀλλήλοις καλῶν ἔργων ὄντας, ὠφελιμωτάτους εἰς κοινὸν ἔργον εἶναι καὶ προθυμοτάτους. ἐπεὶ δὲ Λακεδαιμόνιοι πᾶσι τοῖς Ἕλλησιν εἰρήνην συνθέμενοι, πρὸς μόνους Θηβαίους ἐξήνεγκαν τὸν πόλεμον. ἐνεβεβλήκει δὲ Κλεόμβροτος ὁ βασιλεὺς ἄγων ὁπλίτας μυρίους, ἱππεῖς δὲ χιλίους. ὁ δὲ κίνδυνος, οὐ περὶ ὧν πρότερον ἦν Θηβαίοις, ἀλλ᾽ ἄντικρυς ἀπειλὴ καὶ καταγγελία διοικισμοῦ, καὶ φόβος οἷος οὔπω τὴν Βοιωτίαν κατεῖχεν. ἐξιὼν μὲν ἐκ τῆς οἰκίας ὁ Πελοπίδας, καὶ τῆς γυναικὸς ἐν τῷ προπέμπειν δακρυούσης, καὶ παρακαλούσης σώζειν ἑαυτόν. ταῦτα εἶπεν ὦ γύναι, τοῖς ἰδιώταις δεῖ χρὴ παραινεῖν. τοῖς δὲ ἄρχουσιν, ὅπως τοὺς ἄλλους σώζωσιν. ἐλθὼν δὲ εἰς τὸ στρατόπεδον, καὶ τοὺς βοιωτάρχας καταλαβὼν οὐχ ὁμογνωμονοῦντας, πρῶτος Ἐπαμεινώνδᾳ προσέθετο γνώμην, ψηφιζομένῳ διὰ μάχης ἰέναι τοῖς πολεμίοις. βοιωτάρχης μὲν οὐκ ἀποδεδειγμένος, ἄρχων δὲ τοῦ ἱεροῦ λόχου, καὶ πιστευόμενος, ὡς ἦν δίκαιον, ἄνδρα τηλικαῦτα δεδωκότα τῇ πατρίδι σύμβολα, εἰς τὴν ἐλευθερίαν. ὡς οὖν ἐδέδοκτο διακινδυνεύειν. καὶ περὶ τὰ Λεῦκτρα τοῖς Λακεδαιμονίοις ἀντεστρατοπέδευον, ὄψιν εἶδεν κατὰ τοὺς ὕπνους ὁ Πελοπίδας, εὖ μάλα διαταράξασαν αὐτόν. ἔστι γὰρ ἐν τῷ Λευκτρικῷ πεδίῳ τὰ σήματα, τῶν τοῦ Σκεδάσου θυγατέρων, ἃς Λευκτρίδας καλοῦσι διὰ τὸν τόπον. ἐκεῖ γὰρ αὐταῖς ὑπὸ ξένων Σπαρτιατῶν βιασθείσαις, συνέβη ταφῆναι. γενομένης δὲ χαλεπῆς οὕτω καὶ παρανόμου πράξεως, ὁ μὲν πατὴρ ὡς οὐκ ἔτυχεν ἐν Λακεδαίμονι δίκης, ἀρὰς κατὰ τῶν Σπαρτιατῶν, ἀρασάμενος, ἔσφαξεν ἑαυτὸν, ἐπὶ τοῖς τάφοις τῶν παρθένων. χρησμοὶ δὲ καὶ λόγια, τοῖς Σπαρτιάταις ἀεὶ προὔφερον, εὐλαβεῖσθαι καὶ φυλάττεσθαι τὸ Λευκτρικὸν μήνιμα, μὴ πάνυ τῶν πολλῶν συνιέντων, ἀλλ᾽ ἀμφιγνοούντων τὸν τόπον. ἐπεὶ καὶ τῆς Λακωνικῆς πολίχνιον, πρὸς τῇ θαλάσσῃ, Λεῦκτρον ὀνομάζεται. καὶ πρὸς Μεγάλῃ πόλει τῆς Ἀρκαδίας τόπος ἐστὶν ὁμώνυμος.

τὸ μὲν οὖν πάθος τοῦτο, πολὺ τῶν Λευκτρικῶν ἦν παλαιότερον. ὁ δὲ Πελοπίδας ἐν τῷ στρατοπέδῳ

Il. β 238.

μένος · q. καὶ · π · q. · ἢ · μ.

ἐμπίπτοντες . ις

σκύλαξιν ἐμπείρως προσβάλλοντες τοῖς πολεμίοις, εἶτα γευσαμένους νίκης καὶ φρονήματος ἀσφαλῶς ἀγαπῶντες, ὧν μεγίστην δόξαν εἶχεν ὁ πελοπίδας, ἀφ' ἧς τε εἵλοντο πρῶτον ἡγεμόνα τῶν ὅπλων. οὐκ ἀνεπαύσαντο καθ' ἕκαστον ἐνιαυτόν, ἄρχοντα χειροτονοῦντες. ἀλλ' ἢ τὸν ἱερὸν λόχον ἄγων. ἢ τὰ πλεῖστα βοιωταρχῶν, ἄχρι τῆς τελευτῆς ἔπραττεν. ἐγένοντο μὲν οὖν, καὶ περὶ πλαταιὰς καὶ θεσπιάς, ἧτται καὶ φυγαὶ τῶν λακεδαιμονίων. ὅπου καὶ φοιβίδας ὁ τὴν καδμείαν καταλαβών, ἀπέθανεν. πολλοὺς δὲ καὶ πρὸς τάναγραν τρεψάμενος, αὐτὸν καὶ πανθοΐδην τὸν ἁρμοστήν, ἀνεῖλεν. ἀλλ' οὗτοι μὲν οἱ ἀγῶνες ὥσπερ τοὺς κρατοῦντας εἰς φρόνημα καὶ θάρσος προῆγον, οὕτως τῶν ἡττωμένων οὐ παντάπασιν ἐδουλοῦντο τὴν γνώμην. οὐ γὰρ ἐκ παρατάξεως ἦσαν, οὐδὲ μάχης ἐμφανῆ κατάστασιν ἐχούσης καὶ νόμιμον. ἐκδρομὰς δὲ προσκαίρους τιθέμενοι καὶ φυγάς, ἢ διώξεις, ἐπιχειροῦντες αὐτοῖς, καὶ συμπλεκόμενοι, κατώρθουν.

προαγὼν ἴσ ὁ δὲ περὶ τεγύρας, τρόπον τινὰ τοῦ λευκτρικοῦ πρόσων γενόμενος μέγαν ἦρεν ἐν δόξῃ τὸν πελοπίδαν. οὔτε πρὸς κατόρθωμα τοῖς συστρατήγοις ἀμφισβήτησιν, οὔτε τῆς ἥττης πρόφασιν τοῖς πολεμίοις ἀπολιπών. τῇ γὰρ ὀρχομενίων πόλει, τὰ σπαρτιατῶν ἑλομένῃ, καὶ δύο δεδεγμένῃ μόρας αὐτῶν ὑπὲρ ἀσφαλείας, ἐπεβούλευε μὲν ἀεί, καὶ παρεφύλαττε καιρόν. ὡς δὲ ἤκουσεν τοὺς φρουροὺς εἰς τὴν λοκρίδα γεγενῆσθαι στρατείαν, ἐλπίσας ἔρημον αἱρήσειν τὸν ὀρχομενόν, ἐστράτευσεν ἔχων μεθ' ἑαυτοῦ τὸν ἱερὸν λόχον, καὶ τῶν ἱππέων οὐ πολλούς. ἐπεὶ δὲ πρὸς τὴν πόλιν προσάγων, εὗρεν ἥκουσαν ἐκ σπάρτης διαδοχὴν τῆς φρουρᾶς, ἀπῆγεν ὀπίσω τὸ στράτευμα πάλιν. διὰ τεγυρῶν. ἣ μόνη βάσιμος ἦν κύκλῳ παρὰ τὴν ὑπώρειαν. τὴν γὰρ διὰ μέσου πᾶσαν, ὁ μέλας ποταμὸς εὐθὺς ἐκ πηγῶν, εἰς ἕλη πλωτὰ καὶ λίμνας διασπειρόμενος, ἄπορον ἐποίει. μικρὸν δὲ ὑπὸ τὰ ἕλη, νεώς ἐστιν ἀπόλλωνος, τεγυραίου, καὶ μαντεῖον ἐκλελειμμένον, οὐ πάνυ πολὺν χρόνον, ἀλλ' ἄχρι τῶν μηδικῶν, ἤκμαζε τὴν προφητείαν, ἐχεκράτους ἔχοντος. ἐνταῦθα μυθολογοῦσι τὸν θεὸν γενέσθαι. καὶ τὸ μὲν πλησίον ὄρος, δῆλος καλεῖται. καὶ πρὸς αὐτὸ καταλήγουσιν, αἱ τοῦ μέλανος διαχύσεις. ὀπίσω δὲ τοῦ ναοῦ, δύο ῥήγνυνται πηγαί, γλυκύτητι καὶ πλήθει καὶ ψυχρότητι, θαυμαστοῦ νάματος. ὧν τὸ μὲν φοίνικα, τὸ δὲ ἐλαίαν ἄχρι νῦν ὀνομάζομεν. οὐ φυτῶν μεταξὺ δυεῖν, ἀλλὰ ῥεέθρων τῆς θεοῦ λοχευθείσης. καὶ γὰρ τὸ πτῷον ἐγγύς, ὅθεν αὐτὴν ἀναπτοηθῆναι προφανέντος ἐξαίφνης κάπρου λέγουσιν. καὶ τὰ περὶ πύθωνα καὶ τιτυόν, ὡσαύτως οἱ τόποι τῇ γενέσει τοῦ θεοῦ συνοικειοῦσι. τὰ γὰρ πλεῖστα παραλείπω τῶν τεκμηρίων. οὐ γὰρ ἐν τοῖς ἐκ μεταβολῆς ἀθανάτοις γενομένοις γενητοῖς ὁ πάτριος λόγος τὸν θεὸν τοῦτον ἀπολείπει δαίμοσιν, ὥσπερ ἡρακλέα καὶ διόνυσον, ἐκ μεταβολῆς ἀρετῇ τὸ θνητὸν καὶ παθητὸν ἀποβαλόντας. ἀλλὰ τῶν ἀιδίων καὶ ἀγεννήτων, εἷς ἐστιν, εἰ δεῖ τοῖς ὑπὸ τῶν φρονιμωτάτων, καὶ παλαιοτάτων λεγομένοις τεκμαίρεσθαι περὶ τῶν τηλικούτων.

Εἰς γοῦν τεγύρας οἱ θηβαῖοι κατὰ τὸν αὐτὸν χρόνον ἐκ τῆς ὀρχομενίας ἀπιόντες, καὶ οἱ λακεδαιμόνιοι, συνέπιπτον, ἐξ ἐναντίας αὐτοῖς, ἐκ τῆς λοκρίδος ἀναζευγνύντες. ὡς δὲ πρῶτον ὤφθησαν τὰ στενὰ διεκβάλλοντες, καί τις εἶπε τῷ πελοπίδᾳ προσδραμών, ἐμπεπτώκαμεν εἰς τοὺς πολεμίους. τί μᾶλλον εἶπεν, ἢ εἰς ἡμᾶς ἐκεῖνοι. καὶ τὴν μὲν ἵππον, εὐθὺς ἐκέλευσεν παρελαύνειν ἀπ' οὐρᾶς ὡς προεμβαλοῦσαν. αὐτὸς δὲ τοὺς ὁπλίτας τριακοσίους ὄντας, εἰς ὀλίγον συνῆγεν. ἐλπίζων καθ' ὃ προσβάλοι μάλιστα διακόψειν ὑπερβάλλοντας πλήθει τοὺς πολεμίους. ἦσαν δὲ δύο μόραι λακεδαιμονίων. τὴν δὲ μόραν, ἔφορος μέν, ἄνδρας εἶναι πεντακοσίους φησί. καλλισθένης δὲ ἑπτακοσίους. ἄλλοι δέ τινες ἐνακοσίους, ὧν πολύβιός ἐστιν. καὶ θαρροῦντες οἱ πολέμαρχοι τῶν σπαρτιατῶν, γοργολέων καὶ θεόπομπος, ὥρμησαν ἐπὶ τοὺς θηβαίους. γενομένης δέ πως μάλιστα τῆς ἐφόδου κατ' αὐτοὺς τοὺς ἄρχοντας, ἀπ' ἀμφοτέρων μετὰ θυμοῦ καὶ βίας, πρῶτον μέν, οἱ πολέμαρχοι τῶν λακεδαιμονίων, τῷ πελοπίδᾳ συρράξαντες, ἔπεσον. ἔπειτα, τῶν περὶ ἐκείνους παιομένων καὶ ἀποθνησκόντων, ἅπαν εἰς φόβον κατέστη τὸ στράτευμα, καὶ διέσχε μέν, ἐπ' ἀμφότερα τοῖς θηβαίοις, ὡς διεκπεσεῖν εἰς τοὔμπροσθεν καὶ διεκθεῖναι βουλομένοις.

Ἐπεὶ δὲ τὴν διδομένην ὁ πελοπίδας. ἡγεῖτο πρὸς τοὺς συνεστῶτας καὶ διεξῄει φονεύων, οὕτω πάντες προτροπάδην ἔφυγον. ἐγένετο δέ, οὐκ ἐπὶ πολὺν τόπον ἡ δίωξις. ἐφοβοῦντο γὰρ ἐγγὺς ὄντας, οἱ θηβαῖοι τοὺς ὀρχομενίους καὶ τὴν διαδοχὴν τῶν λακεδαιμονίων. ὅσον δὲ νικῆσαι κατὰ κράτος, καὶ διεξελθεῖν διὰ παντὸς ἡττωμένου τοῦ στρατεύματος, ἐξεβιάσαντο, καὶ στήσαντες τρόπαιον. καὶ νεκροὺς σκυλεύσαντες, ἀνεχώρησαν ἐπ' οἴκου μέγα φρονοῦντες. ἐν γὰρ τοσούτοις ὡς ἔοικε πολέμοις, ἑλληνικοῖς καὶ βαρβαρικοῖς πρότερον, οὐδέποτε λακεδαιμόνιοι πλείονες ὄντες ὑπ' ἐλαττόνων ἐκρατήθησαν. ἀλλ' οὐδὲ ἴσοι πρὸς ἴσους ἐκ παρατάξεως συμβαλόντες, ὅθεν ἦσαν ἀνυπόστατοι τὰ φρονήματα, καὶ τῇ δόξῃ, καταπληττόμενοι τοὺς ἀντιταττομένους. οὐδὲ αὐτοὺς ἀξιοῦντας ἀπ' ἴσης δυνάμεως τὸ ἴσον φέρεσθαι σπαρτιάταις, εἰς χεῖρας συνίστησαν.

Ἐκείνη δὲ ἡ μάχη πρώτη, καὶ τοὺς ἄλλους ἐδίδαξεν ἕλληνας, ὡς οὐχ ὁ εὐρώτας, οὐδ' ὁ μεταξὺ βαθύτας, καὶ κνακιῶνος τόπος, ἄνδρας ἐκφέρει μαχητὰς καὶ πολεμικούς, ἀλλὰ παρ' οἷς ἂν αἰσχύνεσθαι τὰ αἰσχρά, καὶ τολμᾶν ἐπὶ τοῖς καλοῖς ἐθέλοντες, ἐγγίνωνται νέοι. καὶ τοὺς ψόγους, τῶν κινδύνων μᾶλλον φεύγοντες, οὗτοι φοβερώτατοι τοῖς ἐναντίοις εἰσίν. Τὸν δ' ἱερὸν λόχον ὥς φασι, συνετάξατο, γοργίδας

βαβύκ. ς. τ. η.

τες, εἷλον καὶ διέφθειραν. διαπραξάμενοι δὲ ταῦτα, καὶ τοῖς περὶ μέλωνα συμβαλόντες, ἔπεμψαν μὲν εἰς τὴν ἀττικὴν, ἐπὶ τοὺς ὑπολελειμμένους ἐκεῖ τῶν φυγάδων, ἐκάλουν δὲ τοὺς πολίτας ἐπὶ τὴν ἐλευθερίαν καὶ τοὺς προσιόντας ὥπλιζον. ἀφαιροῦντες ἀπὸ τῶν στοῶν, τὰ περικείμενα σκῦλα. καὶ τὰ περὶ τὴν οἰκίαν ἐργαστήρια δορυξόων καὶ μαχαιροποιῶν ἀναρρηγνύντες. ἧκον δὲ βοηθοῦντες αὐτοῖς μετὰ τῶν ὅπλων, οἱ περὶ ἐπαμεινώνδαν καὶ γοργίδαν συνειλοχότες, οὐκ ὀλίγους τῶν νέων καὶ τῶν πρεσβυτέρων τοὺς βελτίστους. ἡ δὲ πόλις ἤδη μὲν ἀνεπτόητο πᾶσα, καὶ πολὺς θόρυβος ἦν, καὶ φῶτα περὶ τὰς οἰκίας, καὶ διαδρομαὶ πρὸς ἀλλήλους. οὔπω δὲ συνειστήκει τὸ πλῆθος, ἀλλ' ἐκπεπληγμένοι πρὸς τὰ γινόμενα, καὶ σαφὲς οὐδὲν εἰδότες, ἡμέραν περιέμενον. ὅθεν ἁμαρτεῖν οἱ τῶν λακεδαιμονίων ἄρχοντες ἔδοξαν, εὐθὺς οὐκ ἐπιδραμόντες, οὐδὲ συμβαλόντες. αὐτὴ μὲν ἡ φρουρὰ περὶ χιλίους πεντακοσίους ὄντες. ἐκ δὲ τῆς πόλεως πρὸς αὐτοὺς πολλῶν συντρεχόντων. ἀλλὰ τὴν βοὴν, καὶ τὰ πυρὰ, καὶ τὸν ὄχλον ἀναχωροῦντα πανταχόθεν πολὺν φοβηθέντες, ἡσύχαζον, αὐτὴν τὴν καδμείαν κατέχοντες. ἅμα δὲ ἡμέρᾳ, παρῆσαν μὲν ἐκ τῆς ἀττικῆς, οἱ φυγάδες ὡπλισμένοι, συνῄθροιστο δὲ εἰς τὴν ἐκκλησίαν ὁ δῆμος. εἰσῆγον δὲ τοὺς περὶ πελοπίδαν, ἐπαμεινώνδας καὶ γοργίδας, ὑπὸ τῶν ἱερέων περιεχομένους, στέμματα προτεινόντων καὶ παρακαλούντων τοὺς πολίτας τῇ πατρίδι, καὶ τοῖς θεοῖς βοηθεῖν. ἡ δ' ἐκκλησία, ὀρθὴ πρὸς τὴν ὄψιν μετὰ κρότου, καὶ βοῆς ἐξανέστη, δεχομένων τοὺς ἄνδρας, ὡς εὐεργέτας καὶ σωτῆρας. ἐκ δὲ τούτου, βοιωτάρχης αἱρεθεὶς μετὰ μέλωνος, καὶ χάρωνος ὁ πελοπίδας, εὐθὺς ἀπετείχιζε τὴν ἀκρόπολιν. καὶ προσβολὰς ἐποιεῖτο πανταχόθεν, ἐξελεῖν σπουδάζων τοὺς λακεδαιμονίους, καὶ τὴν καδμείαν ἐλευθερῶσαι, πρὶν ἐκ σπάρτης στρατὸν ἐπελθεῖν. καὶ παρὰ τοσοῦτον ἔφθασεν, ἀφεὶς ὑποσπόνδους τοὺς ἄνδρας, ὅσον ἐν μεγάροις οὖσιν αὐτοῖς, ἀπαντῆσαι κλεόμβροτον ἐπὶ τὰς θήβας ἐλαύνοντα, μετὰ μεγάλης δυνάμεως. Οἱ δὲ σπαρτιᾶται, τριῶν ἁρμοστῶν γενομένων ἐν θήβαις, ἑρμιππίδαν μὲν καὶ ἀρκισσον, ἀπέκτειναν κρίναντες. ὁ δὲ τρίτος δυσαορίδας, χρήμασι πολλοῖς ζημιωθεὶς, αὐτὸν ἐκ τῆς πελοποννήσου μετέστησεν. ταύτην τὴν πρᾶξιν ἀρεταῖς μὲν ἀνδρῶν καὶ κινδύνοις καὶ ἀγῶσι παραπλησίαν τῇ θρασυβούλου γενομένην, καὶ βραβευθεῖσαν ὁμοίως, ὑπὸ τῆς τύχης, ἀδελφὴν ἐκείνης προσηγόρευον οἱ ἕλληνες. οὐ γὰρ ἔστι ῥᾳδίως ἑτέρους εἰπεῖν, οἳ πλειόνων ἐλάττους, καὶ δυνατωτέρων ἐρημότεροι, τόλμῃ καὶ δεινότητι κρατήσαντες, αἴτιοι μειζόνων ἀγαθῶν ταῖς πατρίσι κατέστησαν. ἐνδοξοτέραν δὲ ταύτην ἐποίησεν ἡ μεταβολὴ τῶν πραγμάτων. ὁ γὰρ καταλύσας τὸ τῆς σπάρτης ἀξίωμα, καὶ παύσας ἄρχοντας αὐτοὺς, γῆς τε καὶ θαλάττης πόλεμος, ἐξ ἐκείνης ἐγένετο τῆς νυκτὸς, ἐν ᾗ πελοπίδας, οὐ φρούριον. οὐ τεῖχος. οὐκ ἀκρόπολιν καταλαβὼν, ἀλλ' εἰς οἰκίαν δωδέκατος κατελθὼν, εἰ δεῖ μεταφορᾷ τὸ ἀληθὲς εἰπεῖν, ἔλυσε καὶ διέκοψε τοὺς δεσμοὺς τῆς λακεδαιμονίων ἡγεμονίας, ἀλύτους καὶ ἀρρήκτους εἶναι δοκοῦντας. Ἐπεὶ τοίνυν στρατῷ μεγάλῳ λακεδαιμονίων εἰς τὴν βοιωτίαν ἐμβαλόντων οἱ ἀθηναῖοι περίφοβοι γενόμενοι, τήν τε συμμαχίαν ἀπείποντο τοῖς θηβαίοις, καὶ τῶν βοιωτιαζόντων εἰς τὸ δικαστήριον παραγαγόντες, τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ φυγάδευσαν, τοὺς δὲ χρήμασιν ἐζημίωσαν. ἐδόκει δὲ κακῶς ἔχειν τὰ τῶν θηβαίων πράγματα, μηδενὸς αὐτοῖς βοηθοῦντος. ἔτυχε μὲν ὁ πελοπίδας μετὰ γοργίδου βοιωταρχῶν. ἐπιβουλεύοντες δὲ συγκροῦσαι πάλιν τοὺς ἀθηναίους τοῖς λακεδαιμονίοις, τοιόνδε τι μηχανῶνται. σφοδρίας ἀνὴρ σπαρτιάτης, εὐδόκιμος μὲν ἐν τοῖς πολεμικοῖς καὶ λαμπρὸς, ὑπόκουφος δὲ τὴν γνώμην, καὶ κενῶν ἐλπίδων καὶ φιλοτιμίας ἀνοήτου μεστὸς, ἀπελείφθη περὶ θεσπιὰς μετὰ δυνάμεως τοὺς ἀφισταμένους τῶν θηβαίων δέχεσθαι καὶ βοηθεῖν. πρὸς τοῦτον, ὑποπέμπουσιν οἱ περὶ τὸν πελοπίδαν, ἰδίᾳ. ἔμπορόν τινα τῶν φίλων, χρήματα κομίζοντα καὶ λόγους, οἳ τῶν χρημάτων, μᾶλλον ἀνέπεισαν αὐτὸν, ὡς χρὴ πραγμάτων μᾶλλον ἅψασθαι μεγάλων, καὶ τὸν πειραιᾶ καταλαβεῖν, ἀπροσδόκητον ἐπιπεσόντα, μὴ φυλαττομένοις τοῖς ἀθηναίοις. λακεδαιμονίοις τε γὰρ οὐδὲν οὕτως ἔσεσθαι κεχαρισμένον, ὡς λαβεῖν τὰς ἀθήνας, θηβαίους τε χαλεπῶς ἔχοντας αὐτοῖς, καὶ προδότας νομίζοντας, οὐκ ἐπιβοηθήσειν. τέλος δὲ, συμπεισθεὶς ὁ σφοδρίας, καὶ τοὺς στρατιώτας ἀναλαβὼν νυκτὸς, εἰς τὴν ἀττικὴν ἐνέβαλεν. καὶ μέχρι μὲν ἐλευσῖνος προῆλθεν. ἐκεῖ δὲ τῶν στρατιωτῶν ἀποδειλιασάντων, φανερὸς γενόμενος καὶ συνταράξας, οὐ φαῦλον οὐδὲ ῥᾴδιον ὂν τοῖς σπαρτιάταις πολεμεῖν, ἀνεχώρησεν εἰς θεσπιάς. Ἐκ τούτου πάλιν προθυμότατα ἀθηναῖοι, τοῖς θηβαίοις συνεμάχουν, καὶ τῆς θαλάττης ἀντελαμβάνοντο· καὶ περιϊόντες, ἐδέχοντο, καὶ προσήγοντο τοὺς ἀποστατικῶς τῶν ἑλλήνων ἔχοντας. οἱ δὲ θηβαῖοι καθ' αὑτοὺς ἐν τῇ βοιωτίᾳ συμπλεκόμενοι τοῖς λακεδαιμονίοις ἑκάστοτε, καὶ μαχόμενοι μάχας, αὐτὰς μὲν οὐ μεγάλας, μεγάλην δὲ τὴν μελέτην ἐχούσας καὶ τὴν ἄσκησιν, ἐξερριπίζοντο τοῖς θυμοῖς καὶ διεπονοῦντο τοῖς σώμασιν, ἐμπειρίαν ἅμα τῇ συνηθείᾳ, καὶ φρόνημα προσλαμβάνοντες ἐκ τῶν ἀγώνων. δι' ὃ καὶ φασὶν, ἀνταλκίδαν τὸν σπαρτιάτην ὡς ἀγησίλαος ἐπανῆλθεν ἐκ βοιωτίας, τετρωμένος εἰπεῖν πρὸς αὐτὸν, ἦ καλὰ διδασκάλια παρὰ θηβαίων ἀντιλαμβάνεις, μὴ βουλομένους αὐτοὺς, πολεμεῖν καὶ μάχεσθαι, διδάξας. ἦν δὲ ὡς ἀληθῶς διδάσκαλος, οὐκ ἀγησίλαος, ἀλλ' οἱ σὺν καιρῷ καὶ μετὰ λογισμοῦ, τοὺς θηβαίους ὥσπερ

ρῶτα, καὶ παρεκάλει ἑαυτὸν δὴ, ἀνυπόπτως τοῖς ἄρχουσιν. ἄλλως μὲν αὐθάδη καὶ βαρὺν ὄντα τῷ θαῤῥεῖν παρὰ τὰ δεινά. τότε δὲ δι' ἐκείνους ἐκπεπληγμένον καὶ περιπαθοῦντα, μήτις ὑποψία προδοσίας ἐπ' αὐτὸν ἔλθῃ. τοσούτων ἅμα καὶ τοιούτων πολιτῶν ἀπολλυμένων. ὡς οὖν ἔμελλεν ἀπιέναι, παραλαβὼν ἐκ τῆς γυναικωνίτιδος τὸν υἱὸν, ἔτι μὲν ὄντα παῖδα, κάλλει δὲ, καὶ ῥώμῃ σώματος πρωτεύοντα τῶν καθ' ἡλικίαν, ἐνεχείριζε τοῖς περὶ Πελοπίδαν. εἴ τινα δόλον καὶ προδοσίαν αὐτοῦ καταγνοῖεν ὡς πολεμίῳ, χρῆσθαι κελεύων ἐκείνῳ, καὶ μὴ φείδεσθαι. πολλοῖς μὲν οὖν αὐτῶν δάκρυα πρὸς τὸ πάθος καὶ τὸ φρόνημα, τοῦ Χάρωνος ἐξέπεσεν. πάντες δὲ ἠγανάκτουν, εἰ δειλὸν οὕτως εἶναι τινὰ δοκεῖ καὶ διεφθαρμένον ὑπὸ τοῦ παρόντος, ὥστε ὑπονοεῖν ἐκεῖνον. ἢ ὅλως αἰτιᾶσθαι. καὶ τὸν υἱὸν ἐδέοντο, μὴ καταμιγνύναι αὐτοῖς, ἀλλ' ἐκποδὼν θέσθαι τοῦ μέλλοντος, ὅπως αὐτός γε τῇ πόλει καὶ τοῖς φίλοις, τιμωρὸς ὑποτρέφοιτο περισωθεὶς καὶ διαφυγὼν τοὺς τυράννους. ὁ δὲ Χάρων τὸν μὲν υἱὸν, ἀπαλλάξειν οὐκ ἔφη. ποῖον γὰρ αὐτῷ βίον ὁρᾶν, ἢ τίνα σωτηρίαν καλλίονα. τῆς ὁμοῦ μετὰ πατρὸς καὶ φίλων τοσούτων, ἀνυβρίστου τελευτῆς. ἐπευξάμενος δὲ τοῖς θεοῖς. καὶ πάντας ἀσπασάμενος καὶ παραθαῤῥύνας ἀπῄει. προσέχων ἑαυτῷ καὶ ῥυθμίζων σχήματι προσώπου, καὶ τόνῳ φωνῆς ἀνομοιότατος οἷς ἔπραττε φανῆναι. γενομένου δ' ἐπὶ ταῖς θύραις αὐτοῦ, προῆλθεν ὁ Ἀρχίας, καὶ Φιλλίδας καὶ εἶπεν. ὦ Χάρων τινὰς ἀκήκοα παρεληλυθέναι ἐν τῇ πόλει, κρύπτεσθαι, καὶ συμπράττειν αὐτοῖς ἐνίους τῶν πολιτῶν. καὶ ὁ Χάρων διαταραχθεὶς τὸ πρῶτον, εἶτα ἐρωτήσας τίνες εἰσὶν οἱ παρεληλυθότες, καὶ τίνες οἱ κρύπτοντες αὐτούς, ὡς οὐδὲν ἑώρα σαφὲς εἰπεῖν ἔχοντα τὸν Ἀρχίαν, ὑπονοήσας ἀπ' οὐδενὸς τῶν ἐπισταμένων γεγονέναι τὴν μήνυσιν, ὁρᾶτε τοίνυν ἔφη, μὴ κενός τις ὑμᾶς διαταράττῃ λόγος. οὐ μὴν, ἀλλὰ καὶ σκέψομαι. δεῖ γὰρ ἴσως μηδενὸς καταφρονεῖν.

Ταῦτα καὶ Φιλλίδας παρὼν, ἐπῄνει. καὶ τὸν Ἀρχίαν ἀπαγαγὼν, αὖτις εἰς ἄκρατον πολὺν κατέβαλε καὶ ταῖς περὶ τῶν γυναικῶν ἐλπίσιν, διεπαιδαγώγει τὸν πότον. ὡς δ' ἐπανῆλθεν ὁ Χάρων οἴκαδε. καὶ διεσκευασμένους τοὺς ἄνδρας εὗρεν, οὐχ ὡς ἄν τινα νίκην, ἢ σωτηρίαν ἐλπίζοντας, ἀλλ' ὡς ἀποθανουμένους λαμπρῶς καὶ μετὰ φόνου πολλοῦ τῶν πολεμίων. τὸ μὲν ἀληθὲς, αὐτοῖς ἔφραζε τοῖς περὶ τὸν Πελοπίδαν. πρὸς δὲ τοὺς ἄλλους, ἐψεύσατο λόγους τινὰς τοῦ Ἀρχίου περὶ πραγμάτων ἑτέρων πλασάμενος.

Ἔτι δὲ τοῦ πρώτου παραφερομένου, δεύτερον ἐπῆγεν ἡ τύχη χειμῶνα τοῖς ἀνδράσιν. ἧκε γάρ τις ἐξ Ἀθηνῶν, παρὰ Ἀρχίου τοῦ ἱεροφάντου, πρὸς Ἀρχίαν τὸν ὁμώνυμον ξένον ὄντα, καὶ φίλον ἐπιστολὴν κομίζων. οὐ κενὴν ἔχουσαν, οὐδὲ πεπλασμένην ὑπόνοιαν, ἀλλὰ σαφῶς ἕκαστα περὶ τῶν πραττομένων φράζουσαν, ὡς ὕστερον ἐπεγνώσθη. τότε δὲ μεθύοντι τῷ Ἀρχίᾳ προσαχθεὶς ὁ γραμματοφόρος καὶ τὴν ἐπιστολὴν ἐπιδοὺς, ὁ ταύτην ἔφη πέμψας, ἐκέλευσεν εὐθὺς ἀναγνῶναι. περὶ σπουδαίων γάρ τινων γεγράφθαι. καὶ ὁ Ἀρχίας μειδιάσας, οὐκ οὖν εἰς αὔριον ἔφη τὰ σπουδαῖα, καὶ τὴν ἐπιστολὴν δεξάμενος, ὑπὸ τὸ προσκεφάλαιον ὑπέθηκεν. αὐτὸς δὲ πάλιν τῷ Φιλλίδᾳ περὶ ὧν ἐτύγχανον διαλεγόμενοι, προσεῖχεν. ὁ μὲν οὖν λόγος οὗτος, ἐν παροιμίας τάξει περιφερόμενος, μέχρι νῦν διασῴζεται παρὰ τοῖς Ἕλλησι.

Τῆς δὲ πράξεως δοκούσης ἔχειν ἤδη τὸν οἰκεῖον καιρὸν ἐξώρμησαν, δίχα διελόντες αὑτούς. οἱ μὲν περὶ Πελοπίδαν καὶ Δαμοκλείδαν, ἐπὶ τὸν Λεοντίδαν καὶ τὸν Ὑπάτην, ἐγγὺς ἀλλήλων οἰκοῦντας. Χάρων δὲ καὶ Μέλων, ἐπὶ τὸν Ἀρχίαν καὶ Φίλιππον, ἐσθῆτας ἐπενδεδυμένοι γυναικείας, τοῖς θώραξι, καὶ δασεῖς στεφάνους, ἐλάτης τε, καὶ πεύκης περικείμενοι, κατασκιάζοντες τὰ πρόσωπα. διὸ καὶ ταῖς θύραις τοῦ συμποσίου τὸ πρῶτον ἐπιστάντων, κρότον ἐποίησαν, καὶ θόρυβον, οἰομένων, ἃς πάλαι προσεδόκων γυναῖκας ἥκειν. ἐπεὶ δὲ περιβλέψαντες ἐν κύκλῳ τὸ συμπόσιον, καὶ τῶν κατακεκλιμένων ἕκαστον ἀκριβῶς καταμαθόντες, ἐσπάσαντο τὰς μαχαίρας. καὶ φερόμενοι διὰ τῶν τραπεζῶν ἐπὶ τὸν Ἀρχίαν, καὶ Φίλιππον, ἐφάνησαν οἵπερ ἦσαν. ὀλίγους μὲν ὁ Φιλλίδας τῶν κατακειμένων ἔπεισεν, ἡσυχίαν ἄγειν. τοὺς δὲ ἄλλους, ἀμύνεσθαι μετὰ τῶν πολεμάρχων ἐπιχειροῦντας, καὶ συνεξανισταμένους, διὰ τὴν μέθην οὐ πάνυ χαλεπῶς ἀπέκτειναν. τοῖς δὲ περὶ τὸν Πελοπίδαν ἐργωδέστερον ἀπήντα τὸ πρᾶγμα. καὶ γὰρ ἐπὶ νήφοντα, καὶ δεινὸν ἄνδρα τὸν Λεοντίδαν, ἐχώρουν. καὶ κεκλεισμένην τὴν οἰκίαν εὗρον, ἤδη καθεύδοντος. καὶ πολὺν χρόνον κόπτουσιν αὐτοῖς ὑπήκουεν οὐδείς. μόλις δέ ποτε τοῦ θεράποντος αἰσθομένου προϊόντος ἔνδοθεν, καὶ τὸν μοχλὸν ἀφαιροῦντος, ἅμα τῷ πρῶτον ἐνδοῦναι, καὶ χαλάσαι τὰς θύρας, ἐπιπεσόντες ἀθρόοι, καὶ τὸν οἰκέτην ἀνατρέψαντες, ἐπὶ τὸν θάλαμον ὥρμησαν. ὁ δὲ Λεοντίδας αὐτὸ τεκμαιρόμενος τῷ κτύπῳ, καὶ δρόμῳ, τὸ γιγνόμενον. ἐσπάσατο μὲν τὸ ἐγχειρίδιον ἐξαναστὰς, ἔλαθεν δὲ αὐτὸν καταβαλεῖν τὰ λύχνα, καὶ διασκοτίσαι αὐτοὺς ἐν αὑτοῖς, περιπετεῖς ποιῆσαι τοὺς ἄνδρας. ἐν δὲ φωτὶ πολλῷ καθορώμενος, ὑπήντα πρὸς τὰς θύρας αὐτοῖς τοῦ θαλάμου, καὶ τὸν πρῶτον εἰσιόντα Κηφισόδωρον πατάξας, κατέβαλεν. πεσόντος δὲ τούτου, δευτέρῳ συνεπέπλεκτο τῷ Πελοπίδᾳ. καὶ τὴν μάχην χαλεπὴν ἐποίει, καὶ δύσεργον, ἡ στενότης τῶν θυρῶν, καὶ κείμενος ἐμποδὼν ἤδη νεκρὸς, ὁ Κηφισόδωρος. ἐκράτησε δ' οὖν ὁ Πελοπίδας, καὶ κατεργασάμενος τὸν Λεοντίδαν ἐπὶ τὸν Ὑπάτην εὐθὺς ἐχώρει, μετὰ τῶν σὺν αὐτῷ, καὶ παρεισέπεσον μὲν εἰς τὴν οἰκίαν ὁμοίως, αἰσθόμενον δὲ ταχέως, καὶ καταφυγόντα πρὸς τοὺς γείτονας, ἐκποδὼν διώξαν-

τις ἀθηναίων, ἐῶν τοὺς τυράννους, ὅπλα διὰ τῆς βοιωτίας κομίζειν, μηδένα βοιωτῶν ἀκούειν, μηδὲ ὁρᾶν, οὐδὲν ἠδίκησαν τοὺς θηβαίους. ὁ δὲ πελοπίδας, καίπερ ἐν τοῖς νεωτάτοις ὤν, ἰδίᾳ τὸ καθ᾽ ἕκαστον ἐξώρμα τῶν φυγάδων, καὶ πρὸς τὸ πλῆθος ἐποιήσατο λόγους. ὡς οὔτε καλὸν, οὔτε ὅσιον εἶναι δουλεύουσαν τὴν πατρίδα, καὶ φρουρουμένην περιορᾶν, αὐτοὺς δὲ μόνον τὸ σώζεσθαι. καὶ διαζῆν ἀγαπῶντας, ἐκκρέμασθαι τῶν ἀθήνησι ψηφισμάτων, καὶ θεραπεύειν, ὑποπεπτωκότας ἀεὶ τοῖς λέγειν δυναμένοις, καὶ πείθειν τὸν ὄχλον, ἀλλὰ καὶ κινδυνευτέον ὑπὲρ τῶν μεγίστων, παράδειγμα θεμένους, τὴν θρασυβούλου τόλμαν καὶ ἀρετήν. ἵνα ὡς ἐκεῖνος ἐκ θηβῶν πρότερον ὁρμηθεὶς κατέλυσε τοὺς ἐν ἀθήναις τυράννους. οὕτως αὐτοὶ πάλιν ἐξ ἀθηνῶν προελθόντες, ἐλευθερώσωσι τὰς θήβας. ὡς οὖν ἔπεισε ταῦτα λέγων, πέμπουσιν εἰς θήβας κρύφα πρὸς τοὺς ὑπολελειμμένους τῶν φίλων, τὰ δεδογμένα φράζοντες. οἱ δὲ συνεπῄνουν. καὶ χάρων μὲν ὅσπερ ἦν ἐπιφανέστατος, ὡμολόγησεν τὴν οἰκίαν παρέξειν. φιλλίδας δὲ διεπράξατο, τῶν περὶ ἀρχίαν καὶ φίλιππον γραμματεὺς γενέσθαι πολεμαρχούντων. ἐπαμεινώνδας δὲ, τοὺς νέους πάλαι φρονήματος ἦν ἐμπεπληκώς. ἐκέλευε γὰρ ἐν τοῖς γυμνασίοις, ἐπιλαμβάνεσθαι τῶν λακεδαιμονίων, καὶ παλαίειν. εἶτα, ὁρῶν ἐπὶ τῷ κρατεῖν, καὶ περιεῖναι γαυρουμένους ἐπέπληττεν, ὡς αἰσχύνεσθαι μᾶλλον αὐτοῖς προσῆκον. εἰ δουλεύουσι δι᾽ ἀνανδρίαν, ὧν τοσοῦτον ταῖς ῥώμαις διαφέρουσιν. ἡμέρας δὲ πρὸς τὴν πρᾶξιν ὁρισθείσης, ἔδοξε τοῖς φυγάσι, τοὺς μὲν ἄλλους συναγαγόντα φερένικον ἐν τῷ θριασίῳ περιμένειν. ὀλίγους δὲ τῶν νεωτάτων παραβαλέσθαι προεισελθεῖν εἰς τὴν πόλιν. ἐὰν δέ τι πάθωσιν ὑπὸ τῶν πολεμίων οὗτοι, τοὺς ἄλλους ἐπιμελεῖσθαι πάντας, ὅπως μήτε παῖδες αὐτῶν, μήτε γονεῖς, ἐνδεεῖς ἔσονται τῶν ἀναγκαίων. ὑφίσταται δὲ τὴν πρᾶξιν, πελοπίδας πρῶτος. εἶτα, μέλων καὶ δαμοκλείδης, καὶ θεόπομπος. ἄνδρες, οἴκων τε πρώτων. καὶ πρὸς ἀλλήλους, τὰ ἄλλα μὲν φιλικῶς, καὶ πιστικῶς, ὑπὲρ δὲ δόξης καὶ ἀνδρείας, ἀεὶ φιλονείκως ἔχοντες. γενόμενοι δὲ οἱ σύμπαντες δώδεκα, καὶ τοὺς ἀπολειπομένους ἀσπασάμενοι, καὶ προπέμψαντες ἄγγελον τῷ χάρωνι, προῆγον ἐν χλαμυδίοις. σκύλακάς τε θηρευτικὰς, καὶ στάλικας ἔχοντες, ὡς μηδὲ εἷς ὑπονοοῖ τῶν ἐντυγχανόντων καθ᾽ ὁδὸν, ἀλλ᾽ ἀλύοντες ἄλλως, πλανᾶσθαι, καὶ κυνηγεῖν δοκοῖεν. ἐπεὶ δὲ ὁ πεμφθεὶς παρ᾽ αὐτῶν ἄγγελος, ἧκεν πρὸς τὸν χάρωνα, καὶ καθ᾽ ὁδὸν ὄντας ἔφραζεν. αὐτὸς μὲν ὁ χάρων, οὐδὲ ὑπὸ τοῦ δεινοῦ πλησιάζοντος ἔτρεψέ τι τῆς γνώμης, ἀλλ᾽ ἀνὴρ ἀγαθὸς ἦν, καὶ παρεῖχε τὴν οἰκίαν. ἱπποσθενίδας δέ τις, οὐ πονηρὸς μὲν, ἀλλὰ καὶ φιλόπατρις, καὶ τοῖς φυγάσιν εὔνους ἄνθρωπος, ἐνδεὴς δὲ τόλμης τοσαύτης, ὅσης ὅ τε καιρὸς ὀξὺς ὤν, αἵ τε ὑποκείμεναι πράξεις ἀπῄτουν, ὥσπερ ἰλιγγιάσας πρὸς τὸ μέγεθος τοῦ ἀγῶνος ἐν χερσὶ γενομένου, καὶ μόλις ποτὲ τῷ λογισμῷ συμφρονήσας, ὅτι τρόπον τινὰ τὴν τῶν λακεδαιμονίων σαλεύουσιν ἀρχὴν, καὶ τῆς ἐκεῖθεν δυνάμεως ὑποβάλλονται κατάλυσιν, πιστεύσαντες ἀπόροις καὶ φυγαδικαῖς ἐλπίσιν. ἀπελθὼν οἴκαδε σιωπῇ, πέμπει τινὰ τῶν φίλων πρὸς μέλωνα καὶ πελοπίδαν, ἀναβαλέσθαι κελεύων ἐν τῷ παρόντι, καὶ περιμένειν βελτίονα καιρὸν, αὖθις ἐπαλλαγέντας εἰς ἀθήνας. χλίδων ἦν ὄνομα τῷ πεμφθέντι, καὶ κατὰ σπουδὴν οἴκαδε πρὸς αὐτὸν τραπόμενος, καὶ τὸν ἵππον ἐξαγαγὼν, ᾔτει τὸν χαλινόν. ἀπορουμένης δὲ τῆς γυναικὸς ὡς οὐκ εἶχε, δεδωκέναι τινὶ τῶν συνήθων λεγούσης. λοιδορίαι τὸ πρῶτον ἦσαν. εἶτα δυσφημίαι, τῆς γυναικὸς ἐπαρωμένης αὐτῷ τε κακὰς ὁδοὺς ἐκείνῳ, καὶ τοῖς πέμπουσιν. ὥστε καὶ τὸν χλίδωνα πολὺ τῆς ἡμέρας ἀναλώσαντα πρὸς ταῦτα δι᾽ ὀργὴν, ἅμα δὲ καὶ τὸ συμβεβηκὸς οἰωνισάμενον, ἀφεῖναι τὴν ὁδὸν ὅλως, καὶ πρὸς ἄλλο τι τρέπεσθαι. παρὰ τοσοῦτον μὲν ἦλθον, αἱ μέγισται καὶ κάλλισται τῶν πράξεων, εὐθὺς ἐν ἀρχῇ διαφυγεῖν τὸν καιρόν. οἱ δὲ περὶ τὸν πελοπίδαν, ἐσθῆτας τὰς γεωργῶν μεταλαβόντες, καὶ διελόντες αὐτοὺς, ἄλλοι κατ᾽ ἄλλα μέρη τῆς πόλεως, παρεισῆλθον, ἔτι ἡμέρας οὔσης. ἦν δέ τι πνεῦμα καὶ νιφετὸς, ἀρχομένου τρέπεσθαι τοῦ ἀέρος, καὶ μᾶλλον ἔλαθον καταπεφευγότων ἤδη διὰ τὸν χειμῶνα τῶν πλείστων, εἰς τὰς οἰκίας. οἷς δὲ ἦν ἐπιμελὲς, τὰ πραττόμενα γινώσκειν, ἀνελάμβανον τοὺς προσερχομένους, καὶ καθίστων εὐθὺς εἰς τὴν οἰκίαν τοῦ χάρωνος. ἐγένοντο δὲ σὺν τοῖς φυγάσι πεντήκοντα, δυοῖν δέοντες. τὰ δὲ περὶ τοὺς τυράννους, οὕτως εἶχε. φιλλίδας ὁ γραμματεὺς, συνέπραττε μὲν, ὥσπερ εἴρηται πάντα, καὶ συνῄδει τοῖς φυγάσιν. εἰς δὲ τὴν ἡμέραν ἐκείνην, ἐκ παλαιοῦ καταγγελκὼς τοῖς περὶ τὸν ἀρχίαν πότον τινὰ καὶ συνουσίαν, καὶ γύναια τῶν ὑπάνδρων, ἔπραττεν ὅτι μάλιστα ταῖς ἡδοναῖς ἐκλελυμένους, καὶ κατοίνους, μεταχειρίσασθαι παρέξειν τοῖς ἐπιτιθεμένοις. οὔπω δὲ πάνυ πόρρω μέθης οὖσιν αὐτοῖς, προσέπεσέ τις, οὐ ψευδὴς μὲν, ἀβέβαιος δὲ καὶ πολλὴν ἀσάφειαν ἔχουσα περὶ τῶν φυγάδων μήνυσις, ὡς ἐν τῇ πόλει κρυπτομένων. τοῦ δὲ φιλλίδου παραφέροντος τὸν λόγον, ὅμως ἀρχίας ἔπεμψέ τινα τῶν ὑπηρετῶν πρὸς τὸν χάρωνα, προστάττων εὐθὺς ἥκειν αὐτόν. ἦν δὲ ἑσπέρα, καὶ συνέταττον ἔνδον αὐτοὺς οἱ περὶ τὸν πελοπίδαν ἤδη τεθωρακισμένοι καὶ τὰς μαχαίρας ἀνειληφότες. ἐξαίφνης δὲ κοπτομένης τῆς θύρας προσδραμών τις καὶ πυθόμενος τοῦ ὑπηρέτου χάρωνα μετιέναι παρὰ τῶν πολεμάρχων φάσκοντος, ἀπήγγελλεν εἴσω τεθορυβημένος. καὶ πᾶσιν εὐθὺς παρέστη, τήν τε πρᾶξιν ἐκμεμηνῦσθαι, καὶ σφᾶς ἅπαντας ἀπολωλέναι, μηδὲ δράσαντάς τι, τῆς ἀρετῆς ἄξιον. οὐ μὴν, ἀλλ᾽ ἔδοξεν ὑπακοῦσαι τὸν χά-

τος ἀφελεία καὶ τραπέζης λιτότητι, καὶ τῷ πρὸς τοὺς πόνους ἀόκνῳ. καὶ κατὰ στρατείας ἀδόλῳ καλλωπιζόμενος, ὥσπερ ὁ εὐριπίδου καπανεύς. ᾧ βίος μὲν ἦν πολύς. ἥκιστα δὲ δι' ὄλβον γαῦρος ἦν, αἰσχυνόμενος, εἰ φανεῖται πλείοσι χρώμενος εἰς τὸ σῶμα, τοῦ τὰ ἐλάχιστα κεκτημένου θηβαίων. ἐπαμεινώνδας μὲν οὖν, συνήθη καὶ πατρῴαν οὖσαν αὐτῷ τὴν πενίαν, ἔτι μᾶλλον εὔζωνον, καὶ κούφην ἐποίησεν φιλοσοφῶν, καὶ μονότροπον βίον ἀπ' ἀρχῆς ἑλόμενος. πελοπίδα δὲ, ἦν μὲν γάμος λαμπρός. ἐγένοντο δὲ καὶ παῖδες. ἀλλ' οὐδὲν ἧττον, ἀμελῶν τοῦ χρηματίζεσθαι, καὶ σχολάζων τῇ πόλει τὸν ἅπαντα χρόνον, ἠλάττωσε τὴν οὐσίαν. τῶν δὲ φίλων, νουθετούντων καὶ λεγόντων, ὡς ἀναγκαίου πράγματος, ὀλιγωρεῖ τοῦ χρήματα ἔχειν. ἀναγκαίου νὴ δία νικοδήμῳ τούτῳ, δείξας τινὰ χωλὸν καὶ τυφλόν. ἦσαν δὲ καὶ πρὸς πᾶσαν ἀρετὴν, πεφυκότες ὁμοίως, πλὴν ὅτι τῷ γυμνάζεσθαι μᾶλλον ἔχαιρε πελοπίδας. τῷ δὲ μανθάνειν, ἐπαμεινώνδας. καὶ τὰς διατριβὰς ἐν τῷ σχολάζειν. ὁ μὲν, περὶ παλαίστρας καὶ κυνηγέσια, ὁ δὲ ἀκούων τι καὶ φιλοσοφῶν ἐποιεῖτο.

Πολλῶν δὲ καὶ καλῶν ὑπαρχόντων ἀμφοτέροις πρὸς δόξαν, οὐδὲν οἱ νοῦν ἔχοντες ἡγοῦνται τηλικοῦτον ἡλίκην, τὴν διὰ τοσούτων ἀγώνων, καὶ στρατηγιῶν, καὶ πολιτειῶν, ἀνεξέλεγκτον εὔνοιαν καὶ φιλίαν ἀπ' ἀρχῆς, μέχρι τέλους ἐμμείνασαν. εἰ γάρ τις ἀποβλέψας τὴν ἀριστείδου, καὶ θεμιστοκλέους, καὶ κίμωνος, καὶ περικλέους, καὶ νικίου, καὶ ἀλκιβιάδου πολιτείαν, ὅσων γέγονε μεστὴ διαφορῶν, καὶ φθόνων. καὶ ζηλοτυπιῶν, πρὸς ἀλλήλους. σκέψαιτο πάλιν, τὴν πελοπίδου πρὸς ἐπαμεινώνδαν εὐμένειαν καὶ τιμήν. τούτους ἂν ὀρθῶς καὶ δικαίως προσαγορεύσειε, συνάρχοντας, καὶ συστρατήγους, ἢ ἐκείνους. οἳ μᾶλλον ἀλλήλων, ἢ τῶν πολεμίων ἀγωνιζόμενοι, περιεῖναι διετέλεσαν. αἰτία δὲ ἀληθινὴ μὲν ἦν ἡ ἀρετή, δι' ἣν οὐ δόξαν. οὐ πλοῦτον. ἀπὸ τῶν πράξεων μετιόντες. οἷς ὁ χαλεπὸς καὶ δύσερις ἐμφύεται φθόνος, ἀλλ' ἔρωτα θεῖον ἀπ' ἀρχῆς ἐρασθέντες ἀμφότεροι, τοῦ τὴν πατρίδα λαμπροτάτην καὶ μεγίστην ἐφ' ἑαυτῶν ἰδεῖν γενομένην, ὥσπερ ἰδίοις ἐπὶ τοῦτο, τοῖς αὑτῶν ἐχρῶντο κατορθώμασιν. οὐ μήν, ἀλλ' οἵ γε πολλοὶ νομίζουσιν αὐτοῖς τὴν σφοδρὰν φιλίαν, ἀπὸ τῆς ἐν μαντινείᾳ γενέσθαι στρατιᾶς. ἣν συνεστράτευσαντο λακεδαιμονίοις ἔτι φίλοις καὶ συμμάχοις οὖσι, πεμφθείσης ἐκ θηβῶν βοηθείας. τεταγμένοι γὰρ ἐν τοῖς ὁπλίταις μετ' ἀλλήλων. καὶ μαχόμενοι πρὸς τοὺς ἀρκάδας, ὡς ἐνέδωκε τὸ καθ' αὐτοὺς κέρας τῶν λακεδαιμονίων. καὶ τροπὴ τῶν πολλῶν ἐγεγόνει, συνασπίσαντες, ἠμύνοντο τοὺς ἐπιφερομένους. καὶ πελοπίδας μὲν, ἑπτὰ τραύματα λαβὼν ἐναντία πολλοῖς ἐπικατερρύη νεκροῖς ὁμοῦ φίλοις, καὶ πολεμίοις, ἐπαμεινώνδας δὲ, καίπερ ἀβιώτως ἔχειν αὐτὸν ἡγούμενος, ὑπὲρ τοῦ σώματος καὶ τῶν ὅπλων ἔστη προελθὼν, καὶ διεκινδύνευσεν πρὸς πολλοὺς μόνος, ἐγνωκὼς ἀποθανεῖν μᾶλλον, ἢ πελοπίδαν ἀπολιπεῖν κείμενον. ἤδη δὲ καὶ τούτου κακῶς ἔχοντος, καὶ λόγχῃ μὲν, εἰς τὸ στῆθος, ξίφει δὲ εἰς τὸν βραχίονα τετρωμένου, προσεβοήθησεν ἀπὸ θατέρου κέρως, ἀγησίπολις, ὁ βασιλεὺς τῶν σπαρτιατῶν, καὶ περιεποίησεν ἀνελπίστως, αὐτοὺς ἀμφοτέρους.

κατερρύηκ', ἑπτὰ / ἐναντίος

Μετὰ δὲ ταῦτα τῶν σπαρτιατῶν, λόγῳ μὲν ὡς φίλοις καὶ συμμάχοις προσφερομένων τοῖς θηβαίοις, ἔργῳ δὲ τὸ φρόνημα τῆς πόλεως, καὶ τὴν δύναμιν ὑφορωμένων, καὶ μάλιστα τὴν ἰσμηνίου καὶ ἀνδροκλείδου, μισούντων ἑταιρείαν, ἧς μετεῖχεν ὁ πελοπίδας, φιλελεύθερον ἅμα καὶ δημοτικὴν εἶναι δοκοῦσαν, ἀρχίας, καὶ λεοντίδας, καὶ φίλιππος ἄνδρες ὀλιγαρχικοὶ καὶ πλούσιοι, καὶ μέτριον οὐδὲν φρονοῦντες, ἀναπείθουσι φοιβίδαν τὸν λάκωνα μετὰ στρατιᾶς διαπορευόμενον ἐξαίφνης καταλαβεῖν τὴν καδμείαν. καὶ τοὺς ὑπεναντιουμένους αὐτοῖς, ἐκβαλόντα, πρὸς τὸ λακεδαιμονίων ὑπήκοον, ἁρμόσασθαι δι' ὀλίγων τὴν πολιτείαν. πεισθέντος δ' ἐκείνου, καὶ μὴ προσδοκῶσι τοῖς θηβαίοις ἐπιθεμένου, θεσμοφορίων ὄντων, καὶ τῆς ἄκρας κυριεύσαντος. ἰσμηνίας μὲν συναρπασθεὶς καὶ κομισθεὶς εἰς λακεδαίμονα, μετ' οὐ πολὺν χρόνον, ἀνῃρέθη. πελοπίδας δὲ, καὶ φερένικος, καὶ ἀνδροκλείδας, μετὰ συχνῶν ἄλλων φεύγοντες, ἐξεκηρύχθησαν. ἐπαμεινώνδας δὲ, κατὰ χώραν ἔμεινε, τῷ καταφρονηθῆναι, διὰ μὲν φιλοσοφίαν, ὡς ἀπράγμων, διὰ δὲ πενίαν, ὡς ἀδύνατος.

Ἐπεὶ δὲ λακεδαιμόνιοι, φοιβίδαν μὲν ἀφείλοντο τῆς ἀρχῆς. καὶ δέκα δραχμῶν μυριάσιν ἐζημίωσαν, τὴν δὲ καδμείαν, οὐδὲν ἧττον φρουρᾷ κατέσχον, οἱ μὲν ἄλλοι πάντες ἕλληνες, ἐθαύμαζον τὴν ἀτοπίαν, εἰ τὸν μὲν πράξαντα κολάζουσι, τὴν δὲ πρᾶξιν δοκιμάζουσι. τοῖς δὲ θηβαίοις, τὴν πάτριον ἀποβεβληκόσι πολιτείαν, καὶ καταδεδουλωμένοις, ὑπὸ τῶν περὶ ἀρχίαν, καὶ λεοντίδαν, οὐδὲ ἐλπίσαι περιῆν, ἀπαλλαγήν τινα τῆς στυραννίδος, ἣν ἑώρων τῇ σπαρτιατῶν δορυφορουμένην ἡγεμονίᾳ, καὶ καταλυθῆναι μὴ δυναμένην. εἰ μή τις ἄρα παύσειεν. κἀκείνους, γῆς καὶ θαλάττης ἄρχοντας. οὐ μήν, ἀλλ' οἱ περὶ λεοντίδαν πυνθανόμενοι τοὺς φυγάδας ἀθήνησι διατρίβειν, τῷ τε πλήθει προσφιλεῖς ὄντας, καὶ τιμὴν ἔχοντας ὑπὸ τῶν καλῶν κἀγαθῶν, ἐπεβούλευον αὐτοῖς κρύφα. καὶ πέμψαντες ἀνθρώπους ἀγνῶτας, ἀνδροκλείδαν μὲν, ἀποκτιννύουσι δόλῳ, τῶν δὲ ἄλλων, διαμαρτάνουσιν, ἧκε δὲ, καὶ παρὰ λακεδαιμονίων γράμματα τοῖς ἀθηναίοις προστάσσοντα μὴ δέχεσθαι, μηδὲ παρακινεῖν, ἀλλ' ἐξελαύνειν τοὺς φυγάδας ὡς κοινοὺς πολεμίους ὑπὸ τῶν συμμάχων ἀποδεδειγμένους. οἱ μὲν οὖν ἀθηναῖοι, πρὸς τῷ πάτριον αὐτοῖς, καὶ σύμφυτον εἶναι τὸ φιλάνθρωπον, ἀμειβόμενοι τοὺς θηβαίους, μάλιστα συναιτίους γενομένους τῷ δήμῳ κατελθεῖν, καὶ ψηφισαμένους, ἐάν

τυραννίδος

Κάτων ὁ πρεσβύτατος πρός τινας ἐπαινοῦντας ἄνθρωπον ἀλογίστως παράβολον, καὶ τολμηρὸν ἐν τοῖς πολεμικοῖς, διαφέρειν ἔφη τὸ πολλοῦ τινα τὴν ἀρετὴν ἀξίαν, καὶ τὸ μὴ πολλοῦ ἄξιον τὸ ζῆν νομίζειν, ὀρθῶς ἀποφαινόμενος. ὁ γοῦν παρ' ἀντιγόνῳ στρατευόμενος ἰταμὸς, φαῦλος δὲ τὴν ἕξιν καὶ τὸ σῶμα διεφθαρμένος, ἐρομένου τοῦ βασιλέως τὴν αἰτίαν τῆς ὠχρότητος, ὁμολογῆσαί τινα νόσον τῶν ἀπορρήτων. ἐπεὶ δὲ φιλοτιμηθεὶς ὁ βασιλεὺς προσέταξε τοῖς ἰατροῖς, ἐάν τις ᾖ βοήθεια, μηδὲν ἐλλιπεῖν τῆς ἄκρας ἐπιμελείας, οὕτω θεραπευθεὶς ὁ γενναῖος ἐκεῖνος, οὐκέτ' ἦν φιλοκίνδυνος οὐδὲ ῥαγδαῖος ἐν τοῖς ἀγῶσιν, ὥστε καὶ τὸν ἀντίγονον ἐγκαλεῖν καὶ θαυμάζειν τὴν μεταβολήν. οὐ μὴν ὁ ἄνθρωπος ἀπεκρύψατο τὸ αἴτιον, ἀλλ' εἶπεν. ὦ βασιλεῦ σύ με πεποίηκας ἀτολμότερον, ἀπαλλάξας ἐκείνων τῶν κακῶν δι' ἃ τοῦ ζῆν ὠλιγώρουν. Πρὸς τοῦτο δὲ φαίνεται καὶ συβαρίτης ἀνὴρ εἰπεῖν περὶ τῶν σπαρτιατῶν ὡς οὐ μέγα ποιοῦσι θανατῶντες ἐν τοῖς πολέμοις, ὑπὲρ τοῦ τοσούτους πόνους καὶ τοιαύτην ἀποφυγεῖν δίαιταν. ἀλλὰ συβαρίταις μὲν ἐκτετηκόσιν ὑπὸ τρυφῆς καὶ μαλακίας, διὰ τὴν πρὸς τὸ καλὸν ὁρμὴν καὶ φιλοτιμίαν, εἰκότως ἐφαίνοντο μισεῖν τὸν βίον οἱ μὴ φοβούμενοι τὸν θάνατον. λακεδαιμονίοις δὲ καὶ ζῆν ἡδέως καὶ θνήσκειν ἀμφότερα ἀρετὴ παρεῖχεν. ὡς δηλοῖ τὸ ἐπικήδιον. οἵδε γάρ φησιν ἔθανον, οὐ τὸ ζῆν θέμενοι καλὸν, οὐδὲ τὸ θνήσκειν, ἀλλὰ τὸ ταῦτα καλῶς ἀμφότερα ἐκτελέσαι. οὔτε γὰρ φυγὴ θανάτου μεμπτὸν, ἂν ὀρέγηταί τις τοῦ βίου μὴ αἰσχρῶς. οὔτε ὑπομονὴ καλὸν, εἰ μετ' ὀλιγωρίας γίνοιτο τοῦ ζῆν. ὅθεν ὅμηρος μὲν ἀεὶ τοὺς θαρραλεωτάτους καὶ μαχιμωτάτους ἄνδρας, εὖ καὶ καλῶς ὡπλισμένους εἰσάγει πρὸς τοὺς ἀγῶνας. οἱ δὲ τῶν ἑλλήνων νομοθέται, τὸν ῥίψασπιν κολάζουσιν. οὐ τὸν ξίφος οὐδὲ λόγχην προέμενον, διδάσκοντες ὅτι τοῦ μὴ παθεῖν κακῶς πρότερον ἢ τοῦ ποιῆσαι τοὺς πολεμίους ἑκάστῳ μέλλειν προσήκει. μάλιστα δὲ ἄρχοντι πόλεως ἢ στρατεύματος. εἰ γὰρ ὡς ἰφικράτης διῄρει. χερσὶ μὲν ἐοίκασιν οἱ ψιλοί. ποσὶ δὲ τὸ ἱππικόν. αὐτὴ δὲ ἡ φάλαγξ, στέρνῳ καὶ θώρακι. κεφαλῇ δὲ ὁ στρατηγὸς, οὐχ αὑτοῦ δόξειεν ἂν ἀποκινδυνεύων παραμελεῖν, καὶ θρασυνόμενος, ἀλλ' ἁπάντων οἷς ἡ σωτηρία γίνεται δι' αὐτοῦ, καὶ τοὐναντίον. ὅθεν ὁ καλλικρατίδας καίπερ ὢν τἆλλα μέγας, οὐκ εὖ πρὸς τὸν μάντιν εἶπε. δεομένου γὰρ αὐτοῦ, φυλάττεσθαι θάνατον, ὡς τῶν ἱερῶν προδηλούντων, ἔφη, μὴ παρ' ἕνα εἶναι τὰν σπάρταν. μαχόμενος γὰρ, εἷς ἦν καὶ πλέων. καὶ στρατευόμενος, ὁ καλλικρατίδας, στρατηγῶν δὲ τὴν ἁπάντων εἶχε συλλαβὼν ἐν αὑτῷ δύναμιν ὥστε οὐκ ἦν εἷς ᾧ τοσοῦτοι συναπώλλυντο. βέλτιον δὲ ἀντίγονος ὁ γέρων, ὅτε ναυμαχεῖν περὶ ἄνδρον ἔμελλεν, εἰπόντος τινὸς ὡς πολὺ πλείους αἱ τῶν πολεμίων νῆες εἶεν, ἐμὲ δὲ αὐτὸν ἔφη, πρὸς πόσας ἀντιστήσεις, μέγα τὸ τῆς ἀρχῆς ὥσπερ ἐστὶν ἀξίωμα ποιῶν μετ' ἐμπειρίας καὶ ἀρετῆς ταττόμενον, ἧς πρῶτον ἔργον ἐστὶ σώζειν τὸν ἅπαντα τἆλλα σώζοντα. διὸ καλῶς ὁ τιμόθεος ἐπιδεικνυμένου ποτὲ τοῖς ἀθηναίοις τοῦ χάρητος ὠτειλάς τινας ἐν τῷ σώματι, καὶ τὴν ἀσπίδα λόγχῃ διακεκομμένην, ἐγὼ δὲ εἶπεν ὡς λίαν ᾐσχύνθην, ὅτι μου πολιορκοῦντος σάμον, ἐγγὺς ἔπεσε βέλος. ὡς μειρακιωδέστερον ἐμαυτῷ χρώμενος, ἢ κατὰ στρατηγὸν καὶ ἡγεμόνα δυνάμεως τοσαύτης. ὅπου μὲν γὰρ εἰς τὰ ὅλα μεγάλην φέρει ῥοπὴν, ὁ τοῦ στρατηγοῦ κίνδυνος, ἐνταῦθα καὶ χειρὶ καὶ σώματι, χρηστέον ἀφειδῶς, χαίρειν φράσαντα τοῖς λέγουσιν, ὡς χρὴ τὸν ἀγαθὸν στρατηγὸν, μάλιστα μὲν ὑπὸ γήρως. εἰ δὲ μὴ, γέροντα θνήσκειν. ὅπου δὲ μικρὸν τὸ περιγινόμενον ἐκ τοῦ κατορθώματος, τὸ δὲ πᾶν συναπόλλυται σφαλέντος, οὐδεὶς ἀπαιτεῖ στρατιώτου πρᾶξιν, κινδύνῳ πραττομένην στρατηγοῦ. Ταῦτα δέ μοι παρέστη προαναφωνῆσαι γράφοντι τὸν πελοπίδου βίον καὶ τὸν μαρκέλλου, μεγάλων ἀνδρῶν, παραλόγως πεσόντων. καὶ γὰρ χειρὶ χρῆσθαι μαχιμώτατοι γενόμενοι, καὶ στρατηγίαις ἐπιφανεστάταις κοσμήσαντες ἀμφότεροι τὰς πατρίδας. ἔτι δὲ τῶν βαρυτάτων ἀνταγωνιστῶν. ὁ μὲν ἀννίβαν ἀήττητον ὄντα, πρῶτος ὡς λέγεται τρεψάμενος. ὁ δὲ γῆς καὶ θαλάττης ἄρχοντας λακεδαιμονίους, ἐκ παρατάξεως νικήσας, ἠφείδησαν ἑαυτῶν σὺν οὐδενὶ λογισμῷ, προέμενοι τὸν βίον, ὁπηνίκα μάλιστα, τοιούτων καιρὸς ἦν ἀνδρῶν σωζομένων καὶ ἀρχόντων. διόπερ ἡμεῖς ἑπόμενοι ταῖς ὁμοιότησι, παραλλήλους ἀνεγράψαμεν αὐτῶν τοὺς βίους. Πελοπίδα τῷ ἱππόκλου, γένος μὲν ἦν εὐδόκιμον ἐν θήβαις, ὥσπερ ἐπαμεινώνδα. τραφεὶς δὲ ἐν οὐσίᾳ μεγάλῃ, καὶ παραλαβὼν ἔτι νέος λαμπρὸν οἶκον, ὥρμησε τῶν δεομένων τοῖς ἀξίοις βοηθεῖν, ἵνα κύριος ἀληθῶς φαίνοιτο χρημάτων γεγονὼς, ἀλλὰ μὴ δοῦλος. τῶν γὰρ πολλῶν ὡς ἀριστοτέλης φησίν. οἱ μὲν οὐ χρῶνται τῷ πλούτῳ διὰ μικρολογίαν. οἱ δὲ παραχρῶνται δι' ἀσωτίαν, καὶ δουλεύοντες, οὗτοι μὲν ἀεὶ ταῖς ἡδοναῖς. ἐκεῖνοι δὲ ταῖς ἀσχολίαις διατελοῦσιν. οἱ μὲν οὖν ἄλλοι τῷ πελοπίδα χάριν ἔχοντες, ἐχρῶντο τῇ πρὸς αὐτοὺς ἐλευθεριότητι καὶ φιλανθρωπίᾳ. μόνον δὲ τῶν φίλων τὸν ἐπαμεινώνδαν, οὐκ ἔπειθε τοῦ πλούτου μεταλαμβάνειν. αὐτὸς μέντοι μετεῖχε τῆς ἐκείνου πενίας, ἐσθῆ-

τὸ ... ἔφη. τὸ πολλοῦ εἶναι τὴν ἀρετὴν ἀξίαν, τὸ μὴ πολλοῦ ἄξιον τὸ ζῆν νομίζειν.

ἔτι δὲ ἑπτακισχίλιοι, τριακόσιοι πεντήκοντα δύο. τῆς δὲ βουλῆς προέγραψε μὲν μάρκον αἰμίλιον λέπιδον, ἤδη τετράκις καρπούμενον ταύτην τὴν προεδρίαν. ἐξέβαλε δὲ τρεῖς συγκλητικοὺς, οὐ τῶν ἐπιφανῶν, καὶ περὶ τὴν τῶν ἱππέων ἐξέτασιν ὁμοίως ἐμετρίασεν. αὐτός τε καὶ μάρκιος φίλιππος ὁ συνάρχων αὐτοῦ. διωκημένων δὲ τῶν πλείστων καὶ μεγίστων, εἰς νόσον ἐνέπεσεν ἀρχῇ μὲν, ἐπισφαλῆ, χρόνῳ δὲ, ἀκίνδυνον. ἐργώδη δὲ καὶ δυσαπάλλακτον, γινομένην. ἐπεὶ δὲ πεισθεὶς ἀπὸ τῶν ἰατρῶν, ἔπλευσεν εἰς ἐλέαν τῆς ἰταλίας, καὶ διέτριβεν αὐτόθι πλείω χρόνον, ἐν παραλίοις ἀγροῖς, καὶ πολλὴν ἡσυχίαν ἔχουσιν. ἐπόθησαν αὐτὸν οἱ ῥωμαῖοι. καὶ φωνὰς πολλάκις ἐν θεάτροις, οἷον εὐχόμενοι, καὶ σπεύδοντες ἰδεῖν ἀφῆκαν. οὔσης δέ τινος ἱερουργίας ἀναγκαίας. ἤδη δὲ καὶ δοκῶν αὑτῷ ἱκανῶς ἔχειν αὐτῷ τοῦ σώματος, ἐπανῆλθεν εἰς ῥώμην. κἀκείνην μὲν, ἔθυσε μετὰ τῶν ἄλλων τὴν θυσίαν ἱερέων ἐπιφανῶς τοῦ δήμου περικεχυμένου, καὶ χαίροντος. τῇ δ᾽ ὑστεραίᾳ πάλιν, ἔθυσεν αὐτὸς ὑπὲρ αὑτοῦ σωτήρια τοῖς θεοῖς καὶ συμπερανθείσης ὡς προείρηται τῆς θυσίας, ἀποστρέψας οἴκαδε καὶ κατακλιθεὶς, πρὶν αἰσθέσθαι καὶ νοῆσαι τὴν μεταβολὴν, ἐν ἐκστάσει καὶ παραφορᾷ τῆς διανοίας γενόμενος, τριταῖος ἐτελεύτησεν. οὐδενὸς ἐνδεής. οὐδ᾽ ἀτελὴς, τῶν πρὸς εὐδαιμονίαν νενομισμένων γενόμενος. καὶ γὰρ ἡ περὶ τὴν ἐκφορὰν πομπὴ, θαυμασμὸν εἶχεν καὶ ζῆλον, ἐπικοσμοῦντα τὴν ἀρετὴν τοῦ ἀνδρὸς, τοῖς ἀρίστοις καὶ μακαριωτάτοις ἐνταφίοις. ταῦτα δ᾽ ἦν, οὐ χρυσὸς οὐδ᾽ ἐλέφας. οὐδ᾽ ἡ λοιπὴ πολυτέλεια καὶ φιλοτιμία τῆς παρασκευῆς, ἀλλ᾽ εὔνοια καὶ τιμὴ, καὶ χάρις, οὐ μόνον παρὰ τῶν πολιτῶν, ἀλλὰ καὶ τῶν πολεμίων. ὅσοι γοῦν κατὰ τύχην παρῆσαν, ἰβήρων καὶ λιγύων, καὶ μακεδόνων. οἱ μὲν ἰσχυροὶ τὰ σώματα καὶ νέοι διαλαβόντες τὸ λέχος, ὑπέδυσαν καὶ παρεκόμιζον. οἱ δὲ πρεσβύτεροι, συνηκολούθουν, ἀνακαλούμενοι τὸν αἰμίλιον. εὐεργέτην καὶ σωτῆρα τῶν πατρίδων. οὐ γὰρ μόνον ἐν οἷς ἐκράτησε καιροῖς. ἠπίως πᾶσι καὶ φιλανθρώπως ἀπηλλάγη χρησάμενος. ἀλλὰ καὶ παρὰ πάντα τὸν λοιπὸν βίον, ἀεί τι πράττων ἀγαθὸν αὐτοῖς. καὶ κηδόμενος ὥσπερ οἰκείων καὶ συγγενῶν, διετέλεσεν. τὴν δ᾽ οὐσίαν αὐτοῦ, μόλις ἑπτὰ καὶ τριάκοντα μυριάδων γενέσθαι λέγουσιν. ἧς αὐτὸς μὲν, ἀμφοτέρους τοὺς υἱοὺς ἀπέλιπε κληρονόμους, ὁ δὲ νεώτερος σκιπίων, τῷ ἀδελφῷ πᾶσαν ἔχειν συνεχώρησεν. αὐτὸς εἰς οἶκον εὐπορώτερον, τὸν ἀφρικανοῦ δεδομένος. οὗτος μὲν ὁ παύλου αἰμιλίου τρόπος, καὶ βίος λέγεται γενέσθαι.

[illegible] σὺν εὐχόμενοι forrasse corrupta est. significatum ipsius vocis Vide in fine [illegible] [illegible] Socratis [illegible] [illegible] γέλω[illegible] [illegible]

εὐθὺ τὸ στρατόπεδον γράμματα καλοῦσα, καὶ μεταπεμπομένη τοὺς ὑπάτους, ὅπως ἐπανελθόντες, ὅτι τάχιστα τὴν ἀρχὴν ἀπείπωνται. καὶ μηδὲν ὡς ὕπατοι φθάσωσι πρᾶξαι, πρὸς τοὺς πολεμίους.

Ταῦτα δεξάμενος τὰ γράμματα φλαμμίνιος, οὐ πρότερον ἔλυσεν, ἢ μάχῃ συνάψας, τρέψασθαι τοὺς βαρβάρους καὶ τὴν χώραν αὐτῶν ἐπιδραμεῖν. ὡς οὖν ἐπανῆλθεν μετὰ πολλῶν λαφύρων, οὐκ ἀπήντησεν ὁ δῆμος, ἀλλ' ὅτι καλούμενος οὐκ εὐθὺς ὑπήκουσεν, οὐδὲ ἐπείσθη τοῖς γράμμασιν, ἀλλ' ἐνύβρισε καὶ κατεφρόνησεν, μικροῦ μὲν ἐδέησεν ἀποψηφίζεσθαι τὸν θρίαμβον αὐτοῦ, θριαμβεύσαντα δὲ, ἰδιώτην ἐποίησεν, ἀναγκάσας ἐξομόσασθαι τὴν ὑπατείαν, μετὰ τοῦ συνάρχοντος. οὕτω πάντα τὰ πράγματα ῥωμαίοις, εἰς τὸν θεὸν ἀνήγετο. μαντειῶν δὲ καὶ πατρίων ὑπεροψίαν, οὐδ' ἐπὶ ταῖς μεγίσταις εὐπραξίαις ἀπεδέχοντο, μεῖζον ἡγούμενοι πρὸς σωτηρίαν πόλεως, τὸ θαυμάζειν τὰ θεῖα τοὺς ἄρχοντας, ἢ τὸ κρατεῖν τῶν πολεμίων. τιβέριος οὖν σεμπρώνιος, ἀνὴρ δι' ἀνδρίαν καὶ καλοκαγαθίαν, οὐδενὸς ἧττον ἀγαπηθεὶς ὑπὸ ῥωμαίων, ἀπέδειξε μὲν ὑπατεύων διαδόχους, σκιπίωνα νασικᾶν, καὶ γάϊον μάρκιον. ἤδη δὲ, ἐχόντων αὐτῶν ἐπαρχίας, καὶ στρατεύμασιν, ἱερατικοῖς ὑπομνήμασιν ἐντυχὼν, εὗρεν ἠγνοημένον ὑφ' αὐτοῦ τι τῶν πατρίων. ἦν δὲ τοιοῦτον. ὅταν ἄρχων ἐπ' ὄρνισι καθεζόμενος, ἔξω πόλεως οἶκον ἢ σκηνὴν, μεμισθωμένην, ὑπ' αἰτίας τινὸς ἀναγκασθῇ, μήπω γεγονότων σημείων βεβαίων ἐπανελθεῖν εἰς πόλιν, ἀφεῖναι ἐχρῆν, τὸ προμεμισθωμένον οἴκημα, καὶ λαβεῖν ἕτερον ἐξ οὗ ποιήσεται τὴν θέαν αὖθις ἐξ ὑπαρχῆς. τοῦτο ἔλαθεν ὡς ἔοικε τὸν τιβέριον. καὶ δὶς τῷ αὐτῷ χρησάμενος, ἀπέδειξε τοὺς εἰρημένους ἄνδρας ὑπάτους. ὕστερον δὲ γνοὺς τὴν ἁμαρτίαν, ἀνήνεγκε πρὸς τὴν σύγκλητον. ἡ δὲ οὐ κατεφρόνησε τοῦ κατὰ μικρὸν οὕτως ἐλλείματος. ἀλλ' ἔγραψε τοῖς ἀνδράσι. καὶ ἐκεῖνοι τὰς ἐπαρχίας ἀπολιπόντες, ἐπανῆλθον εἰς ῥώμην ταχὺ, καὶ κατέθεντο τὴν ἀρχήν. ἀλλὰ ταῦτα μὲν ὕστερον ἐπράχθη. περὶ δὲ τοὺς αὐτοὺς ἐκείνους χρόνους, καὶ δύο ἱερεῖς ἐπιφανέστατοι, τὰς ἱερωσύνας ἀφηρέθησαν. κορνήλιος μὲν κέθηγος, ὅτι τὰ σπλάγχνα τοῦ ἱερείου, παρὰ τάξιν ἐπέδωκεν. κοΐντος δὲ σουλπίκιος, ἐπὶ τῷ θύοντος αὐτοῦ τὸν κορυφαῖον ἀπορρυῆναι τῆς κεφαλῆς πῖλον, ὃν οἱ καλούμενοι φλαμίνιοι φοροῦσι. μινικίου δὲ δικτάτωρος, ἵππαρχον ἀποδείξαντος γάϊον φλαμμίνιον. ἐπεὶ τρισμὸς ἠκολουθει μυὸς, ὃν σόρικα καλοῦσι, ἀποψηφισάμενοι τούτους, αὖθις ἑτέρους κατέστησαν. καὶ τὴν ἐν οὕτω μικροῖς ἀκρίβειαν φυλάττοντες, οὐδεμιᾶ προσεμίγνυσαν δεισιδαιμονία, τῷ μηδὲν ἀλλάττειν μηδὲ παρεκβαίνειν τῶν πατρίων. Ὡς δ' οὖν ἐξωμόσαντο τὴν ἀρχὴν οἱ περὶ τὸν φλαμμίνιον διὰ τῶν καλουμένων μεσοβασιλέων, ὕπατος ἀποδείκνυται μάρκελλος. καὶ παραλαβὼν τὴν ἀρχὴν, ἀποδείκνυσιν αὐτῷ συνάρχοντα γνάϊον κορνήλιον. ἐλέχθη μὲν οὖν ὡς πολλὰ συμβατικὰ τῶν γαλατῶν, καὶ τῆς βουλῆς εἰρηναῖα βουλομένης, ὁ μάρκελλος ἐξετράχυνε τὸν δῆμον ἐπὶ τὸν πόλεμον. οὐ μὴν ἀλλὰ καὶ γενομένης εἰρήνης, ἀνακαινίσαι τὸν πόλεμον οἱ γαισάται δοκοῦσι, τὰς ἄλπεις ὑπερβαλόντες, καὶ τοὺς ἰνσόμβρους ἐπάραντες, τρισμύριοι γὰρ ὄντες προσεγένοντο, πολλαπλασίοις ἐκείνοις οὖσι. καὶ μέγα φρονοῦντες, εὐθὺς ἐπ' ἀκέρρας ὥρμησαν πόλιν, ὑπὲρ ποταμοῦ πάδου ἀνῳκισμένην. ἐκεῖθεν δὲ μυρίους τῶν γαισατῶν ὁ βασιλεὺς βριτόματος ἀναλαβὼν, τὴν περὶ πάδον χώραν ἐπόρθει. ταῦτα μάρκελλος πυθόμενος, τὸν μὲν συνάρχοντα, πρὸς ἀκέρρας ἀπέλιπε, τὴν πεζὴν καὶ βαρεῖαν ὁμοῦ πᾶσαν ἔχοντα δύναμιν, καὶ τῶν ἱππέων μέρος τρίτον. αὐτὸς δὲ, τοὺς λοιποὺς ἱππεῖς ἀναλαβὼν, καὶ τοὺς ἐλαφροτάτους τῶν ὁπλιτῶν περὶ ἑξακοσίους, ἤλαυνεν. οὔτε ἡμέρας, οὔτε νύκτας ἀνεὶς τὸν δρόμον, ἕως ἐπέβαλε τοῖς μυρίοις γαισάταις, περὶ τὸν καλούμενον καπίδιον, γαλατικὴν κώμην, οὐ πρὸ πολλοῦ, ῥωμαίοις ὑπήκοον γεγενημένην. ἀναλαβεῖν δὲ καὶ διαναπαῦσαι τὸν στρατὸν, οὐκ ὑπῆρξεν αὐτῷ. ταχὺ γὰρ αἴσθησιν τοῖς βαρβάροις ἀφικομένοις παρέσχε, καὶ κατεφρονήθη πεζῶν μὲν ὀλίγων παντάπασιν ὄντων σὺν αὐτῷ. τὸ δ' ἱππικὸν ἐν οὐδενὶ λόγῳ τῶν κελτῶν τιθεμένων, κράτιστοι γὰρ ὄντες ἱππομαχεῖν, καὶ μάλιστα τούτῳ διαφέρειν δοκοῦντες, τότε καὶ πλήθει πολὺ τὸν μάρκελλον ὑπερέβαλλον. εὐθὺς οὖν ἐπ' αὐτὸν ὡς ἀναρπασόμενοι, μετὰ βίας πολλῆς καὶ δεινῶν ἀπειλῶν ἐφέροντο, τοῦ βασιλέως προϊππεύοντος. ὁ δὲ μάρκελλος ὡς μὴ φθαῖεν αὐτὸν ἐγκυκλωσάμενοι, καὶ περιχυθέντες, ὀλίγιστον ὄντα, τὰς ἴλας ἦγε πόρρω τῶν ἱππέων, καὶ παρήλαυνε, λεπτὸν ἐκτείνων τὸ κέρας, ἄχρις οὗ μικρὸν ἀπεῖχε τῶν πολεμίων. ἤδη δέ πως εἰς ἐμβολὴν ἐπιστρέφοντος αὐτοῦ, συντυγχάνει τὸν ἵππον πτυρέντα τῇ γαυρότητι τῶν πολεμίων, ἀποστραφέσθαι, καὶ βίᾳ φέρειν ὀπίσω τὸν μάρκελλον. ὁ δὲ, τοῦτο δείσας, μὴ ταραχὴν ἐκ δεισιδαιμονίας τοῖς ῥωμαίοις ἐνεργάσηται, ταχὺ περισπάσας, ἐφ' ἡνίαν τῷ χαλινῷ, καὶ περιστρέψας τὸν ἵππον, ἐναντίον τοῖς πολεμίοις, καὶ τὸν ἥλιον αὐτὸς προσεκύνησεν, ὡς δὴ μὴ κατὰ τύχην, ἀλλ' ἕνεκα τούτου τῇ περιαγωγῇ χρησάμενος. οὕτω γὰρ ἔθος ἐστὶ ῥωμαίοις, προσκυνεῖν τοὺς θεοὺς, περιστρεφομένους, αὐτὸν ἤδη, προσμιγνύντα τοῖς ἐναντίοις, προσεύξασθαι τῷ φερετρίῳ διῒ τὰ κάλλιστα τῶν παρὰ τοῖς πολεμίοις ὅπλων καθιερώσειν. ἐν τούτῳ δὲ, κατιδὼν ὁ τῶν γαλατῶν βασιλεὺς, καὶ τεκμηράμενος ἀπὸ τῶν συμβόλων ἄρχοντα τοῦτον εἶναι. πολὺ πρὸ τῶν ἄλλων ἐξελάσας τὸν ἵππον, ὑπηντίασεν ἅμα τῇ φωνῇ, προκλητικὸν ἐπαλαλάζων, καὶ τὸ δόρυ κραδαίνων, ἀνὴρ μεγέθει τε σώματος, ἔξοχος γαλατῶν, καὶ πανοπλία ἐν ἀργυ

Ἄρκον δὲ κλαύδιον τὸν πεντάκις ὑπατεύσαντα ῥωμαίων. μάρκου μὲν υἱὸν γενέσθαι λέγουσιν. κληθῆναι δὲ τῶν ἀπὸ τῆς οἰκίας πρῶτον μάρκελλον. ὅπερ ἐστὶν ἀρήιον, ὥς φησι ποσειδώνιος. ἦν γὰρ τῇ μὲν ἐμπειρίᾳ πολεμικός. τῷ δὲ σώματι, ῥωμαλέος. τῇ δὲ χειρὶ, πλήκτης. τῇ δὲ φύσει φιλοπόλεμος. καὶ τούτω δὴ, πολὺ τὸ γαῦρον καὶ ἀγέρωχον ἐπιφαίνων ἐν τοῖς ἀγῶσι. τῷ δὲ ἄλλῳ τρόπῳ, σώφρων. φιλάνθρωπος. ἑλληνικῆς παιδείας καὶ λόγων, ἄχρι τοῦ τιμᾶν, καὶ θαυμάζειν τοὺς κατορθοῦντας ἐραστής. αὐτὸς δὲ, ὑπ' ἀσχολιῶν ἐφ' ὅσον ἦν πρόθυμος ἀσκῆσαι καὶ μαθεῖν οὐκ ἐξικόμενος. εἰ γὰρ ἄλλοις τισὶν ἀνθρώποις ὁ θεὸς, ὥσπερ ὅμηρος εἴρηκεν, ἐκ νεότητος ἔδωκεν καὶ ἐς γῆρας τολυπεύειν ἀργαλέους πολέμους, καὶ τοῖς τότε πρωτεύουσι ῥωμαίων. οἱ νέοι μὲν ὄντες, περὶ σικελίαν καρχηδονίοις. ἀκμάζοντες δὲ γαλάταις, ὑπὲρ αὐτῆς ἰταλίας ἐπολέμουν. ἤδη δὲ γηρῶντες, ἀννίβᾳ πάλιν συνείχοντο, καὶ καρχηδονίοις οὐκ ἔχοντες ὥσπερ οἱ πολλοὶ, διὰ γῆρας ἀνάπαυσιν στρατειῶν, ἀλλ' ἐπὶ στρατηγίας πολέμων καὶ ἡγεμονίας, κατ' εὐγένειαν καὶ ἀρετὴν ἀγόμενοι.

Μάρκελλος δὲ, πρὸς οὐδὲν μὲν ἦν μάχης εἶδος ἀργὸς, οὐδὲ ἀνάσκητος. αὐτὸς δὲ αὑτοῦ, κράτιστος ἐν τῷ μονομαχεῖν γινόμενος, οὐδεμίαν πρόκλησιν ἔφυγεν. πάντας δὲ τοὺς προκαλεσαμένους, ἀπέκτεινεν. ἐν δὲ σικελίᾳ τὸν ἀδελφὸν ὀτακίλιον κινδυνεύοντα διέσωσεν ὑπερασπίσας καὶ ἀποκτείνας τοὺς ἐπιφερομένους. ἀνθ' ὧν ὄντι μὲν ἔτι νέῳ στέφανοι καὶ γέρα παρὰ τῶν στρατηγῶν ἦσαν. εὐδοκιμοῦντα δὲ μᾶλλον, ἀγορανόμον μὲν ἀπέδειξεν τῆς ἐπιφανεστέρας τάξεως ὁ δῆμος. οἱ δ' ἱερεῖς αὐγούρα. τοῦτο δ' ἐστὶν ἱερωσύνης εἶδος ᾧ μάλιστα, τὴν ἀπ' οἰωνῶν μαντικὴν ἐπιβλέπειν, καὶ παραφυλάττειν νόμος δέδωκεν. ἠναγκάσθη δὲ ἀγορανομῶν. δίκην ἀβούλητον εἰσενεγκεῖν. ἦν γὰρ αὐτῷ παῖς ὁμώνυμος. ἐν ὥρᾳ τὴν ὄψιν ἐκπρεπὴς, οὐχ ἧττον δὲ, τῷ σωφρονεῖν, καὶ πεπαιδεῦσθαι περίβλεπτος ὑπὸ τῶν πολιτῶν. τούτῳ καπιτωλῖνος ὁ τοῦ μαρκέλλου συνάρχων, ἀσελγὴς ἀνὴρ καὶ θρασὺς ἐρῶν, λόγους προσήνεγκεν. τοῦ δὲ παιδὸς, τὸ μὲν πρῶτον αὐτοῦ καθ' ἑαυτὸν ἀποτειψαμένου τὴν πεῖραν. ὡς δὲ αὖθις ἐπεχείρησεν, κατειπόντος πρὸς τὸν πατέρα, βαρέως ἐνεγκὼν ὁ μάρκελλος, προσήγγειλε τῇ βουλῇ τὸν ἄνθρωπον. ὁ δὲ, πολλὰς μὲν ἀποστροφὰς καὶ παραγραφὰς ἐμηχανᾶτο, τοὺς δημάρχους ἐπικαλούμενος. ἐκείνων δὲ μὴ προσδεχομένων τὴν ἐπίκλησιν, ἀρνήσει τὴν αἰτίαν ἔφυγε. καὶ μάρτυρος οὐδενὸς τῶν λόγων γεγονότος, ἔδοξε μεταπέμπεσθαι τὸν παῖδα τῇ βουλῇ. παραγενομένου δ' ἰδόντες ἐρύθημα καὶ δάκρυον, καὶ μεμιγμένον ἀπαύστῳ θυμουμένῳ τὸ αἰδούμενον, οὐδενὸς ἄλλου δεηθέντες τεκμηρίου κατεψηφίσαντο, καὶ χρήμασιν ἐζημίωσαν καπιτωλῖνον. ἐξ ὧν ὁ μάρκελλος ἀργυραμοιβίαν ποιησάμενος, τοῖς θεοῖς καθιέρωσεν. ἐπεὶ δὲ τοῦ πρώτου τῶν καρχηδονίων πολέμου ἔτει δευτέρῳ καὶ εἰκοστῷ συναιρεθέντος, ἀρχαὶ πάλιν γαλατικῶν ἀγώνων, διεδέχοντο τὴν ῥώμην. οἱ δὲ τὴν ὑπαλπείαν νεμόμενοι τῆς ἰταλίας ἴβηρες, κελτικὸν ἔθνος, μεγάλοι καὶ καθ' ἑαυτοὺς ὄντες, δυνάμεις ἐκάλουν, καὶ μετεπέμποντο γαλατῶν, τοὺς μισθοῦ στρατευομένους οἳ γεράται καλοῦνται. καὶ θαυμαστὸν μὲν ἐδόκει, καὶ τύχης ἀγαθῆς γενέσθαι, τὸ μὴ συρραγῆναι τὸν κελτικὸν εἰς τὸ αὐτὸ τῷ λιβυκῷ πόλεμον. ἀλλ' ὥσπερ ἐφεδρείαν εἰληφότας τοὺς γαλάτας, ὀρθῶς καὶ δικαίως ἀτρεμήσαντας μαχομένων ἐκείνων, οὕτω τότε δὴ τοῖς νενικηκόσιν ἐπαποδύεσθαι, καὶ προκαλεῖσθαι σχολὴν ἄγοντας. οὐ μὴν, ἀλλὰ μέγαν ἥ τε χώρα παρεῖχε φόβον. διὰ τὴν γειτνίασιν ὁμόρῳ καὶ προσοίκῳ πολέμῳ συνοισομένοις, καὶ τὸ παλαιὸν ἀξίωμα τῶν γαλατῶν, οὓς μάλιστα ῥωμαῖοι δεῖσαι δοκοῦσιν. ἅτε δὴ καὶ τὴν πόλιν ὑπ' αὐτῶν ἀποβαλόντες. ἐξ ἐκείνου δὲ, καὶ θέμενοι νόμον, ἀτελεῖς εἶναι στρατείας τοὺς ἱερέας. πλὴν, εἰ μὴ γαλατικὸς πάλιν ἐπέλθοι πόλεμος. ἐδήλου δὲ καὶ τὸν φόβον αὐτῶν, ἥ τε παρασκευὴ, μυριάδες γὰρ ἐν ὅπλοις ἅμα τοσαῦται ῥωμαίων, οὔτε πρότερον, οὔτε ὕστερον γενέσθαι λέγονται. καὶ τὰ περὶ τὰς θυσίας καινοτομούμενα. βαρβαρικὸν μὲν οὐδὲν, οὐδ' ἔκφυλον ἐπιτηδεύοντες, ἀλλ' ὡς ἔνι μάλιστα ταῖς δόξαις, ἑλληνικῶς διακείμενοι. καὶ πρᾴως πρὸς τὰ θεῖα. τότε τοῦ πολέμου συμπεσόντος, ἠναγκάσθησαν εἶξαι λογίοις τισὶν ἐκ τῶν σιβυλλείων, δύο μὲν ἕλληνας. ἄνδρα καὶ γυναῖκα. δύο δὲ γαλάτας ὁμοίως ἐν τῇ καλουμένῃ βοῶν ἀγορᾷ, κατορύξαι ζῶντας. οἷς ἔτι καὶ νῦν ἐν τῷ νοεμβρίῳ μηνὶ δρῶσιν ἕλλησι, καὶ γαλάταις, ἀπορρήτους καὶ ἀθεάτους ἱερουργίας. οἱ μὲν οὖν πρῶτοι τῶν ἀγώνων, νίκας τε μεγάλας καὶ σφάλματα τοῖς ῥωμαίοις ἐνέγκαντες, εἰς οὐδὲν ἐτελεύτησαν πέρας βέβαιον. φλαμμινίου δὲ καὶ φουρίου τῶν ὑπάτων, μεγάλαις ἐκστρατευσάντων δυνάμεσιν ἐπὶ τοὺς ἰνσόμβρας, ὤφθη μὲν αἵματι ῥέων, ὁ διὰ τῆς πικηνίδος χώρας ποταμὸς, ἐλέχθη δὲ τρεῖς σελήνας φανῆναι, περὶ πόλιν ἀρίμινον. οἱ δὲ περὶ τὰς ὑπατικὰς ψηφοφορίας παραφυλάττοντες οἰωνοὺς ἱερεῖς, διεβεβαιοῦντο, μοχθηρὰς καὶ δυσόρνιθας αὐτοῖς γεγονέναι, τὰς τῶν ὑπάτων ἀναγορεύσεις. εὐθὺς οὖν, ἔπεμψεν ἡ σύγκλητος

λεν τῶν τειχῶν, ὡς ἂν δοκοῖεν αἱ πόλεις πενθεῖν, ἀφαιρεῖν τὴν πρόσθεν μορφῆς, κουρίμου σχῆμα καὶ ἄτιμον ἀναλαμβανούσας. ταῦτα μὲν οὖν προστάγματι δεσποτῶν ὄντα, καὶ μετὰ πολλῆς ἀνάγκης περαινόμενα. καὶ μετὰ φθόνου τῶν τυχόντων. καὶ μίσους τῶν βιαζομένων, οὐδεμιᾶς χάριτος ἦν, οὐδὲ τιμῆς, ὄγκου δὲ βαρβαρικοῦ, καὶ τρυφῆς καὶ ἀλαζονείας ἐπίδειξις, εἰς κενὰ καὶ ἄζηλα τὴν περιουσίαν διατιθεμένων. ἀνὴρ δὲ δημοτικὸς ἐπὶ ξένης τεθνηκώς, οὐ γυναικός, οὐ παίδων, οὐ συγγενῶν παρόντων. οὐ δεομένου τινός, οὐκ ἀναγκάζοντος, ὑπὸ δήμων τοσούτων καὶ πόλεων ἁμιλλωμένων, προπεμπόμενος καὶ συνεκκομιζόμενος, καὶ στεφανούμενος, εἰκότως ἐδόκει τὸν τελεώτατον ἀπέχειν εὐδαιμονισμόν. οὐ γὰρ ὡς Αἴσωπος ἔφασκε, χαλεπώτατός ἐστιν ὁ τῶν εὐτυχούντων θάνατος, ἀλλὰ μακαριώτατος, εἰς ἀσφαλῆ χώραν, τὰς εὐπραξίας κατατιθέμενος τῶν ἀγαθῶν, καὶ τύχην μεταβάλλεσθαι ἀπολιπών. διὸ βέλτιον ὁ Λάκων τὸν ὀλυμπιονίκην Διαγόραν, ἐπιδόντα μὲν υἱοὺς στεφανουμένους ὀλυμπίασιν, ἐπιδόντα δ' υἱωνοὺς καὶ θυγατριδοῦς, ἀσπασάμενος, κάτθανε, εἶπε Διαγόρα, οὐκ εἰς τὸν Ὄλυμπον ἀναβήσῃ. τὰς δὲ Ὀλυμπικὰς καὶ Πυθικὰς νίκας, οὐκ ἂν οἶμαί τις, εἰς τὸ αὐτὸ συνθεὶς ἁπάσας, ἑνὶ τῶν Πελοπίδου παραβαλεῖν ἀγώνων ἀξιώσειεν. οὓς πολλοὺς ἀγωνισάμενος καὶ κατορθώσας. καὶ τοῦ βίου τὸ πλεῖστον ἐν δόξῃ καὶ τιμῇ βιώσας, τέλος, ἐν τῇ τρισκαιδεκάτῃ βοιωταρχίᾳ τυραννοκτονίᾳ μεμιγμένην ἀριστείαν ἀριστεύων, ὑπὲρ τῆς τῶν Θετταλῶν ἐλευθερίας ἀπέθανεν.

Ὁ δὲ θάνατος αὐτοῦ, μεγάλα μὲν ἐλύπησε τοὺς συμμάχους, μείζονα δὲ ὠφέλησεν. Θηβαῖοι γὰρ ὡς ἐπύθοντο τὴν τοῦ Πελοπίδου τελευτήν, οὐδεμίαν ἀναβολὴν ποιησάμενοι τῆς τιμωρίας, κατὰ τάχος ἐστράτευσαν ὁπλίταις ἑπτακισχιλίοις. ἱππεῦσι δ' ἑπτακοσίοις, ἡγουμένου Μαλκίτου, καὶ Διογείτονος. καταλαβόντες δὲ, συνεσταλμένον, καὶ περιῃρημένον τῆς δυνάμεως Ἀλέξανδρον, ἠνάγκασαν Θετταλοῖς μὲν ἀποδοῦναι τὰς πόλεις ἃς εἶχεν αὐτῶν. Μάγνητας δὲ καὶ Φθιώτας, καὶ Ἀχαιούς, ἀφεῖναι, καὶ τὰς φρουρὰς ἐξαγαγεῖν. ὀμόσαι δὲ αὐτόν, ἐφ' οὓς ἂν ἡγῶνται Θηβαῖοι, καὶ κελεύωσιν, ἀκολουθήσειν. Θηβαῖοι μὲν οὖν, τούτοις ἠρκέσθησαν. ἣν δὲ ὀλίγον ὕστερον τοῖς θεοῖς ὑπὲρ Πελοπίδου δίκην ἔδωκεν, διηγήσομαι. Θήβην τὴν συνοικοῦσαν αὐτῷ, πρῶτον μὲν ὡς εἴρηται, Πελοπίδας ἐδίδαξε, μὴ φοβεῖσθαι τὴν ἔξω λαμπρότητα, καὶ παρασκευὴν τῆς τυραννίδος. ἐντὸς τῶν ὅπλων καὶ τῶν φυγάδων οὖσαν. ἔπειτα δέ, φοβουμένη τὴν ἀπιστίαν αὐτοῦ, καὶ μισοῦσα τὴν ὠμότητα, συνθεμένη μετὰ τῶν ἀδελφῶν, τριῶν ὄντων, Τισιφόνου. Πυθολάου, Λυκόφρονος, ἐπεχείρει τὸν δὲ τὸν τρόπον. τὴν μὲν ἄλλην οἰκίαν τοῦ τυράννου, κατεῖχον αἱ φυλακαὶ τῶν παρανυκτερευόντων. ὁ δὲ θάλαμος ἐν ᾧ καθεύδειν εἰώθεσαν, ὑπερῷος ἦν, καὶ πρὸ αὐτοῦ φυλακὴν εἶχεν, κύων δεδεμένος πᾶσι φοβερός, πλὴν αὐτοῖς ἐκείνοις, καὶ ἑνὶ τῶν οἰκετῶν τῷ τρέφοντι.

q. καθ' ὃν οὖν ἔμελλε καιρὸν ἐπιχειρεῖν ἡ Θήβη. τοὺς μὲν ἀδελφούς, ἀφ' ἡμέρας εἶχε πλησίον ἐν οἴκῳ τινὶ κεκρυμμένους. εἰσελθοῦσα δὲ ὡς περ εἰώθει μόνη πρὸς τὸν Ἀλέξανδρον ἤδη καθεύδοντα, καὶ μετὰ μικρὸν πάλιν προελθοῦσα, τῷ μὲν οἰκέτῃ προσέταξεν, ἀπάγειν ἔξω τὸν κύνα. βούλεσθαι γὰρ ἀναπαύεσθαι μεθ' ἡσυχίας ἐκεῖνον, αὐτὴ δὲ τὴν κλίμακα φοβουμένη μὴ κτύπον παρέχῃ τῶν νεανίσκων ἀναβαινόντων, ἐρίοις κατεστόρεσεν. εἶτα οὕτως ἀναγαγοῦσα τοὺς ἀδελφοὺς ξιφήρεις. καὶ στήσασα πρὸ τῶν θυρῶν, εἰσῆλθεν αὐτή, καὶ καθελοῦσα τὸ ξίφος ὑπὲρ τῆς κεφαλῆς κρεμάμενον, σημεῖον εἶναι τοῦ κατέχεσθαι τὸν ἄνδρα καὶ καθεύδειν ἔδειξεν. ἐκπεπληγμένων δὲ τῶν νεανίσκων, καὶ κατοκνούντων, κακίζουσα καὶ διομνυμένη μετ' ὀργῆς, αὐτὴ τὸν Ἀλέξανδρον ἐξεγείρασα μηνύσειν τὴν πρᾶξιν, αἰσχυνθέντας αὐτοὺς ἅμα καὶ φοβηθέντας, εἰσήγαγε, καὶ περιέστησεν τῇ κλίνῃ προσφέρουσα τὸν λύχνον. τῶν δὲ ὁ μὲν, τοὺς πόδας κατεῖχεν πιέσας. ὁ δὲ τὴν κεφαλὴν λαβόμενος τῶν τριχῶν ἀνέκλασεν. ὁ δὲ τρίτος, τῷ ξίφει τύπτων αὐτὸν διεχρήσατο. τῷ μὲν τάχει τῆς τελευτῆς, πρότερον ἴσως, ἢ προσῆκον ἦν ἀποθανόντα, τῷ δὲ μόνῳ, πρῶτον τύραννον ὑπὸ γυναικὸς ἰδίας ἀπολέσθαι. καὶ τῇ μετὰ θάνατον αἰκίᾳ τοῦ πώματος, ῥιφέντος καὶ πατηθέντος ὑπὸ τῶν Φεραίων, ἄξια πεπονθέναι δόξαντα τῶν παρανομημάτων.

ἐφ. ς. τ.

σώματος. ς. τ. κ. q.

συνέβαινεν ἤδη καὶ διεφθαρμένην εὑρήσειν, ἐξ ὧν διείλεκτο τῇ Θήβῃ, μάλιστα δ᾽ αὐτὸν καὶ παρεκάλει τὸ τῆς πράξεως κάλλος ἐπιθυμοῦντα, καὶ φιλοτιμούμενον, ἐν οἷς χρόνοις Λακεδαιμόνιοι Διονυσίῳ τῷ Σικελίας τυράννῳ, στρατηγοὺς καὶ ἁρμοστὰς ἔπεμπον. Ἀθηναῖοι δὲ, μισθοδότην Ἀλέξανδρον εἶχον, καὶ χαλκοῦν ἵστασαν, ὡς εὐεργέτην, τότε τοῖς Ἕλλησιν ἐπιδεῖξαι Θηβαίους μόνους ὑπὲρ τῶν τυραννουμένων στρατευομένους, καὶ καταλύοντας ἐν τοῖς Ἕλλησι τὰς παρανόμους καὶ βιαίους δυναστείας. ὡς οὖν εἰς Φάρσαλον ἐλθὼν, ἤθροιζε τὴν δύναμιν, εὐθὺς ἐβάδιζεν ἐπὶ τὸν Ἀλέξανδρον. ὁ δὲ, Θηβαίους μὲν ὀλίγους περὶ τὸν Πελοπίδαν ὁρῶν, αὐτὸς δὲ πλείους ἔχων, ἢ διπλασίους ὁπλίτας τῶν Θετταλῶν, ἀπήντα πρὸς τὸ Θετίδιον. εἰπόντος δέ τινος τῷ Πελοπίδᾳ, πολλοὺς ἔχοντα τὸν τύραννον ἐπέρχεσθαι, βέλτιον ἔφη· πλείονας γὰρ νικήσομεν. ἀντιτεινόντων δὲ πρὸς τὸ μέσον κατὰ τὰς καλουμένας Κυνὸς κεφαλὰς, λόφων περικλινῶν καὶ ὑψηλῶν, ὥρμησαν ἀμφότεροι τούτους καταλαβεῖν τοῖς πεζοῖς. τοὺς δ᾽ ἱππεῖς ὁ Πελοπίδας, πολλοὺς κἀγαθοὺς ὄντας, ἐφῆκε τοῖς ἱππεῦσι τῶν πολεμίων. ὡς δὲ οὗτοι μὲν ἐκράτουν, καὶ συνεξέπεσον εἰς τὸ πεδίον τοῖς φεύγουσιν. ὁ δὲ Ἀλέξανδρος ὤφθη τοὺς λόφους καταλαβὼν, τοῖς ὁπλίταις τῶν Θετταλῶν ὕστερον ἐπερχομένοις, καὶ πρὸς ἰσχυρὰ καὶ μετέωρα χωρία βιαζομένοις, ἐμβαλὼν, ἔκτεινε τοὺς πρώτους. οἱ δὲ ἄλλοι, πληγὰς λαβόντες οὐδὲν ἔπρασσον. κατιδὼν οὖν ὁ Πελοπίδας. τοὺς μὲν ἱππεῖς, ἀνεκαλεῖτο. καὶ πρὸς τὸ συνεστηκὸς τῶν πολεμίων, ἐλαύνειν ἐκέλευεν, αὐτὸς δὲ συνέμιξε δρόμῳ, τοῖς περὶ τοὺς λόφους μαχομένοις, εὐθὺς τὴν ἀσπίδα λαβὼν, καὶ διὰ τῶν ὄπισθεν ὠσάμενος εἰς τοὺς πρώτους, τοσαύτην ἐνεποίησε ῥώμην, καὶ προθυμίαν ἅπασιν, ὥστε καὶ τοῖς πολεμίοις ἑτέρους δοκεῖν γεγονότας, καὶ σώμασι καὶ ψυχαῖς ἐπέρχεσθαι. καὶ δύο μὲν, ἢ τρεῖς, ἀπεκρούσαντο προσβολάς. ὁρῶντες δὲ καὶ τούτους ἐπιβαίνοντας εὐρώστως καὶ τὴν ἵππον ἀπὸ τῆς διώξεως ἀναστρέφουσαν, εἶξαν ἐπὶ σκέλος ποιούμενοι τὴν ἀναχώρησιν. ὁ δὲ Πελοπίδας, ἀπὸ τῶν ἄκρων κατιδὼν ἅπαν τὸ στρατόπεδον τῶν πολεμίων, οὔπω μὲν εἰς φυγὴν τετραμμένον, ἤδη δὲ θορύβου καὶ ταραχῆς ἀναπιμπλάμενον, ἔστη καὶ περιέσκεψεν αὐτὸν, ζητῶν τὸν Ἀλέξανδρον. ὡς δ᾽ εἶδεν αὐτὸν ἐπὶ τοῦ δεξιοῦ παραθαρρύνοντα, καὶ συντάττοντα τοὺς μισθοφόρους, οὐ κατέσχε τῷ λογισμῷ τὴν ὀργὴν, ἀλλὰ πρὸς τὴν βλέψιν ἀναφλεχθεὶς, καὶ τῷ θυμῷ παραδοὺς τὸ σῶμα, καὶ τὴν ἡγεμονίαν τῆς πράξεως, πολὺ πρὸ τῶν ἄλλων ἐξαλλόμενος ἐφέρετο βοῶν καὶ προκαλούμενος τὸν τύραννον. ἐκεῖνος μὲν οὖν, οὐκ ἐδέξατο τὴν ὁρμὴν οὐδὲ ὑπέμεινεν, ἀλλ᾽ ἀναφυγὼν πρὸς τοὺς δορυφόρους ἐνέκρυψεν ἑαυτόν. τῶν δὲ μισθοφόρων, οἱ μὲν πρῶτοι συμβαλόντες εἰς χεῖρας, ἀνεκόπησαν ὑπὸ τοῦ Πελοπίδου, τινὲς δὲ καὶ πληγέντες ἐτελεύτησαν. οἱ δὲ πολλοί. τοῖς δόρασι πόρρωθεν διὰ τῶν ὅπλων τύπτοντες αὐτὸν κατετραυμάτιζον. ἕως οἱ Θετταλοὶ περιπαθήσαντες ἀπὸ τῶν λόφων, δρόμῳ προσεβοήθησαν. ἤδη δὲ πεπτωκότος. οἵ τε ἱππεῖς προσελάσαντες, ὅλην ἐτρέψαντο τὴν φάλαγγα, καὶ διώξαντες ἐπὶ πλεῖστον, ἐνέπλησαν νεκρῶν τὴν χώραν, πλέον ἢ τρισχιλίους καταβαλόντες.

Τὸ μὲν οὖν Θηβαίων τοὺς παρόντας ἐπὶ τῇ τοῦ Πελοπίδου τελευτῇ, βαρέως φέρειν, πατέρα καὶ σωτῆρα, καὶ διδάσκαλον τῶν μεγίστων καὶ καλλίστων ἀγαθῶν ἀποκαλοῦντας ἐκεῖνον, οὐ πάνυ θαυμαστὸν ἦν. οἱ δὲ Θεσσαλοὶ καὶ οἱ σύμμαχοι, πᾶσαν ἀνθρωπίνην πρέπουσαν ἀρετῇ τιμὴν, τοῖς ψηφίσμασιν ὑπερβαλόντες, ἔτι μᾶλλον ἐπεδείξαντο τοῖς πάθεσι, τὴν πρὸς τὸν ἄνδρα χάριν. τοὺς μὲν γὰρ παραγεγονότας τῷ ἔργῳ λέγουσι, μήτε θώρακα θέσθαι, μήτε ἵππον ἐκχαλινῶσαι, μήτε τραῦμα δήσασθαι πρότερον, ὡς ἐπύθοντο τὴν ἐκείνου τελευτὴν, ἀλλὰ μετὰ τῶν ὅπλων, θερμοὺς ἰόντας ἐπὶ τὸν νεκρὸν ὥσπερ αἰσθανόμενον τὰ τῶν πολεμίων κύκλῳ περὶ τὸ σῶμα σωρεύειν λάφυρα. κεῖραι δὲ ἵππους, κείρασθαι δὲ καὶ αὐτούς. ἀπιόντας δὲ πολλοὺς ἐπὶ σκηνὰς, μήτε πῦρ ἀνάψαι, μήτε δεῖπνον ἑλέσθαι. σιγὴν δὲ καὶ κατήφειαν εἶναι τοῦ στρατοπέδου παντὸς, ὥσπερ οὐ νενικηκότας ἐπιφανεστάτην νίκην καὶ μεγίστην, ἀλλ᾽ ἡττημένων ὑπὸ τοῦ τυράννου, καὶ καταδεδουλωμένων. ἐκ δὲ τῶν πόλεων ὡς ἀπηγγέλθη ταῦτα, παρῆσαν αἵ τε ἀρχαὶ, καὶ μετ᾽ αὐτῶν ἔφηβοι, καὶ παῖδες. καὶ ἱερεῖς, πρὸς τὴν ὑποδοχὴν τοῦ σώματος. τρόπαια καὶ στεφάνους καὶ πανοπλίας χρυσᾶς ἐπιφέροντες. ὡς δὲ ἔμελλεν ἐκκομίζεσθαι τὸ σῶμα, προσελθόντες οἱ πρεσβύτατοι τῶν Θετταλῶν, ᾐτοῦντο τοὺς Θηβαίους δι᾽ αὐτῶν θάψαι τὸν νεκρόν. εἷς δὲ αὐτῶν ἔλεγεν. ἄνδρες σύμμαχοι, χάριν αἰτοῦμεν παρ᾽ ὑμῶν, κόσμον ἡμῖν ἐπ᾽ ἀτυχίᾳ τοσαύτῃ, καὶ παραμυθίαν φέρουσαν. οὐ γὰρ ζῶντα Θετταλοὶ, Πελοπίδαν προπέμψουσιν. οὐδὲ αἰσθανομένῳ τὰς ἀξίας τιμὰς ἀποδώσουσιν. ἀλλ᾽ ἐὰν ψαῦσαί τε τοῦ νεκροῦ τύχωμεν. καὶ δι᾽ αὐτῶν κοσμῆσαι, καὶ θάψαι τὸ σῶμα, δόξομεν ὑμῖν οὐκ ἀπιστεῖν, ὅτι μείζων ἡ συμφορὰ γέγονε Θετταλοῖς, ἢ Θηβαίοις. ὑμῖν γὰρ ἡγεμόνος ἀγαθοῦ μόνου, ἡμῖν δὲ καὶ τούτου καὶ τῆς ἐλευθερίας στέρεσθαι συμβέβηκεν. πῶς γὰρ ἔτι τολμήσομεν αἰτῆσαι, στρατηγὸν ἄλλον παρ᾽ ὑμῶν, οὐκ ἀποδόντες Πελοπίδαν. Ταῦτα μὲν, οἱ Θηβαῖοι συνεχώρησαν. ἐκείνων δὲ τῶν ταφῶν, οὐ δοκοῦσιν ἕτεραι λαμπρότεραι γενέσθαι, τοῖς τὸ λαμπρὸν, οὐκ ἐν ἐλέφαντι καὶ χρυσῷ καὶ πορφύραις εἶναι νομίζουσιν, ὥσπερ Φίλιστος ὑμνῶν καὶ θαυμάζων, τὴν Διονυσίου ταφὴν, οἷον τραγῳδίας μεγάλης τῆς τυραννίδος, ἐξόδιον θεατρικὸν γενομένην. Ἀλέξανδρος δὲ ὁ μέγας Ἡφαιστίωνος ἀποθανόντος, οὐ μόνον ἵππους ἔκειρε καὶ ἡμιόνους, ἀλλὰ καὶ τὰς ἐπάλξεις ἀφεῖ-

τα καὶ τὴν ὀλιγωρίαν τῶν καλῶν καὶ δικαίων, ὡς ζῶντας μὲν ἀνθρώπους κατώρυττεν, ἑτέροις δὲ, δέρματα συῶν ἀγρίων καὶ ἄρκτων περιτιθεὶς, καὶ τοὺς θηρευτικοὺς ἐπάγων κύνας, καὶ διέσπα καὶ κατηκόντιζε παιδιᾷ ταύτῃ χρώμενος. μελιβοίᾳ δὲ καὶ σκοτούσῃ, πόλεσιν ἐνσπόνδοις καὶ φίλαις ἐκκλησιαζούσαις, περιστήσας ἅμα τοὺς δορυφόρους ἡβηδὸν ἀπέσφαξε. τὴν δὲ λόγχην ᾗ πολύφρονα τὸν θεῖον ἀπέκτεινε, καθιερώσας καὶ καταστέψας, ἔθυεν ὡς θεῷ, καὶ τύχωνα προσηγόρευε. τραγῳδὸν δέ ποτε θεώμενος εὐριπίδου τρῳάδας ὑποκρινόμενον, ᾤχετο ἀπιὼν ἐκ τοῦ θεάτρου, καὶ πέμψας πρὸς αὐτὸν ἐκέλευε θαρρεῖν καὶ μηδὲν ἀγωνίζεσθαι διὰ τοῦτο χεῖρον. οὐ γὰρ ἐκείνου καταφρονῶν ἀπελθεῖν, ἀλλ' αἰσχυνόμενος τοὺς πολίτας, εἰ μηδένα πώποτε τῶν ὑπ' αὐτοῦ φονευόμενον ἠλεηκὼς, ἐπὶ τοῖς ἑκάβης καὶ ἀνδρομάχης κακοῖς ὀφθήσεται δακρύων. οὗτος μέντοι τὴν δόξαν αὐτὴν καὶ τοὔνομα, καὶ τὸ πρόσχημα τῆς ἐπαμεινώνδου στρατηγίας καταπλαγεὶς, ἔπτηξ' ἀλέκτωρ δοῦλος ὣς κλίνας πτερόν. καὶ τοὺς ἀπολογησομένους ταχὺ πρὸς αὐτὸν ἔπεμπεν. ὁ δὲ συνθέσθαι μὲν εἰρήνην καὶ φιλίαν πρὸς τοιοῦτον ἄνδρα θηβαίοις, οὐχ ὑπέμεινε. σπεισάμενος δὲ τριακονθημέρους ἀνοχὰς τοῦ πολέμου, καὶ λαβὼν τὸν πελοπίδαν, καὶ τὸν ἰσμηνίαν, ἀνεχώρησεν.

Οἱ δὲ θηβαῖοι παρὰ τῶν λακεδαιμονίων καὶ τῶν ἀθηναίων αἰσθόμενοι, πρὸς τὸν μέγαν βασιλέα πρέσβεις ἀναβαίνοντας ὑπὲρ συμμαχίας, ἔπεμψαν καὶ αὐτοὶ πελοπίδαν, ἄριστα βουλευσάμενοι πρὸς τὴν δόξαν αὐτοῦ. πρῶτον μὲν γὰρ, ἀνέβαινε διὰ τῶν βασιλέως ἐπαρχιῶν, ὀνομαστὸς ὢν καὶ περιβόητος. οὐ γὰρ ἠρέμα διῖκτο τῆς ἀσίας, οὐδ' ἐπὶ μικρὸν ἡ δόξα τῶν πρὸς λακεδαιμονίους ἀγώνων, ἀλλ' ὡς πρῶτος ἐπὶ τῆς ἐν λεύκτροις μάχης, ἐξέδραμε λόγος, ἀεί τινος καινοῦ προστιθεμένου κατορθώματος, αὐξανομένη καὶ ἀναβαίνουσα πορρωτάτω κατέσχεν. ἔπειτα τοῖς ἐπὶ θύραις σατράπαις καὶ στρατηγοῖς καὶ ἡγεμόσιν ὀφθεὶς, θαῦμα καὶ λόγον παρέσχεν. ὡς οὗτος ἀνήρ ἐστιν, ὁ γῆς καὶ θαλάσσης ἐκβαλὼν λακεδαιμονίους. καὶ συστείλας ὑπὸ τὸν ταΰγετον, καὶ τὸν εὐρώταν τὴν σπάρτην, τὴν ὀλίγον ἔμπροσθεν βασιλεῖ τῷ μεγάλῳ καὶ πέρσαις δι' ἀγησιλάου τὸν περὶ σούσων καὶ ἐκβατάνων ἐπαραμένην πόλεμον. ταῦτ' οὖν ὁ ἀρταξέρξης ἔχαιρε. καὶ τὸν πελοπίδαν ἔτι μᾶλλον ἐθαύμαζε τῇ δόξῃ, καὶ μέγαν ἐποίει ταῖς τιμαῖς, ὑπὸ τῶν μεγίστων εὐδαιμονίζεσθαι, καὶ θεραπεύεσθαι βουλόμενος δοκεῖν. ἐπεὶ δὲ, καὶ τὴν ὄψιν αὐτοῦ εἶδεν, καὶ τοὺς λόγους κατενόησε. τῶν μὲν ἀττικῶν βεβαιοτέρους. τῶν δὲ λακεδαιμονίων, ἁπλουστέρους ὄντας, ἔτι μᾶλλον ἠγάπησεν, καὶ πάθος βασιλικὸν παθὼν, οὐκ ἀπεκρύψατο τὴν πρὸς τὸν ἄνδρα τιμὴν, οὐδ' ἔλαθε τοὺς ἄλλους πρέσβεις. πλεῖστον νέμων ἐκείνῳ. καίτοι δοκεῖ, μάλιστα τῶν ἑλλήνων. ἀνταλκίδαν τιμῆσαι τὸν λακεδαιμόνιον, ὅτι τὸν στέφανον ὃν πίνων περιέκειτο, βάψας εἰς μύρον ἀπέστειλε. πελοπίδᾳ δὲ οὕτω μὲν, οὐκ ἐνετρύφησεν, δῶρα δὲ λαμπρότατα καὶ μέγιστα τῶν νομιζομένων, ἐξέπεμψεν, καὶ τὰς ἀξιώσεις ἐπεκύρωσεν. αὐτονόμους μὲν εἶναι, τοὺς ἕλληνας. οἰκεῖσθαι δὲ μεσσήνην. θηβαίους δὲ, πατρικοὺς φίλους, νομίζεσθαι βασιλέως. ταύτας ἔχων τὰς ἀποκρίσεις, τῶν δὲ δώρων οὐδὲν ὅτι μὴ χάριτος ἦν σύμβολον καὶ φιλοφροσύνης δεξάμενος, ἀνέζευξεν. ὃ καὶ μάλιστα τοὺς ἄλλους πρέσβεις διέβαλεν. τιμαγόραν γοῦν ἀθηναῖοι κρίναντες, ἀπέκτειναν. εἰ μὲν ἐπὶ τῷ πλήθει τῶν δωρεῶν, ὀρθῶς καὶ δικαίως. οὐ γὰρ μόνον χρυσίον οὐδὲ ἀργύριον ἔλαβεν, ἀλλὰ καὶ κλίνην πολυτελῆ. καὶ στρώτας θεράποντας, ὡς τῶν ἑλλήνων οὐκ ἐπισταμένων. ἔτι δὲ, βοῦς ὀγδοήκοντα, καὶ βουκόλους. ὡς δὴ πρὸς ἀρρωστίαν τινὰ, γάλακτος βοείου δεόμενος. τέλος δὲ, κατέβαινεν ἐπὶ θάλασσαν ἐν φορείῳ κομιζόμενος, καὶ τέσσαρα τάλαντα τοῖς κομίζουσι, μισθὸς ἐδόθη παρὰ βασιλέως. ἀλλ' ἔοικεν οὐχ ἡ δωροδοκία μάλιστα παροξῦναι τοὺς ἀθηναίους, ἐπικράτους γοῦν ποτὲ τοῦ σκευοφόρου, μήτε ἀρνουμένου δῶρα δέξασθαι παρὰ βασιλέως, ψήφισμά τε γράφειν φάσκοντος, ἀντὶ τῶν ἐννέα ἀρχόντων, χειροτονεῖσθαι κατ' ἐνιαυτὸν ἐννέα πρέσβεις πρὸς βασιλέα τῶν δημοτικῶν καὶ πενήτων, ὅπως λαμβάνοντες εὐπορῶσιν, ἐγέλασεν ὁ δῆμος. ἀλλ' ὅτι θηβαίοις ἐγεγόνει πάντα, χαλεπῶς ἔφερον. οὐ λογιζόμενοι τὴν πελοπίδου δόξαν, ὅσων ἦν ῥητορειῶν καὶ λόγων κρείττων, παρ' ἀνθρώπῳ θεραπεύοντι τοὺς τῶν ὅπλων ἀεὶ κρατοῦντας. ἡ μὲν οὖν πρεσβεία, τῷ πελοπίδᾳ προσέθηκεν οὐ μικρὰν εὔνοιαν ἐπανελθόντι. διὰ τὸν μεσσήνης συνοικισμὸν καὶ τὴν τῶν ἄλλων ἑλλήνων αὐτονομίαν.

Ἀλεξάνδρου δὲ τοῦ φεραίου, πάλιν εἰς τὴν αὐτὴν φύσιν ἀναδραμόντος καὶ θεσσαλῶν μὲν, οὐκ ὀλίγας περικόπτοντος πόλεις. φθιώτας δὲ καὶ ἀχαιοὺς ἅπαντας. καὶ τὸ μαγνήτων ἔθνος, ἔμφρουρα πεποιημένου. πυνθανόμεναι πελοπίδαν ἐπανήκειν, αἱ πόλεις εὐθὺς, ἐπρέσβευον εἰς θήβας, αἰτούμεναι δύναμιν καὶ στρατηγὸν ἐκεῖνον, ψηφισαμένων δὲ τῶν θηβαίων προθύμως, καὶ ταχὺ πάντων ἑτοίμων γενομένων, καὶ στρατηγοῦ περὶ ἔξοδον ὄντος, ὁ μὲν ἥλιος, ἐξέλιπεν, καὶ σκότος ἐν ἡμέρᾳ τὴν πόλιν ἔσχεν. ὁ δὲ πελοπίδας ὁρῶν πρὸς τὸ φάσμα συντεταραγμένους ἅπαντας, οὐκ ᾤετο δεῖν βιάζεσθαι καταφόβους καὶ δυσέλπιδας ὄντας, οὐδὲ ἀποκινδυνεύειν ἑπτακισχιλίοις πολίταις. ἀλλ' ἑαυτὸν μόνον τοῖς θεσσαλοῖς ἐπιδοὺς, καὶ τριακοσίους τῶν ἱππέων ἐθελοντὰς ἀναλαβὼν, καὶ ξένους, ἐξώρμησεν, οὔτε τῶν μάντεων ἐώντων, οὔτε τῶν ἄλλων συμπροθυμουμένων πολιτῶν. μέγα γὰρ ἐδόκει καὶ πρὸς ἄνδρα λαμπρὸν ἐξ οὐρανοῦ γεγονέναι σημεῖον. ὁ δὲ, ἦν μὲν καὶ δι' ὀργὴν ὧν καθύβριστο, θερμότερος ἐπὶ τὸν ἀλέξανδρον. ἤλπιζε δὲ, καὶ τὴν οἰκίαν αὐτοῦ να-

καταστέψας ς. τ.

φονευομένων

δοῦλον

γίας δραστήριον ἴσως κατανοήσας. ὃ μικρὸν ἦν τῆς τοῦ ἀνδρὸς ἀρετῆς μόριον. ἐγκρατείας δὲ καὶ δικαιοσύνης καὶ μεγαλοψυχίας καὶ πραότητος, οἷς ἦν ἀληθῶς μέγας ἐκεῖνος, οὐδὲν οὔτε φύσει φίλιππος, οὔτε μιμήσει μετέσχεν. μετὰ δὲ ταῦτα, πάλιν τῶν θετταλῶν αἰτιωμένων τὸν φεραῖον ἀλέξανδρον, ὡς διαταράττοντα τὰς πόλεις, ἀπεστάλη μετὰ ἰσμηνίου, πρεσβεύων ὁ πελοπίδας. καὶ παρῆν, οὔτε οἴκοθεν ἄγων δύναμιν, οὔτε πόλεμον προσδοκήσας. αὐτοῖς δὲ τοῖς θετταλοῖς, χρῆσθαι πρὸς τὸ κατεπεῖγον τῶν πραγμάτων ἀναγκαζόμενος. ἐν τούτῳ δὲ πάλιν τῶν κατὰ μακεδονίαν ταραττομένων, ὁ γὰρ πτολεμαῖος ἀνῃρήκει τὸν βασιλέα καὶ τὴν ἀρχὴν κατεῖχεν. οἱ δὲ φίλοι τοῦ τεθνηκότος ἐκάλουν τὸν πελοπίδαν. βουλόμενος μὲν οὖν ἐπιφανῆναι τοῖς πράγμασιν, ἰδίους δὲ στρατιώτας οὐκ ἔχων, μισθοφόρους τινὰς αὐτόθεν προσλαβόμενος, μετὰ τούτων εὐθὺς ἐβάδιζεν ἐπὶ τὸν πτολεμαῖον. ὡς δ' ἐγγὺς ἀλλήλων ἐγένοντο, τοὺς μὲν μισθοφόρους πτολεμαῖος χρήμασι διαφθείρας, ἔπεισεν ὡς αὐτὸν μεταστῆναι. τοῦ δὲ πελοπίδου, τὴν δόξαν αὐτὴν καὶ τοὔνομα δεδιὼς, ἀπήντησεν ὡς κρείσσονι, καὶ δεξιωσάμενος καὶ δεηθεὶς, ὡμολόγησε τὴν μὲν ἀρχὴν τοῖς τοῦ τεθνηκότος ἀδελφοῖς διαφυλάξειν. θηβαίοις δὲ τὸν αὐτὸν ἐχθρὸν ἕξειν καὶ φίλον. ὁμήρους δ' ἐπὶ τούτοις, τὸν υἱὸν φιλόξενον ἔδωκεν καὶ πεντήκοντα τῶν ἑταίρων. τούτους μὲν οὖν ἀπέστειλεν εἰς θήβας ὁ πελοπίδας. αὐτὸς δὲ βαρέως φέρων τὴν τῶν μισθοφόρων προδοσίαν, καὶ πυνθανόμενος τὰ πλεῖστα τῶν χρημάτων αὐτοῖς, καὶ παῖδας καὶ γυναῖκας ἀποκεῖσθαι περὶ φάρσαλον, ὥστε τούτων κρατήσας, ἱκανὴν δίκην ὧν καθυβρίσθη λήψεσθαι. καὶ συναγαγὼν τῶν θετταλῶν τινὰς, ἧκεν εἰς φάρσαλον. ἄρτι δ' αὐτοῦ παρεληλυθότος, ἀλέξανδρος ὁ τύραννος ἐπιφαίνεται μετὰ τῆς δυνάμεως. καὶ νομίσαντες οἱ περὶ τὸν πελοπίδαν, ἀπολογησόμενον ἥκειν, ἐβάδιζον αὐτοὶ πρὸς αὐτὸν, ἐξώλη μὲν ὄντα καὶ μιαιφόνον εἰδότες, διὰ δὲ τὰς θήβας καὶ τὸ περὶ αὐτοὺς ἀξίωμα καὶ δόξαν, οὐδὲν ἂν παθεῖν προσδοκήσαντες. ὁ δ' ὡς εἶδεν ἀνόπλους καὶ μόνους προσιόντας, ἐκείνους μὲν εὐθὺς συνέλαβε. τὴν δὲ φάρσαλον κατέσχε. φρίκην δὲ καὶ φόβον ἐνειργάσατο τοῖς ὑπηκόοις πᾶσιν, ὡς μετὰ τηλικαύτην ἀδικίαν καὶ τόλμαν, ἀφειδήσων ἁπάντων, καὶ χρησόμενος οὕτω τοῖς παραπίπτουσιν ἀνθρώποις καὶ πράγμασιν, ὡς τότε γε κομιδῇ τὸν ἑαυτοῦ βίον ἀπεγνωκώς.

Οἱ μὲν οὖν θηβαῖοι ταῦτα ἀκούσαντες, ἔφερόν τε βαρέως, καὶ στρατιὰν ἐξέπεμπον εὐθὺς, δι' ὀργήν τινα πρὸς τὸν ἐπαμεινώνδαν, ἑτέρους ἀποδείξαντες ἄρχοντας. τὸν δὲ πελοπίδαν εἰς τὰς φερὰς ἀπαγαγὼν ὁ τύραννος. τὸ μὲν πρῶτον, εἴα τοὺς βουλομένους αὐτῷ διαλέγεσθαι, νομίζων ἐλεεινὸν γεγονέναι, καὶ ταπεινὸν ὑπὸ τῆς συμφορᾶς. ἐπεὶ δὲ τοὺς μὲν φεραίους ὁ πελοπίδας ὀδυρομένους παρεκάλει θαρρεῖν, ὡς νῦν μάλιστα δώσοντος τοῦ τυράννου δίκην, πρὸς δὲ αὐτὸν ἐκεῖνον ἀποστείλας ἔλεγεν, ὡς ἄτοπον ἐστὶ τοὺς μὲν ἀθλίους πολίτας καὶ μηδὲν ἀδικοῦντας, ὁσημέραι στρεβλῶν καὶ φονεύων, αὐτοῦ δὲ φειδόμενος, ὃν μάλιστα γινώσκει τιμωρησόμενον αὐτὸν, ἂν διαφύγῃ. θαυμάσας τὸ φρόνημα καὶ τὴν ἄδειαν αὐτοῦ. τί δὲ φησὶ σπεύδει πελοπίδας ἀποθανεῖν; κἀκεῖνος ἀκούσας. ὅπως εἶπε, σὺ τάχιον ἀπόλῃ, μᾶλλον ἢ νῦν, θεομισὴς γενόμενος. ἐκ τούτου διεκώλυσεν ἐντυγχάνειν αὐτῷ τοὺς ἐκτός.

Ἡ δὲ θήβη, θυγάτηρ μὲν ἰάσονος οὖσα, γυνὴ δὲ ἀλεξάνδρου, πυνθανομένη παρὰ τῶν φυλαττόντων πελοπίδαν, τὸ θαρραλέον αὐτοῦ καὶ γενναῖον, ἐπεθύμησεν ἰδεῖν τὸν ἄνδρα καὶ προσειπεῖν. ὡς δὲ ἦλθε πρὸς αὐτὸν, καὶ ἅτε δὴ γυνὴ, τὸ μὲν μέγεθος τοῦ ἤθους, οὐκ εὐθὺς ἐν τοσαύτῃ συμφορᾷ κατεῖδεν. κουρᾷ δὲ καὶ στολῇ καὶ διαίτῃ τεκμαιρομένη, λυπρὰ καὶ μὴ πρέποντα τῇ δόξῃ πάσχειν αὐτὸν, ἀπεδάκρυσεν. τὸ μὲν πρῶτον ἀγνοῶν ὁ πελοπίδας τίς εἴη γυναικῶν, ἐθαύμαζεν. ὡς δὲ ἔγνω, προσηγόρευσεν αὐτὴν πατρόθεν. ἦν γὰρ τῷ ἰάσονι συνήθης καὶ φίλος. εἰπούσης δὲ ἐκείνης, ἐλεῶ σου τὴν γυναῖκα. καὶ γὰρ ἐγώ σε εἶπεν, ὅτι ἄδετος οὖσα, ὑπομένεις ἀλέξανδρον. οὗτος ἔθιγέ πως ὁ λόγος τῆς γυναικός. ἐβαρύνετο γὰρ τὴν ὠμότητα, καὶ τὴν ὕβριν τοῦ τυράννου μετὰ τῆς ἄλλης ἀσελγείας, καὶ τὸν νεώτατον αὐτῆς τῶν ἀδελφῶν, παιδικὰ πεποιημένου. διὸ καὶ συνεχῶς φοιτῶσα πρὸς τὸν πελοπίδαν, καὶ παρρησιαζομένη περὶ ὧν ἔπασχεν, ὑπεπίμπλατο θυμοῦ καὶ φρονήματος καὶ δυσμενείας πρὸς τὸν ἀλέξανδρον. ἐπεὶ δὲ οἱ στρατηγοὶ τῶν θηβαίων εἰς τὴν θετταλίαν ἐμβαλόντες, ἔπραξαν οὐδέν. ἀλλὰ δι' ἀπειρίαν ἢ δυστυχίαν αἰσχρῶς ἀνεχώρησαν. ἐκείνων μὲν ἕκαστον, ἡ πόλις, μυρίαις δραχμαῖς ἐζημίωσεν. ἐπαμεινώνδαν δὲ, μετὰ δυνάμεως ἀπέστειλεν.

Εὐθὺς οὖν, κίνησίς τε μεγάλη θετταλῶν ἦν, ἐπαιρομένων πρὸς τὴν δόξαν τοῦ στρατηγοῦ, καὶ τὰ πράγματα τοῦ τυράννου, ῥοπῆς ἐδεῖτο μικρᾶς ἀπολωλέναι. τοσοῦτος ἐνεπεπτώκει φόβος, τοῖς περὶ αὐτὸν ἡγεμόσι καὶ φίλοις. τοσαύτη δὲ πρὸς τοὺς ὑπηκόους ὁρμὴ πρὸς ἀπόστασιν εἶχε, καὶ χαρὰ τοῦ μέλλοντος, ὡς νῦν ἐποψομένους δίκην διδόντα τὸν τύραννον. οὐ μὴν ἀλλ' ἐπαμεινώνδας τὴν αὑτοῦ δόξαν ἐν ὑστέρῳ τῆς πελοπίδου σωτηρίας τιθέμενος, καὶ δεδιὼς μὴ τῶν πραγμάτων ταραχθέντων, ἀπογνοὺς ἑαυτὸν ἀλέξανδρος, ὥσπερ θηρίον τράπηται πρὸς ἐκεῖνον, ἐπηωρεῖτο τῷ πολέμῳ. καὶ κύκλῳ περιιὼν τῇ παρασκευῇ καὶ τῇ μελλήσει κατεσκεύαζε, καὶ συνέστελλε τὸν τύραννον, ὡς μήτε ἀνεῖναι τὸ αὔθαδες αὐτοῦ καὶ θρασυνόμενον, μήτε τὸ πικρὸν καὶ θυμοειδὲς ἐξαγριῶσαι, πυνθανόμενος τὴν ὠμότητα

ἡγεμονίας, ἐπ' αὐτῶν τῶν ἀγώνων καὶ παρὰ τὰ δεινὰ τοῖς ἐκείνων αὐθαιρέτως πειθόμενοι στρατηγοῖς ἠκολούθουν. ἐν ἐκείνῃ τῇ στρατιᾷ, πᾶσαν μὲν ἀρκαδίαν, εἰς μίαν δύναμιν συνέστησαν, τὴν δὲ μεσσηνίαν χώραν, νεμομένων σπαρτιατῶν ἀποτεμόμενοι, τοὺς παλαιοὺς μεσσηνίους ἐκάλουν, καὶ κατῆγον, ἰθώμην συνοικίζοντες, ἀπιόντες δ' ἐπ' οἴκου διὰ κεγχρεῶν, ἀθηναίους ἐνίκων ὑποχειροῦντας ἀψιμαχεῖν περὶ τὰ στενὰ καὶ κωλύειν τὴν πορείαν. ἐπὶ δὲ τούτοις, οἱ μὲν ἄλλοι πάντες, ὑπερηγάπων τὴν ἀρετὴν καὶ τὴν τύχην ἐθαύμαζον, ὁ δὲ συγγενὴς καὶ πολιτικὸς φθόνος, ἅμα τῇ δόξῃ τῶν ἀνδρῶν συναυξόμενος, οὐ καλὰς οὐδὲ πρεπούσας ὑποδοχὰς παρεσκεύαζεν αὐτοῖς. θανάτου γὰρ ἀμφότεροι δίκας ἔφυγον ἐπανελθόντες ὅτι τοῦ νόμου κελεύοντος ἐν τῷ πρώτῳ μηνὶ παραδοῦναι τὴν βοιωταρχίαν ἑτέροις, ὃν βουκάτιον ὀνομάζουσι, τέτταρας ὅλους προσεπεβάλοντο μῆνας, ἐν οἷς τὰ περὶ μεσσήνην καὶ ἀρκαδίαν, καὶ τὴν λακωνικὴν διῴκησαν. εἰσήχθη μὲν οὖν πρότερος εἰς τὸ δικαστήριον, πελοπίδας, διὸ καὶ μᾶλλον ἐκινδύνευσεν, ἀμφότεροι δ' ἀπελύθησαν. τὸ δὲ συκοφάντημα καὶ τὴν πεῖραν ἐπαμεινώνδας ἤνεγκε πρᾴως, μέγα μέρος ἀνδρείας καὶ μεγαλοψυχίας τὴν ἐν τοῖς πολιτικοῖς ἀνεξικακίαν ποιούμενος. πελοπίδας δέ, καὶ φύσει θυμοειδέστερος ὤν, καὶ παροξυνόμενος ὑπὸ τῶν φίλων, ἀμύνασθαι τοὺς ἐχθροὺς, ἐπελάβετο τοιαύτης αἰτίας. μενεκλείδης ὁ ῥήτωρ ἦν μὲν εἷς τῶν μετὰ πελοπίδου καὶ μέλωνος εἰς τὴν χάρωνος οἰκίαν συνελθόντων. ἐπεὶ δὲ τῶν ἴσων οὐκ ἠξιοῦτο παρὰ τοῖς θηβαίοις, δεινότατος μὲν ὢν λέγειν, ἀκόλαστος δὲ καὶ κακοήθης τὸν τρόπον, ἐχρῆτο τῇ φύσει πρὸς τὸ συκοφαντεῖν καὶ διαβάλλειν τοὺς κρείττονας, οὐδὲ μετὰ δίκην ἐκείνην παυσάμενος. ἐπαμεινώνδαν μὲν οὖν, ἐξέκρουσε τῆς βοιωταρχίας, καὶ κατεπολιτεύσατο πολὺν χρόνον. πελοπίδαν δὲ πρὸς μὲν τὸν δῆμον, οὐκ ἴσχυσε διαβαλεῖν. ἐπεχείρει δὲ, συγκροῦσαι τῷ χάρωνι. καὶ κοινήν τινα τοῦ φθόνου παραμυθίαν ἔχοντος, ὧν ἂν αὐτοὶ μὴ δύνωνται βελτίους φανῆναι, τούτους ἄλλως γέ πως, ἑτέρων ἀποδείξωσι κακίους, πολὺς ἦν πρὸς τὸν δῆμον αὔξων, τὰ τοῦ χάρωνος ἔργα, καὶ τὰς στρατηγίας τὰς ἐκείνου, καὶ τὰς νίκας ἐγκωμιάζων. τῆς δὲ πρὸς πλαταιὰς ἱππομαχίας, ἣν πρὸ τῶν λευκτρικῶν ἐνίκησαν, ἡγουμένου χάρωνος, ἐπεχείρησεν ἀνάθημα τοιόνδε, ποιῆσαι. ἀνδροκύδης ὁ κυζικηνὸς ἐκλαβὼν παρὰ τῆς πόλεως πίνακα γράψαι μάχης ἑτέρας, ἐπετέλει τὸ ἔργον ἐν θήβαις. γενομένης δὲ τῆς ἀποστάσεως, καὶ τοῦ πολέμου συμπεσόντος, οὐ πολὺ τοῦ τέλους ἔχειν ἐλλείποντα τὸν πίνακα παρ' ἑαυτοῖς οἱ θηβαῖοι κατέσχον. τοῦτον οὖν, ὁ μενεκλείδας, ἔπεισεν ἀναθέντας ἐπιγράψαι τοὔνομα τοῦ χάρωνος, ὡς ἀμαυρώσων τὴν πελοπίδου καὶ ἐπαμεινώνδου δόξαν. ἦν δ' ἀβέλτερος ἡ φιλοτιμία, παρὰ τοσούτους καὶ τηλικούτους ἀγῶνας, ἑνὸς ἔργου καὶ μιᾶς νίκης ἀγαπωμένης, ἐν ᾗ γεράδαν τινὰ τῶν ἀσήμων σπαρτιατῶν, καὶ τεσσαράκοντα μετ' αὐτοῦ πεσεῖν, ἄλλο δὲ οὐδὲν μέγα πραχθῆναι λέγουσι. τοῦτο τὸ ψήφισμα, γράφεται πελοπίδας παρανόμων, ἰσχυριζόμενος, ὅτι θηβαίοις οὐ πάτριον ἦν ἰδίᾳ κατ' ἄνδρα τιμᾶν, ἀλλὰ τῇ πατρίδι κοινῶς τὸ τῆς νίκης ὄνομα σώζειν. καὶ τὸν μὲν χάρωνα, παρὰ πᾶσαν τὴν δίκην ἐγκωμιάζων, ἀφθόνως διετέλεσε. τὸν δὲ μενεκλείδαν, βάσκανον καὶ πονηρὸν ἐξελέγχων. καὶ τοὺς θηβαίους ἐρωτῶν. εἰ μηδὲν αὐτοῖς καλὸν πέπρακται. ὁ μὴ μενεκλείδαν ζημιῶσαι χρήμασιν. ἃ μὴ δυνάμενος ἐκτῖσαι διὰ πλῆθος. ὕστερον ἐπεχείρησε κινῆσαι, καὶ μεταστῆσαι τὴν πολιτείαν. ταῦτα μὲν οὖν, ἔχει τινὰ καὶ τοῦ βίου ἀναθεώρησιν. ἐπεὶ δὲ ἀλεξάνδρου τοῦ φερῶν τυράννου πολεμοῦντος μὲν ἐκ προδήλου πολλοῖς θετταλῶν, ἐπιβουλεύοντος δὲ πᾶσιν, ἐπρέσβευσαν εἰς θήβας αἱ πόλεις στρατηγὸν αἰτούμεναι καὶ δύναμιν, ὁρῶν ὁ πελοπίδας τὸν ἐπαμεινώνδαν τὰς ἐν πελοποννήσῳ πράξεις διοικεῖν, αὐτὸς ἑαυτὸν ἐπέδωκεν, καὶ προσένειμε τοῖς θετταλοῖς. μήτε τὴν ἰδίαν ἐπιστήμην καὶ δύναμιν ἀργοῦσαν περιορᾶν ὑπομένων, μήτε ὅπου πάρεστιν ὁ ἐπαμεινώνδας, ἑτέρου δεῖσθαι στρατηγοῦ νομίζων. ὡς οὖν ἐστράτευσεν ἐπὶ θετταλίαν μετὰ δυνάμεως, τήν τε λάρισσαν εὐθὺς παρέλαβε, καὶ τὸν ἀλέξανδρον, ἐλθόντα καὶ δεόμενον, διαλλάττειν ἐπειρᾶτο, καὶ ποιεῖν ἐκ τυράννου πρᾷον ἄρχοντα τοῖς θετταλοῖς καὶ νόμιμον. ὡς δὲ ἦν αἰίκεστος καὶ θηριώδης. καὶ πολλὴ μὲν ὠμότης αὐτοῦ. πολλὴ δὲ ἀσέλγεια καὶ πλεονεξία κατηγορεῖτο, τραχυνομένου τοῦ πελοπίδου πρὸς αὐτὸν καὶ χαλεπαίνοντος, ἀποδρὰς, ᾤχετο μετὰ τῶν δορυφόρων. ὁ δὲ πελοπίδας ἄδειάν τε πολλὴν ἀπὸ τοῦ τυραννοῦντος θετταλοῖς ἀπολιπὼν καὶ πρὸς ἀλλήλους ὁμόνοιαν, αὐτὸς εἰς μακεδονίαν ἀπῆρε. πτολεμαίου μὲν ἀλεξάνδρῳ, τῷ βασιλεύοντι τῶν μακεδόνων πολεμοῦντος, ἀμφοτέρων δὲ μεταπεμπομένων ἐκεῖνον, ὡς διαλλακτὴν καὶ δικαστὴν καὶ σύμμαχον, καὶ βοηθὸν, τοῦ δοκοῦντος ἀδικεῖσθαι γενησόμενον. ἐλθὼν δὲ καὶ διαλύσας τὰς διαφορὰς καὶ καταγαγὼν τοὺς φεύγοντας, ὅμηρον ἔλαβε, τὸν ἀδελφὸν τοῦ βασιλέως φίλιππον, καὶ τριάκοντα παῖδας ἄλλους τῶν ἐπιφανεστάτων, καὶ κατέστησεν εἰς θήβας. ἐπιδειξάμενος τοῖς ἕλλησιν, ὡς πόρρω διήκει τὰ θηβαίων πράγματα τῇ δόξῃ τῆς δυνάμεως, καὶ τῇ πίστει τῆς δικαιοσύνης. οὗτος ἦν φίλιππος, ὁ τοῖς ἕλλησιν ὕστερον πολεμήσας ὑπὲρ τῆς ἐλευθερίας. τότε δὲ παῖς ὢν ἐν θήβαις παρὰ παμμένει δίαιταν εἶχεν. ἐκ δὲ τούτου, καὶ ζηλωτὴς γεγονέναι ἔδοξεν ἐπαμεινώνδου, τὸ περὶ τοὺς πολέμους καὶ τὰς στρατη-

κατακοιμηθεὶς, ἔδοξε τάς τε παῖδας ὁρᾶν περὶ τὰ μνήματα θρηνούσας, καὶ καταρωμένας τοῖς σπαρτιάταις. τόν τε σκέδασον κελεύοντα ταῖς κόραις σφαγιάσαι, παρθένον ξανθὴν, εἰ βούλοιτο τῶν πολεμίων ἐπικρατῆσαι. Δεινοῦ δὲ καὶ παρανόμου τοῦ προστάγματος αὐτῷ φανέντος, ἐξαναστὰς ἐκοινοῦτο, τοῖς τε μάντεσι καὶ τοῖς ἄρχουσιν. ὧν οἱ μὲν, οὐκ εἴων παραμελεῖν οὐδ' ἀπειθεῖν. τῶν μὲν παλαιῶν, προφέροντες μενοικέα, τὸν κρέοντος. καὶ μακαρίαν τὴν ἡρακλέους τῶν δ' ὑστέρων, φερεκύδην τε τὸν σοφὸν, ὑπὸ λακεδαιμονίων ἀναιρεθέντα, καὶ τὴν δορὰν αὐτοῦ κατά τι λόγιον, ὑπὸ τῶν βασιλέων φρουρουμένην λεωνίδαν τε, τῷ χρησμῷ τρόπον τινὰ προθυσάμενον ἑαυτὸν, ὑπὲρ τῆς ἑλλάδος. ἔτι δὲ, τοὺς ὑπὸ θεμιστοκλέους σφαγιασθέντας ὠμηστῇ διονύσῳ, πρὸ τῆς ἐν σαλαμῖνι ναυμαχίας. ἐκείνοις γὰρ ἐπιμαρτυρῆσαι τὰ κατορθώματα. τοὐναντίον δὲ, ὡς ἀγησίλαον ἀπὸ τῶν αὐτῶν ἀγαμέμνονι τόπων, ἐπὶ τοὺς αὐτοὺς στρατευόμενον πολεμίους, ᾔτησε μὲν ἡ θεὸς τὴν θυγατέρα σφάγιον, καὶ ταύτην εἶδε τὴν ὄψιν ἐν αὐλίδι κοιμώμενος. ὁ δ' οὐκ ἔδωκεν, ἀλλ' ἀπομαλθακωθεὶς, κατέλυσε τὴν στρατείαν, ἄδοξον καὶ ἀτελῆ γενομένην. οἱ δὲ, τοὐναντίον ἀπηγόρευον, ὡς οὐδενὶ τῶν κρειττόνων καὶ ὑπὲρ ἡμᾶς ἀρεστὴν οὖσαν, οὕτω βάρβαρον καὶ παράνομον θυσίαν. οὐ γὰρ τοὺς τυφῶνας ἐκείνους. οὐδὲ τοὺς γίγαντας ἄρχειν, ἀλλὰ τὸν πάντων πατέρα, θεῶν καὶ ἀνθρώπων. δαίμονας δὲ, χαίροντας ἀνθρώπων αἵματι καὶ φόνῳ πιστεύειν μὲν ἴσως ἐστὶν ἀβέλτερον. ὄντων δὲ τοιούτων, ἀμελητέον ὡς ἀδυνάτων. ἀσθενείᾳ γὰρ καὶ μοχθηρίᾳ ψυχῆς ἐμφύεσθαι καὶ παραμένειν τὰς ἀτόπους καὶ χαλεπὰς ἐπιθυμίας. Ἐν τοιούτοις οὖν διαλόγοις τῶν πρώτων ὄντων. καὶ μάλιστα τοῦ πελοπίδου διαποροῦντος, ἵππος ἐξ ἀγέλης, καὶ πῶλος ἀποφυγοῦσα, καὶ φερομένη διὰ τῶν ὅπλων, ὡς ἦν θέουσα κατ' αὐτοὺς ἐκείνους ἐπέστη. καὶ τοῖς μὲν ἄλλοις, θέαν παρεῖχεν, ἥ τε χρόα στίλβουσα τῆς χαίτης πυρσότατον, ἥ τε γαυρότης καὶ τὸ σοβαρὸν καὶ τεθαῤῥηκὸς τῆς φωνῆς. θεόκριτος δὲ ὁ μάντις συμφωνήσας ἀνεβόησεν πρὸς τὸν πελοπίδαν. ἥκει σοι τὸ ἱερεῖον ὦ δαιμόνιε καὶ παρθένον ἄλλην μὴ περιμένωμεν, ἀλλὰ χρῶ δεξάμενος ἣν ὁ θεὸς δίδωσιν, ἐκ τούτου λαβόντες τὴν ἵππον, ἐπὶ τοὺς τάφους ἦγον τῶν παρθένων, καὶ κατευξάμενοι καὶ καταστέψαντες, ἐνέτεμνον αὐτοί τε χαίροντες, καὶ λόγον εἰς τὸ στρατόπεδον περὶ τῆς ὄψεως τοῦ πελοπίδου, καὶ τῆς θυσίας διδόντες. Ἐν δὲ τῇ μάχῃ τοῦ ἐπαμεινώνδου τὴν φάλαγγα λοξὴν ἐπὶ τὸ εὐώνυμον ἕλκοντος. ὅπως τῶν ἄλλων ἑλλήνων ἀπωτάτω γένηται, τὸ δεξιὸν τῶν σπαρτιατῶν, καὶ τὸν κλεόμβροτον ἐξώσῃ προσπεσὼν ἀθρόως κατὰ κέρας, καὶ βιασάμενος. οἱ μὲν πολέμιοι καταμαθόντες τὸ γινόμενον, ἤρξαντο μετακινεῖν τῇ τάξει σφᾶς αὐτοὺς, καὶ τὸ δεξιὸν ἀνέπτυσσον καὶ περιῆγον, ὡς κυκλωσόμενοι καὶ περιβαλοῦντες ὑπὸ πλήθους τὸν ἐπαμεινώνδαν. Ὁ δὲ πελοπίδας ἐν τούτῳ προεξέδραμεν, καὶ συστρέψας τοὺς τριακοσίους δρόμῳ, φθάνει πρὶν ἀνατεῖναι τὸν κλεόμβροτον τὸ κέρας, ἢ συνάγειν πάλιν εἰς τὸ αὐτὸ, καὶ συγκλεῖσαι τὴν τάξιν, οὐ καθεστῶσιν, ἀλλὰ θορυβουμένοις δι' ἀλλήλων τοῖς λακεδαιμονίοις ἐπιβαλών. καίτοι, πάντων ἄκροι τεχνῖται καὶ σοφισταὶ, τῶν πολεμικῶν ὄντες οἱ σπαρτιᾶται, πρὸς οὐδὲν οὕτως ἐπαίδευον αὑτοὺς καὶ συνείθιζον, ὡς τὸ μὴ πλανᾶσθαι μηδὲ ταράττεσθαι τάξεως διαλυθείσης, ἀλλὰ χρώμενοι πᾶσι πάντες ἐπιστάταις καὶ ζυγίταις, ὅποι ποτὲ συνίστησιν ὁ κίνδυνος καὶ καταλαμβάνοι, καὶ συναρμόττειν καὶ μάχεσθαι παραπλησίως. τότε δὴ, ἡ τοῦ ἐπαμεινώνδου φάλαγξ ἐπιφερομένη μόνοις ἐκείνοις καὶ παραλλάττουσα τοὺς ἄλλους. ὅ τε πελοπίδας μετὰ τάχους ἀπίστου καὶ τόλμης ἐν τοῖς ὅπλοις γενόμενος, συνέχεεν τά τε φρονήματα, καὶ τὰς ἐπιστήμας αὐτῶν οὕτως, ὥστε φυγὴν καὶ φόνον σπαρτιατῶν, ὅσον οὔπω πρότερον γενέσθαι. διὸ τῷ ἐπαμεινώνδᾳ βοιωταρχοῦντι, μὴ βοιωταρχῶν, καὶ πάσης ἡγουμένῳ τῆς δυνάμεως, μικροῦ μέρους ἄρχων, ἴσον ἠνέγκατο δόξης τῆς νίκης ἐκείνης, καὶ τοῦ κατορθώματος.

Εἰς μέντοι πελοπόννησον ἀμφότεροι βοιωταρχοῦντες, ἐνέβαλον, καὶ τῶν ἐθνῶν τὰ πλεῖστα προσήγοντο, λακεδαιμονίων ἀποστήσαντες. ἦλιν. ἄργος. ἀρκαδίαν σύμπασαν, αὐτῆς τῆς λακωνικῆς τὰ πλεῖστα. καίτοι χειμῶνος μὲν ἦσαν, αἱ περὶ τροπὰς ἀκμαί. μηνὸς δὲ τοῦ τελευταίου φθίνοντος, ὀλίγαι περιῆσαν ἡμέραι, καὶ τὴν ἀρχὴν ἔδει παραλαμβάνειν ἑτέρους εὐθὺς, ἱσταμένου τοῦ πρώτου μηνὸς, ἢ θνήσκειν τοὺς μὴ παραδιδόντας. οἱ δὲ ἄλλοι βοιωτάρχαι, καὶ τὸν νόμον δεδιότες τοῦτον, καὶ τὸν χειμῶνα φεύγοντες, ἀπάγειν ἔσπευδον ἐπ' οἴκου τὸ στράτευμα. πελοπίδας δὲ πρῶτος ἐπαμεινώνδᾳ γενόμενος σύμψηφος, καὶ συμπαρορμήσας τοὺς πολίτας, ἦγεν ἐπὶ τὴν σπάρτην, καὶ διεβίβαζε τὸν εὐρώταν. καὶ πολλὰς μὲν, ᾕρει πόλεις αὐτῶν, πᾶσαν δὲ τὴν χώραν ἐπόρθει, μέχρι θαλάσσης, ἡγούμενος ἑπτὰ μυριάδων ἑλληνικῆς στρατείας, ἧς ἔλαττον ἢ δωδέκατον ἦσαν αὐτοὶ θηβαῖοι μέρος. ἀλλ' ἡ δόξα τῶν ἀνδρῶν ἄνευ δόγματος κοινοῦ καὶ ψηφίσματος. ἐποίει τοὺς συμμάχους ἕπεσθαι σιωπῇ πάντας, ἡγεμόσιν ἐκείνοις. ὁ γὰρ πρῶτος ὡς ἔοικε καὶ κυριώτατος νόμος, τῷ σῴζεσθαι δεομένῳ, τὸν σῴζειν δυνάμενον, ἄρχοντα κατὰ φύσιν ἀποδίδωσι. καὶ ὥσπερ οἱ πλέοντες εὐδίας οὔσης, ἢ παρ' ἀκτὴν ὁρμοῦντες, ἀσελγῶς προσενηνέχθησαν τοῖς κυβερνήταις, καὶ θρασέως, ἅμα τῷ χειμῶνα καὶ κίνδυνον καταλαμβάνειν, πρὸς ἐκείνους ἀποβλέπουσι, καὶ τὰς ἐλπίδας ἐν ἐκείνοις ἔχουσι. καὶ γὰρ ἀργεῖοι. καὶ ἠλεῖοι. καὶ ἀρκάδες, ἐν τοῖς συνεδρίοις ἐρίζοντες καὶ διαφερόμενοι πρὸς τοὺς θηβαίους ὑπὲρ ἡγεμονίας,

συμφρονήσ. γ.

ξυνεῖχεν. ἢ.

τοὺ ἱερὸν [λόχον]. considerandum quid sit illud προβαλλόμενος. et an sit mendum in illis verbis καὶ παρὰ πολὺ μεμιγμένον ἢ τὸ φαυλότερον :–

πρῶτος ἐξ ἀνδρῶν ἐπιλέκτων, τριακοσίων. οἷς ἡ πόλις, ἄσκησιν καὶ δίαιταν ἐν τῇ καδμείᾳ στρατοπεδευομένοις παρεῖχε, καὶ διὰ τοῦτο ἐκ πόλεως λόχος ἐκαλοῦντο. τὰς γὰρ ἀκροπόλεις ἐπιεικῶς, οἱ τότε πόλεις ὠνόμαζον. Ἔνιοι δέ φασιν, ἐξ ἐραστῶν καὶ ἐρωμένων, γενέσθαι τὸ σύστημα τοῦτο. καὶ παμμένους ἀπομνημονεύεταί τι, μετὰ παιδιᾶς εἰρημένον. οὐ γὰρ ἔφη τακτικὸν εἶναι τὸν ὁμήρου νέστορα, » κελεύοντα κατὰ φῦλα, καὶ φρήτρας συλλοχίζεσθαι τοὺς ἕλληνας. ὡς φρήτρη φρήτρηφιν ἀρήγῃ φῦλα δὲ φύλοις. δέον ἐραστὴν παρ᾽ ἐρώμενον τάττειν. φυλέτας μὲν γάρ, φυλετῶν, καὶ φράτορας φρατόρων, οὐ πολὺν λόγον ἔχειν ἐν τοῖς δεινοῖς. τὸ δ᾽ ἐξ ἐρωτικῆς φιλίας συνηρμοσμένον στῖφος, ἀδιάλυτον εἶναι, καὶ ἄρρηκτον. ὅταν οἱ μὲν ἀγαπῶντες τοὺς ἐρωμένους. οἱ δὲ αἰσχυνόμενοι τοὺς ἐρῶντας, ἐμμένωσι τοῖς δεινοῖς ὑπὲρ ἀλλήλων. Καὶ τοῦτο, θαυμαστὸν οὐκ ἔστιν, εἴγε δὴ καὶ μὴ παρόντας αἰδοῦνται, μᾶλλον ἑτέρων παρόντων. ὡς ἐκεῖνος ὁ τοῦ πολεμίου κείμενον αὐτὸν ἐπισφάττειν μέλλοντος, δεόμενος καὶ ἀντιβολῶν διὰ τοῦ στέρνου διεῖναι τὸ ξίφος, ὅπως ἔφη μή με νεκρὸν ὁ ἐρώμενος ὁρῶν, κατὰ νώτου τετρωμένον, αἰσχυνθῇ. Λέγεται δὲ καὶ τὸν ἰόλεων τοῦ ἡρακλέους ἐρώμενον ὄντα, κοινωνεῖν τῶν ἄθλων καὶ παρασπίζειν. ἀριστοτέλης δέ, καὶ καθ᾽ αὑτόν ἔτι φησίν, ἐπὶ τοῦ τάφου τοῦ ἰόλεω, τὰς καταπιστώσεις ποιεῖσθαι τοὺς ἐρωμένους καὶ τοὺς ἐραστάς. Εἰκὸς οὖν, καὶ τὸν λόχον ἱερὸν προσαγορεύεσθαι. καθ᾽ ὅτι καὶ πλάτων ἔνθεον φίλον τὸν ἐραστὴν προσεῖπεν. λέγεται δὲ διαμεῖναι μέχρι τῆς ἐν χαιρωνείᾳ μάχης, ἀήττητον. ὡς δὲ μετὰ τὴν μάχην ἐφορῶν τοὺς νεκροὺς ὁ φίλιππος, ἔστη κατὰ τοῦτο τὸ χωρίον, ἐν ᾧ συνετύγχανον κεῖσθαι τοὺς τριακοσίους ἐναντίους ἀπηντηκότας ταῖς σαρίσσαις ἅπαντας ἐν τοῖς στένοις ὅπλοις, καὶ μετ᾽ ἀλλήλων ἀναμιγνυμένους, θαυμάσαντα καὶ πυθόμενον, ὡς ὁ τῶν ἐραστῶν καὶ τῶν ἐρωμένων οὗτος εἴη λόχος. δακρῦσαι καὶ εἰπεῖν. ἀπόλοιντο κακῶς, οἱ τούτους τι ποιεῖν ἢ πάσχειν, αἰσχρὸν ὑπονοοῦντες. ὅλως δέ, τῆς περὶ τοὺς ἐραστὰς συνηθείας, οὐχ ὥσπερ οἱ ποιηταὶ λέγουσι θηβαίοις, τὸ λαΐου πάθος ἀρχὴν παρέσχεν, ἀλλ᾽ οἱ νομοθέται, τὸ φύσει θυμοειδὲς αὐτῶν καὶ ἄκρατον, ἀνιέναι καὶ ἀνυγραίνειν εὐθὺς ἐκ παίδων βουλόμενοι, πολὺν μὲν ἀνεμίξαντο, καὶ σπουδῇ καὶ παιδιᾷ πάσῃ τὸν αὐλὸν εἰς τιμὴν καὶ προεδρίαν ἄγοντες. λαμπρὸν δὲ τὸν ἔρωτα ταῖς παλαίστραις ἐνεθρέψαντο, συγκεραννύντες τὰ ἤθη τῶν νέων. ὀρθῶς δὲ πρὸς τοῦτο, καὶ τὴν ἐξ ἄρεως καὶ ἀφροδίτης γεγονέναι λεγομένην θεὸν τῇ πόλει συνῳκείωσαν. ὡς ὅπου τὸ μαχητικὸν καὶ πολεμικόν, μάλιστα τῷ μετέχοντι πειθοῦς, καὶ χαρίτων ὁμιλεῖ, καὶ συνέστιν εἰς τὴν ἐμμελεστάτην καὶ κοσμιωτάτην πολιτείαν, δι᾽ ἁρμονίας καθισταμένων ἁπάντων. Τὸν οὖν ἱερὸν λόχον τοῦτον, ὁ μὲν γοργίδας διαιρῶν εἰς τὰ πρῶτα ζυγά, καὶ παρ᾽ ὅλην τὴν φάλαγγα τῶν ὁπλιτῶν προβαλλόμενος, ἐπίδηλον οὐκ ἐποίει τὴν ἀρετὴν τῶν ἀνδρῶν. οὐδ᾽ ἐχρῆτο τῇ δυνάμει πρὸς κοινὸν ἔργον, ἅτε δὴ διαλελυμένης, καὶ παρὰ πολὺ μεμιγμένον ἢ τὸ φαυλότερον. Ὁ δὲ πελοπίδας ὡς ἐξέλαμψεν αὐτῶν ἡ ἀρετή, περὶ τεγύρας, καθαρῶς καὶ περὶ αὐτὸν ἀγωνισαμένων, οὐκέτι διεῖλεν οὐδὲ διέσπασεν, ἀλλ᾽ ὥσπερ σώματι χρώμενος ὅλῳ προεκινδύνευε τοῖς μεγίστοις ἀγῶσιν. ὥσπερ γὰρ οἱ ἵπποι θᾶσσον ὑπὸ τοῖς ἅρμασιν, ἢ καθ᾽ αὑτοὺς ἐλαυνόμενοι θέουσιν, οὐχ ὅτι μᾶλλον ἐκπίπτοντες ἐκβιάζονται τὸν ἀέρα τῷ πλήθει ῥηγνύμενον, ἀλλ᾽ ὅτι συνεκκαίει τὸν θυμόν, ἡ μετ᾽ ἀλλήλων ἅμιλλα καὶ τὸ φιλόνεικον, οὕτως ᾤετο τοὺς ἀγαθοὺς ζῆλον ἀλλήλοις καλῶν ἔργων ὄντας, ὠφελιμωτάτους εἰς κοινὸν ἔργον εἶναι καὶ προθυμοτάτους. ἐπεὶ δὲ λακεδαιμόνιοι πᾶσι τοῖς ἕλλησιν εἰρήνην συνθέμενοι, πρὸς μόνους θηβαίους ἐξήνεγκαν τὸν πόλεμον. ἐνεβεβλήκει δὲ κλεόμβροτος ὁ βασιλεὺς ἄγων ὁπλίτας μυρίους, ἱππεῖς δὲ χιλίους. ὁ δὲ κίνδυνος, οὐ περὶ ὧν πρότερον ἦν θηβαίοις, ἀλλ᾽ ἄντικρυς ἀπειλὴ καὶ κατάγγελια διοικισμοῦ, καὶ φόβος οἷος οὔπω τὴν βοιωτίαν κατεῖχεν. ἐξιὼν μὲν ἐκ τῆς οἰκίας ὁ πελοπίδας, καὶ τῆς γυναικὸς ἐν τῷ προπέμπειν δακρυούσης, καὶ παρακαλούσης σώζειν ἑαυτόν. ταῦτα εἶπεν ὦ γύναι, τοῖς ἰδιώταις ἀεὶ χρὴ παραινεῖν. τοῖς δὲ ἄρχουσιν, ὅπως τοὺς ἄλλους σώζωσιν. ἐλθὼν δὲ εἰς τὸ στρατόπεδον, καὶ τοὺς βοιωτάρχας καταλαβὼν οὐχ ὁμογνωμονοῦντας, πρῶτος ἐπαμινώνδᾳ προσέθετο γνώμην, ψηφιζομένῳ διὰ μάχης ἰέναι τοῖς πολεμίοις. βοιωτάρχης μὲν οὐκ ἀποδεδειγμένος, ἄρχων δὲ τοῦ ἱεροῦ λόχου, καὶ πιστευόμενος, ὡς ἦν δίκαιον, ἄνδρα τηλικαῦτα δεδωκότα τῇ πατρίδι σύμβολα, εἰς τὴν ἐλευθερίαν. ὡς οὖν ἐδέδοκτο διακινδυνεύειν. καὶ περὶ τὰ λεῦκτρα τοῖς λακεδαιμονίοις ἀντεστρατοπέδευον, ὄψιν εἶδεν κατὰ τοὺς ὕπνους ὁ πελοπίδας, εὖ μάλα διαταράξασαν αὐτόν. ἔστι γὰρ ἐν τῷ λευκτρικῷ πεδίῳ τὰ σήματα, τῶν τοῦ σκεδάσου θυγατέρων, ἃς λευκτρίδας καλοῦσι διὰ τὸν τόπον. ἐκεῖ γὰρ αὐταῖς ὑπὸ ξένων σπαρτιατῶν βιασθείσαις, συνέβη ταφῆναι. γενομένης δὲ χαλεπῆς οὕτω καὶ παρανόμου πράξεως, ὁ μὲν πατὴρ ὡς οὐκ ἔτυχεν ἐν λακεδαίμονι δίκης, ἀρὰς κατὰ τῶν σπαρτιατῶν, ἀρασάμενος, ἔσφαξεν ἑαυτόν, ἐπὶ τοῖς τάφοις τῶν παρθένων. χρησμοὶ δὲ καὶ λόγια, τοῖς σπαρτιάταις ἀεὶ προὔφερον, εὐλαβεῖσθαι καὶ φυλάττεσθαι, τὸ λευκτρικὸν μήνιμα, μὴ πάνυ τῶν πολλῶν συνιέντων, ἀλλ᾽ ἀμφιγνοούντων τὸν τόπον ἐπεὶ καὶ τῆς λακωνικῆς πολίχνιον, πρὸς τῇ θαλάσσῃ, λεῦκτρον ὀνομάζεται. καὶ πρὸς μεγάλῃ πόλει τῆς ἀρκαδίας τόπος ἐστὶν ὁμώνυμος.

Τὸ μὲν οὖν πάθος τοῦτο, πολὺ τῶν λευκτρικῶν ἦν παλαιότερον. ὁ δὲ πελοπίδας ἐν τῷ στρατοπέδῳ

Il. β 238

μένος. q. καὶ. n. q.

ἐμπίπτοντες. ἰσ.

σκυτάλαις, ἐμπείρως προσβάλλοντες τοῖς πολεμίοις. εἶτα γευσαμένους νίκης, καὶ φρονήματος ἀσφαλῶς ἀναπνεύσαντες, ὧν μεγίστην δόξαν εἶχεν ὁ πελοπίδας, ἀφ' ἧς τε εἵλοντο πρῶτον ἡγεμόνα τῶν ὅπλων. οὐκ ἀνεπαύσαντο καθ' ἕκαστον ἐνιαυτὸν, ἄρχοντα χειροτονοῦντες. ἀλλ' ἢ τε ἱερὸν λόχον ἄγων. ἢ τὰ πλεῖστα βοιωταρχῶν, ἄχρι τῆς τελευτῆς ἔπραττεν. ἐγένοντο μὲν οὖν, καὶ περὶ πλαταιὰς καὶ θεσπιάς, ἧτται καὶ φυγαὶ τῶν λακεδαιμονίων. ὅπου καὶ φοιβίδας ὁ τὴν καδμείαν καταλαβὼν, ἀπέθανε. πολλοὺς δὲ καὶ πρὸς τάναγραν τρεψάμενος, αὐτὸν καὶ πανθοΐδην τὸν ἁρμοστὴν, ἀνεῖλεν. ἀλλ' οὗτοι μὲν οἱ ἀγῶνες ὡς πρὸς τοὺς κρατοῦντας εἰς φρόνημα καὶ θάρσος προῆγον, οὕτως τῶν ἡττωμένων οὐ παντάπασιν ἐδούλουντο τὴν γνώμην. οὐ γὰρ ἐκ παρατάξεως ἦσαν, οὐδὲ μάχης ἐμφανῆ κατάστασιν ἐχούσης καὶ νόμιμον. ἐκδρομὰς δὲ προσκαίρους τιθέμενοι καὶ φυγὰς, ἢ διώξεις, ἐπεὶ χειροῦντες αὐτοῖς, καὶ συμπλεκόμενοι κατώρθουν. ὁ δὲ περὶ τεγύρας, τρόπον τινὰ τοῦ λευκτρικοῦ προάγων γενόμενος, μέγαν ἦρεν ἔνδοξον τὸν πελοπίδαν. οὔτε πρὸς κατόρθωμα τοῖς συστρατήγοις ἀμφισβήτησιν, οὔτε τῆς ἥττης πρόφασιν τοῖς πολεμίοις ἀπολιπών. τῇ γὰρ ὀρχομενίων πόλει, τὰ σπαρτιατῶν ἑλομένῃ, καὶ δύο δεδεγμένῃ μόρας αὐτῶν ὑπὲρ ἀσφαλείας, ἐπεβούλευε μὲν ἀεὶ, καὶ παρεφύλαττε καιρόν. ὡς δὲ ἤκουσεν τοὺς φρουροὺς εἰς τὴν λοκρίδα γεγενῆσθαι στρατείαν, ἐλπίσας ἔρημον αἱρήσειν τὸν ὀρχομενὸν, ἐστράτευσεν ἔχων μεθ' ἑαυτοῦ τὸν ἱερὸν λόχον, καὶ τῶν ἱππέων οὐ πολλούς. ἐπεὶ δὲ πρὸς τὴν πόλιν προσάγων, εὗρεν ἥκουσαν ἐκ σπάρτης διαδοχὴν τῆς φρουρᾶς, ἀπῆγεν ὀπίσω τὸ στράτευμα πάλιν διὰ τεγύρων. ἣ μόνη βάσιμον ἦν κύκλῳ παρὰ τὴν ὑπώρειαν. τὴν γὰρ διὰ μέσου πᾶσαν, ὁ μέλας ποταμὸς εὐθὺς ἐκ πηγῶν, εἰς ἕλη πλωτὰ καὶ λίμνας διασπειρόμενος, ἄπορον ἐποίει. μικρὸν δὲ ὑπὸ τὰ ἕλη, νεώς ἐστιν ἀπόλλωνος, τεγυραίου, καὶ μαντεῖον ἐκλελειμμένον, οὐ πάνυ πολὺν χρόνον, ἀλλ' ἄχρι τῶν μηδικῶν, ἤκμαζε τὴν προφητείαν, ἐχεκράτους ἔχοντος. ἐνταῦθα μυθολογοῦσι τὸν θεὸν γενέσθαι. καὶ τὸ μὲν πλησίον ὄρος, δῆλος καλεῖται. καὶ πρὸς αὐτὸ καταλήγουσιν αἱ τοῦ μέλανος διαχύσεις. ὀπίσω δὲ τοῦ ναοῦ, δύο ῥηγνύονται πηγαὶ, γλυκύτητι καὶ πλήθει καὶ ψυχρότητι, θαυμαστοῦ νάματος. ὧν τὸ μὲν φοίνικα, τὸ δὲ ἐλαίαν ἄχρι νῦν ὀνομάζομεν. οὐ φυτῶν μεταξὺ δυεῖν, ἀλλὰ ῥείθρων τῆς θεοῦ λοχευθείσης. καὶ γὰρ τὸ πτῶον ἐγγὺς, ὅθεν αὐτὴν ἀναπτοηθῆναι προφανέντος ἐξαίφνης κάπρου λέγουσιν. καὶ τὰ περὶ πύθωνα καὶ τιτυὸν, ὡσαύτως οἱ τόποι τῇ γενέσει τοῦ θεοῦ συνοικειοῦσι. τὰ γὰρ πλεῖστα παραλείπω τῶν τεκμηρίων. οὐ γὰρ ἐν τοῖς ἐκ μεταβολῆς ἀθανάτοις γενομένοις γεννητοῖς ὁ πάτριος λόγος τὸν θεὸν τοῦτον ἀπολείπει δαίμοσιν, ὡς περὶ ἡρακλέα καὶ διόνυσον, ἐκ μεταβολῆς ἀρετῇ τὸ θνητὸν καὶ παθητὸν ἀποβαλόντας. ἀλλὰ τῶν ἀϊδίων καὶ ἀγεννήτων, εἷς ἐστιν, εἰ δεῖ τοῖς ὑπὸ τῶν φρονιμωτάτων, καὶ παλαιοτάτων λεγομένοις τεκμαίρεσθαι περὶ τῶν τηλικούτων.

Εἰς γοῦν τεγύρας οἱ θηβαῖοι κατὰ τὸν αὐτὸν χρόνον ἐκ τῆς ὀρχομενίας ἀπιόντες, καὶ οἱ λακεδαιμόνιοι, συνέπιπτον, ἐξ ἐναντίας αὐτοῖς, ἐκ τῆς λοκρίδος ἀναζευγνύντες. ὡς δὲ πρῶτον ὤφθησαν τὰ στενὰ διεκβάλλοντες, καί τις εἶπε τῷ πελοπίδᾳ προσδραμὼν, ἐκπεπτώκαμεν εἰς τοὺς πολεμίους. τί μᾶλλον εἶπεν, ἢ εἰς ἡμᾶς ἐκεῖνοι. καὶ τὴν μὲν ἵππον, εὐθὺς ἐκέλευσεν παρελαύνειν ἀπ' οὐρᾶς ὡς προεμβαλοῦσαν. αὐτὸς δὲ τοὺς ὁπλίτας τριακοσίους ὄντας, εἰς ὀλίγον συνήγαγεν. ἐλπίζων καθ' ὃ προσβάλοι μάλιστα διακόψειν ὑπερβάλλοντας πλήθει τοὺς πολεμίους. ἦσαν δὲ δύο μόραι λακεδαιμονίων. τὴν δὲ μόραν, ἔφορος μὲν, ἄνδρας εἶναι πεντακοσίους φησί. καλλισθένης δὲ ἑπτακοσίους. ἄλλοι δὲ τινὲς ἐνακοσίους, ὧν πολύβιός ἐστιν. καὶ θαρροῦντες οἱ πολέμαρχοι τῶν σπαρτιατῶν, γοργολέων καὶ θεόπομπος, ὥρμησαν ἐπὶ τοὺς θηβαίους. γενομένης δέ πως μάλιστα τῆς ἐφόδου καθ' αὐτοὺς τοὺς ἄρχοντας, ἀπ' ἀμφοτέρων μετὰ θυμοῦ καὶ βίας, πρῶτον μὲν, οἱ πολέμαρχοι τῶν λακεδαιμονίων, τῷ πελοπίδᾳ συρράξαντες, ἔπεσον. ἔπειτα, τῶν περὶ ἐκείνους παιομένων καὶ ἀποθνησκόντων, ἅπαν εἰς φόβον κατέστη τὸ στράτευμα, καὶ διέσχε μὲν, ἐπ' ἀμφότερα τοῖς θηβαίοις, ὡς διεκπεσεῖν εἰς τοὔμπροσθεν καὶ διεκθεῖν βουλομένοις. ἐπεὶ δὲ τὴν δεδομένην ὁ πελοπίδας, ἡγεῖτο πρὸς τοὺς συνεστῶτας καὶ διεξῄει φονεύων, οὕτω πάντες προτροπάδην ἔφυγον. ἐγένετο δὲ, οὐκ ἐπὶ πολὺν τόπον ἡ δίωξις. ἐφοβοῦντο γὰρ ἐγγὺς ὄντας, οἱ θηβαῖοι τοὺς ὀρχομενίους καὶ τὴν διαδοχὴν τῶν λακεδαιμονίων. ὅσον δὲ νικῆσαι κατακράτος, καὶ διεξελθεῖν διαπαντὸς, ἡττωμένου τοῦ στρατεύματος, ἐξεβιάσαντο, καὶ στήσαντες τρόπαιον. καὶ νεκροὺς σκυλεύσαντες, ἀνεχώρησαν ἐπ' οἴκου μέγα φρονοῦντες. ἐν γὰρ τοσούτοις ὡς ἔοικε πολέμοις, ἑλληνικοῖς καὶ βαρβαρικοῖς πρότερον, οὐδέποτε λακεδαιμόνιοι πλείονες ὄντες ὑπ' ἐλαττόνων ἐκρατήθησαν. ἀλλ' οὐδὲ ἴσοι πρὸς ἴσους ἐκ παρατάξεως συμβαλόντες, ὅθεν ἦσαν ἀνυπόστατοι τὰ φρονήματα, καὶ τῇ δόξῃ, καταπληττόμενοι τοὺς ἀντιταττομένους. οὐδὲ αὐτοὺς ἀξιοῦντας ἀπ' ἴσης δυνάμεως τὸ ἴσον φέρεσθαι σπαρτιάταις, εἰς χεῖρας συνέστησαν. ἐκείνη δὲ ἡ μάχη πρώτη, καὶ τοὺς ἄλλους ἐδίδαξεν ἕλληνας, ὡς οὐχ ὁ εὐρώτας, οὐδὲ ὁ μεταξὺ βαθύτας, καὶ κνακιῶνος τόπος, ἄνδρας ἐκφέρει μαχητὰς καὶ πολεμικοὺς, ἀλλὰ παρ' οἷς ἂν αἰσχύνεσθαι τὰ αἰσχρὰ, καὶ τολμᾶν ἐπὶ τοῖς καλοῖς ἐθέλοντες, ἐγγένωνται νέοι. καὶ τοὺς ψόγους, τῶν κινδύνων μᾶλλον φεύγοντες, οὗτοι φοβερώτατοι τοῖς ἐναντίοις εἰσίν. τὸν δὲ ἱερὸν λόχον ὥς φασι, συνετάξατο, γοργίδας

τες, εἷλον καὶ διέφθειραν. διαπραξάμενοι δὲ ταῦτα, καὶ τοῖς περὶ μέλωνα συμβαλόντες, ἔπεμψαν μὲν εἰς τὴν ἀττικὴν, ἐπὶ τοὺς ὑπολελειμμένους ἐκεῖ τῶν φυγάδων, ἐκάλουν δὲ τοὺς πολίτας ἐπὶ τὴν ἐλευθερίαν καὶ τοὺς προσιόντας ὥπλιζον. ἀφαιροῦντες ἀπὸ τῶν στοῶν, τὰ περικείμενα σκῦλα. καὶ τὰ περὶ τὴν οἰκίαν ἐργαστήρια δορυξόων καὶ μαχαιροποιῶν ἀναρρηγνύντες. ἧκον δὲ βοηθοῦντες αὐτοῖς μετὰ τῶν ὅπλων, οἱ περὶ ἐπαμεινώνδαν καὶ γοργίδαν συνειλοχότες, οὐκ ὀλίγους τῶν νέων καὶ τῶν πρεσβυτέρων τοὺς βελτίστους. ἡ δὲ πόλις ἤδη μὲν ἀνεπτόητο πᾶσα, καὶ πολὺς θόρυβος ἦν, καὶ φῶτα περὶ τὰς οἰκίας, καὶ διαδρομαὶ πρὸς ἀλλήλους. οὔπω δὲ συνειστήκει τὸ πλῆθος, ἀλλ᾽ ἐκπεπληγμένοι πρὸς τὰ γινόμενα, καὶ σαφὲς οὐδὲν εἰδότες, ἡμέραν περιέμενον. ὅθεν ἁμαρτεῖν οἱ τῶν λακεδαιμονίων ἄρχοντες ἔδοξαν, εὐθὺς οὐκ ἐπιδραμόντες, οὐδὲ συμβαλόντες. αὐτὴ μὲν ἡ φρουρὰ περὶ χιλίους πεντακοσίους ὄντες. ἐκ δὲ τῆς πόλεως πρὸς αὐτοὺς πολλῶν συντρεχόντων. ἀλλὰ τὴν βοὴν, καὶ τὰ πυρὰ, καὶ τὸν ὄχλον ἀναχωροῦντα πανταχόθεν πολὺν φοβηθέντες, ἡσύχαζον, αὐτὴν τὴν καδμείαν κατέχοντες. ἅμα δὲ ἡμέρᾳ, παρῆσαν μὲν ἐκ τῆς ἀττικῆς, οἱ φυγάδες ὡπλισμένοι, συνήθροιστο δὲ εἰς τὴν ἐκκλησίαν ὁ δῆμος. εἰσῆγον δὲ τοὺς περὶ πελοπίδαν, ἐπαμεινώνδας καὶ γοργίδας, ὑπὸ τῶν ἱερέων περιεχομένους, στέμματα προτεινόντων καὶ παρακαλούντων τοὺς πολίτας τῇ πατρίδι, καὶ τοῖς θεοῖς βοηθεῖν. ἡ δ᾽ ἐκκλησία, ὀρθὴ πρὸς τὴν ὄψιν μετὰ κρότου, καὶ βοῆς ἐξανέστη, δεχομένων τοὺς ἄνδρας, ὡς εὐεργέτας καὶ σωτῆρας. ἐκ δὲ τούτου, βοιωτάρχης αἱρεθεὶς μετὰ μέλωνος, καὶ χάρωνος ὁ πελοπίδας, εὐθὺς ἀπετείχιζε τὴν ἀκρόπολιν. καὶ προσβολὰς ἐποιεῖτο πανταχόθεν, ἐξελεῖν σπουδάζων τοὺς λακεδαιμονίους, καὶ τὴν καδμείαν ἐλευθερῶσαι, πρὶν ἐκ σπάρτης στρατὸν ἐπελθεῖν. καὶ παρὰ τοσοῦτον ἔφθασεν, ἀφεὶς ὑποσπόνδους τοὺς ἄνδρας, ὅσον ἐν μεγάροις οὖσιν αὐτοῖς, ἀπαντῆσαι κλεόμβροτον ἐπὶ τὰς θήβας ἐλαύνοντα, μετὰ μεγάλης δυνάμεως. Οἱ δὲ σπαρτιᾶται, τριῶν ἁρμοστῶν γενομένων ἐν θήβαις, ἑρμιππίδαν μὲν καὶ ἄρκισσον, ἀπέκτειναν κρίναντες. ὁ δὲ τρίτος λυσανορίδας, χρήμασι πολλοῖς ζημιωθεὶς, αὐτὸν ἐκ τῆς πελοποννήσου μετέστησεν. ταύτην τὴν πρᾶξιν ἀρεταῖς μὲν ἀνδρῶν καὶ κινδύνοις καὶ ἀγῶσι παραπλησίαν τῇ θρασυβούλου γενομένην, καὶ βραβευθεῖσαν ὁμοίως ὑπὸ τῆς τύχης, ἀδελφὴν ἐκείνης προσηγόρευον οἱ ἕλληνες. οὐ γάρ ἐστι ῥᾳδίως ἑτέρους εἰπεῖν, οἳ πλειόνων ἐλάττους, καὶ δυνατωτέρων ἐρημότεροι, τόλμῃ καὶ δεινότητι κρατήσαντες, αἴτιοι μειζόνων ἀγαθῶν ταῖς πατρίσι κατέστησαν. ἐνδοξοτέραν δὲ ταύτην ἐποίησεν ἡ μεταβολὴ τῶν πραγμάτων. ὁ γὰρ καταλύσας τὸ τῆς σπάρτης ἀξίωμα, καὶ παύσας ἄρχοντας αὐτοὺς, γῆς τε καὶ θαλάττης πόλεμος, ἐξ ἐκείνης ἐγένετο τῆς νυκτὸς, ἐν ᾗ πελοπίδας, οὐ φρούριον. οὐ τεῖχος. οὐκ ἀκρόπολιν καταλαβὼν, ἀλλ᾽ εἰς οἰκίαν δωδέκατος κατελθὼν, εἰ δεῖ μεταφορᾷ τὸ ἀληθὲς εἰπεῖν, ἔλυσε καὶ διέκοψε τοὺς δεσμοὺς τῆς|λακεδαιμονίων ἡγεμονίας, ἀλύτους καὶ ἀρρήκτους εἶναι δοκοῦντας. .|.τῶν

Ἐπεὶ τοίνυν στρατῷ μεγάλῳ λακεδαιμονίων εἰς τὴν βοιωτίαν ἐμβαλόντων οἱ ἀθηναῖοι περίφοβοι γενόμενοι, τήν τε συμμαχίαν ἀπείποντο τοῖς θηβαίοις, καὶ τῶν βοιωτιαζόντων εἰς τὸ δικαστήριον παραγαγόντες, τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ φυγάδευσαν, τοὺς δὲ χρήμασιν ἐζημίωσαν. ἐδόκει δὲ κακῶς ἔχειν τὰ τῶν θηβαίων πράγματα, μηδενὸς αὐτοῖς βοηθοῦντος. ἔτυχε μὲν ὁ πελοπίδας μετὰ γοργίδου βοιωταρχῶν. ἐπιβουλεύοντες δὲ συγκροῦσαι πάλιν τοὺς ἀθηναίους τοῖς λακεδαιμονίοις, τοιόνδε τι μηχανῶνται. σφοδρίας ἀνὴρ σπαρτιάτης, εὐδόκιμος μὲν ἐν τοῖς πολεμικοῖς καὶ λαμπρὸς, ὑπόκουφος δὲ τὴν γνώμην, καὶ κενῶν ἐλπίδων καὶ φιλοτιμίας ἀνοήτου μεστὸς, ἀπελείφθη περὶ θεσπιὰς μετὰ δυνάμεως τοὺς ἀφισταμένους τῶν θηβαίων δέχεσθαι καὶ βοηθεῖν. πρὸς τοῦτον, ὑποπέμπουσιν οἱ περὶ τὸν πελοπίδαν, ἰδίᾳ. ἔμπορόν τινα τῶν φίλων, χρήματα κομίζοντα καὶ λόγους, οἳ τῶν χρημάτων, μᾶλλον ἀνέπεισαν αὐτὸν, ὡς χρὴ πραγμάτων μᾶλλον ἅπτεσθαι μεγάλων, καὶ τὸν πειραιᾶ καταλαβεῖν, ἀπροσδόκητον ἐπιπεσόντα, μὴ φυλαττομένοις τοῖς ἀθηναίοις. λακεδαιμονίοις τε γὰρ οὐδὲν οὕτως ἔσεσθαι κεχαρισμένον, ὡς λαβεῖν τὰς ἀθήνας, θηβαίους τε χαλεπῶς ἔχοντας αὐτοῖς, καὶ προδότας νομίζοντας, οὐκ ἐπιβοηθήσειν. τέλος δὲ, συμπεισθεὶς ὁ σφοδρίας, καὶ τοὺς στρατιώτας ἀναλαβὼν νυκτὸς, εἰς τὴν ἀττικὴν ἐνέβαλε. καὶ μέχρι μὲν ἐλευσῖνος προῆλθεν. ἐκεῖ δὲ τῶν στρατιωτῶν ἀποδειλιασάντων, φανερὸς γενόμενος καὶ συνταράξας, οὐ φαῦλον οὐδὲ ῥᾴδιον ὂν τοῖς σπαρτιάταις πολεμεῖν, ἀνεχώρησεν εἰς θεσπιάς. Ἐκ τούτου πάλιν προθυμότατα ἀθηναῖοι, τοῖς θηβαίοις συνεμάχουν, καὶ τῆς θαλάσσης ἀντελαμβάνοντο. καὶ περιιόντες, ἐδέχοντο, καὶ προσήγοντο τοὺς ἀποστατικῶς τῶν ἑλλήνων ἔχοντας. οἱ δὲ θηβαῖοι καθ᾽ αὑτοὺς ἐν τῇ βοιωτίᾳ συμπλεκόμενοι τοῖς λακεδαιμονίοις ἑκάστοτε, καὶ μαχόμενοι μάχας, αὐτὰς μὲν οὐ μεγάλας, μεγάλην δὲ τὴν μελέτην ἐχούσας καὶ τὴν ἄσκησιν, ἐξερριπίζοντο τοῖς θυμοῖς καὶ διεπονοῦντο τοῖς σώμασιν, ἐμπειρίαν ἅμα τῇ συνηθείᾳ, καὶ φρόνημα προσλαμβάνοντες ἐκ τῶν ἀγώνων. διὸ καὶ φασὶν, ἀνταλκίδαν τὸν σπαρτιάτην ὡς ἀγησίλαος ἐπανῆλθεν ἐκ βοιωτίας, τετρωμένος εἰπεῖν πρὸς αὐτὸν, ἦ καλὰ διδασκάλια παρὰ θηβαίων ἀντιλαμβάνεις, μὴ βουλομένους αὐτοὺς, πολεμεῖν καὶ μάχεσθαι, διδάξας. ἦν δὲ ὡς ἀληθῶς διδάσκαλος, οὐχ ἀγησίλαος, ἀλλ᾽ οἱ σὺν καιρῷ καὶ μετὰ λογισμοῦ, τοὺς θηβαίους ὡς πο- ἀπολαμβάνεις. κ.ς.

ρῶντα, καὶ παρακαλοῦντες αὐτὸν δή. ἀνυπόπτως τοῖς ἄρχουσιν. ἄλλως μὲν ἀνδρώδη καὶ βαρὺν ὄντα τῷ θαρρεῖν παρὰ τὰ δεινά. τότε δὲ δι᾽ ἐκείνους ἐκπεπληγμένον καὶ περιπαθοῦντα, μή τις ὑποψία προδοσίας ἐπ᾽ αὐτὸν ἔλθῃ. τοσούτων ἅμα καὶ τοιούτων πολιτῶν ἀπολλυμένων. ὡς οὖν ἔμελλεν ἀπιέναι. παραλαβὼν ἐκ τῆς γυναικωνίτιδος τὸν υἱὸν, ἔτι μὲν ὄντα παῖδα, κάλλει δὲ, καὶ ῥώμῃ σώματος πρωτεύοντα τῶν καθ᾽ ἡλικίαν, ἐνεχείριζε τοῖς περὶ πελοπίδαν. εἴ τινα δόλον καὶ προδοσίαν αὐτοῦ καταγνοῖεν ὡς πολεμίῳ χρῆσθαι κελεύων ἐκείνῳ, καὶ μὴ φείδεσθαι. πολλοῖς μὲν οὖν αὐτῶν δάκρυα πρὸς τὸ πάθος καὶ τὸ φρόνημα τοῦ χάρωνος ἐξέπεσεν. πάντες δὲ ἠγανάκτουν, εἰ δειλὸν οὕτως εἶναί τινα δοκεῖ καὶ διεφθαρμένον ὑπὸ τοῦ παρόντος, ὥστε ὑπονοεῖν ἐκεῖνον. ἢ ὅλως αἰτιᾶσθαι. καὶ τὸν υἱὸν ἐδέοντο, μὴ καταμιγνύναι αὐτοῖς, ἀλλ᾽ ἐκποδὼν θέσθαι τοῦ μέλλοντος, ὅπως αὐτός γε τῇ πόλει καὶ τοῖς φίλοις, τιμωρὸς ὑποτρέφοιτο περισωθεὶς καὶ διαφυγὼν τοὺς τυράννους. ὁ δὲ χάρων τὸν μὲν υἱὸν, ἀπαλλάξειν οὐκ ἔφη. ποῖον γὰρ αὐτῷ βίον ὁρᾶν, ἢ τίνα σωτηρίαν καλλίονα. τῆς ὁμοῦ μετὰ πατρὸς καὶ φίλων τοσούτων, ἀνυβρίστου τελευτῆς. ἐπευξάμενος δὲ τοῖς θεοῖς. καὶ πάντας ἀσπασάμενος καὶ παραθαρρύνας ἀπῄει. προσέχων ἑαυτῷ καὶ ῥυθμίζων σχήματι προσώπου, καὶ τόνῳ φωνῆς ἀνομοιότατος οἷς ἔπραττε φανῆναι. γενομένου δ᾽ αὐτοῦ ταῖς θύραις αὐτοῦ, προῆλθεν ὁ ἀρχίας, καὶ φιλλίδας καὶ εἶπεν. ὦ χάρων τινὰς ἀκήκοα παρεληλυθέναι ἐν τῇ πόλει κρύπτεσθαι, καὶ συμπράττειν αὐτοῖς ἐνίους τῶν πολιτῶν. καὶ ὁ χάρων διαταραχθεὶς τὸ πρῶτον, εἶτα ἐρωτήσας τίνες εἰσὶν οἱ παρεληλυθότες, καὶ τίνες οἱ κρύπτοντες αὐτούς, ὡς οὐδὲν ἑώρα σαφὲς εἰπεῖν ἔχοντα τὸν ἀρχίαν, ὑπονοήσας ἀπ᾽ οὐδενὸς τῶν ἐπισταμένων γεγονέναι τὴν μήνυσιν, ὁρᾶτε τοίνυν ἔφη, μὴ κενός τις ὑμᾶς διαταράττῃ λόγος. οὐ μὴν, ἀλλὰ καὶ σκέψομαι. δεῖ γὰρ ἴσως μηδενὸς καταφρονεῖν. Ταῦτα καὶ φιλλίδας παρὼν, ἐπῄνει. καὶ τὸν ἀρχίαν ἀπαγαγὼν, αὖθις εἰς ἄκρατον πολὺν κατέβαλε καὶ ταῖς περὶ τῶν γυναικῶν ἐλπίσιν, διεπαιδαγώγει τὸν πότον. ὡς δὲ ἐπανῆλθεν ὁ χάρων οἴκαδε. καὶ διεσκευασμένους τοὺς ἄνδρας εὗρεν, οὐχ ὡς ἄν τινα νίκην, ἢ σωτηρίαν ἐλπίζοντας, ἀλλ᾽ ὡς ἀποθανουμένους λαμπρῶς καὶ μετὰ φόνου πολλοῦ τῶν πολεμίων. τὸ μὲν ἀληθὲς, αὐτοῖς ἔφραζε τοῖς περὶ τὸν πελοπίδαν. πρὸς δὲ τοὺς ἄλλους, ἐψεύσατο λόγους τινὰς τοῦ ἀρχίου περὶ πραγμάτων ἑτέρων πλασάμενος. Ἔτι δὲ τοῦ πρώτου παραφερομένου, δεύτερον ἐπῆγεν ἡ τύχη χειμῶνα τοῖς ἀνδράσιν. ἧκε γάρ τις ἐξ ἀθηνῶν, παρὰ ἀρχίου τοῦ ἱεροφάντου, πρὸς ἀρχίαν τὸν ὁμώνυμον ξένον ὄντα, καὶ φίλον ἐπιστολὴν κομίζων. οὐ κενὴν ἔχουσαν, οὐδὲ πεπλασμένην ὑπόνοιαν, ἀλλὰ σαφῶς ἕκαστα περὶ τῶν πραττομένων φράζουσαν, ὡς ὕστερον ἐπεγνώσθη. τότε δὲ μεθύοντι τῷ ἀρχίᾳ προσαχθεὶς ὁ γραμματοφόρος καὶ τὴν ἐπιστολὴν ἐπιδοὺς, ὁ ταύτην ἔφη πέμψας, ἐκέλευσεν εὐθὺς ἀναγνῶναι. περὶ σπουδαίων γάρ τινων γεγράφθαι. καὶ ὁ ἀρχίας μειδιάσας, οὐκ οὖν εἰς αὔριον ἔφη τὰ σπουδαῖα, καὶ τὴν ἐπιστολὴν δεξάμενος, ὑπὸ τὸ προσκεφάλαιον ὑπέθηκεν. αὐτὸς δὲ πάλιν τῷ φιλλίδᾳ περὶ ὧν ἐτύγχανον διαλεγόμενοι, προσεῖχεν. ὁ μὲν οὖν λόγος οὗτος, ἐν παροιμίας τάξει περιφερόμενος, μέχρι νῦν διασώζεται παρὰ τοῖς ἕλλησι. Τῆς δὲ πράξεως δοκούσης ἔχειν ἤδη τὸν οἰκεῖον καιρὸν ἐξώρμησαν, δίχα διελόντες αὑτούς. οἱ μὲν περὶ πελοπίδαν καὶ δαμοκλείδαν, ἐπὶ τὸν λεοντίδαν καὶ τὸν ὑπάτην, ἐγγὺς ἀλλήλων οἰκοῦντας. χάρων δὲ καὶ μέλων, ἐπὶ τὸν ἀρχίαν καὶ φίλιππον, ἐσθῆτας ἐπενδεδυμένοι γυναικείας, τοῖς θώραξι, καὶ δασεῖς στεφάνους, ἐλάτης τε, καὶ πεύκης περικείμενοι, κατασκιάζοντες τὰ πρόσωπα. διὸ καὶ ταῖς θύραις τοῦ συμποσίου τὸ πρῶτον ἐπιστάντων, κρότον ἐποίησαν, καὶ θόρυβον, οἰομένων, ἃς πάλαι προσεδόκων γυναῖκας ἥκειν. ἐπεὶ δὲ περιβλέψαντες ἐν κύκλῳ τὸ συμπόσιον, καὶ τῶν κατακεκλιμένων ἕκαστον ἀκριβῶς καταμαθόντες, ἐσπάσαντο τὰς μαχαίρας. καὶ φερόμενοι διὰ τῶν τραπεζῶν ἐπὶ τὸν ἀρχίαν, καὶ φίλιππον, ἐφάνησαν οἵπερ ἦσαν. ὀλίγους μὲν ὁ φιλλίδας τῶν κατακειμένων ἔπεισεν, ἡσυχίαν ἄγειν. τοὺς δὲ ἄλλους, ἀμύνεσθαι μετὰ τῶν πολεμάρχων ἐπιχειροῦντας, καὶ συνεξανισταμένους, διὰ τὴν μέθην οὐ πάνυ χαλεπῶς ἀπέκτειναν. τοῖς δὲ περὶ τὸν πελοπίδαν ἐργωδέστερον ἀπήντα τὸ πρᾶγμα. καὶ γὰρ ἐπὶ νήφοντα, καὶ δεινὸν ἄνδρα τὸν λεοντίδαν, ἐχώρουν. καὶ κεκλεισμένην τὴν οἰκίαν εὗρον, ἤδη καθεύδοντος. καὶ πολὺν χρόνον κόπτουσιν αὐτοῖς ὑπήκουεν οὐδείς. μόλις δέ ποτε τοῦ θεράποντος αἰσθομένου προϊόντος ἔνδοθεν, καὶ τὸν μοχλὸν ἀφαιροῦντος, ἅμα τῷ πρῶτον ἐνδοῦναι, καὶ χαλάσαι τὰς θύρας, ἐπιπεσόντες ἀθρόοι, καὶ τὸν οἰκέτην ἀνατρέψαντες, ἐπὶ τὸν θάλαμον ὥρμησαν. ὁ δὲ λεοντίδας αὐτὸ τεκμαιρόμενος τῷ κτύπῳ, καὶ δρόμῳ, τὸ γιγνόμενον. ἐσπάσατο μὲν τὸ ἐγχειρίδιον ἐξαναστάς, ἔλαθεν δὲ αὐτὸν καταβαλεῖν τὰ λύχνα, καὶ διασκοτίσας αὐτοὺς ἑαυτοῖς, περιπετεῖς ποιῆσαι τοὺς ἄνδρας. ἐν δὲ φωτὶ πολλῷ καθορώμενος, ὑπήντα πρὸς τὰς θύρας αὐτοῖς τοῦ θαλάμου, καὶ τὸν πρῶτον εἰσιόντα κηφισόδωρον πατάξας, κατέβαλεν. πεσόντος δὲ τούτου, δευτέρῳ συνεπέπλεκτο τῷ πελοπίδᾳ. καὶ τὴν μάχην χαλεπὴν ἐποίει, καὶ δύσεργον, ἡ στενότης τῶν θυρῶν, καὶ κείμενος ἐμποδὼν ἤδη νεκρὸς, ὁ κηφισόδωρος. ἐκράτησε δ᾽ οὖν ὁ πελοπίδας, καὶ κατεργασάμενος τὸν λεοντίδαν ἐπὶ τὸν ὑπάτην εὐθὺς ἐχώρει, μετὰ τῶν σὺν αὐτῷ, καὶ παρεισέπεσον μὲν εἰς τὴν οἰκίαν ὁμοίως, αἰσθόμενον δὲ ταχέως, καὶ καταφυγόντα πρὸς τοὺς γείτονας, ἐκποδὼν διώξαν-

πις ἀθηναίων, ἐπὶ τοὺς τυράννους, ὅπλα διὰ τῆς βοιωτίας κομίζει μηδένα βοιωτὸν ἀκούειν, μὴ δὲ ὁρᾶν, οὐδὲν ἠδίκησαν τοὺς θηβαίους. ὁ δὲ πελοπίδας, καίπερ ἐν τοῖς νεωτάτοις ὤν, ἰδίᾳ τε καθ᾽ ἕκαστον ἐξώρμα τῶν φυγάδων, καὶ πρὸς τὸ πλῆθος ἐποιήσατο λόγους. ὡς οὔτε καλὸν, οὔτε ὅσιον εἶναι δουλεύουσαν τὴν πατρίδα, καὶ φρουρουμένην περιορᾶν, αὐτοὺς δὲ μόνον τὸ σώζεσθαι καὶ διαζῆν ἀγαπῶντας, ἐκκρέμμασθαι τῶν ἀθήνῃσι ψηφισμάτων, καὶ θεραπεύειν, ὑποπεπτωκότας ἀεὶ τοῖς λέγειν δυναμένοις, καὶ πείθειν τὸν ὄχλον, ἀλλὰ καὶ κινδυνευτέον ὑπὲρ τῶν μεγίστων, παράδειγμα θεμένους, τὴν θρασυβούλου τόλμαν καὶ ἀρετήν. ἵνα ὡς ἐκεῖνος ἐκ θηβῶν πρότερον ὁρμηθεὶς κατέλυσε τοὺς ἐν ἀθήναις τυράννους. οὕτως αὐτοὶ πάλιν ἐξ ἀθηνῶν προελθόντες, ἐλευθερώσωσι τὰς θήβας. ὡς οὖν ἔπεισε ταῦτα λέγων, πέμπουσιν εἰς θήβας κρύφα πρὸς τοὺς ὑπολελειμμένους τῶν φίλων, τὰ δεδογμένα φράζοντες. οἱ δὲ συνεπῄνουν. καὶ χάρων μὲν ὅσπερ ἦν ἐπιφανέστατος, ὡμολόγησε τὴν οἰκίαν παρέξειν. φιλλίδας δὲ διεπράξατο, τῶν περὶ ἀρχίαν καὶ φίλιππον γραμματεὺς γενέσθαι πολεμαρχούντων. ἐπαμεινώνδας δὲ, τοὺς νέους πάλαι φρονήματος ἦν ἐμπεπληκώς. ἐκέλευε γὰρ ἐν τοῖς γυμνασίοις, ἐπιλαμβάνεσθαι τῶν λακεδαιμονίων, καὶ παλαίειν. εἶτα, ὁρῶν ἐπὶ τῷ κρατεῖν, καὶ περιεῖναι γαυρουμένους ἐπέπληττεν, ὡς αἰσχύνεσθαι μᾶλλον αὐτοῖς προσῆκον. εἰ δουλεύουσι δι᾽ ἀνανδρίαν, ὧν τοσοῦτον ταῖς ῥώμαις διαφέρουσιν. ἡμέρας δὲ πρὸς τὴν πρᾶξιν ὁρισθείσης, ἔδοξε τοῖς φυγάσι, τοὺς μὲν ἄλλους συναγαγόντα φερένικον ἐν τῷ θριασίῳ περιμένειν. ὀλίγους δὲ τῶν νεωτάτων παραβαλέσθαι προεισελθεῖν εἰς τὴν πόλιν. ἐὰν δέ τι πάθωσιν ὑπὸ τῶν πολεμίων οὗτοι, τοὺς ἄλλους ἐπιμελεῖσθαι πάντας, ὅπως μήτε παῖδες αὐτῶν, μήτε γονεῖς, ἐνδεεῖς ἔσονται τῶν ἀναγκαίων. ὑφίσταται δὲ τὴν πρᾶξιν, πελοπίδας πρῶτος. εἶτα, μέλων καὶ δαμοκλείδης, καὶ θεόπομπος. ἄνδρες, οἴκων τε πρώτων. καὶ πρὸς ἀλλήλους, τὰ ἄλλα μὲν φιλικῶς, καὶ πιστικῶς, ὑπὲρ δὲ δόξης καὶ ἀνδρείας, ἀεὶ φιλονείκως ἔχοντες. γενόμενοι δὲ οἱ σύμπαντες δώδεκα, καὶ τοὺς ἀπολειπομένους ἀσπασάμενοι, καὶ προπέμψαντες ἄγγελον τῷ χάρωνι, προῆγον ἐν χλαμυδίοις. σκύλακάς τε θηρευτικὰς, καὶ στάλικας ἔχοντες, ὡς μὴ δὲ εἷς ὑποπτεύοι τῶν ἐντυγχανόντων καθ᾽ ὁδὸν, ἀλλ᾽ ἀλύοντες ἄλλως, πλανᾶσθαι, καὶ κυνηγεῖν δοκοῖεν. ἐπεὶ δὲ ὁ πεμφθεὶς παρ᾽ αὐτῶν ἄγγελος, ἧκεν πρὸς τὸν χάρωνα, καὶ καθ᾽ ὁδὸν ὄντας ἔφραζεν. αὐτὸς μὲν ὁ χάρων, οὐδὲ ὑπὸ τοῦ δεινοῦ πλησιάζοντος ἔτρεψέ τι τῆς γνώμης, ἀλλ᾽ ἀνὴρ ἀγαθὸς ἦν, καὶ παρεῖχε τὴν οἰκίαν. ἱπποσθενίδας δέ τις, οὐ πονηρὸς μὲν, ἀλλὰ καὶ φιλόπατρις, καὶ τοῖς φυγάσιν εὔνους ἄνθρωπος, ἐνδεὴς δὲ τόλμης τοσαύτης, ὅσης ὅ τε καιρὸς ὀξὺς ὢν, αἵ τε ὑποκείμεναι πράξεις ἀπῄτουν, ὥσπερ ἰλιγγιάσας πρὸς τὸ μέγεθος τοῦ ἀγῶνος ἐν χερσὶ γενομένου, καὶ μόλις ποτὲ τῷ λογισμῷ συμφρονήσας, ὅτι τρόπον τινὰ τὴν τῶν λακεδαιμονίων σαλεύουσιν ἀρχὴν, καὶ τῆς ἐκεῖθεν δυνάμεως ὑποβάλλονται κατάλυσιν, πιστεύσαντες ἀπόροις καὶ φυγαδικαῖς ἐλπίσιν. ἀπελθὼν οἴκαδε σιωπῇ, πέμπει τινὰ τῶν φίλων πρὸς μέλωνα καὶ πελοπίδαν, ἀναβαλέσθαι κελεύων ἐν τῷ παρόντι, καὶ περιμένειν βελτίονα καιρὸν, αὖθις ἐπαλλαγέντας εἰς ἀθήνας. χλίδων ἦν ὄνομα τῷ πεμφθέντι, καὶ κατὰ σπουδὴν οἴκαδε πρὸς αὑτὸν τραπόμενος, καὶ τὸν ἵππον ἐξαγαγὼν, ᾔτει τὸν χαλινόν. ἀπορουμένης δὲ τῆς γυναικὸς ὡς οὐκ εἶχε, δοῦναι τινὶ τῶν συνήθων λεγούσης. λοιδορίαι τὸ πρῶτον ἦσαν. εἶτα δυσφημίαι, τῆς γυναικὸς ἐπαρωμένης αὐτῷ τε κακὰς ὁδοὺς ἐκείνῳ, καὶ τοῖς πέμπουσιν. ὥστε καὶ τὸν χλίδωνα πολὺ τῆς ἡμέρας ἀναλώσαντα πρὸς ταῦτα δι᾽ ὀργὴν, ἅμα δὲ καὶ τὸ συμβεβηκὸς οἰωνισάμενον, ἀφεῖναι τὴν ὁδὸν ὅλως, καὶ πρὸς ἄλλο τι τρέπεσθαι. παρὰ τοσοῦτον μὲν ἦλθον, αἱ μέγισται καὶ κάλλισται τῶν πράξεων, εὐθὺς ἐν ἀρχῇ διαφυγεῖν τὸν καιρόν. οἱ δὲ περὶ τὸν πελοπίδαν, ἐσθῆτας τὰς γεωργῶν μεταλαβόντες, καὶ διελόντες αὑτοὺς, ἄλλοι κατ᾽ ἄλλα μέρη τῆς πόλεως, παρεισῆλθον, ἔτι ἡμέρας οὔσης. ἦν δέ τι πνεῦμα καὶ νιφετὸς, ἀρχομένου τρέπεσθαι τοῦ ἀέρος, καὶ μᾶλλον ἔλαθον καταπεφευγότων ἤδη διὰ τὸν χειμῶνα τῶν πλείστων, εἰς τὰς οἰκίας. οἷς δὲ ἦν ἐπιμελὲς, τὰ πραττόμενα γινώσκειν, ἀνελάμβανον τοὺς προσερχομένους, καὶ καθίστων εὐθὺς εἰς τὴν οἰκίαν τοῦ χάρωνος. ἐγένοντο δὲ σὺν τοῖς φυγάσι πεντήκοντα, δυοῖν δέοντες. τὰ δὲ περὶ τοὺς τυράννους, οὕτως εἶχε. φιλλίδας ὁ γραμματεὺς, συνέπραττε μὲν, ὥσπερ εἴρηται πάντα, καὶ συνῄδει τοῖς φυγάσιν. εἰς δὲ τὴν ἡμέραν ἐκείνην, ἐκ παλαιοῦ κατηγγελκὼς τοῖς περὶ τὸν ἀρχίαν πότον τινὰ καὶ συνουσίαν, καὶ γύναια τῶν ὑπάνδρων, ἔπραττεν ὅτι μάλιστα ταῖς ἡδοναῖς ἐκλελυμένους, καὶ κατοίνους, μεταχειρίσασθαι παρέξειν τοῖς ἐπιτιθεμένοις. οὔπω δὲ πάνυ πόρρω μέθης οὖσιν αὐτοῖς, προσέπεσέ τις, οὐ ψευδὴς μὲν, ἀβέβαιος δὲ καὶ πολλὴν ἀσάφειαν ἔχουσα περὶ τῶν φυγάδων μήνυσις, ὡς ἐν τῇ πόλει κρυπτομένων. τοῦ δὲ φιλλίδου παραφέροντος τὸν λόγον, ὅμως ἀρχίας ἔπεμψέ τινα τῶν ὑπηρετῶν πρὸς τὸν χάρωνα, προστάσσων εὐθὺς ἥκειν αὐτόν. ἦν δὲ ἑσπέρα, καὶ συνετάττοντο ἔνδον αὑτοὺς οἱ περὶ τὸν πελοπίδαν ἤδη τεθωρακισμένοι καὶ τὰς μαχαίρας ἀνειληφότες. ἐξαίφνης δὲ κοπτομένης τῆς θύρας προσδραμών τις καὶ πυθόμενος τοῦ ὑπηρέτου χάρωνα μετιέναι παρὰ τῶν πολεμάρχων φάσκοντος, ἀπήγγειλεν εἴσω τεθορυβημένος. καὶ πᾶσιν εὐθὺς παρέστη, τήν τε πρᾶξιν ἐκμεμηνύσθαι, καὶ σφᾶς ἅπαντας ἀπολωλέναι, μὴ δὲ δράσαντάς τι, τῆς ἀρετῆς ἄξιον. οὐ μὴν, ἀλλ᾽ ἔδοξεν ὑπακοῦσαι τὸν χά-

τος ἀφελείᾳ καὶ τραπέζης λιτότητι, καὶ τῷ πρὸς τοὺς πόνους ἀόκνῳ. καὶ κατὰ στρατείαν ἀδόλῳ καλλωπιζόμενος, ὥσπερ ὁ εὐριπίδου καπανεύς. ᾧ βίος μὲν ἦν πολύς, ἥκιστα δὲ δι' ὄλβον γαῦρος ἦν, αἰσχυνόμενος, εἰ φανεῖται πλείοσι χρώμενος εἰς τὸ σῶμα, τοῦ τὰ ἐλάχιστα κεκτημένου θηβαίων. ἐπαμεινώνδας μὲν οὖν, συνήθη καὶ πατρῴαν οὖσαν αὐτῷ τὴν πενίαν, ἔτι μᾶλλον εὔζωνον, καὶ κοῦφον ἐποίησεν φιλοσοφῶν, καὶ μονότροπον βίον ἀπ' ἀρχῆς ἑλόμενος. πελοπίδᾳ δὲ, ἦν μὲν γάμος λαμπρός. ἐγένοντο δὲ καὶ παῖδες. ἀλλ' οὐδὲν ἧττον, ἀμελῶν τοῦ χρηματίζεσθαι, καὶ σχολάζων τῇ πόλει τὸν ἅπαντα χρόνον, ἠλάττωσε τὴν οὐσίαν. τῶν δὲ φίλων, νουθετούντων καὶ λεγόντων, ὡς ἀναγκαίου πράγματος, ὀλιγωρεῖ τοῦ χρήματα ἔχειν. ἀναγκαίου νὴ δία νικοδήμῳ τούτῳ, δείξας τινὰ χωλὸν καὶ τυφλόν. ἦσαν δὲ καὶ πρὸς πᾶσαν ἀρετὴν, πεφυκότες ὁμοίως, πλὴν ὅτι τῷ γυμνάζεσθαι μᾶλλον ἔχαιρε πελοπίδας. τῷ δὲ μανθάνειν, ἐπαμεινώνδας. καὶ τὰς διατριβὰς ἐν τῷ σχολάζειν, ὁ μὲν, περὶ παλαίστρας καὶ κυνηγέσια, ὁ δὲ ἀκούων τι καὶ φιλοσοφῶν ἐποιεῖτο.

Πολλῶν δὲ καὶ καλῶν ὑπαρχόντων ἀμφοτέροις πρὸς δόξαν, οὐδὲν οἱ νοῦν ἔχοντες ἡγοῦνται τηλικοῦτον ἡλίκον, τὴν διὰ τοσούτων ἀγώνων, καὶ στρατηγιῶν, καὶ πολιτειῶν, ἀνεξέλεγκτον εὔνοιαν καὶ φιλίαν ἀπ' ἀρχῆς, μέχρι τέλους ἐμμείνασαν. εἰ γάρ τις ἀποβλέψας τὴν ἀριστείδου, καὶ θεμιστοκλέους, καὶ κίμωνος, καὶ περικλέους, καὶ νικίου, καὶ ἀλκιβιάδου πολιτείαν, ὅσων γέγονε μεστὴ διαφορῶν, καὶ φθόνων, καὶ ζηλοτυπιῶν, πρὸς ἀλλήλους. σκέψαιτο πάλιν, τὴν πελοπίδου πρὸς ἐπαμεινώνδαν εὐμένειαν καὶ τιμήν. τούτους ἂν ὀρθῶς καὶ δικαίως προσαγορεύσειε, συνάρχοντας, καὶ συστρατήγους, ἢ ἐκείνους. οἳ μᾶλλον ἀλλήλων, ἢ τῶν πολεμίων ἀγωνιζόμενοι, περιεῖναι διετέλεσαν. αἰτία δὲ ἀληθινὴ μὲν ἦν ἡ ἀρετὴ, δι' ἣν οὐ δόξαν. οὐ πλοῦτον. ἀπὸ τῶν πράξεων μετιόντες. οἷς ὁ χαλεπὸς καὶ δύσερις ἐμφύεται φθόνος, ἀλλ' ἔρωτα θεῖον ἀπ' ἀρχῆς ἐρασθέντες ἀμφότεροι, τοῦ τὴν πατρίδα λαμπροτάτην καὶ μεγίστην ἐφ' ἑαυτῶν ἰδεῖν γενομένην, ὥσπερ ἰδίοις ἐπὶ τοῦτο, τοῖς αὐτῶν ἐχρῶντο κατορθώμασιν. οὐ μὴν, ἀλλ' οἵ γε πολλοὶ νομίζουσιν αὐτοῖς τὴν σφοδρὰν φιλίαν, ἀπὸ τῆς ἐν μαντινείᾳ γενέσθαι στρατείας. ἣν συνεστράτευσαν λακεδαιμονίοις ἔτι φίλοις καὶ συμμάχοις οὖσι, πεμφθείσης ἐκ θηβῶν βοηθείας. τεταγμένοι γὰρ ἐν τοῖς ὁπλίταις μετ' ἀλλήλων. καὶ μαχόμενοι πρὸς τοὺς ἀρκάδας, ὡς ἐνέδωκε τὸ καθ' αὐτοὺς κέρας τῶν λακεδαιμονίων. καὶ τροπὴ τῶν πολλῶν ἐγεγόνει, συνασπίσαντες, ἠμύναντο τοὺς ἐπιφερομένους. καὶ πελοπίδας μὲν, ἑπτὰ τραύματα λαβὼν ἐναντία, πολλοῖς ἐπικατερρύη νεκροῖς ὁμοῦ φίλοις, καὶ πολεμίοις, ἐπαμεινώνδας δὲ, καίπερ ἀβιώτως ἔχειν αὐτὸν ἡγούμενος, ὑπὲρ τοῦ σώματος καὶ τῶν ὅπλων ἔστη προελθών, καὶ διεκινδύνευσεν πρὸς πολλοὺς μόνος, ἐγνωκὼς ἀποθανεῖν μᾶλλον, ἢ πελοπίδαν ἀπολιπεῖν κείμενον. ἤδη δὲ καὶ τούτου κακῶς ἔχοντος, καὶ λόγχῃ μὲν, εἰς τὸ στῆθος, ξίφει δὲ εἰς τὸν βραχίονα τετρωμένου, προσεβοήθησεν ἀπὸ θατέρου κέρως, ἀγησίπολις ὁ βασιλεὺς τῶν σπαρτιατῶν, καὶ περιεποίησεν ἀνελπίστως, αὐτοὺς ἀμφοτέρους.

Μετὰ δὲ ταῦτα τῶν σπαρτιατῶν, λόγῳ μὲν ὡς φίλοις καὶ συμμάχοις προσφερομένων τοῖς θηβαίοις, ἔργῳ δὲ τὸ φρόνημα τῆς πόλεως, καὶ τὴν δύναμιν ὑφορωμένων, καὶ μάλιστα τὴν ἰσμηνίου καὶ ἀνδροκλείδου, μισούντων ἑταιρείαν, ἧς μετεῖχεν ὁ πελοπίδας, φιλελεύθερον ἅμα καὶ δημοτικὴν εἶναι δοκοῦσαν, ἀρχίας, καὶ λεοντίδας, καὶ φίλιππος ἄνδρες ὀλιγαρχικοὶ καὶ πλούσιοι, καὶ μέτριον οὐδὲν φρονοῦντες, ἀναπείθουσι φοιβίδαν τὸν λάκωνα μετὰ στρατιᾶς διαπορευόμενον ἐξαίφνης καταλαβεῖν τὴν καδμείαν. καὶ τοὺς ὑπεναντιουμένους αὐτοῖς, ἐκβαλόντα, πρὸς τὸ λακεδαιμονίων ὑπήκοον, ἁρμόσασθαι δι' ὀλίγων τὴν πολιτείαν. πεισθέντος δὲ ἐκείνου, καὶ μὴ προσδοκῶσι τοῖς θηβαίοις ἐπιθεμένου, θεσμοφορίων ὄντων, καὶ τῆς ἄκρας κυριεύσαντος. ἰσμηνίας μὲν συναρπασθεὶς καὶ κομισθεὶς εἰς λακεδαίμονα, μετ' οὐ πολὺν χρόνον, ἀνῃρέθη. πελοπίδας δὲ, καὶ φερένικος, καὶ ἀνδροκλείδας, μετὰ συχνῶν ἄλλων φεύγοντες, ἐξεκηρύχθησαν. ἐπαμεινώνδας δὲ, κατὰ χώραν ἔμεινε, τῷ καταφρονηθῆναι, διὰ μὲν φιλοσοφίαν, ὡς ἀπράγμων, διὰ δὲ πενίαν, ὡς ἀδύνατος.

Ἐπεὶ δὲ λακεδαιμόνιοι, φοιβίδαν μὲν ἀφείλοντο τῆς ἀρχῆς. καὶ δέκα δραχμῶν μυριάσιν ἐζημίωσαν, τὴν δὲ καδμείαν, οὐδὲν ἧττον φρουρᾷ κατέσχον, οἱ μὲν ἄλλοι πάντες ἕλληνες, ἐθαύμαζον τὴν ἀτοπίαν, εἰ τὸν μὲν πράξαντα κολάζουσι, τὴν δὲ πρᾶξιν δοκιμάζουσι. τοῖς δὲ θηβαίοις, τὴν πάτριον ἀποβεβληκόσι πολιτείαν, καὶ καταδεδουλωμένοις, ὑπὸ τῶν περὶ ἀρχίαν, καὶ λεοντίδαν, οὐδὲ ἐλπίσαι περιῆν, ἀπαλλαγήν τινα τῆς τυραννίδος, ἣν ἑώρων τῇ σπαρτιατῶν δορυφορουμένην ἡγεμονίᾳ, καὶ καταλυθῆναι μὴ δυναμένην. εἰ μή τις ἄρα παύσειε κἀκείνους, γῆς καὶ θαλάττης ἄρχοντας. οὐ μὴν, ἀλλ' οἱ περὶ λεοντίδαν πυνθανόμενοι τοὺς φυγάδας ἀθήνησι διατρίβειν, τῷ τε πλήθει προσφιλεῖς ὄντας, καὶ τιμὴν ἔχοντας ὑπὸ τῶν καλῶν καὶ ἀγαθῶν, ἐπεβούλευον αὐτοῖς κρύφα. καὶ πέμψαντες ἀνθρώπους ἀγνῶτας, ἀνδροκλείδαν μὲν, ἀποκτιννύουσι δόλῳ, τῶν δὲ ἄλλων, διαμαρτάνουσιν. ἧκε δὲ καὶ παρὰ λακεδαιμονίων γράμματα τοῖς ἀθηναίοις προστάσσοντα μὴ δέχεσθαι, μηδὲ παρακινεῖν, ἀλλ' ἐξελαύνειν τοὺς φυγάδας ὡς κοινοὺς πολεμίους ὑπὸ τῶν συμμάχων ἀποδεδειγμένους. οἱ μὲν οὖν ἀθηναῖοι, πρὸς τῷ πάτριον αὐτοῖς, καὶ σύμφυτον εἶναι τὸ φιλάνθρωπον, ἀμειβόμενοι τοὺς θηβαίους, μάλιστα συναιτίους γενομένους τῷ δήμῳ κατελθεῖν, καὶ ψηφισαμένους, ἐάν

Ἄτων ὁ πρεσβύτατος πρός τινας ἐπαινοῦντας ἄνθρωπον ἀλογίστως παράβολον, καὶ τολμηρὸν ἐν τοῖς πολεμικοῖς, διαφέρειν ἔφη τὸ πολλοῦ τινα τὴν ἀρετὴν ἄξιον, καὶ τὸ μὴ πολλοῦ ἄξιον τὸ ζῆν νομίζειν, ὀρθῶς ἀποφαινόμενος. ὁ γοῦν παρ' Ἀντιγόνῳ στρατευόμενος ἴταμος, φαῦλος δὲ τὴν ἕξιν

Η καὶ τὸ σῶμα διεφθορὼς, ἐρομένου τοῦ βασιλέως τὴν αἰτίαν τῆς ὠχρότητος, ὁμολογῆσαί τινα νόσον τῶν ἀπορρήτων. ἐπεὶ δὲ φιλοτιμηθεὶς ὁ βασιλεὺς προσέταξε τοῖς ἰατροῖς ἐάν τις ᾖ βοήθεια, μηδὲν ἐλλιπεῖν τῆς ἄκρας ἐπιμελείας, οὕτω θεραπευθεὶς ὁ γενναῖος ἐκεῖνος, οὐκέτ' ἦν φιλοκίνδυνος οὐδὲ ῥαγδαῖος ἐν τοῖς ἀγῶσιν, ὥστε καὶ τὸν Ἀντίγονον ἐγκαλεῖν καὶ θαυμάζειν τὴν μεταβολήν. οὐ μὴν ὁ ἄνθρωπος ἀπεκρύψατο τὸ αἴτιον, ἀλλ' εἶπεν. ὦ βασιλεῦ σύ με πεποίηκας ἀτολμότερον, ἀπαλλάξας ἐκείνων τῶν κακῶν δι' ἃ τοῦ ζῆν ὠλιγώρουν. Πρὸς τοῦτο δὲ φαίνεται καὶ συβαρίτης ἀνὴρ εἰπεῖν περὶ τῶν σπαρτιατῶν ὡς οὐ μέγα ποιοῦσι θανατῶντες ἐν τοῖς πολέμοις, ὑπὲρ τοῦ τοσούτους πόνους καὶ τοιαύτην ἀποφυγεῖν δίαιταν. ἀλλὰ συβαρίταις μὲν ἐκτετηκόσιν ὑπὸ τρυφῆς καὶ μαλακίας, διὰ τὴν πρὸς τὸ καλὸν ὁρμὴν καὶ φιλοτιμίαν, εἰκότως ἐφαίνοντο μισεῖν τὸν βίον οἱ μὴ φοβούμενοι τὸν θάνατον. Λακεδαιμονίοις δὲ καὶ ζῆν ἡδέως καὶ θνήσκειν ἀμφότερα ἀρετὴ παρεῖχεν. ὡς δηλοῖ τὸ ἐπικήδιον. οἵδε γάρ

Θ φησιν ἔθανον, οὐ τὸ ζῆν θέμενοι καλὸν, οὐδὲ τὸ θνήσκειν, ἀλλὰ τὸ ταῦτα καλῶς ἀμφότερα ἐκτελέσαι. οὔτε γὰρ φυγὴ θανάτου μεμπτὸν, ἂν ὀρέγηταί τις τοῦ βίου μὴ αἰσχρῶς. οὔτε ὑπομονὴ καλὸν, εἰ μετ' ὀλιγωρίας γένοιτο τοῦ ζῆν. ὅθεν Ὅμηρος μὲν, ἀεὶ τοὺς θαρραλεωτάτους καὶ μαχιμωτάτους ἄνδρας, εὖ καὶ καλῶς ὡπλισμένους ἐξάγει πρὸς τοὺς ἀγῶνας. οἱ δὲ τῶν Ἑλλήνων νομοθέται, τὸν ῥίψασπιν κολάζουσιν. οὐ τὸν ξίφος οὐδὲ λόγχην προέμενον, διδάσκοντες ὅτι τοῦ μὴ παθεῖν κακῶς πρότερον ἢ τοῦ ποιῆσαι τοὺς πολεμίους ἑκάστῳ μέλειν προσήκει. μάλιστα δὲ ἄρχοντι πόλεως ἢ στρατεύματος. εἰ γὰρ ὡς Ἰφικράτης διῄρει. χερσὶ μὲν ἐοίκασιν οἱ ψιλοί. ποσὶ δὲ τὸ ἱππικόν. αὐτὴ δὲ ἡ φάλαγξ, στέρνῳ καὶ θώρακι. κεφαλῇ δὲ, ὁ στρατηγὸς, οὐχ αὑτοῦ δόξειεν ἂν ἀποκινδυνεύων παραμελεῖν, καὶ θρασυνόμενος, ἀλλ' ἁπάντων οἷς ἡ σωτηρία γίνεται δι' αὐτοῦ, καὶ τοὐναντίον. ὅθεν ὁ Καλλικρατίδας καίπερ ὢν τἆλλα μέγας, οὐκ εὖ πρὸς τὸν μάντιν εἶπε. δεομένου γὰρ αὐτοῦ, φυλάττεσθαι θάνατον, ὡς τῶν ἱερῶν προδηλούντων, ἔφη, μὴ παρ' ἕνα εἶναι τὰν σπάρταν. μαχόμενος γὰρ, εἷς ἦν καὶ πλέων. καὶ στρατευόμενος, ὁ Καλλικρατίδας, στρατηγῶν δὲ τὴν ἁπάντων εἶχε συλλαβὼν ἐν αὑτῷ δύναμιν ὥστε, οὐκ ἦν εἷς ᾧ τοσαῦτα συναπώλλυτο. βέλτιον δὲ Ἀντίγονος ὁ γέρων, ὅτε ναυμαχεῖν περὶ Ἄνδρον ἔμελλεν, εἰπόντος τινὸς ὡς πολὺ πλείους αἱ τῶν πολεμίων νῆες εἶεν, ἐμὲ δὲ αὐτὸν ἔφη, πρὸς πόσας ἀντιστήσεις, μέγα τὸ τῆς ἀρχῆς ὥσπερ ἐστὶν ἀξίωμα, ποιῶν μετ' ἐμπειρίας καὶ ἀρετῆς ταττόμενον, ἧς πρῶτον ἔργον ἐστὶν. σώζειν τὸν ἅπαντα τἆλλα σώζοντα. διὸ καλῶς ὁ Τιμόθεος ἐπιδεικνυμένου ποτὲ τοῖς Ἀθηναίοις τοῦ Χάρητος ὠτειλάς τινας ἐν τῷ σώματι, καὶ τὴν ἀσπίδα λόγχῃ διακεκομμένην. ἐγὼ δὲ εἶπεν ὡς λίαν ᾐσχύνθην, ὅτι μου πολιορκοῦντος Σάμον, ἐγγὺς ἔπεσε βέλος. ὡς μειρακιωδέστερον ἐμαυτῷ χρώμενος ἢ κατὰ στρατηγὸν καὶ ἡγεμόνα δυνάμεως τοσαύτης. ὅπου μὲν γὰρ εἰς τὰ ὅλα μεγάλην φέρει ῥοπὴν, ὁ τοῦ στρατηγοῦ κίνδυνος, ἐνταῦθα καὶ χειρὶ καὶ σώματι, χρηστέον ἀφειδῶς, χαίρειν φράσαντα τοῖς λέγουσιν, ὡς χρὴ τὸν ἀγαθὸν στρατηγὸν, μάλιστα μὲν ὑπὸ γήρως. εἰ δὲ μὴ, γέροντα θνήσκειν. ὅπου δὲ μικρὸν τὸ περιγινόμενον ἐκ τοῦ κατορθώματος, τὸ δὲ πᾶν συναπόλλυται σφαλέντος, οὐδεὶς ἀπαιτεῖ στρατιώτου πρᾶξιν, κινδύνῳ πραττομένην στρατηγοῦ. Ταῦτα δέ μοι παρέστη προαναφωνῆσαι γράφοντι τὸν Πελοπίδου βίον. καὶ τὸν Μαρκέλλου μεγάλων ἀνδρῶν, παραλόγως πεσόντων. καὶ γὰρ χειρὶ χρῆσθαι μαχιμώτατοι γενόμενοι, καὶ στρατηγίαις ἐπιφανεστάταις κοσμήσαντες ἀμφότεροι τὰς πατρίδας. ἔτι δὲ τῶν βαρυτάτων ἀνταγωνιστῶν. ὁ μὲν Ἀννίβαν ἀήττητον ὄντα, πρῶτος ὡς λέγεται τρεψάμενος. ὁ δὲ γῆς καὶ θαλάττης ἄρχοντας Λακεδαιμονίους, ἐκ παρατάξεως νικήσας, ἠφείδησαν ἑαυτῶν σὺν οὐδενὶ λογισμῷ, προέμενοι τὸν βίον, ὁπηνίκα μάλιστα, τοιούτων καιρὸς ἦν ἀνδρῶν σωζομένων καὶ ἀρχόντων. διόπερ ἡμεῖς ἑπόμενοι ταῖς ὁμοιότησι, παραλλήλους ἀνεγράψαμεν αὐτῶν τοὺς βίους. Πελοπίδᾳ τῷ Ἱππόκλου, γένος μὲν ἦν εὔδοκιμον ἐν Θήβαις, ὥσπερ Ἐπαμεινώνδᾳ. τραφεὶς δὲ ἐν οὐσίᾳ μεγάλῃ, καὶ παραλαβὼν ἔτι νέος λαμπρὸν οἶκον, ὥρμησε τῶν δεομένων τοῖς ἀξίοις βοηθεῖν, ἵνα κύριος ἀληθῶς φαίνοιτο χρημάτων γεγονὼς, ἀλλὰ μὴ δοῦλος. τῶν γὰρ πολλῶν ὡς Ἀριστοτέλης φησίν. οἱ μὲν, οὐ χρῶνται τῷ πλούτῳ, διὰ μικρολογίαν. οἱ δὲ παραχρῶνται δι' ἀσωτίαν, καὶ δουλεύοντες, οὗτοι μὲν, ἀεὶ ταῖς ἡδοναῖς. ἐκεῖνοι δὲ, ταῖς ἀσχολίαις διατελοῦσιν. οἱ μὲν οὖν ἄλλοι τῷ Πελοπίδᾳ χάριν ἔχοντες, ἐχρῶντο τῇ πρὸς αὐτοὺς ἐλευθεριότητι καὶ φιλανθρωπίᾳ. μόνον δὲ τῶν φίλων τὸν Ἐπαμεινώνδαν, οὐκ ἔπειθε τοῦ πλούτου μεταλαμβάνειν. αὐτὸς μέντοι μετεῖχε τῆς ἐκείνου πενίας, ἐθη-

τὸ ... ἔφη, τὸ πολλοῦ τινα τὴν ἀρετὴν ἄξιον, τὸ μὴ πολλοῦ ἄξιον τὸ ζῆν νομίζειν.

ἔτι δ' ἑπτακισχίλιοι, τετρακόσιοι πεντήκοντα δύο. τῆς δὲ βουλῆς προέγραψε μὲν μάρκον αἰμίλιον λέπιδον, ἤδη τετράκις καρπούμενον ταύτην τὴν προεδρίαν. ἐξέβαλε δὲ τρεῖς συγκλητικοὺς, οὐ τῶν ἐπιφανῶν, καὶ περὶ τὴν τῶν ἱππέων ἐξέτασιν ὁμοίως ἐμέτρησεν. αὐτός τε καὶ μάρκιος φίλιππος ὁ συνάρχων αὐτοῦ. διῳκημένων δὲ τῶν πλείστων καὶ μεγίστων, ἐνόσησε νόσον ἐν ἀρχῇ μὲν, ἐπισφαλῆ, χρόνῳ δὲ, ἀκίνδυνον. ἐργώδη δὲ καὶ δυσαπάλλακτον, γενομένην. ἐπεὶ δὲ πεισθεὶς ὑπὸ τῶν ἰατρῶν, ἔπλευσεν εἰς ἐλέαν τῆς ἰταλίας, καὶ διέτριβεν αὐτόθι πλείω χρόνον, ἐν παραλίοις ἀγροῖς, καὶ πολλὴν ἡσυχίαν ἔχουσιν. ἐπόθησαν αὐτὸν οἱ ῥωμαῖοι. καὶ φωνὰς πολλάκις ἐν θεάτροις, οἷον δυσχούμενοι, καὶ σπεύδοντες ἰδεῖν ἀφῆκαν. οὔσης δέ τινος ἱερουργίας ἀναγκαίας. ἤδη δὲ καὶ δοκοῦντος ἱκανῶς ἔχειν αὐτῷ τοῦ σώματος, ἐπανῆλθεν εἰς ῥώμην. κἀκείνην μὲν, ἔθυσε μετὰ τῶν ἄλλων τὴν θυσίαν ἱερέων ἐπιφανῶς τοῦ δήμου περικεχυμένου, καὶ χαίροντος. τῇ δ' ὑστεραίᾳ πάλιν, ἔθυσεν αὐτὸς ὑπὲρ αὐτοῦ σωτήρια τοῖς θεοῖς καὶ συντελεσθείσης ὡς προείρηται τῆς θυσίας, ὑποστρέψας οἴκαδε καὶ κατακλιθεὶς, πρὶν αἰσθέσθαι καὶ νοῆσαι τὴν μεταβολὴν, ἐν ἐκστάσει καὶ παραφορᾷ τῆς διανοίας γενόμενος, τριταῖος ἐτελεύτησεν. οὐδενὸς ἐνδεὴς. οὐδ' ἀτελὴς, τῶν πρὸς εὐδαιμονίαν νενομισμένων γενόμενος. καὶ γὰρ ἡ περὶ τὴν ἐκφορὰν πομπὴ, θαυμασμὸν ἔσχεν καὶ ζῆλον, ἐπικοσμοῦντα τὴν ἀρετὴν τοῦ ἀνδρὸς, τοῖς ἀρίστοις καὶ μακαριωτάτοις ἐνταφίοις. ταῦτα δ' ἦν, οὐ χρυσὸς οὐδ' ἐλέφας. οὐδ' ἡ λοιπὴ πολυτέλεια καὶ φιλοτιμία τῆς παρασκευῆς, ἀλλ' εὔνοια καὶ τιμὴ, καὶ χάρις, οὐ μόνον παρὰ τῶν πολιτῶν, ἀλλὰ καὶ τῶν πολεμίων. ὅσοι γοῦν κατὰ τύχην παρῆσαν, ἰβήρων καὶ λιγύων, καὶ μακεδόνων. οἱ μὲν ἰσχυροὶ τὰ σώματα καὶ νέοι διαλαβόντες τὸ λέχος, ὑπέδυσαν καὶ παρεκόμιζον. οἱ δὲ πρεσβύτεροι, συνηκολούθουν, ἀνακαλούμενοι τὸν αἰμίλιον. εὐεργέτην καὶ σωτῆρα τῶν πατρίδων. οὐ γὰρ μόνον ἐν οἷς ἐκράτησε καιροῖς. ἠπίως πᾶσι καὶ φιλανθρώπως ἀπηλλάγη χρησάμενος. ἀλλὰ καὶ παρὰ πάντα τὸν λοιπὸν βίον, ἀεί τι πράττων ἀγαθὸν αὐτοῖς. καὶ κηδόμενος ὥσπερ οἰκείων καὶ συγγενῶν, διετέλεσεν. τὴν δ' οὐσίαν αὐτοῦ, μόλις ἑπτὰ καὶ τριάκοντα μυριάδων γενέσθαι λέγουσιν. ἧς αὐτὸς μὲν, ἀμφοτέρους τοὺς υἱοὺς ἀπέλιπε κληρονόμους, ὁ δὲ νεώτερος σκηπίων, τῷ ἀδελφῷ πᾶσαν ἔχειν συνεχώρησεν. αὐτὸς εἰς οἶκον εὐπορώτερον, τὸν ἀφρικανοῦ δεδομένος. οὗτος μὲν ὁ παύλου αἰμιλίου τρόπος, καὶ βίος λέγεται γενέσθαι.

ἴσως ... δυσχούμενοι fortasse corrupta est. significatum ipsius vocis Vide in fine ... librorum de dictis Socratis ... putabat legendum εὐχόμενοι

λὰ πρὸς πᾶσαν ὁμαλῶς τύχης αἰτίασιν, οὕτως ἡρμόσατο καὶ κατεκόσμησεν τὴν τῶν παρόντων σύγκρασιν, ὥστε τοῖς ἀγαθοῖς τὰ φλαῦρα, καὶ τὰ οἰκεῖα τοῖς δημοσίοις ἐναφανισθέντα, μὴ ταπεινῶσαι τὸ μέγεθος μηδὲ καθυβρίσαι τὸ ἀξίωμα τῆς νίκης. τὸν μέν γε πρότερον τῶν παίδων ἀποθανόντα θάψας, εὐθὺς ἐθριάμβευσεν ὡς λέλεκται. τοῦ δὲ δευτέρου μετὰ τὸν θρίαμβον τελευτήσαντος, συναγαγὼν εἰς ἐκκλησίαν τὸν ῥωμαίων δῆμον, ἐχρήσατο λόγοις ἀνδρὸς οὐ δεομένου παραμυθίας, ἀλλὰ παραμυθουμένου τοὺς πολίτας δυσπαθοῦντας, ἐφ᾽ οἷς ἐκεῖνος ἐδυστύχησεν. Ἔφη γὰρ ὅτι τῶν ἀνθρωπίνων, οὐδὲν οὐδέποτε δείσας, τῶν δὲ θείων ὡς ἀπιστότατον καὶ ποικιλώτατον πρᾶγμα, τὴν τύχην ἀεὶ φοβηθείς. μάλιστα περὶ τοῦτον αὐτῆς τὸν πόλεμον ὥσπερ πνεύματος λαμπροῦ, ταῖς πράξεσι παρούσης διατελοίη, μεταβολήν τινα καὶ παλίρροιαν προσδεχόμενος. μιᾷ μὲν γὰρ εἶπεν ἡμέρᾳ, τὸν ἰόνιον ἀπὸ βρεντεσίου περάσας εἰς κέρκυραν κατήχθην. πεμπταῖος δ᾽ ἐκεῖθεν ἐν δελφοῖς τῷ θεῷ θύσας. ἑτέραις αὖθις αὖ πέντε τὴν δύναμιν ἐν μακεδονίᾳ παρέλαβον, καὶ τὸν εἰωθότα συντελέσας καθαρμὸν αὐτῆς καὶ τῶν πράξεων εὐθὺς ἐναρξάμενος, ἐν ἡμέραις ἄλλαις πεντεκαίδεκα, τὸ κάλλιστον ἐπέθηκα τῷ πολέμῳ τέλος. ἀπιστῶν δὲ τῇ τύχῃ, διὰ τὴν εὔροιαν τῶν πραγμάτων, ὡς ἄδεια πολλὴ καὶ κίνδυνος οὐδεὶς ἦν ἀπὸ τῶν πολεμίων, μάλιστα κατὰ πλοῦν ἐδεδίειν τὴν μεταβολὴν τοῦ δαίμονος, ἐπ᾽ εὐτυχίᾳ τοσοῦτον στρατὸν, νενικηκότα, καὶ λάφυρα καὶ βασιλεῖς, αἰχμαλώτους κομίζων, οὐ μὴν, ἀλλὰ καὶ σωθεὶς πρὸς ὑμᾶς, καὶ τὴν πόλιν ὁρῶν εὐφροσύνης καὶ ζήλου καὶ θυσιῶν γέμουσαν, ἔτι τὴν τύχην, δι᾽ ὑποψίας εἶχον. εἰδὼς, οὐδὲν εἰλικρινὲς, οὐδ᾽ ἀνεμέσητον ἀνθρώποις, τῶν μεγάλων χαριζομένην. καὶ τοῦτον οὐ πρότερον ἡ ψυχὴ τὸν φόβον ὠδίνουσα, καὶ περισκοπουμένη τὸ μέλλον, ὑπὲρ τῆς πόλεως, ἀφῆκεν, ἢ τηλικαύτῃ με προσπταῖσαι δυστυχίᾳ περὶ τὸν οἶκον. υἱῶν ἀρίστων, οὓς ἐμαυτῷ μόνους ἐλιπόμην διαδόχους, ταφὰς ἐπαλλήλους ἐν ἡμέραις ἱεραῖς, μεταχειρισάμενον. νῦν οὖν, ἀκίνδυνός εἰμι τὰ μέγιστα. καὶ θαρρῶ καὶ νομίζω τὴν τύχην ὑμῖν παραμενεῖν ἀβλαβῆ καὶ βέβαιον. ἱκανῶς γὰρ ἐμοὶ, καὶ τοῖς ἐμοῖς κακοῖς, εἰς τὴν τῶν κατωρθωμένων ἀποκέχρηται νέμεσιν. οὐκ ἀφανέστερον ἔχουσα παράδειγμα τῆς ἀνθρωπίνης ἀσθενείας, τοῦ θριαμβευομένου, τὸν θριαμβεύοντα. πλὴν ὅτι περσεὺς μὲν, ἔχει καὶ νενικημένος τοὺς παῖδας. αἰμίλιος δὲ, τοὺς αὐτοῦ νικήσας ἀπέβαλεν. οὕτω μὲν εὐγενεῖς καὶ μεγάλους λόγους τὸν αἰμίλιον ἐξ ἀπλάστου καὶ ἀληθινοῦ φρονήματος, ἐν τῷ δήμῳ διαλεχθῆναι λέγουσι. τῷ δὲ περσεῖ καίπερ οἰκτείρας τὴν μεταβολὴν καὶ μάλα βοηθῆσαι προθυμηθεὶς, οὐδὲν εὕρετο, πλὴν μεταστάσεως ἐκ τοῦ καλουμένου κάρκερε παρ᾽ αὐτοῖς, εἰς τόπον καθαρὸν, καὶ φιλανθρωποτέραν δίαιταν. ὅπου φρουρούμενος, ὡς μὲν οἱ πλεῖστοι γεγράφασιν, ἀπεκαρτέρησεν. ἔνιοι δὲ τῆς τελευτῆς ἴδιόν τινα καὶ παρηλλαγμένον τρόπον ἱστοροῦσι. μεμψαμένοις γάρ τι καὶ θυμωθέντας αὐτῷ τοὺς περὶ τὸ σῶμα στρατιώτας, ὡς ἕτερον οὐδὲν ἠδύναντο λυπεῖν καὶ κακοῦν αὐτὸν, ἐξείργειν τῶν ὕπνων, καὶ προσέχοντας ἀκριβῶς ἐνίστασθαι ταῖς καταφοραῖς, καὶ συνέχειν ἐγρηγορότα πάσῃ μηχανῇ, μέχρις οὗ τοῦτον τὸν τρόπον ἐκπονηθεὶς ἐτελεύτησεν. ἐτελεύτησε δὲ καὶ τῶν παιδίων τὰ δύο. τὸν δὲ τρίτον ἀλέξανδρον εὐφυᾶ μὲν ἐν τῷ τορεύειν καὶ λεπτουργεῖν γενέσθαι φασίν. ἐκμαθόντα δὲ τὰ ῥωμαϊκὰ γράμματα, καὶ τὴν διάλεκτον, ὑπογραμματεύειν τοῖς ἄρχουσιν, ἐπιδέξιον καὶ χαρίεντα περὶ ταύτην, τὴν ὑπηρεσίαν ἐξεταζόμενον. ταῖς δὲ μακεδονικαῖς πράξεσι τοῦ αἰμιλίου, δημοτικωτάτην προσγράφουσι χάριν ὑπὸ τῶν πολλῶν. ὡς τοσοῦτον εἰς τὸ δημόσιον τότε χρημάτων ὑπ᾽ αὐτοῦ τεθέντων, ὥστε μηκέτι δεῆσαι τὸν δῆμον εἰσενεγκεῖν, ἄχρι τῶν ἱρτίου, καὶ πάνσα, χρόνων. οἳ περὶ τὸν πρῶτον ἀντωνίου, καὶ καίσαρος πόλεμον ὑπάτευσαν. κἀκεῖνο δ᾽ ἴδιον καὶ περιττὸν τοῦ αἰμιλίου. τὸ, σπουδαζόμενον ὑπὸ τοῦ δήμου, καὶ τιμώμενον διαφερόντως, ἐπὶ τῆς ἀριστοκρατικῆς μεῖναι προαιρέσεως, καὶ μηδὲν εἰπεῖν, μηδὲ πρᾶξαι χάριτι τῶν πολλῶν, ἀλλὰ τοῖς πρώτοις καὶ κρατίστοις ἀεὶ συνεξετάζεσθαι περὶ τὴν πολιτείαν. ὃ καὶ χρόνοις ὕστερον ἄππιος ὠνείδισεν ἀφρικανῷ σκιπίωνι. μέγιστοι γὰρ ὄντες ἐν τῇ πόλει τότε, τὴν τιμητικὴν ἀρχὴν μετῄεσαν. ὁ μὲν, τὴν βουλὴν ἔχων καὶ τοὺς ἀρίστους περὶ αὐτόν. αὕτη γὰρ, ἀππίοις ἡ πολιτεία πάτριος. ὁ δὲ, μέγας μὲν ὢν ἐφ᾽ ἑαυτοῦ, μεγάλῃ δ᾽ ἀεὶ τῇ παρὰ τοῦ δήμου χάριτι καὶ σπουδῇ κεχρημένος. ὡς οὖν ἐμβαλόντος εἰς ἀγορὰν τοῦ σκιπίωνος κατεῖδεν παρὰ πλευρὰν ὁ ἄππιος ἀνθρώπους ἀγεννεῖς, καὶ δεδουλευκότας, ἀγοραίους δὲ καὶ δυναμένους ὄχλον συναγαγεῖν, καὶ σπουδαρχίᾳ καὶ κραυγῇ, πάντα πράγματα βιάσασθαι, μέγα βοήσας. ὦ παῦλε εἶπεν αἰμίλιε, στέναξον ὑπὸ γῆς αἰσθόμενος. ὅτι σοῦ τὸν υἱὸν, αἰμίλιος ὁ κῆρυξ καὶ λικίννιος φιλόνεικος, ἐπὶ τιμητείαν κατάγουσιν. ἀλλὰ σκιπίων μὲν, αὔξων τὰ πλεῖστα τὸν δῆμον εὔνουν εἶχεν. αἰμίλιος δὲ καίπερ ὢν ἀριστοκρατικὸς, οὐδὲν ἧττον ὑπὸ τῶν πολλῶν ἠγαπᾶτο τοῦ μάλιστα δημαγωγεῖν, καὶ πρὸς χάριν ὁμιλεῖν τοῖς πολλοῖς δοκοῦντος. ἐδήλωσαν δὲ, μετὰ τῶν ἄλλων καλῶν καὶ τιμητείας αὐτὸν ἀξιώσαντες, ἥτις ἐστὶν, ἀρχὴ πασῶν ἱερωτάτη, καὶ δυναμένη μέγα. πρός τε ἄλλα, καὶ πρὸς ἐξέτασιν βίων. ἐκβαλεῖν τε γὰρ ἔξεστι, συγκλήτου τὸν ἀπρεπῶς ζῶντα τοῖς τιμηταῖς. καὶ προσγράψαι τὸν ἄριστον. ἵππου τ᾽ ἀφαιρέσει, τῶν νέων, ἀτιμάσαι τὸν ἀκολασταίνοντα, καὶ τῶν οὐσιῶν οὗτοι τὰ τιμήματα, καὶ τὰς ἀπογραφὰς ἐπισκοποῦσι.

Ἀπεγράψαντο μὲν οὖν κατ᾽ αὐτὸν μυριάδες ἀνθρώπων, τριακοντατρεῖς,

μεμηχαμένοις

παν σα

λ τ
τιμηταῖς

ἡ μὲν πρώτη, μόλις ἐξαρκέσασα τοῖς αἰχμαλώτοις ἀνδριᾶσι καὶ γραφαῖς καὶ κολοσσοῖς ἐπὶ ζευ-
θέαμα. q. τῶν πεντήκοντα καὶ διακοσίων κομιζομένοις, τοῦτ' ἔχεν θέαν. τῇ δ' ὑστεραίᾳ τὰ κάλλιστα καὶ πολυ-
τελέστατα τῶν μακεδονικῶν ὅπλων, ἐπέμπετο πολλαῖς ἁμάξαις. αὐτά τε μαρμαίροντα χαλκῷ, νε-
οσμήκτῳ καὶ σιδήρῳ, τήν τε θέσιν ἐκ τέχνης, καὶ συναρμογῆς, ὡς ἂν μάλιστα συμπεφορημένοις, χύ-
δην καὶ αὐτομάτως ἐῴκει πεποιημένα. κράνη πρὸς ἀσπίσι, καὶ θώρακες ἐπὶ κνημῖσι, καὶ κρητικαὶ
πέλται, καὶ θρᾴκια γέρρα, καὶ φαρέτραι μετὰ ἱππικῶν ἀναμεμιγμέναι χαλινῶν, καὶ ξίφη γυ-
μνὰ διὰ τούτων παρανίσχοντα, καὶ σάρισαι παραπεπηγυῖαι, σύμμετρον ἐχόντων χάλασμα τῶν ὅ-
πλων. ὥστε τὴν πρὸς ἄλληλα κροῦσιν ἐν τῷ διαφέρεσθαι, τραχὺ καὶ φοβερὸν ὑπηχεῖν, καὶ μὴ δὲ
νενικημένων, ἄφοβον εἶναι τὴν ὄψιν μετὰ δὲ τὰς ὁπλοφόρους ἁμάξας, ἄνδρες ἐπεπορεύοντο τρισ-
χίλιοι, νόμισμα φέροντες ἀργυροῦν, ἐν ἀγγείοις ἑπτακοσίοις πεντήκοντα, τριταλάντοις. ὧν ἕκαστον
ἀνὰ τέσσαρες ἐκόμιζον. ἄλλοι δὲ κρατῆρας ἀργυροῦς, καὶ κέρατα, καὶ φιάλας, καὶ κύλικας, εὖ δια-
ἐξοχῇ τε q. m. κεκοσμημένας, πρὸς θέαν ἕκαστα καὶ περιττὰ τῷ μεγέθει καὶ τῇ παχύτητι τῆς τορείας. τῆς δὲ τρί-
της ἡμέρας ἕωθεν μὲν εὐθὺς ἐπορεύοντο σαλπικταί, μέλος οὐ προσόδιον καὶ πομπικόν. ἀλλ' οἵῳ μα-
χομένους ἐποτρύνουσιν αὐτοὺς ῥωμαῖοι προσεγκελευόμενοι. Μετὰ δὲ τούτους ἤγοντο χρυσόκερῳ
τροφίαι βοῦς, ἑκατὸν εἴκοσι, μίτραις ἠσκημένοι καὶ στέμμασιν. οἱ δ' ἄγοντες αὐτοὺς νεανίσκοι, περιζώμα-
σιν εὐπαρύφοις ἐσταλμένοι, πρὸς ἱερουργίαν ἐχώρουν. καὶ παῖδες ἀργυρᾶ λοιβεῖα, καὶ χρυσᾶ κομί-
ζοντες. εἶτα μετὰ τούτους, οἱ τὸ χρυσοῦν νόμισμα φέροντες, εἰς ἀγγεῖα τριταλαντιαῖα μεμερισμένον
τούτοις κ. ς. τ. q. ὁμοίως τῷ ἀργυρίῳ. τὸ δὲ πλῆθος ἦν τῶν ἀγγείων, ὀγδοήκοντα τεσσάρων δέοντα. τούτοις ἐπέβαλλον οἵ
τε τὴν ἱερὰν φιάλην ἀνέχοντες, ἣν ὁ αἰμίλιος ἐκ χρυσοῦ δέκα ταλάντων διὰ λίθων κατεσκεύασεν.
οἵ τε τὰς ἀντιγονίδας καὶ σελευκίδας, καὶ θηρικλείους. καὶ ὅσα περὶ δεῖπνον χρυσώματα, τοῦ περ-
σέως ἐπιδεικνύμενοι. τούτοις ἐπέβαλλε τὸ ἅρμα τοῦ περσέως. καὶ τὰ ὅπλα, καὶ τὸ διάδημα τοῖς ὅ-
πλοις ἐπικείμενον. εἶτα, μικροῦ διαλείμματος ὄντος ἤδη, τὰ τέκνα τοῦ βασιλέως ἤγοντο δοῦλα. καὶ
σὺν αὐτοῖς, τροφέων καὶ διδασκάλων καὶ παιδαγωγῶν δεδακρυμένων ὄχλος. αὐτῶν τε τὰς χεῖρας ὀ-
ρεγόντων εἰς τοὺς θεατὰς, καὶ τὰ παιδία, δεῖσθαι καὶ λιτανεύειν διδασκόντων. ἦν δ' ἄρρενα μὲν δύο.
θῆλυ δὲ, ἕν. οὐ πάνυ συμφρονοῦντα τῶν κακῶν τὸ μέγεθος διὰ τὴν ἡλικίαν. ᾗ καὶ μᾶλλον, ἐλεεινὰ πρὸς
τὴν μεταβολὴν τῆς ἀναισθησίας ἦν. ὥστε μικροῦ τὸν περσέα βαδίζειν παρορώμενον. οὕτως ὑπ' οἴ-
νηπίοις κτου τοῖς νηπίοις προσεῖχον τὰς ὄψεις οἱ ῥωμαῖοι. καὶ δάκρυα πολλοῖς ἐκβάλλειν συνέβη. πᾶσι δὲ
μεμιγμένην ἀλγηδόνι καὶ χάριτι τὴν θέαν εἶναι. μέχρι οὗ τὰ παιδία παρῆλθεν. αὐτὸς δὲ τῶν τέ-
κνων ὁ περσεὺς καὶ τῆς περὶ αὐτὰ θεραπείας κατόπιν ἐπορεύετο. φαιὸν μὲν ἱμάτιον ἀμπεχόμενος.
καὶ κρηπῖδας ἔχων ἐπιχωρίους. ὑπὸ δὲ μεγέθους τῶν κακῶν πάντα θαμβοῦντι, καὶ παραπεπλη-
γμένῳ μάλιστα τὸν λογισμὸν ἐοικώς. καὶ τούτῳ δ' εἵπετο χορὸς φίλων καὶ συνήθων, βεβαρημένων
τὰ πρόσωπα πένθει. καὶ τῷ πρὸς περσέα βλέπειν ἀεὶ καὶ δακρύειν, ἔννοιαν παριστάντων τοῖς θεω-
μένοις, ὅτι τὴν ἐκείνου τύχην ὀλοφύρονται, τῶν καθ' ἑαυτοὺς ἐλάχιστα φροντίζοντες. καίτοι, προσέ-
πεμψε τῷ αἰμιλίῳ δεόμενος μὴ πομπευθῆναι, καὶ παραιτούμενος τὸν θρίαμβον. ὁ δὲ τῆς ἀνανδρίας
αὐτοῦ καὶ φιλοψυχίας ὡς ἔοικε καταγελῶν. ἀλλὰ τοῦτό γ' εἶπε, καὶ πρότερον ἦν ἐπ' αὐτῷ, καὶ νῦν
ἐστιν, ἂν βούληται. δηλῶν τὸν πρὸ αἰσχύνης θάνατον. ὃν οὐχ ὑπομείνας ὁ δειλαῖος, ἀλλ' ὑπ' ἐλπίδων
τινῶν ἀπομαλακισθεὶς ἐγεγόνει μέρος τῶν αὐτοῦ λαφύρων. ἐφεξῆς δὲ τούτοις ἐκομίζοντο χρυσοῖ στέφα-
νοι, τετρακόσιοι τὸ πλῆθος, οὓς αἱ πόλεις ἀριστεῖα τῆς νίκης τῷ αἰμιλίῳ, μετὰ πρεσβειῶν ἔπεμψαν. εἶ-
τ' αὐτὸς ἐπέβαλλεν, ἅρματι κεκοσμημένῳ διαπρεπῶς ἐπιβεβηκώς. ἀνὴρ καὶ δίχα τοσαύτης ἐξουσί-
ας ἀξιοθέατος, ἁλουργίδα χρυσόπαστον ἀμπεχόμενος. καὶ δάφνης κλῶνα τῇ δεξιᾷ προτείνων. ἐδα-
φνηφόρει δὲ καὶ σύμπας ὁ στρατός. τῷ μὲν ἅρματι τοῦ στρατηγοῦ, κατὰ λόχους καὶ τάξεις ἑπόμε-
νος. ᾄδων δὲ, τὰ μὲν, ᾠδάς τινας πατρίους, ἀναμεμιγμένας γέλωτι. τὰ δὲ, παιᾶνας ἐπινικίους,
καὶ τῶν διαπεπραγμένων ἐπαίνους εἰς τὸν αἰμίλιον περίβλεπτον ὄντα καὶ ζηλωτὸν, ὑπὸ πάν-
των. οὐδενὶ δὲ τῶν ἀγαθῶν ἐπίφθονον. πλὴν εἴ τι δαιμόνιον ἄρα τῶν μεγάλων καὶ ὑπερόγκων εἴλη-
χεν εὐτυχιῶν ἀπαρύτειν, καὶ μιγνύναι τὸν ἀνθρώπινον βίον. ὅπως μηδενὶ κακῶν ἄκρατος εἴη καὶ κα-
θαρός. Ἀλλὰ καθ' ὅμηρον ἄριστα δοκῶσι πράττειν, οἷς αἱ τύχαι ῥοπὴν ἐπ' ἀμφότερα τῶν πραγμά-
των ἔχουσιν. ἦσαν γὰρ αὐτῷ τέσσαρες υἱοί. δύο μὲν, εἰς ἑτέρους ἀπῳκισμένοι συγγενείας. ὡς ἤδη λέλε-
κται. σκιπίων καὶ φάβιος. δύο δὲ, παῖδες ἔτι τὴν ἡλικίαν. οὓς ἐπὶ τῆς οἰκίας εἶχεν τῆς ἑαυτοῦ,
γεγονότας ἐξ ἑτέρας γυναικός. ὧν ὁ μὲν ἡμέραις πέντε πρὸ τοῦ θριαμβεύειν τὸν αἰμίλιον, ἐτελεύτη-
σεν τεσσαρεσκαιδεκέτης. ὁ δὲ, δωδεκέτης, μετὰ τρεῖς ἡμέρας θριαμβεύσαντος ἐπαπέθανεν. ὥστε μη-
δένα γενέσθαι ῥωμαίων τοῦ πάθους ἀνάλγητον. ἀλλὰ φρῖξαι τὴν ὠμότητα τῆς τύχης ἅπαντας, ὡς
οὐκ ᾐδέσατο, πένθος τοσοῦτον εἰς τὴν οἰκίαν ζήλου καὶ χαρᾶς καὶ θυσιῶν γέμουσαν, εἰσάγουσα. καὶ κα-
ταμιγνύουσα θρήνους καὶ δάκρυα, παιᾶσιν ἐπινικίοις καὶ θριάμβοις. Οὐ μὴν, ἀλλ' ὁ αἰμίλιος, ὀρθῶς
λογιζόμενος ἀνδρείας καὶ θαρραλεότητος ἀνθρώποις, οὐ πρὸς ὅπλα καὶ σαρίσας χρῆσιν εἶναι μόνον, ἀλ-

Corruptus totus ille locus videtur

ρας. ἐφ' ἓν καὶ τὸν αὐτὸν ἅμα καιρὸν ὁρμήσαντες, ἐτράποντο πρὸς καταδρομὴν, καὶ διαρπαγὴν τῶν πολεμίων. ὥστε ὥρᾳ μιᾷ πεντεκαίδεκα ἀνθρώπων ἐξανδραποδισθῆναι μυριάδας. ἑβδομήκοντα δὲ πόλεις πορθῆναι. γενέσθαι δὲ ἐκ τοσαύτης φθορᾶς καὶ πανωλεθρίας ἑκάστῳ στρατιώτῃ τὴν δόσιν οὐ μεῖζον ἕνδεκα δραχμῶν. φρῖξαι δὲ πάντας ἀνθρώπους, τὸ τοῦ πολέμου τέλος. εἰς μικρὸν οὕτω τὸ καθ' ἕκαστον λῆμμα καὶ κέρδος ἔθνους ὅλου κατακερματισθέντος. αἰμίλιος μὲν οὖν ταύτην πράξας μάλιστα παρὰ τὴν αὐτοῦ φύσιν ἐπιεικῆ καὶ χρηστὴν οὖσαν, εἰς ὠρικὸν κατέβη. κἀκεῖθεν εἰς ἰταλίαν μετὰ τῶν δυνάμεων περαιωθεὶς, ἀνέπλει τὸν θύβριν ποταμὸν, ἐπὶ τῆς βασιλικῆς ἑκκαιδεκήρους κατεσκευασμένης εἰς κόσμον ὅπλοις αἰχμαλώτοις, καὶ φοινικίσι, καὶ πορφύραις. ὡς καὶ πανηγύρεων ἔξωθεν ὥστε ὅντινα θριαμβικῆς πομπῆς προαπολαύειν τοὺς ῥωμαίους. τῷ ῥοθίῳ σχέδην ὑπάγοντι τὴν ναῦν ἀντιπαρεξάγοντας. οἱ δὲ στρατιῶται τοῖς βασιλικοῖς χρήμασιν ἐποφθαλμίσαντες, ὡς οὐχ ὅσων ἠξίουν ἔτυχον, ὠργίζοντο μὲν ἀδήλως, καὶ χαλεπῶς εἶχον πρὸς τὸν αἰμίλιον. αἰτιώμενοι δὲ φανερῶς, ὅτι βαρὺς γένοιτο καὶ δεσποτικὸς αὐτοῖς ἄρχων, οὐ πάνυ προθύμως, ἐπὶ τὴν περὶ τοῦ θριάμβου σπουδὴν ἀπήντησαν. αἰσθόμενος δὲ τοῦτο σέρβιος γάλβας, ἐχθρὸς αἰμιλίου, γεγονὼς δὲ τῶν ὑπ' αὐτὸν χιλιάρχων, ἐθάρρησεν ἀναφανδὸν εἰπεῖν, ὡς οὐ δοτέον εἴη τὸν θρίαμβον. εἰς δὲ πολλὰς τῷ στρατιωτικῷ πλήθει διαβολὰς κατὰ τοῦ στρατηγοῦ, καὶ τὴν οὖσαν ὀργὴν ἔτι μᾶλλον ὑπερεθίσας, ᾔτει παρὰ τῶν δημάρχων ἄλλην ἡμέραν. ἐκείνην γὰρ οὐκ ἐξαρκεῖν τῇ κατηγορίᾳ τέσσαρας ἔτι λοιπὰς ὥρας ἔχουσαν. τῶν δὲ δημάρχων λέγειν αὐτὸν εἴ τι βούλεται κελευόντων. ἀρξάμενος μακρῷ καὶ βλασφημίας ἔχοντι παντοδαπὰς χρῆσθαι λόγῳ, τὸν χρόνον ἀνήλωσε τῆς ἡμέρας, καὶ γενομένου σκότους. οἱ μὲν δήμαρχοι τὴν ἐκκλησίαν ἀφῆκαν, πρὸς δὲ τὸν γάλβαν, οἱ στρατιῶται συνέδραμον, θρασύτεροι γεγονότες. καὶ συγκροτήσαντες αὐτοὺς, περὶ τὸν ὄρθρον αὖθις καταλαμβάνονται τὸ καπιτώλιον. ἐκεῖ γὰρ οἱ δήμαρχοι τὴν ἐκκλησίαν ἔμελλον ἄξειν.

Ἅμα δ' ἡμέρᾳ τῆς ψήφου δοθείσης. ἡ τε πρώτη φυλὴ τὸν θρίαμβον ἀπεψηφίζετο. καὶ τοῦ πράγματος αἴσθησις, εἰς τὸν ἄλλον τόπον καὶ τὴν σύγκλητον κατῄει. καὶ τὸ μὲν πλῆθος. περιαλγοῦν τῷ προπηλακίζεσθαι τὸν αἰμίλιον, ἐν φωναῖς ἦν ἀπράκτοις. οἱ δὲ γνωριμώτατοι τῶν ἀπὸ βουλῆς, δεινὸν εἶναι τὸ γινόμενον βοῶντες. ἀλλήλους παρεκάλουν ἐπιλαβέσθαι τῆς τῶν στρατιωτῶν ἀσελγείας καὶ θρασύτητος, ἐπὶ πᾶν ἀφιξομένης ἄνομον ἔργον καὶ βίαιον, εἰ μηδὲν ἐμποδὼν αὐτοῖς γένοιτο. παῦλον αἰμίλιον ἀφελέσθαι τῶν ἐπινικίων τιμῶν. ὠσάμενοι δὲ τὸν ὄχλον, καὶ ἀναβάντες ἀθρόοι τοῖς δημάρχοις ἔλεγον ἐπισχεῖν τὴν ψηφοφορίαν, ἄχρις ἂν διέλθωσιν ἃ βούλονται πρὸς τὸ πλῆθος. ἐπισχόντων δὲ πάντων καὶ γενομένης σιωπῆς, ἀνελθὼν ἀνὴρ ὑπατικὸς, καὶ πολεμίους εἴκοσι καὶ τρεῖς ἐκ προκλήσεως ἀνῃρηκὼς, μάρκος σερβίλιος. αἰμίλιον μὲν ἔφη παῦλον, ἡλίκος αὐτοκράτωρ γένοιτο, τότε νῦν μάλιστα γινώσκειν, ὁρῶν, ὅσης ἀπειθείας γέμοντι, καὶ κακίας στρατεύματι χρώμενος, οὕτω καλὰς κατωρθώσει, καὶ μεγάλας πράξεις. θαυμάζειν δὲ τὸν δῆμον, εἰ τοῖς ἀπ' ἰλλυριῶν καὶ λιβύων ἀγαλλόμενος θριάμβοις, αὐτῷ φθονεῖ, τὸν μακεδόνων βασιλέα ζῶντα, καὶ τὴν ἀλεξάνδρου καὶ φιλίππου δόξαν ἐπιδεῖν, ὑπὸ τοῖς ῥωμαίων ὅπλοις, ἀγομένην αἰχμάλωτον. πῶς γὰρ οὐ δεινὸν εἰπεῖν. εἰ φήμης περὶ νίκης ἀβεβαίου πρότερον εἰς τὴν πόλιν ἐμπεσούσης, ἐθύσατε τοῖς θεοῖς, εὐχόμενοι τοῦ λόγου τούτου ταχέως ἀπολαβεῖν τὴν ὄψιν. ἥκοντος δὲ τοῦ στρατηγοῦ μετὰ τῆς ἀληθινῆς νίκης ἀφαιρεῖσθαι, τῶν μὲν θεῶν, τὴν τιμήν. αὑτῶν δὲ τὴν χαρὰν, ὡς φοβούμενοι θεάσασθαι τὸ μέγεθος τῶν κατορθωμάτων. ἢ φειδόμενοι τοῦ βασιλέως. καίτοι κρεῖττον ἦν τῷ πρὸς ἐκεῖνον ἐλέῳ, μὴ τῷ πρὸς αὐτοκράτορα φθόνῳ, λυθῆναι τὸν θρίαμβον. ἀλλ' εἰς τοσαύτην ἔφη τὸ κακόηθες ἐξουσίαν προάγεται δι' ὑμῶν. ὥστε περὶ στρατηγίας καὶ θριάμβου τολμᾷ λέγειν, ἄνθρωπος ἄτρωτος καὶ τῷ σώματι στίλβων ὑπὸ λειότητος καὶ σκιατραφίας, πρὸς ὑμᾶς τοὺς τοσούτοις τραύμασι πεπαιδευμένους ἀρετὰς καὶ κακίας κρίνειν στρατηγῶν. ἅμα δὲ τῆς ἐσθῆτος διαστὰς, ἐξέφηνε κατὰ τῶν στέρνων ὠτειλὰς ἀπίστους τὸ πλῆθος. εἶτα μεταστραφεὶς ἔνια τῶν οὐκ εὐπρεπῶς ἐν ὄχλῳ γυμνοῦσθαι δοκούντων τοῦ σώματος, ἀνεκάλυψε. καὶ πρὸς τὸν γάλβαν ἐπιστρέψας. σὺ μὲν ἔφη γελᾷς ἐπὶ τούτοις. ἐγὼ δὲ σεμνύνομαι πρὸς τοὺς πολίτας. ὑπὲρ τούτων γὰρ ἡμέραν καὶ νύκτα συνεχῶς ἱππασάμενος, ταῦτ' ἔχω. ἀλλ' ἄγε λαβὼν αὐτοὺς ἐπὶ τὴν ψῆφον. ἐγὼ δὲ καταβὰς, παρακολουθήσω πᾶσι, καὶ γνώσομαι τοὺς κακοὺς καὶ ἀχαρίστους. καὶ δημαγωγεῖσθαι μᾶλλον ἐν τοῖς πολέμοις ἢ στρατηγεῖσθαι βουλομένους. οὕτω φασὶν ὑπὸ τῶν λόγων τούτων, ἀνακοπῆναι καὶ μεταβαλεῖν τὸ στρατιωτικόν. ὥστε πάσαις ταῖς φυλαῖς ἐπικυρωθῆναι τῷ αἰμιλίῳ τὸν θρίαμβον. πεμφθῆναι δ' αὐτὸν, οὕτω λέγουσιν. ὁ μὲν δῆμος, ἔν τε τοῖς ἱππικοῖς θεάτροις. ἃ κίρκους καλοῦσι. περί τε τὴν ἀγορὰν ἰκρία πηξάμενοι. καὶ τἆλλα τῆς πόλεως μέρη καταλαβόντες, ὡς ἕκαστα παρεῖχε τῆς πομπῆς ἔποψιν, ἐθεῶντο καθαραῖς ἐσθῆσι κεκοσμημένοι. πᾶς δὲ ναὸς ἀνέῳκτο. καὶ στεφάνων καὶ θυμιαμάτων, ἦν πλήρης. ὑπηρέται τε πολλοὶ καὶ ῥαβδονόμοι, τοὺς ἀτάκτως συρρέοντας εἰς τὸ μέσον καὶ διαθέοντας ὑπείργοντες, ἀναπεπταμένας τὰς ὁδοὺς καὶ καθαρὰς παρεῖχον. τῆς δὲ πομπῆς εἰς ἡμέρας τρεῖς νενεμημένης,

ὥρᾳ

πορθηθῆναι

q. sic habet, ὡς ἦ πανηγυρίζειν ἔξωθεν καθάπερ ἐπὶ θριαμβικῆς θέας πομπῆς

δῆμος τ. ς. κ. q.

ἀφαιρεῖσθαι κ.

πολεμί...
s. τ. πρὸς δὲ βασιλέ... sed πολέμου. κ. δὲ πολεμίου. quare continua... etiam legatur. q. habet etc.

βλέψας αὐτὸν ἀλγοῦντι καὶ λελυπημένῳ τῷ προσώπῳ, τί τῆς τύχης εἶπεν ὦ ταλαίπωρε τὸ μέγι-
στον ἀφαιρεῖς τῶν ἐγκλημάτων, ταῦτα πράττων ἀφ' ὧν δόξεις οὐ παρ' ἀξίαν ἀτυχεῖν. οὐδὲ τοῦ νῦν, ἀλ-
λὰ τοῦ πάλαι δαίμονος ἀνάξιος γεγονέναι. τί δέ μου καταβάλλεις τὴν νίκην, καὶ τὸ κατόρθωμα ποι-
εῖς μικρὸν, ἐπιδεικνύμενος σεαυτὸν οὐ γενναῖον, οὐδὲ πρέποντα ῥωμαίων ἀνταγωνιστήν. ἀρετή τοι δυ-
στυχοῦσι μεγάλην ἔχει μοῖραν αἰδοῦς καὶ παρὰ πολεμίοις. δειλία δὲ ῥωμαίοις, κἂν εὐποτμῇ, πάντη
ἀτιμότατον. οὐ μὴν, ἀλλὰ τοῦτον μὲν ἀναστήσας, καὶ δεξιωσάμενος, τουβέρωνι παρέδωκεν. αὐτὸς δὲ τοὺς
παῖδας καὶ τοὺς γαμβροὺς, καὶ τῶν ἄλλων ἡγεμονικῶν, μάλιστα τοὺς νεωτέρους ἔσω τῆς σκηνῆς ἐπι-
σπασάμενος, πολὺν χρόνον ἦν πρὸς αὐτῷ σιωπῇ καθήμενος, ὥς τε θαυμάζειν ἅπαντας. ὁρμήσας δὲ
εὐπραγίας πρεπούσης περὶ τῆς τύχης καὶ τῶν ἀνθρωπίνων διαλέγεσθαι πραγμάτων. ἆρά γε εἶπεν ἄξιον εὐπραγίας πα-
ρούσης, ἄνθρωπον ὄντα θρασύνεσθαι καὶ μέγα φρονεῖν, ἔθνος ἢ πόλιν, ἢ βασιλείαν καταστρεψάμενον,
ἢ τὴν μεταβολὴν ταύτην τῆς τύχης, ἣ παράδειγμα τῷ πολεμοῦντι κοινῆς ἀσθενείας προθεῖσα,
παιδεύει μηδὲν ὡς μόνιμον καὶ βέβαιον διανοεῖσθαι. ποῖος γὰρ ἀνθρώποις τοῦ θαρρεῖν καιρὸς, ὅταν
τὸ κρατεῖν ἑτέρων, μάλιστα δεδοικέναι τὴν τύχην ἀναγκάζῃ. καὶ τῷ χαίροντι δυσθυμίαν ἐπάγῃ το-
σαύτην, ὁ τῆς περιφερομένης καὶ προσισταμένης, ἄλλοτ' ἄλλοις εἱμαρμένης λογισμός. ἢ τὴν ἀλεξάν-
δρου διαδοχὴν, ὃς ἐπὶ πλεῖστον ἤρθη δυνάμεως καὶ μέγιστον ἔσχε κράτος, ὥρας μιᾶς μορίῳ πεσοῦσαν,
ὑπὸ πόδας θέμενοι, καὶ τοὺς ἄρτι μυριάσι πεζῶν καὶ χιλιάσιν ἱππέων τοσαύταις δορυφορουμέ-
νους βασιλεῖς ὁρῶντες ἐκ τῶν πολεμίων χειρῶν ἐφήμερα σιτία, καὶ ποτὰ λαμβάνοντας. οἴεσθε τὰ
καθ' ἡμᾶς ἔχειν τινὰ βεβαιότητα τύχης διαρκῆ πρὸς τὸν χρόνον, οὐ καταβαλόντες ὑμεῖς, οἱ νέοι τὸ κε-
νὸν φρύαγμα τοῦτο, καὶ γαυρίαμα τῆς νίκης, ταπεινοὶ καταπτήξετε, πρὸς τὸ μέλλον ἀεὶ καραδοκοῦν-
τες, εἰς ὅ τι κατασκήψει τέλος ἑκάστῳ, τὴν τῆς παρούσης εὐπραγίας ὁ δαίμων νέμεσιν. τοιαῦτα φα-
σὶ πολλὰ διαλεχθέντα τὸν αἰμίλιον, ἀποπέμψαι τοὺς νέους, εὖ μάλα τὸ καύχημα καὶ τὴν ὕβριν, ὥσπερ
χαλινῷ τῷ λόγῳ κόπτοντι κεκολασμένους. ἐκ τούτου, τὴν μὲν στρατιὰν, πρὸς ἀνάπαυσιν, αὐτὸν δὲ,
πρὸς θέαν τῆς ἑλλάδος ἔτρεψε, καὶ διατριβὴν ἔνδοξον ἅμα καὶ φιλάνθρωπον. ἐπιὼν γὰρ, ἀνελάμβα-
νε τοὺς δήμους, καὶ τὰ πολιτεύματα καθίστατο, καὶ δωρεὰς ἐδίδου. ταῖς μὲν, σῖτον ἐκ τοῦ βασιλι-
κοῦ. ταῖς δ' ἔλαιον. τοσοῦτον γὰρ εὑρεθῆναι φασὶν ἀποκείμενον, ὥς τε τοὺς λαμβάνοντας καὶ δεομένους
ἐπιλιπεῖν πρότερον, ἢ καταναλωθῆναι τὸ πλῆθος τῶν εὑρεθέντων. ἐν δὲ δελφοῖς ἰδὼν κίονα μέ-
γαν τετράγωνον ἐκ λίθων λευκῶν συνηρμοσμένον, ἐφ' οὗ περσέως ἤμελλε χρυσοῦς ἀνδριὰς τίθεσθαι,
προσέταξε τὸν αὐτοῦ τεθῆναι. τοὺς γὰρ ἡττημένους τοῖς νικῶσιν, ἐξίστασθαι χώρας προσήκειν. ἐν δ' ὀ-
λυμπίᾳ, τοῦτο δὴ τὸ πολυθρύλητον ἐκεῖνο ἀναφθέγξασθαι φασίν. ὡς τὸν ὁμήρου δία, φειδίας ἀποπλά-
σαιτο. τῶν δὲ δέκα πρέσβεων ἐκ ῥώμης ἀφικομένων. μακεδόσι μὲν, ἀπέδωκε τὴν χώραν καὶ τὰς πό-
λεις ἐλευθέρας οἰκεῖν, καὶ αὐτονόμους. ἑκατὸν δὲ τάλαντα ῥωμαίοις ὑποτελεῖν, οὗ πλέον ἢ δι-
πλάσιον τοῖς βασιλεῦσιν εἰσέφερον. θέας δὲ παντοδαπῶν ἀγώνων, καὶ θυσίας ἐπιτελῶν τοῖς θεοῖς.
ἑστιάσεις καὶ δεῖπνα προὐτίθετο. χορηγίᾳ μὲν, ἐκ τῶν βασιλικῶν ἀφθόνῳ χρώμενος. τάξιν δὲ καὶ κόσμον
καὶ κατακλίσεις καὶ δεξιώσεις. καὶ τὴν πρὸς ἕκαστον αὐτοῦ τῆς κατ' ἀξίαν τιμῆς καὶ φιλοφροσύνης
αἴσθησιν οὕτως ἀκριβῆ καὶ πεφροντισμένην ἐνδεικνύμενος. ὥς τε θαυμάζειν τοὺς ἕλληνας, εἰ μηδὲ τὴν
παιδιὰν, ἄμοιρον ἀπολείπει σπουδῆς. ἀλλὰ τηλικαῦτα πράττων ἀνὴρ πράγματα καὶ τοῖς μικροῖς,
τὸ πρέπον ἀποδίδωσιν. ὁ δὲ καὶ τούτοις ἔχαιρεν, ὅτι πολλῶν παρεσκευασμένων καὶ λαμπρῶν, τὸ ἥδι-
στον αὐτὸς ἦν ἀπόλαυσμα καὶ θέαμα τοῖς παροῦσι. καὶ πρὸς τοὺς θαυμάζοντας τὴν ἐπιμέλειαν ἔλεγεν,
τῆς αὐτῆς εἶναι ψυχῆς, παρατάξεώς τε προστῆναι καλῶς, καὶ συμποσίου. τὴν μὲν, ὅπως φοβερω-
τὸ δ' τάτην τοῖς πολεμίοις. τῷ δ' ὡς εὐχαριστότατον ἢ τοῖς συνοῦσιν. οὐδενὸς δ' ἧττον αὐτοῦ τὴν ἐλευθεριό- τη
τητα, καὶ τὴν μεγαλοψυχίαν ἐπῄνουν οἱ ἄνθρωποι, πολὺ μὲν ἀργύριον, πολὺ δὲ χρυσίον, ἐκ τῶν βασιλι-
κῶν ἠθροισμένον, οὐδ' ἰδεῖν ἐθελήσαντος, ἀλλὰ τοῖς ταμίαις, εἰς τὸ δημόσιον παραδόντος. μόνα τὰ βι-
βλία τοῦ βασιλέως φιλογραμματοῦσι τοῖς υἱέσιν ἐπέτρεψεν ἐξελέσθαι, καὶ διανέμων ἀριστεῖα τῆς μά-
χης, αἰλίῳ τουβέρωνι τῷ γαμβρῷ, φιάλην ἔδωκε πέντε λιτρῶν ὁλκήν. οὗτός ἐστι τουβέρων, ὃν ἔφα-
μεν μετὰ συγγενῶν οἰκεῖν ἑκκαιδέκατον, ἀπὸ γηδίου μικροῦ, διατρεφομένων ἁπάντων. καὶ πρῶτον
ἄργυρον ἐκεῖνον φασὶν εἰς τὸν αἰλίων οἶκον εἰσελθεῖν, ὑπ' ἀρετῆς καὶ τιμῆς εἰσαγόμενον. τὸν δ' ἄλλον χρό-
νον, οὔτ' αὐτοὺς, οὔτε γυναῖκας ἀργυρίου χρῄζειν, ἢ χρυσοῦ. διῳκημένων δὲ πάντων αὐτῷ καλῶς, ἀσπα-
σάμενος τοὺς ἕλληνας, καὶ παρακαλέσας τοὺς μακεδόνας, μεμνῆσθαι τῆς δεδομένης ὑπὸ ῥωμαίων ἐλευ-
εὐνομίας .ς. θερίας, σῴζοντας αὐτὴν δι' εὐνομίας καὶ ὁμονοίας, ἀνέζευξεν ἐπὶ τὴν ἤπειρον, ἔχων δόγμα συγ-
κλήτου τοὺς συμμεμαχημένους αὐτῷ τὴν πρὸς περσέα μάχην στρατιώτας, ἀπὸ τῶν ἐκεῖ πόλεων ὠφελῆσαι.
βουλόμενος δὲ πᾶσιν ἅμα καὶ μηδενὸς προσδοκῶντος, ἀλλ' ἐξαίφνης ἐπιπεσεῖν, μετεπέμψατο τοὺς
πρώτους ἐξ ἑκάστης πόλεως ἄνδρας δέκα, καὶ προσέταξεν αὐτοῖς, ὅσος ἄργυρος ἐστὶ καὶ χρυσὸς, ἐν
οἰκίαις καὶ ἱεροῖς, ἡμέρᾳ ῥητῇ καταφέρειν. ἑκάστοις δὲ συνέπεμψεν ὡς ἐπ' αὐτὸ δὴ τοῦτο φρουρὰν στρα-
τιωτῶν καὶ ταξίαρχον, προσποιούμενον ζητεῖν, καὶ παραλαμβάνειν τὸ χρυσίον. ἐνστάσης δὲ τῆς ἡμέ-

λους. ὡς τῶν ἀλεξάνδρου τοῦ μεγάλου χρυσωμάτων, ἃ ἐν τοῖς κρησὶ διέῤῥιφεν ὑπ' ἀγνοίας. καὶ παρεκάλει τοὺς ἔχοντας, ἀντιβολῶν καὶ δακρύων, ἀμείψασθαι πρὸς νόμισμα. τοὺς μὲν οὖν ἐπισταμένους ἀκριβῶς αὐτὸν, οὐκ ἔλαθεν κρητίζων πρὸς κρῆτας. οἱ δὲ πεισθέντες καὶ ἀποδόντες, ἀπεστερήθησαν. οὐ γὰρ ἀπέδωκεν τἀργύριον. ἀλλὰ τριάκοντα τάλαντα κερδάνας ἀπὸ τῶν φίλων, ἃ μικρὸν ὕστερον ἔμελλον οἱ πολέμιοι λήψεσθαι μετ' αὐτῶν, διέπλευσεν εἰς σαμοθράκην. καὶ διαφυγὼν ἐπὶ τοὺς διοσκούρους ἱκέτευεν. ἀεὶ μὲν οὖν λέγονται φιλοβασίλειοι μακεδόνες. τότε δ' ὡς ἐρείσματι κεκλασμένῳ πάντων ἅμα συμπεσόντων, ἐγχειρίζοντες αὑτοὺς τῷ αἰμιλίῳ, δυσὶν ἡμέραις ὅλης κύριον αὐτὸν κατέστησαν μακεδονίας. καὶ δοκεῖ τοῦτο μαρτυρεῖν, τοῖς εὐτυχίᾳ τινὶ τὰς πράξεις ἐκείνας γεγονέναι φάσκουσιν. ἔτι δὲ καὶ τὸ περὶ τὴν θυσίαν σύμπτωμα δαιμόνιον ἦν. ἐν ἀμφιπόλει θύοντος τοῦ αἰμιλίου, καὶ τῶν ἱερῶν ἐνηργμένων, κεραυνὸς ἐνσκήψας εἰς τὸν βωμὸν ἐπέφλεξε καὶ συγκαθήγισε τὴν ἱερουργίαν. ὑπερβάλλει δὲ θειότητι πάντως καὶ τύχῃ, τὰ τῆς φήμης. ἦν μὲν γὰρ ἡμέρα τετάρτη, νενικημένῳ περσεῖ καὶ πύδναν. ἐν δὲ τῇ ῥώμῃ τοῦ δήμου θεωροῦντος ἱππικοὺς ἀγῶνας, ἐξαίφνης ἐνέπεσε λόγος εἰς τὸ πρῶτον τοῦ θεάτρου μέρος. ὡς αἰμίλιος μεγάλῃ μάχῃ νενικηκὼς περσέα καταστρέφοιτο, σύμπασαν μακεδονίαν. ἐκ δὲ τούτου, ταχὺ τῆς φήμης ἀναχεομένης εἰς τὸ πλῆθος, ἐξέλαμψε χαρὰ μετὰ κρότου καὶ βοῆς, τὴν ἡμέραν ἐκείνην κατασχοῦσα τὴν πόλιν. εἶτα, ὡς ὁ λόγος οὐκ εἶχεν εἰς ἀρχὴν ἀνελθεῖν βέβαιον, ἀλλ' ἐν πᾶσιν ὁμοίως ἐφαίνετο πλανώμενος. τότε μὲν, ἐσκεδάσθη καὶ διεῤῥύη τὰ τῆς φήμης. ὀλίγαις δ' ὕστερον ἡμέραις πυθόμενοι σαφῶς, ἐθαύμαζον τὴν προδραμοῦσαν ἀγγελίαν, ὡς ἐν τῷ ψεύδει τὸ ἀληθὲς εἶχεν. λέγεται δὲ καὶ τῆς ἐπὶ σάγρᾳ ποταμῷ μάχης ἰταλιωτῶν αὐθημερὸν ἐν πελοποννήσῳ λόγον γενέσθαι. καὶ πλαταιᾶσι τῆς ἐν μυκάλῃ πρὸς μήδους. ἣν δὲ ῥωμαῖοι ταρκυνίους μετὰ λατίνων ἐπιστρατεύσαντας ἐνίκησαν, αὐτάγγελοι φράζοντες ὤφθησαν ἀπὸ στρατοῦ μικρὸν ὕστερον ἄνδρες δύο καλοὶ καὶ μεγάλοι. τούτους εἴκασαν εἶναι διοσκόρους. ὁ δ' ἐντυχὼν πρῶτος αὐτοῖς κατ' ἀγορὰν πρὸ τῆς κρήνης ἀναψύχουσι τοὺς ἵππους ἱδρῶτι πολλῷ περιῤῥεομένους, ἐθαύμαζε τὸν περὶ τῆς νίκης λόγον. εἶθ' οἱ μὲν ἐπιψαῦσαι λέγονται τῆς ὑπήνης αὐτοῦ, ταῖν χεροῖν ἀτρέμα μειδιῶντες. ἡ δ' εὐθὺς ἐκ μελαίνης τριχὸς, εἰς πυῤῥὰν μεταβαλοῦσα. τῷ μὲν λόγῳ, πίστιν, τῷ δ' ἀνδρὶ παρασχεῖν ἐπίκλησιν τὸν αἰνόβαρβον, ὅ ἐστιν χαλκοπώγωνα. πᾶσι δὲ τούτοις τὸ καθ' ἡμᾶς γενόμενον πίστιν παρέχει, ὅτε γὰρ ἀντώνιος ἀπέστη δομετιανοῦ. καὶ πολὺς πόλεμος ἀπὸ γερμανίας προσεδοκᾶτο τῆς ῥώμης ταραττομένης. ἄφνω καὶ αὐτομάτως ὁ δῆμος ἐξ αὐτοῦ, φήμην ἀνέδωκε νίκης. καὶ τὴν ῥώμην ἐπέδραμε λόγος, αὐτόν τε τὸν ἀντώνιον ἀνῃρῆσθαι, καὶ τοῦ σὺν αὐτῷ στρατεύματος ἡττημένου, μηδὲν μέρος λελεῖφθαι. τοσαύτην δὲ λαμπρότητα καὶ ῥύμην ἡ πίστις ἔσχεν, ὥστε καὶ θῦσαι τῶν ἐν τέλει πολλούς. ζητουμένου δὲ τοῦ πρώτου φράσαντος ὡς οὐδεὶς ἦν, ἀλλ' ὁ λόγος ἄλλον ἐξ ἄλλου διωκόμενος ἀνέφευγε. καὶ τέλος, καταδὺς ὥσπερ εἰς πέλαγος ἀχανὲς τὸν ἄπειρον ὄχλον ἐφάνη μηδεμίαν ἀρχὴν ἔχων βέβαιον. αὕτη μὲν ἡ φήμη ταχὺ τῆς πόλεως ἐξεῤῥύη, πορευομένῳ δὲ τῷ δομετιανῷ μετὰ δυνάμεως ἐπὶ τὸν πόλεμον, ἤδη καθ' ὁδὸν ἀγγελία καὶ γράμματα φράζοντα τὴν νίκην ἀπήντησεν. ἡ δ' αὐτὴ τοῦ κατορθώματος ἡμέρα, καὶ τῆς φήμης ἐγίγνετο, ἐπὶ πλέον ἢ δισμυρίους σταδίους τῶν τόπων διεστώτων. ταῦτα μὲν, οὐδεὶς ἀγνοεῖ τῶν καθ' ἡμᾶς. γναῖος δὲ ὀκτάβιος ὁ συνάρχων αἰμιλίῳ προσορμισάμενος τῇ σαμοθράκῃ. τὴν μὲν ἀσυλίαν, παρεῖχε τῷ περσεῖ, διὰ τοὺς θεούς. ἔκπλου δὲ καὶ φυγῆς εἶργεν. οὐ μὴν, ἀλλὰ λαθών πως ὁ περσεὺς, ὀροάνδην τινὰ κρῆτα, λέμβον ἔχοντα συμπεῖσαι μετὰ χρημάτων ἀναλαβεῖν αὐτόν. ὁ δὲ, κρητισμῷ χρησάμενος, τὰ μὲν χρήματα, νύκτωρ ἀνέλαβεν. ἐκεῖνον δὲ, τῆς νυκτὸς ἥκειν κελεύσας ἐπὶ τὸν πρὸς τῷ δημητρίῳ λιμένα μετὰ τῶν τέκνων καὶ θεραπείας ἀναγκαίας, εὐθὺς ἀφ' ἑσπέρας, ἀπέπλευσεν. ὁ δὲ περσεὺς, οἰκτρὰ μὲν ἔπασχε διὰ στενῆς θυρίδος, παρὰ τὸ τεῖχος ἐκμηρυόμενος αὐτὸν, καὶ παιδία καὶ γυναῖκα. πόνων καὶ πλάνης ἀπείρων. οἰκτρότατον δὲ στεναγμὸν ἀφῆκεν, ὥς τις αὐτῷ πλανωμένῳ παρὰ τὸν αἰγιαλὸν, ἤδη πελάγιον τὸν ὀροάνδην θέοντα κατιδὼν ἔφρασεν. ὑπέλαμπε γὰρ ἡμέρα, καὶ πάσης ἐλπίδος ἔρημος ὑπεχώρει φυγῇ πρὸς τὸ τεῖχος. οὐ λαθὼν μὲν, ὑποφθάσας δὲ τοὺς ῥωμαίους μετὰ τῆς γυναικός. τὰ δὲ παιδία συλλαβὼν αὐτὸς ἴωνι ἐνεχείρισεν. ὃς πάλαι μὲν ἐρώμενος ἦν τοῦ περσέως. τότε δὲ προδότης γενόμενος, αἰτίαν παρέσχε τὴν μάλιστα συναναγκάσασαν τὸν ἄνθρωπον ὡς θηρίον, ἁλισκομένων τῶν τέκνων, εἰς χεῖρας ἐλθεῖν, καὶ παραδοῦναι τὸ σῶμα τοῖς ἐκείνων κρατοῦσιν. ἐπίστευε μὲν οὖν μάλιστα τῷ νασικᾷ, κἀκεῖνον ἐκάλει. μὴ παρόντος δὲ κατακλαύσας τὴν τύχην, καὶ τὴν ἀνάγκην περισκεψάμενος, ἔδωκεν αὑτὸν ὑποχείριον τῷ γναίῳ. τότε μάλιστα ποιήσας φανερὸν, ὅτι τῆς φιλαργυρίας ἦν ἐν αὐτῷ τι κακὸν ἀγεννέστερον, ἡ φιλοψυχία, δι' ἣν ὃ μόνον ἡ τύχη τῶν ἐπταικότων οὐκ ἀφαιρεῖται, τὸν ἔλεον ἀπεστέρησεν ἑαυτοῦ. δεηθεὶς γὰρ ἀχθῆναι πρὸς τὸν αἰμίλιον. ὁ μὲν ὡς ἀνδρὶ μεγάλῳ, πεπτωκότι πτῶμα νεμεσητὸν, καὶ δυστυχὲς, ἐξαναστὰς, ὑπήντα μετὰ τῶν φίλων δεδακρυμένος. ὁ δ' αἴσχιστον θέαμα προβαλὼν αὑτὸν ἐπὶ στόμα, καὶ γονάτων ὀρεξάμενος, ἀνεβάλλετο φωνὰς ἀγεννεῖς, καὶ δεήσεις ἃς οὐχ ὑπέμεινεν οὐδ' ἤκουσεν ὁ αἰμίλιος. ἀλλὰ προσ-

[Marginal manuscript notes: φῶς; ἢ ἐπ' αὐτοὺς ς.τ.κ.γ.; περὶ ς.τ.κ.; ἢ; ναυάρχων; ἐκ μεξλο ἰσ; γρ. ὡς ἐπὶ τῷ δημητρίῳ]

Συνάρχων significat collegam. Veruntamen hic Octavius non fuit collega L. Æmilij in consulatu, sed C. Licinius Crassus. Ut habetur in Cronicis et inscriptionibus antiquis. Et ideo legendum fortasse ναυάρχων ut in quodam codice Veneto invenitur.

χον εἴσω τῶν ὅπλων. τοῖς μὲν ἐκ πλαγίου, κατὰ γυμνὰ προσφερόμενοι· τοὺς δὲ, ταῖς παραδρομαῖς ἀπολαμβάνοντες. ἡ μὲν ἰσχὺς καὶ τὸ κοινὸν ἔργον, εὐθὺς ἀπωλώλει, τῆς φάλαγγος ἀναρρηγνυμένης. ἐν δὲ ταῖς καθ' ἕνα καὶ κατ' ὀλίγους συστάσεσιν, οἱ μακεδόνες μικροῖς μὲν ἐγχειριδίοις στερεοὺς καὶ ποδήρεις θυρεοὺς νύττοντες. ἐλαφροῖς δὲ πελταρίοις πρὸς τὰς ἐκείνων μαχαίρας, ὑπὸ βάρους καὶ καταφορᾶς, διὰ παντὸς ὅπλου χωρούσας ἐπὶ τὰ σώματα, κακῶς ἀντέχοντες, ἐτράποντο. κατὰ τούτους δὲ, μέγας ἦν ἀγών. Ἔνθα δὴ καὶ μάρκος ὁ κάτωνος υἱὸς, αἰμιλίου δὲ γαμβρὸς, πᾶσαν ἀλκὴν ἐπιδεικνύμενος, ἀπέβαλε τὸ ξίφος. οἷα δὲ νεανίας, ἐντεθραμμένος πλείστοις παιδεύμασι, καὶ μεγάλῳ πατρὶ, μεγάλης ἀρετῆς ἀποδείξεις ὀφείλων. οὐ βιωτὸν ἡγησάμενος εἶναι προεμένῳ σκῦλον αὐτοῦ ζῶντος τοῖς πολεμίοις, ἐπέδραμε τὴν μάχην, εἴ τινά που φίλον, καὶ συνήθη κατεῖδεν, φράζων τὸ συμπεσὸν αὐτῷ, καὶ δεόμενος βοηθεῖν. οἱ δὲ πολλοὶ καὶ ἀγαθοὶ δεόμενοι, καὶ διασχόντες ὁρμῇ μιᾷ, τοὺς ἄλλους περὶ αὐτὸν ὑφηγούμενον, ἐμβάλλουσι τοῖς ἐναντίοις.

γενόμενοι· μ·

μεγάλῳ δ' ἀγῶνι καὶ φόνῳ πολλῷ, καὶ τραύμασιν ὤσαντες ἐκ χώρας, καὶ τόπον ἔρημον καὶ γυμνὸν καταχόντες, ἐπὶ ζήτησιν ἐτράποντο τοῦ ξίφους. ὡς δὲ μόλις ἐν πολλοῖς ὅπλοις καὶ πτώμασι νεκρῶν κεκρυμμένον ἀνευρέθη. περιχαρεῖς γενόμενοι, καὶ παιανίσαντες, ἔτι λαμπρότεροι ἐνέκειντο τοῖς συνεστῶσιν ἔτι τῶν πολεμίων. Καὶ τέλος οἱ τρισχίλιοι λογάδες, ἐν τάξει μένοντες καὶ μαχόμενοι, κατεκόπησαν ἅπαντες. τῶν δ' ἄλλων φευγόντων, πολὺς ἦν ὁ φόνος. ὥστε τὸ μὲν πεδίον, καὶ τὴν ὑπώρειαν, καταπεπλῆσθαι νεκρῶν. τοῦ δὲ λευκοῦ ποταμοῦ τὸ ῥεῦμα, τοὺς ῥωμαίους τῇ μετὰ τὴν μάχην ἡμέρᾳ διελθεῖν, ἔτι μεμιγμένον αἵματι. λέγονται γὰρ ὑπὲρ δισμυρίους πεντακισχιλίους ἀποθανεῖν. τῶν δὲ ῥωμαίων ἔπεσον ὡς μὲν ποσειδώνιος φησὶν, ἑκατόν. ὡς δὲ, νασικᾶς, ὀγδοήκοντα. καὶ κρίσιν μὲν ὀξυτάτην, μέγιστος ἀγὼν οὗτος ἔσχεν. ἐνάτης γὰρ ὥρας ἀρξάμενοι μάχεσθαι, πρὸ δεκάτης ἐνίκησαν. τῷ δὲ λειπομένῳ τῆς ἡμέρας, χρησάμενοι πρὸς τὴν δίωξιν, καὶ μέχρι σταδίων ἑκατὸν καὶ εἴκοσι διώξαντες. ἑσπέρας ἤδη βαθείας ἀπετράποντο. καὶ τοὺς μὲν ἄλλους, οἱ θεράποντες ὑπὸ λαμπάδων ἀπαντῶντες, μετὰ χαρᾶς καὶ βοῆς, ἀπῆγον ἐπὶ τὰς σκηνὰς φωτὶ λαμπομένας καὶ κεκοσμημένας κιττοῦ, καὶ δάφνης στεφάνοις. αὐτὸν δὲ τὸν στρατηγὸν, μέγα πένθος εἶχεν. δυεῖν γὰρ υἱῶν αὐτοῦ στρατευομένων, ὁ νεώτερος, οὐδαμοῦ φανερὸς ἦν. ὃν ἐφίλει τε μάλιστα, καὶ πλεῖστον εἰς ἀρετὴν, φύσει προὔχοντα τῶν ἀδελφῶν ἑώρα. θυμοειδῆ δὲ καὶ φιλότιμον ὄντα τὴν ψυχὴν, ἔτι δ' ἀντίπαιδα τὴν ἡλικίαν, παντάπασιν ἀπολωλέναι κατεδόξαζεν, ὑπ' ἀπειρίας ἀναμιχθέντα τοῖς πολεμίοις μαχομένοις. ἀπορουμένου δὲ αὐτοῦ, καὶ περιπαθοῦντος, ᾔσθετο πᾶν τὸ στράτευμα. καὶ μεταξὺ δειπνοῦντες, ἀνεπήδων, καὶ διέθεον μετὰ λαμπάδων. πολλοὶ μὲν, ἐπὶ τὴν σκηνὴν τοῦ αἰμιλίου. πολλοὶ δὲ, πρὸ τοῦ χάρακος ἐν τοῖς πρώτοις νεκροῖς ζητοῦντες. κατήφεια δὲ τὸ στρατόπεδον, καὶ κραυγὴ τὸ πεδίον κατεῖχεν. ἀνακαλουμένων τὸν σκιπίωνα. πᾶσι γὰρ ἀγαθὸς ἦν εὐθὺς ἐξ ἀρχῆς πρὸς ἡγεμονίαν, καὶ πολιτείαν, ὡς ἄλλος οὐδεὶς τῶν συγγενῶν κεκραμένος τὸ ἦθος. Ὀψὲ δ' οὖν ἤδη σχεδὸν ἀπεγνωσμένος, ἐκ τῆς διώξεως προσῄει μετὰ δύο ἢ τριῶν ἑταίρων, αἵματος καινοῦ πολεμίων ἀνάπλεως, ὥσπερ σκύλαξ γενναῖος ὑφ' ἡδονῆς, ἀκρατῶς τῇ νίκῃ συνεξενεχθείς. οὗτός ἐστι σκιπίων ὁ τοῖς ἱκνουμένοις καρχηδόνα, καὶ νομαντίαν κατασκάψας, καὶ πολὺ πρῶτος ἀρετῇ, τῶν τότε ῥωμαίων γενόμενος, καὶ δυνηθεὶς μέγιστον.

Quid sibi uelit illud τοῖς ἱκνουμένοις / nō intelligo

αἰμιλίῳ μὲν οὖν, τὴν τοῦ κατορθώματος νέμεσιν εἰς ἕτερον ἡ τύχη καιρὸν ὑπερβαλλομένη, τότε παντελῆ τὴν ἡδονὴν ἀπεδίδου τῆς νίκης. περσεὺς δὲ, φυγῇ μὲν, ἐκ πύδνης, εἰς πέλλαν ἀπεχώρει. τῶν ἱππέων ἐπιεικῶς πάντων ἀπὸ τῆς μάχης διασεσωσμένων. ἐπεὶ δὲ καταλαμβάνοντες οἱ πεζοὶ τοὺς ἱππεῖς, ὡς ἀνάνδρους καὶ προδεδωκότας λοιδοροῦντες, ἀπὸ τῶν ἵππων ὤθουν, καὶ πληγὰς ἐδίδοσαν, δείσας τὸν θόρυβον ἐκ τῆς ὁδοῦ παρέκλινε τὸν ἵππον καὶ τὴν πορφύραν ὡς μὴ διάσημος εἴη περισπάσας, ἔθετο πρόσθεν αὑτοῦ καὶ τὸ διάδημα διὰ χειρῶν εἶχεν. ὡς δὲ καὶ προσδιελέγετο τοῖς ἑταίροις ἅμα βαδίζων, καταβὰς ἐφείλκετο τὸν ἵππον. τῶν δὲ ὁ μέν τις ὑπόδημα προσποιούμενος λελυμένον συνάπτειν. ὁ δ' ἵππον ἄρδειν. ὁ δὲ ποτοῦ χρῄζειν, ὑπολειπόμενοι κατὰ μικρὸν ἀπεδίδρασκον. οὐχ οὕτω τοὺς πολεμίους, ὡς τὴν ἐκείνου χαλεπότητα δεδοικότες. τεταραγμένος γὰρ ὑπὸ τῶν κακῶν εἰς πάντας ἐζήτει τρέπειν ἀπ' αὑτοῦ τὴν αἰτίαν τῆς ἥττης. Ἐπεὶ δὲ νυκτὸς πέλλαν εἰσελθὼν, εὔκτον, καὶ εὔδαιον, τοὺς ἐπὶ τοῦ νομίσματος, ἀπαντήσαντας αὐτῷ, καὶ τὰ μὲν, ἐγκαλοῦντας περὶ τῶν γεγονότων. τὰ δὲ παρρησιαζομένους ἀκαίρως, καὶ συμβουλεύοντας. ὀργισθεὶς, ἀπέκτεινεν αὐτὸς τῷ ξιφιδίῳ παίων ἀμφοτέρους, οὐδεὶς παρέμεινεν αὐτῷ πάρεξ εὐάνδρου τε τοῦ κρητὸς, καὶ ἀρχεδάμου τοῦ αἰτωλοῦ, καὶ τοῦ βοιωτοῦ νέωνος. τῶν δὲ στρατιωτῶν, ἐπηκολούθησαν οἱ κρῆτες. οὐδ' εὔνοιαν, ἀλλὰ τοῖς χρήμασιν, ὥσπερ κηρίοις μέλιτται προσλιπαροῦντες. πάμπολλα γὰρ ἐπήγετο. καὶ προὔθηκεν ἐξ αὐτῶν δι' ἁρπάσαι τοῖς κρησὶν ἐκπώματα καὶ κρατῆρας, καὶ τὴν ἄλλην ἐν ἀργύρῳ καὶ χρυσῷ κατασκευὴν, εἰς πεντήκοντα ταλάντων λόγον. Γενόμενος δ' ἐν ἀμφιπόλει πρῶτον, εἶτ' ἐκεῖθεν ἐν ἀληψῷ, καὶ τοῦ φόβου μικρὸν ὑπανέντος, εἰς τὸ συγγενὲς καὶ πρεσβύτατον αὐτοῦ τῶν νοσημάτων, τὴν μικρολογίαν αὖθις ὑπενεχθεὶς, ὠδύρετο πρὸς τοὺς φί-

των δὲ πλειόνων ἑκατέροις. οὔπω συνάπτεσθαι τὴν μάχην ἀμφοτέρων. ὁ μὲν οὖν αἰμίλιος ὥσπερ κυβερνήτης, τῷ παρόντι σάλῳ καὶ κινήματι τῶν στρατοπέδων τεκμαιρόμενος τὸ μέγεθος τοῦ μέλλοντος ἀγῶνος, ἐκ τῆς σκηνῆς προῆλθε. καὶ τὰ τάγματα τῶν ὁπλιτῶν ἐπιὼν, παρεθάῤῥυνεν. ὁ δὲ νασικᾶς ἐξιππασάμενος πρὸς τοὺς ἀκροβολιζομένους, ὁρᾷ πάντας ὅσον οὔπω τοὺς πολεμίους ἐν χερσὶν ὄντας. πρῶτοι δ' οἱ θρᾷκες ἐχώρουν, ὧν μάλιστα φησὶν ἐκπλαγῆναι τὴν ὄψιν. ἄνδρες ὑψηλοὶ τὰ σώματα. λευκῷ καὶ περιλάμποντι θυρεῷ, καὶ περικνημῖσιν ὁπλισμένοι, μέλανας ὑπενδεδυμένοι χιτῶνας. ὀρθὰς δὲ ῥομφαίας βαρυσιδήρους ἀπὸ τῶν δεξιῶν ὤμων ἐπισείοντες. παρὰ δὲ τοὺς θρᾷκας, οἱ μισθοφόροι παρενέβαλλον. ὧν σκευαί τε παντοδαπαὶ καὶ μεμιγμένοι παίονες ἦσαν. ἐπὶ δὲ τούτοις, ἄγημα τρίτον οἱ λογάδες αὐτῶν μακεδόνων ἀρετῇ καὶ ἡλικίᾳ τὸ καθαρώτατον, ἀστράπτοντες ἐπιχρύσοις ὅπλοις, καὶ νεουργοῖς φοινικίσιν. οἷς καθισταμένοις εἰς τάξιν, ἐκ τῶν χαλκασπίδων ἐπανατέλλουσαι φάλαγγες, ἐκ τοῦ χάρακος, ἐνέπλησαν αὐγῆς σιδήρου καὶ λαμπηδόνος χαλκοῦ τὸ πεδίον. κραυγῆς δὲ καὶ θορύβου παρακελευομένων τὴν ὀρεινήν. οὕτω δὲ θρασέως καὶ μετὰ τάχους ἐπῄεσαν, ὥστε τοὺς πρώτους νεκροὺς ἀπὸ δυεῖν σταδίων τοῦ ῥωμαϊκοῦ χάρακος καταπεσεῖν. γιγνομένης δὲ τῆς ἐφόδου, παρῆν ὁ αἰμίλιος καὶ κατελάμβανεν ἤδη, τοὺς ἐν τοῖς ἀγήμασι μακεδόνας, ἄκρας τὰς σαρίσας, προσερηρεικότας τοῖς θυρεοῖς τῶν ῥωμαίων, καὶ μὴ προσιεμένοις εἰς ἐφικτὸν αὐτῶν τὰς μαχαίρας. ἐπεὶ δὲ καὶ τῶν ἄλλων μακεδόνων τάς τε πέλτας ἐξ ὤμου περισπασάντων, καὶ ταῖς σαρίσαις ἀφ' ἑνὸς συνθήματος κλιθείσαις ὑποστάντων τοὺς θυρεαφόρους εἶδε. τήν τε ῥώμην τοῦ συνασπισμοῦ καὶ τὴν τραχύτητα τῆς προβολῆς, ἔκπληξις αὐτὸν ἔσχεν καὶ δέος, ὡς οὐδὲν ἰδόντα πώποτε, θέαμα φοβερώτερον καὶ πολλάκις ὕστερον ἐμέμνητο τοῦ πάθους ἐκείνου καὶ τῆς ὄψεως. τότε δὲ πρὸς τοὺς μαχομένους ἐπιδεικνύμενος, ἵλεω καὶ φαιδρὸν ἑαυτὸν ἄνευ κράνους καὶ θώρακος ἵππῳ παρήλαυνεν. ὁ δὲ τῶν μακεδόνων βασιλεὺς, ὥς φησι πολύβιος τῆς μάχης ἀρχὴν λαμβανούσης ἀποδειλιάσας, εἰς πόλιν ἀφιππάσατο, σκηψάμενος, ἡρακλεῖ θύειν, δειλὰ παρὰ δειλῶν ἱερὰ μὴ δεχομένῳ μηδ' εὐχὰς ἀθεμίτους ἐπιτελοῦντι. θεμιτὸν γὰρ οὐκ ἔστιν. οὔτε τὸν μὴ βάλλοντα κατευστοχεῖν, οὔτε τὸν μὴ μένοντα κρατεῖν, οὐθ' ὅλως τὸν ἄπρακτον εὐπραγεῖν, οὔτε τὸν κακὸν εὐδαιμονεῖν. ἀλλὰ ταῖς αἰμιλίου παρῆν εὐχαῖς ὁ θεὸς. εὔχετο γὰρ κράτος πολέμου, καὶ νίκην, δόρυ κρατῶν, καὶ μαχόμενος παρεκάλει σύμμαχον τὸν θεόν. οὐ μὴν, ἀλλὰ ποσειδώνιός τις ἐν ἐκείνοις τοῖς χρόνοις, καὶ ταῖς πράξεσι γεγονέναι λέγων, ἱστορίαν δὲ γεγραφὼς περὶ περσέως ἐν πλείοσι βυβλίοις. φησὶν αὐτὸν οὐχ ὑπὸ δειλίας. οὐδὲ τὴν θυσίαν ποιησάμενον αἰτίαν ἀπελθεῖν, ἀλλὰ τῇ προτεραίᾳ τῆς μάχης, τυχεῖν λελακτισμένον ὑφ' ἵππου τὸ σκέλος. ἐν δὲ τῇ μάχῃ, καίπερ ἔχοντα δυσχερῶς, καὶ κωλυόμενον ὑπὸ τῶν φίλων, ἵππον αὐτῷ κελεῦσαι τῶν φορείων προσαγαγεῖν. καὶ περιβάντα, συμμίξαι τοῖς ἐπὶ τῆς φάλαγγος ἀθωράκιστον. φερομένων δὲ παντοδαπῶν ἑκατέρωθεν βελῶν, παλτὸν ἐμπεσεῖν ὁλοσίδηρον αὐτῷ. καὶ τῇ μὲν ἀκμῇ, μὴ θιγεῖν. ἀλλὰ πλάγιον παρὰ τὴν ἀριστερὰν πλευρὰν παραδραμεῖν. ῥύμῃ δὲ τῆς παρόδου, τόν τε χιτῶνα διακόψαι, καὶ τὴν σάρκα φοινίξαι τυφλῷ μώλωπι πολὺν χρόνον διαφυλάξαντι τὸν τύπον. ταῦτα μὲν οὖν ὁ ποσειδώνιος ὑπὲρ τοῦ περσέως ἀπολογεῖται. τῶν δὲ ῥωμαίων, ὡς ἀντέστησαν τῇ φάλαγγι μὴ δυναμένων βιάζεσθαι. σάλιος ὁ τῶν παλιγνῶν ἡγούμενος ἁρπάσας τὸ σημεῖον τῶν ὑφ' αὐτὸν, εἰς τοὺς πολεμίους ἔῤῥιψεν. τῶν δὲ παλιγνῶν, οὐ γὰρ ἐστὶν ἰταλοῖς θεμιτὸν οὐδ' ὅσιον ἐγκαταλιπεῖν σημεῖον, ἐπιδραμόντων πρὸς ἐκεῖνον τὸν τόπον, ἔργα δεινὰ καὶ πάθη παρ' ἀμφοτέρων ἀπήντα συμπεσόντων. οἱ μὲν γὰρ, ἐκκρούειν τε τοῖς ξίφεσιν τὰς σαρίσας ἐπειρῶντο. καὶ πιέζειν τοῖς θυρεοῖς, καὶ ταῖς χερσὶν αὐταῖς ἀντιλαμβανόμενοι παραφέρειν. οἱ δὲ τὴν προβολὴν κρατυνάμενοι δι' ἀμφοτέρων. καὶ τοὺς προσπίπτοντας αὐτοῖς ὅπλοις διελαύνοντες, οὔτε θυρεοῦ στέγοντος, οὔτε θώρακος τὴν βίαν τῆς σαρίσης, ἀνεῤῥίπτουν ὑπὲρ κεφαλὴν τὰ σώματα, τῶν παλιγνῶν καὶ ῥακινῶν κατ' οὐδένα λογισμὸν, ἀλλὰ θυμῷ θηριώδει πρὸς ἐναντίας πληγὰς, καὶ πρόυπτον ὠθουμένων θάνατον. οὕτω δὲ τῶν προμάχων διαφθαρέντων, ἀνεκόπησαν οἱ κατόπιν αὐτῶν ἐπιτεταγμένοι. καὶ φυγὴ μὲν, οὐκ ἦν, ἀναχώρησις δὲ πρὸς ὄρος τὸ καλούμενον ὀλόκρον. ὥστε καὶ τὸν αἰμίλιον ἰδόντα φησὶν ὁ ποσειδώνιος, καταῤῥήξασθαι τὸν χιτῶνα. τούτων μὲν ἐνδιδόντων, τῶν δ' ἄλλων ῥωμαίων διατρεπομένων τὴν φάλαγγα προσβολὴν οὐκ ἔχουσαν. ἀλλ' ὥσπερ χαρακώματι τῷ πυκνώματι τῶν σαρισῶν ὑπαντιάζουσαν, πάντοθεν ἀπρόσμαχον. ἐπεὶ δὲ τῶν τε χωρίων ἀνωμάλων ὄντων. καὶ διὰ τὸ μῆκος, τῆς παρατάξεως, οὐ φυλαττούσης ἀραρότα τὸν συνασπισμὸν, κατεῖδε τὴν φάλαγγα τῶν μακεδόνων, κλάσεις τε πολλὰς καὶ διασπάσματα λαμβάνουσαν ὡς εἰκὸς ἐν μεγάλοις στρατοῖς, ποικίλαις ὁρμαῖς τῶν μαχομένων. τοῖς μὲν, ἐκθλιβομένην μέρεσι. τοῖς δὲ, προσπίπτουσαν. ἐπιὼν ὀξέως καὶ διαιρῶν τὰς σπείρας, ἐκέλευεν εἰς τὰ διαλείμματα καὶ κενώματα τῆς τῶν πολεμίων τάξεως, παρεμπίπτοντας καὶ συμπλεκομένους, μὴ μίαν πρὸς ἅπαντας, ἀλλὰ πολλὰς καὶ μεμιγμένας κατὰ μέρος, τὰς μάχας τίθεσθαι. ταῦτα τοῦ μὲν αἰμιλίου τοὺς ἡγεμόνας, τῶν δ' ἡγεμόνων τοὺς στρατιώτας διδασκόντων, ὡς πρῶτον ὑπέδυσαν καὶ διε-

καὶ

μένους

Η.

παρ ῥακινῶν .ς.

Λ καὶ

II Corrupti sunt isti versiculi. primus non est exameter neque pentameter. In tertio qui deberet esse pentameter, sed est exameter, etiam corruptus [illegible] illa πλήρη non est syncera, quare considerandum diligentius.

II

» γράμματι τοῦ μετρήσαντος, οὕτως. οὐλύμπου κορυφῆς ἐπὶ πυθίου ἀπόλλωνος. ἱερὸν, ὕψος ἔχει » πρὸς τὴν κάθετον δ' ἐμετρήθη. πλήρη μὲν δεκάκις σταδίων μίαν αὐτὰρ ἐπ' αὐτῇ. πλέθρων » τετραπέδῳ λειπόμενον μεγέθει. εὐμήλου δέ μιν υἱὸς ἐθήκατο μέτρα κελεύθου. ξεναγόρης. σὺ δ' ἄναξ χαῖρε, καὶ ἐσθλὰ δίδου. καί τοι λέγουσιν οἱ γεωμετρικοὶ, μήτε ὄρους ὕψος, μήτε βάθος θαλάσσης, ὑπερβάλλειν δεκάκις σταδίους, ὁ μέν τοι ξεναγόρας οὐ παρέργως, ἀλλὰ μεθόδῳ καὶ δι' ὀργάνων εἰληφέναι δοκεῖ τὴν μέτρησιν. ὁ μὲν οὖν νασικᾶς ἐν τούτῳ διενυκτέρευσεν. τῷ δὲ περσεῖ τὸν αἰμίλιον ἀτρεμοῦντα κατὰ χώραν ὁρῶντι καὶ μὴ λογιζομένῳ τὸ γινόμενον, ἀποδρὰς ἐκ τῆς ὁδοῦ κρὴς αὐτόμολος, ἧκε μηνύων τὴν περίοδον τῶν ῥωμαίων. ὁ δὲ συνταραχθεὶς, τὸ μὲν στρατόπεδον οὐκ ἐκίνησεν, μυρίους δὲ μισθοφόρους ξένους, καὶ δισχιλίους μακεδόνας, μίλωνι παραδοὺς, ἐξαπέστειλεν, παρασκευασάμενος ταχῦναι καὶ καταλαβεῖν τὰς ὕλας. τούτοις ὁ μὲν πολύβιός φησιν, ἔτι κοιμωμένοις ἐπιπεσεῖν τοὺς ῥωμαίους. ὁ δὲ νασικᾶς ὀξὺν ἀγῶνα περὶ τοῖς ἄκροις γενέσθαι καὶ κίνδυνον. αὐτὸς δὲ θρᾷκα μισθοφόρον εἰς χεῖρας συνδραμόντα, τῷ ξυστῷ διὰ τοῦ στήθους πατάξας, καταβαλεῖν. ἐκβιασθέντων δὲ τῶν πολεμίων, καὶ τοῦ μίλωνος αἴσχιστα φεύγοντος ἄνευ τῶν ὅπλων μονοχίτωνος, ἀσφαλῶς ἀκολουθεῖν, ἅμα καταβιβάζων εἰς τὴν χώραν τὸ στράτευμα. τούτων δὲ, τῷ περσεῖ προσπεσόντων, κατὰ τάχος ἀναζεύξας, ἦγεν ὀπίσω περίφοβος γεγονὼς, καὶ συγκεχυμένος ταῖς ἐλπίσιν. ἀλλ' ὅμως πρὸ τῆς πύδνης ὑπομένοντα, πειρᾶσθαι μάχης ἀναγκαῖον ἦν, ἢ τῷ στρατῷ σκεδασθέντι περὶ τὰς πόλεις δέχεσθαι τὸν πόλεμον. ἐπεὶ γὰρ ἅπαξ ἐμβέβηκε τῇ χώρᾳ, δίχα πολλοῦ φόνου καὶ νεκρῶν ἐκπεσεῖν μὴ δυνάμενον. πλήθει μὲν οὖν ἀνδρῶν, αὐτόθεν περιεῖναι. προθυμίαν δὲ πολλὴν ὑπάρχειν, ἀμυνομένοις, περὶ τέκνων καὶ γυναικῶν, ἐφορῶντος ἕκαστα τοῦ βασιλέως, καὶ προκινδυνεύοντος. ἐκ τούτων ἐθάρσυνον οἱ φίλοι τὸν περσέα. καὶ βαλόμενος στρατόπεδον, συνετάττετο πρὸς μάχην, καὶ τὰ χωρία κατεσκοπεῖτο, καὶ διῄρει τὰς ἡγεμονίας, ὡς εὐθὺς ἐξ ἐφόδου τοῖς ῥωμαίοις ἀπαντήσων. ὁ δὲ τόπος, καὶ πεδίον ἦν τῇ φάλαγγι βάσεως ἐπιπέδου καὶ χωρίων ὁμαλῶν δεομένῃ. καὶ λόφοι συνεχεῖς, ἄλλος ἐξ ἄλλου, τοῖς γυμνητεύουσι, καὶ ψιλοῖς ἀναφυγὰς καὶ περιδρομὰς ἔχοντες. διαμέσου δὲ ποταμοὶ ῥέοντες αἴσων καὶ λεῦκος, οὐ μάλα βαθεῖς τότε, θέρους γὰρ ἦν ὥρα φθίνοντες, ἐδόκουν τινὰ δυσεργίαν ὅμως τοῖς ῥωμαίοις παρέξειν. ὁ δ' αἰμίλιος, ὡς εἰς ταυτὸν συνέμιξε τῷ νασικᾷ, κατέβαινε συντεταγμένος ἐπὶ τοὺς πολεμίους. ὡς δ' εἶδε τὴν παράταξιν αὐτῶν καὶ τὸ πλῆθος θαυμάσας, ἐπέστησε τὴν πορείαν, αὐτός τι πρὸς ἑαυτὸν συλλογιζόμενος. οἱ δ' ἡγεμονικοὶ νεανίσκοι προθυμούμενοι μάχεσθαι παρελαύνοντες, ἐδέοντο μὴ μέλλειν. καὶ μάλιστα πάντων ὁ νασικᾶς, τῇ περὶ τὸν ὄλυμπον εὐτυχίᾳ τεθαρρηκώς. ὁ δ' αἰμίλιος μειδιάσας, ἐγὼ τὴν σὴν εἶπεν ἡλικίαν εἶχον. αἱ δὲ πολλαί με νῖκαι διδάσκουσαι τὰ τῶν ἡττωμένων ἁμαρτήματα, κωλύουσιν ἐξ ὁδοῦ μάχην τίθεσθαι, πρὸς φάλαγγα συντεταγμένην ἤδη καὶ συνεστῶσαν. ἐκ τούτου τὰ μὲν πρῶτα καὶ καταφανῆ πρὸς τοὺς πολεμίους, ἐκέλευσεν εἰς σπείρας καθισταμένα ποιεῖν σχῆμα παρατάξεως, τοὺς δὲ ἀπ' οὐρᾶς στραφέντας ἐν χώρᾳ χάρακα βαλέσθαι καὶ στρατοπεδεύειν. οὕτω δὲ τῶν συνεχῶν τοῖς τελευταίοις καθ' ὑπαγωγὴν ἐξελιττομένων, ἔλαθε τὴν παράταξιν ἀναλύσας καὶ καταστήσας ἀθορύβως, εἰς τὸν χάρακα πάντας. ἐπεὶ δὲ νὺξ γεγόνει, καὶ μετὰ δεῖπνον ἐτράποντο πρὸς ὕπνον καὶ ἀνάπαυσιν, αἰφνίδιον ἡ σελήνη πλήρης οὖσα καὶ μετέωρος, ἐμελαίνετο. καὶ τοῦ φωτὸς ἀπολιπόντος αὐτὴν, χρόας ἀμείψασα παντοδαπὰς ἠφανίσθη. τῶν δὲ ῥωμαίων ὥσπερ ἐστὶ νενομισμένον, χαλκοῦ τε πατάγοις ἀνακαλουμένων τὸ φῶς αὐτῆς, καὶ πυρὰ πολλὰ δαλοῖς καὶ δασὶν ἀνεχόντων πρὸς τὸν οὐρανὸν, οὐδὲν ὅμοιον ἔπραττον οἱ μακεδόνες. ἀλλὰ φρίκη καὶ θάμβος τὸ στρατόπεδον κατεῖχε. καὶ λόγος ἡσυχῇ διὰ πολλῶν ἐχώρει, βασιλέως τὸ φάσμα σημαίνειν ἔκλειψιν. ὁ δ' αἰμίλιος, οὐκ ἦν μὲν ἀνήκοος οὐδ' ἄπειρος παντάπασι τῶν ἐκλειπτικῶν ἀνωμαλιῶν, αἳ τὴν σελήνην περιφερομένην, εἰς τὸ σκίασμα τῆς γῆς ἐμβάλλουσι τεταγμέναις περιόδοις, καὶ ἀποκρύπτουσιν ἄχρι οὗ παρελθοῦσα τὴν ἐπισκότου χώραν πάλιν ἐπιλάμψῃ πρὸς τὸν ἥλιον. οὐ μὴν ἀλλὰ τῷ θείῳ πολὺ νέμων, καὶ φιλοθύτης ὢν καὶ μαντικὸς, ὡς εἶδε πρῶτον τὴν σελήνην ἀποκαθαιρομένην, ἕνδεκα μόσχους αὐτῇ κατέθυσεν. ἅμα δ' ἡμέρᾳ, τῷ ἡρακλεῖ βουθυτῶν, οὐκ ἐκαλλιέρει μέχρις εἴκοσι. τῷ δὲ πρώτῳ καὶ εἰκοστῷ, παρῆν τὰ σημεῖα, καὶ νίκην ἀμυνομένοις ἔφραζε. εὐξάμενος οὖν κατὰ βοῶν ἑκατὸν. καὶ ἀγῶνος ἱεροῦ τῷ θεῷ, προσέταξε διακοσμεῖν τοῖς ἡγεμόσι τὸν στρατὸν, εἰς μάχην. αὐτὸς δὲ τὴν ἀπόκλισιν καὶ περιφορὰν, ἀναμένων τοῦ φωτὸς ὅπως μὴ κατὰ προσώπου μαχομένοις αὐτοῖς, ἑωθινὸν ὁ ἥλιος ἀντιλάμποι, παρῆγε τὸν χρόνον, ἐν τῇ σκηνῇ καθεζόμενος, ἀναπεπταμένῃ πρὸς τὸ πεδίον, καὶ τὴν στρατοπεδείαν τῶν πολεμίων. περὶ δὲ δείλην, οἱ μὲν αὐτοῦ φασι τοῦ αἰμιλίου τεχνάσαντος, ἐκ τῶν πολεμίων γενέσθαι τὴν ἐπιχείρησιν. ἀχάλινον ἵππον ἐξελάσαντος, ἐμβαλεῖν αὐτοῖς τοὺς ῥωμαίους. καὶ τοῦτον ἀρχὴν μάχης διωκόμενον παρασχεῖν. οἱ δὲ, ῥωμαϊκῶν ὑποζυγίων χορτάσματα παρακομιζόντων, ἐπιθέσθαι θρᾷκας, ὧν ἀλέξανδρος ἡγεῖτο. πρὸς δὲ τούτους, ἐκδρομὴν ὀξεῖαν, ἑπτακοσίων λιγύων γενέσθαι. παραβοηθούν-

των δὲ

Γενθίου προδεδωκότος ἐχθρὰς ἐνέχεε καὶ ἐκ τηλικαύτης ἀδικίας ἐμβεβληκότος ἑαυτὸν εἰς τὸν πόλεμον, ἀπεστέρησε τὸν κακοδαίμονα τῶν τριακοσίων ταλάντων. καὶ περιεῖδεν ὀλίγῳ χρόνῳ, μετὰ τέκνων καὶ γυναικὸς ὡς ἀπὸ νεοττιᾶς ἀρθέντα τῆς βασιλείας, ὑπὸ Λευκίου Ἀνικίου στρατηγοῦ πεμφθέντος ἐπ' αὐτὸν μετὰ δυνάμεως. Ἐπὶ τοιοῦτον ἀντίπαλον ἐλθὼν ὁ Αἰμίλιος, αὐτοῦ μὲν κατεφρόνει, τὴν δ' ὑπ' αὐτῷ παρασκευὴν καὶ δύναμιν ἐθαύμαζεν. εἶχε γὰρ ἱππεῖς μὲν τετρακισχιλίους, πεζοὺς δ' εἰς φάλαγγα, τετρακισμυρίων οὐ πολλοῖς ἀποδέοντας. ἱδρυμένος δὲ πρὸ τῆς θαλάττης, παρὰ τὴν Ὀλυμπικὴν ὑπώρειαν ἐπὶ χωρίων οὐδαμόθεν προσβολὴν ἐχόντων, καὶ πανταχόθεν ὑπ' αὐτοῦ διαπεφραγμένων ἐρύμασι, καὶ προτειχίσμασι ξυλίνοις, πολλὴν ἄδειαν εἶχεν, ἀποτρύσειν χρόνῳ, καὶ χρημάτων δαπάνῃ τὸν Αἰμίλιον ἡγούμενος. ὁ δὲ τῇ γνώμῃ μὲν ἦν ἐνεργὸς, ἐπὶ πᾶν βούλευμα, καὶ πᾶσαν τρεπόμενος πεῖραν, ὑπ' ἀδείας δὲ τῆς πρόσθεν τὸν στρατὸν ὁρῶν δυσανασχετοῦντα, καὶ πολλὰ διαστρατηγοῦντα τῶν ἀπράκτων, ἐπετίμησεν αὐτοῖς, καὶ παρήγγειλε μηδὲν πολυπραγμονεῖν μηδὲ φροντίζειν, ἀλλ' ἢ τὸ σῶμα τὸ ἑαυτοῦ καὶ τὴν πανοπλίαν ἕκαστον, ὅπως ἐνεργὸν παρέξει καὶ χρήσεται Ῥωμαϊκῶς τῇ μαχαίρᾳ, τὸν καιρὸν παραδόντος τοῦ στρατηγοῦ. τὰς δὲ νυκτερινὰς ἐκέλευσεν φυλακὰς, ἄνευ λόγχης φυλάττειν, ὡς μᾶλλον προσέξοντας, καὶ διαμαχουμένους πρὸς τὸν ὕπνον, ἂν ἀμύνασθαι τοὺς πολεμίους μὴ δύνωνται προσιόντας. Ἐνοχλουμένων δὲ τῶν ἀνθρώπων μάλιστα περὶ τὴν τοῦ ποτοῦ χρείαν. καὶ γὰρ ὀλίγον καὶ πονηρὸν ἐπίδυεν, καὶ συνελείβετο παρ' αὐτὴν τὴν θάλατταν, ὁρῶν ὁ Αἰμίλιος, μέγα καὶ κατηρεφὲς δένδρεσιν ὄρος τὸν Ὄλυμπον ἐπικείμενον, καὶ τεκμαιρόμενος τῇ χλωρότητι τῆς ὕλης, ναμάτων ἔχειν ἀρχὰς διὰ βάθους ὑποφερομένων, ἀναπνοὰς αὐτοῖς καὶ φρέατα πολλὰ παρὰ τὴν ὑπώρειαν ὤρυττε. τὰ δ' εὐθὺς, ἐπίμπλατο ῥευμάτων καθαρῶν ἐπισυνδιδόντων, ὁλκῇ καὶ φορᾷ τοῦ θλιβομένου πρὸς τὸ κενούμενον. Καίτοι τινὲς οὔ φασιν ὑδάτων ἑτοίμων κεκρυμμένων πηγὰς ἐναποκεῖσθαι τοῖς τόποις ἐξ ὧν ῥέουσιν. οὐδ' ἀποκάλυψιν οὐδὲ ῥῆξιν εἶναι, τὴν ἐκβολὴν αὐτῶν, ἀλλὰ γένεσιν καὶ σύστασιν, ἐνταῦθα τῆς ὕλης ἐξυγραινομένης. ἐξυγραίνεσθαι δὲ πυκνότητι καὶ ψυχρότητι τὴν νοτερὰν ἀναθυμίασιν, ὅταν ἐν βάθει καταθλιβεῖσα ῥευστικὴ γένηται. Καθάπερ γὰρ οἱ μαστοὶ τῶν γυναικῶν, οὐχ ὥσπερ ἀγγεῖα πλήρεις εἰσὶν ἐπιρρέοντος ἑτοίμου γάλακτος, ἀλλὰ μεταβάλλοντες τὴν τροφὴν ἐν αὐτοῖς, ἐργάζονται γάλα, καὶ διηθοῦσιν. οὕτως οἱ περίψυκτοι καὶ πιδακώδεις τόποι τῆς γῆς, ὕδωρ μὲν, οὐκ ἔχουσι κεκαλυμμένον. οὐδὲ κόλπους, ῥεύματα καὶ βάθη ποταμῶν τοσούτων, ἐξ ἑτοίμης καὶ ἀποκειμένης ἀναφιέντας ἀρχῆς. τὸ δὲ πνεῦμα, καὶ τὸν ἀέρα τῷ πιέζειν καὶ καταπυκνοῦν, ἀποθλίβοντες εἰς ὕδωρ τρέπουσι. Τὰ γοῦν ὀρυττόμενα τῶν χωρίων, μᾶλλον ἀναπιδύει καὶ διανάει πρὸς τὴν τοιαύτην ψηλάφησιν, ὥσπερ οἱ μαστοὶ τῶν γυναικῶν πρὸς τὸν θηλασμὸν, ἀνυγραίνοντα καὶ μαλάττοντα τὴν ἀναθυμίασιν. ὅσα δ' ἀργὰ τῆς γῆς συμπέφρακται, τυφλὰ πρὸς γένεσιν ὑδάτων ἐστὶν, οὐκ ἔχοντα τὴν ἐργαζομένην τὸ ὑγρὸν κίνησιν. Οἱ δὲ ταῦτα λέγοντες ἐπιχειρεῖν δεδώκασι τοῖς ἀπορητικοῖς, ὡς οὐδὲ τὸ αἷμα τοῖς ζῴοις ἔνεστιν, ἀλλὰ γίνεται πρὸς τὰ τραύματα, πνεύματός τινος ἢ σαρκῶν μεταβολῇ, ῥύσιν ἀπεργασαμένης καὶ σύντηξιν. ἐλέγχονται δὲ τοῖς πρὸς τοὺς ὑπονόμους, καὶ τὰς μεταλλείας ἀπαντῶσιν εἰς βάθη ποταμοῖς, οὐ κατ' ὀλίγον συλλεγομένοις, ὥσπερ εἰκός ἐστιν, εἰ γένεσιν ἐκ τοῦ παραχρῆμα κινουμένης τῆς γῆς λαμβάνουσιν, ἀλλ' ἀθρόοις ἀναχεομένοις. ὁρῶν δὲ καὶ πέτρας πληγῇ ῥαγείσης ἐξεπήδησε ῥεῦμα λάβρον ὕδατος, εἶτα ἐπέλιπεν. ταῦτα μὲν περὶ τούτων. Ὁ δ' Αἰμίλιος ἡμέρας μὲν τινὰς ἠρέμει. καί φασι μήποτε τηλικούτων στρατοπέδων, ἐγγὺς οὕτω συνελθόντων, ἡσυχίαν γενέσθαι τοσαύτην. ἐπεὶ δὲ κινῶν ἅπαντα καὶ πειρώμενος, ἐπυνθάνετο μίαν εἰσβολὴν, ἔτι μόνην ἀφρούρητον ἀπολείπεσθαι, τὴν διὰ Περραιβίας παρὰ τὸ Πύθιον, καὶ τὴν Πέτραν, τῷ μὴ φυλάττεσθαι τὸν τόπον, ἐλπίδας μᾶλλον, ἢ δι' ἣν οὐκ ἐφυλάττετο δυσχωρίαν, καὶ τραχύτητα δείσας, ἐβουλεύετο. Πρῶτος δὲ τῶν παρόντων ὁ Νασικᾶς ἐπικαλούμενος Σκηπίων, γαμβρὸς Ἀφρικανοῦ Σκηπίωνος. ὕστερον δὲ μέγιστον ἐν τῇ συγκλήτῳ δυνηθεὶς, ὑπεδέξατο τῆς κυκλώσεως ἡγεμὼν γενέσθαι. δεύτερος δὲ Φάβιος Μάξιμος ὁ πρεσβύτατος, τῶν Αἰμιλίου παίδων, ἔτι μειράκιον ὤν, ἀνέστη προθυμούμενος. Ἡσθεὶς οὖν ὁ Αἰμίλιος, δίδωσιν αὐτοῖς, οὐχ ὅσους Πολύβιος εἴρηκεν, ἀλλ' ὅσους αὐτὸς ὁ Νασικᾶς λαβεῖν φησὶ, γεγραφὼς περὶ τῶν πράξεων τούτων ἐπιστόλιον πρός τινα τῶν βασιλέων. οἱ μὲν ἐκτὸς τάξεως Ἰταλικοὶ, τρισχίλιοι τὸ πλῆθος ἦσαν. τὸ δ' εὐώνυμον κέρας, εἰς πεντακισχιλίους. Τούτοις προσλαβὼν ὁ Νασικᾶς ἱππεῖς ἑκατὸν εἴκοσι, καὶ τῶν παρ' Ἁρπάλῳ Θρᾳκῶν, καὶ Κρητῶν ἀναμεμιγμένων διακοσίους, ἐξώρμησε τῇ πρὸς θάλασσαν ὁδῷ, καὶ κατεστρατοπέδευσεν παρὰ τὸ Ἡράκλειον. ὡς δὴ ταῖς ναυσὶ μέλλων ἐκπεριπλεῖν, καὶ κυκλοῦσθαι τὸ στρατόπεδον τῶν πολεμίων. Ἐπεὶ δ' ἐδείπνησαν οἱ στρατιῶται, καὶ σκότος ἐγένετο, τοῖς ἡγεμόσι φράσας τὸ ἀληθὲς, ἦγε διὰ νυκτὸς, τὴν ἐναντίαν ἀπὸ θαλάσσης, καὶ καταλύσας ἀνέπαυε τὴν στρατιὰν ὑπὸ τὸ Πύθιον. ἐνταῦθα τοῦ Ὀλύμπου τὸ ὕψος ἀνατείνει πλέον, ἢ δέκα σταδίους. σημαίνεται δὲ ἐπι

ρᾶν καὶ καταβοώντων, ἐπείσθη. καὶ φανεὶς εὐθὺς ἐν τοῖς μετιοῦσι τὴν ὑπατείαν, ἔδοξεν οὐκ ἀρχὴν λαψόμενος, ἀλλὰ νίκην καὶ κράτος πολέμου κομίζων. καὶ διδοὺς τοῖς πολίταις καταβαίνειν εἰς τὸ πεδίον. μετὰ τοσαύτης ἐλπίδος καὶ προθυμίας ἐδέξαντο πάντες αὐτὸν, καὶ κατέστησαν ὕπατον, τὸ δεύτερον, οὐκ ἐάσαντες κλῆρον γενέσθαι καθάπερ εἰώθει περὶ τὴν ἐπαρχιῶν, ἀλλ' εὐθὺς ἐκείνῳ ψηφισάμενοι, τοῦ μακεδονικοῦ πολέμου τὴν ἡγεμονίαν. λέγεται δ' αὐτὸν ὡς ἀνηγορεύθη, κατὰ τοῦ περσέως στρατηγὸς ὑπὸ τοῦ δήμου παντὸς, οἴκαδε προπεμφθέντα λαμπρῶς. εὑρεῖν τὸ θυγάτριον τὴν τερτίαν δεδακρυμένην ἔτι παιδίον οὖσαν, ἀσπαζόμενον οὖν αὐτὴν, ἐρωτᾶν ἐφ' ὅτῳ λελύπηται. τὴν δὲ περιβαλοῦσαν καὶ καταφιλοῦσαν. οὐ γὰρ οἶσθα εἰπεῖν, ὦ πάτερ ὅτι ἡμῖν ὁ περσεὺς τέθνηκεν, λέγουσαν κυνίδιον, σύντροφον, οὕτω προσαγορευόμενον. καὶ τὸν αἰμίλιον ἀγαθῇ τύχῃ φάναι ὦ θύγατερ, καὶ δέχομαι τὸν οἰωνόν. ταῦτα μὲν οὖν κικέρων ὁ ῥήτωρ ἐν τοῖς περὶ μαντικῆς ἱστόρηκεν. εἰωθότων δὲ, τῶν ὑπατείαν λαβόντων. οἷον ἀνθομολογεῖσθαι τινα χάριν, καὶ προσαγορεύειν φιλοφρόνως τὸν δῆμον ἀπὸ τοῦ βήματος. αἰμίλιος εἰς ἐκκλησίαν συναγαγὼν τοὺς πολίτας. τὴν μὲν προτέραν ὑπατείαν, μετελθεῖν ἔφη, αὐτὸς ἀρχῆς δεόμενος. τὴν δὲ δευτέραν, ἐκείνων στρατηγοῦ δεομένων. διὸ, μηδεμίαν αὐτοῖς χάριν ἔχειν, ἀλλ' εἰ νομίζουσι δι' ἑτέρου βέλτιον ἕξειν, τὰ κατὰ τὸν πόλεμον, ἐξίστασθαι τῆς ἡγεμονίας. εἰ δὲ πιστεύουσιν αὐτῷ, μὴ παραστρατηγεῖν μηδὲ λογοποιεῖν, ἀλλ' ὑπουργεῖν σιωπῇ τὰ δέοντα πρὸς τὸν πόλεμον, ὡς ἐὰν ἄρχοντας ἄρχειν ζητῶσιν, ἔτι μᾶλλον ἢ νῦν καταγελάστους ἐν ταῖς στρατείαις ἐσομένους. ἀπὸ τούτων τῶν λόγων, πολλὴν μὲν αἰδῶ πρὸς αὐτὸν ἐνεποίησεν τοῖς πολίταις. μεγάλην δὲ προσδοκίαν τοῦ μέλλοντος, ἡδομένων ἁπάντων, ὅτι τοὺς κολακεύοντας παρελθόντες, εἵλοντο παρρησίαν ἔχοντα, καὶ φρόνημα στρατηγόν. οὕτως ἐπὶ τῷ κρατεῖν, καὶ μέγιστος εἶναι τῶν ἄλλων, ἀρετῆς καὶ τοῦ καλοῦ δοῦλος ἦν ὁ ῥωμαίων δῆμος. αἰμίλιον δὲ παῦλον ὡς ἐξώρμησεν ἐπὶ στρατείαν, πλοῦ μὲν εὐτυχίᾳ καὶ ῥᾳστώνῃ χρήσασθαι πορείας κατὰ δαίμονα τίθημι σὺν τάχει καὶ μετ' ἀσφαλείας εἰς τὸ στρατόπεδον κομισθέντα. τοῦ δὲ πολέμου καὶ τῆς στρατηγίας αὐτοῦ, τὸ μὲν τόλμης ὀξύτητι. τὸ δὲ βουλεύμασι χρηστοῖς. τὸ δὲ, φίλων ἐκθύμοις ὑπηρεσίαις. τὸ δὲ τῷ παρὰ τὰ δεινὰ θαρρεῖν, καὶ χρῆσθαι λογισμοῖς ἀραρόσιν, ὁρῶν διαπεπραγμένον, οὐκ ἔχω τῇ λεγομένῃ τοῦ ἀνδρὸς εὐτυχίᾳ, λαμπρὸν ἀποδοῦναι καὶ διάσημον ἔργον, οἷον ἑτέρων στρατηγῶν. εἰ μή τις ἄρα τὴν περσέως φιλαργυρίαν, αἰμιλίῳ τύχην ἀγαθὴν περὶ τὰ πράγματα γενέσθαι φησίν. ἣ λαμπρὰ καὶ μεγάλα πρὸς τὸν πόλεμον ἀρθέντα ταῖς ἐλπίσι, τὰ μακεδόνων ἀνέτρεψε, καὶ κατέβαλε πρὸς ἀργύριον ἀποδειλιάσαντα. ἧκον μὲν γὰρ αὐτῷ δεηθέντι βαστέρναι. μύριοι μὲν ἱππεῖς. μύριοι δὲ παραβάται, μισθοφόροι πάντες ἄνδρες. οὐ γεωργεῖν εἰδότες. οὐ πλεῖν. οὐκ ἀπὸ ποιμνίων ζῆν νέμοντες, ἀλλ' ἓν ἔργον καὶ μίαν τέχνην μελετῶντες, ἀεὶ μάχεσθαι καὶ κρατεῖν τῶν ἀντιτασσομένων. ὡς δὲ περὶ τὴν μηδικὴν καταστρατοπεδεύσαντες ἐπεμίγνυντο τοῖς παρὰ τοῦ βασιλέως. ἄνδρες, ὑψηλοὶ μὲν τὰ σώματα. θαυμαστοὶ δὲ τὰς μελέτας μεγάλαυχοι δὲ καὶ λαμπροὶ ταῖς κατὰ τῶν πολεμίων ἀπειλαῖς, θάρσος παρέστησαν τοῖς μακεδόσι καὶ δόξαν, ὡς τῶν ῥωμαίων οὐχ ὑπομενούντων, ἀλλ' ἐκπλαγησομένων τὴν ὄψιν αὐτὴν, καὶ τὴν κίνησιν ἔκφυλον οὖσαν καὶ δυσπρόσοπτον. οὕτω διαθεὶς τοὺς ἀνθρώπους ὁ περσεὺς. καὶ τοιούτων ἐμπλήσας ἐλπίδων. αἰτούμενος καθ' ἕκαστον ἡγεμόνα χιλίους, πρὸς τὸ γιγνόμενον τοῦ χρυσίου πλῆθος ἰλιγγιάσας, καὶ παραφρονήσας ὑπὸ μικρολογίας ἀπείπατο καὶ προήκατο τὴν συμμαχίαν. ὡς περ οἰκονομῶν, οὐ πολεμῶν ῥωμαίοις. καὶ λογισμὸν ἀποδώσων ἀκριβῆ, τῆς εἰς τὸν πόλεμον δαπάνης οἷς ἐπολέμει, καὶ διδασκάλους ἔχων ἐκείνους οἱ ἄλλης παρασκευῆς, τῶν δέκα μυριάδων ἦσαν ἠθροισμέναι, καὶ παρεστῶσαι ταῖς χρείαις.

Ὁ δὲ πρὸς δύναμιν ἀνταίρων τηλικαύτην καὶ πόλεμον, οὗ τοσοῦτον ἦν, τὸ παρασκευαζόμενον, διεμέτρει καὶ παρεσημαίνετο τὸ χρυσίον, ἅψασθαι δεδιὼς ὥσπερ ἀλλοτρίων. καὶ ταῦτ' ἔπραττεν, οὐ λυδῶν τις, οὐδὲ φοινίκων γεγονὼς, ἀλλὰ τῆς ἀλεξάνδρου καὶ φιλίππου κατὰ συγγένειαν ἀρετῆς μεταποιούμενος. οἳ τῷ τὰ πράγματα τῶν χρημάτων ὠνητὰ, μὴ τὰ χρήματα τῶν πραγμάτων ἡγεῖσθαι, πάντων ἐκράτησαν. ἐρρέθη γοῦν, ὅτι τὰς πόλεις αἱρεῖ τῶν ἑλλήνων, οὐ φίλιππος, ἀλλὰ τὸ φιλίππου χρυσίον.

Ἀλέξανδρος δὲ τῆς ἐπ' ἰνδοὺς στρατείας ἁπτόμενος, καὶ βαρὺν ὁρῶν καὶ δύσογκον ἤδη τὸν περσικὸν ἐφελκομένους πλοῦτον τοὺς μακεδόνας, πρώτας ὑπέπρησε τὰς βασιλικὰς ἁμάξας. εἶτα, τοὺς ἄλλους ἔπεισε ταυτὸ ποιήσαντας, ἐλαφροὺς ἀναζεῦξαι πρὸς τὸν πόλεμον, ὥσπερ λελυμένους.

Περσεὺς δὲ τὸν χρυσὸν, αὐτὸς αὐτοῦ καὶ τέκνων, καὶ βασιλείας καταχεόμενος, οὐκ ἠθέλησεν δι' ὀλίγων σωθῆναι χρημάτων. ἀλλὰ μετὰ πολλῶν κομισθεὶς ὁ πλούσιος αἰχμάλωτος, ἐπιδείξασθαι ῥωμαίοις ὅσα φεισάμενος ἐτήρησεν αὐτοῖς. οὐ γὰρ μόνον ἀπέπεμψε τοὺς γαλάτας ψευσάμενος, ἀλλὰ καὶ γένθιον ἐπάρας τὸν ἰλλυριὸν, ἐπὶ τριακοσίοις ταλάντοις, συνεφάψασθαι τοῦ πολέμου. τὰ μὲν χρήματα τοῖς παρ' αὐτοῦ πεμφθεῖσι, προὔθηκεν ἠριθμημένα, καὶ κατασημήνασθαι παρέχων. ὡς δὲ πεισθεὶς ἔχειν ἃ ᾔτησεν ὁ γένθιος, ἔργον ἀσεβὲς, καὶ δεινὸν ἔδρασεν. πρέσβεις γὰρ ἐλθόντας ῥωμαίων πρὸς αὐτὸν, συνέλαβε καὶ κατέδησεν. ἡγούμενος ὁ περσεὺς, οὐδὲν ἔτι δεῖσθαι τῶν χρημάτων τὴν ἐκπολέμωσιν, ἄλυτα τοῦ

+ q. οἱ λόγοι παρασκευῆς τῶν δέκα μυριάδων ἦσαν. ἠθροισμένοι καὶ παρεστῶτες τῷ [illegible] ἀλλο

θέντα μέγαν, ἐξελάσαντα τῆς ἄλλης ἀσίας, ὑπὲρ τὸν ταῦρον ἐκβαλόντες καὶ κατακλείσαντες εἰς συρίαν, ἐπὶ μυρίοις καὶ πεντακισχιλίοις ταλάντοις, ἀγαπήσαντα τὰς διαλύσεις. ὀλίγῳ δὲ πρόσθεν ἐν θετταλίᾳ συντρίψαντες φίλιππον καὶ τοὺς ἕλληνας, ἀπὸ μακεδόνων ἐλευθερώσαντες. ᾧ, τε βασιλεὺς οὐδεὶς παραβλητὸς εἰς τόλμαν, ἢ δύναμιν, ἀντίβαν καταπολεμήσαντες. οὐκ αἰσχρὸν ἡγοῦντο, περσεῖ, καθάπερ ἀντιπάλῳ τῆς ῥώμης, ἴσον φερόμενοι συμπεπλέχθαι, πολὺν ἤδη χρόνον, ἀπὸ τῶν λειψάνων τῆς πατρῴας ἥττης πολεμοῦντι πρὸς αὐτούς. ἀγνοοῦντες ὅτι πολλῷ τὴν μακεδόνων δύναμιν, ἡττηθεὶς φίλιππος, ἐρρωμενεστέραν καὶ μαχιμωτέραν ἐποίησεν. περὶ ὧν δίειμι βραχέως ἄνωθεν ἀρξάμενος. Ἀντίγονος μέγιστον δυνηθεὶς τῶν ἀλεξάνδρου διαδόχων καὶ στρατηγῶν κτησάμενος ἑαυτῷ, καὶ γένει τὴν τοῦ βασιλέως προσηγορίαν. υἱὸν ἔσχε δημήτριον, οὗ παῖς ἀντίγονος ἦν, ὁ γονατᾶς ἐπονομασθείς, τούτου δὲ δημήτριος. ὃς αὐτός τε βασιλεύσας χρόνον οὐ πολύν, υἱόν τε, παῖδα τὴν ἡλικίαν ἀπολιπὼν, φίλιππον ἐτελεύτησεν. δείσαντες δὲ τὴν ἀναρχίαν οἱ πρῶτοι μακεδόνων, ἀντίγονον ἐπάγονται, τοῦ τεθνηκότος ἀνεψιὸν ὄντα, καὶ συνοικίσαντες αὐτῷ τὴν μητέρα τοῦ φιλίππου. πρῶτον μὲν, ἐπίτροπον καὶ στρατηγόν. εἶτα, πειρώμενοι μετρίου καὶ κοινωφελοῦς, βασιλέα προσηγόρευσαν. ἐπεκλήθη δὲ, δώσων, ὡς ἐπαγγελτικὸς μὲν, οὐ τελεσιουργὸς δὲ τῶν ὑποσχέσεων. Μετὰ τοῦτον βασιλεύσας ὁ φίλιππος, ἤνθησεν ἐν τοῖς μάλιστα τῶν βασιλέων ἔτι μειράκιον ὤν, καὶ δόξαν ἔσχεν, ὡς ἀναστήσει μακεδονίαν εἰς τὸ παλαιὸν ἀξίωμα. καὶ μόνος ἐπὶ πάντας ἤδη, τὴν ῥωμαίων δύναμιν αἱρομένην καθέξων, ἡττηθεὶς δὲ μεγάλῃ μάχῃ περὶ σκοτοῦσσαν ὑπὸ τίτου φλαμινίου. τότε μὲν, ἔπτηξε, καὶ πάντα καθ᾽ ἑαυτὸν, ἐπιτρέψας ῥωμαίοις, καὶ τυχὼν ἐπιτιμήσεως μετρίας ἠγάπησεν. ὕστερον δὲ βαρέως φέρων, καὶ τὸ βασιλεύειν χάριτι ῥωμαίων, ἡγούμενος αἰχμαλώτου τρυφῶν ἀγαπῶντος εἶν᾽ μᾶλλον ἢ φρόνημα καὶ θυμὸν ἔχοντος ἀνδρὸς, ἐπεῖχε τῷ πολέμῳ τὴν γνώμην, καὶ συνετίθετο λάθρα, καὶ πανούργως. τῶν γὰρ πόλεων τὰς ἐν ὁδοῖς, καὶ παραθαλαττίους, ἀσθενεῖς γενομένας περιορῶν. καὶ ὑπέρημος ὡς καταφρονεῖσθαι, πολλὴν ἄνω συνῆγε δύναμιν. καὶ τὰ μεσόγεια χωρία, καὶ φρούρια, καὶ πόλεις, ὅπλων, καὶ χρημάτων πολλῶν, καὶ σωμάτων ἀκμαζόντων ἐμπεπληκὼς, ἐσωμασκεῖ τὸν πόλεμον, καὶ συνεῖχεν ὥσπερ ἐγκεκρυμμένον ἀδήλως. ὅπλων μὲν γὰρ ἀργούντων, ἀπέκειντο τρεῖς μυριάδες. ὀκτακόσιαι δὲ, σίτου μεδίμνων ἦσαν ἐγκατῳκοδομημένου τοῖς τείχεσι. χρημάτων δὲ πλῆθος, ὅσον ἤρκει μισθοφόρους ἔτη δέκα μυρίους τρέφειν, προπολεμοῦντας τῆς χώρας. Ἀλλ᾽ ἐκεῖνος μὲν, οὐκ ἔφθη ταῦτα κινῆσαι, καὶ προσαγαγεῖν εἰς ἔργον, ὑπὸ λύπης καὶ δυσθυμίας προέμενος τὸν βίον. ἔγνω γὰρ, ἀδίκως τὸν ἕτερον τῶν υἱῶν δημήτριον ἐκ διαβολῆς τοῦ χείρονος, ἀνῃρηκώς. ὁ δ᾽ ἀπολειπόμενος υἱὸς αὐτοῦ, περσεὺς, ἅμα τῇ βασιλείᾳ, διεδέξατο, πρὸς ῥωμαίους ἔχθραν. οὐκ ὢν ἐχέγγυος ἐνεγκεῖν διὰ μικρότητα καὶ μοχθηρίαν ἤθους. ἐν ᾧ παθῶν παντοδαπῶν, καὶ νοσημάτων ἐνόντων, ἐπρώτευεν ἡ φιλαργυρία. Λέγεται δὲ μηδὲ γνήσιος φῦναι. λαβεῖν δ᾽ αὐτὸν ἡ συνοικοῦσα τῷ φιλίππῳ νεογιλὸν ἀκεστρίας τινὸς ἀργολικῆς, γναθαινίας τοὔνομα τεκούσης, καὶ λαθεῖν ὑποβαλομένη. διὸ καὶ μάλιστα δοκεῖ, τὸν δημήτριον φοβηθεὶς ἀποκτεῖναι, μὴ γνήσιον ἔχων ὁ οἶκος διάδοχον, ἀποκαλύψῃ τὴν ἐκείνου νοθείαν. οὐ μὴν, ἀλλὰ καίπερ ὢν ἀγεννὴς καὶ ταπεινὸς, ὑπὸ ῥώμης τῶν πραγμάτων ἀναφερόμενος πρὸς τὸν πόλεμον ἔστη, καὶ διηρείσατο πολὺν χρόνον ἡγεμόσι τε ῥωμαίων ὑπατικοῖς. καὶ στρατεύμασι καὶ στόλοις μεγάλοις ἀπομαχόμενος. ἐνίων δὲ καὶ κρατήσας. πόπλιον τε γὰρ λικίννιον ἐμβαλόντα πρῶτον εἰς μακεδονίαν, τρεψάμενος ἱππομαχίᾳ, δισχιλίους πεντακοσίους ἄνδρας ἀγαθοὺς ἀπέκτεινε. καὶ ζῶντας, ἄλλους ἑξακοσίους ἔλαβε. τοῦ τε ναυσταθμοῦ περὶ ὠρεὸν ὁρμοῦντος, ἀπροσδόκητον ἐπίπλουν θέμενος, εἴκοσι μὲν αὐτοφόρτους ὁλκάδας ἐχειρώσατο, τὰς δ᾽ ἄλλας σίτου γεμούσας κατέδυσεν. ἐκράτησε δὲ καὶ πεντηρικὰ τέσσαρα. καὶ μάχην ἐπολέμησεν τὸ δεύτερον ἐν ᾗ τῶν ὑπατικῶν ὁστίλιον ἀπεκρούσατο καὶ βιαζόμενον κατὰ τὰς ἐλιμίας, λάθρα δὲ διὰ θετταλίας ἐμβαλόντα προσκαλούμενος εἰς μάχην, ἐφόβησεν. Πάρεργον δὲ τοῦ πολέμου στρατιὰν ἐπὶ δαρδανεῖς θέμενος, ὡς δὴ τοὺς ῥωμαίους ὑπερορῶν καὶ σχολάζων, μυρίους τῶν βαρβάρων κατέκοψεν. καὶ λείαν ἠλάσατο πολλήν. ὑπεκίνει δὲ, καὶ γαλάτας τοὺς περὶ τὸν ἴστρον ᾠκημένους, οἳ βαστέρναι καλοῦνται, στρατὸν ἱππότην καὶ μάχιμον. ἰλλυριούς τε διὰ γενθίου τοῦ βασιλέως, παρεκάλει συνεφάψασθαι τοῦ πολέμου. καὶ λόγος κατέσχεν, ὡς τῶν βαρβάρων μισθῷ πεπεισμένων ὑπ᾽ αὐτοῦ διὰ τῆς κάτω γαλατίας παρὰ τὸν ἀδρίαν, ἐμβαλεῖν εἰς τὴν ἰταλίαν.

Ταῦτα τοῖς ῥωμαίοις πυνθανομένοις, ἐδόκει τὰς τῶν στρατηγιώντων χάριτας καὶ παραγγελίας ἐάσαντας αὐτοὺς καλεῖν ἐπὶ τὴν ἡγεμονίαν, ἄνδρα νοῦν ἔχοντα, καὶ πράγμασι χρῆσθαι μεγάλοις ἐπιστάμενον. οὗτος ἦν παῦλος αἰμίλιος. ἡλικίας μὲν ἤδη πρόσω, καὶ περὶ ἑξήκοντα γεγονὼς ἔτη. ῥώμῃ δὲ σώματος, ἀκμάζων. πεφραγμένος δὲ κηδεσταῖς, καὶ παισὶ νεανίαις, καὶ φίλων πλήθει, καὶ συγγενῶν μέγα δυναμένων. οἳ πάντες αὐτὸν ὑπακοῦσαι καλοῦντι τῷ δήμῳ πρὸς τὴν ὑπατείαν ἔπειθον. ὁ δὲ κατ᾽ ἀρχὰς μὲν, ἐθρύπτετο πρὸς τοὺς πολλούς. καὶ διέκλινε τὴν φιλοτιμίαν αὐτῶν καὶ τὴν σπουδὴν, ὡς μὴ δεόμενος τοῦ ἄρχειν. φοιτώντων δὲ καθ᾽ ἡμέραν ἐπὶ θύρας, καὶ προσκαλουμένων αὐτὸν εἰς ἀγο-

[Marginal handwritten notes: "ι τα"; "λ τὴν"; "Hic hostilius Cōsul fuit eo bello"]

ο1 Corrupt[us] locus in codice 5. nō sunt ista verba κατέδυσ. ἐκράτησε δὲ καὶ πεντηρικὰ τέσσαρα καὶ μάχην ἐπολέμησ. Et quod sequ[itur] ita legit[ur] τὸ δὲ δεύτερον τῶν ὑπατικῶν. In codice n desunt eadem illa verba sed pro τὸ δὲ legit[ur] [illegible] ut coniici posset particulam illam [illegible] ultimam esse syllabam verbi ἐπολέμησε. Caetera sunt ut in 5. Et in utroque relictum est spacium. T. habet ut 5. sed in eo nullum est relictum spacium:- In q. est ut n. estque in eo relictum spacium: —

ἀφ' ἧς ἑκατέρας αὐτῇ πόλεμος, ἐν ἰβηρίᾳ κινημάτων μεγάλων γενομένων. ἐκεῖ δὲ ἐξεπέμφθη στρατηγὸς, οὐχ ἓξ ἔχων πελέκεις ὅσους ἔχουσιν οἱ στρατηγοῦντες, ἀλλὰ προσλαβὼν ἑτέρους τοσούτους, ὥστε τῆς ἀρχῆς ὑπατικὴν γενέσθαι τὸ ἀξίωμα. μάχῃ μὲν οὖν δὶς, ἐκ παρατάξεως ἐνίκησε τοὺς βαρβάρους, περὶ τρισμυρίους ἀνελών, καὶ δοκεῖ τὸ κατόρθωμα τῆς στρατηγίας περιφανῶς γενέσθαι, χωρίων εὐφυΐᾳ, καὶ ποταμοῦ τινὸς διαβάσει, ῥᾳστώνην παρασχόντος αὐτοῦ, πρὸς τὸ νίκημα τοῖς στρατιώταις. πόλεις δὲ πεντήκοντα καὶ διακοσίας ἐχειρώσατο δεξαμένας αὐτὸν ἑκουσίως. εἰρήνῃ δὲ καὶ πίστει, συνηρμοσμένην ἀπολιπὼν τὴν ἐπαρχίαν, εἰς ῥώμην ἐπανῆλθεν, οὐδὲ δραχμῇ μιᾷ γεγονὼς εὐπορώτερος, ἀπὸ τῆς στρατείας. ἦν δὲ καὶ περὶ τἆλλα, χρηματιστὴς ἀργότερος. εὐδάπανος δὲ καὶ ἀφειδὴς, ἐκ τῶν ὑπαρχόντων οὐ πολλὰ δ' ἦν, ἀλλὰ καὶ φερνῆς ὀφειλομένης, τῇ γυναικὶ, μετὰ τὸν θάνατον αὐτοῦ, γλίσχρως ἐξήρκεσεν. ἔγημε μὲν δὲ, παπειρίαν ἀνδρὸς ὑπατικοῦ μάσωνος θυγατέρα, καὶ χρόνον συνοικήσας πολὺν, ἀφῆκε τὸν γάμον, καίπερ ἐξ αὐτῆς καλλιτεκνώτατος γενόμενος. αὕτη γὰρ ἦν, ἡ τὸν κλεινότατον αὐτῷ σκηπίωνα τεκοῦσα, καὶ μάξιμον φάβιον. αἰτία δὲ γεγραμμένη τῆς διαστάσεως, οὐκ ἦλθεν εἰς ἡμᾶς. ἀλλ' ἔοικεν ἀληθής τις εἶναι λόγος, περὶ γάμου λύσεως γενόμενος. ὡς ἀνὴρ ῥωμαῖος ἀπεπέμπετο γυναῖκα. τῶν δὲ φίλων νουθετούντων αὐτὸν, οὐχὶ σώφρων, οὐκ εὔμορφος, οὐχὶ παιδοποιός, προτείνας τὸ ὑπόδημα, κάλτιον αὐτὸ ῥωμαῖοι καλοῦσιν, εἶπεν. οὐκ εὐπρεπὴς οὗτος, οὐ νεουργὴς, ἀλλ' οὐκ ἂν εἰδείη τις ὑμῶν, καθ' ὅτι θλίβεται μέρος οὑμὸς πούς. τῷ γὰρ ὄντι, μεγάλαι μὲν ἀμπλακίαι ἀναπεπταμέναι, γυναῖκας ἀνδρῶν ἄλλας ἀπήλλαξαν. τὰς δ' ἔκ τινος ἀηδίας, καὶ δυσαρμοστίας ἠθῶν, μικρὰ καὶ πυκνὰ προσκρούματα, λανθάνοντα τοὺς ἄλλους, ἀπεργάζεται τὰς ἀνηκέστους ἐν ταῖς συμβιώσεσιν ἀλλοτριότητας. οὕτω δ' οὖν αἰμίλιος ἀπαλλαγεὶς τῆς παπειρίας, ἑτέραν ἠγάγετο, καὶ δύο παῖδας ἄρρενας τεκούσης, τούτους μὲν ἐπὶ τῆς οἰκίας εἶχε. τοὺς δὲ προτέρους, εἰσεποίησεν, οἴκοις τοῖς μεγίστοις καὶ γένεσι, τοῖς ἐπιφανεστάτοις. τὸν μὲν πρεσβύτερον, εἰς μαξίμου φαβίου τοῦ πεντάκις ὑπατεύσαντος. τὸν δὲ νεώτερον, ἀφρικανὸς σκηπίωνος υἱὸς, ἀνεψιὸν ὄντα θέμενος, σκηπίωνα προσηγόρευσεν. τῶν δὲ θυγατέρων τῶν αἰμιλίου, τὴν μὲν, ὁ κάτωνος υἱὸς ἔγημεν. τὴν δ' αἴλιος τουβέρων, ἀνὴρ ἄριστος, καὶ μεγαλοπρεπέστατα ῥωμαίων, πενίᾳ χρησάμενος. ἦσαν γὰρ ἑκκαίδεκα συγγενεῖς, αἴλιοι πάντες. οἰκίδιον δὲ πάνυ μικρὸν ἦν αὐτοῖς, καὶ χωρίον ἓν ἤρκει πᾶσι, μίαν ἑστίαν νέμουσι, μετὰ παίδων πολλῶν καὶ γυναικῶν. ἐν αἷς καὶ ἡ αἰμιλίου τοῦδε, θυγάτηρ ἦν, δὶς ὑπατεύσαντος, καὶ δὶς θριαμβεύσαντος, οὐκ αἰσχυνομένη τὴν πενίαν τοῦ ἀνδρὸς, ἀλλὰ θαυμάζουσα τὴν ἀρετὴν δι' ἣν πένης ἦν. οἱ δὲ νῦν ἀδελφοὶ καὶ συγγενεῖς, ἂν μὴ κλίμασι καὶ ποταμοῖς, καὶ διατειχίσμασιν ὁρίσωσι τὰ κοινὰ, καὶ πολλὴν εὐρυχωρίαν, ἐν μέσῳ λάβωσιν ἀπ' ἀλλήλων, οὐ παύονται διαφερόμενοι. ταῦτα μὲν οὖν ἡ ἱστορία λογίζεσθαι καὶ παρεπισκοπεῖν δίδωσι, τοῖς σώζεσθαι βουλομένοις. ὁ δ' αἰμίλιος ὕπατος ἀποδειχθεὶς, ἐστράτευσεν ἐπὶ τοὺς παραλπίους λίγυας, οὓς ἔνιοι καὶ λιγυστίνους ὀνομάζουσι. μάχιμον καὶ θυμοειδὲς ἔθνος, ἐμπείρως δὲ πολεμεῖν διδασκόμενον ὑπὸ ῥωμαίων διὰ τὴν γειτνίασιν. τὰ γὰρ ἔσχατα τῆς ἰταλίας, καὶ καταλήγοντα πρὸς τὰς ἄλπεις, αὐτῶν τε τῶν ἄλπεων, τὰ κλυζόμενα τῷ τυρρηνικῷ πελάγει, καὶ πρὸς τὴν λιβύην ἀντιτείνοντα νέμονται, μεμιγμένοι γαλάταις, καὶ τοῖς παραλίοις ἰβήρων. τότε δὲ καὶ τῆς θαλάσσης ἁψάμενοι, σκάφεσι πειρατικοῖς, ἀφῃροῦντο καὶ περιέκοπτον τὰς ἐμπορίας, ἄχρι στηλῶν ἡρακλείων ἀναπλέοντες. ἐπιόντος οὖν τοῦ αἰμιλίου, τετρακισμύριοι γενόμενοι τὸ πλῆθος, ὑπέστησαν. ὁ δὲ τοὺς σύμπαντας ὀκτακισχιλίους ἔχων, πενταπλασίοις οὖσιν αὐτοῖς, συνέβαλε. καὶ τρεψάμενος, καὶ κατακλείσας εἰς τὰ τείχη, διέδωκε λόγον φιλάνθρωπον καὶ συμβατικόν. οὐ γὰρ ἦν βουλομένοις τοῖς ῥωμαίοις παντάπασιν ἐκκόψαι τὸ λιγύων ἔθνος. ὥσπερ ἕρκος ἢ πρόβολον, ἐμποδὼν κείμενον τοῖς γαλατικοῖς κινήμασιν ἐπαιωρουμένοις ἀεὶ περὶ τὴν ἰταλίαν. πιστεύσαντες οὖν τῷ αἰμιλίῳ, τάς τε ναῦς καὶ τὰς πόλεις ἐνεχείρισαν. ὁ δὲ, τὰς μὲν πόλεις, οὐδὲν ἀδικήσας, ἢ μόνον τὰ τείχη περιελὼν ἀπέδωκε. τὰς δὲ ναῦς ἁπάσας ἀφείλετο, καὶ πλοῖον οὐδὲν αὐτοῖς τρισκάλμου μεῖζον ἀπέλιπε. τοὺς δ' ἡλωκότας ὑπὸ τῶν κατὰ γῆν, ἢ κατὰ θάλατταν ἀνεσώσατο, πολλοὺς ξένους καὶ ῥωμαίους εὑρεθέντας. ἐκείνη μὲν οὖν ἡ ὑπατεία τὰς εἰρημένας πράξεις ἐπιφανεῖς ἔσχεν. ὕστερον δὲ πολλάκις ποιήσας φανερὸν αὑτὸν αὖθις ὑπατεῦσαι βουλόμενον, καί ποτε καὶ παραγγείλας, ὡς ἀπέτυχε, καὶ παρώφθη, τὸ λοιπὸν ἡσυχίαν εἶχε, τῶν ἱερῶν ἐπιμελούμενος, καὶ τοὺς παῖδας ἀσκῶν, τὴν μὲν ἐπιχώριον παιδείαν, καὶ πάτριον, ὥσπερ αὐτὸς ἤσκητο. τὴν δ' ἑλληνικὴν, φιλοτιμότερον. οὐ γὰρ μόνον γραμματικοὶ, καὶ σοφισταὶ, ῥήτορες, ἀλλὰ καὶ πλάσται, καὶ ζωγράφοι, καὶ πώλων καὶ σκυλάκων ἐπιστάται καὶ διδάσκαλοι θήρας ἑλλήνων ἦσαν περὶ τοὺς νεανίσκους. ὁ δὲ πατὴρ, εἰ μή τι δημόσιον ἐμποδὼν εἴη, παρῆν ἀεὶ μελετῶσι καὶ γυμναζομένοις, φιλοτεκνότατος ῥωμαίων γενόμενος.

Τῶν δὲ δημοσίων πράξεων, καιρὸς ἦν ἐκεῖνος τότε, καθ' ὃν περσεῖ τῷ μακεδόνων βασιλεῖ πολεμοῦντες, ἐν αἰτίαις τοὺς στρατηγοὺς εἶχον, ὡς δι' ἀπειρίαν καὶ ἀτολμίαν, αἰσχρῶς καὶ καταγελάστως τοῖς πράγμασι χρωμένους. καὶ πάσχοντας κακῶς μᾶλλον, ἢ ποιοῦντας. ἄρτι μὲν γὰρ, αὐτίοχον τὸν ἐπικλη

Ἐμοὶ μὲν, τῆς τῶν βίων ἅψασθαι γραφῆς, συνέβη δι' ἑτέρους. ἐπιμένειν δὲ καὶ φιλοχωρεῖν ἤδη, καὶ δι' ἐμαυτὸν, ὥσπερ ἐν ἐσόπτρῳ τῇ ἱστορίᾳ πειρώμενον, ἁμῶς γέ πως κοσμεῖν, καὶ ἀφομοιοῦν πρὸς τὰς ἐκείνων ἀρετὰς τὸν βίον. οὐδὲν γὰρ, ἀλλ' ἢ συνδιαιτήσει, καὶ συμβιώσει τὸ γινόμενον ἔοικεν. ὅταν ὥσπερ ἐπιξενούμενον ἕκαστον αὐτῶν ἐν μέρει διὰ τῆς ἱστορίας ὑποδεχόμενοι καὶ παραλαμβάνοντες ἀναθεωρῶμεν, ὅσος ἔην, οἷός τε, τὰ κυριώτατα καὶ κάλλιστα πρὸς γνῶσιν ἀπὸ τῶν πράξεων λαμβάνοντες. φεῦ, φεῦ. τί τούτου χάρμα μεῖζον ἂν λάβοις. πρὸς ἐπανόρθωσιν ἠθῶν, ἐνεργότερον. Δημόκριτος μὲν γὰρ, εὔχεσθαί φησι, δεῖν. ὅπως εὐλόγχων εἰδώλων τυγχάνωμεν, καὶ τὰ σύμφυλα καὶ τὰ χρηστὰ, μᾶλλον ἡμῖν, ἐκ τοῦ περιέχοντος, ἢ τὰ φαῦλα καὶ σκαιὰ συμφέρηται. λόγον οὔτ' ἀληθῆ, καὶ πρὸς ἀπεράντους ἐκφέροντα δεισιδαιμονίας εἰς φιλοσοφίαν καταβάλλων. ἡμεῖς δὲ τῇ περὶ τὴν ἱστορίαν διατριβῇ, καὶ τῆς γραφῆς τῇ συνηθείᾳ, παρασκευάζομεν ἑαυτοὺς, τὰς τῶν ἀρίστων καὶ δοκιμωτάτων μνήμας ὑποδεχομένους ἀεὶ ταῖς ψυχαῖς, εἴ τι φαῦλον ἢ κακόηθες, ἢ ἀγεννὲς, αἱ τῶν συνόντων ἐξ ἀνάγκης ὁμιλίαι προσβάλλουσιν, ἐκκρούειν καὶ διωθεῖσθαι, πρὸς τὰ κάλλιστα τῶν παραδειγμάτων, ἵλεω καὶ πραεῖαν ἀποστρέφοντες τὴν διάνοιαν. ὧν ἐν τῷ παρόντι προκεχειρίσμεθά σοι τὸν Τιμολέοντος τοῦ Κορινθίου, καὶ τὸν Αἰμιλίου Παύλου βίον. ἀνδρῶν οὐ μόνον ταῖς αἱρέσεσιν, ἀλλὰ καὶ ταῖς τύχαις, ἀγαθαῖς ὁμοίως κεχρημένων ἐπὶ τὰ πράγματα, καὶ διαμφισβήτησιν παρεξόντων, πότερον εὐποτμίᾳ μᾶλλον, ἢ φρονήσει τὰ μέγιστα τῶν πεπραγμένων κατώρθωσαν.

Τὸν Αἰμιλίων οἶκον, ἐν Ῥώμῃ τῶν εὐπατριδῶν γεγονέναι καὶ παλαιῶν, οἱ πλεῖστοι συγγραφεῖς ὁμολογοῦσιν. ὅτι δ' ὁ πρῶτος αὐτῶν, καὶ τῷ γένει τὴν ἐπωνυμίαν ἀπολιπὼν, Μάρκος ἦν, Πυθαγόρου παῖς τοῦ σοφοῦ, δι' αἱμυλίαν λόγου καὶ χάριν, Αἰμίλιος προσαγορευθεὶς, εἰρήκασιν ἔνιοι τῶν Πυθαγόρᾳ τὴν Νομᾶ τοῦ βασιλέως παίδευσιν ἀναθέντων. Οἱ μὲν οὖν πλεῖστοι τῶν εἰς δόξαν ἐκ τῆς οἰκίας ταύτης προελθόντων, δι' ἀρετὴν ἣν ἐζήλωσαν εὐτύχησαν. Λευκίου δὲ Παύλου, τὸ περὶ Κάννας ἀτύχημα, τήν τε φρόνησιν ἅμα καὶ τὴν ἀνδρείαν ἐπέδειξεν. ὡς γὰρ οὐκ ἔπεισε τὸν συνάρχοντα, κωλύων μάχεσθαι. τοῦ μὲν ἀγῶνος, ἄκων μετέσχεν αὐτῷ. τῆς δὲ φυγῆς, οὐκ ἐκοινώνησεν, ἀλλὰ τοῦ συνάψαντος τὸν κίνδυνον ἐγκαταλιπόντος, αὐτὸς ἑστὼς καὶ μαχόμενος, τοῖς πολεμίοις ἐτελεύτησε. Τούτου θυγάτηρ μὲν Αἰμιλία, Σκηπίωνι τῷ μεγάλῳ συνῴκησεν. υἱὸς δὲ, Παῦλος Αἰμίλιος, περὶ οὗ τάδε γράφεται. γεγονὼς ἐν ἡλικίᾳ κατὰ καιρὸν ἀνθοῦντα δόξαις, καὶ ἀρεταῖς ἐπιφανεστάτων ἀνδρῶν, καὶ μεγίστων, διέλαμψεν. οὐ ταὐτὰ τοῖς εὐδοκιμοῦσι τότε νέοις ἐπιτηδεύματα ζηλώσας. οὐδὲ τὴν αὐτὴν ὁδὸν ἀπ' ἀρχῆς πορευθείς. οὔτε γὰρ λόγον ἤσκει περὶ δίκας. ἀσπασμούς τε καὶ δεξιώσεις. καὶ φιλοφροσύνας, αἷς ὑποτρέχοντες οἱ πολλοὶ, τὸν δῆμον ἐκτῶντο, θεραπευτικοὶ καὶ σπουδαῖοι γινόμενοι, παντάπασιν ἐξέλιπε. πρὸς οὐδέτερον ἀφυῶς ἔχων, ὡς δὲ ἑκατέρου κρείττονα, τὴν ἀπ' ἀνδρείας καὶ δικαιοσύνης καὶ πίστεως δόξαν αὑτῷ περιποιούμενος, οἷς εὐθὺς διέφερε τῶν καθ' ἡλικίαν.

Πρώτην γοῦν τῶν ἐπιφανῶν ἀρχῶν ἀγορανομίαν μετελθὼν, προεκρίθη δέκα δυεῖν ἀνδρῶν συναπογραψαμένων. οὓς ὕστερον ἅπαντας ὑπατεῦσαι λέγουσιν. γενόμενος δ' ἱερεὺς τῶν αὐγούρων προσαγορευομένων, οὓς τῆς ἀπ' ὀρνίθων καὶ διοσημειῶν ἀποδεικνύουσι Ῥωμαῖοι μαντικῆς ἐπισκόπους καὶ φύλακας, οὕτω προσέσχε τοῖς πατρίοις ἔθεσι, καὶ κατενόησε τὴν τῶν παλαιῶν περὶ τὸ θεῖον εὐλάβειαν, ὥστε τιμήν τινα δοκοῦσαν εἶναι. καὶ ζηλουμένην ἄλλως, ἕνεκα δόξης τὴν ἱερωσύνην, τῶν ἀκροτάτων μίαν ἀποφῆναι τεχνῶν. καὶ μαρτυρῆσαι τοῖς φιλοσόφοις, ὅσοι τὴν εὐσέβειαν ὡρίσαντο, θεραπείας θεῶν ἐπιστήμην εἶναι. πάντα γὰρ ἐδρᾶτο μετ' ἐμπειρίας ὑπ' αὐτοῦ καὶ σπουδῆς, σχολὴν τῶν ἄλλων ἄγοντος. ὅτε γίγνοιτο πρὸς τούτῳ, καὶ παραλείποντος οὐδέν. οὐδὲ καινοτομοῦντος, ἀλλὰ καὶ τοῖς συνιερεῦσιν ἀεὶ καὶ περὶ τῶν μικρῶν διαφερομένου, καὶ διδάσκοντος, ὡς εἰ τὸ θεῖον εὔκολόν τις ἡγεῖται καὶ ἀμεμφὲς εἶναι τῶν ἀμελειῶν, ἀλλὰ τῇ γε πόλει, χαλεπὸν ἡ περὶ ταῦτα συγγνώμη καὶ παρόρασις. οὐδεὶς γὰρ ἐξ ἀρχῆς εὐθὺς μεγάλῳ παρανομήματι κινεῖ πολιτείαν. ἀλλὰ καὶ τὴν τῶν μειζόνων φρουρὰν καταλύουσιν, οἱ προϊέμενοι τὴν ἐν τοῖς μικροῖς ἀκρίβειαν. ὅμοιον δὲ καὶ τῶν στρατιωτικῶν ἐθῶν τε καὶ πατρίων ἐξεταστὴν καὶ φύλακα παρεῖχεν ἑαυτόν. οὐ δημαγωγῶν ἐν τῷ στρατηγεῖν, οὐδ' ὥσπερ οἱ πλεῖστοι, τότε δευτέρας ἀρχὰς, ταῖς πρώταις μνώμενοι, διὰ τοῦ χαρίζεσθαι, καὶ πρᾶος εἶναι τοῖς ἀρχομένοις. ἀλλ' ὥσπερ ἱερεὺς ἄλλων ὀργίων δεινῶν τῶν περὶ τὰς στρατείας ἐθῶν, ἐξηγούμενος ἕκαστα, καὶ φοβερὸς ὢν τοῖς ἀπειθοῦσι καὶ παραβαίνουσιν, ὤρθου τὴν πατρίδα. μικροῦ δεῖν πάρεργον ἡγούμενος τὸ νικᾶν τοὺς πολεμίους, τοῦ παιδεύειν τοὺς πολίτας. Συστάντος δὲ τοῦ πρὸς Ἀντίοχον τὸν μέγαν πολέμου τοῖς Ῥωμαίοις. καὶ τῶν ἡγεμονικωτάτων ἀνδρῶν, τετραμμένων πρὸς ἐκεῖνον. ἄλλος

διὰ ταύτης. οἱ μὲν ὑπηρέται, πάλιν ἀπῆγον διὰ τοῦ θεάτρου τὸ ζεῦγος. οἱ δὲ πολῖται, βοῇ καὶ κρότῳ προπέμψαντες ἐκεῖνον, ἤδη τὰ λοιπὰ τῶν δημοσίων καθ' αὑτοὺς ἐχρημάτιζον. ἐν τοιαύτῃ δὲ γηροτροφούμενος τιμῇ μετ' εὐνοίας ὥσπερ πατὴρ κοινὸς, ἐκ μικρᾶς προφάσεως τῷ χρόνῳ συνεφαψαμένης ἐτελεύτησεν. ἡμερῶν δὲ δοθεισῶν, τοῖς μὲν Συρακουσίοις, εἰς τὸ παρασκευάσαι τὰ περὶ τὴν ταφήν. τοῖς δὲ περιοίκοις καὶ ξένοις, εἰς τὸ συνελθεῖν. τά τε ἄλλα λαμπρᾶς χορηγίας ἔτυχε, καὶ τὸ λέχος οἱ ψήφῳ τῶν νεανίσκων προκριθέντες ἔφερον κεκοσμημένον, διὰ τῶν Διονυσίου τυραννείων, τότε κατεσκαμμένων. προὔπεμπον δὲ, πολλαὶ μυριάδες ἀνδρῶν καὶ γυναικῶν ὧν ὄψις μὲν ἦν ἑορτῇ πρέπουσα. πάντων ἐστεφανωμένων. καὶ καθαρὰς ἐσθῆτας φορούντων. φωναὶ δὲ καὶ δάκρυα, συγκεκραμένα τῷ μακαρισμῷ τοῦ τεθνηκότος. οὐ τιμῆς ἀφοσίωσιν. οὐδὲ λειτουργίαν ἐκ προβουλεύματος, ἀλλὰ πόθον δίκαιον ἐπεδείκνυντο. καὶ χάριν ἀληθινῆς εὐνοίας. τέλος δὲ τῆς κλίνης ἐπὶ τὴν πυρὰν τεθείσης, Δημήτριος ὃς ἦν μεγαλοφωνότατος τῶν τότε κηρύκων γεγραμμένον ἀνεῖπε κήρυγμα τοιοῦτον. ὁ δῆμος τῶν Συρακουσίων, Τιμολέοντα, Τιμοδήμου, Κορίνθιον τόνδε, θάπτει μὲν, διακοσίων μνῶν. ἐτίμησε δ' εἰς τὸν ἅπαντα χρόνον. ἀγῶσι μουσικοῖς. ἱππικοῖς. γυμνικοῖς. ὅτι τοὺς τυράννους καταλύσας, καὶ τοὺς βαρβάρους καταπολεμήσας. καὶ τὰς μεγίστας τῶν ἀναστάτων πόλεων οἰκήσας. ἀπέδωκε τοὺς νόμους τοῖς Σικελιώταις. ἐποιήσαντο δὲ τὴν ταφὴν τοῦ σώματος, ἐν ἀγορᾷ. καὶ στοὰς ὕστερον περιβαλόντες, καὶ παλαίστρας ἐνοικοδομήσαντες, γυμνάσιον τοῖς νέοις ἀνῆκαν, καὶ Τιμολεόντειον προσηγόρευσαν. αὐτοὶ δὲ, χρώμενοι πολιτείᾳ καὶ νόμοις, οὓς ἐκεῖνος κατέστησεν, ἐπὶ πολὺν χρόνον. εὐδαιμονοῦντες διετέλεσαν.

Τοιούτων δὲ τῶν κατὰ τὴν ἱστορίαν ὄντων. δῆλον ὡς οὐκ ἔχει πολλὰς διαφορὰς οὐδὲ ἀνομοιότητας ἡ σύγκρισις. οἵ τε γὰρ πόλεμοι, πρὸς ἐνδόξους γεγόνασιν ἀμφοτέροις ἀνταγωνιστάς. τῷ μὲν, Μακεδόνας. τῷ δὲ, Καρχηδονίους. αἵ τε νῖκαι, περιβόητοι. τοῦ μὲν, ἑλόντος Μακεδονίαν καὶ τὴν ἀπ' Ἀντιγόνου διαδοχὴν ἐν ἑβδόμῳ βασιλεῖ καταπαύσαντος. τοῦ δὲ, τὰς τυραννίδας πάσας ἀνελόντος ἐκ Σικελίας, καὶ τὴν νῆσον ἐλευθερώσαντος. εἰ μὴ νὴ Δία βούλοιτό τις παρεγχειρεῖν, ὡς Αἰμίλιος μὲν, ἐρρωμένῳ Περσεῖ, καὶ Ῥωμαίους νενικηκότι. Τιμολέων δὲ, Διονυσίῳ παντάπασιν ἀπειρηκότι, καὶ κατατετριμμένῳ συνέπεσεν. καὶ πάλιν ὑπὲρ Τιμολέοντος, ὅτι πολλοὺς μὲν τυράννους. μεγάλην δὲ τὴν Καρχηδονίων δύναμιν, ἀπὸ τῆς τυχούσης στρατιᾶς ἐνίκησεν. οὐχ ὥσπερ Αἰμίλιος ἀνδράσιν ἐμπειροπολέμοις, καὶ μεμαθηκόσιν ἄρχεσθαι χρώμενος. ἀλλὰ μισθοφόροις οὖσι, καὶ στρατιώταις ἀτάκτοις, πρὸς ἡδονὴν εἰθισμένοις στρατεύεσθαι. τὰ γὰρ ἀπ' οὐκ ἴσης παρασκευῆς ἴσα κατορθώματα, τῷ στρατηγῷ τὴν αἰτίαν περιτίθησιν.

στρατιᾶς ς. τ.

Καθαρῶν οὖν καὶ δικαίων ἐν τοῖς πράγμασιν ἀμφοτέρων γεγονότων, Αἰμίλιος μὲν, ὑπὸ τῶν νόμων καὶ τῆς πατρίδος οὕτως ἔοικεν εὐθὺς ἀφικέσθαι παρεσκευασμένος. Τιμολέων δὲ, τοιοῦτον αὐτὸς ἑαυτὸν παρέσχεν. τούτου τεκμήριον, ὅτι Ῥωμαῖοι μὲν, ὁμαλῶς ἐν τῷ τότε χρόνῳ πάντες ἦσαν εὔτακτοι, καὶ ὑποχείριοι τοῖς ἐθισμοῖς. καὶ τοὺς νόμους δεδιότες. καὶ τοὺς πολίτας. Ἑλλήνων δὲ, οὐδεὶς ἡγεμὼν ἐστὶν οὐδὲ στρατηγὸς, ὃς οὐ διεφθάρη τότε Σικελίας ἁψάμενος, ἔξω Δίωνος. καίτοι Δίωνα πολλοὶ μοναρχίας ὀρέγεσθαι καὶ βασιλείαν τινὰ Λακωνικὴν ὀνειροπολεῖν ὑπενόουν. Τίμαιος δὲ, καὶ Γύλιππον ἀκλεῶς φησὶ καὶ ἀτίμως ἀποπέμψαι Συρακουσίους, φιλοπλουτίαν αὐτοῦ καὶ ἀπληστίαν ἐν τῇ στρατηγίᾳ κατεγνωκότας. ἃ δὲ Φάραξ ὁ Σπαρτιάτης καὶ Κάλλιππος ὁ Ἀθηναῖος, ἐλπίσαντες ἄρξειν Σικελίας, παρενόμησαν καὶ παρεσπόνδησαν, ὑπὸ πολλῶν ἀναγέγραπται, καίτοι τίνες, ἢ πηλίκων κύριοι πραγμάτων ὄντες οὗτοι τοιαῦτα ἤλπισαν. ὧν ὁ μὲν ἐκπεπτωκότα Συρακουσῶν ἐθεράπευε Διονύσιον. Κάλλιππος δὲ, εἷς ἦν τῶν περὶ Δίωνα ξεναγῶν. ἀλλὰ Τιμολέων αἰτησαμένοις καὶ δεηθεῖσιν αὐτοκράτωρ πεμφθεὶς Συρακουσίοις, καὶ δύναμιν οὐ ζητεῖν, ἀλλ' ἔχειν ὀφείλων, ἣν ἔλαβε βουλομένων καὶ διδόντων, πέρας ἐποιήσατο τῆς αὐτοῦ στρατηγίας καὶ ἀρχῆς, τὴν τῶν παρανόμων ἀρχόντων κατάλυσιν. ἐκεῖνο μέντοι τοῦ Αἰμιλίου θαυμαστόν. ὅτι τηλικαύτην βασιλείαν καταστρεψάμενος, οὐδὲ δραχμῇ μείζονα τὴν οὐσίαν ἐποίησεν. οὐδὲ εἶδεν, οὐδὲ ἥψατο τῶν χρημάτων, καίτοι πολλὰ δοὺς ἑτέροις καὶ δωρησάμενος. οὐ λέγω δὲ ὅτι Τιμολέων μεμπτός ἐστιν, οἰκίαν τε καλὴν λαβὼν καὶ χωρίον. οὐ γὰρ τὸ λαβεῖν ἐκ τοιούτων αἰσχρὸν, ἀλλὰ τὸ μὴ λαβεῖν, κρεῖττον, καὶ περιουσία τῆς ἀρετῆς ἐν οἷς ἔξεστιν, ἐπιδεικνυμένης τὸ μὴ δεόμενον. ἐπεὶ δὲ ὡς σώματος ῥῖγος ἢ θάλπος φέρειν δυναμένου, τὸ πρὸς ἀμφοτέρας εὖ πεφυκὸς ὁμοῦ τὰς μεταβολὰς ῥωμαλεώτερον, οὕτω ψυχῆς ἄκρατος εὐρωστία καὶ ἰσχὺς, ἣν οὔτε τὸ εὐτυχεῖν ὕβρει θρύπτει καὶ ἀνίησιν. οὔτε συμφοραὶ ταπεινοῦσι, φαίνεται τελειότερος ὁ Αἰμίλιος, ἐν χαλεπῇ τύχῃ, καὶ πάθει μεγάλῳ τῷ περὶ τοὺς παῖδας, οὐδέν τι μικρότερος, οὐδὲ ἀσεμνότερος, ἢ διὰ τῶν εὐτυχημάτων ὀφθείς. Τιμολέων δὲ γενναῖα πράξας περὶ τὸν ἀδελφὸν, οὐκ ἀντέσχε τῷ λογισμῷ πρὸς τὸ πάθος, ἀλλὰ μετανοίᾳ καὶ λύπῃ ταπεινωθεὶς, ἐτῶν εἴκοσι τὸ βῆμα καὶ τὴν ἀγορὰν ἰδεῖν οὐχ ὑπέμεινεν. δεῖ δὲ τὰ αἰσχρὰ φεύγειν καὶ αἰδεῖσθαι. τὸ δὲ πρὸς πᾶσαν ἀδοξίαν εὐλαβὲς, ἐπιεικοῦς μὲν ἤθους καὶ ἁπλοῦ, μέγεθος δὲ οὐκ ἔχοντος.

φιλεῖ καὶ πρέπουσαν. Πολλῶν γὰρ κατ᾽ αὐτὸν ἑλλήνων μεγάλων γενομένων καὶ μεγάλα κατεργασαμένων, ὧν καὶ τιμόθεος ἦν, καὶ ἀγησίλαος, καὶ πελοπίδας, καὶ ὁ μάλιστα ζηλωθεὶς ὑπὸ τιμολέοντος ἐπαμινώνδας, αἱ μὲν ἐκείνων πράξεις βίᾳ τινὶ καὶ πόνῳ τὸ λαμπρὸν ἐξενηνόχασι μεμιγμένον, ὥστε καὶ μέμψιν ἐνίαις ἐπιγίνεσθαι καὶ μετάνοιαν. τῶν δὲ τιμολέοντος ἔργων, ἔξω λόγου θεμένοις τὴν περὶ τὸν ἀδελφὸν ἀνάγκην, οὐδέν ἐστιν ᾧ μὴ τὰ τοῦ σοφοκλέους ὥς φησι τίμαιος, ἐπιφωνεῖν ἔπρεπεν. ὦ θεοὶ τίς ἆρα κύπρις. ἢ τίς ἵμερος. τοῦ δὲ ξυνήψατο. καθάπερ γὰρ ἡ μὲν ἀντιμάχου ποίησις, καὶ τὰ διονυσίου ζωγραφήματα, τῶν κολοφωνίων, ἰσχὺν ἔχοντα καὶ τόνον, ἐκβεβιασμένοις καὶ καταπόνοις ἔοικε. ταῖς δὲ νικομάχου γραφαῖς, καὶ τοῖς ὁμήρου στίχοις, μετὰ τῆς ἄλλης δυνάμεως καὶ χάριτος πρόσεστι τὸ δοκεῖν εὐχερῶς καὶ ῥᾳδίως ἀπειργάσθαι. οὕτως παρὰ τὴν ἐπαμινώνδου στρατηγίαν καὶ τὴν ἀγησιλάου πολυπόνους γενομένας καὶ δυσάγωνας. ἡ τιμολέοντος, ἀντεξεταζομένη, καὶ μετὰ τοῦ καλοῦ πολὺ τὸ ῥᾳδίως ἔχουσα φαίνεται τοῖς εὖ καὶ δικαίως λογιζομένοις, οὐ τύχης ἔργον, ἀλλ᾽ ἀρετῆς εὐτυχούσης. καίτοι πάντα γ᾽ ἐκεῖνος εἰς τὴν τύχην ἀνῆπτε τὰ κατορθούμενα. καὶ γὰρ γράφων τοῖς οἴκοι φίλοις, καὶ δημηγορῶν πρὸς τοὺς συρακουσίους, πολλάκις ἔφη τῷ θεῷ χάριν ἔχων, ὅτι βουλόμενος σῶσαι σικελίαν, ἐπεγράψατο τὴν αὐτοῦ προσηγορίαν. ἐπὶ δὲ τῆς οἰκίας ἱερὸν ἱδρυσάμενος, αὐτοματίας ἔθυσεν. αὐτὴν δὲ τὴν οἰκίαν, ἱερῷ δαίμονι καθιέρωσεν. ᾤκει δὲ οἰκίαν, ἣν ἐξεῖλον αὐτῷ στρατηγίας ἀριστεῖον οἱ συρακούσιοι. καὶ τῶν ἀγρῶν τὸν ἥδιστον καὶ κάλλιστον, ἐν ᾧ καὶ τὸ πλεῖστον τοῦ χρόνου κατεσχόλαζεν, μεταπεμψάμενος οἴκοθεν τὴν γυναῖκα καὶ τοὺς παῖδας. οὐ γὰρ ἐπανῆλθεν εἰς κόρινθον. οὐδὲ κατέμιξε τοῖς ἑλληνικοῖς θορύβοις ἑαυτόν. οὐδὲ τῷ πολιτικῷ φθόνῳ παρέδωκεν. εἰς ὃν οἱ πλεῖστοι τῶν στρατηγῶν ἀπληστίᾳ τιμῶν καὶ δυνάμεως, ἐξοκέλλουσιν. ἀλλ᾽ ἐκεῖ κατέμεινεν, τοῖς ἐφ᾽ ἑαυτοῦ μεμηχανημένοις ἀγάθαις χρώμενος. ὧν μέγιστον ἦν, τὸ πόλεις τοσαύτας καὶ μυριάδας ἀνθρώπων, δι᾽ αὐτὸν ἐφορᾶν εὐδαιμονούσας. ἐπεὶ δὲ ἔδει ὡς ἔοικεν, οὐ μόνον πᾶσι κορυδαλλοῖς λόφον ἐγγίνεσθαι κατὰ σιμωνίδην, ἀλλὰ καὶ πάσῃ δημοκρατίᾳ συκοφάντην, ἐπεχείρησαν καὶ τιμολέοντι δύο τῶν δημαγωγῶν λαφύστιος καὶ δημαίνετος. ὧν λαφυστίου μὲν αὐτὸν πρός τινα δίκην κατεγγυῶντος, οὐκ εἴα θορυβεῖν, οὐδὲ κωλύειν τοὺς πολίτας. ἑκὼν γὰρ αὐτὸς ὑπομεῖναι τοσούτους πόνους καὶ κινδύνους, ὑπὲρ τοῦ τοῖς νόμοις χρῆσθαι τὸν βουλόμενον συρακουσίων. τοῦ δὲ δημαινέτου πολλὰ κατηγορήσαντος ἐν ἐκκλησίᾳ τῆς στρατηγίας. πρὸς ἐκεῖνον μὲν, οὐδὲν ἀντεῖπεν. τοῖς δὲ θεοῖς ἔφη, χάριν ὀφείλειν οἷς εὔξατο, συρακουσίους ἐπιδεῖν, τῆς παρρησίας κυρίους γενομένους, μέγιστα δ᾽ οὖν καὶ κάλλιστα τῶν καθ᾽ αὐτὸν ἑλλήνων ὁμολογουμένως διαπραξάμενος ἔργα. καὶ μόνος, ἐφ᾽ ἃς οἱ σοφισταὶ διὰ τῶν λόγων τῶν πανηγυρικῶν, ἀεὶ παρεκάλουν πράξεις, τοὺς ἕλληνας, ἐν αὐταῖς ἀριστεύσας. καὶ τῶν μὲν αὐτόθι κακῶν, ἃ τὴν ἀρχαίαν ἑλλάδα κατέσχεν, ὑπὸ τῆς τύχης προεκκομισθεὶς ἀναίμακτος καὶ καθαρός, ἐπιδειξάμενος δὲ δεινότητα μὲν καὶ ἀνδρείαν τοῖς βαρβάροις καὶ τοῖς τυράννοις. δικαιοσύνην δὲ καὶ πρᾳότητα τοῖς ἕλλησι καὶ τοῖς φίλοις. τὰ δὲ πλεῖστα τρόπαια τῶν ἀγώνων, ἀδάκρυτα καὶ ἀπενθῆ τοῖς πολίταις καταστήσας. καθαρὰν δὲ τὴν σικελίαν ἐν οὐδ᾽ ὅλοις ἔτεσιν ὀκτὼ ἀιδίων καὶ συνοίκων κακῶν καὶ νοσημάτων παραδοὺς τοῖς κατοικοῦσιν, ἤδη πρεσβύτερος ὢν ἀπημβλύνθη τὴν ὄψιν. εἶτα τελέως ἐπηρώθη μετ᾽ ὀλίγον. οὔτε αὐτὸς ἑαυτῷ πρόφασιν παρασχὼν, οὔτε παροινηθεὶς ὑπὸ τῆς τύχης, ἀλλὰ συγγενικῆς τινὸς ὡς ἔοικεν αἰτίας καὶ καταβολῆς ἅμα τῷ χρόνῳ συνεπιθεμένης. λέγονται γὰρ οὐκ ὀλίγοι τῶν κατὰ γένος αὐτῷ προσηκόντων, ὁμοίως ἀποβαλεῖν τὴν ὄψιν, ὑπὸ γήρως ἀπομαρανθεῖσαν. ὁ δὲ ἄθανις ἔτι συνεστῶτος τοῦ πρὸς ἵππωνα πολέμου, καὶ μάμερκον, ἐν μυλαῖς, ἐπὶ στρατοπέδου φησὶν, ἀπογλαυκωθῆναι τὴν ὄψιν αὐτοῦ. καὶ πᾶσι φανερὰν γενέσθαι τὴν πήρωσιν. οὐ μὴν ἀποστῆναι διὰ τοῦτο πολιορκίας, ἀλλ᾽ ἐμμείναντα τῷ πολέμῳ, λαβεῖν τοὺς τυράννους. ὡς δὲ ἐπανῆλθεν εἰς συρακούσας, εὐθὺς ἀποθέσθαι τὴν μοναρχίαν, καὶ παραιτεῖσθαι τοὺς πολίτας, τῶν πραγμάτων εἰς τὸ κάλλιστον ἡκόντων τέλος. ἐκεῖνον μὲν οὖν αὐτὸν ὑπομείναντα τὴν συμφορὰν ἀλύπως, ἧττον ἄν τις θαυμάσειεν. τῶν δὲ συρακουσίων, ἄξιον ἀγασθαι τὴν πρὸς τὸν ἄνδρα τιμὴν καὶ χάριν, ἣν ἐπεδείξαντο πεπηρωμένῳ, φοιτῶντες ἐπὶ θύρας αὐτοῦ. καὶ τῶν ξένων τοὺς παρεπιδημοῦντας, ἄγοντες εἰς τὴν οἰκίαν, καὶ τὸ χωρίον ὅπως θεάσαιντο τὸν εὐεργέτην αὐτῶν. ἀγαλλόμενοι καὶ μέγα φρονοῦντες, ὅτι παρ᾽ αὐτοῖς εἵλετο καταζῆσαι τὸν βίον. οὕτω λαμπρᾶς ἐπανόδου τῆς εἰς τὴν ἑλλάδα παρεσκευασμένης αὐτῷ, διὰ τῶν εὐτυχημάτων, καταφρονήσας. Πολλῶν δὲ καὶ μεγάλων εἰς τὴν ἐκείνου τιμὴν γραφομένων καὶ πραττομένων. οὐδενὸς ἧττον ἦν τὸ ψηφίσασθαι τὸν τῶν συρακουσίων δῆμον, ὁσάκις συμπέσοι πόλεμος αὐτοῖς πρὸς ἀλλοφύλους, κορινθίῳ χρῆσθαι στρατηγῷ. καλὴν δὲ καὶ τὸ περὶ τὰς ἐκκλησίας γινόμενον ὄψιν εἰς τιμὴν αὐτοῦ παρεῖχε. τὰ γὰρ ἄλλα δι᾽ αὐτῶν κρίνοντες, ἐπὶ τὰς μείζονας διασκέψεις, ἐκεῖνον ἐκάλουν. ὁ δὲ, κομιζόμενος δι᾽ ἀγορᾶς, ἐπὶ ζεύγους πρὸς τὸ θέατρον ἐπορεύετο. καὶ τῆς ἀπήνης, ὥσπερ ἐτύγχανε καθήμενος εἰσαγομένης. ὁ μὲν δῆμος, ἠσπάζετο μιᾷ φωνῇ προσαγορεύων αὐτόν. ὁ δ᾽ ἀντασπασάμενος, καὶ χρόνον τινὰ δοὺς ταῖς εὐφημίαις καὶ τοῖς ἐπαίνοις, εἶτα διακούσας τὸ ζητούμενον, ἀπεφαίνετο γνώμην. ἐπιχειροτονηθείσης

ἀνῆπτε

ἀγαθοῖς

θύρας

το παρ' αὐτὴν τὴν καλαυρίαν, καταφρονῶν τοῦ τιμολέοντος ὀλίγους στρατιώτας ἔχοντος. ἐκεῖνος δὲ προλαβεῖν ἐάσας, ἐδίωκεν ἱππεῖς ἔχων καὶ ψιλούς. αἰσθόμενος δὲ ὁ ἱκέτης, τὸν δαμυρίαν διαβεβηκὼς ὑπέστη παρὰ τὸν ποταμὸν, ὡς ἀμυνούμενος. καὶ γὰρ αὐτῷ θάρσος ἥ τε τοῦ πόρου χαλεπότης, καὶ τὸ κρημνῶδες τῆς ἑκατέρωθεν ὄχθης παρεῖχεν. τοῖς δὲ μετὰ τοῦ τιμολέοντος ἰλάρχαις, ἔρις ἐμπεσοῦσα θαυμαστὴ καὶ φιλονεικία, διατριβὴν ἐποίει τῆς μάχης. οὐδεὶς γὰρ ἦν ὁ βουλόμενος, ἑτέρου διαβαίνειν ὕστερος ἐπὶ τοὺς πολεμίους, ἀλλ' αὐτὸς ἕκαστος ἠξίου πρωταγωνιστεῖν, καὶ κόσμον οὐκ εἶχεν ἡ διάβασις, ἐξωθούντων καὶ παρατρεχόντων ἀλλήλους. Βουλόμενος οὖν ὁ τιμολέων κληρῶσαι τοὺς ἡγεμόνας, ἔλαβεν παρ' ἑκάστου δακτύλιον. ἐμβαλὼν δὲ πάντας εἰς τὴν ἑαυτοῦ χλαμύδα, καὶ μίξας, ἔδειξε τὸν πρῶτον κατὰ τύχην γλυφὴν ἔχοντα τῆς σφραγῖδος τρόπαιον. ὡς δὲ τοῦτο εἶδον οἱ νεανίσκοι μετὰ χαρᾶς ἀνακραγόντες, οὐκέτι τὸν ἄλλον ὑπέμειναν κλῆρον, ἀλλ' ὡς ἕκαστος τάχους εἶχεν, τὸν ποταμὸν διεξελάσαντες, ἐν χερσὶν ἦσαν τοῖς πολεμίοις. οἱ δὲ οὐκ ἐδέξαντο τὴν βίαν αὐτῶν. ἀλλὰ φεύγοντες τῶν μὲν ὅπλων ἅπαντες ὁμαλῶς ἐστερήθησαν, χιλίους δὲ ἀπέβαλον πεσόντας. Οὐ πολλῷ δ' ὕστερον εἰς τὴν λεοντίνων στρατεύσας ὁ τιμολέων, λαμβάνει τὸν ἱκέτην ζῶντα, καὶ τὸν υἱὸν εὐπόλεμον, καὶ τὸν ἱππάρχην εὔθυμον ὑπὸ τῶν στρατιωτῶν συνδεθέντας καὶ κομισθέντας πρὸς αὐτόν. Ὁ μὲν οὖν ἱκέτης καὶ τὸ μειράκιον, ὡς τύραννοι καὶ προδόται κολασθέντες ἀπέθνησκον. ὁ δὲ εὔθυμος ἀνὴρ ἀγαθὸς ὢν πρὸς τοὺς ἀγῶνας καὶ τόλμῃ διαφέρων, οὐκ ἔτυχεν οἴκτου, διὰ βλασφημίαν τινὰ πρὸς τοὺς κορινθίους κατηγορηθεῖσαν αὐτοῦ. Λέγεται γὰρ ὅτι τῶν κορινθίων ἐκστρατευσαμένων ἐπ' αὐτοὺς δημηγορῶν ἐν τοῖς λεοντίνοις. οὐδὲν ἔφη γεγονέναι φοβερὸν, οὐδὲ δεινὸν, εἰ κορίνθιαι γυναῖκες ἐξῆλθον δόμων. οὕτως ὑπὸ λόγων μᾶλλον ἢ πράξεων πονηρῶν, ἀνιᾶσθαι πεφύκασιν οἱ πολλοί. χαλεπώτερον γὰρ ὕβριν, ἢ βλάβην φέρουσι. καὶ τὸ μὲν ἀμύνεσθαι δι' ἔργων, ὡς ἀναγκαῖον δέδοται τοῖς πολεμοῦσιν. αἱ δὲ βλασφημίαι, περιουσίᾳ μίσους, ἢ κακίας γίνεσθαι δοκοῦσιν. Ἐπανελθόντος δὲ τοῦ τιμολέοντος, οἱ συρακούσιοι τὰς γυναῖκας τῶν περὶ τὸν ἱκέτην καὶ τὰς θυγατέρας ἐν ἐκκλησίᾳ καταστήσαντες εἰς κρίσιν, ἀπέκτειναν. καὶ δοκεῖ τοῦτο τῶν τιμολέοντος ἔργων, ἀχαριστότατον γενέσθαι. μὴ γὰρ ἂν ἐκείνου κωλύοντος, οὕτω τὰς ἀνθρώπους ἀποθανεῖν. δοκεῖ δὲ αὐτὰς ὑπεριδεῖν καὶ προέσθαι, τῷ θυμῷ τῶν πολιτῶν, δίκην λαμβανόντων ὑπὲρ δίωνος τοῦ διονύσιον ἐκβαλόντος. ἱκέτης γάρ ἐστιν ὁ τὴν γυναῖκα τοῦ δίωνος ἀρέτην, καὶ τὴν ἀδελφὴν ἀριστομάχην. καὶ τὸν υἱὸν ἔτι παῖδα καταποντίσας ζῶντας. περὶ ὧν ἐν τῷ δίωνος γέγραπται βίῳ. Μετὰ δὲ ταῦτα στρατεύσας ἐπὶ μάμερκον εἰς κατάνην, καὶ περὶ τὸ ῥεῦμα τὴν ἄβολον ἐκ παρατάξεως ὑποστάντα νικήσας καὶ τρεψάμενος, ὑπὲρ δισχιλίους ἀνεῖλεν. ὧν μέρος οὐκ ὀλίγον ἦσαν, οἱ πεμφθέντες ὑπὸ γέσκωνος ἐπίκουροι φοίνικες. Ἐκ δὲ τούτου, καρχηδόνιοι μὲν, εἰρήνην ἐποιήσαντο πρὸς αὐτὸν δεηθέντες, ὥστε τὴν ἐντὸς τοῦ λύκου χώραν ἔχειν. καὶ τοὺς βουλομένους ἐξ αὐτῆς μετοικεῖν πρὸς συρακουσίους, χρήματα καὶ γενεὰς ἀποδιδόντες. καὶ τοῖς τυράννοις ἀπειπάμενοι τὴν συμμαχίαν. Μάμερκος δὲ δυσθυμῶν ταῖς ἐλπίσιν, ἔπλει μὲν εἰς ἰταλίαν, ὡς λευκανοὺς ἐπάξων τιμολέοντι καὶ συρακουσίοις. ἐπεὶ δὲ ἀποστρέψαντες οἱ σὺν αὐτῷ τὰς τριήρεις, καὶ πλεύσαντες εἰς σικελίαν τῷ τιμολέοντι, τὴν κατάνην παρέδωκαν, ἀναγκασθεὶς καὶ αὐτὸς, εἰς μεσσήνην κατέφυγε πρὸς ἵππωνα τὸν τυραννοῦντα τῆς πόλεως.

Ἐπελθόντος δὲ τοῦ τιμολέοντος αὐτοῖς καὶ πολιορκοῦντος ἔκ τε γῆς καὶ θαλάττης. ὁ μὲν ἵππων, ἀποδιδράσκων ἐπὶ νεὼς, ἥλω. καὶ παραλαβόντες αὐτὸν οἱ μεσσήνιοι, καὶ τοὺς παῖδας ἐκ τῶν διδασκαλείων ὡς ἐπὶ θέαμα κάλλιστον τὴν τοῦ τυράννου τιμωρίαν ἀγαγόντες εἰς θέατρον, ᾐκίσαντο καὶ διέφθειραν. ὁ δὲ μάμερκος, ἑαυτὸν τιμολέοντι παρέδωκεν, ἐπὶ τῷ δίκην ὑποσχεῖν ἐν συρακουσίοις, μὴ κατηγοροῦντος τιμολέοντος. Ἀχθεὶς δὲ εἰς τὰς συρακούσας. παρελθὼν εἰς τὸν δῆμον, ἐπεχείρει μέν τινα συγκείμενον ἐκ παλαιοῦ λόγον, ὑπ' αὐτοῦ διεξιέναι. θορύβοις δὲ περιπίπτων. καὶ τὴν ἐκκλησίαν ὁρῶν ἀπαραίτητον, ἔθει ῥίψας τὸ ἱμάτιον διὰ μέσου τοῦ θεάτρου, καὶ πρός τι τῶν βάθρων δρόμῳ φερόμενος, συνέρρηξε τὴν κεφαλὴν ὡς ἀποθανούμενος. οὐ μὴν ἔτυχέ γε ταύτης τῆς τελευτῆς, ἀλλ' ἔτι ζῶν ἀπαχθεὶς, ἥνπερ οἱ λῃσταὶ δίκην, ἔδωκεν. τὰς μὲν οὖν τυραννίδας ὁ τιμολέων, τοῦτον τὸν τρόπον ἐξέκοψεν. καὶ τοὺς πολέμους ἔλυσεν. τὴν δὲ ὅλην νῆσον ἐξηγριωμένην ὑπὸ κακῶν, καὶ διαμεμισημένην ὑπὸ τῶν οἰκητόρων παραλαβὼν, οὕτως ἐξημέρωσεν καὶ ποθεινὴν ἐποίησεν πᾶσιν, ὥστε πλεῖν οἰκήσοντας ἑτέρους, ὅθεν οἱ πολῖται πρότερον ἀπεδίδρασκον. καὶ γὰρ ἀκράγαντα. καὶ γέλαν. πόλεις μεγάλας μετὰ τὸν ἀττικὸν πόλεμον, ὑπὸ καρχηδονίων ἀναστάτους γεγενημένας, τότε κατῴκησαν. τὴν μὲν, οἱ περὶ μέγελλον, καὶ φέριστον ἐξ ἐλέας. τὴν δὲ, οἱ περὶ γόργον ἐκ κέω ἐκπλεύσαντες. καὶ συναγαγόντες τοὺς ἀρχαίους πολίτας. οἷς οὐ μόνον ἀσφάλειαν ἐκ πολέμου τοσούτου καὶ γαλήνην, ἱδρυομένοις παρασχὼν, ἀλλὰ καὶ τἄλλα παρασκευάσας καὶ συμπροθυμηθεὶς ὥσπερ οἰκιστὴς ἠγαπᾶτο. Καὶ τῶν ἄλλων δὲ διακειμένων ὁμοίως ἁπάντων πρὸς αὐτὸν, οὐ πολέμου τις λύσις. οὐ νόμων θέσις. οὐ χώρας κατοικισμός. οὐ πολιτείας διάταξις, ἐδόκει καλῶς ἔχειν, ἧς ἐκεῖνος μὴ προσάψαιτο, μηδὲ κατακοσμήσειεν, ὥσπερ ἔργου συντελουμένου, δημιουργὸς ἐπιθείς τινα χάριν θεο-

φιλῆ καὶ

περιφέρεσθαι. καὶ πεσόντες, ἀμήχανοι πάλιν ἐκ πηλοῦ μετὰ τῶν ὅπλων ἀναστῆναι. καὶ γὰρ ὁ κρίμισος ὑπὸ τῶν διαβαινόντων ἐκλυσθεὶς, μέγας ἤδη τοῖς ὄμβροις ηὐξημένος. καὶ τὸ πεδίον τὸ περὶ αὐτὸν ὑπὸ πολλὰς συναγκείας καὶ φάραγγας ὑποκείμενον, ἐπίμπλατο ῥευμάτων, οὐ κατὰ πόρους φερομένων. οἷς οἱ καρχηδόνιοι καλινδούμενοι, χαλεπῶς ἀπήλλαττον. Τέλος δὲ, τοῦ χειμῶνος ἐπικειμένου. καὶ τῶν ἑλλήνων τὴν πρώτην τάξιν αὐτῶν ἄνδρας τετρακοσίους καταβαλόντων, ἐτράπη τὸ πλῆθος εἰς φυγήν. καὶ πολλοὶ μὲν ἐν τῷ πεδίῳ καταλαμβανόμενοι, διεφθείροντο. πολλοὺς δὲ ὁ ποταμὸς τοῖς ἔτι περαιουμένοις συμπίπτοντας ἐμβάλλων καὶ παραφέρων ἀπώλλυεν. πλείστους δὲ τῶν λόφων ἐφιεμένους, ἐπιθέοντες οἱ ψιλοὶ κατειργάσαντο. λέγονται γοῦν ἐν μυρίοις νεκροῖς, τρισχίλιοι καρχηδονίων γενέσθαι, μέγα τῇ πόλει πένθος. οὔτε γὰρ γένεσιν, οὔτε πλούτοις, οὔτε δόξαις, ἕτεροι βελτίονες ἦσαν ἐκείνων, οὔτε ἀποθανόντας ποτὲ μιᾷ μάχῃ πρότερον ἐξ αὐτῶν καρχηδονίων τοσούτους μνημονεύουσιν. ἀλλὰ λίβυσι τὰ πολλὰ, καὶ ἴβηρσι, καὶ νομάσι χρώμενοι πρὸς τὰς μάχας, ἀλλοτρίαις βλάβαις ἀνεδέχοντο τὰς ἥττας. Ἐγνώσθη δὲ τοῖς ἕλλησιν, ἡ δόξα τῶν πεσόντων ἀπὸ τῶν λαφύρων. ἐλάχιστος γὰρ ἦν χαλκοῦ καὶ σιδήρου τοῖς σκυλεύουσι λόγος. οὕτως ἄφθονος μὲν ἦν ἄργυρος. ἄφθονος δὲ, χρυσός. καὶ γὰρ τὸ στρατόπεδον, μετὰ τῶν ὑποζυγίων διαβάντες ἔλαβον. τῶν δ' αἰχμαλώτων οἱ μὲν πολλοὶ διεκλάπησαν ὑπὸ τῶν στρατιωτῶν. εἰς δὲ κοινὸν ἀπεδείχθησαν, πεντακισχίλιοι τὸ πλῆθος. ἥλω δὲ, καὶ διακόσια τῶν τεθρίππων. Καλλίστην δὲ καὶ μεγαλοπρεπεστάτην ὄψιν ἡ τιμολέοντος ἐπεδείκνυτο σκηνὴ, περισωρευθεῖσα παντοδαποῖς λαφύροις. ἐν οἷς χίλιοι μὲν θώρακες, ἐργασίᾳ καὶ κάλλει διαφέροντες. μύριαι δὲ ἀσπίδες προὐτέθησαν. ὀλίγοι δὲ, πολλοὺς σκυλεύοντες, καὶ μεγάλαις ἐντυγχάνοντες ὠφελείαις, τρίτῃ μόλις ἡμέρᾳ μετὰ τὴν μάχην ἔστησαν τρόπαιον. ἅμα δὲ τῇ φήμῃ τῆς νίκης ὁ τιμολέων, εἰς κόρινθον ἔπεμψε τὰ κάλλιστα τῶν αἰχμαλώτων ὅπλων, βουλόμενος αὐτοῦ τὴν πατρίδα, πᾶσιν ἀνθρώποις ζηλωτὴν εἶναι, θεωμένοις ἐν ἐκείνῃ μόνῃ τῶν ἑλληνικῶν πόλεων, τοὺς ἐπιφανεστάτους ναούς. οὐχ ἑλληνικοῖς κεκοσμημένους λαφύροις,

Η. οὐδ' ἀπὸ συγγενῶν φόνου καὶ ὁμοφύλων ἀναθημάτων, μνήμας ἀτερπεῖς ἔχοντας, ἀλλὰ βαρβαρικὰ σκῦλα, καλλίσταις ἐπιγραφαῖς δηλοῦντα μετὰ τῆς ἀνδρείας τῶν νενικηκότων τὴν δικαιοσύνην. Ὅτι κορίνθιοι καὶ τιμολέων ὁ στρατηγὸς ἐλευθερώσαντες τοὺς σικελίαν οἰκοῦντας ἕλληνας ἀπὸ καρχηδονίων χαριστήρια θεοῖς ἀνέθηκαν. ἐκ τούτου, καταλιπὼν ἐν τῇ πολεμίᾳ τοὺς μισθοφόρους, ἄγοντας καὶ φέροντας τὴν τῶν καρχηδονίων ἐπικράτειαν, αὐτὸς ἧκεν εἰς συρακούσας. καὶ τοὺς χιλίους μισθοφόρους ἐκείνους ὑφ' ὧν ἐγκατελείφθη πρὸ τῆς μάχης, ἐξεκήρυξε τῆς σικελίας. καὶ πρὶν ἢ δῦναι ἥλιον, ἠνάγκασεν ἐκ συρακουσῶν ἀπελθεῖν. Οὗτοι μὲν οὖν διαπλεύσαντες εἰς ἰταλίαν, ἀπώλοντο παρασπονδηθέντες ὑπὸ βρεττίων, καὶ δίκην ταύτην τὸ δαιμόνιον αὐτοῖς τῆς προδοσίας ἐπέθηκε. Τῶν δὲ περὶ μάμερκον τὸν κατάνης τύραννον καὶ ἱκέτην, εἴτε φθόνῳ τῶν κατορθουμένων ὑπὸ τιμολέοντος, εἴτε φοβουμένων αὐτὸν ὡς ἄπιστον καὶ ἄσπονδον πρὸς τοὺς τυράννους, συμμαχίαν ποιησαμένων πρὸς τοὺς καρχηδονίους, καὶ κελευσάντων πέμπειν δύναμιν καὶ στρατηγὸν, εἰ μὴ παντάπασιν βούλονται σικελίας ἐκπεσεῖν, ἐξέπλευσε γέσκων. ναῦς μὲν ἔχων, ἑβδομήκοντα μισθοφόρους δὲ προσλαβὼν ἕλληνας. οὔπω πρότερον ἕλλησι χρησαμένων καρχηδονίων, ἀλλὰ τότε θαυμασάντων, ὡς ἀνυποστάτους καὶ μαχιμωτάτους ἀνθρώπων ἁπάντων. συστάντες δὲ κοινῇ μετ' ἀλλήλων ἅπαντες ἐν τῇ μεσσηνίᾳ, τετρακοσίους τῶν παρὰ τιμολέοντος ξένων ἐπικούρους πεμφθέντας ἀπέκτειναν. Ἐν δὲ τῇ καρχηδονίων ἐπικρατείᾳ, περὶ τὰς καλουμένας ἱέρας, ἐνεδρεύσαντες τοὺς μετ' εὐθύμου τοῦ λευκαδίου μισθοφόρους, διέφθειραν. ἐξ ὧν καὶ μάλιστα τὴν τιμολέοντος εὐτυχίαν, συνέβη γενέσθαι διώνυμον. ἦσαν μὲν γὰρ οὗτοι, τῶν μετὰ φιλομήλου τοῦ φωκέως, καὶ ὀνομάρχου, δελφοὺς καταλαβόντων καὶ μετασχόντων ἐκείνοις τῆς ἱεροσυλίας. μισούντων δὲ πάντων αὐτοὺς καὶ φυλαττομένων ἐπαράτους γεγονότας, πλανώμενοι περὶ τὴν πελοπόννησον, ὑπὸ τιμολέοντος ἐλήφθησαν, ἑτέρων στρατιωτῶν οὐκ εὐποροῦντος. Ἀφικόμενοι δὲ εἰς σικελίαν. ὅσας μὲν ἐκείνῳ συνηγωνίσαντο μάχας, πάσας ἐνίκων, τῶν δὲ πλείστων καὶ μεγίστων ἀγώνων τέλος ἐχόντων, ἐκπεμπόμενοι πρὸς ἑτέρας ὑπ' αὐτοῦ βοηθείας, ἀπώλοντο καὶ κατηναλώθησαν, οὐχ ὁμοῦ πάντες, ἀλλὰ κατὰ μέρος, τῆς δίκης αὐτοῖς ἀπολογουμένης τῇ τιμολέοντος εὐτυχίᾳ, ὅπως μηδεμία τοῖς ἀγαθοῖς ἀπὸ τῆς τῶν κακῶν κολάσεως, βλάβη γένηται. Τὴν μὲν οὖν πρὸς τιμολέοντα τῶν θεῶν εὐμένειαν, οὐχ ἧττον ἐν οἷς προσέκρουσε πράξεσιν, ἢ περὶ ἃς κατώρθου, θαυμάζεσθαι συνέβαινεν. οἱ δὲ πολλοὶ τῶν συρακουσίων, ἐχαλέπαινον ὑπὸ τῶν τυράννων προπηλακιζόμενοι. καὶ γὰρ ὁ μάμερκος, ἐπὶ τῷ ποιήματα γράφειν καὶ τραγῳδίας μέγα φρονῶν, ἐκόμπαζε, νικήσας τοὺς μισθοφόρους. καὶ τὰς ἀσπίδας ἀναθεὶς τοῖς θεοῖς, ἐλεγεῖον ὑβριστικὸν ἐπέγραψεν. Τάσδ' ὀστρειογραφεῖς καὶ χρυσελεφαντηλέκτρους ἀσπίδας, ἀσπιδίοις εἵλομεν εὐτελέσι. Γενομένων δὲ τούτων καὶ τοῦ τιμολέοντος εἰς καλαυρίαν στρατεύσαντος, ὁ ἱκέτης ἐμβαλὼν εἰς τὴν συρακουσίαν, λείαν τε συχνὴν ἔλαβε, καὶ πολλὰ λυμηνάμενος καὶ καθυβρίσας, ἀπηλλάττε-

σιν, οὔτε ταφῆναι τοῖς πεσοῦσιν αὐτῶν ὑπάρξει. Τούτους μὲν οὖν, Τιμολέων, κέρδος ἡγεῖτο πρὸ τῆς μάχης φανεροὺς γεγονότας. τοὺς δὲ ἄλλους, ἐπιῤῥώσας, κατὰ τάχος ἦγεν πρὸς τὸν κρίμισον ποταμόν, ὅπου καὶ τοὺς Καρχηδονίους ἤκουσε συνάπτειν. ἀναβαίνοντι δὲ αὐτῷ πρὸς λόφον, ὃν ὑπερβάλλοντες, ἔμελλον κατόψεσθαι τὸ στράτευμα καὶ τὴν δύναμιν τῶν πολεμίων, ἐμβάλλουσιν ἡμίονοι σέλινα κομίζοντες, καὶ τοῖς στρατιώταις εἰσῆλθε πονηρὸν εἶναι τὸ σημεῖον, ὅτι τὰ μνήματα τῶν νεκρῶν, εἰώθαμεν ἐπιεικῶς, στεφανοῦν σελίνοις. καὶ παροιμία τις ἐκ τούτου γέγονεν, τὸν ἐπισφαλῶς νοσοῦντα, δεῖσθαι τοῦ σελίνου. βουλόμενος οὖν αὐτοὺς ἀπαλλάξαι τῆς δεισιδαιμονίας καὶ τὴν δυσελπιστίαν ἀφελεῖν ὁ Τιμολέων. ἐπιστήσας τὴν πορείαν, ἄλλα τε πρέποντα τῷ καιρῷ διελέχθη, καὶ τὸν στέφανον αὐτοῖς ἔφη πρὸ τῆς νίκης κομιζόμενον, αὐτομάτως εἰς τὰς χεῖρας ἥκειν. οἱ γὰρ Κορίνθιοι στεφανοῦσι τοὺς Ἴσθμια νικῶντας, ἱερὸν καὶ πάτριον στέμμα τοῦ σελίνου νομίζοντες. ἔτι γὰρ τότε τῶν Ἰσθμίων, ὥσπερ νῦν τῶν Νεμείων, τὸ σέλινον ἦν στέφανος. οὐ πάλαι δὲ ἡ πίτυς γέγονεν. Ἐντυχὼν οὖν ὁ Τιμολέων, ὥσπερ εἴρηται τοῖς στρατιώταις, καὶ λαβὼν τῶν σελίνων, κατεστέψατο πρῶτος αὐτός. εἶτα, οἱ περὶ αὐτὸν ἡγεμόνες καὶ τὸ πλῆθος. οἱ δὲ μάντεις, κατιδόντες ἀετοὺς δύο προσφερομένους. ὧν ὁ μὲν δράκοντα τοῖς ὄνυξιν ἔφερε διαπεπαρμένον. ὁ δέ, ἵπτατο κεκλαγὼς μέγα καὶ θαῤῥαλέον, ἐπεδείκνυον τοῖς στρατιώταις. καὶ εἰς προσευχὰς θεῶν, καὶ ἀνακλήσεις ἐστρέφοντο πάντες.

Τὸ μὲν οὖν ἔτος, ἱσταμένου θέρους εἶχεν ὥραν. καὶ λήγοντι μηνὶ Θαργηλιῶνι, πρὸς τὰς τροπὰς ἤδη συνῆπτε τὸν καιρόν. ὁμίχλην δὲ τοῦ ποταμοῦ πολλὴν ἀναδιδόντος. πρῶτον μὲν ἀπεκρύπτετο ζόφῳ τὸ πεδίον. καὶ σύνοπτον οὐδὲν ἦν, ἀπὸ τῶν πολεμίων. πλήν, ἠχή τις ἄκριτος καὶ συμμιγὴς ἄνω πρὸς τὸν λόφον ἐχώρει, πρόσωθεν ἀνισταμένης στρατιᾶς τοσαύτης. Ὡς δὲ ἀναβάντες ἐπὶ τὸν λόφον, ἔστησαν οἱ Κορίνθιοι, καὶ θέμενοι τὰς ἀσπίδας, διανεπαύοντο τοῦ ἡλίου περιφερομένου καὶ μετεωρίζοντος τὴν ἀναθυμίασιν, ὁ μὲν θολερὸς ἀήρ, ἀθροιζόμενος πρὸς τὰ ὑψηλὰ καὶ συνιστάμενος, κατενέφωσε τὰς ἀκρωρείας. τῶν δὲ ὑπὸ πόδας τόπων ἀνακαθαιρομένων, ὅ τε κρίμισος ἐξεφάνη, καὶ διαβαίνοντες αὐτόν, ὤφθησαν οἱ πολέμιοι. πρώτοις μέν, τοῖς τεθρίπποις, ἐκπληκτικῶς πρὸς ἀγῶνα κατεσκευασμένοις. κατόπιν δὲ τούτων, μυρίοις ὁπλίταις λευκάσπισι. τούτους, ἐτεκμαίροντο Καρχηδονίους εἶναι τῇ λαμπρότητι τῆς σκευῆς καὶ τῇ βραδυτῆτι καὶ τάξει τῆς πορείας. Μετὰ δὲ τούτους τῶν λοιπῶν ἐθνῶν ἐπιῤῥεόντων, καὶ τὴν διάβασιν μετ' ὠθισμοῦ καὶ ταραχῆς ποιουμένων, συνιδὼν ὁ Τιμολέων τὸν ποταμὸν αὐτοῖς ταμιεύοντα, τοῦ πλήθους τῶν πολεμίων ἀπολαβεῖν ὅσοις ἐθέλοιεν αὐτοὶ μάχεσθαι. καὶ τοὺς στρατιώτας καθορᾶν κελεύσας τὴν φάλαγγα τῷ ῥείθρῳ διαλελυμένην, καὶ τοὺς μὲν ἤδη διαβεβηκότας. τοὺς δὲ μέλλοντας, προσέταξε Δημαρέτῳ λαβόντι τοὺς ἱππεῖς, ἐμβαλεῖν εἰς τοὺς Καρχηδονίους, καὶ συνταράξαι τὸν διάκοσμον αὐτῶν, τῆς παρατάξεως οὔπω κατεστώσης. Αὐτὸς δὲ καταβὰς εἰς τὸ πεδίον. τὰ μὲν κέρατα, τοῖς ἄλλοις Σικελιώταις ἀπέδωκεν ἀναμίξας ἑκατέρῳ ἐκ τῶν ξένων οὐ πολλούς. ἐν μέσῳ δὲ περὶ αὐτὸν λαβὼν τοὺς Συρακουσίους, καὶ τὸ μαχιμώτατον τῶν μισθοφόρων, βραχὺν μὲν χρόνον ἐπέσχε, τὸ τῶν ἱππέων ἀποθεωρῶν ἔργον, ὡς δὲ ἐκείνους εἶδεν ὑπὸ τῶν ἁρμάτων πρὸ τῆς τάξεως διαθεόντων, εἰς χεῖρας ἐλθεῖν τοῖς Καρχηδονίοις οὐ δυναμένους, ἀλλ' ὅπως μὴ συνταραχθεῖεν ἀναγκαζομένους ἐξελίττειν συνεχῶς, καὶ πυκνὰς ἐξ ἐπιστροφῆς ποιεῖσθαι τὰς ἐπελάσεις, ἀναλαβὼν τὴν ἀσπίδα καὶ βοήσας ἕπεσθαι καὶ θαῤῥεῖν τοῖς πεζοῖς, ἔδοξεν ὑπερφυεῖ φωνῇ, καὶ μείζονι κεχρῆσθαι τῆς συνήθους, εἴτε τῷ πάθει παρὰ τὸν ἀγῶνα καὶ τὸν ἐνθουσιασμόν, οὕτω διατεινάμενος, εἴτε δαιμονίου τινός, ὡς τοῖς πολλοῖς τότε παρέστη, συνεπιφθεγξαμένου. ταχὺ δὲ τὴν κραυγὴν ἀνταποδόντων, καὶ παρεγγυώντων ἄγειν καὶ μὴ μέλλειν. τοῖς μὲν ἱππόταις, ἐσήμαινεν ἔξω παρὰ τὴν τάξιν τῶν ἁρμάτων παρελάσαι, καὶ κατὰ κέρας προσφέρεσθαι τοῖς πολεμίοις. αὐτὸς δέ, τοὺς προμάχους πυκνώσας τῷ συνασπισμῷ. καὶ τὴν σάλπιγγα κελεύσας ἐπιφθέγξασθαι, προσέβαλλε τοῖς Καρχηδονίοις. οἱ δὲ τὴν μὲν πρώτην ἐπιδρομήν, ὑπέστησαν ἐῤῥωμένως. καὶ τῷ καταπεφράχθαι τὰ σώματα σιδηροῖς θώραξιν. καὶ χαλκοῖς κράνεσι. ἀσπίδας δὲ μεγάλας προβεβλῆσθαι, διεκρούοντο τὸν δορατισμόν.

Ἐπεὶ δὲ εἰς ξίφη συνῆλθεν ὁ ἀγών, καὶ τέχνης οὐχ ἧττον ἢ ῥώμης ἐγεγόνει τὸ ἔργον, ἐξαίφνης ἀπὸ τῶν ὀρῶν βρονταί τε φοβεραὶ κατεῤῥήγνυντο, καὶ πυρώδεις ἀστραπαὶ συνεξέπιπτον. εἶτα ὁ περὶ τοὺς λόφους καὶ τὰς ἀκρωρείας ζόφος, ἐπὶ τὴν μάχην κατιών, ὄμβρῳ καὶ πνεύματι, καὶ χαλάζῃ συμμεμιγμένος. τοῖς μὲν Ἕλλησιν, ἐξόπισθεν καὶ κατὰ νώτου περιεχεῖτο. τῶν δὲ βαρβάρων, ἔτυπτε τὰ πρόσωπα, καὶ κατέστραπτε τὰς ὄψεις, ἅμα λαίλαπος ὑγρᾶς, καὶ φλογὸς συνεχοῦς, ἐκ τῶν νεφῶν φερομένης. ἐν οἷς πολλὰ μὲν ἦν τὰ λυποῦντα, καὶ μάλιστα τοὺς ἀπείρους, οὐχ ἥκιστα δέ, βλάψαι δοκοῦσιν αἱ βρονταί, καὶ τῶν ὅπλων ὁ πάταγος, κοπτομένων ὕδατι ῥαγδαίῳ καὶ χαλάζῃ, κωλύων ἀκούεσθαι τὰ προστάγματα τῶν ἡγεμόνων. Τοῖς δὲ Καρχηδονίοις, οὐκ οὖσιν εὐζώνοις τὸν ὁπλισμόν, ἀλλ' ὥσπερ εἴρηται κατεπεφραγμένοις, ὅ τε πηλὸς ἐμπόδιος ἦν, οἵ τε κόλποι πληρούμενοι τῶν χιτώνων ὕδατος. αὐτοῖς μέν, εἰς τὸν ἀγῶνα χρῆσθαι, βαρεῖς ἦσαν καὶ δύσεργοι. ῥᾴδιοι δὲ τοῖς Ἕλλησι

ἵππους ἐν αὐτῇ κατανέμεσθαι, τῶν ἱπποκόμων ἐν τῇ χλόῃ κατακειμένων. αἱ δὲ ἄλλαι πόλεις, πλὴν
παντελῶς ὀλίγων ἐλάφων ἐγένοντο μεσταὶ, καὶ συῶν ἀγρίων. ἐν δὲ τοῖς προαστείοις καὶ περὶ τὰ τεί-
χη πολλάκις οἱ σχολὴν ἄγοντες ἐκυνηγέτουν. ὑπήκουε δ' οὐδεὶς τῶν ἐν τοῖς ἐρύμασι καὶ φρουρίοις κα-
τοικούντων. οὐδὲ κατέβαινον εἰς τὴν πόλιν. ἀλλὰ φρίκη καὶ μῖσος εἶχε πάντας. ἀγορᾶς καὶ πολιτείας
καὶ βήματος, ἐξ ὧν ἀνέφυσαν αὐτοῖς οἱ πλεῖστοι τῶν τυράννων, ἔδοξε τῷ τιμολέοντι καὶ τοῖς συρα-
κουσίοις γράψαι πρὸς τοὺς κορινθίους ὅπως πέμψωσιν οἰκήτορας εἰς τὰς συρακούσας, ἐκ τῆς ἑλλά-
δος. ἥ τε γὰρ χώρα σχολάζειν ἔμελλεν. καὶ πολὺν πόλεμον ἐκ λιβύης προσεδέχοντο, πυνθανόμενοι
τοὺς καρχηδονίους, τοῦ μὲν μάγωνος ἑαυτὸν ἀνελόντος, ἀνεσταυρωκέναι τὸ σῶμα, διὰ τὴν στρατηγίαν ὀργι-
σθέντας. αὐτοὺς δὲ συνάγειν μεγάλην δύναμιν, ὡς ἔτους ὥρᾳ διαβησομένους εἰς σικελίαν. Τῶν
δὲ γραμμάτων τούτων, παρὰ τοῦ τιμολέοντος κομισθέντων. καὶ πρέσβεων ἅμα παρόντων συρακου-
σίων. καὶ δεομένων ἐπιμεληθῆναι τῆς πόλεως, καὶ γενέσθαι πάλιν ἐξ ὑπαρχῆς οἰκιστὰς, οὐχ ἥρπα-
σαν οἱ κορίνθιοι τὴν πλεονεξίαν, οὐδὲ προσεποιήσαντο αὐτοῖς τὴν πόλιν, ἀλλὰ πρῶτον μὲν, ἐπιόντες
τοὺς ἱεροὺς ἀγῶνας ἐν ἑλλάδι, καὶ τὰς μεγίστας τῶν πανηγύρεων ἀνηγόρευον ὑπὸ κηρύκων, ὅτι κορίν- λ ἐν τῇ. κ.
θιοι καταλελυκότες τὴν ἐν συρακούσαις τυραννίδα. καὶ τὸν τύραννον ἐξεληλακότες, καλοῦσι συρα-
κουσίους, καὶ τῶν ἄλλων σικελιωτῶν, τὸν βουλόμενον οἰκεῖν τὴν πόλιν ἐλευθέρους καὶ αὐτονόμους,
ἐπ' ἴσοις καὶ δικαίοις τὴν χώραν διαλαχόντας. Ἔπειτα διαπέμποντες ἀγγέλους εἰς τὴν ἀσίαν
καὶ τὰς νήσους, ὅπου πλείστους ἐπυνθάνοντο τῶν φυγάδων διεσπαρμένους κατοικεῖν, παρεκάλουν
ἰέναι πάντας εἰς κόρινθον, ὡς κορινθίων, ἀσφαλῆ πομπὴν καὶ πλοῖα, καὶ στρατηγοὺς παρεξόντων.
ἰδίοις τέλεσιν εἰς συρακούσας. κηρυσσομένων δὲ τούτων, ἡ μὲν πόλις τὸν δικαιότατον καὶ κάλλιστον ἀ-
πελάμβανεν ἔπαινον καὶ ζῆλον. ἐλευθεροῦσα μὲν ἀπὸ τῶν τυράννων, σώζουσα δὲ ἀπὸ τῶν βαρβάρων.
ἀποδιδοῦσα δὲ τοῖς πολίταις τὴν χώραν. οἱ δὲ συνελθόντες εἰς κόρινθον, οὐκ ὄντες ἱκανοὶ τὸ πλῆ-
θος, ἐδεήθησαν ἐκ κορίνθου, καὶ τῆς ἄλλης ἑλλάδος, παραλαβεῖν συνοίκους, καὶ γενόμενοι μυρίων οὐκ
ἐλάττους, κατέπλευσαν, εἰς συρακούσας. ἤδη δὲ καὶ τῶν ἐξ ἰταλίας καὶ σικελίας πολλοὶ τῷ τιμο-
λέοντι συνεληλύθεισαν, καὶ γενομένοις αὐτοῖς ἑξακισμυρίοις τὸ πλῆθος, ὡς ἄθανις εἴρηκεν. τὴν μὲν
χώραν διένειμε. τὰς δὲ οἰκίας, ἀπέδοτο χιλίων ταλάντων, ἅμα μὲν ὑπολειπόμενος τοῖς ἀρχαίοις
συρακουσίοις ἐξωνεῖσθαι τὰς αὐτῶν. ἅμα δὲ, χρημάτων εὐπορίαν τῷ δήμῳ μηχανώμενος, οὕτω πενομέ-
νῳ, καὶ πρὸς τἆλλα, καὶ πρὸς τὸν πόλεμον, ὥστε καὶ τοὺς ἀνδριάντας ἀποδόσθαι, ψήφου διαφερο-
μένης ὑπὲρ ἑκάστου, καὶ γινομένης κατηγορίας ὥσπερ ἀνθρώπων, εὐθύνας διδόντων. Ὅτε δὴ
φασὶ τὸν γέλωνος ἀνδριάντα τοῦ παλαιοῦ τυράννου, διατηρῆσαι τοὺς συρακουσίους, καταχειροτονου-
μένων τῶν ἄλλων, ἀγαμένους καὶ τιμῶντας τὸν ἄνδρα τῆς νίκης, ἣν πρὸς ἱμέρᾳ καρχηδονίους ἐνίκη-
σεν. Οὕτω δὲ τῆς πόλεως ἀναζωπυρούσης καὶ πληρουμένης ἐπιρρεόντων πανταχόθεν εἰς αὐ-
τὴν τῶν πολιτῶν, βουλόμενος ὁ τιμολέων καὶ τὰς ἄλλας πόλεις ἐλευθερῶσαι, καὶ παντάπασιν ἐκ-
κόψαι τῆς σικελίας τὰς τυραννίδας ἐπὶ τὰς χώρας αὐτῶν στρατεύων, ἱκέτην μὲν ἠνάγκασεν ἀπο-
στάντα καρχηδονίων, ὁμολογῆσαι τὰς ἀκροπόλεις κατασκάψειν, καὶ βιοτεύειν ἰδιώτην ἐν λεοντίνοις,
λεπτίνου δὲ τοῦ τυραννοῦντος ἀπολλωνίας, καὶ συχνῶν ἄλλων πολιχνίων, ὡς ἐκινδύνευε κατακρά-
τος ἁλῶναι, παραδόντος αὐτὸν, φεισάμενος εἰς κόρινθον ἀπέστειλε. καλὸν ἡγούμενος ἐν τῇ μητροπό- καὶ
λει, τοὺς τῆς σικελίας τυράννους, ὑπὸ τῶν ἑλλήνων ἀποθεωρεῖσθαι φυγαδικῶς καὶ ταπεινῶς ζῶν-
τας. τοὺς δὲ μισθοφόρους βουλομένους ἐκ τῆς πολεμίας ὠφελεῖσθαι καὶ μὴ σχολάζειν. αὐτὸς μὲν εἰς βουλόμενος. κ.
τὰς συρακούσας ἐπανῆλθεν τῇ καταστάσει τῆς πολιτείας προσέξων, καὶ τοῖς ἥκουσιν ἐκ κορίνθου
νομοθέταις κεφάλῳ καὶ διονυσίῳ, τὰ κυριώτατα καὶ κάλλιστα συνδιαθήσων. τοὺς δὲ περὶ δείναρ-
χον καὶ δημάρετον, εἰς τὴν τῶν καρχηδονίων ἐξέπεμψεν ἐπικράτειαν. οἳ πόλεις πολλὰς ἀφιστάντες τῶν
βαρβάρων. οὐ μόνον αὐτοὶ διῆγον ἐν ἀφθόνοις, ἀλλὰ καὶ χρήματα παρεσκεύαζον εἰς τὸν πόλεμον, ἀπὸ
τῶν ἁλισκομένων. ἐν τούτῳ δὲ καρχηδόνιοι καταπλέουσιν εἰς τὸ λιλύβαιον. ἄγοντες ἑπτὰ μυριάδας στρα-
τοῦ, καὶ τριήρεις διακοσίας, καὶ πλοῖα χίλια. κομίζοντα μηχανὰς καὶ τέθριππα καὶ σῖτον ἄφθονον,
καὶ τὴν ἄλλην παρασκευήν. ὡς οὐκ ἔτι ποιησόμενοι κατὰ μέρος τὸν πόλεμον. ἀλλ' ὁμοῦ πάσης σικε-
λίας ἐξελάσοντες τοὺς ἕλληνας. ἦν γὰρ ἡ δύναμις ἐξαρκοῦσα, καὶ μὴ νοσοῦντας μηδὲ διεφθαρ-
μένους ὑπ' ἀλλήλων, συλλαβέσθαι σικελιώτας. πυθόμενοι δὲ πορθεῖσθαι τὴν ἐπικράτειαν αὐτῶν,
εὐθὺς ὀργῇ πρὸς τοὺς κορινθίους ἐχώρουν. ἀσδρούβα, καὶ ἀμίλκα στρατηγούντων. Τῆς δὲ ἀγγε-
λίας ὀξέως, εἰς συρακούσας ἀφικομένης, οὕτω κατεπλάγησαν οἱ συρακούσιοι πρὸς τὸ μέγεθος τῆς
δυνάμεως, ὥστε μόλις τῷ τιμολέοντι, τρισχιλίους ἀπὸ τοσούτων μυριάδων, ὅπλα λαβόντας, τολμῆ-
σαι συνελθεῖν. οἱ δὲ μισθοφόροι, τετρακισχίλιοι τὸ πλῆθος ἦσαν. καὶ τούτων αὖθις, ὅσον χίλιοι, καθ' ὁ-
δὸν ἀποδειλιάσαντες, ἀνεχώρησαν, ὡς οὐχ ὑγιαίνοντος τοῦ τιμολέοντος, ἀλλὰ μαινομένου παρ' ἡλι-
κίαν καὶ πρὸς ἑπτὰ μυριάδας πολεμίων μετὰ πεντακισχιλίων πεζῶν, καὶ χιλίων ἱππέων βαδίζοντος.
καὶ διαρτῶντος ὁδὸν ἡμερῶν ὀκτὼ τὴν δύναμιν ἀπὸ τῶν συρακουσῶν, ὅθεν οὔτε σωθῆναι τοῖς φεύγου-

ἀκρόπολιν, χρώμενος ῥᾳθίῳ μετὰ κρότου καὶ γέλωτος, ἐβόα τοὺς Κορινθίους ἥκειν νενικηκὼς καὶ κεχειρωμένος ἐν τῇ θαλάττῃ, λαβὼν διαπλέοντας, ὡς δή τινα δύναμιν τοῖς πολιορκουμένοις παρέξων. ἐκείνου δὲ ταῦτα ληροῦντος καὶ φενακίζοντος, ἐκ τῶν Βρεττίων καταβεβηκότες οἱ Κορίνθιοι εἰς τὸ Ῥήγιον. ὡς οὐδεὶς παρεφύλαττεν, καὶ τὸ πνεῦμα κατεσβεσμένον παραλόγως, ἀκύμονα τὸν πόρον ἰδεῖν καὶ λεῖον παρεῖχεν. ταχὺ πληρώσαντες τὰ πορθμεῖα καὶ τὰς ἁλιάδας τὰς παρούσας ἀνήγοντο. καὶ διεκομίζοντο πρὸς τὴν Σικελίαν, οὕτως ἀσφαλῶς καὶ διὰ τοσαύτης γαλήνης, ὥστε τοὺς ἵππους παρὰ τὰ πλοῖα παρανηχομένους, ἐκ ῥυτήρων ἐφέλκεσθαι. περαιωθέντων δὲ πάντων, ὁ Τιμολέων δεξάμενος αὐτοὺς, τήν τε Μεσσήνην εὐθὺς εἶχε. καὶ συνταξάμενος, ἐβάδιζεν ἐπὶ τὰς Συρακούσας. οἷς εὐτυχεῖ, καὶ κατορθοῦν μᾶλλον, ἢ τῇ δυνάμει πεποιθώς. οὐ γὰρ ἦσαν οἱ σὺν αὐτῷ πλείους τετρακισχιλίων. ἀγγελλομένης δὲ τῆς ἐφόδου τῷ Μάγωνι, θορυβούμενος καὶ δεδοικὼς, ἔτι μᾶλλον εἰς ὑποψίαν ἦλθεν, ἐκ τοιαύτης προφάσεως. ἐν τοῖς περὶ τὴν πόλιν τενάγεσι, πολὺ μὲν ἐκ κρηνῶν πότιμον ὕδωρ. πολὺ δὲ ἐξ ἑλῶν καὶ ποταμῶν καταρρεόντων εἰς τὴν θάλατταν δεχομένοις, πλῆθος ἐγχέλεων νέμεται, καὶ δαψίλεια τῆς ἄγρας τοῖς βουλομένοις ἀεὶ πάρεστιν. ταύτας, οἱ παρ' ἀμφοτέρων μισθοῦ στρατευόμενοι, σχολῆς οὔσης καὶ ἀνοχῶν, συνεθήρευον. οἷα δὲ, Ἕλληνες ὄντες, καὶ πρὸς ἀλλήλους οὐκ ἔχοντες ἰδίων ἀπεχθειῶν πρόφασιν, ἐν μὲν ταῖς μάχαις, διεκινδύνευον εὐρώστως, ἐν δὲ ταῖς ἀνοχαῖς, προσφοιτῶντες ἀλλήλοις διελέγοντο. καὶ τότε κοινὸν περὶ τὴν ἁλιείαν ἔχοντες ἔργον, ἐν λόγοις ἦσαν, θαυμάζοντες τῆς θαλάσσης τὴν εὐφυΐαν, καὶ τῶν χωρίων τὴν κατασκευήν.

Καί τις εἶπε τῶν παρὰ τοῖς Κορινθίοις στρατευομένων. τοσαύτην μέντοι τὴν πόλιν τὸ μέγεθος, καὶ τοσούτοις ἐξησκημένην καλοῖς, ὑμεῖς Ἕλληνες ὄντες, ἐκβαρβαρῶσαι προθυμεῖσθε τοὺς κακίστους καὶ φονικωτάτους Καρχηδονίους ἐγγυτέρω κατοικίζοντες ἡμῶν, πρὸς οὓς ἔδει πολλὰς εὔχεσθαι Σικελίας προκεῖσθαι τῆς Ἑλλάδος. ἢ δοκεῖτε τούτους στρατὸν ἀγείραντας ἀπὸ στηλῶν Ἡρακλείων, καὶ τῆς Ἀτλαντικῆς ἥκειν θαλάττης, δεῦρο κινδυνεύσοντας, ὑπὲρ τῆς Ἱκέτου δυναστείας; ὃς εἰ λογισμὸν εἶχεν ἡγεμόνος, οὐκ ἂν ἐξέβαλε τοὺς πατέρας, οὐδ' ἐπῆγε τῇ πατρίδι τοὺς πολεμίους. ἀλλὰ καὶ τιμῆς καὶ δυνάμεως ἐτύγχανεν, ὅσης πρέπει, Κορινθίους καὶ Τιμολέοντα πείσας. τούτους τοὺς λόγους, οἱ μισθοφόροι διεθρόησαν ἐν τῷ στρατοπέδῳ, καὶ παρέσχον ὑποψίαν, τῷ Μάγωνι προδίδοσθαι, χρῄζοντι πάλαι προφάσεως. διὸ καὶ δεομένου τοῦ Ἱκέτου, παραμένειν καὶ διδάσκοντος, ὅσῳ βελτίονές εἰσι τῶν πολεμίων, μᾶλλον οἰόμενος ἀρετῇ καὶ τύχῃ λείπεσθαι Τιμολέοντος, ἢ πλήθει δυνάμεως ὑπερβάλλειν, ἄρας εὐθὺς ἀπέπλευσεν εἰς Λιβύην, αἰσχρῶς καὶ κατ' οὐδένα λογισμὸν ἀνθρώπινον, ἐκ τῶν χειρῶν ἀφεὶς Σικελίαν. Τῇ δ' ὑστεραίᾳ, παρῆν ὁ Τιμολέων ἐπὶ μάχην συντεταγμένος. ὡς δὲ τὴν φυγὴν ἐπύθοντο, καὶ τὴν ἐρημίαν ἑώρων τῶν νεωρίων, γελᾶν αὐτοῖς ἐπῄει τὴν ἀνανδρίαν τοῦ Μάγωνος. καὶ περιιόντες ἐκήρυττον ἐν τῇ πόλει μήνυτρα τῷ φράσαντι, τὸν Καρχηδονίων στόλον, ὅπη σφᾶς ἀποδέδρακεν. οὐ μὴν, ἀλλὰ τοῦ Ἱκέτου, φιλομαχοῦντος ἔτι, καὶ τὴν λαβὴν οὐ προϊεμένου τῆς πόλεως. ἀλλ' ἐμπεφυκότος. οἷς κατεῖχε μέρεσι, καρτεροῖς οὖσι καὶ δυσπρομάχοις, διελὼν ὁ Τιμολέων τὴν δύναμιν, αὐτὸς μὲν, ᾗ βιαιότατον ἦν, παρὰ τὸ ῥεῖθρον τοῦ Ἀνάπου προσέβαλλεν, ἄλλους δ' ἐκ τῆς Ἀχραδινῆς, ἐκέλευσεν ἐπιχειρεῖν, ὧν Ἰσίας ἡγεῖτο ὁ Κορίνθιος. τοὺς δὲ τρίτους ὑπῆγον ἐπὶ τὰς Ἐπιπολὰς, Δείναρχος καὶ Δημάρετος, οἱ τὴν ὑστέραν ἀγαγόντες, ἐκ Κορίνθου βοήθειαν. Ἅμα δὲ καὶ πανταχόθεν τῆς ἐφόδου γενομένης, καὶ τῶν περὶ τὸν Ἱκέτην ἀνατραπέντων καὶ φευγόντων. τὸ μὲν ἁλῶναι τὴν πόλιν κατὰ κράτος καὶ γενέσθαι ταχέως ὑποχείριον, ἐκπεσόντων τῶν πολεμίων, δίκαιον ἀναθεῖναι τῇ τῶν μαχομένων ἀνδραγαθίᾳ, καὶ τῇ δεινότητι τοῦ στρατηγοῦ. τὸ δὲ μὴ δὲ ἀποθανεῖν τινά. μήτε τρωθῆναι τῶν Κορινθίων, ἴδιον ἔργον αὐτῆς ἡ Τιμολέοντος ἐπεδείξατο τύχη. καθάπερ διαμιλλωμένη πρὸς τὴν ἀρετὴν τοῦ ἀνδρὸς, ἵνα τῶν ἐπαινουμένων αὐτοῦ, τὰ μακαριζόμενα, μᾶλλον οἱ πυνθανόμενοι θαυμάζωσιν. οὐ γὰρ μόνον Σικελίαν πᾶσαν, οὐδ' Ἰταλίαν εὐθὺς ἡ φήμη κατέσχεν, ἀλλ' ἡμέραις ὀλίγων, ἡ Ἑλλὰς διήχει τὸ μέγεθος τοῦ κατορθώματος. ὥστε τὴν τῶν Κορινθίων πόλιν ἀπιστοῦσαν εἰ διαπέπλευκεν ὁ στόλος, ὁμοῦ καὶ σεσωσμένους καὶ νενικηκότας ἀκούειν τοὺς ἄνδρας. οὕτως εὐρόησαν αἱ πράξεις. καὶ τοσοῦτο κάλλει τῶν ἔργων τὸ τάχος, ἡ τύχη προσέθηκεν. γενόμενος δὲ τῆς ἄκρας κύριος, οὐκ ἔπαθε Δίωνι ταὐτὸ πάθος. οὐδ' ἐφείσατο τοῦ τόπου διὰ τὸ κάλλος, καὶ τὴν πολυτέλειαν τῆς κατασκευῆς. ἀλλὰ τὴν ἐκεῖνον διαβαλοῦσαν, εἶτ' ἀπολέσαν ὑποψίαν φυλαξάμενος, ἐκήρυξε τῶν Συρακουσίων, τὸν βουλόμενον παρεῖναι μετὰ σιδήρου, καὶ συνεφάπτεσθαι κατασκαπτομένων τῶν τυραννικῶν ἐρυμάτων. ὡς δὲ πάντες ἀνέβησαν, ἀρχὴν ἐλευθερίας ποιησάμενοι βεβαιοτάτην τὸ κήρυγμα καὶ τὴν ἡμέραν ἐκείνην, οὐ μόνον τὴν ἄκραν, ἀλλὰ καὶ τὰς οἰκίας καὶ τὰ μνήματα τῶν τυράννων. ἀνέτρεψαν καὶ κατέσκαψαν. εὐθὺς δὲ τὸν τόπον συνομαλύνας, ἐνῳκοδόμησε τὰ δικαστήρια, χαριζόμενος τοῖς πολίταις, καὶ τῆς τυραννίδος, ὑπερτέραν ποιῶν τὴν δημοκρατίαν. Ἐπεὶ δὲ τὴν πόλιν ἑλὼν οὐκ εἶχε πολίτας. ἀλλὰ τῶν μὲν, ἐν τοῖς πολέμοις καὶ ταῖς στάσεσι διαφθαρέντων. τῶν δὲ, τὰς τυραννίδας φυγόντων. ἡ μὲν, ἐν Συρακούσαις ἀγορὰ δι' ἐρημίαν, οὕτω πολλὴν καὶ βαθεῖαν, ἐξέφυσεν ὕλην, ὥστε τοὺς

των. τὴν πόλιν παραλαβόντες ὥσπερ παρεῖλον καθαρῶς καὶ πιστῶς διεφύλαξαν. ὁ δ' Ἱκέτης τὴν μὲν ἀκρόπολιν τῶν Συρακουσῶν ἐπολιόρκει, καὶ σῖτον ἐκώλυεν εἰσπλεῖν τοῖς Κορινθίοις. Τιμολέοντι δὲ δύο ξένους παρασκευάσας, δολοφονήσοντας αὐτὸν, ὑπέπεμψεν εἰς Ἀδρανόν. ὅτι ἄλλως περὶ τὸ σῶμα συντεταγμένην ἔχοντι φυλακὴν, καὶ τότε παντάπασι διὰ τὸν θεὸν ἀνειμένως καὶ ἀνυπόπτως σχολάζοντι μετὰ τῶν Ἀδρανιτῶν. Οἱ δὲ πεμφθέντες κατὰ τύχην πυθόμενοι μέλλοντα θύειν αὐτὸν, ἧκον εἰς τὸ ἱερὸν ὑπὸ τοῖς ἱματίοις ἐγχειρίδια κομίζοντες, καὶ τοῖς περιεστῶσι τὸν βωμὸν ἀναμιχθέντες ἐγγυτέρω κατὰ μικρὸν ἐπεχείρουν. καὶ ὅσον οὔπω παρακελευομένων ἀλλήλοις ἐνάρχεσθαι, παίει τις αὐτῶν τὸν ἕτερον κατὰ τῆς κεφαλῆς ξίφει. καὶ πεσόντος, οὔθ' ὁ παίσας ἔμενεν, οὔθ' ὁ μετὰ τοῦ πληγέντος ἥκων, ἀλλ' ἐκεῖνος μὲν, ὥσπερ εἶχε τὸ ξίφος φεύγων, πρός τινα πέτραν ὑψηλὴν ἀπεπήδησεν. ἅτερος δὲ τοῦ βωμοῦ λαβόμενος, ἄδειαν ᾐτεῖτο, παρὰ τοῦ Τιμολέοντος ἐπὶ τῷ πάντα μηνῦσαι. καὶ λαβὼν, ἐμήνυσε κατ' αὐτοῦ καὶ κατὰ τοῦ τεθνηκότος, ὡς πεμφθεῖεν ἐκεῖνον ἀποκτενοῦντες. Ἐν τούτῳ δὲ καὶ τὸν ἀπὸ τῆς πέτρας κατῆγον ἕτεροι, βοῶντα μηδὲν ἀδικεῖν, ἀλλ' ἀνῃρηκέναι δικαίως τὸν ἄνθρωπον, ὑπὲρ πατρὸς τεθνηκότος, ὃν ἐκεῖνος ἀπεκτόνει πρότερον ἐν Λεοντίνοις. καὶ μάρτυρας εἶχεν ἐνίους, τῶν παρόντων. θαυμάζοντας ἅμα τῆς τύχης τὴν εὐμηχανίαν, ὡς δι' ἑτέρων ἕτερα κινοῦσαν καὶ συνάγουσα πάντα πόρρωθεν καὶ συγκαταπλέκουσαν, τοῖς πλεῖστον διαφέρειν δοκοῦσιν, καὶ μηδὲν ἔχειν πρὸς ἄλληλα κοινόν. ἀεὶ τοῖς ἀλλήλων χρῆται, καὶ τέλεσι καὶ ἀρχαῖς. Τὸν μὲν οὖν ἄνθρωπον ἐστεφάνωσαν οἱ Κορίνθιοι δέκα μναῖς, ὅτι τῷ φυλάττοντι δαίμονι τὸν Τιμολέοντα, πάθος ἔχρησε δίκαιον. καὶ τὸν ἐκ πολλοῦ παρόντα θυμὸν αὐτῷ, πρότερον οὐ κατανάλωσε, ἀλλὰ μετ' αἰτίας ἰδίας πρὸς τὴν ἐκείνου σωτηρίαν ἀπὸ τύχης διετήρησεν. ἡ δὲ εἰς τὸν παρόντα καιρὸν εὐτυχία, καὶ πρὸς τὰ μέλλοντα ταῖς ἐλπίσιν ἐπῆρεν ὁρῶντας ὡς ἱερὸν ἄνδρα, καὶ σὺν θεῷ τιμωρὸν ἥκοντα, τῇ Σικελίᾳ, τὸν Τιμολέοντα σέβεσθαι καὶ φυλάττειν. ὡς δὲ ταύτης διήμαρτεν τῆς πείρας ὁ Ἱκέτης, καὶ πρὸς Τιμολέοντα πολλοὺς ἑώρα συνισταμένους, μεμψάμενος αὑτὸν, ὅτι τηλικαύτης παρούσης τῆς Καρχηδονίων δυνάμεως, ὥσπερ αἰσχυνόμενος αὐτῇ κατὰ μικρὰ χρῆται, καὶ λάθρα κλέπτων καὶ παρεισάγων τὴν συμμαχίαν, μετεπέμπετο Μάγωνα σὺν στρατηγὸν αὐτῶν μετὰ τοῦ στόλου παντός. ὁ δὲ εἰσέπλει φοβερὸς ναυσὶ πεντήκοντα καὶ ἑκατὸν, καταλαμβάνων τὸν λιμένα. πεζῶν ἢ μυριάδας ἕξ, ἀποβιβάζων καὶ κατεστρατοπέδευεν ἐν τῇ πόλει τῶν Συρακουσίων. ὥστε πάντας οἴεσθαι τὴν πάλαι λεγομένην καὶ προσδοκωμένην ἐκβαρβάρωσιν ἥκειν ἐπὶ τὴν Σικελίαν. οὐδέποτε γὰρ Καρχηδονίοις ὑπῆρξε πρότερον, μυρίους πολεμήσασι πολέμους ἐν Σικελίᾳ, λαβεῖν τὰς Συρακούσας. ἀλλὰ τότε δεξαμένου τοῦ Ἱκέτου καὶ παραδόντος, ἦν ὁρᾶν τὴν πόλιν, στρατόπεδον βαρβάρων οὖσαν. Οἱ δὲ τὴν ἀκρόπολιν τῶν Κορινθίων κατέχοντες, ἐπισφαλῶς καὶ χαλεπῶς ἀπήλλαττον. τροφῆς μὲν ἱκανῆς οὐκέτι παρούσης, ἀλλ' ἐνδεόμενοι διὰ τὸ φρουρεῖσθαι τοὺς λιμένας, ἀεὶ δὲ ἀγῶσι καὶ μάχαις περὶ τὰ τείχη, καὶ πρὸς πᾶν μηχάνημα καὶ πρὸς πᾶσαν ἰδέαν πολιορκίας, μεριζόντες αὑτούς. οὐ μὴν, ἀλλ' ὁ Τιμολέων παρεβοήθει, σῖτον ἐκ Κατάνης μικραῖς ἁλιάσι, καὶ λεπτοῖς ἀκατίοις ἀποστέλλων. ἃ μάλιστα χειμῶνι παρεισέπιπτε διὰ τῶν βαρβαρικῶν τριήρων, ὑπὸ τοῦ κλύδωνος καὶ τοῦ σάλου, ἐκείνων διισταμένων. ἃ δὴ συνορῶντες οἱ περὶ τὸν Μάγωνα καὶ τὸν Ἱκέτην, ἐβούλοντο τὴν Κατάνην ἑλεῖν, ἐξ ἧς ἔπλει τὰ ἐπιτήδεια τοῖς πολιορκουμένοις. καὶ λαβόντες τῆς δυνάμεως τὴν μαχιμωτάτην, ἐξέπλευσαν ἐκ τῶν Συρακουσῶν. Ὁ δὲ Κορίνθιος Νέων. οὗτος γὰρ ἦν ἄρχων τῶν πολιορκουμένων, κατιδὼν ἀπὸ τῆς ἄκρας, τοὺς ὑπολελειμμένους τῶν πολεμίων, ἀργῶς καὶ ἀμελῶς φυλάττοντας, ἐξαίφνης ἐνέπεσε διεσπαρμένοις αὐτοῖς. καὶ τοὺς μὲν ἀνελὼν, τοὺς δὲ τρεψάμενος, ἐκράτησε καὶ κατέσχε τὴν λεγομένην Ἀχραδινήν. ὃ κράτιστον ἐδόκει καὶ ἀθραυστότατον ὑπάρχειν τῆς Συρακουσίων μέρος πόλεως. τρόπον τινὰ συγκειμένης καὶ συνηρμοσμένης ἐκ πλειόνων πόλεων. εὐπορήσας δὲ καὶ σίτου καὶ χρημάτων, οὐκ ἀφῆκε τὸν τόπον οὐδὲ ἀνεχώρησε πάλιν ἐπὶ τὴν ἄκραν, ἀλλὰ φραξάμενος τὸν περίβολον τῆς Ἀχραδινῆς, καὶ συνάψας τοῖς ἐρύμασι πρὸς τὴν ἀκρόπολιν, διεφύλαττε. Τοὺς δὲ περὶ τὸν Μάγωνα καὶ τὸν Ἱκέτην ἐγγὺς ἤδη τῆς Κατάνης ὄντας, ἱππεὺς ἐκ Συρακουσῶν καταλαβὼν, ἀπήγγειλε τὴν ἅλωσιν τῆς Ἀχραδινῆς. καὶ συνταραχθέντες, ἀνεχώρησαν διὰ ταχέων. οὔτε λαβόντες ἐφ' ἣν ἐξῆλθον, οὔτε φυλάξαντες ἣν εἶχον. Ταῦτα μὲν οὖν ἔτι τῇ προνοίᾳ καὶ ἀρετῇ, δίδωσί τινα πρὸς τὴν τύχην ἀμφισβήτησιν. τὸ δὲ ἐπὶ τούτοις γενόμενον, παντάπασιν ἔοικε συμβῆναι κατ' εὐτυχίαν. οἱ γὰρ ἐν τοῖς Θουρίοις διατρίβοντες στρατιῶται τῶν Κορινθίων, ἅμα μὲν δεδιότες τὰς Καρχηδονίων τριήρεις αἳ παρεφύλαττον αὐτοὺς μετὰ Ἄννωνος, ἅμα δὲ ἐφ' ἡμέρας πολλὰς ἐξηγριωμένης ὑπὸ πνεύματος τῆς θαλάσσης, πεζῇ διὰ Βρεττίων, ὥρμησαν πορεύεσθαι. καὶ τὰ μὲν πείθοντες, τὰ δὲ βιαζόμενοι τοὺς βαρβάρους, εἰς Ῥήγιον κατέβαινον, ἔτι πολὺν χειμῶνα τοῦ πελάγους ἔχοντος. Ὁ δὲ τῶν Καρχηδονίων ναύαρχος, ὡς οὐ προσεδόκα τοὺς Κορινθίους, καὶ μάτην ᾤετο καθῆσθαι, πείσας αὑτὸν ἐννενοηκέναι τι τῶν σοφῶν καὶ πανούργων πρὸς ἀπάτην, στεφανώσασθαι τοὺς ναύτας κελεύσας καὶ κοσμήσας τὰς τριήρεις ἀσπίσιν Ἑλληνικαῖς καὶ Φοινικικαῖς, ἔπλει πρὸς τὰς Συρακούσας, καὶ παρὰ τὴν ἀ-

λῶν πλῆθος. ὅπλων δ' ἀπέκειντο μυριάδες ἑπτὰ, τεθησαυρισμένων ἐκ παλαιοῦ. στρατιῶται δὲ δισχίλιοι τῷ Διονυσίῳ παρῆσαν. οὓς ἐκεῖνος, ὡς τἆλλα τῷ Τιμολέοντι παρέδωκεν. αὐτὸς δὲ χρήματα λαβὼν, καὶ τῶν φίλων οὐ πολλοὺς, ἔλαθεν ἐκπλεύσας τὸν Ἱκέτην, καὶ κομισθεὶς εἰς τὸ τοῦ Τιμολέοντος στρατόπεδον, τότε πρῶτον ἰδιώτης καὶ ταπεινὸς ὀφθεὶς, ἐπὶ μιᾶς νεὼς καὶ χρημάτων ὀλίγων, εἰς Κόρινθον ἀπεστάλη. γεννηθεὶς μὲν καὶ τραφεὶς ἐν τυραννίδι, τῇ πασῶν ἐπιφανεστάτῃ, καὶ μεγίστῃ. κατασχὼν δὲ ταύτην, ἔτη δέκα. δώδεκα δ' ἄλλα μετὰ τὴν Δίωνος στρατείαν, ἐν ἀγῶσι καὶ πολέμοις διαφορηθεὶς. ἃ δ' ἔπραξε τυραννῶν, οἷς ἔπαθεν, ὑπερβαλλόμενος. καὶ γὰρ υἱῶν ἐνηλίκων θανάτους, καὶ θυγατέρων καταπορνεύσεις παρθένων ἐπεῖδε, καὶ τὴν αὐτὴν ἀδελφὴν, καὶ γυναῖκα, ζῶσαν μὲν, εἰς τὸ σῶμα ταῖς ἀσελγεστάταις ὑπὸ τῶν πολεμίων ἡδοναῖς παρανομηθεῖσαν. βίᾳ δ' ἀποθανοῦσαν μετὰ τῶν τέκνων, καὶ καταποντισθεῖσαν εἰς τὸ πέλαγος. ταῦτα μὲν οὖν, ἐν τοῖς περὶ Δίωνος ἀκριβῶς γέγραπται.

ὑπερβαλόμ ς. τ.

Τοῦ δὲ Διονυσίου καταπλεύσαντος εἰς Κόρινθον, οὐδεὶς ἦν Ἑλλήνων, ὃς οὐχὶ θεάσασθαι, καὶ προσειπεῖν ἐπόθησεν αὐτόν. ἀλλ' οἱ μὲν χαίροντες, ἐπὶ ταῖς συμφοραῖς διὰ μῖσος, ἄσμενοι συνῆλθον. ὡς ἐρριμμένον ὑπὸ τῆς τύχης πατήσοντες. οἱ δὲ πρὸς τὴν μεταβολὴν τρεπόμενοι καὶ συμπαθοῦντες, ἐθεῶντο πολλὴν ἐν ἀσθενέσι τοῖς ἀνθρώποις καὶ προδήλοις, τὴν τῶν ἀδήλων αἰτιῶν καὶ θείων δύναμιν. οὐδὲν γὰρ οὔτε φύσεως ὁ τότε καιρὸς, οὔτε τέχνης ὅσον ἐκεῖνο τύχης ἔργον ἐπεδείξατο, τὸν Σικελίας ὀλίγον ἔμπροσθεν τύραννον, ἐν Κορίνθῳ διατρίβοντα ἢ περὶ τὴν ὀψόπωλιν, ἢ καθήμενον ἐν μυροπωλίῳ, πίνοντα κεκραμένον ἀπὸ τῶν καπηλείων. καὶ διαπληκτιζόμενον ἐν μέσῳ τοῖς ἀφ' ὥρας ἐργαζομένοις γυναίοις. τὰς δὲ μουσουργοὺς ἐν ταῖς ᾠδαῖς διδάσκοντα, καὶ περὶ θεατρικῶν ᾀσμάτων ἐρίζειν σπουδάζοντα πρὸς ἐκείνας, περὶ μέλους ἁρμονίας.

ς. τῆν ζ

Ταῦτα δ' οἱ μὲν ἄλλως ἀλύοντα, καὶ φύσει ῥᾴθυμον ὄντα, καὶ φιλακόλαστον ᾤοντο ποιεῖν τὸν Διονύσιον. οἱ δ' ὑπὲρ τοῦ καταφρονεῖσθαι καὶ μὴ φοβερὸν εἶναι τοῖς Κορινθίοις, μηδ' ὕποπτον, ὡς βαρυνόμενον τὴν μεταβολὴν τοῦ βίου, καὶ πραγμάτων ἐφιέμενον, ἐπιτηδεύειν, καὶ ὑποκρίνεσθαι παρὰ φύσιν πολλὴν ἀβελτηρίαν ἐπιδεικνύμενον ἐν τῷ σχολάζειν. οὐ μὴν ἀλλὰ καὶ λόγοι τινὲς αὐτοῦ μνημονεύονται, δι' ὧν ἐδόκει συμφέρεσθαι τοῖς παροῦσιν οὐκ ἀγεννῶς. ἐπεὶ μὲν γὰρ εἰς Λευκάδα κατασχεθεὶς πόλιν ἀπῳκισμένην ὑπὸ Κορινθίων ὥσπερ τὴν Συρακουσίων, ταὐτὸν ἔφη πεπονθέναι τοῖς ἐν ἁμαρτήμασι γενομένοις τῶν νεανίσκων. ὡς γὰρ ἐκεῖνοι τοῖς μὲν ἀδελφοῖς ἱλαρῶς συνδιατρίβουσι. τοὺς δὲ πατέρας αἰσχυνόμενοι φεύγουσιν, οὕτως αὐτὸς αἰδούμενος τὴν μητρόπολιν, ἡδέως ἂν αὐτόθι μετ' ἐκείνων κατοικεῖν. Τοῦ δ' ἐν Κορίνθῳ ξένου τινὸς ἀγροικότερον εἰς τὰς μετὰ τῶν φιλοσόφων διατριβὰς αἷς τυραννῶν ἔχαιρε χλευάζοντος αὐτόν, καὶ τέλος ἐρωτῶντος τί δὴ τῆς Πλάτωνος ἀπολαύσειεν σοφίας. οὐδὲν ἔφησε δοκοῦμεν ὑπὸ Πλάτωνος ὠφελῆσθαι, τύχης μεταβολὴν οὕτω φέροντες. πρὸς δὲ τὸν μουσικὸν Ἀριστόξενον, καί τινας ἄλλους πυνθανομένους. ὁπόθεν αὐτῷ καὶ τίς ἡ πρὸς Πλάτωνα γένοιτο μέμψις. πολλῶν ἔφη κακῶν τὴν τυραννίδα μεστὴν οὖσαν, οὐδὲν ἔχειν τηλικοῦτον, ἡλίκον, τὸ μηδένα τῶν λεγομένων φίλων μετὰ παρρησίας διαλέγεσθαι. καὶ γὰρ αὐτὸς ὑπ' ἐκείνων, ἀποστερηθῆναι τῆς Πλάτωνος εὐνοίας. ἐπεὶ δὲ τῶν βουλομένων τις εὐφυῶν εἶναι σκώπτων τὸν Διονύσιον ἐξέσειε τὸ ἱμάτιον εἰσιὼν πρὸς αὐτὸν, ὡς δὴ πρὸς τύραννον, ἀντισκώπτων ἐκεῖνος ἐκέλευε τοῦτο ποιεῖν, ὅτ' ἂν ἐξίῃ παρ' αὐτοῦ, μή τι τῶν ἔνδον ἔχων ἀπέλθῃ. Φιλίππου δὲ τοῦ Μακεδόνος παρὰ πότον τινὰ λόγον μετ' εἰρωνείας ἐμβαλόντος περὶ τῶν μελῶν, καὶ τῶν τραγῳδιῶν, ἃς ὁ πρεσβύτερος Διονύσιος κατέλιπε, καὶ προσποιουμένου διαπορεῖν, ἐν τίνι χρόνῳ ταῦτα ποιεῖν ἐκεῖνος ἐσχόλαζεν, οὐ φαύλως ἀπήντησεν ὁ Διονύσιος εἰπών. ἐν ᾧ σὺ κἀγὼ, καὶ πάντες οἱ μακάριοι δοκοῦντες εἶναι, περὶ κώθωνα διατρίβομεν. Πλάτων μὲν οὖν, οὐκ ἐπεῖδεν ἐν Κορίνθῳ Διονύσιον, ἀλλ' ἔτυχεν ἤδη τεθνηκώς. ὁ δὲ Σινωπεὺς Διογένης ἀπαντήσας αὐτῷ πρῶτον. ὡς ἀναξίως ἔφη Διονύσιε ζῇς. ἐπιστάντος δὲ ἐκείνου καὶ εἰπόντος. εὖ ποιεῖς ὦ Διόγενες, συναχθόμενος ἡμῖν ἠτυχηκόσι. τί γὰρ εἶπεν ὁ Διογένης, οἴει μέ σοι συναλγεῖν. οὐ δ' ἀγανακτεῖν ὅτι τοιοῦτον ἀνδράποδον ὢν, καὶ τοῖς τυραννείοις, ὥσπερ ὁ πατὴρ ἐπιτήδειος ἐγγηράσας ἀποθανεῖν, ἐνταῦθα παίζων καὶ τρυφῶν διάγεις μεθ' ἡμῶν. ὥστε μοι παραβάλλοντι τούτοις, τὰς Φιλίστου φωνὰς, ἃς ἀφίησι περὶ τῶν Λεπτίνου θυγατέρων ὀλοφυρόμενος, ὡς ἐκ μεγάλων ἀγαθῶν, τῶν τῆς τυραννίδος, εἰς ταπεινὴν ἀφιγμένων δίαιταν, φαίνεσθαι θρήνους γυναικὸς ἀλαβάστους. καὶ πορφύρας. καὶ χρυσία ποθούσης. Ταῦτα μὲν οὖν, οὐκ ἀλλότρια τῆς τῶν βίων ἀναγραφῆς, οὔτε ἄχρηστα δόξειν, οἰόμεθα μὴ σπεύδουσι μήτε ἀσχολουμένοις ἀκροαταῖς. τῆς δὲ Διονυσίου δυστυχίας παραλόγου φανείσης, οὐχ ἧττον ἡ Τιμολέοντος εὐτυχία τὸ θαυμαστὸν ἔσχεν. ἐπιβὰς γὰρ Σικελίας ἐν ἡμέραις πεντήκοντα, τήν τε ἀκρόπολιν τῶν Συρακουσίων παρέλαβε, καὶ Διονύσιον εἰς Πελοπόννησον ἐξέπεμψεν. ὅθεν ἐπιρρωσθέντες οἱ Κορίνθιοι πέμπουσιν αὐτῷ δισχιλίους ὁπλίτας, καὶ διακοσίους ἱππεῖς. οἱ κομισθέντες ἄχρι Θουρίων τὴν ἐκεῖθεν περαίωσιν, ὑπὸ Καρχηδονίων πολλαῖς ναυσὶ κατεχομένης τῆς θαλάσσης, ἄπορον ὁρῶντες, ὡς ἐν ἀνάγκῃ καιρὸν περιμένοντες, ἀφέμενοι αὐτόθι, πρὸς κάλλιστον ἔργον ἀπεχρήσαντο τῇ σχολῇ. Θουρίων γὰρ ἐπὶ Βρεττίους στρατευομέ

καὶ

τῶν, ἡγεῖτο, νομίμως καὶ δικαίως καὶ πρὸς τοὺς τυράννους φανερὸς ἦν, ἀεὶ διακείμενος ἀπεχθῶς καὶ ἀλλοτρίως· διὸ καὶ τιμολέοντι τότε τὴν πόλιν, ὁρμητήριον παρεῖχε. καὶ τοὺς πολίτας ἔπεισε, συναγωνίζεσθαι τοῖς κορινθίοις, καὶ συνελευθεροῦν τὴν σικελίαν. Οἱ δ' ἐν τῷ ῥηγίῳ καρχηδόνιοι, τοῦ τιμολέοντος ἀνηγμένου, καὶ τῆς ἐκκλησίας διαλυθείσης· χαλεπῶς φέροντες ἐν τῷ καταστρατηγεῖσθαι, διατριβὴν τοῖς ῥηγίνοις παρεῖχον, εἰ φοίνικες ὄντες· οὐκ ἀρέσκοιντο τοῖς δι' ἀπάτης πραττομένοις. πέμπουσι δ' οὖν εἰς τὸ ταυρομένιον πρεσβευτὴν, ἐπὶ τριήρους. ὃς πολλὰ διαλεχθεὶς πρὸς τὸν ἀνδρόμαχον ἐπαχθῶς, καὶ βαρβαρικῶς ἀνατεινάμενος. εἰ μὴ τὴν ταχίστην ἐκβάλλει τοὺς κορινθίους. τέλος ὑπτίαν τὴν χεῖρα δείξας, εἶτ' αὖθις καταστρέψας, ἠπείλησε τοιαύτην οὖσαν αὐτῷ τὴν πόλιν, τοιαύτην ποιήσειν. γελάσας δ' ὁ ἀνδρόμαχος, ἄλλο μὲν οὐδὲν ἀπεκρίνατο. τὴν δὲ χεῖρα, νῦν μὲν ὑπτίαν ὡς ἐκεῖνος. νῦν δὲ πρηνῆ προτείνας, ἐκέλευσεν ἀποπλεῖν αὐτὸν, εἰ μὴ βούλοιτο τὴν ναῦν, ἀντὶ τοιαύτης γενέσθαι τοιαύτην. Ὁ δ' ἱκέτης πυθόμενος τὴν τοῦ τιμολέοντος διάβασιν, καὶ φοβηθεὶς, μετεπέμψατο πολλὰς τῶν καρχηδονίων τριήρεις. ὅτε καὶ παντάπασι συνέβη, τοὺς συρακουσίους ἀπογνῶναι τὴν σωτηρίαν ὁρῶντας, τοὺς μὲν λιμένας αὐτῶν, καρχηδονίους κρατοῦντας. τὴν δὲ πόλιν, ἱκέτην ἔχοντα. τῆς δ' ἄκρας κυριεύοντα διονύσιον. τιμολέοντα δὲ, ὥσπερ ἐκ κρασπέδου τινὸς λεπτοῦ, τῆς ταυρομενιτῶν πολίχνης, τῇ σικελίᾳ προσηρτημένον, ἐπ' ἐλπίδος ἀσθενοῦς καὶ βραχείας δυνάμεως. χιλίων γὰρ αὐτῷ στρατιωτῶν. καὶ τροφῆς τούτοις ἀναγκαίας πλέον οὐδὲν ὑπῆρχεν. οὐδ' ἐπίστευον αἱ πόλεις, διάπλεαι κακῶν οὖσαι. καὶ πρὸς ἅπαντας ἀπηγριωμέναι τοὺς ἡγουμένους στρατοπέδων. μάλιστα, διὰ τὴν καλλίππου καὶ φάρακος ἀπιστίαν. ὧν ὁ μὲν ἀθηναῖος ὤν. ὁ δὲ λακεδαιμόνιος. ἀμφότεροι δὲ φάσκοντες, ὑπὲρ τῆς ἐλευθερίας ἥκειν καὶ καταλύειν τοὺς μονάρχους, χρυσὸν ἔδειξαν τῇ σικελίᾳ τὰς ἐν τῇ τυραννίδι συμφοράς. καὶ μακαριωτέρους δοκεῖν ἐποίησαν, τοὺς καταστρέψαντας ἐν τῇ δουλείᾳ τῶν ἐπιδόντων τὴν αὐτονομίαν. Οὐδὲν οὖν ἐκείνων βελτίονα τὸν κορίνθιον ἔσεσθαι προσδοκῶντες, ἀλλὰ ταὐτὰ πάλιν ἥκειν ἐπ' αὐτοὺς, σοφίσματα καὶ δελεάσματα, μετ' ἐλπίδων χρηστῶν, καὶ φιλανθρώπων ὑποσχέσεων, εἰς μεταβολὴν δεσπότου καινοῦ τιθασευομένους, ὑπώπτευον καὶ διεκρούοντο, τὰς τῶν κορινθίων προκλήσεις. πλὴν ἀδρανιτῶν. οἳ πόλιν μικρὰν μὲν, ἱερὰν δ' οὖσαν ἀδρανοῦ θεοῦ τινὸς τιμωμένου διαφερόντως ἐν ὅλῃ σικελίᾳ, κατοικοῦντες, ἐστασίαζον πρὸς ἀλλήλους. οἱ μὲν ἱκέτην προσαγόμενοι, καὶ καρχηδονίους. οἱ δὲ πρὸς τιμολέοντα διαπεμπόμενοι. καί πως ἀπ' αὐτομάτου συνέτυχε, σπευδόντων ἀμφοτέρων, εἰς ἕνα καιρὸν, ἀμφοτέροις γενέσθαι τὴν παρουσίαν. ἀλλ' ἱκέτης μὲν ἧκεν πεντακισχιλίους στρατιώτας ἔχων. τιμολέοντι δὲ, οἱ σύμπαντες ἦσαν, οὐ πλείους χιλίων διακοσίων, οὓς ἀναλαβὼν ἐκ τοῦ ταυρομενίου σταδίων πρὸς τὸ ἀδρανὸν ὄντων τετταράκοντα καὶ τριακοσίων. τῇ μὲν πρώτῃ τῶν ἡμερῶν, οὐ πολὺ μέρος τῆς ὁδοῦ προέλαβε, καὶ κατηυλίσατο. τῇ δ' ὑστεραίᾳ συντόνως ὁδεύσας, καὶ χαλεπὰ χωρία διελθὼν, ἤδη τῆς ἡμέρας καταφερομένης, ἤκουσεν ἄρτι προσμιγνύναι τὸν ἱκέτην τῷ πολιχνίῳ καὶ καταστρατοπεδεύειν. Οἱ μὲν οὖν λοχαγοὶ καὶ ταξίαρχοι, τοὺς πρώτους ἐπέστησαν, ὡς ἐμφαγοῦσι καὶ διαναπαυσαμένοις, χρησόμενοι προθυμοτέροις. ὁ δὲ τιμολέων ἐπιπορευόμενος ἐδεῖτο ταῦτα μὴ ποιεῖν, ἀλλ' ἄγειν κατὰ τάχος καὶ συνάπτειν τοῖς πολεμίοις, ἀσυντάκτοις οὖσιν, ὡς εἰκὸς ἄρτι πανομένους ὁδοιπορίας. καὶ περὶ σκηνὰς καὶ δεῖπνον ἀσχόλους ὄντας. καὶ λέγων ἅμα ταῦτα τὴν ἀσπίδα λαβὼν, ἡγεῖτο πρῶτος, ὥσπερ ἐπὶ νίκην πρόδηλον. οἱ δ' εἵποντο τεθαρρηκότες. ἔλαττον, ἢ τριάκοντα σταδίους ἔτι τῶν πολεμίων ἀπέχοντες. ὡς δὲ καὶ τούτους διῆλθον, ἐπιπίπτουσιν αὐτοῖς ταραττομένοις, καὶ φεύγουσιν ὡς πρῶτον ᾔσθοντο προσιόντας. ὅθεν ἀνῃρέθησαν μὲν, οὐ πολλῷ πλείους τριακοσίων. ἑάλωσαν δὲ, δὶς τοσοῦτοι ζῶντες. ἐλήφθη δὲ τὸ στρατόπεδον. οἱ δὲ ἀδρανῖται τὰς πύλας ἀνοίξαντες, προσετίθεντο τῷ τιμολέοντι, μετὰ φρίκης καὶ θαύματος, ἀπαγγέλλοντες ὡς ἐνισταμένης τῆς μάχης, οἱ μὲν ἱεροὶ τοῦ νεὼ πυλῶνες αὐτόματοι διανοιχθεῖεν. ὀφθείη δὲ τοῦ θεοῦ τὸ μὲν δόρυ, σειόμενον ἐκ τῆς αἰχμῆς ἄκρας. τὸ δὲ πρόσωπον, ἱδρῶτι πολλῷ ῥεόμενον. Ταῦτα δ' ὡς ἔοικεν, οὐ τὴν τότε νίκην ἐσήμαινε μόνον, ἀλλὰ καὶ τὰς μετὰ ταῦτα πράξεις, αἷς ἐκεῖνος ὁ ἀγὼν ἀρχὴν εὐτυχῆ παρέσχεν. καὶ γὰρ πόλεις εὐθὺς ἐπιπρεσβευόμεναι προσετίθεντο τῷ τιμολέοντι. καὶ μάμερκος ὁ κατάνης τύραννος, πολεμιστὴς ἀνὴρ καὶ χρήμασιν ἐρρωμένος. ἔδωκεν αὑτὸν εἰς συμμαχίαν. τὸ δὲ μέγιστον, αὐτὸς διονύσιος ἀπειρηκὼς ἤδη ταῖς ἐλπίσι, καὶ μικρὸν ἀπολιπὼν ἐκπολιορκεῖσθαι, τοῦ μὲν ἱκέτου κατεφρόνησεν, αἰσχρῶς ἡττημένου. τὸν δὲ τιμολέοντα θαυμάζων, ἔπεμψεν ἐκείνῳ, καὶ κορινθίοις παραδιδοὺς αὑτὸν, καὶ τὴν ἀκρόπολιν.

Δεξάμενος δ' ὁ τιμολέων, τὴν ἀνέλπιστον εὐτυχίαν, ἀποστέλλει τοὺς περὶ εὐκλείδην καὶ τηλέμαχον ἄνδρας κορινθίους, εἰς τὴν ἀκρόπολιν. καὶ στρατιώτας τετρακοσίους, οὐχ ὁμοῦ πάντας, οὐδὲ φανερῶς. ἀδύνατον γὰρ ἦν ἐφορμούντων πολεμίων, ἀλλὰ κρύφα καὶ κατ' ὀλίγους παρεισπεσόντας.

Οἱ μὲν οὖν στρατιῶται παρέλαβον τὴν ἀκρόπολιν καὶ τὰ τυραννεῖα μετὰ τῆς παρασκευῆς, καὶ τῶν χρησίμων πρὸς τὸν πόλεμον. ἵπποι τε γὰρ ἐνῆσαν, οὐκ ὀλίγοι, καὶ πᾶσα μηχανημάτων ἰδέα καὶ βε-

κ(αὶ) ἀδριανὸν · q · ... cenor in impressis.

κυτα

τοι ς · τ · η

καὶ διαπτάναι ἔχειν αὐτούς, πλέοντας εἰς σικελίαν καὶ κινδυνεύοντας, ἄλλως τε καρχηδονίων ἀπαγγελθέντων καὶ παραφυλαττομένων ναυσὶ πολλαῖς τὸν στόλον, οὓς αὐτὸς ἀναγκασθεὶς ἐκείνων βραδυνόντων, ποιήσαιτο συμμάχους ἐπὶ τὸν τύραννον. Τούτων δὲ τῶν γραμμάτων ἀναγνωσθέντων, εἰ καί τις ἠπίως εἶχε πρότερον τῶν κορινθίων πρὸς τὴν στρατείαν, τότε πάντας ἡ πρὸς τὸν ἱκέτην ὀργὴ παρώξυνεν, ὥστε συγχορηγῆσαι προθύμως τῷ τιμολέοντι καὶ συμπαρασκευάσαι τὸν ἔκπλουν. γενομένων δὲ τῶν νεῶν ἑτοίμων, καὶ τοῖς στρατιώταις ὧν ἔδει πορισθέντων, αἱ μὲν ἱέρειαι τῆς κόρης, ὄναρ ἔδοξαν ἰδεῖν τὰς θεὰς πρὸς ἀποδημίαν τινὰ στελλομένας, καὶ λεγούσας, ὡς τιμολέοντι μέλλουσι συμπλεῖν εἰς σικελίαν. διὸ καὶ τριήρη κατασκευάσαντες ἱερὰν οἱ κορίνθιοι, ταῖν θεαῖν ἐπωνόμασαν. αὐτὸς δ᾽ ἐκεῖνος, εἰς δελφοὺς πορευθεὶς, ἔθυσε τῷ θεῷ. καὶ καταβαίνοντος εἰς τὸ μαντεῖον αὐτοῦ, γίνεται σημεῖον. ἐκ γὰρ τῶν κρεμαμένων ἀναθημάτων, ταινία τις ἀπορρυεῖσα, καὶ φερομένη στεφάνους ἔχουσα καὶ νίκας ἐμπεποικιλμένας, περιέπεσε τῇ κεφαλῇ τοῦ τιμολέοντος. ὡς δοκεῖν αὐτὸν ὑπὸ τοῦ θεοῦ στεφανούμενον, ἐπὶ τὰς πράξεις προπέμπεσθαι. Ναῦς δὲ κορινθίας ἔχων ἑπτὰ, κερκυραίας δὲ δύο, καὶ τὴν δεκάτην, λευκαδίων προσπαρασχόντων, ἀνήχθη, καὶ νυκτὸς ἐμβαλὼν εἰς τὸ πέλαγος, καὶ πνεύματι καλῷ χρώμενος, ἔδοξεν αἰφνιδίως ῥαγέντα τὸν οὐρανὸν ὑπὲρ τῆς νεὼς ἐκχέαι πολὺ καὶ περιφανὲς πῦρ. ἐκ δὲ τούτου λαμπὰς ἀρθεῖσα, ταῖς μυστικαῖς ἐμφερὴς, καὶ συμπαραθέουσα τὸν αὐτὸν δρόμον, ᾗ μάλιστα τῆς ἰταλίας ἐπεῖχον οἱ κυβερνῆται, κατέσκηψεν. οἱ δὲ μάντεις, τὸ φάσμα τοῖς ὀνείρασι τῶν ἱερειῶν μαρτυρεῖν ἀπεφαίνοντο. καὶ τὰς θεὰς, συνεφαπτομένας τῆς στρατείας, προφαίνειν ἐξ οὐρανοῦ τὸ σέλας. εἶναι γὰρ ἱερὰν τῆς κόρης τὴν σικελίαν. ἐπεὶ καὶ τὰ περὶ τὴν ἁρπαγὴν, αὐτόθι μυθολογοῦσι γενέσθαι. καὶ τὴν νῆσον ἐν τοῖς γάμοις ἀνακαλυπτήριον αὐτῇ δοθῆναι. Τὰ μὲν οὖν παρὰ τῶν θεῶν, οὕτω τὸν στόλον ἐθάρρυνε. καὶ σπεύδοντες, ὡς τὸ πέλαγος διαπλέοντες, ἐκομίζοντο παρὰ τὴν ἰταλίαν. τὰ δ᾽ ἀπὸ τῆς σικελίας ἀγγελλόμενα, πολλὴν ἀπορίαν τῷ τιμολέοντι καὶ δυσθυμίαν τοῖς στρατιώταις παρεῖχεν. ὁ γὰρ ἱκέτης, μάχῃ νενικηκὼς διονύσιον, καὶ τὰ πλεῖστα μέρη τῶν συρακουσῶν κατειληφώς, ἐκεῖνον μὲν εἰς τὴν ἀκρόπολιν καὶ τὴν καλουμένην νῆσον συνεσταλμένον, αὐτὸς ἐπολιόρκει, καὶ συμπεριετείχιζεν. καρχηδονίους δὲ, φροντίζειν ἐκέλευεν, ὅπως οὐκ ἐπιβήσοιτο τιμολέων σικελίας. ἀλλ᾽ ἀπωσθέντων ἐκείνων, αὐτοὶ καθ᾽ ἡσυχίαν, διανεμοῦνται πρὸς ἀλλήλους τὴν νῆσον. οἱ δὲ πέμπουσιν εἴκοσι τριήρεις εἰς ῥήγιον, ἐφ᾽ ὧν ἔπλεον πρεσβευταὶ παρ᾽ αὐτοῦ πρὸς τιμολέοντα, κομίζοντες λόγους τοῖς πραττομένοις ὁμοίους. παραλογισμοὶ γὰρ εὐπρεπεῖς, καὶ φάσεις ἦσαν ἐπὶ μοχθηροῖς βουλεύμασιν, ἀξιούντων, αὐτὸν μὲν εἰ βούλοιτο τιμολέοντα σύμβουλον ἥκειν παρ᾽ ἱκέτην, καὶ κοινωνὸν εὖ διαπεπραγμένων ἁπάντων. τὰς δὲ ναῦς καὶ τοὺς στρατιώτας, ἀποστέλλειν εἰς κόρινθον. ὡς τοῦ πολέμου μικρὸν ἀπολείποντος, συνῃρῆσθαι. καρχηδονίων δὲ, κωλύειν τὴν διάβασιν, καὶ μάχεσθαι πρὸς βιαζομένους, ἑτοίμων ὄντων. Ὡς οὖν καταπλεύσαντες εἰς ῥήγιον οἱ κορίνθιοι, τοῖς τε πρεσβεύμασι τούτοις ἐνέτυχον, καὶ τοὺς φοίνικας οὐ πρόσω ναυλοχοῦντας κατεῖδον, ἤχθοντο μὲν ὑβρισμένοι, καὶ παρίστατο πᾶσιν ὀργὴ πρὸς τὸν ἱκέτην, καὶ δέος ὑπὲρ σικελιωτῶν, οὓς σαφῶς ἑώρων, ἆθλα λελειμμένους καὶ μισθὸν ἱκέτῃ μὲν, προδοσίας, καρχηδονίοις δὲ, τυραννίδος. ἐδόκει δ᾽ ἀμήχανον ὑπερβαλέσθαι, καὶ τὰς αὐτόθι τῶν βαρβάρων ναῦς, διπλασίας ἐφορμούσας, καὶ τὴν ἐκεῖ μεθ᾽ ἱκέτου δύναμιν, ἣ στρατηγήσοντες ἧκοιεν. Οὐ μὴν ἀλλ᾽ ὁ τιμολέων τοῖς πρεσβευταῖς καὶ τοῖς ἄρχουσι τῶν καρχηδονίων ἐντυχὼν, ἐπιεικῶς ἔφη. πείσεσθαι μὲν οἷς κελεύουσι. τί γὰρ ἂν καὶ περαίνειν ἀπειθῶν. ἐθέλειν δὲ ταῦτα πόλεως ἑλληνίδος, καὶ φίλης κοινῆς τῆς ῥηγίνων ἐναντίον ἀκούσας, καὶ εἰπὼν, ἀπαλλάττεσθαι. καὶ γὰρ αὐτῷ τοῦτο πρὸς ἀσφάλειαν διαφέρειν. κἀκείνους ἐμμενεῖν βεβαιότερον οἷς ἐπαγγέλλονται περὶ συρακουσίων, δήμῳ μάρτυρι τὰς ὁμολογίας παρακαταθεμένους. Ταῦτα δ᾽ ὑπέτεινεν αὐτοῖς ἀπάτην ἐπὶ τῇ διαβάσει τεχνάζων, καὶ συνετέχναζον οἱ τῶν ῥηγίνων στρατηγοὶ πάντες, ἐπιθυμοῦντες ἐν κορινθίοις τὰ πράγματα τῶν σικελιωτῶν γενέσθαι, καὶ φοβούμενοι τὴν τῶν βαρβάρων γειτνίασιν. διὸ συνῆγον ἐκκλησίαν, καὶ τὰς πύλας ἀπέκλειον, ὡς μὴ πρὸς ἄλλο τι τρέπεσθαι τοὺς πολίτας. καὶ παρελθόντες εἰς τὸ πλῆθος, ἐχρῶντο μήκει λόγων, ἕτερος ἑτέρῳ παραδιδοὺς τὴν αὐτὴν ὑπόθεσιν, πρὸς οὐδὲν τέλος, ἀλλὰ διάγοντες ἄλλως τὸν χρόνον, ἕως ἀναχθῶσιν αἱ τῶν κορινθίων τριήρεις. καὶ καρχηδονίους ἐπὶ τῆς ἐκκλησίας κατέχοντες ἀνυπόπτως, ἅτε καὶ τοῦ τιμολέοντος παρόντος, καὶ παρέχοντος δόκησιν ὅσον οὔπω πρὸς τὸν λόγον ἀνίστασθαι καὶ δημηγορεῖν. Ὡς δ᾽ ἀπήγγειλέ τις αὐτῷ κρύφα, τὰς μὲν ἄλλας τριήρεις ἀνῆχθαι, μίαν δὲ τὴν ἐκείνου περιμένειν ἀπολελειμμένην, διεκδὺς τὸν ὄχλον, ἅμα τῶν περὶ τὸ βῆμα ῥηγίνων συνεπικρυπτόντων, καὶ καταβὰς ἐπὶ τὴν θάλασσαν, ἐξέπλευσε διὰ ταχέων. καὶ κατήχθησαν εἰς ταυρομένιον τῆς σικελίας. ὑποδεχομένου καὶ καλοῦντος αὐτοὺς ἔτι πάλαι προθύμως ἀνδρομάχου, τοῦ τὴν πόλιν ἔχοντος καὶ δυναστεύοντος. οὗτος ἦν πατὴρ τιμαίου τοῦ ἱστορικοῦ, καὶ πολὺ κράτιστος τῶν τότε δυναστευόντων ἐν σικελίᾳ γενόμενος. τῶν τε ἑαυτοῦ πολιτῶν ἡγεῖτο

τὰ ὅπλα, μόλις ἐώσατο τοὺς πολεμίους, καὶ διέσωσε τὸν ἀδελφόν. Ἐπεὶ δ' οἱ κορίνθιοι δεδιότες μὴ πάθοιεν οἷα καὶ πρότερον ὑπὸ τῶν συμμάχων, ἀποβαλόντες τὴν πόλιν, ἐψηφίσαντο τρέφειν ξένους, τετρακοσίους, καὶ τούτων ἄρχοντα, τιμοφάνην κατέστησαν. ὁ δὲ, τῶν καλῶν καὶ δικαίων ὑπεριδὼν, εὐθέως ἐπέραινεν, ἐξ ὧν ποιήσεται τὴν πόλιν ὑφ' αὑτῷ, καὶ συχνοὺς ἀνελὼν ἀκρίτους τῶν πρώτων πολιτῶν, ἀνέδειξεν αὐτὸς ἑαυτὸν τύραννον. βαρέως δὲ φέρων ὁ τιμολέων, καὶ συμφορὰν ποιούμενος ἑαυτοῦ, τὴν ἐκείνου κακίαν, ἐπεχείρησεν μὲν αὐτῷ διαλέγεσθαι, καὶ παρακαλεῖν, ἀφέντα τὴν μανίαν καὶ δυστυχίαν τῆς ἐπιθυμίας ἐκείνης, ζητεῖν τινὰ τῶν ἡμαρτημένων ἐπανόρθωσιν πρὸς τοὺς πολίτας. ἀπωσαμένου δ' ἐκείνου, καὶ καταφρονήσαντος, οὕτω παραλαβὼν, τῶν μὲν οἰκείων αἰσχύλον ἀδελφὸν ὄντα τῆς τιμοφάνους γυναικὸς, τῶν δὲ φίλων τὸν μάντιν. ὃν σάτυρον μὲν θεόπομπος. ἔφορος δὲ, καὶ τίμαιος ὀρθαγόραν ὀνομάζουσιν, καὶ διαλιπὼν ἡμέρας ὀλίγας, αὖθις ἀνέβη πρὸς τὸν ἀδελφὸν, καὶ περιστάντες αὐτὸν οἱ τρεῖς καθικέτευον, ἀλλὰ νῦν γε χρησάμενον λογισμῷ μεταβαλέσθαι. Τοῦ δὲ τιμοφάνους πρῶτον μὲν αὐτῶν καταγελῶντος. ἔπειτα δὲ πρὸς ὀργὴν ἐκφερομένου καὶ χαλεπαίνοντος. ὁ μὲν τιμολέων, ἀποχωρήσας μικρὸν αὐτοῦ καὶ συγκαλυψάμενος, εἱστήκει δακρύων. ἐκεῖνοι δὲ, τὰ ξίφη σπασάμενοι, ταχὺ διαφθείρουσιν αὐτόν. Τῆς δὲ πράξεως διαβοηθείσης. οἱ μὲν κράτιστοι τῶν κορινθίων, ἐπῄνουν τὴν μισοπονηρίαν καὶ μεγαλοψυχίαν τοῦ τιμολέοντος. ὅτι χρηστὸς ὢν, καὶ φιλοίκειος. ὅμως, τὴν πατρίδα τῆς οἰκίας, καὶ τὸ καλὸν καὶ τὸ δίκαιον, προετίμησεν τοῦ συμφέροντος. ἀριστεύοντα μὲν ὑπὲρ τῆς πατρίδος, διασώσας τὸν ἀδελφόν. ἐπιβουλεύσαντα δὲ αὐτῇ καὶ καταδουλωσάμενον, ἀποκτείνας. οἱ δὲ μὴ δυνάμενοι ζῆν ἐν τῇ δημοκρατίᾳ. καὶ πρὸς τοὺς δυνάστας ἀποβλέπειν εἰωθότες. τῷ μὲν θανάτῳ τοῦ τυράννου, προσεποιοῦντο χαίρειν. τὸν δὲ τιμολέοντα λοιδοροῦντες, ὡς ἀσεβὲς ἐξειργασμένον, καὶ μυσῶδες ἔργον, εἰς ἀθυμίαν περιέστησαν. Ἐπεὶ δὲ, καὶ τὴν μητέρα δυσφορεῖν πυθόμενος, καὶ φωνάς τε δεινὰς καὶ κατάρας ἐπ' αὐτὸν ἀρᾶσθαι φρικώδεις, ἐβάδιζε παραμυθησόμενος. ἡ δὲ προσιδεῖν οὐχ ὑπέμεινε τὴν ὄψιν. ἀλλὰ τὴν οἰκίαν ἀπέκλεισε, τότε δὴ, παντάπασι περίλυπος γενόμενος, καὶ συνταραχθεὶς τὴν διάνοιαν, ὥρμησε μὲν, ὡς διαφθερῶν ἑαυτὸν, ἀπέχεσθαι τροφῆς. τῶν δὲ φίλων οὐ περιιδόντων, ἀλλὰ πᾶσαν δέησιν καὶ πᾶσαν ἀνάγκην προσενεγκαμένων, ἔγνω ζῆν καθ' ἑαυτὸν ἐκ μέσου γενόμενος. καὶ πολιτείαν μὲν ἅπασαν ἀφῆκεν. τοὺς δὲ πρώτους χρόνους. οὐδὲ κατιὼν εἰς πόλιν, ἀλλ' ἀδημονῶν καὶ πλανώμενος, ἐν τοῖς ἐρημοτάτοις τῶν ἀγρῶν διετέλεσεν. οὕτως αἱ κρίσεις, ἂν μὴ βεβαιότητα καὶ ῥώμην. ἐκ λόγου καὶ φιλοσοφίας προσλάβωσιν ἐπὶ τὰς πράξεις, σείονται, καὶ παραφέρονται ῥᾳδίως ὑπὸ τῶν τυχόντων ἐπαίνων καὶ ψόγων, ἐκκρουόμεναι τῶν οἰκείων λογισμῶν. δεῖ γὰρ οὐ μόνον, ὡς ἔοικε, τὴν πρᾶξιν καλὴν εἶναι καὶ δικαίαν, ἀλλὰ καὶ τὴν δόξαν ἀφ' ἧς πράττεται μόνιμον καὶ ἀμετάπτωτον. ἵνα πράττωμεν, δοκιμάσαντες. μὴ δ' ὡς περ οἱ λίχνοι, τὰ πλήσμια τῶν ἐδεσμάτων. ὀξυτάτῃ διώκοντες ἐπιθυμίᾳ, τάχιστα δυσχεραίνουσιν ἐμπλησθέντες, οὕτως ἡμεῖς ἐπὶ ταῖς πράξεσι, συντελεσθείσαις ἀθυμῶμεν. δι' ἀσθένειαν, ἀπομαραινομένης τῆς τοῦ καλοῦ φαντασίας. αἰσχρὸν γὰρ ἡ μετάνοια ποιεῖ, καὶ τὸ καλῶς πεπραγμένον. ἡ δ' ἐξ ἐπιστήμης ὡρμημένη καὶ λογισμοῦ προαίρεσις, οὐδ' ἂν πταίσωσιν, αἱ πράξεις μεταβάλλεται.

Διὸ φωκίων μὲν ὁ ἀθηναῖος, τοῖς ὑπὸ λεωσθένους πεπραγμένοις ἐναντιωθεὶς, ἐπειδὴ κατορθοῦν ἐκεῖνος ἐδόκει, καὶ θύοντας ἑώρα καὶ μεγαλαυχουμένους τῇ νίκῃ τοὺς ἀθηναίους, εἶπεν. ὡς ἐβούλετο ἂν αὐτῷ, ταῦτα μὲν πεπρᾶχθαι, βεβουλεῦσθαι δ' ἐκεῖνα. σφοδρότερον δ' ἀριστείδης ὁ λοκρὸς εἷς ὢν τῶν πλάτωνος ἑταίρων. αἰτοῦντος μὲν αὐτῷ γυναῖκα διονυσίου τοῦ πρεσβυτέρου, μίαν τῶν θυγατέρων. ἥδιον ἂν ἔφη, νεκρὰν ἰδεῖν τὴν κόρην, ἢ τυράννῳ συνοικοῦσαν. ἀποκτείναντος δὲ τοὺς παῖδας αὐτοῦ μετ' ὀλίγον χρόνον τοῦ διονυσίου, καὶ πυθομένου πρὸς ὕβριν, εἰ τὴν αὐτὴν ἔτι γνώμην ἔχοι περὶ τῆς ἐκδόσεως τῶν θυγατέρων, ἀνεπεκρίνατο. τοῖς μὲν γεγενημένοις λυπεῖσθαι. τοῖς δ' εἰρημένοις, μὴ μεταμελεῖσθαι. ταῦτα μὲν οὖν ἴσως, μείζονος καὶ τελειοτέρας ἀρετῆς ἐστιν. Τὸ δὲ τιμολέοντος ἐπὶ τοῖς πεπραγμένοις πάθος, εἴτ' οἶκτος ἦν, τοῦ τεθνηκότος. εἴτε τῆς μητρὸς αἰδὼς, οὕτω κατέκλασε καὶ συνέτριψεν αὐτοῦ τὴν διάνοιαν, ὥστ' εἴκοσι σχεδὸν ἐτῶν διαγενομένων, μηδεμιᾶς ἐπιφανοῦς, μὴ δὲ πολιτικῆς ἅψασθαι πράξεως. ἀναγορευθέντος οὖν αὐτοῦ, καὶ τοῦ δήμου προθύμως δεξαμένου καὶ χειροτονήσαντος. ἀναστὰς τηλεκλείδης, ὁ τότε καὶ δυνάμει καὶ δόξῃ πρωτεύων ἐν τῇ πόλει, παρεκάλει τὸν τιμολέοντα περὶ τὰς πράξεις, ἀγαθὸν ἄνδρα εἶναι καὶ γενναῖον. ἂν γὰρ μὲν ἔφη καλῶς ἀγωνίσῃ, τύραννον ἀνῃρηκέναι δόξομεν. ἂν δὲ φαύλως, ἀδελφόν. Παρασκευαζομένου δὲ τοῦ τιμολέοντος τὸν ἔκπλουν, καὶ στρατιώτας συνάγοντος, ἐκομίσθη γράμματα πρὸς τοὺς κορινθίους, παρ' ἱκέτου μηνύοντα τὴν μεταβολὴν αὐτοῦ καὶ προδοσίαν. ὡς γὰρ τάχιστα τοὺς πρέσβεις ἐξέπεμψεν, τοῖς καρχηδονίοις προσθέμενος, ἀναφανδὸν, ἔπραττε μετ' ἐκείνων. ὅπως, διονύσιον ἐκβαλὼν συρακουσῶν, αὐτὸς ἔσται τύραννος. καὶ δεδοικώς. μὴ πρότερον ἐλθούσης ἐκ κορίνθου δυνάμεως καὶ στρατηγοῦ, διαφύγωσιν αἱ πράξεις αὐτὸν, ἔπεμψεν ἐπιστολὴν τοῖς κορινθίοις φράζουσαν. ὡς οὐδὲν δέοι, πράγματα

Τὰ μὲν συρακουσίων πράγματα, πρὸ τῆς τιμολέοντος εἰς σικελίαν ἀποστολῆς, οὕτως εἶχεν. ἐπεὶ δίων μὲν ἐξελάσας διονύσιον τὸν τύραννον, εὐθὺς ἀνῃρέθη δόλῳ, καὶ διέστησαν οἱ σὺν δίωνι συρακουσίους ἐλευθερώσαντες. ἡ δὲ πόλις, ἄλλον ἐξ ἄλλου μεταβάλλουσα συνεχῶς τύραννον ὑπὸ πλήθους κακῶν, μικρὸν ἀπέλιπεν ἔρημος εἶναι. τῆς δὲ ἄλλης σικελίας, ἡ μὲν ἀνάστατος καὶ ἄπολις παντάπασιν ἤδη διὰ τοὺς πολέμους ὑπῆρχεν. αἱ δὲ πλεῖσται πόλεις, ὑπὸ βαρβάρων μιγάδων, καὶ στρατιωτῶν ἀμίσθων κατείχοντο ῥᾳδίως προσιεμένων τὰς μεταβολὰς τῶν δυναστειῶν. διονύσιος ἔτει δεκάτῳ ξένους συναγαγὼν, καὶ τὸν τότε κρατοῦντα τῶν συρακουσίων νυσαῖον ἐξελάσας, ἀνέλαβε τὰ πράγματα πάλιν, καὶ καθειστήκει τύραννος ἐξ ἀρχῆς. παραλόγως μὲν ὑπὸ μικρᾶς δυνάμεως τὴν μεγίστην τῶν πώποτε τυραννίδων ἀπολέσας. παραλογώτερον δ᾽ αὖθις, ἐκ φυγάδος καὶ ταπεινοῦ, τῶν ἐκβαλόντων κύριος γενόμενος. οἱ μὲν οὖν ὑπομείναντες ἐν τῇ πόλει τῶν συρακουσίων ἐδούλευον, οὔτ᾽ ἄλλως ἐπιεικεῖ τυράννῳ, καὶ τότε παντάπασιν ὑπὸ συμφορῶν ἀπηγριωμένῳ τὴν ψυχήν. οἱ δὲ βέλτιστοι καὶ γνωριμώτατοι πρὸς ἱκέτην τραπόμενοι, τὸν δυναστεύοντα τῶν λεοντίνων, ἐπέτρεψαν αὐτοὺς ἐκείνῳ, καὶ στρατηγὸν εἵλοντο τοῦ πολέμου. βελτίω μὲν, οὐδενὸς ὄντα τῶν ὁμολογουμένως τυράννων. ἑτέραν δ᾽ οὐκ ἔχοντες ἀποστροφὴν, καὶ πιστεύσαντες συρακουσίῳ τὸ γένος ὄντι, καὶ κεκτημένῳ δύναμιν ἀξιόμαχον πρὸς τὸν τύραννον. ἐν τούτῳ δὲ, καρχηδονίων στόλῳ μεγάλῳ παραγενομένων εἰς σικελίαν, καὶ τοῖς πράγμασιν ἐπαιωρουμένων, φοβηθέντες οἱ σικελιῶται, πρεσβείαν ἐβούλοντο πέμπειν εἰς τὴν ἑλλάδα, καὶ παρὰ κορινθίων βοήθειαν αἰτεῖν, οὐ μόνον διὰ τὴν συγγένειαν, οὐδ᾽ ἀφ᾽ ὧν ἤδη πολλάκις εὐεργέτηντο, πιστεύοντες ἐκείνοις, ἀλλὰ καὶ καθόλου, τὴν πόλιν ὁρῶντες φιλελεύθερον καὶ μισοτύραννον οὖσαν ἀεὶ. καὶ τῶν πολέμων, τοὺς πλείστους καὶ μεγίστους, πεπολεμηκυῖαν, οὐχ ὑπὲρ ἡγεμονίας καὶ πλεονεξίας, ἀλλ᾽ ὑπὲρ τῆς τῶν ἑλλήνων ἐλευθερίας. ὁ δ᾽ ἱκέτης ἅτε δὴ τῆς στρατηγίας ὑπόθεσιν, τὴν τυραννίδα πεποιημένος, οὐ τὴν συρακουσίων ἐλευθερίαν, κρύφα μὲν, ἤδη πρὸς τοὺς καρχηδονίους διείλεκτο. φανερῶς δὲ, τοὺς συρακουσίους ἐπῄνει, καὶ τοὺς πρέσβεις, εἰς πελοπόννησον συνεξέπεμψεν. οὐ βουλόμενος ἐλθεῖν συμμαχίαν ἐκεῖθεν. ἀλλ᾽ ἐὰν ὅπερ εἰκὸς ἦν, οἱ κορίνθιοι διὰ τὰς ἑλληνικὰς ταραχὰς καὶ ἀσχολίας, ἀπείπωσι τὴν βοήθειαν, ἐλπίζων ῥᾷον ἐπὶ τοὺς καρχηδονίους τὰ πράγματα μετάξειν, καὶ χρήσεσθαι συμμάχοις καὶ συναγωνισταῖς ἐκείνοις ἐπὶ τοὺς συρακουσίους, ἢ κατὰ τοῦ τυράννου. ταῦτα μὲν οὖν ὀλίγον ὕστερον ἐξηλέγχθη. τῶν δὲ πρέσβεων παραγενομένων, οἱ κορίνθιοι κήδεσθαι μὲν ἀεὶ τῶν ἀποικίδων πόλεων, καὶ μάλιστα τῆς συρακουσίων εἰωθότες, οὐδενὸς δ᾽ αὐτοὺς τότε τῶν ἑλληνικῶν κατὰ τύχην παρενοχλοῦντος, ἀλλ᾽ ἐν εἰρήνῃ καὶ σχολῇ διάγοντες, ἐψηφίσαντο προθύμως βοηθεῖν. ζητουμένου δὲ στρατηγοῦ, καὶ τῶν ἀρχόντων γραφόντων καὶ προβαλλομένων, τοὺς εὐδοκιμεῖν ἐν τῇ πόλει σπουδάζοντας, εἷς ἐκ τῶν πολλῶν ἀναστὰς, ὠνόμασε τιμολέοντα, τὸν τιμοδήμου, μήτε προσιόντα τοῖς κοινοῖς ἔτι, μήτ᾽ ἐλπίδος τοιαύτης γενόμενον, ἢ προαιρέσεως. ἀλλὰ θεοῦ τινὸς ὡς ἔοικεν, εἰς νοῦν ἐμβαλόντος τῷ ἀνθρώπῳ. τοσαύτη καὶ περὶ τὴν αἵρεσιν εὐθὺς ἔλαμψεν τύχης εὐμένεια. καὶ ταῖς ἄλλαις πράξεσιν ἐπηκολούθησε χάρις, ἐπικοσμοῦσα τὴν ἀρετὴν τοῦ ἀνδρός. ἦν μὲν οὖν γονέων ἐπιφανῶν ἐν τῇ πόλει τιμοδήμου καὶ δημαρίστης, φιλόπατρις δὲ καὶ πρᾷος διαφερόντως. ὅσα μὴ σφόδρα μισοτύραννος εἶναι καὶ μισοπόνηρος. ἐν δὲ τοῖς πολέμοις οὕτω καλῶς καὶ ὁμαλῶς ἐκέκρατο τὴν φύσιν, ὥστε πολλὴν μὲν ἐν νέῳ σύνεσιν, οὐκ ἐλάττω δὲ γηρῶντος ἀνδρείαν ἐπιφαίνεσθαι ταῖς πράξεσιν. ἀδελφὸν δ᾽ εἶχε τιμοφάνην πρεσβύτερον, οὐδὲν αὐτῷ προσόμοιον, ἀλλ᾽ ἔμπληκτον καὶ διεφθαρμένον ἔρωτι μοναρχίας, ὑπὸ φίλων φαύλων καὶ ξένων στρατιωτικῶν ἀεὶ περὶ αὐτὸν ὄντων, ἔχειν τι δοκοῦντα ῥαγδαῖον ἐν ταῖς στρατείαις, καὶ φιλοκίνδυνον. ᾧ καὶ τοὺς πολίτας προσαγόμενος, ὡς ἀνὴρ πολεμικὸς καὶ δραστήριος, ἐφ᾽ ἡγεμονιῶν ἐτάττετο. καὶ πρὸς ταῦτα τιμολέων αὐτῷ συνήργει. τὰ μὲν ἁμαρτήματα, παντάπασιν ἀποκρύπτων, ἢ μικρὰ φαίνεσθαι ποιῶν. ἃ δ᾽ ἡ φύσις ἐξέφερεν ἀστεῖα κατακοσμῶν, καὶ συναύξων. ἐν δὲ τῇ πρὸς ἀργείους καὶ κλεωναίους μάχῃ τῶν κορινθίων, ὁ μὲν τιμολέων ἔτυχεν ἐν τοῖς ὁπλίταις τεταγμένος. τὸν δὲ τιμοφάνην, τῶν ἱππέων ἡγούμενον, κατελάμβανε κίνδυνος ὀξύς. ὁ γὰρ ἵππος αὐτὸν ἀπεσείσατο πληγῇ περιπεσὼν εἰς τοὺς πολεμίους. καὶ τῶν ἑταίρων, οἱ μὲν εὐθὺς ἐσκορπίσθησαν, φοβηθέντες. οἱ δὲ παραμείναντες, ὀλίγοι πρὸς πολλοὺς μαχόμενοι, χαλεπῶς ἀντεῖχον. ὡς οὖν ὁ τιμολέων κατεῖδε τὸ συμβεβηκὸς, δρόμῳ προσβοηθήσας, καὶ τὴν ἀσπίδα τοῦ τιμοφάνους κειμένου προθέμενος. καὶ πολλὰ μὲν ἀκοντίσματα, πολλὰς δὲ πληγὰς ἐκ χειρὸς ἀναδεξάμενος εἰς τὸ σῶμα καὶ

μετ' εὐνοίας ἀκουσόμενοι καὶ δικαίως κρινοῦντες, ἔδεισεν ὁ τύλλος τὴν ἀπολογίαν τοῦ ἀνδρός. ἦν γὰρ ἐν τοῖς μάλιστα δεινὸς εἰπεῖν. καὶ τὰ πρόσθεν ἔργα, μείζονα τὴν χάριν εἶχε τῆς ὕστερον αἰτίας. μᾶλλον δὲ ὅλως τὸ ἔγκλημα, τοῦ μεγέθους τῆς χάριτος ἦν μαρτύριον. οὐ γὰρ ἂν ἔδοξαν ἀδικεῖσθαι, τὴν ῥώμην ὑποχείριον μὴ λαβόντες, εἰ μὴ τοῦ λαβεῖν ἐγγὺς ἐγένοντο διὰ μάρκιον. οὐκέτ' οὖν ἔδοξε διαμέλλειν οὐδὲ πειρᾶσθαι τῶν πολλῶν, ἀλλ' ἐγκραγόντες οἱ θρασύτατοι τῶν συνεστώτων ὡς οὐκ ἔστιν ἀκουστέον, οὐδὲ περιοπτέον οὐολούσκοις τὸν προδότην τυραννοῦντα, καὶ μὴ κατατιθέμενον τὴν ἀρχήν, προσπεσόντες ἀθρόοι διέφθειραν αὐτόν, καὶ προσήμυνεν οὐδεὶς τῶν παρόντων. ὅτι δὲ τοῖς πλείστοις οὐκ ἐπράχθη κατὰ γνώμην, ἐδήλωσαν αὐτίκα, συνδραμόντες ἐκ τῶν πόλεων ἐπὶ τὸ σῶμα καὶ θάψαντες ἐντίμως. καὶ τὸν τάφον, ὅπλοις καὶ λαφύροις κοσμήσαντες ὡς ἀριστέως καὶ στρατηγοῦ. ῥωμαῖοι δὲ τὴν τελευτὴν πυθόμενοι, ἄλλο μὲν οὐδὲν ἀπεδείξαντο σημεῖον, οὔτε τιμῆς, οὔτ' ὀργῆς πρὸς αὐτόν. αἰτησαμέναις δὲ ταῖς γυναιξὶν, ἐπέτρεψαν ἀποπενθῆσαι, δέκα μῆνας, ὥσπερ ἔθος ἦν ἑκάστῃ πατέρα καὶ παῖδα καὶ ἀδελφόν. οὗτος γὰρ ἦν ὅρος τοῦ μακροτάτου πένθους ὃν ὥρισε νουμᾶς πομπίλιος, ὡς ἐν τοῖς περὶ ἐκείνου γεγραμμένοις δεδήλωται. τὸν δὲ μάρκιον εὐθὺς ἐπόθει τὰ οὐολούσκων πράγματα. πρῶτον μὲν γὰρ στασιάσαντες πρὸς αἰκανοὺς συμμάχους καὶ φίλους ὄντας ὑπὲρ ἡγεμονίας, ἄχρι τραυμάτων καὶ φόνων προῆλθον. ἔπειτα μάχῃ κρατηθέντες ὑπὸ ῥωμαίων, ἐν ᾗ τύλλος ἀπέθανε, καὶ τὸ ἀνθοῦν μάλιστα τῆς δυνάμεως διεφθάρη, διαλύσεις αἰσχίστας ἠγάπησαν ὑπήκοοι γενόμενοι, καὶ τὸ προσταττόμενον αὐτοῖς ποιήσειν ὁμολογήσαντες.

γεγονέναι. ταῦτα τῆς οὐολουμνίας λεγούσης, ὁ μάρκιος ἠκροᾶτο μηδὲν ἀποκρινόμενος. ἐπεὶ δὲ καὶ παυσαμένης, εἱστήκει σιωπῶν πολὺν χρόνον, αὖθις ἡ οὐολουμνία, τί σιγᾷς εἶπεν ὦ παῖ. πότερον ὀργῇ, καὶ μνησικακίᾳ πάντα συγχωρεῖν, καλόν. οὐ καλὸν δὲ μητρὶ χαρίσασθαι δεομένῃ περὶ τηλικούτων, ἢ τὸ μεμνῆσθαι πεπονθότα κακῶς ἀνδρὶ μεγάλῳ προσήκει. τὸ δ' εὐεργεσίας αἷς εὐεργετοῦνται παῖδες ὑπὸ τῶν τεκόντων σέβεσθαι καὶ τιμᾶν, οὐκ ἀνδρὸς ἔργον ἐστὶ μεγάλου καὶ ἀγαθοῦ. καὶ μὴν οὐδενὶ μᾶλλον ἔπρεπε τηρεῖν χάριν, ὡς σοὶ πικρῶς οὕτως ἀχαριστίαν ἐπεξιόντι. καίτοι παρὰ τῆς πατρίδος ἤδη μεγάλας δίκας ἀπείληφας. τῇ μητρὶ δ' οὐδεμίαν χάριν ἀποδέδωκας. ἦν μὲν οὖν ὁσιώτατον ἄνευ τινὸς ἀνάγκης, τυχεῖν με παρὰ σοῦ, δεομένην οὕτω καλῶν καὶ δικαίων. μὴ πείθουσα δὲ τί φείδομαι τῆς ἐσχάτης ἐλπίδος, καὶ ταῦτ' εἰποῦσα, προσπίπτει τοῖς ποσὶν αὐτοῦ μετὰ τῆς γυναικὸς ἅμα καὶ τῶν τέκνων. ὁ δὲ μάρκιος ἀναβοήσας, οἷα εἴργασαί με ὦ μῆτερ, ἐξανίστησιν αὐτήν. καὶ τὴν δεξιὰν πιέσας σφόδρα, νενίκηκας εἶπεν, εὐτυχῆ μὲν τῇ πατρίδι νίκην. ἐμοὶ δ' ὀλέθριον. ἄπειμι γὰρ ὑπὸ σοῦ μόνης ἡττώμενος. τοσαῦτα δ' εἰπὼν καὶ βραχέα τῇ μητρὶ καὶ τῇ γυναικὶ διαλεχθεὶς ἰδίᾳ, τὰς μὲν, ἀπέπεμψεν εἰς ῥώμην πάλιν, αὐτὰς δεομένας. τῆς δὲ νυκτὸς παρελθούσης, ἀπήγαγεν οὐολούσκους. οὐ τὸν αὐτὸν τρόπον, οὐδ' ὁμοίως διακειμένους ἅπαντας. οἱ μὲν γὰρ, ἐμέμφοντο καὶ τὸν ἄνδρα καὶ τὴν πρᾶξιν. οἱ δὲ, οὐδέτερα, πρὸς διάλυσιν καὶ εἰρήνην οἰκείως ἔχοντες. ἔνιοι δὲ δυσχεραίνοντες τὰ πραττόμενα, τὸν μάρκιον ὅμως οὐ πονηρὸν ἐνόμιζον, ἀλλὰ συγγνωστὸν ἐπικλασθέντα τηλικαύταις ἀνάγκαις. ἀντεῖπε δ' οὐδεὶς ἀλλὰ πάντες εἵποντο μετ' ἀρετὴν μᾶλλον αὐτοῦ θαυμάζοντες, ἢ τὴν ἐξουσίαν. ὁ δὲ ῥωμαίων δῆμος ἐν ὅσῳ φόβῳ καὶ κινδύνῳ καθειστήκει τοῦ πολέμου παρόντος, αἴσθησιν παρέσχε μᾶλλον λυθέντος. ἅμα γὰρ ἀφεώρων τοὺς οὐολούσκους ἀναζευγνύντας οἱ περὶ τὰ τείχη, καὶ πᾶν εὐθὺς ἱερὸν ἀνεῴγει στεφανηφορούντων ὡς ἐπὶ νίκῃ καὶ θυόντων. μάλιστα δὲ τῇ περὶ τὰς γυναῖκας ἀγαπήσει καὶ τιμῇ τῆς τε βουλῆς τοῦ τε πλήθους ἅπαντος, ἔνδηλος ἦν ἡ χαρὰ τῆς πόλεως. καὶ λεγόντων καὶ νομιζόντων γεγονέναι τῆς σωτηρίας περιφανῶς ἐκείνας, αἰτίας. ψηφισαμένης δὲ τῆς βουλῆς, ὅτι ἂν αὐταῖς ἀξιώσωσι γενέσθαι πρὸς δόξαν ἢ χάριν, τοῦτο ποιῆσαι καὶ παρασχεῖν τοὺς ἄρχοντας, οὐδὲν ἠξίωσαν ἄλλο, ἢ τύχης γυναικείας ἱερὸν ἱδρύσασθαι. τὸ μὲν ἀνάλωμα συμβαλλόμεναι παρ' αὐτῶν. ἱερουργίας δὲ καὶ τιμὰς, ὅσαι θεοῖς πρέπουσι, δημοσίᾳ τῆς πόλεως ἀναλαβούσης. ἐπεὶ δὲ ἡ βουλὴ τὴν μὲν φιλοτιμίαν ἐπῄνεσε, δημοσίαις δὲ δαπάναις ἐποιήσατο τὸν νεὼν καὶ τὸ ἕδος, οὐδὲν ἧττον αὐταὶ χρήματα συνεισενεγκοῦσαι δεύτερον, ἄγαλμα κατεσκεύασαν. ὃ δὴ καί φασι ῥωμαῖοι καθιστάμενον ἐν τῷ ἱερῷ, φθέγξασθαί τι τοιοῦτον, θεοφιλεῖ μθέσμῳ γυναῖκες δεδώκατε. ταύτην καὶ δὶς γενέσθαι τὴν φωνὴν μυθολογοῦσιν ἀγενήτοις ὅμοια, καὶ χαλεπὰ πεισθῆναι, πείθοντες ἡμᾶς. ἱδίοντα μὲν γὰρ ἀγάλματα φανῆναι καὶ δακρυρροοῦντα. καί τινας μεθιέντα νοτίδας αἱματώδεις, οὐκ ἀδύνατόν ἐστι. καὶ γὰρ ξύλα καὶ λίθοι πολλάκις μὲν εὐρῶτα συνάγουσι γόνιμον ὑγρότητος. πολλὰς δὲ χρόας ἀνιᾶσιν ἐξ ἑαυτῶν καὶ δέχονται βαφὰς ἐκ τοῦ περιέχοντος, οἷς ἔνια σημαίνειν τὸ δαιμόνιον, οὐδὲν ἂν δόξειε κωλύειν. δυνατὸν δὲ καὶ μυγμῷ καὶ στεναγμῷ, ψόφον ὅμοιον ἐκβάλλειν ἀγάλματα, κατὰ ῥῆξιν ἢ διάστασιν μορίων βιαιοτέραν ἐν βάθει γενομένην. ἔναρθρον δὲ φωνὴν, καὶ διάλεκτον οὕτω σαφῆ καὶ περιττὴν καὶ ἀπηρτισμένην ἐν ἀψύχῳ γενέσθαι, παντάπασιν ἀμήχανον. εἰ μηδὲ τὴν ψυχὴν καὶ τὸν θεὸν ἄνευ σώματος ὀργανικοῦ καὶ διηρμοσμένου μέρεσι λογικοῖς, γέγονεν ἠχεῖν καὶ διαλέγεσθαι. ὅπου δ' ἡμᾶς ἡ ἱστορία πολλοῖς ἀποβιάζεται καὶ πιθανοῖς μάρτυσιν, ἀνόμοιον αἰσθήσει πάθος ἐγγινόμενον, τῷ φανταστικῷ τῆς ψυχῆς, συναναπείθει τὸ δόξαν ὥσπερ ἐν ὕπνοις, ἀκούειν οὐκ ἀκούοντες. καὶ βλέπειν οὐ βλέποντες δοκοῦμεν. οὐ μὴν ἀλλὰ τοῖς ὑπ' εὐνοίας καὶ φιλίας πρὸς τὸν θεὸν ἄγαν ἐμπαθῶς ἔχουσι. καὶ μηδὲν ἀθετεῖν, μηδ' ἀναίνεσθαι τῶν τοιούτων δυναμένοις. μέγα πρὸς πίστιν ἐστὶ, τὸ θαυμάσιον, καὶ μὴ καθ' ἡμᾶς τῆς τοῦ θεοῦ δυνάμεως. οὐδὲν γὰρ οὐδαμῶς ἀνθρωπίνῳ προσέοικεν, οὔτε φύσιν οὔτε κίνησιν. οὔτε τέχνην. οὔτε ἰσχύν. οὐδ' εἴ τι ποιεῖ τῶν ἡμῖν ἀποιήτων. καὶ μηχανᾶται τῶν ἀμηχάνων, παράλογόν ἐστιν. ἀλλὰ μᾶλλον ἐν πᾶσι διαφέρων, πολὺ μάλιστα τοῖς ἔργοις ἀνόμοιός ἐστι καὶ παρηλλαγμένος. ἀλλὰ τῶν μὲν θείων τὰ πολλὰ καθ' ἡράκλειτον, ἀπιστίῃ διαφυγγάνει μὴ γινώσκεσθαι. τὸν δὲ μάρκιον ὡς ἐπανῆλθεν εἰς τὸ ἄντιον ἀπὸ τῆς στρατιᾶς, μισῶν πάνυ καὶ βαρυνόμενος διὰ φόβον ὁ τύλλος, ἐπεβούλευεν ἀνελεῖν εὐθύς. ὡς εἰ νῦν διαφύγοι, λαβὴν ἑτέραν οὐ παρέξοντα. πολλοὺς δὲ συστήσας καὶ παρασκευάσας ἐπ' αὐτὸν, ἐκέλευεν εὐθύνας ὑποσχεῖν τοῖς οὐολούσκοις ἀποδόντα τὴν ἀρχήν. ὁ δὲ, φοβούμενος ἰδιώτης γενέσθαι, τοῦ τύλλου στρατηγοῦντος καὶ δυναμένου μέγιστον ἐν τοῖς ἑαυτοῦ πολίταις, ἔλεγε τὴν ἀρχὴν ἀποδώσειν οὐολούσκοις ἐὰν κελεύωσι. καὶ γὰρ λαβεῖν, πάντων κελευόντων. εὐθύνας δὲ διδόναι καὶ λόγον, οὐδὲ νῦν παραιτεῖσθαι τοῖς βουλομένοις ἀντιατῶν. γενομένης οὖν ἐκκλησίας, οἱ παρεσκευασμένοι τῶν δημαγωγῶν ἀνιστάμενοι, παρώξυνον τὸ πλῆθος. ἐπεὶ δ' ἀναστάντι τῷ μαρκίῳ, τὸ μὲν ἄγαν θορυβοῦν ὑπ' αἰδοῦς ἐνεδίδου καὶ παρεῖχεν ἀδεῶς λέγειν. οἱ δὲ βέλτιστοι καὶ μάλιστα χαίροντες εἰρήνῃ τῶν ἀντιατῶν, ἐγένοντο φανεροὶ

Aliter Dionysius, a quo hec videtur accepisse, inquit enim. Νικᾷς ὦ μῆτερ τὴν εὐτυχῆ νίκην, οὔτε σεαυτῇ, οὔτε ἐμοί. τὴν γὰρ πατρίδα σέσωκας· ἐμὲ δὲ τὸν εὐσεβῆ καὶ φιλόστοργον υἱὸν ἀπολώλεκας.

388 Dionysius sic. ὁσίῳ πόλεως νόμῳ γυναῖκες γαμεταὶ δεδώκατέ με. Valerius Maxi. Lib. 1. Cap. 8.

με θεσμῷ

καὶ ἴσως

πόλεις, ἀλλὰ τῆς ψυχῆς τὸ πρακτικὸν καὶ προαιρετικὸν, ἀρχαῖς τισὶ καὶ φαντασίαις καὶ ἐπινοίαις ἐγείροντες, ἢ τοὐναντίον ἀποστρέφοντες καὶ ἱστάντες. ἐν δὲ τῇ ῥώμῃ τότε τῶν γυναικῶν, ἄλλαι μὲν πρὸς ἄλλοις ἱεροῖς. αἱ δὲ πλεῖσται καὶ δοκιμώταται, περὶ τὸν τοῦ καπιτωλίου διὸς βωμὸν, ἱκέτευον. ἐν δὲ ταύταις ἦν, ἡ ποπλικόλα τοῦ μεγάλα καὶ πολλὰ ῥωμαίους ἔν τε πολέμοις καὶ πολιτείαις ὠφελήσαντος, ἀδελφὴ οὐαλερία. ποπλικόλας μὲν οὖν ἐτεθνήκει πρότερον. ὡς ἐν τοῖς περὶ ἐκείνου γεγραμμένοις ἱστορήκαμεν. ἡ δὲ οὐαλερία, δόξαν εἶχεν ἐν τῇ πόλει καὶ τιμὴν δοκοῦσα τῷ βίῳ μὴ καταισχύνειν τὸ γένος. ὅπερ οὖν λέγω πάθος ἐξαπίνης παθοῦσα, καὶ κατ' ἐπίνοιαν οὐκ ἀθείαστον ἁψαμένη τοῦ συμφέροντος, αὐτή τε ἀνέστη, καὶ τὰς ἄλλας ἀναστήσασα πάσας, ἧκεν ἐπὶ τὴν οἰκίαν τῆς τοῦ μαρκίου μητρὸς οὐολουμνίας. ὡς δ' εἰσῆλθε καὶ κατέλαβε μετὰ τῆς νυοῦ καθεζομένην, καὶ τὰ παιδία τοῦ μαρκίου πρὸς τοῖς κόλποις ἔχουσαν, ἐν κύκλῳ περιστήσασα τὰς γυναῖκας αὐτῆς, αὐταί γε ἡμεῖς εἶπεν ὦ οὐολουμνία, καὶ σὺ οὐεργιλία γυναῖκες ἥκομεν πρὸς γυναῖκας. οὔτε βουλῆς ψηφισαμένης, οὔτ' ἄρχοντος κελεύσαντος. ἀλλ' ὁ θεὸς ἡμῶν ὡς ἔοικεν οἰκτείρας τὴν ἱκετείαν, ὁρμὴν παρέστησε, δεῦρο τραπέσθαι πρὸς ὑμᾶς καὶ δεηθῆναι. σωτηρίαν μὲν αὐταῖς καὶ τοῖς ἄλλοις πολίταις, ἡμῖν δὲ πεισθείσαις, ἐπιφανεστέραν φέροντα δόξαν, ἧς αἱ σαβίνων θυγατέρες ἔσχον, εἰς φιλίαν καὶ εἰρήνην ἐκ πολέμων συναγαγοῦσαι, πατέρας καὶ ἄνδρας. δεῦτε πρὸς μάρκιον ἰοῦσαι μεθ' ἡμῶν, συνάψασθε τῆς ἱκετηρίας. καὶ μαρτυρήσατε τῇ πατρίδι μαρτυρίαν ἀληθῆ καὶ δικαίαν. ὅτι πολλὰ πάσχουσα κακῶς, οὐδὲν οὔτ' ἔπραξε δεινὸν, οὔτ' ἐβουλεύσατο περὶ ὑμῶν δι' ὀργήν. ἀλλ' ἀποδίδωσιν ὑμᾶς ἐκείνῳ. κἂν μηδενὸς τυγχάνειν μέλλῃ τῶν ἐπιεικῶν. ταῦτα τῆς οὐαλερίας εἰπούσης, ἀνεβόησαν αἱ λοιπαὶ γυναῖκες, ἠμείψατο δὲ ἡ οὐολουμνία. καὶ τῶν κοινῶν ὑμῖν συμφορῶν ὦ γυναῖκες ἴσον μέτεστι. καὶ ἰδίᾳ πράττομεν κακῶς, ἀπολέσασαι τὴν μαρκίου δόξαν καὶ ἀρετήν. τὸ σῶμα δ' αὐτοῦ, τοῖς τῶν πολεμίων ὅπλοις φρουρούμενον μᾶλλον ἢ σῳζόμενον ἐφορῶσαι. μέγιστον δ' ἡμῖν τῶν ἀτυχημάτων ἐστὶν, εἰ τὰ τῆς πατρίδος οὕτως ἐξησθένηκεν, ὥστ' ἐν ἡμῖν ἔχειν τὰς ἐλπίδας. οὐκ οἶδα γὰρ εἴ τινα ποιήσεται λόγον ἡμῶν ἐκεῖνος. εἴ γε μηδένα ποιεῖται τῆς πατρίδος, ἣν καὶ μητρὸς καὶ γυναικὸς καὶ παίδων προετίμησεν. οὐ μὴν, ἀλλὰ χρῆσθε ἡμῖν λαβοῦσαι καὶ κομίζετε πρὸς ἐκεῖνον. εἰ μηδὲν ἄλλο, ταῖς ὑπὲρ τῆς πατρίδος ἱκεσίαις ἐναποπνεῦσαι δυναμένας. ἐκ τούτου, τά τε παιδία καὶ τὴν οὐεργιλίαν ἀναστήσασα μετὰ τῶν ἄλλων γυναικῶν, ἐβάδιζεν εἰς τὸ στρατόπεδον τῶν οὐολούσκων. ἡ δ' ὄψις αὐτῶν τότε, οἰκτρὰ καὶ τοῖς πολεμίοις ἐνεποίησεν αἰδῶ καὶ σιωπήν. ἔτυχε δ' ὁ μάρκιος ἐπὶ βήματος καθεζόμενος μετὰ τῶν ἡγεμονικῶν. ὡς οὖν εἶδε προσιούσας τὰς γυναῖκας, ἐθαύμασεν. ἐπιγνοὺς δὲ τὴν μητέρα πρώτην βαδίζουσαν, ἐβούλετο μὲν ἐμμένειν τοῖς ἀτρέπτοις ἐκείνοις καὶ ἀπαραιτήτοις λογισμοῖς. γενόμενος δὲ τοῦ πάθους ἐλάττων καὶ συνταραχθεὶς πρὸς τὴν ὄψιν, οὐκ ἔτλη καθεζομένῳ προσελθεῖν, ἀλλὰ καταβὰς θᾶττον ἢ βάδην, καὶ ἀπαντήσας, πρώτην μὲν ἠσπάσατο τὴν μητέρα, καὶ πλεῖστον χρόνον, ἔπειτα δὲ τὴν γυναῖκα καὶ τὰ τέκνα. μήτε δακρύων ἔτι, μήτε τοῦ φιλοφρονεῖσθαι φειδόμενος, ἀλλ' ὥσπερ ὑπὸ ῥεύματος φέρεσθαι τοῦ πάθους ἑαυτὸν ἐνδεδωκώς. ἐπεὶ δὲ τούτων ἅδην εἶχε, καὶ τὴν μητέρα βουλομένην ἤδη λόγων ἄρχειν ᾔσθετο, τοὺς τῶν οὐολούσκων προβούλους παραστησάμενος, ἤκουσε τῆς οὐολουμνίας τοιαῦτα λεγούσης. ὁρᾷς μὲν ὦ παῖ κἂν αὐταὶ μὴ λέγωμεν, ἐσθῆτι καὶ μορφῇ τῶν ἀθλίων σωμάτων τεκμαιρόμενος, οἵαν οἰκουρίαν ἡμῖν ἡ σὴ φυγὴ περιεποίησε. λόγισαι δὲ νῦν ὡς ἀτυχέσταται πασῶν ἀφιγμεθα γυναικῶν, αἷς τὸ ἥδιστον θέαμα, φοβερώτατον ἡ τύχη πεποίηκεν. ἐμοὶ μὲν υἱὸν, ταύτῃ δ' ἄνδρα τοῖς τῆς πατρίδος τείχεσιν ἰδεῖν ἀντικαθήμενον. ὃ δ' ἐστὶ τοῖς ἄλλοις ἀτυχίας πάσης καὶ κακοπραγίας παραμύθιον, εὔχεσθαι θεοῖς ἡμῖν ἀπορώτατον γέγονεν. οὐ γὰρ οἷόν τε καὶ τῇ πατρίδι νίκην ἅμα καὶ σοὶ σωτηρίαν αἰτεῖσθαι παρὰ τῶν θεῶν. ἀλλ' ἅ τις ἂν ἡμῖν καταράσαιτο τῶν ἐχθρῶν, ταῦτα ταῖς ἡμετέραις ἔνεστιν εὐχαῖς. ἀνάγκη γὰρ ἢ τῆς πατρίδος ἢ σοῦ στέρεσθαι γυναικὶ σῇ καὶ τέκνοις. ἐγὼ δ' οὐ περιμενῶ ταύτην μοι διαιτῆσαι τὴν τύχην ζώσῃ τὸν πόλεμον. ἀλλ' εἰ μή σε πείσαιμι, φιλίαν καὶ ὁμόνοιαν διαφορᾶς καὶ κακῶν θέμενον, ἀμφοτέρων γενέσθαι εὐεργέτην μᾶλλον, ἢ λυμεῶνα τῶν ἑτέρων, οὕτω διανοοῦ καὶ παρασκευάζου σεαυτὸν, ὡς τῇ πατρίδι μὴ προσμῖξαι δυνάμενος, πρὶν ἢ νεκρὰν ὑπερβῆναι τὴν τεκοῦσαν. οὐ γὰρ ἐκείνην με δεῖ τὴν ἡμέραν ἀναμένειν, ἐν ᾗ τὸν υἱὸν ἐπόψομαι θριαμβευόμενον ὑπὸ τῶν πολιτῶν, ἢ θριαμβεύοντα κατὰ τῆς πατρίδος. εἰ μὲν οὖν ἀξιῶ σε τὴν πατρίδα σῶσαι οὐολούσκους ἀπολέσαντα, χαλεπὴ σοὶ καὶ δυσδιαίτητος ὦ παῖ πρόκειται σκέψις. οὔτε γὰρ διαφθείρειν τοὺς πολίτας καλὸν, οὔτε τοὺς πεπιστευκότας, προδοῦναι δίκαιον. νῦν δ' ἀπαλλαγὴν κακῶν αἰτούμεθα, σωτήριον μὲν ἀμφοτέροις ὁμοίως. ἔνδοξον δὲ καὶ καλὴν μᾶλλον οὐολούσκοις. ὅτι τῷ κρατεῖν δόξουσι διδόναι τὰ μέγιστα τῶν ἀγαθῶν, οὐχ ἧττον λαμβάνοντες εἰρήνην, καὶ φιλίαν, ὧν μάλιστα μὲν αἴτιος ἔσῃ γινομένων, μὴ γινομένων δὲ, μόνος αἰτίαν ἕξεις παρ' ἀμφοτέροις. ἄδηλος δ' ὢν ὁ πόλεμος, τοῦτ' ἔχει πρόδηλον, ὅτι σοὶ νικῶντι μὲν, ἀλάστορι τῆς πατρίδος εἶναι περίεστιν. ἡττώμενος δὲ, δόξεις ὑπ' ὀργῆς εὐεργέταις ἀνδράσι καὶ φίλοις, τῶν μεγίστων συμφορῶν αἴτιος

ὑμῖν. ς. τ.

Digitized by Google

ἐκαθεζομένου ς. κ. τ.

αὐτοῦ ς. τ.

ἐνὶ

μαρκίῳ, προσεδέχοντο δὲ πολλὴν περί γε τὰς πρώτας ἀπαντήσεις φιλοφροσύνην παρ' ἀνδρὸς οἰκείου καὶ συνήθους. ἐγένετο δὲ τοιοῦτον οὐδέν, ἀλλὰ διὰ τοῦ στρατοπέδου τῶν πολεμίων ἀχθέντες, ἐνετύγχανον αὐτῷ μετ' ὄχλου καθεζομένου καὶ βαρύτητος οὐκ ἀνεκτῆς. ἔχων δὲ τοὺς πρώτους τῶν οὐολούσκων περὶ αὐτόν, ἐκέλευε λέγειν ὧν δεόμενοι τυγχάνουσιν. εἰπόντων δὲ λόγους ἐπιεικεῖς καὶ φιλανθρώπους ἐν ἤθει τῷ πρέποντι. καὶ παυσαμένων, ἀπεκρίνατο. τὰ μέν, πικρῶς ὑπὲρ αὐτοῦ καὶ πρὸς ὀργὴν ὧν ἔπαθε. τὰ δ' ὑπὲρ τῶν οὐολούσκων, ὡς στρατηγός. ἀποδοῦναι τὰς πόλεις καὶ τὴν χώραν ὅσην ἀπετέμοντο πολέμῳ κελεύων. καὶ ψηφίσασθαι οὐολούσκοις, ἰσοπολιτείαν ἥνπερ λατίνοις. ἄλλην γὰρ οὐκ εἶναι βέβαιον, ἢ τὴν ἐπὶ τοῖς ἴσοις καὶ δικαίοις ἀπαλλαγὴν τοῦ πολέμου. χρόνον δὲ βουλῆς ἔδωκεν αὐτοῖς, ἡμέρας τριάκοντα. καὶ τῶν πρέσβεων ἀπελθόντων, εὐθὺς ἀνέζευξεν ἐκ τῆς χώρας. τοῦτο δὴ πρῶτον αἰτίαμα τῶν οὐολούσκων οἱ πάλαι βαρυνόμενοι τὴν δύναμιν αὐτοῦ καὶ φθονοῦντες, ἐλάμβανον. ὧν ἦν καὶ ὁ τύλλος. ἰδίᾳ μὲν ὑπὸ τοῦ μαρκίου μηδὲν ἀδικούμενος, ἐν δ' ἀνθρωπίνῳ πάθει γεγονώς. ἤχθετο γὰρ ἠμαυρωμένος παντάπασι τῇ δόξῃ καὶ παρορώμενος ὑπὸ τῶν οὐολούσκων. πάντα μόνον ἡγουμένων αὐτοῖς εἶναι τὸν μάρκιον. τοὺς δ' ἄλλους ἀξιούντων, ὅσον ἐκεῖνος αὐτοῖς μεταδώσει δυνάμεως καὶ ἀρχῆς, ἀγαπᾶν ἔχοντας. ὅθεν αἱ πρῶται κατηγορίαι κρύφα διεσπείροντο. καὶ συνιστάμενοι πρὸς ἀλλήλους, ἠγανάκτουν καὶ προδοσίαν ἐκάλουν τὴν ἀνάζευξιν, οὐ τειχῶν, οὐδ' ὅπλων, ἀλλὰ καιρῶν, οἷς καὶ τἄλλα πάντα ταῦτα σώζεσθαι, καὶ πάλιν ἀπόλλυσθαι πέφυκεν, ἡμερῶν τριάκοντα τῷ πολέμῳ διδομένων. οὐ μείζονας. οὐδ' ἐν ἐλάττονι χρόνῳ λαμβάνειν μεταβολάς. καίτοι τὸν χρόνον τοῦτον ὁ μάρκιος οὐκ ἀργὸν διῆγεν, ἀλλὰ τοὺς συμμάχους τῶν πολεμίων ἔφθειρεν ἐπιὼν καὶ περιέκοπτε. καὶ πόλεις ἑπτὰ μεγάλας καὶ πολυανθρώπους ἔλαβεν. οἱ δὲ ῥωμαῖοι, βοηθεῖν μὲν οὐκ ἐτόλμων. ἀλλ' ὄκνου πλήρεις ἦσαν αὐτῶν αἱ ψυχαί. καὶ τοῖς ἐκνεναρκηκόσι κομιδῇ, καὶ παραλελυμένοις σώμασιν, ὁμοίως διέκειντο πρὸς τὸν πόλεμον. ἐπεὶ δ' ὁ χρόνος διῆλθε καὶ παρῆν αὖθις ὁ μάρκιος μετὰ τῆς δυνάμεως ἁπάσης, ἐκπέμπουσι πρεσβείαν πάλιν τοῦ μαρκίου δεηθησομένην, ὑφεῖσθαι τῆς ὀργῆς, καὶ τοὺς οὐολούσκους ἐκ τῆς χώρας ἀπαγαγόντα, πράττειν καὶ λέγειν ὅτι ἂν ἀμφοτέροις οἴηται βέλτιον εἶναι. φόβῳ μὲν γὰρ οὐδὲν ἐνδώσειν ῥωμαίους, ἐὰν δέ τινος τῶν φιλανθρώπων οἴηται δεῖν τυχεῖν τοὺς οὐολούσκους, ἅπαν αὐτοῖς γενέσθαι τὰ ὅπλα καταθεμένοις. πρὸς ταῦθ' ὁ μάρκιος ἔφη. μηδὲν ὡς οὐολούσκων ἀποκρίνασθαι στρατηγός. ὡς δὲ ῥωμαίων ἔτι πολίτης παραινεῖν καὶ παρακαλεῖν μετριώτερα φρονήσαντας, ἐπὶ τοῖς δικαίοις, ἥκειν πρὸς αὐτὸν ἐν ἡμέραις τρισίν, ἃ προκαλεῖται ψηφισαμένους. εἰ δ' ἕτερα δόξειε γινώσκειν, οὐκ οὖσαν αὐτοῖς ἄδειαν, αὖθις μετὰ λόγων κενῶν βαδίζουσιν εἰς τὸ στρατόπεδον. ἐπανελθόντων δὲ τῶν πρέσβεων, ἀκούσασα ἡ βουλή, καθάπερ ἐν χειμῶνι πολλῷ καὶ κλύδωνι τῆς πόλεως, ἄρασα τὴν ἀφ' ἱερᾶς ἀφῆκεν. ὅσοι γὰρ ἦσαν ἱερεῖς θεῶν. ἢ μυστηρίων ὀργιασταί. ἢ φύλακες. ἢ τὴν ἀπ' οἰωνῶν πάτριον οὖσαν ἐκ παλαιῶν μαντικὴν ἔχοντες. τούτους πάντας ἀπιέναι πρὸς τὸν μάρκιον ἐψηφίσαντο κεκοσμημένους ὡς ἦν ἑκάστῳ νόμος ἐν ταῖς ἱερουργίαις. λέγειν δὲ ταῦτα καὶ παρακαλεῖν. ὅπως ἀπαλλάξας τὸν πόλεμον, οὕτω διαλέγηται περὶ τῶν οὐολούσκων τοῖς πολίταις. ἐδέξατο μὲν οὖν εἰς τὸ στρατόπεδον τοὺς ἄνδρας. ἄλλο δ' οὐδὲν ἔδωκεν, οὐδ' ἔπραξεν, οὐδ' εἶπε μαλακώτερον. ἀλλ' ἐφ' οἷς πρότερον ἐκέλευε ποιεῖσθαι τὰς διαλύσεις, ἢ δέχεσθαι τὸν πόλεμον. ἐπανελθόντων οὖν τῶν ἱερέων, ἔδοξεν ἀτρεμοῦντας ἐν τῇ πόλει τὰ τείχη φυλάττειν. καὶ προσβάλλοντας, ἀποκρούεσθαι τοὺς πολεμίους. ἐν τῷ χρόνῳ μάλιστα καὶ τοῖς ἀπὸ τῆς τύχης παραλόγοις, τιθεμένοις τὰς ἐλπίδας. ἐπεὶ δι' αὐτῶν γε σωτήριον οὐδὲν ἠπίσταντο πράττοντες. ἀλλὰ ταραχή. καὶ πτοία, καὶ φήμη πονηρὰ τὴν πόλιν κατεῖχεν, ἄχρις οὗ συνέβη τι πρᾶγμα τῶν πολλάκις ὑφ' ὁμήρου λεγομένων, μὴ πάνυ δὲ πεῖθον τοὺς πολλούς, ὅμοιον. λέγοντος γὰρ αὐτοῦ καὶ ἀναφωνοῦντος, ἐπὶ ταῖς μεγάλαις πράξεσι καὶ παραλόγοις. Τῷ δ' ἄρ' ἐπὶ φρεσὶ θῆκε θεὰ γλαυκῶπις ἀθήνη. καὶ τό, Ἀλλά τις ἀθανάτων τρέψε φρένας ὅς γ' ἐνὶ θυμῷ, Δήμου θῆκε φάτιν. καὶ τό, Ἤτοι ὀϊσσάμενος, ἢ καὶ θεὸς ὣς ἐκέλευε, καταφρονοῦσιν ὡς ἀδυνάτοις πράγμασι καὶ μυθεύμασιν ἀπίστοις, τὸν ἑκάστου λογισμὸν τῆς προαιρέσεως, ἄπιστον καθιστάντος. οὐ ποιεῖ δὲ τοῦτο ὅμηρος. ἀλλὰ τὰ μὲν εἰκότα καὶ συνήθη κατὰ λόγον περαινόμενα, τῷ ἐφ' ἡμῖν ἀποδίδωσι. καὶ λέγει δήπου πολλάκις. Αὐτὰρ ἐγὼ βούλευσα κατὰ μεγαλήτορα θυμόν. Καὶ ὣς φάτο, πηλείωνι δ' ἄχος γένετ' ἐν δέ οἱ ἦτορ Στήθεσι λασίοισι διάνδιχα μερμήριξεν. καὶ πάλιν. Ἀλλὰ τόν, οὔ τι πεῖθ' ἀγαθὰ φρονέοντα δαΐφρονα βελλεροφόντην. ἐν δὲ ταῖς ἀτόποις καὶ παραβόλοις πράξεσι. καὶ φορᾶς τινὸς ἐνθουσιώδους καὶ παραστάσεως δεομέναις, οὐκ ἀναιροῦντα ποιεῖ τὸν θεόν. ἀλλὰ κινοῦντα τὴν προαίρεσιν. οὐδ' ὁρμὰς ἐνεργαζόμενον. ἀλλὰ φαντασίας ὁρμῶν ἀγωγούς. αἷς οὐδὲ ποιεῖ τὴν πρᾶξιν ἀκούσιον, ἀλλὰ τῷ ἑκουσίῳ δίδωσιν ἀρχήν. καὶ τὸ θαρρεῖν καὶ τὸ ἐλπίζειν προστίθησιν. ἢ γὰρ ἀπαλλακτέον ὅλως τὰ θεῖα πάσης αἰτίας καὶ ἀρχῆς τῶν καθ' ἡμᾶς. ἢ τίς ἂν ἄλλος εἴη τρόπος ᾧ βοηθοῦσιν ἀνθρώποις καὶ συνεργοῦσιν, οὐ τὸ σῶμα δήπου πλάττοντες ἡμῶν. οὐδὲ τὰς χεῖρας ὡς δεῖ μετατιθέντες αὐτοὶ καὶ τοὺς

χρόνον ἐν ᾧ παρεσκευάσαντο οἱ οὐολοῦσκοι ἔδει, μὴ πολὺς γενόμενος τὸν καιρὸν ἀφέληται τῆς πράξεως, τὰ μὲν ἄλλα τοὺς κατὰ πόλιν δυνατοὺς καὶ ἄρχοντας ἐκέλευε συνάγειν καὶ πορίζειν. αὐτὸς δὲ τῶν προθυμοτάτων αὖ καταλέγων πείσας ἑκόντας αὐτῷ συνελθεῖν, ἐνέβαλεν εἰς τὴν τῶν ῥωμαίων ἄφνω. καὶ μηδενὸς προσδοκῶντος, ὅθεν ηὐπόρησε λείας τοσαύτης, ὅσην ἄγοντας καὶ φέροντας, καὶ χρωμένους ἐν τῷ στρατοπέδῳ τοὺς οὐολούσκους ἀπειπεῖν. ἦν δὲ μικρότατον ἔργον αὐτῷ τῆς στρατείας ἐκείνης ἡ εὐπορία. καὶ τὸ πολλὰ βλάψαι καὶ κακῶσαι τὴν χώραν. οὗ δ' ἕνεκα ταῦτ' ἔπραττε μέγα, τὸ τοὺς πατρικίους προσδιαβαλεῖν τῷ δήμῳ. τὰ γὰρ ἄλλα πάντα λυμαινόμενος καὶ διαφθείρων, τοὺς ἐκείνων ἀγροὺς ἰσχυρῶς ἐφύλαττε. καὶ οὐκ εἴα κακουργεῖν, οὐδὲ λαμβάνειν ἐξ ἐκείνων οὐδέν. ὅθεν ἐν διαβολαῖς ἔτι μᾶλλον ἐγένοντο καὶ ταραχαῖς πρὸς ἀλλήλους. οἱ μὲν πατρίκιοι τοῖς πολλοῖς ἐγκαλοῦντες, ὡς ἄνδρα δυνατὸν ἀδίκως ἐκβαλοῦσιν. ὁ δὲ δῆμος, ἐκείνους ᾐτιᾶτο διὰ μνησικακίαν ἐπάγειν τὸν μάρκιον. εἶτα πολεμουμένων ἑτέρων, θεατὰς καθῆσθαι φύλακας τοῦ πλούτου καὶ τῶν χρημάτων, ἔξω τὸν πόλεμον αὐτῶν ἔχοντας. ταῦτα διαπραξάμενος ὁ μάρκιος, καὶ μεγάλα πρὸς τὸ καταφρονεῖν καὶ θαρρεῖν τῶν πολεμίων τοὺς οὐολούσκους ὠφελήσας, ἀπήγαγεν ἀσφαλῶς. ἐπεὶ δὲ πᾶσα ταχὺ καὶ προθύμως ἡ τῶν οὐολούσκων δύναμις ἠθροίσθη, πολλὴ φανεῖσα, μέρος μὲν ἔγνωσαν ἀπολιπεῖν ταῖς πόλεσιν ὑπὲρ ἀσφαλείας. μέρει δὲ στρατεύειν ἐπὶ τοὺς ῥωμαίους. ἑλέσθαι δὲ τῶν ἡγεμονιῶν ὁ μάρκιος ἔδωκε τῷ τύλλῳ τὴν ἑτέραν. ὁ δὲ τύλλος εἰπὼν ὡς οὐδὲν ἀρετῇ λειπόμενον αὐτοῦ τὸν μάρκιον ὁρᾷ, τύχῃ δὲ βελτίονι κεχρημένον ἐν ταῖς μάχαις ἁπάσαις, ἐκέλευσεν ἡγεῖσθαι τῶν ἐξιόντων. αὐτὸς τε τάς τε πόλεις ὑπομένων φυλάξειν. καὶ τοῖς στρατευομένοις ὑπουργήσειν, τὰ πρόσφορα. μᾶλλον οὖν ἐπιρρωσθεὶς ὁ μάρκιος, ἐχώρει πρῶτον ἐπὶ κίρκαιον, πόλιν ἀποικίδα ῥωμαίων. καὶ ταύτην ἐνδοῦσαν ἑκουσίως, οὐδὲν ἠδίκησε. μετὰ δὲ ταύτην ἐπόρθει τὴν λατίνων χώραν. ἐνταῦθα προσμαχεῖσθαι προσδεχομένων αὐτῷ τοὺς ῥωμαίους ὑπὲρ τῶν λατίνων, συμμάχων ὄντων, καὶ πολλάκις αὐτοὺς ἐπικαλουμένων. ἐπεὶ δὲ καὶ τὸ πλῆθος ἀπρόθυμον ἐγένετο. καὶ τοῖς ὑπάτοις, ὀλίγος ἔτι λοιπὸς ἦν τῆς ἀρχῆς χρόνος ἐν ᾧ κινδυνεύειν οὐκ ἐβούλοντο καὶ διὰ τοῦτο τοὺς λατίνους ἀπέπεμψαν, οὕτως ὁ μάρκιος ἐπ' αὐτὰς τὰς πόλεις ἦγε. καὶ τολερίνους καὶ λαβικανοὺς καὶ πεδανοὺς, ἔτι δὲ βωλανοὺς ἀντιστάντας αὐτῷ κατὰ κράτος ἑλὼν, τά τε σώματα λείαν ἐποιήσατο. καὶ τὰ χρήματα διήρπασε. τῶν δὲ προστιθεμένων, ἐπιμέλειαν ἐποιεῖτο πολλήν. ὅπως μηδ' ἄκοντος αὐτοῦ βλάπτοιντο, πορρωτάτω στρατοπεδεύων καὶ τῆς χώρας ἀπεχόμενος. ἐπεὶ δὲ καὶ βόλλας πόλιν οὐ πλείους σταδίους ἑκατὸν ἀπέχουσαν τῆς ῥώμης ἑλὼν, χρημάτων πολλῶν ἐκράτησε, καὶ πάντας ὀλίγου δεῖν τοὺς ἐν ἡλικίᾳ διέφθειρε. τῶν δὲ οὐολούσκων οὐδ' οἱ μένειν ἐν ταῖς πόλεσι ταχθέντες ἐκαρτέρουν, ἀλλ' ἐφέροντο σὺν τοῖς ὅπλοις πρὸς τὸν μάρκιον. ἕνα στρατηγὸν καὶ μόνον ἄρχοντα ἑαυτῶν γινώσκειν ἐκεῖνον εἶναι λέγοντες. ἦν δ' ὄνομα κατὰ πᾶσαν αὐτοῦ τὴν ἰταλίαν μέγα καὶ δόξα θαυμαστὴ τῆς ἀρετῆς, ἑνὸς σώματος μεταθέσει, τοσοῦτον ἀπεργασαμένης τὸ παράλογον ἐν τοῖς πράγμασι. τὰ δὲ τῶν ῥωμαίων, οὐδένα κόσμον εἶχε. μάχεσθαι μὲν ἀπεγνωκότων. ἐν δὲ συστάσεσι καὶ λόγοις στασιαστικοῖς ὁσημέραι πρὸς ἀλλήλους ὄντων. ἄχρις οὗ λαουίνιον ἀπηγγέλθη περιτειχιζόμενον ὑπὸ τῶν πολεμίων. ὅπου καὶ θεῶν ἱερὰ ῥωμαίοις πατρῴων ἀπέκειτο. καὶ τοῦ γένους ἦσαν αὐτοῖς ἀρχαὶ, διὰ τὸ πρώτην πόλιν ἐκείνην κτίσαι τὸν αἰνείαν. ἐκ δὲ τούτου, θαυμαστὴ μὲν ἔσχε καὶ ἀθρόα μεταβολὴ γνώμης τὸν δῆμον. ἄτοπος δὲ κομιδῆ καὶ παράλογος τοὺς πατρικίους. ὁ μὲν γὰρ δῆμος, ὥρμησε λύειν τὴν τοῦ μαρκίου καταδίκην, καὶ καλεῖν αὐτὸν εἰς τὴν πόλιν. ἡ δὲ βουλὴ συναχθεῖσα καὶ σκοποῦσα περὶ τοῦ βουλεύματος, ἀπέγνω καὶ διεκώλυσεν, εἴτε πάντως ἐνίστασθαι φιλονεικοῦσα πᾶσιν οἷς ὁ δῆμος ἐσπούδαζεν. εἴτ' ἄλλως χάριτι τοῦ δήμου τὸν ἄνδρα μὴ βουλομένη κατελθεῖν. εἴτε κἀκεῖνον αὐτὸν ἤδη πεποιημένη δι' ὀργῆς, ὅτι πάντας ἐποίει κακῶς οὐχ ὑπὸ πάντων ἀγνωμονηθείς. καὶ τῆς πατρίδος αὐτὸν ἔδειξεν ἐχθρὸν, ἐν ᾗ τὸ κυριώτατον καὶ κράτιστον μέρος ἐγίνωσκε, συμπαθοῦν αὐτῷ καὶ συναδικούμενον. ἐξενεχθείσης δὲ τῆς γνώμης εἰς τοὺς πολλοὺς, ὁ μὲν δῆμος ἄκυρος ἦν τοῦ ψήφῳ καὶ νόμῳ τι ποιεῖν ἄνευ προβουλεύματος. ὁ δὲ μάρκιος ἀκούσας, ἔτι μᾶλλον ἐξετραχύνθη. καὶ τὴν πολιορκίαν ἀπολιπὼν, ἐπὶ τὴν πόλιν ὑπ' ὀργῆς ἐχώρει. καὶ περὶ τὰς λεγομένας κλοιλίας τάφρους κατεστρατοπέδευσε τετταράκοντα τῆς πόλεως σταδίους ἀφεστώς. ὀφθεὶς δὲ φοβερὸς, καὶ πολὺν θόρυβον παρασχὼν, ὅμως ἐν τῷ παρόντι, τὴν στάσιν ἔπαυσεν. οὐδεὶς γὰρ ἔτι τοῖς πολλοῖς ἐτόλμησεν ἀντειπεῖν, οὔτ' ἄρχων, οὔτε βουλευτὴς περὶ τοῦ τὸν μάρκιον καταγαγεῖν. ἀλλ' ὁρῶντες ἐν τῇ πόλει διαδρομὰς γυναικῶν. καὶ πρὸς ἱεροῖς ἱκεσίας καὶ δάκρυα πρεσβυτῶν καὶ δεήσεις, πάντα δ' ἐνδεᾶ τόλμης καὶ σωτηρίων λογισμῶν, συνέγνωσαν ὀρθῶς τὸν δῆμον ἐπὶ τὰς διαλλαγὰς τοῦ μαρκίου τρέπεσθαι. τὴν δὲ βουλὴν τοῦ παντὸς ἁμαρτάνειν, ὅτε παύσασθαι καλῶς εἶχεν ὀργῆς καὶ μνησικακίας ἀρχομένην. ἔδοξεν οὖν πᾶσι, πρέσβεις ἀποστεῖλαι πρὸς τὸν μάρκιον, ἐκείνῳ τε κάθοδον διδόντας ἐς τὴν πατρίδα, καὶ τὸν πόλεμον αὐτὸν λῦσαι δεομένους. οἱ δὲ πεμφθέντες ἀπὸ βουλῆς ἦσαν μὲν ἐπιτήδειοι τῷ

αὐτῶν s. τ. κ. φ.
θαρρεῖν καὶ καταφρονεῖν

προσδεχόμενος. q. ἴσ.

λαβικανοὺς. ἴσ. πα. de his meminit Dionysius a quo hic uidetur accepisse.

3 66
Dionysius de Lauinio loquens. ἐφ' ἧς τὸ ῥωμαίων γένος

σοῦ τὸν βέλτιον ὑπὲρ ὑμῶν πολεμήσοντος, ἢ πρὸς ὑμᾶς, ὅσῳ πολεμοῦσι βέλτιον οἱ γινώσκοντες τὰ παρὰ τοῖς πολεμίοις τῶν ἀγνοούντων. εἰ δ' ἀπείρηκας, οὔτ' ἐγὼ βούλομαι ζῆν, οὔτε σοὶ καλῶς ἔχει σώζειν, πάλαι μὲν ἐχθρὸν ἄνδρα καὶ πολέμιον, νῦν δ' ἀνωφελῆ καὶ ἄχρηστον. ὡς οὖν ταῦτα ὁ Τύλλος ἤκουσεν, ἥσθη τε θαυμαστῶς, καὶ τὴν δεξιὰν ἐμβαλὼν, ἀνίστασο εἶπεν ὦ Μάρκιε, καὶ θάρρει. μέγα γὰρ ἡμῖν ἀγαθὸν ἥκεις διδοὺς σεαυτόν. ἔλπιζε δὲ μείζονα παρὰ Οὐολούσκων. καὶ τότε μὲν εἱστία φιλοφρονούμενος τὸν Μάρκιον. ἐν δὲ ταῖς ἑξῆς ἡμέραις ἐβουλεύοντο περὶ τοῦ πολέμου καθ' ἑαυτούς. τὴν δὲ Ῥώμην, ἥ τε τῶν πατρικίων δυσμένεια πρὸς τὸν δῆμον, οὐχ ἥκιστα τὴν τοῦ Μαρκίου καταδίκην αἰτίαν ἐχόντων, ἐτάραττε. καὶ πολλὰ δαιμόνια μάντεις καὶ ἱερεῖς καὶ ἰδιῶται προσήγγελλον, ἄξια φροντίδος. ἓν δὲ λέγεται τοιοῦτό τι γενέσθαι. Τίτος ἦν Λατῖνος ἀνὴρ οὐκ ἄγαν ἐπιφανὴς, ἀπράγμων δὲ καὶ μέτριος ἄλλως, καὶ καθαρὸς δεισιδαιμονίας, ἔτι δὲ μᾶλλον ἀλαζονείας. οὗτος ὄναρ εἶδεν, ὡς τοῦ Διὸς εἰς ὄψιν ἥκοντος αὐτῷ καὶ κελεύοντος εἰπεῖν πρὸς τὴν σύγκλητον, ὅτι κακὸν τὸν ὀρχηστὴν ἔστειλαν αὐτῷ πρὸ τῆς πομπῆς καὶ ἀτερπέστατον. ἰδὼν δὲ τὴν ὄψιν, ἔλεγε μὴ πάνυ φροντίσαι τὸ πρῶτον. ὡς δὲ καὶ δεύτερον ἰδὼν, καὶ τρίτον ἠμέλησε, παιδός τε χρηστοῦ θάνατον ἐπιδεῖν, καὶ τοῦ σώματος ἄφνω παρεθέντος ἀκρατὴς γενέσθαι. ταῦτα δ' ἐν κλινιδίῳ φοράδην κομισθεὶς εἰς τὴν σύγκλητον ἀπήγγειλεν. ἀπαγγείλας δ' ὥς φασιν, εὐθὺς ᾔσθετο ῥωννύμενον αὐτοῦ τὸ σῶμα, καὶ ἀναστὰς ἀπῄει δι' αὑτοῦ βαδίζων. θαυμάσαντες οὖν οἱ βουλευταὶ, πολλὴν ἐποιήσαντο τοῦ πράγματος ζήτησιν. ἦν δὲ τοιοῦτον. οἰκέτην τις αὑτοῦ, παραδοὺς οἰκέταις ἑτέροις, ἐκέλευσεν ἐξάγειν δι' ἀγορᾶς μαστιγοῦντας, εἶτ' ἀποκτεῖναι. ταῦτα πράττουσιν αὐτοῖς, καὶ τὸν ἄνθρωπον αἰκιζομένοις, στροφάς τε παντοδαπὰς ὑπ' ὀδύνης στρεφόμενον, καὶ κινήσεις ἄλλας ἀτερπεῖς τῷ περιπαθεῖν κινούμενον, ἡ πομπὴ κατὰ τύχην ἠκολουθήκει. καὶ πολλοὶ μὲν ἐδυσχέραινον τῶν παρόντων, οὔτ' ὄψιν ἱλαρὰν ὁρῶντες, οὔτε κινήσεις πρεπούσας, οὐδεὶς δ' ἐπεξῆλθεν. ἀλλὰ λοιδορίαι μόνον ἐγένοντο καὶ κατάραι τῷ πικρῶς οὕτω κολάζοντι. καὶ γὰρ ἐχρῶντο πολλῇ πρὸς τοὺς οἰκέτας ἐπιεικείᾳ τότε, διὰ τὴν αὐτουργίαν, καὶ τὸ κοινωνεῖν διαίτης, ἡμερώτερον ἔχοντες πρὸς αὐτοὺς καὶ συνηθέστερον. ἦν δὲ μεγάλη κόλασις οἰκέτου πλημμελήσαντος, εἰ ξύλον ἁμάξης, ᾧ τὸν ῥυμὸν ὑπερείδουσιν, ἀράμενος, διεξέλθοι παρὰ τὴν γειτνίασιν. ὁ γὰρ τοῦτο παθὼν, καὶ ὀφθεὶς παρὰ τῶν συνοίκων καὶ γειτόνων, οὐκέτι πίστιν εἶχεν. ἐκαλεῖτο δὲ φουρκίφερ. ὃ γὰρ οἱ Ἕλληνες ὑποστάτην καὶ στήριγμα, τοῦτο Ῥωμαῖοι φοῦρκαν ὀνομάζουσιν. ὡς οὖν ὁ Λατῖνος ἀπήγγειλε τὴν ὄψιν αὐτοῖς, καὶ διηπόρουν ὅστις ἦν ὁ τῆς πομπῆς τότε προηγούμενος ἀτερπὴς καὶ κακὸς ὀρχηστὴς, ἀνεμνήσθησαν ἔνιοι διὰ τὴν ἀτοπίαν τῆς τιμωρίας ἐκείνου τοῦ θεράποντος, ὃν μαστιγοῦντες ἐξήλασαν δι' ἀγορᾶς, εἶτ' ἐθανάτωσαν. συμφωνησάντων οὖν τῶν ἱερέων, ὅ τε δεσπότης δίκην ἔδωκε, καὶ τῷ θεῷ τὴν πομπὴν καὶ τὰς θέας αὖθις ἐξ ἀρχῆς ἐπετέλουν. ἔοικεν οὖν ὁ Νουμᾶς τἄλλα πρὸς ἱερὰ σοφώτατος ἐξηγητὴς γεγονέναι, καὶ τοῦτο παγκάλως γε νομοθετῆσαι πρὸς εὐλάβειαν αὐτοῖς. ὅταν γὰρ ἄρχοντες ἢ ἱερεῖς πράττωσί τι τῶν θείων, ὁ κῆρυξ πρόεισι μεγάλῃ φωνῇ βοῶν, ὁκ ἄγε. σημαίνει δ' ἡ φωνὴ, τοῦτο πράττε, προσέχειν κελεύουσα τοῖς ἱεροῖς, καὶ μηδὲν ἔργον ἐμβαλεῖν μεταξὺ, μηδὲ χρείαν ἀσχολίας, ὡς τὰ πλεῖστα τῶν ἀνθρωπίνων ἀναγκαίῳ τινὶ τρόπῳ, καὶ διὰ βίας περαινόμενα. θυσίας δὲ καὶ πομπὰς καὶ θέας, οὐ μόνον ἐξ αἰτίας τηλικαύτης, ἀλλὰ καὶ διὰ μικρὰς, Ῥωμαίοις ἔθος ἐστὶν ἀναλαμβάνειν. ἵππου τε γὰρ ἑνὸς τῶν ἀγόντων τὰς καλουμένας θήσσας ἀτονήσαντος, καὶ πάλιν τοῦ ἡνιόχου τῇ ἀριστερᾷ χειρὶ τὰς ἡνίας συλλαβόντος, αὖθις ἐψηφίσαντο τὴν πομπὴν ἐπιτελεῖν. ἐν δὲ τοῖς κάτω χρόνοις, μίαν θυσίαν, τριακοντάκις ἐποίησαν. ἀεί τινος ἐλλείμματος ἢ προσκρούσματος γίνεσθαι δοκοῦντος. τοιαύτη μὲν εὐλάβεια πρὸς τὸ θεῖον Ῥωμαίων. ὁ δὲ Μάρκιος καὶ Τύλλος ἐν Ἀντίῳ τοῖς δυνατωτάτοις, κρύφα διελέγοντο. καὶ παρεκάλουν, ἕως στασιάζουσιν οἱ Ῥωμαῖοι πρὸς ἀλλήλους, τὸν πόλεμον ἐξενεγκεῖν. τῶν δὲ δυσωπουμένων, ὅτι σπονδαὶ διέτεις ἦσαν αὐτοῖς, καὶ ἀνοχαὶ γεγενημέναι, πρόφασιν αὐτοὶ Ῥωμαῖοι παρέσχον, ἔκ τινος ὑποψίας ἢ διαβολῆς ἐν θέαις καὶ ἀγῶσι κηρύξαντες, ἀπιέναι Οὐολούσκους πρὸ ἡλίου δύνοντος ἐκ τῆς πόλεως. ἔνιοι δέ φασιν ἀπάτῃ τοῦ Μαρκίου καὶ δόλῳ γενέσθαι τοῦτο. πέμψαντος εἰς Ῥώμην πρὸς τοὺς ἄρχοντας, οὐκ ἀληθῆ κατήγορον τῶν Οὐολούσκων, ὡς ἐν ταῖς θέαις διανοουμένων ἐπιτίθεσθαι τοῖς Ῥωμαίοις, καὶ τὴν πόλιν ἐμπιπράναι. πάντας μὲν γὰρ αὐτοὺς τὸ κήρυγμα τοῦτο δυσμενεστέρους ἐποίησε τοῖς Ῥωμαίοις. ὁ δὲ Τύλλος ἔτι μεῖζον αἴρων τὸ πρᾶγμα καὶ παροξύνων, τέλος ἔπεισε πέμψαντας εἰς Ῥώμην, τήν τε χώραν ἀπαιτεῖν, καὶ τὰς πόλεις ὅσαι ἀφῄρηνται, πολέμῳ τῶν Οὐολούσκων. οἱ δὲ Ῥωμαῖοι τῶν πρέσβεων ἀκούσαντες, ἠγανάκτησαν καὶ ἀπεκρίναντο, προτέρους μὲν ἀναλήψεσθαι τὰ ὅπλα τοὺς Οὐολούσκους, ὑστέρους δὲ καταθήσειν Ῥωμαίους. ἐκ τούτου συναγαγὼν ἐκκλησίαν πάνδημον ὁ Τύλλος, ἐπεὶ τὸν πόλεμον ἐψηφίσαντο, συνεβούλευε τὸν Μάρκιον καλέσαι, μηδὲν αὐτῷ μνησικακοῦντας, ἀλλὰ πιστεύσαντας, ὅτι σύμμαχος ὠφελήσει, ὅσα πολεμῶν οὐκ ἔβλαψεν. ἐπεὶ δὲ κληθεὶς ὁ Μάρκιος καὶ διαλεχθεὶς πρὸς τὸ πλῆθος, οὐχ ἧττον ἀπὸ τῶν λόγων ἢ τῶν ὅπλων, ἀνὴρ δεινὸς ἐφάνη καὶ πολεμικὸς, καὶ τὸ φρονεῖν καὶ τολμᾶν περιττὸς, ἀποδείκνυται μετὰ Τύλλου, στρατηγὸς αὐτοκράτωρ τοῦ πολέμου. δεδιὼς δὲ τὸν

χρόνον ἐν

μὴ δὲ ἂν ἄλλης κολάσεως παραιτεῖσθαι, μόνον ὅπως ἔφη τοῦτο κατηγορήσητε, καὶ μὴ ψεύσησθε τὴν βουλήν· ὡς ὡμολόγησαν, ἐπὶ τούτοις ἡ κρίσις ἐγίνετο. συνελθόντος δὲ τοῦ δήμου, πρῶτον μὲν οὐ κατὰ λόχους, ἀλλὰ κατὰ φυλὰς ἐβιάζοντο γίνεσθαι τὴν ψηφοφορίαν, τῶν εὐπόρων καὶ γνωρίμων καὶ στρατευομένων, τὸν ἄπορον καὶ πολυπράγμονα καὶ τοῦ καλοῦ φροντίζοντα μηδὲν ὄχλον, ἐπιπροσθεν ταῖς ψήφοις ποιοῦντες. ἔπειτα τὴν τυραννίδος ἀφέντες αἰτίαν, ἀναπόδεικτον οὖσαν, ἐκείνων πάλιν ἐμέμνηντο τῶν λόγων οὓς ὁ Μάρκιος πρότερον εἶπεν ἐν τῇ βουλῇ, κωλύων μὲν ἐπευωνίσαι τὴν ἀγοράν, ἀφελέσθαι δὲ τὴν δημαρχίαν τοῦ δήμου κελεύων. καινὸν δὲ κατηγόρησαν αὐτοῦ κατηγόρημα τὴν διανομὴν τῶν λαφύρων ἃ λαβὼν ἐκ τῆς Ἀντιατῶν χώρας, οὐκ ἀνήνεγκεν εἰς τὸ δημόσιον, ἀλλὰ διένειμε τοῖς μεθ᾽ αὑτοῦ στρατευομένοις. ὑφ᾽ οὗ δὴ καὶ μάλιστα λέγεται διαταραχθῆναι τὸν Μάρκιον. οὐ γὰρ προσεδόκησεν, οὐδ᾽ εὐπόρησε πρὸς τὸν ὄχλον ἐκ τοῦ παραυτίκα λόγων πιθανῶν, ἀλλ᾽ ἐπαινοῦντι τοὺς στρατευομένους ἐθορύβησαν αὐτῷ πλείονες ὄντες οἱ μὴ στρατευσάμενοι. τέλος δ᾽ οὖν ταῖς φυλαῖς τῆς ψήφου δοθείσης, αἱ καθαιροῦσαι τρεῖς ἐγένοντο. ἦν δὲ τίμημα τῆς καταδίκης ἀΐδιος φυγή. μετὰ δὲ τὴν ἀναγόρευσιν, ὁ μὲν δῆμος, οὐδέποτε νικήσας μάχῃ πολεμίους τοσοῦτον ἐφρόνησεν, ὅσον τότε φρονῶν καὶ γεγηθὼς ἀπῄει. τὴν δὲ βουλὴν ἄχος εἶχε καὶ κατήφεια δεινή, μεταμελομένην καὶ δυσφοροῦσαν, ἐπὶ τῷ μὴ πάντα ποιῆσαι καὶ παθεῖν πρότερον, ἢ περιιδεῖν ὑβρίσαντα, καὶ χρησάμενον ἐξουσίᾳ τοσαύτῃ τὸν δῆμον. οὐδὲν δ᾽ ἔδει τότε πρὸς διάγνωσιν ἐσθῆτος, ἢ παρασήμων ἑτέρων. ἀλλ᾽ εὐθὺς ἦν δῆλος ὅτι δημότης ὁ χαίρων, καὶ ὁ δυσφορῶν, ὅτι πατρίκιος. πλὴν αὐτὸς ὁ Μάρκιος, ἀνέκπληκτος καὶ ἀταπείνωτος, καὶ σχήματι καὶ βαδίσματι καὶ προσώπῳ, καθεστηκὼς ἐν πᾶσι τοῖς ἄλλοις ἐφαίνετο πεπονθόσιν, ἀσυμπαθὴς ἑαυτῷ μόνος, οὐχ ὑπὸ λογισμοῦ καὶ πρᾳότητος, οὐδὲ τῷ φέρειν μετρίως τὸ συμβεβηκός, ἀλλ᾽ ἐμπαθὴς ὢν ὑπ᾽ ὀργῆς καὶ βαρυφροσύνης, ὅπερ ἀγνοοῦσιν οἱ πολλοὶ λύπην οὖσαν. ὅταν γὰρ εἰς θυμὸν μεταβάλῃ, καθάπερ ἐκπυρωθεῖσα, τὸ ταπεινὸν ἀποβάλλει καὶ ἀργόν, ᾗ καὶ δοκεῖ δραστικὸς ὁ θυμούμενος, ὡς θερμὸς ὁ πυρέττων. οἷον ἐν σφυγμῷ καὶ διαστάσει καὶ ὄγκῳ γενομένης τῆς ψυχῆς. ἐδήλωσε δὲ τοῖς ἔργοις αὐτίκα μάλα τὴν διάθεσιν ταύτην ὁ Μάρκιος. εἰσελθὼν γὰρ οἴκαδε, καὶ τὴν μητέρα καὶ τὴν γυναῖκα μετὰ κλαυθμοῦ καὶ βοῆς ὀλοφυρομένας ἀσπασάμενος, καὶ κελεύσας μετρίως φέρειν τὸ συμβεβηκός, εὐθὺς ἀπιὼν ἐβάδιζεν ἐπὶ τὰς πύλας. ἐκεῖ δὲ τῶν πατρικίων ὁμοῦ τι προπεμπόντων αὐτόν, οὔτε τι λαβών, οὔτε τινὸς δεηθείς, ἀπηλλάττετο, τρεῖς ἢ τέσσαρας πελάτας ἔχων περὶ αὐτόν. ἡμέρας δ᾽ ὀλίγας ἔν τισιν ἀγροῖς αὐτὸς καθ᾽ ἑαυτὸν ὑπὸ πολλῶν διενεχθεὶς λογισμῶν, οἵους ὁ θυμὸς ὑπέβαλλεν, ὥστ᾽ οὔτ᾽ εἰς καλὸν οὔτε συμφέρον οὐδέν, ἀλλ᾽ ἢ τὸ Ῥωμαίους μετελθεῖν, ἔγνωσε πόλεμόν τινα βαρὺν καὶ ὅμορον ἀναστῆσαι ἐπ᾽ αὐτούς. ὥρμησεν οὖν διαπειρᾶσθαι πρῶτον Οὐολούσκων, ἀκμάζοντας μὲν εἰδὼς ἔτι καὶ σώμασι καὶ χρήμασι, ταῖς δὲ γεγενημέναις ἔναγχος ἥτταις, οὐ τοσοῦτον ἀπολωλεκέναι τῆς δυνάμεως, ὅσον ἐγγεγονέναι φιλονεικίας αὐτοῖς καὶ ὀργῆς οἰόμενος. ἦν δέ τις ἀνὴρ ἐξ Ἀντίου πόλεως, διά τε πλοῦτον καὶ ἀνδρείαν καὶ γένους ἐπιφάνειαν, ἀξίωμα βασιλικὸν ἔχων ἐν πᾶσιν Οὐολούσκοις, ὄνομα, Τύλλος Ἀμφίδιος. ὑπὸ τούτου μισούμενον ὁ Μάρκιος ἑαυτόν, ὡς οὐδένα Ῥωμαίων ἐγίνωσκε. πολλάκις γὰρ ἐν ἀπειλαῖς καὶ προκλήσεσι κατὰ τὰς μάχας γενόμενοι, καὶ κομπάσαντες, ὅσα τὸ ἁμιλλώμενον, διὰ νεανικῶν πολεμικῶν φιλοτιμίαι καὶ ζῆλοι φέρουσιν, ἴδιον προσεκτήσαντο τῷ κοινῷ τὸ κατ᾽ ἀλλήλων ἔχθος. οὐ μὴν ἀλλὰ μέγεθός τι φρονήματος ἔχοντα τὸν Τύλλον ὁρῶν, καὶ μάλιστα δὴ Οὐολούσκων, ἐπιθυμοῦντα Ῥωμαίους λαβὴν παρασχόντας ἐν μέρει κολῶσαι, μαρτυρίαν ἀπέλιπε τῷ εἰπόντι, θυμῷ μάχεσθαι χαλεπόν. ὃ γὰρ ἂν θέλῃ, ψυχῆς ὠνεῖται. λαβὼν γὰρ ἐσθῆτα καὶ στολὴν ἐν ᾗ μάλιστα μὴ δόξειν ὃς ἦν ἔμελλεν ὁρώμενος, ὥσπερ ὁ Ὀδυσσεύς, ἀνδρῶν δυσμενέων κατέδυ πόλιν. ἦν δ᾽ ἑσπέρα, καὶ πολλοὶ μὲν αὐτῷ προσετύγχανον. ἐγνώριζε δ᾽ οὐδείς. ἐβάδιζεν οὖν ἐπὶ τὴν οἰκίαν τοῦ Τύλλου. καὶ παρεισελθὼν ἄφνω πρὸς τὴν ἑστίαν, ἐκαθέζετο σιωπῇ, καὶ τὴν κεφαλὴν ἐγκαλυψάμενος, ἡσυχίαν ἦγεν. οἱ δὲ κατὰ τὴν οἰκίαν θαυμάσαντες, ἀναστῆσαι μέν, οὐκ ἐτόλμησαν. ἦν γάρ τι καὶ περὶ αὐτὸν ἀξίωμα, καὶ τοῦ σχήματος, καὶ τῆς σιωπῆς. ἔφρασαν δὲ τῷ Τύλλῳ, περὶ δεῖπνον ὄντι, τὴν ἀτοπίαν τοῦ πράγματος. ὁ δ᾽ ἐξαναστὰς ἧκε πρὸς αὐτόν. καὶ ἀνέκρινε, τίς ὢν ἀφῖκται, καὶ τίνων δεόμενος. οὕτως οὖν ὁ Μάρκιος ἀποκαλυψάμενος καὶ μικρὸν ἀναμείνας, εἰ μήπω με γινώσκεις ὦ Τύλλε εἶπεν, ἀλλ᾽ ὁρῶν ἀπιστεῖς, ἀνάγκη με κατήγορον ἐμαυτοῦ γενέσθαι. Γάϊός εἰμι Μάρκιος, ὁ πλεῖστα καὶ Οὐολούσκους ἐργασάμενος κακά, καὶ τὴν οὐκ ἐῶσαν ἀρνεῖσθαι ταῦτα, περιφέρων προσηγορίαν τὸν Κοριολανόν. οὐδὲν γὰρ ἄλλο τῶν πολλῶν πόνων καὶ κινδύνων ἐκείνων ἐκτησάμην ἔπαθλον, ἢ τὸ παράσημον ὄνομα τῆς πρὸς ὑμᾶς ἔχθρας. καὶ τοῦτό μοι περίεστιν ἀναφαίρετον. τὰ δ᾽ ἄλλα ὁμοῦ πάντα, φθόνῳ δήμου καὶ ὕβρει, μαλακίᾳ δὲ καὶ προδοσίᾳ τῶν ἐν τέλει καὶ ἰσοτίμων, ἀπεστέρημαι, καὶ φυγὰς ἐλήλαμαι. καὶ γέγονα τῆς σῆς ἑστίας ἱκέτης. οὐχ ὑπὲρ ἀδείας καὶ σωτηρίας. τί γὰρ ἔδει με δεῦρ᾽ ἥκειν, φοβούμενον ἀποθανεῖν. ἀλλὰ δίκας λαβεῖν χρῄζων. καὶ λαμβάνων ἤδη παρὰ τῶν ἐκβαλλόντων, τῷ σε ποιεῖν ἐμαυτοῦ κύριον. εἰ μὲν οὖν ἐστί σοι θυμὸς ἐπιχειρεῖν τοῖς πολεμίοις, ἴθι ταῖς ἐμαῖς συμφοραῖς ὦ γενναῖε χρῆσαι. καὶ κοινὸν εὐτύχημα ποίησον Οὐολούσκων, τὴν ἐμὴν ἀτυχίαν το-

Nota quod δημαρχ' hic de Iudicio ... sed curiatim facto.

στρατευσαμένους. ο. ε. ς. τ.
αὐτόν. τ. ς.

διατάσει. ο. ε. β. ς. τ.

^ πάντων. ε. ο. ς. τ.

διαλογισμῶν. β. ε. ς. τ.

τὸ. ε. ο. τ. ς.

κολοῦσαι. β. ε. ο. τ. ς.

^ σὲ. ο. ς. ε.

ὕβριν τοὺς πεμφθέντας ἐξήλασεν ὑπηρέτας, αὐτοὶ μετὰ τῶν ἀγορανόμων ἧκον, ἄξοντες βίᾳ τὸν ἄνδρα. καὶ τοῦ σώματος ἐπελαμβάνοντο. συστάντες δ' οἱ πατρίκιοι, τοὺς μὲν δημάρχους ἀπετρέψαντο, τοῖς δ' ἀγορανόμοις καὶ πληγὰς ἐνέβαλον. τότε μὲν οὖν ἑσπέρα καταλαβοῦσα, τὴν ταραχὴν διέλυσεν. ἅμα δ' ἡμέρᾳ, τὸν δῆμον ὁρῶντες ἐξηγριωμένον οἱ ὕπατοι, καὶ συντρέχοντα πανταχόθεν εἰς τὴν ἀγορὰν, ἔδεισαν ὑπὲρ τῆς πόλεως. καὶ τὴν βουλὴν ἀθροίσαντες, ἐκέλευον σκοπεῖν, ὅπως ἐπιεικέσι λόγοις καὶ δόγμασι χρηστοῖς, πραΰνωσι καὶ καταστήσωσι τοὺς πολλούς. ὡς οὐ φιλοτιμίας οὖσαν ὥραν. οὐδ' ὑπὲρ δόξης ἅμιλλαν, εἰ σωφρονοῦσιν, ἀλλὰ καιρὸν ἐπισφαλῆ καὶ ὀξὺν, εὐγνώμονος πολιτείας καὶ φιλανθρώπου δεόμενον. εἰξάντων δὲ τῶν πλείστων, προελθόντες ὡς ἦν μάλιστα τῷ δήμῳ διελέγοντο καὶ κατεπράϋνον. ἀπολυόμενοί τε τὰς διαβολὰς ἐπιεικῶς, καὶ τῷ νουθετοῦντι μετρίως χρώμενοι.

καὶ διανοοῦντι β.ι.σ.
ἐνεδίδου
δήμου

περὶ δὲ τιμῆς ὠνίων καὶ ἀγορᾶς, οὐδὲν διοίσεσθαι πρὸς αὐτοὺς φάσκοντες. ὡς οὖν ἐνεδίδου τὸ πολὺ τοῦ δήμου. καὶ φανερὸς ἦν τῷ κοσμίως καὶ σωφρόνως ἀκούειν, ἀγόμενον καὶ κηλούμενον, ἀνέστησαν οἱ δήμαρχοι, τῇ μὲν βουλῇ σωφρονούσῃ. τὸν δῆμον ἀνθυπείξειν, ὅσα καλῶς ἔχει φάσκοντες, τὸν δὲ μάρκιον, ἀπολογεῖσθαι κελεύοντες, εἰ μή φησιν ἐπὶ συγχύσει τῆς πολιτείας καὶ καταλύσει τοῦ δήμου, τήν τε βουλὴν παροξύνειν, καὶ καλούμενος ὑπ' αὐτῶν ἀπειθῆσαι. τέλος δὲ τοὺς ἀγορανόμους τύπτων ἐν ἀγορᾷ καὶ προπηλακίζων, ἐμφύλιον ὅσον ἐπ' αὐτῷ πόλεμον ἐξεργάσασθαι. καὶ προαγαγεῖν εἰς ὅπλα τοὺς πολίτας.

πολίτας ς.ο.
ς.ο. ὑφιέντα τὸ φρόνημα
καὶ θεραπεύοντα

ἔλεγον δὲ ταῦτα, βουλόμενοι τὸν μάρκιον ἢ ταπεινὸν ἀποδεῖξαι, παρὰ φύσιν θεραπεύοντα τὸ φρόνημα, ἢ τῇ φύσει χρώμενον, ἀνήκεστον ἀπεργάσασθαι, τὴν πρὸς αὐτὸν ὀργήν. ὃ μᾶλλον ἤλπιζον, ὀρθῶς στοχαζόμενοι τοῦ ἀνδρός. ἔστη μὲν γὰρ ὡς ἀπολογησόμενος, καὶ παρεῖχεν αὐτῷ σιωπὴν καὶ ἡσυχίαν ὁ δῆμος. ὡς δ' ἤρξατο πρὸς τοὺς ἀνθρώπους, δεητικόν τινα λόγον προσδεχομένους, οὐ μόνον ἐπαχθεῖ παῤῥησίᾳ χρῆσθαι, καὶ πλείονι κατηγορίᾳ τῆς παῤῥησίας, ἀλλὰ καὶ τόνῳ φωνῆς καὶ διαθέσει προσώπου τὴν ἐγγὺς ὑπεροψίας καὶ ὀλιγωρίας ἀφοβίαν ἐπιδεικνύμενος, ὁ μὲν δῆμος ἐξετραχύνθη, καὶ φανερὸς ἦν δυσανασχετῶν καὶ βαρυνόμενος τοῖς λεγομένοις. τῶν δὲ δημάρχων, ὁ θρασύτατος σικίννιος, μικρὰ τοῖς συνάρχουσι διαλεχθεὶς, εἶτ' εἰς μέσον ἀναγορεύσας, ὡς θάνατος ὑπὸ τῶν δημάρχων τοῦ μαρκίου κατέγνωσται, προσέταξε τοῖς ἀγορανόμοις, ἀναγαγόντας αὐτὸν ἐπὶ τὴν ἄκραν, εὐθὺς ὦσαι κατὰ τῆς ὑποκειμένης φάραγγος. ἁπτομένων δὲ τῶν ἀγορανόμων τοῦ σώματος, ἔδοξε μὲν καὶ τῶν δημοτῶν τοῖς πολλοῖς, φρικτὸν εἶναι τὸ γιγνόμενον καὶ ὑπερήφανον. οἱ δὲ πατρίκιοι παντάπασιν ἐκστάντες καὶ περιπαθήσαντες, ὥρμησαν ἀπὸ κραυγῆς βοηθεῖν. οἱ δὲ, καὶ χερσὶ τοὺς ἐπιλαμβανομένους ἀνείργοντες καὶ καταμιγνύντες ἑαυτοῖς τὸν μάρκιον. ἔνιοι δὲ καὶ τὰς χεῖρας ὀρέγοντες, ἐδέοντο τῶν πολλῶν. ἐπεὶ δὲ λόγου τε καὶ φωνῆς οὐδὲν ἔργον ἦν, ἐν ἀκοσμίᾳ τοσαύτῃ καὶ θορύβοις ἄχρις οὗ συμφρονήσαντες οἱ φίλοι καὶ οἰκεῖοι τῶν δημάρχων ὡς ἄνευ φόνου πολλοῦ τῶν πατρικίων οὐκ ἔστιν ἐξαγαγεῖν οὐδὲ κολάσαι τὸν μάρκιον, ἔπεισαν αὐτοὺς ἀφελεῖν τῆς τιμωρίας τὸ ἀλλόκοτον καὶ βαρὺ, μὴ βίᾳ, μηδ' ἄκριτον ἀποκτιννύντας, ἀλλὰ τῷ δήμῳ ψῆφον ἐπενεγκεῖν ἀποδόντας.

τί βουλόμενοι μάρκιον
ἀνιῶσι τοῦ δημάρ-
χου κολάζειν

ἐκ τούτου καταστὰς ὁ σικίννιος, ἠρώτα τοὺς πατρικίους. τί βουλόμενοι τὸν μάρκιον ἀφαιροῦνται τοῦ δήμου, βουλομένου κολάζειν. ἐκείνων δὲ πάλιν ἀντερωτώντων, τί μὲν οὖν διανοεῖσθε, καὶ τί βούλεσθε ὑμεῖς, ἄνδρα ῥωμαίων ἐν τοῖς ἀρίστοις ἄνευ κρίσεως ἐπὶ τιμωρίαν ὠμὴν καὶ παράνομον οὕτως ἄγοντες. ἀλλὰ ταύτην μὲν εἶπεν ὁ σικίννιος, ὑμεῖς μὴ ποιεῖσθε πρόφασιν διαφορᾶς καὶ στάσεως πρὸς τὸν δῆμον. ὃ γὰρ ἀξιοῦτε, δίδωσιν ὑμῖν κριθῆναι τὸν ἄνδρα. σοὶ δὲ μάρκιε προαγορεύομεν εἰς τρίτην ἀγορὰν παρεῖναι καὶ πείθειν τοὺς πολίτας εἰ μηδὲν ἀδικεῖς, ὡς ψήφῳ κρινοῦντας. τότε μὲν οὖν ἠγάπησαν οἱ πατρίκιοι τὴν διάλυσιν. καὶ τὸν μάρκιον ἀσμένως ἔχοντες ἀπῆλθον. ἐν δὲ τῷ μεταξὺ χρόνῳ τῆς τρίτης ἀγορᾶς. ἀγορὰς δὲ ποιοῦσι ῥωμαῖοι δι' ἡμέρας ἐνάτης, νουνδίνας καλοῦντες. ἐλπίδα μὲν αὐτοῖς παρέσχε διακρούσεως στρατεία γενομένη πρὸς ἀντιάτας, ὡς μῆκος ἕξουσα καὶ χρόνον, ἐν ᾧ χειροήθης ὁ δῆμος ἔσται τῆς ὀργῆς ἀπομαρανθείσης, ἢ παντελῶς ἐκπεσούσης δι' ἀσχολίαν καὶ πόλεμον. ἔπειτα δ' ὡς ταχὺ διαλυσάμενοι πρὸς τοὺς ἀντιάτας ἐπανῆλθον, ἐγίνοντο σύνοδοι τῶν πατρικίων πολλάκις δεδιότων καὶ σκοπούντων, ὅπως τόν τε μάρκιον οὐ προήσονται, τόν τε δῆμον αὖθις οὐ παρέξουσιν ἐκταράττειν τοῖς δημαγωγοῖς. ἄππιος μὲν οὖν κλαύδιος, αἰτίαν ἔχων ἐν τοῖς μάλιστα μισόδημος εἶναι, διεμαρτύρατο λέγων τήν τε βουλὴν αὐτοὺς ἀναιρήσειν. καὶ προήσεσθαι παντάπασι τὴν πολιτείαν, εἰ κύριον τῆς ψήφου κατὰ τῶν πατρικίων δέξονται γενόμενον τὸν δῆμον. οἱ δὲ πρεσβύτατοι καὶ δημοτικώτατοι, τοὐναντίον ἠξίουν, οὐ χαλεπὸν οὐδὲ βαρὺν, ἀλλὰ πρᾷον καὶ φιλάνθρωπον ὑπὸ τῆς ἐξουσίας ἔσεσθαι τὸν δῆμον. οὐ γὰρ καταφρονοῦντι τῆς βουλῆς, ἀλλ' οἰομένῳ καταφρονεῖσθαι, τιμὴν καὶ παραμυθίαν γενήσεσθαι τὴν κρίσιν. ὥστε ἅμα τὴν ψῆφον λαβόντας ἀποθήσεσθαι τὴν ὀργήν. ὁρῶν δ' οὖν ὁ μάρκιος εὐνοίᾳ μὲν αὐτοῦ, φόβῳ δὲ τοῦ δήμου τὴν σύγκλητον ἀπορουμένην, ἠρώτησε τοὺς δημάρχους, τί κατηγοροῦσιν αὐτοῦ. καὶ περὶ τίνος κριθησόμενον ἐπὶ τὸν δῆμον ἐξάγουσιν. εἰπόντων δ' ἐκείνων, ὅτι τυραννίς ἐστι τὸ ἔγκλημα. καὶ τυραννεῖν διανοούμενον ἀποδείξουσιν αὐτὸν, οὕτως ἐξαναστὰς, αὐτὸς ἔφη πρὸς τὸν δῆμον ἤδη βαδίζειν, ἀπολογησόμενος. καὶ μηδένα τρόπον κρίσεως,

χρόνον ὠνὴ καὶ πρᾶσις ἐπεισῆλθε, καὶ συνεμίγη ταῖς ἐκκλησιαστικαῖς ψήφοις ἀργύριον. ἐκ δὲ τούτου, καὶ δικαστῶν θιγοῦσα καὶ στρατοπέδων ἡ δωροδοκία περιέστησεν εἰς μοναρχίαν τὴν πόλιν, ἐξανδραποδισαμένη τὰ ὅπλα τοῖς χρήμασιν. οὐ γὰρ κακῶς ἔοικεν εἰπεῖν ὁ εἰπὼν, ὅτι πρῶτος κατέλυσε τὸν δῆμον, ὁ πρῶτος ἑστιάσας καὶ δεκάσας. φαίνεται δὲ κρύφα καὶ κατὰ μικρὸν ὑποτρέχον, οὐκ εὐθὺς ἔκδηλον ἐν ῥώμῃ γενέσθαι τὸ κακόν. οὐ γὰρ ἴσμεν ὅστις ἦν ὁ δεκάσας πρῶτον ἐν ῥώμῃ δῆμον ἢ δικαστήριον. ἀθήνησι δὲ λέγεται πρῶτος ἀργύριον δοῦναι δικασταῖς, ἄνυτος ὁ ἀνθεμίωνος, προδοσίας περὶ πύλου κρινόμενος ἐν τοῖς πελοποννησιακοῖς ἤδη τελευτῶσιν, ὁπηνίκα τὸ χρυσοῦν ἔτι γένος καὶ ἀκήρατον, ἐν ῥώμῃ τὴν ἀγορὰν κατεῖχεν. ἀλλὰ τοῦ γε μαρκίου πολλὰς ὑποφαίνοντος ὠτειλὰς, ἀπὸ πολλῶν ἀγώνων ἐν οἷς ἐπρώτευσεν ἑπτακαίδεκα ἔτη συνεχῶς στρατευόμενος, ἐδυσωποῦντο τὴν ἀρετὴν, καὶ λόγον ἀλλήλοις ἐδίδοσαν ὡς ἐκεῖνον ἀποδείξοντες. ἐπεὶ δὲ τῆς ἡμέρας ἐν ᾗ τὴν ψῆφον ἔδει φέρειν ἐνστάσης, ὁ μάρκιος εἰς ἀγορὰν ἐνέβαλε, σοβαρῶς ὑπὸ τῆς βουλῆς προπεμπόμενος. καὶ πάντες οἱ πατρίκιοι περὶ αὐτὸν ἐγένοντο φανεροὶ, πρὸς μηδένα οὕτω μηδέποτε σπουδάσαντες, ἐξέπεσον αὖθις οἱ πολλοὶ τῆς πρὸς αὐτὸν εὐνοίας εἰς τὸ νεμεσᾶν καὶ φθονεῖν ὑποφερόμενοι. προσῆν δὲ τῷ πάθει τούτῳ καὶ δέος, εἰ γένοιτο τῆς ἀρχῆς κύριος ἀνὴρ ἀριστοκρατικὸς καὶ τοσοῦτον ἔχων ἐν τοῖς πατρικίοις ἀξίωμα, μὴ παντάπασιν ἀφέλοιτο τοῦ δήμου τὴν ἐλευθερίαν. οὕτω δὴ φρονήσαντες, ἀπεψηφίσαντο τὸν μάρκιον. ὡς δ' ἀνηγορεύθησαν ἕτεροι, βαρέως μὲν ἤνεγκεν ἡ βουλὴ, δοκοῦσα προπεπηλακίσθαι μᾶλλον ἑαυτὴν ἢ τὸν μάρκιον. αὐτὸς δ' ἐκεῖνος οὐ μετρίως ἔσχεν, οὐδ' ἐπιεικῶς πρὸς τὸ συμβεβηκὸς, ἅτε δὴ πλεῖστα τῷ θυμοειδεῖ καὶ φιλονείκῳ μέρει τῆς ψυχῆς, ὡς ἔχοντι μέγεθος καὶ φρόνημα κεχρημένος, τὸ δ' ἐμβριθὲς καὶ τὸ πρᾶον οὗ τὸ πλεῖστον ἀρετῇ πολιτικῇ μέτεστιν, ἐγκεκραμένον οὐκ ἔχων ὑπὸ λόγου καὶ παιδείας. οὐδὲ τὴν ἐρημίᾳ ξύνοικον, ὡς πλάτων ἔλεγεν, αὐθάδειαν, εἰδὼς ὅτι δεῖ μάλιστα διαφεύγειν ἐπιχειροῦντα πράγμασι κοινοῖς, καὶ ἀνθρώποις ὁμιλεῖν, καὶ γενέσθαι τῆς πολλὰ γελωμένης ὑπ' ἐνίων ἀνεξικακίας ἐραστής. ἀλλ' ἁπλοῦς τις ὢν ἀεὶ καὶ ἀτενὴς, καὶ τὸ νικᾶν καὶ κρατεῖν ἁπάντων, πάντως ἀνδρείας ἔργον ἡγούμενος, οὐκ ἀσθενείας καὶ μαλακίας ἐκ τοῦ πονοῦντος καὶ πεπονθότος μάλιστα τῆς ψυχῆς ὥσπερ οἴδημα τὸν θυμὸν ἀναδιδούσης, ἀπῄει ταραχῆς μεστὸς ὢν, καὶ πικρίας πρὸς τὸν δῆμον. οἱ δ' ἐν ἡλικίᾳ τῶν πατρικίων, ὅτι περ ἦν ἐν τῇ πόλει μάλιστα γαυρούμενον εὐγενείᾳ καὶ ἀνθοῦν, ἀεί τε θαυμαστῶς ἐσπουδάκεσαν περὶ τὸν ἄνδρα. καὶ τότε προσκείμενοι καὶ παρόντες οὐκ ἐπ' ἀγαθῷ, τὸν θυμὸν ἐξερρίπιζον αὐτοῦ τῷ συναγανακτεῖν καὶ συναλγεῖν. ἦν γὰρ ἡγεμὼν αὐτοῖς καὶ διδάσκαλος εὐμενὴς τῶν πολεμικῶν ἐν ταῖς στρατείαις. καὶ ζῆλον ἀρετῆς ἄνευ φθόνου, πρὸς ἀλλήλους γαυροῦσθαι τοὺς κατορθοῦντας. ἐν τούτῳ δὲ, σῖτος ἧκεν εἰς ῥώμην, πολὺς μὲν ὠνητὸς ἐξ ἰταλίας, οὐκ ἐλάττων δὲ δωρητὸς ἐκ συρακουσῶν, γέλωνος τοῦ τυράννου πέμψαντος. ὥστε τοὺς πλείστους ἐν ἐλπίσι γενέσθαι χρησταῖς, ἅμα τῆς ἀπορίας καὶ τῆς διαφορᾶς τὴν πόλιν ἀπαλλαγήσεσθαι προσδοκῶντας. εὐθὺς οὖν βουλῆς ἀθροισθείσης, περιχυθεὶς ὁ δῆμος ἔξωθεν, ἐκαραδόκει τὸ τέλος, ἐλπίζων ἀγορᾷ τε χρῆσθαι φιλανθρώπῳ, καὶ προῖκα τὰς δωρεὰς νεμήσεσθαι. καὶ γὰρ ἔνδον ἦσαν οἱ ταῦτα τὴν βουλὴν πείθοντες. ὁ μέντοι μάρκιος ἀναστὰς, σφόδρα καθήψατο τῶν χαριζομένων τοῖς πολλοῖς, δημαγωγοὺς καὶ προδότας ἀποκαλῶν τῆς ἀριστοκρατίας, καὶ σπέρματα πονηρὰ θρασύτητος καὶ ὕβρεως εἰς ὄχλον ἀφειμένα τρέφοντας καθ' αὑτῶν. ἃ καλῶς μὲν εἶχε μὴ περιιδεῖν ἐν ἀρχῇ φυόμενα, μηδ' ἰσχυρὸν ἀρχῇ τηλικαύτῃ ποιῆσαι τὸν δῆμον. ἤδη δὲ καὶ φοβερὸν εἶναι, τῷ πάντα βουλομένοις αὐτοῖς ὑπάρχειν, καὶ μηδὲν ἄκοντας βιάζεσθαι, μηδὲ πείθεσθαι τοῖς ὑπάτοις, ἀλλ' ἀναρχίαν ἔχοντας, ἡγεμόνας ἰδίους ἄρχοντας προσαγορεύειν. ἐπιδόσεις μὲν οὖν καὶ διανομὰς ὥσπερ ἑλλήνων οἱ κράτιστα δημοκρατούμενοι, καθέζεσθαι ψηφιζομένους ἔφη παντελῶς εἰς κοινὸν ὄλεθρον τὴν ἀπείθειαν αὐτῶν ἐφοδιάζειν. οὐ γὰρ χάριν γε δήπου φήσειν ἀπολαμβάνειν τῶν στρατειῶν ἃς ἐγκατέλιπον, καὶ τῶν ἀποστάσεων αἷς προήκαντο τὴν πατρίδα, καὶ τῶν διαβολῶν ἃς ἐδέξαντο κατὰ τῆς βουλῆς, ἀλλ' ὑφιεμένους διὰ φόβον καὶ κολακεύοντας ἡμᾶς ταῦτα διδόναι, καὶ συγχωρεῖν ἐλπίσαντες, οὐδὲν ἕξουσι πέρας ἀπειθείας, οὐδὲ παύσονται διαφερόμενοι καὶ στασιάζοντες. ὥστε τοῦτο μὲν ἐστὶ κομιδῇ μανικόν. εἰ δὲ σωφρονοῦμεν, ἀφαιρησόμεθα τὴν δημαρχίαν αὐτῶν, ἀναίρεσιν οὖσαν ὑπατείας καὶ διάστασιν τῆς πόλεως, οὐκέτι μιᾶς ὡς πρότερον οὔσης, ἀλλὰ δεδεγμένης τομὴν, μηδέποτε συμφῦναι, μηδ' ὁμοφρονῆσαι, μηδὲ παύσασθαι νοσοῦντας ἡμᾶς καὶ ταρασσομένους ὑπ' ἀλλήλων ἐάσουσαν. πολλὰ τοιαῦτα λέγων ὁ μάρκιος, ὑπερφυῶς εἶχε τοὺς νέους συνενθουσιῶντας αὐτῷ καὶ τοὺς πλουσίους ὀλίγου δεῖν ἅπαντας, μόνον ἐκεῖνον ἄνδρα τὴν πόλιν ἀήττητον καὶ ἀκολάκευτον βοῶντας. ἔνιοι δὲ τῶν πρεσβυτέρων ἠναντιοῦντο, ὑφορώμενοι τὸ ἀποβησόμενον. ἀπέβη δὲ χρηστὸν οὐδέν. οἱ γὰρ δήμαρχοι παρόντες ὡς ᾔσθοντο τῇ γνώμῃ κρατοῦντα τὸν μάρκιον, ἐξέδραμον εἰς τὸν ὄχλον μετὰ βοῆς, παρακελευόμενοι συνίστασθαι καὶ βοηθεῖν αὐτοῖς τοὺς πολλούς. ἐκκλησίας δὲ θορυβώδους γενομένης, καὶ τῶν λόγων οὓς ὁ μάρκιος εἶπεν ἀναγορευθέντων, ὀλίγον ἐδέησεν ἐμπεσεῖν ὑπ' ὀργῆς φερόμενος εἰς τὴν βουλὴν ὁ δῆμος. οἱ δὲ δήμαρχοι, τοῦ μαρκίου τὴν αἰτίαν ἐποιοῦντο. καὶ πέμποντες, ἐκάλουν αὐτὸν ἀπολογησόμενον. ὡς δὲ πρὸς

χρήσασθαι · ιος
ὑμᾶς · αβ. 5.
ἔχειν · α. ε. 5.

βουλόμενον λαβεῖν. ἦν δὲ οὐκ ἔστιν ἐπεὶ τοῦτο διδομένην ἀπώσασθαι, δῶμεν αὐτῷ. καὶ ψηφισώμεθα καλεῖσθαι κοριολανὸν, εἰ μὴ καὶ πρὸ ἡμῶν ἡ πρᾶξις αὐτὴ τοῦτο δέδωκεν. ἐκ τούτου τρίτον ἔσχεν ὄνομα τὸ κοριολανόν. ᾧ καὶ μάλιστα δῆλόν ἐστι τῶν ὀνομάτων, ἴδιον ἦν ὁ γάϊος. τὸ δὲ δεύτερον, οἰκίας, ἢ γένους κοινὸν ὁ μάρκιος. τῷ δὲ τρίτῳ, ὕστερον ἐχρήσαντο. πράξεώς τινος. ἢ τύχης. ἢ ἰδέας. ἢ ἀρετῆς ἐπιθέτῳ. καθάπερ ἕλληνες ἐτίθεντο. πράξεως μὲν ἐπώνυμον τὸν σωτῆρα καὶ τὸν καλλίνικον. ἰδέας δὲ, τὸν φύσκωνα καὶ τὸν γρυπόν. ἀρετῆς δὲ, τὸν εὐεργέτην καὶ τὸν φιλάδελφον. εὐτυχίας δὲ, τὸν εὐδαίμονα, τῷ δευτέρῳ τῶν βάττων. ἐνίοις δὲ τῶν βασιλέων καὶ σκώμματα παρέσχεν ἐπικλήσεις, ὡς ἀντιγόνῳ τὸν δώσωνα. καὶ πτολεμαίῳ τὸν λάμυρον. ἐπὶ πλέον δὲ τῷ γένει τούτῳ καὶ ῥωμαῖοι κέχρηνται, διαδήματόν τινα τῶν μετέλλων καλέσαντες, ὅτι πολὺν χρόνον ἕλκος ἔχων, περιενόστει, περιδεδεμένος τὸ μέτωπον. ἕτερον δὲ κέλερα, σπεύσαντα μεθ' ἡμέρας ὀλίγας τῆς τοῦ πατρὸς τελευτῆς ἐπιταφίους μονομάχων ἀγῶνας παρασχεῖν, τὸ τάχος καὶ τὴν ὀξύτητα τῆς παρασκευῆς, θαυμάσαντες. ἐνίους δὲ, συντυχίᾳ γενέσεως, μέχρι νῦν καλοῦσι. πρόκλον μὲν, ἐὰν ἀποδημοῦντος πατρὸς γένηται. καὶ πόστουμον, ἂν τεθνηκότος. ᾧ δ' ἂν διδύμῳ γενομένῳ συμβῇ περιβιῶναι, θατέρου τελευτήσαντος, οὐοπίσκον. τῶν δὲ σωματικῶν, οὐ μόνον σύλλας, οὐδὲ νίγρους, οὐδὲ ῥούφους. ἀλλὰ καὶ καίκους. καὶ κλωδίους ἐπωνυμίας τίθενται καλῶς ἐθίζοντες, μήτε τυφλότητα, μήτ' ἄλλην τινὰ σωματικὴν ἀτυχίαν, ὄνειδος ἡγεῖσθαι, μηδὲ λοιδορίαν, ἀλλ' ὡς οἰκείοις ὑπακούειν ὀνόμασιν. ἀλλὰ ταῦτα μὲν, ἑτέρῳ γένει γραφῆς προσήκει. παυσαμένου δὲ τοῦ πολέμου, τὴν στάσιν ἐπήγειρον αὖθις οἱ δημαγωγοὶ, καινὴν μὲν, οὐδὲ μίαν αἰτίαν ἔχοντες, οὐδ' ἔγκλημα δίκαιον, ἃ δὲ ταῖς προτέραις αὐτῶν ταραχαῖς καὶ διαφοραῖς ἀναγκαίως ἐπηκολούθησε κακὰ, ταῦτα ποιούμενοι πρόφασιν ἐπὶ τοὺς πατρικίους. ἄσπορος γὰρ ἡ πλείστη καὶ ἀγεώργητος ἀπελείφθη τῆς χώρας. ἀγορᾶς δ' ἐπεισάκτου παρασκευὴν διὰ τὸν πόλεμον, ὁ καιρὸς οὐκ ἔδωκεν. ἰσχυρᾶς δ' ἀπορίας γενομένης, ὁρῶντες οἱ δημαγωγοὶ, μήτ' ἀγορὰν ἔχοντα, μήτ' εἰ παρείη ἀγορὰ, χρημάτων εὐποροῦντα τὸν δῆμον, ἐνέβαλλον λόγους καὶ διαβολὰς κατὰ τῶν πλουσίων, ὡς ἐκεῖνοι τὸν λιμὸν ἐπάγοιεν αὐτοῖς ἀπὸ μνησικακίας. ἐκ δὲ τῶν οὐελιτρανῶν, ἧκεν πρεσβεία τὴν πόλιν παραδιδόντων, καὶ δεομένων ἀποίκους ἀποστέλλειν. νόσος γὰρ ἐμπεσοῦσα λοιμώδης αὐτοῖς, τοσοῦτον ὄλεθρον καὶ φθορὰν ἀπειργάσατο τῶν ἀνθρώπων, ὥστε μόλις τὸ δέκατον τοῦ παντὸς ἀπολειφθῆναι μέρος. ἔδοξεν οὖν τοῖς νοῦν ἔχουσιν εἰς δέον γεγονέναι καὶ κατὰ καιρὸν, ἡ χρεία τῶν οὐελιτρανῶν, διά τε τὴν ἀπορίαν κουφισμοῦ δεομένοις. καὶ τὴν στάσιν ἅμα σκεδάσειν ἤλπιζον, εἰ τὸ θορυβοῦν μάλιστα καὶ συνεπηρμένον τοῖς δημαγωγοῖς, ὥσπερ περίττωμα τῆς πόλεως νοσερὸν καὶ ταραχῶδες ἀποκαθαρθείη. τούτους τε δὴ καταλέγοντες, εἰς τὴν ἀποικίαν ἐξέπεμπον οἱ ὕπατοι. καὶ στρατείαν ἐπήγγελλον ἑτέροις ἐπὶ τοὺς οὐολούσκους. ἀσχολίαν τε τῶν ἐμφυλίων μηχανώμενοι θορύβων. καὶ νομίζοντες ἐν ὅπλοις καὶ στρατοπέδῳ καὶ κοινοῖς ἀγῶσιν αὖθις γενομένους πλουσίους ὁμοῦ καὶ πένητας, καὶ δημοτικοὺς καὶ πατρικίους, ἠπιώτερον διατεθῆναι πρὸς ἀλλήλους καὶ ἥδιον. ἐνίσταντο δὲ λοιπὸν οἱ περὶ σικίννιον καὶ βροῦτον δημαγωγοὶ βοῶντες, ἔργον ὠμότατον αὐτοὺς τῷ πρᾳοτάτῳ τῶν ὀνομάτων ἀποικίαν προσαγορεύσαντας, ἀνθρώπους πένητας ὥσπερ εἰς βάραθρον ὠθεῖν, ἐκπέμποντας εἰς πόλιν ἀέρος τε τοῦ νοσεροῦ καὶ νεκρῶν ἀτάφων γέμουσαν, ἀλλοτρίῳ δαίμονι καὶ παλαμναίῳ συνοικιζομένους. εἶθ' ὥσπερ οὐκ ἀρκουμένους, τοὺς μὲν, ὑπὸ λιμοῦ διολλύναι τῶν πολιτῶν, τοὺς δὲ λοιμῷ προσβάλλειν. ἔτι καὶ πόλεμον αὐθαίρετον προσάγειν, ὅπως μηδὲν κακὸν ἀπῇ τῆς πόλεως, ὅτι δουλεύουσα τοῖς πλουσίοις ἀπεῖπε. τοιούτων ἀναπιμπλάμενος λόγων ὁ δῆμος, οὔτε τῷ καταλόγῳ προσῄει τῶν ὑπάτων, πρός τε τὴν ἀποικίαν διεβέβλητο. τῆς δὲ βουλῆς διαπορουμένης, ὁ μάρκιος ἤδη μεστὸς ὢν ὄγκου καὶ μέγας γεγονὼς τῷ φρονήματι καὶ θαυμαζόμενος ὑπὸ τῶν κρατίστων, φανερὸς ἦν μάλιστα τοῖς δημαγωγοῖς ἀνθιστάμενος. καὶ τὴν μὲν ἀποικίαν ἀπέστειλαν, ἐπιτιμίοις μεγάλοις τοὺς λαχόντας ἐξελθεῖν ἀναγκάσαντες. πρὸς δὲ τὴν στρατείαν παντάπασιν ἀπαγορευόντων, αὐτὸς ὁ μάρκιος τούς τε πελάτας ἀναλαβὼν, καὶ τῶν ἄλλων ὅσους ἔπεισε, κατέδραμε τὴν ἀντιατῶν χώραν. καὶ πολὺν μὲν σῖτον εὑρὼν, πολλὴν δὲ λείαν θρεμμάτων καὶ ἀνδραπόδων περιτυχὼν, αὐτῷ μὲν οὐδὲν ἐξείλετο. τοὺς δὲ στρατευσαμένους, πολλὰ μὲν ἄγοντας ἔχων, πολλὰ δὲ φέροντας, ἐπανῆλθεν εἰς τὴν ῥώμην. ὥστε τοὺς ἄλλους μεταμελομένους καὶ φθονήσαντας τοῖς εὐπορήσασιν, ἄχθεσθαι τῷ μαρκίῳ, καὶ βαρύνεσθαι τὴν δόξαν αὐτοῦ καὶ τὴν δύναμιν ὡς ἐπὶ τὸν δῆμον αὐξομένην. ὀλίγου δὲ χρόνου, μετῄει μὲν, ὑπατείαν ὁ μάρκιος. ἐκάμπτοντο δὲ οἱ πολλοὶ, καὶ τὸν δῆμον αἰδώς τις εἶχεν, ἄνδρα καὶ γένει καὶ ἀρετῇ πρῶτον, ἀτιμάσαι καὶ καταβαλεῖν ἐπὶ τοσούτοις καὶ τηλικούτοις εὐεργετήμασι. καὶ γὰρ ἔθος ἦν τοῖς μετιοῦσι τὴν ἀρχὴν παρακαλεῖν καὶ δεξιοῦσθαι τοὺς πολίτας, ἐν ἱματίῳ κατιόντας εἰς τὴν ἀγορὰν ἄνευ χιτῶνος. εἴτε μᾶλλον ἐκταπεινοῦντας ἑαυτοὺς τῷ σχήματι πρὸς τὴν δέησιν, εἴτε δεικνύντας οἷς ἦσαν ὠτειλὰς, προφανῆ τὰ σύμβολα τῆς ἀνδρείας. οὐ γὰρ ὑποψίᾳ δήπου διανομῆς ἀργυρίου καὶ δεκασμῶν, ἄζωστον ἐβούλοντο προσιέναι καὶ ἀχίτωνα τοῖς πολίταις τὸν δεόμενον αὐτῶν. ὀψὲ γὰρ μετὰ πολὺ

προσώπου φοβερὸς ἐντυχεῖν πολεμίοις, καὶ δυσυπόστατος. ἀθροιζομένων δὲ πολλῶν καὶ συνισταμένων ἐπ' αὐτὸν, ἀπεχώρουν οἱ πολέμιοι δείσαντες. ὁ δ' οὐκ ἠγάπησεν, ἀλλ' ἐπηκολούθει, καὶ συνήλαυνεν ἤδη προτροπάδην φεύγοντας, ἄχρι τῶν πυλῶν. ἐκεῖ δ' ὁρῶν ἀποτρεπομένους τοῦ διώκειν τοὺς ῥωμαίους, πολλῶν μὲν ἀπὸ τοῦ τείχους βελῶν προσφερομένων, τὸ δὲ συνεισπεσεῖν τοῖς φεύγουσιν, εἰς πόλιν ἀνδρῶν πολεμικῶν γέμουσαν, ἐν τοῖς ὅπλοις ὄντων, οὐδενὸς εἰς νοῦν ἐμβαλέσθαι τολμῶντος. ὅμως ἐπιστὰς, παρεκάλει καὶ παρεθάρρυνεν, ἀνεῷχθαι βοῶν ὑπὸ τῆς τύχης τοῖς διώκουσι μᾶλλον, ἢ τοῖς φεύγουσι, τὴν πόλιν. οὐ πολλῶν δὲ βουλομένων ἐπακολουθεῖν, ὠσάμενος διὰ τῶν πολεμίων, ἐνήλατο ταῖς πύλαις καὶ συνεισέπεσε. μηδενὸς τὸ πρῶτον ἀντισχεῖν, μηδ' ὑποστῆναι τολμήσαντος. ἔπειτα δὲ ὡς κατεῖδον ὀλίγους παντάπασιν ἔνδον ὄντας, συμβοηθούντων καὶ προσμαχομένων, ἀναμεμιγμένος ὁμοῦ φίλοις καὶ πολεμίοις, ἄπιστον ἀγῶνα λέγεται, καὶ χειρὸς ἔργοις, καὶ ποδῶν τάχει, καὶ τολμήμασι ψυχῆς ἀγωνιζόμενος ἐν τῇ πόλει, καὶ κρατῶν ἁπάντων πρὸς οὓς ὁρούσειε, τοὺς μὲν ἐξῶσαι πρὸς τὰ ἔσχατα μέρη, τῶν δ' ἀπειπαμένων, καὶ καταβαλόντων τὰ ὅπλα, πολλὴν ἄδειαν τῷ μαρκίῳ παρασχεῖν ἔξωθεν ἐπάγοντι τοὺς ῥωμαίους. οὕτω δὲ τῆς πόλεως ἁλούσης, καὶ τῶν πλείστων ἐν ἁρπαγαῖς ὄντων, καὶ διαφορήσεσι χρημάτων, ὁ μάρκιος ἠγανάκτει καὶ ἐβόα, δεινὸν ἡγούμενος, τοῦ ὑπάτου καὶ τῶν σὺν ἐκείνῳ πολιτῶν τάχα που συμπεπτωκότων τοῖς πολεμίοις, καὶ διαμαχομένων, αὐτοὺς χρηματίζεσθαι περιιόντας, ἢ προφάσει χρηματισμοῦ τὸν κίνδυνον ἀποδιδράσκειν. ἐπεὶ δ' οὐ πολλοὶ προσεῖχον αὐτῷ, τοὺς βουλομένους ἀναλαβὼν, ἐβάδιζε τὴν ὁδὸν ᾗ τὸ στράτευμα προκεχωρηκὸς ᾔσθετο. πολλάκις μὲν ἐποτρύνων τοὺς σὺν αὐτῷ, καὶ παρακαλῶν μὴ ἐνδιδόναι. πολλάκις δὲ τοῖς θεοῖς εὐχόμενος μὴ ἀπολειφθῆναι τῆς μάχης, ἀλλ' εἰς καιρὸν ἐλθεῖν ἐν ᾧ συναγωνιεῖται καὶ συγκινδυνεύσει τοῖς πολίταις. ἦν δὲ τότε τοῖς ῥωμαίοις ἔθος εἰς τάξιν καθισταμένοις καὶ μέλλουσι τοὺς θυρεοὺς ἀναλαμβάνειν, καὶ περιζώννυσθαι τὴν τήβεννον, ἅμα καὶ διαθήκας ἀγράφους τίθεσθαι, τρεῖς ἢ τέτταρας ἐπακουόντων, ὀνομάζοντας τὸν κληρονόμον. ταῦτα δὴ πράττοντας ἤδη τοὺς στρατιώτας, μάρκιος ἐν ὄψει τῶν πολεμίων ὄντων κατελάμβανε. καὶ τὸ μὲν πρῶτον, ἐνίους διετάραξεν ὀφθεὶς μετ' ὀλίγων, αἵματος περίπλεως καὶ ἱδρῶτος. ἐπεὶ δὲ προσδραμὼν τῷ ὑπάτῳ περιχαρὴς τὴν δεξιὰν ἐνέβαλε, καὶ τῆς πόλεως ἀπήγγελλε τὴν ἅλωσιν, ὁ δὲ κομίνιος περιεπτύξατο αὐτὸν καὶ κατησπάσατο. τοῖς μὲν πυθομένοις τὸ γεγενημένον κατόρθωμα, τοῖς δ' εἰκάσασι, θάρσος παρέστη, καὶ βοῇ παρεκάλουν ἄγειν καὶ συνάπτειν. ὁ δὲ μάρκιος ἠρώτησε τὸν κομίνιον, πῶς διακεκόσμηται τὰ τῶν πολεμίων ὅπλα, καὶ ποῦ τέτακται τὸ μαχιμώτατον. ἐκείνου δὲ φήσαντος, οἴεσθαι τὰς κατὰ μέσον σπείρας, ἀντιατῶν εἶναι, πολεμικωτάτων, καὶ μηδενὶ φρονήματος ὑφιεμένων, ἀξιῶ τοίνυν, ὁ μάρκιος ἔφη, καὶ αἰτοῦμαι, κατὰ τούτους τάξον ἡμᾶς τοὺς ἄνδρας. ἔδωκεν οὖν ὁ ὕπατος, θαυμάσας αὐτοῦ τὸ πρόθυμον. ὡς δ' ἦσαν ἐμβολαὶ δοράτων, καὶ τοῦ μαρκίου προεκδραμόντος, οὐκ ἀντέσχον οἱ κατὰ στόμα τῶν οὐολούσκων, ἀλλ' ᾧ προσέμιξε μέρει τῆς φάλαγγος, εὐθὺς διεκέκοπτο. τῶν δ' ἑκατέρωθεν ἐπιστρεφόντων, καὶ περιλαμβανόντων τοῖς ὅπλοις τὸν ἄνδρα, δείσας ὁ ὕπατος, τοὺς κρατίστους τῶν περὶ αὐτὸν, ἐξέπεμπεν. ἰσχυρᾶς δὲ περὶ τὸν μάρκιον μάχης γενομένης, καὶ πολλῶν ἐν ὀλίγῳ νεκρῶν πεσόντων, ἐγκείμενοι καὶ καταβιαζόμενοι, τοὺς πολεμίους ἐώσαντο. καὶ τρεπόμενοι πρὸς δίωξιν αὐτῶν, τὸν μάρκιον ἠξίουν ὑπό τε καμάτου βαρὺν ὄντα καὶ τραυμάτων, ἀναχωρεῖν ἐπὶ τὸ στρατόπεδον. εἰπὼν δ' ἐκεῖνος, ὅτι νικώντων οὐκ ἔστι τὸ κάμνειν, ἐφέπετο τοῖς φεύγουσιν. ἡττήθη δὲ καὶ τὸ λοιπὸν στράτευμα, πολλῶν μὲν διαφθαρέντων, πολλῶν δὲ ἁλόντων. τῇ δ' ὑστεραίᾳ τοῦ μαρκίου παραγενομένου, καὶ τῶν ἄλλων ἀθροιζομένων πρὸς τὸν ὕπατον, ἀναβὰς ἐπὶ τὸ βῆμα, καὶ τοῖς θεοῖς τὴν πρέπουσαν ἀποδοὺς ἐπὶ τηλικούτοις κατορθώμασιν εὐφημίαν, πρὸς τὸν μάρκιον ἐτράπετο. καὶ πρῶτον μὲν, αὐτοῦ θαυμαστὸν ἔπαινον εἶπε. τὰ μὲν, αὐτὸς ἐν τῇ μάχῃ γενόμενος θεατής. τὰ δὲ, τοῦ λαρκίου μαρτυροῦντος. ἔπειτα πολλῶν χρημάτων καὶ ἵππων γεγονότων αἰχμαλώτων καὶ ἀνθρώπων, ἐκέλευσεν αὐτὸν ἐξελέσθαι δέκα πάντα πρὸ τοῦ νέμειν τοῖς ἄλλοις. ἄνευ δὲ ἐκείνων, ἀριστεῖον αὐτῷ κεκοσμημένον ἵππον ἐδωρήσατο. τῶν δὲ ῥωμαίων ἐπαινεσάντων, ὁ μάρκιος προελθὼν, τὸν μὲν ἵππον ἔφη δέχεσθαι, καὶ χαίρειν τοῖς ἐπαίνοις τοῦ ἄρχοντος, τὰ δ' ἄλλα μισθὸν, οὐ τιμὴν ἡγούμενος ἐᾶν. καὶ ἀγαπήσειν ὡς εἷς ἕκαστος τὴν νέμησιν. ἐξαίρετον δὲ μίαν αἰτοῦμαι χάριν ἔφη, καὶ δέομαι λαβεῖν. ἦν μοι ξένος ἐν οὐολούσκοις καὶ φίλος, ἀνὴρ ἐπιεικὴς καὶ μέτριος. οὗτος ἑάλωκε νῦν, καὶ γέγονεν ἐκ πλουσίου καὶ μακαρίου δοῦλος. πολλῶν οὖν αὐτῷ κακῶν παρόντων, ἓν ἀφελεῖν ἀρκεῖ, τὴν πρᾶσιν. ἐπὶ τούτοις λεχθεῖσι, βοή τε μείζων ἀπήντησε τῷ μαρκίῳ, καὶ πλείονες οἱ θαυμάζοντες ἐγίνοντο τὸ μὴ κρατούμενον ὑπὸ χρημάτων τἀνδρὸς, ἢ τὴν ἐν τοῖς πολέμοις ἀνδραγαθίαν. καὶ γὰρ οἷς φθόνου τι καὶ ζήλου πρὸς αὐτὸν ὑπέκειτο τιμώμενον ἐκπρεπῶς, κἀκείνοις τότε τοῦ λαβεῖν μεγάλα, τῷ μὴ λαβεῖν ἄξιος ἔδοξε. καὶ μᾶλλον αὐτοῦ τὴν ἀρετὴν ἠγάπησαν, ἀφ' ἧς κατεφρόνει τηλικούτων, ἢ δι' ὧν ἠξιοῦτο. τὸ μὲν γὰρ εὖ χρῆσθαι χρήμασι, κάλλιόν ἐστιν ἢ ὅπλοις. τοῦ δὲ χρῆσθαι, τὸ μὴ δεῖσθαι χρημάτων σεμνότερον. ἐπεὶ δὲ ἐπαύσατο βοῆς καὶ θορύβου τὸ πλῆθος, ὑπολαβὼν ὁ κομίνιος, ἀλλ' ἐκείνας μὲν ἔφη ὦ συστρατιῶται τὰς δωρεὰς, οὐ δύνασθε βιάζεσθαι μὴ δεχόμενον τὸν ἄνδρα, μὴ δὲ

νων καὶ πολέμων γινομένων, ἀλλ' οὐδενὸς ἀστεφάνωτος ἦλθεν, οὐδ' ἀγέραστος. ἀλλ' οἱ τοῖς μὲν ἄλλοις, ἡ
δόξα τῆς ἀρετῆς τέλος. ἐκείνῳ δὲ τῆς δόξης, ἡ τῆς μητρὸς εὐφροσύνη. τὸ γὰρ ἐκείνην ἐπαινούμενον ἀ-
κοῦσαι, καὶ στεφανούμενον ἰδεῖν, καὶ περιβαλεῖν δακρύουσαν ὑφ' ἡδονῆς, ἐντιμότατον αὐτὸν ἐνόμι-
ζε ποιεῖν, καὶ μακαριώτατον. ταῦτα δ' ἀμέλει καὶ τὸν Ἐπαμεινώνδαν φασὶν ὁμολογῆσαι τὸ πά-
θος, εὐτυχίαν ποιούμενον αὐτοῦ μεγίστην, ὅτι νῦν ἐν Λεύκτροις στρατηγίαν αὐτοῦ καὶ νίκην, ὁ πατὴρ καὶ
ἡ μήτηρ ἔτι ζῶντες ἐπεῖδον. ἀλλ' ἐκεῖνος μὲν, ἀμφοτέρων ἀπέλαυσε τῶν γονέων συνηδομένων καὶ συ-
νευημερούντων. Μάρκιος δὲ τῇ μητρὶ καὶ τὰς τοῦ πατρὸς ὀφείλειν χάριτας οἰόμενος, οὐκ ἐνεπίμπλα-
το τὴν Οὐολουμνίαν εὐφραίνων καὶ τιμῶν. ἀλλὰ γυναῖκα βουλομένης καὶ δεομένης, ἔγημε, καὶ τὴν οἰ-
κίαν ᾤκει, γενομένων παίδων, ὁμοῦ μετὰ τῆς μητρός. ἤδη δὲ καὶ δόξαν αὐτοῦ καὶ δύναμιν ἀπὸ τῆς ἀρε-
τῆς ἐν τῇ πόλει μεγάλην ἔχοντος, ἡ βουλὴ, τοῖς πλουσίοις ἀμύνουσα, πρὸς τὸν δῆμον ἐστασίασε, πολ-
λὰ καὶ δεινὰ πάσχειν ὑπὸ τῶν δανειστῶν δοκοῦντα. τοὺς μὲν γὰρ κεκτημένους μέτρια, πάντων ἀφῃ-
ροῦντο τῶν ὄντων, ἐνεχυρασμοῖς καὶ πράσεσι. τοὺς δὲ παντελῶς ἀπόρους, αὐτοὺς ἀπῆγον, καὶ τὰ σώμα-
τραυμάτων γ. ο. τα καθεῖργνυσαν αὐτῶν, ὠτειλὰς ἔχοντα τετρωμένων πολλὰς, καὶ πεπονηκότων ἐν ταῖς ὑπὲρ τῆς
πατρίδος στρατείαις, ὧν τὴν τελευταίαν ἐδέξαντο πρὸς Σαβίνους, τῶν τε πλουσιωτάτων ἐπαγγει-
λαμένων μετριάσειν, καὶ τῆς βουλῆς τὸν ἄρχοντα Μάρκιον Οὐαλέριον, ἐγγυήσασθαι ψηφισαμένης.
ἐπεὶ δὲ κἀκείνην ἀγωνισαμένοις τὴν μάχην προθύμως καὶ κρατήσασι τῶν πολεμίων, οὐδὲν ἐγίνετο
παρὰ τῶν δανειστῶν ἐπιεικὲς, οὐδ' ἡ βουλὴ προσεποιεῖτο μεμνῆσθαι τῶν ὡμολογημένων. ἀλλ' ἀγομέ-
νους πάλιν περιεώρα καὶ ῥυσιαζομένους. θόρυβοι δὲ καὶ συστάσεις ἦσαν ἐν τῇ πόλει πονηραί. καὶ τοὺς πο-
λεμίους οὐκ ἔλαθε, ταραχώδης ὢν ὁ δῆμος, ἀλλ' ἐμβαλόντες ἐπυρπόλουν τὴν χώραν, τῶν δ' ἀρ-
χόντων εἰς τὰ ὅπλα τοὺς ἐν ἡλικίᾳ καλούντων, οὐδεὶς ὑπήκουεν, οὕτω διέστησαν αἱ γνῶμαι πάλιν
τῶν ἐν τέλει. καί τινες μὲν, ᾤοντο δεῖν ὑφίεσθαι τοῖς πένησι, καὶ χαλάσαι τὸ σύντονον ἄγαν καὶ νόμι-
μον. ἔνιοι δ' ἀντέτεινον. ὧν ἦν καὶ Μάρκιος, οὐ τὸ τῶν χρημάτων μέγιστον ἡγούμενος, ἀρχὴν δὲ καὶ πεῖραν
ὕβρεως ὄχλου καὶ θρασύτητος ἐπανισταμένου τοῖς νόμοις, εἰ σωφρονοῦσι, παύειν καὶ σβεννύειν παρα-
κελευόμενος. συνιούσης δὲ περὶ τούτων πολλάκις ἐν ὀλίγῳ χρόνῳ τῆς βουλῆς, καὶ μηδὲν τέλος ἐκφε-
ρούσης, συστάντες οἱ πένητες ἄφνω, καὶ παρακαλέσαντες ἀλλήλους, ἀπέλιπον τὴν πόλιν. καὶ κατα-
λαβόντες ὄρος, ὃ νῦν ἱερὸν καλεῖται παρὰ τὸν Ἀνίωνα ποταμὸν, ἐκαθέζοντο. πράττοντες μὲν οὐδὲν
βίαιον, οὐδὲ στασιαστικόν. ἐκπεπτωκέναι δὲ τῆς πόλεως ὑπὸ τῶν πλουσίων, πάλαι βοῶντες, ἀέρα δὲ
καὶ ὕδωρ καὶ τόπον ἐνταφῆναι πανταχοῦ τὴν Ἰταλίαν αὐτοῖς παρέξειν. ὧν πλέον οὐδὲν οἰκοῦσι τὴν
Ῥώμην ὑπάρχειν αὐτοῖς. ἀλλ' ἢ τιτρώσκεσθαι καὶ ἀποθνήσκειν ὑπὲρ τῶν πλουσίων στρατευομένοις.
ταῦτ' ἔδεισεν ἡ βουλή. καὶ τοὺς ἐπιεικεῖς μάλιστα, καὶ δημοτικοὺς τῶν πρεσβυτέρων ἐξαπέστειλε. προη-
γόρει δὲ Μενήνιος Ἀγρίππας. καὶ πολλὰ μὲν τοῦ δήμου δεόμενος, πολλὰ δ' ὑπὲρ τῆς βουλῆς παρρησια-
ἀργοῦ ς. ζόμενος, τελευτῶντι τῷ λόγῳ περιῆλθεν εἰς σχῆμα μύθου διαμνημονευόμενον. ἔφη γὰρ τοῦ ἀνθρώ-
που τὰ μέλη πάντα, πρὸς τὴν γαστέρα στασιάσαι, καὶ κατηγορεῖν αὐτῆς, ὡς μόνης ἀργοῦς καὶ ἀσυμβό-
λου καθεζομένης ἐν τῷ σώματι. τῶν δ' ἄλλων, εἰς τὰς ἐκείνης ὀρέξεις πόνους τε μεγάλους καὶ λειτουρ-
γίας ὑπομενόντων. τὴν δὲ γαστέρα τῆς εὐηθείας αὐτῶν καταγελᾶν ἀγνοούντων, ὅτι τὴν τροφὴν ὑπο-
λαμβάνει μὲν εἰς ἑαυτὴν ἅπασαν. ἀναπέμπει δ' αὖθις ἐξ αὑτῆς καὶ διανέμει τοῖς ἄλλοις. οὗτος οὖν
ἔφη καὶ τῆς συγκλήτου λόγος ἐστὶν ὦ πολῖται πρὸς ὑμᾶς. τὰ γὰρ ἐκεῖ τυγχάνοντα τῆς προσηκούσης
οἰκονομίας βουλεύματα καὶ πράγματα, πᾶσιν ὑμῖν ἐπιφέρει καὶ διανέμει τὸ χρήσιμον καὶ ὠφέλι-
μον. ἐκ τούτου διηλλάγησαν, αἰτησάμενοι παρὰ τῆς βουλῆς, καὶ τυχόντες ἄνδρας αἱρεῖσθαι πέντε προ-
στάτας τῶν δεομένων βοηθείας. τοὺς νῦν δημάρχους καλουμένους. εἵλοντο δὲ πρώτους, οἷς ἐχρήσαντο καὶ
τῆς ἀποστάσεως ἡγεμόσι, τοὺς περὶ Βροῦτον Ἰούνιον, καὶ Σικίννιον Βελλοῦτον. ἐπεὶ δ' ἡ πόλις εἰς ἓν ἦλθεν,
εὐθὺς ἐν τοῖς ὅπλοις ἦσαν οἱ πολλοί. καὶ παρεῖχον αὑτοὺς τοῖς ἄρχουσι, χρῆσθαι προθύμως ἐπὶ τὸν
πόλεμον. ὁ δὲ Μάρκιος, οὔτ' αὐτὸς ἡδόμενος οἷς ὁ δῆμος ἴσχυεν, ἐνδιδούσης τῆς ἀριστοκρατίας, καὶ τῶν ἄλ-
λων πατρικίων πολλοὺς ὁρῶν τὸ αὐτὸ πεπονθότας, ὅμως παρεκάλει μὴ ἀπολείπεσθαι τῶν δημοτι-
κῶν ἐν τοῖς περὶ τῆς πατρίδος ἀγῶσιν, ἀλλὰ τῇ ἀρετῇ μᾶλλον ἢ τῇ δυνάμει φαίνεσθαι διαφέροντας
αὐτῶν. ἐν δὲ τῷ Οὐολούσκων ἔθνει, πρὸς οὓς ἐπολέμουν, ἡ Κοριολανῶν πόλις, ἀξίωμα μέγιστον εἶχε. ταύ-
την οὖν τοῦ ὑπάτου Κομινίου περιστρατοπεδεύσαντος, οἱ λοιποὶ Οὐολοῦσκοι, δείσαντες, ἐπὶ τοὺς Ῥω-
μαίους συνεβοήθουν, πανταχόθεν, ὡς πρὸς τῇ πόλει ποιησόμενοι μάχην. καὶ διχόθεν ἐπιχειρή-
σοντες αὐτοῖς. ἐπεὶ δ' ὁ Κομίνιος διελὼν τὴν δύναμιν, αὐτὸς μὲν ἀπήντα τοῖς ἔξωθεν ἐπιοῦσι τῶν Οὐο-
ῥωμαῖ. ς. τ. β. λούσκων, Λάρκιον δὲ Τίτον, ἄνδρα Ῥωμαίων ἐν τοῖς ἀρίστοις, ἐπὶ τῆς πολιορκίας ἀπέλιπε, καταφρο-
νήσαντες οἱ Κοριολανοὶ τῶν παρόντων, ὑπεξῆλθον, καὶ προσμαχόμενοι τὸ πρῶτον ἐκράτουν, καὶ κατεδίω-
κον εἰς τὸν χάρακα τοὺς Ῥωμαίους. ἔνθα δὴ Μάρκιος ἐκδραμὼν σὺν ὀλίγοις, καὶ καταβαλὼν τοὺς προσ-
μίξαντας αὐτῷ μάλιστα, τοὺς δ' ἄλλους στήσας ἐπιφερομένους, ἀνεκαλεῖτο μεγάλῃ βοῇ τοὺς Ῥωμαίους.
καὶ γὰρ ἦν, ὥσπερ ἠξίου τὸν στρατιώτην ὁ Κάτων, οὐ χειρὶ καὶ πληγῇ μόνον, ἀλλὰ καὶ τόνῳ φωνῆς, καὶ ὄψει

Ὁ Μαρκίων οἶκος ἐν ῥώμῃ, τῶν πατρικίων πολλοὺς παρέσχεν ἐνδόξους ἄνδρας. ὧν καὶ μάρκιος ἦν ἄγκος, ὁ νομᾶ θυγατριδοῦς. καὶ μετὰ τύλλιον ὁστύλλιον, βασιλεὺς γενόμενος. μάρκιοι δ' ἦσαν καὶ πόπλιος καὶ κόϊντος, οἱ πλεῖστον ὕδωρ καὶ κάλλιστον ἐν ῥώμῃ καταγαγόντες. καὶ κηνσωρῖνος, ὃν δὶς ἀπέδειξε τιμητὴν ὁ ῥωμαίων δῆμος. εἶτα ὑπ' αὐτοῦ πεισθεὶς ἐκείνου, νόμον ἔθετο καὶ ἐψηφίσατο μηδενὶ τὴν ἀρχὴν δὶς ἐξεῖναι μετελθεῖν. γάϊος δὲ μάρκιος, ὑπὲρ οὗ τάδε γέγραπται, τραφεὶς ὑπὸ μητρὶ χήρᾳ, πατρὸς ὀρφανὸς, ἀπέδειξε τὴν ὀρφανίαν, ἄλλα μὲν ἔχουσαν κακὰ, πρὸς δὲ τὸ γενέσθαι σπουδαῖον ἄνδρα, καὶ διαφέροντα τῶν πολλῶν, οὐδὲν ἐμποδὼν οὖσαν. ἄλλως δὲ τοῖς φαύλοις αἰτιᾶσθαι καὶ ψέγειν παρέχουσαν αὐτὴν ὡς ἀμελείᾳ διαφθείρουσαν. ὁ δ' αὐτὸς ἀνὴρ ἐμαρτύρησε καὶ τοῖς τὴν φύσιν ἡγουμένοις, ἐὰν οὖσα γενναία καὶ ἀγαθὴ παιδείας ἐνδεὴς γένηται, πολλὰ τοῖς χρηστοῖς ὁμοῦ φαῦλα συναποτίκτειν, ὥσπερ εὐγενῆ χώραν ἐν γεωργίᾳ, θεραπείας μὴ τυχοῦσαν. τὸ γὰρ ἰσχυρὸν αὐτοῦ πρὸς ἅπαντα τῆς γνώμης καὶ καρτερὸν, ὁρμάς τε μεγάλας καὶ τελεσιουργοὺς τῶν καλῶν ἐξέφερε. θυμοῖς τε αὖ πάλιν χρώμενος ἀκράτοις, καὶ φιλονεικίαις ἀτρέπτοις, οὐ ῥᾴδιον οὐδ' εὐάρμοστον ἀνθρώποις συνεῖναι παρεῖχεν. ἀλλὰ τὴν ἐν ἡδοναῖς καὶ πόνοις καὶ ὑπὸ χρημάτων ἀπάθειαν αὐτοῦ θαυμάζοντες καὶ ὀνομάζοντες ἐγκράτειαν καὶ δικαιοσύνην καὶ ἀνδρείαν, ἐν ταῖς πολιτικαῖς αὖ πάλιν ὁμιλίαις, ὡς ἐπαχθῆ καὶ ἄχαριν καὶ ὀλιγαρχικὴν ἐδυσχέραινον. οὐδὲν γὰρ ἄλλο μουσῶν εὐμενείας ἀπολαύουσιν ἄνθρωποι τοσοῦτον, ὅσον ἐξημεροῦσθαι τὴν φύσιν, ὑπὸ λόγου καὶ παιδείας, τῷ λόγῳ δεξαμένην τὸ μέτριον, καὶ τὸ ἄγαν ἀποβαλοῦσαν. ὅλως μὲν οὖν ἐν τοῖς τότε χρόνοις ἡ ῥώμη, μάλιστα τῆς ἀρετῆς τὸ περὶ τὰς πολεμικὰς καὶ στρατιωτικὰς ἐκύδαινε πράξεις. καὶ ἐμαρτυρεῖτο τὴν ἀρετὴν ὑπ' αὐτῶν, ἐν τῷ τῆς ἀνδρείας ὀνόματι προσαγορεύεσθαι. καὶ τὸ τοῦ γένους ὄνομα κοινὸν ὑπάρχειν, ᾧ τὴν ἀνδρείαν ἰδίᾳ καλοῦσιν. ὁ δὲ μάρκιος ἑτέρων μᾶλλον ἐμπαθὴς γεγονὼς πρὸς τοὺς πολεμικοὺς ἀγῶνας, εὐθὺς ἐκ παιδὸς, τὰ ὅπλα διὰ χειρὸς εἶχε. καὶ τῶν ἐπικτήτων οὐδὲν ἔργον οἰόμενος εἶναι τοῖς μὴ τὸ σύμφυτον ὅπλον καὶ συγγενὲς, ἐξηρτημένον ἔχουσι καὶ παρεσκευασμένον, οὕτως ἤσκησε τὸ σῶμα πρὸς ἅπασαν ἰδέαν μάχης, ὥστε καὶ θεῖν ἐλαφρὸν εἶναι, καὶ βάρος ἔχειν ἐν λαβαῖς καὶ διαπάλαις πολεμίου, δυσεκβίαστον. οἱ γοῦν ἔριν ἔχοντες εὐψυχίας ἀεὶ καὶ ἀρετῆς πρὸς αὐτὸν, ἐν οἷς ἐλείποντο, τὴν τοῦ σώματος ᾐτιῶντο ῥώμην, ἄτρεπτον οὖσαν, καὶ πρὸς μηδένα πόνον ἀπαγορεύουσαν. ἐστρατεύσατο δὲ πρώτην στρατείαν ἔτι μειράκιον ὢν, ὅτε ταρκυνίῳ τῷ βασιλεύσαντι τῆς ῥώμης, εἶτα ἐκπεσόντι μετὰ πολλὰς μάχας καὶ ἥττας, ὥσπερ ἔσχατον κύβον ἀφιέντι, πλεῖστοι μὲν λατίνων, πολλοὶ δὲ καὶ τῶν ἄλλων ἰταλιωτῶν συνεστράτευον, καὶ συγκατῆγον ἐπὶ τὴν ῥώμην. οὐκ ἐκείνῳ χαριζόμενοι μᾶλλον, ἢ φόβῳ τὰ ῥωμαίων αὐξόμενα καὶ φθόνῳ καταβάλλοντες. ἐν ταύτῃ τῇ μάχῃ, πολλὰς τροπὰς ἐπ' ἀμφότερα λαμβανούσῃ, μάρκιος ἀγωνιζόμενος ἐρρωμένως ἐν ὄψει τοῦ δικτάτωρος, ἄνδρα ῥωμαῖον πεσόντα πλησίον ἰδὼν, οὐκ ἠμέλησεν, ἀλλ' ἔστη πρὸ αὐτοῦ. καὶ τὸν ἐπιφερόμενον τῶν πολεμίων, ἀμυνόμενος ἀπέκτεινεν. ὡς οὖν ἐκράτησεν ὁ στρατηγὸς, ἐν πρώτοις ἐκεῖνον ἐστεφάνωσεν δρυὸς στεφάνῳ. τοῦτον γὰρ ὁ νόμος τῷ πολίτην ὑπερασπίσαντι τὸν στέφανον ἀποδίδωσιν. εἴτε δὴ μάλιστα τιμήσας διὰ τοὺς ἀρκάδας τὴν δρῦν, βαλανηφάγους ὑπὸ τοῦ θεοῦ χρησμῷ προσαγορευθέντας, εἴθ' ὡς ταχὺ καὶ πανταχοῦ δρυὸς οὖσαν εὐπορίαν στρατευομένοις, εἴτε διὸς πολιέως ἱερὸν ὄντα τὸν τῆς δρυὸς στέφανον, οἰόμενος ἐπὶ σωτηρίᾳ πόλεως, δίδοσθαι πρεπόντως. ἔστι δὲ ἡ δρῦς τῶν μὲν ἀγρίων καλλικαρπότατον, τῶν δὲ τιθασῶν, ἰσχυρότατον. ἦν δὲ καὶ σιτίον ἀπ' αὐτῆς ἡ βάλανος, καὶ ποτὸν, τὸ μελίτειον. ὄψον δὲ παρεῖχε τὰ πλεῖστα τῶν νεμομένων τε καὶ πτηνῶν, θήρας ὄργανον φέρουσα, τὸν ἰξόν. ἐν ἐκείνῃ δὲ τῇ μάχῃ καὶ τοὺς διοσκόρους ἐπιφανῆναι λέγουσι. καὶ μετὰ τὴν μάχην, εὐθὺς ὀφθῆναι ῥεομένοις ἱδρῶτι τοῖς ἵπποις ἐν ἀγορᾷ, τὴν νίκην ἐπαγγέλλοντας. οὗ νῦν παρὰ τὴν κρήνην, νεώς ἐστιν αὐτοῖς ἱδρυμένος. ὅθεν καὶ τὴν ἡμέραν ἐπινίκιον οὖσαν ἐν τῷ ἰουλίῳ μηνὶ, ταῖς εἰδοῖς, διοσκόροις ἀνιερώκασι. νέων δὲ ὡς ἔοικεν ἀνδρῶν ἐπιφάνεια καὶ τιμὴ, τὰς μὲν ἐλαφρῶς φιλοτίμους φύσεις πρωϊαίτερον παραγενομένη, σβέννυσι. καὶ ἀποπίμπλησι ταχὺ τὸ διψῶδες αὐτῶν καὶ ἁψίκορον. τὰ δ' ἐμβριθῆ καὶ βέβαια φρονήματα, αὔξουσιν αἱ τιμαὶ καὶ λαμπρύνουσιν, ὥσπερ ὑπὸ πνεύματος ἐγειρόμενα πρὸς τὸ φαινόμενον καλόν. οὐ γὰρ ὡς μισθὸν ἀπολαμβάνοντες, ἀλλ' ὡς ἐνέχυρον διδόντες, αἰσχύνονται τὴν δόξαν καταλιπεῖν, καὶ μὴ τοῖς αὐτοῖς ἔργοις ὑπερβαλέσθαι. τοῦτο παθὼν καὶ ὁ μάρκιος, αὐτὸς αὑτῷ ζῆλον ἀνδραγαθίας προὔθηκε, καινός τε ἀεὶ βουλόμενος εἶναι ταῖς πράξεσιν, ἀριστείαις ἀριστείας συνῆπτε. καὶ λάφυρα λαφύροις ἐπέφερε, καὶ τοῖς προτέροις ἀεὶ τοὺς ὑστέρους ἡγεμόνας εἶχε, περὶ τῆς ἐκείνου τιμῆς ἐρίζοντας, καὶ μαρτυρίας ὑπερβαλέσθαι. πολλῶν γέ τοι τότε ῥωμαίοις ἀγώ-

μάρκιος δὲ, πρῶτον μὲν ὅλην κακῶς ἐποίει τὴν πόλιν. οὐχ ὑφ' ὅλης παθὼν, ἀλλὰ τοῦ βελτίου καὶ κρατίστου μέρους συναδικηθέντος αὐτῷ καὶ συναλγήσαντος. ἔπειτα πολλαῖς πρεσβείαις καὶ δεήσεσι μίαν ἰωμένων ὀργὴν καὶ ἄγνοιαν, οὔτε τεγχθεὶς οὔτ' εἴξας, ἐδήλωσεν ἐπὶ τῷ διαφθεῖραι τὴν πατρίδα καὶ καταβαλεῖν, οὐχ ὅπως ἀπολάβῃ καὶ κατέλθῃ, βαρὺν πόλεμον καὶ ἄσπονδον ἐπανῃρημένος, τούτῳ γε φήσει τις διαφέρειν. ἀλκιβιάδην μὲν γὰρ ἐπιβουλευόμενον ὑπὸ σπαρτιατῶν διὰ δέος ἅμα καὶ μῖσος αὐτῶν, μεταστῆναι πρὸς ἀθηναίους. μαρκίῳ δὲ πάντα δίκαια ποιοῦντας οὐολούσκους, οὐ καλῶς εἶχεν ἐγκαταλιπεῖν, καὶ γὰρ ἡγεμὼν ἀπεδέδεικτο. καὶ μεγίστην πίστιν εἶχε μετὰ δυνάμεως, οὐχ ὡς ἐκεῖνος, ἀποχρωμένων μᾶλλον, ἢ χρωμένων αὐτῷ λακεδαιμονίων, ἐν τῇ πόλει περιιὼν, καὶ κυλινδούμενος αὖθις ἐν τῷ στρατοπέδῳ, τέλος εἰς τὰς τισαφέρνου χεῖρας ἀφῆκεν αὑτὸν, εἰ μὴ νὴ δία μὴ φθαρῆναι τὰς ἀθήνας παντάπασι ποθῶν κατελθεῖν ἐθεράπευε. χρήματα τοίνυν ὁ μὲν ἀλκιβιάδης καὶ λαβεῖν οὐκ εὖ πολλάκις ἐκ δωροδοκιῶν, καὶ διαθέσθαι κακῶς εἰς τρυφὴν καὶ ἀκολασίαν ἱστορεῖται. μάρκιον δὲ σὺν τιμῇ διδόντες οἱ στρατηγοὶ, λαβεῖν οὐκ ἔπεισαν. διὸ καὶ μάλιστα τοῖς πολλοῖς ἐπαχθὴς ἦν ἐν ταῖς περὶ χρεῶν διαφοραῖς πρὸς τὸν δῆμον, ὡς οὐκ ἐπὶ κέρδεσιν, ἀλλὰ δι' ὕβριν καὶ περιφρόνησιν τοῖς πένησιν ἐπηρεάζων. ἀντίπατρος μὲν οὖν ἐν ἐπιστολῇ τινὶ γράφων περὶ τῆς ἀριστοτέλους τοῦ φιλοσόφου τελευτῆς πρὸς τοῖς ἄλλοις φησὶν ὁ ἀνὴρ, καὶ τὸ πείθειν εἶχε. τὰς δὲ μαρκίου πράξεις καὶ ἀρετὰς τοῦτο μὴ προσὸν ἐπαχθεῖς ἐποίησεν αὐτοῖς τοῖς εὖ παθοῦσι, τὸν ὄγκον αὐτοῦ, καὶ τὴν ἐρημίᾳ σύνοικον, ὡς πλάτων εἶπεν, αὐθάδειαν μὴ ὑπομείναντας. τοῦ δ' ἀλκιβιάδου τοὐναντίον ἐπισταμένου, χρῆσθαι τοῖς ἐντυγχάνουσιν οἰκείως, οὐδὲν θαυμαστὸν ἐν οἷς κατώρθου τὴν δόξαν ἀνθεῖν, μετ' εὐνοίας καὶ τιμῆς εὐημεροῦσαν, ὅπου καὶ τῶν ἁμαρτημάτων ἔνια πολλάκις χάριν εἶχε καὶ ὥραν. ὅθεν οὗτος μὲν οὐ μικρὰ βλάψας, οὐδ' ὀλίγα τὴν πόλιν, ὅμως ἀπεδείκνυτο πολλάκις ἡγεμὼν καὶ στρατηγός. ἐκεῖνος δὲ μετιὼν ἐπὶ πολλαῖς ἀριστείαις καὶ ἀνδραγαθίαις ἀρχὴν προσήκουσαν, ἐξέπεσεν. οὕτω τὸν μὲν, οὐδὲ πάσχοντες κακῶς ἐδύναντο μισεῖν οἱ πολῖται. τῷ δὲ, περιῆν θαυμαζομένῳ μὴ φιλεῖσθαι. καὶ γάρ τοι μάρκιος μὲν οὐδὲν ἀπέδειξατο τῇ πόλει στρατηγῶν. ἀλλὰ τοῖς πολεμίοις κατὰ τῆς πατρίδος. ἀλκιβιάδου δὲ καὶ στρατευομένου πολλάκις καὶ στρατηγοῦντος ἀπέλαυσαν οἱ ἀθηναῖοι, καὶ παρὼν ἐκράτει τῶν ἐχθρῶν ὅσον ἐβούλετο. καὶ μὴ παρόντος, ἴσχυσαν αἱ διαβολαί. μάρκιος δὲ παρὼν ὑπὸ ῥωμαίων κατεδικάσθη. παρόντα δὲ οὐολοῦσκοι διέφθειραν. οὐ δικαίως μὲν οὐδ' ὁσίως, αἰτίαν δὲ τοῦ εὐλόγου παρέσχεν αὐτὸς ὅτι δημοσίᾳ τὰς διαλύσεις μὴ προσδεξάμενος. ἰδίᾳ δὲ πεισθεὶς ὑπὸ τῶν γυναικῶν, οὐκ ἔλυσε τὴν ἔχθραν, ἀλλὰ τοῦ πολέμου μένοντος, ἀπώλεσε τὸν καιρὸν καὶ διέφθειρε. πείσαντα γὰρ ἔδει τοὺς πεπιστευκότας ἀπελθεῖν, εἰ τοῦ πρὸς ἐκείνους δικαίου πλεῖστον ἐποιεῖτο λόγον. εἰ δὲ μηδὲν ἐφρόντιζεν οὐολούσκων, ἀλλὰ τὴν ὀργὴν ἐμπλῆσαι τὴν ἑαυτοῦ βουλόμενος ἐκίνει τὸν πόλεμον, εἶτ' ἔληξεν, οὐ διὰ τὴν μητέρα καλῶς εἶχε φείσασθαι τῆς πατρίδος, ἀλλὰ καὶ σὺν τῇ πατρίδι τῆς μητρός. μέρος γὰρ ἦν καὶ ἡ μήτηρ καὶ ἡ γυνὴ τῆς πατρίδος, ἣν ἐπολιόρκει. τὸ δὲ δημοσίαις ἱκεσίαις καὶ δεήσεσι πρέσβεων καὶ λιταῖς ἱερέων ἀπηνῶς χρησάμενον, εἶτα χαρίζεσθαι τῇ μητρὶ τὴν ἀναχώρησιν, οὐ τῆς μητρὸς ἦν τιμὴ, ἀλλ' ἀτιμία τῆς πατρίδος, οἴκτῳ καὶ παραιτήσει διὰ μίαν γυναῖκα σωζομένης. ὡς οὐκ ἀξίας σώζεσθαι δι' αὑτήν. ἐπίφθονος γὰρ ἡ χάρις, καὶ ὠμὴ καὶ ἄχαρις ἀληθῶς καὶ πρὸς οὐδετέρους ἔχουσα τὸ εὔγνωμον. ἀνεχώρησε γὰρ μήτε πεισθεὶς ὑπὸ τῶν πολεμουμένων, μήτε πείσας τοὺς συμπολεμοῦντας. ὧν αἴτιον ἁπάντων, τὸ ἀνομίλητον τοῦ τρόπου, καὶ λίαν ὑπερήφανον καὶ αὔθαδες. ὃ καθ' αὑτὸ μὲν, ἐπαχθές ἐστι τοῖς πολλοῖς. τῷ δὲ φιλοτίμῳ προσὸν, γίνεται παντάπασιν ἄγριον καὶ ἀπαραίτητον. οὐ γὰρ θεραπεύουσι τοὺς πολλοὺς ὡς μὴ δεόμενοι τιμῆς. εἶτα χαλεπαίνουσι μὴ τυγχάνοντες. ἐπεὶ τό γε μὴ λιπαρῆ, μηδὲ θεραπευτικὸν ὄχλων εἶναι, καὶ μέτελλος εἶχε. καὶ ἀριστείδης καὶ ἐπαμινώνδας. ἀλλὰ τῷ καταφρονεῖν ἀληθῶς ὧν δῆμός ἐστι καὶ δοῦναι καὶ ἀφελέσθαι κύριος, ἐξοστρακιζόμενοι καὶ ἀποχειροτονούμενοι καὶ καταδικαζόμενοι πολλάκις, οὐκ ὠργίζοντο τοῖς πολίταις ἀγνωμονοῦσιν, ἀλλ' ἠγάπων αὖθις μεταμελομένους, καὶ διηλλάττοντο παρακαλούντων. τὸν γὰρ ἥκιστα θεραπευτικὸν, ἥκιστα πρέπει τιμωρητικὸν εἶναι τῶν πολλῶν, ὡς τὸ χαλεπαίνειν μάλιστα μὴ τυγχάνοντα τῆς τιμῆς, ἐκ τοῦ σφόδρα γλίχεσθαι φυόμενον. ἀλκιβιάδης μὲν οὖν οὐκ ἠρνεῖτο τιμώμενος χαίρειν. καὶ δυσφορεῖν παρορώμενος, ὅθεν ἐπειρᾶτο προσφιλὴς εἶναι τοῖς παροῦσι καὶ κεχαρισμένος. μάρκιος δὲ, θεραπεύειν μὲν οὐκ εἴα τοὺς τιμᾶν δυναμένους καὶ αὔξειν τὸ ὑπερήφανον. ὀργὴν δὲ καὶ λύπην ἀμελουμένῳ τὸ φιλότιμον παρεῖχε. καὶ ταῦτ' ἐστὶν ἅτις ἂν αἰτιάσαιτο τοῦ ἀνδρός. τὰ δ' ἄλλα πάντα λαμπρά. σωφροσύνης δὲ καὶ χρημάτων ἐγκρατείας ἕνεκα τοῖς ἀρίστοις καὶ καθαρωτάτοις τῶν ἑλλήνων ἄξιον αὐτὸν παραβάλλειν, οὐκ ἀλκιβιάδῃ μὰ δία τῷ θρασυτάτῳ περὶ ταῦτα, καὶ ὀλιγωροτάτῳ τοῦ καλοῦ γενομένῳ.

πρότερον ἠγάπησε φεύγων ἀπραγμόνως ζῆν καὶ μεθ' ἡσυχίας, οὔτε νῦν εἰ τὰ καθ' ἑαυτὸν ἱκανῶς ἔχει, περιόψεται λακεδαιμονίους ὑβρίζοντας, καὶ τοὺς τριάκοντα παροινοῦντας. ταῦτα δ' οὐκ ἦν ἄλογον ὀνειροπολεῖν οὕτως τοὺς πολλούς, ὁπότε καὶ τοῖς τριάκοντα φροντίζειν ἐπῄει καὶ διαπυνθάνεσθαι καὶ λόγον ἔχειν πλεῖστον, ὧν ἐκεῖνος ἔπραττε καὶ διενοεῖτο. τέλος δὲ, κριτίας ἐδίδασκε λύσανδρον, ὡς ἀθηναίων οὐκ ἔστι δημοκρατουμένων ἀσφαλῶς ἄρχειν λακεδαιμονίοις τῆς ἑλλάδος. ἀθηναίους δὲ κἂν πράως πάνυ καὶ καλῶς πρὸς ὀλιγαρχίαν ἔχωσιν, οὐκ ἐάσει ζῶν ἀλκιβιάδης ἀτρεμεῖν ἐπὶ τῶν καθεστώτων. οὐ μὴν ἐπείσθη γε πρότερον τούτοις ὁ λύσανδρος ἢ παρὰ τῶν οἴκοι τελῶν σκυτάλην ἐλθεῖν, κελεύουσαν ἐκποδὼν ποιήσασθαι τὸν ἀλκιβιάδην. εἴτε κἀκείνων φοβηθέντων τὴν ὀξύτητα καὶ μεγαλοπραγμοσύνην τοῦ ἀνδρὸς, εἴτε τῷ ἄγιδι χαριζομένων. ὡς οὖν ὁ λύσανδρος ἔπεμψε πρὸς τὸν φαρνάβαζον, ταῦτα πράττειν κελεύων. ὁ δὲ, μαγαίῳ τε τῷ ἀδελφῷ, καὶ σουσαμίθρῃ τῷ θείῳ προσέταξε τὸ ἔργον, ἔτυχε μὲν ἐν κώμῃ τινὶ τῆς φρυγίας ὁ ἀλκιβιάδης τότε διαιτώμενος, ἔχων τιμάνδραν μετ' αὐτοῦ τὴν ἑταίραν. ὄψιν δὲ κατὰ τοὺς ὕπνους εἶδε τοιαύτην. ἐδόκει περικεῖσθαι μὲν αὐτὸς τὴν ἐσθῆτα τῆς ἑταίρας. ἐκείνην δὲ, τὴν κεφαλὴν ἐν ταῖς ἀγκάλαις ἔχουσαν αὐτοῦ κοσμεῖν τὸ πρόσωπον ὥσπερ γυναικὸς, ὑπογράφουσαν καὶ ψιμμυθίζουσαν. ἕτεροι δέ φασιν ἰδεῖν τὴν κεφαλὴν ἀποτέμνοντας αὐτοῦ τοὺς περὶ τὸν μαγαῖον ἐν τοῖς ὕπνοις, καὶ τὸ σῶμα καιόμενον. ἀλλὰ τὴν μὲν ὄψιν οὐ πολὺ γενέσθαι λέγουσι, πρὸ τῆς τελευτῆς. οἱ δὲ πεμφθέντες πρὸς αὐτὸν, οὐκ ἐτόλμησαν εἰσελθεῖν, ἀλλὰ κύκλῳ τὴν οἰκίαν περιστάντες, ἐνεπίμπρασαν. αἰσθόμενος δ' ὁ ἀλκιβιάδης, τῶν μὲν ἱματίων τὰ πλεῖστα καὶ τῶν στρωμάτων συναγαγὼν, ἐπέρριψε τῷ πυρί. τῇ δ' ἀριστερᾷ χειρὶ τὴν ἑαυτοῦ χλαμύδα περιελίξας, τῇ δεξιᾷ σπασάμενος τὸ ἐγχειρίδιον, ἐξέπεσεν ἀπαθὴς ὑπὸ τοῦ πυρὸς, πρὶν ἢ διαφλέγεσθαι τὰ ἱμάτια. καὶ τοὺς βαρβάρους ὀφθεὶς, διεσκέδασεν. οὐδεὶς γὰρ ὑπέμεινεν αὐτὸν, οὐδ' εἰς χεῖρας συνῆλθεν, ἀλλ' ἀποστάντες ἔβαλλον ἀκοντίοις καὶ τοξεύμασιν. οὕτω δ' αὐτοῦ πεσόντος, καὶ τῶν βαρβάρων ἀπελθόντων, ἡ τιμάνδρα τὸν νεκρὸν ἀνείλετο, καὶ τοῖς αὑτῆς περιβαλοῦσα, καὶ περικαλύψασα χιτωνίσκοις, ἐκ τῶν παρόντων ἐκήδευσε, λαμπρῶς καὶ φιλοτίμως. ταύτης λέγουσι θυγατέρα γενέσθαι λαΐδα, τὴν κορινθίαν μὲν προσαγορευθεῖσαν, ἐκ δὲ ἱκκάρων σικελικοῦ πολίσματος, αἰχμάλωτον γενομένην. ἔνιοι δὲ, τὰ μὲν ἄλλα περὶ τῆς ἀλκιβιάδου τελευτῆς, ὁμολογοῦσι τούτοις. αἰτίαν δέ φασιν, οὐ φαρνάβαζον, οὐδὲ λύσανδρον, οὐδὲ λακεδαιμονίους παρασχεῖν. αὐτὸν δὲ τὸν ἀλκιβιάδην γνωρίμων τινῶν διεφθαρκότα γύναιον, ἔχειν σὺν αὐτῷ, τοὺς δ' ἀδελφοὺς τοῦ γυναίου τὴν ὕβριν οὐ μετρίως φέροντας, ἐμπρῆσαί τε τὴν οἰκίαν νύκτωρ ἐν ᾗ διαιτώμενος ἐτύγχανεν ὁ ἀλκιβιάδης, καὶ καταβαλεῖν αὐτὸν ὡς προείρηται, διὰ τοῦ πυρὸς ἐξαλλόμενον. ἐκκειμένων δὲ τῶν πράξεων ὅσας ἡγούμεθα λόγου καὶ μνήμης ἀξίας εἶναι, τὰς μὲν πολεμικὰς ἐπ' οὐδέτερον ποιούσας ῥοπὴν μεγάλην ὁρᾶν ἔστιν. ὁμαλῶς γὰρ ἀμφότεροι πολλὰ μὲν στρατιωτικῆς ἔργα τόλμης καὶ ἀνδρείας, πολλὰ δὲ καὶ τέχνης καὶ προνοίας στρατηγοῦντες ἐπεδείξαντο. πλὴν εἰ μή τις θέλοι τὸν ἀλκιβιάδην, ὅτι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐν πολλοῖς ἀγῶσι νικῶν, καὶ κατορθῶν διετέλεσεν, ἀποφαίνειν τελειότερον στρατηγόν. ἐπεὶ τό γε παρόντας καὶ ἄρχοντας ὀρθοῦν ἀεὶ προδήλως τὰ οἰκεῖα, καὶ προδηλότερον αὖ πάλιν βλάπτειν μεθισταμένους, ἀμφοτέροις ὑπῆρξε. πολιτείαν δὲ τὴν μὲν ἀλκιβιάδου, τὴν ἄγαν λαμυρὰν καὶ τὸ μὴ καθαρεῦον ἀναγωγίας καὶ βωμολοχίας, ἐν τῷ πρὸς χάριν ὁμιλεῖν τοῖς πολλοῖς, οἱ σώφρονες ἐβδελύττοντο. τὴν δὲ μαρκίου, παντάπασιν ἄχαριν καὶ ὑπερήφανον καὶ ὀλιγαρχικὴν γενομένην, ἐμίσησεν ὁ ῥωμαίων δῆμος. οὐδετέραν μὲν οὖν ἐπαινετέον. ὁ δὲ δημαγωγῶν καὶ χαριζόμενος τῶν ὅπως οὐ δόξουσι δημαγωγεῖν προπηλακιζόντων τοὺς πολλοὺς, ἀμεμπτότερος. αἰσχρὸν μὲν γὰρ τὸ κολακεύειν δῆμον ἐπὶ τῷ δύνασθαι. τὸ δ' ἰσχύειν ἐκ τοῦ φοβερὸν εἶναι καὶ κακοῦν καὶ πιέζειν, πρὸς τῷ αἰσχρῷ καὶ ἄδικόν ἐστιν. ὅτι τοίνυν ἁπλοῦς τις ὁ μάρκιος ὑπείληπται τῷ τρόπῳ γεγονέναι καὶ αὐθέκαστος. ὁ δ' ἀλκιβιάδης πανοῦργος ἐν τῇ πολιτείᾳ καὶ ἀναλήθης, οὐκ ἄδηλόν ἐστι. μάλιστα δὲ κατηγοροῦσιν αὐτοῦ κακοήθειαν καὶ ἀπάτην, ᾗ τοὺς λακεδαιμονίων πρέσβεις παρακρουσάμενος ὡς θουκυδίδης ἱστόρηκε, τὴν εἰρήνην ἔλυσεν. ἀλλ' αὕτη μὲν ἡ πολιτεία, καίπερ εἰς πόλεμον αὖθις ἐμβαλοῦσα τὴν πόλιν, ἰσχυρὰν ἐποίησε καὶ φοβερὰν τῇ μαντινέων καὶ ἀργείων συμμαχίᾳ, δι' ἀλκιβιάδου προσγενομένῃ. μάρκιος δ' ὅτι μὲν ἀπάτῃ καὶ αὐτὸς ἐξεπολέμησε ῥωμαίους καὶ οὐολούσκους, διαβαλὼν ψευδῶς τοὺς ἥκοντας ἐπὶ τὴν θέαν, διονύσιος ἱστόρηκεν. ἡ δ' αἰτία φαυλότερον ποιεῖ τὸ ἔργον. οὐ γὰρ ἐκ φιλονεικίας οὐδὲ πολιτικῆς μάχης ἢ ἁμίλλης, ὡς ἐκεῖνος, ἀλλ' ὀργῇ χαριζόμενος, παρ' ἧς οὐδένα φησὶν ὁ δίων ἀπολαβεῖν χάριν, πολλὰ τῆς ἰταλίας μέρη συνετάραξε. καὶ πολλὰς πόλεις οὐδὲν ἀδικούσας, τῷ πρὸς τὴν πατρίδα θυμῷ παρανάλωσε. καίτοι καὶ ἀλκιβιάδης δι' ὀργὴν μεγάλων αἴτιος συμφορῶν κατέστη τοῖς πολίταις. ἀλλ' ὅτε πρῶτον ἔγνω μεταμελομένους, εὐγνωμόνησε. καὶ πάλιν ἀπορριφεὶς, οὐκ ἐπῄσθη τοῖς στρατηγοῖς ἁμαρτάνουσιν. οὐδὲ περιεῖδε κακῶς βουλευομένους καὶ κινδυνεύοντας. ἀλλ' ὅπερ ἀριστείδης ἐπαινεῖται μάλιστα πράξας πρὸς θεμιστοκλέα, τοῦτ' ἐποίησε πρὸς τοὺς τότ' ἄρχοντας, οὐ φίλους ὄντας. ἐλθὼν καὶ φράσας τὸ δέον καὶ διδάξας.

πος, ἐξ ὧν ἔλαβε παρὰ κύρου χρημάτων, αὐτὸς ἤδη γλίσχρως χορηγῶν καὶ τὸ τελευταῖον, ἀπῆρεν ἀργυρολογήσων ἐπὶ καρίας. ὁ δ᾽ ἀπολειφθεὶς ἐπὶ τῶν νεῶν ἐπιμελητὴς ἀντίοχος, ἀγαθὸς μὲν ἦν κυβερνήτης, ἀνόητος δὲ τἆλλα καὶ φορτικός. ἔχων δὲ πρόσταγμα παρὰ τοῦ ἀλκιβιάδου μηδ᾽ ἂν ἐπιπλέωσιν οἱ πολέμιοι διαναυμαχεῖν, οὕτως ἐξύβρισε καὶ κατεφρόνησεν, ὥστε τὴν αὐτοῦ πληρωσάμενος τριήρη, καὶ τῶν ἄλλων μίαν, ἐπιπλεῦσαι τῇ ἐφέσῳ, καὶ παρὰ τὰς πρώρας τῶν πολεμίων νεῶν, πολλὰ καὶ πράττων καὶ φθεγγόμενος ἀκόλαστα καὶ βωμολόχα, παρεξελαύνειν. τὸ μὲν οὖν πρῶτον, λύσανδρος ὀλίγαις ναυσὶν ἐπαναχθεὶς, ἐδίωκεν αὐτόν. τῶν δ᾽ ἀθηναίων ἐπιβοηθούντων πάσαις, ἀναχθεὶς καὶ κρατήσας, αὐτόν τε διέφθειρε τὸν ἀντίοχον καὶ ναῦς ἔλαβε πολλὰς καὶ ἀνθρώπους. καὶ τρόπαιον ἔστησεν. ὡς δὲ ταῦτ᾽ ἤκουσεν ὁ ἀλκιβιάδης, ἐπανελθὼν εἰς σάμον, ἀνήχθη παντὶ τῷ στόλῳ, καὶ προὐκαλεῖτο τὸν λύσανδρον. ὁ δ᾽ ἠγάπα νενικηκὼς, καὶ οὐκ ἀντανήγετο. τῶν δὲ μισούντων τὸν ἀλκιβιάδην ἐν τῷ στρατοπέδῳ, θρασύβουλος ὁ θράσωνος, ἐχθρὸς ὢν, ἀπῆρεν εἰς ἀθήνας κατηγορήσων. καὶ τοὺς ἐκεῖ παροξύνας, ἔλεγε πρὸς τὸν δῆμον, ὡς ἀλκιβιάδης διέφθαρκε τὰ πράγματα, καὶ τὰς ναῦς ἀπολώλεκεν ἐντρυφῶν τῇ ἀρχῇ, καὶ παραδιδοὺς τὴν στρατηγίαν ἀνθρώποις ἐκ πότων καὶ ναυτικῆς σπερμολογίας, δυναμένοις παρ᾽ αὐτῷ μέγιστον, ὅπως αὐτὸς ἐπ᾽ ἀδείας χρηματίζηται περιπλέων, καὶ ἀκολασταίνῃ μεθυσκόμενος καὶ συνὼν ἑταίραις ἀβυδηναῖς, καὶ ἰωνίσιν, ἐφορμούντων δι᾽ ὀλίγου τῶν πολεμίων. ἐνεκάλουν δ᾽ αὐτῷ καὶ τὴν τῶν τειχῶν κατασκευὴν, ἃ κατεσκεύασεν ἐν θράκῃ περὶ βισάνθην αὑτῷ καταφυγὴν, ὡς ἐν τῇ πατρίδι μὴ δυνάμενος βιοῦν, ἢ μὴ βουλόμενος. οἱ δ᾽ ἀθηναῖοι πεισθέντες, ἑτέρους εἵλοντο στρατηγοὺς, ἐνδεικνύμενοι τὴν πρὸς ἐκεῖνον ὀργὴν καὶ κακόνοιαν. ἃ δὴ πυνθανόμενος ὁ ἀλκιβιάδης καὶ δεδιὼς, ἀπῆλθεν ἐκ τοῦ στρατοπέδου παντάπασι, καὶ συναγαγὼν ξένους, ἐπολέμει τοῖς ἀβασιλεύτοις θραξὶν ἰδίᾳ, καὶ πολλὰ χρήματα συνήγαγεν ἀπὸ τῶν ἁλισκομένων. καὶ τοῖς ἕλλησιν ἅμα τοῖς προσοικοῦσιν ἄδειαν ἀπὸ τῶν βαρβάρων παρεῖχεν. ἐπεὶ δ᾽ οἱ περὶ τυδέα καὶ μένανδρον καὶ ἀδείμαντον στρατηγοὶ, πάσας ὁμοῦ τὰς ὑπαρχούσας τότε ναῦς τοῖς ἀθηναίοις ἔχοντες ἐν αἰγὸς ποταμοῖς, εἰώθεσαν ἐπιπλεῖν τῷ λυσάνδρῳ ναυλοχοῦντι περὶ λάμψακον, ἅμ᾽ ἡμέρᾳ προκαλούμενοι, καὶ πάλιν ἀναστρέφειν ὀπίσω, καὶ διημερεύειν ἀτάκτως καὶ ἀμελῶς, ἅτε δὴ καταφρονοῦντες, ἐγγὺς ὢν ὁ ἀλκιβιάδης, οὐ περιεῖδεν, οὐδ᾽ ἠμέλησεν, ἀλλ᾽ ἵππῳ προσελάσας, ἐδίδασκε τοὺς στρατηγοὺς, ὅτι κακῶς ὁρμῶσιν ἐν χωρίοις ἀλιμένοις, καὶ πόλιν οὐκ ἔχουσιν, ἀλλὰ πόρρωθεν ἐκ σηστοῦ τὰ ἐπιτήδεια λαμβάνοντες, καὶ περιορῶντες τὸ ναυτικὸν ὅταν ἐπὶ τῆς γῆς γένηται πλανώμενον ὅποι τις θέλοι καὶ διασπειρόμενον, ἀντεφορμοῦντος αὐτοῖς στόλου, πρὸς ἐπίταγμα μοναρχικὸν εἰθισμένου σιωπῇ πάντα ποιεῖν. ταῦτα δὲ λέγοντος τοῦ ἀλκιβιάδου, καὶ παραινοῦντος εἰς σηστὸν μεθορμίσαι τὸν στόλον, οὐ προσεῖχον οἱ στρατηγοί. τυδεὺς δὲ καὶ πρὸς ὕβριν ἐκέλευσεν ἀποχωρεῖν. οὐ γὰρ ἐκεῖνον, ἀλλ᾽ ἑτέρους στρατηγεῖν. ὁ δ᾽ ἀλκιβιάδης ὑπονοήσας τι καὶ προδοσίας ἐν αὐτοῖς, ἀπῄει, καὶ τοῖς προπέμπουσι τῶν ἀπὸ τοῦ στρατοπέδου γνωρίμων, ἔλεγεν, ὅτι μὴ προπηλακισθεὶς οὕτως ὑπὸ τῶν στρατηγῶν, ὀλίγαις ἂν ἡμέραις ἠνάγκασε λακεδαιμονίους διαναυμαχεῖν αὐτοῖς ἄκοντας, ἢ τὰς ναῦς ἀπολιπεῖν. ἐδόκει δὲ τοῖς μὲν, ἀλαζονεύεσθαι, τοῖς δ᾽ εἰκότα λέγειν, εἰ θρᾷκας ἐκ γῆς ἐπαγαγὼν πολλοὺς ἀκοντιστὰς καὶ ἱππεῖς, προσμάχοιτο καὶ διαταράττοι τὸ στρατόπεδον αὐτῶν. ὅτι μέντοι τὰς ἁμαρτίας τῶν ἀθηναίων ὀρθῶς συνεῖδε, ταχὺ τὸ ἔργον ἐμαρτύρησεν. ἄφνω γὰρ αὐτοῖς καὶ ἀπροσδοκήτως τοῦ λυσάνδρου προσπεσόντος, ὀκτὼ μόναι τριήρεις ἐξέφυγον μετὰ κόνωνος. αἱ δ᾽ ἄλλαι μικρὸν ἀπολείπουσαι διακοσίων, ἀπήχθησαν αἰχμάλωτοι. τῶν δ᾽ ἀνθρώπων τρισχιλίους ἑλὼν ζῶντας ἀπέσφαξεν ὁ λύσανδρος. ἔλαβε δὲ καὶ τὰς ἀθήνας ὀλίγῳ χρόνῳ, καὶ τὰς ναῦς ἐνέπρησε, καὶ τὰ μακρὰ τείχη καθεῖλεν. ἐκ δὲ τούτου φοβηθεὶς ὁ ἀλκιβιάδης ἄρχοντας ἤδη καὶ γῆς καὶ θαλάττης τοὺς λακεδαιμονίους, εἰς βιθυνίαν μετέστη, πολλὰ μὲν ἄγων χρήματα, πολλὰ δὲ κομίζων, ἔτι δὲ πλείω καταλιπὼν ἐν οἷς ᾤκει τείχεσιν. ἐν δὲ βιθυνίᾳ πάλιν οὐκ ὀλίγα τῶν ἰδίων ἀπολέσας, καὶ περικοπεὶς ὑπὸ τῶν ἐκεῖ θρᾳκῶν, ἔγνω μὲν ἀναβαίνειν πρὸς ἀρταξέρξην, ἑαυτόν τε μὴ χείρονα θεμιστοκλέους πειρωμένῳ βασιλεῖ φανεῖσθαι νομίζων, καὶ κρείττονα τὴν πρόφασιν. οὐ γὰρ ἐπὶ τοὺς πολίτας ὡς ἐκεῖνον, ἀλλ᾽ ὑπὲρ τῆς πατρίδος ἐπὶ τοὺς πολεμίους ὑπουργήσειν καὶ δεήσεσθαι τῆς βασιλέως δυνάμεως. εὐπορίαν δὲ τῆς ἀνόδου μετ᾽ ἀσφαλείας μάλιστα φαρνάβαζον οἰόμενος παρέξειν, ᾤχετο πρὸς αὐτὸν εἰς φρυγίαν, καὶ συνδιῆγε θεραπεύων ἅμα καὶ τιμώμενος. ἀθηναῖοι δὲ, χαλεπῶς μὲν ἔφερον καὶ τῆς ἡγεμονίας ἀποστερηθέντες. ἐπεὶ δὲ καὶ τὴν ἐλευθερίαν ἀφελόμενος αὐτῶν ὁ λύσανδρος ἀνδράσι τριάκοντα παρέδωκε τὴν πόλιν, οἷς οὐκ ἐχρήσαντο σώζεσθαι δυνάμενοι λογισμοῖς, ἀπολωλότων ἤδη τῶν πραγμάτων, συνίεσαν ὀλοφυρόμενοι, καὶ διεξιόντες τὰς ἁμαρτίας αὑτῶν καὶ ἀγνοίας. ὧν μεγίστην ἐποιοῦντο τὴν δευτέραν πρὸς ἀλκιβιάδην ὀργήν. ἀπερρίφη γὰρ οὐδὲν ἀδικῶν αὐτός. ἀλλ᾽ ὑπηρέτῃ χαλεπήναντες, ὀλίγας ἀποβαλόντι ναῦς αἰσχρῶς, αἴσχιον αὐτοὶ τὸν κράτιστον καὶ πολεμικώτατον ἀφείλοντο τῆς πόλεως στρατηγόν. ἔτι δ᾽ οὖν ὅμως ἐκ τῶν παρόντων ἀνέφερέ τις ἐλπὶς ἀμυδρὰ, μὴ παντάπασιν ἔρρειν τὰ πράγματα τῶν ἀθηναίων ἀλκιβιάδου περιόντος. οὔτε γὰρ

νάμενοι προσελθεῖν, ἄπωθεν ἐθεῶντο. καὶ τοῖς νέοις ἐδείκνυσαν οἱ πρεσβύτεροι. πολὺ δὲ καὶ δάκρυον τῷ χαίροντι τῆς πόλεως ἀνεκέκρατο. καὶ μνήμη πρὸς τὴν παροῦσαν εὐτυχίαν, τῶν πρόσθεν ἀτυχημάτων. λογιζομένοις ὡς οὔτ' ἂν σικελίας διήμαρτον. οὔτ' ἄλλο τι τῶν προσδοκηθέντων ὑπεξέφυγεν αὐτούς, ἐάσαντας ἀλκιβιάδην ἐπὶ τῶν τότε πραγμάτων καὶ τῆς δυνάμεως ἐκείνης, εἰ νῦν τὴν πόλιν παραλαβὼν, ὀλίγου δέουσαν ἐκπεπτωκέναι τῆς θαλάσσης. καὶ κατὰ γῆν δὲ, μόλις τῶν προαστίων κρατοῦσαν, αὐτὴν δὲ πρὸς ἑαυτὴν στασιάζουσαν, ἐκ λυπρῶν ἔτι λειψάνων καὶ ταπεινῶν ἀναστήσας, οὐ μόνον γε τῆς θαλάσσης τὸ κράτος ἀποδέδωκεν, ἀλλὰ καὶ πεζῇ νικῶσαν ἀποδείκνυσι πανταχοῦ τοὺς πολεμίους. τὸ μὲν οὖν ψήφισμα τῆς καθόδου πρότερον ἐκεκύρωτο κριτίου τοῦ καλλαίσχρου γράψαντος. ὡς αὐτὸς ἐν ταῖς ἐλεγείαις πεποίηκεν, ὑπομιμνήσκων τὸν ἀλκιβιάδην τῆς χάριτος, ἐν τούτοις.

Γνώμη δ' ἥ σε κατήγαγ' ἐγὼ ταύτην ἐν ἅπασιν εἶπον, καὶ γράψας τοὔργον ἔδρασα τόδε.

Σφραγὶς δ' ἡμετέρης γλώττης ἐπὶ τοῖσδεσι κεῖται. τότε δὲ τοῦ δήμου συνελθόντος εἰς τὴν ἐκκλησίαν, παρελθὼν ὁ ἀλκιβιάδης, καὶ τὰ μὲν αὐτοῦ πάθη κλαύσας καὶ ὀλοφυράμενος, ἐγκαλέσας δὲ μικρὰ καὶ μέτρια τῷ δήμῳ. τὸ δὲ σύμπαν ἀναθεὶς αὐτοῦ τινὶ τύχῃ πονηρᾷ καὶ φθονερῷ δαίμονι, πλεῖστα δ' εἰς ἐλπίδας τῶν πολεμίων, καὶ πρὸς τὸ θαρρεῖν διαλεχθεὶς, καὶ παρορμήσας, στεφάνοις μὲν ἐστεφανώθη χρυσοῖς, ᾑρέθη δὲ καὶ κατὰ γῆν ἅμα καὶ κατὰ θάλασσαν στρατηγὸς αὐτοκράτωρ. ἐψηφίσαντο δὲ τὴν οὐσίαν ἀποδοῦναι αὐτῷ. καὶ τὰς ἀρὰς ἀφοσιώσασθαι πάλιν εὐμολπίδας καὶ κήρυκας ἃς ἐποιήσαντο τοῦ δήμου προστάξαντος. ἀφοσιουμένων δὲ τῶν ἄλλων, θεόδωρος ὁ ἱεροφάντης, ἀλλ' ἐγὼ εἶπεν, οὐδὲ κατηρασάμην αὐτῷ κακὸν οὐδὲν, εἰ μηδὲν ἀδικεῖ τὴν πόλιν. οὕτω δὲ τοῦ ἀλκιβιάδου λαμπρῶς εὐημεροῦντος, ὑπέθραττεν ἐνίους ὅμως ὁ τῆς καθόδου καιρός. ᾗ γὰρ ἡμέρᾳ κατέπλευσεν, ἑωρᾶτο τὰ πλυντήρια τῇ θεῷ. δρῶσι δὲ τὰ ὄργια πραξιεργίδαι, θαργηλιῶνος ἕκτῃ φθίνοντος ἀπόρρητα. τόν τε κόσμον καθελόντες, καὶ τὸ ἕδος κατακαλύψαντες, ὅθεν ἐν ταῖς μάλιστα τῶν ἀποφράδων τὴν ἡμέραν ταύτην ἄπρακτον ἀθηναῖοι νομίζουσιν. οὐ φιλοφρόνως οὖν, οὐδ' εὐμενῶς ἐδόκει προσδεχομένη τὸν ἀλκιβιάδην ἡ θεὸς παρακαλύπτεσθαι καὶ ἀπελαύνειν ἑαυτῆς. οὐ μὴν ἀλλὰ πάντων γεγονότων τῷ ἀλκιβιάδῃ κατὰ γνώμην, καὶ πληρουμένων ἑκατὸν τριήρων, αἷς αὖθις ἐκπλεῖν ἔμελλον, φιλοτιμία τις οὐκ ἀγεννὴς προσπεσοῦσα, κατέσχεν αὐτὸν ἄχρι μυστηρίων. ἀφ' οὗ γὰρ ἐπετειχίσθη δεκέλεια, καὶ τῆς εἰς ἐλευσῖνα παρόδου ἐκράτουν οἱ πολέμιοι παρόντες, οὐδένα κόσμον εἶχεν ἡ τελετὴ, πεμπομένη κατὰ θάλασσαν. ἀλλὰ καὶ θυσίαι καὶ χορεῖαι, καὶ πολλὰ τῶν δρωμένων καθ' ὁδὸν ἱερῶν, ὅταν ἐξελαύνωσι τὸν ἴακχον, ὑπ' ἀνάγκης ἐξελείπετο. καλὸν οὖν ἐφαίνετο τῷ ἀλκιβιάδῃ καὶ πρὸς θεῶν ὁσιότητα, καὶ πρὸς ἀνθρώπων δόξαν, ἀποδοῦναι τὸ πάτριον σχῆμα τοῖς ἱεροῖς, παραπέμψαντα πεζῇ τὴν τελετὴν καὶ δορυφορήσαντα παρὰ τοὺς πολεμίους. ἢ γὰρ ἀτρεμήσαντα, κομιδῇ κολούσειν καὶ ταπεινώσειν τὸν ἆγιν, ἢ μάχην ἱερὰν καὶ θεοφιλῆ περὶ τῶν ἁγιωτάτων καὶ μεγίστων ἐν ὄψει τῆς πατρίδος μαχεῖσθαι. καὶ πάντας ἕξειν μάρτυρας τοὺς πολίτας, τῆς ἀνδραγαθίας. ὡς δὲ ταῦτ' ἔγνω καὶ προεῖπεν εὐμολπίδαις καὶ κήρυξι, σκοποὺς μὲν ἐπὶ τῶν ἄκρων ἐκάθισε, καὶ προδρόμους τινὰς ἅμ' ἡμέρᾳ προεξέπεμψεν. ἱερεῖς δὲ καὶ μύστας καὶ μυσταγωγοὺς ἀναλαβὼν, καὶ τοῖς ὅπλοις περικαλύψας, ἦγεν ἐν κόσμῳ καὶ μετὰ σιωπῆς, θέαμα σεμνὸν καὶ θεοπρεπὲς τὴν στρατηγίαν ἐκείνην ἐπιδεικνύμενος, ὑπὸ τῶν μὴ φθονούντων ἱεροφαντίαν καὶ μυσταγωγίαν προσαγορευομένην. μηδενὸς δὲ τῶν πολεμίων ἐπιθέσθαι τολμήσαντος, ἀσφαλῶς ἐπαναγαγὼν εἰς τὴν πόλιν, ἤρθη μὲν αὐτὸς τῷ φρονήματι, καὶ τὴν στρατιὰν ἐπῆρεν ὡς ἄμαχον καὶ ἀήττητον οὖσαν, ἐκείνου στρατηγοῦντος, τοὺς δὲ φορτικοὺς καὶ πένητας, οὕτως ἐδημαγώγησεν, ὥστ' ἐρᾶν ἔρωτα θαυμαστὸν ὑπ' ἐκείνου τυραννεῖσθαι. καὶ λέγειν ἐνίους, καὶ προσιέναι παρακελευομένους, ὅπως τοῦ φθόνου κρείττων γενόμενος, καὶ καταβαλὼν ψηφίσματα, καὶ νόμους, καὶ φλυάρους ἀπολλύντας τὴν πόλιν, ὡς ἂν πράξῃ καὶ χρήσηται τοῖς πράγμασι, μὴ δεδιὼς τοὺς συκοφάντας. αὐτὸς μὲν οὖν ἐκεῖνος ἣν εἶχε διάνοιαν περὶ τῆς τυραννίδος, ἄδηλόν ἐστιν. οἱ δὲ δυνατώτατοι τῶν πολιτῶν φοβηθέντες, ἐσπούδαζον αὐτὸν ἐκπλεῦσαι τὴν ταχίστην, τά τ' ἄλλα ψηφισάμενοι, καὶ συνάρχοντας οὓς ἐκεῖνος ἠθέλησεν. ἐκπλεύσας οὖν ταῖς ἑκατὸν ναυσὶ καὶ προσβαλὼν ἄνδρῳ, μάχῃ μὲν ἐκράτησεν αὐτῶν καὶ λακεδαιμονίων, ὅσοι παρῆσαν, οὐχ εἷλε δὲ τὴν πόλιν. ἀλλὰ τοῦτο πρῶτον τῶν καινῶν ἐγκλημάτων ὑπῆρξε κατ' αὐτοῦ τοῖς ἐχθροῖς. ἔοικε δ' εἴ τις ἄλλος ὑπὸ τῆς αὑτοῦ δόξης καταλυθῆναι καὶ ἀλκιβιάδης. μεγάλη γὰρ οὖσα, καὶ τόλμης καὶ συνέσεως γέμουσα ἀφ' ὧν κατώρθωσεν, ὕποπτον αὐτοῦ τὸ ἐλλεῖπον ὡς οὐ σπουδάσαντος ἀπιστίᾳ τοῦ μὴ δυνηθῆναι παρεῖχε. σπουδάσαντα γὰρ, οὐδὲν ἂν διαφυγεῖν. ἤλπιζον δὲ καὶ χίους ἑαλωκότας ἀκούσεσθαι. καὶ τὴν ἄλλην ἰωνίαν. ὅθεν ἠγανάκτουν, μὴ ταχὺ πάντα μηδ' εὐθέως ὡς ἐβούλοντο πυνθανόμενοι διαπεπραγμένον. οὐχ ὑπολογιζόμενοι τὴν ἀχρηματίαν, ἀφ' ἧς πολεμῶν πρὸς ἀνθρώπους βασιλέα μέγαν χορηγὸν ἔχοντας, ἠναγκάζετο πολλάκις ἐκπλέων καὶ ἀπολείπων τὸ στρατόπεδον, μισθοὺς καὶ τροφὰς πορίζειν. καὶ γὰρ τὸ τελευταῖον ἔγκλημα, διὰ ταύτην ἔλαβε τὴν αἰτίαν. λυσάνδρου γὰρ ἐπὶ τὴν ναυαρχίαν ἀποσταλέντος ὑπὸ λακεδαιμονίων. καὶ τετρώβολον ἀντὶ τριωβόλου τῷ ναύτῃ διδόν

βαζον, αἰσχρῶς φυγεῖν ἠνάγκασε, τὸν δ' Ἱπποκράτη διέφθειρε. καὶ συχνοὺς τῶν περὶ αὐτὸν ἡττηθέντας. εἶτ' αὐτὸς μὲν ἐκπλεύσας εἰς τὸν Ἑλλήσποντον ἠργυρολόγει. καὶ Σηλυβρίαν εἷλεν, ἀφειδήσας ἑαυτοῦ παρὰ τὸν καιρόν. οἱ γὰρ ἐνδιδόντες τὴν πόλιν, συνέθεντο μὲν ἀνασχήσειν πυρσὸν αὐτῷ μεσούσης νυκτός. ἠναγκάσθησαν δὲ τοῦτο ποιῆσαι πρὸ τοῦ καιροῦ, τῶν συνωμοτῶν φοβηθέντες τινὰ ἐξαίφνης μεταβαλλόμενον. ἀρθέντος οὖν τοῦ πυρσοῦ μηδέπω τῆς στρατιᾶς οὔσης ἑτοίμης, ἀναλαβὼν ὅσον τριάκοντα περὶ αὐτὸν, ἠπείγετο δρόμῳ πρὸς τὰ τείχη, τοὺς ἄλλους ἕπεσθαι κατὰ τάχος κελεύσας. ἀνοιχθείσης δὲ τῆς πύλης αὐτῷ καὶ προσγενομένων τοῖς τριάκοντα, πελταστῶν εἴκοσι, παρεισπεσὼν εὐθὺς, ᾔσθετο τοὺς Σηλυβριανοὺς ἐξ ἐναντίας μετὰ τῶν ὅπλων ἐπιφερομένους. ἐπεὶ δ' ὑποστάντι μὲν οὐκ ἐφαίνετο σωτηρία, πρὸς δὲ τὸ φυγεῖν ἀήττητος ἄχρι τῆς ἡμέρας ἐκείνης ἐν ταῖς στρατηγίαις γεγονὼς, φιλονεικότερον εἶχε, καὶ τῇ σάλπιγγι σημήνας σιωπὴν, ἐκέλευσεν ἕνα τῶν παρόντων ἀνειπεῖν, Σηλυβριανοὺς Ἀθηναίοις ἐναντία ὅπλα μὴ τίθεσθαι. τοῦτο τὸ κήρυγμα, τοὺς μὲν ἀμβλυτέρους ἐποίησε πρὸς τὴν μάχην, ὡς τῶν πολεμίων ἔνδον ὄντων ἁπάντων. οἱ δὲ ταῖς ἐλπίσιν ἡδίους ἐγίνοντο πρὸς τὰς διαλύσεις. ἐν ᾧ δὲ συστάντες ἀλλήλοις ἐδίδοσαν λόγον, ἐπῆλθεν ἡ στρατιὰ τῷ Ἀλκιβιάδῃ. καὶ τεκμαιρόμενος ὅπερ ἦν, εἰρηνικὰ φρονεῖν τοὺς Σηλυβριανοὺς, ἔδεισε μὴ τὴν πόλιν οἱ Θρᾷκες διαρπάσωσιν. ἦσαν δὲ πολλοὶ χάριτι τῇ Ἀλκιβιάδου καὶ δι' εὔνοιαν στρατευόμενοι προθύμως. ἀπέπεμψεν οὖν τούτους ἅπαντας ἐκ τῆς πόλεως, τοὺς δὲ Σηλυβριανοὺς δεηθέντας, οὐδὲν ἠδίκησεν, ἀλλὰ χρήματα λαβὼν καὶ φρουρὰν ἐγκαταστήσας, ἀπῆλθεν. οἱ δὲ πολιορκοῦντες τὴν Χαλκηδόνα στρατηγοὶ, σπονδὰς ἐποιήσαντο πρὸς Φαρνάβαζον, ἐπὶ τῷ χρήματα λαβεῖν, καὶ Χαλκηδονίους ὑπηκόους πάλιν Ἀθηναίοις εἶναι. τὴν δὲ Φαρναβάζου χώραν μὴ ἀδικεῖν. Φαρνάβαζον δὲ, πρέσβεσιν Ἀθηναίων πρὸς βασιλέα πομπὴν μετ' ἀσφαλείας παρασχεῖν. ὡς οὖν ἐπανελθόντα τὸν Ἀλκιβιάδην ὁ Φαρνάβαζος ἠξίου καὶ αὐτὸν ὀμόσαι περὶ τῶν ὁμολογημένων, οὐκ ἔφη πρότερον, ἢ κοινὸν αὐτοῖς ὀμόσαι. γενομένων δὲ τῶν ὅρκων, ἐπὶ Βυζαντίους ἀφεστῶτας ἦλθε, καὶ περιετείχιζε τὴν πόλιν. Ἀναξιλάου δὲ καὶ Λυκούργου καὶ τινων ἄλλων συντιθεμένων ἐπὶ σωτηρίᾳ παραδώσειν τὴν πόλιν. διαδοὺς λόγον ὡς ἀνίστησιν αὐτὸν, πράγματα νεώτερα συνιστάμενα περὶ τὴν Ἰωνίαν, ἡμέρας ἀπέπλει ταῖς ναυσὶ πάσαις, νυκτὸς δ' ὑποστρέψας, αὐτὸς μὲν ἀπέβη μετὰ τῶν ὁπλιτῶν, καὶ προσελθὼν τοῖς τείχεσιν, ἡσυχίαν ἦγεν, αἱ δὲ νῆες ἐπὶ τὸν λιμένα πλεύσασαι, καὶ βιαζόμεναι κραυγῇ τε πολλῇ, καὶ θορύβοις καὶ ψόφοις, ἅμα μὲν ἐξέπληττον τῷ ἀπροσδοκήτῳ τοὺς Βυζαντίους. ἅμα δὲ τοῖς ἀττικίζουσι παρεῖχον ἐπ' ἀδείας τὸν Ἀλκιβιάδην δέχεσθαι πάντων ἐπὶ τὸν λιμένα καὶ τὰς ναῦς βοηθούντων. οὐ μὴν ἀμαχεὶ προσεχώρησαν. οἱ γὰρ παρόντες ἐν τῷ Βυζαντίῳ Πελοποννήσιοι καὶ Βοιωτοὶ, καὶ Μεγαρεῖς, τοὺς μὲν ἀπὸ τῶν νεῶν ἐτρέψαντο καὶ κατέκλεισαν εἰς τὰς ναῦς πάλιν. τοὺς δ' Ἀθηναίους ἔνδον ὄντας αἰσθόμενοι, καὶ συντάξαντες ἑαυτοὺς, ἐχώρουν ὁμόσε. καρτερᾶς δὲ μάχης γενομένης, ἐνίκησεν Ἀλκιβιάδης τὸ δεξιὸν κέρας ἔχων, Θηραμένης δὲ τὸ εὐώνυμον. καὶ τῶν πολεμίων τοὺς περιγενομένους ὅσον τριακοσίους, ζῶντας ἔλαβε. Βυζαντίων δὲ μετὰ τὴν μάχην, οὐδεὶς ἀπέθανεν, οὐδ' ἔφυγεν. ἐπὶ τούτοις γὰρ οἱ ἄνδρες παρέδοσαν τὴν πόλιν, καὶ ταῦτα συνέθεντο, μηδὲν αὐτοῖς ἴδιον ὑπεξελεῖν. διὸ καὶ δίκην προδοσίας ἐν Λακεδαίμονι φεύγων ὁ Ἀναξίλαος, ἐφάνη τῷ λόγῳ τὸ ἔργον οὐκ αἰσχύνων. ἔφη γὰρ οὐκ ὢν Λακεδαιμόνιος, ἀλλὰ Βυζάντιος. οὐδὲ τὴν Σπάρτην κινδυνεύουσαν, ἀλλὰ τὸ Βυζάντιον ὁρᾶν, τῆς μὲν πόλεως ἀποτετειχισμένης. μηδενὸς δ' εἰσαγομένου. τὸν δ' ὄντα σῖτον ἐν τῇ πόλει Πελοποννησίων καὶ Βοιωτῶν ἐσθιόντων, Βυζαντίων δὲ πεινώντων σὺν τέκνοις καὶ γυναιξὶν, οὐ προδοῦναι τοῖς πολεμίοις, ἀλλὰ πολέμων καὶ κακῶν ἀπαλλάξαι τὴν πόλιν. μιμούμενος τοὺς ἀρίστους Λακεδαιμονίων. οἷς ἓν καλὸν ἁπλῶς καὶ δίκαιόν ἐστι τὸ τῆς πατρίδος συμφέρον. οἱ μὲν οὖν Λακεδαιμόνιοι ταῦτ' ἀκούσαντες, ᾐδέσθησαν καὶ ἀπέλυσαν τοὺς ἄνδρας. ὁ δ' Ἀλκιβιάδης, ἰδεῖν τε ποθῶν ἤδη τὰ οἴκοι καὶ ἔτι μᾶλλον ὀφθῆναι βουλόμενος τοῖς πολίταις νενικηκὼς τοὺς πολεμίους τοσαυτάκις, ἀνήχθη. πολλαῖς μὲν ἀσπίσι καὶ λαφύροις κύκλῳ κεκοσμημένων τῶν Ἀττικῶν τριήρων, πολλὰς δ' ἐφελκόμενος αἰχμαλώτους, ἔτι δὲ πλείω κομίζων ἀκροστόλια, τῶν διεφθαρμένων ὑπ' αὐτοῦ καὶ κεκρατημένων. ἦσαν γὰρ οὐκ ἐλάττους συναμφότεραι διακοσίων. ἃ δὲ Δοῦρις ὁ Σάμιος Ἀλκιβιάδου φάσκων ἀπόγονος εἶναι προστίθησι τούτοις, αὐλεῖν μὲν εἰρεσίαν τοῖς ἐλαύνουσι Χρυσόγονον τὸν Πυθιονίκην. κελεύειν δὲ Καλλιππίδην τὸν τῶν τραγῳδιῶν ὑποκριτὴν, στατοὺς καὶ ξυστίδα. καὶ τὸν ἄλλον ἐναγώνιον ἀμπεχόμενον κόσμον. ἱστίῳ δ' ἁλουργῷ τὴν ναυαρχίδα προσφέρεσθαι τοῖς λιμέσιν, ὡς ἐκ μέθης ἐπικωμάζοντας, οὔτε Θεόπομπος, οὔτ' Ἔφορος, οὔτε Ξενοφῶν γέγραφεν. οὔτ' εἰκὸς ἦν οὕτως ἐντρυφῆσαι τοῖς Ἀθηναίοις, μετὰ φυγὴν καὶ συμφορὰς τοσαύτας κατερχόμενον. ἀλλ' ἐκεῖνος καὶ δεδιὼς κατήγετο, καὶ καταχθεὶς οὐ πρότερον ἀπέβη τῆς τριήρους, πρὶν στὰς ἐπὶ τοῦ καταστρώματος, ἰδεῖν Εὐρυπτόλεμόν τε τὸν ἀνεψιὸν παρόντα καὶ τῶν ἄλλων φίλων καὶ οἰκείων συχνοὺς ἐκδεχομένους καὶ παρακαλοῦντας. ἐπεὶ δ' ἀπέβη, τοὺς μὲν ἄλλους στρατηγοὺς οὐδ' ὁρᾶν ἐδόκουν οἱ ἀπαντῶντες οἱ ἄνθρωποι. πρὸς δ' ἐκεῖνον συντρέχοντες ἐβόων, ἠσπάζοντο, παρέπεμπον, ἐστεφάνουν προσιόντες. οἱ δὲ μὴ δυ-

περὶ ξυστίδος lege interpretem Aristophanis 47

σάμου, περιέπλει τὴν κνιδίων καὶ κώων θάλασσαν. ἐκεῖ δ᾽ ἀκούσας μίνδαρον τὸν σπαρτιάτην εἰς ἑλλήσποντον ἀναπλεῖν τῷ στόλῳ παντὶ, καὶ τοὺς ἀθηναίους ἐπακολουθεῖν, ἠπείγετο βοηθῆσαι τοῖς στρατηγοῖς. καὶ κατὰ τύχην εἰς τοῦτον καιροῦ συνέπεσε πλέον ὀκτωκαίδεκα τριήρεσιν, ἐν ᾧ πάσαις ὁμοῦ ταῖς ναυσὶ συμπεσόντες εἰς τὸ αὐτὸ καὶ διαναυμαχοῦντες περὶ ἄβυδον ἀμφότεροι, τοῖς μὲν ἡττώμενοι μέρεσι, τοῖς δὲ νικῶντες, ἄχρι δείλης ἀγῶνι μεγάλῳ συνείχοντο. καὶ παρέσχε μὲν ἐναντίαν δόξαν ἀμφοτέροις ἐπιφανείς· ὥστε θαρρεῖν μὲν τοὺς πολεμίους, θορυβεῖσθαι δὲ τοὺς ἀθηναίους. ταχὺ δὲ σημεῖον ἄρας ἀπὸ τῆς ναυαρχίδος φίλιον, ὥρμησεν εὐθὺς ἐπὶ τοὺς κρατοῦντας καὶ διώκοντας τῶν πελοποννησίων. τρεψάμενος δ᾽ αὐτοὺς ἐξέωσεν εἰς τὴν γῆν. καὶ προσκείμενος ἔκοπτε τὰς ναῦς, καὶ συνετίτρωσκε τῶν ἀνδρῶν ἐκνεόντων, καὶ φαρναβάζου πεζῇ προσβοηθοῦντος αὐτοῖς, καὶ μαχομένου παρὰ τὴν θάλασσαν ὑπὲρ τῶν νεῶν. τέλος δὲ τῶν μὲν πολεμίων τριάκοντα λαβόντες. ἀνασώσαντες δὲ τὰς αὑτῶν, τρόπαιον ἔστησαν. οὕτω δὲ λαμπρᾷ χρησάμενος εὐτυχίᾳ, καὶ φιλοτιμούμενος εὐθὺς ἐγκαλλωπίσασθαι τῷ τισσαφέρνῃ, ξένια καὶ δῶρα παρασκευασάμενος, καὶ θεραπείαν ἔχων ἡγεμονικὴν, ἐπορεύετο πρὸς αὐτόν. οὐ μὴν ἔτυχεν ὧν προσεδόκησεν. ἀλλὰ πάλαι κακῶς ἀκούων ὁ τισσαφέρνης ὑπὸ τῶν λακεδαιμονίων, καὶ φοβούμενος αἰτίαν λαβεῖν ἐκ βασιλέως, ἔδοξεν ἐν καιρῷ τὸν ἀλκιβιάδην ἀφῖχθαι. καὶ συλλαβὼν αὐτὸν εἶρξεν ἐν σάρδεσιν, ὡς λύσιν ἐκείνης τῆς διαβολῆς, τὴν ἀδικίαν ταύτην ἐσομένην. τριάκοντα δ᾽ ἡμερῶν διαγενομένων, ὁ ἀλκιβιάδης ἵππου ποθὲν εὐπορήσας, καὶ ἀποδρὰς τοὺς φύλακας, εἰς κλαζομενὰς διέφυγε. καὶ τὸν μὲν τισσαφέρνην προσδιέβαλλεν ὡς ὑπ᾽ ἐκείνου μεθειμένος, αὐτὸς δὲ πλεύσας εἰς τὸ στρατόπεδον τῶν ἀθηναίων, καὶ πυθόμενος μίνδαρον ὁμοῦ καὶ φαρνάβαζον ἐν κυζίκῳ γεγονέναι, τοὺς μὲν στρατιώτας παρώρμησεν ὡς ἀνάγκην οὖσαν αὐτοῖς καὶ ναυμαχεῖν καὶ πεζομαχεῖν καὶ μὰ δία τειχομαχεῖν πρὸς τοὺς πολεμίους. χρήματα γὰρ οὐκ εἶναι, μὴ πάντῃ κρατοῦσι. πληρώσας δὲ τὰς ναῦς καὶ κατάρας εἰς προικόννησον, ἐκέλευσεν ἐντὸς περιβάλλειν τὰ λεπτὰ πλοῖα καὶ παραφυλάττειν, ὅπως μηδεμία τοῖς πολεμίοις ἐπιπλέοντος αὐτοῦ γένοιτο μηδαμόθεν προαίσθησις. ἔτυχε δὲ καὶ πολὺν ὄμβρον ἐξαίφνης ἐπιπεσόντα, καὶ βροντὰς, καὶ ζόφον, συνεργῆσαι καὶ συνεπικρύψαι τὴν παρασκευήν. οὐ γὰρ μόνον τοὺς πολεμίους ἔλαθεν, ἀλλὰ καὶ τοὺς ἀθηναίους ἀπεγνωκότας ἤδη, ἐμβιβάσαι κελεύσας, ἀνήχθη. καὶ μετὰ μικρὸν, ὅ τε ζόφος διελύθη, καὶ κατώφθησαν αἱ τῶν πελοποννησίων νῆες, αἰωρούμεναι πρὸ τοῦ λιμένος τῶν κυζικηνῶν. δείσας οὖν ὁ ἀλκιβιάδης, μὴ διὰ τὸ πλῆθος αὐτὸν προϊδόντες, εἰς τὴν γῆν καταφύγωσι, τοὺς μὲν στρατηγοὺς ἐκέλευσεν ἡσυχῇ πλέοντας ὑπολείπεσθαι, αὐτὸς δὲ τετταράκοντα ναῦς ἔχων ἐφαίνετο, καὶ προὐκαλεῖτο τοὺς πολεμίους. ἐπεὶ δ᾽ ἐξηπάτηντο καταφρονήσαντες ὡς ἐπὶ τοσούτους ἀντεξέπλευσαν, αὐτοὶ μὲν εὐθὺς ἐξήπτοντο καὶ συνεπλέκοντο. τῶν δ᾽ ἄλλων ἤδη μαχομένοις ἐπιφερομένων, ἐκπλαγέντες ἔφευγον. ὁ δ᾽ ἀλκιβιάδης εἴκοσι ταῖς ἀρίσταις διεκπλεύσας καὶ προσβαλὼν τῇ γῇ καὶ ἀποβὰς, ἐνέκειτο τοῖς φεύγουσιν ἐκ τῶν νεῶν καὶ πολλοὺς ἔφθειρε. μινδάρου δὲ καὶ φαρναβάζου προσβοηθούντων κρατήσας, τὸν μὲν μίνδαρον ἀνεῖλεν ἐρρωμένως ἀγωνιζόμενον. ὁ δὲ φαρνάβαζος ἔφυγε. πολλῶν δὲ καὶ νεκρῶν καὶ ὅπλων κρατήσαντες, τάς τε ναῦς ἁπάσας ἔλαβον, χειρωσάμενοι δὲ καὶ κύζικον ἐκλιπόντος τοῦ φαρναβάζου καὶ τῶν πελοποννησίων διαφθαρέντων, οὐ μόνον τὸν ἑλλήσποντον εἶχον βεβαίως, ἀλλὰ καὶ τῆς ἄλλης θαλάσσης ἐξήλασαν κατὰ κράτος τοὺς λακεδαιμονίους. ἑάλω δὲ καὶ γράμματα λακωνικῶς φράζοντα τοῖς ἐφόροις τὴν γεγενημένην ἀτυχίαν. ἔρρει τὰ καλά. μίνδαρος ἀπέσσουα. πεινῶντι τ᾽ ὤνδρες. ἀπορέομες τί χρὴ δρᾶν. οὕτω δ᾽ ἐπήρθησαν οἱ μετ᾽ ἀλκιβιάδου στρατευσάμενοι, καὶ τοσοῦτον ἐφρόνησαν, ὥστ᾽ ἀπαξιοῦν ἔτι τοῖς ἄλλοις καταμιγνύναι στρατιώταις ἑαυτούς. πολλάκις ἡττημένοις, ἀηττήτους ὄντας. καὶ γὰρ οὐ πολλῷ πρότερον συνεβεβήκει πταίσαντος περὶ ἔφεσον τοῦ θρασύλλου, τὸ χαλκοῦν ἀνεστάναι τρόπαιον ὑπὸ τῶν ἐφεσίων ἐπ᾽ αἰσχύνῃ τῶν ἀθηναίων. ταῦτ᾽ οὖν ὠνείδιζον οἱ μετ᾽ ἀλκιβιάδου, τοῖς μετὰ τοῦ θρασύλλου μεγαλύνοντες αὑτοὺς καὶ τὸν στρατηγόν. ἐκείνοις δὲ, μήτε γυμνασίων, μήτε χώρας ἐν στρατοπέδῳ κοινωνεῖν ἐθέλοντες. ἐπεὶ δὲ φαρνάβαζος ἱππέας τε πολλοὺς ἔχων καὶ πεζοὺς ἐπῆλθεν αὐτοῖς ἐμβεβληκόσιν εἰς τὴν ἀβυδηνῶν, ὁ ἀλκιβιάδης ἐκβοηθήσας ἐπ᾽ αὐτὸν, ἐτρέψατο καὶ κατεδίωξεν ἄχρι σκότους μετὰ τοῦ θρασύλλου, καὶ ἀνεμίγνυντο καὶ κοινῇ φιλοφρονούμενοι καὶ χαίροντες ἐπανῄεσαν εἰς τὸ στρατόπεδον. τῇ δ᾽ ὑστεραίᾳ στήσας τρόπαιον, ἐλεηλάτει τὴν φαρναβάζου χώραν, οὐδενὸς ἀμύνεσθαι τολμῶντος. ἱερεῖς μέντοι καὶ ἱερείας, ἔλαβε μὲν, ἀλλ᾽ ἀφῆκεν ἄνευ λύτρων. χαλκηδονίοις δ᾽ ἀφεστῶσι καὶ δεδεγμένοις φρουρὰν καὶ ἁρμοστὴν λακεδαιμονίων, ὡρμημένος πολεμεῖν, ἀκούσας δ᾽ ὅτι τὴν λείαν πᾶσαν ἐκ τῆς χώρας συναγαγόντες εἰς βιθυνοὺς ἐκτίθενται φίλους ὄντας, ἧκεν ἐπὶ τοὺς ὅρους ἄγων τὸ στράτευμα, καὶ κήρυκα προπέμψας, ἐνεκάλει τοῖς βιθυνοῖς. οἱ δὲ δείσαντες, τήν τε λείαν ἀπέδοσαν αὐτῷ καὶ φιλίαν ὡμολόγησαν. ἀποτειχιζομένης δὲ τῆς χαλκηδόνος ἐκ θαλάττης εἰς θάλατταν, ὁ φαρνάβαζος ἧκεν, ὡς λύσων τὴν πολιορκίαν. καὶ ἱπποκράτης ὁ ἁρμοστὴς ἐκ τῆς πόλεως συναγαγὼν τὴν σὺν αὑτῷ δύναμιν, ἐπεχείρει τοῖς ἀθηναίοις. ὁ δ᾽ ἀλκιβιάδης ἅμα πρὸς ἀμφοτέρους ἀντιτάξας τὸ στράτευμα, τὸν μὲν φαρνά-

πλέων ο.ε.β.ς.τ.

ἐλπίδας ἐνδιδοὺς, παρέξειν τὸν Τισσαφέρνην φίλον, οὐ τοῖς πολλοῖς χαριζόμενος, οὐδὲ πιστεύων ἐκείνοις, ἀλλὰ τοῖς ἀρίστοις, εἰ τολμήσειαν ἄνδρες ἀγαθοὶ γενόμενοι καὶ παύσαντες ὑβρίζοντα τὸν δῆμον αὐτοὶ δι᾽ ἑαυτῶν σώζειν τὰ πράγματα καὶ τὴν πόλιν. οἱ μὲν οὖν ἄλλοι σφόδρα προσεῖχον τῷ Ἀλκιβιάδῃ. τῶν δὲ στρατηγῶν εἷς, Φρύνιχος ὁ Δειραδιώτης ὑποπτεύσας ὅπερ ἦν, τὸν Ἀλκιβιάδην, οὐδέν τι μᾶλλον ὀλιγαρχίας ἢ δημοκρατίας δεόμενον, ζητοῦντα δὲ πάντως κατελθεῖν ἐκ διαβολῆς τοῦ δήμου, προθεραπεύειν καὶ ὑποδύεσθαι τοὺς δυνατοὺς ἐθέσαν, κρατούμενος δὲ τῇ γνώμῃ καὶ φανερῶς ἤδη τοῦ Ἀλκιβιάδου γεγονὼς ἐχθρὸς, ἐξήγγειλε κρύφα πρὸς Ἀστύοχον τὸν τῶν πολεμίων ναύαρχον, ἐγκελευόμενος φυλάττεσθαι, καὶ συλλαμβάνειν ὡς ἐπαμφοτερίζοντα τὸν Ἀλκιβιάδην. ἐλελήθει δ᾽ ἄρα προδότης προδότῃ διαλεγόμενος. τὸν γὰρ Τισσαφέρνην ἐκπεπληγμένος ὁ Ἀστύοχος, καὶ τὸν Ἀλκιβιάδην ὁρῶν παρ᾽ αὐτῷ μέγαν ὄντα, κατεμήνυσε τὰ τοῦ Φρυνίχου πρὸς αὐτόν. ὁ δ᾽ Ἀλκιβιάδης εὐθὺς εἰς Σάμον ἔπεμψε τοὺς τοῦ Φρυνίχου κατηγορήσοντας. ἀγανακτούντων δὲ πάντων καὶ συνισταμένων ἤδη ἐπὶ τὸν Φρύνιχον, οὐχ ὁρῶν ἑτέραν διαφυγὴν ἐκ τῶν παρόντων, ἐπιχείρησεν ἰᾶσθαι μείζονι κακῷ τὸ κακόν. αὖθις γὰρ ἔπεμψε πρὸς τὸν Ἀστύοχον, ἐγκαλῶν μὲν ὑπὲρ τῆς μηνύσεως, ἐπαγγελλόμενος δὲ τὰς ναῦς καὶ τὸ στρατόπεδον τῶν Ἀθηναίων ὑποχείριον αὐτῷ παρέξειν. οὐ μὴν ἔβλαψε τοὺς Ἀθηναίους ἡ τοῦ Φρυνίχου προδοσία, διὰ τὴν Ἀστυόχου πάλιν προδοσίαν. καὶ γὰρ ταῦτα κατεῖπε τοῦ Φρυνίχου πρὸς τοὺς περὶ τὸν Ἀλκιβιάδην. ὁ δὲ Φρύνιχος προαισθόμενος καὶ προσδεχόμενος δευτέραν κατηγορίαν παρὰ τοῦ Ἀλκιβιάδου, φθάσας αὐτὸς προεῖπε τοῖς Ἀθηναίοις, ὅτι μέλλουσιν ἤδη πλεῖν οἱ πολέμιοι. καὶ παρῄνεσε πρὸς ταῖς ναυσὶν εἶναι, καὶ περιτειχίσαι τὸ στρατόπεδον. ἐπεὶ δὲ πραττόντων ταῦτ᾽ Ἀθηναίων ἧκε γράμματα πάλιν παρὰ τοῦ Ἀλκιβιάδου φυλάττεσθαι κελεύοντος τὸν Φρύνιχον ὡς προδιδόντα τοῖς πολεμίοις τὸν ναύσταθμον, ἠπίστησαν οἰόμενοι τὸν Ἀλκιβιάδην, εἰδότα σαφῶς τὴν τῶν πολεμίων παρασκευὴν καὶ διάνοιαν ἀποχρῆσθαι πρὸς τὴν Φρυνίχου διαβολὴν οὐκ ἀληθῶς. ὕστερον μέντοι τὸν Φρύνιχον, ἑνὸς τῶν περιπόλων Ἕρμωνος ἐν ἀγορᾷ πατάξαντος ἐγχειριδίῳ καὶ διαφθείραντος, οἱ Ἀθηναῖοι δίκης γενομένης, τοῦ μὲν Φρυνίχου προδοσίαν κατεψηφίσαντο τεθνηκότος. τὸν δ᾽ Ἕρμωνα καὶ τοὺς μετ᾽ αὐτοῦ συστάντας, ἐστεφάνωσαν. ἐν δὲ τῇ Σάμῳ τότε κρατήσαντες οἱ Ἀλκιβιάδου φίλοι, πέμπουσι Πείσανδρον εἰς ἄστυ κινήσοντα τὴν πολιτείαν, καὶ παραθαρρυνοῦντα τοὺς δυνατοὺς τῶν πραγμάτων ἀντιλαμβάνεσθαι καὶ καταλύειν τὸν δῆμον, ὡς ἐπὶ τούτοις τοῦ Ἀλκιβιάδου Τισσαφέρνην αὐτοῖς φίλον καὶ σύμμαχον παρέξοντος. αὕτη γὰρ ἦν πρόφασις, καὶ τοῦτο πρόσχημα τοῖς καθιστᾶσι τὴν ὀλιγαρχίαν. ἐπεὶ δ᾽ ἴσχυσαν καὶ παρέλαβον τὰ πράγματα οἱ πεντακισχίλιοι λεγόμενοι, τετρακόσιοι δὲ ὄντες, ἐλάχιστα τῷ Ἀλκιβιάδῃ προσεῖχον ἤδη. καὶ μαλακώτερον ἥπτοντο τοῦ πολέμου. τὰ μὲν, ἀπιστοῦντες ἔτι πρὸς τὴν μεταβολὴν ξενοπαθοῦσι τοῖς πολίταις. τὰ δ᾽ οἰόμενοι μᾶλλον ἐνδώσειν αὐτοῖς τοὺς Λακεδαιμονίους, ἀεὶ πρὸς ὀλιγαρχίαν οἰκείως ἔχοντας. ὁ μὲν οὖν κατὰ τὴν πόλιν δῆμος, ἄκων ὑπὸ δέους ἡσυχίαν ἦγε. καὶ γὰρ ἀπεσφάγησαν οὐκ ὀλίγοι τῶν ἀντιπραττόντων φανερῶς τοῖς τετρακοσίοις. οἱ δ᾽ ἐν Σάμῳ ταῦτα πυνθανόμενοι καὶ ἀγανακτοῦντες, ὥρμηντο πλεῖν εὐθὺς ἐπὶ τὸν Πειραιᾶ. καὶ μεταπεμψάμενοι τὸν Ἀλκιβιάδην, καὶ στρατηγὸν ἀποδείξαντες, ἐκέλευον ἡγεῖσθαι καὶ καταλύειν τοὺς τυράννους. ὁ δ᾽ οὐχ οἷ᾽ ἄν τις ἐξαίφνης χάριτι τῶν πολλῶν μέγας γεγονὼς, ἔπαθε καὶ ἠγάπησε πάντα δεῖν εὐθὺς οἰόμενος χαρίζεσθαι καὶ μηδὲν ἀντιλέγειν τοῖς ἐκ πλάνητος καὶ φυγάδος αὐτὸν, νεῶν τοσούτων καὶ στρατοπέδου, καὶ δυνάμεως τηλικαύτης ἀποδείξασιν ἡγεμόνα καὶ στρατηγόν, ἀλλ᾽ ὅπερ ἦν ἄρχοντι μεγάλῳ προσῆκον, ἀντιστῆναι φερομένοις ὑπ᾽ ὀργῆς, κωλύσας ἐξαμαρτεῖν, τότε γοῦν τὰ πράγματα τῇ πόλει περιφανῶς ἔσωσεν. εἰ γὰρ ἄραντες ἀπέπλευσαν οἴκαδε, τοῖς μὲν πολεμίοις εὐθὺς ἔχειν ὑπῆρχεν Ἰωνίαν ἅπασαν, καὶ τὸν Ἑλλήσποντον ἀμαχεὶ καὶ τὰς νήσους. Ἀθηναίοις δὲ πρὸς Ἀθηναίους μάχεσθαι, τὸν πόλεμον εἰς τὴν πόλιν ἐμβαλόντας, ὃ μόνος μάλιστα μὴ γενέσθαι διεκώλυσεν ὁ Ἀλκιβιάδης. οὐ μόνον πείθων καὶ διδάσκων τὸ πλῆθος, ἀλλὰ καὶ καθ᾽ ἕνα τοὺς μὲν ἀντιβολῶν, τῶν δ᾽ ἐπιλαμβανόμενος. συνέπραττε δ᾽ αὐτῷ καὶ Θρασύβουλος ὁ Στειριεὺς ἅμα παρὼν καὶ κεκραγώς. ἦν γὰρ ὡς λέγεται μεγαλοφωνότατος Ἀθηναίων. ἐκεῖνό τε δὴ καλὸν τοῦ Ἀλκιβιάδου καὶ δεύτερον, ὅτι τὰς Φοινίσσας ναῦς ἃς προσεδέχοντο Λακεδαιμόνιοι βασιλέως πέμψαντος, ἢ μεταστήσειν πρὸς αὐτοὺς, ἢ διαπράξασθαι μηδὲ πρὸς ἐκείνους κομισθῆναι, διὰ ταχέων ἐξέπλευσε. καὶ τὰς μὲν ναῦς ἐκφανείσας περὶ Ἄσπενδον, οὐκ ἤγαγεν ὁ Τισσαφέρνης, ἀλλ᾽ ἐψεύσατο τοὺς Λακεδαιμονίους. τὴν δ᾽ αἰτίαν τοῦ ἀποστρέψαι παρ᾽ ἀμφοτέροις ὁ Ἀλκιβιάδης εἶχε, καὶ μᾶλλον ἔτι παρὰ τοῖς Λακεδαιμονίοις, ὡς διδάσκων τὸν βάρβαρον αὐτοὺς ὑφ᾽ αὑτῶν περιορᾶν ἀπολλυμένους τοὺς Ἕλληνας. οὐ γὰρ ἦν ἄδηλον ὅτι τοῖς ἑτέροις δύναμις τοσαύτη προσγενομένη, τοὺς ἑτέρους ἀφῃρεῖτο κομιδῇ τὸ κράτος τῆς θαλάσσης. ἐκ τούτου κατελύθησαν μὲν οἱ τετρακόσιοι, τῶν Ἀλκιβιάδου φίλων προθύμως συλλαμβανομένων τοῖς τὰ τοῦ δήμου φρονοῦσι, βουλομένων δὲ τῶν ἐν ἄστει καὶ κελευόντων κατιέναι τὸν Ἀλκιβιάδην, αὐτὸς ᾤετο δεῖν μὴ κεναῖς χερσὶ μηδὲ ἀπράκτοις, οἴκτῳ καὶ χάριτι τῶν πολλῶν, ἀλλ᾽ ἐνδόξως κατελθεῖν. διὸ πρῶτον μὲν ὀλίγαις ναυσὶν ἐκ

ἐπὶ τοὺς ἀθηναίους. τὸ δὲ τρίτον καὶ μέγιστον, ἐπιτειχίσαι δεκέλειαν. οὗ μᾶλλον οὐδὲν διειργάσατο καὶ κατοικοφθόρησε τὴν πόλιν. εὐδοκιμῶν δὲ δημοσίᾳ καὶ θαυμαζόμενος οὐχ ἧττον ἰδίᾳ, τοὺς πολλοὺς τό τε ἐδημαγώγει καὶ κατεγοήτευε τῇ διαίτῃ λακωνίζων, ὥσθ᾽ ὁρῶντας ἐν χρῷ κουριῶντα. καὶ ψυχρολουτοῦντα. καὶ μάζῃ συνόντα. καὶ ζωμῷ μέλανι χρώμενον, ἀπιστεῖν καὶ διαπορεῖν, εἴποτε μάγειρον ἐπὶ τῆς οἰκίας οὗτος ἀνὴρ ἔσχεν, ἢ προσέβλεψε μυρεψόν. ἢ μιλησίας ἠνέσχετο θιγεῖν χλανίδος. ἦν γὰρ ὥς φασι μία δεινότης αὕτη τῶν πολλῶν ἐν αὐτῷ, καὶ μηχανὴ θήρας ἀνθρώπων, συνεξομοιοῦσθαι καὶ συνομοπαθεῖν τοῖς ἐπιτηδεύμασι καὶ ταῖς διαίταις, ὀξυτέρας τρεπομένῳ τροπὰς τοῦ χαμαιλέοντος, πλὴν ἐκεῖνος μὲν ὡς λέγεται πρὸς ἓν ὑπεραδυνατεῖ χρῶμα τὸ λευκὸν ἀφομοιοῦν ἑαυτόν. ἀλκιβιάδῃ δὲ διὰ χρηστῶν ἰόντι καὶ πονηρῶν ὁμοίως, οὐδὲν ἦν ἀμίμητον, οὐδ᾽ ἀνεπιτήδευτον. ἀλλ᾽ ἐν σπάρτῃ, γυμναστικός. εὐτελής. σκυθρωπός. ἐν ἰωνίᾳ, χλιδανός, ἐπιτερπής, ῥᾴθυμος. ἐν θρᾴκῃ μεθυστικός, ἱππαστικός. τισαφέρνῃ δὲ τῷ σατράπῃ συνών, ὑπερέβαλλεν ὄγκῳ καὶ πολυτελείᾳ, τὴν περσικὴν μεγαλοπρέπειαν, οὐχ αὑτὸν ἐξιστὰς οὕτω ῥᾳδίως εἰς ἕτερον ἐξ ἑτέρου τρόπον. οὐδὲ πᾶσαν δεχόμενος τῷ ἤθει μεταβολήν, ἀλλ᾽ ὅτι τῇ φύσει χρώμενος, ἔμελλε λυπεῖν τοὺς ἐντυγχάνοντας, εἰς πᾶν ἀεὶ τὸ πρόσφορον ἐκείνοις σχῆμα καὶ πλάσμα κατεδύετο καὶ κατέφευγεν. ἐν γοῦν τῇ λακεδαίμονι, πρὸς τὰ ἔξωθεν ἦν εἰπεῖν, οὐ παῖς ἀχιλλέως, ἀλλ᾽ ἐκεῖνος εἴη αὐτὸς οἷον λυκοῦργος ἐπαίδευσε. τοῖς δ᾽ ἀληθινοῖς ἄν τις ἐπιφωνήσειεν αὐτοῦ πάθεσι καὶ πράγμασιν, ἔστιν ἡ πάλαι γυνή. τιμαίαν γὰρ τὴν ἄγιδος γυναῖκα τοῦ βασιλέως, στρατευομένου καὶ ἀποδημοῦντος, οὕτω διέφθειρεν ὥστε καὶ κύειν ἐξ ἀλκιβιάδου, καὶ μὴ ἀρνεῖσθαι. καὶ τεκούσης παιδάριον ἄρρεν, ἔξω μὲν λεωτυχίδην καλεῖσθαι. τὸ δ᾽ ἐντὸς αὐτοῦ ψιθυριζόμενον ὄνομα πρὸς τὰς φίλας, καὶ τὰς ὀπαδοὺς ὑπὸ τῆς μητρός, ἀλκιβιάδην εἶναι. τοσοῦτος ἔρως κατεῖχε τὴν ἄνθρωπον. ὁ δ᾽ ἐντρυφῶν, ἔλεγεν οὐχ ὕβρει τοῦτο πράττειν, οὐδὲ κρατούμενος ὑφ᾽ ἡδονῆς, ἀλλ᾽ ὅπως λακεδαιμονίων βασιλεύσωσιν οἱ ἐξ αὐτοῦ γεγονότες. οὕτω πραττόμενα ταῦτα, πολλοὶ κατηγόρουν πρὸς τὸν ἆγιν, ἐπίστευσε δὲ τῷ χρόνῳ μάλιστα, ὅτι σεισμοῦ γενομένου, φοβηθείς, ἐξέδραμε τοῦ θαλάμου παρὰ τῆς γυναικός. εἶτα δέκα μησίν, οὐκέτι συνῆλθεν αὐτῇ. μεθ᾽ οὓς γενόμενον τὸν λεωτυχίδην, ἀπέφησεν ἐξ αὐτοῦ μὴ γεγονέναι. καὶ διὰ τοῦτο, τῆς βασιλείας ἐξέπεσεν ὕστερον ὁ λεωτυχίδης. μετὰ δὲ τὴν ἐν σικελίᾳ τῶν ἀθηναίων δυστυχίαν, ἐπρεσβεύσαντο εἰς σπάρτην ἅμα χῖοι. καὶ λέσβιοι. καὶ κυζικηνοί, περὶ ἀποστάσεως. πραττόντων δέ, βοιωτῶν μέν, λεσβίοις. φαρναβάζου δὲ κυζικηνοῖς. ἀλκιβιάδῃ πεισθέντες, εἵλοντο χίοις, πρὸ πάντων βοηθεῖν. ἐκπλεύσας δὲ καὶ αὐτός, ἀπέστησεν ὀλίγου δεῖν ἅπασαν ἰωνίαν. καὶ πολλὰ συνὼν τοῖς τῶν λακεδαιμονίων στρατηγοῖς, ἔβλαπτε τοὺς ἀθηναίους. ὁ δ᾽ ἆγις, ἐχθρὸς μέν, ὑπῆρχεν αὐτῷ διὰ τὴν γυναῖκα κακῶς πεπονθώς. ἤχθετο δὲ καὶ τῇ δόξῃ. τὰ γὰρ πλεῖστα, γίνεσθαι καὶ προχωρεῖν δι᾽ ἀλκιβιάδην λόγος ἦν. τῶν δ᾽ ἄλλων σπαρτιατῶν οἱ δυνατώτατοι καὶ φιλοτιμότατοι, ἤδη τὸν ἀλκιβιάδην ἐβαρύνοντο διὰ φθόνον. ἴσχυσαν οὖν καὶ διεπράξαντο τοὺς οἴκοθεν ἄρχοντας ἐπιστεῖλαι πρὸς ἰωνίαν, ὅπως ἀποκτείνωσιν αὐτόν. ὁ δ᾽ ἡσυχῇ προγνοὺς καὶ φοβηθείς, τῶν μὲν πράξεων πασῶν ἐκοινώνει τοῖς λακεδαιμονίοις. τὸ δ᾽ εἰς χεῖρας ἰέναι, παντάπασιν ἔφευγε. τισαφέρνῃ δὲ τῷ βασιλέως σατράπῃ δοὺς ἑαυτὸν ὑπὲρ ἀσφαλείας. εὐθὺς ἦν παρ᾽ αὐτῷ πρῶτος καὶ μέγιστος. τὸ μὲν γὰρ πολύτροπον καὶ περιττὸν αὐτοῦ τῆς δεινότητος, οὐκ ὢν ἁπλοῦς, ἀλλὰ κακοήθης καὶ φιλοπόνηρος, ἐθαύμαζεν ὁ βάρβαρος. ταῖς δὲ καθ᾽ ἡμέραν ἐν τῷ συσχολάζειν καὶ συνδιαιτᾶσθαι χάρισιν, οὐδὲν ἦν ἄτεκτον ἦθος, οὐδὲ φύσις ἀνάλωτος. ἀλλὰ καὶ δεδιόσι καὶ φθονοῦσιν ὅμως, τὸ συγγενέσθαι καὶ προσιδεῖν ἐκεῖνον, ἡδονήν τινα καὶ φιλοφροσύνην παρεῖχε. τἆλλ᾽ οὖν ὠμὸς ὢν καὶ μισέλλην, ἐν τοῖς μάλιστα περσῶν ὁ τισαφέρνης, οὕτως ἐνεδίδου τῷ ἀλκιβιάδῃ κολακευόμενος, ὥσθ᾽ ὑπερβάλλειν αὐτόν, ἀντικολακεύων ἐκεῖνος. ὧν γὰρ ἐκέκτητο παραδείσων τὸν κάλλιστον, καὶ ὑδάτων καὶ λειμώνων ὑγιεινῶν ἕνεκεν, καὶ διατριβὰς ἔχοντα, καὶ καταφυγὰς ἠσκημένας βασιλικῶς καὶ περιττῶς, ἀλκιβιάδην καλεῖν ἔθετο. καὶ πάντες οὕτω καλοῦντες καὶ προσαγορεύοντες διετέλουν. ἀπογνοὺς οὖν ὁ ἀλκιβιάδης τὰ τῶν σπαρτιατῶν ὡς ἄπιστα καὶ φοβούμενος, τὸν ἆγιν ἐκάκου καὶ διέβαλλε πρὸς τὸν τισαφέρνην, οὐκ ἐῶν βοηθεῖν αὐτοῖς προθύμως, οὐδὲ καταλύειν τοὺς ἀθηναίους. ἀλλὰ γλίσχρως χορηγοῦντα, θλίβειν καὶ ἀποκναίειν ἀτρέμα. καὶ ποιεῖν ἀμφοτέρους βασιλεῖ χειροήθεις, καὶ καταπόνους ὑπ᾽ ἀλλήλων. ὁ δ᾽ ἐπείθετο ῥᾳδίως. καὶ δῆλος ἦν ἀγαπῶν καὶ θαυμάζων. ὥστ᾽ ἀποβλέπεσθαι τὸν ἀλκιβιάδην ἑκατέρωθεν ὑπὸ τῶν ἑλλήνων. τοὺς δ᾽ ἀθηναίους καὶ μεταμέλεσθαι τοῖς γνωσθεῖσι περὶ αὐτοῦ, κακῶς πάσχοντας. ἄχθεσθαι δὲ κἀκεῖνον ἤδη καὶ φοβεῖσθαι, μὴ παντάπασι τῆς πόλεως ἀναιρεθείσης, ὑπὸ λακεδαιμονίοις γένηται μισούμενος. ἐν δὲ τῇ σάμῳ τότε πάντα τὰ πράγματα τοῖς ἀθηναίοις σχεδὸν ὑπῆρχε, κἀκεῖθεν ὁρμώμενοι τῇ ναυτικῇ δυνάμει, τὰ μέν, ἀνέτωντο τῶν ἀφεστώτων. τὰ δ᾽ ἐφύλαττον, ἀμωσγέπως ἔτι τοῖς πολεμίοις κατὰ θάλατταν ὄντες ἀξιόμαχοι. τισαφέρνην δὲ φοβούμενοι. καὶ τὰς λεγομένας ὅσον οὔπω παρεῖναι φοινίσσας τριήρεις, πεντήκοντα καὶ ἑκατὸν οὔσας, ὧν ἀφικομένων, οὐδὲ μιᾶς σωτηρίας ἐλπὶς ὑπελείπετο τῇ πόλει. ταῦτα δ᾽ ἰδὼς ἀλκιβιάδης, ἔπεμπε κρύφα πρὸς τοὺς ἐν σάμῳ δυνατοὺς τῶν ἀθηναίων

ἐξαδυνατεῖ. ο. ε. β. ς. τ.

ἄτεγκτον ε. β. ς.

ἀνεκτῶντο

δ᾽ εἰδώς. ς. τ. β.

σωμάτων παθόντες, ἐνέβαλον ἀκρίτους εἰς τὸ δεσμωτήριον, ἤχθοντο δὲ τὸν ἀλκιβιάδην μὴ λαβόντες ὑπὸ τὰς ψήφους τότε, μηδὲ κρίναντες ἐπ' αἰτίαις τηλικαύταις. ὁ δὲ τῇ πρὸς ἐκεῖνον ὀργῇ παραπεσὼν οἰκεῖος, ἢ φίλος, ἢ συνήθης, χαλεπωτέροις αὐτοῖς ἐχρήσατο. τοὺς δὲ μηνύσαντας ὁ μὲν θουκυδίδης ὀνομάσαι παρῆκεν, ἄλλοι δ' ὀνομάζουσι διοκλείδην καὶ τεῦκρον. ὧν καὶ φρύνιχός ἐστιν ὁ κωμικὸς ταυτὶ πεποιηκώς.

» ὦ φίλταθ' ἑρμῆ, καὶ φυλάσσου μὴ πεσὼν αὐτὸν παρακρούσῃ, καὶ παράσχῃς
» διαβολὴν ἑτέρῳ διοκλείδῃ βουλομένῳ κακόν τι δρᾶν. φυλάξομαι. τεύκρῳ γὰρ οὐχὶ βούλομαι
» μήνυτρα δοῦναι τῷ παλαμναίῳ ξένῳ.

καί τοι βέβαιον οὐδὲν οὐδ' ἰσχυρὸν οἱ μηνύοντες ἐδείκνυσαν. εἷς δ' αὐτῶν ἐρωτώμενος, ὅπως τὰ πρόσωπα τῶν ἑρμοκοπιδῶν γνωρίσειε, καὶ ἀποκρινάμενος, ὅτι πρὸς τὴν σελήνην, ἐσφάλη τοῦ παντός, ἕνης καὶ νέας οὔσης ὅτε ταῦτ' ἐδρᾶτο, θόρυβον μὲν παρέσχε τοῖς νοῦν ἔχουσι, τὸν δὲ δῆμον οὐδὲ τοῦτο μαλακώτερον ἐποίησε πρὸς τὰς διαβολάς. ἀλλ' ὡς ὥρμησεν ἐξ ἀρχῆς, οὐκ ἐπαύσατο, φέρων καὶ καταβάλλων εἰς τὸ δεσμωτήριον, οὗ τις κατείποι. τῶν δὲ δεθέντων καὶ φυλαττομένων ἐπὶ κρίσει τότε, καὶ ἀνδοκίδης ἦν ὁ ῥήτωρ, ὃν ἑλλάνικος ὁ συγγραφεὺς εἰς τοὺς ὀδυσσέως ἀπογόνους ἀνήγαγεν. ἐδόκει δὲ μισόδημος καὶ ὀλιγαρχικὸς ὁ ἀνδοκίδης. ὕποπτον δὲ οὐχ ἥκιστα τῆς τῶν ἑρμῶν περικοπῆς ἐποίησεν ὁ μέγας ἑρμῆς ὁ πλησίον αὐτοῦ τῆς οἰκίας, ἀνάθημα τῆς αἰγηΐδος φυλῆς ἱδρυμένος. ἐν γὰρ ὀλίγοις πάνυ τῶν ἐπιφανῶν, μόνος σχεδὸν ἀκέραιος ἔμεινε. διὸ καὶ νῦν ἀνδοκίδου καλεῖται, καὶ πάντες οὕτως ὀνομάζουσι, τῆς ἐπιγραφῆς ἀντιμαρτυρούσης. συνέβη δὲ τῷ ἀνδοκίδῃ μάλιστα τῶν τὴν αὐτὴν αἰτίαν ἐχόντων ἐν τῷ δεσμωτηρίῳ γενέσθαι συνήθη καὶ φίλον, ἔνδοξον μὲν οὐχ ὁμοίως ἐκείνῳ, συνέσει δὲ καὶ τόλμῃ περιττόν, ὄνομα τίμαιον. οὗτος ἀναπείθει τὸν ἀνδοκίδην ἑαυτοῦ κατήγορον, καὶ τινῶν ἄλλων γενέσθαι μὴ πολλῶν. ὁμολογήσαντι γὰρ, ἄδειαν εἶναι κατὰ ψήφισμα τοῦ δήμου. τὰ δὲ τῆς κρίσεως ἄδηλα πᾶσι. τοῖς δὲ δυνατοῖς φοβερώτατα. βέλτιον δὲ σωθῆναι ψευδόμενον, ἢ μετὰ τῆς αὐτῆς αἰτίας ἀποθανεῖν ἀδόξως, καὶ τῷ κοινῇ σκοποῦντι, συμφέρον ὑπάρχειν, ὀλίγους καὶ ἀμφιβόλους προέμενον, πολλοὺς καὶ ἀγαθοὺς ἐξελέσθαι τῆς ὀργῆς. ταῦτα τοῦ τιμαίου λέγοντος καὶ διδάσκοντος, ὁ ἀνδοκίδης ἐπείσθη. καὶ γενόμενος μηνυτὴς καθ' ἑαυτοῦ καὶ καθ' ἑτέρων, ἔσχε τὴν ἐκ τοῦ ψηφίσματος ἄδειαν αὐτός. οὓς δ' ὠνόμασε, πάντες πλὴν τῶν φυγόντων ἀπώλοντο. καὶ πίστεως ἕνεκα, προσέθηκεν αὐτοῖς οἰκέτας ἰδίους ὁ ἀνδοκίδης. οὐ μὴν ὅ γε δῆμος τὴν ὀργὴν ἅπασαν ἀφῆκεν ἐνταῦθα, ἀλλὰ μᾶλλον ἀπαλλαγεὶς τῶν ἑρμοκοπιδῶν ὥσπερ σχολάζοντι τῷ θυμῷ πρὸς τὸν ἀλκιβιάδην, ὅλος ἐρρύη. καὶ τέλος, ἀπέστειλε τὴν σαλαμινίαν πρὸς αὐτόν. οὐ φαύλως αὐτό γε τοῦτο προστάξας, μὴ βιάζεσθαι, μηδ' ἅπτεσθαι τοῦ σώματος, ἀλλὰ τῷ μετρίῳ λόγῳ κεχρῆσθαι, κελεύοντας ἀκολουθεῖν ἐπὶ κρίσιν, καὶ πείθειν τὸν δῆμον. ἐφοβοῦντο γὰρ ταραχὰς τοῦ στρατεύματος ἐν πολεμίᾳ γῇ, καὶ στάσιν. ὃ ῥᾳδίως ἂν ἐξειργάσατο βουληθεὶς ὁ ἀλκιβιάδης. καὶ γὰρ ἠθύμουν ἀπιόντος αὐτοῦ, καὶ πολλὴν τριβὴν προσεδόκων, καὶ μῆκος ἀργὸν ἐν τῷ νικίᾳ τὸν πόλεμον ἕξειν, καθάπερ μύωπος ἀφῃρημένου τῶν πράξεων. ὁ γὰρ λάμαχος, ἦν μὲν πολεμικὸς καὶ ἀνδρώδης, ἀξίωμα δ' οὐ προσῆν, οὐδ' ὄγκος αὐτῷ διὰ πενίαν. εὐθὺς μὲν οὖν ἀποπλέων ὁ ἀλκιβιάδης, ἀφείλετο μεσσήνην ἀθηναίους. ἦσαν γὰρ οἱ μέλλοντες ἐνδιδόναι τὴν πόλιν, οὓς ἐκεῖνος εἰδὼς σαφέστατα, τοῖς συρακουσίων φίλοις ἐμήνυσε, καὶ διέφθειρε τὴν πρᾶξιν. ἐν δὲ θουρίοις γενόμενος, καὶ ἀποβὰς τῆς τριήρους, ἔκρυψεν ἑαυτόν, καὶ διέφυγε τοὺς ζητοῦντας. ἐπιγνόντος δέ τινος καὶ εἰπόντος, οὐ πιστεύεις ὦ ἀλκιβιάδη τῇ πατρίδι; τὰ μὲν ἄλλ' ἔφη πάντα. περὶ δὲ τῆς ψυχῆς τῆς ἐμῆς, οὐδὲ τῇ μητρί, μήπως ἀγνοήσασα τὴν μέλαιναν ἀντὶ τῆς λευκῆς ἐπενέγκῃ ψῆφον. ὕστερον δ' ἀκούσας, ὅτι θάνατον αὐτοῦ κατέγνωκεν ἡ πόλις, ἀλλ' ἐγὼ εἶπε δείξω αὐτοῖς ὅτι ζῶ. τὴν μὲν οὖν εἰσαγγελίαν οὕτως ἔχουσαν ἀναγράφουσι. θεσσαλὸς κίμωνος λακιάδης, ἀλκιβιάδην κλεινίου σκαμβωνίδην εἰσήγγειλεν ἀδικεῖν περὶ τὼ θεώ, τὴν δήμητραν καὶ τὴν κόρην, ἀπομιμούμενον τὰ μυστήρια, καὶ δεικνύοντα τοῖς αὐτοῦ ἑταίροις ἐν τῇ οἰκίᾳ τῇ ἑαυτοῦ, ἔχοντα στολὴν οἵανπερ ὁ ἱεροφάντης ἔχων, δεικνύει τὰ ἱερά. καὶ ὀνομάζοντα αὑτὸν μὲν ἱεροφάντην, πουλυτίωνα δὲ δᾳδοῦχον, κήρυκα δὲ θεόδωρον φηγαιᾶ. τοὺς δ' ἄλλους ἑταίρους μύστας προσαγορεύοντα καὶ ἐπόπτας, παρὰ τὰ νόμιμα καὶ τὰ καθεστηκότα, ὑπό τε εὐμολπιδῶν καὶ κηρύκων, καὶ τῶν ἱερέων τῶν ἐξ ἐλευσῖνος. ἐρήμην δ' αὐτοῦ καταγνόντες, καὶ τὰ χρήματα δημεύσαντες, ἔτι καταρᾶσθαι προσεψηφίσαντο πάντας ἱερέας καὶ ἱερείας. ὧν μόνην φασὶ θεανὼ τὴν μένωνος ἀγραυλῆθεν, ἀντειπεῖν πρὸς τὸ ψήφισμα, φάσκουσαν εὐχῶν οὐ καταρῶν ἱέρειαν γεγονέναι. τοσούτων δὲ κατεψηφισμένων ἀλκιβιάδου καὶ κατεγνωσμένων, ἐτύγχανε μὲν ἐν ἄργει διατρίβων, ὡς τὸ πρῶτον ἐκ θουρίων ἀποδρὰς εἰς πελοπόννησον διεκομίσθη. φοβούμενος δὲ τοὺς ἐχθρούς, καὶ παντάπασι τῆς πατρίδος ἀπεγνωκώς, ἔπεμψεν εἰς σπάρτην, ἀξιῶν ἄδειαν αὐτῷ γενέσθαι, καὶ πίστιν ἐπὶ μείζοσι χρείαις καὶ ὠφελείαις, ὧν πρότερον αὐτοὺς ἀμυνόμενος ἔβλαψε. δόντων δὲ τῶν σπαρτιατῶν καὶ δεξαμένων, παραγενόμενος προθύμως, ἓν μὲν εὐθὺς ἐξειργάσατο, μέλλοντας καὶ ἀναβαλλομένους βοηθεῖν συρακουσίοις, ἐγείρας καὶ παροξύνας, πέμψαι γύλιππον ἄρχοντα, καὶ θραῦσαι τὴν ἐκεῖ τῶν ἀθηναίων δύναμιν. ἕτερον δέ, κινεῖν τὸν αὐτόθεν πόλεμον

ἐπὶ τοὺς

σιν λιβύης καὶ καρχηδόνος ὑπογράφοντας. σωκράτη μέντοι τὸν φιλόσοφον καὶ μέτωνα τὸν ἀστρολόγον, οὐδὲν ἐλπίσαι τῇ πόλει χρηστὸν ἀπὸ τῆς στρατείας ἐκείνης λέγουσιν. ὁ μὲν, ὡς ἔοικε τοῦ συνήθους δαιμονίου γενομένου καὶ προσημαίνοντος. ὁ δὲ μέτων, εἴτε δείσας ἐκ λογισμοῦ τὸ μέλλον, εἴτε μαντικῆς τινὶ τρόπῳ χρησάμενος, ἐσκήψατο μεμηνέναι, καὶ λαβὼν δᾷδα καιομένην, οἷος ἦν αὐτοῦ τὴν οἰκίαν ὑφάπτειν. ἔνιοι δέ φασιν προσποίημα μὲν μανίας μηδὲν σκευάσασθαι τὸν μέτωνα, καταπρῆσαι δὲ τὴν οἰκίαν νύκτωρ, εἶθ᾽ ἕωθεν προελθόντα, δεῖσθαι καὶ ἀντιβολεῖν ἐπὶ συμφορᾷ τηλικαύτῃ, τὸν υἱὸν αὐτῷ παρεθῆναι τῆς στρατείας. ἐκεῖνος μὲν οὖν ἔτυχεν ὧν ἠξίου, παρακρουσάμενος τοὺς πολίτας. ὁ δὲ νικίας ἄκων μὲν ᾑρέθη στρατηγὸς, οὐχ ἥκιστα τὴν ἀρχὴν διὰ τὸν συνάρχοντα φεύγων. ἐφαίνετο γὰρ τοῖς ἀθηναίοις τὰ τοῦ πολέμου βέλτιον ἕξειν, μὴ προϊεμένοις τὸν ἀλκιβιάδην ἄκρατον, ἀλλὰ μιχθείσης πρὸς τὴν τόλμαν αὐτοῦ τῆς νικίου προνοίας. καὶ γὰρ ὁ τρίτος στρατηγὸς λάμαχος ἡλικίᾳ προήκων, ὅμως ἐδόκει μηδὲν ἧττον εἶναι τοῦ ἀλκιβιάδου, διάπυρος καὶ φιλοκίνδυνος ἐν τοῖς ἀγῶσι. βουλευομένων δὲ περὶ πλήθους καὶ τρόπου παρασκευῆς, ἐπεχείρησεν αὖθις ὁ νικίας ἐνίστασθαι καὶ καταπαύειν τὸν πόλεμον. ἀντειπόντος δὲ τοῦ ἀλκιβιάδου καὶ κρατήσαντος, ἔγραψε τῶν ῥητόρων δημόστρατος καὶ εἶπεν, ὡς χρὴ τοὺς στρατηγοὺς αὐτοκράτορας εἶναι καὶ τῆς παρασκευῆς καὶ τοῦ πολέμου παντός. ἐπιψηφισαμένου δὲ τοῦ δήμου, καὶ γενομένων ἑτοίμων πάντων πρὸς τὸν ἔκπλουν, οὐ χρηστὰ παρῆν, οὐδὲ τὰ τῆς ἑορτῆς. ἀδωνίων γὰρ εἰς τὰς ἡμέρας ἐκείνας καθηκόντων, εἴδωλα πολλαχοῦ νεκροῖς ἐκκομιζομένοις ὅμοια προὔκειντο ταῖς γυναιξὶ, καὶ ταφὰς ἐμιμοῦντο κοπτόμεναι, καὶ θρήνους ᾖδον. ἡ μέντοι τῶν ἑρμῶν περικοπὴ μιᾷ νυκτὶ τῶν πλείστων ἀκρωτηριασθέντων τὰ πρόσωπα, πολλοὺς καὶ τῶν ὑπερφρονούντων τὰ τοιαῦτα, διετάραξεν. ἐλέχθη μὲν οὖν ὅτι κορίνθιοι διὰ τοὺς συρακουσίους ἀποίκους ὄντας, ὡς ἐπισχέσεως γενομένης πρὸς τῶν οἰωνῶν, ἢ μεταγνώσεως τοῦ πολέμου, ταῦτα δράσειαν. οὐ μὴν ἥπτετό γε τῶν πολλῶν, οὐδ᾽ οὗτος ὁ λόγος. οὐδ᾽ ὁ τῶν σημεῖον, δεινὸν εἶναι μηδὲν οἰομένων, ἀλλ᾽ οἷα φιλεῖ φέρειν ἄκρατος ἀκολάστων νέων εἰς ὕβριν ἐκ παιδιᾶς ὑποφερομένων. ὀργῇ δ᾽ ἅμα καὶ φόβῳ τὸ γεγονὸς λαμβάνοντες ὡς ἀπὸ συνωμοσίας ἐπὶ πράγμασι μεγάλοις τετολμημένον, ἅπασαν ἐξήταζον ὑπόνοιαν πικρῶς, ἥ τε βουλὴ συνιοῦσα περὶ τούτων, καὶ ὁ δῆμος ὡς ἐν ὀλίγαις ἡμέραις πολλάκις. ἐν δὲ τούτῳ, δούλους τινὰς καὶ μετοίκους προήγαγεν ἀνδροκλῆς ὁ δημαγωγὸς, ἄλλων τε ἀγαλμάτων περικοπὰς, καὶ μυστηρίων παρ᾽ οἶνον ἀπομιμήσεις, τοῦ ἀλκιβιάδου καὶ τῶν φίλων κατηγοροῦντας. ἔλεγον δὲ θεόδωρον μέν τινα δρᾶν τὰ τοῦ κήρυκος. πολυτίωνα δὲ, τὰ τοῦ δᾳδούχου. τὰ δὲ τοῦ ἱεροφάντου, τὸν ἀλκιβιάδην. τοὺς δ᾽ ἄλλους ἑταίρους, παρεῖναι καὶ μυεῖσθαι, μύστας προσαγορευομένους. ταῦτα γὰρ ἐν τῇ εἰσαγγελίᾳ γέγραπται θεσσαλοῦ τοῦ κίμωνος εἰσαγγείλαντος ἀλκιβιάδην ἀσεβεῖν περὶ τὼ θεώ. τραχυνομένου δὲ τοῦ δήμου, καὶ πικρῶς πρὸς ἀλκιβιάδην ἔχοντος. καὶ τοῦ ἀνδροκλέους, ἦν γὰρ οὗτος ἐχθρὸς ἐν τοῖς μάλιστα τοῦ ἀλκιβιάδου, παροξύνοντος, ἐν ἀρχῇ μὲν ἐταράχθησαν οἱ περὶ τὸν ἀλκιβιάδην, αἰσθόμενοι δὲ τούς τε ναύτας ὅσοι πλεῖν ἔμελλον εἰς σικελίαν εὔνους ὄντας αὐτοῖς, καὶ τὸ στρατιωτικόν. ἀργείων δὲ καὶ μαντινέων χιλίων ὄντων ὁπλιτῶν, ἀκούοντες ἀναφανδὸν λεγόντων ὡς δι᾽ ἀλκιβιάδην στρατεύοιντο διαπόντιον καὶ μακρὰν στρατείαν. ἐὰν δέ τις ἀγνωμονῇ περὶ τοῦτον, εὐθὺς ἀποστήσεσθαι, ἀνεθάρρουν καὶ παρίσταντο τῷ καιρῷ πρὸς τὴν ἀπολογίαν. ὥστε τοὺς ἐχθροὺς πάλιν ἀθυμεῖν καὶ φοβεῖσθαι μὴ περὶ τὴν κρίσιν ὁ δῆμος ἀμβλύτερος αὐτῷ γένηται, διὰ τὴν χρείαν. πρὸς ταῦτα οὖν τεχνάζουσι τῶν ἐκ ῥητόρων τοὺς οὐ δοκοῦντας ἐχθροὺς τοῦ ἀλκιβιάδου, μισοῦντας δὲ αὐτὸν, οὐχ ἧττον τῶν ὁμολογούντων, ἀνισταμένους ἐν τῷ δήμῳ λέγειν ὡς ἄτοπόν ἐστιν αὐτοκράτορι στρατηγῷ τηλικαύτης ἀποδεδειγμένῳ δυνάμεως, ἠθροισμένης στρατιᾶς καὶ τῶν συμμάχων, μεταξὺ συγκληροῦντας δικαστήρια, καὶ ὕδωρ διαμετροῦντας, ἀπολλύναι τὸν καιρόν. ἀλλὰ νῦν μὲν ἀγαθῇ τύχῃ πλείτω. τοῦ δὲ πολέμου διαπραχθέντος, ἐπὶ τοῖς αὐτοῖς νόμοις ἀπολογείσθω παρών. οὐκ ἐλάνθανε μὲν οὖν ἡ κακοήθεια τῆς ἀναβολῆς τὸν ἀλκιβιάδην, ἀλλ᾽ ἔλεγε παριὼν ὡς δεινόν ἐστιν αἰτίας ἀπολιπόντα καθ᾽ ἑαυτοῦ καὶ διαβολὰς ἐκπέμπεσθαι μετέωρον ἐπὶ τοσαύτης δυνάμεως. ἀποθανεῖν γὰρ αὐτῷ προσήκει μὴ λύσαντι τὰς κατηγορίας. λύσαντι δὲ καὶ φανέντι καθαρῷ, τρέπεσθαι πρὸς τοὺς πολεμίους μὴ δεδοικότι τοὺς συκοφάντας. ἐπεὶ δ᾽ οὐκ ἔπειθεν, ἀλλὰ πλεῖν ἐκέλευον αὐτὸν, ἀνήχθη μετὰ τῶν συστρατήγων ἔχων τριήρεις μὲν, οὐ πολλῷ τῶν τεσσαράκοντα καὶ ἑκατὸν ἀποδεούσας. ὁπλίτας δὲ πεντακισχιλίους καὶ ἑκατὸν, τοξότας δὲ καὶ σφενδονήτας καὶ ψιλοὺς, περὶ τριακοσίους καὶ χιλίους. καὶ τὴν ἄλλην παρασκευὴν ἀξιόλογον. προσβαλὼν δ᾽ ἰταλίᾳ καὶ ῥήγιον ἑλὼν, εἰσηγήσατο γνώμην ὅτῳ τρόπῳ πολεμητέον ἐστί. καὶ νικίου μὲν ἀντιλέγοντος, λαμάχου δὲ προσθεμένου, πλεύσας εἰς σικελίαν, προσηγάγετο κατάνην. ἄλλο δ᾽ οὐδὲν ἔπραξε, μετάπεμπτος ὑπὸ τῶν ἀθηναίων ἐπὶ τὴν κρίσιν εὐθὺς γενόμενος. πρῶτον μὲν γὰρ ὥσπερ εἴρηται, ψυχραί τινες ὑποψίαι καὶ διαβολαὶ κατὰ τοῦ ἀλκιβιάδου προσέπιπτον, ἀπὸ δούλων καὶ μετοίκων. ἔπειτα τῶν ἐχθρῶν ἀπόντος αὐτοῦ καθαπτομένων σφοδρότερον, καὶ τοῖς περὶ τοὺς ἑρμᾶς ὑβρίσμασι καὶ τὰ μυστικὰ συμπλεκόντων, ὡς ἀπὸ μιᾶς τοῦ νεωτερισμοῦ συνωμοσίας πεπραγμένα, τοὺς μὲν ὁπω

ἀφηκαλῶδι. καὶ μηδὲν ὑγιὲς μήτε πράξειν, μήτ' εἰπεῖν ἥκοντας. ἐπηγανάκτει δ' ἡ βουλή. καὶ ὁ δῆμος ἐχαλέπαινε. τὸν δὲ νικίαν ἔκπληξις εἶχε καὶ κατήφεια τῶν ἀνδρῶν τῆς μεταβολῆς, ἀγνοοῦντα τὴν ἀπάτην καὶ τὸν δόλον. οὕτω δὲ τῶν λακεδαιμονίων ἐκπεσόντων, στρατηγὸς ἀποδειχθεὶς ὁ ἀλκιβιάδης, εὐθὺς ἀργείους καὶ μαντινεῖς καὶ ἠλείους, συμμάχους ἐποίησε τοῖς ἀθηναίοις. καὶ τὸν μὲν τρόπον οὐδεὶς τῆς πράξεως ἐπῄνει. μέγα δ' ἦν τὸ πεπραγμένον ὑπ' αὐτοῦ, διαστῆσαι καὶ κραδᾶναι πελοπόννησον ὀλίγου δεῖν ἅπασαν. καὶ τοσαύτας ἀσπίδας ἐν ἡμέρᾳ μιᾷ περὶ μαντίνειαν ἀντιτάξαι λακεδαιμονίοις. καὶ πορρωτάτω τῶν ἀθηναίων ἀγῶνα κατασκευάσαι καὶ κίνδυνον αὐτοῖς. ἐν ᾧ μέγα μὲν οὐδὲν ἡ νίκη προσέθηκε κρατήσασιν. εἰ δ' ἐσφάλησαν, ἔργον ἦν τὴν λακεδαίμονα περιγενέσθαι. μετὰ δὲ τὴν μάχην, εὐθὺς ἐπέθεντο καταλύειν ἐν ἄργει τὸν δῆμον οἱ χιλίαρχοι καὶ τὴν πόλιν ὑπήκοον ποιεῖν, λακεδαιμόνιοι δὲ παραγενόμενοι, κατέλυσαν τὴν δημοκρατίαν. αὖθις δὲ τῶν πολλῶν ἐξενεγκαμένων τὰ ὅπλα, καὶ κρατησάντων, ἐπελθὼν ὁ ἀλκιβιάδης, τήν τε νίκην ἐβεβαίωσε τῷ δήμῳ. καὶ τὰ μακρὰ τείχη συνέπεισε καθεῖναι. καὶ προσμίξαντας τῇ θαλάσσῃ τὴν πόλιν ἐξάψαι παντάπασι τῆς ἀθηναίων δυνάμεως. καὶ τέκτονας καὶ λιθουργοὺς ἐκ τῶν ἀθηνῶν ἐκόμισε. καὶ πᾶσαν ἐνεδείκνυτο προθυμίαν, οὐχ ἧττον ἑαυτῷ κτώμενος, ἢ τῇ πόλει χάριν καὶ ἰσχύν. ἔπεισε δὲ καὶ πατρεῖς ὁμοίως τείχεσι μακροῖς συνάψαι τῇ θαλάσσῃ τὴν πόλιν. εἰπόντος δέ τινος τοῖς πατρεῦσιν ὅτι καταπιοῦνται ὑμᾶς ἀθηναῖοι, ἴσως εἶπεν ὁ ἀλκιβιάδης κατὰ μικρὸν καὶ κατὰ τοὺς πόδας. λακεδαιμόνιοι δὲ κατὰ τὴν κεφαλὴν καὶ ἀθρόως. οὐ μὴν ἀλλὰ καὶ τῆς γῆς συνεβούλευεν ἀντέχεσθαι τοῖς ἀθηναίοις. καὶ τὸν ἐν ἀγραύλῳ προβαλλόμενος ἀεὶ τοῖς ἐφήβοις ὅρκον, ἔργῳ βεβαιοῦν. ὀμνύουσι γὰρ ὅροις χρήσασθαι τῆς ἀττικῆς. πυροῖς. κριθαῖς. ἀμπέλοις. ἐλαίαις. οἰκείαν ποιεῖσθαι διδασκόμενοι τὴν ἥμερον καρποφόρον. ἐν δὲ τοιούτοις πολιτεύμασι καὶ λόγοις, καὶ φρονήματι καὶ δεινότητι, πολλὴν αὖ πάλιν τὴν τρυφὴν τῆς διαίτης, καὶ περὶ πότους καὶ ἔρωτας, ὑβρίσματά τε καὶ θηλύτητας ἐσθήτων ἁλουργῶν ἑλκομένων δι' ἀγορᾶς καὶ πολυτέλειαν ὑπερήφανον. ἐκτομάς τε καταστρωμάτων ἐν ταῖς τριήρεσιν, ὅπως μαλακώτερον ἐγκαθεύδοι, κειρίαις, ἀλλὰ μὴ σανίσι τῶν στρωμάτων ἐπιβαλλομένων. ἀσπίδος τε διαχρύσου ποίησιν, οὐδὲν ἐπίσημον τῶν πατρίων ἔχουσαν, ἀλλ' ἔρωτα κεραυνοφόρον. ἅπερ ὁρῶντες. οἱ μὲν ἔνδοξοι μετὰ τοῦ βδελύττεσθαι καὶ δυσχεραίνειν, ἐφοβοῦντο τὴν ὀλιγωρίαν αὐτοῦ καὶ παρανομίαν, ὡς τυραννικὰ καὶ ἀλλόκοτα. τοῦ δὲ δήμου τὸ πάθος τὸ πρὸς αὐτόν, οὐ κακῶς ἐξηγούμενος ὁ ἀριστοφάνης ταῦτ' εἴρηκε.

» ποθεῖ μέν, ἐχθαίρει δέ. βούλεται δ' ἔχειν. ἔτι δὲ μιλλον τῇ ὑπονοίᾳ πιέζων. μάλιστα
» μὲν λέοντα μὴ ἐν πόλει τρέφειν. ἢν δ' ἐκτρέφῃ τις, τοῖς τρόποις ὑπηρετεῖν.

ἐπιδόσεις γὰρ καὶ χορηγίαι. καὶ φιλοτιμήματα πρὸς τὴν πόλιν ὑπερβολὴν μὴ ἀπολείποντα. καὶ δόξα προγόνων. καὶ λόγου δύναμις. καὶ σώματος εὐπρέπεια. καὶ ῥώμη μετ' ἐμπειρίας τῶν πολεμικῶν καὶ ἀλκῆς, πάντα τ' ἄλλα συγχωρεῖν ἐποίει καὶ φέρειν μετρίως τοὺς ἀθηναίους. ἀεὶ τὰ πρᾳότατα τῶν ὀνομάτων τοῖς ἁμαρτήμασι τιθεμένους. παιδιὰς καὶ φιλανθρωπίας. οἷον ἦν, καὶ τὸ ἀγάθαρχον τὸν ζωγράφον, εἶρξαι. εἶτα γράψαντα τὴν οἰκίαν, ἀφεῖναι δωρησάμενον. καὶ ταυρέαν, ἀντιχορηγοῦντα, ῥαπίσαι, φιλοτιμούμενον ὑπὲρ τῆς νίκης. καὶ τὸ, μηλίαν γυναῖκα ἐκ τῶν αἰχμαλώτων ἐξελόμενον, καὶ συνόντα, θρέψαι παιδάριον ἐξ αὐτῆς. καὶ γὰρ τοῦτο φιλάνθρωπον ἐκάλουν. πλὴν ὅτι τοὺς μηλίους ἡβηδὸν ἀποσφαγῆναι, τὴν πλείστην αἰτίαν ἔσχε, τῷ ψηφίσματι συνειπών. ἀριστοφῶντος δὲ νεμέαν γράψαντος, ἐν ταῖς ἀγκάλαις αὐτῆς καθήμενον ἀλκιβιάδην ἔχουσαν, ἐθεῶντο καὶ συνέτρεχον χαίροντες. οἱ δὲ πρεσβύτεροι, καὶ τούτοις ἐδυσχέραινον ὡς τυραννικοῖς καὶ παρανόμοις. ἐδόκει δὲ καὶ ἀρχέστρατος, οὐκ ἀπὸ τρόπου λέγειν, ὡς ἡ ἑλλὰς, οὐκ ἂν ἤνεγκε δύο ἀλκιβιάδας. ἐπεὶ δὲ τίμων ὁ μισάνθρωπος, εὐημερήσαντα τὸν ἀλκιβιάδην, καὶ προπεμπόμενον ἀπὸ τῆς ἐκκλησίας ἐπιφανῶς, οὐ παρῆλθεν, οὐδ' ἐξέκλινεν, ὥσπερ εἰώθει τοῖς ἄλλοις, ἀλλ' ἀπαντήσας καὶ δεξιωσάμενος, εὖ γ' ἔφη ποιεῖς αὐξόμενος ὦ παῖ. μέγα γὰρ αὔξῃ κακὸν ἅπασι τούτοις, οἱ μὲν, ἐγέλων. οἱ δ' ἐβλασφήμουν. ἐνίους δὲ καὶ πάνυ τὸ λεχθὲν ἐπέστρεφεν. οὕτως ἄκριτος ἦν ἡ δόξα περὶ αὐτοῦ διὰ τὴν τῆς φύσεως ἀνωμαλίαν. σικελίας δὲ, καὶ περικλέους ἔτι ζῶντος, ἐπεθύμουν ἀθηναῖοι, καὶ τελευτήσαντος, ἥπτοντο. καὶ τὰς λεγομένας βοηθείας καὶ συμμαχίας, ἔπεμπον ἑκάστοτε τοῖς ἀδικουμένοις ὑπὸ συρακουσίων, ἐπιβάθρας τῆς μείζονος στρατείας τιθέντες. ὁ δὲ παντάπασι τὸν ἔρωτα τοῦτον ἀναφλέξας αὐτῶν, καὶ πείσας μὴ κατὰ μέρος, μηδὲ κατὰ μικρὸν, ἀλλὰ μεγάλῳ στόλῳ πλεύσαντας ἐπιχειρεῖν καὶ καταστρέφεσθαι τὴν νῆσον, ἀλκιβιάδης ἦν τόν τε δῆμον μεγάλα πείσας ἐλπίζειν, αὐτός τε μειζόνων ὀρεγόμενος. ἀρχὴν γὰρ εἶναι πρὸς ἃ ἠλπίκει διενοεῖτο τῆς στρατείας, οὐ τέλος, ὥσπερ οἱ λοιποὶ σικελίαν. καὶ νικίας μὲν, ὡς χαλεπὸν ἔργον ὂν τὰς συρακούσας, ἑλεῖν, ἀπέτρεπε τὸν δῆμον, ἀλκιβιάδης δὲ καρχηδόνα καὶ λιβύην ὀνειροπολῶν. ἐκ δὲ τούτων προσγενομένων, ἰταλίαν καὶ πελοπόννησον ἤδη περιβαλλόμενος ὀλίγου δεῖν ἐφόδια τοῦ πολέμου, σικελίαν ἐποιεῖτο. καὶ τοὺς μὲν νέους, αὐτόθεν εἶχεν ἤδη ταῖς ἐλπίσιν ἐπηρμένους. τῶν δὲ πρεσβυτέρων ἠκροῶντο, πολλὰ θαυμάσια περὶ τῆς στρατείας περαινόντων. ὥστε πολλοὺς ἐν ταῖς παλαίστραις καὶ τοῖς ἡμικυκλίοις καθέζεσθαι, τῆς τε νήσου τὸ σχῆμα, καὶ θέ-

χίλιοι ς. τ.
τ' ἥμερ(ον) κ(αὶ) καρποφόρ(ον) ς. π. φ.
πότου ς. β. τ.
κρεία εἶδος ξύλ(ου), ἐν φοινίκῃ παρ... ἱμάντες, ἢ δεσμῶν τῶν κλινῶν.
interpres Arist.
ἡ β' emendauerat ut i impressit
τοῦ ἄγαν. ο.
καὶ ε' in κ.ο.β.

σιον Ἀργείοις εἶναι. τὸν Ἀλκιβιάδην εἰδὼς ἐν Ἄργει μέγα δυνάμενον καὶ φίλους ἔχοντα πολλοὺς, ἔπεισεν αὐτῷ πρίασθαι τὸ ἅρμα. πριάμενος δὲ ὁ Ἀλκιβιάδης, ἴδιον ἀπεγράψατο, τὸν δὲ Διομήδη χαίρειν ἔασε, χαλεπῶς φέροντα καὶ μαρτυρόμενον θεοὺς καὶ ἀνθρώπους. φαίνεται δὲ καὶ δίκη συστᾶσα περὶ τούτου. καὶ λόγος Ἰσοκράτει γέγραπται περὶ τοῦ ζεύγους, ὑπὲρ τοῦ Ἀλκιβιάδου παιδός. ἐν ᾧ Τισίας ἐστὶν οὐ Διομήδης ὁ δικασάμενος. ἐπεὶ δ' ἀφῆκεν αὑτὸν εἰς τὴν πολιτείαν ἔτι μειράκιον ὢν, τοὺς μὲν ἄλλους εὐθὺς ἐταπείνωσε δημαγωγούς. ἀγῶνα δ' εἶχε πρός τε Φαίακα τὸν Ἐρασιστράτου καὶ Νικίαν τὸν Νικηράτου. τὸν μὲν ἤδη καθ' ἡλικίαν προήκοντα, καὶ στρατηγὸν ἄριστον εἶναι δοκοῦντα. Φαίακα δ' ἀρχόμενον ὥσπερ αὐτὸς, αὐξάνεσθαι τότε, καὶ γνωρίμων ὄντα πατέρων, ἐλαττούμενον δὲ τοῖς τε ἄλλοις, καὶ περὶ τὸν λόγον. ἐντευκτικὸς γὰρ ἰδίᾳ καὶ πιθανὸς ἐδόκει μᾶλλον ἢ φέρειν ἀγῶνας ἐν δήμῳ δυνατός, ἦν γὰρ ὡς Εὔπολίς φησι, λαλεῖν ἄριστος, ἀδυνατώτατος λέγειν. φέρεται δὲ καὶ λόγος τις κατ' Ἀλκιβιάδου καὶ Φαίακος γεγραμμένος. ἐν ᾧ μετὰ τῶν ἄλλων γέγραπται, καὶ ὅτι τῆς πόλεως πολλὰ πομπεῖα χρυσᾶ καὶ ἀργυρᾶ κεκτημένης, Ἀλκιβιάδης ἐχρῆτο πᾶσιν αὐτοῖς ὥσπερ ἰδίοις, πρὸς τὴν καθημέραν δίαιταν. ἦν δέ τις Ὑπέρβολος Περιθοίδης, οὗ μέμνηται μὲν ὡς ἀνθρώπου πονηροῦ καὶ Θουκυδίδης. τοῖς δὲ κωμικοῖς ὁμοῦ τι πᾶσι, διατριβὴν ἀεὶ σκωπτόμενος ἐν τοῖς θεάτροις παρεῖχεν. ἄτρεπτος δὲ πρὸς τὸ κακῶς ἀκούειν καὶ ἀπαθὴς ὢν, ὀλιγωρίᾳ δόξης. ἣν ἀναισχυντίαν καὶ ἀπόνοιαν οὖσαν, εὐτολμίαν ἔνιοι καὶ ἀνδρείαν καλοῦσιν. οὐδενὶ μὲν ἤρεσκεν. ἐχρῆτο δ' αὐτῷ πολλάκις ὁ δῆμος, ἐθέλων προπηλακίζειν τοὺς ἐν ἀξιώματι καὶ συκοφαντεῖν. ἀναπεισθεὶς οὖν ὑπ' αὐτοῦ τότε, τὸ ὄστρακον ἐπιφέρειν ἔμελλεν, ᾧ κολούοντες ἀεὶ τὸν προύχοντα δόξῃ καὶ δυνάμει τῶν πολιτῶν ἐλαύνουσι, παραμυθούμενοι τὸν φθόνον μᾶλλον ἢ τὸν φόβον. ἐπεὶ δὲ δῆλον ἦν ὅτι ἑνὶ τῶν τριῶν τὸ ὄστρακον ἐποίσουσι, συνήγαγε τὰς στάσεις εἰς ταὐτὸ ὁ Ἀλκιβιάδης. καὶ διαλεχθεὶς πρὸς τὸν Νικίαν, τῷ Ὑπερβόλῳ κατὰ τὴν ὀστρακοφορίαν ἔτρεψεν. ὡς δ' ἔνιοί φασιν οὐ πρὸς Νικίαν, ἀλλὰ πρὸς Φαίακα διαλεχθεὶς, καὶ τὴν ἐκείνου προσλαβὼν ἑταιρείαν, ἐξήλασε τὸν Ὑπέρβολον οὐδ' ἂν προσδοκήσαντα. φαῦλος γὰρ οὐδεὶς ἐνέπιπτεν εἰς τοῦτον τὸν κολασμὸν, οὐδ' ἄδοξος. ὥσπερ καὶ Πλάτων ὁ κωμικὸς εἴρηκε, τοῦ Ὑπερβόλου μνησθείς. ἐν ὁ est in o. nec ἰφ.

„ Καί τοι πέπραχε τῶν τρόπων μὲν ἄξια. αὑτοῦ δὲ καὶ τῶν στιγμάτων, ἀνάξια. οὐ γὰρ
„ τοιούτων εἵνεκ' ὄστραχ' εὑρέθη.

περὶ μὲν οὖν τούτων, ἐν ἑτέροις μᾶλλον εἴρηται τὰ ἱστορούμενα. τὸν δ' Ἀλκιβιάδην, ὁ Νικίας οὐχ ἧττον ἠνία θαυμαζόμενος ὑπὸ τῶν πολεμίων, ἢ τιμώμενος ὑπὸ τῶν πολιτῶν. πρόξενος μὲν γὰρ ἦν ὁ Ἀλκιβιάδης τῶν Λακεδαιμονίων. καὶ τοὺς ἁλόντας αὐτῶν περὶ Πύλον ἄνδρας ἐθεράπευσεν. ἐπεὶ δ' ἐκεῖνοί τε διὰ Νικίου μάλιστα τῆς εἰρήνης τυχόντες. καὶ τοὺς ἄνδρας ἀπολαβόντες, ὑπερηγάπων αὐτόν. ἔν τε τοῖς Ἕλλησι λόγος ἦν, ὡς Περικλέους μὲν συνάψαντος αὐτοὺς, Νικίου δὲ λύσαντος τὸν πόλεμον. οἵ τε πλεῖστοι τὴν εἰρήνην, Νικίειον ὠνόμαζον, οὐ μετρίως ἀνιώμενος ὁ Ἀλκιβιάδης καὶ φθονῶν, ἐβούλευε σύγχυσιν ὁρκίων. καὶ πρῶτον μὲν Ἀργείους αἰσθανόμενος μίσει καὶ φόβῳ τῶν Σπαρτιατῶν ζητοῦντας ἀποστροφὴν, ἐλπίδας αὐτοῖς ἐνεδίδου κρύφα τῆς Ἀθηναίων συμμαχίας. καὶ παρεθάρρυνε, πέμπων καὶ διαλεγόμενος τοῖς προεστῶσι τοῦ δήμου μὴ δεδιέναι, μηδὲ ὑπείκειν Λακεδαιμονίοις, ἀλλὰ πρὸς Ἀθηναίους τρέπεσθαι, καὶ περιμένειν ὅσον οὔπω μεταμελομένους, καὶ τὴν εἰρήνην ἀφιέντας. ἐπεὶ δὲ Λακεδαιμόνιοι πρός τε τοὺς Βοιωτοὺς ἐποιήσαντο συμμαχίαν καὶ Πάνακτον οὐχ ἑστὼς ὥσπερ ἔδει τοῖς Ἀθηναίοις παρέδωκαν, ἀλλὰ καταλύσαντες, ὀργιζομένους λαβὼν τοὺς Ἀθηναίους, ἔτι μᾶλλον ἐξετράχυνε. καὶ τὸν Νικίαν ἐθορύβει, καὶ διέβαλλεν εἰκότα κατηγορῶν. ὅτι τοὺς ἐν Σφακτηρίᾳ τῶν πολεμίων ἀποληφθέντας, αὐτὸς μὲν οὐκ ἠθέλησεν ἐξελεῖν στρατηγῶν. ἑτέρων δ' ἐξελόντων ἀφῆκε καὶ ἀπέδωκε, χαριζόμενος Λακεδαιμονίοις. εἶτ' ἐκείνους μὲν οὐκ ἔπεισε φίλος ὢν, Βοιωτοῖς μὴ συνόμνυσθαι μηδὲ Κορινθίοις. Ἀθηναίοις δὲ κωλύει τὸν βουλόμενον τῶν Ἑλλήνων, φίλον εἶναι καὶ σύμμαχον, εἰ μὴ δόξειε Λακεδαιμονίοις. ἀθηναίους. c. o. S. T. ἐκ δὲ τούτου κακῶς φερομένῳ τῷ Νικίᾳ παρῆσαν ὥσπερ κατὰ τύχην πρέσβεις ἀπὸ τῆς Λακεδαίμονος, αὐτόθεν τε λόγους ἐπιεικεῖς ἔχοντες, καὶ πρὸς πᾶν τὸ συμβιβαστικὸν καὶ δίκαιον αὐτοκράτορες ἥκειν φάσκοντες. ἀποδεξαμένης δὲ τῆς βουλῆς, τοῦ δὲ δήμου τῇ ὑστεραίᾳ μέλλοντος ἐκκλησιάζειν, δείσας ὁ Ἀλκιβιάδης, διεπράξατο τοὺς πρέσβεις ἐν λόγοις γενέσθαι πρὸς αὐτόν. ὡς δὲ συνῆλθον, ἔλεγε. τί πεπόνθατε ἄνδρες Σπαρτιᾶται. πῶς ἔλαθεν ὑμᾶς ὅτι τὰ τῆς βουλῆς ἀεὶ μέτρια καὶ φιλάνθρωπα πρὸς τοὺς ἐντυγχάνοντάς ἐστιν. ὁ δὲ δῆμος μέγα φρονεῖ καὶ μεγάλων ὀρέγεται. κἂν φάσκητε κύριοι πάντων ἀφῖχθαι, προστάττων καὶ βιαζόμενος, ἀγνωμοσύνη. ἀγνωμονήσει. c. o. b. T. φέρε δὴ τὴν εὐήθειαν ταύτην ἀφέντες, εἰ βούλεσθε χρήσασθαι μετρίοις Ἀθηναίοις, καὶ μηδὲν ἐκβιασθῆναι παρὰ γνώμην, οὕτω διαλέγεσθε περὶ τῶν δικαίων, ὡς οὐκ ὄντες αὐτοκράτορες. συμπράξομεν δ' ἡμεῖς, Λακεδαιμονίοις χαριζόμενοι. ταῦτα δ' εἰπὼν, ὅρκους ἔδωκεν αὐτοῖς, καὶ μετέστησεν ἀπὸ τοῦ Νικίου παντάπασι πιστεύοντας αὐτῷ, καὶ θαυμάζοντας αὐτοῦ ἅμα τὴν δεινότητα καὶ σύνεσιν, ὡς οὐ τοῦ τυχόντος ἀνδρὸς οὖσαν. τῇ δ' ὑστεραίᾳ συνήχθη μὲν ὁ δῆμος, εἰσῆλθον δ' οἱ πρέσβεις. ἐρωτώμενοι δ' ὑπὸ τοῦ Ἀλκιβιάδου πάνυ φιλανθρώπως ἐφ' οἷς ἀφιγμένοι τυγχάνουσιν, οὐκ ἔφασαν ἥκειν αὐτοκράτορες. εὐθὺς οὖν ὁ Ἀλκιβιάδης ἐνέκειτο μετὰ κραυγῆς, ὥσπερ οὐκ ἀδικῶν ἀλλ' ἀδικούμενος, ἀπίστους καὶ παλιμβόλους λῃ ὀργῇ. c. ε. β. S. T. q.

ἀμφότεροι. τοῦ δ' ἀλκιβιάδου τραύματι περιπεσόντος, ὁ σωκράτης προέστη καὶ ἤμυνε, καὶ μάλιστα δὴ
προδήλως ἔσωσεν αὐτὸν, μετὰ τῶν ὅπλων. ἐγίνετο μὲν οὖν τῷ δικαιοτάτῳ λόγῳ, σωκράτους τὸ ἀρι-
στεῖον. ἐπεὶ δ' οἱ στρατηγοὶ διὰ τὸ ἀξίωμα, τῷ ἀλκιβιάδῃ σπουδάζοντες ἐφαίνοντο περιθεῖναι τὴν δό-
ξαν, ὁ σωκράτης βουλόμενος αὔξεσθαι τὸ φιλότιμον ἐν τοῖς καλοῖς αὐτοῦ, πρῶτος ἐμαρτύρει καὶ πα-
ρεκάλει στεφανοῦν ἐκεῖνον καὶ διδόναι τὴν πανοπλίαν. ἔτι δὲ τῆς ἐπὶ δηλίῳ μάχης γενομένης καὶ φευ-
γόντων ἀθηναίων, ἔχων ἵππον ὁ ἀλκιβιάδης. τοῦ δὲ σωκράτους, πεζῇ μετ' ὀλίγων ἀποχωροῦντος, οὐ πα-
ρήλασεν ἰδὼν, ἀλλὰ παρέπεμψε καὶ περιήμυνεν, ἐπικειμένων τῶν πολεμίων καὶ πολλοὺς ἀναιρούν-
των. καὶ ταῦτα μὲν ὕστερον ἐπράχθη. ἱππονίκῳ δὲ τῷ καλλίου πατρὶ, καὶ δόξαν ἔχοντι μεγάλην
καὶ δύναμιν, ἀπὸ πλούτου καὶ γένους, ἐνέτειψε κόνδυλον, οὐχ ὑπ' ὀργῆς ἢ διαφορᾶς τινὸς προα-
χθεὶς, ἀλλ' ἐπὶ γέλωτι συνθέμενος πρὸς τοὺς ἑταίρους. περιβοήτου δὲ τῆς ἀσελγείας ἐν τῇ πόλει γε-
νομένης, καὶ συναγανακτούντων ὥσπερ εἰκὸς ἁπάντων, ἅμ' ἡμέρᾳ, παρῆν ὁ ἀλκιβιάδης ἐπὶ τὴν οἰ-
κίαν τοῦ ἱππονίκου, καὶ τὴν θύραν κόψας, εἰσῆλθε πρὸς αὐτόν. καὶ θεὶς τὸ ἱμάτιον, παρεδίδου τὸ σῶ-
μα μαστιγοῦν καὶ κολάζειν κελεύων, ὁ δὲ, συνέγνω καὶ τὴν ὀργὴν ἀφῆκεν. ὕστερον δὲ τῆς θυγατρὸς ἱπ-
παρέτης, ἐποιήσατο νυμφίον. ἔνιοι δέ φασιν οὐχ ἱππόνικον, ἀλλὰ καλλίαν τὸν υἱὸν αὐτοῦ, δοῦναι τῷ ἀλ-
κιβιάδῃ τὴν ἱππαρέτην, ἐπὶ δέκα ταλάντοις. εἶτα μέντοι τεκούσης, ἄλλα πάλιν δέκα προσεισπρᾶ-
ξαι τὸν ἀλκιβιάδην, ὡς τοῦτο συνθέμενον, εἰ γένοιντο παῖδες. ὁ δὲ καλλίας ἐπιβουλὴν δεδοικὼς, προ-
σῆλθε τῷ δήμῳ, τὰ χρήματα διδοὺς καὶ τὸν οἶκον, ἂν ὥσπερ αὐτῷ συμπέσῃ μὴ καταλιπόντι γενεὰν ἀ-
ποθανεῖν. εὔτακτος δ' οὖσα καὶ φίλανδρος ἡ ἱππαρέτη, λυπουμένη δ' ὑπ' αὐτοῦ περὶ τὸν γάμον ἑται-
ραις ξέναις καὶ ἀσταῖς συνόντος, ἐκ τῆς οἰκίας ἀπιοῦσα, πρὸς τὸν ἀδελφὸν ᾤχετο. τοῦ δ' ἀλκιβιάδου
μὴ φροντίζοντος ἀλλὰ τρυφῶντος, ἐδέετο τῆς ἀπολείψεως γράμματα παρὰ τῷ ἄρχοντι θέσθαι, μὴ
δι' ἑτέρων, ἀλλ' αὐτὴν παροῦσαν. ὡς οὖν παρῆν τοῦτο πράξουσα κατὰ τὸν νόμον, ἐπελθὼν ὁ ἀλκι-
βιάδης καὶ συναρπάσας αὐτὴν, ἀπῆλθεν δι' ἀγορᾶς οἴκαδε κομίζων. μηδενὸς ἐναντιωθῆναι, μὴ δ' ἀ-
φελέσθαι τολμήσαντος. ἔμεινε μέντοι παρ' αὐτῷ μέχρι τελευτῆς. ἐτελεύτησε δὲ μετ' οὐ πολὺν χρό-
νον εἰς ἔφεσον τοῦ ἀλκιβιάδου πλεύσαντος. αὕτη μὲν οὖν οὐ παντελῶς ἔδοξεν ἡ βία παράνομος, οὐ-
δὲ ἀπάνθρωπος εἶναι. καὶ γὰρ ὁ νόμος δοκεῖ, διὰ τοῦτο προάγειν τὴν ἀπολείπουσαν εἰς τὸ δημόσιον αὐ-
τὴν, ὅπως ἐγγένηται τῷ ἀνδρὶ συμβῆναι καὶ κατασχεῖν, ὄντος δὲ κυνὸς αὐτῷ θαυμαστοῦ τὸ μέγεθος
καὶ τὸ εἶδος, ὃν ἑβδομήκοντα μνῶν ἐωνημένος ἐτύγχανεν, ἀπέκοψε τὴν οὐρὰν πάγκαλον οὖσαν. ἐ-
πιτιμώντων δὲ τῶν συνήθων καὶ λεγόντων ὅτι πάντες ἐπὶ τῷ κυνὶ δάκνονται καὶ λοιδοροῦσιν αὐ-
τὸν, ἐπιγελάσας, γίνεται τοίνυν εἶπεν ὃ βούλομαι. βούλομαι γὰρ ἀθηναίους τοῦτο λαλεῖν, ἵνα μή-
τι χεῖρον περὶ ἐμοῦ λέγωσι. πρώτην δ' αὐτῷ πάροδον εἰς τὸ δημόσιον γενέσθαι λέγουσι μετὰ χρημά-
των ἐπιδόσεως οὐκ ἐκ παρασκευῆς, ἀλλὰ παριόντα, θορυβούντων ἀθηναίων, ἐρέσθαι τὴν αἰτίαν τοῦ
θορύβου. πυθόμενον δὲ χρημάτων ἐπίδοσιν γενέσθαι. παρελθεῖν καὶ ἐπιδοῦναι. τοῦ δὲ δήμου κροτοῦν-
τος καὶ βοῶντος, ὑφ' ἡδονῆς ἐπιλαθέσθαι τοῦ ὄρτυγος, ὃν ἐτύγχανεν ἔχων ἐν τῷ ἱματίῳ, πτοηθέντος
οὖν καὶ διαφυγόντος, ἔτι μᾶλλον ἐκβοῆσαι τοὺς ἀθηναίους. πολλοὺς δὲ συνθηρᾶν ἀναστάντας, λαβεῖν
δ' αὐτὸν ἀντίοχον τὸν κυβερνήτην καὶ ἀποδοῦναι. διὸ καὶ προσφιλέστατον τῷ ἀλκιβιάδῃ γενέσθαι.
μεγάλας δ' αὐτῷ κλεισιάδας ἐπὶ τὴν πολιτείαν ἀνοίγοντες τοῦ τε γένους καὶ τοῦ πλούτου, τῆς πε-
ρὶ τὰς μάχας ἀνδραγαθίας, φίλων τε πολλῶν καὶ οἰκείων ὑπαρχόντων, ἀπ' οὐδενὸς ἠξίου μᾶλλον, ἢ
τῆς τοῦ λόγου χάριτος ἰσχύειν ἐν τοῖς πολλοῖς. καὶ ὅτι μὲν δυνατὸς ἦν εἰπεῖν, οἵ τε κωμικοὶ μαρτυροῦ-
Demosthenes. 393. σι. καὶ τῶν ῥητόρων ὁ δυνατώτατος, ἐν τῷ κατὰ μειδίου, λέγων τὸν ἀλκιβιάδην, καὶ δεινότατον εἰπεῖν
γενέσθαι πρὸς τοῖς ἄλλοις. εἰ δὲ θεοφράστῳ πιστεύομεν ἀνδρὶ φιληκόῳ καὶ ἱστορικῷ παρ' ὁντινοῦν
τῶν φιλοσόφων, εὑρεῖν μὲν ἦν τὰ δέοντα καὶ νοῆσαι, πάντων ἱκανώτατος ὁ ἀλκιβιάδης. ζητῶν δὲ μὴ
μόνον ἃ δεῖ λέγειν, ἀλλὰ καὶ ὡς δεῖ τοῖς ὀνόμασι καὶ τοῖς ῥήμασιν. οὐκ εὐπορῶν δὲ, πολλάκις ἐσφάλλε-
το, καὶ μεταξὺ λέγων, ἀπεσιώπα καὶ διέλειπε, λέξεως διαφυγούσης αὐτὸν, ἀναλαμβάνων καὶ διασκοπού-
μενος. αἱ δ' ἱπποτροφίαι περιβόητοι μὲν ἐγένοντο καὶ τῷ πλήθει τῶν ἁρμάτων. ἑπτὰ γὰρ ἄλλος οὐδεὶς
καθῆκεν ὀλυμπίασιν ἰδιώτης, οὐδὲ βασιλεὺς, μόνος δὲ ἐκεῖνος. καὶ τὸ νικῆσαι δὲ καὶ δεύτερον γενέ-
σθαι καὶ τέταρτον, ὡς θουκυδίδης φησίν. ὁ δ' εὐριπίδης, τρίτον ὑπερβάλλει λαμπρότητι καὶ δόξῃ,
πᾶσαν τὴν ἐν τούτοις φιλοτιμίαν. λέγει δ' ὁ εὐριπίδης ἐν τῷ ᾄσματι ταῦτα. σὲ δ' ἀείσομαι ὦ κλει-
» νίου παῖ, καλὸν ἀνίκα. κάλλιστον, ὃ μηδεὶς ἄλλος, ἑλλάνων ἅρματι πρῶτα δραμεῖν. καὶ δεύτερα καὶ
» τρίτα βῆναι δ' ἀπονητί. δὶς στεφθέντ' ἐλαίᾳ κάρυκι βοὰν παραδοῦναι. τοῦτο μέντοι τὸ λαμπρὸν
ἐπιφανέστερον ἐποίησεν ἡ τῶν πολεμίων φιλοτιμία. σκηνὴν μὲν γὰρ αὐτῷ κεκοσμημένην διαπρε-
πῶς, ἔστησαν ἐφέσιοι. τροφὰς δὲ ἵπποις. καὶ πλῆθος ἱερείων παρεῖχεν ἡ χίων πόλις. οἶνον δὲ λέσβιοι καὶ
τὴν ἄλλην ὑποδοχὴν, ἀφειδῶς ἑστιῶντι πολλούς. καὶ μὴν ἀλλὰ καὶ διαβολή τις ἢ κακοήθεια γενομένη
περὶ τὴν φιλοτιμίαν ἐκείνην, πλείονα λόγον παρέσχε. λέγεται γὰρ ὡς ἦν ἀθήνησι διομήδης ἀνὴρ οὐ πο-
νηρὸς, ἀλκιβιάδου φίλος. ἐπιθυμῶν δὲ νίκην ὀλυμπικὴν αὐτῷ γενέσθαι, καὶ πυνθανόμενος ἅρμα δημό-

λον καὶ διαφθεῖρον. οὐδὲν γὰρ ἡ τύχη περιέχουσα ἔξωθεν καὶ περιφράξασα τοῖς λεγομένοις ἀγαθοῖς τοσοῦτον, ὥστ' ἄτρωτον ὑπὸ φιλοσοφίας γενέσθαι, καὶ λόγοις ἀπρόσιτον παρρησίαν καὶ δηγμὸν ἔχουσιν, ὅσοις ἀλκιβιάδης εὐθὺς ἐξ ἀρχῆς θρυπτόμενος καὶ ἀποκλειόμενος ὑπὸ τῶν πρὸς χάριν ἐξομιλούντων εἰσακοῦσαι τοῦ νουθετοῦντος καὶ παιδεύοντος, ὅμως ὑπ' εὐφυΐας ἐγνώρισε σωκράτη καὶ προσήκατο, διώσας τοὺς πλουσίους καὶ ἐνδόξους ἐραστάς. ταχὺ δὲ ποιησάμενος συνήθη, καὶ λόγων ἀκούσας, οὐχ ἡδονὴν ἄνανδρον ἐραστοῦ θηρεύοντος, οὐδὲ φιλημάτων καὶ ψαύσεως προσαιτοῦντος, ἀλλ' ἐλέγχοντος τὸ σαθρὸν τῆς ψυχῆς αὐτοῦ, καὶ πιεζοῦντος τὸν κενὸν καὶ ἀνόητον τῦφον, „ἔπτηξ' ἀλέκτωρ δοῦλος „ὣς κλίνας πτερόν. καὶ τὸ μὲν σωκράτους ἡγήσατο πρᾶγμα, τῷ ὄντι θεῶν ὑπηρεσίαν εἰς νέων ἐπιμέλειαν εἶναι καὶ σωτηρίαν. καταφρονῶν δ' αὑτὸς ἑαυτοῦ, θαυμάζων δ' ἐκεῖνον, ἀγαπῶν δὲ τὴν φιλοφροσύνην, αἰσχυνόμενος δὲ τὴν ἀρετήν, ἐλάνθανεν εἴδωλον ἔρωτος, ἥ φησιν ὁ πλάτων, ἀντέρωτα κτώμενος, ὥστε θαυμάζειν ἅπαντας ὁρῶντας αὐτὸν, σωκράτει μὲν συνδειπνοῦντα, καὶ συμπαλαίοντα, καὶ συσκηνοῦντα. τοῖς δ' ἄλλοις ἐρασταῖς, χαλεπὸν ὄντα καὶ δυσχείρωτον. ἐνίοις δὲ, καὶ παντάπασι σοβαρῶς προσφερόμενον. ὥσπερ ἀνύτῳ τῷ ἀνθεμίωνος. ἐτύγχανε μὲν γὰρ ἐρῶν τοῦ ἀλκιβιάδου, ξένους δέ τινας ἑστιῶν, ἐκάλει κἀκεῖνον ἐπὶ τὸ δεῖπνον. ὁ δὲ, τὴν μὲν κλῆσιν ἀπείπατο, μεθυσθεὶς δ' οἴκοι μετὰ τῶν ἑταίρων, ἐκώμασε πρὸς τὸν ἄνυτον. καὶ ταῖς θύραις ἐπιστὰς τοῦ ἀνδρῶνος, καὶ θεασάμενος ἀργυρῶν ἐκπωμάτων καὶ χρυσῶν πλήρεις τὰς τραπέζας, ἐκέλευσε τοὺς παῖδας τὰ ἡμίση λαβόντας οἴκαδε κομίζειν πρὸς αὐτόν. εἰσελθεῖν δ' οὐκ ἠξίωσεν, ἀλλὰ ταῦτα πράξας ἀπῆλθε. τῶν οὖν ξένων δυσχεραινόντων καὶ λεγόντων, ὡς ὑβριστικῶς καὶ ὑπερηφάνως εἴη τῷ ἀνύτῳ κεχρημένος ὁ ἀλκιβιάδης, ἐπιεικῶς μὲν οὖν ὁ ἄνυτος ἔφη καὶ φιλανθρώπως. ἃ γὰρ ἐξῆν αὐτῷ λαβεῖν ἅπαντα, τούτων ἡμῖν τὰ μέρη καταλέλοιπεν. οὕτω δὲ καὶ τοῖς ἄλλοις ἐρασταῖς ἐχρῆτο. πλὴν ἕνα μετοικικὸν ἄνθρωπον, ὥς φασιν, οὐ πολλὰ κεκτημένον. ἀποδόμενον δὲ πάντα, καὶ τὸ συναχθὲν εἰς ἑκατὸν στατῆρας τῷ ἀλκιβιάδῃ προσφέροντα, καὶ δεόμενον λαβεῖν, γελάσας καὶ ἡσθεὶς, ἐκάλεσεν ἐπὶ δεῖπνον. ἑστιάσας δὲ καὶ φιλοφρονηθεὶς, τό τε χρυσίον ἀπέδωκεν αὐτῷ, καὶ προσέταξε τῇ ὑστεραίᾳ τοὺς ὠνουμένους τὰ τέλη τὰ δημόσια, ταῖς τιμαῖς ὑπερβάλλειν ἀντωνούμενον. παραιτουμένου δὲ τοῦ ἀνθρώπου διὰ τὸ πολλῶν ταλάντων εἶναι τὴν ὠνὴν, ἠπείλησε μαστιγώσειν, εἰ μὴ ταῦτα πράττοι. καὶ γὰρ ἐτύγχανεν ἐγκαλῶν τι τοῖς τελώναις ἴδιον. ἕωθεν οὖν προσελθὼν ὁ μέτοικος εἰς ἀγορὰν, ἐπέθηκε τῇ ὠνῇ τάλαντον. ἐπεὶ δ' οἱ τελῶναι συστρεφόμενοι καὶ ἀγανακτοῦντες ἐκέλευον ὀνομάζειν ἐγγυητὴν, ὡς οὐκ ἂν εὑρόντος, θορυβουμένου τοῦ ἀνθρώπου καὶ ἀναχωροῦντος, ἑστὼς ὁ ἀλκιβιάδης ἄπωθεν πρὸς τοὺς ἄρχοντας, ἐμὲ γράψατ' ἔφη. ἐμὸς φίλος ἐστὶν, ἐγγυῶμαι. τοῦτ' ἀκούσαντες οἱ τελῶναι, ἐξηπορήθησαν. εἰωθότες γὰρ ἀεὶ ταῖς δευτέραις ὠναῖς χρεωλυτεῖν τὰς πρώτας, οὐχ ἑώρων αὐτοῖς ἀπαλλαγὴν οὖσαν τοῦ πράγματος. ἐδέοντο δὴ τοῦ ἀνθρώπου ἀργύριον διδόντες. ὁ δ' ἀλκιβιάδης οὐκ εἴα λαβεῖν ἔλαττον ταλάντου. διδόντων δὲ τὸ τάλαντον, ἐκέλευσεν ἀποστῆναι λαβόντα. κἀκεῖνον μὲν οὕτως ὠφέλησεν. ὁ δὲ σωκράτους ἔρως, πολλοὺς ἔχων καὶ μεγάλους ἀνταγωνιστὰς, πῆ μὲν ἐκράτει τοῦ ἀλκιβιάδου δι' εὐφυΐαν, ἁπτομένων τῶν λόγων αὐτοῦ, καὶ τὴν καρδίαν στρεφόντων, καὶ δάκρυα ἐκχεόντων. ἔστι δ' ὅτε καὶ τοῖς κόλαξι πολλὰς ἡδονὰς ὑποβάλλουσιν, ἐνδιδοὺς ἑαυτὸν ἀπωλίσθανε τοῦ σωκράτους. καὶ δραπετεύων ἀτεχνῶς, ἐκυνηγεῖτο, πρὸς μόνον ἐκεῖνον ἔχων τὸ αἰδεῖσθαι καὶ τὸ φοβεῖσθαι. τῶν δ' ἄλλων ὑπερορῶν. ὁ μὲν οὖν κλεάνθης ἔλεγε τὸν ἐρώμενον ὑφ' ἑαυτοῦ μὲν ἐκ τῶν ὤτων κρατεῖσθαι. τοῖς δ' ἀντερασταῖς πολλὰς λαβὰς παρέχειν ἀνήκτους ἑαυτῷ, τὴν γαστέρα λέγων, καὶ τὰ αἰδοῖα, καὶ τὸν λαιμόν. ἀλκιβιάδης δ' ἦν μὲν ἀμέλει καὶ πρὸς ἡδονὰς ἀγώγιμος. ἡ γὰρ ὑπὸ θουκυδίδου λεγομένη παρανομία εἰς τὸ σῶμα τῆς διαίτης, ὑποψίαν τοιαύτην δίδωσιν. οὐ μὴν, ἀλλὰ μᾶλλον αὐτοῦ τῆς φιλοτιμίας ἐπιλαμβανόμενοι καὶ τῆς φιλοδοξίας οἱ διαφθείροντες, ἐνέβαλον οὐ καθ' ὥραν εἰς μεγαλοπραγμοσύνην, ἀναπείθοντες, ὡς ὅταν πρῶτον ἄρξηται τὰ δημόσια πράττειν, οὐ μόνον ἀμαυρώσειν τοὺς ἄλλους στρατηγοὺς καὶ δημαγωγοὺς εὐθὺς, ἀλλὰ καὶ τὴν περικλέους δύναμιν ἐν τοῖς ἕλλησι καὶ δόξαν ὑπερβαλούμενον. ὥσπερ οὖν ὁ σίδηρος ἐν τῷ πυρὶ μαλασσόμενος, αὖθις ὑπὸ τοῦ ψυχροῦ πυκνοῦται, καὶ σύνεισι τοῖς μορίοις εἰς αὑτὸν, οὕτως ἐκεῖνον ὁ σωκράτης θρύψεως διάπλεων καὶ χαυνότητος, ὁσάκις ἂν λάβοι, πιέζων τῷ λόγῳ καὶ συστέλλων, ταπεινὸν ἐποίει καὶ ἄτολμον, ἡλίκων ἐνδεής ἐστι καὶ ἀτελὴς πρὸς ἀρετὴν μανθάνοντα. τὴν δὲ παιδικὴν ἡλικίαν παραλλάσσων, ἐπέστη γράμματα διδασκάλῳ, καὶ βιβλίον ᾔτησεν ὁμηρικόν. εἰπόντος δὲ τοῦ διδασκάλου μηδὲν ἔχειν ὁμήρου, κονδύλῳ καθικόμενος αὐτοῦ, παρῆλθεν. ἑτέρου δὲ φήσαντος ἔχειν ὅμηρον, ὑφ' αὑτοῦ διωρθωμένον, εἶτ' ἔφη γράμματα διδάσκεις, ὅμηρον ἐπανορθοῦν ἱκανὸς ὢν, οὐχὶ τοὺς νέους παιδεύεις; περικλεῖ δὲ βουλόμενος ἐντυχεῖν, ἐπὶ θύρας ἦλθεν αὐτοῦ. πυθόμενος δὲ μὴ σχολάζειν, ἀλλὰ σκοπεῖν καθ' ἑαυτὸν ὅπως ἀποδώσει λόγον ἀθηναίοις, ἀπιὼν ὁ ἀλκιβιάδης, εἶτα ἔφη, βέλτιον οὐκ ἦν σκοπεῖν αὐτὸν ὅπως οὐκ ἀποδώσει λόγον ἀθηναίοις; ἔτι δὲ μειράκιον ὢν, ἐστρατεύσατο τὴν εἰς ποτίδαιαν στρατείαν, καὶ σωκράτη σύσκηνον εἶχε, καὶ παραστάτην ἐν τοῖς ἀγῶσιν. ἰσχυρᾶς δὲ γενομένης μάχης, ἠρίστευσαν μὲν

Plato in Phaedro. 206. ἡ ὅταν μὲν ἐκεῖνος παρῇ, λήγει κατὰ ταὐτὰ ἐκείνῳ τῆς ὀδύνης. ὅταν δὲ ἀπῇ, κατὰ ταὐτὰ αὖ ποθεῖ καὶ ποθεῖται, εἴδωλον ἔρωτος ἀντέρωτα ἔχων :- formosse bene huc innuit Plutarchus. —

ἡμίση

ἀθίκτους τ. ς.

ἐνέβαλλον ς.

ἀμαυρώσοντα β. ο. ς.

γραμματοδιδασκάλῳ β. ε. ο. ς. τ.

Ὁ Ἀλκιβιάδου γένος, ἄνωθεν, Εὐρυσάκην τὸν Αἴαντος ἀρχηγὸν ἔχειν δοκεῖ. πρὸς δὲ μητρὸς Ἀλκμαιωνίδης ἦν, ἐκ Δεινομάχης γεγονὼς τῆς Μεγακλέους. ὁ δὲ πατὴρ αὐτοῦ Κλεινίας, ἰδιοστόλῳ τριήρει περὶ Ἀρτεμίσιον ἐνδόξως ἐναυμάχησεν. ὕστερον δὲ Βοιωτοῖς μαχόμενος περὶ Κορώνειαν, ἀπέθανε. τοῦ δὲ Ἀλκιβιάδου, Περικλῆς καὶ Ἀρίφρων οἱ Ξανθίππου, προσήκοντες κατὰ γένος, ἐπετρόπευον. λέγεται δ' οὐ κακῶς ὅτι τῆς Σωκράτους πρὸς αὐτὸν εὐνοίας καὶ φιλίας, οὐ μικρὰ πρὸς δόξαν ἀπέλαυσεν, εἴγε Νικίου μὲν καὶ Δημοσθένους καὶ Λαμάχου καὶ Φορμίωνος, Θρασυβούλου τε καὶ Θηραμένους ἐπιφανῶν ἀνδρῶν γενομένων κατ' αὐτὸν, οὐδενὸς οὐδ' ἡ μήτηρ ὀνόματος τέτευχεν, Ἀλκιβιάδου δὲ καὶ τίτθην, γένος Λάκαιναν, Ἀμύκλαν ὄνομα, καὶ Ζώπυρον παιδαγωγὸν ἴσμεν, ὧν τὸ μὲν Ἀντισθένης, τὸ δὲ, Πλάτων ἱστόρηκε. περὶ μὲν οὖν τοῦ κάλλους Ἀλκιβιάδου, οὐδὲν ἴσως δεῖ λέγειν, πλὴν ὅτι καὶ παῖδα καὶ μειράκιον, καὶ ἄνδρα πάσῃ συνανθῆσαν τῇ ἡλικίᾳ καὶ ὥρᾳ τοῦ σώματος, ἐράσμιον καὶ ἡδὺν παρέσχεν. οὐ γὰρ ὡς Εὐριπίδης ἔλεγε πάντων τῶν καλῶν, καὶ τὸ μετόπωρον καλόν ἐστιν. ἀλλὰ τοῦτο Ἀλκιβιάδῃ μετ' ὀλίγων ἄλλων δι' εὐφυΐαν καὶ ἀρετὴν σώματος ὑπῆρξε. τῇ δὲ φωνῇ, καὶ τὴν τραυλότητα ἐμπρέψαι λέγουσι, καὶ τῷ λάλῳ πιθανότητα παρασχεῖν, χάριν ἐπιτελοῦσαν.

» μέμνηται δὲ καὶ Ἀριστοφάνης αὐτοῦ τῆς τραυλότητος ἐν οἷς ἐπισκώπτει Θέωρον. εἶτ' Ἀλκιβιάδης εἶ-
» πε πρός με τραυλίσας. ὁλᾷς Θέωλον τὴν κεφαλὴν κόλακος ἔχει; ὀρθῶς γε τοῦτ' Ἀλκιβιάδης ἐ-
» τραύλισε. καὶ Ἄρχιππος πρὸς τὸν υἱὸν τοῦ Ἀλκιβιάδου σκώπτων, βαδίζει φησὶ διακεχλιδὼς θοἰμά-
» τιον ἕλκων. ὅπως ἐμφερὴς τῷ πατρὶ μάλιστα δόξειεν εἶναι, κλασαυχενεύεταί τε καὶ τραυλίζεται.

τὸ δ' ἦθος αὐτοῦ πολλὰς μὲν ὕστερον ὡς εἰκὸς ἐν πράγμασι μεγάλοις καὶ τύχαις πολυτρόποις ἀνομοιότητας, καὶ πρὸς αὑτὸ μεταβολὰς ἐπεδείξατο. φύσει δὲ πολλῶν ὄντων καὶ μεγάλων παθῶν ἐν αὐτῷ, τὸ φιλόνεικον ἰσχυρότατον ἦν, καὶ τὸ φιλόπρωτον. ὡς δῆλόν ἐστι τοῖς παιδικοῖς ἀπομνημονεύμασιν. ἐν μὲν γὰρ τῷ παλαίειν πιεζόμενος, ὑπὲρ τοῦ μὴ πεσεῖν, ἀναγαγὼν πρὸς τὸ στόμα τὰ ἅμματα τοῦ πιεζοῦντος, οἷος ἦν διαφαγεῖν τὰς χεῖρας. ἀφέντος δὲ τὴν λαβὴν ἐκείνου καὶ εἰπόντος, δάκνεις ὦ Ἀλκιβιάδη καθάπερ αἱ γυναῖκες, οὐκ ἔγωγε εἶπεν, ἀλλ' ὡς οἱ λέοντες. ἔτι δὲ μικρὸς ὢν, ἔπαιζεν ἀστραγάλοις ἐν τῷ στενωπῷ. τῆς δὲ βολῆς καθηκούσης εἰς αὐτὸν, ἅμαξα φορτίων ἐπῄει. τὸ μὲν οὖν πρῶτον ἐκέλευε περιμεῖναι τὸν ἄγοντα τὸ ζεῦγος. ὑπέπιπτε γὰρ ἡ βολὴ τῇ παρόδῳ τῆς ἁμάξης. μὴ πειθομένου δὲ δι' ἀγροικίαν, ἀλλ' ἐπάγοντος, οἱ μὲν ἄλλοι παῖδες διέσχον. ὁ δ' Ἀλκιβιάδης καταβαλὼν ἐπὶ στόμα πρὸ τοῦ ζεύγους, καὶ παρατείνας ἑαυτὸν, ἐκέλευεν οὕτως εἰ βούλεται διεξελθεῖν. ὥστε τὸν μὲν ἄνθρωπον, ἀνακροῦσαι τὸ ζεῦγος ὀπίσω δείσαντα. τοὺς δ' ἰδόντας, ἐκπλαγῆναι καὶ μετὰ βοῆς συνδραμεῖν πρὸς αὐτόν. ἐπεὶ δὲ εἰς τὸ μανθάνειν ἧκε, τοῖς μὲν ἄλλοις ὑπήκουε διδασκάλοις ἐπιεικῶς. τὸ δ' αὐλεῖν ἔφευγεν ὡς ἀγεννὲς καὶ ἀνελεύθερον. πλήκτρου μὲν γὰρ καὶ λύρας χρῆσιν, οὐδὲν οὔτε σχήματος, οὔτε μορφῆς ἐλευθέρῳ πρεπούσης διαφθείρειν. αὐλοὺς δὲ φυσῶντος ἀνθρώπου στόματι, καὶ τοὺς συνήθεις ἂν πάνυ μόλις διαγνῶναι τὸ πρόσωπον. ἔτι δὲ τὴν μὲν λύραν, τῷ χρωμένῳ συμφθέγγεσθαι καὶ συνᾴδειν. τὸν δ' αὐλὸν ἐπιστομίζειν καὶ ἀποφράττειν ἑκάστου τήν τε φωνὴν καὶ τὸν λόγον ἀφαιρούμενον. αὐλείτωσαν οὖν ἔφη Θηβαίων παῖδες. οὐ γὰρ ἴσασι διαλέγεσθαι. ἡμῖν δὲ τοῖς Ἀθηναίοις, ὡς οἱ πατέρες λέγουσιν, ἀρχηγέτις Ἀθηνᾶ καὶ πατρῷος Ἀπόλλων ἐστίν. ὧν ἡ μὲν, ἔρριψε τὸν αὐλόν. ὁ δὲ, καὶ τὸν αὐλητὴν ἐξέδειρε. τοιαῦτα παίζων ἅμα καὶ σπουδάζων, ὁ Ἀλκιβιάδης, αὑτόν τε τοῦ μαθήματος ἀπέστησε καὶ τοὺς ἄλλους. ταχὺ γὰρ διῆλθεν ὁ λόγος εἰς τοὺς παῖδας, ὡς εὖ ποιῶν ὁ Ἀλκιβιάδης βδελύττοιτο τὴν αὐλητικὴν, καὶ χλευάζοι τοὺς μανθάνοντας. ὅθεν ἐξέπεσε κομιδῇ τῶν ἐλευθερίων διατριβῶν, καὶ προεπηλακίσθη παντάπασιν ὁ αὐλός. ἐν δὲ ταῖς Ἀντιφῶντος λοιδορίαις, γέγραπται. ὅτι παῖς ὢν ἐκ τῆς οἰκίας ἀπέδρα, πρὸς Δημοκράτην τινὰ τῶν ἐραστῶν. βουλομένου δ' αὐτὸν ἀποκηρύττειν Ἀρίφρονος, Περικλῆς οὐκ εἴασεν εἰπών. εἰ μὲν τέθνηκεν, ἡμέρᾳ μιᾷ διὰ τὸ κήρυγμα φανεῖσθαι πρότερον. εἰ δὲ σῶς ἐστιν, ἄσωστον αὐτῷ τὸν λοιπὸν βίον ἔσεσθαι. καὶ ὅτι τῶν ἀκολουθούντων τινὰ κτείνειεν, ἐν τῇ Σιβυρτίου παλαίστρᾳ ξύλῳ πατάξας. ἀλλὰ τούτοις μὲν, οὐκ ἄξιον ἴσως πιστεύειν, ἅ γε λοιδορεῖσθαί τις αὐτῷ δι' ἔχθραν ὁμολογῶν, εἶπεν. ἤδη δὲ, πολλῶν καὶ γενναίων ἀθροιζομένων καὶ περιεπόντων, οἱ μὲν ἄλλοι, καταφανεῖς ἦσαν, τὴν λαμπρότητα τῆς ὥρας ἐκπεπληγμένοι καὶ θεραπεύοντες. ὁ δὲ Σωκράτους ἔρως, μέγα μαρτύριον ἦν τῆς ἀρετῆς καὶ εὐφυΐας τοῦ παιδὸς, ἣν ἐμφαινομένην τῷ εἴδει καὶ διαλάμπουσαν ἐνορῶν. φοβούμενος δὲ τὸν πλοῦτον καὶ τὸ ἀξίωμα καὶ τὸν προκαταλαμβάνοντα κολακείαις καὶ χάρισιν ἀστῶν καὶ ξένων καὶ συμμάχων ὄχλον, οἷος ἦν ἀμύνειν καὶ μὴ περιορᾶν, ὡς φυτὸν ἐν ἄνθει τὸν οἰκεῖον καρπὸν ἀποβάλ-

τῶν πολεμικῶν, τῆς δὲ πολιτείας, μέγα μὲν ἔγκλημα τοῦ περικλέους ὁ πόλεμος. λέγεται γὰρ ἐπακτὸς ὑπ' ἐκείνου γενέσθαι, λακεδαιμονίοις ἐρίσαντος μὴ ἐνδοῦναι. δοκῶ δὲ, μηδ' ἂν φάβιον μάξιμον ἐνδοῦναί τι καρχηδονίοις, ἀλλ' εὐγενῶς ὑποστῆναι τὸν ὑπὲρ τῆς ἡγεμονίας κίνδυνον. ἡ μέντοι πρὸς μινούκιον ἐπιείκεια τοῦ φαβίου καὶ πρᾳότης ἐλέγχει τὸν πρὸς κίμωνα καὶ θουκυδίδην στασιασμὸν, ἄνδρας ἀγαθοὺς καὶ ἀριστοκρατικοὺς, εἰς φυγὴν ὑπ' αὐτοῦ καὶ τοὔστρακον ἐκπεσόντας. ἀλλ' ἥ γε δύναμις μείζων ἡ τοῦ περικλέους καὶ τὸ κράτος. ὅθεν οὐδ' ἄλλον εἴασεν ἐνδυστυχῆσαι τῇ πόλει κακῶς βουλευσάμενον στρατηγὸν, ἀλλ' ἢ μόνος αὐτὸν ἐκφυγὼν τολμίδης καὶ διωσάμενος βίᾳ, προσέπταισε βοιωτοῖς. οἱ δ' ἄλλοι, προσετίθεντο καὶ κατεκοσμοῦντο πάντες, εἰς τὴν ἐκείνου γνώμην ὑπὸ μεγέθους αὐτοῦ τῆς δυνάμεως. φάβιος δὲ τὸ καθ' αὑτὸν, ἀσφαλὴς ὢν καὶ ἀναμάρτητος, τῷ πρὸς τὸ κωλύειν ἑτέρους ἀδυνάτῳ, φαίνεται λειπόμενος. οὐ γὰρ ἂν τοσαύταις συμφοραῖς ἐχρήσαντο ῥωμαῖοι, φαβίου παρ' αὐτοῖς, ὅσον ἀθήνησι περικλέους δυνηθέντος, καὶ μὴν τήν γε πρὸς χρήματα μεγαλοφροσύνην. ὁ μὲν, τῷ μηδὲν λαβεῖν παρὰ τῶν διδόντων. ὁ δὲ, τῷ προέσθαι πολλὰ τοῖς δεομένοις ἐπεδείξατο, λυσάμενος τοῖς ἰδίοις χρήμασι τοὺς αἰχμαλώτους. πλὴν τούτων μὲν, οὐ πολὺς ἦν ἀριθμὸς, ἀλλ' ὅσον ἓξ τάλαντα. περικλῆς δ' οὐκ ἂν ἴσως εἴποι τις ὅσα καὶ παρὰ συμμάχων καὶ βασιλέων ὠφελεῖσθαι καὶ θεραπεύεσθαι παρὸν, τῆς δυνάμεως διδούσης, ἀδωρότατον ἑαυτὸν ἐφύλαξεν. ἔργων γε μὴν μεγέθεσι καὶ ναῶν. καὶ κατασκευαῖς οἰκοδομημάτων, ὑφ' ὧν ἐκόσμησεν ὁ περικλῆς τὰς ἀθήνας, οὐκ ἄξιον ὁμοῦ πάντα τὰ πρὸ τῶν καισάρων φιλοτιμήματα τῆς ῥώμης παραβαλεῖν. ἀλλ' ἐξοχόν τι πρὸς ἐκεῖνα καὶ ἀσύγκριτον ἡ τούτων ἔσχε μεγαλουργία καὶ μεγαλοπρέπεια τὸ πρωτεῖον.

[λ καὶ καθαρώτατον τ.ς.κ.]

πρόφασιν, εἰπὼν δὲ τὸ μνημονευόμενον ὡς ἀσφαλὲς οὐκ ἔστι πιστεύειν ἀνδρὸς νέος τύχῃ, τηλικαῦτα
πράγματα. χαλεπὸν γὰρ ἀεὶ εὐτυχεῖν τὸν αὐτόν, οὕτω προσήκουσιν ἤδη πολλοῖς ὡς δύσκολος ἀνὴρ
καὶ βάσκανος, ἢ πάμπαν ὑπὸ γήρως ἄτολμος γεγονὼς καὶ δύσελπις, περαιτέρω τε τοῦ μετρίου,
καταθαμβημένος τὸν ἀννίβαν. οὐδὲ γὰρ ἐκπλεύσαντες αὐτοῦ μετὰ τῶν δυνάμεων ἐξ ἰταλίας, εἴασε
τὸ χαῖρον καὶ τεθαῤῥηκὸς τῶν πολιτῶν ἀθόρυβον καὶ βέβαιον. ἀλλὰ τότε μάλιστα τὰ πράγματα τῇ | δη. ε. τ.
πόλει θεούσῃ, παρὰ τὸν ἔσχατον κίνδυνον ἀσφαλῶς ἔχειν ἔλεγε. βαρύτερον γὰρ ἐν λιβύῃ πρὸ
καρχηδόνος αὐτοῖς ἀννίβαν ἐμπεσεῖσθαι. καὶ στρατὸν ἀπαντήσειν σκηπίωνι, πολλῷ ἔτι θερμὸν αὐ-
τοκρατόρων αἵματι. καὶ δικτατόρων καὶ ὑπάτων. ὥστε τὴν πόλιν αὖθις ὑπὸ τῶν λόγων τούτων
ἀναταράττεσθαι. καὶ τοῦ πολέμου μεθεστῶτος εἰς λιβύην ἐγγυτέρω τῆς ῥώμης οἴεσθαι γεγονέναι τὸν
φόβον. ἀλλὰ σκηπίων μὲν, οὐ μετὰ πολὺν χρόνον, αὐτόν τε νικήσας μάχῃ κατὰ κράτος ἀννίβαν, καὶ
καταβαλὼν τὸ φρόνημα καὶ καταπατήσας τῆς καρχηδόνος ὑποπεσούσης, ἀπέδωκε μείζονα χα-
ρὰν ἁπάσης ἐλπίδος τοῖς πολίταις. καὶ τὴν ἡγεμονίαν ὡς ἀληθῶς, πολλῷ σάλῳ σεισθεῖσαν, ὤρθω-
σε πάλιν. φάβιος δὲ μάξιμος οὐ διήρκεσε τῷ βίῳ πρὸς τὸ τοῦ πολέμου τέλος, οὐδ᾽ ἤκουσεν ἀννίβαν
ἡττημένον. οὐδὲ τὴν μεγάλην καὶ βέβαιον εὐτυχίαν τῆς πατρίδος ἐπεῖδεν, ἀλλὰ περὶ ὃν χρόνον ἀν-
νίβας ἀπῆρεν ἐξ ἰταλίας, νόσῳ καμὼν ἐτελεύτησεν. ἐπαμεινώνδαν μὲν οὖν θηβαῖοι δημοσίᾳ διὰ
πενίαν ἣν ἀπέλιπεν ὁ ἀνὴρ ἔθαψαν. οὐδὲν γὰρ οἴκοι τελευτήσαντος εὑρεθῆναι, πλὴν ὀβελίσκον σιδη-
ροῦν λέγουσι. φάβιον δὲ ῥωμαῖοι, δημοσίᾳ μὲν, οὐκ ἐκήδευσαν. ἰδίᾳ δ᾽ ἑκάστου τὸ σμικρότατον αὐτῷ
τῶν νομισμάτων ἐπενεγκόντος, οὐχ ὡς δι᾽ ἔνδειαν προσαρκούντων. ἀλλ᾽ ὡς πατέρα τοῦ δήμου θά-
πτοντος, ἔσχε τιμὴν καὶ δόξαν ὁ θάνατος αὐτοῦ τῷ βίῳ πρέπουσαν. οἱ μὲν οὖν βίοι τῶν ἀνδρῶν. τοιαύ-
την ἔχουσι τὴν ἱστορίαν. ἐπεὶ δὲ καὶ πολιτικῆς, καὶ πολεμικῆς ἀρετῆς, πολλὰ καὶ καλὰ παραδεί-
γματα καταλελοίπασιν ἀμφότεροι, φέρε τῶν πολεμικῶν, ἐκεῖνο πρῶτον λάβωμεν. ὅτι περικλῆς
μὲν ἄριστα πράττοντι τῷ δήμῳ καὶ μεγίστῳ καθ᾽ αὑτὸν ὄντι καὶ μάλιστα πρὸς δύναμιν ἀκμάζοντι χρώ-
μενος, ὑπὸ κοινῆς ἂν δόξειεν εὐτυχίας καὶ ῥώμης πραγμάτων, ἀσφαλὴς διαγενέσθαι καὶ ἄπται-
στος. αἱ δὲ φαβίου πράξεις, ἐν αἰσχίστοις καὶ δυσποτμοτάτοις καιροῖς ἀναδεξαμένου τὴν πόλιν, οὐκ ἐπ᾽
ἀγαθοῖς, ἀσφαλῆ διετήρησαν, ἀλλ᾽ ἐκ κακῶν εἰς βελτίω μετέστησαν. καὶ περικλεῖ μὲν αἱ κίμωνος εὐπρα-
ξίαι καὶ τὰ μυρωνίδου. καὶ τὰ λεωκράτους τρόπαια, καὶ πολλὰ καὶ μεγάλα τολμίδης κατορθῶν,
ἑορτάσαι μᾶλλον καὶ ἐμπανηγυρίσαι στρατηγοῦντι τὴν πόλιν, ἢ κτήσασθαι πολέμῳ καὶ φυλάξα-
σθαι παρέδωκε. φάβιος δ᾽ ὁρῶν πολλὰς μὲν φυγὰς καὶ ἥττας. πολλοὺς δὲ θανάτους καὶ σφαγὰς αὐ-
τοκρατόρων καὶ στρατηγῶν, λίμνας δὲ καὶ πεδία καὶ δρυμοὺς, νεκρῶν στρατοπέδων πλήθοντας. αἵ-
ματι δὲ καὶ φόνῳ ποταμοὺς ἄχρι θαλάττης ῥέοντας, ἐν τῷ καθ᾽ ἑαυτὸν ὁρμωμένῳ καὶ βεβηκότι τὴν
πόλιν ἀντιλαμβανόμενος καὶ ὑπερείδων, οὐκ εἴασε τοῖς ἐκείνων ὑποφερομένην πταίσμασι, τε-
λέως ἐκχυθῆναι. καίτοι δόξειεν ἂν οὐχ οὕτω χαλεπὸν εἶναι, πόλιν ἐν συμφοραῖς μεταχειρίσασθαι
ταπεινὴν, καὶ τοῦ φρονοῦντος ὑπ᾽ ἀνάγκης κατήκοον γενομένην, ὡς δι᾽ εὐτυχίαν ἐπηρμένῳ καὶ σπαρ-
γῶντι τῷ δήμῳ, χαλινὸν ἐμβαλεῖν ὕβρεως καὶ θρασύτητος. ᾧ δὴ μάλιστα φαίνεται τρόπῳ περικλῆς
ἀθηναίων περιγενόμενος. ἀλλὰ τῶν ῥωμαίοις συμπεσόντων τότε κακῶν τὸ μέγεθος καὶ τὸ πλῆθος,
ἰσχυρόν τινα γνώμην καὶ μέγαν ἔδειξεν ἄνδρα, τὸν μὴ συγχυθέντα μηδὲ προέμενον τοὺς αὑτοῦ λογι-
σμούς. καὶ σάμῳ μὲν ὑπὸ περικλέους ἁλούσῃ, τὴν ταραντὸς ἔστι κατάληψιν ἀντιθεῖναι. καὶ νὴ δί᾽.
εὐβοίᾳ τὰς περὶ καμπανίαν πόλεις. ἐπεὶ αὐτήν γε καπύην οἱ περὶ φρουέλιον καὶ ἄππιον ὕπατοι κα-
τέσχον. ἐκ δὲ παρατάξεως, φάβιος οὐ φαίνεται μάχῃ νενικηκὼς, πλὴν ἀφ᾽ ἧς, τὸν πρότερον εἰσήλασε
θρίαμβον. περικλῆς δ᾽ ἐννέα τρόπαια κατὰ γῆν καὶ κατὰ θάλατταν ἔστησεν, ἀπὸ τῶν πολεμίων. οὐ
μὴν λέγεται τοιαύτη πρᾶξις περικλέους, οἵαν ἔπραξε φάβιος, μινούκιον ἐξαρπάσας ἀννίβου. καὶ
διασώσας ἐντελὲς στρατόπεδον ῥωμαίων. καλὸν γὰρ τὸ ἔργον καὶ κοινὸν ἀνδρείας ὁμοῦ καὶ φρονή-
σεως καὶ χρηστότητος. ὥσπερ αὖ πάλιν, οὐδὲ σφάλμα λέγεται περικλέους, οἷον ἐσφάλη φάβιος,
διὰ τῶν βοῶν καταστρατηγηθεὶς ὑπ᾽ ἀννίβου. λαβὼν μὲν αὐτομάτως καὶ κατὰ τύχην ὑπελθόντα
τοῖς στενοῖς τὸν πολέμιον, προέμενος δὲ νυκτὸς λαθόντα, καὶ μεθ᾽ ἡμέραν βιασάμενον, καὶ φθάσαντα
μέλλοντος, καὶ κρατήσαντα συλλαβόντος. εἰ δὲ δεῖ μὴ μόνον χρῆσθαι τοῖς παροῦσιν, ἀλλὰ καὶ τεκμαί-
ρεσθαι περὶ τοῦ μέλλοντος ὀρθῶς τὸν ἀγαθὸν στρατηγὸν, ἀθηναίοις μὲν ὡς περικλῆς προέγνω καὶ προεῖ-
πεν, ἐτελεύτησεν ὁ πόλεμος. πολυπραγμονοῦντες γὰρ ἀπώλεσαν τὴν δύναμιν. ῥωμαῖοι δὲ, πα-
ρὰ τοὺς φαβίου λογισμοὺς ἐκπέμψαντες ἐπὶ καρχηδονίους σκηπίωνα, πάντων ἐκράτησαν, οὐ τύχῃ,
σοφίᾳ δὲ τοῦ στρατηγοῦ καὶ ἀνδρείᾳ, νικήσαντος τοὺς πολεμίους. ὥστε τῷ μὲν τὰ πταίσματα τῆς πα-
τρίδος μαρτυρεῖ, ὅτι καλῶς ἔγνω. τὸν δὲ, ὑπὸ τῶν κατορθωμάτων ἐλέγχεσθαι. τοῦ παντὸς ἐσφαλ-
μένον. ἴση δ᾽ ἁμαρτία στρατηγοῦ, κακῷ περιπεσεῖν μὴ προσδοκήσαντα, καὶ κατορθώματος καιρὸν, ἀ-
πιστίᾳ προέσθαι. μία γὰρ ὡς ἔοικεν ἀπειρία, καὶ θράσος γεννᾷ, καὶ θάρσος ἀφαιρεῖται. ταῦτα περὶ
τῶν πολεμικῶν,

λοτιμίας ἐξενεχθεὶς, εἶπεν. ὡς οὐ φάβιος, ἀλλ' αὐτὸς αἴτιος γένοιτο τοῦ τὴν ταραντίνων ἁλῶναι. γελάσας οὖν ὁ φάβιος, ἀληθῆ λέγεις εἶπεν. εἰ μὴ γὰρ σὺ τὴν πόλιν ἀπέβαλες, οὐκ ἂν ἐγὼ παρέλαβον. οἱ δὲ ῥωμαῖοι τά τ' ἄλλα τῷ φαβίῳ προσεφέροντο λαμπρῶς, καὶ τὸν υἱὸν αὐτοῦ φάβιον, ἀπέδειξαν ὕπατον. παραλαβόντος δὲ τὴν ἀρχὴν αὐτοῦ καὶ διοικοῦντός τι τῶν πρὸς τὸν πόλεμον, ὁ πατὴρ εἴτε διὰ γῆρας καὶ ἀσθένειαν, εἴτε διαπειρώμενος τοῦ παιδὸς, ἀναβὰς ἐφ' ἵππον, προσῄει διὰ τῶν ἐντυγχανόντων καὶ περιεστώτων. ὁ δὲ νεανίας κατιδὼν πόρρωθεν, οὐκ ἠνέσχετο. πέμψας δ' ὑπηρέτην, ἐκέλευσε καταβῆναι τὸν πατέρα καὶ δι' αὐτοῦ προσελθεῖν, εἴ τι τυγχάνει τῆς ἀρχῆς δεόμενος. καὶ τοὺς μὲν ἄλλους ἠνίασε τὸ ἐπίταγμα, καὶ σιωπῇ πρὸς τὸν φάβιον ὡς ἀνάξια πάσχοντα τῆς δόξης, ἀπέβλεψαν. αὐτὸς δ' ἐκεῖνος ἀποπηδήσας κατὰ τάχος, θᾶσσον ἢ βάδην πρὸς τὸν υἱὸν ἐπειχθεὶς καὶ περιβαλὼν καὶ ἀσπασάμενος, εὖ γε εἶπεν ὦ παῖ φρονεῖς καὶ πράττεις, αἰσθόμενος τίνων ἄρχεις, καὶ πηλίκης μέγεθος ἀνείληφας ἀρχῆς. οὕτω καὶ ἡμεῖς, καὶ οἱ πρόγονοι τὴν ῥώμην ηὐξήσαμεν, ἐν δευτέρῳ καὶ γονεῖς καὶ παῖδας ἀεὶ τῶν τῆς πατρίδος καλῶν τιθέμενοι. λέγεται δ' ὡς ἀληθῶς τοῦ φαβίου τὸν πρόπαππον ἐν δόξῃ καὶ δυνάμει μεγίστῃ ῥωμαίων γενόμενον, πεντάκις μὲν ὑπατεῦσαι καὶ θριάμβους ἐκ πολέμων μεγίστων ἐπιφανεστάτους καταγαγεῖν. ὑπατεύοντι δ' υἱῷ, πρεσβευτὴν συνεξελθεῖν ἐπὶ τὸν πόλεμον, ἐν δὲ τῷ θριάμβῳ, τὸν μὲν εἰσελαύνειν ἐπὶ τεθρίππου. τὸν δ' ἵππον ἔχοντα μετὰ τῶν ἄλλων ἐπακολουθεῖν ἀγαλλόμενον, ὅτι τοῦ μὲν υἱοῦ κύριος. τῶν δὲ πολιτῶν μέγιστος καὶ ὢν, καὶ προσαγορευόμενος, ὕστερον αὑτὸν τοῦ νόμου καὶ τοῦ ἄρχοντος τίθησιν. ἀλλὰ γ' ἐκεῖνος οὐκ ἀπὸ τούτων μόνον θαυμαστὸς ἦν. τοῦ δὲ φαβίου τὸν υἱὸν ἀποθανεῖν συνέβη. καὶ τὴν μὲν συμφορὰν, ὡς ἀνήρ τε φρόνιμος καὶ πατὴρ χρηστὸς ἤνεγκε μετριώτατα. τὸ δ' ἐγκώμιον, ὃ ταῖς ἐκκομιδαῖς τῶν ἐπιφανῶν, οἱ προσήκοντες ἐπιτελοῦσιν, αὐτὸς εἶπε καταστὰς ἐν ἀγορᾷ καὶ γράψας τὸν λόγον, ἐξέδωκεν. ἐπεὶ δὲ σκηπίων κορνήλιος εἰς ἰβηρίαν πεμφθεὶς, καρχηδονίους μὲν ἐξήλασε μάχαις πολλαῖς κρατήσας. ἔθνη δὲ πάμπολλα καὶ πόλεις μεγάλας καὶ πράγματα λαμπρὰ ῥωμαίοις κτησάμενος, εὔνοιαν εἶχε καὶ δόξαν ἐπανελθὼν ὅσην ἄλλος οὐδεὶς. ὕπατος δὲ κατασταθεὶς καὶ τὸν δῆμον αἰσθόμενος μεγάλην ἀπαιτοῦντα καὶ προσδεχόμενον πρᾶξιν αὐτοῦ, τὸ μὲν αὐτόθι συμπλέκεσθαι πρὸς ἀννίβαν, ἀρχαῖον ἡγεῖτο λίαν καὶ πρεσβυτικὸν, αὐτὴν δὲ καρχηδόνα καὶ λιβύην εὐθὺς ἐμπλήσας ὅπλων καὶ στρατευμάτων, διενοεῖτο πορθεῖν, καὶ τὸν πόλεμον ἐκ τῆς ἰταλίας ἐκεῖ μεθιστάναι, καὶ πρὸς τοῦτο παντὶ τῷ θυμῷ συνεξώρμα τὸν δῆμον, ἐνταῦθα δὴ φάβιος ἐπὶ πᾶν δέους ἄγων τὴν πόλιν, ὡς ὑπ' ἀνδρὸς ἀνοήτου καὶ νέου φερομένην εἰς τὸν ἔσχατον καὶ μέγιστον κίνδυνον. οὔτε λόγου φειδόμενος οὔτ' ἔργου δοκοῦντος ἀποτρέψειν τοὺς πολίτας, τὴν μὲν βουλὴν ἔπεισε. τῷ δὲ δήμῳ, διὰ φθόνον ἐδόκει τοῦ σκηπίωνος εὐημεροῦντος ἐπιλαμβάνεσθαι καὶ δεδιέναι μή τι μέγα καὶ λαμπρὸν ἐξεργασαμένου, καὶ τὸν πόλεμον, ἢ παντάπασιν ἀνελόντος, ἢ τῆς ἰταλίας ἐκβαλόντος, αὐτὸς ἀργὸς φανῇ καὶ μαλακὸς ἐν τοσούτῳ χρόνῳ διαπεπολεμηκώς. ἔοικε δ' ὁρμῆσαι μὲν ἐξ ἀρχῆς ὁ φάβιος πρὸς τὸ ἀντιλέγειν ὑπὸ πολλῆς ἀσφαλείας καὶ προνοίας, μέγαν ὄντα δεδιὼς τὸν κίνδυνον. ἐντεῖναι δέ πως μᾶλλον ἑαυτὸν καὶ πορρωτέρω προαχθῆναι, φιλοτιμίᾳ τινὶ καὶ φιλονεικίᾳ κωλύων τοῦ σκηπίωνος τὴν αὔξησιν. ὅς γε καὶ κράσσον ἔπειθε τὸν συνυπατεύοντα τῷ σκηπίωνι μὴ παρεῖναι τὴν στρατηγίαν, μηδ' ὑπείκειν. ἀλλ' αὐτὸν εἰ δόξειεν ἐπὶ καρχηδονίους περαιοῦσθαι. καὶ χρήματα δοθῆναι πρὸς τὸν πόλεμον, οὐκ εἴασε. χρήματα μὲν οὖν σκηπίων ἑαυτῷ πορίζειν ἀναγκαζόμενος, ἤγειρε παρὰ τῶν ἐν τυρρηνίᾳ πόλεων, ἰδίᾳ πρὸς αὐτὸν οἰκείως διακειμένων καὶ χαριζομένων. κράσσον δὲ τὰ μὲν ἡ φύσις, οὐκ ὄντα φιλόνεικον ἀλλὰ πρᾶον, οἴκοι κατεῖχε. τὰ δὲ, καὶ νόμος θεῖος ἱερωσύνην ἔχοντα τὴν μεγίστην. αὖθις οὖν καθ' ἑτέραν ὁδὸν ἀπαντῶν ὁ φάβιος τῷ σκηπίωνι, κατεκώλυε τοὺς ὡρμημένους αὐτῷ συστρατεύεσθαι τῶν νέων καὶ κατεῖχεν, ἔν τε βουλαῖς καὶ ταῖς ἐκκλησίαις βοῶν, ὡς οὐκ αὐτὸς ἀννίβαν ἀποδιδράσκοι μόνος ὁ σκηπίων, ἀλλὰ καὶ τὴν ὑπόλοιπον ἐκπλέοι λαβὼν δύναμιν ἐκ τῆς ἰταλίας, δημαγωγῶν ἐλπίσι τοὺς νέους, καὶ ἀναπείθων, ἀπολιπεῖν γονέας καὶ γυναῖκας καὶ πόλιν, ἧς ἐν θύραις ἐπικρατῶν καὶ ἀήττητος ὁ πολέμιος κάθηται. καὶ μέντοι ταῦτα λέγων, ἐφόβησε τοὺς ῥωμαίους, καὶ μόνοις αὐτὸν ἐψηφίσαντο χρῆσθαι τοῖς ἐν σικελίᾳ στρατεύμασι. καὶ τῶν ἐν ἰβηρίᾳ γεγονότων μετ' αὐτοῦ τριακοσίους ἄγειν οἷς ἐχρῆτο πιστοῖς. ταῦτα μὲν οὖν ἐδόκει πολιτεύεσθαι πρὸς τὴν ἑαυτοῦ φύσιν ὁ φάβιος. ἐπεὶ δὲ σκηπίωνος εἰς λιβύην διαβάντος, εὐθὺς ἔργα θαυμαστὰ καὶ πράξεις ὑπερφυεῖς τὸ μέγεθος καὶ τὸ κάλλος, εἰς ῥώμην ἀπηγγέλλοντο. καὶ μαρτυροῦντα ταῖς φήμαις εἵπετο λάφυρα πολλά. καὶ βασιλεὺς ὁ νομάδων αἰχμάλωτος. καὶ δύο στρατοπέδων ὑφ' ἕνα καιρὸν ἐμπρήσεις. καὶ φθορὰ πολλῶν μὲν ἀνθρώπων, πολλῶν δ' ὅπλων καὶ ἵππων, ἐν αὐτοῖς συγκατακεκαυμένων. καὶ πρεσβεῖαι πρὸς ἀννίβαν ἐπέμποντο παρὰ καρχηδονίων, καλούντων καὶ δεομένων, ἐάσαντα τὰς ἀτελεῖς ἐκείνας ἐλπίδας οἴκαδε βοηθεῖν. ἐν δὲ ῥώμῃ πάντων ἐχόντων τὸν σκηπίωνα διὰ στόματος ἐπὶ τοῖς κατορθώμασιν, ὁ φάβιος ἠξίου πέμπεσθαι σκηπίωνι διάδοχον. ἄλλην μὲν οὐκ ἔχων

λήθης. τὰ μὲν οὖν ἡμαρτημένα σοι λελύσθω τοῖς ἀνδραγαθήμασι. τὸ δὲ λοιπὸν, ἐφ᾽ ἑτέρῳ ποιήσομαι τὴν φρουράν, θαυμάζοντος δὲ τοῦ στρατιώτου, προαγαγὼν τὴν ἄνθρωπον ἐνεχείρισεν αὐτῷ καὶ εἶπεν. αὕτη μὲν ἐγγυᾶταί σε μενεῖν ἐν τῷ στρατοπέδῳ μεθ᾽ ἡμῶν. σὺ δ᾽ ἔργῳ δείξεις, ὡς μὴ δι᾽ ἄλλην τινὰ μοχθηρίαν ἀπέλιπες. ὁ δ᾽ ἔρως καὶ αὕτη, πρόφασις ἦν λεγομένη. ταῦτα μὲν περὶ τούτων ἱστοροῦσι. τὴν δὲ ταραντίνων πόλιν ἔσχεν, ἑαλωκυῖαν ἐκ προδοσίας, τὸν τρόπον τοῦτον. ἐστρατεύετο παρ᾽ αὐτῷ νεανίας ταραντῖνος ἔχων ἀδελφὴν εἰς τάραντι, πιστῶς πάνυ καὶ φιλοστόργως διακειμένην, πρὸς αὐτόν. ἤρα δὲ ταύτης, ἀνὴρ βρέττιος τῶν τεταγμένων ὑπ᾽ ἀννίβου τὴν πόλιν φρουρεῖν ἐφ᾽ ἡγεμονίας. τοῦτο, πράξεως ἐλπίδα τῷ ταραντίνῳ παρέσχε, καὶ τοῦ φαβίου συνειδότος, εἰς τὴν πόλιν ἀφείθη. λόγῳ δ᾽ ἀποδεδρακέναι πρὸς τὴν ἀδελφήν. αἱ μὲν οὖν πρῶται, τῶν ἡμερῶν διῇσαν. καὶ καθ᾽ ἑαυτὸν ὁ βρέττιος ἀνεπαύετο, λανθάνειν τὸν ἀδελφὸν οἰομένης ἐκείνης. ἔπειτα λέγει πρὸς αὐτὴν ὁ νεανίας. καὶ μὴν ἐκεῖ λόγος ἐφοίτα πολὺς ἀνδρί σε τῶν δυνατῶν καὶ μεγάλων συνεῖναι. τίς οὗτός ἐστιν; εἰ γὰρ εὐδόκιμός τις ὥς φασιν ἀρετῇ καὶ λαμπρὸς, ἐλάχιστα φροντίζει γένους, ὁ πάντα συμμιγνὺς πόλεμος. αἰσχρὸν δὲ μετ᾽ ἀνάγκης οὐδὲν. ἀλλ᾽ εὐτυχία τις ἐν καιρῷ τὸ δίκαιον ἀσθενὲς ἔχοντι, πρᾳότατα χρήσασθαι τῷ βιαζομένῳ. ἐκ τούτου μεταπέμπεται μὲν ἡ γυνὴ τὸν βρέττιον, καὶ γνωρίζει τὸν ἀδελφὸν αὐτῷ. ταχὺ δὲ συμπράττων τὴν ἐπιθυμίαν ἐκεῖνος, καὶ μᾶλλον ἢ πρότερον, εὔνουν καὶ χειροήθη τῷ βαρβάρῳ δοκῶν παρέχειν τὴν ἀδελφὴν, ἔσχε πιστῶς, ὥστε μὴ χαλεπῶς ἐρῶντος ἀνθρώπου μισθοφόρου μεταστῆσαι διάνοιαν ἐπ᾽ ἐλπίσι δωρεῶν μεγάλων, ἃς ἐπηγγέλλετο παρέξειν αὐτῷ τὸν φάβιον. ταῦτα μὲν οὖν οἱ πλεῖστοι γράφουσι περὶ τούτων. ἔνιοι δὲ τὴν ἄνθρωπον ὑφ᾽ ἧς ὁ βρέττιος μετήχθη, φασὶν οὐ ταραντίνην, ἀλλὰ βρεττίαν τὸ γένος οὖσαν. τῷ δὲ φαβίῳ παλλακευομένην, ὡς ᾔσθετο πολίτην καὶ γνώριμον ὄντα τὸν τῶν βρεττίων ἄρχοντα, τῷ τε φαβίῳ φράσαι, καὶ συνελθοῦσαν εἰς λόγους, ὑπὸ τὸ τεῖχος, ἐκπεῖσαι καὶ κατεργάσασθαι τὸν ἄνθρωπον. πραττομένων δὲ τούτων, ὁ φάβιος περισπάσαι τὸν ἀννίβαν τεχνάζων, ἐπέστειλε τοῖς ἐν ῥηγίῳ στρατιώταις, τὴν βρεττίαν καταδραμεῖν. καὶ καυλωνίαν ἐξελεῖν κατὰ κράτος, στρατοπεδεύσαντας ὀκτακισχιλίους ὄντας, αὐτομόλους δὲ τοὺς πολλοὺς καὶ τῶν ἐκ σικελίας ὑπὸ μαρκέλλου κεκομισμένων ἀτίμων, τοὺς ἀχρηστοτάτους, καὶ μετ᾽ ἐλαχίστης τῇ πόλει λύπης καὶ βλάβης ἀπολουμένους. ἤλπιζε γὰρ τούτους προέμενος τῷ ἀννίβᾳ, καὶ δελεάσας ἀπάξειν αὐτὸν ἀπὸ τοῦ τάραντος. ὃ καὶ συνέβαινεν. εὐθὺς γὰρ ἐκεῖ διώκων ὁ ἀννίβας, ἐρρύη μετὰ τῆς δυνάμεως. ἡμέρᾳ δ᾽ ἕκτῃ τοὺς ταραντίνους τοῦ φαβίου περιστρατοπεδεύσαντος, ὁ προδιειλεγμένος τῷ βρεττίῳ μετὰ τῆς ἀδελφῆς νεανίσκος, ἧκε νύκτωρ πρὸς αὐτόν. εἰδὼς ἀκριβῶς καὶ κατατεθεαμένος τὸν τόπον, ἐφ᾽ οὗ παραφυλάττων ὁ βρέττιος, ἔμελλεν ἐνδώσειν καὶ παρήσειν τοῖς προσβάλλουσιν. οὐ μὴν ἁπλῶς γε τῆς προδοσίας ἐξήρτησεν ὁ φάβιος τὴν πρᾶξιν. ἀλλ᾽ αὐτὸς μὲν, ἐκεῖσε παρελθὼν, ἡσυχίαν ἦγεν. ἡ δ᾽ ἄλλη στρατιὰ, προσέβαλλε τοῖς τείχεσιν ἔκ τε γῆς καὶ θαλάττης ἅμα ποιοῦσα πολλὴν κραυγὴν καὶ θόρυβον. ἄχρις οὗ τῶν πλείστων ταραντίνων ἐκεῖ βοηθούντων καὶ συμφερομένων τοῖς τειχομαχοῦσιν, ἐσήμηνε τῷ φαβίῳ τὸν καιρὸν ὁ βρέττιος. καὶ διὰ κλιμάκων ἀναβὰς, ἐκράτησε τῆς πόλεως. ἐνταῦθα μέντοι δοκεῖ φιλοτιμίας ἥττων γενέσθαι. τοὺς γὰρ βρεττίους πρώτους ἀποσφάττειν ἐκέλευσεν, ὡς μὴ προδοσίᾳ τὴν πόλιν ἔχων, φανερὸς γένοιτο. καὶ ταύτης τε διήμαρτε τῆς δόξης, καὶ διαβολὴν ἀπιστίας προσέλαβε καὶ ὠμότητος. ἀπέθανον δὲ πολλοὶ καὶ τῶν ταραντίνων. οἱ δὲ πραθέντες, ἐγένοντο τρισμύριοι. καὶ τὴν πόλιν, ἡ στρατιὰ διήρπασεν. ἀνηνέχθη δ᾽ εἰς τὸ δημόσιον, τρισχίλια τάλαντα. πάντων δὲ τῶν ἄλλων ἀγομένων καὶ φερομένων, λέγεται τὸν γραμματέα πυθέσθαι τοῦ φαβίου περὶ τῶν θεῶν τί κελεύει. τὰς γραφὰς οὕτω προσαγορεύσαντα καὶ τοὺς ἀνδριάντας. τὸν οὖν φάβιον εἰπεῖν, ἀπολείπωμεν τοὺς θεοὺς ταραντίνοις κεχολωμένους. οὐ μὴν, ἀλλὰ τὸν κολοσσὸν τοῦ ἡρακλέους μετακομίσας ἐκ τάραντος, ἔστησεν ἐν καπιτωλίῳ. καὶ πλησίον ἔφιππον εἰκόνα χαλκῆν ἑαυτοῦ. πολὺ μαρκέλλου φανεὶς ἀτοπώτερος περὶ ταῦτα. μᾶλλον δ᾽ ὅλως ἐκεῖνον ἄνδρα πρᾳότητι καὶ φιλανθρωπίᾳ θαυμαστὸν ἀποδείξας, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. ἀννίβαν δὲ λέγεται διώκοντα, τετταράκοντα μόνοις ἀπολειφθῆναι σταδίοις. καὶ φανερῶς μὲν εἰπεῖν, ἦν ἄρα καὶ ῥωμαίοις ἀννίβας τις ἕτερος. ἀπεβάλομεν γὰρ τὴν ταραντίνων πόλιν, ὥσπερ ἐλάβομεν. ἰδίᾳ δὲ τότε πρῶτον αὐτῷ παραστῆναι πρὸς τοὺς φίλους εἰπεῖν. ὡς πάλαι μὲν ἑώρα χαλεπὸν αὐτοῖς, νῦν δ᾽ ἀδύνατον, κρατεῖν ἀπὸ τῶν ὑπαρχόντων ἰταλίας. τοῦτον, δεύτερον θρίαμβον ἐθριάμβευσε λαμπρότερον τοῦ προτέρου φάβιος. ὥσπερ ἀθλητὴς ἀγαθὸς ἐπαγωνιζόμενος τῷ ἀννίβᾳ, καὶ ῥᾳδίως ἀπολυόμενος αὐτοῦ τὰς πράξεις, ὥσπερ ἅμματα καὶ λαβὰς οὐκέτι τὸν αὐτὸν ἐχούσας τόνον. ἡ μὲν γὰρ, ἀνεῖτο τῆς δυνάμεως αὐτῷ διὰ τρυφὴν καὶ πλοῦτον. ἡ δ᾽ ὥσπερ ἐξήμβλωτο καὶ κατατέτριπτο τοῖς ἀλωφήτοις ἀγῶσιν. ἦν δὲ μάρκος λεύκιος, οὗ τὸν τάραντα φρουροῦντος, ὁ ἀννίβας ἀπέστησεν. ὅμως δὲ τὴν ἄκραν κατέχων, οὐκ ἐξεκρούσθη καὶ διεφύλαξεν ἄχρι τοῦ πάλιν ὑπὸ ῥωμαίοις γενέσθαι τοὺς ταραντίνους. τοῦτον, ἠνία φάβιος τιμώμενος. καί ποτε πρὸς τὴν σύγκλητον ὑπὸ φθόνου καὶ φι-

πῶς

ἥττων

φιλανθρωπί

ἐξήμβλωτο s.t.

λίβιος

ράτων ἀπὸ τοπαῖς συνηγόρευον οἱ μάντεις, ἐπράττετο. καὶ γὰρ εἰς δελφοὺς ἐπέμφθη θεοπρόπος πίκτωρ συγγενὴς φαβίου. καὶ τῶν ἑστιάδων παρθένων δύο διεφθαρμένας εὑρόντες, τὴν μὲν, ὥσπερ ἔθος, ζῶσαν κατώρυξαν. ἡ δ᾽ ὑφ᾽ ἑαυτῆς ἀπέθανε. μάλιστα δ᾽ αὖτις ἠγάσατο τὸ φρόνημα καὶ τὴν πραότητα τῆς πόλεως, ὅτε τοῦ ὑπάτου βάρρωνος ἀπὸ τῆς φυγῆς ἐπανιόντος, ὡς ἂν τις αἴσχιστα καὶ δυσποτμώτατα πεπραχὼς ἐπανίοι, ταπεινοῦ καὶ κατηφοῦς, ἀπήντησεν αὐτῷ περὶ τὰς πύλας ἥτε βουλὴ καὶ τὸ πλῆθος ἅπαν, ἀσπαζόμενοι. οἱ δ᾽ ἐν τέλει καὶ πρῶτοι τῆς γερουσίας, ὧν καὶ φάβιος ἦν, ἡσυχίας γενομένης, ἐπῄνεσαν, ὅτι τὴν πόλιν οὐκ ἀπέγνω μετὰ δυστυχίαν τηλικαύτην, ἀλλὰ πάρεστιν ἄρξων ἐπὶ τὰ πράγματα καὶ χρησόμενος τοῖς νόμοις καὶ τοῖς πολίταις, ὡς σώζεσθαι δυναμένοις. ἐπεὶ δ᾽ ἀννίβαν ἐπύθοντο, μετὰ τὴν μάχην ἀποτετράφθαι πρὸς τὴν ἄλλην ἰταλίαν, ἀναθαρρήσαντες, ἐξέπεμπον ἡγεμόνας καὶ στρατεύματα. τούτων δ᾽ ἐπιφανέστατοι, φάβιός τε μάξιμος, καὶ κλαύδιος μάρκελλος ἦσαν, ἀπὸ τῆς ἐναντίας σχεδὸν προαιρέσεως, θαυμαζόμενοι παραπλησίως. ὁ μὲν γὰρ, ὥσπερ ἐν τοῖς περὶ αὐτοῦ γεγραμμένοις εἴρηται, περιλαμπὲς τὸ δραστήριον ἔχων καὶ γαῦρον. ἅτε δὴ καὶ κατὰ χεῖρα πλήκτης ἀνὴρ, καὶ φύσει τοιοῦτος ὢν οἵους ὅμηρος μάλιστα καλεῖ φιλοπολέμους καὶ ἀγερώχους, ἐν τῷ παραβόλῳ καὶ ἰταμῷ, καὶ πρὸς ἄνδρα τολμηρὸν τὸν ἀννίβαν, ἀντιτολμῶντι τῷ τρόπῳ, πολέμου συνίστατο τοὺς πρώτους ἀγῶνας. φάβιος δὲ, τῶν πρώτων ἐχόμενος λογισμῶν ἐκείνων, ἤλπιζε μηδενὸς μαχομένου, μηδ᾽ ἐρεθίζοντος τὸν ἀννίβαν, αὐτὸν ἐπηρεάσειν ἑαυτῷ, καὶ κατατριβήσεσθαι περὶ τὸν πόλεμον, ὥσπερ ἀθλητικοῦ σώματος τῆς δυνάμεως ὑπερτόνου γενομένης, καὶ κατάπονου, ταχύτατα τὴν ἀκμὴν ἀποβάλλοντα. διὸ τοῦτον μὲν ὁ ποσειδώνιος φησὶ θυρεὸν, τὸν δὲ μάρκελλον, ξίφος ὑπὸ τῶν ῥωμαίων καλεῖσθαι. κιρναμένην δὲ τὴν φαβίου βεβαιότητα καὶ ἀσφάλειαν τῇ μαρκέλλου συνηθείᾳ, σωτήριον γενέσθαι τοῖς ῥωμαίοις. ὁ δ᾽ ἀννίβας, τῷ μὲν, ὡς ῥέοντι σφόδρα ποταμῷ, πολλάκις ἀπαντῶν, ἀπεσείετο καὶ παρερρήγνυτο τὴν δύναμιν. ὑφ᾽ οὗ δὲ καὶ κατὰ μικρὸν ὑπορρέοντος ἀψοφητὶ καὶ παρεμπίπτοντος ἐνδελεχῶς, ὑπερειπόμενος καὶ δαπανώμενος ἐλάνθανε. καὶ τελευτῶν εἰς ἀπορίαν κατέστη τοσαύτην, ὥστε μαρκέλλῳ μὲν ἀποκαμεῖν μαχόμενον. φάβιον δὲ φοβεῖσθαι μὴ μαχόμενον. τὸ γὰρ πλεῖστον ὡς εἰπεῖν τοῦ χρόνου, τούτοις διεπολέμησεν. ἢ στρατηγοῖς. ἢ ἀνθυπάτοις. ἢ ὑπάτοις ἀποδεικνυμένοις. ἑκάτερος γὰρ αὐτῶν, πεντάκις ὑπάτευσεν. ἀλλὰ μάρκελλον μὲν, ὑπατεύοντα τὸ πέμπτον, ἐνέδρα περιβαλὼν, ἔκτεινε. φαβίῳ δὲ πᾶσαν ἀπάτην καὶ διάπειραν ἐπάγων πολλάκις, οὐδὲν ἐπέραινε. πλὴν ἅπαξ ὀλίγον παρακρουσάμενος, ἔσφηλε τὸν ἄνδρα. συνθεὶς γὰρ ἐπιστολὰς παρὰ τῶν ἐν μεταποντίῳ δυνατῶν καὶ πρώτων, ἔπεμψε πρὸς τὸν φάβιον, ὡς τῆς πόλεως ἐνδοθησομένης εἰ παραγένοιτο. καὶ τῶν τοῦτο πραττόντων ἐκεῖνον ἐλθεῖν καὶ φανῆναι πλησίον ἀναμενόντων. ταῦτ᾽ ἐκίνησε τὸν φάβιον τὰ γράμματα, καὶ λαβὼν μέρος τι τῆς στρατιᾶς, ἔμελλεν ὁρμήσειν διὰ νυκτός. εἶτα χρησάμενος ὄρνισιν οὐκ αἰσίοις, ἀπετράπη. καὶ μετὰ μικρὸν ἐπεγνώσθη τὰ γράμματα πρὸς αὐτὸν ὑπ᾽ ἀννίβου, δόλῳ συντεθέντα, κἀκεῖνος ἐνεδρεύων αὐτὸν ὑπὸ τὴν πόλιν. ἀλλὰ ταῦτα μὲν ἄν τις εὐνοίᾳ θεῶν ἀναθείη. τὰς δ᾽ ἀποστάσεις τῶν πόλεων, καὶ τὰ κινήματα τῶν συμμάχων, ὁ φάβιος μᾶλλον ᾤετο δεῖν ἠπίως ὁμιλοῦντα καὶ πράως ἀνείργειν καὶ δυσωπεῖν, μὴ πᾶσαν ὑπόνοιαν ἐλέγχοντα, καὶ χαλεπὸν ὄντα παντάπασι τοῖς ὑπόπτοις. λέγεται γὰρ ὅτι στρατιώτην ἄνδρα μάρσον, ἀνδρείᾳ καὶ γένει τῶν συμμάχων πρῶτον, αἰσθόμενος διειλεγμένον τισὶ τῶν ἐν τῷ στρατοπέδῳ περὶ ἀποστάσεως, οὐ διηρέθισεν. ἀλλ᾽ ὁμολογήσας ἠμελῆσθαι παρ᾽ ἀξίαν αὐτὸν, νῦν μὲν ἔφη τοὺς ἡγεμόνας αἰτιᾶσθαι πρὸς χάριν μᾶλλον, ἢ πρὸς ἀρετὴν τὰς τιμὰς νέμοντας. ὕστερον δ᾽ ἐκεῖνον αἰτιάσεσθαι μὴ φράζοντα, μηδ᾽ ἐντυγχάνοντα πρὸς αὐτὸν, εἴ του δέοιτο. καὶ ταῦτ᾽ εἰπὼν, ἵππον τε πολεμιστὴν ἐδωρήσατο, καὶ τοῖς ἄλλοις ἀριστείοις ἐκόσμησεν. ὥστε πιστότατον ἐξ ἐκείνου καὶ προθυμότατον εἶναι τὸν ἄνδρα. δεινὸν γὰρ ἡγεῖτο, τοὺς μὲν ἱππικοὺς καὶ κυνηγετικοὺς ἐπιμελείᾳ καὶ συνηθείᾳ, καὶ τροφῇ μᾶλλον ἢ μάστιξι καὶ κλοιοῖς, τὴν χαλεπότητα τῶν ζώων καὶ τὸ θυμούμενον καὶ τὸ δυσκολαῖνον ἐξαιρεῖν, τὸν δ᾽ ἀνθρώπων ἄρχοντα μὴ τὸ πλεῖστον ἐν χάριτι καὶ πραότητι τῆς ἐπανορθώσεως τίθεσθαι. σκληρότερον δὲ προσφέρεσθαι καὶ βιαιότερον ἤπερ οἱ γεωργοῦντες ἐρινεοῖς. καὶ ἀχράσι καὶ κοτίνοις προσφέρονται. τὰ μὲν εἰς ἐλαίας. τὰ δ᾽ εἰς ἀπίους τὰ δ᾽ εἰς συκᾶς ἐξημεροῦντες καὶ τιθασεύοντες. ἕτερον τοίνυν τῷ γένει λευκανὸν ἄνδρα, προσήγγελλον οἱ λοχαγοὶ, ῥεμβόμενον ἀπὸ τοῦ στρατοπέδου, καὶ τὴν τάξιν ἐκλείποντα πολλάκις. ὁ δ᾽ ἠρώτησε, τἄλλα ποῖόν τινα τὸν ἄνθρωπον εἰδεῖεν ὄντα. μαρτυρούντων δὲ πάντων, ὅτι ῥᾳδίως ἕτερος οὐκ εἴη στρατιώτης τοιοῦτος, ἅμα τ᾽ αὐτοῦ τινὰς ἀνδραγαθίας ἐπιφανεῖς καὶ πράξεις λεγόντων, αἰτίαν τῆς ἀταξίας ζητῶν, εὗρεν ἔρωτι παιδίσκης κατεχόμενον τὸν ἄνδρα, καὶ κινδυνεύοντα μακρὰς ὁδοὺς, ἑκάστοτε φοιτῶντα πρὸς ἐκείνην ἀπὸ τοῦ στρατοπέδου. πέμψας οὖν τινὰς ἀγνοοῦντος αὐτοῦ, καὶ συλλαβὼν τὸ γύναιον, ἔκρυψεν ἐν τῇ σκηνῇ, καὶ καλέσας τὸν λευκανὸν ἰδίᾳ πρὸς αὐτὸν, οὐ λέληθας ἔφη παρὰ τὰ τῶν ῥωμαίων πάτρια καὶ τοὺς νόμους ἀπονυκτερεύων τοῦ στρατοπέδου πολλάκις. ἀλλ᾽ οὐδὲ χρηστὸς ὢν πρότερον ἐλε

ἠγάσατο ς. τ.

ἀποβαλόντα

ὀλίγου q. πο. ὀτ.

ὅταν τούτους διακόψαντες οἱ ῥωμαῖοι, καὶ φερόμενοι πρὸς τὸ εἶκον, ἐκφερομένου τοῦ μέσου καὶ κόλπον λαμβάνοντες, ἐντὸς γένωνται τῆς φάλαγγος, ὀξέως ἑκατέρωθεν ἐπιστρέψαντας, ἐμβαλεῖν τε πλαγίοις, καὶ περιπτύξαι, ὄπισθεν συγκλείοντας. ὃ δὴ καὶ δοκεῖ τὸν πλεῖστον ἀπεργάσασθαι φόνον. ὡς γὰρ ἐνέδωκε τὸ μέσον καὶ τοὺς ῥωμαίους ἐδέξαντο διώκοντας, ἡ δὲ φάλαγξ τοῦ ἀννίβου μεταβαλοῦσα τὸ σχῆμα, μηνοειδὴς ἐγεγόνει. καὶ τῶν ἐπιλέκτων οἱ ταξίαρχοι, ταχὺ τοὺς μὲν ἐπ' ἀσπίδα. τοὺς δ' ἐπὶ δόρυ κλίναντες, προσέπιπτον κατὰ τὰ γυμνά, πάντας, ὅσοι μὴ τὴν κύκλωσιν ἐκκλίναντες ἔφθασαν, ἐν μέσῳ κατειργάζοντο καὶ διέφθειραν. λέγεται δὲ καὶ τοῖς ἱππεῦσι τῶν ῥωμαίων σύμπτωμα παράλογον γενέσθαι. τὸν γὰρ παῦλον ὡς ἔοικε τρωθεὶς ὁ ἵππος ἀπεσείσατο. καὶ τῶν περὶ αὐτὸν ἄλλος καὶ ἄλλος ἀφαλλόμενος τὸν ἵππον, πεζὸς τῷ ὑπάτῳ προσήμυνε. τοῦτο δ' οἱ ἱππεῖς ἰδόντες, ὡς παραγγέλματος κοινοῦ διδομένου, πάντες ἀποπηδήσαντες, πεζοὶ συνεπλέκοντο τοῖς πολεμίοις. ἰδὼν δὲ ἀννίβας, τοῦτ' ἔφη μᾶλλον ἐβουλόμην, ἢ εἰ δεδεμένους παρέλαβον. ἀλλὰ ταῦτα μὲν οἱ τὰς διεξοδικὰς γράψαντες ἱστορίας ἀπηγγέλκασι. τῶν δ' ὑπάτων, ὁ μὲν βάρρων, ὀλιγοστὸς ἀφίππευσεν εἰς οὐενουσίαν πόλιν. ὁ δὲ παῦλος, ἐν τῷ βυθῷ καὶ κλύδωνι τῆς φυγῆς ἐκείνης, βελῶν τε πολλῶν αὐτοῖς τραύμασιν ἐγκειμένων ἀνάπλεως τὸ σῶμα, καὶ τὴν ψυχὴν πένθει τοσούτῳ βαρυνόμενος, πρός τινι λίθῳ καθῆστο, τὸν ἀποσφάξοντα τῶν πολεμίων ἀναμένων. ἦν δὲ δι' αἵματος πλῆθος, ᾧ συνεπέφυρτο τὴν κεφαλὴν καὶ τὸ πρόσωπον, οὐ πολλοῖς διάδηλος, ἀλλὰ καὶ φίλοι καὶ θεράποντες αὐτὸν ὑπ' ἀγνοίας παρῆλθον. μόνος δὲ κορνήλιος λέντλος εὐπατρίδης νέως, ἰδὼν καὶ κατανοήσας, ἀποπηδήσας τοῦ ἵππου, καὶ προσαγαγὼν παρεκάλει χρῆσθαι καὶ σῴζειν αὑτὸν τοῖς πολίταις, ἄρχοντος ἀγαθοῦ τότε μάλιστα χρῄζουσιν. ὁ δὲ, ταύτην μὲν ἀπετρίψατο τὴν δέησιν, καὶ τὸ μειράκιον αὖθις ἠνάγκασεν ἐπὶ τὸν ἵππον ἀναβῆναι δακρῦον, εἶτα δὲ τὴν δεξιὰν ἐμβαλὼν, καὶ συνεξαναστὰς, ἀπάγγελλε εἶπεν ὦ λέντλε φαβίῳ μαξίμῳ, καὶ γενοῦ μάρτυς αὐτὸς, ὅτι παῦλος αἰμίλιος ἐνέμεινεν αὐτοῦ τοῖς λογισμοῖς, ἄχρι τέλους. καὶ τῶν ὁμολογηθέντων πρὸς ἐκεῖνον, οὐδὲν ἔλυσεν, ἀλλ' ἐνικήθη πρότερον ὑπὸ βάρρωνος, εἶθ' ὑπὸ ἀννίβου. τοσαῦτ' ἐπιστείλας, τὸν μὲν λέντλον ἀπέπεμψεν. αὐτὸς δὲ ῥίψας ἑαυτὸν εἰς τοὺς φονευομένους, ἀπέθανε. λέγονται δὲ πεσεῖν μὲν ἐν τῇ μάχῃ ῥωμαίων, πεντακισμύριοι. ζῶντες δ' ἁλῶναι, τετρακισχίλιοι. καὶ μετὰ τὴν μάχην οἱ ληφθέντες ἐπ' ἀμφοτέροις τοῖς στρατοπέδοις, μυρίων οὐκ ἐλάττους. τὸν δ' ἀννίβαν, ἐπὶ τηλικούτῳ κατορθώματι, τῶν φίλων παρορμώντων ἅμ' ἕπεσθαι τῇ τύχῃ, καὶ συνεισπεσεῖν ἅμα τῇ φυγῇ τῶν πολεμίων εἰς τὴν πόλιν. πεμπταῖον γὰρ ἀπὸ τῆς νίκης ἐν καπιτωλίῳ δειπνήσειν, οὐ ῥᾴδιον εἰπεῖν, ὅστις ἀπέτρεψε λογισμὸς, ἀλλὰ μᾶλλον δαίμονος, ἢ θεοῦ τινὸς ἐμποδὼν στάντος ἔοικεν ἔργον ἡ πρὸς τοῦτο μέλλησις αὐτοῦ καὶ δειλίασις γενέσθαι. διὸ καὶ βάρκαν τὸν καρχηδόνιον, εἰπεῖν μετ' ὀργῆς πρὸς αὐτὸν λέγουσιν. σὺ νικᾶν οἶδας, νίκῃ δὲ χρῆσθαι, οὐκ οἶδας. καίτοι τοσαύτην μεταβολὴν ἡ νίκη περὶ αὐτὸν ἐποίησεν, ὡς πρὸ τῆς μάχης, οὐ πόλιν, οὐκ ἐμπόριον, οὐ λιμένα τῆς ἰταλίας ἔχοντα, χαλεπῶς δὲ καὶ μόλις τὰ ἐπιτήδεια τῇ στρατιᾷ δι' ἁρπαγῆς κομιζόμενον, ὁρμώμενον ἀπ' οὐδενὸς βεβαίου πρὸς τὸν πόλεμον, ἀλλ' ὥσπερ λῃστηρίῳ μεγάλῳ τῷ στρατοπέδῳ πλανώμενον καὶ περιφερόμενον, τότε πᾶσαν ὀλίγου δεῖν ὑφ' αὑτῷ ποιήσασθαι τὴν ἰταλίαν. τὰ γὰρ πλεῖστα καὶ μέγιστα τῶν ἐθνῶν αὐτῷ προσεχώρησεν ἑκουσίως. καὶ καπύην ἣ μέγιστον ἔχει μετὰ ῥώμην ἀξίωμα τῶν πόλεων, προσθεμένην κατέσχεν. οὐ μόνον δ' ἦν ἄρα τὸ φίλων πεῖραν λαβεῖν, ὡς εὐριπίδης φησὶν, οὐ σμικρὸν κακὸν, ἀλλὰ καὶ τὸ φρονίμων στρατηγῶν. ἡ γὰρ πρὸ τῆς μάχης φαβίου δειλία καὶ ψυχρότης λεγομένη, μετὰ τὴν μάχην εὐθὺς, οὐδ' ἀνθρώπινος ἐδόκει λογισμὸς, ἀλλὰ θεῖόν τι χρῆμα διανοίας καὶ δαιμόνιον, ἐκ τοσούτου τὰ μέλλοντα προορωμένης, ἃ μόλις ἦν πιστὰ τοῖς πάσχουσιν. ὅθεν εὐθὺς εἰς ἐκεῖνον ἡ ῥώμη συνενεγκοῦσα τὰς λοιπὰς ἐλπίδας, καὶ προσφυγοῦσα τῇ γνώμῃ τοῦ ἀνδρὸς ὥσπερ ἱερῷ καὶ βωμῷ, πρώτην καὶ μεγίστην αἰτίαν ἔσχε τοῦ μεῖναι καὶ μὴ διαλυθῆναι τὴν ἐκείνου φρόνησιν, καθάπερ ἐν τοῖς κελτικοῖς πάθεσιν.* ὁ γὰρ ἐν οἷς οὐδὲν ἐδόκει δεινὸν εἶναι καιροῖς, εὐλαβὴς φαινόμενος καὶ δύσελπις, τότε πάντων καταβεβληκότων ἑαυτοὺς εἰς ἀπέραντα πένθη καὶ ταραχὰς ἀπράκτους, μόνος ἐφοίτα διὰ τῆς πόλεως, πρᾴῳ βαδίσματι καὶ προσώπῳ καθεστῶτι, καὶ φιλανθρώπῳ προσαγορεύσει, κοπετούς τε γυναικείους ἀφαιρῶν, καὶ συστάσεις εἴργων, τῶν εἰς τὸ δημόσιον ἐπὶ κοινοῖς ὀδυρμοῖς ἐκφερομένων. βουλήν τε συνελθεῖν ἔπεισε, καὶ παρεθάρσυνε τὰς ἀρχὰς, αὐτὸς ὢν καὶ ῥώμη καὶ δύναμις, ἀρχῆς ἁπάσης πρὸς ἐκεῖνον ἀποβλεπούσης. ταῖς μὲν οὖν πύλαις ἐπέστησε τοὺς τὸν ἐκπίπτοντα καὶ προλείποντα τὴν πόλιν ὄχλον ἀπείρξοντας. πένθους δὲ καὶ τόπον καὶ χρόνον ὥρισε, κατ' οἰκίαν ἀποθρηνεῖν κελεύσας ἐφ' ἡμέρας τριάκοντα, τὸν βουλόμενον. μετὰ δὲ ταύτας, ἔδει πᾶν πένθος λύεσθαι, καὶ καθαρεύειν τῶν τοιούτων τὴν πόλιν. ἑορτῆς τε δήμητρος εἰς τὰς ἡμέρας ἐκείνας καθηκούσης, βέλτιον ἐφάνη παραλιπεῖν ὅλως τάς τε θυσίας καὶ τὴν πομπὴν, ἢ τὸ μέγεθος τῆς συμφορᾶς ὀλιγότητι καὶ κατηφείᾳ τῶν συνερχομένων, ἐλέγχεσθαι. καὶ γὰρ τὸ θεῖον ἥδεσθαι τιμώμενον ὑπὸ τῶν εὐτυχούντων. ὅσα μέντοι πρὸς ἱλασμοὺς θεῶν, ἤ τε

νέος

* Ego puto hic aliquid deesse et fortasse haec verba desunt ... τοῦ καμίλλου.

ἀπέραντ

εἰπὼν καὶ τοὺς αὐτοῦ αἴρεσθαι κελεύσας, καὶ πάντας ἀκολουθεῖν, ἦγε πρὸς τὸν χάρακα τοῦ φαβίου. αὐτοὺς ς. τ. φ.
καὶ παρελθὼν εἴσω, ἐβάδιζεν ἐπὶ τὴν στρατηγικὴν σκηνήν, ὥστε θαυμάζειν καὶ διαπορεῖν πάντας.
προελθόντος δὲ τοῦ φαβίου, θέμενος ἔμπροσθεν τὰς σημαίας, αὐτὸς μὲν ἐκεῖνον πατέρα μεγάλῃ φω-
νῇ, οἱ δὲ στρατιῶται τοὺς στρατιώτας, πάτρωνας ἠσπάζοντο. τοῦτο δ' ἐστὶ τοῖς ἀπελευθέροις προσφώ-
νημα πρὸς τοὺς ἀπελευθερώσαντας. ἡσυχίας δὲ γενομένης, ὁ μινούκιος εἶπε. δύο νίκας ὦ δικτάτωρ τῇ
σήμερον ἡμέρᾳ νενίκηκας. ἀνδρίᾳ μὲν, τοὺς πολεμίους. εὐβουλίᾳ δὲ καὶ χρηστότητι τὸν συνάρχοντα.
καὶ δι' ἧς μὲν, σέσωκας ἡμᾶς. δι' ἧς δὲ πεπαίδευκας, ἡττωμένους μὲν αἰσχὰν ἧτταν ὑπ' ἐκείνου. καλὴν δὲ αἰσχρὰν
καὶ σωτήριον, ὑπὸ σοῦ. πατέρα δή σε χρηστὸν προσαγορεύω, τιμιώτερον οὐκ ἔχων προσηγορίαν. ἐ-
πεὶ τῆς γε τοῦ τεκόντος, μείζων ἡ παρὰ σοῦ χάρις αὕτη. ἐγεννήθην μὲν γὰρ ὑπ' ἐκείνου, μόνος. σώζομαι
δὲ ὑπὸ σοῦ, μετὰ τοσούτων. ταῦτ' εἰπὼν καὶ περιβαλὼν τὸν φάβιον, ἠσπάζετο. τὸ δ' αὐτὸ καὶ τοὺς στρα-
τιώτας ἦν ὁρᾶν πράττοντας. ἐνεφύοντο γὰρ ἀλλήλοις καὶ κατεφίλουν. ὥστε μεστὸν εἶναι χαρᾶς καὶ
δακρύων ἡδίστων τὸ στρατόπεδον. ἐκ τούτου, φάβιος μὲν ἀπέθετο τὴν ἀρχήν, ὕπατοι δ' αὖθις ἀπεδεί-
κνυντο. καὶ τούτων οἱ μὲν πρῶτοι, διεφύλαξαν ἣν ἐκεῖνος ἰδέαν τοῦ πολέμου κατέστησε. μάχεσθαι μὲν
ἐκ παρατάξεως φεύγοντες πρὸς ἀννίβαν, τοῖς δὲ συμμάχοις ἐπιβοηθοῦντες καὶ τὰς ἀποστάσεις κω-
λύοντες. τερέντιος δὲ βάρρων εἰς τὴν ὑπατείαν προαχθείς, ἀπὸ γένους ἀσήμου, βίου δὲ διὰ δημοκο- ἀπὸ ς. τ. φ.
πίαν καὶ προπέτειαν ἐπισήμου, δῆλος ἦν εὐθὺς ἀπειρίᾳ καὶ θρασύτητι τὸν περὶ τῶν ὅλων ἀναῤῥί-
ψων κύβον. ἐβόα γὰρ ἐν ταῖς ἐκκλησίαις, μένειν τὸν πόλεμον ἄχρις οὗ φαβίοις χρῆται στρατηγοῖς
ἡ πόλις. αὐτὸς δὲ τῆς αὐτῆς ἡμέρας, ἅψεσθαί τε καὶ νικήσειν τοὺς πολεμίους. ἅμα δὲ τούτοις τοῖς λό- ὄψεσθαι
γοις, συνῆγε καὶ κατέγραφε δύναμιν τηλικαύτην ἡλίκῃ πρὸς οὐδένα πώποτε τῶν πολεμίων ἐ-
χρήσαντο ῥωμαῖοι. μυριάδες γὰρ ἐννέα δισχιλίων ἀνδρῶν δέουσαι, συνετάχθησαν εἰς τὴν μάχην. μέ-
γα δέος φαβίῳ καὶ τοῖς νοῦν ἔχουσι ῥωμαίων. οὐ γὰρ ἤλπιζον ἕξειν ἀναφορὰν τὴν πόλιν, ἐν τοσαύ-
τῃ σφαλεῖσαν ἡλικίᾳ. διὸ καὶ τὸν συνάρχοντα τοῦ τερεντίου, παῦλον αἰμίλιον, ἄνδρα πολέμων ἔμ-
πειρον. οὐκ ἀρεστὸν δὲ τῷ δήμῳ, καὶ καταπλῆγα πολλῶν. ἔκ τινος καταδίκης πρὸς τὸ δημόσιον αὐτῷ
γεγενημένης, ἀνέστη καὶ παρεθάῤῥυνεν ἐπιλαμβάνεσθαι τῆς ἐκείνου μανίας, διδάσκων ὡς οὐ πρὸς
ἀννίβαν αὐτῷ μᾶλλον, ἢ πρὸς τερέντιον ὑπὲρ τῆς πατρίδος ὁ ἀγὼν ἔσοιτο. σπεύσειν γὰρ μάχην γε- δεῖν ς. τ. κ.
νέσθαι. τὸν μὲν οὐκ αἰσθανόμενον τῆς δυνάμεως. τὸν δ' αἰσθανόμενον, τῆς περὶ αὐτὸν ἀσθενείας. ἐγὼ δ' αὐτὸν
εἶπεν ὦ παῦλε τερεντίου πιστεύεσθαι δικαιότερός εἰμι, περὶ τῶν ἀννίβου πραγμάτων διαβεβαιού-
μενος, ὡς εἰ μηδεὶς αὐτῷ μαχεῖται τοῦτον τὸν ἐνιαυτόν, ἀπολεῖται μένων ὁ ἀνήρ, ἢ φεύγων ἄπεισιν, ᾧ
γε καὶ νῦν, νικᾶν καὶ κρατεῖν δοκοῦντι, τῶν μὲν πολεμίων, οὐδεὶς προσκεχώρηκε, τῆς δ' οἴκοθεν δυνά-
μεως, οὐδ' ἡ τρίτη μοῖρα, πάρεστι. πρὸς ταῦτα, λέγεται τὸν παῦλον εἰπεῖν. ἐμοὶ μὲν ὦ φάβιε,
τὰ ἐμαυτοῦ σκοποῦντι, κρεῖττόν ἐστι τοῖς τῶν πολεμίων ὑποπεσεῖν δόρασιν, ἢ πάλιν ταῖς ψήφοις
τῶν πολιτῶν. εἰ δ' οὕτως ἔχει τὰ δημόσια πράγματα, πειράσομαι μᾶλλον σοὶ δοκεῖν ἀγαθὸς εἶναι στρα-
τηγός, ἢ πᾶσι τοῖς ἄλλοις ἐπὶ τἀναντία βιαζομένοις. ταύτην ἔχων τὴν προαίρεσιν ὁ παῦλος, ἐξῆλ-
θεν ἐπὶ τὸν πόλεμον. ἀλλ' ὁ τερέντιος ἐμβαλὼν αὑτὸν εἰς τὸ παρ' ἡμέραν ἄρχειν. καὶ τῷ ἀννίβᾳ πα-
ραστρατοπεδεύσας περὶ τὸν αὔφιδον ποταμόν, καὶ τὰς λεγομένας κάννας, ἅμ' ἡμέρᾳ, τὸ τῆς μάχης
σημεῖον ἐξέθηκεν. ἔστι δὲ χιτὼν κόκκινος ὑπὲρ τῆς στρατηγικῆς σκηνῆς διατεινόμενος. ὥστε καὶ τοὺς
καρχηδονίους ἐξ ἀρχῆς διαταραχθῆναι, τήν τε τόλμαν τοῦ στρατηγοῦ, καὶ τὸ τοῦ στρατοπέδου πλῆ-
θος ὁρῶντας. αὑτοὺς δ' οὐδ' ἥμισυ μέρος ὄντας. ἀννίβας δὲ τὴν δύναμιν ἐξοπλίζεσθαι κελεύσας,
αὐτὸς ἱππότης μετ' ὀλίγων, ὑπὲρ λόφου τινὸς μαλακοῦ, κατεσκόπει τοὺς πολεμίους ἤδη καθισταμέ-
νους εἰς τάξιν. εἰπόντος δέ τινος τῶν περὶ αὐτὸν ἀνδρὸς ἰσοτίμου, τοὔνομα γίσκωνος, ὡς θαυμαστὸν αὐ-
τῷ φαίνεται τὸ πλῆθος τῶν πολεμίων, συναγαγὼν τὸ πρόσωπον ὁ ἀννίβας. ἕτερον εἶπεν ὦ γίσκων
λέληθέ σε τούτου θαυμασιώτερον. ἐρομένου δὲ τοῦ γίσκωνος τὸ ποῖον, ὅτι ἔφη τούτων ὄντων τοσού-
των, οὐδεὶς ἐν αὐτοῖς γίσκων καλεῖται. γενομένου δὲ παρὰ δόξαν αὐτοῖς τοῦ σκώμματος, ἐμπίπτει γέ-
λως πᾶσι, καὶ κατέβαινον ἀπὸ τοῦ λόφου, τοῖς ἀπαντῶσιν ἀεὶ τὸ πεπαιγμένον ἀπαγγέλλοντες. ὥστε
διὰ πολλῶν πολὺν εἶναι τὸν γέλωτα, καὶ μὴ δ' ἀναλαβεῖν ἑαυτοὺς δύνασθαι τοὺς περὶ ἀννίβαν. τοῦ-
το τοῖς καρχηδονίοις ἰδοῦσι, θάρσος παρέστη, λογιζομένοις ἀπὸ πολλοῦ καὶ ἰσχυροῦ τοῦ καταφρονοῦν-
τος, ἐπιέναι γελᾶν οὕτως, ὡς καὶ παίζειν τῷ στρατηγῷ παρὰ τὸν κίνδυνον. ἐν δὲ τῇ μάχῃ, στρατηγήμα-
σιν ἐχρήσατο, πρώτῳ μὲν, τῷ ἀπὸ τοῦ τόπου, ποιησάμενος κατὰ νώτου τὸν ἄνεμον. πρηστῆρι γὰρ ἐοικὼς
φλέγοντι, κατεῤῥήγνυτο. καὶ τραχὺν ἐκ πεδίων ὑφάμμων καὶ ἀναπεπταμένων αἴρων κονιορτόν, ὑπὲρ
τὴν φάλαγγα τῶν καρχηδονίων, ἐπὶ τοὺς ῥωμαίους ὤθει, καὶ προσέβαλλε τοῖς προσώποις ἀποστρε-
φομένοις καὶ συνταραττομένοις. δευτέρῳ δὲ, τῷ περὶ τὴν τάξιν. ὃ γὰρ ἦν ἰσχυρότατον αὐτῶν καὶ μα-
χιμώτατον τῆς δυνάμεως, ἑκατέρωθε τοῦ μέσου τάξας, τὸ μέσον αὐτὸς συνεπλήρωσεν ἐκ τῶν ἀχρειο-
τάτων, ἐμβόλῳ τούτῳ προέχοντι πολὺ τῆς ἄλλης φάλαγγος χρησάμενος. εἴρητο δὲ τοῖς κρατίστοις,

ἀπὸ κενῆς δόξης καὶ ὄγκου, φθάσῃ τι κακὸν ἀπεργασάμενος, λαθὼν ἅπαντας ἐξῆλθε. καὶ παραγενόμενος εἰς τὸ στρατόπεδον, καὶ καταλαβὼν τὸν μινούκιον οὐκέτι καθεκτὸν, ἀλλὰ βαρὺν καὶ τετυφωμένον, καὶ παρὰ μέρος ἄρχειν ἀξιοῦντα, τοῦτο μὲν οὐ συνεχώρησε, τὴν δὲ δύναμιν διενείματο πρὸς αὐτὸν. ὡς μέρους μόνος ἄρξειν βέλτιόν τι ὂν, ἢ πάντων παρὰ μέρος. καὶ τὸ μὲν πρῶτον τῶν ταγμάτων καὶ τέταρτον αὐτὸς ἔλαβε. τὸ δὲ δεύτερον καὶ τρίτον ἐκείνῳ παρέδωκεν. ἐπίσης καὶ τῶν συμμαχικῶν διανεμηθέντων. σεμνυνομένου δὲ τοῦ μινουκίου καὶ χαίροντος ἐπὶ τῷ τὸ πρόσχημα τῆς ἀκροτάτης καὶ μεγίστης ἀρχῆς ὑφεῖσθαι καὶ προπεπηλακίσθαι δι' αὐτὸν, ὑπεμίμνησκεν ὁ φάβιος. ὡς οὐκ ὄντος μὲν αὐτῷ πρὸς φάβιον, ἀλλ' εἰ σωφρονεῖ πρὸς ἀννίβαν τοῦ ἀγῶνος. εἰ δὲ καὶ πρὸς τὸν συνάρχοντα φιλονεικεῖ, σκοπεῖν ὅπως τοῦ νενικημένου καὶ καθυβρισμένου παρὰ τοῖς πολίταις, ὁ τετιμημένος καὶ νενικηκὼς, οὐ φανεῖται μᾶλλον ὀλιγωρῶν τῆς σωτηρίας αὐτῶν καὶ τῆς ἀσφαλείας. ὁ δὲ, ταῦτα μὲν, εἰρωνείαν ἡγεῖτο γεροντικὴν, παραλαβὼν δὲ τὴν ἀποκληρωθεῖσαν δύναμιν ἰδίᾳ καὶ χωρὶς ἐστρατοπέδευσεν, οὐδὲν ἀγνοοῦντος τοῦ ἀννίβου τῶν γινομένων, ἀλλὰ πᾶσιν ἐφεδρεύοντος. ἦν δὲ λόφος κατὰ μέσον, καταληφθῆναι μὲν οὐ χαλεπὸς, ὀχυρὸς δὲ καταληφθεὶς στρατοπέδῳ, καὶ διαρκὴς εἰς ἅπαντα. τὸ δὲ πέριξ πεδίον, ὀφθῆναι μὲν ἄπωθεν, ὁμαλὸν διὰ ψιλότητα καὶ λεῖον, ἔχον δέ τινας οὐ μεγάλας τάφρους ἐν αὐτῷ, καὶ κοιλότητας ἄλλας. διὸ καὶ τὸν λόφον ἐκ τοῦ ῥᾴστου κρύφα κατασχεῖν, παρὸν, οὐκ ἠθέλησεν ὁ ἀννίβας. ἀλλ' ἀπέλιπε μάχης ἐν μέσῳ πρόφασιν. ὡς δ' εἶδε κεχωρισμένον τοῦ φαβίου τὸν μινούκιον, νυκτὸς μὲν εἰς τὰς τάφρους καὶ τὰς κοιλότητας κατέσπειρε τῶν στρατιωτῶν τινάς. ἅμα δὲ τῇ ἡμέρᾳ, φανερῶς ἔπεμψεν οὐ πολλοὺς καταληψομένους τὸν λόφον, ὡς ἐπάγοιτο συμπεσεῖν περὶ τοῦ τόπου τὸν μινούκιον. ὃ δὴ καὶ συνέβη. πρῶτον μὲν γὰρ ἀπέστειλε τὴν κούφην στρατιάν. ἔπειτα τοὺς ἱππεῖς. τέλος δ' ὁρῶν τὸν ἀννίβαν παραβοηθοῦντα τοῖς ἐπὶ τοῦ λόφου, πάσῃ δυνάμει κατέβαινε συντεταγμένος, καὶ μάχην καρτερὰν θέμενος, ἠμύνετο τοὺς ἀπὸ τοῦ λόφου βάλλοντας, συμπλεκόμενος καὶ ἴσα φερόμενος. ἄχρις οὗ καλῶς ἠπατημένον ὁρῶν ὁ ἀννίβας, καὶ γυμνὰ παρέχοντα τοῖς ἐνεδρεύουσι τὰ νῶτα, τὸ σημεῖον αἴρει. πρὸς δὲ τοῦτο, πολλαχόθεν ἐξανισταμένων ἅμα, καὶ μετὰ κραυγῆς προσφερομένων, καὶ τοὺς ἐσχάτους ἀποκτιννύντων, ἀδιήγητος κατεῖχε ταραχὴ καὶ πτοία τοὺς ῥωμαίους. αὐτοῦ τε τοῦ μινουκίου τὸ θράσος κατεκέκλαστο. καὶ πρὸς ἄλλον ἄλλοτε τῶν ἡγεμόνων διεπάπταινεν, οὐδενὸς ἐν χώρᾳ μένειν τολμῶντος, ἀλλὰ πρὸς φυγὴν ὠθουμένων οὐ σωτήριον. οἱ γὰρ νομάδες ἤδη κρατοῦντες κύκλῳ περιήλαυνον τὸ πεδίον. καὶ τοὺς ἀποσκιδναμένους ἔκτεινον. ἐν τοσούτῳ δὲ κακῷ τῶν ῥωμαίων ὄντων, οὐκ ἔλαθεν ὁ κίνδυνος τὸν φάβιον, ἀλλὰ καὶ τὸ μέλλον ὡς ἔοικεν ἤδη προειληφὼς, τήν τε δύναμιν συντεταγμένην εἶχεν ἐπὶ τῶν ὅπλων, καὶ τὰ πραττόμενα γινώσκειν ἐφρόντιζεν, οὐ δι' ἀγγέλων, ἀλλ' αὐτὸς ἔχων κατασκοπὴν πρὸ τοῦ χάρακος. ὡς οὖν κατεῖδε κυκλούμενον καὶ ταραττόμενον τὸ στράτευμα, καὶ κραυγὴ προσέπιπτεν οὐ μενόντων, ἀλλ' ἤδη πεφοβημένων καὶ τρεπομένων, μηρόν τε πληξάμενος καὶ στενάξας μέγα, πρὸς μὲν τοὺς παρόντας, εἶπεν, ὦ ἡράκλεις. ὡς τάχιον μὲν ἢ ἐγὼ προσεδόκων, βράδιον δ' ἢ αὐτὸς ἔσπευδε, μινούκιος ἑαυτὸν ἀπολώλεκε. τὰς δὲ σημαίας ἐκφέρειν κατὰ τάχος, καὶ τὸν στρατὸν ἕπεσθαι κελεύσας, ἀνεβόησε, νῦν τις ὦ στρατιῶται μάρκου μινουκίου μεμνημένος ἐπειγέσθω. λαμπρὸς γὰρ ἀνὴρ καὶ φιλόπατρις. εἰ δέ τι σπεύδων ἐξελάσαι τοὺς πολεμίους, ἥμαρτεν, αὖθις αἰτιασόμεθα. πρῶτος μὲν οὖν ἐπιφανεὶς, τρέπεται καὶ διασκίδνησι τοὺς ἐν τῷ πεδίῳ περιελαύνοντας νομάδας. εἶτα πρὸς τοὺς μαχομένους, καὶ κατὰ νώτου τῶν ῥωμαίων ὄντας, ἐχώρει. καὶ τοὺς ἐμποδὼν ἔκτεινεν. οἱ δὲ λοιποὶ, πρὶν ἀποληφθῆναι καὶ γενέσθαι περιπετεῖς, οἷς αὐτοὶ τοὺς ῥωμαίους ἐποίησαν, ἐγκλίναντες, ἔφυγον. ὁρῶν δ' ὁ ἀννίβας τὴν μεταβολὴν, καὶ τὸν φάβιον εὐρώστως παρ' ἡλικίαν διὰ τῶν μαχομένων ὠθούμενον ἄνω πρὸς τὸν μινούκιον εἰς τὸν λόφον, ἐπέσχε τὴν μάχην. καὶ τῇ σάλπιγγι σημήνας ἀνάκλησιν, ἀπῆγεν εἰς τὸν χάρακα τοὺς καρχηδονίους, ἀσμένως καὶ τῶν ῥωμαίων ἀναστρεφομένων. λέγεται δ' αὐτὸν ἀπιόντα, περὶ τοῦ φαβίου πρὸς τοὺς φίλους εἰπεῖν τι τοιοῦτον μετὰ παιδιᾶς, οὐκ ἐγὼ μέντοι προὔλεγον ὑμῖν πολλάκις τὴν ἐπὶ τῶν ἄκρων ταύτην καθημένην νεφέλην ὅτι μετὰ ζάλης ποτὲ καὶ καταιγίδων ὄμβρον ἐκρήξει. μετὰ δὲ τὴν μάχην, φάβιος μὲν ὅσους ἔκτεινε τῶν πολεμίων σκυλεύσας, ἀνεχώρησεν. οὐδὲν ὑπερήφανον, οὐδ' ἐπαχθὲς εἰπὼν περὶ τοῦ συνάρχοντος. μινούκιος δὲ τὴν αὐτοῦ στρατιὰν ἀθροίσας, ἄνδρες ἔφη συστρατιῶται, τὸ μὲν ἁμαρτεῖν μηδὲν ἐν πράγμασι μεγάλοις, μεῖζον ἢ κατ' ἄνθρωπόν ἐστι, τὸ δ' ἁμαρτόντα χρήσασθαι τοῖς πταίσμασι διδάγμασι πρὸς τὸ λοιπὸν, ἀνδρὸς ἀγαθοῦ καὶ νοῦν ἔχοντος. ἐγὼ μὲν οὖν ὁμολογῶ, μικρὰ μεμφόμενος τὴν τύχην, περὶ μειζόνων ἐπαινεῖν. ἃ γὰρ οὐκ ᾐσθόμην χρόνον τοσοῦτον, ἡμέρας μέρει μικρᾷ πεπαίδευμαι. γνοὺς ἐμαυτὸν, οὐκ ἄρχειν ἑτέρων δυνάμενον, ἀλλ' ἄρχοντος ἑτέρου δεόμενον. καὶ μὴ φιλοτιμούμενον νικᾶν, ὑφ' ὧν ἡττᾶσθαι κάλλιον. ὑμῖν δὲ τῶν μὲν ἄλλων ἐστὶν ἄρχων, ὁ δικτάτωρ. τῆς δὲ πρὸς ἐκεῖνον εὐχαριστίας, αὐτὸς ἡγεμὼν ἔσομαι. πρῶτον ἐμαυτὸν εὐπειθῆ καὶ ποιοῦντα τὸ κελευόμενον ὑπ' ἐκείνου, παρεχόμενος. ταῦτ'

ἐπαγάγοιτο. s. T.

πρὸς

ἀναστρεφομένων ἀποτρεπομένων s. T. k.

ὑπάρχων, τιμῶν αὐτὸν καὶ δόξαν ἐκείνῳ φέρειν, τὰς τούτου διαβολάς. ἐγεγόνει δὲ καὶ τῇ βουλῇ δι᾽ ὀργῆς, οὐχ ἥκιστα μεμφομένῃ τὰς περὶ τῶν αἰχμαλώτων πρὸς Ἀννίβαν ὁμολογίας. ὡμολογήκει γὰρ αὐτοῖς, ἄνδρα μὲν ἀνδρὶ λύεσθαι τῶν ἁλισκομένων· εἰ δὲ πλείους οἱ ἕτεροι γένοιντο, διδόναι δραχμὰς ὑπὲρ ἑκάστου τῶν κομιζομένων, πεντήκοντα καὶ διακοσίας. ὡς οὖν γενομένης τῆς κατ᾽ ἄνδρα διαμείψεως, εὑρέθησαν ὑπόλοιποι Ῥωμαίων παρ᾽ Ἀννίβᾳ, τεσσαράκοντα καὶ διακόσιοι, τούτων ἡ σύγκλητος ἔγνω τὰ λύτρα μὴ πέμπειν, καὶ προσῃτιᾶτο τὸν Φάβιον ὡς οὐ πρεπόντως, οὐδὲ λυσιτελῶς ἄνδρας ὑπὸ δειλίας πολεμίων ἄγραν γενομένους ἀνακομιζόμενον. ταῦτ᾽ ἀκούσας ὁ Φάβιος, τὴν μὲν ὀργὴν ἔφερε πρᾴως τῶν πολιτῶν. χρήματα δ᾽ οὐκ ἔχων, διαψεύσασθαι δὲ τὸν Ἀννίβαν, καὶ προέσθαι τοὺς πολίτας οὐχ ὑπομένων, ἔπεμψε τὸν υἱὸν εἰς Ῥώμην, κελεύσας ἀποδόσθαι τοὺς ἀγρούς, καὶ τὸ ἀργύριον εὐθὺς ὡς αὐτὸν ἐπὶ τὸ στρατόπεδον κομίζειν. ἀποδομένου δὲ τοῦ νεανίσκου τὰ χωρία, καὶ ταχέως ἐπανελθόντος, ἀπέπεμψε τὰ λύτρα τῷ Ἀννίβᾳ, καὶ τοὺς αἰχμαλώτους ἀπέλαβε. καὶ πολλῶν ἀποδιδόντων ὕστερον, παρ᾽ οὐδενὸς ἔλαβεν, ἀλλ᾽ ἀφῆκε πᾶσι. μετὰ δὲ ταῦτα, τῶν ἱερέων καλούντων αὐτὸν εἰς Ῥώμην ἐπί τινας θυσίας, παρέδωκε τῷ Μινουκίῳ τὴν δύναμιν, ὑπὲρ τοῦ μὴ μάχεσθαι, μηδὲ συμπλέκεσθαι τοῖς πολεμίοις, οὐ μόνον ὡς αὐτοκράτωρ διαγορεύσας, ἀλλὰ καὶ παραινέσεις καὶ δεήσεις πολλὰς αὐτοῦ ποιησάμενος. ὧν ἐκεῖνος ἐλάχιστα φροντίσας, εὐθὺς ἐνέκειτο τοῖς πολεμίοις. καί ποτε παραφυλάξας τὸν Ἀννίβαν τὸ πολὺ τῆς στρατιᾶς ἐπὶ σιτολογίας ἀφεικότα, καὶ προσβαλὼν τῶν ὑπολειπομένων κατήραξεν εἰς τὸν χάρακα, καὶ διέφθειρεν οὐκ ὀλίγους, καὶ φόβον παρέστησε πᾶσιν, ὡς πολιορκησομένοις ὑπ᾽ αὐτοῦ. καὶ συλλεγομένης αὖθις εἰς τὸ στρατόπεδον τῷ Ἀννίβᾳ τῆς δυνάμεως, ἀσφαλῶς ἀνεχώρησεν. αὐτόν τε μεγαλαυχίας ἀμέτρου καὶ θράσους τὸ στρατιωτικὸν ἐμπεπληκώς. ταχὺ δὲ τοῦ ἔργου λόγος μείζων διεφοίτησεν εἰς Ῥώμην. καὶ Φάβιος μὲν ἀκούσας ἔφη, μᾶλλον τοῦ Μινουκίου φοβεῖσθαι τὴν εὐτυχίαν. ὁ δὲ δῆμος ἦρτο, καὶ μετὰ χαρᾶς, εἰς ἀγορὰν συνέτρεχε. καὶ Μετίλιος ὁ δήμαρχος ἐπὶ τοῦ βήματος καταστὰς ἐδημηγόρει, μεγαλύνων τὸν Μινούκιον. τοῦ δὲ Φαβίου κατηγορῶν, οὐ μαλακίαν, οὐδ᾽ ἀνανδρίαν, ἀλλ᾽ ἤδη προδοσίαν. συναιτιώμενος ἅμα καὶ τῶν ἄλλων ἀνδρῶν τοὺς δυνατωτάτους, καὶ πρώτους ἐπαγαγέσθαι τὸν πόλεμον ἐξ ἀρχῆς ἐπὶ καταλύσει τοῦ δήμου. τήν τε πόλιν ἐμβαλεῖν εὐθὺς εἰς μοναρχίαν ἀνυπεύθυνον, ἣ διατρίβουσα τὰς πράξεις, ἵδρυσιν Ἀννίβᾳ παρέξει, καὶ χρόνον αὖθις ἐκ Λιβύης ἑτέραν δύναμιν προσγενέσθαι, ὡς κρατοῦντι τῆς Ἰταλίας. ἐπεὶ δ᾽ ὁ Φάβιος προσελθὼν, ἀπολογεῖσθαι μὲν οὐδὲν ἔμελλε πρὸς τὸν δήμαρχον, ἔφη δὲ τάχιστα τὰς θυσίας καὶ τὰς ἱερουργίας γενέσθαι, ὥστ᾽ ἐπὶ τὸ στράτευμα βαδιεῖσθαι, τῷ Μινουκίῳ δίκην ἐπιθήσων, ὅτι κωλύσαντος αὐτοῦ τοῖς πολεμίοις συνέβαλε, θόρυβος διῆξε τοῦ δήμου πολύς, ὡς κινδυνεύσαντος τοῦ Μινουκίου. καὶ γὰρ εἶρξαι τῷ δικτάτωρι καὶ θανατῶσαι πρὸ δίκης ἔξεστι. καὶ τοῦ Φαβίου τὸν θυμὸν ἐκ πολλῆς πραότητος κεκινημένον, ᾤοντο βαρὺν εἶναι καὶ δυσπαραίτητον. ὅθεν οἱ μὲν ἄλλοι καταδείσαντες ἡσυχίαν ἦγον. ὁ δὲ Μετίλιος ἔχων τὴν ἀπὸ τῆς δημαρχίας ἄδειαν, μόνη γὰρ αὕτη δικτάτορος αἱρεθέντος ἡ ἀρχὴ τὸ κράτος οὐκ ἀπόλλυσιν, ἀλλὰ μένει τῶν ἄλλων καταλυθεισῶν, ἐνέκειτο τῷ δήμῳ πολύς, μὴ προέσθαι δεόμενος τὸν Μινούκιον, μηδ᾽ ἐᾶσαι παθεῖν ἃ Μάλλιος Τορκουᾶτος ἔδρασε τὸν υἱόν, ἀριστεύσαντος καὶ στεφανωθέντος, ἀποκόψας πελέκει τὸν τράχηλον. ἀφελέσθαι δὲ τοῦ Φαβίου τὴν τυραννίδα, καὶ τῷ δυναμένῳ καὶ βουλομένῳ σῴζειν ἐπιτρέψαι τὰ πράγματα. τοιούτοις λόγοις κινηθέντες οἱ ἄνθρωποι, τὸν μὲν Φάβιον οὐκ ἐτόλμησαν ἀναγκάσαι καταθέσθαι τὴν μοναρχίαν, καίπερ ἀδοξοῦντα, τὸν δὲ Μινούκιον ἐψηφίσαντο τῆς στρατηγίας ὁμότιμον ὄντα, διέπειν τὸν πόλεμον ἀπὸ τῆς αὐτῆς ἐξουσίας τῷ δικτάτωρι. πρᾶγμα μὴ πρότερον ἐν Ῥώμῃ γεγονός. ὀλίγον δ᾽ ὕστερον αὖθις γενόμενον μετὰ τὴν ἐν Κάνναις ἀτυχίαν. καὶ γὰρ τότ᾽ ἐπὶ τῶν στρατοπέδων, Μᾶρκος ἦν Ἰούνιος δικτάτωρ. καὶ κατὰ πόλιν τὸ βουλευτικὸν ἀναπληρῶσαι δεῆσαν, ἅτε δὴ πολλῶν ἐν τῇ μάχῃ συγκλητικῶν ἀπολωλότων, ἕτερον εἵλοντο δικτάτωρα, Φάβιον Βουτεῶνα. πλὴν οὗτος μὲν ἐπεὶ προῆλθε, κατέλεξε τοὺς ἄνδρας, καὶ συνεπλήρωσε τὴν βουλήν, αὐθημερὸν ἀφεὶς τοὺς ῥαβδούχους, καὶ διαφυγὼν τοὺς προάγοντας, εἰς τὸν ὄχλον ἐμβαλὼν καὶ καταμίξας ἑαυτόν, ἤδη τι τῶν ἑαυτοῦ διοικῶν καὶ πραγματευόμενος, ὥσπερ ἰδιώτης ἐπὶ τῆς ἀγορᾶς ἀνεστρέφετο. τὸν δὲ Μινούκιον ἐπὶ τὰς αὐτὰς τῷ δικτάτωρι πράξεις ἀποδείξαντες, ᾤοντο κεκολοῦσθαι καὶ γεγονέναι ταπεινὸν παντάπασιν ἐκεῖνον, οὐκ ὀρθῶς στοχαζόμενοι τοῦ ἀνδρός. οὐ γὰρ αὑτοῦ συμφορὰν ἡγεῖτο τὴν ἐκείνων ἄγνοιαν. ἀλλ᾽ ὡς ὁ Διογένης ὁ σοφός, εἰπόντος τινὸς πρὸς αὐτόν, οὗτοί σου καταγελῶσιν, ἀλλ᾽ ἐγὼ εἶπεν οὐ καταγελῶμαι. μόνους ἡγούμενος καταγελᾶσθαι τοὺς ἐνδιδόντας, καὶ πρὸς τὰ τοιαῦτα διαταραττομένους. οὕτω Φάβιος ἔφερεν ἀπαθῶς καὶ ῥᾳδίως, ὅσον ἐπ᾽ αὐτῷ τὰ γινόμενα, συμβαλλόμενος ἀπόδειξιν τῶν φιλοσόφων, τοῖς ἀξιοῦσι μήτε ὑβρίζεσθαι μήτε ἀτιμοῦσθαι τὸν ἀγαθὸν ἄνδρα καὶ σπουδαῖον. ἠνία δ᾽ αὐτὸν ἡ τῶν πολλῶν ἀβουλία διὰ τὰ κοινά, δεδωκότων ἀφορμὰς ἀνδρὸς οὐχ ὑγιαινούσῃ φιλοτιμίᾳ πρὸς τὸν πόλεμον. καὶ δεδοικὼς μὴ παντάπασιν ἐκμανεὶς

δῶν ὑπ' αὐτοῦ περιορώμενον. οἱ δὲ τὸν μὲν φάβιον σκώπτοντες καὶ καταφρονοῦντες, ἀννίβου παιδαγωγὸν ἀπεκάλουν. τὸν δὲ μινούκιον, καὶ μέγαν ἄνδρα καὶ τῆς ῥώμης ἄξιον ἡγοῦντο στρατηγόν. ὁ δὲ, μᾶλλον εἰς φρόνημα καὶ θράσος ἀνειμένος, ἐχλεύαζε μὲν τὰς ἐπὶ τῶν ἄκρων στρατοπεδείας, ὡς καλὰ θέατρα τοῦ δικτάτωρος ἀεὶ παρασκευαζομένου, θεωρήσοντι πορθουμένην καὶ φλεγομένην τὴν ἰταλίαν. ἠρώτα δὲ τοὺς φίλους τοῦ φαβίου, πότερον εἰς τὸν οὐρανὸν ἄρας ἀναφέρει τὸν στρατὸν ὡς τῆς γῆς ἀπεγνωκώς. ἢ νέφη καὶ ὁμίχλας προβαλλόμενος, ἀποδιδράσκει τοὺς πολεμίους. ταῦτα τῶν φίλων πρὸς τὸν φάβιον ἀπαγγελλόντων καὶ τὴν ἀδοξίαν τῷ κινδύνῳ λῦσαι παραινούντων, οὕτω μέντ' ἂν ἔφη δειλότερος ἢ νῦν εἶναι δοκῶ, γενοίμην εἰ σκώμματα καὶ λοιδορίας φοβηθεὶς, ἐκπέσοιμι τῶν ἐμαυτοῦ λογισμῶν. καίτοι τὸ μὲν ὑπὲρ πατρίδος, οὐκ αἰσχρὸν δέος. ἡ δὲ πρὸς δόξαν ἀνθρώπων, καὶ διαβολὰς καὶ ψόγους ἔκπληξις, οὐκ ἀξίου τηλικαύτης ἀρχῆς ἀνδρὸς, ἀλλὰ δουλεύοντος, ὧν κρατεῖν αὐτὸν καὶ δεσπόζειν κακῶς φρονούντων, προσήκει. μετὰ ταῦτα, γίνεται διαμαρτία τοῦ ἀννίβου. βουλόμενος γὰρ ἀποσπάσαι τοῦ φαβίου πορρωτέρω τὸ στράτευμα. καὶ πεδίων ἐπιλαβέσθαι προνομὰς ἐχόντων, ἐκέλευσε τοὺς ὁδηγοὺς μετὰ δεῖπνον, εὐθὺς ἡγεῖσθαι πρὸς τὴν κασινάτην. οἱ δὲ, τῆς φωνῆς διὰ βαρβαρισμὸν οὐκ ἐξακούσαντες ἀκριβῶς, ἐμβάλλουσιν αὐτοῦ τὴν δύναμιν φέροντες, εἰς τὰ καταλήγοντα τῆς καμπανίας εἰς πόλιν κασιλῖνον, ἣν τέμνει διὰ μέσης ῥέων ὁ λοθρόνος ποταμὸς, ὃν οὐατουρνον οἱ ῥωμαῖοι καλοῦσιν. ἔστι δ' ἡ χώρα, τὰ μὲν ἄλλα περιστεφὴς ὄρεσιν αὐλὼν δ' ἀναπέπταται πρὸς τὴν θάλατταν, ἔνθα τὰ ἕλη καταδίδωσι τοῦ ποταμοῦ περιχεομένου, καὶ θῖνας ἄμμου βαθείας ἔχει καὶ τελευτᾷ πρὸς αἰγιαλὸν, κυματώδη καὶ δύσορμον. ἐνταῦθα καταβαίνοντος τοῦ ἀννίβου, περιελθὼν ἐμπειρίᾳ τῶν ὁδῶν ὁ φάβιος, τὴν μὲν διέξοδον ὁπλίτας τετρακισχιλίους ἐπιστήσας, ἐνέφραξε. τὸν δ' ἄλλον στρατὸν, ὑπὲρ τῶν ἄλλων ἄκρων, ἐν καλῷ καθίσας, διὰ τῶν ἐλαφροτάτων καὶ προχειροτάτων, ἐνέβαλε τοῖς ἐσχάτοις τῶν πολεμίων. καὶ συνετάραξεν ἅπαν τὸ στράτευμα διέφθειρε δὲ περὶ ὀκτακοσίους. ἐκ τούτου βουλόμενος ἀννίβας ἀπαγαγεῖν τὸ στράτευμα καὶ τὴν διαμαρτίαν τοῦ τόπου νοήσας καὶ τὸν κίνδυνον, ἀνεσταύρωσε μὲν τοὺς ὁδηγούς. ἐκβιάζεσθαι δὲ τοὺς πολεμίους καὶ προσμάχεσθαι τῶν ὑπερβολῶν ἐγκρατεῖς ὄντας, ἀπεγίνωσκε. δυσθύμως δὲ καὶ περιφόβως διακειμένων ἁπάντων, καὶ περιεστάναι σφᾶς πάντοθεν ἀφύκτους ἡγουμένων ἀπορίας ἔγνω δολοῦν ἀπάτῃ τοὺς πολεμίους. ἦν δὲ τοιόνδε. βοῦς ὅσον δισχιλίας ἐκ τῶν αἰχμαλώτων, ἐκέλευσε συλλαβόντας ἀναδῆσαι δᾷδας πρὸς ἕκαστον κέρας. ἢ λύγων ἢ φρυγάνων αὔων, φακέλους. εἶτα νυκτὸς ὅταν ἀρθῇ σημεῖον ἀνάψαντας ἐλαύνειν ἐπὶ τὰς ὑπερβολὰς, παρὰ τὰ στενὰ καὶ τὰς φυλακὰς τῶν πολεμίων, ἅμα δὲ ταῦτα παρεσκεύαζον οἷς προστετάχει, καὶ τὸν ἄλλον αὐτὸς ἀναστήσας στρατὸν ἤδη σκότους ὄντος, ἦγε σχολαίως. αἱ δὲ βόες ἄχρι μὲν τὸ πῦρ ὀλίγον ἦν, καὶ περιέκαιε τὴν ὕλην, ἀτρέμα προσεχώρουν ἐλαυνόμεναι πρὸς τὴν ὑπώρειαν. καὶ θαῦμα τοῖς καθορῶσι νομεῦσιν ἀπὸ τῶν ἄκρων καὶ βουκόλοις, ἦσαν αἱ φλόγες, ἄκροις ἐπιλάμπουσαι τοῖς κέρασιν. ὡς στρατοπέδου καθ' ἕνα κόσμον ὑπὸ λαμπάδων πολλῶν βαδίζοντος, ἐπεὶ δὲ πυρούμενον τὸ κέρας ἄχρι ῥίζης διέδωκε τῇ σαρκὶ τὴν αἴσθησιν. καὶ πρὸς τὸν πόνον διαφέρουσαι καὶ τινάσσουσαι τὰς κεφαλὰς ἀνεπίμπλαντο πολλῆς ἐπ' ἀλλήλων φλογὸς, οὐκ ἐνέμειναν τῇ τάξει τῆς πορείας, ἀλλ' ἔκφοβοι καὶ περιαλγεῖς οὖσαι, δρόμῳ κατὰ τῶν ὀρῶν ἐφέροντο, λαμπόμεναι μὲν οὐρὰς ἄκρας καὶ μέτωπα, πολλὴν δὲ τῆς ὕλης δι' ἧς ἔφευγον ἀνάπτουσαι. δεινὸν οὖν ἦν θέαμα τοῖς παραφυλάττουσι τὰς ὑπερβολὰς ῥωμαίοις καὶ γὰρ αἱ φλόγες ἐῴκεσαν, ὑπ' ἀνθρώπων θεόντων διαφερομέναις λαμπάσι. καὶ θόρυβος ἦν ἐν αὐτοῖς πολὺς καὶ φόβος, ἀλλαχόθεν ἄλλους ἐπιφέρεσθαι τῶν πολεμίων σφίσι. καὶ κυκλοῦσθαι πανταχόθεν ἡγουμένων. διὸ, μένειν οὐκ ἐτόλμων, ἀλλὰ πρὸς τὸ μεῖζον ἀνεχώρουν στρατόπεδον προέμενοι τὰ στενά. καὶ κατὰ τοῦτο δὲ καιροῦ προσμίξαντες οἱ ψιλοὶ τοῦ ἀννίβου, τὰς ὑπερβολὰς κατέσχον. ἡ δ' ἄλλη δύναμις ἤδη προσέβαινεν ἀδεῶς. πολλὴν καὶ βαρεῖαν ἐφελκομένη λείαν. τῷ δὲ φαβίῳ, συνέβη μὲν ἔτι νυκτὸς αἰσθέσθαι τὸν δόλον. φυγοῦσαι γὰρ ἔνιαι τῶν βοῶν σποράδες, ἧκον αὐτῷ εἰς χεῖρας. ἐνέδρας δὲ δεδιὼς σκοταίους, ἀτρέμα τὴν δύναμιν, ἐν τοῖς ὅπλοις εἶχεν. ὡς δ' ἦν ἡμέρα, διώκων ἐξήπτετο τῶν ἐσχάτων. καὶ συμπλοκαὶ περὶ τὰς δυσχωρίας ἐγίνοντο καὶ θόρυβος ἦν πολὺς, ἕως παρ' ἀννίβου τῶν ὀρειβατεῖν δεινῶν ἰβήρων, ἄνδρες ἐλαφροὶ καὶ ποδώκεις, πεμφθέντες ἀπὸ τοῦ στόματος εἰς βαρεῖς ὁπλίτας τοὺς ῥωμαίους ἐνέβαλον. καὶ διαφθείραντες οὐκ ὀλίγους, ἀπέστρεψαν τὸν φάβιον. τότε δὴ μάλιστα κακῶς ἀκοῦσαι καὶ καταφρονηθῆναι συνέβη τὸν φάβιον. τῆς γὰρ ἐν τοῖς ὅπλοις τόλμης ὑφιέμενος ὡς γνώμῃ καὶ προνοίᾳ καταπολεμήσων τὸν ἀννίβαν, αὐτὸς ἡττημένος τούτοις καὶ κατεστρατηγημένος ἐφαίνετο. βουλόμενος δὲ μᾶλλον ἐκκαῦσαι τὴν πρὸς αὐτὸν ὀργὴν τῶν ῥωμαίων ὁ ἀννίβας, ὡς ἦλθεν ἐπὶ τοὺς ἀγροὺς αὐτοῦ, τὰ μὲν ἄλλα πάντα, καίειν καὶ διαφθείρειν ἐκέλευσεν, ἐκείνων δ' ἀπεῖπεν ἅπτεσθαι μόνων. καὶ παρακατέστησε φυλακὴν οὐδὲν ἐῶσαν ἀδικεῖν οὐδὲ λαμβάνειν ἐκεῖθεν. ταῦτα προσδιέβαλλεν εἰς ῥώμην ἀγγελθέντα, καὶ πολλὰ μὲν αὐτοῦ πρὸς τὸν ὄχλον οἱ δήμαρχοι κατεβόων, ἐπάγοντος μάλιστα μετιλίου καὶ παροξύνοντος, οὐ κατὰ τὴν πρὸς φάβιον ἔχθραν, ἀλλ' οἰκεῖος ὢν μινουκίου τοῦ ἱππάρχου,

ἐν τοῖς νεκροῖς, ἀλλ' ἠγνόειτο παράπαν ὅπως ἠφανίσθη. τὴν μὲν οὖν ἐπὶ τῇ τρεβίᾳ γενομένην ἧτταν, οὔθ' ὁ γράψας στρατηγὸς, οὔθ' ὁ πεμφθεὶς ἄγγελος ἀπ' εὐθείας ἔφρασεν, ἀλλ' ἐψεύσατο τὴν νίκην ἐπίδικον αὐτοῖς καὶ ἀμφίδοξον γενέσθαι. περὶ δὲ ταύτης ὡς πρῶτον ἤκουσεν ὁ στρατηγὸς πομπώνιος, συναγαγὼν εἰς ἐκκλησίαν τὸν δῆμον, οὐ περιπλοκὰς, οὐδὲ παραγωγὰς, ἀλλ' ἄντικρυς ἔφη προσελθών. νενικήμεθα ὦ ἄνδρες ῥωμαῖοι, μεγάλῃ μάχῃ. καὶ διέφθαρται τὸ στρατόπεδον. καὶ φλαμίνιος ὕπατος ἀπόλωλεν. ἀλλὰ βουλεύεσθε περὶ σωτηρίας αὐτῶν καὶ ἀσφαλείας. οὗτος μὲν οὖν ὥσπερ πνεῦμα τὸν λόγον ἐμβαλὼν εἰς πέλαγος τοσούτου δήμου, συνετάραξε τὴν πόλιν, οὐδ' ἑστάναι πρὸς τοσαύτην ἔκπληξιν οἱ λογισμοὶ καὶ διαμένειν ἐδύναντο. πάντες δ' εἰς μίαν γνώμην συνήχθησαν, ἀνυπευθύνου δεῖσθαι τὰ πράγματα μοναρχίας, ἣν δικτατωρείαν καλοῦσι. καὶ τοῦ μεταχειριουμένου ταύτην ἀθρύπτως καὶ ἀδεῶς ἀνδρός. εἶναι δὲ τοῦτον, ἕνα φάβιον μάξιμον, ἰσόρροπον ἔχοντα τῷ μεγέθει τῆς ἀρχῆς, τὸ φρόνημα καὶ τὸ ἀξίωμα τοῦ ἤθους. ἡλικίας τε κατὰ τοῦτο γεγενημένον, ἐν ᾧ συνέστηκεν ἔτι πρὸς τὰ τῆς ψυχῆς βουλεύματα τὸ σῶμα τῇ ῥώμῃ, καὶ συγκέκραται τῷ φρονίμῳ, τὸ θαῤῥαλέον. ὡς οὖν ταῦτ' ἔδοξεν, ἀποδειχθεὶς δικτάτωρ φάβιος, καὶ ἀποδείξας αὐτὸς ἵππαρχον λεύκιον μινούκιον, πρῶτον μὲν ᾐτήσατο τὴν σύγκλητον, ἵππῳ χρῆσθαι παρὰ τὰς στρατείας. οὐ γὰρ ἐξῆν, ἀλλ' ἀπηγόρευτο κατά τινα νόμον παλαιόν. εἴτε τῆς ἀλκῆς τὸ πλεῖστον ἐν τῷ πεζῷ τιθεμένων, καὶ διὰ τοῦτο τὸν στρατηγὸν οἰομένων δεῖν παραμένειν τῇ φάλαγγι καὶ μὴ προλείπειν, εἴθ' ὅτι τυραννικὸν εἰς ἅπαντα τἆλλα καὶ μέγα, τὸ τῆς ἀρχῆς κράτος ἐστὶν, ἔν γε τούτῳ βουλομένων τὸν δικτάτωρα τοῦ δήμου φαίνεσθαι δεόμενον. οὐ μὴν ἀλλὰ καὶ αὐτὸς ὁ φάβιος εὐθὺς ἐνδείξασθαι θέλων τῆς ἀρχῆς τὸ μέγεθος καὶ τὸν ὄγκον, ὡς μᾶλλον, ὑπηκόοις χρῷτο καὶ πειθηνίοις τοῖς πολίταις, προῆλθε. συνενηνεγμένος εἰς ταυτὸ, ῥαβδουχίας εἰκοσιτέσσαρας. καὶ τοῦ ἑτέρου τῶν ὑπάτων, ἀπαντῶντος αὐτῷ, τὸν ὑπηρέτην πέμψας, ἐκέλευσε τοὺς ῥαβδούχους ἀπαλλάξαι, καὶ τὰ παράσημα τῆς ἀρχῆς ἀποθέμενον, ἰδιώτην ἀπαντᾶν. μετὰ δὲ ταῦτα, καλλίστην ἀρχόμενος ἐκ θεῶν ἀρχὴν, καὶ διδάσκων τὸν δῆμον, ὡς ὀλιγωρίᾳ καὶ περιφρονήσει τοῦ στρατηγοῦ, πρὸς τὸ δαιμόνιον, οὐ μοχθηρίᾳ τῶν ἀγωνισαμένων σφαλέντα, προὔτρεπε μὴ δεδιέναι τοὺς ἐχθροὺς, ἀλλὰ καὶ τοὺς θεοὺς ἐξευμενίζεσθαι καὶ τιμᾶν. οὐ δεισιδαιμονίαν ἐργαζόμενος, ἀλλὰ θαῤῥύνων εὐσεβείᾳ τὴν ἀρετὴν καὶ ταῖς παρὰ τῶν θεῶν ἐλπίσι τὸν ἀπὸ τῶν πολεμίων φόβον, ἀφαιρῶν καὶ παραμυθούμενος. ἐκινήθησαν δὲ τότε πολλαὶ καὶ τῶν ἀποῤῥήτων καὶ χρησίμων αὐτοῖς βίβλων, ἃς σιβυλλίους καλοῦσι, καὶ λέγεται συνδραμεῖν ἔνια τῶν ἀποκειμένων ἐν αὐταῖς λογίων, πρὸς τὰς τύχας καὶ τὰς πράξεις ἐκείνας. καὶ τὸ μὲν γνωσθὲν, οὐκ ἦν ἑτέρῳ πυθέσθαι. προσελθὼν δὲ ὁ δικτάτωρ εἰς τὸν ὄχλον, ηὔξατο τοῖς θεοῖς ἐνιαυτοῦ μὲν αἰγῶν, καὶ συῶν καὶ προβάτων καὶ βοῶν ἐπιγονὴν, ὅσην ἰταλίας ὄρη, καὶ πεδία καὶ ποταμοὶ καὶ λειμῶνες, εἰς ὥραν ἐσομένην θρέψουσι, καταθύσειν ἅπαντα. θέας δὲ μουσικὰς, καὶ θυμελικὰς ἄξειν ἀπὸ σηστερτίων τριακοσίων τριάκοντα τριῶν. καὶ δηναρίων τριακοσίων τριάκοντα τριῶν, ἔτι τριτημορίου προσόντος. τοῦτο τὸ κεφάλαιόν ἐστιν, ὀκτὼ μυριάδες δραχμῶν, καὶ δραχμαὶ τρισχίλιαι πεντακόσιαι ὀγδοήκοντα τρεῖς καὶ δύο ὀβολοί. λόγον δὲ τῆς εἰς τοῦτο τοῦ πλήθους ἀκριβείας καὶ διανομῆς, χαλεπόν ἐστιν εἰπεῖν, εἰ μή τις ἄρα βούλοιτο τῆς τριάδος ὑμνεῖν τὴν δύναμιν. ὅτι καὶ φύσει τέλειος, καὶ πρῶτος τῶν περιττῶν. ἀρχή τε πλήθους ἐν αὐτῷ, τάς τε πρώτας διαφορὰς, καὶ τὰ παντὸς ἀριθμοῦ στοιχεῖα μίξασα καὶ συναρμόσασα, εἰς ταυτὸν ἀνείληφε. τῶν μὲν οὖν πολλῶν ὁ φάβιος τὴν γνώμην ἀπαρτήσας πρὸς τὸ θεῖον, ἡδίω πρὸς τὸ μέλλον ἐποίησεν. αὐτὸς δὲ πάσας θέμενος ἐν αὑτῷ τὰς τῆς νίκης ἐλπίδας, ὡς καὶ τοῦ θεοῦ τὰς εὐπραξίας δι' ἀρετῆς καὶ φρονήσεως παραδιδόντος, τρέπεται πρὸς ἀννίβαν, οὐχ ὡς διαμαχούμενος, ἀλλὰ χρόνῳ τὴν ἀκμὴν αὐτοῦ, καὶ χρήμασι τὴν ἀπορίαν. καὶ πολυανθρωπίᾳ τὴν ὀλιγότητα τρίβειν καὶ ὑπαναλίσκειν βεβουλευμένος. ὅθεν ἀεὶ μετέωρος ἀπὸ τῆς ἵππου τῶν πολεμίων ἐν τόποις ὀρεινοῖς στρατοπεδεύων ἐπηωρεῖτο. καθημένου μὲν, ἡσυχάζων. κινουμένου δὲ, κατὰ τῶν ἄκρων κύκλῳ περιιὼν καὶ περιφαινόμενος ἐκ διαστήματος, ὅσον ἄκοντι μὴ βιασθῆναι μάχεσθαι. καὶ φόβον ὡς μαχησόμενος τοῖς πολεμίοις ἀπὸ τῆς μελλήσεως αὐτῆς παρέχειν. οὕτω δὲ παράγων τὸν χρόνον, ὑπὸ πάντων κατεφρονεῖτο. καὶ κακῶς μὲν ἤκουεν ἐν τῷ στρατοπέδῳ. κομιδῇ δὲ τοῖς πολεμίοις ἄτολμος ἐδόκει. καὶ τὸ μηδὲν εἶναι, πλὴν ἑνὸς ἀννίβου. μόνος δ' ἐκεῖνος αὐτοῦ τὴν δεινότητα καὶ τὸν τρόπον ᾧ πολεμεῖν ἐγνώκει συνιδὼν, καὶ διανοηθεὶς ὡς πάσῃ τέχνῃ καὶ βίᾳ, κινητέος ἐστὶν εἰς μάχην ὁ ἀνὴρ, ἢ διαπέπρακται τὰ καρχηδονίων, οἷς μέν εἰσι κρείττους ὅπλοις, χρήσασθαι μὴ δυναμένων, οἷς δὲ λείπονται, σώμασι καὶ χρήμασιν ἐλαττουμένων καὶ δαπανωμένων εἰς τὸ μηδὲν, ἐπὶ πᾶσαν ἰδέαν στρατηγικῶν σοφισμάτων καὶ παλαισμάτων τρεπόμενος, καὶ πειρώμενος, ὥσπερ δεινὸς ἀθλητὴς λαβὴν ζητῶν, προσέβαλε καὶ διετάραττε, καὶ μετῆγε πολλαχόσε τὸν φάβιον, ἐκστῆσαι τῶν ὑπὲρ τῆς ἀσφαλείας λογισμῶν βουλόμενος. τῷ δ' ἡ μὲν κρίσις πίστιν ἔχοντι τοῦ συμφέροντος, ἐν ἑαυτῇ βέβαιος εἱστήκει καὶ ἀμετάπτωτος. ἠνώχλει δ' αὐτὸν ὁ ἵππαρχος μινούκιος, φιλομαχῶν ἀκαίρως καὶ θρασυνόμενος, καὶ δημαγωγῶν τὸ στράτευμα μανικῆς φορᾶς καὶ κενῶν ἐλπί-

τ

Οιούτου δὲ τοῦ περικλέους ἐν τοῖς ἀξίοις μνήμης γεγονότος ὡς παρειλήφαμεν, ἐπὶ τὸν φάβιον τὴν ἱστορίαν μεταγάγωμεν. νυμφῶν μιᾶς λέγουσιν, οἱ δὲ, γυναικὸς ἐπιχωρίας ἡρακλεῖ μιγείσης περὶ τὸν θύμβριν ποταμὸν, γενέσθαι φάβιον. ἄνδρα πολὺ καὶ δόκιμον ἐν ῥώμῃ τὸ φαβίων γένος, ἀπ' αὐτοῦ παρασχόντα. τινὲς δὲ τοὺς ἀπὸ τοῦ γένους τούτου, πρώτους τῇ δι' ὀρυγμάτων χρησαμένους ἄγρᾳ, φοδίους ἱστοροῦσιν ὀνομάζεσθαι τὸ παλαιόν. οὕτω γὰρ ἄχρι νῦν αἱ διώρυχαι φόσσαι. καὶ φόδερε τὸ σκάψαι καλεῖται. χρόνῳ δὲ τῶν δυοῖν φθόγγων μεταπεσόντων, φάβιοι προσηγορεύθησαν. πολλοὺς δὲ μεγάλους τῆς οἰκίας ἐξενεγκαμένης ἄνδρας, ἀπὸ ῥύλλου τοῦ μεγίστου, καὶ διὰ τοῦτο, μάξιμου παρὰ ῥωμαίοις ἐπονομασθέντος, τέταρτος ἦν φάβιος μάξιμος, περὶ οὗ τάδε γράφομεν. ἦν δ' αὐτῷ σωματικὸν μὲν παρωνύμιον, ὁ βερρούκωσος. εἶχε γὰρ ἀκροχορδόνα μικρὰν ἐπάνω τοῦ χείλους ἐπιπεφυκυῖαν. ὁ δὲ ὀουϊκούλας, σημαίνει τὸ προβάτιον. ἐτέθη δὲ πρὸς τὴν πρᾳότητα καὶ βαρύτητα τοῦ ἤθους ἔτι παιδὸς ὄντος. τὸ γὰρ ἡσύχιον αὐτοῦ καὶ σιωπηλὸν καὶ μετὰ πολλῆς εὐλαβείας τῶν παιδικῶν ἁπτόμενον ἡδονῶν, βραδέως δὲ καὶ διαπόνως δεχόμενον τὰς μαθήσεις. εὔκολον δὲ πρὸς τοὺς συνήθεις καὶ κατήκοον, ἀβελτηρίας τινὸς καὶ νωθρότητος ὑπόνοιαν εἶχε παρὰ τοῖς ἐκτός. ὀλίγοι δ' ἦσαν οἱ τὸ δυσκίνητον ὑπὸ βάθους, καὶ τὸ μεγαλόψυχον καὶ λεοντῶδες ἐν τῇ φύσει καθορῶντες αὐτοῦ. ταχὺ δὲ τοῦ χρόνου προϊόντος, ὑπὸ τῶν πραγμάτων ἐγειρόμενος, διεσήμαινε καὶ τοῖς πολλοῖς, ἀπάθειαν μὲν οὖσαν ἣν ἐδόκουν ἀπραγίαν. εὐβουλίαν δὲ, τὴν εὐλάβειαν. τὸ δὲ πρὸς μηδὲν ὀξὺ μηδ' εὐκίνητον ἐν πᾶσι, μόνιμον καὶ βέβαιον. ὁρῶν δὲ καὶ τῆς πολιτείας τὸ μέγεθος καὶ τῶν πολέμων τὸ πλῆθος, ἤσκει τὸ μὲν σῶμα πρὸς τοὺς πολέμους, ὥσπερ ὅπλον σύμφυτον. τὸν δὲ λόγον, ὄργανον πειθοῦς πρὸς τὸν δῆμον. εὖ μάλα πρεπόντως τῷ βίῳ κατακεκοσμημένον. οὐ γὰρ ἐπῆν ὡραϊσμὸς, οὐδὲ κενὴ καὶ ἀγοραῖος χάρις, ἀλλὰ νοῦς ἴδιον καὶ περιττὸν ἐν γνωμολογίαις σχῆμα καὶ βάθος ἔχων, ἃς μάλιστα ταῖς θουκυδίδου προσεοικέναι λέγουσι. διασώζεται γὰρ αὐτοῦ λόγος ὃν εἶπεν ἐν τῷ δήμῳ τοῦ παιδὸς αὐτοῦ μεθ' ὑπατείαν ἀποθανόντος ἐγκώμιον. πέντε δ' ὑπατειῶν, ἃς ὑπάτευσεν, ἡ πρώτη τὸν ἀπὸ λιγύων θρίαμβον ἔσχεν. ἡττηθέντες γὰρ ὑπ' αὐτοῦ μάχῃ, καὶ πολλοὺς ἀποβαλόντες, εἰς τὰς ἄλπεις ἀνεστάλησαν. καὶ τὴν πρόσοικον ἐπαύσαντο τῆς ἰταλίας λῃζόμενοι καὶ κακῶς ποιοῦντες. ἐπεὶ δ' ἀννίβας ἐμβαλὼν εἰς ἰταλίαν, καὶ μάχῃ πρῶτον περὶ τὸν τρεβίαν ποταμὸν ἐπικρατήσας, αὐτὸς μὲν ἤλαυνε διὰ τυρρηνίας πορθῶν τὴν χώραν, ἔκπληξιν δὲ δεινὴν καὶ φόβον εἰς τὴν ῥώμην ἐνέβαλε. σημεῖα δὲ, τὰ μὲν συνήθη ῥωμαίοις, ἀπὸ κεραυνῶν. τὰ δ' ὅλως ἐξηλλαγμένα καὶ πολλὴν ἀτοπίαν ἔχοντα προσέπιπτε. θυρεούς τε γὰρ ἀφ' αὑτῶν αἵματι γενέσθαι διαβρόχους, ἐλέχθη, καὶ θέρη σταχύων περὶ ἄντιον ἔναιμα κείρεσθαι. καὶ λίθους μὲν ἐκ τοῦ ἀέρος διαπύρους καὶ φλεγομένους φέρεσθαι. τοῦ δ' ὑπὲρ φαλερίους οὐρανοῦ ῥαγῆναι δόξαντος, ἐκπίπτειν καὶ διασπείρεσθαι πολλὰ γραμματεῖα. καὶ τούτων ἐνὶ γεγραμμένον, φανῆναι κατὰ λέξιν. ἄρης τὰ ἑαυτοῦ ὅπλα σαλεύει. τὸν μὲν ὕπατον γάϊον φλαμίνιον, οὐδὲν ἤμβλυνε τούτων. ἀνὴρ γὰρ πρὸς τῷ φύσει θυμοειδεῖ καὶ φιλοτίμῳ, μεγάλαις ἐπαιρόμενος εὐτυχίαις, ἃς πρόσθεν εὐτύχησε παραλόγως, τῆς τε βουλῆς ἀποκαλούσης, καὶ τοῦ συνάρχοντος ἐνισταμένου, συμβαλὼν βίᾳ τοῖς γαλάταις καὶ κρατήσας. φάβιον δὲ τὰ μὲν σημεῖα, καίπερ ἁπτόμενα πολλῶν, ἧττον ὑπέθραττε διὰ τὴν ἀλογίαν. τὴν δὲ ὀλιγότητα τῶν πολεμίων καὶ τὴν ἀχρηματίαν πυνθανόμενος, καρτερεῖν παρεκάλει τοὺς ῥωμαίους, καὶ μὴ μάχεσθαι πρὸς ἄνθρωπον ἐπ' αὐτῷ τούτῳ διὰ πολλῶν ἀγώνων ἠσκημένῃ στρατιᾷ χρώμενον, ἀλλὰ τοῖς συμμάχοις ἐπιπέμπειν τὰς βοηθείας, καὶ τὰς πόλεις διὰ χειρὸς ἔχοντας, αὐτὴν ἐᾶν περὶ αὑτὴν μαραίνεσθαι τὴν ἀκμὴν τοῦ ἀννίβου. καθάπερ φλόγα λάμψασαν ἀπὸ μικρᾶς καὶ κούφης δυνάμεως. οὐ μὴν ἔπεισε τὸν φλαμίνιον, ἀλλὰ φήσας οὐκ ἀνέξεσθαι προσιόντα τῇ ῥώμῃ τὸν πόλεμον, οὐδ' ὥσπερ ὁ παλαιὸς κάμιλλος ἐν τῇ πόλει διαμαχεῖσθαι περὶ αὐτῆς, τὸν μὲν στρατὸν, ἐξάγειν ἐκέλευσε τοὺς χιλιάρχους. αὐτὸς δ' ἐπὶ τὸν ἵππον ἁλλόμενος, ἐξ οὐδενὸς αἰτίου προδήλου παραλόγως ἐντρόμου τοῦ ἵππου γενομένου καὶ πτυρέντος, ἐξέπεσε, καὶ κατενεχθεὶς ἐπὶ κεφαλὴν, ὅμως οὐδὲν ἔτρεψε τῆς γνώμης, ἀλλ' ὡς ὥρμησεν ἐξ ἀρχῆς ἀπαντῆσαι τῷ ἀννίβᾳ, περὶ τὴν καλουμένην θρασυμένην λίμνην τῆς τυρρηνίας παρετάξατο. τῶν δὲ στρατιωτῶν συμβαλόντων εἰς χεῖρας, ἅμα τῷ καιρῷ τῆς μάχης, συνέπεσε σεισμὸς, ὑφ' οὗ καὶ πόλεις ἀνετράπησαν. καὶ ῥεύματα ποταμῶν ἐξ ἕδρας μετέστη. καὶ κρημνῶν ὑπώρειαι περιερράγησαν. ἀλλὰ καίπερ οὕτω γενομένου βιαίου πάθους, οὐδεὶς τὸ παράπαν ᾔσθετο τῶν μαχομένων. αὐτὸς μὲν οὖν ὁ φλαμίνιος, πολλὰ καὶ τόλμης ἔργα καὶ ῥώμης ἐπιδεικνύμενος, ἔπεσε, καὶ περὶ αὐτὸν οἱ κράτιστοι. τῶν δ' ἄλλων τραπέντων, πολὺς ἦν φόνος, καὶ πεντακισχίλιοι πρὸς μυρίοις κατεκόπησαν, καὶ ἑάλωσαν ἕτεροι τοσοῦτοι. τὸ δὲ φλαμινίου σῶμα φιλοτιμούμενος θάψαι καὶ κοσμῆσαι δι' ἀρετὴν ὁ ἀννίβας, οὐχ εὗρεν

Plinius L° VII. Cap. 41 meminit & Fabio Valeriano. et forsasse Volu... sic e legendum.

ἀργίαν

λιγύων

θυμοειδεῖ

κάμιλλος

φθεγξάμενος εἰς μέσον, ἔφη θαυμάζειν ὅτι ταῦτα μὲν ἐπαινοῦσιν αὐτοῦ καὶ μνημονεύουσιν, ἃ καὶ πρὸς τύχην ἐστὶ κοινὰ, καὶ γέγονεν ἤδη πολλοῖς στρατηγοῖς. τὸ δὲ κάλλιστον καὶ μέγιστον, οὐ λέγουσιν. οὐδεὶς γὰρ ἔφη δι' ἐμὲ τῶν ὄντων ἀθηναίων, μέλαν ἱμάτιον περιεβάλλετο. θαυμαστὸς οὖν ὁ ἀνὴρ. οὐ μόνον τῆς ἐπιεικείας καὶ πρᾳότητος, ἣν ἐν πράγμασι πολλαῖς καὶ μεγάλαις ἀπεχθείαις διετήρησεν, ἀλλὰ καὶ τοῦ φρονήματος, εἰ τῶν αὐτοῦ καλῶν ἡγεῖτο βέλτιστον εἶναι, τὸ μήτε φθόνῳ, μήτε θυμῷ χαρίσασθαι μηδὲν ἀπὸ τηλικαύτης δυνάμεως. μηδὲ χρήσασθαί τινι τῶν ἐχθρῶν ὡς ἀνηκέστῳ. καί μοι δοκεῖ τὴν μειρακιώδη καὶ σοβαρὰν ἐκείνην προσωνυμίαν, ἓν τοῦτο ποιεῖν ἀνεπίφθονον καὶ πρέπουσαν ὄντως. εὐμενὲς ἦθος. καὶ βίος ἐν ἐξουσίᾳ καθαρὸς καὶ ἀμίαντος, ὀλύμπιον προσαγορεύεσθαι. καθάπερ τὸ τῶν θεῶν γένος ἀξιοῦμεν, αἴτιον μὲν ἀγαθῶν. ἀναίτιον δὲ κακῶν πεφυκὸς, ἄρχειν καὶ βασιλεύειν τῶν ὄντων. οὐχ ὥσπερ οἱ ποιηταὶ συνταράττοντες ἡμᾶς ἀμαθεστάταις δόξαις, ἁλίσκονται τοῖς αὐτῶν ποιήμασι. τὸν μὲν τόπον ἐν ᾧ τοὺς θεοὺς κατοικεῖν λέγουσιν, ἀσφαλὲς ἕδος καὶ ἀσάλευτον καλοῦντες. οὐ πνεύμασιν. οὐ νέφεσι χρώμενον. ἀλλ' αἰθρίᾳ μαλακῇ καὶ φωτὶ καθαρῷ τὸν ἅπαντα χρόνον ὁμαλῶς περιλαμπόμενον. ὡς τοιαύτης τῷ μακαρίῳ καὶ ἀθανάτῳ διαγωγῆς μάλιστα πρεπούσης, αὐτοὺς δὲ τοὺς θεοὺς, ταραχῆς, καὶ δυσμενείας καὶ ὀργῆς, ἄλλων τε μεστοὺς παθῶν ἀποφαίνοντες, οὐδ' ἀνθρώποις νοῦν ἔχουσι προσηκόντων. ἀλλὰ ταῦτα μὲν ἴσως ἑτέρας δόξει πραγματείας εἶναι. τοῦ δὲ περικλέους, ταχεῖαν αἴσθησιν καὶ σαφῆ πόθον, ἀθηναίοις ἐνειργάζετο τὰ πράγματα. καὶ γὰρ οἱ ζῶντος βαρυνόμενοι τὴν δύναμιν ὡς ἀμαυροῦσαν αὐτοὺς, εὐθὺς ἐκποδὼν γενομένου, πειρώμενοι ῥητόρων καὶ δημαγωγῶν ἑτέρων, ἀνωμολογοῦντο μετριώτερον ἐν ὄγκῳ. καὶ σεμνότερον ἐν πρᾳότητι, μὴ φῦναι τρόπον. ἡ δ' ἐπίφθονος ἰσχὺς ἐκείνη μοναρχία λεγομένη καὶ τυραννὶς πρότερον, ἐφάνη τότε σωτήριον ἔρυμα τῆς πολιτείας γενομένη. τοσαύτη φθορὰ καὶ πλῆθος ἐπέκειτο κακίας τοῖς πράγμασιν, ἣν ἐκεῖνος ἀσθενῆ καὶ ταπεινὴν ποιῶν, ἀπέκρυπτε καὶ κατεκώλυεν, ἀνήκεστον ἐξουσίᾳ γενέσθαι.

Illud ὄντως fortasse commutandum est in οὕτως, vel deest δικαίως vel quid aliud quod idem significet.

περιεβάλετο
πολλοῖς

s. τ. ω. g.
οὕτως εὐμενὲς ἦθος καὶ βίον ἐν ἐξουσίᾳ καθαρὸν καὶ ἀμίαντον, ὀλύμπιον προσαγορεύεσθαι

τοὺς Ἀθηναίους πρὸς αὐτόν, ἐπειρᾶτο παρηγορεῖν καὶ ἀναθαρρύνειν. οὐ μὴν ἔλυσε τὴν ὀργήν, οὐδὲ μετέπεισε πρότερον, ἢ τὰς ψήφους λαβόντας ἐπ' αὐτὸν εἰς τὰς χεῖρας, καὶ γενομένους κυρίους, ἀφελέσθαι τὴν στρατηγίαν, καὶ ζημιῶσαι χρήμασιν. ὧν ἀριθμὸν οἱ τὸν ἐλάχιστον, πεντεκαίδεκα τάλαντα. πεντήκοντα δέ, οἱ τὸν πλεῖστον, γράφουσιν. ἐπεγράφη δὲ τῇ δίκῃ κατήγορος, ὡς μὲν Ἰδομενεὺς λέγει, Κλέων. ὡς δὲ Θεόφραστος, Σιμμίας. ὁ δὲ Ποντικὸς Ἡρακλείδης, Λακρατίδαν εἴρηκε. τὰ μὲν οὖν δημόσια, ταχέως ἔμελλε παύσεσθαι, καθάπερ κέντρον εἰς τοῦτον ἅμα τῇ πληγῇ τὸν θυμὸν ἀφεικότων τῶν πολλῶν, τὰ δ' οἰκεῖα, μοχθηρῶς εἶχεν αὐτῷ, κατά τε τὸν λοιμὸν οὐκ ὀλίγους ἀποβαλόντι τῶν ἐπιτηδείων, καὶ στάσει διατεταραγμένων πόρρωθεν. ὁ γὰρ πρεσβύτατος τῶν γνησίων υἱῶν, Ξάνθιππος, φύσει τε πονηρὸς ὤν, καὶ γυναικὶ νέᾳ καὶ πολυτελεῖ συνοικῶν, Ἰσάνδρου θυγατρὶ τοῦ Ἐπιλύκου, χαλεπῶς ἔφερε τὴν τοῦ πατρὸς ἀκρίβειαν, γλίσχρα καὶ κατὰ μικρὸν αὐτῷ χορηγοῦντος. πέμψας οὖν πρός τινα τῶν φίλων, ἔλαβεν ἀργύριον, ὡς τοῦ Περικλέους κελεύσαντος. ἐκείνου δ' ὕστερον ἀπαιτοῦντος, ὁ μὲν Περικλῆς, καὶ δίκην αὐτῷ προσέλαχε. τὸ δὲ μειράκιον ὁ Ξάνθιππος, ἐπὶ τούτῳ χαλεπῶς διατεθεὶς ἐλοιδόρει τὸν πατέρα. πρῶτον μὲν ἐκφέρων ἐπὶ γέλωτι τὰς οἴκοι διατριβὰς αὐτοῦ, καὶ τοὺς λόγους οὓς ἐποιεῖτο μετὰ τῶν σοφιστῶν. πεντάθλου γάρ τινος ἀκοντίῳ πατάξαντος Ἐπίτιμον τὸν Φαρσάλιον ἀκουσίως, καὶ κτείναντος, ἡμέραν ὅλην ἀναλῶσαι μετὰ Πρωταγόρου διαποροῦντα, πότερον τὸ ἀκόντιον, ἢ τὸν βαλόντα, ἢ τοὺς ἀγωνοθέτας κατὰ τὸν ὀρθότατον λόγον αἰτίους χρὴ τοῦ πάθους ἡγεῖσθαι. πρὸς δὲ τούτοις, καὶ τὴν περὶ τῆς γυναικὸς διαβολὴν ὑπὸ τοῦ Ξανθίππου φησὶν ὁ Στησίμβροτος εἰς τοὺς πολλοὺς διασπαρῆναι. καὶ ὅλως ἀνήκεστον ἄχρι τῆς τελευτῆς τῷ νεανίσκῳ πρὸς τὸν πατέρα παραμεῖναι τὴν διαφοράν. ἀπέθανε γὰρ ὁ Ξάνθιππος ἐν τῷ λοιμῷ νοσήσας. ἀπέβαλε δὲ καὶ τὴν ἀδελφὴν ὁ Περικλῆς τότε. καὶ τῶν κηδεστῶν καὶ φίλων τοὺς πλείστους καὶ χρησιμωτάτους πρὸς τὴν πολιτείαν. οὐ μὴν ἀπεῖπεν, οὐδὲ προὔδωκε τὸ φρόνημα καὶ τὸ μέγεθος τῆς ψυχῆς ὑπὸ τῶν συμφορῶν. ἀλλ' οὐδὲ κλαίων, οὐδὲ κηδεύων, οὐδὲ πρὸς τάφῳ τινὸς ὤφθη τῶν ἀναγκαίων, πρίν γε δὴ καὶ τὸν περίλοιπον αὐτοῦ τῶν γνησίων ἀποβαλεῖν Πάραλον. ἐπεὶ τούτῳ δὲ καμφθείς, ἐπειρᾶτο μὲν ἐγκαρτερεῖν τῷ ἤθει, καὶ διαφυλάττειν τὸ μεγαλόψυχον. ἐπιφέρων δὲ τῷ νεκρῷ στέφανον, ἡττήθη τοῦ πάθους πρὸς τὴν ὄψιν, ὥστε κλαυθμόν τε ῥῆξαι, καὶ πλῆθος ἐκχέαι δακρύων, οὐδέποτε τοιοῦτον οὐδὲν ἐν τῷ λοιπῷ βίῳ πεποιηκώς. τῆς δὲ πόλεως πειρωμένης τῶν ἄλλων στρατηγῶν εἰς τὸν πόλεμον καὶ ῥητόρων, ὡς οὐδεὶς βάρος ἔχων ἰσόρροπον, οὐδ' ἀξίωμα πρὸς τοσαύτην ἐχέγγυον ἡγεμονίαν ἐφαίνετο, ποθούσης δ' ἐκεῖνον καὶ καλούσης ἐπὶ τὸ βῆμα καὶ τὸ στρατήγιον, ἀθυμῶν καὶ κείμενος οἴκοι διὰ τὸ πένθος, ὑπ' Ἀλκιβιάδου καὶ τῶν ἄλλων ἐπείσθη φίλων προελθεῖν. ἀπολογησαμένου δὲ τοῦ δήμου τὴν ἀγνωμοσύνην τὴν πρὸς αὐτόν, ὑποδεξάμενος αὖθις τὰ πράγματα καὶ στρατηγὸς αἱρεθείς, ᾐτήσατο λυθῆναι τὸν περὶ τῶν νόθων νόμον, ὃν αὐτὸς εἰσενηνόχει πρότερον. ὡς μὴ παντάπασιν ἐρημίᾳ διαδοχῆς, τὸν οἶκον ἐκλίποι τοὔνομα καὶ τὸ γένος. εἶχε δ' οὕτω τὰ περὶ τὸν νόμον. ἀκμάζων ὁ Περικλῆς ἐν τῇ πολιτείᾳ πρὸ πάνυ πολλῶν χρόνων, καὶ παῖδας ἔχων ὥσπερ εἴρηται γνησίους, νόμον ἔγραψε μόνους Ἀθηναίους εἶναι, τοὺς ἐκ δυεῖν Ἀθηναίων γεγονότας. ἐπεὶ δὲ τοῦ βασιλέως τῶν Αἰγυπτίων δωρεὰν τῷ δήμῳ πέμψαντος τετρακισμυρίους πυρῶν μεδίμνους, ἔδει διανέμεσθαι τοὺς πολίτας, πολλαὶ μὲν ἀνεφύοντο δίκαι τοῖς νόθοις ἐκ τοῦ γράμματος ἐκείνου, τέως διαλανθάνουσι καὶ παρορωμένοις. πολλοὶ δὲ καὶ συκοφαντήμασι περιέπιπτον. ἐπράθησαν οὖν ἁλόντες ὀλίγῳ πεντακισχιλίων ἐλάττους. οἱ δὲ μείναντες ἐν τῇ πολιτείᾳ καὶ κριθέντες Ἀθηναῖοι, μύριοι καὶ τετρακισχίλιοι καὶ τεσσαράκοντα τὸ πλῆθος ἐξητάσθησαν. ὄντος οὖν δεινοῦ, τοῦ κατὰ τοσούτων ἰσχύσαντα τὸν νόμον, ὑπ' αὐτοῦ πάλιν διαλυθῆναι τοῦ γράψαντος, ἡ παροῦσα δυστυχία τῷ Περικλεῖ περὶ τὸν οἶκον, ὡς δίκην τινὰ δεδωκότι τῆς ὑπεροψίας καὶ τῆς μεγαλαυχίας ἐκείνης, ἐπέκλασε τοὺς Ἀθηναίους. καὶ δόξαντες αὐτόν τε νεμεσητά τε παθεῖν, ἀνθρωπίνων τε δεῖσθαι, συνεχώρησαν ἀπογράψασθαι τὸν νόθον εἰς τοὺς φράτορας, ὄνομα θέμενον τὸ αὐτοῦ. καὶ τοῦτον μὲν ὕστερον ἐν Ἀργινούσαις καταναυμαχήσαντα Πελοποννησίους, ἀπέκτεινεν ὁ δῆμος μετὰ τῶν συστρατήγων. τότε δὲ τοῦ Περικλέους ἔοικεν ὁ λοιμὸς λαβέσθαι λαβὴν οὐκ ὀξεῖαν, ὥσπερ ἄλλων, οὐδὲ σύντονον, ἀλλὰ βληχρᾷ τινι νόσῳ καὶ μῆκος ἐν ποικίλαις ἐχούσῃ μεταβολαῖς διαχρωμένην τὸ σῶμα σχολαίως, καὶ ὑπερείπουσαν τὸ φρόνημα τῆς ψυχῆς. ὁ γοῦν Θεόφραστος ἐν τοῖς ἠθικοῖς διαπορήσας, εἰ πρὸς τὰς τύχας τρέπεται τὰ ἤθη, καὶ κινούμενα τοῖς τῶν σωμάτων πάθεσιν, ἐξίσταται τῆς ἀρετῆς, ἱστόρηκεν ὅτι νοσῶν ὁ Περικλῆς, ἐπισκοπουμένῳ τινὶ τῶν φίλων, δείξειε περίαπτον ὑπὸ τῶν γυναικῶν τῷ τραχήλῳ περιηρτημένον, ὡς σφόδρα κακῶς ἔχων, ὁπότε καὶ ταύτην ὑπομένοι τὴν ἀβελτηρίαν. ἤδη δὲ πρὸς τῷ τελευτᾶν ὄντος αὐτοῦ, περικαθήμενοι τῶν πολιτῶν οἱ βέλτιστοι, καὶ τῶν φίλων οἱ περιόντες, λόγον ἐποιοῦντο τῆς ἀρετῆς καὶ τῆς δυνάμεως ὅση γένοιτο, καὶ τὰς πράξεις ἀνεμετροῦντο, καὶ τῶν τροπαίων τὸ πλῆθος. ἐννέα γὰρ ἦν ἃ στρατηγῶν καὶ νικῶν ἔστησεν ὑπὲρ τῆς πόλεως. ταῦτα ὡς οὐκέτι συνιέντος, ἀλλὰ καθῃρημένου τὴν αἴσθησιν αὐτοῦ, διελέγοντο πρὸς ἀλλήλους. ὁ δὲ πᾶσιν ἐτύγχανε τὸν νοῦν προσεσχηκώς, καὶ

ἐπὶ

δυστυχία

μηδόθεν γένος τοῦ περικλέους, ἔνοχον ἦν, ὡς θουκυδίδης εἴρηκεν. ἡ δὲ πεῖρα περιέστη τοῖς πέμψασιν εἰς τοὐναντίον. ἀντὶ γὰρ ὑποψίας καὶ διαβολῆς ὁ περικλῆς ἔτι μείζονα πίστιν εἶχε καὶ τιμὴν παρὰ τοῖς πολίταις, ὡς μάλιστα μισούντων καὶ φοβουμένων ἐκεῖνον, τῶν πολεμίων. διὸ καὶ πρὶν ἐμβαλεῖν εἰς τὴν ἀττικὴν τὸν ἀρχίδαμον ἔχοντα τοὺς πελοποννησίους, προεῖπε τοῖς ἀθηναίοις, ἂν ἄρα τ' ἄλλα δηϊῶν ἀρχίδαμος, ἀπέχηται τῶν ἐκείνου διὰ τὴν ξενίαν τὴν οὖσαν αὐτοῖς, ἢ διαβολῆς τοῖς ἐχθροῖς ἐνδιδοὺς ἀφορμάς, ὅτι τῇ πόλει, καὶ τὴν χώραν καὶ τὰς ἐπαύλεις ἐπιδίδωσιν. ἐμβάλλουσιν οὖν εἰς τὴν ἀττικὴν στρατῷ μεγάλῳ λακεδαιμόνιοι μετὰ τῶν συμμάχων, ἀρχιδάμου τοῦ βασιλέως ἡγουμένου. καὶ δηϊοῦντες τὴν χώραν, προῆλθον εἰς ἀχαρνὰς καὶ κατεστρατοπέδευσαν. ὡς τῶν ἀθηναίων οὐκ ἀνεξομένων, ἀλλ' ὑπὲρ γῆς καὶ φρονήματος διαμαχουμένων πρὸς αὐτούς. τῷ δὲ περικλεῖ δεινὸν ἐφαίνετο πρὸς ἑξακισμυρίους πελοποννησίων καὶ βοιωτῶν ὁπλίτας. τοσοῦτοι γὰρ ἦσαν οἱ τὸ πρῶτον ἐμβαλόντες, ὑπὲρ αὐτῆς τῆς πόλεως μάχην συνάψαι. τοὺς δὲ βουλομένους μάχεσθαι, καὶ δυσπαθοῦντας πρὸς τὰ γινόμενα, κατεπράϋνε λέγων. ὡς δένδρα μὲν τμηθέντα καὶ κοπέντα, φύεται ταχέως, ἀνδρῶν δὲ διαφθαρέντων, αὖθις τυχεῖν οὐ ῥᾴδιόν ἐστι. τὸν δὲ δῆμον, εἰς ἐκκλησίαν οὐ συνῆγε δεδιὼς βιασθῆναι παρὰ γνώμην. ἀλλ' ὥσπερ νεὼς κυβερνήτης. ἀνέμου κατιόντος ἐν πελάγει, θέμενος εὖ πάντα, καὶ κατατείνας τὰ ὅπλα χρῆται τῇ τέχνῃ δάκρυα καὶ δεήσεις ἐπιβατῶν ναυτιώντων καὶ φοβουμένων ἐάσας, οὕτως ἐκεῖνος, τό τε ἄστυ συγκλείσας καὶ καταλαβὼν πάντα φυλακαῖς πρὸς ἀσφάλειαν, ἐχρῆτο τοῖς αὑτοῦ λογισμοῖς, βραχέα φροντίζων, τῶν καταβοώντων καὶ δυσχεραινόντων. καί τοι πολλοὶ μὲν αὐτοῦ τῶν φίλων, δεόμενοι προσέκειντο. πολλοὶ δὲ τῶν ἐχθρῶν ἀπειλοῦντες καὶ κατηγοροῦντες. πολλοὶ δ' ᾖδον ᾄσματα καὶ σκώμματα πρὸς αἰσχύνην, ἐφυβρίζοντες αὐτοῦ τὴν στρατηγίαν, ὡς ἄνανδρον καὶ προϊεμένην τὰ πράγματα τοῖς πολεμίοις. ἐπεφύετο δὲ καὶ κλέων ἤδη διὰ τῆς πρὸς ἐκεῖνον ὀργῆς τῶν πολιτῶν, πορευόμενος ἐπὶ τὴν δημαγωγίαν. ὡς τ' ἀνάπαιστα ταῦτα δη-
» λοποιήσαντος ἑρμίππου, βασιλεῦ σατύρων, τί ποτ' οὐκ ἐθέλεις δόρυ βαστάζειν, ἀλλὰ λόγους μὲν περὶ
» πολέμου, δεινοὺς παρέχῃ. ψυχὴν δὲ τέλητος ὑπέστης. κἀγχειριδίου δ' ἀκόνῃ σκληρᾷ παραθηγομένῃ,
» βρύχει κοπίδας. δηχθεὶς αἴθωνι κλέωνι. πλὴν ὑπ' οὐδενὸς ἐκινήθη τῶν τοιούτων ὁ περικλῆς. ἀλλὰ πράως καὶ σιωπῇ τὴν ἀδοξίαν καὶ τὴν ἀπέχθειαν ὑφιστάμενος. καὶ νεῶν ἑκατὸν ἐπὶ τὴν πελοπόννησον στόλον ἐκπέμπων, αὐτὸς οὐ συνεξέπλευσεν, ἀλλ' ἔμεινεν οἰκουρῶν καὶ διὰ χειρὸς ἔχων τὴν πόλιν, ἕως ἀπηλλάγησαν οἱ πελοποννήσιοι. θεραπεύων δὲ τοὺς πολλούς, ὅμως ἀσχάλλοντας ἐπὶ τῷ πολέμῳ διανομαῖς τε χρημάτων ἀνελάμβανε. καὶ κληρουχίας ἀνέγραφεν. αἰγινήτας γὰρ ἐξελάσας ἅπαντας, διένειμε τὴν νῆσον, ἀθηναίων τοῖς λαχοῦσιν. ἦν δέ τις παρηγορία, καὶ ἀφ' ὧν ἔπασχον οἱ πολέμιοι. καὶ γὰρ οἱ περιπλέοντες τὴν πελοπόννησον, χώραν τε πολλὴν, κώμας τε, καὶ πόλεις μικρὰς διεπόρθησαν. καὶ κατὰ γῆν αὐτὸς ἐμβαλὼν εἰς τὴν μεγαρικὴν, ἔφθειρε πᾶσαν. ᾗ καὶ δῆλον ὅτι πολλὰ μὲν δρῶντες κακὰ τοὺς ἀθηναίους. πολλὰ δὲ πάσχοντες ὑπ' ἐκείνων ἐκ θαλάττης, οὐκ ἂν εἰς μῆκος πολέμου τοσοῦτον προὔβησαν, ἀλλὰ ταχέως ἀπεῖπον. ὥσπερ ἐξ ἀρχῆς ὁ περικλῆς προηγόρευεν, εἰ μή τι δαιμόνιον ὑπηναντιώθη τοῖς ἀνθρωπίνοις λογισμοῖς. νῦν δὲ πρῶτον μὲν, ἡ λοιμώδης ἐνέπεσε φθορὰ, καὶ κατενεμήθη τὴν ἀκμάζουσαν ἡλικίαν καὶ δύναμιν. ὑφ' ἧς καὶ τὰ σώματα κακούμενοι, καὶ τὰς ψυχὰς παντάπασιν ἠγριώθησαν πρὸς τὸν περικλέα. καὶ καθάπερ πρὸς ἰατρὸν ἢ πατέρα τῇ νόσῳ παραφρονήσαντες, ἀδικεῖν ἐπεχείρησαν, ἀναπεισθέντες ὑπὸ τῶν ἐχθρῶν. ὡς τὴν μὲν νόσον ἡ τοῦ χωριτικοῦ πλήθους εἰς τὸ ἄστυ συμφόρησις ἐργάζεται, θέρους ὥρᾳ πολλῶν ὁμοῦ χύδην ἐν οἰκήμασι μικροῖς καὶ σκηνώμασι πνιγηροῖς, ἠναγκασμένων διαιτᾶσθαι δίαιταν οἰκουρὸν καὶ ἄργον, ἀντὶ καθαρᾶς καὶ ἀναπεπταμένης τῆς πρότερον. τούτου δ' αἴτιος ὁ τῷ πολέμῳ τὸν ἀπὸ τῆς χώρας ὄχλον εἰς τὰ τείχη καταχεάμενος, καὶ πρὸς οὐδὲν ἀνθρώποις τοσούτοις χρώμενος. ἀλλ' ἐῶν ὥσπερ βοσκήματα καθειργμένους, ἀναπίμπλασθαι φθορᾶς ἀπ' ἀλλήλων, καὶ μηδὲ μίαν μεταβολὴν μηδ' ἀναψυχὴν ἐκπορίζων. ταῦτα βουλόμενος ἰᾶσθαι, καί τι παραλυπεῖν τοὺς πολεμίους, ἑκατὸν καὶ πεντήκοντα ναῦς ἐπλήρου. καὶ πολλοὺς καὶ ἀγαθοὺς ὁπλίτας καὶ ἱππέας ἀναβιβασάμενος, ἔμελλεν ἀνάγεσθαι, μεγάλην ἐλπίδα τοῖς πολίταις. καὶ φόβον οὐκ ἔλαττον τοῖς πολεμίοις, ἀπὸ τοσαύτης ἰσχύος παρασχών. ἤδη δὲ πεπληρωμένων τῶν νεῶν, καὶ τοῦ περικλέους ἀναβεβηκότος ἐπὶ τὴν ἑαυτοῦ τριήρη, τὸν μὲν ἥλιον ἐκλιπεῖν συνέβη, καὶ γενέσθαι σκότος, ἐκπλαγῆναι δὲ πάντας, ὡς πρὸς μέγα σημεῖον. ὁρῶν οὖν ὁ περικλῆς περίφοβον τὸν κυβερνήτην καὶ διηπορημένον, ἀνέσχε τὴν χλαμύδα πρὸ τῆς ὄψεως αὐτοῦ. καὶ παρακαλύψας, ἠρώτησε μή τι δεινὸν, ἢ δεινοῦ τινὸς οἴεται σημεῖον, ὡς δ' οὐκ ἔφη. τί οὖν εἶπεν ἐκεῖνο τούτου διαφέρει. πλὴν ὅτι μεῖζόν τι τῆς χλαμύδος ἐστὶ τὸ πεποιηκὸς τὴν ἐπισκότησιν. ταῦτα μὲν οὖν ἐν ταῖς σχολαῖς λέγεται τῶν φιλοσόφων. ἐκπλεύσας δ' οὖν ὁ περικλῆς, οὔτ' ἄλλο τι δοκεῖ τῆς παρασκευῆς ἄξιον δρᾶσαι. πολιορκήσας τε τὴν ἱερὰν ἐπίδαυρον, ἐλπίδα παρασχοῦσαν ὡς ἁλωσομένην, ἀπέτυχε διὰ τὴν νόσον. ἐπιγινομένη γὰρ οὐκ αὐτοὺς μόνον, ἀλλὰ καὶ τοὺς ὁπωσοῦν τῇ στρατιᾷ συμμίξαντας προσδιέφθειρεν. ἐκ τούτου χαλεπῶς διακειμέ-

τὸν δῆμον, ἐμμένας τῇ πρὸς μεγαρεῖς φιλονεικίᾳ, μόνος ἔσχε τοῦ πολέμου τὴν αἰτίαν. λέγουσι δὲ πρέσβεις ἀθήναζε περὶ τούτων ἐκ λακεδαίμονος ἀφιγμένους, καὶ τοῦ περικλέους νόμον τινὰ προβαλλομένου, κωλύοντα καθελεῖν τὸ πινάκιον ἐν ᾧ τὸ ψήφισμα γεγραμμένον ἐτύγχανεν, εἰπεῖν πολύαρκη τῶν πρέσβεων τινά. σὺ δὲ μὴ καθέλῃς, ἀλλὰ στρέψον εἴσω τὸ πινάκιον. οὐ γάρ ἐστι νόμος ὁ τοῦτο κωλύων. κομψοῦ δὲ τοῦ λόγου φανέντος, οὐδέν τι μᾶλλον ὁ περικλῆς ἐνέδωκεν. ὑπῆν μὲν οὖν τις ὡς ἔοικεν αὐτῷ, καὶ ἰδία πρὸς τοὺς μεγαρεῖς ἀπέχθεια. κοινὴν δὲ καὶ φανερὰν ποιησάμενος τὴν αἰτίαν κατ᾽ αὐτῶν, ἀποτέμνεσθαι τὴν ἱερὰν ὀργάδα. γράφει ψήφισμα, κήρυκα πεμφθῆναι πρὸς αὐτοὺς, καὶ πρὸς λακεδαιμονίους τὸν αὐτὸν, κατηγοροῦντα τῶν μεγαρέων. τοῦτο μὲν οὖν τὸ ψήφισμα, περικλέους ἐστίν. εὐγνώμονος καὶ φιλανθρώπου δικαιολογίας ἐχόμενον. ἐπεὶ δ᾽ ὁ πεμφθεὶς κῆρυξ ἀνθεμόκριτος, αἰτίᾳ τῶν μεγαρέων ἀποθανεῖν ἔδοξε, γράφει ψήφισμα κατ᾽ αὐτῶν χαρῖνος, ἄσπονδον μὲν εἶναι καὶ ἀκήρυκτον ἔχθραν. ὃς δ᾽ ἂν ἐπιβῇ τῆς ἀττικῆς μεγαρέων, θανάτῳ ζημιοῦσθαι. τοὺς δὲ στρατηγοὺς, ὅταν ὀμνύωσι τὸν πάτριον ὅρκον, ἐπομνύειν, ὅτι καὶ δὶς ἀνὰ πᾶν ἔτος, εἰς τὴν μεγαρικὴν ἐμβαλοῦσι. ταφῆναι δ᾽ ἀνθεμόκριτον παρὰ τὰς θριασίους πύλας, αἳ νῦν δίπυλον ὀνομάζονται. μεγαρεῖς δὲ, τὸν ἀνθεμοκρίτου φόνον ἀπαρνούμενοι, τὰς αἰτίας εἰς ἀσπασίαν καὶ περικλέα τρέπουσι. χρώμενοι τοῖς περιβοήτοις καὶ δημώδεσι τούτοις ἐκ τῶν ἀχαρνέων στιχιδίοις. πόρνην δὲ σιμαίθαν, ἰόντες μέγαράδε νεανίαι κλέπτουσι μεθυσοκότταβοι. κᾆθ᾽ οἱ μεγαρεῖς ὀδύναις πεφυσιγγωμένοι, ἀντεξέκλεψαν ἀσπασίας πόρνα δύο. τὴν μὲν οὖν ἀρχὴν ὅπως ἔσχεν οὐ ῥᾴδιον γνῶναι. τοῦ δὲ μὴ λυθῆναι τὸ ψήφισμα, πάντες ὡσαύτως τὴν αἰτίαν ἐπιφέρουσι τῷ περικλεῖ. πλὴν, οἱ μὲν, ἐκ φρονήματος μεγάλου μετὰ γνώμης κατὰ τὸ βέλτιστον ἀπισχυρίσασθαι φασὶν αὐτόν. πεῖραν ἐνδόσεως τὸ πρόσταγμα, καὶ τὴν συγχώρησιν, ἐξομολόγησιν ἀσθενείας ἡγούμενον. οἱ δὲ, μᾶλλον αὐθαδείᾳ τινὶ καὶ φιλονεικίᾳ, πρὸς ἔνδειξιν ἰσχύος περιφρονῆσαι λακεδαιμονίων. ἡ δὲ χειρίστη μὲν αἰτία πασῶν ἔχουσα δὲ πλείστους μάρτυρας, οὕτω πως λέγεται. φειδίας ὁ πλάστης, ἐργολάβος μὲν ἦν τοῦ ἀγάλματος ὡς προείρηται. φίλος δὲ τῷ περικλεῖ γενόμενος, καὶ μέγιστον παρ᾽ αὐτῷ δυνηθεὶς, τοὺς μὲν, δι᾽ αὐτὸν ἔσχεν ἐχθροὺς φθονούμενος. οἱ δὲ, τοῦ δήμου ποιούμενοι πεῖραν ἐν ἐκείνῳ, ποῖός τις ἔσοιτο περικλεῖ κριτὴς, μένωνά τινα τῶν φειδίου συνεργῶν πείσαντες, ἱκέτην ἐν ἀγορᾷ καθίζουσιν, αἰτούμενον ἄδειαν, ἐπὶ μηνύσει καὶ κατηγορίᾳ τοῦ φειδίου. προσδεξαμένου δὲ τοῦ δήμου τὸν ἄνθρωπον. καὶ γενομένης ἐν ἐκκλησίᾳ διώξεως, κλοπαὶ μὲν οὐκ ἠλέγχοντο. τὸ γὰρ χρυσίον οὕτως εὐθὺς ἐξ ἀρχῆς ἀγάλματι προσειργάσατο καὶ περιέθηκεν ὁ φειδίας, γνώμῃ τοῦ περικλέους, ὥστε πᾶν δυνατὸν εἶναι περιελοῦσιν, ἀποδεῖξαι τὸν σταθμόν. ὃ καὶ τότε τοὺς κατηγόρους ἐκέλευσε ποιεῖν ὁ περικλῆς. ἡ δὲ δόξα τῶν ἔργων, ἐπίεζε φθόνῳ τὸν φειδίαν. καὶ μάλισθ᾽ ὅτι τὴν πρὸς ἀμαζόνας μάχην, ἐν τῇ ἀσπίδι ποιῶν, αὑτοῦ τινὰ μορφὴν ἐνετύπωσε, πρεσβύτου φαλακροῦ, πέτρον ἐπηρμένου δι᾽ ἀμφοτέρων τῶν χειρῶν. καὶ τοῦ περικλέους εἰκόνα παγκάλην ἐνέθηκε, μαχομένου πρὸς ἀμαζόνα. τὸ δὲ σχῆμα, τῆς χειρὸς ἀνατεινούσης δόρυ, πρὸ τῆς ὄψεως τοῦ περικλέους, πεποιημένον εὐμηχάνως, οἷον ἐπικρύπτειν βούλεται τὴν ὁμοιότητα παραφαινομένην ἑκατέρωθεν. ὁ μὲν οὖν φειδίας εἰς τὸ δεσμωτήριον ἀπαχθεὶς, ἐτελεύτησε νοσήσας. ὡς δέ φασιν ἔνιοι φαρμάκοις, ἐπὶ διαβολῇ τοῦ περικλέους, τῶν ἐχθρῶν παρασκευασάντων. τῷ δὲ μηνυτῇ μένωνι, γράψαντος γλύκωνος, ἀτέλειαν ὁ δῆμος ἔδωκε καὶ προσέταξε τοῖς στρατηγοῖς, ἐπιμελεῖσθαι τῆς ἀσφαλείας τοῦ ἀνθρώπου. περὶ δὲ τοῦτον τὸν χρόνον ἀσπασία δίκην ἔφευγεν ἀσεβείας, ἑρμίππου τοῦ κωμῳδοποιοῦ διώκοντος, καὶ προσκατηγοροῦντος ὡς περικλεῖ γυναῖκας ἐλευθέρας εἰς τὸ αὐτὸ φοιτώσας, ὑποδέχοιτο. καὶ ψήφισμα διοπείθης ἔγραψεν εἰσαγγέλλεσθαι τοὺς τὰ θεῖα μὴ νομίζοντας. ἢ λόγους περὶ τῶν μεταρσίων διδάσκοντας ἀπερειδόμενος εἰς περικλέα δι᾽ ἀναξαγόρου, τὴν ὑπόνοιαν. δεχομένου δὲ τοῦ δήμου καὶ προσιεμένου τὰς διαβολὰς, οὕτως ἤδη ψήφισμα κυροῦται. δρακοντίδου γράψαντος, ὅπως οἱ λόγοι τῶν χρημάτων ὑπὸ περικλέους, εἰς τοὺς πρυτάνεις ἀποτεθεῖεν. οἱ δὲ δικασταὶ τὴν ψῆφον ἀπὸ τοῦ βωμοῦ φέροντες, ἐν τῇ πόλει κρίνοιεν. ἄγνων δὲ, τοῦτο μὲν ἀφεῖλε τοῦ ψηφίσματος, κρίνεσθαι δὲ τὴν δίκην ἔγραψεν, ἐν δικασταῖς χιλίοις καὶ πεντακοσίοις. εἴτε κλοπῆς καὶ δώρων, εἴτ᾽ ἀδικίου βούλοιτό τις ὀνομάζειν τὴν δίωξιν. ἀσπασίαν μὲν οὖν ἐξῃτήσατο πολλὰ πάνυ παρὰ τὴν δίκην, ὥς αἰσχίνης φησὶν, ἀφεὶς ὑπὲρ αὐτῆς δάκρυα, καὶ δεηθεὶς τῶν δικαστῶν. ἀναξαγόραν δὲ, φοβηθεὶς ἐξέπεμψε καὶ προὔπεμψεν ἐκ τῆς πόλεως. ὡς δὲ διὰ φειδίου προσέπταισε τῷ δήμῳ φοβηθεὶς, τὸ δικαστήριον, μέλλοντα τὸν πόλεμον καὶ ὑποτυφόμενον ἐξέκαυσεν, ἐλπίζων διασκεδάσειν τὰ ἐγκλήματα, καὶ ταπεινώσειν τὸν φθόνον, ἐν πράγμασι μεγάλοις καὶ κινδύνοις τῆς πόλεως, ἐκείνῳ μόνῳ διὰ τὸ ἀξίωμα καὶ τὴν δύναμιν ἀναθείσης ἑαυτήν. αἱ μὲν οὖν αἰτίαι, δι᾽ ἃς οὐκ εἴασεν ἐνδοῦναι λακεδαιμονίοις τὸν δῆμον, αὗται λέγονται. τὸ δ᾽ ἀληθὲς, ἄδηλον. οἱ δὲ λακεδαιμόνιοι γινώσκοντες ὡς ἐκείνου καταλυθέντος εἰς πάντα μαλακωτέροις χρήσονται τοῖς ἀθηναίοις, ἐκέλευον αὐτοὺς τὸ ἄγος ἐλαύνειν, ᾧ τὸ

τοὺς ἀθηναίους, καὶ μάχεσθαι προθυμουμένους, ἔργον ἦν κατασχεῖν, ὀκτὼ μέρη διελὼν τὸ πᾶν πλῆθος, ἀπεκλήρου. καὶ τῷ λαβόντι τὸν λευκὸν κύαμον, εὐωχεῖσθαι καὶ σχολάζειν παρεῖχε, τῶν ἄλλων μαχομένων. διὸ καί φασι τοὺς ἐν εὐπαθείαις τισὶ γενομένους, λευκὴν ἡμέραν ἐκείνην, ἀπὸ τοῦ λευκοῦ κυάμου προσαγορεύειν. ἔφορος δὲ καὶ μηχαναῖς χρήσασθαι τὸν περικλέα, τὴν καινότητα θαυμάσαντα, ἀρτέμωνος τοῦ μηχανικοῦ παρόντος, ὃν χωλὸν ὄντα, καὶ φορείῳ πρὸς τὰ κατεπείγοντα τῶν ἔργων προσκομιζόμενον, ὀνομασθῆναι περιφόρητον. τοῦτο μὲν οὖν ἡρακλείδης ὁ ποντικὸς ἐλέγχει τοῖς ἀνακρέοντος ποιήμασιν, ἐν οἷς ὁ περιφόρητος ἀρτέμων ὀνομάζεται, πολλαῖς ἔμπροσθεν ἡλικίαις τοῦ περὶ σάμον πολέμου, καὶ τῶν πραγμάτων ἐκείνων. τὸν δ' ἀρτέμωνά φησι, τρυφερόν τινα τῷ βίῳ, καὶ πρὸς τοὺς φόβους μαλακὸν ὄντα καὶ καταπλῆγα, τὰ πολλὰ μὲν οἴκοι καθέζεσθαι, χαλκῆν ἀσπίδα τῆς κεφαλῆς αὐτοῦ δυεῖν οἰκετῶν ὑπερεχόντων, ὥστε μηδὲν ἐμπεσεῖν τῶν ἄνωθεν. εἰ δὲ βιασθείη προελθεῖν, ἐν κλινιδίῳ κρεμαστῷ, παρὰ τὴν γῆν αὐτὴν περιφερόμενον κομίζεσθαι, καὶ διὰ τοῦτο κληθῆναι περιφόρητον. ἐνάτῳ δὲ μηνὶ τῶν σαμίων παραστάντων, ὁ περικλῆς τὰ τείχη καθεῖλε. καὶ τὰς ναῦς παρέλαβε. καὶ χρήμασι πολλοῖς ἐζημίωσεν. ὧν τὰ μὲν, εὐθὺς ἤνεγκαν οἱ σάμιοι. τὰ δ' ἐν χρόνῳ ῥητῷ ταξάμενοι κατοίσειν, ὁμήρους ἔδωκαν. δοῦρις δ' ὁ σάμιος τούτοις ἐπιτραγῳδεῖ, πολλὴν ὠμότητα τῶν ἀθηναίων καὶ τοῦ περικλέους κατηγορῶν. ἣν οὔτε θουκυδίδης ἱστόρηκεν, οὔτ' ἔφορος, οὔτ' ἀριστοτέλης. ἀλλ' οὐδ' ἀληθεύειν ἔοικεν, ὡς ἄρα τοὺς τριηράρχους καὶ τοὺς ἐπιβάτας τῶν σαμίων εἰς τὴν μιλησίων ἀγορὰν ἀγαγὼν, καὶ σανίσι προσδήσας ἐφ' ἡμέρας δέκα, κακῶς ἤδη διακειμένους, προσέταξεν ἀνελεῖν, ξύλοις τὰς κεφαλὰς συγκόψαντας. εἶτα προβαλεῖν ἀκήδευτα τὰ σώματα. δοῦρις μὲν οὖν οὐδ' ὅπου μηδὲν αὐτῷ πρόσεστιν ἴδιον πάθος, εἰωθὼς κρατεῖν τὴν διήγησιν ἐπὶ τῆς ἀληθείας, μᾶλλον ἔοικεν ἐνταῦθα δεινῶσαι τὰς τῆς πατρίδος συμφορὰς ἐπὶ διαβολῇ τῶν ἀθηναίων. ὁ δὲ περικλῆς καταστρεψάμενος τὴν σάμον ὡς ἐπανῆλθεν εἰς τὰς ἀθήνας, ταφάς τε τῶν ἀποθανόντων κατὰ τὸν πόλεμον ἐνδόξους ἐποίησε. καὶ τὸν λόγον εἰπὼν ὥσπερ ἔθος ἐστὶν ἐπὶ τῶν σημάτων, ἐθαυμαστώθη. καταβαίνοντα δ' αὐτὸν ἀπὸ τοῦ βήματος. αἱ μὲν ἄλλαι γυναῖκες ἐδεξιοῦντο, καὶ στεφάνοις ἀνέδουν καὶ ταινίαις ὥσπερ ἀθλητὴν νικηφόρον. ἡ δ' ἐλπινίκη προσελθοῦσα πλησίον, ταῦτ' ἔφη θαυμαστὰ περίκλεις καὶ ἄξια στεφάνων, ὃς ἡμῖν πολλοὺς καὶ ἀγαθοὺς ἀπώλεσας πολίτας, οὐ φοίνιξι πολεμῶν οὐδὲ μήδοις, ὥσπερ οὑμὸς ἀδελφὸς κίμων, ἀλλὰ σύμμαχον καὶ συγγενῆ πόλιν καταστρεφόμενος. ταῦτα τῆς ἐλπινίκης λεγούσης ὁ περικλῆς μειδιάσας, ἀτρέμα λέγεται τὸ τοῦ ἀρχιλόχου πρὸς αὐτὴν εἰπεῖν. οὐκ ἂν μύροισι γραῦς ἐοῦσ' ἠλείφεο. θαυμαστὸν δέ τι καὶ μέγα φρονῆσαι, καταπολεμήσαντα τοὺς σαμίους, φησὶν αὐτὸν ὁ ἴων. ὡς τοῦ μὲν ἀγαμέμνονος ἔτεσι δέκα βάρβαρον πόλιν. αὐτοῦ δὲ μησὶν ἐννέα, τοὺς πρώτους καὶ δυνατωτάτους ἰώνων ἑλόντος. καὶ οὐκ ἦν ἄδικος ἡ ἀξίωσις. ἀλλ' οὕτως πολλὴν ἀδηλότητα καὶ μέγαν ἔσχε κίνδυνον ὁ πόλεμος. εἴπερ οὕτως. ς. Τ.
ὡς θουκυδίδης φησὶ, παρ' ἐλάχιστον ἦλθε σαμίων ἡ πόλις, ἀφελέσθαι τῆς θαλάττης τὸ κράτος ἀθηναίους. μετὰ ταῦτα, κυμαίνοντος ἤδη τοῦ πελοποννησιακοῦ πολέμου. κερκυραίοις πολεμουμένοις ὑπὸ κορινθίων, ἔπεισε τὸν δῆμον ἀποστεῖλαι βοήθειαν. καὶ προσλαβεῖν ἐρρωμένην ναυτικῇ δυνάμει νῆσον, ὡς ὅσον οὐδέπω, πελοποννησίων ἐκπεπολεμωμένων πρὸς αὐτούς. ψηφισαμένου δὲ τοῦ δήμου τὴν βοήθειαν, ἀπέστειλε δέκα ναῦς μόνας ἔχοντα λακεδαιμόνιον τὸν κίμωνος υἱόν. οἷον ἐφυβρίζων. πολλὴ γὰρ ἦν εὔνοια καὶ φιλία τῷ κίμωνος οἴκῳ πρὸς λακεδαιμονίους. ὡς ἂν οὖν εἰ μηδὲν ἔργον μέγα μηδ' ἐκπρεπὲς ἐν τῇ στρατηγίᾳ τοῦ λακεδαιμονίου γένοιτο, προσδιαβληθείη μᾶλλον εἰς τὸν λακωνισμόν, ὀλίγας αὐτῷ ναῦς ἔδωκε. καὶ μὴ βουλόμενον, ἐξέπεμψε. καὶ ὅλως διετέλει κωλύων, ὡς μηδὲ τοῖς ὀνόμασι γνησίους, ἀλλ' ὀθνείους καὶ ξένους, ὅτι τῶν κίμωνος υἱῶν. τῷ μὲν, ἦν, λακεδαιμόνιος ὄνομα. τῷ δὲ, θετταλός. τῷ δὲ, ἠλεῖος. ἐδόκουν δὲ πάντες ἐκ γυναικὸς ἀρκαδικῆς γεγονέναι. κακῶς οὖν ὁ περικλῆς ἀκούων διὰ τὰς δέκα ταύτας τριήρεις, ὡς μικρὰν μὲν βοήθειαν τοῖς δεηθεῖσι, μεγάλην δὲ πρόφασιν τοῖς ἐγκαλοῦσι παρεσχηκὼς, ἑτέρας αὖθις ἔστειλε πλείονας εἰς τὴν κέρκυραν. αἳ μετὰ τὴν μάχην ἀφίκοντο. χαλεπαίνουσι δὲ τοῖς κορινθίοις, καὶ κατηγοροῦσι τῶν ἀθηναίων ἐν λακεδαίμονι, προσεγένοντο μεγαρεῖς αἰτιώμενοι, πάσης μὲν ἀγορᾶς, πάντων δὲ λιμένων ὧν ἀθηναῖοι κρατοῦσιν, εἴργεσθαι καὶ ἀπελαύνεσθαι παρὰ τὰ κοινὰ δίκαια, καὶ τοὺς γεγενημένους ὅρκους τοῖς ἕλλησιν. αἰγινῆται δὲ κακοῦσθαι δοκοῦντες καὶ βίαια πάσχειν, ἐποτνιῶντο κρύφα πρὸς τοὺς λακεδαιμονίους, φανερῶς ἐγκαλεῖν τοῖς ἀθηναίοις οὐ θαρροῦντες. ἐν δὲ τούτῳ καὶ ποτίδαια πόλις ὑπήκοος ἀθηναίων, ἄποικος δὲ κορινθίων, ἀποστᾶσα καὶ πολιορκουμένη, μᾶλλον ἐπετάχυνε τὸν πόλεμον. οὐ μὴν ἀλλὰ πρεσβειῶν τε πεμπομένων ἀθήναζε. καὶ τοῦ βασιλέως τῶν λακεδαιμονίων ἀρχιδάμου, τὰ πολλὰ τῶν ἐγκλημάτων εἰς διαλύσεις ἄγοντος, καὶ τοὺς συμμάχους πραΰνοντος, οὐκ ἂν δοκεῖ συμπεσεῖν ὑπό γε τῶν ἄλλων αἰτιῶν ὁ πόλεμος τοῖς ἀθηναίοις, εἰ τὸ ψήφισμα καθελεῖν τὸ μεγαρικὸν ἐπείσθησαν. καὶ διαλλαγῆναι πρὸς αὐτούς. διὸ καὶ μάλιστα πρὸς τοῦτο περικλῆς ἐναντιωθεὶς καὶ παροξύνας

τῶν ὄντων καὶ μεγίστων. τὴν δ' Ἀσπασίαν, οἱ μὲν, ὡς σοφήν τινα καὶ πολιτικὴν ὑπὸ τοῦ Περικλέ-
ους σπουδασθῆναι λέγουσι. καὶ γὰρ Σωκράτης, ἔστιν ὅτε μετὰ τῶν γνωρίμων ἐφοίτα. καὶ τὰς γυ-
ὡς ς. τ. ναῖκας ἀκροασομένας, οἱ συνήθεις ἦγον εἰς αὐτήν. καίπερ οὐ κοσμίου προεστῶσαν ἐργασίας, οὐδὲ σε-
μνῆς. ἀλλὰ παιδίσκας ἑταιρούσας τρέφουσαν. Αἰσχίνης δέ φησι καὶ Λυσικλέα τὸν προβατοκάπη-
λον, ἐξ ἀγεννοῦς καὶ ταπεινοῦ τὴν φύσιν, Ἀθηναίων γενέσθαι πρῶτον, Ἀσπασίᾳ συνόντα μετὰ τὴν
Περικλέους τελευτήν. ἐν δὲ τῷ Μενεξένῳ τῷ Πλάτωνος, εἰ καὶ μετὰ παιδιᾶς τὰ πρῶτα γέγρα-
πται, τοσοῦτόν γ' ἱστορίας ἔνεστιν, ὅτι δόξαν εἶχε τὸ γύναιον, ἐπὶ ῥητορικῇ, πολλοῖς Ἀθηναίων ὁμιλεῖν.
φαίνεται μέντοι μᾶλλον ἐρωτική τις ἡ τοῦ Περικλέους ἀγάπησις γενομένη πρὸς Ἀσπασίαν. ἦν μὲν γὰρ
αὐτῷ γυνὴ, προσήκουσα μὲν κατὰ γένος, συνῳκηκυῖα δ' Ἱππονίκῳ πρότερον. ἐξ οὗ Καλλίαν ἔτεκε τὸν
πλούσιον. ἔτεκε δὲ καὶ παρὰ τῷ Περικλεῖ, Ξάνθιππον καὶ Πάραλον. εἶτα τῆς συμβιώσεως οὐκ οὔ-
ἀρίστης σης αὐτοῖς ἀρεστῆς, ἐκείνην μὲν ἑτέρῳ, βουλομένην συνεξέδωκεν. αὐτὸς δὲ τὴν Ἀσπασίαν λαβὼν, ἔ-
στερξε διαφερόντως. καὶ γὰρ ἐξιὼν ὥς φασι καὶ εἰσιὼν ἀπ' ἀγορᾶς, ἠσπάζετο καθ' ἡμέραν αὐτὴν μετὰ
τοῦ καταφιλεῖν. ἐν δὲ ταῖς κωμῳδίαις Ὀμφάλη τε νέα, καὶ Δηϊάνειρα καὶ πάλιν Ἥρα προσαγορεύε-
» ται. Κρατῖνος δ' ἄντικρυς παλλακὴν αὐτὴν εἴρηκεν ἐν τούτοις. Ἥραν τέ οἱ Ἀσπασίαν τίκτει. καὶ κα-
» ταπυγοσύνη παλλακὴν κυνώπιδα. δοκεῖ δὲ καὶ τὸν νόθον ἐκ ταύτης τεκνῶσαι. περὶ οὗ πεποίη-
» κεν Εὔπολις ἐν Δήμοις, αὐτὸν μὲν οὕτως ἐρωτῶντα. ὁ νόθος δέ μοι ζῇ, τὸν δὲ Πυρωνίδην ἀποκρινόμε-
» νον. καὶ πάλαι γ' ἂν ἦν ἀνὴρ, εἰ μὴ τὸ τῆς πόρνης ὑπωρρώδει κακόν. οὕτω δὲ τὴν Ἀσπασίαν ὀνομαστὴν καὶ
κλεινὴν γενέσθαι λέγουσιν, ὥστε καὶ Κῦρον τὸν πολεμήσαντα βασιλεῖ περὶ τῆς τῶν Περσῶν ἡγεμο-
νίας, τὴν ἀγαπωμένην ὑπ' αὐτοῦ μάλιστα τῶν παλλακίδων, Ἀσπασίαν ὀνομάσαι, καλουμένην Μιλτὼ
πρότερον. ἦν δὲ Φωκαῒς τὸ γένος, Ἑρμοτίμου θυγάτηρ. ἐν δὲ τῇ μάχῃ Κύρου πεσόντος, ἀπαχθεῖσα
πρὸς βασιλέα, πλεῖστον ἴσχυσε. ταῦτα μὲν ἐπελθόντα τῇ μνήμῃ κατὰ τὴν γραφὴν, ἀπώσασθαι καὶ
παρελθεῖν, ἴσως ἀπάνθρωπον ἦν. τὸν δὲ πρὸς Σαμίους πόλεμον, αἰτιῶνται μάλιστα τὸν Περικλέα ψη-
πριήνης. τ. ς. φίσασθαι διὰ Μιλησίους Ἀσπασίας δεηθείσης. αἱ γὰρ πόλεις ἐπολέμουν τὸν περὶ Πριήνης πόλε-
μον. καὶ κρατοῦντες οἱ Σάμιοι, παύσασθαι τῶν Ἀθηναίων κελευόντων, καὶ δίκας λαβεῖν καὶ δοῦναι
παρ' αὐτοῖς, οὐκ ἐπείθοντο. πλεύσας οὖν ὁ Περικλῆς, τὴν μὲν οὖσαν ὀλιγαρχίαν κατέλυσεν ἐν Σά-
μῳ. τῶν δὲ πρώτων λαβὼν ὁμήρους πεντήκοντα καὶ παῖδας ἴσους, εἰς Λῆμνον ἀπέστειλε. καίτοι φα-
σὶν ἕκαστον μὲν αὐτῷ τῶν ὁμήρων, διδόναι τάλαντον ὑπὲρ ἑαυτοῦ, πολλὰ δ' ἄλλα τοὺς μὴ θέλοντας ἐν
τῇ πόλει γενέσθαι δημοκρατίαν. ἔτι δὲ Πισσούθνης ὁ Πέρσης, ἔχων τινὰ πρὸς Σαμίους εὔνοιαν, ἀπέστει-
λεν αὐτῷ μυρίους χρυσοῦς, παραιτούμενος τὴν πόλιν. οὐ μὴν ἔλαβε τούτων οὐδὲν ὁ Περικλῆς, ἀλλὰ
χρησάμενος ὥσπερ ἐγνώκει τοῖς Σαμίοις, καὶ καταστήσας δημοκρατίαν, ἀπέπλευσεν εἰς τὰς Ἀθήνας.
οἱ δ' εὐθὺς ἀπέστησαν, ἐκκλέψαντες αὐτοῖς τοὺς ὁμήρους Πισσούθνου, καὶ τἆλλα παρεσκευάσαντο πρὸς
τὸν πόλεμον. αὖθις οὖν ὁ Περικλῆς, ἐξέπλευσεν ἐπ' αὐτοὺς, οὐχ ἡσυχάζοντας, οὐδὲ κατεπτηχότας,
ἀλλὰ καὶ πάνυ προθύμως ἐγνωκότας ἀντιλαμβάνεσθαι τῆς θαλάττης. γενομένης δὲ καρτερᾶς ναυ-
μαχίας περὶ νῆσον ἣν Τραγίας καλοῦσι, λαμπρῶς ὁ Περικλῆς ἐνίκα, τέσσαρσι καὶ τεσσαράκοντα
ναυσὶν, ἑβδομήκοντα καταναυμαχήσας, ὧν εἴκοσι στρατιώτιδες ἦσαν. ἅμα δὲ τῇ νίκῃ καὶ τῇ διώξει τοῦ
λιμένος κρατήσας, ἐπολιόρκει τοὺς Σαμίους, ἁμωσγέπως ἔτι τολμῶντας ἐπεξιέναι καὶ διαμάχε-
σθαι πρὸ τοῦ τείχους. ἐπεὶ δὲ μείζων ἕτερος στόλος ἦλθεν ἐκ τῶν Ἀθηνῶν, καὶ παντελῶς κατεκλεί-
σθησαν οἱ Σάμιοι, λαβὼν ὁ Περικλῆς ἑξήκοντα τριήρεις, ἔπλευσεν εἰς τὸν ἔξω πόντον. ὡς μὲν οἱ πλεῖ-
στοι λέγουσι, Φοινισσῶν νεῶν ἐπικούρων, τοῖς Σαμίοις προσφερομένων, ἀπαντῆσαι καὶ διαγωνίσα-
σθαι πορρωτάτω βουλόμενος. ὡς δὲ Στησίμβροτος, ἐπὶ Κύπρον στελλόμενος. ὅπερ οὐ δοκεῖ πιθανὸν
εἶναι. ὁποτέρῳ δ' οὖν ἐχρήσατο τῶν λογισμῶν, ἁμαρτεῖν ἔδοξε. πλεύσαντος γὰρ αὐτοῦ, Μέλισσος ὁ
Ἰθαγένους ἀνὴρ φιλόσοφος, στρατηγῶν τότε τῆς Σάμου, καταφρονήσας τῆς ὀλιγότητος τῶν νεῶν. ἢ
τῆς ἀπειρίας τῶν στρατηγῶν, ἔπεισε τοὺς πολίτας ἐπιθέσθαι τοῖς Ἀθηναίοις. καὶ γενομένης μάχης,
νικήσαντες οἱ Σάμιοι, καὶ πολλοὺς μὲν αὐτῶν ἄνδρας ἑλόντες. πολλὰς δὲ ναῦς διαφθείραντες, ἐχρῶν-
το τῇ θαλάσσῃ, καὶ παρετίθεντο τῶν ἀναγκαίων πρὸς τὸν πόλεμον, ὅσα μὴ πρότερον εἶχον. ὑπὸ δὲ
τοῦ Μελίσσου, καὶ Περικλέα φησὶν αὐτὸν Ἀριστοτέλης ἡττηθῆναι, ναυμαχοῦντα πρότερον. οἱ δὲ Σάμιοι
τοὺς αἰχμαλώτους τῶν Ἀθηναίων ἀνθυβρίζοντες, ἔστιζον εἰς τὸ μέτωπον γλαῦκας. καὶ γὰρ ἐκείνους οἱ
Ἀθηναῖοι, σάμαιναν. ἡ δὲ σάμαινα, ναῦς ἐστιν ὑπόπρωρος μὲν τὸ σίμωμα, κοιλοτέρα δὲ καὶ γαστροει-
δής. ὥστε καὶ ποντοπορεῖν, καὶ ταχυναυτεῖν. οὕτω δ' ὠνομάσθη διὰ τὸ πρῶτον ἐν Σάμῳ φανῆναι Πο-
λυκράτους τυράννου κατασκευάσαντος. πρὸς ταῦτα τὰ στίγματα λέγουσι καὶ τὸ Ἀριστοφάνειον ᾐνί-
χθαι. Σαμίων ὁ δῆμός ἐστιν, ὡς πολυγράμματος. πυθόμενος δ' οὖν ὁ Περικλῆς τὴν ἐπὶ στρατοπέδου
συμφορὰν, ἐβοήθει κατὰ τάχος. καὶ τοῦ Μελίσσου πρὸς αὐτὸν ἀντιταξαμένου, κρατήσας, καὶ τρεψά-
μενος τοὺς πολεμίους, εὐθὺς περιετείχιζε, δαπάνῃ καὶ χρόνῳ μᾶλλον, ἢ τραύμασι καὶ κινδύνοις
τῶν πολιτῶν, περιγενέσθαι καὶ συνελεῖν τὴν πόλιν βουλόμενος. ἐπεὶ δὲ δυσχεραίνοντας τῇ τριβῇ
τοὺς Ἀθηναίους,

πλεύσας τὸν Ἀχελῷον Ἀκαρνανίαν κατέδραμε, καὶ κατέκλεισεν Οἰνιάδας εἰς τὸ τεῖχος. καὶ τεμὼν τὴν γῆν καὶ κακώσας, ἀπῆρεν ἐπ' οἴκου. φοβερὸς μὲν φανεὶς τοῖς πολεμίοις, ἀσφαλὴς δὲ καὶ δραστήριος τοῖς πολίταις. οὐδὲν γὰρ οὐδ' ἀπὸ τύχης πρόσκρουσμα συνέβη περὶ τοὺς στρατευομένους. εἰς δὲ τὸν Πόντον εἰσπλεύσας, στόλῳ μεγάλῳ καὶ κεκοσμημένῳ λαμπρῶς, ταῖς μὲν Ἑλληνίσι πόλεσιν, ὧν ἐδέοντο διεπράξατο καὶ προσηνέχθη φιλανθρώπως. τοῖς δὲ περιοικοῦσι βαρβάροις ἔθνεσι καὶ βασιλεῦσιν αὐτῶν καὶ δυνάσταις, ἐπεδείξατο μὲν τῆς δυνάμεως τὸ μέγεθος καὶ τὴν ἄδειαν καὶ τὸ θάρσος, ᾗ βούλοιντο πλεόντων, καὶ πᾶσαν ὑφ' αὑτοῖς πεποιημένων τὴν θάλασσαν. Σινωπεῦσι δὲ τρεισκαίδεκα ναῦς ἀπέλιπε μετὰ Λαμάχου, καὶ στρατιώτας ἐπὶ Τιμησίλεων τύραννον. ἐκπεσόντος δὲ τούτου καὶ τῶν ἑταίρων, ἐψηφίσατο πλεῖν εἰς Σινώπην Ἀθηναίων ἐθελοντὰς ἑξακοσίους, καὶ συγκατοικεῖν Σινωπεῦσι, νειμαμένους οἰκίας καὶ χώραν ἣν πρότερον οἱ τύραννοι κατεῖχον. τἆλλα δ' οὐ συνεχώρει ταῖς ὁρμαῖς τῶν πολιτῶν, οὐδὲ συνεξέπιπτεν ὑπὸ ῥώμης καὶ τύχης τοσαύτης ἐπαιρομένων, Αἰγύπτου τε πάλιν ἀντιλαμβάνεσθαι καὶ κινεῖν τῆς βασιλέως ἀρχῆς τὰ πρὸς θαλάσσῃ. πολλοὺς δὲ καὶ Σικελίας ὁ δύσερως ἐκεῖνος ἤδη καὶ δύσποτμος ἔρως εἶχεν, ὃν ὕστερον ἐξέκαυσαν οἱ περὶ τὸν Ἀλκιβιάδην ῥήτορες. ἦν δὲ καὶ Τυρρηνία καὶ Καρχηδὼν ἐνίοις ὄνειρος, οὐκ ἀπ' ἐλπίδος διὰ τὸ μέγεθος τῆς ὑποκειμένης ἡγεμονίας, καὶ τὴν εὔροιαν τῶν πραγμάτων. ἀλλ' ὁ Περικλῆς κατεῖχε τὴν ἐκδρομὴν ταύτην καὶ περιέκοπτε τὴν πολυπραγμοσύνην, καὶ τὰ πλεῖστα τῆς δυνάμεως ἔτρεπεν εἰς φυλακὴν καὶ βεβαιότητα τῶν ὑπαρχόντων, μέγα ἔργον ἡγούμενος ἀνείργειν Λακεδαιμονίους. καὶ ὅλως ὑπεναντιούμενος ἐκείνοις, ὡς ἄλλοις τε πολλοῖς ἔδειξε, καὶ μάλιστα τοῖς περὶ τὸν ἱερὸν παραχθεῖσι πόλεμον. ἐπεὶ γὰρ οἱ Λακεδαιμόνιοι στρατεύσαντες εἰς Δελφούς, Φωκέων ἐχόντων τὸ ἱερόν, Δελφοῖς ἀπέδωκαν, εὐθὺς ἐκείνων ἀπαλλαγέντων, ὁ Περικλῆς ἐπιστρατεύσας, πάλιν εἰσήγαγε τοὺς Φωκέας. καὶ τῶν Λακεδαιμονίων ἣν ἔδωκαν αὐτοῖς Δελφοὶ προμαντείαν, εἰς τὸ μέτωπον ἐγκολαψάντων τοῦ χαλκοῦ λύκου, λαβὼν καὶ αὐτὸς προμαντείαν τοῖς Ἀθηναίοις, εἰς τὸν αὐτὸν λύκον κατὰ τὴν δεξιὰν πλευρὰν ἐνεχάραξεν. ὅτι δ' ὀρθῶς ἐν τῇ Ἑλλάδι τὴν δύναμιν τῶν Ἀθηναίων συνεῖχεν, ἐμαρτύρησεν αὐτὰ τὰ γενόμενα. πρῶτον μὲν γὰρ Εὐβοεῖς ἀπέστησαν, ἐφ' οὓς διέβη μετὰ δυνάμεως. εἶτ' εὐθὺς ἀπηγγέλλοντο Μεγαρεῖς ἐκπεπολεμωμένοι, καὶ στρατιὰ πολεμίων ἐπὶ τοῖς ὅροις τῆς Ἀττικῆς οὖσα, Πλειστώνακτος ἡγουμένου βασιλέως Λακεδαιμονίων. πάλιν οὖν ὁ Περικλῆς κατὰ τάχος ἐκ τῆς Εὐβοίας ἀνεκομίζετο πρὸς τὸν ἐν τῇ Ἀττικῇ πόλεμον. καὶ συνάψαι μὲν εἰς χεῖρας οὐκ ἐθάρσησε πολλοῖς καὶ ἀγαθοῖς ὁπλίταις προκαλουμένοις. ὁρῶν δὲ τὸν Πλειστώνακτα νέον ὄντα κομιδῇ, χρώμενον δὲ μάλιστα Κλεανδρίδῃ τῶν συμβούλων, ὃν οἱ ἔφοροι φύλακα καὶ πάρεδρον αὐτῷ διὰ τὴν ἡλικίαν συνέπεμψαν, ἐπειρᾶτο τούτου κρύφα. καὶ ταχὺ διαφθείρας χρήμασιν αὐτόν, ἔπεισεν ἐκ τῆς Ἀττικῆς ἀπαγαγεῖν τοὺς Πελοποννησίους. ὡς δ' ἀπεχώρησεν ἡ στρατιὰ καὶ διελύθη κατὰ πόλεις, βαρέως φέροντες οἱ Λακεδαιμόνιοι, τὸν μὲν βασιλέα χρήμασιν ἐζημίωσαν, ὧν τὸ πλῆθος οὐκ ἔχων ἐκτῖσαι, μετέστησεν ἑαυτὸν ἐκ Λακεδαίμονος. τοῦ δὲ Κλεανδρίδου φεύγοντος, θάνατον κατέγνωσαν. οὗτος δ' ἦν πατὴρ Γυλίππου τοῦ περὶ Σικελίαν Ἀθηναίους καταπολεμήσαντος. ἔοικε δ' ὥσπερ συγγενικὸν αὐτῷ προστρίψασθαι νόσημα τὴν φιλαργυρίαν ἡ φύσις, ὑφ' ἧς καὶ αὐτὸς αἰσχρῶς ἐπὶ καλοῖς ἔργοις ἁλοὺς ἐξέπεσε τῆς Σπάρτης. ταῦτα μὲν οὖν ἐν τοῖς περὶ Λυσάνδρου δεδηλώκαμεν. τοῦ δὲ Περικλέους ἐν τῷ τῆς στρατηγίας ἀπολογισμῷ, δέκα ταλάντων ἀνάλωμα γράψαντος ἀνηλωμένων εἰς τὸ δέον, ὁ δῆμος ἀπεδέξατο, μὴ πολυπραγμονήσας, μηδ' ἐλέγξας τὸ ἀπόρρητον. ἔνιοι δ' ἱστορήκασιν, ὧν ἐστι καὶ Θεόφραστος ὁ φιλόσοφος, ὅτι καθ' ἕκαστον ἐνιαυτὸν εἰς τὴν Σπάρτην ἐφοίτα δέκα τάλαντα παρὰ τοῦ Περικλέους, οἷς τοὺς ἐν τέλει πάντας θεραπεύων, παρῃτεῖτο τὸν πόλεμον, οὐ τὴν εἰρήνην ὠνούμενος, ἀλλὰ τὸν χρόνον ἐν ᾧ παρασκευασάμενος καθ' ἡσυχίαν, ἔμελλε πολεμήσειν βέλτιον. εὐθὺς οὖν ἐπὶ τοὺς ἀφεστῶτας τραπόμενος, καὶ διαβὰς εἰς Εὔβοιαν πεντήκοντα ναυσὶ καὶ πεντακισχιλίοις ὁπλίταις, κατεστρέψατο τὰς πόλεις. καὶ Χαλκιδέων δὲ τοὺς ἱπποβότας λεγομένους, πλούτῳ καὶ δόξῃ διαφέροντας, ἐξέβαλεν. Ἑστιεῖς δὲ πάντας ἀναστήσας ἐκ τῆς χώρας, Ἀθηναίους μόνους κατῴκισε. τούτοις ἀπαραιτήτως χρησάμενος, ὅτι ναῦν Ἀττικὴν αἰχμάλωτον λαβόντες, ἀπέκτειναν τοὺς ἄνδρας. ἐκ τούτου γενομένων σπονδῶν Ἀθηναίοις καὶ Λακεδαιμονίοις εἰς ἔτη τριάκοντα, ψηφίζεται τὸν εἰς Σάμον πλοῦν, αἰτίαν ποιησάμενος κατ' αὐτῶν, ὅτι τὸν πρὸς Μιλησίους κελευόμενοι διαλύσασθαι πόλεμον, οὐχ ὑπήκουον. ἐπεὶ δ' Ἀσπασίᾳ χαριζόμενος δοκεῖ πρᾶξαι τὰ πρὸς Σαμίους, ἐνταῦθ' ἂν εἴη καιρὸς διαπορῆσαι μάλιστα περὶ τῆς ἀνθρώπου, τίνα τέχνην ἢ δύναμιν τοσαύτην ἔχουσα, τῶν τε πολιτικῶν τοὺς πρωτεύοντας ἐχειρώσατο, καὶ τοῖς φιλοσόφοις οὐ φαῦλον, οὐδ' ὀλίγον ὑπὲρ αὐτῆς παρέσχε λόγον. ὅτι μὲν γὰρ ἦν Μιλησία γένος, Ἀξιόχου θυγάτηρ, ὁμολογεῖται. φασὶ δ' αὐτὴν Θαργηλίαν τινὰ τῶν παλαιῶν Ἰάδων ζηλώσασαν, ἐπιθέσθαι τοῖς δυνατωτάτοις ἀνδράσι. καὶ γὰρ ἡ Θαργηλία, τό τ' εἶδος εὐπρεπὴς γενομένη, καὶ χάριν ἔχουσα μετὰ δεινότητος, πλείστοις μὲν Ἑλλήνων συνῴκησεν ἀνδράσι. πάντας δὲ προσεποίησε βασιλεῖ τοὺς πλησιάσαντας αὐτῇ. καὶ ταῖς πόλεσι μηδισμοῦ δι' ἐκείνων ὑπέσπειρεν ἀρχάς, δυνατω-

ἐψηφίσατο

πραχθεῖσι

ἐγκολάψαντ | ἐγκολάψαντ ς.

Addenda est negatiua particula ut conueniat cum Laertio.

βὰς ἀπολουμένω παρέχοι, συνέταξεν εἰς οἰκονομίαν ἣν ᾤετο ῥάστην καὶ ἀκριβεστάτην εἶναι. τοὺς γὰρ ἐπετείους καρποὺς ἅπαντας ἀθρόως ἐπίπρασκεν. εἶτα τῶν ἀναγκαίων ἕκαστον ἐξ ἀγορᾶς ὠνούμενος, διῴκει τὸν βίον καὶ τὰ περὶ τὴν δίαιταν. ὅθεν οὐχ ἡδὺς ἦν ἐνήλιξι παισὶν, οὐδὲ γυναιξὶ δαψιλὴς χορηγὸς, ἀλλ' ἐμέμφοντο τὴν ἐφήμερον ταύτην καὶ συνηγμένην εἰς τὸ ἀκριβέστατον δαπάνην, οὐδενὸς οἷον ἐν οἰκίᾳ μεγάλῃ καὶ πράγμασιν ἀφθόνοις περιῤῥέοντος, ἀλλὰ παντὸς μὲν ἀναλώματος, παντὸς δὲ λήμματος δι' ἀριθμοῦ καὶ μέτρου βαδίζοντος. ὁ δὲ, πᾶσαν αὐτοῦ τὴν τοιαύτην συνέχων ἀκρίβειαν, εἷς ἦν οἰκέτης εὐάγγελος, ὡς ἕτερος οὐδεὶς εὖ πεφυκὼς, ἢ κατεσκευασμένος ὑπὸ τοῦ περικλέους εἰς οἰκονομίαν. ἅπαντα μὲν οὖν ταῦτα, τῆς ἀναξαγόρου σοφίας εἴγε καὶ τὴν οἰκίαν ἐκεῖνος ἐξέλιπε. καὶ τὴν χώραν ἀφῆκεν ἀργὴν καὶ μηλόβοτον, ὑπ' ἐνθουσιασμοῦ καὶ μεγαλοφροσύνης. οὐ ταὐτὸν δ' ἐστὶν οἶμαι θεωρητικοῦ φιλοσόφου καὶ πολιτικοῦ βίος. ἀλλ' ὁ μὲν, ἀνόργανον καὶ ἀπροσδεᾶ τῆς ἐκτὸς ὕλης, ἐπὶ τοῖς καλοῖς κινεῖ τὴν διάνοιαν. τῷ δ' εἰς ἀνθρωπείας χρείας ἀναμιγνύντι τὴν ἀρετὴν, ἔστιν οὗ γένοιτ' ἂν οὐ τῶν ἀναγκαίων μόνον, ἀλλὰ καὶ τῶν καλῶν ὁ πλοῦτος. ὥσπερ ἦν καὶ περικλεῖ βοηθοῦντι πολλοῖς τῶν πενήτων. καὶ μέντοι γε τὸν ἀναξαγόραν αὐτὸν λέγουσιν, ἀσχολουμένου περικλέους, ἀμελούμενον κεῖσθαι συγκεκαλυμμένον ἤδη γηραιὸν ἀποκαρτεροῦντα. προσπεσόντος δὲ τῷ περικλεῖ τοῦ πράγματος, ἐκπλαγέντα, θεῖν εὐθὺς ἐπὶ τὸν ἄνδρα, καὶ δεῖσθαι πᾶσαν δέησιν, ὀλοφυρόμενον οὐκ ἐκεῖνον ἀλλ' ἑαυτὸν, εἰ τοιοῦτον ἀπολεῖ τῆς πολιτείας σύμβουλον. ἐκκαλυψάμενον οὖν τὸν ἀναξαγόραν, εἰπεῖν πρὸς αὐτὸν, ὦ περίκλεις. καὶ οἱ τοῦ λύχνου χρείαν ἔχοντες, ἔλαιον ἐπιχέουσιν. ἀρχομένων δὲ λακεδαιμονίων ἄχθεσθαι τῇ αὐξήσει τῶν ἀθηναίων, ἐπαίρων ὁ περικλῆς τὸν δῆμον, ἔτι μᾶλλον μέγα φρονεῖν, καὶ μεγάλων αὑτὸν ἀξιοῦν πραγμάτων, γράφει ψήφισμα, πάντας ἕλληνας τοὺς ὁπήποτε κατοικοῦντας εὐρώπης, ἢ τῆς ἀσίας, παρακαλεῖν. καὶ μικρὰν πόλιν καὶ μεγάλην, εἰς σύλλογον πέμπειν ἀθήναζε, τοὺς βουλευσομένους περὶ τῶν ἑλληνικῶν ἱερῶν, ἃ κατέπρησαν οἱ βάρβαροι. καὶ τῶν θυσιῶν, ἃς ὀφείλουσιν ὑπὲρ τῆς ἑλλάδος εὐξάμενοι τοῖς θεοῖς, ὅτε πρὸς τοὺς βαρβάρους ἐμάχοντο. καὶ τῆς θαλάττης, ὅπως πλέωσι πάντες ἀδεῶς καὶ τὴν εἰρήνην ἄγωσιν. ἐπὶ ταῦτα δ' ἄνδρες εἴκοσι τῶν ὑπὲρ πεντήκοντα ἔτη γεγονότων, ἐπέμφθησαν, ὧν πέντε μὲν ἴωνας καὶ δωριεῖς τοὺς ἐν ἀσίᾳ. καὶ νησιώτας ἄχρι λέσβου καὶ ῥόδου παρεκάλουν. πέντε δὲ τοὺς ἐν ἑλλησπόντῳ καὶ θρᾴκῃ μέχρι βυζαντίου τόπους ἐπῄεσαν. καὶ πέντε ἐπὶ τούτοις εἰς βοιωτίαν καὶ φωκίδα καὶ πελοπόννησον. ἐκ δὲ ταύτης, διὰ λοκρῶν ἐπὶ τὴν πρόσοικον ἤπειρον ἕως ἀκαρνανίας καὶ ἀμβρακίας ἀπεστάλησαν. οἱ δὲ λοιποὶ δι' εὐβοίας ἐπ' οἰταίους. καὶ τὸν μαλιέα κόλπον. καὶ φθιώτας. καὶ ἀχαιούς. καὶ θετταλοὺς ἐπορεύοντο συμπείθοντες ἰέναι καὶ μετέχειν τῶν βουλευμάτων, ἐπ' εἰρήνῃ καὶ κοινοπραγίᾳ τῆς ἑλλάδος. ἐπράχθη δὲ οὐδὲν, οὐδὲ συνῆλθον αἱ πόλεις, λακεδαιμονίων ὑπεναντιωθέντων ὡς λέγεται. καὶ τὸ πρῶτον ἐν πελοποννήσῳ τῆς πείρας ἐλεγχθείσης. τοῦτο μὲν οὖν παρεθέμην ἐνδεικνύμενος αὐτοῦ τὸ φρόνημα καὶ τὴν μεγαλοφροσύνην. ἐν δὲ ταῖς στρατηγίαις εὐδοκίμει μάλιστα διὰ τὴν ἀσφάλειαν, οὔτε μάχης ἐχούσης πολλὴν ἀδηλότητα καὶ κίνδυνον ἑκουσίως ἁπτόμενος. οὔτε τοὺς ἐκ τοῦ παραβάλλεσθαι χρησαμένους τύχῃ λαμπρᾷ, καὶ θαυμασθέντας ὡς μεγάλους, ζηλῶν καὶ μιμούμενος στρατηγούς. ἀεί τε λέγων πρὸς τοὺς πολίτας, ὡς ὅσον ἐπ' αὐτῷ μενοῦσιν ἀθάνατοι πάντα τὸν χρόνον. ὁρῶν δὲ τολμίδην τὸν τολμαίου διὰ τὰς πρότερον εὐτυχίας. καὶ διὰ τὸ τιμᾶσθαι διαφερόντως ἐκ τῶν πολεμικῶν, σὺν οὐδενὶ καιρῷ παρασκευαζόμενον εἰς βοιωτίαν ἐμβαλεῖν. καὶ πεπεικότα τῶν ἐν ἡλικίᾳ τοὺς ἀρίστους καὶ φιλοτιμοτάτους ἐθελοντὶ στρατεύεσθαι, χιλίους γενομένους, ἄνευ τῆς ἄλλης δυνάμεως, κατέχειν ἐπειρᾶτο καὶ παρακαλεῖν ἐν τῷ δήμῳ, τὸ μνημονευόμενον εἰπών. ὡς εἰ μὴ πείθοιτο περικλεῖ, τόν γε σοφώτατον οὐχ ἁμαρτήσεται σύμβουλον ἀναμείνας χρόνον. τότε μὲν οὖν μετρίως εὐδοκίμησε τοῦτ' εἰπών. ὀλίγαις δ' ὕστερον ἡμέραις ὡς ἀπηγγέλθη τεθνεὼς μὲν αὐτὸς τολμίδης, περὶ κορώνειαν ἡττηθεὶς μάχῃ. τεθνεῶτες δὲ πολλοὶ καὶ ἀγαθοὶ τῶν πολιτῶν, μεγάλην τοῦτο τῷ περικλεῖ μετ' εὐνοίας δόξαν ἤνεγκεν, ὡς ἀνδρὶ φρονίμῳ καὶ φιλοπολίτῃ. τῶν δὲ στρατηγιῶν, ἠγαπήθη μὲν ἡ περὶ χερρόνησον αὐτοῦ μάλιστα σωτήριος γενομένη τοῖς αὐτόθι κατοικοῦσι τῶν ἑλλήνων. οὐ γὰρ μόνον ἐποίκους ἀθηναίων χιλίους κομίσας ἔῤῥωσεν εὐανδρίᾳ τὰς πόλεις, ἀλλὰ καὶ τὸν αὐχένα διαζώσας ἐρύμασι καὶ προβλήμασιν ἐκ θαλάττης εἰς θάλατταν, ἀπετείχισε τὰς καταδρομὰς τῶν θρᾳκῶν περικεχυμένων τῇ χερρονήσῳ, καὶ πόλεμον ἐνδελεχῆ καὶ βαρὺν ἐξέκλεισεν. ᾧ συνείχετο πάντα τὸν χρόνον ἡ χώρα, βαρβαρικαῖς ἀναμεμιγμένη γειτνιάσεσι, καὶ γέμουσα λῃστηρίων ὁμόρων καὶ συνοίκων. ἐθαυμάσθη δὲ καὶ διεβοήθη πρὸς τοὺς ἐκτὸς ἀνθρώπους περιπλεύσας πελοπόννησον ἐκ πηγῶν τῆς μεγαρικῆς ἀναχθεὶς ἑκατὸν τριήρεσιν. οὐ γὰρ μόνον ἐπόρθησε τῆς παραλίας πόλεις ὡς τολμίδης πρότερον, ἀλλὰ καὶ πόῤῥω θαλάττης προελθὼν, τοῖς ἀπὸ τῶν νεῶν ὁπλίταις, τοὺς μὲν ἄλλους εἰς τὰ τείχη συνέστειλε, δείσαντας αὐτοῦ τὴν ἔφοδον. ἐν δὲ νεμέᾳ σικυωνίους ὑποστάντας καὶ συνάψαντας μάχην κατὰ κράτος τρεψάμενος, ἔστησε τρόπαιον. ἐκ δ' ἀχαΐας φίλης οὔσης στρατιώτας ἀναλαβὼν εἰς τὰς τριήρεις, ἐπὶ τὴν ἀντιπέρας ἤπειρον ἐκομίσθη τῷ στόλῳ. καὶ παρα-

ταξε θεραπείαν· ᾗ χρώμενος ὁ περικλῆς, ταχὺ καὶ ῥᾳδίως ἰάσατο τὸν ἄνθρωπον. ἐπὶ τούτῳ δὲ καὶ τὸ
χαλκοῦν ἄγαλμα τῆς ὑγιείας ἀθηνᾶς, ἀνέστησεν ἐν ἀκροπόλει παρὰ τὸν βωμόν, ὃς καὶ πρότερον ἦν
ὡς λέγουσιν. ὁ δὲ φειδίας, εἰργάζετο μὲν τῆς θεοῦ τὸ χρυσοῦν ἕδος. καὶ τούτου δημιουργὸς ἐν τῇ στήλῃ
εἶναι γέγραπται. πάντα δ' ἦν σχεδὸν ἐπ' αὐτῷ. καὶ πᾶσιν ὡς εἰρήκαμεν ἐπεστάτει τοῖς τεχνίταις
διὰ φιλίαν περικλέους. καὶ τοῦτο, τῷ μὲν, φθόνον. τῷ δὲ, βλασφημίαν ἤνεγκεν ὡς ἐλευθέρας τῷ
περικλεῖ γυναῖκας εἰς τὰ ἔργα φοιτώσας ὑποδεχομένου τοῦ φειδίου. δεξάμενοι δὲ τὸν λόγον οἱ κωμι- φοιτώσας
κοί, πολλὴν ἀσέλγειαν αὐτοῦ κατεσκέδασαν, εἴς τε τὴν μενίππου γυναῖκα διαβάλλοντες, ἀνδρὸς φί-
λου καὶ ὑποστρατηγοῦντος. εἴς τε τὰς πυριλάμπους ὀρνιθοτροφίας. ὃς ἑταῖρος ὢν περικλέους,
αἰτίαν εἶχε ταῶνας ὑφιέναι ταῖς γυναιξὶν αἷς ὁ περικλῆς ἐπλησίαζε. καὶ τί ἄν τις ἀνθρώπους σα-
τυρικοὺς τοῖς βίοις, καὶ τὰς κατὰ τῶν κρειττόνων βλασφημίας, ὥσπερ δαίμονι κακῷ τῷ φθό-
νῳ τῶν πολλῶν ἀποθύοντας ἑκάστοτε θαυμάσειεν, ὅπου καὶ στησίμβροτος ὁ θάσιος, δεινὸν ἀσέβημα καὶ ὅθεν
μυθῶδες ἐξενεγκεῖν ἐτόλμησεν, εἰς τὴν γυναῖκα τοῦ υἱοῦ κατὰ τοῦ περικλέους. οὕτως ἔοικε πάντῃ
χαλεπὸν εἶναι καὶ δυσθήρατον ἱστορίᾳ τἀληθές, ὅταν οἱ μὲν ὕστερον γεγονότες τὸν χρόνον ἔχωσιν ἐπι-
προσθοῦντα τῇ γνώσει τῶν πραγμάτων. ἡ δὲ τῶν πράξεων καὶ τῶν βίων ἡλικιῶτις ἱστορία, τὰ
μὲν, φθόνοις καὶ δυσμενείαις. τὰ δὲ, χαριζομένη καὶ κολακεύουσα, λυμαίνεται καὶ διαστρέφει τὴν
ἀλήθειαν. τῶν δὲ περὶ τὸν θουκυδίδην ῥητόρων καταβοώντων τοῦ περικλέους, ὡς σπαθῶντος τὰ χρή-
ματα καὶ τὰς προσόδους ἀπολλύντος, ἠρώτησεν ἐν ἐκκλησίᾳ τὸν δῆμον, εἰ πολλὰ δοκεῖ δεδαπανῆσθαι.
φησάντων δὲ πάμπολλα, μὴ τοίνυν εἶπεν ὑμῖν, ἀλλ' ἐμοὶ δεδαπανήσθω. καὶ τῶν ἀναθημάτων, ἰδίαν
ἐμαυτοῦ ποιήσομαι τὴν ἐπιγραφήν. εἰπόντος οὖν ταῦτα τοῦ περικλέους, εἴτε τὴν μεγαλοφροσύ-
νην αὐτοῦ θαυμάσαντες. εἴτε πρὸς τὴν δόξαν ἀντιφιλοτιμούμενοι τῶν ἔργων, ἀνέκραγον κελεύοντες
ἐκ τῶν δημοσίων ἀναλίσκειν καὶ χορηγεῖν, μηδενὸς φειδόμενον. τέλος δὲ πρὸς τὸν θουκυδίδην εἰς ἀγῶ-
να περὶ τοῦ ὀστράκου καταστὰς καὶ διακινδυνεύσας, ἐκεῖνον μὲν ἐξέβαλε. κατέλυσε δὲ τὴν ἀντιτετα-
γμένην ἑταιρείαν. ὡς οὖν παντάπασι λυθείσης τῆς διαφορᾶς, καὶ τῆς πόλεως, οἷον ὁμαλῆς καὶ
μιᾶς γενομένης, κομιδῇ περιήνεγκεν εἰς ἑαυτόν, τὰς ἀθήνας, καὶ τὰ τῶν ἀθηναίων ἐξηρτημένα
πράγματα. φόρους. καὶ στρατεύματα. καὶ τριήρεις. καὶ νήσους. καὶ θάλασσαν. καὶ πολλὴν μὲν δι' ἑλ-
λήνων, πολλὴν δὲ καὶ διὰ βαρβάρων ἥκουσαν ἰσχὺν καὶ ἡγεμονίαν ὑπηκόοις ἔθνεσι. καὶ φιλίαις βα-
σιλέων. καὶ συμμαχίαις πεφραγμένην δυναστῶν, οὐκέθ' ὁ αὐτὸς ἦν, οὐδ' ὁμοίως χειροήθης τῷ δήμῳ δυναστῶν
καὶ ῥᾴδιος ὑπείκειν καὶ συνενδιδόναι ταῖς ἐπιθυμίαις, ὥσπερ πνοαῖς τῶν πολλῶν. ἀλλ' ἐκ τῆς ἀ-
νειμένης ἐκείνης καὶ ὑποθρυπτομένης ἔνια δημαγωγίας, ὥσπερ ἀνθηρᾶς καὶ μαλακῆς ἁρμονίας,
ἀριστοκρατικὴν καὶ βασιλικὴν ἐντεινάμενος πολιτείαν, καὶ χρώμενος αὐτῇ πρὸς τὸ βέλτιστον ὀρθῇ
καὶ ἀνεγκλίτῳ. τὰ μὲν πολλά, βουλόμενον ἦγε πείθων καὶ διδάσκων τὸν δῆμον. ἦν δ' ὅτε καὶ μάλα
δυσχεραίνοντα κατατείνων καὶ προσβιβάζων, ἐχειροῦτο τῷ συμφέροντι. μιμούμενος ἀτεχνῶς ἰα-
τρὸν ποικίλῳ νοσήματι καὶ μακρῷ κατὰ καιρὸν μέν, ἡδονὰς ἀβλαβεῖς, κατὰ καιρὸν δὲ δηγμοὺς καὶ
φάρμακα, προσφέρων τῇ σωτηρίᾳ. παντοδαπῶν γὰρ ὡς εἰκὸς παθῶν, ἐν ὄχλῳ τοσαύτην τὸ μέγε- προσφέροντα σωτήρια
θος, ἀρχὴν ἔχοντι φυομένων, μόνος ἐμμελῶς ἕκαστα διαχειρίσασθαι πεφηκώς. μάλιστα δ' ἐλπίσι καὶ πεφυκώς
φόβοις ὥσπερ οἴαξι προσαναστέλλων τὸ θρασυνόμενον αὐτῶν, καὶ τὸ δύσθυμον ἀνιεὶς καὶ παραμυθού-
μενος, ἔδειξε τὴν ῥητορικὴν κατὰ πλάτωνα ψυχαγωγίαν οὖσαν, καὶ μέγιστον ἔργον αὐτῆς, τὴν περὶ
τὰ ἤθη καὶ πάθη μέθοδον, ὥσπερ τινὰς τόνους καὶ φθόγγους ψυχῆς μάλ' ἐμμελοῦς ἁφῆς καὶ κρού-
σεως δεομένους. αἰτία δ' οὐχ ἡ τοῦ λόγου ψιλῶς δύναμις, ἀλλ' ὡς θουκυδίδης φησίν, ἡ περὶ τὸν βίον
δόξα καὶ πίστις τοῦ ἀνδρός, ἀδωροτάτου περιφανῶς γενομένου καὶ χρημάτων κρείττονος, ὃς τὴν πό-
λιν ἐκ μεγάλης, μεγίστην καὶ πλουσιωτάτην ποιήσας, καὶ γενόμενος δυνάμει πολλῶν βασιλέων καὶ
τυράννων ὑπέρτερος, ὧν ἔνιοι καὶ ἐπὶ τοῖς υἱέσι διέθεντο ἐκεῖνον, μιᾷ δραχμῇ μείζονα τὴν οὐσίαν οὐκ
ἐποίησεν ἧς ὁ πατὴρ αὐτῷ κατέλιπε. καίτοι τὴν δύναμιν αὐτοῦ, σαφῶς μὲν ὁ θουκυδίδης διηγεῖται.
κακοήθως δὲ παρεμφαίνουσιν οἱ κωμικοί. πεισιστρατίδας μὲν νέους τοὺς περὶ αὐτὸν ἑταίρους καλοῦν-
τες. αὐτὸν δ' ἀπομόσαι μὴ τυραννήσειν κελεύοντες ὡς ἀσυμμέτρου πρὸς δημοκρατίαν, καὶ βαρυτέ-
ρας περὶ αὐτὸν οὔσης ὑπεροχῆς. ὁ δὲ τηλεκλείδης, παραδεδωκέναι φησὶν αὐτῷ τοὺς ἀθηναίους, πό-
λεών τε φόρους. αὐτάς τε τὰς πόλεις. τὰς μὲν, δεῖν. τὰς δ' ἀναλύειν, λάϊνα τείχη. τὰ μέν, οἰκοδομεῖν.
τὰ δέ, αὖτε πάλιν καταβάλλειν. σπονδάς. δύναμιν. κράτος. εἰρήνην. πλοῦτόν τ' εὐδαιμονίαν τε. καὶ
ταῦτα καιρὸς οὐκ ἦν, οὐδ' ἀκμὴ καὶ χάρις ἀνθούσης ἐφ' ὥρᾳ πολιτείας, ἀλλὰ τετταράκοντα μὲν ἔτη
πρωτεύων ἐν ἐφιάλταις. καὶ λεωκράταις. καὶ μυρωνίδαις. καὶ κίμωσι. καὶ τολμίδαις. καὶ θουκυ-
δίδαις. μετὰ δὲ τὴν θουκυδίδου κατάλυσιν καὶ τὸν ὀστρακισμόν, οὐκ ἐλάττω τῶν πεντεκαίδεκα ἐτῶν
διηνεκῆ καὶ μίαν οὖσαν ἐν ταῖς ἐνιαυσίοις στρατηγίαις ἀρχὴν καὶ δυναστείαν κτησάμενος, ἐφύλαξεν μὴ. ἰδ'
ἑαυτὸν ἀνάλωτον ὑπὸ χρημάτων. καίπερ οὐ παντάπασιν ἀργῶς ἔχων πρὸς χρηματισμόν, ἀλλὰ τὸν
πατρῷον καὶ δίκαιον πλοῦτον, ὡς μήτ' ἀμελούμενος ἐκφύγοι, μήτε πολλὰ πράγματα καὶ διατρι-

κοινὰ τῶν Ἑλλήνων χρήματα πρὸς αὑτὸν ἐκ Δήλου μεταγαγών. ἣ δ' ἔνεστιν αὐτῷ πρὸς τοὺς ἐγκαλοῦντας εὐπρεπεστάτη τῶν προφάσεων, δείσαντα τοὺς βαρβάρους ἐκεῖθεν ἀνελέσθαι καὶ φυλάττειν ἐν ὀχυρῷ τὰ κοινά, ταύτην ἀνῄρηκε Περικλῆς. καὶ δοκεῖ δεινὴν ὕβριν ἡ Ἑλλὰς ὑβρίζεσθαι καὶ τυραννεῖσθαι περιφανῶς, ὁρῶσα τοῖς εἰσφερομένοις ὑπ' αὐτῆς ἀναγκαίως πρὸς τὸν πόλεμον, ἡμᾶς τὴν πόλιν καταχρυσοῦντας καὶ καλλωπίζοντας, ὥσπερ ἀλαζόνα γυναῖκα περιαπτομένην λίθους πολυτελεῖς, καὶ ἀγάλματα, καὶ ναοὺς χιλιοταλάντους. ἐδίδασκεν οὖν ὁ Περικλῆς τὸν δῆμον, ὅτι χρημάτων μὲν οὐκ ὀφείλουσι τοῖς συμμάχοις λόγον προπολεμοῦντες αὐτῶν, καὶ τοὺς βαρβάρους ἀνείργοντες, οὐχ ἵππον, οὐ ναῦν, οὐχ ὁπλίτην, ἀλλὰ χρήματα μόνον τελούντων, ἃ τῶν διδόντων οὐκ ἔστιν, ἀλλὰ τῶν λαμβανόντων, ἂν παρέχωσιν ἀνθ' ὧν λαμβάνουσι. δεῖ δὲ τῆς πόλεως κατεσκευασμένης ἱκανῶς τοῖς ἀναγκαίοις πρὸς τὸν πόλεμον, εἰς ταῦτα τὴν εὐπορίαν τρέπειν αὐτῆς, ἀφ' ὧν δόξα μὲν γιγνομένων ἀΐδιος, εὐπορία δὲ γινομένων ἑτοίμη παρέσται, παντοδαπῆς ἐργασίας φανείσης, καὶ ποικίλων χρειῶν, αἳ πᾶσαν μὲν τέχνην ἐγείρουσαι, πᾶσαν δὲ χεῖρα κινοῦσαι, σχεδὸν ὅλην ποιοῦσιν ἔμμισθον τὴν πόλιν, ἐξ αὑτῆς ἅμα κοσμουμένην καὶ τρεφομένην. τοῖς μὲν γὰρ ἡλικίαν ἔχουσι καὶ ῥώμην, αἱ στρατεῖαι τὰς ἀπὸ τῶν κοινῶν εὐπορίας παρεῖχον. τὸν δ' ἀσύντακτον καὶ βάναυσον ὄχλον, οὔτ' ἄμοιρον εἶναι λημμάτων βουλόμενος, οὔτε λαμβάνειν ἀργὸν καὶ σχολάζοντα, μεγάλας κατασκευασμάτων ἐπιβολὰς καὶ πολυτέχνους ὑποθέσεις ἔργων διατριβὴν ἐχόντων, ἐνέβαλε φέρων εἰς τὸν δῆμον, ἵνα μηδὲν ἧττον τῶν πλεόντων καὶ φρουρούντων καὶ στρατευομένων, τὸ οἰκουροῦν ἔχῃ πρόφασιν ἀπὸ τῶν δημοσίων ὠφελεῖσθαι καὶ μεταλαμβάνειν. ὅπου γὰρ ὕλη μὲν ἦν, λίθος, χαλκός, ἐλέφας, χρυσός, ἔβενος, κυπάρισσος, αἱ δὲ ταύτην ἐκπονοῦσαι καὶ κατεργαζόμεναι τέχναι, τέκτονες, πλάσται, χαλκοτύποι, λιθουργοί, βαφεῖς, χρυσοῦ μαλακτῆρες, ἐλέφαντος, ζωγράφοι, ποικιλταί, τορευταί, πομποὶ δὲ τούτων καὶ κομιστῆρες, ἔμποροι καὶ ναῦται καὶ κυβερνῆται κατὰ θάλατταν, οἱ δὲ κατὰ γῆν ἁμαξοπηγοί, καὶ ζευγοτρόφοι, καὶ ἡνίοχοι, καὶ καλωστρόφοι, καὶ λινουργοί, καὶ σκυτοτόμοι, καὶ ὁδοποιοί, καὶ μεταλλεῖς. ἑκάστη δὲ τέχνη, καθάπερ στρατηγὸς ἴδιον στράτευμα, τὸν θητικὸν ὄχλον καὶ ἰδιώτην συντεταγμένον εἶχεν, ὄργανον καὶ σῶμα τῆς ὑπηρεσίας γινόμενον. εἰς πᾶσαν ὡς ἔπος εἰπεῖν ἡλικίαν καὶ φύσιν αἱ χρεῖαι διένεμον καὶ διέσπειρον τὴν εὐπορίαν. ἀναβαινόντων δὲ τῶν ἔργων, ὑπερηφάνων μὲν μεγέθει, μορφῇ δ' ἀμιμήτων καὶ χάριτι, τῶν δημιουργῶν ἁμιλλωμένων, ὑπερβάλλεσθαι τὴν δημιουργίαν τῇ καλλιτεχνίᾳ, μάλιστα θαυμάσιον ἦν τὸ τάχος. ὧν γὰρ ἕκαστος ᾤοντο πολλαῖς διαδοχαῖς καὶ ἡλικίαις μόλις ἐπὶ τέλος ἀφίξεσθαι, ταῦτα πάντα μιᾶς ἀκμῇ πολιτείας ἐλάμβανε τὴν συντέλειαν. καίτοι ποτέ φασιν Ἀγαθάρχου τοῦ ζωγράφου μέγα φρονοῦντος ἐπὶ τῷ ταχὺ καὶ ῥᾳδίως τὰ ζῷα ποιεῖν, ἀκούσαντα τὸν Ζεῦξιν εἰπεῖν, ἐγὼ δ' ἐν πολλῷ χρόνῳ. ἡ γὰρ ἐν τῷ ποιεῖν εὐχέρεια καὶ ταχύτης οὐκ ἐντίθησι βάρος ἔργῳ μόνιμον, οὐδὲ κάλλους ἀκρίβειαν. ὁ δ' εἰς τὴν γένεσιν τῷ πόνῳ προδανεισθεὶς χρόνος, ἐν τῇ σωτηρίᾳ τοῦ γενομένου τὴν ἰσχὺν ἀποδίδωσιν. ὅθεν καὶ μᾶλλον θαυμάζεται τὰ Περικλέους ἔργα πρὸς πολὺν χρόνον ἐν ὀλίγῳ γενόμενα. κάλλει μὲν γὰρ ἕκαστον εὐθὺς ἦν τότε ἀρχαῖον, ἀκμῇ δὲ μέχρι νῦν πρόσφατόν ἐστι καὶ νεουργόν, οὕτως ἐπανθεῖ τις καινότης ἀεὶ ἄθικτον ὑπὸ τοῦ χρόνου διατηροῦσα τὴν ὄψιν, ὥσπερ ἀειθαλὲς πνεῦμα καὶ ψυχὴν ἀγήρω καταμεμιγμένην τῶν ἔργων ἐχόντων. πάντα δὲ διεῖπε καὶ πάντων ἐπίσκοπος ἦν αὐτῷ Φειδίας, καίτοι μεγάλους ἀρχιτέκτονας ἐχόντων καὶ τεχνίτας τῶν ἔργων. τὸν μὲν γὰρ ἑκατόμπεδον Παρθενῶνα Καλλικράτης εἰργάζετο καὶ Ἰκτῖνος. τὸ δ' ἐν Ἐλευσῖνι τελεστήριον ἤρξατο μὲν Κόροιβος οἰκοδομεῖν, καὶ τοὺς ἐπ' ἐδάφους κίονας ἔθηκεν οὗτος, καὶ τοῖς ἐπιστυλίοις ἐπέζευξεν. ἀποθανόντος δὲ τούτου, Μεταγένης ὁ Ξυπέτιος, τὸ διάζωμα καὶ τοὺς ἄνω κίονας ἐπέστησε. τὸ δ' ὀπαῖον ἐπὶ τοῦ ἀνακτόρου, Ξενοκλῆς ὁ Χολαργεὺς ἐκορύφωσε. τὸ δὲ μακρὸν τεῖχος, περὶ οὗ Σωκράτης ἀκοῦσαί φησιν αὐτὸς εἰσηγουμένου γνώμην Περικλέους, ἠργολάβησε Καλλικράτης. κωμῳδεῖ δὲ τὸ ἔργον Κρατῖνος ὡς βραδέως περαινόμενον. πάλαι γὰρ αὐτό φησι λόγοισι προάγει Περικλέης, ἔργοισι δ' οὐδὲ κινεῖ. τὸ δ' ᾨδεῖον, τῇ μὲν ἐντὸς διαθέσει, πολύεδρον καὶ πολύστυλον, τῇ δ' ἐρέψει περικλινὲς καὶ κάταντες, ἐκ μιᾶς κορυφῆς πεποιημένον, εἰκόνα λέγουσι γενέσθαι καὶ μίμημα τῆς βασιλέως σκηνῆς, ἐπιστατοῦντος καὶ τούτῳ Περικλέους. διὸ καὶ πάλιν Κρατῖνος ἐν Θράτταις παίζει πρὸς αὐτόν. ὁ σχινοκέφαλος Ζεὺς ὅδε προσέρχεται Περικλέης, τᾠδεῖον ἐπὶ τοῦ κρανίου ἔχων, ἐπειδὴ τοὔστρακον παροίχεται. φιλοτιμούμενος δ' ὁ Περικλῆς τότε πρῶτον ἐψηφίσατο μουσικῆς ἀγῶνα τοῖς Παναθηναίοις ἄγεσθαι. καὶ διέταξεν αὐτὸς ἀθλοθέτης αἱρεθεὶς καθότι χρὴ τοὺς ἀγωνιζομένους αὐλεῖν, ἢ ᾄδειν, ἢ κιθαρίζειν. ἐθεῶντο δὲ καὶ τότε καὶ τὸν ἄλλον χρόνον ἐν ᾨδείῳ τοὺς μουσικοὺς ἀγῶνας. τὰ δὲ Προπύλαια τῆς ἀκροπόλεως ἐξειργάσθη μὲν ἐν πενταετίᾳ, Μνησικλέους ἀρχιτεκτονοῦντος. τύχη δὲ θαυμαστὴ συμβᾶσα περὶ τὴν οἰκοδομίαν, ἐμήνυσε τὴν θεὸν οὐκ ἀποστατοῦσαν, ἀλλὰ συνεφαπτομένην τοῦ ἔργου καὶ συνεπιτελοῦσαν. ὁ γὰρ ἐνεργότατος καὶ προθυμότατος τῶν τεχνιτῶν, ἀποσφαλεὶς ἐξ ὕψους ἔπεσε καὶ διέκειτο μοχθηρῶς, ὑπὸ τῶν ἰατρῶν ἀπεγνωσμένος. ἀθυμοῦντος δὲ τοῦ Περικλέους, ἡ θεὸς ὄναρ φανεῖσα, συν-

ρειον πάγον. διὸ καὶ μᾶλλον ἰσχύσας ὁ περικλῆς ἐν τῷ δήμῳ, κατεστασίασε τὴν βουλήν. ὥστε τὴν μὲν, ἀφαιρεθῆναι τὰς πλείστας κρίσεις δι' ἐφιάλτου. κίμωνα δ' ὡς φιλολάκωνα καὶ μισόδημον ἐξοστρακισθῆναι. πλούτῳ μὲν καὶ γένει μηδενὸς ἀπολειπόμενον. νίκας δὲ καλλίστας νενικηκότα τοὺς βαρβάρους. καὶ χρημάτων πολλῶν, καὶ λαφύρων ἐμπεπληκότα τὴν πόλιν, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. τοσοῦτον ἦν τὸ κράτος ἐν τῷ δήμῳ τοῦ περικλέους. ὁ μὲν οὖν ἐξοστρακισμὸς, ὡρισμένην ἔχων νόμῳ δεκαετίαν τοῖς φεύγουσιν. ἐν δὲ τῷ διὰ μέσου λακεδαιμονίων στρατῷ μεγάλῳ ἐμβαλόντων εἰς τὴν ταναγρικὴν, καὶ τῶν ἀθηναίων εὐθὺς ὁρμησάντων ἐπ' αὐτοὺς, ὁ μὲν κίμων ἐλθὼν ἐκ τῆς φυγῆς, ἔθετο μετὰ τῶν φυλετῶν εἰς λόχον τὰ ὅπλα. καὶ δι' ἔργων ἀπολύεσθαι τὸν λακωνισμὸν ἐβούλετο, συγκινδυνεύσας τοῖς πολίταις. οἱ δὲ φίλοι τοῦ περικλέους συστάντες, ἀπήλασαν αὐτὸν ὡς φυγάδα. διὸ καὶ δοκεῖ περικλῆς ἐρρωμενεστάτην μάχην ἐκείνην ἀγωνίσασθαι. καὶ γενέσθαι πάντων ἐπιφανέστατος ἀφειδήσας τοῦ σώματος. ἔπεσον δὲ καὶ τοῦ κίμωνος οἱ φίλοι πάντες ὁμαλῶς, οὓς περικλῆς συνεπῃτιᾶτο τοῦ λακωνισμοῦ. καὶ μετάνοια δεινὴ τοὺς ἀθηναίους, καὶ πόθος ἔσχε τοῦ κίμωνος, ἡττημένους μὲν ἤδη τῶν ὅρων τῆς ἀττικῆς, προσδοκῶντας δὲ καὶ βαρὺν εἰς ἔτους ὥραν πόλεμον. αἰσθόμενος οὖν ὁ περικλῆς, οὐκ ὤκνησε χαρίσασθαι τοῖς πολλοῖς, ἀλλὰ τὸ ψήφισμα γράψας, αὐτὸς ἐκάλει τὸν ἄνδρα. κἀκεῖνος ἀπελθὼν εἰρήνην ἐποίησε ταῖς πόλεσιν. οἰκείως γὰρ εἶχον οἱ λακεδαιμόνιοι πρὸς αὐτὸν, ὥσπερ ἀπήχθοντο τῷ περικλεῖ καὶ τοῖς ἄλλοις δημαγωγοῖς. ἔνιοι δέ φασιν οὐ πρότερον γραφῆναι τῷ κίμωνι τὴν κάθοδον ὑπὸ τοῦ περικλέους, ἢ συνθήκας αὐτοῖς ἀπορρήτους γενέσθαι δι' ἐλπινίκης τῆς κίμωνος ἀδελφῆς. ὥστε κίμωνα μὲν ἐκπλεῦσαι, λαβόντα ναῦς διακοσίας. καὶ τῶν ἔξω στρατηγεῖν καταστρεφόμενον τὴν βασιλέως χώραν. περικλεῖ δὲ, τὴν ἐν ἄστει δύναμιν ὑπάρχειν. ἐδόκει δὲ καὶ πρότερον ἡ ἐλπινίκη τῷ κίμωνι τὸν περικλέα πρᾳότερον παρασχεῖν, ὅτε τὴν θανατικὴν δίκην ἔφυγεν. ἦν μὲν γὰρ εἷς τῶν κατηγόρων ὁ περικλῆς, ὑπὸ τοῦ δήμου προβεβλημένος. ἐλθούσης δὲ πρὸς αὐτὸν τῆς ἐλπινίκης καὶ δεομένης, μειδιάσας, εἶπεν. ὦ ἐλπινίκη, γραῦς εἶ. γραῦς εἶ, ὡς πράγματα τηλικαῦτα δράσειν. οὐ μὴν ἀλλὰ καὶ πρὸς τὸν λόγον ἅπαξ ἀνέστη, τὴν προβολὴν ἀφοσιούμενος, καὶ τῶν κατηγόρων ἐλάχιστα τὸν κίμωνα λυπήσας ἀπεχώρησε. πῶς ἂν οὖν τις ἰδομενεῖ πιστεύσειε κατηγοροῦντι τοῦ περικλέους, ὡς τὸν δημαγωγὸν ἐφιάλτην φίλον γενόμενον, καὶ κοινωνὸν ὄντα, τῆς ἐν τῇ πολιτείᾳ προαιρέσεως δολοφονήσαντος, διὰ ζηλοτυπίαν καὶ φθόνον τῆς δόξης. ταῦτα γὰρ οὐκ οἶδ' ὅθεν συναγαγὼν ὥσπερ χολὴν τἀνδρὶ προσβέβληκε. πάντη μὲν ἴσως οὐκ ἀνεπιλήπτῳ, φρόνημα δ' εὐγενὲς ἔχοντι καὶ ψυχὴν φιλότιμον, οἷς οὐδὲν ἐμφύεται πάθος ὠμὸν οὕτω καὶ θηριῶδες. ἐφιάλτην μὲν οὖν φοβερὸν ὄντα τοῖς ὀλιγαρχικοῖς, καὶ περὶ τὰς εὐθύνας καὶ διώξεις τῶν τὸν δῆμον ἀδικούντων ἀπαραίτητον, ἐπιβουλεύσαντες οἱ ἐχθροὶ, δι' ἀριστοδίκου τοῦ ταναγρικοῦ, κρυφαίως ἀνεῖλον ὡς ἀριστοτέλης εἴρηκεν. ἐτελεύτησε δὲ κίμων ἐν κύπρῳ στρατηγῶν. οἱ δ' ἀριστοκρατικοὶ, μέγιστον μὲν ἤδη τὸν περικλέα καὶ πρόσθεν ὁρῶντες γεγονότα τῶν πολιτῶν, βουλόμενοι δ' ὅμως εἶναί τινα τὸν πρὸς αὐτὸν ἀντιτασσόμενον ἐν τῇ πόλει, καὶ τὴν δύναμιν ἀμβλύνοντα, ὥστε μὴ κομιδῇ μοναρχίαν εἶναι, θουκυδίδην τὸν ἀλωπεκῆθεν ἄνδρα σώφρονα καὶ κηδεστὴν κίμωνος, ἀντέστησαν ἐναντιωσόμενον. ὃς ἧττον μὲν ὢν πολεμικὸς τοῦ κίμωνος, ἀγοραῖος δὲ καὶ πολιτικὸς μᾶλλον, οἰκουρῶν ἐν ἄστει, καὶ περὶ τὸ βῆμα τῷ περικλεῖ συμπλεκόμενος, ταχὺ τὴν πολιτείαν εἰς ἀντίπαλον κατέστησεν. οὐ γὰρ εἴασε τοὺς καλοὺς κἀγαθοὺς καλουμένους ἄνδρας ἐνδιεσπάρθαι καὶ συμμεμίχθαι πρὸς τὸν δῆμον ὡς πρότερον ὑπὸ πλήθους ἠμαυρωμένους τὸ ἀξίωμα. χωρὶς δὲ διακρίνας καὶ συναγαγὼν εἰς ταυτὸ τὴν πάντων δύναμιν ἐμβριθῆ γενομένην, ὥσπερ ἐπὶ ζυγοῦ ῥοπὴν ἐποίησεν. ἦν μὲν γὰρ ἐξ ἀρχῆς διπλόη τις ὕπουλος ὥσπερ ἐν σιδήρῳ διαφορὰν ὑποσημαίνουσα, δημοτικῆς καὶ ἀριστοκρατικῆς προαιρέσεως. ἡ δ' ἐκείνων ἅμιλλα καὶ φιλοτιμία τῶν ἀνδρῶν, βαθυτάτην τομὴν τεμοῦσα τῆς πόλεως, τὸ μὲν, δῆμον. τὸ δ' ὀλίγους ἐποίησε καλεῖσθαι. διὸ καὶ τότε μάλιστα τῷ δήμῳ τὰς ἡνίας ἀνεὶς ὁ περικλῆς, ἐπολιτεύετο πρὸς χάριν. ἀεὶ μέν τινα θέαν πανηγυρικὴν, ἢ ἑστίασιν. ἢ πομπὴν εἶναι μηχανώμενος ἐν ἄστει, καὶ διαπαιδαγωγῶν οὐκ ἀμούσοις ἡδοναῖς τὴν πόλιν. ἑξήκοντα δὲ τριήρεις καθ' ἕκαστον ἐνιαυτὸν ἐκπέμπων. ἐν αἷς πολλοὶ τῶν πολιτῶν ἔπλεον ὀκτὼ μῆνας ἔμμισθοι. μελετῶντες ἅμα καὶ μανθάνοντες τὴν ναυτικὴν ἐμπειρίαν. πρὸς δὲ τούτοις, χιλίους μὲν ἔστειλεν εἰς χερρόνησον κληρούχους. εἰς δὲ νάξον, πεντακοσίους. εἰς δὲ ἄνδρον ἡμίσεις τούτων. εἰς δὲ θρᾴκην χιλίους βισάλταις συνοικήσοντας. ἄλλους δ' εἰς ἰταλίαν οἰκιζομένης συβάρεως, ἣν θουρίους προσηγόρευσαν. καὶ ταῦτ' ἔπραττεν, ἀποκουφίζων μὲν ἀργοῦ, καὶ διὰ σχολὴν πολυπράγμονος ὄχλου, τὴν πόλιν. ἐπανορθούμενος δὲ τὰς ἀπορίας τοῦ δήμου. φόβον δὲ καὶ φρουρὰν τοῦ μὴ νεωτερίζειν τι, παρακατοικίζων τοῖς συμμάχοις. ὃ δὲ πλείστην μὲν ἡδονὴν ταῖς ἀθήναις καὶ κόσμον ἤνεγκε. μεγίστην δὲ τοῖς ἄλλοις ἔκπληξιν ἀνθρώποις. μόνον δὲ τῇ ἑλλάδι μαρτυρεῖ μὴ ψεύδεσθαι τὴν λεγομένην δύναμιν αὐτῆς ἐκείνην καὶ τὸν παλαιὸν ὄλβον, ἡ τῶν ἀναθημάτων κατασκευή. τοῦτο μάλιστα τῶν πολιτευμάτων τοῦ περικλέους ἐβάσκαινον οἱ ἐχθροὶ καὶ διέβαλον ἐν ταῖς ἐκκλησίαις βοῶντες, ὡς ὁ μὲν δῆμος ἀδοξεῖ καὶ κακῶς ἀκούει, τὰ

ἐφιάλτου

ἔφυγεν. ς. τ.

πράσαι. τ.

περικλέ

Suidas· δῆμος ἐστιν ἡ ἀλωπεκὴ τῆς αἰγηίδος

γνώμην ἑαυτῶν. ἀντὶ τῶν πλουσίων καὶ ὀλίγων, τὰ τῶν πολλῶν καὶ πενήτων ἑλόμενος παρὰ τὴν αὑτοῦ φύσιν ἥκιστα δημοτικὴν οὖσαν. ἀλλ᾽ ὡς ἔοικε δεδιὼς μὲν ὑποψίᾳ περιπεσεῖν τυραννίδος, ὁρῶν δ᾽ ἀριστοκρατικὸν τὸν κίμωνα, καὶ διαφερόντως ὑπὸ τῶν καλῶν κἀγαθῶν ἀγαπώμενον, ὑπῆλθε τοὺς πολλοὺς, ἀσφάλειαν μὲν ἑαυτῷ, δύναμιν δὲ κατ᾽ ἐκείνου παρασκευαζόμενος. εὐθὺς δὲ καὶ τοῖς περὶ τὴν δίαιταν, ἑτέραν τάξιν ἐπέθηκεν. ὁδόν τε γὰρ ἐν ἄστει μίαν ἑωρᾶτο τὴν ἐπ᾽ ἀγορὰν καὶ τὸ βουλευτήριον πορευόμενος. κλήσεις τε δείπνων καὶ τὴν τοιαύτην ἅπασαν φιλοφροσύνην καὶ συνήθειαν, ἐξέλιπεν. ὡς ἐν οἷς ἐπολιτεύσατο χρόνοις μακροῖς γενομένοις, πρὸς μηδένα τῶν φίλων, ἐπὶ δεῖπνον ἐλθεῖν, πλὴν εὐρυπτολέμου τοῦ ἀνεψιοῦ γαμοῦντος, ἄχρι τῶν σπονδῶν παραγενόμενος, εὐθὺς ἐξανέστη. δειναὶ γὰρ αἱ φιλοφροσύναι παντὸς ὄγκου περιγενέσθαι. καὶ δυσφύλακτον ἐν συνηθείᾳ, τὸ πρὸς δόξαν σεμνόν. ἐπεὶ τῆς ἀληθινῆς δ᾽ ἀρετῆς, κάλλιστα φαίνεται, τὰ μάλιστα φαινόμενα. καὶ τῶν ἀγαθῶν ἀνδρῶν, οὐδὲν οὕτω θαυμάσιον τοῖς ἐκτὸς, ὡς ὁ καθημέραν βίος τοῖς συνοῦσιν. ὁ δὲ, καὶ τῷ δήμῳ τὸ συνεχὲς φεύγων καὶ τὸν κόρον, οἷον ἐκ διαλειμμάτων ἐπλησίαζεν. οὐκ ἐπὶ παντὶ πράγματι λέγων. οὐδ᾽ ἀεὶ παριὼν εἰς τὸ πλῆθος. ἀλλ᾽ ἑαυτὸν, ὥσπερ τὴν σαλαμινίαν τριήρη φησὶ κριτόλαος, πρὸς τὰς μεγάλας χρείας ἐπιδιδούς. τἆλλα δὲ, φίλους καὶ ῥήτορας ἑταίρους καθιεὶς ἔπραττεν. ὧν ἕνα φασὶ γενέσθαι τὸν ἐφιάλτην, ὃς κατέλυσε τὸ κράτος, τῆς ἐξ ἀρείου πάγου βουλῆς. πολλὴν κατὰ τὸν πλάτωνα, καὶ ἄκρατον τοῖς πολίταις ἐλευθερίαν οἰνοχοῶν. ὑφ᾽ ἧς ὥσπερ ἵππον ἐξυβρίσαντα τὸν δῆμον, οἱ κωμῳδοποιοὶ λέγουσι, πειθαρχεῖν οὐκέτι τολμᾶν, ἀλλὰ δάκνειν τὴν εὔβοιαν, καὶ ταῖς νήσοις ἐπιπηδᾶν. τῇ μέντοι περὶ τὸν βίον κατασκευῇ, καὶ τῷ μεγέθει τοῦ φρονήματος, ἁρμόζοντα λόγον ὥσπερ ὄργανον ἐξαρτυόμενος, παρενέτεινε πολλαχοῦ τὸν ἀναξαγόραν, οἷον βαφὴν τῇ ῥητορικῇ τὴν φυσιολογίαν ὑποχεόμενος. τὸ γὰρ ὑψηλόνουν τοῦτο καὶ πάντῃ τελεσιουργὸν, ὡς ὁ θεῖος πλάτων φησὶ, πρὸς τῷ εὐφυὴς εἶναι, κτησάμενος ἐκ φυσιολογίας. καὶ τὸ πρόσφορον ἑλκύσας ἐπὶ τὴν τῶν λόγων τέχνην, πολὺ πάντων διήνεγκε. διὸ καὶ τὴν ἐπίκλησιν αὐτῷ γενέσθαι λέγουσι. καίτοι τινὲς ἀπὸ τῶν οἷς ἐκόσμησε τὴν πόλιν. οἱ δ᾽ ἀπὸ τῆς ἐν τῇ πολιτείᾳ καὶ ταῖς στρατηγίαις δυνάμεως, ὀλύμπιον αὐτὸν οἴονται προσαγορευθῆναι. καὶ συνδραμεῖν οὐδὲν ἀπέοικεν ἀπὸ πολλῶν προσόντων τῷ ἀνδρὶ τὴν δόξαν. αἱ μέντοι κωμῳδίαι τῶν τότε διδασκάλων σπουδῇ τε πολλὰς καὶ μετὰ γέλωτος ἀφεικότων φωνὰς εἰς αὐτὸν, ἐπὶ τῷ λόγῳ μάλιστα τὴν προσωνυμίαν γενέσθαι δηλοῦσι. βροντᾶν μὲν αὐτὸν καὶ ἀστράπτειν ὅτε δημηγοροίη. δεινὸν δὲ κεραυνὸν ἐν γλώσσῃ φέρειν λεγόντων. διαμνημονεύεται δέ τις καὶ θουκυδίδου τοῦ μελησίου λόγος, εἰς τὴν δεινότητα τοῦ περικλέους, μετὰ παιδιᾶς εἰρημένος. ἦν μὲν γὰρ ὁ θουκυδίδης τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν. καὶ πλεῖστον ἀντεπολιτεύσατο τῷ περικλεῖ χρόνον. ἀρχιδάμου δὲ τοῦ λακεδαιμονίων βασιλέως πυνθανομένου, πότερον αὐτὸς ἢ περικλῆς παλαίει βέλτιον, ὅταν εἶπεν ἐγὼ καταβάλω παλαίων, ἐκεῖνος ἀντιλέγων ὡς οὐ πέπτωκε, νικᾷ, καὶ μεταπείθει τοὺς ὁρῶντας. οὐ μὴν ἀλλὰ καὶ αὐτὸς ὁ περικλῆς, περὶ τὸν λόγον εὐλαβὴς ἦν, ὥστ᾽ ἀεὶ πρὸς τὸ βῆμα βαδίζων ηὔχετο τοῖς θεοῖς μηδὲ ῥῆμα μηδὲν ἐκπεσεῖν ἄκοντος αὐτοῦ, πρὸς τὴν προκειμένην χρείαν ἀνάρμοστον. ἔγγραφον μὲν οὖν, οὐδὲν ἀπολέλοιπε, πλὴν τῶν ψηφισμάτων. ἀπομνημονεύεται δ᾽ ὀλίγα παντάπασιν. οἷον τὸ τὴν αἴγιναν ὡς λήμην τοῦ πειραιῶς ἀφελεῖν κελεῦσαι. καὶ τὸ, τὸν πόλεμον ἤδη φάναι καθορᾶν ἀπὸ πελοποννήσου προσφερόμενον. καί ποτε τοῦ σοφοκλέους ὅτε συστρατηγῶν ἐξέπλευσε μετ᾽ αὐτοῦ, παῖδα καλὸν ἐπαινέσαντος, οὐ μόνον ἔφη τὰς χεῖρας ὦ σοφόκλεις δεῖ καθαρὰς ἔχειν τὸν στρατηγὸν, ἀλλὰ καὶ τὰς ὄψεις. ὁ δὲ στησίμβροτός φησιν. ὅτι τοὺς ἐν σάμῳ τεθνηκότας ἐγκωμιάζων ἐπὶ τοῦ βήματος, ἀθανάτους ἔλεγε γεγονέναι καθάπερ τοὺς θεούς. οὐ γὰρ ἐκείνους αὐτοὺς ὁρῶμεν, ἀλλὰ ταῖς τιμαῖς ἃς ἔχουσι, καὶ τοῖς ἀγαθοῖς ἃ παρέχουσιν, ἀθανάτους εἶναι τεκμαιρόμεθα. ταῦτ᾽ οὖν ὑπάρχειν, καὶ τοῖς ὑπὲρ τῆς πατρίδος ἀποθανοῦσιν. ἐπεὶ δὲ θουκυδίδης μὲν ἀριστοκρατικήν τινα τὴν τοῦ περικλέους ὑπογράφει πολιτείαν. λόγῳ μὲν οὖσαν δημοκρατίαν. ἔργῳ δ᾽ ὑπὸ τοῦ πρώτου ἀνδρὸς, ἀρχήν. ἄλλοι δὲ πολλοὶ πρῶτον ὑπ᾽ ἐκείνου φασὶ τὸν δῆμον ἐπὶ κληρουχίας καὶ θεωρικὰ καὶ μισθῶν διανομὰς προαχθῆναι, κακῶς ἐθισθέντα καὶ γενόμενον, πολυτελῆ καὶ ἀκόλαστον ὑπὸ τῶν τότε πολιτευμάτων, ἀντὶ σώφρονος καὶ αὐτουργοῦ, θεωρείσθω διὰ τῶν πραγμάτων αὐτῶν, ἡ αἰτία τῆς μεταβολῆς. ἐν ἀρχῇ μὲν γὰρ ὥσπερ εἴρηται πρὸς τὴν κίμωνος δόξαν ἀντιταττόμενος, ὑπεποιεῖτο τὸν δῆμον. ἐλαττούμενος δὲ πλούτῳ καὶ χρήμασιν, ἀφ᾽ ὧν ἐκεῖνος ἀνελάμβανε τοὺς πένητας. δεῖπνόν τε καθημέραν τῷ δεομένῳ παρέχων ἀθηναίων, καὶ τοὺς πρεσβυτέρους ἀμφιεννύων. τῶν τε χωρίων τοὺς φραγμοὺς ἀφαιρῶν, ὅπως ὀπωρίζωσιν οἱ βουλόμενοι, τούτοις ὁ περικλῆς καταδημαγωγούμενος, τρέπεται πρὸς τὴν τῶν δημοσίων διανομὴν. συμβουλεύσαντος αὐτῷ δημωνίδου τοῦ ἴηθεν, ὡς ἀριστοτέλης ἱστόρηκεν. καὶ ταχὺ θεωρικοῖς καὶ δικαστικοῖς λήμμασιν. ἄλλαις τε μισθοφοραῖς καὶ χορηγίαις συνδεκάσας τὸ πλῆθος, ἐχρῆτο κατὰ τῆς ἐξ ἀρείου πάγου βουλῆς, ἧς αὐτὸς οὐ μετεῖχε, διὰ τὸ μήτ᾽ ἄρχων, μήτε θεσμοθέτης, μήτε βασιλεὺς, μήτε πολέμαρχος λαχεῖν. αὗται γὰρ αἱ ἀρχαὶ, κληρωταί τε ἦσαν ἐκ παλαιοῦ. καὶ δι᾽ αὐτῶν οἱ δοκιμασθέντες, ἀνέβαινον εἰς ἄ-

σοτέλης δὲ παρὰ πυθοκλείδῃ μουσικὴν αὐτὸν διαπονηθῆναι τὸν ἄνδρα φησίν. ὁ δὲ δάμων, ἔοικεν ἄκρος ὢν σοφιστὴς, καταδύεσθαι μὲν, εἰς τὸ τῆς μουσικῆς ὄνομα πρὸς τοὺς πολλοὺς ἐπικρυπτόμενος τὴν δεινότητα. τῷ δὲ περικλεῖ, συνῆν καθάπερ ἀθλητῇ, τῶν πολιτικῶν ἀλείπτης καὶ διδάσκαλος. οὐ μὴν ἔλαθεν ὁ δάμων τῇ λύρᾳ παρακαλύμματι χρώμενος, ἀλλ' ὡς μεγαλοπράγμων καὶ φιλοτύραννος, ἐξωστρακίσθη καὶ παρέσχε τοῖς κωμικοῖς διατριβήν. ὁ γοῦν πλάτων, καὶ πυνθανόμενον αὐτοῦ τινὰ πεποίηκεν οὕτω.

» πρῶτον μὲν οὖν μοι λέξον ἀντιβολῶ. σὺ γὰρ ὡς φασιν ὦ χείρων ἐξέ-
» θρεψας περικλέα.

διήκουσε δὲ περικλῆς καὶ ζήνωνος τοῦ ἐλεάτου, πραγματευομένου περὶ φύσιν, ὡς παρμενίδης, ἐλεγκτικὴν δέ τινα καὶ δι' ἀντιλογίας εἰς ἀπορίαν κατακλείουσαν ἐξασκήσαντος ἕξιν. ὥσπερ καὶ τίμων ὁ φλιάσιος εἴρηκε διὰ τούτων.

» ἀμφοτερογλώσσου τε μέγα σθένος οὐκ ἀλα-
» πατιλὸν ζήνωνος, πάντων ἐπιλήπτορος.

ὁ δὲ, πλεῖστα περικλεῖ συγγενόμενος, καὶ μάλιστα περιθεὶς ὄγκον αὐτῷ καὶ φρόνημα δημαγωγίας ἐμβριθέστερον, ὅλως τε μετεωρίσας καὶ συνεξάρας τὸ ἀξίωμα τοῦ ἤθους, ἀναξαγόρας ἦν ὁ κλαζομένιος. ὃν οἱ τότ' ἄνθρωποι, νοῦν προσηγόρευον. εἴτε τὴν σύνεσιν αὐτοῦ, μεγάλην εἰς φυσιολογίαν καὶ περιττὴν διαφανεῖσαν θαυμάσαντες, εἴθ' ὅτι τοῖς ὅλοις πρῶτος οὐ τύχην οὐδ' ἀνάγκην διακοσμήσεως ἀρχὴν, ἀλλὰ νοῦν ἐπέστησε καθαρὸν καὶ ἄκρατον, ἐν μεμιγμένοις πᾶσι τοῖς ἄλλοις, ἀποκρίνοντα τὰς ὁμοιομερείας. τοῦτον ὑπερφυῶς τὸν ἄνδρα θαυμάσας ὁ περικλῆς, καὶ τῆς λεγομένης μετεωρολογίας, καὶ μεταρσιολεσχίας ὑποπιμπλάμενος, οὐ μόνον ὡς ἔοικε τὸ φρόνημα σοβαρὸν, καὶ τὸν λόγον ὑψηλὸν εἶχε καὶ καθαρὸν ὀχλικῆς καὶ πανούργου βωμολοχίας, ἀλλὰ καὶ προσώπου σύστασις ἄθρυπτος εἰς γέλωτα, καὶ πρᾳότης πορείας, καὶ καταστολὴ περιβολῆς πρὸς οὐδὲν ἐκταραττομένη πάθος ἐν τῷ λέγειν, καὶ πλάσμα φωνῆς ἀθόρυβον, καὶ ὅσα τοιαῦτα, πάντας θαυμαστῶς ἐξέπληττε. λοιδορούμενος γοῦν ποτε καὶ κακῶς ἀκούων ὑπό τινος τῶν βδελυρῶν καὶ ἀκολάστων ὅλην ἡμέραν, ὑπέμεινε σιωπῇ κατ' ἀγορὰν, ἅμα τι τῶν ἐπειγόντων καταπραττόμενος. ἑσπέρας δ' ἀπῄει κοσμίως οἴκαδε, παρακολουθοῦντος τοῦ ἀνθρώπου, καὶ πάσῃ χρωμένου βλασφημίᾳ πρὸς αὐτόν. ὡς δ' ἔμελλεν εἰσιέναι σκότους ὄντος ἤδη, προσέταξέ τινι τῶν οἰκετῶν φῶς λαβόντι παραπέμψαι καὶ καταστῆσαι πρὸς τὴν οἰκίαν τὸν ἄνθρωπον. ὁ δὲ ποιητὴς ἴων, μοθωνικήν φησι τὴν ὁμιλίαν καὶ ὑπότυφον εἶναι τοῦ περικλέους. καὶ ταῖς μεγαλαυχίαις αὐτοῦ, πολλὴν ὑπεροψίαν ἀναμεμῖχθαι καὶ περιφρόνησιν τῶν ἄλλων. ἐπαινεῖ δὲ τὸ κίμωνος ἐμμελὲς καὶ ὑγρὸν καὶ μεμουσωμένον ἐν ταῖς περιφοραῖς. ἀλλ' ἴωνα μὲν ὥσπερ τραγικὴν διδασκαλίαν ἀξιοῦντα τὴν ἀρετὴν ἔχειν, τι πάντως καὶ σατυρικὸν μέρος ἐῶμεν. τοὺς δὲ τοῦ περικλέους τὴν σεμνότητα, δοξοκοπίαν τε καὶ τῦφον ἀποκαλοῦντας, ὁ ζήνων παρεκάλει καὶ αὐτούς τι τοιοῦτον δοξοκοπεῖν, ὡς τῆς προσποιήσεως αὐτῆς τῶν καλῶν ὑποποιούσης τινὰ λεληθότως ζῆλον καὶ συνήθειαν. οὐ μόνον δὲ ταῦτα τῆς ἀναξαγόρου συνουσίας ἀπέλαυσε περικλῆς, ἀλλὰ καὶ δεισιδαιμονίας δοκεῖ γενέσθαι καθυπέρτερος, ὅσην πρὸς τὰ μετέωρα θάμβος ἐργάζεται, τοῖς αὐτῶν τε τούτων τὰς αἰτίας ἀγνοοῦσι, καὶ περὶ τὰ θεῖα δαιμονῶσι καὶ ταραττομένοις δι' ἀπειρίαν αὐτῶν. ἣν ὁ φυσικὸς λόγος ἀπαλλάττων, ἀντὶ τῆς φοβερᾶς καὶ φλεγμαινούσης δεισιδαιμονίας, τὴν ἀσφαλῆ μετ' ἐλπίδων ἀγαθῶν, εὐσέβειαν ἐνεργάζεται. λέγεται δέ ποτε κριοῦ μονόκερω κεφαλὴν ἐξ ἀγροῦ τῷ περικλεῖ κομισθῆναι. καὶ λάμπωνα μὲν τὸν μάντιν, ὡς εἶδε τὸ κέρας ἰσχυρὸν καὶ στερεὸν ἐκ μέσου τοῦ μετώπου πεφυκὸς, εἰπεῖν ὅτι δυοῖν οὐσῶν ἐν τῇ πόλει δυναστειῶν, τῆς θουκυδίδου καὶ περικλέους, εἰς ἕνα περιστήσεται τὸ κράτος παρ' ᾧ γένοιτο τὸ σημεῖον. τὸν δ' ἀναξαγόραν, τοῦ κρανίου διακοπέντος ἐπιδεῖξαι τὸν ἐγκέφαλον οὐ πεπληρωκότα τὴν βάσιν, ἀλλ' ὀξὺν, ὥσπερ ᾠὸν ἐκ τοῦ παντὸς ἀγγείου συνωλισθηκότα κατὰ τὸν τόπον ἐκεῖνον ὅθεν ἡ ῥίζα τοῦ κέρατος εἶχε τὴν ἀρχήν. καὶ τότε μὲν θαυμασθῆναι τὸν ἀναξαγόραν ὑπὸ τῶν παρόντων. ὀλίγῳ δ' ὕστερον τὸν λάμπωνα, τοῦ μὲν θουκυδίδου καταλυθέντος. τῶν δὲ τοῦ δήμου πραγμάτων, ὁμαλῶς ἁπάντων ὑπὸ τῷ περικλεῖ γενομένων. ἐκώλυε δ' οὐδὲν οἶμαι καὶ τὸν φυσικὸν ἐπιτυγχάνειν, καὶ τὸν μάντιν. τοῦ μὲν, τὴν αἰτίαν. τοῦ δὲ, τὸ τέλος καλῶς ἐκλαμβάνοντος. ὑπέκειτο γὰρ τῷ μὲν, ἐκ τίνων γέγονε καὶ πῶς πέφυκε θεωρῆσαι. τῷ δὲ, πρὸς τί γέγονε, καὶ τί σημαίνει προειπεῖν. οἱ δὲ τῆς αἰτίας τὴν εὕρεσιν ἀναίρεσιν εἶναι λέγοντες τοῦ σημείου, οὐκ ἐπινοοῦσιν ἅμα τοῖς θείοις, καὶ τὰ τεχνητὰ τῶν συμβόλων ἀθετοῦντες, ψόφους τε δίσκων, καὶ φῶτα πυρσῶν, καὶ γνωμόνων ἀποσκιασμούς. ὧν ἕκαστον, αἰτίᾳ τινὶ καὶ κατασκευῇ, σημεῖον εἶναί τινος πεποίηται. ταῦτα μὲν ἴσως, ἑτέρας ἐστὶ πραγματείας. ὁ δὲ περικλῆς, νέος μὲν ὢν, σφόδρα τὸν δῆμον εὐλαβεῖτο. καὶ γὰρ ἐδόκει πεισιστράτῳ τῷ τυράννῳ τὸ εἶδος ἐμφερὴς εἶναι. τήν τε φωνὴν ἡδεῖαν οὖσαν αὐτοῦ, καὶ τὴν γλῶτταν εὔτροχον ἐν τῷ διαλέγεσθαι καὶ ταχεῖαν, οἱ σφόδρα γέροντες, ἐξεπλήττοντο πρὸς τὴν ὁμοιότητα. πλούτου δὲ καὶ γένους προσόντος αὐτῷ λαμπροῦ καὶ φίλων, οἳ πλεῖστον ἠδύναντο, φοβούμενος ἐξοστρακισθῆναι, τῶν μὲν πολιτικῶν, οὐδὲν ἔπραττεν, ἐν δὲ ταῖς στρατείαις, ἀνὴρ ἀγαθὸς ἦν καὶ φιλοκίνδυνος. ἐπεὶ δ' ἀριστείδης μὲν ἀποτεθνήκει, καὶ θεμιστοκλῆς ἐξεπεπτώκει, κίμωνα δ' αἱ στρατεῖαι τὰ πολλὰ τῆς ἑλλάδος ἔξω κατεῖχον, οὕτω δὴ φέρων ὁ περικλῆς τῷ δήμῳ προσ-

ΞΕΝΟΥΣ τινὰς ἐν ῥώμῃ πλουσίους, κυνῶν τέκνα καὶ πιθήκων ἐν τοῖς κόλποις περιφέροντας καὶ ἀγαπῶντας, ἰδὼν ὁ καῖσαρ ὡς ἔοικεν, ἠρώτησεν εἰ παιδία παρ' αὐτοῖς οὐ τίκτουσιν αἱ γυναῖκες. ἡγεμονικῶς σφόδρα νουθετήσας, τοὺς τὸ φύσει φιλητικὸν ἐν ἡμῖν καὶ φιλόστοργον εἰς θηρία καταναλίσκοντας, ἀνθρώποις ὀφειλόμενον. ἆρ' οὖν ἐπεὶ κυνιδίτε καὶ πιθήκων ἔκγονα φιλομαθές τι κέκτηται καὶ φιλοθέαμον ἡμῶν ἡ ψυχὴ φύσει λόγον ἔχει ψέγειν τοὺς καταχρωμένους τούτῳ πρὸς τὰ μηδεμιᾶς ἄξια σπουδῆς ἀκούσματα καὶ θεάματα, τῶν δὲ καλῶν καὶ ὠφελίμων παραμελοῦντας. τῇ μὲν γὰρ αἰσθήσει κατὰ πάθος τὴν πληγὴν ἀντιλαμβανομένῃ τῶν προστυγχανόντων, ἴσως ἀνάγκη πᾶν τὸ φαινόμενον, ἄν τε χρήσιμον ἄν τ' ἄχρηστον ᾖ θεωρεῖν. τῷ νῷ δ' ἕκαστον εἰ βούλοιτο χρῆσθαι καὶ τρέπειν ἑαυτὸν ἀεὶ καὶ μεταβάλλειν ῥᾷστα πρὸς τὸ δοκοῦν πέφυκεν. ὥστε χρὴ διώκειν τὸ βέλτιστον, ἵνα μὴ θεωρῇ μόνον, ἀλλὰ καὶ τρέφηται τῷ θεωρεῖν. ὡς γὰρ ὀφθαλμῷ χρόα πρόσφορος, ἧς τὸ ἀνθηρὸν ἅμα καὶ τερπνὸν ἀναζωπυρεῖ καὶ τρέφει τὴν ὄψιν, οὕτω τὴν διάνοιαν ἐπάγειν δεῖ θεάμασιν, ἃ τῷ χαίρειν πρὸς τὸ οἰκεῖον αὐτὴν ἀγαθὸν ἐκκαλεῖ. ταῦτα δ' ἔστιν ἐν τοῖς ἀπ' ἀρετῆς ἔργοις, ἃ καὶ ζῆλόν τινα καὶ προθυμίαν ἀγωγὸν εἰς μίμησιν ἐμποιεῖ τοῖς ἱστορήσασιν. ἐπεὶ τῶν γ' ἄλλων, οὐκ εὐθὺς ἀκολουθεῖ τῷ θαυμάσαι τὸ πραχθὲν, ὁρμὴ πρὸς τὸ πρᾶξαι. πολλάκις δὲ καὶ τοὐναντίον, χαίροντες τῷ ἔργῳ, τοῦ δημιουργοῦ καταφρονοῦμεν. ὡς ἐπὶ τῶν μύρων καὶ τῶν ἁλουργῶν. τούτοις μὲν ἡδόμεθα, τοὺς δὲ βαφεῖς καὶ μυρεψοὺς, ἀνελευθέρους ἡγούμεθα καὶ βαναύσους. διὸ καλῶς μὲν ἀντισθένης ἀκούσας ὅτι σπουδαῖός ἐστιν αὐλητὴς ἰσμηνίας, ἀλλ' ἄνθρωπος ἔφη μοχθηρός. οὐ γὰρ ἂν οὕτω σπουδαῖος ἦν αὐλητής. ὁ δὲ φίλιππος πρὸς τὸν υἱὸν ἐπιτερπῶς ἔν τινι πότῳ ψήλαντα καὶ κατατεχνικῶς εἶπεν. οὐκ αἰσχύνῃ καλῶς οὕτω ψάλλων; ἀρκεῖ γὰρ ἂν βασιλεὺς ἀκροᾶσθαι ψαλλόντων σχολάζῃ. καὶ πολὺ νέμει ταῖς μούσαις, ἑτέρων ἀγωνιζομένων τὰ τοιαῦτα, θεατὴς γιγνόμενος. ἡ δ' αὐτουργία τῶν ταπεινῶν τῆς εἰς τὰ καλὰ ῥᾳθυμίας μάρτυρα τὸν ἐν τοῖς ἀχρήστοις πόνον, παρέχεται καθ' αὑτῆς. καὶ οὐδεὶς εὐφυὴς νέος ἢ τὸν ἐν πίσῃ θεασάμενος δία, γενέσθαι φειδίας ἐπεθύμησεν, ἢ τὴν ἥραν τὴν ἐν ἄργει, πολύκλειτος. οὐδ' ἀνακρέων ἢ φιλήμων ἢ ἀρχίλοχος, ἡσθεὶς αὐτῶν τοῖς ποιήμασιν. οὐ γὰρ ἀναγκαῖον εἰ τέρπει τὸ ἔργον ὡς χαρίεν, ἄξιον σπουδῆς εἶναι τὸν εἰργασμένον. ὅθεν οὐδ' ὠφελεῖ τὰ τοιαῦτα τοὺς θεωμένους, πρὸς ἃ μιμητικὸς οὐ γίνεται ζῆλος, οὐδ' ἀνάδοσις, κινοῦσα προθυμίαν καὶ ἀφορμὴν ἐπὶ τὴν ἐξομοίωσιν. ἀλλ' ἥ γ' ἀρετὴ ταῖς πράξεσιν εὐθὺς οὕτω διατίθησιν, ὥστε ἅμα θαυμάζεσθαι τὰ ἔργα, καὶ ζηλοῦσθαι τοὺς εἰργασμένους. τῶν μὲν γὰρ ἐκ τῆς τύχης ἀγαθῶν, τὰς κτήσεις καὶ ἀπολαύσεις. τῶν δ' ἀπ' ἀρετῆς, τὰς πράξεις ἀγαπῶμεν. καὶ τὰ μὲν, ἡμῖν παρ' ἑτέρων. τὰ δὲ, μᾶλλον ἑτέροις παρ' ἡμῶν ὑπάρχειν βουλόμεθα. τὸ γὰρ καλὸν ἐφ' αὑτὸ πρακτικῶς κινεῖ, καὶ πρακτικὴν εὐθὺς ὁρμὴν ἐντίθησιν, ἠθοποιοῦν οὐ τῇ μιμήσει τὸν θεατὴν, ἀλλὰ τῇ ἱστορίᾳ τοῦ ἔργου, τὴν προαίρεσιν παρεχόμενον. ἔδοξεν οὖν καὶ ἡμῖν ἐνδιατρῖψαι τῇ περὶ τοὺς βίους ἀναγραφῇ. καὶ τοῦτο τὸ βιβλίον, δέκατον συντετάχαμεν τὸν περικλέους βίον. καὶ τὸν φαβίου μαξίμου, τοῦ διαπολεμήσαντος πρὸς ἀννίβαν, περιέχον. ἀνδρῶν, κατά τε τὰς ἄλλας ἀρετὰς ὁμοίων, μάλιστα δὲ πρᾳότητα καὶ δικαιοσύνην, καὶ τὸ δύνασθαι φέρειν δήμων καὶ συναρχόντων ἀγνωμοσύνας, ὠφελιμωτάτων ταῖς πατρίσι γενομένων. εἰ δ' ὀρθῶς στοχαζόμεθα τοῦ δέοντος, ἔξεστι κρίνειν ἐκ τῶν γραφομένων. περικλῆς γὰρ τῶν μὲν φυλῶν ἀκαμαντίδης. τῶν δὲ δήμων, χολαργεύς. οἴκου δὲ καὶ γένους, τοῦ πρώτου κατ' ἀμφοτέρους. ξάνθιππος γὰρ ὁ νικήσας ἐν μυκάλῃ τοὺς βασιλέως στρατηγοὺς, ἔγημεν ἀγαρίστην κλεισθένους ἔγγονον. ὃς ἐξήλασε πεισιστρατίδας, καὶ κατέλυσε τὴν τυραννίδα γενναίως. καὶ νόμους ἔθετο, καὶ πολιτείαν ἄριστα κεκραμένην πρὸς ὁμόνοιαν καὶ σωτηρίαν κατέστησεν. αὕτη κατὰ τοὺς ὕπνους ἔδοξε τεκεῖν λέοντα. καὶ μεθ' ἡμέρας ὀλίγας ἔτεκε περικλέα. τὰ μὲν ἄλλα τὴν ἰδέαν τοῦ σώματος ἄμεμπτον, προμήκη δὲ τὴν κεφαλὴν καὶ ἀσύμμετρον. ὅθεν αἱ μὲν εἰκόνες αὐτοῦ, σχεδὸν ἅπασαι, κράνεσι περιέχονται, μὴ βουλομένων ὡς ἔοικε τῶν τεχνιτῶν ἐξονειδίζειν. οἱ δ' ἀττικοὶ ποιηταὶ, σχινοκέφαλον αὐτὸν ἐκάλουν. τὴν γὰρ σκίλλαν, ἔστιν ὅτε καὶ σχῖνον ὀνομάζουσι. τῶν δὲ κωμικῶν, ὁ μὲν κρατῖνος ἐν χείρωσι. στάσις δέ φησι καὶ πρεσβυγενὴς χρόνος ἀλλήλοισι μιγέντε μέγιστον τίκτετον τύραννον, ὃν δὴ κεφαληγερέταν θεοὶ καλέουσι. καὶ πάλιν ἐν νεμέσει. μόλ' ὦ ζεῦ ξένιε καὶ μακάριε. τηλεκλείδης δὲ, ποτὲ μὲν ὑπὸ τῶν πραγμάτων ἠπορημένον καθῆσθαί φησιν αὐτὸν ἐν τῇ πόλει καρηβαροῦντα. ποτὲ δὲ μόνον ἐκ κεφαλῆς ἑνδεκακλίνου, θόρυβον πολὺν ἐξανατέλλειν. ὁ δ' εὔπολις ἐν τοῖς δήμοις πυνθανόμενος περὶ ἑκάστου τῶν ἀναβεβηκότων ἐξ ᾅδου δημαγωγῶν, ὡς ὁ περικλῆς ὠνομάσθη τελευταῖος, ὅτι περ κεφάλαιον τῶν κάτωθεν ἤγαγες. διδάσκαλον δ' αὐτοῦ τῶν μουσικῶν οἱ πλεῖστοι, δάμωνα γενέσθαι λέγουσιν, οὗ φασι δεῖν τοὔνομα βραχύνοντας τὴν προτέραν συλλαβὴν ἐκφέρειν. ἀρι-

στοτέλης δὲ

μόλ' ὦ ζεῦ. deest hoc loco fortasse aliq[uid]. non n. video quomodo hisce verbis exprobret Pericli capitis longitudo

τότε τῶν Κελτῶν ἀνέστρεψε τὰ φρονήματα, παραξίαν ἐπιχειρεῖν δοκούντων. ἔπειτα προσπίπτοντες οἱ ψιλοὶ, καὶ πρὶν ἢ τὸν συνήθη λαβεῖν κόσμον καὶ διακριθῆναι κατὰ λόχους, κινοῦντες αὐτοὺς καὶ βιαζόμενοι πρὸς τὸ συντυχὸν ἀτάκτους ἠνάγκαζον μάχεσθαι. τέλος δὲ τοῦ Καμίλλου τοὺς ὁπλίτας ἐπάγοντος, οἱ μὲν, ἀνατεινάμενοι τὰς μαχαίρας συνδραμεῖν ἔσπευδον. οἱ δὲ, τοῖς ὑσσοῖς ἀπαντῶντες, καὶ σεσιδηρωμένα μέρη ταῖς πληγαῖς ἀποφέροντες, ἀνέστρεφον τὸν ἐκείνων σίδηρον μαλακὸν ὄντα καὶ λεπτῶς ἐληλαμένον, ὥστε κάμπτεσθαι ταχὺ καὶ διπλοῦσθαι τὰς μαχαίρας. τοὺς δὲ θυρεοὺς συμπεπάρθαι καὶ βαρύνεσθαι τῶν ὑσσῶν ἐφελκομένων. διὸ καὶ μεθιστάμενοι τῶν ἰδίων ὅπλων, ἐπειρῶντο τοῖς ἐκείνων συστρέφεσθαι, καὶ τοὺς ὑσσοὺς παραφέρειν, ἐπιλαμβανόμενοι ταῖς χερσίν. οἱ δὲ Ῥωμαῖοι γυμνοὺς ὁρῶντες ἤδη, τοῖς ξίφεσιν ἐχρῶντο. καὶ φόνος μὲν ἦν πολὺς τῶν προτακτῶν, φυγὴ δὲ τῶν ἄλλων ἁπανταχόσε τοῦ πεδίου. τοὺς γὰρ λόφους καὶ τὰ ὑψηλὰ προκατειλήφει Κάμιλλος. τὸ δὲ στρατόπεδον διὰ τὸ θαρρεῖν ἄφρακτον ἔχοντες, ᾔδεσαν οὐ χαλεπῶς ἁλωσόμενον. ταύτην τὴν μάχην ἔτεσιν ὕστερον τρισκαίδεκα γενέσθαι λέγουσι τῆς Ῥώμης ἁλώσεως. καὶ βέβαιον ἐξ αὐτῆς φρόνημα κατὰ τῶν Κελτῶν ἐγγενέσθαι Ῥωμαίοις, σφόδρα δεδιόσι τοὺς βαρβάρους, ὡς τὸ πρῶτον ἐκ νόσου καὶ τύχας παραλόγως οὐ κατὰ κράτος ὑπ' αὐτῶν νενικημένους. οὕτω δ' οὖν ὁ φόβος ἦν ἰσχυρὸς, ὥστε θέσθαι νόμον ἀφεῖσθαι τοὺς ἱερεῖς στρατείας χωρὶς ἂν μὴ Γαλατικὸς ᾖ πόλεμος. τῶν μὲν οὖν στρατιωτικῶν ἀγώνων, οὗτος ἠγωνίσθη τῷ Καμίλλῳ τελευταῖος. τὴν γὰρ Οὐελιτρανῶν πόλιν εἷλεν ἐν τῷ παρέργῳ ταύτης τῆς στρατείας, ἀμαχεὶ προσχωρήσασαν αὐτῷ. τῶν δὲ πολιτικῶν ὁ μέγιστος ὑπελείπετο χαλεπώτερος, πρὸς τὸν δῆμον, ἰσχυρὸν ἐπανήκοντα τῇ νίκῃ καὶ βιαζόμενον ἐκ δημοτῶν ὕπατον ἀποδεῖξαι παρὰ τὸν καθεστῶτα νόμον, ἀντιπραττούσης τῆς βουλῆς, καὶ τὸν Κάμιλλον οὐκ ἐώσης ἀποθέσθαι τὴν ἀρχὴν, ὡς μετ' ἰσχυρᾶς καὶ μεγάλης ἐξουσίας τῆς ἐκείνου, μαχεσομένων ἂν βέλτιον ὑπὲρ τῆς ἀριστοκρατείας. ἐπεὶ δὲ προκαθημένου τοῦ Καμίλλου καὶ χρηματίζοντος ἐπὶ τῆς ἀγορᾶς, ὑπηρέτης πεμφθεὶς παρὰ τῶν δημάρχων, ἐκέλευσεν ἀκολουθεῖν, καὶ τὴν χεῖρα τῷ σώματι προσῆγεν ὡς ἀπάξων. κραυγὴ δὲ καὶ θόρυβος οἷος οὔπω κατέσχε τὴν ἀγοράν. τῶν μὲν περὶ τὸν Κάμιλλον ὠθούντων ἀπὸ τοῦ βήματος τὸν δήμιον, τῶν δὲ πολλῶν κάτωθεν ἕλκειν ἐπικελευομένων, ἀπορούμενος τοῖς παροῦσι, τὴν μὲν ἀρχὴν οὐ προήκατο, τοὺς δὲ βουλευτὰς ἀναλαβὼν, ἐβάδιζεν ἐπὶ τὴν σύγκλητον. καὶ πρὶν εἰσελθεῖν, μεταστραφεὶς εἰς τὸ Καπιτώλιον, ηὔξατο τοῖς θεοῖς κατευθῦναι τὰ παρόντα πρὸς τὸ κάλλιστον τέλος, ὑποσχόμενος ναὸν Ὁμονοίας κατασκευάσειν τῆς ταραχῆς καταστάσης. μεγάλου δ' ἀγῶνος ἐν τῇ συγκλήτῳ γενομένου πρὸς τὰς ἐναντίας γνώμας, ὅμως ἐνίκησεν ἡ μαλακωτέρα καὶ ὑπείκουσα τῷ δήμῳ καὶ διδοῦσα τῶν ὑπάτων τὸν ἕτερον ἀπὸ τοῦ πλήθους ἀρχαιρεσιάζειν. ταῦτα δ' ὡς τῇ βουλῇ δοκοῦντα τοῦ δικτάτορος ἀνειπόντος ἐν τῷ δήμῳ, παραχρῆμα μὲν οἷον εἰκὸς, ἡδόμενοι τῇ βουλῇ διηλλάττοντο, καὶ τὸν Κάμιλλον οἴκαδε κρότῳ καὶ βοῇ παρέπεμπον. τῇ δ' ὑστεραίᾳ συνελθόντες, ἐψηφίσαντο τῆς μὲν Ὁμονοίας ἱερὸν, ὥσπερ ηὔξατο ὁ Κάμιλλος, εἰς τὴν ἀγορὰν καὶ εἰς τὴν ἐκκλησίαν ἄποπτον, ἐπὶ τοῖς γεγενημένοις ἱδρύσασθαι. ταῖς δὲ καλουμέναις Λατίναις μίαν ἡμέραν προσθέντας, ἑορτάζειν τέσσαρας. παραυτίκα δὲ θύειν καὶ στεφανηφορεῖν Ῥωμαίους ἅπαντας. τῶν δ' ἀρχαιρεσιῶν βραβευθέντων ὑπὸ Καμίλλου, κατεστάθησαν ὕπατοι, Μάρκος μὲν Αἰμίλιος ἐκ πατρικίων, Λεύκιος δὲ Σέξτιος ἐκ δημοτῶν πρῶτος. καὶ τότε πέρας αἱ Καμίλλου πράξεις ἔσχον. ἐν δὲ τῷ κατόπιν ἐνιαυτῷ, λοιμώδης νόσος ἐμπεσοῦσα τῇ Ῥώμῃ, τὸν μὲν ἄλλον ὄχλον οὐ περιληπτὸν ἀριθμῷ διέφθειρε, τῶν δ' ἀρχόντων, τοὺς πλείστους. ἐτελεύτησε δὲ καὶ Κάμιλλος, ἡλικίας μὲν οὔπω ἕνεκα καὶ βίου τελειότητος, ὡς εἴ τις ἄλλος ἀνθρώπων ὡραῖος. ἀνιάσας δὲ Ῥωμαίους ὡς οὐδὲ σύμπαντες οἱ τῇ νόσῳ κατ' ἐκεῖνον τὸν χρόνον ἀποθανόντες.

Liuius L. VI. 229.
Sed re neutro inclinata magistratum se abdicauit, seu quia vitio creatus erat, ut scripsere quidam, seu quia tribuni plebis tulerunt ad plebem, idque plebs sciuit, ut si M. Furius pro dictatore quid egisset, quingentum millium aeris ei multa esset.

καὶ τὴν αἰσχύνην ἀπαλλάξαι τοῦ αἴσχους, αὐτὶ πάντων, ἔργον προὔργου. οἱ δὲ τουσκλανοὶ τὴν ἁμαρτίαν ἐπανορθούμενοι πανούργως, ἤδη βαδίζοντος ἐπ' αὐτοὺς τοῦ καμίλλου, τὸ μὲν πεδίον, ἀνθρώπων ὡς ἐν εἰρήνῃ γεωργούντων καὶ νεμόντων ἐνέπλησαν. τὰς δὲ πύλας εἶχον ἀνεῳγμένας. καὶ τοὺς παῖδας ἐν τοῖς διδασκαλείοις μανθάνοντας. τοῦ δὲ δήμου, τὸ μὲν βάναυσον ἐπὶ τῶν ἐργαστηρίων ἑωρᾶτο περὶ τὰς τέχνας, τὸ δ' ἀστεῖον ἐπὶ τῆς ἀγορᾶς ἐν ἱματίοις. οἱ δ' ἄρχοντες περιῄεσαν σπουδῇ καταλύσεις τοῖς ῥωμαίοις ἐπαγγέλλοντες, ὡς οὐδὲν κακὸν προσδοκῶντες, οὐδὲ συνειδότες. τούτων δὲ πραττομένων, ἀπιστεῖν μὲν οὐκ ἐπῄει τῷ καμίλλῳ τὴν προδοσίαν. οἰκτείρας δὲ τὴν ἐπὶ τῇ προδοσίᾳ μετάνοιαν αὐτῶν, ἐκέλευσε πρὸς τὴν σύγκλητον ἐλθόντας, παραιτεῖσθαι τὴν ὀργήν. καὶ παραιτουμένοις, συνέπραξεν αὐτὸς ἀφεθῆναί τε τὴν πόλιν αἰτίας ἁπάσης. καὶ μεταλαβεῖν ἰσοπολιτείας. αὗται μὲν οὖν ἐγένοντο τῆς ἕκτης χιλιαρχίας ἐπιφανέσταται πράξεις. μετὰ δὲ ταῦτα, λικιννίου στόλωνος ἐν τῇ πόλει μεγάλην στάσιν ἐγείροντος, ὑφ' ἧς ὁ δῆμος ἐστασίαζε πρὸς τὴν σύγκλητον. βιαζόμενος δυοῖν ὑπάτων καθισταμένων τὸν ἕτερον ἐκ δημοτῶν εἶναι, καὶ μὴ συναμφοτέρους πατρικίους, δήμαρχοι μὲν ᾑρέθησαν. τὰς δ' ὑπατικὰς ἀρχαιρεσίας ἐπιτελεσθῆναι, διεκώλυσαν οἱ πολλοί. καὶ τῶν πραγμάτων δι' ἀναρχίας φερομένων, εἰς μείζονας ταραχάς, ἀποδείκνυται δικτάτωρ ὁ κάμιλλος ὑπὸ τῆς βουλῆς ἄκοντι τῷ δήμῳ τὸ τέταρτον. οὐδ' αὐτὸς ὢν πρόθυμος. οὐδὲ βουλόμενος ἐναντιοῦσθαι πρὸς ἀνθρώπους, παρρησίαν ἔχοντας ἀπὸ πολλῶν καὶ μεγάλων ἀγώνων πρὸς αὐτόν, ὡς

4. πλείονα μετ' αὐτῶν διαπεπραγμένος ἐν στρατηγίαις, ἢ μετὰ τῶν πατρικίων ἐν ταῖς πολιτείαις. καὶ νῦν διὰ φθόνον ἐκείνων ᾑρημένος ὑπ' αὐτῶν, ὅπως ἢ καταλύσειε τὸν δῆμον ἰσχύσας, ἢ καταλυθείη μὴ κρατήσας. οὐ μὴν ἀλλὰ πειρώμενος ἀμύνειν τοῖς παροῦσι, τὴν ἡμέραν γνοὺς ἐν ᾗ νομοθετεῖν οἱ δήμαρχοι διενοοῦντο, προὔγραψε στρατιᾶς κατάλογον. καὶ μετεκάλει τὸν δῆμον ἐκ τῆς ἀγορᾶς εἰς τὸ πεδίον. μεγάλας ζημίας ἀπειλῶν κατὰ τοῦ μὴ ὑπακούσαντος. τῶν δὲ δημάρχων ἐκεῖθεν αὖ πάλιν ἀντανισταμένων ταῖς ἀπειλαῖς, καὶ διομνυμένων πέντε μυριάσιν ἀργυρίου ζημιώσειν, εἰ μὴ παύσαιτο τοῦ δήμου τὸν νόμον ἀφαιρούμενος καὶ τὴν ψῆφον, εἴτ' οὖν δείσας φυγὴν ἑτέραν καὶ καταδίκην, ὡς ἀνδρὶ ἤδη πρεσβύτῃ καὶ κατειργασμένῳ πολλὰ μὴ πρέπουσαν, εἴτε τοῦ πλήθους τὴν βίαν ἄμαχον οὖσαν καὶ δυσνίκητον ὑπερβαλέσθαι μὴ δυνάμενος, τότε μὲν ὑπεχώρησεν οἴκαδε. ταῖς δ' ἑξῆς ἡμέραις σκηψάμενος ἀρρωστεῖν, ἐξωμόσατο τὴν ἀρχήν. ἡ δὲ σύγκλητος ἕτερον δικτάτωρα κατέστησε. κἀκεῖνος ἀποδείξας ἵππαρχον, αὐτὸν τὸν ἡγεμόνα τῆς στάσεως στόλωνα, παρῆκεν ἐπικυρῶσαι τὸν νόμον τὸν μάλιστα λυποῦντα τοὺς πατρικίους. ἐκέλευε δ' οὗτος μηδένα πλέθρων πεντακοσίων πλείονα χώραν κεκτῆσθαι. τότε μὲν οὖν λαμπρὸς ὁ στόλων ἐγεγόνει τῇ ψήφῳ κρατήσας. ὀλίγῳ δ' ὕστερον αὐτὸς ἑάλω κεκτημένος ὅσην ἔχειν ἐκώλυεν ἑτέρους. καὶ κατὰ τὸν αὐτοῦ νόμον, δίκην ἔδωκεν. ἀπολειπομένης δὲ τῆς περὶ τῶν ὑπατικῶν ἀρχαιρεσιῶν φιλονεικίας, ὃ δὴ χαλεπώτατον τῆς στάσεως ἦν, καὶ πρῶτον ἦρξε, καὶ πλεῖστα πράγματα τῇ βουλῇ παρέσχε διαφερομένῃ πρὸς τὸν δῆμον, ἀγγελίαι προσέπεσον σαφεῖς, κελτοὺς αὖθις ἀπὸ τῆς ἀδριατικῆς ἄραντας θαλάσσης μυριάσι πολλαῖς, ἐπὶ τὴν ῥώμην ἐλαύνειν. ἅμα δὲ τῷ λόγῳ καὶ τὰ ἔργα τοῦ πολέμου παρῆν. πορθουμένης τῆς χώρας καὶ τῶν ἀν-

5. θρώπων ὅσοις μὴ ῥᾴδιον ἦν εἰς τὴν ῥώμην καταφυγεῖν, ἀνὰ τὰ ὄρη σκιδναμένων. οὗτος ὁ φόβος κατέπαυσε τὴν στάσιν. καὶ συνελθόντες εἰς ταὐτὸ τοῖς πολλοῖς οἱ κράτιστοι καὶ τῇ βουλῇ τὸ δημοτικόν, εἵλοντο πάντες ἐκ μιᾶς γνώμης δικτάτωρα τὸ πέμπτον κάμιλλον. ὁ δ' ἦν μὲν σφόδρα γέρων, καὶ μικρὸν ἀπέλιπεν ὀγδοήκοντα ἔτη γεγονέναι. συνορῶν δὲ τὴν ἀνάγκην καὶ τὸν κίνδυνον, οὔτε ὑποτίμησιν εἰπὼν ὡς πρότερον, οὔτε προφάσει χρησάμενος, ἀλλ' αὐτόθεν ὑποστὰς τὴν στρατηγίαν, κατέλεγε τοὺς μαχησομένους. εἰδὼς δὲ τῆς τῶν βαρβάρων ἀλκῆς τὴν βιαιοτάτην ἐν ταῖς μαχαίραις οὖσαν, ἃς βαρβαρικῶς καὶ σὺν οὐδεμιᾷ τέχνῃ καταφέροντες, ὤμους μάλιστα καὶ κεφαλὰς διέκοπτον, ἐχαλκεύσατο μὲν κράνη τοῖς πλείστοις ὁλοσίδηρα καὶ λεῖα ταῖς περιφερείαις, ὡς ἀπολισθαίνειν ἢ κατάγνυσθαι τὰς μαχαίρας. τοῖς δὲ θυρεοῖς, κύκλῳ περιήρμοσε λεπίδα χαλκῆν, τοῦ ξύλου καθ' αὑτὸ τὰς πληγὰς μὴ στέγοντος. αὐτοὺς δὲ τοὺς στρατιώτας ἐδίδαξε τοῖς ὑσσοῖς μακροῖς διὰ χειρὸς χρῆσθαι. καὶ τοῖς ξίφεσι τῶν πολεμίων ὑποβάλλοντας ἐκδέχεσθαι τὰς καταφοράς. ἐπεὶ δὲ πλησίον ἦσαν οἱ κελτοὶ περὶ τὸν ἀνίωνα ποταμόν, στρατόπεδον βαρὺ καὶ μεστὸν ἀφθόνου λείας ἔχοντες, ἐξαγαγὼν τὴν δύναμιν, ἵδρυσε κατὰ νάπης μαλακῆς καὶ συγκλείσεις πολλὰς ἐχούσης. ὥστε τὸ μὲν πλεῖστον ἀποκρύπτεσθαι. τὸ δ' ὁρώμενον δοκεῖν ὑπὸ δέους εἰς χωρία προσάντη κατειλεῖσθαι. ταύτην δὲ τὴν δόξαν αὐτῶν ὁ κάμιλλος αὔξειν βουλόμενος, οὐ προσήμυνε τῶν ὑπὸ πόδας πορθουμένων. ἀλλὰ τὸν χάρακα φραξάμενος, ἠρέμει, μέχρις οὗ τοὺς μὲν ἐν προνομαῖς ἐσκεδασμένους κατεῖδε. τοὺς δ' ἐν τῷ στρατοπέδῳ πᾶσαν ὥραν ἐμπιπλαμένους ἀφειδῶς καὶ μεθύοντας. τότε δὲ νυκτὸς ἔτι, τοὺς ψιλοὺς προεκπέμψας, ἐμποδὼν εἶναι τοῖς βαρβάροις εἰς τάξιν καθισταμένοις, καὶ διαταράττειν εὐθὺς ἐπεξιόντας, κατεβίβαζεν ὄρθρου τοὺς ὁπλίτας, καὶ παρέταττεν ἐν τοῖς ἐπιπέδοις, πολλοὺς καὶ προθύμους, οὐχ ὥσπερ οἱ βάρβαροι προσεδόκων, ὀλίγους καὶ ἀτόλμους φανέντας. πρῶτον μὲν οὖν

τινὶ μᾶλλον ἢ διὰ ἀρετὴν κατορθοῦντι. τότ' ἤκμαζον αἱ πράξεις τῇ δεινότητι καὶ τῷ φρονήματι τοῦ ἀνδρὸς ἀποδιδόναι τὴν δόξαν. ἦν δὲ τῶν διαμαχομένων αὐτῷ καὶ προσφθονούντων ἤδη φανείτος, μάρκος μάλλιος ὁ πρῶτος ὠσάμενος τοὺς κελτοὺς ἀπὸ τῆς ἄκρας ὅτε τῷ καπιτωλίῳ διὰ νυκτὸς ἐπέθεντο. καὶ διὰ τοῦτο καπιτωλῖνος ἐπικληθείς, οὗτος γὰρ ἀξιῶν πρῶτος εἶναι τῶν πολιτῶν, καὶ μὴ δυνάμενος τὸν κάμιλλον ἀπὸ τοῦ βελτίστου τρόπου τῇ δόξῃ παρελθεῖν, ὑπόθεσιν τυραννίδος διελθεῖν γ.τ.ω. ἐπεχείρει κοινὴν καὶ συνήθη δημαγωγῶν τοὺς πολλούς. μάλιστα δὲ τῶν ὀφειλόντων χρέα. τοῖς μὲν, ἀμύνων καὶ συνδικῶν ἐπὶ τοὺς δανειστάς, τοὺς δ' ἀφαιρούμενος βίᾳ καὶ κωλύων ἄγεσθαι πρὸς τὸν νόμον. ὥστε πολλοὺς τῶν ἀπόρων ταχὺ περὶ αὐτὸν γενέσθαι καὶ πολὺν φόβον παρέχειν τοῖς βελτίστοις τῶν πολιτῶν θρασυνομένους καὶ ταράττοντας τὴν ἀγοράν. ἐπεὶ δὲ κατασταθεὶς ἐπὶ ταῦτα δικτάτωρ κόιντος καπιτωλῖνος, εἰς τὴν εἱρκτὴν ἐνέβαλε τὸν μάλλιον. ὁ δὲ δῆμος γενομένου τούτου, μετέβαλε τὴν ἐσθῆτα, πρᾶγμα γινόμενον ἐπὶ συμφοραῖς μεγάλαις καὶ δημοσίαις, δείσασα τὸν θόρυβον ἡ σύγκλητος ἐκέλευσεν ἀφεθῆναι τὸν μάλλιον. ὁ δ' οὐδὲν ἦν ἀφεθεὶς ἀμείνων, ἀλλὰ σοβαρώτερον ἐδημαγώγει, καὶ διεστασίαζε τὴν πόλιν. αἱροῦνται δὲ πάλιν χιλίαρχον τὸν κάμιλλον. εἰσαγομένων δὲ τῶν κατὰ τοῦ μαλλίου δικῶν, μεγάλα τοὺς κατηγόρους ἔβλαπτεν ἡ ὄψις. ὁ γὰρ τόπος ἐφ' ᾧ βεβηκὼς ὁ μάλλιος ἐνυκτομάχησε πρὸς τοὺς κελτοὺς ὑπεφαίνετο τῆς ἀγορᾶς ἀπὸ τοῦ καπιτωλίου. καὶ παρεῖχεν οἶκτον τοῖς ὁρῶσιν, αὐτός τε τὰς χεῖρας ὀρέγων ἐκεῖσε, καὶ δακρύων ὑπεμίμνησκε τῶν ἀγώνων. ὥστε τοὺς κρίνοντας ἀπορεῖν καὶ πολλάκις ἀναβάλλεσθαι τὴν δίκην. μήτ' ἀφεῖναι βουλομένους ἐπὶ τεκμηρίοις φανεροῖς τὸ ἀδίκημα. μήτε χρήσασθαι τῷ νόμῳ δυναμένους ἐν ὀφθαλμοῖς τῆς πράξεως οὔσης διὰ τὸν τόπον. ὃ δὴ συμφρονήσας ὁ κάμιλλος, μετήγαγεν ἔξω πύλης τὸ δικαστήριον, εἰς τὸ πετηλῖνον ἄλσος. ὅθεν οὐκ ὄντος τοῦ καπιτωλίου καταφανοῦς, ὅ τε διώκων ἐχρήσατο τῇ κατηγορίᾳ. καὶ τοῖς κρίνουσι παρεχώρησεν ἡ μνήμη τῶν γεγονότων, ἀξίαν λαβεῖν ὀργὴν ἐπὶ τοῖς παροῦσιν ἀδικήμασι. ὁ μὲν οὖν μάλλιος ἁλοὺς, εἰς τὸ καπιτώλιον ἀπαχθεὶς, καὶ κατὰ τῆς πέτρας ὠσθεὶς, τὸν αὐτὸν τόπον ἔσχε καὶ τῶν εὐτυχεστάτων ἔργων, καὶ τῶν μεγίστων ἀτυχημάτων μνημεῖον. οἱ δὲ ῥωμαῖοι τὴν οἰκίαν αὐτοῦ κατασκάψαντες ἱερὸν ἱδρύσαντο θεᾶς ἣν μονῆταν καλοῦσιν. καὶ τὸ λοιπὸν ἐψηφίσαντο μηδένα τῶν πατρικίων ἐπὶ τῆς ἄκρας κατοικεῖν. ὁ δὲ κάμιλλος ἐπὶ χιλιαρχίαν ἕκτην καλούμενος, παρῃτεῖτο. γεγονὼς μὲν ἡλικίας ἤδη πρόσω. καί που τινὰ καὶ φθόνον δεδιὼς καὶ νέμεσιν ἐπὶ δόξῃ τοσαύτῃ καὶ κατορθώμασιν. ἡ δὲ φανερωτάτη τῶν αἰτιῶν ἦν, ἀρρωστία τοῦ σώματος. ἐτύγχανε γὰρ νοσῶν περὶ τὰς ἡμέρας ἐκείνας. οὐ μὴν παρῆκεν αὐτῷ τὴν ἀρχὴν ὁ δῆμος, ἀλλὰ βοῶν, μήτε παρα. τ. ἱππεύοντος αὐτοῦ, μήτε ὁπλομαχοῦντος ἐν τοῖς ἀγῶσι δεῖσθαι, βουλευομένου δὲ μόνον καὶ προστάττοντος, ἠνάγκασεν ὑποστῆναι τὴν στρατηγίαν. καὶ μεθ' ἑνὸς τῶν συναρχόντων λευκίου φρουρίου, τὸν στρατὸν ἄγειν εὐθὺς ἐπὶ τοὺς πολεμίους. οὗτοι δ' ἦσαν πραινεστῖνοι καὶ οὐολοῦσκοι. μετὰ πολλῆς δυνάμεως τὴν συμμαχίδα τῶν ῥωμαίων πορθοῦντες. ἐξελθὼν δὲ καὶ παραστρατοπεδεύσας τοῖς πολεμίοις, αὐτὸς μὲν ἠξίου τρίβειν τὸν πόλεμον χρόνῳ. κἂν εἰ μάχης δεήσειε, ῥώσας τὸ σῶμα διαγωνίσασθαι. λευκίου δὲ τοῦ συνάρχοντος ἐπιθυμίᾳ δόξης φερομένου πρὸς τὸν κίνδυνον ἀκατασχέτως, καὶ συνεξορμῶντος ἅμα ταξιάρχους καὶ λοχαγοὺς, φοβηθεὶς μὴ φθόνῳ δοκῇ τινι κατόρθωμα καὶ φιλοτιμίαν ἀφαιρεῖσθαι νέων ἀνδρῶν, συνεχώρησεν ἄκων ἐκείνῳ παρατάξαι τὴν δύναμιν. αὐτὸς δὲ διὰ τὴν ἀσθένειαν, ὑπελείφθη μετ' ὀλίγων ἐν τῷ στρατοπέδῳ. τοῦ δὲ λευκίου προπετῶς χρησαμένου τῇ μάχῃ, καὶ σφαλέντος. αἰσθόμενος τὴν τροπὴν τῶν ῥωμαίων, οὐ κατέσχεν αὐτόν. ἀλλ' ἀναθορὼν ἐκ τῆς στιβάδος, ἀπήντα μετὰ τῶν ὀπαδῶν ἐπὶ τὰς πύλας τοῦ χάρακος. διὰ τῶν φευγόντων ὠθούμενος εἰς τοὺς διώκοντας. ὥστε τοὺς μὲν, εὐθὺς ἀναστρέφειν καὶ συνακολουθεῖν. τοὺς δὲ, προσφερομένους ἔξωθεν, ἵστασθαι πρὸ αὐτοῦ καὶ συνασπίζειν, παρεγγυῶντας ἀλλήλοις μὴ ἀπολείπεσθαι τοῦ στρατηγοῦ. τότε μὲν οὖν οὕτως ἀπέσχοντο τῆς διώξεως οἱ πολέμιοι. τῇ δ' ὑστεραίᾳ προαγαγὼν τὴν δύναμιν ὁ κάμιλλος, καὶ συνάψας μάχην, αὐτούς τε νικᾷ κατὰ κράτος. καὶ τὸν χάρακα λαμβάνει συνεισπεσὼν τοῖς φεύγουσι, καὶ διαφθείρας τοὺς πλείστους. ἐκ δὲ τούτου, πυθόμενος πόλιν σουτρείαν ὑπὸ τυρρηνῶν ἑαλωκέναι καὶ τοὺς οἰκήτορας ἀπεσφάχθαι ῥωμαίους ἅπαντας ὄντας, τὴν μὲν πολλὴν καὶ βαρεῖαν τῆς δυνάμεως εἰς ῥώμην ἀπέστειλεν. αὐτὸς δὲ τοὺς ἀκμάζοντας μάλιστα καὶ προθυμοτάτους ἀναλαβὼν, ἐπέβαλε τοῖς τὴν πόλιν ἔχουσι τυρρηνοῖς. καὶ κρατήσας, τοὺς μὲν, ἐξήλασεν αὐτῶν. τοὺς δὲ, ἀπέκτεινεν. ἐπανελθὼν δὲ μετὰ πολλῶν λαφύρων εἰς ῥώμην, ἐπέδειξε φρονιμωτάτους ἁπάντων, τοὺς μὴ φοβηθέντας ἀσθένειαν καὶ γῆρας ἡγεμόνος ἐμπειρίαν καὶ τόλμαν ἔχοντος, ἀλλ' ἑλομένους ἐκεῖνον ἄκοντα καὶ νοσοῦντα μᾶλλον, ἢ τοὺς ἐν ἡλικίᾳ δεομένους καὶ σπουδάζοντας ἄρχειν. διὸ καὶ τουσκλανῶν ἀφεστάναι λεγομένων, ἐκέλευον ἐξιέναι τὸν κάμιλλον ἐπ' αὐτοὺς, ἕνα τῶν πέντε συστρατήγων προσελόμενον. ὁ δὲ, καὶ περὶ ἁπάντων βουλομένων καὶ δεομένων, ἐάσας τοὺς ἄλλους, προσείλετο λεύκιον φρούριον. οὐδενὸς ἂν προσδοκήσαντος. ἐκεῖνος γὰρ ἦν ὁ παρὰ γνώμην τοῦ καμίλλου διαγωνίσασθαι προθυμηθεὶς ἔναγχος, καὶ δυστυχήσας περὶ τὴν μάχην. ἀλλὰ βουλόμενος ὡς ἔοικεν ἀποκρύψαι τὴν συμφορὰν,

εἰσαγομένων γ. ἐφ' οὗ ὑπερεφαίνετο

χοντες ἀλλήλους ἀνακαλούντων. καὶ μόλις εἰς τὴν τάξιν καθισταμένων. ἐπελθόντας δὲ τῷ χάρακι, τῶν πολεμίων οὐ προσδεχομένων καὶ καθευδόντων, ἑλεῖν τὸ στρατόπεδον καὶ διαφθεῖραι τοὺς πλείστους, τοῦτο δὲ γενέσθαι ταῖς νώναις Ἰουλίαις, τότε δὲ κυντιλλίαις νώναις. καὶ τὴν ἀγομένην ἑορτὴν ὑπόμνημα τῆς πράξεως ἐκείνης εἶναι. πρῶτον μὲν γὰρ ἐξιόντες ἀθρόοι διὰ τῆς πόλεως, πολλὰ τῶν ἐπιχωρίων καὶ κοινῶν ὀνομάτων βοῇ φθέγγονται. γάϊον. μάρκον. λούκιον. καὶ τὰ τούτοις ὅμοια, μιμούμενοι τὴν τότε γενομένην μετὰ σπουδῆς ἀλλήλων ἀνάκλησιν. ἔπειτα κεκοσμημέναι λαμπρῶς αἱ θεραπαινίδες, περιΐασι παίζουσαι διὰ σκωμμάτων εἰς τοὺς ἀπαντῶντας. γίνεται δὲ καὶ μάχη τις αὐταῖς πρὸς ἀλλήλας. ὡς καὶ τότε τοῦ πρὸς λατίνους ἀγῶνος συνεπιλαμβανομένας. ἑστιώμεναι δὲ καθέζονται, κλάδοις συκῆς σκιαζόμεναι. καὶ τὴν ἡμέραν νώνας καπρατίνας καλοῦσιν, ὡς οἴονται διὰ τὸν ἐρινεόν, ἀφ' οὗ τὴν παιδίσκην τὸν πυρσὸν ἆραι. τὸν γὰρ ἐρινεὸν καπρίφικον ὀνομάζουσιν. ἕτεροι δὲ τούτων τὰ πλεῖστα δρᾶσθαι καὶ λέγεσθαί φασιν ἐπὶ τῷ τοῦ ῥωμύλου πάθει. κατ' αὐτὴν γὰρ ἀφανισθῆναι τὴν ἡμέραν αὐτὸν ἔξω πύλης, ζόφου καὶ θυέλλης ἄφνω περισχούσης. ὡς δ' ἔνιοι νομίζουσιν, ἐκλείψεως ἡλίου γενομένης, καὶ τὴν ἡμέραν ἀπὸ τούτου, νώνας καπρατίνας κληθῆναι. τὴν γὰρ αἶγα κάπραν ὀνομάζουσιν. ὁ δὲ ῥωμύλος ἠφανίσθη δημηγορῶν περὶ τὸ τῆς αἰγὸς ἕλος προσαγορευόμενον, ὡς ἐν τοῖς περὶ ἐκείνου γέγραπται. τὸν δ' ἕτερον λόγον οἱ πλεῖστοι τῶν συγγραφέων δοκιμάζοντες, οὕτω λέγουσιν. ἀποδειχθεὶς δικτάτωρ τὸ τρίτον ὁ κάμιλλος, καὶ πυθόμενος μετὰ τῶν χιλιάρχων στράτευμα πολιορκούμενον ὑπὸ τῶν λατίνων καὶ τῶν οὐολούσκων, ἠναγκάσθη καὶ τοὺς οὐκ ἐν ὥρᾳ τῶν πολιτῶν, ἀλλ' ἤδη προβεβηκότας καθοπλίσαι. περιελθὼν δὲ μακρὰν περίοδον, περὶ τὸ μάρκιον ὄρος, καὶ λαθὼν τοὺς πολεμίους, ἵδρυσε τὴν στρατιὰν κατόπιν αὐτῶν. καὶ πυρὰ πολλὰ καύσας, διεσήμηνε τὴν ἑαυτοῦ παρουσίαν. οἱ μὲν οὖν πολιορκούμενοι θαρρήσαντες, ἐπεξιέναι διενοοῦντο, καὶ μάχην συνάπτειν, οἱ δὲ λατῖνοι καὶ οὐολοῦσκοι, συστείλαντες εἴσω τοῦ χάρακος ἑαυτούς, ἀπεσταύρουν ξύλοις πολλοῖς, καὶ διεφράγνυντο πανταχόθεν τὸ στρατόπεδον. ἀμφίβολοι γεγονότες ὑπὸ τῶν πολεμίων. καὶ περιμένειν ἐγνωκότες ἑτέραν οἴκοθεν δύναμιν. ἅμα δὲ καὶ τυρρηνῶν προσδεχόμενοι βοήθειαν. τοῦτο δ' αἰσθόμενος ὁ κάμιλλος καὶ δεδοικὼς παθεῖν ὅπερ ἐποίησεν, αὐτοὺς τοὺς πολεμίους κυκλωσάμενος, ἔσπευδε προλαβεῖν τὸν καιρόν. ὄντος δὲ τοῦ περιφράγματος ξυλίνου, καὶ πνεύματος μεγάλου κατιόντος ἀπὸ τῶν ὀρῶν ἅμα φαεῖ, πυρὰ πολλὰ παρασκευασάμενος, καὶ περὶ τὸν ὄρθρον ἐξαγαγὼν τὴν δύναμιν, τοὺς μὲν ἄλλους ἐκέλευσε χρῆσθαι βέλεσι, καὶ καθ' ἕτερον μέρος κραυγῇ. αὐτὸς δὲ τοὺς τὸ πῦρ ἀφήσειν μέλλοντας ἔχων, ὅθεν εἰώθει μάλιστα προσπίπτειν ὁ ἄνεμος τῷ χάρακι τῶν πολεμίων, ἀνέμενε τὴν ὥραν. ἐπεὶ δὲ συνεστώσης τῆς μάχης, ὅ τε ἥλιος ἀνῄει, καὶ τὸ πνεῦμα λαμπρὸν ἐξέπιπτε, σημήνας ἐπιδρομὴν κατέσπειρε τοῦ χάρακος ἄφθονα τῶν πυροβόλων. ταχὺ δὲ τῆς φλογὸς ἐν ὕλῃ πυκνῇ, καὶ σταυρώμασι ξυλίνοις ἀναγραφείσης, καὶ κύκλῳ περινεμομένης, οὐδὲν ἄκος οὐδὲ σβεστήριον ἔχοντες οἱ λατῖνοι παρεσκευασμένον, ὡς πλῆρες ἦν ἤδη τὸ στρατόπεδον πυρός, ἐπ' ὀλίγον συστελλόμενοι τόπον, ἐξέπιπτον ὑπ' ἀνάγκης πρὸς ὡπλισμένους καὶ παρατεταγμένους πρὸ τοῦ χάρακος τοὺς πολεμίους. καὶ τούτων μὲν ὀλίγοι διέφυγον, τοὺς δὲ καταληφθέντας ἐν τῷ στρατοπέδῳ, πάντας διέφθειρε τὸ πῦρ. μέχρις οὗ κατασβέσαντες οἱ ῥωμαῖοι, τὰ χρήματα διήρπασαν. γενομένων δὲ τούτων, ἀπολιπὼν ἐπὶ τοῦ στρατοπέδου τὸν υἱὸν λεύκιον, φύλακα τῶν ἡλωκότων ἀνθρώπων καὶ χρημάτων, αὐτὸς εἰς τὴν τῶν πολεμίων ἐνέβαλε. καὶ τὴν αἰκανῶν πόλιν ἑλών, καὶ προσαγαγόμενος τοὺς οὐολούσκους, εὐθὺς ἦγε τὴν στρατιὰν πρὸς τὸ σούτριον. οὔπω τὰ συμβεβηκότα τοῖς σουτρίνοις πεπυσμένος. ἀλλ' ὡς ἔτι κινδυνεύουσι καὶ πολιορκουμένοις ὑπὸ τῶν τυρρηνῶν βοηθῆσαι σπεύδων. οἱ δ' ἔτυχον ἤδη τὴν μὲν πόλιν τοῖς πολεμίοις παραδεδωκότες. αὐτοὶ δὲ πάντων ἐνδεεῖς, ἐν ἱματίοις μόνον ἀφειμένοι, καὶ καθ' ὁδὸν ὄντι τῷ καμίλλῳ μετὰ παίδων καὶ γυναικῶν ἀπήντων, ὀδυρόμενοι τὰς ἑαυτῶν τύχας. ὁ δὲ κάμιλλος αὐτός τε πρὸς τὴν ὄψιν ἐπικλασθείς, καὶ τοὺς ῥωμαίους ὁρῶν ἐμφυομένων αὐτοῖς τῶν σουτρίνων, δακρύοντας καὶ δυσχεραίνοντας ἐπὶ τοῖς γεγενημένοις, ἔγνω μὴ ποιεῖσθαι τῆς τιμωρίας ἀναβολήν, ἀλλ' εὐθὺς ἄγειν ἐπὶ τὸ σούτριον ἐκείνης τῆς ἡμέρας. λογιζόμενος ἀνθρώπους εὐδαίμονα καὶ πλουσίαν πόλιν ἄρτι κατειληφότας. καὶ μηδένα τῶν πολεμίων ὑπολελοιπότας ἐν αὐτῇ, μὴ δὲ προσδεχομένους ἔξωθεν, ἐκλελυμένους παντάπασι καὶ ἀφυλάκτους εὑρήσειν. ὀρθῶς λογισάμενος. οὐ γὰρ μόνον τὴν χώραν ἔλαθε διελθὼν ἀλλὰ καὶ πρὸς ταῖς πύλαις γενόμενος καὶ τὰ τείχη καταλαβών. ἐφύλαττε γὰρ οὐδείς, ἀλλ' ἐν οἴνῳ, καὶ συνουσίαις ἦσαν ἐσκεδασμένοι κατὰ τὰς οἰκίας. ἐπεὶ δὲ ᾔσθοντο τοὺς πολεμίους κρατοῦντας ἤδη, οὕτω διέκειντο μοχθηρῶς ὑπὸ πλησμονῆς καὶ μέθης, ὡς μηδὲ πρὸς φυγὴν ὁρμῆσαι πολλούς. ἀλλ' ἐν ταῖς οἰκίαις αἴσχιστα πάντων ὑπομένοντας, ἀποθνήσκειν, ἢ παραδιδόναι σφᾶς αὐτοὺς τοῖς πολεμίοις. τὴν μὲν οὖν σουτρίνων πόλιν ἐν ἡμέρᾳ μιᾷ δὶς ἁλοῦσαν, οὕτω συνέβη καὶ τοὺς ἔχοντας ἀποβαλεῖν. καὶ τοὺς ἀφῃρημένους ἀπολαβεῖν διὰ κάμιλλον. ὁ δ' ἀπὸ τούτων θρίαμβος αὐτῷ χάριν οὐκ ἐλάττονα καὶ κόσμον ἤνεγκε τῶν πρώτων δυοῖν. καὶ γὰρ τοὺς πάνυ βασκαίνοντας τῶν πολιτῶν, καὶ πάντα βουλομένους εὐτυχί

λαμπρῶς

γρ. ς. τ.

αἰκοάων

χαλεπῶς εἰθισμένοις ὁ μέλλων. καὶ λόγων ἠκροῶντο στασιαστικῶν πρὸς τὸν κάμιλλον. ὡς ἐκείνου φιλοτι-
μίας ἕνεκα καὶ δόξης ἰδίας, ἀποστεροῦντος αὐτοὺς πόλεως ἑτοίμης. καὶ βιαζομένου σκηνοῦν ἐρείπια.
καὶ πυρκαϊὰν τοσαύτην ἐγείρειν, ὅπως μὴ μόνον ἡγεμὼν ῥώμης καὶ στρατηγός, ἀλλὰ καὶ κτίστης λέγη-
ται, παρώσας ῥωμύλον. ἐκ τούτου φοβηθεῖσα τὸν θόρυβον ἡ βουλή, τὸν μὲν κάμιλλον οὐκ εἴασε βου-
λόμενον ἀποθέσθαι τὴν ἀρχὴν ἐντὸς ἐνιαυτοῦ. καίπερ ἓξ μῆνας οὐδενὸς ὑπερβάλλοντος ἑτέρου
δικτάτωρος. αὐτὴ δὲ παρεμυθεῖτο καὶ κατεπράϋνε πείθουσα καὶ δεξιουμένη τὸν δῆμον. ἐπιδεικνυ-
μένη μὲν ἠρῷα καὶ τάφους πατέρων, ὑπομιμνήσκουσα δὲ χωρίων ἱερῶν καὶ τόπων ἁγίων, οὓς
ῥωμύλος ἢ νομᾶς, ἤ τις ἄλλος αὐτοῖς τῶν βασιλέων ἐπιθειάσας παρέδωκεν. ἐν πρώτοις δὲ τῶν θείων,
τήν τε νεοσφαγῆ κεφαλὴν προὔφερον, ἐν τῇ θεμελιώσει τῇ τοῦ καπιτωλίου φανεῖσαν, ὡς τῷ τόπῳ
πεπρωμένον ἐκείνῳ τῆς ἰταλίας κεφαλῇ γενέσθαι. καὶ τὸ τῆς ἑστίας πῦρ ὃ μετὰ τὸν πόλεμον ὑπὸ
τῶν παρθένων ἀναπτόμενον, αὖθις ἀφανίζειν καὶ σβεννύναι τοὺς προλιπόντας τὴν πόλιν, ὄνειδος αὐ-
τοῖς ἐσομένην. ἄν τε ὑπ' ἄλλων οἰκουμένην ὁρῶσιν ἐπηλύδων καὶ ξένων. ἄν τ' ἔρημον οὖσαν καὶ μη-
λόβοτον. τοιαῦτα πρὸς ἕκαστον ἰδίᾳ, καὶ κοινῇ πολλάκις ἐν τῷ δήμῳ σχετλιάζοντες, ἐπεκλῶντο πά-
λιν ὑπὸ τῶν πολλῶν τὴν παροῦσαν ὀλοφυρομένων ἀμηχανίαν, καὶ δεομένων μὴ σφᾶς ὥσπερ ἐκ
ναυαγίου γυμνοὺς καὶ ἀπόρους σωθέντας, προσβιάζεσθαι τὰ λείψανα τῆς διεφθαρμένης συμπη-
γνύναι πόλεως, ἑτέρας ἑτοίμης παρούσης. ἔδοξεν οὖν βουλὴν προθεῖναι τῷ καμίλλῳ. καὶ πολλὰ
μὲν αὐτὸς διεξῆλθε παρακαλῶν, ὑπὲρ τῆς πατρίδος. πολλὰ δὲ καὶ τῶν ἄλλων ὁ βουλόμενος. τέ-
λος δὲ τὸν πρῶτον εἰωθότα λέγειν γνώμην, λεύκιον λουκρήτιον ἀναστήσας, ἐκέλευσεν ἀποφαίνεσθαι
πρῶτον. εἶτα τοὺς ἄλλους ἐφεξῆς. γενομένης δὲ σιωπῆς, καὶ τοῦ λουκρητίου μέλλοντος ἐνάρχεσθαι,
κατὰ τύχην ἔξωθεν ἑκατοντάρχης ἄγων τάγμα φυλακῆς ἡμερινῆς, παρεπορεύετο, καὶ τὸν φέροντα
πρῶτον τὸ σημεῖον μεγάλῃ φωνῇ προσαγορεύσας, ἐκέλευσεν αὐτοῦ μένειν καὶ τὸ σημεῖον τίθεσθαι. κάλ-
λιστα γὰρ ἐνταῦθα καθέζεσθαι καὶ μένειν. ἅμα δὲ τῷ καιρῷ. καὶ τῇ περὶ τοῦ μέλλοντος ἐννοίᾳ καὶ
ἀδηλότητι τῆς φωνῆς γενομένης, ὅ τε λουκρήτιος ἔφη προσκυνήσας τῷ θεῷ προστίθεσθαι τὴν ἑαυ-
τοῦ γνώμην. καὶ τῶν ἄλλων ἕκαστος ἐπηκολούθησε. θαυμαστὴ δὲ καὶ τὸ πλῆθος ἔσχε μεταβολὴ τῆς ὁρ-
μῆς, ἀλλήλους παρακαλούντων καὶ τρεπομένων πρὸς ἔργον. οὐκ ἐκ διανεμήσεως τινὸς ἢ τάξεως, ἀλλ' ὡς ἕ-
καστος ἑτοιμότητος ἢ βουλήσεως ἔσχε, τῶν χωρίων καταλαμβανομένων. διὸ καὶ τεταραγμένην τοῖς εἶχε. ς. τ
στενωποῖς καὶ συμπεφυρμένην ταῖς οἰκήσεσιν ἀνήγαγον τὴν πόλιν ὑπὸ σπουδῆς καὶ τάχους. ἐντὸς
γὰρ ἐνιαυτοῦ λέγεται καὶ τοῖς τείχεσι καινὴ, καὶ ταῖς ἰδιωτικαῖς οἰκοδομαῖς ἀναστῆναι πάλιν. οἱ
δὲ τοὺς ἱεροὺς τόπους ἀναλαβεῖν καὶ ὁρίσαι ταχθέντες ὑπὸ τοῦ καμίλλου συγκεχυμένων πάντων,
ὡς ἧκον ἐπὶ τὴν καλιάδα τοῦ ἄρεος, περιοδεύοντες τὸ παλάτιον, αὐτὴν μὲν ὡς τὰ ἄλλα διεφθαρμέ-
νην καὶ κατακεκαυμένην εὗρον ὑπὸ τῶν βαρβάρων. σκευωρούμενοι δὲ καὶ καθαίροντες τὸ χωρίον,
ἐντυγχάνουσι τῷ μαντικῷ ξύλῳ τοῦ ῥωμύλου κατὰ τέφρας πολλῆς καὶ βαθείας καταδεδυκότι. τοῦ-
το δ' ἔστι μὲν ἐπικαμπὲς ἐκ θατέρου πέρατος. καλεῖται δέ, λίτυον. χρῶνται δὲ αὐτῷ πρὸς τὰς τῶν πλιν-
θίων ὑπογραφάς, ὅταν ἐπ' ὄρνισι διαμαντευόμενοι καθέζωνται, ᾧ καὶ ἐκεῖνος ἐχρῆτο μαντικώτατος
ὤν. ἐπεὶ δ' ἐξ ἀνθρώπων ἠφανίσθη, παραλαβόντες οἱ ἱερεῖς τὸ ξύλον, ὥσπερ ἄλλον τι τῶν ἱερῶν, ἄψαυ- ἀλλ' ὅ τι
στον ἐφύλαττον. τοῦτο δὴ τότε τῶν ἄλλων ἀπολωλότων ἀνευρόντες διαπεφευγὸς τὴν φθορὰν, ἡδίους ἐγέ-
νοντο ταῖς ἐλπίσιν ὑπὲρ τῆς ῥώμης ὡς ἀΐδιον αὐτῇ τὴν σωτηρίαν τοῦ σημείου βεβαιοῦντος. οὔπω δὲ τῆς
περὶ ταῦτα πεπαυμένοις ἀσχολίας αὐτοῖς, ἐπιπίπτει πόλεμος, αἰκανῶν μὲν ἅμα καὶ οὐολούσκων καὶ αἰκανων. ἰσ.
λατίνων εἰς τὴν χώραν ἐμβαλόντων, τυρρηνῶν δὲ πολιορκούντων σούτριον, συμμαχίδα ῥωμαίων πό-
λιν λις. ἐπεὶ δ' οἱ τὴν ἡγεμονίαν ἔχοντες χιλίαρχοι στρατοπεδευσάμενοι περὶ τὸ μάρκιον ὄρος ὑπὸ τῶν λα- παρὰ
τίνων ἐπολιορκοῦντο. καὶ κινδυνεύοντες ἀποβαλεῖν τὸ στρατόπεδον, εἰς ῥώμην ἔπεμψαν, ἀποδείκνυται τὸ
τρίτον κάμιλλος δικτάτωρ. περὶ τούτου τοῦ πολέμου διττοὶ λόγοι λέγονται. δίειμι δὲ τὸν μυθώδη πρό-
τερον. φασὶ τοὺς λατίνους εἴτε προφάσει χρωμένους. εἴτε βουλευομένους ὡς ἀληθῶς, ἀναμίξασθαι τὰ
γένη πάλιν ἐξ ὑπαρχῆς, πέμψαντας αἰτεῖν παρὰ τῶν ῥωμαίων παρθένους ἐλευθέρας γυναῖκας. ἀπο-
ρούντων δὲ τῶν ῥωμαίων τί χρὴ ποιεῖν, καὶ γὰρ τὸν πόλεμον ὀῤῥωδοῦντας, οὔπω καθεστηκότες, οὐδ' ἀνειληφό-
τες αὐτούς, καὶ τὴν αἴτησιν τῶν γυναικῶν ὑπώπτευον ἐξομήρευσιν εἶναι. τοῦ δ' εὐπρεποῦς χάριν ἐπιγα-
μίαν καλεῖσθαι, θεραπαινίδα τοὔνομα τουτούλαν, ὡς δ' ἔνιοι λέγουσι φιλωτίδα, τοῖς ἄρχουσι πα-
ραινέσαι, πέμπειν σὺν αὐτῇ τῶν δμωΐδων τὰς ἐν ὥρᾳ μάλιστα, καὶ ταῖς ὄψεσιν ἐλευθερίους. κοσμήσαν-
τας ὡς νύμφας εὐγενεῖς. τὰ λοιπὰ δ' αὐτῇ μελήσειν. πεισθέντας δὲ τοὺς ἄρχοντας, ἐπιλέξασθαι τῶν θερα-
παινίδων, ὅσας ἐκείνη πρὸς τὴν χρείαν ἐδοκίμασε. καὶ κοσμήσαντας ἐσθῆτι καὶ χρυσῷ, παραδοῦναι τοῖς
λατίνοις, οὐ πάνυ πόῤῥω τῆς πόλεως στρατοπεδεύουσι. νύκτωρ δέ, τὰς μὲν ἄλλας, ὑφελέσθαι τὰ ἐγχειρίδια
τῶν πολεμίων. τὴν δ' εἴτε τουτούλαν, εἴτε φιλωτίδα προσβᾶσαν ἐρινεῷ μεγάλῳ καὶ παρατείνασαν
ὀπίσω τὸ ἱμάτιον, ἆραι πυρσὸν εἰς τὴν ῥώμην ὥσπερ ἦν συγκείμενον αὐτῇ πρὸς τοὺς ἄρχοντας. οὐδε-
νὸς ἄλλου τῶν πολιτῶν εἰδότος. διὸ καὶ θορυβώδη γενέσθαι τὴν τῶν στρατηγῶν ἔξοδον, ὡς κατήπειγον οἱ ἄρ-

Liuius L°. VI. 229 — sed re neutro inclinata magistratu se abdicauit, seu quia uitio creatus erat, ut scripsere quidam: seu quia tribuni plebis tulerunt ad plebem, idque plebs sciuit, ut si M. Furius pro dictatore quid egisset, quingentum millium aeris ei multa esset

τῶν ἀναθυμιάσεως, ἐλυμαίνετο τὰ σώματα διὰ τῆς ἀναπνοῆς μάλιστα δ᾽ ἡ μεταβολὴ τῆς συνήθους διαίτης ἐκ τόπων σκιερῶν καὶ θέρους καταφυγὰς ἀλύπους ἐχόντων ἐμβαλόντας εἰς χώραν ταπεινὴν, καὶ κεκραμένην ἀφυῶς πρὸς μετόπωρον, ἐκίνησεν αὐτούς. ἥ τε πρὸς τῷ καπιτωλίῳ καθέδρα καὶ σχολὴ γινομένη χρόνιος. ἕβδομον γὰρ ἐκεῖνον οἰκουροῦν μῆνα πολιορκοῦντες. ὥστε φθορὰν εἶναι πολλὴν ἐν τῷ στρατοπέδῳ. καὶ μηδὲ θάπτεσθαι διὰ πλῆθος ἔτι τοὺς ἀποθνήσκοντας. οὐ μὴν παρὰ τοῦτο, βελτίω τὰ πράγματα τοῖς πολιορκουμένοις ἦν. ἐπέτεινε γὰρ ὁ λιμὸς, ἥ τε τῶν περὶ κάμιλλον ἄγνοια, παρεῖχε δυσθυμίαν. οὐδεὶς γὰρ ἐφοίτα παρ᾽ αὐτῶν διὰ τὸ φρουρεῖσθαι τὴν πόλιν ἀκριβῶς ὑπὸ τῶν βαρβάρων, ὅθεν οὕτω πράττουσιν, ἀμφοτέροις ἐγίνοντο συμβατικοὶ λόγοι, διὰ τῶν προφυλάκων τὸ πρῶτον ἀλλήλοις ἐντυγχανόντων. εἶτα ὡς ἔδοξε τοῖς κρατίστοις συνελθόντος εἰς λόγους βρέννῳ σουλπικίου τοῦ χιλιάρχου τῶν ῥωμαίων, ὡμολογήθη τοὺς μὲν, χιλίας λίτρας καταβαλεῖν χρυσοῦ. τοὺς δὲ, λαβόντας ἐκ τῆς πόλεως αὐτίκα καὶ τῆς χώρας ἀναχωρεῖν. ἐπὶ τούτοις γενομένων ὅρκων καὶ τοῦ χρυσίου κομισθέντος. τῶν δὲ κελτῶν περὶ τὸν σταθμὸν ἀγνωμονούντων, κρύφα τὸ πρῶτον, εἶτα καὶ φανερῶς ἀφελκόντων καὶ διαστρεφόντων τὴν ῥοπὴν, ἠγανάκτουν οἱ ῥωμαῖοι πρὸς αὐτούς. ὁ δὲ βρέννος οἷον ἐφυβρίζων καὶ καταγελῶν, ἀπολυσάμενος τὴν μάχαιραν ἅμα καὶ τὸν ζωστῆρα, προσέθηκε τοῖς σταθμοῖς. πυνθανομένου δὲ τοῦ σουλπικίου τί τοῦτο. τί γὰρ ἄλλο εἶπεν, ἢ τοῖς νενικημένοις ὀδύνη. καὶ τοῦτο μὲν οὖν ἤδη παροιμιώδης λόγος γέγονε. τῶν δὲ ῥωμαίων. οἱ μὲν, ἠγανάκτουν, καὶ τὸ χρυσίον ᾤοντο δεῖν λαβόντας, αὖθις ἀπιέναι καὶ τὴν πολιορκίαν ὑπομένειν. οἱ δὲ, συγχωρεῖν ἐκέλευον ἀδικουμένους μέτρια. καὶ μὴ τῷ, πλέον διδόναι προσλογίζεσθαι τὸ αἰσχρόν. αὐτό γε τὸ δοῦναι διὰ τὸν καιρὸν, οὐ καλῶς ἀλλ᾽ ἀναγκαίως ὑπομένοντας. οὔσης δὲ περὶ τούτων πρός τε τοὺς κελτοὺς καὶ πρὸς αὐτοὺς διαφορᾶς, ἄγων τὸν στρατὸν ὁ κάμιλλος, ἐν ταῖς πύλαις ἦν, καὶ πυθόμενος τὰ γινόμενα, τοὺς ἄλλους ἐκέλευσεν ἐν τάξει καὶ σχέδην ἐπακολουθεῖν. αὐτὸς δὲ μετὰ τῶν ἀρίστων ἐπειγόμενος, εὐθὺς ἐπορεύετο πρὸς τοὺς ῥωμαίους. διαστάντων δὲ πάντων καὶ δεξαμένων αὐτὸν ὡς αὐτοκράτορα κόσμῳ καὶ σιωπῇ, τὸν μὲν χρυσὸν ἄρας ἀπὸ τοῦ ζυγοῦ τοῖς ὑπηρέταις ἔδωκε. τὸν δὲ ζυγὸν καὶ τὰ σταθμὰ τοὺς κελτοὺς λαβόντας ἀποχωρεῖν ἐκέλευσεν εἰπὼν, ὡς σιδήρῳ πάτριόν ἐστι ῥωμαίοις, οὐ χρυσῷ τὴν πατρίδα σώζειν. ἀγανακτοῦντος δὲ τοῦ βρέννου καὶ φάσκοντος ἀδικεῖσθαι λυομένης τῆς ὁμολογίας, ἀντεῖπε μὴ νομίμως γεγονέναι, μηδὲ κυρίας εἶναι τὰς συνθήκας. ἤδη γὰρ αὐτοῦ δικτάτωρος ᾑρημένου, καὶ μηδενὸς ἄρχοντος ἑτέρου νόμῳ, πρὸς οὐκ ἔχοντας ἐξουσίαν ὁμολογηθῆναι. νυνὶ δὲ χρῆναι λέγειν, ὅτι βούλονται. νόμῳ γὰρ ἥκειν κύριος γεγονὼς, συγγνώμην τε δεομένοις δοῦναι. καὶ δίκην, εἰ μὴ μετανοοῦσιν, ἐπιθεῖναι τοῖς αἰτίοις. πρὸς ταῦτα θορυβηθεὶς ὁ βρέννος, ἥψατο μὲν ἀψιμαχίας, καὶ προῆλθον ἄχρι ξιφουλκίας ἑκάτεροι καὶ διωθισμῶν ἀναμεμιγμένοι πρὸς ἀλλήλους, ὥσπερ εἰκὸς ἐν οἰκίαις καὶ στενωποῖς ἀναστρεφόμενοι. καὶ χωρίοις, δέξασθαι παράταξιν οὐ δυναμένοις. ταχὺ δὲ συμφρονήσας ὁ βρέννος, ἀπήγαγε τοὺς κελτοὺς εἰς τὸ στρατόπεδον. οὐ πολλῶν πεσόντων. καὶ νυκτὸς ἀναστήσας ἅπαντας, ἐξέλιπε τὴν πόλιν. καὶ προελθὼν ἑξήκοντα σταδίους, κατεστρατοπέδευσε παρὰ τὴν σαβινίαν ὁδόν. ἅμα δ᾽ ἡμέρᾳ, παρῆν ὁ κάμιλλος ἐπ᾽ αὐτὸν, ὡπλισμένος λαμπρῶς. καὶ τεθαῤῥηκότας ἔχων τότε τοὺς ῥωμαίους. καὶ γενομένης ἰσχυρᾶς μάχης ἐπὶ πολὺν χρόνον, αὐτούς τε τρέπεται πολλῷ φόνῳ, καὶ λαμβάνει τὸ στρατόπεδον. τῶν δὲ φευγόντων. οἱ μὲν, εὐθὺς ἀνῃρέθησαν καταδιωχθέντες, τοὺς δὲ πλείστους διασπαρέντας ἐπεκθέοντες ἐκ τῶν πέριξ κωμῶν καὶ πόλεων, ἔκτεινον. οὕτως μὲν ἡ ῥώμη παραλόγως ἥλω. καὶ παραλογώτερον ἐσώθη μῆνας ἑπτὰ τοὺς πάντας ὑπὸ τοῖς βαρβάροις γενομένη. παρελθόντες γὰρ εἰς αὐτὴν ὀλίγαις ἡμέραις ὕστερον τῶν κυιντιλίων εἰδῶν περὶ τὰς φεβρουαρίας εἰδοὺς, ἐξέπεσον. ὁ δὲ κάμιλλος ἐθριάμβευσε μὲν ὡς εἰκὸς ἦν τὸν ἀπολωλυίας σωτῆρα πατρίδος γενόμενον. καὶ καταγαγόντα τὴν πόλιν αὐτὴν εἰς ἑαυτὴν, οἵ τε γὰρ ἔξωθεν ἅμα παισὶ καὶ γυναιξὶν εἰσελαύνοντος κατῄεσαν. οἵ τε πολιορκηθέντες ἐν τῷ καπιτωλίῳ μικροῦ δεήσαντες ἀπολέσθαι διὰ λιμὸν, ἀπήντων περιβάλλοντες ἀλλήλους καὶ δακρύοντες ἀπιστίᾳ τῆς παρούσης ἡδονῆς. ἱερεῖς τε καὶ ζάκοροι θεῶν ὅσα φεύγοντες αὐτόθι τῶν ἀβεβήλων ἔκρυψαν, ἢ σὺν αὐτοῖς ἐξέκλεψαν, ἀνασωζόμενα κομίζοντες, ἐπεδείκνυντο ποθουμένας ὄψεις τοῖς πολίταις δεχομένοις μετὰ χαρᾶς, ὥσπερ αὐτῶν τῶν θεῶν, αὖθις εἰς τὴν ῥώμην συγκατερχομένων. θύσας δὲ τοῖς θεοῖς καὶ καθάρας τὴν πόλιν, ἐξηγουμένων τῶν περὶ ταῦτα δεινῶν, τὰ μὲν ὄντα τῶν ἱερῶν κατέστησεν, αὐτὸς δὲ ἱδρύσατο νεὼν, φήμης καὶ κληδόνος, ἀνευρὼν ἐκεῖνον τὸν τόπον, ἐν ᾧ νύκτωρ ἡ καταγγέλλουσα τὴν τῶν βαρβάρων στρατιὰν ἐκ θεοῦ τῷ κεδικίῳ μάρκῳ φωνὴ προσέπεσε. χαλεπῶς μὲν οὖν καὶ μόλις αἱ τῶν ἱερῶν ἀνεκαλύπτοντο χῶραι φιλοτιμίᾳ τοῦ καμίλλου καὶ πόνῳ πολλῷ τῶν ἱεροφαντῶν. ὡς δὲ τὴν πόλιν ἀνοικοδομεῖν ἔδει παντάπασι διεφθαρμένην ἀθυμία πρὸς τὸ ἔργον ἐνέπιπτε τοῖς πολλοῖς καὶ μέλλησις ἦν ἐστερημένοις ἁπάντων. καὶ τινες ἐν τῷ παρόντι ῥᾳστώνης καὶ ἀναπαύσεως ἐκ κακῶν δεομένοις μᾶλλον ἢ κάμνειν καὶ ἀποτρύχειν ἑαυτοὺς, οὔτε χρήμασιν οὔτε σώμασιν ἐῤῥωμένους οὔπω δὲ ἡσυχῇ, πρὸς τοὺς βηΐους ἀποστρεφόμενοι, πόλιν ἅπασι κατεσκευασμένην καὶ διαμένουσαν, ἀρχὰς δημαγωγῶν ἐνέδοσαν τοῖς πρὸς

χόντων τὴν πόλιν, ἄγγελον εἰς τὴν ἀκρόπολιν παρελθεῖν. ἦν δέ τις ἐν τοῖς νέοις, πόντιος κομίνιος τῶν μέσων κατὰ γένος πολιτῶν. δόξης δὲ καὶ τιμῆς ἐραστής, οὗτος ὑπέστη τὸν ἆθλον ἑκουσίως. καὶ γράμματα μὲν οὐκ ἔλαβε, πρὸς τοὺς ἐν τῷ καπιτωλίῳ. μὴ ληφθέντος αὐτοῦ, φωράσωσιν οἱ πολέμιοι δι' αὐτῶν τοῦ καμίλλου τὴν διάνοιαν. ἐσθῆτα δὲ φαύλην ἔχων, καὶ φελλοὺς ὑπ' αὐτῇ κομίζων, τὴν μὲν ἄλλην ὁδὸν ἡμέρας ἀδεῶς διῆλθεν. ἐγγὺς δὲ τῆς πόλεως γενόμενος ἤδη σκοταῖος, ἐπεὶ κατὰ γέφυραν οὐκ ἦν τὸν ποταμὸν περάσαι, τῶν βαρβάρων παραφυλαττόντων, τὴν μὲν ἐσθῆτα, τῇ κεφαλῇ περισπειράσας, οὐ πολλὴν οὖσαν οὐδὲ βαρεῖαν, τοῖς δὲ φελλοῖς ἐφεὶς τὸ σῶμα καὶ συνεπικουφίζων τῷ περαιοῦσθαι, πρὸς τὴν πόλιν ἐξέβη. καὶ παραλλάττων ἀεὶ τοὺς ἐγρηγορότας τοῖς φέγγεσι καὶ τῷ θορύβῳ τεκμαιρόμενος, ἐβάδιζε πρὸς τὴν καρμεντίδα πύλην. ᾗ πλείστην εἶχεν ἡσυχίαν. καὶ μάλιστα κατ' αὐτὴν ὄρθιος ὁ τοῦ καπιτωλίου λόφος ἀνέστηκε. καὶ πέτρα κύκλῳ πολλὴ καὶ τραχεῖα περιπέφυκε. δι' ἧς ἀνέβη λαθών, καὶ προσέμιξε τοῖς φυλάττουσι τὸ διατείχισμα, χαλεπῶς καὶ μόλις κατὰ τὸ λαγαρώτατον. ἀσπασάμενος δὲ τοὺς ἄνδρας, καὶ φράσας ἑαυτὸν ἐξ ὀνόματος. ἀναληφθεὶς ἐχώρει πρὸς τοὺς ἐν τέλει τῶν ῥωμαίων. ταχὺ δὲ συγκλήτου γενομένης, παρελθὼν, τήν τε νίκην ἀπήγγελλε τοῦ καμίλλου, πρότερον οὐ πυθομένοις. καὶ τὰ δοκοῦντα τοῖς στρατιώταις διηγεῖτο. καὶ παρεκάλει τῷ καμίλλῳ βεβαιῶσαι τὴν ἀρχήν. ὡς μόνῳ πεισομένων ἐκείνῳ τῶν ἔξω πολιτῶν. οἱ δ' ἀκούσαντες καὶ βουλευσάμενοι, τόν τε κάμιλλον ἀποδεικνύουσι δικτάτορα. καὶ τὸν πόντιον αὖθις ἀποπέμπουσι τὴν αὐτὴν ὁδόν, ὁμοίως ἀγαθῇ τύχῃ χρησάμενον. ἔλαθε γὰρ τοὺς πολεμίους, καὶ τὰ παρὰ τῆς βουλῆς ἀπήγγειλε τοῖς ἔξω ῥωμαίοις. ἐκείνων δὲ δεξαμένων προθύμως ἀφικόμενος ὁ κάμιλλος, ἤδη μὲν ἐν ὅπλοις δισμυρίους κατέλαβε. πλείονας δὲ συνῆγεν ἀπὸ τῶν συμμάχων καὶ παρεσκευάζετο πρὸς τὴν ἐπίθεσιν. οὕτω μὲν ᾑρέθη δικτάτωρ ὁ κάμιλλος τὸ δεύτερον. καὶ πορευθεὶς εἰς οὐηΐους, ἐνέτυχε τοῖς στρατιώταις, καὶ συνῆγε πλείους ἀπὸ τῶν συμμάχων. ὡς ἐπιθησόμενος τοῖς πολεμίοις. ἐν δὲ τῇ ῥώμῃ τῶν βαρβάρων τινὲς, ἐκείνῃ κατὰ τύχην παρεξιόντες, ᾗ διὰ νυκτὸς ὁ πόντιος προσέβη τῷ καπιτωλίῳ, καταμαθόντες πολλαχῇ μὲν ἴχνη καὶ ποδῶν καὶ χειρῶν ὡς ἀντελαμβάνετο καὶ περιεδράττετο. πολλαχῇ δὲ τῶν ἐπιπεφυκότων τοῖς κρημνοῖς ἀποτριβὰς καὶ περιολισθήσεις τῶν γεωδῶν, φράζουσι τῷ βασιλεῖ. κἀκεῖνος ἐπελθὼν καὶ θεασάμενος, τότε μὲν ἡσύχαζεν, ἑσπέρας δὲ τοὺς ἐλαφροτάτους τοῖς σώμασι. καὶ πεφυκότας ὀρειβατεῖν μάλιστα τῶν κελτῶν συναγαγών, τὴν μὲν ὁδὸν εἶπεν ἡμῖν ἐπ' αὐτοὺς ἀγνοουμένην, οἱ πολέμιοι δεικνύουσιν, ὡς οὔτ' ἄπορον, οὔτ' ἄβατον ἀνθρώποις ἐστίν, αἰσχύνη δὲ πολλὴ τὴν ἀρχὴν ἔχοντας, ἐλλιπεῖν πρὸς τὸ τέλος καὶ προέσθαι τὸν τόπον ὡς ἀνάλωτον, αὐτῶν τῶν πολεμίων ᾗ ληπτός ἐστι διδασκόντων. ᾗ γὰρ ἑνὶ προσβῆναι ῥᾴδιον, οὐδὲ πολλοῖς καθ' ἕνα δύσκολον, ἀλλὰ καὶ ῥώμη καὶ βοήθεια πολλὴ μετ' ἀλλήλων ἐπιχειροῦσι. δωρεαὶ δὲ καὶ τιμαὶ πρέπουσαι τῆς ἀνδραγαθίας ἑκάστῳ δοθήσονται. τοιαῦτα τοῦ βασιλέως διαλεχθέντος, ὑπέστησαν οἱ γαλάται προθύμως. καὶ περὶ μέσας νύκτας ἐπιβάντες ἅμα πολλοὶ τῆς πέτρας ἐχώρουν ἄνω μετὰ σιωπῆς συμφυόμενοι τοῖς χωρίοις ἀποτόμοις οὖσι καὶ χαλεποῖς. οὐ μὴν ἀλλὰ καὶ μᾶλλον ἢ προσεδοκήθη πειρωμένων αὐτῶν προσιεμένοις καὶ παρείκουσιν. ὥστε τοὺς πρώτους ἁψαμένους τῶν ἄκρων καὶ διασκευασαμένους, ὅσον οὐκ ἤδη τοῦ προτειχίσματος ἅπτεσθαι, καὶ τοῖς φύλαξιν ἐπιχειρεῖν κοιμωμένοις. ᾔσθετο γὰρ οὔτ' ἄνθρωπος, οὔτε κύων. ἀλλὰ χῆνες ἦσαν ἱεροὶ περὶ τὸν νεὼν τῆς ἥρας, τρεφόμενοι τὸν ἄλλον χρόνον ἀφθόνως, τότε δὲ τῶν σιτίων ἤδη γλίσχρως καὶ μόλις αὐτοῖς διαρκούντων ἀμελούμενοι, κακῶς ἔπραττον. ἔστι μὲν δὴ καὶ φύσει πρὸς αἴσθησιν ὀξὺ καὶ ψοφοδεὲς τὸ ζῷον. ἐκεῖνοι δὲ, καὶ διὰ λιμὸν ἀγρυπνητικοὶ καὶ θορυβώδεις γεγονότες, ταχὺ τὴν ἔφοδον ᾔσθοντο τῶν γαλατῶν. καὶ μετὰ δρόμου καὶ κλαγγῆς φερόμενοι πρὸς αὐτοὺς, ἀνήγειραν ἅπαντας. ἤδη καὶ τῶν βαρβάρων διὰ τὸ μὴ λανθάνειν ἀφειδούντων θορύβου, καὶ βιαιότερον ἐπιτιθεμένων. ἁρπάσαντες οὖν ὑπὸ σπουδῆς, ᾧ τις ἕκαστος ὅπλῳ προσετύγχανεν, ἐκ τοῦ παρόντος ἐβοήθουν. πάντων δὲ πρῶτος, μάλλιος ἀνὴρ ὑπατικὸς, τό τε σῶμα ῥωμαλέος, καὶ φρονήματι ψυχῆς ἐπιφανὴς, ἀπαντήσας δυσὶν ὁμοῦ τῶν πολεμίων, τοῦ μὲν, ἔφθασε διηρμένου κοπίδα, τῷ ξίφει τὴν δεξιὰν ἀποκόψας. τὸν δὲ, τῷ θυρεῷ πατάξας εἰς τὸ πρόσωπον, ὦσεν ὀπίσω κατὰ τῆς πέτρας. ἐπιστὰς δὲ τῷ τείχει μετὰ τῶν συνδραμόντων καὶ γενομένων περὶ αὐτὸν, ἀπέστρεψε τοὺς ἄλλους, οὔτε πολλοὺς ἄνω γενομένους, οὔτε πράξαντάς τι τόλμης ἄξιον. οὕτω δὲ τὸν κίνδυνον διεκφυγόντες, ἅμ' ἡμέρᾳ τὸν μὲν ἄρχοντα τῶν φυλάκων, ἔρριψαν εἰς τοὺς πολεμίους κατὰ τῆς πέτρας. τῷ δὲ μαλλίῳ τῆς νίκης ἀριστεῖα πρὸς τιμὴν μεγάλην μᾶλλον ἢ χρείαν ψηφισάμενοι, συνήνεγκαν ὅσον ἡμέρας ἕκαστος ἐλάμβανεν εἰς τροφὴν, σίτου μὲν ἡμίλιτρον ἐπιχωρίου, οὕτω γὰρ καλοῦσιν αὐτόν. οἴνου δὲ κοτύλης ἑλληνικῆς τέταρτον. ἐκ τούτου τὰ τῶν κελτῶν ἦν ἀθυμότερα. καὶ γὰρ ἐπιτηδείων ἐσπάνιζον, εἰργόμενοι προνομῆς, φόβῳ τοῦ καμίλλου. καὶ νόσος ὑποικούρησεν αὐτοὺς, ἐν νεκρῶν πλήθει καὶ χύδην καταβεβλημένων, σκηνοῦντας ἐν ἐρειπίοις. τό τε βάθος τῆς τέφρας ἀέρα ξηρότητι καὶ δριμύτητι φαῦλον ὑπὸ γευμάτων καὶ καυμά- πνευμάτ

σματίαν ὄντα τὸν Ἡρακλείδην, ἀληθεῖ λόγῳ τῷ περὶ τῆς ἁλώσεως ἐπικομπάσαι τῶν ὑπερβορείους καὶ τὴν μεγάλην θάλατταν. Ἀριστοτέλης δὲ ὁ φιλόσοφος τὸ μὲν ἁλῶναι τὴν πόλιν ὑπὸ Κελτῶν ἀκριβῶς δῆλός ἐστιν ἀκηκοώς. τὸν δὲ σώσαντα, Λεύκιον εἶναί φησιν. ἦν δὲ Μάρκος, οὐ Λεύκιος ὁ Κάμιλλος. ἀλλὰ ταῦτα μὲν εἰκασμῷ λέλεκται. κατασχὼν δὲ τὴν Ῥώμην ὁ Βρέννος, τῷ μὲν Καπιτωλίῳ, φρουρὰν περιέστησεν. αὐτὸς δὲ καταβαίνων δι' ἀγορᾶς, ἐθαύμαζε τοὺς προκαθημένους ἄνδρας ἐν κόσμῳ καὶ σιωπῇ θεώμενος, ὡς οὔθ' ὑπεξανέστησαν ἐπιόντων πολεμίων, οὔτ' ὄψιν ἢ χρόαν ἔτρεψαν, ἀλλὰ ῥᾳθύμως καὶ ἀδεῶς ἐγκεκλιμένοι τοῖς σκίμποσιν οὓς ἐφόρουν, καὶ προσβλέποντες ἀλλήλοις ἡσύχαζον. ἦν οὖν θαῦμα τοῖς Γαλάταις πρὸς τὴν ἀτοπίαν. καὶ πολὺν χρόνον ὀκνοῦντες ἅψασθαι καὶ προσελθεῖν ὡς κρείττοσι, διηπόρουν. ἐπεὶ δὲ τολμήσας τις ἐξ αὐτῶν ἐγγὺς παρέστη Παπειρίῳ Μαρκίῳ, καὶ προσαγαγὼν τὴν χεῖρα πράως, ἥψατο τοῦ γενείου. καὶ κατῆγε τὴν ὑπήνην βαθεῖαν οὖσαν, ὁ μὲν Παπείριος τῇ βακτηρίᾳ τὴν κεφαλὴν αὐτοῦ πατάξας, συνέτριψεν. ὁ δὲ βάρβαρος σπασάμενος τὴν μάχαιραν, ἀπέκτεινεν ἐκεῖνον. ἐκ δὲ τούτου, καὶ τοὺς λοιποὺς ἀνῄρουν προσπεσόντες. καὶ τῶν ἄλλων ὅσοις ἐπιτύχοιεν διεχρῶντο. καὶ τὰς οἰκίας ἐπόρθουν, ἐφ' ἡμέρας πολλὰς, ἄγοντες καὶ φέροντες. εἶτα κατεπίμπρασαν καὶ κατέσκαπτον. ὀργιζόμενοι τοῖς ἔχουσι τὸ Καπιτώλιον. ὅτι καλούντων αὐτῶν οὐχ ὑπήκουον. ἀλλὰ καὶ προσβάλλουσι, πληγὰς ἔδοσαν ἀπὸ τοῦ διατειχίσματος, ἀμυνόμενοι. διὰ ταῦτα μὲν οὖν ἐλυμήναντο τὴν πόλιν καὶ προσδιέφθειρον τοὺς ἁλισκομένους. ὁμοίως μὲν ἄνδρας καὶ γυναῖκας. ὁμοίως δὲ καὶ πρεσβύτας καὶ παῖδας. τῆς δὲ πολιορκίας μῆκος λαμβανούσης, ἐπισιτισμοῦ τοῖς Γαλάταις ἔδει. καὶ διελόντες ἑαυτούς. οἱ μὲν, τῷ βασιλεῖ παραμένοντες, ἐφρούρουν τὸ Καπιτώλιον. οἱ δὲ, τὴν χώραν περιιόντες ἐλεηλάτουν. καὶ τὰς κώμας ἐπόρθουν προσπίπτοντες. οὐχ ὁμοῦ πάντες, ἄλλοι δὲ ἄλλῃ καθ' ἡγεμονίας καὶ συντάγματα, τῷ μέγα φρονεῖν ὑπὸ τῶν εὐτυχημάτων, καὶ δεδιέναι μηδὲν, ἀποσκιδνάμενοι. τὸ δὲ πλεῖστον αὐτῶν καὶ μάλιστα συντεταγμένον, ἐχώρει πρὸς τὴν Ἀρδεατῶν πόλιν, ἐν ᾗ διέτριβε Κάμιλλος. ἀργῶν ταῖς πράξεσι μετὰ τὴν φυγὴν καὶ ἰδιωτεύων. ἐλπίδας δὲ λαμβάνων καὶ διαλογισμοὺς οὐχὶ τὸ λαθεῖν καὶ διαφυγεῖν τοὺς πολεμίους ἀγαπῶντος τοῦ ἀνδρὸς, ἀλλ' ὅπως εἰ παραγένοιτο καιρὸς, ἀμυνεῖται σκοπουμένου. διὸ καὶ τοὺς Ἀρδεάτας ὁρῶν, πλήθει μὲν ἱκανοὺς ὄντας, ἐνδεεῖς δὲ τόλμης δι' ἀπειρίαν καὶ μαλακίαν τῶν στρατηγῶν, ἐνέβαλε λόγον εἰς τοὺς νέους πρῶτον, ὡς οὐ χρὴ τὴν Ῥωμαίων ἀτυχίαν, ἀνδρίαν Κελτῶν νομίζειν. οὐδ' ἃ κακῶς φρονήσασι συνέβη παθεῖν ἐκείνοις, ἔργα τῶν οὐδὲν εἰς τὸ νικῆσαι παρασχόντων, ἀλλὰ τύχης ἐπίδειξιν ἡγεῖσθαι. καλὸν μὲν οὖν εἶναι καὶ διὰ κινδύνων ἀπώσασθαι πόλεμον ἀλλόφυλον καὶ βαρβαρικὸν, ᾧ τοῦ κρατεῖν πέρας, ὥσπερ τῷ πυρὶ, διαφθαρῆναι τὸ νικώμενον, οὐ μὴν ἀλλὰ καὶ θαρροῦσι καὶ προθυμουμένοις αὐτοῖς ἀκίνδυνον ἐν καιρῷ τὴν νίκην παρέξειν. τούτους τοὺς λόγους τῶν νέων δεξαμένων, ἐπὶ τοὺς ἄρχοντας ᾔει. καὶ τοὺς προβούλους τῶν Ἀρδεατῶν ὁ Κάμιλλος. ὡς δὲ κἀκείνους συνέπεισεν, ὥπλισε τοὺς ἐν ἡλικίᾳ πάντας, καὶ συνεῖχε τοῦ τείχους ἐντὸς. ἀγνοεῖσθαι βουλόμενος ὑπὸ τῶν πολεμίων ἐγγὺς ὄντων. ἐπεὶ δὲ τὴν χώραν ἱππασάμενοι καὶ βαρεῖς ὄντες ὑπὸ πλήθους τῶν ἀγομένων καὶ φερομένων, ἀμελῶς καὶ ὀλιγώρως ἐν τῷ πεδίῳ κατεστρατοπέδευσαν. ἐκ δὲ τούτου, νὺξ ἐπῆλθε μεθύουσιν αὐτοῖς, καὶ σιωπὴ κατέσχε τὸ στρατόπεδον. πυθόμενος ταῦτα παρὰ τῶν κατασκόπων ὁ Κάμιλλος, ἐξῆγε τοὺς Ἀρδεάτας, καὶ διελθὼν καθ' ἡσυχίαν, τὸν μεταξὺ τόπον περὶ μέσας τὰς νύκτας, προσέμιξε τῷ χάρακι κραυγῇ τε χρώμενος πολλῇ, καὶ ταῖς σάλπιγξι πανταχόθεν ἐκταράττων ἀνθρώπους κακῶς ὑπὸ μέθης καὶ μόλις ἐκ τῶν ὕπνων ἀναφέροντας πρὸς τὸν θόρυβον. ὀλίγοι μὲν οὖν ἀνανήψαντες ἐν τῷ φόβῳ καὶ διασκευασάμενοι, τοὺς περὶ τὸν Κάμιλλον ὑπέστησαν, ὥστ' ἀμυνόμενοι πεσεῖν. τοὺς δὲ πλείστους ἔτι κρατουμένους ὕπνῳ καὶ οἴνῳ καταλαμβάνοντες ἀνόπλους, ἔκτεινον. ὅσοι δὲ νυκτὸς ἀπέδρασαν ἐκ τοῦ χάρακος οὐ πολλοὶ, τούτους μεθ' ἡμέραν σποράδας ἐν τῇ χώρᾳ διαφερομένους, ἐπελαύνοντες οἱ ἱππεῖς, διέφθειρον. ἡ δὲ φήμη ταχὺ διαγγέλλουσα τὴν πρᾶξιν ἐπὶ τὰς πόλεις, ἐξεκαλεῖτο πολλοὺς τῶν ἐν ἡλικίᾳ συνισταμένους. μάλιστα δὲ Ῥωμαίων ὅσοι διαφυγόντες ἐκ τῆς ἐπ' Ἀλίᾳ μάχης, ἐν Βηΐοις ἦσαν καὶ ὠδύροντο κατὰ σφᾶς αὐτοὺς, οἷον ἡγεμόνα τῆς Ῥώμης ὁ δαίμων ἀφελόμενος Ἀρδεάτας ἐκόσμησε τοῖς Καμίλλου κατορθώμασιν. ἡ δὲ γειναμένη καὶ θρεψαμένη τοιοῦτον ἄνδρα πόλις, οἴχεται καὶ ἀπόλωλεν. ἡμεῖς δ' ἀπορίᾳ στρατηγοῦ, ἀλλότρια τείχη περιβαλλόμενοι, καθήμεθα προϊέμενοι τὴν Ἰταλίαν. φέρε πέμψαντες, Ἀρδεάτας ἀπαιτῶμεν τὸν ἑαυτῶν στρατηγὸν. ἢ λαβόντες τὰ ὅπλα αὐτοὶ πρὸς ἐκεῖνον βαδίζωμεν. οὐκέτι γάρ ἐστι φυγὰς, οὐδ' ἡμεῖς πολῖται πατρίδος οὐκ οὔσης, ἀλλὰ κρατουμένης ὑπὸ τῶν πολεμίων. ταῦτ' ἔδοξε, καὶ πέμψαντες ἐδέοντο τοῦ Καμίλλου, δέχεσθαι τὴν ἀρχήν. ὁ δὲ, οὐκ ἔφη πρότερον ἢ τοὺς ἐν τῷ Καπιτωλίῳ πολίτας ἐπιψηφίσασθαι κατὰ τὸν νόμον. ἐκείνους γὰρ ἡγεῖσθαι πατρίδος σῳζομένους. καὶ κελεύουσι μὲν ὑπακούειν προθύμως. ἀκόντων δὲ, μηδὲν πολυπραγμονήσειν. τῆς μὲν οὖν εὐλαβείας καὶ καλοκαγαθίας τὸν Κάμιλλον ἐθαύμαζον. ἦν δ' ἀπορία τοῦ ταῦτα διαγγέλλοντος εἰς τὸ Καπιτώλιον. μᾶλλον δ' ὅλως ἀδύνατον ἐδόκει, τῶν πολεμίων ἐ-

χόντων τὴν

σκίπωσ. σκίπωσιν τ.

μάρκῳ

τῶν ἐκεῖ βαρβάρων διεφθάρησαν. καρχηδόνιοι δὲ τὴν ἐνάτην φθίνοντος ὡς τὰ πλεῖστα καὶ μέγιστα τῶν ἀτυχημάτων αὐτοῖς ἀεὶ φέρουσαν παραφυλάττουσιν. οὐκ ἀγνοῶ δ' ὅτι περὶ τὸν, τῶν μυστηρίων καιρὸν αὖθις θῆβαί τε κατεσκάφησαν ὑπὸ ἀλεξάνδρου. καὶ μετὰ ταῦτα φρουρὰν ἀθηναῖοι μακεδόνων ἐδέξαντο περὶ αὐτὴν τὴν εἰκάδα τοῦ βοηδρομιῶνος, ᾗ τὸν μυστικὸν ἴακχον ἐξάγουσιν. ὁμοίως δὲ ῥωμαῖοι τῆς αὐτῆς ἡμέρας πρότερον μὲν ὑπὸ κίμβρων τὸ σκηπίωνος ἀπέβαλον στρατόπεδον. ὕστερον δὲ λευκούλλου στρατηγοῦντος, ἀρμενίους καὶ τιγράνην ἐνίκησαν. ἄτταλος δ' ὁ βασιλεὺς καὶ πομπήϊος μάγνος ἐν τοῖς ἑαυτῶν γενεθλίοις ἀπέθανον. καὶ ὅλως ἔστι πολλοὺς ἐπ' ἀμφότερα ταῖς αὐταῖς χρησαμένους ἀποδεῖξαι περιόδοις. ἀλλὰ ῥωμαίοις αὕτη, μία τῶν ἀποφράδων ἐστί. καὶ δι' αὐτὴν ἑκάστου μηνὸς, ἕτεραι δύο, τῆς πρὸς τὸ συμβὰν εὐλαβείας καὶ δεισιδαιμονίας ἐπὶ πλέον ὥσπερ εἴωθε ῥυείσης. ταῦτα μὲν ἐν τῷ περὶ αἰτιῶν ῥωμαϊκῶν ἐπιμελέστερον διήρηται. μετὰ δὲ τὴν μάχην ἐκείνην, εἰ μὲν εὐθὺς ἐπηκολούθησαν οἱ γαλάται τοῖς φεύγουσιν, οὐδὲν ἂν ἐκώλυσε τὴν ῥώμην ἄρδην ἀναιρεθῆναι καὶ πάντας ἀπολέσθαι τοὺς ἐν αὐτῇ καταλειφθέντας. τοσοῦτον οἱ φεύγοντες ἐνειργάζοντο δεῖμα τοῖς ὑποδεχομένοις. καὶ τοσαύτης πάλιν ἐνεπίμπλαντο ταραχῆς καὶ παραφροσύνης. νυνὶ δ' ἀπιστίᾳ τοῦ μεγέθους οἱ βάρβαροι τῆς νίκης. καὶ πρὸς ἀπάθειαν ἐκ τοῦ περιχαροῦς ἅμα καὶ νεμήσεις τῶν ἑαλωκότων ἐν τῷ στρατοπέδῳ χρημάτων τραπόμενοι, τῷ μὲν ἐκπίπτοντι τῆς πόλεως ὄχλῳ, ῥᾳστώνην φυγῆς παρέσχον. ἐλπίσαι δ' ἔτι καὶ παρασκευάσασθαι τοῖς ὑπομένουσι. τὴν γὰρ ἄλλην πόλιν προέμενοι, τὸ καπιτώλιον ἐφράξαντο, βέλεσι καὶ διατειχίσμασιν. ἐν πρώτοις δὲ τῶν ἱερῶν ἃ μὲν εἰς τὸ καπιτώλιον ἀνεσκευάσαντο. τὸ δὲ πῦρ τῆς ἑστίας αἱ παρθένοι μετὰ τῶν ἱερῶν ἁρπασάμεναι ἔφυγον, καίτοι τινὲς οὐδὲν εἶναι τὸ φρουρούμενον ὑπ' αὐτῶν ἕτερον ἢ πῦρ ἄφθιτον ἱστοροῦσι. νουμᾶ τοῦ βασιλέως καταστήσαντος, ὡς ἀρχὴν ἁπάντων σέβεσθαι. κινητικώτατον γὰρ ἐν τῇ φύσει τοῦτο. κίνησις δέ τις, ἢ σὺν κινήσει πάντως ἡ γένεσις. τὰ δ' ἄλλα τῆς ὕλης μόρια θερμότητος ἐπιλειπούσης ἀργὰ κείμενα καὶ νεκροῖς ἐοικότα, ποθεῖ τὴν τοῦ πυρὸς δύναμιν ὡς ψυχήν, καὶ προσελθούσης ἁμωσγέπως, ἐπὶ τὸ δρᾶν τι καὶ πάσχειν τρέπεται. τοῦτ' οὖν ἅτε δὴ περιττὸν ἄνδρα τὸν νουμᾶν καὶ λόγον ἔχοντα ταῖς μούσαις συνεῖναι διὰ σοφίαν, ἐξοσιῶσαι. καὶ φρουρεῖν ἀκοίμητον, ἐν εἰκόνι τῆς τὰ πάντα κοσμούσης ἀϊδίου δυνάμεως. οἱ δὲ, τὸ μὲν πῦρ ὥσπερ παρ' ἕλλησι πρὸ ἱερῶν αἴθεσθαι καθάρσιον, ἄλλα δὲ τὰ ἐντὸς ἀθέατα κρύπτεσθαι πᾶσι, πλὴν ταύταις ταῖς παρθένοις, ἃς ἑστιάδας ἐπονομάζουσι. καὶ πλεῖστος μὲν λόγος κατεῖχε τὸ τρωϊκὸν ἐκεῖνο παλλάδιον, ἀποκεῖσθαι δι' αἰνείου κομισθὲν εἰς ἰταλίαν. εἰσὶ δ' οἱ τὰ σαμοθρᾴκια μυθολογοῦντες. δάρδανον μὲν εἰς τροίαν ἐξενεγκάμενον ὀργιάσαι καὶ καθιερῶσαι κτίσαντα τὴν πόλιν. αἰνείαν δὲ περὶ τὴν ἅλωσιν ἐκκλέψαντα διασῶσαι μέχρι τῆς ἐν ἰταλίᾳ κατοικήσεως. οἱ δὲ προσποιούμενοι, πλέον ἐπίστασθαί τι περὶ τούτων, δύο φασὶν οὐ μεγάλους ἀποκεῖσθαι πίθους. ὧν τὸν μὲν, ἀνεῳγότα, καὶ κενόν. τὸν δὲ, πλήρη καὶ κατασεσημασμένον, ἀμφοτέρους δὲ ταῖς παναγέσι μόναις παρθένοις ὁρατοὺς εἶναι. ἄλλοι δὲ τούτους διεψεῦσθαι νομίζουσι, τῷ τὰ πλεῖστα τῶν ἱερῶν τότε τὰς κόρας ἐμβαλούσας εἰς πίθους δύο, κατὰ γῆς κρύψαι ὑπὸ τῶν νεῶν τοῦ κυρίνου. καὶ τὸν τόπον ἐκεῖνον ἔτι καὶ νῦν τῶν πιθων φέρεσθαι τὴν ἐπωνυμίαν. τὰ δὲ κυριώτατα καὶ μέγιστα τῶν ἱερῶν αὗται λαβοῦσαι φυγῇ παρὰ τὸν ποταμὸν ἐποιοῦντο τὴν ἀναχώρησιν. ἐνταῦθα λεύκιος ἀλβῖνος ἀνὴρ δημοτικὸς ἐν τοῖς φεύγουσιν ἔτυχε τέκνα νήπια καὶ γυναῖκα μετὰ χρημάτων ἀναγκαίων ἐφ' ἁμάξης ὑποκομίζων. ὡς δ' εἶδε τὰς παρθένους ἐν τοῖς κόλποις φερούσας τὰ τῶν θεῶν ἱερὰ θεραπείας ἐρήμους πορευομένας καὶ κακοπαθούσας. ταχὺ τὴν γυναῖκα μετὰ τῶν παίδων καὶ τῶν χρημάτων καθελὼν ἀπὸ τῆς ἁμάξης, ἐκείναις παρέδωκεν ἐπιβῆναι καὶ διαφυγεῖν, εἴς τινα τῶν ἑλληνίδων πόλεων. τὴν μὲν οὖν ἀλβίνου πρὸς τὸ θεῖον εὐλάβειαν καὶ τιμὴν ἐν τοῖς ἐπισφαλεστάτοις καιροῖς ἐκφανῆ γενομένην, οὐκ ἄξιον ἦν ἀμνημόνευτον παρελθεῖν. οἱ δὲ τῶν ἄλλων θεῶν ἱερεῖς. οἵ τε γηραιοὶ τῶν ὑπατικῶν καὶ θριαμβικῶν ἀνδρῶν, τὴν μὲν πόλιν ἐκλιπεῖν οὐχ ὑπέμειναν. ἱερὰς δὲ καὶ λαμπρὰς ἀναλαβόντες ἐσθῆτας ἐξηγουμένου φαβίου τοῦ ἀρχιερέως ἐπευξάμενοι τοῖς θεοῖς, ὡς ἑαυτοὺς ὑπὲρ τῆς πατρίδος τῷ δαίμονι καθιεροῦντες, ἐπὶ τῶν ἐλεφαντίνων δίφρων ἐν ἀγορᾷ ἐκάθηντο κεκοσμημένοι τὴν ἐπιοῦσαν τύχην ὑπομένοντες. τρίτῃ δ' ἀπὸ τῆς μάχης ἡμέρᾳ, παρῆν ὁ βρέννος ἄγων ἐπὶ τὴν πόλιν τὸ στράτευμα. καὶ τάς τε πύλας εὑρὼν ἀνεῳγμένας. καὶ τὰ τείχη φυλάκων ἔρημα, πρῶτον μὲν ἔδεισεν ἐνέδρας καὶ δόλον. ἀπιστῶν οὕτω παντάπασιν ἀπειρηκέναι τοὺς ῥωμαίους. ἐπεὶ δ' ἔγνω τὸ ἀληθές, εἰσελάσας διὰ τῆς κολλίνης πύλης, εἷλε τὴν ῥώμην ἑξήκοντα καὶ τριακοσίων ἐτῶν πλείονα βραχὺν χρόνον ἀπὸ τῆς κτίσεως ἔχουσαν. εἴ τῳ πιστὸν ἀποσώζεσθαί τινα τῶν χρόνων ἀκρίβειαν, οἷς καὶ περὶ νεωτέρων ἄλλων ἀμφισβήτησιν ἡ σύγχυσις ἐκείνη παρέσχε. τοῦ μέντοι πάθους αὐτοῦ καὶ τῆς ἁλώσεως, ἔοικεν ἀμυδρά τις εὐθὺς εἰς τὴν ἑλλάδα φήμη διελθεῖν. ἡρακλείδης γὰρ ὁ ποντικὸς, οὐ πολὺ τῶν χρόνων ἐκείνων ἀπολειπόμενος, ἐν τῷ περὶ ψυχῆς συγγράμματί φησιν ἀπὸ τῆς ἑσπέρας λόγον κατασχεῖν ὡς στρατὸς ἐξ ὑπερβορέων ἐλθὼν ἔξωθεν, ᾑρήκει πόλιν ἑλληνίδα ῥώμην ἐκεῖ που κατῳκημένην περὶ τὴν μεγάλην θάλασσαν. οὐκ ἂν οὖν θαυμάσαιμι μυθώδη καὶ πλα-

κόιντος ἄμβουστος ἵππον ἔχων, ἐξήλασεν αὐτοῖς ἀνδρὶ μεγάλῳ καὶ καλῷ Γαλάτῃ, πολὺ προϊππεύοντι τῶν ἄλλων. ἀγνοηθεὶς ἐν ἀρχῇ διὰ τὸ τὴν σύνοδον ὀξεῖαν γενέσθαι, καὶ τὰ ὅπλα περιλάμποντα τὴν ὄψιν ἀμαυροῦν. ὡς δ' ἐπικρατήσας τῇ μάχῃ καὶ καταβαλὼν ἐσκύλευε τὸν ἄνδρα, γνωρίσας ὁ βρέννος αὐτὸν, ἐπεμαρτύρατο θεούς, ὡς παρὰ τὰ κοινὰ καὶ νενομισμένα πᾶσιν ἀνθρώποις ὅσια καὶ δίκαια, πρεσβευτοῦ μὲν ἥκοντος, πολέμια δ' εἰργασμένου. καταπαύσας δὲ τὴν μάχην αὐτίκα, κλουσίνους μὲν εἴα χαίρειν, ἐπὶ δὲ τὴν ῥώμην τὸν στρατὸν ἦγεν. οὐ βουλόμενος δὲ δόξαι τὴν ἀδικίαν αὐτοῖς ὥσπερ ἀσμένοις γεγονέναι καὶ δεομένοις προφάσεως, ἔπεμψεν ἐξαιτῶν ἐπὶ τιμωρίᾳ καὶ προῆγεν ἅμα σχολαίως. ἐν δὲ ῥώμῃ τῆς βουλῆς συναχθείσης, ἄλλοι τε πολλοὶ τῶν φαβίων κατηγόρουν, καὶ τῶν ἱερέων οἱ καλούμενοι φητιαλεῖς ἐνῆγον ἐπιθειάζοντες καὶ κελεύοντες τῶν πεπραγμένων ἄγος τὴν σύγκλητον εἰς ἕνα τὸν αἴτιον τρέψασαν, ὑπὲρ τῶν ἄλλων ἀφοσιώσασθαι. τούτους τοὺς φητιαλεῖς, πομπίλιος νουμᾶς, βασιλέων ἡμερώτατος γενόμενος καὶ δικαιότατος, κατέστησε, φύλακας μὲν εἰρήνης, ἐπιγνώμονας δὲ καὶ βεβαιωτὰς αἰτιῶν αἳ σὺν δίκῃ πόλεμον ἐπὶ συνάπτουσι. τῆς δὲ βουλῆς ἐπὶ τὸν δῆμον ἀνενεγκαμένης τὸ πρᾶγμα, καὶ τῶν ἱερέων ὁμοίως τοῦ φαβίου κατηγορούντων, οὕτω περιύβρισαν αὐτῶν οἱ πολλοὶ τὰ θεῖα καὶ κατεγέλασαν, ὥστε καὶ χιλίαρχον ἀποδεῖξαι τὸν φάβιον μετὰ τῶν ἀδελφῶν. οἱ δὲ κελτοὶ πυθόμενοι ταῦτα καὶ χαλεπῶς φέροντες, οὐδὲν ἐμποδὼν ἐποιοῦντο τῆς σπουδῆς, ἀλλ' ἐχώρουν παντὶ τάχει. καὶ πρὸς τὸ πλῆθος αὐτῶν καὶ τὴν λαμπρότητα τῆς παρασκευῆς, καὶ βίαν καὶ θυμὸν, ἐκπεπληγμένων τῶν διὰ μέσου, καὶ τὴν χώραν ἀπολωλέναι πᾶσαν ἤδη, καὶ τὰς πόλεις εὐθὺς ἀπολεῖσθαι δοκούντων, παρ' ἐλπίδας οὐδὲν ἠδίκουν, οὐδ' ἐλάμβανον ἐκ τῶν ἀγρῶν, ἀλλὰ καὶ τὰς πόλεις ἐγγὺς παρεξιόντες, ἐβόων ἐπὶ τὴν ῥώμην πορεύεσθαι, καὶ μόνοις πολεμεῖν ῥωμαίοις, τοὺς δ' ἄλλους, φίλους ἐπίστασθαι. τοιαύτῃ δὲ χρωμένων ὁρμῇ τῶν βαρβάρων, ἐξῆγον οἱ χιλίαρχοι τοὺς ῥωμαίους ἐπὶ τὸν ἀγῶνα. πλήθει μὲν οὐκ ἐνδεεῖς. ἐγένοντο γὰρ ὁπλῖται τετρακισμυρίων οὐκ ἐλάττους. ἀνασκήτους δὲ τοὺς πολλοὺς, καὶ τότε πρῶτον ἁπτομένους ὅπλων. ἔτι δ' ἐξημέλητο τὰ τῶν θεῶν αὐτοῖς. οὔτε καλλιερήσασιν, οὔτε μάντεις, ἃ πρὸ κινδύνου καὶ μάχης εἰκὸς ἦν, ἐρομένοις. οὐδενὸς δὲ ἧττον ἐτάραττεν ὑπὸ πολυαρχίας τὰ πραττόμενα. καίτοι πρότερόν γε, καὶ πρὸς ἐλάττονας ἀγῶνας, ᾑροῦντο πολλάκις μονάρχους, οὓς δικτάτωρας καλοῦσιν. οὐκ ἀγνοοῦντες ὅσον ἐστὶν εἰς ἐπισφαλῆ καιρὸν ὄφελος, μιᾷ χρωμένους γνώμῃ πρὸς ἀνυπεύθυνον ἀρχὴν, ἐν χερσὶ τὴν δίκην ἔχουσαν εὐτακτεῖν. οὐχ ἥκιστα δὲ καὶ κάμιλλος ἀγνωμονηθεὶς ἔβλαψε τὰ πράγματα, τοῦ μὴ πρὸς χάριν μηδὲ κολακεύοντας ἄρχειν, φοβεροῦ γενομένου. προελθόντες οὖν ἀπὸ τῆς πόλεως, σταδίους ἐνενήκοντα, παρὰ τὸν ἀλίαν ποταμὸν, ηὐλίσθησαν, οὐ πόρρω τοῦ στρατοπέδου τῷ θύμβριδι συμφερόμενον. ἐνταῦθα δὲ τῶν βαρβάρων ἐπιφανέντων, αἰσχρῶς ἀγωνισάμενοι δι' ἀταξίαν, ἐτράποντο. καὶ τὸ μὲν ἀριστερὸν κέρας εὐθὺς ἐμβαλόντες εἰς τὸν ποταμὸν οἱ κελτοὶ, διέφθειραν. τὸ δὲ δεξιὸν ὑπεκκλῖναν τὴν ἐπιφορὰν ἐκ τοῦ πεδίου πρὸς τοὺς λόφους, ἧττον ἐξεκόπη. καὶ διεξέπεσον ἀπὸ τούτων, εἰς τὴν πόλιν οἱ πολλοί. τοῖς δ' ἄλλοις ὅσοι τῶν πολεμίων ἀπειπόντων πρὸς τὸν φόνον ἐσώθησαν, εἰς βηΐους αἱ φυγαὶ διὰ νυκτὸς ἦσαν. ὡς τῆς ῥώμης οἰχομένης, καὶ τῶν ἐκεῖ πάντων ἀπολωλότων. ἐγένετο δ' ἡ μάχη περὶ τροπὰς θερινὰς περὶ τὴν πανσέληνον, ᾗ καὶ πρότερον ἡμέρᾳ μέγα πάθος συνέβη τὸ περὶ τοὺς φαβίους. τριακόσιοι γὰρ ἐκ τοῦ γένους, ὑπὸ τυρρηνῶν ἀνῃρέθησαν. ἐκράτησε δὲ τὴν ἡμέραν ἀπὸ τῆς δευτέρας ἥττης, ἀλιάδα μέχρι νῦν καλεῖσθαι διὰ τὸν ποταμόν. περὶ δ' ἡμερῶν ἀποφράδων, εἴτε χρὴ τίθεσθαί τινας, εἴτε μὴ, ὀρθῶς ἡράκλειτος ἐπέπληξεν ἡσιόδῳ, τὰς μὲν, ἀγαθὰς ποιουμένῳ, τὰς δὲ, φαύλας, ὡς ἀγνοοῦντι φύσιν ἡμέρας ἁπάσης μίαν οὖσαν, ἑτέρωθι διηπόρηται. τῇ δ' ὑποκειμένῃ γραφῇ τὸ μνημονεῦσαι παραδειγμάτων ὀλίγων, ἴσως ἂν ἁρμόσειεν. ἐμοὶ μὲν βοιωτοῖς ἱπποδρομίου μηνὸς, ὡς δ' ἀθηναῖοι καλοῦσιν, ἑκατομβαιῶνος ἱσταμένου πέμπτῃ, δύο λαβεῖν συνέβη νίκας ἐπιφανεστάτας, αἳ τοὺς ἕλληνας ἠλευθέρωσαν, τήν τε περὶ λεῦκτρα, καὶ τὴν ἐπὶ κερησσῷ ταύτης πρότερον ἔτεσι πλείοσιν ἢ διακοσίοις, ὅτε λατταμύαν καὶ θεσσαλοὺς ἐνίκησαν. τοῦτο δ' αὖ πάλιν πέρσαι μηνὸς βοηδρομιῶνος, ἕκτῃ μὲν ἐν μαραθῶνι. τρίτῃ δ' ἐν πλαταιαῖς ἅμα καὶ περὶ μυκάλην ἡττήθησαν ὑπὸ τῶν ἑλλήνων. πέμπτῃ δὲ φθίνοντος ἐν ἀρβήλοις. ἀθηναῖοι τὴν περὶ νάξον ἐνίκων ναυμαχίαν ἧς χαβρίας ἐστρατήγει τοῦ βοηδρομιῶνος περὶ τὴν πανσέληνον. ἐν δὲ σαλαμῖνι περὶ τὰς εἰκάδας. ὡς ἡμῖν ἐν τῷ περὶ ἡμερῶν ἀποδέδεικται. ἤνεγκε δὲ καὶ ὁ θαργηλιὼν μὴν τοῖς βαρβάροις ἐπιδήλως ἀτυχίας. καὶ γὰρ ἀλέξανδρος ἐπὶ γρανικῷ τοὺς βασιλέως στρατηγοὺς θαργηλιῶνος ἐνίκησε. καὶ καρχηδόνιοι περὶ σικελίαν ὑπὸ τιμολέοντος ἡττῶντο τῇ ἑβδόμῃ φθίνοντος. περὶ ἣν δοκεῖ καὶ τὸ ἴλιον ἁλῶναι θαργηλιῶνος, ὡς ἔφορος. καὶ καλλισθένης. καὶ δαμάστης. καὶ φύλαρχος ἱστορήκασιν. ἀνάπαλιν δ' ὁ μεταγειτνιὼν, ὃν βοιωτοὶ πάνεμον καλοῦσι, τοῖς ἕλλησιν οὐκ εὐμενὴς γέγονε. τούτου γὰρ τοῦ μηνὸς ἑβδόμῃ, καὶ τὴν ἐν κραννῶνι μάχην ἡττηθέντες ὑπ' ἀντιπάτρου, τελέως ἀπώλοντο. καὶ πρότερον ἐν χαιρωνείᾳ μαχόμενοι πρὸς φίλιππον ἠτύχησαν. τῆς δ' αὐτῆς ἡμέρας ταύτης ἐν τῷ μεταγειτνιῶνι κατὰ τὸν αὐτὸν ἐνιαυτὸν, οἱ μετ' ἀρχιδάμου διαβάντες εἰς ἰταλίαν, ὑπὸ

λαβεῖν. καὶ γενέσθαι αὐτῷ τιμωρίαν τῆς ἀδικίας οὐχ ἡδεῖαν, ἀλλ' ἀνιαράν. ὀνόμασιν δὲ καὶ περιβόητον. τοσαύτη περιῆλθε τὴν Ῥώμην νέμεσις. καὶ τοσοῦτον ἀγῶνα φθόρου καὶ κινδύνου, ἅμα μετ' αἰσχύνης ἐφάνη καιρὸς ἐπὶ τὴν πόλιν. εἴτε τῆς τύχης οὕτω συνελθούσης, εἴτε καὶ θεῶν τινος ἔργον ἦν μὴ παραμελεῖν ἀρετῆς ἀχαριστουμένης. πρῶτον μὲν οὖν ἔδοξε σημεῖον γεγονέναι κακοῦ μεγάλου προσιόντος Ἰουλίου μηνός, ἡ τοῦ τιμητοῦ τελευτή. μάλιστα γὰρ δὴ Ῥωμαῖοι σέβονται, καὶ νομίζουσιν ἱερὰν τὴν τῶν τιμητῶν ἀρχήν. δεύτερον δὲ πρὸ τῆς Καμίλλου φυγῆς, ἀνὴρ οὐκ ἐπιφανὴς μὲν οὐδὲ ἐκ τῆς βουλῆς, ἐπιεικὴς δὲ καὶ χρηστὸς εἶναι δοκῶν Μάρκος Καιδίκιος, ἀνήνεγκε πρὸς τοὺς χιλιάρχους πρᾶγμα φροντίδος ἄξιον. ἔφη γὰρ ἐν τῇ παρῳχημένῃ νυκτὶ καθ' ὁδὸν βαδίζων, ἣν καινὴν ὀνομάζουσι, κληθεὶς ὑπό τινος φθεγξαμένου μέγα, στραφῆναι, καὶ θεάσασθαι μὲν οὐδένα, φωνῆς δὲ μείζονος ἢ κατ' ἀνθρωπίνην ἀκοῦσαι, τάδε λεγούσης, ἄγε Μάρκε Καιδίκιε, λέγε πρὸς τοὺς ἄρχοντας ἕωθεν ἐλθών, ὀλίγου χρόνου Γαλάτας προσδέχεσθαι. ταῦτ' ἀκούσαντες οἱ χιλίαρχοι, γέλωτα καὶ παιδιὰν ἐποιοῦντο. καὶ μετ' ὀλίγον, συνέβη τὰ περὶ Κάμιλλον. οἱ δὲ Γαλάται τοῦ Κελτικοῦ γένους ὄντες ὑπὸ πλήθους λέγονται τὴν αὐτῶν ἀπολιπόντες οὐκ οὖσαν αὐτάρκη τρέφειν ἅπαντας, ἐπὶ ζήτησιν ἑτέρας ὁρμῆσαι. μυριάδες δὲ πολλαὶ γενόμεναι νέων ἀνδρῶν καὶ μαχίμων, ἔτι δὲ πλείους, παίδων καὶ γυναικῶν ἄγοντες. οἱ μέν, ἐπὶ τὸν βόρειον ὠκεανὸν ὑπερβαλόντες τὰ Ῥιπαῖα ὄρη ῥυῆναι καὶ τὰ ἔσχατα τῆς Εὐρώπης κατασχεῖν. οἱ δέ, μεταξὺ Πυρηναίου ὄρους καὶ τῶν Ἄλπεων ἱδρυθέντες, ἐγγὺς Σεννώνων καὶ Κελτορίων, κατοικεῖν χρόνον πολύν. ὀψὲ δ' οἴνου γευσάμενοι, τότε πρῶτον ἐξ Ἰταλίας διακομισθέντος, οὕτως ἄρα θαυμάσαι τὸ πόμα καὶ πρὸς τὴν κενότητα τῆς ἡδονῆς, ἔκφρονας γενέσθαι πάντας, ὥστε ἀράμενοι τὰ ὅπλα, καὶ γενεὰς ἀναλαβόντες, ἐπὶ τὰς Ἄλπεις φέρεσθαι, καὶ ζητεῖν ἐκείνην τὴν γῆν, ἣ τοιοῦτον καρπὸν ἀναδίδωσι. τὴν δ' ἄλλην ἄκαρπον ἡγεῖσθαι καὶ ἀνήμερον. ὁ δ' εἰσαγαγὼν τὸν οἶνον παρ' αὐτοὺς καὶ παροξύνας ἐπὶ τὴν Ἰταλίαν μάλιστα καὶ πρῶτος, Ἄρρων λέγεται γενέσθαι Τυρρηνός, ἀνὴρ ἐπιφανὴς καὶ φύσει μὲν οὐ πονηρός, συμφορᾷ δὲ τοιαύτῃ χρησάμενος. ἦν ἐπίτροπος παιδὸς ὀρφανοῦ, πλούτῳ τε πρώτου τῶν πολιτῶν καὶ θαυμαζομένου κατ' εἶδος, ὄνομα Λουκούμωνος. οὗτος ἐκ νέου παρὰ τῷ Ἄρρωνι δίαιταν εἶχε, καὶ μειράκιον ὤν, οὐκ ἀπέλιπε τὴν οἰκίαν, ἀλλὰ προσεποιεῖτο χαίρειν συνὼν ἐκείνῳ. καὶ πολὺν χρόνον ἐλάνθανε διεφθαρκὼς αὐτοῦ τὴν γυναῖκα καὶ διεφθαρμένος ὑπ' ἐκείνης. ἤδη δὲ πόρρω τοῦ πάθους ἀμφοτέρων γεγονότων, καὶ μήτ' ἀφεῖναι τὴν ἐπιθυμίαν, μήτε κρύπτειν ἔτι δυναμένων, ὁ μὲν νεανίσκος ἐπεχείρει φανερῶς ἀποσπάσας ἔχειν τὴν ἄνθρωπον. ὁ δ' ἀνὴρ ἐπὶ δίκην ἐλθὼν καὶ κρατούμενος πλήθει φίλων καὶ χρημάτων καὶ δαπάναις ὑπὸ τοῦ Λουκούμωνος, ἐξέλιπε τὴν ἑαυτοῦ. καὶ πυθόμενος τὰ τῶν Γαλατῶν, ἧκεν ὡς αὐτοὺς καὶ καθηγήσατο τῆς εἰς τὴν Ἰταλίαν στρατείας. οἱ δ' ἐμβαλόντες, εὐθὺς ἐκράτουν τῆς χώρας, ὅσην τὸ παλαιὸν οἱ Τυρρηνοὶ κατεῖχον, ἀπὸ τῶν Ἄλπεων ἐπ' ἀμφοτέρας καθήκουσαν τὰς θαλάσσας. ὡς καὶ τοὔνομα μαρτυρεῖ τῷ λόγῳ. τὴν μὲν γὰρ βόρειον θάλασσαν, Ἀδρίαν καλοῦσιν, ἀπὸ Τυρρηνικῆς πόλεως Ἀδρίας. τὴν δὲ πρὸς νότον κεκλιμένην, ἄντικρυς, Τυρρηνικὸν πέλαγος. πᾶσα δ' ἐστὶ δενδρόφυτος αὕτη καὶ θρέμμασιν εὔβοτος, καὶ κατάρρυτος ποταμοῖς. καὶ πόλεις εἶχεν ὀκτωκαίδεκα καλὰς καὶ μεγάλας. καὶ κατεσκευασμένας πρός τε χρηματισμὸν ἐργατικῶς, καὶ πρὸς δίαιταν πανηγυρικῶς. ἃς οἱ Γαλάται τοὺς Τυρρηνοὺς ἐκβαλόντες, αὐτοὶ κατέσχον. ἀλλὰ ταῦτα μὲν ἐπράχθη συχνῷ τινὶ χρόνῳ πρότερον. οἱ δὲ Γαλάται πρὸς πόλιν τότε Τυρρηνίδα Κλούσιον στρατεύσαντες, ἐπολιόρκουν. οἱ δὲ Κλουσῖνοι καταφυγόντες ἐπὶ τοὺς Ῥωμαίους, ᾐτήσαντο πρέσβεις παρ' αὐτῶν καὶ γράμματα πρὸς τοὺς βαρβάρους. ἐπέμφθησαν δὲ τοῦ Φαβίων γένους τρεῖς ἄνδρες εὐδόκιμοι καὶ τιμὰς μεγάλας ἔχοντες ἐν τῇ πόλει, τούτους ἐδέξαντο μὲν οἱ Γαλάται φιλανθρώπως διὰ τὸ τῆς Ῥώμης ὄνομα, καὶ παυσάμενοι τῆς πρὸς τὰ τείχη μάχης εἰς λόγους συνῆλθον. πυνθανομένων δ' αὐτῶν ὅ τι παθόντες ὑπὸ Κλουσίνων ἥκοιεν ἐπὶ τὴν πόλιν, γελάσας ὁ βασιλεὺς τῶν Γαλατῶν Βρέννος, ἀδικοῦσιν ἡμᾶς ἔφη Κλουσῖνοι γῆν καὶ χώραν ὀλίγην μὲν γεωργεῖν δυνάμενοι, πολλὴν δὲ κατέχειν ἀξιοῦντες, καὶ μὴ μεταδιδόντες ἡμῖν ξένοις οὖσι, καὶ πολλοῖς καὶ πένησι. ταῦτα δ' ἄρα καὶ ὑμᾶς ἠδίκουν ὦ Ῥωμαῖοι, πρότερον μὲν Ἀλβανοὶ καὶ Φιδηνᾶται. καὶ Ἀρδεᾶται, νῦν δὲ Οὐήιοι καὶ Καπηνᾶται. καὶ πολλοὶ Φαλίσκων καὶ Οὐολούσκων. ἐφ' οὓς ὑμεῖς στρατεύοντες ἐὰν μὴ μεταδῶσιν ἡμῖν τῶν ἀγαθῶν, ἀνδραποδίζεσθε, λεηλατεῖτε, καὶ κατασκάπτετε τὰς πόλεις αὐτῶν. οὐδὲν οὐδὲ ὑμεῖς γε δεινὸν οὐδὲ ἄδικον ποιοῦντες, ἀλλὰ τῷ πρεσβυτάτῳ τῶν νόμων ἀκολουθοῦντες, ὃς τῷ κρείττονι τὰ τῶν ἡττόνων δίδωσιν ἀρχόμενος ἀπὸ τοῦ θεοῦ, καὶ τελευτῶν εἰς τὰ θηρία. καὶ γὰρ τούτοις ἐκ φύσεως ἔνεστι τὸ ζητεῖν πλέον ἔχειν τὰ κρείττονα τῶν ὑποδεεστέρων. Κλουσίνους δὲ παύσασθε πολιορκουμένους οἰκτείροντες, ὡς μὴ καὶ Γαλάτας διδάξητε χρηστοὺς καὶ φιλοικτίρμονας γενέσθαι τοῖς ὑπὸ Ῥωμαίων ἀδικουμένοις. ἐκ τούτων τῶν λόγων, ἔγνωσαν οἱ Ῥωμαῖοι, τὸν Βρέννον ἀσυμβάτως ἔχοντα. καὶ παρελθόντες εἰς τὸ Κλούσιον, ἐθάρρυνον καὶ παρώρμων τοὺς ἄνδρας ἐπεξελθεῖν τοὺς βαρβάρους μετ' αὐτῶν. εἴτε τὴν ἐκείνων ἀλκὴν καταμαθεῖν, εἴτε τὴν ἑαυτῶν ἐπιδείξασθαι, θέλοντες. ἐκδρομῆς δὲ τῶν Κλουσίνων καὶ μάχης παρὰ τὰ τείχη γινομένης, εἷς τῶν Φαβίων,

μον καλῶς, φαλερίους ἐπολιόρκει. τὸ μὲν ἑλεῖν οὐ μικρὸν ἔργον, οὐδὲ χρόνου τοῦ τυχόντος ἡγούμενος, ἄλλως δὲ τρίβειν τοὺς πολίτας καὶ περισπᾶν βουλόμενος ὡς μὴ σχολάζοιεν οἴκοι καθήμενοι, δημαγωγεῖσθαι καὶ στασιάζειν. ἐπιεικῶς γὰρ ἀεὶ φαρμάκῳ τούτῳ χρώμενοι διετέλουν. ὥσπερ ἰατροὶ τὰ ταρακτικὰ πάθη τῆς πολιτείας, ἔξω τρέποντες. οὕτως δὲ τῆς πολιορκίας κατεφρόνουν οἱ φαλέριοι, τῷ πανταχόθεν ὀχυροῦσθαι πιστεύοντες, ὥστε πλὴν τῶν τὰ τείχη φυλαττόντων, τοὺς ἄλλους ἐν ἱματίοις κατὰ τὴν πόλιν ἀναστρέφεσθαι. τοὺς δὲ παῖδας αὐτῶν εἰς τὰ διδασκαλεῖα φοιτᾶν. καὶ περὶ τὰ τείχη περιπατήσαντας, καὶ γυμνασαμένους ὑπὸ τοῦ διδασκάλου καταβιβάζεσθαι. κοινῷ γὰρ ἐχρῶντο τῷ διδασκάλῳ ὥσπερ ἕλληνες οἱ φαλέριοι, βουλόμενοι συντρέφεσθαι καὶ συναγελάζεσθαι μετ' ἀλλήλων εὐθὺς ἐξ ἀρχῆς τοὺς παῖδας. οὗτος οὖν ὁ διδάσκαλος ἐπιβουλεύων τοῖς φαλερίοις διὰ τῶν παίδων, ἐξῆγεν αὐτοὺς ἡμέρας ἑκάστης ὑπὸ τὸ τεῖχος ἐγγὺς τὸ πρῶτον, εἶτα ἀπῆγεν αὖθις εἴσω, γυμνασαμένους. ἐκ δὲ τούτου κατὰ μικρὸν ὑπάγων εἴθισε θαρρεῖν ὡς πολλῆς οὔσης ἀδείας. καὶ τέλος ἔχων ἅπαντας, εἰς τοὺς προφύλακας τῶν ῥωμαίων ἐνέβαλε, καὶ παρέδωκεν. ἄγειν κελεύσας πρὸς τὸν κάμιλλον. ἀχθεὶς δὲ καὶ καταστὰς εἰς μέσον, ἔλεγε, παιδευτὴς μὲν εἶναι καὶ διδάσκαλος. τὴν δὲ πρὸς ἐκεῖνον χάριν ἀντὶ τούτων ἑλόμενος τῶν δικαίων, ἥκειν αὐτῷ τὴν πόλιν ἐν τοῖς παισὶ κομίζων. δεινὸν οὖν ἀκούσαντι τὸ ἔργον ἐφάνη καμίλλῳ. καὶ πρὸς τοὺς παρόντας εἰπὼν, ὡς χαλεπὸν μὲν ἐστὶ πόλεμος καὶ διὰ πολλῆς ἀδικίας καὶ βιαίων περαινόμενος ἔργων, εἰσὶ δὲ καὶ πολέμων ὅμως τινὲς νόμοι τοῖς ἀγαθοῖς ἀνδράσι. καὶ τὸ νικᾶν οὐχ οὕτω διωκτέον ὥστε μὴ φεύγειν τὰς ἐκ κακῶν καὶ ἀσεβῶν ἔργων χάριτας. ἀρετῇ γὰρ οἰκείᾳ τὸν μέγαν στρατηγὸν, οὐκ ἀλλοτρίᾳ θαρροῦντα κακίᾳ χρῆναι στρατεύειν, προσέταξε τοῖς ὑπηρέταις, τοῦ μὲν ἀνθρώπου καταρρηγνύναι τὰ ἱμάτια, καὶ τὰς χεῖρας ὀπίσω περιάγειν. τοῖς δὲ παισὶ διδόναι ῥάβδους καὶ μάστιγας. ὅπως κολάζοντες τὸν προδότην, ἐλαύνωσιν εἰς τὴν πόλιν. ἄρτι δὲ τῶν φαλερίων ᾐσθημένων τὴν τοῦ διδασκάλου προδοσίαν. καὶ τὴν μὲν πόλιν οἷον εἰκὸς ἤδη συμφορᾶς τηλικαύτης θρήνου κατέχοντος. ἀνδρῶν δὲ ὁμοῦ καὶ γυναικῶν ἤδη ἐπὶ τὰ τείχη καὶ τὰς πύλας σὺν οὐδενὶ λογισμῷ φερομένων, προσῆγον οἱ παῖδες τὸν διδάσκαλον, γυμνὸν καὶ δεδεμένον προπηλακίζοντες. τὸν δὲ κάμιλλον, σωτῆρα καὶ θεὸν καὶ πατέρα ἀνακαλοῦντες. ὥστε μὴ μόνον τοῖς γονεῦσι τῶν παίδων, ἀλλὰ καὶ τοῖς ἄλλοις πολίταις ταῦθ' ὁρῶσι θαυμάζειν καὶ πόθον ἐμπεσεῖν τῆς τοῦ καμίλλου δικαιοσύνης. καὶ συνδραμόντες εἰς ἐκκλησίαν πρέσβεις ἔπεμψαν ἐκείνῳ τὰ καθ' αὑτοὺς ἐπιτρέποντες. οὓς ὁ κάμιλλος ἀπέστειλεν εἰς ῥώμην. οἱ δὲ τῇ βουλῇ καταστάντες εἶπον, ὅτι ῥωμαῖοι τῆς νίκης τὴν δικαιοσύνην προτιμήσαντες, ἐδίδαξαν αὐτοὺς τὴν ἧτταν ἀγαπῆσαι πρὸ τῆς ἐλευθερίας, οὐ τοσοῦτον τῇ δυνάμει λείπεσθαι δοκοῦντας, ὅσον ἡττῆσθαι τῆς ἀρετῆς ὁμολογοῦντας. ἀποδούσης δὲ τῆς βουλῆς πάλιν ἐκείνῳ τὸ κρῖναι καὶ διαιτῆσαι ταῦτα. χρήματα λαβὼν παρὰ τῶν φαλερίων. καὶ φιλίαν πρὸς ἅπαντας φαλίσκους θέμενος, ἀνεχώρησεν. οἱ δὲ στρατιῶται διαρπάσειν προσδοκήσαντες τοὺς φαλερίους, ὡς ἐπανῆλθον εἰς ῥώμην κεναῖς χερσὶ, κατηγόρουν τοῦ καμίλλου πρὸς τοὺς ἄλλους πολίτας ὡς μισοδήμου, καὶ φθονήσαντος ὠφεληθῆναι τοῖς πένησιν. ἐπεὶ δὲ τὸν περὶ τοῦ διοικισμοῦ νόμον οἱ δήμαρχοι προθέντες, αὖθις ἐπὶ τὴν ψῆφον ἐκάλουν τὸν δῆμον. ὁ δὲ κάμιλλος οὐδεμιᾶς ἀπεχθείας οὐδὲ παρρησίας φεισάμενος, ἐφάνη μάλιστα πάντων ἐκβιαζόμενος τοὺς πολλοὺς, τὸν μὲν νόμον ἄκοντες ἀπεψηφίσαντο, τὸν δὲ κάμιλλον δι' ὀργῆς εἶχον. ὥστε καὶ δυστυχήσαντος αὐτοῦ περὶ τὰ οἰκεῖα. τῶν γὰρ υἱῶν ἀπέβαλε τὸν ἕτερον νοσήσαντα, μηδὲν οἴκτῳ τῆς ὀργῆς ὑφέσθαι. καίτοι τὸ πάθος οὐ μετρίως ἤνεγκεν ἥμερος ἀνὴρ καὶ χρηστός. ἀλλὰ τῆς δίκης προγεγραμμένης αὐτῷ, διὰ πένθος οἰκουρεῖ καθειργμένος μετὰ τῶν γυναικῶν. ὁ μὲν οὖν κατήγορος ἦν λεύκιος ἀπουλήιος. ἔγκλημα δὲ κλοπῆς περὶ τὰ τυρρηνικὰ χρήματα. καὶ δῆτα καὶ θύραι τινὲς ἐλέγοντο χαλκαῖ παρ' αὐτῷ φανῆναι τῶν αἰχμαλώτων. ὁ δὲ δῆμος ἐξηρέθιστο, καὶ δῆλος ἦν ἐκ πάσης προφάσεως κατ' αὐτοῦ τῇ ψήφῳ χρησόμενος. οὕτως οὖν συναγαγὼν τούς τε φίλους. καὶ τοὺς συστρατευσαμένους καὶ τοὺς συνάρξαντας, οὐκ ὀλίγους τὸ πλῆθος ὄντας, ἐδεῖτο μὴ περιιδεῖν αὐτὸν ἀδίκως ἐπ' αἰτίαις πονηραῖς ὄφλοντα. καὶ καταγέλαστον ὑπὸ τῶν ἐχθρῶν γινόμενον. ἐπεὶ δ' οἱ φίλοι βουλευσάμενοι καὶ διαλεχθέντες ἑαυτοῖς, ἀπεκρίναντο. πρὸς μὲν τὴν κρίσιν αὐτῷ μηδὲν οἴεσθαι βοηθήσειν. τὴν δὲ ζημίαν ὀφείλοντι συνεκτίσειν, οὐκ ἀνασχόμενος, ἔγνω μεταστῆναι καὶ φυγεῖν ἐκ τῆς πόλεως πρὸς ὀργήν. ἀσπασάμενος οὖν τὴν γυναῖκα καὶ τὸν υἱὸν, ἐκ τῆς οἰκίας προῆλθε σιωπῇ, μέχρι τῆς πύλης. ἐκεῖ δ' ἐπέστη, καὶ μεταστραφεὶς ὀπίσω, καὶ τὰς χεῖρας ἀνατείνας πρὸς τὸ καπιτώλιον, ἐπηύξατο τοῖς θεοῖς. εἰ μὴ δικαίως, ἀλλ' ὕβρει δήμου καὶ φθόνῳ προπηλακιζόμενος ἐκπίπτει, ταχὺ ῥωμαίους μετανοῆσαι, καὶ πᾶσιν ἀνθρώποις φανεροὺς γενέσθαι δεομένους αὐτοῦ, καὶ ποθοῦντας κάμιλλον. ἐκεῖνος μὲν οὖν ὥσπερ ὁ ἀχιλλεὺς ἀρὰς θέμενος ἐπὶ τοὺς πολίτας καὶ μεταστὰς, ὦφλε τὴν δίκην ἐρήμην, τίμημα μυρίων καὶ πεντακισχιλίων ἀσσαρίων ἔχουσαν, ὃ γίνεται πρὸς ἀργυρίου λόγον, χίλιαι δραχμαὶ καὶ πεντακόσιαι. ἀσσάριον γὰρ ἦν τὸ ἀργύριον. καὶ τὸ δεκάχαλκον, οὕτως ἐκαλεῖτο δηνάριον. οὐδεὶς δ' ἐστὶ ῥωμαίων ὃς οὐ νομίζει τὰς εὐχὰς τοῦ καμίλλου, ταχὺ τὴν δίκην ἀπο-

δραχμαί

θοῦντες, μεγίστην μὲν ἔχουσι συνήγορον τὴν τύχην τῆς πόλεως. ἣν ἀπὸ σμικρᾶς καὶ καταφρονουμένης ἀρχῆς ἐπὶ μέγα δόξης καὶ δυνάμεως προελθεῖν, δίχα θεοῦ πολλαῖς καὶ μεγάλαις ἐπιφανείαις ἑκάστοτε συμπαρόντος, ἀμήχανον. οὐ μὴν ἀλλὰ καὶ συνάγουσιν ὁμοειδῆ τινά. τοῦτο μὲν ἱδρῶτας ἀγαλμάτων πολλάκις ἐκχυθέντας. τοῦτο δὲ στεναγμοὺς ἀκουσθέντας. ἀποστροφάς τε δεικνύντας. καὶ καταμύσεις ξοάνων. ἃς ἱστορήκασιν οὐκ ὀλίγοι τῶν πρότερον, πολλὰ δὲ τῶν καθ' ἡμᾶς ἀκηκοότες ἀνθρώπων, λέγειν ἔχομεν ἄξια θαύματος. ὧν οὐκ ἄν τις εἰκῇ καταφρονήσειεν. ἀλλὰ τοῖς τοιούτοις, καὶ τὸ πιστεύειν σφόδρα, καὶ τὸ λίαν ἀπιστεῖν, ἐπισφαλές ἐστι διὰ τὴν ἀνθρωπίνην ἀσθένειαν, ὅρον οὐκ ἔχουσαν, οὐδὲ κρατοῦσαν αὑτῆς, ἀλλ' ἐκφερομένην, ὅπου μὲν εἰς δεισιδαιμονίαν καὶ τύφον. ὅπου δὲ εἰς ὀλιγωρίαν τῶν θείων καὶ περιφρόνησιν. ἡ δ' εὐλάβεια. καὶ τὸ μηδὲν ἄγαν, ἄριστον. ὁ δὲ κάμιλλος εἴτε μεγέθει τοῦ ἔργου, πόλιν ἀντίπαλον τῆς ῥώμης, ἔτει δεκάτῳ τῆς πολιορκίας, καθῃρηκώς. εἴτε ὑπὸ τῶν εὐδαιμονιζόντων αὐτὸν, εἰς ὄγκον ἐξαρθεὶς καὶ φρόνημα νομίμου καὶ πολιτικῆς ἀρχῆς ἐπαχθέστερον, τά τε ἄλλα σοβαρῶς ἐθριάμβευσε. καὶ τέθριππον ὑποζευξάμενος λευκόπωλον, ἐπέβη, καὶ διεξήλασε τῆς ῥώμης. οὐδενὸς τοῦτο ποιήσαντος ἡγεμόνος πρότερον οὐδ' ὕστερον. ἱερὸν γὰρ ἡγοῦνται τὸ τοιοῦτον ὄχημα τῷ βασιλεῖ καὶ πατρὶ τῶν θεῶν, ἐπιπεφημισμένον. ἔκ τε δὴ τούτου, διεβλήθη πρὸς τοὺς πολίτας οὐκ εἰθισμένους ἐντρυφᾶσθαι. καὶ δευτέραν ἔλαβεν αἰτίαν, ἐνιστάμενος νόμῳ διοικίζοντι τὴν πόλιν. εἰσηγοῦντο γὰρ οἱ δήμαρχοι. τόν τε δῆμον καὶ τὴν σύγκλητον, εἰς μέρη δύο νεμηθῆναι. καὶ τοὺς μὲν, αὐτόθι κατοικεῖν. τοὺς δὲ, κλήρῳ λαχόντας, εἰς τὴν αἰχμάλωτον μεταστῆναι πόλιν, ὡς εὐπορωτέρων ἐσομένων, καὶ δυσὶ μεγάλοις καὶ καλοῖς ἄστεσι, τήν τε χώραν ὁμοῦ καὶ τὴν ἄλλην εὐδαιμονίαν φυλαξάντων. ὁ μὲν οὖν δῆμος, ἤδη πολὺς γεγονώς. καὶ χρηματισάμενος, ἐδέξατο. καὶ συνεχὴς ἦν τοῖς περὶ τὸ βῆμα θορύβοις, αἰτῶν τὴν ψῆφον. ἡ δὲ βουλή, καὶ τῶν ἄλλων οἱ κράτιστοι πολιτῶν, οὐ διαίρεσιν, ἀλλ' ἀναίρεσιν ἡγούμενοι τῆς ῥώμης, πολιτεύεσθαι τοὺς δημάρχους. καὶ δυσανασχετοῦντες, ἐπὶ τὸν κάμιλλον κατέφυγον. κἀκεῖνος ὀρρωδῶν τὸν ἀγῶνα, προφάσεις ἐνέβαλε τῷ δήμῳ καὶ ἀσχολίας, δι' ὧν ἀεὶ τὸν νόμον ἐξέκρουεν. ἦν μὲν οὖν διὰ ταῦτα λυπηρός. ἡ δὲ φανερωτάτη καὶ μεγίστη τῶν ἀπεχθειῶν αὐτῷ πρὸς τὸν δῆμον, ἐκ τῆς δεκάτης τῶν λαφύρων ὑπῆρξεν. οὐκ ἄλογον, εἰ μὴ καὶ πάνυ δικαίαν ἀρχὴν τῶν πολλῶν λαβόντων. ηὔξατο μὲν γὰρ ἐπὶ τοὺς βηΐους ὡς ἔοικε βαδίζων, εἰ τὴν πόλιν ἕλοιτο, θεῷ τούτῳ τὴν δεκάτην καθιερώσειν. ἁλούσης δὲ τῆς πόλεως καὶ διαρπασθείσης, εἴτ' ὀκνήσας ἐνοχλῆσαι τοῖς πολίταις. εἴτε λήθη τις αὐτὸν ὑπὸ τῶν παρόντων πραγμάτων ἔλαβε, τῆς εὐχῆς περιεῖδεν ὠφεληθέντας. ὕστερον δὲ, χρόνῳ τῆς ἀρχῆς ἐκείνης ἤδη πεπαυμένος, ἀνήνεγκε περὶ τούτων εἰς τὴν σύγκλητον, οἵ τε μάντεις ἤγγελλον ἐπὶ τοῖς ἱεροῖς προφαίνεσθαι, θεῶν μῆνιν, ἱλασμοῦ καὶ χαριστηρίων δεομένην. ψηφισαμένης δὲ τῆς βουλῆς, τὴν μὲν ὠφέλειαν, χαλεπὸν γὰρ ἦν ἀνάδαστον μὴ γενέσθαι. τοὺς δὲ λαβόντας αὐτοὺς σὺν ὅρκῳ τὴν δεκάτην παραφέρειν εἰς μέσον, ἐγίνετο πολλὰ λυπηρὰ καὶ βίαια, περὶ τοὺς στρατιώτας, ἀνθρώπους πένητας καὶ πολλὰ πεπονηκότας, ἀναγκαζομένους ὧν ἐκέκτητο καὶ κατακέχρητο, μέρος εἰσφέρειν τοσοῦτον. θορυβουμένῳ δ' ὑπ' αὐτῶν τῷ καμίλλῳ, καὶ προφάσεως ἀποροῦντι βελτίονος, εἰς τὸν ἀτοπώτατον τῶν λόγων συνέβαινε καταφεύγειν, ὁμολογοῦντι ἐπιλαθέσθαι τῆς εὐχῆς. οἱ δ' ἐχαλέπαινον. εἰ τὰ τῶν πολεμίων δεκατεύσειν εὐξάμενος, τότε, νῦν δεκατεύει τὰ τῶν πολιτῶν. οὐ μὴν, ἀλλὰ πάντων ὅσον ἔδει μέρος εἰσενεγκόντων, ἔδοξε κρατῆρα χρυσοῦν κατασκευάσαντας, εἰς δελφοὺς ἀποστεῖλαι, χρυσίου δ' ἦν σπάνις ἐν τῇ πόλει. καὶ τῶν ἀρχόντων ὅθεν ἂν πορισθείη σκοπούντων, αἱ γυναῖκες αὐταὶ καθ' αὑτὰς βουλευσάμεναι, τὸν ὄντα χρυσοῦν ἑκάστῃ περὶ τὸ σῶμα κόσμον, ἐπέδωκαν εἰς τὸ ἀνάθημα, σταθμὸν χρυσίου γενόμενον ὀκτὼ ταλάντων. καὶ ταύταις μὲν ἡ σύγκλητος ἀποδιδοῦσα τιμὴν πρέπουσαν, ἐψηφίσατο μετὰ θάνατον, ὥσπερ ἐπὶ τοῖς ἀνδράσι καὶ ταῖς γυναιξὶ λέγεσθαι τὸν ἄξιον ἔπαινον. οὐ γὰρ ἦν εἰθισμένον πρότερον ἐγκωμιάζεσθαι γυναῖκα δημοσίᾳ τελευτήσασαν. ἑλόμενοι δὲ τρεῖς ἄνδρας ἐκ τῶν ἀρίστων θεωρούς, καὶ ναῦν μακρὰν εὐανδροῦντι πληρώματι καὶ κόσμῳ πανηγυρικῷ κατασκευάσαντες, ἐξέπεμψαν. ἦν δ' ἄρα καὶ χειμὼν καὶ γαλήνη θαλάσσης. ἀργαλέον ὡς ἐκείνοις συνέτυχε τότε παρ' οὐδὲν ἐλθόντας ἀπολέσθαι, διαφυγεῖν αὖθις ἀπροσδοκήτως τὸν κίνδυνον. ἐπέπλευσαν γὰρ αὐτοῖς λιπαρέων τριήρεις περὶ τὰς αἰόλου νήσους, τοῦ πνεύματος ἐκλιπόντος ὡς λῃσταῖς. δεομένων δὲ καὶ προϊσχομένων χεῖρας, ἐμβολῆς μὲν ἔσχοντο, τὴν δὲ ναῦν ἀναψάμενοι καὶ καταγαγόντες, ἐπεκήρυττον ἅμα καὶ τὰ χρήματα καὶ τὰ σώματα, πειρατικὰ κρίναντες εἶναι. μόλις δ' ἑνὸς ἀνδρὸς ἀρετῇ καὶ δυνάμει, τιμησιθέου τοῦ στρατηγοῦ πεισθέντες, μεθῆκαν. ὁ δὲ, καὶ προσθελκύσας ἴδια πλοῖα παρέπεμψε καὶ συγκαθιέρωσε τὸ ἀνάθημα. δι' ὃ καὶ τιμὰς ἔσχεν ἃς εἰκὸς ἦν ἐν ῥώμῃ. τῶν δὲ δημάρχων αὖθις ἐπεγειρόντων τὸν περὶ τοῦ διοικισμοῦ νόμον, ὁ πρὸς φαλίσκους πόλεμος ἐν καιρῷ παραφανεὶς, ἔδωκε τοῖς πρώτοις ἀνδράσιν ἀρχαιρεσιάσαι κατὰ γνώμην. καὶ κάμιλλον ἀπέδειξε μεθ' ἑτέρων πέντε χιλίαρχον, ὡς τῶν πραγμάτων ἡγεμόνος δεομένων, ἀξίωμα καὶ δόξαν μετ' ἐμπειρίας ἔχοντος. ψηφισαμένου δὲ τοῦ δήμου, λαβὼν δύναμιν ὁ κάμιλλος, εἰς τὴν φαλίσκων ἐνέβαλε. καὶ πόλιν ἐρυμνὴν, παρεσκευασμένην πᾶσιν εἰς πόλε-

λιορκία δὲ χρόνου μῆκος ἤδη μεγάλας πολλὰς ἐχούσῃ καὶ κοινολογίας πρὸς τοὺς πολεμίους, ἐγγεγόνει
τινὶ ῥωμαίῳ συνήθεια καὶ παρρησία πρὸς ἕνα τῶν πολιτῶν, ἄνθρωπον ἔμπειρόν τε λογίων παλαιῶν,
καί τι πλέον εἰδέναι τῶν ἄλλων διὰ μαντικῆς δοκοῦντα. τοῦτον οὖν ὁ ῥωμαῖος ὡς ἤκουσε τὴν ἐπίδο-
σιν τῆς λίμνης ὁρῶν ὑπερηδόμενόν τε καὶ καταγελῶντα τῆς πολιορκίας, οὐ ταῦτα μόνα ἔφη συνε-
νηνοχέναι θαυμαστὰ τὸν παρόντα χρόνον, ἀλλ' ἕτερα τούτων ἀτοπώτερα σημεῖα ῥωμαίοις γεγονέναι. περὶ
ὧν ἐθέλειν ἐκείνῳ κοινωσάμενος ἔτι δύναιτο θέσθαι τῶν ἰδίων ἄμεινον, ἐν τοῖς κοινοῖς νοσοῦσιν. ὑπα-
κούσαντος δὲ τοῦ ἀνθρώπου προθύμως, καὶ διδόντος ἑαυτὸν εἰς κοινολογίαν ὡς ἀπορρήτων τινῶν ἀκροα-
σόμενον, κατὰ μικρὸν οὕτω διαλεγόμενος, καὶ ὑπάγων αὐτὸν ὡς πορρωτέρω τῶν πυλῶν ἐγε-
γόνεσαν, αἴρει τε μετέωρον εὐρωστότερος ὤν, καὶ πλειόνων ἀπὸ στρατοπέδου συνδραμόντων, χειρωσά-
μενος καὶ κρατήσας, παρέδωκε τοῖς στρατηγοῖς. ἐν τούτῳ δ' ἀνάγκης γεγονὼς ὁ ἄνθρωπος καὶ μαθὼν
ἄρα τὸ πεπρωμένον ὡς ἄφυκτον εἴη, λόγια προὔφαινεν ἀπόρρητα περὶ τῆς ἑαυτοῦ πατρίδος, ὡς οὐκ
οὔσης ἁλωσίμου πρότερον, ἢ τὴν ἀλβανίδα λίμνην ἐκχυθεῖσαν, καὶ φερομένην εἰς ὁδοὺς ἑτέρας ὤ-
σαντες ὀπίσω καὶ περισπάσαντες οἱ πολέμιοι, κωλύσωσι μίγνυσθαι τῇ θαλάττῃ. ταῦτα τῇ συγ-
κλήτῳ πυθομένῃ καὶ διαπορούσῃ, καλῶς ἔχειν ἔδοξε, πέμψαντας εἰς δελφοὺς ἐρέσθαι τὸν θεόν. οἱ δὲ
πεμφθέντες ἄνδρες ἔνδοξοι καὶ μεγάλοι, κόσσος λικίνιος καὶ οὐαλλέριος ποτῖτος, καὶ φάβιος ἄμβου-
στος, πλῷ τε χρησάμενοι καὶ τῶν παρὰ τοῦ θεοῦ τυχόντες, ἧκον. ἄλλας τε μαντείας κομίζοντες, ἀ-
πατρίων τινῶν περὶ τὰς καλουμένας λατίνας ἑορτὰς ὀλιγωρίαν ἔφραζον αὐτοῖς, καὶ τὸ τῆς ἀλ-
βανίδος ὕδωρ ἐκέλευον εἴργοντας ὡς ἀνυστὸν ἀπὸ τῆς θαλάσσης ἄνωθεν εἰς τὸν ἀρχαῖον πόρον. ἢ τοῦτο μὴ
δυναμένους, ὀρύγμασι καὶ τάφροις παράγειν εἰς τὸ πεδίον καὶ καταναλίσκειν. ἀπαγγελθέντων δὲ
τούτων, οἱ μὲν ἱερεῖς, τὰ περὶ τὰς θυσίας ἔπραττον, ὁ δὲ δῆμος ἐχώρει πρὸς τὰ ἔργα. καὶ τὸ ὕδωρ
ἐξέτρεπεν. ἡ δὲ σύγκλητος εἰς τὸ δέκατον ἔτος τοῦ πολέμου καταλύσασα τὰς ἀρχὰς, δικτάτωρα κά-
μιλλον ἀπέδειξεν. ἵππαρχον δ' ἐκεῖνος αὑτῷ προσελόμενος κορνήλιον σκηπίωνα, πρῶτον μὲν εὐχὰς
ἐποιήσατο τῆς ἀρχῆς, ἤδη τῷ πολέμῳ τέλος εὐκλεὲς λαβόντι τὰς μεγάλας θέας ἄξειν. καὶ νεὼν
θεᾶς ἣν μητέρα ματοῦταν καλοῦσι ῥωμαῖοι, καθιδρύσειν. ταύτην αὖτις ἀπὸ τῶν δρωμένων ἱερῶν μά-
λιστα, λευκοθέαν νομίσειεν εἶναι. καὶ γὰρ θεράπαιναν εἰς τὸν σηκὸν εἰσάγουσαι, ῥαπίζουσιν, εἶτα, ἐ-
ξελαύνουσι. καὶ τὰ τῶν ἀδελφῶν τέκνα, πρὸ τῶν ἰδίων ἐναγκαλίζονται. καὶ δρῶσι περὶ τὴν θυ-
σίαν ἃ τοῖς διονύσου τροφοῖς, καὶ τοῖς, διὰ τὴν παλλακὴν πάθεσι τῆς ἰνοῦς προσέοικε. μετὰ δὲ τὰς εὐ-
χὰς, κάμιλλος εἰς τὴν φαλίσκων ἐνέβαλε. καὶ μάχῃ μεγάλῃ, τούτους τε καὶ καπηνάτας προσβοηθή-
σαντας αὐτοῖς ἐνίκησεν. ἔπειτα πρὸς τὴν πολιορκίαν τραπόμενος τῶν βηΐων. καὶ τὸν ἐκ προσβολῆς
ἀγῶνα χαλεπὸν καὶ δύσεργον ὁρῶν, ὑπονόμους ἔτεμνε τῶν περὶ τὴν πόλιν χωρίων ἐνδιδόντων τοῖς
ὀρύγμασι, καὶ καταδεχομένων εἰς βάθος ἄγειν ἄδηλον τοῖς πολεμίοις τὰ ἔργα. διὸ προϊούσης ὁδῷ
τῆς ἐλπίδος, αὐτὸς μὲν ἔξωθεν προσέβαλλεν ἐκκαλούμενος ἐπὶ τὰ τείχη τοὺς πολεμίους. ἄλλοι δ' ἀ-
δήλως ὑποπορευόμενοι διὰ τῶν ὑπονόμων, ἔλαθον ἐντὸς γενόμενοι τῆς ἄκρας, κατὰ τὸ ἥρας ἱε-
ρὸν, ὃ μέγιστον ἦν ἐν τῇ πόλει καὶ μάλιστα τιμώμενον. ἐνταῦθα λέγεται τυχεῖν κατ' ἐκεῖνο καιροῦ, τὸν
ἡγεμόνα τῶν τυρρηνῶν ἐπὶ ἱεροῖς. τὸν δὲ μάντιν εἰς τὰ σπλάγχνα κατιδόντα καὶ μέγα φθεγξάμε-
νον εἰπεῖν, ὅτι νίκην ὁ θεὸς δίδωσι τῷ κατακολουθήσαντι τοῖς ἱεροῖς ἐκείνοις. ταύτης δὲ τῆς φωνῆς
τοὺς ἐν τοῖς ὑπονόμοις ῥωμαίους ἐπακούσαντας, ταχὺ διασπάσαι τοὔδαφος. καὶ μετὰ βοῆς καὶ ψό-
φου τῶν ὅπλων ἀναδύντας, ἐκπλαγέντων τῶν πολεμίων καὶ φυγόντων, ἁρπάσαντας τὰ σπλάγ-
χνα, κομίσαι πρὸς τὸν κάμιλλον. ἀλλὰ ταῦτα μὲν, ἴσως ἐοικέναι δόξει μυθεύμασιν. ἁλούσης δὲ τῆς πό-
λεως κατὰ κράτος, καὶ τῶν ῥωμαίων ἀγόντων καὶ φερόντων ἄπειρόν τινα πλοῦτον, ἐφορῶν ὁ κά-
μιλλος ἀπὸ τῆς ἄκρας τὰ πραττόμενα, πρῶτον μὲν ἑστὼς ἐδάκρυσεν. εἶτα μακαρισθεὶς ὑπὸ τῶν πα-
ρόντων, ἀνέσχε τὰς χεῖρας τοῖς θεοῖς, καὶ προσευχόμενος εἶπε. ζεῦ μέγιστε καὶ θεοὶ χρηστῶν ἐπίσκοποι
καὶ πονηρῶν ἔργων, αὐτοί που σύνιστε ῥωμαίοις ὡς οὐ παρὰ δίκην, ἀλλὰ κατ' ἀνάγκην ἀμυνόμενοι,
μετερχόμεθα δυσμενῶν ἀνδρῶν καὶ παρανόμων πόλιν. εἰ δ' ἄρα τις ἔφη καὶ ἡμῖν ἀντίστροφος ὀφεί-
λεται τῆς παρούσης νέμεσις εὐπραξίας, εὔχομαι ταύτην ὑπέρ τε πόλεως καὶ στρατοῦ ῥωμαίων,
εἰς ἐμαυτὸν ἐλαχίστῳ κακῷ τελευτῆσαι. ταῦτ' εἰπὼν καθάπερ ἐστὶ ῥωμαίοις ἔθος, ἐπευξαμένοις καὶ
προσκυνήσασιν ἐπὶ δεξιὰ ἐξελίττειν, ἐσφάλη περιστρεφόμενος. διαταραχθέντων δὲ τῶν παρόντων,
πάλιν ἀναλαβὼν ἑαυτὸν ἐκ τοῦ πτώματος, εἶπεν. ὡς γέγονεν αὐτῷ κατ' εὐχὴν σφάλμα μικρὸν, ἐπ' εὐ-
τυχίᾳ μεγίστῃ. διαπορθήσας δὲ τὴν πόλιν, ἔγνω τὸ ἄγαλμα τῆς ἥρας μεταφέρειν εἰς ῥώμην ὡς προ-
ηύξατο. καὶ συνελθόντων ἐπὶ τούτῳ τῶν τεχνιτῶν. ὁ μὲν, ἔθυε καὶ προσηύχετο τῇ θεῷ, δέχεσθαι
τὴν προθυμίαν αὐτῶν, εὐμενῆ τε γενέσθαι σύνοικον τοῖς λαχοῦσι τὴν ῥώμην θεοῖς. τὸ δ' ἄγαλμά φα-
σιν ὑποφθεγξάμενον εἰπεῖν. ὅτι καὶ βούλεται καὶ συγκαταινεῖ. λίουιος δέ φησιν, εὔχεσθαι μὲν τὸν
κάμιλλον ἁπτόμενον τῆς θεοῦ καὶ παρακαλεῖν, ἀποκρίνασθαι δέ τινας τῶν παρόντων. ὅτι καὶ βού-
λεται καὶ συγκαταινεῖ. καὶ συνακολουθεῖ προθύμως. οἱ δ' ἰσχυριζόμενοι καὶ τῷ παραδόξῳ βοη-

ς. τ. ρ. ω. q.

Περὶ δὲ φουρίου καμίλλου, πολλῶν καὶ μεγάλων λεγομένων, ἴδιον εἶναι δοκεῖ μάλιστα καὶ παράδοξον, ὅτι πλεῖστα μὲν ἐν ἡγεμονίαις καὶ μέγιστα κατορθώσας, δικτάτωρ δὲ πεντάκις αἱρεθεὶς, θριαμβεύσας δὲ τετράκις, κτίστης δὲ τῆς ῥώμης ἀναγραφεὶς δεύτερος, οὐδ᾽ ἅπαξ ὑπάτευσε. τούτου δ᾽ αἴτιον, ἡ τῆς τότε πολιτείας κατάστασις, ἐκ διαφορᾶς τοῦ δήμου πρὸς τὴν σύγκλητον. ὑπάτους μὲν ἐρίσαντος μὴ ἀποδείκνυσθαι. χιλιάρχους δὲ χειροτονοῦντος ἐπὶ τὴν ἡγεμονίαν. ὧν καίπερ ἀπ᾽ ἐξουσίας καὶ δυνάμεως ὑπατικῆς ἅπαντα πραττόντων, ἧττον ἦν ἐπαχθὴς ἡ ἀρχὴ διὰ τὸ πλῆθος, τὸ γὰρ ἓξ ἄνδρας, ἀλλὰ μὴ δύο τοῖς πράγμασιν ἐφεστάναι, παρεμυθεῖτο τοὺς βαρυνομένους τὴν ὀλιγαρχίαν. κατὰ τοῦτο δὴ καιροῦ μάλιστα τῇ δόξῃ καὶ τοῖς πράγμασιν ἀκμάσας ὁ κάμιλλος, ὕπατος μὲν οὐκ ἠξίωσεν ἄκοντι τῷ δήμῳ γενέσθαι. καίπερ ἐν τῷ διὰ μέσου δεξαμένης ὑπατικὰς ἀρχαιρεσίας τῆς πολιτείας πολλάκις. ἐν δὲ ταῖς ἄλλαις ἡγεμονίαις πολλαῖς καὶ παντοδαπαῖς γενομέναις, τοιοῦτον αὑτὸν παρέσχεν, ὥστε τὴν μὲν ἐξουσίαν καὶ μοναρχοῦντος εἶναι κοινὴν. τὴν δὲ δόξαν ἰδίαν. καὶ μεθ᾽ ἑτέρων στρατηγοῦντος. ὧν τοῦ μὲν, ἡ μετριότης αἴτιον ἀνεπιφθόνως ἄρχοντος, τοῦ δ᾽ ἡ φρόνησις δι᾽ ἣν ὁμολογουμένως ἐπρώτευεν. οὔπω δὲ τότε περὶ τὸν τῶν φουρίων οἶκον οὔσης μεγάλης ἐπιφανείας, αὐτὸς ἀφ᾽ ἑαυτοῦ πρῶτος εἰς δόξαν προῆλθεν, ἐν τῇ μεγάλῃ μάχῃ πρὸς αἰκανοὺς καὶ οὐολούσκους ὑπὸ δικτάτωρι ποστουμίῳ τουβέρτῳ στρατευόμενος. προϊππεύων γὰρ τοῦ στρατοῦ καὶ πληγῇ περιπεσὼν εἰς τὸν μηρὸν, οὐκ ἀνῆκεν, ἀλλ᾽ ἐγκείμενον τῷ τραύματι παρέλκων τὸ ἀκόντισμα. καὶ συμπλεκόμενος τοῖς ἀρίστοις τῶν πολεμίων, φυγὴν ἐποίησεν. ἐκ δὲ τούτου, τῶν τ᾽ ἄλλων γερῶν ἔτυχε καὶ τιμητὴς ἀπεδείχθη. μέγα τῆς ἀρχῆς ἀξίωμα ταύτης ἐπὶ τῶν τότε χρόνων ἐχούσης. μνημονεύεται δὲ αὐτοῦ τιμητοῦ ὄντος. καλὸν μὲν ἔργον, τὸ τοὺς ἀγάμους λόγοις τε πείθοντα, καὶ ζημίαις ἀπειλοῦντα συγκαταζεῦξαι ταῖς χηρευούσαις γυναιξί. πολλαὶ δ᾽ ἦσαν αὗται διὰ τοὺς πολέμους. ἀναγκαῖον δὲ καὶ τὸ τοὺς ὀρφανοὺς ὑποτελεῖς ποιῆσαι, πρότερον ἀνεισφόρους ὄντας. αἴτιαι δ᾽ ἦσαν αἱ συνεχεῖς στρατεῖαι μεγάλων ἀναλωμάτων δεόμεναι. καὶ μάλιστα κατήπειγεν ἡ βηΐων πολιορκία. τούτους ἔνιοι οὐειεντανοὺς καλοῦσιν. ἦν δὲ πρόσχημα τῆς τυῤῥηνίας ἡ πόλις. ὅπλων μὲν ἀριθμῷ, καὶ πλήθει τῶν στρατευομένων, οὐκ ἀποδέουσα τῆς ῥώμης. πλούτῳ δὲ καὶ βίων ἁβρότητι καὶ τρυφαῖς καὶ πολυτελείαις ἀγαλλομένη, πολλοὺς καὶ καλοὺς ἀγῶνας ἠγωνίζετο, περὶ δόξης καὶ δυναστείας πολεμοῦσα ῥωμαίοις. ἐν δὲ τῷ τότε χρόνῳ τῆς μὲν φιλοτιμίας ἀφειστήκει, συντριβεῖσα μεγάλαις μάχαις. ἐπαράμενοι δὲ τείχη μακρὰ καὶ καρτερὰ. καὶ τὴν πόλιν ὅπλων καὶ βελῶν καὶ σίτου καὶ παρασκευῆς ἁπάσης ἐμπλήσαντες, ἀδεῶς ὑπέμενον τὴν πολιορκίαν. μακρὰν μὲν οὖσαν, οὐχ ἧττον δὲ τοῖς πολιορκοῦσιν ἐργώδη καὶ χαλεπὴν γενομένην. εἰθισμένοι γὰρ οὐ πολὺν χρόνον ἀλλὰ ὥρᾳ θέρους στρατεύειν, οἴκοι δὲ διαχειμάζειν, τότε πρῶτον ἠναγκάσθησαν ὑπὸ τῶν χιλιάρχων, φρούρια κατασκευασάμενοι. καὶ τὸ στρατόπεδον τειχίσαντες ἐν τῇ πολεμίᾳ, χειμῶνα καὶ θέρος συνάπτειν.

Ἤδη δὲ τοῦ ἔτους ἑβδόμου τῷ πολέμῳ τελευτῶντος, ὥστε καὶ τοὺς ἄρχοντας ἐν αἰτίᾳ γενέσθαι, καὶ μαλακῶς πολιορκεῖν δοκοῦντας ἀφαιρεθῆναι τὴν ἀρχὴν, ἑτέρων αἱρεθέντων ἐπὶ τὸν πόλεμον. ὧν ἦν καὶ κάμιλλος τότε χιλιαρχῶν τὸ δεύτερον. ἔπραξε δὲ περὶ τὴν πολιορκίαν, οὐδὲν ἐν ἐκείνῳ τῷ χρόνῳ, λαχὼν φαλερίοις καὶ καπηνάταις πολεμεῖν. οἳ δι᾽ ἀσχολίαν πολλὰ τὴν χώραν τότε καθυβρίσαντες, καὶ παρὰ πάντα τὸν τυῤῥηνικὸν πόλεμον ἐνοχλήσαντες, ἐπιέσθησαν ὑπὸ τοῦ καμίλλου καὶ συνεστάλησαν εἰς τὰ τείχη πολλοὺς ἀποβαλόντες. ἐκ τούτου τὸ περὶ τὴν ἀλβανίδα λίμνην πάθος ἀκμάζοντι τῷ πολέμῳ συνενεχθὲν, οὐδενὸς ἧττον τῶν ἀπίστων πυθέσθαι θαυμάτων, αἰτίας κοινῆς ἀπορία, καὶ λόγον φυσικὸν ἐχούσης ἀρχὴν, ἐφόβησεν. ἦν μὲν γὰρ ὥρα, μετοπωρινή. καὶ τὸ θέρος ἔληγεν, οὔτε ὑπόμβρον, οὔτε πνεύμασι νοτίοις χαλεπὸν ἐπιδήλως γενόμενον. πολλὰς δὲ λίμνας καὶ ποταμοὺς καὶ νάματα παντοδαπὰ τῆς ἰταλίας ἐχούσης, τὰ μὲν, ἐξέλιπε κομιδῇ. τὰ δ᾽ ἀντεῖχε γλίσχρως καὶ μόλις. οἱ δὲ ποταμοὶ πάντες ὥσπερ ἀεὶ κοῖλοι καὶ ταπεινοὶ διὰ θέρους ἐῤῥύησαν. ἡ δὲ τῆς ἀλβανίδος λίμνης, ἀρχὴν ἔχουσα ἐν ἑαυτῇ καὶ τελευτὴν, ὄρεσιν εὐγείοις περιεχομένην, ἀπ᾽ οὐδενὸς αἰτίου πλὴν εἰ θείου, αὐξομένη ἐπιδήλως διωγκοῦτο καὶ προσίστατο ταῖς ὑπωρείαις. καὶ τῶν ἀνωτάτων λόφων ὁμαλῶς ἐπεψαύεν, ἄνευ σάλου καὶ κλύδωνος ἐξανιστάμενον. καὶ πρῶτον μὲν ἦν ποιμένων θαῦμα καὶ βοτήρων. ἐπεὶ δὲ τοῦ διείργοντος ἀπὸ τῆς κάτω χώρας. οἷον ἰσθμοῦ τὴν λίμνην ὑπεῤῥαγέντος ὑπὸ τοῦ πλήθους καὶ βάρους, μέγα ῥεῦμα κατέβαινε διὰ τῶν ἀρουμένων καὶ φυτευομένων ἐπὶ τὴν θάλατταν, οὐ μόνον αὐτοῖς παρέσχε ῥωμαίοις ἐπλήξεν, ἀλλὰ καὶ πᾶσιν ἐδόκει τοῖς τὴν ἰταλίαν κατοικοῦσι, μηδενὸς μικροῦ σημεῖον εἶναι. πλεῖστος δ᾽ αὐτοῦ λόγος ἦν ἐν τῷ στρατοπέδῳ τῷ πολιορκοῦντι τοὺς βηΐους, ὥστε κἀκείνοις ἔκπυστον γενέσθαι τὸ περὶ τὴν λίμνην πάθος. οἷα δ᾽ ἐν πο

ἐφιςάναι. ς. τ.

Non invenio huc dictatore apud Livium.

τῷ. ς. τ. ἐπέψαυεν

ἔκπληξιν

ς τὸν θεμιστοκλέα, τῶν ἑλληνικῶν ἅπτεσθαι κελεύοντος βασιλέως, καὶ βεβαιοῦντος τὰς ὑποσχέσεις, οὔτε δι' ὀργήν τινα παροξυνθεὶς κατὰ τῶν πολιτῶν. οὔτε ἐπαρθεὶς τιμῇ τοσαύτῃ καὶ δυνάμει πρὸς τὸν πόλεμον. ἀλλ' ἴσως μὲν οὐκ ἐφικτὸν ἡγούμενος τὸ ἔργον. ἄλλως τε μεγάλους τῆς ἑλλάδος ἐχούσης στρατηγοὺς τότε. καὶ κίμωνος ὑπερφυῶς εὐημεροῦντος ἐν τοῖς ἑλληνικοῖς. τὸ δὲ πλεῖστον αἰδοῖ τῆς δόξης τῶν πράξεων ἑαυτοῦ, καὶ τῶν τροπαίων ἐκείνων, ἄριστα βουλευσάμενος ἐπιθεῖναι τῷ βίῳ τὴν τελευτὴν πρέπουσαν, ἔθυσε τοῖς θεοῖς, καὶ τοὺς φίλους συναγαγὼν, καὶ δεξιωσάμενος, ὡς μὲν ὁ πολὺς λόγος αἷμα ταύρειον πιών. ὡς δ' ἔνιοι φάρμακον ἐφήμερον προσενεγκάμενος, ἐν μαγνησίᾳ κατέστρεψε, πέντε πρὸς τοῖς ἑξήκοντα βεβιωκὼς ἔτη, καὶ τὰ πλεῖστα τούτων ἐν πολιτείαις καὶ ἡγεμονίαις. τὴν δ' αἰτίαν τοῦ θανάτου καὶ τὸν τρόπον πυθόμενον βασιλέα, λέγουσιν ἔτι μᾶλλον θαυμάσαι τὸν ἄνδρα, καὶ τοῖς φίλοις αὐτοῦ καὶ οἰκείοις χρώμενον, διατελεῖν φιλανθρώπως. ἀπέλιπε δὲ θεμιστοκλῆς παῖδας, ἐκ μὲν ἀρχίππης τῆς λυσάνδρου τοῦ ἀλωπεκῆθεν, ἀρχέπολιν. καὶ πολύευκτον. καὶ κλεόφαντον. οὗ καὶ πλάτων ὁ φιλόσοφος ὡς ἱππέως ἀρίστου, τἆλλα δ' οὐδενὸς ἀξίου γενομένου, μνημονεύει. τῶν δὲ πρεσβυτάτων, νεοκλῆς μὲν ἔτι παῖς ὑφ' ἵππου δηχθεὶς ἀπέθανε. διοκλέα δὲ, λύσανδρος ὁ πάππος, υἱὸν ἐποιήσατο. θυγατέρας δὲ πλείους ἔσχεν. ὧν μνησιπτολέμαν μὲν, ἐκ τῆς ἐπιγαμηθείσης γενομένην, ἀρχέπολις ὁ ἀδελφὸς οὐκ ὢν ὁμομήτριος, ἔγημεν. ἰταλίαν δὲ, πανθείδης ὁ χῖος. σύβαριν δὲ, νικομήδης ἀθηναῖος. νικομάχην δὲ φρασικλῆς ὁ ἀδελφιδοῦς θεμιστοκλέους, ἤδη τετελευτηκότος ἐκείνου πλεύσας εἰς μαγνησίαν, ἔλαβε παρὰ τῶν ἀδελφῶν. νεωτάτην δὲ πάντων τῶν τέκνων ἀσίαν ἔθρεψε. καὶ τάφον μὲν αὐτοῦ λαμπρὸν ἐν τῇ ἀγορᾷ μάγνητες ἔχουσι. περὶ δὲ τῶν λειψάνων, οὔτ' ἀνδοκίδῃ προσέχειν ἄξιον ἐν τῷ πρὸς τοὺς ἑταίρους λέγοντι, φωράσαντας τὰ λείψανα διαρρῖψαι τοὺς ἀθηναίους. ψεύδεται γὰρ ἐπὶ τὸν δῆμον παροξύνων τοὺς ὀλιγαρχικούς. ὅτε φύλαρχος ὥσπερ ἐν τραγῳδίᾳ τῇ ἱστορίᾳ μονονοὺ μηχανὴν ἄρας, καὶ προαγαγὼν νεοκλέα τινὰ καὶ δημόπολιν υἱοὺς θεμιστοκλέους, ἀγῶνα βούλεται κινεῖν καὶ πάθος. ὃ οὐδ' ἂν ὁ τυχὼν ἀγνοήσειεν, ὅτι πέπλασται, διόδωρος δ' ὁ περιηγητὴς ἐν τοῖς περὶ τῶν μνημάτων εἴρηκεν, ὡς ὑπονοῶν μᾶλλον ἢ γινώσκων, ὅτι περὶ τὸν λιμένα τοῦ πειραιῶς ἀπὸ τοῦ κατὰ τὸν ἄλκιμον ἀκρωτηρίου, πρόκειταί τις οἷον ἀγκών. καὶ κάμψαντι τοῦτον ἐντὸς, ᾗ τὸ ὑπεύδιον τῆς θαλάττης, κρηπίς ἐστιν εὐμεγέθης, καὶ τὸ περὶ αὐτὴν βωμοειδὲς, τάφος τοῦ θεμιστοκλέους. οἴεται δὲ καὶ πλάτωνα τὸν κωμικὸν αὐτῷ μαρτυρεῖν ἐν τούτοις

νικομάχην. α.

» ὁ σὸς δὲ τύμβος ἐν καλῷ κεχωσμένος τοῖς ἐμπόροις πρόσρησις ἔσται πανταχοῦ.
» τούς τ' ἐκπλέοντας εἰσπλέοντάς τε ὄψεται
» χὠπόταν ἅμιλλα τῶν νεῶν θεάσεται.

τοῖς δ' ἀπὸ γένους τοῦ θεμιστοκλέους, καὶ τιμαί τινες ἐν μαγνησίᾳ φυλαττόμεναι μέχρι τῶν ἡμετέρων χρόνων ἦσαν. ἃς ἐκαρποῦτο θεμιστοκλῆς ἀθηναῖος ἡμέτερος συνήθης καὶ φίλος, παρ' ἀμμωνίῳ τῷ φιλοσόφῳ γενόμενος.

ξας εἶπεν. ὅτι θεμιστοκλῆς ὁ ποικίλος, ὁ βασιλέως σε δαίμων δεῦρο ἤγαγε. οὐ μὴν ἀλλ' εἰς ὄψιν ἐλθόντος αὐτοῦ καὶ πάλιν προσκυνήσαντος, ἀσπασάμενος καὶ προσειπὼν φιλοφρόνως ὁ βασιλεὺς, ἤδη μὲν ἔφησεν αὐτῷ διακόσια τάλαντα ὀφείλειν. κομίσαντα γὰρ αὐτὸν, ἀπολήψεσθαι δικαίως τὸ ἐπικηρυχθὲν τῷ ἀγαγόντι. πολλῷ δὲ πλείω τούτων ὑπισχνεῖτο, καὶ παρεθάῤῥυνε. καὶ λέγειν ἐκέλευε περὶ τῶν ἑλληνικῶν ἃ βούλοιτο παῤῥησιαζόμενον. ὁ δὲ θεμιστοκλῆς ἀπεκρίνατο. τὸν λόγον ἐοικέναι τοῦ ἀνθρώπου τοῖς ποικίλοις στρώμασιν. ὡς γὰρ ἐκεῖνα καὶ τοῦτον, ἐκτεινόμενον μὲν, ἐπιδείκνυσθαι τὰ εἴδη. συστελλόμενον δὲ, κρύπτειν καὶ διαφθείρειν. ὅθεν αὐτῷ χρόνου δεῖν. ἐπεὶ δ' ἡσθέντος τοῦ βασιλέως τῇ εἰκασίᾳ καὶ λαμβάνειν κελεύσαντος, ἐνιαυτὸν αἰτησάμενος. καὶ τὴν περσίδα γλῶτταν ἀποχρώντως ἐκμαθὼν, ἐνετύγχανε βασιλεῖ δι' αὐτοῦ, τοῖς μὲν ἐκτὸς δόξαν παρέσχε περὶ τῶν ἑλληνικῶν πραγμάτων διελέχθαι. πολλῶν δὲ καινοτομουμένων περὶ τὴν αὐλὴν καὶ τοὺς φίλους τοῦ βασιλέως ἐν ἐκείνῳ τῷ καιρῷ, φθόνον ἔσχε παρὰ τοῖς δυνατοῖς, ὡς καὶ περὶ ἐκείνων παῤῥησίᾳ χρήσασθαι πρὸς αὐτὸν ἀποτετολμηκώς. οὐδὲν γὰρ ἦσαν αἱ τιμαὶ ταῖς τῶν ἄλλων ἐοικυῖαι ξένων. ἀλλὰ καὶ κυνηγεσίων βασιλεῖ μετέσχε καὶ τῶν οἴκοι διατριβῶν. ὥστε καὶ μητρὶ τοῦ βασιλέως εἰς ὄψιν ἐλθεῖν, καὶ γενέσθαι συνήθης. διακοῦσαι δὲ καὶ τῶν μαγικῶν λόγων, τοῦ βασιλέως κελεύσαντος. ἐπειδὴ δὲ δημάρατος ὁ σπαρτιάτης, αἰτήσασθαι δωρεὰν κελευσθεὶς, ᾐτήσατο τὴν κίταριν ὥσπερ οἱ βασιλεῖς ἐπαράμενος εἰσελάσαι διὰ σάρδεων. μιθροπαύστης μὲν ἀνεψιὸς ὢν βασιλέως, εἶπε, τοῦ δημαράτου τῆς χειρὸς ἁψάμενος, αὕτη μὲν ἡ κίταρις οὐκ ἔχει ἐγκέφαλον ὃν ἐπικαλύψει. σὺ δ' οὐκ ἔσῃ ζεὺς, ἂν λάβῃς κεραυνόν. ἀπωσαμένου δὲ τὸν δημάρατον ὀργῇ διὰ τὸ αἴτημα τοῦ βασιλέως, καὶ δοκοῦντος ἀπαραιτήτως ἔχειν πρὸς αὐτὸν, ὁ θεμιστοκλῆς δεηθεὶς ἔπεισε καὶ διήλαξε. λέγεται δὲ καὶ τοὺς ὕστερον βασιλεῖς, ἐφ' ὧν μᾶλλον αἱ περσικαὶ πράξεις ταῖς ἑλληνικαῖς συνανεκράθησαν, ὁσάκις δεηθεῖεν ἀνδρὸς ἕλληνος, ἐπαγγέλλεσθαι καὶ γράφειν ἕκαστον, ὡς μείζων ἔσοιτο παρ' αὐτῷ θεμιστοκλέους. αὐτὸν δὲ θεμιστοκλέα φησὶν, ἤδη μέγαν ὄντα καὶ θεραπευόμενον ὑπὸ πολλῶν, λαμπρᾶς ποτε τραπέζης παρατεθείσης πρὸς τοὺς παῖδας εἰπεῖν. ὦ παῖδες ἀπωλόμεθ' ἂν εἰ μὴ ἀπωλόμεθα. πόλεις δ' αὐτῷ τρεῖς μὲν οἱ πλεῖστοι δοθῆναι λέγουσιν, εἰς ἄρτον καὶ οἶνον καὶ ὄψον. μαγνησίαν καὶ λάμψακον καὶ μυοῦντα. δύο δ' ἄλλας προστίθησιν ὁ κυζικηνὸς νεάνθης καὶ φανίας. περκώτην καὶ παλαίσκηψιν, εἰς στρωμνὴν καὶ ἀμπεχόνην. καταβαίνοντι δ' αὐτῷ πρὸς τὰς ἑλληνικὰς πράξεις ἐπὶ θάλατταν, πέρσης ἀνὴρ ἐπιξύης ὄνομα, σατραπεύων τῆς ἄνω φρυγίας, ἐπεβούλευσε παρασκευακὼς ἔκπαλαι πισίδας ἀποκτενοῦντας, ὅταν ἐν τῇ καλουμένῃ πόλει λεοντοκεφάλῳ γενόμενος καταλυθῇ. τῷ δὲ, λέγεται καθεύδοντι μεσημβρίας τὴν μητέρα τῶν θεῶν ὄναρ φανεῖσαν εἰπεῖν. ὦ θεμιστόκλεις, ὑστέρει κεφαλῆς λεόντων, ἵνα μὴ λέοντι περιπέσῃς. ἐγὼ δὲ ἀντὶ τούτου σε αἰτῶ θεράπαιναν μνησιπτολέμαν. διαταραχθεὶς οὖν ὁ θεμιστοκλῆς, προσευξάμενος τῇ θεῷ, τὴν μὲν λεωφόρον ἀφῆκεν, ἑτέρᾳ δὲ περιελθὼν καὶ παραλλάξας ἐν τόπον ἐκεῖνον, ἤδη νυκτὸς οὔσης κατηυλίσατο. τῶν δὲ τὴν σκηνὴν κομιζόντων ὑποζυγίων, ἑνὸς εἰς ποταμὸν ἐμπεσόντος, οἱ τοῦ θεμιστοκλέους οἰκέται, τὰς αὐλαίας διαβρόχους γενομένας, ἐκπετάσαντες ἀνέψυχον. οἱ δὲ πισίδαι τὰ ξίφη λαβόντες ἐν τούτῳ προσεφέροντο. καὶ τὰ ψυχόμενα πρὸς τὴν σελήνην οὐκ ἀκριβῶς ἰδόντες, ᾠήθησαν εἶναι τὴν σκηνὴν τὴν θεμιστοκλέους. κἀκεῖνον ἔνδον εὑρήσειν ἀναπαυόμενον. ὡς δ' ἐγγὺς γενόμενοι τὴν αὐλαίαν ἀνέστελλον, ἐπιπίπτουσιν αὐτοῖς οἱ παραφυλάσσοντες, καὶ συλλαμβάνουσι. διαφυγὼν δὲ τὸν κίνδυνον οὕτω, καὶ θαυμάσας τὴν ἐπιφάνειαν τῆς θεοῦ, ναὸν κατασκευάσας ἐν μαγνησίᾳ, δινδυμήνης, καὶ τὴν θυγατέρα μνησιπτολέμαν, ἱέρειαν ἀπέδειξεν. ὡς δ' ἦλθεν εἰς σάρδεις, καὶ σχολὴν ἄγων ἐθεᾶτο τῶν ἱερῶν τὴν κατασκευὴν, καὶ τῶν ἀναθημάτων τὸ πλῆθος, εἶδε καὶ ἐν μητρὸς ἱερῷ τὴν καλουμένην ὑδροφόρον κόρην χαλκῆν, μέγεθος δίπηχυν, ἣν αὐτὸς ὅτε τῶν ἀθήνησιν ὑδάτων ἐπιστάτης ὢν, εὑρὼν τοὺς ὑφαιρουμένους τὸ ὕδωρ καὶ παροχετεύοντας ἀνέθηκεν ἐκ τῆς ζημίας ποιησάμενος, εἴτε δὴ παθών τι πρὸς τὴν αἰχμαλωσίαν τοῦ ἀναθήματος, εἴτε βουλόμενος ἐνδείξασθαι τοῖς ἀθηναίοις ὅσην ἔχει τιμὴν καὶ δύναμιν ἐν τοῖς βασιλέως πράγμασι, λόγον τῷ λυδίας σατράπῃ προσήνεγκεν, αἰτούμενος ἀποστεῖλαι τὴν κόρην εἰς τὰς ἀθήνας. χαλεπαίνοντος δὲ τοῦ βαρβάρου, καὶ βασιλεῖ γράψειν φήσαντος ἐπιστολὴν, φοβηθεὶς ὁ θεμιστοκλῆς, εἰς τὴν γυναικωνῖτιν κατέφυγε. καὶ τὰς παλλακίδας αὐτοῦ θεραπεύσας χρήμασιν, ἐκεῖνόν τε κατεπράϋνε τῆς ὀργῆς, καὶ πρὸς τὰ ἄλλα παρεῖχεν ἑαυτὸν εὐλαβέστερον, ἤδη καὶ τὸν φθόνον τῶν βαρβάρων δεδοικώς. οὐ γὰρ πλανώμενος περὶ τὴν ἀσίαν ὥς φησι θεόπομπος, ἀλλ' ἐν μαγνησίᾳ μὲν οἰκῶν, καρπούμενος δὲ δωρεὰς μεγάλας, καὶ τιμώμενος ὅμοια περσῶν τοῖς ἀρίστοις, ἐπὶ πολὺν χρόνον ἀδεῶς διῆγεν, οὐ πάνυ τι τοῖς ἑλληνικοῖς πράγμασι προσέχοντος τοῦ βασιλέως, ὑπ' ἀσχολιῶν περὶ τὰς ἄνω πράξεις. ὡς δ' αἴγυπτός τε ἀφισταμένη βοηθούντων ἀθηναίων. καὶ τριήρεις ἑλληνικαὶ μέχρι κύπρου καὶ κιλικίας ἀναπλεύσασαι. καὶ κίμων θαλασσοκρατῶν ἐπέστρεψεν αὐτὸν ἀντεπιχειρεῖν τοῖς ἕλλησι, καὶ κωλύειν αὐξανομένους ἐπ' αὐτὸν, ἤδη δὲ καὶ δυνάμεις ἐκινοῦντο καὶ στρατηγοὶ διεπέμποντο. καὶ κατέβαινον εἰς μαγνησίαν ἀγγελίαι πρὸς

τας αὐτὸν λαβεῖν. μάλιστα δὲ, τοὺς περὶ ἐργοτέλη καὶ πυθόδωρον. ἦν γὰρ ἡ θήρα λυσιτελὴς τοῖς τὸ κερ
δαίνειν ἀπὸ παντὸς ἀγαπῶσι, διακοσίων ἐπικεκηρυγμένων αὐτῷ ταλάντων ὑπὸ τοῦ βασιλέως, ἔ
φυγεν εἰς αἰγάς. αἰολικὸν πολισμάτιον, ὑπὸ πάντων ἀγνοούμενος, πλὴν τοῦ ξένου νικογένους. ὃς αἰο
λέων πλείστην οὐσίαν ἐκέκτητο. καὶ τοῖς ἄνω δυνατοῖς, γνώριμος ὑπῆρχε. παρὰ τούτῳ κρυπτόμενος,
ἡμέρας ὀλίγας διέτριψεν. εἶτα μετὰ τὸ δεῖπνον ἐκ θυσίας τινός. ὄλβιος ὁ τῶν τέκνων τοῦ νικογένους
» παιδαγωγὸς, ἔκφρων γενόμενος καὶ θεοφόρητος, ἀνεφώνησε μέτρῳ ταυτί. νυκτὶ φωνὴν. νυκτὶ βουλὴν.
νυκτὶ τὴν νίκην δίδου. καὶ μετὰ ταῦτα κοιμηθεὶς ὁ θεμιστοκλῆς, ὄναρ ἔδοξεν ἰδεῖν, δράκοντα κατὰ
τῆς γαστρὸς αὐτοῦ περιελιττόμενον, καὶ προσανέρποντα τῷ τραχήλῳ, γενόμενον δ' ἀετὸν ὡς ἥψατο τοῦ
προσώπου, περιβαλόντα τὰς πτέρυγας, ἐξᾶραι καὶ κομίζειν πολλὴν ὁδόν. εἶτα χρυσείου τινὸς κηρυ
κείου φανέντος, ἐπὶ τούτου στῆσαι βεβαίως αὐτόν. ἀμηχάνου δείματος καὶ ταραχῆς ἀπαλλαγέντα.
πέμπεται γοῦν ὑπὸ τοῦ νικογένους, μηχανησαμένου τι τοιοῦτον. τοῦ βαρβαρικοῦ γένους τὸ πολὺ καὶ
μάλιστα τὸ περσικὸν εἰς ζηλοτυπίαν τὴν περὶ τὰς γυναῖκας, ἄγριον φύσει καὶ χαλεπόν ἐστιν, οὐ γὰρ
μόνον τὰς γαμετὰς, ἀλλὰ καὶ τὰς ἀργυρωνήτους καὶ παλλακευομένας, ἰσχυρῶς παραφυλάττουσιν,
ὡς ὑπὸ μηδενὸς ὁρᾶσθαι τῶν ἐκτὸς, ἀλλ' οἴκοι μὲν διαιτᾶσθαι κατακεκλεισμένας. ἐν δὲ ταῖς ὁδοι
πορίαις, ὑπὸ σκηνὰς κύκλῳ περιπεφραγμένας, ἐπὶ τῶν ἁρμαμαξῶν ὀχεῖσθαι. τοιαύτης τῷ θε
μιστοκλεῖ κατασκευασθείσης ἀπήνης, καταδὺς ἐκομίζετο. τῶν περὶ αὐτὸν ἀεὶ τοῖς ἐντυγχάνουσι καὶ
πυνθανομένοις λεγόντων ὅτι γύναιον ἑλληνικὸν ἄγουσιν ἀπ' ἰωνίας, πρός τινα τῶν ἐπὶ θύραις βασι
λέως. θουκυδίδης μὲν οὖν, καὶ χάρων ὁ λαμψακηνὸς, ἱστοροῦσι τεθνηκότος ξέρξου, πρὸς τὸν υἱὸν αὐτοῦ,
τῷ θεμιστοκλεῖ γενέσθαι τὴν ἔντευξιν, ἔφορος δὲ καὶ δείνων, καὶ κλείταρχος καὶ ἡρακλείδης ἔτι
δ' ἄλλοι πλείονες, πρὸς αὐτὸν ἀφικέσθαι τὸν ξέρξην. τοῖς δὲ χρονικοῖς δοκεῖ μᾶλλον ὁ θουκυδίδης συμ
φέρεσθαι. καίπερ οὐδ' αὐτοῖς ἀτρέμα συνταττομένοις. ὁ δ' οὖν θεμιστοκλῆς, γενόμενος παρ' αὐτὸ τὸ
δεινὸν, ἐντυγχάνει πρῶτον, ἀρταβάνῳ τῷ χιλιάρχῳ, λέγων, ἕλλην μὲν εἶναι βούλεσθαι δ' ἐντυχεῖν
βασιλεῖ περὶ μεγίστων πραγμάτων. καὶ πρὸς ἃ τυγχάνει μάλιστα σπουδάζων ἐκεῖνος. ὁ δέ, φησιν. ὦ
ξένε, νόμοι διαφέρουσιν ἀνθρώπων. ἄλλα δ' ἄλλοις καλά. καλὸν δὲ πᾶσι τὰ οἰκεῖα κοσμεῖν καὶ σώζειν.
ὑμᾶς μὲν οὖν ἐλευθερίαν μάλιστα θαυμάζειν, καὶ ἰσότητα, λόγος. ἡμῖν δὲ πολλῶν νόμων καὶ καλῶν
ὄντων, κάλλιστος οὗτός ἐστι, τιμᾶν βασιλέα, καὶ προσκυνεῖν εἰκόνα θεοῦ τοῦ τὰ πάντα σώζοντος. εἰ μὲν
οὖν ἐπαινῶν τὰ ἡμέτερα προσκυνήσεις, ἔστι σοι καὶ βασιλέα θεάσασθαι καὶ προσειπεῖν. εἰ δ' ἄλλο τι
φρονεῖς, ἀγγέλοις ἑτέροις χρήσῃ πρὸς αὐτόν. βασιλεῖ γὰρ οὐ πάτριον ἀνδρὸς ἀκροᾶσθαι μὴ προσκυ
νήσαντος. ταῦτα ὁ θεμιστοκλῆς ἀκούσας, λέγει πρὸς αὐτὸν, ἀλλ' ἔγωγε τὴν βασιλέως ὦ ἀρτάβανε φή
μην καὶ δύναμιν, αὐξήσων ἀφῖγμαι, καὶ αὐτός τε πείσομαι τοῖς ὑμετέροις νόμοις, ἐπεὶ θεῷ τῷ με
μεγαλύνοντι. s.τ. γαλύναντι πέρσας, οὕτω δοκεῖ. καὶ δι' ἐμὲ πλείονες, τῶν νῦν βασιλέα προσκυνήσουσιν, ὥστε τοῦτο,
μηδὲν ἐμπόδιον ἔστω τοῖς λόγοις, οὓς βούλομαι πρὸς ἐκεῖνον εἰπεῖν. τίνα δ' εἶπεν ὁ ἀρτάβανος ἑλλή-
νων ἀφῖχθαί σε φῶμεν. οὐ γὰρ ἰδιώτῃ τὴν γνώμην ἔοικας. καὶ ὁ θεμιστοκλῆς τοῦτ' οὐκ ἄν [ἔφη] πύ
θοιτό τις ἀρτάβανε πρότερος βασιλέως. οὕτω μὲν ὁ φανίας φησίν, ὁ δ' ἐρατοσθένης ἐν τοῖς περὶ πλού
του, προσιστόρησε. διὰ γυναικὸς ἐρετρικῆς, ἣν ὁ χιλίαρχος εἶχε, τῷ θεμιστοκλεῖ τὴν πρὸς αὐτὸν ἔντευ
ξιν γενέσθαι καὶ σύστασιν, ἐπειδὴ δ' οὖν εἰσήχθη πρὸς βασιλέα. καὶ προσκυνήσας ἔστη σιωπῇ. προστάξαν
τος τῷ ἑρμηνεῖ τοῦ βασιλέως ἐρωτῆσαι τίς ἐστι, καὶ τοῦ ἑρμηνέως ἐρωτήσαντος, εἶπεν. ἥκω σοι βασιλεῦ,
θεμιστοκλῆς ὁ ἀθηναῖος ἐγὼ φυγὰς ὑφ' ἑλλήνων διωχθεὶς, ᾧ πολλὰ μὲν ὀφείλουσι κακὰ πέρσαι, πλείω
δ' ἀγαθὰ κωλύσαντι τὴν δίωξιν, ὅτε τῆς ἑλλάδος ἐν ἀσφαλεῖ γενομένης, παρέσχε τὰ οἴκοι σωζόμενα χα
ρίσασθαί τι καὶ ὑμῖν. ἐμοὶ μὲν οὖν πάντα πρέποντα ταῖς παρούσαις συμφοραῖς ἐστί. καὶ παρε
σκευασμένος ἀφῖγμαι, δέξασθαί τε χάριν. εὐμενῶς διαλλαττομένου καὶ παραιτεῖσθαι μνησικα-
κοῦντος ὀργήν. σὺ δὲ τοὺς ἐμοὺς ἐχθροὺς μάρτυρας θέμενος, ὧν εὐεργέτησα πέρσας, ἀπόχρησαι ταῖς
ἐμαῖς τύχαις, πρὸς ἐπίδειξιν ἀρετῆς μᾶλλον, ἢ πρὸς ἀποπλήρωσιν ὀργῆς. σώσεις μὲν γὰρ ἱκέτην σὸν,
ἀπολεῖς δ' ἑλλήνων πολέμιον. ταῦτ' εἰπὼν ὁ θεμιστοκλῆς, ἐπιθειάσας τῷ λόγῳ προσδιελθὼν τὴν ὄψιν
ἣν εἶδεν ἐν νικογένους. καὶ τὸ μάντευμα τοῦ δωδωναίου διὸς, ὡς κελευσθεὶς πρὸς τὸν ὁμώνυμον τοῦ θεοῦ
βαδίζειν, συμφρονήσειε πρὸς ἐκεῖνον ἀναπέμπεσθαι. μεγάλους γὰρ ἀμφοτέρους εἶναί τε καὶ λέγε
σθαι βασιλέας. ἀκούσας δ' ὁ πέρσης, ἐκείνῳ μὲν οὐδὲν ἀπεκρίνατο. καίπερ θαυμάσας τὸ φρόνημα καὶ
τὴν τόλμαν αὐτοῦ. μακαρίσαι δὲ πρὸς τοὺς φίλους ἑαυτὸν, ὡς ἐπ' εὐτυχίᾳ μεγίστῃ. καὶ κατευξάμενος
ἀεὶ τοῖς πολεμίοις τοιαύτας φρένας διδόναι τὸν ἀριμάνιον, ὅπως ἐλαύνωσι τοὺς ἀρίστους ἐξ ἑαυ
τῶν, θῦσαι τοῖς θεοῖς λέγεται. καὶ πρὸς πόσιν εὐθὺς τραπέσθαι. καὶ νύκτωρ ὑπὸ χαρᾶς διὰ
μέσων τῶν ὕπνων βοῆσαι τρίς, ἔχω θεμιστοκλέα τὸν ἀθηναῖον. ἅμα δ' ἡμέρᾳ συγκαλέσας τοὺς φίλους,
εἰσῆγεν αὐτὸν, μηδὲν ἐλπίζοντα χρηστὸν, ἐξ ὧν ἑώρα τοὺς ἐπὶ θύραις ὡς ἐπύθοντο τοὔνομα πα-
ρόντος αὐτοῦ, χαλεπῶς διακειμένους καὶ κακῶς λέγοντας. ἔτι δὲ ῥωξάνης ὁ χιλίαρχος ὡς κατ' αὐ
τὸν ἦν ὁ θεμιστοκλῆς προσιὼν, καθημένου βασιλέως, καὶ τῶν ἄλλων σιωπώντων, ἀτρέμα στενά

μὲν προσηγόρευσεν, ὡς ἄριστα τῇ πόλει καὶ τοῖς Ἕλλησι βουλευσάμενος, πλησίον δὲ τῆς οἰκίας κατεσκεύασεν ἐν Μελίτῃ τὸ ἱερόν, οὗ νῦν τὰ σώματα τῶν θανατουμένων οἱ δήμιοι προβάλλουσι, καὶ τὰ ἱμάτια καὶ τοὺς βρόχους τῶν ἀπαγχομένων καὶ καθαιρεθέντων ἐκφέρουσιν. ἔκειτο δὲ καὶ τοῦ Θεμιστοκλέους εἰκόνιον ἐν τῷ ναῷ τῆς Ἀριστοβούλης, ἔτι καθ' ἡμᾶς. καὶ φαίνεταί τις οὐ τὴν ψυχὴν μόνην, ἀλλὰ καὶ τὴν ὄψιν ἡρωϊκὸς γενόμενος. τὸν μὲν οὖν ἐξοστρακισμὸν ἐποιήσαντο κατ' αὐτοῦ, καθαιροῦντες τὸ ἀξίωμα καὶ τὴν ὑπεροχήν, ὥσπερ εἰώθεσαν ἐπὶ πάντων, οὓς ᾤοντο τῇ δυνάμει βαρεῖς, καὶ πρὸς ἰσότητα δημοκρατικὴν ἀσυμμέτρους εἶναι. κόλασις γὰρ οὐκ ἦν ὁ ἐξοστρακισμός, ἀλλὰ παραμυθία φθόνου καὶ κουφισμός, ἡδομένου τῷ ταπεινοῦν τοὺς ὑπερέχοντας, καὶ τὴν δυσμένειαν εἰς ταύτην τὴν ἀτιμίαν ἀποπνέοντος. ἐκπεσόντος δὲ τῆς πόλεως αὐτοῦ καὶ διατρίβοντος ἐν Ἄργει, τὰ περὶ Παυσανίαν συμπεσόντα, κατ' αὐτοῦ παρέσχε τοῖς ἐχθροῖς ἀφορμάς. ὁ δὲ γραψάμενος αὐτὸν προδοσίας, Λεωβώτης ἦν Ἀλκμαίωνος Ἀγραυλῆθεν, ἅμα συνεπαιτιωμένων τῶν Σπαρτιατῶν. ὁ γὰρ Παυσανίας, πράττων ἐκεῖνα δὴ τὰ περὶ τὴν προδοσίαν, πρότερον μὲν ἀπεκρύπτετο τὸν Θεμιστοκλέα, καίπερ ὄντα φίλον. ὡς δ' εἶδεν ἐκπεπτωκότα τῆς πολιτείας καὶ φέροντα χαλεπῶς, ἐθάρσησεν ἐπὶ τὴν κοινωνίαν τῶν πραττομένων παρακαλεῖν. τὰ γράμματα τοῦ βασιλέως ἐπιδεικνύμενος αὐτῷ. καὶ παροξύνων ἐπὶ τοὺς Ἕλληνας, ὡς πονηροὺς καὶ ἀχαρίστους. ὁ δὲ, τὴν μὲν δέησιν ἀπετρίψατο τοῦ Παυσανίου, καὶ κοινωνίαν ὅλως ἀπείπατο. πρὸς οὐδένα δὲ τοὺς λόγους ἐξήνεγκεν, οὐδὲ κατεμήνυσε τὴν πρᾶξιν. εἴτε παύσεσθαι προσδοκῶν αὐτόν, εἴτ' ἄλλως καταφανῆ γενέσθαι, σὺν οὐδενὶ λογισμῷ πραγμάτων ἀτόπων καὶ παραβόλων ὀρεγόμενον. οὕτω δὴ τοῦ Παυσανίου θανατωθέντος, ἐπιστολαί τινες ἀνευρεθεῖσαι καὶ γράμματα περὶ τούτων, εἰς ὑποψίαν ἐνέβαλον τὸν Θεμιστοκλέα. καὶ κατεβόων μὲν αὐτοῦ Λακεδαιμόνιοι. κατηγόρουν δ' οἱ φθονοῦντες τῶν πολιτῶν οὐ παρόντος, ἀλλὰ διὰ γραμμάτων ἀπολογουμένου μάλιστα ταῖς προτέραις κατηγορίαις. διαβαλλόμενος γὰρ ὑπὸ τῶν ἐχθρῶν, πρὸς τοὺς πολίτας ἔγραφεν, ὡς ἄρχειν μὲν ἀεὶ ζητῶν. ἄρχεσθαι δὲ μὴ πεφυκὼς μηδὲ βουλόμενος, οὐκ ἄν ποτε βαρβάροις καὶ πολεμίοις αὐτὸν ἀποδόσθαι μετὰ τῆς Ἑλλάδος. οὐ μὴν ἀλλὰ συμπεισθεὶς ὑπὸ τῶν κατηγορούντων ὁ δῆμος, ἔπεμψεν ἄνδρας, οἷς εἴρητο συλλαμβάνειν καὶ ἀνάγειν κριθησόμενον αὐτὸν ἐν τοῖς Ἕλλησιν. προαισθόμενος δ' ἐκεῖνος, εἰς Κέρκυραν διεπέρασεν, οὔσης αὐτῷ πρὸς τὴν πόλιν εὐεργεσίας. γενόμενος γὰρ αὐτῶν κριτὴς πρὸς Κορινθίους ἐχόντων διαφοράν, ἔλυσε τὴν ἔχθραν, εἴκοσι τάλαντα κρίνας τοὺς Κορινθίους καταβαλεῖν, καὶ Λευκάδα κοινῇ νέμειν, ἀμφοτέρων ἄποικον. ἐκεῖθεν δ' εἰς Ἤπειρον ἔφυγε. καὶ διωκόμενος ὑπὸ τῶν Ἀθηναίων καὶ Λακεδαιμονίων, ἔρριψεν αὐτὸν εἰς ἐλπίδας χαλεπὰς καὶ ἀπόρους, καταφυγὼν πρὸς Ἄδμητον. ὃς βασιλεὺς μὲν ἦν Μολοσσῶν, δεηθεὶς δέ τι τῶν Ἀθηναίων καὶ προπηλακισθεὶς ὑπὸ τοῦ Θεμιστοκλέους, ὅτ' ἤκμαζεν ἐν τῇ πολιτείᾳ, δι' ὀργῆς εἶχεν αὐτὸν ἀεί. καὶ δῆλος ἦν εἰ λάβοι, τιμωρησόμενος. ἐν δὲ τῇ τότε φυγῇ μᾶλλον ὁ Θεμιστοκλῆς φοβηθεὶς συγγενῆ καὶ πρόσφατον φθόνον, ὀργῆς παλαιᾶς καὶ βασιλικῆς, ταύτῃ φέρων ὑπέθηκεν ἑαυτόν, ἱκέτης τοῦ Ἀδμήτου καταστάς, ἴδιόν τινα καὶ παρηλλαγμένον τρόπον. ἔχων γὰρ αὐτοῦ τὸν υἱὸν ὄντα παῖδα, πρὸς τὴν ἑστίαν προσέπεσε. ταύτην μεγίστην καὶ μόνην σχεδὸν ἀναντίρρητον ἡγουμένων ἱκεσίαν τῶν Μολοσσῶν. ἔνιοι μὲν οὖν Φθίαν τὴν γυναῖκα τοῦ βασιλέως λέγουσιν ὑποθέσθαι τῷ Θεμιστοκλεῖ τὸ ἱκέτευμα τοῦτο. καὶ τὸν υἱὸν ἐπὶ τὴν ἑστίαν καθίσαι μετ' αὐτοῦ. τινὲς δ' αὐτὸν τὸν Ἄδμητον, ὡς ἀφοσιώσαιτο πρὸς τοὺς διώκοντας τὴν ἀνάγκην, δι' ἣν οὐκ ἐκδίδωσι τὸν ἄνδρα, διαθεῖναι, καὶ συντραγῳδῆσαι τὴν ἱκεσίαν. ἐκεῖ δ' αὐτῷ τὴν γυναῖκα καὶ τοὺς παῖδας ἐκκλέψας ἐκ τῶν Ἀθηνῶν Ἐπικράτης ὁ Ἀχαρνεύς, ἀπέστειλεν. ὃν ἐπὶ τούτῳ Κίμων ὕστερον κρίνας, ἐθανάτωσεν, ὡς ἱστορεῖ Στησίμβροτος. εἶτ' οὐκ οἶδ' ὅπως ἐπιλαθόμενος τούτων, ἢ τὸν Θεμιστοκλέα ποιῶν ἐπιλαθόμενον, πλεῦσαί φησιν εἰς Σικελίαν. καὶ παρ' Ἱέρωνος αἰτεῖν τοῦ τυράννου τὴν θυγατέρα πρὸς γάμον, ὑπισχνούμενος αὐτῷ τοὺς Ἕλληνας ὑπηκόους ποιήσειν. ἀποσεισαμένου δὲ τοῦ Ἱέρωνος, οὕτως εἰς τὴν Ἀσίαν ἀπᾶραι. ταῦτα δ' οὐκ εἰκὸς ἐστὶν οὕτω γενέσθαι. Θεόφραστος γὰρ ἐν τοῖς περὶ βασιλείας ἱστορεῖ τὸν Θεμιστοκλέα, πέμψαντος εἰς Ὀλυμπίαν Ἱέρωνος ἵππους ἀγωνιστάς, καὶ σκηνήν τινα κατεσκευασμένην πολυτελῶς στήσαντος, εἰπεῖν ἐν τοῖς Ἕλλησι λόγον, ὡς χρὴ τὴν σκηνὴν διαρπάσαι τοῦ τυράννου, καὶ κωλῦσαι τοὺς ἵππους ἀγωνίσασθαι. Θουκυδίδης δέ φησι καὶ πλεύσαντα αὐτὸν ἐπὶ τὴν ἑτέραν καταβαίνειν θάλασσαν ἀπὸ Πύδνης, οὐδενὸς εἰδότος ὅστις εἴη τῶν πλεόντων, μέχρις οὗ πνεύματι τῆς ὁλκάδος εἰς Νάξον καταφερομένης, ὑπὸ Ἀθηναίων πολιορκουμένην τότε, φοβηθεὶς ἀναδεῖξαι ἑαυτὸν τῷ τε ναυκλήρῳ καὶ τῷ κυβερνήτῃ. καὶ τὰ μέν, δεόμενος. τὰ δ' ἀπειλῶν καὶ λέγων, ὅτι κατηγορήσοι καὶ καταψεύσοιτο πρὸς τοὺς Ἀθηναίους, ὡς οὐκ ἀγνοοῦντες, ἀλλὰ χρήμασι πεισθέντες ἐξ ἀρχῆς ἀναλάβοιεν αὐτόν, οὕτως ἀναγκάσειε παραπλεῦσαι καὶ λαβέσθαι τῆς Ἀσίας. τῶν δὲ χρημάτων αὐτῷ, πολλὰ μὲν ὑπεκκλαπέντα διὰ τῶν φίλων, εἰς Ἀσίαν ἔπλει. τῶν δὲ φανερῶν γενομένων καὶ συναχθέντων εἰς τὸ δημόσιον, Θεόπομπος μέν, ἑκατὸν τάλαντα. Θεόφραστος δὲ ὀγδοήκοντά φησι γενέσθαι τὸ πλῆθος, οὐδὲ τριῶν ἄξια ταλάντων κεκτημένου τοῦ Θεμιστοκλέους, πρὶν ἅπτεσθαι τῆς πολιτείας. ἐπεὶ δὲ κατέπλευσεν εἰς Κύμην, καὶ πολλοὺς ᾔσθετο τῶν ἐπὶ θαλάττῃ παραφυλάττον

εἶναι, χωρίον μὲν τι πιπράσκων, ἐκέλευε κηρύττειν, ὅτι καὶ γείτονα χρηστὸν ἔχει. τῶν δὲ μνωμένων αὐτοῦ τὴν θυγατέρα, τὸν ἐπιεικῆ τοῦ πλουσίου προκρίνας, ἔφη ζητεῖν ἄνδρα χρημάτων δεόμενον μᾶλλον, ἢ χρήματα ἀνδρός. ἐν μὲν οὖν τοῖς ἀποφθέγμασι, τοιοῦτός τις ἦν. γενόμενος δ' ἀπὸ τῶν πράξεων ἐκείνων, εὐθὺς ἐπιχειρεῖ τὴν πόλιν ἀνοικοδομεῖν καὶ τειχίζειν, ὡς μὲν ἱστορεῖ Θεόπομπος, χρήμασι πείσας μὴ ἐναντιωθῆναι τοὺς ἐφόρους. ὡς δὲ οἱ πλεῖστοι, παρακρουσάμενος. ἧκε μὲν γὰρ εἰς Σπάρτην, ὄνομα πρεσβείας ἐπιγραψάμενος. ἐγκαλούντων δὲ τῶν Σπαρτιατῶν ὅτι τειχίζουσι τὸ ἄστυ, καὶ Πολυάρχου κατηγοροῦντος ἐπίτηδες ἐξ Αἰγίνης ἀποσταλέντος, ἠρνεῖτο καὶ πέμπειν ἐκέλευεν εἰς Ἀθήνας τοὺς κατοψομένους. ἅμα μὲν ἐμβάλλων τῷ τειχισμῷ χρόνον ἐκ τῆς διατριβῆς. ἅμα δὲ βουλόμενος ἀντ' αὐτοῦ τοὺς πεμπομένους ὑπάρχειν τοῖς Ἀθηναίοις. ὃ καὶ συνέβη. γνόντες γὰρ οἱ Λακεδαιμόνιοι τὸ ἀληθὲς, οὐκ ἠδίκησαν αὐτὸν, ἀλλ' ἀδήλως χαλεπαίνοντες, ἀπέπεμψαν. ἐκ δὲ τούτου τὸν Πειραιᾶ κατεσκεύαζε, τὴν τῶν λιμένων εὐφυΐαν κατανοήσας, καὶ τὴν πόλιν ὅλην ἁρμοττόμενος πρὸς τὴν θάλασσαν. καὶ τρόπον τινὰ τοῖς παλαιοῖς βασιλεῦσι τῶν Ἀθηναίων ἀντιπολιτευόμενος. ἐκεῖνοι μὲν γὰρ ὡς λέγεται πραγματευόμενοι τοὺς πολίτας ἀποσπάσαι τῆς θαλάσσης, καὶ συνεθίσαι ζῆν μὴ πλέοντας, ἀλλὰ τὴν χώραν φυτεύοντας, τὸν περὶ τῆς Ἀθηνᾶς διέδοσαν λόγον. ὡς ἐρίσαντος περὶ τῆς χώρας τοῦ Ποσειδῶνος, δείξασα τὴν μορείαν τοῖς δικασταῖς, ἐνίκησε. Θεμιστοκλῆς δ' οὐχ ὡς Ἀριστοφάνης ὁ κωμικὸς λέγει τῇ πόλει τὸν Πειραιᾶ προσέμαξεν, ἀλλὰ τὴν πόλιν ἐξῆψε τοῦ Πειραιῶς, καὶ τὴν γῆν τῆς θαλάττης. ὅθεν καὶ τὸν δῆμον ηὔξησε κατὰ τῶν ἀρίστων, καὶ θράσους ἐνέπλησεν εἰς ναύτας καὶ κελευστὰς καὶ κυβερνήτας τῆς δυνάμεως ἀφικομένης. διὸ καὶ τὸ βῆμα τὸ ἐν Πνυκὶ πεποιημένον, ὥστ' ἀποβλέπειν πρὸς τὴν θάλασσαν, ὕστερον οἱ τριάκοντα πρὸς τὴν χώραν ἀπέστρεψαν. οἰόμενοι τὴν μὲν κατὰ θάλατταν ἀρχὴν γένεσιν εἶναι δημοκρατίας. ὀλιγαρχίᾳ δ' ἧττον δυσχεραίνειν τοὺς γεωργοῦντας. Θεμιστοκλῆς δὲ καὶ μεῖζόν τι περὶ τῆς ναυτικῆς διενοήθη δυνάμεως. ἐπεὶ γὰρ ὁ τῶν Ἑλλήνων στόλος ἀπηλλαγμένου Ξέρξου κατῆρεν εἰς Παγασὰς, καὶ διεχείμαζε, δημηγορῶν ἐν τοῖς Ἀθηναίοις ἔφη τινὰ πρᾶξιν ἔχειν ὠφέλιμον μὲν αὐτοῖς καὶ σωτήριον, ἀπόρρητον δὲ πρὸς τοὺς πολλούς. τῶν δ' Ἀθηναίων Ἀριστείδῃ μόνῳ φράσαι κελευόντων, κἂν ἐκεῖνος δοκιμάσῃ περαίνειν. ὁ μὲν Θεμιστοκλῆς ἔφρασε τῷ Ἀριστείδῃ τὸ νεώριον ἐμπρῆσαι διανοεῖσθαι τῶν Ἑλλήνων. ὁ δ' εἰς τὸν δῆμον παρελθὼν ἔφη τῆς πράξεως ἣν διανοεῖται πράττειν ὁ Θεμιστοκλῆς, μηδεμίαν εἶναι, μήτε λυσιτελεστέραν, μήτε ἀδικωτέραν. οἱ μὲν οὖν Ἀθηναῖοι διὰ ταῦτα παύσασθαι τῷ Θεμιστοκλεῖ προσέταξαν. ἐν δὲ τοῖς Ἀμφικτυονικοῖς συνεδρίοις τῶν Λακεδαιμονίων εἰσηγουμένων ὅπως ἀπείργωνται τῆς Ἀμφικτυονίας αἱ μὴ συμμαχήσασαι κατὰ τοῦ Μήδου πόλεις, φοβηθεὶς μὴ Θετταλοὺς καὶ Ἀργείους, ἔτι δὲ Θηβαίους ἐκβαλόντες τοῦ συνεδρίου, παντελῶς ἐπικρατήσωσι τῶν ψήφων, καὶ γένηται τὸ δοκοῦν ἐκείνοις, συνεῖπε ταῖς πόλεσι καὶ μετέθηκε τὰς γνώμας τῶν Πυλαγόρων, διδάξας, ὡς τριάκοντα καὶ μία μόναι πόλεις εἰσὶν, αἱ μετασχοῦσαι τοῦ πολέμου, καὶ τούτων αἱ πλείους παντάπασι μικραί. δεινὸν οὖν εἰ τῆς ἄλλης Ἑλλάδος ἐκσπόνδου γενομένης, ἐπὶ ταῖς μεγίσταις δυσὶν ἢ τρισὶ πόλεσιν ἔσται τὸ συνέδριον. ἐκ τούτου μὲν οὖν μάλιστα τοῖς Λακεδαιμονίοις προσέκρουσε. διὸ καὶ τὸν Κίμωνα προῆγον ταῖς τιμαῖς, ἀντίπαλον ἐν τῇ πολιτείᾳ τῷ Θεμιστοκλεῖ καθιστάντες. ἦν δὲ καὶ τοῖς συμμάχοις ἐπαχθὴς, περιπλέων τε τὰς νήσους καὶ χρηματιζόμενος ἀπ' αὐτῶν, οἷα καὶ πρὸς Ἀνδρίους ἀργύριον αἰτοῦντά φησιν αὐτὸν Ἡρόδοτος, εἰπεῖν τε καὶ ἀκοῦσαι. δύο γὰρ ἥκειν ἔφη θεοὺς κομίζων, Πειθὼ καὶ Βίαν. οἱ δ' ἔφασαν εἶναι καὶ παρ' αὐτοῖς θεοὺς μεγάλους δύο, Πενίαν καὶ Ἀπορίαν, ὑφ' ὧν κωλύεσθαι δοῦναι χρήματα ἐκείνῳ. Τιμοκρέων δ' ὁ Ῥόδιος μελοποιὸς, ἐν ᾄσματι καθάπτεται πικρότερον τοῦ Θεμιστοκλέους. ὡς ἄλλους μὲν ἐπὶ χρήμασι φυγάδας διαπραξαμένου κατελθεῖν. αὐτὸν δὲ ξένον ὄντα καὶ φίλον, προεμένου δι' ἀργύριον. λέγει δ' οὕτως.

» ἀλλ' εἰ τύγε Παυσανίαν, ἢ τύγε Ξάνθιππον αἰνεῖς, ἢ τύγε Λευτυχίδαν. ἐγὼ δ' Ἀριστείδαν ἐπαινέω,
» ἄνδρ' ἱερᾶν ἀπ' Ἀθανᾶν ἐλθεῖν ἕνα λῷστον. ἐπεὶ δὲ Θεμιστοκλῆα ἤχθαρε Λατώ. ψεύσταν, ἄδικον, προδό-
» ταν. ὃς Τιμοκρέοντα ξεῖνον ἐόντα ἀργυρίοισι σκυβαλικοῖσι πεισθεὶς, οὐ κατᾶγεν εἰς πατρίδα Ἰάλυ-
» σον. λαβὼν δὲ τρία ἀργυρίου τάλαντ' ἔβα πλέων εἰς ὄλεθρον. τοὺς μὲν κατάγων ἀδίκως. τοὺς δ' ἐκδιώ-
» κων. τοὺς δὲ καίνων, ἀργυρίων ὑπόπλεως. Ἰσθμοῖ δ' ἐπανδόκευε γελοίως ψυχρὰ κρέα παρέχων. οἱ δ'
» ἤσθιον, κηὔχοντο μὴ ὥραν Θεμιστοκλέους γενέσθαι.

πολὺ δ' ἀσελγεστέρᾳ καὶ ἀναπεπταμένῃ μᾶλλον εἰς τὸν Θεμιστοκλέα κέχρηται βλασφημίᾳ μετὰ τὴν φυγὴν αὐτοῦ καὶ τὴν καταδίκην ὁ Τιμοκρέων. ᾆσμα ποιήσας, οὗ ἐστιν ἀρχή.

» Μοῦσα τοῦδε τοῦ μέλεος κλέος ἀν' Ἕλλανας τίθει, ὡς ἐοικὸς καὶ δίκαιον.

λέγεται δ' ὁ Τιμοκρέων, ἐπὶ μηδισμῷ φυγεῖν, συγκαταψηφισαμένου τοῦ Θεμιστοκλέους. ὡς οὖν ὁ Θεμιστοκλῆς αἰτίαν ἔσχε μηδίζειν, ταῦτ' ἐποίησε πρὸς αὐτόν.

» οὐκ ἄρα Τιμοκρέων μόνος μήδοισιν ὁρκιατομεῖ, ἀλλ' ἐντὶ κἄλλοι δὴ πονηροὶ, οὐκ ἐγὼ μόνα κόλουρις. ἐντὶ καὶ ἄλλαι ἀλώπεκες.

ἤδη δὲ καὶ τῶν πολιτῶν διὰ τὸ φθονεῖν, ἡδέως τὰς διαβολὰς προσιεμένων, ἠναγκάζετο λυπηρὸς εἶναι, τῶν αὐτοῦ πράξεων ἐν τῷ δήμῳ πολλάκις μνημονεύων. καὶ πρὸς τοὺς δυσχεραίνοντας, τί κοπιᾶτε εἶπεν ὑπὸ τῶν αὐτῶν πολλάκις εὖ πάσχοντες. ἠνίασε δὲ τοὺς πολλοὺς καὶ τὸ τῆς Ἀρτέμιδος ἱερὸν εἱσάμενος, ἣν Ἀριστοβούλην

γ. α. ὑπάρχει

ὡς ἐρίσαντα περὶ τῆς χώρας τῷ Ποσειδῶνι, δείξασαν τὴν μορίαν τοῖς δικασταῖς, ἐνίκησε.

ἐμπρῆσαι γ. δ. ς.

ἐπί. q.

κτείνων λ. τ. ς.

ἀσελγεστέρᾳ q.

σματα καὶ εἴδωλα καθορᾶν ἔδοξαν ἐνόπλων ἀνδρῶν, ἀπ' αἰγίνης τὰς χεῖρας ἀνεχόντων πρὸ τῶν ἑλληνικῶν τριηρῶν. οὓς εἴκαζον αἰακίδας εἶναι, παρακεκλημένους εὐχαῖς πρὸ τῆς μάχης ἐπὶ τὴν βοήθειαν. πρῶτος μὲν οὖν λαμβάνει ναῦν, λυκομήδης ἀνὴρ ἀθηναῖος, τριηραρχῶν. ἧς τὰ παράσημα περικόψας, ἀνέθηκεν ἀπόλλωνι δαφνηφόρῳ. οἱ δ' ἄλλοι τοῖς βαρβάροις ἐξισούμενοι τὸ πλῆθος, ἐν στενῷ κατὰ μέρος προσφερομένους καὶ περιπίπτοντας ἀλλήλους, ἐτρέψαντο μέχρι δείλης ἀντισχόντας, ὡς εἴρηκε σιμωνίδης, τὴν καλὴν ἐκείνην καὶ περιβόητον ἀράμενοι νίκην. ἧς οὔθ' ἕλλησιν οὔτε βαρβάροις ἐνάλιον ἔργον εἴργασται λαμπρότερον. ἀνδρείᾳ μὲν καὶ προθυμίᾳ κοινῇ τῶν ναυμαχησάντων γνώμῃ δὲ καὶ δεινότητι θεμιστοκλέους. μετὰ δὲ τὴν ναυμαχίαν, ξέρξης μὲν ἔτι θυμομαχῶν πρὸς τὴν ἀπότευξιν, ἐπεχείρει διὰ χωμάτων ἐπάγειν τὸν πεζὸν εἰς σαλαμῖνα τοῖς ἕλλησιν, ἐμφράξας τὸν διὰ μέσου πόρον. θεμιστοκλῆς δ' ἀποπειρώμενος ἀριστείδου, λόγῳ, γνώμην ἐποιεῖτο λύειν τὸ ζεῦγμα ταῖς ναυσὶν ἐπιπλεύσαντας εἰς ἑλλήσποντον. ὅπως ἔφη τὴν ἀσίαν ἐν τῇ εὐρώπῃ λάβωμεν. δυσχεραίνοντος δὲ τοῦ ἀριστείδου, καὶ λέγοντος. ὅτι νῦν μὲν τρυφῶντι τῷ βαρβάρῳ πεπολεμήκαμεν, ἂν δὲ κατακλείσωμεν εἰς τὴν ἑλλάδα, καὶ καταστήσωμεν εἰς ἀνάγκην, ὑπὸ δέους ἄνδρα τηλικούτων δυνάμεων κύριον, οὐκέτι καθήμενος ὑπὸ σκιάδι χρυσῇ, θεάσεται τὴν μάχην ἐφ' ἡσυχίας, ἀλλὰ πάντα τολμῶν καὶ πᾶσιν αὐτὸς παρὼν διὰ τὸν κίνδυνον, ἐπανορθώσεται τὰ παρειμένα, καὶ βουλεύσεται βέλτιον ὑπὲρ τῶν ὅλων. οὐ τὴν οὖσαν οὖν ἔφη δεῖ γέφυραν ὦ θεμιστόκλεις ἡμᾶς ἀναιρεῖν, ἀλλ' ἑτέραν εἴπερ οἷόν τε προσκατασκευάσαντας, ἐκβαλεῖν διὰ τάχους τὸν ἄνθρωπον ἐκ τῆς εὐρώπης. οὐκοῦν εἶπεν ὁ θεμιστοκλῆς, εἰ δοκεῖ ταῦτα συμφέρειν, ὥρα σκοπεῖν καὶ μηχανᾶσθαι πάντας ἡμᾶς ὅπως ἀπαλλαγήσεται τὴν ταχίστην ἐκ τῆς ἑλλάδος. ἐπεὶ δὲ ταῦτα ἔδοξε, πέμπει τινὰ τῶν βασιλικῶν εὐνούχων ἐν τοῖς αἰχμαλώτοις ἀνευρών, ἀρνάκην ὄνομα, φράζειν βασιλεῖ κελεύσας, ὅτι τοῖς μὲν ἕλλησι δέδοκται τῷ ναυτικῷ κεκρατηκότας, ἀναπλεῖν εἰς τὸν ἑλλήσποντον ἐπὶ τὸ ζεῦγμα, καὶ λύειν τὴν γέφυραν. θεμιστοκλῆς δὲ κηδόμενος βασιλέως, παραινεῖ σπεύδειν ἐπὶ τὴν ἑαυτοῦ θάλασσαν, καὶ περαιοῦσθαι μέχρις αὐτὸς ἐμποιεῖ τινὰς διατριβὰς τοῖς συμμάχοις, καὶ μελλήσεις πρὸς τὴν δίωξιν. ταῦθ' ὁ βάρβαρος ἀκούσας καὶ γενόμενος περίφοβος, διὰ τάχους ἐποιεῖτο τὴν ἀναχώρησιν. καὶ πεῖραν ἡ θεμιστοκλέους καὶ ἀριστείδου φρόνησις ἐν μαρδονίῳ παρέσχεν. εἴγε πολλοστημορίῳ τῆς ξέρξου δυνάμεως διαγωνισάμενοι πλαταιᾶσιν, εἰς τὸν περὶ τῶν ὅλων κίνδυνον κατέστησαν. πόλεων μὲν οὖν τὴν αἰγινητῶν ἀριστεῦσαι φησὶν ἡρόδοτος. θεμιστοκλεῖ δὲ καίπερ ἄκοντες ὑπὸ φθόνου, τὸ πρωτεῖον ἀπέδοσαν ἅπαντες. ἐπεὶ γὰρ ἀναχωρήσαντες εἰς τὸν ἰσθμὸν ἀπὸ τοῦ βωμοῦ τὴν ψῆφον ἔφερον οἱ στρατηγοί, πρῶτον μὲν ἕκαστος ἑαυτὸν ἀπέφαινεν ἀρετῇ, δεύτερον δὲ μεθ' ἑαυτὸν, θεμιστοκλέα. λακεδαιμόνιοι δ' εἰς τὴν σπάρτην αὐτὸν καταγαγόντες, εὐρυβιάδῃ μὲν, ἀνδρείας. ἐκείνῳ δὲ σοφίας ἀριστεῖον ἔδοσαν, θαλλοῦ στέφανον, καὶ τῶν κατὰ τὴν πόλιν ἁρμάτων, τὸ πρωτεῦον ἐδωρήσαντο. καὶ τριακοσίους τῶν νέων πομποὺς ἄχρι τῶν ὅρων συνεξέπεμψαν. λέγεται δ' ὀλυμπίων τῶν ἐφεξῆς ἀγομένων, καὶ παρελθόντος εἰς τὸ στάδιον τοῦ θεμιστοκλέους, ἀμελήσαντας τῶν ἀγωνιστῶν τοὺς παρόντας, ὅλην ἡμέραν ἐκεῖνον θεᾶσθαι, καὶ τοῖς ξένοις ἐπιδεικνύειν ἅμα θαυμάζοντας καὶ κροτοῦντας. ὥστε καὶ αὐτὸν ἡσθέντα πρὸς τοὺς φίλους ὁμολογῆσαι τὸν καρπὸν ἀπέχειν ὧν ὑπὲρ τῆς ἑλλάδος αὐτῷ πονηθέντων. καὶ γὰρ ἦν τῇ φύσει φιλοτιμότατος, εἰ δεῖ τεκμαίρεσθαι, διὰ τῶν ἀπομνημονευομένων. αἱρεθεὶς τε γὰρ ναύαρχος ὑπὸ τῆς πόλεως, οὐδὲν οὔτε τῶν ἰδίων, οὔτε τῶν κοινῶν κατὰ μέρος ἐχρημάτιζεν, ἀλλὰ πᾶν ἀνεβάλλετο τὸ προσπῖπτον εἰς τὴν ἡμέραν ἐκείνην καθ' ἣν ἐκπλεῖν ἔμελλεν. ἵν' ὁμοῦ πολλὰ πράττων πράγματα, καὶ παντοδαποῖς ἀνθρώποις ὁμιλῶν, μέγας εἶναι δοκῇ, καὶ πλεῖστον δύνασθαι. τῶν τε νεκρῶν τοὺς ἐκπεσόντας ἐπισκοπῶν παρὰ τὴν θάλασσαν, ὡς εἶδε περικειμένους ψέλια χρυσᾶ καὶ στρεπτούς, αὐτὸς μὲν, παρῆλθε, τῷ δ' ἑπομένῳ φίλῳ δείξας, εἶπεν. ἀνελοῦ σαυτῷ. σὺ γὰρ οὐκ εἶ θεμιστοκλῆς. πρὸς δέ τινα τῶν καλῶν γεγονότων, ἀντιφάτην, ὑπερηφάνως αὐτῷ κεχρημένον πρότερον, ὕστερον δὲ θεραπεύοντα διὰ τὴν δόξαν, ὦ μειράκιον εἶπεν. ὀψὲ μὲν, ἀμφότεροι δ' ἅμα νοῦν ἐσχήκαμεν. ἔλεγε δὲ τοὺς ἀθηναίους οὐ τιμᾶν αὐτὸν οὐδὲ θαυμάζειν, ἀλλ' ὥσπερ πλατάνῳ χειμαζομένους μὲν ὑποτρέχειν κινδυνεύοντας. εὐδίας δὲ περὶ αὐτοὺς γενομένης, τίλλειν καὶ κολούειν. τοῦ δὲ σεριφίου πρὸς αὐτὸν εἰπόντος, ὡς οὐ δι' αὐτὸν ἔσχηκε δόξαν, ἀλλὰ διὰ τὴν πόλιν, ἀληθῆ λέγεις εἶπεν. ἀλλ' οὔτ' ἂν ἐγὼ σερίφιος ὢν ἐγενόμην ἔνδοξος, οὔτε σὺ ἀθηναῖος. ἑτέρου δέ τινος τῶν στρατηγῶν, ὡς ἔδοξέ τι χρήσιμον διαπεπρᾶχθαι τῇ πόλει, θρασυνομένου πρὸς τὸν θεμιστοκλέα, καὶ τὰς ἑαυτοῦ ταῖς ἐκείνου πράξεσιν ἀντιπαραβάλλοντος, ἔφη τῇ ἑορτῇ τὴν ὑστεραίαν ἐρίσαι λέγουσαν, ὡς ἐκείνη μὲν ἀσχολιῶν τε μεστὴ καὶ κοπώδης ἐστίν, ἐν αὐτῇ δὲ πάντες ἀπολαύουσι τῶν παρεσκευασμένων σχολάζοντες. τὴν δ' ἑορτὴν, πρὸς ταῦτ' εἰπεῖν. ἀληθῆ λέγεις. ἀλλ' ἐμοῦ μὴ γενομένης, σὺ οὐκ ἂν ἦσθα. κἀμοῦ τοίνυν ἔφη τότε μὴ γενομένου, ποῦ ἂν ἦτε νῦν ὑμεῖς. τὸν δ' υἱὸν ἐντρυφῶντα τῇ μητρὶ, καὶ δι' ἐκείνην αὐτῷ σκώπτων, ἔλεγε πλεῖστον τῶν ἑλλήνων δύνασθαι. τοῖς μὲν γὰρ ἕλλησιν, ἐπιτάττειν ἀθηναίους. ἀθηναίοις δ' αὐτὸν, αὐτῷ δὲ, τὴν ἐκείνου μητέρα. τῇ μητρὶ δ' ἐκεῖνον. ἴδιος δέ τις ἐν πᾶσι βουλόμενος

τὴν θάλατταν ἀθρόους ὤφθη τῶν δυνάμεων ὁμοῦ γινομένων, ἐξερρύησαν οἱ τοῦ θεμιστοκλέους λόγοι τῶν ἑλλήνων. καὶ πάλιν ἐπάπταινεν οἱ πελοποννήσιοι πρὸς τὸν ἰσθμὸν, εἴ τις ἄλλο τι λέγοι χαλεπαίνοντες. ἐδόκει δὲ τῆς νυκτὸς ἀποχωρεῖν, καὶ παρηγγέλλετο πλοῦς τοῖς κυβερνήταις. ἔνθα δὴ βαρέως φέρων ὁ θεμιστοκλῆς, εἰ τὴν ἀπὸ τοῦ τόπου καὶ τῶν στενωπῶν προέμενοι βοήθειαν οἱ ἕλληνες διαλυθήσονται κατὰ πόλεις, ἐβουλεύετο καὶ συνετίθει τὴν περὶ τὸν σίκιννον πραγματείαν. ἦν δὲ τῷ γένει πέρσης ὁ σίκιννος αἰχμάλωτος, εὔνους δὲ τῷ θεμιστοκλεῖ, καὶ τῶν τέκνων αὐτοῦ παιδαγωγός. ὃν ἐκπέμπει πρὸς τὸν πέρσην κρύφα, κελεύσας λέγειν, ὅτι θεμιστοκλῆς ὁ τῶν ἀθηναίων στρατηγὸς, αἱρούμενος τὰ βασιλέως, ἐξαγγέλλει πρῶτος αὐτῷ τοὺς ἕλληνας ἀποδιδράσκοντας, καὶ διακελεύεται μὴ παρεῖναι φυγεῖν αὐτοῖς. ἀλλ' ἐν ᾧ ταράττονται τῶν πεζῶν χωρὶς ὄντες, ἐπιθέσθαι καὶ διαφθεῖραι τὴν ναυτικὴν δύναμιν. ταῦτα δ' ὁ ξέρξης ὡς ἀπ' εὐνοίας λελεγμένα δεξάμενος, ἥσθη, καὶ τέλος εὐθὺς ἐξέφερε πρὸς τοὺς ἡγεμόνας τῶν νεῶν. τὰς μὲν ἄλλας πληροῦν καθ' ἡσυχίαν, διακοσίαις δ' ἀναχθέντας ἤδη περιβαλέσθαι τὸν πόρον ἐν κύκλῳ πάντα, καὶ διαζῶσαι τὰς νήσους, ὅπως ἐκφύγῃ μηδεὶς τῶν πολεμίων. τούτων δὲ πραττομένων, ἀριστείδης ὁ λυσιμάχου πρῶτος αἰσθόμενος, ἧκεν ἐπὶ τὴν σκηνὴν τοῦ θεμιστοκλέους, οὐκ ὢν φίλος, ἀλλὰ καὶ δι' ἐκεῖνον ἐξωστρακισμένος ὡς προείρηται. προελθόντι δὲ τῷ θεμιστοκλεῖ, φράζει τὴν κύκλωσιν. ὁ δὲ, τήν τε ἄλλην καλοκαγαθίαν τοῦ ἀνδρὸς εἰδὼς, καὶ τῆς τότε παρουσίας ἀγάμενος, φράζει τὰ περὶ τὸν σίκιννον αὐτῷ, καὶ παρεκάλει τῶν ἑλλήνων ἐπιλαμβάνεσθαι καὶ συμπροθυμεῖσθαι, πίστιν ἔχοντα μᾶλλον, ὅπως ἐν τοῖς στενοῖς ναυμαχήσωσιν. ὁ μὲν οὖν ἀριστείδης ἐπαινέσας τὸν θεμιστοκλέα, τοὺς ἄλλους ἐπῄει στρατηγοὺς καὶ τριηράρχους, ἐπὶ τὴν μάχην παροξύνων. ἔτι δ' ὅμως ἀπιστούντων, ἐφάνη τηνία τριήρης αὐτόμολος, ἧς ἐναυάρχει παναίτιος, ἀπαγγέλλουσα τὴν κύκλωσιν, ὥστε καὶ θυμῷ τοὺς ἕλληνας κινῆσαι μετ' ἀνάγκης πρὸς τὸν κίνδυνον. ἅμα δ' ἡμέρᾳ, ξέρξης μὲν ἄνω καθῆστο τὸν στόλον ἐποπτεύων καὶ τὴν παράταξιν. ὡς μὲν φανόδημός φησιν, ὑπὲρ τὸ ἡράκλειον, ᾗ βραχεῖ πόρῳ διείργεται τῆς ἀττικῆς ἡ νῆσος. ὡς δ' ἀκεστόδωρος, ἐν μεθορίῳ τῆς μεγαρίδος ὑπὲρ τῶν καλουμένων κεράτων, χρυσοῦν δίφρον θέμενος, καὶ γραμματεῖς πολλοὺς παραστησάμενος. ὧν ἔργον ἦν, ἀπογράφεσθαι τὰ κατὰ μάχην πραττόμενα. θεμιστοκλεῖ δὲ, παρὰ τὴν ναυαρχίδα τριήρη σφαγιαζομένῳ, τρεῖς προσήχθησαν αἰχμάλωτοι, κάλλιστοι μὲν ἰδέσθαι τὴν ὄψιν, ἐσθῆσι δὲ καὶ χρυσῷ κεκοσμημένοι διαπρεπῶς. ἐλέγοντο δὲ, σανδαύκης παῖδες εἶναι τῆς βασιλέως ἀδελφῆς, καὶ αὐτάρκτου. τούτους ἰδὼν εὐφραντίδης ὁ μάντις, ὡς ἅμα μὲν ἀνέλαμψεν ἐκ τῶν ἱερῶν μέγα καὶ περιφανὲς πῦρ, ἅμα δὲ πταρμὸς ἐκ τῶν δεξιῶν ἐσήμηνε, τὸν θεμιστοκλέα δεξιωσάμενος, ἐκέλευσε τῶν νεανίσκων κατάρξασθαι καὶ καθιερεῦσαι πάντας ὠμηστῇ διονύσῳ προσευξάμενον. οὕτω γὰρ ἅμα σωτηρίαν τε καὶ νίκην ἔσεσθαι τοῖς ἕλλησιν. ἐκπλαγέντος δὲ τοῦ θεμιστοκλέους ὡς μέγα τὸ μάντευμα καὶ δεινὸν, οἷον εἴωθεν ἐν μεγάλοις ἀγῶσι καὶ πράγμασι χαλεποῖς, μᾶλλον ἐκ τῶν παραλόγων, ἢ τῶν εὐλόγων τὴν σωτηρίαν ἐλπίζοντες οἱ πολλοὶ, τὸν θεὸν ἅμα κοινῇ κατεκαλοῦντο φωνῇ. καὶ τοὺς αἰχμαλώτους τῷ βωμῷ προσαγαγόντες, ἠνάγκασαν ὡς ὁ μάντις ἐκέλευσε τὴν θυσίαν συντελεσθῆναι. ταῦτα μὲν οὖν ἀνὴρ φιλόσοφος καὶ γραμμάτων οὐκ ἄπειρος ἱστορικῶν φανίας ὁ λέσβιος εἴρηκε. περὶ δὲ τοῦ πλήθους τῶν βαρβαρικῶν νεῶν, αἰσχύλος ὁ ποιητὴς ὡς ἂν εἰδὼς καὶ διαβεβαιούμενος ἐν τραγῳδίᾳ πέρσαις, λέγει ταῦτα. ξέρξῃ δὲ, καὶ γὰρ οἶδα, χιλιὰς μὲν

» ἦν νεῶν τὸ πλῆθος, αἱ δ' ὑπέρκομποι τάχει, ἑκατὸν δὶς ἦσαν, ἑπτά θ'· ὧδ' ἔχει λόγος.

τῶν δ' ἀττικῶν, ἑκατὸν ὀγδοήκοντα τὸ πλῆθος οὐσῶν, ἑκάστη τοὺς ἀπὸ τοῦ καταστρώματος μαχομένους ὀκτωκαίδεκα εἶχεν. ὧν τοξόται τέσσαρες ἦσαν, οἱ λοιποὶ δ' ὁπλῖται. δοκεῖ δ' οὐχ ἧττον εὖ τὸν καιρὸν ὁ θεμιστοκλῆς, ἢ τὸν τόπον συνιδὼν καὶ φυλάξας, μὴ πρότερον ἀντιπρώρους καταστῆσαι ταῖς βαρβαρικαῖς τὰς τριήρεις, ἢ τὴν εἰωθυῖαν ὥραν παραγενέσθαι, τὸ πνεῦμα λαμπρὸν ἐκ πελάγους ἀεὶ, καὶ κῦμα διὰ τῶν στενῶν κατάγουσαν. ὃ τὰς μὲν ἑλληνικὰς οὐκ ἔβλαπτε ναῦς, ἁλιτενεῖς οὔσας καὶ ταπεινοτέρας. τὰς δὲ βαρβαρικὰς, ταῖς τε πρύμναις ἀνεστώσας καὶ τοῖς καταστρώμασιν ὑψορόφους καὶ βαρείας ἐπιφερομένας, ἔσφαλλε προσπῖπτον. καὶ παρεδίδου πλαγίας τοῖς ἕλλησιν ὀξέως προσφερομένοις, καὶ τῷ θεμιστοκλεῖ προσέχουσιν, ὡς ὁρῶντι μάλιστα τὸ συμφέρον. καὶ ὅτι κατ' ἐκεῖνον ὁ ξέρξου ναύαρχος ἀριαμένης, ναῦν ἔχων μεγάλην, ὥσπερ ἀπὸ τείχους ἐτόξευε καὶ ἠκόντιζεν, ἀνὴρ ἀγαθὸς ὢν, καὶ τῶν βασιλέως ἀδελφῶν πολὺ κράτιστός τε καὶ δικαιότατος. τοῦτον μὲν οὖν ἀμεινίας ὁ δεκελεὺς καὶ σωσικλῆς ὁ πεδιεὺς, ὁμοῦ πλέοντες, ὡς αἱ νῆες ἀντίπρωροι προσπεσοῦσαι καὶ συνερεισθεῖσαι τοῖς χαλκώμασιν ἐνεσχέθησαν, ἐπιβαίνοντα τῆς αὐτῶν τριήρους ὑποστάντες, καὶ τοῖς δόρασι τύπτοντες, εἰς τὴν θάλασσαν ἐξέβαλον. καὶ τὸ σῶμα μετ' ἄλλων φερόμενον ναυαγίων, ἀρτεμισία γνωρίσασα, πρὸς ξέρξην ἀνήνεγκεν. ἐν δὲ τούτῳ τοῦ ἀγῶνος ὄντος, φῶς μὲν ἐκλάμψαι μέγα λέγουσιν ἐλευσινόθεν. ἦχον δὲ καὶ φωνὴν τὸ θριάσιον κατέχειν πεδίον, ἄχρι τῆς θαλάττης, ὡς ἀνθρώπων ὁμοῦ πολλῶν τὸν μυστικὸν ἐξαγόντων ἴακχον. ἐκ δὲ τοῦ πλήθους τῶν φθεγγομένων, κατὰ μικρὸν ἀπὸ γῆς ἀναφερόμενον νέφος, ἔδοξεν αὖθις ὑπονοστεῖν καὶ κατασκήπτειν εἰς τὰς τριήρεις. ἕτεροι δὲ φά-

σιάσειν εἶχε τοὺς ἀθηναίους, ἅμα δὲ δυσθυμίαν καὶ κατήφειαν μεμονωμένους. μάχεσθαι μὲν γὰρ οὐ διενοοῦντο μυριάσι στρατοῦ τοσαύταις. ὃ δ' ἦν μόνον ἀναγκαῖον ἐν τῷ παρόντι τὴν πόλιν ἀφέντας ἐμφῦναι ταῖς ναυσὶν, ὅπερ οἱ πολλοὶ χαλεπῶς ἤκουον. ὡς μήτε νίκης δεόμενοι. μήτε σωτηρίαν ἐπιστάμενοι, θεῶν τε ἱερὰ καὶ πατέρων ἠρία προϊεμένων. ἔνθα δὴ θεμιστοκλῆς ἀπορῶν τοῖς ἀνθρωπίνοις λογισμοῖς προσάγεσθαι τὸ πλῆθος, ὥσπερ ἐν τραγῳδίᾳ μηχανὴν ἄρας, σημεῖα δαιμόνια καὶ χρησμοὺς ἐπῆγεν αὐτοῖς. σημεῖον μὲν λαμβάνων τὸ τοῦ δράκοντος. ὃς ἀφανὴς ἐκείναις ταῖς ἡμέραις ἐκ τοῦ σηκοῦ δοκεῖ γενέσθαι. καὶ τὰς καθημέραν αὐτῷ προτιθεμένας ἀπαρχὰς, εὑρίσκοντες ἀψαύστους οἱ ἱερεῖς, ἐξήγγελον εἰς τοὺς πολλοὺς, θεμιστοκλέους λόγον διδόντος, ὡς ἀπολέλοιπε τὴν πόλιν ἡ θεὸς ὑφηγουμένη πρὸς τὴν θάλατταν αὐτοῖς. τῷ δὲ χρησμῷ, πάλιν ἐδημαγώγει λέγων, μηδὲν ἄλλο δηλοῦσθαι ξύλινον τεῖχος, ἢ τὰς ναῦς, διὸ καὶ τὴν σαλαμῖνα, θείαν οὐχὶ δειλὴν, οὐδὲ σχετλίαν καλεῖν τὸν θεὸν, ὡς εὐτυχήματος μεγάλου τοῖς ἕλλησιν ἐπώνυμον ἐσομένην. κρατήσας δὲ τῇ γνώμῃ, ψήφισμα γράφει, τὴν μὲν πόλιν, παρακαταθέσθαι τῇ ἀθηνᾷ, τῇ ἀθηναίων μεδεούσῃ. τοὺς δ' ἐν ἡλικίᾳ πάντας, ἐμβαίνειν εἰς τὰς τριήρεις. παῖδας δὲ καὶ γυναῖκας, καὶ ἀνδράποδα. σώζειν ἕκαστον ὡς δυνατὸν. κυρωθέντος δὲ τοῦ ψηφίσματος, οἱ πλεῖστοι τῶν ἀθηναίων, ὑπεξέθεντο γονέας καὶ γυναῖκας, εἰς τροιζῆνα, φιλοτίμως πάνυ τῶν τροιζηνίων ὑποδεχομένων. καὶ γὰρ τρέφειν ἐψηφίσαντο δημοσίᾳ. δύο ὀβολοὺς ἑκάστῳ διδόντες, καὶ τῆς ὀπώρας λαμβάνειν τοὺς παῖδας ἐξεῖναι πανταχόθεν. ἔτι δ' ὑπὲρ αὐτῶν διδασκάλοις τελεῖν μισθούς. τὸ δὲ ψήφισμα, νικαγόρας ἔγραψεν. οὐκ ὄντων δὲ δημοσίων χρημάτων τοῖς ἀθηναίοις, ἀριστοτέλης μὲν φησὶ τὴν ἐξ ἀρείου πάγου βουλὴν, πορίσασαν ἑκάστῳ τῶν στρατευομένων, ὀκτὼ δραχμὰς, αἰτιωτάτην γενέσθαι τοῦ πληρωθῆναι τὰς τριήρεις. κλείδημος δὲ, καὶ τοῦτο θεμιστοκλέους γενέσθαι στρατήγημα ποιεῖται. καταβαινόντων γὰρ εἰς πειραιᾶ τῶν ἀθηναίων φησὶν ἀπολέσθαι τὸ γοργόνειον ἀπὸ τῆς θεοῦ τοῦ ἀγάλματος. τὸν οὖν θεμιστοκλέα προσποιούμενον ζητεῖν, καὶ διερευνώμενον ἅπαντα, χρημάτων εὑρίσκειν πλῆθος, ἐν ταῖς ἀποσκευαῖς ἀποκεκρυμμένον. ὧν εἰς μέσον κομισθέντων, εὐπορῆσαι τοὺς ἐμβαίνοντας εἰς τὰς ναῦς ἐφοδίων. ἐκπλεούσης δὲ τῆς πόλεως, τοῖς μὲν οἶκτον τὸ θέαμα, τοῖς δὲ θαῦμα τῆς τόλμης παρεῖχε. γενεὰς μὲν ἄλλῃ προπεμπόντων, αὐτῶν δ' ἀκάμπτων πρὸς οἰμωγὰς καὶ δάκρυα γονέων καὶ περιβολὰς διαπερώντων εἰς τὴν νῆσον. καίτοι πολλοὶ μὲν διὰ γῆρας ἀπολιμπανόμενοι τῶν πολιτῶν, ἔλεον εἶχον. ἦν δέ τις καὶ ἀπὸ τῶν ἡμέρων καὶ συντρόφων ζώων ἐπικλῶσα γλυκυθυμία μετ' ὠρυγῆς καὶ πόθου συμπαραθεόντων, ἐμβαίνουσι τοῖς ἑαυτῶν τροφεῦσιν. ἐν οἷς ἱστορεῖται κύων ξανθίππου τοῦ περικλέους πατρὸς, οὐκ ἀνασχόμενος τὴν ἀπ' αὐτοῦ μόνωσιν ἐναλέσθαι τῇ θαλάττῃ, καὶ τῇ τριήρει παρανηχόμενος, ἐκπεσεῖν εἰς τὴν σαλαμῖνα, καὶ λειποθυμήσας, ἀποθανεῖν εὐθύς. οὗ καὶ τὸ δεικνύμενον ἄχρι νῦν καὶ καλούμενον κυνὸς σῆμα, τάφον εἶναι λέγουσι. ταῦτα δὴ μεγάλα τοῦ θεμιστοκλέους. καὶ τοὺς πολίτας αἰσθόμενος ποθοῦντας ἀριστείδην, καὶ δεδιότας μὴ δι' ὀργὴν τῷ βαρβάρῳ προσθεὶς ἑαυτὸν, ἀναστρέψῃ τὰ πράγματα τῆς ἑλλάδος. ἐξωστράκιστο γὰρ πρὸ τοῦ πολέμου καταστασιασθεὶς ὑπὸ θεμιστοκλέους, γράφει ψήφισμα τοῖς ἐπὶ χρόνῳ μεθεστῶσιν, ἐξεῖναι κατελθοῦσι, πράττειν καὶ λέγειν τὰ βέλτιστα τῇ ἑλλάδι μετὰ τῶν ἄλλων πολιτῶν. εὐρυβιάδου δὲ τὴν μὲν ἡγεμονίαν τῶν νεῶν ἔχοντος διὰ τὸ τῆς σπάρτης ἀξίωμα, μαλακοῦ δὲ περὶ τὸν κίνδυνον ὄντος, αἴρειν δὲ βουλομένου καὶ πλεῖν ἐπὶ τὸν ἰσθμὸν, ὅπου καὶ τὸ πεζὸν ἤθροιστο τῶν πελοποννησίων, ὁ θεμιστοκλῆς ἀντέλεγεν, ὅτε καὶ τὰ μνημονευόμενα λεχθῆναι φασί. τοῦ γὰρ εὐρυβιάδου πρὸς αὐτὸν εἰπόντος, ὦ θεμιστόκλεις ἐν τοῖς ἀγῶσι τοὺς προεξανισταμένους ῥαπίζουσι, ναὶ εἶπεν, ὁ θεμιστοκλῆς. ἀλλὰ τοὺς ἀπολειφθέντας, οὐ στεφανοῦσιν. ἐπαραμένου δὲ τὴν βακτηρίαν ὡς πατάξοντος, ὁ θεμιστοκλῆς, ἔφη. πάταξον μὲν, ἄκουσον δέ. θαυμάσαντος δὲ τὴν πραότητα τοῦ εὐρυβιάδου, καὶ λέγειν κελεύσαντος, ὁ θεμιστοκλῆς ἀνῆγεν αὐτὸν ἐπὶ τὸν λόγον, εἰπόντος δέ τινος ὡς ἀνὴρ ἄπολις, οὐκ ὀρθῶς διδάσκει τοὺς ἔχοντας ἐγκαταλιπεῖν καὶ προέσθαι τὰς πατρίδας, ὁ θεμιστοκλῆς ἐπιστρέψας τὸν λόγον, ἡμεῖς τοι εἶπεν ὦ μοχθηρὲ, τὰς μὲν οἰκίας καὶ τὰ τείχη καταλελοίπαμεν, οὐκ ἀξιοῦντες ἀψύχων ἕνεκα δουλεύειν. πόλις δ' ἡμῖν ἐστι μεγίστη τῶν ἑλληνίδων, αἱ διακόσιαι τριήρεις, αἳ νῦν ὑμῖν παρεστᾶσι βοηθοὶ σώζεσθαι δι' αὐτῶν βουλομένοις. εἰ δ' ἄπιτε δεύτερον ἡμᾶς προδόντες, αὐτίκα πεύσεταί τις ἑλλήνων ἀθηναίους, καὶ πόλιν ἐλευθέραν, καὶ χώραν οὐ χείρονα κεκτημένους, ἧς ἀπέβαλον. ταῦτα τοῦ θεμιστοκλέους εἰπόντος, ἔννοια καὶ δέος ἔσχε τὸν εὐρυβιάδην τῶν ἀθηναίων μὴ σφᾶς ἀπολιπόντες οἴχωνται. τοῦ δ' ἐρετριέως πειρωμένου λέγειν πρὸς αὐτὸν, ἦ γὰρ ἔφη καὶ ὑμῖν περὶ πολέμου τίς ἐστι λόγος. οἳ καθάπερ αἱ τευθίδες, μάχαιραν μὲν ἔχετε, καρδίαν δὲ οὐκ ἔχετε. λέγεται δ' ὑπό τινων, τὸν μὲν θεμιστοκλέα περὶ τούτων ἀπὸ τοῦ καταστρώματος ἄνωθεν τῆς νεὼς διαλέγεσθαι. γλαῦκα δ' ὀφθῆναι διαπετομένην ἐπὶ τὰ δεξιὰ τῶν νεῶν, καὶ τοῖς καρχησίοις ἐπικαθίζουσαν. διὸ δὴ καὶ μάλιστα προσέθεντο τῇ γνώμῃ καὶ παρεσκευάζοντο ναυμαχήσοντες. ἀλλ' ἐπεὶ τῶν πολεμίων ὁ στόλος τῇ ἀττικῇ κατὰ τὸ φαληρικὸν προσφερόμενος, τοὺς πέριξ ἀπέκρυψεν αἰγιαλοὺς, αὐτός τε βασιλεὺς μετὰ τοῦ πεζοῦ στρατοῦ καταβὰς ἐπὶ

θαι. πρὸς ὃ καὶ χίλεων τὸν ἀρκάδα μάλιστα συναγωνίσασθαι λέγουσι. παραλαβὼν δὲ τὴν ἀρχὴν, εὐθὺς μὲν ἐπεχείρει τοὺς πολίτας ἐμβιβάζειν εἰς τὰς τριήρεις. καὶ τὴν πόλιν ἔπειθεν ἐκλιπόντας, ὡς προσωτάτω τῆς ἑλλάδος ἀπαντᾶν τῷ βαρβάρῳ κατὰ θάλασσαν, ἐνισταμένων δὲ πολλῶν, ἐξήγαγε πολλὴν στρατιὰν εἰς τὰ τέμπη μετὰ λακεδαιμονίων, ὡς αὐτόθι προκινδυνεύσων τῆς θετταλίας, οὔπω τότε μηδίζειν δοκούσης. ἐπεὶ δ' ἀνεχώρησαν ἐκεῖθεν ἄπρακτοι, καὶ θετταλῶν βασιλεῖ προσγενομένων, ἐμήδιζε τὰ μέχρι βοιωτίας, μᾶλλον ἤδη τῷ θεμιστοκλεῖ προσεῖχον οἱ ἀθηναῖοι περὶ τῆς θαλάσσης, καὶ πέμπεται μετὰ νεῶν ἐπ' ἀρτεμίσιον τὰ στενὰ φυλάξων. ἔνθα δὴ τῶν μὲν ἑλλήνων, εὐρυβιάδην καὶ λακεδαιμονίους ἡγεῖσθαι κελευόντων. τῶν δ' ἀθηναίων ὅτι πλήθει τῶν νεῶν σύμπαντας ὁμοῦ τι τοὺς ἄλλους ὑπερέβαλλον, οὐκ ἀξιούντων ἑτέροις ἕπεσθαι, συνιδὼν τὸν κίνδυνον ὁ θεμιστοκλῆς, αὐτός τε τὴν ἀρχὴν εὐρυβιάδῃ παρῆκε, καὶ κατεπράϋνε τοὺς ἀθηναίους, ὑπισχνούμενος ἂν ἄνδρες ἀγαθοὶ γένωνται πρὸς τὸν πόλεμον, ἑκόντας αὐτοῖς παρέξειν εἰς τὰ λοιπὰ πειθομένους τοὺς ἕλληνας. διόπερ δοκεῖ τῆς σωτηρίας αἰτιώτατος γενέσθαι τῇ ἑλλάδι, καὶ μάλιστα τοὺς ἀθηναίους προαγαγεῖν εἰς δόξαν. ὡς ἀνδρείᾳ μὲν τῶν πολεμίων, εὐγνωμοσύνῃ δὲ τῶν συμμάχων περιγενομένους. ἐπεὶ δὲ ταῖς ἀφέταις τοῦ βαρβαρικοῦ στόλου προσμίξαντος, ἐκπλαγεὶς εὐρυβιάδης τῶν κατὰ στόμα νεῶν τὸ πλῆθος. ἄλλας δὲ πυνθανόμενος διακοσίας ὑπὲρ σκιάθου κύκλῳ περιπλεῖν, ἐβούλετο τὴν ταχίστην εἴσω τῆς ἑλλάδος κομισθεὶς, ἅψασθαι πελοποννήσου. καὶ τὸν πεζὸν στρατὸν ταῖς ναυσὶ προσπεριβαλέσθαι, παντάπασιν ἀπρόσμαχον ἡγούμενος τὴν κατὰ θάλατταν ἀλκὴν βασιλέως, δείσαντες οἱ εὐβοεῖς μὴ σφᾶς οἱ ἕλληνες προῶνται, κρύφα τῷ θεμιστοκλεῖ διελέγοντο, πελάγοντα μετὰ χρημάτων πολλῶν πέμψαντες, ἃ λαβὼν ἐκεῖνος ὡς ἡρόδοτος ἱστόρηκε, τοῖς περὶ τὸν εὐρυβιάδην ἔδωκεν. ἐναντιουμένου δ' αὐτῷ τῶν πολιτῶν ἀρχιτέλους, ὃς ἦν μὲν ἐπὶ τῆς ἱερᾶς νεὼς τριήραρχος, οὐκ ἔχων δὲ χρήματα τοῖς ναύταις χορηγεῖν ἔσπευδεν ἀποπλεῦσαι, παρώξυνεν ἔτι μᾶλλον ὁ θεμιστοκλῆς τοὺς πολίτας ἐπ' αὐτὸν, ὥστε τὸ δεῖπνον ἁρπάσαι συνδραμόντας. τοῦ δ' ἀρχιτέλους ἀθυμοῦντος ἐπὶ τούτῳ καὶ βαρέως φέροντος, εἰσέπεμψε θεμιστοκλῆς πρὸς αὐτὸν ἐν κίστῃ δεῖπνον ἄρτων καὶ κρεῶν, ὑποθεὶς κάτω τάλαντον ἀργυρίου, καὶ κελεύσας αὐτόν τε δειπνεῖν ἐν τῷ παρόντι, καὶ μεθ' ἡμέραν ἐπιμεληθῆναι τῶν τριηριτῶν. εἰ δὲ μὴ, καταβοήσειν αὐτοῦ πρὸς τοὺς πολίτας ὡς ἔχοντος ἀργύριον παρὰ τῶν πολεμίων. ταῦτα μὲν οὖν φανίας ὁ λέσβιος εἴρηκεν. αἱ δὲ γενόμεναι τότε πρὸς τὰς τῶν βαρβάρων ναῦς, περὶ τὰ στενὰ μάχαι, κρίσιν μὲν εἰς τὰ ὅλα μεγάλην οὐκ ἐποίησαν, τῇ δὲ πείρᾳ μάλιστα τοὺς ἕλληνας ὤνησαν ὑπὸ τῶν ἔργων παρὰ τοὺς κινδύνους διδαχθέντας, ὡς οὔτε πλήθη νεῶν, οὔτε κόσμοι καὶ λαμπρότητες ἐπισήμων, οὔτε κραυγαὶ κομπώδεις, ἢ βάρβαροι παιᾶνες, ἔχουσί τι δεινὸν ἀνδράσιν ἐπισταμένοις εἰς χεῖρας ἰέναι, καὶ μάχεσθαι τολμῶσιν, ἀλλὰ δεῖ τῶν τοιούτων καταφρονοῦντας, ἐπ' αὐτὰ τὰ σώματα φέρεσθαι, καὶ πρὸς ἐκεῖνα διαγωνίζεσθαι συμπλακέντας. ὃ δὴ καὶ πίνδαρος οὐ κακῶς ἔοικε συνιδὼν, ἐπὶ τῆς ἐπ' ἀρτεμισίῳ μάχης
» εἰπεῖν, ὅτι παῖδες ἀθηναίων ἐβάλοντο φαεννὰν κρηπῖδα ἐλευθερίας. ἀρχὴ γὰρ ὄντως τοῦ νικᾶν τὸ θαῤῥεῖν. ἔστι δὲ τῆς εὐβοίας τὸ ἀρτεμίσιον ὑπὲρ τὴν ἑστιαίαν αἰγιαλὸς εἰς βορέαν ἀναπεπταμένος ἀντιτείνει δ' αὐτῷ μάλιστα τῆς ὑπὸ φιλοκτήτῃ χώρας γενομένης ὀλιζών. ἔχει δὲ ναὸν οὐ μέγαν ἀρτέμιδος ἐπίκλησιν προσηῴας. καὶ δένδρα περὶ αὐτῷ πέφυκε, καὶ στῆλαι κύκλῳ λίθου λευκοῦ πεπήγασι. ὁ δὲ λίθος τῇ χειρὶ τριβόμενος, καὶ χρόαν καὶ ὀσμὴν κροκίζουσαν ἀναδίδωσιν. ἐν μιᾷ δὲ τῶν στηλῶν,
» ἐλεγεῖον ἦν, τόδε γεγραμμένον. Παντοδαπῶν ἀνδρῶν γενεὰς, ἀσίης ἀπὸ χώρας, Παῖδες ἀθη-
» ναίων, τῷδέ ποτ' ἐν πελάγει Ναυμαχίῃ δαμάσαντες, ἐπεὶ στρατὸς ὤλετο μήδων. Σήματα ταῦτ' ἔθεσαν παρθένῳ ἀρτέμιδι. δείκνυται δὲ τῆς ἀκτῆς τόπος ἐν πολλῇ τῇ πέριξ θινὶ, κόνιν τεφρώδη καὶ μέλαιναν ἐκ βάθους ἀναδιδοὺς ὥσπερ πυρίκαυτον, ἐν ᾧ τὰ ναυάγια καὶ νεκροὺς καῦσαι δοκοῦσι. τῶν μέντοι περὶ θερμοπύλας εἰς τὸ ἀρτεμίσιον ἀπαγγελθέντων, πυθόμενοι λεωνίδαν τε κεῖσθαι, καὶ κρατεῖν ξέρξην τῶν κατὰ γῆν παρόδων, εἴσω τῆς ἑλλάδος ἀνεκομίζοντο, τῶν ἀθηναίων ἐπὶ πᾶσι τεταγμένων, καὶ δι' ἀρετὴν μέγα τοῖς πεπραγμένοις φρονούντων. παραπλέων δὲ τὴν χώραν ὁ θεμιστοκλῆς, ᾗ καταίρσεις ἀναγκαίας, καὶ καταφυγὰς ἑώρα τοῖς πολεμίοις, ἐνεχάραττε κατὰ τῶν λίθων, ἐπιφανῆ γράμματα. τοὺς μὲν, εὑρίσκων ἀπὸ τύχης. τοὺς δ' αὐτὸς ἱστὰς περὶ τὰ ναύλοχα, καὶ τὰς ὑδρείας, ἐπισκήπτων ἴωσι διὰ γραμμάτων, εἰ μὲν οἷόν τε μετατάξασθαι πρὸς αὐτοὺς πατέρας ὄντας καὶ προκινδυνεύοντας ὑπὲρ τῆς ἐκείνων ἐλευθερίας. εἰ δὲ μὴ, κακοῦν τὸ βαρβαρικὸν ἐν ταῖς μάχαις καὶ συνταράττειν. ταῦτα δ' ἤλπιζεν, ἢ μεταστήσειν τοὺς ἴωνας, ἢ ταράξειν, ὑπόπτους τοῖς βαρβάροις γενομένους. ξέρξου δὲ διὰ τῆς δωρίδος ἄνωθεν ἐμβαλόντος εἰς τὴν φωκίδα, καὶ τὰ τῶν φωκέων ἄστη πυρπολοῦντος, οὐ προσήμυνον οἱ ἕλληνες. καίπερ τῶν ἀθηναίων δεομένων εἰς τὴν βοιωτίαν ἀπαντῆσαι πρὸ τῆς ἀττικῆς, ὥσπερ αὐτοὶ κατὰ θάλασσαν ἐπ' ἀρτεμίσιον ἐβοήθησαν. μηδενὸς δ' ὑπακούοντος αὐτοῖς, ἀλλὰ τῆς πελοποννήσου περιεχομένων, καὶ πᾶσαν ἐντὸς ἰσθμοῦ τὴν δύναμιν ὡρμημένων συνάγειν, καὶ διατειχιζόντων τὸν ἰσθμὸν εἰς θάλατταν ἐκ θαλάττης, ἅμα μὲν ὀργὴ τῆς προδο-

τῷ καὶ τὰς νύκτας ἀγρυπνεῖν, καὶ τοὺς πότους παραιτεῖσθαι τοὺς συνήθεις, καὶ λέγειν πρὸς τοὺς ἐρωτῶντας καὶ θαυμάζοντας τὴν περὶ τὸν βίον μεταβολήν, ὡς καθεύδειν αὐτὸν οὐκ ἐώη τὸ τοῦ μιλτιάδου τρόπαιον. οἱ μὲν γὰρ ἄλλοι πέρας ᾤοντο τοῦ πολέμου τὴν ἐν μαραθῶνι τῶν βαρβάρων ἧτταν εἶναι. θεμιστοκλῆς δὲ, ἀρχὴν μειζόνων ἀγώνων. ἐφ' οὓς ἑαυτὸν ὑπὲρ τῆς ὅλης ἑλλάδος ἤλειφεν ἀεὶ, καὶ τὴν πόλιν ἤσκει, πόῤῥωθεν ἤδη προσδοκῶν τὸ μέλλον. καὶ πρῶτον μὲν, τὴν λαυρεωτικὴν πρόσοδον ἀπὸ τῶν ἀργυρείων μετάλλων, ἔθος ἐχόντων ἀθηναίων διανέμεσθαι, μόνος εἰπεῖν ἐτόλμησε παρελθὼν εἰς τὸν δῆμον, ὡς χρὴ τὴν διανομὴν ἐάσαντας, ἐκ τῶν χρημάτων τούτων κατασκευάσασθαι τριήρεις ἐπὶ τὸν πρὸς αἰγινήτας πόλεμον. ἤκμαζε γὰρ οὗτος ἐν τῇ ἑλλάδι μάλιστα, καὶ κατεῖχον οἱ αἰγινῆται, πλήθει νεῶν, τὴν θάλασσαν. ᾗ καὶ ῥᾷον θεμιστοκλῆς συνέπεισεν, οὐ δαρεῖον, οὐδὲ πέρσας. μακρὰν γὰρ ἦσαν οὗτοι, καὶ δέος οὐ πάνυ βέβαιον ὡς ἀφιξόμενοι παρεῖχον, ἐπισείων. ἀλλὰ τῇ πρὸς αἰγινήτας ὀργῇ καὶ φιλονεικίᾳ τῶν πολιτῶν, ἀποχρησάμενος εὐκαίρως ἐπὶ τὴν παρασκευήν. ἑκατὸν γὰρ ἀπὸ τῶν χρημάτων ἐκείνων ἐποιήθησαν τριήρεις, αἳ καὶ πρὸς ξέρξην ἐναυμάχησαν. ἐκ δὲ τούτου κατὰ μικρὸν ὑπάγων, καὶ καταβιβάζων τὴν πόλιν πρὸς τὴν θάλασσαν, ὡς τὰ πεζὰ μὲν, οὐδὲ τοῖς ὁμοίοις ἀξιομάχους ὄντας. τῇ δ' ἀπὸ τῶν νεῶν ἀλκῇ καὶ τοὺς βαρβάρους ἀμύνασθαι, καὶ τῆς ἑλλάδος ἄρχειν δυναμένους, ἀντὶ μονίμων ὁπλιτῶν, ὥς φησι πλάτων ναύτας καὶ θαλαττίους ἐποίησε. καὶ διαβολὴν καθ' αὑτοῦ παρέσχεν, ὡς ἄρα θεμιστοκλῆς, τὸ δόρυ καὶ τὴν ἀσπίδα τῶν πολιτῶν παρελόμενος, εἰς ὑπηρέσιον, καὶ κώπην συνέστειλε τὸν τῶν ἀθηναίων δῆμον, ἔπραξε δὲ ταῦτα, μιλτιάδου κρατήσας ἀντιλέγοντος, ὡς ἱστορεῖ στησίμβροτος. εἰ μὲν δὴ τὴν ἀκρίβειαν καὶ τὸ καθαρὸν τοῦ πολιτεύματος ἔβλαψεν, ἢ μὴ, ταῦτα πράξας, ἔστω φιλοσοφώτερον ἐπισκοπεῖν. ὅτι δὲ ἡ τότε σωτηρία τοῖς ἕλλησιν ἐκ τῆς θαλάσσης, ὑπῆρξε. καὶ τὴν ἀθηναίων πόλιν λυθεῖσαν, ἔστησαν αἱ τριήρεις ἐκεῖναι, τά τ' ἄλλα καὶ ξέρξης αὐτὸς ἐμαρτύρησε. τῆς γὰρ πεζικῆς δυνάμεως ἀθραύστου διαμενούσης, ἔφυγε μετὰ τὴν τῶν νεῶν ἧτταν, ὡς οὐκ ὢν ἀξιόμαχος. καὶ μαρδόνιον, ἐμποδὼν εἶναι τοῖς ἕλλησι τῆς διώξεως μᾶλλον, ἢ δουλωσόμενος, αὐτοὺς ὡς ἐμοὶ δοκεῖν κατέλιπεν. εὔτονον δὲ γεγονέναι χρηματιστὴν, οἱ μὲν, φασὶ δι' ἐλευθεριότητα. καὶ γὰρ φιλόθυτον ὄντα καὶ λαμπρὸν, ἐν ταῖς περὶ τοὺς ξένους δαπάναις, ἀφθόνου δεῖσθαι χορηγίας. οἱ δὲ, τοὐναντίον γλισχρότητα πολλὴν καὶ μικρολογίαν κατηγοροῦσιν, ὡς καὶ τὰ πεμπόμενα τῶν ἐδωδίμων πωλοῦντος. ἐπεὶ δὲ φιλίδης ὁ ἱπποτρόφος αἰτηθεὶς ὑπ' αὐτοῦ πῶλον οὐκ ἔδωκεν, ἠπείλησε τὸν οἶκον αὐτοῦ ταχὺ ποιήσειν δούρειον ἵππον, αἰνιξάμενος ἐγκλήματα συγγενικὰ καὶ δίκας τῷ ἀνθρώπῳ πρὸς οἰκείους τινὰς ταράξειν. τῇ δὲ φιλοτιμίᾳ πάντας ὑπερέβαλεν, ὥστ' ἔτι μὲν νέος ὢν καὶ ἀφανὴς, ἐπὶ κλέα τὸν ἐξ ἑρμιόνης κιθαριστὴν σπουδαζόμενον ὑπὸ τῶν ἀθηναίων, ἐκλιπαρῆσαι μελετᾶν παρ' αὐτῷ, φιλοτιμούμενος πολλοὺς τὴν οἰκίαν ζητεῖν καὶ φοιτᾶν παρ' αὐτῷ. εἰς δ' ὀλυμπίαν ἐλθὼν καὶ διαμιλλώμενος τῷ κίμωνι περὶ δεῖπνα καὶ σκηνὰς. καὶ τὴν ἄλλην λαμπρότητα καὶ παρασκευὴν, οὐκ ἤρεσκε τοῖς ἕλλησιν. ἐκείνῳ μὲν γὰρ ὄντι νέῳ, καὶ ἀπ' οἰκίας μεγάλης, ᾤοντο δεῖν τὰ τοιαῦτα συγχωρεῖν. ὁ δὲ, μήπω γνώριμος γεγονὼς, ἀλλὰ καὶ δοκῶν ἐξ οὐχ ὑπαρχόντων παρ' ἀξίαν ἐπαίρεσθαι, προσωφλίσκανεν ἀλαζονείαν. ἐνίκησε δὲ καὶ χορηγῶν τραγῳδοῖς, μεγάλην ἤδη τότε σπουδὴν καὶ φιλοτιμίαν τοῦ ἀγῶνος ἔχοντος. καὶ πίνακα τῆς νίκης ἀνέθηκε, τοιαύτην ἐπιγραφὴν ἔχοντα. θεμιστοκλῆς φρεάῤῥιος ἐχορήγει. φρύνιχος ἐδίδασκεν. ἀδείμαντος ἦρχεν. οὐ μὴν ἀλλὰ τοῖς πολλοῖς ἐνήρμοττε. τοῦτο μὲν, ἑκάστου τῶν πολιτῶν τοὔνομα λέγων ἀπὸ στόματος. τοῦτο δὲ, κριτὴν ἀσφαλῆ περὶ τὰ συμβόλαια παρέχων ἑαυτόν. ὥσπερ πού καὶ πρὸς σιμωνίδην τὸν κεῖον εἰπεῖν αἰτούμενόν τι τῶν οὐ μετρίων παρ' αὐτοῦ στρατηγοῦντος. ὡς οὔτ' ἐκεῖνος ἂν γένοιτο ποιητὴς ἀγαθὸς ᾄδων παρὰ μέλος. οὔτ' αὐτὸς ἀστεῖος ἄρχων παρὰ νόμον χαριζόμενος. πάλιν δέ ποτε τὸν σιμωνίδην ἐπισκώπτων, ἔλεγε. νοῦν οὐκ ἔχειν κορινθίους μὲν λοιδοροῦντα, μεγάλην οἰκοῦντας πόλιν. αὑτοῦ δὲ ποιούμενον εἰκόνας, οὕτως ὄντος αἰσχροῦ τὴν ὄψιν. αὐξόμενος δὲ καὶ τοῖς πολλοῖς ἀρέσκων, τέλος κατεστασίασε. καὶ μετέστησεν ἐξοστρακισθέντα τὸν ἀριστείδην. ἤδη δὲ τοῦ μήδου καταβαίνοντος ἐπὶ τὴν ἑλλάδα, καὶ τῶν ἀθηναίων βουλευομένων περὶ στρατηγοῦ, τοὺς μὲν ἄλλους ἑκόντας ἐκστῆναι τῆς στρατηγίας λέγουσιν, ἐκπεπληγμένους τὸν κίνδυνον. ἐπικύδην δὲ, τὸν εὐφημίδου δημαγωγὸν ὄντα δεινὸν μὲν εἰπεῖν, μαλακὸν δὲ τὴν ψυχὴν καὶ χρημάτων ἥττονα, τῆς ἀρχῆς ἐφίεσθαι καὶ κρατήσειν ἐπίδοξον εἶναι τῇ χειροτονίᾳ. τὸν οὖν θεμιστοκλέα δείσαντα, μὴ τὰ πράγματα διαφθαρείη παντάπασι, τῆς ἡγεμονίας εἰς ἐκεῖνον ἐμπεσούσης, χρήμασι τὴν φιλοτιμίαν ἐξωνήσασθαι παρὰ τοῦ ἐπικύδους. ἐπαινεῖται δ' αὐτοῦ καὶ τὸ περὶ τὸν δίγλωσσον ἔργον ἐν τοῖς πεμφθεῖσιν ὑπὸ βασιλέως, ἐπὶ γῆς καὶ ὕδατος αἴτησιν. ἑρμηνέα γὰρ ὄντα συλλαβὼν διὰ ψηφίσματος, ἀπέκτεινεν, ὅτι φωνὴν ἑλληνίδα βαρβάροις προστάγμασιν ἐτόλμησε χρῆσαι. ἔτι δὲ καὶ τὸ περὶ ἄρθμιον τὸν ζελείτην. θεμιστοκλέους γὰρ εἰπόντος, καὶ τοῦτον εἰς τοὺς ἀτίμους καὶ παῖδας αὐτοῦ καὶ γένος ἐνέγραψαν ὅτι τὸν ἐκ μήδων χρυσὸν εἰς τοὺς ἕλληνας ἐκόμισε, μέγιστον δὲ πάντων τὸ καταλῦσαι τοὺς ἑλληνικοὺς πολέμους καὶ διαλλάξαι τὰς πόλεις ἀλλήλαις, πείσαντα τὰς ἔχθρας διὰ τὸν πόλεμον ἀναβαλέ-

Θεμιστοκλεῖ δὲ τὰ μὲν ἐκ γένους ἀμαυρότερα πρὸς δόξαν ὑπῆρχε. πατρὸς γὰρ ἦν νεοκλέους οὐ τῶν ἄγαν ἐπιφανῶν ἀθήνησι, φρεαρίου τῶν δήμων ἐκ τῆς λεοντίδος φυλῆς. νόθος δὲ πρὸς μητρὸς ὡς λέγουσιν. ἀβρότονον θρῇσσα γυνὴ γένος, ἀλλὰ τεκέσθαι τὸν μέγαν ἕλλησι φημὶ θεμιστοκλέα. φανίας μέν τοι τὴν μητέρα θεμιστοκλέους, οὐ θρᾷτταν, ἀλλὰ καρίνην, οὐδ' ἀβρότονον ὄνομα, ἀλλ' εὐτέρπην ἀναγράφει. νεάνθης δὲ, καὶ πόλιν αὐτῇ τῆς καρίας ἁλικαρνασσὸν προστίθησι. διὸ καὶ τῶν νόθων εἰς κυνόσαργες συντελούντων, τοῦτο δ' ἐστὶν ἔξω πυλῶν γυμνάσιον ἡρακλέους, ἐπεὶ κἀκεῖνος οὐκ ἦν γνήσιος ἐν θεοῖς, ἀλλ' ἐνείχετο νοθείᾳ διὰ τὴν μητέρα θνητὴν οὖσαν, ἔπειθέ τινας ὁ θεμιστοκλῆς τῶν εὖ γεγονότων νεανίσκων, καταβαίνοντας εἰς κυνόσαργες ἀλείφεσθαι μετ' αὐτοῦ, καὶ τούτου γενομένου, δοκεῖ πανούργως τὸν τῶν νόθων καὶ γνησίων διορισμὸν ἀνελεῖν. ὅτι μέν τοι τοῦ λυκομηδῶν γένους μετεῖχε, δῆλόν ἐστι· τὸ γὰρ φλυῆσι τελεστήριον, ὅπερ ἦν λυκομηδῶν κοινὸν, ἐμπρησθὲν ὑπὸ τῶν βαρβάρων, αὐτὸς ἐπισκεύασε καὶ γραφαῖς ἐκόσμησεν, ὡς σιμωνίδης ἱστόρηκεν. ἔτι δὲ παῖς ὢν, ὁμολογεῖται φορᾶς μεστὸς εἶναι. καὶ τῇ μὲν φύσει συνετὸς, τῇ δὲ προαιρέσει μεγαλοπράγμων καὶ πολιτικός. ἐν γὰρ ταῖς ἀνέσεσι καὶ σχολαῖς ἀπὸ τῶν μαθημάτων γινόμενος, οὐκ ἔπαιζεν, οὐδ' ἐρᾳθύμει καθάπερ οἱ λοιποὶ παῖδες, ἀλλ' εὑρίσκετο λόγους τινὰς μελετῶν καὶ συνταττόμενος πρὸς ἑαυτόν. ἦσαν δ' οἱ λόγοι κατηγορία τινὸς, ἢ συνηγορία τῶν παίδων, ὅθεν εἰώθει λέγειν ὁ διδάσκαλος, ὡς οὐδὲν ἔσῃ παῖ σὺ μικρὸν, ἀλλὰ μέγα πάντως ἀγαθὸν ἢ κακόν. ἐπεὶ καὶ τῶν παιδεύσεων, τὰς μὲν ἠθοποιοὺς, ἢ πρὸς ἡδονήν τινα καὶ χάριν ἐλευθέριον σπουδαζομένας, ὀκνηρῶς καὶ ἀπροθύμως ἐξεμάνθανε. τῶν δὲ εἰς σύνεσιν ἢ πρᾶξιν λεγομένων, δῆλος ἦν οὐχ ὑπερορῶν παρ' ἡλικίαν, ὡς τῇ φύσει πιστεύων. ὅθεν ὕστερον ἐν ταῖς ἐλευθερίαις καὶ ἀστείαις λεγομέναις διατριβαῖς, ὑπὸ τῶν πεπαιδεῦσθαι δοκούντων χλευαζόμενος, ἠναγκάζετο φορτικώτερον ἀμύνεσθαι, λέγων, ὅτι λύραν μὲν ἁρμόσασθαι καὶ μεταχειρίσασθαι ψαλτήριον οὐκ ἐπίσταται. πόλιν δὲ μικρὰν καὶ ἄδοξον παραλαβὼν, ἔνδοξον καὶ μεγάλην ἀπεργάσασθαι. καίτοι στησίμβροτος, ἀναξαγόρου τε διακοῦσαι τὸν θεμιστοκλέα φησί. καὶ περὶ μέλισσον σπουδάσαι τὸν φυσικόν. οὐκ εὖ τῶν χρόνων ἁπτόμενος. περικλεῖ γὰρ ὃς πολὺ νεώτερος ἦν θεμιστοκλέους, μέλισσος μὲν ἀντεστρατήγει πολιορκοῦντι σαμίους. ἀναξαγόρας δὲ συνδιέτριβε. μᾶλλον οὖν ἄν τις προσέχοι τοῖς μνησιφίλου, τὸν θεμιστοκλέα τοῦ φρεαρίου ζηλωτὴν γενέσθαι λέγουσιν, οὔτε ῥήτορος ὄντος, οὔτε τῶν φυσικῶν κληθέντων φιλοσόφων, ἀλλὰ τὴν καλουμένην σοφίαν, οὖσαν δὲ δεινότητα πολιτικὴν, καὶ δραστήριον σύνεσιν, ἐπιτήδευμα πεποιημένου καὶ διασώζοντος, ὥσπερ αἵρεσιν ἐκ διαδοχῆς ἀπὸ σόλωνος. ἣν οἱ μετὰ ταῦτα δικανικαῖς μίξαντες τέχναις, καὶ μεταγαγόντες ἀπὸ τῶν πράξεων τὴν ἄσκησιν ἐπὶ τοὺς λόγους, σοφισταὶ προσηγορεύθησαν. τούτῳ μὲν οὖν ἤδη πολιτευόμενος ἐπλησίαζεν. ἐν δὲ ταῖς πρώταις τῆς νεότητος ὁρμαῖς, ἀνώμαλος ἦν καὶ ἀστάθμητος, τῇ φύσει καθ' αὑτὴν χρώμενος ἄνευ λόγου καὶ παιδείας ἐπ' ἀμφότερα μεγάλας ποιουμένῃ μεταβολὰς τῶν ἐπιτηδευμάτων. καὶ πολλάκις ἐξισταμένῃ πρὸς τὸ χεῖρον, ὡς ὕστερον αὐτὸς ὡμολόγει. καὶ τοὺς τραχυτάτους πώλους, ἀρίστους ἵππους γίνεσθαι φάσκων, ὅταν ἧς προσήκει τύχωσι παιδείας καὶ καταρτύσεως. ἃ δὲ τούτων ἐξαρτῶσιν ἔνιοι διηγήματα πλάττοντες, ἀποκήρυξιν μὲν ὑπὸ τοῦ πατρὸς αὐτοῦ, θάνατον δὲ τῆς μητρὸς ἑκούσιον ἐπὶ τῇ τοῦ παιδὸς ἀτιμίᾳ περιλύπου γενομένης, δοκεῖ κατεψεῦσθαι. καὶ τοὐναντίον εἰσὶν οἱ λέγοντες, ὅτι τὰ κοινὰ πράττειν ἀποτρέπων αὐτὸν ὁ πατὴρ, ἐπεδείκνυε πρὸς τῇ θαλάττῃ τὰς παλαιὰς τριήρεις, ἐρριμμένας καὶ παρεωραμένας, ὡς δὴ καὶ πρὸς τοὺς δημαγωγοὺς ὅταν ἄχρηστοι γένωνται, τῶν πολλῶν ὁμοίως ἐχόντων. ταχὺ μέν τοι καὶ νεανικῶς ἔοικεν ἅψασθαι τοῦ θεμιστοκλέους τὰ πολιτικὰ πράγματα, καὶ σφόδρα ἡ πρὸς δόξαν ὁρμὴ κρατῆσαι. δι' ἣν εὐθὺς ἐξ ἀρχῆς πρωτεύειν ἐφιέμενος, ἰταμῶς ὑφίστατο τὰς πρὸς τοὺς δυναμένους ἐν τῇ πόλει καὶ πρωτεύοντας ἀπεχθείας. μάλιστα δὲ ἀριστείδην τὸν λυσιμάχου, τὴν ἐναντίαν ἀεὶ πορευόμενον αὐτῷ. καίτοι δοκεῖ παντάπασιν ἡ πρὸς τοῦτον ἔχθρα, μειρακιώδη λαβεῖν ἀρχήν. ἠράσθησαν γὰρ ἀμφότεροι τοῦ καλοῦ στησίλεω, τηΐου τὸ γένος ὄντος, ὡς ἀρίστων ὁ φιλόσοφος ἱστόρηκεν. ἐκ δὲ τούτου διετέλουν καὶ περὶ τὰ δημόσια στασιάζοντες. οὐ μὴν ἀλλ' ἡ τῶν βίων καὶ τῶν τρόπων ἀνομοιότης, ἔοικεν αὐξῆσαι τὴν διαφοράν. πρᾶος γὰρ ὢν φύσει καὶ καλοκἀγαθικὸς τὸν τρόπον ὁ ἀριστείδης, καὶ πολιτευόμενος οὐ πρὸς χάριν, οὐδὲ πρὸς δόξαν, ἀλλ' ἀπὸ τοῦ βελτίστου μετ' ἀσφαλείας καὶ δικαιοσύνης, ἠναγκάζετο τῷ θεμιστοκλεῖ τὸν δῆμον ἐπὶ πολλὰ κινοῦντι, καὶ μεγάλας ἐπιφέροντι καινοτομίας, ἐναντιοῦσθαι πολλάκις, ἐνιστάμενος αὐτοῦ πρὸς τὴν αὔξησιν. λέγεται γὰρ οὕτω παράφορος πρὸς δόξαν εἶναι καὶ πράξεων μεγάλων ὑπὸ φιλοτιμίας ἐραστὴς, ὥς τε νέος ὢν ἔτι, τῆς ἐν μαραθῶνι μάχης πρὸς τοὺς βαρβάρους γενομένης, καὶ τῆς μιλτιάδου στρατηγίας διαβοηθείσης, σύννους ὁρᾶσθαι τὰ πολλὰ πρὸς ἑαυ-

» μνέρμον ἀντειπὼν περὶ χρόνου ζωῆς, ἐπιπεφώνηκε. μηδέ μοι ἄκλαυστος θάνατος μόλοι, ἀλλὰ φίλοι-
» σι ποιήσαιμι θανὼν ἄλγεα καὶ στοναχάς, εὐδαίμονα τὸν ποπλικόλαν ποιεῖ. τελευτήσας γάρ, οὐ φίλοις
οὐδ᾽ οἰκείοις μόνον, ἀλλὰ τῇ πόλει πάσῃ, μυριάσι πολλαῖς, δάκρυα καὶ πόθον καὶ κατήφειαν ἐφ᾽ αὐτῷ πα-
» ρέσχεν. αἱ γὰρ ῥωμαίων γυναῖκες, ἐπένθησαν αὐτὸν ὥσπερ υἱόν, ἢ ἀδελφόν, ἢ πατέρα κοινὸν ἀποβα-
» λοῦσαι. χρήματα δ᾽ ἱμείρω μὲν ἔχειν φησὶν ὁ σόλων, ἀδίκως δὲ πεπᾶσθαι, οὐκ ἐθέλω, ὡς δίκης ἐπιούσης.
ποπλικόλᾳ δ᾽ ὑπῆρχεν, οὐ μόνον μὴ κακῶς πλουτεῖν, ἀλλὰ καὶ καλῶς ἀναλίσκειν, εὖ ποιοῦντι τοὺς δεο-
μένους. ὥστ᾽ εἰ σοφώτατος ἁπάντων ὁ σόλων, εὐδαιμονέστατος ὁ ποπλικόλας. ἃ γὰρ ηὔξατο τῶν ἀγα-
θῶν ἐκεῖνος, ὡς μέγιστα καὶ κάλλιστα, ταῦτα καὶ κτήσασθαι ποπλικόλᾳ καὶ φυλάξαι χρωμένῳ μέχρι τέλους
ὑπῆρξεν. οὕτω μὲν ὁ σόλων, κεκόσμηκε τὸν ποπλικόλαν. τὸν σόλωνα δ᾽ αὖ πάλιν, ἐκεῖνος ἐν τῇ πολι-
τείᾳ παραδειγμάτων κάλλιστον ἀνδρὶ κοσμοῦντι δημοκρατίαν θέμενος, τῆς μὲν ἀρχῆς τὸν ὄγκον ἀφε-
λών, εὐμενῆ πᾶσι καὶ ἄλυπον κατέστησε, νόμοις δὲ πολλοῖς ἐχρήσατο τῶν ἐκείνου. καὶ γὰρ ἀρχόντων κατα-
στάσεως, κυρίους ἐποίησε τοὺς πολλούς. καὶ τοῖς φεύγουσι δίκην, ἐπικαλεῖσθαι τὸν δῆμον. ὥσπερ ὁ
σόλων τοὺς δικαστὰς ἔδωκε. καὶ βουλὴν μὲν ἑτέραν οὐκ ἐποίησεν ὥσπερ ὁ σόλων, τὴν δ᾽ οὖσαν ηὔξη-
σεν, ἀριθμῷ μικροῦ διπλασιάσας. ἥ τε τῶν ταμιείων ἐπὶ τοῖς χρήμασι κατάστασις, ἐκεῖθεν ἦλθεν, ὅπως
ἄρχων μήτ᾽ εἰ χρηστός ἐστιν ἀσχολίαν ἔχῃ πρὸς τὰ μείζω. μήτ᾽ εἰ φαῦλος, ἀφορμὰς τοῦ ἀδικεῖν μᾶλλον, καὶ
τῶν πράξεων καὶ τῶν χρημάτων κύριος γενόμενος. τὸ δὲ μισοτύραννον ἐν τῷ ποπλικόλᾳ, σφοδρότε-
ρον. εἰ γάρ τις ἐπιχειροίη τυραννεῖν, ὁ μέν, ἁλόντι τὴν δίκην ἐπιτίθησιν, ὁ δέ, καὶ πρὸ τῆς κρίσεως ἀνε-
λεῖν δίδωσι. σεμνυνομένου δὲ τοῦ σόλωνος ὀρθῶς καὶ δικαίως, ὅτι καὶ τῶν πραγμάτων αὐτῷ διδόντων
τυραννεῖν, καὶ τῶν πολιτῶν οὐκ ἀκουσίως δεχομένων, ἀπεῖπεν. οὐχ ἧττον ὑπάρχει καλὸν τῷ ποπλικό-
λᾳ, τὸ λαβόντα τυραννικὴν ἀρχήν, ποιῆσαι δημοτικωτέραν. καὶ μηδ᾽ οἷς ἐξῆν ἔχοντα χρήσασθαι. καὶ
» τοῦτο δ᾽ ἔοικε συνιδεῖν πρότερος ὁ σόλων, ὅτι δῆμος ὧδ᾽ ἂν ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο, μήτε
» λίαν ἀνεθείς, μήτε πιεζόμενος. ἴδιον δὲ τοῦ σόλωνος, ἡ τῶν χρεῶν ἄνεσις. ᾗ μάλιστα τὴν ἐλευθερίαν ἐβε-
βαίωσε τοῖς πολίταις. οὐδὲν γὰρ ὄφελος νόμων ἰσότητα παρεχόντων, ἣν ἀφαιρεῖται τὰ χρέα τοὺς πέ-
νητας. ἀλλ᾽ ὅπου μάλιστα χρῆσθαι τῇ ἐλευθερίᾳ δοκοῦσι, δουλεύουσι μάλιστα τοῖς πλουσίοις ἐν τῷ δι-
κάζειν καὶ ἄρχειν καὶ λέγειν ἐπιταττόμενοι καὶ ὑπηρετοῦντες. τούτου δὲ μεῖζον, ὅτι πάσῃ χρεῶν ἀποκοπῇ
στάσεως ἑπομένης, ἐκείνῃ μόνῃ καθάπερ φαρμάκῳ παραβόλῳ μέν, ἰσχυρῷ δὲ χρησάμενος, εὐκαίρως καὶ
τὴν οὖσαν στάσιν ἔλυσε, τῇ περὶ αὐτὸν ἀρετῇ καὶ δόξῃ τῆς τοῦ πράγματος ἀδοξίας καὶ διαβολῆς πε-
ριγενόμενος. τῆς δ᾽ ὅλης πολιτείας, τῇ μὲν ἀρχῇ λαμπρότερος ὁ σόλων. ἡγήσατο γὰρ καὶ οὐκ ἠκολού-
θησε, καὶ καθ᾽ αὑτὸν οὐ μεθ᾽ ἑτέρων ἔπραξε τὰ πλεῖστα καὶ μέγιστα τῶν κοινῶν. τῷ τέλει δέ, ἅτερος,
εὐτυχὴς καὶ ζηλωτός. τὴν μὲν γὰρ σόλωνος πολιτείαν, αὐτὸς ἐπεῖδε σόλων καταλυθεῖσαν. ἡ δὲ ποπλι-
κόλα, μέχρι τῶν ἐμφυλίων πολέμων, διεφύλαξεν ἐν κόσμῳ τὴν πόλιν. ὁ μὲν γάρ, ἅμα τῷ θέσθαι τοὺς
4. νόμους ἀπολιπὼν ἐν ξύλοις καὶ γράμμασιν, ἐρήμους τοῦ βοηθοῦντος, ᾤχετ᾽ ἀπιὼν ἐκ τῶν ἀθηνῶν. ὁ δέ,
μένων καὶ ἄρχων, καὶ πολιτευόμενος, ἵδρυσε καὶ κατέστησεν εἰς ἀσφαλὲς τὴν πολιτείαν. ἔτι δ᾽ ἐκείνῳ — ἐπὶ δ᾽ ἐκείνῳ μὲν οὐδὲ
μὲν οὐδὲ μέλλοντι κωλῦσαι προαισθομένῳ, πεισίστρατος ὑπῆρξεν, ἀλλ᾽ ἡττήθη τῆς τυραννίδος συνιστα- — προαισθομένῳ πεισί-
μένης. οὗτος δὲ βασιλείαν ἰσχύουσαν ἐκ πολλῶν ἤδη χρόνων καὶ κρατοῦσαν ἐξέβαλε καὶ κατέλυσεν. ἀρε- — στρατον ὑπῆρξεν.
τὴν μὲν ἴσην καὶ προαίρεσιν ὁμοίαν παρασχόμενος, τύχῃ δὲ καὶ δυνάμει τελεσιουργῷ πρὸς τὴν ἀρετὴν χρη-
σάμενος. τῶν μέντοι πολεμικῶν σόλωνι μέν, οὐδὲ τὰ πρὸς μεγαρεῖς δαΐμαχος ὁ πλαταιεὺς μεμαρ-
τύρηκεν, ὥσπερ ἡμεῖς διεληλύθαμεν. ποπλικόλας δὲ τοὺς μεγίστους ἀγῶνας αὐτὸς καὶ μαχόμενος καὶ
στρατηγῶν κατώρθωσε. καὶ μὴν ὅτι πρὸς τὰς πολιτικὰς πράξεις, ὁ μέν, ἐν παιδιᾶς τινι τρόπῳ, προσ- — ἔτι. ς.
ποιήματι μανίας ἀναλαβὼν ὑπὲρ σαλαμῖνος ᾄδων προῆλθεν. ὁ δ᾽ αὐτόθεν ἀναρρίψας τὸν ἐπὶ με-
γίστων κίνδυνον, ἐπανέστη ταρκυνίῳ. καὶ τὴν προδοσίαν ἐφώρασε. καὶ τοῦ κολασθῆναι καὶ μὴ διαφυγεῖν
τοὺς πονηροὺς αἰτιώτατος γενόμενος, οὐ τὰ σώματα μόνον τῶν τυράννων ἐξέβαλε τῆς πόλεως, ἀλλὰ
καὶ τὰς ἐλπίδας ἐξέκοψεν. οὕτω δὲ καὶ τοῖς δεχομένοις πράγμασιν, ἀγῶνα καὶ θυμὸν καὶ ἀντίτα-
ξιν ἐρρωμένως καὶ ἀτενῶς ἀπαντήσας, ἔτι βέλτιον ἐχρήσατο τοῖς, ὁμιλίας ἀπολέμου, καὶ πειθοῦς
ὑπεικούσης δεομένοις, πορσίναν ἄμαχον ἄνδρα καὶ φοβερὸν ἐμμελῶς προσαγαγόμενος καὶ μεταστή-
σας εἰς φιλίαν. καίτοι φήσει τις ἐνταῦθα, τὸν μὲν σόλωνα προειμένοις ἀναλαβεῖν ἀθηναίοις σαλαμῖ-
να. ποπλικόλαν δ᾽ ἧς ἐκέκτηντο ῥωμαῖοι χώρας, ἀποστῆναι. δεῖ δὲ πρὸς τοὺς ὑποκειμένους καιροὺς
τὰς πράξεις θεωρεῖν. ποικίλος γὰρ ὢν ὁ πολιτικός, τῷ τρόπῳ τῶν ὄντων ἕκαστον, εὐληπτόν ἐστι μεταχει-
ρίσασθαι, καὶ μέρους ἀφέσει πολλάκις, ἔσωσε τὸ πᾶν καὶ μικρὸν ἀποστάς, μειζόνων ἔτυχεν. ὥσπερ — μικρῶν. ς.
ἐκεῖνος ὁ ἀνὴρ τότε. τῆς μὲν ἀλλοτρίας χώρας ἀποστάς, ἔσωσε τὴν ἑαυτοῦ βεβαίως ἅπασαν. οἷς δ᾽ ἦν
μέγα τὴν πόλιν διαφυλάξαι, προσεκτήσατο καὶ τὸ τῶν πολιορκούντων στρατόπεδον. ἐπιτρέψας δὲ τῷ πο-
λεμίῳ δικαστῇ γενέσθαι, καὶ περιγενόμενος τῇ δίκῃ προσέλαβεν ὅσα δόντα ἀγαπητὸν ἦν νικῆσαι. καὶ
γὰρ τὸν πόλεμον διέλυσε καὶ τὴν παρασκευὴν τοῦ πολέμου κατέλυσεν αὐτοῖς, διὰ πίστιν ἀρετῆς — κατέλιπ. ς.
καὶ καλοκαγαθίας, ἣν ὁ ἄρχων ὑπὲρ ἁπάντων ἐνεποίησεν αὐτῷ.

δίκαιον, οὐδενὶ κακῶ δεῖν οἴεται τοὺς ἑαυτοῦ πολίτας ἀμύνασθαι, καίπερ ἀδικούμενον. εἰ δὲ βούλοιο σώζων ἑαυτὸν μεταστῆναι καὶ φυγεῖν τοὺς μισοῦντας, ἀποδέξεταί τε δημοσίᾳ καὶ ἰδίᾳ, τῆς τε σῆς ἀρετῆς ἀξίως, καὶ τῆς ῥωμαίων λαμπρότητος. ταῦτα πολλάκις ἀνασκοποῦντι τῷ κλαύσῳ βέλτιστα τῶν ἀναγκαίων ἐφαίνετο. καὶ τοὺς φίλους συμπαρεκάλει, κἀκείνων τε, πολλοὺς ὁμοίως συναναπειθόντων, πεντακισχιλίους οἴκους ἀναστήσας μετὰ παίδων καὶ γυναικῶν, ὅπερ ἦν ἐν σαβίνοις ἀθόρυβον μάλιστα, καὶ βίου πρᾴου καὶ καθεστῶτος οἰκεῖον, εἰς ῥώμην ἦγε, προειδότος τοῦ ποπλικόλα καὶ δεχομένου φιλοφρόνως, καὶ προθύμως ἐπὶ πᾶσι δικαίοις. τοὺς μὲν γὰρ οἴκους, εὐθὺς ἀνέμιξε τῷ πολιτεύματι, καὶ χώραν ἀπένειμεν ἑκάστῳ, δυοῖν πλέθρων, παρὰ τὸν ἀνίωνα ποταμόν. τῷ δὲ κλαύσῳ πλέθρα πέντε καὶ εἴκοσι γῆς ἔδωκεν. αὐτὸν δὲ τῇ βουλῇ προσέγραψεν ἀρχὴν πολιτείας λαβόντα ταύτην, ᾗ χρώμενος ἐμφρόνως, ἀνέδραμεν εἰς τὸ πρῶτον ἀξίωμα, καὶ δύναμιν ἔσχε μεγάλην, καὶ γένος οὐδὲν ἀμαυρότερον ἐν ῥώμῃ τὸ κλαυδίων, ἀφ' αὐτοῦ κατέλιπε. τὰ δὲ σαβίνων οὕτω διακριθέντα τῷ μετοικισμῷ τῶν ἀνδρῶν, οὐκ εἴασαν οἱ δημαγωγοῦντες, ἀτρεμῆσαι καὶ καταστῆναι, σχετλιάζοντες, εἰ κλαῦσος ἃ παρὼν οὐκ ἔπεισε, διαπράξεται φυγὰς γενόμενος καὶ πολέμιος, μὴ δοῦναι δίκην ῥωμαίους, ὧν ὑβρίζουσιν. ἄραντες οὖν στρατῷ μεγάλῳ, περὶ φιδήνας κατηυλίσαντο, καὶ τινὰ λόχον θέμενοι πρὸ τῆς ῥώμης, ἐν χωρίοις συνηρεφέσι καὶ κοίλοις δισχιλίους ὁπλίτας, ἔμελλον ἅμ' ἡμέρᾳ, φανεροῖς ὀλίγοις ἱππεῦσι λείαν ἐλαύνειν. εἴρητο δ' αὐτοῖς ὅταν τῇ πόλει προσελάσωσιν, ὑποφεύγειν ἕως ἐμβάλωσιν εἰς τὴν ἐνέδραν τοὺς πολεμίους. ταῦθ' ὁ ποπλικόλας αὐθημερὸν πυθόμενος παρ' αὐτομόλου, ταχὺ διηρμόσατο πρὸς πάντα καὶ διένειμε τὴν δύναμιν. ποστούμιος μὲν γὰρ βάλβος ὁ γαμβρὸς αὐτοῦ, τρισχιλίοις ὁπλίταις ἑσπέρας ἔτι προελθὼν, καὶ καταλαβὼν τοὺς ἀκρολόφους, ὑφ' οἷς ἐνήδρευον σαβῖνοι, παρεφυλάττεν. ὁ δὲ συνάρχων λουκρήτιος, ἔχων τὸ κουφότατον ἐν τῇ πόλει καὶ γενναιότατον, ἐτάχθη τοῖς ἐλαύνουσι τὴν λείαν ἱππεῦσιν ἐπιχειρεῖν. αὐτὸς δὲ τὴν ἄλλην ἀναλαβὼν στρατείαν, κύκλῳ περιῆλθε τοὺς πολεμίους. καὶ κατὰ τύχην ὁμίχλης βαθείας ἐπιπεσούσης, περὶ ὄρθρον ἅμα, ποστούμιός τε τοὺς ἐνεδρεύοντας ἐμβοήσας, ἔβαλεν ἀπὸ τῶν ἄκρων. καὶ τοῖς προσιππευσαμένοις ἀφῆκε τοὺς περὶ αὐτὸν ὁ λουκρήτιος. καὶ ποπλικόλας προσέβαλε τοῖς στρατοπέδοις τῶν πολεμίων. πάντη μὲν οὖν ἐκακοῦντο τὰ σαβίνων καὶ διεφθείροντο. τοὺς δ' ἐνταῦθα μὴ δ' ἀμυνομένους ἀλλὰ φεύγοντας, εὐθὺς ἔκτεινον οἱ ῥωμαῖοι, τῆς ἐλπίδος αὐτοῖς ὀλεθριωτάτης γενομένης. σώζεσθαι γὰρ οἰόμενοι τοὺς ἑτέρους οἱ ἕτεροι, τῷ μάχεσθαι καὶ μένειν οὐ προσεῖχον. ἀλλ' οἱ μὲν, ἐκ τῶν ἐρυμάτων πρὸς τοὺς ἐνεδρεύοντας. οἱ δὲ, πάλιν ὡς ἐκείνους εἰς τὸ στρατόπεδον θέοντες, ἐναντίοι φεύγουσιν, ἐνέπιπτον, πρὸς οὓς ἔφευγον, καὶ βοηθείας δεομένοις, οὓς ἤλπιζον αὐτοῖς βοηθήσειν. τὸ δὲ μὴ πάντας ἀπολέσθαι τοὺς σαβίνους, ἀλλὰ καὶ περιγενέσθαι τινὰς, ἡ φιδηνατῶν πόλις ἐγγὺς οὖσα παρέσχε. καὶ μάλιστα τοῖς ἐκ τῶν στρατοπέδων, ὅθ' ἡλίσκετο διεκπίπτουσιν. ὅσοι δὲ φιδηνῶν διήμαρτον, διεφθάρησαν, ἢ ζῶντες ἀπήχθησαν ὑπὸ τῶν λαβόντων. τοῦτο τὸ κατόρθωμα ῥωμαῖοι καίπερ εἰωθότες ἅπασι τοῖς μεγάλοις ἐπιφημίζειν τὸ δαιμόνιον, ἑνὸς ἔργον ἡγοῦντο τοῦ στρατηγοῦ γεγονέναι. καὶ τῶν μεμαχημένων πρῶτον ἦν ἀκούειν, ὅτι χωλοὺς καὶ τυφλοὺς αὐτοῖς καὶ μόνον οὐ καθειρξάμενος τοὺς πολεμίους ποπλικόλας παρέδωκε χρῆσθαι τοῖς ξίφεσιν. ἐρρώσθη δὲ καὶ χρήμασιν ὁ δῆμος, ἐκ τῶν λαφύρων καὶ τῶν αἰχμαλώτων. ὁ δὲ ποπλικόλας, τόν τε θρίαμβον ἀγαγὼν, καὶ τοῖς μετ' αὐτὸν ἀποδειχθεῖσιν ὑπάτοις παραδοὺς τὴν πόλιν, εὐθέως ἐτελεύτησεν ὡς ἐφικτόν ἐστιν ἀνθρώποις μάλιστα τοῖς νενομισμένοις καλοῖς καὶ ἀγαθοῖς τὸν ἑαυτοῦ βίον ἐκτελειώσας. ὁ δὲ δῆμος ὥσπερ οὐδὲν εἰς ζῶντα τῶν ἀξίων πεποιηκὼς, ἀλλὰ πᾶσαν ὀφείλων χάριν, ἐψηφίσατο δημοσίᾳ ταφῆναι τὸ σῶμα, καὶ τεταρτημόριον ἕκαστος ἐπὶ τιμῇ συνεισήνεγκεν. αἱ δὲ γυναῖκες, ἰδίᾳ πρὸς αὐτὰς συμφρονήσασαι, διεπένθησαν ἐνιαυτὸν ὅλον ἐπὶ τῷ ἀνδρὶ πένθος ἔντιμον καὶ ζηλωτόν. ἐτάφη δὲ καὶ οὗτος, τῶν πολιτῶν ψηφισαμένων, ἐντὸς ἄστεος παρὰ τὴν καλουμένην, οὐελίαν, ὥστε καὶ γένει παντὶ τῆς ταφῆς μετεῖναι. νῦν δὲ, θάπτεται μὲν οὐδεὶς τῶν ἀπὸ γένους, κομίσαντες δὲ τὸν νεκρὸν ἐκεῖ κατατίθενται, καὶ δᾷδά τις ἡμμένην λαβὼν, ὅσον ὑπήνεγκεν, εἶτα, ἀναιρεῖται, μαρτυρόμενος ἔργῳ τὸ ἐξεῖναι, φείδεσθαι δὲ τῆς τιμῆς, καὶ τὸν νεκρὸν οὕτως ἀποκομίζουσιν. ἆρ' οὖν ἴδιόν τι περὶ ταύτην τὴν σύγκρισιν ὑπάρχει, καὶ μὴ πάνυ συμβεβηκὸς ἑτέρᾳ τῶν ἀναγεγραμμένων, τὸν ἕτερον γεγονέναι μιμητὴν τοῦ ἑτέρου τὸν ἕτερον δὲ μάρτυν, ὅρα γὰρ ἣν ὁ σόλων ἐξενήνοχε περὶ εὐδαιμονίας ἀπόφασιν πρὸς κροῖσον, ὡς ποπλικόλᾳ μᾶλλον, ἢ τέλλῳ προσήκει. τέλλου μὲν γὰρ, ὃν εἶπε γεγονέναι μακαριώτατον δι' εὐποτμίαν καὶ ἀρετὴν καὶ εὐτεκνίαν, οὔτ' αὐτὸς ἐν τοῖς ποιήμασιν ὡς ἀνδρὸς ἀγαθοῦ λόγον ἔσχεν. οὔτε παῖδες, οὔτ' ἀρχή τις εἰς δόξαν ἦλθεν. ποπλικόλας δὲ καὶ ζῶν ἐπρώτευσε δυνάμει καὶ δόξῃ δι' ἀρετὴν ῥωμαίων, καὶ τεθνηκότος, ἐν τοῖς ἐπιφανεστάτοις γένεσι καὶ στέμμασιν ἔτι καθ' ἡμᾶς ποπλικόλαι, καὶ μεσάλαι, καὶ οὐαλλέριοι, δι' ἐτῶν ἑξακοσίων τῆς εὐγενείας τὴν δόξαν ἀναφέρουσι. καὶ τέλλος μὲν ὑπὸ τῶν πολεμίων, ὡς ἀνὴρ ἀγαθὸς ἐν τάξει μένων καὶ μαχόμενος, κατέστρεψε. ποπλικόλας δὲ, τοὺς μὲν πολεμίους κτείνας, ὃ τοῦ πεσεῖν εὐτυχέστερόν ἐστι, τὴν δὲ πατρίδα νικῶσαν ἐπιδὼν, δι' ἑαυτὸν ἄρχοντα καὶ στρατηγοῦντα, τιμηθεὶς δὲ καὶ θριαμβεύσας, ἔτυχε τῆς ζηλουμένης ὑπὸ σόλωνος, καὶ μακαριζομένης τελευτῆς. ἔτι τοίνυν, ἃ τοῖς περὶ μί

ὡς ἐξελέγξων κάκιστον ἄνδρα, καὶ δικαίως ἀφαιρεθέντα τὴν ἀρχήν. ἀποκειναμένου δὲ τοῦ Ταρκυνίου βραχύτερον, οὐδένα ποιεῖσθαι δικαστήν, ἥκιστα δὲ Πορσίναν, εἰ σύμμαχος ὢν μεταβάλλεται, δυσχεράνας καὶ καταγνοὺς ὁ Πορσίνας, ἅμα δὲ τοῦ παιδὸς Ἄρροντος δεομένου καὶ σπουδάζοντος ὑπὲρ τῶν Ῥωμαίων, κατελύσατο τὸν πόλεμον. ἐξισταμένοις ἧς ἀπετέμοντο τῆς Τυρρηνίδος χώρας, καὶ τοὺς αἰχμαλώτους ἀποπέμπουσι. κομιζομένοις δὲ τοὺς αὐτομόλους, ἐπὶ τούτοις ὁμήρους ἔδωκαν ἐξ εὐπατριδῶν περιπορφύρους δέκα. καὶ παρθένους τοσαύτας, ὧν ἦν καὶ Ποπλικόλα θυγάτηρ Οὐαλλερία. πραττομένων δὲ τούτων, τοῦ τε Πορσίνα πᾶσαν ἤδη τὴν πολεμικὴν ἀνεικότος παρασκευήν, διὰ πίστιν, αἱ παρθένοι τῶν Ῥωμαίων κατῆλθον ἐπὶ λουτρόν, ἔνθα δὴ μηνοειδής τις ὄχθη περιβάλλουσα τὸν ποταμόν, ἡσυχίαν μάλιστα καὶ γαλήνην τοῦ κύματος παρεῖχεν. ὡς δ' οὔτε τινὰ φυλακὴν ἑώρων, οὔτε παριόντας ἄλλως ἢ διαπλέοντας, ὁρμὴν ἔσχον ἀπονήξασθαι πρὸς ῥεῦμα πολὺ καὶ δίνας βαθείας. ἔνιοι δέ φασιν αὐτῶν μίαν ὄνομα Κλοιλίαν, ἵππῳ διεξελάσαι τὸν πόρον, ἐπικελευσαμένην ταῖς ἄλλαις νεούσαις καὶ παραθαρρύνουσαν. ἐπεὶ δὲ σωθεῖσαι, πρὸς τὸν Ποπλικόλαν ἧκον, οὐκ ἐθαύμασεν, οὐδὲ ἠγάπησεν, ἀλλ' ἠνιάθη, ὅτι Πορσίνα κακίων ἐν πίστει φανεῖται. καὶ τὸ τόλμημα τῶν παρθένων αἰτίαν ἕξει, κακούργημα Ῥωμαίων γεγονέναι. διὸ συλλαβὼν αὐτάς, πάλιν ἀπέστειλε πρὸς τὸν Πορσίναν. ταῦτα δ' οἱ περὶ τὸν Ταρκύνιον προαισθόμενοι καὶ καθίσαντες ἐνέδραν τοῖς ἄγουσι τὰς παῖδας, ἐν τῷ πέραν ἐπέθεντο πλείονες ὄντες. ἐκείνων δ' ὅμως ἀμυνομένων, ἡ Ποπλικόλα θυγάτηρ Οὐαλλερία διὰ μέσων ὁρμήσασα τῶν μαχομένων, ἔφυγε. καὶ τρεῖς τινὲς οἰκέται συνδιεκπεσόντες, ἔσωζον αὐτήν. τῶν δ' ἄλλων οὐκ ἀκινδύνως ἀναμεμιγμένων τοῖς μαχομένοις, αἰσθόμενος Ἄρρων ὁ Πορσίνα υἱός, ὀξέως προσεβοήθησε. καὶ φυγῆς γενομένης τῶν πολεμίων, περιεποίησε τοὺς Ῥωμαίους. ὡς δὲ τὰς παρθένους κομισθείσας ὁ Πορσίνας εἶδε, τὴν καταρξαμένην τῆς πράξεως, καὶ παρακελευσαμένην ταῖς ἄλλαις, ἐζήτει. ἀκούσας δὲ τὸ ὄνομα τῆς Κλοιλίας, προσέβλεψεν αὐτὴν ἵλεῳ καὶ φαιδρῷ τῷ προσώπῳ, καὶ κελεύσας ἵππον ἀχθῆναι τῶν βασιλικῶν κεκοσμημένον εὐπρεπῶς, ἐδωρήσατο. τοῦτο ποιοῦνται μαρτύριον, οἱ μόνην τὴν Κλοιλίαν λέγοντες, ἵππῳ διεξελάσαι τὸν ποταμόν, οἱ δ' οὔ φασιν, ἀλλὰ τιμῆσαι τὸ ἀνδρῶδες αὐτῆς τὸν Τυρρηνόν. ἀνάκειται δὲ τὴν ἱερὰν ὁδὸν πορευομένοις εἰς παλάτιον ἀνδριὰς αὐτῆς ἔφιππος. ὅν τινες οὐ τῆς Κοιλίας, ἀλλὰ τῆς Οὐαλλερίας εἶναι λέγουσιν. ὁ δὲ Πορσίνας διαλλαγεὶς τοῖς Ῥωμαίοις. ἄλλην τε ἑαυτοῦ πολλὴν μεγαλοφροσύνην ἐπεδείξατο τῇ πόλει καὶ τὰ ὅπλα τοὺς Τυρρηνοὺς ἀναλαβεῖν κελεύσας, ἄλλο δ' οὐδέν, ἀλλ' ἐκλιπεῖν τὸν χάρακα καὶ σίτου τε πολλοῦ καὶ χρημάτων γέμοντα παντοδαπῶν παρέδωκε τοῖς Ῥωμαίοις. διὸ καὶ καθ' ἡμᾶς ἔτι, πωλοῦντες τὰ δημόσια, πρῶτα κηρύττουσι τὰ Πορσίνα χρήματα, τιμὴν τῷ ἀνδρὶ τῆς χάριτος ἀΐδιον ἐν τῇ μνήμῃ διαφυλάττοντες. εἱστήκει δὲ χαλκοῦς ἀνδριὰς αὐτοῦ παρὰ τὸ βουλευτήριον, ἁπλοῦς καὶ ἀρχαϊκὸς τῇ ἐργασίᾳ. μετὰ δὲ ταῦτα Σαβίνων ἐμβαλόντων εἰς τὴν χώραν, ὕπατος μὲν ἀπεδείχθη, Μάρκος Οὐαλλέριος, ἀδελφὸς Ποπλικόλα. καὶ Ποστούμιος Τούβερτος. πραττομένων δὲ τῶν μεγίστων, γνώμῃ καὶ παρουσίᾳ Ποπλικόλα, δυσὶ μάχαις μεγάλαις ὁ Μάρκος ἐνίκησεν, ὧν ἐν τῇ δευτέρᾳ μηδένα Ῥωμαίων ἀποβαλών, τρισχιλίους ἐπὶ μυρίοις τῶν πολεμίων ἀνεῖλε. καὶ γέρας ἔσχεν ἐπὶ τοῖς θριάμβοις, οἰκίαν αὐτῷ γενέσθαι δημοσίοις ἀναλώμασιν ἐν τοῖς Παλατίοις. τῶν δ' ἄλλων τότε θυρῶν εἴσω τῆς οἰκίας εἰς τὸ κλεῖσιον ἀνοιγομένων, ἐκείνης μόνης τῆς οἰκίας ἐποίησαν, ἐκτὸς ἀπάγεσθαι τὴν αὔλειον. ὡς δὴ κατὰ τὸ συγχώρημα τῆς τιμῆς ἀεὶ τοῦ δημοσίου προσεπιλαμβανομένου. τὰς δ' Ἑλληνικὰς πρότερον οὕτως ἔχειν ἁπάσας λέγουσιν, ἀπὸ τῶν κωμῳδιῶν λαμβάνοντες. ὅτι κόπτουσι καὶ ψοφοῦσι τὰς αὐτῶν θύρας ἔσωθεν, οἱ προϊέναι μέλλοντες ὅπως αἴσθησις ἔξω γένοιτο τοῖς παρερχομένοις ἢ προεστῶσι. καὶ μὴ καταλαμβάνοιντο προϊούσαις ταῖς κλεισιάσιν εἰς τὸν στενωπόν. τῷ δ' ἐξῆς ἔτει, πάλιν ὑπατεύων Ποπλικόλας τὸ τέταρτον, ἦν δὲ προσδοκία πολέμου, Σαβίνων καὶ Λατίνων συνισταμένων. καί τις ἅμα δεισιδαιμονία τῆς πόλεως ἥψατο. πᾶσαι γὰρ αἱ κυοῦσαι τότε γυναῖκες, ἐξέβαλλον ἀνάπηρα, καὶ τέλος οὐδεμία γένεσις ἔσχεν. ὅθεν ἐκ τῶν Σιβυλλίων ὁ Ποπλικόλας ἱλασάμενος τὸν ᾅδην, καί τινας ἀγῶνας πυθοχρήστους ἀναλαβὼν καὶ ταῖς ἐλπίσι πρὸς τὸ θεῖον ἡδίονα καταστήσας τὴν πόλιν, ἤδη τοῖς ἀπ' ἀνθρώπων φοβεροῖς προσεῖχε. μεγάλη γὰρ ἐφαίνετο κατασκευὴ τῶν πολεμίων καὶ σύστασις. ἦν οὖν Ἄππιος Κλαῦσος ἐν Σαβίνοις, ἀνὴρ χρήμασί τε δυνατός, καὶ σώματος ῥώμῃ, πρὸς ἀλκὴν ἐπιφανής. ἀρετῆς δὲ δόξῃ μάλιστα καὶ λόγου δεινότητι πρωτεύων. ὃ δὲ πᾶσι συμβαίνει τοῖς μεγάλοις, οὐ διέφυγε παθεῖν, ἀλλ' ἐφθονεῖτο, καὶ τοῖς φθονοῦσιν αἰτίαν παρέσχε, καταπαύων τὸν πόλεμον, αὔξειν τὰ Ῥωμαίων, ἐπὶ τυραννίδι καὶ δουλώσει τῆς πατρίδος. αἰσθόμενος δὲ τοὺς λόγους τούτους βουλομένῳ τῷ πλήθει λεγομένους, καὶ προσκρούοντα τοῖς πολεμοποιοῖς καὶ στρατιωτικοῖς, ἐφοβεῖτο τὴν κρίσιν. ἑταιρείαν δὲ καὶ δύναμιν φίλων καὶ οἰκείων ἔχων ἀμύνουσαν περὶ αὐτόν, ἐστασίαζε. καὶ τοῦτ' ἦν τοῦ πολέμου διατριβὴ καὶ μέλλησις τοῖς Σαβίνοις. ταῦτ' οὖν ὁ Ποπλικόλας οὐ μόνον εἰδέναι ποιούμενος ἔργον, ἀλλὰ καὶ κινεῖν καὶ συνεξορμᾶν τὴν στάσιν, εἶχεν ἄνδρας ἐπιτηδείους οἳ τῷ Κλαύσῳ διελέγοντο παρ' αὐτοῦ τοιαῦτα. ὡς ὁ Ποπλικόλας, ἄνδρα σε χρηστὸν ὄντα καὶ

ται. ἐν ῥώμῃ πληγέντες αὖθις, καὶ ἀναξυσθέντες, οὐ τοσοῦτον ἔσχον γλαφυρίας, ὅσον ἀπώλεσαν συμμετρίας, τοῦ καλοῦ διάκενοι καὶ λαγαροὶ φανέντες. ὁ μέντοι θαυμάσας τοῦ καπιτωλίου τὴν πολυτέλειαν, εἰ μίαν εἶδεν ἐν οἰκίᾳ δομετιανοῦ στοάν, ἢ βασιλικήν, ἢ βαλανεῖον, ἢ παλλακίδων δίαιταν, οἷόν ἐστι τὸ λεγόμενον ἐπιχάρμου, πρὸς τὸν ἄσωτον. Οὐ φιλάνθρωπος τύγ' ἐσσί, ἔχεις νόσον, χαίρεις διδούς. τοιοῦτον ἄν τι πρὸς δομετιανὸν εἰπεῖν προήχθη. οὐκ εὐσεβὴς οὐδὲ φιλότιμος τύγ' ἐσσί, ἔχεις νόσον χαίρεις κατοικοδομῶν, ὥσπερ ὁ μίδας ἐκεῖνος, ἅπαντά σοι χρυσᾶ καὶ λίθινα βουλόμενος γίνεσθαι. ταῦτα μὲν οὖν περὶ τούτων. ὁ δὲ ταρκυίνιος μετὰ τὴν μεγάλην μάχην, ἐν ᾗ καὶ τὸν υἱὸν ἀπώλεσε μονομαχήσαντα βρούτῳ, καταφυγὼν εἰς τὸ κλούσιον, ἱκέτευσε λάραν πορσίναν, ἄνδρα καὶ δύναμιν μεγίστην ἔχοντα τῶν ἰταλικῶν βασιλέων, καὶ δοκοῦντα χρηστὸν εἶναι καὶ φιλότιμον. ὁ δ' ὑπέσχετο βοηθήσειν, καὶ πρῶτον μὲν ἔπεμψεν εἰς ῥώμην, κελεύων δέχεσθαι τὸν ταρκυίνιον, ὡς δ' οὐχ ὑπήκουσαν οἱ ῥωμαῖοι, καταγγείλας αὐτοῖς πόλεμον, καὶ χρόνον ἐν ᾧ, καὶ τόπον εἰς ὃν ἔμελλεν ἐμβαλεῖν, ἀφίκετο μετὰ πολλῆς δυνάμεως. ποπλικόλας δ' ᾑρέθη μὲν ὕπατος τὸ δεύτερον, καὶ σὺν αὐτῷ, τίτος λουκρήτιος. ἐπανελθὼν δ' εἰς ῥώμην, καὶ βουλόμενος τῷ φρονήματι πρῶτον ὑπερβαλέσθαι τὸν πορσίναν, ἔκτιζε πόλιν σιγλιουρίαν, ἤδη πλησίον αὐτοῦ ὄντος. καὶ τειχίσας μεγάλοις ἀναλώμασιν ἑπτακοσίους ἀποίκους ἀπέστειλεν, ὡς ῥᾳδίως φέρων καὶ ἀδεῶς τὸν πόλεμον. οὐ μὴν ἀλλὰ προσβολῆς ὀξείας τῷ τείχει γενομένης ἐξεώσθησαν οἱ φύλακες ὑπὸ τοῦ πορσίνα. καὶ φεύγοντες, ὀλίγου συνεσπάσαντο τοὺς πολεμίους εἰς τὴν πόλιν, ἔφθη δὲ πρὸ τῶν πυλῶν ἐκβοηθήσας ὁ ποπλικόλας. καὶ μάχην συνάψας παρὰ τὸν ποταμόν, ἀντεῖχε πλήθει βιαζομένοις τοῖς πολεμίοις. ἄχρις οὗ τραύμασι νεανικοῖς περιπεσών, ἀπεκομίσθη φοράδην ἐκ τῆς μάχης. ταὐτὸ δ' αὐτὸ καὶ λουκρητίου τοῦ συνάρχοντος αὐτῷ παθόντος, ἀθυμία τοῖς ῥωμαίοις ἐνέπεσε, καὶ φυγῇ πρὸς τὴν πόλιν ἔσωζον ἑαυτούς. ὠθουμένων δὲ τῶν πολεμίων διὰ τῆς ξυλίνης γεφύρας, ἐκινδύνευσεν ἡ ῥώμη κατὰ κράτος ἁλῶναι. πρῶτος δὲ κόκλιος ὡράτιος καὶ σὺν αὐτῷ, δύο τῶν ἐπιφανεστάτων ἀνδρῶν, ἑρμίνιος καὶ λουκρήτιος, ἀντέστησαν περὶ τὴν ξυλίνην γέφυραν. ὁ δ' ὡράτιος τὸ κόκλιος ἐπωνυμίαν ἔχων, ἐν πολέμῳ τῶν ὀμμάτων θάτερον ἐκκοπείς. ὡς δ' ἔνιοι λέγουσι διὰ σιμότητα τῆς ῥινὸς ἐνδεδυκυίας, ὥστε μηδὲν εἶναι τὸ διεῖργον τὰ ὄμματα. καὶ τὰς ὀφρῦς συγκεχύσθαι. κύκλωπα βουλόμενοι καλεῖν αὐτὸν οἱ πολλοί, τῆς γλώττης ὀλισθαινούσης, ἐκράτησαν ὑπὸ πλήθους κόκλιον καλεῖσθαι. οὗτος ἑστὼς πρὸ τῆς γεφύρας, ἠμύνετο τοὺς πολεμίους, ἄχρις οὗ διέκοψαν οἱ σὺν αὐτῷ κατόπιν τὴν γέφυραν, οὕτω δὲ μετὰ τῶν ὅπλων ἀφεὶς ἑαυτὸν εἰς τὸν ποταμόν, ἀπενήξατο, καὶ προσέμιξε τῇ πέραν ὄχθῃ, δόρατι τυρρηνικῷ, βεβλημένος τὸν γλουτόν. ὁ δὲ ποπλικόλας τὴν ἀρετὴν θαυμάσας, αὐτίκα μὲν εἰσηγήσατο ῥωμαίους ἅπαντας ὅσην ἕκαστος ἐν ἡμέρᾳ τροφὴν ἀνήλισκε, δοῦναι συνεισενεγκόντας. ἔπειτα τῆς χώρας ἣν αὐτὸς περιαρόσειεν ἐν ἡμέρᾳ. πρὸς δὲ τούτοις, εἰκόνα χαλκῆν ἔστησαν αὐτῷ, ἐν τῷ ἱερῷ τοῦ ἡφαίστου, τὴν γενομένην ἐκ τοῦ τραύματος τῷ ἀνδρὶ χωλότητα, μετὰ τιμῆς παρηγοροῦντες. ἐπικειμένου δὲ τοῦ πορσίνα τῇ πόλει, καὶ λιμὸς ἥπτετο τῶν ῥωμαίων. καὶ τυρρηνῶν ἕτερος στρατὸς αὐτὸς καθ' αὑτὸν εἰς τὴν χώραν ἐνέβαλε. ποπλικόλας δὲ τὸ τρίτον ὑπατεύων, πορσίνᾳ μὲν ἀτρεμῶν καὶ φυλάττων τὴν πόλιν, ᾤετο δεῖν ἀντέχειν. τοῖς δὲ τυρρηνοῖς ὑπεξῆλθε, καὶ συμβαλών, ἐτρέψατο. καὶ πεντακισχιλίους αὐτῶν ἀνεῖλε. τὸ δὲ περὶ μούκιον εἴρηται μὲν ὑπὸ πολλῶν καὶ διαφόρως. λεκτέον δέ, ᾗ μάλιστα πιστεύεται καὶ ἡμῖν. ἦν ἀνήρ, εἰς πᾶσαν ἀρετὴν ἀγαθός, ἐν δὲ τοῖς πολεμικοῖς, ἄριστος. ἐπιβουλεύων δὲ τὸν πορσίναν ἀνελεῖν, παρεισῆλθεν εἰς τὸ στρατόπεδον τυρρηνίδα φορῶν ἐσθῆτα, καὶ φωνῇ χρώμενος ὁμοίᾳ. περιελθὼν δὲ τὸ βῆμα, τοῦ βασιλέως καθεζομένου. καὶ σαφῶς μὲν αὐτὸν οὐκ εἰδώς, ἐρέσθαι δὲ περὶ αὐτοῦ δεδιώς, ὃν ᾠήθη μάλιστα τῶν συγκαθεζομένων, ἐκεῖνον εἶναι σπασάμενος τὸ ξίφος ἀπέκτεινεν. ἐπὶ τούτῳ δὲ συλληφθείς, ἀνεκρίνετο. καί τινος ἐσχαρίδος πῦρ ἐχούσης, μέλλοντι τῷ πορσίνᾳ θύειν κεκομισμένης, ὑπερσχὼν τὴν δεξιὰν χεῖρα καιομένης τῆς σαρκός, εἱστήκει πρὸς τὸν πορσίναν ἀποβλέπων, ἰταμῷ καὶ ἀτρέπτῳ τῷ προσώπῳ. μέχρις οὗ θαυμάσας, ἀφῆκεν αὐτόν. καὶ τὸ ξίφος ἀποδιδούς, ὤρεξεν ἀπὸ τοῦ βήματος. ὁ δέ, τὴν εὐώνυμον προτείνας ἐδέξατο. καὶ διὰ τοῦτό φασιν αὐτῷ γενέσθαι τό, σκαιόλαν ἐπίκλησιν, ὅπερ ἐστὶ λαιόν. ἔφη δὲ τὸν φόβον τοῦ πορσίνα νενικηκώς, ἡττᾶσθαι τῆς ἀρετῆς, καὶ χάριτι μηνύειν, ἃ πρὸς ἀνάγκην οὐκ ἂν ἐξηγόρευσε. τριακόσιοι γὰρ ῥωμαίων ἔφη τὴν αὐτὴν ἐμοὶ γνώμην ἔχοντες ἐν τῷ στρατοπέδῳ σου πλανῶνται, καιρὸν ἐπιτηροῦντες. ἐγὼ δὲ κλήρῳ λαχὼν καὶ προεπιχειρήσας, οὐκ ἄχθομαι τῇ τύχῃ διαμαρτὼν ἀνδρὸς ἀγαθοῦ, καὶ φίλου μᾶλλον ἢ πολεμίου ῥωμαίοις εἶναι πρέποντος. ταῦθ' ὁ πορσίνας ἀκούσας, ἐπίστευσε, καὶ πρὸς τὰς διαλύσεις ἥδιον ἔσχεν. οὐ τοσοῦτό μοι δοκεῖ φόβῳ τῶν τριακοσίων, ὅσον ἀγασθεὶς καὶ θαυμάσας, τὸ φρόνημα καὶ τὴν ἀρετὴν τῶν ῥωμαίων. τοῦτον τὸν ἄνδρα μούκιον ὁμοῦ τι πάντων καὶ σκαιόλαν καλούντων, ἀθηνόδωρος ὁ σάνδων ἐν τῷ πρὸς ὀκταουΐαν τὴν καίσαρος ἀδελφήν, καὶ ὀψίγονον ὠνομάσθαι φησίν. ὁ μέντοι ποπλικόλας αὐτὸς οὐχ οὕτω πολέμιον ὄντα τὸν πορσίναν βαρὺν ἡγούμενος, ὡς ἄξιον πολλοῦ τῇ πόλει φίλον γενέσθαι καὶ σύμμαχον, οὐκ ἔφευγεν ἐπ' αὐτοῦ δίκην κριθῆναι πρὸς ταρκυίνιον. ἀλλ' ἐθάρρει καὶ προὐκαλεῖτο πολλάκις

Vide Polluce

ἀπεδείχθησαν οἱ πρῶτοι, Πούπλιος Οὐετούριος καὶ Μινούκιος Μᾶρκος, καὶ χρήματα συνήχθη πολλά. τρεισκαίδεκα γὰρ ἀπεγράψαντο μυριάδες, ὀρφανοῖς παισὶ καὶ χήραις γυναιξὶν ἀτελείας τῆς εἰς φορὰς. ταῦτα δὲ διοικήσας, ἀπέδειξεν ἑαυτῷ συνάρχοντα τὸν Λουκρητίας πατέρα, Λουκρήτιον, ᾧ τῆς ἡγεμονικωτέρας ἐξιστάμενος ὄντι πρεσβυτέρῳ τάξεως, παρέδωκε τοὺς καλουμένους φάσκης. καὶ τοῦτο διέμεινεν εἰς ἡμᾶς τὸ πρεσβεῖον ἀπ' ἐκείνου τοῖς γεραιτέροις φυλαττόμενον. ἐπεὶ δ' ὀλίγαις ἡμέραις ὕστερον ἐτελεύτησεν ὁ Λουκρήτιος, πάλιν ἀρχαιρεσιῶν γενομένων, ᾑρέθη Μᾶρκος Ὡράτιος, καὶ συνῆρχε τῷ Ποπλικόλᾳ τὸν ἀπολειπόμενον χρόνον τοῦ ἐνιαυτοῦ. Ταρκυνίου δὲ Ῥωμαίοις δεύτερον πόλεμον ἐν Τυρρηνίᾳ κινοῦντος, μέγα σημεῖον λέγεται γενέσθαι. βασιλεύων γὰρ ἔτι, καὶ τὸν νεὼν τοῦ Καπιτωλίου Διὸς ἔχων ὁ Ταρκύνιος, ὅσον οὔπω συντετελεσμένον, εἴτε μαντείας γενομένης, εἴτ' αὐτῷ δόξαν ἄλλως, ἅρμα κατὰ κορυφὴν ἐπιστῆσαι κεραμεοῦν ἐξέδωκε Τυρρηνοῖς τισὶν ἐξ Οὐηΐων δημιουργοῖς. εἶτ' ὀλίγον ὕστερον, ἐξέπεσε τῆς ἀρχῆς. τῶν δὲ Τυρρηνῶν διαπεπλασμένον τὸ τέθριππον ἐμβαλόντων εἰς κάμινον, οὐκ ἔπαθεν ἃ πέφυκε πάσχειν πηλὸς ἐν πυρὶ, πυκνοῦσθαι καὶ συνιζάνειν ἐκθλιβομένης τῆς ὑγρότητος, ἀλλ' ἐξέστη καὶ ᾤδησε. καὶ μέγεθος ἔσχεν ἅμα ῥώμῃ καὶ σκληρότητι τοιοῦτον, ὥστε μόλις ἐξαιρεθῆναι τὴν ὀροφὴν ἀποσκευασαμένων τῆς καμίνου, καὶ τῶν τοίχων περιαιρεθέντων. ὡς οὖν ἐδόκει τοῖς μάντεσι θεῖον εἶναι σημεῖον εὐτυχίας καὶ δυνάμεως παρ' οἷς ἔσοιτο τὸ τέθριππον, ἔγνωσαν οἱ Οὐήϊοι μὴ προέσθαι τοῖς Ῥωμαίοις ἀπαιτοῦσι. καὶ ἀπεκρίναντο τοσοῦτον, Ταρκυνίῳ, οὐ τοῖς Ταρκύνιον ἐκβαλοῦσι προσήκειν. ὀλίγαις δ' ὕστερον ἡμέραις ἦσαν ἵππων ἀγῶνες αὐτοῖς, καὶ τὰ μὲν ἄλλα θέαν καὶ σπουδὴν εἰωθυῖαν παρεῖχε. τὸ δὲ νικῆσαν τέθριππον, ὁ μὲν ἡνίοχος ἐξήλαυνε τοῦ ἱπποδρόμου σχέδην, ἐστεφανωμένος, οἱ δ' ἵπποι πτοηθέντες ἀπ' οὐδεμιᾶς ἐμφανοῦς προφάσεως, ἀλλὰ κατά τινα δαίμονα ἢ τύχην, ἵεντο παντὶ τάχει πρὸς τὴν Ῥωμαίων πόλιν ἔχοντες τὸν ἡνίοχον. ὡς δ' οὐδὲν ἦν ἔργον αὐτοῦ κατατείνοντος, οὐδὲ παρηγοροῦντος, ἀλλ' ἥρπαστο σὺν τῇ ῥώμῃ, καὶ φερόμενον, ἄχρις οὗ τῷ Καπιτωλίῳ προσμίξαντες, ἐξέβαλον αὐτὸν ἐνταῦθα περὶ τὴν πύλην, ἣν νῦν Ῥατιμηνὰν καλοῦσι. γενομένου δὲ τούτου, θαυμάσαντες οἱ Οὐήϊοι καὶ φοβηθέντες, ἐπέτρεψαν τὸ ἅρμα ἀποδοῦναι τοῖς τεχνίταις. τὸν δὲ νεὼν τοῦ Καπιτωλίου Διὸς, εὔξατο μὲν ἀναθήσειν Ταρκύνιος ὁ Δημαράτου πολεμῶν Σαβίνοις, ᾠκοδόμησε δὲ Ταρκύνιος ὁ Σούπερβος, υἱὸς ὢν ἢ υἱωνὸς τοῦ εὐξαμένου. καθιερῶσαι δὲ, οὐκ ἔφθασεν, ἀλλὰ μικρὸν ἀπελείπετο τοῦ τέλους ἔχειν, ὅτε Ταρκύνιος ἐξέπεσεν. ὡς οὖν ἀπείργαστο τελέως καὶ τὸν προσήκοντα κόσμον ἀπεῖχεν, ἦν τῷ Ποπλικόλᾳ φιλοτιμία πρὸς τὴν καθιέρωσιν, ἐφθόνουν δὲ πολλοὶ τῶν δυνατῶν καὶ ἤχθοντο, ταῖς μὲν ἄλλαις τιμαῖς ἧττον, ἃς νομοθετῶν καὶ στρατηγῶν ἐκ προσηκόντων εἶχε. ταύτην δ' οὖσαν ἀλλοτρίαν, οὐκ ᾤοντο δεῖν αὐτῷ προσγενέσθαι, καὶ τὸν Ὡράτιον προετρέποντο καὶ παρώξυνον ἀντιποιεῖσθαι τῆς καθιερώσεως. γενομένης οὖν τῷ Ποπλικόλᾳ στρατείας ἀναγκαίας, ψηφισάμενοι τὸν Ὡράτιον καθιεροῦν, ἀνῆγον εἰς τὸ Καπιτώλιον, ὡς οὐκ ἂν ἐκείνου περιγενόμενοι παρόντος. ἔνιοι δέ φασι, κλήρῳ τῶν ὑπάτων λαχεῖν ἐκεῖνον μὲν τὴν στρατείαν ἄκοντα, τοῦτον δὲ τὴν καθιέρωσιν. ἔξεστι δὲ περὶ τούτων ὡς ἔσχεν εἰκάζειν τοῖς πραχθεῖσι περὶ τὴν καθιέρωσιν. εἰδοῖς γὰρ Σεπτεμβρίαις, ὃ συντυγχάνει περὶ τὴν πανσέληνον μάλιστα τοῦ Μεταγειτνιῶνος, ἠθροισμένων ἁπάντων εἰς τὸ Καπιτώλιον, ὁ μὲν Ὡράτιος σιωπῆς γενομένης, τά τ' ἄλλα δράσας, καὶ τῶν θυρῶν ἁψάμενος ὡς ἔθος ἐστὶν, ἐπεφθέγγετο τὰς νενομισμένας ἐπὶ τῇ καθιερώσει φωνάς. ὁ δ' ἀδελφὸς τοῦ Ποπλικόλα Μᾶρκος, ἐκ πολλοῦ παρὰ τὰς θύρας ὑφεστὼς καὶ παραφυλάττων τὸν καιρὸν, ὦ ὕπατε εἶπεν, ὁ υἱός σου τέθνηκεν ἐν τῷ στρατοπέδῳ νοσήσας. τοῦτο πάντας ἠνίασε τοὺς ἀκούσαντας. ὁ δ' Ὡράτιος οὐδὲν διαταραχθεὶς, ἀλλ' ἢ τοσοῦτον μόνον εἰπὼν, ῥίψατε τὸν νεκρὸν τοίνυν ὅποι βούλεσθε, ἐγὼ γὰρ οὐ προσίεμαι τὸ πένθος, ἐπέραινε τὴν λοιπὴν καθιέρωσιν. ἦν δὲ τὸ προσηγγελμένον οὐκ ἀληθὲς, ἀλλ' ὁ Μᾶρκος, ὡς ἀποστήσων τὸν Ὡράτιον, ἐψεύσατο. θαυμαστὸς οὖν ὁ ἀνὴρ τῆς εὐσταθείας. εἴτε τὴν ἀπάτην ἐν καιρῷ βραχεῖ συνεῖδεν, εἴτε πιστευθεὶς ὁ λόγος οὐκ ἐκίνησεν αὐτόν. ἔοικε δὲ καὶ περὶ τὸν δεύτερον ναὸν, ὁμοία τύχη γενέσθαι τῆς καθιερώσεως. τὸν μὲν γὰρ πρῶτον ὡς εἴρηται, Ταρκυνίου κατασκευάσαντος, Ὡρατίου δὲ καθιερώσαντος, ἐν τοῖς ἐμφυλίοις πολέμοις, πῦρ ἀπώλεσε. τὸν δὲ δεύτερον, ἀνέστησε μὲν Σύλλας, ἐπεγράφη δὲ τῇ καθιερώσει Κάτουλος, Σύλλα προαποθανόντος. τούτου δὲ πάλιν ἐν ταῖς κατὰ Οὐϊτέλλιον στάσεσι διαφθαρέντος, τὸν τρίτον, τῇ πρὸς τ' ἄλλα καὶ τοῦτο χρησάμενος εὐποτμίᾳ Οὐεσπασιανὸς, ἐξ ἀρχῆς ἄχρι τέλους ἀναγαγὼν ἐπεῖδε γενόμενον, καὶ φθειρόμενον μετ' ὀλίγον οὐκ ἐπεῖδεν, ἀλλὰ τοσοῦτον εὐτυχίᾳ Σύλλαν παρῆλθεν, ὅσον ἐκεῖνον μὲν, τῆς ἀφιερώσεως τοῦ ἔργου, τοῦτον δὲ τῆς ἀναιρέσεως προαποθανεῖν. ἅμα γὰρ τῷ τελευτῆσαι Οὐεσπασιανὸν, ἀνεπρήσθη τὸ Καπιτώλιον. ὁ δὲ τέταρτος οὗτος ὑπὸ Δομετιανοῦ καὶ συνετελέσθη καὶ καθιερώθη. λέγεται δὲ Ταρκύνιον εἰς τοὺς θεμελίους ἀναλῶσαι, λίτρας ἀργυρίου τετρακισμυρίας. τούτου δὲ τοῦ καθ' ἡμᾶς τὸν μέγιστον ἐν Ῥώμῃ τῶν ἰδιωτικῶν πλοῦτον ἐκλογισθέντα, τὸ τῆς χρυσώσεως μὴ τελέσαι ἀνάλωμα, πλέον ἢ δισχιλίων καὶ μυρίων ταλάντων γενόμενον. οἱ δὲ κίονες ἐκ τοῦ Πεντέλησι ἐτμήθησαν λίθου, κάλλιστα τῷ πάχει πρὸς τὸ μῆκος ἔχοντες. εἴδομεν γὰρ αὐτοὺς Ἀθήνη-

φιλοτιμίας εἰς ἔτη πάμπολλα διαμένουσαν. ἀπεδέξαντο δὲ τοῦ οὐαλλερίου καὶ τὰς εἰς τὸν συνάρχοντα τιμάς, αἷς ἐκεῖνον μειζόμενον καὶ θαπτόμενον ἐκόσμησε. καὶ λόγον ἐπ' αὐτῷ διεξῆλθεν ἐπιτάφιον. ὃς οὕτως ὑπὸ ῥωμαίων ἠγαπήθη, καὶ τοσαύτην ἔσχε χάριν, ὥστε πᾶσι τοῖς ἀγαθοῖς καὶ μεγάλοις ὑπάρχειν ἐξ ἐκείνου τελευτήσασιν, ὑπὸ τῶν ἀρίστων ἐγκωμιάζεσθαι. λέγεται δὲ καὶ τῶν ἑλληνικῶν ἐπιταφίων, ἐκεῖνος γενέσθαι πρεσβύτερος. εἴ γε μὴ καὶ τοῦτο σόλωνός ἐστιν ὡς ἀναξιμένης ὁ ῥήτωρ ἱστόρηκεν. ἀλλὰ δι' ἐκεῖνα μᾶλλον ἤχθοντο τῷ οὐαλλερίῳ καὶ προσέκρουον. ὅτι βροῦτος μέν, ὃν πατέρα τῆς ἐλευθερίας ἐνόμιζεν ὁ δῆμος, οὐκ ἠξίωσε μόνος ἄρχειν, ἀλλὰ καὶ πρῶτον αὐτῷ συνάρχοντα προσείλετο καὶ δεύτερον. οὗτος δ' ἔφασαν εἰς αὑτὸν ἅπαντα συνενεγκάμενος, οὐκ ἔστι τῆς βρούτου κληρονόμος ὑπατείας μηδὲν αὐτῷ προσηκούσης, ἀλλὰ τῆς ταρκυνίου τυραννίδος. καίτοι τί δεῖ λόγῳ μέν, βροῦτον ἐγκωμιάζειν. ἔργῳ δέ, μιμεῖσθαι ταρκύνιον, ὑπὸ ῥάβδοις ὁμοῦ πάσαις καὶ πελέκεσι κατιόντα μόνον, ἐξ οἰκίας τοσαύτης τὸ μέγεθος, ὅσην οὐ καθεῖλε τὴν τοῦ βασιλέως. καὶ γὰρ ὄντως ὁ οὐαλλέριος ᾤκει σοβαρωτέραν ὑπὸ τὴν καλουμένην οὐελίαν οἰκίαν ἐπικρεμαμένην τῇ ἀγορᾷ καὶ καθορῶσαν ἐξ ὕψους ἅπαντα. δυσπρόσοδον δὲ πελάσαι καὶ χαλεπὴν ἔξωθεν. ὥστε καταβαίνοντος αὐτοῦ τὸ σχῆμα μετέωρον εἶναι καὶ βασιλικὸν τῆς πομπῆς τὸν ὄγκον. ὅσον οὖν ἐν ἀρχῇ καὶ πράγμασι μεγάλοις ἀγαθὸν ἦν ἔχειν ὦτα παρρησίαν ἀντὶ κολακείας προσιέμενα καὶ λόγους ἀληθεῖς, ἐπέδειξεν. ἀκούσας γὰρ ὅτι τοῖς πολλοῖς ἁμαρτάνειν ἐδόκει τῶν φίλων διεξιόντων, οὐκ ἐφιλονείκησεν, οὐδ' ἠγανάκτησεν, ἀλλὰ ταχὺ πολλοὺς συναγαγὼν τεχνίτας ἔτι νυκτὸς οὔσης, κατέβαλε τὴν οἰκίαν καὶ κατέσκαψεν εἰς ἔδαφος πᾶσαν. ὥστε μεθ' ἡμέραν τοὺς ῥωμαίους ὁρῶντας καὶ συνισταμένους, τοῦ μὲν ἀνδρὸς ἀγαπᾶν καὶ θαυμάζειν τὴν μεγαλοφροσύνην, ἄχθεσθαι δὲ τῆς οἰκίας, καὶ ποθεῖν τὸ μέγεθος καὶ τὸ κάλλος ὥσπερ ἀνθρώπου, διὰ φθόνον οὐ δικαίως καταλελυμένης, τοῦ δ' ἄρχοντος ὥσπερ ἀνεστίου, παρ' ἑτέροις οἰκοῦντος. ἐδέχοντο γὰρ οἱ φίλοι τὸν οὐαλλέριον, ἄχρις οὗ τόπον ἔδωκεν ὁ δῆμος αὐτῷ, καὶ κατεσκεύασεν οἰκίαν, ἐκείνης μετριωτέραν. ὅπου νῦν ἱερόν ἐστιν οὐίκος πόπλικος ὀνομαζόμενον. βουλόμενος δὲ μὴ μόνον ἑαυτόν, ἀλλὰ καὶ τὴν ἀρχὴν ἀντὶ φοβερᾶς χειροήθη καὶ προσφιλῆ ποιεῖν τοῖς πολλοῖς, τούς τε πελέκεις ἀπέλυσε τῶν ῥάβδων, αὐτάς τε τὰς ῥάβδους εἰς ἐκκλησίαν παριών, ὑφῆκε τῷ δήμῳ καὶ κατέκλινε, μέγα ποιῶν τὸ πρόσχημα τῆς δημοκρατίας, καὶ τοῦτο μέχρι νῦν διαφυλάττουσιν οἱ ἄρχοντες. ἐλάνθανε δὲ τοὺς πολλοὺς οὐχ ἑαυτὸν ὡς ᾤοντο ποιῶν ταπεινόν, ἀλλὰ τὸν φθόνον τῇ μετριότητι ταύτῃ καθαιρῶν καὶ κολούων. αὑτῷ δὲ προστιθεὶς τοσοῦτον μέγεθος δυνάμεως, ὅσον ἀφαιρεῖν ἐδόκει τῆς ἐξουσίας, ὑποδυομένου μεθ' ἡδονῆς αὐτῷ τοῦ δήμου, καὶ φέροντος ἑκουσίως. ὥστε καὶ ποπλικόλαν ἀνηγόρευσαν αὐτόν. σημαίνει δὲ τοὔνομα, δημοκηδῆ. καὶ τοῦτο μᾶλλον ἴσχυσε τῶν ἀρχαίων ὀνομάτων. ᾧ καὶ ἡμεῖς χρησόμεθα τὸν λοιπὸν βίον τοῦ ἀνδρὸς ἱστοροῦντες. ὑπατείαν μὲν γὰρ ἔδωκε μετιέναι καὶ παραγγέλλειν τοῖς βουλομένοις. πρὸ δὲ τῆς καταστάσεως τοῦ συνάρχοντος, οὐκ εἰδὼς τὸ γενησόμενον, ἀλλὰ δεδιὼς ἀντίπραξιν ὑπὸ φθόνου τινὸς ἢ ἀγνοίας, ἐχρήσατο τῇ μοναρχίᾳ πρὸς τὰ κάλλιστα καὶ μέγιστα τῶν πολιτευμάτων. πρῶτον μὲν γὰρ ἀνεπλήρωσε τὴν βουλὴν ὀλιγανδροῦσαν. ἐτεθνήκεσαν γὰρ οἱ μέν, ὑπὸ ταρκυνίου πρότερον. οἱ δ' ἔναγχος ἐν τῇ μάχῃ. τοὺς δ' ἐγγραφέντας ὑπ' αὐτοῦ λέγουσιν ἑκατὸν ἑξήκοντα καὶ τέσσαρας γενέσθαι. μετὰ δὲ ταῦτα, νόμους ἔγραψεν. ὧν μάλιστα μὲν ἰσχυροὺς ἐποίησε τοὺς πολλούς. ὁ τὸν δῆμον ἀπὸ τῶν ὑπάτων τῷ φεύγοντι δίκην ἐπικαλεῖσθαι διδούς. δεύτερος, ὁ τοὺς ἀρχὴν λαβόντας ἣν ὁ δῆμος οὐκ ἔδωκεν, ἀποθνήσκειν κελεύων. τρίτος δὲ μετὰ τοῦτον. ὃς ἐβοήθησε τοῖς πένησιν. ὧν τὰ τέλη τῶν πολιτῶν ἀφεῖλε, καὶ προθυμότερον ἅπτεσθαι τῶν ἐργασιῶν ἐποίησεν ἅπαντας. ὁ δὲ γραφεὶς κατὰ τῶν ἀπειθούντων τοῖς ὑπάτοις, οὐχ ἧττον ἔδοξε δημοτικὸς εἶναι καὶ πρὸς τῶν πολλῶν μᾶλλον ἢ δυνατῶν γεγράφθαι. ζημίαν γὰρ ἀπειθείας ἔταξε βοῶν πέντε καὶ δυοῖν προβάτων ἀξίαν. ἦν δὲ τιμὴ μὲν προβατίου, ὀβολοὶ δέκα. βοὸς δέ, ἑκατόν, οὔπω νομίσματι χρωμένων πολλῷ τότε ῥωμαίων. ἀλλὰ προβατείαις καὶ κτηνοτροφίαις εὐθυνούντων. διὸ καὶ τὰς οὐσίας ἄχρι νῦν ἀπὸ τῶν προβάτων πεκούλια καλοῦσι. καὶ τῶν νομισμάτων τοῖς παλαιοτάτοις, βοῦν ἐπιχάραττον, ἢ πρόβατον, ἢ σῦν. ἐτίθεντο δὲ καὶ παισὶν αὐτῶν, σουίλλους. καὶ βουβούλκους. καὶ καπραρίους ὀνόματα καὶ πορκίους. κάπρας μέν, τὰς αἶγας. πόρκους δὲ τοὺς χοίρους ὀνομάζοντες. οὕτω δέ, περὶ ταῦτα δημοτικὸς γενόμενος νομοθέτης καὶ μέτριος, ἐν τῷ μετρίῳ, τὴν τιμωρίαν ὑπερέτεινεν. ἔγραψε γὰρ νόμον ἄνευ κρίσεως κτεῖναι, τὸν βουλόμενον τυραννεῖν. κτείναντα δὲ φόνου καθαρὸν ἐποίησεν εἰ παράσχοιτο τοῦ ἀδικήματος τοὺς ἐλέγχους. ἐπεὶ γὰρ οὐ δυνατὸν ἦν ἐπιχειροῦντα τηλικούτοις λαθεῖν ἅπαντας. οὐκ ἀδύνατον δέ, τὸ μὴ λαθόντα τοῦ κριθῆναι φθάσαι κρείττονα γενόμενον, ἣν ἀναιρεῖ τὸ ἀδίκημα κρίσιν, προλαβεῖν ἔδωκε τῷ δυναμένῳ κατὰ τοῦ ἀδικοῦντος. ἐπῃνέθη δὲ καὶ διὰ τὸν ταμιευτικὸν νόμον. ἐπεὶ γὰρ ἔδει χρήματα εἰς τὸν πόλεμον εἰσενεγκεῖν ἀπὸ τῶν οὐσιῶν τοὺς πολίτας. οὔτ' αὐτὸς ἅψασθαι τῆς οἰκονομίας. οὔτε φίλους ἐᾶσαι βουλόμενος. οὐδ' ὅλως εἰς οἶκον ἰδιώτου παρελθεῖν δημόσια χρήματα, ταμιεῖον μὲν ἀπέδειξε τὸν τοῦ κρόνου ναόν, ᾧ μέχρι νῦν χρώμενοι διατελοῦσι. ταμίας δὲ τῷ δήμῳ, δύο τῶν νέων ἔδωκεν ἀποδεῖξαι. καὶ

ἀπεδείχθησαν

οὐίκας ποτὰς · εὐθηνούντ. ς. / εὐθηνοῦντ. ω.τ. · λιθοῦντ ς.τ.ω.

Livius L. 2°. 47 sex Delata cōfestim materia omnis infra Veliam est, ubi nunc via publica est, domus in imo colle aedificata. ὅπου νῦν ἱερόν. De hoc templo nihil unquam legi. quare vox illa suspecta mihi est.

τον ἐβόα δεινὰ ποιεῖν, εἰ τῷ συνάρχοντι παιδοφονίας ἀνάγκην προστριψάμενος, αὐτὸς οἴεται δεῖν καταχαρίζεσθαι ταῖς γυναιξὶ τοὺς προδότας καὶ πολεμίους τῆς πατρίδος. ἀγανακτοῦντος δὲ τοῦ ὑπάτου καὶ κελεύοντος ἀπάγεσθαι τὸν οὐινδίκιον, οἱ μὲν ὑπηρέται διωσάμενοι τὸν ὄχλον ἥπτοντο τοῦ ἀνθρώπου καὶ τοὺς ἀφαιρουμένους ἔτυπτον. οἱ δὲ φίλοι τοῦ οὐαλλερίου προΐσταντο ἀμυνόμενοι. καὶ ὁ δῆμος ἐβόα, κελεύων παρεῖναι τὸν βροῦτον, ἧκεν οὖν αὖθις ἐπιστρέψας, καὶ γενομένης αὐτῷ σιωπῆς, εἶπεν ὅτι τοῖς μὲν υἱοῖς, αὐτὸς ἀρκῶν ἦν δικαστής. περὶ δὲ τῶν ἄλλων τοῖς πολίταις ἐλευθέροις οὖσι, ψῆφον δίδωσι. λεγέτω δὲ ὁ βουλόμενος καὶ πειθέτω τὸν δῆμον. οὐκέτι μέντοι λόγων ἐδέησεν, ἀλλὰ τῆς ψήφου δοθείσης, πάσαις ἁλόντες, ἐπελεκίσθησαν. ὁ δὲ κολλατῖνος, ἦν μὲν ὡς ἔοικεν ἐν ὑποψίᾳ τινὶ καὶ διὰ συγγένειαν τῶν βασιλέων, ἤχθοντο δ' αὐτοῦ καὶ τῷ δευτέρῳ τῶν ὀνομάτων ἀφοσιούμενοι τὸν ταρκύνιον. ὡς δὲ ταῦτα συνέβη παντάπασι προσκρούσας, ἀφῆκε τὴν ἀρχὴν ἑκών. καὶ τῆς πόλεως ὑπεξῆλθεν. οὕτω δὴ πάλιν ἀρχαιρεσιῶν γενομένων, ὕπατος ἀνεδείχθη λαμπρῶς οὐαλλέριος, ἀξίαν ἀπολαβὼν τῆς προθυμίας χάριν. ἧς οἰόμενός τι δεῖν ἀπολαῦσαι τὸν οὐινδίκιον, ἐψηφίσατο, πρῶτον ἀπελεύθερον ἐκεῖνον ἐν ῥώμῃ γενέσθαι πολίτην, καὶ φέρειν ψῆφον ᾗ βούλοιτο φατρίᾳ προσνεμηθέντα. τοῖς δ' ἄλλοις ἀπελευθέροις, ὀψὲ καὶ μετὰ πολὺν χρόνον, ἐξουσίαν ψήφου, δημαγωγῶν ἔδωκεν ἄππιος. ἡ δὲ παντελὴς ἀπελευθέρωσις, ἄχρι νῦν, οὐινδίκτα λέγεται, δι' ἐκεῖνον ὥς φασι τὸν οὐινδίκιον. ἐκ τούτου, τὰ μὲν χρήματα τῶν βασιλέων διαρπάσαι τοῖς ῥωμαίοις ἔδωκαν, τὴν δ' οἰκίαν κατέσκαψαν, καὶ τὴν ἔπαυλιν. τοῦ δ' ἀρείου πεδίου τὸ ἥδιστον, ἐκέκτητο ταρκύνιος. καὶ τοῦτο, τῷ θεῷ καθιέρωσαν. ἔτυχε δὲ τεθερισμένον ἄρτι, καὶ κειμένων ἔτι τῶν δραγμάτων, οὐκ ᾤοντο δεῖν ἀλοᾶν, οὐδὲ χρῆσθαι διὰ τὴν καθιέρωσιν, ἀλλὰ συνδραμόντες ἐφόρουν τὰς ἀμάλλας εἰς τὸν ποταμόν. ὡσαύτως δὲ καὶ τὰ δένδρα κόπτοντες ἐνέβαλον, ἀργὸν παντάπασι τὸ χωρίον ἀνιέντες τῷ θεῷ καὶ ἄκαρπον. ὠθουμένων δὲ πολλῶν ἐπαλλήλοις καὶ ἀθρόων, ὑπήγαγεν ὁ ῥοῦς οὐ πολὺν τόπον ἀλλ' ὅπου τὰ πρῶτα συνενεχθέντα καὶ προσπεσόντα τοῖς τεναγώδεσιν ὑπέστη. τῶν δ' ἐπιφερομένων διέξοδον οὐκ ἐχόντων, ἀλλ' ἐνισχομένων καὶ περιπλεκομένων, ἐλάμβανεν ἡ σύμπηξις ἰσχὺν καὶ ῥίζωσιν αὐξανομένην ὑπὸ τοῦ ῥεύματος. ἰλύν τε γὰρ ἐπῆγε πολλήν, ἣ προσισταμένη τροφὴν παρεῖχεν ἅμα καὶ κόλλησιν, αἵ τε πληγαί, σάλον οὐκ ἐποίουν, ἀλλὰ μαλακῶς πιέζουσαι συνήλαυνον εἰς ταὐτὸ πάντα καὶ συνέπλαττον. ὑπὸ δὲ μεγέθους καὶ στάσεως, ἕτερον αὐτῷ μέγεθος ἐκτᾶτο καὶ χώραν ἀναδεχομένην τὰ πλεῖστα τῶν ὑπὸ τοῦ ποταμοῦ καταφερομένων. τοῦτο νῦν νῆσος ἐστὶν ἱερὰ κατὰ τὴν πόλιν. ἔχει δὲ ναοὺς θεῶν καὶ περιπάτους. καλεῖται δὲ τῇ λατίνων φωνῇ, μέση δυοῖν γεφυρῶν. ἔνιοι δέ, τοῦτο συμπεσεῖν ἱστοροῦσιν, οὐχ ὅτε ταρκυνίου καθιερώθη τὸ πεδίον, ἀλλὰ χρόνοις ὕστερον ἄλλο χωρίον ὁμοροῦν ἐκείνῳ ταρκυνίας ἀνείσης. ἡ δὲ ταρκυνία, παρθένος ἦν ἱέρεια μία τῶν ἑστιάδων. ἔσχε δὲ τιμὰς ἀντὶ τούτου μεγάλας, ἐν αἷς ἦν καὶ τὸ μαρτυρίαν αὐτῆς δέχεσθαι μόνης γυναικῶν. τὸ δ' ἐξεῖναι γαμεῖσθαι ψηφισαμένων, οὐ προσεδέξατο. καὶ ταῦτα μὲν, οὕτω γενέσθαι μυθολογοῦσι. ταρκύνιον δὲ τὴν ἐκ προδοσίας ἀπογνόντα τῆς ἀρχῆς ἀνάληψιν, ἐδέξαντο τυρρηνοὶ προθύμως, καὶ μεγάλῃ δυνάμει κατῆγον. ἀντεξῆγον δὲ τοὺς ῥωμαίους οἱ ὕπατοι, καὶ παρετάξαν ἐν χωρίοις ἱεροῖς, ὧν τὸ μὲν ὄρσον ἄλσος, τὸ δέ, αἰσούιον λειμῶνα προσαγορεύουσιν. ἀρχομένων δὲ αὐτῶν συνάγειν εἰς χεῖρας, ἄρρων ὁ ταρκυνίου παῖς, καὶ βροῦτος ὁ ῥωμαίων ὕπατος οὐ κατὰ τύχην ἀλλήλοις περιπεσόντες, ἀλλ' ὑπ' ἔχθους καὶ ὀργῆς. ὁ μὲν, ὡς ἐπὶ τύραννον καὶ πολέμιον τῆς πατρίδος. ὁ δέ, τῆς φυγῆς ἀμυνόμενος, ὥρμησαν ὁμόσε τοῖς ἵπποις. θυμῷ δὲ μᾶλλον ἢ λογισμῷ προσμίξαντες, ἠφείδησαν αὑτῶν καὶ συναπέθανον ἀλλήλοις. οὕτω δὲ δεινοῦ γενομένου τοῦ προαγῶνος, οὐκ ἔσχεν ὁ ἀγὼν τέλος ἐπιεικέστερον, ἀλλὰ καὶ δράσαντες ἴσα καὶ παθόντες οἱ στρατοί, διεκρίθησαν ὑπὸ χειμῶνος. ἦν οὖν ἐν ἀπόροις ὁ οὐαλλέριος, οὐκ εἰδὼς τὸ τῆς μάχης πέρας, ἀλλὰ τοὺς στρατιώτας ὁρῶν τοῖς μὲν αὑτῶν νεκροῖς ἀθυμοῦντας, ἐπαιρομένους δὲ τοῖς τῶν πολεμίων, οὕτως ἄκριτος ἦν καὶ παράλληλος ὑπὸ πλήθους ὁ φόνος. οὐ μὴν ἀλλ' ἑκατέροις ἐγγύθεν ὁρώμενα τὰ οἰκεῖα, μᾶλλον ἐβεβαίου τὴν ἧτταν, ἢ τὴν νίκην εἰκαζόμενα τὰ τῶν πολεμίων. ἐπελθούσης δὲ νυκτὸς οἵαν εἰκὸς οὕτω μεμαχημένοις, καὶ γενομένων ἐν ἡσυχίᾳ τῶν στρατοπέδων, λέγουσι σεισθῆναι τὸ ἄλσος, ἐκ δ' αὐτοῦ φωνὴν ἐκπεσεῖν μεγάλην φράζουσαν, ὡς ἑνὶ πλείους ἐν τῇ μάχῃ τεθνήκασι τυρρηνῶν ἢ ῥωμαίων. ἦν δ' ἄρα θεῖόν τι τὸ φθεγξάμενον. εὐθύς τε γὰρ ὑπ' αὐτοῦ, τοῖς μὲν, ἀλαλάξαι παρέστη μέγα καὶ θαρραλέον. οἱ δὲ τυρρηνοὶ περίφοβοι γενόμενοι καὶ συνταραχθέντες, ἐξέπεσον ἐκ τοῦ στρατοπέδου, καὶ διεσπάρησαν οἱ πλεῖστοι. τοὺς δὲ καταληφθέντας ὀλίγῳ πεντακισχιλίων ἐλάσσους, ἐπελθόντες εἷλον οἱ ῥωμαῖοι, καὶ τἆλλα διήρπασαν. οἱ δὲ νεκροὶ διαριθμηθέντες, εὑρέθησαν τριακόσιοι μὲν ἐπὶ χιλίοις καὶ μυρίοις οἱ τῶν πολεμίων. οἱ δὲ ῥωμαίων, παρ' ἕνα τοσοῦτοι. ταύτην τὴν μάχην λέγουσι γενέσθαι πρὸ μιᾶς καλανδῶν μαρτίου. ἐθριάμβευσε δ' ἀπ' αὐτῆς οὐαλλέριος, εἰσελάσας τεθρίππῳ, πρῶτος ὑπάτων. καὶ τὸ πρᾶγμα, σεμνὴν καὶ μεγαλοπρεπῆ παρεσχηκὸς ὄψιν, οὐκ ἐπίφθονον, οὐδ' ἀνιάσαν ὥς ἔνιοι λέγουσι τοὺς ὁρῶντας. οὐ γὰρ ἂν ἔσχε ζῆλον τοσοῦτον, οὐδὲ

ξαντες ἑαυτοὺς εἰς γένος μέγα τὸ τῶν Ταρκυνίων καὶ βασιλικὰς ἐλπίδας, ἀπαλλαγῆναι τῆς τοῦ παιδὸς ἀβελτηρίας καὶ χαλεπότητος. χαλεπότητα μὲν τὸ ἀπαραίτητον αὐτοῦ πρὸς τοὺς πονηροὺς λέγοντες. τῇ δ' ἀβελτηρίᾳ, πρὸς ποιήματι καὶ παρακαλύμματι πολὺν χρόνον ὡς ἔοικε χρησάμενος ἀσφαλείας ἕνεκα πρὸς τοὺς τυράννους, οὐδ' ὕστερον ἔφυγεν αὐτῆς τὴν ἐπωνυμίαν. ὡς δ' οὖν ἐπείσθη τὰ μειράκια, καὶ τοῖς Ἀκυλλίοις εἰς λόγους ἦλθεν, ὅρκον ὀμόσαι μέγαν ἔδοξε πᾶσι, καὶ δεινὸν, ἀνθρώπου σφαγέντος ἐπισπείσαντας αἷμα, καὶ τῶν σπλάγχνων θιγόντας. ἐπὶ τούτοις εἰς τὴν Ἀκυλλίων οἰκίαν συνῆλθον. ἦν δ' οἶκος ἐν ᾧ ταῦτα δράσειν ἔμελλον, οἷον εἰκὸς, ὑπέρημος καὶ σκοτώδης. ἔλαθεν οὖν αὐτοὺς οἰκέτης ὄνομα Οὐινδίκιος ἔνδον κατακρύψας ἑαυτὸν, οὐ κατ' ἐπιβουλὴν ἢ προαίσθησίν τινα τοῦ μέλλοντος, ἀλλ' ἔνδον ὢν ἔτυχε, καὶ προσιοῦσιν αὐτοῖς μετὰ σπουδῆς ὀφθῆναι φοβηθεὶς, ὑπέστη, λάρνακα κειμένην πρὸ αὐτοῦ ποιησάμενος, ὥστε καὶ τῶν πραγμάτων θεατὴς γενέσθαι, καὶ τῶν βουλευμάτων ἐπήκοος. ἔδοξε δ' αὐτοῖς τοὺς ὑπάτους ἀναιρεῖν. καὶ ταῦτα δηλούσας γράψαντες ἐπιστολὰς πρὸς τὸν Ταρκύνιον, ἔδωκαν τοῖς πρέσβεσι, καὶ γὰρ ᾤκουν αὐτόθι τῶν Ἀκυλλίων ξένοι γεγονότες, καὶ τότε τῇ συνωμοσίᾳ παρῆσαν. ὡς δὲ ταῦτα πράξαντες ἀπηλλάγησαν, ὑπεξελθὼν ὁ Οὐινδίκιος λάθρα, χρήσασθαι τοῖς προσπεσοῦσιν οὐκ εἶχεν, ἀλλ' ἠπορεῖτο. δεινὸν μὲν ἡγούμενος ὥσπερ ἦν πρὸς πατέρα Βροῦτον, ἢ ὧν ἔγγιστα κατηγορεῖν. ἢ πρὸς θεῖον ἀδελφιδῶν, τὸν Κολλατῖνον. ἰδιωτῶν δὲ Ῥωμαίων οὐδένα νομίζων ἐχέγγυον ἀπορρήτων τηλικούτων. πᾶν δ' αὖ μᾶλλον ἢ δυνατὸς ὢν ἡσυχίαν ἄγειν, ἐλαυνόμενος δὲ τῷ συνειδότι τοῦ πράγματος, ὥρμησέ πως πρὸς τὸν Οὐαλλέριον. μάλιστά πως τοῖς κοινοῖς καὶ φιλανθρώποις ἐπαχθεὶς τοῦ ἀνδρὸς ὅτι πᾶσιν εὐπρόσοδος ἦν τοῖς δεομένοις καὶ τὴν οἰκίαν ἀεὶ παρεῖχεν ἀνεῳγμένην, καὶ λόγον οὐδενὸς οὐδὲ χρείαν ἀπέρριπτε τῶν ταπεινῶν. ὡς οὖν ἀνέβη πρὸς αὐτὸν ὁ Οὐινδίκιος καὶ κατεῖπε πάντα, Μάρκου τε τοῦ ἀδελφοῦ παρόντος αὐτῷ μόνου, καὶ τῆς γυναικὸς, ἐκπλαγεὶς καὶ δείσας ὁ Οὐαλλέριος, οὐκέτι προσίετο τὸν ἄνθρωπον, ἀλλὰ κατακλείσας εἰς τὸ οἴκημα, καὶ φύλακα τὴν ἑαυτοῦ γυναῖκα ταῖς θύραις ἐπιστήσας, τὸν μὲν ἀδελφὸν, ἐκέλευσε τὴν βασιλικὴν ἔπαυλιν περισχόντα, τὰ γράμματα λαβεῖν, εἰ δυνατὸν ἦ, καὶ τοὺς οἰκέτας παραφυλάττειν. αὐτὸς δὲ, πελατῶν τε πολλῶν καὶ φίλων ἀεὶ περὶ αὐτὸν ὄντων καὶ θεραπείας συχνῆς, ἐβάδιζε πρὸς τὴν οἰκίαν τῶν Ἀκυλλίων, οὐκ ἔνδον ὄντων. διὸ μηδενὸς ἂν προσδοκήσαντος, ὠσάμενος διὰ τῶν θυρῶν, ἐντυγχάνει τοῖς γράμμασι κειμένοις, ὅπου κατέλυον οἱ πρέσβεις. ταῦτα δ' αὐτοῦ πράττοντος, οἱ Ἀκύλλιοι δρόμῳ προσεφέροντο. καὶ περὶ τὰς θύρας συμμίξαντες, ἐζήτουν ἀφελέσθαι τὰς ἐπιστολάς, οἱ δ' ἠμύνοντο. καὶ τὰ ἱμάτια περιβαλόντες αὐτῶν τοῖς τραχήλοις ἀπὸ βίας καὶ μόλις ὠθούμενοι καὶ ὠθοῦντες, διὰ τῶν στενωπῶν, εἰς τὴν ἀγορὰν ἐνέβαλον. ταὐτὰ δὲ καὶ περὶ τὴν ἔπαυλιν ἅμα τὴν βασιλικὴν ἐγίνετο, τοῦ Μάρκου γραμμάτων ἑτέρων τοῖς σκεύεσι κομιζομένων, ἐπιλαβομένου, καὶ τῶν βασιλικῶν ὅσους δυνατὸς ἦν ἕλκοντος εἰς τὴν ἀγοράν. ἐπεὶ δὲ τὸν θόρυβον κατέπαυσαν οἱ ὕπατοι, καὶ τοῦ Οὐαλλερίου κελεύσαντος, ἐκ τῆς οἰκίας ὁ Οὐινδίκιος προσήχθη. καὶ γενομένης κατηγορίας, ἀνεγνώσθη τὰ γράμματα καὶ πρὸς οὐδὲν ἐτόλμησαν ἀντειπεῖν οἱ ἄνδρες, ἦν μὲν κατήφεια καὶ σιωπὴ τῶν ἄλλων. ὀλίγοι δὲ βουλόμενοι τῷ Βρούτῳ χαρίζεσθαι, φυγῆς ἐμέμνηντο. καί τι καὶ Κολλατῖνος αὐτοῖς ἐλπίδος ἐπεδίδου δεδακρυμένος, καὶ Οὐαλλέριος σιωπῶν. ὁ δὲ Βροῦτος ὀνομαστὶ τὸν υἱὸν ἑκάτερον προσειπὼν, ἄγε ὦ Τίτε εἶπεν, ἄγε Οὐαλλέριε, τί οὐκ ἀπολογεῖσθε πρὸς τὴν κατηγορίαν; ὡς δ' οὐδὲν ἀπεκρίναντο, τρὶς ἐρωτηθέντες, οὕτως ἀποστρέψας πρὸς τοὺς ὑπηρέτας τὸ πρόσωπον, ὑμέτερον ἤδη εἶπεν τὸ λοιπὸν, τὸ ἔργον. οἱ δ' εὐθὺς συλλαβόμενοι τοὺς νεανίσκους, περιερρήγνυον τὰ ἱμάτια. τὰς χεῖρας ἀπῆγον ὀπίσω. ῥάβδοις ἔξαινον τὰ σώματα. τῶν μὲν ἄλλων, οὐ δυναμένων προσορᾶν, οὐδὲ καρτερούντων, ἐκεῖνον δὲ λέγεται μήτε τὰς ὄψεις ἀπαγαγεῖν ἀλλαχόσε, μήτ' οἴκτῳ τι ῥέψαι τῆς περὶ τὸ πρόσωπον ὀργῆς καὶ βαρύτητος. ἀλλὰ δεινὸν ἐνορᾶν κολαζομένοις τοῖς παισὶν, ἄχρις οὗ κατατείναντες αὐτοὺς ἐπὶ τοὔδαφος, πελέκει τὰς κεφαλὰς ἀπέκοψαν. οὕτω δὲ τοὺς ἄλλους ἐπὶ τῷ συνάρχοντι ποιησάμενος, ᾤχετ' ἐξαναστάς. ἔργον εἰργασμένος, οὔτ' ἐπαινεῖν βουλομένοις ἀξίως, οὔτε ψέγειν ἐφικτόν. ἢ γὰρ ἀρετῆς ὕψος, εἰς ἀπάθειαν ἐξέστησε τὴν ψυχὴν, ἢ πάθους μέγεθος εἰς ἀναλγησίαν. οὐδέτερον δὲ μικρὸν, οὐδ' ἀνθρώπινον, ἀλλ' ἢ θεῖον, ἢ θηριῶδες. δίκαιον δὲ τῇ δόξῃ τοῦ ἀνδρὸς τὴν κρίσιν ἕπεσθαι μᾶλλον, ἢ τὴν ἀρετὴν ἀσθενείᾳ τοῦ κρίνοντος ἀπιστεῖσθαι. Ῥωμαῖοι γὰρ οὐ τοσοῦτον ἔργον οἴονται Ῥωμύλου γενέσθαι τῆς πόλεως τὴν ἵδρυσιν, ὅσον Βρούτου τὴν κτίσιν τῆς πολιτείας καὶ κατάστασιν. ὡς δ' οὖν ἀπῆλθεν ἐξ ἀγορᾶς τότε, πολὺν μὲν χρόνον, ἔκπληξις εἶχε καὶ φρίκη καὶ σιωπὴ, πάντας ἐπὶ τοῖς διαπεπραγμένοις. πρὸς δὲ τὴν Κολλατίνου μαλακίαν, καὶ μέλλησιν, ἀνεθάρρησαν οἱ Ἀκύλλιοι καὶ χρόνον ἠξίουν λαβόντες ἀπολογήσασθαι. καὶ τὸν Οὐινδίκιον αὐτοῖς ἀποδοθῆναι δοῦλον ὄντα, καὶ μὴ παρὰ τοῖς κατηγόροις εἶναι. βουλομένου δὲ ταῦτα συγχωρεῖν, καὶ διαλύοντος ἐπὶ τούτοις τὴν ἐκκλησίαν, ὁ Οὐαλλέριος, οὔτε τὸν ἄνθρωπον οἷός τ' ἦν ἀφεῖναι τῷ περὶ αὐτὸν ὄχλῳ καταμεμιγμένον, οὔτε τὸν δῆμον εἴα προϊέμενον τοὺς προδότας ἀπελθεῖν. τέλος δὲ τοῖς σώμασιν ἐπιβαλὼν τὰς χεῖρας, ἐπεκαλεῖτο τὸν Βροῦτον, καὶ τὸν Κολλατῖ-

Οἱ οὕτω δὲ γενομένῳ τῷ Σόλωνι, τὸν Ποπλικόλαν παραβάλλομεν. ᾧ τοῦτο μὲν ὕστερον ὁ Ῥωμαίων δῆμος ἐξεῦρεν αὐτῇ τιμῇ τοὔνομα, πρὸ τοῦ δὲ Πόπλιος Οὐαλλέριος ἐκαλεῖτο. Οὐαλλερίου δοκῶν ἀπόγονος εἶναι, τῶν παλαιῶν ἀνδρὸς αἰτιωτάτου γενομένου Ῥωμαίους καὶ Σαβίνους ἐκ πολεμίων ἕνα γενέσθαι δῆμον. ὁ γὰρ μάλιστα τοὺς βασιλεῖς εἰς ταὐτὸ πείσας συνελθεῖν καὶ διαλλαγῆναι, ἐκεῖνος ἦν. τούτῳ δὴ κατὰ γένος προσήκων Οὐαλλέριος ὥς φασι, βασιλευομένης μὲν ἔτι τῆς Ῥώμης, ἐπιφανὴς ἦν διὰ λόγον καὶ πλοῦτον, ὧν, τῷ μὲν, ὀρθῶς καὶ μετὰ παρρησίας ἀεὶ χρώμενος ὑπὲρ τῶν δικαίων, ἀφ' οὗ δὲ τοῖς δεομένοις ἐλευθερίως καὶ φιλανθρώπως ἐπαρκῶν, δῆλος ἦν εὐθὺς, εἰ γένοιτο δημοκρατία, πρωτεύσων. ἐπεὶ δὲ Ταρκύνιον Σούπερβον, οὔτε λαβόντα τὴν ἀρχὴν καλῶς, ἀλλ' ἀνοσίως καὶ παρανόμως, οὔτε χρώμενον αὐτῇ βασιλικῶς, ἀλλ' ὑβρίζοντα καὶ τυραννοῦντα μισῶν ὁ δῆμος καὶ βαρυνόμενος, ἀρχὴν ἀποστάσεως ἔλαβε τὸ Λουκρητίας πάθος, αὐτὴν ἐπὶ τῷ βιασθῆναι διεργασαμένης. καὶ Λεύκιος Βροῦτος ἁπτόμενος τῶν πραγμάτων τῆς μεταβολῆς, ἐπὶ πρῶτον ἦλθε τὸν Οὐαλλέριον, καὶ χρησάμενος αὐτῷ προθυμοτάτῳ, συνεξέβαλε τοὺς βασιλεῖς. καὶ μέχρι μὲν ἐπίδοξος ἦν ὁ δῆμος, ἕνα χειροτονήσειν ἀντὶ τοῦ βασιλέως στρατηγὸν, ἡσυχίαν ἦγεν ὁ Οὐαλλέριος, ὡς τῷ Βρούτῳ μᾶλλον ἄρχειν προσῆκον, ἡγεμόνι τῆς δημοκρατίας γεγενημένῳ. δυσχεραινομένου δὲ τοῦ τῆς μοναρχίας ὀνόματος, καὶ δοκοῦντος ἂν ἀλυπότερον τοῦ δήμου μετρια θεῖσαν ὑπομεῖναι τὴν ἀρχήν. καὶ δύο προβαλλομένου καὶ καλοῦντος, ἐλπίζων μετὰ τοῦ Βρούτου αἱρεθήσεσθαι καὶ συνυπατεύσειν, διήμαρτεν. ᾑρέθη γὰρ ἄκοντι τῷ Βρούτῳ, συνάρχων ἀντὶ τοῦ Οὐαλλερίου, Ταρκύνιος Κολλατῖνος, ὁ Λουκρητίας ἀνὴρ, οὐδὲν ἀρετῇ Οὐαλλερίου διαφέρων, ἀλλ' οἱ δυνατοὶ δεδιότες τοὺς βασιλεῖς, ἔτι πολλὰ πειρῶντας ἔξωθεν καὶ μαλάσσοντας τὴν πόλιν ἐβούλοντο τὸν ἐντονώτατον αὐτοῖς ἐχθρὸν ἔχειν στρατηγὸν ὡς οὐχ ὑφησόμενον. ἀγανακτῶν οὖν ὁ Οὐαλλέριος εἰ μὴ πιστεύεται πάντα πράττειν ἕνεκα τῆς πατρίδος, ὅτι μηδὲν ἰδίᾳ κακὸν ὑπὸ τῶν τυράννων πέπονθε, τῆς τε βουλῆς ἀπέστη, καὶ τὰς συνηγορίας ἀπεῖπε, καὶ τὸ πράττειν τὰ κοινὰ, παντελῶς ἐξέλιπεν. ὥστε καὶ λόγον τοῖς πολλοῖς παρασχεῖν καὶ φροντίδα φοβουμένοις, μὴ δι' ὀργὴν προσθέμενος τοῖς βασιλεῦσιν ἀνατρέψῃ τὰ πράγματα καὶ τὴν πόλιν, ἐπισφαλῶς ἔχουσαν. ἐπεὶ δὲ καὶ πρὸς ἑτέρους τινὰς ὑποψίαν ἔχων ὁ Βροῦτος ἐβούλετο διὰ σφαγίων ὁρκῶσαι τὴν βουλὴν καὶ προεῖπεν ἡμέραν, κατέβη μάλα φαιδρὸς εἰς ἀγορὰν Οὐαλλέριος, καὶ πρῶτος ὀμόσας μηδὲν ἐνδώσειν μηδ' ὑφήσεσθαι Ταρκυνίῳ, ἀλλὰ πολεμήσειν κατὰ κράτος ὑπὲρ τῆς ἐλευθερίας, ἡδονήν τε τῇ βουλῇ, καὶ θάρσος ἅμα τοῖς ἄρχουσιν παρέσχεν. εὐθὺς δὲ καὶ τὰ ἔργα τὸν ὅρκον ἐβεβαίου. πρέσβεις γὰρ ἧκον ἀπὸ Ταρκυνίου γράμματα κομίζοντες ἐπαγωγὰ τοῦ δήμου καὶ λόγους ἐπιεικεῖς, οἷς μάλιστα τοὺς πολλοὺς ᾤοντο διαφθείρειν, λεγομένοις παρὰ βασιλέως, ἀφεικέναι τὸ φρόνημα καὶ μετρίων δεῖσθαι δοκοῦντος. τούτους εἰς τὸ πλῆθος οἰομένων δεῖν τῶν ὑπάτων προάγειν, οὐκ εἴασεν ὁ Οὐαλλέριος, ἀλλ' ἐνέστη καὶ διεκώλυσεν ἀνθρώποις πένησι, καὶ μᾶλλον βαρυνομένοις τῆς τυραννίδος τὸν πόλεμον, ἀρχὰς καὶ προφάσεις νεωτερισμοῦ ἐγγενέσθαι. μετὰ δὲ ταῦτα πρέσβεις ἧκον ἕτεροι τῆς τε βασιλείας ἀφίστασθαι, καὶ πολεμοῦντα παύεσθαι τὸν Ταρκύνιον λέγοντες, ἀπαιτεῖν δὲ τὰ χρήματα, καὶ τὰς οὐσίας αὐτῷ, καὶ φίλοις καὶ οἰκείοις, ἀφ' ὧν διαβιώσονται φεύγοντες. ἐπικλωμένων δὲ πολλῶν καὶ μάλιστα τοῦ Κολλατίνου συναγορεύοντος, ἄτρεπτος ὢν ἀνὴρ καὶ τραχὺς ὀργὴν ὁ Βροῦτος, ἐξέδραμεν εἰς ἀγορὰν, προδότην ἀποκαλῶν τὸν συνάρχοντα πολέμου καὶ τυραννίδος ἀφορμὰς χαριζόμενον, οἷς δεινὸν ἦν ὄντως ἐφόδια φυγῆς ψηφίζεσθαι. συνελθόντων δὲ τῶν πολιτῶν πρῶτος ἰδιώτης ἀνὴρ εἶπεν ἐν δήμῳ τότε, Γάϊος Μινούκιος, τῷ τε Βρούτῳ διακελευόμενος, καὶ τοῖς Ῥωμαίοις παραινῶν, ὁρᾶν ὅπως τὰ χρήματα μετ' αὐτῶν ὄντα πολεμοίη πρὸς τοὺς τυράννους μᾶλλον, ἢ μετ' ἐκείνων πρὸς αὐτούς. οὐ μὴν, ἀλλ' ἔδοξε τοῖς Ῥωμαίοις τὴν ἐλευθερίαν ἔχουσιν, ὑπὲρ ἧς ἐπολέμουν, μὴ προέσθαι τὴν εἰρήνην ἕνεκα χρημάτων, ἀλλὰ συνεκβάλλειν καὶ ταῦτα τοῖς τυράννοις. ἦν δὲ ἄρα Ταρκυνίῳ λόγος μὲν ἐλάχιστος τῶν χρημάτων, ἡ δ' ἀπαίτησις ἅμα πεῖρα τοῦ δήμου, καὶ κατασκευὴ προδοσίας. καὶ ταύτην ἔπραττον οἱ πρέσβεις ὑπομένοντες ἐπὶ τῇ τῶν χρημάτων προφάσει. τὰ μὲν, ἀποδίδοσθαι, τὰ δὲ, φυλάττειν, τὰ δ' ἀποπέμπειν φάσκοντες ἄχρις οὗ διέφθειραν οἴκους δύο τῶν καλῶν κἀγαθῶν νομιζομένων, τῶν Ἀκυλλίων, τρεῖς ἔχοντας βουλευτὰς, καὶ δύο τῶν Οὐιτελλίων. οὗτοι πάντες ἦσαν ἀπὸ μητέρων ἀδελφιδοῖ, Κολλατίνου τοῦ ὑπατεύοντος. ἰδίᾳ δὲ Οὐιτελλίοις ἑτέρα πρὸς Βροῦτον οἰκειότης ὑπῆρχεν. ἀδελφὴν γὰρ αὐτῶν, ὁ Βροῦτος εἶχε, καὶ παῖδας ἐξ αὐτῆς πλείονας. ὧν δύο τοὺς ἐν ἡλικίᾳ συγγενεῖς ὄντας ἅμα καὶ συνήθεις οἱ Οὐιτέλλιοι προσηγάγοντο, καὶ συνέπεισαν ἐν τῇ προδοσίᾳ γενέσθαι, καὶ καταμί-

μετὰ δὲ τὴν θέαν προσαγορεύσας αὐτὸν, ἠρώτησεν εἰ τοσούτων ἐναντίον, οὐκ αἰσχύνεται τηλικαῦτα ψευδόμενος. φήσαντος δὲ τοῦ θέσπιδος, μὴ δεινὸν εἶναι τὸ μετὰ παιδιᾶς λέγειν τοιαῦτα, καὶ πράσσειν. σφόδρα τῇ βακτηρίᾳ τὴν γῆν ὁ σόλων πατάξας, ταχὺ μέντοι τὴν παιδιὰν ταύτην ἐπαινοῦντες καὶ τιμῶντες, εὑρήσομεν ἐν τοῖς συμβολαίοις. ἐπεὶ δὲ, κατατρώσας αὐτὸς ἑαυτὸν ὁ πεισίστρατος, ἧκεν εἰς ἀγορὰν ἐπὶ ζεύγους κομιζόμενος. καὶ παρώξυνε τὸν δῆμον ὡς διὰ τὴν πολιτείαν ὑπὸ τῶν ἐχθρῶν ἐπιβεβουλευμένος, καὶ πολλοὺς εἶχεν ἀγανακτοῦντας καὶ βοῶντας, προσελθὼν ἐγγὺς ὁ σόλων καὶ παραστὰς, οὐ καλῶς εἶπεν ὦ παῖ ἱπποκράτους ὑποκρίνῃ τὸν ὁμηρικὸν ὀδυσσέα. ταῦτα γὰρ ποιεῖς τοὺς πολίτας παρακρουόμενος, οἷς ἐκεῖνος τοὺς πολεμίους ἐξηπάτησεν αἰκισάμενος ἑαυτόν. ἐκ τούτου, τὸ μὲν πλῆθος ἦν ἕτοιμον ὑπερμαχεῖν τοῦ πεισιστράτου, καὶ συνῆλθεν εἰς ἐκκλησίαν ὁ δῆμος. ἀρίστωνος δὲ γράψαντος ὅπως δοθῶσι πεντήκοντα κορυνηφόροι τῷ πεισιστράτῳ, φυλακὴ τοῦ σώματος, ἀντεῖπεν ὁ σόλων ἀναστὰς καὶ πολλὰ διεξῆλθεν ὅμοια τούτοις, οἷς διὰ τῶν ποιημάτων γέγραφεν.

» Εἰς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπη αἱμύλου ἀνδρός. Ὑμῶν δ᾽ εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,
Σύμπασι δ᾽ ὑμῖν χαῦνος ἔνεστι νόος. ὁρῶν δὲ τοὺς μὲν πένητας ὡρμημένους χαρίζεσθαι πεισιστράτῳ καὶ θορυβοῦντας. τοὺς δὲ πλουσίους ἀποδιδράσκοντας καὶ ἀποδειλιῶντας, ἀπῆλθεν εἰπών. ὅτι τῶν μὲν, εἴη σοφώτερος, τῶν δ᾽ ἀνδρειότερος. σοφώτερος μὲν, τῶν μὴ συνιέντων τὸ πραττόμενον. ἀνδρειότερος δὲ, τῶν συνιέντων μὲν, ἐναντιοῦσθαι δὲ τῇ τυραννίδι φοβουμένων. τὸ δὲ ψήφισμα κυρώσας ὁ δῆμος, οὐδὲ περὶ τοῦ πλήθους ἔτι τῶν κορυνηφόρων διεμικρολογεῖτο πρὸς τὸν πεισίστρατον, ἀλλ᾽ ὅσους ἐβούλετο τρέφοντα καὶ συνάγοντα, φανερῶς περιεώρα, μέχρι τὴν ἀκρόπολιν κατέσχε. γενομένου δὲ τούτου, καὶ τῆς πόλεως συνταραχθείσης, ὁ μὲν μεγακλῆς, εὐθὺς ἔφυγε μετὰ τῶν ἄλλων ἀλκμαιωνιδῶν. ὁ δὲ σόλων, ἤδη μὲν ἦν σφόδρα γέρων, καὶ τοὺς βοηθοῦντας οὐκ εἶχεν, ὅμως δὲ προῆλθεν εἰς ἀγορὰν, καὶ διελέχθη πρὸς τοὺς πολίτας τὰ μὲν, κακίζων τὴν ἀβουλίαν αὐτῶν καὶ μαλακίαν. τὰ δὲ, παροξύνων ἔτι καὶ παρακαλῶν, μὴ προέσθαι τὴν ἐλευθερίαν. ὅτε καὶ τὸ μνημονευόμενον εἶπεν. ὡς πρώην μὲν ἦν εὐμαρέστερον αὐτοῖς τὸ κωλῦσαι τὴν τυραννίδα συνισταμένην. νῦν δὲ μεῖζόν ἐστι καὶ λαμπρότερον ἐκκόψαι καὶ ἀνελεῖν, συνεστῶσαν ἤδη καὶ πεφυκυῖαν. οὐδενὸς δὲ προσέχοντος αὐτῷ διὰ τὸν φόβον, ἀπῆλθεν εἰς τὴν οἰκίαν τὴν ἑαυτοῦ, καὶ λαβὼν τὰ ὅπλα, καὶ πρὸ τῶν θυρῶν θέμενος εἰς τὸν στενωπὸν, ἐμοὶ μὲν εἶπεν ὡς δυνατὸν ἦν βεβοήθηται τῇ πατρίδι καὶ τοῖς νόμοις, καὶ τὸ λοιπὸν ἡσυχίαν ἦγε. καὶ τῶν φίλων φεύγειν παραινούντων, οὐ προσεῖχεν, ἀλλὰ ποιήματα γράφων, ὠνείδιζε τοῖς ἀθηναίοις

» Εἰ δὲ πεπόνθατε λυγρὰ δι᾽ ὑμετέρην κακότητα, Μή τι θεοῖς τούτων μῆνιν ἐπαμφέρετε.
» Αὐτοὶ γὰρ τούτους ηὐξήσατ᾽ ἐρύματα δόντες. Καὶ διὰ ταῦτα κακὴν ἔσχετε δουλοσύνην.

Ἐπὶ τούτοις δὲ πολλῶν νουθετούντων αὐτὸν ὡς ἀποθανούμενον ὑπὸ τοῦ τυράννου, καὶ πυνθανομένων τίνι πιστεύων οὕτως ἀπονοεῖται, τῷ γήρᾳ εἶπεν. οὐ μὴν, ἀλλ᾽ ὁ πεισίστρατος ἐγκρατὴς γενόμενος τῶν πραγμάτων οὕτως ἐξεθεράπευσε τὸν σόλωνα, τιμῶν καὶ φιλοφρονούμενος καὶ μεταπεμπόμενος, ὥστε καὶ σύμβουλον εἶναι, καὶ πολλὰ τῶν πρασσομένων ἐπαινεῖν. καὶ γὰρ ἐφύλαττε τοὺς πλείστους νόμους τοῦ σόλωνος, ἐμμένων πρῶτος αὐτὸς καὶ τοὺς φίλους ἀναγκάζων. ὅς γε καὶ φόνου προσκληθεὶς εἰς ἄρειον πάγον ἤδη τυραννῶν ἀπήντησε κοσμίως, ἀπολογησόμενος. ὁ δὲ κατήγορος, οὐχ ὑπήκουσε. καὶ νόμους αὐτὸς ἑτέρους ἔγραψεν, ὧν ἐστι καὶ ὁ τοὺς πηρωθέντας ἐν πολέμῳ, δημοσίᾳ τρέφεσθαι κελεύων. τοῦτο δέ φησιν ἡρακλείδης καὶ πρότερον ἐπὶ θερσίππῳ πηρωθέντι τοῦ σόλωνος ψηφισαμένου, μιμήσασθαι τὸν πεισίστρατον. ὡς δὲ θεόφραστος ἱστόρηκε, καὶ τὸν τῆς ἀργίας νόμον, οὐ σόλων ἔθηκεν, ἀλλὰ πεισίστρατος ᾧ τήν τε χώραν ἐνεργεστέραν καὶ τὴν πόλιν ἠρεμαιοτέραν ἐποίησεν. ὁ δὲ σόλων ἁψάμενος μεγάλης τῆς περὶ τὸν ἀτλαντικὸν λόγον, ἢ μῦθον πραγματείας ὃν διήκουσε τῶν περὶ σάϊν λογίων, προσήκοντα τοῖς ἀθηναίοις, ἐξέκαμεν, οὐ δι᾽ ἀσχολίαν ὡς πλάτων φησὶν, ἀλλὰ μᾶλλον ὑπὸ γήρως, φοβηθεὶς τὸ μέγεθος τῆς γραφῆς, ἐπεὶ σχολῆς γε περιουσίαν αὐτοῦ μηνύουσιν αἱ τοιαῦται φωναί.

» Γηράσκω δ᾽ αἰεὶ πολλὰ διδασκόμενος. Καὶ ἔργα δὲ κυπρογενοῦς νῦν μοι φίλα καὶ διονύσου. Καὶ μουσέων, ἃ
» τίθησ᾽ ἀνδράσιν εὐφροσύνας.

Ὡς δὲ χώρας καλῆς ἔδαφος ὁ πλάτων ἔρημον αὐτῷ δέ πως κατὰ συγγένειαν προσῆκον, ἐξεργάσασθαι, καὶ διακοσμῆσαι φιλοτιμούμενος τὴν ἀτλαντικὴν ὑπόθεσιν, πρόθυρα μὲν, μεγάλα, καὶ περιβόλους καὶ αὐλὰς τῇ ἀρχῇ περιέθηκεν, οἷα λόγος οὐδεὶς ἄλλος ἔσχεν, οὐδὲ μῦθος οὐδὲ ποίησις. ὀψὲ δὲ ἀρξάμενος, προκατέλυσε τοῦ ἔργου τὸν βίον. ὅσῳ μᾶλλον εὐφραίνει τὰ γεγραμμένα, τοσούτῳ μᾶλλον τοῖς ἀπολειφθεῖσιν ἀνιάσας, ὡς γὰρ ἡ πόλις τῶν ἀθηναίων τὸ ὀλυμπιεῖον, οὕτως ἡ πλάτωνος σοφία τὸν ἀτλαντικὸν ἐν πολλοῖς καλοῖς μόνον, ἔργον ἀτελὲς ἔσχηκεν. ἐπεβίωσε δ᾽ οὖν ὁ σόλων ἀρξαμένου τοῦ πεισιστράτου τυραννεῖν, ὡς μὲν ἡρακλείδης ὁ ποντικὸς ἱστορεῖ, συχνὸν χρόνον. ὡς δὲ φανίας ὁ ἐφέσιος ἐλάττονα δυοῖν ἐτῶν. ἐπὶ κωμέου μὲν γὰρ ἤρξατο τυραννεῖν πεισίστρατος. ἐφ᾽ ἡγεστράτου δὲ, σόλωνά φησιν ὁ φανίας ἀποθανεῖν, τοῦ μετὰ κωμίαν ἄρξαντος. ἡ δὲ διασπορὰ κατακαυθέντος αὐτοῦ τῆς τέφρας περὶ τὴν σαλαμινίων νῆσον, ἔστι μὲν διὰ τὴν ἀτοπίαν, ἀπίθανος παντάπασι καὶ μυθώδης, ἀναγέγραπται δ᾽ ὑπό τε ἄλλων ἀνδρῶν ἀξιολόγων, καὶ ἀριστοτέλους, τοῦ φιλοσόφου.

ἑαυτοῦ μακαριώτερον. ἀποφηναμένου δὲ τοῦ σόλωνος, ὅτι εἶδε τέλλον αὐτοῦ πολίτην, καὶ διεξελθόντος ὅτι χρηστὸς ἀνὴρ ὁ τέλλος γενόμενος, καὶ παῖδας εὐδοκίμους ἀπολιπὼν, καὶ βίον οὐδενὸς ἐνδεᾶ, ἐτελεύτησεν ἐνδόξως ἀριστεύσας ὑπὲρ τῆς πατρίδος, ἤδη μὲν ἀλλόκοτος ἐδόκει εἶναι τῷ κροίσῳ καὶ ἄγροικος. εἰ μὴ πρὸς ἀργύρειον πολὺ, μηδὲ χρυσίον, τῆς εὐδαιμονίας ποιεῖται τὴν ἀναμέτρησιν, ἀλλὰ δημοτικοῦ καὶ ἰδιώτου βίον, καὶ θάνατον ἀνθρώπου, μᾶλλον, ἢ τοσαύτην ἀγασθείη δύναμιν καὶ ἀρχήν. οὐ μὴν, ἀλλὰ πάλιν, ἠρώτησεν αὐτὸν, εἰ μετὰ τέλλον, ἄλλον ἔγνωκεν ἀνθρώπων εὐδαιμονέστερον. πάλιν δὲ τοῦ σόλωνος εἰπόντος, κλέοβιν καὶ βίτωνα, φιλαδέλφους καὶ φιλομήτορας διαφερόντως ἄνδρας, οἳ τὴν μητέρα τῶν βοῶν βραδυνόντων, ὑποδύντες αὐτοὶ τῷ ζυγῷ τῆς ἁμάξης, ἐκόμισαν πρὸς τὸ τῆς ἥρας ἱερὸν, εὐδαιμονιζομένην ὑπὸ τῶν πολιτῶν καὶ χαίρουσαν, εἶτα θύσαντες καὶ πιόντες, οὐκέτι μεθ' ἡμέραν ἀνέστησαν, ἀλλὰ τεθνηκότες, ἀναλγῆ καὶ ἄλυπον ἐπὶ δόξῃ τοσαύτῃ ἀρύντες θάνατον ὤφθησαν. ἡμᾶς δ' εἶπεν ἤδη πρὸς ὀργὴν ὁ κροῖσος εἰς οὐδένα τίθεις εὐδαιμόνων ἀριθμὸν ἀνθρώπων. καὶ ὁ σόλων. οὔτε κολακεύειν βουλόμενος αὐτὸν, οὔτε περαιτέρω παροξύνειν, ἕλλησιν εἶπεν ὦ βασιλεῦ λυδῶν, πρός τε τἄλλα μετρίως ἔχειν ἃ ὁ θεὸς ἔδωκε, καὶ σοφίας τινὸς ἀθαρσοῦς ὡς ἔοικε, καὶ δημοτικῆς ἢ βασιλικῆς, οὐδὲ λαμπρᾶς ὑπὸ μετριότητος ἡμῖν μέτεστιν ἣ τύχαις ὁρῶσα παντοδαπαῖς χρώμενον ἀεὶ τὸν βίον, οὐκ ἐᾷ τοῖς παροῦσιν ἀγαθοῖς μέγα φρονεῖν. οὐδὲ θαυμάζειν ἀνδρὸς εὐτυχίαν μεταβολῆς χρόνον ἔχουσαν. ἔπεισι γὰρ ἑκάστῳ, ποικίλον ἐξ ἀδήλου τὸ μέλλον ᾧ δ' εἰς τέλος ὁ δαίμων ἔθετο τὴν εὐπραξίαν, τοῦτον εὐδαίμονα νομίζομεν. ὁ δὲ ζῶντος ἔτι καὶ κινδυνεύοντος ἐν τῷ βίῳ μακαρισμὸς, ὥσπερ ἀγωνιζομένου κήρυγμα καὶ στέφανός ἐστιν ἀβέβαιος καὶ ἄκυρος. ταῦτ' εἰπὼν ὁ σόλων ἀπηλλάττετο. λυπήσας μὲν, οὐ νουθετήσας δὲ τὸν κροῖσον. ὁ δὲ λογοποιὸς αἴσωπος, ἐτύγχανε γὰρ εἰς σάρδεις γεγονὼς μετάπεμπτος ὑπὸ κροίσου, καὶ τιμώμενος, ἠχθέσθη τῷ σόλωνι, μηδεμιᾶς τυχόντι φιλανθρωπίας, καὶ προτρέπων αὐτὸν, ὦ σόλων ἔφη, τοῖς βασιλεῦσι, δεῖ ὡς ἥκιστα, ἢ ὡς ἥδιστα ὁμιλεῖν, καὶ ὁ σόλων μὰ δί' εἶπεν, ἀλλ' ὡς ἥκιστα ἢ ὡς ἄριστα. τότε μὲν οὖν ὁ κροῖσος οὕτω τοῦ σόλωνος κατεφρόνησεν. ἐπεὶ δὲ κύρῳ συμβαλὼν ἐκρατήθη μάχῃ καὶ τὴν πόλιν ἀπώλεσε. καὶ ζῶν ἁλοὺς, αὐτὸς ἔμελλε καταπίμπρασθαι. καὶ γενομένης πυρᾶς ἀνεβιβάσθη δεδεμένος θεωμένων περσῶν ἁπάντων καὶ κύρου παρόντος, ἐφ' ὅσον ἐξικνεῖτο καὶ δυνατὸς ἦν τῇ φωνῇ φθεγξάμενος ἀνεβόησε τρίς, ὦ σόλων. θαυμάσας οὖν ὁ κῦρος, ἔπεμψε τοὺς ἐρησομένους ὅστις ἀνθρώπων ἢ θεῶν, οὗτός ἐστιν ὁ σόλων. ὃν ἐν τύχαις ἀπόροις, μόνον ἀνακαλεῖται. καὶ ὁ κροῖσος οὐδὲν ἀποκρυψάμενος, εἶπεν ὅτι τῶν παρ' ἕλλησι σοφῶν, εἷς οὗτος ἦν ἀνὴρ, ὃν ἐγὼ μετεπεμψάμην, οὐκ ἀκοῦσαί τι βουλόμενος, οὐδὲ μαθεῖν, ὧν ἐνδεὴς ἤμην, ἀλλ' ὡς δή μοι θεατὴς γένοιτο, καὶ μάρτυς ἀπίῃ τῆς εὐδαιμονίας ἐκείνης, ἣν ἀποβαλεῖν ἄρα, μεῖζον ἦν κακὸν, ἢ λαβεῖν ἀγαθόν. λόγος γὰρ ἦν καὶ δόξα τἀγαθὸν παρούσης. αἱ μεταβολαὶ δέ μοι αὐτῆς εἰς πάθη δεινὰ καὶ συμφορὰς ἀνηκέστους ἔργῳ τελευτῶσι. καὶ ταῦτ' ἐκεῖνος ὁ ἀνὴρ ἐκ τῶν τότε τανῦν τεκμαιρόμενος, ἐκέλευε τὸ τέλος τοῦ βίου σκοπεῖν, καὶ μὴ θρασυνόμενον ἀβεβαίοις ὑπονοίαις ὑβρίζειν. ἐπεὶ δὲ ταῦτ' ἀπηνέχθη πρὸς τὸν κῦρον, ἅτε δὴ σοφώτερος ὢν τοῦ κροίσου. καὶ τὸν λόγον τοῦ σόλωνος ἰσχυρὸν ἐν τῷ παραδείγματι βλέπων, οὐ μόνον ἀφῆκε τὸν κροῖσον, ἀλλὰ καὶ τιμῶν, ἐφ' ὅσον ἔζη διετέλεσε. καὶ δόξαν ἔσχεν ὁ σόλων, ἑνὶ λόγῳ τὸν μὲν, σώσας. τὸν δὲ, παιδεύσας τῶν βασιλέων. οἱ δὲ ἐν ἄστει πάντες ἐστασίαζον ἀποδημοῦντος τοῦ σόλωνος. καὶ προειστήκει τῶν μὲν παιδιαίων λυκοῦργος. τῶν δὲ παράλων, μεγακλῆς ὁ ἀλκμαίωνος. πεισίστρατος δὲ τῶν διακρίων, ἐν οἷς ἦν ὁ θητικὸς ὄχλος καὶ μάλιστα τοῖς πλουσίοις ἀχθόμενος, ὥστε χρῆσθαι μὲν ἔτι τοῖς νόμοις τὴν πόλιν, ἤδη δὲ πράγματα νεώτερα προσδοκᾶν καὶ ποθεῖν ἅπαντας ἑτέραν κατάστασιν, οὐκ ἴσον ἐλπίζοντας, ἀλλὰ πλέον ἕξειν ἐν τῇ μεταβολῇ. καὶ κρατήσειν παντάπασι τῶν διαφερομένων. οὕτω δὲ τῶν πραγμάτων ἐχόντων ὁ σόλων παραγενόμενος εἰς τὰς ἀθήνας, αἰδῶ μὲν εἶχε καὶ τιμὴν παρὰ πᾶσιν. ἐν δὲ κοινῷ λέγειν καὶ πράττειν ὁμοίως, οὐκέτ' ἦν δυνατὸς, οὐδὲ πρόθυμος ὑπὸ γήρως. ἀλλ' ἐντυγχάνων ἰδίᾳ τοῖς προεστῶσι τῶν στάσεων ἀνδράσιν, ἐπειρᾶτο διαλύειν καὶ συναρμόττειν, μάλιστα τοῦ πεισιστράτου προσέχειν δοκοῦντος αὐτῷ. καὶ γὰρ αἱμύλον τι καὶ προσφιλὲς εἶχεν ἐν τῷ διαλέγεσθαι, καὶ βοηθητικὸς ἦν τοῖς πένησι, καὶ πρὸς τὰς ἔχθρας, ἐπιεικὴς καὶ μέτριος. ἃ δὲ φύσει μὴ προσῆν αὐτῷ, καὶ ταῦτα μιμούμενος, ἐπιστεύετο μᾶλλον τῶν ἐχόντων, ὡς εὐλαβὴς καὶ κόσμιος ἀνήρ. καὶ μάλιστα δὴ τὸ ἴσον ἀγαπῶν, καὶ δυσχεραίνων, εἴ τις τὰ παρόντα κινοῖ, ἢ νεωτέρων ὀρέγοιτο, τούτοις γὰρ ἐξηπάτα τοὺς πολλούς. ὁ δὲ σόλων, ταχὺ τὸ ἦθος ἐφώρασεν αὐτοῦ, καὶ τὴν ἐπιβουλὴν, πρῶτος ἐγκατεῖδεν. οὐ μὴν ἐμίσησεν. ἀλλ' ἐπειρᾶτο πραΰνειν καὶ νουθετεῖν. καὶ πρὸς αὐτὸν ἔλεγε καὶ πρὸς ἑτέρους, ὡς εἴ τις ἐξέλοι τὸ φιλόπρωτον αὐτοῦ τῆς ψυχῆς καὶ τὴν ἐπιθυμίαν ἰάσαιτο τῆς τυραννίδος, οὐκ ἔστιν ἄλλος εὐφυέστερος πρὸς ἀρετὴν, οὐδὲ βελτίων πολίτης. ἀρχομένων δὲ τῶν περὶ θέσπιν ἤδη τὴν τραγῳδίαν κινεῖν, καὶ διὰ τὴν καινότητα τοὺς πολλοὺς ἄγοντος τοῦ πράγματος, οὔπω δ' εἰς ἅμιλλαν ἐναγώνιον ἐξηγμένου. φύσει φιλήκοος ὢν καὶ φιλομαθὴς ὁ σόλων, ἔτι μᾶλλον ἐν γήρᾳ σχολῇ καὶ παιδιᾷ καὶ νὴ δία πότοις καὶ μουσικῇ παράγων ἑαυτὸν, ἐθεάσατο τὸν θέσπιν αὐτὸν ὑποκρινόμενον ὥσπερ ἔθος ἦν τοῖς παλαιοῖς,

τῆς ἐν δημοσίῳ σιτήσεως, ὅπερ αὐτὸς παρασιτεῖν κέκληκε. τὸν γὰρ αὐτὸν οὐκ ἐᾷ σιτεῖσθαι πολλάκις. ἐὰν δὲ ᾧ καθήκει μὴ βούληται, κολάζει. τὸ μὲν, ἡγούμενος πλεονεξίαν, τὸ δ' ὑπεροψίαν τῶν κοινῶν. ἰσχὺν δὲ τοῖς νόμοις πᾶσιν, εἰς ἑκατὸν ἐνιαυτοὺς ἔδωκε. καὶ κατεγράφησαν εἰς ξυλίνους ἄξονας, ἐν πλαισίοις περιέχουσι στρεφομένους. ὧν ἔτι καθ' ἡμᾶς ἐν πρυτανείῳ, λείψανα μικρὰ διεσώζετο. καὶ προσηγορεύθησαν ὡς ἀριστοτέλης φησὶ, κύρβεις. καὶ κρατῖνος ὁ κωμικὸς εἴρηκέ που πρὸς τοῦ σόλωνος καὶ δράκοντος οἷσι νῦν φρύγουσιν ἤδη τὰς κάχρυς ταῖς κύρβεσιν. ἔνιοι δέ φασιν ἰδίως, ἐν οἷς ἱερὰ καὶ θυσίαι περιέχονται, κύρβεις. ἄξονας δὲ τοὺς ἄλλους ὠνομάσθαι. κοινὸν μὲν οὖν ὤμνυεν ὅρκον ἡ βουλὴ τοὺς σόλωνος νόμους ἐμπεδώσειν. ἴδιον δ' ἕκαστος τῶν θεσμοθετῶν ἐν ἀγορᾷ πρὸς τῷ λίθῳ καταφατίζων εἴ τι παραβαίη τῶν θεσμῶν, ἀνδριάντα χρυσοῦν ἰσομέτρητον ἀναθήσειν ἐν δελφοῖς. συνιδὼν δὲ τοῦ μηνὸς τὴν ἀνωμαλίαν. καὶ τὴν κίνησιν τῆς σελήνης, οὔτε δυομένῳ τῷ ἡλίῳ πάντως, οὔτ' ἀνίσχοντι συμφερομένην, ἀλλὰ πολλάκις τῆς αὐτῆς ἡμέρας καὶ καταλαμβάνουσαν καὶ παρερχομένην τὸν ἥλιον, αὐτὴν μὲν ἔταξε ταύτην, ἕνην καὶ νέαν καλεῖσθαι. τὸ μὲν πρὸ συνόδου μέρος αὐτῆς, τῷ παυομένῳ μηνί. τὸ δὲ λοιπὸν, ἤδη τῷ ἀρχομένῳ, προσήκειν ἡγούμενος. πρῶτος ὡς ἔοικεν ὀρθῶς ἀκούσας ὁμήρου λέγοντος. » Τοῦ μὲν, φθίνοντος μηνὸς τοῦ δ' ἱσταμένοιο. Τὴν δ' ἐφεξῆς ἡμέραν, νουμηνίαν ἐκάλεσε. τὴν δ' ἀπ' εἰκάδος οὐ προστιθεὶς, ἀλλ' ἀφαιρῶν καὶ ἀναλύων ὡς πρὸς τὰ φῶτα τῆς σελήνης ἧς ἑώρα μέχρι τριακάδος ἠρίθμησεν. ἐπεὶ δὲ τῶν νόμων εἰσενεχθέντων ἔνιοι τῷ σόλωνι καθ' ἑκάστην προσῄεσαν ἡμέραν ἐπαινοῦντες ἢ ψέγοντες, ἢ συμβουλεύοντες ἐμβαλεῖν τοῖς γεγραμμένοις ὅτι τύχοιεν, ἢ ἀφαιρεῖν. πλεῖστοι δ' ἦσαν οἱ πυνθανόμενοι καὶ ἀνακρίνοντες, καὶ κελεύοντες αὐτὸν ὅπως ἕκαστον ἔχει, καὶ πρὸς ἣν κεῖται διάνοιαν ὑποδιδάσκειν καὶ σαφηνίζειν. ὁρῶν ὅτι ταῦτα καὶ τὸ μὴ πράττειν ἄτοπον. καὶ τὸ πράττειν ἐπίφθονον, ὅλως δὲ ταῖς ἀπορίαις ὑπεκστῆναι βουλόμενος καὶ διαφυγεῖν τὸ δυσάρεστον καὶ τὸ φιλαίτιον τῶν πολιτῶν. » ἔργμασι γὰρ ἐν μεγάλοις πᾶσιν ἁδεῖν » χαλεπὸν, ὡς αὐτὸς εἴρηκε. πρόσχημα τῆς πλάνης τὴν ναυκληρίαν ποιησάμενος, ἐξέπλευσε, δεκαετῆ παρὰ τῶν ἀθηναίων ἀποδημίαν αἰτησάμενος. ἤλπιζε γὰρ ἐν τῷ χρόνῳ τούτῳ, καὶ τοὺς νόμους αὐτοὺς ἔσεσθαι συνήθεις. πρῶτον μὲν οὖν εἰς αἴγυπτον ἀφίκετο καὶ διέτριψεν, ὡς καὶ πρότερον αὐτός φησι. » Νείλου ἐπὶ προχοῇσι κανωβίδος ἐγγύθεν ἀκτῆς. Χρόνον δέ τινα καὶ τοῖς περὶ ψένωφιν τὸν ἡλιοπολίτην. καὶ σῶγχιν τὸν σαΐτην λογιωτάτοις οὖσι τῶν ἱερέων συνεφιλοσόφησε παρ' ὧν καὶ τὸν ἀτλαντικὸν ἀκούσας λόγον ὡς πλάτων φησὶν, ἐπεχείρησε διὰ ποιήματος ἐξενεγκεῖν εἰς τοὺς ἕλληνας. ἔπειτα πλεύσας εἰς κύπρον, ἠγαπήθη διαφερόντως, ὑπὸ φιλοκύπρου τινὸς τῶν ἐκεῖ βασιλέων, ὃς εἶχεν οὐ μεγάλην πόλιν ᾠκισμένην ὑπὸ δημοφῶντος τοῦ θησέως, περὶ τὸν κλάριον ποταμὸν, ἐν χωρίοις ὀχυροῖς μὲν, ἄλλως δὲ δυσχερέσι καὶ φαύλοις κειμένην. ἔπεισεν οὖν αὐτὸν ὁ σόλων ὑποκειμένου καλοῦ πεδίου μεταθέντα τὴν πόλιν, ἡδίονα καὶ μείζονα κατασκευάσαι. καὶ παρὼν, ἐπεμελήθη τοῦ συνοικισμοῦ. καὶ συνδιεκόσμησε, πρός τε διαγωγὴν ἄριστα καὶ πρὸς ἀσφάλειαν. ὥστε πολλοὺς μὲν οἰκήτορας τῷ φιλοκύπρῳ συνελθεῖν, ζηλῶσαι δὲ τοὺς ἄλλους βασιλέας. διὸ καὶ τῷ σόλωνι τιμὴν ἀποδιδοὺς, αἴπειαν καλουμένην τὴν πόλιν πρότερον, ἀπ' ἐκείνου σόλους προσηγόρευσε. καὶ αὐτὸς δὲ μέμνηται τοῦ συνοικισμοῦ. προσαγορεύσας γὰρ ἐν ταῖς ἐλεγείαις τὸν φιλόκυπρον, νῦν δέ φησι

» Σὺ μὲν σολίοισι πολὺν χρόνον ἐνθάδ' ἀνάσσων Τὴν πόλιν ναίοις καὶ γένος ὑμέτερον.
» Αὐτὰρ ἐμὲ ξὺν νηὶ θοῇ, κλεινῆς ἀπὸ νήσου Ἀσκηθῆ πέμποι, κύπρις ἰοστέφανος. Οἰκισμῷ δ' ἐπὶ τῷδε, χάριν καὶ κῦδος ὀπάζοι
» Ἐσθλὸν, καὶ νόστον πατρίδ' ἐς ἡμετέρην.

Τὴν δὲ πρὸς κροῖσον ἔντευξιν αὐτοῦ δοκοῦσιν ἔνιοι τοῖς χρόνοις ὡς πεπλασμένην ἐλέγχειν. ἐγὼ δὲ λόγον ἔνδοξον οὕτω καὶ τοσούτους μάρτυρας ἔχοντα. καὶ ὃ μεῖζόν ἐστι πρέποντα τῷ σόλωνος ἤθει, καὶ τῆς ἐκείνου μεγαλοφροσύνης καὶ σοφίας ἄξιον, οὔ μοι δοκῶ προήσεσθαι, χρονικοῖς τισι λεγομένοις κανόσιν, οὓς μυρίοι διορθοῦντες ἄχρι σήμερον, εἰς οὐδὲν αὑτοῖς ὁμολογούμενον δύνανται καταστῆσαι τὰς ἀντιλογίας. τὸν δ' οὖν σόλωνα φασὶν εἰς σάρδεις δεηθέντι τῷ κροίσῳ παραγενόμενον, παθεῖν τι παραπλήσιον ἀνδρὶ χερσαίῳ, κατιόντι πρῶτον ἐπὶ θάλατταν. ἐκεῖνός τε γὰρ ὁρῶν ἄλλον ἐξ ἄλλου ποταμὸν ᾤετο τὴν θάλασσαν εἶναι, καὶ τῷ σόλωνι τὴν αὐλὴν διαπορευομένῳ καὶ πολλοὺς ὁρῶντι τῶν βασιλικῶν κεκοσμημένους πολυτελῶς καὶ σοβοῦντας ἐν ὄχλῳ προπομπῶν καὶ δορυφόρων, ἕκαστος ἐδόκει κροῖσος εἶναι, μέχρι πρὸς αὐτὸν ἤχθη. πᾶν ὅσον ἐν λίθοις, ἐν βαφαῖς ἐσθῆτος, ἐν τέχναις χρυσοῦ, περὶ κόσμον ἐκπρεπὲς ἔχειν, ἢ περιττὸν, ἢ ζηλωτὸν ἐδόκει, περικείμενον, ὡς δὴ θέαμα σεμνότατον ὀφθείη καὶ ποικιλώτατον. ἐπεὶ δ' ὁ σόλων ἄντικρυς καταστὰς οὔτ' ἔπαθεν οὐδὲν, οὔτ' εἶπε πρὸς τὴν ὄψιν ὧν ὁ κροῖσος προσεδόκησεν, ἀλλὰ καὶ δῆλος ἦν τοῖς εὖ φρονοῦσι τῆς ἀπειροκαλίας καὶ μικροπρεπείας καταφρονῶν, ἐκέλευσεν αὐτῷ τοὺς θησαυροὺς ἀνοῖξαι τῶν χρημάτων. καὶ τὴν ἄλλην ἄγοντας ἐπιδεῖξαι μηδὲν δεομένῳ κατασκευὴν καὶ πολυτέλειαν. ἤρκει γὰρ αὐτὸς ἐν ἑαυτῷ τοῦ τρόπου κατανόησιν παρασχεῖν. ὡς δ' οὖν αὖθις ἤχθη γεγονὼς ἁπάντων θεατὴς, ἠρώτησεν αὐτὸν ὁ κροῖσος εἴ τινα εἶδεν ἀνθρώπων

ὡς ἀνάνδροις καὶ γυναικώδεσι τοῖς περὶ τὰ πένθη πάθεσι καὶ ἁμαρτήμασιν ἐνεχομένους. ὁρῶν δὲ τὸ μὲν ἄστυ, πιμπλάμενον ἀνθρώπων ἀεὶ συῤῥεόντων πανταχόθεν ἐπ' ἀδείας εἰς τὴν ἀττικήν, τὰ δὲ πλεῖστα τῆς χώρας ἀγεννῆ καὶ φαῦλα. τοὺς δὲ χρωμένους τῇ θαλάττῃ, μηδὲν εἰωθότας εἰσάγειν τοῖς μηδὲν ἔχουσιν ἀντιδοῦναι, πρὸς τὰς τέχνας ἔτρεψε τοὺς πολίτας. καὶ νόμον ἔγραψεν υἱῷ τρέφειν τὸν πατέρα μὴ διδαξάμενον τέχνην, ἐπάναγκες μὴ εἶναι· τῷ μὲν γὰρ λυκούργῳ καὶ πόλιν οἰκοῦντι καθαρὰν ὄχλου ξενικοῦ, καὶ χώραν κεκτημένῳ πολλοῖς πολλήν, δὶς τοσοῖσδε, πλείονα κατ' εὐριπίδην. καὶ τὸ μέγιστον εἱλωτικοῦ πλήθους, ὃ βέλτιστον ἦν μὴ σχολάζειν, ἀλλὰ τριβόμενον ἀεὶ καὶ πονοῦντα ταπεινοῦσθαι, περικεχυμένου τῇ λακεδαίμονι, καλῶς εἶχεν ἀσχολιῶν ἐπιπόνων, καὶ βαναύσων ἀπαλλάξαντα τοὺς πολίτας, συνέχειν ἐν τοῖς ὅπλοις μίαν τέχνην ταύτην ἐκμανθάνοντας καὶ ἀσκοῦντας. σόλων δὲ τοῖς πράγμασι τοὺς νόμους μᾶλλον, ἢ τὰ πράγματα τοῖς νόμοις προσαρμόζων. καὶ τῆς χώρας τὴν φύσιν ὁρῶν τοῖς γεωργοῦσι γλίσχρως διαρκοῦσαν, ἀργὸν δὲ καὶ σχολαστὴν ὄχλον οὐ δυναμένην τρέφειν, ταῖς τέχναις ἀξίωμα περιέθηκε. καὶ τὴν ἐξ ἀρείου πάγου βουλὴν, ἔταξεν ἐπισκοπεῖν. ὅθεν ἕκαστος ἔχει τὰ ἐπιτήδεια, καὶ τοὺς ἀργοὺς κολάζειν. ἐκεῖνο δ' ἤδη σφοδρότερον, τὸ μηδὲ τοῖς ἐξ ἑταίρας γενομένοις ἐπάναγκες εἶναι τοὺς πατέρας τρέφειν. ὡς ἡρακλείδης ἱστόρηκεν ὁ ποντικός. ὁ γὰρ ἐν γάμῳ παρορῶν τὸ καλὸν οὐ τέκνων ἕνεκα δῆλός ἐστιν, ἀλλ' ἡδονῆς ἀγόμενος γυναῖκα, τόν τε μισθὸν ἀπέχει, καὶ παῤῥησίαν αὑτῷ πρὸς τοὺς γενομένους οὐκ ἀπολέλοιπεν, οἷς αὐτὸ τὸ γενέσθαι πεποίηκεν ὄνειδος. ὅλως δὲ πλείστην ἔχειν ἀτοπίαν οἱ περὶ τῶν γυναικῶν νόμοι τῷ σόλωνι δοκοῦσι. μοιχὸν μὲν γὰρ ἀνελεῖν τῷ λαβόντι δέδωκεν. ἐὰν δ' ἁρπάσῃ τις ἐλευθέραν γυναῖκα καὶ βιάσηται, ζημίαν ἑκατὸν δραχμὰς ἔταξε. κἂν προαγωγεύῃ, δραχμὰς εἴκοσι. πλὴν ὅσαι πεφασμένως πωλοῦνται. λέγω δὴ τὰς ἑταίρας. αὗται γὰρ ἐμφανῶς φοιτῶσι, πρὸς τοὺς διδόντας. ἔτι δ' οὔτε θυγατέρας πωλεῖν, οὔτ' ἀδελφὰς δίδωσι, πλὴν ἂν μὴ λάβῃ παρθένον ἀνδρὶ συγγεγενημένην. τὸ δ' αὐτὸ πρᾶγμα, ποτὲ μὲν πικρῶς καὶ ἀπαραιτήτως κολάζειν. ποτὲ δὲ εὐκόλως, καὶ παίζοντα πρόστιμον ζημίαν τὴν τυχοῦσαν ὁρίζοντα, ἄλογόν ἐστι. πλὴν εἰ μὴ σπανίζοντος τότε τοῦ νομίσματος ἐν τῇ πόλει, μεγάλας ἐποίει τὰς ἀργυρικὰς ζημίας. τὸ δυσπόριστον. εἰς μέν γε τὰ τιμήματα τῶν θυσιῶν, λογίζεται πρόβατον, καὶ δραχμὴν ἀντὶ μεδίμνου. τῷ δ' ἴσθμια νικήσαντι, δραχμὰς ἔταξεν ἑκατὸν δίδοσθαι. τῷ δ' ὀλύμπια, πεντακοσίας. λύκον δὲ τῷ κομίσαντι, πέντε δραχμὰς ἔδωκε λυκιδέα δέ, μίαν. ὧν φησὶν ὁ φαληρεὺς δημήτριος. τὸ μὲν βοὸς εἶναι. τὸ δέ, προβάτου τιμήν. ἃς γὰρ ἐν τῷ ἑκκαιδεκάτῳ τῶν ἀξόνων ὁρίζει τιμὰς τῶν ἐκκρίτων ἱερείων, εἰκὸς μὲν εἶναι πολλαπλασίας. ἄλλως δέ, κἀκεῖναι πρὸς τὰς νῦν, εὐτελεῖς εἰσιν. ἀρχαῖον δὲ τοῖς ἀθηναίοις τὸ πολεμεῖν τοῖς λύκοις. βελτίονα νέμειν, ἢ γεωργεῖν χώραν ἔχουσι. καὶ τὰς φυλάς εἰσιν οἱ λέγοντες οὐκ ἀπὸ τῶν ἴωνος υἱῶν, ἀλλ' ἀπὸ τῶν γενῶν, εἰς ἃ διῃρέθησαν οἱ βίοι τὸ πρῶτον ὠνομάσθαι. τὸ μὲν μάχιμον, ὁπλίτας. τὸ δ' ἐργατικόν, ἐργαδεῖς, δυοῖν δὲ τῶν λοιπῶν γελέοντας μὲν τοὺς γεωργούς. αἰγικορεῖς δέ, τοὺς ἐπὶ νομαῖς καὶ προβατείαις διατρίβοντας. ἐπεὶ δὲ πρὸς ὕδωρ οὔτε ποταμοῖς ἐστιν ἀενάοις. οὔτε λίμναις τισίν. οὔτ' ἀφθόνοις πηγαῖς ἡ χώρα διαρκής, ἀλλ' οἱ πλεῖστοι φρέασι ποιητοῖς ἐχρῶντο, νόμον ἔγραψεν, ὅπου μέν ἐστι δημόσιον φρέαρ ἐντὸς ἱππικοῦ χρῆσθαι τούτῳ. τὸ δ' ἱππικὸν διάστημα, τεσσάρων ἦν σταδίων. ὅπου δὲ πλεῖον ἀπέχει, ζητεῖν ὕδωρ ἴδιον. ἐὰν δὲ ὀρύξαντες ὀργυιῶν δέκα βάθος παρ' ἑαυτοῖς μὴ εὕρωσι, τότε λαμβάνειν παρὰ τοῦ γείτονος ἑξάχουν ὑδρίαν, δὶς ἑκάστης ἡμέρας πληροῦντας. ἀπορίᾳ γὰρ ᾤετο δεῖν βοηθεῖν, οὐκ ἀργίαν ἐφοδιάζειν. ὥρισε δὲ καὶ φυτειῶν μέτρα μάλ' ἐμπείρως. τοὺς μὲν ἄλλο τι φυτεύοντας ἐν ἀγρῷ, πέντε πόδας ἀπέχειν τοῦ γείτονος κελεύσας. τοὺς δὲ συκῆν ἢ ἐλαίαν, ἐννέα.ποῤῥωτέρω γὰρ ἐξικνεῖται ταῦτα ταῖς ῥίζαις, καὶ οὐ πᾶσι γειτνιᾷ τοῖς φυτοῖς ἀσινῶς, ἀλλὰ καὶ τροφὴν παραιρεῖται. καὶ βλάπτουσαν ἐνίοις, ἀποῤῥοὴν ἀφίησι. βόθρους δὲ καὶ τάφρους τὸν βουλόμενον ἐκέλευσεν ὀρύσσειν ὅσον ἔμβαλε βάθος ἀφιστάμενον μῆκος τ' ἀλλοτρίου. καὶ μελισσῶν σμήνη καθιστάμενον, ἀπέχειν τῶν ὑφ' ἑτέρου πρότερον ἱδρυμένων, πόδας τριακοσίους. τῶν δὲ γινομένων διάθεσιν πρὸς ξένους, ἐλαίου μόνον ἔδωκεν, ἄλλα δ' ἐξάγειν ἐκώλυσεν. καὶ κατὰ τῶν ἐξαγόντων, ἀρὰς τὸν ἄρχοντα ποιεῖσθαι προσέταξεν, ἢ ἐκτίνειν αὐτὸν ἑκατὸν δραχμὰς εἰς τὸ δημόσιον. καὶ πρῶτος ἄξων ἐστίν, ὁ τοῦτον περιέχων τὸν νόμον. οὐκ ἂν οὖν τις ἡγήσαιτο παντελῶς ἀπιθάνους τοὺς λέγοντας, ὅτι καὶ σύκων ἐξαγωγὴ τὸ παλαιὸν ἀπείρητο. καὶ τὸ φαίνειν ἐνδεικνύμενον τοὺς ἐξάγοντας, κληθῆναι συκοφαντεῖν. ἔγραψε δὲ καὶ βλάβης τετραπόδων νόμον. ἐν ᾧ καὶ κύνα δακόντα, παραδοῦναι κελεύει κλοιῷ τριπήχει δεδεμένον. τὸ μὲν ἐνθύμημα, χαρίεν πρὸς ἀσφάλειαν. παρέχει δ' ἀπορίαν, καὶ ὁ τῶν δημοποιήτων νόμος, ὅτι γενέσθαι πολίταις οὐ δίδωσι πλὴν τοῖς φεύγουσιν ἀειφυγίᾳ τὴν ἑαυτῶν, ἢ πανεστίοις ἀθήναζε μετοικιζομένοις ἐπὶ τέχνῃ. τοῦτο δὲ ποιῆσαι φασὶν αὐτόν, οὐχ οὕτως ἀπελαύνοντα τοὺς ἄλλους ὡς κατακαλούμενον ἀθήναζε τούτους ἐπὶ βεβαίῳ, τῷ μεθέξειν τῆς πολιτείας καὶ ἅμα πιστοὺς νομίζοντα, τοὺς μὲν, ἀποβεβληκότας τὴν ἑαυτῶν διὰ τὴν ἀνάγκην. τοὺς δ' ἀπολελοιπότας, διὰ τὴν γνώμην. ἴδιον δὲ τοῦ σόλωνος καὶ τὸ περὶ

οὕτως αὐτοῖς ὀνόμασι γεγραμμένον· ἀτίμων ὅσοι ἄτιμοι ἦσαν πρὶν ἢ Σόλωνα ἄρξαι, ἐπιτίμους εἶναι, πλὴν ὅσοι ἐξ Ἀρείου πάγου ἢ ὅσοι ἐκ τῶν ἐφετῶν ἢ ἐκ πρυτανείου καταδικασθέντες ὑπὸ τῶν βασιλέων ἐπὶ φόνῳ ἢ σφαγαῖσιν ἢ ἐπὶ τυραννίδι ἔφυγον, ὅτε ὁ θεσμὸς ἐφάνη ὅδε. ταῦτα δὴ πάλιν ὡς πρὸ τῆς Σόλωνος ἀρχῆς καὶ νομοθεσίας τὴν ἐξ Ἀρείου πάγου βουλὴν οὖσαν ἐνδείκνυται. τίνες γὰρ ἦσαν οἱ πρὸ Σόλωνος ἐν Ἀρείῳ πάγῳ καταδικασθέντες, εἰ πρῶτος Σόλων ἔδωκε τῇ ἐξ Ἀρείου πάγου βουλῇ τὸ κρίνειν, εἰ μὴ νὴ Δία γέγονέ τις ἀσάφεια τοῦ γράμματος ἢ ἔκλειψις, ὥστε τοὺς ἡλωκότας ἐπ' αἰτίαις ἃς κρίνουσιν οἱ Ἀρεοπαγῖται καὶ ἐφέται καὶ πρυτάνεις, ὅτε ὁ θεσμὸς ἐφάνη ὅδε, μένειν ἀτίμους, τῶν ἄλλων ἐπιτίμων γινομένων. ταῦτα μὲν οὖν καὶ αὐτὸς ἐπισκόπει. τῶν δ' ἄλλων αὐτοῦ νόμων, ἴδιος μὲν μάλιστα καὶ παράδοξος ὁ κελεύων ἄτιμον εἶναι τὸν ἐν στάσει μηδ' ἑτέρας μερίδος γενόμενον, βούλεται δ' ὡς ἔοικε, μὴ ἀπαθῶς μηδ' ἀναισθήτως ἔχειν πρὸς τὸ κοινόν, ἐν ἀσφαλεῖ θέμενον τὰ οἰκεῖα, καὶ τῷ μὴ συναλγεῖν, μηδὲ συννοσεῖν τῇ πατρίδι καλλωπιζόμενον, ἀλλ' αὐτόθεν τοῖς τὰ βελτίω καὶ δικαιότερα πράττουσι προσθέμενον συγκινδυνεύειν καὶ βοηθεῖν μᾶλλον, ἢ περιμένειν ἀκινδύνως τὰ τῶν κρατούντων. ἄτοπος δὲ καὶ γελοῖος δοκεῖ ὁ τῇ ἐπικλήρῳ διδοὺς, ἂν ὁ κρατῶν καὶ κύριος γεγονὼς κατὰ τὸν νόμον αὐτὸς μὴ δυνατὸς ᾖ πλησιάζειν, ὑπὸ τῶν ἔγγιστα τοῦ ἀνδρὸς ὀπύεσθαι. καὶ τοῦτο δ' ὀρθῶς ἔχειν τινὲς φασὶ πρὸς τοὺς μὴ δυναμένους συνεῖναι, χρημάτων δ' ἕνεκα λαμβάνοντας ἐπικλήρους, καὶ τῷ νόμῳ καταβιαζομένους τὴν φύσιν. ὁρῶντες γὰρ ᾧ βούλεται τὴν ἐπίκληρον συνοῦσαν, ἢ προήσονται τὸν γάμον, ἢ μετ' αἰσχύνης καθέξουσι, φιλοπλουτίας καὶ ὕβρεως δίκην διδόντες. εὖ δ' ἔχει καὶ τὸ μὴ πᾶσιν, ἀλλὰ τῶν συγγενῶν τοῦ ἀνδρὸς ᾧ βούλεται διαλέγεσθαι τὴν ἐπίκληρον, ὅπως οἰκεῖον ᾖ καὶ μετέχον τοῦ γένους τὸ τικτόμενον. εἰς τοῦτο δὲ συντελεῖ καὶ τὸ τὴν νύμφην τῷ νυμφίῳ συγκαθείργνυσθαι μήλου κυδωνίου συγκατατραγοῦσαν. καὶ τὸ τρὶς ἑκάστου μηνὸς ἐντυγχάνειν πάντως τῇ ἐπικλήρῳ τὸν λαβόντα. καὶ γὰρ εἰ μὴ γίγνοιντο παῖδες, ἀλλὰ τιμή τις ἀνδρὸς αὕτη πρὸς σώφρονα γυναῖκα καὶ φιλοφροσύνη, πολλὰ τῶν συλλεγομένων ἑκάστοτε δυσχερῶν ἀφαιροῦσα, καὶ ταῖς διαφοραῖς οὐκ ἐῶσα παντάπασιν ἀποστραφῆναι. τῶν δ' ἄλλων γάμων ἀφεῖλε τὰς φερνὰς, ἱμάτια τρία καὶ σκεύη μικροῦ νομίσματος ἄξια κελεύσας, ἕτερον δὲ μηδὲν ἐπιφέρεσθαι τὴν γαμουμένην. οὐ γὰρ ἐβούλετο μισθοφόρον οὐδ' ὤνιον εἶναι τὸν γάμον, ἀλλ' ἐπὶ τεκνώσει καὶ χάριτι καὶ φιλότητι γίνεσθαι τὸν ἀνδρὸς καὶ γυναικὸς συνοικισμόν. ὁ μὲν γὰρ Διονύσιος ἀξιούσης τῆς μητρὸς αὐτοῦ δοθῆναί τινι τῶν πολιτῶν πρὸς γάμον, ἔφη τοὺς μὲν τῆς πόλεως νόμους λελυκέναι τυραννῶν, τοὺς δὲ τῆς φύσεως, οὐκ εἶναι δυνατὸς βιάζεσθαι γάμους νυμφαγωγῶν παρ' ἡλικίαν. ἐν δὲ ταῖς πόλεσι τὴν ἀταξίαν ταύτην οὐ δοτέον, οὐδὲ περιοπτέον, ἀώρους καὶ ἀχαρίτους ἐπιπλοκὰς, καὶ μηδὲν ἔργον γαμήλιον ἐχούσας, μηδὲ τέλος. ἀλλὰ γέροντι νέαν ἀγομένῳ φαίη τις ἂν ἐμμελὴς ἄρχων, ἢ νομοθέτης τὸ πρὸς τὸν Φιλοκτήτην.

εὖ γ' οὖν ὡς γαμεῖν ἔχεις τάλας.

καὶ νέον ἐν δωματίῳ πλουσίας πρεσβύτιδος, ὥσπερ οἱ πέρδικες ἀπὸ συνουσίας παχυνόμενον ἐξανευρὼν, μετοικήσει πρὸς παρθένον νύμφην, ἀνδρὸς δεομένην. ταῦτα μὲν οὖν περὶ τούτων. ἐπαινεῖται δὲ τοῦ Σόλωνος καὶ ὁ κωλύων νόμος τὸν τεθνηκότα κακῶς ἀγορεύειν. καὶ γὰρ ὅσιον, τοὺς μεθεστῶτας ἱεροὺς νομίζειν. καὶ δίκαιον ἀπέχεσθαι τῶν οὐχ ὑπαρχόντων. καὶ πολιτικὸν ἀφαιρεῖν τῆς ἔχθρας τὸ ἀΐδιον. ζῶντα δὲ κακῶς λέγειν ἐκώλυσε πρὸς ἱεροῖς καὶ δικαστηρίοις καὶ ἀρχείοις καὶ θεωρίας οὔσης ἀγώνων, ἢ τρεῖς δραχμὰς τῷ ἰδιώτῃ. δύο δ' ἄλλας ἀποτίνειν εἰς τὸ δημόσιον ἔταξε. τὸ γὰρ μηδαμοῦ κρατεῖν ὀργῆς, ἀπαίδευτον καὶ ἀκόλαστον. τὸ δὲ πανταχοῦ, χαλεπὸν, ἐνίοις δὲ ἀδύνατον. δεῖ δὲ πρὸς τὸ δυνατὸν γράφεσθαι τὸν νόμον, εἰ βούλεται χρησίμως ὀλίγους, ἀλλὰ μὴ πολλοὺς ἀχρήστως κολάζειν. εὐδοκίμησε δὲ, καὶ τῷ περὶ διαθηκῶν νόμῳ. πρότερον γὰρ οὐκ ἐξῆν, ἀλλ' ἐν τῷ γένει τοῦ τεθνηκότος, ἔδει τὰ χρήματα καὶ τὸν οἶκον καταμένειν. ὁ δ' ᾧ βούλεταί τις ἐπιτρέψας, εἰ μὴ παῖδες εἶεν αὐτῷ, δοῦναι τὰ αὑτοῦ, φιλίαν τε συγγενείας ἐτίμησε μᾶλλον καὶ χάριν, ἀνάγκης. καὶ τὰ χρήματα, κτήματα τῶν ἐχόντων ἐποίησεν. οὐ μὴν ἀνέδην γε πάλιν, οὐδ' ἁπλῶς τὰς δόσεις ἐφῆκεν, ἀλλ' εἰ μὴ νόσων ἕνεκεν ἢ φαρμάκων, ἢ δεσμῶν, ἢ ἀνάγκῃ καταχθεὶς, ἢ γυναικὶ πειθόμενος, εὖ πάνυ καὶ προσηκόντως τὸ πεισθῆναι παρὰ τὸ βέλτιστον, οὐδὲν ἡγούμενος τοῦ βιασθῆναι διαφέρειν. ἀλλ' εἰς ταὐτὸ τὴν ἀπάτην τῇ ἀνάγκῃ καὶ τῷ πόνῳ τὴν ἡδονὴν θέμενος, ὡς οὐχ ἧττον ἐκστῆσαι λογισμὸν ἀνθρώπου δυναμένων. ἐπέστησε δὲ καὶ ταῖς ἐξόδοις τῶν γυναικῶν, καὶ τοῖς πένθεσι καὶ ταῖς ἑορταῖς, νόμον ἀπείργοντα τὸ ἄτακτον καὶ ἀκόλαστον. ἐξιέναι μὲν ἱματίων τριῶν μὴ πλέον ἐχούσας κελεύσας. μηδὲ βρωτὸν ἢ ποτὸν πλείονος ἢ ὀβολοῦ φερομένην. μηδὲ κάνητα πηχυαίου μείζονα. μηδὲ νύκτωρ πορεύεσθαι, πλὴν ἁμάξῃ κομιζομένην, λύχνου προφαίνοντος. ἀμυχὰς δὲ κοπτομένων, καὶ τὸ θρηνεῖν πεποιημένα, καὶ τὸ κωκύειν ἄλλον ἐν ταφαῖς ἑτέρων, ἀφεῖλεν. ἐναγίζειν δὲ βοῦν οὐκ εἴασεν. οὐδὲ συντιθέναι πλέον ἱματίων τριῶν. οὐδ' ἐπ' ἀλλότρια μνήματα βαδίζειν, χωρὶς ἐκκομιδῆς. ὧν τὰ πλεῖστα καὶ τοῖς ἡμετέροις νόμοις ἀπηγόρευται. πρόσκειται δὲ τοῖς ἡμετέροις, ζημιοῦσθαι τοὺς ταῦτα ποιοῦντας ὑπὸ τῶν γυναικονόμων,

ὡς ἀνάνδροις

τὸν νόμον. ἔνιοι δὲ, πεντεκαίδεκα λέγουσιν, ὧν καὶ πολύζηλος ὁ ῥόδιός ἐστι. τοὺς μέν τοι φίλους αὐτοῦ χρεωκοπίδας καλοῦντες διετέλεσαν. ἤρεσε δ' οὐδετέροις, ἀλλ' ἐλύπησε καὶ τοὺς πλουσίους, ἀνελὼν τὰ συμβόλαια, καὶ μᾶλλον ἔτι τοὺς πένητας. ὅτι γῆς ἀναδασμὸν οὐκ ἐποίησεν ἐλπίσασιν αὐτοῖς. οὐδὲ παντάπασιν ὥσπερ ὁ λυκοῦργος ὁμαλοὺς τοῖς βίοις καὶ ἴσους κατέστησεν. ἀλλ' ἐκεῖνος μὲν ἑνδέκατος ὢν ἀφ' ἡρακλέους, καὶ βεβασιλευκὼς ἔτη πολλὰ τῆς λακεδαίμονος, ἀξίωμα μέγα καὶ φίλους καὶ δύναμιν οἷς ἔγνω καλῶς περὶ τῆς πολιτείας, ὑπηρετοῦσαν εἶχε. καὶ βίᾳ μᾶλλον ἢ πειθοῖ χρησάμενος, ὥστε καὶ τὸν ὀφθαλμὸν ἐκκοπῆναι, κατειργάσατο τὸ μέγιστον εἰς σωτηρίαν πόλεως καὶ ὁμόνοιαν, μηδένα πένητα, μηδὲ πλούσιον εἶναι τῶν πολιτῶν. σόλων δὲ, τούτου μὲν, οὐκ ἐφίκετο τῇ πολιτείᾳ δημοτικὸς ὢν καὶ μέσος. ἐνδεέστερον δὲ τῆς ὑπαρχούσης δυνάμεως οὐδὲν ἔπραξεν. ὁρμώμενος ἐκ μόνου τοῦ βουλεύεσθαι, καὶ πιστεύειν αὐτῷ τοὺς πολίτας. ὅτι δ' οὖν προσέκρουσε τοῖς πλείστοις ἕτερα προσδοκήσασιν αὐτὸς εἴρηκε περὶ αὐτῶν. ὅς χάρμα μὲν τότ' ἐφράζοντο. νῦν δέ μοι χολούμενοι βύλεσθαι ς. κ. / χαῦνα τ. κ. ω. q.

» Λοξὸν ὀφθαλμοῖς ὁρῶσι πάντες ὥστε δήιον. Καίτοι φησὶν ὡς εἴ τις ἄλλος ἔσχε τὴν αὐτὴν δύναμιν,
» Οὔτ' ἂν κατέσχε δῆμον, οὔτ' ἐπαύσατο, Πρὶν ἂν ταράξας πῖαρ ἐξέλῃ γάλα.

Ταχὺ μέντοι τοῦ συμφέροντος αἰσθόμενοι, καὶ τὰς ἰδίας αὐτῶν μέμψεις ἀφέντες, ἔθυσάν τε κοινῇ σεισάχθειαν αὐτὴν θυσίαν ὀνομάσαντες, καὶ τὸν σόλωνα τῆς πολιτείας διορθωτὴν καὶ νομοθέτην ἀπέδειξαν. οὐ τὰ μὲν, τὰ δ' οὐχὶ, πάντα δ' ὁμαλῶς ἐπιτρέψαντες, ἀρχὰς, ἐκκλησίας, δικαστήρια, βουλὰς, καὶ τίμημα τούτων ἑκάστου, καὶ ἀριθμὸν καὶ καιρὸν ὁρίσαντα, λύοντα καὶ φυλάττοντα τῶν ὑπαρχόντων καὶ καθεστώτων, ὅ τι δοκοίη. πρῶτον μὲν οὖν τοὺς δράκοντος νόμους ἀνεῖλε, πλὴν τῶν φονικῶν ἅπαντας διὰ τὴν χαλεπότητα καὶ τὸ μέγεθος τῶν ἐπιτιμίων. μία γὰρ ὀλίγου δεῖν ἅπασιν ὥριστο τοῖς ἁμαρτάνουσι ζημία, θάνατος. ὥστε καὶ τοὺς ἀργίας ἁλόντας ἀποθνήσκειν. καὶ τοὺς λάχανα κλέψαντας ἢ ὀπώραν, ὁμοίως κολάζεσθαι τοῖς ἱεροσύλοις καὶ ἀνδροφόνοις. διὸ δημάδης ὕστερον, εὐδοκίμησεν εἰπὼν, ὅτι δι' αἵματος οὐ διὰ μέλανος τοὺς νόμους ὁ δράκων ἔγραψεν. αὐτὸς δ' ἐκεῖνος ὥς φασιν ἐρωτώμενος, διατί τοῖς πλείστοις ἀδικήμασι ζημίαν ἔταξε θάνατον, ἀπεκρίνατο τὰ μὲν μικρὰ ταύτης ἄξια νομίζειν. τοῖς δὲ μεγάλοις, οὐκ ἔχειν μείζονα. δεύτερον δὲ σόλων τὰς μὲν ἀρχὰς ἁπάσας ὥσπερ ἦσαν τοῖς εὐπόροις ἀπολιπεῖν βουλόμενος. τὴν δ' ἄλλην μῖξαι πολιτείαν, ἧς ὁ δῆμος οὐ μετεῖχεν, ἔλαβε τὰ τιμήματα τῶν πολιτῶν. καὶ τοὺς μὲν ἐν ξηροῖς ὁμοῦ καὶ ὑγροῖς μέτρα πεντακόσια ποιοῦντας, πρώτους ἔταξε καὶ πεντακοσιομεδίμνους προσηγόρευσε. δευτέρους δὲ τοὺς ἵππον τρέφειν δυναμένους, ἢ μέτρα ποιεῖν τριακόσια. καὶ τούτους ἱππάδα τελοῦντας ἐκάλουν. ζευγῖται δ' οἱ τοῦ τρίτου τιμήματος ὠνομάσθησαν. οἷς μέτρον ἦν συναμφοτέρων τριακοσίων. οἱ δὲ λοιποὶ πάντες ἐκαλοῦντο θῆτες. οἷς οὐδεμίαν ἀρχὴν ἔδωκεν ἄρχειν, ἀλλὰ τῷ συνεκκλησιάζειν καὶ δικάζειν, μόνον μετεῖχον τῆς πολιτείας. ὃ κατ' ἀρχὰς μὲν οὐδὲν, ὕστερον δὲ παμμέγεθες ἐφάνη. τὰ γὰρ πλεῖστα τῶν διαφορῶν ἐνέπιπτεν εἰς τοὺς δικαστάς. καὶ γὰρ ὅσα ταῖς ἀρχαῖς ἔταξε κρίνειν, ὁμοίως καὶ περὶ ἐκείνων εἰς τὸ δικαστήριον, ἐφέσεις ἔδωκε τοῖς βουλομένοις. λέγεται δὲ καὶ τοὺς νόμους ἀσαφέστερον γράψας καὶ πολλὰς ἀντιλήψεις ἔχοντας, αὐξῆσαι τὴν τῶν δικαστηρίων ἰσχύν. μὴ δυναμένους γὰρ ὑπὸ τῶν νόμων διαλυθῆναι περὶ ὧν διεφέροντο, συνέβαινεν ἀεὶ δεῖσθαι δικαστῶν, καὶ πᾶν ἄγειν ἀμφισβήτημα πρὸς ἐκείνους, τῶν νόμων τρόπον τινὰ κυρίους ὄντας. ἐπισημαίνεται δ' αὐτὸς αὐτῷ τὴν ἀξίωσιν οὕτως. διακόσιοι ς. τ. q.

» Δήμῳ μὲν γὰρ ἔδωκα τόσον κράτος ὅσον ἐπαρκεῖ. Τιμῆς οὔτ' ἀφελὼν, οὔτ' ἐπορεξάμενος.
» Οἳ δ' εἶχον δύναμιν καὶ χρήμασιν ἦσαν ἀγητοί. Καὶ τοῖς ἐφρασάμην μηδὲν ἀεικὲς ἔχειν. οὐδέν
» Ἔστην δ' ἀμφιβαλὼν κρατερὸν σάκος ἀμφοτέροισι. Νικᾶν δ' οὐκ εἴασ' οὐδετέρους ἀδίκως.

Ἔτι μέντοι μᾶλλον οἰόμενος δεῖν ἐπαρκεῖν τῇ τῶν πολλῶν ἀσθενείᾳ, παντὶ λαβεῖν δίκην ὑπὲρ τοῦ κακῶς πεπονθότος ἔδωκε. καὶ γὰρ πληγέντος ἑτέρου, καὶ βλαβέντος, καὶ βιασθέντος, ἐξῆν τῷ δυναμένῳ καὶ βουλομένῳ, γράφεσθαι τὸν ἀδικοῦντα καὶ διώκειν. ὀρθῶς ἐθίζοντος τοῦ νομοθέτου τοὺς πολίτας, ὥσπερ ἑνὸς μέρους συναισθάνεσθαι καὶ συναλγεῖν ἀλλήλοις. τούτῳ δὲ τῷ νόμῳ συμφωνοῦντα λόγον αὐτοῦ, διαμνημονεύουσιν. ἐρωτηθεὶς γὰρ ὡς ἔοικεν ἥτις οἰκεῖται κάλλιστα τῶν πόλεων, ἐκείνην εἶπεν ἐν ᾗ τῶν ἀδικουμένων οὐχ ἧττον οἱ μὴ ἀδικούμενοι, προβάλλονται καὶ κολάζουσι τοὺς ἀδικοῦντας. συστησάμενος δὲ τὴν ἐν ἀρείῳ πάγῳ βουλὴν ἐκ τῶν κατ' ἐνιαυτὸν ἀρχόντων, ἧς διὰ τὸ ἄρξαι, καὶ αὐτὸς μετεῖχεν. ἔτι δ' ὁρῶν τὸν δῆμον οἰδοῦντα καὶ θρασυνόμενον τῇ τῶν χρεῶν ἀφέσει, δευτέραν προσκατένειμε βουλὴν, ἀπὸ φυλῆς ἑκάστης τεττάρων οὐσῶν, ἑκατὸν ἄνδρας ἐπιλεξάμενος. οἷς προβουλεύειν ἔταξε τοῦ δήμου, καὶ μηδὲν ἐᾶν ἀπροβούλευτον εἰς ἐκκλησίαν εἰσφέρεσθαι. τὴν δ' ἄνω βουλὴν ἐπίσκοπον πάντων καὶ φυλακὴν τῶν νόμων ἐκάθισεν. οἰόμενος ἐπὶ δυσὶ βουλαῖς ὥσπερ ἀγκύραις ὁρμοῦσαν, ἧττον ἐν σάλῳ τὴν πόλιν ἔσεσθαι, καὶ μᾶλλον ἀτρεμοῦντα τὸν δῆμον παρέξειν. οἱ μὲν οὖν πλεῖστοι, τὴν ἐξ ἀρείου πάγου βουλὴν, ὥσπερ εἴρηται, σόλωνα συστήσασθαι φασί. καὶ μαρτυρεῖν αὐτοῖς μάλιστα δοκεῖ, τὸ μηδαμοῦ τὸν δράκοντα λέγειν μηδ' ὀνομάζειν ἀρεοπαγίτας, ἀλλὰ τοῖς ἐφέταις ἀεὶ διαλέγεσθαι περὶ τῶν φονικῶν. ὁ δὲ τρισκαιδέκατος ἄξων τοῦ σόλωνος τὸν ὄγδοον ἔχει τὸν νόμον

σόλωνα χρησάμενον ἀπάτῃ πρὸς ἀμφοτέρους ἐπὶ σωτηρίᾳ τῆς πόλεως, ὑποσχέσθαι κρύφα, τοῖς μὲν ἀπόροις τὴν νέμησιν, τοῖς δὲ χρηματικοῖς, βεβαίωσιν τῶν συμβολαίων. ἀλλ' αὐτὸς ὁ σόλων, ὀκνῶν φησὶ τὸ πρῶτος ἅψασθαι τῆς πολιτείας, καὶ δεδιὼς τῶν μὲν, τὴν φιλοχρηματίαν· τῶν δὲ, τὴν ὑπερηφανίαν. ᾑρέθη δὲ ἄρχων μετὰ φιλόμβροτον ὁμοῦ καὶ διαλλακτὴς καὶ νομοθέτης, δεξαμένων προθύμως αὐτὸν, ὡς μὲν εὔπορον, τῶν πλουσίων, ὡς δὲ χρηστὸν, τῶν πενήτων. λέγεται καὶ φωνή τις αὐτοῦ περιφερομένη πρότερον εἰπόντος, ὡς τὸ ἴσον πόλεμον οὐ ποιεῖ, καὶ τοῖς κτηματικοῖς ἀρέσκειν καὶ τοῖς ἀκτήμοσι. τῶν μὲν, ἀξίᾳ καὶ ἀρετῇ· τῶν δὲ, μέτρῳ καὶ ἀριθμῷ τὸ ἴσον ἕξειν προσδοκώντων. ὅθεν ἐπ' ἐλπίδος ἑκατέρων μεγάλης γενομένων, οἱ προϊστάμενοι προσέκειντο τῷ σόλωνι, τυραννίδα προξενοῦντες καὶ ἀναπείθοντες εὐτολμότερον ἅψασθαι τῆς πόλεως ἐγκρατῆ γενόμενον. πολλοὶ δὲ καὶ τῶν διὰ μέσου πολιτῶν τὴν ὑπὸ λόγου καὶ νόμου μεταβολὴν ὁρῶντες ἐργώδη καὶ χαλεπὴν οὖσαν, οὐκ ἔφυγον ἕνα τὸν δικαιότατον καὶ φρονιμώτατον ἐπιστῆσαι τοῖς πράγμασιν. ἔνιοι δέ φασι καὶ μαντείαν γενέσθαι τῷ σόλωνι πυθοῖ τοιαύτην.

» Ἧσο μέσην κατὰ νῆα κυβερνητήριον ἔργον εὐθύνων, πολλοί τοι ἀθηναίων ἐπίκουροι.

μάλιστα δὲ οἱ συνήθεις ἐκάκιζον, εἰ διὰ τοὔνομα δυσωπεῖται τὴν μοναρχίαν, ὥσπερ οὐκ ἀρετῇ τοῦ λαβόντος εὐθὺς ἂν βασιλείαν γενομένην. καὶ γεγενημένην πρότερον μὲν εὐβοεῦσι, τυννώνδαν· νῦν δὲ μιτυληναίοις πιττακὸν ᾑρημένοις τύραννον. τούτων, οὐδὲν ἐξέκρουσε τὸν σόλωνα τῆς αὑτοῦ προαιρέσεως, ἀλλὰ πρὸς μὲν τοὺς φίλους, εἶπεν ὡς λέγεται, καλὸν μὲν εἶναι τὴν τυραννίδα χωρίον, οὐκ ἔχειν δὲ ἀπόβασιν. πρὸς δὲ φῶκον, ἐν τοῖς ποιήμασι γράφων, εἰ δὲ γῆς φησὶν ἐφεισάμην πατρίδος,

τυραννίδος δὲ καὶ βίης ἀμειλίχου οὐ καθηψάμην μιάνας καὶ καταισχύνας κλέος, οὐδὲν αἰδοῦ-
» μαι. πλέον γὰρ ὧδε νικήσειν δοκέω πάντας ἀνθρώπους. ὅθεν εὔδηλον ὅτι καὶ πρὸ τῆς νομοθεσίας,
» μεγάλην δόξαν εἶχεν. ἃ δὲ φυγόντος αὐτοῦ τὴν τυραννίδα, πολλοὶ καταγελῶντες ἔλεγον, γέγραφεν

οὕτως. Οὐκ ἔφυ σόλων βαθύφρων, οὐδὲ βουλήεις ἀνήρ. ἐσθλὰ γὰρ θεοῦ διδόντος, αὐτὸς οὐκ ἐδέ-
» ξατο. περιβαλὼν δ' ἄγραν ἀγασθεὶς, οὐκ ἐπέσπασεν μέγα δίκτυον. θυμοῦ δ' ἁμαρτῶν καὶ φρενῶν ἀπο-
» σφαλείς. ἤθελε γάρ κεν κρατήσας πλοῦτον ἄφθονον λαβὼν καὶ τυραννεύσας ἀθηνῶν μοῦνον ἡ-
» μέραν μίαν. ἀσκὸς ὕστερον δεδάρθαι καὶ ἐπιτετρίφθαι γένος.

ταῦτα τοὺς πολλοὺς καὶ φαύλους περὶ αὐτοῦ πεποίηκε λέγοντας. οὐ μὴν ἀπωσάμενός γε τὴν τυραννίδα, τὸν πραότατον ἐχρήσατο τρόπον τοῖς πράγμασιν. οὐδὲ μαλακῶς οὐδ' ὑπείκων τοῖς δυναμένοις, οὐδὲ πρὸς ἡδονὴν τῶν ἑλομένων ἔθετο τοὺς νόμους. ἀλλ' ᾗ μὲν ἄριστον ἦν, οὐκ ἐπήγαγεν ἰατρείαν, οὐδὲ καινοτομίαν. φοβηθεὶς μὴ συγχέας παντάπασι καὶ ταράξας τὴν πόλιν, ἀσθενέστερος γένηται τοῦ καταστῆσαι πάλιν καὶ συναρμόσασθαι πρὸς τὸ ἄριστον. ἃ δὲ καὶ λέγων ἤλπιζε πειθομένοις, καὶ προσάγων ἀνάγκην ὑπομένουσι χρήσασθαι, ταῦτ' ἔπραττεν ὥς φησιν αὐτὸς, ὁμοῦ βίην τε καὶ δίκην συναρμόσας. ὅθεν ὕστερον ἐρωτηθεὶς εἰ τοὺς ἀρίστους ἀθηναίοις νόμους ἔγραψεν, ὧν ἂν ἔφη προσεδέξαντο τοὺς ἀρίστους. ἃ δ' οὖν οἱ νεώτεροι τοὺς ἀθηναίους λέγουσι τὰς τῶν πραγμάτων δυσχερείας ὀνόμασι χρηστοῖς καὶ φιλανθρώποις ἐπικαλύπτοντας, ἀστείως ὑποκορίζεσθαι· τὰς μὲν πόρνας, ἑταίρας· τοὺς δὲ φόρους, συντάξεις· φυλακὰς δὲ τὰς φρουρὰς τῶν πόλεων· οἴκημα δὲ τὸ δεσμωτήριον καλοῦντας, πρώτου σόλωνος ἦν ὡς ἔοικε σόφισμα, τὴν τῶν χρεῶν ἀποκοπὴν σεισάχθειαν ὀνομάσαντος. τοῦτο γὰρ ἐποιήσατο πρῶτον πολίτευμα. γράψας τὰ μὲν ὑπάρχοντα τῶν χρεῶν ἀνεῖσθαι. πρὸς δὲ τὸ λοιπὸν, ἐπὶ τοῖς σώμασι μηδένα δανείζειν. καίτοι τινὲς ἔγραψαν, ὧν ἐστὶν ἀνδροτίων, οὐκ ἀποκοπῇ χρεῶν, ἀλλὰ τόκων μετριότητι κουφισθέντας, ἀγαπῆσαι τοὺς πένητας, καὶ σεισάχθειαν ὀνομάσαι τὸ φιλανθρώπευμα τοῦτο. καὶ τὴν ἅμα τούτῳ γενομένην, τῶν τε μέτρων ἐπαύξησιν, καὶ τοῦ νομίσματος τιμήν. ἑκατὸν γὰρ ἐποίησε δραχμῶν τὴν μνᾶν, πρότερον ἑβδομήκοντα καὶ τριῶν οὖσαν. ὥστ' ἀριθμῷ μὲν, ἴσον· δυνάμει δ' ἔλαττον ἀποδιδόντων, ὠφελεῖσθαι μὲν, τοὺς ἐκτίνοντας μεγάλα. μηδὲν δὲ βλάπτεσθαι τοὺς κομιζομένους. οἱ δὲ πλεῖστοι, πάντων ὁμοῦ φασὶ τῶν συμβολαίων ἀναίρεσιν γενέσθαι τὴν σεισάχθειαν. καὶ τούτοις συνᾴδει μᾶλλον, τὰ ποιήματα. σεμνύνεται γὰρ σόλων ἐν τούτοις. ὅτι τῆς τε προὐποκειμένης γῆς ὅρους ἀνεῖλε πολλα-

» χῆ πεπηγότας. πρόσθεν δὲ δουλεύουσα, νῦν ἐλευθέρα. καὶ τῶν ἀγωγίμων πρὸς ἀργύριον γεγονότων
» πολιτῶν, τοὺς μὲν, ἀνήγαγεν ἀπὸ ξένης, γλῶσσαν οὐκ ἔτ' ἀττικὴν ἱέντας ὡς ἂν πολλαχῆ πλανωμένους.
» τοὺς δ' ἐνθάδ' αὐτοῦ δουλοσύνην ἀεικέα ἔχοντας, ἐλευθέρους φησὶ ποιῆσαι.

πρᾶγμα δ' αὐτῷ ἐμπεσεῖν λέγεται, πάντων ἀνιαρότατον ἀπὸ τῆς πράξεως ἐκείνης. ὡς γὰρ ὥρμησεν ἀνιέναι τὰ χρέα, καὶ λόγους ἁρμόττοντας ἐζήτει καὶ πρέπουσαν ἀρχὴν, ἐκοινώσατο τῶν φίλων, οἷς μάλιστα πιστεύων καὶ χρώμενος ἐτύγχανε τοῖς περὶ κόνωνα καὶ κλεινίαν καὶ ἱππόνικον. ὅτι γῆν μὲν οὐ μέλλει κινεῖν, χρεῶν δὲ ποιεῖν ἀποκοπὰς ἔγνωκεν. οἱ δὲ, προλαβόντες εὐθὺς καὶ φθάσαντες, ἐδανείσαντο συχνὸν ἀργύριον παρὰ τῶν πλουσίων, καὶ μεγάλας συνεωνήσαντο χώρας. εἶτα τοῦ δόγματος ἐξενεχθέντος, τὰ μὲν κτήματα καρπούμενοι, τὰ δὲ χρήματα τοῖς δανείσασιν οὐκ ἀποδιδόντες, εἰς αἰτίαν τὸν σόλωνα μεγάλην καὶ διαβολὴν ὥσπερ οὐ συναδικούμενον, ἀλλὰ συναδικοῦντα κατέστησαν. ἀλλὰ τοῦτο μὲν εὐθὺς ἐλύθη τὸ ἔγκλημα τοῖς πέντε ταλάντοις. τοσαῦτα γὰρ εὑρέθη δανείζων. καὶ ταῦτα πρῶτος ἀφῆκε κατὰ

q ≠ πρόσθεν δὲ δουλεύουσαν, νῦν ἐλευθέραν

πυθικούς τινας βοηθῆσαι λέγουσι χρησμοὺς, ἐν οἷς ὁ θεὸς ἰωνίαν τὴν σαλαμῖνα προσηγόρευσε. ταύτην τὴν δίκην ἐδίκασαν, σπαρτιατῶν πέντε ἄνδρες. κριτολαΐδας, ἀμομφάρετος, ὑψηχίδας, ἀναξίλας, κλεομένης. ἤδη μὲν οὖν καὶ ἀπὸ τούτων, ἔνδοξος ἦν ὁ σόλων καὶ μέγας. ἐθαυμάσθη δὲ καὶ διεβοήθη μᾶλλον, ἐν τοῖς ἕλλησιν, εἰπὼν ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν δελφοῖς, ὡς χρὴ βοηθεῖν καὶ μὴ περιορᾶν κιρραίους ὑβρίζοντας εἰς τὸ μαντεῖον, ἀλλὰ προσαμύνειν ὑπὲρ τοῦ θεοῦ, δελφοῖς. πεισθέντες γὰρ ὑπ' ἐκείνου, πρὸς τὸν πόλεμον ὥρμησαν οἱ ἀμφικτύονες, ὡς ἄλλοι τε μαρτυροῦσι, καὶ ἀριστοτέλης ἐν τῇ τῶν πυθιονίκων ἀναγραφῇ, σόλωνι τὴν γνώμην ἀνατιθείς. οὐ μέντοι στρατηγὸς ἐπὶ τοῦτον ἀπεδείχθη τὸν πόλεμον, ὡς λέγειν φησὶν ἕρμιππος, εὐάνθην τὸν σάμιον. οὔτε γὰρ αἰσχίνης ὁ ῥήτωρ τοῦτ' εἴρηκεν, ἔν τε τοῖς δελφῶν ὑπομνήμασιν ἀλκμαίων οὐ σόλων ἀθηναίων στρατηγὸς ἀναγέγραπται. τὸ δὲ κυλώνειον ἄγος, ἤδη μὲν ἐκ πολλοῦ διετάραττε τὴν πόλιν, ἐξ οὗ τοὺς συνωμότας τοῦ κύλωνος ἱκετεύοντας τὴν θεὸν, μεγακλῆς ὁ ἄρχων, ἐπὶ δίκῃ κατελθεῖν ἔπεισεν. ἐξάψαντας δὲ τοῦ ἕδους κρόκην κλωστὴν καὶ ταύτης ἐχομένους, ὡς ἐγένοντο περὶ τὰς σεμνὰς θεὰς καταβαίνοντες, αὐτομάτως τῆς κρόκης ῥαγείσης ὥρμησε συλλαμβάνειν ὁ μεγακλῆς καὶ οἱ συνάρχοντες, ὡς τῆς θεοῦ τὴν ἱκεσίαν ἀπολεγομένης. καὶ τοὺς μὲν, ἔξω κατέλευσαν. οἱ δὲ, τοῖς βωμοῖς προσφυγόντες, ἀπεσφάγησαν. μόνοι δ' ἀφείθησαν οἱ τὰς γυναῖκας αὐτῶν ἱκετεύσαντες. ἐκ τούτου δὲ κληθέντες ἐναγεῖς, ἐμισοῦντο. καὶ τῶν κυλωνείων οἱ περιγενόμενοι, πάλιν ἦσαν ἰσχυροὶ, καὶ στασιάζοντες ἀεὶ διετέλουν πρὸς τοὺς ἀπὸ τοῦ μεγακλέους. ἐν δὲ τῷ τότε χρόνῳ τῆς στάσεως ἀκμὴν λαβούσης μάλιστα, καὶ τοῦ δήμου διαστάντος, ἤδη δόξαν ἔχων ὁ σόλων, παρῆλθεν εἰς μέσον ἅμα τοῖς ἀρίστοις τῶν ἀθηναίων, καὶ δεόμενος καὶ διδάσκων ἔπεισε τοὺς ἐναγεῖς λεγομένους, δίκην ὑποσχεῖν καὶ κριθῆναι, τριακοσίων ἀριστίνδην δικαζόντων. μύρωνος δὲ τοῦ φλυέως κατηγοροῦντος, ἑάλωσαν οἱ ἄνδρες, καὶ μετέστησαν οἱ ζῶντες. τῶν δ' ἀποθανόντων τοὺς νεκροὺς ἀνορύξαντες, ἐξέρριψαν ὑπὲρ τοὺς ὅρους. ταύταις δὲ ταῖς ταραχαῖς καὶ μεγαρέων συνεπιθεμένων, ἀπέβαλόν τε νίσαιαν ἀθηναῖοι καὶ σαλαμῖνος ἐξέπεσον αὖθις. καὶ φόβοι τινὲς ἐκ δεισιδαιμονίας ἅμα καὶ φάσματα κατεῖχε τὴν πόλιν. οἵ τε μάντεις ἄγη καὶ μιασμοὺς δεομένους καθαρμῶν προφαίνεσθαι διὰ τῶν ἱερῶν ἠγόρευον. οὕτω δὲ μετάπεμπτος αὐτοῖς ἧκεν ἐκ κρήτης ἐπιμενίδης ὁ φαίστιος, ὃν ἕβδομον ἐν τοῖς σοφοῖς καταριθμοῦσιν ἔνιοι τῶν οὐ προσιεμένων τὸν περίανδρον. ἐδόκει δέ τις εἶναι θεοφιλὴς καὶ σοφὸς περὶ τὰ θεῖα τὴν ἐνθουσιαστικὴν καὶ τελεστικὴν σοφίαν. διὸ καὶ παῖδα νύμφης ὄνομα βάλτης, καὶ κούρητα νέον αὐτὸν οἱ τότε ἄνθρωποι προσηγόρευον. ἐλθὼν δὲ καὶ τῷ σόλωνι χρησάμενος φίλῳ, πολλὰ προϋπειργάσατο καὶ προωδοποίησεν αὐτῷ τῆς νομοθεσίας. καὶ γὰρ εὐσταλεῖς ἐποίησε τὰς ἱερουργίας, καὶ περὶ τὰ πένθη πρᾳοτέρους, θυσίας τινὰς εὐθὺς ἀναμίξας πρὸς τὰ κήδη, καὶ τὸ σκληρὸν ἀφελὼν, καὶ τὸ βαρβαρικὸν ᾧ συνείχοντο πρότερον αἱ πλεῖσται γυναῖκες. τὸ δὲ μέγιστον, ἱλασμοῖς τισι καὶ καθαρμοῖς καὶ ἱδρύσεσι κατοργιάσας, καὶ καθοσιώσας τὴν πόλιν, ὑπήκοον τοῦ δικαίου καὶ μᾶλλον εὐπειθῆ πρὸς ὁμόνοιαν κατέστησε. λέγεται δὲ τὴν μουνυχίαν ἰδὼν καὶ καταμαθὼν πολὺν χρόνον, εἰπεῖν πρὸς τοὺς παρόντας, ὡς τυφλόν ἐστι τοῦ μέλλοντος ἄνθρωπος. ἐκφαγεῖν γὰρ ἀθηναίους τοῖς αὑτῶν ὀδοῦσιν, εἰ προῄδεσαν ὅσα τὴν πόλιν ἀνιάσει τὸ χωρίον. ὅμοιον δέ τι καὶ θαλῆν εἰκάσαι λέγουσι. κελεῦσαι γὰρ αὑτὸν ἔν τινι τόπῳ τῆς μιλησίας φαύλῳ καὶ παρορωμένῳ τελευτήσαντα θεῖναι, προειπὼν ὡς ἀγορά ποτε τοῦτο μιλησίων ἔσται τὸ χωρίον. ἐπιμενίδης μὲν οὖν μάλιστα θαυμασθεὶς, καὶ χρήματα διδόντων πολλὰ καὶ τιμὰς μεγάλας τῶν ἀθηναίων, οὐδὲν ἢ θαλλὸν ἀπὸ τῆς ἱερᾶς ἐλαίας αἰτησάμενος καὶ λαβὼν, ἀπῆλθεν. αἱ δ' ἀθῆναι τῆς κυλωνείου πεπαυμένης ταραχῆς καὶ μεθεστώτων ὥσπερ εἴρηται τῶν ἐναγῶν, τὴν παλαιὰν αὖθις στάσιν ὑπὲρ τῆς πολιτείας ἐστασίαζον. ὅσας ἡ χώρα διαφορὰς εἶχε, τοσαῦτα μέρη τῆς πόλεως διαστάσης. ἦν γὰρ τὸ μὲν τῶν διακρίων γένος δημοκρατικώτατον. ὀλιγαρχικώτατον δὲ τὸ τῶν πεδιέων. τρίτοι δ' οἱ πάραλοι, μέσον τινὰ καὶ μεμιγμένον αἱρούμενοι πολιτείας τρόπον, ἐμποδὼν ἦσαν καὶ διεκώλυον τοὺς ἑτέρους κρατῆσαι. τότε δὲ τῆς τῶν πενήτων πρὸς τοὺς πλουσίους ἀνωμαλίας ὥσπερ ἀκμὴν λαβούσης, παντάπασιν ἐπισφαλῶς ἡ πόλις διέκειτο, καὶ μόνως ἂν ἐδόκει καταστῆναι καὶ παύσασθαι ταραττομένη, τυραννίδος γενομένης. ἅπας μὲν γὰρ ὁ δῆμος ἦν ὑπόχρεως τῶν πλουσίων. ἢ γὰρ ἐγεώργουν ἐκείνοις ἕκτα τῶν γινομένων τελοῦντες, ἑκτημόριοι προσαγορευόμενοι καὶ θῆτες. ἢ χρέα λαμβάνοντες ἐπὶ τοῖς σώμασιν, ἀγώγιμοι τοῖς δανείζουσιν ἦσαν. οἱ μὲν αὐτοῦ δουλεύοντες. οἱ δ' ἐπὶ τὴν ξένην πιπρασκόμενοι. πολλοὶ δὲ καὶ παῖδας ἰδίους ἠναγκάζοντο πωλεῖν. οὐδεὶς γὰρ νόμος ἐκώλυε. καὶ τὴν πόλιν φεύγειν διὰ χαλεπότητα τῶν δανειστῶν. οἱ δὲ πλεῖστοι καὶ ῥωμαλεώτατοι, συνίσταντο καὶ παρεκάλουν ἀλλήλους, μὴ περιορᾶν, ἀλλ' ἑλομένους ἕνα προστάτην ἄνδρα πιστὸν, ἀφελέσθαι τοὺς ὑπερημέρους, καὶ γῆν ἀναδάσασθαι, καὶ ὅλως μεταστῆσαι τὴν πολιτείαν. ἐνταῦθα δὴ τῶν ἀθηναίων οἱ φρονιμώτατοι, συνορῶντες τὸν σόλωνα μόνον μάλιστα τῶν ἁμαρτημάτων ἐκτὸς ὄντα, καὶ μήτε τοῖς πλουσίοις κοινωνοῦντα τῆς ἀδικίας, μήτε ταῖς τῶν πενήτων ἀνάγκαις ἐνεχόμενον, ἐδέοντο τοῖς κοινοῖς προσελθεῖν καὶ καταπαῦσαι τὰς διαφοράς. καί τοι φανίας ὁ λέσβιος αὐτὸν ἱστορεῖ τὸν

ποθουμένου παρόντος, τοῦ μέλλοντος ὠδῖνας ἀεὶ καὶ τρόμους καὶ ἀγῶνας, εἰ στερήσονται, παρέχοντος αὐτοῖς. δεῖ δὲ μήτε πενίᾳ πρὸς χρημάτων πεπαῦσθαι στέρησιν, μήτε ἀφιλίᾳ πρὸς φίλων ἀποβολήν, μήτ᾽ ἀπαιδίᾳ πρὸς τέκνων θάνατον, ἀλλὰ τῷ λογισμῷ πρὸς πάντα. καὶ ταῦτα μὲν, ὡς ἐν τῷ παρόντι, πλείονα τῶν ἱκανῶν. ἐπεὶ δὲ μακρόν τινα καὶ δυσχερῆ πόλεμον οἱ ἐν ἄστει περὶ τῆς σαλαμινίων νήσου, μεγαρεῦσι πολεμοῦντες, ἐξέκαμον, καὶ νόμον ἔθεντο, μήτε γράψαι τινὰ μήτ᾽ εἰπεῖν αὖθις ὡς χρὴ τὴν πόλιν ἀντιποιεῖσθαι τῆς σαλαμῖνος, ἢ θανάτῳ ζημιοῦσθαι, βαρέως φέρων τὴν ἀδοξίαν ὁ σόλων, καὶ τῶν νέων ὁρῶν πολλοὺς δεομένους ἀρχῆς ἐπὶ τὸν πόλεμον, αὐτοὺς δὲ μὴ θαῤῥοῦντας ἄρξασθαι διὰ τὸν νόμον, ἐσκήψατο μὲν ἔκστασιν τῶν λογισμῶν, καὶ λόγος εἰς τὴν πόλιν ἐκ τῆς οἰκίας διεδόθη παρακινητικῶς ἔχειν αὐτόν. ἐλεγεῖα δὲ κρύφα συνθεὶς καὶ μελετήσας, ὥστε λέγειν ἀπὸ στόματος, ἐξεπήδησεν εἰς τὴν ἀγορὰν ἄφνω πιλίον περιθέμενος. ὄχλου δὲ πολλοῦ συνδραμόντος, ἀναβὰς ἐπὶ τὸν τοῦ κήρυκος λίθον, ἐν ᾠδῇ διεξῆλθε τὴν ἐλεγείαν, ἧς ἐστιν ἀρχή·

» Αὐτὸς κῆρυξ ἦλθον ἀφ᾽ ἱμερτῆς σαλαμῖνος
» Κόσμον ἐπέων ᾠδὴν ἀντ᾽ ἀγορῆς θέμενος.

Τοῦτο τὸ ποίημα σαλαμὶς ἐπιγέγραπται, καὶ στίχων ἑκατόν ἐστι χαριέντως πάνυ πεποιημένον. τότε δὲ ᾀσθέντος αὐτοῦ καὶ τῶν φίλων τοῦ σόλωνος ἀρξαμένων ἐπαινεῖν, μάλιστα δὲ τοῦ πεισιστράτου τοῖς πολίταις ἐγκελευομένου καὶ παρορμῶντος πεισθῆναι τῷ λέγοντι, λύσαντες τὸν νόμον, αὖθις ἥπτοντο τοῦ πολέμου, προστησάμενοι τὸν σόλωνα. τὰ μὲν οὖν δημώδη τῶν λεγομένων τοιαῦτ᾽ ἐστίν, ὅτι πλεύσας ἐπὶ κωλιάδα μετὰ τοῦ πεισιστράτου καὶ καταλαβὼν αὐτόθι πάσας τὰς γυναῖκας τῇ δήμητρι τὴν πάτριον θυσίαν ἐπιτελούσας, ἔπεμψεν ἄνδρα πιστὸν εἰς τὴν σαλαμῖνα προσποιούμενον αὐτόμολον εἶναι, κελεύοντα τοὺς μεγαρεῖς, εἰ βούλονται τῶν ἀθηναίων τὰς πρώτας λαβεῖν γυναῖκας, ἐπὶ κωλιάδα μετ᾽ αὐτοῦ πλεῖν τὴν ταχίστην. ὡς δὲ πεισθέντες οἱ μεγαρεῖς ἄνδρας ἐξέπεμψαν ἐν τῷ πλοίῳ, καὶ κατεῖδεν ὁ σόλων τὸ πλοῖον ἐλαυνόμενον ἀπὸ τῆς νήσου, τὰς μὲν γυναῖκας ἐκποδὼν ἀπελθεῖν ἐκέλευσε, τῶν δὲ νεωτέρων, τοὺς μήπω γενειῶντας ἐνδύμασι καὶ μίτραις καὶ ὑποδήμασι τοῖς ἐκείνων σκευασαμένους καὶ λαβόντας ἐγχειρίδια κρυπτὰ, παίζειν καὶ χορεύειν προσέταξε πρὸς τῇ θαλάσσῃ, μέχρις ἂν ἀποβῶσιν οἱ πολέμιοι καὶ γένηται τὸ πλοῖον ὑποχείριον. οὕτω δὴ τούτων πραττομένων, ὑπαχθέντες οἱ μεγαρεῖς τῇ ὄψει, καὶ προσμίξαντες ἐγγὺς, ἐξεπήδων ὡς ἐπὶ γυναῖκας ἁμιλλώμενοι πρὸς ἀλλήλους, ὥστε μηδένα διαφυγεῖν, ἀλλὰ πάντας ἀπολέσθαι, καὶ τὴν νῆσον ἐπιπλεύσαντας εὐθὺς ἔχειν τοὺς ἀθηναίους. ἄλλοι δὲ φασὶν οὐ τοῦτον τὸν τρόπον γενέσθαι τὴν κατάληψιν, ἀλλὰ πρῶτον μὲν αὐτῷ τὸν ἐν δελφοῖς θεὸν χρῆσαι.

» Ἀρχηγοὺς χώρας θυσίαις ἥρωας ἐνοίκους Ἵλασο, τοὺς κόλπος ἀσωπιὰς ἀμφικαλύπτει.
» Οἳ φθίμενοι δέρκονται ἐς ἠέλιον δύοντα.

Τὸν δὲ σόλωνα διαπλεύσαντα νυκτὸς εἰς τὴν νῆσον, ἐντεμεῖν σφάγια περιφήμῳ καὶ κυχρεῖ τοῖς ἥρωσιν. εἶτα παρὰ τῶν ἀθηναίων ἐθελοντὰς λαβεῖν, πεντακοσίους δόγματος γενομένου, τούτους ἂν κατάσχωσι τὴν νῆσον, κυρίους εἶναι τοῦ πολιτεύματος. ἀναχθέντα δὲ συχναῖς ἁλιάσιν ἅμα τριακοντόρου συμπαραπλεούσης, ὑφορμίσασθαι τῇ σαλαμῖνι κατὰ χηλήν τινα πρὸς τὴν εὔβοιαν ἀποβλέπουσαν. πυθομένους δὲ τοὺς ἐν σαλαμῖνι μεγαρεῖς, ἔκ τινος φήμης οὐδὲν βέβαιον, αὐτοὺς μὲν εἰς τὰ ὅπλα θορυβουμένους βαδίζειν. ναῦν δ᾽ ἀποστεῖλαι κατασκεψομένην τῶν πολεμίων, ἧς ἐγγὺς ἐλθούσης, κρατῆσαι τὸν σόλωνα καὶ καθεῖρξαι τοὺς μεγαρεῖς. ἐμβιβάσαι δὲ τῶν ἀθηναίων τοὺς κρατίστους, κελεύσαντα πλεῖν ἐπὶ τὴν πόλιν ὡς ἂν ἐνδέχηται μάλιστα κρύπτοντας ἑαυτούς. ἅμα δὲ τοὺς ἄλλους ἀθηναίους ἀναλαβόντα πεζῇ συμφέρεσθαι τοῖς μεγαρεῦσι. καὶ τῆς μάχης ἔτι συνεστώσης, φθάσαι τοὺς ἀπὸ τῆς νεὼς καταλαβόντας τὴν πόλιν. ἔοικε δὲ καὶ τῷ λόγῳ τούτῳ τὰ δρώμενα μαρτυρεῖν. ναῦς γάρ τις ἀττικὴ, προσέπλει σιωπῇ τὸ πρῶτον. εἶτα κραυγῇ καὶ ἀλαλαγμῷ προσφερομένων, εἷς ἀνὴρ ἔνοπλος ἐξαλλόμενος, μετὰ βοῆς ἔθει πρὸς ἄκρον τὸ σκιράδιον ἐκ γῆς προσφερομένοις. πλησίον δὲ τοῦ ἐνυαλίου τὸ ἱερόν ἐστιν, ἱδρυσαμένου σόλωνος. ἐνίκησε γὰρ τοὺς μεγαρέας, καὶ ὅσοι μὴ διεφθάρησαν ἐν τῇ μάχῃ, πάντας ὑποσπόνδους ἀφῆκεν. οὐ μὴν ἀλλὰ τῶν μεγαρέων ἐπιμενόντων, πολλὰ κακὰ καὶ δρῶντες ἐν τῷ πολέμῳ καὶ πάσχοντες, ἐποιήσαντο λακεδαιμονίους διαλλακτὰς καὶ δικαστάς. οἱ μὲν οὖν πολλοὶ τῷ σόλωνι συναγωνίσασθαι λέγουσι τὴν ὁμήρου δόξαν. ἐμβαλόντα γὰρ αὐτὸν ἔπος εἰς νεῶν κατάλογον, ἐπὶ τῆς δίκης ἀναγνῶναι.

» Αἴας δ᾽ ἐκ σαλαμῖνος ἄγε δυοκαίδεκα νῆας,
» Στῆσε δ᾽ ἄγων ἵν᾽ ἀθηναίων ἵσταντο φάλαγγες.

Αὐτοὶ δ᾽ ἀθηναῖοι, ταῦτα μὲν οἴονται φλυαρίαν εἶναι, τὸν δὲ σόλωνά φασιν ἀποδεῖξαι τοῖς δικασταῖς, ὅτι φιλαῖος καὶ εὐρυσάκης αἴαντος υἱοὶ, ἀθήνησι πολιτείας μεταλαβόντες, παρέδοσαν τὴν νῆσον αὐτοῖς καὶ κατῴκησαν. ὁ μὲν, ἐν βραυρῶνι τῆς ἀττικῆς, ὁ δὲ, ἐν μελίτῃ. καὶ δῆμον ἐπώνυμον φιλαίου, τῶν φιλαϊδῶν ἔχουσιν, ὅθεν ἦν πεισίστρατος. ἔτι δὲ μᾶλλον ἐξελέγξαι τοὺς μεγαρέας βουλόμενον, ἰσχυρίσασθαι περὶ τῶν νεκρῶν, ὡς οὐχ ὃν τρόπον ἐκεῖνοι θάπτουσι κεκηδευμένων, ἀλλ᾽ ὃν αὐτοί. θάπτουσι δὲ μεγαρεῖς πρὸς ἕω τοὺς νεκροὺς στρέφοντες. ἀθηναῖοι δὲ, πρὸς ἑσπέραν. ἡρέας δὲ ὁ μεγαρεὺς ἐνιστάμενος λέγει, καὶ μεγαρέας πρὸς ἑσπέραν τετραμμένα τὰ σώματα τῶν νεκρῶν τιθέναι. καὶ μεῖζον ἔτι τούτου, μίαν ἕκαστον ἀθηναίων ἔχειν θήκην. μεγαρέων δὲ, καὶ τρεῖς καὶ τέσσαρας ἐν μιᾷ κεῖσθαι. τῷ μέντοι σόλωνι καὶ

σαγήνην, καὶ ξένων ἐκ μιλήτου πριαμένων τὸν βόλον οὔπω φανερὸν ὄντα, χρυσοῦς ἐφάνη τρίπους
ἑλκόμενος, ὃν λέγουσιν ἑλένην πλέουσαν ἐκ τροίας αὐτόθι καταθεῖναι, χρησμοῦ τινὸς ἀναμνησθεῖσαν
παλαιοῦ. γενομένης δὲ τοῖς ξένοις πρῶτον ἀντιλογίας πρὸς τοὺς ἁλιέας περὶ τοῦ τρίποδος, εἶτα τῶν
πόλεων ἀναδεξαμένων τὴν διαφορὰν ἄχρι πολέμου προελθοῦσαν, ἀνεῖλεν ἀμφοτέροις ἡ πυθία, τῷ σο-
φωτάτῳ τὸν τρίποδα ἀποδοῦναι. καὶ πρῶτον μὲν ἀπεστάλη πρὸς θαλῆν εἰς μίλητον, ἑκουσίων κώων ἑκουσίως ς.
ἑνὶ δωρουμένων ἐκείνῳ περὶ οὗ πρὸς ἅπαντας ὁμοῦ μιλησίους ἐπολέμησαν. θάλεω δὲ βίαντα σοφώτε-
ρον ἀποφαίνοντος αὐτοῦ, πρὸς ἐκεῖνον ἧκεν. ἀπ' ἐκείνου δ' αὖθις ἀπεστάλη πρὸς ἄλλον ὡς σοφώτερον. εἶ-
τα περιιὼν καὶ ἀναπεμπόμενος οὕτως, ἐπὶ θαλῆν τὸ δεύτερον ἀφίκετο. καὶ τέλος εἰς θήβας ἐκ μιλή-
του κομισθεὶς, τῷ ἰσμηνίῳ ἀπόλλωνι καθιερώθη. θεόφραστος δέ φησι πρῶτον μὲν εἰς πριήνην βίαν-
τι τὸν τρίποδα πεμφθῆναι. δεύτερον δ' ἐπὶ μίλητον θαλῆ, βίαντος ἀποπέμψαντος. οὕτω δὲ διὰ πάν-
των, πάλιν εἰς βίαντα περιελθεῖν. τέλος δὲ εἰς δελφοὺς ἀποσταλῆναι. ταῦτα μὲν οὖν ὑπὸ πλειό-
νων τεθρύληται. πλὴν ὅτι τὸ δῶρον ἀντὶ τοῦ τρίποδος, οἱ μὲν φιάλην ὑπὸ κροίσου πεμφθεῖσαν. οἱ δὲ,
ποτήριον βαθυκλέους ἀπολιπόντος λέγουσιν. ἰδίᾳ δὲ ἀναχάρσιδός τε πρὸς σόλωνα, καὶ πάλιν θάλεω
συνουσίαν τινὰ καὶ λόγους ἀναγράφουσι τοιούτους. ἀνάχαρσιν μὲν εἰς ἀθήνας φασὶν ἐπὶ τὴν σόλωνος οἰ- ἀνάχαρσιν
κίαν ἐλθόντα, κόπτειν. καὶ λέγειν ὡς ξένος ὢν ἀφῖκται φιλίαν ποιησόμενος, καὶ ξενίαν πρὸς αὐτόν. ἀπο-
κρινομένου δὲ τοῦ σόλωνος οἴκοι βέλτιον εἶναι ποιεῖσθαι φιλίας, οὐκοῦν φάναι τὸν ἀνάχαρσιν, αὐτὸς ὢν
οἴκοι, σὺ ποίησαι φιλίαν καὶ ξενίαν πρὸς ἡμᾶς. οὕτω δὴ θαυμάσαντα τὴν ἀγχίνοιαν τοῦ ἀνδρὸς τὸν σό-
λωνα, δέξασθαι φιλοφρόνως. καὶ χρόνον τινὰ, ἔχειν παρ' αὐτῷ, ἤδη τὰ δημόσια πράττοντα καὶ συνταττόμε-
νον τοὺς νόμους. τὸν οὖν ἀνάχαρσιν πυθόμενον, καταγελᾶν τῆς πραγματείας τοῦ σόλωνος, οἰομένου γράμμα-
σιν ἐφέξειν τὰς ἀδικίας καὶ πλεονεξίας τῶν πολιτῶν, ἃ μηδὲν τῶν ἀραχνίων διαφέρειν. ἀλλ' ὡς ἐκεῖ-
να, τοὺς μὲν ἀσθενεῖς καὶ λεπτοὺς τῶν ἁλισκομένων καθέξειν. ὑπὸ δὲ τῶν δυνατῶν καὶ πλουσίων διαῤῥα-
γήσεσθαι. τὸν δὲ σόλωνα πρὸς ταῦτά φασιν εἰπεῖν. ὅτι καὶ συνθήκας ἄνθρωποι φυλάττουσιν ἃς οὐδε-
τέρῳ λυσιτελές τι παραβαίνειν τῶν θεμένων, καὶ τοὺς νόμους αὐτὸς οὕτως ἁρμόζεται τοῖς πολίταις,
ὥστε πᾶσι τοῦ παρανομεῖν βέλτιον ἐπιδεῖξαι τὸ δικαιοπραγεῖν. ἀλλὰ ταῦτα μὲν ὡς ἀνάχαρσις εἴκα-
ζεν ἀπέβη μᾶλλον, ἢ κατὰ τὴν ἐλπίδα τοῦ σόλωνος. ἔφη δὲ κἀκεῖνο θαυμάζειν ὁ ἀνάχαρσις, ἐκκλησίᾳ παρα-
γενόμενος, ὅτι λέγουσι μὲν οἱ σοφοὶ παρ' ἕλλησι, κρίνουσι δὲ οἱ ἀμαθεῖς. πρὸς θαλῆν δ' εἰς μίλητον ἐλ-
θόντα τὸν σόλωνα, θαυμάζειν ὅτι γάμου καὶ παιδοποιίας τὸ παράπαν ἠμέληκε. καὶ τὸν θαλῆν, τότε μὲν
σιωπῆσαι. διαλιπόντα δ' ὀλίγας ἡμέρας, ἄνδρα παρασκευάσας ξένον, ἀρτίως ἥκειν φάσκοντα δεκα- σαι ς.
ταῖον ἐξ ἀθηνῶν. πυθομένου δὲ τοῦ σόλωνος εἴ τι καινὸν ἐν ταῖς ἀθήναις, δεδιδαγμένον ἃ χρὴ λέγειν
τὸν ἄνθρωπον, οὐδὲν εἰπεῖν ἕτερον, εἰ μὴ νὴ δία νεανίσκου τινὸς ἦν ἐκφορὰ, καὶ προύπεμπεν ἡ πόλις. ἦν
γὰρ υἱὸς ὡς ἔφασαν, ἀνδρὸς ἐνδόξου, καὶ πρωτεύοντος ἀρετῇ τῶν πολιτῶν. οὐ παρῆν δὲ, ἀλλ' ἀπο-
δημεῖν ἔφασαν αὐτὸν ἤδη πολὺν χρόνον. ὡς δυστυχὴς ἐκεῖνος φάναι τὸν σόλωνα. τίνα δ' ὠνόμαζον αὐτόν,
ἤκουσα φάναι τοὔνομα τὸν ἄνθρωπον, ἀλλ' οὐ μνημονεύω, πλὴν ὅτι πολὺς λόγος ἦν αὐτοῦ σοφίας καὶ
δικαιοσύνης. οὕτω δὴ καθ' ἑκάστην ἀπόκρισιν τῷ φόβῳ προσαγόμενον τὸν σόλωνα, καὶ τέλος ἤδη συν-
τεταραγμένον, αὐτὸν ὑποβάλλειν τοὔνομα τῷ ξένῳ, πυνθανόμενον μὴ σόλωνος ὁ τεθνηκὼς υἱός. φή- ὠνόμαζεν ς. κ. τ.
σαντος δὲ ἀνθρώπου, τὸν μὲν ὁρμῆσαι παίειν τὴν κεφαλὴν, καὶ τἆλλα ποιεῖν καὶ λέγειν, ἃ συμβαίνει
τοῖς περιπαθοῦσι. τὸν δὲ θαλῆν ἐπιλαβόμενον αὐτοῦ, καὶ γελάσαντα, ταῦτά τοι φάναι ὦ σόλων, ἐ- δὲ ς.
μὲ γάμου καὶ παιδοποιίας ἀφίστησιν, ἃ καὶ σὲ κατερείπει τὸν ἐῤῥωμενέστατον. ἀλλὰ θάῤῥει τῶν λόγων
ἕνεκα τούτων, οὐ γάρ εἰσιν ἀληθεῖς. ταῦτα μὲν οὖν ἕρμιππος ἱστορεῖν φησι, πάταικον ὃς ἔφασκε τὴν
αἰσώπου ψυχὴν ἔχειν. ἄτοπος δὲ καὶ ἀγεννὴς ὁ τῷ φόβῳ τῆς ἀποβολῆς, τὴν κτῆσιν, ὧν χρὴ προϊέμε-
νος. οὕτω γὰρ ἄν τις, οὐ πλοῦτον, οὐ δόξαν, οὐ σοφίαν ἀγαπήσειε παραγενομένην δεδιὼς στέρεσθαι. καὶ
γὰρ ἀρετὴν ἧς κτῆμα μεῖζον οὐδὲν οὐδ' ἥδιον, ἐξισταμένην ὁρῶμεν ὑπὸ νόσων καὶ φαρμάκων. αὐτῷ τε
θαλῇ μὴ γήμαντι, πλέον οὐδὲν εἰς ἀφοβίαν, εἰ μὴ καὶ φίλων κτῆσιν ἔφυγε, καὶ οἰκείων, καὶ πατρίδος.
ἀλλὰ καὶ παῖδα θετὸν ἔσχε ποιησάμενος αὐτὸς τὸν τῆς ἀδελφῆς ὥς φασι κύβισθον. ἐχούσης γάρ τι
τῆς ψυχῆς ἀγαπητικὸν ἐν ἑαυτῇ, καὶ πεφυκυίας ὥσπερ αἰσθάνεσθαι καὶ διανοεῖσθαι καὶ μνημονεύειν,
οὕτω καὶ φιλεῖν, ἐνδύεταί τι τούτῳ καὶ προσφύεται τῶν ἐκτὸς, οἷς οἰκεῖον οὐδὲν ἐστί. καὶ καθάπερ οἶ-
κον ἢ χώραν γνησίων ἔρημον διαδόχων τὸ φιλόστοργον, ἀλλότριοι καὶ νόθοι θεραπεύοντες, εἰσοικισά- θεράποντες ς. π. κ.
μενοι καὶ καταλαβόντες, ἅμα τῷ φιλεῖν τὸ φροντίζειν καὶ δεδιέναι περὶ αὐτῶν ἐνεποίησαν, ὥστ' ἴδοις
ἂν ἀνθρώπους στερροτέρα τῇ φύσει, περὶ γάμου καὶ γενέσεως παίδων διαλεγομένους, εἶτα τοὺς αὐτοὺς στερροτέρα. α.
ἐπὶ παισὶν οἰκοτρίβων, ἢ θρέμμασι παλλακῶν νοσοῦσι καὶ θνήσκουσι παρατεινομένους πόθῳ. καὶ φω-
νὰς ἀγεννεῖς ἀφιέντας. ἐνίοι δὲ καὶ κυνῶν θανάτῳ καὶ ἵππων, αἰσχρῶς καὶ ἀβιώτως ὑπὸ λύπης δι-
ετέθησαν. ἀλλ' ἕτεροί γε παῖδας ἀγαθοὺς ἀποβαλόντες, οὐδὲν ἔπαθον δεινὸν, οὐδ' ἐποίησαν αἰσχρόν. ἀλ-
λὰ καὶ χρώμενοι τῷ λοιπῷ βίῳ κατὰ λόγον διετέλεσαν. ἀσθένεια γὰρ οὐκ εὔνοια λύπας ἀπεράντους
ἐπάγεται καὶ φόβους ἀνθρώποις ἀνασκήτοις ὑπὸ λόγου πρὸς τύχην. οἷς οὐδ' ἀπόλαυσις ἐγγίνεται τοῦ

ΔΙΔΥΜΟΣ ὁ γραμματικὸς ἐν τῇ περὶ τῶν ἀξόνων τῶν σόλωνος ἀντιγραφῇ πρὸς ἀσκληπιάδην φιλοκλέους τινὸς τέθεικε λέξιν, ἐν ᾗ τὸν σόλωνα πατρὸς εὐφορίωνος ἀποφαίνει παρὰ τὴν τῶν ἄλλων δόξαν, ὅσοι μέμνηνται σόλωνος. ἐξηκεστίδου γὰρ αὐτὸν ἅπαντες ὁμαλῶς γεγονέναι λέγουσιν, ἀνδρὸς οὐσίᾳ μὲν ὥς φασι καὶ δυνάμει μέσου τῶν πολιτῶν, οἰκίας δὲ πρώτης κατὰ γένος. ἦν γὰρ κοδρίδης ἀνέκαθεν. τὴν δὲ μητέρα τοῦ σόλωνος, ἡρακλείδης ὁ ποντικὸς ἱστορεῖ τῆς πεισιστράτου μητρὸς ἀνεψιὰν γενέσθαι, καὶ φιλία τὸ πρῶτον ἦν αὐτοῖς, πολλὴ μὲν διὰ τὴν συγγένειαν, πολλὴ δὲ διὰ τὴν εὐφυΐαν καὶ ὥραν, ὥς ἔνιοί φασιν ἐρωτικῶς τὸν πεισίστρατον ἀσπαζομένου τοῦ σόλωνος. ὅθεν ὕστερον ὡς ἔοικεν εἰς διαφορὰν αὐτῶν ἐν τῇ πολιτείᾳ καταστάντων, οὐδὲν ἤνεγκεν ἡ ἔχθρα σκληρὸν, οὐδ᾽ ἄγριον πάθος, ἀλλὰ παρέμεινεν ἐκεῖνα τὰ δίκαια ταῖς ψυχαῖς, καὶ παρεφύλαξε τυφομένην ἀδροῦ πυρὸς ἔτι ζῶσαν φλόγα τὴν ἐρωτικὴν μνήμην καὶ χάριν. ὅτι δὲ πρὸς τοὺς καλοὺς οὐκ ἦν ἐχυρὸς ὁ σόλων, οὐδ᾽ ἔρωτι θαρραλέος ἀνταναστῆναι πύκτης ὅπως ἐς χέρας, ἔκ τε τῶν ποιημάτων αὐτοῦ λαβεῖν ἔστι, καὶ νόμον ἔγραψε διαγορεύοντα δοῦλον μὴ ξηραλοιφεῖν μηδὲ παιδεραστεῖν, εἰς τὴν τῶν καλῶν μερίδα καὶ σεμνῶν ἐπιτηδευμάτων τιθέμενος τὸ πρᾶγμα, καὶ τρόπον τινὰ τοὺς ἀξίους προκαλούμενος, ὧν τοὺς ἀναξίους ἀπήλαυνε. λέγεται δὲ καὶ πεισίστρατος ἐραστὴς χάρμου γενέσθαι, καὶ τὸ ἄγαλμα τοῦ ἔρωτος ἐν ἀκαδημίᾳ καθιερῶσαι, ὅπου τὸ πῦρ ἀνάπτουσιν οἱ τὴν ἱερὰν λαμπάδα διαθέοντες. ὁ δ᾽ οὖν σόλων τὴν οὐσίαν τοῦ πατρὸς ἐλαττώσαντος εἰς φιλανθρωπίας τινὰς, ὥς φησιν ἕρμιππος καὶ χάριτας, οὐκ ἂν ἀπορήσας τῶν βουλομένων ἐπαρκεῖν, αἰδούμενος δὲ λαμβάνειν παρ᾽ ἑτέρων, ἐξ οἰκίας γεγονὼς εἰθισμένης ἑτέροις βοηθεῖν, ὥρμησε νέος ὢν ἔτι πρὸς ἐμπορίαν. καίτοι φασὶν ἔνιοι, πολυπειρίας ἕνεκα μᾶλλον καὶ ἱστορίας, ἢ χρηματισμοῦ πλανηθῆναι τὸν σόλωνα. σοφίας μὲν γὰρ ἦν ὁμολογουμένως ἐραστὴς, ὅς γε καὶ πρεσβύτερος ὢν, ἔλεγε γηράσκειν ἀεὶ πολλὰ διδασκόμενος. πλοῦτον δ᾽ οὐκ ἐθαύμαζεν, ἀλλὰ καὶ φησὶν ὁμοίως πλουτεῖν, ᾧ τε πολὺς ἄργυρός ἐστι καὶ χρυσὸς, καὶ γῆς πυροφόρου πεδία, ἵπποι θ᾽ ἡμίονοί τε, καὶ ᾧ μόνα ταῦτα πάρεστι, γαστρί τε καὶ πλευρῇ καὶ ποσὶν ἁβρὰ παθεῖν. παιδός τ᾽ ἠδὲ γυναικὸς ἐπὴν καὶ ταῦτ᾽ ἀφίκηται, ἥβη σὺν δ᾽ ὥρῃ γίνεται ἁρμονία. ἀλλ᾽ ἑτέρωθι λέγει, χρήματα δ᾽ ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι οὐκ ἐθέλω, πάντως ὕστερον ἦλθε δίκη. κωλύει δὲ οὐδὲν τὸν ἀγαθὸν καὶ πολιτικὸν ἄνδρα, μήτε τῶν περιττῶν τὴν κτῆσιν ἐν σπουδῇ τίθεσθαι, μήτε τῆς χρείας τῶν ἀναγκαίων καὶ ἱκανῶν καταφρονεῖν. ἐν δὲ τοῖς τότε χρόνοις καθ᾽ ἡσίοδον ἔργον οὐδὲν ἦν ὄνειδος, οὐδὲ τέχνη διαφορὰν ἔφερεν. ἐμπορία δὲ καὶ δόξαν εἶχεν οἰκειουμένη τὰ βαρβαρικὰ, καὶ προξενοῦσα φιλίας βασιλέων, καὶ πραγμάτων ἐμπείρους ποιοῦσα πολλῶν. ἔνιοι δὲ καὶ πόλεων οἰκισταὶ γεγόνασι μεγάλων, ὡς καὶ μασσαλίας πρῶτος ὑπὸ κελτῶν τῶν περὶ τὸν ῥοδανὸν ἀγαπηθείς. καὶ θαλῆν δέ φασιν ἐμπορίᾳ χρήσασθαι, καὶ ἱπποκράτην τὸν μαθηματικόν, καὶ πλάτωνι τῆς ἀποδημίας ἐφόδιον, ἐλαίου τινὸς ἐν αἰγύπτῳ διάθεσιν γενέσθαι. τὸ δ᾽ οὖν εὐδάπανον τῷ σόλωνι καὶ ὑγρὸν πρὸς τὴν δίαιταν, καὶ τὸ φορτικώτερον ἢ φιλοσοφώτερον ἐν τοῖς ποιήμασι διαλέγεσθαι περὶ τῶν ἡδονῶν, τὸν ἐμπορικὸν οἴονται βίον προστετρῖφθαι. πολλοὺς γὰρ ἔχοντα κινδύνους καὶ μεγάλους, ἀνταπαιτεῖν πάλιν εὐπαθείας τινὰς καὶ ἀπολαύσεις. ὅτι δ᾽ αὑτὸν ἐν τῇ τῶν πενήτων μερίδι μᾶλλον ἢ τῇ τῶν πλουσίων ἔταττε, δῆλόν ἐστιν ἐκ τούτων. πολλοὶ γὰρ πλουτοῦσι κακοὶ, ἀγαθοὶ δὲ πένονται. ἀλλ᾽ ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδόν ἐστι, χρήματα δ᾽ ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει. τῇ δὲ ποιήσει κατ᾽ ἀρχὰς μὲν εἰς οὐδὲν ἄξιον σπουδῆς, ἀλλὰ παίζων ὡς ἔοικε προσχρήσασθαι, καὶ παράγων ἑαυτὸν ἐν τῷ σχολάζειν. ὕστερον δὲ καὶ γνώμας ἐνέτεινε φιλοσόφους, καὶ τῶν πολιτικῶν πολλὰ συγκατέπλεκε τοῖς ποιήμασιν, οὐχ ἱστορίας ἕνεκεν καὶ μνήμης, ἀλλ᾽ ἀπολογισμούς τε τῶν πεπραγμένων ἔχοντα, καὶ προτροπὰς ἐνιαχοῦ καὶ νουθεσίας, καὶ ἐπιπλήξεις πρὸς τοὺς ἀθηναίους. ἔνιοι δέ φασιν ὅτι καὶ τοὺς νόμους ἐπιχείρησιν ἐντείνας εἰς ἔπος ἐξενεγκεῖν, καὶ διαμνημονεύουσι τὴν ἀρχὴν οὕτως ἔχουσαν. πρῶτα μὲν εὐχόμεθα, διὶ κρονίδῃ βασιλῆϊ, θεσμοῖς τοῖσδε τύχην ἀγαθὴν καὶ κῦδος ὀπάσσαι. φιλοσοφίας δὲ τοῦ ἠθικοῦ μάλιστα τὸ πολιτικὸν, ὥσπερ οἱ πλεῖστοι τῶν σοφῶν ἠγάπησεν. ἐν δὲ τοῖς φυσικοῖς ἁπλοῦς ἐστι λίαν καὶ ἀρχαῖος, ὡς δῆλον ἐκ τούτων. ἐκ νεφέλης πέλεται χιόνος μένος ἠδὲ χαλάζης, βροντὴ δ᾽ ἐκ λαμπρᾶς γίγνεται ἀστεροπῆς. ἐξ ἀνέμων δὲ θάλασσα ταράσσεται, ἢν δέ τις αὐτὴν μὴ κινῇ, πάντων ἐστὶ δικαιοτάτη. καὶ ὅλως ἔοικεν ἡ θάλεω μόνου σοφία, τότε περαιτέρω τῆς χρείας ἐξικέσθαι τῇ θεωρίᾳ. τοῖς δ᾽ ἄλλοις ἀπὸ τῆς πολιτικῆς ἀρετῆς τοὔνομα τῆς σοφίας ὑπῆρξε. γενέσθαι δὲ μετ᾽ ἀλλήλων ἔν τε δελφοῖς ὁμοῦ λέγονται, καὶ πάλιν ἐν κορίνθῳ, περιάνδρου σύλλογόν τινα κοινὸν αὐτῶν καὶ συμπόσιον κατασκευάσαντος. ἔτι δὲ μᾶλλον εἰς ἀξίωμα καὶ δόξαν αὐτοὺς κατέστησεν ἡ τοῦ τρίποδος περίοδος, καὶ διὰ πάντων ἀνακύκλησις καὶ ἀνθύπειξις, μετ᾽ εὐμενείας φιλοτίμου γενομένη. κῴων γὰρ ὥς φασι καταγόντων

κατακράτος. ἐν δὲ τοῖς δημοσίοις πράγμασι, καὶ γνώμης μεταλαμβάνουσι καὶ παῤῥησίας περὶ τῶν μεγίστων. ὁ δὲ νουμᾶς ταῖς γαμεταῖς, τὸ μὲν ἀξίωμα καὶ τὴν τιμὴν ἐτήρησε πρὸς τοὺς ἄνδρας, ἣν εἶχον ἀπὸ ῥωμύλου θεραπευόμεναι διὰ τὴν ἁρπαγήν. αἰδῶ δὲ πολλὴν ἐπέστησεν αὐταῖς, καὶ πολυπραγμοσύνην ἀφεῖλε καὶ νήφειν ἐδίδαξε, καὶ σιωπᾶν εἴθισεν. οἴνου μὲν ἀπεχομένας τὸ πάμπαν. λόγῳ δὲ, μηδὲ ὑπὲρ τῶν ἀναγκαίων ἀνδρὸς ἄνευ χρωμένας. λέγεται γοῦν ποτε γυναικὸς εἰπούσης δίκην ἰδίαν ἐν ἀγορᾷ, πέμψαι τὴν σύγκλητον εἰς θεοὺς πυνθανομένην, τίνος ἄρα τῇ πόλει σημεῖον εἴη τὸ γεγενημένον. καὶ τῆς ἄλλης εὐπειθείας καὶ πρᾳότητος αὐτῶν, μέγα τεκμήριον, ἡ μνήμη τῶν χειρόνων. ὡς γὰρ παρ' ἡμῖν οἱ ἱστορικοὶ γράφουσι τοὺς πρώτους, ἢ φόνον ἐμφύλιον ἐργασαμένους, ἢ πολεμήσαντας ἀδελφοῖς, ἢ πατρὸς αὐτόχειρας, ἢ μητρὸς γενομένους, οὕτω ῥωμαῖοι μνημονεύουσιν, ὅτι πρῶτος μὲν ἀπεπέμψατο γυναῖκα, σπόριος καρουίλιος, μετὰ τὴν ῥώμης κτίσιν, ἔτεσι τριάκοντα καὶ διακοσίοις, οὐδενὸς τοιούτου γεγονότος, πρώτη δὲ γυνὴ πιναρίου, θαλαία τοὔνομα, διηνέχθη πρὸς ἑκυρὰν αὐτῆς γεγανίαν. ταρκυνίου σουπέρβου βασιλεύοντος. οὕτω καλῶς καὶ κοσμίως τεταγμένα τὰ τῶν γάμων ἦν ὑπὸ τοῦ νομοθέτου. τῇ δὲ ἄλλῃ τῶν παρθένων ἀγωγῇ καὶ τὰ περὶ τὰς ἐκδόσεις ὁμολογεῖ, τοῦ μὲν λυκούργου πεπείρους καὶ ὀργώσας νυμφεύοντος, ὅπως ἥ τε ὁμιλία δεομένης ἤδη τῆς φύσεως, χάριτος ἢ καὶ φιλίας ἀρχὴ μᾶλλον, ἢ μίσους καὶ φόβου παρὰ φύσιν βιαζομένων. καὶ τὰ σώματα ῥώμην ἔχῃ πρὸς τὸ τὰς κυήσεις ἐπιφέρειν καὶ τὰς ὠδῖνας. ὡς ἐπ' οὐδὲν ἄλλο γαμουμένων, ἢ τὸ τῆς τεκνώσεως ἔργον. τῶν δὲ ῥωμαίων, δωδεκαετεῖς καὶ νεωτέρας ἐκδιδόντων, οὕτω γὰρ ἂν μάλιστα καὶ τὸ σῶμα καὶ τὸ ἦθος, καθαρὸν καὶ ἄθικτον ἐπὶ τῷ γαμοῦντι γίνεσθαι. δῆλον οὖν ὅτι, τὸ μὲν, φυσικώτερον πρὸς τέκνωσιν. τὸ δὲ, ἠθικώτερον πρὸς συμβίωσιν. ἀλλὰ μὴν ἐπιστασίαις τε παίδων, καὶ συναγελασμοῖς. καὶ παιδαγωγίαις καὶ κοινωνίαις περί τε δεῖπνα καὶ γυμνάσια καὶ παιδιὰς αὐτῶν, ἐμμελείαις καὶ διακοσμήσεσιν, οὐδέν τι τοῦ προστυχόντος νομοθέτου βελτίονα τὸν νουμᾶν ὁ λυκοῦργος ἀποδείκνυσιν, ἐπὶ ταῖς τῶν πατέρων ποιησάμενον ἐπιθυμίαις ἢ χρείαις τὰς τῶν νέων ἀγωγάς, εἴ τε τις ἐργάτην γῆς βούλοιτο ποιεῖν τὸν υἱόν, εἴτε ναυπηγόν, ἢ χαλκέα διδάσκειν, ἢ αὐλητήν, ὥσπερ οὐ πρὸς ἓν τέλος ὀφείλοντας ἐξ ἀρχῆς ἄγεσθαι καὶ συνεπιστρέφεσθαι τοῖς ἤθεσιν. ἀλλ' οἷον εἰς ναῦν ἐπιβάτας ἕτερον ἐξ ἑτέρας ἥκοντα χρείας καὶ προαιρέσεως, ἐν τοῖς κινδύνοις μόνον, φόβου τοῦ ἰδίου συνίστασθαι πρὸς τὸ κοινόν. ἄλλως δὲ τὸ καθ' αὑτὸν σκοπεῖν ἕκαστον, καὶ τοῖς μὲν πολλοῖς, οὐκ ἄξιον ἐγκαλεῖν νομοθέταις τοῖς ἐλλείπουσιν ἢ δι' ἄγνοιαν, ἢ δι' ἀσθένειαν. ἀνδρὶ δὲ σοφῷ βασιλείαν παραλαβόντι δήμου νεωστὶ συνισταμένου καὶ πρὸς μηδὲν ἀντιτείνοντος, περὶ τί πρῶτον ἦν σπουδάζειν προσῆκον, ἢ παίδων ἐκτροφὴν καὶ νέων ἄσκησιν. ὅπως μὴ διάφοροι μηδὲ ταραχώδεις γένοιντο τοῖς ἤθεσιν. ἀλλ' εἰς ἕν τι κοινὸν ἀρετῆς ἴχνος εὐθὺς ἐξ ἀρχῆς πλαττόμενοι καὶ τυπούμενοι συμβαίνοιεν ἀλλήλοις. ὃ δὴ, πρός τε τἆλλα καὶ σωτηρίαν νόμων ὠφέλησε τὸν λυκοῦργον. μικρὸς γὰρ ἦν ὁ τῶν ὅρκων φόβος, εἰ μὴ διὰ τῆς παιδείας καὶ τῆς ἀγωγῆς, οἷον ἀνέδευσε τοῖς ἤθεσι τῶν παίδων, τοὺς νόμους, καὶ συνῳκείωσε τῇ τροφῇ τὸν ζῆλον τῆς πολιτείας, ὥστε πεντακοσίων ἐτῶν πλείω χρόνον τὰ κυριώτατα καὶ μέγιστα διαμεῖναι τῆς νομοθεσίας, ὥσπερ βαφῆς ἀκράτου καὶ ἰσχυρᾶς καθαψαμένης. νουμᾷ δὲ ὅπερ ἦν τέλος τῆς πολιτείας ἐν εἰρήνῃ καὶ φιλίᾳ τὴν ῥώμην ὑπάρχειν, εὐθὺς συνεξέλιπε. καὶ μετὰ τὴν τελευτὴν ἐκείνου τὸν ἀμφίθυρον οἶκον, ὃν κεκλεισμένον αὐτὸς συνεῖχεν, ὥσπερ ὄντως ἐν αὐτῷ τιθασσεύων καθειργμένον τὸν πόλεμον, ἐξ ἀμφοτέρων ἀναπετάσαντες, αἵματος καὶ νεκρῶν τὴν ἰταλίαν ἐνέπλησαν. καὶ οὐδὲ ὀλίγον χρόνον ἡ καλλίστη καὶ δικαιοτάτη κατάστασις ἔμεινεν, ἅτε δὴ καὶ τὸ συνδετικὸν ἐν αὑτῇ τὴν παιδείαν οὐκ ἔχουσα. τί οὖν φήσει τις, οὐκ ἐπὶ τὸ βέλτιον προῆλθεν ἡ ῥώμη τοῖς πολεμικοῖς. ἐρώτημα μακρᾶς ἀποκρίσεως δεόμενον, πρὸς ἀνθρώπους τὸ βέλτιον, ἐν πλούτῳ καὶ τρυφῇ καὶ ἡγεμονίᾳ μᾶλλον, ἢ σωτηρίᾳ καὶ πρᾳότητι καὶ τῇ μετὰ δικαιοσύνης αὐταρκείᾳ τιθεμένους. οὐ μὴν ἀλλὰ καὶ τοῦτο λυκούργῳ δόξει βοηθεῖν, τὸ ῥωμαίους μὲν τὴν ἐπὶ νουμᾷ κατάστασιν ἐξαλλάξαντας, ἐπιδοῦναι τοῖς πράγμασι τοσοῦτον. λακεδαιμονίους δὲ ἅμα τῷ πρῶτον ἐκβῆναι τὴν λυκούργου διάταξιν, ἐκ μεγίστων ταπεινοτάτους γενέσθαι. καὶ τὴν τῶν ἑλλήνων ἡγεμονίαν ἀποβαλόντας, κινδυνεῦσαι περὶ ἀναστάσεως. ἐκεῖνο μέν τοι τῷ νουμᾷ μέγα καὶ θεῖον ὡς ἀληθῶς ὑπάρχει. τὸ ξένῳ μεταπέμπτῳ γενέσθαι. καὶ πάντα πειθοῖ μεταβαλεῖν, καὶ κρατῆσαι πόλεως, οὔπω συμπεπνευκυίας, μήτε ὅπλων δεηθέντα, μήτε βίας τινός, ὡς λυκοῦργος ἐπὶ τὸν δῆμον ἦγε τοὺς ἀρίστους, ἀλλὰ σοφίᾳ καὶ δικαιοσύνῃ πάντας οἰκειωσάμενον καὶ συναρμόσαντα.

σαν ἐπέτεινε περὶ τὴν σπάρτην. ὁ δὲ, τῆς ῥώμης τὸ σφοδρὸν ἀνῆκε καὶ σύντονον. ἡ μὲν γὰρ χαλεπότης τῶν ἔργων, τῷ λυκούργῳ πρόσεστιν. οὐ γὰρ θώρακας ἐκδῦναι καὶ ξίφη τοὺς πολίτας καταθέσθαι ἔπεισεν. ἀλλὰ χρυσὸν καὶ ἄργυρον ἀφεῖναι. καὶ στρωμνὰς ἐκβαλεῖν πολυτελεῖς, καὶ τραπέζας. οὐδὲ παυσαμένους πολέμων, ἑορτάζειν καὶ θύειν. ἀλλὰ δεῖπνα καὶ πότους ἐάσαντας, ἐν τοῖς ὅπλοις καὶ ταῖς παλαίστραις διαπονεῖσθαι καὶ ἀσκεῖν. ὅθεν ὁ μὲν, δι' εὐνοίας καὶ τιμῆς ἅπαντα, πείθων, ἔπραξεν. ὁ δὲ, κινδυνεύων καὶ βαλλόμενος, μόλις ἐπεκράτησεν. ἥμερος μέν τοι καὶ φιλάνθρωπος ἡ τοῦ νουμᾶ μοῦσα, πρὸς εἰρήνην καὶ δικαιοσύνην μεθαρμοσαμένου καὶ καταπραΰναντος ἐξ ἀκράτων καὶ διαπύρων ἠθῶν τοὺς πολίτας. εἰ δὲ καὶ τὸ περὶ τοὺς εἵλωτας ἀναγκάσει τις ἡμᾶς εἰς τὴν λυκούργου θέσθαι πολιτείαν, ὠμότατον ἔργον καὶ παρανομώτατον, μακρῷ τινὶ τὸν νουμᾶν ἑλληνικώτερον γεγονέναι νομοθέτην φήσομεν, ὅς γε, καὶ τοὺς ὡμολογημένους δούλους, ἔγευσε τιμῆς ἐλευθερίας, ἐν τοῖς κρονίοις ἑστιᾶσθαι μετὰ τῶν δεσποτῶν ἀναμεμιγμένους ἐθίσας. καὶ γὰρ τοῦτο τῶν νουμᾶ πατρίων ἓν εἶναι λέγουσιν, ἐπὶ τὰς τῶν ἐτησίων ἀπολαύσεις καρπῶν τοὺς συνεργοὺς παραλαμβάνοντος. ἔνιοι δὲ τοῦτο, ὑπόμνημα τῆς κρονικῆς ἐκείνης ἰσονομίας ἀποσώζεσθαι μυθολογοῦσιν, ὡς μηδενὸς δούλου μηδὲ δεσπότου, πάντων δὲ συγγενῶν, καὶ ἰσοτίμων νομιζομένων. ὅλως δὲ φαίνονται πρὸς τὴν αὐτάρκειαν ἀμφότεροι καὶ σωφροσύνην ὁμοίως ἄγοντες τὰ πλήθη. τῶν δὲ ἄλλων ἀρετῶν, ὁ μὲν τὴν ἀνδρείαν μᾶλλον. ὁ δὲ, τὴν δικαιοσύνην ἠγαπηκώς. εἰ μὴ νὴ δία τὴν ὑποκειμένην τῶν πολιτευμάτων ἑκατέρου φύσιν ἢ συνήθειαν, οὐχ ὁμοίαν οὖσαν, ἀνομοίας ἔδει παρασκευῆς. οὔτε γὰρ νουμᾶς διὰ δειλίαν κατέλυσε τὸ πολεμεῖν, ἀλλ' ὑπὲρ τοῦ μὴ ἀδικεῖν. οὔτε λυκοῦργος εἰς ἀδικίαν κατεσκεύασε πολεμικούς. ἀλλ' ὑπὲρ τοῦ μὴ ἀδικεῖσθαι, τὰς ὑπερβολὰς ἀφαιροῦντες ἀμφότεροι, καὶ τὰς ἐνδείας ἀναπληροῦντες τῶν ὑπαρχόντων περὶ τοὺς πολίτας, ἠναγκάζοντο μεγάλαις χρῆσθαι μεταβολαῖς. καὶ μὴν, τῆς τε διατάξεως καὶ τῆς διαιρέσεως τῶν πολιτευμάτων, ὀχλικὴ μὲν ἀκρατῶς ἡ τοῦ νουμᾶ καὶ θεραπευτικὴ τοῦ πλήθους, ἐκ χρυσοχόων καὶ αὐλητῶν καὶ σκυτοτόμων συμμιγῆ τινα καὶ παμποίκιλον ἀποφαίνοντος δῆμον, αὐστηρὰ δὲ ἡ λυκούργειος καὶ ἀριστοκρατική, τὰς μὲν βαναύσους, ἀποκαθαίρουσα τέχνας, εἰς οἰκετῶν καὶ μετοίκων χεῖρας. αὐτοὺς δὲ τοὺς πολίτας εἰς τὴν ἀσπίδα καὶ τὸ δόρυ συνάγουσα, πολέμου χειροτέχνας καὶ θεράποντας ἄρεως ὄντας, ἄλλο δὲ οὐδὲν εἰδότας, οὐδὲ μελετῶντας, ἢ πείθεσθαι τοῖς ἄρχουσι καὶ κρατεῖν τῶν πολεμίων. οὐδὲ γὰρ χρηματίζεσθαι τοῖς ἐλευθέροις ἐξῆν. ἵνα ἐλεύθεροι παντελῶς καὶ καθάπαξ ὦσιν, ἀλλ' ἦν ἡ περὶ τὰ χρήματα κατασκευὴ, δεδομένη δούλοις καὶ εἵλωσιν. ὥσπερ ἡ περὶ τὸ δεῖπνον καὶ ὄψον διακονία. νουμᾶς δὲ, οὐδὲν διέκρινε τοιοῦτον. ἀλλὰ τὰς μὲν στρατιωτικὰς ἔπαυσε πλεονεξίας. τὸν δὲ ἄλλον οὐκ ἐκώλυσε χρηματισμόν. οὐδὲ τὴν τοιαύτην κατεστόρεσεν ἀνωμαλίαν. ἀλλὰ καὶ πλούτῳ προϊέναι μέχρι παντὸς ἀφῆκε. καὶ πενίας πολλῆς ἀθροιζομένης καὶ ὑπορρεούσης εἰς τὴν πόλιν, ἠμέλησε. δέον εὐθὺς ἐν ἀρχῇ μηδὲ πολλῆς μηδὲ μεγάλης ἀνισότητος οὔσης. ἀλλὰ τοῖς βίοις ὁμαλῶν καὶ παραπλησίων ὄντων, ἐνστῆναι πρὸς τὴν πλεονεξίαν, ὥσπερ λυκοῦργος. καὶ φυλάξασθαι τὰς ἀπ' αὐτῆς βλάβας, οὐ μικρὰς γινομένας, ἀλλὰ τῶν πλείστων καὶ μεγίστων κακῶν ὅσα συνηνέχθη, σπέρμα καὶ ἀρχὴν παρασχούσας. ὁ δὲ τῆς γῆς ἀναδασμὸς, οὔτε τὸν λυκοῦργον ποιεῖ ψεκτὸν γενόμενος, οὔτε τὸν νουμᾶν, μὴ γενόμενος. τῷ μὲν γὰρ ἕδραν καὶ κρηπῖδα τῆς πολιτείας ἡ ἰσότης αὕτη παρέσχε. ὁ δὲ προσφάτου τῆς κληρουχίας οὔσης, οὐδὲν ἤπειγεν ἄλλον ἐμβαλεῖν ἀναδασμόν. οὐδὲ κινεῖν τὴν πρώτην νέμησιν ὡς εἰκὸς ἔτι κατὰ χώραν μένουσαν. τῆς δὲ περὶ τοὺς γάμους καὶ τὰς τεκνοτροφίας κοινωνίας τὸ ἀζηλότυπον, ὀρθῶς καὶ πολιτικῶς ἐμποιούσης, ἀμφοτέροις τοῖς ἀνδράσιν, οὐ κατὰ πᾶν εἰς ταὐτὸ συνήχθησαν. ἀλλ' ὁ ῥωμαῖος ἡ μὲν ἀνὴρ ἱκανῶς ἔχων παιδοτροφίας, ὑφ' ἑτέρου δὲ πεισθεὶς δεομένου τέκνων, ἐξίστατο τῆς γυναικὸς ἐκδόσθαι καὶ μετεκδόσθαι κύριος ὑπάρχων. ὁ δὲ λάκων, οἴκοι τῆς γυναικὸς οὔσης παρ' αὐτῷ καὶ τοῦ γάμου μένοντος ἐπὶ τῶν ἐξ ἀρχῆς δικαίων, μετεδίδου τῷ πείσαντι τῆς κοινωνίας εἰς τέκνωσιν. πολλοὶ δὲ ὥσπερ εἴρηται καὶ παρακαλοῦντες εἰσῆγον. ἐξ ὧν ἂν ἐδόκουν μάλιστα παῖδας εὐειδεῖς καὶ ἀγαθοὺς γενέσθαι. τίς οὖν ἡ διάκρισις τῶν ἐθισμῶν, ἢ ταῦτα μὲν ἰσχυρὰ καὶ ἄκρατος ἀπάθεια πρὸς γαμετὴν ἐκταράττοντα καὶ κατακαίοντα ζῆλον, λύπαις καὶ ζηλοτυπίαις τοὺς πολλούς. ἐκεῖνα δὲ ὥσπερ αἰσχυνομένη ἀτυχία τις παρακάλυμμα, τὴν ἐγγύην ἐφελκομένη. καὶ τὸ δυσκαρτέρητον ἐξομολογουμένη τῆς κοινωνίας. ἔτι δὲ μᾶλλον ἡ περὶ τὰς παρθένους φυλακὴ, κατέσταλται τῷ νουμᾷ πρὸς τὸ θῆλυ καὶ κόσμιον. ἡ δὲ τοῦ λυκούργου, παντάπασιν ἀναπεπταμένη καὶ ἄθηλυς οὖσα τοῖς ποιηταῖς λόγον παρέσχηκε. φαινομηρίδας τε γὰρ αὐτὰς ἀποκαλοῦσιν ὡς ἴβυκος. καὶ ἀνδρομανεῖς ἱστοροῦσιν, ὡς εὐριπίδης λέγων, αἳ σὺν νέοισιν ἐξερημοῦσι δόμους, γυμνοῖσι μηροῖς καὶ πέπλοις ἀνειμένοις. τῷ γὰρ
» ὄντι τοῦ παρθενικοῦ χιτῶνος αἱ πτέρυγες οὐκ ἦσαν ἀνερραμμέναι κάτωθεν, ἀλλ' ἀνεπτύσσοντο καὶ συ
» νανεγύμνουν ὅλον ἐν τῷ βαδίζειν τὸν μηρόν. καὶ σαφέστατα τὸ γινόμενον εἴρηκεν σοφοκλῆς ἐν τούτοις.
» καὶ τὰν νεορτὸν ἇς ἔτ' ἄστολος χιτὼν θυραῖον ἀμφὶ μηρὸν πτύσσεται ἑρμιόναν. διὸ καὶ θρασύτεραι λέ
» γονται γίνεσθαι, καὶ πρὸς αὐτοὺς πρῶτον ἀνδρώδεις τοὺς ἄνδρας. ἅτε δὴ τῶν μὲν οἴκων, ἄρχουσαι

κατακράτος

μάμερκον. ὧν ἕκαστον οἴκου διαδοχὴν, καὶ γένους ἔντιμον καταλιπεῖν. εἶναι γὰρ ἀπὸ μὲν τοῦ πόμπω
νος, τοὺς πομπωνίους. ἀπὸ δὲ πίνου, τοὺς πιναρίους. ἀπὸ δὲ κάλπου, τοὺς καλπουρνίους. ἀπὸ δὲ μαμέρκου,
τοὺς μαμερκίους. οἷς διὰ τοῦτο καὶ ῥῆγας γενέσθαι παρωνύμιον, ὅπερ ἐστὶ βασιλέας. τρίτοι δέ εἰσιν,
οἱ τούτων μὲν καταγινώσκοντες, ὡς χαριζομένων τοῖς γένεσι [καὶ] προστιθέντων οὐκ ἀληθῆ στέμματα
τῆς ἀπὸ νουμᾶ διαδοχῆς. τὴν δὲ πομπιλίαν, οὐκ ἐκ τατίας γεγονέναι λέγοντες, ἀλλ' ἑτέρας γυναι
κὸς, ἣν ἤδη βασιλεύων ἔγημε, λουκρητίας. πάντες δ' οὖν ὁμολογοῦσι τὴν πομπιλίαν μαρκίῳ γαμη
θῆναι. παῖς δ' ἦν ὁ μάρκιος, ἐκείνου μαρκίου τοῦ, νουμᾶν παρορμήσαντος ἐπὶ τὴν βασιλείαν. καὶ γὰρ
συμμετῴκησεν εἰς ῥώμην αὐτῷ· καὶ τῆς συγκλήτου, μετέσχε τιμώμενος, καὶ μετὰ τὴν νουμᾶ τελευ
τὴν, ὁστιλίῳ περὶ τῆς βασιλείας εἰς ἀγῶνα καταστὰς καὶ ἡττηθεὶς ἀπεκαρτέρησεν. ὁ δ' υἱὸς αὐτοῦ μάρ
κιος ἔχων τὴν πομπιλίαν κατέμεινεν ἐν ῥώμῃ. καὶ μάρκιον ἄγκον ἐγέννησεν. ὃς μετὰ τύλλον ὁστίλιον,
ἐβασίλευσε. τοῦτον ὡς λέγεται πενταετῆ καταλιπὼν ὁ νουμᾶς ἐτελεύτησεν. οὐ ταχείας οὐδ' ἐφη
δίου γενομένης αὐτῷ τῆς τελευτῆς. ἀλλὰ κατὰ μικρὸν ὑπὸ γήρως καὶ νόσου μαλακῆς, ἀπομαραινό
μενος, ὡς ἱστόρηκε πείσων. ἐτελεύτησε δὲ, χρόνον οὐ πολλῷ, τοῖς ὀγδοήκοντα προσβιώσας. ζηλωτὸν δὲ
αὐτοῦ καὶ τῷ τάφῳ τὸν βίον ἐποίησαν, οἵ τε σύμμαχοι καὶ φίλοι δῆμοι συνελθόντες ἐπὶ τὰς τα-
φὰς, ἅμα δημοσίαις ἐπιφοραῖς καὶ στεφάνοις, οἵ τε πατρίκιοι τὸ λέχος ἀράμενοι καὶ συμπαρόντες οἱ
τῶν θεῶν ἱερεῖς καὶ παραπέμποντες. ὁ δ' ἄλλος ὅμιλος, ἀναμεμιγμένων γυναικῶν καὶ παιδίων, οὐχ
ὡς βασιλέως ταφαῖς γηραιοῦ παρόντες, ἀλλ' ὥς τινα τῶν φιλτάτων ἕκαστος ἐν ἀκμῇ βίου ποθούμε
νον θάπτων μετ' οἰμωγῆς καὶ κλαυθμῶν ἑπόμενοι. πυρὶ μὲν, οὐκ ἔδοσαν τὸν νεκρὸν, αὐτοῦ κωλύσαν
τος ὡς λέγεται. δύο δὲ ποιησάμενοι λιθίνας σοροὺς, ὑπὸ τὸν ἰάνικλον ἔθηκαν. τὴν μὲν ἑτέραν ἔχου
σαν τὸ σῶμα. τὴν δ' ἑτέραν, τὰς ἱερὰς βίβλους. ἃς ἐγράψατο μὲν αὐτὸς, ὥσπερ οἱ τῶν ἑλλήνων νομο
θέται, τοὺς κύρβεις. ἐκδιδάξας δὲ τοὺς ἱερεῖς ἔτι ζῶν τὰ γεγραμμένα. καὶ πάντων ἕξιν τε καὶ γνώ
μην ἐνεργασάμενος αὐτοῖς, ἐκέλευσε τὰς ἱερὰς κύρβεις συνταφῆναι μετὰ τοῦ σώματος, ὡς οὐ κα
λῶς ἐν ἀψύχοις γράμμασι φρουρουμένων τῶν ἀπορρήτων. ᾧ λογισμῷ φασι μηδὲ τοὺς πυθαγορικοὺς εἰς
γραφὴν κατατίθεσθαι τὰ συντάγματα. μνήμην δὲ καὶ παίδευσιν αὐτῶν ἄγραφον ἐμποιεῖν τοῖς
ἀξίοις. καὶ τάς τε περὶ τὰς ἀπόρους καὶ ἀρρήτους λεγομένας ἐν γεωμετρίᾳ μεθόδους καὶ πραγμα
τείας πρός τινα τῶν ἀναξίων ἐκδοθείσας, ἔφασαν ἐπισημαίνειν τὸ δαιμόνιον μεγάλῳ τινὶ καὶ καινῷ
κακῷ τὴν γενομένην παρανομίαν καὶ ἀσέβειαν ἐπεξερχόμενον. ὥστε συγγνώμην ἔχειν πολλὴν τοῖς
εἰς τὸ αὐτὸ πυθαγόρᾳ, νουμᾶν φιλοτιμουμένοις συναγαγεῖν ἐν τοσαύταις ὁμοιότησιν. οἱ δὲ περὶ ἀντίαν
ἱστοροῦσι, δώδεκα μὲν εἶναι βίβλους ἱεροφαντικάς. δώδεκα δ' ἄλλας ἑλληνικὰς φιλοσόφους εἰς τὴν
σορὸν συντεθείσας. τετρακοσίων δέ που γενομένων ἐτῶν, ὕπατοι μὲν ἦσαν, πόπλιος κορνήλιος. καὶ μάρ
κος βαίβιος. ὄμβρων δὲ μεγάλων ἐπιπεσόντων, καὶ χώματος περιρραγέντος, ἐξέωσε τὰς σοροὺς τὸ ῥεῦ
μα. καὶ τῶν ἐπιθημάτων ἀποπεσόντων, ἡ μὲν ἑτέρα κενὴ παντάπασιν ὤφθη. καὶ μέρος οὐδὲν οὐδὲ
λείψανον ἔχουσα τοῦ σώματος. ἐν δὲ τῇ ἑτέρᾳ τῶν γραμμάτων εὑρεθέντων, ἀναγνῶναι μὲν αὐτὰ λέ
γεται, πετίλιος στρατηγῶν τότε. πρὸς δὲ τὴν σύγκλητον ἑρμηνεῦσαι μὴ δοκεῖν αὐτῷ θεμιτὸν εἶναι μηδὲ ὅ
σιον ἔκπυστα τοῖς πολλοῖς τὰ γεγραμμένα γενέσθαι. διὸ καὶ κομισθείσας εἰς τὸ κομίτιον τὰς βίβλους
κατακαῆναι. πᾶσι μὲν οὖν ἕπεται τοῖς δικαίοις καὶ ἀγαθοῖς ἀνδράσι μείζων ὢν κατόπιν ὁ μετὰ τε
λευτὴν ἔπαινος. τοῦ φθόνου πολὺν χρόνον οὐκ ἐπιζῶντος. ἐνίων δὲ καὶ προαποθνήσκοντος. οὐ μὴν, ἀλλ'
ἐκείνου γε τὴν δόξαν αἱ τῶν ὕστερον βασιλέων τύχαι λαμπροτέραν ἐποίησαν. πέντε γὰρ γενομένων μετ'
αὐτὸν, ὁ μὲν ἔσχατος ἐκπεσὼν τῆς ἀρχῆς ἐν φυγῇ κατεγήρασε. τῶν δὲ τεσσάρων, οὐδεὶς κατὰ φύσιν ἐτε
λεύτησεν. ἀλλ' οἱ μὲν τρεῖς ἐπιβουλευθέντες, ἐσφάγησαν. ὁστίλιος δὲ τύλλος, ὃς μετὰ νουμᾶν ἐβασίλευ
σε, καὶ τὰ πλεῖστα τῶν ἐκείνου καλῶν. ἐν δὲ πρώτοις καὶ μάλιστα, τὴν περὶ τὸ θεῖον εὐλάβειαν ἐπιχλευά
σας καὶ καθυβρίσας, ὡς ἀργοποιὸν καὶ γυναικώδη, πρὸς πόλεμον ἔτρεψε τοὺς πολίτας. οὐδ' αὐτὸς
μὲν οὖν ἐνέμεινε τοῖς νεανιεύμασι τούτοις. ἀλλ' ὑπὸ νόσου χαλεπῆς καὶ πολυτρόπου τὴν γνώμην ἀλ
λαττόμενος εἰς δεισιδαιμονίαν ἐνέδωκεν, οὐδὲν τῇ κατὰ νουμᾶν εὐσεβείᾳ προσήκουσαν. ἔτι δὲ μᾶλ
λον ἐποίησε τοῖς ἄλλοις τὸ τοιοῦτον πάθος, ὡς λέγεται καταφλεχθεὶς ὑπὸ κεραυνῶν. ἀλλ' ἐπεὶ τὸν
νουμᾶ καὶ λυκούργου διεληλύθαμεν βίον ἐκκειμένων ἀμφοῖν, εἰ καὶ χαλεπὸν ἔργον, οὐκ ἀποκνητέον συ
ναγαγεῖν τὰς διαφοράς. αἱ μὲν γὰρ κοινότητες ἐπιφαίνονται ταῖς πράξεσιν. οἷον ἡ σωφροσύνη τῶν ἀν
δρῶν. ἡ εὐσέβεια. τὸ πολιτικὸν. τὸ παιδευτικὸν. τὸ μίαν ἀρχὴν παρὰ τῶν θεῶν ἀμφοτέρους λαβεῖν τῆς
νομοθεσίας. τῶν δὲ ἰδίᾳ ἑκατέρου καλῶν, πρῶτον ἐστὶ νουμᾶ ἡ παράληψις τῆς βασιλείας. λυκούρ
γου δὲ ἡ παράδοσις. ὁ μὲν γὰρ, οὐκ αἰτῶν ἔλαβεν. ὁ δὲ, ἔχων, ἀπέδωκε. καὶ τὸν μὲν, κύριον ἕτεροι αὐτῶν
κατέστησαν, ἰδιώτην [καὶ] ξένον ὄντα. ὁ δὲ αὐτὸν ἰδιώτην ἐκ βασιλέως ἐποίησε. καλὸν μὲν οὖν τὸ κτή
σασθαι δικαιοσύνῃ τὴν βασιλείαν. καλὸν δὲ τὸ προτιμῆσαι τὴν δικαιοσύνην τῆς βασιλείας. ἡ γὰρ ἀρε
τὴ, τὸν μὲν, οὕτως ἔνδοξον κατέστησεν, ὥστε βασιλείας ἀξιωθῆναι. τὸν δὲ, οὕτω μέγαν ἐποίησεν, ὥστε βα
σιλείας καταφρονῆσαι. δεύτερον τοίνυν ἐπεὶ καθάπερ ἁρμονικοὶ λύρας. ὁ μὲν, ἐκλελυμένην καὶ τρυφῶ

καὶ τὸν φεβρουάριον πρὸ τοῦ μαρτίου τιθέμενος, συνέβαινεν αὐτοῖς τὸν εἰρημένον μῆνα, πέμπτον μὲν ὀνομάζειν, ἕβδομον δὲ ἀριθμεῖν. ἄλλως δὲ καὶ λόγον εἶχε τὸν μάρτιον ἄρει καθιερωμένον ὑπὸ τοῦ ῥωμύλου, πρῶτον ὀνομάζεσθαι. δεύτερον δὲ τὸν ἀπρίλλιον, ἐπώνυμον ὄντα τῆς ἀφροδίτης, ἐν ᾧ θύουσί τε τῇ θεῷ, καὶ ταῖς καλάνδαις ἐστεφανωμέναι αἱ γυναῖκες μυρσίνῃ, λούονται. τινὲς δὲ οὐ διὰ τὴν ἀφροδίτην τὸν ἀπρίλλιόν φασιν, ἀλλ' ὥσπερ ἔχει τοὔνομα ψιλὸν, ἀπρίλλιον κεκλῆσθαι τὸν μῆνα, τῆς ἐαρινῆς ὥρας ἀκμαζούσης, ἀνοίγουσαν τοὺς βλαστοὺς τῶν φυτῶν. τοῦτο γὰρ ἡ γλῶσσα σημαίνει. τῶν δ' ἐφεξῆς, τὸν μὲν, μάϊον καλοῦσιν ἀπὸ μαίας. ἑρμῇ γὰρ ἀφιέρωται. τὸν δὲ ἰούνιον, ἀπὸ τῆς ἥρας. εἰσὶ δέ τινες οἱ τούτους ἡλικίας ἐπωνύμους εἶναι λέγοντες πρεσβυτέρας καὶ νεωτέρας. μαιώρης γὰρ οἱ πρεσβύτεροι παρ' αὐτοῖς. ἰουνιώρης δὲ οἱ νεώτεροι καλοῦνται. τῶν δὲ λοιπῶν, ἕκαστον ἀπὸ τῆς τάξεως, ὥσπερ ἀριθμοῦντες ὠνόμαζον. πέμπτον. ἕκτον, ἕβδομον. ὄγδοον. ἔνατον. δέκατον. εἶτα, ὁ πέμπτος ἀπὸ καίσαρος τοῦ καταπολεμήσαντος πομπήϊον, ἰούλιος. ἕκτος δὲ, αὔγουστος ἀπὸ τοῦ δευτέρου μὲν ἄρξαντος, σεβαστοῦ δὲ ἐπικληθέντος, ὠνομάσθη. τοὺς δὲ ἐφεξῆς δομετιανὸς εἰσποιήσας ταῖς αὐτοῦ ἐπωνυμίαις, οὐ πολὺν χρόνον. ἀλλὰ τὰς αὐτῶν ἀναλαβόντες πάλιν ἐκείνου σφαγέντος, ὁ μὲν, ἕβδομος. ὁ δὲ, ὄγδοος καλοῦνται. μόνοι δ' οἱ τελευταῖοι δύο τὴν ἀπὸ τῆς τάξεως κλῆσιν ὥσπερ εἶχον ἐξ ἀρχῆς διεφύλαξαν. τῶν δὲ ὑπὸ νουμᾶ προστεθέντων ἢ μετατεθέντων, ὁ μὲν φεβρουάριος, οἷον, καθάρσιος ἄν τις εἴη. καὶ γὰρ ἡ λέξις ἔγγιστα τοῦτο σημαίνει. καὶ τοῖς φθιτοῖς ἐναγίζουσι τότε, καὶ τὴν τῶν λουπερκαλίων ἑορτὴν εἰς τὰ πολλὰ καθαρμῷ προσεοικυῖαν τελοῦσιν. ὁ δὲ πρῶτος ἰαννουάριος, ἀπὸ τοῦ ἰάννου. δοκεῖ δέ μοι τὸν μάρτιον ὁ νουμᾶς ἐπώνυμον ὄντα τοῦ ἄρεος ἐκ τῆς προεδρίας μεταστῆσαι βουλόμενος ἐν παντὶ, τῆς πολεμικῆς δυνάμεως προτιμᾶσθαι τὴν πολιτικήν. ὁ γὰρ ἰαννὸς ἐν τοῖς παλαιοῖς πάνυ, εἴτε δαίμων εἴτε βασιλεὺς γενόμενος, πολιτικὸς καὶ κοινωνικὸς, ἐκ τοῦ θηριώδους καὶ ἀγρίου λέγεται μεταβαλεῖν τὴν δίαιταν. καὶ διὰ τοῦτο πλάττουσιν αὐτὸν ἀμφιπρόσωπον. ὡς ἑτέραν ἐξ ἑτέρας τῷ βίῳ περιποιήσαντα τὴν μορφὴν, καὶ διάθεσιν. ἔστι δὲ αὐτοῦ καὶ νεὼς ἐν ῥώμῃ, δίθυρος. ὃν πολέμου πύλην καλοῦσι. νομίζεται γὰρ ἀνεῷχθαι μὲν αὐτὸν, ὅταν ᾖ πόλεμος. κεκλεῖσθαι δὲ, εἰρήνης γενομένης. ὃ δὴ χαλεπὸν, ἦν καὶ σπανίως γινόμενον ἀεί τινι συνηρτημένης πολέμῳ τῆς ἡγεμονίας διὰ μέγεθος τοῖς κύκλῳ περικεχυμένοις γένεσι βαρβάροις ἀντερειδούσης. πλὴν ἐπί γε τοῦ σεβαστοῦ καίσαρος ἐκλείσθη, καθελόντος ἀντώνιον. καὶ πρότερον ὑπατευόντων μάρκου ἀτιλίου. καὶ τίτου μαλλίου, χρόνον οὐ πολὺν, εἶτα εὐθὺς ἀνεῴχθη πολέμου συρραγέντος. ἀλλ' ἐπί γε τῆς νουμᾶ βασιλείας, οὐδὲ μίαν ἡμέραν ἀνεῳγμένος ὤφθη. τετταράκοντα δὲ καὶ τρία ἔτη συνεχῶς ἔμενε κεκλεισμένος. οὕτως ἐξῄρητο παντελῶς τὰ τοῦ πολέμου, καὶ πανταχόθεν. οὐ γὰρ μόνον ὁ ῥωμαίων ἡμέρωτο, καὶ κατακεκήλητο τῇ δικαιοσύνῃ καὶ πρᾳότητι τοῦ βασιλέως δῆμος, ἀλλὰ καὶ τὰς κύκλῳ πόλεις, ὥσπερ αὔρας τινὸς ἐκεῖθεν, ἢ πνεύματος ὑγιεινοῦ φέροντος, ἀρχὴ μεταβολῆς ἔλαβε, καὶ πόθος εἰσερρύη πάντας εὐνομίας καὶ εἰρήνης. καὶ γῆν φυτεύειν, καὶ τέκνα τρέφειν ἐν ἡσυχίᾳ, καὶ σέβεσθαι θεούς. ἑορταὶ δὲ καὶ θαλίαι. καὶ παρ' ἀλλήλους ἀδεῶς ἰόντων καὶ ἀναμιγνυμένων, ὑποδοχαὶ καὶ φιλοφροσύναι τὴν ἰταλίαν κατεῖχον, οἷον ἐκ πηγῆς τῆς νουμᾶ σοφίας, τῶν καλῶν καὶ δικαίων ἐπεισρεόντων εἰς ἅπαντας. καὶ διαχεομένης τῆς περὶ ἐκεῖνον γαλήνης. ὥστε καὶ τὰς ποιητικὰς ὑπερβολὰς ἐνδεῖν πρὸς τὴν τότε κατάστασιν, λέγουσιν. ἐν δὲ σιδαροδέτοις πορπάξιν. αἰθᾶν δ' ἀραχνᾶν ἔργα, καὶ εὐρὼς δάμναται, ἔγχεά τε λογχωτὰ, ξίφεά τ' ἀμφήκεα χαλκέων δ' οὐκέτι σαλπίγγων κτύπος. οὐδὲ συλᾶται μελίφρων ὕπνος ἀπὸ βλεφάρων. οὔτε γὰρ πόλεμος, οὔτε στάσις, οὔτε νεωτερισμὸς περὶ πολιτείαν ἱστόρηται, νουμᾶ βασιλεύοντος, οὐ μὴν οὐδὲ ἐπ' αὐτὸν ἐκεῖνον, ἔχθρα τις ἢ φθόνος, ἢ δι' ἔρωτα βασιλείας, ἐπιβουλὴ καὶ σύστασις ἀνδρῶν. ἀλλ' εἴτε φόβος θεῶν προκήδεσθαι δοκούντων τοῦ ἀνδρὸς, εἴτε τῆς ἀρετῆς αἰδὼς, εἴτε δαίμονος τύχη, πάσης κακίας ἄθικτον ἐπ' ἐκείνου, καὶ καθαρὸν διαφυλάττουσα τὸν βίον, ἐναργὲς ἐξενήνοχε παράδειγμα. καὶ τεκμήριον τῆς πλατωνικῆς φωνῆς, ἣν ὕστερος ἐκεῖνος οὐκ ὀλίγοις χρόνοις γενόμενος ἐτόλμησεν ἀφεῖναι περὶ πολιτείας, ὡς μία κακῶν παῦλα καὶ λύσις ἀνθρώποις ἐστὶν ἔκ τινος τύχης θείας εἰς ταὐτὸ διανοίᾳ φιλοσόφῳ βασιλικὴν συμπεσοῦσαν δύναμιν, ἐγκρατῆ καὶ ὑπερδέξιον τῆς κακίας τὴν ἀρετὴν καταστῆσαι. μακάριος μὲν γὰρ αὐτὸς ὁ σώφρων ὡς ἀληθῶς, μακάριοι δὲ οἱ συνήκοοι τῶν ἐκ τοῦ σωφρονοῦντος στόματος ἰόντων λόγων. τάχα γὰρ οὐδὲ ἀνάγκης τινὸς δεῖ πρὸς τοὺς πολλοὺς οὐδὲ ἀπειλῆς. αὐτοὶ δὲ τὴν ἀρετὴν ἐν εὐδήλῳ παραδείγματι καὶ λαμπρῷ τῷ βίῳ τοῦ ἄρχοντος ὁρῶντες, ἑκουσίως σωφρονοῦσι. καὶ συσχηματίζονται πρὸς τὸν ἐν φιλίᾳ καὶ ὁμονοίᾳ τῇ πρὸς αὐτοὺς, μετὰ δικαιοσύνης καὶ μετριότητος, ἀμύμονα καὶ μακάριον βίον. ἐν ᾧ τὸ κάλλιστον ἁπάσης πολιτείας, τέλος ἐστὶ, καὶ βασιλικώτατος ἁπάντων ὁ τοῦτον τὸν βίον καὶ ταύτην τὴν διάθεσιν τοῖς ὑπηκόοις ἐνεργάζεσθαι δυνάμενος. ταῦτα μὲν οὖν νουμᾶς, παντὸς μᾶλλον φαίνεται συνεωρακώς. περὶ δὲ παίδων αὐτοῦ καὶ γάμων, ἀντιλογίαι γεγόνασι τοῖς ἱστορικοῖς. οἱ μὲν γὰρ οὔτε γάμον ἄλλον, ἢ τὸν τατίας λαβεῖν αὐτὸν, οὔτε παίδων ἑτέρων γενέσθαι πατέρα, πλὴν μιᾶς θυγατρὸς, πομπιλίας λέγουσιν. οἱ δὲ, πρὸς ταύτῃ τέσσαρας υἱοὺς ἀναγράφουσιν αὐτοῦ, πόμπωνα. πῖνον. κάλπον.

ἀπ' ἐκείνου προσαγορευθῆναι. καὶ τὸν καθαρμὸν, οὕτω συντελεῖσθαι. ταῦτα μὲν οὖν τὰ μυθώδη καὶ γελοῖα, τὴν τῶν τότε ἀνθρώπων ἐπιδείκνυται διάθεσιν πρὸς τὸ θεῖον, ἣν ὁ ἐθισμὸς αὐτοῖς ἐνεποίησεν. αὐτὸν δὲ τὸν νουμᾶν οὕτω φασὶν εἰς τὸ θεῖον ἀνηρτῆσθαι ταῖς ἐλπίσιν, ὥστε καὶ προσαγγελίας αὐτῷ ποτε γενομένης ὡς ἐπέρχονται πολέμιοι, μειδιᾶσαι καὶ εἰπεῖν, ἐγὼ δὲ θύω. πρῶτον δέ φασι καὶ πίστεως καὶ τέρμονος ἱερὸν ἱδρύσασθαι, καὶ τὴν μὲν πίστιν ὅρκον ἀποδεῖξαι ῥωμαίοις μέγιστον. ᾧ χρώμενοι μέχρι νῦν διατελοῦσιν. ὁ δὲ τέρμων, ὅρος ἄν τις εἴη. καὶ θύουσιν αὐτῷ δημοσίᾳ καὶ ἰδίᾳ κατὰ τοὺς τῶν ἀγρῶν περιορισμοὺς, νῦν μὲν ἔμψυχα. τὸ παλαιὸν δὲ ἀναίμακτος ἦν ἡ θυσία νουμᾶ φιλοσοφήσαντος. ὡς χρὴ τὸν ὅριον θεὸν εἰρήνης φύλακα καὶ δικαιοσύνης μάρτυν ὄντα, φόνου καθαρὸν εἶναι. δοκεῖ δὲ καὶ ὅλως οὗτος ὁρίσαι τὴν χώραν ὁ βασιλεὺς, ῥωμύλου μὴ βουληθέντος, ἐξομολογήσασθαι τῷ μέτρῳ τοῦ οἰκείου, τὴν ἀφαίρεσιν τοῦ ἀλλοτρίου. δεσμὸν γὰρ εἶναι τῆς δυνάμεως τὸν ὅρον ἂν φυλάττηται. μὴ φυλαττόμενον δὲ τῆς ἀδικίας ἔλεγχον. οὐ μὴν ἀλλ' ἦν διαψιλὴς χώρα τῇ πόλει κατ' ἀρχάς. ἀλλὰ τὴν πολλὴν, αἰχμῇ προσεκτήσατο ῥωμύλος. καὶ ταύτην πᾶσαν ὁ νουμᾶς διένειμε τοῖς ἀπόροις τῶν πολιτῶν. ὡς ἀνάγκην ἀδικίας ἀφαιρῶν τὴν ἀπορίαν. καὶ τρέπων ἤδη γεωργίαν τὸν δῆμον, ἅμα τῇ χώρᾳ συνεξημερούμενον. οὐδὲ γὰρ ἄλλο τῶν ἐπιτηδευμάτων οὕτως ἔρωτα δριμὺν εἰρήνης ἐργάζεται καὶ ταχὺν, ὡς ὁ ἀπὸ γῆς βίος. ἐν ᾧ καὶ τῆς πολεμικῆς εὐτολμίας τὸ μὲν ὑπὲρ μαχηκὸν τοῦ οἰκείου διαμένει, καὶ πάρεστι. τὸ δὲ εἰς ἀδικίαν καὶ πλεονεξίαν ἀνειμένον ἐκκέκοπται. διὸ καὶ τὴν γεωργίαν ὁ νουμᾶς οἷον εἰρήνης φίλτρον ἐμμίξας τοῖς πολίταις. καὶ μᾶλλον ὡς ἠθοποιὸν, ἢ πλουτοποιὸν ἀγαπήσας τέχνην, εἰς μέρη τὴν χώραν διεῖλεν. ἃ πάγους προσηγόρευσε. καὶ καθ' ἕκαστον ἐπισκόπους ἔταξε, καὶ περιπόλους. ἔστι δ' ὅτε καὶ αὐτὸς ἐφορῶν καὶ τεκμαιρόμενος ἀπὸ τῶν ἔργων τοὺς τρόπους τῶν πολιτῶν. τοὺς μὲν, εἰς τιμὰς καὶ πίστεις ἀνῆγε. τοὺς δὲ ῥαθύμους καὶ ἀμελεῖς, ψέγων καὶ κακίζων, ἐσωφρόνιζε. τῶν δὲ ἄλλων αὐτοῦ πολιτευμάτων, ἡ κατὰ τέχνας διανομὴ τοῦ πλήθους, μάλιστα θαυμάζεται. τῆς γὰρ πόλεως ἐκ δυοῖν γενῶν, ὡς εἴρηται συνεστάναι δοκούσης, διεστώσης δὲ μᾶλλον καὶ μηδενὶ τρόπῳ μίας γενέσθαι βουλομένης. μὴ δὲ οἷον ἐξαλεῖψαι τὴν ἑτερότητα καὶ διαφορὰν, ἀλλὰ συγκρούσεις ἀπαύστους καὶ φιλονεικίας τῶν μερῶν ἐχούσης. διανοηθεὶς ὅτι καὶ τῶν σωμάτων τὰ φύσει δύσμικτα καὶ σκληρὰ καταθραύοντες καὶ διαιροῦντες ἀναμιγνύουσιν, ὑπὸ σμικρότητος ἀλλήλοις συμβαίνοντα, μᾶλλον ἔγνω κατατεμεῖν τομὰς πλείονας, τὸ σύμπαν πλῆθος. ἐκ δὲ τούτων, εἰς ἑτέρας ἐμβαλὼν διαφορὰς, τὴν πρώτην ἐκείνην καὶ μεγάλην ἀφανίσαι, ταῖς ἐλάττοσιν ἐνδιασπαρεῖσαν. ἦν δὲ ἡ διανομὴ κατὰ τὰς τέχνας. αὐλητῶν. χρυσοχόων. τεκτόνων. βαφέων. σκυτοτόμων. σκυτοδεψῶν. χαλκέων κεραμέων. τὰς δὲ λοιπὰς τέχνας εἰς ταὐτὸ συναγαγὼν, ἓν αὐτὸ ἐκ πασῶν ἀπέδειξε σύστημα. κοινωνίας δὲ καὶ συνόδους καὶ θεῶν τιμὰς ἀποδοὺς ἑκάστῳ γένει πρεπούσας, τότε πρῶτον ἐκ τῆς πόλεως ἀνεῖλε, τὸ λέγεσθαι, καὶ νομίζεσθαι, τοὺς μὲν, σαβίνους. τοὺς δὲ, ῥωμαίους, καὶ τοὺς μὲν, τατίου. τοὺς δὲ, ῥωμύλου πολίτας. ὥστε τὴν διαίρεσιν εὐαρμοστίαν καὶ ἀνάμιξιν, πάντων γενέσθαι πρὸς πάντας. ἐπαινεῖται δὲ τῶν πολιτικῶν αὐτοῦ καὶ τὸ περὶ τὸν νόμον διόρθωμα. τὸν διδόντα τοῖς πατράσι τοὺς παῖδας πιπράσκειν ὑπεξελομένους τοὺς γεγαμηκότας. εἰ τοῦ πατρὸς ἐπαινοῦντος καὶ κελεύοντος ὁ γάμος γένοιτο. δεινὸν γὰρ ἡγεῖτο τὴν, ὡς ἐλευθέρῳ γεγαμημένην γυναῖκα, δούλῳ συνοικεῖν. ἥψατο δὲ καὶ τῆς περὶ τὸν οὐρανὸν πραγματείας, οὔτε ἀκριβῶς, οὔτε παντάπασιν ἀθεωρήτως. ῥωμύλου γὰρ βασιλεύοντος, ἀλόγως ἐχρῶντο τοῖς μησὶ καὶ ἀτάκτως. τοὺς μὲν, οὐδὲ εἴκοσιν ἡμερῶν. τοὺς δὲ, πέντε καὶ τριάκοντα. τοὺς δὲ, πλειόνων λογιζόμενοι. τῆς δὲ γινομένης ἀνωμαλίας περὶ τὴν σελήνην καὶ τὸν ἥλιον, ἔννοιαν οὐκ ἔχοντες. ἀλλ' ἓν μὲν φυλάττοντες μόνον, ὅπως ἑξήκοντα καὶ τριακοσίων ἡμερῶν ὁ ἐνιαυτὸς ἔσται. νουμᾶς δὲ τὸ παράλλαγμα τῆς ἀνωμαλίας, ἡμερῶν ἕνδεκα γίνεσθαι λογιζόμενος. ὡς τοῦ μὲν σεληνιακοῦ τριακοσίας πεντήκοντα τέσσαρας ἡμέρας ἔχοντος. τοῦ δὲ ἡλιακοῦ τριακοσίας ἑξήκοντα πέντε. τὰς ἕνδεκα ταύτας ἡμέρας διπλασιάζων, ἐπήγαγε παρ' ἐνιαυτὸν ἤδη τῷ φεβρουαρίῳ μηνὶ τὸν ἐμβόλιμον, ὑπὸ ῥωμαίων μερκιδῖνον καλούμενον, εἴκοσι καὶ δυοῖν ἡμερῶν ὄντα. καὶ τοῦτο μὲν αὐτῷ, τὸ ἴαμα τῆς ἀνωμαλίας, μειζόνων ἔμελλεν ἰαμάτων δεήσεσθαι. μετεκίνησε δὲ καὶ τὴν τάξιν τῶν μηνῶν. τὸν γὰρ μάρτιον πρῶτον ὄντα, τρίτον ἔταξε. πρῶτον δὲ τὸν ἰαννουάριον, ὃς ἦν ἑνδέκατος. ὑπὸ ῥωμύλου, δωδέκατος δὲ καὶ τελευταῖος ὁ φεβρουάριος. ᾧ νῦν δευτέρῳ χρῶνται. πολλοὶ δέ εἰσιν, οἳ καὶ προστεθῆναι τούτους, ὑπὸ νουμᾶ τοὺς μῆνας λέγουσι. τόν τε ἰαννουάριον καὶ τὸν φεβρουάριον. ἐξ ἀρχῆς δὲ χρῆσθαι δέκα μησὶν εἰς τὸν ἐνιαυτὸν, ὡς ἔνιοι τῶν βαρβάρων, τρισί. καὶ τῶν ἑλλήνων, ἀρκάδες μὲν τέσσαρσιν. ἓξ δὲ, ἀκαρνᾶνες. αἰγυπτίοις δὲ μηνιαῖος ἦν ὁ ἐνιαυτός. εἶτα τετράμηνος ὥς φασι. διὸ καὶ νεωτάτην χώραν οἰκοῦντες, ἀρχαιότατοι δοκοῦσιν εἶναι. καὶ πλῆθος ἀμήχανον ἐτῶν, ἤδη ταῖς γενεαλογίαις καταφέρουσι. ἅτε δὴ τοὺς μῆνας εἰς ἐτῶν ἀριθμὸν τιθέμενοι. ῥωμαῖοι δὲ ὅτι μὲν δέκα μῆνας εἰς τὸν ἐνιαυτὸν ἔταττον, οὐ δώδεκα, τεκμήριον ἡ τοῦ τελευταίου προσηγορία. δέκατον γὰρ αὐτὸν ἄχρι νῦν καλοῦσιν. ὅτι δὲ τὸν μάρτιον πρῶτον ἡ τάξις ἐκάλει. τὸν γὰρ ἀπ' ἐκείνου πέμπτον, ἐκάλουν πέμπτον, ἕκτον δὲ, τὸν ἕκτον καὶ τῶν ἄλλων ἐφεξῆς ὁμοίως ἕκαστον. ἐπεὶ τὸν ἰαννουάριον.

Vide Justin. L°. 2°:

τῶν αὐχμῶν λύσεως. ἔτι δὲ, τῆς τῶν δεινῶν ἀναχωρήσεως. καθ' ὃ καὶ τοὺς διοσκόρους, ἄνακας ἀθηναῖοι προσηγόρευσαν. εἴγε δεῖ πρὸς τὴν ἑλληνικὴν διάλεκτον ἐξάγειν τὸ ὄνομα. τῷ δὲ μαμουρίῳ λέγουσιν μισθὸν γενέσθαι τῆς τέχνης ἐκείνης, μνήμην τινὰ δι' ᾠδῆς ὑπὸ τῶν σαλίων ἅμα τῇ πυρρίχῃ διαπεραινομένης. οἱ δὲ, οὐ τὸν οὐετούριον μαμούριον εἶναί φασι τὸ ἀδόμενον. ἀλλ' οἱ οὐέτερεμ μεμορίαμ. ὅπερ ἐστὶ παλαιὰν μνήμην. ἐπεὶ δὲ διεκόσμησε τὰς ἱερωσύνας, ἐδείματο πλησίον τοῦ τῆς ἑστίας ἱεροῦ τὴν καλουμένην ῥηγίαν οἷόν τι βασίλειον οἴκημα. καὶ τὸ πλεῖστον αὐτόθι τοῦ χρόνου διέτριβεν, ἱερουργῶν ἢ διδάσκων τοὺς ἱερεῖς, ἢ πρὸς ἐννοίᾳ τινὶ τῶν θείων πρὸς αὑτὸν σχολάζων. οἰκίαν δ' εἶχεν ἑτέραν περὶ τὸν κυρίνου λόφον. ἧς ἔτι νῦν τὸν τόπον ἐπιδεικνύουσιν. ἐν δὲ ταῖς προπομπαῖς, καὶ ὅλως τῶν ἱερέων ταῖς πομπαῖς προηγοῦντο κήρυκες ἀνὰ τὴν πόλιν, ἐλινύειν κελεύοντες. καὶ τὰ ἔργα καταπαύοντες. ὡς γάρ φασι τοὺς πυθαγορικοὺς, οὐκ ἐᾶν ἐκ παρόδου προσκυνεῖν καὶ προσεύχεσθαι τοῖς θεοῖς. ἀλλ' οἴκοθεν εὐθὺς ἐπὶ τοῦτο γνώμῃ παρεσκευασμένους, βαδίζειν, οὕτως ᾤετο ὁ νουμᾶς χρῆναι τοὺς πολίτας, μήτε ἀκούειν τι τῶν θείων, μήτε ὁρᾶν ἐν παρέργῳ καὶ ἀμελῶς. ἀλλὰ σχολὴν ἄγοντας ἀπὸ τῶν ἄλλων. καὶ προσέχοντας τὴν διάνοιαν ὡς πράξει μεγίστῃ τῇ περὶ τὴν εὐσέβειαν. ψόφων τε καὶ πατάγων καὶ στεναγμῶν, καὶ ὅσα τοιαῦτα τοῖς ἀναγκαίοις καὶ βαναύσοις πόνοις ἕπεται, καθαρὰς τὰς ὁδοὺς ταῖς ἱερουργίαις παρέχοντας. ὧν ἴχνος τι μέχρι νῦν διασώζοντες. ὅταν ἄρχων πρὸς ὄρνισιν ἢ θυσίαις διατρίβῃ, βοῶσιν. ὅκ ἄγε. σημαίνει δὲ ἡ φωνὴ, τοῦτο πρᾶσσε, συνεπιστρέφουσα καὶ κατακοσμοῦσα τοὺς προστυγχάνοντας. ἦν δὲ καὶ τῶν παραγγελμάτων αὐτοῦ, πολλὰ τοῖς πυθαγορικοῖς ἐοικότα, ὡς γὰρ ἐκεῖνοι παρῄνουν, ἐπὶ χοίνικος μὴ καθῆσθαι. καὶ μαχαίρᾳ πῦρ μὴ σκαλεύειν. καὶ βαδίζοντας εἰς ἀποδημίαν, μὴ μεταστρέφεσθαι, καὶ τοῖς μὲν οὐρανίοις περιττὰ θύειν. ἄρτια δὲ τοῖς χθονίοις, ὧν ἑκάστου τὴν διάνοιαν, ἀπεκρύπτοντο πρὸς πολλούς. οὕτως ἔνια τῶν νουμᾶ πατρίων, ἀπόρρητον ἔχει τὸν λόγον. οἷον τὸ μὴ σπένδειν θεοῖς, ἐξ ἀμπέλων ἀτμήτων. μὴ δὲ θύειν ἄτερ ἀλφίτων. καὶ τὸ προσκυνεῖν περιστρεφομένους. καὶ τὸ καθῆσθαι προσκυνήσαντας. τὰ μὲν οὖν πρῶτα δύο, τὴν ἐξημέρωσιν ἔοικε διδάσκειν, ὡς μόριον εὐσεβείας οὖσαν. ἡ δὲ περιστροφὴ τῶν προσκυνούντων, λέγεται μὲν ἀπομίμησις εἶναι τῆς τοῦ κόσμου περιφορᾶς. δόξει δ' ἂν μᾶλλον ὁ προσκυνῶν, ἐπεὶ πρὸς ἕω τῶν ἱερῶν βλεπόντων ἀπέστραπται τὰς ἀνατολὰς, μεταβάλλειν ἑαυτὸν ἐνταῦθα καὶ περιστρέφειν ἐπὶ τὸν θεὸν, κύκλον ποιῶν καὶ συνάπτων τὴν ἐπιτελείωσιν τῆς εὐχῆς δι' ἀμφοῖν. εἰ μὴ νὴ δία τοῖς αἰγυπτίοις τροχοῖς αἰνίττεταί τι καὶ διδάσκει παραπλήσιον ἡ μεταβολὴ τοῦ σχήματος. ὡς οὐδενὸς ἑστῶτος τῶν ἀνθρωπίνων. ἀλλ' ὅπως ἂν στρέφῃ καὶ ἀνελίττῃ τὸν βίον ἡμῶν ὁ θεὸς, ἀγαπᾶν καὶ δέχεσθαι προσῆκον. τὸ δὲ καθέζεσθαι προσκυνήσαντας, οἰωνισμὸν εἶναι λέγουσι τοῦ βεβαιότητα ταῖς εὐχαῖς καὶ διαμονὴν τοῖς ἀγαθοῖς ἐπιγίνεσθαι. λέγουσι δὲ καὶ πράξεων διορισμὸν εἶναι τὴν ἀνάπαυσιν. ὡς οὖν τῇ προτέρᾳ πράξει πέρας ἐπιτιθέντας καθέζεσθαι παρὰ τοῖς θεοῖς. ἵνα ἑτέρας πάλιν ἀρχὴν παρ' ἐκείνων λάβωσι. δύναται δὲ καὶ τοῦτο τοῖς εἰρημένοις ὁμολογεῖν ἐθίζοντος ἡμᾶς τοῦ νομοθέτου μὴ ποιεῖσθαι τὰς πρὸς τὸ θεῖον ἐντεύξεις ἐν ἀσχολίᾳ καὶ παρέργως οἷον σπεύδοντας. ἀλλ' ὅταν χρόνον ἔχωμεν καὶ σχολὴν ἄγωμεν. ἐκ δὲ τῆς τοιαύτης παιδαγωγίας πρὸς τὸ θεῖον, οὕτως ἡ πόλις ἐγεγόνει χειροήθης καὶ κατατεθαμβημένη τὴν τοῦ νουμᾶ δύναμιν. ὥστε μύθοις ἐοικότας τὴν ἀτοπίαν λόγους παραδέχεσθαι καὶ νομίζειν μηδὲν ἄτοπον εἶναι μηδὲ ἀμήχανον ἐκείνου βουληθέντος. λέγεται γοῦν ποτε καλέσας ἐπὶ τὴν τράπεζαν οὐκ ὀλίγους τῶν πολιτῶν. σκεύη τε φαῦλα καὶ δεῖπνον εὐτελὲς πάνυ προθέσθαι καὶ δημοτικόν. ἀρξαμένων δὲ δειπνεῖν ἐμβαλεῖν λόγον, ὡς ἡ θεὸς ᾗ σύνεστιν ἥκοι πρὸς αὐτὸν, αἰφνίδιον ἐπιδεῖξαι τόν τε οἶκον ἐκπωμάτων πλήρη πολυτελῶν. καὶ τὰς τραπέζας, ὄψων τε παντοδαπῶν καὶ παρασκευῆς δαψιλοῦς γεμούσας. πάντων δὲ ὑπερβέβληκεν ἀτοπίαν, τὸ περὶ τῆς τοῦ διὸς ὁμιλίας ἱστορούμενον. μυθολογοῦσι γὰρ εἰς τὸν ἀβεντῖνον λόφον, οὔπω μέρος ὄντα τῆς πόλεως, οὐδὲ συνοικούμενον, ἀλλ' ἔχοντα πηγάς τε δαψιλεῖς ἐν αὑτῷ καὶ νάπας σκιεράς. φοιτᾶν δύο δαίμονας πῖκον καὶ φαῦνον. οὓς τὰ μὲν ἄλλα σατύρων ἄν τις ἢ τιτάνων γένει προσεικάσειε. δυνάμει δὲ φαρμάκων καὶ δεινότητι τῆς περὶ τὰ θεῖα γοητείας λέγονται ταὐτὰ τοῖς ὑφ' ἑλλήνων προσαγορευθεῖσιν ἰδαίοις δακτύλοις σοφιζόμενοι περιιέναι τὴν ἰταλίαν. τούτους φασὶ χειρώσασθαι τὸν νουμᾶν. οἴνῳ καὶ μέλιτι κεράσαντα τὴν κρήνην ἀφ' ἧς ἔπινον συνήθως. ληφθέντας δὲ πολλὰς μὲν ἰδέας τρέπεσθαι καὶ μετεκδύεσθαι τὴν αὑτῶν φύσιν, ἀλλόκοτα φάσματα καὶ φοβερὰ τῆς ὄψεως προβαλλομένους. ἐπεὶ δὲ ἔγνωσαν ἑαλωκότες ἰσχυρὰν καὶ ἄφυκτον ἅλωσιν. ἄλλα τε προθεσπίσαι πολλὰ τῶν μελλόντων. καὶ τὸν ἐπὶ τοῖς κεραυνοῖς ἐκδιδάξαι καθαρμόν. ὃς ποιεῖται μέχρι νῦν διὰ κρομμύων. καὶ τριχῶν καὶ μαινίδων. ἔνιοι δὲ οὐ τοὺς δαίμονάς φασιν ὑποθέσθαι τὸν καθαρμὸν, ἀλλ' ἐκείνους μὲν καταγαγεῖν τὸν δία μαγεύσαντας. τὸν δὲ θεὸν ὀργιζόμενον τῷ νουμᾷ προστάσσειν, ὡς χρὴ γενέσθαι τὸν καθαρμὸν κεφαλαῖς. ὑπολαβόντος δὲ τοῦ νουμᾶ κρομμύων, εἰπεῖν ἀνθρώπων. τὸν δὲ αὖθις ἐκτρέποντα τὸ τοῦ προστάγματος δεινὸν ἐπερέσθαι θριξίν. ἀποκειναμένου δὲ τοῦ διὸς ἐμψύχοις, ἐπαγαγεῖν τὸν νουμᾶν, μαινίσι. ταῦτα λέγειν ὑπὸ τῆς ἠγερίας δεδιδαγμένον. καὶ τὸν μὲν θεὸν ἀπελθεῖν, ἵλεω γενόμενον. τὸν δὲ τόπον ἰλίκιον

ζουσιν ἀφηγοῦνται. νουμᾶ διδάξαντος, μηδὲν ἡγεῖσθαι μίασμα τῶν τοιούτων. ἀλλὰ καὶ τοὺς ἐκεῖ θεοὺς σέβεσθαι τοῖς νενομισμένοις, ὡς τὰ κυριώτατα τῶν ἡμετέρων ὑποδεχομένους. ἐξαιρέτως δὲ τὴν προσαγορευομένην λυβιτίναν ἐπίσκοπον τῶν περὶ τοὺς θνήσκοντας ὁσίων θεὸν οὖσαν. εἴτε περσεφόνην. εἴτε μᾶλλον ὡς οἱ λογιώτατοι ῥωμαίων ὑπολαμβάνουσιν, ἀφροδίτην. οὐ κακῶς εἰς μίαν δύναμιν θεοῦ, τὰ περὶ τὰς γενέσεις καὶ τὰς τελευτὰς ἀνάπτοντες. αὐτὸς δὲ καὶ τὰ πένθη καθ' ἡλικίας καὶ χρόνους ἔταξεν. οἷον παῖδα μὴ πενθεῖν, νεώτερον τριετοῦς. μηδὲ πρεσβύτερον, πλείονας μῆνας, ὧν ἐβίωσεν ἐνιαυτῶν, μέχρι τῶν δέκα, καὶ περαιτέρω μηδεμίαν ἡλικίαν. ἀλλὰ τοῦ μακροτάτου πένθους χρόνον, εἶναι δεκαμηνιαῖον. ἐφ' ὅσον καὶ χηρεύουσιν αἱ τῶν ἀποθανόντων γυναῖκες. ἡ δὲ πρότερον γαμηθεῖσα, βοῦν ἔγκυμονα κατέθυεν ἐκείνου νομοθετήσαντος. πολλὰς δὲ καὶ ἄλλας νουμᾶ διδάξαντος ἱερωσύνας, ἔτι δυοῖν μνησθήσομαι. τῆς τε σαλίων. καὶ τῆς τῶν φετιαλίων. αἳ μάλιστα τὴν εὐσέβειαν τοῦ ἀνδρὸς ἐμφαίνουσιν. οἱ μὲν γὰρ φετιάλιοι εἰρήνης φύλακές τινες ὄντες, ὡς δ' ἐμοὶ δοκεῖ, καὶ τοὔνομα λαβόντες ἀπὸ τῆς πράξεως. λόγῳ τὰ νείκη κατέπαυον, οὐκ ἐῶντες στρατεύειν πρότερον, ἢ πᾶσαν ἐλπίδα δίκης ἀποκοπῆναι. καὶ γὰρ εἰρήνην ἕλληνες καλοῦσιν, ὅταν λόγῳ μὴ βίᾳ πρὸς ἀλλήλους χρώμενοι, λύσωσι τὰς διαφοράς. οἱ δὲ ῥωμαίων φετιαλεῖς, πολλάκις μὲν ἐβάδιζον ὡς τοὺς ἀδικοῦντας, αὐτοὶ πείθοντες εὐγνωμονεῖν. ἀγνωμονούντων δὲ μαρτυρόμενοι θεοὺς καὶ καταρώμενοι πολλὰ καὶ δεινὰ καθ' αὑτῶν αὐτοί. καὶ τῆς πατρίδος εἰ μὴ δικαίως ἐπεξίασιν, οὕτω κατήγγελλον αὐτοῖς τὸν πόλεμον. κωλυόντων δὲ τούτων ἢ μὴ συναινούντων, οὔτε στρατιώτῃ θεμιτὸν, οὔτε βασιλεῖ ῥωμαίων ὅπλα κινεῖν. ἀλλὰ παρὰ τούτων ἔδει τὴν ἀρχὴν τοῦ πολέμου δεξάμενον, ὡς δίκαιον τὸν ἄρχοντα, τότε σκοπεῖν περὶ τοῦ συμφέροντος. λέγεται δὲ καὶ τὸ κελτικὸν ἐκεῖνο πάθος τῇ πόλει γενέσθαι, τούτων τῶν ἱερῶν παρανομηθέντων. ἔτυχον μὲν γὰρ οἱ βάρβαροι κλουσίνους πολιορκοῦντες. ἐπέμφθη δὲ πρεσβευτὴς φάβιος ἄμβουστος εἰς τὸ στρατόπεδον, διαλύσεις πράξων ὑπὲρ τῶν πολιορκουμένων. λαβὼν δὲ ἀποκρίσεις οὐκ ἐπιεικεῖς, καὶ τέλος ἔχειν αὐτῷ τὴν πρεσβείαν οἰόμενος, ἐνεανιεύσατο πρὸ τῶν κλουσίνων ὅπλα λαβὼν, προκαλεῖσθαι τὸν ἀριστεύοντα τῶν βαρβάρων. τὰ μὲν οὖν τῆς μάχης εὐτυχεῖτο. καὶ καταβαλὼν, ἐσκύλευσε τὸν ἄνδρα. γνωρίσαντες δὲ οἱ κελτοὶ, πέμπουσιν εἰς ῥώμην κήρυκα τοῦ φαβίου κατηγοροῦντες, ὡς ἔκσπονδον καὶ ἄπιστον καὶ ἀκατάγγελτον ἐξανηνοχότος πρὸς αὐτοὺς πόλεμον. ἐνταῦθα τὴν μὲν σύγκλητον οἱ φετιαλεῖς ἔπειθον ἐκδιδόναι τὸν ἄνδρα τοῖς κελτοῖς. καταφυγὼν δὲ ἐκεῖνος εἰς τοὺς πολλοὺς, καὶ τῷ δήμῳ σπουδάζοντι χρησάμενος, διεκρούσατο τὴν δίκην. μετ' ὀλίγον δὲ ἐπελθόντες οἱ κελτοὶ, τὴν ῥώμην πλὴν τοῦ καπιτωλίου διεπόρθησαν. ἀλλὰ ταῦτα μὲν ἐν τοῖς περὶ καμίλλου μᾶλλον ἀκριβοῦται. τοὺς δὲ σαλίους ἱερεῖς ἐκ τῆς τοιαύτης λέγεται συστήσασθαι προφάσεως. ἔτος ὄγδοον αὐτοῦ βασιλεύοντος, λοιμώδης νόσος περιιοῦσα τὴν ἰταλίαν ἐστρόβησε καὶ τὴν ῥώμην. ἀθυμούντων δὲ τῶν ἀνθρώπων, ἱστορεῖται χαλκῆν πέλτην ἐξ οὐρανοῦ καταφερομένην, εἰς τὰς νουμᾶ πεσεῖν χεῖρας. ἐπὶ δὲ αὐτῇ θαυμάσιόν τινα λόγον λέγεσθαι ὑπὸ τοῦ βασιλέως, ἣν ἠγερίας τε καὶ τῶν μουσῶν πυθέσθαι. τὸ μὲν γὰρ ὅπλον ἥκειν ἐπὶ σωτηρίᾳ τῆς πόλεως. καὶ δεῖν αὐτὸ φρουρεῖσθαι, γενομένων ἄλλων ἕνδεκα, καὶ σχῆμα καὶ μέγεθος καὶ μορφὴν ἐκείνῳ παραπλησίων. ὅπως ἄπορον εἴη τῷ κλέπτῃ δι' ὁμοιότητα τοῦ διοπετοῦς ἐπιτυχεῖν. ἔτι δὲ χρῆναι μούσαις καθιερῶσαι τὸ χωρίον ἐκεῖνο. καὶ τοὺς περὶ αὐτὸ λειμῶνας, ὅπου τὰ πολλὰ φοιτῶσαι συνδιατρίβουσιν αὐτῷ. τὴν δὲ πηγὴν ἣ κατάρδει τὸ χωρίον, ὕδωρ ἱερὸν ἀποδεῖξαι ταῖς ἑστιάσι παρθένοις. ὅπως λαμβάνουσαι καθ' ἡμέραν, ἁγνίζωσι καὶ ῥαίνωσι τὸ ἀνάκτορον. τούτοις μὲν οὖν μαρτυρῆσαι λέγουσι καὶ τὰ τῆς νόσου παραχρῆμα παυσάμενα. τὴν δὲ πέλτην προθέντος αὐτοῦ, καὶ κελεύσαντος ἁμιλλᾶσθαι τοὺς τεχνίτας ὑπὲρ τῆς ὁμοιότητος. τοὺς μὲν ἄλλους ἀπειπεῖν, βετούριον δὲ μαμούριον ἕνα τῶν ἄκρων δημιουργῶν, οὕτω προσικέσθαι τῆς ἐμφερείας, καὶ κατασκευάσαι πάσας ὁμοίας, ὥστε μηδ' αὐτὸν ἔτι τὸν νουμᾶν διαγνῶναι. τούτων οὖν φύλακας καὶ ἀμφιπόλους ἀπέδειξε τοὺς σαλίους ἱερεῖς. σάλιοι δὲ ἐκλήθησαν, οὐχ ὡς ἔνιοι μυθολογοῦσι, ἐκ σαμόθρᾳκος ἀνδρὸς ἢ μαντινέως ὄνομα σαλίου, τὴν ἐνόπλιον ἐκδιδάξαντος ὄρχησιν. ἀλλὰ μᾶλλον ἀπὸ τῆς ὀρχήσεως αὐτῆς ἁλτικῆς οὔσης, ἣν ὑπορχοῦνται διαπορευόμενοι τὴν πόλιν, ὅταν τὰς ἱερὰς πέλτας ἀναλάβωσιν ἐν τῷ μαρτίῳ μηνὶ, φοινικοῦς μὲν ἐνδεδυμένοι χιτωνίσκους. μίτραις δὲ χαλκαῖς ὑπεζωσμένοι πλατείαις, καὶ κράνη χαλκᾶ φοροῦντες. ἐγχειριδίοις δὲ μικροῖς τὰ ὅπλα κρούοντες. ἡ δ' ἄλλη τῆς ὀρχήσεως, ποδῶν ἔργον ἐστί. κινοῦνται γὰρ ἐπιτερπῶς ἑλιγμοὺς καὶ μεταβολὰς ἐν ῥυθμῷ τάχος ἔχοντι καὶ πυκνότητα μετὰ ῥώμης καὶ κουφότητος ἀποδιδόντες. αὐτὰς δὲ τὰς πέλτας ἀγκύλια καλοῦσι διὰ τὸ σχῆμα. κύκλος γὰρ οὐκ ἔστιν. οὐδὲ ἀποδίδωσιν ὡς πέλτη τὴν περιφέρειαν. ἀλλ' ἐκτομὴν ἔχει γραμμῆς ἑλικοειδοῦς, ἧς αἱ κεραῖαι καμπὰς ἔχουσαι, καὶ συνεπιστρέφουσαι τῇ πυκνότητι πρὸς ἀλλήλας, ἀγκύλον τὸ σχῆμα ποιοῦσιν. ἢ διὰ τὸν ἀγκῶνα, περὶ ὃν περιφέρονται. ταῦτα γὰρ ὁ ἰόβας εἴρηκε γλιχόμενος ἐξελληνίσαι τοὔνομα. δύναιτο δ' ἂν τῆς ἄνωθεν φορᾶς πρῶτον ἐπώνυμον γεγονέναι, καὶ τῆς ἀκέσεως τῶν νοσούντων. καὶ τῆς

τὰς ἐπισκοπῶν καὶ κωλύων παραβαίνειν τὰ νενομισμένα. καὶ διδάσκων ὅτου τις δέοιτο πρὸς θεῶν τιμὴν, ἢ παραίτησιν. ἦν δὲ καὶ τῶν ἱερῶν παρθένων ἐπίσκοπος, ἃς ἑστιάδας προσαγορεύουσι. νουμᾶ γὰρ δὴ καὶ τὴν τῶν ἑστιάδων, παρθένων καθιέρωσιν, καὶ ὅλως τὴν περὶ τὸ πῦρ τὸ ἀθάνατον ὃ φυλάττουσιν αὗται, θεραπείαν τε καὶ τιμὴν ἀποδιδόασιν, εἴτε ὡς καθαρὰν καὶ ἄφθαρτον τὴν τοῦ πυρὸς οὐσίαν ἀκηράτοις καὶ ἀμιάντοις παρακατατιθεμένους σώμασιν, εἴτε τὸ ἄκαρπον καὶ ἄγονον τῇ παρθενίᾳ συνοικειοῦντες. ἐπεί τοι τῆς ἑλλάδος, ὅπου πῦρ ἄσβεστόν ἐστιν, ὡς πυθοῖ, καὶ ἀθήνησιν, οὐ παρθένοι. γυναῖκες δὲ πεπαυμέναι γάμων, ἔχουσι τὴν ἐπιμέλειαν. ἐὰν δὲ ὑπὸ τύχης τινὸς ἐκλίπῃ, καθάπερ ἀθήνησι μὲν, ἐπὶ τῆς ἀριστίωνος λέγεται τυραννίδος ἀποσβεσθῆναι τὸν ἱερὸν λύχνον. ἐν δελφοῖς δὲ τοῦ ναοῦ καταπρησθέντος ὑπὸ τῶν μήδων. περὶ δὲ τὰ μιθριδατικὰ καὶ τὸν ἐμφύλιον ῥωμαίων πόλεμον, ἅμα τῷ βωμῷ, τὸ πῦρ ἠφανίσθη. οὔ φασι δεῖν ἀφ᾽ ἑτέρου πυρὸς ἐναύεσθαι. καινὸν δὲ ποιεῖν καὶ νέον. ἀνάπτοντας ἀπὸ τοῦ ἡλίου φλόγα καθαρὰν καὶ ἀμίαντον. ἐξάπτουσι δὲ μάλιστα τοῖς σκαφείοις, ἃ κατασκευάζεται μὲν, ἀπὸ πλευρᾶς ἰσοσκελοῦς ὀρθογωνίου τριγώνου, κοιλαινόμενα. συννεύει δὲ εἰς ἓν ἐκ τῆς περιφερείας κέντρον. ὅταν οὖν θέσιν ἐναντίαν λάβῃ πρὸς τὸν ἥλιον, ὥστε τὰς αὐγὰς πανταχόθεν ἀνακοπτομένας ἀθροίζεσθαι καὶ συμπλέκεσθαι πρὸς τὸ κέντρον, αὐτόν τε διακρίνει τὸν ἀέρα λεπτυνόμενον, καὶ τὰ κουφότατα καὶ ξηρότατα τῶν προστιθεμένων, ὀξέως ἀνάπτει κατὰ τὴν ἀντέρεισιν, σῶμα καὶ πληγὴν πυρώδη τῆς αὐγῆς λαμβανούσης. ἔνιοι μὲν οὖν οὐδὲν ὑπὸ τῶν ἱερῶν παρθένων, ἀλλ᾽ ἢ τὸ ἄσβεστον ἐκεῖνο φρουρεῖσθαι πῦρ νομίζουσιν. ἔνιοι δὲ εἶναί τινα φασὶν ἀθέατα τοῖς ἄλλοις ἱερὰ κρυπτόμενα, περὶ ὧν ὅσα καὶ πυθέσθαι, καὶ φράσαι θεμιτὸν ἐν τῷ καμίλλου βίῳ γέγραπται. πρῶτον μὲν οὖν ὑπὸ νουμᾶ καθιερωθῆναι λέγουσι γεγανίαν καὶ βερηνίαν. δεύτερον δὲ κανουληΐαν, καὶ ταρπηΐαν. ὕστερον δὲ σερβίου δύο προσθέντος ἄλλας τῷ ἀριθμῷ, διατετήρηται μέχρι τῶν χρόνων τούτων τὸ πλῆθος. ὁρισθῆναι δὲ ταῖς ἱεραῖς παρθένοις ὑπὸ τοῦ βασιλέως ἁγνείαν τριακονταέτη. ἐν ᾗ τὴν μὲν πρώτην δεκαετίαν, ἃ χρὴ δρᾶν μανθάνουσι. τὴν δὲ μέσην ἃ μεμαθήκασι δρῶσι. τὴν δὲ τρίτην ἑτέρας αὐταὶ διδάσκουσιν. εἶτα ἀφεῖται τῇ βουλομένῃ, πλὴν μετὰ τὸν χρόνον τοῦτον ἤδη καὶ γάμου μεταλαμβάνειν. καὶ πρὸς ἕτερον τραπέσθαι βίον, ἀπαλλαγεῖσι τῆς ἱερουργίας. λέγονται δὲ οὐ πολλαὶ ταύτην ἀσπάσασθαι τὴν ἄδειαν. οὐδὲ ταῖς ἀσπασαμέναις χρηστὰ πράγματα συντυχεῖν. ἀλλὰ μετανοίᾳ καὶ κατηφείᾳ συνοῦσαι τὸν λοιπὸν βίον, ἐμβαλεῖν τὰς ἄλλας εἰς δεισιδαιμονίαν. ὥστε μέχρι γήρως καὶ θανάτου, διατελεῖν ἐγκαρτερούσας καὶ παρθενευομένας. τιμὰς δὲ μεγάλας ἀπέδωκεν αὐταῖς. ὧν ἐστι καὶ τὸ διαθέσθαι ζῶντος ἐξεῖναι πατρὸς, καὶ τἄλλα πράττειν ἄνευ προστάτου διαγούσας, ὥσπερ αἱ τρίπαιδες. ῥαβδούχοις χρῶνται δὲ προϊούσαι. κἂν ἀγομένῳ τινὶ πρὸς θάνατον αὐτομάτως συντύχωσιν, οὐκ ἀναιρεῖται. δεῖ δὲ ἀπομόσαι τὴν παρθένον ἀκούσιον καὶ τυχαίαν, οὐκ ἐξεπίτηδες γεγονέναι τὴν ἀπάντησιν. ὁ δὲ ὑπελθὼν κομιζομένων ὑπὸ τὸ φορεῖον ἀποθνήσκει. κόλασις δὲ τῶν μὲν ἄλλων ἁμαρτημάτων, πληγαὶ ταῖς παρθένοις, τοῦ μεγίστου ποντίφικος κολάζοντος, ἔστιν ὅτε καὶ γυμνὴν τὴν πλημμελήσασαν, ὀθόνης ἐν παλισκίῳ παρατεινομένης. ἡ δὲ τὴν παρθενίαν καταισχύνασα, ζῶσα κατορύττεται, παρὰ τὴν κολλίνην λεγομένην πύλην. ἐν ᾗ ἐστι τις ἐντὸς τῆς πόλεως ὀφρὺς γεώδης, παρατείνουσα πόρρω. καλεῖται δὲ χῶμα διαλέκτῳ τῇ λατίνων. ἐνταῦθα κατασκευάζεται κατάγειος οἶκος οὐ μέγας. ἔχων ἄνωθεν κατάβασιν. κεῖται δὲ ἐν αὐτῷ κλίνη τε ὑπεστρωμένη, καὶ λύχνος καιόμενος, ἀπαρχαί τε τῶν πρὸς τὸ ζῆν ἀναγκαίων, βραχεῖαί τινες. οἷον ἄρτος. ὕδωρ, ἐν ἀγγείῳ γάλα. ἔλαιον. ὥσπερ ἀφοσιουμένων τὸ μὴ λιμῷ διαφθείρειν σῶμα ταῖς μεγίσταις καθιερωμένον ἁγιστείαις. αὐτὴν δὲ τὴν κολαζομένην εἰς φορεῖον ἐνθέμενοι, καὶ καταστεγάσαντες ἔξωθεν, καὶ καταλαβόντες ἱμᾶσιν, ὡς μηδὲ φωνὴν ἐξάκουστον γενέσθαι, κομίζουσι δι᾽ ἀγορᾶς. ἐξίστανται δὲ πάντες σιωπῇ. καὶ παραπέμπουσιν ἄφθογγοι μετά τινος δεινῆς κατηφείας. οὐδὲ ἔστιν ἕτερον θέαμα φρικτότερον. οὐδ᾽ ἡμέραν ἡ πόλις ἄλλην ἄγει στυγνοτέραν ἐκείνης. ὅταν δὲ πρὸς τὸν τόπον κομισθῇ τὸ φορεῖον, οἱ μὲν ὑπηρέται, τοὺς δεσμοὺς ἐξέλυσαν. ὁ δὲ τῶν ἱερῶν ἔξαρχος, εὐχὰς τινὰς ἀπορρήτους ποιησάμενος καὶ χεῖρας ἀνατείνας θεοῖς, πρὸ τῆς ἀνάγκης, ἐξάγει συγκεκαλυμμένην. καὶ καθίστησιν ἐπὶ κλίμακος εἰς τὸ οἴκημα κάτω φερούσης. εἶτα αὐτὸς μὲν ἀποτρέπεται μετὰ τῶν ἄλλων ἱερέων. τῆς δὲ καταβάσης, ἥ τε κλίμαξ ἀναιρεῖται. καὶ κατακρύπτεται τὸ οἴκημα, γῆς πολλῆς ἄνωθεν ἐπιφορουμένης. ὥστε ἰσόπεδον τῷ λοιπῷ χώματι γενέσθαι τὸν τόπον. οὕτω μὲν αἱ προέμεναι τὴν ἱερὰν παρθενίαν κολάζονται. νουμᾶς δὲ λέγεται καὶ τὸ τῆς ἑστίας ἱερὸν ἐγκύκλιον περιβαλέσθαι τῷ ἀσβέστῳ πυρὶ φρουράν. ἀπομιμούμενος οὐ τὸ σχῆμα τῆς γῆς ὡς ἑστίας οὔσης, ἀλλὰ τοῦ σύμπαντος κόσμου. οὗ μέσον οἱ πυθαγορικοὶ τὸ πῦρ ἱδρύσθαι νομίζουσι, καὶ τοῦτο ἑστίαν καλοῦσι καὶ μονάδα. τὴν δὲ γῆν, οὔτε ἀκίνητον, οὔτε ἐν μέσῳ τῆς περιφορᾶς οὖσαν, ἀλλὰ κύκλῳ περὶ τὸ πῦρ αἰωρουμένην, οὔτε τῶν τιμιωτάτων, οὔτε τῶν πρώτων τοῦ κόσμου μορίων ὑπάρχειν. ταῦτα δὲ καὶ πλάτωνά φασι πρεσβύτην γενόμενον, διανενοῆσθαι περὶ τῆς γῆς, ὡς ἐν ἑτέρᾳ χώρᾳ καθεστώσης. τὴν δὲ μέσην καὶ κυριωτάτην ἑτέρῳ τινὶ κρείττονι προσήκειν. οἱ δὲ ποντίφικες καὶ τὰ περὶ τὰς ταφὰς πάτρια τοῖς χρῄ

τῶν ἑλλήνων, καὶ μᾶλλον ἀπὸ τῆς διακονίας προσηγόρευον. ταῦτα δὲ ὁ νουμᾶς ἐπ' εὐνοίᾳ καὶ χάριτι τοῦ δήμου πολιτευσάμενος, εὐθὺς ἐπεχείρει τὴν πόλιν ὥσπερ σίδηρον, ἐκ σκληρᾶς καὶ πολεμικῆς, μαλακωτέραν ποιῆσαι καὶ δικαιοτέραν. ἀτεχνῶς γὰρ ἦν ὃ πλάτων ἀποκαλεῖ φλεγμαίνουσαν πόλιν, ἐκείνη τότε, συστᾶσα μὲν εὐθὺς ἐξ ἀρχῆς τόλμῃ τινὶ καὶ παραβόλῳ θρασύτητι τῶν θρασυτάτων καὶ μαχιμωτάτων ἐκεῖ πανταχόθεν ὠσαμένων. ταῖς δὲ πολλαῖς στρατείαις καὶ τοῖς συνεχέσι πολέμοις, τροφῇ χρωμένη καὶ αὐξήσει τῆς δυνάμεως. καὶ καθάπερ τὰ καταπηγνύμενα, τῷ σείεσθαι μᾶλλον ἑδράζεται, ῥώννυσθαι δοκοῦσαν, διὰ τῶν κινδύνων. οὕτω δὲ μετέωρον καὶ τετραχυμένον δῆμον οὐ μικρᾶς, οὐδὲ φαύλης οἰόμενος εἶναι πραγματείας, μεταχειρίσασθαι καὶ μετακοσμῆσαι πρὸς εἰρήνην, ἐπήγετο τὴν ἀπὸ τῶν θεῶν βοήθειαν. τὰ μὲν πολλὰ θυσίαις καὶ πομπαῖς καὶ χορείαις, ἃς αὐτὸς ὤργιασε καὶ κατέστησεν, ἅμα σεμνότητι, διαγωγὴν ἐπίχαριν καὶ φιλάνθρωπον ἡδονὴν ἐχούσαις, δημαγωγῶν καὶ τιθασεύων, τὸ θυμοειδὲς καὶ φιλοπόλεμον. ἔστι δ' ὅτε καὶ φόβους τινὰς ἀπαγγέλλων παρὰ τοῦ θεοῦ καὶ φάσματα δαιμόνων ἀλλόκοτα καὶ φωνὰς οὐκ εὐμενεῖς, ἐδούλου καὶ ταπεινὴν ἐποίει τὴν διάνοιαν αὐτῶν, ὑπὸ δεισιδαιμονίας. ἐξ ὧν καὶ μάλιστα λόγον ἔσχεν ἡ σοφία καὶ ἡ παίδευσις τοῦ ἀνδρὸς, ὡς πυθαγόρᾳ συγγεγονότος. μέγα γὰρ ἦν μέρος ὡς ἐκείνῳ τῆς φιλοσοφίας, καὶ τούτῳ τῆς πολιτείας, ἡ περὶ τὸ θεῖον ἁγιστεία καὶ διατριβή. λέγεται δὲ καὶ τὸν ἔξωθεν ὄγκον καὶ σχηματισμὸν, ἀπὸ τῆς αὐτῆς πυθαγόρᾳ διανοίας περιβαλέσθαι. καὶ γὰρ ἐκεῖνος ἀετόν τε δοκεῖ τιθασεῦσαι, φωναῖς τισὶν ἐπιστήσας καὶ καταγαγὼν ὑπερπτάμενον. τόν τε μηρὸν ἀποφῆναι χρυσοῦν ὀλυμπιάσι διαπορευόμενος τὴν πανήγυριν. ἄλλας τε
» τερατώδεις μηχανὰς αὐτοῦ καὶ πράξεις ἀπαγγέλλουσιν. ἐφ' αἷς καὶ τίμων ὁ φλιάσιος, ἔγραψε. πυθαγό-
» ρην δὲ γόητας ἀποκλίνοντ' ἐπὶ δόξας. θήρῃ ἐπ' ἀνθρώπων, σεμνηγορίης ὀαριστήν. τῷ δὲ νουμᾷ δρᾶμα
» θεᾶς τινὸς, ἢ νύμφης ὀρείας ἔρως ἦν. καὶ συνουσία πρὸς αὐτὸν ἀπόρρητος, ὥσπερ εἴρηται. καὶ κοιναὶ μετὰ μουσῶν διατριβαί. τὰ γὰρ πλεῖστα τῶν μαντευμάτων, εἰς μούσας ἀνῆγε. καὶ μίαν μοῦσαν ἰδίως καὶ διαφερόντως ἐδίδαξε σέβεσθαι τοὺς ῥωμαίους. Τακίταν προσαγορεύσας. οἷον σιωπηλὴν ἢ ἐνεάν. ὅπερ εἶναι δοκεῖ τὴν πυθαγόρειον ἀπομνημονεύοντος ἐχεμυθίαν καὶ τιμῶντος. ἔστι δὲ καὶ τὰ περὶ τῶν ἀφιδρυμάτων νομοθετήματα, παντάπασιν ἀδελφὰ τῶν πυθαγόρου δογμάτων. οὔτε γὰρ ἐκεῖνος αἰσθητὸν ἢ παθητόν. ἀόρατον δὲ καὶ ἀκήρατον καὶ νοητὸν, ὑπελάμβανεν εἶναι τὸ πρῶτον. οὗτος δὲ διεκώλυσεν ἀνθρωποειδῆ καὶ ζωόμορφον εἰκόνα θεοῦ ῥωμαίοις νομίζειν. οὐδ' ἦν παρ' αὐτοῖς, οὔτε γραπτὸν, οὔτε πλαστὸν εἶδος θεοῦ πρότερον. ἀλλ' ἐν ἑκατὸν ἑβδομήκοντα τοῖς πρώτοις ἔτεσι ναοὺς μὲν οἰκοδομούμενοι, καὶ καλιάδας ἱερὰς ἱστῶντες. ἄγαλμα δὲ οὐδὲν ἔμμορφον ποιούμενοι διετέλουν. ὡς οὔτε ὅσιον ἀφομοιοῦν τὰ βελτίονα τοῖς χείροσιν, οὔτε ἐφάπτεσθαι θεοῦ δυνατὸν ἄλλως ἢ νοήσει. κομιδῇ δὲ καὶ τὰ τῶν θυσιῶν ἔχεται τῆς πυθαγορικῆς ἁγιστείας. ἀναίμακτοι γὰρ ἦσαν. αἵ τε πολλαὶ δι' ἀλφίτου καὶ σπονδῆς καὶ τῶν εὐτελεστάτων πεποιημέναι. χωρὶς δὲ τούτων, ἑτέροις ἔξωθεν ἐπαγωνίζονται τεκμηρίοις, οἱ τὸν ἄνδρα, τῷ ἀνδρὶ συνοικειοῦντες. ὧν ἓν μὲν ἐστὶν ὅτι πυθαγόραν τῇ πολιτείᾳ ῥωμαῖοι προσέγραψαν, ὡς ἱστόρηκεν ἐπίχαρμος ὁ κωμικὸς ἔν τινι λόγῳ πρὸς ἀντήνορα γεγραμμένῳ. παλαιὸς ἀνὴρ καὶ τῆς πυθαγορικῆς διατριβῆς μετεσχηκώς. ἕτερον δ' ὅτι τεσσάρων υἱῶν βασιλεῖ νουμᾷ γενομένων, ἕνα μάμερκον ἐπὶ τῷ πυθαγόρου παιδὶ προσηγόρευσεν. ἀπ' ἐκείνου δὲ καὶ τὸν αἰμιλίων οἶκον ἀναμιχθέντα τοῖς πατρικίοις ὀνομασθῆναι φασὶν οὕτως, ὑποκοριζομένου τοῦ βασιλέως τὴν ἐν τοῖς λόγοις τοῦ ἀνδρὸς αἱμυλίαν καὶ χάριν. αὐτοὶ δὲ ἀκηκόαμεν πολλῶν ἐν ῥώμῃ διεξιόντων, ὅτι ῥωμαίοις ποτὲ χρησμοῦ γενομένου, τὸν φρονιμώτατον καὶ τὸν ἀνδρειότατον ἑλλήνων ἱδρύσασθαι παρ' αὐτοῖς, ἔστησαν ἐπὶ τῆς ἀγορᾶς εἰκόνας χαλκᾶς δύο. τὴν μὲν, ἀλκιβιάδου. τὴν δὲ, πυθαγόρου. ταῦτα μὲν οὖν ἀμφισβητήσεις ἔχοντα πολλὰς, καὶ τὸ κινεῖν διὰ μακροτέρων. καὶ τὸ πιστεῦσαι μειρακιώδους ἐστὶ φιλονικίας. νουμᾷ δὲ καὶ τὴν τῶν ἀρχιερέων οὓς ποντίφικας καλοῦσι διάταξιν καὶ κατάστασιν, ἀποδιδόασι καὶ φασὶν αὐτὸν ἕνα τούτων τὸν πρῶτον γεγονέναι. κεκλῆσθαι δὲ τοὺς ποντίφικας, οἱ μὲν, ὅτι τοὺς θεοὺς θεραπεύουσιν, δυνατοὺς καὶ κυρίους ἁπάντων ὄντας. ὁ γὰρ δυνατὸς ὑπὸ ῥωμαίων, ὀνομάζεται, ποτής. ἕτεροι δέ φασι πρὸς ὑπεξαίρεσιν γεγονέναι τοὔνομα τῶν δυνατῶν, ὡς τοῦ νομοθέτου τὰς δυνατὰς ἐπιτελεῖν ἱερουργίας τοὺς ἱερεῖς κελεύοντος. ἂν δὲ ᾖ τι κώλυμα μεῖζον, οὐ συκοφαντοῦντος. οἱ δὲ πλεῖστοι μάλιστα, καὶ τὸ γελώμενον τῶν ὀνομάτων δοκιμάζουσιν. ὡς οὐδὲν, ἀλλ' ἢ γεφυροποιοὺς τοὺς ἄνδρας ἐπικληθέντας ἀπὸ τῶν ποιουμένων ἐπὶ τὴν γέφυραν ἱερῶν, ἁγιωτάτων καὶ παλαιοτάτων ὄντων. πόντεμ γὰρ οἱ λατῖνοι τὴν γέφυραν ὀνομάζουσιν. εἶναι μέντοι καὶ τὴν τήρησιν αὐτῆς, καὶ τὴν ἐπισκευὴν, ὥσπερ ἄλλο τι τῶν ἀκινήτων καὶ πατρίων ἱερῶν, προσήκουσαν τοῖς ἱερεῦσιν. οὐ γὰρ θεμιτὸν, ἀλλ' ἐπάρατον ἡγεῖσθαι ῥωμαίους τὴν κατάλυσιν τῆς ξυλίνης γεφύρας. λέγεται δὲ καὶ τὸ πάμπαν ἄνευ σιδήρου κατὰ δή τι λόγιον συγγεγομφῶσθαι διὰ τῶν ξύλων. ἡ δὲ λιθίνη, πολλοῖς ὕστερον ἐξειργάσθη χρόνοις, ὑπὸ αἰμυλίου ταμιεύοντος. οὐ μὴν ἀλλὰ καὶ τὴν ξυλίνην, τῶν νουμᾶ χρόνων ἀπολείπεσθαι λέγουσιν, ὑπὸ μαρκίου τοῦ νουμᾶ θυγατριδοῦ βασιλεύοντος, ἀποτελεσθεῖσαν. ὁ δὲ μέγιστος τῶν ποντιφίκων, οἷον ἐξηγητοῦ καὶ προφήτου, μᾶλλον δὲ ἱεροφάντου τάξιν ἐπέχει, οὐ μόνων τῶν δημοσίᾳ δρωμένων ἐπιμελούμενος, ἀλλὰ καὶ τοὺς ἰδίᾳ θύον-

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

κρὸν ὡς ἔοικεν ἔργον, ἀλλὰ καὶ λόγων πολλῶν καὶ δεήσεως, τὸ πεῖσαι καὶ μεταστῆσαι γνώμην ἀνδρὸς ἡσυχίᾳ καὶ εἰρήνῃ βεβιωκότος εἰς ἀρχὴν πόλεως, τρόπον τινὰ γεγενημένης πολέμῳ καὶ συνηυξημένης. ἔλεγεν οὖν τοῦ τε πατρὸς αὐτοῦ παρόντος. καὶ μαρκίου τῶν συγγενῶν ἑνός. ὡς πᾶσα μὲν ἀνθρωπίνου βίου μεταβολὴ σφαλερόν. ᾧ δὲ μηδὲ ἄπεστι τῶν ἱκανῶν. μήτε μέμπτον ἐστὶ τῶν παρόντων, ἕτερον οὐδὲν ἄλλο, πλὴν ἄνοια μετακοσμεῖ καὶ μεθίστησιν ἐκ τῶν συνήθων. οἷς κἂν εἰ μηδὲν ἕτερον προσείη, τῷ βεβαιοτέρῳ διαφέρει τῶν ἀδήλων. ἀλλ' οὐδὲ ἄδηλα τὰ τῆς βασιλείας τοῖς ῥωμύλου τεκμαιρομένοις παθήμασιν. ὡς πονηρὰν μὲν αὐτὸς ἔλαβε δόξαν, ἐπιβουλεῦσαι τῷ συνάρχοντι τατίῳ, πονηρὰν δὲ τοῖς ὁμοτίμοις ἀπέλιπεν ὡς ἀνῃρημένος ὑπ' αὐτῶν. καὶ ῥωμύλον μὲν οὗτοι, παῖδα θεῶν ὑμνοῦσι φήμαις. καὶ τροφήν τινα δαιμόνιον αὐτοῦ, καὶ σωτηρίαν ἄπιστον ἔτι νηπίου λέγουσιν. ἐμοὶ δὲ καὶ γένος θνητὸν ἐστί, καὶ τροφὴ καὶ παίδευσις ὑπ' ἀνθρώπων, ὧν οὐκ ἀγνοεῖτε γεγενημένη. τὰ δ' ἐπαινούμενα τοῦ τρόπου, βασιλεύειν πόρρω μέλλοντος ἀνδρός. ἡσυχία τε πολλὴ καὶ διατριβὴ περὶ λόγους ἀπράγμονας. ὁ δὲ δεινὸς οὗτος καὶ σύντροφος εἰρήνης ἔρως καὶ πραγμάτων ἀπολέμων. καὶ ἀνθρώπων ἐπὶ τιμῇ θεῶν, καὶ φιλοφροσύναις εἰς τὸ αὐτὸ συνιόντων. τὰ δὲ ἄλλα καθ' ἑαυτοὺς γεωργούντων ἢ νεμόντων. ὑμῖν δὲ ὦ ῥωμαῖοι, πολλοὺς μὲν ἴσως ἀβουλήτους ἀπολέλοιπε πολέμους, ῥωμύλος. εἰς ἀντερείδοντος ἡ πόλις ἐμπείρου δεῖται βασιλέως καὶ ἀκμάζοντος. πολλὴ δὲ καὶ συνήθεια καὶ προθυμία δι' εὐτυχίαν γέγονε τῷ δήμῳ. καὶ οὐδένα λέληθεν αὔξεσθαι καὶ κρατεῖν ἑτέρων βουλόμενος. ὥστε καὶ γέλως ἂν εἴη τὰ ἄλλα, θεραπεύοντος θεοὺς καὶ δίκην τιμᾶν, βίαν δὲ καὶ πόλεμον ἐχθαίρειν διδάσκοντος, πόλιν στρατηλάτου μᾶλλον ἢ βασιλέως δεομένην. τοιούτοις λόγοις ἀφοσιουμένου τὴν βασιλείαν τοῦ ἀνδρός, οἵ τε ῥωμαῖοι πᾶσαν ἐποιοῦντο σπουδὴν ἀντιβολοῦντες καὶ δεόμενοι μὴ σφᾶς αὖθις εἰς στάσιν ἐμβαλεῖν καὶ πόλεμον ἐμφύλιον. οὐκ ὄντος ἑτέρου, πρὸς ὃν ἀμφότεραι συννεύσουσιν αἱ στάσεις. ὅ τε πατὴρ καὶ ὁ μάρκιος ἐκείνων μεταστάντων ἰδίᾳ, προσκείμενοι τὸν νουμᾶν ἔπειθον, δέχεσθαι μέγα, καὶ θεῖον δῶρον. εἰ δ' αὐτὸς οὔτε πλούτου δεῖ δι' αὐτάρκειαν. οὔτε δόξαν ἀρχῆς καὶ δυναστείας ἐζήλωκας, κρείττονα τὴν ἀπ' ἀρετῆς ἔχων. ἀλλ' ὑπηρεσίαν γε θεοῦ τὸ βασιλεύειν ἡγούμενος, ὅς γε ἀνίστησι καὶ οὐκ ἐᾷ κεῖσθαι καὶ ἀργεῖν τὴν ἐν σοὶ τοσαύτην δικαιοσύνην. μὴ φεῦγε, μηδὲ ἀποδίδρασκε τὴν ἀρχήν, ἀνδρὶ φρονίμῳ πράξεων καλῶν καὶ μεγάλων οὖσαν χώραν. ἐν ᾗ καὶ θεραπεῖαι θεῶν μεγαλοπρεπεῖς εἰσὶ καὶ πρὸς εὐσέβειαν ἀνθρώπων ἡμερώσεις, ῥᾷστα καὶ τάχιστα μετακοσμουμένων ὑπὸ τοῦ κρατοῦντος. οὗτοι καὶ τάτιον ἔστερξαν ἐπήλυν ἡγεμόνα. καὶ τὴν ῥωμύλου μνήμην ἀποθεοῦσι ταῖς τιμαῖς. τίς δὲ οἶδεν εἰ καὶ νικῶντι δήμῳ, πολέμου κόρος ἔσται. καὶ μεστοὶ θριάμβων καὶ λαφύρων γεγονότες, ἡγεμόνα πρᾶον, καὶ δίκης ἑταῖρον, ἐπ' εὐνομίᾳ καὶ εἰρήνῃ ποθοῦσιν. εἰ δὲ δὴ καὶ παντάπασιν ἀκρατῶς ἔχουσι, καὶ μανικῶς πρὸς πόλεμον, ἆρ' οὐχὶ βέλτιον ἀλλαχόσε τὴν ὁρμὴν αὐτῶν τρέπειν δεῖ χειρὸς ἔχοντα τὰς ἡνίας. τῇ δὲ πατρίδι καὶ παντὶ τῷ σαβίνων ἔθνει σύνδεσμον εὐνοίας καὶ φιλίας πρὸς πόλιν ἀκμάζουσαν καὶ δυνατὴν γενέσθαι, τούτοις πρόσεστιν ὡς λέγεται σημεῖά τε χρηστὰ καὶ σπουδὴ τῶν πολιτῶν καὶ ζῆλος ὡς ἐπύθοντο τὴν πρεσβείαν, δεομένων βαδίζειν καὶ παραλαμβάνειν τὴν βασιλείαν, ἐπὶ κοινωνίᾳ καὶ συγκράσει τῶν πολιτῶν. ὡς οὖν ἐδέδοκτο, θύσας τοῖς θεοῖς προῆγεν εἰς τὴν ῥώμην. ἀπήντα δὲ ἡ βουλὴ καὶ ὁ δῆμος, ἔρωτι θαυμαστῷ τοῦ ἀνδρός, εὐφημίαι τε πρέπουσαι γυναικῶν ἐγίνοντο καὶ θυσίαι πρὸς ἱεροῖς καὶ χαρὰ πάντων. ὡς πρὸς οὐ βασιλέα τῆς πόλεως, ἀλλὰ βασιλείαν δεχομένης. ἐπεὶ δὲ εἰς τὴν ἀγορὰν κατέστησαν, ὁ μὲν ταῖς ὥραις ἐκείναις συνειληχὼς μεσοβασιλεύς, σπόριος οὐέττιος, ψῆφον ἐπέδωκε τοῖς πολίταις καὶ πάντες ἤνεγκαν. προσφερομένων δὲ αὐτῷ τῶν βασιλικῶν παρασήμων, ἐπισχεῖν κελεύσας, ἔφη δεῖσθαι καὶ θεοῦ τὴν βασιλείαν ἐμπεδοῦντος αὐτῷ. παραλαβὼν δὲ μάντεις καὶ ἱερεῖς, ἀνέβαινεν εἰς τὸ καπιτώλιον. ταρπήϊον αὐτὸ λόφον οἱ τότε ῥωμαῖοι προσηγόρευον. ἐνταῦθα τῶν μάντεων ὁ πρωτεύων, τὸν μὲν, εἰς μεσημβρίαν τρέψας ἐγκεκαλυμμένον. αὐτὸς δὲ παραστὰς ἐξόπισθεν, καὶ τῇ δεξιᾷ τῆς κεφαλῆς ἐφαπτόμενος αὐτοῦ, κατηύξατο καὶ περιεσκόπει τὰ παρὰ τῶν θεῶν οἰωνοῖς ἢ συμβόλοις προφαινόμενα. πανταχόσε τὰς ὄψεις προσφέρων, σιγὴ δὲ ἄπιστος ἐν πλήθει τοσούτῳ τὴν ἀγορὰν κατεῖχε, καραδοκούντων καὶ συναιωρουμένων τῷ μέλλοντι. μέχρις οὗ προὐφάνησαν ὄρνιθες ἀγαθοὶ καὶ δεξιοὶ ἐπέτρεψαν. οὕτω δὴ τὴν βασιλικὴν ἀναλαβὼν ἐσθῆτα, κατέβαινε νουμᾶς εἰς τὸ πλῆθος ἀπὸ τῆς ἄκρας. ὅτε δὴ καὶ φωναὶ καὶ δεξιώσεις ἦσαν ὡς εὐσεβέστατον, καὶ θεοφιλέστατον δεχομένων. παραλαβὼν δὲ τὴν ἀρχήν, πρῶτον μὲν τὸ τῶν τριακοσίων σύστημα διέλυσεν, οὓς ῥωμύλος εἶχε ἀεὶ περὶ τὸ σῶμα, κέλερας προσηγόρευσεν. ὅ περ ἐστὶ ταχεῖς. οὔτε γὰρ ἀπιστεῖν πιστεύουσιν, οὔτε βασιλεύειν ἀπιστοῦντων ἠξίου. δεύτερον δὲ τοῖς οὖσιν ἱερεῦσι διὸς καὶ ἄρεος, τρίτον ῥωμύλου προσκατέστησεν. ὃν φλαμίνα κυϊρινάλιον ὠνόμασεν. ἐκάλουν δὲ καὶ τοὺς προγενεστέρους, φλαμίνας, ἀπὸ τῶν περικεφαλαίων πίλων, οὓς ἐπὶ ταῖς κεφαλαῖς φοροῦσι, πιλαμίνας τινὰς ὄντας, ὡς ἱστοροῦσι. τῶν ἑλληνικῶν ὀνομάτων, τότε μᾶλλον, ἢ νῦν τοῖς λατίνοις ἀνακεκραμένων. καὶ γὰρ ἃς ἐφόρουν οἱ βασιλεῖς λαίνας, ἡ ἰόβας, χλαίνας φησὶν εἶναι. καὶ τὸν ὑπηρετοῦντα τῷ ἱερῷ τοῦ διὸς, ἀμφιθαλῆ παῖδα, λέγεσθαι κάμιλλον ὡς καὶ τὸν ἑρμῆν οὕτως ἔνιοι

τῶν ἑλλήνων,

ἑλέσθαι Σαβῖνον, αὐτοὺς ἀποδείξαντας, ἢ παρασχεῖν Ῥωμαίους ἐκείνων ἑλομένων. καὶ βουλευσάμενοι καθ' ἑαυτούς, ἀποδεικνύουσιν ἐκ Σαβίνων, Νουμᾶν Πομπίλιον. ἄνδρα τῶν μὲν εἰς Ῥώμην ἀπῳκισμένων, οὐ γενόμενον. γνώριμον δ' οὕτω δι' ἀρετὴν ὄντα πᾶσιν, ὥστε τῶν ἑλομένων, προθυμότερον ὀνομασθέντος αὐτοῦ δέξασθαι τοὺς Σαβίνους. φράσαντες οὖν τῷ δήμῳ τὰ δεδογμένα, πρέσβεις ἐκπέμπουσι πρὸς τὸν ἄνδρα κοινῇ τοὺς πρωτεύοντας, ἀπ' ἀμφοτέρων, ἥκειν δεησομένους, καὶ παραλαβεῖν τὴν βασιλείαν. ἦν δὲ πόλεως μὲν ὁ Νουμᾶς, ἐπιφανοῦς ἐν Σαβίνοις τῆς Κυριτῶν. ἀφ' ἧς Κυρίτας Ῥωμαῖοι σφᾶς αὐτοὺς ἅμα τοῖς ἀνακερασθεῖσι Σαβίνοις προσηγόρευσαν. υἱὸς δὲ Πομπωνίου ἀνδρὸς εὐδοκίμου τεσσάρων ἀδελφῶν νεώτατος. ἡμέρᾳ δὲ γεγονὼς κατὰ δή τινα θείαν τύχην ἐν ᾗ τὴν Ῥώμην ἔκτισαν οἱ περὶ Ῥωμύλον. αὕτη δ' ἐστὶ πρὸ δεκαμιᾶς καλανδῶν μαΐων. φύσει δὲ πρὸς πᾶσαν ἀρετὴν εὖ κεκραμένος τὸ ἦθος, ἔτι μᾶλλον αὐτὸν ἐξημέρωσε, διὰ παιδείας καὶ κακοπαθείας, καὶ φιλοσοφίας. οὐ μόνον τὰ λοιδορούμενα πάθη τῆς ψυχῆς, ἀλλὰ καὶ τὴν εὐδοκιμοῦσαν ἐν τοῖς βαρβάροις βίαν καὶ πλεονεξίαν, ἐκποδὼν ποιησάμενος. ἀνδρείαν δὲ ἀληθῆ τὴν ὑπὸ λόγου τῶν ἐπιθυμιῶν ἐν αὐτῷ κάθειρξιν ἡγούμενος. ἐκ δὲ τούτου, πᾶσαν οἴκοθεν ἅμα τρυφὴν καὶ πολυτέλειαν ἐξελαύνων, παντὶ δὲ πολίτῃ καὶ ξένῳ χρῆσθαι παρέχων ἑαυτὸν ἄμεμπτον δικαστὴν καὶ σύμβουλον, αὐτὸς δ' ἑαυτῷ σχολάζοντι χρώμενος, οὐδὲ πρὸς ἡδυπαθείας καὶ πορισμούς, ἀλλὰ θεραπείαν θεῶν καὶ θεωρίαν διὰ λόγου, φύσεώς τε αὐτῶν καὶ δυνάμεως, ὄνομα μέγα καὶ δόξαν εἶχεν. ὥστε καὶ Τάτιον τὸν ἐν Ῥώμῃ συμβασιλεύσαντα Ῥωμύλῳ, μιᾶς αὐτῷ θυγατρὸς οὔσης Τατίας, ποιήσασθαι γαμβρὸν ἐκεῖνον. οὐ μὴν ἐπήρθη γε τῷ γάμῳ μετοικήσασθαι πρὸς τὸν πενθερόν. ἀλλ' αὐτοῦ περιέπων πατέρα γηραιὸν ἐν Σαβίνοις, ἐπέμενεν, ἅμα καὶ τῆς Τατίας ἑλομένης τὴν τοῦ ἀνδρὸς ἰδιώτου ὄντος ἡσυχίαν πρὸ τῆς ἐν Ῥώμῃ διὰ τὸν πατέρα τιμῆς καὶ δόξης. αὕτη μὲν οὖν λέγεται, τρίτῳ καὶ δεκάτῳ μετὰ τὸν γάμον ἔτει, τελευτῆσαι. ὁ δὲ Νουμᾶς ἐκλιπὼν τὰς ἐν ἄστει διατριβάς, ἀγραυλεῖν, τὰ πολλὰ καὶ πλανᾶσθαι μόνος ἤθελεν, ἐν ἄλσεσι θεῶν, καὶ λειμῶσιν ἱεροῖς καὶ τόποις ἐρήμοις ποιούμενος τὴν δίαιταν. ὅθεν οὐχ ἥκιστα τὴν ἀρχὴν ὁ περὶ τῆς θεᾶς ἔλαβε λόγος, ὡς ἄρα Νουμᾶς ἐκεῖνος, οὐκ ἀδημονίᾳ τινὶ ψυχῆς καὶ πλάνῃ τὸν μετὰ ἀνθρώπων ἀπολέλοιπε βίον ἀλλὰ σεμνοτέρας γεγευμένος ὁμιλίας, καὶ γάμων θείων ἠξιωμένος, ἠγερίᾳ δαίμονι συνὼν ἐρώσῃ καὶ συνδιαιτώμενος, εὐδαίμων ἀνὴρ καὶ τὰ θεῖα πεπνυμένος γέγονεν. ὅτι μὲν οὖν ταῦτα πολλοῖς τῶν πάνυ παλαιῶν μύθων ἔοικεν οὓς οἵ Φρύγες τε περὶ Ἄττεω, καὶ Βιθυνοὶ περὶ Ἡροδότου, καὶ περὶ Ἐνδυμίωνος Ἀρκάδες. ἄλλων τε πολλῶν εὐδαιμόνων δή τινων καὶ θεοφιλῶν γενέσθαι δοκούντων, παραλαβόντες ἠγάπησαν, οὐκ ἄδηλόν ἐστι. καί που λόγος ἔχει, τὸν θεόν, οὐ φίλιππον. οὐδὲ φίλορνιν, ἀλλὰ φιλάνθρωπον ὄντα τοῖς διαφερόντως ἀγαθοῖς ἐθέλειν συνεῖναι καὶ μὴ δυσχεραίνειν. μηδὲ ἀτιμάζειν, ἀνδρὸς θείου καὶ σώφρονος ὁμιλίαν. ὡς δὲ καὶ σώματος ἀνθρωπίνου καὶ ὥρας, ἔστι τις θεῷ καὶ δαίμονι, κοινωνία καὶ χάρις, ἔργον ἤδη καὶ τοῦτο πεισθῆναι. καίτοι δοκοῦσιν οὐκ ἀπιθάνως Αἰγύπτιοι διαιρεῖν. ὡς γυναικὶ μὲν οὐκ ἀδύνατον πνεῦμα πλησιάσαι θεοῦ, καί τινας ἐντεκεῖν ἀρχὰς γενέσεως, ἀνδρὶ δὲ οὐκ ἔστι σύμμιξις πρὸς θεόν, οὐδὲ ὁμιλία σώματος. ἀγνοοῦσι δὲ ὅτι τὸ μιγνύμενον ᾧ μίγνυται, τὴν ἴσην ἀνταποδίδωσι κοινωνίαν. οὐ μήν, ἀλλὰ φιλίαν γε πρὸς ἄνθρωπον εἶναι θεῶν, καὶ τὸν ἐπὶ ταύτῃ λεγόμενον ἔρωτα, καὶ φυόμενον, εἰς ἐπιμέλειαν ἤθους καὶ ἀρετῆς, πρέπον ἂν εἴη. καὶ οὐ πλημμελοῦσιν οἱ τὸν Φόρβαντα καὶ τὸν Ὑάκινθον. καὶ τὸν Ἄδμητον ἐρωμένους Ἀπόλλωνος γεγονέναι μυθολογοῦντες, ὥσπερ αὖ καὶ τὸν Σικυώνιον Ἱππόλυτον. οὗ δὴ καὶ φασίν, ὁσάκις τύχοι διαπλέων εἰς Κίρραν ἐκ Σικυῶνος, αὐτῷ χρᾶν τὴν Πυθίαν, οἷον αἰσθανομένου τοῦ θεοῦ καὶ χαίροντος, ἀποθεσπίζειν τόδε τὸ ἡρῷον. καὶ δ' αὖθ' Ἱππολύτοιο φίλον κάρα εἰς ἅλα βαίνει. Πινδάρου δὲ καὶ τῶν μελῶν ἐραστὴν γενέσθαι τὸν Πᾶνα μυθολογοῦσιν. ἀπέδωκε δέ τινα τιμήν, καὶ Ἀρχιλόχῳ καὶ Ἡσιόδῳ τελευτήσασι διὰ τὰς Μούσας, τὸ δαιμόνιον. Σοφοκλεῖ δὲ καὶ ζῶντι τὸν Ἀσκληπιὸν ἐπιξενωθῆναι λόγος ἐστί, πολλὰ μέχρι δεῦρο διασῴζων τεκμήρια, καὶ τελευτήσαντι τυχεῖν ταφῆς, ἄλλος θεὸς ὡς λέγεται παρέσχεν. ἆρα οὖν ἄξιόν ἐστι ταῦτα συγχωροῦντας ἐπὶ τούτων ἀπιστεῖν, εἰ Ζαλεύκῳ καὶ Μίνῳ. καὶ Ζωροάστρῃ. καὶ Νουμᾷ. καὶ Λυκούργῳ, βασιλείας κυβερνῶσι καὶ πολιτείας διακοσμοῦσιν εἰς τὸ αὐτὸ ἐφοίτα τὸ δαιμόνιον, ἢ τούτοις μὲν εἰκός ἐστι καὶ σπουδάζοντας θεοὺς ὁμιλεῖν, ἐπὶ διδασκαλίᾳ καὶ παραινέσει τῶν βελτίστων. ποιηταῖς δὲ καὶ λυρικοῖς μινυρίζουσιν, εἴπερ ἄρα χρῆσθαι παίζοντας. εἰ δὲ λέγει τις ἄλλως κατὰ Βακχυλίδην πλατεῖα κέλευθος. οὐδὲ γὰρ ἅτερος λόγος ἔχει τί φαῦλον ὃν περὶ Λυκούργου καὶ Νουμᾶ καὶ τοιούτων ἄλλων ἀνδρῶν λέγουσι τινές. ὡς δυσκάθεκτα καὶ δυσάρεστα πλήθη χειρούμενοι. καὶ μεγάλας ἐπιφέροντες ταῖς πολιτείαις καινοτομίας, προσεποιήσαντο τὴν ἀπὸ τοῦ θεοῦ δόξαν. αὐτοῖς ἐκείνοις πρὸς οὓς ἐσχηματίζοντο, σωτήριον οὖσαν. ἀλλὰ γὰρ ἔτος ἤδη διατελοῦντι τῷ Νουμᾷ τεσσαρακοστόν, ἧκον ἀπὸ Ῥώμης οἱ πρέσβεις παρακαλοῦντες ἐπὶ τὴν βασιλείαν. τοὺς δὲ λόγους ἐποιήσατο Πρόκλος, καὶ Οὐέλεσος. ὧν πρότερον ἐπίδοξος ἦν ὁ δῆμος, αἱρήσεσθαι τὸν ἕτερον βασιλέα. Πρόκλῳ μὲν τῶν Ῥωμύλου λαῶν. Οὐελέσῳ δὲ τῶν Τατίου μάλιστα προσεχόντων. οὗτοι μὲν οὖν βραχέα διελέχθησαν, οἰόμενοι τῷ Νουμᾷ τὴν εὐτυχίαν ἀσπαζομένῳ γεγονέναι. ἦν δ' οὐ μι-

Mendosus, ut ur, locus: pro οὗ uidetur legendum ᾧ. et vox illa αὐτῷ abundare.

ΕΤΙ δὲ καὶ περὶ τῶν νουμᾶ τοῦ βασιλέως χρόνων καθ᾽ οὓς γέγονε, νεανικὴ διαφορά. καίπερ ἐξ ἀρχῆς εἰς τοῦτον καταγεσθαι τῶν στεμμάτων ἀκριβῶς δοκούντων. ἀλλὰ κλώδιός τις ἐν ἐλέγχῳ χρόνων. οὕτω γάρ πως ἐπιγέγραπται τὸ βιβλίον, ἰσχυρίζεται τὰς μὲν ἀρχαίας ἐκείνας ἀναγραφὰς, ἐν τοῖς κελτικοῖς πάθεσι τῆς πόλεως ἠφανίσθαι. τὰς δὲ νῦν φαινομένας, οὐκ ἀληθῶς συγκεῖσθαι, δι᾽ ἀνδρῶν χαριζομένων τισὶν, εἰς τὰ πρῶτα γένη καὶ τοὺς ἐπιφανεστάτους οἴκους ἐξ οὐ προσηκόντων εἰσβιαζομένοις.

λεγομένου δ᾽ οὖν ὡς νουμᾶς γένοιτο πυθαγόρου συνήθης, οἱ μὲν, ὅλως ἀξιοῦσι, μηδὲν ἑλληνικῆς παιδεύσεως, νουμᾷ μετεῖναι, καθάπερ ἢ φύσει δυνατὸν καὶ αὐτάρκη γενέσθαι πρὸς ἀρετὴν, ἢ βελτίονι πυθαγόρου βαρβάρῳ τινὶ τὴν τοῦ βασιλέως ἀποδοῦναι παίδευσιν. οἱ δὲ, πυθαγόραν μὲν ὀψὲ γενέσθαι καὶ τῶν νουμᾶ χρόνων, ὁμοῦ τι πέντε γενεαῖς ἀπολειπόμενον. πυθαγόραν δὲ τὸν σπαρτιάτην, ὀλύμπια νενικηκότα στάδιον ἤδη τῆς ἑκκαιδεκάτης ὀλυμπιάδος, ἧς ἔτει τρίτῳ νουμᾶς εἰς τὴν βασιλείαν κατέστη, πλανηθέντα περὶ τὴν ἰταλίαν συγγενέσθαι τῷ νουμᾷ, καὶ συνδιακοσμῆσαι τὴν βασιλείαν. ὅθεν οὐκ ὀλίγα τοῖς ῥωμαϊκοῖς ἐπιτηδεύμασι τῶν λακωνικῶν ἀναμεμῖχθαι, πυθαγόρου διδάξαντος. ἄλλως δὲ νουμᾶς, γένος μὲν ἦν ἐκ σαβίνων. σαβῖνοι δὲ βούλονται λακεδαιμονίων ἑαυτοὺς ἀποίκους γεγονέναι. τοὺς μὲν οὖν χρόνους ἐξακριβῶσαι, χαλεπόν ἐστι καὶ μάλιστα τοὺς ἐκ τῶν ὀλυμπιονικῶν ἀναγομένους. ὧν τὴν ἀναγραφὴν ὀψέ φασιν ἱππίαν ἐκδοῦναι τὸν ἠλεῖον, ἀπ᾽ οὐδενὸς ὁρμώμενον ἀναγκαίου, πρὸς πίστιν. ἃ δὲ παρειλήφαμεν ἄξια λόγου ἡμεῖς περὶ νουμᾶ, δίειμεν. ἀρχὴν οἰκείαν λαβόντες. ἕβδομον ἐνιαυτὸν ἡ ῥώμη, καὶ τριακοστὸν ἤδη, ῥωμύλου βασιλεύοντος ᾠκεῖτο. πέμπτῃ δὲ ἱσταμένου μηνὸς, ἣν νῦν ἡμέραν, νώνας καπρατίνας καλοῦσι, θυσίαν τινὰ δημοτελῆ πρὸ τῆς πόλεως ὁ ῥωμύλος ἔθυε, περὶ τὸ καλούμενον αἰγὸς ἕλος. καὶ παρῆν ἥ τε βουλὴ καὶ τοῦ δήμου τὸ πλεῖστον. ἐξαίφνης δὲ μεγάλης περὶ τὸν ἀέρα τροπῆς γενομένης καὶ νέφους ἐπὶ τὴν γῆν ῥυέντος, ἅμα πνεύματι καὶ ζάλῃ, τὸν μὲν ἄλλον ὅμιλον ἐκπλαγέντα, συνέβη φυγεῖν, καὶ σκεδασθῆναι. τὸν δὲ ῥωμύλον, ἀφανῆ γενέσθαι. καὶ μήτε αὐτὸν ἔτι, μήτε σῶμα τεθνηκότος εὑρεθῆναι. χαλεπὴν δὲ τὴν ὑπόνοιαν ἅψασθαι τῶν πατρικίων. καὶ ῥυῆναι λόγον ἐν τῷ δήμῳ κατ᾽ αὐτῶν, ὡς πάλαι βαρυνόμενοι τῷ βασιλεύεσθαι καὶ μεταστῆσαι τὸ κράτος εἰς ἑαυτοὺς θέλοντες, ἀνέλοιεν τὸν βασιλέα, καὶ γὰρ ἐδόκει τραχύτερον ἤδη προσφέρεσθαι καὶ μοναρχικώτερον αὐτοῖς. ἀλλὰ ταύτην μὲν τὴν ὑποψίαν ἐθεράπευον εἰς θεῶν τιμὰς ἀνάγοντες. ὡς οὐ τεθνηκότα τὸν ῥωμύλον, ἀλλὰ κρείττονος ὄντα μοίρας. καὶ πρόκλος ἀνὴρ ἐπιφανὴς διωμόσατο ῥωμύλον ἰδεῖν εἰς οὐρανὸν σὺν τοῖς ὅπλοις ἀναφερόμενον. καὶ φωνῆς ἀκοῦσαι κελεύοντος αὐτὸν ὀνομάζεσθαι κυρῖνον. ἑτέρα δὲ ταραχὴ καὶ στάσις κατελάμβανε τὴν πόλιν ὑπὲρ τοῦ μέλλοντος ἀποδειχθήσεσθαι βασιλέως, οὔπω τῶν ἐπηλύδων κομιδῇ τοῖς πρώτοις συγκεκραμένων πολίταις. ἀλλ᾽ ἔτι τοῦ τε δήμου πολλὰ κυμαίνοντος ἐν ἑαυτῷ, καὶ τῶν πατρικίων ἐν ὑποψίαις ἐκ τοῦ διαφόρου πρὸς ἀλλήλους ὄντων. οὐ μὴν ἀλλὰ βασιλεύεσθαι μὲν ἐδόκει πᾶσιν. ἤριζον δὲ καὶ διέστησαν οὐχ ὑπὲρ ἀνδρὸς μόνου, ἀλλὰ καὶ γένους, ὁπότερον παρέξει τὸν ἡγεμόνα. καὶ γὰρ οἱ μετὰ ῥωμύλου πρῶτοι συνοικήσαντες τὴν πόλιν, οὐκ ἀνασχετὸν ἐποιοῦντο πόλεως καὶ χώρας τοὺς σαβίνους μεταλαβόντας, ἄρχειν βιάζεσθαι τῶν ἤδη ταῦτα δεξαμένων. καὶ τοῖς σαβίνοις, ἦν τις εὐγνώμων λόγος. ἐπεὶ τατίου τοῦ βασιλέως αὐτῶν ἀποθανόντος, οὐκ ἐστασίασαν πρὸς ῥωμύλον, ἀλλ᾽ εἴασαν ἄρχειν μόνον, αὖθις ἀξιούντων τὸν ἄρχοντα γενέσθαι παρ᾽ αὐτῶν. ὅτε γὰρ ἐκ ταπεινοτέρων κρείττοσι προσγενέσθαι καὶ προσγενόμενοι, πλήθει τε ῥῶσαι, καὶ προαγαγεῖν εἰς ἀξίωμα πόλεως ἐκείνους μεθ᾽ ἑαυτῶν. ὑπὲρ μὲν οὖν τούτων ἐστασίαζον. ὅπως δὲ μὴ σύγχυσιν ἐκ τῆς ἀναρχίας ἡ στάσις ἀπεργάσηται μετεώρου τοῦ πολιτεύματος, ἔταξαν οἱ πατρίκιοι πεντήκοντα καὶ ἑκατὸν ὄντων αὐτῶν, ἐν μέρει ἕκαστον τοῖς βασιλικοῖς παρασήμοις κοσμούμενον, θύειν τε τοῖς θεοῖς τὰ νενομισμένα καὶ χρηματίζειν, ἓξ μὲν ὥρας τῆς νυκτός. ἓξ δὲ τῆς ἡμέρας κυρίνῳ. καὶ ἡ διανομὴ τῶν καιρῶν, ἑκατέρου πρὸς ἰσότητα καλῶς ἔχειν ἐδόκει τοῖς ἄρχουσι, καὶ πρὸς τὸν δῆμον ἡ μεταβολὴ τῆς ἐξουσίας ἀφαιρεῖν τὸν φθόνον, ὁρῶντα τῆς αὐτῆς ἡμέρας καὶ νυκτὸς τὸν αὐτὸν ἰδιώτην ἐκ βασιλέως γενόμενον. τὸ δὲ σχῆμα τοῦτο τῆς ἀρχῆς μεσοβασιλείαν ῥωμαῖοι καλοῦσιν. ἀλλὰ καίπερ οὕτως πολιτικῶς καὶ ἀνεπαχθῶς ἀφηγεῖσθαι δοκοῦντες, ὑπονοίαις καὶ θορύβοις περιέπιπτον ὡς μεθιστάντες εἰς ὀλιγαρχίαν τὰ πράγματα, καὶ διαπαιδαγωγοῦντες ἐν σφίσιν αὐτοῖς τὴν πολιτείαν. βασιλεύεσθαι δὲ οὐκ ἐθέλοντες. ἐκ τούτου συνέβησαν ἀμφότεραι πρὸς ἀλλήλας αἱ στάσεις, ὥστε τὴν ἑτέραν ἐκ τῆς ἑτέρας ἀποδεῖξαι βασιλέα. μάλιστα γὰρ ἂν οὕτως ἔν τε τῷ παρόντι παύσασθαι τὴν φιλονεικίαν, καὶ τὸν ἀποδειχθέντα πρὸς ἀμφοτέρους ἴσον γενέσθαι, τοὺς μὲν, ὡς ἑλομένους ἀγαπῶντα. τοῖς δὲ, εὐνοοῦντα, διὰ συγγένειαν. ἐπιτρεψάντων δὲ προτέροις τοῖς ῥωμαίοις τῶν σαβίνων τὴν αἵρεσιν, ἔδοξε μᾶλλον

μονίους δ' ἂν ἁμαρτάνωσιν οὗτοι, δέρεσθαι. καὶ τοῦτο μὲν εἴρηται χάριν τοῦ γελοίου. ἀντισθένης δὲ ὁ σωκρατικὸς ἀπὸ τῆς ἐν λεύκτροις μάχης ὁρῶν τοὺς θηβαίους μέγα φρονοῦντας, οὐδὲν αὐτοὺς ἔφη διαφέρειν παιδαρίων ἐπὶ τῷ συγκόψαι τὸν παιδαγωγὸν γαυριώντων. οὐ μὴν τοῦτό γε τῷ λυκούργῳ κεφάλαιον ἦν τότε πλείστων ἡγουμένων ἀπολιπεῖν τὴν πόλιν. ἀλλ' ὥσπερ ἑνὸς ἀνδρὸς βίῳ καὶ πόλεως ὅλης νομίζων εὐδαιμονίαν ἀπ' ἀρετῆς ἐγγίνεσθαι καὶ ὁμονοίας τῆς πρὸς αὑτήν, πρὸς τοῦτο συνέταξε καὶ συνήρμοσεν. ὅπως ἐλευθέριοι καὶ αὐτάρκεις γενόμενοι καὶ σωφρονοῦντες, ἐπὶ πλεῖστον χρόνον διατελῶσι. ταύτην καὶ πλάτων ἔλαβε τῆς πολιτείας ὑπόθεσιν. καὶ διογένης. καὶ ζήνων. καὶ πάντες ὅσοι τι περὶ τούτων ἐπιχειρήσαντες εἰπεῖν, ἐπαινοῦνται, γράμματα καὶ λόγους ἀπολιπόντες μόνον. ὁ δὲ, οὐ γράμματα καὶ λόγους, ἀλλ' ἔργῳ πολιτείαν ἀμίμητον, εἰς φῶς προενεγκάμενος. καὶ τοῖς ἀνύπαρκτον εἶναι τὴν λεγομένην περὶ τὸν σοφὸν διάθεσιν ὑπολαμβάνουσιν, ἐπιδείξας ὅλην τὴν πόλιν φιλοσοφοῦσαν, εἰκότως ὑπερῆρε τῇ δόξῃ τοὺς πώποτε πολιτευσαμένους ἐν τοῖς ἕλλησι. διὸ καὶ ἀριστοτέλης, ἐλάττονας ἔχειν φησὶ τιμὰς, ἢ προσῆκον ἦν αὐτὸν ἔχειν ἐν λακεδαίμονι, καίπερ ἔχοντα τὰς μεγίστας. ἱερόν τε γάρ ἐστιν αὐτοῦ. καὶ θύουσι καθ' ἕκαστον ἐνιαυτὸν ὡς θεῷ. λέγεται δὲ καὶ τῶν λειψάνων αὐτοῦ κομισθέντων, οἴκαδε, κεραυνὸν εἰς τὸν τάφον κατασκῆψαι. τοῦτο δὲ οὐ ῥαδίως ἑτέρῳ τινὶ τῶν ἐπιφανῶν, πλὴν εὐριπίδῃ συμπεσεῖν ὕστερον, τελευτήσαντι. καὶ ταφέντι τῆς μακεδονίας περὶ ἀρέθουσαν. ὥστε ἀπολόγημα καὶ μαρτύριον μέγα εἶναι τοῖς ἀγαπῶσι τὸν εὐριπίδην τὸ, μόνῳ συμπεσεῖν αὐτῷ μετὰ τελευτὴν, καὶ γενέσθαι ἃ τῷ θεοφιλεστάτῳ, καὶ ὁσιωτάτῳ πρότερον συνέπεσε. τελευτῆσαι δὲ τὸν λυκοῦργον, οἱ μὲν ἐν κίρρᾳ λέγουσιν. ἀπολλόθεμις δὲ εἰς ἦλιν κομισθέντα. τίμαιος δὲ καὶ ἀριστόξενος, ἐν κρήτῃ καταβιώσαντα. καὶ τάφον ἀριστόξενος αὐτοῦ δείκνυσθαι φησιν ὑπὸ κρητῶν τῆς περγαμίας περὶ τὴν ξενικὴν ὁδόν. υἱὸν δὲ λέγεται μονογενῆ καταλιπεῖν ἀντίωρον. οὗ τελευτήσαντος ἀτέκνου, τὸ γένος ἐξέλιπεν. οἱ δὲ ἑταῖροι καὶ οἰκεῖοι διαδοχήν τινα καὶ σύνοδον ἐπὶ πολλοὺς χρόνους, διαμένουσαν κατέστησαν. καὶ τὰς ἡμέρας ἐν αἷς συνήρχοντο, λυκουργίδας προσηγόρευσαν. ἀριστοκράτης δὲ ὁ ἱππάρχου φησὶ τοὺς ξένους, τοῦ λυκούργου τελευτήσαντος ἐν κρήτῃ, καῦσαι τὸ σῶμα καὶ διασπεῖραι τὴν τέφραν εἰς τὴν θάλασσαν. αὐτοῦ δεηθέντος καὶ φυλαξαμένου μή ποτε ἄρα τῶν λειψάνων εἰς λακεδαίμονα κομισθέντων, ὡς ἐπανήκοντος αὐτοῦ, καὶ τῶν ὅρκων λελυμένων, μεταβάλλωσι τὴν πολιτείαν. ταῦτα μὲν οὖν περὶ τοῦ λυκούργου.

ρᾳν εἰργάσθαι. καὶ μέγιστον τῇ πόλει προστῆσαι κίνδυνον. οὐ γὰρ ἔγωγε προσθείην Λυκούργῳ μιαρὸν
οὕτω τῆς κρυπτείας ἔργον, ἀπὸ τῆς ἄλλης αὐτοῦ πρᾳότητος καὶ δικαιοσύνης τεκμαιρόμενος τὸν τρό-
πον, ᾧ καὶ τὸ δαιμόνιον ἐπιμαρτυρῆσαι. Κατειλημμένων δὲ τοῖς ἐθισμοῖς ἤδη τῶν κυριωτάτων ὑπ'
αὐτοῦ. καὶ τῆς πολιτείας ἐκτεθραμμένης ἱκανῶς, καὶ δυναμένης φέρειν ἑαυτὴν καὶ σώζειν δι' ἑαυ-
τῆς, ὥσπερ ὁ Πλάτων φησὶν ἐπὶ τῷ κόσμῳ γενομένῳ, καὶ κινηθέντι τὴν πρώτην κίνησιν, εὐφραν-
θῆναι τὸν θεόν. οὕτως ἀγασθεὶς καὶ ἀγαπήσας τὸ τῆς νομοθεσίας κάλλος, καὶ μέγεθος ἐν ἔργῳ γενομένης
καὶ ὁδῷ βαδιζούσης, ἐπεθύμησεν ὡς ἀνυστὸν ἐξ ἀνθρωπίνης προνοίας, ἀθάνατον αὐτὴν ἀπολιπεῖν,
καὶ ἀκίνητον εἰς τὸ μέλλον. συναγαγὼν οὖν ἅπαντας εἰς ἐκκλησίαν, τὰ μὲν ἄλλα μετρίως ἔχειν ἔφη καὶ
ἱκανῶς πρὸς εὐδαιμονίαν καὶ ἀρετὴν τῆς πόλεως. ὃ δὲ κυριώτατόν ἐστι καὶ μέγιστον, οὐκ ἂν ἐξενεγκεῖν
πρότερον πρὸς αὐτούς, ἢ χρήσασθαι τῷ θεῷ. δεῖν οὖν ἐκείνους ἐμμένειν τοῖς καθεστῶσι νόμοις, καὶ μη-
δὲν ἀλλάσσειν, μήτε μετακινεῖν, ἕως ἐπάνεισιν ἐκ Δελφῶν αὐτός. ἐπανελθὼν γάρ, ὅ τι ἂν τῷ θεῷ δο-
κῇ ποιήσειν. ὁμολογούντων δὲ πάντων καὶ κελευόντων βαδίζειν, ὅρκους λαβὼν παρὰ τῶν βασιλέ-
ων καὶ τῶν γερόντων, ἔπειτα παρὰ τῶν ἄλλων πολιτῶν, ἐμμένειν καὶ χρήσεσθαι τῇ καθεστώσῃ πο-
λιτείᾳ μέχρις ἂν ἐπανέλθῃ ὁ Λυκοῦργος, ἀπῆρεν εἰς Δελφούς. παραγενόμενος δὲ πρὸς τὸ μαντεῖον
καὶ τῷ θεῷ θύσας, ἠρώτησεν εἰ καλῶς οἱ νόμοι καὶ ἱκανῶς πρὸς εὐδαιμονίαν καὶ ἀρετὴν πόλεως
κείμενοι τυγχάνουσιν. ἀποκριναμένου δὲ τοῦ θεοῦ, καὶ τοὺς νόμους καλῶς κεῖσθαι καὶ τὴν πόλιν ἐνδο-
ξοτάτην διαμένειν τῇ Λυκούργου χρωμένην πολιτείᾳ, τὸ μάντευμα γραψάμενος, εἰς Σπάρτην ἀπέ-
στειλεν. αὐτὸς δὲ τῷ θεῷ πάλιν θύσας καὶ τοὺς φίλους ἀσπασάμενος καὶ τὸν υἱόν, ἔγνω μηκέτι τοῖς
πολίταις ἀφεῖναι τὸν ὅρκον. αὐτοῦ δὲ καταλῦσαι τὸν βίον ἑκουσίως, ἡλικίας γεγονὼς ἐν ᾗ καὶ βιοῦν
ἔτι καὶ πεπαῦσθαι, βουλομένοις, ὡραῖόν ἐστι. καὶ τῶν περὶ αὐτὸν ἱκανῶς πρὸς εὐδαιμονίαν ἔχειν
δοκούντων. ἐτελεύτησεν οὖν ἀποκαρτερήσας, ἡγούμενος χρῆναι τῶν πολιτικῶν ἀνδρῶν, μὴ δὲ τὸν θά-
νατον, ἀπολίτευτον εἶναι. μὴ δὲ ἀργὸν τὸ τοῦ βίου τέλος. ἀλλ' ἐν ἀρετῆς μερίδι καὶ πράξεως γενόμενον.
αὐτῷ τε γὰρ ἐξειργασμένῳ τὰ κάλλιστα, τὴν τελευτὴν ὡς ἀληθῶς ἐπὶ τελείωσιν εἶναι τῆς εὐδαι-
μονίας. καὶ τοῖς πολίταις ὧν διὰ τοῦ βίου παρεσκεύασε καλῶν καὶ ἀγαθῶν, φύλακα τὸν θάνατον
ἀπολείψειν, ὀμωμοκόσι χρῆσθαι τῇ πολιτείᾳ μέχρις ἂν ἐκεῖνος ἐπανέλθῃ. καὶ οὐ διεψεύσθη τῶν λο-
γισμῶν. τοσοῦτον γὰρ ἐπρώτευσεν ἡ πόλις τῆς Ἑλλάδος εὐνομίᾳ καὶ δόξῃ, χρόνῳ ἐτῶν πεντακοσίων,
τοῖς Λυκούργου χρωμένη νόμοις. οὓς δεκατεσσάρων βασιλέων μετ' ἐκεῖνον, εἰς Ἆγιν τὸν Ἀρχιδάμου γενο-
μένων, οὐδεὶς ἐκίνησεν. ἡ γὰρ τῶν ἐφόρων κατάστασις, οὐκ ἄνεσις ἦν, ἀλλ' ἐπίτασις τῆς πολιτείας. καὶ
δοκοῦσα πρὸς τοῦ δήμου γεγονέναι, σφοδροτέραν ἐποίησε τὴν ἀριστοκρατίαν. Ἄγιδος δὲ βασιλεύοντος,
εἰσερρύη νόμισμα πρῶτον εἰς τὴν Σπάρτην. καὶ μετὰ τοῦ νομίσματος, πλεονεξία καὶ πλούτου ζῆλος,
ἐπέβη δι' Ἀλέξανδρον. Μᾶλλον δὲ διὰ Λύσανδρον. ὃς αὐτὸς ὢν ἀνάλωτος ὑπὸ χρημάτων, ἐνέπλη-
σε τὴν πατρίδα φιλοπλουτίας. καὶ τρυφῆς, καὶ χρυσὸν. καὶ ἄργυρον ἐκ τοῦ πολέμου καταγαγών,
καὶ τοὺς Λυκούργου καταπολιτευσάμενος νόμους, ὧν ἐπικρατούντων πρότερον, οὐ πόλεως ἡ Σπάρ-
τη πολιτείαν, ἀλλ' ἀνδρὸς ἀσκητοῦ καὶ σοφοῦ βίον ἔχουσα. μᾶλλον δὲ ὥσπερ οἱ ποιηταί, τὸν Ἡρα-
κλέα μυθολογοῦσι, δέρμα καὶ ξύλον ἔχοντα τὴν οἰκουμένην ἐπιπορεύεσθαι, κολάζοντα τοὺς παρανό-
μους καὶ θηριώδεις τυράννους, οὕτως ἡ πόλις ἀπὸ σκυτάλης μιᾶς καὶ τρίβωνος, ἄρχουσα τῆς Ἑλ-
λάδος ἑκούσης καὶ βουλομένης, κατέλυσε τὰς ἀδίκους δυναστείας καὶ τυραννίδας ἐν τοῖς πολιτεύ-
μασι. καὶ πολέμους ἐβράβευε, καὶ στάσεις κατέπαυε πολλάκις, οὐδ' ἀσπίδα κινήσασα μίαν, ἀλλ' ἕνα
πέμψασα πρεσβευτήν, ᾧ πάντες εὐθὺς ἐποίουν τὸ προστασσόμενον, ὥσπερ αἱ μέλισσαι φανέντος ἡ-
γεμόνος, συντρέχοντες καὶ κατακοσμούμενοι. τοσοῦτον περιῆν εὐνομίας τῇ πόλει καὶ δικαιοσύ-
νης. ὅθεν ἔγωγε θαυμάζω τῶν λεγόντων, ὡς ἄρχεσθαι μὲν ᾔδεσαν, ἄρχειν δὲ οὐκ ἠπίσταντο Λακεδαιμό-
νιοι. καὶ τὸν Θεοπόμπου τοῦ βασιλέως ἐπαινούντων λόγον, ὃς εἰπόντος τινός, σώζεσθαι τὴν Σπάρτην,
διὰ τοὺς βασιλεῖς, ἀρχικοὺς γεγονότας. μᾶλλον εἶπε διὰ τοὺς πολίτας, πειθαρχικοὺς ὄντας. οὐ γὰρ ἀ-
κούειν ὑπομένουσι τῶν προστατεῖν μὴ δυναμένων, ἀλλ' ἡ πειθαρχία μάθημα μέν ἐστιν ἄρχοντος. ἐμ-
ποιεῖ γὰρ ὁ καλῶς ἄγων, τὸ καλῶς ἕπεσθαι. καὶ καθάπερ ἱππικῆς τέχνης ἀποτέλεσμα, πρᾷον ἵπ-
πον καὶ πειθήνιον παρασχεῖν, οὕτω βασιλικῆς ἐπιστήμης ἔργον, εὐπείθειαν ἐργάσασθαι. Λακεδαιμό-
νιοι δέ, οὐκ εὐπείθειαν ἀλλ' ἐπιθυμίαν ἐνειργάζοντο τοῖς ἄλλοις τοῦ ἄρχεσθαι, καὶ ὑπακούειν αὐτοῖς.
ᾔτουν γάρ, οὐ ναῦς. οὔτε χρήματα παρ' αὐτῶν, οὐδὲ ὁπλίτας πέμποντες, ἀλλὰ ἕνα Σπαρτιάτην ἡγε-
μόνα. καὶ λαβόντες ἐχρῶντο μετὰ τιμῆς καὶ δέους. ὥσπερ Γυλίππῳ Σικελιῶται. καὶ Βρασίδᾳ, Χαλ-
κιδεῖς. Λυσάνδρῳ δὲ καὶ Καλλικρατίδᾳ καὶ Ἀγησιλάῳ, πάντες οἱ τὴν Ἀσίαν οἰκοῦντες. τοὺς μὲν ἄνδρας,
ἁρμοστὰς καὶ σωφρονιστὰς τῶν ἑκασταχοῦ δήμων καὶ ἀρχόντων ὀνομάζοντες. πρὸς δὲ σύμπασαν τὴν τῶν
Σπαρτιατῶν πόλιν, ὥσπερ παιδαγωγὸν ἢ διδάσκαλον εὐσχήμονος βίου, καὶ τεταγμένης πολιτεί-
ας, ἀποβλέποντες. εἰς ὃ καὶ Στρατόνικος ἐπισκῶψαι δοκεῖ, μετὰ παιδιᾶς νομοθετῶν καὶ κελεύων
Ἀθηναίους ἄγειν μυστήρια καὶ πομπάς. Ἠλείους δὲ ἀγωνοθετεῖν, ὡς κάλλιστα τοῦτο ποιοῦντας. Λακεδαι-

τῆς ἀρετῆς διὰ βίου. τὸ σύμπαν ὡς εἰπεῖν κράτος ἐν τῇ πολιτείᾳ, κύριον ὄντα καὶ θανάτου καὶ ἀτιμίας, καὶ ὅλως τῶν μεγίστων. ἐγίνετο δὲ ἡ κρίσις τόνδε τὸν τρόπον. ἐκκλησίας ἀθροισθείσης, ἄνδρες αἱρετοὶ καθείργνυντο πλησίον εἰς οἴκημα, τὴν ὄψιν μὲν οὐχ ὁρῶντες οὐδὲ ὁρώμενοι, τὴν δὲ κραυγὴν μόνον ἀκούοντες ἐκκλησιαζόντων. (π.) βοῇ γὰρ ὡς τἆλλα, καὶ τοὺς ἁμιλλωμένους ἔκρινον, οὐχ ὁμοῦ πάντων, ἀλλ᾽ ἑκάστου κατὰ κλῆρον εἰσαγομένου, καὶ σιωπῇ διαπορευομένου τὴν ἐκκλησίαν. ἔχοντες οὖν οἱ κατάκλειστοι γραμματεῖα, καθ᾽ ἕκαστον ἐπισημαίνοντο τῆς κραυγῆς τὸ μέγεθος, οὐκ εἰδότες ὅτῳ γίνοιτο, πλὴν ὅτι πρῶτος, ἢ δεύτερος, ἢ τρίτος, ἢ ὁποστοσοῦν εἴη τῶν εἰσαγομένων, ὅτῳ δὲ πλείστη γένοιτο καὶ μεγίστη, τοῦτον ἀνηγόρευον. ὁ δὲ στεφανωσάμενος περιῄει τοὺς θεούς. εἵποντο δὲ πολλοὶ νέοι, ζηλοῦντες τὸν ἄνδρα καὶ μεγαλύνοντες. πολλαὶ δὲ γυναῖκες ἐγκωμιάζουσαι δι᾽ ᾠδῆς τὴν ἀρετὴν, καὶ τὸν βίον εὐδαιμονίζουσαι, τῶν δὲ ἐπιτηδείων ἕκαστος αὐτῷ δεῖπνον παρατιθεὶς ἔλεγεν, ὅτι ταύτῃ ἡ πόλις τιμᾷ τῇ τραπέζῃ. (π.) περιελθὼν δὲ εἰς τὸ συσσίτιον ἀπῄει. καὶ τὰ μὲν ἄλλα ἐγίνετο συνήθως. δευτέρας δὲ μερίδος αὐτῷ παρατεθείσης ἐφύλαττεν ἀνάμενος. καὶ μετὰ τὸ δεῖπνον, ἐπὶ ταῖς θύραις τοῦ φιδιτίου τῶν οἰκείων παρουσῶν γυναικῶν, ἣν μάλιστα τυγχάνει τιμῶν, προσκαλεῖ. καὶ διδοὺς τὴν μοῖραν ἔλεγεν, ὅτι ταύτην αὐτὸς λαβὼν ἀριστεῖον, ἐκείνῃ δίδωσιν, ὥστε καὶ ἐκείνην ζηλουμένην, ὑπὸ τῶν ἄλλων προπέμπεσθαι γυναικῶν. καὶ μὴν καὶ περὶ τὰς ταφὰς, ἄριστα διεκόσμησεν αὐτός. πρῶτον μὲν γὰρ ἀνελὼν δεισιδαιμονίαν ἅπασαν, ἐν τῇ πόλει θάπτειν τοὺς νεκροὺς, καὶ πλησίον ἔχειν τὰ μνήματα τῶν ἱερῶν, οὐκ ἐκώλυσε. συντρόφους ποιῶν ταῖς τοιαύταις ὄψεσι καὶ συνήθεις τοὺς νέους. ὥστε μὴ ταράττεσθαι, μηδ᾽ ὀρρωδεῖν τὸν θάνατον, ὡς μιαίνοντα τοὺς ἁψαμένους νεκροῦ σώματος, ἢ διὰ τάφων διελθόντας. ἔπειτα συνθάπτειν οὐδὲν εἴασεν, ἀλλ᾽ ἐν φοινικίδι καὶ φύλλοις ἐλαίας, θέντες τὸ σῶμα, περιέστελλον. ἐπιγράψαι δὲ τοὔνομα θάψαντας οὐκ ἐξῆν τοῦ νεκροῦ. πλὴν ἀνδρὸς ἐν πολέμῳ καὶ γυναικὸς τῶν ἱερῶν ἀποθανόντων. χρόνον δὲ πένθους, ὀλίγον προσώρισεν, ἡμέρας ἕνδεκα. τῇ δὲ δωδεκάτῃ θύσαντας ἔδει Δήμητρι, λύειν τὸ πένθος. οὐδὲν γὰρ ἦν ἀργὸν οὐδ᾽ ἀφειμένον, ἀλλὰ πᾶσι κατέμιγνυε τοῖς ἀναγκαίοις, ἀρετῆς τινα ζῆλον, ἢ κακίας διαβολήν. καὶ κατεπύκνου, παραδειγμάτων πλήθει τὴν πόλιν. οἷς ἀναγκαῖον ἦν ἐντυγχάνοντας ἀεὶ καὶ συντρεφομένους, ἄγεσθαι, καὶ κατασχηματίζεσθαι ἰόντας πρὸς τὸ καλόν. ὅθεν οὐδ᾽ ἀποδημεῖν ἔδωκε τοῖς βουλομένοις καὶ πλανᾶσθαι, ξενικὰ συνάγοντας ἤθη, καὶ μιμήματα βίων ἀπαιδεύτων, καὶ πολιτευμάτων διαφοράς.

Ἀλλὰ καὶ τοὺς ἀθροιζομένους ἐπ᾽ οὐδενὶ χρησίμῳ καὶ παρεισρέοντας εἰς τὴν πόλιν, ἀπήλαυνεν. οὐχ ὡς Θουκυδίδης φησὶ δεδιὼς μὴ τῆς πολιτείας μιμηταὶ γένωνται, καὶ πρὸς ἀρετήν τι χρήσιμον ἐκμάθωσιν. ἀλλὰ μᾶλλον ὅπως μὴ διδάσκαλοι κακοῦ τινος ὑπάρξωσιν. ἅμα γὰρ ξένοις σώμασιν, ἀνάγκη λόγους ἐπεισιέναι ξένους. λόγοι δὲ καινοὶ, κρίσεις καινὰς ἐπιφέρουσιν. ἐξ ὧν ἀνάγκη, πάθη πολλὰ φύεσθαι, καὶ προαιρέσεις ἀπᾳδούσας πρὸς τὴν καθεστῶσαν πολιτείαν, ὥσπερ ἁρμονίαν. διὸ μᾶλλον ᾤετο χρῆναι φυλάττειν τὴν πόλιν, ὡς ἠθῶν οὐκ ἀναπλησθήσεται πονηρῶν, ἢ σωμάτων νοσερῶν, ἔξωθεν ἐπεισιόντων. ἐν μὲν οὖν τούτοις, οὐδέν ἐστιν ἀδικίας ἴχνος οὐδὲ πλεονεξίας. ἣν ἐγκαλοῦσιν ἔνιοι τοῖς Λυκούργου νόμοις. ὡς ἱκανῶς ἔχουσι πρὸς ἀνδρείαν, ἐνδεῶς δὲ πρὸς δικαιοσύνην. ἡ δὲ καλουμένη κρυπτεία παρ᾽ αὐτοῖς, εἴγε δὴ καὶ τοῦτο τῶν Λυκούργου πολιτευμάτων ἕν ἐστιν, ὡς Ἀριστοτέλης ἱστόρηκε, ταύτην ἂν εἴη καὶ τῷ Πλάτωνι περὶ τῆς πολιτείας, καὶ τοῦ ἀνδρὸς ἀνειργασμένη δόξαν. ἦν δὲ τοιαύτη. τῶν νέων οἱ ἄρχοντες διὰ χρόνου τοὺς μάλιστα νοῦν ἔχειν δοκοῦντας, εἰς τὴν χώραν ἄλλως ἐξέπεμπον, ἔχοντας ἐγχειρίδια καὶ τροφὴν ἀναγκαίαν, ἄλλο δὲ οὐδέν. οἱ δὲ, μεθ᾽ ἡμέραν μὲν εἰς ἀσυνδήλους διεσπειρόμενοι τόπους, ἀπέκρυπτον ἑαυτοὺς καὶ ἀνεπαύοντο. νύκτωρ δὲ κατιόντες εἰς τὰς ὁδοὺς, τῶν εἱλώτων τὸν ἁλισκόμενον ἀπέσφαττον. πολλάκις δὲ καὶ τοῖς ἀγροῖς ἐπιπορευόμενοι, τοὺς ῥωμαλεωτάτους καὶ κρατίστους αὐτῶν, ἀνῄρουν. ὥσπερ καὶ Θουκυδίδης ἐν τοῖς Πελοποννησιακοῖς ἱστορεῖ, τοὺς ἐπ᾽ ἀνδρείᾳ προκριθέντας ὑπὸ τῶν Σπαρτιατῶν, στεφανώσασθαι μὲν, ὡς ἐλευθέρους γεγονότας, καὶ περιελθεῖν τὰ τῶν θεῶν ἱερά. μικρὸν δὲ ὕστερον, ἅπαντας ἀφανεῖς γενέσθαι, πλείονας ἢ δισχιλίους ὄντας. ὡς μήτε παραχρῆμα, μήτε ὕστερον ἔχειν τινὰ λέγειν, ᾧ τρόπῳ διεφθάρησαν. Ἀριστοτέλης δὲ μάλιστά φησι, καὶ τοὺς ἐφόρους ὅταν εἰς τὴν ἀρχὴν καταστῶσι, πρῶτον τοῖς εἵλωσι καταγγέλλειν πόλεμον, ὅπως εὐαγὲς ᾖ τὸ ἀνελεῖν, καὶ τἆλλα δὲ τραχέως προσεφέροντο καὶ σκληρῶς αὐτοῖς. ὥστε καὶ πίνειν ἀναγκάζοντες πολὺν ἄκρατον, εἰς τὰ συσσίτια παρεισῆγον, ἐπιδεικνύμενοι τὸ μεθύειν οἷόν ἐστι τοῖς νέοις. καὶ ᾠδὰς ἐκέλευον ᾄδειν καὶ χορείας χορεύειν ἀγεννεῖς καὶ καταγελάστους, ἀπέχεσθαι δὲ τῶν ἐλευθέρων. διὸ καί φασιν ὕστερον ἐν τῇ Θηβαίων εἰς τὴν Λακωνικὴν στρατείᾳ, τοὺς ἁλισκομένους εἵλωτας, κελευομένους ᾄδειν τὰ Τερπάνδρου, καὶ Ἀλκμᾶνος, καὶ Σπένδοντος τοῦ Λάκωνος, παραιτεῖσθαι, φάσκοντας, οὐκ ἐθέλειν τοὺς δεσποσύνους. ὥστε τοὺς λέγοντας ἐν Λακεδαίμονι, καὶ τὸν ἐλεύθερον, μάλιστα ἐλεύθερον εἶναι, καὶ τὸν δοῦλον, μάλιστα δοῦλον, οὐ φαύλως τεθεωρηκέναι τὴν διαφοράν. τὰς μὲν οὖν τοιαύτας χαλεπότητας, ὕστερον γενέσθαι τοῖς Σπαρτιάταις νομίζω, μάλιστα μετὰ τὸν μέγαν σεισμὸν, ᾧ συνεπιθέσθαι τοὺς εἵλωτας μετὰ Μεσσηνίων ἱστοροῦσι, καὶ πλεῖστα κακὰ τὴν χώ-

αἰράμενος π. | ἀράμενος κ.ς. — ὥστε π. κ. — συνθάπτειν π. — ὀλίγον. H. Suspecta mihi uox illa ἱερῶν est. — π. ἢ δὲ κ. — π. τὰς — δεσποσύνους. π. κ. ς. H.

ταγμένος μάχωνται τοῖς πολεμίοις. τρεψάμενοι δὲ καὶ νικήσαντες ἐδίωκον, ὅσον ἐμβεβαιώσασθαι τὸ νίκημα τῇ φυγῇ τῶν πολεμίων. εἶτα εὐθὺς ἀνεχώρουν. οὔτε γενναῖον, οὔτε ἑλληνικὸν ἡγούμενοι κόπτειν καὶ φονεύειν ἀπολεγομένους καὶ παρακεχωρηκότας. ἦν δὲ οὐ μόνον καλὸν τοῦτο καὶ μεγαλόψυχον, ἀλλὰ καὶ χρήσιμον. εἰδότες γὰρ οἱ μαχόμενοι πρὸς αὐτοὺς, ὅτι τοὺς ὑφισταμένους ἀναιροῦσι, φείδονται δὲ τῶν ἐνδιδόντων, τοῦ μένειν, τὸ φεύγειν, ἡγοῦντο λυσιτελέστερον. αὐτὸν δὲ τὸν Λυκοῦργον Ἱππίας μὲν ὁ σοφιστὴς πολεμικώτατον φησὶ γενέσθαι, καὶ πολλῶν ἔμπειρον στρατειῶν. Φιλοστέφανος δὲ καὶ τὴν κατ᾽ οὐλαμοὺς τῶν ἱππέων νομὴν, Λυκούργῳ προστίθησιν. εἶναι δὲ τὸν οὐλαμὸν ὡς ἐκεῖνος ἔταξεν, ἱππέων πεντήκοντα τὸ πλῆθος ἐν τετραγώνῳ σχήματι τεταγμένον. ὁ δὲ Φαληρεὺς Δημήτριος οὐδεμιᾶς ἁψάμενον πολεμικῆς πράξεως, ἐν εἰρήνῃ καταστήσασθαι τὴν πολιτείαν. ἔοικε δὲ τῆς ὀλυμπιακῆς ἐκεχειρίας ἡ ἐπίνοια πρᾴου, καὶ πρὸς εἰρήνην ἔχοντος οἰκείως ἀνδρὸς εἶναι. καίτοι φασί τινες ὡς Ἕρμιππος μνημονεύει, τὸν Λυκοῦργον, οὐ προσέχειν οὐδὲ κοινωνεῖν ἐν ἀρχῇ τοῖς περὶ τὸν Ἴφιτον, ἀλλὰ τυγχάνειν ἄλλως ἐπιδημοῦντα καὶ θεώμενον. ἀκοῦσαι δὲ φωνὴν ὡς περ ἀνθρώπου τινὸς ἐξόπισθεν ἐπιτιμῶντος αὐτῷ καὶ θαυμάζοντος, ὅτι τοὺς πολίτας οὐ προτρέπεται κοινωνεῖν τῆς πανηγύρεως. ὡς δὲ μεταστραφέντος, οὐδαμοῦ φανερὸς ὁ φθεγξάμενος ἦν, θεῖον ἡγησάμενον, οὕτω πρὸς τὸν Ἴφιτον τραπέσθαι, καὶ συνδιακοσμήσαντα τὴν ἑορτὴν ἐνδοξοτέραν καὶ βεβαιοτέραν καταστῆσαι. ἡ δὲ παιδεία μέχρι τῶν ἐνηλίκων διέτεινεν. οὐδεὶς γὰρ ἦν ἀφειμένος ὡς ἐβούλετο ζῆν. ἀλλ᾽ οἷον ἐν στρατοπέδῳ τῇ πόλει καὶ δίαιταν ἔχοντες ὡρισμένην, καὶ διατριβὴν περὶ τὰ κοινά. καὶ ὅλως νομίζοντες οὐκ αὐτῶν, ἀλλὰ τῆς πατρίδος εἶναι, διετέλουν, εἰ μή τι πράττειν ἕτερον προστεταγμένοι, ἐπισκοποῦντες τοὺς παῖδας, καὶ διδάσκοντές τι τῶν χρησίμων, ἢ μανθάνοντες αὐτοὶ παρὰ τῶν πρεσβυτέρων. καὶ γὰρ ἓν τι τοῦτο τῶν καλῶν ἦν καὶ μακαρίων, ἃ παρεσκεύασε τοῖς ἑαυτοῦ πολίταις ὁ Λυκοῦργος, ἀφθονίαν σχολῆς. οἷς τέχνης μὲν ἅψασθαι βαναύσου, τὸ παράπαν οὐκ ἐξῆν. χρηματισμοῦ δὲ συναγωγὴν ἔχοντος ἐργώδη, καὶ πραγματείαν, οὐδ᾽ ὁτιοῦν ἔδει, διὰ τὸ κομιδῇ τὸν πλοῦτον ἄζηλον γεγονέναι καὶ ἄτιμον. οἱ δὲ εἵλωτες αὐτοῖς εἰργάζοντο τὴν γῆν, ἀποφορὰν τὴν εἰρημένην τελοῦντες. ἐπιδημῶν δέ τις Ἀθήνησι δικαστηρίων ὄντων, καὶ πυθόμενός τινα δίκην ἀργίας ὠφληκότα βαδίζειν ἀθυμοῦντα, καὶ προπεμπόμενον ὑπὸ τῶν φίλων συναχθομένων καὶ βαρέως φερόντων, ἐδεῖτο δεῖξαι τοὺς συμπαρόντας αὐτῷ, τίς ἐστιν ὁ τὴν ἐλευθερίαν ἑαλωκὼς δίκην. οὕτω δουλοπρεπὲς ἡγοῦντο τὴν περὶ τὰς τέχνας καὶ τὸν χρηματισμὸν ἀδολεσχίαν. δίκαι δὲ ὡς εἰκὸς ἐξέλιπον ἅμα τῷ νομίσματι, μήτε πλεονεξίας μήτε χρείας αὐτοῖς παρούσης. ἰσότητος δὲ ἐν εὐπορίᾳ, καὶ ῥαστώνης δι᾽ εὐτέλειαν γεγενημένης. χοροὶ δὲ καὶ θαλίαι, καὶ εὐωχίαι, καὶ διατριβαὶ περί τε θήρας, καὶ γυμνάσια, καὶ λέσχας, τὸν ἅπαντα χρόνον ἐπεχωρίαζον, ὅτε μὴ στρατευόμενοι τύχοιεν. οἱ μέν γε νεώτεροι τριάκοντα ἐτῶν, τὸ παράπαν οὐ κατέβαινον εἰς ἀγοράν, ἀλλὰ διὰ τῶν συγγενῶν καὶ τῶν ἐραστῶν ἐποιοῦντο τὰς ἀναγκαίας οἰκονομίας. τοῖς δὲ πρεσβυτέροις, αἰσχρὸν ἦν, συνεχῶς ὁρᾶσθαι περὶ ταῦτα διατρίβουσιν. ἀλλὰ τὸ μὴ πλεῖστον τῆς ἡμέρας, περὶ γυμνάσια καὶ τὰς καλουμένας λέσχας ἀναστρέφεσθαι. καὶ γὰρ εἰς ταύτας συνιόντες ἐπιεικῶς, ἐσχόλαζον μετ᾽ ἀλλήλων, οὐδενὸς μεμνημένοι τῶν πρὸς χρηματισμὸν, ἢ χρείαν ἀγοραῖον συντελούντων. ἀλλὰ τὸ πλεῖστον ἦν, τῆς τοιαύτης διατριβῆς ἔργον, ἐπαινεῖν τι τῶν καλῶν, ἢ τῶν αἰσχρῶν ψέγειν μετὰ παιδιᾶς καὶ γέλωτος, ἐλαφρῶς ὑποφέροντος εἰς νουθεσίαν καὶ διόρθωσιν. οὐδὲ γὰρ αὐτὸς ἦν ἀκράτως αὐστηρὸς ὁ Λυκοῦργος, ἀλλὰ καὶ τὸ τοῦ γέλωτος ἀγαλμάτιον, ἐκεῖνον ἱδρύσασθαι, Σωσίβιος ἱστορεῖ. τὴν παιδιὰν ὥσπερ ἥδυσμα τοῦ πόνου καὶ τῆς διαίτης, ἐμβαλόντα κατὰ καιρὸν εἰς τὰ συμπόσια καὶ τὰς τοιαύτας διατριβάς. τὸ δὲ ὅλον εἴθιζε τοὺς πολίτας μὴ βούλεσθαι μήτε ἐπίστασθαι κατ᾽ ἰδίαν ζῆν. ἀλλ᾽ ὥσπερ τὰς μελίττας τῷ κοινῷ συμφυεῖς ὄντας ἀεὶ καὶ μετ᾽ ἀλλήλων εἰλουμένους περὶ τὸν ἄρχοντα, μικροῦ δεῖν ἐξεστῶτας ἑαυτῶν ὑπ᾽ ἐνθουσιασμοῦ καὶ φιλοτιμίας, ὅλους εἶναι τῆς πατρίδος. ὡς ἔστι καὶ φωναῖς τισὶν αὐτῶν ἀποθεωρῆσαι τὴν διάνοιαν. ὁ μὲν γὰρ Παιδάρητος οὐκ ἐγκριθεὶς εἰς τοὺς τριακοσίους, ἀπῄει μάλα φαιδρὸς ὥσπερ χαίρων, ὅτι βελτίονας αὐτοῦ τριακοσίους ἡ πόλις ἔχει. Πολυστρατίδας δὲ ὁ πρεσβεύων πρὸς τοὺς βασιλέως στρατηγοὺς μεθ᾽ ἑτέρων, ἐρομένων αὐτῶν, πότερον ἰδίᾳ πάρεισιν, ἢ δημοσίᾳ πεμφθέντες, εἶπεν. αἴκεν τύχωμεν, δημοσίᾳ. αἴκεν ἀποτύχωμεν, ἰδίᾳ. ἡ δὲ Βρασίδου μήτηρ Ἀργιλεωνὶς ὡς ἀφικόμενοί τινες εἰς Λακεδαίμονα τῶν ἐξ Ἀμφιπόλεως, εἰσῆλθον πρὸς αὐτήν, ἠρώτησεν εἰ καλῶς ὁ Βρασίδας ἀπέθανε, καὶ τῆς Σπάρτης ἀξίως. μεγαλυνόντων δὲ ἐκείνων τὸν ἄνδρα, καὶ λεγόντων, ὡς οὐκ ἔχει τοιοῦτον ἄλλον ἡ Σπάρτη, μὴ λέγετε εἶπεν ὦ ξένοι. καλὸς μὲν γὰρ ἦν καὶ ἀγαθὸς ὁ Βρασίδας. πολλοὺς δὲ ἄνδρας Λακεδαίμων ἔχει τήνου κἀρρέονας. τοὺς δὲ γέροντας, αὐτὸς μὲν ὡς εἴρηται κατέστησε τὸ πρῶτον ἐκ τῶν μετασχόντων τοῦ βουλεύματος. ὕστερον δὲ, ἀντὶ τοῦ τελευτῶντος, ἔταξε καθιστάναι τὸν ἄριστον ἀρετῇ κριθέντα, τῶν ὑπὲρ ἑξήκοντα ἔτη γεγονότων. καὶ μέγιστος ἐδόκει τῶν ἐν ἀνθρώποις ἀγώνων, οὗτος εἶναι καὶ περιμαχητότατος. οὐ γὰρ ἐν ταχέσι τάχιστον. οὐδὲ ἰσχυροῖς, ἰσχυρότατον. ἀλλ᾽ ἐν ἀγαθοῖς καὶ σώφροσιν, ἄριστον καὶ σωφρονέστατον, ἔδει κριθέντα, νικητήριον ἔχειν

οὐδὲν ἔλεγεν. ὁ εἰδὼς ἔφη λόγον, καὶ καιρὸν οἶδεν. ἃ δὲ τῶν πικρῶν ἔφην ἀπομνημονευμάτων οὐκ ἀμοιρεῖν χάριτος, τοιαῦτ' ἐστί. δημάρατος ἀνθρώπου πονηροῦ σκώπτοντος αὐτὸν ἀκαίροις ἐρωτήμασι. καὶ δὴ τοῦτο πολλάκις ἐρωτῶντος, τίς ἄριστος σπαρτιατῶν, ἔφη. ὅ τι ἀνομοιότατος. ἆγις δὲ ἐπαινούντων τινῶν τοὺς ἠλείους, ὡς καλῶς τὰ ὀλύμπια καὶ δικαίως ἄγοντας, καὶ τί μέγα ἔφη ἠλεῖοι ποιοῦντι, δι' ἐτῶν πέντε, ἁμέρα μία χρώμενοι τᾷ δικαιοσύνᾳ. θεόπομπος δὲ, ξένου τινὸς εὔνοιαν ἐνδεικνυμένου καὶ φάσκοντος ὡς παρὰ τοῖς αὐτοῦ πολίταις φιλολάκων καλεῖται, καλὸν ἦν ξεῖπεν ὦ ξένε φιλοπολίταν, καλεῖσθαι. πλειστῶναξ δὲ ὁ παυσανίου, ῥήτορος ἀθηναίου τοὺς λακεδαιμονίους ἀμαθεῖς ἀποκαλοῦντος, ὀρθῶς ἔφη λέγεις. μόνοι γὰρ ἑλλήνων ἡμεῖς, οὐδὲν κακὸν μεμαθήκαμεν παρ' ὑμῶν. ἀρχιδαμίδας δὲ πρὸς τὸν πυθόμενον πόσοι εἰσὶ σπαρτιᾶται, ἱκανοὶ εἶπεν ὦ ξένε τοὺς κακοὺς ἀπερύκειν. ἔστι δὲ καὶ τοῖς μετὰ παιδιᾶς εἰρημένοις ὑπ' αὐτῶν, τεκμήρασθαι τὸν ἐθισμόν. εἰθίζοντο γὰρ μηδέποτε χρῆσθαι τῷ λόγῳ παρέργως. μηδὲ ἀφιέναι φωνὴν ἥτις οὐκ ἀμωσγέπως, ἔχει τινὸς θεωρίας ἀξίαν διάνοιαν. ὁ μὲν γὰρ ἀκοῦσαι τοῦ μιμουμένου τὴν ἀηδόνα παρακαλούμενος, αὐτᾶς ἔφη ἄκηκα τήνας.

» ὁ δὲ ἀναγνοὺς τὸ ἐπίγραμμα τοῦτο. Σβεννύντας ποτὲ τούσδε, τυραννίδα, χάλκεος ἄρης εἷλε. σελινοῦντος δ' ἀμφὶ πύλας, ἔθανον. δικαίως εἶπε τεθνάκαντι τοὶ ἄνδρες. ἔδει γὰρ ἀφέμεν ὅλαν αὐτὰν κατακαῆμεν. νεανίσκος δὲ πρὸς τὸν ἐπαγγελλόμενον αὐτῷ δώσειν ἀλεκτρυόνας ἀποθνήσκοντας ἐν τῷ μάχεσθαι. μὴ σύ γε εἶπεν, ἀλλὰ δός μοι τῶν ἀποκτεινόντων, ἐν τῷ μάχεσθαι. ἕτερος δέ τις ἰδὼν θακεύοντας ἐν ἀποχωρήσει ἐπὶ δίφρων ἀνθρώπους. μὴ γένοιτο εἶπεν ἐν ταῦθα καθίσαι, ὅθεν οὐκ ἔστιν ὑπεξαναστῆναι πρεσβυτέρῳ. τὸ μὲν οὖν τῶν ἀποφθεγμάτων εἶδος, ἦν τοιοῦτον. ὥστε καὶ λέγειν τινὰς οὐκ ἀτόπως, ὅτι μᾶλλον ἐστὶ τὸ φιλοσοφεῖν, ἢ τὸ φιλογυμναστεῖν, λακωνίζειν. ἡ δὲ περὶ τὰς ᾠδὰς καὶ τὰ μέλη παίδευσις, οὐχ ἧττον ἐσπουδάζετο τῆς ἐν τοῖς λόγοις εὐζηλίας καὶ καθαριότητος. ἀλλὰ καὶ τὰ μέλη κέντρον εἶχεν ἐγερτικὸν θυμοῦ καὶ παραστατικὸν ὁρμῆς ἐνθουσιώδους, καὶ πραγματικῆς. καὶ ἡ λέξις ἦν ἀφελὴς, καὶ ἄθρυπτος, ἐπὶ πράγμασι σεμνοῖς καὶ ἠθοποιοῖς. ἔπαινοι γὰρ ἦσαν ὡς τὰ πολλὰ τῶν τεθνηκότων ὑπὲρ τῆς σπάρτης εὐδαιμονιζομένων. καὶ ψόγοι τῶν τρεσάντων ὡς ἀλγεινὸν καὶ κακοδαίμονα βιούντων βίον. ἐπαγγελία τε καὶ μεγαλαυχία πρὸς ἀρετὴν, πρέπουσα ταῖς ἡλικίαις. ὧν, ἕνεκα δείγματος, οὐχεῖρον ἐστὶν ἓν τι προσενέγκασθαι. τριῶν γὰρ χορῶν κατὰ τὰς τρεῖς ἡλικίας συνισταμένων ἐν ταῖς ἑορταῖς. ὁ μὲν, τῶν γερόντων, ἀρχόμενος, ἦδεν. ἄμμες ποτ' ἦμες ἄλκιμοι νεανίαι. ὁ δὲ τῶν ἀκμαζόντων ἀμειβόμενος, ἔλεγεν. ἄμμες δέ γ' εἰμέν. αἰ δὲ λῇς, πεῖραν λαβέ. ὁ δὲ τρίτος. ὁ τῶν παίδων. ἄμμες δέ γ' ἐσόμεθα, πολλῷ κάρρονες. ὅλως δὲ αὖ τις ἐπιστήσας τοῖς λακωνικοῖς ποιήμασιν, ὧν ἔτι καθ' ἡμᾶς ἔνια διεσώζετο, καὶ τοὺς ἐμβατηρίους ῥυθμοὺς ἀναλαβὼν οἷς ἐχρῶντο πρὸς τὸν αὐλὸν ἐπάγοντες τοῖς πολεμίοις, οὐ κακῶς ἡγήσαιτο, καὶ τὸν τέρπανδρον καὶ

» τὸν πίνδαρον τὴν ἀνδρείαν τῇ μουσικῇ συνάπτειν. ὁ μὲν γὰρ, οὕτως πεποίηκε περὶ τῶν λακεδαιμονίων.

» ἔνθ' αἰχμά τε νέων θάλλει, καὶ μοῦσα λίγεια. καὶ δίκα εὐρυάγυια. Πίνδαρος δέ φησιν, ἔνθα βουλαὶ γερόντων. καὶ νέων ἀνδρῶν ἀριστεύοντων. αἰχμαὶ καὶ χοροὶ καὶ μοῦσαι. καὶ ἀγλαΐα μουσικωτάτους γὰρ ἅμα καὶ πολεμικωτάτους, ἀποφαίνουσιν αὐτούς. ἕρπει γὰρ ἄντα τῶ σιδάρω, τὸ καλῶς κιθαρίσδειν, ὡς ὁ λακωνικὸς ποιητὴς εἴρηκε. καὶ γὰρ ἐν ταῖς μάχαις προεθύετο ταῖς μούσαις ὁ βασιλεύς. ἀναμιμνήσκων ὡς ἔοικε τῆς παιδείας καὶ τῶν κρίσεων, ἵνα ὦσι πρόχειροι παρὰ τὰ δεινὰ, καὶ λόγου τινὸς ἀξίας παρέχωσι τὰς πράξεις τῶν μαχομένων. τότε δὲ καὶ τοῖς νέοις τὰ σκληρότατα τῆς ἀγωγῆς ἐπανιέντες, οὐκ ἐκώλυον καλλωπίζεσθαι περὶ κόμην. καὶ κόσμον ὅπλων καὶ ἱματίων. χαίροντες ὡς περ ἵπποις γαυρουμένοις καὶ φρυαττομένοις πρὸς τοὺς ἀγῶνας. διὸ κομῶντες εὐθὺς ἐκ τῆς τῶν ἐφήβων ἡλικίας, μάλιστα περὶ τοὺς κινδύνους ἐθεράπευον τὴν κόμην, λιπαράν τε φαίνεσθαι καὶ διακεκριμένην, ἀπομνημονεύοντές τινα, καὶ λυκούργου λόγον, περὶ τῆς κόμης. ὅτι τοὺς μὲν καλοὺς, εὐπρεπεστέρους ποιεῖ. τοὺς δὲ αἰσχροὺς, φοβερωτέρους. ἐχρῶντο δὲ καὶ γυμνασίοις μαλακωτέροις παρὰ τὰς στρατείας. καὶ τὴν ἄλλην δίαιταν οὐχ οὕτω κεκολασμένην οὐδ' ὑπεύθυνον τοῖς νέοις παρεῖχον. ὥστε μόνοις ἀνθρώπων ἐκείνοις τῆς εἰς τὸν πόλεμον ἀσκήσεως, ἀνάπαυσιν εἶναι τὸν πόλεμον. ἤδη δὲ συντεταγμένης ἅμα τῆς φάλαγγος αὐτῶν. καὶ τῶν πολεμίων παρόντων, ὁ βασιλεὺς ἅμα τήν τε χίμαιραν ἐσφαγίαζετο, καὶ στεφανοῦσθαι παρήγγελλε πᾶσι, καὶ τοὺς αὐλητὰς, αὐλεῖν ἐκέλευε τὸ καστόρειον μέλος. ἅμα δ' ἐξῆρχεν ἐμβατηρίου παιᾶνος. ὥστε σεμνὴν ἅμα καὶ καταπληκτικὴν τὴν ὄψιν εἶναι. ῥυθμῷ τε πρὸς τὸν αὐλὸν ἐπιβαινόντων. καὶ μήτε διάσπασμα ποιούντων ἐν τῇ φάλαγγι, μήτε ταῖς ψυχαῖς θορυβουμένων, ἀλλὰ πράως καὶ ἱλαρῶς ὑπὸ τοῦ μέλους ἀγομένων ἐπὶ τὸν κίνδυνον. οὔτε γὰρ φόβον οὔτε θυμὸν ἐγγίγνεσθαι, πλεονάζοντα τοῖς οὕτω διακειμένοις εἰκός ἐστιν, ∴ ἀλλ' εὐσταθὲς φρόνημα μετ' ἐλπίδος καὶ θάρσους, ὡς τοῦ θεοῦ συμπαρόντος. ἐχώρει δὲ ὁ βασιλεὺς ἐπὶ τοὺς πολεμίους, ἔχων μεθ' ἑαυτοῦ στεφανίτην ἀγῶνα νενικηκότα. καὶ φασί γέ τινα χρημάτων πολλῶν ἐν ὀλυμπίοις διδομένων αὐτῷ, μὴ δεξάμενον, ἀλλὰ πολλῷ πόνῳ καταπαλαίσαντα τὸν ἀνταγωνιστὴν, ὥς τις εἶπεν αὐτῷ, τί σοι πλέον ὦ λάκων γέγονε διὰ τῆς νίκης. φάναι μειδιάσαντα, πρὸ τοῦ βασιλέως τε-

δὲ, εἰς τὰ τῶν ἀνδρῶν συσσίτια παρεισρέοντες, εὖ μάλα πανούργως καὶ πεφυλαγμένως, ἂν δ' ἁλῷ, πολλὰς λαμβάνει πληγὰς τῇ μάστιγι. ῥᾳθύμως δοκῶν κλέπτειν, καὶ ἀτέχνως. κλέπτουσι δὲ καὶ τῶν σιτίων, ὅ τι ἂν δύνωνται, μανθάνοντες εὐφυῶς ἐπιτίθεσθαι τοῖς καθεύδουσιν, ἢ ῥᾳθύμως φυλάσσουσι. τῷ δὲ ἁλόντι ζημία, πληγαὶ καὶ τὸ πεινῆν. γλίσχρον γὰρ αὐτοῖς ἐστι δεῖπνον, ὅπως δι' αὑτῶν ἀμυνόμενοι τὴν ἔνδειαν, ἀναγκάζωνται τολμᾶν, καὶ πανουργεῖν, καὶ τοῦτο μὲν, ἔργον τῆς ὀλιγοσιτίας. πάρεργον δέ φασι τὴν τῶν σωμάτων αὔξησιν. φέρεται γὰρ εἰς μῆκος, ὅταν τὸ πνεῦμα, μὴ πολλὴν ἔχῃ διατριβὴν καὶ ἀσχολίαν, ὑπὸ πλήθους τροφῆς εἰς βάθος, καὶ πλάτος πιεζόμενον. ἀλλ' ἄνω βαδίζῃ διὰ κουφότητα τοῦ σώματος ἐκλύτως καὶ ῥᾳδίως ἐπιδιδόντος. τὸ δ' αὐτὸ καὶ καλοὺς δοκεῖ ποιεῖν. αἱ γὰρ ἰσχναὶ, καὶ διάκενοι μᾶλλον ἕξεις ὑπακούουσι πρὸς τὴν διάρθρωσιν. αἱ δὲ ὀγκώδεις καὶ πολύτροφοι, διὰ βάρος ἀντιβαίνουσιν, ὥσπερ ἀμέλει καὶ τῶν ἐν τῷ κύειν καθαιρομένων γυναικῶν, ἰσχνὰ μὲν, εὐειδῆ δὲ καὶ γλαφυρὰ γίνεται τὰ βρέφη, διὰ τὴν ἐλαφρότητα τῆς ὕλης, κρατουμένης μᾶλλον ὑπὸ τοῦ τυποῦντος. ἀλλὰ γὰρ ἡ μὲν αἰτία τοῦ συμβαίνοντος, ἐν μέσῳ προκείσθω σκοπεῖν. οὕτω δὲ κλέπτουσι πεφροντισμένως οἱ παῖδες, ὥστε λέγεταί τις ἤδη σκύμνον ἀλώπεκος κεκλεφὼς, καὶ τῷ τρίβωνι περιστέλλων, σπαρασσόμενος ὑπὸ τοῦ θηρίου τὴν γαστέρα τοῖς ὄνυξι καὶ τοῖς ὀδοῦσιν, ὑπὲρ τοῦ λαθεῖν ἐγκαρτερῶν, ἀποθανεῖν, καὶ τοῦτο μὲν οὐδὲ ἀπὸ τῶν νῦν ἐφήβων, ἄπιστόν ἐστιν. ὧν πολλοὺς ἐπὶ τοῦ βωμοῦ τῆς ὀρθείας, ἑωράκαμεν ἀποθνήσκοντας ταῖς πληγαῖς. δειπνήσας δὲ ὁ εἴρην κατακείμενος, τῷ μὲν ᾆσαι προσέταξε τῶν παίδων. τῷ δὲ, ἐρώτημα προὔβαλε. πεφροντισμένης δεόμενον ἀποκρίσεως. οἷον ὅστις ἄριστος ἐν τοῖς ἀνδράσιν. ἢ ποία τις ἡ τοῦδε πρᾶξις, ἐκ τούτου δὲ καὶ κρίνειν τὰ καλὰ καὶ πολυπραγμονεῖν, εὐθὺς ἐξ ἀρχῆς εἰθίζοντο περὶ τῶν πολιτῶν. τὸ γὰρ ἐρωτηθέντα, τίς πολίτης ἀγαθὸς, ἢ τίς οὐκ εὐδόκιμος, ἀπορεῖν τοῦ ἀποκρίνασθαι, νωθρᾶς ἐποιοῦντο καὶ πρὸς ἀρετὴν ἀφιλοτίμου ψυχῆς σημεῖον. ἔδει δὲ τὴν ἀπόκρισιν καὶ μετ' αἰτίας εἶναι καὶ ἀποδείξεως, εἰς βραχύν τινα συνηγμένης λόγον καὶ σύντομον. ὁ δὲ πλημμελῶς ἐπιμελόμενος, ἐκολάζετο, δῆγμα λαμβάνων ὑπὸ τοῦ εἴρενος εἰς τὸν ἀντίχειρα. πολλάκις δὲ καὶ πρεσβυτέρων παρόντων καὶ ἀρχόντων, ὁ εἴρην ἐκόλαζε τοὺς παῖδας. ἀποδεικνὺς εἰ μετὰ λόγου, καὶ ὡς δεῖ κολάζει. καὶ κολάζων μὲν, οὐκ ἐκωλύετο. τῶν δὲ παίδων ἀπελθόντων, εὐθύνας ὑπεῖχεν εἰ τραχύτερον τοῦ δέοντος ἐπετίμησεν, ἢ τοὐναντίον ἐκλελυμένως καὶ ἀτόνως. ἐκοινώνουν δὲ οἱ ἐρασταὶ τοῖς παισὶ τῆς δόξης ἐπ' ἀμφότερα, καὶ λέγεταί ποτε παιδὸς ἐν τῷ μάχεσθαι φωνὴν ἀγεννῆ προεμένου, ζημιωθῆναι τὸν ἐραστὴν ὑπὸ τῶν ἀρχόντων. οὕτω δὲ τοῦ ἐρᾶν ἐγκεκριμένου παρ' αὐτοῖς, ὥστε καὶ τῶν παρθένων ἐρᾶν τὰς καλὰς καὶ ἀγαθὰς γυναῖκας, τὸ ἀντερᾶν οὐκ ἦν. ἀλλὰ μᾶλλον ἀρχὴν ἐποιοῦντο φιλίας πρὸς ἀλλήλους οἱ τῶν αὐτῶν ἐρασθέντες. καὶ διετέλουν κοινῇ σπουδάζοντες ὅπως ἄριστον ἀπεργάσαιντο τὸν ἐρώμενον. ἐδίδασκον δὲ τοὺς παῖδας καὶ λόγῳ χρῆσθαι πικρίαν ἔχοντι μεμιγμένην χάριτι. καὶ πολλὴν ἀπὸ βραχείας λέξεως ἀναθεώρησιν. τὸ μὲν γὰρ σιδηροῦν νόμισμα, μικρὰν ἔχειν ἐποίησεν ἀπὸ πολλοῦ σταθμοῦ δύναμιν, ὁ λυκοῦργος ὡς εἴρηται. τὸ δὲ τοῦ λόγου νόμισμα τοὐναντίον ἀπὸ εὐτελοῦς καὶ ὀλίγης λέξεως εἰς πολλὴν καὶ περιττὴν κατεσκεύασε διάνοιαν. τῇ πολλῇ σιωπῇ τοὺς παῖδας ἀποφθεγματικοὺς καὶ πεπαιδευμένους πρὸς τὰς ἀποκρίσεις μηχανώμενος. ὡς γὰρ τὸ σπέρμα, τῶν πρὸς τὰς συνουσίας ἀκολάστων, ἄγονον ὡς τὰ πολλὰ καὶ ἄκαρπόν ἐστιν, οὕτως ἡ πρὸς τὸ λαλεῖν ἀκρασία, κενὸν τὸν λόγον ποιεῖ καὶ ἀνόητον. ἆγις μὲν οὖν ὁ βασιλεὺς σκώπτοντος ἀττικοῦ τινὸς τὰς λακωνικὰς μαχαίρας εἰς τὴν μικρότητα, καὶ λέγοντος ὅτι ῥᾳδίως αὐτὰς οἱ θαυματοποιοὶ καταπίνουσιν ἐν τοῖς θεάτροις, καὶ μὴν μόλις εἶπεν ἡμεῖς ἐφικνούμεθα τοῖς ἐγχειριδίοις τῶν πολεμίων. ἐγὼ δὲ καὶ τὸν λόγον ὁρῶ τὸν λακωνικὸν, βραχὺν μὲν εἶναι δοκοῦντα, μάλιστα δὲ τῶν πραγμάτων ἐφικνούμενον, καὶ τῆς διανοίας ἁπτόμενον τῶν ἀκροωμένων, καὶ γὰρ αὐτὸς ὁ λυκοῦργος αὐτὸς βραχυλόγος τις ἔοικε γενέσθαι, καὶ ἀποφθεγματικός. εἰ δεῖ τεκμαίρεσθαι τοῖς ἀπομνημονεύμασιν, οἷόν ἐστι τὸ περὶ τὰς πολιτείας πρὸς τὸν ἀξιοῦντα ποιεῖν δημοκρατίαν ἐν τῇ πόλει. σὺ γὰρ ἔφη πρῶτος ἐν τῇ οἰκίᾳ σου, ποίησον δημοκρατίαν. καὶ τὸ περὶ τῶν θυσιῶν, πρὸς τὸν πυθόμενον, διὰ τί μικρὰς οὕτω καὶ εὐτελεῖς ἔταξεν, ἵνα μή ποτε ἔφη τιμῶντες τὸ θεῖον διαλίπωμεν. καὶ τὸ περὶ τῶν ἀθλημάτων, ταῦτα μόνα μὴ κωλύσαντος ἀγωνίζεσθαι τοὺς πολίτας, ἐν οἷς χεὶρ οὐκ ἀνατείνεται. φέρονται δὲ αὐτοῦ καὶ δι' ἐπιστολῶν ἀποκρίσεις τοιαῦται πρὸς τοὺς πολίτας. πῶς ἂν πολεμίων ἔφοδον ἀλέξοιμεθα. ἂν πτωχοὶ μὲν ἦτε μένητε, καὶ μὴ μέσσω ἅτερος θατέρω ἐρατείη. καὶ πάλιν περὶ τῶν τειχῶν, οὐκ ἂν εἴη ἀτείχιστος πόλις ἅτις ἀνδρείοις καὶ οὐ πλίνθοις ἐστεφάνωται. περὶ μὲν οὖν τούτων καὶ τῶν τοιούτων ἐπιστολῶν, οὔτε ἀπιστῆσαι ῥᾴδιον, οὔτε πιστεῦσαι. τῆς δὲ πρὸς τὰ μήκη τῶν λόγων διαβολῆς, δείγματα τοιαῦτα τῶν ἀποφθεγμάτων ἐστί. λεωνίδας ὁ βασιλεὺς ἀκαίρως τινὸς περὶ πραγμάτων οὐκ ἀχρήστων διαλεχθέντος, ὦ ξένε εἶπεν, οὐκ ἐν δέοντι χρῇ τῷ δέοντι. χαρίλαος δὲ ὁ ἀδελφιδοῦς τοῦ λυκούργου, περὶ τῆς ὀλιγότητος αὐτοῦ τῶν νόμων ἐρωτηθεὶς, εἶπεν. ὡς οἱ λόγοις μὴ χρώμενοι πολλοῖς, οὐδὲ νόμων δέονται πολλῶν. ἀρχιδαμίδας δὲ μεμφομένων τινῶν ἑκαταῖον τὸν σοφιστὴν, ὅτι παραληφθεὶς εἰς τὸ συσσίτιον οὐδὲν ἔλεγεν.

In libro ἀποφθεγμάτων Ita inquit Ἆγις ὁ νεώτερος Δημάδου λέγοντος ὅτι τὰ λακωνικὰ ξίφη διὰ μικρότητα καταπίνουσιν οἱ θαυματοποιοί, καὶ μὴν ἔφη οἱ λακεδαιμόνιοι τῶν πολεμίων τοῖς ξίφεσιν ἐφικνοῦνται. Ut arbitror illud μόλις uacare.

γὰρ οὐκ ἰδίους ἡγεῖτο τῶν πατέρων τοὺς παῖδας, ἀλλὰ κοινοὺς τῆς πόλεως ὁ λυκοῦργος. ὅθεν οὐκ ἐκ τῶν τυχόντων, ἀλλ' ἐκ τῶν ἀρίστων ἐβούλετο γεγονότας εἶναι τοὺς πολίτας. ἔπειτα πολλὴν ἀβελτηρίαν καὶ τῦφον ἑώρα τοῖς περὶ ταῦτα τῶν ἄλλων νομοθετήμασιν. οἳ κύνας μὲν καὶ ἵππους ὑπὸ τοῖς κρατίστοις τῶν ὀχείων βιβάζουσι, χάριτι πείθοντες ἢ μισθῷ τοὺς κυρίους. τὰς δὲ γυναῖκας ἐγκλεισάμενοι φρουροῦσιν, ἐξ αὐτῶν μόνων τίκτειν ἀξιοῦντες, κἂν ἄφρονες ὦσι κἂν παρήλικες, κἂν νοσώδεις, ὡς οὐχὶ πρώτοις τοῖς κεκτημένοις καὶ τρέφουσι τῶν παίδων γινομένων πονηρῶν, ἐὰν ἐκ πονηρῶν γένωνται, καὶ τοὐναντίον χρηστῶν, ἂν τοιαύτης τύχωσι γενέσεως. ταῦτα δὲ οὕτως πραττόμενα φυσικῶς καὶ πολιτικῶς τότε, τοσοῦτον ἀπεῖχε τῆς ὕστερον λεγομένης γίνεσθαι περὶ τὰς γυναῖκας εὐχερείας, ὥστε ὅλως ἄπιστον εἶναι τὸ τῆς μοιχείας παρ' αὐτοῖς. καὶ λόγος ἀπομνημονεύεται γεράδα τινὸς σπαρτιάτου τῶν σφόδρα παλαιῶν. ὃς ἐρωτηθεὶς ὑπὸ ξένου, τί πάσχουσιν οἱ μοιχοὶ παρ' αὐτοῖς, εἶπεν. ὦ ξέν' οὐδεὶς γίνεται μοιχὸς παρ' ἡμῖν. ἐκείνου δὲ ὑπολαβόντος ἐὰν δὲ γένηται, ταῦρον ἔφη ὁ γεράδας ἐκτίνει μέγαν ὃς ὑπερκύψας τὸ ταΰγετον, ἀπὸ τοῦ εὐρώτα πίεται. θαυμάσαντος δὲ ἐκείνου καὶ φήσαντος, πῶς δ' ἂν γένοιτο βοῦς τηλικοῦτος, γελάσας ὁ γεράδας, πῶς δ' ἂν ἔφη ἐν σπάρτῃ μοιχὸς γένοιτο. ταῦτα μὲν οὖν ἱστόρηται περὶ τῶν γάμων. τὸ δὲ γεννηθὲν, οὐκ ἦν κύριος ὁ γεννήσας τρέφειν, ἀλλ' ἔφερε λαβὼν εἰς τόπον τινὰ λέσχην καλούμενον, ἐν ᾧ καθήμενοι τῶν φυλετῶν οἱ πρεσβύτατοι, καταμαθόντες τὸ παιδάριον, εἰ μὲν εὐπαγὲς εἴη καὶ ῥωμαλέον, τρέφειν ἐκέλευον, κλῆρον αὐτῷ τῶν ἐνακισχιλίων προσνείμαντες. εἰ δ' ἀγεννὲς καὶ ἄμορφον, ἀπέπεμπον εἰς τὰς λεγομένας ἀποθέτας, παρὰ ταΰγετον τὸν βαραθρώδη τόπον. ὡς οὔτε αὐτῷ ζῆν ἄμεινον. οὔτε τῇ πόλει, τὸ μὴ καλῶς εὐθὺς ἐξ ἀρχῆς πρὸς εὐεξίαν, καὶ ῥώμην πεφυκός. ὅθεν οὐδὲ ὕδατι τὰ βρέφη, ἀλλ' οἴνῳ περιέλουον αἱ γυναῖκες, βάσανόν τινα ποιούμεναι τῆς κράσεως αὐτῶν. λέγεται γὰρ ἐξίστασθαι τὰ ἐπιληπτικὰ καὶ νοσώδη πρὸς τὸν ἄκρατον ἀποσφακελίζοντα. τὰ δ' ὑγιεινὰ, μᾶλλον στομοῦσθαι καὶ κρατύνεσθαι τὴν ἕξιν. ἦν δὲ περὶ τὰς τροφοὺς, ἐπιμέλειά τις μετὰ τέχνης, ὥστε ἄνευ σπαργάνων ἐκτρεφούσας τὰ βρέφη τοῖς μέλεσι καὶ τοῖς εἴδεσιν ἐλευθέρια ποιεῖν. ἔτι δὲ εὔκολα ταῖς διαίταις καὶ ἄσικχα. καὶ ἀθαμβῆ σκότου. καὶ πρὸς ἐρημίαν ἄφοβα. καὶ ἄπειρα δυσκολίας ἀγεννοῦς καὶ κλαυθμυρισμῶν. διὸ καὶ τῶν ἔξωθεν ἔνιοι τοῖς τέκνοις λακωνικὰς ἐωνοῦντο τιτθάς. καὶ τήν γε τὸν ἀθηναῖον ἀλκιβιάδην τιθηνησαμένην ἀμύκλαν ἱστοροῦσι γεγονέναι λάκαιναν. Ἀλλὰ τούτῳ μὲν ὥς φησι πλάτων, ζώπυρον ἐπέστησε παιδαγωγὸν περικλῆς, οὐδέν τι τῶν ἄλλων διαφέροντα δούλων. τοὺς δὲ σπαρτιατῶν παῖδας, οὐκ ὠνητοῖς οὐδὲ μισθίοις ἐποιήσατο παιδαγωγοῖς ὁ λυκοῦργος. οὐδὲ ἐξῆν ἑκάστῳ τρέφειν, οὐδὲ παιδεύειν ὡς ἐβούλετο τὸν υἱόν, ἀλλὰ πάντας εὐθὺς ἑπταετεῖς γενομένους παραλαμβάνων αὐτὸς, εἰς ἀγέλας κατελόχιζε. καὶ συννόμους ποιῶν καὶ συντρόφους μετ' ἀλλήλων εἴθιζε συμπαίζειν καὶ συσχολάζειν. ἄρχοντα δὲ αὐτοῖς παρίστατο τῆς ἀγέλης, τὸν τῷ φρονεῖν διαφέροντα, καὶ θυμοειδέστατον ἐν τῷ μάχεσθαι, καὶ πρὸς τοῦτον ἀφεώρων, καὶ προστάττοντος ἠκροῶντο, καὶ κολάζοντος ὑπέμενον. ὥστε τὴν παιδείαν εἶναι μελέτην εὐπειθείας. ἐπεσκόπουν δὲ οἱ πρεσβύτεροι παίζοντας αὐτοὺς, καὶ τὰ πολλὰ μάχας τινὰς ἐμβάλλοντες ἀεὶ, καὶ φιλονεικίας, οὐ παρέργως κατεμάνθανον, ὁποῖός ἐστι τὴν φύσιν ἕκαστος αὐτῶν πρὸς τὸ τολμᾶν, καὶ μὴ φυγομαχεῖν ἐν ταῖς ἁμίλλαις. γράμματα μὲν οὖν ἕνεκα τῆς χρείας ἐμάνθανον. ἡ δὲ ἄλλη πᾶσα παιδεία, πρὸς τὸ ἄρχεσθαι καλῶς, ἐγίνετο. καὶ καρτερεῖν πονοῦντα. καὶ νικᾶν μαχόμενον. διὸ καὶ τῆς ἡλικίας προερχομένης ἐπέτεινον αὐτῶν τὴν ἄσκησιν. ἐν χρῷ τε κείροντες. καὶ βαδίζειν ἀνυποδήτους. παίζειν τε γυμνοὺς ὡς τὰ πολλὰ συνεθίζοντες. γενόμενοι δὲ δωδεκαετεῖς, ἄνευ χιτῶνος ἤδη διετέλουν, ἓν ἱμάτιον εἰς τὸν ἐνιαυτὸν λαμβάνοντες. αὐχμηροὶ τὰ σώματα, καὶ λουτρῶν, καὶ ἀλειμμάτων, ἄπειροι, πλὴν ὀλίγας ἡμέρας τινὰς τοῦ ἐνιαυτοῦ, τῆς τοιαύτης φιλανθρωπίας μετεῖχον. ἐκάθευδον δὲ ὁμοῦ κατ' ἴλην καὶ ἀγέλην ἐπὶ στιβάδων, ἃς αὐτοὶ συνεφόρουν, τοῦ παρὰ τὸν εὐρώταν πεφυκότος καλάμου, τὰ ἄκρα ταῖς χερσὶν ἄνευ σιδήρου κατακλάσαντες. ἐν δὲ τῷ χειμῶνι τοὺς λεγομένους λυκόφονας ὑπεβάλλοντο, καὶ κατεμίγνυσαν ταῖς στιβάσι, θερμαντικὸν ἔχειν τι τῆς ὕλης δοκούσης. ἤδη δὲ τοῖς τηλικούτοις ἐρασταὶ τῶν εὐδοκίμων νέων, συνανεστρέφοντο καὶ προσεῖχον οἱ πρεσβύτεροι, μᾶλλον ἐπιφοιτῶντες, εἰς τὰ γυμνάσια, καὶ μαχομένοις, καὶ σκώπτουσιν ἀλλήλους παρατυγχάνοντες οὐ παρέργως. ἀλλὰ τρόπον τινὰ, πάντες οἰόμενοι πάντων, καὶ πατέρες εἶναι καὶ παιδαγωγοὶ καὶ ἄρχοντες, ὥστε μήτε καιρὸν ἀπολείπεσθαι μήτε χωρίον ἔρημον τοῦ νουθετοῦντος, τὸν ἁμαρτάνοντα καὶ κολάζοντος. οὐ μὴν ἀλλὰ καὶ παιδονόμος ἐκ τῶν καλῶν, καὶ ἀγαθῶν ἀνδρῶν ἐτάττετο. καὶ κατὰ ἀγέλας αὐτοὶ προΐσαντο, τῶν λεγομένων εἰρένων, ἀεὶ τὸν σωφρονέστατον καὶ μαχιμώτατον, εἴρενας δὲ καλοῦσι, τοὺς ἔτος ἤδη δεύτερον ἐκ παίδων γεγονότας. μελλείρενας δὲ, τῶν παίδων τοὺς πρεσβυτάτους. οὗτος οὖν ὁ εἴρην, εἴκοσιν ἔτη γεγονὼς, ἄρχει τε τῶν ὑποτεταγμένων ἐν ταῖς μάχαις. καὶ κατ' οἶκον ὑπηρέταις χρῆται πρὸς τὸ δεῖπνον. ἐπιτάσσει δὲ τοῖς μὲν ἁδροῖς, ξύλα φέρειν. τοῖς δὲ μικροτέροις, λάχανα. καὶ φέρουσι κλέπτοντες. οἱ μὲν, ἐπὶ τοὺς κήπους βαδίζοντες. οἱ

κνᾶς εἰς τὴν Βοιωτίαν ἐμβολαῖς καὶ στρατείαις, τοὺς Θηβαίους ἀντιπάλους τοῖς Λακεδαιμονίοις κατασκευάσαντος. διὸ καὶ τιτρωμένον αὐτὸν ἰδὼν Ἀνταλκίδας, καλά, ἔφη, τὰ διδασκάλια παρὰ Θηβαίων ἀπολαμβάνεις, μὴ βουλομένους αὐτοὺς μηδὲ εἰδότας μάχεσθαι διδάξας. τὰ μὲν οὖν τοιαῦτα νομοθετήματα, ῥήτρας ὠνόμασεν, ὡς παρὰ τοῦ θεοῦ νομιζόμενα, καὶ χρησμοὺς ὄντα. τῆς δὲ παιδείας, ἣν μέγιστον ἡγεῖτο τοῦ νομοθέτου καὶ κάλλιστον ἔργον εἶναι, πόρρωθεν ἀρχόμενος εὐθὺς ἐπισκόπει τὰ περὶ τοὺς γάμους, καὶ τὰς γενέσεις. οὐ γὰρ ὡς Ἀριστοτέλης φησὶν ἐπιχειρήσας σωφρονίζειν τὰς γυναῖκας, ἐπαύσατο μὴ κρατῶν τῆς πολλῆς ἀνέσεως καὶ γυναικοκρατείας διὰ τὰς πολλὰς στρατείας τῶν ἀνδρῶν, ἐν αἷς ἠναγκάζοντο κυρίας ἀπολιπεῖν ἐκείνας. καὶ διὰ τοῦτο μᾶλλον τοῦ προσήκοντος αὐτὰς ἐθεράπευον. καὶ δεσποίνας προσηγόρευον. ἀλλὰ καὶ τούτων τὴν ἐνδεχομένην ἐπιμέλειαν ἐποιήσατο. τὰ μέν τοι σώματα τῶν παρθένων, δρόμοις καὶ πάλαις καὶ βολαῖς δίσκων καὶ ἀκοντίων διεπόνησεν. ὡς ἥ τε τῶν γεννωμένων ῥίζωσις, ἰσχυρὰ ἐν ἰσχυροῖς σώμασιν ἀρχὴν λαβοῦσα βλαστάνῃ βέλτιον. αὗταί τε μετὰ ῥώμης τοὺς τόκους ὑπομένουσαι, καλῶς ἅμα καὶ ῥᾳδίως ἀγωνίζοιντο πρὸς τὰς ὠδῖνας. ἀφελὼν δὲ θρύψιν καὶ σκιατραφίαν καὶ θηλύτητα πᾶσαν, οὐδὲν ἧττον εἴθισε τῶν κόρων, τὰς κόρας γυμνάς τε πομπεύειν καὶ πρὸς ἱεροῖς τισιν ὀρχεῖσθαι καὶ ᾄδειν τῶν νέων παρόντων καὶ θεωμένων. ἔστι δὲ ὅτε καὶ σκώμματα λέγουσαι πρὸς ἕκαστον εὐχρήστως ἐπελαμβάνοντο τῶν ἁμαρτανομένων. καὶ πάλιν εἰς τοὺς ἀξίους αὐτῶν ἐγκώμια μετ' ᾠδῆς πεποιημένα διεξιοῦσαι, φιλοτιμίαν πολλὴν καὶ ζῆλον ἐνεποίουν τοῖς νεανίσκοις. ὁ γὰρ ἐγκωμιασθεὶς ἐπ' ἀνδραγαθίαις, καὶ κλεινὸς ἐν ταῖς παρθένοις γεγονὼς, ἀπῄει μεγαλυνόμενος ὑπὸ τῶν ἐπαίνων. αἱ δὲ μετὰ παιδιᾶς καὶ σκωμμάτων δήξεις, οὐδὲν ἀμβλύτεραι τῶν μετὰ σπουδῆς νουθετημάτων ἦσαν. ἅτε δὴ πρὸς τὴν θέαν, ὁμοῦ τοῖς ἄλλοις πολίταις, καὶ τῶν βασιλέων καὶ τῶν γερόντων συμπορευομένων. ἡ δὲ γύμνωσις τῶν παρθένων, οὐδὲν αἰσχρὸν εἶχεν, αἰδοῦς μὲν παρούσης, ἀκρασίας δὲ ἀπούσης, ἀλλ' ἐθισμὸν ἀφελῆ καὶ ζῆλον εὐεξίας ἐνειργάζετο. καὶ φρονήματος τὸ θῆλυ παρεγεύεν οὐκ ἀγεννοῦς, ὡς μηδὲν ἧττον αὐτῷ καὶ ἀρετῆς καὶ φιλοτιμίας μετουσίαν οὖσαν. ὅθεν αὐταῖς καὶ λέγειν ἐπῄει καὶ φρονεῖν, οἷα καὶ περὶ Γοργοῦς ἱστόρηται τῆς Λεωνίδου γυναικός. εἰπούσης γάρ τινος ὡς ἔοικε ξένης πρὸς αὐτήν. ὡς μόναι τῶν ἀνδρῶν ἄρχετε ὑμεῖς αἱ Λάκαιναι, μόναι γὰρ ἔφη τίκτομεν ἄνδρας. ἦν μὲν οὖν καὶ ταῦτα παρορμητικὰ πρὸς γάμον. λέγω δὲ τὰς πομπὰς τῶν παρθένων καὶ τὰς ἀποδύσεις καὶ τοὺς ἀγῶνας ἐν ὄψει τῶν νέων ἀγομένων, οὐ γεωμετρικαῖς, ἀλλ' ἐρωτικαῖς ὥς φησιν ὁ Πλάτων, ἀνάγκαις. οὐ μὴν ἀλλὰ καὶ ἀτιμίαν τινὰ προσέθηκε τοῖς ἀγάμοις, εἴργοντο γὰρ ἐν ταῖς γυμνοπαιδίαις τῆς θέας. τοῦ δὲ χειμῶνος οἱ μὲν ἄρχοντες αὐτοὺς ἐκέλευον ἐν κύκλῳ γυμνοὺς περιιέναι τὴν ἀγοράν. οἱ δὲ, περιιόντες, ᾖδον εἰς αὐτοὺς ᾠδήν τινα πεποιημένην ὡς δίκαια πάσχοιεν, ὅτι τοῖς νόμοις ἀπειθοῦσι. τιμῆς δὲ καὶ θεραπείας ἣν οἱ νέοι πρεσβυτέροις παρεῖχον ἐστέροντο. ὅθεν καὶ τὸ πρὸς Δερκυλλίδαν ῥηθὲν, οὐδεὶς ἐμέμψατο, καίπερ ἔνδοξον ὄντα στρατηγόν. ἐπιόντι γὰρ αὐτῷ, τῶν νεωτέρων τις ἕδρας οὐχ ὑπεῖξεν αὐτῷ εἰπών· οὐδὲ γὰρ ἐμοὶ σὺ τὸν ὑπείξαντα γεγέννηκας. ἐγάμουν δὲ δι' ἁρπαγῆς, οὐ μικρὰς οὐδὲ ἀώρους πρὸς γάμον, ἀλλὰ καὶ ἀκμαζούσας καὶ πεπείρους. τὴν δὲ ἁρπασθεῖσαν, ἡ νυμφεύτρια καλουμένη παραλαβοῦσα, τὴν μὲν κεφαλὴν ἐν χρῷ περιέκειρεν. ἱματίῳ δὲ ἀνδρείῳ καὶ ὑποδήμασιν ἐνσκευάσασα, κατέκλινεν ἐπὶ στιβάδα μόνην ἄνευ φωτός. ὁ δὲ νυμφίος οὐ μεθύων οὐδὲ θρυπτόμενος, ἀλλὰ νήφων ὥσπερ ἀεὶ δεδειπνηκὼς ἐν τοῖς φιδιτίοις παρεισελθών, ἔλυε τὴν ζώνην, καὶ μετήνεγκεν ἀράμενος ἐπὶ τὴν κλίνην. συνδιατρίψας δὲ χρόνον οὐ πολὺν ἀπῄει κοσμίως οὗπερ εἰώθει τὸ πρότερον καθευδήσων μετὰ τῶν ἄλλων νέων. καὶ τὸ λοιπὸν, οὕτως ἔπραττε. τοῖς μὲν ἡλικιώταις, συνδιημερεύων καὶ συναναπαυόμενος. πρὸς δὲ τὴν νύμφην μετ' εὐλαβείας φοιτῶν, αἰσχυνόμενος καὶ δεδιὼς μή τις αἴσθοιτο τῶν ἔνδον. ἅμα καὶ τῆς νύμφης ἐπιτεχνωμένης καὶ συνευπορούσης, ὅπως ἂν ἐν καιρῷ καὶ λανθάνοντες ἀλλήλοις συμπορεύοιντο. καὶ τοῦτο ἔπραττον, οὐκ ὀλίγον χρόνον, ἀλλ' ὥστε καὶ παῖδας γενέσθαι ἐνίοις, πρὶν εἰς ἡμέραν θεάσασθαι τὰς αὐτῶν γυναῖκας. ἡ δὲ τοιαύτη συνοδος οὐ μόνον ἐγκρατείας καὶ σωφροσύνης, ἄσκησις ἦν, ἀλλὰ τοῖς τε σώμασι γονίμους. καὶ τῷ φιλεῖν ἀεὶ, καινοὺς καὶ προσφάτους ἦγεν ἐπὶ τὴν κοινωνίαν. οὐδὲ διακορεῖς. οὐδ' ἐξιτήλους ταῖς ἀναίδην κοινωνίαις. ἀλλ' ἀεί τι λείψανον καὶ ὑπέκκαυμα πόθου καὶ χάριτος ἐναπολειπόντας ἀλλήλοις. τοσαύτην δὲ τοῖς γάμοις ἐπιστήσας αἰδῶ καὶ τάξιν, οὐδὲν ἧττον ἐξέβαλε τὴν κενὴν καὶ γυναικώδη ζηλοτυπίαν, ἐν καλῷ καταστήσας, ὕβριν μὲν καὶ ἀταξίαν πᾶσαν εἴργειν ἀπὸ τοῦ γάμου. παίδων δὲ καὶ τεκνώσεως κοινωνίαν, τοῖς ἀξίοις καταγελῶν τῶν ὡς ἄμικτα καὶ ἀκοινώνητα ταῦτα μετιόντων, σφαγαῖς καὶ πολέμοις. ἐξῆν μὲν γὰρ ἀνδρὶ πρεσβυτέρῳ νέας γυναικὸς εἴ τινα τῶν καλῶν καὶ ἀγαθῶν ἀσπάσαιτο νέων καὶ δοκιμάσειεν, εἰσαγαγεῖν παρ' αὐτὴν, καὶ πλήσαντα γενναίου σπέρματος, ἴδιον αὐτοῖς ποιήσασθαι τὸ γεννηθέν. ἐξῆν δὲ πάλιν ἀνδρὶ χρηστῷ, τῶν εὐτέκνων τινὰ καὶ σωφρόνων θαυμάσαντι γυναικῶν ἑτέρῳ γεγαμημένην, πεῖσαι τὸν ἄνδρα συνελθεῖν ὥσπερ ἐν χώρᾳ καλλικάρπῳ, φυτεύοντα καὶ ποιούμενον παῖδας ἀγαθοὺς, ἀγαθῶν ὁμαίμους καὶ συγγενεῖς ἐσομένους. πρῶτον μὲν

νέου καὶ αὐθάδους ἐμμελέστατος ἀνὴρ καὶ σωφρονικώτατος γενόμενος. τοῦ δὲ πάθους ὑπόμνημα Λυκοῦργος, ἱδρύσατο τῆς Ἀθηνᾶς ἱερὸν, ἣν Ὀπτιλέτιν προσηγόρευσε. τοὺς γὰρ ὀφθαλμοὺς, ὀπτίλους οἱ τῇδε Δωριεῖς καλοῦσιν. ἔνιοι μέντοι τὸν Λυκοῦργον, ὧν καὶ Διοσκορίδης ἐστὶν, ὁ συντεταγμένος τὴν Λακωνικὴν πολιτείαν, πληγῆναι μὲν φασὶν, οὐ τυφλωθῆναι δὲ τὸν ὀφθαλμόν. ἀλλὰ καὶ τὸ ἱερὸν τῇ θεῷ τῆς ἀκέσεως χαριστήριον ἱδρύσασθαι. τὸ μέντοι φορεῖν βακτηρίαν ἐκκλησιάζοντες οἱ Σπαρτιᾶται μετὰ τὴν συμφορὰν ἐκείνην, ἀπέμαθον. τὰ δὲ συσσίτια, Κρῆτες μὲν ἄνδρια. οἱ Λακεδαιμόνιοι δὲ, φιδίτια προσαγορεύουσιν. εἴτε ὡς φιλίας καὶ φιλοφροσύνης ὑπαρχόντων. ἀντὶ τοῦ λ τὸ δ λαμβάνοντες, εἴτε ὡς πρὸς εὐτέλειαν καὶ φειδὼ συνεθιζόντων. οὐδὲν δὲ κωλύει καὶ τὸ πρῶτον ἔξωθεν ἐπικεῖσθαι φθόγγον, ὥσπερ ἔνιοί φασιν ἐδιτίων παρὰ τὴν δίαιταν καὶ τὴν ἐδωδὴν λεγομένων. συνήρχοντο δὲ ἀνὰ πεντεκαίδεκα. καὶ βραχὺ τούτων ἐλάττους ἢ πλείους. ἔφερε δὲ ἕκαστος κατὰ μῆνα τῶν συσσιτίων, ἀλφίτων, μέδιμνον, οἴνου χόας ὀκτώ. τυροῦ πέντε μνᾶς σύκων ἡμίμνεα πέντε. πρὸς δὲ τούτοις εἰς ὀψωνίαν, μικρόν τι κομιδῇ νομίσματος. ἄλλως δὲ καὶ θύσας τις ἀπαρχήν. καὶ θηρεύσας, μέρος ἔπεμψεν εἰς τὸ συσσίτιον. ἐξῆν γὰρ οἴκοι δειπνεῖν. ὁπότε θύσας τις ἢ κυνηγῶν ἐψίσειε. τοὺς δὲ ἄλλους ἔδει παρεῖναι. καὶ μέχρι γε πολλοῦ τὰς συσσιτήσεις ἀκριβῶς διεφύλαττον. Ἄγιδος γοῦν τοῦ βασιλέως ὡς ἐπανῆλθεν ἀπὸ τῆς στρατείας καταπεπολεμηκὼς Ἀθηναίους, βουλομένου παρὰ τῇ γυναικὶ δειπνεῖν καὶ μεταπεμπομένου τὰς μερίδας, οὐκ ἔπεμψαν οἱ πολέμαρχοι. τοῦ δὲ, μεθ' ἡμέραν ὑπ' ὀργῆς μὴ θύσαντος ἣν ἔδει θυσίαν, ἐζημίωσαν αὐτόν. εἰς δὲ τὰ συσσίτια καὶ παῖδες ἐφοίτων ὥσπερ εἰς διδασκαλεῖα σωφροσύνης ἀγόμενοι. καὶ λόγων ἠκροῶντο πολιτικῶν. καὶ παιδιὰς ἐλευθερίους ἑώρων, αὐτοί τε παίζειν εἴθιζον, καὶ σκώπτειν ἄνευ βωμολοχίας. καὶ σκωπτόμενοι μὴ δυσχεραίνειν, σφόδρα γὰρ ἐδόκει καὶ τοῦτο Λακωνικὸν εἶναι. σκώμματος ἀνέχεσθαι. μὴ φέροντα δὲ ἐξῆν παραιτεῖσθαι. καὶ ὁ σκώπτων ἐπέπαυτο. τῶν δ' εἰσιόντων ἑκάστῳ δεικνὺς ὁ πρεσβύτατος τὰς θύρας διὰ τούτων φησὶν ἔξω λόγος οὐκ ἐκπορεύεται. δοκιμάζεσθαι δὲ τὸν βουλόμενον, τοῦ συσσιτίου μετασχεῖν, οὕτω φασί. λαβὼν τῶν συσσίτων ἕκαστος ἀπομαγδαλίαν εἰς τὴν χεῖρα, τοῦ διακόνου φέροντος ἀγγεῖον ὑπὲρ τῆς κεφαλῆς, ἔβαλε σιωπῇ καθάπερ ψῆφον. ὁ μὲν, δοκιμάζων ἁπλῶς. ὁ δὲ, κρίνων σφόδρα τῇ χειρὶ πιέσας. ἡ γὰρ πεπιεσμένη τῆς τετρημμένης ἔχει δύναμιν. κἂν μίαν εὕρωσι τοιαύτην, οὐ προσδέχονται τὸν ἐπισιόντα, βουλόμενοι πάντας ἡδομένους ἀλλήλοις συνεῖναι. τὸν δὲ οὕτως ἀποδοκιμασθέντα κεκαδδίσθαι λέγουσι. κάδδος γὰρ καλεῖται τὸ ἀγγεῖον, εἰς ὃ τὰς ἀπομαγδαλιὰς ἐμβάλλουσι. τῶν δὲ ὄψων, εὐδοκίμει μάλιστα παρ' αὐτοῖς, ὁ μέλας ζωμός. ὥστε μὴ τε κρεαδίου δεῖσθαι τοὺς πρεσβυτέρους, ἀλλὰ παραχωρεῖν τοῖς νεανίσκοις. αὐτοὺς δὲ τοῦ ζωμοῦ κατατεταγμένους, ἑστιᾶσθαι. λέγεται δέ τινα τῶν Ποντικῶν βασιλέων, ἕνεκα τοῦ ζωμοῦ, καὶ πρίασθαι Λακωνικὸν μάγειρον. εἶτα γευσάμενον δυσχερᾶναι. καὶ τὸν μάγειρον εἰπεῖν, ὦ βασιλεῦ, τοῦτον δὴ τὸν ζωμὸν, ἐν τῷ Εὐρώτᾳ λελουμένους ἐποψᾶσθαι. πιόντες δὲ μετρίως, ἀπίασι δίχα λαμπάδος. οὐ γὰρ ἔξεστι πρὸς φῶς βαδίζειν, οὔτε ταύτην, οὔτε ἄλλην ὁδόν. ὅπως ἐθίζωνται σκότους καὶ νυκτὸς εὐθαρσῶς καὶ ἀδεῶς ὁδεύειν. τὰ μὲν οὖν συσσίτια, τοιαύτην ἔχει τάξιν. νόμους δὲ γεγραμμένους ὁ Λυκοῦργος, οὐκ ἔθηκεν. ἀλλὰ μία τῶν καλουμένων ῥητρῶν, ἐστὶν αὕτη. τὰ μὲν οὖν κυριώτατα καὶ μέγιστα πρὸς εὐδαιμονίαν πόλεως καὶ ἀρετὴν ἐν τοῖς ἤθεσιν ᾤετο καὶ ταῖς ἀγωγαῖς τῶν πολιτῶν ἐγκατεστοιχειωμένα μένειν ἀκίνητα. καὶ βεβαίαν ἔχοντα τὴν προαίρεσιν, δεσμὸν ἰσχυρότατον τῆς ἀνάγκης. καὶ ἣν ἡ παίδευσις ἐποιεῖτο τοῖς νέοις νομοθέτου διάθεσιν ἀπεργαζομένη περὶ ἕκαστον αὐτῶν. τὰ δὲ μικρὰ καὶ χρηματικὰ συμβόλαια. καὶ μεταπίπτοντα ταῖς χρείαις ἄλλοτε ἄλλως, βέλτιον ἦν μὴ καταλαμβάνειν ἐγγράφοις ἀνάγκαις μηδὲ ἀκινήτοις ἔθεσιν, ἀλλ' ἐᾶν ἐπὶ τῶν καιρῶν, προσθέσεις λαμβάνοντα καὶ ἀφαιρέσεις. ἃς ἂν οἱ πεπαιδευμένοι δοκιμάσωσι. τὸ γὰρ ὅλον καὶ πάσης νομοθεσίας ἔργον εἰς τὴν παιδείαν ἀνῆψε. μία μὲν οὖν τῶν ῥητρῶν ἦν ὥσπερ εἴρηται μὴ χρῆσθαι νόμοις ἐγγράφοις. ἑτέρα δὲ πάλιν κατὰ τῆς πολυτελείας, ὅπως οἰκία πᾶσα τὴν μὲν ὀροφὴν ἀπὸ πελέκεως εἰργασμένην ἔχῃ. τὰς δὲ θύρας, ἀπὸ πρίονος μόνου, καὶ μηδενὸς τῶν ἄλλων ἐργαλείων. ὅπερ γὰρ ὕστερον Ἐπαμινώνδαν εἰπεῖν λέγουσιν ἐπὶ τῆς ἑαυτοῦ τραπέζης, ὡς τὸ τοιοῦτον ἄριστον οὐ χωρεῖ προδοσίαν, τοῦτο πρότερον ἐνόησε Λυκοῦργος. ὡς οἰκία τοιαύτη, τρυφὴν οὐ χωρεῖ καὶ πολυτέλειαν, οὐδ' ἔστιν οὐδεὶς οὕτως ἀπειρόκαλος καὶ ἀνόητος, ὥστε εἰς οἰκίαν ἀφελῆ καὶ δημοτικὴν, εἰσφέρειν κλίνας ἀργυρόποδας, καὶ στρωμνὰς ἁλουργεῖς. καὶ χρυσᾶς κύλικας. καὶ τὴν τούτοις ἑπομένην πολυτέλειαν. ἀλλὰ ἀνάγκη ἐστὶν ἁρμόζεσθαι καὶ συνεξομοιοῦν, τῇ μὲν οἰκίᾳ, τὴν κλίνην. τῇ δὲ κλίνῃ τὴν ἐσθῆτα. ταύτῃ δὲ τὴν ἄλλην χορηγίαν καὶ κατασκευήν. ἐκ δὲ ταύτης τῆς συνηθείας φασὶ καὶ Λεωτυχίδην τὸν πρεσβύτερον ἐν Κορίνθῳ δειπνοῦντα καὶ θεασάμενον τῆς στέγης τοῦ οἴκου τὴν κατασκευὴν πολυτελῆ καὶ φατνωματικὴν, ἐρωτῆσαι τὸν ξένον, εἰ τετράγωνα παρ' αὐτοῖς τὰ ξύλα φύεται. τρίτην δὲ ῥήτραν διαμνημονεύουσι τοῦ Λυκούργου τὴν κωλύουσαν ἐπὶ τοὺς αὐτοὺς πολεμίους στρατεύειν, ἵνα μὴ πολλάκις ἀμύνεσθαι συνεθιζόμενοι, πολεμικοὶ γένωνται. καὶ τοῦτο γε μάλιστα κατηγοροῦσιν Ἀγησιλάου τοῦ βασιλέως ὕστερον. ὡς ταῖς συνεχέσι καὶ πυ-

ἀρκέσειν γὰρ ᾤετο τοσοῦτον αὐτοῖς τῆς τροφῆς πρὸς εὐεξίαν καὶ ὑγείαν ἱκανῆς, ἄλλου μηδενὸς δεησομένοις. λέγεται δ' αὐτὸν ὕστερόν ποτε χρόνῳ τὴν χώραν διεξερχόμενον ἐξ ἀποδημίας ἄρτι τεθερισμένην, ὁρῶντα τοὺς σωροὺς παραλλήλους καὶ ὁμαλεῖς, μειδιάσαι καὶ εἰπεῖν πρὸς τοὺς παρόντας, ὡς ἡ Λακωνικὴ φαίνεται πᾶσα πολλῶν ἀδελφῶν εἶναι νεωστὶ νενεμημένων. ἐπιχειρήσας δὲ καὶ τὰ ἔπιπλα διελεῖν, ὅπως παντάπασιν ἐξέλοι τὸ ἄνισον καὶ ἀνώμαλον, ἐπεὶ χαλεπῶς ἑώρα προσδεχομένους τὴν ἄντικρυς ἀφαίρεσιν, ἑτέρᾳ περιελθὼν ὁδῷ καὶ κατεπολιτεύσατο τὴν ἐν τούτοις πλεονεξίαν. πρῶτον μὲν ἀκυρώσας πᾶν νόμισμα χρυσοῦν καὶ ἀργυροῦν, μόνῳ χρῆσθαι τῷ σιδηρῷ προσέταξε. καὶ τούτῳ δὲ ἀπὸ πολλοῦ σταθμοῦ καὶ ὄγκου δύναμιν ὀλίγην ἔδωκεν, ὥστε δέκα μνῶν ἀμοιβὴν ἀποθήκης τε μεγάλης ἐν οἰκίᾳ δεῖσθαι καὶ ζεύγους ἄγοντος. τούτου δ' ἐπιχυθέντος, ἐξέπεσεν ἀδικημάτων γένη πολλὰ τῆς Λακεδαίμονος. τίς γὰρ ἢ κλέπτειν ἔμελλεν, ἢ δωροδοκεῖν, ἢ ἀποστερεῖν, ἢ ἁρπάζειν, ὃ μήτε κατακρύψαι δυνατὸν ἦν, μήτε κεκτῆσθαι ζηλωτόν, ἀλλὰ μηδὲ κατακόψαι λυσιτελές. ὄξει γὰρ ὡς λέγεται διάπυρον σιδήρου τὸ στόμωμα κατασβέσας, ἀφείλετο τὴν εἰς τἆλλα χρείαν καὶ δύναμιν, ἀσθενοῦς καὶ δυσέργου γενομένου. μετὰ δὲ τοῦτο, τῶν ἀχρήστων καὶ περιττῶν ἐποιεῖτο τεχνῶν ξενηλασίαν. ἔμελλον δέ που καὶ μηδενὸς ἐξελαύνοντος αἱ πολλαὶ τῷ κοινῷ νομίσματι συνεκπεσεῖσθαι, διάθεσιν τῶν ἔργων οὐκ ἐχόντων. τὸ γὰρ σιδηροῦν, ἀγώγιμον οὐκ ἦν πρὸς τοὺς ἄλλους Ἕλληνας. οὐδ' εἶχε τιμὴν καταγελώμενον. ὥστε οὐδὲ πρίασθαί τι τῶν ξενικῶν καὶ ῥωπικῶν ὑπῆρχεν. οὐδ' εἰσέπλει φόρτος ἐμπορικὸς εἰς τοὺς λιμένας. οὐδ' ἐπέβαινε τῆς Λακωνικῆς, οὐ σοφιστὴς λόγων, οὐ μάντις ἀγύρτικος, οὐχ ἑταιρῶν τροφεύς, οὐ χρυσῶν τις οὐκ ἀργυρῶν καλλωπισμάτων δημιουργός, ἅτε δὴ νομίσματος οὐκ ὄντος. ἀλλὰ οὕτως ἀπερημωθεῖσα κατὰ μικρὸν ἡ τρυφὴ τῶν ζωπυρούντων καὶ τρεφόντων αὐτήν, δι' αὐτῆς ἐμαραίνετο. καὶ πλεῖον οὐδὲν ἦν τοῖς τὰ πολλὰ κεκτημένοις, ὁδὸν οὐκ ἐχούσης εἰς μέσον τῆς εὐπορίας, ἀλλ' ἐγκατῳκοδομημένης καὶ ἀργούσης. διὸ καὶ τὰ πρόχειρα τῶν σκευῶν καὶ ἀναγκαῖα, ταῦτα, κλιντῆρες καὶ δίφροι καὶ τράπεζαι, βέλτιστα παρ' αὐτοῖς ἐδημιουργεῖτο. καὶ κώθων ὁ Λακωνικός, εὐδοκίμει μάλιστα πρὸς τὰς στρατείας ὥς φησι Κριτίας. τὰ γὰρ ἀναγκαίως πινόμενα τῶν ὑδάτων καὶ δυσωποῦντα τὴν ὄψιν, ἀπέκρυπτε τῇ χρόᾳ. καὶ τοῦ θολεροῦ προσκόπτοντος ἐντὸς καὶ προσισχομένου τοῖς ἄμβωσι, καθαρώτερον ἐπλησίαζε τῷ στόματι τὸ πινόμενον. αἴτιος δὲ καὶ τούτων ὁ νομοθέτης. ἀπηλλαγμένοι γὰρ οἱ δημιουργοὶ τῶν ἀχρήστων, ἐν τοῖς ἀναγκαίοις ἐπιδείκνυνται τὴν καλλιτεχνίαν. ἔτι δὲ μᾶλλον ἐπιθέσθαι τῇ τρυφῇ καὶ τὸν ζῆλον ἀφελέσθαι τοῦ πλούτου διανοηθείς, καὶ τὸ τρίτον πολίτευμα, καὶ κάλλιστον ἐπῆγε, τὴν τῶν συσσιτίων κατασκευήν, ὥστε δειπνεῖν μετ' ἀλλήλων συνιόντας, ἐπὶ κοινοῖς καὶ τεταγμένοις ὄψοις καὶ σιτίοις, οἴκοι δὲ μὴ διαιτᾶσθαι, ἢ στρωμνὰς πολυτελεῖς καὶ τραπέζας, ἐν χερσὶ δημιουργῶν καὶ μαγείρων, ὑπὸ σκότους, ὥσπερ ἀδηφάγα ζῶα πιαινομένους καὶ διαφθείροντας ἅμα τοῖς ἤθεσι τὰ σώματα πρὸς πᾶσαν ἐπιθυμίαν ἀνειμένα καὶ πλησμονήν, μακρῶν μὲν ὕπνων, θερμῶν δὲ λουτρῶν, πολλῆς δὲ ἡσυχίας, καὶ τρόπον τινὰ νοσηλείας καθημερινῆς δεομένων. μέγα μὲν οὖν καὶ τοῦτο ἦν. μεῖζον δὲ τὸ τὸν πλοῦτον ἄσυλον, μᾶλλον δὲ ἄζηλον ὥς φησι Θεόφραστος, καὶ ἄπλουτον ἀπεργάσασθαι τῇ κοινότητι τῶν δείπνων, καὶ τῇ περὶ τὴν δίαιταν εὐτελείᾳ. χρῆσις γὰρ οὐκ ἦν οὐδὲ ἀπόλαυσις οὐδὲ ὄψις ὅλως, ἢ ἐπίδειξις τῆς πολλῆς παρασκευῆς, ἐπὶ τ' αὐτὸ δεῖπνον τῷ πένητι τοῦ πλουσίου βαδίζοντος. ὥστε δὴ τοῦτο τὸ θρυλλούμενον ἐν μόνῃ τῶν ὑπὸ τὸν ἥλιον πόλεων, τῇ Σπάρτῃ σώζεσθαι, τυφλὸν ὄντα τὸν πλοῦτον, καὶ κείμενον ὥσπερ γραφὴν ἄψυχον καὶ ἀκίνητον. οὐδὲ γὰρ οἴκοι προδειπνήσαντας ἐξῆν βαδίζειν ἐπὶ τὰ συσσίτια πεπληρωμένους. ἀλλ' ἐπιμελῶς οἱ λοιποὶ παραφυλάττοντες τὸν μὴ πίνοντα μηδὲ ἐσθίοντα μετ' αὐτῶν ἐκάκιζον, ὡς ἀκρατῆ καὶ πρὸς τὴν κοινὴν ἀπομαλακιζόμενον δίαιταν. διὸ καὶ μάλιστα φασὶ τῷ Λυκούργῳ, πρὸς τοῦτο τὸ πολίτευμα χαλεπῶς γενέσθαι τοὺς εὐπόρους. καὶ συστάντας ἐπ' αὐτὸν ἀθρόους, καταβοᾶν καὶ ἀγανακτεῖν. τέλος δὲ βαλλόμενος ὑπὸ πολλῶν, ἐξέπεσε τῆς ἀγορᾶς δρόμῳ, καὶ τοὺς μὲν ἄλλους, ἔφθασεν εἰς ἱερὸν καταφυγών. εἷς δέ τις νεανίσκος ἄλλως μὲν οὐκ ἀφυής, ὀξὺς δὲ καὶ θυμοειδής, Ἄλκανδρος, ἐπικείμενος καὶ διώκων, ἐπιστραφέντος αὐτοῦ τῇ βακτηρίᾳ πατάξας, τὸν ὀφθαλμὸν ἀπέκοψεν. ὁ μὲν οὖν Λυκοῦργος, οὐδὲν ἐνδοὺς πρὸς τὸ πάθος, ἀλλὰ στὰς ἐναντίος, ἔδειξε τοῖς πολίταις τὸ πρόσωπον ᾑμαγμένον καὶ διεφθαρμένην τὴν ὄψιν. αἰδὼς δὲ πολλὴ καὶ κατήφεια τοὺς ἰδόντας ἔσχεν. ὥστε παραδοῦναι τὸν Ἄλκανδρον αὐτῷ καὶ προπέμψαι μέχρι τῆς οἰκίας συναγανακτοῦντας. ὁ δὲ Λυκοῦργος, ἐκείνους μὲν ἐπαινέσας, ἀφῆκε. τὸν δὲ Ἄλκανδρον εἰσαγαγὼν οἴκαδε, κακὸν μὲν οὐδὲν ἐποίησεν, οὔτε εἶπεν. ἀπαλλάξας δὲ τοὺς συνήθεις καὶ θεράποντας ὑπηρέτας, ἐκεῖνον ἐκέλευσεν ὑπηρετεῖν. ὁ δέ, οὐκ ὢν ἀγεννής, ἐποίει τὸ προσταττόμενον σιωπῇ. καὶ παραμένων ἅμα τῷ Λυκούργῳ καὶ συνδιαιτώμενος, ἐν τῷ καταμανθάνειν τὴν πρᾳότητα καὶ τὸ πάθος αὐτοῦ τῆς ψυχῆς, καὶ τὸ περὶ τὴν δίαιταν αὐστηρόν, καὶ τὸ πρὸς τοὺς πόνους ἀκάματον, αὐτός τε λίαν ὡς διετέθη περὶ τὸν ἄνδρα. καὶ πρὸς τοὺς συνήθεις καὶ φίλους ἔλεγεν, ὡς οὐ σκληρὸς οὐδ' αὐθάδης ὁ Λυκοῦργος, ἀλλὰ μόνος ἐκεῖνος ἥμερος καὶ πρᾶος εἴη τοῖς ἄλλοις. οὕτω μὲν οὖν οὗτος ἐκολάσθη, καὶ τοιαύτην ὑπέσχε δίκην, ἐκ πονηροῦ

σι γερόντων. τοῖς μὲν βασιλεῦσι προστιθεμένων, ὅσον ἀντιβῆναι πρὸς δημοκρατίαν. αὖθις δὲ ὑπὲρ τοῦ μὴ γενέσθαι τυραννίδα, τὸν δῆμον ἀναῤῥωννύντων. τοσούτους δὲ καταστῆναί φησι τοὺς γέροντας ἀριστοτέλης, ὅτι τριάκοντα τῶν πρώτων μετὰ λυκούργου γενομένων, δύο τὴν πρᾶξιν ἐγκατέλιπον ἀποδειλιάσαντες. ὁ δὲ σφαῖρος ἐξ ἀρχῆς φησὶ τοσούτους γενέσθαι τοὺς τῆς γνώμης μετασχόντας. εἴη δ' ἄν τι καὶ τὸ τοῦ ἀριθμοῦ δι' ἑβδομάδος τετράδι πολλαπλασιασθείσης, ἀποτελούμενον. καὶ ὅτι τοῖς αὐτοῦ μορίοις ἴσος ὢν μετὰ τὴν ἑξάδα, τέλειός ἐστιν. ἐμοὶ δὲ δοκεῖ μάλιστα τοσούτους ἀποδεῖξαι τοὺς γέροντας, ὅπως οἱ πάντες ὦσι τριάκοντα, τοῖς ὀκτὼ καὶ εἴκοσι τοῖν δυοῖν βασιλέοιν προστιθεμένοιν. οὕτω δὲ περὶ ταύτην ἐσπούδασε τὴν ἀρχὴν ὁ λυκοῦργος, ὥστε καὶ μαντείαν ἐκ δελφῶν κομίσαι περὶ αὐτῆς ἣν ῥήτραν καλοῦσιν. ἔχει δὲ οὕτως· διὸς συλλανίου, καὶ ἀθηνᾶς συλλανίας ἱερὸν ἱδρυσάμενος φυλὰς φυλάξαντα καὶ ὠβὰς ὠβάξαντα τριάκοντα γερουσίαν σὺν ἀρχαγέταις καταστήσαντα. ὥρας ἐξ ὥρας ἀπελλάζειν μεταξὺ βαβύκας τε καὶ κνακιῶνος, οὕτως εἰσφέρειν τε καὶ ἀφίστασθαι γαμωδὰν γορίαν ἦμεν καὶ κράτος. ἐν τούτοις, τὸ μὲν φυλὰς φυλάξαι καὶ ὠβὰς ὠβάξαι, διελεῖν ἐστι καὶ κατανεῖμαι τὸ πλῆθος εἰς μερίδας. ὧν τὰς μὲν, φυλάς. τὰς δὲ, ὠβὰς προσηγόρευκεν. ἀρχαγέται δὲ οἱ βασιλεῖς λέγονται. τὸ δὲ ἀπελλάζειν, ἐκκλησιάζειν. ὅτι τὴν ἀρχὴν καὶ τὴν αἰτίαν τῆς πολιτείας, εἰς τὸν πύθιον ἀνῆψε. τὴν δὲ βαβύκαν, καὶ τὸν κνακιῶνα, νῦν οἰνοῦντα προσαγορεύουσιν. ἀριστοτέλης δὲ, τὸν μὲν κνακιῶνα, ποταμόν. τὴν δὲ βαβύκαν, γέφυραν. ἐν μέσῳ δὲ τούτων, τὰς ἐκκλησίας ἦγον. οὔτε παστάδων οὐσῶν, οὔτε ἄλλης τινὸς κατασκευῆς οὐδὲν γὰρ ᾤετο ταῦτα πρὸς εὐβουλίαν εἶναι. μᾶλλον δὲ βλάπτειν, φλυαρώδεις ἀπεργαζόμενα καὶ χαύνους, φρονήματι κενῷ τὰς διανοίας τῶν συμπορευομένων, ὅταν εἰς ἀγάλματα καὶ γραφὰς, ἢ προσκήνια θεάτρων, ἢ στέγας βουλευτηρίων ἠσκημένας περιττῶς ἐκκλησιάζοντες ἀποβλέπωσι. τοῦ δὲ πλήθους ἀθροισθέντος εἰπεῖν μὲν οὐδενὶ γνώμην τῶν ἄλλων ἐφεῖτο, τὴν δ' ὑπὸ τῶν γερόντων, καὶ τῶν βασιλέων προτεθεῖσαν ἐπικρῖναι κύριος ἦν ὁ δῆμος. ὕστερον μέντοι τῶν πολλῶν, ἀφαιρέσει καὶ προσθέσει τὰς γνώμας διαστρεφόντων, καὶ παραβιαζομένων, πολύδωρος καὶ θεόπομπος οἱ βασιλεῖς, τάδε τῇ ῥήτρᾳ παρενέγραψαν· αἰ δὲ σκολιὰν ὁ δᾶμος ἔροιτο, τοὺς πρεσβυγενέας καὶ ἀρχαγέτας ἀποστατῆρας ἦμεν. τοῦτ' ἔστι μὴ κυροῦν, ἀλλ' ὅλως ἀφίστασθαι καὶ διαλύειν τὸν δῆμον, ὡς ἐκτρέποντα καὶ μεταποιοῦντα τὴν γνώμην, παρὰ τὸ βέλτιστον. ἔπεισαν δὲ καὶ αὐτοὶ τὴν πόλιν ὡς τοῦ θεοῦ ταῦτα προστάσσοντος, ὥς που τυρταῖος ἐπιμέμνηται διὰ τούτων

» φοίβου ἀκούσαντες πυθωνόθεν, οἴκαδ' ἔνικαν μαντείας τε θεοῦ καὶ τελέεντ' ἔπεα.
» ἄρχειν μὲν βουλῆς, θεοτιμήτους βασιλῆας. οἷσι μέλει σπάρτης ἱμερόεσσα πόλις πρεσβύτας
» τε γέροντας. ἔπειτα δὲ, δημότας ἄνδρας εὐθείαις ῥήτραις ἀνταπαμειβομένους.

οὕτω τὸ πολίτευμα τοῦ λυκούργου μίξαντος, ὅμως ἄκρατον ἔτι τὴν ὀλιγαρχίαν καὶ ἰσχυρὰν οἱ μετ' αὐτὸν ὁρῶντες σπαργῶσαν καὶ θυμουμένην, ὥς φησιν ὁ πλάτων, οἷον ψάλιον ἐμβάλλουσιν αὐτῇ, τὴν τῶν ἐφόρων δύναμιν, ἔτεσί που μάλιστα τριάκοντα καὶ ἑκατὸν μετὰ λυκοῦργον, πρώτων τῶν περὶ ἔλατον ἐφόρων καταστα θέντων ἐπὶ θεοπόμπου βασιλεύοντος. ὃν καί φασιν ὑπὸ τῆς ἑαυτοῦ γυναικὸς ὀνειδιζόμενον ὡς ἐλάττω παραδώσοντα τοῖς παισὶ τὴν βασιλείαν, ἢ παρέλαβε, μείζω μὲν οὖν εἰπεῖν, ὅσῳ χρονιωτέραν. τῷ γὰρ ὄντι τὸ ἄγαν ἀποβαλοῦσα μετὰ τοῦ φθόνου, διέφυγε τὸν κίνδυνον. ὥστε μὴ παθεῖν ἃ μεσσήνιοι καὶ ἀργεῖοι τοὺς παρ' αὐτοῖς βασιλεῖς ἔδρασαν, μηδὲν ἐνδοῦναι μηδὲ χαλάσαι τῆς ἐξουσίας ἐπὶ τὸ δημοτικὸν ἐθελήσαντας. καὶ μάλιστα τὴν λυκούργου σοφίαν καὶ πρόνοιαν ἐποίησε φανερὰν εἰς τὰς μεσσηνίων καὶ ἀργείων, συγγενῶν καὶ γειτόνων δήμων, καὶ βασιλέων, στάσεις καὶ κακοπολιτείας ἀφορῶσιν. οἱ τῶν ἴσων ἀπ' ἀρχῆς τετυχηκότες. ἐν δὲ τῷ κλήρῳ καὶ πλέον ἔχειν ἐκείνων δόξαντες, οὐκ ἐπὶ πολὺν χρόνον εὐδαιμόνησαν. ἀλλ' ὕβρει μὲν τῶν βασιλέων, οὐκ εὐπειθείᾳ δὲ τῶν ὄχλων τὰ καθεστῶτα συνταράξαντες, ἔδειξαν ὅτι θεῖον ἦν ὡς ἀληθῶς εὐτύχημα τοῖς σπαρτιάταις, ὁ τὴν πολιτείαν ἁρμοσάμενος καὶ κεράσας παρ' αὐτοῖς. ταῦτα μὲν οὖν ὕστερον. δεύτερον δὲ τῶν λυκούργου πολιτευμάτων καὶ νεανικώτατον, ὁ τῆς γῆς ἀναδασμός ἐστι. δεινῆς γὰρ οὔσης ἀνωμαλίας, καὶ πολλῶν ἀκτημόνων καὶ ἀπόρων ἐπιφορουμένων τῇ πόλει. τοῦ δὲ πλούτου παντάπασιν εἰς ὀλίγους συνερρυηκότος, ὕβριν καὶ φθόνον καὶ κακουργίαν καὶ τρυφὴν. καὶ τὰ τούτων ἔτι πρεσβύτερα καὶ μείζω νοσήματα πολιτείας, πλοῦτον καὶ πενίαν ἐξελαύνων, συνέπεισε τὴν χώραν ἅπασαν, εἰς μέσον θέντας ἐξ ἀρχῆς, ἀναδάσασθαι. καὶ ζῆν μετ' ἀλλήλων ἅπαντας, ὁμαλεῖς καὶ ἰσοκλήρους τοῖς βίοις γενομένους. τὸ δὲ πρωτεῖον ἀρετῇ μετιόντας, ὡς ἄλλης ἑτέρῳ πρὸς ἕτερον οὐκ οὔσης διαφορᾶς οὐδὲ ἀνισότητος, πλὴν ὅσην αἰσχρῶν ψόγος ὁρίζει καὶ καλῶν ἔπαινος. ἐπάγων δὲ τῷ λόγῳ τὸ ἔργον διένειμε, τὴν μὲν ἄλλην τοῖς περιοίκοις λακωνικὴν, τρισμυρίους κλήρους. τὴν δὲ εἰς τὸ ἄστυ τὴν σπάρτην συντελοῦσαν, ἐνακισχιλίους. τοσοῦτοι γὰρ ἐγένοντο κλῆροι σπαρτιατῶν. ἔνιοι δέ φασι τὸν μὲν λυκοῦργον ἑξακισχιλίους νεῖμαι. τρισχιλίους δὲ, μετὰ ταῦτα προσθεῖναι πολύδωρον. οἱ δὲ, τοὺς μὲν ἡμίσεις τῶν ἐνακισχιλίων ἐκεῖνον. τοὺς δὲ ἡμίσεις, λυκοῦργον. ὁ δὲ κλῆρος ἦν ἑκάστου, τοσοῦτος ὥστε ἀποφορὰν φέρειν, ἀνδρὶ μὲν ἑβδομήκοντα κριθῶν μεδίμνους, γυναικὶ δὲ, δώδεκα. καὶ τῶν ὑγρῶν καρπῶν ἀναλόγως τὸ πλῆθος.

βιβύκας. ς. π. τ.
τοσούτοις. ς. π. κ. η.
ἀ ς. τ. κ. η.
ψάλιον. η.
λό τ. ς. η.
πλοῦτ. π.
κλήρ. η. π. τ' ἄστυ π. τ. η.
ἑνακισχιλί
λυκοῦργῳ ς. τ. κ.

αὔξησιν ὄντι νέῳ πειρώμενοι ἐνίστασθαι. μάλιστα μὲν οἱ συγγενεῖς καὶ οἰκεῖοι τῆς τοῦ βασιλέως μητρὸς, ὑβρίσθαι δοκούσης. ὁ δὲ ἀδελφὸς αὐτῆς Λεωνίδας καὶ θρασύτερόν ποτε τῷ Λυκούργῳ λοιδορηθεὶς, ὑπεῖπεν, ὡς εἰδείη σαφῶς, μέλλοντα βασιλεύειν αὐτὸν, ὑπόνοιαν διδοὺς καὶ προκαταλαμβάνων διαβολῇ τὸν Λυκοῦργον, εἴ τι συμβαίη τῷ βασιλεῖ παθεῖν, ὡς ἐπιβεβουλευκότα. τοιοῦτοι δέ τινες λόγοι καὶ παρὰ τῆς γυναικὸς διεφοίτων, ἐφ' οἷς βαρέως φέρων καὶ δεδοικὼς τὸ ἄδηλον, ἔγνω φυγεῖν ἀποδημίᾳ τὴν ὑπόνοιαν, καὶ πλανηθῆναι μέχρις οὗ ὁ ἀδελφιδοῦς ἐν ἡλικίᾳ γενόμενος τεκνώσῃ διάδοχον τῆς βασιλείας. οὕτως ἀπάρας, πρῶτον μὲν εἰς Κρήτην ἀφίκετο, καὶ τὰς αὐτόθι πολιτείας κατανοήσας, καὶ συγγενόμενος τοῖς πρωτεύουσι κατὰ δόξαν ἀνδράσι, τὰ μὲν ἐζήλωσε καὶ παρέλαβε τῶν νόμων ὡς οἴκαδε μετοίσων, καὶ χρησόμενος. ἔστι δ' ὧν κατεφρόνησεν. ἕνα δὲ τῶν νομιζομένων ἐκεῖ σοφῶν καὶ πολιτικῶν, χάριτι καὶ φιλίᾳ πείσας, ἀπέστειλεν εἰς τὴν Σπάρτην, Θάλητα. ποιητὴν μὲν δοκοῦντα λυρικῶν μελῶν, καὶ πρόσχημα τὴν τέχνην ταύτην πεποιημένον. ἔργῳ δὲ, ἅπερ οἱ κράτιστοι τῶν νομοθετῶν διαπραττόμενον. λόγοι γὰρ ἦσαν αἱ ᾠδαὶ πρὸς εὐπείθειαν καὶ ὁμόνοιαν, ἀνακλητικοὶ διὰ μελῶν ἅμα καὶ ῥυθμῶν, πολὺ τὸ κόσμιον ἐχόντων καὶ καταστατικὸν, ὧν ἀκροώμενοι, κατεπραΰνοντο λεληθότως τὰ ἤθη, καὶ συνῳκειοῦντο τῷ ζήλῳ τῶν καλῶν, ἐκ τῆς ἐπιχωριαζούσης τότε πρὸς ἀλλήλους κακοθυμίας, ὥστε τρόπον τινὰ τῷ Λυκούργῳ προοδοποιεῖν τὴν παίδευσιν αὐτῶν ἐκεῖνον. ἀπὸ δὲ τῆς Κρήτης ὁ Λυκοῦργος, εἰς Ἀσίαν ἔπλευσεν, βουλόμενος ὡς λέγεται ταῖς Κρητικαῖς διαίταις, εὐτελέσιν οὔσαις, καὶ αὐστηραῖς, τὰς Ἰωνικὰς πολυτελείας, καὶ τρυφὰς, ὥσπερ ἰατρὸς σώμασιν ὑγιεινοῖς, ὕπουλα καὶ νοσώδη παραβαλὼν, ἀποθεωρῆσαι τὴν διαφορὰν τῶν βίων καὶ τῶν πολιτειῶν. ἐκεῖ δὲ καὶ τοῖς Ὁμήρου ποιήμασιν ἐντυχὼν πρῶτον ὡς ἔοικε παρὰ τοῖς ἐκγόνοις τοῖς Κρεοφύλου διατηρουμένοις. καὶ κατιδὼν ἐν αὐτοῖς τῆς πρὸς ἡδονὴν καὶ ἀκρασίαν διατριβῆς, τὸ πολιτικὸν καὶ παιδευτικὸν οὐκ ἐλάττονος ἄξιον σπουδῆς ἀναμεμιγμένον, ἐγράψατο προθύμως, καὶ συνήγαγεν ὡς δεῦρο κομιῶν. ἦν γάρ τις ἤδη δόξα τῶν ἐπῶν ἀμαυρὰ παρὰ τοῖς Ἕλλησιν. ἐκέκτηντο δὲ οὐ πολλοὶ μέρη τινὰ σποράδην τῆς ποιήσεως ὡς ἔτυχε διαφερομένης. γνωρίμην δὲ αὐτὴν καὶ μάλιστα πρῶτος ἐποίησε Λυκοῦργος, Αἰγύπτιοι δὲ καὶ πρὸς αὑτοὺς ἀφικέσθαι τὸν Λυκοῦργον οἴονται. καὶ τὴν ἀπὸ τῶν ἄλλων γενῶν τοῦ μαχίμου διάκρισιν μάλιστα θαυμάσαντα μετενεγκεῖν εἰς τὴν Σπάρτην, καὶ χωρίσαντα τοὺς βαναύσους καὶ χειροτέχνας, ἀστεῖον ὡς ἀληθῶς τὸ πολίτευμα καὶ καθαρὸν ἀποδεῖξαι. ταῦτα μὲν οὖν Αἰγυπτίοις ἔνιοι καὶ τῶν Ἑλλήνων καὶ συγγραφέων μαρτυροῦσιν. ὅτι δὲ καὶ Λιβύην καὶ Ἰβηρίαν ἐπῆλθεν ὁ Λυκοῦργος. καὶ περὶ τὴν Ἰνδικὴν πλανηθεὶς τοῖς γυμνοσοφισταῖς ὡμίλησεν, οὐδένα πλὴν Ἀριστοκράτη τὸν Ἱππάρχου Σπαρτιάτην εἰρηκότα γινώσκομεν. οἱ δὲ Λακεδαιμόνιοι, τὸν Λυκοῦργον ἐπόθουν ἀπόντα καὶ μετεπέμποντο πολλάκις. ὡς τοὺς μὲν βασιλεῖς, ὄνομα καὶ τιμὴν. ἄλλο δὲ μηδὲν διαφέρουσι τῶν πολλῶν ἔχοντας. ἐν ἐκείνῳ δὲ, φύσιν ἡγεμονικὴν καὶ δύναμιν ἀνθρώπων ἀγωγὸν οὖσαν. οὐ μὴν οὐδὲ τοῖς βασιλεῦσιν ἦν ἀβούλητος ἡ παρουσία τοῦ ἀνδρὸς, ἀλλ' ἤλπιζον ἐκείνου συμπαρόντος, ἧττον ὑβρίζουσι χρῆσθαι τοῖς πολλοῖς. ἐπανελθὼν οὖν πρὸς οὕτω διακειμένους, εὐθὺς ἐπεχείρει τὰ παρόντα κινεῖν καὶ μεθιστάναι τὴν πολιτείαν, ὡς τῶν κατὰ μέρος νόμων οὐδὲν ἔργον οὐδὲ ὄφελος, εἰ μή τις ὥσπερ σώματι πονηρῷ καὶ γέμοντι παντοδαπῶν νοσημάτων τὴν ὑπάρχουσαν ἐκτήξας καὶ μεταβαλὼν κρᾶσιν ὑπὸ φαρμάκων καὶ καθαρμῶν, ἑτέρας ἄρξεται καινῆς διαίτης. διανοηθεὶς δὲ ταῦτα, πρῶτον μὲν ἀπεδήμησεν εἰς Δελφοὺς καὶ τῷ θεῷ χρησάμενος καὶ θύσας, ἐπανῆλθε τὸν διαβόητον ἐκεῖνον χρησμὸν κομίζων, ᾧ θεοφιλῆ μὲν αὐτὸν ἡ Πυθία προσεῖπε, καὶ θεὸν μᾶλλον ἢ ἄνθρωπον. εὐνομίας δὲ χρῄζοντι, διδόναι καὶ καταινεῖν ἔφη τὸν θεὸν, ἣ πολὺ κρατίστη τῶν ἄλλων ἔσται πολιτειῶν. ἐπαρθεὶς δὲ τούτοις, προσῆγε τοὺς ἀρίστους, καὶ συνεφάπτεσθαι παρεκάλει κρύφα διαλεχθεὶς τοῖς φίλοις πρῶτον, εἶτα οὕτως κατὰ μικρὸν ἁπτόμενος πλειόνων, καὶ συνιστὰς ἤδη τὴν πρᾶξιν. ὡς δ' ὁ καιρὸς ἧκε, τριάκοντα τοὺς πρώτους ἐκέλευσε μετὰ τῶν ὅπλων ἕωθεν εἰς ἀγορὰν προελθεῖν, ἐκπλήξεως ἕνεκα καὶ φόβου πρὸς τοὺς ἀντιπράττοντας. ὧν εἴκοσι τοὺς ἐπιφανεστάτους Ἕρμιππος ἀνέγραψε. τὸν δὲ μάλιστα τῶν Λυκούργου ἔργων κοινωνήσαντα πάντων καὶ συμπραγματευσάμενον τὰ περὶ τοὺς νόμους, Ἀρθμιάδαν ὀνομάζουσιν. ἀρχομένης δὲ τῆς ταραχῆς, ὁ βασιλεὺς Χαρίλαος φοβηθεὶς ὡς ἐπ' αὐτὸν ὅλης τῆς πράξεως συνισταμένης, κατέφυγε πρὸς τὴν Χαλκίοικον. εἶτα πεισθεὶς καὶ λαβὼν ὅρκους, ἀνέστη. καὶ μετεῖχε τῶν πραττομένων, φύσει πρᾶος ὢν, ὥς που καὶ λέγεται συμβασιλεύοντα τὸν Ἀρχέλαον αὐτῷ, πρὸς τοὺς ἐγκωμιάζοντας τὸν νεανίσκον εἰπεῖν. πῶς δ' ἂν οὐκ εἴη Χαρίλαος ἀνὴρ ἀγαθὸς, ὃς οὐδὲ τοῖς πονηροῖς χαλεπός ἐστι. πλειόνων δὲ καινοτομουμένων ὑπὸ τοῦ Λυκούργου, πρῶτον ἦν καὶ μέγιστον ἡ κατάστασις τῶν γερόντων. ἥν φησιν ὁ Πλάτων τῇ τῶν βασιλέων ἀρχῇ, φλεγμαινούσῃ μιχθεῖσαν καὶ γενομένην ἰσόψηφον εἰς τὰ μέγιστα σωτηρίαν ἅμα καὶ σωφροσύνην παρασχεῖν. αἰωρουμένη γὰρ ἡ πολιτεία καὶ ἀποκλίνουσα. νῦν μὲν ὡς τοὺς βασιλεῖς ἤδη τυραννίδα. νῦν δὲ ὡς τὸ πλῆθος ἤδη δημοκρατίαν, οἷον ἕρμα τὴν τῶν γερόντων ἀρχὴν ἐν μέσῳ θεμένη, καὶ ἰσορροπήσασα, τὴν ἀσφαλεστάτην τάξιν ἔσχε καὶ κατάστασιν. ἀεὶ τῶν ὀκτὼ καὶ εἴκο-

ΛΥΚΟΥΡΓΟΣ. γ'.

Περὶ λυκούργου τοῦ νομοθέτου, καθόλου μὲν, οὐδέν ἐστιν εἰπεῖν ἀναμφισβήτητον, οὗ γε καὶ γένος καὶ ἀποδημία καὶ τελευτὴ, καὶ πρὸς ἅπασιν ἡ περὶ τοὺς νόμους αὐτοῦ καὶ τὴν πολιτείαν πραγματεία, διαφόρους ἔσχηκεν ἱστορίας. ἥκιστα δὲ οἱ χρόνοι καθ' οὓς γέγονεν ὁ ἀνὴρ ὁμολογοῦνται. οἱ μὲν γὰρ, ἰφίτῳ συνακμάσαι καὶ συνδιαθεῖναι τὴν ὀλυμπιακὴν ἐκεχειρίαν λέγουσιν αὐτόν. ὧν ἐστι καὶ ἀριστοτέλης ὁ φιλόσοφος. τεκμήριον προσφέρων τὸν ὀλυμπίασι δίσκον, ἐν ᾧ τοὔνομα τοῦ λυκούργου διασῴζεται καταγεγραμμένον. οἱ δὲ ταῖς διαδοχαῖς τῶν ἐν σπάρτῃ βεβασιλευκότων ἀναλεγόμενοι τὸν χρόνον. ὥσπερ ἐρατοσθένης καὶ ἀπολλόδωρος, οὐκ ὀλίγοις ἔτεσι πρεσβύτερον ἀποφαίνουσι τῆς πρώτης ὀλυμπιάδος. τίμαιος δὲ ὑπονοεῖ, δυοῖν ἐν σπάρτῃ γεγονότων λυκούργων, οὐ κατὰ τὸν αὐτὸν χρόνον, τῷ ἑτέρῳ τὰς ἀμφοῖν πράξεις διὰ τὴν δόξαν ἀνακεῖσθαι. καὶ τόν γε πρεσβύτερον, οὐ πόρρω τῶν ὁμήρου χρόνον γεγονέναι. ἔνιοι δὲ, καὶ κατ' ὄψιν ἐντυχεῖν ὁμήρῳ. δίδωσι δὲ καὶ ξενοφῶν ὑπόνοιαν ἀρχαιότητος, ἐν οἷς τὸν ἄνδρα λέγει γεγονέναι κατὰ τοὺς ἡρακλείδας. γένει μὲν γὰρ ἡρακλεῖδαι δήπουθεν ἦσαν καὶ οἱ νεώτατοι τῶν ἐν σπάρτῃ βασιλέων. ὁ δὲ, ἔοικε βουλόμενος τοὺς πρώτους ἐκείνους καὶ σύνεγγυς ἡρακλέους, ὀνομάζειν ἡρακλείδας. οὐ μὴν, ἀλλὰ καίπερ οὕτω πεπλανημένης τῆς ἱστορίας, πειρασόμεθα τοῖς βραχυτάτας ἔχουσιν ἀντιλογίας, ἢ γνωριμωτάτους μάρτυρας ἑπόμενοι, τῶν γεγραμμένων περὶ τοῦ ἀνδρὸς ἀποδοῦναι τὴν διήγησιν. ἐπεὶ καὶ σιμωνίδης ὁ ποιητὴς, οὐκ εὐνόμου λέγει τὸν λυκοῦργον πατρὸς, ἀλλὰ πρυτάνιδος, καὶ τὸν λυκοῦργον καὶ τὸν εὔνομον. οἱ πλεῖστοι σχεδὸν οὐχ οὕτω γενεαλογοῦσιν. ἀλλὰ προκλέους μὲν τοῦ ἀριστοδήμου, γενέσθαι, σόον, σόου δὲ, εὐρυπῶνα τούτου δὲ, πρύτανιν. ἐκ τούτου δὲ, εὔνομον. εὐνόμου δὲ, πολυδέκτην ἐκ προτέρας γυναικὸς, λυκοῦργον δὲ, νεώτερον ἐκ διωνάσσης. ὡς δὲ διευτυχίδας ἱστόρηκεν, ἕκτον μὲν, ἀπὸ προκλέους. ἑνδέκατον δὲ ἀφ' ἡρακλέους. τῶν δὲ προγόνων αὐτοῦ, μάλιστα ἐθαυμάσθη, σόος ἐφ' οὗ καὶ τοὺς εἵλωτας ἐποιήσαντο δούλους οἱ σπαρτιᾶται. καὶ χώραν προσεκτήσαντο πολλὴν, ἀρκάδων ἀποτεμόμενοι. λέγεται δὲ τὸν σόον, ἐν χωρίῳ χαλεπῷ καὶ ἀνύδρῳ πολιορκούμενον ὑπὸ κλιτορίων, ὁμολογῆσαι τὴν δορίκτητον γῆν αὐτοῖς ἀφήσειν, ἐὰν πίωσι καὶ αὐτὸς καὶ οἱ μετ' αὐτοῦ πάντες, ἀπὸ τῆς πλησίον πηγῆς. γενομένων δὲ τῶν ὅρκων ὁμολογιῶν, συναγαγόντα τοὺς μεθ' ἑαυτοῦ, διδόναι τῷ μὴ πιόντι τὴν βασιλείαν. οὐδενὸς δὲ καρτερήσαντος ἀλλὰ πάντων πιόντων, αὐτὸν ἤδη πᾶσι καταβάντα, καὶ περιρρανάμενον ἔτι τῶν πολεμίων παρόντων, ἀπελθεῖν καὶ τὴν χώραν κατασχεῖν, ὡς μὴ πάντων πιόντων. ἀλλὰ καίπερ ἤδη τούτοις θαυμάζοντες αὐτὸν, οὐκ ἀπὸ τούτου τὴν οἰκίαν, ἀλλὰ τοῦ παιδὸς αὐτοῦ προσηγόρευσαν εὐρυπωντίδας. ὅτι δοκεῖ πρῶτος εὐρυπῶν τὸ ἄγαν μοναρχικὸν ἀνεῖναι τῆς βασιλείας δημαγωγῶν καὶ χαριζόμενος τοῖς πολλοῖς. ἐκ δὲ τῆς τοιαύτης ἀνέσεως, τοῦ μὲν δήμου θρασυνομένου. τῶν δ' ὕστερον βασιλέων, τὰ μὲν, ἀπεχθανομένων τῷ βιάζεσθαι τοὺς πολλούς. τὰ δὲ, πρὸς χάριν ἢ δι' ἀσθένειαν ὑποφερομένων, ἀνομία καὶ ἀταξία κατέσχε τὴν σπάρτην ἤδη πολὺν χρόνον. ὑφ' ἧς καὶ τὸν πατέρα τοῦ λυκούργου βασιλεύοντα συνέβη τελευτῆσαι. διείργων γὰρ ἀμφιμαχίαν τινὰ, μαγειρικῇ κοπίδι πληγεὶς, ἀπέθανε. τῷ πρεσβυτέρῳ παιδὶ πολυδέκτῃ καταλιπὼν τὴν βασιλείαν. ἀποθανόντος δὲ καὶ τούτου, μετ' ὀλίγον χρόνον, ἔδει βασιλεύειν ὡς πάντες ᾤοντο τὸν λυκοῦργον. καὶ πρίν γε τὴν γυναῖκα τοῦ ἀδελφοῦ φανερὰν ἔσεσθαι κύουσαν, ἐβασίλευσεν. ἐπεὶ δὲ τάχιστα ᾔσθετο, τὴν μὲν βασιλείαν ἀπέφηνε τοῦ παιδὸς οὖσαν, ἄνπερ ἄρρην γένηται, τὴν δὲ ἀρχὴν αὐτὸς ὡς ἐπίτροπος διεῖπε. τοὺς δὲ τῶν ὀρφανῶν βασιλέων ἐπιτρόπους λακεδαιμόνιοι, προδίκους ὠνόμαζον. ὡς δὲ ἡ γυνὴ προσέπεμπε κρύφα, καὶ λόγους ἐποιεῖτο βουλομένη διαφθεῖραι τὸ βρέφος, ἐφ' ᾧ συνοικεῖν ἐκείνῳ βασιλεύοντι τῆς σπάρτης, τὸ μὲν ἦθος αὐτῆς ἐμίσησε. πρὸς δὲ τὸν λόγον αὐτὸν, οὐκ ἀντεῖπεν. ἀλλ' ἐπαινεῖν καὶ δέχεσθαι προσποιούμενος, οὐκ ἔφη δεῖν ἀμβλίσκουσαν αὐτὴν καὶ φαρμακευομένην διαλυμαίνεσθαι τὸ σῶμα καὶ κινδυνεύειν. αὐτῷ γὰρ μελήσειν ὅπως εὐθὺς ἐκποδὼν ἔσται τὸ γεννηθέν. οὕτω δὲ παραγαγὼν ἄχρι τοῦ τόκου τὴν ἄνθρωπον, ὡς ᾔσθετο τίκτουσαν, εἰσέπεμψε παρέδρους ταῖς ὠδῖσιν αὐτῆς καὶ φύλακας. οἷς ἦν προστεταγμένον, ἐὰν μὲν θῆλυ τέκῃ, παραδοῦναι ταῖς γυναιξίν. ἐὰν δὲ ἄρρεν, κομίσαι πρὸς ἑαυτὸν ὅ τι ἂν τύχῃ πράττων. ἔτυχε δὲ δειπνοῦντος αὐτοῦ μετὰ τῶν ἀρχόντων, ἀποκυηθὲν ἄρρεν. καὶ παρῆσαν οἱ ὑπηρέται, τὸ παιδάριον αὐτῷ κομίζοντες. ὁ δὲ, δεξάμενος λέγεται, καὶ πρὸς τοὺς παρόντας εἰπὼν, βασιλεὺς ἡμῖν γέγονεν, ὦ σπαρτιᾶται, κατέκλινεν ἐν τῇ βασιλικῇ χώρᾳ. καὶ χαρίλαον ὠνόμασε, διὰ τὸ τοὺς πάντας εἶναι περιχαρεῖς, ἀγαμένους αὐτοῦ τὸ φρόνημα καὶ τὴν δικαιοσύνην. ἐβασίλευσε δὲ μῆνας ὀκτὼ τὸ σύμπαν. ἦν δὲ καὶ τἆλλα περίβλεπτος ὑπὸ τῶν πολιτῶν. καὶ πλείονες ἐγένοντο τῶν ὡς ἐπιτρόπῳ βασιλέως καὶ βασιλικὴν ἐξουσίαν ἔχοντι πειθομένων, οἱ δι' ἀρετὴν προσέχοντες αὐτῷ καὶ ποιεῖν ἐθέλοντες ἑτοίμως τὸ προσταττόμενον. ἦν δέ τι καὶ τὸ φθονοῦν, καὶ πρὸς τὴν

λοντας εἶναι καὶ πολίτας. λῃστὰς δὲ καὶ κακούργους οὐκ ἀπέκτεινεν, ἀλλ᾽ ἔθνη προσηγάγετο πολέμῳ. καὶ πόλεις κατεστρέψατο, καὶ βασιλεῖς ἐθριάμβευσε καὶ ἡγεμόνας. καὶ τὸ μὲν ῥώμου πάθος ἀμφισβητούμενον ἔχει τὸν αὐτόχειρα, καὶ τὸ πλεῖστον εἰς ἑτέρους τὰς αἰτίας φέρουσι. τὴν δὲ μητέρα διολλυμένην ἔσωσε περιφανῶς, καὶ τὸν πάππον ἀκλεῶς δουλεύοντα καὶ ἀτίμως, εἰς τὸν αἰνείου θρόνον ἐκάθισε. καὶ πολλὰ μὲν ἑκὼν εὐεργέτησεν, ἔβλαψε δὲ αὐτὸν, οὐδὲ ἄκων. τὴν δὲ θησέως λήθην καὶ ἀμέλειαν τῆς περὶ τὸ ἱστίον ἐντολῆς, μόλις ἂν οἶμαι μακρᾷ τινὶ παραιτήσει καὶ ἐν ῥαθύμοις δικασταῖς αἰτίαν ἀποφυγεῖν πατροκτονίας. ὃ δὴ καὶ συνιδών τις ἀττικὸς ἀνὴρ, ὡς παγχαλεπὸν οὖσι βουλομένοις ἀπολογεῖσθαι, πλάττει τὸν αἰγέα, τῆς νεὼς ⌈προσφερομένης, ὑπὸ σπουδῆς ἀναθέοντα πρὸς τὴν ἀκρόπολιν θέας ἕνεκα καὶ σφαλλόμενον καταπεσεῖν, ὡς περ ὀπαδῶν ἔρημον, ἢ τῆς ἐπὶ θάλατταν ὁδοῦ σπεύδοντι μὴ παρούσης τινὸς θεραπείας. καὶ μὴν τὰ περὶ τὰς ἁρπαγὰς τῶν γυναικῶν ἡμαρτημένα, θησεῖ μὲν εὐσχήμονος ἐνδεᾶ προφάσεως γέγονε. πρῶτον μὲν ὅτι πολλάκις, ἥρπασε γὰρ ἀριάδνην καὶ ἀντιόπην. καὶ ἀναξὼ τὴν τροιζηνίαν. ἐπὶ πάσαις δὲ, τὴν ἑλένην παρηκμακὼς, οὐκ ἀκμάζουσαν, ἀλλὰ νηπίαν καὶ ἄωρον, αὐτὸς ὥραν ἔχων ἤδη γάμον πεπαῦσθαι, καὶ νομίμων. ἔπειτα διὰ τὴν αἰτίαν οὐ γὰρ ἀξιωτέραι γε παιδοποιεῖν τῶν ἀθήνησιν ἐρεχθιδῶν καὶ κεκροπιδῶν, αἱ τροιζηνίων καὶ λακώνων καὶ ἀμαζόνων, ἀνέγγυοι θυγατέρες ἦσαν. ἀλλὰ ταῦτα μὲν, ὑποψίαν ἔχει πρὸς ὕβριν καὶ καθ᾽ ἡδονὴν πεπρᾶχθαι. ῥωμύλος δὲ πρῶτον μὲν ὀκτακοσίων ὀλίγον ἀριθμῷ δεούσας ἁρπάσας οὐ πάσας, ἀλλὰ μίαν ὥς φασιν ἑρσιλίαν ἔλαβε, τὰς δ᾽ ἄλλας, διένειμε τοῖς ἀγαθοῖς τῶν πολιτῶν, ἔπειτα τῇ μετὰ ταῦτα τιμῇ καὶ ἀγαπήσει καὶ δικαιοσύνῃ περὶ τὰς γυναῖκας ἀπέδειξε τὴν βίαν ἐκείνην καὶ τὴν ἀδικίαν, κάλλιστον ἔργον καὶ πολιτικώτατον εἰς κοινωνίαν γενομένην, οὕτω συνέμιξεν ἀλλήλοις καὶ συνέπηξε τὰ γένη καὶ παρέσχε πηγὴν, τῆς εἰς αὖθις εὐνοίας, καὶ δυνάμεως τοῖς πράγμασιν. αἰδοῦς δὲ καὶ φιλίας καὶ βεβαιότητος ἣν εἰργάσατο περὶ τοὺς γάμους, ὁ χρόνος ἐστὶ μάρτυς. ἐν γὰρ ἔτεσι τριάκοντα καὶ διακοσίοις, οὔτε ἀνὴρ ἐτόλμησε γυναικὸς, οὔτε γυνὴ, κοινωνίαν ἀνδρὸς ἐγκαταλιπεῖν, ἀλλ᾽ ὥσπερ ἐν ἕλλησιν οἱ σφόδρα περίεργοι, τὸν πρῶτον ἔχουσιν εἰπεῖν πατροκτόνον, ἢ μητροφόνον, οὕτω ῥωμαῖοι πάντες ἴσασιν ὅτι καρβίλιος σπόριος ἀπεπέμψατο γυναῖκα πρῶτος, ἀπαιδίαν αἰτιασάμενος. τῷ δὲ τοσούτῳ χρόνῳ, συμμαρτυρεῖ καὶ τὰ ἔργα. καὶ γὰρ, ἀρχῆς ἐκοινώνησαν οἱ βασιλεῖς. καὶ πολιτείας τὰ γένη, διὰ τὴν ἐπιγαμίαν ἐκείνην. ἀπὸ δὲ τῶν θησέως γάμων, ἀθηναίοις, φιλικὸν μὲν οὐδὲν, κοινωνικὸν ὑπῆρξε πρὸς οὐδένα συμβόλαιον. ἔχθραι δὲ καὶ πόλεμοι καὶ φόνοι πολιτῶν. καὶ τέλος ἀφίδνας ἀπολέσαι, μόλις ὑπ᾽ οἴκτου τῶν πολεμίων προσκυνήσαντας, καὶ θεοὺς αἰ[illegible]ποντας, παθεῖν ἃ φρύγες ἔπαθον δι᾽ ἀλέξανδρον. ἡ μέν τοι μήτηρ ἡ θησέως, οὐκ ἐκινδύνευσεν, ἀλλ᾽ ἔπαθε τὰ τῆς ἑκάβης, ἐγκαταλιπόντος καὶ προεμένου τοῦ παιδός. εἴγε μὴ πέπλασται τὰ τῆς αἰχμαλωσίας. ὡς ἔδει γε καὶ τοῦτο ψεῦδος εἶναι καὶ τὰ πλεῖστα τῶν ἄλλων. ἐπεὶ καὶ τὰ περὶ τοῦ θείου μυθολογούμενα πολλὴν ποιεῖ διαφοράν. ῥωμύλῳ μὲν γὰρ, ἡ σωτηρία μετὰ πολλῆς ὑπῆρξε θεῶν εὐμενείας. ὁ δ᾽ αἰγεῖ δοθεὶς χρησμὸς ἀπέχεσθαι γυναικὸς ἐπὶ ξένης, ἔοικεν ἀποφαίνειν παρὰ γνώμην θεῶν γεγονέναι τὴν θησέως τέκνωσιν.

ῥέμου Ϛ. Τ.
τῆς Ϛ. Τ.
deest reliquia.
γάμων Κ. Ϛ. Τ.
ἐρεχθειδῶν Τ. Ϛ. ω.
λουδ. Κ. Ϛ. Τ.
λιπ ἴσ
λμη ἴσ

Ῥωμαίων ὀνομαζόμενον, ἑστιῶσι δὲ τὰς γυναῖκας ἔξω συκῆς κλάδοις σκιαζομένας· αἱ δὲ θεραπαινίδες ἀγείρουσι περιιοῦσαι καὶ παίζουσιν, εἶτα πληγαῖς καὶ βολαῖς λίθων χρῶνται πρὸς ἀλλήλας, ὡς καὶ τότε τοῖς Ῥωμαίοις παραγενόμεναι καὶ συναγωνισάμεναι μαχομένοις. ταῦτ' οὐ πολλοὶ προσίενται τῶν συγγραφέων. ἀλλὰ καὶ τὸ μεθ' ἡμέραν χρῆσθαι τῇ ἀνακλήσει τῶν ὀνομάτων, καὶ τὸ πρὸς τὸ ἕλος τὸ τῆς αἰγὸς ὡς ἐπὶ θάλατταν βαδίζοντας, ἔοικε τῷ προτέρῳ λόγῳ προστίθεσθαι μᾶλλον. εἰ μὴ νὴ Δία τῆς αὐτῆς ἡμέρας ἐν χρόνοις ἑτέροις ἀμφότερα τὰ πάθη συνέτυχε γενέσθαι. λέγεται δὲ Ῥωμύλος, πάτερα μὲν ἔτη καὶ πεντήκοντα γεγονὼς, ὄγδοον δὲ βασιλεύων ἐκεῖνο καὶ τριακοστὸν, ἐξ ἀνθρώπων ἀφανισθῆναι. ἃ μὲν οὖν ἄξια μνήμης πυθέσθαι περὶ Ῥωμύλου καὶ Θησέως συμβέβηκεν ἡμῖν, ταῦτ' ἐστί.

φαίνεται δὲ πρῶτον, ὁ μὲν, ἐκ προαιρέσεως, οὐδενὸς ἀναγκάζοντος, ἀλλ' ἐξὸν ἀδεῶς ἐν Τροιζῆνι βασιλεύειν, διαδεξάμενος ἀρχὴν οὐκ ἄδοξον, αὐτὸς ἐφ' ἑαυτοῦ μεγάλων ὀρεχθείς. ὁ δὲ, δουλείας φυγῇ παρούσης, καὶ τιμωρίας ἐπιφερομένης, ἐκεῖνο τὸ τοῦ Πλάτωνος ἀτεχνῶς ὑπὸ δέους ἀνδρεῖος γενόμενος, καὶ φόβῳ τοῦ τὰ ἔσχατα παθεῖν, ἐπὶ τὸ δρᾶν μεγάλα δι' ἀνάγκην παραγενόμενος. ἔπειτα τούτου μὲν ἔργον ἐστὶ τὸ μέγιστον ἀνελεῖν ἕνα τὸν Ἄλβης τύραννον. ἐκείνου δὲ πάρεργα καὶ προαγῶνές εἰσιν, ὁ Σκίρων, ὁ Σίνις, ὁ Προκρούστης, ὁ Κορυνήτης, οὓς ἀναιρῶν καὶ κολάζων, ἀπήλλαξε τὴν Ἑλλάδα δεινῶν τυράννων, πρὶν ὅστις ἐστὶ γνῶσιν τοὺς ὑφ' ἑαυτοῦ σωζομένους. καὶ τῷ μὲν, παρῆν ἀπραγμόνως κομίζεσθαι διὰ θαλάττης, ἀδικουμένῳ μηδὲν ὑπὸ τῶν λῃστῶν. Ῥωμύλῳ δ' οὐ παρῆν μὴ πράγματα ἔχειν Ἀμουλίου ζῶντος. μέγα δὲ τούτου τεκμήριον. ὁ μὲν, γὰρ οὐδὲν αὐτὸς ἀδικούμενος ὥρμησεν ὑπὲρ ἄλλων ἐπὶ τοὺς πονηρούς. οἱ δ' ὅσον αὐτοὶ κακῶς οὐκ ἔπασχον ὑπὸ τοῦ τυράννου, περιεωρῶν ἀδικοῦντα πάντας. καὶ μὴν εἰ μέγα τὸ τρωθῆναι μαχόμενον Σαβίνοις, καὶ ἀνελεῖν Ἄκρωνα, καὶ πολλοὺς κρατῆσαι πολεμίων, τούτοις μὲν ἔστι τοῖς ἔργοις κενταυρομαχίαν καὶ τὰ πρὸς Ἀμαζόνας παραβάλλειν. ὃ δ' ἐτόλμησε Θησεὺς περὶ τὸν Κρητικὸν δασμὸν, εἴτε τινὶ θηρίῳ βορὰν, εἴτε πρόσφαγμα τοῖς Ἀνδρόγεω τάφοις, εἴθ' ὃ κουφότατόν ἐστι τῶν λεγομένων, λατρεύειν παρ' ἀνδράσιν ὑβρισταῖς καὶ δυσμενέσιν ἀγεννῆ λατρείαν, καὶ ἄτιμον ἐπιδοὺς ἑαυτὸν ἑκουσίως μετὰ παρθένων πλεῦσαι καὶ παίδων νέων, οὐκ ἂν εἴποι τις ἡλίκης ἐστὶ τόλμης ἢ μεγαλοφροσύνης ἢ δικαιοσύνης περὶ κοινὸν, ἢ πόθου δόξης καὶ ἀρετῆς. ὥστ' ἔμοιγε φαίνεσθαι μὴ κακῶς ὁρίζεσθαι τοὺς φιλοσόφους τὸν ἔρωτα θεῶν ὑπηρεσίαν πρὸς ἐπιμέλειαν καὶ σωτηρίαν νέων. ὁ γὰρ Ἀριάδνης ἔρως παντὸς μᾶλλον ἔοικεν ἔργον θεοῦ καὶ μηχανὴν γενέσθαι σωτηρίας ἕνεκα τοῦ ἀνδρός. καὶ οὐκ ἄξιον αἰτιᾶσθαι τὴν ἐρασθεῖσαν, ἀλλὰ θαυμάζειν, εἰ μὴ πάντες οὕτω καὶ πᾶσαι διετέθησαν. εἰ δ' ἐκείνη μόνη τοῦτ' ἔπαθεν, εἰκότως ἔγωγε φαίην ἂν αὐτὴν ἀξιέραστον θεῷ γεγονέναι φιλόκαλον καὶ φιλάγαθον. καὶ τῶν ἀρίστων ἐρωτικὴν οὖσαν. ἀμφοτέρων τοίνυν τῇ φύσει πολιτικῶν γεγονότων, οὐδέτερος διεφύλαξε τὸν βασιλικὸν τρόπον. ἐξέστη δὲ καὶ μετέβαλε μεταβολήν. ὁ μὲν, δημοτικήν. ὁ δὲ, τυραννικήν. ταὐτὸν ἀπ' ἐναντίων παθῶν ἁμαρτόντες. δεῖ γὰρ τὸν ἄρχοντα σῴζειν πρῶτον αὐτὴν τὴν ἀρχήν. σῴζεται δ' οὐχ ἧττον ἀπεχομένη τοῦ μὴ προσήκοντος, ἢ περιεχομένη τοῦ προσήκοντος. ὁ δ' ἐνδιδοὺς ἢ ἐπιτείνων, οὐ μένει βασιλεὺς οὐδὲ ἄρχων, ἀλλ' ἢ δημαγωγὸς ἢ δεσπότης γιγνόμενος, ἐμποιεῖ τὸ μισεῖν ἢ καταφρονεῖν τοῖς ἀρχομένοις, οὐ μὴν ἀλλ' ἐκεῖνο μὲν, ἐπιεικείας δοκεῖ καὶ φιλανθρωπίας εἶναι. τοῦτο δὲ φιλαυτίας ἁμάρτημα καὶ χαλεπότητος. εἰ δὲ δεῖ καὶ τὰ δυστυχηθέντα μὴ παντάπασι ποιεῖσθαι δαίμονος, ἀλλ' ἠθικὰς καὶ παθητικὰς ποιεῖν ἐν αὐτοῖς διαφοράς, θυμοῦ μὲν ἀλογίστου καὶ τάχος ἐχούσης ἄβουλον ὀργῆς, μήτε τις ἐκεῖνον ἐν τοῖς πρὸς τὸν ἀδελφὸν ἀπολυέτω, μήτε τοῦτον ἐν τοῖς πρὸς τὸν υἱόν. ἡ δὲ κινήσασα τὸν θυμὸν ἀρχὴ, μᾶλλον παραιτεῖται τὸν ὑπὸ μείζονος αἰτίας ὥσπερ ὑπὸ πληγῆς χαλεπωτέρας ἀναπεσόντα. Ῥωμύλῳ μὲν γὰρ ἐκ βουλῆς καὶ σκέψεως περὶ κοινῶν συμφερόντων διαφορᾶς γενομένης, οὐκ ἂν ἠξίωσέ τις ἄφνω τὴν διάνοιαν ἐν τηλικούτῳ πάθει γενέσθαι. Θησέα δὲ πρὸς τὸν υἱὸν ἃ πάμπαν ὀλίγοι τῶν ὄντων διαπεφεύγασιν, ἔρως καὶ ζηλοτυπία καὶ διαβολαὶ γυναικὸς ἔσφηλαν. ὃ δὲ μεῖζόν ἐστιν, ὁ μὲν Ῥωμύλου θυμὸς, εἰς ἔργον ἐξέπεσε καὶ πρᾶξιν οὐκ εὐτυχὲς ἔχουσαν τέλος. ἡ δὲ Θησέως ὀργὴ, μέχρι λόγου καὶ βλασφημίας καὶ κατάρας πρεσβυτικῆς προῆλθε. τὰ δ' ἄλλα φαίνεται τῇ τύχῃ χρήσασθαι τὸ μειράκιον. ὥστε ταύτας μὲν ἄν τις ἀποδοίη τῷ Θησεῖ τὰς ψήφους. ἐκείνῳ δὲ πρῶτον μὲν ὑπάρχει μέγα, τὸ μικροτάτας λαβεῖν ἀρχὰς ἐπὶ τὰ πράγματα. δοῦλοι γὰρ δὴ καὶ συφορβῶν παῖδες ὀνομαζόμενοι, πρὶν ἐλεύθεροι γενέσθαι πάντας ὀλίγου δεῖν ἠλευθέρωσαν Λατίνους, ἐν χρόνῳ τῶν καλλίστων ὀνομάτων ἅμα τυχόντες, φονεῖς ἐχθρῶν, καὶ σωτῆρες οἰκείων, καὶ βασιλεῖς ἐθνῶν, καὶ οἰκισταὶ πόλεων, οὐ μετοικισταὶ καθάπερ ἦν ὁ Θησεὺς ἐκ πολλῶν συντιθεὶς καὶ συνοικοδομῶν ἓν οἰκητήριον, ἀναιρῶν δὲ πολλὰς πόλεις ἐπωνύμους βασιλέων καὶ ἡρώων παλαιῶν. Ῥωμύλος δὲ ταῦτα μὲν ὕστερον ἔδρα, τοὺς πολεμίους ἀναγκάζων τὰ οἰκεῖα καταβάλλοντας καὶ ἀφανίζοντας, τοῖς νενικηκόσι προσνέμεσθαι. τὸ δὲ πρῶτον, οὐ μετατιθεὶς οὐδ' αὔξων τὴν ὑπάρχουσαν, ἀλλὰ ποιῶν ἐξ οὐχ ὑπαρχόντων, καὶ κτώμενος ἑαυτῷ χώραν ὁμοῦ, πατρίδα, βασιλείαν, γένη, γάμους, οἰκειότητας, ἀνῄρει μὲν οὐδένα οὐδ' ἀπώλλυεν, εὐεργετεῖ δὲ τοὺς ἐξ ἀοίκων καὶ ἀνεστίων δῆμον ἐθέ-

ἀφίξονται δυνάμεως. ἐγὼ δ' ὑμῖν εὐμενὴς ἔσομαι δαίμων κυρεῖνος. ταῦτα πιστὰ μὲν εἶναι τοῖς ῥωμαίοις ἐδόκει, διὰ τὸν τρόπον τοῦ λέγοντος καὶ τὸν ὅρκον, οὐ μὴν ἀλλὰ καὶ δαιμόνιόν τι συνεφάψασθαι πάθος ὅμοιον ἐνθουσιασμῷ. μηδένα γὰρ ἀντειπεῖν, ἀλλὰ πᾶσαν ὑπόνοιαν καὶ διαβολὴν ἀφέντας, εὔχεσθαι κυρείνῳ καὶ θεοκλυτεῖν ἐκεῖνον. ἔοικε μὲν οὖν ταῦτα τοῖς ὑφ' ἑλλήνων, περί τε ἀριστέου τοῦ προικοννησίου, καὶ κλεομήδους τοῦ ἀστυπαλαιέως μυθολογουμένοις. ἀριστέαν μὲν γὰρ ἔν τινι κναφείῳ τελευτῆσαι φασί, καὶ τὸ σῶμα μετιόντων αὐτοῦ τῶν φίλων ἀφανὲς οἴχεσθαι, λέγειν δέ τινας εὐθὺς ἐξ ἀποδημίας ἥκοντας, ἐντυχεῖν ἀριστέᾳ τὴν ἐπὶ κρότωνος πορευομένῳ. κλεομήδη δὲ ῥώμῃ καὶ μεγέθει σώματος ὑπερφυᾶ γενόμενον, ἔμπληκτόν τε τῷ τρόπῳ καὶ μανικὸν ὄντα πολλὰ δρᾶν βίαια, καὶ τέλος ἔν τινι διδασκαλείῳ παίδων, τὸν ὑπερείδοντα τὴν ὀροφὴν κίονα πατάξαντα τῇ χειρὶ, κλάσαι μέσον καὶ τὴν στέγην καταβαλεῖν, ἀπολομένων δὲ τῶν παίδων διωκόμενον εἰς κιβωτὸν καταφυγεῖν μεγάλην, καὶ τὸ πῶμα κατακλείσαντα συνέχειν οὕτως ὥστε ἀποσπάσαι μὴ δύνασθαι πολλοὺς ὁμοῦ βιαζομένους, καταγνύσαντας δὲ τὴν κιβωτὸν, οὔτε ζῶντα τὸν ἄνθρωπον εὑρεῖν, οὔτε νεκρόν. ἐκπλαγέντας οὖν ἀποστεῖλαι θεοπρόπους εἰς δελφούς. οἷς τὴν πυθίαν εἰπεῖν, ἔσχατος ἡρώων, κλεομήδης ἀστυπαλαιεύς. λέγεται δὲ καὶ τὸν ἀλκμήνης ἐκκομιζομένης νεκρὸν, ἄδηλον γενέσθαι, λίθον δὲ φανῆναι κείμενον ἐπὶ τῆς κλίνης. καὶ ὅλως, πολλὰ τοιαῦτα μυθολογοῦσι παρὰ τὸ εἰκὸς ἐκθειάζοντες τὰ θνητὰ τῆς φύσεως ἅμα τοῖς θεοῖς. ἀπογνῶναι μὲν οὖν παντάπασι τὴν θειότητα τῆς ἀρετῆς, ἀνόσιον καὶ ἀγεννὲς, οὐρανῷ δὲ μιγνύειν γῆν, ἀβέλτερον. ἐατέον οὖν ἐχομένους τῆς ἀσφαλείας κατὰ πίνδαρον, ὡς σῶμα μὲν πάντων ἕπεται θανάτῳ περισθενεῖ. ζωὸν δ' ἔτι λείπεται αἰῶνος εἴδωλον. τὸ γάρ ἐστι μόνον ἐκ θεῶν, ἥκει γὰρ ἐκεῖθεν. ἐκεῖ δ' ἄνεισιν, οὐ μετὰ σώματος, ἀλλ' ἐὰν ὅτι μάλιστα σώματος ἀπαλλαγῇ, καὶ διακριθῇ καὶ γένηται καθαρὸν παντάπασι καὶ ἄσαρκον καὶ ἁγνόν. αὕτη γὰρ ψυχὴ ξηρὴ ἀρίστη καθ' ἡράκλειτον, ὥσπερ ἀστραπὴ νέφους διαπταμένη τοῦ σώματος. ἡ δὲ σώματι πεφυρμένη καὶ περίπλεως σώματος, οἷον ἀναθυμίασις ἐμβριθὴς καὶ ὁμιχλώδης, δυσέξαπτος ἐστὶ καὶ δυσανακόμιστος. οὐδὲν οὖν δεῖ τὰ σώματα τῶν ἀγαθῶν συναναπέμπειν παρὰ φύσιν εἰς οὐρανὸν, ἀλλὰ τὰς ἀρετὰς καὶ τὰς ψυχὰς παντάπασιν οἴεσθαι κατὰ φύσιν καὶ δίκην θείαν, ἐκ μὲν ἀνθρώπων, εἰς ἥρωας. ἐκ δ' ἡρώων, εἰς δαίμονας. ἐκ δὲ δαιμόνων, ἂν τέλεον ὥσπερ ἐν τελετῇ καθαρθῶσι καὶ ὁσιωθῶσιν ἅπαν ἀποφυγοῦσαι τὸ θνητὸν καὶ παθητικὸν, οὐ νόμῳ πόλεως, ἀλλ' ἀληθείᾳ καὶ κατὰ τὸν εἰκότα λόγον εἰς θεοὺς ἀναφέρεσθαι τὸ κάλλιστον καὶ μακαριώτατον τέλος ἀπολαβούσας. τὴν δὲ γενομένην ἐπωνυμίαν τῷ ῥωμύλῳ τὸν κυρεῖνον, οἱ μὲν, ἐνυάλιον προσαγορεύουσιν. οἱ δ' ὅτι καὶ τοὺς πολίτας κυρείτας ὠνόμαζον. οἱ δὲ, τὴν αἰχμὴν, ἢ τὸ δόρυ, τοὺς παλαιοὺς, κυρεῖνον ὀνομάζειν. καὶ κυρείτιδος ἥρας ἄγαλμα καλεῖν ἐπ' αἰχμῆς ἱδρυμένον. ἐν δὲ τῇ ῥηγίᾳ, δόρυ καθιδρυμένον, ἄρεα προσαγορεύειν. καὶ δόρατι τοὺς ἐν πολέμοις ἀριστεύοντας γεραίρειν. ὡς οὖν ἀρήιόν τινα τὸν ῥωμύλον, ἢ αἰχμητὴν, θεὸν ὀνομασθῆναι κυρεῖνον. ἱερὸν μὲν οὖν αὐτοῦ ἐστι κατεσκευασμένον ἐν τῷ λόφῳ τῷ κυρείνῳ προσαγορευομένῳ δι' ἐκεῖνον. ἡ δ' ἡμέρα ἣ μετήλλαξεν, ὄχλου φυγὴ καλεῖται. καὶ νόνναι καπρατῖναι. διὰ τὸ θύειν εἰς τὸ τῆς αἰγὸς ἕλος ἐκ πόλεως κατιόντας. τὴν γὰρ αἶγα, κάπραν ὀνομάζουσι. ἐξιόντες δὲ πρὸς τὴν θυσίαν, πολλὰ τῶν ἐπιχωρίων ὀνομάτων, φθέγγονται, μετὰ βοῆς. οἷον μαρκέλλου καὶ γαΐου, μιμούμενοι τὴν τότε φυγὴν καὶ ἀνάκλησιν ἀλλήλων, μετὰ δέους καὶ ταραχῆς, ἔνιοι μέντοι τὸ μίμημα τοῦτο φασὶ, μὴ φυγῆς, ἀλλ' ἐπείξεως εἶναι καὶ σπουδῆς, εἰς αἰτίαν τοιαύτην ἀναφέροντες τὸν λόγον. ἐπεὶ κελτοὶ τὴν ῥώμην καταλαβόντες, ἐξεκρούσθησαν ὑπὸ καμίλλου, καὶ δι' ἀσθένειαν ἡ πόλλις οὐκέτι ῥᾳδίως ἑαυτὴν ἀνελάμβανεν, ἐστράτευσαν ἐπ' αὐτὴν, πολλοὶ τῶν λατίνων, ἄρχοντα λίβιον ποσούμιον ἔχοντες. οὗτος δὲ καθίσας τὸν στρατὸν, οὐ πρόσω τῆς ῥώμης, ἔπεμπε κήρυκα, βούλεσθαι λέγων τοὺς λατίνους ἐκλιποῦσαν ἤδη τὴν παλαιὰν οἰκειότητα καὶ συγγένειαν, ἐκζωπυρῆσαι, καιναῖς αὖθις ἀνακραθέντων ἐπιγαμίαις τῶν γενῶν. ἂν οὖν πέμψωσι παρθένους τε συχνὰς, καὶ γυναικῶν τὰς ἀνάνδρους, εἰρήνην ἔσεσθαι καὶ φιλίαν αὐτοῖς, ὡς ὑπῆρξε πρότερον πρὸς σαβίνους ἐκ τῶν ὁμοίων. ταῦτα ἀκούσαντες οἱ ῥωμαῖοι τόν τε πόλεμον ἐφοβοῦντο, καὶ τὴν παράδοσιν τῶν γυναικῶν, οὐδὲν αἰχμαλωσίας ἐπιεικέστερον ἔχειν ἐνόμιζον. ἀπορουμένοις δὲ αὐτοῖς, θεράπαινα φιλωτὶς, ὡς δ' ἔνιοι λέγουσι, τουτόλα καλουμένη. συνεβούλευσε μηδέτερα ποιεῖν, ἀλλὰ χρησαμένους δόλῳ, διαφυγεῖν ἅμα τὸν πόλεμον καὶ τὴν ὁμηρείαν. ἦν δ' ὁ δόλος αὐτήν τε τὴν φιλωτίδα, καὶ σὺν αὐτῇ θεραπαινίδας εὐπρεπεῖς κοσμήσαντας, ὡς ἐλευθέρας ἀποστεῖλαι πρὸς τοὺς πολεμίους, εἶτα νύκτωρ τὴν φιλωτίδα, πυρσὸν ἆραι, τοὺς δὲ ῥωμαίους ἐπελθεῖν μετὰ τῶν ὅπλων, καὶ χρήσασθαι κοιμωμένοις τοῖς πολεμίοις. ταῦτα δ' ἐδρᾶτο πεισθέντων τῶν λατίνων, καὶ τὸν πυρσὸν ἀνέσχεν ἡ φιλωτὶς, ἔκ τινος ἐρινεοῦ, περισχοῦσα περικαλύμματι καὶ παραπετάσμασιν ὄπισθεν, ὥστε τοῖς πολεμίοις ἀόρατον εἶναι τὸ φῶς, τοῖς δὲ ῥωμαίοις καταδῆλον. ὡς οὖν ἐπεῖδον, εὐθὺς ἐξιέσαν ἐπειγόμενοι, καὶ διὰ τὴν ἔπειξιν, ἀλλήλους περὶ τὰς πύλας ἀνακαλοῦντες πολλάκις. ἐμπεσόντες δὲ τοῖς πολεμίοις, ἀπροσδοκήτως καὶ κρατήσαντες, ἐπινίκιον ἄγουσι τὴν ἑορτὴν, καὶ καπρατῖναι μὲν αἱ νόναι καλοῦνται διὰ τὸν ἐρινεὸν, καπρίφικον ὑπὸ ῥω-

προικοννησίου. ς. τ.

κ. νὸ ἦν ἅμα

ἐχομένους ω. τ. ς. φ.

ζωὸν δ' ἔτι

ἰὸ

δυσέξαπτος

κυρίνη τ. ς.

νῶναι τ. ς.

νόναι. φ.

πόλις

ἐξῄεσαν τ. ς.

νῶναι τ. ς.

παρ᾽ ἡλικίαν ἀπείρως τοῖς πράγμασι κεχρῆσθαι. διὸ καὶ νῦν ἔτι θύοντες ἐπινίκια, γέροντα μὲν ἄγουσι δι᾽ ἀγορᾶς εἰς καπιτώλιον ἐν περιπορφύρῳ, βοῦλλαν αὐτῷ παιδικὴν ἄψαντες. κηρύττει δ᾽ ὁ κῆρυξ σαρδιανοὺς ὠνίους. τυῤῥηνοὶ γὰρ ἄποικοι σαρδιανῶν λέγονται. τυῤῥηνικὴ γὰρ πόλις οἱ ουκῖοι. τὸν ἔσχατον πόλεμον ὁ ῥωμύλος ἐπολέμησεν. εἶθ᾽ ὃ πολλοί, μᾶλλον δὲ πλὴν ὀλίγων παγχρησί πάντες οἱ μεγάλαις καὶ παραλόγοις ἀρθέντες εὐτυχίαις εἰς δύναμιν καὶ ὄγκον, οὐδ᾽ αὐτὸς διέφυγε παθεῖν, ἀλλ᾽ ἐκτεθαῤῥηκὼς τοῖς πράγμασι, καὶ βαρυτέρῳ φρονήματι χρώμενος, ἐξίστατο τοῦ δημοτικοῦ, καὶ παρήλλαττεν εἰς μοναρχίαν ἐπαχθῆ, καὶ λυποῦσαν ἀπὸ τοῦ σχήματος πρῶτον ᾧ κατεσχημάτιζεν ἑαυτόν. ἁλουργῆ μὲν γὰρ ἐνεδύετο χιτῶνα καὶ τήβεννον ἐφόρει περιπόρφυρον. ἐν θρόνῳ δ᾽ ἀνακλίτῳ καθήμενος, ἐχρημάτιζεν. ἦσαν δὲ περὶ αὐτὸν ἀεὶ τῶν νέων οἱ καλούμενοι κέλερες, ἀπὸ τῆς περὶ τὰς ὑπουργίας ὀξύτητος. ἐβάδιζον δὲ πρόσθεν ἕτεροι βακτηρίαις ἀνείργοντες τὸν ὄχλον, ὑπεζωσμένοι δὲ ἱμάντας, ὥστε συνδεῖν εὐθὺς οὓς προστάξειε. τὸ δὲ δῆσαι λατῖνοι, πάλαι μὲν λιγάρε, νῦν δὲ ἀλλιγάρε καλοῦσιν. ὅθεν οἵ τε ῥαβδοῦχοι λικτώρεις, αἵ τε ῥάβδοι, βάκυλα καλοῦνται, διὰ τὸ χρῆσθαι τότε βακτηρίαις. εἰκὸς δὲ λικτώρεις ἐντιθεμένου τοῦ κάππα νῦν ὀνομάζεσθαι. πρότερον γὰρ λιτώρεις, ἕλληνιστὶ δὲ λειτουργοὺς ὄντας. λῆϊτον γὰρ τὸν δῆμον, ἔτι νῦν καὶ ἕλληνες, καὶ λαὸν τὸ πλῆθος ὀνομάζουσιν. ἐπεὶ δὲ τοῦ πάππου νομήτορος ἐν ἄλβῃ τελευτήσαντος, αὐτῷ βασιλεύειν προσῆκον, εἰς μέσον ἔθηκε τὴν πολιτείαν δημαγωγῶν, καὶ κατ᾽ ἐνιαυτὸν ἀπεδείκνυεν ἄρχοντα τοῖς σαβίνοις. ἐδίδαξε δὲ καὶ τοὺς ἐν ῥώμῃ δυνατοὺς ἀβασίλευτον ζητεῖν καὶ αὐτόνομον πολιτείαν, ἀρχομένους ἐν μέρει καὶ ἄρχοντας. οὐδὲ γὰρ οἱ καλούμενοι πατρίκιοι πραγμάτων μετεῖχον, ἀλλ᾽ ὄνομα καὶ σχῆμα περιῆν ἔντιμον αὐτοῖς, ἔθους ἕνεκα μᾶλλον ἢ γνώμης ἀθροιζομένοις εἰς τὸ βουλευτήριον, εἶτα σιγῇ προστάττοντος, ἠκροῶντο. καὶ τῷ πρότερον τὸ προσταχθὲν ἐκείνους πυθέσθαι τῶν πολλῶν πλέον ἔχοντες ἀπηλλάττοντο. καὶ τἄλλα μὲν ἦν ἐλάττονα. τῆς δὲ γῆς τὴν δορύκτητον αὐτὸς ἐφ᾽ ἑαυτοῦ διανειμάμενος τοῖς στρατιώταις, καὶ τοὺς ὁμήρους τοῖς οὐηΐοις ἀποδιδοὺς, οὔτε πεισθέντων οὔτε βουλομένων ἐκείνων, ἔδοξε κομιδῇ τὴν γερουσίαν προπηλακίζειν. ὅθεν εἰς ὑποψίαν καὶ διαβολὴν ἐνέπεσε παραλόγως ἀφανισθέντος αὐτοῦ μετ᾽ ὀλίγον χρόνον. ἠφανίσθη δὲ νόναις ἰουλίαις ὡς νῦν ὀνομάζουσιν, ὡς δὲ τότε κυντιλίαις, οὐδὲν εἰπεῖν βέβαιον, οὐδὲ ὁμολογούμενον πυθέσθαι περὶ τῆς τελευτῆς ἀπολιπὼν, ἀλλ᾽ ἢ τὸν χρόνον ὡς προείρηται. δρᾶται γὰρ ἔτι νῦν ὅμοια τῷ τότε πάθει πολλὰ, κατὰ τὴν ἡμέραν ἐκείνην. οὐδεῖ δὲ θαυμάζειν τὴν ἀσάφειαν, ὅπου σκηπίωνος ἀφρικανοῦ μετὰ δεῖπνον οἴκοι τελευτήσαντος, οὐκ ἔσχε πίστιν οὐδ᾽ ἔλεγχον ὁ τρόπος τῆς τελευτῆς. ἀλλ᾽ οἱ μὲν, αὐτομάτως ὄντα φύσει νοσώδη, καμεῖν λέγουσιν. οἱ δ᾽ αὐτὸν ὑφ᾽ ἑαυτοῦ φαρμάκοις ἀποθανεῖν. οἱ δὲ, τοὺς ἐχθροὺς τὴν ἀναπνοὴν ἀπολαβεῖν αὐτοῦ, νύκτωρ παρεισπεσόντας. καίτοι σκηπίων ἔκειτο νεκρὸς ἐμφανὴς ἰδεῖν πᾶσι, καὶ τὸ σῶμα παρεῖχε πᾶσιν ὁρώμενον ὑποψίαν τινὰ τοῦ πάθους καὶ κατανόησιν. ῥωμύλου δὲ ἄφνω μεταλλάξαντος, οὔτε μέρος ὤφθη σώματος, οὔτε λείψανον ἐσθῆτος, ἀλλ᾽ οἱ μὲν, εἴκαζον ἐν τῷ ἱερῷ τοῦ ἡφαίστου τοὺς βουλευτὰς ἐπαναστάντας αὐτῷ καὶ διαφθείραντας νείμαντας τὸ σῶμα, καὶ μέρος ἕκαστον ἐνθέμενον εἰς τὸν κόλπον, ἐξενεγκεῖν. ἕτεροι δ᾽ οἴονται μήτε ἐν τῷ ἱερῷ τοῦ ἡφαίστου, μήτε μόνων τῶν βουλευτῶν παρόντων, γενέσθαι τὸν ἀφανισμόν. ἀλλὰ τυχεῖν μὲν ἔξω περὶ τὸ καλούμενον αἰγὸς ἢ ζορκὸς ἕλος ἐκκλησίαν ἄγοντα τὸν ῥωμύλον, ἄφνω δὲ θαυμαστὰ καὶ κρείττονα λόγου περὶ τὸν ἀέρα πάθη γενέσθαι καὶ μεταβολὰς ἀπίστους. τοῦ μὲν γὰρ ἡλίου τὸ φῶς ἐπιλιπεῖν, νύκτα δὲ κατασχεῖν οὐ πραεῖαν οὐδὲ ἥσυχον, ἀλλὰ βροντάς τε δεινὰς, καὶ πνοὰς ἀνέμων, ζάλην ἐλαυνόντων πανταχόθεν ἐχούσας, ἐν δὲ τούτῳ, τὸν μὲν πολὺν ὄχλον σκεδασθέντα, φυγεῖν, τοὺς δὲ δυνατοὺς, συστραφῆναι μετ᾽ ἀλλήλων. ἐπεὶ δ᾽ ἔληξεν ἡ ταραχὴ καὶ τὸ φῶς ἐξέλαμψε. καὶ τῶν πολλῶν εἰς ταυτὸ πάλιν συνερχομένων, ζήτησις ἦν τοῦ βασιλέως καὶ πόθος, οὐκ ἐᾶν τοὺς δυνατοὺς οὐδὲ πολυπραγμονεῖν, ἀλλὰ τιμᾶν παρακελεύεσθαι πᾶσι καὶ σέβεσθαι ῥωμύλον, ὡς ἀνηρπασμένον εἰς θεοὺς, καὶ θεὸν εὐμενῆ γενησόμενον αὐτοῖς ἐκ χρηστοῦ βασιλέως. τοὺς μὲν οὖν πολλοὺς ταῦτα πυθομένους καὶ χαίροντας, ἀπαλλάττεσθαι μετ᾽ ἐλπίδων ἀγαθῶν προσκυνοῦντας, εἶναι δέ τινας οἳ τὸ πρᾶγμα πικρῶς καὶ δυσμενῶς ἐξελέγχοντες, ἐτάραττον τοὺς πατρικίους καὶ διέβαλλον, ὡς ἀβέλτερα τὸν δῆμον ἀναπείθοντας, αὐτοὺς δὲ τοῦ βασιλέως αὐτόχειρας ὄντας. οὕτως οὖν ἀνδρα τῶν πατρικίων γένει πρῶτον, ἤθει τε δοκιμώτατον αὐτῷ τε ῥωμύλῳ πιστὸν καὶ συνήθη τῶν ἀπ᾽ ἄλβης ἐποίκων, ἰούλιον πρόκλον, εἰς ἀγορὰν προελθόντα καὶ τῶν ἁγιωτάτων ἔνορκον ἱερῶν ἁψάμενον, εἰπεῖν ἐν πᾶσιν ὡς ὁδὸν αὐτῷ βαδίζοντι, ῥωμύλος ἐξεναντίας προσιὼν φανείη, καλὸς μὲν ὀφθῆναι καὶ μέγας ὡς οὔποτε πρόσθεν, ὅπλοις δὲ λαμπροῖς καὶ φλέγουσι κεκοσμημένος. αὐτὸς μὲν οὖν ἐκπλαγεὶς πρὸς τὴν ὄψιν. ὦ βασιλεῦ φάναι τί δὴ παθὼν ἢ τί διανοηθεὶς, ἡμᾶς μὲν αἰτίαις ἀδίκοις καὶ πονηραῖς, πᾶσαν δὲ τὴν πόλιν ὀρφανὴν, ἐν μυρίῳ πένθει προλέλοιπας. ἐκεῖνον δὲ ἀποκρίνασθαι θεοῖς ἔδοξεν ὦ πρόκλε τοσοῦτον ἡμᾶς γενέσθαι μετ᾽ ἀνθρώπων χρόνον ἐκεῖθεν ὄντας. καὶ πόλιν ἐπ᾽ ἀρχῇ καὶ δόξῃ μεγίστῃ κτίσαντας, αὖθις οἰκεῖν οὐρανόν. ἀλλὰ χαῖρε καὶ φράζε ῥωμαίοις, ὅτι σωφροσύνην μετ᾽ ἀνδρίας ἀσκοῦντες, ἐπὶ πλεῖστον ἀνθρωπίνης

λβίνιος ὅσιος παρὰ χρόνον γενέσθαι. Ταῦτα μὲν οὖν ἱκανὰ περὶ τούτων. ἔτει δὲ πέμπτῳ τῆς Τατίου βασιλείας, οἰκεῖοι τινὲς αὐτοῦ καὶ συγγενεῖς πρέσβεσιν ἀπὸ Λαυρέντου βαδίζουσιν εἰς Ῥώμην ἐντυχόντες κατὰ ὁδὸν, ἐπεχείρουν ἀφαιρεῖσθαι τὰ χρήματα βίᾳ, καὶ μὴ προϊεμένους, ἀλλ' ἀμυνομένους, ἀνεῖλον. ἔργου δὲ δεινοῦ τολμηθέντος, ὁ μὲν Ῥωμύλος εὐθὺς δεῖν ᾤετο κολάζεσθαι τοὺς ἀδικήσαντας. ὁ δὲ Τάτιος, ἐξέκρουε καὶ παρῆγε. καὶ τοῦτο μόνον αὐτοῖς ὑπῆρξεν αἴτιον ἐμφανοῦς διαφορᾶς. τὰ δ' ἄλλα κατακοσμοῦντες ἑαυτοὺς ὡς ἐνὶ μάλιστα κοινῶς ἐχρῶντο καὶ μεθ' ὁμονοίας τοῖς πράγμασιν. οἱ δὲ τῶν ἀνῃρημένων οἰκεῖοι, πάσης ἐξειργόμενοι δίκης νομίμου διὰ τὸν Τάτιον, ἀποκτιννύουσιν αὐτὸν ἐν Λαβινίῳ, θύοντα μετὰ Ῥωμύλου, προσπεσόντες. τὸν δὲ Ῥωμύλον ὡς δίκαιον ἄνδρα, προὔπεμψαν εὐφημοῦντες. ὁ δὲ, τὸ μὲν σῶμα τοῦ Τατίου κομίσας ἐντίμως ἔθαψε, καὶ κεῖται περὶ τὸ καλούμενον Ἀρμιλούστριον ἐν Ἀβεντίνῳ, τῆς δὲ δίκης τοῦ φόνου παντάπασιν ἠμέλησεν. ἔνιοι δὲ τῶν συγγραφέων ἱστοροῦσι, τὴν μὲν πόλιν τῶν Λαυρεντίων, φοβηθεῖσαν ἐκδοῦναι τοὺς αὐτόχειρας Τατίου, τὸν δὲ Ῥωμύλον ἀφεῖναι, φήσαντα, φόνον φόνῳ λελύσθαι. τοῦτο δὲ λόγον μέν τινα παρέσχε καὶ ὑποψίαν ὡς ἀσμένως γέγονεν αὐτῷ τὸ τοῦ συνάρχοντος ἀπαλλαγῆναι. τῶν δὲ πραγμάτων, οὐδὲν διετάραξεν οὐδὲ διεστασίασε τοὺς Σαβίνους. ἀλλ' οἱ μὲν, εὐνοίᾳ τῇ πρὸς αὐτὸν οἱ δὲ, φόβῳ τῆς δυνάμεως. οἱ δ' ὡς θεῷ χρώμενοι, εἰς πάντα εὔνοιαν θαυμάζοντες διετέλουν. ἐθαύμαζον δὲ πολλοὶ καὶ τῶν ἐκτὸς ἀνθρώπων τὸν Ῥωμύλον. οἱ δὲ πρεσβύτεροι Λατῖνοι πέμψαντες, αὐτῷ φιλίαν ἐποιήσαντο καὶ συμμαχίαν. Φιδήνας δὲ εἷλεν ἀστυγείτονα τῆς Ῥώμης πόλιν. ὡς μὲν ἔνιοι φασὶν ἐξαίφνης τοὺς ἱππέας πέμψας καὶ κελεύσας ὑποτεμεῖν τῶν πυλῶν τοὺς στροφιγγας, εἶτα αὐτὸς ἐπιφανεὶς αὐτοῖς ἀπροσδοκήτως. ἕτεροι δὲ λέγουσι, προτέρους ἐκείνους ἐμβαλόντας ἐλάσασθαί τε λείαν καὶ καθυβρίσαι πολλὰ τὴν χώραν καὶ τὸ προάστιον. ἐνεδρεύσαντα δὲ τὸν Ῥωμύλον, θέμενον αὐτοῖς, καὶ διαφθείραντα πολλοὺς, λαβεῖν τὴν πόλιν. οὐ μὴν ἀνεῖλεν, οὐδὲ κατέσκαψεν, ἀλλὰ Ῥωμαίων ἐποίησεν ἀποικίαν. δισχιλίους καὶ πεντακοσίους ἀποστείλας οἰκήτορας, εἰδοῖς Ἀπριλλίαις. ἐκ τούτου, λοιμὸς ἐμπίπτει θανάτους μὲν αἰφνιδίους ἀνθρώποις ἄνευ νόσων ἐπιφέρων, ἐπιτείνων δὲ καὶ καρπῶν ἀφορίας, καὶ θρεμμάτων ἀγονίας. ὕσθη δὲ καὶ σταγόσιν αἵματος ἡ πόλις, ὥστε πολλὴν προσγενέσθαι τοῖς ἀναγκαίοις πάθεσι δεισιδαιμονίαν. ἐπεὶ δὲ καὶ τοῖς τὸ Λαύρεντον οἰκοῦσιν ὅμοια συνέβαινεν ἤδη παντάπασιν ἐδόκει τῶν ἐπὶ Τατίῳ συγκεχυμένων δικαίων, ἐπί τε τοῖς πρέσβεσι φονευθεῖσι, μήνιμα δαιμόνιον ἀμφοτέρας ἐλαύνειν τὰς πόλεις.

ἐλώφησε. τ. ς.

ἐκδοθέντων δὲ τῶν φονέων καὶ κολασθέντων παρ' ἀμφοτέροις ἐλώφησεν ἐπιδήλως τὰ δεινά. καὶ καθαρμοῖς ὁ Ῥωμύλος ἥγνισε τὰς πόλεις, οὓς ἔτι νῦν ἱστοροῦσιν ἐπὶ τῆς Φερεντίνης πύλης συντελεῖσθαι.

καμέριοι. ω.

πρὶν δὲ λῆξαι τὸν λοιμὸν, ἐπέθεντο Καμέριοι Ῥωμαίοις, καὶ κατέδραμον τὴν χώραν ὡς ἀδυνάτων ἀμύνεσθαι διὰ τὸ πάθος. εὐθὺς οὖν ὁ Ῥωμύλος ἐστράτευσεν ἐπ' αὐτούς. καὶ μάχῃ κρατήσας, ἑξακισχιλίους ἀπέκτεινε, καὶ τὴν πόλιν ἑλὼν, τοὺς μὲν ἡμίσεις τῶν περιγενομένων, εἰς Ῥώμην ἐξῴκισε, τῶν δ' ὑπομενόντων διπλασίους ἐκ Ῥώμης κατῴκισεν εἰς τὴν Καμερίαν, σεξτιλίαις καλάνδαις. τοσοῦτον αὐτῷ περιῆν πολιτῶν, ἑκκαιδέκατα ἔτη σχεδὸν οἰκοῦντι τὴν Ῥώμην. ἐν δὲ τοῖς ἄλλοις λαφύροις, καὶ χαλκοῦν ἐκόμισε τέθριππον ἐκ Καμερίας. τοῦτο δὲ ἀνέστησεν ἐν τῷ ἱερῷ τοῦ Ἡφαίστου, ποιησάμενος ἑαυτὸν, ὑπὸ νίκης στεφανούμενον. οὕτω δὲ ἐρρωμένοις τοῖς πράγμασιν, οἱ μὲν ἀσθενέστεροι τῶν περιοίκων, ὑπεδύοντο, καὶ τυγχάνοντες ἀδείας ἠγάπων.

ἠγάπων κ. ς.

οἱ δὲ δυνατοὶ, δεδιότες καὶ φθονοῦντες, οὐκ ᾤοντο δεῖν περιορᾶν, ἀλλ' ἐνίστασθαι τῇ αὐξήσει καὶ κολούειν τὸν Ῥωμύλον, πρῶτοι δὲ Τυρρηνῶν Οὐήιοι χώραν κεκτημένοι πολλὴν, καὶ μεγάλην πόλιν οἰκοῦντες, ἀρχὴν ἐποιήσαντο πολέμου, Φιδήνας ἀπαιτεῖν, ὡς προσηκούσας αὐτοῖς. τὸ δ' οὐκ ἄδικον μόνον, ἀλλὰ καὶ γελοῖον ἦν ὅτι κινδυνεύουσι τότε καὶ πολεμουμένοις οὐ προσαμύναντες, ἀλλ' ἐάσαντες ἀπολέσθαι τοὺς ἄνδρας, οἰκίας καὶ γῆν ἀπῄτουν, ἄλλων ἐχόντων. καθυβρισθέντες οὖν ὑπὸ τοῦ Ῥωμύλου ἐν ταῖς ἀποκρίσεσι, δίχα διεῖλον ἑαυτούς. καὶ τῷ μὲν, ἐπέκειντο τῷ Φιδηνῶν στρατεύματι, τῷ δὲ, πρὸς Ῥωμύλον ἀπήντων. πρὸς μὲν οὖν Φιδήνας, δισχιλίους Ῥωμαίων κρατήσαντες ἀπέκτειναν. ὑπὸ Ῥωμύλου δὲ νικηθέντες, ὑπὲρ ὀκτακισχιλίους ἀπέβαλον. αὖθις δὲ περὶ Φιδήνην ἐμαχέσαντο, καὶ τὸ μὲν πλεῖστον ἔργον αὐτοῦ Ῥωμύλου γενέσθαι. τέχνην τε μετὰ τόλμης πᾶσαν ἐπιδειξαμένου, ῥώμῃ τε καὶ ποδωκείᾳ, πολὺ δόξαντος ἀνθρωπίνης κρείττονι κεχρῆσθαι, πάντες ὁμολογοῦσι. τὸ δ' ὑπ' ἐνίων λεγόμενον, κομιδῇ μυθῶδές ἐστι. μᾶλλον δὲ ὅλως ἄπιστον, ὅτι μυρίων καὶ τετρακισχιλίων πεσόντων, ὑπὲρ ἡμίσεις ἦσαν, οὓς αὐτὸς ἰδίᾳ χειρὶ Ῥωμύλος ἔκτεινεν, ὅπου καὶ Μεσσήνιοι κόμπῳ χρήσασθαι δοκοῦσι περὶ Ἀριστομένους λέγοντες, ὡς τρὶς ἑκατὸν φόνια θύσειεν ἀπὸ Λακεδαιμονίων.

ὑπερήμερος τ. ς.

Γενομένης δὲ τῆς τροπῆς, ἀφεὶς φεύγειν τοὺς περιόντας ὁ Ῥωμύλος, ἐπ' αὐτὴν ἐχώρει τὴν πόλιν, οἳ δ' οὐκ ἠνέσχοντο μεγάλης συμφορᾶς γενομένης, ἀλλὰ δεηθέντες, ὁμολογίαν ἐποιήσαντο καὶ φιλίαν εἰς ἔτη ἑκατόν. χώραν τε πολλὴν προέμενοι τῆς ἑαυτῶν, ἣν Σεπτεμπάγιον καλοῦσιν. ὅπερ ἐστὶν ἑπταμόριον, καὶ τῶν παρὰ τὸν ποταμὸν ἐκστάντες ἁλοπηγίων, καὶ πεντήκοντα τῶν ἀρίστων ὁμήρους ἐγχειρίσαντες. ἐθριάμβευσε δὲ καὶ ἀπὸ τούτων εἰδοῖς Ὀκτωβρίαις, ἄλλους τε πολλοὺς αἰχμαλώτους ἔχων καὶ τὸν ἡγεμόνα τῶν Οὐηΐων, ἄνδρα πρεσβύτην, ἀφρόνως δόξαντα καὶ

Dionysii Halicarn. de hac ipsa re locus hoc modo.
Καὶ μετ' οὐ πολὺ [illegible] πρεσβείας ἀφικομένας [illegible] τοῦ πολέμου καὶ συγγνώμην τῶν ἁμαρτημάτων ἀξιούσας λαβεῖν, [illegible] ὁ Ῥωμύλος αὐτοῖς ἐπὶ ὅροις τοῖσδε χώραν τε παραδοῦναι Ῥωμαίοις τὴν προσεχῆ τῷ Τιβέρει [illegible] καὶ τῶν ἁλῶν ἀποστῆναι τῶν περὶ ταῖς ἐμβολαῖς τοῦ ποταμοῦ. L°. 2. 86.

εἰς βάθος, ἀνασπάσαι μὲν οὐδεὶς, πειρωμένων πολλῶν ἴσχυσε, τὸ δὲ ξύλον ἔστεξεν ἡ γῆ ζώφυτος οὖσα, καὶ βλαστοὺς ἀνῆκε καὶ στέλεχος εὐμεγέθες κρανείας ἐξέφυσε. τοῦτο δ' οἱ μετὰ ρωμύλον, ὡς ἕν τι τῶν ἁγιωτάτων ἱερῶν, φυλάττοντες καὶ σεβόμενοι, περιετείχισαν. ὅτῳ δὲ προσιόντι δόξειε μὴ θαλερὸν εἶναι μηδὲ χλωρὸν, ἀλλ' οἷον ἀτροφεῖν καὶ φθίνειν, ὁ μὲν εὐθὺς ἔφραζε κραυγῇ τοῖς προστυγχάνουσιν, οἱ δ' ὥσπερ ἐμπρησμῷ βοηθοῦντες, ἐβόων ὕδωρ, καὶ συνέθεον πανταχόθεν, ἀγγεῖα πλήρη κομίζοντες ἐπὶ τὸν τόπον. γαΐου δὲ καίσαρος, ὥς φασι, τὰς ἀναβάσεις ἐπισκευάζοντος, καὶ τῶν τεχνιτῶν περισκαπτόντων τὰ πλησίον, ἔλαθον αἱ ῥίζαι κακωθεῖσαι παντάπασι, καὶ τὸ φυτὸν ἐμαράνθη. μῆνας μὲν οὖν οἱ σαβῖνοι τοὺς ρωμαίων ἐδέξαντο, καὶ περὶ αὐτῶν ὅσα καλῶς ἔχει, ἐν τῷ νομᾶ βίῳ γέγραπται. θυρεοῖς δὲ τοῖς ἐκείνων ὁ ρωμύλος ἐχρήσατο, καὶ μετέβαλε τὸν ὁπλισμὸν ἑαυτοῦ τε καὶ τῶν ρωμαίων, ἀργολικὰς πρότερον ἀσπίδας φορούντων. ἑορτῶν δὲ καὶ θυσιῶν ἀλλήλοις μετεῖχον. ἃς μὲν ἦγε τὰ γένη πρότερον οὐκ ἀνελόντες, ἑτέρας δὲ θέμενοι καινὰς, ὧν ἥ τε τῶν ματρωναλίων ἐστὶ, δοθεῖσα ταῖς γυναιξὶν ἐπὶ τῇ τοῦ πολέμου καταλύσει, καὶ ἡ τῶν καρμενταλίων. τὴν δὲ καρμένταν οἴονταί τινες μοῖραν εἶναι, κυρίαν ἀνθρώπων γενέσεως, διὸ καὶ τιμῶσιν αὐτὴν αἱ μητέρες. οἱ δὲ, τὴν τοῦ εὐάνδρου τοῦ ἀρκάδος γυναῖκα, μαντικήν τινα καὶ φοιβαστικὴν ἐμμέτρων χρησμῶν γενομένην καρμένταν ἐπονομασθῆναι. τὰ γὰρ ἔπη κάρμενα καλοῦσι. νικοστράτη δ' ἦν ὄνομα κύριον αὐτῇ. καὶ τοῦτο μὲν ὁμολογεῖται, τὴν δὲ καρμένταν ἔνιοι πιθανώτερον ἀφερμηνεύουσιν, οἷον ἐστερημένην νοῦ, διὰ τὰς ἐν τοῖς ἐνθουσιασμοῖς παραφροσύνας. τὸ μὲν γὰρ στέρεσθαι, κάρερε, μέντεμ δὲ τὸν νοῦν ὀνομάζουσι. περὶ δὲ τῶν παλιλίων, προείρηται. τὰ δὲ λουπερκάλια, τῷ μὲν χρόνῳ, δόξειεν ἂν εἶναι καθάρσια, δρᾶται γὰρ ἐν ἡμέραις ἀποφράσι τοῦ φεβρουαρίου μηνὸς, ὃν καθάρσιον ἄν τις ἑρμηνεύσειε, καὶ τὴν ἡμέραν ἐκείνην τὸ παλαιὸν ἐκάλουν φεβράτην. τοὔνομα δὲ τῆς ἑορτῆς ἑλληνιστὶ, σημαίνει λύκαια, καὶ δοκεῖ διὰ τοῦτο, παμπάλαιος ἀπ' ἀρκάδων εἶναι τῶν περὶ εὔανδρον. ἀλλὰ τοῦτο μὲν, κοινόν ἐστι. δύναται γὰρ ἀπὸ τῆς λυκαίνης γεγονέναι τοὔνομα. καὶ γὰρ ἀρχομένους τῆς περιδρομῆς, τοὺς λουπέρκους ὁρῶμεν ἐντεῦθεν ὅθεν τὸν ρωμύλον ἐκτεθῆναι λέγουσι. τὰ δὲ δρώμενα, τὴν αἰτίαν ποιεῖ δυστόπαστον. σφάττουσι γὰρ αἶγας, εἶτα μειρακίων δυοῖν ἀπὸ γένους προσαχθέντων αὐτοῖς, οἱ μὲν ᾑμαγμένῃ μαχαίρᾳ τοῦ μετώπου θιγγάνουσιν. ἕτεροι δ' ἀπομάττουσιν εὐθὺς, ἔριον βεβρεγμένον γάλακτι προσφέροντες. γελᾶν δὲ δεῖ τὰ μειράκια μετὰ τὴν ἀπόμαξιν. ἐκ δὲ τούτου τὰ δέρματα τῶν αἰγῶν κατατεμόντες, διαθέουσιν ἐν περιζώματι γυμνοὶ, τοῖς σκύτεσι τὸν ἐμποδὼν παίοντες. αἱ δ' ἐν ἡλικίᾳ γυναῖκες, οὐ φεύγουσι τὸ παίεσθαι, νομίζουσαι πρὸς εὐτοκίαν καὶ κύησιν συνεργεῖν. ἴδιον δὲ τῆς ἑορτῆς, τὸ καὶ κύνα θύειν τοὺς λουπέρκους. βούτας δέ τις αἰτίας μυθώδεις ἐν ἐλεγείοις περὶ τῶν ρωμαϊκῶν ἀναγράφων, φησὶ, τοῦ ἀμουλίου τοὺς περὶ τὸν ρωμύλον κρατήσαντας, ἐλθεῖν δρόμῳ μετὰ χαρᾶς ἐπὶ τὸν τόπον ἐν ᾧ νηπίοις οὖσιν αὐτοῖς ἡ λύκαινα θηλὴν ὑπέσχε, καὶ μίμημα τοῦ τότε δρόμου τὴν ἑορτὴν

» ἄγεσθαι καὶ τρέχειν τοὺς ἀπὸ γένους, τοὺς ἐμποδίους τύπτοντες, ὅπως τότε φάσγαν' ἔχοντες ἐξ
» ἄλβης ἔθεον ρωμύλος ἠδὲ ρέμος.

καὶ τὸ μὲν ξίφος ᾑμαγμένον προσφέρεσθαι τῷ μετώπῳ, τοῦ τότε φόνου καὶ κινδύνου σύμβολον, τὴν δὲ διὰ τοῦ γάλακτος ἀποκάθαρσιν, ὑπόμνημα τῆς τροφῆς αὐτῶν εἶναι. γάϊος δὲ ἀκίλιος ἱστορεῖ πρὸ τῆς κτίσεως τὰ θρέμματα τῶν περὶ τὸν ρωμύλον ἀφανῆ γενέσθαι. τοὺς δὲ, τῷ φαύνῳ προσευξαμένους ἐκδραμεῖν γυμνοὺς ἐπὶ τὴν ζήτησιν, ὅπως ὑπὸ τοῦ ἱδρῶτος μὴ ἐνοχλοῖντο. καὶ διὰ τοῦτο γυμνοὺς περιτρέχειν τοὺς λουπέρκους. τὸν δὲ κύνα φαίη τις ἂν, εἰ μὲν ἡ θυσία καθαρμός ἐστι, θύεσθαι καθαρσίῳ χρωμένων αὐτῷ. καὶ γὰρ ἕλληνες, ἔν τε τοῖς καθαρσίοις, σκύλακας ἐκφέρουσι, καὶ πολλαχοῦ χρῶνται τοῖς λεγομένοις περισκυλακισμοῖς. εἰ δὲ τῇ λυκαίνῃ χαριστήρια ταῦτα, καὶ τροφεῖα καὶ σωτήρια ρωμύλου τελοῦσιν, οὐκ ἀλόγως ὁ κύων σφάττεται. λύκοις γὰρ ἐστὶ πολέμιος. εἰ μὴ νὴ δία κολάζεται τὸ ζῷον ὡς παρενοχλοῦν τοὺς λουπέρκους, ὅταν περιθέωσι. λέγεται δὲ καὶ τὴν περὶ τὸ πῦρ ἁγιστείαν ρωμύλον καταστῆσαι πρῶτον, ἀποδείξαντα παρθένους ἱερὰς, ἑστιάδας προσαγορευομένας. οἱ δὲ, τοῦτο μὲν εἰς νομᾶν ἀναφέρουσι, τὰ δ' ἄλλα τὸν ρωμύλον διαφερόντως θεοσεβῆ, ἔτι δὲ μαντικὸν ἱστοροῦσι γενέσθαι, καὶ φορεῖν ἐπὶ μαντικῇ τὸ καλούμενον λίτυον. ἔστι δὲ καμπύλη ῥάβδος ᾗ τὰ πλινθία καθεζομένους ἐπ' οἰωνῶν διαγράφειν. τοῦτο δ' ἐν παλατίῳ φυλαττόμενον ἀφανισθῆναι περὶ τὰ κελτικὰ τῆς πόλεως ἁλούσης. εἶτα μέντοι τῶν βαρβάρων ἐκπεσόντων, εὑρεθῆναι κατὰ τέφρας βαθείας, ἀπαθὲς ὑπὸ τοῦ πυρὸς, ἐν πᾶσι τοῖς ἄλλοις ἀπολωλόσι καὶ διεφθαρμένοις. ἔθηκε δὲ καὶ νόμους τινὰς, ὧν σφοδρὸς μέν ἐστιν ὁ γυναικὶ μὴ διδοὺς ἀπολείπειν ἄνδρα, γυναῖκα δὲ διδοὺς ἐκβαλεῖν ἐπὶ φαρμακείᾳ τέκνων, ἢ κλειδῶν ὑποβολῇ καὶ μοιχευθεῖσαν. εἰ δ' ἄλλως τις ἀποπέμψαιτο, τῆς οὐσίας αὐτοῦ, τὸ μὲν τῆς γυναικὸς εἶναι, τὸ δὲ, τῆς δήμητρος ἱερὸν κελεύων. τὸν δ' ἀποδόμενον γυναῖκα, θύεσθαι χθονίοις θεοῖς. ἴδιον δὲ, τὸ μηδεμίαν δίκην κατὰ πατροκτόνων ὁρίσαντα, πᾶσαν ἀνδροφονίαν, πατροκτονίαν προσειπεῖν, ὡς τούτου μὲν ὄντος ἐναγοῦς, ἐκείνου δὲ ἀδυνάτου. καὶ μέχρι χρόνων πολλῶν, ἔδοξεν ὀρθῶς ἀπεγνωκέναι τὴν τοιαύτην ἀδικίαν. οὐδεὶς γὰρ ἔδρασε τοιοῦτον οὐδὲν ἐν ρώμῃ σχεδὸν ἐτῶν ἑξακοσίων διαγενομένων, ἀλλὰ πρῶτος μετὰ τὸν ἀννιβιακὸν πόλεμον ἱστορεῖται.

παρηλι ς. κ. τ. q.

ὁρῶμ κ. ς. τ.

περιζώμασι. ς. κ. q.

ἀποδόμενον ς. κ. τ. q.

θις δὲ πολλῶν ἀγώνων ἐν βραχεῖ συνισταμένων ὡς εἰκὸς, ἑνὸς μάλιστα τοῦ τελευταίου μνημονεύουσιν ἐν ᾧ ῥωμύλου τὴν κεφαλὴν πληγέντος λίθῳ, καὶ πεσεῖν ὀλίγου δεήσαντος, τοῦτ' ἀντέχειν ὑφιεμένου τοῖς σαβίνοις, ἐνέδωκαν οἱ ῥωμαῖοι, καὶ φυγῇ πρὸς τὸ παλάτιον ἐχώρουν, ἐξωθούμενοι τῶν ἐπιπέδων. ἤδη δὲ ὁ ῥωμύλος ἐκ τῆς πληγῆς ἀναφέρων, ἐβούλετο μὲν εἰς τὰ ὅπλα χωρεῖν τοῖς φεύγουσιν ἐναντίως, καὶ μέγα βοῶν ἵστασθαι καὶ μάχεσθαι παρεκάλει, πολλῆς δὲ τῆς φυγῆς αὐτῷ περιχεομένης, καὶ μηδενὸς ἀναστρέφειν τολμῶντος, ἀνατείνας εἰς οὐρανὸν τὰς χεῖρας, ηὔξατο τῷ διῒ, στῆσαι τὸ στράτευμα, καὶ τὰ ῥωμαίων πράγματα πεσόντα μὴ περιϊδεῖν, ἀλλ' ὀρθῶσαι. γενομένης δὲ τῆς εὐχῆς, αἰδώς τε τοῦ βασιλέως ἔσχε πολλούς, καὶ θάρσος ἐκ μεταβολῆς παρέστη τοῖς φεύγουσιν. ἔστησαν οὖν πρῶτον, οὗ νῦν ὁ τοῦ διὸς τοῦ στάτορος ἵδρυται νεώς. ὃν ἐπιστάσιον ἄν τις ἑρμηνεύσειεν. εἶτα συνασπίσαντες πάλιν, ἔωσαν ὀπίσω τοὺς σαβίνους, ἐπὶ τὴν νῦν ῥηγίαν προσαγορευομένην καὶ τὸ τῆς ἑστίας ἱερόν. ἐνταῦθα δὴ αὐτοὺς ὥσπερ ἐξ ὑπαρχῆς μάχεσθαι παρασκευαζομένους, ἐπέσχε δεινὸν ἰδεῖν θέαμα καὶ λόγου κρείττων ὄψις. αἱ γὰρ ἡρπασμέναι θυγατέρες τῶν σαβίνων, ὤφθησαν ἄλλαι ἀλλαχόθεν μετὰ βοῆς καὶ ἀλαλαγμοῦ διὰ τῶν ὅπλων φερόμεναι, καὶ τῶν νεκρῶν, ὥσπερ ἐκ θεοῦ κάτοχοι πρός τε τοὺς ἄνδρας αὐτῶν καὶ τοὺς πατέρας, αἱ μὲν, παιδία κομίζουσαι νήπια πρὸς ταῖς ἀγκάλαις, αἱ δὲ, τὴν κόμην προϊσχόμεναι λελυμένην. πᾶσαι δὲ ἀνακαλούμεναι τοῖς φιλτάτοις ὀνόμασι ποτὲ μὲν τοὺς σαβίνους, ποτὲ δὲ τοὺς ῥωμαίους. ἐπεκλάσθησαν οὖν ἀμφότεροι καὶ διέσχον αὐταῖς ἐν μέσῳ καταστῆναι τῆς παρατάξεως, καὶ κλαυθμὸς ἅμα διὰ πάντων ἐχώρει, καὶ πολὺς οἶκτος ἦν πρός τε τὴν ὄψιν καὶ τοὺς λόγους ἔτι μᾶλλον εἰς ἱκεσίαν καὶ δέησιν ἐκ δικαιολογίας καὶ παρρησίας τελευτῶντας. τί γὰρ ἔφασαν ὑμᾶς δεινὸν ἢ λυπηρὸν ἐργασάμεναι, τὰ μὲν, ἤδη πεπόνθαμεν, τὰ δὲ, πάσχομεν τῶν σχετλίων κακῶν. ἡρπάσθημεν ὑπὸ τῶν νῦν ἐχόντων βίᾳ καὶ παρανόμως, ἁρπασθεῖσαι δ' ἠμελήθημεν ὑπ' ἀδελφῶν, καὶ πατέρων καὶ οἰκείων, χρόνον τοσοῦτον, ὅσος ἡμᾶς πρὸς τὰ ἔχθιστα κεράσας ταῖς μεγίσταις ἀνάγκαις, πεποίηκε νῦν ὑπὲρ τῶν βιασαμένων καὶ παρανομησάντων δεδιέναι μαχομένων, καὶ κλαίειν θνησκόντων. οὐ γὰρ ἤλθετε τιμωρήσοντες ἡμῖν παρθένοις οὔσαις ἐπὶ τοὺς ἀδικοῦντας, ἀλλὰ νῦν ἀνδρῶν ἀποσπᾶτε γαμετὰς καὶ τέκνων μητέρας, οἰκτροτέραν βοήθειαν ἐκείνης τῆς ἀμελείας καὶ προδοσίας βοηθοῦντες ἡμῖν ταῖς ἀθλίαις. τοιαῦτα μὲν ἠγαπήθημεν ὑπὸ τούτων, τοιαῦτα δ' ὑφ' ὑμῶν ἐλεούμεθα. καὶ γὰρ εἰ δι' ἄλλην αἰτίαν μάχεσθε, παύσασθαι δι' ἡμᾶς πενθεροὺς γεγονότας καὶ πάππους καὶ οἰκείους ὄντας ἐχρῆν. εἰ δ' ὑπὲρ ἡμῶν ὁ πόλεμός ἐστι, κομίσασθε ἡμᾶς μετὰ γαμβρῶν καὶ τέκνων, καὶ ἀπόδοτε ἡμῖν πατέρας καὶ οἰκείους, μὴ δὲ ἀφέλησθε παῖδας καὶ ἄνδρας ἱκετεύομεν ὑμᾶς, μὴ πάλιν αἰχμάλωτοι γενέσθαι. τοιαῦτα πολλὰ τῆς ἑρσιλίας προσαγορευούσης καὶ τῶν ἄλλων δεομένων, ἐσπείσθησαν ἀνοχαὶ καὶ συνῆλθον εἰς λόγους οἱ ἡγεμόνες. αἱ δὲ γυναῖκες ἐν τούτῳ τοῖς πατράσι καὶ τοῖς ἀδελφοῖς τοὺς ἄνδρας προσῆγον καὶ τέκνα. προσέφερόν τε τροφὴν καὶ ποτὸν τοῖς δεομένοις. καὶ τοὺς τετρωμένους, ἐθεράπευον οἴκαδε κομίζουσαι, καὶ παρεῖχον ὁρᾶν ἀρχούσας μὲν αὐτὰς τοῦ οἴκου, προσέχοντας δὲ τοὺς ἄνδρας αὐταῖς καὶ μετ' εὐνοίας τιμὴν ἅπασαν νέμοντας. ἐκ τούτου συντίθενται. τῶν μὲν γυναικῶν, τὰς βουλομένας συνοικεῖν τοῖς ἔχουσιν ὡς προείρηται παντὸς ἔργου καὶ πάσης λατρείας πλὴν ταλασίας, ἀφειμένας. οἰκεῖν δὲ κοινῇ τὴν πόλιν ῥωμαίους καὶ σαβίνους. καὶ καλεῖσθαι μὲν ῥώμην ἐπὶ ῥωμύλῳ τὴν πόλιν, κυρίτας δὲ, ῥωμαίους ἅπαντας ἐπὶ τῇ τατίου πατρίδι. βασιλεύειν δὲ κοινῇ καὶ στρατηγεῖν ἀμφοτέρους. ὅπου δὲ ταῦτα συνέθεντο, μέχρι νῦν κομίτιον καλεῖται. κόμιρε γὰρ ῥωμαῖοι τὸ συνελθεῖν καλοῦσι. διπλασιασθείσης δὲ τῆς πόλεως, ἑκατὸν μὲν ἐκ σαβίνων πατρίκιοι προσκατελέχθησαν, αἱ δὲ λεγεῶνες, ἐγένοντο πεζῶν μὲν ἑξακισχιλίων, ἱππέων δὲ, ἑξακοσίων. φυλὰς δὲ τρεῖς καταστήσαντες ὠνόμασαν τοὺς μὲν ἀπὸ ῥωμύλου, ῥαμνήνσης. τοὺς δὲ ἀπὸ τατίου, τατιήνσης. τρίτους δὲ, λουκερήνσης διὰ τὸ ἄλσος. εἰς ὃ πολλοὶ καταφυγόντες ἀσυλίας διδομένης, τοῦ πολιτεύματος μετέσχον. τὰ δ' ἄλση, λούκους ὀνομάζουσιν. ὅτι δ' ἦσαν αἱ φυλαὶ τοσαῦται, τοὔνομα μαρτυρεῖ. τρίβους γὰρ ἔτι νῦν τὰς φυλὰς καλοῦσι. καὶ τριβούνους τοὺς φυλάρχους. ἑκάστη δὲ φυλὴ, δέκα φατρίας εἶχεν, ἃς ἔνιοι λέγουσιν ἐπωνύμους εἶναι ἐκείνων τῶν γυναικῶν. τοῦτο δὲ δοκεῖ ψεῦδος εἶναι πολλαὶ γὰρ ἔχουσιν ἀπὸ χωρίων τὰς προσηγορίας. ἀλλὰ μέντοι πολλὰ ταῖς γυναιξὶν εἰς τιμὴν ἀπέδωκαν, ὧν καὶ ταῦτά ἐστιν, ἐξίστασθαι μὲν ὁδοῦ, βαδιζούσαις. αἰσχρὸν δὲ μηδένα μηδὲν εἰπεῖν, παρούσης γυναικὸς, μὴ δ' ὀφθῆναι γυμνὸν, ἢ δίκην φεύγειν παρὰ τοῖς ἐπὶ τῶν φονικῶν καθεστῶσι. φορεῖν δὲ καὶ τοὺς παῖδας αὐτῶν τὴν καλουμένην βοῦλλαν. ἀπὸ τοῦ σχήματος ὅμοιον πομφόλυγι περιδέραιόν τι καὶ περιπόρφυρον. ἐβουλεύοντο δὲ οἱ βασιλεῖς, οὐκ εὐθὺς ἐν κοινῷ μετ' ἀλλήλων, ἀλλ' ἑκάτερος πρότερον ἰδίᾳ μετὰ τῶν ἑκατόν. εἶτα οὕτως εἰς ταυτὸν ἅπαντας συνῆγον. ᾤκει δὲ τάτιος μὲν, ὅπου νῦν ὁ τῆς μονήτης ναός ἐστι. ῥωμύλος δὲ παρὰ τοὺς λεγομένους βαθμοὺς καλῆς ἀκτῆς. οὗτοι δέ εἰσι περὶ τὴν εἰς τὸν ἱππόδρομον τὸν μέγαν ἐκ παλατίου κατάβασιν. ἐνταῦθα δὲ καὶ τὴν κρανείαν ἔφασαν τὴν ἱερὰν γεγονέναι. μυθολογοῦντες ὅτι πειρώμενος ὁ ῥωμύλος αὑτοῦ, λόγχην ἀκοντίσειεν, ἀπὸ τοῦ ἀβεντίνου τὸ ξυστὸν ἔχουσαν κρανέας, καταδύσης δὲ τῆς αἰχμῆς

πολιτῶν μετὰ χαρᾶς καὶ θαύματος. ἡ μὲν οὖν πομπὴ τῶν αὖθις θριάμβων ἀρχὴν καὶ ζῆλον παρέσχε, τὸ δὲ τρόπαιον, ἀνάθημα φερετρίου διὸς ἐπωνομάσθη. τὸ γὰρ πλῆξαι, φερίρε ῥωμαῖοι καλοῦσιν. εὔξατο δὲ πλῆξαι τὸν ἄνδρα καὶ καταβαλεῖν. ὀπίμια δὲ τὰ σκῦλα φησὶ οὐάρρων, καθότι καὶ τὴν περιουσίαν, ὄπεμ λέγουσι. πιθανώτερον δ' ἄν τις εἴποι διὰ τὴν πρᾶξιν. ὄπους γὰρ ὀνομάζεται τὸ ἔργον. αὐτουργῷ δὲ ἀριστείας στρατηγῷ, στρατηγὸν ἀνελόντι, δίδοται καθιέρωσις ὀπιμίων. καὶ τρισὶ μόνοις τοῦτο τυχεῖν ὑπῆρξε ῥωμαίοις ἡγεμόσι. πρώτῳ ῥωμύλῳ κτείναντι τὸν κενινήτην ἄκρωνα, δευτέρῳ κορνηλίῳ κόσσῳ τυρρηνὸν ἀνελόντι τολούμνιον. ἐπὶ πᾶσι δὲ κλαυδίῳ μαρκέλλῳ, βριτομάρτου κρατήσαντι γαλατῶν βασιλέως. κόσσος μὲν οὖν καὶ μάρκελλος ἤδη τεθρίπποις εἰσήλαυνον, αὐτοὶ τὰ τρόπαια φέροντες, ῥωμύλον δ' οὐκ ὀρθῶς φησιν ἅρματι χρήσασθαι διονύσιος. ταρκύνιον γὰρ ἱστοροῦσι τὸν δημαράτου τῶν βασιλέων πρῶτον εἰς τοῦτο τὸ σχῆμα καὶ τὸν ὄγκον ἐξᾶραι τοὺς θριάμβους. ἕτεροι δὲ πρῶτον ἐφ' ἅρματος θριαμβεῦσαι ποπλικόλαν. τοῦ δὲ ῥωμύλου τὰς εἰκόνας ὁρᾶν ἔστιν ἐν ῥώμῃ τὰς τροπαιοφόρους πεζὰς ἁπάσας. μετὰ δὲ τὴν κενινητῶν ἅλωσιν, ἔτι τῶν ἄλλων σαβίνων ἐν παρασκευαῖς ὄντων, συνέστησαν οἱ φιδήνην καὶ κρουστουμέριον καὶ ἀντέμναν οἰκοῦντες, ἐπὶ τοὺς ῥωμαίους, καὶ μάχης γενομένης ἡττηθέντες ὁμοίως, τάς τε πόλεις ῥωμύλῳ παρῆκαν ἑλεῖν, καὶ τὴν χώραν δάσασθαι καὶ μετοικίσαι πρὸς αὐτοὺς εἰς ῥώμην. ὁ δὲ ῥωμύλος τὴν μὲν ἄλλην κατένειμε χώραν τοῖς πολίταις, ὅσην δ' εἶχον οἱ τῶν ἡρπασμένων παρθένων πατέρες, αὐτοὺς ἔχειν ἐκείνους εἴασεν. ἐπὶ τούτοις βαρέως φέροντες, οἱ λοιποὶ σαβῖνοι, τάτιον ἀποδείξαντες στρατηγὸν, ἐπὶ τὴν ῥώμην ἐστράτευσαν. ἦν δὲ δυσπρόσοδος ἡ πόλις, ἔχουσα πρόβλημα τὸ νῦν καπιτώλιον, ἐν ᾧ φρουρὰ καθειστήκει, καὶ ταρπήιος ἡγεμὼν αὐτῆς. οὐχὶ ταρπηία παρθένος ὡς ἔνιοι λέγουσιν, εὐήθη τὸν ῥωμύλον ἀποδεικνύντες, ἀλλὰ θυγάτηρ ἡ ταρπηία τοῦ ἄρχοντος οὖσα, προὔδωκε τοῖς σαβίνοις, ἐπιθυμήσασα τῶν χρυσῶν βραχιονιστήρων οὓς εἶδε περικειμένους, καὶ ᾔτησε μισθὸν τῆς προδοσίας ἃ φοροῖεν ἐν ταῖς ἀριστεραῖς χερσί. συνθεμένου δὲ τοῦ τατίου, νύκτωρ ἀνοίξασα πύλην μίαν, ἐδέξατο τοὺς σαβίνους. οὐ μόνος οὖν ὡς ἔοικεν ἀντίγονος ἔφη προδιδόντας μὲν φιλεῖν, προδεδωκότας δὲ μισεῖν. οὐδὲ καῖσαρ εἰπὼν ἐπὶ τοῦ θρᾳκὸς ῥυμητάλκου, φιλεῖν μὲν προδοσίαν, προδότην δὲ μισεῖν, ἀλλὰ κοινόν τι τοῦτο πάθος ἐστὶ πρὸς τοὺς πονηροὺς τοῖς δεομένοις αὐτῶν, ὥσπερ ἰοῦ καὶ χολῆς ἐνίων θηρίων δέονται. τὴν γὰρ χρείαν ὅτε λαμβάνουσιν ἀγαπῶντες, ἐχθαίρουσι τὴν κακίαν ὅταν τύχωσι. τοῦτο καὶ πρὸς τὴν ταρπηίαν τότε παθὼν ὁ τάτιος, ἐκέλευσε μεμνημένους τῶν ὁμολογιῶν τοὺς σαβίνους, μηδενὸς αὐτῇ φθονεῖν, ὧν ἐν ταῖς ἀριστεραῖς ἔχουσι. καὶ πρῶτος ἅμα τὸν βραχιονιστῆρα τῆς χειρὸς περιελὼν, καὶ τὸν θυρεὸν ἐπέρριψε. πάντων δὲ ταὐτὰ ποιούντων, βαλλομένη τῷ χρυσῷ καὶ καταχωσθεῖσα τοῖς θυρεοῖς, ὑπὸ πλήθους καὶ βάρους ἀπέθανεν. ἑάλω δὲ καὶ ταρπήιος προδοσίας ὑπὸ ῥωμύλου διωχθεὶς, ὡς ἰόβας φησὶ γάλβαν σουλπίκιον ἱστορεῖν. τῶν δ' ἄλλα περὶ ταρπηίας λεγόντων, ἀπίθανοι μὲν εἰσὶν οἱ τατίου θυγατέρα τοῦ ἡγεμόνος τῶν σαβίνων οὖσαν αὐτὴν, ῥωμύλῳ δὲ βίᾳ συνοικοῦσαν ἱστοροῦντες ταῦτα ποιῆσαι καὶ παθεῖν ὑπὸ τοῦ πατρὸς, ὧν καὶ ἀντίγονός ἐστι. σιμύλος δ' ὁ ποιητὴς καὶ παντάπασι ληρεῖ, μὴ σαβίνοις οἰόμενος, ἀλλὰ κελτοῖς τὴν ταρπηίαν προδοῦναι τὸ καπιτώλιον, ἐρασθεῖσαν αὐτῶν τοῦ βασιλέως. λέγει δὲ ταῦτα.

» Ἡ δ' ἀγχοῦ ταρπηία παρὰ καπιτώλιον
» αἶπος ναίουσα ῥώμης ἔπλετο τειχολέτις, κελτῶν ἣ στέρξασα γαμήλια λέκτρα γενέσθαι σκη-
» πτούχων πατέρων οὐκ ἐφύλαξε δόμους. Καὶ μετ' ὀλίγα περὶ τῆς τελευτῆς. τὴν δ' οὔτ' ἄρ βόιοί τε
» καὶ ἔθνεα μυρία κελτῶν χηράμενοι, ῥεέθρων ἐντὸς ἔθεντο πάδου. ὅπλα δ' ἐπιπροβαλόντες ἀρειμα-
» νέων ἀπὸ χειρῶν κούρῃ ἐπὶ στυγερῇ κόσμον ἔθεντο φόνου.

τῆς μέντοι ταρπηίας ἐκεῖ ταφείσης, ὁ λόφος ὠνομάζετο ταρπήιος, ἄχρις οὗ ταρκυνίου βασιλέως διὶ τὸν τόπον καθιεροῦντος, ἅμα τε τὰ λείψανα μετηνέχθη, καὶ τοὔνομα τῆς ταρπηίας ἐξέλιπε. πλὴν πέτραν ἔτι νῦν ἐν τῷ καπιτωλίῳ ταρπηίαν καλοῦσιν, ἀφ' ἧς ἐρρίπτουν τοὺς κακούργους. ἐχομένης δὲ τῆς ἄκρας ὑπὸ τῶν σαβίνων, ὅ, τε ῥωμύλος ὑπ' ὀργῆς εἰς μάχην αὐτοὺς προὐκαλεῖτο, καὶ ὁ τάτιος ἐθάρρει, καρτερὰν ἐμβιασθεῖσιν ἀναχώρησιν ὁρῶν αὐτοῖς ὑπάρχουσαν. ὁ γὰρ μεταξὺ τόπος ἐν ᾧ συμπίπτειν ἔμελλον, ὑπὸ πολλῶν λόφων περιεχόμενος, ἀγῶνα μὲν ὀξὺν ἐδόκει καὶ χαλεπὸν ὑπὸ δυσχωρίας ἀμφοτέροις παρέξειν, φυγὰς δὲ καὶ διώξεις ἐν στενῷ βραχείας. ἔτυχε δὲ τοῦ ποταμοῦ λιμνάζοντος οὐ πολλαῖς πρότερον ἡμέραις ἐγκαταλελεῖφθαι, τέλμα βαθὺ καὶ τυφλὸν ἐν τόποις ἐπιπέδοις, κατὰ τὴν νῦν οὖσαν ἀγοράν. ὅθεν οὐκ ἦν ὄψει πρόδηλον, οὐδ' εὐφύλακτον, ἄλλως δὲ χαλεπὸν καὶ ὕπουλον. ἐπὶ τούτῳ τοῖς σαβίνοις ἀπειρίᾳ φερομένοις εὐτύχημα γίγνεται. κούρτιος γὰρ ἀνὴρ ἐπιφανὴς δόξῃ καὶ φρονήματι γαῦρος, ἵππον ἔχων, πολὺ πρὸ τῶν ἄλλων ἐχώρει, δεξαμένου δὲ τοῦ βαράθρου τὸν ἵππον, ἄχρι μέν τινος ἐπειρᾶτο, πληγῇ καὶ παρακελεύσει χρώμενος ἐξελαύνειν, ὡς δ' ἦν ἀμήχανον, ἐάσας τὸν ἵππον, ἑαυτὸν ἔσωζεν. ὁ μὲν οὖν τόπος δι' ἐκεῖνον ἔτι νῦν, κούρτιος λάκκος ὀνομάζεται. φυλαξάμενοι δὲ τὸν κίνδυνον οἱ σαβῖνοι, μάχην καρτερὰν ἐμαχέσαντο, κρίσιν οὐ λαβοῦσαν, καίτοι πολλῶν πεσόντων, ἐν οἷς ἦν καὶ ὁστίλλιος. τοῦτον ἑρσιλίας ἄνδρα, καὶ πάππον ὁστιλλίου τοῦ μετὰ νομᾶν βασιλεύσαντος γενέσθαι λέγουσιν. αὖ-

ρου τῆς ἐπιχειρήσεως σύμβολον, ἐξαναστάντα τὴν ἁλουργίδα πτύξαι, καὶ περιβαλέσθαι πάλιν. ἔχοντες οὖν ξίφη πολλοὶ, προσεῖχον αὐτῷ, καὶ τοῦ σημείου γενομένου, σπασάμενοι τὰ ξίφη καὶ μετὰ βοῆς ὁρμήσαντες, ἥρπαζον τὰς θυγατέρας τῶν σαβίνων, αὐτοὺς δὲ φεύγοντας, εἴων καὶ παρίεσαν. ἁρπασθῆναι δὲ φασὶν, οἱ μὲν, τριάκοντα μόνας, ἀφ' ὧν καὶ τὰς φρατρίας ὀνομασθῆναι. οὐαλέριος δὲ ἀντίας, ἑπτὰ καὶ εἴκοσι καὶ πεντακοσίας. ἰόβας δὲ, τρεῖς καὶ ὀγδοήκοντα καὶ ἑξακοσίους παρθένους. ὃ μέγιστον ἦν ἀπολόγημα τῷ ῥωμύλῳ. γυναῖκα γὰρ οὐ λαβεῖν, ἀλλ' ἢ μίαν ἑρσιλίαν διαλαθοῦσαν αὐτοὺς, ἅτε δὴ μὴ μεθ' ὕβρεως μηδ' ἀδικίας ἐλθόντας ἐπὶ τὴν ἁρπαγὴν, ἀλλὰ συμμίξαι καὶ συναγαγεῖν εἰς ταυτὸ τὰ γένη ταῖς μεγίσταις ἀνάγκαις διανοηθέντας. τὴν δ' ἑρσιλίαν, οἱ μὲν, ὁστιλίον γῆμαι λέγουσιν, ἄνδρα ῥωμαίων ἐπιφανέστατον. οἱ δὲ, αὐτὸν ῥωμύλον. καὶ γενέσθαι καὶ παῖδας αὐτῷ. μίαν μὲν θυγατέρα πρίμαν, τῇ τάξει τῆς γενέσεως οὕτω προσαγορευθεῖσαν. ἕνα δ' υἱὸν μόνον. ὃν ἀόλλιον μὲν ἐκεῖνος ἀπὸ τῆς γενομένης ἀθροίσεως ὑπ' αὐτοῦ τῶν πολιτῶν ὠνόμασεν, οἱ δ' ὕστερον, ἀβίλλιον. ἀλλὰ ταῦτα μὲν ἱστορῶν ζηνόδοτος ὁ τροιζήνιος, πολλοὺς ἔχει τοὺς ἀντιλέγοντας. ἐν δὲ τοῖς ἁρπάζουσι τὰς παρθένους τότε, τυχεῖν λέγουσι τῶν οὐκ ἐπιφανῶν τινὰς ἄγοντας κόρην, τῷ τε κάλλει πολὺ καὶ τῷ μεγέθει διαφέρουσαν. ἐπεὶ δὲ ἀπαντῶντες ἔνιοι τῶν κρειττόνων ἐπεχείρουν ἀφαιρεῖσθαι, βοᾶν τοὺς ἄγοντας ὡς ταλασίῳ κομίζοιεν αὐτὴν, ἀνδρὶ νέῳ μὲν, εὐδοκίμῳ δὲ καὶ χρηστῷ. τοὺς τ' οὖν ἀκούσαντας εὐφημεῖν καὶ κροτεῖν ἐπαινοῦντας, ἐνίους δὲ καὶ παρακολουθεῖν ἀναστρέψαντας, εὐνοίᾳ καὶ χάριτι τοῦ ταλασίου μετὰ βοῆς τοὔνομα φθεγγομένους. ἀφ' οὗ δὴ τὸν ταλάσιον ἄχρι νῦν ὡς ἕλληνες τὸν ὑμέναιον ἐπᾴδουσι ῥωμαῖοι τοῖς γάμοις. καὶ γὰρ εὐτυχίᾳ φασὶ χρήσασθαι περὶ τὴν γυναῖκα τὸν ταλάσιον. σέξτιος δὲ σύλλας ὁ καρχηδόνιος, οὔτε μουσῶν οὔτε χαρίτων ἐπιδεὴς ἀνὴρ, ἔλεγεν ἡμῖν, ὅτι τῆς ἁρπαγῆς σύνθημα τὴν φωνὴν ἔδωκε ταύτην ὁ ῥωμύλος. ἅπαντες οὖν ἐβόων τὸν ταλάσιον οἱ τὰς παρθένους κομίζοντες. καὶ διὰ τοῦτο τοῖς γάμοις παραμένειν τὸ ἔθος. οἱ δὲ πλεῖστοι νομίζουσιν ὧν καὶ ὁ ἰόβας ἐστὶ, παράκλησιν εἶναι καὶ παρακέλευσιν εἰς φιλεργίαν καὶ ταλασίαν, οὔπω τότε τοῖς ἑλληνικοῖς ὀνόμασι τῶν ἰταλικῶν ἐπικεχυμένων. εἰ δὲ τοῦτο μὴ λέγεται κακῶς ἀλλ' ἐχρῶντο ῥωμαῖοι τότε τῷ ὀνόματι τῆς ταλασίας καθάπερ ἡμεῖς, ἑτέραν ἄν τις αἰτίαν εἰκάσειε πιθανωτέραν. ἐπεὶ γὰρ οἱ σαβῖνοι πρὸς τοὺς ῥωμαίους πολεμήσαντες διηλλάγησαν, ἐγένοντο συνθῆκαι περὶ τῶν γυναικῶν, ὅπως μηδὲν ἄλλο ἔργον τοῖς ἀνδράσιν, ἢ τὰ περὶ τὴν ταλασίαν ὑπουργῶσι. παρέμεινε γ' οὖν καὶ τοῖς αὖθις γαμοῦσι, τοὺς διδόντας ἢ παραπέμποντας, ἢ ὅλως παρόντας, ἀναφωνεῖν τὸν ταλάσιον μετὰ παιδιᾶς μαρτυρομένους ὡς ἐπ' οὐδὲν ἄλλο ὑπούργημα τῆς γυναικὸς ἢ ταλασίαν εἰσαγομένης. διαμένει δὲ μέχρι νῦν, τὸ τὴν νύμφην αὐτὴν ἀφ' ἑαυτῆς μὴ ὑπερβαίνειν τὸν οὐδὸν, εἰς τὸ δωμάτιον, ἀλλ' αἰρομένην εἰσφέρεσθαι. διὰ τὸ καὶ τότε κομισθῆναι βιασθείσας μὴ εἰσελθεῖν. ἔνιοι δὲ λέγουσι καὶ τὸ τὴν κόμην τῆς γαμουμένης, αἰχμῇ διακρίνεσθαι δορατίου, σύμβολον εἶναι τοῦ μετὰ μάχης καὶ πολεμικῶς τὸν πρῶτον γάμον γενέσθαι, περὶ ὧν, ἐπὶ πλέον ἐν τοῖς αἰτίοις εἰρήκαμεν. ἐτολμήθη μὲν οὖν ἡ ἁρπαγὴ, περὶ τὴν ὀκτωκαιδεκάτην ἡμέραν τοῦ τότε σεξτιλίου μηνὸς, αὐγούστου δὲ νῦν, ἐν ᾗ τὴν τῶν κωνσαλίων ἑορτὴν ἄγουσιν. οἱ δὲ σαβῖνοι, πολλοὶ μὲν ἦσαν καὶ πολεμικοὶ, κώμας δὲ ᾤκουν ἀτειχίστους, ὡς προσῆκον αὐτοῖς μέγα φρονεῖν, καὶ μὴ φοβεῖσθαι λακεδαιμονίων ἀποίκοις οὖσιν, οὐ μὴν ἀλλ' ὁρῶντες αὐτοὺς ἐνδεδεμένους μεγάλοις ὁμηρεύμασι. καὶ δεδιότες περὶ τῶν θυγατέρων, πρέσβεις ἀπέστειλαν, ἐπιεικῆ καὶ μέτρια προκαλούμενοι τὸν ῥωμύλον ἀποδόντα τὰς κόρας αὐτοῖς καὶ λύσαντα τὸ τῆς βίας ἔργον, εἶτα πειθοῖ καὶ νόμῳ πράττειν τοῖς γένεσι φιλίαν καὶ οἰκειότητα. τοῦ δὲ ῥωμύλου, τὰς μὲν κόρας μὴ προϊεμένου, παρακαλοῦντος δὲ τὴν κοινωνίαν δέχεσθαι τοὺς σαβίνους, οἱ μὲν ἄλλοι βουλευόμενοι καὶ παρασκευαζόμενοι, διέτριβον, ἄκρων δὲ βασιλεὺς κενινητῶν, ἀνὴρ θυμοειδὴς καὶ δεινὸς ἐν τοῖς πολεμικοῖς. τά τε πρῶτα τολμήματα τοῦ ῥωμύλου δι' ὑποψίας εἶχε, καὶ τῷ πραχθέντι περὶ τὰς γυναῖκας ἤδη φοβερὸν ἡγούμενος πᾶσιν εἶναι, καὶ οὐκ ἀνεκτὸν εἰ μὴ κολασθείη, προεξανίστη τῷ πολέμῳ, καὶ μετὰ πολλῆς ἐχώρει δυνάμεως ἐπ' αὐτόν. καὶ ὁ ῥωμύλος ἐπ' ἐκεῖνον. γενόμενοι δ' ἐν ὄψει, καὶ κατιδόντες ἀλλήλους, προυκαλοῦντο μάχεσθαι, τῶν στρατευμάτων ἐν ὅπλοις ἀτρεμούντων. εὐξάμενος οὖν ὁ ῥωμύλος, εἰ κρατήσειε καὶ καταβάλοι, τῷ διῒ φέρων ἀναθήσειν αὐτὸς τὰ ὅπλα τοῦ ἀνδρὸς, αὐτόν τε καταβάλλει κρατήσας, καὶ τρέπεται τὸ στράτευμα μάχης γενομένης, αἱρεῖ δὲ καὶ τὴν πόλιν. οὐ μὴν ἠδίκησε τοὺς ἐγκαταλειφθέντας. ἀλλ' ἢ τὰς οἰκίας ἐκέλευσε καθελόντας, ἀκολουθεῖν εἰς ῥώμην, ὡς πολίτας ἐπὶ τοῖς ἴσοις ἐσομένους. τούτου μὲν οὖν οὐκ ἔστιν ὅτι μᾶλλον ηὔξησε τὴν ῥώμην ἀεὶ προσποιοῦσαν ἑαυτῇ, καὶ συννέμουσαν ὧν κρατήσειεν. ὁ δὲ ῥωμύλος ὡς ἂν μάλιστα τὴν εὐχὴν τῷ τε διῒ κεχαρισμένην, καὶ τοῖς πολίταις ἰδεῖν ἐπιτερπῆ παράσχοι, σκεψάμενος ἐπὶ στρατοπέδου, δρῦν ἔτεμεν ὑπερμεγέθη. καὶ διεμόρφωσεν ὥσπερ τρόπαιον, καὶ τῶν ὅπλων τοῦ ἄκρωνος, ἕκαστον ἐν τάξει περιήρμοσε καὶ κατήρτισεν· αὐτὸς δὲ τὴν μὲν ἐσθῆτα περιεζώσατο, δάφνῃ δὲ ἐστέψατο τὴν κεφαλὴν κομῶσαν, ὑπολαβὼν δὲ τῷ δεξιῷ τὸ τρόπαιον ὤμῳ προσερειδόμενον ὀρθὸν, ἐβάδιζεν, ἐξάρχων ἐπινικίου παιᾶνος, ἐν ὅπλοις ἑπομένῃ τῇ στρατιᾷ, δεχομένων τῶν

πολιτῶν

ῥωμύλου γένεσιν εἰς ἡμέραν καὶ ὥραν ἐκ τῶν λεγομένων ἀποτελεσμάτων περὶ τὸν ἄνδρα ποιησάμενον τὸν συλλογισμόν. ὥσπερ αἱ τῶν γεωμετρικῶν ὑφηγοῦνται προβλημάτων ἀναλύσεις. τῆς γὰρ αὐτῆς θεωρίας εἶναι χρόνον τε λαβόντας ἀνθρώπου γενέσεως, βίον προειπεῖν, καὶ βίῳ δοθέντι, θηρεῦσαι χρόνον. ἐποίησεν οὖν τὸ προσταχθὲν ὁ ταρούτιος, καὶ τά τε πάθη καὶ τὰ ἔργα τοῦ ἀνδρὸς ἐπιδών, καὶ χρόνον ζωῆς καὶ τρόπον τελευτῆς, καὶ πάντα τὰ τοιαῦτα συνθείς, εὖ μάλα τεθαῤῥηκότως καὶ ἀνδρείως ἀπεφήνατο τὴν μὲν ἐν τῇ μητρὶ τοῦ ῥωμύλου γεγονέναι σύλληψιν, ἔτει πρώτῳ τῆς δευτέρας ὀλυμπιάδος, ἐν μηνὶ κατ' αἰγυπτίους χοιὰκ, τρίτῃ καὶ εἰκάδι, τρίτης ὥρας, καθ' ἣν ὁ ἥλιος ἐξέλιπε παντελῶς. τὴν δ' ἐμφανῆ γένεσιν, ἐν μηνὶ θωῦθ, ἡμέρᾳ πρώτῃ, μετ' εἰκάδα, περὶ ἡλίου ἀνατολάς. κτισθῆναι δὲ τὴν ῥώμην ὑπ' αὐτοῦ, τῇ ἐνάτῃ φαρμουθὶ μηνὸς ἱσταμένου. μεταξὺ δευτέρας ὥρας καὶ τρίτης. ἐπεὶ καὶ πόλεως τύχην ὥσπερ ἀνθρώπου, κύριον ἔχειν οἴονται χρόνον, ἐκ τῆς πρώτης γενέσεως πρὸς τὰς τῶν ἀστέρων ἐποχὰς θεωρούμενον. ἀλλὰ ταῦτα μὲν ἴσως καὶ τὰ τοιαῦτα, τῷ ξένῳ καὶ περιττῷ προσάξεται μᾶλλον, ἢ διὰ τὸ μυθῶδες ἐνοχλήσει τοὺς ἐντυγχάνοντας αὐτοῖς. κτισθείσης δὲ τῆς πόλεως, πρῶτον μὲν ὅσον ἦν ἐν ἡλικίᾳ πλῆθος, εἰς συντάγματα στρατιωτικὰ διεῖλεν. ἕκαστον δὲ σύνταγμα, πεζῶν τρισχιλίων ἦν καὶ τριακοσίων ἱππέων, ἐκλήθη δὲ, λεγεών, τῷ λογάδας εἶναι τοὺς μαχίμους ἐκ πάντων. ἔπειτα τοῖς μὲν ἄλλοις, ἐχρῆτο δήμῳ, καὶ ποπούλους ὠνομάσθη τὸ πλῆθος. ἑκατὸν δὲ τοὺς ἀρίστους ἀπέδειξε βουλευτὰς, καὶ αὐτοὺς μὲν πατρικίους, τὸ δὲ σύστημα, σενάτον προσηγόρευσεν. ὁ μὲν οὖν σενάτος, ἀτεχνῶς γερουσίαν σημαίνει. πατρικίους δὲ τοὺς βουλευτὰς κληθῆναι λέγουσιν. οἱ μὲν, ὅτι παίδων γνησίων πατέρες ἦσαν, οἱ δὲ μᾶλλον ὡς αὐτοὺς ἔχοντας, ἑαυτῶν ἀποδεῖξαι πατέρας, ὅπερ οὐ πολλοῖς ὑπῆρξε τῶν πρώτων εἰς τὴν πόλιν συῤῥεόντων. οἱ δὲ, ἀπὸ τῆς πατρωνείας, οὕτω γὰρ ἐκάλουν τὴν προστασίαν, καὶ καλοῦσιν ἄχρι νῦν, οἰόμενοι πάτρωνά τινα τῶν σὺν εὐάνδρῳ παραγενομένων, κηδεμονικὸν τῶν ὑποδεεστέρων ὄντα καὶ βοηθητικὸν, ἀφ' αὑτοῦ τῷ πράγματι ταύτην τὴν προσηγορίαν ἀπολιπεῖν. μάλιστα δ' ἄν τις τυγχάνοι τοῦ εἰκότος, ἐνομίζοι τὸν ῥωμύλον ἀξιοῦντα τοὺς πρώτους καὶ δυνατωτάτους, πατρικῇ κηδεμονίᾳ καὶ φροντίδι, προσήκειν ἐπιμελεῖσθαι τῶν ταπεινοτέρων. ἅμα δὲ τοὺς ἄλλους διδάσκοντα μὴ δεδιέναι. μηδ' ἄχθεσθαι ταῖς τῶν κρειττόνων τιμαῖς, ἀλλὰ χρῆσθαι μετ' εὐνοίας, καὶ νομίζοντας καὶ προσαγορεύοντας πατέρας, οὕτως ὀνομάσαι. καὶ γὰρ ἄχρι νῦν τῶν ἐν συγκλήτῳ τελούντων, οἱ μὲν ἔξωθεν, ἄνδρας ἡγεμόνας καλοῦσιν, αὐτοὶ δὲ ῥωμαῖοι, πατέρας συγγεγραμμένους. τῷ μεγίστῳ μὲν ἀξιώματι καὶ τιμῇ, ἥκιστα δὲ φθόνον ἔχοντι, χρώμενοι τῶν ὀνομάτων. ἐν ἀρχῇ μὲν οὖν, πατέρας αὐτοὺς μόνον. ὕστερον δὲ πλειόνων προσαναλαμβανομένων, πατέρας συγγεγραμμένους προσηγόρευσαν. καὶ τοῦτο μὲν ἦν ὄνομα σεμνότερον αὐτῷ τῆς πρὸς τὸ δημοτικὸν τοῦ βουλευτικοῦ διαφορᾶς. ἑτέρους δὲ τοὺς δυνατοὺς ἀπὸ τῶν πολλῶν διήρει, πάτρωνας ὀνομάζων, ὅπερ ἐστὶ προστάτας. ἐκείνους δὲ κλίεντας, ὅπερ ἐστὶ πελάτας. ἅμα δὲ πρὸς ἀλλήλους, θαυμαστὴν εὔνοιαν αὐτοῖς καὶ μεγάλων δικαίων ὑπάρχουσαν ἐνεποίησεν. οὗτοι μὲν γὰρ ἐξηγητάς τε τῶν νομίμων καὶ προστάτας δικαζομένοις, συμβούλους τε πάντων καὶ κηδεμόνας ἑαυτοὺς παρεῖχον. ἐκεῖνοι δὲ τούτους ἐθεράπευον, οὐ μόνον τιμῶντες, ἀλλὰ καὶ πενομένοις θυγατέρας συνεκδιδόντες, καὶ χρέα συνεκτίνοντες. καταμαρτυρεῖν τε πελάτου προστάτην, ἢ προστάτου πελάτην, οὔτε νόμος οὐδεὶς. οὔτε ἄρχων ἠνάγκαζεν. ὕστερον δὲ τῶν ἄλλων δικαίων μενόντων, τὸ λαμβάνειν χρήματα τοὺς δυνατοὺς παρὰ τῶν ταπεινοτέρων, αἰσχρὸν ἐνομίσθη καὶ ἀγεννές. ταῦτα μὲν οὖν περὶ τούτων. τετάρτῳ δὲ μηνὶ μετὰ τὴν κτίσιν ὡς φάβιος ἱστορεῖ, τὸ περὶ τὴν ἁρπαγὴν ἐτολμήθη τῶν γυναικῶν. καὶ λέγουσι μὲν ἔνιοι τὸν ῥωμύλον αὐτὸν, τῇ φύσει φιλοπόλεμον ὄντα καὶ πεπεισμένον ἔκ τινων λογίων, ὅτι τὴν ῥώμην πέπρωται πολέμοις τρεφομένην καὶ αὐξομένην, γενέσθαι μεγίστην, βίας ὑπάρξαι πρὸς τοὺς σαβίνους. οὐδὲ γὰρ πολλὰς, ἀλλὰ τριάκοντα μόνας παρθένους λαβεῖν αὐτὸν, ἅτε δὴ πολέμου μᾶλλον ἢ γάμων δεόμενον. τοῦτο δ' οὐκ εἰκὸς, ἀλλὰ τὴν μὲν πόλιν ὁρῶν ἐποίκων εὐθὺς ἐμπιπλαμένην, ὧν ὀλίγοι, γυναῖκας εἶχον, οἱ δὲ πολλοὶ μιγάδες ἐξ ἀπόρων καὶ ἀφανῶν ὄντες, ὑπερεωρῶντο καὶ προσεδοκῶντο μὴ συμμενεῖν βεβαίως. ἐλπίζων δὲ τοὺς σαβίνους τρόπον τινὰ συγκράσεως καὶ κοινωνίας ἀρχὴν τὸ ἀδίκημα ποιήσειν αὐτοῖς, ἡμερωσαμένοις τὰς γυναῖκας, ἐπεχείρησε τῷ ἔργῳ, τόνδε τὸν τρόπον. διεδόθη λόγος ὑπ' αὐτοῦ πρῶτον, ὡς θεοῦ τινὸς ἀνευρήκοι βωμὸν ὑπὸ γῆς κεκρυμμένον, ὠνόμαζον δὲ τὸν θεὸν, κῶνσον. εἴτε βουλαῖον ὄντα. κωνσίλιον γὰρ ἔτι νῦν τὸ συμβούλιον καλοῦσι. καὶ τοὺς ὑπάτους, κωνσούλας, οἷον προβούλους. εἴτε ἱππεῖον ποσειδῶ. καὶ γὰρ ὁ βωμὸς ἐν τῷ μείζονι τῶν ἱπποδρόμων ἐστὶν ἀφανὴς τὸν ἄλλον χρόνον, ἐν δὲ τοῖς ἱππικοῖς ἀγῶσιν ἀνακαλύπτεται. οἱ δὲ, καὶ ὅλως φασὶ τοῦ βουλεύματος ἀῤῥήτου καὶ ἀφανοῦς ὄντος, ὑπόγειον οὐκ ἀλόγως τῷ θεῷ βωμὸν γενέσθαι κεκρυμμένον. ὡς δ' ἀνεφάνη, θυσίαν τε λαμπρὰν ἐπ' αὐτῷ καὶ ἀγῶνα καὶ θέαν ἐκ καταγγελίας ἐπετέλει πανηγυρικήν. καὶ πολλοὶ μὲν ἄνθρωποι συνῆλθον, αὐτὸς δὲ προκάθητο μετὰ τῶν ἀρίστων ἁλουργίδι κεκοσμημένος. ἦν δὲ τοῦ και-

θωῦθ ς. τ.

ἀνατολάς ς. τ. R.

ἐνοχλήσει

συνεκτίνοντ. ς. τ. ω. q.

ἵππιον . τ. ς. ω.

παντάπασι, τούτων διαπαρόντων, ἢ συνοικεῖν ἰδίᾳ μετ' αὐτῶν. ὅτι γὰρ οὐκ ἠξίουν οἱ τὴν Ἄλβην οἰκοῦντες ἀναμιγνύναι τοὺς ἀποστάτας ἑαυτοῖς, οὐδὲ προσδέχεσθαι πολίτας, ἐδήλωσε πρῶτον μὲν, τὸ περὶ τὰς γυναῖκας ἔργον, οὐχ ὕβρει τολμηθὲν, ἀλλὰ δι' ἀνάγκην ἑκουσίως ἀπορίᾳ γάμων. ἐτίμησαν γοῦν αὐτὰς, ἁρπάσαντες περιττῶς. ἔπειτα τῆς πόλεως τὴν πρώτην ἵδρυσιν λαμβανούσης, ἱερόν τι φύξιμον τοῖς ἀφισταμένοις κατασκευάσαντες, ὃ θεοῦ Ἀσυλαίου προσηγόρευον, ἐδέχοντο πάντας, οὔτε δεσπόταις δοῦλον, οὔτε θῆτα χρήσταις, οὔτ' ἄρχουσιν ἀνδροφόνον ἐκδιδόντες, ἀλλὰ μαντεύματι πυθοχρήστῳ πᾶσι βεβαιοῦν τὴν ἀσυλίαν, φάσκοντες. ὥστε πληθῦσαι ταχὺ τὴν πόλιν, ἐπεὶ τάς γε πρώτας ἑστίας λέγουσι τῶν χιλίων μὴ πλείονας γενέσθαι. ταῦτα μὲν οὖν ὕστερον. ὁρμήσασι δὲ πρὸς τὸν συνοικισμὸν αὐτοῖς, εὐθὺς ἦν διαφορὰ περὶ τοῦ τόπου. ῥωμύλος μὲν οὖν, τὴν καλουμένην ῥώμην κουαδράτην, ὅπερ ἐστὶ τετράγωνον ἔκτισε, καὶ ἐκεῖνον ἐβούλετο πολίζειν τὸν τόπον. ῥέμος δὲ, χωρίον τι τοῦ Ἀβεντίνου καρτερόν. ὃ δι' ἐκεῖνον μὲν ὠνομάσθη ῥεμώνιον, νῦν δὲ ῥιγνάριον καλεῖται. συνθεμένων δὲ τὴν ἔριν ὄρνισιν αἰσίοις βραβεῦσαι, καὶ καθεζομένων χωρὶς, ἕξ φασι τῷ ῥέμῳ, διπλασίους δὲ τῷ ῥωμύλῳ προφανῆναι γῦπας. οἱ δὲ τὸν μὲν ῥέμον ἀληθῶς ἰδεῖν, ψεύσασθαι δὲ τὸν ῥωμύλον, ἐλθόντος δὲ τοῦ ῥέμου, τότε τοὺς δώδεκα τῷ ῥωμύλῳ φανῆναι. διὸ καὶ νῦν μάλιστα χρῆσθαι γυψὶ ῥωμαίους οἰωνιζομένους. ἡρόδωρος δὲ ὁ ποντικὸς ἱστορεῖ, καὶ τὸν ἡρακλέα χαίρειν γυπὸς ἐπὶ πράξει φανέντος. ἔστι μὲν γὰρ ἀβλαβέστατον ζώων ἁπάντων, μηδὲν ὧν σπείρουσιν ἢ φυτεύουσιν, ἢ νέμουσιν ἄνθρωποι, σινόμενον, τρέφεται δ' ἀπὸ νεκρῶν σωμάτων, ἀποκτίννυσι δ' οὐδὲν οὐδὲ λυμαίνεται ψυχὴν ἔχον, πτηνοῖς δὲ διὰ συγγένειαν οὐδὲ νεκροῖς πρόσεισιν. ἀετοὶ δὲ καὶ γλαῦκες καὶ ἱέρακες, ζῶντα κόπτουσι τὰ ὁμόφυλα καὶ φονεύουσι. καίτοι κατ' αἰσχύλον, ὄρνιθος ὄρνις πῶς ἂν ἁγνεύοι φαγών. ἔτι τἆλλα μὲν ἐν ὀφθαλμοῖς ὡς ἔπος εἰπεῖν ἀναστρέφεται, καὶ παρέχει διὰ παντὸς αἴσθησιν ἑαυτῶν, ὁ δὲ γὺψ, σπάνιόν ἐστι θέαμα. καὶ νεοσσοῖς γυπὸς, οὐ ῥᾳδίως ἴσμεν ἐντετυχηκότες, ἀλλὰ καὶ παρέχων ἐνίοις ἄτοπον ὑπόνοιαν. ἔξωθεν αὐτοὺς ἀφ' ἑτέρας τινὸς γῆς καταίρειν ἐνταῦθα. τὸ σπάνιον καὶ μὴ συνεχὲς, οἷον οἱ μάντεις ἀξιοῦσιν εἶναι τὸ μὴ κατὰ φύσιν, μηδ' ἀφ' αὑτοῦ, πομπῇ δὲ θείᾳ φαινόμενον. ἐπεὶ δ' ἔγνω τὴν ἀπάτην ὁ ῥέμος, ἐχαλέπαινε. καὶ τοῦ ῥωμύλου τάφρον ὀρύττοντος, ᾗ τὸ τεῖχος ἔμελλε κυκλοῦσθαι, τὰ μὲν, ἐχλεύαζε τῶν ἔργων. τοῖς δ' ἐμποδὼν ἐγίνετο. τέλος δὲ διαλλόμενον αὐτόν. οἱ μὲν, αὐτοῦ ῥωμύλου πατάξαντος. οἱ δὲ, τῶν ἑταίρων τινὸς κέλερος, ἐνταῦθα πεσεῖν λέγουσιν. ἔπεσε δὲ, καὶ φαιστύλος ἐν τῇ μάχῃ καὶ πλειστῖνος, ὃν ἀδελφὸν ὄντα φαιστύλου, συνεκθρέψαι τὸν περὶ τὸν ῥωμύλον ἱστοροῦσιν. ὁ μὲν οὖν κέλερ, εἰς τυρρηνίαν μετέστη. καὶ ἀπ' ἐκείνου τοὺς ταχεῖς οἱ ῥωμαῖοι καὶ ὀξεῖς, κέλερας ὀνομάζουσι. καὶ κόϊντον μέτελλον, ὅτι τοῦ πατρὸς ἀποθανόντος ἀγῶνα μονομάχων ἡμέραις ὀλίγαις ἐποίησε, θαυμάσαντες τὸ τάχος τῆς παρασκευῆς, κέλερα προσηγόρευσαν. ὁ δὲ ῥωμύλος ἐν τῇ ῥεμωνίᾳ θάψας τὸν ῥέμον ὁμοῦ καὶ τοὺς τροφεῖς, ᾤκιζε τὴν πόλιν, ἐκ τυρρηνίας μεταπεμψάμενος ἄνδρας ἱεροῖς τισὶ θεσμοῖς καὶ γράμμασιν ὑφηγουμένους ἕκαστα καὶ διδάσκοντας, ὥσπερ ἐν τελετῇ. βόθρος γὰρ ὠρύγη περὶ τὸ νῦν κομίτιον κυκλοτερὴς, ἀπαρχαί τε πάντων, ὅσοις νόμῳ μὲν ὡς καλοῖς ἐχρῶντο, φύσει δ' ὡς ἀναγκαίοις, ἀπετέθησαν ἐνταῦθα. καὶ τέλος ἐξ ἧς ἀφῖκτο γῆς ἕκαστος ὀλίγην κομίζων μοῖραν, ἔβαλλον εἰς ταῦτα καὶ συνεμίγνυον. καλοῦσι δὲ τὸν βόθρον τοῦτον, ᾧ καὶ τὸν ὄλυμπον, ὀνόματι μοῦνδον. εἶτα ὥσπερ κύκλον, κέντρῳ περιέγραψαν τὴν πόλιν. ὁ δ' οἰκιστὴς ἐμβαλὼν ἀρότρῳ, χαλκῆν ὕνιν, ὑποζεύξας δὲ βοῦν ἄρρενα καὶ θήλειαν, αὐτὸς μὲν ἐπάγει περιελαύνων αὔλακα βαθεῖαν τοῖς τέρμασι, τῶν δ' ἑπομένων, ἔργον ἐστὶν, ἃς ἀνίστησι βώλους τὸ ἄροτρον, καταστρέφειν εἴσω, καὶ μηδεμίαν ἔξω περιορᾶν ἐκτρεπομένην. τῇ μὲν οὖν γραμμῇ, τὸ τεῖχος ἀφορίζουσι. καὶ καλεῖται κατὰ συγκοπὴν, πωμήριον. οἷον, ὄπισθεν τείχους, ἢ μετὰ τεῖχος, ὅπου δὲ πύλην ἐμβαλεῖν διανοοῦνται, τὴν ὕνιν ἐξελόντες καὶ τὸ ἄροτρον ὑπερθέντες, διάλειμμα ποιοῦσιν. ὅθεν ἅπαν τὸ τεῖχος ἱερὸν, πλὴν τῶν πυλῶν νομίζουσι. τὰς δὲ πύλας ἱερὰς νομίζοντας, οὐκ ἦν ἄνευ δεισιδαιμονίας, τὰ μὲν δέχεσθαι, τὰ δ' ἀποπέμπειν, τῶν τε ἀναγκαίων καὶ τῶν μὴ καθαρῶν. ὅτι μὲν οὖν ἡ κτίσις ἡμέρᾳ γένοιτο τῇ πρὸ ἕνδεκα καλανδῶν μαΐων, ὁμολογεῖται, καὶ τὴν ἡμέραν ταύτην ἑορτάζουσι ῥωμαῖοι γενέθλιον τῆς πατρίδος ὀνομάζοντες. ἐν ἀρχῇ δ' ὥς φασιν, οὐδὲν ἔμψυχον ἔθυον, ἀλλὰ καθαρὰν καὶ ἀναίμακτον ᾤοντο δεῖν τῇ πατρίδι τὴν ἐπώνυμον τῆς γενέσεως ἑορτὴν φυλάττειν, οὐ μὴν ἀλλὰ καὶ πρὸ τῆς κτίσεως βοτηρική τις ἦν αὐτοῖς ἑορτὴ, κατὰ ταύτην τὴν ἡμέραν, καὶ παλίλια προσηγόρευον αὐτήν. Νῦν μὲν οὖν οὐδὲν αἱ ῥωμαϊκαὶ νουμηνίαι πρὸς τὰς ἑλληνικὰς ὁμολογούμενον ἔχουσιν. ἐκείνην δὲ τὴν ἡμέραν ᾗ τὴν πόλιν ὁ ῥωμύλος ἔκτιζεν, ἀτρεκῆ τριακάδα τυχεῖν λέγουσι, καὶ σύνοδον ἐκλειπτικὴν ἐν αὐτῇ γενέσθαι, σελήνης πρὸς ἥλιον. ἣν εἰδέναι καὶ ἀντίμαχον οἴονται τὸν τήϊον ἐποποιὸν, ἔτει τρίτῳ τῆς ἕκτης ὀλυμπιάδος συμπεσοῦσαν. ἐν δὲ τοῖς κατὰ οὐάρρωνα τὸν φιλόσοφον χρόνοις, ἄνδρα ῥωμαίων ἐν ἱστορίᾳ βυβλιακώτατον, ἦν ταρούτιος ἑταῖρος αὐτοῦ, φιλόσοφος μὲν ἄλλως καὶ μαθηματικὸς, ἁπτόμενος δὲ τῆς περὶ τὸν πίνακα μεθόδου, θεωρίας ἕνεκα, καὶ δοκῶν ἐν αὐτῇ περιττὸς εἶναι, τούτῳ προὔβαλλεν ὁ οὐάρρων ἀναγαγεῖν τὴν

νομήτορος βοτῆρσι, τῷ ῥώμῳ μετ' ὀλίγον βαδίζοντι προστυχόντες ἐμάχοντο, καὶ γενομένων πληγῶν καὶ τραυμάτων ἐν ἀμφοτέροις, ἐκράτησαν οἱ τοῦ νομήτορος, καὶ συνέλαβον ζῶντα τὸν ῥῶμον. ἀναχθέντος οὖν αὐτοῦ πρὸς τὸν νομήτορα καὶ κατηγορηθέντος, αὐτὸς μὲν οὐκ ἐκόλασε, χαλεπὸν ὄντα δεδιὼς τὸν ἀδελφόν, ἐλθὼν δὲ πρὸς ἐκεῖνον, ἐδεῖτο τυχεῖν δίκης. ἀδελφὸς ὢν καὶ καθυβρισμένος ὑπὸ οἰκετῶν ἐκείνου, βασιλέως ὄντος. συναγανακτούντων δὲ τῶν ἐν ἄλβῃ καὶ δεινὰ πάσχειν οἰομένων τὸν ἄνδρα παρ' ἀξίαν, κινηθεὶς ὁ ἀμούλιος, αὐτῷ παραδίδωσι τῷ νομήτορι τὸν ῥῶμον, ὅ τι βούλοιτο χρήσασθαι. παραλαβὼν δ' ἐκεῖνος ὡς ἧκεν οἴκαδε, θαυμάζων μὲν ἀπὸ τοῦ σώματος τὸν νεανίσκον, ὑπερφέροντα μεγέθει καὶ ῥώμῃ πάντας, ἐνορῶν δὲ τῷ προσώπῳ τὸ θαρραλέον καὶ ἰταμὸν τῆς ψυχῆς, ἀδούλωτον καὶ ἀπαθὲς ὑπὸ τῶν παρόντων. ἔργα δὲ αὐτοῦ καὶ πράξεις ὅμοια τοῖς βλεπομένοις ἀκούων. τὸ δὲ μέγιστον ὡς ἔοικε, θεοῦ συμπαρόντος καὶ συνεπευθύνοντος, ἀρχὰς μεγάλων πραγμάτων ἁπτόμενος, [ὑπονοίᾳ καὶ τύχῃ τῆς ἀληθείας], ἀνέκρινεν ὅς τις εἴη, καὶ ὅπως γένοιτο, φωνῇ τε πρᾳείᾳ καὶ φιλανθρώπῳ βλέμματι, πίστιν αὐτῷ μετ' ἐλπίδος ἐνδιδούς. ὁ δὲ, θαρρῶν ἔλεγεν, ἀλλ' οὐδὲν ἀποκρύψομαί σε. καὶ γὰρ εἶναι δοκεῖς ἀμουλίου βασιλικώτερος. ἀκούεις γὰρ καὶ ἀνακρίνεις, πρὶν ἢ κολάζειν. ὁ δ' ἀκρίτους ἐκδίδωσι. πρότερον μὲν ἑαυτούς, οἰκετῶν βασιλέως φαιστύλου καὶ λαρεντίας ἠπιστάμεθα παῖδας. ἐσμὲν δὲ δίδυμοι, γενόμενοι δὲ ἐν αἰτίᾳ πρὸς σὲ καὶ διαβολαῖς καὶ τοῖς περὶ ψυχῆς ἀγῶσιν, ἀκούομεν μεγάλα περὶ ἑαυτῶν, εἰ δὲ πιστὰ κρίνειν ἔοικε νῦν ὁ κίνδυνος. γοναὶ μὲν γὰρ ἡμῶν ἀπόρρητοι λέγονται, τροφαὶ δὲ καὶ τιθηνήσεις ἀτοπώτεραι νεογνῶν. οἷς ἐρρίφημεν οἰωνοῖς καὶ θηρίοις, ὑπὸ τούτων τρεφόμενοι. μαστῷ λυκαίνης καὶ δρυοκολάπτου ψωμίσμασιν, ἐν σκάφῃ τινὶ κείμενοι παρὰ τὸν μέγαν ποταμόν. ἔστι δ' ἡ σκάφη καὶ σώζεται χαλκοῖς ὑποζώσμασι, γραμμάτων ἀμυδρῶν ἐγκεχαραγμένων, ἃ γένοιτ' ἂν ὕστερον ἴσως ἀνωφελῆ γνωρίσματα τοῖς τοκεῦσιν ἡμῶν ἀπολομένων. ὁ μὲν οὖν νομήτωρ, ἔκ τε τῶν λόγων τούτων. καὶ πρὸς τὴν ὄψιν εἰκάζων τὸν χρόνον, οὐκ ἔφυγε τὴν ἐλπίδα σαίνουσαν, ἀλλ' ἐφρόντιζεν ὅπως τῇ θυγατρὶ περὶ τούτων κρύφα συγγενόμενος φράσειεν. ἐφρουρεῖτο γὰρ ἔτι καρτερῶς. ὁ δὲ φαιστύλος ἀκούσας τήν τε σύλληψιν, τοῦ ῥώμου καὶ τὴν παράδοσιν. τὸν μὲν ῥωμύλον, ἠξίου βοηθεῖν. τό τε σαφῶς διδάξας περὶ τῆς γενέσεως, πρότερον δὲ ὑπηνίττετο, καὶ παρεδήλου τοσοῦτον, ὅσον προσέχοντας, μὴ μικρὸν φρονεῖν. αὐτὸς δὲ τὴν σκάφην κομίζων, ἐχώρει πρὸς τὸν νομήτορα, σπουδῆς καὶ δέους μεστὸς ὢν διὰ τὸν καιρόν, ὑποψίαν οὖν τοῖς περὶ τὰς πύλας φρουροῖς τοῦ βασιλέως παρέχων, καὶ ὑφορώμενος ὑπ' αὐτῶν, καὶ ταραττόμενος πρὸς τὰς ἀνακρίσεις, οὐκ ἔλαθε τὴν σκάφην τῷ χλαμυδίῳ περικαλύπτων. ἦν δέ τις ἐν αὐτοῖς ἀπὸ τύχης τῶν τὰ παιδία ῥῖψαι λαβόντων, καὶ γεγονότων περὶ τὴν ἔκθεσιν. οὗτος ἰδὼν τὴν σκάφην τότε, καὶ γνωρίσας τῇ κατασκευῇ καὶ τοῖς γράμμασιν, ἔτυχεν ὑπονοίᾳ τοῦ ὄντος καὶ οὐ παρημέλησεν, ἀλλὰ φράσας τὸ πρᾶγμα τῷ βασιλεῖ, κατέστησεν εἰς ἔλεγχον. ἐν δὲ πολλαῖς καὶ μεγάλαις ἀνάγκαις ὁ φαιστύλος, οὔτ' ἀήττητον ἑαυτὸν διεφύλαξεν, οὔτε παντάπασιν ἐκβιασθείς, σώζεσθαι μὲν ὡμολόγησε τοὺς παῖδας, εἶναι δ' ἄποθεν τῆς ἄλβης ἔφη, νέμοντας. αὐτὸς δὲ ταῦτα πρὸς τὴν ἰλίαν, φέρων βαδίζειν, πολλάκις ἰδεῖν καὶ θιγεῖν, ἐπ' ἐλπίδι βεβαιοτέρᾳ, τῶν τέκνων ποθήσασαν. ὅπερ οὖν οἱ ταραττόμενοι καὶ μετὰ δέους ἢ πρὸς ὀργὴν πράττοντες ὁτιοῦν ἐπιεικῶς πάσχουσι, συνέπεσε παθεῖν τὸν ἀμούλιον. ἄνδρα γὰρ ἄλλη τε χρηστὸν καὶ τοῦ νομήτορος φίλον. ὑπὸ σπουδῆς ἔπεμψε διαπυθέσθαι τοῦ νομήτορος κελεύσας, εἴ τις ἥκοι λόγος εἰς αὐτὸν ὑπὲρ τῶν παίδων, ὡς περιγενομένων. ἀφικόμενος οὖν ὁ ἄνθρωπος καὶ θεασάμενος ὅσον οὔπω τὸν ῥῶμον ἐν περιβολαῖς καὶ φιλοφροσύναις τοῦ νομήτορος, τήν τε πίστιν ἰσχυρὰν ἐποίησε τῆς ἐλπίδος, καὶ παρεκελεύσατο, τῶν πραγμάτων ὀξέως ἀντιλαμβάνεσθαι, καὶ συνῆν αὐτοῖς ἤδη καὶ συνέπραττεν. ὁ δὲ καιρὸς οὐδὲ βουλομένοις ὀκνεῖν παρεῖχεν, ὁ γὰρ ῥωμύλος ἐγγὺς ἦν ἤδη καὶ πρὸς αὐτὸν ἐξέθεον οὐκ ὀλίγοι τῶν πολιτῶν μίσει καὶ φόβῳ τοῦ ἀμουλίου. πολλὴν δὲ καὶ σὺν αὐτῷ δύναμιν ἦγεν συλλελοχισμένην εἰς ἑκατοστίας, ἑκάστης δὲ ἀνὴρ ἀφηγεῖτο. χόρτου καὶ ὕλης ἀγκαλίδα κοντῷ περικειμένην ἀνέχων. μανίπλα ταῦτα λατῖνοι καλοῦσιν, ἀπ' ἐκείνου δὲ καὶ νῦν ἐν τοῖς στρατεύμασι τούτους μανιπλαρίους ὀνομάζουσιν. ἀλλὰ δὴ τοῦ μὲν ῥώμου τοὺς ἐντὸς ἀφιστάντος, τοῦ δὲ ῥωμύλου προσάγοντος ἔξωθεν, οὔτε πρᾶξαι οὐδὲν ὁ τύραννος οὔτε βουλεύσας σωτήριον ἑαυτῷ, διὰ τὸ ἀπορεῖν καὶ ταράττεσθαι, καταληφθεὶς, ἀπέθανεν. ὧν τὰ πλεῖστα, καὶ φαβίου λέγοντος καὶ τοῦ πεπαρηθίου διοκλέους, ὃς δοκεῖ πρῶτος ἐκδοῦναι ῥώμης κτίσιν. ὕποπτον μὲν ἐνίοις ἐστὶ τὸ δραματικὸν καὶ πλασματῶδες, οὐ δεῖ δὲ ἀπιστεῖν τὴν τύχην, ὁρῶντας οἵων ποιημάτων δημιουργός ἐστι. καὶ τὰ ῥωμαίων πράγματα λογιζομένους, ὡς οὐκ ἂν, ἐνταῦθα προὔβη δυνάμεως, μὴ θείαν τινὰ ἀρχὴν λαβόντα. καὶ μηδὲν μέγα μηδὲ παράδοξον ἔχουσαν. ἀμουλίου δὲ ἀποθανόντος, καὶ τῶν πραγμάτων καταστάντων, ἄλβην μὲν οὔτ' οἰκεῖν μὴ ἄρχοντες, οὔτ' ἄρχειν ἐβούλοντο, τοῦ μητροπάτορος ζῶντος. ἀποδόντες δὲ τὴν ἡγεμονίαν ἐκείνῳ, καὶ τῇ μητρὶ τιμὰς πρεπούσας, ἔγνωσαν οἰκεῖν καθ' ἑαυτοὺς πόλιν, ἐν οἷς χωρίοις ἐξ ἀρχῆς ἐνετράφησαν κτίσαντες. αὕτη γὰρ εὐπρεπεστάτη τῶν αἰτιῶν ἐστιν. ἦν δ' ἴσως ἀναγκαῖον οἰκετῶν καὶ ἀποστατῶν πολλῶν ἠθροισμένων πρὸς αὐτούς, ἢ καταλυθῆναι

ἀμούλιος φοβηθεὶς ἐκέλευσεν αὐτὰ τὸν ὑπηρέτην λαβόντα, ῥῖψαι. τοῦτον ἔνιοι φαιστύλον ὀνομάζεσθαι λέγουσιν. οἱ δ' οὐ τοῦτον, ἀλλὰ τὸν ἀνελόμενον. ἐνθέμενος οὖν εἰς σκάφην τὰ βρέφη, κατέβη μὲν ἐπὶ τὸν ποταμὸν, ὡς ῥίψων, ἰδὼν δὲ κατιόντα πολλῷ ῥεύματι καὶ τραχυνόμενον, ἔδεισε προσελθεῖν. ἐγγὺς δὲ τῆς ὄχθης καταθεὶς, ἀπηλλάσσετο. τοῦ δὲ ποταμοῦ κατακλύζοντος, ἡ πλημμύρα τὴν σκάφην ὑπολαβοῦσα καὶ μετεωρίσασα πράως, κατήνεγκεν εἰς χωρίον ἐπιεικῶς μαλθακὸν, ὃ νῦν κερμανὸν καλοῦσι, πάλαι δὲ γερμανὸν ὡς ἔοικεν, ὅτι δὲ καὶ τοὺς ἀδελφοὺς, γερμανοὺς ὀνομάζουσιν. ἦν δὲ πλησίον ἐρινεὸς, ὃν ῥωμινάλιον ἐκάλουν. ἢ διὰ τὸν ῥωμύλον ὡς οἱ πολλοὶ νομίζουσιν. ἢ διὰ τὸ τὰ μηρυκώμενα τῶν θρεμμάτων, ἐκεῖ διὰ τὴν σκιὰν ἐνδιαζόντων. ἢ μάλιστα διὰ τὸν, τῶν βρεφῶν θηλασμὸν, ὅτι τήν τε θηλὴν, ῥοῦμαν ὠνόμαζον οἱ παλαιοὶ, καὶ θεόν τινα τῆς ἐκτροφῆς τῶν νηπίων ἐπιμελεῖσθαι δοκοῦσαν, ὀνομάζουσι ῥουμιλίαν, καὶ θύουσιν αὐτῇ νηφάλια, καὶ γάλα τοῖς ἱεροῖς ἐπισπένδουσιν. ἐνταῦθα δὲ τοῖς βρέφεσι κειμένοις, τήν τε λύκαιναν ἱστοροῦσι θηλαζομένην, καὶ δρυοκολάπτην τινὰ παρεῖναι συνεκτρέφοντα καὶ φυλάττοντα. νομίζεται δ' ἄρεος ἱερὰ τὰ ζῶα. τὸν δὲ δρυοκολάπτην καὶ διαφερόντως λατῖνοι σέβονται καὶ τιμῶσιν. ὅθεν οὐχ ἥκιστα πίστιν ἔσχεν ἡ τεκοῦσα τὰ βρέφη, τεκεῖν ἐξ ἄρεως φάσκουσα. καίτοι τοῦτο παθεῖν αὐτὴν ἐξαπατηθεῖσαν λέγουσιν ὑπὸ τοῦ ἀμουλίου διαπαρθενευθεῖσαν ἐν ὅπλοις ἐπιφανέντος αὐτῇ καὶ συναρπάσαντος. οἱ δὲ, τοὔνομα τῆς τροφοῦ δι' ἀμφιβολίαν ἐπὶ τὸ μυθῶδες ἐκτροπὴν τῇ φήμῃ παρασχεῖν. λούπας γὰρ ἐκάλουν οἱ λατῖνοι τῶν τε θηρίων τὰς λυκαίνας. καὶ τῶν γυναικῶν τὰς ἑταιρούσας. εἶναι δὲ τοιαύτην τὴν φαιστύλου γυναῖκα τοῦ τὰ βρέφη θρέψαντος, ἄκκαν λαρεντίαν ὄνομα. ταύτῃ δὲ καὶ θύουσι ῥωμαῖοι, καὶ χοὰς ἐπιφέρει τοῦ ἀπριλλίου μηνὸς αὐτῇ ὁ τοῦ ἄρεος ἱερεὺς. καὶ λαρεντίαν καλοῦσι τὴν ἑορτήν. ἑτέραν δὲ τιμῶσι λαρεντίαν, ἐξ αἰτίας τοιαύτης. ὁ νεωκόρος τοῦ ἡρακλέους ἀλύων ὡς ἔοικεν ὑπὸ σχολῆς, προὔθετο πρὸς τὸν θεὸν διακυβεύειν ὑπειπὼν, ὅτι νικήσας μὲν αὐτὸς, ἕξει τι παρὰ τοῦ θεοῦ χρηστὸν, ἡττηθεὶς δὲ, τῷ θεῷ τράπεζαν ἄφθονον παρέξει, καὶ γυναῖκα καλὴν συναναπαυσομένην. ἐπὶ τούτοις, τὰς μὲν, ὑπὲρ τοῦ θεοῦ θεὶς, τὰς δ' ὑπὲρ αὐτοῦ ψήφους, ἀνεφάνη νικώμενος. εὖ συνθέσθαι δὲ βουλόμενος, καὶ δικαίως ἐμμένειν τοῖς ὁρισθεῖσι, δεῖπνόν τε τῷ θεῷ παρεσκεύασε, καὶ τὴν λαρεντίαν οὖσαν ὡραίαν, οὔπω δὲ ἐπιφανῆ μισθωσάμενος, εἱστίασεν ἐν τῷ ἱερῷ κλίνην ὑποστορέσας. καὶ μετὰ τὸ δεῖπνον συνεῖρξεν ὡς δὴ τοῦ θεοῦ ἕξοντος αὐτήν. καὶ μέντοι καὶ τὸν θεὸν ἐντυχεῖν λέγεται τῇ γυναικὶ. καὶ κελεῦσαι βαδίζειν ἕωθεν ἐπὶ τὴν ἀγορὰν, καὶ τὸν ἀπαντήσαντα πρῶτον ἀσπασαμένην ποιεῖσθαι φίλον. ἀπήντησεν οὖν αὐτῇ τῶν πολιτῶν ἀνὴρ ἡλικίας τε πόρρω ἥκων, καὶ συνειλοχὼς οὐσίαν ἱκανὴν, ἄπαις δὲ καὶ βεβιωκὼς ἄνευ γυναικὸς, ὄνομα ταρρούτιος. οὗτος ἔγνω τὴν λαρεντίαν, καὶ ἠγάπησε. καὶ τελευτῶν, ἀπέλιπε κληρονόμον ἐπὶ πολλοῖς καὶ καλοῖς κτήμασιν, ὧν ἐκείνη τὰ πλεῖστα τῷ δήμῳ κατὰ διαθήκας ἔδωκε. λέγεται δὲ αὐτὴν ἔνδοξον οὖσαν ἤδη καὶ θεοφιλῆ νομιζομένην, ἀφανῆ γενέσθαι περὶ τοῦτον τὸν τόπον ἐν ᾧ καὶ τὴν προτέραν ἐκείνην λαρεντίαν κεῖσθαι. καλεῖται δὲ νῦν ὁ τόπος, βήλαυρον. ὅτι τοῦ ποταμοῦ πολλάκις ὑπερχεομένου, διεπεραιοῦντο πορθμείοις κατὰ τοῦτο τὸ χωρίον εἰς ἀγορὰν. τὴν δὲ πορθμείαν, βηλατούραν καλοῦσιν. ἔνιοι δὲ λέγουσι τὴν εἰς τὸν ἱππόδρομον φέρουσαν ἐξ ἀγορᾶς πάροδον ἱστίοις καταπεταννύναι τοὺς τὴν θέαν παρέχοντας, ἐντεῦθεν ἀρχομένους. ῥωμαϊστὶ δὲ τὸ ἱστίον, βῆλον ὀνομάζουσι. διὰ ταῦτα μὲν ἔχει τιμὰς ἡ δευτέρα λαρεντία παρὰ ῥωμαίοις. τὰ δὲ βρέφη φαιστύλος ἀμουλίου συφορβὸς, ἀνείλετο λαθὼν ἅπαντας. ὡς δ' ἔνιοι φασὶ τῶν εἰκότων ἐχόμενοι μᾶλλον, εἰδότος τοῦ νομήτορος καὶ συγχορηγοῦντος τροφὰς, κρύφα τοῖς τρέφουσι. καὶ γράμματα λέγονται καὶ τἆλλα μανθάνειν οἱ παῖδες εἰς γαβίους κομισθέντες, ὅσα χρὴ τοὺς εὖ γεγονότας. κληθῆναι δὲ καὶ τούτους ἀπὸ τῆς θηλῆς ἱστοροῦσι, ῥωμύλον, καὶ ῥέμον, ὅτι θηλάζοντες ὤφθησαν τὸ θηρίον. ἡ μὲν οὖν ἐν τοῖς σώμασιν εὐγένεια, καὶ νηπίων ὄντων, εὐθὺς ἐξέφαινε μεγέθει καὶ ἰδέᾳ τὴν φύσιν. αὐξόμενοι δὲ, θυμοειδεῖς ἦσαν ἀμφότεροι καὶ ἀνδρώδεις, καὶ φρονήματα πρὸς τὰ φαινόμενα δεινὰ, καὶ τόλμαν ὅλως ἀνέκπληκτον ἔχοντες. ὁ δὲ ῥωμύλος, γνώμῃ τε χρῆσθαι μᾶλλον ἐδόκει καὶ πολιτικὴν ἔχειν σύνεσιν, ἐν ταῖς περὶ νομὰς καὶ κυνηγίας πρὸς τοὺς γείτονας ἐπιμιξίαις, πολλὴν ἑαυτοῦ παρέχων κατανόησιν. ἡγεμονικοῦ μᾶλλον ἢ πειθαρχικοῦ φύσει γεγονότος. διὸ τοῖς μὲν ὁμοδούλοις ἢ ταπεινοτέροις προσφιλεῖς ἦσαν, ἐπιστάτας δὲ καὶ διόπους βασιλικοὺς καὶ ἀγελάρχας, ὡς μηδὲν αὐτῶν ἀρετῇ διαφέροντας, ὑπερφρονοῦντες, οὔτ' ἀπειλῆς ἐφρόντιζον, οὔτε ὀργῆς. ἐχρῶντο δὲ διατριβαῖς καὶ διαίταις ἐλευθερίοις. οὐ τὴν σχολὴν ἐλευθέριον ἡγούμενοι καὶ τὴν ἐπονίαν, ἀλλὰ γυμνάσια. καὶ θήρας. καὶ δρόμους καὶ τὸ λῃστὰς ἀλεξάσθαι. καὶ κλῶπας ἑλεῖν. καὶ βίας ἐξελέσθαι τοὺς ἀδικουμένους. ἦσαν δὴ διὰ ταῦτα περιβόητοι. γενομένης δέ τινος πρὸς τοὺς νομήτορος βουκόλους, τοῖς ἀμουλίου διαφορᾶς καὶ βοσκημάτων ἐλάσεως, οὐκ ἀνασχόμενοι, συγκόπτουσι μὲν αὐτοὺς καὶ τρέπονται. ἀποτέμνονται δὲ τῆς λείας, συχνήν. ἀγανακτοῦντος δὲ τοῦ νομήτορος, ὠλιγώρουν. συνῆγον δὲ καὶ προσεδέχοντο πολλοὺς μὲν ἀπόρους. πολλοὺς δὲ δούλους, θράσους ἀποστατικοῦ καὶ φρονήματος ἀρχὰς ἐνδιδόντες. τοῦ δὲ ῥωμύλου πρός τινα θυσίαν ἀποτραπομένου. καὶ γὰρ ἦν φιλοθύτης, καὶ μαντικὸς, οἱ τοῦ

Ὁ ΜΕΓΑ τῆς ῥώμης ὄνομα, καὶ δόξῃ διὰ πάντων ἀνθρώπων κεχωρηκὸς, ἀφ' ὅτου καὶ δι' ἣν αἰτίαν τῇ πόλει γέγονεν, οὐχ ὡμολόγηται παρὰ τοῖς συγγραφεῦσιν. ἀλλ' οἱ μὲν, πελασγοὺς ἐπὶ πλεῖστα τῆς οἰκουμένης πλανηθέντας, ἀνθρώπων τε πλείστων κρατήσαντας, αὐτόθι κατοικῆσαι, καὶ διὰ τὴν ἐν τοῖς ὅπλοις ῥώμην, οὕτως ὀνομάσαι τὴν πόλιν. οἱ δὲ, τροίας ἁλισκομένης διαφυγόντας ἐνίους, καὶ πλοίων ἐπιτυχόντας, ὑπὸ πνευμάτων τῇ τυρρηνίᾳ προσπεσεῖν φερομένους, καὶ περὶ τὸν θύμβριν ποταμὸν ὁρμήσασθαι. ταῖς δὲ γυναιξὶν αὐτῶν ἀπορουμέναις ἤδη καὶ δυσανασχετούσαις πρὸς τὴν θάλασσαν, ὑποθέσθαι μίαν, ἣ καὶ γένει προύχειν καὶ φρονεῖν ἐδόκει μάλιστα, ῥώμην ὄνομα, καταπρῆσαι τὰ πλοῖα. πραχθέντος δὲ τούτου, πρῶτον μὲν ἀγανακτεῖν τοὺς ἄνδρας, ἔπειτα δι' ἀνάγκην ἱδρυνθέντας περὶ τὸ παλλάντιον, ὡς ὀλίγῳ χρόνῳ κρεῖττον ἐλπίδος ἔπραττον, ἀγαθῆς πειρώμενοι χώρας, καὶ δεχομένων αὐτοὺς τῶν προσοίκων, ἄλλην τε τιμὴν ἀπονέμειν τῇ ῥώμῃ, καὶ τὴν πόλιν ἀπ' αὐτῆς, ὡς αἰτίας, προσαγορεύειν. ἐξ ἐκείνου τε παραμένειν λέγουσι τὸ, τοὺς συγγενεῖς τὰς γυναῖκας καὶ οἰκείους ἄνδρας, ἀσπάζεσθαι τοῖς στόμασι. καὶ γὰρ ἐκείνας ὅτε τὰ πλοῖα κατέπρησαν, οὕτως ἀσπάζεσθαι καὶ φιλοφρονεῖσθαι τοὺς ἄνδρας, δεομένας αὐτῶν καὶ παραιτουμένας τὴν ὀργήν. ἄλλοι δὲ ῥώμην ἰταλοῦ θυγατέρα καὶ λευκαρείας. οἱ δὲ, τηλέφου τοῦ ἡρακλέους, αἰνείᾳ γαμηθεῖσαν. οἱ δ' ἀσκανίου τοῦ αἰνείου λέγουσι τοὔνομα θέσθαι τῇ πόλει. οἱ δὲ, ῥωμανὸν ὀδυσσέως παῖδα καὶ κίρκης, οἰκίσαι τὴν πόλιν. οἱ δὲ, ῥῶμον ἐκ τροίας ὑπὸ διομήδους ἀποσταλέντα τὸν ἠμαθίωνος. οἱ δὲ, ῥῶμον λατίνων τύραννον ἐκβαλόντα τυρρηνοὺς, τοὺς εἰς λυδίαν μὲν ἐκ θετταλίας, ἐκ δὲ λυδίας εἰς ἰταλίαν παραγενομένους. οὐ μὴν, οὐδ' οἱ ῥωμύλον τῷ δικαιοτάτῳ τῶν λόγων ἀποφαίνοντες ἐπώνυμον τῆς πόλεως, ὁμολογοῦσι περὶ τοῦ γένους αὐτοῦ. οἱ μὲν γὰρ, αἰνείου καὶ δεξιθέας τῆς φόρβαντος, υἱὸν ὄντα νήπιον εἰς ἰταλίαν κομισθῆναι. καὶ τὸν ἀδελφὸν αὐτοῦ ῥῶμον, ἐν δὲ τῷ ποταμῷ πλημμύραντι τῶν ἄλλων σκαφῶν διαφθαρέντων, ἐν ᾧ δὲ ἦσαν οἱ παῖδες εἰς μαλακὴν ἀποκλιθέντος ὄχθην, ἀτρέμα σωθέντας ἀπροσδοκήτως, ὀνομασθῆναι ῥώμην. οἱ δὲ, ῥώμην θυγατέρα τῆς τρωάδος ἐκείνης λατίνῳ τῷ τηλεμάχου γαμηθεῖσαν, τεκεῖν τὸν ῥωμύλον. οἱ δὲ, αἰμυλίαν τὴν αἰνείου καὶ λαβινίας, ἄρει συγγενομένην. οἱ δὲ, μυθώδη παντάπασι περὶ τῆς γενέσεως διεξίασι. ταρχετίῳ γὰρ ἀλβανῶν βασιλεῖ, παρανομωτάτῳ καὶ ὠμοτάτῳ, φάσμα δαιμόνιον οἴκοι γενέσθαι. φαλλὸν γὰρ ἐκ τῆς ἑστίας ἀνασχεῖν, καὶ διαμένειν ἐπὶ πολλὰς ἡμέρας, εἶναι δὲ τηθύος ἐν τυρρηνίᾳ χρηστήριον, ἀφ' οὗ κομισθῆναι τῷ ταρχετίῳ χρησμὸν, ὥστε συμμῖξαι τῷ φάσματι παρθένον. ἔσεσθαι γὰρ ἐξ αὐτῆς παῖδα κλεινότατον ἀρετῇ καὶ τύχῃ καὶ ῥώμῃ διαφέροντα. φράσαντος οὖν τὸ μάντευμα τοῦ ταρχετίου μιᾷ τῶν θυγατέρων, καὶ συγγενέσθαι τῷ φαλλῷ προστάξαντος, αὐτὴν μὲν ἀπαξιῶσαι, θεράπαιναν δὲ, εἰσπέμψαι. τὸν δὲ ταρχέτιον, ὡς ἔγνω, χαλεπῶς φέροντα συλλαβεῖν μὲν ἀμφοτέρας, ἐπὶ θανάτῳ. τὴν δ' ἑστίαν ἰδόντα κατὰ τοὺς ὕπνους ἀπαγορεύουσαν αὐτῷ τὸν φόνον, ἱστόν τινα παρεγγυῆσαι ταῖς κόραις ὑφαίνειν δεδεμέναις, ὡς ὅταν ἐξυφήνωσι, τότε δοθησομένας πρὸς γάμον. ἐκείνας μὲν οὖν δι' ἡμέρας ὑφαίνειν, ἑτέρας δὲ νύκτωρ τοῦ ταρχετίου κελεύσαντος, ἀναλύειν τὸν ἱστόν. ἐκ δὲ τοῦ φαλλοῦ τῆς θεραπαινίδος τεκούσης δίδυμα, δοῦναί τινι τερατίῳ τὸν ταρχέτιον ἀνελεῖν κελεύσαντα. τὸν δὲ, θεῖναι φέροντα τοῦ ποταμοῦ πλησίον. εἶτα, λύκαιναν μὲν, ἐπιφοιτᾶν, μαστὸν διδοῦσαν, ὄρνιθας δὲ παντοδαποὺς ψωμίσματα κομίζοντας, ἐντιθέναι τοῖς βρέφεσιν. ἄχρις οὗ βουκόλον ἰδόντα καὶ θαυμάσαντα, τολμῆσαι προσελθεῖν, καὶ ἀνελέσθαι τὰ παιδία, τοιαύτης δὲ τῆς σωτηρίας αὐτοῖς γενομένης ἐκτραφέντας, ἐπιθέσθαι τῷ ταρχετίῳ καὶ κρατῆσαι. ταῦτα μὲν οὖν προμαθίων τις ἱστορίαν ἰταλικὴν συντεταγμένος, εἴρηκε. τοῦ δὲ πίστιν ἔχοντος λόγου μάλιστα, καὶ πλείστους μάρτυρας, τὰ μὲν κυριώτατα, πρῶτος εἰς τοὺς ἕλληνας ἐξέδωκε διοκλῆς πεπαρήθιος, ᾧ καὶ φάβιος πίκτωρ ἐν τοῖς πλείστοις ἐπηκολούθηκε. γεγόνασι δὲ καὶ περὶ τούτων ἕτεραι διαφοραί. τύπῳ δὲ εἰπεῖν, τοιοῦτός ἐστι. τῶν ἀπ' αἰνείου γεγονότων ἐν ἄλβῃ βασιλέων, εἰς ἀδελφοὺς δύο νομήτορα καὶ ἀμούλιον, ἡ διαδοχὴ καθῆκεν. ἀμουλίου δὲ νείμαντος τὰ πάντα δίχα, τῇ βασιλείᾳ, τὰ χρήματα καὶ τὸν ἐκ τροίας κομισθέντα χρυσὸν ἀντιτιθέντος, εἵλετο τὴν βασιλείαν ὁ νομήτωρ. ἔχων οὖν ὁ ἀμούλιος τὰ χρήματα καὶ πλέον ἀπ' αὐτῶν δυνάμενος τοῦ νομήτορος, τήν τε βασιλείαν ἀφείλετο ῥᾳδίως. καὶ φοβούμενος ἐκ τῆς θυγατρὸς αὐτοῦ γενέσθαι παῖδας, ἱέρειαν τῆς ἑστίας ἀπέδειξεν, ἄγαμον καὶ παρθένον ἀεὶ βιωσομένην. ταύτην οἱ μὲν, ἰλίαν. οἱ δὲ, ῥέαν. οἱ δὲ, σιλουΐαν ὀνομάζουσι. φωρᾶται δὲ μετ' οὐ πολὺν χρόνον κύουσα παρὰ τὸν καθεστῶτα ταῖς ἑστιάσι νόμον. καὶ τὸ μὲν ἀνήκεστα μὴ παθεῖν αὐτὴν, ἡ τοῦ βασιλέως θυγάτηρ ἄνθω παρῃτήσατο δεηθεῖσα τοῦ πατρὸς, εἵρχθη δὲ καὶ δίαιταν εἶχεν ἀνεπίμικτον, ὅπως μὴ λάθῃ τεκοῦσα τὸν ἀμούλιον. ἔτεκε δὲ δύο παῖδας ὑπερφυεῖς μεγέθει καὶ κάλλει. διὸ καὶ μᾶλλον ὁ

μουνύχου μυθολογίαν, ὃν ἐκ δημοφῶντος λαοδίκης κρύφα τεκούσης ἐν ἰλίῳ συνεκθρέψαι τὴν αἴ-
θραν λέγουσιν. ἴδιον δέ τινα καὶ παρηλλαγμένον ὅλως λόγον ὁ ἴστρος ἐν τῇ τρισκαιδεκάτῃ τῶν ἀττι-
κῶν ἀναφέρει περὶ αἴθρας, ὡς ἐνίων λεγόντων, ἀλέξανδρον μὲν, τὸν ἐν θεσσαλίᾳ πάριν ὑπ' ἀχιλλέ-
ως καὶ πατρόκλου μάχῃ κρατηθῆναι παρὰ τὸν σπερχειὸν, ἕκτορα δὲ τὴν τροιζηνίων πόλιν λαβόντα
διαρπάσαι καὶ τὴν αἴθραν ἀπαγαγεῖν ἐκεῖ καταλειφθεῖσαν. ἀλλὰ τοῦτο μὲν ἔχει πολλὴν ἀλογίαν. αἰδω-
νέως δὲ τοῦ μολοσσοῦ ξενίζοντος ἡρακλέα, καὶ τῶν περὶ τὸν θησέα καὶ πειρίθουν κατὰ τύχην μνη-
σθέντος, ἅ τε πράξοντες ἦλθον, καὶ ἃ φωραθέντες ἔπαθον, βαρέως ἤνεγκεν ὁ ἡρακλῆς, τοῦ μὲν, ἀπο-
λωλότος ἀδόξως, τοῦ δὲ, ἀπολλυμένου. καὶ περὶ πειρίθου μὲν, οὐδὲν ᾤετο ποιήσειν πλέον ἐγκαλῶν,
τὸν δὲ θησέα, παρῃτεῖτο. καὶ χάριν ἠξίου ταύτην αὐτῷ δοθῆναι, συγχωρήσαντος δὲ τοῦ αἰδωνέως, λυθεὶς
ὁ θησεὺς, ἐπανῆλθε μὲν εἰς τὰς ἀθήνας, οὔπω παντάπασι τῶν φίλων αὐτοῦ κεκρατημένων. καὶ ὅσα ὑ-
πῆρχε τεμένη πρότερον αὐτῷ τῆς πόλεως ἐξελούσης, ἅπαντα καθιέρωσεν ἡρακλεῖ, καὶ προσηγόρευ-
σεν ἀντὶ θησείων, ἡράκλεια, πλὴν τεσσάρων ὡς φιλόχορος ἱστόρηκε. εὐθὺς δὲ βουλόμενος ὥσπερ πρότε-
ρον ἄρχειν, καὶ καθηγεῖσθαι τοῦ πολιτεύματος, εἰς στάσεις ἐνέπεσε καὶ ταραχὰς, οὓς μὲν ἀπέλιπε, μισοῦντας
αὐτὸν, εὑρίσκων τῷ μὴ φοβεῖσθαι, τὸ, μισεῖν προσειληφότας, ἐν δὲ τῷ δήμῳ, πολὺ τὸ διεφθαρμένον
ὁρῶν καὶ θεραπεύεσθαι βουλόμενον, ἀντὶ τοῦ ποιεῖν σιωπῇ τὸ προστασσόμενον. ἐπιχειρῶν οὖν βιά-
ζεσθαι, κατεδημαγωγεῖτο καὶ κατεστασιάζετο. καὶ τέλος ἀπογνοὺς τὰ πράγματα, τοὺς μὲν παῖδας
εἰς εὔβοιαν ὑπεξέπεμψε πρὸς ἐλεφήνορα τὸν χαλκώδοντος, αὐτὸς δὲ γαργηττοῖ κατὰ τῶν ἀθηναίων
ἀρὰς θέμενος, οὗ νῦν ἐστι τὸ καλούμενον ἀρατήριον, εἰς σκῦρον ἐξέπλευσεν, οὔσης αὐτῷ πρὸς τοὺς ἐκεῖ
φιλίας ὡς ᾤετο, καὶ χωρίων ἐν τῇ νήσῳ πατρῴων. ἐβασίλευε δὲ τότε λυκομήδης τῶν σκυρίων. πρὸς
τοῦτον οὖν ἀφικόμενος ἐξῄτει τοὺς ἀγροὺς ἀπολαβεῖν ὡς αὐτόθι κατοικήσων. ἔνιοι δέ φασι παρακαλεῖν
αὐτὸν βοηθεῖν ἐπὶ τοὺς ἀθηναίους. ὁ δὲ λυκομήδης, εἴτε δείσας τὴν δόξαν τοῦ ἀνδρὸς, εἴτε τῷ μενεσθεῖ χα-
ριζόμενος, ἐπὶ τὰ ἄκρα τῆς χώρας ἀναγαγὼν αὐτὸν, ὡς ἐκεῖθεν ἐπιδείξων τοὺς ἀγροὺς, ὦσε κατὰ τῶν
πετρῶν καὶ διέφθειρεν. ἔνιοι δ' ἀφ' ἑαυτοῦ πεσεῖν φασὶ σφαλέντα μετὰ δεῖπνον ὥσπερ εἰώθει περιπα-
τοῦντα. καὶ παραυτίκα μὲν, οὐδεὶς ἔσχεν αὐτοῦ λόγον οὐδένα τεθνηκότος, ἀλλὰ τῶν μὲν ἀθηναίων, ἐβα-
σίλευσε μενεσθεὺς, οἱ δὲ παῖδες ἰδιωτεύοντες, ἐλεφήνορι συνεστράτευσαν εἰς ἴλιον. ἐκεῖ δὲ μενεσθέως
ἀποθανόντος, ἐπανελθόντες αὐτοὶ τὴν βασιλείαν ἀνεκομίσαντο. χρόνοις δ' ὕστερον ἀθηναίους ἄλλα τε
παρέστησεν ὡς ἥρωα τιμᾶν θησέα, καὶ τῶν ἐν μαραθῶνι πρὸς μήδους μαχομένων, ἔδοξαν οὐκ ὀλίγοι,
φάσμα θησέως ἐν ὅπλοις καθορᾶν πρὸ αὐτῶν, ἐπὶ τοὺς βαρβάρους φερόμενον. μετὰ δὲ τὰ μηδικὰ,
φαίδωνος ἄρχοντος μαντευομένοις τοῖς ἀθηναίοις, ἀνεῖλεν ἡ πυθία, τὰ θησέως ἀναλαβεῖν ὀστᾶ, καὶ θε-
μένους ἐντίμως παρ' αὑτοῖς φυλάττειν, ἦν δὲ καὶ λαβεῖν ἀπορία. καὶ γνῶναι τὸν τάφον, ἀμιξίᾳ καὶ
χαλεπότητι τῶν ἐνοικούντων βαρβάρων. οὐ μὴν ἀλλὰ καὶ κίμων ἑλὼν τὴν νῆσον ὡς ἐν τοῖς περὶ ἐκεί-
νου γέγραπται, καὶ φιλοτιμούμενος ἐξανευρεῖν, ἀετοῦ τινα τόπον βουνοειδῆ κόπτοντος ὥς φασι τῷ στό-
ματι καὶ διαστέλλοντος τοῖς ὄνυξι, θείᾳ τινὶ τύχῃ συμφρονήσας, ἀνέσκαψεν. εὑρέθη δὲ θήκη τε μεγά-
λου σώματος, αἰχμή τε παρακειμένη χαλκῆ, καὶ ξίφος. κομισθέντων δὲ τούτων ὑπὸ κίμωνος ἐπὶ
τῆς τριήρους ἡσθέντες οἱ ἀθηναῖοι, πομπαῖς τε λαμπραῖς ἐδέξαντο καὶ θυσίαις, ὥσπερ αὐτὸν ἐπα-
νερχόμενον εἰς τὸ ἄστυ. καὶ κεῖται μὲν ἐν μέσῃ τῇ πόλει παρὰ τὸ νῦν γυμνάσιον, ἔστι δὲ φύξιμον οἰκέταις
καὶ πᾶσι τοῖς ταπεινοτέροις καὶ δεδιόσι κρείττονας, ὡς καὶ τοῦ θησέως προστατικοῦ τινος, καὶ βοη-
θητικοῦ γενομένου, καὶ προσδεχομένου φιλανθρώπως τὰς τῶν ταπεινοτέρων δεήσεις, θυσίαν
δὲ ποιοῦσιν αὐτῷ τὴν μεγίστην ὀγδόῃ πυανεψιῶνος, ἐν ᾗ μετὰ τῶν ἠϊθέων ἐκ κρήτης ἐπα-
νῆλθεν. οὐ μὴν ἀλλὰ καὶ ταῖς ἄλλαις ὀγδόαις τιμῶσιν αὐτὸν, ἢ διὰ τὸ πρῶτον
ἐκ τροιζῆνος ἀφικέσθαι τῇ ὀγδόῃ τοῦ ἑκατομβαιῶνος, ὡς ἱστόρηκε διόδωρος ὁ
περιηγητὴς, ἢ νομίζοντες ἑτέρου μᾶλλον ἐκείνῳ προσήκειν τὸν ἀρι-
θμὸν τοῦτον ἐκ ποσειδῶνος γεγονέναι λεγομένῳ. καὶ γὰρ ποσει-
δῶνα ταῖς ὀγδόαις τιμῶσιν. ἡ γὰρ ὀγδοὰς, κύβος ἀπ'
ἀρτίου πρῶτος οὖσα, καὶ τοῦ πρώτου τετραγώνου
διπλασία, τὸ μόνιμον καὶ δυσκίνητον οἰ-
κεῖον ἔχει τῆς τοῦ θεοῦ δυνάμεως,
ὃν ἀσφάλιον καὶ γαιήοχον
προσονομάζομεν.

τὸν ἡρακλέα, ποιησάμενον ἔργον ἐντυχεῖν αὐτῷ περὶ τραχῖνα πεπαυμένῳ πλάνης ἤδη καὶ ἄθλων,
γενέσθαι δὲ μετὰ τιμῆς καὶ φιλοφροσύνης καὶ πολλῶν ἐπαίνων ἀμφοτέροις τὴν ἔντευξιν. οὐ μὴν,
ἀλλὰ μᾶλλον ἄν τις προσέχοι τοῖς, πολλάκις ἐντυχεῖν αὐτοὺς ἀλλήλους ἱστοροῦσι. καὶ τὴν μύησιν ἡρακλεῖ
γενέσθαι, θησέως σπουδάσαντος, καὶ τὸν πρὸ τῆς μυήσεως καθαρμὸν ὡς δεομένῳ, διά τινας πράξεις
ἀβουλήτους. ἤδη δὲ πεντήκοντα ἔτη γεγονὼς ὥς φησιν ἑλλάνικος, ἔπραξε τὰ περὶ τὴν ἑλένην οὐ καθ'
ὥραν. ὅθεν ὡς δὴ μέγιστον ἐπανορθούμενοι τοῦτο τῶν ἐγκλημάτων ἔνιοι λέγουσιν, οὐκ αὐτὸν ἁρπάσαι
τὴν ἑλένην, ἀλλ' ἴδα καὶ λυγκέως ἁρπασάντων, παρακαταθήκην λαβόντα τηρεῖν. καὶ μὴ προΐε-
σθαι τοῖς διοσκόροις ἀπαιτοῦσιν. ἢ νὴ δία τυνδάρεω παραδόντος αὐτοῦ φοβηθέντος ἐναρσφόρον τὸν   διοσκούροις. T.
ἱπποκόωντος, ἔτι νηπίαν οὖσαν βιαζόμενον τὴν ἑλένην λαβεῖν. τὰ δὲ εἰκότα καὶ πλείστους ἔχοντα
μάρτυρας, τοιαῦτά ἐστιν. ἦλθον μὲν εἰς σπάρτην ἀμφότεροι, καὶ τὴν κόρην ἐν ἱερῷ ἀρτέμιδος ὀρ-
θίας χορεύουσαν ἁρπάσαντες, ἔφυγον. τῶν δὲ πεμφθέντων ἐπὶ τὴν δίωξιν, οὐ προσωτέρω τεγέας
ἐπακολουθησάντων, ἐν ἀδείᾳ γενόμενοι καὶ διελθόντες τὴν πελοπόννησον, ἐποιήσαντο συνθήκας. τὸν
μὲν λαχόντα κλήρῳ τὴν ἑλένην, ἔχειν γυναῖκα, συμπράττειν δὲ θατέρῳ γάμον ἄλλον. ἐπὶ ταύταις
δὲ κληρουμένων ταῖς ὁμολογίαις, ἔλαχε θησεὺς, καὶ παραλαβὼν τὴν παρθένον, οὔπω γάμων ὥ-
ραν ἔχουσαν, εἰς ἀφίδνας ἐκόμισε, καὶ τὴν μητέρα καταστήσας μετ' αὐτῆς, ἀφίδνῳ παρέδωκεν ὄν-
τι φίλῳ. διακελευσάμενος φυλάττειν καὶ λανθάνειν τοὺς ἄλλους. αὐτὸς δὲ πειρίθῳ τὴν ὑπουργίαν
ἀποδιδοὺς, εἰς ἤπειρον συναπεδήμησεν ἐπὶ τὴν ἀϊδωνέως θυγατέρα τοῦ μολοσσῶν βασιλέως, ὃς τῇ
γυναικὶ φερσεφόνην ὄνομα θέμενος, κόρην δὲ τῇ θυγατρὶ, τῷ δὲ κυνὶ κέρβερον, ἐκέλευε τούτῳ δια-
μάχεσθαι, τοὺς μνωμένους τὴν παῖδα καὶ λαβεῖν τὸν κρατήσαντα. τοὺς μέντοι περὶ τὸν πειρίθουν, οὐ
μνηστῆρας ἥκειν ἀλλ' ἁρπασομένους πυνθανόμενος, συνέλαβε, καὶ τὸν μὲν πειρίθουν, εὐθὺς ἠφάνι-
σε διὰ τοῦ κυνός. τὸν δὲ θησέα, καθείρξας ἐφύλαττεν. ἐν δὲ τῷ χρόνῳ τούτῳ, μενεσθεὺς ὁ πετεὺς, τοῦ   πετεῶ. C. R. T.
ὀρνέως, τοῦ ἐρεχθέως, πρῶτος ὥς φασιν ἀνθρώπων ἐπιθέμενος τῷ δημαγωγεῖν, καὶ πρὸς χάριν ὄχλῳ
διαλέγεσθαι, τούς τε δυνατοὺς συνίστη καὶ παρώξυνε πάλαι βαρυνομένους τὸν θησέα. καὶ νομίζον-
τας ἀρχὴν καὶ βασιλείαν ἀφῃρημένον ἑκάστου τῶν κατὰ δῆμον εὐπατριδῶν εἰς ἓν ἄστυ συνείρξαν-
τα, πάντως ὑπηκόοις χρῆσθαι καὶ δούλοις, τούς τε πολλοὺς διετάραττε καὶ διέβαλλεν, ὡς ὄναρ ἐλευ-   πάντας. C. R. T.
θερίας ὁρῶντας, ἔργῳ δὲ ἀπεστερημένους πατρίδων καὶ ἱερῶν, ὅπως ἀντὶ πολλῶν καὶ ἀγαθῶν καὶ
γνησίων βασιλέων πρὸς ἕνα δεσπότην ἔπηλυν καὶ ξένον ἀποβλέπωσι. ταῦτα δὲ αὐτοῦ πραγματευο-
μένου, μεγάλην ῥοπὴν ὁ πόλεμος τῷ νεωτερισμῷ προσέθηκε τῶν τυνδαριδῶν ἐπελθόντων. οἱ δὲ,
καὶ ὅλως φασὶν ὑπὸ τούτου πεισθέντας ἐπελθεῖν. τὸ μὲν οὖν πρῶτον, οὐδὲν ἠδίκουν, ἀλλ' ἀπῄτουν τὴν
ἀδελφήν. ἀποκριναμένων δὲ τῶν ἐν ἄστει μήτε ἔχειν μήτε γινώσκειν ὅπου καταλέλειπται, πρὸς πόλε-
μον ἐτράποντο. φράζει δὲ αὐτοῖς ἀκάδημος ᾐσθημένος ᾧ δή τινι τρόπῳ τὴν ἐν ἀφίδναις κρύψιν αὐ-
τῆς. ὅθεν ἐκείνῳ τε τιμαὶ ζῶντι παρὰ τῶν τυνδαριδῶν ἐγένοντο, καὶ πολλάκις ὕστερον ἐμβαλόντες
εἰς τὴν ἀττικὴν λακεδαιμόνιοι, καὶ πᾶσαν ὁμοῦ τὴν χώραν τέμνοντες, τῆς ἀκαδημίας ἀπείχοντο,
διὰ τὸν ἀκάδημον. ὁ δὲ δικαίαρχος ἔχεμον φησὶ καὶ μάραθον συστρατευσάντων τότε τοῖς τυνδαρί-
δαις ἐξ ἀρκαδίας, ἀφ' οὗ μὲν ἐχεδημίαν προσαγορευθῆναι τὴν νῦν ἀκαδημίαν, ἀφ' οὗ δὲ μαραθῶ-
να τὸν δῆμον, ἐπιδόντος ἑαυτὸν ἑκουσίως κατά τι λόγιον, σφαγιάσασθαι πρὸ τῆς παρατάξεως.

Ἐλθόντες οὖν ἐπὶ τὰς ἀφίδνας, καὶ μάχῃ κρατήσαντες, ἐξεῖλον τὸ χωρίον. ἐνταῦθα φασὶ καὶ
ἄλυκον πεσεῖν τὸν σκίρωνος υἱὸν, συστρατευόμενον τότε τοῖς διοσκουρίδαις. ἀφ' οὗ καὶ τόπον τῆς με-
γαρικῆς ἄλυκον καλεῖσθαι τοῦ σώματος ἐνταφέντος. ἡρέας δ' ὑπὸ θησέως αὐτοῦ περὶ ἀφίδνας ἀ-
” ποθανεῖν τὸν ἄλυκον ἱστόρηκε. καὶ μαρτυρία ταυτὶ τὰ ἔπη παρέχεται, περὶ τοῦ ἀλύκου. Τὸν, ἐν
” εὐρυχόρῳ ποτ' ἀφίδνῃ μαρνάμενον, θησεὺς ἑλένης ἕνεκ' ἠϋκόμοιο κτεῖνεν. Οὐ μὴν εἰκὸς αὐτοῦ θη-
σέως παρόντος, ἁλῶναι τήν τε μητέρα, καὶ τὰς ἀθήνας. ἐχομένων δ' οὖν τῶν ἀφιδνῶν, καὶ τῶν ἐν
ἄστει δεδιότων, ἔπεισε τὸν δῆμον ὁ μενεσθεὺς, δέχεσθαι τῇ πόλει καὶ φιλοφρονεῖσθαι τοὺς τυνδαρί-
δας ὡς μόνῳ θησεῖ βίας ὑπάρξαντι, πολεμοῦντας. τῶν δὲ ἄλλων εὐεργέτας ὄντας ἀνθρώπων
καὶ σωτῆρας. ἐμαρτύρει δὲ αὐτῷ καὶ τὰ παρ' ἐκείνων. οὐδὲν γὰρ ἠξίωσαν ἁπάντων κρατοῦν-
τες, ἀλλ' ἢ μυηθῆναι, μηδὲν ἧττον ἡρακλέους τῇ πόλει προσήκοντες. καὶ τοῦτο οὖν ὑπῆρξεν αὐ-
τοῖς ἀφίδνου ποιησαμένου παῖδας, ὡς πύλιος ἡρακλέα. καὶ τιμὰς ἰσοθέους ἔσχον ἄνακες προσ-
αγορευθέντες. ἢ διὰ τὰς γενομένας ἀνοχάς. ἢ διὰ τὴν ἐπιμέλειαν καὶ κηδεμονίαν τοῦ μηδένα
κακῶς παθεῖν, στρατιᾶς τοσαύτης ἔνδον οὔσης. ἀνακῶς γὰρ ἔχειν τοὺς ἐπιμελομένους ἢ φυ-
λάττοντας ὁτιοῦν. καὶ τοὺς βασιλεῖς ἴσως ἄνακτας διὰ τοῦτο καλοῦσιν. εἰσὶ δὲ οἱ λέγοντες διὰ
τὴν τῶν ἀστέρων ἐπιφάνειαν, ἄνακας ὀνομάζεσθαι. τὸ γὰρ ἄνω τοὺς ἀττικοὺς, ἀνέκας ὀνομάζειν. καὶ
ἀνέκαθεν τὸ ἄνωθεν. αἴθραν δὲ τὴν θησέως μητέρα γενομένην αἰχμάλωτον, ἀπαχθῆναι λέγουσιν εἰς
λακεδαίμονα, κἀκεῖθεν εἰς τροίαν μετὰ ἑλένης. καὶ μαρτυρεῖν ὅμηρον ἕπεσθαι τῇ ἑλένῃ φάμενον
” Αἴθρην πιτθῆος θυγατέρα κλυμένην τε βοῶπιν. οἱ δὲ, καὶ τοῦτο τὸ ἔπος διαβάλλουσι. καὶ τὴν περὶ

μὲν εὐώνυμον τῶν ἀμαζόνων κέρας, ἐπιστρέφειν πρὸς τὸ νῦν καλούμενον ἀμαζόνειον, τῷ δὲ δεξιῷ πρὸς τὴν πνύκα κατὰ τὴν χρύσαν ἥκειν. μάχεσθαι δὲ πρὸς τοῦτο τοὺς ἀθηναίους ἀπὸ τοῦ μουσείου ταῖς ἀμαζόσι συμπεσόντας. τάφους τῶν πεσόντων περὶ τὴν πλατεῖαν εἶναι τὴν φέρουσαν ἐπὶ τὰς πύλας, παρὰ τὸ χαλκώδοντος ἡρῷον. ἃς νῦν πειραϊκὰς ὀνομάζουσι. καὶ ταύτῃ μὲν ἐκβιασθῆναι καὶ μέχρι τῶν εὐμενίδων, καὶ ὑποχωρῆσαι ταῖς γυναιξίν. ἀπὸ δὲ παλλαδίου καὶ ἀρδηττοῦ καὶ λυκείου προσβαλόντας, ὤσασθαι τὸ δεξιὸν αὐτῶν ἄχρι τοῦ στρατοπέδου, καὶ πολλὰς καταβαλεῖν. τετάρτῳ δὲ μηνὶ συνθήκας γενέσθαι διὰ τῆς ἱππολύτης. ἱππολύτην γὰρ οὗτος ὀνομάζει τὴν τῷ θησεῖ συνοικοῦσαν, οὐκ ἀντιόπην. ἔνιοι δέ φασι μετὰ τοῦ θησέως μαχομένην πεσεῖν τὴν ἄνθρωπον, ὑπὸ μολπαδίας ἀκοντισθεῖσαν. καὶ τὴν στήλην τὴν παρὰ τὸ τῆς γῆς τῆς ὀλυμπίας ἱερὸν, ἐπὶ ταύτῃ κεῖσθαι. καὶ θαυμαστὸν οὐκ ἔστιν ἐπὶ πράγμασιν οὕτω παλαιοῖς πλανᾶσθαι τὴν ἱστορίαν, ἐπεὶ καὶ τὰς τετρωμένας φασὶ τῶν ἀμαζόνων ὑπ' ἀντιόπης εἰς χαλκίδα λάθρα διαπεμφθείσας, τυγχάνειν ἐπιμελείας. καὶ ταφῆναί τινας ἐκεῖ περὶ τὸ νῦν ἀμαζόνειον καλούμενον. ἀλλὰ τοῦ γε τὸν πόλεμον εἰς σπονδὰς τελευτῆσαι, μαρτύριόν ἐστιν, ἥ τε τοῦ τόπου κλῆσις τοῦ παρὰ τὸ θησεῖον, ὅνπερ ὁρκωμόσιον καλοῦσιν, ἥ τε γινομένη πάλαι θυσία ταῖς ἀμαζόσι πρὸ τῶν θησείων. δεικνύουσι δὲ καὶ μεγαρεῖς ἀμαζόνων θήκην παρ' αὐτοῖς ἐπὶ τὸν καλούμενον ῥοῦν, βαδίζουσιν ἐξ ἀγορᾶς, ὅπου τὸ ῥομβοειδές. λέγεται δὲ καὶ περὶ χαιρώνειαν ἑτέρας ἀποθανεῖν, καὶ ταφῆναι παρὰ τὸ ῥυμάτιον. ὃ πάλαι μὲν ὡς ἔοικε θερμώδων, αἵμων δὲ νῦν καλεῖται. περὶ ὧν ἐν τῷ δημοσθένους βίῳ γέγραπται. φαίνονται δὲ μηδὲ θεσσαλίαν ἀπραγμόνως αἱ ἀμαζόνες διελθοῦσαι. τάφοι γὰρ αὐτῶν ἔτι καὶ νῦν δείκνυνται περὶ τὴν σκοτουσσαίαν καὶ τὰς κυνὸς κεφαλάς. ταῦτα μὲν οὖν ἄξια μνήμης περὶ τῶν ἀμαζόνων. ἣν γὰρ ὁ τῆς θησηίδος ποιητὴς ἀμαζόνων ἐπανάστασιν γέγραφε, θησεῖ γαμοῦντι φαίδραν τῆς ἀντιόπης ἐπιτιθεμένης, καὶ τῶν μετ' αὐτῆς ἀμαζόνων ἀμυνομένων, καὶ κτείνοντος αὐτὰς ἡρακλέους, περιφανῶς ἔοικε μύθῳ καὶ πλάσματι. τῆς δὲ ἀντιόπης ἀποθανούσης, ἔγημε φαίδραν, ἔχων υἱὸν ἱππόλυτον ἐξ ἀντιόπης, ὡς δὲ πίνδαρός φησι, δημοφῶντα. τὰς δὲ περὶ ταύτην καὶ τὸν υἱὸν αὐτοῦ δυστυχίας, ἐπεὶ μηδὲν ἀντιπίπτει παρὰ τῶν ἱστορικῶν τοῖς τραγικοῖς, οὕτως ἔχειν θετέον, ὡς ἐκεῖνοι πεποιήκασιν ἅπαντες. εἰσὶ μέντοι λόγοι περὶ γάμων θησέως καὶ ἕτεροι τὴν σκηνὴν διαπεφευγότες, οὔτε ἀρχὰς εὐγνώμονας, οὔτε εὐτυχεῖς τελευτὰς ἔχοντες. καὶ γὰρ ἀναξὼ τινὰ τροιζηνίαν ἁρπάσαι λέγεται. καὶ σίννιν ἀποκτείνας καὶ κερκυόνα συγγενέσθαι βίᾳ ταῖς θυγατράσιν αὐτῶν. γῆμαι δὲ καὶ περίβοιαν τὴν αἴαντος μητέρα. καὶ φερέβοιαν αὖθις. καὶ ἰόπην τὴν ἰφικλέους. καὶ διὰ τὸν αἴγλης ἔρωτα τῆς πανοπέως, ὥσπερ εἴρηται, τὴν ἀριάδνης ἀπόλειψιν αἰτιῶνται μὴ καλὴν γενέσθαι, μηδὲ πρέπουσαν. ἐπὶ πᾶσι δὲ τὴν ἑλένης ἁρπαγὴν, πολέμου μὲν ἐμπλῆσαι τὴν ἀττικὴν, αὐτῷ δὲ εἰς φυγὴν καὶ ὄλεθρον τελευτῆσαι, περὶ ὧν ὀλίγον ὕστερον εἰρήσεται. πολλῶν δὲ τότε τοῖς ἀρίστοις ἄθλων γενομένων, ἡρόδωρος μὲν οὐδενὸς οἴεται τὸν θησέα μετασχεῖν, ἀλλὰ μόνοις λαπίθαις τῆς κενταυρομαχίας. ἕτεροι δὲ καὶ μετὰ ἰάσονος ἐν κόλχοις γενέσθαι. καὶ μελεάγρῳ συνεξελεῖν τὸν κάπρον. ὅθεν καὶ παροιμίαν εἶναι τὴν οὐκ ἄνευ θησέως. αὐτὸν μέντοι μηδενὸς συμμάχου δεηθέντα, πολλοὺς καὶ καλοὺς ἄθλους κατεργάσασθαι. καὶ τὸν, ἄλλος οὗτος ἡρακλῆς λόγον, ἐπ' ἐκείνου κρατῆσαι. συνέπραξε δὲ καὶ ἀδράστῳ τὴν ἀναίρεσιν τῶν ὑπὸ τῇ καδμείᾳ πεσόντων. οὐχ ὡς εὐριπίδης ἐποίησεν ἐν τραγῳδίᾳ, μάχῃ τῶν θηβαίων κρατήσας, ἀλλὰ πείσας καὶ σπεισάμενος. οὕτω γὰρ οἱ πλεῖστοι λέγουσι. φιλόχορος δὲ καὶ σπονδὰς περὶ νεκρῶν ἀναιρέσεως γενέσθαι πρώτας ἐκείνας. ὅτι δὲ ἡρακλῆς πρῶτος ἀπέδωκε νεκροὺς τοῖς πολεμίοις, ἐν τοῖς περὶ ἡρακλέους γέγραπται. ταφαὶ δὲ, τῶν μὲν πολλῶν ἐν ἐλευθεραῖς δείκνυνται. τῶν δὲ ἡγεμόνων, περὶ ἐλευσῖνα, καὶ τοῦτο θησέως ἀδράστῳ χαρισαμένου. καταμαρτυροῦσι δὲ τῶν εὐριπίδου ἱκετίδων, οἱ αἰσχύλου ἐλευσίνιοι, ἐν οἷς καὶ ταῦτα λέγων ὁ θησεὺς πεποίηται. τὴν δὲ πρὸς πειρίθουν φιλίαν, τοῦτον τὸν τρόπον αὐτῷ γενέσθαι λέγουσι. δόξαν εἶχεν ἐπὶ ῥώμῃ καὶ ἀνδρείᾳ μεγίστην. βουλόμενος οὖν ὁ πειρίθους ἐξελέγξαι καὶ λαβεῖν διάπειραν, ἤλασε τὰς βοῦς ἐκ μαραθῶνος αὐτοῦ, καὶ πυθόμενος διώκειν μετὰ τῶν ὅπλων ἐκεῖνον, οὐκ ἔφυγεν, ἀλλ' ἀναστρέψας ἀπήντησεν. ὡς δὲ εἶδεν ἅτερος τὸν ἕτερον, καὶ τὸ κάλλος ἐθαύμασε καὶ τὴν τόλμαν ἠγάσθη, μάχης μὲν ἔσχοντο, πειρίθους δὲ πρότερος τὴν δεξιὰν προτείνας, ἐκέλευσεν αὐτὸν γενέσθαι δικαστὴν τὸν θησέα τῆς βοηλασίας. ἑκὼν γὰρ ὑφέξειν ἣν ἂν ὁρίσῃ δίκην ἐκεῖνος. θησεὺς δὲ καὶ τὴν δίκην ἀφῆκεν αὐτῷ, καὶ προὐκαλεῖτο φίλον εἶναι καὶ σύμμαχον. ἐποιήσαντο δὲ τὴν φιλίαν ἐνόρκιον. ἐκ δὲ τούτου γαμῶν ὁ πειρίθους δηιδάμειαν, ἐδεήθη τοῦ θησέως ἐλθεῖν καὶ τὴν χώραν ἱστορῆσαι καὶ συγγενέσθαι τοῖς λαπίθαις. ἐτύγχανε δὲ καὶ τοὺς κενταύρους κεκληκὼς ἐπὶ τὸ δεῖπνον. ὡς δὲ ἠσέλγαινον ὕβρει, καὶ μεθύοντες οὐκ ἀπείχοντο τῶν γυναικῶν, ἐτράποντο πρὸς ἄμυναν οἱ λαπίθαι. καὶ τοὺς μὲν ἔκτειναν αὐτῶν. τοὺς δὲ, πολέμῳ κρατήσαντες, ὕστερον ἐξέβαλον ἐκ τῆς χώρας, τοῦ θησέως αὐτοῖς συμμαχομένου καὶ συμπολεμοῦντος. ἡρόδωρος δὲ ταῦτα πεπρᾶχθαι φησὶν, οὐχ οὕτως, ἀλλὰ τοῦ πολέμου συνεστῶτος ἤδη, τὸν θησέα βοηθοῦντα τοῖς λαπίθαις παραγενέσθαι, καὶ τότε πρῶτον ὄψει γνωρίσαι τὸν ἡρακλέα,

» ἐκ δελφῶν μαντευομένῳ περὶ τῆς πόλεως. αἰγείδη θησεῦ πιτθηΐδος ἔκγονε κούρης, πολλαῖς
» τοι πολέεσσι πατὴρ ἐμὸς ἐγκατέθηκε, τέρματα καὶ κλωστῆρας ἐν ὑμετέρῳ πολιέθρῳ. ἀλλὰ σὺ
» μήτι λίην πεπονημένος ἔνδοθι θυμὸν βουλεύειν, ἀσκὸς γὰρ ἐν οἴδματι ποντοπορεύσει. τοῦτο δὲ καὶ
» σιβύλλαν ὕστερον ἀπροσματίσαι πρὸς τὴν πόλιν ἱστοροῦσιν ἀναφθεγξαμένην. ἀσκὸς βαπτίζῃ·
δῦναι δέ τοι οὐ θέμις ἐστίν. ἔτι δὲ μᾶλλον αὐξῆσαι τὴν πόλιν βουλόμενος, ἐκάλει πάντας ἐπὶ τοῖς ἴσοις. καὶ τὸ δεῦρ' ἴτε πάντες λεῴ, κήρυγμα θησέως γενέσθαι φασί, πανδημίαν τινὰ καθιστάντος. οὐ μὴν ἄτακτον οὐδὲ μεμιγμένην περιεῖδεν ὑπὸ πλήθους ἐπιχυθέντος ἀκρίτου γενομένην τὴν δημοκρατίαν, ἀλλὰ πρῶτος ἀποκρίνας χωρὶς εὐπατρίδας καὶ γεωμόρους καὶ δημιουργούς. εὐπατρίδαις μὲν γινώσκειν τὰ θεῖα καὶ παρέχειν ἄρχοντας ἀποδοὺς, καὶ νόμων διδασκάλους εἶναι, καὶ ὁσίων καὶ ἱερῶν ἐξηγητάς. τοῖς ἄλλοις πολίταις ὥσπερ εἰς ἴσον κατέστησε, δόξῃ μὲν εὐπατριδῶν, χρείᾳ δὲ γεωμόρων, πλήθει δὲ τῶν δημιουργῶν ὑπερέχειν δοκούντων. ὅτι δὲ πρῶτος ἀπέκλινε πρὸς τὸν ὄχλον ὡς ἀριστοτέλης φησὶ, καὶ ἀφῆκε τὸ μοναρχεῖν, ἔοικε μαρτυρεῖν καὶ ὅμηρος ἐν νεῶν καταλόγῳ, μόνους ἀθηναίων δῆμον προσαγορεύσας. ἔκοψε δὲ καὶ νόμισμα, βοῦν ἐγχαράξας. ἢ διὰ τὸν μαραθώνιον ταῦρον, ἢ διὰ τὸν μίνω στρατηγόν. ἢ πρὸς γεωργίαν τοὺς πολίτας παρακαλῶν, ἀπ' ἐκείνου δέ φασι τὸ ἑκατόμβοιον καὶ τὸ δεκάβοιον ὀνομασθῆναι. προσκτησάμενος δὲ τῇ ἀττικῇ τὴν μεγαρικὴν βεβαίως, τὴν θρυλουμένην ἐν ἰσθμῷ στήλην ἔστησεν, ἐπιγράψας τὸ διορίζον ἐπίγραμμα τὴν χώραν δυσὶ τριμέτροις. ὧν ἔφραζε.
» τὸ μὲν πρὸς ἕω. τάδ' οὐχὶ πελοπόννησος, ἀλλ' ἰωνία.
» τὸ δὲ πρὸς ἑσπέραν, τάδ' ἐστὶ πελοπόννησος, οὐκ ἰωνία. καὶ τὸν ἀγῶνα πρῶτος ἔθηκε κατὰ ζῆλον ἡρακλέους, ὡς δι' ἐκεῖνον ὀλύμπια τῷ διῒ, καὶ δι' αὑτὸν ἴσθμια τῷ ποσειδῶνι φιλοτιμηθεὶς ἄγειν τοὺς ἕλληνας. ὁ γὰρ ἐπὶ μελικέρτῃ τεθεὶς αὐτόθι, νυκτὸς ἐδρᾶτο, τελετῆς ἔχων μᾶλλον ἢ θέας καὶ πανηγυρισμοῦ τάξιν. ἔνιοι δέ φασιν ἐπὶ σκίρωνι τὰ ἴσθμια τεθῆναι, τοῦ θησέως ἀφοσιουμένου τὸν φόνον διὰ τὴν συγγένειαν. σκίρωνα γὰρ υἱὸν εἶναι κανήθου καὶ ἡνιόχης τῆς πιτθέως. οἱ δὲ, σίννιν οὐχὶ σκίρωνα, καὶ τὸν ἀγῶνα τεθῆναι διὰ τοῦτον ὑπὸ θησέως, οὐδ' ἐκεῖνον. ἔταξεν οὖν καὶ διωρίσατο πρὸς τοὺς κορινθίους, ἀθηναίων τοῖς ἀφικνουμένοις ἐπὶ τὰ ἴσθμια, παρέχειν προεδρίαν, ὅσον ἂν τόπον ἐπίσχῃ καταπετασθὲν τὸ τῆς θεωρίδος νεὼς ἱστίον ὡς ἑλλάνικος καὶ ἄνδρων ὁ ἁλικαρνασσεὺς ἱστορήκασιν. εἰς δὲ τὸν πόντον ἔπλευσε τὸν εὔξεινον ὡς μὲν φιλόχορος καί τινες ἄλλοι λέγουσι μεθ' ἡρακλέους ἐπὶ τὰς ἀμαζόνας συστρατεῦσαι, καὶ γέρας ἀριστεῖον ἀντιόπην ἔλαβεν. οἱ δὲ πλείους ὧν ἐστι καὶ φερεκύδης, καὶ ἑλλάνικος καὶ ἡρόδωρος, ὕστερόν φασιν ἡρακλέους ἰδιόστολον πλεῦσαι τὸν θησέα, καὶ τὴν ἀμαζόνα λαβεῖν αἰχμάλωτον, πιθανώτερα λέγοντες. οὐδεὶς γὰρ ἄλλος ἱστόρηται τῶν μετ' αὐτοῦ στρατευσάντων, ἀμαζόνα λαβεῖν αἰχμάλωτον. βίων δὲ καὶ ταύτην παρακρουσάμενον οἴχεσθαι λαβόντα. φύσει γὰρ οὔσας τὰς ἀμαζόνας φιλάνδρους, οὔτε φυγεῖν τὸν θησέα προσβάλλοντα τῇ χώρᾳ, ἀλλὰ καὶ ξένια πέμπειν. ὁ δὲ, τὴν κομίζουσαν ἐμβῆναι παρακαλεῖν εἰς τὸ πλοῖον, ἐμβάσης δ' ἀναχθῆναι. μενεκράτης δέ τις ἱστορίαν περὶ νικαίας τῆς ἐν βιθυνίᾳ πόλεως ἐκδεδωκὼς, θησέα φησὶ τὴν ἀντιόπην ἔχοντα διατρῖψαι περὶ τούτους τοὺς τόπους, τυγχάνειν δὲ συστρατεύοντας αὐτῷ τρεῖς νεανίσκους ἐξ ἀθηνῶν, ἀδελφοὺς ἀλλήλων. εὔνεων καὶ θόαντα καὶ σολόεντα. τοῦτον οὖν ἐρῶντα τῆς ἀντιόπης, καὶ λανθάνοντα τοὺς ἄλλους, ἐξειπεῖν πρός τινα τῶν συνήθων, ἐκείνου δὲ περὶ τούτων ἐντυχόντος τῇ ἀντιόπῃ, τὴν μὲν πεῖραν ἰσχυρῶς ἀποτρίψασθαι, τὸ δὲ πρᾶγμα σωφρόνως ἅμα καὶ πρᾴως ἐνεγκεῖν, καὶ πρὸς τὸν θησέα μὴ κατηγορῆσαι. τοῦ δὲ σολόεντος ὡς ἀπέγνω, ῥίψαντος ἑαυτὸν εἰς ποταμόν τινα καὶ διαφθαρέντος, αἰσθόμενον τότε τὴν αἰτίαν καὶ τὸ πάθος τοῦ νεανίσκου, τὸν θησέα, βαρέως ἐνεγκεῖν, καὶ δυσφοροῦντα, λόγιόν τι πυθόχρηστον ἀνενεγκεῖν πρὸς ἑαυτόν. εἶναι γὰρ αὐτῷ προστεταγμένον ἐν δελφοῖς ὑπὸ τῆς πυθίας, ὅταν ἐπὶ ξένης ἀνιαθῇ μάλιστα καὶ περίλυπος γένηται, πόλιν ἐκεῖ κτίσαι, καί τινας τῶν ἀμφ' αὐτὸν ἡγεμόνας καταλιπεῖν. ἐκ δὲ τούτου, τὴν μὲν πόλιν ἣν ἔκτισεν ἀπὸ τοῦ θεοῦ πυθόπολιν προσαγορεῦσαι, σολόεντα δὲ τὸν πλησίον ποταμὸν ἐπὶ τιμῇ τοῦ νεανίσκου. καταλιπεῖν δὲ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, οἷον ἐπιστάτας καὶ νομοθέτας, καὶ σὺν αὐτοῖς ἕρμον ἄνδρα τῶν ἀθήνησιν εὐπατριδῶν, ἀφ' οὗ καὶ τόπον ἑρμοῦ καλεῖν οἰκίαν τοὺς πυθοπολίτας, οὐκ ὀρθῶς τὴν δευτέραν συλλαβὴν περισπῶντας, καὶ τὴν δόξαν ἐπὶ θεὸν ἀφ' ἥρωος μετατιθέντας. πρόφασιν μὲν οὖν ταύτην ὁ τῶν ἀμαζόνων πόλεμος ἔσχε. φαίνεται δὲ μὴ φαῦλον αὐτοῦ μηδὲ γυναικεῖον γενέσθαι τὸ ἔργον. οὐ γὰρ ἂν ἐν ἄστει κατεστρατοπέδευσαν, οὐδὲ τὴν μάχην συνῆψαν ἐν χρῷ περὶ τὴν πνύκα καὶ τὸ μουσεῖον, εἰ μὴ κρατοῦσαι τῆς χώρας, ἀδεῶς τῇ πόλει προσέμιξαν. εἰ μὲν οὖν ὡς ἑλλάνικος ἱστόρηκε, τῷ κιμμερικῷ βοσπόρῳ παγέντι διαβᾶσαι περιῆλθον, ἔργον ἐστὶ πιστεῦσαι. τὸ δὲ, ἐν τῇ πόλει σχεδὸν αὐτὰς ἐνστρατοπεδεῦσαι, μαρτυρεῖται καὶ τοῖς ὀνόμασι τῶν τόπων, καὶ ταῖς θήκαις τῶν πεσόντων. πολὺν δὲ χρόνον ὄκνος ἦν καὶ μέλλησις ἀμφοτέροις τῆς ἐπιχειρήσεως, τέλος δὲ θησεὺς κατά τι λόγιον τῷ φοίβῳ σφαγιασάμενος, συνῆψεν αὐταῖς. ἡ μὲν οὖν μάχη βοηδρομιῶνος ἐγένετο μηνὸς, ἐφ' ᾗ τὰ βοηδρόμια μέχρι νῦν ἀθηναῖοι θύουσιν. ἱστορεῖ δὲ κλείδημος ἐξακριβοῦν τὰ καθ' ἕκαστα βουλόμενος, τὸ

De hoc Strabo Libro nono ~ 6 p. Lat. 171. 6.

άδνης ἔλαβεν, ἐχόρευσε μετὰ τῶν ἠϊθέων χορείαν, ἣν ἔτι νῦν ἐπιτελεῖν Δηλίους λέγουσι, μίμημα τῶν ἐν τῷ λαβυρίνθῳ περιόδων καὶ διεξόδων ἔν τινι ῥυθμῷ, παραλλάξεις καὶ ἀνελίξεις ἔχοντι γιγνομένην. καλεῖται δὲ τὸ γένος τοῦτο τῆς χορείας ὑπὸ Δηλίων γέρανος, ὡς ἱστορεῖ Δικαίαρχος. ἐχόρευσε δὲ περὶ τὸν κερατῶνα βωμόν. ἐκ κεράτων συνηρμοσμένον εὐωνύμων ἁπάντων. ποιῆσαι δὲ καὶ ἀγῶνα φασὶν αὐτὸν ἐν Δήλῳ, καὶ τοῖς νικῶσι τότε πρῶτον ὑπ' ἐκείνου φοίνικα δοθῆναι. τῇ δὲ Ἀττικῇ προσφερομένων, ἐκλαθέσθαι μὲν αὐτόν, ἐκλαθέσθαι δὲ τὸν κυβερνήτην ὑπὸ χαρᾶς, ἐπάρασθαι τὸ ἱστίον, ᾧ τὴν σωτηρίαν αὐτῶν ἔδει γνώριμον τῷ Αἰγεῖ γενέσθαι, τὸν δέ, ἀπογνόντα ῥίψαι κατὰ τῆς πέτρας ἑαυτὸν καὶ διαφθαρῆναι. καταπλεύσας δὲ ὁ Θησεύς, ἔθυε μὲν αὐτός, ἃς ἐκπλέων θυσίας ηὔξατο τοῖς θεοῖς Φαληροῖ, κήρυκα δὲ ἀπέστειλε τῆς σωτηρίας ἄγγελον εἰς ἄστυ. οὗτος ἐνέτυχεν ὀδυρομένοις τε πολλοῖς τὴν τοῦ βασιλέως τελευτήν, καὶ χαίρουσιν ὡς εἰκὸς ἑτέροις, καὶ φιλοφρονεῖσθαι καὶ στεφανοῦν αὐτὸν ἐπὶ τῇ σωτηρίᾳ προθύμοις οὖσιν. τοὺς μὲν οὖν στεφάνους δεχόμενος, τὸ κηρύκειον ἀνέστεφεν, ἐπανελθὼν δὲ ἐπὶ θάλασσαν, οὔπω πεποιημένου σπονδὰς τοῦ Θησέως, ἔξω περιέμεινε μὴ βουλόμενος τὴν θυσίαν ταράξαι. γινομένων δὲ τῶν σπονδῶν, ἀπήγγειλε τὴν τοῦ Αἰγέως τελευτήν. οἱ δέ, σὺν κλαυθμῷ καὶ θορύβῳ, σπεύδοντες ἀνέβαινον εἰς τὴν πόλιν. ὅθεν καὶ νῦν ἐν τοῖς ὠσχοφορίοις, στεφανοῦσθαι μὲν οὐ τὸν κήρυκα λέγουσι, ἀλλὰ τὸ κηρύκειον. ἐπιφωνεῖν δὲ ταῖς σπονδαῖς, ἐλελεῦ. ἰοὺ ἰού, τοὺς παρόντας. ὧν τὸ μὲν σπεύδοντες ἀναφωνεῖν καὶ παιωνίζοντες, εἰώθασι. τὸ δέ, ἐκπλήξεως καὶ ταραχῆς ἐστί. θάψας δὲ τὸν πατέρα, τῷ Ἀπόλλωνι τὴν εὐχὴν ἀπεδίδου τῇ ἑβδόμῃ τοῦ Πυανεψιῶνος μηνὸς ἱσταμένου. ταύτῃ γὰρ ἀνέβησαν εἰς ἄστυ σωθέντες. ἡ μὲν οὖν ἕψησις τῶν ὀσπρίων λέγεται γενέσθαι, διὰ τὸ σωθέντας αὐτοὺς εἰς ταὐτὸ συμμίξαι τὰ περιόντα τῶν σιτίων, καὶ μίαν χύτραν κοινὴν ἑψήσαντας, συνεστιαθῆναι καὶ συγκαταφαγεῖν ἀλλήλοις. τὴν δὲ εἰρεσιώνην ἐκφέρουσι κλάδον ἐλαίας, ἐρίῳ μὲν ἀνεστεμμένον, ὥσπερ τότε τὴν ἱκετηρίαν, παντοδαπῶν δὲ ἀναπλέων καταργμάτων, διὰ τὸ λῆξαι τὴν ἀφορίαν, ἐπᾴδοντες,

Εἰρεσιώνη σῦκα φέρειν, Καὶ πίονας ἄρτους,
Καὶ μέλι ἐν κοτύλῃ, καὶ ἔλαιον ἀναψήσασθαι, Καὶ κύλικα εὔζωρον, ὡς ἂν μεθύουσα καθεύδῃ.

Καίτοι ταῦτα τινὲς ἐπὶ τοῖς Ἡρακλείδαις γενέσθαι λέγουσιν, οὕτως διατρεφομένοις ὑπὸ τῶν Ἀθηναίων. οἱ δὲ πλείονες ὡς προείρηται. τὸ δὲ πλοῖον ἐν ᾧ μετὰ τῶν ἠϊθέων ἔπλευσε καὶ πάλιν ἐσώθη τὴν τριακόντορον, ἄχρι τῶν Δημητρίου τοῦ Φαληρέως χρόνων διεφύλαττον οἱ Ἀθηναῖοι, τὰ μὲν παλαιὰ τῶν ξύλων ὑφαιροῦντες, ἄλλα δὲ ἐμβάλλοντες ἰσχυρὰ καὶ συμπηγνοῦντες. οὕτως ὥστε καὶ τοῖς φιλοσόφοις εἰς τὸν αὐξόμενον λόγον ἀμφιδοξούμενον παράδειγμα τὸ πλοῖον εἶναι, τῶν μέν, ὡς τὸ αὐτό. τῶν δέ, ὡς οὐ τὸ αὐτὸ διαμένει λεγόντων. ἄγουσι δὲ καὶ τὴν τῶν ὠσχοφορίων ἑορτήν, Θησέως καταστήσαντος. οὐ γὰρ ἁπάσας αὐτὸν ἐξαγαγεῖν τὰς λαχούσας τότε παρθένους, ἀλλὰ τῶν συνήθων νεανίσκων δύο θηλυφανεῖς μὲν ὀφθῆναι καὶ νεαρούς, ἀνδρώδεις δὲ ταῖς ψυχαῖς καὶ προθύμους, λουτροῖς τε θερμοῖς, καὶ σκιατροφίαις καὶ ταῖς περὶ τὴν κόμην καὶ λειότητα καὶ χροιὰν ἀλοιφαῖς καὶ κοσμήσεσιν ὡς ἔστι διαλλάξαντα κομιδῇ καὶ διδάξαντα φωνὴν καὶ σχῆμα καὶ βάδισιν, ὡς ἔνι μάλιστα παρθένοις ὁμοιοῦσθαι καὶ μηδὲν φαίνεσθαι διαφέροντας, ἐμβαλεῖν εἰς τὸν τῶν παρθένων ἀριθμὸν καὶ διαλαθεῖν ἅπαντας. ἐπεὶ δὲ ἐπανῆλθεν αὐτόν τε πομπεῦσαι καὶ τοὺς νεανίσκους, οὕτως ἀμπεχομένους, ὡς νῦν ἀμπέχονται τοὺς ὄσχους φέροντες. φέρουσι δὲ Διονύσῳ καὶ Ἀριάδνῃ χαριζόμενοι διὰ τὸν μῦθον, ἢ μᾶλλον ὅτι συγκομιζομένης ὀπώρας ἐπανῆλθον. αἱ δὲ δειπνοφόροι παραλαμβάνονται καὶ κοινωνοῦσι τῆς θυσίας, ἀπομιμούμεναι τὰς μητέρας ἐκείνων τῶν λαχόντων. ἐπεφοίτων γὰρ αὐτοῖς ὄψα καὶ σιτία κομίζουσαι, καὶ μῦθοι λέγονται, διὰ τὸ κἀκείνας, εὐθυμίας ἕνεκεν καὶ παρηγορίας, μύθους διεξιέναι τοῖς παισίν. ταῦτα μὲν οὖν καὶ Δήμων ἱστόρηκεν. ἐξῃρέθη δέ, καὶ τέμενος αὐτῷ, καὶ τοὺς ἀπὸ τῶν παρασχόντων τὸν δασμὸν οἴκων. ἔταξεν εἰς θυσίαν αὐτῷ τελεῖν, ἀποφορᾶς. καὶ τῆς θυσίας ἐπεμελοῦντο Φυταλίδαι, Θησέως ἀποδόντος αὐτοῖς ἀμοιβὴν τῆς φιλοξενίας. μετὰ δὲ τὴν Αἰγέως τελευτήν, μέγα καὶ θαυμαστὸν ἔργον εἰς νοῦν βαλλόμενος, συνῴκησε τοὺς τὴν Ἀττικὴν κατοικοῦντας, εἰς ἓν ἄστυ, καὶ μιᾶς πόλεως, ἕνα δῆμον ἀπέφηνε, τέως σποράδας ὄντας καὶ δυσανακλήτους πρὸς τὸ κοινὸν πάντων συμφέρον. ἔστι δ' ὅτε καὶ διαφερομένους ἀλλήλοις καὶ πολεμοῦντας, ἐπιὼν, ἀνέπειθε κατὰ δήμους καὶ γένη. τῶν μὲν ἰδιωτῶν καὶ πενήτων, ἐνδεχομένων ταχὺ τὴν παράκλησιν αὐτοῦ, τοῖς δὲ δυνατοῖς, ἀβασίλευτον πολιτείαν προτείνων, καὶ δημοκρατίαν, αὐτῷ μόνον ἄρχοντι πολέμου καὶ νόμων φύλακι χρησομένην, τῶν δὲ ἄλλων, παρέξουσαν ἅπασιν ἰσομοιρίαν. τοὺς μέν, ταῦτα ἔπειθεν. οἱ δέ, τὴν δύναμιν αὐτοῦ δεδιότες μεγάλην οὖσαν ἤδη καὶ τὴν τόλμαν, ἐβούλοντο πειθόμενοι μᾶλλον, ἢ βιαζόμενοι ταῦτα συγχωρεῖν. καταλύσας οὖν τὰ παρ' ἑκάστοις πρυτανεῖα καὶ βουλευτήρια καὶ ἀρχάς, ἓν δὲ ποιήσας ἅπασι κοινὸν ἐνταῦθα πρυτανεῖον καὶ βουλευτήριον, ὅπου νῦν ἵδρυται, τὸ ἄστυ τήν τε πόλιν Ἀθήνας προσηγόρευσε, καὶ Παναθήναια θυσίαν ἐποίησε κοινήν. ἔθυσε δὲ καὶ μετοίκια τῇ ἕκτῃ ἐπὶ δέκα τοῦ Ἑκατομβαιῶνος, ἣν ἔτι νῦν θύουσι. καὶ τὴν βασιλείαν ἀφεὶς ὥσπερ ὡμολόγησε, διεκόσμει τὴν πολιτείαν ἀπὸ θεῶν ἀρχόμενος. ἧκε γὰρ αὐτῷ χρησμὸς

ἐν θυμαιταδῶν. σουΐ. θυμαιτάδαι δῆμος ἱπποθοωντίδος ἀπὸ θυμοίτου ἥρωος.-

ξάμενος δὲ κατέβαινεν ἕκτῃ μηνὸς ἐπὶ θάλασσαν ἱσταμένου μουνυχιῶνος. ᾗ, καὶ νῦν ἔτι τὰς κόρας πέμπουσιν ἱλασομένας εἰς δελφίνιον. λέγεται δὲ αὐτῷ τὸν μὲν ἐν δελφοῖς ἀνελεῖν θεὸν, ἀφροδίτην καθηγεμόνα ποιεῖσθαι καὶ παρακαλεῖν συνέμπορον. θύοντι δὲ πρὸς θαλάσσῃ τὴν αἶγα θήλειαν οὖσαν, αὐτομάτως τράγον γενέσθαι. διὸ καὶ καλεῖσθαι τὴν θεὸν ἐπιτραγίαν. ἐπεὶ δὲ κατέπλευσεν εἰς κρήτην, ὡς μὲν οἱ πολλοὶ γράφουσι, καὶ ᾄδουσι παρὰ τῆς ἀριάδνης ἐρασθείσης, τὸν λίνον λαβὼν καὶ διδαχθεὶς ὡς ἔστι τοῦ λαβυρίνθου τοὺς ἑλιγμοὺς διεξελθεῖν, ἀπέκτεινε τὸν μινώταυρον, καὶ ἀπέπλευσε τὴν ἀριάδνην ἀναλαβὼν καὶ τοὺς ἠϊθέους. φερεκύδης δὲ καὶ τὰ ἐδάφη τῶν κρητικῶν νεῶν φησὶν ἐκκόψαι τὸν θησέα, τὴν δίωξιν ἀφαιρούμενον. δήμων δὲ καὶ τὸν ταῦρον ἀναιρεθῆναι φησὶ, τὸν τοῦ μίνω στρατηγὸν ἐν τῷ λιμένι διαναυμαχοῦντα τοῦ θησέως ἐκπλέοντος. ὡς δὲ φιλόχορος ἱστόρηκε, τὸν ἀγῶνα τοῦ μίνω συντελοῦντος, ἐπίδοξος ὢν ἅπαντας πάλιν νικήσειν ὁ ταῦρος, ἐφθονεῖτο. καὶ γὰρ ἡ δύναμις αὐτοῦ, διὰ τὸν τρόπον ἦν ἐπαχθὴς, καὶ διαβολὴν εἶχεν ὡς τῇ πασιφάῃ πλησιάζων. διὸ καὶ τοῦ θησέως ἀξιοῦντος ἀγωνίσασθαι, συνεχώρησεν ὁ μίνως. ἔθους δὲ ὄντος ἐν κρήτῃ θεᾶσθαι καὶ τὰς γυναῖκας, ἀριάδνη παροῦσα, πρός τε τὴν ὄψιν ἐξεπλάγη τοῦ θησέως, καὶ τὴν ἄθλησιν ἐθαύμασε πάντων κρατήσαντος, ἡσθεὶς δὲ καὶ ὁ μίνως, μάλιστα τοῦ ταύρου καταπαλαισθέντος καὶ προπηλακισθέντος, ἀπέδωκε τῷ θησεῖ τοὺς παῖδας, καὶ ἀνῆκε τῇ πόλει τὸν δασμόν. ἰδίως δέ πως καὶ περιττῶς ὁ κλείδημος ἀπήγγειλε περὶ τούτων, ἄνωθέν ποθεν ἀρξάμενος. ὅτι δόγμα κοινὸν ἦν ἑλλήνων μηδεμίαν ἐκ πόλεως τριήρη μηδαμόθεν ἀφορμᾶν πέντε πλείονας δεχομένην. τὸν δὲ ἄρχοντα τῆς ἀργοῦς ἰάσονα μόνον περιπλεῖν, ἐξείργοντα τῆς θαλάσσης τὰ λῃστήρια. δαιδάλου δὲ πλοίῳ φυγόντος εἰς ἀθήνας, μίνως παρὰ τὰ δόγματα μακραῖς ναυσὶ διώκων, ὑπὸ χειμῶνος εἰς σικελίαν ἀπηνέχθη, κἀκεῖ κατέστρεψε τὸν βίον. ἐπεὶ δὲ δευκαλίων ὁ υἱὸς αὐτοῦ πολεμικῶς ἔχων πρὸς τοὺς ἀθηναίους, ἔπεμψεν ἐκδιδόναι δαίδαλον αὐτῷ κελεύων, ἢ τοὺς παῖδας ἀποκτενεῖν ἀπειλῶν οὓς ἔλαβεν ὁμήρους ὁ μίνως, τούτῳ μὲν ἀπεκρίνατο πρᾴως. ὁ δὲ θησεὺς παραιτούμενος ἀνεψιὸν ὄντα δαίδαλον κἀκείνῳ κατὰ γένος προσήκοντα, μητρὸς ὄντι μερόπης τῆς ἐρεχθέως, αὐτὸς δὲ ναυπηγίαν ἐνεβάλλετο. τὴν μὲν, εὐθυμοιταδῶν, αὐτόθι μακρὰν τῆς ξενικῆς ὁδοῦ. τὴν δὲ, διὰ πιτθέως ἐν τροιζῆνι, βουλόμενος λανθάνειν. γενομένων δὲ ἑτοίμων, ἐξέπλευσε, τόν τε δαίδαλον ἔχων καὶ φυγάδας ἐκ κρήτης καθηγεμόνας. οὐδενὸς δὲ προειδότος, ἀλλὰ ναῦς φιλίας οἰομένων τῶν κρητῶν προσφέρεσθαι, τοῦ λιμένος κρατήσας καὶ ἀποβὰς ἔφθασεν εἰς τὴν κνωσσὸν παρελθὼν, καὶ μάχην ἐν πύλαις τοῦ λαβυρίνθου συνάψας, ἀπέκτεινε τὸν δευκαλίωνα καὶ τοὺς δορυφόρους. ἐν δὲ τοῖς πράγμασι τῆς ἀριάδνης γενομένης, σπεισάμενος πρὸς αὐτὴν, τούς τε ἠϊθέους ἀνέλαβε, καὶ φιλίαν ἐποίησε, τοῖς ἀθηναίοις πρὸς τοὺς κρῆτας ὀμόσαντας μηδέποτε πολέμου κατάρξειν. πολλοὶ δὲ λόγοι καὶ περὶ τούτων ἔτι λέγονται. καὶ περὶ τῆς ἀριάδνης, οὐδὲν ὁμολογούμενον ἔχοντες. οἱ μὲν, γὰρ ἀπάγξασθαι φασὶν αὐτὴν ἀπολειφθεῖσαν ὑπὸ τοῦ θησέως. οἱ δὲ εἰς νάξον ὑπὸ ναυτῶν κομισθεῖσαν ὠνάρῳ τῷ ἱερεῖ τοῦ διονύσου συνοικεῖν, ἀπολειφθῆναι δὲ τοῦ θησέως ἐρῶντος ἑτέρας.

» Δεινὸς γάρ μιν ἔτειρεν ἔρως πανοπηΐδος αἴγλης.

Τοῦτο γὰρ τὸ ἔπος ἐκ τῶν ἡσιόδου πεισίστρατον ἐξελεῖν φησιν ἡρέας ὁ μεγαρεύς. ὥσπερ αὖ πάλιν ἐμβαλεῖν εἰς τὴν ὁμήρου νεκυίαν, τὸ

» Θησέα πειρίθοόν τε, θεῶν ἀριδείκετα τέκνα

χαριζόμενον ἀθηναίοις. ἔνιοι δὲ καὶ τεκεῖν ἐκ θησέως ἀριάδνην, οἰνοπίωνα καὶ στάφυλον. ὧν καὶ ὁ χῖος ἴων ἐστὶ περὶ τῆς ἑαυτοῦ πατρίδος λέγων.

» Τήν ποτε θησείδης ἔκτισεν οἰνοπίων.

Ἃ δ' ἐστὶν εὐφημότατα τῶν μυθολογουμένων, πάντες ὡς ἔπος εἰπεῖν διὰ στόματος ἔχουσιν. ἴδιον δέ τινα περὶ τούτων λόγον ἐκδέδωκε παίων ὁ ἀμαθούσιος. τὸν γὰρ θησέα φησὶν ὑπὸ χειμῶνος εἰς κύπρον ἐξενεχθέντα, καὶ τὴν ἀριάδνην ἔγκυον ἔχοντα, φαύλως δὲ διακειμένην ὑπὸ τοῦ σάλου καὶ δυσφοροῦσαν ἐκβιβάσαι μόνην, αὐτὸν δὲ τῷ πλοίῳ βοηθοῦντα, πάλιν εἰς τὸ πέλαγος ἀπὸ τῆς γῆς φέρεσθαι. τὰς οὖν ἐγχωρίους γυναῖκας τὴν ἀριάδνην ἀναλαβεῖν καὶ περιέπειν ἀθυμοῦσαν ἐπὶ τῇ μονώσει, καὶ γράμματα πλαστὰ προσφέρειν, ὡς τοῦ θησέως γράφοντος αὐτῇ, καὶ περὶ τὴν ὠδῖνα συμπονεῖν καὶ βοηθεῖν. ἀποθανοῦσαν δὲ θάψαι μὴ τεκοῦσαν. ἐπελθόντα δὲ τὸν θησέα καὶ περίλυπον γενόμενον, τοῖς μὲν ἐγχωρίοις ἀπολιπεῖν χρήματα συντάξαντα θύειν τῇ ἀριάδνῃ, δύο δὲ μικροὺς ἀνδριαντίσκους ἱδρύσασθαι, τὸν μὲν, ἀργυροῦν, τὸν δὲ, χαλκοῦν. ἐν δὲ τῇ θυσίᾳ τοῦ γορπιαίου μηνὸς ἱσταμένου δευτέρᾳ κατακλινόμενόν τινα τῶν νεανίσκων, φθέγγεσθαι καὶ ποιεῖν ἅπερ ὠδίνουσαι γυναῖκες. καλεῖν δὲ τὸ ἄλσος ἀμαθουσίους ἐν ᾧ τὸν τάφον δεικνύουσιν, ἀριάδνης ἀφροδίτης. καὶ ναξίων δέ τινες ἰδίως ἱστοροῦσι, δύο μίνωας γενέσθαι καὶ δύο ἀριάδνας. ὧν τὴν μὲν, διονύσῳ γαμηθῆναι φασὶν ἐν νάξῳ, καὶ τὸν στάφυλον τεκεῖν. τὴν δὲ νεωτέραν ἁρπασθεῖσαν ὑπὸ τοῦ θησέως, καὶ ἀπολειφθεῖσαν, εἰς νάξον ἐλθεῖν, καὶ τροφὸν μετ' αὐτῆς ὄνομα κορκύνην, ἧς δείκνυσθαι τάφον. ἀποθανεῖν δὲ τὴν ἀριάδνην αὐτόθι, καὶ τιμὰς ἔχειν οὐχ ὁμοίως τῇ προτέρᾳ. τῇ μὲν γὰρ, ἡδομένους καὶ παίζοντας ἑορτάζειν, τὰς δὲ ταύτῃ δρωμένας θυσίας, εἶναι πένθει τινὶ καὶ σκυθρωπότητι μεμιγμένας. ἐκ δὲ τῆς κρήτης ἀποπλέων εἰς δῆλον κατέσχε, καὶ τῷ θεῷ θύσας καὶ ἀναθεὶς τὸ ἀφροδίσιον, ὃ παρὰ τῆς ἀριά-

[Margin notes: ἀνδρῶν · εὐθυμοιταδῶν ς. τ. ἐν θυμαιταδῶν · ἀπάγξασθαι ς. τ. · οἰνοπίωνα · παίων ς. κ. τ.]

ἱσταμένου γορπιαίου. σουΐ. γορπιαῖος μὴν ὁ σεπτέβριος τῶν μακεδόνων.-

καὶ τὴν ἑκάλην ἐτίμων ἑκαλίνην ὑποκοριζόμενοι, διὰ τὸ κἀκείνην, νέον ὄντα κομιδῇ τὸν θησέα ξενίζουσαν, ἀσπάσασθαι πρεσβυτικῶς καὶ φιλοφρονεῖσθαι τοιούτοις ὑποκορισμοῖς. ἐπεὶ δὲ ηὔξατο μὲν ὑπὲρ αὐτοῦ τῷ διὶ βαδίζοντος ἐπὶ τὴν μάχην, εἰ σῶς παραγένοιτο θύσειν, ἀπέθανε δὲ πρὶν ἐκεῖνον ἐπανελθεῖν, ἔσχε τὰς εἰρημένας ἀμοιβὰς τῆς φιλοξενίας τοῦ θησέως κελεύσαντος, ὡς φιλόχορος ἱστόρηκεν. ὀλίγῳ δὲ ὕστερον ἧκον ἐκ κρήτης τὸ τρίτον, οἱ τὸν δασμὸν ἀπάξοντες. ὅτι μὲν οὖν ἀνδρόγεω περὶ τὴν ἀττικὴν ἀποθανεῖν δόλῳ δόξαντος, ὅ τε μίνως πολλὰ κακὰ πολεμῶν εἰργάζετο τοὺς ἀνθρώπους, καὶ τὸ δαιμόνιον ἔφθειρε τὴν χώραν. ἀφορία τε γὰρ καὶ νόσος ἐπέσκηψε πολλή, καὶ ἀνέδυσαν οἱ ποταμοί. καὶ τοῦ θεοῦ προστάξαντος ἱλασαμένοις τὸν μίνω καὶ διαλλαγεῖσι, λωφήσειν τὸ μήνιμα, καὶ τῶν κακῶν ἔσεσθαι παῦλαν. ἐπικηρυκευσάμενοι καὶ δεηθέντες, ἐποιήσαντο συνθήκας, ὥστε πέμπειν δι' ἐννέα ἐτῶν, δασμὸν, ἠιθέους ἑπτὰ, καὶ παρθένους τοσαύτας, ὁμολογοῦσιν οἱ πλεῖστοι τῶν συγγραφέων. τοὺς δὲ παῖδας εἰς κρήτην κομιζομένους, ὁ μὲν τραγικώτατος μῦθος ἀποφαίνει τὸν μινώταυρον ἐν τῷ λαβυρίνθῳ διαφθείρειν, ἢ πλανωμένους αὐτοὺς καὶ τυχεῖν ἐξόδου μὴ δυναμένους, ἐκεῖ καταθνήσκειν. τὸν δὲ μινώταυρον ὥσπερ εὐριπίδης φησὶ σύμμικτον εἶδος καὶ ἀποφώλιον βρέφος γεγονέναι, καὶ ταύρου μεμίχθαι καὶ βροτοῦ διπλῇ φύσει. φιλόχορος δέ φησιν, οὐ ταῦτα συγχωρεῖν κρῆτας, ἀλλὰ λέγειν, ὅτι φρουρὰ μὲν ἦν ὁ λαβύρινθος, οὐδὲν ἔχων κακὸν, ἀλλ' ἢ τὸ μὴ διαφυγεῖν τοὺς φυλαττομένους, ἀγῶνα δὲ ὁ μίνως ἐπ' ἀνδρόγεῳ γυμνικὸν ἐποίει, καὶ τοὺς παῖδας, ἆθλα τοῖς νικῶσιν ἐδίδου, τέως ἐν τῷ λαβυρίνθῳ φυλαττομένους. ἐνίκα δὲ τοὺς προτέρους ἀγῶνας ὁ μέγιστον παρ' αὐτῷ δυνάμενος τότε καὶ στρατηγῶν ὄνομα ταῦρος, ἀνὴρ οὐκ ἐπιεικὴς καὶ ἥμερος τὸν τρόπον, ἀλλὰ καὶ τοῖς παισὶ τῶν ἀθηναίων, ὑπερηφάνως καὶ χαλεπῶς προσφερόμενος. ἀριστοτέλης δὲ καὶ αὐτὸς ἐν τῇ βοττιαίων πολιτείᾳ δῆλός ἐστιν οὐ νομίζων ἀναιρεῖσθαι τοὺς παῖδας ὑπὸ τοῦ μίνω, ἀλλὰ θητεύοντας ἐν τῇ κρήτῃ καταγηράσκειν. καί ποτε κρῆτας εὐχὴν παλαιὰν ἀποδιδόντας, ἀνθρώπων ἀπαρχὴν εἰς δελφοὺς ἀποστέλλειν, τοῖς δὲ πεμπομένοις ἀναμιχθέντας ἐκγόνους ἐκείνων συνεξελθεῖν. ὡς δὲ οὐκ ἦσαν ἱκανοὶ τρέφειν ἑαυτοὺς αὐτόθι, πρῶτον μὲν εἰς ἰταλίαν διαπεράσαι, κἀκεῖ κατοικεῖν περὶ τὴν ἰαπυγίαν. ἐκεῖθεν δὲ αὖθις εἰς θρᾴκην κομισθῆναι καὶ κληθῆναι βοττιαίους. διὸ τὰς κόρας τῶν βοττιαίων θυσίαν τινὰ τελούσας ἐπᾴδειν. ἴωμεν εἰς ἀθήνας. ἔοικε γὰρ ὄντως χαλεπὸν εἶναι φωνὴν ἐχούσῃ πόλει καὶ μοῦσαν ἀπεχθάνεσθαι. καὶ γὰρ ὁ μίνως ἀεὶ διετέλει κακῶς ἀκούων, καὶ λοιδορούμενος ἐν τοῖς ἀττικοῖς θεάτροις. καὶ οὔθ' ἡσίοδος αὐτὸν ὤνησε βασιλεύτατον, οὔθ' ὅμηρος ὀαριστὴν διὸς προσαγορεύσας, ἀλλ' ἐπικρατήσαντες οἱ τραγικοὶ, πολλὴν ἀπὸ τοῦ λογείου καὶ τῆς σκηνῆς ἀδοξίαν αὐτοῦ κατεσκέδασαν ὡς χαλεποῦ καὶ βιαίου γενομένου. καίτοι φασὶ τὸν μὲν μίνω, βασιλέα καὶ νομοθέτην, δικαστὴν δὲ τὸν ῥαδάμανθυν εἶναι, καὶ φύλακα τῶν ὡρισμένων ὑπ' ἐκείνου δικαίων, ἐπεὶ δ' οὖν καθῆκεν ὁ χρόνος τοῦ τρίτου δασμοῦ, καὶ παρέχειν ἔδει τοὺς πατέρας ἐπὶ τὸν κλῆρον, οἷς ἦσαν ἠίθεοι παῖδες, αὖθις ἀνεφύοντο τῷ αἰγεῖ διαβολαὶ πρὸς τοὺς πολίτας, ὀδυρομένους καὶ ἀγανακτοῦντας, ὅτι πάντων αἴτιος ὢν ἐκεῖνος, οὐδὲν μέρος μετέχει τῆς κολάσεως μόνος, ἀλλ' ἐπὶ νόθῳ καὶ ξένῳ παιδὶ τὴν ἀρχὴν πεποιημένος, αὐτοὺς περιορᾷ γνησίων ἐρήμους καὶ ἄπαιδας ἀπολειπομένους. ταῦτ' ἠνία τὸν θησέα, καὶ δικαιῶν μὴ ἀμελεῖν ἀλλὰ κοινωνεῖν τῆς τύχης τοῖς πολίταις, ἐπέδωκεν ἑαυτὸν, ἄνευ κλήρου προσελθὼν καὶ τοῖς μὲν ἄλλοις, τό τε φρόνημα θαυμαστὸν ἐφάνη καὶ τὸ δημοτικὸν ἠγάπησαν, ὁ δὲ αἰγεὺς ἐπεὶ δεόμενος καὶ καθικετεύων, ἀμετάπειστον ἑώρα καὶ ἀμετάτρεπτον, ἀπεκλήρωσε τοὺς ἄλλους παῖδας. ἑλλάνικος δέ φησιν οὐ τοὺς λαχόντας ἀπὸ κλήρου καὶ τὰς λαχούσας ἐκπέμπειν τὴν πόλιν, αὐτὸν δὲ τὸν μίνω παραγινόμενον, ἐκλέγεσθαι καὶ τὸν θησέα πάντων ἑλέσθαι πρῶτον ἐπὶ τοῖς ὁρισθεῖσιν. ὡρισμένον δὲ εἶναι τὴν μὲν ναῦν ἀθηναίους παρέχειν, ἐμβάντας δὲ πλεῖν σὺν αὐτῷ τοὺς ἠιθέους, μηδὲν ὅπλον ἀρήιον ἐπιφερομένους. ἀπολομένου δὲ τοῦ μινωταύρου, πέρας ἔχειν τὴν ποινήν. πρότερον μὲν οὖν οὐδεμία σωτηρίας ἐλπὶς ὑπέκειτο. διὸ καὶ μέλαν ἱστίον ἔχουσαν ὡς ἐπὶ συμφορᾷ προδήλῳ, τὴν ναῦν ἔπεμπον. τότε δὲ τοῦ θησέως τὸν πατέρα θαρρύνοντος καὶ μεγαληγοροῦντος ὡς χειρώσεται τὸν μινώταυρον, ἔδωκεν ἕτερον ἱστίον λευκὸν τῷ κυβερνήτῃ, κελεύσας ὑποστρέφοντα σῳζομένου τοῦ θησέως ἐπάρασθαι τὸ λευκὸν, εἰ δὲ μὴ τῷ μέλανι πλεῖν, καὶ ἀποσημαίνειν τὸ πάθος. ὁ δὲ σιμωνίδης, οὐ λευκόν φησιν εἶναι τὸ δοθὲν ὑπὸ τοῦ αἰγέως, ἀλλὰ φοινίκεον ἱστίον ὑγρῷ πεφυρμένον πρίνου ἄνθει ἐριθάλλου. καὶ τοῦτο τῆς σωτηρίας αὐτῶν ποιήσασθαι σημεῖον. ἐκυβέρνα δὲ τὴν ναῦν, ἀμαρσυάδας φέρεκλος ὥς φησι σιμωνίδης. φιλόχορος δὲ παρὰ σκίρου φησὶν ἐκ σαλαμῖνος τὸν θησέα λαβεῖν κυβερνήτην μὲν ναυσίθοον, πρωρέα δὲ, φαίακα, μηδέπω τότε τῶν ἀθηναίων προσεχόντων τῇ θαλάσσῃ. καὶ γὰρ εἶναι τῶν ἠιθέων ἕνα μενεσθέα σκίρου θυγατριδοῦν. μαρτυρεῖ δὲ τούτοις, ἡρῷα ναυσιθόου, καὶ φαίακος, εἱσαμένου θησέως φαληροῖ πρὸς τῷ τοῦ σκίρου ἱερῷ. καὶ τὴν ἑορτὴν τὰ κυβερνήσια, φησὶν ἐκείνοις τελεῖσθαι. γενομένου δὲ τοῦ κλήρου, παραλαβὼν τοὺς λαχόντας ὁ θησεὺς ἐκ τοῦ πρυτανείου καὶ παρελθὼν εἰς δελφίνιον, ἔθηκεν ὑπὲρ αὐτῶν τῷ ἀπόλλωνι τὴν ἱκετηρίαν. ἦν δὲ κλάδος ἀπὸ τῆς ἱερᾶς ἐλαίας ἐρίῳ λευκῷ κατεστεμμένος. εὐ

κατέστη, μή τε ἄκανθαν ἀσφαράγου, μή τε στοιβὴν καίειν, ἀλλὰ σέβεσθαι καὶ τιμᾶν. ἡ δὲ κρομμυωνία σῦς, ἣν φαιὰν προσωνόμαζον, οὐ φαῦλον ἦν θηρίον, ἀλλὰ μάχιμον, καὶ χαλεπὸν κρατηθῆναι, ταύτην ὁδοῦ πάρεργον ὡς μὴ δοκοίη πάντα πρὸς ἀνάγκην ποιεῖν, ἀποστὰς, ἀνεῖλε. καὶ ἅμα τῶν μὲν ἀνθρώπων τοῖς πονηροῖς ἀμυνόμενον οἰόμενος δεῖν τὸν ἀγαθὸν προσφέρεσθαι. τῶν δὲ θηρίων, καὶ προσεπιχειροῦντα τοῖς γενναίοις, μάχεσθαι καὶ διακινδυνεύειν. ἔνιοι δέ φασι τὴν φαιὰν λῃστρίδα γενέσθαι γυναῖκα, φονικὴν καὶ ἀκόλαστον. αὐτόθι κατοικοῦσαν ἐν κρομμυῶνι, σῦν δὲ ἐπονομασθεῖσαν διὰ τὸ ἦθος καὶ τὸν βίον, εἶτα ὑπὸ θησέως ἀποθανεῖν. σκίῤῥωνα δὲ, πρὸ τῆς μεγαρικῆς, ἀνεῖλε, ῥίψας κατὰ τῶν πετρῶν. ὡς μὲν ὁ πολὺς λόγος λῃστεύοντα τοὺς παριόντας, ὡς δ' ἔνιοι λέγουσιν, ὕβρει καὶ τρυφῇ προτείνοντα τὼ πόδε τοῖς ξένοις, καὶ κελεύοντα νίπτειν, εἶτα λακτίζοντα καὶ ἀπωθοῦντα, ῥίπτειν εἰς τὴν θάλασσαν. οἱ δὲ μεγαρόθεν συγγραφεῖς, ὁμόσε τῇ φήμῃ βαδίζοντες, καὶ τῷ πολλῷ χρόνῳ κατὰ σιμωνίδην πολεμοῦντες, οὔτε λῃστὴν οὔτε ὑβριστὴν γεγονέναι τὸν σκίῤῥωνά φασιν, ἀλλὰ λῃστῶν μὲν, κολαστὴν, ἀγαθῶν δὲ καὶ δικαίων οἰκεῖον ἀνδρῶν καὶ φίλον. αἰακόν τε γὰρ ἑλλήνων ὁσιώτατον νομίζεσθαι. καὶ κυχρέα τιμὰς θεῶν ἔχειν ἀθήνησι τὸν σαλαμίνιον. τὴν δὲ πηλέως καὶ τελαμῶνος ἀρετὴν, ὑπ' οὐδενὸς ἀγνοεῖσθαι. σκίῤῥωνα τοίνυν, κυχρέως μὲν γενέσθαι γαμβρόν. αἰακοῦ δὲ, πενθερόν. πηλέως δὲ καὶ τελαμῶνος, πάππον. ἐξ ἐνδηΐδος γεγονότων τῆς σκείῤῥωνος καὶ χαρικλοῦς θυγατρός. οὐκ οὖν εἰκὸς εἶναι τῷ κακίστῳ τοὺς ἀρίστους εἰς κοινωνίαν γένους ἐλθεῖν, τὰ μέγιστα καὶ τιμιώτατα λαμβάνοντας καὶ διδόντας. ἀλλὰ θησέα φασὶν οὐχ ὅτε τὸ πρῶτον ἐβάδιζεν εἰς ἀθήνας, ἀλλ' ὕστερον, ἐλευσῖνά τε λαβεῖν μεγαρέων ἐχόντων παρακρουσάμενον διοκλέα τὸν ἄρχοντα, καὶ σκείρωνα ἀποκτεῖναι. ταῦτα μὲν οὖν ἔχει τοιαύτας ἀντιλογίας. ἐν δὲ ἐλευσῖνι κερκύονα τὸν ἐξ ἀρκαδίας καταπαλαίσας, ἀνεῖλε. καὶ μικρὸν προσελθὼν, δαμάστην ἐν ἐρμιόνι τὸν προκρούστην, ἀναγκάσας αὐτὸν, ἀπισοῦν τοῖς κλιντῆρσιν, ὥσπερ τοὺς ξένους ἐκεῖνος. ἔπραττε δὲ ταῦτα, μιμούμενος τὸν ἡρακλέα. καὶ γὰρ ἐκεῖνος οἷς ἐπεβουλεύετο τρόποις ἀμυνόμενος τοὺς προεπιχειροῦντας, ἔθυσε τὸν βούσειριν, καὶ κατεπάλαισε τὸν ἀνταῖον, καὶ τὸν κύκνον κατεμονομάχησε. καὶ τὸν τέρμερον συῤῥήξας τὴν κεφαλὴν ἀπέκτεινεν. ἀφ' οὗ δὴ καὶ τὸ τερμέρειον κακὸν ὀνομασθῆναι λέγουσι. παίων γὰρ ὡς ἔοικε κεφαλῇ τοὺς ἐντυγχάνοντας ὁ τέρμερος, ἀπώλλυεν. οὕτω δὴ καὶ θησεὺς κολάζων τοὺς πονηροὺς ἐπεξῆλθεν, οἷς μὲν ἐβιάζοντο τοὺς ἄλλους ὑπ' ἐκείνου καταβιαζομένους, ἐν δὲ τοῖς τρόποις τοῖς ἑαυτῶν ἀδικίας, τὰ δίκαια πάσχοντας. προϊόντι δὲ αὐτῷ καὶ γενομένῳ κατὰ τὸν κηφισὸν, ἄνδρες ἐκ τοῦ φυταλιδῶν γένους ἀπαντήσαντες ἠσπάσαντο πρῶτον, καὶ δεομένου καθαρθῆναι τοῖς νενομισμένοις ἁγνίσαντες, καὶ μειλίχια θύσαντες εἱστίασαν οἴκοι, μηδενὸς πρότερον αὐτῷ φιλανθρώπου καθ' ὁδὸν ἐντυχόντος. ἡμέρα μὲν οὖν ὀγδόη λέγεται κρονίου μηνὸς, ὃν νῦν ἑκατομβαιῶνα καλοῦσι, κατελθεῖν, κατελθὼν δὲ εἰς τὴν πόλιν, εὗρε τά τε κοινὰ ταραχῆς μεστὰ καὶ διχοφροσύνης, καὶ τὰ περὶ τὸν αἰγέα καὶ τὸν οἶκον, ἰδίᾳ νοσοῦντα. μήδεια γὰρ ἐκ κορίνθου φυγοῦσα, φαρμάκοις ὑποσχομένη τῆς ἀτεκνίας ἀπαλλάξειν αἰγέα, συνῆν αὐτῷ, προαισθομένη δὲ περὶ τοῦ θησέως αὕτη, τοῦ δ' αἰγέως ἀγνοοῦντος, ὄντος δὲ πρεσβυτέρου καὶ φοβουμένου πάντα διὰ τὴν στάσιν, ἔπεισεν αὐτὸν ὡς ξένον ἑστιῶντα, φαρμάκοις ἀνελεῖν. ἐλθὼν οὖν ὁ θησεὺς ἐπὶ τὸ ἄριστον, οὐκ ἐδοκίμαζε φράζειν αὐτὸς ὅστις εἴη, πρότερος, ἐκείνῳ δὲ βουλόμενος ἀρχὴν ἀνευρέσεως παρασχεῖν, κρεῶν παρακειμένων, σπασάμενος τὴν μάχαιραν ὡς ταύτῃ τέμνων, ἐδείκνυεν ἐκείνῳ. ταχὺ δὲ καταμαθὼν ὁ αἰγεὺς, τὴν μὲν κύλικα τοῦ φαρμάκου κατέβαλε, τὸν δὲ υἱὸν ἀνακρίνας, ἠσπάζετο, καὶ συναγαγὼν τοὺς πολίτας, ἐγνώριζεν, ἡδέως δεχομένους διὰ τὴν ἀνδραγαθίαν. λέγεται δὲ τῆς κύλικος πεσούσης, ἐκχυθῆναι τὸ φάρμακον, ὅπου νῦν ἐν δελφινίῳ τὸ περίφραστόν ἐστιν. ἐνταῦθα γὰρ ὁ αἰγεὺς ᾤκει. καὶ τὸν ἑρμῆν, τὸν πρὸς ἕω τοῦ ἱεροῦ, καλοῦσιν ἐπ' αἰγέως πύλαις. οἱ δὲ παλλαντίδαι, πρότερον μὲν ἤλπιζον αὐτοὶ, τὴν βασιλείαν καθέξειν, αἰγέως ἀτέκνου τελευτήσαντος, ἐπεὶ δὲ θησεὺς ἀπεδείχθη διάδοχος, χαλεπῶς φέροντες, εἰ βασιλεύει μὲν αἰγεὺς, θετὸς γενόμενος πανδίονι καὶ μηδὲν ἐρεχθείδαις προσήκων, βασιλεύσει δ' ὁ θησεὺς πάλιν ἔπηλυς ὢν καὶ ξένος, εἰς πόλεμον κατέστησαν, καὶ διελόντες ἑαυτοὺς, οἱ μὲν ἐμφανῶς σφηττόθεν ἐχώρουν ἐπὶ τὸ ἄστυ μετὰ τοῦ πατρός. οἱ δὲ, γαργηττοῖ κρύψαντες ἑαυτοὺς, ἐνήδρευον, ὡς διχόθεν ἐπιθησόμενοι τοῖς ὑπεναντίοις. ἦν δὲ κῆρυξ μετ' αὐτῶν, ἀνὴρ ἀγνούσιος, ὄνομα λεώς. οὗτος ἐξήγγειλε τῷ θησεῖ τὰ βεβουλευμένα τοῖς παλλαντίδαις. ὁ δὲ, ἐξαίφνης ἐπιπεσὼν τοῖς ἐνεδρεύουσι, πάντας διέφθειρεν. οἱ δὲ μετὰ πάλλαντος πυθόμενοι, διεσπάρησαν. ἐκ τούτου φασὶ τῷ παλληναίων δήμῳ, πρὸς τὸν ἀγνουσίων ἐπιγαμίαν μὴ εἶναι, μὴ δὲ κηρύττεσθαι τοὐπιχώριον παρ' αὐτοῖς ἀκούετε λεώς. μισοῦσι γὰρ τοὔνομα διὰ τὴν προδοσίαν τοῦ ἀνδρός. ὁ δὲ θησεὺς ἐνεργὸς εἶναι βουλόμενος, ἅμα δὲ καὶ δημαγωγῶν, ἐξῆλθεν ἐπὶ τὸν μαραθώνιον ταῦρον, οὐκ ὀλίγα πράγματα τοῖς οἰκοῦσι τὴν τετράπολιν, παρέχοντα, καὶ χειρωσάμενος ἐπεδείξατο ζῶντα διὰ τοῦ ἄστεος ἐλάσας. εἶτα τῷ ἀπόλλωνι τῷ δελφινίῳ κατέθυσεν. ἡ δὲ ἑκάλη, καὶ τὸ περὶ αὐτὴν μυθολόγημα τοῦ ξενισμοῦ καὶ τῆς ὑποδοχῆς, ἔοικε μὴ πάσης ἀμοιρεῖν ἀληθείας. ἔθυον γὰρ ἑκαλήσιον οἱ πέριξ δῆμοι συνιόντες ἑκάλῳ δι-

» μεμαθηκότες, ὡς μαρτυρεῖ καὶ ἀρχίλοχος ἐν τούτοις. Οὔτοι πόλλ' ἐπὶ τόξα τανύσσεται, οὐδὲ
» θαμειαὶ σφενδόναι, εὖτ' ἂν δὴ μῶλον ἄρης συνάγῃ ἐν πεδίῳ. ξιφέων δὲ πολύστονον ἔσσεται
» ἔργον. ταύτης γὰρ κεῖνοι δαήμονές εἰσι μάχης. δεσπόται εὐβοίας δουρικλυτοί.

ὅπως οὖν μὴ παρέχοιεν ἐκ τῶν τριχῶν ἀντίληψιν τοῖς πολεμίοις, ἀπεκείραντο. τοῦτο δὲ ἀμέλει καὶ ἀλέξανδρον τὸν μακεδόνα συνιδόντα φασὶ προστάξαι τοῖς στρατηγοῖς, ξυρεῖν τὰ γένεια τῶν μακεδόνων, ὡς λαβὴν ταύτην ἐν ταῖς μάχαις οὖσαν προχειροτάτην. τὸν μὲν οὖν ἄλλον χρόνον, ἔκρυπτεν αἴθρα τὴν ἀληθινὴν τοῦ θησέως γένεσιν. ἦν δὲ λόγος ὑπὸ τοῦ πιτθέως διαδοθείς, ὡς ἐκ ποσειδῶνος τεκνωθείη. ποσειδῶνα γὰρ τροιζήνιοι σέβουσι διαφερόντως. καὶ θεὸς οὗτός ἐστιν αὐτοῖς πολιοῦχος, ᾧ καὶ καρπῶν ἀπάρχονται, καὶ τρίαιναν ἐπίσημον ἔχουσι τοῦ νομίσματος. ἐπεὶ δὲ μειράκιον ὤν, ἅμα τῇ τοῦ σώματος ῥώμῃ, διέφαινεν ἀλκὴν καὶ φρόνημα μετὰ νοῦ καὶ συνέσεως βέβαιον, οὕτως αὐτὸν ἡ αἴθρα πρὸς τὴν πέτραν προσαγαγοῦσα καὶ φράσασα περὶ τῆς γενέσεως, ἐκέλευσεν ὑφελεῖν τὰ πατρῷα σύμβολα, καὶ πλεῖν εἰς ἀθήνας. ὁ δὲ, τὴν μὲν πέτραν ὑπέδυ, καὶ ῥᾳδίως ἀνέωσε, πλεῖν δὲ ἀπέγνω, καίπερ οὔσης ἀσφαλείας, καὶ δεομένων τοῦ τε πάππου καὶ τῆς μητρός. χαλεπὸν γὰρ ἦν πεζῇ πορεύεσθαι τὴν εἰς ἀθήνας ὁδόν, οὐδὲν μέρος καθαρὸν οὐδ' ἀκίνδυνον ὑπὸ λῃστῶν καὶ κακούργων ἔχουσαν. ὁ γὰρ δὴ χρόνος ἐκεῖνος ἤνεγκεν ἀνθρώπους, χειρῶν μὲν ἔργοις καὶ ποδῶν τάχεσι καὶ σωμάτων ῥώμαις ὡς ἔοικεν ὑπερφυεῖς καὶ ἀκαμάτους, πρὸς οὐδὲν δὲ τῇ φύσει χρωμένους ἐπιεικὲς οὐδ' ὠφέλιμον, ἀλλ' ὕβρει τε χαίροντας ὑπερηφάνῳ, καὶ ἀπολαύοντας τῆς δυνάμεως, ὠμότητι καὶ πικρίᾳ, καὶ τῷ κρατεῖν, βιάζεσθαί τι καὶ διαφθείρειν τὸ παραπῖπτον. αἰδῶ δὲ καὶ δικαιοσύνην, καὶ τὸ ἴσον καὶ τὸ φιλάνθρωπον, ὡς ἀτολμίᾳ τοῦ ἀδικεῖν καὶ φόβῳ τοῦ ἀδικεῖσθαι τοὺς πολλοὺς ἐπαινοῦντας, οὐδὲν οἰομένους προσήκειν τοῖς πλέον ἔχειν δυναμένοις. τούτων ἡρακλῆς, τοὺς μὲν, ἐξέκοπτε καὶ ἀνῄρει περιιών, οἱ δὲ λανθάνοντες ἐκεῖνον παριόντος ἔπτησσον καὶ ὑπεδύοντο, καὶ παρημελοῦντο, ταπεινὰ πράττοντες. ἐπεὶ δὲ ἡρακλῆς ἐχρήσατο συμφορᾷ, καὶ κτείνας ἴφιτον, εἰς λυδίαν ἀπῆρε. καὶ συχνὸν ἐκεῖ χρόνον ἐδούλευε παρ' ὀμφάλῃ, δίκην τοῦ φόνου ταύτην ἐπιθεὶς αὑτῷ, τότε τὰ μὲν λυδῶν πράγματα πολλὴν ἔσχεν εἰρήνην καὶ ἄδειαν, ἐν δὲ τοῖς περὶ τὴν ἑλλάδα τόποις, αὖθις ἐξήνθησαν αἱ κακίαι. καὶ ἀνερράγησαν, οὐδενὸς πιέζοντος οὐδὲ κατείργοντος. ἦν οὖν ὀλέθριος ἡ πορεία τοῖς ἀθήναζε πεζῇ βαδίζουσιν ἐκ πελοποννήσου. καὶ τῶν λῃστῶν καὶ κακούργων ἐξηγούμενος ἕκαστον ὁ πιτθεὺς ὁποῖος εἴη, καὶ ὁποῖα δρῴη περὶ τοὺς ξένους, ἔπειθε τὸν θησέα κομίζεσθαι διὰ θαλάττης. τὸν δέ, πάλαι μὲν ὡς ἔοικε λεληθότως διέκαιεν ἡ δόξα τῆς ἡρακλέους ἀρετῆς, καὶ πλεῖστον ἐκείνου λόγον εἶχε, καὶ προθυμότατος ἀκροατὴς ἐγίνετο τῶν διηγουμένων ἐκεῖνον οἷος εἴη, μάλιστα δὲ τῶν αὐτὸν ἑωρακότων, καὶ πράττοντι καὶ λέγοντι προστετυχηκότων. τότε δὲ παντάπασιν ἦν φανερὸς πεπονθώς, ὃ πρὸ ὕστερον χρόνοις πολλοῖς θεμιστοκλῆς ἔπαθε, καὶ εἶπεν, ὡς καθεύδειν αὐτὸν οὐκ ἐῴη τὸ μιλτιάδου τρόπαιον, οὕτως ἐκείνῳ τοῦ ἡρακλέους θαυμάζοντι τὴν ἀρετήν, καὶ νύκτωρ ὄνειρος ἦσαν αἱ πράξεις, καὶ μεθημέραν ἐξῆγεν αὐτὸν ὁ ζῆλος, καὶ ἀνηρέθιζε ταυτὰ πράττειν διανοούμενον. ἐτύγχανον δὲ καὶ γένους κοινωνοῦντες, ἐξ ἀνεψιῶν ὄντες. αἴθρα μὲν γὰρ ἦν πιτθέως θυγάτηρ, ἀλκμήνη δὲ λυσιδίκης. λυσιδίκη δὲ καὶ πιτθεὺς ἀδελφοί, γεγονότες ἐξ ἱπποδαμείας καὶ πέλοπος. δεινὸν οὖν ἐποιεῖτο καὶ οὐκ ἀνεκτόν, ἐκεῖνον μὲν, ἐπὶ τοὺς πανταχοῦ πονηροὺς βαδίζοντα καθαίρειν γῆν καὶ θάλατταν, αὐτὸν δὲ τοὺς ἐμποδὼν ἄθλους ἀποδιδράσκειν. τὸν μὲν δόξῃ καὶ λόγῳ πατέρα καταισχύνων διὰ θαλάττης φυγῇ κομιζόμενος, τῷ δ' ὄντι προσφέρων γνωρίσματα πέδιλα καὶ ξίφος ἀναίμακτον, οὐκ ἔργοις εὐθὺς ἀγαθοῖς καὶ πράξεσι παρέχων ἐμφανῆ χαρακτῆρα τῆς εὐγενείας. τοιούτῳ φρονήματι, καὶ τοιούτοις λογισμοῖς ἐξώρμησεν, ὡς ἀδικήσων μὲν οὐδένα, τοὺς δὲ ὑπάρχοντας βίας ἀμυνούμενος. καὶ πρῶτον μὲν ἐν τῇ ἐπιδαυρίᾳ, περιφήτην ὅπλῳ χρώμενον κορύνῃ, καὶ διὰ τοῦτο κορυνήτην ἐπικαλούμενον, ἁπτόμενον αὐτοῦ καὶ κωλύοντα προάγειν, συμβαλὼν ἀπέκτεινεν. ἡσθεὶς δὲ τῇ κορύνῃ, λαβὼν, ὅπλον ἐποιήσατο, καὶ διετέλει χρώμενος, ὥσπερ ὁ ἡρακλῆς τῷ δέρματι τοῦ λέοντος. ἐκείνῳ μὲν οὖν ἐπίδειξις ἦν φερουμένη ἡλίκου τὸ μέγεθος θηρίου κρατήσειεν. οὗτος δὲ τὴν κορύνην ἐπεδείκνυεν ἡττημένην μὲν ὑπ' αὐτοῦ, μετ' αὐτοῦ δὲ ἀήττητον οὖσαν. ἐν δ' ἰσθμῷ σίνιν τὸν πιτυοκάμπτην, ᾧ τρόπῳ πολλοὺς ἀνῄρει, τούτῳ διέφθειρεν αὐτός, οὐ μεμελετηκὼς οὐδ' εἰθισμένος, ἐπιδείξας δὲ τὴν ἀρετήν, ὅτι καὶ τέχνης περίεστι καὶ μελέτης ἁπάσης. ἦν δὲ τῷ σίνιδι καλλίστη καὶ μεγίστη θυγάτηρ ὄνομα περιγούνη. ταύτην τοῦ πατρὸς ἀνῃρημένου φυγοῦσαν, ἐζήτει περιιὼν ὁ θησεύς. ἡ δ' εἰς τόπον ἀπελθοῦσα λόχμην ἔχοντα πολλήν, στοιβήν τε πλείστην καὶ ἀσφάραγον, ἀφελῶς πάνυ καὶ παιδικῶς ὥσπερ αἰσθανομένων δεομένη, προσηύχετο μεθ' ὅρκων, ἂν σώσωσιν αὐτὴν καὶ ἀποκρύψωσι, μηδέποτε λυμανεῖσθαι, μηδὲ καύσειν. ἀνακαλουμένου δὲ τοῦ θησέως καὶ πίστιν διδόντος ὡς ἐπιμελήσεται καλῶς αὐτῆς καὶ οὐδὲν ἀδικήσει, προῆλθε. καὶ τῷ μὲν θησεῖ συγγενομένη, μελάνιππον ἔτεκε. δηϊονεῖ δὲ τῷ εὐρύτου τοῦ οἰχαλιέως, ὕστερον συνῴκησε, θησέως δόντος. ἐκ δὲ μελανίππου τοῦ θησέως γενόμενος ἴωξος, ὀρνύτῳ τῆς εἰς καρίαν ἀποικίας μετέσχεν, ὅθεν ἰωξίδαις, καὶ ἰωξίσι, πάτριον

BIBLIOTECA NAZ. VITTORIO EMANUELE

ΠΛΟΥΤΑΡΧΟΥ ΠΑΡΑΛΛΗΛΑ.

ΘΗΣΕΥΣ.

ΩΣΠΕΡ ἐν ταῖς γεωγραφίαις ὦ Σόσσιε σενεκίων, οἱ ἱστορικοὶ τὰ διαφεύγοντα τὴν γνῶσιν αὐτῶν τοῖς ἐσχάτοις μέρεσι τῶν πινάκων πιεζοῦντες, αἰτίας παραγράφουσιν ὅτι τὰ δ' ἐπέκεινα θῖνες ἄνυδροι καὶ θηριώδεις, ἢ πηλὸς ἀϊδνὴς, ἢ σκυθικὸν ὄρος, ἢ πέλαγος πεπηγὸς, οὕτως ἐμοὶ περὶ τὴν τῶν βίων τῶν παραλλήλων συγγραφὴν, τὸν ἐφικτὸν εἰκότι λόγῳ καὶ βάσιμον ἱστορίᾳ πραγμάτων ἐχομένῃ χρόνον διελθόντι, περὶ τῶν ἀνωτέρω, καλῶς εἶχεν εἰπεῖν. τὰ δ' ἐπέκεινα τερατώδη καὶ τραγικὰ, ποιηταὶ καὶ μυθογράφοι νέμονται. καὶ οὐκέτ' ἔχει πίστιν οὐδὲ σαφήνειαν. ἐπεὶ δὲ τὸν περὶ λυκούργου τοῦ νομοθέτου, καὶ νομᾶ τοῦ βασιλέως λόγον ἐκδόντες, ἐδοκοῦμεν οὐκ ἂν ἀλόγως τῷ ῥωμύλῳ προσαναβῆναι, πλησίον τῶν χρόνων αὐτοῦ τῇ ἱστορίᾳ γεγονότες. σκοποῦντι δέ μοι, τοιῶδε φωτὶ κατ' αἰσχύλον, τίς ξυμβήσεται, τίν' ἀντιτάξω τοιῶδε, τίς φερέγγυος, ἐφαίνετο τὸν τῶν καλῶν καὶ ἀοιδίμων οἰκιστὴν ἀθηνῶν, ἀντιστῆσαι καὶ παραβαλεῖν τῷ πατρὶ τῆς ἀνικήτου καὶ μεγαλοδόξου ῥώμης. εἴη μὲν οὖν ἡμῖν ἐκκαθαιρόμενον λόγῳ τὸ μυθῶδες ὑπακοῦσαι καὶ λαβεῖν ἱστορίας ὄψιν. ὅπου δ' ἂν αὐθαδῶς τοῦ πιθανοῦ περιφρονῇ, καὶ μὴ δέχηται τὴν πρὸς τὸ εἰκὸς μῖξιν, εὐγνωμόνων ἀκροατῶν δεησόμεθα, καὶ πρᾴως τὴν ἀρχαιολογίαν προσδεχομένων. ἐδόκει δ' οὖν ὁ θησεὺς τῷ ῥωμύλῳ κατὰ πολλὰς ἐναρμόττειν ὁμοιότητας. ἄμφω μὲν ἀνεγγύω καὶ σκοτίω γενόμενοι, δόξαν ἔσχον ἐκ θεῶν γεγονέναι. ἄμφω δ' αἰχμητὰ, τό γε δὴ καὶ ἴδμεν ἅπαντες, καὶ μετὰ τοῦ δυνατοῦ τὸ συνετὸν ἔχοντες. πόλεων δὲ τῶν ἐπιφανεστάτων, ὁ μὲν ἔκτισε τὴν ῥώμην, ὁ δὲ συνῴκισε τὰς ἀθήνας. ἁρπαγὴ δὲ γυναικῶν ἑκατέρῳ πρόσεστιν, οὐδέτερος δὲ δυστυχίαν περὶ τὰ οἰκεῖα καὶ νέμεσιν ἐγγενῆ διέφυγεν. ἀλλὰ καὶ τελευτῶντες ἀμφότεροι λέγονται τοῖς ἑαυτῶν προσκροῦσαι πολίταις. εἴ τι τῶν ἥκιστα τραγικῶς εἰρῆσθαι δοκούντων, ὄφελός ἐστι πρὸς ἀλήθειαν. θησέως, τὸ μὲν πατρῷον γένος εἰς ἐρεχθέα καὶ τοὺς πρώτους αὐτόχθονας ἀνήκει. τῷ δὲ μητρῴῳ, πελοπίδης ἦν. πέλοψ γὰρ οὐ χρημάτων πλήθει μᾶλλον ἢ παίδων, μέγιστον ἴσχυσε τῶν ἐν πελοποννήσῳ βασιλέων. πολλὰς μὲν ἐκδόμενος θυγατέρας τοῖς ἀρίστοις. πολλοὺς δὲ ταῖς πολιτείαις ἐγκατασπείρας ἄρχοντας. ὧν εἷς γενόμενος πιτθεὺς ὁ θησέως πάππος. πόλιν μὲν οὐ μεγάλην τὴν τροιζηνίων ᾤκησε, δόξαν δὲ μάλιστα πάντων ὡς ἀνὴρ λόγιος ἐν τοῖς τότε καὶ σοφώτατος ἔσχεν. ἦν δὲ τῆς σοφίας ἐκείνης τοιαύτη τις ὡς ἔοικεν ἰδέα καὶ δύναμις, οἵᾳ χρησάμενος ἡσίοδος, εὐδοκίμει μάλιστα περὶ τὰς ἐν τοῖς ἔργοις γνωμολογίας. καὶ μίαν γε τούτων ἐκείνην λέγουσι πιτθέως εἶναι. μισθὸς δ' ἀνδρὶ φίλῳ εἰρημένος ἄρκιος ἔστω. τοῦτο μὲν οὖν καὶ ἀριστοτέλης ὁ φιλόσοφος εἴρηκεν. ὁ δ' εὐριπίδης τὸν ἱππόλυτον, ἁγνοῦ πιτθέως παίδευμα προσειπὼν, ἐμφαίνει τὴν περὶ τὸν πιτθέα δόξαν. αἰγεῖ δὲ παίδων δεομένῳ τὴν πυθίαν ἀνελεῖν λέγουσι τὸν θρυλλούμενον χρησμὸν, διακελευομένην μηδεμιᾷ γυναικὶ συγγίνεσθαι, πρὶν ἐλθεῖν εἰς ἀθήνας. οὐ πάνυ δὲ τοῦτο φράζειν εὐδήλως δοκοῦσαν. ὅθεν εἰς τροιζῆνα παρελθὼν ἀνεκοινοῦτο πιτθεῖ τὴν τοῦ θεοῦ φωνὴν, οὕτως ἔχουσαν. ἀσκοῦ τὸν προὔχοντα πόδα, μέγα φέρτατε λαῶν, μὴ λύσῃς, πρὶν δῆμον ἀθηναίων εἰσαφικέσθαι. ἄδηλον οὖν ὅτι νοήσας ὁ πιτθεὺς ἔπεισεν αὐτὸν, ἢ διηπάτησε τῇ αἴθρᾳ συγγενέσθαι. συγγενόμενος δὲ καὶ γνοὺς ἐκεῖνος ὅτι τῇ πιτθέως θυγατρὶ συγγέγονε, καὶ κύειν αὐτὴν ὑπονοήσας, ἀπέλιπε ξίφος καὶ πέδιλα κρύψας ὑπὸ πέτραν μεγάλην, ἐντὸς ἔχουσαν κοιλότητα συμμέτρως ἐμπεριλαμβάνουσαν τὰ κείμενα. φράσας δὲ πρὸς μόνην ἐκείνην, καὶ διακελευσάμενος, ἂν υἱὸς ἐξ αὐτοῦ γένηται, καὶ λαβὼν ἀνδρὸς ἡλικίαν, δυνατὸς ᾖ τὴν πέτραν ἀναστῆσαι καὶ ὑφελεῖν τὰ καταλειφθέντα, πέμπειν πρὸς αὐτὸν ἔχοντα ταῦτα μηδενὸς εἰδότος, ἀλλ' ὡς ἔνεστι μάλιστα λανθάνοντα πάντας. ἰσχυρῶς γὰρ ἐδεδοίκει τοὺς παλλαντίδας ἐπιβουλεύοντας αὐτῷ, καὶ διὰ τὴν ἀπαιδίαν καταφρονοῦντας. ἦσαν δὲ πεντήκοντα παῖδες ἐκ πάλλαντος γεγονότες, ἀπῄει. τεκούσης δὲ τῆς αἴθρας υἱὸν, οἱ μὲν, εὐθὺς ὀνομασθῆναι θησέα λέγουσι διὰ τὴν τῶν γνωρισμάτων θέσιν. οἱ δὲ, ὕστερον ἀθήνησι παῖδα θεμένου τοῦ αἰγέως αὐτόν. τρεφόμενον δὲ ὑπὸ τοῦ πιτθέως ἐπιστάτην ἔχειν καὶ παιδαγωγὸν ὄνομα κοννίδαν, ᾧ μέχρι νῦν ἀθηναῖοι μιᾷ πρότερον ἡμέρᾳ τῶν θησείων, κριὸν ἐναγίζουσι, μεμνημένοι καὶ τιμῶντες πολὺ δικαιότερον ἢ σιλανίωνα τιμῶσι καὶ παῤῥάσιον εἰκόνων θησέως γραφεῖς καὶ πλάστας γενομένους. ἔθους δὲ ὄντος ἔτι τότε τοὺς μεταβαίνοντας ἐκ παίδων ἐλθόντας εἰς δελφοὺς ἀπάρχεσθαι τῷ θεῷ τῆς κόμης, ἦλθε μὲν εἰς δελφοὺς ὁ θησεύς. καὶ τόπον ἀπ' αὐτοῦ τὴν θησείαν ἔτι νῦν ὀνομάζεσθαι λέγουσιν. ἐκείρατο δὲ τῆς κεφαλῆς τὰ πρόσθεν μόνον, ὥσπερ ὅμηρος ἔφη τοὺς ἄβαντας. καὶ τοῦτο τῆς κουρᾶς τὸ γένος θησηῒς ὠνομάσθη δι' ἐκεῖνον. οἱ δὲ ἄβαντες ἐκείραντο πρῶτοι τὸν τρόπον τοῦτον, οὐχ ὑπ' ἀράβων διδαχθέντες ὡς ἔνιοι νομίζουσιν, οὐδὲ μυσοὺς ζηλώσαντες, ἀλλ' ὄντες πολεμικοὶ καὶ ἀγχέμαχοι, καὶ μάλιστα δὴ πάντων εἰς χεῖρας ὠθεῖσθαι τοῖς ἐναντίοις

ἘΚ ΤΩ͂Ν ΣΟΥΪ́ΔΑ.

π λούταρχος χαιρωνεὺς τῆς βοιωτίας γεγονὼς ἐπὶ τῶν τραϊανοῦ τοῦ καίσαρος χρόνων καὶ ἔτι πρόσθεν. μεταδοὺς δὲ αὐτῷ τραϊανὸς τῆς τῶν ὑπάτων ἀξίας προσέταξε μηδένα τῶν κατὰ τὴν ἰλλυρίδα ἀρχόντων παρὲξ τῆς αὐτοῦ γνώμης τί διαπράττεσθαι. ἔγραψε δὲ πολλά. καὶ ἐν αὐτοῖς τὸ παράλληλον ἔργον τῶν βίων. καλλίστην καὶ τοῖς ἀνθρώποις λυσιτελεστάτην ἱστορίαν.

Εἰς εἰκόνα πλουτάρχου

α γαθίου σχολαστικοῦ.

Σεῖο πολυκλήεντα τύπον στήσαντο χαιρωνεῦ
  πλούταρχε κρατερῶν υἷες αὐσονίων.
ὅττι παραλλήλοισι βίοις ἕλληνας ἀρίστους
  ῥώμης εὐπολέμοις ἥρμοσας ἐνναέταις.
ἀλλὰ τεοῦ βιότοιο παράλληλον βίον ἄλλον
  οὐδὲ σύ γ' ἂν γράψαις. οὐ γὰρ ὅμοιον ἔχεις.

Eadem latine.

Hanc ſtatuam poſuere tibi Plutarche decoram
  Vſq; adeo Auſonium martia corda genus.
Inclyta graiugenum quia confers geſta latinis,
  Græcaq; romanis nomina principibus.
Attamen ipſe tibi nequeas componere quenquam.
  quod ſimilem non ſit, nec reperire parem.

ΒΊΩΝ ΤΩ͂Ν ἘΦΕΞΗ͂Σ ΠΕΡΙΕΧΟΜΈΝΩΝ ΣΧΈΣΙΣ.

Θησεύς	1
Ῥωμύλος	6
Λυκοῦργος	13
Νουμᾶς	19
Σόλων	25
Ποπλικόλας	31
Θεμιστοκλῆς	35
Κάμιλλος	41
Περικλῆς	48
Φάβιος Μάξιμος	55
Ἀλκιβιάδης	61
Μάρκιος Γάϊος	69
Τιμολέων	75
Αἰμίλιος Παῦλος	82
Πελοπίδας	89
Μάρκελλος	95
Ἀριστείδης	102
Κάτων	107
Φιλοποίμην	119
Τίτος Φλαμίνιος	123
Πύῤῥος	127
Μάριος	135
Λύσανδρος	144
Σύλλας	149
Κίμων	158
Λούκουλλος	162
Νικίας	172
Κράσσος	178
Εὐμένης	186
Σερτώριος	191
* Ἀγησίλαος	196
Πομπήϊος	203
Ἀλέξανδρος	218
Καῖσαρ	231
Φωκίων	242
Μάρκος Κάτων	248
Ἆγις καὶ Κλεομένης	254
Τιβέριος καὶ Γάϊος Γράκχοι	263
Δημοσθένης	270
Κικέρων	275
Δημήτριος	283
Ἀντώνιος	292
Ἀρτοξέρξης	305
Δίων	310
Βροῦτος	318
Ἄρατος	327
Γάλβας	335
Ὄθων	340
* Εὐαγόρας	343

Vincentij Laurei et amicorum.

FRANCISCVS ASVLANVS PETRO BEMBO LEONIS .X. PONT. MAX. A' SECRETIS SALVTEM P. D.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

q Voties in memoriam reuoco præſtantiſſime uir Petre Bembe, quæ mihi nuper circa aduentum tuum in hanc urbem contigere: ita cum animo meo conſtituo: ut exiſtimem fieri quandoq; ſolere, ut uirtus etiam è neceſſitate proueniat. etenim quum tu ſepoſitis parumper laborioſiſſimis illis urbis Romæ negociis, quæ propemodum infinita uirum ſummi Pontificis à ſecretis premant neceſſe eſt: tum ualitudinis curandæ, tum patriæ duodecimum circiter poſt annum uidendæ cauſa Venetias perueniſſes me ingenti quadam, ac penè incredibili difficultate obrutum eſſe cognoui. quippe ita iampridem in more poſitum fuiſſe animaduertebam, ut illuſtrium uirorum ædes perinde ac deorum immortalium templa non ſine munere quiſquam rite adiret. non ſanè quod aut dii ipſi, aut eiuſmodi homines, ullis donis egerent: ſed ut eo pacto quem quiſq; maxime ſiue deum, ſiue hominem coleret, pro muneris conditione declararet. eſt autem mihi iam indè uſque à puero cum in familiam tuam, quam inter patricias honeſtiſſimam eſſe intelligo: tum uero in te ipſum ob eximias iſtas uirtutes, quibus te cum primis admiror: ſingulare quoddam animi ſtudium: adeo, ut quemadmodum nihil impenſius cupio quàm te officio aliquo promereri: ita nullum mihi muneris genus ad declarandam meam uoluntatem ſatis eſſe uideatur. illud uero me maxime angebat, quod nihil nouum, & non ante hac inuulgatum, è noſtra officina educi in præſentia poterat: quod tuo nomini dedicarem. ſolent enim id genus quaſi primitiæ multo eſſe gratiſſimæ. atq;, ut ab agricolis poma, ſic à librariis uolumina iure donantur. quare in ea animi perturbatione: quod mihi præ manibus erat arripui: ac ne omnino te ſine munere adirem hoc Plutarchi opus mecum afferre decreui. ſunt autem quas uitas appellant, non certe omnes quotcunq; olim ille conſcripſit. quin neq; omnes illius. nam & Euagoras Iſocratis eſt, & Ageſilaus Xenophontis, ſed quæ paulo ante Florentiæ nullo ordine uelut tumultuaria opera in lucem exiuerant. equidem ut plures numero inuenire non potui: ita multum & ſcripturæ caſtigatione, & ordine hoc, quem à Plutarcho etiam ſeruatum fuiſſe contenderim propter ſeriem temporum Romanorum: libri totius pulchritudini afferre conatus ſum. ſuſtuliſſem profecto Ageſilaum, atque Euagoram: niſi ita iam obtinuiſſet conſuetudo: ut quæ poſterius imprimantur non diminuta ſed auctiora, ſi fieri poſſit, exiſtant. Factum eſt itaq; neceſſitate potius quàm conſilio, ut prudens admodum in hoc munere dando uiderer. quando nullum magis te dignum tota officina, ut arbitror, reperire potuiſſem. quid enim homini & Græce, & Latine, eruditiſſimo magis conueniat? quàm ſcripta eius auctoris: qui ob multiplicem eruditionem græcis pariter & latinis fuerit admirationi? idq; perinde ut auream ſtatuam Romæ aliquando meruerit? quid tibi præterea gratius libro hoc eſſe debeat: quem pater tuus uir undiq; ornatiſſimus tunc etiam quum ætatis annum prope octogeſimum ageret, ſolitus ſit magna cum uoluptate perlegere? adde quod tu interim illuſtris uir illuſtrium uirorum facinora hic non aliter quàm tui exempla cognoſces: ac innumerabiles ferè tuarum uirtutum imagines ſumma quadam ſcriptoris huius dexteritate expreſſas inuenies: ita ut è multis illis: quos memoriæ prodidit: te unum effingere uelle uideatur. qua in re poteris magnopere tecum ipſe lætari: quod talis iam ſis quales nonnullos priſca etiam ſæcula celebrarint. Accipe igitur munus hoc noſtrum ea fronte: quæ ſemper quanta ſit tua humanitas una demonſtrat. atq; memineris eo ſatiſfactum eſſe non uoluntati meæ, ſed tempori. Vale.

68. 7. F. 1

S · T. R. codices car.lis Rodulfi
u. codex ex uaticana
π. codex Patauinus
w. codex ex eadem uaticana
q. codex ex bibliotheca Grimannorum, quae est in coenobio S. Antonij Venetijs

ubi nec est ullus charakter significat codicem Venetum. pag. 185.
π significat codicem Patauinum. T codicem Car.lis Rodulfi Venetum. R codicem Car.lis Rodulfi Romanum.
S. codicem alium Car.lis Rodulfi.
u. codicem ex Vaticana bibliotheca.
q. codicem sig.at ex Biblio.ca S.ti Ant.nij Venetijs
Has castigationum copiam mihi fecit Donatus Jannoctius Florentinus, vir morum probitate et doctrina praestans.

ΠΛΟΥΤΆΡΧΟΥ ΠΑΡΆΛΛΗΛΑ ἘΝ ΒΊΟΙΣ ἙΛΛΉΝΩΝ ΤΕ ΚΑῚ ῬΩΜΑΊΩΝ.

μθ'.

PLVTARCHI QVAE VOCANTVR PARALLELA. HOC EST VITAE ILLVSTRIVM VIRORVM GRAECI NOMINIS AC LATINI, PROVT QVAEQVE ALTERI CONVENIRE VIDEBATVR, DIGESTAE.

Coll. Rom. Soc. Jesu Cat. inscr.

ALDVS M. R.

BIBLIOTECA NAZ. ROMA VITTORIO EMANUELE

B. S.

Digitized by Google

68
7 F
1

Ex Bibliotheca
majori Coll. Rom.
Societ. Jesu
IV. 8. b.

5. 8. A. 11.

133. 1. 3.